150



ΓΑΛΗΝΟΥ Ε

GALENI LIBRORVM PARS QVINTA.

Catalogum eorum octaua pagina continet.



Cum Cæsareæ Maiest. & Regis Galliarum priuilegijs.

BASILEAE
M. D. XXXVIII.

REVERENDISSIMO IN CHRISTO PATRI AC DOMINO, D. PHILIPPO COSSEIO Constantię Galliarũ episcopo, Hieronymus Gemusæus Doctor medicus & philosophus S.

VIsum est operæprecium me facturum esse, si apud tuam Celsitudinem in hunc quintum Galeni tomũ aliquid cõmentatus essem de Hippocrate, cuius insignem partem librorũ is continet, eiusq; interprete Galeno. Ad id me inducit, quod cum nuper in aula Christianissimi Regis tuam clementiam cognouissem, quæ me totum profectò tum cepit, et uelut me mihi rapuit, inter reliquam de studijs literarum disputationem, habita est mentio huius æditionis, quæ tum à ciuibus nostris instruebatur: ubi probabatur tibi uehementer institutum nostrorum hominũ, qui ita in bonorum autorũ emendationem intenti essent, ut huiusce nostri seculi magnam apud posteros admirationem relicturi uiderentur: ac pleraq; item alia tu pro more copiose simul ac diserte in eandẽ sententiã disseruisti. Quibus omnibus adeò incendebatur animus meus, ut mihi met ego gratularer plurimũ, huius laboris partem meã esse: iam tum enim receperam ac fidem dederam, quantũcunq; ego possem mea opera, æditionem hanc diligenter pro uirili adiuturũ esse: quod institutum etiã istu fassus sum apud te. Adeoq; non multo pòst, quantumuis inuitus auellerer à cõspectu maximorũ atq; optimorũ uirorũ, quorum fauorem ac beneuolentiam ego quibusuis bonis perpetuò prætuli, accinctus tamen sum itineri, atq; eò perrexi quo uocabar, ut id quod semel pollicitus fuissem, aliquando præstarem. Nam eam fidem fallere, quæ in rem sanctam data esset, multo uidebatur grauius fore, quàm eorũ leuitatem, qui in ciuili negocio mutant consilium, ac promissum detrectant. Et sanctissimũ id esse, uel ex tua sententia didiceram, conatum hunc & consilium nostrorum in adornandis quibusq; autoribus, ope atq; industria quanta quisq; posset studiose promouere. Discessi tum ego è Gallia, atq; huc redij ad opus quod dudũ à me cœptum fuerat, atq; ab incude tum expectabatur hic quintus totius operis tomus, qui mihi fortè inspiciendus obtigerat. Cæterum ab eo die nihil ego dedi ad Celsitudinem tuam, quod puderet me quicquã prorsus scribere, priusquam aliquod specimen huiusce laboris inspiciendum unà mittere possem: quem laborem totum putabamus tum omnes, citius quàm id euenerit, absoluendũ esse. Quapropter cum in hunc usq; diem opus durauerit, idq; ob multiplicẽ causam ita constitutũ apud me esset, ne prius hoc facerẽ, nunc primũ prodire audeo, ac coram celsitudine tua adparere, ubi de Hippocrate atq; eius interprete Galeno, quemadmodũ solebam præsens coram te cõmentari, quædam in medium adferam, sumpto exordio potissimũ ab Aristotele, qui in libro quæstionũ naturaliũ, cuius index est de animaliũ proprietate, ait medicinã sparsim inuentam esse à diuinandi peritis in hominũ conuentibus, & casu, uel somnio, uel uaticinio, uel dæmonũ inuocatione, uel huiusmodi alio. Ideo nõ iniuria habita est hæc ars inconstans, quippe quæ sæpius sit mutata. Ac primũ ab imperitissimis gentibus quæsitũ ferunt ab herbis tum uulneribus tum morbis auxilium, et quæ ab illis inuẽta fuere, magis uidentur Chirurgiæ dedisse initiũ, ut quæ sensui sit propior, atq; ob id cognitu promptior, & inuentione prior. Nam & Homerus ita induxit primos medicos Podaliriũ et Machaona, in bello Troiano, tanquã solis uulneribus medendis adhiberentur: & pars illa quæ ad morbos qui intus sunt pertinet, maiorem ac difficiliorẽ inquisitionem habet, neq; statim cuiuis obuiam: quæq; ad eos auxilia inuenta fuere, multo pòst deprehensa, & primo aut ex animalium similitudine sumpta, aut casu animaduersa ac deinde frequentata, initiũ huic parti artis dedisse uidetur. Quemadmodũ igitur emperia plerisq;

plerisq; alijs initium fecit, ita medicinam ab eadem cœpisse oportet, eamq; duobus modis primũ extitisse, ut dixi. Nam quæ animalibus permulta obseruata, mox in usum hominum uersa fuere, nõ minimã partem eius inuexere. Ita hippopotamus in quadam medendi parte magister extitit. Is assidua satietate obesus, exit in littus, recentes harundinum cæsuras perspeculatus, atq; ubi acutissimum uidet stipitem, imprimens corpus, uenam quandam in crure uulnerat, atq; ita profluuio sanguinis morbidum aliàs corpus exonerat, & plagam limo rursus obducit. Simile quiddã & uolucris in Aegypto mõstrauit, quæ uocatur Ibis, rostri aduncitate per eam partem se perluens, qua onera ciborũ solent reddi maxime. Nec hæc sola animalibus ita reperta sunt, usui futura & homini. Dictamnũ herbam extrahendis sagittis cerui mõstrauere, percussi eo telo, pastuq; eius herbæ eiecto. Idẽ percussi à phalangio, quod est aranei genus, aut aliquo simili, cancros edendo sibi medentur. Chelidoniam uisui saluberrimã hirundines monstrauere. Testudo cunilam ostendit, cuius pastu uires contra serpentes refouet: mustela, rutam: ciconia, origanum: ederam, apri: anguis, succum fœniculi, quo membrana corporis hyberno situ obducta exuit, nitidusq; uernat: draco lactucæ succum: elephas, oleastrum, cuius esu occurrit ueneno suo, deuorato chamæleonte concolore frondi suo. Vrsi, formicarum auxiliũ. Ceruus, herbæ cinnaræ usum. Palumbes, graculæ, merulæ, perdices, lauri folio annuũ fastidiũ purgant. Ad eundẽ modum in cæteris permulta obseruata, in usum hominũ tralata fuere. Porrò autem non sola animalia usum hunc medicamentorũ docuere, sed & ipsimet homines inter se cõmunicantes quæ quisq; expertus esset medicamenta, aut casu incidens, aut alio quouis modo eò adductus: adeoq; apud nationes aliquas institutũ erat, ut ægroti in publicum portarentur, aduersus morbũ quod quisq; expertus esset petituri auxilium: quo more apud Aegyptios qui ægrotabant, ad compita ponebantur, ut prætereuntes rogarent, quo morbo infestaretur quisq;: quorum si quis eodem genere aliquando laborasset, et medicamenti cuiuspiam auxilio adiutus euasisset, iubebat ut idem tentaret ægrotus. Ad hunc modum aucta est inuentio pharmacorum usu comprobatorũ, atq; ea sine scripto primum peragebantur, ac ueluti per manus tradebant illi sine monumentis, quæ quisque cognouisset, donec reperti sunt tandem qui in uolumina hæc redigere adgrederẽtur. Primus autem omnium quos memoria nouit, Orpheus de his curiosius aliqua prodidit, post eum Musæus & Hesiodus: et Homerus aliquas herbas nominatim celebrat, et alij insuper. Atq; adeò primum fuit attonita ad hæc antiquitas, ut affirmaret etiam incredibilia dictu. Xanthus historiarũ autor, ut inquit Plinius, in prima earum tradit, occisum draconis catulum ad uitam reuocatũ à parente, herba quam balin nominat: eadem Tillonem quem draco occiderat restitutũ saluti. Et Iuba in Arabia herba reuocatum ad uitam hominem tradit. Dixit Democritus, credidit Theophrastus, esse herbam, cuius contactu illitus ab alite exiliret cuneus à pastoribus arbori adactus. Inde plerìq; existimarunt nihil nõ herbarum ui effici posse, sed plurimarũ uires esse incognitas. Quorũ numero fuit Herophilus clarus in medicina, à quo ferunt dictum, quasdam etiam fortasse calcatas prodesse. Quæ igitur initio reperta fuere, ad hunc modum congesta sunt, quibus adiuti pauci quidã homines, profiteri paulatim cœpere medicinam, atq; singuli morborum plurium auxilium pollicebantur: sed solis experimentis constabat uniuersus modus, causæ adhuc ignorabantur, quod qui ea experti initio fuissent, agrestes literarumq; ignari essent, utpote qui soli inter herbas uiuerent. Hæc erat antiqua medicina, quæ quamuis diues esset experimentis, nondum tamen morbis omnibus succurrere poterat, quod nõdum ratio haberetur inquirendi noua auxilia, quod causæ rerum quæ huic inquisitioni initium dare solent, adhuc nescirentur. Experimenta autem quibusque morbis propria præscri-

bi adeò nō possent, aliquibus etiã ea quæ sciret demonstrare nolentibus, tanquam ipsis esset periturū quod alijs tradidissent: unde paulatim ab oraculis peti cœpere medicinæ, in subsidiū eorū quæ adhuc ignorabãtur. Eodemq; modo ex insomnijs permulta petita fuere. Insanabilis adhuc ad multos annos fuerat rabidi canis morsus, pauorē aquæ potusq; omnis adferens odiū. Mox cuiusdam militantis in prætorio mater uidit in quiete, ut radicē syluestris rosæ, quã cynorrhodon uocãt, adblanditã sibi in aspectu pridie in fruteto, mitteret filio bibendã in lacte. In Lusitania res gerebatur, Hispaniæ proxima parte, casuq; accidit ut milite à morsu canis incipiēte aquas expauescere, superueniret epistola, orãtis ut pareret religioni, seruatusq; est ex insperato, et postea quisq; auxiliū simile tentauit. Ad eundē modū permulta etiã alia prodita fuere. Sed et quæ ex oraculis multifariã petita fuere medicamenta, ab alijs tentata sunt, quibus omnibus seruatis atq; in monimenta redactis, in immensum creuit ἐμπειρία. Multū tamen desiderabatur ut ars esset, quod causæ nondū essent cognitæ, quæ modū præceptis darent, sed quæ quisq; in alijs expertus esset, aut ab alio cõprobatū accepisset, citra rationē ullam morbis adhiberet. Quæ medendi ratio aliquandiu sanè apud priscos homines exercita fuit. Hãc Aegyptij primū à se profectã eße cõtendūt, apud quos etiam id ita seruatū fuisse par fuerit, ut singulorū morborū medici essent, non pluriū, alijq; essent ocularij, curandis oculis cõstituti, alij capiti, alij dentibus, alij alui partibus, alij morbis occultis, quòd cum solis experimentis cõstaret medicina, eaq; infinita essent, parū esse securū illis uideretur, si uni homini diuersorū morborū cura demandaretur. Apud Græcos primo adornari cœpit diligētius, apud quos uetustißimus autor Aesculapius celebratur, qui quod adhuc rudem & uulgarem hanc artem paulò subtilius excoluit, in deorū illorū numerū receptus est. Huic duo filij fuisse perhibentur medici, Podalirius et Machaon, Homerico carmine laudati, qui ducem ad Troianū bellū Agamemnonē sequuti, nō mediocrem opem cõmilitonibus suis attulere. Sequentia eius in nocte densissima latuere usq; ad Peloponnesiacum bellum, et tunc eam in lucem reuocauit Hippoc. genitus in insula Coo, omniū quot sunt, quotq; fuere, facile princeps. Is fuit Heraclidæ Phæneretesq; filius, ab Hercule XX. ab Aesculapio XIX. Heraclidæ primū patris sui fuit auditor, deinde Herodici, & ut nõnulli uolūt, etiam Leontini rhetoris, Democritiq; Abderitani philosophi. Peloponesiacis temporibus floruit. Natus est primo anno LXXX. olympiadis, mēsis Agrinæi septimo die, quo etiam nunc Coos Soranus ait Hippocrati parentare. Arte medica disciplinisq; circularibus institutus exercitatusq;, parētibus iam mortuis de patria discessit, quod statuerat quæcunq; in singulis locis agerentur perficerenturq; perscrutari, uti ea uarietate magis exercitaretur. Soranus Cous ait sōmniū dormienti astitisse, mandasseq; ut in Thessaliam migraret. Cum autem Græciã totam medicina iuuaret, omnibusq; admirationi esset, Perdiccasq; Macedonum rex qui tabe laborare credebatur, per legatos rogasset ut ad se ueniret, cum Euryphonte senatu maiore ad eū uenit, morbumq; illum animi affectum, id est, amorem esse ostendit. Nam post Alexandri patris mortem Philan eius pellicem Perdiccas deperibat, cui cum factū dissertaret, deprehendit Perdiccã uisu Philes exhilarari, sicq; eum morbo illo liberauit cõseruauitq;. Hūc etiam Abderitani ad Democritū insania liberandū uocauerūt, totamq; Græciã urbesq; omnes à pestilentia liberauit. Cum enim hanc in Atticam uenturam prospexisset, atq; id futurū præmonuisset, & urbium & discipulorū quos ad eas liberandas mittebat, curã habuit. Græcos amauit adeò, uti cum eius gloria et autoritas ad Persas fama peruenisset, eaq; de causa ab Artaxerxe magnis donis promissisq; ut ad se iret rogaretur, quod esset seuerus, grauis & constans & auri & argenti contemptor, suorumq; amator, negauit se iturum, quemadmodum ex epistola ad

De uita Hippoc. nonnulla.

Apud Aegyptios singulorum morborum Medici fuere.

Rabidi canis morsus.

la ad eum scripta mõstratur. Liberauit et patriam suam Con, cum Athenienses bellũ ei essent illaturi, rogatis Thessalis ut opitularẽtur: qua de re magnis & præclaris honoribus à Cois celebratur, nõ minus & ab Argiuis & ab Atheniensibus, qui eum ab Hercule secundũ, sacris Eleusinijs initiatũ, participẽ ue fecerũt, ciuitateq; donauerũt, publicaq; ei posterisq; eius alimenta in curia dederũt. Liberaliter sineq; inuidia prorsus cognatos familiaresq; artẽ medicam docebat, cum probo iureiurãdo. Obiuit apud Larissæos, cum Democritus fertur perijsse, quemadmodũ nõnulli uolunt nonaginta annorum, sicut autem alij octuagintaquinq;, centum et quatuor aliqui, centũ & nouem uolunt alij. Sepultus est inter Gyrtonẽ et Larissam, ac etiam nunc eius monumentũ ostenditur, in quo diu apum examen mellificantiũ permansit, quo melle nutrices infantiũ pustulas & oris ulcera apud tumulum perungebant, et facile sanabant. Filios moriens duos reliquit, Thessalũ Draconemq;: discipulorũ uero magnũ numerũ, sed præstantissimi eius filij fuisse dicũtur. Præcepta uero medendi primus omniũ proprijssime cõdidit Hippoc. relictis octoginta uoluminibus, quæ nõ solũ referta sunt herbarũ mentione ac medicamentorũ omnis generis, sed et rationẽ singulorũ auxiliorũ et causarum diligentem inquisitionem continent. Cum enim quæ à maioribus tradita fuerant rudiora adhuc deprehendisset, quàm pro ratione artis, quòd auxiliorũ quidẽ effectus illi obseruassent, rationem tamen quæ certum eorum usum ostenderet, ignorarent prorsus, hanc partem artis illustrandam esse putauit, ac inuentionem causarum illi adijciendam, ut ea instructi, tum ijs quæ inuenta pridem fuissent recte uti possent, tum etiam inde exorsi, noua subinde prius experimento adinuentis per rationem adijcere. Porrò de libris eius quamuis magna discordia fuerit, ut putarint nõnulli haud facile quicquam de ijs pronunciari posse, hanc tamen ambiguitatem probè sustulit Galenus. Discordiam hanc ex eadem occasione natã fuisse arbitrandũ est, qua in plerisq; etiã alijs autorũ libris. Πτολεμαῖον γὰρ τὸν Φιλάδελφον πάνυ ἐσπουδακέναι εἰκός ἐστι περὶ τὰ Ἱπποκράτεια συγγράμματα, ὥσπερ καὶ περὶ τὰ Ἀριστοτέλεια, καὶ τὰ λοιπά. ὅθεν καὶ χρήματα διδόναι φασὶ τοῖς προσφέρουσι αὐτῷ βίβλους τοῦ φιλοσόφου. καὶ τινὰς χρηματίσασθαι βουλομένους, ἐπιγράφοντας συγγράμματα τῷ τοῦ φιλοσόφου ὀνόματι προσηχέναι, ἀμέλει φασὶ ἐν τῇ μεγάλῃ βιβλιοθήκῃ εὑρῆσθαι ἀναλυτικῶν μὲν τεσσαράκοντα βίβλους, κατηγοριῶν δὲ δύο, ἐκρίθη δὲ ὑπὸ τῶν ἐξηγητῶν κατηγοριῶν ἓν μὲν εἶναι γνήσιον, τοῦ Ἀριστοτέλους, ἀναλυτικῶν δὲ τέσσαρα. κατὰ τὸν αὐτὸν οὖν τρόπον τὰ τοῦ Ἱπποκράτους γνήσια βιβλία ὁ Γαληνὸς ἔκρινεν ἔκ τε τῆς φράσεως, μάλιστα δ' ἐκ τῆς τοῦ ἀνδρὸς τούτου γνώμης καὶ τῶν νοημάτων. ἐδίδαξε γὰρ ἅτινα μὲν αὐτοῦ τοῦ Ἱπποκράτους ἐστὶ συγγράμματα, ἅτινα δὲ καὶ τῶν αὐτοῦ μαθητῶν καὶ τῶν υἱῶν.

Hippocratẽ Coũ secutus est Diocles Caristius, inde Praxagoras et Chrysippus, qui ingẽtis garrulitatis arguitur: cuius Erasistratus fuit discipulus, Aristotelis filia genitus. Is Antiocho rege sanato centum talentis donatus est à rege Ptolemæo eius filio. Hinc alia factio rursus ab experimẽtis empirice nominata, cœpit in Sicilia, à Creote Agrigentino Empedoclis physici autoritate cõmendato. Dissideruntq; hæ inter se scholæ: nam alij experientiã solam aiunt arti sufficere, alij solam rationẽ, qui logici sunt à Græcis nominati. Empirici enim obseruant & cõminiscuntur quæ apparuere eis, ubicunq; experti sunt quicquam. Logici uero ratiocinantur, & conantur rerũ causas perscrutari duce scientia. Ex his qui plurimũ rationi tribuebãt, experimento minimũ, methodici etiã fuerunt. Post quos sequutus Galenus doctissimus Hippocratis interpres, utrunq; modum coniunxit, & ab experientia ostendit principiũ sumi oportere, ab ea deinde ad causarum inquisitionem tendendum à quibus causis rursus ad experimentum redeundum esse, quod sensus ut est apertus iudex rerum, & incipiendæ inquisitioni de natura maxime idoneus, ita etiam confirmationem certissimam præbet eorum quæ ratione inuenta fuere. Proinde siue ab ipso sensu exorsi, ad inquisitionem causarum perrexerimus, inde redeuntes ad emperiam atque ad sensum, facile cognoscemus an causam ipsam deprehenderimus: siue à ratione mox principium statuentes aliquid uideamur deprehendisse, mox consulentes sensum pulchrè intelli-

gemus an falsa ratione decepti simus, quatenus sensus id quod uera ratio dictarit, pulchrè confirmabit. Et adeò non aspernanda est negligendaq́; confirmatio rerum quæ à consensu effectorum sumitur, ut etiam mathematica ipsa, quæ ualidissimis rationibus fulciuntur, maiorem fidem habeant, ubi sensu fuerint comprobata. μήτι οὖν ὀρθῶς φασιν οἱ ἐμπειρικοὶ τὰ κατὰ μέρος μόνα ἀρχὴν τῆς καθόλου συστάσεως εἶναι, λέγοντες ἀληθῆ ἐκεῖνα μόνον τῶν θεωρημάτων, ὅσα τὴν σύστασιν διὰ ἐμπειρίας ἔσχηκεν. οὐ γὰρ οὕτως ἔχειν φησὶν ὁ Γαληνός, ἀλλὰ καὶ διὰ λόγου πολλὰ τῶν θεωρημάτων εὑρῆσθαι. μὴ μέντοι πᾶσαν πίστιν περὶ αὐτῶν ἐκ μόνου τούτου ληπτέον, ὅλως ἀμελοῦσι τὰ ἐκ τῆς αἰσθήσεως. κρίνεσθαι γὰρ καὶ τούτων τὴν ἀλήθειαν ὑπὸ τῆς πείρας βεβαιωμένην. οὕτως γοῦν καὶ τοῖς περὶ μεγεθῶν καὶ ἀποστημάτων ἡλίου καὶ σελήνης, ἀποδεδειγμένοις πιστεύοντες ὅταν ὑπὸ αἰσθητῶν τε πολλῶν ἄλλων ὅσα κατὰ γεωμετρικοὺς λόγους εὑρίσκεται, καὶ τῶν κατὰ μέρος ἐκλείψεων μαρτυρεῖται, βεβαιοτέραν ἴσχομεν τὴν πίστιν. ὅπου γὰρ εἶναι τὰ διὰ γεωμετρίας ἀποδειχθέντα πιστότερα γίνονται μαρτυρούμενα πρὸς τῶν κατὰ μέρος συμβαινόντων, καὶ πιστότερα γινόμενα, βεβαιοτέραν ἔχει τὴν ἀλήθειαν. πολλῷ μᾶλλον ὅσα τῶν τῆς ἰατρικῆς καθόλου ἐξεύρηται βεβαιοῦσθαι δεῖ, ἀναγόμενα ὑπὸ τῆς κατὰ μέρος πίστιν, ὥστε γυμνάζεσθαι δεῖ τοὺς ἐκμαθεῖν θέλοντας τὴν ἰατρικὴν τέχνην, ἐν τοῖς κατὰ μέρος αἰσθητοῖς, ὡς διαγινώσκειν αὐτοὺς καὶ κρίναι ἃ καθόλου προμεμαθήκασι. Ratio igitur atq; empeiria mutuò sese iuuant, quatenus illa quidem indicat propriũ auxilium experimẽti, hæc uero rationem cõfirmat. Neq; igitur sola experientia sufficit, neq; ratio sola, sed utroq; crure artem fulcitam incedere oportet. Recte tamen aiunt empirici τὰ κατὰ μέρος ἀρχὴν τῆς καθόλου συστάσεως εἶναι, & experimentũ rationem præcessisse, quatenus ab eo initium fuit causas inquirentibus, καὶ τοῖς τὰ καθόλου εὑρηκόσι. Quapropter prior fuit longe empeiria quàm ratio. Nam cum hæc in immẽsum aucta esset, tum primũ altiorem inquisitionẽ adgressi sunt priscæ artis cultores. Neq; uero in hac sola euenit, ut prius cognosceretur τὸ ὅτι ἐστι, quàm τὸ διότι, sed & in cæteris plerisq; omnibus. Dudum animaduersum fuerat, solem defectum pati et lunam solere. Ignorata diu fuit causa, quæ miseras hominum mentes absolueret, in defectibus stellarũ scelera aut mortem aliquam siderum pauentiũ: quo in metu fuisse Stesichori ac Pindari uatũ sublimia ora palàm est, deliquio solis, et in luna ueneficia arguentiũ, & ob id crepitu dissono auxiliantiũ: quo pauore quod causam ignoraret Nicias Atheniensiũ imperator, ueritus classem portu educere, opes eorũ afflixit. Hic error diu tenuit priscorũ animos eclipses quidem cernẽtiũ, causas uero ignorantium, donec tandẽ earum causa Thaletis Milesij sagacitate deprensæ, in uulgus efferrentur, prædicto solis defectu qui sub Astyage rectè factus est, Olympiadis XLVIII anno quarto. Post quẽ utriusq; sideris cursum in sexcentos annos præcinuit Hipparchus, menses gentiũ, diesq́; et horas, ac situs locorũ, & uicos populorũ complexus, haud alio modo quàm consiliorũ naturæ particeps. Atq; illi quidem ad eum modũ causas rerum abditas in lucem prodidere. Eodem modo apud priscos homines diu solus euentus medicamentorum cognoscebatur, cætera prorsus ignorabãtur. Atq; istud initium artis fuit, quam Galenus postremum à prioribus hoc modo cœptam, deinde in diuersas sectas distractã, ita instruxit, ut id quod quisq; rectè doceret, non aspernaretur, reliqua confutaret, & sua proprijs argumentis ualide roboraret. In uniuersum uero, totã artem clarissimis præceptis appositissimè exposuit, atq; aduersus illos tot sectarum homines copiose instruxit, reuocans scilicet longe ante ab Hippocrate institutam medendi rationem, ac postea plus quàm sexcentos annos, aut sepultã iterum, aut certe à perpaucis probè excultam.

Galeni uita.

Natus est autem Galenus in Pergamo Asiæ ciuitate, Olympiade ducentesima uigesimaquinta. Patrem habuit Nichonem geometram, et architectum diuitem, & in primis disciplinis eruditum, naturaq́; ipsa ad philosophandũ dispositum, sed in Geometria et Astrologia adsummum prouectũ, sicut ipse Galenus in octauo Therapeutices scribit. Ab hoc in somnis monito, cum philosophiæ iam esset initiatus, ad medicinæ studium inductus est, ut libro nono eiusdem Therapeutices legitur. Vixit sub Cæsaribus Adriano, Antonino Pio, Marco & Commodo, sub Antoninoq; Romam primo profectus est, quemadmodum ipse

scribit

ſcripſit in procemio libri Anatomicarū aggreſsionū. Diſcipulus primo fuit Satyri, ſecundo Pelopis apud Smyrnā. Fuit Satyrus diſcipulus Quinti, cuius ſæpe meminit Galenus, quem tanti fecit ut Corinthum Numeſiani gratia petierit, qui & ipſe diſcipulus Quinti probatiſsimus fuerat. Alexandriam quoque aliaq; multa loca petijt, ubi eſſe aliquem Quinti diſcipulū intellexit. Ex Alexandria annos octo & uiginti natus in patriā reuerſus, omnia quæ cognouerat pharmaca amicis medicis dedit, ut ea per experientiā confirmaret, quæ ab alijs didicerat, ſicuti ſecūdo libro de pharmacis ſecundum genus, atteſtatur. A pontifice iam uiginti nouem annorum, omniū eorum curam accepit, qui in duello fuiſſent uulnerati: quæ res illi ita proſperè ceſſit, ut nullus impeditus aliquo membro remanſerit, ex ijs quos curādos ſuſceperat. Varia dehinc loca, uaria medicamenta inquiſiturus perluſtrauit, ſicuti nono libro de ſimplicibus oſtēdit. Sanus in infantia beneficio patris perſeuerauit. Puer factus, ob fructuū eſum ægritudine acuta laborauit: ad priſtinū uictum à patre reſtitutus, anno ætatis decimonono ſanus permanſit: ſequente, uictu ſociorū uſus, iterū ægrotauit: poſterioribus annis ſimiliter uſq; ad uigeſimumoctauū, uel ſingulo uel tertio quoq; anno, aliquo morbo laborauit. Poſt XXVIII. ſemetipſum cōſeruauit, poſtquā uidelicet ſalubrem methodum inueniſſet, cui propriū librum dicauit, qui de ſanitate tuenda inſcribitur, nullumq; morbū deinceps eſt paſſus, præter ephemeram febrem, quā aliquando ob immodicos labores incurrit. Scripſit plurima non ſolum in medicina, ſed & in philoſophia, Grammatica, Geometria, ut Suidas teſtatur. Et Alexander Aphrodiſiæus aliquot in locis citat Galeni Dialectica, quorū ipſemet Galenus in libris de pulſuū differentijs mentionē facit. Laudis humanæ contemptor adeò extitit, ut nunquā ſuis cōmentationibus proprium nomen inſcripſerit, ut ſeptimo Therapeutices ait: famam tamen quo magis neglexit, tanto maiorem conſequutus eſt, apud maximos uiros in ſummo precio habitus, præcipuè Cæſares, quibus etiam Theriacen Romæ præparauit, ut libro de Antidotis habetur. Senio tandem confectus in patria requieuit, magnā gloriam apud homines conſequutus: maiorem etiam apud Deum habiturus, ſi Chriſto et Moſi, quorū quandoq; meminit, credere uoluiſſet. Ex libris eius qui perierunt, magnopere deſiderantur τὰ περὶ ἀποδεικτικῆς, quos reſpondiſſe par eſt libris Analyticis Ariſtotelis, qui et ipſi de demōſtratione ſunt, ſed propter difficultatem à paucis cognoſcuntur. Hos ego libros in gratiam ſtudioſorū paro nunc edendos, longe clariores quàm ante haberentur. Siquidem cōmentarijs adiectis ita illuſtrabuntur, ut locos permultos prius omnino obſcuros atq; incertos, facile ſit cogniturus diligēs lector, quibus ita inſtructus ad omnem philoſophiā paratiſſimus accedet. Atq; de Galeno hæc et Hippocrate, ad hunc modū cōmentari uiſum eſt mihi apud tuam clementiā, & ne ego perpetuò tacitus eſſem, & ut cognoſceres tu quibus hactenus occupatus fuerim, quantumq; apud me potuerit tua ſententia, qua effectum eſt ut me arctius huic labori quàm primo conſtituiſſem, manciparim, non id adeò facturus, niſi me ſperaſſem apud tuam celſitudinem maiorem gratiam initurum, quæ ita adfecta eſt aduerſus omnia bona ſtudia, ut ſummopere delectetur diligentia & induſtria hominum ope ſua bonas artes promouere cupientiū. Atq; adeò dum id anxie cupio, eodem ſtudio quo fabrefactus fuit Galenus, adornaui nunc ad incudem uſq; Paulū Aeginetam, qui prius miris modis lacer ac fœdis uulneribus confoſſus, nunc uero ex uetuſtiſſimis exemplaribus perſanatus atque inſtauratus, propediem ad tuam clementiam adferetur, quam ego cupio quamdiutiſſime nobis ſaluam ac florentem conſeruet Deus Opt. Max. cuiq; ego me cupio magnopere commendatum eſſe. Vale. Baſileæ, calend. Martijs, M. D. XXXVIII.

ΓΑΛΗΝΟΥ ΤΑ ΕΝ ΤΩ ΠΕΜΠΤΩ

GALENI QVAE IN QVINTO.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ ΤΟΥ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Α.

ΠΕΡΙ τῶν καθ' Ἱπποκράτην στοιχείων, πάλαι ποθ' ὑπόμνημα τῶν ἑταίρων τινὶ πρὸς ἀποδημίαν στελλομένῳ, γράψας ἐκδέδωκα, τῆς ἐκείνου στοχαζόμενος ἕξεως, ἅπερ οὖν ἤδειν αὐτὸν ἀκριβῶς ἐπιστάμενον, οὐκ ἀπέδειξα κατὰ τὴν ἀρχὴν τοῦ συγγράμματος, οὐκ ἀνέμνησα, καίπερ εἰωθὼς οὕτω πράττειν, ὅταν κοινὸς ὁ λόγος ἅπασι τοῖς ἀναγνωσομένοις αὐτὸν ἔσεσθαι μέλλοι. φθάσαντος δ' οὐκ οἶδ' ὅπως εἰς πολλοὺς ἐκπεσεῖν τοῦ συγγράμματος, οὐκέθ' ἕτερον ἐπ' αὐτῷ ποιεῖν ἔδοξέ μοι, καὶ τὴν ἐξήγησιν τοῦ περὶ φύσιος ἀνθρώπου βιβλίου, διὰ τοῦτ' ἀνεβαλλόμην, ὅτι τὰ συνέχοντα πάντα διὰ τοῦ προεκδοθέντος ὑπομνήματος, ὃ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπιγέγραπται, σαφῶς ἐδεδήλωτο. νῦν οὖν ἐπειδὴ καὶ αὐτοῦ τοῦ Ἱπποκρατείου συγγράμματος ἐξήγησιν, οὐ μόνον τῶν ἀναγκαίων εἰς τὸ δόγμα λέξεων, ὡς ἐν ἐκείνῳ πρότερον ἐπεποιήμην, ἀλλ' ἁπασῶν ἐφεξῆς ἐδεήθησαν οἱ ἑταῖροι παρ' ἐμοῦ λαβεῖν, ἀρχόμενος τῆς ἐξηγήσεως, ἐκεῖνα λέξω πρότερον, ὅσα παρέλιπον εἰπεῖν ἐν ἀρχῇ τοῦ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, ἐπειδὴ γινώσκειν αὐτὰ τὸν ἑταῖρον ἠπιστάμην. ἓν μὲν δὴ καὶ πρῶτον ἐστὶν εἰπεῖν, ὅ, τί ποτε σημαίνεται πρὸς τοῦ τῆς φύσεως ὀνόματος, ἀφ' οὗ καὶ τῶν παλαιῶν φιλοσόφων ἔνιοι προσονομασθέντες, ἐκλήθησαν φυσικοί. γνώσεται δ' ἡμῖν ὧν ἕνεκεν λέγω τοῦτο, δῆλον ἀναγνοὺς τὰ περὶ φύσεως αὐτοῖς γεγραμμένα βιβλία. φαίνεται γὰρ ἐξηγούμενα τὴν πρώτην οὐσίαν ὁποία τίς ἐστιν, ἣν ἀγέννητόν τε καὶ ἀΐδιον εἶναι φασίν, ὑποβεβλημένην ἅπασι τοῖς γεννητοῖς καὶ φθαρτοῖς σώμασι, τάθ' ὑπάρχοντα κατὰ τὸν ἴδιον λόγον, ἑκάστῳ τῶν γεννωμένων τε καὶ φθειρομένων, οἷς γνωσθεῖσιν, ἕπεται καὶ ἡ τῶν ἄλλων γνῶσις, ὅσα μὴ κατὰ τὸν ἴδιον λόγον ἑκάστῃ τῶν ἤδη μερικῶν οὐσιῶν συμβαίνει. τελεία μὲν οὖν διδασκαλία τῆς ἑκάστου τῶν ὄντων φύσεως οὕτω γίγνεται, κἂν ἕν δή τις, ἢ δύο τῶν ὑπαρχόντων τινὶ διέρχηται, καὶ οὕτω εἰθισμένοι λέγειν εἰσὶν οἱ ἄνθρωποι, ἐν ᾧ περὶ τῆς τοῦ πράγματος φύσεως ἀποφαίνεσθαί τι, καθάπερ καὶ ὁ ποιητής. περὶ μῶλυ γὰρ,

Ὣς ἄρα φωνήσας, πόρε φάρμακον ἀργειφόντης,
ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτοῦ ἔδειξεν. ἐφεξῆς φησίν,
ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ ἴκελον ἄνθος.

οὕτω δὲ καὶ οἱ περὶ τῶν βοτανῶν γράψαντες, ἢ ὅλως περὶ φυτῶν ἐκδιδάσκουσι τὴν αἰσθητὴν αὐτῶν φύσιν, ὁποῖον ἐστὶν ἕκαστον ἁπτομένῳ τε γευομένῳ, καὶ ὀσμωμένῳ, καὶ βλέποντι, διηγούμενοι τίνα τε ἔχει δύναμιν, ἢ ἔσω τοῦ σώματος λαμβανόμενον, ἢ ἔξωθεν ἐπιτιθέμενον. ἐν τούτοις γὰρ ἡ αἰσθητὴ φύσις ἑκάστου τῶν ὄντων ἐστίν. ἡ δὲ τούτων ἀνωτέρω καὶ πρώτη, περὶ ἧς ἐγώ τε προείρηκα, καὶ Πλάτων ἐπίστασθαι συμβουλεύει τὸν βουλόμενον ὁποιουοῦν πρᾶγμα μεθόδῳ μεταχειρίζεσθαι. παραγράψω δέ σοι καὶ τὴν ῥῆσιν αὐτοῦ. Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι, οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως. Εἰ μὲν οὖν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. Καλῶς γὰρ ὦ ἑταῖρε λέγει, χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας σκοπεῖν, εἰ συμφωνεῖ. Φημί. Καὶ τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος, ἆρ' οὐχ ὧδε, δεῖ διανοεῖσθαι περὶ ὁτουοῦν φύσεως; πρῶτον μὲν εἰ ἁπλοῦν, ἢ πολυειδές ἐστιν, οὗπερ βουλησόμεθα εἶναι αὐτοὶ τεχνικοί, καὶ ἄλλους δυνατοὶ ποιεῖν. ἔπειτα δὲ ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾶν ἔχον, ἢ τίνα εἰς τὸ παθεῖν ὑπό του. ἐὰν δὲ πλείω εἴδη ἔχῃ ταῦτ' ἀριθμησάμενον, ὅπερ ἐφ' ἑνός, τοῦτ' ἰδεῖν ἐφ' ἑκάστου, τό, τί ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπό του. αὕτη σοι καὶ ἡ τοῦ Πλάτωνος ῥῆσις ἐκ τοῦ Φαίδρου, διδάσκουσα τό τε τῆς φύσεως ὀνόματος τὸ σημαινόμενον, ὅπως τε χρὴ μεθόδῳ τὴν οὐσίαν αὐτῆς ἐπισκοπεῖσθαι. τοιαῦτα δ' εὕροις ἂν ἅπαντα τὰ περὶ φύσεως ἐπιγεγραμμένα βιβλία τῶν παλαιῶν φιλοσόφων, Ἐμπεδοκλέους, Παρμενίδου, Μελίσσου, Ἀλκμαίωνος, Ἡρακλείτου. τινὲς δ' οὐχ ἕν, ἀλλὰ πλείονα βιβλία περὶ θεωρίας ἐποιήσαντο ταύτης. ἔνιοι δὲ καὶ πάνυ πολλά, καθάπερ Ἐπίκουρος. ἄρχεται γὰρ καὶ αὐτός, ὥσπερ οὖν καὶ οἱ ἄλλοι πάντες, ἀπὸ τοῦ ζητῆσαι, πότερον ἕν τι καὶ ἁπλοῦν ἐστιν οὗ τὴν φύσιν εὑρεῖν ἐπιχειροῦμεν, ἢ σύνθετον ἔκ τινων ἑαυτοῦ προτέρων ἁπλῶν, ἅπερ οἱ μετ' αὐτοὺς τοὺς παλαιοὺς εἰθίσθησαν ὀνομάζειν στοιχεῖα. καθάπερ ἐπὶ τῆς φωνῆς οἱ γραμματικοί, τέτταρα καὶ εἴκοσι φασὶν εἶναι στοιχεῖα, τουτέστιν ἁπλᾶ τε καὶ πρῶτα μόρια, μηκέτι εἰς ἄλλα διαιρεῖσθαι δυνάμενα, καθάπερ αἱ συλλαβαί. τῆς γοῦν στρα συλλαβῆς ἐστιν ἀφελόντι σοι τὸ πρῶτον στοιχεῖον τὸ σ, τὴν ὑπόλοιπον ἔχειν τὴν τρα μένουσαν ἔτι συλλαβήν. οὕτω δὲ καὶ εἰ αὐτῆς πάλιν τῆς τρα, τὸ πρῶτον ἀφέλῃς γράμμα τὸ τ, τὸ ταύτης ὑπόλοιπον ἐξῆς διαιρεῖσθαι δυνάμενον τὴν ρα. οὐ μὴν τήν γε α διαιρέσεις ἔτι καὶ δείξεις ἐκ δυοῖν, ἢ τριῶν φθόγγων, ὥσπερ ἄλλας πολλὰς συγκειμένην. ἀλλ' ἔστιν εἷς αὐτῆς ἀδιαίρετος φθόγγος, οὐ κατὰ ποσὸν ἁπλῶς, ὡς ἑτέρωθι δεδείχαμεν ἡμεῖς τε καὶ ἄλλοι πολλοὶ τῶν φιλοσόφων, ἀλλὰ κατὰ μόνον τὸ εἶδος. οὕτω δὲ καὶ οἱ τὰ τέτταρα στοιχεῖα τῶν ἐν γενέσει καὶ φθορᾷ σωμάτων, εἶναι λέγοντες, ἀέρα, καὶ πῦρ, καὶ γῆν, καὶ ὕδωρ, ἐπεὶ μηκέτι δυνατόν ἐστιν ἕκαστον αὐτῶν εἰς εἴδη πλείω τμηθῆναι, διὰ τοῦτο τῆς φυσιολογίας, ἀρχὰς αὐτὰ τίθενται. πρώτη μὲν γάρ ἐστι σωμάτων ἐλαχίστων ἔννοια κατὰ ποσόν. ἐφεξῆς δ' ἄλλη δευτέρα ἤδη κατὰ τὸ ποιόν, ὡς ἐπὶ τῶν τῆς φωνῆς στοιχείων ἐδείχθη. καὶ διέστησάν γε πρὸς ἀλλήλους οἱ φυσικοὶ φιλόσοφοι. τινὲς μὲν ἤδη τὸ ποσὸν ὑποτιθέμενοι τὰ στοιχεῖα τῶν ἐν γενέσει καὶ φθορᾷ σωμάτων ἐλάχιστα μόρια, τινὲς δὲ κατὰ τὸ ποιόν. ἀλλὰ περὶ μὲν τοῦ σημαινομένου πρὸς τῆς στοιχείου φωνῆς, ἐν τῷ πρώτῳ περὶ τῶν ἰατρικῶν ὀνομάτων ἐπὶ πλεῖστον εἴρηται, καθάπερ γε καὶ περὶ τοῦ τῆς φύσεως, ἐν τῷ πέμπτῳ. νυνὶ δὲ οὐ περὶ προσηγοριῶν ἢ σημαινομένων, ἀλλὰ περὶ τῶν πραγμάτων αὐτῶν ὁ λόγος ἡμῖν ἐστιν,

ἐξ ὧν ἐλαχίστων, εἴτε κατὰ μέγεθος, εἴτε κατ' εἶδος, ἡ πρώτη σύνθεσις γίνεται τῶν γεννητῶν σωμάτων, ἅπερ Ἀριστοτέλης καὶ ἡμεῖς ὀνομάζομεν ὁμοιομερῆ. δευτέρα γὰρ ἐκ τούτων ἄλλη σύνθεσις γίγνεται σωμάτων, ἃ καλοῦμεν ὀργανικὰ, χειρὸς, σκέλους, ὀφθαλμοῦ τε καὶ γλώττης, καὶ πνεύμονος, καὶ καρδίας, ἥπατός τε καὶ σπληνὸς, καὶ νεφρῶν, καὶ γαστρὸς, καὶ μήτρας, ὅσα τἆλλα τοιαῦτα. σύγκειται γὰρ ἐκ τῶν πρώτων καὶ ὁμοιομερῶν, ἃ δὴ καὶ πρωτόγονα καλεῖν εἴωθεν ὁ Πλάτων, ἡ πρώτη τῶν τοιούτων ὀργάνων φύσις. ὑπὲρ τούτων τῆς διαφορᾶς, εἴρηται μὲν ἤδη καὶ καθ' ἕν τι γράμμα, εἰρήσεται δὲ καὶ νῦν ἐπὶ κεφαλαίων, ἕνεκα σαφοῦς διδασκαλίας. ὁμοιομερὲς μὲν ἐστιν, ὀστοῦν, καὶ χόνδρος, καὶ σύνδεσμος. ὁμοιομερὲς δὲ καὶ ὑμὴν καὶ πιμελὴ καὶ σὰρξ, ἥτε τῶν μυῶν ταῖς ἰσὶ περιπεπλασμένη, καὶ αὐταῖς ταῖς ἄλλαις ὁμοιομερέσιν, ἥτ' ἐν τοῖς σπλάγχνοις, ἣν δὴ καὶ παρέγχυμα καλεῖν Ἐρασίστρατος εἴωθεν. ἐδείχθη δ' εὐθὺς ἐν ἀρχῇ τῆς πραγματείας, ἐν ᾗ τὴν θεραπευτικὴν μέθοδον, ὁποία τίς ἐστιν, ἀπεδείκνυον, ἀδύνατον ὂν ἐνδεικτικῶς θεραπεύειν περὶ τῶν ὁμοιομερῶν σωμάτων, ἄνευ τοῦ γνῶναι πότερον ἁπλοῦν ἕκαστον αὐτῶν ἐστιν, ἢ ἐκ πλειόνων σύγκειται, καὶ πότερον ἐκεῖνα κέκραται δι' ὅλων, ἢ ψαύει μόνον. ἐδείχθη δὲ καὶ ὡς ἔνιοι τῶν ἰατρῶν, ὧν ἐστι καὶ ὁ Ἐρασίστρατος, ἐξ ἡμίσεος μέρους εἰσὶ δογματικοὶ, τὰ μὲν τῶν ὀργανικῶν μορίων νοσήματα, λογικῶς θεραπεύοντες, τὰ δὲ τῶν ὁμοιομερῶν, ἢ οὐδ' ὅλως, ἢ ἐμπειρικῶς. οἱ πλεῖστοι δ' αὐτῶν οὐδ' ὅτι διαφέρει τὰ τῶν ὀργανικῶν νοσήματα, τῶν ἐν τοῖς ὁμοιομερέσι γιγνομένων ἐπίστανται, καθάπερ οὐδὲ περὶ τοῦ καθ' ἑκάτερον αὐτῶν ἀριθμοῦ. ἀλλ' ὑμεῖς γε ὦ ἑταῖροι καὶ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ἔν τι τῶν ἡμετέρων ὑπομνημάτων ἔχετε, καὶ τῶν ἰαμάτων οὐ σμικρὰν πραγματείαν, ἣν ἐπέγραψα μέθοδον θεραπευτικήν. ἀλλὰ καὶ ταῦτα καὶ τἆλλα, τὸν περὶ τῆς φύσεως τοῦ σώματος ἡμῶν, ἀπαιτοῦσι λόγον, ὃς ἐν τῷ προκειμένῳ συγγράμματι διδάσκεται. διὸ καὶ θαυμάσειεν ἄν τις ἐκείνων, ὅσοι νομίζουσι τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον, οὐκ εἶναι τῶν γνησίων Ἱπποκράτους, ἀλλ' ὡς αὐτοὶ καλεῖν εἰώθασι, νόθον, ἀπατηθέντες ἐκ τῶν ἐν αὐτῷ διεσκευασμένων τε καὶ παρεγγεγραμμένων, ὑπὲρ ὧν ἐπὶ πλέον μὲν ἐν αὐτοῖς τούτοις ἐπιδείξω τοῖς ὑπομνήμασιν. ἀρκεῖ δὲ νῦν εἰπεῖν ὅσα κἂν τῷ γνησίῳ, ἢ καὶ νόθῳ Ἱπποκράτους συγγράμματι εἴρηται, κατὰ λέξιν οὕτως ἔχοντα. Τούτου τοῦ βιβλίου, τὸ μὲν κατὰ τὸ ἐν γράμμα, μέρος τὸ πρῶτον εἰς διακοσίους καὶ τεσσαράκοντα στίχους ἐξήκει, δεικνύον ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ τὰ τῶν ζώων σώματα γεγονέναι, μετὰ τοῦ καὶ διδάξαι περὶ τῆς τῶν χυμῶν φύσεως. τὸ δὲ ἀπὸ τοῦδε, ποικίλον τ' ἐστί. τὸ μὲν γὰρ πρῶτον αὐτοῦ μέρος, διακρίνει τὰς σποραδικὰς ὀνομαζομένας νόσους, ἀπὸ τῶν ἐπιδημιῶν γε καὶ λοιμωδῶν, ἰδίαν τε θεραπείαν ἑκατέρου τοῦ γένους ἐν τῷ καθόλου διδάσκει. τὸ δὲ μετ' αὐτὸ, ἀνατομὴν φλεβῶν διέρχεται. κἄπειτα περὶ νοσημάτων ἐστὶ ποικίλη διδασκαλία, καὶ μετὰ ταῦτα ὑγιεινὴ δίαιτα, πρὸς ἰδιώτας γεγραμμένη. κἄπειτ' ἐφεξῆς, ὅπως ἄν τις τοὺς παχυτάτους ἀνθρώπους λεπτύνειεν, ἢ τοὺς λεπτοτάτους σαρκώσειεν, οἷς ἕζονται διδασκαλία περὶ ἐμέτων. εἶτα τις ὑπογραφὴ διὰ βραχέων διαίτης παιδίων, καὶ μετὰ ταῦτα γυναικῶν, εἶτα τῶν γυμναζομένων, εἶτ' ἐπὶ τέλει πρόσκειται διὰ στίχων ὡς δέκα, περὶ τῶν ἐγκεφάλου νόσων, εἰκῇ καὶ ὡς ἔτυχε προσερριμμένων. εὔδηλον οὖν ὅτι τὸ μὲν ὅλον βιβλίον ἐκ πολλῶν διεσκεύασται καὶ σύγκειται, σχεδὸν εἰς ἑξακοσίους στίχους, ἢ βραχύ τι ἧττον ἐκτεταμένον. ἔχει δὲ τὸν μὲν πρῶτον λόγον, ἔνθα περὶ τῶν στοιχείων, καὶ τῶν χυμῶν διέρχεται, παντοίως ἐχόμενον τῆς Ἱπποκράτους τέχνης. ὥσπερ γε καὶ τὸν δεύτερον, τὸν διακριτικὸν τῶν ἐπιδημίων τε καὶ σποραδικῶν νοσημάτων. τὸν δὲ περὶ τῆς τῶν φλεβῶν ἀνατομῆς, ἐναργῶς παρεγκείμενον, ἔχει μοχθηρὸν ὅλον. οὔτε γὰρ τοῖς φαινομένοις ὁμολογεῖ, καὶ τοῖς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἰρημένοις μάχεται. τῶν δ' ἑξῆς τὰ μὲν παρέγκειται, περὶ ὧν ὅτ' ἐξηγούμεθά σοι τὸ βιβλίον, ἀκριβωθήσεται. τὰ δὲ ἐστὶν ἀξιόλογα, καὶ διὰ βραχέων καλῶς εἰρημένα, καὶ τῆς Ἱπποκράτους ἐχόμενα τέχνης, ὥσπερ ὅσα περὶ τῆς ὑγιεινῆς διαίτης εἴρηται. τὸ μὲν ὅλον τὸ βιβλίον, ἐκ τούτων σύγκειται. τὸ δὲ πρῶτον αὐτοῦ μέρος ἁπάσης τῆς Ἱπποκράτους τέχνης ἔχει τὴν οἷον κρηπῖδα, διὸ καὶ θαυμάζειν ἔφην ἐνίων ἀποξενούντων αὐτὸ, τῆς τοῦ Ἱπποκράτους ἐννοίας. οἱ πλεῖστοι μὲν γὰρ τῶν γνόντων, Ἱπποκράτειον τέχνην τοῖς γνησίοις αὐτὸ συγκαταριθμοῦσι, νομίζοντες τοῦ μεγάλου Ἱπποκράτους σύγγραμμα, τινὲς δὲ Πολύβου τοῦ μαθητοῦ τε ἅμα καὶ διαδεξαμένου τὴν τῶν νέων διδασκαλίαν, ὃς οὐδὲν ὅλως φαίνεται μετακινήσας τῶν Ἱπποκράτους δογμάτων, ἐν οὐδενὶ τῶν ἑαυτοῦ βιβλίων. ὥσπερ οὐδὲ Θεσσαλὸς ὁ αὐτοῦ υἱὸς, θαυμάσιος μὲν ἀνὴρ καὶ οὗτος γενόμενος, ἀλλ' οὐ καταμείνας ἐν τῇ πατρίδι, καθάπερ ὁ Πόλυβος, Ἀρχελάῳ γὰρ τῷ Μακεδονίας βασιλεῖ συνεγένετο. πεπιστεύκασι μὲν οὖν ὡς ἔφην, καὶ ἄλλοι σχεδὸν ἅπαντες ἰατροὶ, πλὴν ὀλίγων δή τινων, Ἱπποκράτους εἶναι τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον, οὐκ ἀγνοεῖ δὲ οὐδὲ Πλάτων αὐτός. γράφει γοῦν ἐν Φαίδρῳ προγεγραμμένην ῥῆσιν ὀλίγον ἔμπροσθεν, ἧς ἡ ἀρχή, Ψυχῆς οὖν φύσιν, ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; εἰ μὲν οὖν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ τοῦ σώματος ἄνευ τῆς μεθόδου ταύτης. ταύτην τὴν ῥῆσιν ἐχρῆν ἀναγνόντας τοὺς εἰκῇ φλυαροῦντας, ἐπισκέψασθαι τίνι τῶν βιβλίων Ἱπποκράτους, ἡ ὑπὸ Πλάτωνος ἐπαινουμένη μέθοδος, γέγραπται. φανεῖται γὰρ οὐ καθ' ἓν ἄλλο, παρὰ τὸ προκείμενον ἡμῖν σύγγραμμα τὸ περὶ φύσιος ἀνθρώπου. ἔπειτα δὲ καὶ τῶν ἄλλων ἕκαστον ὧν ὁ Πλάτων διῆλθεν, ἃ κἀγὼ διά τε τῶν περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐδίδαξα, καὶ νῦν οὐχ ἧττον ἔρχομαι δείξων, ἐπειδήπερ ὑμῖν οὕτως ἔδοξεν. ἐκεῖνο δ' οὖν ἔτι προσθεὶς τῷ λόγῳ, πρὸς τὴν ἐξήγησιν ἀφίξομαι, τῶν ἐν τῷ βιβλίῳ ῥήσεων, ἐκπεσόντος εἰς πολλοὺς τοῦ γραφέντος μοι ποτὲ βιβλίου περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, ἐπαινεθέντος τε πρὸς ἁπάντων τῶν πεπαιδευμένων, ὀλίγοι τινὲς τῶν ἀπαιδεύτων, ὅσοι τῶν μὲν ἐν αὐτῷ γεγραμμένων ἀποδείξεων οὐδεμίαν ἠδυνήθησαν ἐλέγξαι, καίτοι γ' ἐπιχειρήσαντες, ἀπεπνίγοντο δὲ ὑπὸ τοῦ φθόνου, τοῦτ' ᾠήθησαν ἱκανὸν εἶναι πρὸς διαβολὴν, ὡς οὐκ ἔστιν Ἱπποκράτους αὐτοῦ τὸ σύγγραμμα. τοίνυν ἔστω μήθ' Ἱπποκράτους, μήτ' αὐτοῦ Πολύβου, μηδ' εἰ βούλοιντο γεγράφθω τὴν ἀρχὴν τι σύγγραμμα περὶ φύσιος ἀνθρώπου, δεικνύον ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ τὰ σώματα ἡμῶν γεγονέναι. εἰ γὰρ καὶ τοῦτ' αὐτοῖς χαριζόμεθα, τό γε ἐκ τούτων συγκεῖσθαι τὰ σώματα ἡμῶν γεγονέναι, Ἱπποκράτους ἐστὶ δόγμα. φαίνεται γὰρ ἐν τοῖς γνησιωτάτοις ἑαυτοῦ βιβλίοις, οὐ μόνον τὰς τῶν νόσων διαφορὰς ἀκολούθως ταῖς ἀρχαῖς ταύ-

τας

τοὺς ποιούμενος, ἀλλὰ καὶ τοὺς τῶν ἰάσεων τρόπους ἐντεῦθεν εὑρίσκων. τὰ νοσήματα μὲν γὰρ αὐτῶν, κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν ἀλλήλων διαφέρει. ἡ θεραπεία δὲ γίγνεται, τῶν μὲν θερμῶν ψυχομένων, τῶν δ' ὑγρῶν ξηραινομένων, ὥσπερ γε καὶ τῶν μὲν ψυχρῶν θερμαινομένων, τῶν δὲ ξηρῶν ὑγραινομένων. ἔτι τε τούτων ἔμπροσθεν, αὐτῶν τῶν κατὰ τοὺς ἀνθρώπους φύσεων, τὰς μὲν θερμὰς ἡγεῖται, τὰς δὲ ψυχρὰς, τὰς δὲ ὑγρὰς, τὰς δὲ ξηρὰς, ἡλικίας τε ὡσαύτως καὶ χώρας, κατὰ τὸν αὐτὸν τρόπον ἀλλήλων διαφορὰν ὑπολαμβάνει. μηδέπω τούτων Ἐρασιστράτου ποτὲ φθεγξαμένου, καθάπερ οὐδὲ ἄλλου τινὸς, ὅσοι τὸ θερμὸν ἐπίκτητον οὐ σύμφυτον εἶναι νομίζουσιν. οὕτω δὲ καὶ τἆλλα πάντα τὰ κατὰ μέρος, ὁ μὲν Ἱπποκράτης εἰς τὰς ἀρχὰς ταύτας ἀναφέρει, οὐ φυλάττει δ' Ἐρασίστρατος, ὡς διὰ τοῦτο καὶ τῶν φυσικῶν ἔργων ἀνεξήγητα καταλιπεῖν ἔνια, καθάπερ ἐπιδεδείξαμεν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι. ἐπεὶ δὲ οἱ πᾶσι λωβώμενοι, τοῖς καλοῖς ἐγκαλοῦσι περὶ μήκει τοῦ λόγου, πάντα μᾶλλον ἢ ὑπομνήματα γράφειν ἡμᾶς εἰπόντων, ἔγνωκα καὶ ταύτην αὐτῶν ἀποκόψαι τὴν ἐπήρειαν, ἰδίαν γράψας ἑτέραν πραγματείαν, ἐν ᾗ δείξω τὴν αὐτὴν δόξαν Ἱπποκράτει ἐμὲ διαφυλάττοντα, τῇ κατὰ τὸ περὶ φύσιος ἀνθρώπου γεγραμμένῃ, καὶ κατὰ τὰ ἄλλα πάντα συγγράμματα. οἶδα δὲ πάλιν ὥσπερ ἐν ἅπασι τοῖς ἀποδεικνυμένοις ὑφ' ἡμῶν, οἱ βάσκανοι διαβάλλειν αἰδεσθέντων τὰ πρὸς ἁπάντων ἐπαινούμενα, μέμφονται τινὰ θεωρήματα τῶν κοινωνούντων αὐτοῖς, οὕτω καὶ νῦν πράξοντας αὐτούς. ἔνθα μὲν γὰρ τῶν γραφησομένων βιβλίων, ὁρῶσι χρῆσθαι μὲν ὄντως Ἱπποκράτην στοιχείοις στοιχειώδεσι τῷ θερμῷ, καὶ ψυχρῷ, καὶ ξηρῷ, καὶ ὑγρῷ, οὐ μὴν γ' ἀληθῶς ὑπολαμβάνειν αὐτόν. ὅταν δ' ἀποδεικνύῃ πάλιν, ἐκ τούτων τὰ σώματα ἡμῶν συγκεῖσθαι, μὴ δοκεῖν Ἱπποκράτει τοῦτο ἐροῦσιν, οὐ γὰρ εἶναι τὸ περὶ φύσεως ἀνθρώπου βιβλίον Ἱπποκράτους. ὥσπερ οὖν ἐκεῖνοι κακουργοῦντες οὐ παύονται, οὕτω καὶ ἡμεῖς μεμνῆσθαι τῶν προκειμένων ἐν ἑκάστῳ τῶν ὑπομνημάτων, ἀναμιμνήσκειν αὐτοὺς, καὶ μήθ' ὅταν ἀποδεικνύωμεν Ἱπποκράτην κατὰ πάντα τὰ συγγράμματα θεμέλιον τῆς ἑαυτοῦ τέχνης τιθέμενον ἐν τῇ περὶ τῶν εἰρημένων στοιχείων ἐπιστήμῃ καταλιπόντων τοῦτο, περὶ τῆς ἀληθείας αὐτῶν ζητῶσι. μήθ' ὅταν περὶ τῆς ἀληθείας ζητῶμεν, ἢ καὶ ἀποδεικνύωμεν, ἀποχωρείτωσαν ἐπὶ τὴν περὶ τῆς γνώμης αὐτοῦ σκέψιν. ἀλλ' ἰδίᾳ μὲν εἰ ἀληθὴς ὁ περὶ τῶν στοιχείων λόγος ἐξεταζέτωσαν, ἰδίᾳ δὲ, εἰ ταῦθ' Ἱπποκράτης ἐτίθετο στοιχεῖα. δυοῖν οὖν ὄντοιν τούτοιν τοῖν προβλημάτοιν, τὸ πρότερον ἔν τε τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, κἂν τῷ νῦν προκειμένῳ λόγῳ σκοπείτωσαν. ἐκ περιουσίας δὲ κατὰ τὴν ἀκολουθίαν, τοῖς οὐκ ἀσυνέτοις φαίνεται τὰ αὐτὰ τιθέμενος ἀεὶ στοιχεῖα, τό, τε βιβλίον τὸ νῦν ἡμῖν προκείμενον αὐτὸς γράψας.

Ὅστις μὲν εἴωθεν ἀκούειν λεγόντων ἀμφὶ τῆς φύσιος τῆς ἀνθρωπίνης προσωτέρω, ἢ ὁκόσον αὐτῆς ἐς ἰητρικὴν ἀφήκει, τουτέῳ μὲν οὐκ ἐπιτήδειος ὅδε ὁ λόγος ἀκούειν. οὔτε γὰρ τοπάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ, οὔτε γῆν, οὔτε ἄλλο οὐδὲν, ὅτι μὴ φανερόν ἐστιν ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ. ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν, παρίημι.

Ὅσον ἐπὶ τῇ ῥήσει ταύτῃ γνῶναι σαφῶς τὴν τοῦ συγγραφέως γνώμην, οὐ πάνυ τι δόξει δυνατὸν εἶναι. μέμφεται γὰρ τοῖς προσωτέρω τὸν περὶ τῆς φύσεως λόγον ἀπάγουσι τῆς ἰατρικῆς χρείας. προσωτέρω δ' ἀπάγειν ὑπονοήσειεν ἄν τις ἐκείνους ὅσοι τε πῦρ, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ γῆν εἶναι λέγουσι τὰ στοιχεῖα τῆς ἀνθρώπου φύσεως, εἰ μὴ μιγνῦσι τὰ στοιχεῖα, ὅσοι τε τούτων, τὸ στοιχεῖον ἕν τι. κατὰ μὲν τὴν πρόχειρον φαντασίαν ἐπὶ τὸ πρότερον ἀφικνουμένων ἡμῶν, κατὰ δὲ τὴν ἀκριβεστέραν σκέψιν ἐπὶ τὸ δεύτερον. τοὺς γὰρ ἐκ πυρὸς καὶ γῆς, ὕδατός τε καὶ ἀέρος ἀλλήλοις κραθέντων ἡγουμένους τὰ σώματα ἡμῶν γεγονέναι, μοχθηρῶς ἄν τις ἀξιώσειε κρίνεσθαι, ὕδωρ, ἢ πῦρ, ἢ γῆν, ἢ ἀέρα δεικνύοντας ἐν ἡμῖν, ἢ μὴ δεικνύοντας ἐξελέγχεσθαι φάσκειν. ὅμοιον γὰρ τοῦτο τῷ κατὰ τὴν τετραφάρμακον δύναμιν ἀξιοῦν, ἤτοι κηρὸν, ἢ πίτταν, ἢ στέαρ, ἢ ῥητίνην εἰλικρινῆ δεικνύειν, ἢ μὴ δυναμένους δεῖξαι, μὴ συγχωρεῖν ἐκ τούτων αὐτὴν συγκεῖσθαι. ἐν γὰρ τῷ κεκρᾶσθαι φάναι τὰ τέτταρα, τὸ μηδὲν εἰλικρινὲς αὐτῶν εἶναι δηλοῦται. δυνατὸν μὲν οὖν ἐστιν ἄμφω νοῆσαι κατὰ τὴν προκειμένην ῥῆσιν. ἐν δὲ τοῖς ἑξῆς εἰρησομένοις, φαίνεται τὸ δεύτερον ὑπὸ τοῦ συγγραφέως κατασκευαζόμενον. εἰ δέ τις ἀκριβῶς προσέχοι τὸν νοῦν, καὶ κατ' αὐτὴν τήνδε τὴν λέξιν, ἔνθα φησίν. οὔτε γὰρ ἠέρα τοπάμπαν εἶναι τὸν ἄνθρωπον, οὐ τοῦτο φησὶν ὡς οὐκ ἔστιν ὅλως ἐν ἡμῖν ἀὴρ, ὥσπερ οὐδ' ὅτι πῦρ, ἢ ὕδωρ, ἢ γῆ, ἀλλ' ὡς τοπάμπαν. ἐκ δὲ τῆς φωνῆς ταύτης, σημαίνεται τὸ μὴ παντελῶς, οὐ τὸ μηδ' ὅλως. οὐ γὰρ ἀναιρεῖται παντάπασιν ὑπὸ τῆς τοῦ πάμπαν λέξεως τὸ πρᾶγμα περὶ οὗ ποιούμεθα τὸν λόγον, ἀλλὰ τὸ τέλειον αὐτοῦ καὶ ἄμικτον παραθραύεται. φαίνεται γοῦν ὅ, τε ποιητὴς κατὰ τοῦτο τὸ σημαινόμενον χρώμενος τῇ πάμπαν φωνῇ, δι' ὧν φησίν. οὐδ' ὅτι πάμπαν ἤθελε λαὸν ὀλέσαι ἀχαϊκὸν ἰλιόθι πρό. αὐτός θ' Ἱπποκράτης, ἡνίκα ἂν λέγῃ. τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προαγορεύσιες, οὔτε τῆς ὑγιείης, οὔτε τοῦ θανάτου. ὁ μὲν γὰρ ποιητὴς τὸν Δία φησὶ χαριζόμενον τῇ Θέτιδι, πολὺν μὲν ὄλεθρον ἐθέλειν ἐργάσασθαι τῶν ἑλλήνων, οὐ μὴν παντελῶς γ' αὐτοὺς διαφθεῖραι. ὁ δ' Ἱπποκράτης πολλὰς μὲν τῶν προρρήσεων εἶναι βεβαίας, ὡς ἐπεδείξαμεν ἐν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν, οὐ μὴν ἁπάσας γε. βέλτιον ἀκούειν, ὅπερ καὶ διὰ τῶν ἐφεξῆς δηλοῦται, μὴ συγχωρεῖν τὸν Ἱπποκράτην τοῖς ἀέρα μόνον εἶναι λέγουσι τὸ στοιχεῖον τοῦ ἀνθρωπείου σώματος, ὥσπερ οὐδὲ τὴν γῆν μόνην, ἢ ὕδωρ, ἢ πῦρ. οὐδὲ γὰρ ἕν τι τούτων ἐστὶν, ἀλλ' ἅπαντα στοιχεῖα. διὸ καὶ τὴν κατὰ τὸ τέλος τῆς ῥήσεως φωνὴν ἀμφίβολον οὖσαν ἐν τῷ παρὰ διαίρεσιν καὶ σύνθεσιν γένει ἀμφιβολίας, ἄμεινόν ἐστιν κατὰ διαίρεσιν ἀναγινώσκειν, ἔνθα φησίν. οὔτ' ἄλλο οὐδὲν, ὅτι μὴ φανερόν ἐστιν ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ. τὸ γὰρ ἓν ἐὸν, οὐχ ὡς οἱ τὴν προτέραν τῶν ἐξηγήσεων πρεσβεύοντες οἴονται, μέρος ἕν ἐστι λόγου, λεγόμενον ὑπὸ τῶν ἄλλων ἑλλήνων ἐν δυοῖν συλλαβαῖν ἐνόν. ὑπὸ δὲ τῶν ἰώνων ἐν τρισὶν ἐνεὸν, ἀλλὰ δύο ἐστὶ λόγου μέρη. τὸ μὲν ἕτερον ὄνομα μονοσύλλα-

Morborum similium [illegible] curatio fit per contraria.

Corpora nostra componuntur ex commixtione elementorum.

ρον, ὡς ἐπειδὰν λέγωμεν ἀριθμοῦντες ἕν, δύο, τρία. τὸ δ' ἕτερον, ὅπερ ἡμεῖς μὲν ὂν λέγομεν, οἱ δ' Ἴωνες, ἐὸν ἐν δυοῖν συλλαβαῖν. ἐπιδειχθήσεται γὰρ ἐν τοῖς ἑξῆς ὁ Ἱπποκράτης ἀντιλέγων οὐ τοῖς περιέχεσθαι κατὰ τὸ σῶμα, τῶν τεσσάρων στοιχείων ἕκαστον οἰομένοις, ἀλλὰ τοῖς ἓν μόνον ἐξ αὐτῶν τὴν φύσιν εἶναι τοῦ ἀνθρώπου νομίζουσι. πῶς οὖν φησί τις προσωτέρω, ἢ κατὰ τὴν ἰατρικὴν ὁ λόγος οὗτος ἀποχωρεῖ; καθ' ὃν ἓν ὁποιοῦν στοιχεῖον ὑποτίθενταί τινες εἶναι τὴν φύσιν τοῦ ἀνθρώπου. ὅτι καθάπερ αὐτὸς ὀλίγον ὕστερον φησί, ταύτῃ τῇ δόξῃ τὸ μή ποτε ἀλγεῖν τὸν ἄνθρωπον ἕπεται, καίτοι κἂν εἴπερ τις συγχωρήσῃ, ἓν καὶ τὸ ἰώμενον εἶναι. φαίνεται δὲ ἀλγοῦν, καὶ θεραπευόμενον πολυειδῶς, ὥστε ψευδὴς ἀληθῶς. ἴδωμεν οὖν τῶν εἰρημένων ἕκαστον ἐν ταῖς ἐφεξῆς ῥήσεσιν, ὅπως αὐτὰ κατασκευάζει.

Οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε ὕδωρ, οὔτε γῆν, οὔτε ἄλλο οὐδέν. ὅτι μὴ φανερόν ἐστιν ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ, ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι.

Ἀρτεμίδωρος ὁ ἐπικληθεὶς Καπίτων, ἔκδοσιν ἐποιήσατο τῶν Ἱπποκράτους βιβλίων, εὐδοκιμήσασαν οὐ μόνον παρὰ Ἀδριανῷ τῷ αὐτοκράτορι, ἀλλὰ καὶ νῦν ἱκανῶς ὑπὸ πολλῶν σπουδαζομένην, ὥσπερ καὶ ἡ τοῦ συγγενοῦς αὐτῷ Διοσκουρίδου. πολλὰ μὲν οὖν ἀμφότεροι μετέγραψαν ὑπαλλάττοντες τὰς παλαιὰς γραφάς, ἃς μόνας ἴσασιν οἱ ἐξηγησάμενοι τὰ Ἱπποκράτους βιβλία. πρὸς δὲ τοῖς πολλοῖς καὶ τήνδε τὴν νῦν προκειμένην λέξιν ὑπήλλαξε Καπίτων, ὧδέ πως γράψας. οὔτε γὰρ τὸ πᾶν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ. ἐπειδὴ γὰρ οὔτε βιβλίον εὑρίσκειν ἀνδρὸς παλαιοῦ, τὴν γῆν μόνην εἰπόντος εἶναι στοιχεῖον, οὔτε παρὰ τοῖς μάλιστα τὴν τοιαύτην ἱστορίαν ἀναλεξαμένοις ἀνδράσι τοῖς περιπατητικοῖς, ἱστορούμενον τῆς δόξης ταύτης προεστάναι, ἵνα τὴν λέξιν ὑπήλλαξε τολμηρῶς. ἄμεινον δ' ἦν ἐπιτιμῆσαι τοῖς φιλοτίμως ἐζητηκόσι, τίνος ἦν ἀνδρὸς ἡ περὶ τῆς γῆς, ὡς μόνης στοιχείου δόξα. παραπλήσιον γάρ ἐστιν ὥσπερ τῷ ζητῆσαι τίς μὲν ἦν ὁ ἀξιῶν ἐκτετραμμένην ἐπιδεῖσθαι τὴν χεῖρα ὑπτίαν, καί τις μὲν ὁ τὴν τῆς περόνης ἐπίδεσιν ἑτέρως, ἢ ὡς Ἱπποκράτης, ἀξιῶν ποιεῖσθαι. τίς δὲ ὁ τὴν τῆς κερκίδος, ἢ τίς ὁ τὰ μεθ' ἕλκους κατάγματα, κατ' αὐτὸ μὲν τὸ ἕλκος οὐκ ἐπιδῶν, ἑκατέρωθι δὲ ἐπιδῶν. ἢ τίς ἐν τῷ καιρῷ τὸ κατ' ὦμον ἄρθρον, οὐκ ἐν οἷς χρὴ μορίοις ἐτίθει τὰς ἐσχάρας. ἢ τίνες ἦσαν οὓς ἐν τῷ περὶ ῥάχεων λόγῳ μέμφεται. πολλὰ γὰρ τοιαῦτα κατά τε τὸ περὶ ἀγμῶν καὶ περὶ ἄρθρων εἴρηται τῷ Ἱπποκράτει, ποτὲ μὲν ὡς ἑνός, ἐνίοτε δ' ὡς πολλῶν ἁμαρτανόντων, ὥσπερ κἂν τῷ περὶ διαίτης ὀξέων. ἅμα γὰρ κἀκεῖ πολλοὺς ἰατροὺς μεμφόμενος, ἔγραψεν ὧδέ πως, Οἶδα τοὺς ἰητροὺς τὰ ἐναντιώτατα, ἢ ὡς δεῖ ποιέοντας. Βούλονται γὰρ πάντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους, ἢ δύο ἢ καὶ τρεῖς, ἢ καὶ πλείους ἡμέρας, οὕτω προσφέρειν καὶ τὰ ῥοφήματα καὶ τὰ ποτά. τίνες οὖν ἦσαν οἱ διαιτῶντες οὕτω, δεικνύτωσαν ἡμῖν οἱ ἐξηγηταί. τίνες δὲ οἱ νομίζοντες φλέγμα μόνον εἶναι τὸν ἄνθρωπον, τίνες οἱ ξανθὴν χολήν, ἢ τίνες οἱ μέλαιναν. ἐφεξῆς γάρ τοι ἤδη ὥσπερ αὐτός, τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον, εἶναι τινάς φησιν, οἳ οὕτως ἐδόξασαν. ἄμεινον μὲν οὖν εἰρῆσθαι τοῖς ἐξηγηταῖς, ὡς τάχα μὲν οὐδ' ἔγραψαν πάντες οὗτοι τὰς ἑαυτῶν δόξας. ἐγχωρεῖ δὲ καὶ γραψάντων αὐτῶν, μὴ διασωθῆναι. φαίνεται γὰρ ὥσπερ κατὰ πλείους αἰτίας γιγνόμενον. ἔνιοι μὲν γὰρ τοὺς διαδεξαμένους αὐτῶν τὴν διδασκαλίαν οὐκ ἔσχον, ἔνιοι δὲ οὐκ ἐξέδωκαν ζῶντες τὰς βίβλους, εἶτα ἀποθανόντων αὐτῶν, ἓν ἢ δύο που σωζόμενα τῶν ἀντιγράφων, ἀπώλετο. δυνατὸν δέ ἐστι καὶ διότι κατεφρονήθη τὰ συγγράμματα αὐτῶν ἀμεληθῆναί τε καὶ τῷ χρόνῳ τελέως ἀπολέσθαι. καὶ μέντοι καὶ φθονεροί τινες, ἤτοι κατακρύπτουσι, ἢ τελέως ἀφανίζουσι τὰ τῶν πρεσβυτέρων βιβλία. τινὲς δ' ὑπὲρ τοῦ λέγειν ὡς ἴδια τὰ ἐν αὐτοῖς γεγραμμένα, πράττουσι τὸ αὐτό. ἢ καὶ τί θαυμαστὸν ἀπολέσθαι τῶν ἀλλοκότους δόξας γραψάντων, ὅπου γε καὶ παρὰ τοῖς Ἀθηναίοις εὑρίσκονταί τινες, εὐδοκίμως ἠγωνισμένοι κωμικοί τε καὶ τραγικοὶ ποιηταί, δράμασιν οὐκέτι διασωζομένοις. ἵνα γὰρ παραλείπω τὰς ἄλλας ἁπάσας αἰτίας, δυοῖν δὲ μόνων τῶν ἔναγχος ἐν Ῥώμῃ γιγνομένων, μνημονεύσω. πολλάκις μὲν ἐμπρησθέντες σκηνοί, πολλάκις δὲ ἐν σεισμοῖς καταπεσόντες, ἢ κατ' ἄλλην αἰτίαν, οὐκ ὀλίγων βιβλίων ἀπωλείας αἴτιοι γεγονέναι φαίνονται. κακῶς μὲν ὁ Καπίτων ἐτόλμησε μεταγράψαι τὴν παλαιὰν ῥῆσιν, οὔκουν οὐδὲ ὥσπερ προσθείς, ὡς ἐνδέχεται τὸν πρῶτον βιβλιογράφον ἁμαρτεῖν, ἀντ' ἄλλου γράψαντ' ἄλλο. κακῶς δὲ καὶ τῶν ἐξηγητῶν ἔνιοι κατεψεύσαντο Ξενοφάνους, ὥσπερ καὶ Σαβῖνος ὧδέ πως γράψας αὐτοῖς ὀνόμασιν. οὔτε γὰρ πάμπαν ἀέρα λέγω τὸν ἄνθρωπον, ὥσπερ Ἀναξιμένης, οὔτε ὕδωρ ὡς Θαλῆς, οὔτε γῆν ὡς ἔν τινι Ξενοφάνης. οὐδαμόθεν γὰρ εὑρίσκεται ὁ Ξενοφάνης, ἀποφηνάμενος οὕτως. ἀλλὰ καὶ ὁ Σαβῖνος αὐτός, εὔδηλός ἐστιν ἐκ τῶν αὐτοῦ καταψευδόμενος, οὐχ ὑπ' ἀγνοίας σφαλλόμενος, ἢ πάντως ἂν ὀνόματι προσέγραψε τὸ βιβλίον ἐν ᾧ ταῦτα ἀπεφήνατο. νῦν δ' οὕτως ἔγραψεν, οὔτε γῆν, ὡς ἔν τινι Ξενοφάνης, καὶ Θεόφραστος δ' ἂν ἐν ταῖς τῶν φυσικῶν δοξῶν ἐπιτομαῖς, τὴν Ξενοφάνους δόξαν, εἴπερ οὕτως εἶχεν, ἐγεγράφει. καὶ σοὶ πάρεστιν εἰ χαίροις τῇ περὶ τούτων ἱστορίᾳ, τὰς τοῦ Θεοφράστου βίβλους ἀναγνῶναι, καθ' ἃς τὴν ἐπιτομὴν ἐποιήσατο τῶν φυσικῶν δοξῶν. ὥσπερ γε πάλαι εἰ τὰς τῶν παλαιῶν ἰατρῶν δόξας ἐθέλοις ἱστορῆσαι, πάρεστί σοι τὰς τῆς ἰατρικῆς συναγωγῆς ἀναγνῶναι βίβλους, ἐπιγεγραμμένας μὲν Ἀριστοτέλει, ὁμολογουμένας δὲ ὑπὸ τοῦ Μένωνος, ὃς ἦν μαθητὴς αὐτοῦ, γεγράφθαι, διὸ καὶ Μενώνεια προσαγορεύουσιν ἔνιοι ταυτὶ τὰ βιβλία. δῆλον δὲ ὅτι καὶ ὁ Μένων ἐκεῖνος ἀναζητήσας ἐπιμελῶς τὰ διασωζόμενα κατ' αὐτὸν ἔτι τῶν παλαιῶν ἰατρῶν βιβλία, τὰς δόξας αὐτῶν ἐκεῖθεν ἀνελέξατο. τῶν δ' ἤδη διεφθαρμένων παντάπασιν, ἢ σωζομένων μέν, οὐ θεωρηθέντων δ' αὐτῶν τὰς γνώμας, οὐκ ἠδύνατο γράψαι. κατὰ ταῦτ' οὖν τὰ βιβλία, χολὴν ξανθήν, ἢ μέλαιναν, ἢ φλέγμα, στοιχεῖον ἀνθρώπου φύσεως, οὐκ ἂν εὕροις οὐδ' ὑφ' ἑνὸς εἰρημένον. αἷμα δὲ καὶ τῶν μεθ' Ἱπποκράτην φαίνονται πολλοὶ μόνον εἶναι νομίζοντες ἐν ἡμῖν, ὥστε καὶ τὴν πρώτην γένεσιν ἡμῶν ἐξ αὐτοῦ γίγνεσθαι, καὶ τὴν μετὰ ταῦτα κατὰ τὴν μήτραν αὔξησιν, καὶ ἀποκυηθέντων τελείωσιν. ἀλλ' ὅγε Ἱπποκράτης ὀλίγον ὕστερον ἔγραψεν,

ψιν, ὡς ὄντων τινῶν οἳ καὶ φλέγμα καὶ χολὴν νομίζουσιν εἶναι τὸν ἄνθρωπον, οὐκ ἂν οὕτω γράψας, εἰ μή τινες ἦσαν ἤτοι κατ᾽ αὐτόν, ἢ πρὸ αὐτοῦ δοξάζοντες οὕτως.

Δοκέουσι δέ μοι οὐκ ὀρθῶς γινώσκειν οἱ τὰ τοιαῦτα λέγοντες. γνώμῃ μὲν γὰρ τῇ αὐτέῃ πάντες χρέονται, λέγουσι δὲ οὐ ταὐτά. ἀλλὰ τῆς μὲν γνώμης τὸν ἐπίλογον τὸν αὐτὸν ποιέονται. φασὶ γὰρ ἕν τε εἶναι ὅ, τί ἐστι, καὶ τοῦτ᾽ εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν, κατὰ δὲ τὰ οὐνόματα οὐχ ὁμολογέουσι. λέγει δὲ αὐτῶν, ὁ μέν τις φάσκων, ἠέρα τοῦτο εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν, ὁ δὲ πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ γῆν. καὶ ἐπιλέγει ἕκαστος τῷ ἑωυτοῦ λόγῳ, μαρτύριά τε καὶ τεκμήρια, ἅ γε ἐστὶν οὐδέν. ὅτι μὲν γὰρ τῇ αὐτέῃ γνώμῃ πάντες χρέονται, λέγουσι δὲ οὐ τὰ αὐτά, δῆλον, ὅτι οὐδὲ γινώσκουσιν αὐτά. γνοίη δ᾽ ἂν τῷδέ τις μάλιστα, παραγενόμενος αὐτέοισιν ἀντιλέγουσι. πρὸς γὰρ ἀλλήλους ἀντιλέγοντες οἱ αὐτοὶ ἄνδρες, τῶν αὐτέων ἐναντίον ἀκροατέων, οὐδέποτε τρὶς ἐφεξῆς ὁ αὐτὸς ἄνθρωπος περιγίνεται ἐν τῷ λόγῳ, ἀλλὰ ποτὲ μὲν οὗτος ἐπικρατέει, ποτὲ δ᾽ οὗτος, ποτὲ δὲ ᾧ ἂν τύχῃ, μάλιστα ἡ γλῶσσα ῥυεῖσα πρὸς τὸν ὄχλον. καί τοι δίκαιόν ἐστι τὸν φάντα ὀρθῶς γινώσκειν περὶ τῶν πραγμάτων, παρέχειν ἀεὶ ἐπικρατέοντα τὸν λόγον τὸν ἑωυτοῦ, εἴπερ ἐόντα γινώσκει, καὶ ὀρθῶς ἀποφαίνεται. ἀλλ᾽ ἐμοί γε δοκέουσιν οἱ τοιοῦτοι ἄνθρωποι, αὐτοὶ σφᾶς αὐτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων αὐτέων ὑπὸ ἀσυνεσίης, τὸν δὲ Μελίσσου λόγον ἐπανορθοῦν. περὶ μὲν οὖν τουτέων ἀρκέει μοι τὰ εἰρημένα.

Ὡς πρὸς εἰδότας ἃ λέγουσιν οἱ στοιχεῖον ἓν ὑποτιθέμενοι, ποιεῖται τὸν λόγον. οἵ τε γὰρ τὸ πῦρ εἶναι στοιχεῖον λέγοντες, ἐκ τούτου βούλονται τὰ ἄλλα γεννᾶσθαι, πυκνουμένου τε καὶ συναγομένου καὶ πιλουμένου. τῆς μὲν ὀλίγης αὐτοῦ πιλήσεως, ἀέρα γεννώσης, τῆς πλείονος δὲ ὕδωρ, τῆς τελεωτάτης τε καὶ πλείστης, γῆν. οἵ τε τὸ ὕδωρ, οἵ τε τὸν ἀέρα, κατὰ τὸν αὐτὸν λόγον, ἐκ τοῦ πιλεῖσθαι καὶ χεῖσθαι τἄλλα γεννᾶσθαι λέγουσι. πιληθὲν μὲν γὰρ τὸ ὕδωρ, γῆν γεννᾶσθαι φασίν, χυθὲν δὲ ἀέρα. καθάπερ γε καὶ τὸν ἀέρα πιληθέντα μὲν ὕδωρ, χυθέντα δὲ πῦρ, ὥστ᾽ ἐκ τῆς εἰς ἄλληλα μεταβολῆς τῶν τεττάρων, ὁ λόγος ὁρμᾶται τῶν ἓν ὁτιοῦν ὑποτιθεμένων εἶναι στοιχεῖον. καὶ διὰ τοῦτο γνώμῃ μὲν τῇ αὐτῇ φησὶν αὐτοὺς χρῆσθαι, λέγειν δ᾽ οὐ τὰ αὐτά. φανερῶς οὖν ἐν τούτῳ τῷ λόγῳ παντὶ τοῖς ἕν τι μόνον τῶν τεττάρων στοιχείων ἡγουμένοις εἶναι τὸν ἄνθρωπον, ἀντιλέγει, καὶ φησὶν αὐτοὺς ἁμαρτάνειν. ὅτι γὰρ μηδὲν ἀποδεικνύουσιν, οὐχ ἅπτως πιθανὸς ἦν ὁ λόγος αὐτῶν. ἓν μὲν γὰρ τῶν τεττάρων εἶναι τὸν ἄνθρωπον, οὐ κατασκευάζουσι. τὸν δὲ Μελίσσου λόγον ὀρθοῦσιν, ἡγουμένου μὲν ἓν εἶναι καὶ αὐτοῦ τοῦτο, οὐ μὴν ἐκ τῶν τεττάρων γ᾽ ἕν τι τούτων, ἀέρος καὶ γῆς, ὕδατός τε καὶ πυρός. ἔοικε δὲ ὁ ἀνὴρ οὗτος, ἐννοῆσαι μὲν εἶναι τινὰ οὐσίαν κοινήν, ὑποβεβλημένην τοῖς τέτταρσι στοιχείοις, ἀγέννητόν τε καὶ ἄφθαρτον, ἣν οἱ μετ᾽ αὐτόν, ὕλην ἐκάλεσαν, οὐ μὴν διηρθρωμένως γε δυνηθῆναι τοῦτο δηλῶσαι. ταύτην δ᾽ οὖν αὐτὴν τὴν οὐσίαν, ὀνομάζει τὸ ἕν, καὶ τὸ πᾶν. ἀληθὴς δὲ οὐδ᾽ οὗτος ὁ λόγος ἐστίν. οὐ γὰρ ἕν τι μόνον ἐστὶν ἐκεῖνο τῆς ἐν γενέσει καὶ φθορᾷ σωμάτων ἀρχή, καθάπερ ὑπέλαβεν ὁ Μέλισσος, ἀλλὰ πρὸς αὐτῷ ποιότητες τέτταρες. ψυχρότης ἄκρα, καὶ ξηρότης, καὶ θερμότης, καὶ ὑγρότης. οὐ μὴν στοιχεῖα γε ταῦτ᾽ ἐστίν, οὔτε τῶν ἄλλων, οὔτ᾽ ἀνθρώπου φύσεως, ἀλλὰ ἀρχαί. συνεκέχυτο οὐκέτι τοῦτο παρὰ τοῖς ἀρχαίοις οὐδ᾽ εἰς ἔννοιαν ἀφιγμένοις τῆς διαφορᾶς, ἀρχῆς τε καὶ στοιχείου, διὰ τὸ δύνασθαι χρῆσθαι τῇ τοῦ στοιχείου προσηγορίᾳ, κἀπὶ τῶν ἀρχῶν. ἀλλὰ δὲ δύο πράγματα ἐστὶ φανερῶς ἀλλήλων διαφέροντα. τὸ μὲν ἕτερον, ἐλάχιστον μόριον τοῦ ὅλου, τὸ δὲ ἕτερον, εἰς ὃ διέλῃ τις, κατ᾽ ἐπίνοιαν αὐτὸ τοῦτο ἐλάχιστον. αὐτὸ μὲν γὰρ τὸ πῦρ οὐχ οἷόν τε διελεῖν εἰς δύο σώματα, καὶ δεῖξαι κεκραμένον ἐξ ἐκείνων, ὥσπερ οὐδὲ τὴν γῆν, ἢ τὸ ὕδωρ, ἢ τὸν ἀέρα. νοῆσαι μέν τοι δυνατὸν ἑτέραν μὲν εἶναι τοῦ μεταβάλλοντος τὴν οὐσίαν, ἑτέραν δὲ τὴν μεταβολὴν αὐτοῦ. οὐ γὰρ ταὐτόν ἐστι τὸ μεταβάλλον σῶμα, τῇ κατ᾽ αὐτὸ μεταβολῇ. τὸ μὲν γὰρ μεταβάλλον ἐστί, τὸ ὑποκείμενον, ἡ μεταβολὴ δὲ αὐτοῦ κατὰ τὴν τῶν ποιοτήτων ἀμοιβὴν γίνεται. θερμότητος μὲν γὰρ ἄκρας ἐγγινομένης αὐτῷ, πυρὸς ἀποτελουμένου, καθάπερ γε καὶ ἀέρος ὅταν ἄκραν ὑγρότητα δέξηται. κατὰ ταῦτα δὲ γῆς μὲν γιγνομένης, ἐπειδὰν ἐκεῖνο τὸ ὑποκείμενον ἅπασαν κατὰ τὴν ἑαυτοῦ φύσιν ἄποιον ὑπάρχον εἰς ἑαυτὸ δέξηται ξηρότητα, χωρὶς θερμότητος, ὕδατος δ᾽ ὅταν ὑγρότητα. περὶ μὲν γὰρ τοῦ πρώτου ψυχροῦ, ζήτησις οὐ σμικρὰ γέγονεν, ἧς οὐκ ἔστι χρεία, εἰς τὰ τῆς ἰατρικῆς τέχνης ἔργα μηδὲν συντελούσης. τὸ γάρ τοι χρήσιμον ἐστὶν ἐν τῷ ζητῆσαι, πότερον ἓν ἁπλοῦν ἐστι τὸ σῶμα τῶν ἀνθρώπων, ἢ σύνθετον ἐξ ἁπλῶν τεττάρων, ὡς ἥ τε τοῦ Πλάτωνος ἐδίδαξε ῥῆσις, ἡμεῖς τε κατὰ τὴν θεραπευτικὴν μέθοδον ἐδιδάξαμεν εὐθὺς ἐν τοῖς πρώτοις αὐτῆς. ἀλλὰ περὶ μὲν τούτου, καὶ αὖθις εἰρήσεται. νυνὶ δὲ ἀναμνήσομαι, ὡς ἐν τῇ προκειμένῃ ῥήσει τὴν ἀντιλογίαν ἐποιήσατο πρὸς τὰς ἕν τι τῶν τεττάρων εἶναι λέγοντας τὸν ἄνθρωπον, οὐ πρὸς τὰ τέτταρα. βελτίων οὖν ἀνάγνωσις εἰκότως ἐλέγετο κατὰ τὴν πρώτην ῥῆσιν, ἡ δασύνουσα κατὰ τὴν ἐκφώνησιν τὴν πρώτην συλλαβὴν τοῦ ἓν ἐόν. ὅτι γὰρ οὐχ ἕν ἐστιν, ἀλλὰ πλείω τὰ συντεθέντα τὴν τοῦ ἀνθρώπου φύσιν, ἀποδείκνυσιν ὁ Ἱπποκράτης. οὐ μὴν ὅτι γε μηδὲν ἢ τῶν τεττάρων στοιχείων εἰλικρινὲς ἐν τῷ σώματι. τὴν ἀρχὴν γὰρ οὐδὲ λέγουσιν οἱ τῆς δόξης ταύτης ἡγεμόνες, τοῦτο ἐν δή τι παρὰ τὰ τέτταρα τὸ ἐξ αὐτῶν συγκείμενον ἀποφαίνονται, ὥς γε τὴν τετραφάρμακον δύναμιν οὔτε κηρόν, οὔτε πίτταν,

οὔτε ῥητίνην, οὔτε στέαρ, ἀλλά τι παρὰ ταῦτα ἓν ἄλλο ὃ ἐξ ἁπάντων κραθέντων γέγονεν. οὕτως δὲ πάλιν καὶ αὐτῆς τῆς δόξης διττῆς, ἔνιοι μὲν γὰρ τὰς τέτταρας ποιότητας μόνας κεράννυσθαι δι᾽ ὅλων ἀλλήλαις, ἔνιοι δὲ τὰς οὐσίας ἀποφαίνονται. περιπατητικοὶ μὲν τῆς προτέρας δόξης προστάντες, Στωϊκοὶ δὲ τῆς δευτέρας, ἔτι τε τούτων ἔμπροσθεν Ἐμπεδοκλῆς ἐξ ἀμεταβλήτων τῶν τεττάρων στοιχείων ἡγεῖτο γίγνεσθαι τὴν τῶν συνθέτων σωμάτων φύσιν, οὕτως ἀναμεμιγμένων ἀλλήλοις τῶν πρώτων, ὡς εἴ τις λειώσας ἀκριβῶς, καὶ χνοώδη ποιήσας ἰὸν, καὶ χαλκῖτιν, καὶ καδμείαν, καὶ μίσυ μίξειεν, ὡς μηδὲν ἐξ αὐτῶν δύνασθαι μεταχειρίσασθαι χωρὶς ἑτέρου.

Τῶν δὲ ἰητρῶν, οἱ μέν τινες λέγουσιν ὡς ὁ ἄνθρωπος αἷμα μοῦνον ἐστὶν, οἱ δὲ αὐτέων χολήν φασιν εἶναι τὸν ἄνθρωπον, ἔνιοι δέ τινες φλέγμα.

Ἀντέθηκεν ἐν τῷ περὶ τούτου λόγῳ τοῖς φιλοσόφοις, οἳ ἢ πῦρ μόνον, ἢ ὕδωρ, ἢ γῆν, ἢ ἀέρα τὴν φύσιν εἶναι νομίζουσι τοῦ σώματος ἡμῶν, καὶ ὕστερον τοὺς ἰατροὺς μετέβη κατὰ τὴν προκειμένην ῥῆσιν, ἐνδεικνὺς καὶ τούτους ὁμοίως ἁμαρτάνειν ἐκείνοις, ὅσοι νομίζουσιν ἢ αἷμα μόνον εἶναι τὸν ἄνθρωπον, ἢ χολὴν, ἢ φλέγμα. προφανῶς οὖν ἤδη δόξει-σαι τὸ κατὰ τὴν πρώτην ἁπασῶν ῥῆσιν ἀμφίβολον εἶναι δόξαν. οὐ τοῖς τὰ τέτταρα στοιχεῖα τιθεμένοις, ἀλλὰ τοῖς ἕν τι μόνον ἐξ αὐτῶν, ἀντιλέγων ἀεὶ φαίνεται. παραλείπεται δ᾽ ἐνταῦθα δόξα τις ἰατρῶν ἀναλόγως ἔχουσα τῇ τοῦ Μελίσσου, τῶν λεγόντων ἓν εἶναι τὸν ἄνθρωπον, ὃ μεταβάλλον, ἕκαστον τῶν εἰρημένων γίγνεται.

Ἐπίλογον δὲ ποιέονται καὶ οὗτοι πάντες τὸν αὐτὸν, ἓν γάρ τι εἶναί φασιν, ὅ, τι ἕκαστος ἠθέλησε ὀνομάσαι αὐτέων. καὶ τοῦτο ἓν ἐὸν, μεταλλάσσειν τὴν ἰδέην καὶ τὴν δύναμιν, ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ γίνεσθαι γλυκὺ, καὶ πικρὸν, καὶ λευκὸν, καὶ μέλαν, καὶ παντοῖόν τι ἄλλο, ἐμοὶ δὲ οὐδὲ ταῦτα δοκέει οὕτως ἔχειν. οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα καὶ ἔτι ἐγγύτατα τουτέων ἀποφαίνονται.

Καὶ τοὺς ἰατροὺς φησὶν ὅσοι χυμὸν ἕνα μόνον ἔφασαν εἶναι κατὰ φύσιν, ἐπίλογον ποιεῖσθαι τὸν αὐτὸν ἀλλήλοις τε καὶ τοῖς φιλοσόφοις. ἐνδεικνύντας τὸν ἕνα τοῦτον χυμὸν, ὃν ἂν ἕκαστος αὐτῶν ὑποτίθεται, μεταβάλλειν εἰς τοὺς ἄλλους. ἃ δὲ κατασκευάζων ἕκαστος, τὴν ἑαυτοῦ δόξαν ἔλαβεν, οὐδένα τῶν τεττάρων χυμῶν ἀποδείκνυσιν εἶναι κατὰ φύσιν, ἕτερον δὲ ἀντ᾽ αὐτῶν τινὰ πρότερον, ἐξ οὗ μεταβάλλοντος, οὗτοι γίγνονται. δόγματος τινὸς τοιοῦδε μὲν δυναμένου στῆναι κατὰ τὴν ἰατρικὴν θεωρίαν, ἀνάλογον τῇ τοῦ Μελίσσου, κατὰ τὴν φυσικήν. ἐν οἷς γοῦν φασὶ τὸ ἓν τοῦτο μεταβάλλειν ἀναγκαζόμενον ὑπὸ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ γίγνεσθαι γλυκὺ, καὶ πικρὸν, καὶ λευκὸν, καὶ μέλαν, οὐδὲν ἐκ τούτων τῶν τεσσάρων εἰπεῖν ἐοίκασιν ἐκεῖνοι, πρὸς οὓς ἀντιλέγων, οὐ τὸ κατὰ φύσιν εἶναι φάσκει, ἀλλ᾽ ἕτερόν τι μεταβάλλον εἰς ταῦτα. γλυκὺ μὲν γὰρ τὸ αἷμα, πικρὰν δὲ τὴν ξανθὴν χολὴν, καὶ λευκὸν μὲν τὸ φλέγμα. μέλαν δὲ τὴν μέλαιναν εὐλόγως εἰρῆσθαι νῦν, εἰς ἃ τὸ ἓν ἐκεῖνο μεταβάλλειν φησὶν ἀναγκαζόμενον ὑπὸ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. τὸ δὲ ἤδη τῇ τελευτῇ τοῦ λόγου προσκείμενον, τὸ, καὶ παντοῖον, τοὺς ἐν ταῖς χαλεπαῖς οὔσαις νόσοις, γιγνομένους ἰχῶρας ἐνδείκνυνται. φαίνεται γοῦν καὶ ἰώδης, καὶ φαιὰ χολὴ, καλοῦσι δ᾽ αὐτὴν ἰσατώδη, καὶ τὶς ἐρυθρὰ, καὶ πρασοειδής. ἄλλαι τέ τινες ἀνώνυμοι, καὶ μάλιστα ὅταν ᾖ συμπεπονθὸς τὸ νόσημα.

Ἐγὼ δέ φημι, εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ᾽ ἂν ἤλγεεν. οὐδὲ γὰρ ἂν ἦν ὑφ᾽ ὅτου ἀλγήσειεν ἓν ἐόν. εἰ δ᾽ οὖν καὶ ἀλγήσειεν, ἀνάγκη καὶ τὸ ἰώμενον ἓν εἶναι.

Ἔμπροσθεν μὲν αὐτοὺς τοὺς λόγους διέβαλλεν, οὓς ἔλεγον οἱ ἓν εἶναι τὸν ἄνθρωπον ὑπολαβόντες, ἀποδείξας οὐ μόνον ἀναποδείκτους, ἀλλὰ καὶ ἀπιθάνους. τὰ νῦν δὲ τὴν δόξαν αὐτῶν ἀνατρέπει τῶν ἓν οἰομένων εἶναι τὸν ἄνθρωπον. ἔστι δὲ οὐ ταυτὸν ἢ λόγον περαινόμενον ἐλέγχειν, ἢ δόξαν ὡς οὐκ ἀληθῆ διαβάλλειν. ἐνδέχεται γὰρ ἀληθῆ μὲν εἶναι τὴν δόξαν, οὐκ ὀρθῶς δὲ ὑπό τινων συνηγορεῖσθαι, καὶ διὰ τοῦτο μὴ τῆς δόξης τὸν ἔλεγχον, ἀλλὰ τῶν συνηγορησάντων αὐτῇ γεγονέναι. νῦν οὖν ἐάσας τοὺς λόγους αὐτῶν, ἐλέγχει τὴν δόξαν αὐτὴν μόνην ἀφ᾽ ἑαυτῆς, οὐ μόνον ἰσχυροτάτῳ χρησάμενος, ἀλλὰ καὶ βραχυτάτῳ λόγῳ. εἴπερ γὰρ ἓν ἦν ὁ ἄνθρωπος, οὐκ ἂν ἤλγεεν. ὃν τινὰ λόγον ἔφην ἐξελέγχειν καὶ τοὺς ἄτομα, καὶ ἄναρμα, καὶ ἐλάχιστα στοιχεῖα τιθεμένους. ἓν γὰρ τῷ εἴδει καὶ κατὰ τούτους ἐστὶ τὸ ὄντως ὄν. οὕτω δὲ ὠνόμασαν τὸ πρῶτον σῶμα τὸ ἀγέννητόν τε καὶ ἄφθαρτον, ἐπειδὴ τἄλλα πάντα τὴν γένεσιν ἐκ τῆς ἐκείνου συνθέσεως λαμβάνει. γενήσεται γὰρ ἡ ἐκ τούτων δόξα, τὴν γένεσιν ἡμῶν ἐν ποιᾷ συνθέσει τῶν ἀϊδίων ἐκείνων σωμάτων τιθεμένη. καθάπερ ἡ Ἱπποκράτους ἐν τῇ κράσει τῶν τεσσάρων στοιχείων, ἣν Ἀριστοτέλης τε καὶ οἱ Στωϊκοὶ προσήκαντο. ὅτι δὲ εἴπερ ἓν ἦν ἁπλοῦν στοιχεῖον, οὐκ ἂν ἤλγει τὸ συγκείμενον ἐκ τοῦ τοιούτου στοιχείου σῶμα, τεκμήριον εἶναί φησι, τὸ μηδὲν ἕτερον ὑπάρχειν δεύτερον, εἰς αὐτὸ δρᾶσαι δυνάμενον. οὐ γὰρ δὴ αὐτό γε ὑφ᾽ ἑαυτοῦ πάσχειν ἐγχωρεῖ τὸ ἓν ἐκεῖνο σῶμα. πρὸς τῷ καὶ εἰ συγχωρήσειέ τις ἀλγεῖν αὐτὸ, πάσχον ἐξ ἑαυτοῦ, τὴν ἴασιν ἁπλῆν ἔσεσθαι. οὐκ ὄντων γὰρ πολλῶν παρ᾽ αὐτῷ, πολλοὺς τρόπους ἰάσεως ἀδύνατον γενέσθαι.

Νῦν δὲ πολλά, πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐνεόντα, ἃ ὁκόταν ὑπ᾽ ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται, ξηραίνηταί τε καὶ ὑγραίνηται, νούσους τίκτει, ὥστε πολλαὶ μὲν ἰδέαι τῶν νοσημάτων, πολλὴ δὲ ἴησις αὐτέων ἐστί.

Ἐν μὲν τῇ πρὸ ταύτης ῥήσει, τοὺς ἕν τι λέγοντας εἶναι τὸν ἄνθρωπον, ὅπερ ἐστὶ ταυτὸν τῷ φάναι, τὸ συνθετικὸν αὐτοῦ στοιχεῖον ἓν εἶναι, διήλεγξεν ἐκ τῶν ἀκολουθούντων ἀτόπων τῇ δόξῃ. οὐ γὰρ ἠλγήσαμεν ποτὲ μηδενὸς ὄντος δευτέρου τοῦ διαθεῖναι τὸ ἓν ἐκεῖνο δυναμένου. εἶτ᾽ εἰ καὶ τοῦτο συγχωρήσαιμεν, ἡ ἴασις ἂν γένοιτο μονοειδὴς οὐ πολυειδής.

λυθῆς. ἐκ δὲ ταύτης τῆς νῦν ἡμῖν προκειμένης ῥήσεως, δῆλον ὅσα μέλλει δείξειν ὄντα πρώτως, ὑφ᾽ ὧν τἄλλα πάντα γίγνεται. ταῦτα δέ ἐστι θερμὸν καὶ ψυχρὸν, ξηρόν τε καὶ ὑγρὸν, ἃ ὅταν μὲν ἀλλήλοις κραθῇ συμμέτρως, ὑγιαίνει τὸ ζῶον. ὅταν δ᾽ ἄλληλα θερμαίνῃ, καὶ ψύχῃ, καὶ ξηραίνῃ, καὶ ὑγραίνῃ, τὰς ὀδύνας γεννᾶν πέφυκεν, οὐχ ἑνὶ τρόπῳ θεραπείας ἰωμένας. ἔνιαι μὲν γὰρ αὐτῶν, θερμαινομένων τῶν ὀδυνωμένων μορίων, ἔνιαι δὲ ψυχομένων, ἢ ξηραινομένων, ἢ ὑγραινομένων παύονται. δέδεικται δὲ περὶ τούτων ἐπὶ πλεῖστον, ἔν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, κἂν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι. χεῖρον δ᾽ οὐδὲν εἰπεῖν τι καὶ νῦν βραχὺ, πρόδηλον ἔχοντα τὴν ἔνδειξιν τοῦ διὰ τὸ θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν, ἀλγεῖν τε ἡμᾶς καὶ θεραπεύεσθαι. τίς γὰρ οὐκ οἶδε τὴν γιγνομένην ὀδύνην ὅταν ἐν χειμῶνι τις ἰσχυρῷ προελθεῖν ἔξω τῆς οἰκίας ἐπιχειρήσῃ; τίς δ᾽ ὅταν ἐν καύματι σφοδρῷ; τίς οὐκ ὀδυνᾶται διψῶν; ἢ τίς πληρωθεὶς ποτοῦ; τοῦ μὲν διψεῖν ξηραινομένων ἡμῶν γιγνομένου, τοῦ δ᾽ ὑπερεμπεπλῆσθαι τὴν ἐναντίαν διάθεσιν ἐργαζομένου. καὶ αἱ φλεγμοναὶ δὲ, καὶ πάντες οἱ ὀδυνηροὶ καὶ παρὰ φύσιν ὄγκοι, ποτὲ μὲν ὑπὸ περιττῆς ὑγρότητος εἰς τὸ μόριον ἐπιρρυείσης γίγνονται, ποτὲ δὲ τῷ τοὺς χυμοὺς ἤτοι θερμοὺς παρὰ φύσιν, ἢ ψυχροὺς εἶναι. καὶ μέντοι καὶ αἱ ἰάσεις τῶν μὲν ὑγρότητος ὑπερπληρωθέντων σωμάτων, διὰ κενώσεως γίγνονται, τῶν δὲ παρὰ φύσιν ξηραινομένων δι᾽ ὑγρῶν προσφορᾶς, ὥσπερ καὶ τῷ μὲν διὰ κρύος ὀδυνωμένῳ θερμανθέντι, τῷ δὲ διὰ θάλπος ἄμετρον ψυχθέντι. δέδεικται δὲ καὶ τὰ φάρμακα πάντα, διὰ τοῦ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν ἐνεργοῦντα. πρῶται γὰρ αὗται αἱ ποιότητες εἰσὶ δραστικαί τε καὶ ἀλλοιωτικαὶ τῶν σωμάτων, ὡς ἐπιδείξαμεν ἐν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων. ἕπονται δὲ αὐταῖς αἵ τε κατὰ γεῦσιν ποιότητες, ὧν ὀνόματα, στύψις, καὶ αὐστηρότης, καὶ στρυφνότης, καὶ πικρότης, ἁλυκότης τε καὶ δριμύτης, ὀξύτης τε καὶ γλυκύτης, * καὶ λιπαρότης. αἵ τε κατὰ χροιὰν, ἐν λευκότητι, καὶ μελανότητι, καὶ ἐρυθρότητι, καὶ ταῖς ὁμογενέσιν. αἵ τε κατὰ τὴν ἁφὴν, ἐν σκληρότητι, καὶ μαλακότητι, καὶ κραυρότητι, καὶ γλισχρότητι. ταῖς γεύσεσι δ᾽ ἰσάριθμοί πως εἰσὶν, καὶ αἱ κατὰ τὴν ὄσφρησιν, ἀλλ᾽ οὐκ ἔστιν αὐτῶν τὰ ὀνόματα κατ᾽ εἶδος. ἡ γὰρ κατ᾽ εὐωδίαν τε καὶ δυσωδίαν διαφορὰ τῶν ὀσμῶν, αὐτὸ δὴ τοῦτο διαφορὰ προσηκόντως ἂν νομίζοιτο, καὶ λέγοιτο πολλοῖς εἴδεσιν ἑπομένη. τὰ μὲν δὴ κεφάλαια τοῦ λόγου ταῦτα. δέδεικται δέ τινα μὲν αὐτῶν, ἐν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων. τινὰ δὲ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ. οἱ πολλοὶ δὲ, τὰς μὲν ἀποδείξεις ὀκνοῦσι μανθάνειν, ἀντιλέγουσι δὲ οἷς οὐκ ἴσασιν ἑτοίμως, οὗ τοὐναντίον οἱ φιλομαθεῖς τε καὶ ἀληθείας ἐρασταὶ πράττουσι, φιλοπόνως ἐκμανθανόντων τὰς ἀποδείξεις, ὀκνηρῶς δὲ ἀντιλεγόντων.

Ἀξιῶ δ᾽ ἔγωγε τὸν φάσκοντα αἷμα μοῦνον εἶναι τὸν ἄνθρωπον, καὶ ἄλλο μηδὲν, δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην, μηδὲ γίγνεσθαι παντοῖον. ἀλλ᾽ ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τῆς τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἐνεὸν φαίνεται μοῦνον ἐν τῷ ἀνθρώπῳ. εἰκὸς γάρ ἐστιν εἶναι μίαν γέ τινα ὥρην ἐν ᾗ φαίνεται αὐτὸ ἐφ᾽ ἑωυτῷ ἐνεόντα. αὐτὰ δὲ λέγω περὶ τοῦ φάσκοντος φλέγμα εἶναι τὸν ἄνθρωπον, καὶ περὶ τοῦ χολὴν φάσκοντος.

Ἔτι καὶ νῦν ἀντιλέγει, πρὸς τοὺς ἓν εἶναι φάσκοντας τὸν ἄνθρωπον, ὅπερ ἐξ ἀρχῆς ἔφην αὐτῷ προκεῖσθαι. καὶ πρώτους γε ἐλέγχει τοὺς αἷμα φάσκοντας αὐτὸν εἶναι. μάλιστα μὲν γὰρ ἐχρῆν φησι τοὺς ὑγιαίνοντας ἀνθρώπους, αἷμα μόνον ἔχειν ἐν τῷ σώματι χωρὶς χολῶν τε καὶ φλέγματος, εἴπερ ἡ φύσις αἷμα μόνον ἐστὶν ἐν τῷ σώματι. ἔπειτα δὲ εἰ καὶ συγχωρηθείη ποτ᾽ ἐπικτᾶσθαι χολὴν καὶ φλέγμα, καὶ ἡλικίαν μίαν τινὰ, ἢ ὥραν τοῦ ἔτους εὑρίσκεσθαι καθ᾽ ἣν αἷμα μόνον ἐστὶν ἐν τῷ σώματι χωρὶς τῶν ἄλλων χυμῶν. ὡσαύτως δὲ ἐλέγχων καὶ τοὺς ἤτοι χολὴν ἢ φλέγμα φάσκοντας εἶναι τὸν ἄνθρωπον, ὅπερ ἐστὶ τὸ κατὰ φύσιν εἶναι αὐτὸ μόνον, ἡγουμένους δὲ ἐν τούτῳ καὶ τὴν πρώτην γένεσιν ἐκ τούτου τοῦ χυμοῦ γεγονέναι.

Ἐγὼ μὲν γὰρ ἀποδείξω, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι καὶ κατὰ τὸν νόμον, καὶ κατὰ τὴν φύσιν, ἀεὶ ταὐτὰ ἐόντα ὁμοίως, καὶ νέου ἐόντος, καὶ γέροντος, καὶ τῆς ὥρης ψυχρῆς ἐούσης καὶ θερμῆς, καὶ τεκμήρια παρέξω, καὶ ἀνάγκας ἀποφανέω δι᾽ ἃς ἂν ἕκαστον αὔξηταί τε καὶ φθίνῃ ἐν τῷ σώματι.

Δείξειν ἐπαγγέλλεται διὰ παντὸς μὲν ἐν τῷ σώματι περιεχόμενα τὰ πρὸς αὐτοῦ τιθέμενα στοιχεῖα, κατὰ τὰς ἡλικίας, καὶ τὰς ὥρας, αὔξησίν τε καὶ φθίσιν, ὅπερ ἐστὶ μείωσιν ἴσχοντα. κατὰ τὸν νόμον μὲν οὖν ἐστι, τὸ πρὸς τῶν ἀνθρώπων νομιζόμενόν τε καὶ δοξαζόμενον, οὕτως εἰωθότων ὀνομάζειν τῶν παλαιῶν. κατὰ φύσιν δὲ τὸ κατ᾽ αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν.

Πρῶτον μὲν οὖν ἀνάγκη τὴν γένεσιν αὐτέου γίνεσθαι μὴ ἀφ᾽ ἑνός. πῶς γὰρ ἕν γε ἐόντι, γεννήσειεν ἄλλο εἰ μὴ τινὶ μιχθείη;

Ὁ μὲν οὖν Ἱπποκράτης, ἀεὶ τοῖς ἐναργῶς φαινομένοις ἀκολουθεῖ, διὰ τοῦτο καὶ νῦν ἔφη, μηδὲν ἀφ᾽ ἑνὸς γεννᾶσθαι χωρὶς τοῦ δεηθῆναι τινὸς ἔξωθεν ἑτέρου, καὶ τούτου συμμέτρως ἔχοντος τῆς πρὸς αὐτὸ κράσεως. ἔνιοι δὲ τῶν φυσικῶν ὀνομασθέντων φιλοσόφων, οὐκ οἶδ᾽ ὅπως ἐτόλμησαν ἀποφήνασθαι δόξαν ἀλλόκοτον, ἅπασαν ἀνατρέπουσαν τὴν φυσικὴν θεωρίαν. ὁ ἓν γὰρ εἶναι τὸ πᾶν εἰπὼν, ἀναιρεῖ τῷ λόγῳ γένεσιν ἅπασαν. εἴπερ γὰρ ἓν τὸ γενόμενον, οὐκ ἦν ἔμπροσθεν, ὥσπερ οὐδὲ ἔσται μικρὸν ὕστερον. οὔτε γὰρ ὁ Θαλῆς, οὔθ᾽ ὁ Μέλισσος, οὔθ᾽ ὁ Ἡράκλειτος ἔμπροσθεν ἦσαν, ἢ νῦν εἰσίν. ἆρ᾽ οὖν ἀληθῶς ἄν τις εἴποι μὴ γεγονέναι τούτους τοὺς ἄνδρας, ἢ ἐγένοντο μὲν καὶ ἔζησαν ἔτεσιν, οὐκ ὀλί-

γοις ἕκαστος, οὐκ ἦσαν δὲ καθ' ὃν ἔζων χρόνον; ἢ τὸ μὲν εἶναι κατ' ἐκεῖνον τὸν χρόνον αὐτοὺς συγχωρήσομεν, ὄντας δὲ οὐκ εἶναι φήσομεν ὕστερον; καὶ μὴν εἴπερ ὄντας τις αὐτοὺς ὁμολογήσει, ὁμολογήσει καὶ γεγονέναι. πῶς δὲ πλάτανος, καὶ λίθος, καὶ λέων οὐκ ἦσαν πάλαι γένεσιν ἔχοντα καὶ φθοράν; εἴπερ δέ ἐστι γένεσις τοῦ πρότερον οὐκ ὄντος, ἀναγκαῖον αὐτὴν ἔκ τινος ὑποκειμένης οὐσίας γενέσθαι. ταύτην δ' ὁρῶμεν, οὐ δυναμένην αὐτὴν καθ' αὑτὴν μόνην ὁτιοῦν γεννῆσαι. τὰ γοῦν τῶν φυτῶν σπέρματα, καὶ ὑγρότητος, καὶ θερμασίας συμμέτρου τῆς ἔξωθεν δεῖται, πρὸς τὸ γεννῆσαί τι. μόνον γὰρ εἴπερ ἐπεφύκει γεννᾶν τὸ σπέρμα μηδενὸς ἄλλου προσδεόμενον ἔξωθεν, οὐκ ἂν διέμενεν, οὐδὲ ἐν ἐλαχίστῳ χρόνῳ χωρὶς τοῦ γεννᾶν, ἀλλ' εὐθὺς ἂν ἐφύετο. φαίνεται δὲ διαμένοντα πολλάκις οὐ μῆνας μόνον, ἀλλὰ καὶ ἐνιαυτοὺς, οὐκ ὀλίγα τῶν σπερμάτων. οὐ γάρ ἐστιν ἑαυτῶν μόνον ἔχει τὸ γεννᾶν, ἀλλὰ δεῖται τινὸς ἔξωθεν ὑπουργίας, καὶ ταύτης οὐ κατὰ θίξιν ἁπλῆν γιγνομένης, ἀλλὰ κατά τινα τοῦ ψαύοντος δύναμιν, εἴσω διαδιδομένην εἰς ὅλον τὸ ψαυόμενον. εἴ γε δι' ὅλου φαίνεται τὴν ἀλλοίωσιν ἴσχον ἐν ταῖς γενέσεσι τὸ σπέρμα, κατά τε τὰ δένδρα καὶ τὰς πόας, καὶ τὰ ὅλα φυτά, πολὺ δὴ μᾶλλον ἐπὶ τῶν ζώων ἐναργῶς φαίνεται, μήτ' ἐξ ἄρρενος μόνου, μήτ' ἐκ θήλεος, ἄνευ τοῦ μιχθῆναι δυνάμενόν τι γενέσθαι.

Ἔπειτα οὐδ' ἂν μὴ ὁμόφυλα ἐόντα μίγνυται, καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν γεννᾷ, οὐδ' ἂν ταὐτὰ ἡμῖν ξυντελέοιντο.

Οὐ μόνον ἐξ ἑνὸς ἀδύνατον εἶναι γεννηθῆναί τι φασίν, ἀλλ' οὐδ' ἐκ δυοῖν, εἰ μὴ ὁμόφυλα ἔχοντα μίγνοιτο, τουτέστιν οἰκειότητα τῆς οὐσίας ἔχοντα. φαίνεται δὲ καὶ ταῦτα σαφῶς ἐπὶ τῇ τῶν ἑτερογενῶν ζώων γενέσει γιγνόμενα. καθάπερ ἐπὶ ἵππων ἔχει καὶ ὄνων, ἀλωπέκων τε καὶ κυνῶν. ἐκ γὰρ τῆς τούτων ἐπιμιξίας γεννᾶται τὸ ζῶον, οἷον μικτὸν ἐξ ἀμφοῖν. ὅσα δ' ἐπὶ πολὺ διεστῶσαν ἀλλήλων ἔχει τὴν φύσιν, οὐδ' ἂν μιχθῇ ποτε, δύναται γεννῆσαί τι. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως προσκείμενον, οὐδ' ἂν ταὐτὰ ἡμῖν ξυντελέοιντο, παρέρχονται μὲν ὡς σαφὲς οἱ ἐξηγησάμενοι τὸ βιβλίον. ἀσαφὲς δέ ἐστιν, ἢ μὴ καλῶς ἡρμηνευμένον ὑπὸ τοῦ γράψαντος, ἢ διὰ τοὺς μεταγραψαμένους ἡμαρτημένον. ὃ δ' οὖν μοι δοκεῖ βούλεσθαι δηλοῦν, ἐστὶ τοιόνδε. κἂν μὴ ὁμοειδὲς ᾖ τὸ μιγνύμενον ζῶον ἕτερον ἑτέρῳ, κοινωνίαν δή τινα τῆς φύσεως φησὶν εἶναι. οὐ γὰρ ἂν ταὐτὰ ἡμῖν συντελέοιντο, τουτέστιν, οὐκ ἂν γένεσις ἐκ τῆς συνόδου γένοιτο, ζώου τοῖς γεννήσασιν ὁμοίου. τάχα δὲ καὶ ἡ ῥῆσις οὐχ οὕτως ἔχει, οὐδ' ἂν ταὐτὰ ἡμῖν συντελέοιτο.

Καὶ πάλιν εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως πρὸς ἄλληλα ἕξει καὶ ἴσως, ἀλλὰ τὸ ἕτερον τοῦ ἑτέρου πολὺ προέξει, καὶ τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, ἡ γένεσις οὐκ ἂν γένοιτο.

Ἐμπεδοκλῆς μὲν ἔφη μὴ δύνασθαι γόνιμον γένεσιν ἀποτελεσθῆναι μηδενί, εἰ μὴ ὁμόφυλα εἴη τὰ συνιόντα, καὶ αὐτῶν δὲ τῶν ὁμοφύλων ἡ σύνοδος, οὐκ ἐξ ἀνάγκης γεννᾷ. λέλεκται δὲ ἐν τοῖς ἀφορισμοῖς ὁ λόγος οὗτος αὐτῷ τέλειος, ἔνθα φησίν, » Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκονται. καὶ ὁκόσαι καθύγρους ἔχουσι » τὰς μήτρας, οὐ κυΐσκονται, ἀποσβέννυται γὰρ ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας, ἐνδείᾳ γὰρ τῆς τρο» φῆς, φθείρεται τὸ σπέρμα. ὁκόσαι δ' ἐξ ἀμφοτέρων τῇ κράσει ἔχουσι συμμέτρως, ἐπίτεκνοι γίγνονται. ἐν τούτῳ τῷ λόγῳ διδάσκει μὲν, καὶ διά τινας αἰτίας ἄγονοι γίγνονται γυναῖκες. ἐνδείκνυται δὲ καὶ τὸ τούτῳ συνεπόμενον, ὑπὲρ οὗ καὶ ἡμεῖς ἑτέρωθι, καὶ ἄλλοι πολλοὶ πρὸ ἡμῶν ἔγραψαν. ἐδήλωσε δὲ καὶ Πλάτων οὐ σμικρὰν τέχνην εἰπὼν εἶναι, καθ' ἣν ἐπίσταταί τις ζευγνῦναι τοὺς ὁμόλογον κρᾶσιν ἔχοντας εἰς γένεσιν ἄνδρας τε καὶ γυναῖκας. ἃ γὰρ ἐπὶ τῶν κράσεων τῆς μήτρας εἶπε, ταῦτα καὶ περὶ τῆς τοῦ σπέρματος κράσεως ἐννοῆσαι χρή. καὶ γὰρ καὶ τοῦτο, ποτὲ μὲν ὑγρότερόν ἐστι τοῦ δέοντος ἢ ψυχρότερον. ἔστι δ' ὅτε ξηρότερον, ἢ διακαέστερον. οἰκεῖον δέ ἐστι τῇ μὲν ξηροτέρᾳ μήτρᾳ τὸ ὑγρότερον σπέρμα, τῇ δὲ ὑγροτέρᾳ τὸ ξηρότερον, ὥσπερ γε καὶ τῇ μὲν θερμοτέρᾳ, τὸ ψυχρότερον, τῇ δὲ ψυχροτέρᾳ τὸ θερμότερον. ὑπὲρ ὧν ἐπὶ πλέον ἐν γε τῷ περὶ τεκνολογίας λόγῳ διερχόμεθα. νυνὶ δ' ἀρκεῖ γιγνώσκειν ὅτι μήτε δυνατόν ἐστιν ἐξ ἑνός τι γίγνεσθαι, μήθ' ὅταν ἐκ δυοῖν, ἢ καὶ πλειόνων συνιόντων γίνηται, χωρὶς οἰκειότητος τῆς πρὸς ἄλληλα, καὶ συμμετρίας τινὸς κράσεως, τῆς ἐκ τῶν συνιόντων ἀποτελουμένης, οἷόν τε ἐστὶ γεννηθῆναι τοῦτο.

Ὥστε πῶς εἰκὸς ἀφ' ἑνός τι γεννηθῆναι; ὅπου γε οὐδὲ ἀπὸ τῶν πλειόνων γεννᾶται, εἰ μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος τῆς πρὸς ἄλληλα.

Τὰ μὲν ἄλλα τῆς ῥήσεως, ἐκ τῶν προειρημένων ἐστὶ δῆλα. μεμνῆσθαι δὲ χρὴ τοῦ κατ' αὐτῆς ὀνόματος εἰρημένου τοῦ τῆς κράσεως, ὅπερ διὰ τοῦ κρήσιος εἶπεν, ὅτι πρῶτος ὧν ἴσμεν Ἱπποκράτης ἀπεφήνατο κεράννυσθαι τὰ στοιχεῖα, καθάπερ καὶ μικρὸν ἔμπροσθεν ἐδείχθη, καὶ ταύτῃ διήνεγκε Ἐμπεδοκλέους. κἀκεῖνος γὰρ ἐκ μὲν τῶν αὐτῶν στοιχείων, ὧν καὶ Ἱπποκράτης γεγονέναι φησὶν ἡμᾶς γε καὶ τὰ ἄλλα σώματα πάντα τὰ περὶ τὴν γῆν, οὐ μὴν κεκραμένων γε δι' ἀλλήλων, ἀλλὰ κατὰ μικρὰ μόρια παρακειμένων τε καὶ ψαυόντων. ὅτι δὲ καὶ ἥδε ἡ δόξα τοὺς αὐτοὺς ἐλέγχους ἔχει ταῖς ἐξ ἀναισθήτων καὶ ἀπαθῶν τῶν πρώτων σωμάτων τὸ αἰσθητικὸν σῶμα γεννώσαις δόξαις, ἐπιδέδεικται διὰ τοῦ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ὑπομνήματος, ἔνθα καὶ πασῶν σχεδὸν τῶν φυσικῶν δοξῶν ἐμνημονευσάμην, ὅσαι περὶ τῶν πρώτων ἀρχῶν, ἢ στοιχείων γεγόνασιν.

Ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ὑπαρχούσης, καὶ τῶν ἄλλων πάντων, καὶ τῆς τοῦ ἀνθρώπου, μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλὰ ἕκαστον τῶν ξυμβαλλομένων εἰς τὴν γένεσιν, ἔχειν τινὰ δύναμιν ἐν τῷ σώματι, οἵην περ ξυνεβάλλετο.

Γροσφρικῶς

Προειρηκὼς ὁ Ἱπποκράτης, εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως κραθείη, τὰς γενέσεις τῶν γεννητῶν δηλονότι σωμάτων ἀδύνατον εἶναι γενέσθαι, νῦν δὴ σαφῶς οὐκ ἀνθρώπου μόνον, ἀλλὰ καὶ πάντων ὅσα γένεσιν ἔχει καὶ φθορὰν σώματος, ἐκ τῶν αὐτῶν εἶναι τὴν γένεσιν φησίν. ἐκ θερμοῦ γὰρ καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ πάντα γέγονε, καὶ διὰ τοῦτο κοινὰ πάντων εἶναι ταῦτα στοιχεῖα. τὰ δὲ ἴδια τῆς τοῦ ἀνθρώπου φύσεως, αἷμα, καὶ φλέγμα, καὶ χολὴ ξανθή τε καὶ μέλαινα. καίτοι γ' οὐδὲ ταῦτα ἴδια καλῶς ἂν λέγοιτο, κοινὰ γάρ ἐστιν ἁπάντων τῶν ἐναίμων ζώων. εὔδηλον δ' ὅτι καὶ τούτων ἕκαστα ἐκ τῶν πρώτων τεττάρων γέγονεν, ἅπερ ἀπὸ τῶν ποιοτήτων ὀνομάζοντες, ὑγρὸν καὶ ξηρὸν, καὶ ψυχρὸν καὶ θερμὸν λέγομεν. ἴδια δὲ τῆς οὐσίας αὐτῶν ἐστιν ὀνόματα, πῦρ, ἢ ὕδωρ, ἢ ἀὴρ, ἢ γῆ. πρόδηλον γὰρ ὅτι τὰ στοιχεῖα κατὰ τὰς ἁπλᾶς καὶ ἀμίκτους ποιότητας καλεῖται. θερμότητος μὲν ἄκρας ὑπαρχούσης ἐν πυρὶ, καθάπερ γε καὶ ὑγρότητος ἐν ἀέρι, ψυχρότητος δὲ ἐν ὕδατι, ξηρότητος δὲ ἄκρας ἅμα πιλήσει τε καὶ ψύξει κατὰ τὴν γῆν. πῶς οὖν οἴονταί τινες ὑγρὸν μὲν καὶ ξηρὸν, καὶ ψυχρὸν καὶ θερμὸν Ἱπποκράτει τίθεσθαι τὰ στοιχεῖα; φαίνεσθαι γὰρ ἐν ἀνθρώπῳ ταῦτα. πῦρ δὲ καὶ ὕδωρ, ἀέρα τε καὶ γῆν μὴ προσίεσθαι, διότι μηδὲ φαίνεσθαί τι τούτων ἐν ἀνθρώπου σώματι. μὴ παρακολουθοῦντες μὲν, ὅτι τὰ φαινόμενα περὶ τὸ σῶμα μὲν ὧδε τὰ φαινόμενα, καθάπερ τὸ σῶμα θερμὰ καὶ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρά. τίς ἂν ταῦτα τολμήσειε φάναι κοινὰ στοιχεῖα πάντων εἶναι σωμάτων; οὐδεὶς δήπου τῶν καὶ βραχυτάτων, εἰρηκότος τοῦ Ἱπποκράτους. ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ἐούσης, καὶ τῶν ἄλλων ἁπάντων καὶ τῆς τοῦ ἀνθρώπου, μὴ τὰ βλεπόμενα κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου θερμὰ καὶ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρὰ λέγειν αὐτὸν οἴεσθαι νῦν, ἀλλὰ τὰ τέτταρα στοιχεῖα. ταῦτα γὰρ ἄκρας ἔχει καὶ ἀμίκτους ποιότητας, ἐξ ὧν ἀλλήλαις κεραννυμένων, τὰ μεταξὺ σώματα πάντα γίγνεται κατ' ἐπικράτειαν. οὐ κυρίως ὀνομαζόμενα θερμὰ καὶ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρὰ, ὡς εἴγε ταῦτα τὰ ἤδη κεκραμένα στοιχεῖα θησόμεθα τὰ τὰς ἄκρας ἔχοντα ποιότητας, οὐκ οἶδ' ὅτι φήσομεν εἶναι, καὶ μετὰ τὴν ἐχομένην δὲ ῥῆσιν, ἐναργέστερον ἔτι τὴν ἑαυτοῦ γνώμην ἐνδείκνυται πρὸς ἣν ἤδη μεταβῶμεν.

Καὶ πάλιν γε ἀνάγκη ἀποχωρέειν ἐς τὴν ἑωυτοῦ φύσιν ἕκαστον, τελευτῶντος τοῦ σώματος τοῦ ἀνθρώπου, τό, τε ὑγρὸν πρὸς τὸ ὑγρὸν, καὶ τὸ ξηρὸν πρὸς τὸ ξηρὸν, καὶ τὸ θερμὸν πρὸς τὸ θερμὸν, καὶ τὸ ψυχρὸν πρὸς τὸ ψυχρόν.

Ἀποχωρεῖν φησὶ διακρινόμενον ἐν τῇ τελευτῇ τοῦ ἀνθρώπου, πρὸς τὴν ἑαυτοῦ φύσιν, ἕκαστον τῶν προειρημένων στοιχείων, ἃ θερμὸν ἐκάλει καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν, οὐδέπω λέγων τὸ αἷμα πρὸς τὸ κατὰ τὸν κόσμον αἷμα, καὶ τὸ φλέγμα πρὸς τὸ φλέγμα, καὶ τὴν χολὴν πρὸς τὴν χολὴν, καὶ τὴν ἀρτηρίαν πρὸς τὴν ἀρτηρίαν, καὶ τὴν σάρκα πρὸς τὴν σάρκα, καὶ τὴν φλέβα πρὸς τὴν φλέβα, καὶ τὸ νεῦρον ἀπιέναι πρὸς τὸ νεῦρον. ἀλλὰ τὸ καθ' ἕκαστον τούτων θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν, εἰς τὰ κοινὰ πάντων ἀπέρχεσθαι στοιχεῖα. σύγκειται γὰρ δή που καὶ τὸ νεῦρον ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ τῶν στοιχείων δηλονότι. οὐ γὰρ δὴ ἐξ ἄλλου γε νεύρου, καθάπερ οὐδ' ἡ φλὲψ ἐξ ἄλλης φλεβός. ὅτι μηδ' ἐπινοηθῆναι δύναται κεραννύμενα δι' ὅλων ἀλλήλων ταῦτα, σὰρξ, καὶ φλὲψ, καὶ ὀστοῦν, καὶ ἀρτηρία, καὶ τὰ ἄλλα μόρια. βούλεται δ' αὐτὸς κεκρᾶσθαι δι' ὅλων ἀλλήλοις, τὸ θερμὸν καὶ ψυχρὸν, καὶ ξηρὸν καὶ ὑγρὸν, ἔτι μεμνήμεθα τῶν ὀλίγων ἔμπροσθεν εἰρημένων, ὥστε οὐ τὰ σαφῶς βλεπόμενα κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου, θερμὰ καὶ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρὰ μόρια, στοιχεῖα τῆς τοῦ ἀνθρώπου φύσεώς ἐστιν, ἀλλὰ τὰ τούτων αὐτῶν συνθετικά τε καὶ γεννητικὰ, ταῦτα δέ ἐστιν ὕδωρ τε καὶ πῦρ, ἀήρ τε καὶ γῆ. ἀποδέδεικται γὰρ περὶ τούτων ἱκανῶς ἐν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων.

Τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶν ἡ φύσις, καὶ τῶν ἄλλων ἁπάντων.

Τοιαύτη, φησὶν, οὐ μόνον ἡ τοῦ ἀνθρώπου φύσις ἐστὶν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ἐκ θερμοῦ δηλονότι καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ κεκραμένη τῶν ἁπλῶν καὶ ἄκρων. τὰ γὰρ ἐν τῷ μεταξὺ πάντα, τὴν κρᾶσιν ἐκ τούτων ἔσχηκεν. ἀδιανόητον οὖν γίγνεται τὸ λέγειν ἐν τῷ μεταξὺ τὴν κρᾶσιν γίγνεσθαι τῶν ἐν τῷ μεταξύ. διὰ τοῦτο δ' οὐκ αἰσθάνονται λέγοντες, οἱ ἐκ τῶν κατὰ τὸ σῶμα βλεπομένων ὑγρῶν καὶ ξηρῶν, θερμῶν τε καὶ ψυχρῶν, τὴν φύσιν ἡμῶν συγκεῖσθαι φάσκοντες. ἔτι δὲ ἀδιανοητότερον, εἰ καὶ τῶν ἄλλων ἁπάντων ζώων τε καὶ φυτῶν, ἐκ τούτων λέγομεν εἶναι τὴν φύσιν. Ἱπποκράτης μὲν γὰρ εἴρηκε φανερῶς ἐν τῇ ῥήσει, καὶ τῶν ἄλλων ἁπάντων τὴν τοιαύτην εἶναι φύσιν, οἱ δ' οὐκ οἶδ' ὅτι φήσουσιν. ὅταν γοῦν εἰς τὴν γῆν ἐκβληθέντος σπέρματος συκῆς, εἰ τύχῃ, γένηται μέγιστον δένδρον, ἀδιανόητόν ἐστι λέγειν, οὐκ ἐκ γῆς καὶ ὕδατος, ἀλλ' ἑτέρωθεν αὐτῇ τὴν τοσαύτην οὐσίαν ὑπάρξαι. καὶ μὴν ἡ γῆ κατὰ τὸν ἑαυτῆς λόγον ἄκρως ἐστὶ ψυχρὰ, θερμότητα δ' ἔχει πολλὴν ἡ συκῆ δι' ἣν ζῇ, καὶ διὰ τοῦτο κἂν τοῖς ἰσχυροῖς χειμῶσι καταψυχομένη, οὐ νεκροῦται. δῆλον οὖν, ὅτι μὴ μόνον ἐξ ὕδατος καὶ γῆς συνέστηκε τὸ σῶμα τῆς συκῆς, ἀλλὰ καὶ τῆς πυρώδους φύσεως μετείληφεν. εὔδηλον δ' ὅτι καὶ τῆς ἀερώδους, εἴ γε σαφῶς ἐστὶ τὸ ξύλον αὐτῆς οὐ μόνον τῆς γῆς, ἀλλὰ καὶ τοῦ ὕδατος κουφότερον. ἐκ τῶν τεσσάρων οὖν ἐστὶ καὶ ἡ συκῆ. καὶ εἴπερ αὐτὴ καὶ τὸ σῦκον, οὕτω δὲ καὶ οἱ καρποὶ πάντες. εἰσὶ δὲ οἱ πυροὶ καὶ αἱ κριθαὶ, καὶ οἱ κύαμοι, καὶ τὰ ἄλλα δημήτρια σπέρματα, τῶν καρπῶν μόρια. καὶ αὐτὰ τοίνυν ἐκ τῶν τεσσάρων συνεστήκασι, γῆς, πυρὸς, ὕδατός τε καὶ ἀέρος. ἐπεὶ δὲ ἐκ τῆς τῶν καρπῶν τε καὶ φυτῶν ἐδωδῆς, οἱ μὲν ἡμῖν γίγνονται χυμοὶ, καὶ οὗτοι δηλονότι τὴν πρώτην ἀρχὴν τῆς γενέσεως ἕξουσιν, ὕδωρ καὶ γῆν, ἀέρα τε καὶ πῦρ. ἀλλ' ὅπερ ἔφην, ἀποδέδεικται καὶ ταῦτα ἐν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, ὥστ' ἤδη μεταβαίνειν καιρὸς ἐφ' ἑτέραν ῥῆσιν.

Γίνεταί τε ὁμοίως πάντα, καὶ τελευτᾷ ὁμοίως πάντα.

Οὐδὲ μαντευσάμενός τις ἔσεσθαί τινας ἀνθρώπους οἳ παρακούσουσιν αὐτοῦ, τοσαυτάκις ἂν εἶπε τοῦτον δόγμα, καθάπερ νῦν ὁ Ἱπποκράτης ἐποίησε, πάντα φάσκων, οὐ μόνον ἄνθρωπον ὁμοίως γίγνεσθαι καὶ τελευτᾶν, ὥσπερ

εἴρηται, ἐκ τῶν τεττάρων δηλονότι στοιχείων, οὐ τῶν ἐν τῷ σώματι μορίων θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν. ἀλλ᾽ εἰσί γε οὕτω τινὲς ἀναίσθητοι λέξεως ἑλληνικῆς, ὡς οἴεσθαι τὸ κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου, θερμόν τε καὶ ψυχρὸν καὶ ξηρὸν αἰσθητῶς διαγιγνωσκόμενα, πάντων εἶναι τῆς γενέσεως κοινὰ στοιχεῖα.

Ξυνίσταται γὰρ αὐτέων ἡ φύσις ἀπὸ τουτέων τῶν εἰρημένων πάντων, καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα ἐς τὸ ἑωυτὸ ὅθεν περ ξυνέστη ἕκαστον. ἐνταῦθα οὖν καὶ ἀπεχώρησεν.

Ἐπιμένει τῷ δόγματι τὴν φύσιν ἁπάντων ἐκ τῶν εἰρημένων τεττάρων συνίστασθαι, καὶ τελευτᾶν εἰς αὐτὰ βουλόμενος. ὅθεν γὰρ ἕκαστον τῶν ὄντων συνέστη, φησὶν, ἐνταῦθα καὶ ἀπεχώρησεν, εἰς τὰ κοινὰ δηλονότι στοιχεῖα τοῦ κόσμου, γῆν, ὕδωρ, ἀέρα τε καὶ πῦρ. ἐσχάτως οὖν ἀγνοοῦσι τὴν Ἱπποκράτους γνώμην, καὶ τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον. οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον, οὔτε ὕδωρ, οὔτε πῦρ, οὔτε γῆν, αὐτί που μηδ᾽ ὅλως ἀκούοντες. ἐφαίνη γὰρ, οὐ τὸ μηδ᾽ ὅλως εἶναι τὰ κοινὰ πάντων στοιχεῖα κατὰ τὸ σῶμα, βουλόμενος τοῦ ἀνθρώπου ὁ Ἱπποκράτης. ἀλλὰ τοὺς ἐν μόνον ἐξ αὐτῶν λέγοντας, μεμφόμενος.

Τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωυτῷ αἷμα, καὶ φλέγμα καὶ χολὴν διττὴν, ξανθήν τε καὶ μέλαιναν, καὶ ταῦτά ἐστιν αὐτέῳ ἡ φύσις τοῦ σώματος, καὶ διὰ ταῦτα ἀλγέει καὶ ὑγιαίνει.

Συντελέσας τὸν περὶ τῶν κοινῶν στοιχείων λόγον, ἐπὶ τὰ τῶν ἐναίμων ζώων, ὧν ἐστι καὶ ὁ ἄνθρωπος, ἐν τῇ προκειμένῃ ῥήσει μετέβη, βουλόμενος ἐξ αἵματος, καὶ φλέγματος, καὶ χολῆς διττῆς, τήν τε ἐξ ἀρχῆς γένεσιν ἡμῶν γίνεσθαι, καὶ τὴν ἐν ὅλῳ τῷ βίῳ διαμονὴν ἐκ τούτων ὑπάρχειν, καὶ ταῦτα τὴν ὅλην φύσιν εἶναι τοῦ ἀνθρώπου. τῶν μὲν χυμῶν, ἐν τοῖς στερεοῖς περιεχομένων, αὐτῶν δὲ τῶν στερεῶν ἐν τῇ πρώτῃ διαπλάσει κυουμένου τοῦ ζώου, τὴν γένεσιν ἐκ τούτων ἐχόντων. ἐκ γὰρ τοῦ καταμηνίου πάντα τὰ μόρια γέγονεν, οὐκ εἰλικρινοῦς αἵματος ὄντος, ἀλλ᾽ ἔχοντος ἐν ἑαυτῷ διττὰς χολὰς, καὶ φλέγμα. δείξει γὰρ ὀλίγον ὕστερον τοῦτο, καὶ μέντοι καὶ τὸ ὑγιαίνειν ἡμῖν, ἀλγεῖν τε καὶ νοσεῖν ἐκ τούτων φησὶ γίγνεσθαι, κατὰ τὸν τρόπον καθ᾽ ὃν γίνεται ταῦτα, διὰ τῆς ἐχομένης ῥήσεως.

Ὑγιαίνει μὲν οὖν μάλιστα, ὁκόταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα κρήσιος καὶ δυνάμιος καὶ τοῦ πλήθεος, καὶ μάλιστα ἢν μεμιγμένα ᾖ.

Κατὰ πάντας ἰατρούς τε καὶ φιλοσόφους τοὺς τελείως δογματικοὺς, ἡ συμμετρία τῶν στοιχείων, ὑγείαν ἐργάζεται. διττῆς δ᾽ οὔσης τῷ γένει τῆς ἐν ταῖς λογικαῖς αἱρέσεσι στοιχειώσεως, ἡ μὲν ἑτέρα κατὰ παράθεσίν τε καὶ περιπλοκὴν τῶν πρώτων σωμάτων, τὰς γενέσεις τῶν συνθέτων γενέσθαι φησίν. ἡ δὲ ἑτέρα, κατὰ κρᾶσιν. ἡ μὲν οὖν προτέρα τὴν συμμετρίαν, ἐν τῇ πoροποιΐᾳ τίθεται. ἡ δ᾽ ἑτέρα, κατὰ τὴν εὐκρασίαν τῶν στοιχείων, ὑγιαίνειν ἡμᾶς φησίν, ἧς δηλονότι δόξης, ὁ Ἱπποκράτης ἐστὶν ἡγεμών. οὔσης δὲ διττῆς συμμετρίας, τῆς μὲν ἐν τῇ δυνάμει τῶν κεραννυμένων, τῆς δὲ ἐν τῷ ποσῷ τῆς οὐσίας, ἑκατέρας ἐμνημόνευσεν Ἱπποκράτης εἰπὼν, τῆς τε δυνάμεως καὶ τοῦ πλήθεος. τὸ δ᾽ ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον, τὸ, καὶ μάλιστα ἢν μεμιγμένα ᾖ, τὴν ἀκρίβειαν τῆς δι᾽ ὅλων αὐτῶν κράσεως ἐνδείκνυται. κατὰ γὰρ τὴν τελείως ἀμεμπτοτάτην τοῦ σώματος διάθεσιν, οὐ μόνον ἡ συμμετρία τῶν τεσσάρων στοιχείων, ἀλλὰ καὶ ἡ δι᾽ ὅλων κρᾶσις ἀκριβοῦται. κατὰ δὲ τὰς φαυλοτέρας κράσεις τοῦ σώματος, ἐνδέχεταί ποτε καθ᾽ ἕν τι μόριον οὐκ ἴσως οὐδ᾽ ὁμοίως, οὐδὲ δι᾽ ὅλων ἀλλήλοις κεκρᾶσθαι τοὺς χυμοὺς, ἀλλ᾽ ὅταν γε μηδέπω σαφῶς ἐνέργεια βλάπτεται, μεμπτὴ μέν ἐστιν ἡ ὑγεία, νόσος δὲ οὐδέπω.

Ἀλγέει δ᾽ ὁκόταν τι τουτέων ἔλασσον, ἢ πλέον γένηται, ἢ χωρισθῇ ἐν τῷ σώματι, καὶ μὴ κεκρημένον ᾖ τοῖς πᾶσι.

Ὥσπερ ἐπὶ τῆς ὑγείας τὴν ἀκριβῆ συμμετρίαν, ἐν ποσότητι καὶ δυνάμει καὶ τῇ δι᾽ ὅλων ἔθετο κράσει, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῆς νόσου, τὰ τούτων ἐναντία τίθεται, τὸ μὲν ἔλασσον ἢ πλέον εἴς τε τὸ ποσὸν τῆς οὐσίας, καὶ τὴν δύναμιν ἀναγαγὼν, τὸ δὲ μὴ κεκρᾶσθαι τοῖς πᾶσιν, εἰς δυσκρασίαν ἢ ἀνωμαλίαν κράσεως, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι.

Ἀνάγκη γὰρ ὁκόταν τι τουτέων χωρισθῇ καὶ ὑφ᾽ ἑωυτοῦ στῇ, οὐ μόνον τοῦτο τὸ χωρίον ἐπίνοσον γίγνεσθαι, ἀλλὰ καὶ ἔνθα στῇ καὶ ἐπιχυθῇ, ὑπερεκπιμπλάμενον ὀδύνην τε καὶ πόνον παρέχειν.

Ὅταν τῶν τεσσάρων τις χυμῶν αὐτὸς καθ᾽ ἑαυτὸν ἵσταταί που κατά τι μόριον, ἀποχωρισθεὶς τῶν ἄλλων, καὶ μὴ κεκραμένος ᾖ ὅλος δι᾽ ὅλων αὐτοῖς, ὀδυνᾶται τὸ ζῶον, ἐν δυσκρασίᾳ γενομένων ἀμφοτέρων τῶν μορίων, ἔνθεν τε ἐξέστη, καὶ εἰς ὃ μετέστη. καὶ μάλιστα τοῦτο γίνεται κατὰ τοὺς ἰσχυρὰς ἔχοντας τὰς δυνάμεις χυμούς. οὗτοι γὰρ οὐ μόνον τῷ ποσῷ βαρυνόντων τὸ μόριον, εἰς ὃ κατέσκηψαν, ἀλλὰ καὶ τῷ ποιῷ τὴν ὀδύνην ἐργάζονται, θερμαινόντων ἢ ψυχόντων σφοδρῶς.

Καὶ γὰρ ὁκόταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις.

Ἀντὶ τοῦ πλεονάζοντος ἀκουστέον εἰρῆσθαι νῦν τὸ ἐπιπολάζοντος, ἢ εἴπερ μὴ τοῦτο τις ἀκούειν ἐθέλοι, τὸ μὴ κεκραμένον ἅπασι τοῖς ἄλλοις ἐπιπολάζον οἰητέον εἰρῆσθαι. πιθανὸν γὰρ ἑκάτερον αὐτῶν.

Ἤν τ᾽ αὖθις εἴσω ποιήσεται τὴν κένωσιν, καὶ τὴν μετάστασιν, καὶ τὴν ἀπόκρισιν ἀπὸ

σιν ἀπὸ τῶν ἄλλων, πολλή γ' αὐτέῳ ἀνάγκη, διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ὑπεξέστηκε, καὶ ἔνθα ὑπερέβαλεν.

Ὅτι προείρηται τοῦτο, καὶ αὐτὸς ἐδήλωσεν εἰπὼν, κατὰ τὰ εἰρημένα. τῇ λέξει γὰρ, ἢ τῇ δυνάμει τῆς νῦν εἰρημένης ῥήσεως διήνεγκεν, ἡ μικρὸν ἔμπροσθεν ὑπ' αὐτοῦ γεγραμμένη, καθ' ἣν οὕτως εἶπεν. ἀνάγκη γὰρ ὅταν τι τουτέων χωρισθῇ, καὶ ὑφ' ἑωυτοῦ στῇ, ἔνθεν τε ὑπεξέστηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον νοσερὸν γίγνεσθαι, ἀλλὰ καὶ ἔνθα ἂν στῇ καὶ ἐπιχυθῇ ὑπερπιμπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχειν. εἰπὼν δὲ ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, ἀποφαίνειν ἀεὶ τοῦτ' ἐόντα κατὰ νόμον καὶ κατὰ φύσιν. κατὰ νόμον μὲν εἶπε, δηλῶσαι βουλόμενος τὴν τῶν ἀνθρώπων δόξαν, ἣν ἔχουσι περὶ αὐτῶν. κατὰ φύσιν δὲ, τὴν τῶν αὐτῶν πραγμάτων ἀλήθειαν. προσέχωμεν οὖν ἤδη ταῖς ἑξῆς ῥήσεσιν, ἵνα γνῶμεν εἰ ὅπερ ὑπέσχετο κατὰ τὰς ἀρχὰς τοῦ συγγράμματος, νῦν ἀποδίδωσι.

Φημὶ δὲ εἶναι αἷμα καὶ φλέγμα, καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν. καὶ τουτέων μὲν πρῶτον κατὰ νόμον τὰ ὀνόματα διωρίσθαι φημὶ, καὶ οὐδενὶ αὐτέων τὸ ωὐτὸ ὄνομα εἶναι. ἔπειτα κατὰ φύσιν τὰς ἰδέας κεχωρίσθαι, καὶ οὔτε τὸ φλέγμα οὐδὲν ἐοικέναι τῷ αἵματι, οὔτε τὸ αἷμα τῇ χολῇ, οὔτε τὴν χολὴν τῷ φλέγματι. πῶς γὰρ ἂν ἐοικότα εἴη ταῦτα ἀλλήλοισιν; ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα, οὔτε τῇ χειρὶ ψαυόμενα ὅμοια δοκεῖ εἶναι, οὔτε γὰρ θερμὰ ὁμοίως ἐστὶν, οὔτε ψυχρὰ, οὔτε ξηρὰ, οὔτε ὑγρά.

Καὶ σαφὴς ὁ λόγος αὐτοῦ πᾶς ἐστι, καὶ ἀποδείκνυσιν ὃ προὔθετο. κατὰ μὲν γὰρ τὴν προκειμένην ταύτην ῥῆσιν, ἔδειξε τέτταρας εἶναι χυμοὺς ἐν τῷ σώματι διαφέροντας ἀλλήλων. ἐν δὲ ταῖς ἐφεξῆς ὅτι καὶ κατὰ φύσιν εἰσὶν οὗτοι πάντες, οὐχ εἷς ἐξ αὐτῶν. ἀλλ' ἔν γε τῇ προκειμένῃ ταύτῃ ῥήσει, καὶ χροιᾷ, καὶ συστάσει, καὶ θερμότητι, καὶ ψυχρότητι διαφέρειν ἀλλήλων φησὶ τοὺς χυμοὺς, καὶ γὰρ καὶ φαίνεται σαφῶς ταῦτα. προσκρούεται δ' ἴσως τισὶ, τὸ, καὶ ξηρότητι χυμὸν χυμοῦ διαφέρειν, ἁπάντων τῶν χυμῶν ὑγρῶν ὄντων. ἀναιρείτωσαν οὖν οὗτοι τὸ μηδ' ὑγρότητι διαφέρειν αὐτούς. εἴπερ δ' ὑγρότερον ἕτερον ἑτέρου συγχωροῦσιν εἶναι, καὶ μέντοι καὶ φαίνεται σαφῶς τοῦτο κατὰ πάντας τοὺς χυμούς. ἥτε γὰρ ξανθὴ χολὴ πολλάκις μὲν ἐξυγραίνεται σφοδρῶς, ἡνίκα μηδὲ ξανθὸν, ἀλλ' ὠχρὸν αὐτῆς γίγνεται τὸ χρῶμα. πολλάκις δ' ὥσπερ λέκυθος γίγνεται παχεῖα, διότι καὶ λεκυθώδης ὀνομάζεται πρός τινων. ἥτ' αὖ μέλαινα διὰ παντός ἐστι παχυτέρα τῆς ὠχρᾶς τε καὶ ξανθῆς. οὐκ ὀλίγον δὲ οὐδὲ κατ' αὐτήν ἐστι τὸ μᾶλλόν τε καὶ ἧττον, ὥσπερ γε καὶ τὸ αἷμα. φαίνεται γὰρ τοῦτο, ποτὲ μὲν οὕτως ὑγρὸν ὡς ῥεῖν, ποτὲ δ' ἱκανῶς παχύ. τὸ φλέγμα δὲ ἔχον τὴν αὐτὴν ἀναλογίαν ἰδεῖν ἐστι τῇ κατὰ τοὺς εἰρημένους χυμούς. ὑπαλλάττεται γὰρ ἐν πάχει καὶ λεπτότητι, ποτὲ μὲν ὑδατῶδες ὄν. ἐστι δ' ὅτε παχυνόμενον, ὡς ἐοικέναι πύῳ. συμβαίνει δὲ τοῦτο τοῖς χυμοῖς, ὡς ἂν οὐκ οὖσιν ὄντως στοιχείοις, ὥσπερ ὕδωρ καὶ γῆ, ἀὴρ καὶ πῦρ ἐστιν. ἕκαστος γὰρ αὐτῶν ἐκ τῶν τεττάρων τούτων γέγονεν ἐπικρατοῦντος ἄλλου κατ' ἄλλον αὐτῶν, ὡς δὴ πολλάκις ἐμάθετε.

Ἀνάγκη τοίνυν ὅτε τοσοῦτον διήλλακται τὴν ἰδέην τε καὶ τὴν δύναμιν ἀλλήλων, μὴ ἓν αὐτὰ εἶναι, εἴπερ μὴ πῦρ γε καὶ ὕδωρ ἕν ἐστιν.

Ἀλλόκοτος μὲν ἡ δόξα τῶν ἡγουμένων ἓν εἶναι τὸν ἄνθρωπον, ὅμως ὁ Ἱπποκράτης ἀντιλέγων αὐτῇ, φαίνεται δηλῶν ἐνδόξως ἴσως τινῶν κατ' αὐτὸν ὄντων ἐπιφανῶν ἀνδρῶν οἳ ταύτην ἐπρέσβευον τὴν δόξαν. ὅπου γὰρ καὶ συγγράμματα πλεῖστα παλαιῶν ἀνδρῶν οὐκέτι σώζεται, πολὺ δὴ μᾶλλον, οὐδὲ τὰς ἀγράφους δόξας εἰκός ἐστιν αὐτῶν διασώζεσθαι, καὶ μάλισθ' ὅτι μηδ' ἔγραψαν ἔνιοι σύγγραμμα μηδὲν, ὥσπερ Σωκράτης, καὶ ὁ Πυθαγόρας, καὶ τῶν καθ' ἡμᾶς ἐνδόξων ἰατρῶν Κόϊντος. ἔτι δὲ μᾶλλον ἐστὶ πιστεῦσαι πολλοὺς ἄνδρας ἐπιφανεῖς γεγονέναι ζῶντας, ἀποθανόντων δ' αὐτῶν, ἀπολωλέναι τὰς περὶ τῶν δογμάτων ὑπολήψεις. ὁπότε καὶ Πλάτωνος τοσαῦτα συγγράμματα γράψαντος, ὅμως οἱ μαθηταὶ λέγουσιν εἶναι τινὰ παρὰ τὰ γεγραμμένα τῶν ἀγράφων δογμάτων αὐτοῦ. ὥσπερ δὲ τοῖς μαθηταῖς ἄγραφα δόγματα λέγουσιν εἶναι πιστεύομεν, οὕτω καὶ τῷ Ἱπποκράτει πιστεύομεν εἶναι τινὰς οἳ γῆν μόνην ἔλεγον εἶναι κοινὸν ἁπάντων στοιχεῖον. ἐν ἀνθρώπῳ δὲ χολὴν, ἢ φλέγμα, καὶ γὰρ καὶ νῦν οἶδα τινὰς ἄλλα γράφοντας, ὧν τὰ συγγράμματα, τοῖς μὲν δὴ συναπέθανον, τοῖς δὲ συντεθνήξεται, καθάπερ καὶ τῶν λεγόντων ἁπάντων εἶναι μητέρα, καὶ τιθήνην, καὶ ἀρχὴν, καὶ στοιχεῖον τὴν γῆν. αὐτὴν γὰρ καὶ τὸν οὐρανὸν γεννῆσαι, καθάπερ Ἡσίοδος φησὶ, καὶ τὰ ζῶα τὰ κατ' αὐτήν. καὶ τῶν ἀρχιγενείων δέ τις, ἀνὴρ οὐ φαυλότατος ἐπίστευσε, μήτ' ἐν ταῖς εἰσπνοαῖς εἴσω τοῦ σώματος ἰέναι τὸν ἀέρα, μήτ' ἐν ταῖς ἐκπνοαῖς ἔξω. καὶ ἄλλος τις ἐβούλετο τὸν πρῶτον καὶ στοιχειώδη χυμὸν εἶναι φλέγμα. μὴ τοίνυν ζητήσωμεν ὀνόματα τῶν τὰς ἀλλοκότους δόξας ταύτας πρότερον ἀποφηναμένων. εἰ γὰρ ὅτι Θαλῆς ἀπεφήνατο στοιχεῖον μόνον εἶναι τὸ ὕδωρ, ἐκ συγγράμματος αὐτοῦ δεικνῦναι οὐκ ἔχομεν, ἀλλ' ὅμως ἅπασι καὶ τοῦτο πεπίστευται.

Γνοίης δ' ἂν τοῖσδε, ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, ἀλλὰ ἕκαστον αὐτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτέου. εἰ γάρ τινι διδοίης ἀνθρώπῳ φάρμακον ὅ, τι φλέγμα ἄγει, ἀπεμέεταί σοι φλέγμα. καὶ ἢν διδοίης φάρμακον ὅ, τι χολὴν ἄγει, ἐμέεταί σοι χολήν. κατὰ τὰ αὐτὰ δὲ καὶ χολὴν μέλαιναν καθαίρεται, ἢν δῷς φάρμακον ὅ, τι χολὴν μέλαιναν ἄγει. καὶ ἢν τρώσῃς αὐτοῦ τοῦ σώματος μέρος τι, ὥστε ἕλκος γενέσθαι, ῥυήσεται αὐτέῳ αἷμα. καὶ ταῦτα ποιήσει πάντα σοι πᾶσαν ἡμέρην τε καὶ νύκτα, καὶ χειμῶνος τε καὶ θέρεος, μέ-

χρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν εἰς ἑωυτὸν, καὶ πάλιν μεθιέναι. ἔστ᾽ ἄν τινος τουτέων στερηθῇ τῶν ξυγγεγονότων, ξυγγέγονε δὲ ταῦτα τὰ εἰρημένα. πῶς γὰρ οὐ ξυγγέγονε; πρῶτον μὲν γὰρ φανερῶς ἐστιν ὁ ἄνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα αἰεὶ, ἕως ἂν ζῇ. ἔπειτα δὲ γέγονεν ἐξ ἀνθρώπου, ταῦτα πάντα ἔχοντος, ἔπειτα τέθραπται ἐν ἀνθρώπῳ, ταῦτα πάντα ἔχοντι, ὁκόσα ἐγώ φημί τε καὶ ἀποδείκνυμι.

Ἐν μὲν τῇ προτέρᾳ ῥήσει δέδεικται πρὸς αὐτοῦ σαφῶς τε ἅμα καὶ ἀληθῶς, ὡς ἔχει ἐν ἑαυτῷ πάντα, χολὰς, καὶ φλέγμα, καὶ αἷμα. κατὰ δὲ τὴν προκειμένην, οὐ τοῦτο μόνον ἐπιδεικνύει, ἀλλ᾽ ὅτι καὶ κατὰ φύσιν ἐστὶν, οὐ καθάπερ ἔνιοι φασὶν ἐξ αὐτῶν. αἱ μὲν οὖν ἄλλαι δόξαι τῶν ἓν λεγόντων εἶναι κατὰ φύσιν ἐν τῷ σώματι χυμὸν, ἐξελέγχθησαν. ἡ δὲ τῶν τὸ αἷμα φασκόντων, οὐκ εὐκαταφρόνητος, ἀλλὰ μεγάλου τινὸς ἀγῶνος δεῖται πρὸς τὸ καταβάλλειν αὐτήν. ἐνέστηκε δὲ καιρὸς ἤδη, τὴν ἀρχὴν ἀπὸ τοῦ πρόσθεν εἰρημένου τῷ ἀνδρὶ ποιησαμένους. λέγει δὲ ὧδέ πως.

Ἀξιῶ δ᾽ ἔγωγε τὸν λέγοντα αἷμα μοῦνον εἶναι τὸν ἄνθρωπον, καὶ ἄλλο μηδὲν, δεικνύναι αὐτὸν, μὴ μεταλλάσσοντα τὴν ἰδέην, μηδὲ γίγνεσθαι παντοῖον, ἀλλ᾽ ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τῆς ἀνθρώπου, ἐν ᾗ αἷμα ἐνεὸν φαίνεται μοῦνον ὁ ἄνθρωπος. εἰκὸς γάρ ἐστιν εἶναι μίαν γέ τινα ὥρην ἐν ᾗ φαίνεται αὐτὸ ἐφ᾽ ἑωυτῷ ἐνεόν.

Ἐὰν οὖν τούτῳ τῷ λόγῳ προσθήσῃς τὸ κατὰ τὴν νῦν ἡμῖν προκειμένην ῥῆσιν ἀποδεικνύμενον, ὁλόκληρον ἐργάσῃ τὸ δόγμα τοῦ Ἱπποκράτους. ἀποδείκνυται γὰρ ἐνταῦθα, μήτε ὥραν ἐνὸν εἶναι τινὰ τοιαύτην, μήθ᾽ ἡλικίαν, ἐν ᾗ τὸν ἄνθρωπον ἐπιδείξει τις οὐ μετέχοντα τῶν ἄλλων χυμῶν. ἀλλὰ καὶ διὰ τῶν καθάρσεων. καὶ γὰρ αὖ διδῷς τινὶ φάρμακον, ἤτοι χολὴν ἄγον, ἢ φλέγμα κενοῦμενον, ὄψει τὸ πρὸς αὐτοῦ πεφυκὸς ἕλκεσθαι, ὡς ἐν παντὶ καιρῷ πάντων περιεχομένων ἐν τῷ σώματι. τούτῳ δὲ ἐνίστανται τῷ λόγῳ τινὲς, οὐ συγχωροῦντες ἕλκειν τὸ καθαρτικὸν ἐκ τοῦ σώματος τὸν οἰκεῖον χυμὸν, ἀλλὰ μεταβάλλειν εἰς ἣν αὐτὸ πέφυκεν ἰδέαν. ἀλλ᾽ ὅτι γε ψευδὴς ὁ λόγος αὐτῶν, ἐπιδέδεικται μὲν ἡμῖν καθ᾽ ἓν ὑπόμνημα περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως ἐπιγεγραμμένον, εἰρήσθω δὲ καὶ νῦν ἕν τι τῶν ἐν ἐκείνῳ λελεγμένων, ἕνεκα παραδείγματος. ἐθεάσασθε γὰρ ἐπ᾽ αὐτῶν τῶν ἔργων τῆς τέχνης, οὐκ ὀλιγάκις ἐλεγχομένους τοὺς μὴ συγχωροῦντας ἕλκεσθαι τὸ κενούμενον ὑπὸ τῶν καθαιρόντων φαρμάκων, οἷον οἱ ὑδεριῶντες τῷ ἀσκίτῃ καλουμένῳ, λαβόντες μὲν ὑδραγωγὸν φάρμακον, ἐκκενοῦται πλῆθος οὐκ ὀλίγον ὑδατώδους ὑγρότητος, καὶ προστέλλονται τὸν ὄγκον τῆς γαστρός. εἰ δὲ χολῆς ξανθῆς, ἢ μελαίνης ἀγωγὸν αὐτοῖς τις δοίη φάρμακον, ὀλίγιστόν τε ἐκκενοῖ τὸν χυμὸν, ὅ τ᾽ ὄγκος αὐτοῖς τῆς γαστρὸς οὐ μόνον οὐδὲν ἐλάττων, ἀλλὰ καὶ μείζων γίνεται. τοὐναντίον δὲ συμβαῖνον, ὅσοι τῶν δι᾽ ἔμφραξιν ἥπατος ἰκτεριώντων ἐθεάσασθε. προεκφραχθέντος γὰρ αὐτοῖς τοῦ σπλάγχνου διὰ τῶν τοῦτο δρᾶν δυναμένων φαρμάκων, ὅταν ἐπιδοθῇ τὸ χολαγωγὸν, ἥ τε κένωσις παμπόλλη γίνεται τοῦ πλεονάζοντος χυμοῦ, παύεταί τε παραχρῆμα τὸ πάθημα. τὸ δὲ τούτοις ἀνάλογον ἴστε, κἀπὶ τῶν ἐπὶ φλέγματος ἢ χολῆς μελαίνης ἐνοχλουμένων γινόμενον. καὶ γὰρ κενοῦται πάμπολυς ὁ λυπῶν χυμός, οἵ τε κάμνοντες ὀνίνανται μεγάλως. εἰ τοίνυν ἕλκονται μὲν ἐκ τῶν καθαρτικῶν τοιαῦτα, τά τε φάρμακα κατὰ πᾶσαν ἡλικίαν τε καὶ ὥραν καθαίρει, διὰ παντὸς εἰσὶν οἱ τέτταρες χυμοὶ κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου. ἐχρῆν γὰρ καθάπερ ἔμπροσθεν ἐλέχθη, κατὰ μίαν γοῦν τινὰ ὥραν τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίας τοῦ ἀνθρώπου φαίνεσθαι μόνον ἔχουσαν τὸ αἷμα, τῆς δόξης ἀληθοῦς ὑποτεθείσης, εἶναι τῶν ἀποφηναμένων αἷμα μόνον εἶναι τὴν τοῦ ἀνθρώπου φύσιν. ὅπερ ἐστὶ ταὐτὸν τῷ ἐξ αἵματος μόνου διαπεπλάσθαι πάντ᾽ αὐτοῦ τὰ μόρια, τρέφεσθαί τε διὰ παντὸς αἵματι μόνῳ. διττῶς δὲ τοῦ αἵματος λεγομένου, τοῦ μὲν, ὅπερ ἐν ταῖς φλεβοτομίαις καὶ τοῖς τραύμασι κενούμενον φαίνεται, μετέχοντος ὡς ἐδείκνυμεν ἀμφοτέρων τε τῶν χολῶν καὶ τοῦ φλέγματος, ἑτέρου δὲ τοῦ καθαροῦ τε καὶ εἰλικρινοῦς, ἀμίκτου τε τῶν ἄλλων χυμῶν. ἐκ μὲν τοῦ κατὰ τὸ πρότερον σημαινομένου αἵματος, ἀληθὲς ἴσως ἐστὶ διαπλάττεσθαι τὸ κυούμενον. ἐκ δὲ τοῦ κατὰ τὸ δεύτερον, οὐκ ἀληθές, οὐδέποτε γὰρ ἐν ταῖς κυούσαις μόνον γίγνεται τοῦτο. διατί δὲ προσέθηκα τῷ λόγῳ τὸ ἴσως, οἶμαι γινώσκειν ὑμᾶς. ἐν γὰρ τοῖς περὶ σπέρματος ὑπομνήμασιν, ἐδείχθη τὰ πλεῖστα μόρια τοῦ σώματος ἐκ τοῦ σπέρματος γιγνόμενα, μόνων τῶν σαρκωδῶν ἐξ αἵματος διαπλασσομένων. ἀλλ᾽ ἐπεὶ μὲν τοῦ σπέρματος, ὀλίγος ἐστὶν ὁ καταβαλλόμενος εἰς τὰς μήτρας ὄγκος. ἡ τροφὴ δὲ αὐτῷ καὶ ἡ αὔξησις, ἐκ τοῦ αἵματος γίγνεται. διὰ ταῦτ᾽ ἄν τις ὀλίγου δεῖν ἐξ αἵματος φαίη διαπλάττεσθαι τὰ μόρια. καθόλου δὲ τὸ σπέρμα τὴν γένεσιν ἐξ αἵματος ἔχει, κατὰ τοῦτο ἄν τις ἐξ αἵματος εἶναι λέγων τὴν γένεσιν τοῦ κυουμένου, δόξειεν ἀληθεύειν, ἀλλ᾽ οὐκ ἐξ εἰλικρινοῦς αἵματος ἀμίκτου τῶν ἄλλων χυμῶν, ἀλλ᾽ ἐκ τοῦ κατ᾽ ἐπικράτειαν ὠνομασμένου. τοιαύτη μέν τις ἐστὶν ἡ ὅλη διάνοια τῆς προκειμένης ῥήσεως. τῶν δὲ κατὰ μέρος ἐν αὐτῇ, πρῶτον μὲν ἐπισημήνασθαι προσήκει τὸ κοινὸν οὐ μόνον ἰατρῶν ἔθος, ἀλλὰ καὶ πάντων Ἑλλήνων ὀνομαζόντων χολὴν ἄνευ προσθήκης, ὅταν τὴν ὠχρὰν ἢ τὴν ξανθὴν δηλῶσαι βουληθῶσιν. ὅτι δὲ ταῦτα ἄμφω ὀνόματα καθ᾽ ἓν εἶδος χυμοῦ λέγεται, διαφέροντος ὑγρότητι καὶ ξηρότητι, μικρὸν ἔμπροσθεν εἴρηταί μοι. τὰς δὲ ἄλλας ἁπάσας χολὰς, μετὰ προσθήκης ὀνομάζουσιν ἰώδη καλοῦντες, ἢ μέλαιναν, ἢ ἐρυθρὰν, ἢ πρασοειδῆ. δεύτερον δ᾽ ἐπὶ τῷδε κατὰ τὴν προκειμένην ῥῆσιν ἐπισημήνασθαι προσῆκον, ἔνθα φησὶ μέχρις ἂν ἕλκειν δυνατὸς ᾖ τὸ πνεῦμα εἰς ἑωυτὸν καὶ πάλιν μεθιέναι. δῆλον γάρ ἐστι τὴν μὲν εἰσπνοὴν ἑλκόντων τῶν ἀναπνευστικῶν ὀργάνων τὸν ἔξωθεν ἀέρα βούλεσθαι γιγνομένην, τὴν δ᾽ ἐκπνοὴν μεθιέντων, εἶτα τρίτον ἔνθα φησίν. ἔστ᾽ ἄν τινος στερηθῇ τῶν ξυγγεγονότων. βούλεται γὰρ οὐ μόνον ὅταν αἵματος στερηθῇ τὸ ζῷον ἀποθνήσκειν, ἀλλὰ καὶ φλέγματος, ἢ ξανθῆς, ἢ μελαίνης χολῆς.

Οἱ δὲ λέγοντες ὡς ἕν ἐστιν ὁ ἄνθρωπος, δοκέουσί μοι ταύτῃ τῇ γνώμῃ χρῆσθαι ὁρέοντες τοὺς πίνοντας τὰ φάρμακα, ἀπολλυμένους ἐν τῇσι ὑπερκαθάρσεσι, τοὺς μὲν χολὴν ἐμέ-

οντας

νίας, ὥσπερ δέ τινες φλέγμα, ὥσπερ ἕκαστος αὐτέων ἐνόμισαν εἶναι τὸν ἄνθρωπον, ὅ, τι καθαιρόμενον αὐτὸν εἶδον ἀποθανόντα. καὶ οἱ τὸ αἷμα φάντες εἶναι τὸν ἄνθρωπον, τῇ αὐτέῃ γνώμῃ χρέονται, ὁρέοντες ἀποσφαζομένους τοὺς ἀνθρώπους, καὶ τὸ αἷμα ῥέον ἐκ τοῦ σώματος, ὥσπερ νομίζουσιν εἶναι τὴν ψυχὴν ἐν τῷ ἀνθρώπῳ. καὶ μαρτυρίοισι τουτέοισι πάντες χρέονται ἐν τοῖσι λόγοισιν.

Οἱ δὲ λέγοντες, φησὶν, ὡς ἕν ἐστιν ὁ ἄνθρωπος, ὡς πολλῶν ὄντων τῶν λεγόντων οὐχ ἑνός. ἐξ ὧν δ' οὖν ἑαυτοὺς ἐπεπείκεσαν οἱ τῶν τεττάρων χυμῶν ἕνα τινὰ νομίσαντες ἱκανὸν εἶναι γεννῆσαι τὸν ἄνθρωπον, αὐτὸς ὁ Ἱπποκράτης ἐδήλωσεν. ἀπιθάνων μὲν ἡμῖν, ὡς ἔφην, ἐκείνοις δὲ δηλονότι πιθανῶν φαινομένων. ἐν γὰρ ταῖς ὑπερκαθάρσεσιν ἄλλος ἄλλον ὑπ' ἄλλου καὶ ἄλλου χυμοῦ τελέως ἐκκενωθέντος ὁρῶντες ἀπολλύμενον, ἐκεῖνον μόνον ἐνόμισαν εἶναι τὸν χυμὸν, τὴν φύσιν τοῦ ἀνθρώπου.

Καίτοι πρῶτον μὲν ἐν τῇσιν ὑπερκαθάρσεσιν, οὐδείς πω ἀπέθανεν χολὴν μούνην καθαρθείς. ἀλλ' ὁπόταν πίῃ τις φάρμακον ὅ, τι χολὴν ἄγει, πρῶτα μὲν χολὴν ἐμέει, ἔπειτα δὲ καὶ φλέγμα. ἔπειτα δ' ἐπὶ τῇ χολῇ ἐμέουσι καὶ χολὴν μέλαιναν ἀναγκαζόμενοι, τελευτῶντες δὲ καὶ αἷμα ἐμέουσι καθαρόν.

Κἀνταῦθα πάλιν σαφῶς ἐδήλωσε τὸ ἔθος τῶν ἑλλήνων, χολὴν μὲν ὀνομαζόντων πολλάκις ἄνευ προσθήκης τὴν ξανθὴν, τὴν μέλαιναν δὲ μετὰ προσθήκης ἀεί. τὸ δ' ἐν ὅλῃ τῇ ῥήσει δηλούμενον, σαφές. οὐδένα γάρ φησιν ἀποθανεῖν, ἕνα μόνον χυμὸν ἐκκαθαρθέντα, συνεκκενοῦσθαι γὰρ ἀεὶ καὶ τοὺς ἄλλους αὐτῷ.

Τὰ αὐτὰ δὲ πάσχουσι καὶ ὑπὸ τῶν φαρμάκων τῶν τὸ φλέγμα ἀγόντων. πρῶτον μὲν φλέγμα ἐμέουσιν, ἔπειτα ξανθὴν χολὴν, ἔπειτα μέλαιναν, τελευτῶντες δὲ αἷμα καθαρὸν ἐφ' ᾧ ἀποθνήσκουσιν.

Μετὰ τὸ κενωθῆναι τὸν οἰκεῖον τῷ πω καθαρτικῷ φαρμάκῳ χυμὸν, ἐφεξῆς αὐτῷ πρῶτος ὁ τῶν ἄλλων εὐαγωγότατος ἕπεται. μετ' ἐκεῖνον δὲ, ὁ τὴν δευτέραν ἐν τούτῳ τάξιν ἔχων. κᾆπειτα τὸ αἷμα πάντων ὕστατον, ὡς ἂν οἰκειότατος ὢν τῇ φύσει χυμός. ἀσφαλὲς γὰρ φάναι περὶ αὐτοῦ τό γε τοσοῦτον, ὡς εἰ καὶ μὴ μόνος ἐστὶν ἡ φύσις τοῦ ἀνθρώπου, ἀλλ' οἰκειότατός γε ἁπάντων τῶν ἄλλων.

Τὸ γὰρ φάρμακον ὁκόταν εἰσέλθῃ ἐς τὸ σῶμα, πρῶτον μὲν ἄγει ὃ ἂν αὐτέῳ κατὰ φύσιν μάλιστα ᾖ, τῶν ἐν τῷ σώματι ἐνεόντων. ἔπειτα δὲ καὶ τὰ ἄλλα ἕλκει τε καὶ καθαίρει, ὥσπερ τὰ φυόμενά τε καὶ σπειρόμενα ὁκόταν ἐς τὴν γῆν ἔλθῃ, ἕλκει ἕκαστον τὸ κατὰ φύσιν ἑωυτῷ ἐνεὸν ἐν τῇ γῇ. ἔνι δὲ καὶ ὀξὺ, καὶ γλυκὺ, καὶ πικρὸν, καὶ ἁλμυρὸν, καὶ παντοῖον. πρῶτον μὲν οὖν πλεῖστον τουτέου εἵλκυσεν ἐς ἑωυτὸ, ὅ, τι ἂν ᾖ αὐτῷ κατὰ φύσιν μάλιστα, ἔπειτα δ' ἕλκει καὶ τὰ ἄλλα. τοιοῦτον δέ τι καὶ τὰ φάρμακα ποιέει ἐν τῷ σώματι. ὁκόσα γὰρ τὴν χολὴν ἄγει, πρῶτον μὲν ἀκρητεστάτην ἐκάθηρε τὴν χολὴν, ἔπειτα δὲ μεμιγμένην. καὶ τὰ τοῦ φλέγματος φάρμακα, πρῶτον μὲν ἀκρητέστατον τὸ φλέγμα ἄγει, ἔπειτα δὲ μεμιγμένον. καὶ πάλιν τοῖσιν ἀποσφαζομένοισιν, τὸ αἷμα ῥέει, πρῶτον μὲν θερμότατόν τε καὶ ἐρυθρότατον, ἔπειτα δὲ ῥέει φλεγματωδέστερον καὶ χολωδέστερον.

Σαφὴς ἡ ῥῆσις ἐστὶ γράφοντος αὐτοῦ τὰ μαρτύρια τοῦ προκειμένου λόγου, καθ' ὃν ἔφη τὸ φάρμακον ὅταν εἰς τὸ σῶμα ἔλθῃ, πρῶτον μὲν τὸν οἰκεῖον ἕλκειν αὐτῷ χυμὸν, ἔπειτα δὲ καὶ τοὺς ἄλλους. μεμνῆσθαι δὲ χρὴ καὶ περὶ τῶν φυτῶν, αὐτὸν λέγοντος ἕλκειν καὶ ταῦτα εἰς ἑαυτὰ τὸ κατὰ φύσιν ἕκαστον αὐτῷ. περιέχεσθαι γὰρ ἐν τῇ γῇ καὶ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ παντοῖον. ὥσπερ δηλονότι καὶ κατὰ τὸν ἄνθρωπον, ὀξὺ μὲν τὴν μέλαιναν χολὴν, πικρὰν δὲ τὴν ξανθὴν, γλυκὺ δὲ τὸ αἷμα, καὶ ἁλμυρὸν τὸ φλέγμα. καὶ γὰρ τοιοῦτόν ἐστι τι φλέγμα, καθάπερ ἄλλο γλυκὺ, καὶ ἕτερον ὀξὺ, καίτοι ἕτερον μηδεμίαν ἔχον ἐπίσημον ποιότητα. διὰ τοῦτό μοι δοκεῖ καὶ κατὰ τὸ τέλος τῆς ῥήσεως προσθεῖναι, τὸ, καὶ παντοῖον, οὐ μόνον ἐν τῷ φλέγματι διαφορὰς ὁρῶν παμπόλλας, ἀλλὰ καὶ κατὰ τοὺς ἄλλους χυμούς. ὥσπερ γὰρ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν, οὕτω καὶ στρυφνόν τι, καὶ αὐστηρὸν, καὶ δριμὺ, καὶ λιπαρὸν εἶδος ἐστὶ χυμῶν, ἔν τε τοῖς ζώοις, καὶ τοῖς φυτοῖς, καὶ δηλονότι καὶ κατὰ τὴν γῆν ἀνάλογον αὐτοῖς.

Αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ, τὸ μὲν φλέγμα τοῦ χειμῶνος. τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύσιν μάλιστα, τῶν ἐν τῷ σώματι ἐνεόντων, ψυχρότατον γάρ ἐστι. τεκμήριον δὲ τουτέου, ὅτι τὸ φλέγμα ψυχρότατον, εἰ θέλοις ψαῦσαι φλέγματος, καὶ χολῆς, καὶ αἵματος, τὸ φλέγμα εὑρήσεις ψυχρότερον ἐόν. καίτοι γλισχρότατόν ἐστι, καὶ βίῃ μάλιστα ἄγεται μετὰ χολὴν μέλαιναν. ὁκόσα δὲ βίῃ ἄγεται, θερμότερα γίνεται, ἀναγκαζόμενα ὑπὸ τῆς βίης. ἀλλὰ ὅμως καὶ πρὸς ταῦτα πάντα ψυχρότατον ἐὸν τὸ φλέγμα, φαίνεται ὑπὸ τῆς φύσιος

τοῦ ἑωυτοῦ. ὅτι δὲ ὁ χειμὼν πληροῖ τὸ σῶμα φλέγματος, γνοίης ἂν τοῖσδε. οἱ ἄνθρωποι πτύουσί τε καὶ ἐκμύσσονται φλεγματωδέστατον τοῦ χειμῶνος, καὶ τὰ οἰδήματα αὐτοῖς λευκὰ γίνεται, μάλιστα κατὰ ταύτην τὴν ὥρην, καὶ τὰ ἄλλα νοσήματα φλεγματώδεα.

Σαφὴς ἡ ῥῆσις ἐστὶ, καὶ προσεχόντος δεομένη τοῦ ἀναγινώσκοντος, οὐκ ἐξηγητοῦ σαφηνίζοντος αὐτήν. τὸ δ' ἐπὶ τῇ τελευτῇ γεγραμμένον, καὶ τὰ ἄλλα νοσήματα φλεγματώδεα, κατὰ μὲν οὖν τὴν τοῦ αὐτοῦ γραφὴν, ὁ νοῦς ἔσται τῆς λέξεως τοιοῦτος. τὰ οἰδήματα λευκὰ γίγνεται μάλιστα κατὰ τὸν χειμῶνα. καὶ τὰ ἄλλα δὲ νοσήματα φλεγματώδη γίγνεται κατὰ τοῦτον τὸν χρόνον. ἀμέλει καὶ οἱ πυρετοὶ καθάπερ ἐν θέρει χολωδέστεροι τούπιπαν, οὕτως ἐν χειμῶνι φλεγματωδέστεροι.

Τοῦ δὲ ἦρος, τὸ φλέγμα ἔτι μένει ἰσχυρὸν ἐν τῷ σώματι, καὶ τὸ αἷμα αὔξεται. τά τε γὰρ ψύχεα ἐξανίει, καὶ τὰ ὕδατα ἐπιγίνεται, τὸ δὲ αἷμα κατὰ ταῦτα αὔξεται, ὑπό τε τῶν ὄμβρων, καὶ τῶν θερμημεριῶν. κατὰ φύσιν γὰρ αὐτέῳ ταῦτ' ἐστὶ μάλιστα τοῦ ἐνιαυτοῦ, ὑγρόν τε γάρ ἐστι καὶ θερμόν. γνοίης δὲ ἂν τοῖσδε. οἱ ἄνθρωποι τοῦ ἦρος καὶ τοῦ θέρεος μάλιστα ὑπό τε τῶν δυσεντεριῶν ἁλίσκονται, καὶ ἐκ τῶν ῥινῶν τὸ αἷμα ῥεῖ αὐτέοισι, καὶ θερμότατοί εἰσι καὶ ἐρυθρότατοι.

Ἔστι μὲν καὶ τῆσδε τῆς ῥήσεως ἡ λέξις σαφής. εἴρηται δ' ἐν τῷ πρώτῳ τῶν περὶ κράσεων, ὅτι βέλτιον ἦν τὸ ἔαρ εὔκρατον, οὐχ ὑγρὸν καὶ θερμὸν λέγεσθαι. διά τινα τε τὴν αἰτίαν εἰς τὸ θερμὸν καὶ ὑγρὸν λέγειν αὐτὸ τῶν ἰατρῶν ἔνιοι καὶ τῶν φιλοσόφων ὑπήχθησαν. ὡς ἐν ὥραις μὲν γὰρ τοῦτο λέγουσιν ὑγρὸν καὶ θερμὸν ὡς ἐν γένει, τῶν δ' ἐν σώμασι τὰ ζῶα. ταῦτα μὲν ὡς πρὸς τὰ φυτὰ παραβαλλόντων. τὸ δὲ ἔαρ τῷ φθινοπώρῳ, τὸ ἄριστον ἐν ταῖς ὥραις, καὶ ὡς ἂν εἴποι τις μόνον ἀκριβῶς κατὰ φύσιν, τῷ παρὰ φύσιν ἔχοντι. τοῦ δὲ πλεονάζειν αἷμα κατὰ τὸ ἔαρ σὺν τοῖς ἄλλοις γνωρίσμασι, καὶ τὸ δυσεντερίας ἔσεσθαι τότε, τὰς αἱματηρὰς δηλονότι λεγομένας, οὐχ ὅσαι διὰ χολὴν ἑλκοῦσι τὰ ἔντερα. λέλεκται δέ μοι περὶ τῆς αἱματηρᾶς ταύτης δυσεντερείας, ἐν τῷ τετάρτῳ τῶν εἰς τὸ περὶ ἄρθρων ὑπομνήματι, δηλοῦντι τὸ πάθημα τοῦτο, πλῆθος αἵματος ὄντος ἐν ταῖς φλεψὶν, εἶτα ἐκκρινούσης ἀθρόως τῆς φύσεως διὰ τῶν ἐντέρων, γίγνεσθαι πολλάκις ὥσπερ καὶ ταῖς γυναιξὶ διὰ μήτρας. ἔνιοι δὲ διὰ ῥινῶν, ἢ δι' αἱμοῤῥοΐδων, ἢ ἐμέτων. προσέθηκε δὲ καὶ τὸ θέρος τῷ ἦρι, κατά τε τὸν τῶν δυσεντεριῶν λόγον καὶ τὴν ἐρυθρότητα τῆς χρόας. διὰ γὰρ τὴν ἑαυτοῦ θερμότητα τὸ γεννηθὲν αἷμα κατὰ τὸ ἔαρ, ἐρυθρὰν τε τὴν χρόαν ἐργάζεται τοῦ παντὸς σώματος, ἐκκρίνεταί τε διὰ τῆς ἕδρας ἐνίοις. θερμοὶ δ' ἁπτομένοις οἱ ἄνθρωποι τηνικαῦτα φαίνονται, καὶ διὰ τὸ αἷμα μὲν, ἀλλὰ καὶ διὰ τὸ περιέχον.

Τοῦ δὲ θέρεος τό, τε αἷμα ἰσχύει ἔτι καὶ ἡ χολὴ ἀείρεται ἐν τῷ σώματι, καὶ παρατείνει ἐς τὸ φθινόπωρον. ἐν δὲ τῷ φθινοπώρῳ τὸ μὲν αἷμα ὀλίγον γίνεται, ἐναντίον γὰρ αὐτέῳ τὸ φθινόπωρον τῇ φύσει ἐστίν. ἡ δὲ χολὴ τὴν θερείην κατέχει τὸ σῶμα καὶ τὸ φθινόπωρον. γνοίης δὲ ἂν τοῖσδε. οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουσι, καὶ ἐν τῇσι φαρμακοποσίῃσι χολωδέστερα καθαίρονται. δῆλον δὲ καὶ τοῖσι πυρετοῖσι, καὶ τοῖσι χρώμασι τοῖσι τῶν ἀνθρώπων. τὸ δὲ φλέγμα τῆς θερείης ἀσθενέστερόν ἐστιν αὐτὸ ἑωυτοῦ. ἐναντίη γὰρ αὐτέου τῇ φύσει ἐστὶν ἡ ὥρη, ξηρή τε γάρ ἐστι καὶ θερμή.

Ἐν τῷ θέρει καὶ μάλιστα κατὰ τὴν ἀρχὴν αὐτοῦ, τοῖς πλείστοις αἷμα πλεονάζει, τὸ κατὰ τὸ ἔαρ αὐξηθὲν, ὡς ἂν μηδέπω διαπεφορημένον ὑπὸ τῆς τοῦ περιέχοντος θερμότητος. αὔξεται δὲ καὶ χολὴ διὰ τὸ παρὰ φύσιν ἐκθερμαίνεσθαι τὸ σῶμα, κατὰ τήνδε τὴν ὥραν. ὠνόμασε δὲ πάλιν ἐνταῦθα χολὴν, ἄνευ τοῦ προσθεῖναι τὸ τῆς χρόας ὄνομα τὴν ξανθὴν, οὐδέ ποτε τὴν μέλαιναν ἁπλῶς ὀνομάζων, ἀλλ' ἀεὶ μετὰ τοῦ προσθεῖναι, τὸ τῆς χρόας ὄνομα. τὰ δὲ κατὰ μέρος ἐν τῇ ῥήσει, δῆλα τοῖς γε προσέχουσι τὸν νοῦν.

Τὸ δ' αἷμα τοῦ φθινοπώρου ἐλάχιστον γίγνεται ἐν τῷ ἀνθρώπῳ. ξηρὸν γάρ ἐστι τὸ φθινόπωρον, καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον. ἡ δὲ μέλαινα χολὴ τοῦ φθινοπώρου πλείστη τε καὶ ἰσχυροτάτη ἐστί.

Κατὰ μὲν τὴν πρὸ ταύτης ῥῆσιν εἴρηται ἐν τῷ φθινοπώρῳ, τὸ μὲν αἷμα ὀλίγον γίγνεσθαι, ἐναντίον γὰρ αὐτοῦ τὸ φθινόπωρον τῇ φύσει ἐστίν. ἡμεῖς δὲ ὅπως ἐναντίον ἐστὶν, ἐδιδάξαμεν. ὥσπερ γὰρ τὸ μὲν αἷμα θερμὸν καὶ ὑγρόν ἐστιν ὁμοίως τῷ ἦρι. τὸ δὲ φθινόπωρον ὡς αὐτὸς ἔφη, ξηρόν τε ἐστὶ, καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον, εἰκότως ἐναντίον τ' ἐστὶ τὸ φθινόπωρον τῷ ἦρι, καὶ τὸν χυμὸν ἔχει τὸν ἐναντίον τῷ αἵματι πλεονάζοντα, τὸν ξηρὸν καὶ ψυχρόν. ἐγγίνεται δ' εἰκότως τοιοῦτος, διὰ τὸ προκατωπτῆσθαι τοὺς χυμοὺς τῷ θέρει. τὸ δ' ὑπόλειμμα τῶν ὀπτηθέντων, ὅταν δηλονότι σβεσθῇ τὸ θερμὸν, αὐτίκα γίγνεται ψυχρόν τε καὶ ξηρόν. ψυχρὸν μὲν διὰ τὴν τοῦ θερμοῦ σβέσιν, ξηρὸν δὲ ὅτι κατὰ τὴν ὄπτησιν ἐξεδαπανήθη πᾶν τὸ ὑγρὸν ἐξ αὐτοῦ.

Ὁκόταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη ὀλίγη γίνεται, καὶ τὸ φλέγμα αὔξεται, πάλιν ἀπό τε τῶν ὑετῶν τοῦ πλήθεος, καὶ ἀπὸ τοῦ νυκτῶν τοῦ μήκεος.

Τὸν Ἱπποκρα-

Τὸν ἐπικρατοῦντα χυμὸν ἐν ἑκάστῃ τῶν τεττάρων ὡρῶν, ὅμοιον εἶναι βούλεται κατὰ τὴν κρᾶσιν αὐτῇ τῇ ὥρᾳ, καὶ διὰ τοῦτο ψυχρὸν μὲν καὶ ὑγρὸν ὀνομάζεται τὸ φλέγμα, παραπλησίως τῷ χειμῶνι. θερμὸν δὲ καὶ ὑγρὸν τὸ αἷμα καθάπερ τὸ ἔαρ. τὴν δὲ ξανθὴν χολὴν, ὥσπερ τὸ θέρος, εἶναί φησι θερμὴν καὶ ξηρὰν, καὶ τὴν μέλαιναν ὁμοίως τῷ φθινοπώρῳ, ψυχρὰν καὶ ξηράν. ὅτι μὲν οὖν ἐν αἷς εἶπεν ὥραις ἕκαστος τῶν χυμῶν αὔξεται, πρόσθεν ἐπιστώσατο, νυνὶ δὲ τὴν αἰτίαν λέγει, δι᾽ ἣν χειμῶνι πλεονάζον ἐστὶ τὸ φλέγμα. ὑπό τε γὰρ τῶν ὑετῶν τοῦ πλήθεος φησὶ, καὶ τῶν νυκτῶν τοῦ μήκεος, ὅπερ ἐστὶ διὰ τὸ τὴν ὥραν ταύτην ὑπάρχειν ὑγρὰν καὶ ψυχράν. ὑγρὰν μὲν οὖν εἶναι δηλοῦται, διὰ τὸ πλῆθος τῶν ὑετῶν, ψυχρὰν δὲ διὰ τὸ μῆκος τῶν νυκτῶν. τῆς γὰρ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμασίας, ἣν ἴσχει κατὰ τὸ θέρος, ὁ ἥλιος αἴτιος, ἐγγύς τε τῆς ἐπὶ κορυφὴν ἡμῖν ἀφικνούμενος, καὶ μακροτέραν τὴν ἡμέραν ποιούμενος. οὕτω δὲ καὶ τῆς ἐν χειμῶνι ψυχρότητος ὁ αὐτὸς αἴτιος, λοξὸς καὶ ταπεινὸς, ἐν ὀλίγῳ τε χρόνῳ τὴν ὑπὲρ γῆς φορὰν ποιούμενος. ὁ δ᾽ Ἱπποκράτης βούλεται συνδιατίθεσθαι τὰ τῶν ζώων σώματα τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσει. ξηραινόμενα μὲν ἐν ταῖς ξηραῖς αὐτοῦ κράσεσιν, ὑγραινόμενα δὲ ἐν ταῖς ὑγραῖς. οὕτως δὲ καὶ θερμαινόμενα ἐν ταῖς θερμαῖς, ψυχόμενα δ᾽ ἐν ταῖς ψυχραῖς. εἴπερ οὖν ὁ χειμὼν ὑγρός καὶ ψυχρός ἐστιν, εὐλόγως ἐν αὐτῷ τὸ φλέγμα πλεονεκτεῖ, ψυχρὸν καὶ ὑγρὸν ὑπάρχον. ἔδειξε γὰρ καὶ τοῦτο πρόσθεν αὐτός. ὁμολογεῖν δὲ ὁ λόγος αὐτῷ φαίνεται, καὶ ταῖς ἄλλαις ὥραις. ἐν μὲν γὰρ τῷ θέρει τῆς ξανθῆς χολῆς πλεοναζούσης, ἐπειδὴ ξηρὰ καὶ θερμὴ τὴν δύναμίν ἐστιν. ἐν ἦρι δὲ τοῦ αἵματος, ὑγροῦ καὶ θερμοῦ χυμοῦ. καὶ γὰρ καὶ τὸ ἔαρ ἔφη θερμὸν εἶναι καὶ ὑγρόν. ἐν φθινοπώρῳ δὲ τῆς μελαίνης χολῆς, ξηρᾶς ὑπαρχούσης ὁμοίως τῇ ὥρᾳ. ἔστι μὲν οὖν τις οὐ σμικρὰ ζήτησις, καὶ περὶ τῆς τοῦ ἦρος κράσεως, ὅπως λέγεται θερμὸν καὶ ὑγρὸν, ἣν δῆλον ἐπιδεικνὺς ἄμεινον εἶναι λέγειν εὔκρατον αὐτό. καὶ δῆλον ὅτι καὶ τὸ αἷμα κατὰ τὸν αὐτὸν λόγον οὐ θερμὸν καὶ ὑγρὸν, ἀλλ᾽ εὔκρατον. ἔτι δὲ μείζων ζήτησις γένοιτο, παραλελειμμένη τοῖς ἐξηγησαμένοις τὸ βιβλίον, περὶ τοῦ φλέγματος, ὑγροῦ μὲν καὶ ψυχροῦ τὴν σύστασιν ὄντος, ἐν χειμῶνι δὲ γεννωμένου. διατί δὲ ἔφην οὐ σμικρὰν ἔσεσθαι ζήτησιν, ἤδη σοι φράσω. κατὰ τοὺς ἀφορισμοὺς αὐτὸς ὁ Ἱπποκράτης εἶπεν. αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσι τῇσιν ὥρῃσι, καὶ τὰ προσάρματα πλείω δοτέον, καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολύ. τροφῆς οὖν πλείονος δεῖται. σημεῖον δὲ αἱ ἡλικίαι, καὶ οἱ ἀθληταί. καὶ πάλιν. θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήιστα, ἦρος δεύτερον. εἴπερ οὖν ἀληθῆ ταῦτα ἐστὶ, γινώσκομέν τε τὸ φλέγμα ψυχρὸν ὄντα χυμὸν οὐκ εὔκρατον, ὥσπερ τὸ αἷμα, πῶς ἐν χειμῶνι γεννήσεται πλεῖον. ἐχρῆν γὰρ ἐπὶ τῆς καλῶς πεφθείσης τροφῆς, αἷμα γεννᾶσθαι μᾶλλον, οὐ φλέγμα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας; ἐμοὶ μὲν δοκεῖν, θερμόταται μὲν αἱ κοιλίαι χειμῶνός εἰσι, τῷ κατὰ φύσιν θερμῷ, τουτέστιν εὐκρατώταται. τὰ δὲ μόρια τοῦ σώματος, ψύχεται μᾶλλον ἐν χειμῶνι. τισὶ δὲ καὶ ἡ γαστὴρ αὐτὴ δι᾽ ὁδοιπορίαν, ἢ ἔνδειαν ἀμφιεσμάτων, ἢ ἐπιτηδευμάτων ἰδέαν, ἢ τοιοῦτόν τι. καταδύεται γοῦν ἅπασα μὲν ἡ τοῦ περιέχοντος ψύξις ἕως πλείστου. τισὶ δὲ καὶ μέχρι τῶν κατὰ τὴν γαστέρα χωρίων ὡς εἴρηται, ὥστε κἂν πεφθῇ καλῶς ἐν τῇ κοιλίᾳ τὰ ληφθέντα σιτία, κατά γε τὴν ἐν ἥπατι μεταβολὴν, οὐκ ἀκριβῆ τὸν τῆς αἱματώσεως λαμβάνει κόσμον, ἀλλ᾽ ἀποτυγχάνεται τι κατ᾽ αὐτήν. ἔτι δὲ μᾶλλον αἱ καθ᾽ ὅλον τὸ σῶμα φλέβες οὐχ ὁμοίως αὐτὸ μεταβάλλουσιν, ἐψυγμέναι. προσέρχεται δὲ τούτῳ καὶ τὸ πλῆθος τῶν ἐδεσμάτων ὧν προσφέρονται χειμῶνος ἅμα ταῖς ποιότησι φλεγματικωτέραις οὔσαις. χεδροπὰ γὰρ ἐσθίουσιν ἐν χειμῶνι πολλὰ, ἄρτου τε πολὺ πλέον, ἢ κατὰ τὰς ἄλλας ὥρας. σεμίδαλίν τε, καὶ ῥυφήματα, καὶ λάχανα, γογγυλίδας τε καὶ κρέα πολλὰ, ἔνια μὲν ἄντικρυς φλεγματώδη καθάπερ τὰ προβάτεια, τινὰ δὲ εἰ μὴ καλῶς κατεργασθείη, καθάπερ τὰ τῶν ὑῶν, καὶ μάλιστα τῶν χοίρων. καὶ βολβοὺς δὲ καὶ κοχλίας, καὶ τυρὸν, ἄλλα τέ τινα τοιαῦτα πολλὰ δι᾽ ὅλου τοῦ χειμῶνος ἐσθίουσιν, ἑτοίμως φλεγματούμενα. καὶ μέντοι καὶ πίνουσι πλεῖστοι τὸν νέον οἶνον ἐπιτήδειον ὄντα καὶ αὐτὸν εἰς φλέγματος γένεσιν, ὥστε καὶ διὰ ταῦτα φλέγμα πλεονάζει κατὰ τὸν χειμῶνα.

Ἔχει μὲν οὖν ταῦτα πάντα ἀΐδια τὸ σῶμα τοῦ ἀνθρώπου. ὑπὸ δὲ τῆς ὥρης περιϊσταμένης, ποτὲ μὲν πλείω γίγνεται αὐτὰ ἑωυτῶν, ποτὲ δὲ ἐλάσσω, ἕκαστα κατὰ μέρος τε καὶ κατὰ φύσιν.

Ἅπαντα φησὶν ἔχει τὰ εἰρημένα, τουτέστι τοὺς τέσσαρας χυμοὺς, τὸ σῶμα τοῦ ἀνθρώπου διὰ παντὸς τοῦ βίου. τοῦτο γὰρ αὐτῷ σημαίνει τὰ ἀΐδια. πλείω δὲ γίγνεται καὶ ἐλάττω ταῦτα, κατὰ τὰς τῶν ὡρῶν μεταβολάς. τὸ γὰρ ὑπὸ τῆς ὥρης περιϊσταμένης, τοῦτον δηλοῖ τὸν μεθισταμένης, ὅπερ ἐστὶ μεταβαλλούσης τε καὶ καθισταμένης εἰς ἑτέραν τινὰ τὴν ἐχομένην αὐτῆς. πλείω δὲ καὶ ἐλάττω ταῦτα γίγνεσθαι φησὶ κατὰ μέρος τε καὶ κατὰ φύσιν. ἔνιοι μὲν ἤκουσαν τὸ κατὰ μέρος, ἐπὶ τῶν τοῦ σώματος εἰρῆσθαι μορίων. ἔνιοι δὲ τὸ ἐναντίον τῷ κατὰ φύσιν, ἵν᾽ ὁ λόγος ᾖ τοιοῦτος. τοὺς εἰρημένους τέτταρας χυμοὺς, ἔχει μὲν ἀεὶ τὸ σῶμα τοῦ ἀνθρώπου, πλείους δὲ καὶ ἐλάττους κατά τε τὰ μέρη τοῦ ἐνιαυτοῦ καὶ κατὰ τὴν φύσιν. ὅπερ ἂν ἐξαλλάξας τις τὴν λέξιν εἴπῃ, τὴν διάνοιαν ἕξει χρησίμην τε καὶ ἀληθῆ. τὸ γὰρ πλῆθος τῶν χυμῶν ὑπαλλάττεται κατά τε τὰς ὥρας κατὰ φύσιν διοικουμένου τοῦ ἐνιαυτοῦ, καὶ κατὰ τὰ μέρη τοῦ ὅλου ἐνιαυτοῦ, κἂν μὴ κατὰ φύσιν διοικῆται, διαφορὰ κατὰ τὴν ποσότητα γίγνεται τῶν χυμῶν. ἐγχωρεῖ δὲ καὶ κατὰ τῶν ὡρῶν ἀκοῦσαι τὰ μέρη.

Ὥσπερ γὰρ ὁ ἐνιαυτὸς, μετέχει μὲν πᾶς πάντων, καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν, καὶ τῶν ξηρῶν, καὶ τῶν ὑγρῶν. οὐδὲ γὰρ ἂν μείνειεν τουτέων οὐδὲν οὐδένα χρόνον ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ, ἀλλ᾽ εἰ ἕν τι ἐκλίποι, πάντα ἂν ἀφανισθείη. ἀπὸ γὰρ τῆς αὐτῆς ἀνάγκης πάντα συνέστηκέ τε καὶ τρέφεται ἀπ᾽ ἀλλήλων.

τὸ θερμὸν καὶ τὸ ψυχρὸν, καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν, οὐ τὸ κατὰ τὴν ἐπικράτειαν ὀνομαζόμενόν τε καὶ νοούμενον, ἀλλὰ τὸ στοιχειῶδες λέγων, καὶ κατὰ τὴν προκειμένην λέξιν ἐδήλωσε, τὸν ἐνιαυτὸν εἰπὼν ἅπαντα πάντων μετέχειν. οὐ γὰρ τῶν κατ' ἐπικράτειαν ἁπάντων ἅπας ὁ ἐνιαυτὸς μετέχει, ἀλλὰ τῶν στοιχειωδῶν. ὅλος μὲν χειμὼν ὑγροῦ καὶ ψυχροῦ, τὸ δὲ θέρος τῶν ἐναντίων, ξηροῦ τε καὶ θερμοῦ, ὁ δὲ φθινόπωρος ψυχροῦ τε καὶ ξηροῦ. ἔτι δὲ σαφέστερον ἐδήλωσε τοῦτο, κἂν τῷ φάναι διαφθαρήσεσθαι καὶ τὰ ἄλλα, φθάσαντος ἑνὸς ἐξ αὐτῶν ἀπολέσθαι. τῶν μὲν γὰρ στοιχείων ἑνὸς ἀπολλυμένου, διαφθαρήσεσθαι τὸ ἐξ αὐτῶν συγκείμενον, ἀληθὲς φάναι, τῶν δὲ κατ' ἐπικράτειαν οὐκ ἀληθές. αὐτὸ γὰρ τοὐναντίον ἀληθές ἐστιν, ὅταν ἀπολῆται τι τῶν κατ' ἐπικράτειαν λεγομένων, σώζεσθαι τὸ ἀντικείμενον αὐτῷ. θέρους μὲν γὰρ οὐκ ὄντος, ὁ χειμών ἐστι, χειμῶνος δὲ, τὸ θέρος. καὶ τοῦ μὲν ἦρος, τὸ φθινόπωρον, τοῦ δὲ φθινοπώρου, τὸ ἔαρ. εἰ δὲ τελέως ἀπόλλυτο τὸ θερμὸν στοιχεῖον, παγήσεται μὲν τὸ ὑγρὸν, ὅτι μηκέτι θερμὸν ὑπάρχει. ἀπολεῖται δὲ παντάπασιν ὁ ἥλιος, οὐδὲν δὲ οὔτε φυτὸν, οὔτε ζῶον ὑπολειφθήσεται. κατὰ δὲ τὸν αὐτὸν λόγον, εἰ τὸ ψυχρὸν ἀπόλοιτο στοιχεῖον, ἅπαντα πῦρ ἐστι. καὶ εἰ τὸ ξηρὸν, ὕδωρ ἔσται πάντα, καὶ οὕτω διαφθαρήσεται τὰ κατὰ τὸν κόσμον ἅπαντα γεννητὰ σώματα. διὰ τοῦτ' οὖν ἐξ ἀλλήλων ἔφη τρέφεσθαι τὰ κατ' αὐτὸν σώματα στοιχειώδη. τὸ μὲν γὰρ ἀκριβὲς στοιχεῖον, ἐπινοεῖται μᾶλλον ἢ ὑπάρχει. τὸ δ' ὀλίγου δεῖν ἐκείνῳ ταὐτὸν, ἕν τι τῶν ὑπαρχόντων ἐστίν. ἐὰν γοῦν ἀκριβῶς ὑγρὸν καὶ ψυχρὸν ἐπινοήσῃς γιγνόμενον τὸ ὕδωρ, οὐδὲ ὕδωρ ἔτι φυλαχθήσεται. παγήσεται γὰρ αὐτίκα, καὶ στήσεται καὶ ῥέον παύσεται. κατὰ τὴν γῆν ὡσαύτως νοήσῃς ἀκριβῶς ξηρὰν καὶ ψυχρὰν, σκληρότερον ἀδάμαντος ἔσται τὸ τοιοῦτον σῶμα. καὶ μὴν εἰ τοιαύτη γένοιτο, τῶν φυτῶν ἡ γένεσις παύσεται. παυσαμένης δ' αὐτῆς, καὶ ἡ τῶν ζώων διαφθαρήσεται τροφὴ, καὶ εἴπερ αὕτη, δηλονότι καὶ αὐτὰ τὰ ζῶα. κατ' ἐπικράτειαν οὖν νοουμένου στοιχείου τοῦ ξηροῦ καὶ ψυχροῦ, καὶ ἡ ἐν τῷ κόσμῳ γῆ, λέγεται ξηρὸν εἶναι καὶ ψυχρὸν σῶμα, καὶ τὸ ὕδωρ ὑγρόν. ἀλλὰ καὶ αὐτὸ τὸ πῦρ μετέχει τινὸς ἀερώδους οὐσίας, ὥσπερ καὶ καπνώδους. καὶ μέντοι καὶ προφανῶς ὑγρότητος εἰς θρέψιν δεῖται, καθάπερ αἱ κατὰ τοὺς λύχνους φλόγες δηλοῦσι. τὰ τοῦ κόσμου οὖν στοιχεῖα, τὴν τροφὴν ἐξ ἀλλήλων ἔχοντά εἰσι, καὶ διὰ τοῦτο καὶ ὁ Πλάτων εἶπεν. αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ καὶ φθίσιν παρέχον, καὶ πάντα ἐν αὐτῷ καὶ ὑπ' αὐτοῦ, καὶ πάσχον καὶ δρῶν, ἐκ τέχνης γέγονεν.

Οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλίποι τουτέων τῶν συγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος.

Συγγεγονότα κέκληκε τὸ αἷμα, καὶ τὸ φλέγμα, καὶ τὰς χολὰς, ἐπειδὴ τὴν πρώτην διάπλασιν ἔχει τὸ κυούμενον ἐκ τοῦ τῆς μητρὸς αἵματος ἁπάντων μετέχοντος, αὔξησίν τε καὶ τροφὴν ὁμοίως. ἐὰν μὲν οὖν ἀπόλλυται παντάπασιν ἐκ τοῦ σώματος ἡμῶν, ἤτοι τὸ ὑγρὸν ἢ τὸ ξηρὸν, ἢ τὸ θερμὸν ἢ τὸ ψυχρὸν, αὐτίκα οἱ χυμοὶ διαφθαρήσονται, κατ' ἐπικράτησιν, οὐκ εἰλικρινῶς, οὐδ' ἀκριβῶς, ὄντες ὑγροὶ καὶ ξηροὶ, καὶ θερμοὶ καὶ ψυχροί. τὸ γοῦν φλέγμα ὑγρὸν καὶ ψυχρὸν εἶναι λέγομεν, οὐχ ὡς μὴ μετέχον τῶν ἐναντίων, ἀλλ' ὡς ἐπικρατούμενον ὑπὸ τούτων. καὶ εἴγε ψυχρὸν ἀκριβῶς ἦν μόνον, ὡς κρύσταλλος ἂν ἐπεπήγει, καθάπερ γε καὶ εἰ ἀκριβῶς ὑγρὸν ἦν, οὐκ ἂν εἶχε πάχος, οὐδὲ γλισχρότητα. κατὰ τὰ αὐτὰ δὲ κἀπὶ τῶν χολῶν. ἥτε γὰρ ξανθὴ, ξηρὰ, ἥτε μέλαινα, ξηρὰ καὶ γεώδης εἶναι λέγεται, μετέχουσα δηλονότι καὶ ὑγρότητος, ἢ οὐκ ἂν ἦν χυμὸς, ἀλλὰ καὶ στερεὸν σῶμα, ὡς ὁ ἀδάμας. οὕτω δὲ καὶ ψυχρὰ λέγεται, διότι πλέον ἐν αὐτῇ ψυχρότητός ἐστιν, ἢ θερμότητος. εἰ γοῦν ἀκριβῶς ἦν ψυχρὰ, κρυστάλλου ἂν δίκην ἐπεπήγει. καὶ τί δεῖ περὶ τούτων λέγειν; αὐτὸ γὰρ τὸ αἷμα τὸ δοκοῦν εὐκρατότατον λέγεται τοιοῦτον, ὅτι μηδὲν ἐπικρατεῖ μεγάλως ἐν αὐτῷ τῶν ἐναντίων ἀλλήλοις, μήτε τὸ θερμὸν τοῦ ψυχροῦ, μήτε τὸ ψυχρὸν τοῦ θερμοῦ, μήτε τὸ ὑγρὸν τοῦ ξηροῦ, μήτε τὸ ξηρὸν τοῦ ὑγροῦ. ἐπεὶ τοίνυν δεῖται καὶ τὸ αἷμα αὐτὸ τῶν τεττάρων ποιοτήτων, ὑγρότητος καὶ ξηρότητος, καὶ θερμότητος καὶ ψυχρότητος, εὔδηλον ὅτι καὶ τῆς τῶν ἄλλων χυμῶν δεήσεται μίξεως. καὶ διὰ τοῦτο τὸ εὐκρατότατον αἷμα μεθέξει τι καὶ φλέγματος, καὶ χολῆς ξανθῆς, καὶ μελαίνης. ἔστι δὲ καὶ ἕτερος τις λόγος φυσικὸς, οὐ σμικρὰν ἔχων πιθανότητα, καθ' ὃν εἰς ἠθῶν ἐπιτηδείων γένεσιν, οἱ τέτταρες ἀποδείκνυνται χυμοὶ χρήσιμοι. προαποδεῖξαι δὲ χρὴ πάλιν ἐν αὐτῷ ταῖς τοῦ σώματος κράσεσιν ἑπόμενα τὰ τῆς ψυχῆς ἤθη, περὶ οὗ καὶ ἡμῖν ἑτέρωθι γέγραπται. τούτου τοίνυν ὑποκειμένου, τὸ μὲν ὀξὺ καὶ συνετὸν ἐν τῇ ψυχῇ, διὰ τὸν χολώδη χυμὸν ἔσται. τὸ δ' ἑδραῖον καὶ βέβαιον, διὰ τὸν μελαγχολικόν. τὸ δ' ἁπλοῦν καὶ ἠλιθιώτερον, διὰ τὸ αἷμα. τοῦ δὲ φλέγματος ἡ φύσις, εἰς μὲν ἠθοποιΐαν, ἄχρηστος, ἀναγκαίαν δὲ φαίνεται τὴν γένεσιν ἔχειν ἐν τῇ πρώτῃ μεταβολῇ τῶν σιτίων.

Ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ ποτὲ μὲν ὁ χειμὼν μάλιστα, ποτὲ δὲ τὸ ἔαρ, ποτὲ δὲ τὸ θέρος, ποτὲ δὲ τὸ φθινόπωρον. οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, τότε μὲν τὸ φλέγμα ἰσχύει, τότε δὲ τὸ αἷμα, τότε δὲ χολή. πρῶτον μὲν ἡ ξανθὴ, ἔπειτα δὲ ἡ μέλαινα.

Σαφὴς ἡ ῥῆσίς ἐστιν ἐπιδεικνύναι πειρωμένου τἀνδρὸς, ὥσπερ ἐν τῷ ἐνιαυτῷ, ποτὲ μὲν ὑγρὸν καὶ τὸ ψυχρὸν ἐπικρατεῖ, καὶ καλεῖται χειμὼν ἡ τοιαύτη τοῦ ἔτους ὥρα. ποτὲ δὲ τὸ ὑγρὸν καὶ θερμὸν, ἡνίκα τὸ ἔαρ ἐστί. ποτὲ δὲ δὲ τὸ ξηρὸν καὶ θερμὸν, ὅπερ ὀνομάζεται θέρος. ὕστατον δ' ἐπ' αὐτοῖς τὸ ξηρὸν καὶ τὸ ψυχρὸν ἐν τῷ φθινοπώρῳ, οὕτω καὶ κατὰ τὸν ἄνθρωπον ἐπικρατεῖ. φλέγμα μὲν ἐν χειμῶνι, ψυχρὸς καὶ ὑγρὸς χυμὸς, αἷμα δὲ ἐν ἦρι, θερμὸς καὶ ὑγρὸς χυμός. καὶ χολὴ ξανθὴ μὲν ἐν τῷ θέρει ξηρὰ καὶ θερμὴ τὴν δύναμιν οὖσα. μέλαινα δ' ἐν τῷ φθινοπώρῳ ξηρὰ καὶ ψυχρὰ, καθάπερ καὶ αὐτὸ τὸ φθινόπωρον.

Μαρτύρια δὲ σαφέστατα, εἰ ἐθέλοις δοῦναι τῷ αὐτέῳ ἀνθρώπῳ τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ. ἐμέεταί σοι τοῦ μὲν χειμῶνος φλεγματωδέστατα, τοῦ δὲ ἦρος ὑγρότατα, τοῦ δὲ θέρεος χολωδέστατα, τοῦ δὲ φθινοπώρου μελάντατα.

Μαρτύριον δὲ σαφέστατον εἶναί φησι τοῦ προειρημένου λόγου, καθ' ὃν ἐπικρατεῖν ἐν ἑκάστῃ τῶν ὡρῶν ἕνα τινὰ τῶν χυμῶν εἰρήκει, τὸ, διδόντος ἐμετικοῦ φαρμάκου αὐτῷ τετράκις, ἐν μὲν τῷ χειμῶνι φλεγματωδέστερον εἶναι τὸν ἔμετον, ὑγρότερον δὲ ἐν ἦρι. καὶ χολωδέστερον μὲν ἐν τῷ χειμῶνι, μελάντερον δὲ ἐν τῷ φθινοπώρῳ.

Ὀφείλει οὖν τουτέων οὕτως ἐχόντων, ὁκόσα μὲν τῶν νοσημάτων χειμῶνος αὔξεται, θέρεος φθίνειν. ὁκόσα δὲ θέρεος αὔξεται, χειμῶνος λήγειν, ὁκόσα μὴ αὐτέων ἐν περιόδῳ ἡμερέων ἀπαλλάσσεται. τὴν δὲ περίοδον αὖθις φράσω τὴν τῶν ἡμερέων. ὁκόσα δὲ ἦρος γίνεται νοσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπάλλαξιν ἔσεσθαι αὐτέων. ὁκόσα δὲ φθινοπωρινὰ νοσήματα, τουτέων τοῦ ἦρος ἀνάγκη τὴν ἀπάλλαξιν γίνεσθαι, ὅ,τι δ' ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νόσημα, εἰδέναι χρὴ ἐνιαύσιον αὐτὸ ἐσόμενον.

Ἡ ἀρχὴ τῆς ῥήσεως διττὴν ἔχει γραφήν. ἐνίων μὲν, ὀφείλει, ἐνίων δὲ γραφόντων, φιλεῖ γοῦν τουτέων οὕτως ἐχόντων, ἐν ἴσῳ τῷ προσήκει. χρῶνται γὰρ ἐνίοτε τῇ φωνῇ ταύτῃ κἀπὶ τοῦ προσήκει. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα. βούλεται γὰρ αὐτὸς ὅσα χρονίζει νοσήματα καὶ μὴ κατὰ περιόδους ἡμερῶν, ἀλλὰ μηνῶν γίνεται, λύεσθαι ταῦτα κατὰ τὴν ἐναντίαν ὥραν ἢ συνέστη, τουτέστιν ἑβδόμῳ μηνί. μὴ λυθέντων δ' αὐτῶν, οὕτως ἐνιαύσιον γίγνεσθαί φησι τὸ νόσημα. τὸ δ' ἐνιαύσιον ὄνομα, δύναται μὲν δηλοῦν καὶ τὸ μετὰ ἐνιαυτὸν τῆς πρώτης ἑαυτοῦ γενέσεως λυόμενον. δύναται δὲ καὶ τὸ κατὰ περίοδον ἐνιαυτῶν ἑπτὰ ὡς τὰ μηνῶν. ἔλεγε γοῦν καὶ κατὰ τοὺς ἀφορισμοὺς ὧδε. τὰ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δ' ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν.

Καὶ τὸν ἰητρὸν οὕτω χρὴ ἵστασθαι πρὸς τὰ νοσήματα, ὡς ἑκάστου τουτέων ἰσχύοντος ἐν τῷ σώματι κατὰ τὴν ὥρην τὴν ἑωυτοῦ κατὰ φύσιν ἐοῦσαν μάλιστα.

Τὸ χρήσιμον ἅπαντος τοῦ προκειμένου κατὰ τὰς ὥρας λόγου, νῦν ἐδίδαξεν ἐν τῇ προκειμένῃ τῇ ῥήσει, δηλῶν ὅτι καὶ τὴν αὐτὴν χρείαν ἔχει καὶ ὁ περὶ τῶν ἡλικιῶν καὶ χωρῶν ἐπιτηδευμάτων τε καὶ τῆς ἐφημέρου διαίτης λόγος. πρὸς ἅπαντα γὰρ ταῦτα τὸν ἰατρὸν ἀποβλέποντα χρὴ στοχάζεσθαι, τίς ἐπικρατῶν ἐστιν ὁ χυμὸς, ἤτοι κατὰ τὸ ποσὸν, ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν, ἐν τίνι τε μορίῳ τοῦ σώματος μάλιστα πλεονάζει. τὴν γάρ τοι θεραπείαν ἄριστα ἂν οὕτω ποιοῖτο, καθάπερ κἀν τοῖς θεραπευτικοῖς λογισμοῖς δείκνυται. ὁ Ἱπποκράτης τοῦ σώματος ἡμῶν τὴν φύσιν, ἐν τούτῳ τῷ βιβλίῳ προθέμενος εὑρεῖν, ἐχρήσατο μεθόδῳ πρὸς τὴν εὕρεσιν τῇδε. πρῶτον μὲν ἐζήτησεν, πότερον ἁπλοῦν, ἢ πολυειδές ἐστιν, ἐπειθ' εὑρὼν ὅτι πολυειδὲς, ὑπέγραψε τῶν ἁπλῶν ἐν αὐτῷ τὴν οὐσίαν ὁποία τίς ἐστιν, τουτέστιν ἥντινα δύναμιν ἔχει πρὸς τὸ παθεῖν ὑπό τινος ἢ δρᾶσαι, καὶ διὰ τοῦτο τῶν θ' ὡρῶν τῶν θ' ἡλικιῶν ἐμνημόνευσεν, ἐπισκοπούμενος ὅπως ἔχει τὰ εὑρεθέντα στοιχεῖα πρὸς αὐτάς. εὗρε δὲ καὶ ὅτι τάς τε προῤῥήσεις τῆς λύσεως τῶν νοσημάτων, καὶ τὰς θεραπείας ἐπὶ τοῦτον αὐτὸς ἀναφέρειν χρὴ σκοπόν. ἐν δὲ τῷ ζητεῖν τὰ συνθετικὰ τοῦ σώματος ἡμῶν στοιχεῖα, καὶ τῶν τοῦ παντὸς ἐμνημόνευσεν, ἅπερ ὄντως ἐστὶ στοιχεῖα. λέγεται γὰρ ἐνίοτε καταχρωμένων ἡμῶν, καὶ τὰ καθ' ἕκαστον πρᾶγμα πρὸς διάρτησιν, ἁπλᾶ καὶ πρῶτα μόρια στοιχεῖα τοῦ πράγματος ἐκείνου, καθάπερ ἁρμονικὰ στοιχεῖα, καὶ ῥυθμητικὰ, καὶ γεωμετρικὰ, καὶ ἀριθμητικὰ, καὶ λόγου, καὶ φωνῆς, καὶ ἀποδείξεως εἰρήκασιν. οὕτω δὲ καὶ ἁμάξης ἑκατὸν εἶναι στοιχεῖα φησὶν ὁ Πλάτων ὑφ' Ἡσιόδου λελέχθαι, γράψαντος, ἑκατὸν δέ τε δούραθ' ἁμάξης. ἅπαντα μὲν τὰ οὕτω λεγόμενα στοιχεῖα καθ' ἕκαστον τῶν πραγμάτων, οὐκ ἀκριβῶς ἐστιν ἁπλᾶ καὶ πρῶτα. τὰ δὲ κοινὰ πάντων τῶν ὄντων, ἁπλᾶ τε καὶ πρῶτα κατ' ἀλήθειαν εἰσὶν, καὶ κυρίως ὀνομάζεται στοιχεῖα. καλεῖ δὲ ἀπὸ τῶν ποιοτήτων ὁ Ἱπποκράτης αὐτὰ θερμὸν καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν, οὐ τὰ μεταξὺ τῶν ἄκρων ἀλλ' αὐτὰ τὰ ἄκρα, πῦρ δηλονότι καὶ γῆν, ὕδωρ τε καὶ ἀέρα. ταύτην οὖν τὴν μέθοδον, ὁ Πλάτων ἀξιοῖ μιμεῖσθαι, καὶ τῶν περὶ φύσεως ψυχῆς ἐπισκεπτόμενον. οὐδὲν γὰρ δύνασθαι τῶν κατὰ μέρος, ἄνευ τῆς τοῦ ὅλου φύσεως ἀκριβῶς γνωσθῆναι. παραγράψω δέ σοι καὶ αὐτὴν τὴν τοῦ Πλάτωνος ῥῆσιν ἔχουσαν οὕτως. Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι, ἄνευ τῆς τοῦ ὅλου φύσεως; Εἰ μὲν οὖν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. Καλῶς γὰρ ὦ ἑταῖρε λέγει. χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας, σκοπεῖν, εἰ συμφωνεῖ. Φημί. Καὶ τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος, ἆρ' οὐχ ὧδε; διανοεῖσθαι χρὴ περὶ ὁτουοῦν φύσεως, πρῶτον μὲν, εἰ ἁπλοῦν, ἢ πολυειδές ἐστιν, οὗ πέρι βουλησόμεθα εἶναι αὐτοὶ τεχνικοὶ, καὶ ἄλλους δυνατοὶ ποιεῖν. ἔπειτα δὲ ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾶν ἔχον, ἢ τίνα εἰς τὸ παθεῖν ὑπό του. ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα ἀριθμησαμένοι, ὅπερ ἐφ' ἑνὸς τοῦτ' ἰδεῖν ἐφ' ἑκάστου, τὸ τί ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπό του. ἀλλὰ ταῦτα Πλάτωνος οὑτωσὶ γράψαντος, ἐπιδειξάτω τις ἡμῖν ἐν τίνι βιβλίῳ τοῦ Ἱπποκράτους ἑτέρῳ παρὰ τὸ περὶ φύσιος ἀνθρώπου τὴν μέθοδον ταύτην ἐστὶν εὑρεῖν. ἢ εἴπερ οὐκ ἔχει, μηδ' ἕνα ζητείτω Πλάτωνος ἀξιοπιστότερον μάρτυρα τοῦ γνήσιον εἶναι τὸ βιβλίον τοῦτο. τά τε γὰρ ἄλλα, καὶ τοῖς χρόνοις ἐγγυτάτω γέγονεν ὁ Πλάτων τοῖς Ἱπποκράτους μαθηταῖς, ὧν εἴ τινος ἦν τὸ βιβλίον, ἐπεγέγραπτο ἂν τοῦ γράψαντος αὐτὸ τοὔνομα. πρὶν γὰρ τοὺς ἐν Ἀλεξανδρείᾳ τε καὶ Περγάμῳ γενέσθαι βασιλεῖς, ἐπὶ κτήσει παλαιῶν βιβλίων φιλοτιμηθέντας, οὐδέπω ψευδῶς ἐπεγέγραπτο σύγγραμμα. λαμβάνειν δ' ἀρξαμένων μισθὸν τῶν κομιζόντων αὐτοῖς συγγράμματα παλαιοῦ τινὸς ἀνδρὸς, οὕτως ἤδη πολλὰ ψευδῶς ἐπιγράφοντες ἐκόμιζον. ἀλλ' οὗτοι μὲν οἱ βασιλεῖς, μετὰ τὸν Ἀλεξάνδρου γεγόνασι θάνατον. ὁ δὲ Πλάτων ἀνωτέρω τῆς Ἀλεξάνδρου βασιλείας ἔγραφε ταῦτα, μηδέπω πεπανουργευμένων τῶν ἐπιγραφῶν, ἀλλ' ἑκάστου βιβλίου τὸν ἴδιον γραφέα διὰ τοῦ προγράμματος δηλοῦντος. Πλάτων μὲν οὖν ὁμολογεῖ κατὰ τὴν Ἱπποκράτους μέθοδον ἐπισκοπεῖσθαι περὶ ψυχῆς φύσεως, ὡς ἐκεῖνος περὶ σώματος, ἀδύνατόν τε φησὶν ἄλλως τοῦτο γενέσθαι, πρὸ τοῦ γνῶναι τὴν φύσιν τοῦ παντός. ἔνιοι δὲ τοσοῦτον ἡμαρτήκα-

σιν, ὡς τὴν οὕτω θαυμαστὴν μέθοδον ἄλλου τινὸς εἶναι νοεῖν. τῷ μηδ᾽ ἀποκνῆσαι γράψαι τὸν εὑρόντα πρῶτον οὕτω μέγα καὶ σεμνὸν πρᾶγμα τὴν ἀπόδειξιν αὐτοῦ. πῶς γὰρ οὐ μέγα καὶ σεμνὸν, ἁπάντων γεννητῶν καὶ φθαρτῶν σωμάτων εὑρεῖν στοιχεῖα; πῶς δὲ οὐ πολὺ μεῖζον ἀποδείξεσι πιστώσασθαι; καὶ ταῦτα μηδ᾽ ἐν στίχοις ὅλοις διακοσίοις ἀλλ᾽ ἐλάττοσι πολλῷ περιληφθῆναι δυνάμενα. οὐ γὰρ εἰκός ἐστιν ἐν ἅπασι τοῖς θεραπευτικοῖς καὶ προγνωστικοῖς εὑρήμασιν ὡς ἀποδεδειγμένοις χρῆσθαι τοῖς στοιχείοις, τὸν Ἱπποκράτην μηδαμόθι τὴν ἀπόδειξιν αὐτῶν εἰρηκότα. ταῦτα μὲν οὖν ἐκ περιουσίας εἴρηταί μοι, δεικνύντι γνήσιον Ἱπποκράτους εἶναι τὸ βιβλίον. οὐ μὴν ὡς ἐν ἔργῳ γε τοῦτο σπουδαστέον, ἀλλὰ περὶ τῆς ἀληθείας τῶν ἐν αὐτῷ γεγραμμένων σκεπτέον ἀκριβῶς. ὅπερ δ᾽ ἡμεῖς ἐν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων ἐπράξαμεν, ὃ παρὰ πᾶσι τοῖς πεπαιδευμένοις εὐδοκιμοῦν ὁρῶντες οἱ βάσκανοι, ψυχρὰν αὐτοῦ ἀπολογίαν ἐποίησαν, οὐκ εἶναι φάσκοντες Ἱπποκράτους τὸ βιβλίον. ἀλλ᾽ ὅτι γε ταῦτα ἐτίθετο, καὶ πρὸς ταῦτα ἀποβλέπων ἀεὶ, τὰ κατὰ μέρος ἔγραψε πάντα, τῶν ὁμολογουμένων ἐστίν. ἐπεὶ δὲ ὑπὸ ἀναισχυντίας καὶ τοῖς ὑπὲρ πάντων ὁμολογουμένοις τε καὶ συμφωνουμένοις ἀντιλέγουσιν οἱ βάσκανοι, διὰ τοῦτο πραγματείαν ἑτέραν ἐποίησα, τὸ ἐπίγραμμα τοιοῦτον ἔχουσαν. ὅτι καὶ κατ᾽ ἄλλα συγγράμματα τὴν αὐτὴν δόξαν ὁ Ἱπποκράτης ἔχων φαίνεται, τῇ κατὰ τὸ περὶ φύσιος ἀνθρώπου.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ ΥΠΟΜΝΗΜΑ Β΄.

ΑΥΤΟ μὲν τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον, ἐν τῷ προτέρῳ τῶνδε τῶν ὑπομνημάτων ἐξήγημαι. νυνὶ δὲ τὰ προσκείμενα ἱκανῶς αὐτῷ προχειριοῦμαι, συγκείμενα καὶ αὐτὰ μετὰ διασκευῆς. ἐν μὲν γάρ ἐστι μικρὸν βιβλίον ἐν ᾧ περὶ τῆς τῶν ὑγιαινόντων διαίτης γέγραπται, καὶ δοκεῖ Πολύβου εἶναι σύγγραμμα τοῦ Ἱπποκράτους μαθητοῦ. τὸ δὲ μεταξὺ τούτου τε καὶ τοῦ περὶ φύσιος ἀνθρώπου, διεσκεύασται παρεγγεγραμμένον ὑπὸ τοῦ πρῶτον συνθέντος εἰς ταυτὸν τὰ δύο ταῦτα βιβλίδια, τό περὶ φύσιος ἀνθρώπου τοῦ Ἱπποκράτους αὐτὸ σύγγραμμα, καὶ τὸ Πολύβου περὶ διαίτης ὑγιεινῆς. ἐν γὰρ τῷ κατὰ τοὺς Ἀτταλικούς τε καὶ Πτολεμαϊκοὺς βασιλέας χρόνῳ, πρὸς ἀλλήλους ἀντιφιλοτιμουμένους περὶ κτήσεως βιβλίων, ἡ περὶ τὰς ἐπιγραφάς τε καὶ διασκευὰς αὐτῶν, ἤρξατο γίγνεσθαι ῥᾳδιουργία τοῖς ἕνεκα τοῦ λαβεῖν ἀργύριον ἀναφέρουσιν, ὡς τοὺς βασιλεῖς, ἀνδρῶν ἐνδόξων συγγράμματα. μικρῶν οὖν ὄντων ἀμφοτέρων τῶν βιβλίων τοῦ περὶ φύσιος ἀνθρώπου, καὶ τοῦ περὶ διαίτης ὑγιεινῆς, εὐκαταφρόνητον ἑκάτερον ὑπάρχειν εἶναί τις δόξας διὰ τὴν σμικρότητα, συνέθηκεν εἰς ταυτὸν ἄμφω. καὶ τις ἴσως ἄλλος, ἢ καὶ αὐτὸς ὁ πρῶτος αὐτὰ συνθεὶς, προσενέθηκέ τινα μεταξὺ τῶν δύο ταυτὶ τὰ νῦν προχειρίζεσθαι μέλλοντα.

Εἰδέναι χρὴ καὶ τάδε πρὸς ἐκείνοισιν, ὅτι ὁκόσα πλησμονὴ τίκτει νουσήματα, κένωσις ἰῆται, ὁκόσα δὲ ἀπὸ κενώσιος γίνεται νουσήματα, πλησμονὴ ἰῆται, ὁκόσα δὲ ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται. ὁκόσα δὲ ὑπὸ ἀργίης νουσήματα τίκτεται, ταλαιπωρίη ἰῆται. τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰητρὸν, ἐναντίον ἵστασθαι τοῖσι καθεστηκόσι, καὶ νουσήμασι, καὶ εἴδεσι, καὶ ὥρῃσι, καὶ ἡλικίῃσι, καὶ τὰ ξυντείνοντα λύειν, καὶ τὰ λελυμένα ξυντείνειν. οὕτω γὰρ ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο, ἥ τε ἴησις τοῦτό μοι δοκέει εἶναι.

Ταύτης ὅλης τῆς ῥήσεως ἑκάστου στίχου, Διοσκουρίδης προέγραψε σημεῖον ὃ καλοῦσιν ὀβελὸν, οἵῳ σημείῳ καὶ Ἀρίσταρχος ἐχρήσατο παρὰ τῷ ποιητῇ πρὸς τοὺς ὑποπτευομένους ὑπ᾽ αὐτοῦ στίχους. ταῦτα μὲν ὁ Διοσκουρίδης ἔγραψεν, εἰκάζων εἶναι τὴν προκειμένην ῥῆσιν Ἱπποκράτους τοῦ Θεσσαλοῦ υἱέος. δύο γὰρ υἱοὶ οὗτοι γεγόνασι τοῦ μεγάλου Ἱπποκράτους, Θεσσαλὸς καὶ Δράκων, ὧν ἑκάτεροι πάλιν Ἱπποκράτεις ἐγέννησαν. ταῦτα μὲν τὰ περὶ τὴν ῥῆσιν εἰρημένα, προσήκει δέ που καὶ ἡμῖν ἐπισκέψασθαι περὶ αὐτῶν, ἑκάστην τῶν λέξεων ἰδίᾳ προειρησάμενοι.

Ὁκόσα πλησμονὴ τίκτει νουσήματα, κένωσις ἰῆται. οὐ ταυτόν ἐστι φάναι συνεκτικὸν αἴτιον νόσων εἶναι πλησμονήν τε καὶ κένωσιν, ἑκάστην τε καὶ τῶν ἐφεξῆς εἰρημένων, τῷ γίγνεσθαί τι διὰ πλησμονὴν, ἤ τι τῶν ἄλλων. ἀληθὲς μὲν γὰρ, τὸ, γίγνεσθαι τινὰ νοσήματα διὰ πλησμονὴν, ἢ ὑπὸ πλησμονῆς. οὐδὲν γὰρ διήνεγκεν οὕτως ἢ ἐκείνως εἰπεῖν, οὐκ ἀληθὲς δὲ συνεκτικὸν αἴτιον εἶναι νοσήματος πλησμονήν. ἡ μὲν γὰρ νόσος αὐτὴ διάθεσίς τίς ἐστιν ἐν ζώου σώματι πρώτως βλάπτουσα τὴν ἐνέργειαν, ὡς ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς γράμματι δέδεικται. πλησμονὴ δὲ πρώτως μὲν ἐνέργειαν οὐ βλάπτει, καθότι δέδεικται καὶ τοῦτο πάλιν ἐν τῷ περὶ πλήθους λόγῳ. διὰ μέσης δέ τινος ἑτέρας διαθέσεως, ἥν τινα διάθεσιν, Ἐρασίστρατος μὲν ἑτέρως, Ἀσκληπιάδης δ᾽ ἑτέρως, οἱ πνευματικοὶ δ᾽ ὀνομασθέντες ἰατροὶ, κατ᾽ ἄλλον τρόπον προτίθενται γίγνεσθαι. λέλεκται δὲ καὶ ἡμῖν ἐπὶ πλέον, ὅπως ὑφ᾽ ἑκατέρου πλήθους νοσήματα γίγνεται. διττὸν γὰρ ἐδείχθη τὸ πλῆθος, ὡς μὲν πρὸς τὴν δύναμιν ἕτερον, ὡς δὲ πρὸς τὴν κοιλότητα τῶν ἀγγείων ἕτερον. τὸ μὲν οὖν ὡς πρὸς τὴν δύναμιν, εἰς διαφθοράς τε τοὺς χυμοὺς ἄγει, καὶ ῥεύματα τοῖς ἀσθενεστέροις ἐν τῷ σώματι μορίοις ἐπιπέμπει, τὸ δ᾽ ὡς πρὸς τὸ ἔγχυμα, τάς τ᾽ ἀναστομώσεις τε καὶ τὰς ῥήξεις τῶν ἀγγείων ἐργάζεται, καί ποτε θανάτους ἐξαιφνιδίους, ὅταν ἀποφράξῃ τὰς διαπνοὰς τοῦ σώματος. ἴασις οὖν λέγεται καὶ τῶν τοιούτων τὰς νόσους, οὐ μόνον αὐτῶν τῶν ἤδη γεγενημένων νόσων. εἰ δὲ τῷ κυρίῳ κατ᾽ αὐτῶν ὀνόματι χρῷτο τὶς, προηγούμενα τῶν νόσων ἐρεῖ τὰ τοιαῦτα τῶν αἰτίων, ὥσπερ Ἀθήναιος. ὑφ᾽ οὗ δὲ πάλιν αὐτὰ ταῦτα τὰ προηγούμενα γί-

να γίγνεται, προκαταρκτικά τε καὶ προκατάρχοντα καλέσας. πλῆθος γὰρ ἐδεσμάτων, ἀπεψίαι τε καὶ λουτρὰ, καὶ γυμνάσια μὴ κατὰ καιρὸν γιγνόμενα, καὶ πάνθ' ὅσα δῆλον ἐν τῷ περὶ τῶν προκαταρκτικῶν αἰτίων ὑπομνήματι, τῶν προηγουμένων αἰτίων ἑκάστης νόσου, γίνεται ποιητικά. Ὁκόσα δὲ ὑπὸ κενώσιος γίγνεται νοσήματα, πλησμονὴ ἴηται. οὐ κυρίως δοκεῖ κεχρῆσθαι τῷ τῆς πλησμονῆς ὀνόματι νῦν, ὁ γράψας τὴν ῥῆσιν ταύτην, πάντων εἰωθότων οὐ μόνον ἰατρῶν, ἀλλὰ καὶ τῶν ἄλλων ἑλλήνων τὸ τῆς πλησμονῆς ὄνομα μᾶλλον, πῶς ἐπιφέρειν ταῖς ὑπερβολαῖς τῆς συμμέτρου ποσότητος, οὐ μὴν γε τὴν κένωσιν ἐπανορθοῦσθαι διὰ τῆς ἐναντίας ἀμετρίας. ἄκουσον οὖν ἐφεξῆς τὸν συναγορεύοντα ταῖς ἀμετρίαις λόγον. ὄντων γάρ τινων συμμέτρων σιτίων, ὡς πρὸς τήν του δέ τινος ἕξιν, ὑγιαίνοντος μὲν ἔνδεια καὶ ὑπερβολὴ κατὰ τὴν πρὸς ταῦτα παραβολὴν νοηθήσεται. ὁ δὲ κενωθεὶς εἰ μέλλοι πληροῦσθαι, τὴν ποσότητα τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῷ συμμετρίας αὐξηθήσεται. ἐὰν γὰρ ὅσα πρὶν κενωθῆναι προσεφέρετο τὰ σιτία, τοσαῦτα καὶ νῦν προσφέρηται, τὸ κενωθὲν οὐδέ ποτε ἀναπληρώσει. τεχνίτου δέ ἐστι μετρίως ποιήσασθαι τὴν παραύξησιν αὐτῶν, καὶ μήτε παρὰ καιρὸν ἐμπιπλάναι, μήτ' ἐξαίφνης τε καὶ ἀθρόως τὸ κενωθέν. δοκοῦσι δ' ἔνιοι τῶν ἰατρῶν τὰς κενώσεις, μηδέ ποτε νόσων αἰτίας γίγνεσθαι. μόνας γὰρ ἐργάζεσθαι φασὶν αὐτὰς, τῆς μὲν δυνάμεως ἀῤῥωστίαν, τῆς δ' ἕξεως του σώματος ἰσχνότητα, μηδὲν δὲ τῶν νοσημάτων ὑπ' ἐνδείας γίγνεσθαι, ἀλλ' οὗτοί γε οὐχ ὁρῶσι τὰς γιγνομένας νόσους τοῖς ἀμέτρως κενωθεῖσιν. ἑτοίμως τε γὰρ καὶ ὑπὸ ταῖς τυχούσαις προφάσεσι καταψύχονται, καὶ πάλιν ἐκκαίονται ταχέως, καὶ κόποις ἁλίσκονται ῥᾳδίως, καὶ πᾶσι τοῖς ἔξωθεν αἰτίοις. ὥσπερ γε καὶ ὑπὸ ἀγρυπνίας, καὶ λύπης, καὶ ἀπεψίας, καὶ ὀργῆς εἰς νόσους ἄγονται μᾶλλον οὗτοι τῶν εὐεκτούντων. Ὁκόσα δὲ ἀπὸ ταλαιπωρίης γίγνεται, ἀνάπαυσις ἴηται. ταλαιπωρίας δηλονότι κέκληκεν, τὰς κατὰ τὰς ἀμέτρους κινήσεις γινομένας, ὅτι δ' ἀναπαύεσθαι χρὴ τοὺς οὕτω διατεθέντας, ἅπαντες οἱ ἄνθρωποι γινώσκουσι καὶ πράττουσι, μηδὲ πεύθεσθαι τῶν ἰατρῶν δεόμενοι. δέδεικται δ' ἡμῖν ὅτι καὶ τὰ ἄλογα ζῶα, οὐ μόνον ἄνθρωποι διὰ τῶν ἐναντίων τοῖς βλάψασι τὰς βλάβας ἐπανορθοῦνται.

Ὁκόσα δὲ ὑπὸ τὴν ἀργίην νουσήματα τίκτει, ταλαιπωρίη ἴηται. οὐδ' ἡ ἀργία πρώτως τε καὶ δι' ἑαυτῆς, ἀλλὰ διὰ μέσου του πλήθους ἐργάζεται τὰς νόσους. ἧττον τε γὰρ διαφοροῦνται τοῖς ἀργοῦσι τὰ του σώματος μόρια, ἀῤῥωστότερά τε γίγνονται ὡς ἑκάτερον ὑπ' αὐτῆς γίγνεσθαι πλῆθος. ἡ τοίνυν ἀμετροτέρα κίνησις, ἰσχυροτέραν μὲν οὐκ ἐργάζεται τὴν δύναμιν, ἐκκενοῖ δὲ τὴν περιουσίαν τῶν ἀθροισθέντων ὑγρῶν. εὔδηλον οὖν ὅτι εἰ καὶ κατ' αὐτὴν βραχὺ πλεονάσειεν, ἢ προσήκει τῆς συμμέτρου κινήσεως, τοπώδη μὲν ἠρέμα διὰ ταύτης γενέσθαι τὸν ἄνθρωπον, οὐ μὴν πυρέξαι γε. Τὸ δὲ ξύμπαν, γνῶναι δεῖ τὸν ἰητρὸν ἐναντίον ἵστασθαι τοῖσι καθεστηκόσι νουσήμασι, καὶ εἴδεσι, καὶ ὥρῃσι, καὶ ἡλικίῃσιν. εἴδεσιν ἔοικε λέγειν ταῖς του σώματος φύσεσιν, ὧν τὴν οὐσίαν ἐν τῇ τῶν τεττάρων στοιχείων κράσει δεδείχαμεν εἶναι. νοσήματα μὲν οὖν ἅπαντα διὰ τῶν ἐναντίων ταῖς δυνάμεσιν, οὐ ταῖς προχείροις φαντασίαις ἐδείχθη θεραπευόμενα. φύσις δὲ σώματος, ὅπερ ἐστὶν ἡ κρᾶσις, οὐ πᾶσα διὰ τῶν ἐναντίων ἐπανορθοῦται, ὥσπερ οὐδ' ὧραι καὶ ἡλικίαι. γίγνονται μὲν γάρ τινες εὔκρατοι, καθάπερ καὶ δύσκρατοί τινες ἕτεραι, τῶν μὲν εὐκράτων ἡ εὐκρασία φυλάττεται, διὰ τῶν ὁμοίων. τῶν δὲ δυσκράτων, ἡ δυσκρασία διὰ τῶν ἐναντίων ἐπανορθοῦται. διώρισται δὲ περὶ τούτων ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. Καὶ τὰ ξυντείνοντα λύειν, καὶ τὰ λελυμένα ξυντείνειν. οὐ κατὰ τὸ πρέπον ἐποιήσατο τὴν τῶν νοσημάτων ἀντίθεσιν. τῷ μὲν γὰρ ξυντείνοντι, τὰ λύοντα, τῷ δὲ λελυμένῳ, τὰ ξυντεταμένα κατὰ ἀντίθεσιν οἰκείως ὀνομάζεται. λέγεται δὲ τὰ μὲν ξυντείνοντα καὶ λύοντα κυρίως ἐπὶ τῶν αἰτίων, οὐκέτ' ἐπ' αὐτῶν τῶν βλαπτομένων σωμάτων, ἔμπαλιν δὲ τὰ συντεταμένα καὶ λελυμένα, κατὰ τῶν ἤδη βεβλαμμένων, ἔπειτα τὰ συντεινόμενα καὶ λυόμενα, σωμάτων ἐστὶν οὐ νοσημάτων ὀνόματα συντεινομένων καὶ λελυμένων. ὥσπερ γε καὶ τὸ σκληρὸν, καὶ τὸ μαλακὸν, ἀραιόν τε καὶ πυκνὸν, ὑπὲρ ὧν εἴρηται κάλλιον ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ἐν τῇδε τῇ λέξει. Δέρματος σκληροῦ μάλαξις, συντεταμένου χάλασις. εἴρηται δὲ ἐν τούτῳ τῷ βιβλίῳ κατὰ τὸ συνεχὲς καὶ περὶ τοῦ στεγνῶσαι, ὅπερ ἐστὶν ἐναντίον τῷ ἀραιῶσαι. τοῦτο δ' αὖ πάλιν τῷ πυκνουμένῳ τὴν αὐτὴν ἔχει δύναμιν, ὥσπερ γε καὶ τὸ πεπυκνωμένον τῷ ἐστεγνωμένῳ.

Αἱ δὲ νοῦσοι γίγνονται, αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ εἰσαγόμενοι ζῶμεν.

Διαιτήματα καλοῦσιν ἐνίοτε μὲν αὐτὰ μόνα τὰ σιτία καὶ τὰ ποτά. πολλάκις δὲ περιλαμβάνουσιν ἐν τῇ προσηγορίᾳ καὶ τὰ ἐπιτηδεύματα, καὶ νῦν οὕτως εἰρῆσθαι νομιστέον. οὐ γὰρ ἀπὸ μόνων, ὧν ἐσθίομέν τε καὶ πίνομεν, ἀλλὰ καὶ ἀπὸ λουτρῶν, καὶ γυμνασίων, ἀργίας τε καὶ ἀγρυπνίας, καὶ λύπης, καὶ θυμοῦ, καὶ ψύξεως, καὶ ἐγκαύσεως αἱ νόσοι γίγνονται. πολλάκις δ' ἀπὸ του πνεύματος, μόνου κατὰ τὴν εἰσπνοὴν ἡ βλάβη γίγνεται. καθάπερ ἐν τοῖς χαρωνείοις ὀνομαζομένοις χωρίοις.

Τὴν δὲ διάγνωσιν ἑκατέρων, ὧδε χρὴ ποιέεσθαι. ὁκόταν μὲν ὑπὸ ἑνὸς νουσήματος πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τουτέῳ ὅ, τι ἂν κοινότατόν ἐστι, καὶ μάλιστα αὐτέῳ πάντες χρεώμεθα. ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν. φανερὸν γὰρ δὴ, ὅτι τά γε διαιτήματα ἑκάστου ἡμέων οὐκ αἰτία ἐστὶν, ὅτε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς, καὶ τῶν νεωτέρων, καὶ τῶν πρεσβυτέρων, καὶ γυναικῶν καὶ ἀνδρῶν. ὁμοίως δὲ καὶ τῶν θωρησσομένων, καὶ τῶν ὑδροποτεόντων, καὶ τῶν μάζαν ἐσθιόντων, καὶ τῶν ἄρτον σιτεόντων, καὶ τῶν πολλὰ ταλαιπωρεόντων, καὶ τῶν ὀλίγα. οὐκ ἂν οὖν τά γε διαιτή-

ματα αἴτια εἴη, ὁκόταν διαιτώμενοι οἱ ἄνθρωποι παντὰ τρόπον, ἁλίσκονται ὑπὸ τῆς αὐτέης νούσου. ὁκόταν δ' αἱ νοῦσοι γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι τὰ διαιτήματα αἴτιά ἐστιν αἴτια ἕκαστα ἑκάστοισιν.

Ὅτι μὲν τὸ κοινὸν πολλοῖς νοσήμασι κοινὴν ἔχει τὴν αἰτίαν, ὀρθῶς εἶπεν, ὥσπερ γε καὶ τὰ ἄλλα πάντα τὰ κατὰ τὴν ῥῆσιν, οὐ μὴν ὀρθῶς εἰς μόνον τὸν ἀέρα τὴν τῶν κοινῶν νοσημάτων ἀναφέρει γένεσιν. εἴπερ οἱ ἐν Αἴνῳ ἐν λιμῷ ὀσπριοφαγέοντες σκελέων ἀκρατέες ἐγένοντο, ἀτὰρ καὶ οἱ ὀροβοφαγέοντες, γουναλγέες. ἴσμεν δ' ὅτι καὶ πυροὺς ἡμισαπεῖς διὰ λιμὸν ἀναγκασθέντες ἐσθίειν τινὲς, κοινὸν ἀπὸ τῆς κοινῆς αἰτίας ἐνόσησαν νόσημα, καί που στρατόπεδον ὅλον ὕδατι μοχθηρῷ χρησάμενον, ὁμοίως ἐν ἅπασι τοῖς στρατιώταις τὴν βλάβην ἔσχε, τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

Καὶ τὴν θεραπείην χρὴ ποιέεσθαι, ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, καὶ τῇ τῶν διαιτημάτων μεταβολῇ. δῆλον γὰρ δὴ, ὅτι οἷσι γε εἴωθε χρέεσθαι ὁ ἄνθρωπος διαιτήμασιν, οὐκ ἐπιτήδειά οἱ ἐστιν, ἢ πάντα, ἢ τὰ πλείω, ἢ ἕν γέ τι αὐτέων. ἃ χρὴ καταμανθάνοντα μεταβάλλειν, καὶ σκεψάμενον τοῦ ἀνθρώπου, τήν τε ἡλικίην καὶ τὸ εἶδος, καὶ τὴν ὥρην τοῦ ἔτεος, καὶ τῆς νούσου τὸν τρόπον τὴν θεραπείην ποιέεσθαι, ποτὲ μὲν ἀφαιρέοντα, ποτὲ δὲ προστιθέντα, ὥσπερ μοι καὶ πάλαι εἴρηται, πρὸς ἑκάστας τῶν ἡλικιέων, καὶ τῶν ὡρέων, καὶ τῶν εἰδέων, καὶ τῶν νούσων, ἔν τε τῇ φαρμακείῃ προτρέπεσθαι, καὶ ἐν τοῖσι διαιτήμασιν. ὁκόταν δὲ νουσήματος ἑνὸς ἐπιδημίη καθεστήκῃ, δῆλον ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ' ὃ ἀναπνέομεν, τοῦτ' αἴτιόν ἐστι. καὶ τοῦτο δῆλον ὅτι νοσερήν τινα ἀπόκρισιν ἔχον ἂν εἴη. τοῦτον οὖν χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιέεσθαι τοῖσιν ἀνθρώποισι τοιάσδε. τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτιά ἐστι τῆς νούσου. τὸ δὲ σῶμα ὁρῆν ὅκως ἔσται ὡς ἀογκότατον καὶ ἀσθενέστατον. τῶν τε σιτίων ἀφαιρέοντα, καὶ τῶν ποτῶν οἷς εἰώθει χρέεσθαι κατ' ὀλίγον. ἢν γὰρ μεταβάλλῃ ταχέως τὴν δίαιταν, κίνδυνος καὶ ἀπὸ τῆς μεταβολῆς νεώτερόν τι γενέσθαι ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσι μὲν διαιτήμασιν οὕτω χρῆσθαι, ὅτε γε φαίνεται οὐδὲν ἀδικέοντα τὸν ἄνθρωπον. τοῦ δὲ πνεύματος, ὅκως ἡ ῥύσις ὡς ἐλαχίστη εἰς τὸ σῶμα εἰσίοι, καὶ ὡς ξενοτάτη ἔσται προμηθέεσθαι. τῶν δ' αὖ χωρίων τοὺς τόπους μεταβάλλοντα εἰς δύναμιν, ἐν οἷσιν ἂν ἡ νοῦσος καθεστήκῃ, καὶ τὰ σώματα λεπτύνοντα. οὕτως γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ πυκνοῦ πνεύματος χρῄζοιεν οἱ ἄνθρωποι.

Ἐλλιπῆ τὴν ἴασιν ἔγραψε τῶν κοινῶν νοσημάτων, ὅταν ὑπὸ τοῦ περιέχοντος γίγνηται. πολλάκις μὲν γὰρ ἀναθυμιάσεις τινὲς ἐξ ἑλῶν, ἢ λιμνῶν, ἢ τελμάτων, ἢ γῆς τοιαύτης αἰτίαι γίγνονται τῶν τοιούτων νοσημάτων, ἔστι δ' ὅτε μόνη τῶν ὡρῶν ἡ κρᾶσις. ἐπὶ μὲν οὖν τῶν ἀναθυμιάσεων, ἰδιότητι μᾶλλον ὅλης τῆς οὐσίας, οὐχ ἁπλῇ ποιότητι λυμαινομένων τοῖς σώμασιν, ὀρθῶς ἔγραψε τὴν θεραπείαν, εἰς διττοὺς ἀνάγων σκοποὺς, ἀμοιβήν τε τοῦ χωρίου, καὶ χρείαν ὀλίγης τῆς εἰσπνοῆς. ἐπὶ δὲ τῶν ἀπὸ ποιότητος βλαπτομένων, οὐ μόνον ἡ θεραπεία τῶν γεγονότων ἤδη νοσημάτων, ἀλλὰ καὶ ἡ προφυλακὴ τοῦ μηδ' ὅλως συστῆναι, διὰ τῶν ἐναντίων ἔσται ποιοτήτων. εἰ μὲν γὰρ θερμότητος ἀμέτρου βλάπτοιτό γε τὸ σῶμα διὰ τῶν ψυχόντων. εἰ δὲ ὑπὸ ψύξεως, διὰ τῶν θερμαινόντων, ἐπί τε τῶν ἄλλων ποιοτήτων ἁπλῶν τε καὶ συνθέτων, ἀνάλογον. περὶ δὲ τῆς ἀπό τε τῶν ἡλικιῶν, καὶ τῶν ὡρῶν, καὶ τοῦ σώματος κράσεων ἐνδείξεως, εἴρηταί μοι πρόσθεν. τὸ δὲ τῇ φαρμακείῃ προτρέπεσθαι, δοκεῖ μοι λελέχθαι νῦν, ἀντὶ τοῦ προσφέρεσθαι τοῖς νοσήμασιν ἐξ ὑπεναντίου. λέγεται δὲ καὶ νῦν ἔτι κατὰ τὴν Ἀσίαν. ὁ δέ τις ἄνθρωπος προσφέρεται τῷδε χρηστῶς, ἢ φιλικῶς, ἢ ἀπίστως, ἢ ἀπηνῶς.

Ὁκόσα δὲ τῶν νουσημάτων γίνεται ἀπὸ τοῦ σώματος τῶν μελέων τοῦ ἰσχυροτάτου, ταῦτα δεινότατά ἐστι. καὶ γὰρ ἢν αὐτοῦ μένῃ ἔνθα ἂν ἄρξηται, ἀνάγκη τοῦ ἰσχυροτάτου τῶν μελέων πονεομένου, πᾶν τὸ σῶμα ὀχλέεσθαι. καὶ ἢν ἐπὶ τῶν ἀσθενεστέρων τι ἀφίκηται ἀπὸ τοῦ ἰσχυροτάτου, χαλεπαὶ αἱ ἀπολύσιες γίνονται. ὁκόσα δ' ἂν ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθῃ, εὐλυτώτερά ἐστιν, ὑπὸ γὰρ τῆς ἰσχύος ἀποκλείσεται ῥηϊδίως τὰ ἐπιρρέοντα.

Εἴτε μόριον, εἴτε σῶμα λέγειν ἐθέλοι τις ἰσχυρότατον, κυρίως μὲν ἐρεῖ τὸ πρὸς τὰς δραστικὰς ἐνεργείας κάλλιστα κατεσκευασμένον, ὥς που καὶ τὸν Ἡρακλέα λέγομεν ἰσχυρότατον γεγονέναι. καθ' ἕτερον δὲ τρόπον ὡς πρὸς τήνδε

τὴν δὲ μὲν τινὰ ἐνέργειαν ἰσχυρὸν τουτὶ τὸ σῶμα, καὶ τὸ μόριον, ὡς πρὸς ἑτέραν δὲ ἄλλο, καὶ κατὰ μὲν ταύτας ἰσχὺς ἐν ἑκάστῃ τῶν ἐνεργειῶν ἐστι τῷ δεῖνι, ἄλλο δὴ κατ᾽ ἄλλην αὐτῶν ἰσχυρὸν γίγνεται. μία μὲν οὖν ἐστιν ἡ ἐνέργεια τῶν καθ᾽ ὁρμὴν τοῦ ζώου κινήσεων, ὡς ἤτοι τρέχοντες, ἢ συμπλεκομένου ζώοις τισίν, ἢ διασπῶντές τι τῶν σωμάτων τῶν ἐμψύχων, ἢ τῶν ἀψύχων, ἢ ἀποσπῶντες ὡσαύτως ὁτιοῦν. μία δ᾽ ἄλλη δύναμις καὶ κατ᾽ αὐτὴν ἐνέργειαν ζωτικήν, καθ᾽ ἣν αἱ ἀρτηρίαι καὶ ἡ καρδία σφύζουσιν. ἐπὶ δὲ ταῖς κατὰ γένος ἀλλήλων διαφερούσαις, ἄλλαι τινὲς εἰσὶν ὁμογενεῖς, οὐκ ἐν τοῖς ζώοις μόνον, ἀλλὰ κἂν τοῖς φυτοῖς, διὸ καὶ φυσικὰς ὀνομάζομεν αὐτάς, ἑλκτική, καὶ ἀλλοιωτική, καὶ καθεκτική, καὶ ἀποκριτικὴ δύναται. τοιγαροῦν ἄλλοτε κατ᾽ ἄλλο καὶ ἄλλο σῶμα, ἡ γαστὴρ εἰ τύχῃ δύναμιν ἰσχυροτάτην ἔχειν, ὡς πρὸς τήνδε τὴν ἐνέργειαν, οἷον ἤτοι τὴν καθεκτικήν, ἢ τὴν ἀλλοιωτικήν, ποτὲ δὲ τὸ ἧπαρ ἢ σπλῆνα, ἤ τι τῶν ἄλλων. ἔμπαλιν δὲ κατὰ τὸ αὐτὸ ζῶον, ἡ μὲν γαστὴρ ἀσθενεστάτην ἔχει, ἤτοι τὴν ἑλκτικήν, ἢ τὴν ἀποκριτικὴν δύναμιν, ἰσχυροτάτην δὲ τὸ ἧπαρ. παρῆκε δὲ νῦν ὁ γράψας τὴν προκειμένην ῥῆσιν, ἰσχυρὸν δ᾽ ἐννοεῖν μοι δοκεῖ, ὡς πρὸς τὸ μὴ ῥᾳδίως πάσχειν ὑπὸ τῶν τὰς νόσους ἐργαζομένων αἰτίων. ἔτι νὴ Δία καὶ τοῦτο προσέσται, τὸ, διὰ τῆς ἀποκριτικῆς δυνάμεως, ὅταν ἐν αὐτῷ τις ἀθροισθῇ περιουσία χυμῶν, εἰς ἕτερον αὐτὴν ἀποπέμπειν μόριον, εἶναι δὲ δηλονότι χρὴ τοῦ δεξαμένου τὸ πέμπον, ἰσχυρότερον. ἔσται τοιγαροῦν καθ᾽ ἕκαστον σῶμα, τὸ μέντοι ἀσθενέστατον μόριον, τὰ δ᾽ ἰσχυρότατα, ὥσπερ ἀμέλει καὶ πᾶσιν ὁμολόγηται τοῖς ἰατροῖς, καὶ τοῖς ἰδιώταις. ἀσθενεστάτους μὲν γὰρ εἶναι λέγουσι τοὺς πόδας τοῖς ποδαγρικοῖς, ὥσπερ γε σύμπαν τὸ τῶν ἄρθρων γένος τοῖς ἀρθριτικοῖς, ἀσθενεστάτην δὲ κεφαλὴν, τοῖς κεφαλαλγικοῖς. οὕτως δὲ καὶ τὸν σπλῆνα, τοῖς φύσει σπληνώδεσι, καὶ τοὺς ὀφθαλμούς, ὅσοι ῥᾳδίως ὀφθαλμίαις ἁλίσκονται, καὶ καθ᾽ ἕκαστον μέρος ὡσαύτως. ὄντων δὲ κατὰ γένος διττῶν τῶν τὰς νόσους ἐργαζομένων αἰτίων. τὰ μὲν γὰρ ἔξωθέν ἐστι, τὰ δὲ ἐξ αὐτῶν ἡμῶν ὁρμᾶται, καὶ πρὸς μὲν τὰς ἔξωθεν βλάβας, ἄλλα μόρια τῶν ἐν ἡμῖν ἐστιν ἐνίοτε ἀσθενῆ, πρὸς δὲ τὰς ἔνδοθεν ἄλλα. διότι καὶ τῶν αἰτίων αὐτῶν αἱ δυνάμεις ἑτερογενεῖς εἰσιν. ἐξ ἡμῶν γὰρ κατὰ πλῆθος χυμῶν, ἢ μοχθηρίαν, αἱ νόσοι γίγνονται, τὰ δ᾽ ἔξωθεν αἴτια, τὰ μὲν τῷ δυσκρασίαν τινὰ ἐργάζεσθαι, τὰ δὲ τῷ θλᾶν, ἢ τέμνειν ἀδικεῖ τὰ τῶν ζώων σώματα. τὸ γὰρ τῶν ἐξαρθρημάτων πάθος, ὑπ᾽ ἀμφοτέρων ἔοικε γίγνεσθαι. καὶ γὰρ αὐτίκα εἷς μόνος αὐτὸς συμπλοκῆς τῆς πρὸς ἕτερον, ἐξάρθρον ἐποίησεν, ἤτοι γόνυ βαδίζων, ἢ γένυν χασμώμενος, ἤ τι τῶν ἄλλων ἄρθρων, ἢ ὁπωσοῦν ἐνεργῶν, ἢ περιστρεφόμενος, ἤδη δὲ καὶ κάταγμά τις ἔπαθεν ἄνευ τῶν ἔξωθεν αἰτίας, ἐν περιστροφαῖς ἀθρόαις, ἢ τῷ πηδῆσαι σφοδρότερον, ὥσθ᾽ ὅσα γένη τῶν αἰτίων ἐστί, τοσαῦτα καὶ τῶν πασχόντων ῥᾳδίως, ἢ μὴ πασχόντων μορίων ἀσθενείας τε καὶ ἰσχύος. αἱ μὲν οὖν ἐκ τῶν χυμῶν ὁρμώμεναι νόσοι, κατὰ τὴν ῥώμην τε καὶ ἀσθένειαν ἅπασαι γίγνονται τῶν ἀποκριτικῶν δυνάμεων. συμπεφυκότων γὰρ ἀλλήλοις τῶν τοῦ ζώου μορίων, ἐκ τῶν ἀπωθεῖσθαι δυνατωτέρων, εἰς ἕτερα μεταρρέουσιν οἱ νοσοποιοὶ χυμοί, καὶ πάλιν ἐξ ἐκείνων εἰς ἕτερα, μέχρις ἄν τινι τῶν ἀσθενεστέρων στηριχθῶσιν, ὃ μηκέτ᾽ ἔχει μηδὲν ἀσθενέστερον ἑαυτοῦ μέρος ὥστε πέμψειν τὸν λυποῦντα χυμόν. ἐὰν μὲν οὖν ἐκροὰς ἔχῃ τοῦτο τὸ μόριον, ὡς ἔντερά τε καὶ γαστήρ, καὶ κύστις, καὶ μήτρα, δι᾽ ἐκκρίσεως ἐκκενωθήσεται τὸ λυποῦν αἴτιον. ἐάν γε λεπτότερον ᾖ κατὰ τὴν σύστασιν, τῶν ἐκροῶν τοῦ μορίου πολλάκις καὶ ἀναρραγέντων, ἢ καὶ ἀναστομωθέντων ἀγγείων, ἐπὶ πλεῖον ἡ κένωσις ἐγένετο, καθάπερ ἐν ταῖς χωρὶς τραυμάτων αἱμορραγίαις. ἐὰν δὲ μὴ ἀναστομωθῇ, μήτ᾽ ἀναρραγῇ, παχὺς ἢ γλίσχρος κατασκήψας χυμός, ὄγκον ἐργάζεται παρὰ φύσιν ἐν τῷ μορίῳ. τοιαύτη μὲν οὖν τίς ἐστιν ἰσχὺς καὶ ἀσθένεια τῶν μελῶν τοῦ σώματος ἐν τοῖς πάθεσιν, ὅσα τὴν γένεσιν ἐξ ἡμῶν αὐτῶν ἔχει. τὰ δὲ ὑπὸ τῶν ἔξωθεν αἰτίων πάσχοντα, κατὰ τὸ θερμαίνεσθαι, καὶ ψύχεσθαι, καὶ ξηραίνεσθαι, καὶ ὑγραίνεσθαι τοὐπίπαν ἔοικε πάσχειν. σπάνια γάρ ἐστι τὰ διὰ τοῦ θλᾶν, ἢ τέμνειν, ἤ τι τοιοῦτον ποιεῖν, εἰς νόσους ἄγοντα τὰ τῶν ζώων σώματα. γενήσεται τοίνυν ἐν ταῖς τοιαύταις νόσοις ἄλλο πρὸς ἄλλην αὐτοῦ ἀσθενές τε καὶ ἰσχυρόν. ὅσα μὲν γάρ ἐστι φύσει ψυχρότερα μόρια, ταῦτα πείσεται ῥᾳδίως ὑπὸ τῶν ψυχόντων αἰτίων, ὅσα δὲ θερμότερα, πρὸς τῶν θερμαινόντων. ἀνάλογον δὲ τούτοις ἐπὶ τῶν καθ᾽ ὑγρότητα καὶ ξηρότητα δυσκράτων. ἐνδέχεται δὲ αὐτῶν τούτων, ἔνια μὲν ὑπὸ τῶν θερμαινόντων, ἢ ψυχόντων, ἢ ξηραινόντων, ἢ ὑγραινόντων αἰτίων ἑτοίμως πάσχειν, ἰσχυροτέραν δ᾽ ἕτερον μόριον ἔχον τὴν ἀποκριτικὴν δύναμιν, εὐθέως ἀποπέμπειν εἰς ἐκεῖνα τὸ σφέτερον κακόν. ἐπεὶ τοίνυν οὐχ ἁπλῶς γίγνεταί τε καὶ νοεῖται μόριον ἰσχυρότερον, ἢ ἀσθενέστερον, ἀλλὰ κατὰ πλείονας τρόπους ἑτερογενεῖς, οὐχ οἷόν τέ ἐστι κρῖναι τὴν προκειμένην ῥῆσιν, οὐδ᾽ ἀποφήνασθαι πότερον ἀληθὴς ἢ ψευδής. ἐκεῖνο γε μήν ἐστιν, καὶ περὶ ταύτης, καὶ περὶ τῶν ἄλλων ἁπασῶν εἰπεῖν, ὅσαι περὶ τῶν πολλαχῶς λεγομένων τε καὶ νοουμένων ἀδιορίστως ἀποφαίνονται, συγκεχυμένην τε καὶ ἀδιάρθρωτον εἶναι τὴν ἀπόφασιν αὐτῶν, ὡς μηδένα τῶν ἀκουσάντων αὐτῆς ὠφελεῖσθαι. καὶ μέντοι καὶ ἀντιλογίαν ἰσχυρὰν ἔχει τὸ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένον, ἔνθα φησίν. ὁκόσα δ᾽ ἂν ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθοι, εὐλυτώτερά ἐστιν. ὑπὸ γὰρ τῆς ἰσχύος ἀποκλείεται ῥηιδίως τὰ ἐπιρρέοντα, διὸ καὶ διαφόρως ἔγραψαν οἱ ἐξηγηταί, τὴν τοῦ ἀποκλείεται ἐξήγησιν. ἔνιοι μὲν ἀποκλείζεται γράψαντες, ἔνιοι δὲ ἀποκλείεται, τινὲς δὲ ἀποπαγιώσεται, τὴν τρίτην συλλαβὴν τοῦ ἀποπαγιώσεται ῥήματος, διὰ τοῦ ω προσγεγραμμένοι. τινὲς δὲ διὰ τοῦ η καὶ σ, καθάπερ ὁ Διοσκουρίδης, ἀπὸ τοῦ παγήσεσθαι φησίν, ἀντὶ τοῦ ἀποκρούεσθαι εἰρῆσθαι τοῦτο τὸ ῥῆμα. ἀλλ᾽ εἴπερ ἀπὸ τῶν ἀσθενεστέρων μορίων ἐπί τι τῶν ἰσχυροτέρων ἀφικνούμενος, ὁ λυπῶν χυμὸς ἀποκρουσθείη, πάλιν ὑπ᾽ αὐτοῦ πλέον οὐδέν, οὕτω γε τῷ κάμνοντι γένοιτο. βέλτιον οὖν γράφειν τὴν λέξιν ὧδέ πως. ἀπὸ γὰρ τῆς ἰσχύος ἀναλώσεται τὰ ἐπιρρέοντα, τουτέστιν ἀναλωθήσεται πεττόμενά τε καὶ διαφορούμενα. τινὲς δὲ τὰ κυριώτατα μόρια φασὶν εἰρῆσθαι νῦν ἰσχυρότατα, ψευδῆ ποιοῦντες τὸν λόγον. ἀπὸ γὰρ τῶν κυριωτέρων μορίων εἰς ἀκυρώτερα μεθίστασθαι τοὺς λυποῦντας χυμούς, οὐκ ἀπὸ τῶν ἀκυρωτάτων εἰς τὰ κυριώτατα βέλτιόν ἐστι. πολλάκις δ᾽ ἤδη τεθεάμεθα τῶν ὠθεῖ τὰ κῶλα φερομένων χυμῶν ἐν ἀρθρίτισί τε καὶ ποδάγραις ἀποκρουσθέντων ἐκεῖθεν, εἶτ᾽ ἐπί τι κύριον ἐλθόντων, ἀποθανόντας.

Ζωτικὴ δύναμις

Φυσικὴ δύναμις οὐκ ἐν τοῖς ζώοις μόνον ἀλλὰ κἂν τοῖς φυτοῖς

Expultrix facultas pellit superflua ab una parte ad aliam.

Pedes podagricis imbecilliores.

Duplices morborum causae externae et internae

Externae morborum causae

κάταγμα ἄνευ τῶν ἔξωθεν αἰτίων

Membra fortiora pellunt superfluitates suas ad imbecilliora

τὸν ἄνθρωπον, εἶναί τε μίαν ἐλπίδα σωτηρίας, ἐὰν δυνηθῶμεν αὖθις ἐπὶ τὸ κάλλον αὐτὸς ἀναστῆσαι.

Αἱ παχύταται τῶν φλεβῶν ὧδε πεφύκασι, τέσσαρα ζεύγεά ἐστιν ἐν τῷ σώματι, καὶ ἓν μὲν δὴ αὐτέων ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος ἔξωθεν ἐπὶ τὴν ῥάχιν ἔνθεν τε καὶ ἔνθεν ἐς τὰ ἰσχία ἀφικνέεται, καὶ ἐς τὰ σκέλεα, ἔπειτα διὰ τῶν κνημέων, ἕως τῶν σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας διήκει. δεῖ οὖν τὰς φλεβοτομίας τὰς ἐπὶ τῶν ἀλγημάτων, τῶν ἐν τῷ νώτῳ, καὶ τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι, καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. αἱ δὲ ἕτεραι φλέβες ἔχουσαι τὴν ἀρχὴν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰ οὔατα διὰ τοῦ αὐχένος αἱ σφαγίτιδες καλεόμεναι, ἔσωθεν ἀπὸ τῆς κοίλης παρὰ τὴν ῥάχιν ἑκατέρωθεν φέρουσαι παρὰ τὰς ψόας, καὶ ἐς τοὺς ὄρχιας, καὶ ἐς τοὺς μηρούς, καὶ διὰ τῶν ἰγνύων ἐκ τοῦ ἔξωθεν μέρους, ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τὰ σφυρὰ τὰ ἔσωθεν, καὶ ἐς τοὺς πόδας. δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας, τὰς ἀπὸ τῶν ψοῶν, καὶ τῶν ὄρχεων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. αἱ δὲ τρίται φλέβες ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας, ἔπειτα ξυμφέρονται ἐπὶ τὸν πνεύμονα, καὶ ἀφικνέονται, ἡ μὲν ἐκ τῶν δεξιῶν ἐς τὰ ἀριστερά, ἡ δὲ ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά. καὶ ἡ μὲν δεξιὰ ἀφικνέεται καὶ ἐκ τοῦ πνεύμονος ὑπὸ τοὺς μαζοὺς καὶ ἐς τὸν σπλῆνα καὶ ἐς τὸν νεφρόν. ἡ δὲ ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά, ἐκ τοῦ πνεύμονος ὑπὸ τοὺς μαζούς, καὶ ἐς τὸ ἧπαρ, καὶ ἐς τὸν νεφρόν. τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἀμφότεραι. αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς, καὶ τῶν ὀφθαλμῶν, ὑπὸ τὸν αὐχένα καὶ τὰς κληῖδας. ἔπειτα δὲ ἀπὸ τῶν βραχιόνων ἄνωθεν ἐς τὰς ξυγκαμπάς, ἔπειτα δὲ διὰ τῶν πήχεων καὶ ἐπὶ τοὺς καρποὺς καὶ τοὺς δακτύλους, ἔπειτα ἀπὸ τῶν δακτύλων πάλιν διὰ τῶν πηχέων καὶ τῶν χειρῶν ἄνωθεν ἐς τὰς ξυγκαμπάς, καὶ διὰ βραχιόνων τοῦ κάτωθεν μέρεος ἐς τὰς μασχάλας, καὶ ἀπὸ τῶν πλευρέων ἄνωθεν. ἡ μὲν ἐς τὸν σπλῆνα ἀφικνέεται, ἡ δὲ ἐς τὸ ἧπαρ, ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι, καὶ αἱ μὲν παχύταται τῶν φλεβῶν ὧδε ἔχουσιν. εἰσὶ δὲ καὶ ἀπὸ τῆς κοίλης φλέβες ἀνὰ τὸ σῶμα πάμπολλαί τε καὶ παντοῖαι, δι' ὧν τῷ σώματι τροφαὶ ἔρχονται.

Τῶν κατὰ τὰς τέχνας ἀμφισβητουμένων, ἔνια μὲν αἴσθησις ἔνια δὲ ἀπόδειξις κρίνει. τὰ μὲν οὖν αἰσθήσει κρινόμενα, τῆς κρινούσης αἰσθήσεως ἐρρωμένης δεῖται, τὰ δ' ἀποδείξει, τοῦ λογισμοῦ γεγυμνασμένου. περὶ μὲν οὖν τῆς τῶν σιτίων πέψεως τῆς ἐν γαστρί, καὶ τῆς μετὰ ταύτην τῶν χυμῶν γενέσεως ἀναδόσεώς τε καὶ θρέψεως, ὅσα τ' ἄλλα τοιαῦτα, λογισμοῦ δεόμεθα τοῦ κρίνοντος τὰς εἰρημένας ὑπὸ τῶν παλαιῶν δόξας. εἰ δὲ τέτταρας ἔχει κοιλίας, τὰ μηρυκάζοντα ζῶα, τὰ δ' ἀμφόδοντα μίαν, αἰσθήσεως οὐκ ἀποδείξεως χρεία. ἔμπαλιν οὖν ἔχει τὸν ἔλεγχον τῶν ψευδομένων τά τε αἰσθήσει κρινόμενα, καὶ τὰ τῷ λογισμῷ. τὰ μὲν γὰρ αἰσθήσει κρινόμενα, τοῖς διαλεγομένοις πρὸς ἀλλήλους ἑτοιμοτάτην φέρει τὴν κρίσιν, ἐπὶ τὸ φαινόμενον ἐν ταῖς ἀνατομαῖς ἀφικνουμένοις. τὰ δ' ἀποδείξει, καὶ χωρὶς ἀνατομῆς κρίνεσθαι δύναται, γραφομένης τῆς ἀποδείξεως. ἐὰν οὖν τις ἀναγκάζηται διὰ γραμμάτων ἀντιλέγειν τοῖς ἀναισχυντότατά τε καὶ ἀμαθέστατα τολμήσασιν ἀποφήνασθαι περί τινος ἀνατομικοῦ θεωρήματος, αἰσθήσει τὴν κρίσιν ἔχοντος, οἱ μὴ γινώσκοντες τὸ φαινόμενον ἐν ταῖς ἀνατομαῖς, ἀδυνατοῦσι διακρίνειν ἀπὸ τῶν ἀληθευόντων τοὺς ψευδομένους. ὥσπερ γὰρ ἐάν τις λέγῃ κρήτην οὐκ εἶναι νῆσον, ὑπὸ πάντων τῶν ἀκουόντων καταγινώσκεται, διότι γινώσκουσιν αὐτὴν εἶναι νῆσον. οὕτως ἐάν τις λέγῃ τέτταρας μὲν ἔχειν τὰς κοιλίας τοὺς κύνας, μίαν δὲ τὰ μηρυκάζοντα, καταγελᾶται πρὸς τῶν ἑωρακότων ἐν μὲν τοῖς μηρυκάζουσι τέτταρας, ἐν δὲ τοῖς κυσὶ μίαν. τοῦτο δὴ τοιοῦτον, καὶ περὶ τῆς τῶν φλεβῶν ἀνατομῆς ἐστιν. οὐ γὰρ ἀποδείξεως ἡ κρίσις, ἀλλ' αἰσθήσεως δεῖται. μέχρι δ' ἂν οἱ διαφωνοῦντες ἐν τοῖς ἰδίοις χαρτίοις γράφωσιν, ἅπερ ἂν ἐθέλωσιν, ἄδηλος ἐστὶν ἡ ἀλήθεια τοῖς ἀπείροις ἀνατομῆς, εἰς τοιαύτην γοῦν ἀφιγμένοι διαφωνίαν ἡμεῖς ἐν τῷ παρόντι λόγῳ, πρὸς τοὺς τολμήσαντας εἰπεῖν ἀπὸ τῆς κεφαλῆς εἰς τὸ σῶμα τέτταρα ζεύγη φλεβῶν κατιέναι, τοῖς ἀγνοοῦσι τὰ κατὰ τὰς ἀνατομὰς οὐδεμίαν δυνάμεθα διὰ τῆς γραφῆς ἰσχυρὰν εἰπεῖν ἀπόδειξιν, ὅτι μηδὲ λογικῆς ὅλως ἀποδείξεως, ἀλλ' αἰσθήσεως μόνης ἐπιστημονικῆς ἡ κρίσις δεῖται. εἰ δὲ μή τις ἄρα τὰ περὶ κρίσεως ἱστορίας γεγραμμένα καὶ ἄλλοις μὲν τισὶν ἰατροῖς τε καὶ φιλοσόφοις, οὐχ ἥκιστα δὲ τοῖς ἐμπειρικοῖς, ἐθέλοι προχειριζόμενος κατὰ ταῦτα ποιεῖσθαι τὴν κρίσιν. ἐγὼ μὲν γὰρ οὐ φεύγω τὰ παλαιὰ κριτήρια καὶ τὴν συμφωνίαν τῶν ἱστορησάντων, καὶ μάλιστα ἂν ἔμπειρος τῆς ἱστορουμένης ὕλης εἴη, ὥσπερ Εὔδημος μὲν καὶ Ἡρόφιλος ἀνατομῆς. Κρατεύας δὲ καὶ Διοσκουρίδης τῶν μεταλλικῶν φαρμάκων. εἰ δέ τις ἐκφύγῃ τὴν κρίσιν ταύτην, οὐ μόνον ὀκτὼ φλέβας ἀδυνατήσει

δεικνύειν

διηκούσας ἀπὸ τῆς κεφαλῆς καταφερομένας, ἀλλ' οὐδὲ τρεῖς, ἢ δύο, μία γάρ ἐστι μόνη μεγίστη φλὲψ, ἣν κοίλην ὀνομάζουσιν. διὰ δὲ τῶν κυρτῶν τοῦ ἥπατος ἐκτεταμένη κατὰ τὸ τοῦ ζώου μῆκος, ὀχεῖζουσαν δηλονότι τῶν φρενῶν τὸ κάτω, καὶ τὸ ἄνω τοῦ ζώου. φέρεται δ' ἡ κοίλη φλὲψ αὕτη διὰ τῶν φρενῶν. ἄνω μὲν ἐπὶ τὴν καρδίαν, κάτω δ' ἐπὶ τὴν ῥάχιν κατὰ τὸ κυρτὸν τοῦ ἥπατος διεξερχομένη. κἄπειθ' οὕτως ἀπὸ μὲν τῆς ἄνω φερομένης ἀποφυόμεναι, φαίνονται σαφῶς ἀπὸ στελέχους αἱ ἄνω τοῦ διαφράγματος ἅπασαι φλέβες. ἀπὸ δὲ τῆς ἐπὶ τὴν ῥάχιν καμπτομένης αἱ κάτω. καὶ ταῦτα γέγραπται μὲν καὶ ὑφ' Ἱπποκράτους ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, ἡπατῖτιν ὀνομάζοντος αὐτοῦ τὴν κοίλην φλέβα. γέγραπται δὲ καὶ ὧδε καὶ πρὸς ἁπάντων τῶν ἀνατομικῶν. οὐδεὶς δ' ἄλλος ἰατρὸς εἶπεν ὀκτὼ φλέβας ἀπὸ κεφαλῆς ἐπὶ τὰ κάτω τοῦ σώματος ἥκειν, οὔτε τῶν ἧττον, οὔτε τῶν μᾶλλον ἀκριβῶς ἀνατεμνόντων, οὐ Διοκλῆς, οὐ Πραξαγόρας, οὐκ Ἐρασίστρατος, οὐ Πλειστόνικος, οὐ Φιλότιμος, οὐ Μνησίθεος, οὐ Διεύχης, οὐ Χρύσιππος, οὐκ Ἀντιγένης, ἢ Μήδειος, ἢ Εὐρυφῶν, οὐκ ἄλλος τις ἰατρὸς τῶν ἀρχαίων. τί δεῖ λέγειν ἔτι περὶ τῶν μετ' αὐτοὺς ἐπὶ πλεῖστον αὐξησάντων τὴν ἀνατομικὴν θεωρίαν; ὡς Ἡρόφιλός τε καὶ Εὔδημος, οἷς εἰς τὴν μέθοδον, οὐκέτι οὐδεὶς προσεξεῦρεν οὐδὲν, ἄχρι Μαρίνου τε καὶ Νομισιανοῦ, οὐδ' Ἡρακλειανὸς ὧ συνεγενόμην ἐπὶ τῆς Ἀλεξανδρείας οὐκ ἐν παρέργῳ. μαθηταὶ δὲ τῶν ἀνδρῶν, τῶν δὲ πολλοί τε καὶ ἄλλοι, διαπρεπέστατοι δὲ, Νομισιανοῦ μὲν ὁ διδάσκαλος ἡμῶν Πέλοψ, Μαρίνου δὲ Κόϊντος. ἀλλὰ Κόϊντος μὲν οὔτ' ἄλλο τι βιβλίον, οὔτ' ἀνατομικὸν ἔγραψε. τῶν δ' ἄλλων ἁπάντων ἀνατομικὰς ἔχομεν οὐκ ὀλίγας βίβλους. ἀλλὰ καὶ τῶν Κοΐντου μαθητῶν ἐστιν ἀνατομικὰ συγγράμματα, καθάπερ τὰ Σατύρου τε τοῦ ἡμετέρου διδασκάλου καὶ Λύκου. τούτων οὖν ἁπάντων καὶ πρὸς τούτοις ἄλλων πολλῶν ἀνατομὰς γεγραφότων, οὐδεὶς οἶδε τέτταρα ζεύγη φλεβῶν ἀπὸ τῆς κεφαλῆς ὁρμᾶσθαι. τοῦτο γὰρ ὅμοιόν ἐστι τῷ λέγειν ὀκτὼ κατὰ τὴν τῶν Ἀθηναίων πόλιν ἀκροπόλεις εἶναι, μιᾶς οὔσης μόνης. κατὰ μέν γε τὴν Ῥωμαίων πόλιν, ἐγχωρεῖ τινὰ φάναι τοὺς ᾠκισμένους λόφους ὑπάρχειν ὀκτὼ, καθάπερ καὶ ἓξ τις φήσει. παρ' ἓν γὰρ ἑκάτερος ψεύσεται. εἰ δέ τις ἀντὶ τῶν ἑπτὰ ἓν εἶναι φήσει τὸν ᾠκισμένον λόφον, ἢ ἔμπαλιν Ἀθήνησιν ἀντὶ μιᾶς ἀκροπόλεως ὀκτὼ, πολλῷ μᾶλλον ψεύσεται τοῦ παρ' ἓν τἀληθῆ εἰπόντος. διαφερομένης οὖν ἀπὸ τῶν κυρτῶν τοῦ ἥπατος εἰς τὰ τοῦ σώματος ἄνω μιᾶς φλεβὸς, ἢ κἂν ἄνωθεν ἄρξηταί τις ἀνατέμνειν οὐκ ἀναφέρεσθαι, ἀλλὰ καταφέρεσθαι λεχθήσεται, μία δ' ὡσαύτως φανεῖται. γελοιότατος αὖ εἴη τις ὀκτὼ λέγων ἄνωθεν κάτω φέρεσθαι φλέβας. εἴτε γὰρ ἄνωθεν κάτω βουληθείης λέγειν, εἴτ' ἐκ τῶν κάτω μερῶν ἄνω φέρεσθαι τὴν ἡπατῖτιν, ἢ κοίλην ὀνομαζομένην φλέβα, μία πάντως ἐστὶν αὐτὴ διὰ τῶν κυρτῶν τοῦ ἥπατος ἐκτεταμένη. εἰ μὲν οὖν ἑτέρου τινὸς εὑρέθη βιβλίον ἀνατομὴν ἔχον τοιαύτην, οὐδ' ἂν ἐποιησάμην τις ὑπὲρ αὐτοῦ λόγον, οὐδ' ἀναγνῶναι τὰ κατὰ μέρος ὑπέμεινα, ἀλλὰ τοῦτο μόνον ἀκούσας ὡς ἔστι τέσσαρα ζεύγη φλεβῶν ἐν τῷ σώματι, καταγνοὺς ὡς ἐμπλήκτου τῆς ἐπαγγελίας, ἀπεχώρησα εὐθέως. ἐπεὶ δ' Ἱπποκράτους συγγράμματι παρενέθηκέ τις τὸν λόγον, ἀναγκαῖον ἡμῖν παρέχειν ἀπολλύειν τὸν χρόνον, αὐτόν τε τοῦτον ὃν ἀναλίσκομεν ἐλέγχοντες αὐτὸν, ἔτι τε πρὸς τούτοις καθ' ὃν ἀναγινώσκομεν τὰ κακῶς ἐγγεγραμμένα. ἀπὸ τῶν ὄπισθεν τῆς κεφαλῆς φησὶ ζεῦγός τι φλεβῶν ὡρμῆσθαι, φέρεσθαι διὰ τοῦ αὐχένος, εἶτ' ἐκ τῶν ἔξω μερῶν περὶ τὴν ῥάχιν ἀφικνούμενον ἐπὶ τὰ ἰσχία. τοὐντεῦθεν δὲ διὰ τῆς κνήμης ἐπὶ τὰ τῶν σφυρῶν ἔξω παραγίνεται. ἕτερον δ' ἄλλο ζεῦγος, ἄρχεται μὲν φησὶν ἐκ τῶν περὶ τὰ ὦτα χωρίων, κατέρχεται δὲ διὰ τοῦ τραχήλου, τῶν σφαγιτίδων ὀνομαζομένων φλεβῶν. εἶθ' ὥσπερ τὸ πρότερον ζεῦγος ἐκ τῶν ἔξω μερῶν περὶ τὴν ῥάχιν, οὕτως ἐκ τῶν ἔνδον τοῦτο πρός τε τοὺς ὄρχεις καὶ τοὺς μηροὺς ἥκει. κἄπειτα διὰ τῶν ἰγνύων, ἐπὶ τὰ τῶν σφυρῶν ἔνδον ἀφικνεῖται. τίς ἀνάσχοιτο ταῦτα ἀκούων ἡμέρᾳ μιᾷ τεθεαμένος ἀνατομὰς ζώου; πολλὰ μὲν γάρ ἐστι καὶ δυσδιάκριτα θεωρήματα κατὰ τὰς ἀνατομὰς, ὑπὲρ ὧν εἰκὸς ἀγνοεῖν τινὰ τῶν μὴ πάνυ τετριμμένων ἐν τῷ πράγματι, καὶ διὰ τοῦτο διαφωνία γέγονεν ἐπ' αὐτῶν. τὸ δὲ τῆς μεγίστης φλεβὸς οὕτως ἐστὶ πρόδηλον, ὡς μή τέ τινα λαθεῖν δύνασθαι τῶν δυνηθέντων ἐξ ἀνατομῆς τι μαθεῖν. ὁμολογηταί τε πᾶσιν ἄχρι τοῦ καὶ τοὺς ποιητὰς αὐτοὺς γινώσκειν. Ὅμηρος γοῦν φησίν. ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν, Ἥτ' ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει. μίαν οὖν αὐτὴν οἶδας, ὥσπερ οὖν καὶ ἔστιν, οὐ τέσσαρας. ἔξωθεν μὲν τῆς ῥάχεως δύο. δύο δὲ κατὰ τὸν αὐτῶν τρόπον ἐκείναις, παρατεταμένας ἑκατέρωθι τῇ ῥάχει ἄλλας. ἀλλὰ τὰς μὲν τέσσαρας ὡς ὁ διαπλάσας τὴν ἐνταῦθα γεγραμμένην ἀνατομὴν ἔγραψεν, οὐδὲν ἔχει ζῷον. ἀπὸ δὲ τῆς μιᾶς φλεβὸς τῆς μεγίστης, ἀποφύσεις γίνονται καθ' ὅλων τῶν μεταξὺ τῶν τοῦ νωτιαίου περάτων ὡς Ἱπποκράτης ἔγραψεν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, τό τ' ἄνω πρὸς ταῖς κλεισὶ πέρας αὐτῆς, καὶ τὸ κάτω πρὸς τῷ ἱερῷ ὀστέῳ. καὶ τὸ μὲν εἰς τὰς σφαγίτιδας φλέβας σχίζεται, τὸ δ' εἰς τὰ σκέλη φερομένας. πῶς οὖν ὁ τοῦτο τὸ δεύτερον ζεῦγος γράψας, δύο διαμενούσας τὰς σφαγίτιδας φλέβας οἴεται παρὰ τὴν ῥάχιν ἐκ τῶν ἔνδον μερῶν ἐπὶ τὰ σκέλη φέρεσθαι; πῶς δ' ἐπὶ τὰ τῶν σφυρῶν ἔνδον ἥκειν; μιᾶς καὶ μόνης φλεβὸς εἰς ἑκάτερον τῶν σκελῶν ἀφικνουμένης, οὐκ ἄλλης μέν τινος ἔνδον τῶν σφυρῶν, ἄλλης δ' ἔξωθεν, ἀλλὰ τῆς αὐτῆς εἰσιν ἀποβλαστήματα. ἔτι δὲ τούτων ἐστὶ γελοιότερον τὸ τρίτον ζεῦγος τῶν φλεβῶν, ἃς ἐκ τῶν κροτάφων ὁρμηθείσας φέρεσθαι φησὶ διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας εἰς τὸν πνεύμονα. κἄπειτ' ἐντεῦθεν ὑπαλλαττούσας τὸ κατ' εὐθὺ τῆς φορᾶς ἐκτρέπεσθαι πρὸς τὰ πλάγια, τὴν μὲν ἐκ τῶν δεξιῶν μερῶν ἐπὶ τὰ ἀριστερὰ μετερχομένην, εἶθ' ὑπὸ τὸν μαζὸν, ἐπί τε τὸν σπλῆνα, καὶ τὸν ἀριστερὸν ἀφικνουμένην νεφρόν. τὴν δ' ἐκ τῶν ἀριστερῶν μερῶν ὑπὸ τὸν δεξιὸν νεφρὸν, ἀμφοτέρας δ' αὐτὰς εἰς τὸν ἀρχὸν τελευτᾶν. ἀλλὰ καὶ ὁ ἀρχὸς, ὦ βέλτιστε, φαίη ἄν τις εἰκότως πρὸς τὸν ταῦτα γράψαντα, παρὰ τῆς ἀπ' ὀσφύϊ κοίλης ἀποφύσεις λαμβάνει, κατ' ἐκεῖνον τὸν τόπον, ἔνθα καὶ τὰς εἰς ἑκάτερον μέρος ἀποφυομένας τῆς κοίλης, ὥσπερ τινὰς κλάδους μεγάλους ἐπὶ τὰ σκέλη φέρεσθαι. τῷ δὲ πνεύμονι, τίς ἀγνοεῖ μὴ ὅτι τῶν ἰατρῶν, ἀλλὰ καὶ τῶν μαγείρων, ἀπὸ καρδίας χορηγούμενον αἷμα διὰ μιᾶς φλεβὸς, ἧς καρδίας οὐδαμόθι μέμνηται κατὰ τὸν λόγον ὁ τὸ τρίτον ζεῦγος αὐτὸ πλάσας. ἀλλ' ἣν ἔνιοι τῶν ἀνατομικῶν ἀνδρῶν ἀρχὴν εἶναι φασὶν τῶν καθ' ὅλον τὸ σῶμα φλεβῶν, ταύτην ἡ προκειμένη ῥῆσις, οὐδεμίαν οὐδὲν ἔχουσαν φλέβα. καὶ γὰρ οὖν καὶ τὸ τέταρτον ζεῦγος ἄρχεσθαι μὲν ἀπό τε τῶν πρόσω τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ἔφη-

σιν, ὑπὸ δὲ τὸν αὐχένα καὶ τὰς κλεῖς ἐνεχθεῖσαν αὐτὰς, ἐπιβαίνειν τῷ βραχίονι καθ᾽ ἑτέραν δηλονότι χεῖρα μίαν. εἶτ᾽
ἐκ τῶν ἄνω μερῶν ἐπὶ τοὺς δακτύλους ἐνεχθείσας, αὖθις ἀναφέρεσθαι διὰ τῆς ὅλης χειρὸς ἄχρι τὴν μασχάλην, ἐντεῦ-
θεν τε διὰ τῶν πλευρῶν ἰέναι. τὴν μὲν ἑτέραν ἐπὶ τὸ ἧπαρ, τὴν δ᾽ ἑτέραν, ἐπὶ τὸν σπλῆνα, κἄπειτα φερομέ-
νας ὑπὲρ τῆς γαστρὸς εἰς τὸ αἰδοῖον ἀμφοτέρας τελευτᾶν, ὥστε οὐδ᾽ αὗται διδόασι τι τῇ καρδίᾳ μέρος. πῶς οὖν
εἰς τέλος ἐπελάθετο τηλικούτου σπλάγχνου τῆς καρδίας ὁ ταῦτα διαπλάττων ὡς καινὸς ὢν τις Προμηθεύς; οὐ
μὴν οὐδ᾽ ἐγκεφάλου μνήμην ἐποιήσατο. δῆλον γοῦν, ὅτι καὶ οὗτος ἀτιμότερος ἦν τῶν σφυρῶν. ὑπὲρ ἅπασαν δὲ τὴν
φλότητα τὸ κατὰ τοὺς νεφροὺς ἐστὶν, ἐφ᾽ οὓς ἀπὸ τῆς κοίλης μέγισται φέρονται φλέβες, ἃς παραλιπὼν ἀναπλάττει
τινὰς ἀπὸ τοῦ πνεύμονος ἐπ᾽ αὐτοὺς φέρεσθαι. δῆλον οὖν ἐστιν ἐξ ἁπάντων, οὐχ ὥσπερ ἔνιοι τῶν ἀνατεμνόντων πα-
ρεῖδόν τινα, καὶ αὐτὸς οὗτος παρεωρακὼς, ἀλλ᾽ ὅλως οὐδὲν ἑωρακώς. ὁ γοῦν τὰ μέγιστα μὴ βλέπων, οὐ παραβλέπειν,
ἀλλ᾽ ὅλως οὐ βλέπειν ἀληθῶς ἂν λέγοιτο. ὅτι μὲν οὖν ἐνυπνίοις μεθυόντων ἔοικεν ὁ περὶ τῶν ἀπὸ τῆς κεφαλῆς εἰς ὅλον
τὸ σῶμα καταφερομένων φλεβῶν λόγος, οὐδεὶς ἀγνοεῖ τῶν ὅλως ἐπιχειρησάντων τι θεάσασθαι κατὰ τὰς ἀνατο-
μάς. ἄλλας μὲν γάρ τινας μικρὰς παρῶφθαι τοῖς ἀνατεμνομένοις εἰκὸς, οὐ μὴν ἔγραψέ τις ἄλλην ἄλλως, οὐδὲ παρέ-
λιπε τὰ καὶ τοῖς τυφλοῖς δυνάμενα γενέσθαι γνώριμα, τοὺς δακτύλους τῆς χειρὸς ἐπιβάλλουσι. μία γοῦν ἐστι
φλὲψ δι᾽ ἧς ἐξ ἥπατος εἰς ὅλον τὸ σῶμα φέρεται τὸ αἷμα, καθάπερ ἀπὸ στελέχους κλάδων πολλῶν, ἀποφυομένων
ἀπ᾽ αὐτῆς φλεβῶν σμικρῶν, αἳ διανέμουσιν αὐτὸ τοῖς τοῦ ζώου μορίοις ἅπασιν. εἰ μὲν οὖν ποταμῷ παρεικά-
σαις τὸ κατὰ τὴν κοίλην αἷμα, τὸ δ᾽ ἀπ᾽ αὐτῆς φερόμενον εἰς τὰ μόρια τοῦ σώματος ὀχετῷ, οὐδ᾽ οὕτως ψευσθήσῃ
τοῦ εἰκότος. ἀλλ᾽ εἴτε ποταμῷ προσεοικέναι φαίη τις, εἴτε πρέμνῳ τὴν μεγάλην φλέβα, τό γε μίαν αὐτὴν εἶναι πᾶ-
σι τοῖς ἰατροῖς ὡμολόγηται, πλὴν τούτου τολμηρότατα προσγράψαντος τῷ βιβλίῳ τούτῳ τὰ τέσσαρα ζεύγη.
πρὸς γοῦν τοῖς ἄλλοις ὥσπερ τὴν καρδίαν ἀμνημόνευτον εἴασεν, οὕτω καὶ αὐτὴν τὴν κοίλην φλέβα. καίτοι τῶν
γε σφαγιτίδων μνημονεύσας εἰς ἃς αὕτη σχίζεται κατὰ τὸ τοῦ θώρακος ἀνώτερον. ὅσον γάρ ἐστι μεταξὺ τούτου τε
τοῦ χωρίου, καὶ τοῦ τῆς ῥάχεως πέρατος, ἡ μεγάλη φλὲψ αὐτὸ κατείληφεν, ἀποφύουσα φλέβας ἑκατέρωθεν. σχίζεται
δὲ διχῇ, καθ᾽ ἑκάτερον τῶν περάτων καὶ τῶν μορίων αὐτῆς. ἄνω μὲν γὰρ διὰ τοῦ τραχήλου φέρονται μέγισται φλέβες,
αἳ σφαγίτιδες ὀνομάζονται. κάτω δὲ ἐφ᾽ ἑκάτερον σκέλος, ὡς εἴρηται μία μὲν μεγίστη δὲ φλέψ. τῶν δὲ διὰ τοῦ τραχή-
λου φερομένων, αἳ καλοῦνται σφαγίτιδες ἐν τῷ δευτέρῳ ζεύγει μνημονεύσας ὁ νέος οὗτος Προμηθεὺς, ἄγνοιαν καὶ
τόλμαν ἐπεδείξατο μεγίστην, οὐδαμόθι τῆς κοίλης φλεβὸς σχιζομένης ἐξ ἧς αὗται γεννῶνται μνημονεύσας. ἐχρῆν γοῦν
εἴπερ ἑωράκει τι σμικρὸν ἐν ταῖς ἀνατομαῖς, ἐν τούτῳ ἀλλήλαις φάναι τὰς σφαγίτιδας ἰούσας, μίαν ἀποτε-
λεῖν φλέβα τὴν ἡπατῖτιν, ἢ κοίλην, ἢ ὅπως ἄν τις ἑτέρως ὀνομάζειν ἐθέλει νῦν. εἰ δ᾽ ὡς δύο μενουσῶν αὐτῶν ὁ λό-
γος αὐτῷ γέγραπται, φάσκοντι διὰ τῶν ἔνδον μερῶν παρὰ τὴν ῥάχιν ἄχρι τῶν σφυρῶν ἔσω καταφέρεσθαι. τί
ἂν οὖν ἔτι μνημονεύσῃ τις τῶν μετὰ τέτταρα ζεύγη γεγραμμένων φλεβῶν; ἃς ἀπὸ τῆς κοίλης ἀναφέρειν εἰς ὅλον
τὸ σῶμα τὴν τροφὴν ἡγεῖται, ὥσπερ τῶν εἰρημένων τεττάρων ζευγῶν, ἄλλου τινὸς ἕνεκεν ὑπὸ τῆς φύσεως γεγονό-
των, ἀλλ᾽ οὐχὶ μίαν ἁπασῶν φλεβῶν ἐχουσῶν χρείαν κοινὴν, ἀναφέρειν ἐξ ἥπατος ἅπασι τοῖς τοῦ ζώου μέρεσι αἷμα.
τῶν δ᾽ ἐκ τῆς κοιλίας, καὶ τῶν ἐντέρων ἀνακομιζουσῶν εἰς ἧπαρ τι ἐκ τῶν ἐδεσμάτων χυλὸν, οὐδεμία προσωτέρω τοῦ
ἥπατος ἀνέρχεται, ἀλλ᾽ οὐδὲ κατὰ πολλοὺς τοῦ ἥπατος τόπους φαίνονται. καίτοι πάμπολλαι τὸν ἀριθμὸν οὖσαι
καθ᾽ ἃ τῇ γαστρὶ καὶ τοῖς ἄλλοις ἐντέροις ὁμιλοῦσιν, ἀλλ᾽ εἰς ἕνα τόπον, ὃν ὀνομάζουσι πύλας ἥπατος, ἀφικνοῦνται
δὲ πᾶσαι. τοῦ θεμένου πρώτου, πύλας ὄνομα τῷ χωρίῳ τούτῳ, πόλει μὲν ἢ οἰκίᾳ τινὶ μεγάλῃ τὸ ἧπαρ παρεικά-
σαντος. ἀγροῖς δὲ τά τε ἔντερα, καὶ τὴν κοιλίαν, ἐξ ὧν ὥσπερ δι᾽ ὁδῶν τινῶν, πολλῶν τῶν φλεβῶν εἰς τὰς πύλας τῆς
πόλεως, ἢ τῆς οἰκίας κομίζεται τὰ σιτία. ληρεῖ τοίνυν ὁ νέος Προμηθεὺς, ἐν ᾧ διαπλάττει ζώῳ κατὰ τὸν ἑαυτοῦ λόγον.
οὐ γὰρ δὴ τοῖς ἔργοις γε διέπλασέ τις ζῷον, ἐν ᾧ φλέβες ἐκ τῆς κοιλίας καὶ τῶν ἐντέρων, εἰς ὅλον ἀναφέρουσι τὸ σῶμα
τὴν τροφήν. εἰς ἕνα γὰρ ἀφικνοῦνται τόπον ἅπασαι, τὰς πύλας τοῦ ἥπατος. ἐντεῦθεν τε πάλιν αἱ κατὰ τὸ σπλάγ-
χνον ὑποδεχόμεναι φλέβες τὴν ἀνενεχθεῖσαν τροφὴν εἰς τὴν κοίλην φλέβα παράγουσιν, ἐξ ἧς, ὡς ἔφην ὀλίγον ἔμ-
προσθεν, εἰς ὅλον τὸ σῶμα διανέμεται τὸ αἷμα.

Φέρουσι δὲ καὶ ἀπὸ τῶν παχειῶν φλεβῶν, εἰς τὴν κοιλίην καὶ ἐς τὸ ἄλλο σῶμα, καὶ ἀπὸ
τῶν ἐξωτάτω ἐς τὸ ἔσω, καὶ ἐς ἀλλήλας διδόασιν αἵ τε εἴσωθεν ἔξω, καὶ αἱ ἔξωθεν εἴσω.

Ἤρκει μὲν τῷ νέῳ Προμηθεῖ τὰ τέτταρα ζεύγη τῶν φλεβῶν, οὐ μὴν ἠρκέσθη γε αὐτοῖς, ἀλλ᾽ ὑπ᾽ ἀπληστίας ἠσχημόνησε,
προσθεὶς αὐτοῖς τὰς ἐκ τῆς κοίλης φερούσας τὴν τροφὴν εἰς τὸ σῶμα. νυνὶ δ᾽ αὖθις ἐπήνεγκε τῷ λόγῳ τὸν κολο-
φῶνα περὶ τῆς κοινωνίας τῶν φλεβῶν εἰπὼν ἀληθές. οὐδεμία γὰρ τῶν ἀπὸ τῆς κοίλης ἀποπεφυκυιῶν φλεβῶν, ἃς πα-
χείας ὠνόμασεν, εἰς ἕτερα ζεύγη διανενεμημένη εἰς κοιλίαν, ἢ ἔντερα φαίνεται καταπεφυκυῖα. καθάπερ γοῦν ἄχρι
τῆς νῦν εἰρημένης ἀνατομῆς οὐδὲν ὅλως οὐδ᾽ ἄχρι ῥήματος ἑνὸς ἀληθὲς εἶπεν ὁ πλάστης αὐτῶν, οὕτως ἄχρι τῆς κατὰ
τὸ δεύτερον τῶν ἐπιδημιῶν οὐδὲν ὅλως ὁ Ἱπποκράτης ἐψεύσατο. παραφρονοῦσιν οὖν ὅσοι οὐδ᾽ ὄναρ ἀνατο-
μῆς ἁψάμενοι, τῶν Ἱπποκράτους βιβλίων ἐξηγήσεις ἐπιχειροῦσι ποιεῖσθαι. καὶ μάλιστ᾽ αὐτῶν, οἱ καλοῦντες ἑαυ-
τοὺς Ἱπποκρατείους, ἑνὸς ἀνδρὸς ἡγούμενοι καὶ τοῦτον εἶναι τὸν λῆρον ἅπαντα τῆς τῶν φλεβῶν ἀνατομῆς, καὶ τὴν
ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἀκρίβειαν. εἰ μὲν γὰρ ἐπεξεύρηταί τι κατὰ τὸ ἕτερον αὐτῶν, ἐγχωρεῖ τὸν αὐτὸν
ἄνδρα τοῦ χρόνου προϊόντος ἑαυτοῦ βελτίονα γινόμενον, ἐφ᾽ οἷς ἔμπροσθεν εἰρήκει καλῶς ἕτερα προσθεῖναι. ἐπεὶ
δὲ ὁ μὲν Ἱπποκράτης αὐτὸς ἀκριβῶς φαίνεται γράψας, οὐ μόνα τὰ σαφῶς ὁρώμενα πᾶσιν, ἀλλὰ καὶ τὰ δυσθεώ-
ρητα, μὴ βλέπων δὲ καὶ ὁ τὴν ἐνθάδε συνθεὶς ἀνατομὴν, ἃ καὶ ψηλαφῶν αὖ τις εὕροι, πῶς ἐγχωρεῖ φάναι τὸν
αὐτὸν ἀμφότερα γεγραφέναι. κατά τι δ᾽ εὔλογον, ὅλον ἀναπληρώσας τὸν περὶ τῶν στοιχείων τοῦ ἀνθρώπου λόγον,
ἐφεξῆς αὐτῶν συνῆψε, τὸν περὶ τῶν φλεβῶν. ἢ γὰρ πᾶσαν ἐχρῆν τὴν ἀνατομὴν γράφειν, ἢ μηδὲ τὴν περὶ τῶν
φλεβῶν.

φλεβῶν. ὑποτυπώσεσι μὲν γὰρ ἃς ἑαυτοῖς ἀναμνήσεως ἕνεκα γράφομεν, οἰκεῖον ἐστὶν ὅτε τοιαύτη ποικίλα θεωρημάτων γίνεται. συγγράμματι δὲ οὐδαμῶς ἐστὶν οἰκεῖον ὑπὸ πεπληρωμένῃ τῇ προτέρᾳ διδασκαλίᾳ, μόριον τι τῆς δευτέρας προσγράψαι. κἄπειτα ταύτην καταλιπόντα, μικρὸν ὕστερον ἄλλό τι γράφειν, εἶτ' αὖθις ἄλλο, καθάπερ ἐν τούτοις τοῖς ὑπομνήμασιν ἐν τῷ περὶ φύσιος ἀνθρώπου.

Τὰς οὖν φλεβοτομίας ποιέεσθαι κατὰ τούτους τοὺς λόγους.

Οὓς αὐτὸς προείρηκε δηλονότι, τῷ μὲν πρώτῳ ζεύγει τῶν φλεβῶν ἐν τῇ τελευτῇ προσθεὶς, κατὰ λέξιν ταυτί. δεῖ οὖν τὰς φλεβοτομίας ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ, καὶ ἐν τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι, καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. τῷ δὲ δευτέρῳ ζεύγει ταυτὶ προσγράψας. δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὄρχεων, ἀπὸ τῶν ἰγνύων, καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. ἐπὶ δὲ τοῦ τρίτου καὶ τετάρτου ζεύγους οὐδὲν προσέθηκε περὶ φλεβοτομίας, ὥστε καὶ κατ' αὐτὰ τὸν λόγον ἐλλιπῆ πεποίηκε, πολλὰ μόρια τοῦ σώματος παραλιπὼν, ἐφ' ὧν ἐχρῆν εἰρηκέναι τὰς τμηθησομένας φλέβας. ἀλλὰ ὥσπερ τῆς ὅλης ἀνατομῆς βραχύ τι μόριον ἀπὸ παντὸς ἔγραψεν, οὕτως καὶ τοὺς περὶ φλεβοτομίας λόγους.

Ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς ὡς προσωτάτω τέμνειν ἀπὸ τῶν χωρίων ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκασιν γίνεσθαι, καὶ τὸ αἷμα συλλέγεσθαι. οὕτω γὰρ ἂν ἥκιστα ἥτε μεταβολὴ γίγνοιτο μεγάλη ἐξαπίνης, καὶ τὸ ἔθος μεταστήσαις ἂν, ὥστε μηκέτι εἰς τὸ αὐτὸ χωρίον συλλέγεσθαι.

Ὅτι μὲν τομὰς εἴρηκε τῶν φλεβῶν, ἃς ἐν συνθέτῳ προσηγορίᾳ φλεβοτομίας ὀνομάζομεν, ὀρθῶς ἤκουσαν οἱ ἐξηγηταὶ, καὶ γὰρ ὁμολογοῦσι πάντες τοῦτο. ὅτι δὲ οὐ διωρίσατο, πότερον ὀδυνωμένων ἤδη τῶν μορίων, ἀξιοῖ πόῤῥω τὴν ἀντίσπασιν γίνεσθαι τῶν ἐπιῤῥεόντων χυμῶν, ἢ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐν τούτῳ μέμψαιτ' ἄν τις αὐτῷ. ἐμοὶ δ' οὖν δοκεῖ μᾶλλον ἐπὶ τῶν ὑγιαινόντων εἰρῆσθαι, βουλομένου τοῦ γράψαντος ταῦτα προσεθίζειν, εἰς ἄλλα μόρια φέρεσθαι τοὺς πλεονάζοντας χυμούς.

Ὁκόσοι πύον πολλὸν πτύουσιν ἄτερ πυρετοῦ ἐόντες, καὶ ὁκόσοισιν ὑπὸ τὸ οὖρον πύον ὑφίσταται πολλὸν ἄτερ ὀδύνης ἐοῦσιν, καὶ ὁκόσοισι τὰ ὑποχωρήματα αἱματώδεα, ὥσπερ ἐν τῇσι δυσεντερίῃσι, καὶ χρόνια ἂν νέοισιν ἐοῦσι πέντε καὶ τριάκοντα ἐτέων, καὶ γεραιτέροισι, τουτέοισι πᾶσιν ἀπὸ ταὐτομάτου τὰ νοσήματα γίνεται. ἀνάγκη γὰρ τουτέους ταλαιπώρους γίνεσθαι καὶ φιλοπόνους τῷ σώματι, καὶ ἐργάτας νεανίσκους ἐόντας. ἔπειτα δ' ἐξαναπαυθέντας τῶν πόνων σαρκωθῆναι μαλθακῇ σαρκὶ, καὶ πολὺ διαφερούσῃ τῆς προτέρης, καὶ πολλὸν διακεκριμένον ἔχειν τὸ σῶμα, τό τε προϋπάρχον, καὶ τὸ ἐπιτραφὲν, ὥστε μὴ ὁμολογεῖν. ὁκόταν οὖν νουσήματι καταληφθῇ τοὺς οὕτω διακειμένους, τότε μὲν παραχρῆμα διαφεύγουσιν. ὕστερον δὲ μετὰ τὴν νοῦσον, χρόνῳ τήκεται τὸ σῶμα, καὶ ῥέει διὰ τῶν φλεβῶν, ᾗ ἂν εὐρυχωρίη μάλιστα τύχῃ ἰχωροειδές. ἢν μὲν οὖν ὁρμήσῃ ἐς τὴν κοιλίην τὴν κάτω σχεδὸν τι οἷόν περ ἐν τῷ σώματι ἐνέῃ, τοιοῦτον καὶ τὸ διαχώρημα γίνεται. ἅτε γὰρ τῆς ὁδοῦ κατάντεος ἐούσης, οὐχ ἵσταται πολλὸν χρόνον ἐν τῷ ἐντέρῳ. ὁκόσοισι δ' ἂν ἐς τὸ στῆθος ἐσρυῇ, ὑπόπυοι γίνονται, ἅτε τῆς καθάρσεως ἀνάντεος ἐούσης, καὶ χρόνον ἐναυλιζόμενον πολλὸν, ἐν τῷ στήθει κατασήπεται καὶ γίνεται πυοειδές. ὁκόσοισι δ' ἂν ἐς τὴν κύστιν ἐξερεύγηται ὑπὸ τῆς θερμότητος, τουτέου τοῦ χωρίου λευκὸν γίνεται, καὶ διακρίνεται, καὶ τὸ μὲν ἀραιότατον ὑφίσταται ἄνω, τὸ δὲ παχύτατον κάτω, ὃ δὴ πύον καλεῖται.

Τὰ μὲν εἰρημένα κατὰ τὴν προκειμένην ῥῆσιν ἅπαντ' ἐστὶ σαφῆ, καὶ δεῖται τοῦ προσέχοντος αὐτοῖς τὸν νοῦν, οὐκ ἐξηγητοῦ σαφηνίζοντος. εἰ δ' ἀληθῆ πάντ' ἐστὶ, βασανίζειν χρὴ, τὸ μὲν τῇ πείρᾳ, τὸ δὲ τῷ λόγῳ. τῇ πείρᾳ μὲν, εἰ χωρὶς τοῦ πυρέξαι τινὲς ὤφθησαν, ἢ ἀποπτύοντες πύον, ἢ τοῖς οὔροις ἐκκρίνοντές τι. ἔτι δὲ πρὸς τούτοις, εἰ ταλαιπωρούντες ἐν τῷ πρόσθεν βίῳ, νῦν ἐπαύσαντο χρόνῳ συχνῷ, καὶ εἰ νοσήσαντες μὲν ὅτι διεσώθησαν. ὕστερον δ' αὐτοῖς αἱ εἰρημέναι πυώδεις ἐκκρίσεις ἐπιγίγνονται. ταῦτα μὲν οὖν τῇ πείρᾳ κρίνεσθαι χρή. τῷ λόγῳ δὲ τὴν αἰτίαν, ὑφ' ἧς γίνεσθαι φησὶν ὁ γράψας αὐτὰς, πότερον ἀληθὴς, ἢ ψευδής ἐστιν. ὅτι μὲν οὖν οὐκ ἔχει τὸ ἐξ ἀνάγκης τὰ εἰρημένα πρὸς αὐτοῦ, πρόδηλον ἐστὶ τοῖς γεγυμνασμένοις ἐν ἀποδεικτικαῖς μεθόδοις. εἰ δὲ τὸ πιθανὸν γοῦν ἔχει, κατ' ἑαυτὸν ἕκαστος σκοπείσθω. κινδυνεύει γὰρ ἐν τῷ πρός τι τὸ πιθανὸν εἶναι. περὶ μὲν οὖν τῶν διὰ πείρας φαινομένων ἔχοιμι ἂν σοι κἀγὼ φάναι τόγε τοσοῦτον, ὡς αἱματώδεις μὲν ἐκκρίσεις διὰ γαστρὸς εἶδον οὐκ ὀλίγας γινομένας τισὶ τῶν καταλυσάντων ἔθος γυμνασίων σφοδρῶν, οὐδεμίαν δὲ ἔκκρισιν πυώδη. μυξώδη μέντοι πολλάκις ἐκ περιόδων τινῶν ἀτάκτων τε καὶ τεταγμένων, οὐρούμενά τε καὶ διὰ γαστρὸς ἐκκρινόμενα τούτοις ἐθεασάμην, ὥσπερ γε καὶ πτύσματα, πέπονα μὲν, οὐ μὴν πυώδη γε.

Γίνονται δὲ καὶ λίθοι τοῖσι παιδίοισι, διὰ τὴν θερμότητα τοῦ χωρίου τε τουτέου, καὶ τοῦ ὅλου σώματος, τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι διὰ τὴν ψυχρότητα τοῦ σώματος.

Τοῦ χωρίου δηλονότι τῆς κύστεως, ὑπὲρ ἧς κατὰ τὴν τελευτὴν τῆς προτέρας ῥήσεως οὕτως ἔγραψεν. ὁκόσοισι δ' αὖ τὴν κύστιν ἐξορθώγκωται ἀπὸ τῆς θερμότητος, τουτέου τοῦ χωρίου λίθιον γίνεται. τοῖς οὖν παιδίοις φησὶ τοὺς λίθους γίνεσθαι διὰ τὴν θερμότητα, τῆς τε κύστεως καὶ ὅλου τοῦ σώματος, εἶτα ὑποφέρων ὁρᾶν περὶ τῆς θερμότητος τῶν παιδίων.

Εὖ γὰρ χρὴ εἰδέναι ὅτι ὁ ἄνθρωπος τῇ πρώτῃ τῶν ἡμερέων θερμότατός ἐστιν αὐτὸς ἑωυτοῦ, τῇ δ' ὑστάτῃ ψυχρότατος.

Ἁπλῶς τῶν λεγόντων θερμότατον ἄνευ διορισμοῦ τῇ πρώτῃ τῶν ἡμερῶν εἶναι τὸν ἄνθρωπον, οὐκ ἀληθὴς ὁ λόγος ἐστὶ, μετὰ διορισμοῦ δ' ἀληθής. θερμότατος γὰρ ἂν γε ῥηθῇ τῷ ἐμφύτῳ. τοῦτο γάρ ἐστι πλεῖστον τοῖς παιδίοις. ὁ δὲ γράψας τὴν προκειμένην ῥῆσιν, αὐτὸ τὸ κυριώτατον ἐν τῷ λόγῳ παρακήκοεν, ὡς διὰ τῆς ἐπομένης ῥήσεως ἔσται δῆλον. εὑρεθήσεται γὰρ οὐχ ὡς Ἱπποκράτης τὰ αὐξανόμενα πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν ἔφη, καὶ αὐτὸς οὕτως γινώσκων. ἀλλ' ἄνευ τοῦ ἐμφύτου ἡγούμενος ἁπλῶς εἶναι θερμὰ τὰ αὐξανόμενα.

Ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην, θερμὸν εἶναι.

Ἱπποκράτους εἰπόντος τὰ αὐξανόμενα πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμόν. οὗτος ἔοικεν ἁπλῶς ἀκηκοέναι θερμὸν εἶναι τοῖς αὐξανομένοις τὸ σῶμα, μὴ προσκειμένου τῷ λόγῳ τὸ ἔμφυτον. χωροῦν γὰρ αὐτὸ φησὶ πρὸς βίαν θερμὸν γίνεσθαι. τὸ δὲ πρὸς βίην χωρεῖν, τοιόνδε τι βούλεται δηλοῦν. ἔργον αὐτῷ δοκεῖ βίαιον τι καὶ ἰσχυρὸν ἡ αὔξησις εἶναι. ὥσπερ οὖν τἆλλα τῶν ἰσχυρῶν ἔργων ἐκθερμαίνει τοὺς ἐνεργοῦντας, οὕτω καὶ ἡ αὔξησις, ἀλλ' ἔμπαλιν γε ἐχρῆν αὐτὸν εἰρηκέναι. διὰ τὸ ἔμφυτον θερμὸν αὔξεσθαι τοὺς παῖδας, οὐ διὰ τὴν αὔξησιν γίνεσθαι θερμούς. τὸ γὰρ ἔμφυτον θερμὸν, οὐ μόνον εὔκρατον θερμὸν, ἀλλὰ καὶ ὑγρόν. εἰκότως οὖν αὔξεται τὰ τοιαῦτα σώματα. διατεινόμενα γὰρ εἰς τὰς τρεῖς διαστάσεις οἱονεὶ καὶ διαφυσώμενα, τὴν εἰς ἁπάσας αὐτὰς ἐπίδοσιν λαμβάνει. διατείνει μὲν οὖν ἡ φύσις αὐτὰ ταύτῃ, πρὸς τοῦτο ὀργάνῳ συμφύτῳ χρωμένη τῷ θερμῷ. διατείνεται γὰρ ἑτοίμως, διὰ τὴν ὑγρότητα. τά γε μὴν πολλὰ τῶν παίδων ἀδδηφαγοῦντα πλεῖστον, ἀθροίζει τὸν ἰδίως ὀνομαζόμενον ὠμὸν χυμὸν, ἐξ οὗ ῥᾳδίως ὁ λίθος γεννᾶται. τοῦτο μὲν ὕλης ἔχοντος λόγον, ἐξ οὗ ὁ λίθος γεννᾶται, ποιητικοῦ δὲ αἰτίου τῆς θερμασίας.

Ὁκόταν δ' ἄρξηται μαραίνεσθαι τὸ σῶμα καταῤῥέον πρὸς εὐπετείην, ψυχρότερον γίνεται.

Κἀνταῦθα πάλιν ὅτε δὲ μηδὲν αὔξεται τὸ σῶμα τοῖς παρακμάζουσι, διὰ τὴν ἀργίαν αὐτὸ φησὶ γίνεσθαι ψυχρότερον, ἔμπαλιν δὲ ἄμεινον αἰτιολογεῖν. ἐλάττονος γὰρ αὐτῷ γινομένου τοῦ ἐμφύτου θερμοῦ, καὶ αὔξησις ἐπαύσατο. σαφέστερον δὲ τὴν ἑαυτοῦ γνώμην ἐδήλωσεν ὁ γράψας ταῦτα διὰ τῆς ἐχομένης ῥήσεως.

Καὶ κατὰ τοῦτον τὸν λόγον ὁκόσον τῇ προτέρῃ τῶν ἡμερέων πλεῖστον αὔξεται ἄνθρωπος, τοσοῦτον θερμότατος γίνεται. καὶ τῇ ὑστάτῃ τῶν ἡμερέων ὁκόσον πλεῖστον καταμαραίνεται, τοσοῦτον ψυχρότερον ἀνάγκη εἶναι.

Ὀρθῶς οὖν ἡμεῖς ἐξηγησάμεθα τὴν προκειμένην ῥῆσιν, ἐν ᾗ φησίν. ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην, θερμὸν εἶναι. ἐχρῆν γὰρ ἔμπροσθεν αὐτὸν εἰπεῖν, διὰ τὸ ἔμφυτον θερμὸν αὔξεσθαι τὸ αὐξανόμενον. ἀλλ' οὐ διὰ τὴν αὔξησιν γίνεσθαι θερμόν. ἀνάλογον δὴ τούτῳ κἀπὶ τῶν παρακμαζόντων, ἐπεὶ μηκέτι αὔξεται ψυχρὸν αὐτὸ νομίζειν γίνεσθαι διὰ τὴν ἀργίαν τῆς πρότερον μὲν ἐνεργούσης αὐξήσεως, νυνὶ δὲ παυομένης.

Ὑγιέες δὲ γίνονται αὐτόματοι οἱ οὕτω διακείμενοι. πλεῖστοι μὲν ἐν τῇ ὥρῃ ἣν ἄρχονται τήκεσθαι, πέντε καὶ τεσσαράκοντα ἡμερέων. ὁκόσοι δ' αὖ τὴν ὥρην ταύτην ὑπερβάλλωσιν, ἐνιαυτῷ αὐτόματοι ὑγιέες γίνονται, ἢν μή τι ἄλλο κακουργῆται ὁ ἄνθρωπος.

Τίνας λέγει τοὺς οὕτω διακειμένους, οὓς προειρήκει δηλονότι καταλύσαντας τὰ γυμνάσια, διὰ τὴν ἀργίαν ἀποπτύειν τε καὶ οὐρεῖν πύον, ἁλίσκεσθαί τε δυσεντερίαις. ἐγὼ δὲ ἔφην ἁλισκομένους μὲν δυσεντερίαις αἱματηραῖς ἑωρακέναι πολλοὺς τῶν εἰς ἄπονον μεταστάντων ἐκ ταλαιπωρικοῦ, καὶ ἐργαστικοῦ τοῦ πρόσθεν βίου. πύον δὲ οὔτ' ἀναβήττοντας, οὔτ' οὐροῦντας ὦφθαί μοι τινάς. ἀλλ' οὗτός γέ μοι δοκεῖ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν ὅταν πεφθῇ γε, πύον εἶναι. καὶ τί θαυμαστὸν ὅπου γε καὶ ὁ Ἐρασίστρατος τὰς ἐν τοῖς οὔροις ὑποστάσεις ἐπὶ τῶν πυρεσσόντων, οὐ τοῦτον εἶναι τὸν χυμὸν, ἀλλὰ πύον ἡγεῖται, μηδ' ὅτι τῶν ὑγιαινόντων τοῖς ἀδδηφαγοῦσιν ὑφίσταται πολὺ τὸ τοιοῦτον γινώσκων. τεθεάμεθα γοῦν παμπόλλους τῶν ἀργῶς βιούντων διὰ χρόνων τινῶν ἐκκρινομένους διὰ τῶν οὔρων, τῇ καλουμένῃ μύξῃ παραπλήσια πάμπολλα, καί τισιν αὐτῶν βραδεῖαν ποιησαμένην τὴν διέξοδον, πύῳ παραπλήσιον φαίνεται τὸ ἐκκρινόμενον. καθάπερ γε κἀπὶ τῶν ἀναπνευστικῶν διὰ τὸ πλείονι χρόνῳ κατέχεσθαι πέττεσθαι τὰ τοιαῦτα. τούτου δ' οὖν καὶ αὐτὸς εἶπε τὴν αἰτίαν ἔμπροσθεν ἐπὶ μὲν τῆς δυσεντερίας, τὸ κάταντες τῆς ὁδοῦ, ταχείας διεξόδου τῶν περιττῶν αἴτιον εἶναι φάσκων, ἐπὶ δὲ τῶν ἀναπτυομένων, τὸ ἄναντες τῆς βραδείας, ἐπὶ δὲ τῶν

οὔρων

οὔρων τὴν θερμασίαν τοῦ χωρίου. εἰ δέ τις οὐ συγχωρεῖ διαφορὰν ὠμοῦ χυμοῦ πύον ἐν οὔροις, ἢ πτύσμασιν, ἢ διαχωρήμασι, δυοῖν θάτερον οὗτος πέπονθεν, ἢ ἑκὼν πανουργεῖν διὰ ἀκολουθίαν τὴν πρὸς τὸ δόγμα, καθάπερ Ἐρασίστρατος ὑπὲρ φλεγμονῆς γίνεσθαι βουλόμενος ἅπαντας τοὺς πυρετοὺς, ἢ τριβὴς ἐστὶν ἀνομίλητος τοῖς ἔργοις τῆς τέχνης, οὓς ὀρθῶς ὀνομάζουσιν οἱ παλαιοὶ λογιατρούς. ἕτερον γάρ ἐστι καὶ χρόᾳ, καὶ συστάσει, καὶ ὀσμῇ, τὸ πύον ὠμοῦ χυμοῦ. καὶ γίνεται δὲ καὶ διὰ ῥινῶν καὶ διὰ στόματος ἐν περιόδοις τισὶν ἀτάκτοις τε καὶ τεταγμένοις, ἔκκρισις ὠμῶν χυμῶν ἐκκαθαίρουσα τὸν ἐγκέφαλον, ἧς οὐκ ἐμνημόνευσε νῦν, ὁ ταύτην τὴν προγεγραμμένην ῥῆσιν γράψας. εἰκότως δὲ ἔφησεν αὐτομάτως ὑγιάζεσθαι τοὺς προειρημένους, ὅπερ ἐστὶν οὐδὲν ἡμῶν πραξάντων. αὐτάρκως γὰρ ἡ φύσις αὐτοὺς ἐκκαθαίρει. προθεσμίαν δὲ τῆς ἐκκαθάρσεως ἔθετο δηλῶν αὐτοῖς. τὴν μὲν ἑτέραν κατὰ τὴν ὥραν τοῦ ἔτους ἐν ᾗ τὴν εἰρημένην ἔκκρισιν αὐτοῖς ἄρξασθαι συνέβη, τὴν δὲ ἑτέραν εἰς ἐνιαυτὸν ἐκτεινομένην, ἀλλὰ καὶ τὴν ὀλιγοχρόνιον εἰς πέντε καὶ τεσσαράκοντα προήκειν ἡμέρας. τινὲς δὲ οὐ πέντε καὶ τεσσαράκοντα γράφουσι, ἀλλὰ τεσσαράκοντα. πολλοὺς δὲ ἐγὼ θεασάμενος οὕτω καθαιρομένους ὑπὸ τῆς φύσεως, οὐ δύο μόνον ὥρας τῆς κενώσεως εἶδον, ὡς οὗτος ἔγραψεν, ἀλλὰ καὶ πάνυ πολλάς. ἄλλος γὰρ ἐν ἄλλῃ προθεσμίᾳ, τελέως ἐξεκαθάρθη, τινὲς μὲν τεσσαράκοντα ἡμέρας, τινὲς δὲ καὶ μέχρι μηνῶν προὔβησαν, οὐκ ἴσων τῶν ἀριθμῶν. εἰσὶ δὲ οἳ καὶ δι᾽ ὅλου τοῦ ἔτους παραμένον ἔχοντες τὸ σύμπτωμα.

Ὁκόσα δὲ τῶν νουσημάτων γίγνονται ἐξ ὀλίγου, καὶ ὁκόσων αἱ προφάσιες εὔγνωστοι, ταῦτα δὲ ἀσφαλέστατά ἐστι προαγορεύεσθαι. τὴν δὲ ἴησιν χρὴ ποιέεσθαι αὐτέων ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, οὕτω γὰρ ἂν λύοιτο τὸ τὴν νοῦσον παρέχον ἐν τῷ σώματι.

Τοῦτο μάχεσθαι δοκεῖ, τὸ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένον. τῶν ὀξέων νοσημάτων, οὐ πάμπαν ἀσφαλέες αἱ προαγορεύσιες, οὔτε τῆς ὑγιείης, οὔτε τοῦ θανάτου. καὶ Σαβῖνος αὐτὸ πειραθεὶς λῦσαι περιελάλησε μὲν, οὐδὲν δὲ εἶπε πιθανόν. οὕτω δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἐξηγησαμένων τὸ βιβλίον, δοκοῦσι δή μοι, μὴ συνιηκέναι τί σημαίνει, τὸ ἐξ ὀλίγου. νομίζουσι γοῦν ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ὀξέων γίνεσθαι τὸν λόγον. ἔοικε δὲ οὐ περὶ τούτων λέγειν αὐτὸς, ἀλλὰ περὶ τῶν ἐξ αἰτίων προδήλων τὴν γένεσιν ἐσχηκότων πρόσφατον, ἐξ ὀλίγου χρόνου, καὶ οὐκ ἐκ πολλοῦ κατασκευασθεῖσαν. ἐπὶ τούτων γὰρ ἡ πρόρρησις τοῦ γενησομένου ῥᾴστη, ὅτι καὶ τὸ αἴτιον ὁποῖόν τε καὶ πηλίκον ἐστὶν, ἔγνωσται. ὅσα δὲ ἐκ πολλοῦ χρόνου κατὰ βραχὺ γενόμενα μηδεμίαν ἔχον αἰτίαν προφανῆ τῆς γενέσεως, οὐχ ὁμοίως ἐπὶ τούτων ἡ πρόγνωσις ἀσφαλής. ὑπόγυοι δ᾽ αἰτίαι νοσημάτων εἰσὶν, ἐγκαύσεις, ψύξεις, ἀγρυπνίαι, λῦπαι, φροντίδες, ἀπεψίαι, σκληροκοιτίαι, κάματοι, μέθαι, καὶ τἄλλα τὰ τοιαῦτα. διὰ τοῦτ᾽ οὖν καὶ τὴν ἴασιν ἔφη τῶν τοιούτων ποιεῖσθαι, διὰ τῶν ἐναντίων τῇ προφάσει τοῦ νοσήματος, οἷον εἰ ἐνεκαύθη, ψύχοντα. εἰ ἐψύχθη, θερμαίνοντα. εἰ ἔκαμον, ἀναπαύοντα. εἰ ἤργησε παρὰ τὸ ἔθος, ἐπὶ πλέον γυμνάζοντα. εἰ ἐπληρώθη, κενοῦντα. εἰ ἐκενώθη, πληροῦντα. καθάπερ καὶ πρόσθεν εἶπε κατὰ τὴν ῥῆσιν ἧς ἡ ἀρχή, ὁκόσα πλησμονὴ τίκτει νοσήματα, κένωσις ἰῆται.

Ὁκόσοισι δὲ ψαμμώδεα ὑφίσταται, ἢ πῶροι ἐν τοῖσιν οὔροισι, τουτέοισι τὴν ἀρχὴν φύματα ἐγένοντο πρὸς τῇ φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν. ἔπειτα δὲ ἅτε οὐ ταχέως ἐκραγέντων τῶν φυμάτων, πῶροι συνεστράφησαν ἐκ τοῦ πύου, οἵτινες ἔξω θλίβονται διὰ τῆς φλεβὸς σὺν τῷ οὔρῳ ἐς τὴν κύστιν.

Γένοιτο μὲν ἄν ποτε καὶ καθ᾽ ἣν εἶπεν αἰτίαν οὖρα τοιαῦτα. γένοιτο δ᾽ ἂν καὶ αὐτοῦ τοῦ νεφροῦ παθόντος ὁμοίως, οὐδὲ τῆς μεγάλης φλεβός. ὡς τὸ πολὺ δὲ χωρὶς φυμάτων συμβαίνουσιν αἱ εἰρημέναι διὰ τῶν οὔρων ἐκκρίσεις, ὅταν παχὺς, ἢ γλίσχρος ἱκανῶς χυμὸς βραδεῖαν ποιούμενος τὴν διέξοδον, ὑπὸ τῆς ἐν τῷ τόπῳ θερμασίας ξηραινόμενος παγῇ.

Ὁκόσοισι δὲ αἱματώδεα μόνον τὰ οὐρήματα, τουτέοισιν αἱ φλέβες πεπονήκασιν.

Τὸ πεπονήκασιν ἄδηλον ἐστὶν ἐπί τινος εἴρηται. δύναται γὰρ καὶ τὸ κεκμήκασι δηλοῦν, ὡς ἐκλύτους γεγονυίας αὐτὰς, ἡμίπεπτόν τε γεννᾷν αἷμα, καὶ μεθιέναι τοῦτο ῥᾳδίως δι᾽ ἀτονίαν, ἢ ὡς ἀλλότριον ἀποκρίνειν. δύναται δὲ καὶ νῦν τὸ πεπόνθασιν ἐκ τοῦ πεπονήκασι δηλοῦσθαι, μηδὲν αὐτῶν τῶν νεφρῶν πεπονθότων, ἀλλ᾽ ἐν μόναις ταῖς φλεψὶν οὔσης τῆς διαθέσεως, οὐ μὴν ὁποία τίς ἐστιν ἐκ τῆς τοιαύτης ἐξηγήσεως δηλοῦται. πρόδηλον δέ ἐστιν, ὡς οὐθ᾽ Ἱπποκράτης, οὔτε Πόλυβος εἶπεν ἂν οὐρήματα, δυνάμενοί γε εἰπεῖν, ὁκόσοισι δὲ αἱματώδεα τὰ οὖρα. καὶ πολλάκις γε πάνυ τι γράφων ὁ Ἱπποκράτης οὖρα, κατ᾽ οὐδεμίαν λέξιν εἶπεν οὔρημα. καὶ ἄλλα δὲ πολλὰ τῶν παρεγγεγραμμένων ἐνδείκνυται σαφῶς αὐτὰ μήθ᾽ Ἱπποκράτους εἶναι, μήτε Πολύβου.

Ὁκόσοισι δὲ ἐν τῷ οὐρήματι παχεῖ ἐόντι, σαρκία σμικρὰ τριχοειδέα συνεξέρχεται, ταῦτα ἀπὸ τῶν νεφρῶν ἰδέναι χρὴ ἐόντα, καὶ ἀπὸ τῶν ἀρθριτικῶν.

Τὸν ἀφορισμὸν ἐνταῦθα μετέφρασε τόνδε. ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ, ἢ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

Ὁκόσοισι δὲ καθαρὸν τὸ οὖρον, ἄλλοτε καὶ ἄλλοτε οἷον γε πίτυρα ἐκφορέεται ἐν τῷ οὐρήματι, τουτέοισιν ἡ κύστις ψωριᾷ.

Πάλιν κἀνταῦθα τὸν ἀφορισμὸν ἐκεῖνον παρέφρασεν, ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα τι συνεξέρχεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

Οἱ πλεῖστοι τῶν πυρετῶν γίνονται ἀπὸ χολῆς. εἴδεα δὲ αὐτέων εἰσὶ τέσσαρα, χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι γινομένων τῇσιν ἀποκεκριμένῃσιν. ὀνόματα δ' αὐτέων ἐστὶ, σύνοχος καὶ ἀμφημερινὸς, καὶ τριταῖος, καὶ τεταρταῖος. ὁ μὲν οὖν σύνοχος καλεόμενος ἀπὸ πλείστης χολῆς καὶ ἀκρητεστάτης, καὶ τὰς κρίσιας ἐν ἐλαχίστῳ χρόνῳ ποιέεται. τὸ γὰρ σῶμα οὐ διαψυχόμενον οὐδένα χρόνον, συντήκεται ταχέως, ἅτε ὑπὸ πολλοῦ τοῦ θερμοῦ θερμαινόμενον. ὁ δὲ ἀμφημερινὸς μετὰ τὸν σύνοχον ἀπὸ πλείστης χολῆς γίνεται, καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων. μακρότερον δέ ἐστι τοῦ συνόχου, ὅτι ἀπ' ἐλάσσονός τε γίνεται χολῆς, καὶ ὅτι ἀνάπαυσιν ἔχει τὸ σῶμα, ἐν δὲ τῷ συνόχῳ οὐκ ἀναπαύεται οὐδένα χρόνον. ὁ δὲ τριταῖος μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ, καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται. ὁκόσῳ δὲ πλείονα χρόνον ἐν τῷ τριταίῳ, ἢ ἐν τῷ ἀμφημερινῷ τὸ σῶμα ἀναπαύεται, τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν. οἱ δὲ τεταρταῖοι, τὰ μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον. χρονιώτεροι δέ εἰσι τῶν τριταίων ὁκόσον ἔλασσον μετέχουσι μέρος τῆς χολῆς, τῆς τὴν θέρμην παρεχούσης, τοῦ δὲ διαψύχεσθαι τὸ σῶμα πλέονος μετέχουσι. προσγίνεται δὲ αὐτέοισιν ἀπὸ μελαίνης χολῆς τὸ περισσὸν τοῦτο καὶ δυσαπάλλακτον. μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι ἐνεόντων γλισχρότατον, καὶ τὰς ἕδρας χρονιωτάτας ποιέεται. γνώσῃ δὲ ἐν τῷδε, ὅτι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ. φθινοπώρου γὰρ μάλιστα ἁλίσκονται οἱ ἄνθρωποι ὑπὸ τῶν τεταρταίων, καὶ ἐν τῇ ἡλικίῃ τῇ ἀπὸ πέντε καὶ εἴκοσιν ἐτέων, ἐς τὰ πέντε καὶ τεσσαράκοντα. ἡ δὲ ἡλικίη αὕτη ὑπὸ μελαίνης χολῆς κατέχεται μάλιστα πασέων τῶν ἡλικιῶν, ἥ τε φθινοπωρινὴ ὥρη μάλιστα πασέων τῶν ὡρέων. ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης, καὶ τῆς ἡλικίης ὑπὸ τοῦ τεταρταίου, εὖ χρὴ εἰδέναι, μὴ χρόνιον ἐσόμενον τὸν πυρετὸν, ἢν μή τι ἄλλο κακουργῆται ὁ ἄνθρωπος.

Ὅμοιόν τί μοι δοκοῦσι πεπονθέναι οἱ πολλοὶ τῶν ἐξηγητῶν, ἐν οἷς ἐστὶν καὶ Σαβῖνος, τῷ νοσοῦντι μὲν ὑδερικῶς ἀνθρώπῳ, παρωνυχίαν δὲ αὐτοῦ θεραπεῦσαι Φιλότιμον τὸν ἰατρὸν ἀξιοῦντι. δυοῖν γὰρ θάτερον, ἢ οὐκ ἔβλεπεν οὗτος, ὅπως ἔχει ὅλως κακῶς, ἢ οὐκ ᾤετο δεῖσθαι θεραπείας. οὕτως οὖν καὶ τοὺς ἐξηγητὰς, ἢ τυφλώττειν τὸν τῆς ψυχῆς ὀφθαλμὸν νομιστέον, ἢ τὰ μὲν σμικρὰ τῶν ἐγκλημάτων ἡγεῖσθαι θεραπείας τινὸς δεῖσθαι, τὰ μεγάλα δὲ, οὐδεμιᾶς χρήζειν βοηθείας. ὥσπερ γὰρ ἐξ ὕπνου βαθέος ἐγερθέντος, ᾔσθοντο τῆς πρὸς Ἱπποκράτους μάχης τῆς κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένον τὸν ἀμφημερινὸν ὀλιγοχρονιώτερον ἀποφαινούσης αὐτῆς τοῦ τριταίου σαφῶς εἰρηκότος Ἱπποκράτους ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, κἀν τοῖς ἀφορισμοῖς τάχιστα κρίνεσθαι τὸν τριταῖον. οὕτω φασὶν Ἱπποκράτειον εἶναι τὸ βιβλίον, ὡς καὶ φανερῶς ψευδοῦς ὄντος τοῦ λεγομένου, καὶ διαφερομένου τοῖς ἑτέρωθι γεγραμμένοις ὑφ' Ἱπποκράτους. εἰ γὰρ ἐν τούτῳ μόνον ψευδόμενόν τε ἅμα καὶ μαχόμενον Ἱπποκράτει, τὸν περιγράψαντα τὰ μεταξὺ κατεγνώκασιν, ἐοίκασι τῷ τὴν παρωνυχίαν ὁρῶντι, τὸ δ' ὅλον σῶμα μὴ βλέποντι κάκιστα διακείμενον. ὁ μὲν γὰρ ἀγνοήσας τὸν ἀμφημερινὸν τοῦ τριταίου χρονιώτερον εἶναι, ἐνδείκνυται μὲν ἑαυτὸν οὐκ εἶναι τρίβωνα τῶν ἔργων τῆς ἰατρικῆς. οὐ μὴν ἐξ ἀτονίας γέ τινος ἀναισχύντου τὸ ψεῦσμα διέπλασεν, ἀλλ' ἐκ πιθανοῦ λόγου κινηθεὶς, καὶ μάλιστα ἐπειδὴ τισὶ τῶν παλαιῶν, ὧν καὶ Πλάτων ἐστὶν, ἔδοξε τοὺς μὲν συνεχεῖς πυρετοὺς, ἐξ ὑπερβολῆς τοῦ πυρὸς γίνεσθαι, τοὺς δὲ ἀμφημερινοὺς ἀέρος, καὶ τριταίους μὲν ὕδατος, τεταρταίους δὲ γῆς. ἡ γάρ τοι τοῦ Πλάτωνος ῥῆσις αὐτοῖς ὀνόμασιν οὕτως ἔχει.
» τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα νοσῆσαν σῶμα, συνεχῆ καύματα,
» καὶ πυρετοὺς ἀπεργάζεται, τὸ δὲ ἐξ ἀέρος ἀμφημερινοὺς, τριταίους δ' ὕδατος, διὰ τὸ νωθέστερον ἀέρος καὶ πυ-
» ρὸς εἶναι, τὸ δὲ γῆς τέταρτον ὂν, νωθέστατον τούτων ἐν τετραπλασίαις χρόνου περιόδοις καθαιρόμενον, τεταρταίον
» πυρετὸν ποιήσαν, ἀπαλλάττεται μόγις. ἐπεὶ περ οὖν ὁ Πλάτων τὸ νωθέστατον στοιχεῖον ὅπερ ἐστὶν ἑδραιότατόν τε καὶ δυσκινητότατον ἐν τετραπλασίαις χρόνου περιόδοις ἐκκαθαίρεσθαι φησὶ, πιθανὸν ἔδοξεν εἶναι, καὶ τἄλλα διαφέρειν ἀλλήλων κατὰ τὴν αὐτὴν ἀναλογίαν, ὡς γέγονεν ἐφεξῆς τε τῷ γεώδει στοιχείῳ. τοῦτο δ' αὖ ὕδωρ εἴη, τὴν ἐφεξῆς τῇ τετάρτῃ περίοδον γεννᾶν. τὸ δὲ τούτου πάλιν ἐφεξῆς, ὅπερ ἐστὶν ἀὴρ, τὴν ἀμφημερινήν. τὸ δὲ ὀξυκινητότατον, ὅπερ εὔδηλον ὅτι τὸ πῦρ ἐστιν, ἐργάζεσθαι τὸν συνεχῆ πυρετόν. ἀλλὰ τούτου πιθανώτερος ἐστὶν ὁ λόγος ὁ τῷ φύσει θερμῷ στοιχείῳ, τουτέστι τῷ πυρὶ τὴν αἰτίαν ἀνατιθεὶς τῆς γενέσεως αὐτῶν, οὐ γὰρ εὔλογον ὑπὸ τοῦ ψυχροῦ στοιχείου πλεονάσαντος ἐν τῷ σώματι, τὸ θερμότατον πάθος γίνεσθαι. τοίνυν εὔλογον μέν ἐστι τῇ τοῦ θερμοῦ στοιχείου τῇ πλεονεξίᾳ, θερμὸν γίνεσθαι πάθος. ἀλλήλων δὲ διαφέρουσιν οἱ πυρετοὶ ταῖς αὐτῶν διαφοραῖς, ἃς τῷ ποσῷ τῆς αἰτίας ἀνατίθεσθαι προσήκει. τοῦτο δ' εἰ συγχωρήσομεν, ὁ μὲν συνεχέστατος καὶ θερμότατος πυρετὸς, ὑπὸ πλείστου γεννήσεται πυρός. ὁ δὲ ἐφεξῆς αὐτῷ, δευτέραν ἔχει χώραν ἐν ποσότητι, καὶ τρίτην μὲν ὁ τριταῖος, τετάρτην δὲ ὁ τεταρταῖος, αἵ τε λύσεις αὐτῶν ἀκολούθως ταῖς αἰτίαις ἔσονται. τάχισται τῶν αἱ τοῦ θερμοτάτου πυρετοῦ. δεύτεραι δὲ κατὰ τὸν χρόνον αἱ τῶν ἀμφημερινῶν, καὶ τρίται αἱ τῶν τριταίων, καὶ τέταρται, αἱ τῶν τεταρταίων, ὥσθ' ὅσον μὲν

περὶ τοῦ πιθανῶς καλῶς εἴρηται ταῦτα. τὸ δὲ ἐκ τῆς τῶν πραγμάτων ἱστορίας, ἐλέγχει τὸν λόγον. περὶ δὲ τῆς προγεγραμμένης τῶν φλεβῶν ἀνατομῆς, οὐδὲν ἔχων εἰπεῖν πιθανὸν ὁ συνθεὶς αὐτὴν, οὐχ ἓν, ἢ δύο, ἢ τρία φαίνεται ψευσάμενος, ἀλλὰ πάνυ πολλὰ, πρὸς τὸ μηδὲ κατὰ τύχην ἕν τι τῶν ἐν αὐτοῖς ἀληθῶς εἰρῆσθαι. θαυμαστὸν οὖν ὅπως ἐπ᾽ ἐκείνων μὲν οὐδὲν ἐμέμψαντο τῷ γράψαντι τὰ μετὰ τὸ περὶ φύσιος ἀνθρώπου μέχρι δεῦρο πάντα, νυνὶ δὲ μέμφεται, καὶ διὰ τοῦτο αὐτῷ οὐκέτι δοκεῖ τὸ βιβλίον Ἱπποκράτους εἶναι. Σαβίνου δὲ καὶ τῶν πλείστων ἐξηγητῶν, ἔτι καὶ τοῦτ᾽ ἄν τις θαυμάσειεν, ὅτι τὰ προγεγραμμένα πάντα ἐπαινούντων ἀεὶ, θαυμασίως εἰρῆσθαι, τὸ δέ τι πάνδεινὸν, καὶ δαιμονίως, τὸ δέ τι, καὶ θείως, τὸ δέ τι, νῦν ἐξαίφνης μὲν ἐκείνων ἁπάντων ἐπελάθοντο. διὰ μίαν δ᾽ ἀντιλογίαν, οὐκέτ᾽ αὐτοῖς Ἱπποκράτους εἶναι τὸ βιβλίον δοκεῖ, ἀλλὰ μετακινοῦσιν ἐπὶ Πόλυβον, ὡς αὐτοὶ μὲν ἀνεγνωκότες τοὺς ἀφορισμοὺς, καὶ τὸ πρῶτον τῶν ἐπιδημιῶν, οὐκ ἀνεγνωκότος δὲ ταῦτα Πολύβου, ὃν ἀδύνατον ἦν μαθητὴν Ἱπποκράτους ὄντα, μὴ οὐ πολλάκις μὲν ἀκηκοέναι παρ᾽ αὐτοῦ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν. ἀνεγνωκέναι δὲ οὐκ ὀλιγάκις αὐτοῦ τὰ συγγράμματα, σὺν τῷ καὶ αὐτὸν ἐπὶ τῶν ἀρρώστων τεθεᾶσθαι ταχυκρίσιμον μὲν τὸν τριταῖον, χρονίζοντα δὲ τὸν ἀμφημερινόν, οὐ γὰρ δὴ τῶν ἐπὶ τῆς Ἀλεξανδρείας προφητευσάντων, εἷς τις ἦν ὁ Πόλυβος, οἳ μηδέν πω πώποτε θεασάμενοι νοσοῦντα σχολαστικοῖς ἐπέτριβον, οὐδὲν ὑγιὲς λέγοντες, οὐδ᾽ ὧν οἱ τρίβοντες ὁρῶσι φαινομένων ἐναργῶς ἐπὶ ἀρρώστων. ὡς ὁ ταῦτα γράψας, ἤτοι οὗτος ἦν σοφιστὴς, ἢ πανοῦργος ἄνθρωπος ὡς ἔοικε, παραγράψας τὸ ψεῦδος, ἕνεκα τοῦ προστρίψασθαι ψόγον τῷ παλαιῷ. τοῦ δὲ νεώτερον εἶναι τὸν παραγράψαντα ταῦτα, καὶ ἡ τοῦ συνόχου προσηγορία τεκμήριόν ἐστιν. οὐδαμόθεν γὰρ οὔθ᾽ Ἱπποκράτης, οὔτέ τις τῶν παλαιῶν τὸν συνεχῆ πυρετὸν ὠνόμασε σύνοχον, ὥσπερ οὐδὲ ῥήματα τὰ ἄρα, ἀλλὰ ταῦτα ὀνόματα νεωτέρων ἐστὶν ἰατρῶν, οἳ τὴν παλαιὰν λέξιν ἠγνόησαν. ἀπολιπόντες οὖν ἤδη τὰ παραγεγραμμένα ταυτὶ, μετέλθωμεν ἐπὶ τὸ περὶ διαίτης ὑγιεινῆς, ὃ Πολύβου φασὶν εἶναι σύγγραμμα.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΥΓΙΕΙΝΗΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ.

Ἐν τοῦτ᾽ ἐστὶ βιβλίον ἰδίαν ἐπαγγελίαν ἔχον, ὥσπερ τὸ πρῶτον μέρος ὅλου τοῦ προκειμένου βιβλίου, καθ᾽ ὃ περὶ φύσιος ἀνθρώπου διαλέγεται. συντετέλεσται γὰρ ἐν ἐκείνῳ τὸ ἐπαγγελθὲν, οὐδεμιᾶς ἔτι προφάσεως δεόμενον. ἐν τούτῳ δὲ πάλιν ἃ πρόθεσις διδάσκει δι᾽ ὅλου τοῦ βιβλίου, καὶ διὰ τοῦτο τῶν μεταξὺ τῶν δύο βιβλίων τούτων ἐξαιρεθέντων, προσηκούσης ἐπιγραφῆς ἰδίας, ἔτυχε τὸ σύμπαν, ἣν ἐπέγραψαν τινὲς αὐτῷ περὶ φύσιος ἀνθρώπου, καὶ διαίτης. ὥσπερ δὲ ἄμεμπτον μέν ἐστι πάντη τὸ περὶ φύσιος ἀνθρώπου, μεμπτὰ δὲ πάντη τὰ παρεγγεγραμμένα μεταξὺ τῶν δύο βιβλίων, οὕτω τὸ περὶ διαίτης ὑγιεινῆς, ἐν τοῖς πλείστοις μὲν ἄμεμπτόν ἐστιν, ἐχόμενον ἀεὶ τῆς Ἱπποκράτους στοιχειώσεως. ἐν τισὶ δ᾽ ἄν τις αὐτῷ μέμψαιτο παντελῶς ὀλίγοις, ὑποκείσθω δ᾽ εἶναι Πολύβου, καθότι πολλοῖς ἔδοξε.

Τοὺς ἰδιώτας ὧδε χρὴ διαιτᾶσθαι.

Τινὰς δὲ ἰδιώτας λέγει, παραλελοίπασιν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, οἷς γε δὴ παρέτυχον ὑπομνήμασιν. οὐ μὴν οὐδὲ ἐπεζήτησά ποτε κατὰ τὴν παρὰ τοῖς διδασκάλοις ἀνάγνωσιν τοῦ βιβλίου. νυνὶ δὲ γράφειν ἐξήγησιν αὐτοῦ προθέμενος, ἐπενόησα κακῶς παραλελεῖφθαι τοῖς τε διδασκάλοις ἡμῶν, καὶ τοῖς ἐξηγηταῖς ἐπισκέψασθαι τίνας ἰδιώτας λέγει. δῆλον γὰρ δὴ, ὅτι τὴν ἐφεξῆς γεγραμμένην δίαιταν οὐ πᾶσι τοῖς ἀνθρώποις, ἀλλὰ μόνοις τοῖς ἰδιώταις συνεβούλευσεν ὁ Πόλυβος. καὶ μὴν εἰ μόνοις τοῖς ἰδιώταις ὑποθήκας ἔγραψεν, οὐκ ὀρθῶς οἱ ἐξηγησάμενοι τὸ βιβλίον ἀδιορίστως ἤκουσαν, ὡς κοινῇ πᾶσι τοῖς ἀνθρώποις εἰρημένων αὐτῶν. εὑρίσκομεν γὰρ δὴ παρὰ τοῖς Ἕλλησιν ἰδιώτας ὀνομαζομένους, οὐχ ἁπλῶς, ἀλλ᾽ ἐν τῷ πρός τι. τὸν μὲν γάρ τινα λέγουσιν ἰδιώτην εἶναι τῆσδε τῆς τέχνης, τὸν δέ τινα, τοῦδε τοῦ ἐπιτηδεύματος. ἐνίοτε δὲ πρὸς τοὺς ἔθνος ἢ πόλιν διοικοῦντας, ἢ ὅλως πράττοντας τι δημόσιον, ἀντιδιαιρούμενοι τοὺς οἷον ἰδιοπραγοῦντας, ὠνόμαζον ἰδιώτας. ἐπισκεπτομένῳ δή μοι τίνας τούτων νῦν ὁ Πόλυβος ἰδιώτας εἴρηκε, τοὺς μὲν ἀθλητὰς αὐτίκα ἐδόκει τῶν ἄλλων ἀνθρώπων ἀποκρίνειν, ἐπειδὴ μίαν ἔχουσιν ἐκεῖνοι δίαιταν ὡρισμένην ἐν ἄρτῳ καὶ κρεῶν ἐδωδῇ. τούτων δ᾽ ἑξῆς ὅσοι πολεμοῦσιν, ἢ ὁδοιποροῦσιν, ἢ καὶ μάχονται. καὶ γὰρ τούτοις, οὐκ ἐγχωρεῖ διακρίνειν ἃ χρὴ προσφέρεσθαι, καὶ μὴ προσφέρεσθαι σιτία. χρῆσθαι γὰρ ἀναγκαῖον αὐτοῖς, οἷς ἂν εὐπορήσωσιν ἕκαστος. τάχα δὲ καὶ τοὺς ὁπωσοῦν ἐπιπονωτέραις ὁδοιπορίαις χρωμένους, ἀδύνατόν ἐστιν ὡς ὁ Πόλυβος κελεύει διαιτᾶσθαι, καὶ ὅλως τοὺς ἐν ἀσχολίαις πολιτικαῖς ὄντας, ἢ τῷ καλουμένῳ στρατιωτικῷ βίῳ. μόνοις οὖν τοῖς τὰ ἴδια πράττουσιν, οὓς ὀνομάζουσιν ἰδιοπραγοῦντας, ἡ ῥηθησομένη δίαιτα γίνεται.

Τοῦ μὲν χειμῶνος ἐσθίειν ὡς πλεῖστα, πίνειν δὲ ὡς ἐλάχιστα. εἶναι δὲ χρὴ τὸ πόμα, οἶνον ὡς ἀκρητέστατον, τὰ δὲ σιτία ἄρτον. τὰ δὲ ὄψα, ὀπτὰ πάντα. λαχάνοισι δὲ ὡς ἐλαχίστοισι χρέεσθαι ταύτην τὴν ὥρην. οὕτω γὰρ ἂν μάλιστα τὸ σῶμα θερμόν τε εἴη καὶ ξηρόν.

Τὸ κεφάλαιον εἰπὼν τῆς ὅλης διαίτης, ὀρθῶς ἐποίησε προσγράψας ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως, διατί τῶν εἰρημένων ἕκαστον αἱρεῖται. θερμαίνειν μὲν γὰρ ἀξιοῖ τὸ σῶμα καὶ ξηραίνειν, διὰ τὴν ἀμετρίαν τῆς κατὰ τὴν ὥραν κράσεως, ὡς ἄγειν ἣν σύμμετρον ὡς κατὰ τὸ ἔαρ ἐστὶ, σύμμετρον αὖ κελεύει καὶ τὴν δίαιταν ποιεῖσθαι. φυλάττειν μὲν

γὰρ προσήκει τὰ συμμέτρως διακείμενα, μεταβάλλειν δὲ τὰ ἀμέτρως. μεταβολὴ δὲ οὐκ ἄλλως αὖ, ἢ ἐκ τῶν ἐναντίων ἀμετρίων γίνοιτο. τὸ μὲν γὰρ ἀμετρότερον, ἢ τεθερμασμένον, ἢ θερμαινόμενον σῶμα, ψύχειν προσήκει. τὸ δὲ ἐψυγμένον, ἢ ψυχόμενον, θερμαίνειν. ὡσαύτως δὲ κἀπὶ τῆς κατὰ τὸ ὑγρόν τε καὶ ξηρὸν ἀμετρίας, διὰ τῆς τῶν ἐναντίων προσφορᾶς, τὰς νοσαζούσας ὑπερβολὰς καθαιρεῖν χρή, τὴν ἐναντίαν ἀμετρίαν προσφέροντας, τοσοῦτον ἀπέχουσαν τοῦ μέσου τε καὶ συμμέτρου, ὅσον ἀφέστηκεν ἡ νοσάζουσα. κατὰ τοῦτο γοῦν ἐν τῷ χειμῶνι ψυχρῷ καὶ ὑγρῷ τὴν κρᾶσιν ὄντι, συμφέρει ἐσθίειν μὲν ὡς πλεῖστα, πίνειν δὲ ὡς ἐλάχιστα. πλεῖστα δ᾽ ἀκουστέον, οὐχ ὡς πρὸς τὴν δύναμιν, ἀλλ᾽ ὡς πρὸς τὰς ἄλλας ὥρας. ὡσαύτως δὲ καὶ πίνειν ὡς ἐλάχιστα, πρὸς τὰς ἄλλας ὥρας ἀναφέροντα τὴν παραβολήν. ὁμοίως δὲ εἴρηται καὶ τὸ τὸν οἶνον ἀκρατέστατον εἶναι δεῖν, ὡς πρὸς τὴν ἐν ταῖς ἄλλαις ὥραις κρᾶσιν αὐτοῦ. τῷ μέντοι πρὸς τὴν δύναμιν μέτρῳ, καὶ τῷ πρὸς τὴν ἐνεστῶσαν ὠφέλειαν προσέχων τὸν νοῦν, ἀεὶ τὸ σύμμετρον οἴνου τε καὶ σιτίου δώσεις, ὥσπερ γε καὶ ὕπνου, καὶ γυμνασίων, καὶ πάντων ἁπλῶς τῶν καλουμένων ὑπὸ τῶν ἰατρῶν ἐπιτηδευμάτων. ὅτι δ᾽ οἶνος ὁ ἀκρατέστερος, καὶ ὅτι τὰ ὀπτὰ κρέα θερμαίνει καὶ ξηραίνει παραβαλλόμενα, μάζῃ τε καὶ λαχάνοις, οὐδεὶς ἀγνοεῖ. παραπλησίως δὲ ἐστὶ ὁ ἄρτος, εἰ παραβάλλοιτο μάζῃ, θερμαίνειν τε καὶ ξηραίνειν λεχθήσεται. ταῦτα οὖν ὡς παραδείγματα νομιστέον εἰρῆσθαι τἀνδρί. σὺ δὲ καὶ τῶν ὀσπρείων ἐπιλέξῃ τὰ θερμαίνοντα καὶ ξηραίνοντα, καθάπερ τὴν φακῆν. ἀλλὰ καὶ τῶν λαχάνων, ὅσα ταύτην ἔχει τὴν δύναμιν ὥσπερ ἡ κράμβη. καὶ τῶν κρεῶν ὡσαύτως, οἷα τὰ τῶν ἀγρίων ζώων ἐστὶ, καὶ τὰ ταριχευθέντα. ταῦτα δὲ λέλεκται κἀμοὶ πάντα παραδείγματος ἕνεκεν. ἡ δὲ σύμπασα κατὰ μέρος ὕλη τῶν τροφῶν, ἐν τρισὶν ὑπομνήμασι σύγκειται, τὴν δὲ ἐπιγραφὴν ἔχουσα, περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. ὥσπερ οὖν ταῦτα καλῶς εἴρηται περὶ τῆς κατὰ τὰς ποιότητας αἱρέσεώς τε καὶ φυγῆς σιτίων, οὕτω καὶ τὰ περὶ τῆς τῶν σιτίων ποσότητος. ἐσθίειν γὰρ ὡς πρὸς τὰς ἄλλας ὥρας πλεῖστα συγχωρητέον ἐν χειμῶνι, μεμαθηκότας ἐν ἀφορισμοῖς ὀρθῶς εἰρῆσθαι. » θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥᾷστα, ἦρος δεύτερον. εἰ δὲ καὶ διὰ τί γίνεται ταῦτα μαθεῖν ἐθέλοι τις, ἐδίδαξε καὶ τοῦτο ἤδη τοὺς ἀφορισμοὺς εἰπών. αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, διότι τὸ περιέχον ψυχρὸν ὄν, ἐναποστέγει στεγανοῦν, καὶ κατακλείει τὸ ἔμφυτον θερμὸν ἐν τῷ βάθει τοῦ σώματος. ἐν δὲ τῷ θέρει, διαφορεῖται μὲν τοῦτο διὰ τῆς διαπνοῆς. διὰ τῆς ἀναπνοῆς δὲ ἕλκεται τὸ περιέχον θερμόν. ὀνομάζω δὲ ἀναπνοὴν μὲν, τὴν διὰ τοῦ στόματος ἔξω τε καὶ εἴσω φορὰν τοῦ πνεύματος, διαπνοὴν δὲ, τὴν δι᾽ ὅλου τοῦ σώματος ὁμοίως γιγνομένην.

Ὅταν δὲ τὸ ἔαρ ἐπιλαμβάνῃ, τότε πόμα χρὴ πλέον ποιέεσθαι, καὶ ὑδαρέστερον ἐπὶ κατ᾽ ὀλίγον, καὶ τοῖσι σιτίοισι μαλθακωτέροισι χρέεσθαι, καὶ ἐλάσσοσι, καὶ τὸν ἄρτον ἀφαιρέοντα μάζαν προστιθέναι, καὶ τὰ ὄψα κατὰ τὸν αὐτὸν λόγον ἀφαιρέειν, ἔκ τε τῶν ὀπτῶν ἑφθὰ ποιέεσθαι, καὶ λαχάνοισιν ἤδη χρέεσθαι τοῦ ἦρος ὀλίγοισιν, ἕως ἐς τὴν θερίην καταστήσεται ὁ ἄνθρωπος. τοῖσί τε σιτίοισι πᾶσι μαλακοῖσι χρεόμενος, καὶ τοῖσιν ὄψοισιν ἑφθοῖσι, καὶ λαχάνοισιν ὠμοῖσι καὶ ἑφθοῖσι, καὶ τοῖσι πόμασιν ὡς ὑδαρεστάτοισι καὶ πλείστοισι, καὶ ὅκως μὴ μεγάλη ἡ μεταβολὴ ἔσται κατὰ μικρὸν, μὴ ἐξαπίνης χρεομένῳ.

Πλεῖον εἶπε καὶ ὑδαρέστερον, οὐ πλεῖστον, οὐδὲ ὑδαρέστατον ἐν τῷ ἦρι τὸ πόμα προσφέρεσθαι. τὸ γὰρ πλεῖστον καὶ ὑδαρέστατον ἐν τῷ θέρει κελεύει πίνειν, ὡς ἐναντίαν ἔχοντι τὴν κρᾶσιν, ἧς ὁ χειμὼν ἔχει. τὸ δὲ ἔαρ, ὥσπερ ἐν τῷ μεταξὺ τῶν ἄκρων ἔχει τὴν κρᾶσιν, οὕτω καὶ τῆς διαίτης μέσης δεῖται, ψυχροτέρας μὲν καὶ ὑγροτέρας, ὡς πρὸς τὸν χειμῶνα, θερμοτέρας δὲ καὶ ξηροτέρας, ὡς πρὸς τὸ θέρος. ἐκ τούτων οὖν δῆλον ἐστὶν, ὅπως ἀκούειν χρὴ τῆς κατὰ τὸ θέρος τε καὶ φθινόπωρον εἰρημένης ὑπ᾽ αὐτοῦ διαίτης, ὥστ᾽ ἐμοὶ μὲν ὑπερβαίνειν αὐτὸ προσήκει. τοῖς δ᾽ ἀναγινώσκουσι πολλάκις ἐπιμελῶς τε προσέχουσι τὸν νοῦν, εἴρηται πάντα σαφῶς ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι περὶ τὰς ἄχρι δεῦρο λελεγμένας.

Τοῦ δὲ θέρεος τῇ τε μάζῃ μαλακῇ τρέφεσθαι, καὶ τῷ ποτῷ ὑδαρεῖ, ἐπὶ πολλῷ, καὶ τοῖσιν ὄψοισιν πᾶσιν ἑφθοῖσι, καὶ οὕτω δεῖ χρέεσθαι τουτέοισιν ὁκόταν τὸ θέρος ᾖ, ὅκως ψυχρὸν ᾖ τὸ σῶμα καὶ μαλακόν. καὶ γὰρ ἡ ὥρη θερμή τε καὶ ξηρὰ, καὶ ποιέει τὰ σώματα καυματώδεα καὶ αὐχμηρά. δεῖ οὖν τοῖσιν ἐπιτηδεύμασι τουτέοισιν ἀλέξασθαι, κατὰ δὲ τὸν αὐτὸν λόγον, ὥσπερ ἐκ τοῦ χειμῶνος ἐς τὸ ἦρ, οὕτω καὶ ἐκ τοῦ ἦρος ἐς τὸ θέρος καταστῆσαι. τῶν μὲν σιτίων ἀφαιρέων, τῷ δὲ ποτῷ προστιθεὶς, καὶ οὕτως τὰ ἐνιαύσια ποιέοντα καταστῆσαι ἐκ τοῦ θέρεος ἐς τὸν χειμῶνα. ἐν δὲ τῷ φθινοπώρῳ πάλιν, τὰ μὲν σιτία πλείω ποιεόμενον καὶ ξηρότερα, καὶ τὰ ὄψα κατὰ τὸν αὐτὸν λόγον, τὰ δὲ ποτὰ, ἐλάσσω τε καὶ ἀκρητέστερα. ὅκως ὅ τε χειμὼν ἀγαθὸς ἔσται, καὶ ὁ ἄνθρωπος διαχρήσεται τοῖσί τε πόμασιν ἀκρητεστέροισι καὶ ὀλίγοισι, καὶ τοῖσι σιτίοισιν ὡς πλείστοισί τε καὶ ξηροτάτοισιν, οὕτω γὰρ ἂν καὶ ὑγιαίνοι μάλιστα, καὶ ῥιγῴη ἥκιστα. ἡ γὰρ ὥρη, λίαν ψυχρή τε καὶ ὑγρή.

Τὰ παρόντα διὰ ταῦτα τεκμήρια, ὅτι τινὸς ἐξηγητοῦ δέονται, πᾶσι δῆλα τοῦ Πολύβου ποιήσαντος, ὅτι τινὰ μέθοδον ἀκραιφνῆ ζητοῦντος, ἀλλὰ καθὰ κεῖται, αὐτά ἐστι μόνα δῆλα καθεστήκασι.

Τοῖσι δὲ εἴδεσι τοῖσι σαρκώδεσι καὶ πλείω μαλακοῖσι καὶ ἐρυθροῖσι, ξυμφέρει δὴ τὸν πλείονα χρόνον τοῦ ἐνιαυτοῦ ξηροτέροισι διαιτήμασι χρέεσθαι, ὑγρὴ γὰρ ἡ φύσις τῶν εἰδέων τουτέων.

Ὥσπερ αἱ διαφοραὶ τῶν ὡρῶν ἐνδείκνυνται διάφορον δίαιταν, οὕτω καὶ τοῦ σώματος αἱ ἕξεις, ἐφ᾽ ἃς νῦν ἥκει συντελέσας τὸν περὶ τῶν ὡρῶν λόγον. ὥσπερ δὲ ἐν ταῖς ὥραις ἐνεδείκνυτο τὴν προσήκουσαν δίαιταν, οὕτω κἀν ταῖς τοῦ σώματος ἰδέαις. οἱ μὲν γὰρ σαρκώδεις, καὶ μαλακοί, καὶ ἐρυθροί, διὰ τὴν τῆς κράσεως ὑγρότητα τοιοῦτοι γεγόνασιν. οἱ δὲ ἐναντίως αὐτοῖς διακείμενοι, περὶ ὧν ἐφεξῆς ἐρεῖ, διὰ τὴν ξηρότητα. προσήκει τοιγαροῦν τοὺς μὲν ὑγροὺς, ξηροτέρᾳ χρῆσθαι διαίτῃ, τοὺς δὲ ξηροὺς ὑγροτέρᾳ. καὶ εἴπερ ταῦτα ἀληθῶς εἴρηται, πρόδηλον ὅτι καὶ τοὺς εὐκράτους, εὐκράτῳ χρῆσθαι προσήκει τῇ διαίτῃ. λέγω δὲ εὐκράτους, οὓς οὔτε σαρκώδεις, οὔτε ἀσάρκους, ἀλλ᾽ εὐσάρκους ὀνομάζουσι.

Τοὺς δὲ στρυφνοὺς καὶ προσεσταλμένους, καὶ πυῤῥοὺς, καὶ μέλανας τῇ ὑγροτέρῃ διαίτῃ χρῆ τὸν πλείω διαιτᾶσθαι χρόνον, τὰ γὰρ σώματα ταῦτα ὑπάρχει ξηρὰ ἐόντα.

Τὰ τῶν κράσεων γνωρίσματα γέγραπταί μοι τελέως ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν, ἐν οἷς ὅτι μὲν οἱ στρυφνοὶ, τουτέστιν οἱ σκληροὶ, καὶ οἱ προσεσταλμένοι, τουτέστιν οἱ ἰσχνοὶ, ξηροτέρας εἰσὶ κράσεως ὡς ἐδιδάξαμεν, ὥσπερ γε καὶ οἱ μέλανες. οὐ μὴν γε τούς γε πυῤῥοὺς εἶναι ἔφαμεν ξηροὺς τὴν κρᾶσιν, ἀλλὰ τοὺς πλησιάζοντας αὐτοῖς, κατὰ τὴν χροιὰν, οὓς ξανθοὺς ὀνομάζουσιν, ἐπεί γε καὶ ξανθὴ χολὴ τὴν κρᾶσιν ξηρά ἐστι. χρώμενοι δὲ ἐνίοτε τοῖς ὀνόμασιν, οὐκ ἀκριβῶς ἔνιοι τῶν βιβλία γραψάντων, τὴν τῶν πραγμάτων διδασκαλίαν ταράσσουσιν. οὕτως γοῦν τινὲς ὀνομάζουσι τοὺς Γερμανοὺς ξανθοὺς, καίτοι γε οὐκ ὄντας ξανθοὺς, ἐὰν ἀκριβῶς τις ἐθέλοι καλεῖν, ἀλλὰ πυῤῥούς. τὰ δ᾽ ἄλλα τῆς προκειμένης ῥήσεως, ἀληθῶς τε ἅμα καὶ σαφῶς εἴρηται.

Καὶ τοῖσιν νέοισι τῶν σωμάτων ξυμφέρει μαλακωτέροισί τε καὶ ὑγροτέροισι χρέεσθαι τοῖσι διαιτήμασιν, ἡ γὰρ ἡλικίη ξηρὴ, καὶ τὰ σώματα πέπηγεν ἔτι. τοὺς δὲ πρεσβυτέρους τῷ ξηροτέρῳ χρὴ τρόπῳ τὸ πλεῖον τοῦ χρόνου διάγειν. τὰ γὰρ σώματα ἐν ταύτῃ τῇ ἡλικίῃ, ὑγρὰ καὶ μαλθακὰ, καὶ ψυχρά.

Ἐπὶ τὰς ἡλικίας μεταβὰς, ἐλλιπῆ τὸν διορισμὸν ἐποιήσατο, μὴ τεμὼν εἰς τέσσαρας διαφορὰς αὐτὰς, ἀλλ᾽ εἰς δύο μόνας. ἐχρῆν δ᾽ εἴπερ ἀπὸ τῶν κατὰ τὰς ἡλικίας κράσεων ἔνδειξιν ἔμελλε λήψεσθαι τοῦ τρόπου τῆς διαίτης, ὥσπερ αἱ κράσεις τέτταρές εἰσιν, οὕτω καὶ τὰς ἡλικίας εἰς τέτταρα τεμεῖν, ὑγρὰν μὲν καὶ θερμὴν τὴν τῶν παίδων εἰπόντα, ξηρὰν δὲ καὶ θερμὴν τὴν τῶν ἀκμαζόντων, καὶ ξηρὰν μὲν καὶ ψυχρὰν τὴν τῶν παρακμαζόντων, ὑγρὰν δὲ καὶ ψυχρὰν, τὴν τῶν γερόντων. ἀλλὰ τὴν μὲν τῶν παίδων, ὑγρὰν εἶναι προσήκει, μὴ δυναμένης γε τῆς αὐξήσεως ἐν ἑτέρᾳ κράσει γενέσθαι. τὴν δὲ τῶν ἀκμαζόντων, ἐπειδὴ παρὰ τὸ προσῆκόν τέ ἐστι θερμοτέρα καὶ ξηροτέρα, συμφέρει χρῆσθαι τοῖς ἐναντίοις διαιτήμασι, καθάπερ γε καὶ τὴν τῶν παρακμαζόντων. περὶ δὲ τῆς τῶν γερόντων ἡλικίας οὐ σμικρόν ἐστι ζήτημα σχεδὸν ἅπασιν ἠμελημένον, ὑπὲρ οὗ μικρὸν ὕστερον ἐρῶ, τὸν περὶ τῶν ἔμπροσθεν ἡλικιῶν συντελέσας λόγον. εἰ γὰρ ὡμολόγηται τὰ παιδία πλέον μὲν ἔχειν ὑγρότητος ἢ συμφέρει τοῖς ἀβλαβῶς ὑγιαίνουσι, πλέον δὲ θερμότητος. οὐ γὰρ ἁπλῶς ἐστι θερμὰ καθάπερ οἱ ἀκμάζοντες, ἀλλὰ κατὰ τὴν ἔμφυτον θερμασίαν, ἥτις εὔκρατος ἐστὶν, ἐν αἵματι χρηστῷ τὴν ὕπαρξιν ἔχουσα. τὸ μεταξὺ τῶν παίδων τε καὶ τῶν ἀκμαζόντων, ὅπερ ἐστὶν ἐφήβων τε καὶ μειρακίων, εἴη ἂν ἐν τῇ ἀρίστῃ κράσει. τῆς δ᾽ ἀρίστης μέσης οὔσης, καὶ τὰ διαιτήματα μέσα τῇ κράσει προσήκει ποιεῖσθαι, μήθ᾽ ὑγρότερον ἐργαζομένους, μήτε ξηρότερον, ἢ θερμότερον, ἢ ψυχρότερον αὐτῶν τὸ σῶμα. τὸ μέντοι τῶν παιδίων, εἰ καὶ πλεῖον ὡς πρὸς ὑγιεινὴν ἕξιν ἔχοι τὸ ὑγρὸν, ὅμως οὐ χρὴ ξηραίνειν, ἀναυξῆ γὰρ αὐτὰ ποιήσομεν. περὶ δὲ τῶν γερόντων, ἐπειδὴ τινὲς μὲν αὐτοὺς ὑγροὺς εἶναι λέγουσι, τινὲς δὲ ξηροὺς, ἀδιορίστως ἑκάτεροι, διοριστέον ἡμῖν ἐστι κατά τι μὲν αὐτοὺς ὄντας ξηροὺς, κατά τι δὲ ὑγρούς. ἐδείχθη δὲ τοῦτο ἐν τοῖς περὶ κράσεων, αὐτοῖς μὲν γὰρ τοῖς στερεοῖς τοῦ σώματος μορίοις, ἐδείχθησαν ὄντες ξηροί. περιττώματα δ᾽ ἔχοντες διὰ τὴν ψυχρότητα τῆς κράσεως πολλὰ, καὶ δι᾽ αὐτὰ ὑγροὶ λεγόμενοι. κατὰ λόγον οὖν ἔνδειξις ἐναντία τε καὶ διττὴ γίνεται τοῖς ἰατροῖς ἀπὸ τῆς ἡλικίας ταύτης, διὰ μὲν τὴν ξηρότητα τῆς τῶν στερεῶν κράσεως ὑγραίνεσθαι δεομένων αὐτῶν, διὰ δὲ τὴν περιουσίαν τῶν ὑγρῶν ξηραίνεσθαι. πῶς μὲν οὖν ἀμφοτέρων ἄν τις στοχάζοιτο, τελέως εἴρηται κατὰ τὴν ὑγιεινὴν πραγματείαν, ἐν δὲ τῷ παρόντι λόγῳ τὸ κεφάλαιον, ὧν ἐν ἐκείνῃ γεγράφαμεν εἰπεῖν ἀρκέσει, τὰ μὲν σιτία καὶ ποτὰ καὶ τἆλλα πάντα, σκοπὸν ἐχέτω τό θ᾽ ὑγρὸν καὶ τὸ θερμὸν, ὡς δέον ὑγραίνειν τε καὶ θερμαίνειν τῶν γερόντων τὰ στερεὰ μόρια τοῦ σώματος, ἅπερ καὶ μόνα κυρίως ὀνομαζόντων, ἐστὶ μόρια. προνοητέον δὲ πάλιν περὶ τῆς τῶν φλεγματωδῶν περιττωμάτων κενώσεως. εἴπερ οὖν ἐκ μὲν τῆς περὶ κράσεων πραγματείας ἀναλέξαις τε καὶ μάθοις ἐπιστημονικῶς ψυχρὰν καὶ ξηρὰν εἶναι τὴν οἰκείαν τῶν γερόντων κρᾶσιν, ἐπίκτητον δὲ ἴσχειν αὐτοὺς ὑγρότητα, διὰ τὴν τῶν φλεγματωδῶν περιττωμάτων γένεσιν. ἐλθὼν δὲ ἀπ᾽ ἐκείνων ἐπὶ τὰ τῶν ὑγιεινῶν ὑπομνήματα, προσεπιμάθοις ὅπως χρὴ διαιτᾶν τοὺς γέροντας, εὔδηλον ἔσται σοι τὸ τῆς νῦν προκειμένης ῥήσεως ἀδιόριστον. ὅτε γὰρ εἰς δύο ἐχρῆν διαιρεῖσθαι τὸν ἀνθρώπινον βίον, οὔτε ἐπὶ τῶν γερόντων ὑγρὰ καὶ μαλακὰ σώματα εἰρῆσθαι, οὔθ᾽ ὅτι ξηροῖς τὴν κρᾶσιν ἐδέσμασι διαιτητέον αὐτούς. τοὺς μέντοι νέους πεπηγότα φήσας ἔχειν τὰ σώματα, καὶ τὴν κρᾶσιν εἶναι ξηροὺς, εὔδηλος ἐστὶν ἐπὶ τῶν ἀκμαζόντων μόνων τὸν λόγον πεποιημένος, καὶ τούτους ὀνομάσας νέους. παρέλιπεν οὖν τήν τε τῶν παίδων ἡλικίαν, καὶ τὴν παρακμαζόντων, ὡς δὲ ἐγώ φημι καὶ τὴν εὐκρατοτάτην γε, ἥτις ἐστὶν ἐν τῷ μεταξὺ τῶν παιδίων τε καὶ τῶν ἀκμαζόντων. εὔδηλος δ᾽ ἐστὶ καὶ αὐτὸς ὑποπτεύων τὸν ἑαυτοῦ λόγον. οὐ γὰρ ἁπλῶς εἶπε τοὺς πρεσβυτέρους τῷ ξηροτέρῳ χρὴ τρόπῳ διαιτᾶν, ἀλλὰ προσέθηκε τὸ πλέον τοῦ

τοῦ χρόνου. ἔοικε δὲ τοὐναντίον εἶναι, τῷ φάναι μὴ διὰ παντὸς, ὅπερ οὔτε τῇ ἕξει τοῦ σώματος, οὔτε τῇ ἡλικίᾳ προσέθηκεν ἑτέρᾳ, διὰ παντὸς γὰρ χρὴ τὴν οἰκείαν ἑκάστῳ σώματι δίαιταν αἱρεῖσθαι.

Δεῖ οὖν πρὸς τὴν ἡλικίην, καὶ τὴν ὥρην, καὶ τὰ εἴδεα τὰ διαιτήματα ποιέεσθαι ἐναντιουμένους τοῖσι καθισταμένοισι, καὶ θάλπεσι, καὶ χειμῶσιν. οὕτως γὰρ ἂν μάλιστα ὑγιαίνοιεν.

Καθόλου ὁ λόγος οὗτος εἴρηται πρὸς αὐτοῦ, καὶ σαφῶς καὶ ἀληθῶς ἤδη πολλάκις ἐν πολλοῖς ἡμῖν διηνυσμένος.

Καὶ ὁδοιπορέειν τοῦ μὲν χειμῶνος ταχέως χρὴ, τοῦ δὲ θέρεος ἡσυχῇ ἔχειν, ἢν μὴ διὰ καύματος ὁδοιπορέῃ.

Πῶς ὁδοιπορεῖν χρὴ, διδάσκει καθ' ἑκάστην τῶν ὡρῶν. τοῦ μὲν χειμῶνος αἱρούμενον τὸν ξηραίνοντά τε καὶ θερμαίνοντα περίπατον, τοῦ θέρους δὲ τὸν ἐναντίον σκοπὸν ποιεῖν, ἢ μὴ διὰ ἡλίου, φησὶν, ὁδοιπορεῖν. τηνικαῦτα γὰρ ἐπείγεσθαι χρὴ θᾶττον ἀπαλλαγῆναι τῆς γιγνομένης, ἐπὶ τὴν τοιαύτην ὁδοιπορίαν, ξηρότητός τε καὶ θερμότητος ἐν τῷ σώματι.

Δεῖ δὲ τοὺς μὲν σαρκώδεας θᾶττον ὁδοιπορέειν, τοὺς δὲ ἰσχνοὺς ἡσυχέστερον. λουτροῖσι δὲ χρὴ πολλοῖσι χρέεσθαι τοῦ θέρεος, τοῦ δὲ χειμῶνος ἐλάσσοσι. χρὴ δὲ τοὺς ἰσχνοὺς μᾶλλον λούεσθαι τῶν σαρκωδέων.

Ἡ ταχεῖα κίνησις τὴν θερμασίαν ἐπὶ πλεῖον αὐξάνουσα, τήκει τὸ σῶμα. ἐπὶ δὲ τὰς βραχείας κινήσεις ἡ σύμμετρος θερμασία, καὶ τὴν αἱμάτωσιν καὶ τὴν θρέψιν ἐργάζεται βελτίονα, καὶ διὰ τοῦτο συναίρεται τοῖς ζώοις εἰς εὐτροφίαν.

Ἠμφιέσθαι δὲ χρὴ τοῦ μὲν χειμῶνος καθαρὰ ἱμάτια, τοῦ δὲ θέρεος ἐλαιοπινέα.

Τί μὲν συνετώτερον ἐπενόησεν ὁ γράψας, τοῦ τοῖς ἐξηγηταῖς εἰρημένου πᾶσιν, αὐτὸς ἂν εἰδείη. εἰ δὲ τὰ μὲν καθαρὰ διὰ τὸ μᾶλλον θερμαίνειν, ἢ καὶ τὸ τὰς διαπνοὰς μὴ κωλύειν, ἀξιοῖ τοῦ χειμῶνος ἀμφιέννυσθαι. τὰ δὲ ἐλαιοπινῆ τοῦ θέρους, ἢ διὰ τὸ ψύχειν, ἢ τὰς διαπνοὰς ἀποφράττειν, οὐκ ἐπαινῶ τὸν λόγον. καὶ γὰρ τῶν καθαρῶν ἱματίων, ὅσα πυκνὴν ἔχει τὴν ὑφὴν, καὶ μάλιστα δὲ αὐτῶν τὰ τριβακὰ, ψύχει, τούτων οὖν ἄμεινον χρῆσθαι. τὰ γὰρ ἐλαιοπινῆ, ῥυπαρὰ πάντως ἐστίν. οὐδεὶς δὲ τῶν καθαρείων ἀνθρώπων ἀνέχεται ῥυπαρῶν ἱματίων, καὶ μάλιστα θέρους. καὶ μέντοι θερμαίνει χρονίσαντα τὰ ἐλαιοπινῆ μᾶλλον τῶν καθαρῶν, εἰ καὶ κατὰ τὴν πρώτην πρόσπτωσιν εἴη ψυχρότατα.

Τοὺς δὲ παχέας χρὴ ὅσοι βούλονται λεπτοὶ γενέσθαι, τὰς ταλαιπωρίας νήστιας ἐόντας ποιέεσθαι ἁπάσας, καὶ τοῖσι σιτίοισιν ἐπιχειρέειν ἔτι ἀσθμαίνοντας, καὶ μὴ ἀνεψυγμένους, καὶ προπεπωκότας οἶνον κεκρημένον, καὶ μὴ σφόδρα ψυχρόν. καὶ τὰ ὄψα σκευάζειν σησάμοισιν ἢ ἡδύσμασι, καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιουτοτρόποισι. καὶ πίονα δὲ ἔστω τὰ προσφερόμενα ὄψα, οὕτω γὰρ ἂν ἀπό γε ἐλαχίστων πεμμάτων ἐνεμπίπλαιντο.

Τὸ ἐπὶ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, τὸ, οὕτω γὰρ ἀπὸ ἐλαχίστων ἐνεμπίπλανται. τινὲς μὲν ἐπὶ πάντων τῶν προειρημένων εἰρῆσθαι φασί. τινὲς δὲ ἐπὶ τῶν ὄψων μόνον, ἃ διὰ σησάμων τε καὶ τῶν ὁμοίων σκευάζεσθαι κελεύει, καὶ ἄλλων τινῶν πολλῶν. τὰ προειρημένα δ' οὐκ ἔστι, τό τε νῆστιν γυμνάζεσθαι, κενοῖ γὰρ φανερῶς τοῦτο, καθάπερ πληροῖ τὸ μετὰ τροφήν. ἔτι τε πρὸς τούτοις, τὸ ἀσθμαίνοντας ἀπὸ τῶν γυμνασίων, ἐσθίειν οὐδέπω, τῆς ἐπ' αὐτοῖς θερμασίας διαπεφορημένης, οὐδὲ ἀνεψυγμένου τοῦ σώματος. ὅπερ ὅτι μὲν αἴτιον γίγνεται τοῦ ταχέως ἐμπιπλᾶσθαι, σαφῶς φαίνεται. εἰ δὲ κατ' ἄλλον τινὰ λόγον ὁ τοῦ βιβλίου συγγραφεὺς βούλεται λεπτύνειν αὐτὸ, τοῦθ' ἡμῖν ἄδηλον ἐστίν. ὅτι μέντοι πολλοῖς τοῦτο τῶν ἐν τοῖς σπλάγχνοις ἐμφράξεων αἴτιον ἐγένετο, καὶ μάλιστα τῶν κατὰ τὸ ἧπαρ, ἀκριβῶς οἶδα, καθάπερ γε καὶ τὰ μετὰ τροφὴν ὀξέα γυμνάσια. καὶ μέντοι καὶ τὰ λουτρὰ τοῖς στενὰς ἔχουσι τὰς ἐπὶ τὸ ἧπαρ διεξόδους τῆς τροφῆς, ἐμφράξεις ἐργάζεται. λέλεκται δέ μοι περὶ τούτων ἅμα τοῖς οἰκείοις διορισμοῖς ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. λοιπὸν δ' ἂν εἴη περὶ αὐτῆς τῆς λέξεως διασκέψασθαι, καθ' ἣν φησὶ, καὶ προπεπωκότας οἶνον μὴ πάνυ ψυχρόν. ὡς γὰρ ψυχρὸν μὲν εἶναι κελεύων αὐτὸν, οὐ πάνυ δὲ ψυχρὸν, οὕτως ἐποιήσατο τὸν λόγον, οὐ πάνυ δὲ ὅλως ἀξιοῖ μετὰ τὰ γυμνάσια πίνειν οἶνον εὐθέως, ἀλλ' ὕδωρ πρότερον, ὥσπερ καὶ οἱ ἀθληταὶ ποιοῦσι τουτὶ τῇ πείρᾳ δεδιδαγμένοι. κεφαλῆς τε γὰρ ἅπτεται οἶνος, καὶ εἰ μετὰ τὸ βαλανεῖον εὐθέως πίνοιτο, πρότερος τῶν ἄλλων ἁπάντων ἐδεσμάτων τε καὶ πομάτων. ἡ μὲν οὖν δὴ ἡ τοῦ ψυχροῦ πόσις ἐπὶ τοῖς γυμνασίοις αὐτοῦ τοῦ πεπιεῖν θερμὸν, ἀβλαβές ἐστι. βλάπτει γὰρ καὶ αὐτὴ σαφῶς τὴν γαστέρα τε καὶ τὸ ἧπαρ. τινῶν δὲ καὶ τὰ νεῦρα, καὶ μέντοι καὶ τὰς ἕξεις ὁ ψυχρὸς οἶνος ἐπιτονοῖ. βούλεται δὲ ὁ ταῦτα γράψας, ἐκλύειν αὐτάς. μήτι οὖν ἑτέρως μὲν ἦν γεγραμμένον, ἥμαρτε δὲ ὁ μεταγραψάμενος αὐτό. πολλὰ γὰρ ὁρᾶται τοιαῦτα καὶ νῦν γινόμενα, καὶ δέος ἀντὶ τοῦ μήθ' ὅλως θερμὸν αὐτὸν γράψαι, μὴ λίαν ψυχρόν. ὁ γὰρ ἀσθμαίνουσιν ἔτι διδόναι τὴν τροφὴν ἀξιῶν, ἀτμῶν πολλῶν ὄντος μεστοῦ τοῦ σώματος, βουλήσεται δὲ καὶ διὰ οἴνου πόσεως θερμοῦ πληρῶσαι μᾶλλον αὐτούς. πεφυκότος δὲ τοῦ πάνυ θερμοῦ, παραπλησίως τῷ ψυχρῷ συνάγειν καὶ τονοῦν τὴν γαστέρα, φυλάττεται πρᾶξαι τοῦτο.

Καὶ μονοσιτέειν, καὶ ἀλουτέειν, καὶ σκληροκοιτέειν, καὶ γυμνὸν περιπατέειν, ὅσον γε οἷόν τε μάλιστ' ἂν εἴη.

Κάλλιον ἂν ἦν εἰρῆσθαι πρὸς αὐτῷ μὴ μονοσιτεῖν, ἀλλ' ὀλιγοσιτεῖν. ἔνιοι γὰρ τῶν μονοσιτούντων, πολὺ πλείω προσφέρονται τῶν δὶς σιτουμένων. ὥσπερ δὲ τὸ λουτρὸν ἐκθερμαῖνον τὸ σῶμα, καὶ μάλιστα τὸ ἐκτὸς, εἰς ἀνάδοσίν τε τροφῆς καὶ πρόσθεσιν τῶν ἀναδοθέντων συντελεῖ, ἐπὶ τὸν αὐτὸν λόγον ἡ ἀλουσία τοῖς ἐναντίοις συναίρεται. καὶ ἡ σκληροκοιτία,

ῥοινοιτία δὲ λυπεῖ, καὶ συνέχει, καὶ σφίγγει τὸ σῶμα, καὶ διὰ τοῦτο τὴν εἰς πᾶν μέρος ἐπίδοσιν αὐτοῦ κωλύει. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ γυμνὸν περιπατεῖν, ψύχει μὲν ἅπαντα τὰ μετὰ τὸ δέρμα μόρια. συνελαύνει δὲ εἰς τὸ βάθος καὶ τὰ σπλάγχνα καὶ τὴν θερμασίαν, ὡς πέττεσθαι μὲν καλῶς τὰ σιτία, τὴν δὲ πάντη φορὰν αὐτῶν κωλύειν.

Ὅσοι δὲ βούλονται λεπτοὶ ἐόντες παχύτεροι γενέσθαι, τά τε ἄλλα ποιέειν τἀναντία ἐκείνοισι, καὶ νῆστιν μηδεμίαν ταλαιπωρίην ποιέεσθαι.

Τἀναντία τῶν εἰρημένων τοῖς παχέσιν δεῖ, τὸ μήτε ἀσθμαίνοντας ἐπιχειρεῖν τοῖς σιτίοις, ἀλλ᾽ ὅταν ἤδη κατὰ φύσιν ἀναπνέωσι, μήτε μονοσιτεῖν, ἀλλ᾽ ἤτοι δὶς ἐσθίειν, ἢ καὶ τρίς. οὕτω δὲ καὶ ταῖς ἀλουσίαις τἀναντία ποιῶν, λούσεται δίς, ἢ ἅπαντος μὲν ἤδη χρόνου τροφῇ τὸ δεύτερον λουτρὸν προλαμβανόντων, ἔσθ᾽ ὅτε δὲ καὶ τὸ πρῶτον. οὕτω δὲ καὶ τὰ γυμνάσια, βραχέα τε γυμνάσεται καὶ βραδέα, καὶ μετὰ τροφήν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ μαλακῶς κοιμᾶσθαι, καὶ μὴ γυμνὸν ὁμιλεῖν τῷ περιέχοντι, τούτοις ἐστὶ χρήσιμον. διὰ τοῦτο γοῦν καὶ οἱ γυμνασταί, τὰ μὲν μετὰ τὸ προσάπτεσθαι καὶ σωματομαχεῖν, οὕτω γὰρ ὀνομάζουσιν αὐτοί τινα γινόμενα γυμνάσια, παραλαμβάνουσιν, ἐφ᾽ ὧν σαρκῶσαι θέλουσι, φυλαττόμενοι γυμνοὺς γυμνάζειν αὐτοὺς τὸ σῶμα, καὶ μὴ μετὰ συμπλοκῆς. ἔμπαλιν δὲ οὓς λεπτῦναι βούλονται, μετὰ τοῦ τάχους γυμνασίου, καὶ χωρὶς τῆς πρώτης συμπλοκῆς γυμνάζουσιν.

Τοῖσι δὲ ἐμέτοισι χρὴ καὶ τοῖσι κατακλύσμασι τῆς κοιλίης ὧδε χρέεσθαι, ἓξ μῆνας τοὺς χειμερινοὺς ἐμέειν. οὗτος γὰρ ὁ χρόνος φλεγματωδέστερος τοῦ θερινοῦ, καὶ τὰ νουσήματα γίνεται περὶ τὴν κεφαλὴν, καὶ τὸ χωρίον τὸ ὑπὲρ τῶν φρενῶν. ὅταν δὲ ᾖ τὰ θάλπεα, τοῖσι κατακλύσμασι χρέεσθαι. ἡ γὰρ ὥρη καυματώδης καὶ χολωδέστερον τὸ σῶμα, καὶ αἱ βαρύτητες ἐν τῇ ὀσφύϊ, καὶ ἐν τοῖσι γούνασιν, καὶ θέρμαι γίνονται, καὶ ἐν τῇ γαστρὶ στρόφοι γίνονται. δεῖ οὖν τὸ σῶμα ψύχειν, καὶ τὰ μετεωριζόμενα κάτω ὑπάγειν ἀπὸ τῶν χωρίων τουτέων.

Τίνα καλεῖ κατακλύσματα, διὰ τῶν ἐφεξῆς ἐδήλωσεν αὐτός. τά τε ἀπὸ τῶν γαλάκτων εἰπὼν, καὶ τὸ ἀπὸ τῶν ἐρεβίνθων ἑψημένον ὕδωρ, ἅλμην τε καὶ θάλασσαν. ἕτερα γάρ ἐστι τούτων τὰ καθαίροντα φάρμακα κενωτικὰ τοῦ παντὸς σώματος ὄντα. ὥσπερ οὖν τὰ βαλανεῖα κατακλύζειν οἱ βαλανεῖς λέγουσι, τῶν ἐν αὐτοῖς λίθων ἀποπλυνόντες τὸν πηλὸν, καὶ τὸν ῥύπον, οὕτω καὶ τὰ τῆς γαστρός τε καὶ τῶν ἐντέρων κατακλύσματα, περιπλύνει τὸ φλέγμα καὶ τὴν χολὴν αὐτῶν. ἐπεὶ τοίνυν ἐν τῷ χειμῶνι φλέγμα γεννᾶται κατὰ τὴν κοιλίαν, ἐκκενοῦν αὐτὸ διὰ τῶν ἐμέτων συμβουλεύει. τοῦ θέρους δὲ, τὴν ἐπιπολάζουσαν ἄνω χολὴν ἀντισπᾷν κάτω. καθαίρειν μέντοι τὸ σύμπαν σῶμα βουληθέντι σοι, θέρους μὲν διὰ τῶν ἄνω, χειμῶνος δὲ διὰ τῆς κάτω κοιλίας φαρμακευτέον, ὡς ἐν ἀφορισμοῖς εἴρηται. τὰ μὲν γὰρ ἤδη πλεονάζοντα, ἡ κάθαρσις ἰᾶται, διὰ τῶν χωρίων ᾗ ῥέπει τὴν κάθαρσιν ποιούμενος. ἀκτέα γὰρ ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων. ὅσα δὲ κωλῦσαι θέλεις αὐξηθῆναι, διὰ τῶν ἀντικειμένων χωρίων ἀντισπᾷν προσήκει.

Ἔστω δὲ τὰ κατακλύσματα τοῖσιν μὲν παχυτέροισι καὶ ὑγροτέροισιν ἁλμυρότερα καὶ λεπτότερα, τοῖσι δὲ ξηροτέροισι, καὶ προεσταλμένοισι καὶ ἀσθενεστέροισι λιπαρώτερα καὶ παχύτερα. ἔστι δὲ τῶν κατακλυσμάτων λιπαρὰ καὶ παχέα, τὰ ἀπὸ τῶν γαλάκτων, καὶ ἀπὸ ἐρεβίνθων ὕδωρ ἑφθῶν, καὶ τῶν ἄλλων τῶν τοιουτέων. λεπτὰ δὲ καὶ ἁλμυρά, ἅλμη καὶ θάλασσα, καὶ τὰ τοιαῦτα.

Τὰ τμητικώτερα μὲν ἐπὶ τῶν παχυτέρων ἀξιοῖ προσφέρειν, φλεγματικώτεροι γὰρ οὗτοι. τὰ λιπαρώτερα δ᾽ ἐπὶ τῶν ἰσχνῶν, ὡς αὖ χολωδεστέρων ὄντων. ὁποῖαι δέ εἰσιν ἑκατέρων αἱ ὗλαι, διὰ τῆς ἐχομένης ῥήσεως, ἐδήλωσεν ἐξηγήσεως οὐ δεομένης. διὸ καὶ παραλιπὼν αὐτὴν, ἐπὶ τὰ συνεχῆ τρέψομαι.

Τοὺς δὲ ἐμέτους ὧδε χρὴ ποιέεσθαι. ὅσοι μὲν τῶν ἀνθρώπων παχέες εἰσί, νήστιες ἐμεούντων, δραμόντες ἢ ὁδοιπορήσαντες διὰ τάχεος κατὰ μέσον ἡμέρης.

Ἐκτεθερμάνθαι βούλεται τὸ σῶμα τοῖς παχέσιν, ἐμεῖν μέλλουσιν ἕνεκα τῆς χύσεως τῶν φλεγματικῶν χυμῶν, οὓς πλείους ἔχουσιν οἱ παχεῖς. ἀλλὰ καὶ ἡ τῶν ἀγγείων ἀναστόμωσις ἁπάντων τε τῶν κατὰ λεπτὸν πόρων ἀραίωσις, οὕτως ἂν μάλιστα γένοιτο. χρήσιμα δὲ ταῦτα πάντα πρὸς τὸ ῥᾳδίως τε καὶ ἀλύπως γίνεσθαι τὸν ἔμετον.

Ἔστω δὲ ἡμικοτύλιον ὑσσώπου τετριμμένου ἐν ὕδατος χοΐ, καὶ τοῦτο ἐκπιέτω, ὄξος παραχέων καὶ ἅλας παραβάλλων, ὅκως ἂν μέλλῃ ἥδιστον ἔσεσθαι.

Ὅτι τμητικὸν εἶναι βούλεται τὸ πόμα καὶ δι᾽ ἥν τινα αἰτίαν, οὐκ ἄδηλον. ἐπεὶ γὰρ οἱ παχεῖς ἄνθρωποι καὶ τοὺς χυμοὺς ἔχουσι τοὐπίπαν παχεῖς τε καὶ ψυχρούς, καί τινας αὐτῶν καὶ γλίσχρους, διὰ τοῦτο τμητικὸν εἶναι κελεύει τὸ πότον αὐτῶν. ὁπόσον δέ τι τὸ πλῆθος δίδωσιν οὗ συντίθησι πόματα, οὐκ ἀκριβῶς ἔχω φάναι διὰ τό, μέτρον οὖσιν ὅτι, ὃ καλοῦσι χοέα, μὴ τὸ αὐτὸ μέγεθος ἔχειν παρὰ πᾶσιν. εἰ δὲ τὸν ἀττικὸν κελεύει πίνειν, οὐ πάνυ συντίθεμαι τῷ ἔθει, πολὺ γὰρ εἶναί μοι δοκεῖ. σύνηθες μέντοι τοῖς παλαιοῖς ἦν, εἴτε ὀρρῷ γάλακτος, εἴτε ὁτῳοῦν τινὶ κατακλύσματι προαιρουμένου χρῆσθαι, πάμπολυ τῷ πλήθει διδόναι.

Γινέσθω δὲ τὸ μὲν πρῶτον ἡσυχέστερον, ἔπειτα δὲ ἐπὶ θᾶσσον.

Ἐὰν μὲν οὖν ἐν ἀρχῇ πίῃ λάβρως, εὐθέως ἐμεῖται, πρὶν ἐκπίῃ τὸ πᾶν, ἀπορρύψαι τι τῶν ἐν τῇ γαστρὶ χυμῶν, οἷς συνεκκενοῦνται καὶ οἱ κατὰ τὰς πρώτας φλέβας. ἐὰν δὲ ἐν ἀρχῇ μὲν ἡσυχέστερον, ὕστερον δὲ πλεῖον πάντως πίῃ, οὕτω δυνήσεται χρόνῳ τε συμμέτρῳ κατασχεῖν, ὁρμήσει τε πρὸς ἔμετον ἐν καιρῷ διὰ τὸ πίνειν ἀθροώτερον ὕστερον.

Οἱ δὲ λεπτότεροι καὶ ἀσθενέστεροι ἀπὸ σιτίων ποιεέσθωσαν τοὺς ἐμέτους τρόπῳ τοιῷδε. λουσάμενος θερμῷ, προπιέτω ἀκρήτου κοτύλην, ἔπειτα σιτία παντοδαπὰ ἐσθιέτω, καὶ μὴ πινέτωσαν ἐπὶ τῷ σιτίῳ, μηδὲ ἀπὸ τοῦ σιτίου, ἀλλὰ ἐπισχέτωσαν ὅσον δεκατέσσαρα στάδια διελθεῖν. ἔπειτα δὲ συμμίξας οἴνους τρεῖς πίνειν διδόναι αὐστηρὸν καὶ γλυκὺν καὶ ὀξύν. πρῶτον μὲν ἀκρητέστερον καὶ κατ᾽ ὀλίγον, καὶ διὰ πολλοῦ χρόνου, ἔπειτα δὲ ὑδαρεστέρους τε καὶ θᾶσσον καὶ κατὰ πολλόν.

Λουσάμενον θερμῷ, προπίνειν ἀξιοῖ πόματος ἀκρατεστέρου, λογισμῷ τοιῷδε χρώμενος, ὡς ἂν εἰκάσειέ τις, ἐκ τοῦ θερμοῦ λουτροῦ θερμαίνεται πᾶν τὸ σῶμα, καὶ οἱ χυμοὶ χέονται, καὶ χαλαρὰ γίνονται τὰ ἀγγεῖα. τὰ αὐτὰ δὲ ταῦτα καὶ ὁ ἀκρατέστερος οἶνος ἐργάζεται, μετὰ τοῦ καὶ ῥωννύναι τὴν δύναμιν, ἧς μάλιστα φροντίζειν ἔοικεν ἐπὶ τῶν ἰσχνῶν. ἔπειτα φησὶ σιτία παντοδαπὰ ἐσθιέτωσαν. τούτου δὲ λογισμὸν οὐ τὸν αὐτὸν πάντες ἔγραψαν οἱ ἐξηγησάμενοι τὸ βιβλίον. ἐνίοις μὲν γὰρ αὐτῶν δοκεῖ διδόναι παντοδαπά, διότι στασιάζοντα πρὸς ἄλληλα, ῥᾷον εἰς ἔμετον ὁρμᾷ, τισὶ δὲ ὑπὲρ τοῦ πλεῖον προσενέγκασθαι. τὰ γὰρ ἁπλᾶ καὶ μονοειδῆ ταχέως ἐμπίπλησιν, οὐκ ἐᾷ δὲ πίνειν εὐθέως αὐτούς. ἵνα μὴ ταχέως ἐπιπολάσῃ τὰ σιτία, ὃ οὐ βούλεται. διὰ δὲ τὸ μὴ γενέσθαι τοῦτο, καὶ χρόνον τινὰ μεταξὺ πρὸς τὴν θρέψιν αὐτάρκη διατρίβειν ὁρίζει, καὶ τὸν χρόνον δὲ αὐτὸν εἶπεν, ὅσον τεσσάρων σταδίων διελθεῖν. ἐπὶ δὲ τούτοις, οὕτω προαχθεῖσι, δίδωσι τὸ ποτόν, οἴνους τρεῖς διαφέροντας ἀλλήλων κατὰ ποιότητα. κελεύει γὰρ εἶναι τὸν μέν τινα τῶν οἴνων αὐστηρόν, τὸν δὲ γλυκύν, τὸν δὲ ὀξύν. οὐκ εἰπὼν οὐδὲ ἐνταῦθα τὴν αἰτίαν δι᾽ ἣν οὕτως ἐκέλευσεν. οἱ δ᾽ ἀπομαντευόμενοι τῆς γνώμης αὐτοῦ, φασὶ τὸν μὲν αὐστηρὸν διδόναι ῥώμης ἕνεκα τῶν ὀργάνων, δι᾽ ὧν ὁ ἔμετος ἔσται. τὸν δὲ γλυκύν, ἵνα εἰς ἔμετον ὁρμήσῃ, καὶ διὰ τὸ χέειν τοὺς χυμοὺς τὸν γλυκὺν οἶνον. τὸν δ᾽ ὀξύν, ἵνα ἀπορρύψῃ τὰ ἐμπεπλασμένα τῇ γαστρί. τάχα γοῦν καὶ τὰ σιτία παντοδαπὰ κατὰ τὰς ποιότητας ἐκέλευσε λαμβάνειν αὐτούς, ἵνα τὰ μὲν ῥώσῃ τὴν γαστέρα, τὰ δὲ εἰς ἔμετον παροξύνῃ, τὰ δὲ ἀπορρύψῃ τοὺς ἐμπεπλασμένους χυμούς. ὅπερ δὲ λέγω πολλάκις, ἐν ταῖς πρὸς τοὺς ἑταίρους τε καὶ τοὺς ἄλλους φίλους συνουσίαις, ὁρῶ καὶ νῦν, οὐ σμικρά μοι δοκοῦσιν ἁμαρτάνειν, οἱ τὴν δογματικὴν αἵρεσιν αὐχοῦντες προσβεβλῆσθαι, ἄνευ τοῦ τὸν λογισμὸν εἰπεῖν ἃ συμβουλεύουσιν ἀποφαινόμενοι, καθάπερ τινὰ προστάγματα βασιλικά. βέλτιον γὰρ ἦν ἑκάστου τῶν πραττομένων, αὐτὸν τὸν γράψαντα τὸ βιβλίον εἰπεῖν τὴν δύναμιν, ὡς Ἱπποκράτης ἐποίησεν ἐν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ τῆς πτισάνης εἰπών. τὸ γὰρ γλίσχρον αὐτῆς λεῖον, καὶ προσηνές, καὶ συνεχές ἐστι, καὶ ὀλισθηρόν, καὶ πλαδαρὸν μετρίως, καὶ ἄδιψον, καὶ εὐέκπλυτον, ἔτι καὶ τούτου προσδέοι, καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακόν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίᾳ. οὕτως δὲ καὶ περὶ μελικράτου, καὶ οἴνου, καὶ ὀξυμέλιτος, ἔτι τε λουτρῶν ἔγραψεν, ὥστε ἀρχὴν ἔχειν ἡμᾶς τῆς ὁδοῦ καθ᾽ ἣν ἀκολούθως τῷ συγγραφεῖ, τῶν οὐκ εἰρημένων ὑπ᾽ αὐτοῦ προσθῶμεν τινά. καὶ νῦν οὖν εἰρηκότος αὐτοῦ τἆλλα, χωρὶς τοῦ τῆς αἰτίας λογισμοῦ, καὶ μέντοι ὡς ἤτοι πίνειν ἐνεστι τὸν οἶνον πρῶτον μὲν ἀκρητέστερον, καὶ κατ᾽ ὀλίγον, καὶ διὰ πολλοῦ, ἔπειτα δὲ ὑδαρέστερόν τε καὶ θᾶσσον καὶ κατὰ πολλόν. ἡμᾶς δεῖ στοχάζεσθαι τῆς γνώμης αὐτοῦ καθ᾽ ἣν ἔγραψεν. ἔστι δὲ καὶ ἄλλως μὲν ἅπας στοχασμός, ἀμφίβολον πρᾶγμα. μάλιστα δὲ ὅταν ἑτέρου ἀνθρώπου γνώμη ζητῆται. τὸ μὲν οὖν ὑδαρέστερον πίνειν τὸν οἶνον καὶ θᾶσσον, καὶ κατὰ πολλόν, εἰκότως ἂν εἰρῆσθαι δόξειεν ἐπὶ τῶν ἐμεῖν ἐθελόντων. εἴπερ γε καὶ τἀναντία τοῖς κατασχεῖν βουλομένοις καὶ πέψαι τὴν τροφὴν ἐστὶν ἐπιτήδεια, τότε ἀκρατέστερον, καὶ κατ᾽ ὀλίγον, καὶ διὰ πολλοῦ. διὰ τί δ᾽ ὅλως τὰ πρὸς τὸ κατασχεῖν ἁρμόττοντα πρῶτα παρέλαβεν ἐπὶ τοῦ μέλλοντος ἐμεῖν ὀλίγον ὕστερον, οὐκ ἔχομεν εἰπεῖν τι πιθανόν. ἴσως δ᾽ ἐκείνῳ τῷ γράψαντι ταῦτα, πιθανὸν ἐδόκει τὸ καὶ τῶν ἐξηγητῶν ἐνίοις ἀρέσκον. ἐπειδὴ βούλεται μὴ καταλύεσθαι τὴν δύναμιν τῶν λεπτῶν ἀνθρώπων ὑπὲρ ὧν ταῦτα γράφει, διὰ τοῦτ᾽ οὖν πρώτην ἐκείνην ῥωννύσιν, εἶθ᾽ οὕτως ἐπὶ τὰ τὸν ἔμετον κινοῦντα παραγίνεται. ἀλλ᾽ εἰς τὸ ῥωσθῆναι τὴν δύναμιν, αὐτάρκης ἦν ὁ ἐπὶ τῇ τῶν σιτίων προσφορᾷ χρόνος. ἄλλο δὲ ἄλλῳ πιθανόν, ὡς ἔφην ἐστίν, οὐκ ἀποτετμημένον ὥς ἐστι, καθάπερ τὸ ἀναγκαῖον, ὃ κατὰ τὰς ἐπιστημονικὰς ἀποδείξεις βεβαιοῦται.

Ὅστις δὲ εἴωθε τοῦ μηνὸς δὶς ἐμέειν, ἄμεινον ἐξῆς ποιέεσθαι τοὺς ἐμέτους ἐν δυσὶν ἡμέρῃσι, μᾶλλον ἢ διὰ πεντεκαίδεκα. οἱ δὲ πάντα τοὐναντίον ποιοῦσι.

Καὶ τοῦτον τὸν λογισμὸν αὐτὸν ἔδει τὸν γράψαντα προστεθεικέναι μάλιστα, ἐπειδὴ καὶ χωρὶς διορισμοῦ περὶ τῶν δὶς ἐμούντων εἶπεν ἐν τῷ μηνί. τινὰς μὲν γὰρ ὁρῶ κενώσεως ἕνεκεν ἐμοῦντας, ὥσπερ καὶ νηστεύοντας, ἄλλους ἐν τῷ μηνὶ μίαν ἡμέραν. ἐνίοις δὲ τοῦτον ἐνίζηκότα τῇ γαστρὶ χυμόν, ἢ γλίσχρον, ἢ παχὺν ἐκκαθᾶραι, κωλύει δ᾽ οὐδὲν ἀμφότερα ἐκ διαλείμματος αὐτὰ ποιεῖν οὐκ ἐφεξῆς ἡμέραις δύο.

Ὁκόσοι μὲν ἀνεπιτήδειοι ἀπεμέειν τὰ σιτία, ἢ ὁκόσοισιν αἱ κοιλίαι οὐκ εὐδιέξοδοι, τουτέοισι πᾶσι συμφέρει πολλάκις τῆς ἡμέρης ἐσθίειν καὶ παντοδαποῖσι βρώμασι χρέεσθαι, καὶ ὄψοισι πάντας τρόπους ἐσκευασμένοισι, καὶ οἴνους πίνειν δισσοὺς ἢ τρισσούς.

ὁκόσοισι

ὁκόσοισι δὲ μὴ ἀνεμέουσι τὰ σιτία, ἢ καὶ κοιλίας ἔχουσιν †ὑγιέας, τουτέοισι πᾶσιν ἐναντίως †τύχας τουτέου τοῦ τρόπου ξυμφέρει ποιέειν.

Ἐπιτήδειον μὲν ἀνεμεῖν τὰ σιτία τοῖς ἤτοι διαῤῥύψαι βουλομένοις τὴν κοιλίαν, ἢ κένωσιν μετρίαν ποιήσασθαι τοῦ παντός. ἀξιοῖ δὲ τούτους ἐσθίειν τε πολλάκις καὶ ποικίλα, καὶ οἴνους πλείονας πίνειν. ἔμπαλιν δὲ τοὺς μήτε ἐμεῖν βουλομένους, ὑγροτέρας τε τοῦ προσήκοντος ἔχοντας κοιλίας, ὡς ἐπιχέσεως δεῖσθαι, μήτε πολλάκις ἐσθίειν, μήτε πολυειδῆ σιτία τε καὶ οἴνους προσφέρεσθαι. τὸ μὲν γὰρ ἅπαξ φαγεῖν ἕν τι μονοειδές, ἕνα τε πίνειν οἶνον, εἰς τὸ κατασχεῖν αὐτὰ τὴν γαστέρα τε καὶ πέψαι συντελεῖ. τὰ δὲ ἐναντία περιθλίψαι τε δυσχερέστερα, καὶ μεῖναι κατὰ τὴν γαστέρα. παρὰ δὲ τὴν ποιότητα τῶν προσφερομένων, καὶ τὴν τάξιν τῆς προσφορᾶς, ἤτοι γ' ἐπιπολάζειν αὐτὰ, ἢ ὑπορχεῖσθαι κάτω συμβαίνει.

Τὰ παιδία χρὴ τὰ νήπια βρέχειν ἐν θερμῷ ὕδατι πουλὺν χρόνον, καὶ πίνειν ὑδαρέα τὸν οἶνον διδόναι καὶ μὴ ψυχρὸν παντάπασι. τοῦτον δὲ διδόναι, ὃς ἥκιστα τὴν γαστέρα μετεωριεῖ, καὶ φύσαν παρέξει. ταῦτα δὲ ποιέειν, ὅκως οἵ τε σπασμοὶ ἧσσον ἐπιλαμβάνωσι καὶ μείζονα γίνηται καὶ εὐχροώτερα.

Αὐτὸς εἶπε τοὺς σκοποὺς τῆς εἰρημένης διαίτης. ἵνα γὰρ οἵ τε σπασμοὶ ἧσσον ἐπιλαμβάνωσι, καὶ μείζονα γίγνηται καὶ εὐχροώτερα. τὰ γὰρ ἐν ὕδατι θερμῷ βρεχόμενα παιδία πλείονι χρόνῳ, μαλακὰ διαμένει, τοῦτο δ' εἰς τὸ μὴ σπᾶσθαι συντελεῖ. τοὺς γοῦν σπασμοὺς αὐτὸς ὁ Ἱπποκράτης τοῖς ἐντεταμένοις σώμασι μᾶλλον γίγνεσθαί φησι τῶν ἀνειμένων καὶ χαλαρῶν. αὔξεται δὲ τὰ μαλακὰ σώματα ῥᾷον, ἐπειδὴ καὶ ταύτῃ τὴν διάστασιν εὐκολωτέραν ἴσχει. ὅτι δὲ τὰ μήτε σπασμοῖς ἁλισκόμενα, καὶ καλῶς αὐξανόμενα τὴν ὅλην ἕξιν ὑγιεινὴν ἴσχει, πρόδηλον παντί. τοῦτ' οὖν αὐτῷ δεδήλωται δι' ἑνὸς γνωρίσματος τοῦ μικροῦ τῆς εὐχροίας. ἀλλὰ καὶ τὸν οἶνον ὑδαρῆ κελεύει πίνειν αὐτὰ, μὴ βουλόμενος ὑπερθερμαίνεσθαι, καὶ μάλιστα διὰ τὸ σπᾶσθαι πολλάκις αὐτὰ, ὃ πάλιν αὐτοῖς διὰ τὴν τῶν νεύρων ἀσθένειαν γίνεται, καὶ τὴν ἀδηφαγίαν, διὰ τοῦτ' οὖν αὐτὸς καὶ μὴ ψυχρὸν αὐτὰ πίνειν κελεύει. τὸ δὲ τοιοῦτον δεῖν εἶναι τὸν οἶνον, ὃς ἥκιστα φυσώδης ἐστὶν, ἅπασι κοινῇ συμφέρει τοῖς ἀνθρώποις, οὐ μόνον τοῖς νηπίοις.

Τὰς δὲ γυναῖκας χρὴ διαιτᾶσθαι τῷ ξηροτέρῳ τρόπῳ. καὶ γὰρ τὰ ξηρὰ σιτία ἐπιτηδειότερα πρὸς τὴν μαλθακότητα τῶν σαρκῶν, καὶ τὰ πόματα ἀκρητέστερα ἀμείνω πρὸς τὰς ὑστέρας, καὶ τὰς κυηφορίας.

Τὰς γυναῖκας ἀξιώσας διαιτᾶσθαι τῷ ξηροτέρῳ τρόπῳ, ὁποῖος τίς ἐστιν οὗτος, αὐτὸς ὑπέγραψεν. ἔχει δὲ ἀντιλογίαν ἡ δόξα τἀνδρός. εἰ μὲν γὰρ παρὰ φύσιν ἦν ταῖς γυναιξὶν ὑγραῖς εἶναι, καθάπερ ἐπί τε τῶν δυσκράτων φύσεων καὶ τῶν νοσούντων ὑγρὸν νόσημα, καλῶς ἂν αὐτὰς ἐξήρανεν. ἐπειδὴ δὲ τοῦτο κατὰ φύσιν αὐταῖς ἐστὶ, φυλάττειν αὐτὸ χρὴ, πλὴν εἰ τὴν ὑγιεινήν ποτε συμμετρίαν ὑπερβαίνει, ἀλλὰ τοῦτό γε κἀπὶ τῶν ἀνδρῶν ἐπισκεπτόμεθα. καὶ γὰρ καὶ τούτοις ξηροτέροις μὲν εἶναι τῶν γυναικῶν, κατὰ φύσιν ἐστὶν, ἐπειδὰν δὲ τῆς προσηκούσης ξηρότητος ἐπὶ πλέον προέλθωσι, τότ' αὐτῶν τὴν δυσκρασίαν ἐπανορθούμεθα διὰ τῶν ἐναντίων.

Τοὺς γυμναζομένους χρὴ χειμῶνος καὶ τρέχειν καὶ παλαίειν, τοῦ θέρεος παλαίειν μὲν ὀλίγα, τρέχειν δὲ μὴ, περιπατέειν δὲ πολλὰ κατὰ ψῦχος.

Γυμνασίων διαφορὰς οἰκείων ταῖς ὥραις διδάσκει, τοῦ μὲν χειμῶνος θερμαίνειν καὶ ξηραίνειν δυναμένων, τοῦ δὲ θέρους ἔμπαλιν.

Ὁκόσοι κοπιῶσιν ἐκ τῶν δρόμων, τουτέους παλαίειν χρή. ὁκόσοι δ' αὖ παλαίοντες κοπιῶσι, τουτέους χρὴ τρέχειν. οὕτως γὰρ ἂν ὁ ταλαιπωρέων τῷ κοπιῶντι τοῦ σώματος, διαθερμαίνοιτο καὶ συνιστοῖτο, καὶ διαναπαύοιτο μάλιστα.

Εἰ οὕτως ἐγέγραπτο πάντα τοῖς δογματικοῖς ἰατρικοῖς, οὐκ ἂν εἶχον ἀφορμὴν πολυλογίας οἱ ἐξηγηταί. λέγω δ' οὕτως ὡς προσθεῖναι τὴν αἰτίαν, δι' ἣν ὡδί πως ἐκέλευσε πράττειν ἡμᾶς, ὅπερ νῦν ἐποίησεν ὁ Πόλυβος.

Ὁκόσους γυμναζομένους μάλιστα διάῤῥοιαι λαμβάνουσι, καὶ τὰ ὑποχωρήματα σιτώδεα καὶ ἄπεπτα, τουτέοισι τῶν τε γυμνασίων ἀφαιρέειν, μὴ ἔλασσον τοῦ τρίτου μέρους, καὶ τῶν σιτίων τοῖσιν ἡμίσεσι χρέεσθαι. δῆλον γὰρ ὅτι ἡ κοιλίη ξυνθάλπειν οὐ δύναται τὸ πλῆθος τῶν εἰσιόντων σιτίων. ἔστω δὲ τουτέοισι τὰ σιτία ἄρτος ὡς ἐξοπτότατος ἐν οἴνῳ ἐντεθρυμμένος, καὶ τὰ πόματα ὡς ἐλάχιστα καὶ ἀκρητέστατα, καὶ περιπάτοισι μὴ χρέεσθωσαν ἀπὸ τοῦ σιτίου. μονοσιτέειν δὲ χρὴ ὑπὸ τοῦτον τὸν χρόνον, οὕτω γὰρ ἂν μάλιστα ξυνθάλποιτο ἡ κοιλίη, καὶ τῶν εἰσιόντων ἐπικρατέοι. γίνεται δὲ ὁ τρόπος οὗτος περὶ διαῤῥοίης τῶν σωμάτων μάλιστα τοῖσι πυκνοσάρκοισιν, ὅταν ἀναγκάζηται ὁ ἄνθρωπος κρεηφαγέειν, περὶ φύσιος ὑπαρχούσης τοιαύτης. αἱ γὰρ φλέβες πυκνωθεῖσαι, οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν εἰσιόντων.

Οὐ περὶ τῶν τῆς ὑγείας ἕνεκα γυμναζομένων ἔοικε ποιεῖσθαι τὸν λόγον νῦν, ἀλλὰ περὶ τῶν γυμναστικῶν ἢ μετιόντων ἐπιτηδευμάτων, καὶ μήτε παύεσθαι τελέως αὐτοῦ δυναμένων, μήτε εἰς πάνυ βραχὺ συστεῖλαι, διὰ τοῦτο αὐτῶν ἀφαιρεῖ, τοῦ μὲν γυμνασίου τὸ τρίτον μόριον, τῶν δὲ σιτίων τὸ ἥμισυ. τοῦτο γὰρ ἐλπίζει κρατήσειν αὐτοῦ, ὡς μηκέτι ἀπεπτεῖν τε καὶ διαῤῥοίζεσθαι. ὀρθῶς δ' ἐποίησε κἀνταῦθα προσγράψας αὐτῶν τὸν λογισμόν, ᾧ χρώμενος, αὐτά τε ταῦτα καὶ τὰ τούτοις εἰρημένα συνεβούλευσε. γίνεται γάρ φησιν ὁ τρόπος οὗτος τῆς διαῤῥοίης τοῖσι πυκνοσάρκοισι, ὅταν κρεηφαγεῖν ἀναγκάζονται. δηλώσας ἐνταῦθα περὶ τῶν γυμναστικῶν εἶναι τὸν λόγον αὐτοῦ, κρεηφαγεῖν γὰρ ἀναγκάζουσι τούτους. εἶτ' ἐφεξῆς φησιν, αἱ φλέβες πυκνωθεῖσαι, οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν εἰσιόντων. ἀσαφῶς δὲ εἶπε τοῦτο, καὶ διὰ τοῦτο ἠναγκάσθησαν ὑπολαβεῖν οἱ ἐξηγηταί, τὸ τὰς πυκνωθείσας αὐτὸν λέγειν, ἀντὶ τοῦ σκληρὰς γινομένας καὶ δυσεπεκτάτους, ὡς μὴ παραδέχεσθαι τὴν τροφήν, καὶ σημαίνεσθαι τοῦτό φασιν, ἐκ τοῦ οὐκ ἀντιλαμβάνονται τῶν σιτίων. ἀλλὰ τοῦτό γε τὴν ἀνάδοσιν μᾶλλον, οὐ τὴν πέψιν εἴωθε βλάπτειν, ὥστε διαχωρεῖν μὲν αὐτοῖς ὑγρὰ οὐ μὴν ἄπεπτα. προείρηται δὲ ὑπ' αὐτοῦ σιτώδη καὶ ἄπεπτα τοὺς τοιούτους διαχωρεῖν. ὁπόταν δὲ προσγράψαντος αὐτοῦ τὸν λογισμόν, ᾧ πιστεύσας συνεβούλευσεν ἃ συνεβούλευσεν, ὅμως ἀπορία τις ὑπολείπεται, τί χρὴ νομίζειν γίνεσθαι κατ' ἐκείνους τῶν λόγων, ἐν οἷς οὐ προσέγραψαν τὴν αἰτίαν ὧν κελεύει ποιεῖν ἡμᾶς. ἐγὼ δὲ εἰ μὲν μὴ προσεγεγράφει περὶ τῶν πυκνοσάρκων, ὡμολόγουν ἂν ἀπορεῖν παντάπασιν, ὡς ἐπὶ πολλῶν ἄλλων, ἐν οἷς οὐδὲν τοιοῦτον προστεθέντος τοῦ συγγραφέως, ἀποφαίνονται τολμηρότατοι τὸ ἐπελθὸν αὐτοῖς οἱ ἐξηγηταί. ἐπεὶ δὲ αὐτὸς ἐμνημόνευσε τῶν πυκνοσάρκων, ἀφορμὴν ἔδωκε τοῦ γράψαι τε καὶ αὐτὸν χρήσιμον ἐπὶ τῶν τοιούτων φύσεων. ἀθροίζουσι γὰρ οὗτοι τάχιστα πλῆθος, ἐλλιπῶς διαπνεόμενοι, καὶ διὰ τοῦτο τῆς ἀναδόσεως ἰσχομένης αὐταῖς, ὑγρὰ μὲν πάντως γίνεται τὰ διαχωρήματα. ποτὲ δ' οὐχ ὑγρὰ μόνον, ἀλλὰ καὶ λεπτά, καὶ μάλιστα ἐπὶ τῶν ἀδηφαγούντων. ὅταν μὲν γὰρ ἀναδίδοταί τι τῶν καταποθέντων, ἑτοιμότερον ἡ γαστὴρ πέττει τὰ κατάλοιπα. διαμένοντος δὲ ἐν αὐτῇ τοῦ πλήθους τῶν σιτίων, ὅταν ποτὲ βαρύνηται, πρὸς αὐτῶν ἀποτρίβεται πάντα πρὶν πεφθῆναι. ἴσως δὲ καὶ διὰ τὴν σκληρότητα τῶν φλεβῶν, ἡ τῆς τροφῆς ἀνάδοσις ἐκωλύετο, μὴ δυναμένων αὐτῶν ἐπὶ πλέον διαστέλλεσθαι, ἀλλὰ τήν γε τῶν τοιούτων φύσεων ἐπιμέλειαν ἐχρῆν αὐτὸν γεγραφέναι διὰ τῆς εἰς τοὐναντίον ἀγωγῆς. ἀραίωσίς τε γὰρ καὶ μάλαξις ὅλης τῆς ἕξεως εἰσὶν οἱ σκοποί, διὰ μαλακῆς τρίψεως καὶ λίπους πολλῶν ἐν ταῖς πυέλοις γινόμεναι. ὁ δέ γε πρὸς τὸ σύμπτωμα μόνον ἵσταται, παραλιπὼν αὐτοῦ τὴν οἷον ῥίζαν ἐκκόψαι. λέλεκται δὲ καὶ τὴν προκειμένην ῥῆσιν καὶ τοῦτ' αὐτῷ. δῆλον γὰρ ὅτι ἡ κοιλία συνθάλπειν οὐ δύναται, καὶ μὴν εἴπερ ἀληθῶς ᾐτιάσατο τὴν πυκνότητα τῆς ἕξεως, καὶ τὰς φλέβας οὐκ ἀντιλαμβανομένας τῆς τροφῆς, οὐκ ὀρθῶς αἰτιᾶται τὴν κοιλίαν. εἰ μέν τις αὐτῷ συγχωρήσειεν ἀληθεύειν ἐν τούτῳ, συγχωρήσειε καὶ τὴν ἐφεξῆς γεγραμμένην δίαιταν ὀρθῶς εἰρῆσθαι, τὸν ἐξοπτὸν ἄρτον καὶ τὸ ποτὸν εὔκρατον. ἔλαττον δὲ καὶ τὴν μονοσιτίαν, καὶ τὸ μὴ περιπατεῖν ἐπὶ τοῖς σιτίοις.

Ἔστι δὲ αὕτη μὲν ὀξείη ἡ φύσις, καὶ τρέπεται ἐφ' ἑκάτερα, καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων.

Εὐεξίαν εἶπε τὴν τῶν πυκνοσάρκων φύσιν, ἐν ἴσῳ τῷ ταχείας ποιουμένην τὰς μεταβολάς. ὑπερφέρων γοῦν ὀξεῖ, καὶ τρέπεται ἐφ' ἑκάτερα, τουτέστιν ἐπί τε τὴν εὐεξίαν καὶ τοὐναντίον. ἐφεξῆς δ' ἔτι φησὶ καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων. ἐδείχθη γὰρ ἐν τοῖς εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν, ὅτι ἡ τῶν γυμνασίων εὐεξία μετὰ πληρώσεως αἵματός τε καὶ σαρκῶν τὴν ῥώμην φυλάττουσα τῶν φυσικῶν δυνάμεων. ἀλλ' ὥσπερ ἐκεῖ τὴν ἐπ' ἄκρον εὐεξίαν ἐδείκνυμεν εἶναι σφαλεράν, οὐ ταχέως γιγνομένην ἐν τοῖς ἀραιοῖς σώμασιν, οὕτω καὶ ἐπὶ τῶν πυκνοσάρκων, ἐπεὶ τάχιστα γίνεται, διὰ τὸ δυσφόρητον ἀναγκαζομένη δηλονότι μεταπίπτειν, εὐθέως ὀξεῖαν ποιεῖται τὴν γένεσιν καὶ τὴν λύσιν.

Τὰ δὲ ἀραιότερα τῶν εἰδέων καὶ δασύτερα, καὶ τὴν κρεηφαγίην δέχεται, καὶ τὰς ταλαιπωρίας μᾶλλον, καὶ χρονιώτεραι γίνονται αὐτέοισιν αἱ εὐεξίαι.

Ὅτι τὰ δασύτερα τῶν σωμάτων ἀραιότερον ἔχει τότε δέρμα καὶ τὸ σαρκῶδες γένος, ἐμάθομεν ἐν τοῖς περὶ κράσεων. ταῦτ' οὖν εἰκότως φησὶ καὶ τὴν κρεηφαγίαν ἀνέχεσθαι μᾶλλον ὡς ἂν διαπνεόμενα, καὶ τὰς ταλαιπωρίας, ἧσσον γὰρ ἁλίσκεται κόποις. ἐμάθομεν καὶ τοῦτο ἐν τοῖς ὑγιεινοῖς. εἰ δὲ ταῦτα καὶ τὰς εὐεξίας ἕξει χρονιωτέρας, ὡς ἂν μὴ εἰς ἄκρον ἀφικνουμένας ἑτοίμως.

Καὶ ὁκόσοι τὰ σιτία ἀνερεύγονται τῇ ὑστεραίῃ, καὶ τὰ ὑποχόνδρια μετεωρίζεται αὐτέοισιν, ὡς ἀπέπτων τῶν σιτίων ἐόντων, τουτέοισι καθεύδειν μὲν πλείονα χρόνον ξυμφέρει. τῇ δὲ ἄλλῃ ταλαιπωρίῃ ἀναγκάζειν χρὴ αὐτῶν τὰ σώματα, καὶ τὸν οἶνον ἀκρητέστερον πινόντων καὶ πλείω, καὶ τοῖσι σιτίοισιν ἐλάσσοσι χρέεσθαι ὑπὸ τοῦτον τὸν χρόνον. δῆλον γὰρ δή, ὅτι ὑπ' ἀσθενείης καὶ ψυχρότητος, ἡ κοιλίη οὐ δύναται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν.

Καλῶς ἐποίησεν ἐνταῦθα, προσθεὶς αὐτὸς ἐπὶ τῷ τέλει. δῆλον γὰρ δὴ ὅτι ὑπὸ ἀσθενείης καὶ ψυχρότητος, ἡ κοιλία, οὐ δύναται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν. ὡς πρὸς τοῦτον γὰρ ἀποβλέπων τὸν σκοπόν, ἐκθερμαίνειν αὐτὴν πειρᾶται. καὶ κατὰ τοῦτο καθεύδειν τε πλείω χρόνον αὐτοῖς συμβουλεύει, καὶ γυμνάζεσθαι. καὶ τὸν οἶνον ἀκρατέστερον πίνειν καὶ πλείονα, καὶ τοῖς σιτίοις ἐλάττοσι χρῆσθαι κατ' ἐκεῖνον τὸν χρόνον καθ' ὃν ἂν ἀπεπτηκότες τυγχάνωσιν, ὡς ἄν γε τῷ λοιπῷ γυμναζόμενοί τε καὶ κινούμενοι, καὶ πίνοντες τὸν οἶνον ὡς εἰρήκαμεν, οὐδέν τι δέονται τῆς συμμέτρου ποσότητος τῶν σιτίων ἀφαιρεῖν.

Ὁκόσους δὲ δίψαι λαμβάνουσιν, τουτέοισι τῶν τε σιτίων, καὶ τῶν ταλαιπωριῶν ἀφαιρέειν, καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε, καὶ ὡς ὅτι ψυχρότατον.

Νῦν μὲν οὕτως εἴρηται τὸ γνώρισμα τῶν θερμῶν φύσεων, ἐν δὲ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν κατὰ τήνδε τὴν ῥῆσιν. ἐν θερμῇ φύσει, ψυχρὸν ποτὸν ὕδωρ, ἐλιννύειν. αὐτὸς γὰρ ὀνομάσας τὴν κρᾶσιν τοῦ σώματος, ἐφεξῆς ἔγραψε τὴν δίαιταν, ἧς χρήζουσιν οἱ οὕτω διακείμενοι, κεφάλαιον μὲν ἔχουσαν τὴν ψύξιν. ἐν δὲ τῷ κεφαλαίῳ τούτῳ τῆς διαίτης τὰ δραστικώτερα, ἥ τε ὑδροποσία ἐστὶν, καὶ ἡ ἀγυμνασία. κατὰ δὲ τὴν προκειμένην ῥῆσιν, τὸ μὲν ἐλιννύειν, ἑτέρως ὠνόμασεν, εἰπὼν καὶ τῶν ταλαιπωριῶν ἀφαιρέειν. ἀντὶ δὲ τοῦ πίνειν ὕδωρ γράψας, καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὡς ὅτι ψυχρότατον, καὶ μοι δοκεῖ κάλλιον ἐνταῦθα παραινέσαι. τὸ γὰρ ὑδαρὲς πόμα καὶ ψυχρὸν, οὐκ ἐστέρηται μὲν τοῦ ἐμψύχειν. προσείληφε δὲ καὶ τὰς ἐκ τοῦ οἴνου ὠφελείας.

Ὁκόσοισι δὲ ὀδύναι γίγνονται ἐκ τῶν σπλάγχνων, ἢ ἐκ γυμνασίης, ἢ ἐξ ἀλλῆς τινὸς ὁδοιπορίης, τουτέοισι ξυμφορέει ἀναπαύεσθαι ἀσίτοισι. πόματι δὲ χρέεσθαι ὅ, τι ἐλάχιστον εἰς τὸ σῶμα ἐσελθὸν, πλεῖστον οὖρον διάξει, ὅπως αἱ φλέβες αἱ διὰ τῶν σπλάγχνων πεφυκυῖαι, μὴ κατατείνονται πληρώμεναι. ἐκ γὰρ τῶν τοιουτέων, τὰ φύματα γίνονται καὶ οἱ πυρετοί.

Περὶ πασῶν δὲ τῶν ὑποθηκῶν, ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ τελέως διελήλυθα, καὶ νῦν ὅσον ὑπομνήσεως ἕνεκα, καθάπερ ἐν τοῖς ἔμπροσθεν, οὕτως καὶ κατὰ τήνδε τὴν ῥῆσιν εἰρήσεται. πολλοῖς γὰρ τῶν ἀπυρέτων ὀδύναι ἐπιγίνονται κατὰ τὰ σπλάγχνα, καὶ μάλιστα κατὰ τὸ ἧπαρ. ὅταν ἐπὶ σιτίοις γυμνασάμενοι τύχωσιν, ἢ λασάμενοι, καὶ γίνεται τοῦτο, διὰ στενοχωρίαν μὲν τῶν ἐν τῷ σπλάγχνῳ διεξόδων, πάχος τε τῶν ἀναφερομένων χυμῶν. ἐμφραττόμενοι γὰρ καὶ ἐνισχόμενοι τοῖς στενοῖς πόρασι τῶν φλεβῶν, καθ᾽ ἃ ἡ μετάληψις γίνεται τοῦ αἵματος ἐκ τῶν σιμῶν τοῦ ἥπατος εἰς τὰ κυρτὰ, κωλύουσι μὲν τὰς διεξόδους, διατείνουσι δὲ δηλονότι τὰς κατὰ τὰ σιμὰ τοῦ ἥπατος φλέβας, ἐφ᾽ αἷς οὕτω παθούσαις ὀδυνῶνται χωρὶς τοῦ πυρέσσειν. ἀναπαύεσθαι δὲ τούτους χρὴ καθ᾽ ὃν ἂν ἀλγῶσι χρόνον, καὶ πίνειν τι τῶν οὐρητικῶν, καὶ τὸ ἧπαρ ἐκφραττόντων. ἂν γὰρ μὴ οὐρήσωσι, φύματα καὶ πυρετοὶ ταῖς τοιαύταις προφάσεσιν ἐπιγίνονται.

Ὁκόσοισιν αἱ νοῦσοι ἀπὸ τοῦ ἐγκεφάλου γίνονται, νάρκη πρῶτον ἴσχει τὴν κεφαλὴν, καὶ οὐρέει θαμινὰ, καὶ τἄλλα πάσχει ὁκόσα περ ἐπὶ στραγγουρίῃ, οὗτος ἐφ᾽ ἡμέρας ἐννέα τοῦτο πάσχει. καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα ὕδωρ ἢ βλέννα, ἀπαλλάσσεται τῆς νόσου, καὶ τῆς στραγγουρίης παύεται. οὐρέει δὲ ἀπόνως πουλὺ καὶ λευκὸν, ἔστ᾽ ἂν εἴκοσιν ἡμέρας παρέλθῃ, καὶ ἐκ τῆς κεφαλῆς ἡ ὀδύνη ἐκλείπει τῷ ἀνθρώπῳ, ἐσορέοντι δὲ κλέπτεται οἱ ἡ αὐγή. ἄνδρα δὲ χρὴ ὃς ἐστὶ δυνατὸς συλλογισάμενος, ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ἡ ὑγίεια, ἐπίστασθαι ἐκ τῆς ἑωυτοῦ γνώμης ἐν τοῖσι νούσοισιν ὠφελέεσθαι.

Εἰκότως ὑπωπτεύκασι ταύτην τὴν ῥῆσιν. ἔνιοι δὲ καὶ τελέως κατεγνώκασιν, ὡς οὔτε Πολύβου γεγραφότος αὐτὴν, οὔτε πολὺ μᾶλλον Ἱπποκράτους. ἥ τε γὰρ ἀρχὴ τοῦ λόγου παντάπασιν ἀδιόριστος, ἀξιοῦσα τὰς ἀπὸ τοῦ ἐγκεφάλου νάρκην τε καὶ στραγγουρίαν ἐπιφέρειν. οὔτε εἴπερ ἡγήσαιτό τις αὐτὸν οὐ πάσας τὰς ἀπὸ τοῦ ἐγκεφάλου νόσους ἀποφαίνεσθαι τοιαύτας ὑπάρχειν, ἀλλὰ μόνας ἐφ᾽ ὧν κατὰ τὰ ὦτα, καὶ τὰς ῥῖνας, ὕδωρ καὶ βλέννα ῥυεῖσα τὴν νόσον ἔπαυσεν, ἀληθὲς τὸ λεγόμενον, οὔτε γὰρ ἀεὶ φαίνεται τοῦτο γιγνόμενον, οὐδ᾽ ὡς ἐπὶ τὸ πολύ.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ
ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ, ΗΤΟΙ ΠΕΡΙ ΠΤΙΣΣΑΝΗΣ
ΥΠΟΜΝΗΜΑ Α.

Οἱ ξυγγράψαντες τὰς κνιδίας καλεομένας γνώμας, ὁκοῖα μὲν πάσχουσι οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νουσημάτων ὀρθῶς ἔγραψαν, καὶ ὁκοίως ἔνια ἀπέβαινεν αὐτέων, καὶ ἄχρι μὲν τουτέων, καὶ μηδὲ ἰητρὸς δύναιτό τις ἂν ὀρθῶς ξυγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πυθοίατο ὁκοῖα πάσχουσιν. ὁκόσα δὲ προκαταμαθεῖν χρὴ τὸν ἰητρὸν μὴ λέγοντος τοῦ κάμνοντος, τουτέων τὰ πολλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι, καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν.

Οὐ μόνον οὐδὲν ὧν οἱ κάμνοντες πάσχουσι παρέλιπον οἱ τὰς κνιδίας γράψαντες γνώμας, ἀλλὰ καὶ περαιτέρω τοῦ προσήκοντος ἐνίων ἐμνημόνευσαν, ὡς ὀλίγον ὕστερον δείξω. καὶ οὔπω τοῦτο τέχνης ἔργον, εἰ μηδὲν παρέλιπον τῶν καὶ τοῖς ἰδιώταις γνωσθῆναι δυναμένων. οὐ γὰρ οὗτος ὁ σκοπὸς τοῖς τεχνίταις ἐστὶν, ἀλλὰ τὸ τὰ χρήσιμα πρὸς τὴν θεραπείαν ἅπαντα γράφειν, ὥστε καὶ προσθεῖναι τινὰ δεήσει πολλάκις, ὧν μὴ γινώσκουσιν οἱ ἰδιῶται πάντως, ἀφελεῖν τε πολλὰ τῶν γινωσκομένων αὐτοῖς, ἐὰν μηδὲν φαίνοιτο συνεργοῦντα πρὸς τὸ τῆς τέχνης τέλος.

Καὶ ἐπίκαιρα ἔνια ἐόντα εἰς τέκμαρσιν.

Τέκμαρσις ἐστὶν ἡ διὰ τεκμηρίων γνῶσις. τεκμήριον δὲ ὀνομάζουσιν οἱ παλαιοὶ τὸ συλλογιστικὸν σημεῖον. τεκμήριον δὲ οὐχ ἁπλῶς ἅπαν σημεῖον, ὡς ἐν τῷ περὶ τεκμηρίου καὶ σημείου δέδεικται λόγῳ. τὰ οὖν εἰς τὴν τοιαύτην γνῶσιν ἀναγκαῖά τε καὶ χρήσιμα τοῖς ἰατροῖς, οὐχ ἅπαντα φησὶ γεγράφθαι κατὰ τὰς κνιδίας γνώμας, ἀλλὰ παραλελεῖφθαι πολλά.

Ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται, ὡς χρὴ ἕκαστα ἰητρεύειν, ἐν τούτοισι πολλὰ ἑτεροίως γινώσκω, ἢ ὡς ἐκεῖνοι ἐπεξίεσαν.

Ἐπειδὴ πολλὰ παραλελεῖφθαι τοῖς κνιδίοις ἰατροῖς, εἶπεν ἐς τέκμαρσιν χρήσιμα. τίνα λέγει τέκμαρσιν, αὐτὸς ἐφεξῆς ἐδίδαξεν, ὡς χρὴ εἰπὼν ἕκαστα ἰητρεύειν. εἰς γὰρ τὴν τούτων εὕρεσιν ὅτι περ ἂν ᾖ χρήσιμον, ἐκ τῆς τέχνης ἐστίν. ἴσως οὖν τις δόξειε παραλελεῖφθαι τὰ πρὸς τὴν διάγνωσίν τε καὶ πρόγνωσιν διαφέροντα τεκμήρια. τὸ δὲ οὐχ οὕτως ἔχει. περιέχεται γὰρ ἐξ ἀνάγκης ταῦτα τοῖς εἰς θεραπείαν διαφέρουσιν, ὡς εἴ γε μηδὲν εἰς τὴν τῆς ἀρίστης θεραπείας εὕρεσιν ἡ διάγνωσις τῶν νοσημάτων, ἢ ἡ πρόγνωσις τῶν ἀποβησομένων συνετέλουν, παντάπασιν ἂν ἦσαν περιτταί, νυνὶ δὲ ὅτι συντελοῦσι, διὰ τοῦτο εἰσὶ χρήσιμαι. ὅτι μὲν οὖν ἡ διάγνωσις τῶν παθῶν ἀναγκαιοτάτη πρὸς τὴν θεραπείαν ἐστίν, οὐδὲ λόγου δεῖ. πρῶτον γὰρ διαγνῶναι χρὴ τί ποτε ἐστὶ τὸ πάθος, εἶθ' οὕτως ἐπιχειρεῖν αὐτὸ θεραπεύειν. ὅτι δὲ καὶ ἡ πρόγνωσις εἰς τὴν θεραπείαν χρήσιμος, ἤδη τὸ προοίμιον ἐδίδαξεν αὐτοὺς τοῦ προγνωστικοῦ, ὥστε ἄν τις λέγῃ πάντα τὰ κατὰ τὴν ἰατρικὴν, ἤτοι γε εἰς διάγνωσιν, ἢ εἰς θεραπείαν εἶναι χρήσιμα, ἢ εἰς πρόγνωσιν δυνάμει λέγει ταυτόν. ἡ μὲν γὰρ θεραπεία δι' ἑαυτὴν ἀσκεῖται τοῖς ἰατροῖς, ἡ δὲ πρόγνωσις καὶ διάγνωσις, ἕνεκα τῆς θεραπείας. ὅθεν οὐδὲ τὸ τέλος τῆς τέχνης διάγνωσιν ἢ πρόγνωσιν εἶπεν εἶναί τις, ὥσπερ τὴν θεραπείαν. ἄκουε δὴ νῦν τὴν θεραπείαν, τὴν τῶν νοσημάτων ἀναίρεσιν ἤδη γεγενημένην, οὐ γινομένην ἔτι. γέγραπται δὲ περὶ τούτων ἁπάντων ἱκανῶς ἐν τῷ περὶ τοῦ τέλους τῆς ἰατρικῆς βιβλίῳ. καὶ νῦν οὐ χρὴ τὸ πάρεργον ἔργον ποιεῖσθαι, τὴν γνώμην τοῦ παλαιοῦ κατανοήσαντας ἤδη, καὶ χωρὶς τῆς περὶ τοῦ τέλους ἀκριβολογίας. γεγραμμένης δὲ τῆς προκειμένης ῥήσεως καὶ καθ' ἕτερον τρόπον ἐν πολλοῖς τῶν ἀξιοπίστων ἀντιγράφων, οὐκ ἄκαιρον ἐστὶ κἀκείνης μνημονεῦσαι. διαφέρει δὲ τῆς προγεγραμμένης ἑνὶ γράμματι τῷ ἦτα, κατὰ τόνδε τὸν τρόπον ἔχουσα. ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται, ἢ ὡς χρὴ ἕκαστα ἰητρεύειν. οἱ δ' οὕτω γράφοντες, τέκμαρσιν μὲν τὴν διάγνωσίν τε καὶ πρόγνωσιν ἀκούουσι. τὸ δὲ ὡς χρὴ ἕκαστα ἰητρεύειν τὴν θεραπείαν, οὐ βουλόμενοι ταύτην περιέχεσθαι ἐν τῷ τῆς τεκμάρσεως ὀνόματι. εἰ δέ γε τοῦθ' οὕτως ἔχει, κατὰ τὴν προγεγραμμένην ῥῆσιν, ἐν ᾗ φησιν πολλὰ παρεῖται ἄλλα ἐν ἄλλοις, καὶ ἐπίκαιρα ἔνια ἐς τέκμαρσιν, οὐκ ὀρθῶς ἔσται παραλελοιπὼς τὸ θεραπευτικὸν μέρος τῆς τέχνης. εὔδηλον δ' ὅτι φθάνουσιν ἐκεῖνοι διὰ τοῦτο πάλιν ἐπαναλαβεῖν καὶ γράψαι τὴν ἑξῆς ῥῆσιν, ἵνα προσθῇ καὶ τὸ θεραπευτικόν. ἔνθα δὲ οὐκ ἔστι περὶ πράγματος εἰς θεραπείαν χρησίμου διαφωνία, περιττὸν τὸ μακρολογεῖν, ἐπ' ἐκεῖνα τοίνυν ἀπέλθωμεν, ἐν οἷς καὶ διδάσκει τὰ πρὸς τὴν θεραπείαν χρήσιμα.

Καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἀκέεσιν †ἐρέαται ἐχρέοντο. τὰ γὰρ πλεῖστα αὐτέοισιν † εὐρέαται, πλὴν τῶν ὀξέων νούσων, φάρμακα ἐλατήρια διδόναι, καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην πιπίσκειν. εἰ μὲν οὖν ταῦτ' ἦν ἀγαθὰ καὶ ἁρμόζοντα τοῖσι νουσήμασιν, ἐφ' οἷσιν παρῄνεον διδόναι, πολὺ ἂν ἀξιώτερα ἦν ἐπαίνου, ὅτι ὀλίγιστα ἐόντα αὐτάρκεα ἐστίν, νῦν δὲ οὐχ οὕτως ἔχει.

Καὶ ὀλίγοις τὸν ἀριθμὸν τοῖς ἰάμασι αὐτούς φησι κεχρῆσθαι, πλὴν τῶν ὀξέων νοσημάτων, ὡς ἐν τούτοις εἰρηκότων πολλά. καὶ γὰρ οὕτως εἰρήκασι. τὰ δὲ ἐπὶ τῶν χρονίων ὄντως πάλιν καὶ ταῦτα. καὶ γὰρ δι' ἐλατηρίων, καὶ ὀῤῥοῦ, καὶ γάλακτος ὡραίως πινομένων αὐτοῖς περαίνεται.

Οἱ μέντοι ὕστερον ἐπιδιασκευάσαντες, ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισι.

Ἐπιδιεσκευάσθαι λέγεται βιβλίον ἐπὶ τῷ προτέρῳ γεγραμμένῳ τὸ δεύτερον γραφὲν, ὅταν τὴν ὑπόθεσιν ἔχον τὴν αὐτὴν, καὶ τὰς πλείστας τῶν ῥήσεων τὰς αὐτὰς, τινὰ μὲν ἀφῃρημένα τῶν ἐκ τοῦ προτέρου συγγράμματος ἔχει, τινὰ δὲ προσκείμενα, τινὰ δὲ ὑπηλλαγμένα. παράδειγμα δ' εἰ βούλει τούτου σαφηνείας ἕνεκα τὸν δεύτερον Αὐτόλυκον Εὐπόλιδος ἔχεις ἐκ τοῦ προτέρου διεσκευασμένον. οὕτως δὲ καὶ τὰς κνιδίας γνώμας, ἐπὶ ταῖς προτέραις δευτέρας ἐξέδοσαν οἱ ἀπὸ τῆς κνίδου ἰατροὶ, τινὰ μὲν ἐχούσας τὰ αὐτὰ πάντη, τινὰ δὲ προσκείμενα, τινὰ δὲ ἀφῃρημένα, καθάπερ γε καὶ ὑπηλλαγμένα. τοῦτ' οὖν τὸ δεύτερον βιβλίον ὁ Ἱπποκράτης ἰατρικώτερον συγκεῖσθαι φησὶ τοῦ προτέρου.

Ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι συνέγραψαν οὐδὲν ἄξιον λόγου, καίτοι μέγα τοῦτο παρῆκαν.

Ἡ διὰ τῶν συνήθων ὑλῶν ἀγωγὴ τῆς θεραπείας, ὀνομάζεται δίαιτα, καθάπερ ἡ διὰ τῶν συνήθων τομῶν καὶ καύσεων, καὶ τῶν ἄλλων ὅσα διὰ τῶν χειρῶν ἐνεργεῖται χειρουργία. καὶ τρίτη γε ἐπ' αὐτοῖς μοῖρα τῆς ἰατρικῆς ἐστὶν ἡ φαρμακευτικὴ, διὰ φαρμάκων καὶ αὐτὴ δηλονότι περαινομένη. μέμφεται δὲ τοῖς ἑαυτοῦ προόδοις ὁ Ἱπποκράτης, ὡς οὐδὲν ἄξιον λόγου περὶ διαίτης γεγράφασιν. τοῦτο δὲ εἶπεν, οὐχ ὡς οὐδὲν αὐτῶν συγγραψάντων διαιτητικὸν θεώρημα, γράφουσι γὰρ, ἀλλ' ὡς οὐκ ἄξιον λόγου. δείξει δ' αὐτὸς ὁποῖόν τι τὸ ἄξιον λόγου διὰ τῶν ἐφεξῆς.

Τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων, καὶ τὴν πολυσχιδίην αὐτέων, οὐκ ἠγνόουν ἔνιοι.

Οὐ μόνον οὐκ ἠγνόουν τὰς πολυτροπίας τῶν νοσημάτων, ἀλλὰ καὶ περαιτέρω τοῦ προσήκοντος ὑπὲρ αὐτῶν ἔγραψαν, ὡς ἐφεξῆς δείξω.

Ἔνιοι δὲ τοὺς ἀριθμοὺς ἑκάστου τῶν νοσημάτων σάφα ἐθέλοντες φράζειν, οὐκ ὀρθῶς ἔγραψαν. μὴ γὰρ οὐκ εὐαρίθμητον ᾖ, εἰ τουτέῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, τὸ ἕτερον διαφέρειν τι, μὴ τωὐτὸ δὲ νόσημα δοκέειν εἶναι, ἢν μὴ τωὐτὸ ὄνομα ἔχει. ἐμοὶ δὲ ἀνδάνει μὲν ἐν πάσῃ τέχνῃ προσέχειν τὸν νόον. καὶ γὰρ ὁκόσα ἔργα δήκει καλῶς, ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς. καὶ ὁκόσα ἔργα ταχέως, ταχέως. καὶ ὁκόσα καθαρίως, καθαρίως. καὶ ὁκόσα ἀνωδύνως δεῖ διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν. καὶ τὰ ἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας ἐπὶ τὸ βέλτιον ποιέειν χρή. μάλιστα δὲ ἂν ἐπαινέσαιμι ἰητρὸν, ὅστις ἐν τοῖσιν ὀξέσι νοσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τουτέοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. ἔστι δὲ ταῦτα ὀξέα, ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν, καὶ περιπλευμονίην, καὶ φρενῖτιν καὶ λήθαργον, καὶ καῦσον, καὶ τὰ ἄλλα νοσήματα, ὁκόσα τουτέων ἐχόμενα ἐστὶν, ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν ξυνεχέες ἐόντες κτείνουσιν.

Εἰπὼν ὀλίγον ἔμπροσθεν, ὅτι κατ' ἀρχὰς εὐθέως ἔγραψαν οἱ ἀπὸ Κνίδου χολῆς νόσοι ζ΄. κατὰ τὸν αὐτὸν δὲ τρόπον, καὶ κατωτέρω πάλιν ἀπὸ τῆς κύστεως νοῦσοι ιβ΄. καὶ πάλιν ἔτι κατωτέρω νεφρῶν νοσήματα δ΄. καὶ μετὰ ταῦτα πάλιν ἀπὸ τῆς κύστεως νοῦσοι στραγγουριῶν τέσσαρες, εἶτα πάλιν ἐφεξῆς τέτανοι γ΄. καὶ μετὰ ταῦτα πάλιν ἴκτεροι δ΄. εἶτα μετὰ ταῦτα φθίσιες γ΄. εἰς γὰρ τὰς τῶν σωμάτων ποικιλίας ἔβλεπον, ὑπὸ πολλῶν αἰτίων ἐξαλλαττομένας, παρέντες σκοπεῖσθαι τῶν διαθέσεων τὴν ταυτότητα, καθάπερ ὁ Ἱπποκράτης ἐποίησε, μεθόδῳ χρησάμενος εἰς τὴν εὕρεσιν αὐτῶν, ᾗ μόνον δυνατόν ἐστιν εὑρεῖν νοσημάτων ἀριθμόν. ἐπιδέδεικται δὲ ὑφ' ἡμῶν ἡ μέθοδος αὕτη κατ' ἀρχὰς εὐθέως τῶν τῆς θεραπευτικῆς μεθόδου βιβλίων. εἴρηται δὲ κἀν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπ' ὀλίγον. ἐν συντόμῳ δὲ λόγῳ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ἐν ἔχεις ὑπόμνημα ἡμέτερον, νυνὶ δ' ἀκολουθεῖν προσήκει ταῖς ῥήσεσιν. οὗτος γὰρ ὁ σκοπὸς τῆς ἐξηγήσεως, ὡς εἴ γε τις ἐν ταῖς ἐξηγήσεσι τὰς ἀποδείξεις γράφοι, μακρὸν ἀνύσας λόγον, ἕνεκα τῆς τῶν νοσημάτων ἰάσεως, τὸ κυριώτατον ἀφεὶς ἔσται μέρος, ὅτι περ ἂν εἰς τὴν ἴασιν τῶν ὀλεθριωτάτων νοσημάτων διαφέρει. τὸ μὲν κεφάλαιον τῆς προκειμένης ῥήσεως τοῦτ' ἐστὶ, τὸ δὲ κατὰ μέρος τῆς λέξεως ἐφεξῆς δίειμι.

Ὁκόταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ἔωσιν, αἱ νοῦσοι, καὶ μὴ παραπλήσιοι ὑπὸ τουτέων τῶν νοσημάτων ἀποθνήσκουσι πλείους ἢ ὑπὸ τῶν ἄλλων τῶν συμπάντων.

Δηλοῖ δὲ διὰ τοῦ λόγου τούτου, τὰ μὲν τινα πολλὰ γίνεσθαι νοσήματα καθ' ἕνα χρόνον, ἅπερ ὅταν μὲν ὀλέθρια γένηται, λοιμὸν ὀνομάζουσιν. ὅταν δὲ ἐπιεικέστερα, ἑτέρᾳ τινὶ προσηγορίᾳ δηλοῦσιν, ἐπίδημα καλοῦντες, ὥστε εἶναι τὸ μὲν ἐπίδημον νόσημα τὸ κατὰ χρόνον τινὰ πλεονάζον ἔν τινι χωρίῳ, τὸν δὲ λοιμὸν ἐπιδημίαν ὀλέθριον. ἔστι δὲ καὶ ἄλλο γένος νοσημάτων κοινὸν πολλοῖς, ὅπερ ἐστὶ τὸ καθ' ὥραν ἐπιγινόμενον, τὰ ἔνδημα καλούμενα. τούτοις δὲ ἀντίκεινται πᾶσιν αἱ σποράδες νόσοι, διαφερόντως ἐνοχλοῦσαι τοὺς νοσοῦντας, οὐ κατὰ τὸν κοινὸν τρόπον συνιστάμεναι. τί ποτ' οὖν ἐστι τὸ λεγόμενον ὑπ' αὐτοῦ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι καὶ παραπλήσιοι. τοὐναντίον γὰρ ἐχρῆν εἰρῆσθαι, καὶ μὴ παραπλησίας αὐτὰς ἀλλήλαις ὑπάρχειν, ὅπερ ἐστὶ μὴ ὁμοίας, εἴ γέ τι τῶν νοσημάτων ὁμοιότητι τὸ ἔνδημον, καὶ τὸ ἐπίδημον, καὶ τὸ λοιμῶδες ἐκεῖνο. δυοῖν οὖν θάτερον, ἢ βελτίονα νομιστέον τὴν τοιαύτην γραφὴν, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι, καὶ μὴ παραπλήσιοι, ἢ παραπλησίας αὐτὰς εἰρῆσθαι χρὴ δοκεῖν οὐκ ἀλλήλαις, ἀλλὰ ταῖς ἔμπροσθεν εἰρημέναις, τουτέστι ταῖς συνήθεσιν, ἐπειδὴ σπανιώτερα μὲν ἐπιδήμιά τε καὶ λοιμικὰ γίνεται νοσήματα. τὰ δ' ὑπ' αὐτοῦ καλούμενα σποραδικὰ συνήθως, ὑπὲρ ὧν καὶ νῦν ὁ λόγος αὐτῷ γενήσεται, καθάπερ ὑπὲρ τῶν ἐπιδημίων μὲν ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις. τῶν ἐνδήμων δὲ, κατὰ τὸ περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων. ἴδιον δὲ οὐδὲν ἐξαίρετον ἐποίησε σύγγραμμα περὶ λοιμῶν, ἐπειδὴ τῶν ἐπιδημίων ἐν ὑπάρχειν αὐτὸ δι' ἐκείνων ἐδίδαξεν.

Οἱ μὲν γὰρ ἰδιῶται, οὐ κάρτα γινώσκουσι τοὺς ἐς ταῦτα διαφέροντας τῶν πέλας.

Τοὺς εἰς ταῦτα τὰ νοσήματα φησὶ διαφέροντας τῶν πέλας ἰατροὺς, οὐ πάνυ γινώσκειν τοὺς ἰδιώτας. δῆλον δὲ ὅτι τὰ ὀξέα λέγει, περὶ ὧν προείρηκε.

Ἑτεροίων τε μᾶλλον ἐπαινέται ἰημάτων καὶ ψέκται εἰσίν.

Οὐ τῶν προσηκόντων, οὐδὲ τῶν ἀξίων ἐπαινεῖσθαι θεραπειῶν διαγνωστικοὺς εἶναι φησὶ τοὺς ἰδιώτας, ἀλλὰ τῶν ἑτέρων μᾶλλον, ὅθεν οὐδ' ἐπαινεῖν αὐτοὺς ὀρθῶς, οὐδὲ ψέγειν, εἶτ' ἐφεξῆς ὡς προστιθεὶς ἀπόδειξιν ὧν εἶπεν, τάδε γράφει.

Ἔπειτα μέγα σημεῖόν τόδε, ὅτι οἱ μὲν δημόται ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τουτέων νουσημάτων εἰσὶν, ὥστε μελετητέα εἶναι. οἱ γὰρ μὴ ἰητροὶ, ἰητροὶ δοκέουσιν εἶναι, μάλιστα διὰ ταύτας τὰς νούσους. ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμαθεῖν ἐστιν ὁκοῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ τοιάδε κάμνοντας. ἢν γὰρ ὀνομάσῃ τις πτισάνης χυλὸν καὶ οἶνον τοῖον ἢ τοῖον, ἢ καὶ μελίκρητον, ἅπαντα τοῖσι δημότῃσι δοκέουσιν οἱ ἰητροὶ ταὐτὰ λέγειν, οἵ τε βελτίους καὶ οἱ χείρους. τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τουτέοισι δὴ καὶ πάνυ μέγα διαφέρουσιν ἕτεροι ἑτέρων.

Ἐπεὶ ταῖς τοιαύταις ὕλαις τῶν διαιτημάτων οἵ τε βελτίους ἰατροὶ καὶ οἱ χείρους χρῶνται, διὰ τοῦτο τοῖς ἰδιώταις ἀδιάγνωστός ἐστιν ὁ βελτίων, οὐκ εἰδόσι διακρίναι, τινὲς μὲν ἐν καιρῷ, καὶ μετὰ τῆς δεούσης ποσότητος τὰς ὕλας τῶν βοηθημάτων τοῖς κάμνουσι προσφέρουσι, τινὲς δὲ ἄνευ τούτων. ἀλλ' οὖν ἐνταῦθα περιγράψας ὁ Ἱπποκράτης τὸ δεύτερον προοίμιον, ἄρχεται τῶν ἐχομένων ἤδη τῆς προκειμένης ῥήσεως.

Δοκέει δέ μοι ἄξια γραφῆς εἶναι μάλιστα, ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖσιν ἰητροῖσιν ἐπίκαιρα ἐόντα εἰδέναι, καὶ ὁκόσα μεγάλας ὠφελείας φέρει, ἢ μεγάλας βλάβας. ἀκαταμάθητα οὖν καὶ τάδε ἐστί. διὰ τί ἄρα ἐν τῇσιν ὀξείῃσι νούσοισιν, οἱ μὲν τῶν ἰητρῶν ἅπαντα τὸν αἰῶνα διατελοῦσι πτισάνας διδόντες ἀδιηθήτους, καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν. οἱ δέ τινες περὶ παντὸς ποιέονται ὅπως κριθὴν μηδεμίην καταπίῃ ὁ κάμνων, μεγάλην γὰρ βλάβην ἡγέονται εἶναι, ἀλλὰ δι' ὀθονίου τὸν χυλὸν διηθέοντες διδόασιν. οἱ δὲ αὖ τινες αὐτέων, οὔτ' ἂν πτισάνην παχεῖαν δοῖεν, οὔτε χυλόν. οἱ μὲν μέχρις ἂν ἑβδομαῖος γένηται ὁ κάμνων, οἱ δὲ καὶ διὰ τέλεος ἄχρις ἂν κριθῇ ἡ νοῦσος.

Δόξει μὲν εἶναι λογικώτερον τὸ προβεβλημένον ὑπ' αὐτοῦ, δυναμένων ἡμῶν καὶ χωρὶς τῶν τοιούτων σκεμμάτων ἰατρεύειν ὀρθῶς. ἐκ γὰρ τοῦ μαθεῖν τὰ ποιητέα, τὸ καλῶς ἰᾶσθαι τὰς νόσους περιγίνεται τοῖς ἰατροῖς, οὐκ ἐκ τοῦ ζητῆσαι τὴν αἰτίαν τῆς διαφωνίας τῶν διαφόρους θεραπείας γραψάντων ἐπὶ τοῖς αὐτοῖς νοσήμασιν. ἔστι δὲ κατ' ἀλήθειαν οὐ μόνον χρησιμώτατον, ἀλλὰ καὶ πρῶτον ἁπάντων καὶ ζητῆσαι δεόμενον, ὡς δείξω προϊόντος τοῦ λόγου. πρότερον γὰρ ὅτι τε ζητήσεως ἄξιόν ἐστιν ὃ προβάλλει, καὶ ὅπως αὐτὸ λύει, διελθεῖν ἄμεινον. ὅτι μὲν οὖν ἄξιόν ἐστι ζητήσεως, ἐντεῦθεν μαθήσῃ. τῆς μὲν γὰρ τῶν φιλοσόφων διαφωνίας, οὐδὲν ἔχομεν ἐμφανὲς τεκμήριον. οὔτε γὰρ εἰ γεννητὸς ὁ κόσμος, οὔτ' εἰ φθαρτὸς, οὔτ' εἰ μὴ κενόν ἐστιν ἔξωθεν αὐτοῦ, οὔτ' εἰ ἄπειρος, οὔτ' εἰ μόνος οὗτος εἷς ἐστιν, οὔτ' εἰ πλείους, οὔτε πόσοι τὸν ἀριθμὸν, εἴπερ πλείους, οὔτ' εἰ πλῆθος ἀπερίληπτον, ἢ ἄπειρον αὐτῶν, ἐναργεῖ τεκμηρίῳ χρήσασθαι δυνατόν. οὕτως δὲ καὶ ἄλλα πολλὰ τῶν κατὰ φιλοσοφίαν ζητουμένων, ἔνια μὲν οὐδ' ὅλως ἐπικρίναι δυνάμεθα, τινὰ δὲ μετὰ πολλῆς ἐπισκέψεως. περὶ δὲ τῶν ὠφελούντων τοὺς κάμνοντας, οὐχ ὁμοίως ἔχει. τὸ μὲν γὰρ εὑρεῖν αὐτὰ χρόνου δεῖται μακροῦ, διαφέροντός τε τῶν πολλῶν ἀνδρός. ὅσα δὲ εὑρηκέναι τινὲς ἐπαγγέλλονται, δόξει ταῦτα ῥᾳδίαν ἔχειν τὴν κρίσιν. εἰ μὲν γὰρ ὠφέλησε προσαχθέντα τοῖς κάμνουσιν, ἐπαινεῖν αὐτὰ χρὴ καὶ προσίεσθαι, βλάψαντα δὲ, φεύγειν τε καὶ ἀποτρέπεσθαι. μηδὲν δὲ ἀξιόλογον εἰς βλάβην, ἢ εἰς ὠφέλειαν ἐργασάμενα, τῶν οὐδετέρων ὑπολαμβάνειν, ἀλλὰ καὶ τοὺς ἰατροὺς ἀφίστασθαι τῶν ἐναργῶς βλαπτόντων. ὅσα μὲν οὖν ὀλίγην ἔχει τὴν διαφορὰν, οὐδὲν θαυμαστὸν ἐπιμένειν αὐτοῖς, τοὺς ὁπωσοῦν ἐξ ἀρχῆς δόξαντας. ὅσα δὲ πάμπολυ διήνεγκεν, ὡς ἐπαινεῖσθαι μὲν ὑφ' ἑτέρων, ψέγεσθαι δὲ ὑπ' ἐνίων. ἐπὶ τούτων ἄν τις θαυμάσειεν, ἢ τοὺς ἐπαινοῦντας τὰ μεγάλην ἔχοντα βλάβην, ἢ τοὺς ψέγοντας τὰ κατὰ ἀλήθειαν ὠφέλιμα. τοῦτ' οὖν ἐστιν αὐτὸ νῦν προβαλλόμενον ὑπὸ Ἱπποκράτους ἐφ' ἑνὸς τῶν κατὰ μέρος ὑποδειγμάτων. εἴρηται δὲ καὶ ὑπὸ Ἐρασιστράτου κατὰ τὸ πρῶτον βιβλίον περὶ πυρετῶν, αὐτό τε καὶ ἡ λύσις αὐτοῦ διὰ ταχέων τε καὶ σαφῶς, ἀκολουθήσαντος αὐτοῦ τῷ Ἱπποκράτει ταύτῃ. διελθὼν γὰρ ἐν τῷ προειρημένῳ βιβλίῳ τοὺς ἐναντιωτάτας ταῖς ἀγωγαῖς ἐπὶ τῶν πυρεττόντων χρωμένους ἰατροὺς, τούς τε μακραῖς ἀσιτίαις καταπονοῦντας τοὺς κάμνοντας, καὶ Πετρωνᾶν τὸν κρέα τε καὶ οἶνον διδόντα, ἐπιφέρων φησὶ κατὰ λέξιν οὕτως. ἐπὶ πολλῶν μὲν οὖν πάνυ μεγάλαις πληγαῖς περιέπιπτον. εἰ δὲ πάντες κακῶς ἀπηλλάττοντο πυρέττοντες ἐν τῇ τοιαύτῃ ἀγωγῇ τῆς θεραπείας, πεπαυμένοι ἂν ἦσαν τοῦ θεραπεύειν οἱ ἰατρεύοντες οὕτως. ἀλλ' ὡς ἔοικεν οὐκ ἐφαρμόζει πᾶσι τοῖς πυρετοῖς ἡ αὐτὴ ἀγωγὴ τῆς θεραπείας. ἐπαινεῖν οὖν χρὴ καὶ τὸν Ἐρασίστρατον καὶ τοὺς ἄλλους, οἳ προβάλλοντες τοῦτο τὸ ζήτημα, καὶ τὴν λύσιν ἔγραψαν. ἐπαινεῖν δὲ καὶ τὸν πρῶτον αὐτὸ προβάλλοντα, καὶ γινώσκειν οὐ μᾶλλόν τι περὶ τῶν ὀξέων νοσημάτων, ἢ τῶν ἁπάντων προβάλλεσθαι, καὶ λύεσθαι τοῦτο τὸ ζήτημα. καὶ γὰρ ἡ ἀπόκρισις κοινὴ περὶ πάντων ἐστί. οὐ γὰρ ἐπὶ τῶν ὀξέων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων ἐν τῇ θεραπείᾳ διεφώνησαν οἱ ἰατροὶ, καὶ διὰ τοῦτο μέχρι πολλοῦ ταῖς ἑαυτῶν ἀγωγαῖς ἕκαστοι προσμένουσιν, ὅτι θεῶνται τινὰς ἐπ' αὐτῶν ἐναργῶς ὠφελουμένους. ἐπὶ τῶν ἄλλων οὖν ὅσοι μηδὲν ὀνίανται, τάχα μὲν ὑπονοοῦσι καὶ τοὺς κάμνοντας τι λαθραίως ἁμαρτάνειν, οὐ μὴν ἀλλ' ὅπερ εἶπε καὶ αὐτὸς Ἱπποκράτης ἐν τῷ περὶ ἀγμῶν, ἐπὶ τῶν κακῶς ἐπιδούντων τὰ μεθ' ἕλκους κατάγματα, καὶ διὰ τοῦτο βλαπτόντων. οὐ γὰρ οἴονται φησὶ τὴν ἐπίδεσιν αἰτίαν εἶναι, ἀλλὰ ἄλλην τινὰ ἀτυχίαν, οὕτω καὶ ἐπὶ τῶν κατὰ δίαιταν εἰκὸς αὐτοὺς ὑπολαμβάνειν. ὃ δὲ εἶπε νῦν ἐν τῇ προκειμένῃ ῥήσει πρόδηλόν ἐστιν, ἐάν τις αὐτὴν ἀναγνῷ δὶς καὶ τρὶς, αὐτὸς ἐφ' ἑαυτοῦ προσέχων τὸν νοῦν. εὑρήσει γὰρ ἐπὶ μερικοῦ παραδείγματος τὸν κοινὸν διδασκόμενον λόγον, ὃν δὴ καὶ καθόλου

καλεῖν εἰώθασιν οὐχ οἱ φιλόσοφοι μόνον, ἀλλὰ καὶ σχεδὸν οἱ ἀπὸ πασῶν ἤδη τῶν λογικῶν τεχνῶν. ὁ μὲν οὖν Ἐρασίστρατος ἐναντιωτάτων ἀγωγῶν ἐμνημόνευσεν, ὁ δὲ Ἱπποκράτης τὰς ἀλλοκότους ἐάσας, ἐπὶ τὰς μετριωτέρας ἧκεν. ἀλλόκοτοι γάρ εἰσιν ὄντως αἱ διὰ λιμαγχονίας ἐσχάτης, καὶ αἱ διὰ τὸ πληροῦν ἀμέτρως, ὡς ὁ Πετρωνᾶς. μέτριαι δὲ τούτων, ὧν ἐμνημόνευσεν ὁ Ἱπποκράτης ἐπὶ τῶν ὀξέων νοσημάτων γιγνόμεναι ὑπὸ τῶν ἀξιολόγων ἰατρῶν. ἔνιοι μὲν γὰρ τὴν κριθώδη πτισσάνην ἐπ᾽ αὐτῶν διδόασιν, ἔνιοι δὲ τὸν χυλὸν μόνον, ἔνιοι δὲ οὐδὲ τοῦτον ἐπὶ τῶν ὀξέων νοσημάτων, καὶ πρὸ τῆς κρίσεως. ἔνιοι δὲ ὕδατος διδόασι μόνον, ἄχρις ἂν ἡ νόσος κριθῇ, διαιτῶντες ἐν τῷ μεταξὺ πόμασι μόνοις, ὕδατί τε καὶ μελικράτῳ, καὶ εἰ δεήσειεν ὀξυμέλιτι. ἡ μὲν οὖν αἰτία τῆς διαφωνίας ἐστὶν, ἣν αὐτὸς ὁ Ἱπποκράτης ἐφεξῆς ποιήσεται, καὶ καλῶς ἔφην αὐτὴν ὑπὸ Ἐρασιστράτου κατὰ τὸ πρῶτον εἰρῆσθαι περὶ πυρετῶν. ἔστι δὲ αὕτη, τὸ τινὰς τοῦ χυλοῦ μόνου δεῖσθαι τῆς πτισσάνης, τινὰς δὲ καὶ τῆς κριθώδους πτισσάνης. ἐνίους δὲ μηδετέρου τούτων, ἀλλ᾽ ἐπὶ πομάτων μόνον ἄχρι τῆς κρίσεως ὠφελίμως διαφυλάττεσθαι, καὶ δείξει γε ἐφεξῆς τίνες μέν εἰσιν οἱ τῆς κριθώδους πτισσάνης δεόμενοι, τίνες δὲ οἱ πτισσάνης χυλοῦ, τίνες δὲ οἱ μηδετέρου τούτων.

Μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί. ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται.

Ὅτι πρῶτος αὐτός ἐστιν ὁ τὸ ζήτημα προβαλὼν τοῦτο, καὶ λύσας, εὔδηλόν ἐστιν ἐκ ταύτης τῆς ῥήσεως. οὐδὲ γὰρ εἰθίσθαι φησὶ τὰ τοιαῦτα προβάλλεσθαι παρὰ τοῖς ἰατροῖς, εἰ δὲ καὶ προβάλλοι τις αὐτοῖς, ἴσως οὐδὲ τὴν λύσιν εὑρήσει.

Καίτοι διαβολήν γ᾽ ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μηδὲ δοκέειν ὅλως ἰητρικήν.

Καὶ κατὰ ταύτην τὴν ῥῆσιν, ἐπὶ μορικοῦ παραδείγματος διδάσκει τινὰ τῶν καθόλου, πρῶτον μὲν ὡς ἡ τῶν μελιόντων ὁτιοῦν ἐπιτήδευμα διαφωνία, δικαίως ὑποψίαν ἀγνοίας ἐνδείκνυται. δεύτερον δὲ πάλιν ὡς ἡ συμφωνία δικαίαν μεγάλην ἐλπίδα γνώσεως, ὅπερ μεγάλα καὶ ταῖς γραμματικαῖς ἀποδείξεσι συντετέλεσεν. οὐ μόνον γὰρ αὐτοὺς τοὺς μανθάνοντας πείθουσιν, ἀλλὰ καὶ παρὰ τοῖς ἰδιώταις δόξαν ἔχουσιν ὡς ἀληθεῖς εἶναι. γραμμικαῖς οὖν ἀποδείξεσι κεχρῆσθαί φησιν τοὺς ἐναργῶς τι καὶ ἀναμφιλέκτως δείξαντας. ἐξεργάζεται δὲ τὸν περὶ τῆς διαφωνίας λόγον ἐπὶ τῆς ἐχομένης ῥήσεως.

Ὥστ᾽ ἐν γε τοῖσιν ὀξυτάτοισι τῶν νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνακτες, ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγεόμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι, καὶ σχεδὸν κατά γε τοῦτο, τὴν τέχνην φαίην ὁμοιοῦσθαι τῇ μαντικῇ. ὅτι καὶ οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν εἶναι νομίζουσιν, εἰ δὲ δεξιὸς, κακόν. καὶ ἐν ἱεροσκοπίῃ δὲ τὰ τοιάδε, ἄλλα ἐπ᾽ ἄλλοισι. ἀλλ᾽ ἔνιοι τῶν μάντεων τὰ ἐναντία τουτέων. φημὶ δὴ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα, καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ καὶ ἐπικαιροτάτοισι.

Μαντικὴν μὲν ὠνόμασε τὴν οἰωνιστικήν. καὶ ἱεροσκοπίαν δὲ, τὴν θυτικὴν ὑπὸ τῶν πολλῶν καλουμένην, ἣν ὄντως καὶ οἱ ἄλλοι παλαιοὶ καλοῦσιν ἱεροσκοπίαν, ἐπειδὴ σκοποῦντες τὰ ἱερεῖα, προλέγουσιν ἐξ αὐτῶν οἱ περὶ ταῦτα δεινοὶ τὰ γενησόμενα. ἱερεῖα δὲ ἴσμεν ὀνομαζόμενα ἅπαντα τὰ τοῖς θεοῖς εἰς τιμὴν γιγνόμενα, οἷα τὰ τῶν θυομένων ἱερείων, ὧν τὰ σπλάγχνα θεώμενοι προλέγουσιν οἱ ἱεροσκόποι. τοὺς δὲ διὰ τῆς τῶν ὀρνίθων πτήσεως μαντευομένους, οὓς οἰωνιστάς τε καὶ οἰωνοσκόπους ὀνομάζουσι, τούτους νῦν μάντεις ἐκάλεσεν ὁ Ἱπποκράτης. καίτοι τὸ τοῦ μάντεως ὄνομα καὶ ἡ μαντικὴ κατὰ πασῶν τῶν οὕτω προλεγουσῶν τεχνῶν ἐπιφέρεται. μάντεις μὲν γὰρ καλοῦνται οἵ τε ἱεροσκόποι καὶ οἱ οἰωνισταὶ, καὶ οἱ γενεθλιακοὶ προσαγορευόμενοι, καὶ οἱ διὰ συμβόλων, καὶ οἱ διὰ ἱερείων προλέγοντες τὰ ἐσόμενα. πρὸς τούτοις γε χρησμολόγοι καὶ θεομάντεις. ἔνιοι δὲ καὶ τοὺς ὀνειροπόλους ὑπὸ τοῦ ποιητοῦ κληθέντας, ἐν τοῖς μάντεσι καταλέγουσιν. ἀλλ᾽ ὅ γε Ἱπποκράτης δῆλος, ὅτι τοὺς οἰωνιστὰς μόνους ὀνομάζει μάντεις ὡσαύτως τῷ ποιητῇ. καὶ γὰρ κἀκεῖνος ἐν πολλοῖς μέρεσι τῆς ποιήσεως ἐνδεικνύμενος τὴν οἰωνιστικὴν τέχνην πρόγνωσιν εἶναι τῶν γενησομένων, ὁμοίως ἐν ἀρχῇ τοῦ ἄλφα φησί. ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα, ἢ καὶ ὀνειροπόλον, καὶ γάρ τ᾽ ὄναρ ἐκ Διός ἐστιν. ἱερέα μὲν λέγων τὸν ἱεροσκόπον, ὀνειροπόλον δὲ τὸν περὶ τοὺς ὀνείρους ἔχοντα, μάντιν δὲ δηλονότι τὸν οἰωνιστήν. οὐ γὰρ δὴ παρέλιπεν αὐτὸν εἰς τὰ μέγιστα πολλαχόθι τῆς ποιήσεως, καὶ τῇ περὶ τοὺς οἰωνοὺς τέχνῃ χρώμενος. ἀλλὰ ταῦτα μὲν ἴσως καὶ πλείω τοῦ δέοντος εἴρηταί μοι περὶ τῆς τοῦ μάντεως προσηγορίας. ἐπ᾽ αὐτὸ δὲ τὸ λεγόμενον, μεταβαίνειν ἤδη καιρὸς, ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν. οἱ τὰς μαντικὰς τέχνας μελιόντες, οὐδὲν ἧττον ἀλλήλοις διαφέρονται τῶν ἰατρῶν, ἐν πολλοῖς τῶν κατὰ μέρος. ἐγὼ γοῦν ποτε διαφερομένους οἰωνιστὰς εἶδον ἐπ᾽ αὐτῶν τούτων τῶν πτήσεων, ὧν καὶ νῦν ὁ Ἱπποκράτης ἐμνημόνευσεν, ἀριστερᾶς καὶ δεξιᾶς. ἦν δὲ ὁ μὲν ἕτερος αὐτῶν ἄραψ, ὁ δὲ ἕτερος ἕλλην ἐξ ἀσίας τῆς ἡμετέρας. ἔλεγεν οὖν ὁ μὲν ἄραψ τὸν δεξιὸν οἰωνὸν γυναῖκας σώζειν νοσούσας, τὸν ἀριστερὸν δὲ ἄνδρας. ὁ δὲ ἐκ τῆς ἀσίας, τὸν μὲν δεξιὸν ἐπ᾽ ἀνδρῶν νοσούντων φανέντα τοῖς ἐρωτῶσιν εἰ σωθήσεται καταφάσκειν τῇ ἐρωτήσει, ἀποφάσκειν δὲ τὸν ἀριστερόν. ἠρόμην οὖν αὐτοὺς, εἰ τὸν ὁπωσοῦν πετόμενον ἀριστερὸν ἢ δεξιὸν ὄρνιθα, ταύτην ἔχειν φασὶ τὴν δύναμιν, οὐδὲν ἡγούμενος διαφέρειν, εἰ ὑψηλότατός ἐστιν ἢ προσγειότατος ἢ μεταξύ. καὶ εἰ ἐν τῷ μεταξὺ ἐγγυτέρω ἆρα τοῦ ὑψηλοτάτου, ἢ ἐν μέσῳ. ὡσαύτως δὲ καὶ περὶ τοῦ πλησίον τε καὶ πόρρω διεστάναι τὸν οἰωνὸν ἠρόμην, εἰ μηδὲ ἐν αὐτοῖς διαφέρει. ὁ μὲν οὖν ἄραψ ἔφασκεν, ὅπως ἂν ἔχῃ τοῦ εἰς ὕψος, ἢ μῆκος, ἢ πλάτος ἀποστάσεως, οὐδὲν διαφέρειν. ὁ δὲ ἕλλην διωρίζετο καὶ περὶ τοῦ συμμέτρου, δεξιοῦ τε καὶ ἀριστεροῦ, καὶ γεγράφθαι ταῦτα τοῖς οἰωνισταῖς ἔλεγε. τὰς δὲ ἀμέτρους ἀποστάσεις, ἐναντίας εἶναι ταῖς ἐμμέτρως ἐχούσαις. ἐδείκνυε δὲ καὶ Ἀπόλλωνος καὶ Ἀθηναίου καὶ Χαιρήμονος καὶ Ἀρτεμιδώρου τοῦ Φωκᾶ, ἄλλων τε τινῶν οἰωνιστῶν ἐνδόξων, βίβλους αὐτῷ μαρτυρούσας. ἔγνων οὖν ἀδιόριστον μὲν τὸν ἄραβα, διωρισμένον δὲ καὶ τεχνικὸν τὸν ἕλληνα,

τέχνης γὰρ ἐμπειρίᾳ τὴν κρίσιν τῶν θεωρημάτων ἐχούσης, ἡ διαφωνία περὶ τὸ διωρισμένον τε καὶ ἀδιόριστον γίγνεται. καὶ τοῦτο μεμαθηκὼς ἐγὼ παρ᾽ Ἱπποκράτους, ἐκεῖνον τὸν Ἕλληνα τεχνικώτερον ἀποφαίνεσθαι περὶ τῆς πτήσεως τῶν οἰωνῶν. ἐξ ἐπιμέτρου δὲ τοὺς ἐνδοξοτάτους τῶν οἰωνιστῶν μάρτυρας παρεχόμενος, ἔτι μᾶλλον ἦν ἀξιόπιστος. ἐπαγομένου δὲ καὶ τοῦ ἄραβος πολλοὺς μάρτυρας, ὧν προεῖπεν ἀληθῶς νοσούντων, εἶπον αὐτῷ τῆς ὡς τὸ πολὺ γεγενημένης ἐπιτυχίας τὴν αἰτίαν. εἰ γὰρ ὁ μὲν ἔμμετρος δεξιὸς σώζει τοὺς ἄνδρας, οἱ δὲ ἄμετροι τὰς γυναῖκας. εἰσὶ δὲ πάμπολλοι μὲν οἱ ἄμετροι, μόνος δὲ εἷς ὁ ἔμμετρος, εἰκότως ἐπὶ πολλῶν μὲν ἐπέτυχεν, ὀλιγάκις δὲ ἀπέτυχεν. ὅ γε μὴν Ἕλλην οἰωνιστὴς, καὶ ἄλλους τινὰς διορισμοὺς προσετίθει, καθ᾽ οὓς κἂν ὁ δεξιὸς ἄμετρος ᾖ, δηλώσει ποτὲ σωθήσεσθαι τὸν νοσοῦντα. τὸ γὰρ κίναιδον καὶ τὸ γυναικεῖον ἐπιτήδευμα μετιόντα, καθάπερ τὸν ἐργὸν τοῖς τῶν γυναικῶν ἐφηχήμασι σώζεσθαι. καὶ τοῦτ᾽ αὖ πάλιν ἐδείκνυε παρὰ τοῖς ἀρίστοις οἰωνισταῖς γεγραμμένον. ἔτι δὲ πρὸς τούτοις, καὶ ἄλλους τινὰς διορισμοὺς προσετίθει, περὶ ὧν οὐδὲν ἐφαίνετο γινώσκειν ὁ ἄραψ. εἴρηται δέ μοι ταῦτα διὰ τὴν ἐφεξῆς ῥῆσιν, ἣν οὐδεὶς ἐξηγήσατο προσηκόντως, ὥσπερ οὐδὲ τὴν προγεγραμμένην αὐτῆς, ἔνθα φησί. μᾶλλον μὲν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμέναι τοῖς ἰατροῖς, ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται. σαφῶς γὰρ εἰπόντος αὐτοῦ τὰ τοιάδε, ὅ ἐστι τὰ οὕτω διαφωνούμενα. τινὲς μὲν ἤκουσαν τῆς πτισάνης μόνης ἤκουσαν οὐκ ὀρθῶς, ἔνιοι δὲ βραχὺ τούτων ἄμεινον περὶ τῆς τῶν ὀξέων διαίτης, ἔνιοι δὲ ἐπὶ πάσης ἁπλῶς, ἔνιοι δὲ ἐπὶ θεραπείας ἁπάσης, βέλτιον μὲν τῶν προτέρων, οὔπω δὲ οὐδ᾽ αὐτοὶ τελέως. αἰτίαν γὰρ ὡς εἶπον ὁ Ἱπποκράτης ἐπεζήτησεν ἁπάσης διαφωνίας περὶ πάσης τέχνης τῇ πείρᾳ κρίνεσθαι δυναμένης. ὅτι δὲ οὕτως ἔχει τοῦτο, μαθήσῃ σαφῶς διὰ τῆς ἐφεξῆς ῥήσεως.

Καὶ γὰρ τοῖς νοσέουσι πᾶσιν ἐς ὑγίειαν μέγα τι δύναται, καὶ τοῖς ὑγιαίνουσιν ἐς ἀσφάλειαν, καὶ τοῖς ἀσκέουσιν ἐς εὐεξίην, καὶ ἐς ὅ, τι ἕκαστος ἐθέλει.

Οὗτος ὁ λόγος ἐξελέγχει καὶ τοὺς περὶ πτισάνης μόνης οἰομένους αὐτὸν προβεβληκέναι τῇ προγεγραμμένῃ ῥήσει, καὶ τοὺς περὶ διαίτης, ἤτοι περὶ τῆς ἐπὶ τῶν ὀξέων, ἢ καὶ πάσης ἁπλῶς. ὡσαύτως δὲ καὶ τοὺς περὶ θεραπείας ἁπάσης ὑπειληφότας εἶναι τὸ πρόβλημα. προδήλως γὰρ ἡ νῦν ἡμῖν προκειμένη ῥῆσις ἐλέγχει, τοὺς μὲν ἤτοι περὶ πτισάνης, ἢ τῆς ἐπὶ τῶν ὀξέων διαίτης μόνης, ἢ τῆς ἐπὶ πάντων τῶν νοσημάτων οἰομένους εἶναι τὸν λόγον, ἐν τῷ προσγεγράφθαι. καὶ γὰρ τοῖς γε νοσέουσι πᾶσιν ἐς ὑγείαν μέγα τι δύναται. πάντες γὰρ οἱ νοσοῦντες ὑπὸ διαίτης μόνης οὐ θεραπεύονται, διὰ τὸ πολλοὺς δεῖσθαι καὶ χειρουργίας καὶ φαρμακείας. ἔτι δὲ μᾶλλον οὐδὲ ὑπὸ πτισάνης μόνης, οὔτε περὶ διαίτης μόνης ὀξέων, οὔτε περὶ διαίτης ἁπλῶς τῆς ἐπὶ πάντων τῶν νοσημάτων, ὁ λόγος αὐτῷ νῦν ἐστιν, οὐδὲ περὶ τῆς ἐν τούτῳ διαφωνίας μόνης, ἀλλὰ περὶ πάσης ἁπλῶς τέχνης τῇ πείρᾳ κρίνεσθαι πεφυκυίας. ὃ γὰρ τὸ κοινὸν καὶ καθόλου κριτήριον εὑρὼν, ἐκείνῳ κρίνει τὰ κατὰ μέρος. ἓν δέ τι τῶν κατὰ μέρος ἐστὶ καὶ τὸ περὶ πτισάνης τοῖς ἰατροῖς διαπεφωνημένον, ὥσπερ γε καὶ τὸ περὶ διαίτης οὐ μόνον ἐπὶ τῶν ὀξέων, ἀλλὰ καὶ τῶν ἄλλων νοσημάτων, ἔτι τε γενικώτερον ὑπὲρ ἁπάσης θεραπείας, καὶ τούτου γενικώτερον ὑπὲρ ἁπάσης προνοίας σώματος, καὶ ἐφ᾽ ὑγείας ὄντων γίγνεται. δέονται γὰρ καὶ οὗτοι τῆς τέχνης ἐπιστατούσης, οὐκ εἰς τὸ κτήσασθαι τὴν ὑγείαν, ἀλλ᾽ εἰς τὸ φυλάττειν, ὅπερ ὁ Ἱπποκράτης εἶπε, καὶ τοῖς ὑγιαίνουσιν ἐς ἀσφάλειαν. τὸ γὰρ φυλάττειν ὁτιοῦν, ἀσφαλείας δεῖται. χρήσιμον δ᾽ εἶναί φησι τὸ σκέμμα καὶ τοῖς ἀσκέουσιν ἐς εὐεξίην. ὥσπερ γὰρ ἡ τῶν νοσούντων θεραπεία τοῦ προβεβλημένου νῦν ὑπ᾽ αὐτοῦ δεῖται σκέμματος, οὕτως καὶ ἡ τῶν ὑγιαινόντων ἀσφάλεια, φυλακῆς ἕνεκα τῆς ὑγείας, καὶ ἡ τῶν ἀσκούντων πρόνοια, κτήσεως ἕνεκα τῆς εὐεξίας. ταῦτα μὲν οὖν πάντα τῆς περὶ τέχνης ἐστὶ, τὸ δ᾽ ἐφεξῆς εἰρημένον ἐπὶ πᾶσαν τέχνην ἐκτέταται. τί γάρ φησι, καὶ ἐς ὅ, τι ἕκαστος ἐθέλει. καὶ γὰρ ὁ οἰωνιστὴς καὶ ἱεροσκόπος καὶ μουσικὸς καὶ ῥήτωρ καὶ πᾶς τεχνίτης ἁπλῶς τῆς περὶ τὴν ἑαυτοῦ τέχνην διαφωνίας τὴν αἰτίαν εἴσεται μίαν οὖσαν, ὅταν ἕκαστος τὸ κατὰ μέρος ἐπὶ τὸ καθόλου μεταφέρῃ. οὕτως γοῦν καὶ τὴν τῶν οἰωνιστῶν διαφωνίαν ἔγνων γεγονυῖαν, ἐκεῖνόν τε τὸν ἀληθέστερα λέγοντα, καὶ τούτου χάριν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, τοῦ τε ἄραβος καὶ τοῦ Ἕλληνος οἰωνιστοῦ. πάσης γὰρ τέχνης σύστασις ἐν διορισμῷ γίνεται τῶν ἰδίων ἀπὸ τῶν κοινῶν. ὁ γὰρ ταῦτα διορίσασθαι δυνάμενος, ἄριστος τεχνίτης ἐστίν. ὥσπερ δὲ καὶ ἡ σύστασις, οὕτως καὶ ἡ κρίσις ἐν τῷ διορισμῷ τὴν ὕπαρξιν ἔχει. σφάλλονται γὰρ οἱ συνιστάμενοι τὰς τέχνας, ὅταν τὸ τινὶ συμβεβηκὸς, ἤτοι γε ἐπὶ πάντας ἐκτείνωσιν, ἢ πλείονάς γε τοῦ προσήκοντος. τὸ μὲν γὰρ ὅλως μηδενὶ συμβεβηκὸς, οὐδεὶς ἂν ἐν τέχνῃ τοιαύτῃ πείσειεν ἑαυτὸν ἀληθὲς εἶναι. περὶ τοῦτο γὰρ ἡ ὄντως γίγνεται διαφωνία, περὶ τὸ πείθειν ἕκαστον ἑαυτὸν, οὐ κατὰ τὸ προσποιούμενον, καὶ καταπλαττόμενον ἐρίζειν φιλονεικοῦντα, καθάπερ ἔνιοι περὶ τινων ἑτέρως ἢ ὡς κατὰ τὴν ψυχὴν διάκεινται. καὶ οἱ φάσκοντες ἄδηλον εἶναι, πότερον ἐγρηγόραμεν, ἢ κοιμώμεθα, καὶ σωφρονοῦμεν, ἢ μαινόμεθα, καὶ εἰ τοῦτό γε συγχωρηθείη δῆλον εἶναι. ἀλλ᾽ ὁπότεροι γε μᾶλλον ἀληθεύουσιν, ἄδηλον ὑπάρχειν φασὶν, εἴθ᾽ οἱ ἐγρηγορότες τῶν κοιμωμένων, εἴτε τῶν μαινομένων μᾶλλον οἱ μὴ μαινόμενοι. πεπεισμένος γὰρ οὐδεὶς οὕτως, οὐδὲ δοξάζων ἐν τῇ ψυχῇ τοὺς λόγους τούτους, ἀλλ᾽ ἐρίζων ποιεῖται. κατὰ τὴν ἰατρικὴν δὲ τέχνην τινὲς μὲν ἐπεχείρησαν καινοτομεῖν, οὐ δυνάμενοι βέλτιόν τι τῶν ἔμπροσθεν εὑρηκέναι. κατανενοηκότες δὲ τὸ τῶν ἰδιωτῶν πάθος, ὅπερ Ἱπποκράτης εἶπε. τὸ γὰρ ξενοπρεπὲς οὔπω συνιέντες εἰ χρηστὸν, ἐπαινοῦσι μᾶλλον, ἢ τὸ σύνηθες, ὃ οἴδασιν ὅτι χρηστόν. ἔνιοι δὲ καὶ διὰ τῶν ἡδίστων διαιτημάτων ἐπαγγελίας ἀναπείθοντες προσάγονται τοὺς κάμνοντας, εἰδότες μὲν ὅτι πανουργοῦσιν, ἀλλ᾽ ἤτοι διὰ φιλοχρηματίαν, ἢ διὰ φιλοδοξίαν ἐπιχειροῦντες πανουργεῖν τὰ τοιαῦτα. τῆς οὖν ἄχρι λόγου διαφωνίας, ὁποία καὶ ἡ τῶν τοιούτων ἀνδρῶν ἐστιν, ἐξῃρημένης, ἡ κατ᾽ ἀλήθειάν τε καὶ ὄντως διαφωνία γίγνεται, παρὰ τὸ μὴ διορισθῆναι τὴν ἀπόφασιν, ἀλλ᾽ ἤτοι περὶ πλειόνων ἢ προσῆκεν, ἢ περὶ πάντων ὡς ὁμοίως ἐχόντων ἀποφήνασθαι. καὶ περὶ τοῦτο ἐπαινεῖσθαι δίκαιόν ἐστι τὸν Ἱπποκράτην, τῆς ὄντως διαφωνίας μνημονεύσαντα μόνης, ἣν οἱ κατ᾽ ἀλήθειαν ἐθέλοντες τέχνην τινὰ συστήσασθαι πάσχουσιν ἐν ταῖς ἑαυτῶν ψυχαῖς διαφόρως δοξάζοντες, οὐκ ἄχρι λόγου προσποιητῶς ὑπὸ πανουργίας διὰ φιλοδοξίαν, ἢ φιλοχρηματίαν. οὐδεὶς γὰρ ὄντως τῇ πείρᾳ κρίνων τὰς ἐπινοίας, ἐπὶ τὴν Πετρωνᾶ ἀγωγὴν ἀφίξεται, κρέα διδοὺς ὀπτὰ, καὶ οἶνον

μέλανα τοῖς ὀξέως πυρέττουσιν. ὥσπερ δὲ οὐδὲ δίψει τοσούτῳ κολάζων αὐτοὺς, ὡς κοτύλης ὕδατος εἰκοστὸν μέρος διδόναι. τὰ γοῦν τοιαῦτα διαιτήματα παντάπασιν ἄτοπα, καὶ δυοῖν θάτερον, ἢ διὰ τὸ ξενοπρεπὲς ἐπιτηδευόμενα πανούργοις ἀνθρώποις, ἢ δι᾽ ἐμπληξίαν ἐσχάτην, εἴπερ ὄντως ᾤοντο μόνοι τὴν ἀλήθειαν εὑρηκέναι. τὰ δ᾽ ὑφ᾽ Ἱπποκράτους γεγραμμένα, καὶ περὶ τοὺς ἀληθῶς ἀσκοῦντας τέχνην συστήσασθαι φρονίμους ἄνδρας γίνεσθαι δύναται, διὰ τὸ μὴ φέρειν μεγίστην βλάβην, ὅταν οἷς οὐ χρὴ προσενεχθῇ. τὰ μὲν οὖν τοιαῦτα δυσδιόριστον ἔχει τὴν ἐκ τῆς πείρας κρίσιν. τὰ δὲ πολὺ διαφέροντα, ῥᾳδίαν. τὴν οὖν ἐν τοῖς ὀλίγον ἀλλήλων ὑπερέχουσι κρίναι διαφωνίαν, καὶ δεῖξαι τίσι μὲν ὑπὸ πτισάνης μόνης διαιτητέον ἐστὶ τῶν ὀξέως νοσούντων, τίσι δὲ κριθώδους δοτέον, τίσι δ᾽ οὐδ᾽ ὅλως, ἀλλ᾽ ἐπὶ ποτοῦ μόνου διαιτητέον ἄχρι κρίσεως, ἄξιόν ἐστι τῆς Ἱπποκράτους συνέσεως.

Πτισάνη μὲν οὖν μοι δοκέει ὀρθῶς προκεκρίσθαι τῶν σιτηρῶν γευμάτων, ἐν τουτέοισι τοῖσιν ὀξέσι νουσήμασι, καὶ ἐπαινέω γε τοὺς προκρίνοντας. τὸ γὰρ γλίσχρασμα αὐτέης λεῖον, καὶ ξυνεχὲς, καὶ προσηνές ἐστι, καὶ ὀλισθηρὸν, καὶ πλαδαρὸν μετρίως, καὶ ἄδιψον, καὶ εὐέκπλυτον, εἴ τι καὶ τουτέου προσδέοι, καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακὸν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ. ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὁκόσον ἂν πλεῖστον ἐπεφύκει διογκοῦσθαι.

Τοῦτον τὸν λόγον ἀναγνῶναι μοι δοκοῦσι μόνον, οἱ περὶ πτισάνης ἐπιγράψαντες τὸ βιβλίον, ὥσπερ αὖ πάλιν οἱ πρὸς τὰς κνιδίας γνώμας, τὸ πρῶτον προοίμιον. ἐδείχθη γὰρ ἐν τῷ δευτέρῳ μηκέτι πρὸς τοὺς κνιδίους ἰατροὺς τὸν λόγον ποιούμενος, ἀλλὰ προτρέπων ἐπὶ τὴν ἄσκησιν τῆς τῶν ὀξέων νοσημάτων θεραπείας. ὁ δὲ δὴ τρίτος λόγος, ὃν ἄχρι δεῦρο διῆλθεν αὐτῆς τῆς διαιτητικῆς τέχνης τῶν ὀξέων νοσημάτων ἐστὶν. οὐ μὴν εἰς μόνην γε αὐτὴν χρήσιμος, ἀλλ᾽ ὑποπεπτωκὼς ἑτέρῳ γενικωτέρῳ. δέδεικται δέ μοι κἀν τοῖς περὶ ἀγμῶν καὶ ἄρθρων, ἔθος Ἱπποκράτει τοὺς ὑποπεπτωκότας λόγους ἑτέροις τισὶ καθολικωτέροις ἐπισημαίνεσθαι, καὶ τὴν γε διδασκαλίαν τῶν καθόλου δι᾽ αὐτῶν ποιεῖσθαι προκειμένων ὡς παραδειγμάτων. οὕτως γὰρ οὔτε ἀποχωρεῖ τοῦ προκειμένου σκέμματος, οὔτε πολλαχῶς διδάσκει τὸ κοινὸν πολλῶν. ὥσπερ δὲ ἐπὶ τῆς πτισάνης τὸν λόγον ἐποιήσατο, τὴν αἰτίαν τῆς περὶ αὐτῆς διαφωνίας, καὶ ζητήσας καὶ κρίνας, οὕτω καὶ περὶ διαίτης ἁπάσης τῶν ὀξέων τὴν κρίσιν ὀρθὴν ἐποιήσατο. καὶ γὰρ καὶ περὶ φλεβοτομίας, καὶ περὶ καθάρσεως, καὶ βαλανείου, καὶ κλυστῆρος χρήσεως, ὡσαύτως δὲ καὶ περὶ καταπλασμάτων καὶ πυριαμάτων, οἴνου τε καὶ μελικράτου, καὶ ὀξυμέλιτος, καὶ λουτροῦ χρήσεως, οὐ σμικρὰ διαφωνία γέγονε τοῖς ἰατροῖς, ὑπὲρ ὧν ἁπάντων ὁ Ἱπποκράτης ἐν τούτῳ τῷ βιβλίῳ διῆλθε, κατὰ μίαν μέθοδον ἣν ἀρτίως εἶπον, ἧς τὴν δύναμιν ἐοίκασιν ἐγνωκέναι, καὶ οἱ ἐμπειρικοὺς ἑαυτοὺς ὀνομάσαντες, διορισμοῖς χωρίζοντες ἀπὸ τῶν κοινῶν τὰ ἴδια. καλεῖν δὲ εἰώθασι διαστολὰς μᾶλλον ἢ διορισμοὺς τοὺς ἀπὸ τοῦ κοινοῦ τὸ ἴδιον ἀποκρίναντας τε καὶ χωρίζοντας λόγους. ἴδωμεν οὖν ἤδη τὰ περὶ τῆς πτισάνης εἰρημένα τῷ Ἱπποκράτει. δοκέουσιν οὖν μοι φησὶν οἱ πρόσθεν ἰατροὶ προκρίναι πτισάνην ὀρθῶς τῶν σιτηρῶν γευμάτων ἐν τοῖς ὀξέσι νοσήμασι. σιτηρὰ δὲ γεύματα λέγει τὰ ἐκ σίτου γινόμενα. σῖτον δὲ ὀνομάζουσιν οἱ ἄνθρωποι, μάλιστα μὲν τοὺς πυρούς. ἤδη δὲ καὶ τὰς κριθὰς τούτοις προσνέμουσι, καὶ τὰς ζειάς. ἐπὶ πλεῖον δὲ ἐκτείνοντες τὴν προσηγορίαν, καὶ τὰ δημήτρια καλούμενα σπέρματα συγκαταλέγουσι, φακοὺς δηλονότι καὶ κυάμους, καὶ θέρμους, καὶ λαθύρους, ἔλυμόν τε καὶ κέγχρον, καὶ πισὸν, καὶ τῆλιν, καὶ βρόμον καὶ τίφας, ἐρεβίνθους τε καὶ ὅσα τἄλλα τοιαῦτα. τούτων οὖν πάντων τῶν σιτηρῶν γευμάτων, τὰ μὲν ἄλλα καὶ πρὸς τῶν ἰδιωτῶν κατέγνωσται, διὰ τὸ παραχρῆμα μεγάλην ἐπιφέρειν βλάβην. ἄρτος δὲ μόνος καὶ χόνδρος ἐπὶ τῶν ὀξέως νοσούντων δίδοται. καὶ πρὸς ταῦτα ἐστὶ μόνα παραβάλλειν τὴν πτισάνην. ἡ γάρ τοι φακῆ, καὶ ἡ κέγχρος καὶ ἡ τῆλις ὡς φάρμακα ποτὲ φέρεται, διά τινα τῶν κατὰ κοιλίαν νοσημάτων, οὐχ ὡς σιτία τροφῆς ἕνεκα. τῶν οὖν σιτηρῶν ἐδεσμάτων ὀρθῶς προκεκρίσθαι φησὶ τὴν πτισάνην, ἄρτου δηλονότι, καὶ χόνδρου, καὶ ζειῶν, ἐξ ὧν ὁ καλούμενος τράγος γίνεται. τοὺς γὰρ οἰομένους μηδέπω χόνδρον εἶναι κατὰ τοὺς Ἱπποκράτους χρόνους, ἀγνοοῦντας ἐλέγξεις ἐκ τοῦ τῶν παλαιῶν κωμικῶν ἐνίους ἐμνημονευκέναι χόνδρου, καὶ αὐτὸν δὲ τὸν Ἱπποκράτην κατὰ τὸ περὶ διαίτης ὑγιεινῆς. εἰ γὰρ καὶ μὴ Ἱπποκράτους ἐστὶν ἐκεῖνο τὸ βιβλίον, ἀλλ᾽ Εὐρυφῶντος, ἢ Φάωνος, ἢ Φιλιστίωνος ἢ Ἀρίστωνος, ἢ τινὸς ἄλλου τῶν παλαιῶν, εἰς πολλοὺς γὰρ ἀναφέρουσιν αὐτὸ, πάντες ἐκεῖνοι τῶν παλαιῶν ἀνδρῶν εἰσι, ἔνιοι μὲν Ἱπποκράτους πρεσβύτεροι, τινὲς δὲ συνηκμακότες αὐτῷ. μνημονεύω δὲ Ἱπποκράτους νῦν τοῦ Ἡρακλείδα υἱέος, οὗ τοῦτο ἐστὶ τὸ βιβλίον. ὁ γάρ τοι πάππος αὐτοῦ ὁ Γνωσιδίκου υἱὸς Ἱπποκράτης, κατά τινας μὲν ὅλως οὐδὲν ἔγραψε, κατά τινας δὲ δύο μόνα τὸ περὶ ἀγμῶν, καὶ τὸ περὶ ἄρθρων. διατί δὲ ὀρθῶς ἡ πτισάνη προκέκειται τῶν σιτηρῶν ἐδεσμάτων, ἀποδειχθήσεται δι᾽ ὧν ἐπιφέρει αὐτὸς λέγων, ὅσα γοῦν αὐτῇ πρόσεστιν ἀγαθὰ πρὸς τὴν τῶν ὀξέων νοσημάτων ἴασιν, οὐδενὶ τῶν ἄλλων ὑπάρχοντα εὑρήσεις. ὀρθὴ δ᾽ αὖ σοι γένοιτο κρίσις ἐννοήσαντι τήν τε τῶν ὀξέων νοσημάτων φύσιν, καὶ τὴν τῆς πτισάνης δύναμιν. ἡ μὲν οὖν τῶν ὀξέων νοσημάτων φύσις ἐστὶν, ὡς αὐτὸς εἶπεν ὀλίγον ἔμπροσθεν, ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς. ἡ δὲ τοῦ πυρετοῦ γένεσις, ἐκτροπὴ τῆς ἐμφύτου θερμασίας ἐπὶ τὸ πυρῶδες ἐστὶν, ὡς ἐν ἄλλοις τε τισὶν ἔχει δεῖξαι, καὶ νῦν δηλώσει λέγων ἐπ᾽ αὐτοῦ. ἄρχεσθαι μὲν γὰρ ἐκ τοῦ θώρακος, εἰς τὴν κεφαλὴν δὲ ἀναπέμπειν τὴν φλόγα. καὶ μὲν δὴ κἀν τοῖς τῶν ἐπιδημιῶν τὸν μέγαν πυρετὸν ὀνομάζειν εἴωθε πῦρ, ὡς οὐκ ἄλλην τινὰ φύσιν ἔχοντα παρὰ τὴν τοῦ πυρὸς οὐσίαν. εἴπερ οὖν τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, τὸ τῶν πυρετῶν ἴδιον ἴαμα, δύναμιν χρὴ ἔχειν ψύχουσάν τε καὶ ὑγραίνουσαν. τοῦτο γὰρ ὑπεναντίον ἔσται τῇ φύσει τοῦ πυρετοῦ, θερμῇ τε οὔσῃ καὶ ξηρᾷ. τοιοῦτον γὰρ τὸ πῦρ. καὶ μὲν δὴ καὶ τοῦ διὰ τὴν τῶν χυμῶν σηπεδόνα γιγνομένων τῶν πυρετῶν οὐ σμικρὰν φροντίδα πεποιῆσθαι χρὴ, τοῦ πέψαι μὲν αὐτῶν ὅσον ἂν ἐγχωρεῖ δέξασθαι τὴν πέψιν, ἐκκρῖναι δὲ τὸ κατωπτημένον ἤδη, καὶ μηκέτ᾽ οἷόν τε πεφθῆναι, καὶ ἔτι

τοῦ ταῦτα ἐργάσασθαι δυναμένου σιτίου, τοῖς πυρέττουσιν ἐστὶ χρεία, ἐὰν καὶ τὸ ῥᾳδίως πέττεσθαί τε καὶ ἀναδίδοσθαι προσῇ, πάντα ἂν ἤδη τὰ τοιαῦτα ὧν χρῄζομεν ἔχοι. τίς οὖν ἐστιν ἡ τῆς πτισάνης δύναμις, ἀκούσωμεν αὐτοῦ. τὸ γλίσχρασμα φησὶ λεῖον, τὸ λεῖον ἀντίκειται τῷ τραχύνοντι. τραχύνει δὲ τὰ δριμέα, καὶ ὀξέα, καὶ στύφοντα. δριμέα μὲν οὖν ἅπαντά ἐστι τὰ θερμαίνοντα, καθάπερ ὄροβος, καὶ τῆλις. ὀξέα δὲ τὰ μὲν ἄλλα περιείσθω, τὸ δ' ὀξύμελι μόνον ἐν λόγῳ γιγνέσθω. καθάπερ γε τῶν στυφόντων περιείσθωσαν ἀχράδες, καὶ μέσπιλα, καὶ ὅσα τοιαῦτα. τῶν δὲ σιτηρῶν ἡ φακή ἐστι, καὶ τὰ τοιαῦτα. ἐκπέφευγεν οὖν ἡ πτισάνη τὴν τῶν τραχυνόντων κακίαν, ἔχουσα καὶ πρὸς τῷ κατὰ τὴν ἁφὴν λείῳ, καὶ τὸ κατὰ δύναμιν λεῖον. ἔστι δὲ καὶ συνεχὴς ἡ γλισχρότης αὐτῆς, ὁμοίως ἑαυτῇ κατὰ πάντα ὑπαρχούσης τὰ μόρια, διὰ τὸ τῆς ἑψήσεως ἀκριβές, ὅπερ οὐχ ὑπάρχει ταῖς ζειαῖς. ἔπαινος δὲ οὐ μικρὸς τῆς πτισάνης, καὶ τὸ προσηνές, ἐναντίον ὑπάρχον τῷ ἀπηνεῖ, τουτέστι τῷ κατὰ τὴν λῆψιν ἀηδίαν τινὰ ποιοῦντι. καθάπερ ἀμέλει καὶ ὁ ἄρτος ἀηδής ἐστι λαμβανόμενος, διαβρέξειας αὐτὸν ἱκανῶς. ἀλλὰ καὶ οὕτως ἀπολείπεται τοῦ κατὰ τὴν πτισάνην προσηνοῦς, ὡς ἂν μηδὲ εἰ μὴ μασήσεως δεομένης, ἀλλ' ὁμοίως τοῖς ποτοῖς καταπίνεσθαι δυναμένης. οὐ σμικρὸν δὲ πλεονέκτημα, καὶ τὸ ὀλισθηρὸν αὐτῆς, καὶ μάλιστα τοῦ χυμοῦ. διεξέρχεται γὰρ τὸν θώρακα, μηδαμόθι μόριος αὐτοῦ καταλιπὼν μηδὲν τῇ διόδῳ, καθάπερ τὰ δυσαποπλύτως ἐμπλαττόμενα, καὶ σχεδὸν ἅπαντα τὰ γλίσχρα, πλὴν τῆς πτισάνης πέπονθε τοῦτο, ὅπου γε καὶ τὸ ἐκ τοῦ χόνδρου ῥόφημα, τὸ μὲν γλίσχρον ἔχει, τὸ δὲ ὀλισθηρὸν οὐκ ἔχει. τῇ πτισάνῃ δ' ὑπάρχει τὸ ὀλισθηρὸν καὶ τὸ ῥυπτικόν, οἱ δ' οὖν ἰατροὶ πρὸς τὸ διαρρύψαι γλίσχρον χυμὸν ἐμπεπλασμένον τῇ γαστρί, τοῖς ἀπὸ τοῦ χυλοῦ τῆς πτισάνης ἐμέτοις χρῶνται, καθὰ τοῖς ἀπὸ τοῦ μελικράτου. καὶ ὠμὴν δὲ λειοῦντες, ἐπιχρίουσι τοῖς προσώποις οἱ ἀνδραποδοκάπηλοι, ῥύψεως ἕνεκα τοῦ ἐν αὐτοῖς ἀχροίας κατὰ τὸ δέρμα συνισταμένης. τοῦτ' οὖν τὸ ῥυπτικὸν αὐτῆς, καὶ πρὸς τὴν ὑποχώρησιν ἐπιτήδειον, καὶ πρὸς τὴν ἀνάδοσιν, καὶ μάλισθ' ὅταν ἐκ τῶν σιμῶν τοῦ ἥπατος, εἰς τὰ κυρτὰ δέῃ μεταληφθῆναι τὴν ἀναδιδομένην τροφήν. ἐνταῦθα γὰρ ἐμπλάττεται τὰ κακόχυμα καὶ κολλώδη πάντα, καὶ διὰ τοῦτο χόνδρος οὐκ ἐπὶ τῶν μόνον τοῦτο τὸ σπλάγχνον πεπονθότων βλαβερώτατός ἐστιν, ἀλλὰ κἀπὶ τῶν μηδέ πω μὲν ἐχόντων αὐτὸ βεβλαμμένον, ἐν δὲ τῇ φυσικῇ διαπλάσει στενοπόρον. ὅσοι γὰρ οὕτω διάκεινται φύσει, τὰ κολλώδη καὶ παχύχυμα πάντα αὐτοῖς ἐμπλάττεται, καὶ διὰ τοῦτο βάρους αἰσθάνονται κατὰ τὸ σπλάγχνον ἐν ταῖς ἀναδόσεσιν αὐτῶν. καὶ μὲν δὴ καὶ πλαδαρόν ἐστι τὸ γλίσχρισμα τῆς πτισάνης, οὐ σφοδρῶς ὡς ὕδωρ καὶ μελίκρατον, καὶ πρὸς τούτοις γε τό, τε ἐκ χόνδρου ῥόφημα καὶ τὰ ῥοφούμενα τῶν ᾠῶν. ἅπαντα γὰρ ταῦτα τὸν στόμαχον ἐργάζεται ὕπτιον τοῖς κάμνουσιν αὐτοῖς ἐπιδήλως, ὡς ἀνατετράφθαι φάσκειν αὐτόν,

» Ἡ δὲ πτισάνη τὸ ὑγραίνειν ἔχουσα, τὸ ἀνατρέπειν τὸν στόμαχον οὐκ ἔχει.

Στόμαχον δὲ ἀκουστέον νῦν, ὡς ἔθος νῦν τοῖς ἀνθρώποις λέγειν ἐστίν, οὐ μόνον τὸν πόρον, ἀλλὰ καὶ τὸ στόμα τῆς γαστρός. ὅταν οὖν ἄτονον τοῦτο καὶ ἔκλυτον γένηται, μέχρι πολλοῦ μένει κατ' αὐτὸ τὸ ἐδηδεσμένον, ἐπιπολάζον αὐτῷ. τοὐναντίον δὲ συμβαίνειν πέφυκεν ὅταν ὑποστραφέν, ὑπό τινος τῶν κακοστομάχων ἐδεσμάτων, ἀπώσηται τὸ περιεχόμενον. αὐτίκα γὰρ ὁ πλάδος αὐτῷ συναπέρχεται καὶ πέττεται, καὶ ὑποχωρεῖ τὸ οὕτως ἀπωσθέν, ὥσπερ ἄπεπτόν τε μένει, καὶ οὐ διαχωρεῖται ταχέως τὸ κατὰ τὸ στόμα τῆς γαστρὸς ἐπιπολάζον. ὀρέγεσθαι γὰρ ἔργον οὐ πέττειν ἐστὶ τοῦδε τοῦ μορίου. τὰ μὲν οὖν στύφοντα τῶν ἐδεσμάτων, ὥσπερ ἔχουσι τὸ ῥωννύειν τὸ στόμα τῆς γαστρός, οὕτω καὶ ξηραίνει πέρα τοῦ προσήκοντος. οὕτω δὲ καὶ ῥόφημα τὸ ἐκ χόνδρου καθάπερ ὑγραίνειν, οὕτω καὶ ὑπτιάζειν πέφυκεν. ἡ τοίνυν πτισάνη τὴν ἀρετὴν τῶν ὑγραινόντων ἔχουσα, τὴν κακίαν ἐκπέφευγεν. ἐφεξῆς δὲ τί φησιν ὁ Ἱπποκράτης καὶ ἄδιψον αὐτὴν εἶναι. μέγιστόν τι καὶ τοῦτο μαρτυρῶν, ἐν νοσήμασι διακαίουσί τε καὶ ξηραίνουσι πᾶν τὸ σῶμα. κατὰ τοῦτο μὲν οὖν καὶ τοῦ μελικράτου πολὺ κρεῖττον ἡ πτισάνη, καίτοι τὸ εὐέκκριτον, ὅπερ ἐφεξῆς εἶπεν ὑπάρχειν αὐτῇ παραπλησίως τῷ μελικράτῳ κεκτημένη. καὶ εἴγε παραβαλεῖς πτισάνην μελικράτῳ, πλεονεκτοῦσαν εὑρήσεις ἐπὶ τῶν ὀξέων νοσημάτων, ἀλλὰ τοῦτο μὲν ἤδη προήκοντι τῷ λόγῳ δείξω. τὸν δὲ περὶ πτισάνης λόγον, ἐπὶ τέλος ἀγαγεῖν καιρός. εὐέκπλυτον γὰρ αὐτὴν εἶπε μετὰ τοῦ προσθεῖναι, εἴ τι καὶ τούτου προσδέοι, ὡς οὐκ ἐπὶ πάντων νοσημάτων ὀξέων, χρῃζόντων ἡμῶν ἐδέσματος εὐεκπλύτου. τὰ μὲν γὰρ ἄλλα πάντα τὰ εἰρημένα τῆς πτισάνης ἀγαθά, διὰ παντὸς εἰσὶ χρήσιμα τοῖς ὀξέσι νοσήμασι. τὸ δ' εὐέκπλυτον, ἐφ' ὧν ὑπαγαγεῖν βουλόμεθα τὴν γαστέρα, βραδυνόντων κατὰ τὴν διέξοδον τῶν σιτίων, ἐπιτήδειόν ἐστιν. οὐκ οὖν ὡς ἐναντίον τῇ διαθέσει τοῦ πυρετοῦ, τὸ εὐέκπλυτον, οὐδ' ὡς ἕν τι τῶν οἰκείων βοηθημάτων, ἀλλ' ὡς ἐπανορθούμενόν τι σύμπτωμα, χρήσιμον ὑπάρχει. ἐφεξῆς δέ φησι,

» Καὶ οὔτε σύψιν ἔχον, οὔτε ἄραδον κακόν.

Τὸ γλίσχρασμα δηλονότι τῆς πτισάνης. οὕτω γὰρ ἤρξατο τοῦ περὶ αὐτῆς λόγου. τὸ μὲν δὴ μὴ ἔχειν σύψιν ἀγαθόν ἐστιν ἐνίοις μάλιστα, πλὴν γὰρ ἢ διὰ σύμπτωμα συγκοπτικόν, ἢ γαστρὸς ἄμετρον ῥῆσιν οὐκ ἄν τις χρήσαιτο τῶν στυφόντων ἐδεσμάτων οὐδενί. συνάγει γὰρ καὶ σφίγγει τὰ σώματα, καὶ μύειν ἀναγκάζει τὰς διεξόδους τῆς ἀναδόσεως καὶ τῆς τροφῆς, καὶ τῆς εἰς τοὐκτὸς διαπνοῆς, ἃς ἀνεῷχθαι συμφέρει. τὸ δὲ μηδὲ ἄραδον ἔχειν, τουτέστι τὸ μηδεμίαν ἐν τῷ πέττεσθαι ταραχὴν ἐμποιεῖν, εἰς ἔπαινον καὶ αὐτὸ διαφέρει τῆς πτισάνης, ὅπερ ἐπὶ πολλῶν ἐδεσμάτων γίνεται, τῶν μὲν δακνόντων τὴν γαστέρα, τῶν δὲ φυσώντων. ἐνίων δὲ καὶ ἐκ μαχομένων ταῖς δυνάμεσι μερῶν συγκειμένων, ὅπερ ἀμέλει κἀπὶ τῆς φακῆς ἐστι καὶ τῆς κράμβης. αὐτὸ μὲν γὰρ αὐτῶν τὸ στερεὸν σῶμα τῶν ἐφεκτικῶν γαστρός ἐστιν. ὁ δὲ χυλός, τῶν ἐρεθιστικῶν τε καὶ ὑπακτικῶν. οὕτω δὲ καὶ οἱ τὸν ἐγκέφαλον ἀρτύοντες ἐλαίῳ καὶ γάρῳ, τὸ σύμπαν ἐξ αὐτῶν ἀνομοιομερές τε καὶ στασιάζον ἑαυτῷ ποιοῦσι, τοῦ μὲν ἐγκεφάλου τὸ στάσιμον καὶ βραδύπορον ἔχοντος, τῶν δὲ μιχθέντων αὐτῷ πρὸς τὴν ἔκκρισιν ὁρμὴν χρησίμων. ὡσαύτως καὶ ᾠόν, εἴτε μετὰ μέλιτος, εἴτε μεθ' ἁλῶν, εἴτε μετὰ γάρου λαμβάνοιτο τὸ συγκείμενον ἐξ αὐτῶν, διαφόρους ἔχει τὰς δυνάμεις, οἵ τε ζωμοὶ σχεδὸν ἅπαντες. ὅθεν καὶ κατὰ τὴν ἀρχὴν τοῦ λόγου τὸ γλίσχρασμα τῆς πτισάνης ἐπαινῶν ἔφη, συνεχές, ὅπερ οὐκ ἂν γένοιτο χωρὶς τοῦ τὸ σύμπαν ὁμοιομερὲς εἶναι. νυνὶ δὲ τῷ ἀράδῳ καὶ τὸ κακὸν προσέγραψεν, οὐχ ἁπλῶς

ἁπάντων

εἰπών, οὐκ ἔχειν ἄραδον τὴν πτισάνην, ἀλλὰ προσθεὶς τὸ κακόν. οὐδὲν γὰρ τοῦδε μᾶλλον ἐναντιοῦται πέψει σιτίων, ὥστε καὶ οἱ περὶ πέψεως γράψαντες, τὴν ποικιλίαν τῶν ἐδεσμάτων, καὶ μάλιστα ὅταν ἐξ ἐναντίων ταῖς δυνάμεσι σύγκειται βλαβερωτάτην εἶναι φασί, κωλύσασαν τὰ ληφθέντα πεφθῆναι καλῶς. φυλάττονται δὲ αὐτὸ μάλιστα καὶ οἱ γυμνασταί. καὶ οἱ γε νομίμως ἀθλοῦντες, ἐπὶ μὲν τοῦ ἀρίστου τὸν ἄρτον μόνον ἐσθίουσιν, ἐπὶ δὲ τοῦ δείπνου τὸ κρέας. ἐπὶ πλέον δ᾽ ἂν σοι περὶ τούτων ἔλεγον, εἰ μὴ καὶ κατὰ σεαυτὸν δυνατὸς ἦσθα εὑρίσκειν αὐτά, ὁρμώμενος ἐκ τῶν εἰρημένων περὶ πέψεως ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. εἰ δὲ οὐκ ἐξεμελέτησας ἐκεῖνα, μάτην καὶ τούτοις ὁμιλεῖς, διὸ περὶ μὲν ἀράδου παύομαι λέγων. ἤδη δὲ τὸ πάντων ὕστατον εἰρημένον ὑπ᾽ αὐτοῦ μεταβήσομαι, λέγοντος ἔτι περὶ τῆς πτισάνης, ὅτι οὐδ᾽ οἰδίσκεται ἐν τῇ κοιλίῃ. γινώσκων γὰρ ὅτι μέμφονται τῆς πτισάνης πολλοί, τὸ φυσῶδες, εἰκότως προσέθηκεν. ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὅσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι, τῇ προσθήκῃ καὶ τὸ ἔγκλημα συνενδειξάμενος, καὶ τὴν λύσιν εἰπὼν αὐτοῦ, καὶ τὴν ἕψησιν διδάξας. γράφει δ᾽ οὐδὲν ἧττον ἔτι κἂν τοῖς ἐχομένοις περὶ τῆς ἑψήσεως. ἀλλὰ νῦν γε τοσοῦτον προσθήσω τῷ περὶ πτισάνης λόγῳ, πτισάνην μὲν ἑψήσας ἐπὶ πλεῖστον ἄφυσον ἔδεσμα ποιήσεις. ἔτνος δὲ κυάμινον, οὐδ᾽ εἰ τρισὶν ἡμέραις καθεψήσαις, ἄφυσον ἐργάσῃ ποτέ. ἐκ γὰρ τῆς οἰκείας οὐσίας ἔχει τὸ φυσῶδες, οὐχ ὥσπερ ἡ πτισάνη διὰ τὸ τῆς ἑψήσεως ἐλλιπές. εἰθισμένοι γοῦν εἰσιν οἱ ἕψοντες αὐτήν, ἀφίστασθαι θᾶττον ἤδη, καὶ μάλιστα οἱ τῶν πλουσίων μάγειροι. τρίβοντες γὰρ αὐτὴν ὠμὴν ἐν θυίᾳ, καὶ μετὰ ταῦτα θερμήναντες ἐπ᾽ ὀλίγον, οὐ γὰρ ἑψήσαντές γε προσφέρουσι τοῖς δεσπόταις. ἀλλὰ περὶ μὲν ἑψήσεως πτισάνης, ὡς ἔφην, καὶ αὖθις εἰρήσεται. νυνὶ δὲ ἐπεὶ τὴν δύναμιν ἐδήλωσεν αὐτῆς, ἑξῆς ἐρεῖ τὸν διορισμὸν τῆς χρήσεως, ἐφ᾽ ὃν κἀγὼ μεταβήσομαι προαναμνήσας, ὅτι τὸν περὶ τῆς παραβολῆς πρός γε μελίκρατον καὶ τἄλλα, τῆς πτισάνης λόγον, ἐν τοῖς ἑξῆς ὑπέσχημαι τελέως ποιήσασθαι.

Ὁκόσοι μὲν οὖν πτισάνῃσι χρέονται, ἐν τούτοισι τοῖσι νουσήμασιν, οὐδὲ μιῇ ἡμέρῃ κενεαγγητέον, ὡς ἔπος εἰρῆσθαι, ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ, ἢ διὰ φαρμακίην, ἢ †καῦσιν διαλιπεῖν.

†κλύσιν

Ἐντεῦθεν ἄρχεται τῆς τοῦ ζητουμένου λύσεως, ἀλλ᾽ ἐλλιπῶς χρησάμενος τῇ κατὰ τὴν λέξιν ἑρμηνείᾳ, διὰ τοῦτο ἀσαφῆ ἐποίησε τὸν λόγον. ἐγὼ τοίνυν εἰπεῖν πειράσομαι, καθ᾽ ὃν μάλιστα τρόπον ἑρμηνευθείς, οὐδὲν ἂν ἔσχεν ἀσαφές, ἀναλήψομαι δὲ ἀπ᾽ ἀρχῆς αὐτὸν ὧδέ πως. τίς ἡ αἰτία τῆς διαφωνίας ἐστίν, ὥστε τοὺς μὲν ταῖς κριθώδεσι πτισάναις ἐπὶ τῶν ὀξέων χρῆσθαι, τοὺς δὲ τῷ χυλῷ μόνῳ, τοὺς δὲ οὐδὲ τούτῳ μέχρι κρίσεως. τουτὶ μὲν οὖν τὸ πρόβλημα. τῆς λύσεως δὲ ἐφεξῆς ἄκουε. τῶν ὀξέως νοσούντων, ἔνιοι μὲν ὑπὸ τοῦ χυλοῦ μόνου, ἔνιοι δὲ ὑπὸ τῆς πτισάνης, ἔνιοι δὲ ὑπ᾽ οὐδετέρου τούτων ὠφελοῦνται. προπετέστερον οὖν ἀπεφήναντο περὶ πάντων τῶν ὀξέως νοσούντων, ἕκαστος τῶν ἰατρῶν, ἐξ ὧν οὐκ ἐπὶ πάντων ἐπειράθη. ἀλλ᾽ ἐγὼ διορίσομαι καὶ δείξω, τίνες μὲν ὑπὸ τῆς πτισάνης ὀνίνανται, τίνες δὲ ἀπὸ μόνου τοῦ χυλοῦ, τίνες δὲ οὐδετέρου χρήζουσιν. ὅλαις μὲν οὖν πτισάναις δέονται χρῆσθαι τῶν νοσούντων ὀξέως, οἱ μήτε βοηθείας ἑτέρας χρήζουσι πρότερον, ἤτοι διὰ φλεβοτομίας, ἢ γαστρὸς ὑπαγωγῆς, ἢ τινὸς τῶν τοιούτων, μήτ᾽ οὖν ἐστιν αὐτοῖς τι κινδυνῶδες σύμπτωμα, χυλῷ δὲ οἱ τούτων ἔχοντες τι σφαλερώτερον, οὓς δ᾽ ἤτοι διακενῶσαι διὰ φλεβοτομίας, ἢ γαστρὸς ἀναγκαῖον ἐστίν, ἢ ὀδυνωμένους παῦσαι, τούτοις μὴ πρότερον δίδου πτισάνην, ἢ τὸν χυλὸν αὐτῆς, πρὶν ἂν ὧν εἶπον τι πράξῃς. ταῦτ᾽ οὖν ἐχρῆν προγράψαντα τὸν Ἱπποκράτην, τὸ κατὰ μέρος ἀφ᾽ ἑκάστου πάλιν ἀρξάμενον, οὕτω πεποιῆσθαι τὸν λόγον, εἴπερ ἔμελλεν ἔσεσθαι σαφής. ἐπεὶ δὲ οὐκ ἐποίησεν, εἰκότως ἀσαφὴς ἐγένετο τὴν προσήκουσαν ἀποβαλὼν τάξιν. ἀκολουθήσαντες οὖν αὐτοῦ ταῖς λέξεσιν, ἀνάγομεν ἑκάστην εἰς τὰ προειρημένα κεφάλαια, καὶ πρώτην γε τὴν προκειμένην ῥῆσιν ἐξεργαστέον. ἄκουσον δέ μου παραφράζοντος αὐτοῦ τὴν λέξιν, ἅμα τῷ παρεντιθέναι τινὰ ῥήματα σαφηνείας ἕνεκα, ὅσοι μὲν ἄρρωστοι πτισάνῃ χρῶνται ἐν τούτοις τοῖς νοσήμασιν. ἐρῶ δὲ ὀλίγον ὕστερον τίνες εἰσὶν οἱ χρησόμενοι, τούτοις μὲν οὐδὲ μία ἡμέρα κενεαγγητέον ἐστὶν ὡς ἔπος εἰρῆσθαι, εἰ μή τι δέοι διὰ φαρμακείην, ἢ κλύσιν διαλιπεῖν. τούτοις οὖν καὶ δὶς διδοὺς ἂν δεήσῃ, καλῶς πράξεις, καὶ πλῆθος ὅσον ἂν ἡ τοῦ σώματος δύναμις φέρῃ. ὑφηγήσομαι δέ σοι σκοποὺς πρὸς οὓς ἀποβλέπων, ἢ διὰ γαστρός, ἢ διὰ φλεβὸς αὐτοὺς κενώσεις, ἢ πυρίαις, ἢ καταπλάσμασι χρήσῃ. ταῦτ᾽ εἴπερ οὕτω προεῖπεν, εἶθ᾽ ἕκαστον αὐτῶν ἐφεξῆς ἀναλαμβάνων κατὰ τὴν προσήκουσαν τάξιν ἡρμήνευσεν, οὐκ ἀσαφὴς ὁ λόγος ἐγεγόνει. νυνὶ δὲ τὸ παρεμπίπτον ἀεὶ τελέως διεξέρχεσθαι προαιρούμενος, ἄχρι πολλοῦ τὸν λόγον αἰωρούμενον ἐάσας, εἰκότως ἐποίησεν ἀσαφῆ. μαθήσῃ δὲ ἀληθεύοντα, τὰς κατὰ μέρος ῥήσεις ἁπάσας εὑρίσκων σαφεῖς, τὸν δ᾽ ὅλον λόγον ἀσυνάρτητόν τε καὶ διὰ τοῦτο ἀσαφῆ.

Καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτέεσθαι τῆς ἡμέρης, δὶς δοτέον. τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν, ἅπαξ δοτέον τὴν πρώτην. ἐκ προσαγωγῆς δὲ ἢν ἐνδέχηται καὶ τούτοισι δὶς διδόναι, εἰ δοκέει προσδεῖν.

Δὶς αὐτοὺς σιτεῖσθαί φησιν, εἴπερ οὕτως εἰθισμένοι εἰσὶ διαιτᾶσθαι, χρείας δὲ οὔσης δὶς λαμβάνειν. καὶ τοῖς ἅπαξ εἰθισμένοις ἐσθίειν, δὶς δώσεις τὴν πτισάνην, ἀρξάμενος μὲν ἀπὸ τοῦ ἅπαξ, κατὰ βραχὺ δὲ προελθὼν ἐπὶ τὸ δίς, τὸ γὰρ ἐκ προσαγωγῆς, τοῦτο δηλοῖ. καὶ γίνεται τὸν τρόπον τοῦτον, ἅπαξ μὲν δώσεις αὔταρκες. ἐλάχιστον δὲ τὸ κατὰ τὴν ἑτέραν δόσιν, εἶτα παραυξήσεις κατὰ βραχύ, καὶ τοῦτο μέχρις ἂν εἰς ἴσον ἀμφοτέρας τὰς τροφὰς καταστήσεις. ἡ δὲ τοῦ λόγου πίστις, ὅπως σαφής ἐστι τῷ τὸ βιβλίον ἀναγινώσκοντι τοῦ Ἱπποκράτους, διὰ τὸ μὴ προδεδηλῶσθαι παρ᾽ αὐτοῦ, τίνες εἰσὶν οἱ πτισάνῃ χρώμενοι συμφερόντως. ἀλλ᾽ ἐγὼ προειρηκὼς τοὺς μετρίως νοσοῦντας, ὅτε ὑπ᾽ αὐτοῦ διαιτᾶσθαι, δείξω μικρὸν ὕστερον καὶ αὐτὸν τὸν Ἱπποκράτην τοῦτο βουλόμενον. αὕτη μέν σοι τῆς προκειμένης ῥήσεως ἡ ἐξήγησις. οἱ πλεῖστοι δὲ γράφουσιν αὐτὴν κατὰ τήνδε τὴν λέξιν. τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν ἅπαξ δοτέον, τὴν πρώτην ἐκ προσαγωγῆς, ἢν δ᾽ ἐνδέχηται, καὶ τουτέοισι δὶς διδόναι εἰ δοκέει προσδεῖν. ἀλλ᾽ οὐκ ἔχει νοῦν ἡ λέξις αὕτη, τὸ

γοῦν τὴν πρώτην ἐκ περιαγωγῆς, ἀδύνατόν ἐστι γενέσθαι, τοῦ ἐν περιαγωγαῖς ἐν πλείοσι προσφοραῖς γίνεσθαι πεφυκότος, οὐχ ἅπαξ οὐδὲ εὐθέως ἐν τῇ πρώτῃ.

Πλῆθος δ' ἀρκέει κατ' ἀρχὰς διδόναι μὴ πουλὺ, μηδὲ ὑπέρπαχυ, ἀλλ' ὁκόσον εἵνεκα τοῦ ἔθεος εἰσιέναι τι, καὶ κενεαγγείην μὴ γίνεσθαι πολλήν.

Ὅσοι τοὺς νοσοῦντας ἐμπιπλάναι φασὶν Ἱπποκράτην, διὰ τὸ καθ' ἑκάστην ἡμέραν τοῖς ἀκινδύνως διάγουσι δὶς διδόναι τὴν πτισάνην, εἰ προσέσχον τῷ νῦν τήνδε τὴν ῥῆσιν εἰρηκέναι, κατέγνωσαν ἂν ἑαυτῶν. τοσοῦτον γοῦν ἀξιοῖ δίδοσθαι τοῦ ῥοφήματος, ὅσον εἵνεκα τοῦ ἔθους εἰσιέναι τροφὴν τῷ σώματι, καὶ μὴ πολλὴν γίνεσθαι τὴν κένωσιν. ἐὰν οὖν συγχωρήσωσιν ὀξύβαφον πτισάνης δὶς ἑκάστης ἡμέρας διδόμενον ἄχρι τῆς ἑβδόμης, ἢ τῆς ἐνάτης, ἐλάττονα δύναμιν ἔχειν, ἧς αὐτοὶ τρέφουσιν ἅπαξ τροφῆς, ἡγοῦμαι παύσασθαι φλυαρεῖν αὐτούς. ἀλλὰ περὶ τούτου γε μικρὸν ἂν ὕστερον λέξω. νῦν δὲ ἐξηγήσομαι τὸ, κατ' ἀρχάς. οὐ περὶ τούτου γάρ φησιν ὅτι κατ' ἀρχὴν τοῦ νοσήματος, ἀλλ' ἔτι γενικώτερον ἄκουε σημαινόμενον ἐκ τοῦ κατ' ἀρχάς. ὁπόταν γὰρ ἄν σοι δόξῃ πρῶτον ὁ κάμνων δεῖσθαι τῆς πτισάνης, τηνικαῦτα μὴ πολὺ, μηδὲ ὑπέρπαχυ δίδου τὸ πρᾶγμα. φυλάττεται γοῦν ὁ Ἱπποκράτης τὸ κατὰ πολὺ καὶ ἐξαπίνης πληροῦν, ἢ κενοῦν.

Περὶ δὲ τῆς ἐπιδόσιος ἐς πλῆθος τοῦ ῥοφήματος. ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα, ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος, ἢ μελίκρατον, ἢ οἶνον, ὁκότερον ἂν ἁρμόζῃ. τὸ δ' ἁρμόζον ἐφ' ἑκάστοισι τῶν τρόπων, εἰρήσεται.

Ξηρότερον νόσημα πολυειδῶς γνωρίζεται, καίτοι τόνγε καθόλου καὶ κοινὸν λόγον ἔχον τὸν αὐτὸν, ἡ μὲν περιπνευμονία καὶ ἡ πλευρῖτις, καὶ ὅλως τὰ περὶ τὸν πνεύμονα καὶ τὴν τραχεῖαν ἀρτηρίαν, ὅταν μηδὲν ἀπὸ τῶν πεπονθότων μορίων ἀποπτύηται. ἧπαρ δὲ προπεπονθὸς, ἢ μεσάραιον, ἢ τι τῶν περὶ κοιλίαν, ἢ νῆστιν, ἢ ἔντερον, ἢ σπλῆνα, ἢ γαστρὸς ἐπεχομένης τελέως, ἢ πρὸς ἀνάγκην ἐκκρινούσης σκληρὰ καὶ ξηρὰ καὶ πυρατώδη περιττώματα. τὰ δὲ κατὰ τὰς ἀρτηρίας καὶ τὰς φλέβας ξηρὰ νοσήματα γνωρίζεται, τῇ τε τῆς γλώττης ξηρότητι, καὶ τῷ τοῦ παντὸς σώματος αὐχμῷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ τοῖς ἔξω καὶ προφανῶς ὁρωμένοις ἕλκεσιν αἱ φλεγμοναὶ γίγνονται ξηραὶ, μηδενὸς ἐξ αὐτῶν ἰχῶρος χωροῦντος. καὶ τῶν ὀφθαλμῶν δὲ πολλάκις φλεγμοναὶ, ξηραὶ συνίστανται, μηδὲν ἐκκρίνουσαι, καὶ τὰ περὶ τὸν ἐγκέφαλον ὡσαύτως πάθη, μήτε διὰ ῥινῶν, μήτε διὰ ὑπερῴας ἐκκαθαιρόμενα, ξηρὰ προσηκόντως ἂν λέγοιντο. καὶ τοῦτ' οὖν ἴδιον ἁπάντων τῶν ξηρῶν νοσημάτων ὑπάρχον γνώρισμα, τὸ μηδὲν ἐκκρίνεσθαι τῶν περιττωμάτων. προσηκόντως οὖν ὁ Ἱπποκράτης ἐπ' αὐτῶν πρὸ τῆς πτισάνης ἀξιοῖ λαμβάνεσθαί τι τῶν ὑγραινόντων, ἤτοι μελίκρατον, ἢ οἶνον, ὡς μᾶλλον τούτων ὕδατος ὑγραινόντων. ἐπεὶ δὲ ἐπαγγέλλεται περὶ τῆς δυνάμεως αὐτῶν ἐρεῖν, ἀναβεβλήσθω καὶ ἡμῖν ἡ πρὸς ὕδωρ αὐτῶν παραβολὴ, γενησομένη κατ' ἐκεῖνο τὸ μέρος τοῦ συγγράμματος, ἐν ᾧ διδάσκει τὰς δυνάμεις αὐτῶν.

Ἢν δ' ὑγραίνηται τὸ στόμα, καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ἴῃ ὁκοῖα δεῖ, ἐπιδιδόναι ἐς πλῆθος τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον πλαδῶντα, ταχυτῆτα σημαίνει κρίσιος. τὰ δὲ βραδύτερον καὶ ἧσσον, βραδυτέρην σημαίνει τὴν κρίσιν.

Ἀπὸ τοῦ γένους τῶν ξηρῶν νοσημάτων ἐπὶ τἀναντία μεταβὰς, εἶθ' ἑνὸς μνημονεύσας αὐτοῦ προσθεῖναι πάντα, παράδειγμα κοινὸν γενέσθαι τὸν ἑαυτοῦ λόγον ἁπάντων ὁμογενῶν οἰηθεὶς, εἰκότως ἀσάφειαν εἰργάσατο. τὸ γὰρ ὑγραίνεσθαι τὸ στόμα, καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ἀναπτύεσθαι, νοσήματος οὐχ ἁπλῶς ἐστιν ὑγροῦ γνωρίσματα παντὸς, ἐν παντὶ μορίῳ τοῦ σώματος, ἀλλὰ μετὰ τοῦ πεπονθέναι τι τῶν ἀναπνευστικῶν ὀργάνων. διὰ τοῦθ' ὡς ἔφην, ἀσαφὴς ὁ λόγος ἐγένετο. τό γε μὴν εἰρημένον αὐτῷ, παντὸς μᾶλλον ἀληθέστερόν ἐστιν, ὡς τὰ μὲν ἐκκαθαιρόμενα διὰ τῶν πτυσμάτων οἵων χρὴ πτυομένων, ταχέως κρίνεται. τὰ δ' ἐναντία δυοῖν θάτερον, ἢ εἰς ὄλεθρον, ἢ εἰς μῆκος χρόνου τελευτᾷ. διδόναι οὖν χρὴ τοῖς καλῶς ἐκκαθαιρομένοις πτισάνης, ἕνεκα τοῦ ῥωσθῆναι τὴν δύναμιν, καὶ ἐξαρκεῖν ταῖς διὰ τῶν βηχῶν γιγνομέναις ἀναπτύσεσι τῶν ἐκ τοῦ πνεύμονος ὑγρῶν. τὸ γοῦν ὁκοῖα δεῖ, τὰ τῆς πέψεως ἐστὶν ἔχοντα γνωρίσματα, περὶ ὧν τελεώτατα εἰρήκαμεν ἔν τε τοῖς περὶ κρίσεων, καὶ περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν, οἷον ἔτι δὲ ἐν ἐξηγήσει τοῦ ἀφορισμοῦ, ἔνθα διδάσκων ὁ Ἱπποκράτης ὅπως χρὴ διὰ τῶν ἐπιφαινομένων τὰς προγνώσεις ποιεῖσθαι, παράδειγμα τοῦ λόγου τὴν πλευρῖτιν ἔγραψεν ὧδέ πως εἰπών. οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν μὲν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει.

Καὶ ταῦτα μὲν καθ' ἑαυτὰ τοιάδε τὸ ἐπίπαν ἐστί. πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷσι προσημαίνεσθαι δεῖ ἃ εἰρήσεται ὕστερον.

Εἶπον κἀγὼ λείπειν τῷ λόγῳ τῶν χρησίμων εἰς διορισμὸν οὐκ ὀλίγα, περὶ ὧν καὶ αὐτὸς ἐρεῖν ἐπαγγέλλεται, νυνὶ δὲ ἀξιοῖ περὶ τῶν εἰρημένων ἀκούειν μόνον. αὐτὰ γὰρ καθ' ἑαυτὰ τοιαῦτα ἐστὶν, ὁποῖα δεδήλωκεν αὐτός.

Καὶ ὁκόσῳ ἂν πλείων ἡ κάθαρσις γίγνηται, τοσῷδε χρὴ πλεῖον διδόναι μέχρι κρίσιος. μάλιστα δὲ κρίσιος ὑπερβολῆς δύο ἡμερέων, οἷσί γε ἢ πεμπταίοισιν, ἢ ἑβδομαίοισιν, ἢ ἐνναταίοισι δοκέει κρίνειν, ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περιττὸν προμηθὲς ᾖ. μετὰ δὲ ταῦτα τῷ μὲν ῥοφήματι τῷ ἐπὶ πρωῒ χρηστέον, ἐς ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν.

Κρίσιν νῦν εἴρηκεν, ἤτοι τὴν τελείαν λύσιν τοῦ νοσήματος, ἤτοι τὴν εἰς τοῦτον ἀξιόλογον μεταβολὴν, ὡς ἤδη κινδύνου παντὸς ἐκτὸς καθεστηκέναι. ἐπιμετρεῖν δὲ ἀξιοῖ τῇ κρίσει δύο ἡμέρας, ἵνα καὶ τὰς ἐν ἀρτίοις καὶ τὰς ἐν ταῖς περιτταῖς

περιοδικαῖς ἡμέραις περιόδους τῶν παροξυσμῶν φυλαξώμεθα. συμβαίνει γὰρ ἐνίοτε θαρσοῦντας ὡς λελυμένου τοῦ νοσήματος ἀκριβῶς, εἶτα διαιτηθέντας ἀμελέστερον ἀφορμὴν ἀναμνήσεως τῆς κατὰ περίοδον γινομένου παροξυσμοῦ παρασχεῖν. ἀσφαλὲς γοῦν ἐστι κἂν ἤδη δοκεῖ κεκρίσθαι τὸ νόσημα, φυλάττειν ἄχρι δυοῖν ἡμερῶν τὴν ἀκρίβειαν τῆς διαίτης, ᾗ χρώμενος ὁ κάμνων ἦν, κἂν ἤδη δοκῇ κεκρίσθαι τὸν κάμνοντα. παρελθουσῶν δὲ τῶν μετὰ τὴν κρίσιν δυοῖν ἡμερῶν, ἤδη ἀσφαλὲς διαιτᾶν ἁδρότερον, οὐδὲ τότε τὴν μεταβολὴν ἀθρόως ποιουμένους, ἀλλ' ἕωθεν μὲν τῷ ῥοφήματι χρωμένους, ὕστερον δὲ προϊούσης τῆς ἡμέρας ἤδη καὶ σιτώδη τροφὴν προσφέροντας. εὔδηλος οὖν ἐστι μήτ' ἄλλό τι διδοὺς τοῖς κάμνουσι πρὸ τῆς εἰρημένης ἄρτι προθεσμίας, μήτ' ἄρτον, ἀλλὰ πτισάνῃ διὰ παντὸς ἀρκούμενος, ὅπερ οὐκ ἔστιν ἐμπιπλάντος, ἀλλὰ μᾶλλον ἐγκαλεῖν, εἴ τις βούλοιτο λεπτότερον ἢ προσήκει διαιτῶντος. ἀλλ' οὔτε λεπτότερον, οὔθ' ἁδρότερόν ἐστι τοῦ προσήκοντος οὕτω διαιτᾶν, ἀλλ' ἀκριβῶς τὸ μέσον τῶν ὑπερβολῶν καὶ ἄριστον. ἀπόδειξις δὲ τοῦ μέσου ὑπάρχειν αὐτὸν, καὶ ἡ τῶν ἐγκαλούντων τἀναντία φιλονεικία. τούτων γὰρ οἱ μὲν περὶ τὸν Θεσσαλὸν ἐγκαλοῦσιν, ὡς ἐμπιμπλῶντι τοὺς κάμνοντας. οἱ δὲ περὶ τὸν Ἐρασίστρατον ὡς λιμαγχονοῦντι τῷ Ἱπποκράτει. τά γὰρ εἰς Ἀπολλώνιον καὶ Δέξιππον τοὺς Ἱπποκράτους μαθητὰς εἰρημένα κατὰ τὸ πρῶτον περὶ πυρετῶν Ἐρασιστράτῳ, τὴν διαβολὴν τῆς λιμαγχονίας εἰς Ἱπποκράτην τὸν διδάσκαλον ἀναφερομένην ἔχει. τούτοις οὖν μᾶλλον ἐστὶ συγχωρητέον, ὡς εἰκότα λέγουσι. τοὺς δ' ἐμπιπλάναι φάσκοντας αὐτὸν, ἀξίους εἶναι Θεσσαλοῦ νομιστέον ἄνδρας, οὔτ' ἄλλό τι τῶν Ἱπποκράτους γνόντας, οὔτε τὰ περὶ διαίτης εἰρημένα.

Ξυμφέρει δὲ τοιάδε, ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ὅλῃσι πτισάνῃσιν αὐτίκα χρεομένοισιν.

Ἐάν τε ὅλας, ἐάν τε κριθώδεις, ἐάν τε ἁπλῶς πτισάνας εἴπῃ, ἓν καὶ ταυτὸν ἐκ τῶν τριῶν σημαίνεται λέξεων, τὰς ἀδιηθήτους πτισάνας δηλοῦντος. μετὰ γὰρ τὴν ἕψησιν, ἐάν τις αὐτὰς διηθήσας, ἔπειτ' ἰδίᾳ τὸν χυλὸν ἀποκρίνας ἐκεῖνον διδῷ, οὔθ' ὅλως πτισάναις, οὔτε κριθώδεσι πτισάναις ὁ τοιοῦτος λεχθήσεται χρῆσθαι, χυλῷ δὲ μόνον πτισάνης. πάλιν δὲ καὶ νῦν ἀναμνήσω, τίνες εἰσὶν οἱ πτισάναις ὅλαις ἐξ ἀρχῆς δεόμενοι χρῆσθαι. σύντομος δὲ ἡ ἀνάμνησις, εἰ μὴ παντάπασιν ἀργῶς ἤκουσας τῶν προειρημένων, ὅτι τῶν ἀναπτυομένων χρηστῶν ὄντων, ἐὰν μήτε φαρμακείας, μήτε κλύσματος ὁ κάμνων φαίνηται δεόμενος, ἐπὶ πτισάνης αὐτὸν ἀξιοῖ διαιτᾶσθαι. καὶ τὸν λογισμὸν δὲ τῆς συμβουλῆς αὐτὸς προσέθηκεν εἰπών.

Αἵ τε γὰρ ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν αὐτίκα παύονται αὐτόματοι, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου καὶ ἐκκαθαίρεσθαι. αἵ τε γὰρ καθάρσιες πολλῷ τελεώτεραί εἰσιν, καὶ ἔμπυοι ἧσσον γίνονται, ἢ εἰ ἀλλοίως τις διαιτῷ, καὶ αἱ κρίσιες ἁπλούστεραι καὶ εὐεκκριτώτεραι, καὶ ἧσσον ὑποστροφώδεες.

Γίνεται δὲ ταῦτα πάντα καλῶς ὑπὸ τῆς πτισάνης, διὰ τὸ ὑγραίνεσθαι, καὶ τέμνεσθαι μετρίως, τὰ δεόμενα τῆς ἀναπτύσεως ὑγρὰ, καὶ διὰ τὸ τὴν δύναμιν ῥώννυσθαι. συνελθόντων γὰρ ἀμφοτέρων ἐκκαθαίρονται ταχέως τῶν ἀναπνευστικῶν ὀργάνων οἱ μοχθηροὶ χυμοὶ, ὧν τὸ μὲν ὑγραίνειν τε καὶ τέμνειν ὑπάρχει καὶ τῷ μελικράτῳ, ὁμοίως δὲ τῇ πτισάνῃ ῥωννύναι τὴν δύναμιν οὐχ ὑπάρχει. τἀναντία δ' ἄρτῳ τε καὶ χόνδρῳ τῷ ῥωννύναι τὴν δύναμιν ἔχοντι, τὸ ὑγραίνειν καὶ τὸ τέμνειν οὐχ ὑπάρχει. καθάπερ οὐδὲ ἄλλῳ τινὶ τῶν εἰθισμένων δίδοσθαι τοῖς ἀρρώστοις ὑπὸ τῶν νῦν ἰατρῶν, οἷον ᾠῶν, καὶ ὄρχεων ἀλεκτρυόνων, καὶ πτερῶν, ἰχθύων τε καὶ περιστερῶν νεογνῶν, ὅσα τε ἄλλα τοιαῦτα. καὶ ὁ τὴν φακῆν διδοὺς ἰατρὸς ἐσκευασμένην δι' ὄξους τῷ πλευριτικῷ τελέως ἤδη παρηκμακότος, ὡς μηδενὸς ἄλλου δεῖσθαι ἢ ἀναπτύσεως τῶν πεπεμμένων, εἰκότως ἔδοξεν αἴτιος γενέσθαι θανάτου τῷ κάμνοντι, πνιγέντι διὰ τῆς ἐπομένης νυκτός. ἀλλὰ φακῆν οὐδ' ἄν τις δοίη τῶν ἐχόντων νοῦν. ἀπεστραμμένου δὲ μελίκρατον καὶ πτισάνην τοῦ κάμνοντος, οἱ πετραῖοι τῶν ἰχθύων ἐπιτηδειότατοι, σκευαζόμενοι δι' ὕδατος καὶ πρασίου, καὶ ἀνήθου, καὶ ἁλῶν, ἐλαίου τε συμμέτρου. τῶν δὲ μὴ πετραίων, οἱ ὀνίσκοι. προσδιδόναι δ' αὐτῷ, ὀξύμελι, κακοστόμαχον γὰρ οὐδὲν ἔχει τοῦτο, πλὴν εἰ πεπονθότων ἐπί τινος ἀρρώστου τῶν νεύρων, καὶ τῆς μήτρας ἐπὶ γυναικός. ἀντ' αὐτοῦ δ' εἰ βούλοιο τῶν ἄλλων τι διδόναι φαρμάκων, οἷον ἐστὶ τὸ διὰ πρασίου τε καὶ ἴρεως, καὶ αὐτὴ μέν γε καθ' ἑαυτὴν, ἅμα μελικράτῳ πινομένη, πέττει καλῶς τὰ κατὰ τὸν θώρακα καὶ πνεύμονα περιττώματα καὶ πρὸς τὰς ἀναπτύσεις παρασκευάζει.

Τὰς δὲ πτισάνας χρὴ ἐκ βελτίστων τε ὡς κριθέων εἶναι, καὶ ὡς βέλτιστα ἑψῆσθαι, καὶ ἄλλως, ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι.

Βέλτισται κριθαὶ πρὸ μὲν τῆς πείρας κριθήσονται διὰ μόνου τοῦ πλήρεις εἶναι, καὶ μηδὲν ἔχειν ἐν ἑαυταῖς ῥυσσόν. αἱ δὲ τῇ πείρᾳ κεκριμέναι διὰ τῆς ἑψήσεως, ὅταν ἐπὶ πλεῖστον ἀνοιδίσκωνται, καὶ χυλὸν ποιῶσι πλεῖστον, ὅπερ δὴ καὶ βέβαιόν ἐστι τῆς ἀρετῆς αὐτῶν γνώρισμα. τὸ γὰρ ἀπὸ τῆς εὐτροφίας, οὐκ ἐπιστημονικὸν, οὐδὲ διὰ παντὸς ἀληθές, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ κατορθούμενον. ἀξιοῖ δὲ τὰς πτισάνας, ἀεὶ μὲν εἶναι βελτίστας, μάλιστα δὲ ἐὰν μὴ μόνον τῷ χυλῷ χρῆσθαι μέλλωμεν, ἀλλὰ καὶ ὅλαις αὐταῖς. διατί δὲ τοῦτο ἀξιοῖ, σαφῶς αὐτὸς ἐδήλωσεν εἰπών.

Μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς τῆς πτισάνης, τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην ποιέει μὴ βλάπτειν. οὐδαμῇ γὰρ προσίσχεται, οὐδὲ μένει κατὰ τὴν τοῦ θώρακος ἴξιν.

Ἴσμεν δ' ὅτι τὴν ἴξιν ὡς τὸ πολὺ μὲν τὴν εὐθυωρίαν, ἐνίοτε δὲ καὶ αὐτὴν λέγει τὴν φοράν. ἡ δὲ διὰ τοῦ θώρακος εὐθυωρία τε καὶ φορὰ τῆς καταπινομένης πτισάνης ἄχρι τῆς γαστρὸς, εὔδηλον ὅτι διὰ τοῦ στομάχου γίνεται, καὶ ἐν τούτῳ βούλεται μηδὲν αὐτῷ προσίσχειν. ἐν γὰρ τοῖς κατὰ θώρακα καὶ πνεύμονα πάθεσι θερμασίας οὔσης πολλῆς, προσισχόμενον τοῦτο, ξηραινόμενόν τε καὶ δυσαπολύτως προσπλαττόμενον, ἄσην τέ τινα καὶ δίψαν ἐπιφέρει.

Ὀλιγωροτάτη τε καὶ ἀδιψοτάτη δὲ καὶ εὐπεπτοτάτη καὶ ἀσθενεστάτη οὖν ἡ κάλλιστα ἑφθῆ, ὧν πάντων δεῖ.

Τὴν καλῶς ἑψημένην πτισάνην, οὐ μόνον ὀλισθηροτάτην τε καὶ ἀδιψοτάτην καὶ εὐπεπτοτάτην εἶναί φησιν, ἀλλὰ προσέθηκε τῷ τέλει καὶ ἀσθενεστάτην. τὸ μὲν οὖν ὀλισθηροτάτην τῆς καλῶς ἑψημένης, ἤδη προείρηται. τὸ δὲ ἀδιψοτάτην αὐτὴν ὑπάρχειν, ἐνταῦθα πρόσκειται, διὰ τὴν τῆς κριθῆς φύσιν γινόμενον. ἔστι δὲ ψυχρὰ τὴν κρᾶσιν. ὅπως δὲ χρὴ κρίνειν ψυχρὰν καὶ θερμὴν οὐσίαν ἐπὶ μὲν τῶν ζώων, ἐν τοῖς περὶ κράσεων εἴπομεν, ἐπὶ δὲ τῶν ἀψύχων, ἐν τοῖς περὶ τῆς ἁπλῶν φαρμάκων δυνάμεως. ἀλλὰ καὶ εὐπεπτοτάτην εἶναί φησι τὴν τοιαύτην πτισάνην, ὡς ἂν διαλελυμένην τε καὶ μηδὲν ἔτι σκληρόν τε καὶ δυσκατέργαστον ἔχουσαν, ἄφυσόν τε γεγονυῖαν ἤδη διὰ τὸ τῆς ἑψήσεως μῆκος. ὃ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἶπεν, ὀνομάσας ἀσθενεστάτην τὴν οὕτως ἑψημένην, εἰ μηδὲν προείρηκε περὶ αὐτῆς ὡς εὐπεπτοτάτης, ἕτοιμον ἂν ἦν φάναι πρὸς τὴν ἐν τῇ γαστρὶ κατεργασίαν ἀναφέρεσθαι τὸν λόγον, ἀσθενεστάτης αὐτῆς εἰρημένης, ὡς εἰ καὶ ῥᾷστα νικωμένην εἰρήκει, καὶ κατεργαζομένην ὑπὸ τῆς γαστρὸς, καὶ μεταβαλλομένην. ἐπεὶ δὲ τοῦτο προείρηται, τὴν ἀσθένειαν αὐτῆς, ἤτοι διότι βραχεῖαν τροφὴν τῷ σώματι δίδωσιν ἀκουστέον ἐστὶν, ἢ ὅτι ποιότητα μηδεμίαν ἔχει σφοδρὰν, ὡς ἤτοι τῶν νεύρων, ἢ τῆς γνώμης ἅπτεσθαι, καθάπερ ὄξος τε καὶ ὁ οἶνος.

Ἢν δὲ οὖν μὴ προσιμωρήσῃ τις ὁκόσων δέεται, αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανοῤῥοφίης, πολλαχῇ βεβλάψεται.

Ἄρχεται τοίνυν τῆς διδασκαλίας ὧδε, περὶ ὧν ἐρεῖν ἐπηγγείλατο μικρὸν ἔμπροσθεν ἡνίκ᾽ ἔφη. πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷς προσημαίνεσθαι δεῖ ἃ εἰρήσεται ὕστερον. ὅτι δὲ τὸ τιμωρῆσαι παρά τε τοῖς ἄλλοις παλαιοτέροις, καὶ αὐτῷ τῷ Ἱπποκράτει πολλάκις ἀντὶ τοῦ βοηθῆσαι λέλεκται, καὶ κατὰ τὰ ἄλλα συγγράμματα δέδεικται, διὰ τῶν γεγενημένων ἡμῖν ἐξηγήσεων εἰς αὐτά.

Ὁκόσοισι τε γὰρ σῖτος αὐτίκα ἐγκαταλέλειπται, εἰ μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἄν, καὶ μὴ ἐνεοῦσαν εὐθὺς ἐμποιήσειεν, καὶ πνεῦμα πυκνότερον γένοιτ᾽ ἄν. κακὸν δὲ τοῦτο, ξηραντικόν τε γὰρ πνεύμονος καὶ κοπῶδες ὑποχονδρίου, καὶ ἤτρου, καὶ φρενῶν.

Σῖτον εἶπε τὸ ἀπὸ σιτίων περίττωμα περιεχόμενον ἐν τοῖς ἐντέροις, ὃ δὴ καὶ σκύβαλον ὀνομάζουσι καὶ κόπρον. εἰ τοίνυν ἐγκατακεκλεισμένου τούτου, τουτέστιν ἐκ πολλοῦ χρόνου μὴ διακεχωρηκότος, ἐπὶ τὴν τῆς πτισάνης προσφορὰν ἀφίκοιτό τις, ἀναγκαῖον ἐστὶ βλάβην γενέσθαι τῇ πλευρᾷ, διὰ τὴν ἔμφραξιν τῶν ἐντέρων, ἣν ἐκ τῆς ἠθροισμένης ἐν αὐτοῖς ἔσχηκε κόπρου, μήτε φύσεως διεξερχομένης ἐπὶ τῇ προσφορᾷ τῆς πτισάνης, ἀναδόσεώς τε μοχθηρᾶς γιγνομένης ἐπὶ τὸ πεπονθὸς μέρος, ὥστε ἀναγκαῖον ἐστὶ τὴν ὀδύνην, εἰ μὲν εἴη λελωφηκυῖα, παραυξηθῆναι πάλιν. εἰ δὲ πεπαυμένη, γεννηθῆναι. καὶ γὰρ ἀτμοὶ, καὶ πνεῦμα φυσῶδες, ἀναθυμιάσεις τε τῶν σκυβάλων ἐπὶ τὴν πλευρὰν ἀφικόμεναι, τὴν ὀδύνην αὐτῆς καὶ γεννήσει καὶ παραυξήσει. ἐπὶ τούτοις δὲ καὶ ἡ ἀναπνοὴ πυκνοτέρα γενήσεται. κέκληκε δὲ τὴν ὅλην ἀναπνοὴν πνεῦμα, κἂν τῷ προγνωστικῷ συγγράμματι, καὶ τοῖς τῶν ἐπιδημιῶν. πυκνωθεῖσα δὲ ἀναπνοὴ, θερμασίαν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐργάζεται πλείονα διὰ τὸ συνεχὲς τῆς κινήσεως, ἐφ᾽ ἧς θερμασίας ξηραίνεται μὲν ὁ πνεύμων καὶ τὸ διάφραγμα, συνξηραίνεται δὲ καὶ συνθερμαίνεται καὶ τὰ καθ᾽ ὑποχόνδριόν τε καὶ περιτόναιον μόρια τοῦ ζώου. πάντα γὰρ συγκινεῖται τῷ θώρακι κατὰ τὰς ἀναπνοάς. τὸ δὲ ἐν ἀρχῇ τῆς ῥήσεως εἰρημένον, οἷσι τε γὰρ σῖτος αὐτίκα ἐγκαταλέλειπται, τὴν αὐτίκα φωνὴν ἐνηλλαγμένην ἔχει κατὰ τὴν τάξιν. ἀπολαβούσης δ᾽ αὐτῆς τὴν οἰκείαν σύνθεσιν, ὁ λόγος ἔσται τοιόσδε. μὴ προσβοηθησάντων δὲ ἡμῶν τῷ προειρημένῳ τρόπῳ τῆς πτισανοῤῥοφίης, πολλαχόθι γενήσεται βλάβη. αὐτίκα γοῦν οἷς σῖτος ἐγκαταλέλειπται, εἰ μή τις ὑποκενώσας πρότερον αὐτὸν, οὕτω δοίη τὸ ῥόφημα, βλάβην ἐργάσεται μεγίστην τοῦτο.

Τοῦτο δὲ, ἢν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ συνεχέος ἐούσης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης, καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀσαπέως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας, ἢ φλέβα τεμὼν, ἢ ὁκότερον ἂν τουτέων συμφέρει. τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι, διδῶς, ταχέες οἱ θάνατοι τῶν τοιουτέων γίγνονται.

Ἀναμνησθῶμεν ὅτι περὶ πλευρίτιδος ἐποιεῖτο τὸν λόγον παραδείγματος. ἐδείχθη δὲ αὕτη γιγνομένη διὰ τὴν φλεγμονὴν τῶν τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. ἐὰν οὖν ἀκμαζούσης τῆς φλεγμονῆς, πτισάνης τις διδῷ, μεγάλως βλάψει τὸν κάμνοντα. τοῦ δ᾽ ἀκμάζειν αὐτὴν γνώρισμα, τό, τε συνεχὲς τῆς ὀδύνης, καὶ τὸ μηδὲν ἐνδιδόναι πρὸς τὰ θερμάσματα. πρόσκειται δὲ τῷ λόγῳ καὶ ἄλλο γνώρισμα πλευρίτιδος, οὐ μόνον μεγάλης, ἀλλὰ καὶ κακοήθους, τὸ, γλίσχρον ἱκανῶς γιγνόμενον τὸ πτύελον εἴργεσθαι τῆς κενώσεως, ἐμπλαττόμενόν τε καὶ προσεχόμενον τοῖς πεπονθόσι μέρεσι. τὸ γὰρ καταγλισχραίνεσθαι, πλέον τι σημαίνει, τῆς σφοδροτάτης γλισχρότητος ἐνδεικνυμένης τῆς ῥήσεως, ἐν τῷ προσλαβεῖν τὴν κατὰ πρόθεσιν. ἤρκει μὲν οὖν καὶ διὰ τῆς προσθήκης αὐτῆς ἀφορίσαι τὸ οὕτω γλισχραινόμενον τοῦ πεττομένου. γλίσχρον μὲν γὰρ γίνεται κἀκεῖνο μετρίως οὐ μὴν καταγλισχραίνεται, τουτέστιν οὐκ ἐσχάτως, οὐδ᾽ ἄκρως πάσχει τοῦτο. τοῦ δὲ μὴ παραλιπεῖν τινὰ, τούτου χάριν οὐκ ὤκνησε τῷ λόγῳ προσγράψαι, καὶ τὸ ἀσαπῶς, ὅπερ ταυτὸν δηλοῖ τῷ ἀπέπτως. τὸ γὰρ καταγλισχραινόμενον ἀπέπτως, μοχθηρόν. ἐν τούτῳ δὴ καθεστῶτος τοῦ κάμνοντος, εἰ πτισάνην τις προσφέροι πρὶν λῦσαι τὴν ὀδύνην, ἢ διὰ φλεβοτομίας, ἢ διὰ κενώσεως γαστρὸς, ἀναιρήσει τὸν ἄνθρωπον. εἰρηκὼς γὰρ ἐπὶ τῆς προκειμένης κατὰ τὸν λόγον τόνδε πλευρίτιδος, ὡς οὐδὲν ἐνδιδούσης

λύσης πρὸς τὰ θερμάσματα, δύο λοιπὰ τῆς ὀδύνης ἔχει τὰ αὐτίκα βοηθήματα, φλεβοτομίαν καὶ κάθαρσιν, ἡ γὰρ τῶν διὰ ὀπίου καὶ ὑοσκυάμου καὶ μανδραγόρου σκευαζομένων φαρμάκων χρῆσις, οὐ τὴν ὀδυνώδη διάθεσιν ἰᾶται τῆς πλευρίτιδος, ἀλλὰ τὴν αἴσθησιν νεκροῖ. νυνὶ μὲν οὖν ἁπλῶς ἐμνημόνευσε φλεβοτομίας τε καὶ καθάρσεως κοιλίας, ἐφεξῆς δὲ διορίζεται περὶ τῆς ἑκατέρου χρήσεως.

Διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύτας ἔτι μᾶλλον, οἱ ὅλῃσι χρώμενοι πτισάνῃσιν, ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν. οἱ μέντοι καὶ τὴν γνώμην βλαβέντες, οἱ δὲ ὑπὸ τῆς ὀρθοπνοίης, καὶ τοῦ ῥέγχους ἀποπνιγέντες.

Ὅτι πολλάκις ὀνομάζει τὰς αἰτίας προφάσεις, ἐδείχθη κἂν ταῖς τῶν ἄλλων συνταγμάτων αὐτοῦ ἐξηγήσεσι. τινὰς δ' ἑτέρας προφάσεις παρὰ τὰς εἰρημένας αὐτῷ συνεπιφέρειν φησὶ τοὺς ὀλιγημέρους θανάτους, προσθεῖναι τῷ λόγῳ χρή. νῦν μὲν γὰρ εἴρηκε τήν γε τῆς πτισάνης προσφορὰν πρὶν λῦσαι τὴν ὀδύνην, καὶ τὴν ἐπὶ τῷ πυκνῷ πνεύματι γλισχρότητα τοῦ πτυέλου, δι' ἣν καὶ ἀποπνίγονται. βλαβῆναι δέ φησιν, εἰ καὶ οἴνου προσενέγκοιντο, πρὶν ὡς ὑπέθετο, κενωθῆναι, καὶ μελικράτου καὶ ὀξυμέλιτος. περὶ γὰρ τῶν ἄλλων ἁπάντων οὐδὲ τοῖς ἰδιώταις ἄδηλον. εἰκότως οὖν ἔφη καὶ τὴν γνώμην βλαβέντας ἐνίους αὐτῶν ἀπόλλυσθαι πέφυκεν, οἴνῳ τε καὶ τοῖς οἰνώδεσιν ἀκαίρως προσενεχθεῖσι.

Μάλα δὲ τοὺς τοιούτους οἱ ἀρχαῖοι βλητοὺς ἐνόμιζον εἶναι, διὰ τόδε μάλιστα, οὐχ ἥκιστα δὲ καὶ ὅτι ἀποθανόντων αὐτέων, ἡ πλευρὴ πελιὴ εὑρίσκεται ἴκελόν τι πληγῇ.

Καὶ διὰ τὸ τάχος μὲν τῆς ἀπωλείας, ἡ τοιαύτη δόξα τοὺς ἀρχαίους εἰσῄει, καὶ διὰ τὸ πελιδνοῦσθαι ἐπὶ τῆς πλευρᾶς ἐνίους, ἔνθα δηλονότι τῆς φλεγμονῆς ἦν ἡ ῥίζα. τοῦ γὰρ ἐπ' αὐτὴν αἵματος ἀφικνουμένου διὰ τὴν ὀδύνην, ὅσον ἐμεείδη πρὸς τὸ δέρμα, τοῦτ' ἐν τῷ θανάτῳ ψυχθὲν, ἐμελάνθη γινόμενον ἴκελον, τουτέστιν ὅμοιον τοῖς ἐκ πληγῆς οὕτω διατεθεῖσιν.

Αἴτιον δὲ τούτου ἐστὶν, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσι, ταχέως γὰρ πνευματίαι γίνονται.

Ὅτι δὲ πυκνὸν ἀναπνέουσιν, αὐτὸς ἐφεξῆς ἐδήλωσεν εἰπών.

Ὑπὸ δὲ τοῦ πολλοῦ καὶ πυκνοῦ πνεύματος ὡς ἤδη εἴρηται καταγλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίγνεσθαι.

Τὸ ἔμπροσθεν αὐτῷ ῥηθὲν ἄσαπες, τοῦτο νῦν ἄπεπτον ὠνόμασε, μαρτυρῶν ἡμῖν, ὅτι καλῶς καὶ τότε τὴν μετάληψιν ἐποιησάμεθα τῆς φωνῆς.

Καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνισχόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι.

Οὐ πᾶν δὲ τὸ πνεῦμα κωλύεται κατὰ τὰς τοιαύτας διαθέσεις εἴσω φέρεσθαι. τοῦτο γὰρ εἰ γένοιτο, παραχρῆμα τὸν ἄνθρωπον ἀποθανεῖν ἀναγκαῖον ἐστὶν, ὡσαύτως τοῖς ἐπαγχομένοις, ἀλλὰ τὸ συμφέρον δηλονότι τῇ χρείᾳ τῆς ἀναπνοῆς εἴσω φέρεσθαι κωλύεται, διὸ καὶ μέχρι τινὸς ἐξαρκοῦσιν. ἐν δὲ τῷ χρόνῳ, τῆς ἐνδείας ταύτης αὐξανομένης ἀπόλλυνται.

Καὶ οὕτως οὖν τὸ κακὸν ἀλλήλοισι συντιμωρέουσι. τό, τε γὰρ πτύελον ἐνεχόμενον, πυκνὸν τὸ πνεῦμα ποιέει, τοῦτο δὲ πυκνὸν ἐὸν, ἐπιγλισχραίνει τὸ πτύελον, καὶ κωλύει ἀπολισθαίνειν.

Ὅτι τὸ τιμωρεῖν ἀντὶ τοῦ βοηθεῖν, οἵ τ' ἄλλοι παλαιοὶ καὶ ὁ Ἱπποκράτης κέχρηνται, πολλάκις ἔμπροσθεν εἴρηται. καὶ νῦν οὖν τὸ συντιμωρεῖν ἀλλήλοις εἰς τὸ κακὸν εἶπεν, ἐπὶ τοῦ συμπράττειν καὶ λυσιτελεῖν. πῶς δὲ συμπράττει καὶ λυσιτελεῖ, σαφῶς μὲν καὶ αὐτὸς ἐδήλωσεν, εἰρήσεται δὲ καὶ πρὸς ἡμῶν. τὸ πτύελον ἰσχυρῶς ἐν τοῖς τοῦ πνεύμονος βρόγχοις, στενοχωρίαν ἐργάζεται ταῖς διεξόδοις τοῦ πνεύμονος, καὶ διὰ ταύτην τὴν στενοχωρίαν, ἧττον εἰσπνέουσιν οἱ κάμνοντες. ὅσῳ δ' αὖ ἧττον εἰσπνέουσιν, τοσῷδε μᾶλλον ἀπλήρωτον ἐργάζεται τὴν χρείαν τῆς ἀναπνοῆς, καὶ διὰ τοῦτο πρωϊαίτερον οὖν τὴν δευτέραν εἰσπνοὴν ἀπὸ τῆς προτέρας ἥκουσιν, ὅπερ ὀνομάζουσι πυκνὸν πνεῦμα.

Καταλαμβάνει δὲ ταῦτα, οὐ μόνον ἢν πτισάνῃσιν ἀκαίρως χρέονται, ἀλλὰ πολὺ μᾶλλον, ἤν τι ἄλλο φάγωσιν, ἢ πίωσιν πτισάνης ἀνεπιτηδειότερον.

Εἴρηται μικρὸν ἔμπροσθεν περὶ τούτου ἡνίκα ἔλεγε. διὰ ταύτας οὖν τὰς προφάσεις καὶ ἑτέρας τοιαύτας. ἀλλ' ἐκεῖ μὲν ἐμνημονεύσαμεν ἡμεῖς οἴνου τε καὶ μελικράτου, καὶ ὀξυμέλιτος. ἐνταυθοῖ δὲ καὶ τῶν ἄλλων ἀκούειν προσήκει τῶν οὕτω διδομένων τοῖς οὕτω κάμνουσιν ὑπὸ τῶν πολλῶν ἰατρῶν, ἃ δὴ καὶ μᾶλλον ἔβλαπτε, μελικράτου τε καὶ ὀξυμέλιτος, καὶ οἴνου.

Μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιοι εἰσὶν αἱ τιμωρίαι, τοῖσί τε ὅλῃσι πτισάνῃσι χρεομένοισι, τοῖσί τε χυλῷ αὐτέων. τοῖσι δὲ μηδετέρῳ τουτέων, ἀλλὰ ποτῷ μούνῳ, ἔστιν ὅπῃ καὶ διαφερόντως τιμωρητέον.

Αἱ βοήθειαι φησὶ παραπλήσιαι γίνονται τοῖς πτισάνῃ τε καὶ τῷ χυλῷ χρωμένοις αὐτῆς. τοῖς δὲ ποτῷ μόνῳ, ἔστιν ὅπῃ καὶ διαφερόντως χρὴ βοηθεῖν. ποία δέ τις ἡ διαφορὰ γίνεται διὰ τῶν ἑξῆς διδάσκει.

Χρὴ δὲ τό γε πάμπαν οὕτως ποιέειν. ἢν μὲν νεοβρώτῳ αὐτέῳ ἐόντι, καὶ κοιλίης μὴ

πω ὑποκεχωρηκυίης, ἤρξατο ὁ πυρετός. μήτε ξὺν ὀδύνῃ, μήτε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἕως ἂν οἴηται ὑποκεχωρηκέναι εἰς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον.

Ἥμαρτε δὲ καὶ αὐτὸς ἐπαραχθεὶς μετὰ μόρια τὸν λόγον, οὐ συνεχῶς ἐφεξῆς ἐν τάξει τῇ προσηκούσῃ πεποιημένος, ἀλλὰ διὰ τοῦτο νῦν ἀναλαμβάνων αὐτὸν ἐπὶ τὴν προσήκουσαν ἀρχὴν ἀφικνεῖται. τοῦτο δὲ ἔπαθεν, ἐπειδὴ τὸ περὶ διαφωνίας ζήτημα λύειν ἐπιχειρήσας, ἐμνημόνευσεν ἐν τῇ λύσει θεραπευτικῶν λογισμῶν. ἀλλ' ἐχρῆν αὐτὸν αἰσθανόμενον οὗ πέπονθεν, ἐξαλεῖψαι μὲν ἐκεῖνα, διελθεῖν δὲ ἑτέρως ἀπ' ἀρχῆς τὸν λόγον. οὕτω γὰρ κἀμοὶ συμβαίνειν κάλλιον ἔδοξεν ἄνωθεν ἑτέρως γράψαι περὶ τῶν αὐτῶν, ἐξαλείψαντι τὰ πρότερον γεγραμμένα. πῶς οὖν ἐχρῆν αὐτὸν ἅμα τε λύσαι τὸ προβληθὲν ὑπ' αὐτοῦ ζήτημα, καὶ τάξει διδόναι τὸν λόγον, ἐγὼ διηγήσομαι τοῖς βουλομένοις ἑρμηνεύειν τὰ τοιαῦτα, σαφῶς τὴν ὁδὸν διηγούμενος. ἤδη τοίνυν πρόσεχέ μοι τὸν νοῦν, ὡς ἐξ ἀρχῆς ἀκουσόμενος τοῦ λόγου. διατί τοῖς ἀξιολόγοις ἰατροῖς ἐνίοτε διαφωνεῖν συμβαίνει περὶ τῆς θεραπείας, ὅτι τὸ πειραθὲν ἐπί τινων, οὐδὲ πάντων ᾠήθησαν ἁρμόττειν. οὕτω γοῦν κἀν τοῖς περὶ διαίτης τῶν ὀξέων νοσημάτων διεφώνησαν, ἔνιοι μὲν ἐπὶ τῷ χυλῷ πτισάνης ἄχρι κρίσεως φυλάττοντες τοὺς νοσοῦντας, ἔνιοι δὲ τὴν πτισάνην αὐτὴν διδόντες, ἔνιοι δὲ οὐδέτερον, ἐκ μέρους μὲν ἀληθεύοντες ἅπαντες, ἐκ μέρους δὲ σφαλλόμενοι. τινὲς μὲν γὰρ τῶν ὀξέως νοσούντων, πτισάνης δέονται, τινὲς δὲ χυλοῦ, τινὲς δὲ οὐδετέρου τούτων ἄχρι κρίσεως. ἕνεκα δὲ σαφηνείας ἐφ' ἑνὸς τῶν ὀξέων ὡς ἐπὶ παραδείγματος ἐγὼ ποιήσομαι τὸν λόγον. προκείσθω δὴ πλευρίτιδος εἰπεῖν θεραπείαν, εἶπερ οὐ πρὸ πολλοῦ χρόνου τοῦ κάμνοντος ἐδηδοκότος, οὐδέπω τῆς κοιλίας ὑποκεχωρηκυίας ὁ πυρετὸς ἄρξαιτο, μὴ διδόναι τούτῳ ῥόφημα, μέχρις ἂν ἡ δοθεῖσα τροφὴ δόξειεν ἐξεληλυθυῖα, τὰ πλεῖστα τῶν ἐντέρων ἐν τοῖς ὑστάτοις αὐτῶν εἶναι. ταύτην τὴν ἀρχὴν τῷ λόγῳ ποιησάμενός τις, εἶτ' ἐφεξῆς ἅπαντα κατὰ τὴν οἰκείαν τάξιν ἐπιὼν ἐπὶ τούτων οὐκ ἂν ἀσαφῆ τὴν διδασκαλίαν ἐργάσαιτο.

Χρέεσθαι δὲ ποτῷ, ἢν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι, χειμῶνος μὲν θερμῷ, θέρεος δὲ ψυχρῷ. ἐὰν δὲ πολλὴ δίψα ᾖ, καὶ μελικρήτῳ καὶ ὕδατι.

Διψώδους ὄντος τοῦ κάμνοντος, ἄλλως φυλασσόμενος ὀξύμελι πάνυ πολύ, διὰ τοῦτο ἐφεξῆς τότε μελικράτου καὶ ὕδατος ἐμνημόνευσεν. ὅσον μὲν γὰρ ἐπὶ τῷ πάθει, μᾶλλον ὀξυμέλιτι χρηστέον. εἰ δὲ αὐτάρκως αὐτοῦ λαμβάνων, ἔτι διψῶν ὁ κάμνων εἴη, μελίκρατον ἐπιδοτέον. εἰ δὲ καὶ μετὰ τοῦτο διψήσει, τὸ ὕδωρ προσενεγκτέον. αὐτὸ γὰρ ἐφ' ἑαυτοῦ τὸ ὕδωρ πινόμενον μέμφεται. μαθήσῃ δὲ ἐν τοῖς ἐφεξῆς τὰς αἰτίας, δι' ἃς μέμφεται τὸ ποτὸν τοῦτο, κατ' ἐκεῖνο τὸ μέρος τοῦ συγγράμματος, ὅταν ὁ λόγος αὐτῷ περὶ δυνάμεως ὕδατος γίγνεται. νῦν δὲ ἐπισκεψώμεθα περὶ τοῦ προτεθέντος αὐτῷ ἐν τῷ προκειμένῳ λόγῳ, κελεύοντος αὐτοῦ χειμῶνος μὲν χρῆσθαι θερμῷ, θέρους δὲ ψυχρῷ τῷ ὀξυμέλιτι. τοῦτο γὰρ ἡμᾶς ποδηγήσει πρὸς τὴν ἀγωνιστικῶς γιγνομένην ἐπὶ τῶν ὀξέως νοσούντων ὕδατος ψυχροῦ πόσιν, ἣν τελέως δοκεῖ παραλελοιπέναι, καὶ μέμψαιτο μὲν αὐτὶς αὐτῷ μετὰ τοῦτο. διδασκαλίας γὰρ ἄξιος ἦν ὁ λόγος, οὐ κατὰ τὸ πάρεργον προσερρίφθαι. ἣν μὲν οὖν γνώμην εἶχε περὶ ψυχροῦ πόσεως ὕδατος, ἐκ τοῦ νῦν λόγου κατανοῆσαι δυνατόν. οὗτος γὰρ εἰ ὀξύμελι διψῶσι ποτὲ δίδωσι ψυχρόν, εὔδηλον ὅτι καὶ ὕδωρ δώσει. τοῦτο γὰρ εἰ καὶ μὴ ὅλως εἰρήκει περὶ ψυχροῦ πόματος, ἀκόλουθον ἦν αὐτοῦ τοῖς δόγμασι, τὸν μὲν πυρετὸν ἐκπυρουμένης τῆς ἐμφύτου θερμασίας ἡγουμένου γίγνεσθαι, τὰ δὲ ἐναντία τῶν ἐναντίων ἰάματα ὑπάρχειν. θερμοῦ δὲ καὶ ξηροῦ τοῦ πυρὸς ὑπάρχοντος, καὶ διὰ τοῦτο καὶ τοῦ πυρετοῦ, τὸ ὕδωρ ἐναντιώτατόν ἐστι τῇ φύσει τοῦ πυρετοῦ, ψῦχόν τε καὶ ὑγραῖνον τὸ σῶμα. καὶ τινὲς καὶ φαίνονται σβεννύμενοι πυρετοὶ ὑπ' αὐτοῦ παραχρῆμα δοθέντος ἐν καιρῷ. εἴρηται μὲν οὖν αὐτάρκως ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, εἰρήσεται δὲ καὶ νῦν τό γε κεφάλαιον αὐτοῦ. ὅταν οὖν ὁ πυρετὸς ἢ δυνάμεως οὔσης, οὐ μόνον οὐκ ἂν βλάψῃς τηνικαῦτα δοὺς τὸ ψυχρόν, ἀλλὰ καὶ μεγάλως ὠφελήσεις. ἡ μὲν δὴ τοιαύτη πόσις τοῦ ψυχροῦ τοσαύτη τὸ πλῆθος ἐστίν, ὅσον ὁ κάμνων, οἷός τε ἦ πιεῖν τὸ ψυχρὸν ὕδωρ ἐπισπασάμενος ἀναπνεῦσαι. τὸ δ' ὀξύμελι βραχὺ διδόμενον, οὐ πλέον ἡμίσεος καθ' ἑκάστην προσφοράν. οὐχ ὁμοίως οὖν ὁ τῆς δόσεως σκοπὸς ἐπὶ τούτου, διὰ τὸ σβέννυσθαι βούλεσθαι τὸν πυρετὸν ἀθρόως πινομένου ψυχροῦ, μέχρι τοῦ πληρωθῆναι τὸν κάμνοντα. τὸ μὲν γὰρ ὕδωρ οὕτως πινόμενον, ἰάσεως ἕνεκα γίγνεται. τὸ δὲ ὀξύμελι θέρους ὥρᾳ δίδοται ψυχρόν, ἕνεκα τοῦ μὴ παροξῦναι τὴν δίψαν τοῦ κάμνοντος, ἀλλά τι καὶ συντελεῖν οἷόν τε πρὸς τοὐναντίον. διὰ τοῦτο καὶ πρὶν πεφθῆναι τὴν νόσον ὀξυμέλιτος ψυχροῦ διδόναι φησίν, ὡς ὥρᾳ θέρους οὐκ ἂν δώσοντες ὕδωρ ψυχρὸν εἰς κόρον ἐν τῇ τοιαύτῃ διαθέσει. πυκνώσει γὰρ τὴν φλεγμονήν, ὅταν ἐπὶ φλεγμονῆς πυρέττωσιν, ἄπεπτους δὲ ἐργάζεται ψύξει τοὺς χυμούς, ὅταν ἐπὶ τούτοις νοσῶσιν. ἀλλ' ὑπό τοῦ γε ὀξυμέλιτος ἐπανορθωθήσεται, δύναμιν ἔχοντος τμητικήν. ἐναντίον γάρ ἐστι τὸ τέμνον καὶ διεξερχόμενον, τῷ πυκνοῦντι καὶ συνάγοντι τὰ σώματα.

Ἐπεὶ τὰ μέντοι ἢν μηδὲν ἄλγημά τι ἐνῇ, ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνεται, διδόναι τὸ ῥόφημα μήτε πολύ, μήτε παχύ. μετὰ δὲ τὴν ἑβδόμην ἢ ἐνάτην ἢν ἰσχύῃ.

Ταύτην τὴν ῥῆσιν οἱ ἐμπιπλᾶν τοὺς πάσχοντας τὸν Ἱπποκράτην φάντες, οὕτω γὰρ αὐτοὶ κέχρηνται τῷ ῥήματι, παρελθεῖν μοι δοκοῦσιν, ὥσπερ πάλιν οἱ λιμοκτονεῖν αὐτὸν εἰπόντες, ἀνεγνωκέναι μόνην φαίνονται ταύτην. εἰ δέ γε ἀμφοτέραις ἑκάτεροι προσεῖχον τὸν νοῦν, ἐμνημόνευόν τε τῶν καλῶς ὑπ' αὐτοῦ λελεγμένων, ὡς φύσεις φύσεων μέγα διαφέρουσιν, ἴσως ἂν ᾐδέσθησαν ἐγκαλεῖν αὐτῷ τὰ ἐναντία, εἰ καὶ μάλιστα τῶν ἄλλων ἐμνημόνευον ὧν ἔδειξε, καὶ χωρία χωρίων πάμπολυ διαφέρειν ἐπιδείξας, καὶ ὥρας ὡρῶν, καὶ ἡλικίας ἡλικιῶν, καὶ ἔθη ἐθῶν, καὶ τὴν πρὸ τοῦ νοσῆσαι δίαιταν ἑκάστῳ τῶν καμνόντων ἰδίαν γεγονυῖαν. ἐὰν οὖν παραβάλλοις ἀλλήλοις τοὺς ἐναντίως ἔχοντας ἐν ἅπασι τοῖς εἰρημένοις, τὰς ἐν τῇ διαίτῃ μεγίστας διαφορὰς εὑρήσεις, ἃς κατ' ἀντικρὺ τάξας ἀλλήλαις, οὕτως ἤδη καὶ τὰς ἐν τῷ μέσῳ παμπόλλας οὔσας ἀκριβῶς θεωρήσεις. λέλεκται μὲν οὖν περὶ τῆς ἐν τούτοις διαφορᾶς τελέως ἐν τοῖς τῆς θερα-

τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. εἰρήσεται δὲ καὶ νῦν τὸ κεφάλαιον αὐτῶν. ὑποκείσθω δή τις, φύσει ξηρὸς μὲν
τὴν ἕξιν τοῦ σώματος, πυκνὸς δὲ τὴν ἐπιφάνειαν, καὶ φλέβας εὐρείας ἔχων, καὶ τὴν ζωτικὴν δύναμιν ἰσχυρὸς, ἐθισ-
μένος ἐσθίειν οὐ πολλὰ, νοσεῖν ἐν χειμῶνι μὲν πάνυ ψυχρῷ κατὰ χωρίον τοιοῦτον, πρὶν νοσεῖν, ἀργότερόν τε καὶ
ἀπληστότερον, ἐν πολυτρόποις ἐδέσμασι διητημένος. ὑπαρχέτω δ' αὐτῷ σὺν τούτοις, ἰσχυρὸν τὸ στόμα τῆς γα-
στρὸς, ὅπερ καὶ στόμαχον ἔνιοι καλοῦσιν. ὁ δ' ὑπεναντίως τούτῳ διακείμενος, ὑγρὸς μὲν καὶ μαλακὸς καὶ τὴν ζωτικὴν
δύναμιν ἀσθενὴς, καὶ πλείω προσφέρεσθαι σιτία μεμαθηκὼς, νοσεῖν δὲ ἐν θέρει πνιγηρῷ, καὶ χωρίῳ τοιούτῳ. συνυ-
ποκείσθω δὲ τούτοις καὶ ταλαιπωρῆσαι πρὸ τῆς νόσου τὸν ἄνθρωπον, ἐν φροντίσι καὶ πράξεσι διηνεκέσιν, ἐδηδο-
κέναι τε παρὰ τὸ ἔθος ὀλίγα, λαχανώδη τε καὶ ἄτροφα, καὶ τὸ τῆς γαστρὸς στόμα μὴ ἰσχυρὸν, ἀλλ' ἀσθενὲς ἔχειν φύσει.
καὶ τούτων οὕτως ἐχόντων, ἀμφότεροι τὴν αὐτὴν νόσον ὑποκείσθωσαν νοσεῖν, εἰ βούλει, τὴν ὑφ' Ἱπποκράτους προ-
10 κεχειρισμένην, ὡς ἐν παραδείγματι περὶ τὸν λόγον τοῦτον πλευρῖτιν. ἆρά σοι δοκεῖ προσήκειν ἕνα κανόνα διαί-
της ἐπ' ἀμφοτέρων ὁρίζειν; ἢ τὸν μὲν δεύτερον εἰρημένον ἀπὸ πρώτης ἡμέρας τρέφειν, τὸν δὲ πρότερον ἄχρι τῆς
ἑβδόμης ἐπὶ πομάτων μόνων διαιτᾷν, ὅταν ἐλπίζῃς μὴ προσωτέρω ταύτης ἀφίξεσθαι τὴν νόσον. ἐγὼ μὲν γάρ
σοι φημὶ πολυχρονίῳ τῇ πείρᾳ κεκρικὼς ἀμφότερα, βελτίστην οὕτως ἔσεσθαι τὴν δίαιταν. εἰ δ' ὑπαλλάξαις ἐπὶ
τἀναντία τὸν πρῶτον εἰρημένον ἀπ' ἀρχῆς τρέφειν ἐγχειρῶν, τὸν δὲ δεύτερον ἄχρι τῆς ἑβδόμης φυλάττειν, ἀμ-
φοτέρους ἀναιρήσεις πρὸ τετάρτης ἡμέρας, τὸν μὲν ἀποπνίξας τάχιστα, τὸν δὲ συγκόψας τὴν δύναμιν. πρόσθες
οὖν, εἰ βούλει, καὶ τὴν ἡλικίαν ἐναντίαν ἑκατέρῳ, τεσσαρακοντούτην μὲν ὑποθέμενος εἶναι τὸν πρότερον, παῖδα
δὲ τὸν δεύτερον. οὕτως γὰρ ἔτι καὶ μᾶλλον ἐπειχθήσεται πρὸς τὸν ὄλεθρον ἑκάτερος αὐτῶν. ἀλλὰ ταῦτά γε πάν-
τα τὰ νῦν εἰρημένα, πρὸς ἕνα σκοπὸν ἀναφέρεται, τὸν ὑφ' Ἱπποκράτους ἐνὶ ῥήματι δηλωθέντα. τί γάρ φησι;
διδόναι τὸ ῥόφημα μετὰ τὴν ἑβδόμην, ἢν ἰσχύῃ. ῥῆμα μὲν γάρ ἐστιν ἕν, εὑρίσκεται δὲ ἐξ ὧν εἶπον ἄρτι συμπάντων.
20 εἰ γὰρ ἰσχύει μέχρι τῆς ἑβδόμης ἡμέρας, ἐπ' ὀξυμέλιτι καὶ μελικράτῳ καὶ ὕδατι διαιτώμενος ἐξαρκέσαι, δι' ὧν
εἶπον ἁπάντων, ἐλευθερωθήσεταί τε καὶ ὑγιασθήσεται. ὡς εἴγε τὰ μὲν αὐτῶν παρείη, τὰ δὲ ἀπείη, τὴν δύναμιν
τῶν παρόντων, τῇ δυνάμει τῶν ἀπόντων ἀντιπαραβάλλων, εἴσῃ πόσαις ἡμέραις ὁ κάμνων ἐξαρκέσαι δυνήσεται
τῷ τοιῷδε τῆς διαίτης εἴδει. ταῦτ' οὖν ἀποδεδειγμένα περὶ τὴν ἡμετέραν πραγματείαν. εἰ μὲν ἀνέγνωκας, ἀναμ-
νήσθητι νῦν, εἰ δ' οὐκ ἀνέγνωκας, ἐπ' ἐκεῖνα μετάβηθι πρότερον, εἰ βούλει τὴν ἀλήθειαν τῆς Ἱπποκράτους γνώμης
κατανοῆσαι. πάντα γὰρ ὑφ' ἡμῶν εἴρηται κατὰ πάσας τὰς πραγματείας, ἑπομένων αὐτοῦ τοῖς δόγμασιν ἀλη-
θεστάτοις οὖσιν. ἀλλὰ γὰρ οὐχ οἷόν τε ἐστὶν ἄνθρωπον ἕνα τήν τε προσήκουσαν διδάξαι τε μέθοδον καὶ τὰ κατὰ μέρος
ἐν αὐτῇ ἅπαντα. διὸ μηδὲ παρ' Ἱπποκράτους ἀκούειν ἅπαντα τὰ περὶ μέρος ἀξιώσῃς, ἀλλὰ μᾶλλον μέμφου τοῖς
δέον ἐργάζεσθαι τὰ καλῶς ὑπ' αὐτοῦ διδαχθέντα, διὰ φιλοδοξίαν ἑτέραν αἵρεσιν συνισταμένοις. ἀλλ' ἡμεῖς τιμῶν-
τες ἀλήθειαν, ἔν τε τοῖς ἄλλοις ἅπασιν ἐπαινοῦμεν Ἱπποκράτην, κἂν τῷ τὸν οἰκεῖον ἑκάστῳ πράγματι διδάξαι
30 σκοπὸν, ὡς διὰ παντὸς ἀποβλέποντα, τινὰ πρὸς αὐτὸν ὡρισμένην ἔχειν τὴν ὁδὸν τῆς εὑρέσεως τῶν βοηθημάτων.
οὕτω γοῦν καὶ τοῦ τροφὴν προσφέρεσθαι, σκοπὸν ἕνα κοινὸν ἐπὶ πάντων ἐδείξαμεν, ὑγιαινόντων τε καὶ νοσούντων.
ἔστι δ' οὗτος ἡ φυλακὴ τῆς ζωτικῆς δυνάμεως, ἣν νῦν ἐνεδείξατο σαφῶς εἰπὼν, ἢν ἰσχύῃ. διὰ ταύτην γάρ τοι τὴν
δύναμιν, ἐσθίομέν τε καὶ πίνομεν ὑγιαίνοντες, ἅπαντά τε τἄλλα πράττομεν ὅσα διαφέρει πρὸς τὴν ζωήν. διὰ δὲ
τὴν αὐτὴν ταύτην καὶ νοσοῦντες ἐπὶ τροφὴν καὶ πόμα παραγινόμεθα. τὸ μὲν γὰρ νόσημα αὐτὸ τῆς ἑαυτοῦ διαθέσεως
ἐνδείκνυται τὰ βοηθήματα φλεβοτομίαν, καὶ κλύσμα, καὶ κατάπλασμα, καὶ κάθαρσιν, ὀξύμελί τε καὶ μελίκρατον,
ἕκαστόν τε τῶν ἄλλων. ἡ δὲ τῆς δυνάμεως φυλακὴ, μόνην τὴν τροφὴν ἐνδείκνυται. εἰ μὲν οὖν ἔβλαπτε μηδέ ποτε
τὴν νοσώδη διάθεσιν ἡ τροφὴ, πρὸς μόνην ἂν ἀποβλέποντες τὴν δύναμιν, ὡς ἐπὶ τῶν ὑγιαινόντων ἐτρέφομεν
τοὺς νοσοῦντας. ἐπεὶ δὲ βλάπτει πολλάκις, ὡς ἐδείξαμεν, ἐπισκοπούμεθα διὰ τοῦτο τῆς νόσου τὴν διάθεσιν, οὐχ ὡς ἐν-
δεικνυμένην ποτὲ τροφὴν, ἀλλ' ὡς κωλύουσαν. ὅταν οὖν μὴ κωλύῃ, κελεύῃ τε ἡ δύναμις, τηνικαῦτα τρέφομεν.
40 οὐδέ ποτε γὰρ ἡ τροφὴ κατὰ τὸν ἑαυτῆς λόγον ὀνίνησι τὴν νοσώδη διάθεσιν. εἶπον δὲ τοῦτο, διότι πολλάκις ὕλη
μία καὶ τροφῆς καὶ φαρμάκου δύναμιν ἔχει, καθάπερ ἡ τῆς πτισάνης. καθ' ὅσον μὲν γὰρ ῥώννυσι τὴν δύναμιν, ὡς
τροφὴ τοῦτο ἐργάζεσθαι πέφυκεν. ἐπεὶ δὲ καὶ τέμνειν καὶ ὑγραίνειν τὰ τῆς ἀναπτύσεως δεόμενα, φαρμάκου λόγον ἔχει
περὶ τοῦτο. χόνδρος μὲν οὖν τροφὴ μόνον ἐστὶ πλευριτικοῦ, ὀξύμελι δὲ φάρμακον. ἀμφοτέρων δὲ ἡ πτισάνη καὶ τὴν
δύναμιν ἔχει, καὶ τὴν χρείαν παρέχει τοῖς κάμνουσιν. ἀλλ' ὡς μὲν τροφὴ φυλακῆς ἕνεκα τῆς δυνάμεως, ὡς φάρμακον
δὲ λύσεως ἕνεκα τῆς νόσου προσφέρεται. ὅταν οὖν ἡ δύναμις ἐξαρκεῖν μέχρι τῆς τοῦ νοσήματος κρίσεως, ἄνευ τοῦ ῥοφῆ-
σαι πτισάνην, ὀξύμελι καὶ μελίκρατον ἀρκεῖ, τὸ μὲν ὀξύμελι φαρμάκου μόνον δύναμιν ἔχον, τὸ μελίκρατον δὲ καὶ
τροφῆς ὀλίγης τε καὶ ἀσθενοῦς. ἐὰν μὲν οὖν θᾶττον τῆς ἑβδόμης ἡμέρας ἐλπίζῃς ἔσεσθαι τὴν κρίσιν, οἷον εἰ τύχοι περὶ
τετάρτην ἢ πέμπτην, πολλοὺς τῶν καμνόντων εὑρήσεις ἐξαρκέσαι δυναμένους, ἄνευ τοῦ ῥοφῆσαι πτισάνην. ἐὰν
δὲ εἰς τὴν ἑβδόμην ἐκτείνηται, παντάπασιν ὀλίγους, ὅσοι τήν τε δύναμιν ἰσχυρὰν ἔχουσι, καὶ τὴν τοῦ σώματος ἕξιν
50 σκληρὰν καὶ δυσδιάπνευστον, καὶ τοὺς χυμοὺς παχεῖς ἢ γλίσχρους, τό, τε περιεχόμενον εἴη θερμόν. εἰ μὲν γὰρ μηδὲν ἀπέῤ-
ῥει τοῦ σώματος ἡμῶν, οὐκ ἂν ἐδεόμεθα τροφῆς. ἐπεὶ δὲ ἀποῤῥεῖ, κατὰ τὴν ἀναλογίαν τοῦδε, καὶ τὸ τῆς τροφῆς ποσὸν
ὁριζόμεθα. τοῖς οὖν ὀλίγον διαπνεομένοις ἐγχωρεῖ ἄκραν ἀσιτίαν συμβουλεύειν. ἔτι δὲ μᾶλλον πρὸς τοῦτο, ἐὰν καὶ τὴν
δύναμιν ἐξ ἀρχῆς ἔχωσιν ἰσχυρὰν, ὡς εἴγε ἀσθενὴς, ὥσπερ ἐπὶ τῶν γερόντων ἔχει, εἰ καὶ ὀλίγον διαπνέεται τὸ σῶμα
ταχέως κάμνει. διὸ καὶ μικρὸν ἔμπροσθεν ἐμνημόνευσα τῶν ἔτη μ. γεγονότων, οὐ τῶν ἑβδομήκοντα.

Ἢν δὲ μὴ ὑπερεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρωτὶ ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ ἡ ἡ-
λικίῃ, κωλύσαι. ἢν δὲ ἀσθενέστερος ᾖ βαλανείῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματος διεξίῃ κάτω.

πάλιν ἐνταῦθα τὴν μὲν ἔνδειξιν τοῦ βοηθήματος, ἀπὸ τῆς περὶ τὸ σῶμα διαθέσεως ἔλαβε. συνεπεσκέψατο τὴν

δύναμιν, οὐχ ὡς ἐνδεικνυμένην ποτὲ τὴν χρῆσιν τοῦ βοηθήματος, ἀλλ' ὡς αὐτὴν ἐνδεικνυμένην, ἐνίοτε δὲ καὶ κωλύουσαν. οὐ γὰρ ὅτι τὴν δύναμιν ἰσχυρὸς ὁ κάμνων, διὰ τοῦτο δεῖται κλύσματος. ἀλλ' ἡ τοῦ κλύσματος ἔνδειξις, ἐκ τῆς κατὰ τὴν γαστέρα διαθέσεως. ἡ δύναμις δὲ ἰσχυρὰ μὲν ὑπάρχουσα, συγχωρεῖ κενοῦν, ἄῤῥωστος δὲ οὖσα, κωλύει. πρόσεχε πάλιν αὐτοῦ τῷ ἔθει, ποτὲ μὲν τῆς δυνάμεως μόνης ἐπὶ τῶν τοιούτων μνημονεύοντος, ὥσπερ ἐπὶ τῆς προγεγραμμένης ῥήσεως, ποτὲ δὲ καὶ τὴν ἡλικίαν προστιθέντος. κυριώτατος μὲν γὰρ ὁ τῆς δυνάμεως σκοπός. εἰς δὲ τὴν διάγνωσιν αὐτοῦ, καὶ ἡ τῆς ἡλικίας γνῶσις συντελεῖ, ταχέως μὲν ἐπὶ τῶν παίδων καμνούσης τῆς δυνάμεως διὰ τὸ τῆς ἀποῤῥοίας πλῆθος, ἐπαρκούσης δὲ ἐπὶ πλέον ἐν τοῖς ἀκμάζουσιν. ἀλλ' ὥσπερ ἐπὶ τῶν παίδων ἡ τοῦ σώματος οὐσία μαλακή τε οὖσα καὶ ὑγρὰ, διαφορουμένη αἰτία γίγνεται τοῦ καταλύεσθαι τὴν δύναμιν, οὕτως καὶ ἐπὶ τῶν χωρίων ἔχει καὶ ὡρῶν. καὶ γὰρ τούτων αἱ θερμαὶ, ταχέως τε καὶ ὀξέως καταλύουσι τὴν δύναμιν, τῷ πλήθει τῆς κενώσεως. εἰκότως οὖν ἐνίοτε ἐπὶ μόνης τῆς δυνάμεως ὁ Ἱπποκράτης ποιεῖται τὴν διδασκαλίαν τῶν τοιούτων διορισμῶν, ἐνίοτε δὲ καὶ τῶν ἄλλων τι προστίθησι, συναναμιμνήσκων αὐτοῖς καὶ τὰ λοιπά.

Καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος τόνδε μάλιστα φυλάττεσθαι κατ' ἀρχὰς, καὶ διὰ παντὸς τοῦ νοσήματος. ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν, μάλιστα δὲ τοῦ ποτοῦ ἀπέχεσθαι. ὅταν δὲ ἡ θέρμη καταβῇ εἰς τοὺς πόδας, τότε διδόναι, καὶ νομίζειν μέγα δύνασθαι τὸν καιρὸν ἐν πάσῃσι τῇσι νούσοισι, οὐχ ἥκιστα δ' ἐν τῇσιν ὀξείῃσιν, μάλιστα δ' ἐν τοῖσι μᾶλλον πυρετώδεσι καὶ ἐπικινδυνοτάτοισιν.

Ὥσπερ ἔφην ἕνα μὲν ὑπάρχειν σκοπὸν τῆς τροφῆς τὴν φυλακὴν τῆς δυνάμεως, ἀναγκαῖον δὲ εἶναι συνεπισκοπεῖσθαι καὶ τοῦ νοσήματος τὴν διάθεσιν, οὕτω καὶ αὐτοῦ τοῦ καιροῦ τῆς προσφορᾶς ἡ εὕρεσις, ἐκ τοῦ μὴ κωλύειν τὴν νόσον γίνεται. ὅσον μὲν γὰρ ἐπὶ τῷ πρώτῳ σκοπῷ τῆς δυνάμεως, ἡ χρεία τῆς τροφῆς ἐνίοτε καὶ κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν ὑγιαινόντων, ὁπότε πρῶτον ἐπὶ τῶν φυσικῶς γιγνομένων κενώσεων, ἐγγύς ἐστί τις τοῦ κάμνειν ἀναλήψεως αὐτῷ χρεία. ἐπεὶ δ' ἐν ταῖς ἀρχαῖς καὶ ταῖς ἀναβάσεσι τῶν παροξυσμῶν, ἡ προσενεχθεῖσα τροφὴ βλάπτειν πέφυκε μεγάλα, διὰ τοῦτ' ἀναβαλλόμεθα τὴν δόσιν αὐτῆς, καίτοι τοῦ σώματος ἤδη δεομένου. τίς οὖν ἄριστος καιρὸς τροφῆς ἐπὶ τῶν νοσούντων; ἐν ᾧ δῆλον μετριώτατα διάκειται τὰ περὶ τὸν θώρακα καὶ τὴν γαστέρα. τίς δὲ χείριστος; ἐν ᾧ χείριστα διάκειται ταῦτα. πότε γοῦν ἔχει χείριστα; περὶ τὰς ἀρχὰς τῶν παροξυσμῶν. πότε δὲ μετριώτατα; περὶ τὰς παρακμάς. εὔδηλον οὖν ὅτι καιρὸς τροφῆς ἐστιν ἄριστος ἐν ταῖς παρακμαῖς τῶν νοσούντων. ἡ μὲν οὖν ἀρχὴ τῶν παροξυσμῶν, γίγνεται συνελθόντος εἰς τὴν καρδίαν καὶ τὸν θώρακα ἐξ ὅλου τοῦ σώματος τοῦ θερμοῦ παντός. ἡ δ' ἐπίδοσις, ἐκτεινομένου κατὰ βραχὺ πρὸς τὰ πέρατα τοῦ σώματος, ἡ δ' ἀκμὴ, δι' ὅλου τοῦ σώματος ὁμαλῶς ἐκτεινομένου. παρακμὴ δ' ἔμπαλιν τῇ ἀρχῇ, διαπνεομένης γε τῆς θερμασίας γίγνεται, καὶ τὰ μέσα τοῦ σώματος ἀπολειπούσης, ὅπερ ἐδήλωσεν δι' ἑνὸς ῥήματος εἰπὼν, ὅταν ἡ θέρμη καταβῇ εἰς τοὺς πόδας. οὐ γὰρ ταυτόν ἐστι τὸ θερμοὺς ἐκ ψυχρῶν γενέσθαι τοὺς πόδας, καὶ μεταβῆναι τὴν θερμασίαν εἰς αὐτούς. τὸ μὲν γὰρ καταβῆναι, τὴν μετάστασιν δηλοῖ τῆς θερμασίας ἐξ ἑτέρου μορίου εἰς ἄλλο, τὸ δὲ θερμανθῆναι τοὺς πόδας, ἐγχωρεῖ γενέσθαι καὶ μενούσης ἐν τοῖς μέσοις τῆς θερμασίας, ὅπερ ἐπὶ τῆς ἀκμῆς συμβαίνει.

Χρῆσθαι δὲ πρῶτον μάλιστα μὲν χυλῷ, ἔπειτα δὲ πτισάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβῶς θεωρέων.

Προειρηκὼς ὁπότε μὲν ἐπὶ τούτῳ μόνῳ χρὴ διαιτᾶν τοὺς κάμνοντας, ὁπότε δὲ ἐπὶ πτισάνῃ, νῦν διορίζει πότε μόνῳ χυλῷ χρηστέον ἐστὶ, καὶ πότε αὐτῇ τῇ πτισάνῃ. σύντομος δὲ καὶ σαφὴς ὁ διορισμός. ὅταν γὰρ οἷς εἶπον τεκμηρίοις προσέχων, εὑρήσῃς τινὰ τῶν καμνόντων δύνασθαι χρῆσθαι πτισάνῃ, τὴν ἀρχὴν ἀπὸ τοῦ χυλοῦ ποιησάμενος, οὕτως ἐπ' αὐτὴν μεταβήσῃ κατὰ βραχύ. λέγω δὲ κατὰ βραχὺ, πρῶτον μὲν αὐτῷ μόνῳ τῷ χυλῷ χρησάμενος, εἶτα τούτου μὲν δὴ πλέονος, ὀλίγον δὲ τῆς πτισάνης, εἶτ' ἴσον ἑκατέρου, κἄπειτα τῆς πτισάνης πλεῖον, εἶτα μόνην αὐτὴν, ἐπιστάμενος εἰς μὲν τὴν θρέψιν τοῦ σώματος καὶ ῥῶσιν τῆς δυνάμεως, τὴν πτισάνην πλεονεκτεῖν, εἰς δὲ τὸ πεφθῆναί τε καὶ κατεργασθῆναι ῥᾳδίως τὸν χυλόν. ὅταν οὖν βλέπῃς προχωροῦσαν ἐπὶ τὰ βελτίω τήν τε πρὸ τοῦ νοσήματος διάθεσιν, καὶ τὴν τῆς δυνάμεως ἰσχὺν, αὔξανε καὶ σὺ τὴν προσφορὰν τῆς πτισάνης.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ, ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Ὀδύνη δὲ πλευροῦ, ἤν τε κατ' ἀρχὰς γίνηται, ἤν τε ὕστερον, θερμάσμασι μὲν τὸ πρῶτον, οὐκ ἀπὸ τρόπου ἐστὶ χρησάμενον πειραθῆναι διαλῦσαι τὴν ὀδύνην.

Ὅπερ εἴρηταί μοι πολλάκις, ἄμεινον ἀναμνῆσαι καὶ νῦν. ὡς ἡ μὲν ἐξήγησις ἐπὶ τῶν ἀσαφῶν γίγνεται λέξεων, οὐ μὴν οἵ γε ἐξηγηταὶ τοῦτο μόνον ἐν τοῖς ὑπομνήμασι πράττουσιν, ἀλλὰ καὶ κατασκευάζουσιν τὰ λεγόμενα διὰ τῶν συγγραμμάτων εἰς ἃ τὰς ἐξηγήσεις ποιοῦνται. δι' οὖν τοῦτο τὸ ἔθος, ἀναγκάζομαι κἀγὼ συναγορεύειν οἷς οὐκ ἀρέσκομαι, προσαποφαίνεσθαί τε τῆς ἐξηγήσεως δεομένοις, ὡς τὰ πολλὰ καὶ τὴν ἐμὴν γνώμην, οὐ μὴν τὰς ἀποδείξεις γράφω τῶν ἀληθῶν μοι δοξάντων εἶναι κατὰ τὰ τοιαῦτα ὑπομνήματα. γέγραπται γὰρ ὑπὲρ τούτων ἰδίᾳ καθ' ἕκαστον, ἀλλὰ τὰ κεφάλαια μόνα τῶν ἀποδεδειγμένων ἐν ἑτέραις πραγματείαις

ματείαις ἀναμιμνήσκω, καθάπερ καὶ νῦν ἐπὶ τῆς ὀδύνης ποιήσω. περὶ οὖν ὀδύνης γενέσεως εἴρηται μὲν μοι κἀν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων, εἴρηται δὲ κἀν ταῖς τῶν συμπτωμάτων αἰτίαις, ὡς ἐν τοῖς αἰσθητικοῖς σώμασιν ἡ ὀδύνη γίγνεται, μεταβολὴν ἀθρόαν εἰς τὸ παρὰ φύσιν λαμβάνουσι, καὶ ὡς ἔστιν ἡ μεταβολὴ διττή, ποτὲ μὲν ἀλλοιουμένων αὐτῶν ἀθρόως τε καὶ βιαίως κατὰ ποιότητα, ποτὲ δὲ συνεχείας λυομένης. ἀλλοιοῦται μὲν οὖν ἀθρόως κατὰ τὰς δραστικὰς ποιότητας, θερμαινόμενα καὶ ψυχόμενα, καὶ ξηραινόμενα καὶ ὑγραινόμενα. διαφθείρεται δ᾽ αὐτῶν ἡ συνέχεια, τεμνομένων σφοδρῶς, ἢ θλιβομένων. οὕτως οὖν καὶ τῆς πλευρᾶς ὀδύνη γίγνεται κατὰ τὰ πλευριτικὰ πάθη, περὶ ὧν ὁ λόγος ἦν αὐτῷ, τῆς ἐν τούτοις τοῖς χωρίοις φλεγμονῆς, καὶ τῷ πλήθει τῆς παρὰ φύσιν θερμασίας ἀνιώσης τὰ μόρια κατὰ δυσκρασίαν, καὶ τῇ πληρώσει δὲ τεινούσης τὰ φλεγμαίνοντα σώματα. πρώτης οὖν ἀξιοῖ βοηθείας εἰς τὴν τῆς ὀδύνης ἴασιν ἢ παρηγορίαν, ἀποπειρᾶσθαι τῆς διὰ τῶν θερμασμάτων. ταῦτα γὰρ εἴωθεν ἀραιόν τε τὸ δέρμα πρὸς τὰς διαπνοὰς ἐργάζεσθαι, καὶ τὸ κατὰ τὴν φλεγμονὴν αἷμα λεπτύνειν τε καὶ διαφορεῖν. εἰ μὲν οὖν ταῦτα πραχθείη, κενωθήσεταί τι τοῦ αἵματος, ἧττόν τε διατεινόμενα τὰ πεπονθότα μόρια, πρὸς τοῦ λοιποῦ πρᾳότερον ὀδυνήσεται. μὴ γιγνομένου δὲ ἐλάττονος τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος, ἢ καὶ πνεύματος ἀτμώδους ἐκ τῆς θερμασίας γεννηθέντος, αὐξάνεσθαι συμβαίνει τὴν ὀδύνην. ὁ γίγνεται δὲ ἔλαττον τὸ αἷμα, διὰ τὴν ἐν τῷ παντὶ σώματι περιουσίαν τῶν χυμῶν. ἐπὶ γὰρ τὸ θερμαινόμενον μόριον ἕλκεται πλέον, ἢ διαφορεῖται, φύσιν ἐχόντων τῶν θερμαινόντων, ὥσπερ διαφορεῖν τὸ περιεχόμενον οἷς ἂν πλησιάζει μορίοις, οὕτως ἕλκειν τὸ περιττεῦον ἐκ τῶν γειτνιώντων. ὅταν οὖν τὰ θερμάσματα μὴ λύῃ τὴν ὀδύνην, προκενωτέον ἐστί σοι τὸ πᾶν σῶμα διὰ κενώσεως. ἀξιόλογος δὲ κένωσις ἐπὶ τῶν ὀξέων νοσούντων, ἥτε διὰ τῆς γαστρὸς, καὶ ἡ διὰ τῆς φλεβοτομίας, ὧν τὴν ἑτέραν ἀξιοῖ παραλαμβάνειν ὁ Ἱπποκράτης, διδάσκων σκοπὸς τῆς μᾶλλον ὠφελῆσαι δυναμένης. τὸ μὲν οὖν κεφάλαιον τοῦ προκειμένου λόγου τοῦτό ἐστι. τῶν δὲ κατὰ μέρος αὐτῷ λεγομένων, ὅσα μὴ σαφῆ τοῖς πολλοῖς ἐστι, διὰ τῶν ἐφεξῆς διηγήσομαι. τοῖς πολλοῖς δὲ εἶπον, ἐπειδὴ τοῖς προγεγυμνασμένοις ἀκούειν λέξεως παλαιᾶς, ὀλίγα παντάπασιν ἀσαφῆ γίνεται, ἀλλ᾽ οὖ στοχαζόμεθα τούτων μόνον ἐν τοῖς ὑπομνήμασι.

Θερμασμάτων δὲ κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ ἢ ἐν κύστει, ἢ ἐν χαλκῷ ἀγγείῳ, ἢ ὀστρακίνῳ.

Θερμάσματα δηλονότι καλεῖ τὰ θερμαίνοντα τὸ σῶμα καθ᾽ ὁντινοῦν τρόπον. ἔστιν οὖν αὐτῶν ἔνια μὲν ὑγρὰ τελέως, ἔνια δὲ ξηρὰ, τινὰ δὲ ἐξ ἀμφοῖν μικτά. δακνώδη δὲ ἄλλα ἢ ἄδηκτα, καί τινα τρίτα κἀνταῦθα σύμμικτα. τὸ μὲν οὖν πρῶτον εἶδος αὐτῶν, ὃ κατὰ τὴν ῥῆσιν ἔγραψεν, ἄδηκτόν τε ἐστὶ καὶ ὑγρὸν, τὸ δὲ δεύτερον μικτὸν ἐξ ἀμφοτέρων ξηροῦ τε καὶ ὑγροῦ, δακνώδους τε καὶ ἀδήκτου. τὸ δὲ τρίτον ξηρὸν μὲν ἀλλ᾽ ἤτοι δακνῶδες ἢ ἄδηκτον. εἰ δὲ καὶ τὰς διαθέσεις αὐτὸς εἰρήκει τὰς ἑκάστου τῶν εἰρημένων δεομένας, τοσούτῳ βελτίων ἂν ἦν ὁ λόγος, ὅσῳ καὶ ὠφελιμώτερος τοῖς ἀναγινώσκουσιν. ἐπεὶ δ᾽ οὐκ εἶπεν, ἦν μὲν οὐδ᾽ ἡμῖν ἀναγκαῖον ἀλλοτρίαν διδασκαλίαν σαφηνίζουσιν, οὐκ ἰδίαν δικαζομένοις. ἐπεὶ δ᾽ ἔμπαλιν τοῖς ἄλλοις ἐξηγηταῖς ἔχει τοὖμον, ἐκεῖνοι μὲν γὰρ ἐπιπείρουσιν ταῖς ἐξηγήσεσι τὰ λογικὰ ζητήματα, μηδὲν εἰς τὸ τέλος τῆς τέχνης ὠφελοῦντα τοὺς μανθάνοντας. ἐγὼ δ᾽ ἀεὶ πειρῶμαι τὰ χρησιμώτατα διεξέρχεσθαι, διὰ τοῦτο καὶ νῦν οὐκ ὀκνήσω προσθεῖναι τῇ τοῦ Ἱπποκράτους διδασκαλίᾳ, τὰ παραλελειμμένα μὲν ὑπ᾽ αὐτοῦ, τῇ δ᾽ ὅλῃ γνώμῃ καὶ τοῖς δόγμασι καὶ τοῖς καθόλου παραγγέλμασιν ἑπόμενα. πυρία μὲν οὖν πᾶσα καθ᾽ ὅντινα λόγον ὀνίνησι πολλάκις ὀδύνας, ἔμπροσθεν εἴρηται. λέλεκται δὲ καὶ περὶ τῶν οὐδὲν ὠφελουμένων ὑπὸ πυρίας ὀδυνῶν, εἰ μὴ προκενωθείη τὸ πᾶν σῶμα. κοινῶν δ᾽ ὄντων τούτων ἁπάσαις πυρίαις, αἱ μὲν ὑγραὶ φλεγμοναῖς ἁρμόζουσιν, ὑπὸ χολωδεστέρων ὑγρῶν γεγονυίαις, αἱ δὲ ξηραὶ ταῖς ὑπὸ λεπτοῦ καὶ ὑδατώδους αἵματος. ἀεὶ γὰρ χρὴ μεμνῆσθαι, τοῦ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα εἶναι. κατὰ τοῦτον οὖν τὸν σκοπὸν, αἱ μὲν ἄδηκτοι πυρίαι τοῖς δακνώδεσιν ἁρμόττουσι χυμοῖς. αἱ δὲ δακνώδεις ἐπειδὴ λεπτύνουσι, τοῖς παχέσι καὶ γλίσχροις, ὥστε καὶ σὺ πειρῶ στοχάζεσθαι, τίς ἐστιν ὁ κατὰ τὸ φλεγμαῖνον μέρος ἐπικρατῶν χυμὸς, ἐξ ὧν εἶπον ὁρμώμενος, ἡλικίας τε τοῦ κάμνοντος, καὶ φυσικῆς κράσεως, ὥρας τε καὶ χώρας, καὶ τοῦ προηγουμένου βίου. φαινομένης δὲ ἔτι τῆς φλεγμονῆς, κἀκ τῶν συμβεβηκότων αὐτῇ κατά τε χροιὰν καὶ μέγεθος, ἀντιτυπίαν τε καὶ μαλακότητα. πλευρίτιν δὲ καὶ περιπνευμονίαν θεραπεύων κἀκ τῶν ἀναπτυομένων. στοχαστικῆς δ᾽ οὔσης οὐκ ἐπιστημονικῆς, οὐδὲ βεβαίας τῆς εἰρημένης ἀπ᾽ αὐτῆς διαγνώσεως, καὶ μάλιστα ὅταν ἐν τῷ βάθει τοῦ σώματος ᾖ τὸ τὴν ὀδύνην ἔχον μόριον, ἄρξαι μὲν ἀπὸ τῶν δοξάντων σοι μᾶλλον ἑτέρων ὠφελήσειν. ἐὰν δὲ μηδὲν ἀνύσῃ κἀπὶ τἄλλα μετάβαινε. μὴ παυσαμένης δὲ τῆς ὀδύνης, ἐπὶ τὴν τοῦ παντὸς σώματος ἀφικνοῦ κένωσιν. φαίνεται τοιγαροῦν ὁ Ἱπποκράτης ἀπὸ τῆς ἀκινδυνοτάτης ἀρξάμενος πυρίας, ἥτις ἐστὶν ἀδηκτοτάτη τε καὶ ὑγρά. κἂν γὰρ ὠφελήσῃ μηδὲν, ἀλλ᾽ οὐ βλάψει γε μεγάλως. αἱ δὲ διὰ ὄξους, ἢ ὀρόβων, ἢ ἁλῶν, ἐὰν μὴ τύχωσιν ἐπιτηδείας διαθέσεως, οὐ μόνον οὐδὲν ὠφελοῦσιν, ἀλλὰ καὶ μεγάλως παροξύνουσι δραστήριον ἔχουσαι δύναμιν.

Προϋποτιθέναι δὲ χρὴ μαλθακόν τι πρὸς τὴν πλευρὴν προσηνείης ἕνεκεν.

Ἐπειδὴ τὸ ὕδωρ ἐν ἀσκῷ, ἢ κύστει, ἢ ἀγγείῳ χαλκῷ, ἢ ὀστρακίνῳ προσφέρειν ἠξίωσε ταῖς πλευραῖς, ὅπως ἄθλιπτός τε ᾖ καὶ τελέως ἄλυπος ἡ τῶν προσφερομένων ὁμιλία, μαλακόν τι προϋποτιθέναι κελεύει κατὰ τῶν πλευρῶν ἐπιβάλλοντας. ἔριον δ᾽ ἂν εἴη τοῦτο τὸ μαλακὸν, ἢ τὸ πολύπτυχον ἱμάτιον, ἢ καί τι τῶν ἁπαλῶν ὑπαρχόντων. μικρὸν γοῦν ἐφεξῆς τῆς διὰ τοῦ σπόγγου πυριάσεως μνημονεύων, οὐδὲν ἀξιοῖ προϋποτιθέναι.

Ἀγαθὸς δὲ καὶ σπόγγος μαλθακὸς μέγας, ἐξ ὕδατος θερμοῦ ἐκπεπιεσμένος προστίθεσθαι, περιστέγειν δὲ ἱματίῳ τὴν θάλψιν χρή. πλείω τε γὰρ χρόνον ἂν διαρκέσει, καὶ πραΰνει, καὶ ἅμα ὡς μὴ ἡ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος φέρηται, ἢν μὴ ἄρα δοκέῃ

καὶ τοῦτο χρήσιμον πρός τι εἶναι. ἔστι γὰρ ὅτε δεῖ πρός τι.

Τὰ μὲν ἄλλα τῆς ῥήσεως δῆλα. περὶ δὲ τῆς ἀτμίδος εἰπεῖν χρή, πολὺ τὸ ἀσῶδες καὶ ἀνιαρὸν ἐχούσης, παροξυνούσης τε τῇ δυνάμει αὐτῆς αὐξήσει τῆς θερμασίας, καὶ τὴν κατὰ τὸν πνεύμονα στενοχωρίαν, ἣν ἐκ τῆς ὑγρᾶς ἀτμίδος πληρούμενος ἴσχει. μόναις οὖν ταῖς ξηραῖς καὶ ἀπύτοις πλευρίτισιν ἐπιτήδειός ἐστιν, ἡ τῆς ἀτμίδος εἰσπνοή, πλέον ἔχουσα τῆς βλάβης τὸ ὠφέλιμον. ἐνταῦθα μὲν οὖν ἐπιγέγραπται τὸ πρῶτον εἶδος τῆς πυριάσεως, ἐφεξῆς δὲ ἤδη τὸ δεύτερον μεταβαίνων ἐρεῖ.

Ἔπειτα δὲ καὶ κριθαὶ ἢ καὶ ὄροβοι ἐν ὄξει κεκραμένῳ σμικρῷ, ὀξυτέρῳ ἢ ὡς ἂν πίῃ τις, διέντα καὶ ἀναζέσαντα, εἰς μαρσύππια ἀποράψαντα προστιθέναι, καὶ πίτυρα τὸν αὐτὸν τρόπον.

Καὶ κριθὰς καὶ ὀρόβους οὐ τὰ σπέρματα κελεύει δι' ὄξους καὶ ὕδατος ἕψειν, ἀλλὰ κόψαντας πρότερον, δῆλον δὲ κἀκ τοῦ λέγειν διέντα. καὶ ἄλλως δ' ἄν τις ἐξ αὐτοῦ τοῦ πράγματος διδαχθείη, τοῦτο βούλεσθαι τὸν Ἱπποκράτην. καὶ γὰρ ὂν προσηνέστερον οὕτως ἔσται τὸ πυρίαμα καὶ δραστικώτερον. ἀμέλει καὶ πίτυρα κατὰ τὸν αὐτὸν δὴ τρόπον σκευάζειν κελεύει. δραστικωτέρα δὲ τῆς πρόσθεν, ἡ τοιαύτη πυρία τῇ τοῦ ὄξους γίνεται δυνάμει. εἰ δὲ δι' ὀρόβων σκευάζοιτο, καὶ οὗτοι συντελοῦσιν οὐ μικρόν, ἱκανὴ γὰρ ἡ δύναμις αὐτῶν, τέμνειν καὶ κατεργάζεσθαι καὶ διαφορῆσαι πάχος χυμῶν. διὸ καὶ παραληπτέον τὰς τοιαύτας πυρίας, ὑφ' ὧν ὑπονοοῦμεν παχεῖς ἢ γλίσχρους χυμοὺς ἠθροῖσθαι κατὰ τὸ φλεγμαῖνον μόριον. ἔσται δέ σοι δῆλον τοῦτο, ἔκ τε τῆς προηγησαμένης διαίτης εἰ τοιούτων χυμῶν εἴη γεννητική, κἀκ τῆς τοῦ κάμνοντος κράσεως, ὥρας τε καὶ χώρας καὶ ἡλικίας. ἔτι δὲ κἀκ τοῦ τὰς πραείας πυρίας, ὧν πρότερον ἐμνημόνευσε μηδὲν ἠνυκέναι. διορισάμενον γάρ σοι περὶ τοῦ κατὰ πᾶν τὸ σῶμα πλήθους, ὅταν μὴ φαίνηται μὲν τὰ τούτου γνωρίσματα, τὰ δὲ ἐπιεικῆ θερμάσματα μηδὲν ἀνύει, πάχος ἐστὶ χυμῶν, εἰς ἀτμοὺς καὶ πνεῦμα φυσῶδες λυόμενον, ὃ διέξοδον οὐκ ἔχον ἀνιᾷ. καὶ τοῦτ' οὖν αὐτό, καὶ τοὺς γεννῶντας αὐτὸ χυμοὺς αἱ εἰρημέναι πυρίαι διαλύουσι, καὶ μάλιστα ἡ διὰ τῶν ὀρόβων. ἀλλὰ καὶ περὶ τῆς ἐμμέτρου κράσεως τοῦ ὄξους πρὸς τὸ ὕδωρ ἐμνημόνευσε σαφέστατά τε ἅμα καὶ κάλλιστα, διελθὼν τὸν λόγον. οὕτω γὰρ αὐτὸ κεκρᾶσθαί φησι δεῖν, ὡς εἶναι μικρῷ ὀξύτερον, ἢ ὡς ἂν πίῃ τις, ὅπως ἀποχωρήσῃ μὲν τοῦ δριμυτέρου, διὰ τὸ δακνῶδες, ἀποστῇ δὲ καὶ τοῦ ὑδατωδεστέρου, διὰ τὸ ἄπρακτον. ὅσον μὲν οὖν ἐπιτμήσεως δεῖσθαι καὶ διαφορήσεως τοὺς παχυτέρους τε καὶ γλισχροτέρους χυμούς, ἐπιτηδειότερον ἂν εἴη τοῦ ὑδατώδους ὀξυκράτου τὸ δριμύτερον. ἐπεὶ δὲ οὐκ ἀνέχεται τὰ φλεγμαίνοντα τῶν τοιούτων φαρμάκων, διὰ τοῦτο μέσην ἀμφοτέρων τῶν ὑπερβολῶν τὴν κρᾶσιν αὐτοῦ πεποίηται. τοῦτό σοι καὶ τὸ δεύτερον εἶδος τῶν πυριάσεων ἐστὶν, ὧν ἐξ ἀρχῆς διείλομεν τριχῶς.

Ξηρῶν δὲ θερμασμάτων, ἅλες, κέγχροι πεφρυγμένοι ἐν ἐρινέοισι μαρσυππίοισιν ἐπιτηδειότατοι, καὶ γὰρ κοῦφον καὶ προσηνὲς ἡ κέγχρος.

Ἐπὶ τὸ τρίτον εἶδος τῶν πυριάσεων, ὧν ἐξ ἀρχῆς διείλομεν μετέβη, ἁλῶν, καὶ κέγχρων μνημονεύσας. ἔστι δὲ ἀμφοτέρων κοινὸν μὲν ἡ ξηρότης. ἴδιον μὲν τῶν ἁλῶν τὸ δακνῶδες, τῶν δὲ κέγχρων τὸ ἄδηκτον.

Μάλθαξις δὲ λύει ἡ τοιήδε, καὶ τὰς πρὸς κληῖδα περαιούσας ἀλγηδόνας.

Ἐκ τοῦ προσθεῖναι τόν, καὶ σύνδεσμον, ἐδήλωσεν ὅτι καὶ τὰς ἄλλας ὀδύνας λύει, τουτέστι τὰς πρὸς ὑποχόνδριον περαιούσας.

Τὸ μὴν μέντοι γε οὐχ ὁμοίως λύει ὀδύνην, ἢν μὴ πρὸς κληῖδα περαίνοιτο ἡ ὀδύνη.

Τὸ μὴν λέγει, δηλονότι τὴν τῆς φλεβός, ἣν οὐχ ὁμοίως εἰπὼν λύειν, συνεχώρησε καὶ αὐτὴν ὠφελεῖν. ἤδη πλέον δὲ περὶ τούτου τοῦ βοηθήματος ἐν τοῖς ἐφεξῆς γράφει.

Ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πολὺν χρόνον ἐκθερμαίνειν. ξηραντικὸν γὰρ τοῦ πνεύμονος τοῦτο, καὶ ἐμπυητικόν.

Ποικίλα θερμάσματα διελθών, τὰ μὲν ὑγρά, τὰ δὲ ξηρά, τὰ δὲ ἄδηκτα, τὰ δὲ δακνώδη, μετὰ τὴν ἐπ' ἐκείνων ἀπόπειραν, ἐὰν ὁ πόνος μὴ ὠφελῆται, κενώσει χρῆται παντὸς τοῦ σώματος, ἀφιστάμενος τῶν θερμασμάτων, ὡς καὶ τὸν πνεύμονα ξηραινόντων, καὶ τὸ καλούμενον ἐμπύημα ποιούντων. γίνεται γὰρ τοῦτο τῆς κατὰ τὴν πλευρὰν φλεγμονῆς μὴ διαφορηθείσης, ἀλλ' εἰς πύον μεταβαλλούσης, εἶτα τούτου συρρέοντος εἰς τὴν μεταξὺ θώρακός τε καὶ πνεύμονος χώραν.

Ἀλλ' ἢν μὲν σημαίνῃ ὀδύνη ἐς κληῖδα, ἢ ἐς τὸν βραχίονα βάρος, ἢ περὶ μαζόν, ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν ἀρήγει τὴν ἐν ἀγκῶνι φλέβα τὴν εἴσω, καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρέειν τὸ αἷμα ἕως ἂν ἐρυθρότερον πολλῷ ῥυῇ, ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πελιδνόν, ἀμφότερα γὰρ γίγνεται.

Κατὰ τὴν ῥοπὴν τῶν ἐργαζομένων χυμῶν τὴν φλεγμονήν, ποιεῖται τὰς κενώσεις. τὸ γὰρ ἀντία ἢ ῥέπει τῶν συμφερόντων χωρίων, ἀληθέστατον. συμβαίνει δὲ ἐνίοτε τοῦτο κατὰ τὴν διαφορὰν τῶν μερῶν τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. τὰ μὲν γὰρ ἀνωτέρω μέρη τοῦδε φλεγμαίνοντα, πρὸς τὴν κλεῖν καὶ τὸν βραχίονα καὶ τὸν μαστὸν ἐκτείνει τὴν συμπάθειαν. τὰ δὲ κάτω, πρὸς τὰς φρένας τε καὶ τὸ ὑποχόνδριον. ἄνω μὲν οὖν τῆς συμπαθείας διασημαινούσης, φλέβα χρὴ τέμνειν ἐν ἀγκῶνι τὴν μᾶλλόν τε καὶ θᾶττον ἀπὸ τοῦ πεπονθότος μορίου δυναμένην ἀντισπάσαι τε καὶ κενῶσαι τὸ αἷμα. κάτω δὲ διὰ καθάρσεως τὴν κένωσιν ποιεῖσθαι προσήκει. εὖ δὲ εἶπε βάρος γίγνεσθαι περὶ τὸν βραχίονα καὶ οὐ πόνον. τοῦ μὲν γὰρ ἐνταῦθα μᾶλλον ἠθροῖσθαι τὸ αἷμα καὶ ῥέπειν σημεῖον

μεῖον εἶναι τὸ βάρος ἐπὶ πλήθει γιγνόμενον. αἱ δὲ τάσεις καὶ κατὰ συμπάθειαν μόνην εἰώθασι γίγνεσθαι, τῶν συνεχῶν τοῖς φλεγμαίνουσι τεινομένων αὐτῷ τῷ πλεονάζειν ἐν αὐτοῖς τὸ αἷμα. διὰ τοῦτο οὖν αὐτὸ κενοῦν κελεύει τὸ πλεονάζον αἷμα, τέμνοντα φλέβα τὴν ἔνδον. εἰσὶ γὰρ ἔνδον ἐν τῇ κατ᾽ ἀγκῶνα διαρθρώσει πλείους φλέβες, ἃς τέμνειν εἰώθαμεν. εἴρηται δὲ περὶ αὐτῶν αὐτάρκως κατά τε τὸ τρίτον γράμμα τῶν ἀνατομικῶν ἐγχειρήσεων, κἀν τῇ τῶν φλεβῶν τε καὶ ἀρτηριῶν ἀνατομῇ καθ᾽ ἓν ἄλλο βιβλίον ἰδίᾳ γεγραμμένον. ἐπὶ κεφαλαίων δὲ καὶ νῦν ἀναγκαῖον εἰπεῖν, ἀπ᾽ ἀρχῆς ἀγαγόντας τὸν λόγον. ἡ κοίλη φλὲψ ἐκ τῶν κυρτῶν τοῦ ἥπατος ἐπὶ τὸ δεξιὸν οὖς τῆς καρδίας ἀναφέρουσα τὸ αἷμα, διανέμει μέν τι καὶ τοῖς μεταξὺ μορίοις ὀλίγον, αὐτῇ δὲ τῇ καρδίᾳ δίδωσι τὸ πλεῖστον. ἔπειτα ἐντεῦθεν ὡς ἐξ ἀρχῆς ὥρμητο κατ᾽ εὐθὺ φερομένη πρὸς τὸν τράχηλον, εἰς ὀρθίας σχίζεται περὶ τὸ τοῦ θώρακος μέρος δύο φλέβας μεγάλας, ἃς ὀνομάζουσι σφαγίτιδας, ἀποφύσεις δὲ αὐτῆς πρὶν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι, μεγάλων μὲν φλεβῶν εἰς τὸ διάφραγμα, σμικρῶν δὲ εἰς τὸ τοῦ θώρακος αὐτοῦ κάτω μέρος τῶν ὀκτὼ πλευρῶν, ὃ ὑπὸ μιᾶς ἀζύγου τρέφεται φλεβός, ἐπὶ μὲν ἐνίων ζώων ἀνωτέρω τῆς καρδίας ἀποφυομένης, ἐπ᾽ ἐνίων δὲ ὥσπερ καὶ ἐπ᾽ ἀνθρώπων, καθ᾽ ὃ μέρος ἤδη ψαύει τῆς καρδίας ἡ κοίλη φλέψ. ἐντεῦθεν γὰρ ἀποφυομένη, ταπεινοτέρα φέρεται διὰ τῆς καρδίας ἐπὶ τὴν ῥάχιν κατακαμπτομένη. αὕτη μὲν οὖν ἡ φλὲψ εἰς τὰ κάτω μέρη τοῦ θώρακος μερίζεται ταῖς ὀκτὼ πλευραῖς ἑκατέρωθεν ἄχρι τοῦ διαφράγματος. αἱ δ᾽ ὑπόλοιποι τοῦ θώρακος ὑψηλαὶ πλευραὶ τέσσαρες, ὑπὸ συζυγίας ἄλλης τρέφονται φλεβῶν, ἀποφυομένων τῆς κοίλης, πρὶν εἰς τὰς σφαγίτιδας σχισθῆναι. τούτων οὖν τῶν δύο φλεβῶν ἀκολούθως ἐφεξῆς εἰσιν αἱ εἰς τὰς χεῖρας ἀφικνούμεναι διὰ τῶν μασχαλῶν. αἱ δ᾽ ὠμιαῖαι καλούμεναι μετὰ τὸ σχισθῆναι εἰς σφαγίτιδας τὴν κοίλην, ἀφ᾽ ἑκατέρας μία πεφύκασιν, ἐκτὸς ἤδη τοῦ θώρακος. ἔχουσι δὲ τὰς ῥίζας κοινάς, ταῖς ἐπιπολαίοις σφαγίτισιν. ἀπὸ μὲν οὖν τῶν ἐπιπολῆς σφαγιτίδων τὰ ἐπιπολῆς σχεδὸν ἅπαντα μόρια τὰ περὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν τρέφεται, καθάπερ γε καὶ τὰ διὰ βάθους ἀπὸ τῶν διὰ βάθους σφαγιτίδων πάντα. τὰ δὲ περὶ τὰς ὠμοπλάτας τε καὶ τὸν ἐν τῷ τραχήλῳ νωτιαῖον ἐκ τῶν κάτω μερῶν τῆς εἰρημένης ῥίζης κοινῆς, ἔχει τὰς φλέβας ἀνερχομένας ἐπ᾽ αὐτά. λέγω δὲ κοινὴν ῥίζαν, ἣν ἀρτίως εἶπον εἶναι ταῖς τε ἐπιπολαίοις σφαγίτισι καὶ ταῖς ὠμιαίαις. εἰκότως οὖν ἡ μὲν ὠμιαία τὰ τῆς κλειδὸς ἄνωθεν μέρη κενοῖ, θᾶττόν τε καὶ μᾶλλον, ὅσα περὶ τράχηλόν τέ ἐστι καὶ κεφαλήν. ἡ δὲ διὰ τῆς μασχάλης, τὰ κατὰ τὸν θώρακα, καὶ τούτων αὐτῶν μᾶλλον τὰ ὑψηλὰ καὶ μάλιστα ἐπὶ τῶν ἀνθρώπων, ἐπειδὴ τὰ ταπεινὰ πάντα μία φλὲψ ἑτέρα τρέφει, κατωτέρω τῆς καρδίας ἀποφυομένη τῆς κοίλης φλεβός. ταύτης δὲ τῆς τὰ ταπεινὰ τοῦ θώρακος τρεφούσης, παρὰ τὰς ῥίζας τῶν πλευρῶν καταύτους φερομένης ἐκ τῶν ἀριστερῶν μερῶν ἄχρι τοῦ διαφράγματος, αἱ καθ᾽ ἕκαστον μεσοπλεύριον ἀριστερόν τε καὶ δεξιὸν ἀπονεμήσεις γίγνονται. καὶ μέντοι καὶ τὸ λείψανον αὐτῆς διεκπίπτει πρὸς τὸ διάφραγμα τοῖς πρώτοις μετ᾽ αὐτὸ διανεμόμενον σώμασιν. αἱ δὲ διὰ τῶν μασχαλῶν ἐπὶ τὰς χεῖρας φερόμεναι, τὰς ῥίζας ἔχουσιν ἐγγυτάτω ταῖς τρεφούσαις φλεψὶ τὰς ὑψηλὰς τοῦ θώρακος τέτταρας πλευράς, οὐκ ὀλίγῳ μείζους οὖσαι τῶν κατὰ τὸν ὦμον εἰς τὰς χεῖρας ἡκουσῶν. ἐπιβαίνουσι δὲ περὶ τὴν ἔνδον χώραν ἑκατέρου βραχίονος. φέρονται δὲ δι᾽ αὐτῶν καταυτεῖς, ἀπονεμήσεις μεγάλας διδοῦσαι τοῖς ἐνταῦθα μυσίν. ἐπειδὰν δὲ πλησίον ἑκατέρα γένηται τῆς κατ᾽ ἀγκῶνα διαρθρώσεως, ἀποφύει τὰς ἔνδον τοῦ βραχίονος φλέβας, παρὰ τὸν ἐνταῦθα κόνδυλον αὐτοῦ τοῦ πήχεος ὀστοῦ. τῷ δ᾽ ἄλλῳ παντὶ δίχα σχισθέντι, φέρεται διὰ τῆς κατ᾽ ἀγκῶνα καμπῆς, ἐπιπολῆς μὲν ἐργαζομένη τὴν τεμνομένην ἐνταῦθα φλέβα, διὰ βάθους δὲ πολλοῦ τὴν κατασχιζομένην τῇ ἀρτηρίᾳ. τέμνεται δὲ καὶ ἄλλη φλὲψ ἡ ἐν ἀγκῶνι λοξὴ καθάπερ ἤδη καθ᾽ ἑκατέραν χεῖρα μία τῆς ὠμιαίας οὐ σμικρὸν μόριον. διεξελθοῦσα γὰρ αὕτη κατὰ τὸν βραχίονα περιφανὴς ὑπὸ τῷ δέρματι, σχίζεται καὶ αὕτη περὶ τὴν ἐν ἀγκῶνι διάρθρωσιν ἐν τοῖς ὑψηλοτάτοις μέρεσιν αὐτῆς, ἐσχηματισμένης δηλονότι τῆς χειρός, ὡς Ἱπποκράτης ἐδίδαξεν ἐν τῷ περὶ ἀγμῶν. ὅσον μὲν οὖν μετὰ τὴν σχίσιν αὐτῆς ὑψηλὸν μέρος ἐπὶ τὰ τοῦ πήχεος ἐκτὸς φέρεται, τοῦτο παρὰ τὴν σχίσιν αὐτὴν τέμνεται, κατ᾽ εὐθὺ μάλιστα κείμενον τῇ πρώτῃ ῥίζῃ τῆς φλεβός. διὸ καὶ τάχιστα κενοῖ τὰ τῶν κλειδῶν ὑψηλότερα χωρία. τὸ δ᾽ εἰς τὴν καμπὴν φερόμενον λοξόν, ἧττον μὲν τοῦδε, μᾶλλον δὲ τῶν ἄλλων κενοῖ ταῦτα. τὸ δὲ ἀπὸ τῆς ἔνδον τῆς μεγάλης φερόμενον καὶ αὐτὸ λοξόν, ἥκιστα μὲν τὰ προειρημένα κενοῖ μόρια, μάλιστα δὲ τὰ τοῦ θώρακος ἄνω. ταύτην οὖν ἀξιοῖ τέμνειν, πρὶν εἰς ταυτὸν ἀφικέσθαι καὶ συμφῦναι τῇ τῆς ὠμιαίας ἀπεσχισμένῃ. μὴ φαινομένης δ᾽ ἐνίοτε ταύτης, ἀντ᾽ αὐτῆς τέμνομεν τινὰ τῶν ἔνδον, ἃς ἐπὶ τὸ τοῦ πήχεος ὀστοῦν κατ᾽ ἴξιν καταφέρεσθαι μεμαθήκαμεν. μὴ φαινομένων δὲ μηδὲ τούτων, ἐπὶ τὴν γιγνομένην ἐκ τῆς συμφύσεως τῶν εἰρημένων δύο φλεβῶν τῶν λοξῶν ἀφικνούμεθα. δυναμένης δέ ποτε καὶ ταύτης μὴ φαίνεσθαι, τῆς δ᾽ ὠμιαίας φαινομένης, καὶ ἐκείνην τέμνε, γινώσκων τὰς κενώσεις ὅθεν ἂν γένωνται, ἀναδιδομένας μὲν εἰς τὸ σῶμα τῶν ζώων ὅλον, οὐ μὴν οὔτε ταχέως, οὔθ᾽ ὁμοίως ἐξ ἁπάσης φλεβός. ἡμεῖς δὲ καὶ ταχέως καὶ μᾶλλον τῶν ἄλλων μορίων, κενῶσαι σπεύδομεν τὸ φλεγμαῖνον, καὶ μάλιστ᾽ ἐπὶ τῶν ὀξέων νοσημάτων, ὅπερ ἡ ἔσω φλὲψ ἡ ἐν ἀγκῶνι ποιεῖ, καὶ πολὺ μᾶλλον, ὅταν τὴν ῥοπὴν ἄνω τὸ πλεονάζον αἷμα φαίνηται ποιούμενον, ἢ καὶ τὰ τοῦ θώρακος ἐστὶν ὑψηλὰ πεπονθότα. τηνικαῦτα γάρ τοι τὸ βάρος μᾶλλον ἐν βραχίονι γίγνεται, καὶ κατὰ τὸν μαστόν. αἱ δ᾽ ἐν τοῖς κάτω μέρεσι τοῦ θώρακος φλεγμοναὶ πλησίον οὖσαι τοῦ διαφράγματος, εἰς ὑποχόνδριον εἰκότως διαπέμπουσι τὰς ὀδύνας. οὐκοῦν αὐτὰς ὀνίνησι μεγάλως ἡ ἀπ᾽ ἀγκῶνος κένωσις, ἐν τῷ μεταξὺ τῆς καρδίας κειμένης. ἤκουσας γὰρ ἄρτι τὴν τὰ κάτω τοῦ θώρακος τρέφουσαν φλέβα κατωτέρω τῆς καρδίας ἀποφύεσθαι. ταῦτα μὲν εἴρηταί μοι περὶ τοῦ καλῶς ὑπ᾽ αὐτοῦ γεγράφθαι, τέμνειν τὴν φλέβα τὴν ἐν ἀγκῶνι τὴν εἴσω. τῆς δὲ κενώσεως τοῦ αἵματος ὅρον αὐτοῦ θεμένου, τὴν μεταβολὴν τῆς χροιᾶς, ἐφεξῆς ἂν εἴη καὶ περὶ τοῦδε ῥητέον. ὅσον μὲν οὖν ἐν τῇ φλεγμονῇ αἷμά ἐστι, τοῦτο διὰ τὸ πλῆθος τῆς θερμασίας ὑπαλλάττεται τῇ χροιᾷ. τὸ δ᾽ ἄλλο παραπλήσιον ἐν ἅπασι τοῖς μορίοις διαμένει, ὥστε τοῦ μὲν ἐν ὅλῳ τῷ σώματι φλεγματικωτέρου τυγχάνοντος, ἐρυθρότερον ἔσται τὸ κατὰ τὴν φλεγμαίνουσαν πλευράν. ἐκείνου δ᾽ ὄντος ἐρυθροῦ, κατοπτώμενον τοῦτο πρὸς τὸ μέλαν ἐκτραπήσεται. τῆς δ᾽ εἰς τὸ μέλαν ἐξ ἐρυθροῦ μεταβολῆς ἐν τῷ μεταξὺ τὸ πελιδνόν ἐστι, σημεῖον οὖν ἱκανόν ἐστι τῆς

ἐκ τοῦ φλεγμαίνοντος μέρους μεταλήψεως τοῦ αἵματος, ἢ τῆς χροιᾶς ὑπαλλαγή. τὸ γὰρ ὂν οἰκεῖον τῷ πάθει μέτρον τῆς κενώσεως εὕρηται. τῆς δυνάμεως δέ ποτε κωλυούσης ἄχρι τοσούτου κενοῦν, εἰδέναι γὰρ χρὴ τὴν ὠφέλειαν ἥττονα ἐσομένην τῷ φλεγμαίνοντι μορίῳ, μᾶλλον δὲ ἀπέχεσθαι προσήκει τοῦ καταλύσαι τὴν δύναμιν, ἢ τοῦ κενῶσαι τὸ πλεονάζον αἷμα.

Ἢν δὲ ὑπὸ τὰς φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῗδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ. μέλανι μὲν δαῦκον, ἢ σέσελι, ἢ κύμινον ἢ ἄνισον, ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ ὀπὸν σιλφίου. ἀτὰρ καὶ τὰ μισγόμενα ἀλλήλοισιν, ὁμοιότροπα ταῦτα ἐστίν, ἄγει δὲ μέλας μὲν, καλλίω καὶ κρισιμώτερα πεπλίου. πέπλιον δὲ μέλανος μᾶλλον φυσέων καταῤῥηκτικώτερόν ἐστιν, ἄμφω δὲ ταῦτα ὀδύνην παύει. παύει δὲ καὶ ἄλλα πολλὰ τῶν ὑπηλάτων. κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδα ἐστίν. ἐπεὶ καὶ τὰ ἐν τοῖσι ῥοφήμασι διδόμενα ὑπήλατα ἀρήγει, ὁκόσα μὴ ἄγαν ἐστὶν ἀηδέα λύγης, ἢ διὰ πικρότητα, ἢ δι' ἄλλην τινὰ ἀηδίην, ἢ διὰ πλῆθος, ἢ χροιὴν, ἢ ὑποψίην τινά.

Ὅτι τὰ καθαρτικὰ φάρμακα διὰ τῆς πείρας εὑρίσκεται, τίνα τε καθαίρει χυμὸν, καὶ εἰ ὅλως καθαίρει, μεμάθηκας ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ὅτι μέντοι χρεία καθάρσεως ἐστίν, εἰ ῥέπουσιν οἱ πλεονάζοντες χυμοὶ κάτω, καὶ τῷ λόγῳ μὲν ἐπινοήθη, τὴν μαρτυρίαν δὲ καὶ βεβαίωσιν, ἐκ τῆς πείρας ἔχει. αὐτὸς οὖν ὁ Ἱπποκράτης ἐδίδαξέ σε τὰς δυνάμεις ὧν δίδωσι φαρμάκων ἐν τοῖς πρώτοις πάθεσι, τὸν μέλανα ἐλλέβορον ἐκκενοῦν εἰπὼν κρισιμώτερα. τὸ δὲ πέπλιον, φυσῶν εἶναι καταῤῥηκτικώτερον. εἴη δ' ἂν αὐτῷ κρισιμώτερα λεγόμενα, τὰ μᾶλλον κρίσιν ποιοῦντα τοῦ νοσήματος, ὅπερ ἐστὶ δυνάμει ταυτὸν τῷ ὠφελιμώτερα. ἁπάντων δὲ τῶν καθαιρόντων φαρμάκων κακούντων τὴν γαστέρα, καὶ μάλιστα ταύτης τὸ στόμα, διότι νευρωδέστατόν τε καὶ αἰσθητικώτατόν ἐστιν, ἡ μίξις ἐπινοήθη τῶν εὐωδῶν, ὅπως μὴ μόνη, μηδ' ἀκραιφνὴς ἡ δύναμις τῶν καθαιρόντων φαρμάκων ἅπτηται τοῦ στόματος τῆς γαστρός. μιγνύμενα δ' ἀλλήλοις τὸ πέπλιον καὶ τὸ ἐλλέβορον, ὁμοιότροπα φησὶν εἶναι, τουτέστιν ὁμολογεῖν ταῖς δυνάμεσι, καὶ κατὰ μηδὲν στασιάζειν. ἡ γάρ τοι στάσις ἐν ταῖς μίξεσι τῶν καθαιρόντων γίνεται φαρμάκων, οὐχ ὅταν αὐτῶν τὸ μὲν χολῆς εἰ τύχῃ, τὸ δὲ φλέγματος ᾖ κενωτικόν. ἀμφότερα γὰρ κενοῦσθαι δύναται κατὰ τὸν αὐτὸν χρόνον, ἀλλ' ὅταν τὸ μὲν εὐθέως, τὸ δὲ μετὰ πολὺ τῆς προσφορᾶς πέφυκε κινεῖν τὴν κάθαρσιν. ἀνώμαλος γὰρ οὕτως ἡ κένωσις γίγνεται προσενεχθέντων ἅμα. λέγω δὲ ἀνώμαλον, ὅταν ἤδη παύεσθαι δοκούσης, ἀρχὴ πάλιν ἑτέρας κενώσεως γίνεται. τὸ γάρ τοι θᾶττον εἰωθὸς καθαίρειν φάρμακον συνεκκενοῖ τι καὶ ἐκ θατέρου ὥστ' ὀλίγον αὐτοῦ καταλειπόμενον, ἀσθενέστερον γιγνόμενον, ἔτι καὶ μᾶλλον ὀψιαίτερον τῆς οἰκείας καθάρσεως ἄρχεται. τῇ γοῦν προθεσμίᾳ τῆς κενώσεως, ὁμοιότροπόν ἐστι τῷ ἐλλεβόρῳ τὸ πέπλιον, ὑπάγειν τε καὶ αὐτὸ πέφυκε παραπλησίως ἐλλεβόρῳ μέλανα χυμόν. τὰ δ' ἄλλα καὶ τῆσδε τῆς ῥήσεως, καὶ τῶν ἐφεξῆς δῆλα. γινώσκειν μὲν οὖν αὐτὰ χρὴ καὶ μεμνῆσθαι, χρῆσθαι δ' οὐ διὰ παντὸς οὐδὲ τῶν πλευριτικῶν, ἀναμιμνησκομένους ἐκείνου τοῦ ἀφορισμοῦ καθ' ὃν φησιν ἐν τοῖς ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχαῖς χρηστέον εἶναι ταῖς φαρμακείαις. ὅταν οὖν φησὶ μὴ μόνον ὀξὺ τὸ πάθος ᾖ, καθάπερ ἐστὶν ἡ πλευρῖτις, ἀλλὰ καὶ μετὰ πυρετοῦ σφοδροτάτου, πολλῷ μᾶλλον εὐλαβητέον ἐστὶ τὴν δόσιν τοῦ καθαίροντος φαρμάκου, καὶ διὰ φλεβοτομίαν κενωτέον μᾶλλον, εἰ καὶ πρὸς ὑποχόνδριον ἐστὶν ἡ ὀδύνη τεραινομένη, μικροτέρας γὰρ ὠφελείας ἢ τῆς διὰ καθάρσεως ἑπομένης, ἀσφαλεστέρας δὲ μακρῷ, μᾶλλον δὲ κίνδυνον μὲν οὐδ' ὁντινοῦν τῆς διὰ φλεβοτομίας ἐχούσης, μεγίσταις δὲ ἀποτυχίαις τῆς διὰ καθάρσεως περιπιπτούσης, καὶ μάλιστα ὅταν ἀπείρως τις ἔχει τῆς τοῦ κάμνοντος φύσεως. ἔνιοι μὲν γάρ εἰσι φύσει δυσκάθαρτοι, τινὲς δ' ἐπὶ βραχεῖ φαρμάκου πόσει δαψιλῶς καθαίρονται. ὅσοις δ' εὔλογον ἐστὶ διδόναι, τὸ πλῆθος τοῦ φαρμάκου τοσοῦτον ἴσω, ὅσον ἤδη τοὺς πλείστων οἶδα, καὶ πεπείρασαι συμμέτρως κενοῦν. ἀγνοοῦντα δ' ὅπως ἔχει φύσεως ὁ ἄνθρωπος, κίνδυνος ἢ πλείονα κένωσιν ἐργάσασθαι τῆς προσηκούσης, ἢ οὐδ' ὅλως κινῆσαι τὴν κάθαρσιν, ἢ κινῆσαι μὲν οὐ μὴν ἱκανῶς κεκενῶσθαι. ταῦτα δὲ πάντα, μεγίστας βλάβας φέρει τοῖς ὀξέως νοσοῦσιν, οὐχ ὥσπερ ἐπὶ τῶν ἀπυρέτων ἐπανορθοῦται ῥᾳδίως. ὅταν οὖν ὁ πυρετὸς ᾖ μὴ σφοδρὸς, ἔμπειρός τε ᾖς τῆς τοῦ κάμνοντος φύσεως, εἰς τὴν τοῦ καθαίροντος φαρμάκου δόσιν ἀφίξει, χρώμενος ἤτοι τοῖς ὑπὸ Ἱπποκράτους εἰρημένοις, ἢ καί τισιν ἄλλοις τῶν ὁμοιοτρόπων, ὧν ἐστὶ καὶ τὸ διὰ τῆς κολοκυνθίδος, ἱερὰν δ' αὐτὴν ἤδη συνήθως ὀνομάζουσι. ποικίλως δ' αὐτῆς σκευαζομένης, ἡ τὸν ἐλλέβορον μὲν εἰληφυῖα, τὴν σκαμμωνίαν δ' οὐκ ἔχουσα, κάλλιστόν ἐστι φάρμακον, ἐπὶ τῶν δυναμένων ὅλως λαβεῖν φάρμακον ὑπήλατον.

Τὴν μέντοι πτισσάνην ὁκόταν πίῃ τὸ φάρμακον, ἐπιῤῥοφεῖν αὐτίκα χρὴ διδόναι, μηδὲν ἔλασσον ἀξίως λόγου, ἢ ὁκόσον εἴθισται.

Καὶ ἄλλως μὲν χρὴ προνοεῖσθαι τοῦ στόματος τῆς γαστρός. ὃ δὲ καὶ στόμαχον ὀνομάζουσιν, ὡς διαμένειν ἀβλαβὲς ἐν ταῖς τῶν καθαιρόντων φαρμάκων πόσεσιν, μάλιστα δ' ὅταν ἐπὶ τῶν πυρεττόντων δίδοται τι τοιοῦτον, μία δὲ τῆς μὴ βλαβῆναι φυλακὴ, τὸ, μὴ μόνον εἶναι τὸ καθαῖρον φάρμακον, ἄκρατόν τε καὶ ἄμικτον ἑτέρων τῶν ἀμβλυνόντων αὐτοῦ τὴν κακίαν πεφυκότων. ἐναντία γάρ ἐστιν ἡ φύσις ἁπάντων τῶν καθαιρόντων φαρμάκων ταῖς τῶν καθαιρομένων σωμάτων, καὶ ὡς ἂν εἴποι τις ὀλέθριός τε καὶ δηλητήριος αὐτῶν. ὥσπερ δὲ ὀποῦ μήκωνος μανδραγόρου τε καὶ ὑοσκυάμου, καὶ ἄλλων πολλῶν τοιούτων φαρμάκων ἐναντίων ταῖς τε οὐσίαις καὶ ταῖς δυνάμεσιν ὄντων ἡμῶν, καὶ φθείρειν πεφυκότων τὰ σώματα, βραχύ τι μέρος λαμβανόντες ἀπολαύομεν ἐξ αὐτῶν μεγάλας ὠφελείας, οὕτω καὶ τῶν καθαρτικῶν ἐναντίας οὔσης τῆς φύσεως τῇ τῶν ἡμετέρων σωμάτων, ὀλίγον τι τῆς οὐσίας μέρος ἀποτεμνόμενοι πρὸς ὠφέλειαν χρώμεθα. καθάπερ δὲ ἐν αὐτῷ τῷ πίνειν αὐτὰ, μίγνυταί τινα τῶν εὐωδῶν σπερμάτων,

ἃ καὶ

ἃ καὶ τὴν κακίαν πέφυκεν ἀμβλύνειν, καὶ τὴν ἐνέργειαν αὐτῶν μὴ κωλύειν, λεπτυντικῆς τε καὶ τμητικῆς ὄντα δυνάμεως, ὡς καὶ τοὺς παχεῖς χυμοὺς τέμνεσθαι, καὶ τὰς ὁδοὺς αὐτῶν δι' ὧν ἐκκενοῦνται διοίγειν τε καὶ ἀναστομοῦν, οὕτω γε μετὰ τὸ λυφθῆναι συμφέρει τῆς πτισάνης ἐπιρροφεῖν. αὐτὸ μὲν γὰρ τὸ καθαρτικὸν φάρμακον, ὡς ἂν ὀλίγον ὄν, εἰς τὸν πυθμένα τῆς κοιλίας ἀφικνεῖται. κατὰ δὲ τὴν δίοδον ὁ στόμαχος, ὅσον τε ὑψηλότερον τῆς γαστρὸς, οὐ μόνον τῆς ποιότητος τοῦ καθαίροντος φαρμάκου, ἀλλὰ καὶ τῆς οὐσίας προσιζούσης ἐν τῇ διόδῳ μεταλαμβάνων, μεγάλως βλάπτεται, χρήσιμος οὖν ὁ χυλὸς τῆς πτισάνης ἐπιρροφούμενος, ὡς ἂν ἀπορρύψαι μὲν καὶ κατασύραι κάτω τὸ προσπεπλασμένον ἐν τῇ διόδῳ δυνάμενος, ἐπικεράσαι δὲ γε ὑπαλλάξαι τὴν ἐνιζηκυῖαν τοῖς μορίοις ποιότητα τοῦ φαρμάκου. διὰ ταῦτα μὲν οὖν ἐπὶ τῇ τοῦ καθαρτικοῦ πόσει κελεύει πτισάνης ἐπιρροφεῖν. ἀρξαμένης δὲ γίνεσθαι τῆς καθάρσεως, οὐκέτι βούλεται δίδοσθαι τῆς πτισάνης, εὐλαβούμενος ἐκλυθῆναι τὴν ἐνέργειαν τοῦ καθαίροντος φαρμάκου· καὶ διὰ τοῦτο φησίν,

Ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ, μεσηγὺ τῆς καθάρσεως μὴ διδόναι ῥοφεῖν. ὅταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥοφεέτω, ἢ ὁκόσον εἴθισται. μετὰ δὲ τοῦτο ἀναγέτω ἀεὶ ἐπὶ τὸ πλέον, ἤν ἥ τε ὀδύνη πεπαυμένη ἔῃ, καὶ μηδὲν ἄλλο ἐναντιῶται.

Ἐναντίως ἐγίνωσκε περὶ τούτου τοῖς πολλοῖς τῶν νῦν ἰατρῶν ὁ Ἱπποκράτης. οὗτοι μὲν γὰρ ὅταν κενώσωσι, τρέφουσι δαψιλῶς, ὁ δ' Ἱπποκράτης ἔλασσον ἀξιοῖ δίδοσθαι τῆς πτισάνης μετὰ τὴν κάθαρσιν. ἡ γάρ τοι τῶν καθαρθέντων σωμάτων δύναμις ἐν τῇ καθάρσει κεκμηκυῖα, φέρειν οὐ δύναται τὴν τροφὴν, οὐδὲ κατεργάζεσθαι καλῶς, εἰ μὴ παντελῶς εἴη βραχεῖα. τοσοῦτον οὖν τοῖς καθαρθεῖσι διδόναι τοῦ χυλοῦ χρὴ τὴν πρώτην, ὅσον κρατῆσαι δύνανται, εἶτ' εὐθὺς κατὰ βραχὺ προσαυξάνειν, ἐὰν ἥ τ' ὀδύνη φησὶ παύσηται, καὶ μηδὲν ἄλλο κωλύῃ. τὸ μὲν οὖν τῆς ὀδύνης, πρόδηλόν ἐστι· τὸ μηδὲν ἄλλο κωλύειν, ἀκουστέον ἐπὶ τοὺς προειρημένους διορισμοὺς ἀναφέροντα, ἐν οἷς ἐδίδαξεν ὁπηνίκα χρὴ διαιτᾶν τοὺς ὀξέως νοσοῦντας ἄνευ ῥοφημάτων. ἔστι δ' αὐτῶν τὸ κεφάλαιον ὅταν ἤτοι προκριθήσεσθαι τὴν νόσον ἐλπίζωμεν ἄνευ τοῦ δεηθῆναι ῥοφήματος, ἢ ἐφ' ὧν παντελής ἐστιν ἡ ἀπεψία τοῦ κατὰ τὴν φλεγμονὴν χυμοῦ.

Αὐτὸς δέ μοι λόγος ἐστὶ, καὶ ἢν χυλῷ δέῃ, πτισάνης χρέεσθαι.

Παραπλήσιον τῇ τε πτισάνῃ καὶ τῷ χυλῷ τὸν καιρὸν τῆς δόσεως ἔφησεν εἶναι, καὶ διὰ τῶν ἔμπροσθεν ἐν ἑνὶ μόνῳ τὴν διαφορὰν αὐτῶν ἀφορισάμενος, τῷ τὴν ἀρχὴν τῆς δόσεως ἀπὸ τοῦ χυλοῦ ποιεῖσθαι.

Φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι τὸ ἐπίπαν ῥοφεῖν, μᾶλλον ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος, ἢ τριταῖον, ἢ τεταρταῖον, ἢ πεμπταῖον, ἢ ἑκταῖον, ἢ ἑβδομαῖον, ἤ γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τουτέῳ τῷ χρόνῳ.

Ὁ κατὰ τοὺς ἀφορισμοὺς ἔγραψε τούτῳ καὶ νῦν ἀκολουθεῖ, βουλόμενος ἐν πάσῃ νόσῳ τὸ λεπτότατον τῆς διαίτης ἐν τῇ τοῦ νοσήματος ἀκμῇ παραλαμβάνεσθαι. ἐὰν οὖν αὕτη τῇ πέμπτῃ τῶν ἡμερῶν μέλλῃ γίνεσθαι, καὶ μὴ δύνηται τοῖς πόμασι μόνοις χρώμενος ὁ κάμνων ἐξαρκέσαι, βέλτιον εἶναι φησὶν εὐθέως ἀπ' ἀρχῆς αὐτῷ δίδοσθαι τῆς πτισάνης, οὐ κατὰ τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν ἄρξασθαι τῆς δόσεως. οὕτως οὖν καὶ τοὺς ἐν τῇ ε. τῶν ἡμερῶν, ἢ τῇ ς. ἢ τῇ ζ. τοῦ ῥοφήματος ἀρχομένους ἁμαρτάνειν φησὶν, ἐάν γε μὴ τύχῃ προκριθὲν ἐν τούτῳ τῷ χρόνῳ τὸ νόσημα. τῆς κρίσεως ὡς ἔφην ἀκουομένης, οὐ μόνον τῆς τελείας ἀπαλλαγῆς, ἀλλὰ καὶ τῆς ἀξιολόγου μεταβολῆς.

Αἱ δὲ προπαρασκευαὶ γε τούτοισι παραπλήσιοι ποιητέαι ὁκοῖαι πρὸ εἴρηνται, περὶ μὲν τοῦ ῥοφήματος προσάρσιος οὕτως γινώσκω.

Καὶ οἷς ἀπ' ἀρχῆς μέλλεις διδόναι τὸ ῥόφημα, τὴν προπαρασκευὴν ὁμοίως ἀξιοῖ γενέσθαι, τουτέστιν εἴ τε φλεβοτομίας δέοι, εἴτε κλύσματος, ἢ βαλανοῦ χρῆσις, ἐκεῖνο πράττειν κελεύει πρότερον.

Αὐτὰρ καὶ περὶ ποτοῦ, ὁκοῖον ἄν τις μέλλῃ πίνειν τῶν γραφησομένων, ωὑτός μοι λόγος τὸ ἐπίπαν ἐστί.

Κἂν χωρὶς πτισάνης ἐπὶ τῶν πομάτων μόνων διαιτῷης τὸν κάμνοντα, τὰς εἰρημένας προπαρασκευὰς ἀξιοῖ ποιεῖσθαί σε, τουτέστιν ἢ φλεβοτομεῖν, ἢ κλύζειν, ἢ βαλάνῳ χρῆσθαι.

Οἶδα δὲ καὶ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιέοντας. βούλονται γὰρ ἅπαντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους, ἢ δύο, ἢ τρεῖς ἡμέρας, ἢ καὶ πλείονας οὕτω προσφέρειν τὰ ῥοφήματα, καὶ τὰ ποτὰ, καὶ ἴσως τι καὶ εἰκὸς δοκέει αὐτέοισιν εἶναι, μεγάλης τῆς μεταβολῆς γιγνομένης τῷ σώματι, μέγα τι κάρτα καὶ ἀντιμεταβάλλειν. τὸ δὲ μεταβάλλειν μὲν, εὖ ἔχει μὴ ὀλίγον. ὀρθῶς μέντοι μεταβιβαστέη καὶ ἡ μεταβολὴ, καὶ ἔκ γε τῆς μεταβολῆς ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλλον.

Μέμφεται τοὺς ἰατροὺς, ὅσοι ταῖς πρώταις ἡμέραις ἐν ἀσιτίᾳ παντελεῖ φυλάξαντες τοὺς κάμνοντας, ἀθρόως μετάγουσιν ἔνιοι μὲν ἐπὶ τὴν τῶν ῥοφημάτων προσφορὰν, ἔνιοι δὲ ἐπὶ τὴν τῶν ποτῶν, οὐ μὴν ἐμνημόνευσέ γε τῶν ἔτι καὶ τούτων αὐτῶν τροφὰς ἰσχυροτέρας διδόντων πρὸ τοῦ πεφθῆναι τὴν νόσον. εἴωθε γὰρ ὥσπερ καὶ πρόσθεν ἔφην, ἐνίοτε τὰ μέγιστα τῶν ἁμαρτημάτων ἀνεξέλεγκτα καταλείπειν, ἐξ ὧν τὰ μικρότερα διέβαλλε, καὶ τὴν

ἀπ' ἐκείνων ἐνδεικνύμενος βλάβην. ὅσοι δ' οὕτω μεταβάλλουσιν, ἴσως οἴονταί φησι κατὰ λόγον μεταβάλλειν, ἐπὶ μεγάλῃ τῇ τοῦ σώματος μεταβολῇ, ἀξιόλογον καὶ τὴν τῆς διαίτης ὑπαλλαγὴν ποιούμενοι. τοῦτο μὲν οὖν αὐτὸ καλῶς ὑπειληφέναι φησὶν αὐτούς, οὐ μὴν ἅπασάν γε μεταβολὴν, ἀλλά τινα οἰητέον εἶναι, περὶ ἧς τὸ μέντοι προείρηκε, τὸ δέ τι καὶ λέξει, κατασκευάζων τῷ λόγῳ φυλάττεσθαι τὰς ἀθρόας μεταβολάς.

Μάλιστα μὲν οὖν βλάπτοιντο ἂν, εἰ μὴ ὀρθῶς μεταβάλλοιεν οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεόμενοι. βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι, ἥκιστα δὲ οὗτοι.

Τὴν εἰρημένην ὀλίγον ἔμπροσθεν ἀθρόαν μεταβολὴν τῆς διαίτης, καθ' ἣν ταῖς πρώταις ἡμέραις ἐν ἀσιτίᾳ παντελεῖ φυλάξαντες τοὺς κάμνοντας, ἄρχονται τρέφειν περὶ τετάρτην ἡμέραν, μάλιστα μὲν βλάπτειν φησὶν, ἐὰν ἐπὶ τὴν ὅλην πτισάνην μεταβάλλωσιν, ἔλαττον δ' ὅταν ἐπὶ τὸν χυλόν. ἥκιστα δὲ τουτέστιν ἐλάχιστα βλάπτειν, τοὺς ἐπὶ μόνα τὰ ποτὰ παραγινομένους. κατὰ γὰρ τὸ μέγεθος τῆς δυνάμεως τοῦ προσφερομένου, καὶ τὸ τῆς βλάβης γίνεται μέγεθος.

Χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων οἷα ξυμφέρει. εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνονται διαφέροντα μεγάλα τὰ τοῖα ἢ τοῖα διαιτήματα, καὶ ἐν ἄλλῳ τινὶ καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἐν τῇσι νούσοισι διαφέρει μεγάλα; καὶ τουτέων ἐν τῇσιν ὀξυτάτῃσι μάλιστα.

Ἀποδεικνύειν ἤρξατο τὴν προειρημένην ὑπ' αὐτοῦ περὶ τῆς διαίτης δόξαν, ἐλέγχων ἅμα καὶ τοὺς ἐναντίως διαιτῶντας. ἵνα δὲ σαφὴς ὁ λόγος γένηται, τὸ κεφάλαιον αὐτοῦ σύμπαν ἄμεινον μὴ δοκεῖ προειπεῖν. ἔστι δὲ τῶν εἰς αὐτὸ λαμβανομένων λημμάτων τὸ μὲν ἕτερον ἀξίωμα καθόλου τοιοῦτον. ἐὰν τοῖς ὑγιαίνουσι βλάβην φέρωσιν αἱ ἀθρόαι τῆς διαίτης ἐπὶ τἀναντία μεταβολαὶ, πολὺ μᾶλλον τοῖς νοσοῦσιν, ὃ καὶ πολυειδῶς ἔστιν ἑρμηνεύειν, ἄλλοτε εἰς ἄλλην λέξιν μεταλαμβάνοντας, οἷον οὕτως. ἐπὶ τῶν κατὰ δίαιταν ἀθρόων μεταβολῶν οἱ ὑγιαίνοντες ἧττον βλάπτονται τῶν νοσούντων. ἢ οὕτως. οἱ νοσοῦντες βλάπτονται μᾶλλον τῶν ὑγιαινόντων. ἢ οὕτως. τὰ βλαβερὰ τοὺς ὑγιαίνοντας ἧττον βλάπτει τῶν νοσούντων. γενικώτερον δὲ, τοὺς ἰσχυροτέρους ἧττον βλάπτει, τοὺς δ' ἀσθενεστέρους, μᾶλλον τὰ βλαβερά. ἔξεστι δὲ καὶ ἄλλως ἑρμηνεύειν τὴν αὐτὴν τοῦ λόγου δύναμιν, ἥτοι τὸ καθ' αὑτὸ καὶ πρώτως χρήσιμον εἰς τὸ ἀποδεικνύμενον, ἢ διά τινος τῶν περιεχόντων ἀξιωμάτων, ἢ λημμάτων αὐτό. τοιοῦτον μὲν δή σοι τὸ ἕτερον τῶν λημμάτων ἐστὶν ἐξ αὐτοῦ πιστὸν, ἅπερ δὴ καὶ καλεῖν ἔθος ἐστὶν ἀξιώματα τοῖς περὶ τὸν Ἀριστοτέλην. τὸ δὲ ἕτερον ἐξ ἐμπειρίας ἐγνωσμένον, ἐφεξῆς ἄκουε. καὶ τοὺς ὑγιαίνοντας ἡ ἀθρόα μεταβολὴ τῆς διαίτης βλάπτει. τούτοις δ' ἀμφοτέροις τοῖς λήμμασιν, ἕπεται τὸ συμπέρασμα, τὸ βλάπτεσθαι μειζόνως τοὺς νοσοῦντας ὑπὸ τῆς ἀθρόας ἐν τῇ διαίτῃ μεταβολῆς, καὶ πολὺ δὴ μᾶλλον ἔτι τοὺς ὀξέως νοσοῦντας. αὕτη μὲν ἡ τοῦ λόγου δύναμις. ὁ δὲ Ἱπποκράτης, τὸ μὲν ἕτερον τῶν λημμάτων, ἐξ ἑαυτοῦ πρότερον πιστότερον ὂν, αὐτίκα λαμβάνει χωρὶς κατασκευῆς, τὸ δὲ ἕτερον, ἐκ τῶν διὰ τῆς ἐμπειρίας κατὰ μέρος ἑωραμένων πιστοῦται. καὶ τοῦτο αὐτὸ δηλοῖ καὶ ὁ ἐφεξῆς λόγος.

Ἀλλὰ μὴν εὐκαταμάθητόν ἐστιν, ὅτι φαύλη δίαιτα βρώσιος καὶ πόσιος αὐτὴ ἑωυτῇ ἐμφερὴς αἰεὶ, ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγείην, ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλο κρέσσον.

Τὸ ἕτερον τῶν εἰς τὴν ἀπόδειξιν τοῦ προκειμένου λόγου διαφερόντων λημμάτων, ἤρξατο νῦν κατασκευάζειν ἐκ πολλῶν τῶν κατὰ μέρος παραδειγμάτων, εἰς ἓν κεφάλαιον ἀθροίζων αὐτοῦ τὴν πίστιν. ἔστι δὲ τοῦτο, τοῖς ὑγιαίνουσι τὰς παρὰ τὸ ἔθος ἐξαπίνης μεγάλας μεταβολὰς, οὐ μικρὰν ἐργάζεσθαι βλάβην. ὁ λόγος μὲν οὖν οὕτως ὑπάρχει σαφής. ὅμως δ' εἴ τι παρεμπίπτειν δόξειεν ἐξηγήσεως δεόμενον, τοῖς ἀγυμναστοτέροις περὶ τὴν ἐν τούτοις ἀκολουθίαν, οὐκ ὀκνήσομεν ἐξηγήσασθαι. καὶ τοῦτο γὰρ ὑπόμνημα φιλανθρωπότερόν ἐστι, τῷ ἐστοχάσθαι μὴ μόνον τῶν γεγυμνασμένων ἐν λόγοις, ἀλλὰ καὶ τῶν ἀγυμναστοτέρων. εἰ δέ τις ἀμαθὴς καὶ ἄπειρός ἐστι τῶν προειρημένων μαθημάτων, ἄλλ' ὅ, τι πραττέτω.

Ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης, καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπίναιοι μεταβολαὶ βλάβας καὶ ἀρρωστίην παρέχουσι. καὶ τούς γε μὴ μεμαθηκότας ἀριστᾶν, ἢν ἀριστήσωσιν, εὐθέως ἀρρώστους ποιέει, καὶ βαρέας ὅλον τὸ σῶμα, καὶ ἀσθενέας καὶ ὀκνηρούς. ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας, ἐνίοισι δὲ ἂν καὶ σπατίλη γένοιτο, ὁκόταν παρὰ τὸ ἔθος ἀχθοφορήσῃ ἡ κοιλίη εἰθισμένη ἐπιξηραίνεσθαι, καὶ μὴ δὶς διογκοῦσθαι, μηδὲ δὶς ἕψειν τὰ σιτία.

Οὐ μόνον ὅτι βλάπτονται μεγάλα κατὰ τὰς τῶν ἐθῶν ἐξαιφνιδίους μεταβολὰς, ἀλλὰ καὶ τίνες αἱ βλάβαι γίνονται γράφων. τίνα δὲ τρόπον ἐπανορθωτέον ἑκάστην ἐστὶν, εἰς μῆκος ἐκτείνει τὸν λόγον, ὡς εἴγε μόνον ὅτι βλάπτονται μεγάλα κατὰ τὰς τῶν ἐθῶν ἐξαιφνιδίους μεταβολὰς ἐπεδείκνυε, βραχὺς ἂν αὐτῷ ὁ πᾶς λόγος ἐγεγόνει. πρώτη μὲν οὖν ἐστι μεταβολὴ, ἡ νῦν προκεχειρισμένη τοῦ ἔθους, ἐπὶ τῶν ἀήθων μὲν ἀριστᾶν, ἀριστησάντων δέ ποτε. φησὶ γὰρ ἀρρώστους τε καὶ βαρεῖς ὅλον τὸ σῶμα γίγνεσθαι καὶ ἀσθενεῖς καὶ ὀκνηρούς. συμβαίνει δὲ αὐτοῖς ταῦτα, βαρυνομένης τῆς δυνάμεως ὑπὸ τῆς τροφῆς ὡς ὑπὸ φορτίου, οὐ γὰρ δὴ κατά γε τὸν ἴδιον λόγον ἀρρωστούσης, ὡς ἐπὶ τῆς ἐνδείας εἴωθε γίγνεσθαι. διὰ τοῦτο οὖν ἐνταῦθα μὲν προσέθηκε τῷ λόγῳ, τὸ βαρέας ὅλον τὸ σῶμα γίγνεσθαι καὶ ὀκνηροτέρους τοὺς δὶς διαιτηθέντας. ἐπὶ δὲ τῶν εἰθισμένων ἀριστᾶν, οὐκ ἀριστησάντων δὲ τὴν μὲν ἀσθένειαν τῆς δυνάμεως ἔγραψε, τὸ δὲ βάρος οὐ προσέγραψε. κατὰ γὰρ τὸν ἑαυτῆς λόγον ἡ δύναμις ἐν ταῖς τοιαύταις

μεταβολαῖς

μεταβολαῖς ἀῤῥωστεῖ. καὶ μέντοι καὶ ὀκνηροὺς εἰπὼν γενέσθαι κατὰ τὴν νῦν ἡμῖν προκειμένην μεταβολὴν τῆς διαίτης, ἐπὶ τῆς ἐναντίας εἶπε δειλοὺς, ὡς παῦ ἔργον μισεῖν, ὥσπερ καὶ φοβουμένους τῶν ἔργων ἅψασθαι εἰρήκει. οὕτως γὰρ ἔχει, καὶ κατ' ἀλήθειαν αἰσθανομένων τῆς κατὰ δύναμιν ἀσθενείας τῶν οὕτως ἐχόντων, καὶ διὰ τοῦτο μὴ τολμώντων ἐνεργεῖν, ἃς ἐνήργουν ἔμπροσθεν ἑτοίμως ἐνεργείας, ἀλλὰ μὴν καὶ ἐκκρεμᾶσθαι δοκεῖν τὰ σπλάγχνα τοῖς ἐνδεῶς διαιτηθεῖσι φησὶ, καὶ οὐρεῖν θερμόν τε καὶ χλωρόν. θερμὸν λέγων, δηλονότι τοῦ συνήθους θερμότερον, χλωρὸν δὲ κατά τι τῶν ἐπὶ τῆς ἀσίας ἑλλήνων ἔθος, ὃ ἔστι καὶ νῦν διασωζόμενον. ὠχροὺς γάρ τινας ἰδόντες, ἐρωτῶσι τὴν αἰτίαν, δι' ἣν οὕτω γεγόνασι χλωροὶ, μηδεμίαν διαφορὰν ἡγούμενοι χλωρὸν εἰπεῖν καὶ ὠχρόν. ἑωρακέναι τέ τινα δὲ τινα χλωρότερον ἑαυτοῦ φασὶ, τὸν ὠχρότερον οὕτω δηλοῦντες. ἔστι δὲ τὸ ὠχρὸν χρῶμα κατ' ἀλήθειαν τοιοῦτον, οἷον τὸ πῦρ, καὶ τὸ τῆς καλουμένης ὤχρας, ὀξυνομένης κατὰ τὴν προσηγορίαν τῆς πρώτης συλλαβῆς. καὶ γίγνεται τοιοῦτον ἐπιμιγνυμένης τῷ ὑδατώδει περιττώματι τῆς ὠχρᾶς τε καὶ πικρᾶς καὶ ξανθῆς ὀνομαζομένης χολῆς. ὅσον γὰρ τοῦ ἐρυθροῦ χρώματος ἐπὶ τὸ λευκότερον ἀποκεχώρηκε τὸ ξανθὸν, τοσοῦτον τοῦτο τὸ ὠχρόν. ἔγραψε δέ τινα καὶ ἄλλα συμπτώματα γιγνόμενα τοῖς οὕτω διαιτηθεῖσι, περὶ ὧν ὅταν ἀφικώμεθα ἐπὶ τὴν ῥῆσιν ἐπισκεψόμεθα. νυνὶ δὲ τὴν προκειμένην ῥῆσιν ἐξεργαστέον, οἷς ἔφη συμβαίνειν ἐπὶ τῶν ἀήθως ἀριστησάντων, ἔτι καὶ τοῦτο προστέθεικεν. ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεες. ἐμάθομεν δὲ ὅτι διά τε τὴν ψύξιν τῆς γαστρὸς αἱ ὀξυρεγμίαι γίνονται, καὶ διὰ φλέγμα πολλάκις ἠθροισμένον ἐν αὐτῇ, καὶ διὰ πλῆθος σιτίων, ἢ καὶ συμμέτρων μὲν ὄντων, ἀλλὰ ψυχρῶν τῇ δυνάμει. πάντων δὲ τῶν προειρημένων, κοινόν ἐστι τὸ νικᾶσθαι τὴν ἔμφυτον θερμασίαν τῆς γαστρὸς ὑπὸ τῶν σιτίων οὐ νικᾶν, οὐδὲ κρατεῖν, οὐδὲ κατεργάζεσθαι δυναμένην καλῶς αὐτὰ, καθάπερ εἰ καὶ φλογὶ μικρᾷ πλῆθος ἐπισωρεύσαις ξύλων, ἢ καὶ χωρὶς πλήθους ἐπιτιθείης χλωρὰ καὶ ὑγρά. τισὶ δὲ τούτων τῶν οὕτω διαιτηθέντων, καὶ σπατίλην φησὶ γίνεσθαι, τουτέστιν ὑγρὰν διαχώρησιν. ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων οὐ σπατίλης γεγραμμένης εὑρήσεις, ἀλλ' ἄσης, ἵν' ἀκούσωμεν δηλονότι τὸν ῥιπτασμὸν τοῦ σώματος ἀσωμένου, διὰ τὸ πλῆθος τῆς τροφῆς τοῦ διαιτηθέντος οὕτως, καὶ δυσφοροῦντος ἐν τῇ κατακλίσει καὶ μεταβάλλοντος ἑαυτόν. ἐπὶ δὲ τῆς τελευταίας ῥήσεως ἀπεφήνατο σαφῶς, ὅτι δεῖ τὴν πέψιν εἶναι παραπλησίαν ἑψήσει, ὡς ὑπὸ θερμοῦ γιγνομένου, οὐ ξηροῦ καὶ αὐχμώδους, ὁποῖον ἐστὶ τὸ τῶν πυρετῶν, ἀλλ' ὑγροῦ καὶ ἀτμώδους, οἷον τὸ κατὰ φύσιν ἐν τοῖς ζώοις ἐστίν.

Ἀρήγει οὖν τουτέοισιν ἀνασηκῶσαι τὴν μεταβολήν. ἐγκοιμηθῆναι γὰρ χρὴ ὥσπερ νύκτα ἀνάγοντα μετὰ τὸ δεῖπνον, τοῦ μὲν χειμῶνος ἀριγέως, τοῦ δὲ θέρεος ἀθαλπέως. ἢν δὲ καθεύδειν μὴ δύνανται, βραδεῖαν συχνὴν περίοδον πλανηθέντα μὴ στασίμως, δειπνῆσαι μηδὲν, ἢ ὀλίγα καὶ μὴ βλαβερά. ἔτι δὲ ἔλασσον πιεῖν καὶ μὴ ὑδαρές. ἔτι δὲ μᾶλλον ἂν πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρης εὐκόρως, ἔτι δὲ μᾶλλον εἰ πλεονάκις. καίτοι γε πολλοί εἰσιν οἳ εὐφόρως φέρουσι τρὶς σιτεόμενοι τῆς ἡμέρης εἰς πλῆθος οἳ ἂν οὕτως ἐθισθῶσιν.

Οὐκ ἦν ἀναγκαῖον εἰρῆσθαι νῦν ταῦτα. προὔκειτο γὰρ αὐτῷ διδάξαι τὰς ἐξαπιναίας μεταβολὰς τῶν ἐθῶν βλάπτειν ἡμᾶς, οὐχ ὅπως χρὴ τὰς τοιαύτας βλάβας ἐκθεραπεύειν. ἐπεὶ δὲ καὶ τοῦτο ἔδοξεν αὐτῷ πρᾶξαι, καὶ ἡμεῖς ἀκολουθήσομεν οἷς ἔγραψε, μάλιστα μὲν ἐπὶ πλέον κοιμηθῆναι κελεύων. εἰ δὲ καθεύδειν μὴ δύναιντο, περιπατῆσαι σχολαίως συχνὴν περίοδον, ὡς μὲν οἱ πλεῖστοι τῶν ἐξηγουμένων λέγουσι, μετὰ δεῖπνον. ὡς δὲ ἡ διάνοια τῶν εἰρημένων βούλεται, μετὰ τὸ ἄριστον. τὸ γὰρ, ὥσπερ νύκτα ἀγαγόντα, περὶ τῶν ἡμερινῶν ὕπνων, οὐ τῶν ἐν τῇ νυκτὶ προσήκει λέγεσθαι. καὶ μέντοι τὸ γεγραμμένον ἐφεξῆς ἔνθα φησίν. ἢν δὲ καθεύδειν μὴ δύνανται, βραδεῖαν συχνὴν περίοδον πλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν ἢ ὀλίγα, μαρτυρεῖ τῷ μετὰ τὸν ἄριστον αὐτὸν ἀξιοῦν κοιμηθῆναι. δυοῖν οὖν θάτερον ἢ ἐπανορθωτέον ἐστὶν ὡς ἡμαρτημένην μὲν τοιαύτην γραφὴν, καὶ οὕτως γραπτέον. ἐγκοιμηθῆναι γὰρ χρὴ ὥσπερ μετὰ τὸν ἄριστον ὡς νύκτα ἀγαγόντα, τοῦ μὲν χειμῶνος ἀριγέως, τοῦ δὲ θέρεος ἀθαλπέως. ἢ εἴπερ φυλάττοιμεν τὴν μετὰ τὸ δεῖπνον, οὕτως ἀκουστέον τῆς λέξεως. ἐγκοιμηθῆναι γὰρ χρὴ, ὥσπερ μετὰ τὸ δεῖπνον ἐκοιμᾶτο πρόσθεν, οὕτω νῦν μετὰ τὸ ἄριστον, ὥσπερ νύκτα ἀγαγόντα. τὸ δὲ κελεύειν αὐτὸν, ἤτοι μηδὲν ὅλως ἢ ὀλίγα καὶ κοῦφα δειπνῆσαι, πρόδηλος ὁ λογισμός. ἡσυχάσαι γὰρ βούλεται τὴν γαστέρα, καὶ ἀνακτήσασθαι τὸν κάματον ὃν ἔκαμνε βαρυνθεῖσα, διὰ τὸ παρὰ τὸ ἔθος ἀριστῆσαι τὸν ἄνθρωπον. ἀκόλουθον δὲ τούτῳ καὶ τὸ πιεῖν μὲν ἧττον, οὐ μὴν ὑδαρές γε. τόν τε γὰρ κλύδωνα καὶ τὴν ὑγρότητα καὶ ψύξιν φυλάξασθαι χρὴ, βεβαρυμμένης τῆς γαστρὸς ὑπὸ τοῦ πλήθους τῶν σιτίων. αὐτὸ δὲ τὸ διδόμενον πόμα μὴ ὑδαρὲς, ἀλλ' ἐκθερμαῖνόν τε καὶ ῥωννύον εἶναι τὴν γαστέρα. τὰ δὲ ἄλλα τὰ συνεχῆ τῇ ῥήσει δῆλα.

Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτεῖσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄῤῥωστοί εἰσι καὶ δειλοὶ εἰς πᾶν ἔργον, καὶ καρδιαλγέες. κρεμᾶσθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτέοισι, καὶ οὐρέουσι θερμὸν, καὶ χλωρὸν, καὶ ἡ ἄφοδος συγκαίεται. ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται, καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται, καὶ οἱ κρόταφοι πάλλονται, καὶ τὰ ἄκρα διαψύχεται.

Ταύτης τῆς ῥήσεως τὰ μὲν ἄλλα διὰ τῆς παραβολῆς, ὧν τοῖς ἀριστήσασι παρὰ τὸ ἔθος συμβαίνειν ἔφησεν, ἐξήγημαι. περὶ δὲ τῶν ὑπολοίπων νῦν ἐρῶ, τὴν ἄφοδον αὐτῶν, τουτέστι τὸ ἀποπάτημα, συγκαίεσθαι φησὶν, ὑπὸ τῆς θερμασίας δηλονότι κατοπτώμενον. ξηρότερόν τε γὰρ ἑαυτοῦ καὶ πυρωδέστερον γίνεται τὸ σῶμα, τοῖς ἐν-

λείπουσι τὸ εἰθισμένον ἄριστον. ἐνίοις δὲ καὶ τὸ στόμα πικρὸν γίγνεται φησίν. εἰσὶ δ' οὗτοι χολωδέστεροι φύσει, καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γίγνονται τοῖς τοιούτοις, ξηραινόμενοι κατὰ τὴν αὐτὴν αἰτίαν, τὴν συγκαίουσαν τὸ διαχώρημα. διὰ δὲ τὴν ὑπὸ τὸ πυρῶδες ἐν ταῖς πικροχόλοις φύσεσιν ἐκτροπὴν τῆς ἐμφύτου θερμασίας, καὶ οἱ κρόταφοι πάλλονται, τουτέστιν αἱ κατὰ τοὺς κροτάφους ἀρτηρίαι σφύζουσιν ἐπιφανῶς. καὶ τὰ τοῦ σώματος ἄκρα ψυχρότερα γίγνεται, χολωδῶν ἰχώρων ἐμπιπλαμένης τῆς γαστρὸς, ὑφ' ὧν δακνομένη τε καὶ ἀνιωμένη, καταλύει τὴν δύναμιν, καὶ καταψύχει τὰ ἄκρα τοῦ σώματος.

Καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων, οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον. δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην, καὶ δυσκοιτέουσι πολὺ μᾶλλον, ἢ εἰ καὶ προηριστήκεσαν.

Οἱ πικρόχολοι φύσει παρὰ τὸ ἔθος ἀνάριστοι μείναντες ἀποστρέφονται τὰ σιτία, κακωθείσης αὐτῆς τῆς γαστρός. ὅσοι δ' αὖ βιασάμενοι λάβωσι, βαρύνονταί τε καὶ διὰ τοῦτο δυσκοιτοῦσιν, ὡς αὐτὸς εἶπεν, ὅπερ ταυτὸν σημαίνει, τῷ μοχθηρῶς ἔχοντας αὐτοὺς ἐν τῇ κοίτῃ διατελεῖν.

Ὁπότ' οὖν ταῦτα τοιαῦτα γίγνεται τοῖς ὑγιαίνουσιν εἵνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος, οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται, οὔτε ἀφελέειν.

Μεταξὺ δὲ πάλιν τῆς διηγήσεως τῶν συμβαινόντων τοῖς ὑγιαίνουσιν, ὅσοι γε τὸ ἔθος ὑπήλλαξαν ἀθρόως, τὸ κεφάλαιον τοῦ λόγου παρενέθηκεν, οὗ χάριν ταῦτα πάντα διηγεῖται τὰ τοῖς ὑγιαίνουσι συμβαίνοντα. δῆλον γὰρ ὡς εἴπερ τοῖς ὑγιαίνουσιν ἡ τῆς ἡμίσεος ἡμέρας μεταβολὴ τῆς διαίτης εἰς τοσοῦτον ἐστὶν ἀνιαρὰ, πῶς οὐχ ἥδε; πολλῷ γε τοῖς νοσοῦσιν. ἐφεξῆς γε πάλιν ἐπὶ τὴν διήγησιν τῶν συμβαινόντων τοῖς ὑγιαίνουσιν ἐπανέρχεται κατὰ τὴν ἐχομένην ῥῆσιν ἔχουσαν οὕτως.

Εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας ὅλην τὴν ἡμέρην κενεαγγήσας, δειπνήσειεν ὁκόσον εἴθιστο, εἰκὸς αὐτὸν εἰ τότε ἀνάριστος ἐὼν, ἐπόνεε καὶ ἠῤῥώστει. δειπνήσας δὲ τότε βαρὺς ἦν, πολὺ μᾶλλον βαρύνεσθαι. εἰ δέ γε ἔτι πλείονα χρόνον κενεαγγήσας, ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο.

Ὁ λέγει τοιοῦτόν ἐστιν. εἰ ὁ παρὰ τὸ ἔθος ἀνάριστος μείνας, εἶτα δειπνήσας τῶν εἰθισμένων ἐλάττω, τῆς νυκτὸς ἐβαρύνθη, πολὺ μειζόνως βαρυνθήσεται ὁ πλείω ἢ ὅσα εἴθιστο δειπνήσας. ὁ δ' ἐπὶ πλείονα χρόνον κενεαγγήσας, εἰ ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον αὖ βαρυνθείη. τῶν γὰρ ἀναριστήτων μεινόντων παρὰ τὸ ἔθος, ἔνιοι μὲν ἐπ' ἐλάττονα χρόνον ἐκτείνουσι τὴν ἀσιτίαν, ἔνιοι δὲ ἐπὶ πλείονα. τούτους οὖν φησιν ἔτι μᾶλλον βαρυνθήσεσθαι.

Τὸν μὲν οὖν παρὰ τὸ ἔθος κενεαγγήσαντα, συμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε, ἀῤῥιγέως καὶ ἀθαλπέως, καὶ ἀταλαιπώρως. ταῦτα γὰρ ἅπαντα βαρέως ἂν ἐνέγκοι. καὶ τὸ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι ἢ ὅσον εἴθιστο, καὶ μὴ ξηρὸν. ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου, καὶ μετὰ ταῦτα πιεῖν μὴ ὑδαρὲς, μήτε ἔλασσον ἢ κατὰ λόγον τοῦ βρώματος, καὶ τῇ ὑστεραίῃ ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται εἰς τὸ ἔθος.

Ὥσπερ τῶν ἀριστησάντων οὐκ εἰθισμένως ἐπηνώρθου τὴν βλάβην, οὕτως καὶ τοὺς παρὰ τὸ ἔθος κακωθέντας ἐκ μονοσιτίας, ἀξιοῖ πρῶτον μὲν θάλπους καὶ ψύχους καὶ ταλαιπωρίας ἀπέχεσθαι. ταῦτα γὰρ αὖ φησι πάντα βαρέως ἐνέγκοιεν. ἔτι τε ἀξιοῖ ἐπ' ἔλαττον ἢ ὅσον εἴωθαν εἰθισμένοι δειπνῆσαι, καί τοι τοῦτο ἐναντιώτατον οἱ πολλοὶ ποιοῦσι. κωλυθέντες γὰρ ὑπό τινος ἀσχολίας ἀριστῆσαι, κατὰ τὸ δεῖπνον ἀξιοῦσιν ἀπολαμβάνειν καὶ τὴν παραλελειμμένην ἐπὶ τοῦ ἀρίστου τροφὴν, οὐκ εἰδότες ὅτι δεῖται μὲν ὄντως τὸ σῶμα τῆς παραλελειμμένης τροφῆς, οὐ δύναται δὲ αὐτὴν ἡ γαστὴρ κατεργάσασθαι, βεβλαμμένη διὰ μακροτέραν ἀσιτίαν. ἀλλ' ὅ γε Ἱπποκράτης, ὥσπερ ἐλάττονα κελεύει δοθῆναι τὴν τροφὴν, οὕτως καὶ ὑγροτέραν. αὕτη γὰρ οἰκεῖον ἴαμα, τῇ τε γαστρὶ καὶ παντὶ τῷ σώματι γενήσεται κατεξηρασμένοις. ἐπιῤῥῶσαι δὴ αὐτῶν βούλεται τὴν γαστέρα, καὶ τῇ τοῦ οἴνου πόσει, μήθ' ὑδαρὲς, μήτ' ἔλαττον τῆς κατὰ τροφὴν ἀναλογίας κελεύων πιεῖν. τὸ μὲν γὰρ ὑδαρὲς, ἐκλύσει τὸν τόνον τῆς γαστρός. τὸ δ' ἔλαττον ἀνεπιτήδειον τῇ ἐξηρασμένῃ. καὶ κατὰ τὴν ὑστεραίαν δέ τι προνοήσασθαι τῆς διαίτης ἀξιοῖ τὸν οὕτω βλαβέντα, τροφῆς τῆς συνήθους ἐλάττονα προσενεγκάμενον, ὅπως ἐκ προσαγωγῆς, τουτέστι κατ' ὀλίγον εἰς τὸ παλαιὸν ἔθος ἐπανέλθοι.

Αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω.

Εἶπον ἤδη κἀγὼ πρὸ μικροῦ περὶ τῶν πικροχόλων, ὡς δυσφορώτεροι γίγνονται τῶν φλεγματωδῶν ἐν τῷ μεταβάλλειν ἀθρόως τὴν δίαιταν ἐπὶ τὴν ἔνδειαν. ἐκχολοῦται γὰρ αὐτοῖς θᾶττον, ἥ θ' ὅλη τοῦ σώματος ἕξις, καὶ ἡ κατὰ τὴν γαστέρα. διατί δὲ οὐχ ἁπλῶς εἶπεν οἱ πικρόχολοι, ἀλλὰ προσέθηκε, τὰ ἄνω; ὅτι τῆς ξανθῆς χολῆς, ἣν δὴ καὶ ὠχρὰν καὶ πικρὰν ὀνομάζουσιν, ἐπιπολαζούσης μὲν τῇ ἄνω γαστρὶ, πικροχόλους εἰκότως ἐροῦμεν εἶναι τὰ ἄνω τοὺς τοιούτους, ὑπιούσης δὲ δι' ἕδρας, πικροχόλους τὰ κάτω. Γαύλῳ μὲν γὰρ τῷ ῥήτορι φλεγματώδη τὴν ὅλην ἕξιν τοῦ σώματος ἔχοντι, καθ' ἑκάστην ἡμέραν ἐπεπόλαζεν ἡ ξανθὴ χολὴ, καὶ πρώτην αὐτὴν ἤμει μετὰ τὸ λουτρὸν οὐκ ὀλίγον. Εὐδήμῳ δὲ τῷ φιλοσόφῳ χολώδει τὴν κρᾶσιν ὄντι, διὰ τῆς ἕδρας ὑπήει κάτω, καὶ σπανίως ποθ' οὗτος ἤμει χολὴν ὠχράν.

ὀχεῖν. ἣν δ' ὥσπερ τῷ Παύλῳ τὰ διαχωρήματα χολῆς ὀλίγον ἔχοντα, οὕτω τῷ Εὐδήμῳ πάμπολυ. τοῖς οὖν ἐκλείπουσι παρὰ τὸ ἔθος τὸ ἄριστον, ἐὰν μὲν τήν τε ὅλην ἕξιν τοῦ σώματος ὦσι πικρόχολοι, τήν τε ἄνω γαστέρα, συμβαίνειν ἀναγκαῖόν ἐστι πάνθ' ὅσα προεῖπον ὀλίγον ἔμπροσθεν. ὅσοις δὲ τὴν ἄνω γαστέρα μόνην ὑπάρχει πικροχόλοις εἶναι, τὰ μὲν τῆς δυσφορίας συμβήσεται ὁμοίως, τὰ δὲ ἄλλα συμπτώματα, τινὰ μὲν οὐδ' ὅλως ἔσται, τινὰ δὲ μετριώτερα. προείρηκε δὲ τοὺς ἐκλείποντας τὸ ἄριστον παρὰ τὸ ἔθος, δηλαδὴ ὅτι πᾶν ἔργον γίγνεσθαι, καὶ καρδιαλγίας, καὶ κρεμᾶσθαι δοκεῖν αὐτοῖς τὰ σπλάγχνα, καὶ οὐρεῖν θερμὸν καὶ χλωρὸν, καὶ τὴν ἄφοδον συγκαίεσθαι. τισὶ δ' αὐτῶν καὶ τὸ στόμα πικρὸν γίγνεσθαι, καὶ τοὺς ὀφθαλμοὺς κοίλους, καὶ τοὺς κροτάφους πάλλεσθαι, καὶ τὰ ἄκρα διαψύχεσθαι. τούτων δέ τινα μὲν, τοῖς ὅλην τὴν ἕξιν πικροχόλοις μᾶλλον συμβαίνει, τινὰ δὲ τοῖς τὴν ἄνω γαστέρα. καὶ διὰ τοῦτο καὶ ἡ πρὸς τὰς ἐνεργείας ἀτολμία, καὶ ἡ τῶν ἄκρων ψύξις, τό, τε οὐρεῖν θερμόν τε καὶ χλωρὸν, καὶ τὰ διαχωρήματα συγκαίεσθαι, καὶ τοὺς ὀφθαλμοὺς κοίλους γίγνεσθαι, καὶ τοὺς κροτάφους πάλλεσθαι, τοῖς τὴν ὅλην ἕξιν πικροχόλοις. ἀμφοτέροις δὲ, τό, τε δοκεῖν κρεμᾶσθαι τὰ σπλάγχνα καὶ τὸ στόμα πικραίνεσθαι. διὰ μὲν γὰρ τὴν παρὰ τὸ ἔθος ἔνδειαν, αἴσθησιν ἴσχουσιν ἀστηρίκτων τῶν σπλάγχνων, διὰ δὲ τὴν ἐπικράτειαν τῆς χολῆς πικρὸν γίγνεσθαι τὸ στόμα, τοῖς τὸ πᾶν σῶμα πικροχόλοις, οὐχ ὡς τοῦ παθήματος ἐν τῷ στόματι γιγνομένου μᾶλλον, ἀλλ' ὅτι τῆς αἰσθήσεως αὐτὸ μόριον ἡ φύσις ἐποίησεν, χυμῶν ἰδέας διαγνωστικόν. ἡ δὲ γαστὴρ συγκαίεται μᾶλλον μὲν οἷς ἡ ἐξ ἥπατος εἰς αὐτὴν καταῤῥέουσα χολὴ τὸ ἐπιπολάζον ἔσχηκεν, ἧττον δὲ οἷς ὑπάρχει κάτω. τούτοις μὲν γὰρ ἐρεθίζει τὸ ἔντερον εἰς ἀπόκρισιν, ἐκείνοις δὲ τὸν στόμαχον ἀδικεῖ. διὸ καὶ ὁ Εὔδημος ἑκάστης ἡμέρας διεχώρει δὶς, ἔστι δ' ὅτε καὶ τρίς. ὁ δὲ Παῦλος ἐνίοτε οὐδ' ὅλως ἐξέκρινεν. εἰ μὴ γὰρ ἐρεθίζοιτο πρός τινος δάκνοντος, ἢ τῷ πλήθει τῆς κόπρου βαρύνοιτο τὰ ἔντερα, προθυμίαν ἐκκρίσεως οὐ λαμβάνει. τούτων δ' οὐδέτερον τοῖς παραλείπουσι τὸ ἄριστον. οὔτε γὰρ δάκνονται τὰ ἔντερα τῆς χολῆς ἐπὶ τὸ στόμα ἐνηνεγμένης, οὐκ ἐκεῖνα δακνούσης καὶ ἀνιώσης, οὔτε βάρος ἐγγίνεται τοῖς μηδὲ ὅλως ἐδηδοκόσι.

Τὴν δέ γε ἀσιτίην τὴν παρὰ τὸ ἔθος οἱ φλεγματίαι τὰ ἄνω, εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, ὥστε καὶ μονοσιτίην τὴν παρὰ τὸ ἔθος, εὐφορώτερον οὗτοι ἂν ἐνέγκαιεν.

Ἔμπροσθεν μὲν εἰρήκει τοὺς πικροχόλους τὰ ἄνω δυσφορώτερον φέρειν τὴν μονοσιτίην, νυνὶ δὲ πρὸς τοὺς φλεγματώδεις μεταβὰς, ἀντὶ τῆς μονοσιτίας, πρότερον ἐμνημόνευσε τῆς ἀσιτίας, ἐκ τοῦ σαφεστέραν ἔχοντος τὴν βλάβην, τὴν μετάβασιν ἐπὶ τὸ βλάπτον ἧττον ποιησάμενος ἐξ ἀναλογίας. εἰ γὰρ δὴ μᾶλλον μὲν εἰκὸς βλάπτεσθαι τοὺς ὅλην τὴν ἡμέραν ἀσιτήσαντας παρὰ τὸ ἔθος, ἧττον δὲ τοὺς ἐκλείποντας τὸ ἄριστον. εὐφορώτερον δὲ τῶν πικροχόλων οἱ φλεγματώδεις φέρουσι τὴν μονοσιτίαν, δῆλον ὡς καὶ τὴν ἀσιτίαν εὐφορώτερον οἴσουσιν. ἡ δὲ αἰτία τοῦ ῥᾷον φέρειν τὴν μονοσιτίαν τοὺς φλεγματώδεις, ἐκ τῶν προειρημένων ἐπὶ τοῖς χολώδεσι πρόδηλον. ὁ μὲν γὰρ τῆς χολῆς χυμὸς ἐν ταῖς ἀσιτίαις ἑαυτοῦ γίνεται πικρότερος. ὁ δὲ τοῦ φλέγματος ἐν τῷ χρόνῳ πεττόμενος, γίνεται αἷμα, τῶν χολῶν οὐδετέρας ἐπανελθεῖν εἰς αἵματος οὐσίαν δυναμένης, ἐπειδὴ τοῦ μὲν αἵματος ἐν αὐτῷ θερμανθέντος ἐπὶ πλέον, ἡ ξανθὴ γεννᾶται χολή. τούτου δ' αὐτοῦ κατοπτηθέντος, ἡ καὶ τοῦ παχέος αἵματος ἡ μέλαινα. τοῦ δὲ φλέγματος ἡ γένεσις ἐν τοῖς φλεγματώδεσιν ἐδέσμασιν ἀεὶ προηγεῖται τοῦ αἵματος, καὶ διὰ μέσης τῆς τούτου γενέσεως, ἡ εἰς αἷμα μεταβολὴ γίνεται τοῖς σιτίοις. καὶ τοῦτο συμβέβηκεν οὐ μόνον τοῖς μοχθηροτέροις ἐδέσμασιν, ἀλλὰ καὶ τῶν πάνυ δοκούντων ἐνίοις ὑγιεινῶν εἶναι, καθάπερ ἄρτῳ τε καὶ χόνδρῳ καὶ σεμιδάλει. ἐγὼ μὲν οὖν ἐξήγημαι τὴν ἀρίστην εἶναί μοι δοκοῦσαν γραφήν. αὐτό τε γὰρ καθ' αὑτὸ τὸ ἐν αὐτῇ διδασκόμενον ἀληθές ἐστι, καὶ τοῖς προηγουμένοις ἀκόλουθον, οἵπερ εἰσὶ σκοποὶ τῆς ἀρίστης ἐξηγήσεως. οὐ μὴν ἐν ἅπασί γε τοῖς ἀντιγράφοις εὑρήσεις τὴν τοιαύτην γραφήν, ἀλλ' ἐναντίως μὲν καὶ ἀλλήλοις, ἑτέρως δὲ ἐν ἅπασι σχεδόν τι τοῖς βιβλίοις ἐστὶν εὑρεῖν ἐγγεγραμμένην τὴν ῥῆσιν ταύτην, καὶ ψευδοῦς γιγνομένου τοῦ λόγου, καὶ τοῖς προειρημένοις οὐδεμίαν ἀκολουθίαν σώζοντος.

Ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖον, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμέων καὶ τὰς ἕξιας συμβαινόντων, μάλιστα νοσοποιέουσι.

Πολλὰ μὲν οὖν σημαίνει παρ' αὐτῷ τὸ τῆς φύσεως ὄνομα. νῦν μέντοι τὴν κρᾶσιν ἄν τις ὑπολάβοι δηλοῦσθαι, καθάπερ γε καὶ τὴν αὐτῶν τῶν μορίων κατασκευὴν ἕξιν ὠνομάσθαι νῦν, ἐν ᾗ κατασκευῇ, καὶ τὸ ἐπιπολάζειν ἄνω τὴν χολήν ἐστι, καὶ ὑποχωρεῖν κάτω, καὶ τὸ κρεμάμενα μᾶλλον ἔχειν ἢ ἐστηριγμένα τὰ σπλάγχνα. μεγάλη μὲν γὰρ οὖσα φύσει ἡ γαστὴρ, στηρίζει τὰ σπλάγχνα, κἂν κενὴ ἡ γαστὴρ σιτίων ᾖ. σμικρὰ δ' ὑπάρχουσα, σιτίων μὲν πληρωθεῖσα στηρίζει, κενωθεῖσα δὲ καταλείπει συνιζάνουσα, κἀντεῦθεν αἴσθησις αὐτοῖς γίγνεται τοῦ κρεμᾶσθαι τὰ σπλάγχνα. περὶ δὲ τοῦ τὴν ξανθὴν χολὴν ἐπιπολάζειν ἰσχὺν ἄνωθεν πρόσθεν εἴρηται, τῶν καταφερόντων αὐτὴν εἰς τὴν τῆς γαστρὸς ἔκφυσιν ἐξ ἥπατος πόρου διαφέρουσαν ἰσχόντων τὴν κατασκευήν. ἔστι ὅτε γὰρ ἰσχὺν ἀπ' αὐτοῦ εἰς τὴν γαστέρα παραγίνεται μόριον. τούτοις μὲν οὖν ἐπιπολάζει τὸ χολῶδες περίττωμα, τοῖς δ' ἄλλοις ὑπέρχεται κάτω πᾶν.

Οὐδὲ οἷόν τε παρὰ καιρὸν, οὔτε σφοδροτάτας κενεαγγείας ποιέειν, οὔτε ἀκμαζόντων τῶν νοσημάτων, καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν, οὔτ' ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν, οὔτε ἐπὶ τὰ, οὔτ' ἐπὶ τά.

Ἀτάκτως ἡ ῥῆσις αὕτη γέγραπται. συνῆφθαι γὰρ αὐτὴν ἐχρῆν τῇ πρὸ αὐτῆς γεγραμμένῃ, ἵνα ὁ σύμπας λόγος γένηται τοιοῦτος. αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω. τὴν δέ γε ἀσιτίαν τὴν παρὰ τὸ ἔθος, οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονο-

σιτίων τήν γε παρὰ τὸ ἔθος, δυσφορώτερον ἂν οὕτοι ἐνέγκαιεν, οὐδὲ οἷόν τε παρὰ καιρὸν, οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιεῖν, οὔτ' ἀκμαζόντων τῶν νοσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν. συμπληρώσας γὰρ τὸν λόγον, ἐν ᾧ τὰς μεγάλας μεταβολὰς τῆς διαίτης ἐδείκνυεν, καὶ αὐτοὺς τοὺς ὑγιαίνοντας βλαπτούσας οὐχ ὅπως τοὺς νοσοῦντας εἰκότως ἐπήνεγκεν, οὗ χάριν ἐμνημόνευσεν ἁπάντων τούτων εἰπών. οὐδ' οἷόν τε παρὰ καιρὸν, οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιεῖν. ἀποδεδειγμένου δ' ἱκανῶς αὐτῷ τοῦ προκειμένου καὶ διὰ τῶν εἰρημένων, ὅμως φαίνεται μεταβάλλων καὶ ἐφ' ἕτερον λόγον ἀποδεικνύντα ταῦτα, ἐκ περιουσίας χρώμενος ταῖς πίστεσιν. ἀρχὴ τοίνυν ἐστὶν εἰκότως τοῦ δευτέρου λόγου τούτου ἡ ῥῆσις ἥδε. ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖον ἐστὶν, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων, νοσοποιέουσιν, ᾧ λόγῳ συνεχὴς ἂν εἴη καὶ ἀκόλουθος οὗτος.

Πολλὰ δ' ἄν τις ἠδελφισμένα τούτοισι τῶν εἰς κοιλίαν καὶ ἄλλα εἴποι.

Ταύτην μὲν οὖν τὴν ῥῆσιν ἐξηγήσομαι, νυνὶ δὲ ἐπὶ τὴν προκειμένην ἐπανήξω, τὴν δὲ τὴν διάνοιαν ἔχουσαν, οὐχ οἷόν τέ ἐστι παρὰ καιρὸν, οὔτε σφόδρα λιμαγχονεῖν, οὔτ' ἐν ταῖς ἀκμαῖς τῶν νοσημάτων μεταβάλλειν τὴν δίαιταν ἐξ ἐνδείας ἐπὶ προσφοράν. ὥσπερ οὐδ' ἐπὶ τοὐναντίον ἀθρόως, οἷς ἕπεται δηλονότι τὸ τοιαύτην ποιεῖσθαι τὴν δίαιταν, οἵαν οὗτος ἐκέλευσε. κεφάλαιον δὲ αὐτοῖς ἐστι πεφυλάχθαι τὰς ἀθρόας μεταβολὰς ἐπὶ τἀναντία.

Πολλὰ δ' ἄν τις ἠδελφισμένα τούτοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα ἃ εἰθισμένοι εἰσὶν, ἢν καὶ μὴ ἀγαθὰ ᾖ φύσει, ὡσαύτως δὲ καὶ τὰ ποτά. δυσφόρως δὲ φέρουσι τὰ βρώματα, ἃ μὴ εἰθισμένοι εἰσὶν, ἢν μὴ καὶ κακὰ ᾖ. ὡσαύτως δὲ καὶ τὰ ποτά.

Τὰ ὁμοιούμενα, καὶ ὡς ἂν εἴποι τις ἱκανῶς συγγενῆ, καλεῖν ἠδελφισμένα σύνηθες αὐτῷ, διότι τῶν συγγενῶν οἰκειότατοί τε εἰσὶ καὶ συγγενέστατοι πάντων οἱ ἀδελφοί. καὶ γὰρ αἱ ἄλλαι συγγένειαι τούτων εἰσὶν ὕστεραι, θεῖοι τε καὶ θεῖαι, καὶ ἀνεψιοὶ καὶ ἀνεψιαὶ, καὶ ἄλλα ὅσα τοιαῦτα. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα, δεικνύντος αὐτοῦ τὸν αὐτὸν λόγον, ὃν ἀπ' ἀρχῆς ἐδείκνυε, κεφάλαιον ἔχοντα, μέγιστα μέντοι δύνασθαι τὰ ἔθη. τὴν δ' ἀθρόαν μεταβολὴν οὐ σμικρὰ βλάπτειν τὰ σώματα.

Καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιεῖ, ἢ σκόροδα, ἢ σίλφιον, ἢ ὀπὸς, ἢ καυλὸς, ἢ ἄλλα ὁκόσα τοιουτότροπα μεγάλας δυνάμιας ἔχοντα ἴδιας, ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιεῖ τῇσι κοιλίῃσι μᾶλλον τῶν ἄλλων. ἀλλ' εἰ καταμάθῃς ὁκόσον μάζα τε ὄχλον καὶ ὄγκον καὶ φῦσαν καὶ στρόφον κοιλίῃ παρέχει, παρὰ τὸ ἔθος βρωθεῖσα τῷ μὴ μαζοφαγέειν εἰθισμένῳ, ἢ αὐτός γε ὁ ἄρτος θερμὸς βρωθεὶς οἵην δίψην παρέχει, καὶ ἐξαπιναίην πληθώρην, διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον, καὶ οἱ ἄγαν καθαροί τε καὶ συγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες διαφέροντα ἀλλήλων ποιέουσι, καὶ μάζα τε ξηρὴ παρὰ τὸ ἔθος ἢ ὑγρὴ ἢ γλίσχρη, καὶ τὰ ἄλφιτα, οἷόν τι ποιεῖ τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι, καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι, καὶ οἰνοποσίη καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής γε οἶνος καὶ ἄκρητος ἐξαπίνης ποθείς. ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει, καὶ φῦσαν ἐν τῇ κάτω, ὁ δὲ παλμόν τε φλεβῶν καὶ καρηβαρίην καὶ δίψην, καὶ λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλουσι, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα, ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα, ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι, μὴ ταὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα.

Τὴν ὅλου τοῦ λόγου τοῦδε διάνοιαν εἰπὼν πρότερον, οὕτως ἐπὶ τὰς κατὰ μέρος ἐν αὐτῇ λέξεις ἀφίξομαι. διάνοια μὲν οὖν ὅλου τοῦ λόγου τοιαύτη τίς ἐστι. τὴν μὲν οὖν εἰς τὰ μεγάλην ἔχοντα δύναμιν ἐδέσματά τε καὶ πόματα, μεταβολὴν τῆς διαίτης, οὐκ ἄν τις θαυμάσειε βλάπτουσαν ὁρῶν τὰ σώματα. περὶ δὲ τῆς εἰς τὰ μικρὰ μεταβολῆς οὐδὲ τῆς ἀβλαβοῦς γινομένης, εἰκότως ἄν τις θαυμάσειε. τοιαύτη μὲν ἡ τοῦ παντὸς λόγου διάνοια. κατὰ μέρος δὲ τῆς ὅλης ῥήσεως, ἡ ἀρχὴ τῶν ἰσχυρὰν δύναμιν ἐχόντων σιτίων ὀνομαστὶ μέμνηται, κρεηφαγίης τε καὶ σκορόδων καὶ σιλφίου, καὶ ὀποῦ καὶ καυλοῦ, δηλονότι τοῦ σιλφίου. καὶ γὰρ ὅλον τὸ σίλφιον ἰσχυρὰν ἔχει δύναμιν, καὶ κατὰ μέρος ὁ ὀπὸς αὐτοῦ καὶ ὁ καυλός. ἀλλὰ ταῦτα μὲν ἁπλῶς εἶπεν. ἐπὶ δὲ τῆς κρεηφαγίας προσέθηκε καὶ τὸ πολλή. μεγάλην γὰρ οὕτως ἕξει δύναμιν, οὐκ ἔχουσα μεγάλην εἰ σύμμετρος ᾖ. ἡ δ' ἐφεξῆς τῆσδε λέξις, ἐπὶ τὰ σμικρὰν ἔχοντα δύναμιν ἐδέσματα μεταβαίνει, μάζαν καὶ ἄρτον θερμὸν, ἢ ψυχρὸν, ἢ καθαρὸν, ἢ συγκομιστόν. ὅτι δὲ τὸν μὴ καθαρὸν ὀνομάζει συγκομιστὸν, εὔδηλόν ἐστι κἀκ τῆς πρὸς τὸν καθαρὸν ἀντιθέσεως. οἵ γε μὴν νῦν ἄνθρωποι τὸν τοιοῦτον ἄρτον αὐτόπυρον ὀνομάζουσιν, οὐ διακρινομένου τοῦ πιτυρώδους ἀλεύρου κατ' αὐτὸν, συναναφυρομένου δὲ τῷ καθαρῷ. τούτοις ἐφεξῆς καὶ τῶν ἐν τοῖς ἀλφίτοις διαφορὰς ἐμνημόνευσε. τὰ δὲ πρόσφατα, ποταίνια κέκληκε τῇ τῶν ἰώνων φωνῇ, καὶ τῇ τῶν παλαιοτέρων, οἰνοποσίας τε καὶ ὑδροποσίας παρὰ τὸ ἔθος ὑπαλλαττομένων, ἀκρατεστέρου καὶ ὑδαρεστέρου πόματος, ἐφ' ὧν καὶ προσέθηκεν, ὡς ὁ μὲν ὑδαρὸς οἶνος, πλάδον ἐν τῇ ἄνω κοιλίᾳ, τουτέστιν ὑγρότητα καὶ ἀτονίαν ἐμποιήσει, καὶ φῦσαν ἐν τῇ κάτω. ὁ δ' ἄκρατος παλμὸν

θαλμὸν κροτάφων καὶ καρηβαρείαν, καὶ δίψος. οὗτος μὲν τῇ θερμότητι ταῦτα ἐργαζόμενος, ὁ δ᾽ ὑδαρὴς τῇ θ᾽ ὑγρότητι καὶ τῇ ψύξει τἀναντία. καὶ τὸν οἶνον δ᾽ αὐτῶν ἐμνημόνευσε τὰς διαφορὰς, ἐξ ἁπάντων τούτων ἀθροίζων τὸ προκείμενον ἐξ ἀρχῆς αὐτῷ καθόλου, πᾶσαν ἐξάλλαξιν ἔθους ἀθρόως γινομένην, οὐ μικρὰν βλάβην περὶ τὸ σῶμα ἐργάζεσθαι.

Τιμωρητέον δὲ τοιόνδε τι μέρος τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης τουτέοισιν ἐγίνετο, οὐ μεταβάλλοντος τοῦ σώματος, οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτ᾽ ἐπὶ τὴν ἀῤῥωστίην ὥστε ἀφαιρεθῆναι.

Τὸ μὲν τιμωρητέον, δηλωτικόν ἐστι τοῦ βοηθητέον. ἡ βοήθεια δ᾽ οὐκ ἂν ἄλλη τις εἴη περὶ λόγου, παρὰ τὴν συνηγορίαν ὡς ἀληθεύει. δυοῖν γὰρ τοῖν λόγοιν, τοῦ μὲν ἀρέσκοντος αὐτῷ, τοῦ δὲ ἐναντιουμένου τούτῳ, συνηγόρησε μὲν ἄχρι τοῦδε τῷ ἀρέσκοντι. νυνὶ δὲ καὶ πρὸς τὴν θατέρου συνηγορίαν ἐτράπετο, καθ᾽ ὃν εἰκὸς ἐστὶ φήσειν ἄν τις ὠφελεῖσθαι τοὺς νοσοῦντας ὑπὸ τῆς ἐν τῇ διαίτῃ μεταβολῆς μεγάλως, ἐπειδὴ καὶ ἡ τοῦ σώματος ὑπήλλακται διάθεσις εἰς τοὐναντίον, οἷς γε πρόσθεν μὲν ὑγίαινε, νυνὶ δὲ νοσεῖ. ἀλλά γε πρὸς τοῦτον τὸν λόγον, καὶ ἔμπροσθεν μὲν εἶπεν ἐν τῷ καθόλου. τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει, ὀρθῶς μέντοι γε μεταβιβαστέη καὶ ἡ μεταβολή. καὶ τί ποτ᾽ ἐστὶ τὸ ὀρθῶς ἐδήλωσεν διὰ πλειόνων, ὃ συγκεφαλαιούμενος εἶπεν. οὐ δὴ οἷόν τε παρὰ καιρὸν, οὐδὲ σφοδρὰς κενεαγγείας ποιεῖν, οὔτ᾽ ἀκμαζόντων τῶν νοσημάτων, καὶ ἐν τῇ φλεγμασίῃ ἐόντων προσφέρειν, οὔτ᾽ ἐξαπίνης οἷόν τε ὅλῳ τῷ σώματι μεταβάλλειν, οὔτ᾽ ἐπὶ τὰ, οὔτ᾽ ἐπὶ τὰ, ὡς ἤδη φθάνει λελυκέναι ἀμφιβολίαν, ἣν εἶπεν ἄρτι συναγορεύων τῷ λόγῳ. προσθήσει δ᾽ αὐτῇ τι καὶ νῦν λέγων, προσεκμαρτέα δὴ καὶ ἡ ἰσχὺς, καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστου, καὶ τἄλλα ὅσα τούτοις ἐφεξῆς εἶπεν, ἃ κατὰ τὴν ἐφεξῆς ῥῆσιν διηγοῦμαι.

Προσεκμαρτέα δὴ καὶ ἡ ἰσχὺς καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστου, καὶ τῆς φύσιος τοῦ τ᾽ ἀνθρώπου καὶ τοῦ ἔθεος τῆς διαίτης τοῦ κάμνοντος, οὐ μόνον σιτίων ἀλλὰ καὶ ποτῶν.

Εἰς τὸ προσηκόντως ἐπὶ τῶν ὀξέως νοσούντων καταστήσασθαι τὴν δίαιταν ὡς ἐδίδαξε, προστεθεῖναι κελεύει, τήν τε τῆς ἰσχύος ἐπίσκεψιν, καὶ τοῦ νοσήματος τὸν τρόπον. ἔτι δὲ τὴν φύσιν τοῦ ἀνθρώπου καὶ τὸ ἔθος αὐτοῦ. τὸ μὲν γὰρ κεφάλαιον ἐστὶν, ὃ κατασκευάζει, μὴ μεταβάλλειν τὸ τῆς διαίτης εἶδος, πρὸ τοῦ γενέσθαι σαφῆ τὰ τῆς πέψεως σημεῖα. τοῦτο δ᾽ ἔσται προγνόντος σοῦ πόσαις ἡμέραις τὸ νόσημα πρὸς τὴν ἀκμὴν ἀφίξεται. δυναμένης δὲ τῆς διαίτης ἣν ἐξελέγξω, κατὰ τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἐξαλλάττεσθαι, διὰ τὸ καὶ τοὺς κάμνοντας ἀλλήλων διαφέρειν κατά τε ῥώμην καὶ ἀῤῥωστίαν τῆς δυνάμεως, καὶ τὴν φυσικὴν κρᾶσιν, καὶ τὸν τρόπον τοῦ νοσήματος, καὶ τὸ προγεγονὸς ἔθος, εἰς ταῦτα ἀποβλέποντά σε τεχνικῶς ὑπάρχει στοχάζεσθαι, τοῦ τε μᾶλλον καὶ ἧττον τοῦ τῆς διαίτης εἴδους, εἰ ἐπ᾽ ὀξυμέλιτος, ἢ μελικράτου τὸν κάμνοντα χρὴ διαιτᾶν, ἢ ὕδατος μόνου διδόναι πιεῖν, ἄχρι τῶν τῆς πέψεως γνωρισμάτων, ἢ πτισάνην δοτέον, ἢ μόνον τὸν χυλὸν αὐτῆς, εἴτ᾽ οὖν δὶς, εἴτε καὶ ἅπαξ τῆς ἡμέρας. τὸ δὲ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ διαίτῃ προσεκμαίρεσθαι χρὴ, δι᾽ ὧν εἶπε νῦν. οὐ δήπου γὰρ ἐὰν εὕρῃς τὸν κάμνοντα χυλοῦ δεόμενον, ἤδη γινώσκεις ὁπόσον τούτου δοτέον ἐστὶν, ὡσαύτως δὲ καὶ ἐπ᾽ ὀξυμέλιτός τε καὶ μελικράτου καὶ ὕδατος. ἀλλ᾽ ὥσπερ εἰς τὴν εὕρεσιν τοῦ τῆς διαίτης εἴδους ἐδεήθης διαγνῶναι, πότερον ἄῤῥωστος ἢ εὔρωστος ἐστὶν ἡ δύναμις τοῦ κάμνοντος, ἐν πόσαις τε τῶν ἡμερῶν ἡ πέψις ἔσται τοῦ νοσήματος. οὕτω καὶ νῦν προσεπισκεπτέον μέχρι πόσου τὰ τῆς ἰσχύος, ἢ τὰ τῆς ἀσθενείας αὐτῇ συμβέβηκε. παμπόλλη γὰρ ἡ διαφορὰ καὶ κατ᾽ αὐτὴν τὴν ἰσχὺν τῆς δυνάμεως, ἐπεὶ καὶ περὶ τὴν ἀσθένειαν, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, οὕτως δὲ καὶ ἡ τοῦ νοσήματος διαφορὰ προσεκμαρτέα. χρὴ γὰρ οὐ μόνον ὅτι πλευρῖτις, ἢ περιπνευμονία γινώσκειν, ἀλλὰ καὶ ποία τις ἐστὶν αὕτη, κατά τε τὰς ὀδύνας καὶ τοὺς πυρετοὺς καὶ τὰ πτυόμενα. καὶ γὰρ τῶν ὀδυνηρῶν πλευριτίδων, αἱ μὲν μᾶλλον, αἱ δὲ ἧττον εἰσὶ τοιαῦται, καὶ τὸν σφοδρὸν πυρετὸν, ἧττόν τε καὶ μᾶλλον ἔχουσι τοῦτον αἱ κατὰ μέρος πλευρίτιδες. ἐν δὲ τοῖς πτυομένοις οὐ σμικρὰ διαφορὰ, καθότι κἂν τῷ προγνωστικῷ λέλεκται. ποικιλλομένων οὖν τῶν κατὰ μέρος ἀῤῥώστων ἐν ταῖς εἰρημέναις διαφοραῖς, οὐχ οἷόν τε κατὰ τὰς τῶν ἐμπειρικῶν ὀνομαζομένας συνδρομὰς ποιήσασθαι τὴν διδασκαλίαν. οὐδὲ γὰρ οὐδὲ γράψαι δυνατόν ἐστιν τὰς διαφορὰς τῶν κατὰ δύναμιν ὑπεροχῶν, ἢ τὰς τῶν σφοδροτήτων τοῦ πυρετοῦ, καὶ τὸ ποσὸν ἐν τοῖς πτύσμασι, καὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς κατὰ μέρος χρώμασιν, ἢ ἀνομοιοτρόποις ἀναγωγαῖς, ἀλλ᾽ ἑκάστου πράγματος ἀκηκοότα τὴν δύναμιν, ἰδίᾳ καὶ κατὰ μέρος αὐτὸν χρὴ παραβάλλειν γε πάσας ἀλλήλαις, ἀθροίζειν δέ τι κεφάλαιον ἐν ἐξ αὐτῶν. ἐν τούτῳ γάρ ἐστι καὶ τὸ βελτίονας καὶ χείρονας γίγνεσθαι τοὺς ἰατροὺς, εἰ καὶ τὰ αὐτὰ μεμαθηκότες εἶεν. οἱ γὰρ ὀξύτεροι τὸν λογισμὸν, τῶν ἀμβλυτέρων, οἵ τε φιλοπονώτεροι τῶν ῥαθυμοτέρων, οἵ τε τριβακώτεροι τῶν ἀπειροτέρων οἵ τε μνημονικώτεροι τῶν ἀμνημονεστέρων. ἄμεινον οὖν ἐκ τῆς τῶν κατὰ τὸ μέρος πάντων δυνάμεως ἀθροίζειν εἰς ἓν κεφάλαιον ὅλον τὸ χρῆμα, καὶ τὸ καθ᾽ ἑκάστην τροφὴν ποσόν. ἡ μὲν γὰρ ἀσθένεια πλεονάκις μὲν, ἀλλὰ κατ᾽ ὀλίγον διδόναι τὴν τροφὴν ἐνδείκνυται. συνεπιμαρτυρεῖ δὲ τούτῳ, καὶ τὸ δὶς ἐσθίειν εἰθίσθαι τὸν κάμνοντα. τοὐναντίον δὲ πάλιν ἡ ῥώμη τῆς δυνάμεως, ἐὰν ἐπ᾽ ἀνθρώπου μονοσιτεῖν εἰθισμένου φαίνεται, θρεπτέον ἅπαξ τοῦτον, ἐνδείκνυται δὲ ἄμφω τὰ τεκμήρια. οὕτω δὲ καὶ τὸ μὲν εὐδιαφόρητον σῶμα, πρὸς τὸ διδόναι τροφὴν παρορμᾷ, τὸ δὲ δυσδιαφόρητον ἐπὶ τἀναντία ἄγει. καὶ τὸ μὲν λεπτοὺς ἔχον τοὺς χυμοὺς, ἐπὶ τὸ διδόναι τροφήν. τὸ δὲ μὴ τοιοῦτον, ἐπὶ τἀναντία, καθ᾽ ἕκαστόν τε τῶν εἰρημένων τὸ μᾶλλόν τε καὶ ἧττον, ἀνάλογον ἑαυτῷ καὶ τὴν τοῦ βοηθήματος χρῆσιν, αὐξάνει τε καὶ ἀνίησι. λέλεκται δὲ περὶ τῶν τοιούτων ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ πάνθ᾽ ἑξῆς κατὰ τάξιν, ὡς μαθεῖν τε δύνασθαι τάχιστα, καὶ μνημονεῦσαι ῥᾷστα. δι᾽ ἑνὸς γὰρ βιβλίου τοῦ νῦν ἡμῖν προκειμένου πάντα καλῶς εἰπεῖν τὸν Ἱπποκράτην, καὶ μετὰ τάξιν διδάξαι τῶν ἀδυνάτων ἦν, καὶ μάλιστα αὐτοῦ πρώτου τὴν εὕρεσιν αὐτῶν ποιουμένου. περὶ δὲ παρ᾽ αὐτοῦ μὲν αὐτὰ μαθόντι διεσπαρμένως τε καὶ ἀτάκτως, ὅλον τε τὸν ἑαυτοῦ βίον ἀναθέντι πρὸς τὴν ἐξ ἔργων ἄσκησιν διδαχθεῖσαν, οὐκ

ἀδυνάτου καὶ σαφήνειαν καὶ τάξιν τῇ διδασκαλίᾳ προσθεῖναι. ἐὰν δὲ καὶ διὰ πλειόνων βιβλίων ὑπάρξῃ τοῦτο πρᾶξαι, δῆλον ἐστὶ πόση γίγνεται τῆς σαφηνείας τῶν διδασκομένων ὑπερβολή. μὴ τοίνυν ἀθυμείτω τις, ἐὰν ἐν τῷ παρόντι συγχεῖται περικλυζόμενος ἀθρόως ὑπὸ πλήθει τῶν σκοπῶν, ἀλλ᾽ ἐννοήσας ὅτι κατὰ μέρος ἕκαστον τούτων δέδεικται πρὸς ἡμῶν ἐν τῇ θεραπευτικῇ πραγματείᾳ, μεταβὰς ἐπ᾽ ἐκείνην ἐκμαθέτω φιλοπόνως ἕκαστον, αὐτά τε τὰ νῦν ἀτάκτως λεγόμενα σαφῶς εἴσεται, καὶ τὴν θεωρίαν ἐν τοῖς τῆς τέχνης ἔργοις ἀσκῶν, ἐπαινέσει τὴν ἀλήθειαν αὐτῆς.

Πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον, ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ.

Ἐπεὶ τοῦ καθ᾽ ἑκάστην δίαιταν εἴδους ἐξ ὧν εἶπεν ἔμπροσθεν εὑρισκομένου, προσεκμαίρεσθαι χρὴ τὰ κατὰ τὴν προγεγραμμένην ῥῆσιν εἰρημένα, χάριν τοῦ τὸ ποσὸν εὑρίσκειν ἐν ἑκάστῃ διαίτῃ, διὰ τῆς νῦν προκειμένης λέξεως. πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον, ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελεῖ, γιγνώσκων ὅτι τὸ ποσὸν ἑκάστου βοηθήματος, στοχασμοῦ δεῖται τεχνικοῦ. στοχάζεσθαι δὲ τεχνικῶς, ἀνδρός ἐστιν ἐκμεμαθηκότος τάς τε δυνάμεις ἁπάντων τῶν κατὰ τὴν τέχνην, καὶ μεμνημένου καὶ φιλοπόνως ἐπὶ τῶν ἔργων τετριμμένου. τοιοῦτοι δὲ ὀλίγοι παντάπασιν εἰσίν, εἰκότως προσέγραψε ταυτὶ τὰ νῦν εἰρημένα κατὰ τὴν ἐνεστῶσαν λέξιν, τότ᾽ ἐπὶ τὸ ἔλαττον ἐπὶ τῇ ποσότητι μᾶλλον, ὅταν τις ἁμαρτάνῃ τοῦ προσήκοντος μέτρου παραγίγνεσθαι παραινῶν, ἤπερ ἐπὶ τὸ πλέον. τὸ μὲν γὰρ πλέον ἀνεπανορθώτους ἐνίοτε τὰς βλάβας ἐργάζεται. τὸ δ᾽ ἔλαττον, εὐεπανόρθωτόν ἐστι, δυναμένων ἡμῶν ἐὰν ἡ δύναμις ὀκλάζειν φαίνηται, τροφῆς ὀλίγου ἐπιδιδόναι. τῆς δὲ φθασάσης εἰς τὴν γαστέρα καταπεπόσθαι τὸ περιττὸν ἀφελεῖν, οὔτ᾽ ἄλλως ῥᾴδιον, καὶ πολὺ μᾶλλον ἐν τοῖς ὀξέσι νοσήμασιν, ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν, πολλαχοῦ λυσιτελεῖ ὅκου διαρκεῖν μέλλει ὁ κάμνων μέχρις ἂν τῆς νόσου ἡ ἀκμὴ πεπανθῇ. τῆς προγεγραμμένης ῥήσεως τοῦτο τὸ μέρος αὖθις ἀνέλαβεν, ἀναμνῆσαι βουλόμενος τοῦ συνήθους αὐτοῦ σκοποῦ κἀνταῦθα καὶ περὶ τοὺς ἀφορισμούς. ἐὰν γὰρ φαίνηται δυνάμενος ὁ κάμνων ἄνευ τροφῆς ἐξαρκέσαι τῇ τοῦ νοσήματος ἀκμῇ, διὰ παντελοῦς ἀσιτίας αὐτὸν ἐπὶ τὸν ποτὸν μόνον διαιτήσεις, ὅπου περ ἂν ἦν σοι δόξει χρεία.

Ἐν ὁκοίοισιν δὲ τὸ τοιόνδε ποιητέον γεγράψεται.

Δῆλος ἐστὶ προῃρημένος μετὰ τὸ διδάξαι τὴν καθόλου δίαιταν, ἐν τῷδε τῷ βιβλίῳ μεταβῆναι πρὸς τὰ ἄλλα σύμπαντα τὰ ὀξέα, ὃ μὴν εὑρίσκεταί γε τοιοῦτον τοῦτο σύγγραμμα. τὰ δὲ προκείμενα ἐν τούτῳ τῷ βιβλίῳ μετὰ τὸ λουτρὸν, εἰ μὲν ὡς ἐν τύπῳ τις ὑπ᾽ αὐτοῦ γεγραμμένα, ταῦτα παρασκευάσαντος εἰς ἀνάμνησιν ἑαυτῷ, εὑρὼν ἐπὶ τῆς οἰκείας ἐξέδωκε μετὰ θάνατον τοῦ ἀνδρὸς, ἴσως ἄν τινα λόγον ἔχοι. ὡς σύγγραμμα δ᾽ οὐκ ἔστιν ἄξιον τῆς Ἱπποκράτους δυνάμεως. ὥσπερ οὐδὲ τὰ περὶ νόσων τε καὶ περὶ παθῶν ἐπιγραφόμενα, καίτοι πολλὰ καλῶς ἐν αὐτοῖς εἴρηται. διοριούμεθα δὲ τὸ αὐτὸ καὶ διακρινοῦμεν ἐν ταῖς εἰς αὐτὰ γεγραμμέναις ἐξηγήσεσι.

Πολλὰ δ᾽ ἄν τις καὶ ἄλλα ἠδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι.

Πάλιν ἐπὶ τὸν αὐτὸν λόγον ἐπανῆλθεν, ὃν διὰ πολλῶν παραδειγμάτων ἐπιστώσατο, δεικνὺς τὴν τοῦ ἔθους μεταβολὴν βλάπτειν τοὺς νοσοῦντας. ἀλλ᾽ ἐπειδήπερ ἀπὸ τῶν ὑγιαινόντων μετέβαινεν ἐπ᾽ αὐτοὺς, διὰ τοῦτ᾽ εἶπεν ἠδελφισμένα τὰ ὅμοια καλῶς. ὃ δὲ ἐφεξῆς ἐρεῖν μέλλει, μαρτύριον ἐστὶ τοῦ λόγου τούτου. οὐκ ἔστι παραπλήσιον, οὐδ᾽ ὅμοιον, οὐδ᾽ ὡς αὐτὸς ὀνομάζειν ἂν ἠδελφισμένον, ἀλλὰ τὸ ζητούμενον αὐτό. σαφὴς δ᾽ ἡ γνώμη τοῦ ἀνδρὸς ἔσται σοι κατὰ τὴν ἐξήγησιν τῆς ἐχομένης ῥήσεως.

Τό γε μὴν κρέσσον μαρτύριον. οὐ γὰρ ἠδελφισμένον ἐστὶ τῷ πρήγματι περὶ οὗ πλεῖστος μοι λόγος εἴρηται, ἀλλ᾽ αὐτὸ τὸ πρῆγμα ἐπικαιρότατόν ἐστι διδακτήριον. οἱ μὲν γὰρ ἀρχόμενοι τῶν ὀξέων νούσων, ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν, ἠργμένοι ἤδη, οἱ δὲ καὶ τῇ ὑστεραίῃ, οἱ δὲ καὶ ἐρρόφεον τὸ προστυχὸν, οἱ δὲ καὶ κυκεῶνα ἐρρόφεον. ἅπαντα δὲ ταῦτα κακίω μέν ἐστιν, ἢ εἰ ἑτεροίως τις διαιτηθείη. πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κεκενεαγγήσει τελείως. τεταρταῖος δὲ ἂν τοιάδε διαιτηθείη, ἢ καὶ πεμπταῖος. ἔστι μέντοι κάκιον εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας, ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν πέπειρον γενέσθαι τὴν νοῦσον. οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς, τοῖσι πλείστοισιν εἰ μὴ πάμπασιν τις ἡ νοῦσος εὐήθης εἴη. αἱ δὲ κατ᾽ ἀρχὰς ἁμαρτάδες, οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοι εἰσὶν, ἀλλὰ πολλῷ εὐακεστότεραι.

Ἔμπροσθεν ἀπὸ τῶν τοῖς ὑγιαίνουσι συμβαινόντων ἐν τῇ μεταβολῇ τῶν ἐθῶν, ἐπὶ τοὺς νοσοῦντας μετῆλθε καθ᾽ ὁμοιότητα. μεταβήσεσθαι δὲ μέλλει καὶ νῦν, καὶ αὐτὸ δείξειν ἄντικρυς οὕτως ἔχειν τὸ προκείμενον. τί δ᾽ ἦν τοῦτο; τὸ μὴ ἐξ ἀρχῆς μηδ᾽ ἐν ταῖς πρώταις ἡμέραις προταριχεύσαντα τοὺς νοσοῦντας, ὅταν ἤδη πλησίον ἥκωσι τῆς ἀκμῆς, ἐμπιπλάναι. δι᾽ ὧν οὖν εἶπε καθ᾽ ὅλην τὴν ῥῆσιν, ἐπιδεῖξαι βούλεται μείζονα γιγνομένην βλάβην τοῖς νοσοῦσιν ἐπὶ τοῖς αὐτοῖς ἁμαρτήμασιν, ὅταν ἐγγὺς ἤδη τῆς ἀκμῆς ἁμαρτηθῇ, ἢ ἐν ταῖς ἀρχαῖς τῶν νοσημάτων. φησὶ γὰρ πολλῷ

μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ τὰ ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσειε τελέως, τεταρταῖος δὲ ὤν, τοιάδε διαιτηθείη, ἢ καὶ πρὶν πέπειρον γενέσθαι τὴν νόσον. δῆλον τοίνυν δ' ὅτι πέπειρον ὀνομάζει τὴν πεπεμμένην, σύνηθες δὲ νόσους εἴρηκεν, οὐ τὰς κακοήθεις ἀλλὰ τὰς εὐτρεπεῖς. ἴσμεν γὰρ ὅτι οὕτως κέχρηνται τῇ λέξει πολλοὶ τῶν παλαιῶν, καὶ οὕτως ὁ Ἱπποκράτης πολλάκις, ὡς ἐν ἑτέροις δέδεικται.

Τοῦτ' οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος, ἢ τοίου ἢ τοίου, τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν, ἢ τοίοισιν ἢ τοίοισι χρέεσθαι.

Κἀνταῦθα τὸν αὐτὸν λόγον πάλιν εἶπεν, ὃν πολλάκις ἔμπροσθεν ἀπεφήνατο, τρέφειν ἐξ ἀρχῆς κελεύων τοὺς μὴ δυναμένους ῥοφήμασιν ἐξαρκέσαι μέχρι τῆς ἀκμῆς αὐτὸ τοῦ λαβεῖν τῆς πτισάνης. συμβήσεται γὰρ ἡμῖν ἀναγκασθῆναι τρέφειν αὐτοὺς ἐγγὺς τῆς ἀκμῆς ὁπότε ἐχρῆν, εἰ καὶ ἔμπροσθεν ἁδροτέρον διαιτῶντες, μεταβαίνειν πρὸς τὸ λεπτότερον εἶδος τῆς διαίτης.

Πυνθάνονται μὲν οὖν οὐκ ἴσασιν οὐδὲ οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι δύο ἢ τρεῖς ἡμέρας, ἢ καὶ πλείους. οὔτ' αὖ οἱ τῷ χυλῷ χρεόμενοι, γινώσκουσιν ὅτι αὐτέοισι βλάπτονται ῥοφέοντες, ὁκόταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος, τόδε μὲν φυλάσσουσι καὶ γινώσκουσιν ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν πρὶν πέπειρον γενέσθαι τὴν νοῦσον, κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρέεσθαι. πάντ' οὖν ταῦτα μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν εἰς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας. ἀλλ' ἐν ᾗσί τε νούσοισιν οὐ χρὴ κενεαγγέειν, τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν, ἐν ᾗσί τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης εἰς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι.

Πυνθάνονται μέν, ἤτοι τὸ παντελῶς, ἢ τὸ ἐξ ἀρχῆς αὐτῷ δηλοῖ. φησὶ γὰρ ἀγνοεῖν τοὺς ἰατροὺς ὁπότε χρὴ πρῶτον ἤτοι πτισάνην, ἢ χυλὸν διδόναι τοῖς κάμνουσιν, ἐπίστασθαί γε μὴν αὐτούς, πρὸ τοῦ πεφθῆναι τὸ νόσημα εἰ κριθώδη πτισάνην δώσουσι βλαβήσεσθαι τὸν κάμνοντα. τὴν δὲ ἐχομένην τῆσδε τῆς ῥήσεως ὑπὲρ τῶν αὐτῶν ἀποφαινομένην τὰ αὐτὰ τοῖς πολλάκις εἰρημένοις, ἑκὼν ὑπερβήσομαι διὰ σαφήνειαν.

Καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπὸ ὀρτί, ἐνίοτε δὲ ἐν τοῖσι τοιούτοισι καιροῖσι μεταβάλλουσι τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης, ἐν οἷς πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κενεαγγείῃ, ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος.

Τὸ ἀπάρτι καὶ παρὰ τοῖς ἀττικοῖς συγγραφεῦσιν ἀντὶ τοῦ ἀπηρτισμένως εἴρηται, καὶ παρ' αὐτῷ τῷ Ἱπποκράτει. καὶ νῦν οὖν αὐτῷ κέχρηται, βουλόμενος δηλοῦν ἐν ἐκείνῳ μάλιστα τῷ καιρῷ τοὺς ἰατροὺς μεταβάλλειν τὴν δίαιταν ἐκ τῆς ἀσιτίας εἰς τὰ ῥοφήματα, ἐν ᾧ συμφέρει πλησιάζειν τῇ ἀσιτίᾳ, σαφέστατα κἀνταῦθα δηλῶν, ὁπόταν ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

Ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται, ἀπό τε κεφαλῆς καὶ τοῦ περὶ θώρακος τόπου χολώδεα, ἀγρυπνίαι τε συμπίπτουσιν αὐτέοισι, δι' ἃς οὐ πέσσεται ἡ νοῦσος. περίλυποί τε καὶ πικροὶ γίγνονται, καὶ παραφρονέουσι, καὶ μαρμαρυγώδεα σφέων τὰ ὄμματα. καὶ αἱ ἀκοαὶ ἤχου μεσταί, καὶ ἀκρωτήρια κατεψυγμένα, καὶ οὖρα ἄπεπτα, καὶ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρά, καὶ ἱδρῶτες περὶ τράχηλον, καὶ διαπορήματα καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν ἢ μέγα λίην, ὀφρύες δεινώσιος μετέχουσαι, λειποψυχώδεα, πονηρά, καὶ τῶν ἱματίων ἀπορρίψιες ἀπὸ τοῦ στήθεος, καὶ χεῖρες τρομώδεες, ἐνίοτε δὲ χεῖλος τὸ κάτω σείεται.

Ταῦτα πάντα συμβαίνειν φησὶ τοῖς κακῶς διαιτηθεῖσιν ὑπὸ τῶν ἰατρῶν, ὅσοι προταριχεύσαντες ἐν ταῖς πρώταις ἡμέραις τοὺς κάμνοντας, ἤτοι κατὰ τὴν γ'. ἢ δ'. ἢ ε'. ἢ τὴν ς'. ἐπὶ σιτία μετέβησαν ἀθρόως, οὐδέπω τῆς ἀκμῆς τοῦ νοσήματος γεγονυίας, ὡς εἰ γέγονε, προσηκόντως αὐτοὺς ὑπαλλάξαι φησὶ τὴν δίαιταν. ὅπερ οὖν ἔλεγον ὅτι μεταβάλλειν μὲν δεῖ τὴν δίαιταν τῶν ὑγιαινόντων ἐν ταῖς νόσοις, οὐ μὴν ὡς ἔτυχέ γε τοῦτο ποιητέον, ἤδη νομίζω γέγονε σαφὲς ἐκ τῶν προειρημένων. οὔσης γὰρ καταστάσεως τοῦ σώματος μιᾶς μὲν τῆς ὑγιαινούσης, ἑτέρας δὲ τῆς ἐν ἀρχῇ τοῦ νοσήματος ἄχρι τῆς ἀκμῆς, εἶτ' ἄλλης ἄχρι τῆς παντελοῦς λύσεως, καὶ μετ' αὐτὴν τῆς ἀναλήψεως ἄχρι τῆς καθ' ἕξιν ὑγείας, ἐν ἑκάστῃ τῶν τεττάρων καταστάσεων οὐ χρὴ ποιεῖσθαι μεγάλας μεταβολὰς τῆς διαίτης, πρὶν εἰς ἕτερον εἶδος ἀφικέσθαι καταστάσεως. οἱ τοίνυν τοὺς κάμνοντας ἐν ἀρχῇ τῶν νοσημάτων ἐν ἀσιτίᾳ παντελεῖ φυλάττοντες, εἰ μὲν ἄχρι τῆς ἀκμῆς δύναιντο διαφυλάξαι τὸ τοιοῦτον τῆς διαίτης εἶδος, οὐκ ἄν τις αὐτοῖς μέμψαιτο, μὴ δυνάμενοι δὲ πρᾶξαι τοῦτο διὰ τὸ καταλύεσθαι μεταξὺ τὴν δύναμιν τῶν νοσούντων, δῆλον ὅτι κακῶς ἔχουσιν ταῖς ἀσιτίαις προταριχεύσαντες τοὺς κάμνοντας. ἐνδείκνυται δὲ ἐναργῶς διὰ τῆσδε τῆς προσηγορίας τὴν ἀκαιρίαν τῆς ἀσιτίας, καταξηραίνουσαν τὸ σῶμα περαιτέρω τοῦ προσήκοντος. ὅπου γὰρ ἐν ᾧ χρὴ καιρῷ λεπτότερον διαιτᾶν, ἐγγὺς

οὔσης τῆς ἀκμῆς, ἐν τούτῳ προσφέρειν ἠναγκάσθησαν σιτία, πρόδηλόν ἐστι κατεξηρᾶνθαι διὰ τῆς ἀσιτίας ἀμέτρως τοὺς κάμνοντας, ὅπερ ὠνόμασε ταριχεύεσθαι. διὰ τοῦτ' οὖν φησιν ἕπεσθαι συμπτώματα τῷ τοιούτῳ τρόπῳ τῆς διαίτης πολλὰ καὶ μοχθηρά. καταλέγει δὲ ἐφεξῆς αὐτὰ πάντα, τὴν ἀρχὴν ἀπὸ χολωδῶν ὠμῶν ποιησάμενος. ὠνόμασε γὰρ οὕτως αὐτά, διότι καὶ τὴν τῶν περιττωμάτων ὀνομάζει πέψιν, εἰ καὶ μὴ δυνατὸν μεταβληθέντα θρέψαι τὸ σῶμα, καθάπερ αἱ χολαὶ καὶ οἱ ἰχῶρες. ἀλλ' ὅμως ἐπειδὴ κρατεῖν καὶ τῶν τοιούτων ἡ φύσις, εἴωθεν ὀνομάζειν πεπεμμένα μὲν τὰ κρατηθέντα τῶν τοιούτων περιττωμάτων ὑπὸ τῆς φύσεως, ἄπεπτα δὲ τὰ μὴ κρατηθέντα. διὰ τοῦτο καὶ τὸ πῦον ἐπὶ ταῖς πεπτομέναις φλεγμοναῖς γίγνεσθαι φησί, καί τοι μηδενὸς μορίου τὴν ἐκ πύου θρέψιν ἀναλαμβάνοντος, ὥσπερ τὴν ἐκ τῶν ὠμῶν ὀνομαζομένων χυμῶν καὶ τοῦ φλέγματος, ἅπερ ἀναδεξάμενα τὸ λειπὸν τοῦ κατεργασίας, καὶ πεφθέντα τελέως, τρέφειν δύναται τὸ ζῶον. οὕτως οὖν καὶ τῶν χολωδῶν πέψις χυμῶν ἐστιν, ὥσπερ καὶ τοῦ κατὰ φλεγμονὴν αἵματος εἰς πῦον μεταβάλλοντος, κατὰ τὸ γενικώτερον σημαινόμενον τῆς πέψεως ἀκουόντων ἡμῶν τῆς προσηγορίας. γενικώτερον δ' ἐστιν, ὅταν ἡ φύσις τῶν αἰτίων ἰσχυροτέρα ᾖ, καὶ μεταβάλλει αὐτὰ πρὸς τὴν ἑαυτῆς ἰσχύν. τὰ δ' ὡς ἐν ἀψύχῳ σώματι σηπόμενα, μηδὲν συντελούσης αὐτοῖς τῆς ἐμφύτου θερμότητος εἰς τὴν ἀλλοίωσιν, ἐκπέπτωκε τοῦ πέττεσθαι. τοῦτ' οὖν ἐνίοτε καὶ τοῖς ὑδατώδεσιν ἰχῶρσι συμβαίνει διὰ οὔρων ἐκκενουμένοις, καὶ διὰ τοῦτο καὶ οὖρα τὰ ἄπεπτα, πέττεσθαι φαμέν, καί τοι μὴ δυναμένου τοῦ σώματος ἐκ τῶν πεπεμμένων οὔρων τρέφεσθαι. τῷ δὲ γενικῷ τούτῳ σημαινομένῳ τῆς πέψεως χρώμεθα, ἐπειδὰν κατάρρουν, ἢ κόρυζαν, ἢ τοὺς ἐκ τούτων ῥέοντας ἰχῶρας, ἢ τοὺς ἐν ταῖς ὀφθαλμίαις, ἤτοι γε ἀπέπτους, ἢ πεπεμμένους εἶναι λέγομεν. οὕτως γοῦν καὶ χολήν, ἢ ὠμήν, ἢ ἄπεπτον, ἢ πεπεμμένην εἶναι φαμέν. ἡ μὲν γὰρ ὠμὴ ξανθή τε ἐστιν ἱκανῶς καὶ δριμεῖα, καὶ δυσώδης, ἡ πεπεμμένη δέ, ὠχροτέρα τε καὶ ἥκιστα δυσώδης. ἄπεπτον οὖν χολήν φησιν εἰς γαστέρα συῤῥεῖν ἀναγκάζεσθαι, διὰ τὴν καινήν τε δίαιταν ἔκ τε τῆς κεφαλῆς καὶ τοῦ θώρακος ἑλκομένην, καθ' ἕτερον μὲν καιρὸν ἐν ᾧ λιμαγχονοῦσιν οὐδενὶ χρηστῷ παραμυθούμενοι τὴν γαστέρα. καθ' ἕτερον δὲ καιρόν, καθ' ὃν ἀκαίρως μεταβαίνουσιν ἐκ τῆς ἀσιτίας εἰς ἰσχυρὰ σιτία πλησίον τῆς ἀκμῆς. ἐφεξῆς δὲ καὶ ἄλλα συμπτώματα καταλέγει διὰ τὴν μοχθηρὰν δίαιταν γινόμενα, πρώτας μὲν τὰς ἀγρυπνίας ἑπομένας δηλονότι ἀσιτίαις μακραῖς, καὶ τροφαῖς ἀκαίροις ἅπερ ἀμφότερα μέμφεται τῆς διαίτης τῶν ἰατρῶν. ὅτι δὲ ταῖς ἀγρυπνίαις ἡ ἀπεψία τοῦ νοσήματος ἕπεται, πρόδηλον, εἴ γε καὶ τοῖς ὕπνοις ἡ πέψις. ἀλλὰ καὶ περίλυποι φησὶ γίγνονται κατ' ἀμφότερα δηλονότι, τήν τε μακρὰν ἀσιτίαν καὶ τὴν ἰσχυρὰν τροφὴν τὴν ἐξαίφνης, ὑφ' ἧς ἡ γαστὴρ βαρύνεται. βαρυνομένη δὲ καὶ δυσθύμους τε καὶ λυπηροὺς ἀπεργάζεται τοὺς κάμνοντας. ἀλλὰ καὶ πικροὺς αὐτοὺς ἔφη γίγνεσθαι, δηλονότι παραπλήσιόν τι τῷ προειρημένῳ. καθάπερ γὰρ ἔνιοι δυσθυμοῦνται μελαγχολικῶς, οὕτως ἕτεροί τινες ὀξυθυμοῦνται πολλάκις, ὡς ἀθροιζομένης αὐτῆς τῆς χολῆς πρὸς τὸν στόμαχον, ἢ καὶ τὴν ἐν τῷ στόματι γιγνομένην αὐτοῖς ἐκ τῆς τοιαύτης χολῆς πικρότητα δηλοῖ, διὰ τὸ φάναι πικροὺς αὐτοὺς γίγνεσθαι. αἱ παραφροσύναι δὲ καὶ ἐπὶ ταῖς ὀξυθυμίαις καὶ τῇ πικρᾷ χολῇ κατὰ τὸν στόμαχον, ἢ τὸν ἐγκέφαλον ἀθροιζομένῃ, πεφύκασιν ἕπεσθαι. τὰ δ' ὄμματα μαρμαρυγώδη γίγνεται, διά τε τὴν ἀπὸ τῆς γαστρὸς ἀναθυμίασιν, καὶ διὰ πλῆθος αἵματος ἐπὶ τὴν κεφαλὴν ἀναφερομένου. τούτων δὲ τὸ μὲν πρότερον ἐπ' ἀκαίροις ἐνίοτε γίγνεται προσφοραῖς τῆς τροφῆς. τὸ δὲ δεύτερον, ἢ δι' αἱμοῤῥαγίαν κρίσιμον, ἢ παραφροσύνην ἐφεδρεύουσαν. ὡσαύτως δὲ καὶ τὰ ὦτα πληροῦται τοῦ ἤχου διά τε τοὺς ἐκ τῆς γαστρὸς ἀναφερομένους ἀτμούς, καὶ διὰ πνεῦμα φυσῶδες, ἐν αὐτῇ τῇ κεφαλῇ γιγνόμενον. τὰ δ' ἀκρωτήρια τοῦ σώματος ἅπερ ἐστὶ πόδες τε καὶ χεῖρες, ἴσμεν ἑτοίμως καταψυχόμενα, κακοπαθοῦντος τοῦ στόματος τῆς γαστρός, ὅταν ἤτοι διὰ μακρὰν ἀσιτίαν δάκνηται σφοδρῶς ὑπὸ δακνωδῶν ἰχώρων, ἢ διὰ πλῆθος ἄκαιρον τροφῆς βαρύνεται. πάσχει δ' ἀμφότερα πρὸς τὴν προειρημένην δίαιταν ἐν ᾗ προταριχεύσαντες ἐν ταῖς πρώταις ἡμέραις τοὺς κάμνοντας οἱ ἰατροί, μεταβαίνουσιν ἀθρόως ἐπὶ σιτώδεις τροφάς, ἐν ᾧ καιρῷ ἐχρῆν αὐτοὺς λεπτότερον διαιτᾶν. πρὸς δὲ τὸν αὐτὸν λόγον, τὰ δ' οὖρα πέττεται διαιτωμένων οὕτως, ἐν μὲν τῷ προταριχεύειν αὐτοὺς τοῦ προσφέρειν, ἢ χυλὸν πτισάνης, ἢ μελίκρατον, ἢ ὀξύμελι, τοῦ αἵματος ἐπιχολουμένου διὰ τὸ μὴ καθαίρεσθαι. διὰ δὲ τὴν ἀθρόαν μεταβολὴν ἐπὶ σιτία, βαρυνθείσης μὲν τῆς γαστρός, συγκαμνούσης δ' αὐτῇ καὶ τῆς ζωτικῆς δυνάμεως, ὡς αἱ στομαχικαὶ καλούμεναι συγκοπαί, σαφῶς ἡμῖν ἐνδείκνυνται τὴν συμπάθειαν τῆς ζωτικῆς δυνάμεως πρὸς τὸ τῆς γαστρὸς στόμα. τοῦτο γάρ ἐστι τὸ μᾶλλον τε καὶ πρῶτον ἐν ταῖς ἀκαίροις ἀσιτίαις τε καὶ προσφοραῖς κακούμενον. διὰ τοῦτο οὖν καὶ τὰ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ σμικρά, καὶ κεχρωσμένα χρώμασιν ἀκράτοις γίγνεσθαι φησί, καὶ ἱδρῶτας περὶ τράχηλον μόνον ἀπορίαν τε καὶ δυσπνοιαν. ἄπεπτον γὰρ μένει τὸ νόσημα, δι' ἑκατέραν τὴν ὑπερβολήν, ἀσιτίαν τε μακρὰν καὶ τροφῆς προσφορὰν ἄκαιρον. τῇ δ' ἀπεψίᾳ συνέπεται καὶ τὰ καταλελεγμένα πτύσματα, καθάπερ καὶ οἱ περὶ τράχηλον ἱδρῶτες, καὶ διὰ λιμαγχονίαν καταλυομένης τῆς δυνάμεως, καὶ διὰ τροφὴν ἄκαιρον βαρυνομένης. ὡσαύτως δὲ καὶ ἡ ἀπορία κοινὸν ἀμφοῖν ἐστι σύμπτωμα, καὶ διὰ μακρὰν ἀσιτίαν ἐμπιπλάσαν ἰχώρων τὴν γαστέρα, καὶ διὰ τροφὴν ἄκαιρον βαρύνουσαν. ἥ γε μὴν δύσπνοια καθ' ἣν τὸ πνεῦμα προσπταίει, διὰ τροφὴν ἄκαιρον γίνεται μᾶλλον ἢ δι' ἔνδειαν. ἔστι γὰρ στενοχωρίας τε καὶ σπασμοῦ γνώρισμα, προσκόπτειν τε καὶ οἷον ἵστασθαι τὸ πνεῦμα κατὰ τὴν εἰσπνοήν. ἡ γὰρ ἄνω φορὰ τὴν ἐκπνοὴν ποιεῖται. τῷ τοιούτῳ δὲ πνεύματι τὸ ἐναντίον ἐν τῷ δευτέρῳ καὶ ἕκτῳ τῶν ἐπιδημιῶν αὐτὸς δηλωθεν εἰπών. διπλῆν ἔσω ἐπανάκλησιν οἷον ἐπεισπνέουσιν. ὅτι δὲ διὰ τὴν ἄκαιρον τροφήν, οὐ διὰ τὴν ἔνδειαν ἡ τοιαύτη γίγνεται δύσπνοια, δῆλον ἐστὶν κἀκ τοῦ φάναι τὸν Ἱπποκράτην πυκνὸν ἢ μέγα λίαν τοῖς κακῶς διαιτηθεῖσι γίγνεσθαι τὸ πνεῦμα. καὶ γὰρ τὸ πυκνὸν καὶ τὸ μέγα, στενοχωρουμένου τοῦ διαφράγματος ὑπὸ τῆς ἐν τῇ κοιλίᾳ περιεχομένης γίνεται τροφῆς, ὅταν μὴ κρατουμένη, μηδὲ κατεργαζομένη καλῶς ὑπὸ τῆς γαστρὸς ἐργάσηται πνευμάτωσιν. ἀναγκαῖον γάρ ἐστι τηνικαῦτα διά τε τὴν στενοχωρίαν τοῦ διαφράγματος, ἔλαττον εἰσπνεῖσθαι τὸ πνεῦμα, καί τοι διαστολὴν διαστελλομένου τοῦ θώρακος ἧς πρόσθεν διεστέλλετο. τοῦτ' οὖν ὅσον λείπεται τὸ νῦν πνεῦμα τοῦ πρότερον, ἐνδεῆ τὴν χρείαν τῆς ἀναπνοῆς ἐργάζεται, καὶ διὰ ταύτην τὴν ἔνδειαν ἤτοι μείζονα τὴν ἀναπνοὴν ἀναγκάζει

ποιεῖσθαι

ποιεῖσθαι τὸ ζῷον, ἢ πυκνοτέραν, ἢ ἀμφότερα. λέλεκται δὲ περὶ πασῶν δυσπνοιῶν ἐπὶ πλεῖστον, ἐν τοῖς περὶ δυσπνοίας, ἐν οἷς καὶ τούτων καὶ τῶν ἄλλων δυσπνοιῶν τὰς αἰτίας σὺν ταῖς οἰκείαις ἀποδείξεσιν ἐγράψαμεν. ἀλλ᾽ εἴς γε τὸ παρὸν ἀρκεῖ ταῦτα. φησὶ δὲ τῆς κακῆς διαίτης καὶ τὰς ὀφρῦς γίγνεσθαι, διανώσιος μετεχούσας. γέγραπται δὲ διττῶς ἐν τισὶ μὲν τῶν ἀντιγράφων κατὰ τὸν ἑνικὸν ἀριθμόν, ὀφρὺς διανώσιος μετέχουσα. καθ᾽ ἕτερα δὲ πληθυντικῶς ὀφρύες διανώσιος μετέχουσαι. δηλοῦται δὲ ἐκ τῆς λέξεως τὸ παρεσπάσθαι πως αὐτὰς ἢ ἀνεσπάσθαι, καὶ γίνεται τοῦτο ποτὲ μὲν ἀμφοτέρων τεινομένων σπασμωδῶς, ἢ τῆς ἑτέρας μόνης, ποτὲ δὲ τῆς ἑτέρας παραλελυμένης. εἶτ᾽ ἐφεξῆς φησι λειποψυχώδεα πονηρά. τὸν λόγον ἀναφέρων ἐπὶ τὰ συμπτώματα, καθ᾽ ἃ καὶ τῶν ἱματίων ἀποῤῥίψεις γίνονται διακαιομένων τῶν καμνόντων. ἐνίοτε δὲ καὶ χεῖρες ὅλαι τρομώδεις, ἐπὶ πλέον αὐξανομένου τοῦ κακοῦ. τὸ δὲ κάτω χεῖλος σειόμενον, ἐνδείκνυται δῆξιν εἶναι σφοδρὰν ἐν τῷ στόματι τῆς γαστρός, διὸ καὶ σημεῖον ἐστὶν ἐμέτου δριμέων χυμῶν τὸ τοιοῦτον σύμπτωμα.

Ταῦτα δὲ ἐν ἀρχῇσιν ἐπιφαινόμενα, παραφροσύνης εἰσὶ δηλωτικὰ σφοδρῆς, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσι.

Τὰ εἰρημένα φησὶ συμπτώματα κατὰ τὴν ἀρχὴν τῶν νοσημάτων γιγνόμενα, παραφροσύνης εἰσὶ δηλωτικὰ σφοδρᾶς. ἀρχὴν δὲ νόσου νῦν ἀκούειν σε χρὴ τὸν χρόνον ἐκεῖνον ὅλον, ἐν ᾧ μηδέπω πέψεως εἰσὶ γνωρίσματα. εἴρηται γὰρ ἐν τοῖς περὶ κρίσεων, ὅτι τε πλείω σημαίνει τὸ τῆς ἀρχῆς ὄνομα, καὶ ὅτι τὸ νῦν εἰρημένον σημαινόμενον, τῆς ἀρχῆς ἐστι κατὰ τὴν τοιαύτην διαίρεσιν γιγνόμενον, ἐν ᾗ τοὺς τοιούτους καιροὺς τῶν νοσημάτων διαιρούμενοι λέγομεν ἐξ ἀρχῆς αὐτά, καὶ ἀναβάσεως, καὶ ἀκμῆς, καὶ παρακμῆς συγκεῖσθαι. τῶν οὖν εἰρημένων ἄρτι συμπτωμάτων ὅταν ἐγγὺς τῆς ἀκμῆς φαίνηται κρίσιν ἐσομένην, προδηλούντων ἐν περιεστηκόσι δηλονότι νοσήμασιν, ὅταν ἐν ἀρχῇ γένηται, κρίσιν μὲν οὐ δηλοῖ. κριθῆναι γὰρ ἐν ἀρχῇ οὐδὲν δύναται, παραφροσύνης δ᾽ ἐστὶ γνωρίσματα. καὶ γέγραπται περὶ αὐτῶν ἱκανῶς ἐν τοῖς περὶ κρίσεων, ἐξ ἐκείνων οὖν καὶ σὺ μάνθανε τὸν ὅλον ὑπὲρ αὐτῶν λόγον. ἔστι γὰρ μακρότερος, ἢ ὡς νῦν ἅπαντα διελθεῖν αὐτόν, ἀλλ᾽ ἀρκέσει καθάπερ ἐπὶ τῶν ἄλλων, οὕτω κἀπὶ τούτων τὸ κεφάλαιον εἰπεῖν, ὡς ἐπειδὰν ἡ φύσις ἐπείγηται πρὸς ἔκκρισιν, ἀξιόλογος ἐν τῷ σώματι γίνεται ταραχή, δι᾽ ἣν τὰ τοιαῦτα φαίνεται συμπτώματα μετὰ τῶν τῆς πέψεως σαφεστάτων σημείων. χωρὶς δὲ τοῦ παρασκευάσαι τὴν φύσιν εἰς τὴν τῶν λυπούντων ἔκκρισιν, ὁμοία ταραχὴ γιγνομένη, κινδυνωδέστατόν ἐστι σημεῖον. εἴρηται δὲ καὶ δι᾽ ἄλλων ὑπομνημάτων ἤδη περὶ κρισίμων συμπτωμάτων, ὁποία τέ τις ἡ φύσις αὐτῶν ἐστι, καὶ ὅπῃ διαφέρει τῶν ἐπιφαινομένων καλουμένων, ἐν οἷς ἔσται καὶ τὰ τῆς πέψεως σημεῖα. τό, τε γὰρ προγνωστικὸν καὶ τὸ περὶ χυμῶν καὶ τοὺς ἀφορισμοὺς ἤδη προεξηγήμεθα πρὸ τοῦδε τοῦ βιβλίου. μακρολογοῦντος οὖν ἐστιν ἀεὶ περὶ τῶν αὐτῶν λέγειν τὰ αὐτά.

Οἱ δὲ διαφεύγοντες, ἢ μετὰ ἀποστήματος, ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινός, ἢ πύον πάχυ πτύσαντες διαφεύγουσιν, ἄλλως δὲ οὔ.

Ἐπειδὴ θνήσκειν αὐτοὺς εἶπεν, οὐχ ἁπλῶς, ἀλλὰ προσέγραψεν ὡς ἐπὶ τὸ πολύ, διὰ τοῦτο ἀκόλουθον ἦν εἰπεῖν ὅπως ἐξ αὐτῶν ἔνιοι σώζονται. τούτους οὖν νῦν διεξέρχεται, καὶ φησὶν ἢ δι᾽ αἱμοῤῥαγίας, ἢ δι᾽ ἀποστήματος, ἢ διὰ πύου πτύσεως ἱκανῶς πεπεμμένου, σώζεσθαι τινὰς ἐξ αὐτῶν. συνενδεικνύμενος ἐξ ὧν εἶπε διὰ πλῆθος, ἐν τοιούτοις περιπίπτειν συμπτώμασι τοὺς κάμνοντας.

Οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητρούς, ὡς χρὴ διαγινώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵτε διὰ κενεαγγείην ἀσθενέονται, αἵτε δι᾽ ἄλλον τινὰ ἐρεθισμόν, αἵτε διὰ πόνον, καὶ ὑπὸ ὀξύτητος τῆς νούσου. ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα, καὶ εἴδεα παντοῖα, καίτοι σωτηρίην, ἢ θάνατον φέρει γινωσκόμενα, ἢ ἀγνοούμενα τὰ τοιαῦτα.

Ἐπεὶ περί τε τῆς ἰσχύος τοῦ κάμνοντος πεποίηται καὶ περὶ τῆς ἀσθενείας λόγον (ταῦτα δ᾽ εἰσὶ τῶν ἐκ τῆς διαίτης σκοπῶν οὐχ οἱ φαυλότατοι) διὰ τοῦτο νῦν ἀναλαμβάνει τὸν ὑπὲρ αὐτῆς λόγον τῆς κατὰ τὴν δύναμιν ἀσθενείας, ᾧ τινι τρόπῳ γίγνεται, διαγνωστικοὺς λέγων δεῖν εἶναι τοὺς ἰατρούς, ὅτι ἔνιαι μὲν τῶν ἀσθενειῶν, διὰ τὴν τῶν ἀγγείων κένωσιν ἀποτελοῦνται. τοῦτο γὰρ ἡ κενεαγγεία σημαίνει κυρίως τε καὶ πρώτως, καὶ διὰ τοῦτο ἡ ἀσιτία κενεαγγεία πολλάκις εἴρηται, ὡς τῷ τοῦ γένους ὀνόματι καὶ ἐπὶ τοῦ εἴδους, συνηθέστατα χρωμένων ἁπάντων τῶν ἀνθρώπων. ἔνιαι δὲ διὰ πόνον, ἤτοι τὸν ἰδίως λεγόμενον, ὥσπερ ἐστὶν ὁ αὐτὸς ταῖς ὀδύναις, ἢ τὴν ὡς ἂν εἴποι τις κακοπάθειαν, ἣν κακοπαθοῦσιν οἱ κάμνοντες ἐν ταῖς ὀξείαις νόσοις. ἐνίας δὲ καὶ δι᾽ ἄλλον τινὰ γίγνεσθαι φησὶν ἐρεθισμόν. εἰ μὲν γὰρ δὴ τὴν δῆξιν ἐρεθεῖ ἤτοι γε τῆς γαστρός, ἢ τῶν ἐντέρων, δόξειεν ἂν ὑποπεπτωκέναι τὸ σύμπτωμα τοῦτο ταῖς ὀδύναις. εἰ δὲ ἀγρυπνίαν, ἤτι τοῦ στόματος τῆς κοιλίας πάθος, οὐ κυρίως ἂν δόξειεν ἑρμηνεύειν. ἡ γε μὴν δύναμις ὁρᾶται καταλυομένη, διά τε κένωσιν ἐξ αἱμοῤῥαγιῶν, ἢ ἐμέτων, ἢ διαχωρημάτων, ἢ ἱδρώτων, καὶ δι᾽ ἀσιτίαν μακροτέραν τοῦ προσήκοντος, καὶ διὰ ἄλγημα τε καὶ ἀγρυπνίαν, ἐξαναστάσεις τε συνεχεῖς ἀποπατήσεως ἕνεκα, καὶ πρὸς τούτοις ὅταν ποτὲ πάθῃ τὸ στόμα τῆς γαστρός, οὕτως ἐναπελεῖν συγκοπάς. τοῦτο μέν γε καὶ διὰ τροφῆς πλῆθος βαρυνούσης, ἢ τινα τῶν ἀνιαρῶν αὐτῆς ποιοτήτων, αὐτή τε κάμνει καὶ συγκαταλύει τὴν δύναμιν ἑαυτῇ τάχιστα. πᾶσαι μὲν οὖν αὗται διὰ φανερῶν αἰτιῶν γίγνονται αἱ βλάβαι τῆς δυνάμεως. ἕτεραι δέ εἰσιν ἀφανεῖς, ὥσπερ ὅταν ἄνευ κενώσεως φανερᾶς, ἢ ἀγρυπνίας, ἢ λιμαγχονίας, ἢ τῆς κατὰ τὸ στόμα κοιλίας αἰσθήσεως, οἱ κάμνοντες εἰς τοιαύτην ὑποσύρονται τοῦ σώματος διάθεσιν, οἵαν ἐν τῷ προγνωστικῷ κατὰ τὴν ἀρχὴν

αὐτὸς ἔγραψε λέγων, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὅσα τε τούτων ἐφεξῆς. αὕτη γὰρ τοῦ σώματος ἡ κατάστασις γίνεται μὲν καὶ δι' ἀγρυπνίαν, καὶ δι' ἔκκρισίν τινα πολλήν, καὶ λιμαγχονίαν. γίνεται δὲ καὶ χωρὶς τούτων, ὅταν οἵ τε ἐν τῷ σώματι χυμοὶ λεπτοὶ τυγχάνουσιν ὄντες, ἥ τε τοῦ πυρετοῦ θερμασία δριμεῖα. διαφοροῦνται γὰρ οἱ οὕτως λεπτυνόμενοι κατὰ τὸ ἄδηλον. ἐνίοις δὲ καὶ διὰ τὴν δυσκρασίαν μιᾶς τῶν ἀρχῶν παθούσης, ἀσθενὴς ἡ δύναμις γίγνεται. πρώτη μὲν οὖν ἡ πρώτως παθοῦσα κάμνει, διὰ συμπάθειαν δὲ καὶ αἱ λοιπαὶ δύο. μεμάθηκας γὰρ ἄλλην μὲν εἶναι διὰ τὰ νεῦρα δύναμιν ἀρχὴν ἔχουσαν τὸν ἐγκέφαλον. ἄλλην δὲ κατὰ τὰς ἀρτηρίας, ἧς ἡ ἀρχὴ καρδία, καὶ τρίτην κατὰ τὰς φλέβας ἐξ ἥπατος ὁρμωμένην. ἐνίοτε γοῦν τῶν μορίων ἑνὸς ὁποιανοῦν δυσκρασία τὴν οἰκείαν δύναμιν ἐκάκωσεν, ᾗ συνεπάθησαν αἱ λοιπαὶ δύο δυνάμεις. τάχιστα μὲν οὖν ἀπώλειαι γίγνονται, τῆς καρδίας παθούσης. ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου, βραδεῖαι δὲ αἱ ἀπὸ τοῦ ἥπατος. ὥσπερ γὰρ ταῦτα τὰ μόρια κατὰ δυσκρασίαν παθόντα, μεγίστην βλάβην βλάπτεται τῆς οἰκείας ἕκαστον δυνάμεως, οὕτως ἔνια πλησίον ἑκάστης ἀρχῆς κείμενα κατὰ δυσκρασίαν ἰσχυρῶς νοσήσαντα, τὰς ἀρχὰς τῶν δυνάμεων εἰς συμπάθειαν ἑαυτῆς ἄγει. τινὰ δὲ καὶ μὴ πλησίον ἢ κείμενα, διὰ τὴν κατὰ γένος κοινωνίαν, ἤ τινα διαθέσεως ἰδιότητα, τὰ τὰς ἀρχὰς τῶν δυνάμεων ἔχοντα βλάπτει μόρια. τὸ μὲν οὖν στόμα τῆς γαστρὸς ὅταν μὲν ζωτικὴν δύναμιν εἰς συμπάθειαν ἄγει, συγκοπὰς ἐπιφέρει. ὅταν δὲ τὴν ἰδίως ψυχικὴν ὀνομαζομένην, παραφροσύνας, ἢ σπασμός. ἡ δὲ μήτρα ποτὲ μὲν ἀπνοίας, ποτὲ δὲ συντάσεις νεύρων· ἀλλὰ συμπληρωθέντα μὲν ἕκαστα τούτων ἁπλῶς γνώριμα, συνιστάμενα δὲ καὶ αὐξανόμενα κατὰ βραχύ, λανθάνει τοὺς πολλοὺς τῶν ἰατρῶν. χρὴ δὲ οὐχ ὅταν ὑπὸ μεγέθους ἀβοήθητα γένηται, τότε γνωρίζειν αὐτά, τοῖς ἰδιώταις ὡσαύτως, ἀλλὰ ἀρχόμενά τε καὶ γιγνόμενα, τοῦτο γὰρ κάλλιστον. εἰ δὲ μή, ἀλλ' αὐξανόμενά γε πάντως. ἅπαντα οὖν τὰ τοιαῦτα δοκεῖ μοι δηλῶσαι διὰ τῆσδε τῆς λέξεως ὁ Ἱπποκράτης, ἐν ᾗ φησιν, ὅσα τε ἡμέων ἡ φύσις καὶ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα. καὶ νῦν φύσιν λέγει τὴν κρᾶσιν, ἕξιν δὲ αὐτοῦ τοῦ σώματος τὴν κατασκευήν. οἱ μὲν γὰρ ἀραιότεροι φύσει διαφοροῦνται, καὶ συγκόπτονται ῥᾳδίως, οἱ δὲ πυκνότεροι χρονίζουσιν ἐν ταῖς νόσοις. οὕτω δὲ καὶ μόρια, τὰ μὲν ἔχουσί τινες ψυχρότερα, τὰ δὲ θερμότερα, καὶ τὰ μὲν ξηρότερα, τὰ δὲ ὑγρότερα. ἅπασι δὲ οἰκεῖον τῇ κράσει τὸ νόσημα.

Μεῖζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι προσφέρει τις ποτόν, ἢ ῥόφημα πλεῖον, ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν. ἀεικὲς δὲ καὶ διὰ κενεαγγείην ἀσθενέοντα μὴ γνῶναι, καὶ πιέζειν τῇ διαίτῃ. φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτάς, πολλῷ δὲ ἧσσον τῆς ἑτέρης. καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης. εἰ γὰρ ἄλλος ἰητρός, ἢ καὶ ἰδιώτης ἐσελθών, καὶ γνοὺς τὰ ξυμβεβηκότα, δοίη καὶ φαγεῖν καὶ πιεῖν ἃ ὁ ἕτερος ἐκώλυσεν, ἐπιδήλως ἂν δοκέοι ὠφεληκέναι. τὰ δὲ τοιάδε μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων. δοκέει γὰρ αὐτέοισιν ὁ ἐσελθὼν ἰητρός, ἢ ἰδιώτης, ὥσπερ εἰ καὶ τεθνεότα ἀναστήσας.

Διὰ τὰς ὀδύνας πολλάκις οἱ κάμνοντες ἄσφυκτοι γίγνονται, καὶ λιποψυχοῦσι, καὶ κίνησιν οὐδεμίαν οἷόν τε κινηθῆναι. διὰ ταῦτα δὲ καὶ διὰ τὴν ὀξύτητα τῆς νόσου. τινὲς δὲ οὐ διὰ ταῦτα κάμνουσι τὴν δύναμιν, ἀλλὰ διὰ κένωσιν ἀγγείων ὁπωσοῦν γεγονυῖαν. εἴτ' οὖν δι' ἔκκρισιν, πρόδηλον αἰσθήσει, εἴτε διαφόρησιν, εἴτε καὶ διὰ λιμαγχονίαν. οὗτοι μὲν οὖν δέονται τροφὴν προσάρασθαι ὅτι τάχιστα. τοὐναντίον δὲ αὖ οἱ δι' ὀδύνην, ἢ δι' ὀξύτητα τῆς νόσου, κενώσεως ἐνίοτε χρῄζουσι, μᾶλλον ἢ πληρώσεως. ἀλλὰ τούτοις μὲν ὁ τροφὴν διδούς, μέγιστόν τι κακὸν ἐργάζεται. τοὺς δὲ διὰ κενεαγγείην ἀσθενοῦντας εἰ πιέζει διαίτῃ λεπτῇ, βλάψει, οὐχ ὁμοίως δὲ ἐπιφανῶς ἢ ὀξέως. ἀεικές τε μήν ἐστιν ἀγνοῆσαι τὸ διὰ κένωσιν ἀσθενοῦντας μᾶλλον, ἢ τὸ δι' ὀδύνην. τὰ δ' ἄλλα τῆς ῥήσεως σαφῆ.

Γεγράψεται οὖν καὶ περὶ τούτων σημεῖα, οἷσι δεῖ ἕκαστα τουτέων διαγινώσκειν.

Ἐπαγγέλλεται οὖν πάλιν κἀνταῦθα, ὥσπερ ὀλίγον ἔμπροσθεν ἕτερόν τι γράψαι περὶ τῶν ὀξέων νοσημάτων βιβλίον.

Παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην ἐστὶ καὶ ταῦτα. καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πολὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔρρωται μᾶλλον. ἢν δὲ δεῖ, καὶ πλείονα χρόνον διελιννύσας, ἐξαπίνης εἰς τοὺς πόνους ἔλθοι, φλαῦρόν τι πρήξειεν ἐπιδήλως. οὕτω δὲ καὶ ἐν ἕκαστον τοῦ σώματος. καὶ γὰρ ἢν πόδες τοιόνδε τι πρήξειαν, καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης εἰς τὸ πονέειν ἔλθῃ. ταῦτα δ' ἂν καὶ οἱ ὀφθαλμοὶ καὶ οἱ ὀδόντες πάθοιεν καὶ τῶν ὁτιοῦν. ἐπεὶ καὶ κοίτη παρὰ τὸ ἔθος μαλακὴ πόνον ἐμποιέει, καὶ σκληρὴ παρὰ τὸ ἔθος, καὶ ὕπαιθρος παρὰ τὸ ἔθος εὐνὴ σκληρύνει τὸ σῶμα.

Πάλιν ἤδη τὸ προκείμενον ἐπανῆλθε, συμπληρώσας τὸν κατὰ παρέκβασιν αὐτῷ λόγον ἐμπεσόντα περὶ τῆς κατὰ τὴν δύναμιν ἀσθενείας, καί φησιν ὅτι τοῖς κατὰ τὴν κοιλίαν ἔμπροσθεν εἰρημένοις, τὰ νῦν λεχθησόμενα παραπλήσιά πως ἐστί. συντείνει γὰρ εἰς ταὐτὸ τὸ κεφάλαιον, ἐν ᾧ κατασκευάζει τὰς ἀθρόας μεταβολὰς μεγά-

λας

λίαν φέρει τοῖς κάμνουσι βλάβην. αὐτὸ δ' ὃ νῦν γράφει τοιόνδε ἐστίν. ὥσπερ ἡ κοιλία πλείονα χρόνον παντάπασιν ἀργήσασα, καλῶς ἐνεργεῖν οὐ δύναται, πρὶν κατὰ βραχὺ πάλιν ἐθισθῆναί τε καὶ προσαχθῆναί τε ταῖς οἰκείαις ἐνεργείαις, οὕτω καὶ πᾶν τὸ σῶμα, καὶ τῶν ἄλλων μορίων ἕκαστον, εἶτα καὶ μορίων ἐνίων ἐφεξῆς ὀνόμασι μνημονεύει. ἐπὶ δὲ τῇ τελευτῇ τοῦ λόγου, καὶ τῆς κατὰ τὴν κοίτην μεταβολῆς ἐμνημόνευσεν, ἔτι δὲ καὶ νῦν κατασκευάζων τὸ προκείμενον ἐξ ἀρχῆς αὐτῷ περὶ τῆς τῶν ἐθῶν μεταβολῆς.

Αὐτὰρ καὶ τῶν τοιῶνδε πάντων ἀρκέει παραδείγματα γράψαι. εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ, μήτε λίην ἐπίκαιρον, μήτε λίην εὔηθες, μήτε ἄγαν δυσελκὴς ἐών, μήτε ἄγαν εὐελκής, αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο, καὶ μηδαμῇ μετεωρίζει τὸ σκέλος, ἀφλέγμαντον ἂν οὕτω εἴη, καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο, ἢ εἰ περιπλανώμενος ἰητρεύοιτο. εἰ μέντοι ε΄. ἢ ς΄. ἢ καὶ ἔτι ἀνωτέρω, ἀναστὰς ἐθέλει προβαίνειν, μᾶλλον ἂν πονέοιτό τε, ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο. εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονήσειεν ἢ ἐκεῖνος ἰητρευόμενος ταῦτα, ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν.

Ἔτι τε περὶ τῆς ἀθρόας μεταβολῆς ποιεῖται τὸν λόγον, ὥσπερ ἔμπροσθεν ἐπ' ἄλλων παραδειγμάτων, οὕτως καὶ νῦν ἐπὶ ἕλκους. εἰ γάρ τις φησὶν ἕλκος ἔχων ἐν κνήμῃ δέον ἡσυχάζειν τε καὶ κατακεῖσθαι, περιέρχοιτο βαδίζων ἠρέμα, τοῦτο γὰρ σημαίνει τὸ πλανώμενος ἰητρεύοιτο, βλάπτοιτο μὲν ἐξ ἅπαντος, ἀλλ' ἧττον τοῦ ἐν ταῖς πρώταις ἡμέραις ἡσυχάσαντος ἐξαίφνης περὶ ε΄. ἢ ς΄. ἢ ἔτι ἀνωτέρω τῆς περὶ γ΄. ἢ δ΄. ἀρξαμένου βαδίζειν. ἔνιοι δὲ τὸ ἀνωτέρω νομίζουσιν ἐπὶ τῶν ἐφεξῆς ἡμερῶν εἰρῆσθαι τῆς ζ΄. καὶ η΄. καὶ θ΄. οὓς ἐχρῆν εἴπερ αὐτοῖς ἤρεσκε, διὰ τοῦ σ καὶ τοῦ ξ γράμματος, τὴν ἀρχὴν τῆς λέξεως γράφειν ἐξωτέρω καὶ οὐκ ἀνωτέρω διὰ τοῦ α καὶ ν. τί οὖν φήσουσιν; οὐχὶ καὶ τοιοῦτον γένοιτ' ἂν ποθ' ἕλκος, ὥστε κἂν ἑβδόμης τις ἢ ὀγδόης ἡμέρας ἄρξηται βαδίζειν, ἡσυχάσας ἔμπροσθεν, οὐ σμικρῶς βλαβῆναι, καὶ μεγάλως φαίην ἄν, εἴγε μέγα τὸ ἕλκος ᾖ, ἢ ὁ κάμνων εἴη δυσελκής, μᾶλλον δ' εἰ ἄμφω συνέλθοι. εἰ δὲ μήτε μέγα τὸ ἕλκος, μήτε ὁ κάμνων δυσελκὴς εἴη, ἰητρεύοιτο δὲ προσηκόντως, καὶ γὰρ καὶ τοῦτο χρὴ προϋπακούεσθαι τῷ λόγῳ, περὶ τὴν ζ΄. ἂν ἢ η΄. ἡμέραν ἤδη καλῶς ἔχοι, καὶ βαδίζειν ἀβλαβῶς δύναται. διὰ τοῦτ' οὖν προσέθηκε τῷ λόγῳ, περὶ μὲν τοῦ ἕλκους αὐτοῦ, μήτε λίην ἐπίκαιρον, μήτε λίην εὔηθες, τὸ ἁπλοῦν δηλονότι καλέσας εὔηθες. περὶ δὲ τοῦ ἀνθρώπου μήτε ἄγαν δυσελκής, ὁ γὰρ τοιοῦτος εἰ μηδὲν ἄλλο περὶ τὴν θεραπείαν ἁμαρτάνοι, μόνον διὰ τὸ βαδίζειν τὰ μέτρια, †δέονται κατακεῖσθαι, βλαβείη μὲν ἄν, οὐ μὴν οὕτως γε μεγάλως, ὡς εἰ ταῖς πρώταις ἡμέραις ἡσυχάσας, περὶ τρίτην ἢ δ΄. ἢ ε΄. ἢ ς΄. ἤρξατο περιπατεῖν. ὁ δὲ μέγα τὸ ἕλκος ἔχων καὶ δυσελκὴς ὢν οὐ μετρίως, ἀλλὰ μεγάλως ἂν βλαβείη περιπατῶν ἐξ ἀρχῆς, ὥσπερ καὶ πάλιν ὁ μικρόν γε τὸ ἕλκος ἔχων, καὶ λίαν ἂν εὐελκὴς ἐν ταῖς πρώταις ἡμέραις ἡσυχάσας περὶ τὴν ε΄. ἢ ς΄. ἤρξατο περιπατεῖν, οὐκ ἂν μεγάλως, ἀλλὰ μετρίως βλαβείη. διὰ ταῦτ' οὖν ὁ Ἱπποκράτης ἐπὶ τῶν μέσως ἐχόντων ἐν ἀμφοτέραις ταῖς ἀντιθέσεσι τὸν λόγον ἐποιήσατο. λέγει δὲ ἀντίθεσιν τήν τε κατὰ τὸ μέγα καὶ μικρὸν ἕλκος, καὶ τὴν κατὰ τὸ δυσελκῆ καὶ εὐελκῆ εἶναι τὸν ἄνθρωπον. εὔδηλον δ' ὅτι διαφέρει μηδὲν ἐπίκαιρον ἕλκος εἰπεῖν ἢ μέγα, καθάπερ οὐδὲ μικρὸν ἢ εὔηθες. τὸ γὰρ ἐπίκαιρον, ἢ διὰ τὴν τοῦ χωρίου φύσιν γίνεται τοιοῦτον, μέγα κατὰ δύναμιν ἀποτελούμενον εἰ καὶ τῇ διαιρέσει τοῦ χρωτὸς εἴη μικρόν, ἢ καὶ κατ' αὐτὸ τὸ τῆς διαιρέσεως μέγεθος ἐπίκαιρον γένηται. τὸ δ' εὔηθες ὅπερ ἁπλοῦν ἐστι καὶ μικρόν, ἢ διὰ τὴν τοῦ χωρίου φύσιν ἄκυρον οὖσαν, ἢ κατ' αὐτὴν τὴν διαίρεσιν βραχεῖαν γενομένην.

†δέοντα

Διὰ τέλεος δ' ἂν μαρτυρέει ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα ἐξαπίνης μείζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα, ἐπὶ τὰ καὶ ἐπὶ τὰ βλάπτει.

Ἐφ' ἑκάστῳ τῶν παραδειγμάτων ἀναμιμνήσκει τοῦ προκειμένου λόγου, καὶ νῦν οὖν ἐπὶ τοῦ περὶ τὸ ἕλκος παραδείγματος, ἐποίησεν αὐτό. τὸ γὰρ διὰ τέλεος, τοῦτον σημαίνει τῷ διὰ παντὸς καὶ ἀεί.

Πολλαπλασίη μὲν δ' ἂν κατὰ κοιλίην ἡ βλάβη ἐστίν, ἢν ἐκ πολλῆς κενεαγγείης ἐξαπίνης πλέον τοῦ μετρίου προσάρηται. ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα, ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω πόνον ἔλθοι, πολὺ πλείω βλάψει, ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι. δεῖ μέντοι καὶ τὸ σῶμα τουτέοισιν ἐλινύειν, καὶ ἢν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥαθυμίαν ἐκπέσῃ, δεῖ δὲ καὶ τουτέοισι τὴν κοιλίην ἐλινύειν πλήθεος βρώμης. εἰ δὲ μή, πόνον ἐν τῷ σώματι ἐμποιήσει, καὶ βάρος ὅλου τοῦ σώματος.

Ὃ πρῶτον ἁπάντων ἀποδεῖξαι προὔθετο τοῦτ' ἦν αὐτό, τὸ περὶ τῶν κατὰ κοιλίην ἀθρόων μεταβολῶν, εἶτα ἀπ' αὐτοῦ πρὸς τὸ γενικώτερον, ὃ δὴ καὶ καθολικώτερον ὀνομάζουσι μεταβάς, περὶ πάσης ἔθους ἐξαλλαγῆς ἀθρόας διελέχθη μέχρι δεῦρο. περιεχομένων γὰρ τῶν εἰδικωτέρων ἐν τοῖς γενικωτέροις, καὶ τῶν κατὰ μέρος ἐν τοῖς καθόλου, καὶ ἡ τῶν κατὰ τὴν κοιλίην ἐξαλλαγὴ συναποδέδεικται τῇ περὶ πάντων ἀθρόᾳ μεταβολῇ, ἀλλὰ νυνὶ πάλιν ἐπὶ τὴν κοιλίαν ἀφικόμενος, τῶν ἐν αὐτῇ μεταβολῶν τὰς διαφορὰς διδάσκει, καί φησι πολλαπλασίην

εἶναι τὴν βλάβην ἐν τῇ μεταβολῇ τῆς διαίτης, ὅταν ἐκ πολλῆς ἀσιτίας ἀθρόως προσενηνέγκηται πλείω τῶν συμμέτρων, ἤπερ ὅταν ἐκ πολλῆς ἐδωδῆς εἰς ἀσιτίαν μεταβάλλῃ. τούτῳ δ' αὐτῷ πάλιν ὅμοιον παρέλαβε περὶ τὸ πᾶν σῶμα γιγνόμενον. ἧττον γὰρ βλάπτονται μεταβαλλόντων ἐξαίφνης εἰς ἡσυχίαν ἐκ κινήσεων, ἤπερ ὅταν εἰς κίνησιν ἐξ ἡσυχίας. πάλιν δὲ κἀνταῦθα προσέγραψεν ἐπανορθώματα τῆς ἀκαίρου μεταβολῆς, ὥσπερ κἀν τοῖς ἔμπροσθεν. οὐκ ἀναγκαῖον δ' ἐστὶ οὐδὲ ταῦτα τῷ προκειμένῳ σκέμματι. ἃ δ' οὖν προσέγραψε ταῦτά ἐστι. τοὺς μὲν εἰς ἀργίαν μεταβαίνοντας ἐκ κινήσεως δὲ καὶ πράξεως, ἐλινύειν ἀξιοῖ, τουτέστιν ἡσυχάζειν τῷ παντὶ σώματι. ταῦτα δὲ ταὐτόν ἐστιν ἐκείνῳ, τῷ ὅκου λιμὸς οὐ δεῖ πονέειν. τοὺς δ' εἰς ἡσυχίαν ἐκ πολλῆς ταλαιπωρίας, ὀλιγώτερα προσφέρεσθαι. ταῦτα δ' αὖ πάλιν ἐστὶν ἐλινύειν τὴν κοιλίην, ὡς εἴγε μὴ πονῶν ὅλῳ τῷ σώματι, προσφέροιτο τὰ συνήθη πλῆθος ὑποθρέψει, διὸ βαρυνθήσεται τὸ πᾶν σῶμα καὶ πονήσει. σημαίνει δ' αὐτῷ νῦν ὁ πόνος τὴν βλάβην γενικῶς νοούμενος, πολλαῖς ταῖς κατ' εἶδος βλάβαις.

Ὁ δὴ ὦν πλεῖστος μοι λόγος γέγονε περὶ μεταβολῆς τῆς ἐπὶ τὰ καὶ ἐπὶ τά, εἰς πάντα μὲν οὖν εὔχρηστον ταῦτ' εἰδέναι. ἀτὰρ καὶ περὶ οὗ ὁ λόγος ἦν, ὅτι ἐν τῇσιν ὀξείῃσι νούσοισι εἰς τὰ ῥοφήματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης. μεταβλητέον γὰρ ὡς ἐγὼ κελεύω ἤδη, ἔπειτα οὐ χρηστέον ῥοφήμασι, πρὶν ἢ νοῦσος πεπανθῇ, ἢ ἄλλο τι σημεῖον φανῇ, ἢ κατὰ ἔντερον κενεαγγικόν, ἢ ἐρεθιστικόν, ἢ κατὰ τὰ ὑποχόνδρια ὁκοῖα γεγράψεται σημεῖα.

Συνήγαγε πάλιν αὐτὸς εἰς ἓν κεφάλαιον ἅπαντα τὸν λόγον, ἀξιῶν ἐπὶ μὲν τῶν ὡσαύτως ἐχόντων, μὴ μεταβάλλειν τὴν δίαιταν. ἐπὶ δὲ τῶν ἐξ ὑγείας εἰς νόσον μεταβάλλειν μέν, οὐ μὴν ὡς ἄλλοι μεταβάλλουσιν, εἶτα καὶ διὰ συντόμων ἐδήλωσε τὸν σκοπὸν τῆς ἐπὶ τῶν ὀξέως νοσούντων διαίτης. εἰ μὲν γὰρ πεπανθῇ τὸ νόσημα, μεταβαίνειν ἐπὶ τὴν τοῦ χυλοῦ δόσιν ἐκέλευσεν. εἰ δ' ἀπεπτον εἴη, μὴ μεταβαίνειν. εἰ μὴ ἄρα σύμπτωμά τι καθαιρετικὸν τῆς δυνάμεως ὀφθείη, ἢ κενώσεως κατὰ γαστρὸς πλείονος, ἢ ἄλλου τινὸς προσερεθισμοῦ προσγινομένου. κοινῷ δὲ ὀνόματι τὸ τοῦ ἐρεθισμοῦ, περιέλαβε πάντα τὰ καθ' ὁντινοῦν τρόπον εἰς ἀῤῥωστίαν ἄγοντα τὴν δύναμιν, ἐν οἷς ἐστι καὶ ἡ δῆξις ὑπὸ δριμέων χυμῶν, ἤτοι κατ' ἔντερον, ἢ κατὰ γαστέρα γινομένη, καὶ μάλιστ' αὐτῆς κατὰ τὸ στόμα. καὶ ἀγρυπνία, καὶ ὀργή, καὶ λύπη, καί τινων ἑλμίνθων ἐκ τῶν ἐντέρων ἀναβᾶσαι πρὸς τὴν γαστέρα, καὶ κνῆσις τοῦ δέρματος ἅπαντος, ἢ καὶ μορίων τινῶν ἐπιθεμένη διὰ νυκτός, ὡς μὴ μόνον αὐτῷ τὸ ἐρεθίζειν, ἀλλὰ καὶ σὺν ἀγρυπνίᾳ καταλῦσαι τὴν δύναμιν. καὶ τὰ ὑποχόνδρια δέ φησιν οἷα γεγράψεται, καὶ αὐτὰ συνενδείξεται τὸ διδόναι τροφήν, ἢ μὴ διδόναι, δυνατὸν γὰρ ὑπακούειν ἀμφότερα, μᾶλλον μέντοι τὸ ἕτερον, ὅσον κατὰ τὴν τῶν λόγων ἀκολουθίαν. κελεύων γὰρ ἀπέχεσθαι πτισάνης πρὸ τοῦ πεφθῆναι τὴν νόσον, ὅταν γε δηλονότι δυνατὸν ᾖ τὸν κάμνοντα διαρκέσαι, προσέθηκε, πλὴν εἰ μὴ σημεῖον τι φανείη, κατ' ἔντερον κενεαγγικὸν ἢ ὑποχόνδρια, οἷα γεγράψεται, ὡς τούτων ποτὲ προτρεπομένων ἐπὶ τὴν τοῦ χυλοῦ δόσιν πρὸ τοῦ πεφθῆναι τὴν νόσον. ἴσως δὲ τὰ κατεξηρασμένα σφοδρῶς ὑποχόνδρια, καὶ ἰσχυρῶς αὐχμώδη λέγει. τοιαῦτα γὰρ συμπίπτει, καὶ τῷ κατὰ τὸ προγνωστικὸν εἰρημένῳ νεκρώδει προσώπῳ, περὶ οὗ φησι, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες. αὕτη γὰρ ἡ συνδρομὴ τῶν σημείων ὑποχόνδριον ἔχει περιεσταλμένον ἱκανῶς, ὥστε τινὰ τῶν μὴ τετριμμένων, ὡς ἀνεσπασμένων ἐξαπατῆσαι. οὐ ταὐτὸν δέ ἐστι προσεστάλθαι τε σφοδρῶς διὰ ξηρότητα καὶ ἀνεσπᾶσθαι διὰ φλεγμονήν, εἴ γε μὴν ὑπερβάλλουσα ξηρότης τοῦ σώματος ἐργαζομένη ἐστὶ τάσιν ἐν τῷ διαφράγματι πλείονα, καὶ τοῖς ὑποχονδρίοις. μάλιστα δὲ προσέχειν δεῖ καὶ διορίζειν ἀπὸ τῆς ξηρότητος τὴν φλεγμονήν, ἐπειδὴ καὶ ἡ θεραπεία διάφορός ἐστι. τοῖς μὲν γὰρ διὰ φλεγμονὴν ἔχουσι τὸ τοιοῦτον αὐτό, λεπτοτάτης ἐστὶ χρεία διαίτης. τοῖς δὲ διὰ ξηρότητα, τῆς ἐναντίας, ἐν ᾗ πλεονάκις ὀλίγον διδόμενον χυλὸν πτισάνης.

Ἀγρυπνίη ἰσχυρή, πόμα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιέει, καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολή, διαλύει τὸ σῶμα, καὶ ἑφθότητα καὶ καρηβαρίην ἐμποιέει.

Πολλάκις ἐγνώκατε τοῦτο τὸ βιβλίον ἐν τύποις εὑρεθέν, ἐκδίδοσθαι μετὰ τὸν Ἱπποκράτους θάνατον. ἡ γὰρ ἀταξία τῶν λόγων, οὐκ ἄλλως ἔοικεν ἢ οὕτως γεγονέναι, προγεγραμμένων μὲν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους ἐν τῷ βιβλίῳ τῶν εὑρισκομένων αὐτῷ παραδειγμάτων εἰς τὴν τοῦ καθόλου πίστιν, ἐνίων μὲν ἐπὶ τοῦ μετώπου, ἐνίων δὲ κατὰ τοῦ νώτου, μὴ δυνηθέντος δὲ τοῦ ἐγγραφομένου τὴν οἰκείαν ἑκάστῳ τάξιν ἀποδοῦναι. τὸ γοῦν ἐν τῇ προκειμένῃ ῥήσει λεγόμενον ὑπ' αὐτοῦ, φανερωτάτην ἔχει ἀταξίαν. οὐ γὰρ νῦν ἀλλὰ ὀλίγον ἔμπροσθεν ἦν ὁ καιρὸς αὐτοῦ κατ' ἐκεῖνον τὸν λόγον, ἐν ᾧ περὶ τῆς παρὰ τὸ ἔθος εἰς τοὐναντίον μεταβολῆς ἔγραψε παραδείγματα. προσγράψαι γὰρ ἐκείνοις ἐχρῆν καὶ τοῦτο, τῆς μὲν εἰς ἀγρυπνίαν ἀήθους μεταβολῆς ἀπεπτότερα ποιούσης τὰ προσφερόμενα σιτία τε καὶ ποτά. τῆς δ' εἰς ὕπνον πολὺν ἀήθως, καὶ τοῦτον ἐπιτηδευθέντα, νωθρότητα τοῦ σώματος καὶ καρηβαρίαν. ἣν γὰρ εἶπεν ἑφθότητά τε καὶ διάλυσιν καὶ καρηβαρίαν, ἐνὶ ῥήματι περιληφθεῖσαν τὴν ἔκλυσιν δηλοῖ τοῦ τόνου. συνενδείκνυται δὲ καὶ τὸ τῆς ἑφθότητος ὄνομα δι' ὑγρότητα θερμὴν γιγνομένης, οὐ διὰ ξηρότητα, πεφυκυίας διαφορεῖν μὲν καὶ ξηραίνειν τῆς ἐγρηγόρσεως, μὴ πέττειν δὲ ἐπὶ τὸ βάθος, ὑγραίνειν δὲ τό, τε πνεῦμα καὶ τὰς ἀποῤῥοίας κατέχειν τοῦ ὕπνου. κατὰ λόγον οὖν τὰ ἀτμώδη περιττώματα πλεονάζει ἐν τῷ σώματι τῶν ἀήθως ἐπὶ πολὺ κοιμηθέντων, καὶ διὰ ταῦτα τὴν ὅλην αὐτῶν κατάστασιν ἔκλυτον ὁμοίως γίγνεσθαι τοῖς ἑψημένοις.

Γλυκὺν δὲ οἶνον καὶ οἰνώδεα, καὶ λευκὸν, καὶ μέλανα, καὶ μελίκρητον, καὶ ὕδωρ, καὶ ὀξύμελι, τοῖσι δὲ σημαινόμενον, χρὴ διορίζειν ἐν τῇσιν ὀξέῃσι νούσοισιν.

Οὐ μόνον ἀτάκτως ἀλλὰ καὶ ἐλλιπῶς τὸν κατάλογον ἐποιήσατο τῶν οἴνων. ἔστι γὰρ αὐτῶν μία μὲν ἡ κατὰ τὰς χρόας διαφορά, ἑτέρα δὲ ἡ κατὰ τὴν γεῦσιν ποιότης, καὶ τρίτη κατὰ τὴν σύστασιν, καὶ τετάρτη κατὰ τὴν ὀσμὴν, καὶ ε. κατὰ τὴν δύναμιν. ἡ μὲν οὖν κατὰ τὴν χρόαν, εἰς λευκὸν καὶ μέλανα καὶ κιῤῥὸν, καὶ ξανθὸν, καὶ ἐρυθρὸν τέμνεται, οὐσῶν μὲν καὶ ἄλλων μεταξὺ διαφορῶν, ἀλλ' ὥσπερ κατὰ τὴν χρόαν, οὕτω καὶ κατὰ τὴν δύναμιν ἐπιμίκτων οὐσῶν. ἡ δὲ κατὰ τὴν γεῦσιν διαφορὰ τῶν οἴνων, εἰς γλυκὺν καὶ αὐστηρὸν τέμνεται, δηλονότι κἀνταῦθα τὸν ἀμφοῖν μέσον, ὃς οὐδετέραν ἔχει σαφῆ ποιότητα. καὶ πρός γε τούτῳ τὸν ἐξ ἀμφοτέρων τῶν ποιοτήτων σύνθετον, ἔτι τε τὸν δριμὺν ὀνομαζόμενον. ἡ δὲ κατὰ τὴν σύστασιν διαφορὰ τῶν οἴνων, εἴς τε τὸν ὑδατώδη καὶ λεπτὸν, καὶ εἰς τὸν πάνυ παχὺν τέμνεται, καὶ δηλονότι καὶ εἰς τὸν μέσον τούτων, εἶτ' αὖθις ὅσοι μεταξὺ τοῦ τε μέσου καὶ τῶν ἄκρων εἰσί. καὶ ἡ κατὰ τὴν ὀσμὴν δὲ διαφορὰ τῶν οἴνων, καθόσον οἱ μὲν εὐώδεις εἰσὶν, οἱ δὲ οὐκ εὐώδεις, ἀλλὰ πληκτικήν τινα καὶ ἀηδῆ τὴν ποιότητα κέκτηνται. τινὲς δὲ οὐδ' ὅλως ἔχουσιν ὀσμὴν, ἀλλ' εἰσὶν ὥσπερ ὕδωρ ἄοδμοι. ἡ δὲ κατὰ τὴν δύναμιν διαφορὰ τῶν οἴνων ἐστὶ, καθόσον ὁ μὲν ἰσχυρὸς, ὁ δὲ ἀσθενὴς, ὁ δέ τις μέσος, ὁ δέ τις μεταξὺ τοῦ τε μέσου καὶ τῶν ἄκρων ἐστίν. ἰσχυρὸς μὲν ὁ θερμαίνων σφοδρῶς καὶ ταχέως, τὸ σῶμα καὶ τὴν κεφαλὴν πληρῶν, ἀσθενὴς δὲ ὁ ἐναντίος. οἱ δ' ἐν τῷ μεταξὺ δῆλοι, τῶν ἄκρων ἀφορισμένοι. ὀνομάζεται δὲ ὁ μὲν ἰσχυρὸς οἰνώδης, ὁ δ' ἀσθενὴς ὑδατώδης. ᾧ γὰρ ὕδατος οἶνος πλεονεκτεῖ μᾶλλον, τοῦτο ὅταν ἔν τινι θεασώμεθα σφοδρότατον ὑπάρχον, εἰκότως οἰνώδη καλοῦμεν. ὥσπερ γε καὶ τοὐναντίον ὑδατώδη, τῷ ὕδατι μάλιστα κατὰ πάντα ἐοικότα, καὶ τῇ λεπτότητι, καὶ τῇ χρόᾳ, καὶ τῷ ἀόσμῳ, καὶ τῷ μὴ θερμαίνειν ἐπιφανῶς. αὗται μὲν οὖν αἱ κατὰ τὴν οἰκείαν φύσιν εἰσὶν ἐν τοῖς οἴνοις διαφοραί. προστιθέασι δ' αὐταῖς ἔνιοι τὴν κατὰ τὸν χρόνον, ἐπειδή τινες μὲν ὑπάρχουσιν ἱκανῶς παλαιοὶ, τινὲς δὲ νέοι, τινὲς δὲ ἐν τῷ μεταξὺ τούτων. εὔδηλον δ' ὅτι τῶν ἔξωθέν εἰσι συμβεβηκότων αἱ τοιαῦται διαφοραί. καθόσον γὰρ ἐν τῷ χρόνῳ δριμύτεροί τε καὶ θερμότεροι γίγνονται, μεταβάλλοντες ἅμα τούτοις καὶ χρόαν καὶ σύστασιν καὶ ὀσμὴν, κατὰ τοσοῦτον ὁ χρόνος διαφοράν τινα ἐν τοῖς οἴνοις ἐργάζεσθαι δοκεῖ. εἰ δέ γε καὶ μηδὲν τούτων ὑπήλλαττεν, οὐδ' ἂν ἐλέγετο πρός τινων παλαιὸς ὁ οἶνος, ἢ νέος. ἀλλ' οὐδὲ νῦν οὕτω λέγουσιν, ὡς τῶν ἐτῶν αὐτῶν δεόμενοι κατὰ πρῶτον λόγον, ἀλλ' ὡς ἅμα τοῖς ἔτεσιν ἐνδεικνύμενοι τὴν δύναμιν. οὐ γὰρ διὰ τὸν χρόνον οἱ οἶνοι τὰς ὠφελείας καὶ βλάβας ἔχουσιν, ἀλλ' ἐκ τῆς τῶν οἰκείων διαφορῶν τούτων ὑπαλλαγῆς. κατὰ συμβεβηκὸς οὖν τοῦ χρόνου μνημονεύομεν, ἐν ταῖς τῶν οἴνων διαφοραῖς, οὐ κυρίως, οὐδὲ πρώτως. καὶ αὐτῶν μέντοι τῶν οἰκείων ἐν αὐτοῖς διαφορῶν, αἱ μὲν εἰς ὠφέλειάν τε καὶ βλάβην ἀναφέρονται κατὰ τὸν ἴδιον λόγον, αἱ δὲ οὐ κατὰ τὸν ἴδιον, ἀλλὰ κατὰ συμβεβηκός. γλυκύτης μὲν καὶ αὐστηρότης κατὰ τὸν ἴδιον λόγον, οὕτω καὶ ἡ ἰσχὺς, καὶ ἀσθένεια, καὶ λεπτότης, καὶ πάχος. αἱ δὲ κατὰ τὴν χρόαν τε καὶ ὀσμὴν, οὐ πρώτως, ἀλλὰ κατὰ συμβεβηκός. ἐπεὶ τῶν οἴνων οἱ μὲν ὑδατώδεις τέ εἰσι καὶ λευκοὶ, καὶ κιῤῥοὶ, καὶ μέλανες, οἱ δὲ ὑδατώδεις καὶ ἄοδμοι ὥσπερ ὕδωρ, ἢ εὐώδεις ὥσπερ ἄρωμα καὶ μύρον. εἴπερ οὖν τῶν οἴνων αὗταί εἰσιν αἱ διαφοραὶ, καὶ κατά τε τὴν οἰκείαν δύναμιν ἀριθμούμεναι, καὶ κατὰ συμβεβηκός, εὔδηλον ἤδη σοι περὶ τῆς ἐν τῇ προκειμένῃ ῥήσει, κατά τε τὴν τάξιν αὐτῶν καὶ τὸν ἀριθμὸν ἐνδείας. ἀλλ' ἐὰν φαίνεται κατὰ τὸν ἑξῆς λόγον ἁπασῶν τῶν χρησίμων διαφορῶν μνημονεύων ὁ Ἱπποκράτης, συγχωρήσομεν αὐτοῦ τῇ κατὰ τὴν ἑρμηνείαν ἐνδείᾳ.

Ὁ μὲν γλυκὺς ἧσσόν ἐστι καρηβαρικώτερος τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος, καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατ' ἔντερον. μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος, οὐκ ἐπιτήδειος οὖν οὐδὲ τοῖσι πικροχόλοισι. καὶ γὰρ οὖν διψώδης τοῖσί γε τοιουτέοισίν ἐστιν. ἀτὰρ καὶ φυσώδης ἐντέρου τοῦ ἄνω, οὐ μὴν πολέμιός γε αὖ τῷ κάτω ἐντέρῳ κατὰ λόγον τῆς φύσεως. καί τοι γε οὐ πάνυ πορίμη ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ' ἐγχρονίζει περὶ ὑποχόνδρια.

Κατὰ τὴν γευστικὴν ποιότητα γλυκὺς οἶνος ὀνομάζεται, καθ' ἣν κἀυστηρός ἐστι καὶ δριμὺς, ἵνα τὸν ὑδατώδη παραλίπωμεν, οὐκ ἐκπεπτωκότα τελέως τοῦ στύφειν, εἰ καὶ παντάπασιν ἐκλελυμένην ἔχει τὴν ποιότητα τῆς στύψεως. εἰ γὰρ ὕδατι παραβάλλοις αὐτὸν, αἰσθήσῃ σαφῶς ἐκ τῆς παραβολῆς τὴν γεῦσιν τῶν τοιούτων οἴνων γεγονυῖαν βραχεῖαν στύψιν εἰληφότων. ὑδατώδη δὲ καλοῦσιν οἶνον οἱ ἄνθρωποι, τὸν ἐοικότα κατά τε χρόαν καὶ σύστασιν τῷ ὕδατι. διαφανής τε γὰρ ὡς ἐκεῖνο καὶ λαμπρὸς καὶ καθαρὸς, καὶ τῇ συστάσει λεπτὸς φαίνεται. εὐθὺς δὲ καὶ τῇ δυνάμει παραπλήσιός ἐστιν ὁ τοιοῦτος ὕδατι, μήτε κεφαλῆς ἀσθενοῦς ἁπτόμενος, μήτε νεύρων ἀσθενῶν, ὅτι μηδὲ θερμαίνει σαφῶς. ἀλλὰ περὶ μὲν τούτου καὶ αὖθις εἰρήσεται. ὁ δὲ γλυκὺς οἶνος, ὠνόμασται μὲν οὕτως ἀπὸ τῆς κατὰ τὴν γεῦσιν ποιότητος, παμπόλλῳ δ' ὕδατος ἀφώρισται κατὰ τὴν χροιὰν, καὶ τὴν σύστασιν. οὔτε γὰρ λεπτὸν ἀκριβῶς, οὔτε λευκὸν ὄψει γλυκὺν οἶνόν ποτε, ἀλλὰ μᾶλλον μὲν καὶ ἧττον ἀφεστηκότα τῶν εἰρημένων, οὐδέτερον δὲ αὐτῶν ἔχοντα. γλυκεῖς γοῦν οἶνοι διαφερόντως εἰσὶν ὁ θηραῖος καὶ σκυβελίτης, ἀμφότεροι παχεῖς τε καὶ μέλανες ὄντες. γλυκεῖς δὲ καὶ οἱ κατὰ τὴν Μαιονίαν γινόμενοι, ὁ θήρινός τε καὶ καρύϊνος, τούτων πάχει τε καὶ μελανότητι διαφέροντες τῶν εἰρημένων, ὅσον καὶ γλυκύτητι λείπονται. καὶ μέντοι καὶ τὸ καλούμενον ἕψημα,

καὶ σίραιον ἐκ τοῦ γλεύκους ἑψομένου γιγνόμενον, ὅσῳ γλυκύτερον ἀποτελεῖται τοῦ οἴνου, τοσούτῳ καὶ μελάντερον τῇ χρόᾳ, καὶ παχύτερον τῇ συστάσει φαίνεται. δέδεικται μὲν οὖν κἀν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἅπας ὁ γλυκὺς χυμὸς ὑπὸ θερμασίας γιγνόμενος, οὐ μὴν ἀμέτρου τε καὶ σφοδρᾶς οὔσης, ὥσπερ ὁ δριμὺς ἐν τοῖς σφοδρῶς θερμαίνουσιν, ἀχώριστος γὰρ τούτων ἡ δριμύτης. ἀλλὰ κατὰ τὴν χρῆσιν ὁ γλυκὺς οἶνος φαίνεται θερμαίνων μετρίως. καὶ τὸ διψῶδες αὐτῷ, διά τε τὴν θερμασίαν ὑπάρχει καὶ τὸ πάχος. οὕτως γοῦν καὶ τὸ γλεῦκος, εἰς ὅσον ὁμιλήσει τῷ πυρὶ πλείονι χρόνῳ, παχύτερόν τε καὶ μελάντερον, καὶ γλυκύτερον γίνεται. τό γε μὴν ὑπεροπτηθὲν εἰς πικρότητα μεταβάλλει, καθάπερ καὶ τὸ μέλι, καίτοι πάντων γλυκύτατον ὂν, ἀλλ' ὅμως καὶ τοῦτο πικρότητα προσλαμβάνει κατὰ τὴν ἤδη πλείστην ἕψησιν. εἴρηται δ' ὡς ἔφην ἐν ἑνὶ βιβλίῳ τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπὲρ ἁπασῶν τῶν γευστῶν ποιοτήτων. καὶ νῦν ὥσπερ ἐν ταῖς ἄλλαις ἐξηγήσεσι τῶν Ἱπποκράτους βιβλίων, οὐ τὰς ἀποδείξεις, ἀλλὰ τὰ συμπεράσματα αὐτῶν λέγω μόνον. θερμαίνοντος οὖν τοῦ γλυκέος οἴνου τὸ σπλάγχνον, ὄντος δ' ὡς εἴρηται καὶ παχέος κατὰ τὴν σύστασιν, αἱ κατὰ μέρος αὐτοῦ δυνάμεις, ἃς ἐπιδείκνυται πινόμενος, ἀκολουθεῖ ταῖς δευτέραις ποιότησιν. ἡ γὰρ χρόα κατὰ τὸν ἑαυτῆς λόγον, οὐδεμίαν ἔχει δύναμιν εἰς ὄφελος ἢ βλάβην. εἰς ὅσον οὖν παχύς ἐστι κατὰ σύστασιν ὁ τοιοῦτος οἶνος, τοσοῦτον καὶ βραδύπορος, ὡς οὐ μόνον οὐκ ἐκφράξει τι τῶν ἐμπεφραγμένων μορίων, ἀλλὰ καὶ προσεμφράξει, καὶ διὰ τοῦτο βλαβερώτατος ἥπατι πάσχοντι, καὶ μάλιστα ὅταν ἤτοι φλεγμονή τις, ἢ σκίρρος ᾖ κατὰ τοῦτο. μετριωτέραν δ' ἐργάζεται τὴν βλάβην, ὅταν ὑπὸ παχέων χυμῶν ἐμφράττηται τὸ σπλάγχνον, ἢ δι' ἀτονίαν πάσχει, καθάπερ ἐν τοῖς ἰδίως ἡπατικοῖς ὀνομαζομένοις πάθεσιν. ἐφεξῆς δὲ ἥπατι βλάπτεται σπλὴν ὑπὸ παχέων οἴνων, οὐ μὴν ὅ γε πνεύμων, ὅταν ἐν τοῖς βρογχίοις ἔχει παχὺν χυμόν. τὸ μὲν γὰρ ἧπαρ διὰ στενῶν ἀγγείων τῶν ἐπὶ ταῖς πύλαις εἰς στενὰ παραγίνεται πέρατα τῶν ἐν τοῖς σιμοῖς αὐτοῦ μέρεσι, καὶ τῶν ἐν τοῖς κυρτοῖς, καθ' ἃ καὶ ἡ μετάληψις ἁπάντων τῶν ἀναδιδομένων εἰς ὅλον τὸ σῶμα γίγνεται. κατὰ δὲ τὸν πνεύμονα, τοὐναντίον συμβαίνει. διὰ πολλῶν γὰρ φλεβῶν ἀναδοθεὶς, καὶ προκατεργασθεὶς ἐν αὐταῖς, ἐμπίπτει ταῖς εὐρυχωρίαις τῶν βρογχίων, προτέραις μὲν ταῖς τῶν μικροτέρων. ἐξ ἐκείνων δ' εἰς τὰ μείζονα παραλαμβάνεται, συναναφέρων ἑαυτῷ καὶ τοὺς παχεῖς χυμοὺς, ὧν οὐ μόνον θερμότερος, ἀλλὰ καὶ λεπτότερός ἐστιν. ἔμαθες δ' ὅτι ὑπὸ τῶν βηχῶν ὁ πνεύμων ἐκκαθαίρεται τοὺς παχεῖς χυμοὺς καὶ γλίσχρους. ὅσοι γὰρ ὑδατώδεις εἰσὶ καὶ ἀκριβῶς λεπτοί, περιρρέουσι τῷ κατὰ τὰς βῆχας ἐκπεμπομένῳ τῷ πνεύματι. τοῦτο γὰρ οἱονεὶ χείρ τίς ἐστιν ἀναφέρουσα τοὺς παχεῖς χυμοὺς ἅμ' αὐτῷ. προσήκει δὲ δηλονότι τὸ πάχος τῶν χυμῶν εἶναι τοιοῦτον, ὡς ὑπὸ τοῦ πνεύματος ἄνω φέρεσθαι δύνασθαι, καὶ μὴ, καθάπερ πηλὸν ἐμπεπλάσθαι τοῖς βρογχίοις. διὰ τοῦτό γε καὶ τοὺς γλίσχρους χυμοὺς αἱ βῆχες οὐκ ἐκκαθαίρουσι, καὶ γὰρ μένουσι, καὶ ἔνδον ἔχονται τῶν βρογχίων ἰξοῦ δίκην. ὑγρότητος οὖν συμμέτρου δεῖ τοῖς μέλλουσι φαρμάκοις εἰς τὴν ἀναγωγὴν τῶν ἐν πνεύμονι περιεχομένων παχέων χυμῶν ἐπιτηδείοις ἔσεσθαι. γλίσχρων δ' ὄντων αὐτῶν, οὐχ ὑγρότητος μόνον ἀλλὰ καὶ ῥύψεως ἐστὶ χρεία, γιγνομένης ὑπὸ τῶν ὀξέων χυμῶν. καὶ διὰ τοῦτο μελίκρατον μὲν ἐπιτηδειότατόν ἐστι τοῖς παχέσι χυμοῖς εἰς ἀνάπτυσιν, ὀξύμελι δὲ τοῖς γλίσχροις, ἐφεξῆς δὲ τῷ μελικράτῳ, πτισάνη. καὶ μετὰ ταύτην ὁ γλυκὺς οἶνος ἤδη πεπεμμένης τῆς περιπνευμονίας τε καὶ πλευρίτιδος πινόμενος, οὐ φλεγμαινόντων ἔτι τῶν σωμάτων. εἰ δὲ διψώδης εἴη πινόμενος ὁ τοιοῦτος οἶνος, ἧττον ἐπιτήδειος εἰς τὴν ἀνάπτυσιν γίνεται. συνελόντως δὲ φάναι, γλυκὺς οἶνος ἐν ὀξεῖ νοσήματι εἰς ἀνάπτυσιν ἐπιτήδειός ἐστι, κατά γε τὰς εἰρημένας ἐνεργείας αὐτοῦ, καὶ κατὰ τὸν κοινὸν ἁπάντων οἴνων λόγον ἐκ τοῦ ῥωννύναι τὴν δύναμιν. μάλιστα δὲ τοῖς ἀναπτύουσι τῶν ἐν τῷ θώρακι καὶ πνεύμονι περιεχομένων ὑγρῶν ὁποιουοῦν. ἔμαθες γὰρ αὐτὰ ποικίλα ταῖς συστάσεσι, καὶ ταῖς ποιότησι, καὶ ταῖς δυνάμεσιν ὄντα κατὰ τὸ προγνωστικὸν βιβλίον, ἔνθα τὰς τῶν πτυσμάτων ἐδήλου διαφοράς. ἄλλο δ' οὐδὲν ἀγαθὸν ὁ τοιοῦτος οἶνος ἔχει πυρέττουσι διδόμενος, ἀλλ' ἧττον μὲν τοῦ σφοδρῶς θερμαίνοντος οἰνώδους, βλάπτειν δυνήσεται. χρηστὸν δ' οὐδὲν ἄλλο παρὰ τὰ προειρημένα, ὅτι μὴ συλλαμβάνει τι βραχὺ τῇ διεξόδῳ τῶν κατὰ τὴν γαστέρα. διὰ τοῦτο οὖν ὁ Ἱπποκράτης ἀφ' ὧν ἧττον βλάπτει, τὴν ἀρχὴν τῆς διδασκαλίας ποιησάμενος, ὄντων πολλῶν, ἐπὶ τὰς ἰδίας ὠφελείας αὐτῶν μετέβη κατὰ τὴν τοῦ λόγου τελευτὴν ὀλίγας οὔσας. ἐπέλθωμεν οὖν ἃ λέγει, ταῖς λέξεσιν ἀκολουθήσαντες αὐτοῦ, ἧττον αὐτῶν ἅπτεσθαι φρενῶν φησιν, ἢ οἱ ἰσχυροὶ τῶν οἴνων, τουτέστιν ἧττον ἐργάζεσθαι παραφροσύνας. οἱ γὰρ ἰσχυροὶ σφοδρῶς θερμαίνοντες ἐμπιπλᾶσι τὴν κεφαλὴν, καὶ χυμῶν, καὶ ἀτμῶν, καὶ θερμασίας. εἰς ὅσον οὖν ἀπολείπονται σφοδρᾶς θερμότητος οἱ γλυκεῖς, εἰς τοσοῦτον ἧττόν τε καὶ καρηβαρείαν ἐργάζονται, καὶ βλάβην τῆς φρονήσεως. διαχωρητικωτέρους δὲ αὐτοὺς εἶναι φησὶ τῶν ἄλλων, καὶ μεγαλοσπλάγχνους, τουτέστιν αὐξάνοντας τῶν σπλάγχνων τοὺς ὄγκους, εἴρηταί μοι περὶ τούτων ὀλίγον ἔμπροσθεν. οὐκ ἐπιτήδειόν γε μὴν τὸν γλυκὺν οἶνον οὐδὲ τοῖς πικροχόλοις εἶναι φησί, τουτέστι τοῖς τὴν πικρὰν χολὴν ἀθροίζουσιν. εἴθισται γὰρ τοῖς ἰατροῖς χολὴν μὲν ἁπλῶς ὀνομάζειν, τὴν ὠχράν τε καὶ ξανθήν. τὴν μέλαιναν δὲ χολὴν ὅλον τοῦτο λέγειν, οὐχ ἁπλῶς χολὴν, ἀλλ' αὕτη μὲν ὀξεῖα, πικρὰ δ' ἡ ξανθή. καὶ διὰ τοῦτο τοὺς πικροχόλους Ἱπποκράτης ὀνομάζει τοὺς πλεονάζουσαν ἔχοντας τὴν τοιαύτην χολήν. ἐπιμιγνυμένη μὲν οὖν ὑδατώδεσιν ἰχῶρσιν, ὑγροτάτη τε καὶ ὠχρὰ φαίνεται, μόνη δ' οὖσα, παχεῖα καὶ ξανθή. θερμαὶ δὲ καὶ ξηραὶ κράσεις εἰσὶν αἱ γεννῶσαι τὴν τοιαύτην χολὴν, ἐπιτήδειοι γε μὴν εἰς γένεσιν αὐτῆς εἰσι πάντων οἱ γλυκεῖς χυμοί. διὰ τοῦτο καὶ τὸ μέλι πάντων αὐτῶν ἐκχολοῦται μάλιστα, διότι γλυκύτατον, εἶθ' ἑξῆς οἱ γλυκεῖς οἶνοι. οὐ μόνον δ' ὅτι ἡ πολλὴ θερμασία τοὺς τοιούτους χυμοὺς ἐργάζεται πικροὺς, ἀνεπιτήδειός ἐστιν ὁ γλυκὺς οἶνος τοῖς πυρέττουσι, καὶ μάλιστα ὅταν ὦσι θερμοὶ καὶ ξηροὶ τὴν κρᾶσιν, ἀλλὰ καὶ διότι παχεῖς ὄντες, οὔτ' ἐπ' οὖρα διεξέρχονται ταχέως, οὔτε διαπνέονται ταχέως, ὡς οὐ συνάγουσιν αὐτοῖς, οὐδὲ συνεκκρίνουσι τοὺς χολώδεις χυμούς. ἐν οὖν αὐτοῖς τούτοις μόνοις ἀγαθὸν ὑπάρχει τὸ τὴν γαστέρα λαπάττειν, ὡς αὖ γε μὴ ποιήσωσι τοῦτο, παντελῶς βλάπτουσι. πρὸς γὰρ τούτοις καὶ διψώδεις εἰσὶν, αὐτὸ τοῦτο δηλοῦντες ὡς ἐκχολοῦνται ῥᾳδίως, λέγει δὲ τὸν τοιοῦτον εἶναι

καὶ

καὶ φυσώδη. θερμαινόμενοι γὰρ οἱ παχεῖς χυμοὶ, πνεῦμα γεννῶσιν ἑαυτοῖς ὅμοιον ἀτμῶδές τε καὶ παχύ. τοιοῦτον δέ ἐστι τὸ τὰς πνευματώσεις ἐργαζόμενον, ὡς ἔκ γε τῶν λεπτῶν οἴνων οὔτε γεννᾶται πνεῦμα, κἂν γεννηθῇ δέ ποτε λεπτομερές τε καὶ ἀερῶδες, οὐκ ὀμιχλῶδές τε καὶ ἀτμῶδες. τῶν δὲ κάτω ἐντέρων τὸν γλυκὺν οἶνον οὔ φησιν εἶναι βλαβερὸν, καίτοι βραδυπόρου ὄντος τῇ ἀπ' αὐτοῦ φύσεως καὶ χρονίζοντος περὶ ὑποχόνδριον. αὐτὸ δὲ δὴ τοῦτ' ἔστιν, δι' ὃ μὴ μεγάλως ἐνοχλεῖ τὰ κάτω τῶν ἐντέρων, ὅτι χρονίζει περὶ τὸ ὑποχόνδριον ἄχρις ἂν ἐκπεφθῇ τε καὶ λεπτυνθῇ τελέως. εἰ δ' ἅπαξ πεφθείη, ποριμωτέραν τε καὶ λεπτομερεστέραν ἴσχει καὶ τὴν φύσιν, ὥστε καθ' ὃν λόγον ἐκ τῶν ἄνω μορίων ἀπωθεῖται κάτω, κατὰ τὸν αὐτὸν λόγον ἐκτὸς ὑπὸ τούτων ἐκπέμπεται.

Καὶ γὰρ οὖν ἧσσον οὗτος διουρητικὸς γίγνεται ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ.

Τίνα κέκληκεν οἰνώδεα λευκὸν ἐπισκεψώμεθα. λέλεκται γὰρ ἔμπροσθεν οἰνώδης οἶνος εἶναί τε καὶ λέγεσθαι προσηκόντως ὁ τοῖς ὑδατώδεσιν ἀντικείμενος. ἰσχυρῶς οὖν αὐτὸν δεῖ θερμαίνειν καὶ κεφαλὴν πληροῦν, καὶ παραφροσύνας ἐργάζεσθαι, καὶ τὴν πυρετώδη θερμασίαν αὐξάνειν. ἀλλ' ὁ τοιοῦτος οἶνος οὐκ ἔστιν λευκὸς, οὔτε νέος ὢν, οὔτε παλαιωθεὶς, ὅτι μηδὲ ἄλλος τις τῶν παλαιουμένων οἴνων διαμένει λευκὸς, κἂν ὅτι μάλιστα κατ' ἀρχὰς ὑπάρξῃ τοιοῦτος, ἀλλ' ἀεὶ καὶ μᾶλλον ἑαυτοῦ κιρρότερος γίγνεται, τελευταῖον δὲ καὶ ξανθός. ἔοικεν οὖν ὁ Ἱπποκράτης εἰρηκέναι λευκὸν οἰνώδη τὸν αὐστηρὸν, ὃς οὐδ' αὐτός ἐστιν οὐρητικὸς, ἀλλ' ἐὰν μὲν παχὺς ᾖ ὁ τοιοῦτος, χρονίζει περὶ ὑποχόνδριον. ἐὰν δὲ μὴ παχὺς, οὐδὲ χρονίζει μέχρι πολλοῦ, καθάπερ ὁ μέλας, οὔθ' ὁμοίως ἐπ' οὖρα διεξέρχεται τοῖς λευκοῖς τε ἅμα καὶ μετρίως αὐστηροῖς. οὐρητικοὶ γὰρ οὗτοι, διότι πεφεύγασιν ἀμφοτέρας τὰς ἰδέας, τῆς βραδέως ἐπ' οὖρα διεξέρχεσθαι, τήν τε τοῦ ὕδατος, ἣν διὰ ψυχρότητα πέπονθε, καὶ τὴν τοῦ μέλανος οἴνου διὰ τὸ πάχος. ὁ γοῦν λευκὸς οἶνος καὶ αὐστηρὸς, ἥκιστα θερμὸς ὡς ἐν οἴνοις ἐστὶ, καὶ διὰ τοῦτο ἐπὶ γαστέρα ῥεύμασιν ἐπιτήδειος, οὐ μὴν οὐρητικός τε ἱκανῶς ὁ τοιοῦτος ἐστίν. ἴσως οὖν τούτῳ παραβάλλων, τὸν μέλανα φησὶν ἧσσον οὐρητικὸν ὑπάρχειν.

Πτυέλου δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς.

Ἑτέρου ποίου λέγει; πότερον τοῦ προκειμένου πρὸς ὃν παραβάλλων τὸν γλυκὺν ἔφη; καὶ γὰρ οὖν ἧσσον οὗτος οὐρητικός ἐστι τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ, ἢ οὐ τούτου μόνου, ἀλλ' ἁπλῶς παντὸς τοῦ μὴ γλυκέος. ὄντος δ' ἀσαφοῦς, ὅσον ἐπὶ τῇ λέξει, τοῦδε καὶ μᾶλλον ὄντος πιθανοῦ, περὶ τοῦ οἰνώδεος λευκοῦ τὸν λόγον αὐτῷ νῦν γίγνεσθαι, πάλιν ἑτέρα τις ἀσάφεια προσέρχεται, διὰ τὸ μὴ πάνυ τι σαφὲς εἶναι τίς ἐστιν οἰνώδης λευκός. ἆρά γε ὁ θερμαίνων σφοδρῶς, ἢ ὁ λίαν στύφων, ὃν καὶ στρυφνὸν ὀνομάζουσιν οἱ Ἕλληνες, τὸν δὲ μετριώτερον, αὐστηρόν. ὅπως οὖν ἔχει τὰ κατὰ τὴν λέξιν, ἐγὼ τοῦ προκειμένου γράμματος ἐρῶ τὴν ἀλήθειαν. ἀναγωγὸς τοῦ πτυέλου μάλιστα πάντων οἴνων ἐστὶν ὁ γλυκὺς, ὅταν σφόδρα μὴ παχὺς ᾖ, καθάπερ γε κἄπειτα δὰν μὴ πολὺ ᾖ πρὸς τὸν κιρρὸν ἀποκεχωρηκὼς, ὡς ἐκλελύσθαι τὸ πάχος αὐτοῦ καὶ τὴν γλυκύτητα. μοχθηρὸς δὲ ὁ κιρρὸς οἶνος ἐστὶν εἰς ὠφέλειαν τοῦ πυρετοῦ, θερμὸς ἱκανῶς ὑπάρχων. ὁ δὲ μετὰ τὸν οὐκ ἐσχάτως παχὺν οἶνον γλυκὺν, ἐπιτήδειος εἰς τὴν τῶν ἐκ πνεύμονος ἀναγωγὴν, ὁ ὑδατώδης οἶνός ἐστι, τήν τε δύναμιν ῥωννὺς, καὶ τοὺς χυμοὺς ὑγραίνων τε καὶ τέγγων μετρίως. ὁ δ' αὐτὸς καὶ τοῖς πυρέττουσιν ἀκινδυνώτερον δίδοται τῶν ἄλλων οἴνων ἁπάντων.

Καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον ἂν τουτέοισιν ἀνάγοι ἢ ὁ ἕτερος οἶνος. οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου.

Ἕτερον οἶνον εἶπε νῦν τὸν μὴ διψώδη πάντη. διατὶ δ' ὁ διψώδης οἶνος ἧσσον ἀνάγει τὰ πτύσματα ῥᾳδίως εὑρήσεις τῶν προειρημένων μνημονεύων. ἡ γὰρ τοι δίψα παραμένει τισὶ τοῖς τὸν γλυκὺν οἶνον πίνουσι, διὰ τὸ τὴν πυρώδη θερμασίαν ἐν αὐτοῖς εἶναι κακοηθεστέραν. οὖσα δὲ τοιαύτη, ξηραίνουσα τὸ πτύελον, ἐργάζεται παχύτερόν τε καὶ γλισχρότερον. ὅτι δὲ τὸ τοιοῦτον δυσανάγωγόν ἐστιν, οὐδὲ λόγου δεῖται.

Ὁ δὲ λευκὸς οἰνώδης οἶνος ἐπῄνηται μὲν καὶ ἔψεκται τὰ πλεῖστα καὶ τὰ μέγιστα, ἤδη ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει, ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου, καὶ διουρητικὸς δὲ ὢν καὶ καταῤῥηκτικὸς ἀεὶ, πολλὰ πρὸς ὠφέλειαν ἐν ταύτῃσι τῇσι νούσοισι. καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως ἡ κατὰ τὴν κύστιν κάθαρσις ὑπ' αὐτοῦ γιγνομένη, ῥύεται ἢν προτρέπηται ὁκοίους δεῖ. καλὰ δὲ ταῦτα τεκμήρια ἐστὶ, τῆς περὶ οἴνου ὠφελείης καὶ βλάβης, ὁκόσα ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισιν.

Εἴρηταί μοι περὶ τοῦδε τοῦ οἴνου κατὰ τὸν περὶ τοῦ γλυκέος οἴνου λόγον, ἐπειδὴ παρέβαλέ τε καὶ ἀντεξέτασε τὰς δυνάμεις αὐτῶν. εἶπον ὅτι ζήτημά ἐστιν οὐ σμικρὸν, εἴτε λευκὸν ἅμα καὶ αὐστηρὸν οἶνον οἰνώδη λευκὸν εἴρηκεν, εἴτε τὸν θερμαίνοντα σφοδρῶς, ὡς ἐν λευκοῖς οἴνοις, ἰσχυρῶς μὲν γὰρ θερμαίνειν οὐδεὶς δύναται τῶν λευκῶν οἴνων. ὁ μὲν γὰρ ἄκρως θερμὸς οἶνος, εὐθὺς καὶ ξανθός ἐστιν, ὥσπερ γε καὶ ὁ ἐφεξῆς αὐτοῦ κιρρὸς, εἶτ' ἐπ' αὐτοῖς ὁ ἐρυθρὸς, εἶθ' ὁ γλυκύς. ὁ δὲ λευκὸς, ἧσσον μὲν ἁπάντων τούτων θερμαίνει. διαφορὰς δ' ἐν αὐτῷ κατὰ μέρος ἔχει, καθὰ καὶ τἄλλα πάντα διαστήματα κατὰ τὸ μᾶλλόν τε καὶ ἧσσον. ὁ δὴ τοιοῦτος οἶνος ὅτι ποριμώτερός ἐστιν ἐπὶ κύστιν τοῦ γλυκέος, εἴρηται πρόσθεν. ἀνεπιτηδειότερον δ' αὐτὸν εἰς ἄλλα τοῦ γλυκέος φησὶν εἶναι. ταῦτα δ' ἐστὶν ὑπαγωγή τε γαστρὸς καὶ πτυσμάτων ἀναγωγή. καλὰ δ' ἔφη ταῦτα τεκμήρια εἶναι, τουτέστι γνωρίσματα τῆς τῶν οἴνων δυνάμεως.

Κιῤῥῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν ἐς τάδε ἂν χρήσαιο, εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μηδὲ

τὸ οὖρον ἴσχοιτο. τὰ διαχωρήματα δὲ πλαδαρώτερα, καὶ ξυσματωδέστερα εἴη. ἐν δὴ τοῖσι τοιουτέοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ, καὶ ὁκόσα τουτέοισιν ἐμφερέα.

Ὁ μὲν γλυκὺς οἶνος οὐθὺς καὶ μέλας ἐστὶν, οὐ μὴν ὅ γε μέλας εὐθέως ἅπας καὶ γλυκύς. ἀλλ' αὐστηροί τινες ἐξ αὐτῶν ὑπάρχουσιν, οἷοι παρ' ἡμῖν ἐν ἀσίᾳ πλησίον περγάμου, καὶ περὶ περπερίναν τε καὶ αἰγαὰς. ὁ δὲ περὶ τὴν κιλικίαν* ἀβάτης, αὐστηρός τε ἅμα καὶ γλυκύς ἐστιν, ἐξ ἐναντίων ποιοτήτων συγκείμενος. διὸ καὶ μοχθηρὸς ὑπάρχει, μήτ' ἀναδιδόμενος, μήθ' ὑπερχόμενος, ἀλλ' ἐπὶ πλεῖον τε παραμένων τῇ ἄνω γαστρὶ, καὶ πνεύματων αὐτὴν. ὅγε μὴν ἂν εἴη τοῦ γλυκὺς εἶναι μέλας οἶνος αὐστηρὸς, εἰς τὰ κατὰ τὴν γαστέρα χρήσιμος, ὅταν ἤτοι πλέω τοῦ προσήκοντος ὑπέρχεται κατ' αὐτὴν, ἢ ξυσματώδη. τηνικαῦτα γὰρ ἐπιτήδειος ἐστὶν, ὥσπερ γε καὶ ὁ λευκὸς οἶνος ὁ αὐστηρὸς, ὅσα τ' ἄλλα φάρμακα στύφοντα. πρὸς δὴ ταῦτά φησι καὶ τὸν κιρρὸν οἶνον ἁρμόττειν, οὐχ ἁπλῶς ἅπαντα λέγων τὸν κιρρὸν, ἀλλὰ τὸν αὐστηρὸν κιρρόν. ἐπ' ἀμφοτέρων γὰρ ἀκούειν γε χρὴ τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον οὕτως. κιρρῷ δ' ἂν οἴνῳ καὶ μέλανι τοῖς αὐστηροῖς εἰς τάδε ἂν χρήσαιο. διττὸς γὰρ ὁ κιρρὸς, ὥσπερ καὶ ὁ μέλας, ὁ μὲν γλυκὺς, ὁ δὲ αὐστηρός. ὄντος καὶ τρίτου παρ' ἑκατέρῳ, ἐξ ἐπιμιξίας ἀμφοτέρων τῶν ποιοτήτων. ἀλλ' ὅγε μίαν ἔχων ποιότητα, διττὸς μὲν ἑκατέρα τῇ χροᾷ. κεφαλῆς δὲ καὶ γνώμης ὁ κιρρὸς μᾶλλον ἅπτεται, διότι καὶ θερμότερός ἐστι τοῦ μέλανος. τῷ δ' αὐτῷ λόγῳ καὶ τοὺς πυρετοὺς αὐξάνει. τούτοις γὰρ ἐπιτήδειοι μόνοι τῶν οἴνων εἰσὶν οἱ ὑδατώδεις. εἰκότως οὖν ἐκώλυσε χρῆσθαι τοῖς αὐστηροῖς οἴνοις, εἴτε κιρροὶ τὴν χρόαν, εἴτε μέλανες εἰσίν. ἐν δὲ ταῖς καρηβαρίαις καὶ ταῖς βλάβαις τῶν φρενῶν, τουτέστι ὅπου ὁ πυρετὸς αὐτῶν ἥψατο, καὶ προσέτι γε κἀκεῖνα τῶν περὶ θώρακά τε καὶ πνεύμονα νοσημάτων, ἐν οἷς ἴσχεται τὸ πτύελον, ἀνεπιτηδείους τοὺς τοιούτους οἴνους εἶναι φησὶ, καὶ τῶν οὔρων ἐπεχομένων διὰ τὸ πάχος δηλονότι καὶ τὴν †στύψιν.

†ψύξιν

Προξυνιέναι δὲ δεῖ ὅτι τὰ μὲν ἄνω πάντα, καὶ τὰ περὶ τὴν κύστιν ἧσσον βλάψει ἢν ὑδαρέστερος ᾖ. τὰ δὲ κατ' ἔντερον καὶ μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ.

Ὁ ἀκρατέστερος οἶνος, ὡς εἴρηκε, κατ' ἔντερον μᾶλλον ἐπιτήδειός ἐστιν. εἰκότως οὖν ὀνίνησιν αὐτὰ τῷ λόγῳ τῆς στύψεως, δι' ἣν καὶ τὸ βοηθεῖν ὅλως ἔχει. ἀλλὰ ταύτην γε τὴν στύψιν, ἐκλύει κεραννύμενος ὑδαρὴς, καὶ διὰ τοῦτο ἧττον ὀνίνησιν αὐτά. καθάπερ δὲ ταῦτα μᾶλλον ὀνίνησι τῷ λόγῳ τῆς στύψεως ὅταν ἀκρατέστερος ᾖ, οὕτω τὰ κατὰ θώρακα καὶ κεφαλὴν μᾶλλον βλάπτει. ταῦτα δ' ἐστὶν, ἃ ἐδήλωσεν εἰπὼν, τὰ μὲν ἄνω βλάπτει πάντα. βλάπτει δὲ καὶ τὰ δεόμενα δι' οὔρων ἐκκαθαίρεσθαι τὰ σώματα. πασῶν γὰρ τῶν ἐκκρίσεων, ἐφεκτικός ἐστιν ὁ αὐστηρὸς οἶνος. ταῦτα περὶ οἴνων ὁ Ἱπποκράτης εἰπὼν, εὐθὺς ἐπὶ μελίκρατον μεταβαίνει, τὰ μὲν ἄλλα σχεδὸν ἅπαντα τὰ περὶ τῶν οἴνων λέξας, ἐν δὲ παραλιπὼν ἀνεξέργαστον, ὃ δῆλον ἐγὼ περὶ τὸ πάρεργον, ὅτι τοῖς πυρέττουσιν οἶνος ἐπιτηδειότατός ἐστιν ὁ ὑδατώδης. ἔστι δ' οὗτος, ὁ λευκὸς μὲν τὴν χρόαν, λεπτὸς δὲ τὴν σύστασιν, ἐπιφανῆ μηδεμίαν ἔχων ποιότητα τῶν τοῖς ἄλλοις οἴνοις ὑπαρχουσῶν, μήτ' αὐστηρότητα, μήτε στρυφνότητα, μήτε γλυκύτητα, μήτε δριμύτητα, μήτ' ὀσμὴν. τῷ γὰρ τοιούτῳ καὶ τὰς τοῦ ὕδατος κακίας, καὶ τὰς τοῦ οἴνου ἐκπεφευγέναι μόνῳ τῶν πάντων οἴνων ὑπάρχει. γεννῶνται δὲ καθ' ἕκαστον ἔθνος ἔνιοι τοιοῦτοι, κατὰ μὲν τὴν ἰταλίαν ὁ ἄτονος Σαβῖνος, ὃν καὶ διδόασι τοῖς πυρέττουσιν. ἐν ἀσίᾳ δὲ ὅ, τε Τιτακαζηνὸς καὶ τιβῖνος. ἀκηκοὼς δὲ αὐτοῦ τὰ γνωρίσματα, ῥᾳδίως εὑρήσεις καθ' ἕκαστον ἔθνος οἴνους τοιούτους, ἐν οἷς χωρίοις πάνυ τι λεπτοὶ καὶ ὑδατώδεις οἶνοι γίγνονται. ἐγὼ γοῦν καὶ περὶ τὴν κιλικίαν καὶ φοινίκην καὶ παλαιστίνην, καὶ σκῦρον, καὶ κρήτην εὗρον οἴνους τοιούτους. ἀλλ' ὅμως οἷον εἴρηκα καὶ κατὰ πάντα τὰ χωρία τεθέαμαι, καὶ τόγε θαυμασιώτερον, ὅτι καὶ κατ' αἴγυπτον. παχεῖς γὰρ οἶνοι καὶ ὀσμὴν ἔχοντες καὶ ἰσχυροὶ σφόδρα ἐν τοῖς θερμοῖς χωρίοις γεννῶνται. κατὰ δὲ τὴν ἰταλίαν καὶ τὴν Βιθυνίαν, καὶ τὴν ἀσίαν, θαυμαστὸν οὐδέν ἐστι, πολλοὺς ὑδατώδεις γίνεσθαι. ζητήσει δ' ἄν τις διατί παρέλιπεν ὁ Ἱπποκράτης ἰδίᾳ περὶ τῶν τοιούτων οἴνων ἐν τῷ διῃρημένῳ λόγῳ, καί τοι γε ἀλυποτέρων ὄντων τοῖς πυρέττουσιν, ἤπερ οἱ ἄλλοι πάντες. οὐδὲ γὰρ οὐδὲ τοῦτ' ἐστιν εἰπεῖν, ὡς ἠγνόει τὸν τοιοῦτον οἶνον. αὐτὸς γοῦν ὀλίγον ὕστερον ἐν τῷ τοῦ μελικράτου λόγῳ τάδε γράφει. ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου, ἐνίῃ μὲν ἰσχυρότερον, ἐνίῃ δὲ καὶ ἀσθενέστερον. ταῦτ' εἰπε παραβάλλων τὸ μελίκρατον οἴνῳ λεπτῷ καὶ ὀλιγοφόρῳ, τουτέστιν ὀλίγον ὕδωρ φέροντι, καὶ ἀνόσμῳ. σαφῶς γοῦν καὶ ἀκριβῶς εἰπὼν τὰ γνωρίσματα τοῦ οἰνώδους οἴνου, καὶ διελθὼν, ὡς καὶ κεφαλῆς ἅπτοιτο καὶ φρενῶν, ἱκανὴν ἐνόμισεν εἶναι καὶ τὴν εἰς τοὐναντίον αὐτῷ τοῦ ὑδατώδους τὴν διδασκαλίαν, ἡμῶν δυναμένων λογίζεσθαι τὰ ἐναντία ὑπάρχειν αὐτῷ.

Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι νούσοισι, τὸ ἐπίπαν μὲν τοῖς πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισιν ἧσσον ἐπιτήδειον, ἢ τοῖσι μὴ τοιούτοισι.

Τὸ, διὰ πάσης τῆς νόσου, δηλωτικόν ἐστι, τοῦ τὸν λόγον αὐτῷ γίγνεσθαι περὶ τῶν νοσημάτων ἐκείνων, ἐφ' ὧν ἐδίδαξεν ἀνεπιτήδειον εἶναι τρέφειν χυλῷ, πρὸ τοῦ τὴν ἀκμὴν τῆς νόσου παρελθεῖν. εἰ γὰρ μήτε τῶν περὶ θώρακα καὶ πνεύμονά τι νοσημάτων εἴη πυρέττοντος τοῦ κάμνοντος ὀξέως, ἥτε δύναμις ἰσχυρὰ, καὶ περαιτέρω τῆς πέμπτης ἡ νόσος οὐ μέλλει γενήσεσθαι, μελίκρατον αὔταρκες ἐστὶ μόνον πινόμενον ἐξαρκέσαι ποιῆσαι τὸν κάμνοντα. τοῖς μὲν οὖν ἄλλοις ἅπασιν ἐπιτηδειότατόν ἐστιν ἐν τοῖς τοιούτοις νοσήμασι τὸ μελίκρατον, ἧττον δὲ τοῖς πικροχόλοις ὠφέλιμον. ἐκχολοῦται γὰρ ἐν αὐτοῖς, ἐὰν μὴ φθάσῃ διεξελθεῖν, ἢ κατ' ἔντερον, ἢ κύστιν, ὡς εἴγε διεξέλθοι, πρὸς τὸ μὴ βλάψαι μηδὲν ὀνίνησι μέγιστα, συνυπάγει γὰρ αὐτῷ χολώδη περιττώματα. συνεδείξατο γοῦν τῷ λόγῳ τῷδε, καὶ περὶ τῆς κράσεως αὐτοῦ. συμφέρει γὰρ αὐτοῦ ὑδαρέστερον ἐπὶ τῶν τοιούτων φύσεων δίδοσθαι τὸ μελίκρατον, ὅπως μήτε διψῶδες εἴη, μήτε χολοποιόν. ὥσπερ δὲ τοῖς πικροχόλοις, οὕτως καὶ τοῖς μεγαλοσπλάγχνοις οὐκ ἐπιτήδειον εἶναι φησὶν αὐτό. μεγαλοσπλάγχνους δὲ νῦν εἶπεν, οὐχ οἷς φύσει μεγάλα σπλάγχνα εἰσὶν, ἀλλ' οἷς κατά τι πάθος εἰς ὄγκον ἤρθη σκιρρούμενα, καὶ φλεγμαίνοντα

νοντα, καὶ οἰδισκόμενα. μοχθηρὸν γὰρ ἐν τούτοις γίγνεται, μὴ δυνάμενόν γε διεξέρχεσθαι ταχέως αὐτά, ἐκχολούμενόν τε ῥᾳδίως, καὶ μάλιστα ἐν ταῖς φλεγμοναῖς, διὰ πλῆθος τῆς θερμασίας, ὡς ἔν γε τοῖς ἄλλοις παρὰ φύσιν ὄγκοις ἧττον ἐστὶ βλαβερόν.

Διψῶδες γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου. πνεύμονός τε γὰρ μαλθακτικόν ἐστι, καὶ πτυέλου ἀναγωγὸν μετρίως, καὶ βηχὸς παρηγορικόν. ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον.

Διατί μὲν ἧττον οἴνου ἐστὶ γλυκέος διψῶδες, ἔμπροσθεν εἴρηταί μοι, δεικνύντι καθ' ὅσον μὲν εἰσὶν ἄμφω γλυκέα, κατὰ τοσοῦτον ἐκχολοῦσθαι ῥᾳδίως αὐτά. καθ' ὅσον δὲ λεπτότερόν τ' ἐστὶ, καὶ πορειμώτερον, ὡς εἶναι ταύτῃ τὸ μελίκρατον, κατὰ τοῦτο ἧττον αὐτοῦ γίνεσθαι διψῶδες, ὡς εἴ γε ποτὲ κατὰ τὴν γαστέρα μένῃ χρόνῳ πλείονι, καὶ αὐτὸ διψῶδες οὐχ ἧττον ἔσται τοῦ γλυκέος οἴνου. τοῦτο μὲν αὐτὸ σπανίως συμβαίνει. τὸ δὲ θᾶττον οἴνου γλυκέος διεξέρχεσθαι τὴν γαστέρα καὶ τὸ ἔντερον ἅπαν, ἔτι δὲ καὶ τὸ ἧπαρ ἄχρι νεφρῶν καὶ κύστεως οὐ σπανίως, ἀλλὰ διὰ παντὸς ὑπάρχει τῷ μελικράτῳ. διὰ ταῦτα μὲν οὖν ἧττον ἐστὶ διψῶδες τοῦ γλυκέος οἴνου. ὁ δὲ Ἱπποκράτης οὐχ οὕτως εἶπεν, ἀλλ' ἑτέρως τοῦτον, ἐνδειξάμενος αὐτοῦ τὴν δύναμιν δι' ὧν ἐργάζεται κατὰ τὸν πνεύμονα. δῆλον γὰρ ὡς οὐκ ἂν εἰργάζετο ταῦτα, μὴ διεξερχόμενόν γε καὶ διαρρύπτον αὐτοῦ τὰς ὁδούς. πτυέλου δ' ἀναγωγὸν οὐχ ἁπλῶς εἶπε τὸ μελίκρατον, ἀλλ' ὅτι μετρίως προσέγραψε. τὸ γὰρ ἰσχυρῶς ἀνάγειν, οὐκ ἔχει καθάπερ τὸ ὀξύμελι. τό γε μὴν παρηγορικὸν ἔχει, μηδ' ὅλως ἔχοντος αὐτὸ τοῦ ὀξυμέλιτος. ἐπεγείρει γὰρ ἐκεῖνο τὰς βῆχας, ἐρεθίζον τε καὶ τραχῦνον, ἐκ τοῦ ῥύπτειν σφοδρῶς. μελικράτῳ δὲ καὶ μάλιστα τῷ ὑδαρεῖ, τῆς ῥυπτικῆς δυνάμεως ὀλιγίστης μέτεστιν. καλεῖται δ' ἡ τοιαύτη καὶ σμηκτική. καὶ νῦν ὁ Ἱπποκράτης ἀπ' ἐκείνης ἐποιήσατο τὸ σμηγματώδους ὄνομα, περὶ τοῦ μελικράτου γράψας. ἔχει γὰρ σμηγματῶδές τι, μετρίας αὐτῷ μετεῖναι τῆς τοιαύτης δυνάμεως αἰνιξάμενος ἐκ τοῦ προσθεῖναι τῷ σμηγματώδους, τῷ, τι βραχύτητα δηλοῦν, οἷς ἂν οὕτω προσκέηται. τοῦτ' οὖν τὸ βραχὺ τοῦ μελικράτου σμηγματῶδες, οὐχ ὅτι σμηγματῶδες, διὰ τοῦτ' ἄκρατον, ἀλλ' ὅτι βραχύ. δεῖ γὰρ ἐπὶ τοῦ γλίσχρου πτυέλου σφοδρῶς εἶναι σμηγματῶδες τὸ φάρμακον, ἀπορρύψαι δυνάμενον τὸν ἐνιζηκότα τοῖς βρόγχοις τοῦ πνεύμονος γλίσχρον χυμόν. εἰ δὲ μεταξὺ θώρακός τε καὶ πνεύμονος, εἴη πιστός τις ἠθροισμένος, ἔτι δὴ καὶ μᾶλλον ἐστὶ χρεία πρὸς τὸ καλῶς ἀναπτυσθῆναι, τμητικῆς τε καὶ σμηκτικῆς δυνάμεως, ἥ τις καὶ ἀπορρύψει τε τοῦ ὑπεζωκότος αὐτὸ, καὶ διατέμνει καὶ λεπτυνεῖ. μεταληφθῆναι γὰρ ἄλλως ἀδύνατόν ἐστι τὸ τοιοῦτον, διὰ τοῦ περιέχοντος ὑμένος τὸ σπλάγχνον εἰς τὰ βρογχία τοῦ πνεύμονος. οὐ καλῶς οὖν ἐχρήσατο τῇ λέξει προσθεὶς τῷ, ἔχει γὰρ σμηγματῶδές τι τὸ ἐφεξῆς εἰρημένον, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον. ἄμεινον γὰρ ἦν εἰπεῖν. ἔχει γὰρ σμηγματῶδές τι βραχὺ τὸ μελίκρατον, ὃ μᾶλλον τοῦ μετρίου πολλάκις ἐπιτρέπει τῷ πτυέλῳ καταγλισχραίνεσθαι. οὐ γὰρ διὰ τὸ μελίκρατον συμβαίνει τῷ πτυέλῳ καταγλισχραίνεσθαι, ἀλλὰ τοῦτο μὲν οἰκεῖον ὑπάρχει τῷ γε τοιούτῳ πτυέλῳ. τὸ μελίκρατον δὲ οὐδὲν ὀνίνησιν, ἀλλὰ διαμένειν ἐᾷ τὴν τοιαύτην φύσιν τοῦ περιττώματος. διὰ τοῦτ' οὖν ἄμεινον ἦν εἰπεῖν μηδὲν ὀνίνασθαι τὸ γλίσχρον πτύελον, οὐ γίγνεσθαι τοιοῦτο ὑπὸ τοῦ μελικράτου. τὸ γὰρ καταγλισχραίνειν τὸ πρὸς Ἱπποκράτους εἰρημένον, ἔμφασιν ἔχει τοῦ γίνεσθαι τοιοῦτον ὑπὸ τοῦ μελικράτου τὸ πτύελον.

Ἔστι δὲ καὶ οὐρητικὸν τὸ μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ.

Λέλεκταί μοι καὶ πρόσθεν, ὅτι τῷ διεξέρχεσθαι ῥᾳδίως ἁπάσας τὰς μεταξὺ κοιλίας τε καὶ νεφρῶν ὁδούς, οὐρητικόν ἐστι τὸ μελίκρατον. ἐδείχθη δὲ καὶ ὅτι κακοπραγούντων τοῦ ἥπατος, οὐ προσήκει πίνειν αὐτό. βλάπτει δὲ καὶ σπλάγχνα φλεγμαίνοντα, καὶ πολὺ δὴ μᾶλλον ἔντερα τε καὶ γαστέρα. ταχέως γὰρ ἐκπυρούμενον ὑπὸ τῆς κατὰ τὴν φλεγμονὴν θερμασίας, εἰς χολὴν μεταβάλλει. τάχα γὰρ διὰ τὴν γλυκύτητα χαίρει τὰ σπλάγχνα τῷ μέλιτι, καθάπερ καὶ ἡ γαστὴρ, ὥστε θᾶττόν τε καὶ ἀθροώτερον ἀναπᾶσθαι. καὶ γὰρ οὖν καὶ τἆλλα γλυκέα ταυτὸν ἔχειν τούτῳ, λογίσαιτ' ἄν τις, ὃ ὥσπερ πρὸς τὴν κοιλίαν, οὕτω καὶ πρὸς τὰ σπλάγχνα πεπονθέναι. φανεῖται δ' ἡ γαστὴρ ἥδεσθαι τούτοις, καὶ γὰρ μετὰ τὸ καταπιεῖν αὐτὰ, φανερῶς πῶς ἐστὶν ἡδομένη πρὸς τῶν εἰλημμένων, ὥσπερ αὖ πάλιν ἀνιωμένη, τοῖς [illegible] τε καὶ πικροῖς, οὐκ ἐν αὐτῷ τῷ λαμβάνεσθαι μόνον, ἀλλὰ καὶ μετὰ τὸ ληφθῆναι ἄχρι χρόνου τινός. ὅθεν οὐδὲ προσφέρεταί τις αὐτὰ, πλὴν εἴποτε ὡς φάρμακον διὰ χυμοὺς παρὰ φύσιν ἠθροισμένους ἐν τῇ γαστρί. κατὰ φύσιν δὲ ἐχούσης, ἀνιαρὰ πάντα αὐτῇ τὰ τοιαῦτα ἐστὶν, ἡδέα δὲ μόνα τὰ γλυκέα. καὶ μὲν δὴ κατὰ τὸν καλούμενον λαιμὸν ἐκ τῶν καταπινομένων γλυκέων ἡδονὴ μεγίστη γίνεται, τῶν κατ' αὐτὸ τὸ χωρίον σωμάτων οἰκείας ἐχόντων τῷ τοιούτῳ χυμῷ. τὸ δ' αὐτὸ τοῦτ' ἐστὶ σῶμα, καὶ τῆς γαστρὸς ὁ ἔνδον χιτών, ὥσπερ γε καὶ ὁ τὴν γλῶτταν ἀμφιεννύς. ἀλλ' ἐν ταύτῃ μὲν ἐναργεστάτην ἔχει τὴν τῆς γλυκύτητος αἴσθησιν, ἐν δὲ τῷ λαιμῷ τὴν τῆς ἡδονῆς. αἴσθησις δὲ σαφὴς, ἐν τῷ παραχρῆμα γίνεται, καὶ ἐν τῷ στόματι τῆς γαστρὸς ἡδομένῳ τοῖς καταπινομένοις γλυκέσιν, ὅταν κατὰ φύσιν ἔχει τὸ ζῶον. οὕτως οὖν εἰκός ἐστι καὶ τὰ σπλάγχνα χαίρειν τῷ μὲν γλυκεῖ χυμῷ, ταχέως δ' αὐτοῦ καὶ πλεῖστον ἐπισπώμενα, καθ' ὃν μὲν ὑγιαίνει χρόνον, ἀπολαύειν τε καὶ τρέφεσθαι, καθ' ὃν δὲ πυρετώδη τέ ἐστι καὶ φλεγμαίνει, μεταβάλλειν ἐπὶ τὸ χολῶδες αὐτό. ὁρᾶται γοῦν καὶ τὰ καλούμενα συκωτὰ διὰ τῆς τῶν ἰσχάδων ἐδωδῆς, μέγιστά τε καὶ ἥδιστα γιγνόμενα, προφανῶς τοῦ ἥπατος εὐτροφοῦντος ἐπὶ τῇ τῶν γλυκέων ἐδωδῇ, ἀλλ' ἐν ταῖς φλεγμοναῖς τε καὶ τοῖς πυρετοῖς οὐκ εἰς εὐτροφίαν, ἀλλ' εἰς χολῆς γένεσιν ἡ τῶν τοιούτων προσφορὰ μεταβάλλεται, τοῦ μὲν πυρετώδους θερμοῦ πλεονάζοντος, ἐλλείποντος δὲ τοῦ κατὰ φύσιν, ὅπερ εὔκρατον ἦν.

Καὶ διαχωρητικώτερον δὲ κάτω τῶν χολωδέων. ἔστι μὲν ὅτε καλῶν, ἔστι δ' ὅτε καὶ κατακορεστέρων μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεστέρων. μᾶλλον δὲ τὸ τοιοῦτον, τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται.

Ἀναμνησθῶμεν τῆς προειρημένης λέξεως ἐν ᾗ παραβάλλων οἴνῳ γλυκεῖ τὸ μελίκρατον ἔλεγε. διψῶδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου. καὶ νῦν οὖν πρὸς ἐκεῖνον εἶπε διαχωρητικώτερον εἶναι κάτω. χολωδέων γὰρ δὴ καὶ ὁ γλυκὺς οἶνος διαχωρητικός. ἀλλὰ τό γε μελίκρατον, ἐνίοτε μὲν καλῶν τῶν χολωδέων ὑπακτικόν ἐστιν, ἐνίοτε δὲ μοχθηρῶν ἅπερ ἐστὶν ἱκανῶς ἄκρατα χολώδη, τὰ πυῤῥὰν ἢ ξανθὴν ἔχοντα καὶ παχεῖαν χολήν. αὕτη τοίνυν ἀφρὸν προσλαμβάνει, πολλάκις μὲν κατὰ τὸν αὐτὸν λόγον, ὃν καὶ τοῖς ἐν πυρὶ θερμαινομένοις σφοδρῶς ἀφρὸς ἐπανθεῖ, πολλάκις δὲ καὶ τοῖς κοπτομένοις ὑγροῖς ὑπὸ πνεύματος. τούτων δὲ τὸ μὲν πρότερον ὧν εἶπον, ὑπερβαλλούσης ἐστὶ θερμασίας γνώρισμα, τὸ δὲ δεύτερον στενοχωρίας τῶν ὀργάνων, καὶ ταραχῆς φυσώδους πνεύματος ἐναπειλημμένου, καὶ διέξοδον οὐ ῥᾳδίαν ἔχοντος. τοιαῦτα δ' ὑπέρχεται χολώδη τοὐπίπαν ἐν τοῖς συντηκτικοῖς πυρετοῖς, ἐφ' ὧν ἐναντιωτάτη τε καὶ βλαβερωτάτη τε ἁπάντων σχεδόν ἐστιν ἡ τοῦ μελικράτου πόσις, ὥσπερ γε καὶ τοὐναντίον ἡ τοῦ ψυχροῦ πόσις ὕδατος ὠφελιμωτάτη. μᾶλλον δὲ τὸ τοιοῦτον διαχώρημα φησὶν ὑπὸ τοῦ μελικράτου γίνεσθαι τοῖς φύσει μὲν χολώδεσι, τουτέστι τοῖς θερμοῖς ἀμέτρως. ἐν δὲ τοῖς νόσοις φλεγμονὴν ἔχουσι, κατά τι τῶν σπλάγχνων. τὸ γάρ τοι κοινὸν ὄνομα, νῦν ἴδιον ἐγένετο τῶν φλεγμαινόντων. οὐ γὰρ δὴ διὰ σκίῤῥον γε, ἢ οἴδημα πυρετὸς ἐξάπτεται. πρόδηλον οὖν ὅτι περὶ τὰς ὀξείας νόσους, ὑπὲρ ὧν ὁ λόγος αὐτῷ ἐστιν, ὅταν ὄγκος ἐν σπλάγχνοις γίνηται, φλεγμονῆς ἐστιν, οὐκ οἰδήματος ἢ σκίῤῥου τὸ σύμπτωμα. καὶ τούτους νῦν ὠνόμασε μεγαλοσπλάγχνους.

Πτυέλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθαξιν τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον. τὰ μέντοι ἀφρώδεα διαχωρήματα, καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα, καὶ μᾶλλον θερμὰ, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει.

Λέλεκται καὶ πρόσθεν ὡς ἐκχολοῦται μὲν τὸ μέλι ἐν ταῖς ὀξείαις νόσοις, καὶ ἐπὶ τῶν βλαπτόντων ἡμᾶς, βραδυπόρου δ' ὄντος τοῦ ὕδατος, καὶ μένοντος ἐπὶ πλεῖστον ἐν τοῖς ὑποχονδρίοις, καὶ διὰ τοῦτ' ὄντως φευκτοῦ, τὸ μικτὸν ἐξ ἀμφοῖν ἐπιτήδειον γίνεται, ἐπὶ τὴν τοιαύτην κρᾶσιν συντιθέμενον, ὅταν ὕδατι πλείονι μέλιτος μιχθῇ τοσοῦτον, ὡς ὁδοποιεῖν τε καὶ πρὸς τὴν ἀνάδοσιν ἄγειν αὐτό. τότε γὰρ οὖρα ποριμώτερα γίνεται, καὶ ἡ τῶν πτυέλων ἀναγωγὴ θᾶττον, οὕτω κερασθέντων αὐτῶν. εἰ δὲ πολὺ τοῦ μέλιτος μιχθείη, δίψαν τε ποιεῖ καὶ γλισχραίνει τὸ πτύελον. καὶ διὰ ταῦτα μὲν ἐπιτηδειότερόν ἐστι τὸ ὑδαρέστερον μελίκρατον, εἴς τε τὴν τῶν πτυέλων ἀναγωγὴν, καὶ τὴν τῶν οὔρων διέξοδον, τὸ δ' ἀκρατέστερον εἰς τὰς τῆς γαστρὸς ὑποχωρήσεις. ὅσῳ γὰρ ἂν ἐρεθιστικώτερον ᾖ, τοσούτῳ μᾶλλόν τε καὶ θᾶττον αὐτὴν ὑπάγει. καὶ διὰ τῶν κλυστήρων δὲ ἐνιέμενον, ὅσῳπερ ἂν ἀκρατέστερον ᾖ, τοσοῦτον μᾶλλον ἐκκριτικὸν γίνεται τὸ τοιοῦτον. καὶ τῶν κατακορέως χολωδῶν, τουτέστι τῶν ἱκανῶς τοιούτων, καὶ τῶν ἀφρωδῶν διαχωρημάτων αἴτιον ὑπάρχει. τὸ γὰρ ἐπισπᾶσθαι τὰ τοιαῦτα, μᾶλλον ἔχει τῷ δάκνειν τε καὶ ῥύπτειν τὸ ἔντερον. ἔτι δὲ καὶ αὐτὸ μεταβάλλον εἰς χολὴν ξανθὴν συναύξει, καὶ ἐπὶ τῶν τῶν χολωδῶν διαχωρημάτων τὸ πλῆθος, ὅθεν οὐδ' ἐπαινεῖ τὴν χρῆσιν αὐτοῦ. δηλοῖ δ' ἐκ τοῦ προσθεῖναι, καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα. τὸ γὰρ μᾶλλον τοῦ καιροῦ σύνηθες αὐτῷ λέγειν, ἀντὶ τοῦ μᾶλλον τοῦ προσήκοντος. τὸ δὲ ἀφρῶδες διαχώρημα, καὶ κατὰ τὸ προγνωστικὸν ἐμέμψατο. καὶ τὰ κατακορέως δὲ, τουτέστιν ἀκράτως χολώδη, μοχθηρά. χρὴ γὰρ οὐ κατακορέως, οὐδ' ἀκράτως, ἀλλὰ μετρίως αὐτὰ τοιαῦτα εἶναι. μεμνημένος οὖν καὶ σὺ τούτων, ὅταν ἤτοι μελικράτου ποθέντος, ἢ καὶ χωρὶς αὐτοῦ, διαχωρῇ τις ἀφρώδη τε ἅμα καὶ κατακορέως χολώδη, συντηκτικὸν εἶναι τὸν πυρετὸν ἴσθι, καὶ διὰ τοῦτο ἀφίστασο τῆς τοῦ μελικράτου χρήσεως. ἐπὶ δὲ τὸν τῆς πτισάνης ἧκε χυλὸν, ἐπιτηρῶν ἰδεῖν τι γνώρισμα, κἂν βραχὺ διὰ τῶν οὔρων τῆς τοῦ νοσήματος πέψεως. ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ διδοὺς καὶ τὸ ψυχρὸν ὕδωρ, ὀνήσεις μέγιστα.

Τὸ δὲ τοιοῦτον διαχώρημα, ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα. οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύουσιν, ἀλλ' ὁρμᾷ, δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει, ἑλκῶδές δ' ἐστὶ καὶ ἐντέρου καὶ ἕδρης.

Σύνηθες αὐτῷ τὰς βλάβας σίνεα λέγειν, ὡς κἀν τῷ περὶ ἀγμῶν καὶ ἄρθρων ἐδείχθη. καὶ γάρ τοι σίνειν λέγουσιν οἱ Ἴωνες, ἀντὶ τοῦ βλάπτειν. ἀλλὰ καὶ τὰ βλαβερὰ σινόμωρα πολλάκις αὐτὸς ὠνόμασε. μεγάλας οὖν βλάβας ἔχει φησὶ τὸ προειρημένον διαχώρημα, τουτέστι τὸ κατακορὲς χολῶδες ἅμα τε καὶ ἀφρῶδες εἶναι. σύνηθες δ' αὐτῷ πολλάκις ἐπὶ τῶν σημείων χρῆσθαι ταῖς τῶν αἰτίων τε καὶ βλαπτομένων σωμάτων φωναῖς. τὸ γοῦν τοιόνδε διαχώρημα, κάλλιον ἦν εἰπεῖν σημαίνειν, ἀλλ' ἔχειν εἶπε. καίτοι τὰ μὲν πεπονθότα σώματα τὰς βλάβας ἴσχει, τὰ δ' αἴτια ποιεῖ, τὰ δὲ σημεῖα δηλοῖ. τίνα γε μήν ἐστιν ἃ συμβαίνει πρὸς τῶν εἰρημένων διαχωρημάτων σίνεα, παρ' αὐτοῦ ἄκουε λέγοντος. οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύουσιν, ἀλλ' ὁρμᾷ, τοῦτο δ' εἶπε, ἐπειδὴ πολλάκις ἡ τῶν χολωδῶν ὑποχώρησις αὐτίκα σβέννυσι τὸ ἐξ ὑποχονδρίων καῦμα. διὰ τοῦτ' οὖν ἐπὶ τῶν κακοήθων χολωδῶν προσέθηκεν, ὅτι μὴ σβέννυται, ἀλλὰ τοὐναντίον ἅπαν αὐξάνεται τοῖς τὰ τοιαῦτα διαχωροῦσι. καὶ οὐ παύεται τὸ καῦμα ἐκ τῶν ὑποχονδρίων, ἀλλὰ καὶ σφοδρότερον γίγνεται. καὶ ῥιπτάζονται, τουτέστιν ἄσην τε καὶ δυσφορίαν ἔχουσιν, ἐπειδὴ τῆς ἐν τοῖς ὑποχονδρίοις διαθέσεως φλογώδους, τὰ τοιαῦτα διαχωρήματα, συμπτώματα. καὶ μέντοι καὶ ὅτι κατὰ τὴν τῶν ἐντέρων διέξοδον ἡ δριμύτης αὐτῶν ξυσματώδη διάθεσιν ἐργάζεται. ταύτης μὲν οὖν τῆς διαθέσεως αἴτια γίγνεται τὰ κατακορῆ χολώδη, τῆς δὲ ἐν τοῖς ὑποχονδρίοις σημεῖα. ὅ γε μὴν Ἱπποκράτης, ὡς ἔφην, εἴωθεν ἐνίοτε καὶ τοῖς τῶν αἰτίων ἐνδεικτικοῖς ῥήμασιν ἐπὶ τῶν σημείων χρῆσθαι.

Ἀλεξητήρια δὲ τουτέων γεγράψεται.

Ὅτι προήρηται καθ' ἕκαστον εἶδος νοσήματος ἰάματα γράψαι, καὶ διὰ τῶν ἔμπροσθεν ἐδήλωσε, καὶ νῦν οὐχ ἥκιστα, εἰ δ' ἐστιν

δ' ἐστὶν Ἱπποκράτους ἄξια τὰ προσκείμενα τῷδε τῷ βιβλίῳ, τὰ μετὰ τὸ λουτρὸν, ὅσα τε ἐν τοῖς περὶ νόσων, ἢ περὶ παθῶν γέγραπται, ἐπὶ τὴν ἐξήγησιν αὐτῶν ἐπισκεψόμεθα.

Αὐτὴν μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεόμενος, ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι πολλὰ ἂν εὐτυχοίης, καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης. οἷσι δὲ δοτέον καὶ οἷσιν οὐ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ἃ οὐ δοτέον.

Ἐδήλωσε καὶ νῦν σαφέστατα μέχρι τοῦ κριθῆναι τὸ νόσημα, μελικράτῳ μόνῳ χρῆσθαι συμβουλεύων. ἐν μόνοις γὰρ τοῖς συντηκτικοῖς νοσήμασιν, ἢ ἐφ' ὧν ἀνθρώπων ἀδύνατόν ἐστιν ἐξαρκέσαι τὴν δύναμιν ἄχρι τῆς κρίσεως, ἐπὶ τὸν χυλὸν ἀφιξόμεθα. τὰ δ' ἄλλα βέλτιον ὑπὸ μελικράτου μόνου διαιτᾶν.

Κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐλέχθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας. ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιοῦδε δῆθεν ἐόντος.

Οὐ ταυτόν ἐστι καταγυιοῦσθαί τε λέγειν ὑπὸ μελικράτου καὶ μηδ' ὅλως τρέφειν, ἢ ὀλιγότροφον εἶναι τὸ μελίκρατον, ἀλλ' ἐπεὶ τρία ταῦτα πράγματα διαφέροντα ἀλλήλων ἐστί. τὰ μὲν γὰρ καθαιροῦντα τὴν δύναμιν ὡς αἱμορραγία καὶ διαχώρησις πολλὴ καὶ ἱδρὼς ἄμετρός τε, καὶ κατά τι συμβεβηκὸς ἀσιτία, καταγυιοῦν εἰκότως ἂν λέγοιτο. τὰ δὲ μηδ' ὅλως τρέφοντα καθάπερ τὸ ὕδωρ, οὔτε καταγυιοῦν, οὔτε ῥωννύναι τὴν δύναμιν ἀληθῶς ἄν τις εἴποι, πλὴν ἐπὶ συμβεβηκὸς ἐνίοτε. τὸ γὰρ ὕδωρ οὐχ ὡς τροφὴ τὴν δύναμιν ἀνακτᾶται τῶν καμνόντων, ἀλλ' ὡς φάρμακον εἰς συμμετρίαν κράσεως ἄγον τὰ διὰ τὴν ἀμετρίαν αὐτῆς ἀρρωστοῦντα. τρίτα πρὸς τούτοις τὰ βραχέως τρέφοντα, καὶ δύναιτο μὲν ἄν τις μόνοις αὐτοῖς χρώμενος ἀποθανεῖν, οὐ μὴν ὡς καθαιρούσι τὴν δύναμιν, ἀλλ' ὡς οὐχ ἱκανῶς ῥωννύουσιν. ἐκ τούτων οὖν ἐστι καὶ τὸ μελίκρατον. εἰ γάρ τις ἐν τέσσαρσιν ἡμέραις ἀσιτήσας, ἀποθνήσκειν δύναιτ' ἂν οὗτος μελικράτῳ χρώμενος, οὐ μόνον εἰς τὴν ε. ἀλλὰ καὶ εἰς τὴν ϛ. ἀφικέσθαι. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ μέλιτος. ἡ γὰρ τούτου φύσις ἐστὶν, ἣ καὶ τὸ μελίκρατον ἐκ τῶν βραχέως τρεφόντων ἐργαζομένη. τὴν γὰρ ὑγρασίαν, τῆς τροφῆς ὄχημα, καὶ οὐ τροφὴν, οὐ μόνος ὁ Ἱπποκράτης, ἀλλὰ καὶ σχεδὸν ἅπαντες οἱ ἄριστοι τῶν ἰατρῶν ἀπεφήναντο. ταῦτ' οὖν αὐτὰ τὰ νῦν εἰρημένα ὁ Ἱπποκράτης ἔγραψε περὶ μελικράτου καὶ μέλιτος οὐκ ἀσαφῶς διὰ τῆς ἑξῆς.

Τὸ δ' οὐ παντάπασιν ὧδε ἔχει.

Οὐ γὰρ παντάπασιν ἀληθές ἐστι, τὸ διὰ τὸ μελίκρατον ἀποθνήσκειν τοὺς ἀποκαρτεροῦντας, ἀπέθανον γὰρ ἂν εἰ καὶ μόνον ὕδωρ ἔπινον, ἀλλ' ὅτι βραχεῖαν τροφὴν δίδωσι τῷ σώματι, διὰ τοῦτο μόνον μὲν ὂν οὐχ ἱκανόν ἐστι διαφυλάττειν τὴν ζωὴν, ὥσπερ καὶ χυλὸς πτισάνης εἴ τις ἐθέλοι ῥοφεῖν μόνης ἑψηθείσης.

Ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, εἰ μὴ ἐκταράσσει τὴν κοιλίην.

Ἐνδείκνυσθαι δοκεῖ διὰ τῆς ἰσχυροτέρου φωνῆς, ὅτι ἔχει τι καὶ τὸ ὕδωρ δύναται εἰς τὸ τρέφειν. ἐγχωρεῖ δὲ διὰ τὴν ξηρότητα τοῦ σώματος καὶ τῆς γαστρὸς ἐπιτέγγεσθαι, διαρκεῖν ἐπὶ πλεῖον τοὺς πίνοντας ὕδωρ τῶν μηδ' ὅλως προσφερομένων. ἀσφαλῶς δὲ προσέθηκεν, εἰ μὴ ταράσσει τὴν κοιλίαν, ὑπὲρ τοῦ μελικράτου τὸν λόγον ποιούμενος. ἐκείνους γὰρ δεόντως καὶ χείρονας ἑαυτῶν ἐργάζεται διὰ τὴν κένωσιν, οἷς ταράσσει τὴν κοιλίαν, ἅμα καὶ τοῦ ταράττειν ῥήματος οὐ τὴν σύμμετρον ὑποχώρησιν, ἀλλὰ τὴν πλεονάζουσαν δηλοῦντος. εἰδέναι μέντοι χρὴ, τὸ μὲν ὠμὸν μελίκρατον ὑπακτικώτερον εἶναι, τὸ δὲ καλῶς ἡψημένον τροφιμώτερον. ἀλλὰ τοῦτο μὲν ἐγνώσθω σοι κατὰ τὸ πάρεργον, ἴδωμεν δὲ ἃ ἑξῆς γράφει παραβάλλων οἴνῳ μελίκρατον.

Ἀτὰρ καὶ οἴνου λευκοῦ καὶ λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου, ἣ μὲν ἰσχυρότερόν ἐστιν, ἣ δὲ ἀσθενέστερον.

Ἔνιοι χωρὶς τοῦ ἐστὶ γράφουσι τὴν ῥῆσιν οὕτως. ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου, ἣ μὲν ἰσχυρότερον, ἣ δὲ ἀσθενέστερον. ἔνιοι δὲ ἀντὶ τοῦ ἣ, τὸ ἐνίῃ γράφουσιν οὕτως. ἀτὰρ καὶ οἴνου ὀλιγοφόρου καὶ λεπτοῦ καὶ ἀνόσμου, ἐνίῃ μὲν ἰσχυρότερον, ἐνίῃ δὲ ἀσθενέστερον. ἐξ ἁπάντων γε μὴν ἡ αὐτὴ δηλοῦται δύναμις καὶ ἔννοια, κατά τι μὲν λέγοντος ἰσχυρότερον εἶναι τὸ μελίκρατον τοῦ τοιούτου οἴνου, κατά τι δὲ ἀσθενέστερον. ἐγὼ μὲν ἐπεμνήσθην οἴνου τοιούτου κατὰ τὸν περὶ τῶν οἴνων λόγον. ὁ δ' Ἱπποκράτης, αὐτὸν ὥσπερ οὐκ εἰδὼς ἐσιώπησεν, ἀλλὰ νῦν γε σαφῶς ἐδίδαξε τήν τε σύστασιν αὐτοῦ μηνύσας ἐκ τοῦ φάναι λεπτοῦ, καὶ τῆς δυνάμεως ἀσθένειαν ἐκ τοῦ προσγράψαι καὶ ὀλιγοφόρου. καλεῖται γὰρ οὕτως ὁ τῆς τοῦ ὕδατος μίξεως ὀλιγίστης χρῄζων εἰς τὸ ποθῆναι. κατὰ τοὐναντίον γὰρ ὁ πολλοῦ δεόμενος ὕδατος εἰς εὐκρασίαν ὀνομάζεται πολυφόρος, ἐν ἴσῳ τῷ πολὺ φέρειν ὕδατος δεόμενος εἰς τὴν εὔκρατον μῖξιν. ὁ δ' ὀλιγοφόρος οἶνος ἔκλυτός τε καὶ ἀσθενὴς καὶ ἄχρηστος εἰς πότον γίνεται, εἰ πλέονι κεράσεις ὕδατι, καὶ μὴν καὶ τὸ ἄοδμον αὐτοῦ μέγιστον γνώρισμα τῆς ἀσθενείας τε καὶ ψυχρότητός ἐστιν, ὕδατι καὶ κατὰ τοῦτο ἐοικώς. ὥσπερ γε καὶ τῶν ἰσχυρὰν ἐχόντων ὀσμὴν, μέγιστον τοῦτ' ἐστι τῆς ῥώμης σημεῖον. ὁ μὲν γὰρ ὑδατώδης οἶνος, ὀλιγίστην μὲν ἐν τῷ ξύλῳ τῆς ἀμπέλου μεταβολὴν ἔσχηκεν, ὀλιγίστην δὲ καὶ τοῦ γεώδους στοιχείου τῆς μίξιν, ὥστε ὕδωρ εἶναι, βραχὺ γεώδους τε καὶ θερμῆς οὐσίας προειληφὼς, εἴς τε τὴν τούτων ἕνωσιν ὀλιγίστης κατεργασίας δεηθείς. ὁ δ' ἐναντίος, οἰνώδης τε καὶ πολυφόρος, οὐχ ὑπὸ βραχείας κατεργασίας γίγνεται τοιοῦτος, ὡς ἂν ὑπὸ πλεῖστον ἀφιστάμενος ὕδατος. ἀξιόλογον δὲ διὰ τοῦτ' αὐτὸ τὴν θερμασίαν καὶ τὴν ὀδμὴν ἐπικτᾶται.

Μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτος ἀκρητότης ἐς ἰσχὺν ἀμφοῖν. ὅμως τοίνυν εἰ καὶ διπλάσιον μέτρον οἴνου ἀκρήτου πίνοι τις, ἢ ὁκόσον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου

ἰσχυρότερον εἴη ὑπὸ τοῦ μέλιτος μοῦνον εἰ μὴ ταράσσοι τὴν κοιλίην. πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτέῳ.

Εἰ μελικράτου ἐλέλεκτο, καὶ μὴ μέλιτος, ἦν ἂν σαφέστερον. ὁ γάρ τοι λόγος ἦν αὐτῷ μέχρι δεῦρο περὶ μελικράτου, καὶ διὰ τοῦτο παρέβαλεν οἴνῳ κεκραμένῳ δηλονότι μεθ' ὕδατος, οὐκ αὐτὸ καθ' ἑαυτό, ἀλλ' ὅπως ἡ παραβολὴ δικαία γίγνοιτο, διὰ τοῦτο ἐπανήγαγε τὸν λόγον ἐπ' αὐτόν τε τὸν οἶνον καὶ τὸ μέλι. παραλογίζονται δ' ἔνιοι περὶ τὰς τοιαύτας παραβολάς, οὐκ ἄλλους μόνον ἑκόντες, ἀλλὰ καὶ σφᾶς αὐτοὺς ἄκοντες. ἔνιοι δὲ τραφέντες γοῦν τινῶν ἀκρατεστέρων, οὐ τοῖς ἀκράτοις μόνοις, ἀλλὰ καὶ ὁπωσοῦν κεκραμένοις τὴν ἐπ' ἐκείνων προσάπτουσι δύναμιν. ὥσπερ αὖ πάλιν ἕτεροι τραφέντες ὑδαρεστέρων, ἐξ ἐκείνων ὑπὲρ ἁπάντων ἀπεφήναντο τῶν ὁπωσοῦν κεκραμένων. οὐ μὴν οὕτως ἐχρῆν ποιεῖσθαι τὰς κρίσεις τῶν πραγμάτων, ἀλλὰ λογίσασθαι δεῖν ἀνάλογον τὸ μελίκρατον ἐν τῇ κράσει τῶν πινομένων οἴνων κατὰ τὴν τοῦ ὕδατος μίξιν, ὡς μὴ τὸν οἶνον ἀκρατέστερον εἶναι, τὸ δὲ μελίκρατον ὑδαρέστερον, εἰ μέλλεις δικαίαν ποιεῖσθαι τὴν παραβολὴν αὐτῶν. ἐπεὶ δὲ χαλεπόν ἐστι τὴν ἀναλογίαν ἀκριβῶς ἐν τῇ μίξει φυλάξαι, διὰ τοῦτο ἐπ' αὐτὰ τὰ ὄντως ἄμικτα καὶ κυρίως ἄκρατα καλούμενα, μετήνεγκε τὸν λόγον ὁ Ἱπποκράτης, οἴνῳ μηδ' ὅλως κεκραμένῳ παραβάλλων τὸ μέλι, καί φησι. διπλάσιον οἶνον πινόμενον, ἧττον τρέφειν ἁπλοῦ πλήθους μέλιτος. ἐπεὶ δὲ πλείω γένη τῶν οἴνων εἰσίν, οὐ τοὺς ἰσχυροὺς καὶ κεφαλὴν πλῆξαι δυναμένους, καὶ παραφροσύνας ἐργάσασθαι προεχειρίσατο κατὰ τὸν λόγον, ἀλλὰ τὸν ἀσθενῆ καὶ ὑδατώδη, καὶ τούτῳ παραβάλλων τὸ μέλι τροφιμώτερον ἀπέδειξεν. ὅταν δὲ διπλασίῳ ὄγκῳ οἴνου ἀξιώσῃ μέλιτος ἥμισυ παραβάλλειν, οὐ τοῦτό φησιν, ὅτι μόνον ἑκάτερον ὁ κάμνων αὐτὸ καθ' ἑαυτὸ προσφερέσθω, μὴ μιγνὺς ὕδωρ, ἀλλ' εἰ μετὰ τὸ μετρῆσαι τὸ πλῆθος, ἑκατέρου προσφέροιτο καθ' ὅτι βούλοιτο, διαφέρει οὐδὲν ἧττον. δύναται γὰρ εἰ τύχοι κύαθον ἕνα μέλιτος, ἢ καθ' ἑαυτὸν λαμβάνειν, ἢ ὅσον βούλεται μιγνὺς ὕδατι προσφέρεσθαι, καὶ τοῦτο καθ' ἑκάστην ἡμέραν ποιεῖν, ἢ πάλιν οἴνου κυάθους δύο ἑκάστης ἡμέρας ὡς αὐτὸς βούλεται, κεραννὺς ὕδατι προσφέρεσθαι. γνωσθήσεται γὰρ ἐκ τῆς τοιαύτης πείρας ἐπὶ πλέον τῶν ἀνθρώπων ὁμοίως ἐχόντων κατ' ἄλλα, καὶ μέντοι καὶ μᾶλλον ἐφ' ἑνὸς κατὰ τὸν αὐτὸν χρόνον ἡ ἑκατέρου δύναμις ἀκριβής. εἰ γὰρ μὴ κατά τινα φύσεως ἰδιότητα ταράττοι τὴν γαστέρα τὸ μέλι, πλείοσιν ἡμέραις ἐξαρκέσουσιν οἱ τῷ μέλιτι χρώμενοι. διὰ τί οὖν, εἴπερ τοῦτο οὕτως ἔχει, κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἶπεν. ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου, ἔστιν μὲν ἰσχυρότερον, ἔστιν δὲ ἀσθενέστερον εἶναι τὸ μελίκρητον. οὐ γὰρ ἐνίοτε μὲν ἰσχυρότερον, ἐνίοτε δὲ ἀσθενέστερον, ἀλλ' ἰσχυρότερον ἀεὶ φαίνεται κατὰ τὸν εἰρημένον ἄρτι λόγον. ὅτι πρὸ τοῦ διορισθῆναι καὶ διαλεχθῆναι πρὸς αὐτοῦ περὶ τῆς δικαίας παραβολῆς ἀδιορίστως τοῦ λόγου περαινομένου, καλῶς καὶ ἀσφαλῶς εἶπεν, εὑρεθήσεται τὸ μέλι τοῦ οἴνου κατά τι μὲν ἰσχυρότερον, κατά τι δὲ ἀσθενέστερον. ἐὰν γὰρ μὴ διορίσηταί τις ἑκατέρου τὴν ἀναλογίαν τῆς κράσεως, ἐνίοτε μὲν ἀσθενέστερος ὁ οἶνος, ἐνίοτε δὲ τὸ μελίκρατον εἶναι δόξει. διορισθέντων δὲ ὡς εἴρηται, καὶ τοῦ κατὰ τὴν γαστέρα ταραχῆς ὑπερβλεπομένης, τὸ μελίκρατον ἰσχυρότερον εἰς θρέψιν ἀεὶ φαίνεται τοῦ κεκραμένου κατὰ τὴν αὐτὴν ἀναλογίαν οἴνου. ἐὰν δὲ ὅτι καὶ τὸ κόπριον ἐκκρινόμενον ἐπὶ τῷ μελικράτῳ σύμμετρον, ὡς μὴ καταλύειν τὴν δύναμιν ἐννοήσῃς, ἔτι καὶ μᾶλλον σοι φανεῖται πλείων ἡ ἐκ μελικράτου θρέψις, ἤπερ ἐξ οἴνου γιγνομένη. εἰ γὰρ καὶ κόπρου πολλαπλασίου διεξιόντος, ὅμως ὁ κάμνων ἐξαρκεῖ πλείοσιν ἡμέραις ἐπὶ τῷ μελικράτῳ, δυνατώτερον δηλονότι πρὸς τὴν θρέψιν οἴνου φαίνεται τὸ μέλι.

Εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον, ἄγαν πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες, καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀσύμφορον. προπινόμενον μέντοι πρὸ ῥοφημάτων μελίκρητον, οὐ βλάπτει ὡς ἐπιπινόμενον, ἀλλά τι καὶ ὠφελέει.

Περὶ τῆς τάξεως ὁ λόγος αὐτῷ, ἣν κάλλιστ' ἄν τις χρῷτο τῷ μελικράτῳ τε καὶ πτισάνῃ. κοινὸς δὲ ἔστω σοι λόγος καὶ οὗτος, ὡς ἐπὶ παραδείγματος ἑνὸς διδασκόμενος μελικράτου τε καὶ πτισάνης. ἀεὶ γὰρ χρὴ πρότερον μὲν προσφέρεσθαι τά τε ῥᾳδίως διαφθειρόμενα καὶ μᾶλλον ὑπιόντα, δεύτερα δὲ τὰ ἐναντία. πτισάνη δὲ μελικράτου δυσφθαρτότερον, καὶ ὑπέρχεται βράδιον. πρώτου μὲν οὖν τοῦ μελικράτου ληφθέντος, οἷον ὑφήγησίς τις ἐξ αὐτοῦ γίνοιτ' ἂν τῇ πτισάνῃ τῆς διαχωρήσεως. εἰ δὲ πτισάνη πρώτη ληφθείη, κωλυόμενον ὑπιέναι τὸ μελίκρατον, ἐμφυσήσει τε τὸ ὑποχόνδριον, εἴς τε τὴν χολὴν μεταβληθὲν ἐν τῷ χρόνῳ καὶ τὴν πτισάνην τι λυμανεῖται.

Ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ. λαμπρὸν γὰρ καὶ λεπτὸν καὶ λευκὸν, καὶ διαφανὲς γίγνεται. ἀρετὴν δὲ ἥντινα αὐτέῳ προσθέω διαφέρουσαν τι τοῦ ὠμοῦ, οὐκ ἔχω. οὔτε γὰρ ἥδιόν ἐστιν, ἤν τυγχάνῃ γε τὸ μέλι καλὸν ἐόν, ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ, καὶ ἀκοπρωδέστερόν ἐστιν, ὧν οὐδετέρου ἐστὶ τιμωρίην προσδέεται μελίκρητον. ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, ἢν τὸ μέλι τυγχάνῃ πονηρὸν ἐόν, καὶ ἀκάθαρτον καὶ μέλαν, καὶ μὴ εὐῶδες. ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῆς κακοτήτων αὐτοῦ τὰ πλέονα τοῦ αἴσχεος.

Διαφορὰς ὠμοῦ τε καὶ ἑφθοῦ μελικράτου διδάσκει καθ' ὅλην τήνδε τὴν ῥῆσιν. δεῖται δ' ὁ λόγος οὐδεμιᾶς ἐξηγήσεως.

Τὸ δ' ὀξύμελι καλεόμενον ποτὸν, πολλαχοῦ εὔχρηστον ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν, καὶ γὰρ πτυάλου ἀναγωγόν ἐστι καὶ εὔπνοον.

Τὸ καλούμενον, καὶ τὸ καλεῖσθαι, καὶ τὰ παραπλήσια τούτοις ἐμάθετε αὐτὸν προστιθέντα, ποτὲ μὲν ὡς οὐδέπω συνήθους ἅπασι τοῖς Ἕλλησι, τῆσδε τῆς προσηγορίας οὔσης, ποτὲ δὲ ὡς ἀκύρως λεγομένης, ἐνίοτε δὲ ὡς ἐνδεικνυμένης τι τεχνικὸν, ὡς ἐπὶ τῶν κροταφιτῶν καὶ μασσητήρων μυῶν ἐδιδάξαμεν. ἀλλ' ὅτι μὲν οὐδὲν ἐνδεικνυμένη τεχνικὸν ἡ προσηγορία τοῦ ὀξυμέλιτος, ἅπαντι δῆλον, ἀλλ' ἤτοι μεμφόμενος, ἢ ὡς οὐδέπω συνήθη, διὰ τὸ καλεο-

καλουμένου ἐπισημήνατο προσθήκης, ἐγχωρεῖ δ᾽ ἑκάτερα. ἴσως μὲν γὰρ τότε πρῶτον εἰς χρῆσιν ἡ ὀνομασία ἤρχετο. τάχα δὲ καὶ μέμφεται τῇ φωνῇ, ὡς ἐμφαινούσῃ, ἤτοι ἐκ τοῦ ὄξους καὶ μέλιτος μόνων συγκεῖσθαι τὸ φάρμακον, ἢ ὡς μέλιτος διαφορὰν δηλούσῃ, ὡς εἰ καὶ οὕτως ἔλεγέ τις. τὸ δὲ μέλι τὸ ὀξύ, δύναμιν ἔχει τοιάνδε. περὶ μὲν δὴ τῆς τοῦ καλουμένου προσθήκης, δῆλον. ἐπ᾽ αὐτὸ δὲ τὸ χρήσιμον ἴωμεν. οὐ γὰρ ἐξ ὄξους καὶ μέλιτος μίξεως μόνον ἡ σύνθεσις γίγνεται τοῦ ὀξυμέλιτος, ἀλλ᾽ ἐκ μελικράτου βραχὺ προσλαμβάνοντος ὄξους. ἕψεσθαι δὲ ἄμεινον αὐτό. καθαιρεῖται γὰρ ἡ δύναμις τοῦ ὄξους ὑπὸ τῆς ἑψήσεως, ὡς τὴν μὲν ὠφέλειαν τὴν παρ᾽ αὐτοῦ λαμβάνειν τὸ μελίκρατον ᾧ μίγνυται, τὴν βλάβην δὲ οὐκ ἴσχειν. τὴν μὲν οὖν ὠφέλειαν κατὰ τὴν ἀρχὴν εἶπε τῆς ῥήσεως, καὶ μετὰ ταῦτα ἐρεῖ, τὴν βλάβην δ᾽ ἐπὶ τῇ τελευτῇ τῆς ὅλης ῥήσεως προσθήσει. κατὰ τὴν ἀρχὴν μὲν οὖν εἴρηται, πτυέλου γὰρ ἀναγωγόν ἐστι καὶ εὔπνοον. ἑφεξῆς δ᾽ ὅσα ταῖς λέξεσιν ἐπακολουθήσαντες αὐτοῦ μαθησόμεθα.

Καιροὺς μέντοι τοιούσδε ἔχει.

Τοὺς καιροὺς ἤτοι τοὺς τῆς χρήσεως αὐτοῦ λέγει καθότι σύνηθες, ἢ τοὺς τῆς ὠφελείας, ἐπειδὴ καὶ κατὰ τοῦτο τὸ σημαινόμενον ἐλέχθη, χρώμενος ἐνίοτε τῇ τοῦ καιροῦ προσηγορίᾳ.

Τὸ μὲν κάρτα ὀξὺ οὐδὲν ἂν μεῖζον ποιήσειεν πρὸς τὰ πτύελα, μὴ εὐπετέως ἀνιόντα. εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα, καὶ ὄλισθον ἐμποιήσειε, καὶ ὥσπερ εἰ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν τὸν πνεύμονα, μαλθακτικὸν γὰρ αὐτέου. καὶ εἰ μὲν ταῦτα συγκυρήσειε, μεγάλην ἂν ὠφέλειαν ποιήσειεν. ἔστι δ᾽ ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τῶν πτυέλων, ἀλλὰ προσεγλίσχρηνέ τε καὶ ἔβλαψεν.

Ἐφ᾽ ὧν ἐστι χρεία τοῦ ὄξεος ὀξυμέλιτος, ἐπὶ τούτων διδάσκει τὴν ἐξ αὐτοῦ γιγνομένην ἐνίοτε βλάβην. ἐφ᾽ ὧν γὰρ ὅλως οὐδ᾽ ἂν χρήσαιτό τις ὀξεῖ τῷ τοιούτῳ φαρμάκῳ, περιττὸν τὸ καταλέγειν τὰς τοιαύτας βλάβας. οὐδὲ γὰρ οὐδ᾽ ἁπλῶς εἶπε περὶ ὀξυμέλιτος, ἀλλὰ καὶ κάρτα προσέθηκε, ὅπερ σημαίνει ταυτὸν τῷ λίαν καὶ σφόδρα. τὸ τοιοῦτο οὖν ὀξύμελι μέσον οὐδὲν εἴωθεν ἐργάζεσθαι τοῖς κατὰ τὸν πνεύμονα παχέσι τε καὶ γλίσχροις πτυέλοις, ἐφ᾽ ὧν ἄν τις αὐτῷ χρήσαιτο μόνῳ, ἀλλ᾽ ἤτοι τεμὸν αὐτὰ καὶ ἀπορρύψαν ἀνήγαγεν, ἢ τοῦτο μὲν πρᾶξαι μὴ δυνηθέν, ἐξήρανεν. ὥσπερ γὰρ τμητικὸν τὸ τοιοῦτον φάρμακον, οὕτω καὶ ξηραντικόν. ἔχομεν δ᾽ αὐτὸ ἐπὶ τῶν κατὰ τὸν πνεύμονα παχέων πτυέλων οὐχ ὡς ξηραῖνον, οὕτως γὰρ βλάψειεν, ἀλλὰ ὡς τέμνον τε καὶ ῥύπτον. ὅταν μὲν οὖν ἀδυνατήσῃ ταῦτα ποιῆσαι, χρηστὸν μὲν οὐδὲν ἔπραξε, μεγίστην δὲ βλάβην εἰργάσατο. πότ᾽ οὖν ἀποτυγχάνει ῥύπτειν καὶ τέμνειν αὐτὰ ἐφεξῆς ἐδίδαξε, νυνὶ δὲ βούλομαι περὶ τῆς γραφῆς τῆς ἐν πολλοῖς τῶν βιβλίων εἰπεῖν. οὐ γὰρ διὰ τὸ σ τὴν δευτέραν συλλαβὴν τοῦ μέσου ὀνόματος, ἀλλὰ διὰ τοῦ ζ γεγραμμένην εὑρίσκομεν, ὡς εἶναι τὴν ὅλην λέξιν τοιάνδε. τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μεῖζον ποιήσειεν. ἔστι δὲ τοῦτο ψεῦδος. αὐτὸς γοῦν ἐπιφέρων δείκνυσιν, ἐνίοτε μὲν μεγάλην ὠφέλειαν ἐξ αὐτοῦ γιγνομένην, ἐνίοτε δὲ βλάβην, ὥστ᾽ ἀεὶ μέγα τι ποιεῖ, καὶ οὐδέ ποτε μικρόν. ἐφ᾽ οὗ δὲ ἀληθὲς εἰπεῖν ἐστιν, ἀεί τι γίγνεσθαι κακὸν μέγα ἢ ἀγαθόν, περὶ τούτου κάλλιον ἄν τις εἴποι καὶ μηδὲν μέσον ὑπ᾽ αὐτοῦ γίγνεσθαι.

Μάλιστα δὲ τοῦτο πάσχουσιν οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι, καὶ ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα.

Τὸ καταγλισχραίνεσθαι τὰ παχέα πτύελα, μηδὲν ὀνινάμενα τῇ προσφορᾷ τοῦ ὄξεος ὀξυμέλιτος ἐκείνοις, φησὶ συμβαίνειν, οἵπερ καὶ ἄλλως ὀλεθρίως ἔχουσι, τουτέστιν ἐφ᾽ ὧν ἄπεπτος ἱκανῶς ἐστιν ἡ νόσος, ἔτι γὰρ οὐδὲν ἀναπτύουσιν.

Εἰς μὲν οὖν τόδε προσεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ ἀνθρώπου, κἢν ἐλπίδα ἔχῃ διδόναι.

Ἐπειδὴ προειρήκαμεν ὑπὸ τοῦ ὄξεος ὀξυμέλιτος οὐδὲν ὀνίνασθαι τοὺς καὶ ἄλλως ὀλεθρίως ἔχοντας, ἔνιοι δὲ σπανίως ἐξ αὐτῶν σώζονται βοηθούμενοι, διὰ τοῦτο καὶ τὴν τούτου σπανίαν βοήθειαν οὐ παρέλιπεν. ἔστι δ᾽ αὕτη διὰ τοῦ ὄξεος ἱκανῶς ὀξυμέλιτος, ὅταν ὁ κάμνων ἰσχυρὸς ᾖ τὴν δύναμιν. ἄλλως γοῦν οὐδὲν ὀνίνησι τὸ τοιοῦτον ὀξύμελι, δυοῖν θάτερον ἐργασάμενον, ἢ μηδ᾽ ὅλως τεμόν, ἀλλ᾽ ἐπιγλισχραῖνον τὰ γλίσχρα, ἢ τεμὸν καὶ ἀπορρύψαν, ἀθρόαν δὲ ἀναγωγὴν καὶ κίνησιν κινῆσαν, τῆς δυνάμεως μὴ φερούσης, ἀκολουθήσει πνιγῆναι τὸν ἄνθρωπον.

Διδόναι δέ, ἢν διδῷς, ἀκροχλίαρον, καὶ κατ᾽ ὀλίγον τὸ τοιόνδε καὶ μὴ λάβρως.

Ἢν μηδὲν ἀναπτύῃ τι διὰ πάχος καὶ γλισχρότητα τῶν πτυσμάτων, ὁ μὴν ἀσθενῆ γε τὴν δύναμιν, ὀξύμελι κελεύει δίδοσθαι τὸ λίαν ὀξύ, κατ᾽ ὀλίγον τε καὶ ἀκροχλίαρον, ὅπερ ἐστὶν ἄκρως χλιαρόν. ἄκρως δὲ ἐστι χλιαρόν, ὅπερ ἀναμέσον ἀκριβῶς τοῦ τε ψυχροῦ καὶ τοῦ θερμοῦ. ἰσχυρὰν γοῦν ἔχον αὐτὸ τὴν δύναμιν, εὐλαβεῖται πολὺ προσφέρειν εἰς ἅπαξ. ὡσαύτως δὲ καὶ τὸ ψυχρὸν ἐν θέρει διδόναι, καθάπερ ἔμπροσθεν ἐκέλευσεν εὐλαβεῖται, διὰ τὸ τὰς μὲν ἀπτύσους πτυσμάτων πλευρίτιδας καὶ περιπνευμονίας ἀπέπτους εἶναι. τῇ πέψει δ᾽ ἀεὶ τὸ μὲν θερμὸν συντελεῖν, τὸ δὲ ψυχρὸν ἐναντιοῦσθαι. τί δήποτ᾽ οὖν καὶ τὸ θερμὸν ὀξύμελι φεύγει; ἢ ὅτι διὰ τὸ κακόηθες τοῦ νοσήματος, μή πως εὐθέως ἐν τῇ τοιαύτῃ προσφορᾷ, τοῦ τοιούτου πόματος, αὐτὸ μὲν τὸ πάθος ἄπεπτον ἔτι διαμένει, συμβῇ δὲ τὸν ἄνθρωπον ὑπὸ τοῦ θερμοῦ ὀξυμέλιτος, ἐπισφαλέστερον γίνεσθαι ἑαυτοῦ. δέδεικται δ᾽ ὅτι τὸ σύμπτωμα τοῦτο γλίσχρον ἐργάζεται πτύελον. ἀσφαλέστερον οὖν αὐτῷ δοκεῖ μετρίως χλιαρὸν εἶναι τὸ ὀξύμελι φεύγοντι τοῦ θερμοῦ τὴν ἐνδεχομένην ἀκολουθῆσαι βλάβην, τοῦ δὲ ψυχροῦ τὴν ἐξ ἀνάγκης ἑπομένην.

Τὸ μέντοι ὀλίγον ὀξύμελι, ὑγραίνει μὲν τὸ σῶμα καὶ φάρυγγα, ἀναγωγὸν δὲ πτυέλου ἐστὶ, καὶ ἄδιψον. ὑποχονδρίῳ δὲ καὶ σπλάγχνοισι τοῖσι ταύτῃ εὐμενές, καὶ τὰς ἀπὸ μέλιτος βλάβας ταύτῃ κωλύει. τὸ γὰρ ἐν μέλιτι χολῶδες κολάζεται.

Περὶ τοῦ λίαν ὀξέος ὀξυμέλιτος συμπληρώσας τὸν λόγον, ἐπὶ τὸ μετρίως ὀξὺ μετέβη περὶ οὗ τήνδε τὴν ῥῆσιν, ὑγραίνειν αὐτὸ λέγων τὸ στόμα, καὶ φάρυγγα, καὶ τῶν πτυέλων ἀναγωγὸν εἶναι καὶ ἄδιψον. ἅπαντα γὰρ ἔχον ὑφ᾽ ὧν ὠφελεῖσθαι πεφύκασιν αἱ τοιαῦται νόσοι, τῶν βλαπτόντων οὐδὲν ἔχει διὰ τὴν τῆς κράσεως ἀρετήν. ἐπειδὴ τοσοῦτον τῷ μελικράτῳ μέμικται τοῦ ὄξους, ὅσον ἱκανόν ἐστι τὸ χολῶδες ἐν αὐτῷ κολάσαι, τουτέστι καθελεῖν καὶ ταπεινῶσαι. δέδεικται γάρ σοι περὶ τὸ τέταρτον γράμμα, περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἐναντιωτάτην δύναμιν ἔχειν ὁ γλυκὺς χυμὸς τῷ ὀξεῖ. τῆς οὖν τοῦ μελικράτου δυνάμεως τὰ ἄλλα μὲν πάντα ἐχούσης, ὧν δεῖται τὰ τοιαῦτα νοσήματα, καθ᾽ ἓν δὲ μόνον ἐναντιουμένης αὐτῆς, ὅταν ὑπερθερμανθὲν ἐκχολωθῇ, τὴν τοιαύτην αὐτοῦ μεταβολὴν ἡ τοῦ ὄξους μῖξις κωλύουσα, κάλλιστον ἐργάζεται φάρμακον, ἄδιψόν τε γὰρ ἔσται, καὶ διὰ τοῦτο καὶ τὰ πτύελα, τά γε μὴ παντάπασι παχέα καὶ γλίσχρα, ῥᾳδίως ἀνάξει. τούτοις δ᾽ ἀμφοτέροις αὐτοῖς ἔργοις ἕπεται καὶ ἡ τῶν περὶ τὸ στόμα καὶ τὴν φάρυγγα μορίων ὑγρότης. ὡς δὲ λόγῳ ταῦτα δρᾷ, τούτῳ δὲ καὶ σπληνὶ καὶ ἥπατι προσφορώτατόν ἐστι, διακαθαῖρον ἀλύπως τὰ σπλάγχνα.

Ἔστι δὲ καὶ φύσεων καταῤῥηκτικὸν, καὶ οὔρησιν προτρεπτικόν.

Περὶ τοῦ μετρίως ὀξέος ὀξυμέλιτος ἔτι διαλεγόμενος, εἴρηκε ταῦτα. πολλὴν δὲ τὴν χρῆσιν ἔχοντος, ἐπὶ τῶν περὶ πνεύμονα καὶ θώρακα παθῶν, ἀξιολογωτάτην τε τὴν ὠφέλειαν, διὰ τὴν ἔμμετρον μῖξιν ὕδατός τε καὶ ὄξους καὶ μέλιτος. τὸ γάρ τοι τοιοῦτον ὀξύμελι, τέμνον τε τὸ παχὺ καὶ φυσῶδες ἐν ὑποχονδρίῳ πνεῦμα, καὶ καταῤῥηγνύον τὰς φύσας, διακαθαῖρόν τε τὰς διεξόδους πάσας, ἐπ᾽ οὖρα προσηγεῖ τοῖς ὀῤῥώδεσί τε καὶ χολώδεσι περιττώμασιν.

Ἐν τοῖσι μέντοι ἐς τὰ κάτω μέρεσι πλαδαρώτερον καὶ ξύσματα ἐμποιεῖ.

Τὴν ὑπὲρ τὸ κατὰ φύσιν ἐγγινομένην ὑγρότητα τοῖς μορίοις, ἴσμεν αὐτὸν ἀεὶ πλάδον ὀνομάζοντα. τοῦτ᾽ οὖν ἐργάζεταί φησι τὸ ὀξύμελι, ξύοντι τῶν ἄνωθεν ὅσον ἐμπλάττεται παχέων χυμῶν ἢ γλίσχρων, τέμνον δὲ τοῦτο καὶ ὑπάγον πρὸς τὴν ἔκκρισιν. εὐπετεῖς δὲ κατὰ τοιαύτην τὴν δύναμιν ἐργάζεται, καὶ τὰς ἐξ ἥπατος ἐπαγωγὰς τῶν περιττωμάτων, ὥστε πασῶν τῶν ἄνωθεν ὑγροτήτων ἀθροιζομένων ἐν τοῖς ἐντέροις καὶ μάλιστα τοῖς κάτω, διὰ μὲν τὸ πλῆθος αὐτῶν τὸν πλάδον ἐγγίνεσθαι, διὰ δὲ τὴν ποιότητα ξύεσθαι τὸ ἔντερον. καὶ γὰρ τὸ ὀξύμελι ῥυπτικὴν ἔχον δύναμιν ἐν τῷ χρόνῳ ξύσειεν ἂν τὸ ἔντερον, καὶ τὸ συγκατερχόμενον αὐτῷ χολῶδες περίττωμα, τὴν αὐτὴν ἔχον δύναμιν, ὅθεν καὶ χωρὶς ὀξυμέλιτος, ἢν πλεονάσαν ποτὲ τύχῃ, ξύει τὸ ἔντερον.

Ἔστι δ᾽ ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίνεται, μάλιστα μὲν ὅτι φύσας κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομέειν ποιέει, ἔτι δὲ καὶ ἄλλως γυιοῖ καὶ ἀκρωτήρια ψύχει.

Τὸ ξυσθῆναι τὸ ἔντερον, οὐκ ἀγαθόν ἐστι, ἐνίοτε κατὰ τὰς ὀξείας νόσους. ἕλκωσις γάρ τις ἐπιπολῆς ἐστιν ἡ ξυσματώδης διάθεσις. οὖσα δὲ τοιαύτη, λυπεῖται πρὸς ἁπάντων τῶν διεξερχομένων, καὶ μάλιστα τῶν ἐχόντων τινὰ δῆξιν. λυπηθὲν δὲ τὸ ἔντερον, εἰ μὴ παραχρῆμα τὴν ἔκκρισιν τῶν δακνόντων ποιήσαιτο, πρὸς τὴν ἄνω χώραν ἀναπέμπει τὰ διεξερχόμενα. κατὰ τοῦτον οὖν τὸν λόγον, καὶ ταῖς τούτου φύσαις ἄνω συμβαίνει παλινδρομεῖν, φυσικὴν καὶ ἐνέργειαν ἔχει τὰ ἔντερα τὴν περισταλτικὴν, ὡς ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι δέδεικται. ταχυτῆτος δ᾽ ἔργον ἐστὶν, ἀποθεῖσθαι τὰ περιεχόμενα πρὸς τῶν μερῶν ἐκείνων ἐν οἷς περιέχεται. ὅταν μὲν οὖν ἄνωθεν ἡ κίνησις ἄρξηται, κάτω τὴν ἔκκρισιν ἴσχει τὰ περιεχόμενα, κάτωθεν δὲ ἀρξαμένης αὐτῆς, ἄνω φέρεται. καὶ τοῦτό γε σαφῶς φαίνεται κἂν τῷ κατὰ φύσιν ἔχειν συμβαῖνον, ὅταν ὑποῤῥυείσης ἀθρόως ποτὲ χολῆς εἰς τὰ κάτω τῶν ἐντέρων ἐπισχόμενοι τὴν ἔκκρισιν, ἢ τῷ πράττειν τοιαύτην πρᾶξιν, ἣν μὴ διακόπτειν δυνατόν ἐστιν, ἢ τῷ μὴ παρεῖναι πλησίον ἀπόπατον. ἐν γὰρ τοῖς τοιούτοις καιροῖς ἀνατρεχούσης αἰσθανόμεθα τῆς χολῆς οὕτως, ὡς μηκέτι ἐκκριθῆναι. τινὲς μὲν οὖν ἐπὶ τῇ τοιαύτῃ τῆς χολῆς ἀναδρομῇ, τὸν στόμαχον ἴσχουσι κακῶς. ἔνιοι δὲ συμπληροῦνταί τε καὶ δακνωδῶς ἀλγοῦσι τὴν κεφαλὴν, ἔνιοι δὲ ἀμφότερα πάσχουσιν. οὕτως οὖν ἡ καὶ ξυσματώδης ἐν τοῖς ἐντέροις διάθεσις, ἐνίοτε μὲν τὴν ἔκκρισιν εἰς τὸ κάτωθεν ἐργάζεται ταχέως, οὐχ ὑπομένουσα τὴν τῶν δακνόντων ἀνίαν. ἐνίοτε δὲ κάτωθεν πρὸς τὴν ἄνωθεν χώραν, ὅταν μὴ παραχρῆμα τὸ διεξερχόμενον ἐκπέσῃ διὰ τῆς ἕδρας, ἀλλ᾽ ὁ κατ᾽ αὐτὴν μῦς, ὁ κυκλοτερὴς συσταλεὶς, καὶ σφίγξας τὸ πέρας τοῦ ἀπευθυσμένου, τὴν ἀρχὴν τῆς περισταλτικῆς κινήσεως ἐκ τῶν κάτω μερῶν ἄνω ποιήσηται. διὰ τοῦτο μὲν οὖν οὐ φῦσα μόνον, ἀλλὰ καὶ περίττωμα κατὰ τὰς τοιαύτας διαθέσεις παλινδρομεῖ. συμβαίνει δὲ καὶ τὴν δύναμιν βλάπτεσθαι διὰ τὴν ἑπομένην δῆξιν ἐν τῇ διόδῳ. τὰ γὰρ ξυόμενα κἂν βραχυτάτην ἴσχῃ τὸ διεξερχόμενον δῆξιν, ἀνιᾶται σφοδρῶς. ἴσμεν δὲ ὅτι πᾶν ἄλγημα καταλυτικόν ἐστι δυνάμεως, καὶ διὰ τοῦτο καὶ τῶν ἀκρωτηρίων ψυκτικόν.

Ταύτην καὶ οἶδα μούνην βλάβην τὴν δι᾽ ὀξυμέλιτος γινομένην, ἥτις καὶ ἀξίη γραφῆς.

Ἐδίδαξεν ὁ λόγος ὀλίγον ἔμπροσθεν ἁπάσας τὰς ἐκ μελικράτου καὶ οἴνου καὶ ὕδατος βλάβας, ἐκπεφευγὸς τὸ μετρίως κεκραμένον ὀξύμελι. μόνον οὖν ὅταν βλάπτῃ τοῦτο, βλάπτει τῷ ξύειν τὸ ἔντερον. ἐργάζεται δὲ τοῦτο ποτὲ τοῖς ἀσθενεστέραν ἔχουσι φύσιν, καὶ παθεῖν ἐπιτήδειον τὸ ἔντερον.

Ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν, νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον πίνεσθαι. ἀτὰρ καὶ ὁκόταν πολὺ μετὰ ῥοφήματος, ἢ οὐδὲν κωλύει πίνειν.

Τὴν δύναμιν ἣν ἔχει διελθὼν, ἐπὶ τὸν τοῦ καιροῦ λόγον, ἐν ᾧ μάλιστ᾽ ἂν τις αὐτὸ προσφέροιτο, νῦν ἀφίκετο, πότε μάλιστ᾽ ἂν τις ὀξυμέλιτι χρῷτο τῶν ἐπὶ ῥοφήμασι διαιτωμένων. ἐφεξῆς δ᾽ εἰ καὶ μὴ ῥοφήμασιν, ἀλλ᾽ ἐπὶ τῷ ποτῷ μόνον διαιτώμενός τις εἴη, καὶ τὸν ἐπ᾽ ἐκείνοις καιρὸν διδάσκει. φησὶν οὖν ἐπὶ τῶν ῥοφήματι χρωμένων, ἐκεῖνον μόνον φυλάττεσθαι δεῖ τὸν καιρὸν, ἐν ᾧ ῥόφημα δεῖ προσφέρεσθαι. πτισάνης δὲ δηλονότι χυλός ἐστι ῥόφημα, χάριν

χάριν τοῦ θρέψαι τὸ σῶμα, καὶ τὴν δύναμιν ῥῶσαι λαμβανόμενος. ἔστι δὲ ἐς ταῦτα καλὸς, εἰ μόνος ἐν τῇ γαστρὶ περιέχοιτο κατὰ τὸν τῆς θρέψεως καιρόν. ἔμαθες γὰρ ἔμπροσθεν, ὡς ἡ ποικιλία τῶν προσφερομένων, καὶ μάλιστα ὅταν ἀνόμοια ταῖς δυνάμεσιν ᾖ, ταραχὴν ἐργάζεται κατὰ τὴν γαστέρα, καὶ διὰ τοῦτ' οὖν ἄχρι πεφθῆναι τὸν χυλὸν, οὐ χρὴ πίνειν ὀξύμελι. πεφθέντος δὲ, ἔξεστι καὶ διὰ τῆς νυκτὸς λαμβάνειν, καὶ κατὰ τὴν ἐπιοῦσαν ἡμέραν πρὸ τοῦ ῥοφήματος. ἀρκεῖ δὲ τὸν μεταξὺ χρόνον τοῦ ῥοφήματος καὶ τοῦ ὀξυμέλιτος, ὥστε ἐς καινήν τε ἅμα καὶ καθαρὰν ἐκ τοῦ προδιασμήχεσθαι τὴν γαστέρα τὸν χυλὸν τῆς πτισάνης ἐμπεσεῖν.

Τοῖσι δὲ ποτῷ μούνῳ διαιτωμένοισιν ἄνευ ῥοφημάτων, διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν ἀεὶ διὰ παντὸς χρέεσθαι τούτῳ. μάλιστα μὲν διὰ ξύσιν ἢ ψυχισμὸν τοῦ ἔντερου. ἀκόπρῳ γὰρ ἐόντι, μᾶλλον ἂν ἐμποιέοι ταῦτα κενεαγγείης παρεούσης. ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτ' ἄν.

Τοῖς μὲν πόματος μόνου διαιτωμένοις ἄνευ πτισάνης, οὐκ ἐπιτήδειόν ἐστι τὸ ὀξύμελι δι' ὅλης τῆς νόσου πινόμενον, ὅτι τε σφοδρότερον ξύει τὸ ἔντερον γυμνὸν ὄν. ἐπαλείφεται γάρ πως ὑπὸ τῆς πτισάνης ὅταν ἐκείνης ῥοφῶσι, καὶ ὅταν τῆς ἐκ μελικράτου ὠφελείας οὐδ' ὅλως μεταλάβῃ τὸ σῶμα. προείρηκε δὲ ἐν τῷ περὶ μελικράτου λόγῳ τὴν γινομένην ἐξ αὐτοῦ τοῖς σώμασιν ὠφέλειαν.

Ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. οὕτω γὰρ ἂν καὶ ἃ φιλέει βλάπτειν ἥκιστα ἂν βλάπτοιτο. καὶ ἃ δέεται προσωφελέειν, προσωφελοίη ἄν.

Ὅταν διψώδεις μὲν ἐργάζηται τὸ μελίκρατον, ἤτοι δὲ γλίσχρα πτύελα περιέχηται κατὰ τὰ βρόγχια τοῦ πνεύμονος, ἢ λίαν παχέα, τηνικαῦτα μόνου τοῦ ὀξυμέλιτος ἐστὶν ἡ χρεία, μεμνημένων ἡμῶν, ὅτι ταῦτα λέλεκται περὶ τοῦ ποτῷ μόνῳ χρωμένων ἄνευ ῥοφήματος. ἐὰν οὖν ὡς ἔφην ὀξυμέλιτος ἡ χρεία, παραχέειν αὐτῷ τοῦ ὄξους ὀλίγον τῷ μελικράτῳ προσήκει, χάριν τοῦ καὶ χρείας ἀπολαύειν τοῦ ὄξους, καὶ φεύγειν τὴν ἐξ αὐτοῦ βλάβην. συνεῖπεν δὲ δηλονότι προσήκει μιγνύμενον τῷ μελικράτῳ τὸ ὄξος. ἀσθενέστερον γὰρ οὕτως ἐς τὸ βλάπτειν γίνεται.

Ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον, ἢ μελαγχολικοῖσι συμφέρουσι. τὰ μὲν γὰρ πικρὰ διαλύεται, καὶ φλεγματοῦται, μετεωριζόμενα ὑπ' αὐτέου. τὰ δὲ μέλανα ζυμοῦται, καὶ μετεωρίζεται, καὶ πολλαπλασιοῦται. ἀναγωγὸν γὰρ μελάνων ὄξος.

Πικροχόλους φύσεις ὀνομάζει, τὰς τὸν πικρὸν γεννώσας χυμὸν, ὥσπερ ἐστὶν ὁ τῆς ξανθῆς χολῆς, αἷς ἐπιτήδειον εἶναί φησι τὸ ὄξος, ἐναντιώτατον ὑπάρχον ταῖς μελαγχολικαῖς, διότι καὶ τὴν μέλαιναν χολὴν αὐτὴν ὀξεῖαν εἶναι συμβέβηκεν, ὅταν γ' ἤδη κατάκορος ᾖ, παρὰ φύσιν ἔχοντος τοῦ σώματος, ὡς ὑγιαίνοντός γε πλεῖον μέν ἐστι τῆς εἰρημένης ποιότητος, οὐ μὴν ἀκριβῆ γε αὐτὴν ἔχει. τὰ δ' ἄλλα τῆς ῥήσεως σαφῆ. δεδίδασκε γὰρ ἐν αὐτῇ ὅπως ὠφελεῖ τὸ ὄξος τοὺς πικροχόλους ἐπικρατουμένους ἐν τῇ κράσει ὑπὸ θερμοῦ, ψυχρὸν ὑπάρχον αὐτό.

Γυναιξὶ δὲ τὸ ἐπίπαν πολεμιώτατον, ἢ ἀνδράσιν ὄξος, ὑστεραλγὲς γάρ ἐστιν.

Ὅτι μὲν τὸ ὄξος τὰ νεῦρα βλάπτειν πέφυκεν, ἥ τε πεῖρα μαρτυρεῖ καὶ ὁ λόγος δείκνυσιν. ἄναιμα γὰρ ὄντα καὶ διὰ τοῦτο ψυχρὰ, πάσχει ῥᾳδίως ὑπὸ τοῦ ψύχοντός τε ἅμα καὶ λεπτομεροῦς φαρμάκου. βλάπτεται μὲν γὰρ καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων τῶν ψυχόντων, ἀλλὰ τὸ τῆς τοῦ ὄξους οὐσίας λεπτομερὲς, ἐς τὸ βάθος αὐτῶν δύεται, καὶ διεξέρχεται διὰ παντὸς μορίου, ὡς μηδὲν μηδὲ τοῦτο τοὐλάχιστον ἀβλαβὲς ἐᾶν. οὕτως μὲν ὄξος τὰ νευρώδη μόρια βλάπτει. τὴν μήτραν δ' ἅπαντες σχεδὸν οἱ ἀνατομικοὶ λέγουσιν εἶναι νευρώδη. καὶ χωρὶς δὲ τῆς ἐκείνων ἀποφάσεως, ἣν ἐκ τῆς ἀνατομικῆς αὐτοψίας ἐποιήσαντο, πάρεστί σοι συλλογίσασθαι περὶ αὐτῆς, ὡς ἐπὶ πλεῖστον μὲν διαστελλομένης, ἐς ἐλάχιστον δὲ συνιζανούσης. ἀεὶ γὰρ ὁπηλίκον ἂν ᾖ τὸ ἔμβρυον, ἐν κύκλῳ περιείληφεν αὐτὸ, καὶ πεπλήρωται τὸ πᾶν κύτος ὑπ' ἐκείνου, κἂν μικρὸν ᾖ, καθάπερ καὶ ἡ γαστὴρ ὑπὸ τῶν σιτίων. ἀλλὰ ταύτης μὲν οὐ μεγάλη πρὸς τἀναντία ἡ μεταβολὴ, τῆς μήτρας δὲ μεγίστη. τὸ δ' ἐπὶ πλεῖστον διαστέλλεσθαι, νευρωδῶν ἴδιόν ἐστι σωμάτων, οὐ σαρκωδῶν.

Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξέῃσι νούσοισιν, ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅτι προσθέω. οὔτε γὰρ βηχὸς ἐστὶ παρηγορικὸν ἐν τοῖσι † περιπνευμονικοῖσιν. οὔτε πτυέλου ἀναγωγὸν, ἀλλ' ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο. μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου, ὕδωρ ἐπιρροφεόμενον ὀλίγον, πτυέλου ἀναγωγόν ἐστι, διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν, πλημμυρίδα γάρ τινα ἐμποιέει. ἄλλως δὲ οὐδὲ δίψαν παύει, ἀλλ' ἐπιπικραίνει. χολῶδες γὰρ φύσει χολώδει, καὶ ὑποχονδρίῳ κακὸν, καὶ κάκιστον ἑωυτοῦ, καὶ χολωδέστατον, καὶ φιλαδυναμιώτατον, ὅταν ἐς κενεώτατον ἐπέλθῃ. καὶ σπληνὸς δὲ αὐξητικὸν καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ, καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν. βραδύπορόν τε γὰρ διὰ τὸ ὑπόψυχρον καὶ ἄπεπτον εἶναι, καὶ οὔτε διαχωρητικὸν, οὔτε διουρητικόν. προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύ

† πνευμονικοῖσιν

σφ. ἢν δὲ δὴ καὶ ψυχρῶν πολλῶν ἐόντων ποτὲ ποθῇ, ταῦτα πάντα πολλαπλασίως βλάπτει ἢ ὅτι ἂν αὐτέων ὁρμήσῃ.

Οὔτε τμητικὸν ἔχει τι τὸ ὕδωρ ὥσπερ τὸ ὄξος, ἀλλ' οὔτε θερμὸν ὥσπερ τὸ μέλι. τούτῳ μὲν γε πρὸς τῷ θερμαίνειν, ἔτι καὶ τὸ ῥύπτειν καὶ τέμνειν ὑπάρχει. βραδύπορον οὖν εἰκότως ἐστὶ καὶ δυσαπέπτον, καὶ δυσυποβίβαστον, κἂν ἄλλως ἄριστόν τε καὶ ἀμεμπτον ᾖ. τὸ γὰρ ἰλυῶδες, ἢ δυσῶδες, ἢ ἁλικὸν, ἢ τινὸς ἑτέρας φαρμακώδους ποιότητος ἔμφασιν ἔχον, οὐχ ἁπλῶς ὕδωρ ἐστὶν, ἀλλὰ μετὰ τοιᾶσδέ τινος ἐπιμιξίας φαρμάκου. καθάπερ καὶ εἰ μέλι μοχθηρὸν, ἢ πτισσάνην, ἢ ὄξος, ἢ οἶνον, ἢ τι τοιοῦτον προχειρήσαιο. μέμψῃ γὰρ οὐχ ὅλον ἐπ' ἐκείνου τὸ γένος, ἀλλ' αὐτὸ μόνον ὃ μεταχειρίζῃ. τοῦ λόγου τοίνυν ὄντος ἐφ' ἑκάστου τῶν κρινομένων ὑπ' αὐτοῦ περὶ τῶν ἀρίστων, οὕτω καὶ νῦν ἄκουε, πρὸς τὸ κάλλιστον ὕδωρ ἕκαστον τῶν λεγομένων ἀναφέρων, ὃ καθαρώτατόν ἐστι καὶ πάσης ἀλλοτρίας ἄμικτον ποιότητος. τοῦτ' οὖν αὐτὸ κἂν ἄριστον ᾖ, κατὰ τὴν γαστέρα μένει πολλῷ χρόνῳ, κλύδωνας αὐτῇ τοὔμπαν ἐργαζόμενον, ὡς ὅταν γε ᾖ χολώδης ἐκείνη, συνδιαφθείρεται καὶ αὐτὸ, κἀπειδὰν ὑπέλθοι μόλις ἐκ τῆς κοιλίας εἰς τὴν νῆστιν, ἀλλὰ ἀναδίδοται ῥᾳδίως, οὔτ' εἰς ἧπαρ οὔτε πολὺ μᾶλλον εἰς νεφροὺς, καὶ θώρακα καὶ πνεύμονα. διόπερ οὔτ' οὖρα κινεῖν πέφυκεν, οὔτε πτύελον ἀνάγειν, ἀλλ' οὐδὲ τὰς δι' ὅλου τοῦ σώματος ἐργάζεται διαπνοάς. λεπτομεροῦς γὰρ οὐσίας ἔργον ἐστὶ τοῦτο, καὶ θερμῆς, οὐ ψυχρᾶς, καὶ παχυμεροῦς. οὐ μὴν οὐδὲ δίψος παύει μᾶλλον ἐπὶ πλεῖστον ἐν ταῖς εὐρυχωρίαις τῶν κατὰ γαστέρα καὶ ἔντερα ὀργάνων τοῦ ζώου, καὶ μὴ διαδυόμενον εἰς ὅλον τὸ βάθος αὐτῶν, μηδ' ἐπιτέγγον τὸν αὐχμόν. ὅτι δ' οὐ τρέφει πρόσθεν εἴρηται, διόπερ τοι οὐδὲ τὴν ζωτικὴν δύναμιν οἷόν τε ἐστὶ ῥωννύναι. καὶ ταῦτ' ἐστὶ τὰ αἴτια, δι' ἃ πρός τε μελίκρατον Ἱπποκράτης ἀφικνεῖται, καὶ ὀξύμελι, καὶ οἶνον, ἐπὶ τῶν νοσούντων ἀποχωρῶν τοῦ ὕδατος. ὅσον μὲν οὖν ἐπὶ τούτοις οὐδέ ποτ' ἄν τις αὐτῷ χρήσαιτο. χρῶνται δὲ καὶ ἄλλοι μὲν ἰατροὶ, καὶ μέντοι καὶ αὐτὸς ὁ Ἱπποκράτης, ἀλλ' ἧττον μὲν οὗτος, οἱ δ' ἄλλοι μᾶλλον. ἐκ γὰρ τοῦ χρῆσθαι τοῖς ἄλλοις κακῶς, σφαλλόμενοι καταφεύγουσιν ἐπὶ τὸ ὕδωρ, οὐκ ἔχον μεγάλην ἀποτυχίαν, ὅτι μηδὲ τὴν δύναμιν. οὕτω γὰρ ὁ Ἐρασίστρατος ἔλεγεν, ἰσχυραὶ δυνάμεις σίτων τε καὶ πομάτων, ἐγκαίρως μὲν παραλαμβανόμεναι, μεγίστην ὠφέλειαν, ἀκαίρως δὲ, μεγίστην βλάβην. ἣν δὲ φημὶ μοχθηρὰν εἶναι χρῆσιν, ὀξυμέλιτός τε καὶ μελικράτου καὶ οἴνου, γίνεται μὲν καὶ διὰ τὰς ἀθρόας μεταβολὰς, ὡς αὐτὸς ἐδίδαξεν. γίνεται δὲ καὶ διὰ τὴν μίξιν ἄκρατον ὑπὸ τῶν ἰατρῶν γιγνομένην, ὡς τὸ πολύ. διδόντος οὖν ἐμοῦ πρεσβύτῃ νοσοῦντι καθ' ἑκάστην ἡμέραν οἴνου ὑδατώδους, παραγινόμενός τις τῶν τοιούτων ἰατρῶν, εἶτ' ἰδὼν ἐλάχιστον ἐπισταζόμενον αὐτοῦ τῷ ὕδατι, γελάσας ἔφη, μὴ πίνειν οἴνου τὸν ἄρρωστον, ἀλλ' ὁρᾶν μόνον, οὐκ εἰδὼς ὅτι τὸ μὲν ἡδονῆς ἕνεκα τὸν οἶνον διδόναι ἑτέραν ἔχει συμμετρίαν τῆς πρὸς ὕδωρ αὐτοῦ μίξεως, τὸ δ' ὠφελείας, ἄλλην. ὥσπερ γὰρ ὁρμήν τινα πρὸς τὴν ἀνάδοσιν ἐφελκομένην τὸ ὕδωρ, ἐπιμίγνυσθαι χρὴ τὸν οἶνον ἐλάχιστον παντελῶς, ὡς παῦσαι τὸ ὕδωρ αὐτὸ τοῦτο μόνον εἰλικρινὲς εἶναι, οὐχ ὥστε καὶ οἶνον αὐτὸ ποιῆσαι. οἱ πολλοὶ δὲ τῶν ὑγιαινόντων πίνουσιν οἶνον ὑδατωμένον, οὐ μὴν προσήκει τὸ ὕδωρ ἐπικρατεῖν κατὰ τὴν γεῦσιν, ἀλλὰ τὸν οἶνον. ἐπὶ δὲ τῶν νοσούντων ἔτι καὶ μᾶλλον, ὡς ἔμφασιν εἶναι τοῦ οἴνου βραχεῖαν. οὕτως δὲ καὶ περὶ τοῦ ὀξυμέλιτος, ὀλίγον αὐτὸς ἔμπροσθεν ἔλεγεν, ἐπαινῶν τὸ ὑδαρές. καὶ μελικράτῳ δ' ἄν τις ἀκινδυνότερον χρῷτο τῷ ὑδαρεῖ. τὸ γὰρ ἄκρατον εἰ μὴ φθάσειεν ὑπαγαγεῖν τὴν γαστέρα, βλαβερώτερον γίνεται, καὶ μάλιστ' ἐν τοῖς πικροχόλοις τε καὶ μεγαλοσπλάγχνοις, ἐφ' ὧν καὶ τὸ ὕδωρ ἐστὶ βλαβερὸν, ὅταν ἐγχολωθῇ, μεῖνον ἐπὶ πλέον ἐν τοῖς ὑποχονδρίοις. πρὸς γὰρ δὴ τούτοις ἅπασιν οἷς ἔχει κακοῖς, ἔτι καὶ ἄκοπρον ὂν, οὐδ' ὑπαγωγήν τινα τῆς γαστρὸς ἐργάζεται. τὸ δ' ἐν ἀρχαῖς τῶν παροξυσμῶν αὐτὸ πινόμενον βλάπτειν, ὅπερ ἐδήλωσε διὰ τοῦ φάναι. ἢν δὲ δή ποτε καὶ πολλῶν ἐόντων ψυχρῶν ποτε ποθῇ, ταῦτα πάντα πολλαπλασίως βλάπτει, τῶν γινωσκομένων τε πᾶσι καὶ ὁμολογουμένων ἐστί. πότ' οὖν χρήσιμόν ἐστιν ὕδωρ πινόμενον; ὅταν ἐπὶ μόνῳ ποτῷ, ὁ κάμνων διαιτώμενος ᾖ, μηδέπω χυλὸν πτισσάνης λαμβάνων, τό τε γὰρ μεταξὺ τῶν ἄλλων ποτῶν, ὕδωρ ἄν τις ἐν καιρῷ προσφέροι, καὶ μάλισθ' ὅταν ὁ κάμνων ᾖ διψώδης. πλημμυρίδα γάρ τινα ποιεῖν αὐτὸ φησὶ, τουτέστι πλῆθος ὑγροῦ τινός. διὸ καὶ μεταξὺ μελικράτου τε καὶ ὀξυμέλιτος δίδωσιν ὀλίγον, εἰς ὑγρότητα τοῖς ἀναπτυσθησομένοις συντελές. ἀλλὰ κἀπειδὰν ὁ οἶνος ᾖ μεγάλως βλαβερὸς, καὶ τότε δίδωσιν ὕδατος. ἀκούσωμεν δ' αὐτοῦ τοῦ Ἱπποκράτους ὅπως ἀπεφήνατο περὶ τούτου.

Ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισιν, ἢ καρηβαρίην ἰσχυρὴν, ἢ φρενῶν ἅψιν, παντάπασιν οἴνου ἀποσχετέον. ὕδατι δ' ἐν τῷ τοιῷδε χρηστέον, ἢ ὑδαρέα καὶ λευκὸν παντελῶς δοτέον οἶνον καὶ ἄοσμον παντάπασιν, καὶ μετὰ τὴν πόσιν αὐτοῦ ὕδωρ μεταποτέον ὀλίγον. οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο τῆς κεφαλῆς καὶ γνώμης.

Ἅπτεσθαι φρενῶν λέγεται τηνικαῦτα, ὅταν ὁ κάμνων πυρέσσων παραφρονῇ. καὶ νῦν οὖν φρενῶν ἅψιν ἔφη τὴν παραφροσύνην, ἐν ᾗ φεύγειν κελεύει τὸν οἶνον. ὡσαύτως δὲ κἂν ταῖς ἰσχυραῖς κεφαλαλγίαις. εἴρηται δὲ περὶ ἀμφοῖν πρόσθεν. ἀλλὰ νῦν γε προειπὼν παντάπασιν ἀποσχετέον εἶναι τοῦ οἴνου κατὰ τὰ προειρημένα συμπτώματα, φησὶν ἐφεξῆς ὑδαρέα καὶ κιῤῥὸν παντελῶς, δοτέον καὶ ἄοσμον. τὸ μὲν οὖν ὑδαρῆ καὶ ἄοσμον διδόναι, καλῶς εἴρηται. τὸ δὲ κιῤῥὸν, οὐ πάνυ προσίεμαι. βελτίων γὰρ ὁ ὑδατώδης εἰς ταῦτα λευκὸς ὢν δηλονότι. τὸ γε μὴν ἡνίκα δοίημεν ποτὲ ἐπὶ τῶν οὕτως ἐχόντων οἶνον, εὐθέως ἐπιπίνειν ὕδωρ, ἀσφαλῶς συνεβούλευσεν, ἧσσον γὰρ ἄν φησι τὸ ἀπὸ τοῦ οἴνου μένος ὅπερ ἐστὶν ἰσχὺς, ἅπτοιτο τῆς κεφαλῆς καὶ τῆς γνώμης. ἅπτοιτο μὲν εἰπὼν κατὰ τὸ συνήθες αὐτῷ, καὶ δηλώσας ὅτι καὶ τὴν ἅψιν τῶν φρενῶν ἀπὸ τούτου τοῦ ῥήματος ἐποίησε, συνηθεστέρου τοῖς ἀνθρώποις ὄντος, ἢ τὸ τῆς ἅψεως ὄνομα. κεφαλῆς δὲ καὶ γνώμης εἶπεν ἅπτεσθαι τὸν οἶνον, διότι θερμὸς ὢν, αὐτός τε διὰ ταχέων ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται, καὶ συναναφέρει τοὺς ζέοντας ἐν τῷ σώματι χυμούς. ὅτι δὲ τὴν κεφαλὴν κακοῖ, διὰ τοῦτο καὶ τὴν γνώμην. ἐν ταύτῃ γάρ ἐστι τὸ φρονοῦν καὶ λογιζόμενον μέρος τῆς ψυχῆς.

Ἐν οἷσι δὲ μάλιστα αὐτῶν, ὕδατι ποτῷ χρηστέον, καὶ ὁκότε πολλῷ κάρτα, καὶ ὁκοῦ μετρίῳ καὶ ὁκοῦ ψυχρῷ, καὶ ὁκοῦ θερμῷ, τὰ μέν που καὶ πρόσθεν εἴρηται, τὰ δὲ ἐν αὐτέοισι τοῖσι καιροῖσι ῥηθήσεται.

Ἐρασίστρατος μὲν ἐν τοῖς περὶ πυρετῶν κακοήθως πάνυ διαβάλλει τὸν Ἱπποκράτην, τοὺς μαθητὰς αὐτοῦ δῆθεν μεμφόμενος Ἀπολλώνιόν τε καὶ Δέξιππον, οὕς φησι κηρίνους κυάθους δώδεκα ποιήσαντας εἰς τὸν ἑκτημορίτην τῆς κοτύλης κύαθον, ἕνα τούτων ἢ δύο ἀπομετρεῖν τοῖς πυρέττουσιν. ὁ δ᾽ Ἱπποκράτης οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τῷ ἔμπροσθεν εὔδηλός ἐστι δαψιλέσι χρώμενος ἅπασι τοῖς ποτοῖς. νυνὶ δὲ καὶ διὰ τῆς λέξεως σαφῶς ἐδήλωσεν εἰπών, οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι χρηστέον, καὶ ὁπότε κάρτα πολλῷ. δηλοῖ καὶ γὰρ τὸ κάρτα πολλῷ, τὸ λίαν πολλῷ. ἤρκει δ᾽ εἰπεῖν, καὶ πολὺ δίδοσθαί ποτε τὸ ὕδωρ, χωρὶς τοῦ προσθεῖναι τὸ κάρτα, πρὸς τὸν ἔλεγχον τῆς Ἐρασιστράτου κακοηθείας, ὃς Ἀπολλωνίου τε καὶ Δεξίππου μνημονεύει, μηδὲν ἔχων αὐτῶν δεῖξαι βιβλίον. Ἱπποκράτους δὲ καὶ αὐτοῦ λέγοντος σαφῶς, οὐκ ἀκούει, χρῆσθαι δ᾽ ἐνίοτε πολλῷ κάρτα τῷ ὕδατι. καὶ μέντοι καὶ ἀνωτέρω μετ᾽ ὀξυμέλιτος αὐτὸ διδοὺς ἔφη χρήσιμον εἶναι, ὅτι πλημμυρίδα τινὰ ἐμποιεῖ, τουτέστι πλῆθος ὑγρότητος, καὶ μελικράτου τε καὶ ὀξυμέλιτος τῶν ὑδαρῶν ἔμπροσθεν ὡς ὑγραινόντων τὸ σῶμα καὶ οὖρα κινούντων, ἔγραψεν, οὔ δή που κύαθον αὐτῶν διδούς, ἀλλὰ πλῆθος ἀξιόλογον, ἀφ᾽ οὗ καὶ τὸ σῶμα δυνατὸν ὑγρανθῆναι, καὶ τὰ οὖρα κινηθῆναι, καὶ ἐκ πνεύμονος ἀναχθῆναι. ἐπὶ δ᾽ ὀξυμέλιτος καὶ οὕτως ἔγραψεν. ἢν μέντοι ἀρήγειν φαίνηται, πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ τούτῳ χρέεσθαι. προσθεὶς κἀνταῦθα, τὸ πολλῷ. περὶ μὲν οὖν τῆς Ἐρασιστράτου πρὸς Ἱπποκράτην κακοηθείας, ἀρκεῖ καὶ ταῦτα. μεμνήμεθα δὲ ἡμεῖς ὅτι καθάπερ ἔμπροσθεν, οὕτω καὶ νῦν ὁ Ἱπποκράτης ἐπαγγέλλεται καθ᾽ ἕκαστον νόσημα διδασκαλίαν ἰδίαν ποιήσασθαι, ὡς οὐχ ἱκανῶς ἐν τούτῳ τῷ βιβλίῳ τὴν διαιτητικὴν τέχνην ἐξειργασμένος, ἀλλὰ τὰ καθόλου μόνα διεληλυθώς, ἐπὶ παραδείγματος ἑνὸς νοσήματος τῆς πλευρίτιδος.

Περὶ δὲ τῶν ἄλλων ποτῶν οἷον τὸ κρίθινον, καὶ τὰ ἀπὸ χλόης ποιεύμενα, καὶ τὰ ἀπὸ σταφίδος καὶ στεμφύλων καὶ πυρῶν καὶ κνήκου, καὶ μύρτων καὶ ῥοιῆς, καὶ τῶν ἄλλων. ὅταν οὖν ἄν τινος αὐτέων καιρὸς ᾖ χρέεσθαι, γεγράψεται παρ᾽ αὐτῷ τῷ νοσήματι, ὅκωσπερ καὶ τὰ ἄλλα τῶν συνθέτων φαρμάκων.

Καὶ ἥδε ἡ ῥῆσις ἐπαγγελίαν ἔχει διδασκαλίας ἑτέρας ἑκάστου τῶν νοσημάτων ἰδίας τε. πρόδηλον οὖν ὡς ἢ οὐ σώζεται τὰ γραφέντα ὑπ᾽ αὐτοῦ βιβλία θεραπευτικὰ τῶν ὀξέων νοσημάτων ἑκάστου κατὰ μέρος, ἢ ὅλως οὐκ ἐγράφη. ταυτὶ γὰρ τὰ νῦν φερόμενα, τῆς Ἱπποκράτους ἀξίας οὐκ ἔστιν, ἔχει μέντοι πολλὰ τῆς γνώμης αὐτοῦ, καθάπερ καὶ ταῦτα αὐτὰ τὰ προκείμενα τῷδε τῷ βιβλίῳ, τὰ μετὰ τὸ λουτρόν. καλεῖται δ᾽ ὡς ἔφην ὑπὲρ ἑκάστου σκεψώμεθα, κατὰ τὰς ἐξηγήσεις αὐτῶν.

Λουτρὸν δὲ συχνοῖσι τῶν νοσημάτων ἀρήγοι ἂν χρεομένοισιν, ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δ᾽ οὔ. ἔστι δ᾽ ὅτε ἧσσον χρηστέον διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων. ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκευάσται τὰ ἄρμενα, καὶ οἱ θεραπεύσοντες ὡς δεῖ. εἰ δὲ μὴ πάγκαλως λούοιτο, βλάπτοιτ᾽ ἂν οὐ σμικρά. καὶ γὰρ σκέπης ἀκάπνου δεῖ, καὶ ὕδατος δαψιλέος καὶ λουτροῦ συχνοῦ, καὶ μὴ λίην λάβρου, ἢν γε μὴ οὕτω δέῃ.

Ἔοικε κατὰ τοὺς Ἱπποκράτους χρόνους οὐδέπω ταυτὶ τὰ βαλανεῖα κατασκευάσθαι. τό, τε γὰρ ἐν ὀλίγαις οἰκίαις λέγειν αὐτὸν παρασκευάσθαι, τά τε ἄρμενα καὶ τοὺς θεραπεύοντας ὡς δεῖ. καὶ πρὸς τούτοις ἔτι καὶ σκέπης ἀκάπνου χρείαν εἶναι, καὶ ὕδατος δαψιλοῦς, καὶ τἆλλα ὅσα τούτοις ἐφεξῆς εἶπεν, ὡς ἐν ταῖς οἰκίαις ἔτι θερμαινομένου τοῦ ὕδατος ἐν λέβησιν, εἶτ᾽ ἐγχεομένου τῶν ἐμβατῶν ταῖς πυέλοις, ἔνδειξιν ἔχει. τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, ὡς καὶ λουτροῦ συχνοῦ χρεία ἐστὶ μὴ λίαν λάβρου, ἤν γε μὴ οὕτω δέῃ, εἴγε μεμνήμεθα παραφυλάττειν δεῖ κατὰ τὴν ἑξῆς διδασκαλίαν. αὐτὸς γὰρ ἐρεῖ τίνες εἰσὶν οἱ λάβρου ποτὲ δεόμενοι τοῦ λουτροῦ, τουτέστι καταντλουμένου τοῦ κάμνοντος ὕδατι πολλῷ. εἰ γὰρ μὴ φαίνοιτο λέγων αὐτός, ἡμεῖς ζητοῦμεν οὐχ ἁπλῶς, οὐδ᾽ ὡς ἔτυχεν. ἀλλὰ μετὰ τὴν ἀκολουθίαν φυλάττειν τοῖς ὑπ᾽ αὐτοῦ γεγραμμένοις.

Καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι, ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτέῳ, καὶ πολλαπλασίῳ, ἢ ὡς νομίζεται, σμήγματι, καὶ προσκαταχεῖσθαι μὴ ὀλίγῳ, καὶ ταχέως μετακαταχεῖσθαι.

Οὐ δεῖται τοῦ σμήχεσθαι κάμνων οὐδεὶς ὅταν λούηται, πλὴν εἰ ῥυπῶν ἢ καὶ κνησμώδης. χρῄζουσι γὰρ οἱ κάμνοντες ἀκοπώτατα, καὶ ἀοχλητότατα διαβραχῆναι τῷ ὕδατι. τὸ δὲ σμήξασθαι διὰ ῥυμμάτων γίγνεται, δακνωδῶν ὄντων αὐτῶν καὶ ξηραντικῶν, ὥστε ἐναντιώτατόν ἐστι τοῦτο τῇ δυνάμει τε καὶ χρείᾳ τοῦ λουτροῦ. δεομένου μέντοι σμήχεσθαι τοῦ κάμνοντος, ἢ διὰ ῥύπον, ἢ διὰ κνησμόν, ἐκλύειν δύναμιν τοῦ σμηκτικοῦ φαρμάκου μίξει πλείονος ὕδατος, ἐπεμβάλλοντας καὶ τοῦ ἐλαίου, καὶ διὰ τοῦτ᾽ εἶπεν ὁ Ἱπποκράτης, πολλαπλασίῳ δεῖ χρῆσθαι, ἢ ὡς νομίζεται, τῷ σμήγματι, τουτέστιν, ἢ ὡς εἴθισται πρὸς τῶν ὑγιαινόντων. οὐ γὰρ δὴ τὴν οὐσίαν τοῦ σμήχοντος φαρμάκου κελεύει πολλαπλασίαν ἐπὶ τῶν νοσούντων παραλαμβάνειν, ὥς γε καὶ τὸ μὴ σμήχεσθαι μᾶλλον αἱρεῖται τοῦ σμᾶσθαι, ἀλλὰ τὸ πλῆθος τοῦ σμήγματος ἀξιοῖ πολλαπλάσιον ἐπὶ τῶν νοσούντων γίγνεσθαι κατὰ τὴν τοῦ ὕδατος αὔξησιν. ὁ γὰρ αὐτὸς λογισμὸς ὑπαγορεύει καὶ τὸ φεύγειν τὰ σμῶντα, μὴ κνήσεως ἢ ῥύπου κατεπείγοντος, καὶ τὸ δριμέσιν αὐτοῖς καὶ ἀκράτοις μὴ χρῆσθαι. ὥσπερ δὲ τῷ πλήθει τε τοῦ ὕδατος μίξεως ἐξέλυσε τὴν ἐκ τοῦ σμῶντος φαρμάκου δριμύτητα, κατὰ τὸν αὐτὸν λόγον ὅλου σμήγματος ἐκλύει τὴν δύναμιν, ἐπικαταχέων ὕδωρ εὐθέως θερμὸν καὶ καθαρὸν δαψιλές. εἶτ᾽ αὖθις ὑποτάττει πάλιν ἕτερα.

Δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πύελον, καὶ ἐς εὐέμβατον, καὶ εὐέκβατον.

Τοῦτο τὸ κοινόν ἐστιν, ἐάν τε ἐν βαλανείῳ λούῃς τὸν ἄνθρωπον, ἐάν τε ἐν οἴκῳ τινὶ πυρίαν ποιήσας, καὶ πύελον ὕδατος πληρώσας, ὅπερ καὶ νῦν ἐν τοῖς στρατοπέδοις γίνεται πολλάκις, ὁπόταν δέῃ μέν τινα λούεσθαι, βαλανεῖον δὲ ὁ τόπος οὐκ ἔχῃ, καὶ εἰς εὐέμβατον, καὶ εὐέκβατον. παντελῶς γὰρ ἄκοπον φυλαχθῆναι βούλεται τὸν κάμνοντα. διὰ τοῦτο καὶ τὴν πύελον εὐέμβατον καὶ εὐέκβατον ὑπάρχειν ἀξιοῖ. γένοιτ᾽ ἂν τοῦτο μήτε ὑψηλοῦ περιέχοντος τοίχου τὸ ὕδωρ, μήτε στενοῦ. κάλλιστον δὲ καὶ ἀκοπώτατόν ἐστι τὸ περὶ τὰς κολυμβήθρας ἐν ταῖς αὐτοφυέσιν ὕδασιν, ἃς ταπεινὰς ποιοῦνται σχεδὸν ἅπαντες οὕτως, ὡς μηδὲν ὑπερέχειν τοῦ πλησίον ἐδάφους.

Εἶναι δὲ τὸν λουόμενον κόσμιον καὶ σιγηλόν, καὶ μηδὲν αὐτὸν ἐργάζεσθαι, ἀλλ᾽ ἄλλους καὶ καταχέειν καὶ σμήχειν.

Καὶ ταῦτα μὲν τῶν συντελούντων ἐστὶν εἰς τὸ τοῦ κάμνοντος ἄκοπον, ὁμοίως τοῖς προειρημένοις. ἤδη δὲ καὶ πρὸς τὸ χαλασθῆναί τε καὶ μαλαχθῆναι μᾶλλον ἐν τῷ λουτρῷ τὸ σῶμα χρήσιμόν ἐστιν ἡ τοῦ κάμνοντος ἡσυχία. τείνονται γὰρ ἐν ταῖς κινήσεσιν οἱ μύες, οἵτινες ἥττον μαλάττονται καὶ χαλῶνται.

Καὶ μετακέρασμα πολὺ ἑτοιμάσθαι.

Ἔνεστι μὲν καὶ ὑφ᾽ ἓν ἀναγνῶναι μετακέρασμα, δυνατὸν δὲ καὶ καθ᾽ αὑτὴν ἀκοῦσαι τὴν, μετά, πρόθεσιν, ἰδίᾳ δὲ πάλιν τὸ κέρασμα. καὶ γὰρ ἐν τούτῳ τῷ βιβλίῳ καὶ ἐν ἄλλοις Ἱπποκράτης φαίνεται χρώμενος τῇ, μετά, προθέσει, κατὰ τὸ τῶν ἰώνων ἔθος ἐλλειπτικῶς. ἔστι δὲ τὸ πλῆρες τοιοῦτο, καὶ μετὰ ταῦτα κέρασμα πολὺ ἑτοιμάσθαι. εἴτε δ᾽ ὑφ᾽ ἓν ἀκούει τις μετακέρασμα, εἴτε καὶ διελών, αὐτὶ τοῦ μετὰ ταῦτα κέρασμα, μία διάνοια κοινὴ τῶν λέξεων ἀμφοτέρων ἐστίν. ἑτοιμάσθαι γὰρ βούλεται κέρασμα μέλλων καταχεῖσθαι τοῦ λουομένου μετὰ τὸ χρήσασθαι τῷ κατὰ τὴν πύελον λουτρῷ, ὅπερ καὶ νῦν εἰώθασι πάντες οἱ ἰατροὶ ποιεῖν, ὅταν ἀσθενοῦντα λούσωσιν. οὐ γὰρ εἰς τὴν ψυχρὰν δεξαμενὴν ἐμβῆναι ἐπιτρέπουσιν, ἀλλ᾽ ἀντ᾽ ἐκείνης ἐπιχέουσιν ὕδωρ χλιαρόν. ἔνιοι δὲ καὶ πυέλους ὅλας ὕδατος τοιούτου πληροῦσιν. ὥσπερ γὰρ ἐχαλάσθη καὶ ἠραιώθη τὸ σῶμα κατὰ τὸ θερμὸν λουτρόν. οὕτως αὖ πάλιν ἠρέμα συναγαγεῖν αὐτὸ βούλεται καὶ σφίγξαι. τοῦτο γὰρ εἰς ῥώμην δυνάμεως συντελεῖ, καὶ πρὸς τὸ μὴ ῥᾳδίως βλάπτεσθαι τὸν ἄνθρωπον, εἴ τις ἐξαιφνίδιος ἐν τῷ περιέχοντι γίγνοιτο πρὸς τὸ ψυχρὸν μεταβολή. κατὰ τοῦτο γοῦν καὶ ὑγιαίνοντες εἰς τὸ ψυχρὸν ὕδωρ ἑαυτοὺς ἐμβάλλουσι μετὰ τὸ θερμὸν λουτρόν. ἀλλ᾽ οἵ γε ἀσθενοῦντες, οὐ φέρουσι τὴν ὁμιλίαν τοῦ ψυχροῦ ἀβλαβῶς, διὸ θραύομεν αὐτοῦ θερμὸν ἐπιμιγνύντες. ἡ δὲ τῆς μίξεως ποσότης εὑρίσκεται, πρῶτον μὲν εἰς τὴν τοῦ σώματος ἡμῶν ἀποβλεπόντων διάθεσιν, εἶθ᾽ ἑξῆς εἰς τὴν οἰκείαν τοῦ κάμνοντος φύσιν, ἡλικίαν τε καὶ ὥραν καὶ χώραν, καὶ τὴν παροῦσαν κατάστασιν τοῦ περιέχοντος. κάλλιον δὲ ποιήσουσιν ὅσοι τὸ βίον οὐκ ἐλάττω παρασκευάζουσι τὰ μετὰ τὸ θερμὸν λουτρὸν ὕδατα χλιαρὰ διαφέροντα ἀλλήλων, ὡς τὸ μὲν πρῶτον ἱκανῶς εἶναι χλιαρόν, τὸ δὲ δεύτερον ἧττον ἐκείνου χλιαρόν, τὸ δὲ τρίτον ἔτι καὶ μᾶλλον ἀποκεχωρηκὸς ἐπὶ τὸ ψυχρόν. ἔοικε δὲ ὁ Ἱπποκράτης τοιοῦτόν τι βούλεσθαι, κελεύων τὸ μετακέρασμα πολὺ παρασκευάζειν. οὐ γὰρ μόνον ἁπλῶς πολύ, ἀλλὰ καὶ πολυειδὲς ἄμεινον εἶναι τὸ παρασκευασμένον, ὡς ἀπὸ τοῦ θερμοῦ κατὰ βραχὺ πρὸς τὸ ψυχρὸν ἔρχεσθαι, τὴν ἀθρόαν ἐπὶ τοὐναντίον μεταβολὴν οὐ φέροντα τοῦ κάμνοντος.

Καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι.

Τὸ ταχείας ἀκούειν προσήκει καὶ κατ᾽ αὐτῆς μὲν τῆς γιγνομένης ἐνεργείας ἐν τῷ καταχεῖν, οὐδὲν δὲ ἧττον καὶ κατὰ τοῦ μεταξὺ τῶν ἐνεργειῶν χρόνου, ὡς μὴ διαλείπειν πολὺ τὴν δευτέραν ἐπάντλησιν ἀπὸ τῆς προτέρας, ὅπερ ὀνομάζων τις κυρίως οὐ ταχείας, ἀλλὰ πυκνὰς ποιεῖσθαι τὰς ἐπαντλήσεις εἴποι. συγκέχυται γε μὴν παρὰ τοῖς παλαιοῖς ἡ χρῆσις τῶν ὀνομάτων, τοῦ τε πυκνοῦ, καὶ τοῦ τάχεος, ἔστιν ὅτε τὰς πυκνὰς ἐνεργείας ταχείας ὀνομάζουσιν.

Καὶ σπόγγοισι χρέεσθαι ἀντὶ στλεγγίδος.

Οὐδὲ οἱ νῦν ἰατροὶ χρῶνται στλεγγίσιν ἐπὶ τῶν ἀσθενούντων, οὐ μὴν οὐδὲ σπόγγῳ, ἀλλ᾽ ἐνειλίττουσιν αὐτοὺς μετὰ τὸ λουτρὸν εἰς ὀθόνην. οἱ δὲ εἰς ἱμάτια, καὶ μάλιστά γε τὰ ἄγναπτα περιστέλλουσι πανταχόθεν, ὡς ἱδρῶσι πλεῖστον. ἔστι δ᾽ οὐκ ἀεὶ χρεία τοῦ πλεῖστον ἱδροῦν μετὰ τὸ λουτρὸν τὸν κάμνοντα. πολλάκις γὰρ οὐ τοῦ κενῶσαι τὸ σῶμα χάριν ἐπὶ τὸ λουτρὸν τὸν κάμνοντα ἄγομεν, ἀλλὰ τοὐναντίον ἅπαν, ὑγρᾶναί τε καὶ τέγξαι διόλου κατεξηρασμένον ἀμετρότερον. ἐπὶ τῶν τοιούτων οὖν, οὔτ᾽ ἔνδον κατὰ τὸ βαλανεῖον ἱδρῶτας ἀναμένειν χρὴ πολλούς, ἀλλ᾽ ὅτι τάχιστα τῷ κατὰ τὴν πύελον ἐμβαλεῖν ὕδατι, καὶ μετὰ ταῦτα ἐξελθόντας ἐκ τοῦ λουτροῦ διὰ ταχέων ἐκμάττειν.

Καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα.

Καὶ οὗτος ὁ λόγος εἴρηται μὲν ἐφεξῆς τῷ, καὶ σπόγγῳ χρῆσθαι ἀντὶ στλεγγίδος. οἰκειότερον δ᾽ ἄν τις ἀκούσειεν αὐτοῦ, περὶ τῆς ἐν τῷ λουτρῷ χρίσεως τοῦ λίπους, ἵνα μὴ δόξῃ τι παραλελειπέναι τῶν ἀναγκαίων ῥηθῆναι. μετὰ γὰρ τὸ λουτρὸν ἀποσπογγίσας τὸ ὕδωρ ὁ Ἱπποκράτης, ἄδηλον μὲν εἰ καὶ ἔχρισέ που. πρόδηλον δὲ καὶ καθύγρου τοῦ σώματος ὄντος ἀλείφειν τὸν κάμνοντα, πλὴν εἰ τοῦτό τις φησίν, ὅτι πάλιν ἀπομάττει τοῦτ᾽ αὐτὸ τὸ μετὰ τοῦ ὕδατος ἔλαιον. ἔστι μὲν οὖν χρήσιμον ἐσκέφθαι καὶ περὶ τῆς κατὰ τὸ λουτρὸν χρίσεως τοῦ λίπους. ἀναγκαιότερον δὲ τὸ περὶ κατὰ τὸ λουτρόν, εἶθ᾽ ἱδρώσαντι τῷ λουομένῳ, περιχεῖν προσήκει τὸ ἔλαιον, εἴτε καὶ πρὶν ἱδρῶσαι ξηρὸν παραχρῆμα μετὰ τὸ ἀποδύσασθαι, ἢ τούτων μὲν οὐδέτερον, ὅταν δ᾽ ἄρξηται νοτίζεσθαι. καὶ ὅστις μέμνηται τῶν εἰρημένων περὶ δυνάμεως ἐλαίου κατὰ τὴν τῶν ἁπλῶν φαρμάκων πραγματείαν, οἶδεν ἀκριβῶς αὐτὸς ἄριστον εἶναι τὸν εἰρημένον τρίτον καιρὸν ἐλαίου χρήσεως ἐπὶ τῶν λουομένων. οἶδε δὲ καὶ ὅτι προτεθερμασμένῳ χρὴ προσφέρεσθαι τῷ τοῦ λουομένου σώματι. καὶ γὰρ μαλάττει τοῦτο καὶ ἀραιοῖ τὸ σῶμα, τοῦ ψυχροῦ κατὰ τὴν θίξιν οὐ μόνον οὐδέτερον τούτων ἐργάζεσθαι πεφυκότος, ἀλλὰ καὶ φρικώδεις τοὺς λουομένους ἀποτελοῦντος.

Κεφαλὴν μέντοι ἀνεξηραίνθαι χρὴ ὡς οἷόν τε μάλιστα ὑπὸ σπόγγου ἐκμασσομένην.

Τὸ μὲν ἐπὶ τῷ λουτρῷ τὴν κεφαλὴν ἀκριβῶς ἐκμάττειν, ὡς μηδὲ φυλάχιστον ὑπολείποιτο τῆς ὑγρότητος, δῆ-

δηλον

δηλόν ἐστι. τὸ γὰρ ὑπολειπόμενον ἅπαν, ψύχειν εἴωθεν, ὃ μὴν ὑπὸ σπόγγου ἔστι ποιεῖν ἔτι δυνατὸν, ὅτι μὴ καταρχὰς εὐθέως μετὰ τὸ χρίσασθαι τῷ μετακεράσματι. βέλτιον δὲ τούτου τὸ διὰ ὀθόνης ἐκμάττειν τῆς κεφαλῆς τὸ ὕδωρ.

Καὶ μὴ διαψύχεσθαι τὴν κεφαλὴν, μήτε τ' ἄκρεα, μήτε τὸ ἄλλο σῶμα.

Τοῦτο μοι δοκεῖ μικρὸν ἢ καθ' ἑαυτὸν εἰρηκέναι. πρόδηλον γὰρ ἅπασιν ὡς οὐδὲν δεῖ μέρος ἐπὶ πολὺ γυμνοῦσθαι, καθ' ὃν καιρὸν ἐκμάττουσι τῶν λουομένων, τὸ μετὰ τὸ λουτρὸν ὕδωρ. ἴσασι γὰρ ἅπαντες ὅτι ταχέως ψύχεται τὰ οὕτω γυμνούμενα.

Καὶ μήτε νεοῤῥόφητον μήτε νεόποτον λούεσθαι.

Οὐ μόνον ἐπὶ τῶν νοσούντων, ἀλλὰ καὶ τῶν ὑγιαινόντων οὐ χρὴ μετὰ τὸ προσενέγκασθαι τροφὴν, ἢ πόμα παραχρῆμα λούεσθαι. τῶν μὲν γὰρ πεπωκότων ἡ κεφαλὴ πληροῦται, τῶν δ' ἐδηδοκότων, οὐκ αὐτὴ μόνη, ἀλλὰ καὶ τὸ πᾶν σῶμα τὴν τροφὴν ἕλκον εἰς ἑαυτὸ, πρὶν πεφθῆναι.

Μήτε ῥοφεῖν, μήτε πίνειν ταχὺ μετὰ τὸ λουτρόν.

Ἄμεινόν ἐστι καταστάσης τῆς ἐκ τοῦ λουτροῦ ταραχῆς, ἐσθίειν καὶ πίνειν, ὥσπερ καὶ τῆς μετὰ τὰ γυμνάσια. τὸ γὰρ εὐθέως προσφέρεσθαι σιτία καὶ πόματα, τήν τε κεφαλὴν πληροῖ, καὶ τὸ καταποθὲν ἐνίοτε ἐπιπολάζειν ποιεῖ.

Μέγα μὲν δὴ μέρος χρὴ νέμειν τῷ κάμνοντι ἢν ὑγιαίνων εἴη φιλόλουτρος ἄγαν, καὶ εἰθισμένος λούεσθαι. καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε, καὶ ὠφελέονται λουσάμενοι, καὶ βλάπτονται μὴ λουσάμενοι.

Ταῦτα δι' ὅλου σχεδὸν τοῦ δευτέρου τῶνδε τῶν ὑπομνημάτων ἐδείχθη, τὰς λέξεις ἡμῶν ἐξηγουμένων, ἐν αἷς ἐπὶ πλεῖστον αὐτὸς ἐδήλωσε τὴν δύναμιν τῶν ἐθῶν.

Ἁρμόζει δ' ἐν περιπλευμονίῃσι μᾶλλον ἢ ἐν καύσοισι τὸ ἐπίπαν. καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν καὶ στῆθος καὶ μετάφρενον παρηγορικόν ἐστι τὸ λουτρὸν, καὶ πτυέλου πεπαντικὸν καὶ ἀναγωγὸν, καὶ εὔπνοον, καὶ ἄκοπον, μαλθακτικὸν γὰρ καὶ ἄρθρων, καὶ τοῦ ἐπιπολαίου δέρματος, καὶ οὐρητικὸν δὲ καὶ καρηβαρίην λύει, καὶ ῥῖνας ὑγραίνει. ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστι, ὧν πάντων δεῖ. εἰ μέντοι τῆς παρασκευῆς ἔνδειά τις ἔσται ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν. ἓν γὰρ ἕκαστον αὐτέων μεγάλην φέρει βλάβην μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς δεῖ.

Διατί μᾶλλον περιπνευμονίαις ἢ καύσους ὠφελεῖ τὸ λουτρὸν, αὐτὸς ἐδήλωσεν εἰπὼν, καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὰν καὶ στῆθος καὶ μετάφρενον παρηγορικόν ἐστι τὸ λουτρὸν, καὶ πτυέλου ἀναγωγὸν, καὶ πεπαντικὸν, καὶ εὔπνοον. διὰ ταῦτα γὰρ πάντα περιπνευμονικοῖς ἐστιν ὠφελιμώτατον. θεραπεύονται γοῦν ἀναπτύοντες τὰ κατὰ πνεύμονα περιεχόμενα πτύελα. πλευριτικοὶ δὲ καὶ τῷ παρηγορεῖσθαι τὰς ὀδύνας ὀνίνανται μεγάλως. διὸ καὶ δυοῖν θάτερον, ἢ οὕτω γραπτέον ἐστὶν, ἁρμόζει δὲ περιπνευμονίῃσι καὶ πλευρίτισι μᾶλλον ἢ ἐν καύσοισιν, ἢ προσυπακούειν χρὴ τῇ περιπνευμονίῃ τὴν πλευρῖτιν, αὕτη γὰρ ὀδύνην ἔχει κατὰ τὴν πλευρὰν, οὐχ ἡ περιπνευμονία φέρει. μᾶλλον δ' ἁρμόττειν μὲν περιπνευμονίαις ἢ καύσοις, εἰπὼν τὸ λουτρὸν, ἐδήλωσεν ὅτι καὶ τῶν καυσουμένων ἐνίους ὠφελεῖ. διορισμοῦ δὲ χρεία δηλονότι πρὸς τὴν λέξιν ταύτην, ὃν οὔπω δυνάμεθα ποιήσασθαι, διὰ τὸ μηδὲν εἰρῆσθαι περὶ τοῦ καιροῦ, καθ' ὃν δὴ κελεύει λούειν τοὺς κάμνοντας. τίνας οὖν οὐδ' ὅλως ἀξιοῖ λούειν, πρότερον ἀκούσαντες αὐτοῦ κατὰ τὴν ἑξῆς ῥῆσιν ἐρεῖν μέλλοντος, οὕτως ἀφιξόμεθα πρὸς τὸν περὶ τοῦ λουτροῦ καιρόν.

Ἥκιστα δὲ λούειν καιρὸς τούτοισιν οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν. ἀτὰρ οὐδὲ οἷσιν ἕστηκε μᾶλλον τοῦ καιροῦ, καὶ μὴ προεληλύθει, οὔτε τοὺς γεγυιωμένους χρὴ λούειν, οὔτε τοὺς ἀσώδεας, ἢ ἐμετικοὺς, οὔτε τοὺς ἐπανερευγομένους χολῶδες, οὔτε τοὺς αἱμοῤῥαγέοντας ἐκ ῥινῶν, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι. τοὺς δὲ καιροὺς οἶδας. ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν. ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μούνην. ἢν οὖν αἱ παρασκευαὶ ἐπιτήδειοι, καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης.

Οἷς μὲν ὑπέρχεται τὰ κατὰ τὴν γαστέρα πλείονα, τὸ βαλανεῖον ἵστησιν, ἀντισπῶν αὐτὰ πρὸς ὅλον τὸ σῶμα, καὶ ταύτῃ βλάπτεται. τοῖς δὲ μηδ' ὅλως διακεχωρηκόσιν, ὅτι προεκκενῶσαι βέλτιόν ἐστι τὴν παλαιὰν κόπρον, οὐδεὶς ἀγνοεῖ, καθάπερ οὐδ' ὅτι τοὺς γεγυιωμένους, τουτέστι τοὺς καταλελυμένους τὴν δύναμιν, ἐπικαταλύει τὸ βαλανεῖον. ἀλλὰ καὶ τοὺς ἀσώδεις φησὶ καὶ ἐμετικοὺς οὐ λούειν, καὶ γὰρ τούτους ἐξαίφνης καταλυθῆναι φόβος, ὥστε τὴν καλουμένην ἀκολουθῆσαι στομαχικὴν συγκοπήν. ἐγγὺς δ' αὐτοῖς εἰσι καὶ οἱ ἐκκεχολωμένοι τὸ στόμα τῆς κοιλίας, οὓς διὰ τοῦ γνωρίσματος ἐδήλωσεν εἰπὼν, οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες. ὡσαύτως οὐδὲ τοὺς αἱμοῤῥαγοῦντας ἐκ ῥινῶν αὐτάρκως προσήκει λούειν. εὔλογον γὰρ οὖν ἐὰν ἐλλιπέστερον αἱμοῤῥαγῶσιν, λούειν αὐτούς. οὗτοι δέ εἰσι καὶ οἱ λουτροῦ δεόμενοι, κινήσεως σφοδροτέρας ἕνεκα τοῦ μετὰ τὴν κεφαλὴν αἵματος. ὡσαύτως δὲ λούσομεν εἰ χρήζοντες αἱμοῤῥαγίας μηδ' ὅλως αἱμοῤῥαγοῖεν. ἐκ δὲ τοῦ προσθεῖναι, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μόνον, ἔτι σαφέστερον ἐδήλωσεν, ὡς πολλάκις ἐν οἴκῳ τεθερμασμένῳ καθίζων τὸν κάμνοντα χωρὶς τοῦ πυέλου, καταντλεῖ τὴν κεφαλὴν μόνην χωρὶς τοῦ λοιποῦ σώματος ὕδατι θερμῷ.

Τοὺς δὲ φιλολουτρέοντας, οὐδ' εἰ δὶς τῆς ἡμέρας λούσῃς, οὐδὲν ἂν ἁμάρτοις.

Καὶ ταύτην μὲν ῥῆσιν ὁ δεῖνα ἰατρὸς Βίκτωρι τῷ ῥώμης ὑπάρχῳ τὸ περὶ τῆς καθ' Ἱπποκράτους διαίτης, καὶ ἄλλας τινὰς ἐξημιτείας ἐν ... γράψε τῷ βιβλίῳ, καθάπερ κἀκείνην ἐν ᾗ φησιν, ὅτι οὐχ ὑστεροῦσι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος. ἔστι δὲ πρὸς αὐτήν, καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτεῖσθαι τῆς ἡμέρης, δὶς δοτέον. ἀλλὰ τούτων μὲν τῶν δύο ῥήσεων ἑκατέρας ἀφεῖλε τὸ ἥμισυ μέρος. τῆς δὲ νῦν προκειμένης, ἀφεῖλε μὲν οὐδέν, οὐ προσέθηκε δὲ τὸν καιρόν, ἐν ᾧ τοὺς φιλολουτοῦντας ἐπιλέγειν τοὺς ἐν τῷ τῆς ὑγείας χρόνῳ χαίροντας τῷ λοῦσθαι, καὶ διὰ τοῦτο πολλάκις λουομένους. ἔτι γοῦν εἰς τὸ λοῦσθαι, προλαμβάνουσι τὸν ἐκ τοῦ ἔθους σκοπόν. ἐφεξῆς γοῦν ἀκούσωμεν αὐτοῦ τὸν καιρόν, ἐν ᾧ κελεύει λοῦσθαι τοὺς κάμνοντας.

Χρέεσθαι δὲ λουτροῖσι τοῖσιν ὅλῃσι πτισάνῃσι χρεομένοισι παρὰ πολὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μούνῳ χρεομένοισι. ἐνδέχεται δὲ καὶ τούτοισιν ἐνίοτε, ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μόνῳ χρεομένοισιν.

Ἐν τούτῳ τῷ λόγῳ τὸν καιρὸν ἐδήλωσεν, ἐν ᾧ προσήκει λοῦσθαι. καὶ εἴπερ ἐν ἀρχῇ προείρητο, πολλὰ ἂν οὕτω τῶν μεταξὺ λεγομένων, οὐκ ἦν ἀσαφῆ. πτισάνας γὰρ ὅλας δίδωσι τοῖς ἐπιεικῶς ἔχουσιν. ὅσοι δ' αὐτῶν φαυλότερον διάγουσι, χυλὸν μόνον. ὅσοι δὲ καὶ τούτων ἐπισφαλερώτερον, ἢ ὀξύτερον νοσοῦσι, μόνα τὰ ποτά. καὶ ὅτι δὲ τὸν λόγον ἤδη τῶν κατὰ θώρακα καὶ πνεύμονα παθῶν ἐν ὅλῳ τῷ συγγράμματι πεποίηται, τὰ πλεῖστα τῶν καθόλου διδάσκων, ὡς ἐπὶ παραδειγμάτων ἐν τοῖσδε τοῖς μέρεσι τῶν νοσημάτων, καὶ μάλιστα τῆς πλευρίτιδος ὑποδέδεικται πολλάκις. ἐδείχθη δὲ ὅτι καὶ πεφθέντων τῶν παθῶν, χρῆσθαι κελεύει τῇ πτισάνῃ. τότ' οὖν καὶ τὸ λουτρὸν ἀκινδύνως προσάγεται μάλιστα συντελοῦν εἰς τὴν ἐκκάθαρσιν τῶν περιεχομένων πτυέλων ἐν θώρακι καὶ πνεύμονι. τοῖς οὖν οὕτως ἔχουσιν, ὅταν καὶ ἡ ἀπὸ ἔθους ἔνδειξις προσέλθῃ, διπλασιάσαι τὸ λουτρὸν οὐδὲν κωλύει. τοῖς μέντοι ποτῷ μόνῳ χρωμένοις, ἥκιστα φησὶν ἁρμόττειν τὸ λουτρόν, ὅπερ σημαίνει τὸ ἐλάχιστον, καὶ οὐχ ὡς ἔνιοί φασι τὸ οὐδαμῶς. ἐπιφέρων γοῦν ἐρεῖ,

Ἔστι δ' οἷσι καὶ τουτέων μὲν ἐνδέχεται. τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισι οὕς τε μέλλει λουτρὸν ὠφελέειν ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης, οὕς τε μή. οἷσι μὲν γὰρ προσδέεται τινὸς κάρτα τουτέων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει, οὐ λούειν, καὶ ὅσα ἂν λουτρῷ ὠφελέονται. οἷσι δὲ τούτων μηδενὸς προσδεῖ, καὶ πρόσεστιν αὐτέοισι τῶν σημείων ἐφ' οἷσι λουέσθαι ξυμφέρει, δεῖ λούειν.

Οὐ προσέθηκε δὲ τὸ πότε τούτους ἐνδέχεται χρῆσθαι λουτρῷ. λεκτέον οὖν ἡμῖν ἐστιν ἑπομένοις αὐτοῦ τῇ ὅλῃ διανοίᾳ. ποτοῖς μόνοις διαιτᾷ ὁ Ἱπποκράτης τοὺς ὀξέως νοσοῦντας, ὅταν ἐλπίζῃ τὴν δύναμιν αὐτῶν ἐξαρκέσαι εἰς τὴν τοῦ νοσήματος ἀκμήν, ἥτις ἐνίοτε ἅμα τῇ πέψει γίνεται, καθάπερ ἐπὶ τῶν κατὰ θώρακα καὶ πνεύμονα. πεφθέντων γὰρ τῶν ἐργαζομένων τὰ πάθη χυμῶν, εὐθέως ἀναπτύσσουσιν. αὖ δ' ἄρξωνται μόνον πτύειν οἷα δεῖ, κατ' οὐδέτερον ἔτι τῶν τρόπων ἡ νόσος αὐξηθήσεται, οὔτε κατὰ τὴν διάθεσιν, οὔτε κατὰ τὰ συμπτώματα. πολλάκις γὰρ ἡ μὲν διάθεσις αὐτὴ καθ' ἣν νοσοῦσιν, ἐπιεικεστέρα γίγνεται. τὰ δὲ συμπτώματα αὐξάνεται καθάπερ ἐπὶ τῶν φλεγμαινόντων μορίων ὡς αὐτὸς εἶπε, περὶ τὰς γενέσιας τοῦ πύου, τοὺς πόνους καὶ τοὺς πυρετοὺς συμπίπτειν μᾶλλον ἢ γενομένου. πολλάκις δ' ἀλλήλοις συναυξάνεται, καὶ συμμειοῦται τά τε τῶν συμπτωμάτων μεγέθη, καὶ τὸ τῆς διαθέσεως, καὶ γίγνεταί γε τοῦτο κατ' ἐκείνας τὰς φλεγμονάς, ἐν αἷς ἐκροὴν ἔχει τὸ γεννώμενον πύον, ὡς ἐπὶ τραυμάτων τέ τινων εἴωθε γίνεσθαι, καὶ περὶ τὰς περιπνευμονίας τε καὶ πλευρίτιδας. ἐνδέχεται οὖν ἐν τούτοις τοῖς νοσήμασιν ἔτι διαιτωμένους τοὺς κάμνοντας ἐπὶ ποτοῖς μόνοις, οὐκ ἀνωφελῶς χρῆσθαι τοῖς λουτροῖς, ἐπειδὴ καὶ τῆς ὀδύνης αὐτῶν ἔφη παρηγορικὸν εἶναι τὸ λουτρόν, καὶ πτυέλου πεπαντικόν. ἀλλὰ δηλονότι προεγνωσμένα, τοῦτο χρὴ ποιεῖν, εἰδότας ἐν τῷ καθόλου περὶ λουτρῶν δυνάμεων, ὡς ἐὰν μὴ προεγνωσμένῳ τῷ σώματι προσάγηται, ῥευματίζει τὰ πεπονθότα, κεκενωμένῳ δὲ προσφερόμενον, τῇ πέψει συνεργεῖ, δύναμιν ἔχον προσκενοῦν, προκεκενωμένου τοῦ ὅλου σώματος. διὸ καὶ τῶν καυσωδῶς νοσούντων, ἐκείνοις ἁρμόσει μόνοις, ὅσοι χωρὶς ὄγκου φλεγμονώδους, ἢ ἐρυσιπελατώδους νοσοῦσι, ζεούσης αὐτοῖς τῆς ἐν ὅλῳ τῷ σώματι χολῆς. ἐὰν δὲ καὶ πέψεως ἔχωσι γνωρίσματα, πολλῷ μᾶλλον αὐτοῖς ἁρμόσει. γιγνομένου δὲ καυσώδους πυρετοῦ καὶ δι' ἁλυκὸν φλέγμα σηπόμενον, ἰστέον ἐπ' ἐκείνων ἐναντιώτατον ὑπάρχειν τὸ βαλανεῖον. οὔτε γὰρ διαφορεῖται κατὰ τὸ δέρμα, καθάπερ ὁ πικρόχολος χυμός, οὕτω καὶ ὁ φλεγματικός, διὰ τὸ παχύς τε καὶ γλίσχρος ὑπάρχειν, οὔτε σβέννυται πολυχρονίου πέψεως δεόμενος. μέμνημαι κατὰ τὴν ἀρχὴν τῆς ἐξηγήσεως τοῦ βιβλίου τούτου πρὸς τοὺς κνιδίους ἰατροὺς εἰπόντος Ἱπποκράτους. ὁκόσα δὲ προκαταμαθεῖν δεῖ τὸν ἰατρὸν μὴ λέγοντος τοῦ κάμνοντος, τούτων τὰ πολλὰ παρεῖται. ταῦτα οἱ μὲν δογματικὸν εἶναι νομίζοντες τὸν Ἱπποκράτην, τοὺς πεπονθότας τόπους ἔφασαν εἶναι, καὶ τὰς διαθέσεις αὐτῶν, καὶ τὰς αἰτίας. οἱ δ' ἐμπειρικόν, ὥρας τε καὶ χώρας καὶ ἡλικίας, ἔθη τε καὶ καταστάσεις τοῦ περιέχοντος ἡμᾶς ἀέρος. ἐγὼ δὲ καὶ ταῦτα μὲν ἅπαντα, χρήσιμα τοῖς ἰατροῖς οἶδα, τά θ' ὑπὸ τῶν δογματικῶν εἰρημένα, καὶ τῶν ἐμπειρικῶν, ἀλλὰ κατά γε τὸ βιβλίον τοῦτο σκοποὺς εἰπὼν ὁ Ἱπποκράτης πολλούς, πρὸς οὓς ἀποβλέπων τις, εὑρήσει τὰ διαιτήματα τῶν εἰρημένων οὐδενὸς ἐμνημόνευσεν, ὅτι μὴ τῶν ἐθῶν. ἄλλα δέ τινα προὐχειρίσατο, περὶ ὧν ἀναμνήσεως ἔδει, καὶ διὰ ταῦτα τὸν λόγον ἀνεβαλλόμην, ἵνα διὰ συντόμων ἑρμηνεύων, ὅμως ἔχω παρακολουθοῦντας τῷ λόγῳ τοὺς ἀνεγνωκότας ὅλον τὸ βιβλίον. εἷς μὲν δὴ καὶ πρῶτος αὐτῷ σκοπὸς ὡς ἐπὶ παραδείγματος τοῦ νοσήματος τῆς πλευρίτιδος οὗτος εἴρηται κατὰ λέξιν. ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα, ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλεῖον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος ἢ μελίκρατον, ἢ οἶνον, ἢ ὁκότερον ἁρμόζει, καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς τάδε λέγει, ἢν δὲ ὑγραίνηται τὸ στόμα, καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ἔῃ ὁκοῖα δεῖ, χρὴ ἐς πλῆθος ἐπιδιδόναι τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. ταῦτα μὲν οὖν καὶ τὰ τούτοις ἐφεξῆς οὐ διώρισαι παρὰ τοῖς κνιδίοις ἰατροῖς. ἀλλὰ καὶ μετὰ ταῦτα τῇ πέψει τοῦ νοσήματος φησὶ χρῆναι προσέχειν. καὶ ὁ σκοπὸς οὗτος

οὗτος αὐτῷ σχεδὸν ἐστὶ τοῦ τε παντὸς εἴδους τῆς διαίτης, ὅσαι τε κατὰ μέρος ἐν αὐτῷ γίνονται μεταβολαί. ἀλλὰ καὶ τούτων ἐφεξῆς ἄλλους διορισμοὺς τοιούτους λέγει. ὅσοισι γὰρ σῖτος ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας, τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν παροξύνειεν ἄν, καὶ μὴ ἐνεοῦσαν εὐθέως ποιήσειεν. καὶ πάλιν ἐφεξῆς. τῶν δὲ ἦν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ συνεχέος ἐούσης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης, καὶ τοῦ πτυέλου μὴ ἀπιόντος, ἀλλὰ καταγλισχραινομένου ἀσαπέως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ τὴν κοιλίην μαλθάξας, ἢ φλέβα τεμὼν, ὁκότερον ἂν τούτων σημαίνῃ. τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῷς, ταχέως οἱ θάνατοι τῶν τοιούτων γίγνονται. μετὰ ταῦτα γε πάλιν διοριζόμενος φησίν. ἢν μὲν νεοβρότῳ αὐτῷ ἐόντι καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε σὺν ὀδύνῃ, ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἐς ἂν οἴηται κεχωρηκέναι ἐπὶ τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον. καὶ πάλιν ἐφεξῆς. εἰ δὲ μὴ ὑπεληλύθει ὁ παλαιότερος νεοβρώτῳ ἐόντι, εἰ μὲν ἰσχύει τε καὶ ἀκμάζει τῇ ἡλικίᾳ, κλύσαι. ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρῆσθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς. ἐνταῦθα οὖν προσέθηκε καὶ τὸν ἀπὸ τῆς δυνάμεως σκοπὸν, ὥσπερ κἀν τοῖς ἐφεξῆς πολλάκις ἅμα καὶ τῶν κελεύων ἐπισκοπεῖσθαι, τίς αἰτία καὶ διάθεσις ἐστὶν ἡ καταβάλλουσα τὴν δύναμιν, ἔνθα καὶ προσέθηκεν ὡς ἀγνοοῦνται ταῦτα τοῖς ἰατροῖς. καὶ μέντοι καὶ ὅτι τοῖς μὲν ὑποχόνδριον τὴν ὀδύνην πεπερασμένην ἔχουσι, ἡ κάθαρσις ἡ διὰ τῶν τοιῶνδε φαρμάκων ὠφέλιμός ἐστι. τοῖς δὲ πρὸς βραχίονα καὶ στῆθος ἀνατεινομένην αὐτὴν μετὰ βάρους ἔχουσι, φλεβοτομία. ταῦτά τε οὖν καὶ ἄλλα τοιαῦτα, καὶ ἔτι τὰ περὶ τῶν ἐθῶν προειρημένα παραλέλειπται παντάπασιν ὑπὸ τῶν κνιδίων ἰατρῶν, καὶ πολὺ μᾶλλον τούτων αἱ φύσεις, καὶ αἱ κράσεις τῶν σωμάτων, ὧν πολλάκις ἐμνημόνευσεν ἐν τῷ βιβλίῳ, τοὺς μὲν πικροχόλους ὀνομάζων, τοὺς δὲ μελαγχολικούς. ἐχόμενος δὲ τῶν σκοπῶν τούτων, καὶ περὶ τῆς τῶν ὑγιαινόντων ἐν τῇ διαίτῃ μεταβολῆς, ἐδίδαξεν ὅπως ἐπανορθωτέον ἐστὶ, καὶ περὶ τῆς τῶν καμνόντων, ἔν τε τοῖς περὶ οἴνου, καὶ μελικράτου, καὶ ὀξυμέλιτος, καὶ ὕδατος λόγῳ, τῶν αὐτῶν τούτων ἐμνημόνευσε σκοπῶν. ἐμνημόνευσε δὲ καὶ περὶ τῆς πέψεως τοῦ νοσήματος πολλάκις, οὐ μικρὸν σκοπὸν οὐδὲ τοῦτον ποιούμενος, ὅλης τε τῆς διαίτης, καὶ τῶν ἐν ταύτῃ μεταβολῶν, ὁμοίως δὲ καὶ περὶ ἀκμῆς νοσήματος εἶπέ τι. καὶ πρὸς τοῦτον ἀποβλέπων, τρέφει, οὐχ ὡς πρὸς τὸν φαυλότατον σκοπὸν ἐν διαίτῃ. ταῦτα τοίνυν καὶ ἄλλα τοιαῦτα παραλέλειπται τοῖς κνιδίοις ἰατροῖς, ἃ χρὴ προσκαταμανθάνειν τὸν ἰατρὸν, μὴ λέγοντος τοῦ κάμνοντος.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ δ'.

ΕΝ τῷ περὶ διαίτης τὰ μετὰ τὸν περὶ λουτρῶν λόγον εἰρημένα προσηκόντως ὑπώπτευσαν οὐκ ὀλίγοι τῶν ἰατρῶν, οὐχ ὡς Ἱπποκράτους ὄντα. καὶ γὰρ τῇ τῆς ἑρμηνείας δυνάμει, καὶ τῇ τῶν θεωρημάτων ἀκριβείᾳ λείπεται πολὺ τῶν ἔμπροσθεν. οὐ μὴν οὐδ' ἀλόγως ἐκινήθησαν οἱ νομίσαντες Ἱπποκράτους εἶναι καὶ ταῦτα. κατὰ γὰρ τὴν ἐκείνου προαίρεσιν ἡ διάνοια τῶν γεγραμμένων ἐστὶν, ὡς ὑπονοῆσαι μαθητήν αὐτοῦ τινὰ γεγραφέναι. πολλὰ δὲ ἐν αὐτοῖς καὶ τὴν λέξιν ἄμεμπτον ἔχει μετὰ τῆς διανοίας, ὡς ὑπονοῆσαι πάλιν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους αὐτὰ γεγράφθαι, παρασκευαζομένου συνθεῖναι βιβλίον, ὡς ὑπέσχετο κατὰ αὐτὸ τὸ περὶ διαίτης ὀξέων, ἐν ᾧ κατὰ μέρος ἑκάστου τῶν ὀξέων νοσημάτων τὴν θεραπείαν διδάξει. καὶ μὲν δὴ καὶ ἄλλας ἐστὶ ῥήσεις εὑρεῖν ἐν τῷ προκειμένῳ βιβλίῳ φανερῶς οὐκ οὔσας ἀξίας Ἱπποκράτους, ὡς ὑπονοῆσαι παρεγγεγράφθαι τοῖς γνησίοις. ὥσπερ καὶ κατὰ τοὺς ἀφορισμοὺς ἐφάνησαν ἔνιοι τοιοῦτοι πρὸς τοῖς τελευταίοις μέρεσι τοῦ βιβλίου. τῷ γὰρ ἐν μνήμῃ πολλοῖς εἶναι τὰ πρῶτα τῶν συγγραμμάτων οἱ παρεγγράφοντες, εἰς τὰ τελευταῖα παρεγγράφουσι. τοῦτο γοῦν αὐτὸ καὶ κατὰ τὸ περὶ τῶν ἐν τῇ κεφαλῇ τρωμάτων ἐφάνη γεγονὸς, ἔτι δὲ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν. ὁμοίως δὲ καὶ κατὰ τὸ νῦν ἡμῖν προκείμενον βιβλίον ἐστὶν εὑρεῖν παρεγκείμενα, καὶ μᾶλλον ἔτι πρὸς τοῖς τελευταίοις. τεσσάρων οὖν ὡς εἴποι τις εἰδῶν, ὄντων ἐν αὐτῷ, τοῦ μὲν ἀξίου καὶ κατὰ τὴν λέξιν καὶ κατὰ τὴν διάνοιαν Ἱπποκράτους, τοῦ δὲ καθ' ἕτερον μόνον, ἤτοι τὴν λέξιν, ἢ τὴν διάνοιαν, ἐνίων δὲ κατ' οὐδέτερον, σημαινοῦμεν τοῦτ' αὐτὸ καθ' ἑκάστην τῶν προχειριζομένων εἰς τὴν ἐξήγησιν λέξεων.

Καῦσος δὲ γίνεται ὁκόταν ἀναξηρανθέντα τὰ φλεβία ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτά.

Θερινὴν ὥραν εἴρηκε τὴν θερμὴν καὶ ξηρὰν, αὕτη δ' ἐστὶ τῇ τελευτῇ τοῦ ἔαρος, αὕτη ἐν ἀρχῇ τοῦ θέρους, αὕτη ἐν τοῖς μέσοις, ἢ τοῖς τελευταίοις, αὕτη κατὰ τὴν ἀρχὴν τοῦ φθινοπώρου ἦ. δέδεικται δ' ἐν τοῖς ὑπομνήμασι τῶν ἐπιδημιῶν ἡ τοῦ περιέχοντος ἀέρος κρᾶσις, ἑαυτῇ συμμεταβάλλουσα τὴν τοῦ σώματος διάθεσιν, ἡ μὲν ξηρὰ πρὸς τὸ ξηρότερον, ἡ δ' ὑγρὰ πρὸς τὸ ὑγρότερον. ἐπιδέδεικται δὲ, καὶ ὅτι τὴν κατὰ φύσιν κρᾶσιν, σύμμετρος ὥρα φυλάττει, τῶν ἄλλων δηλονότι πάντων ὡσαύτως ἐχόντων, ὅσα κατὰ τὴν ὅλην δίαιταν οἱ ἄνθρωποι πράττουσιν. ἐπιδέδεικται δὲ καὶ ὅτι τῆς κατὰ φύσιν τε καὶ συμμέτρου καταστάσεως ἐξιστάμενον τὸ σῶμα, καθότι ἂν ἐξίστηταί τε καὶ μεταβέβληται, κατὰ τοῦτο καὶ τῆς οἰκείας ἐπικουρίας δεῖται, ξηραινόμενον μὲν ὑγραίνεσθαι, ὑγραινόμενον δὲ ξηραίνεσθαι, θερμαινόμενον δὲ ψύχεσθαι, ψυχόμενον δὲ θερμαίνεσθαι. ὅτε οὖν κατά τινα περίστασιν πραγμάτων, ὧν αὐτὸς ἐρεῖ παραδείγματα συμβῇ τινὰ ξηρανθῆναι φλεβία καθ' ὁτιοῦν μέρος τοῦ σώματος, ἐπισπᾶται ταῦτα τὰς ἐκ τῶν πλησιαζόντων μορίων ὑγρότητας. ἐὰν μὲν οὖν ὡς τῇ συστάσει φύσιν ὑγρὰν ἔχωσιν, οὕτω καὶ τὴν δύναμιν ὑγραντικὴν, αἱ εἰς τὰς ξηρανθείσας φλέβας ὑγρότητες ἐνεχθῆσαι, τὴν κατὰ φύσιν εὐκρασίαν ἀναλαμβάνει τὸ μόριον. ἐὰν δὲ δριμεῖα μὲν ᾖ κατὰ τὴν ποιότητα, ξηραντικὴ δὲ κατὰ τὴν δύναμιν ἡ ὑγρότης, ἐκπυροῦται τὸ σῶμα. καθάπερ εἰ καὶ ἡμῶν τις αὐτῶν διψήσας, ἐκπίῃ χανδὸν ἢ οἶνον τεθαλασσωμένον ἄκρατον, ἢ ὕδωρ ἁλμυρόν. ἐγὼ γοῦν οἶδα καὶ αὐτὸς ποτὲ ἐξ ὁδοιπορίας θερινῆς διψώδης γενόμενος, εἶτα πιὼν οἴνου παλαιοῦ κύλικα μίαν ἀκρατεστέρου βραχὺ, παραυξήσας μᾶλλον, οὐ παύσας ἐπ' αὐτῇ τὸ δίψος. ὥσπερ οὖν ἡμεῖς καίτοι τὸν λογισμὸν ἔχοντες ἐπισπῶμεν ταῦτα τοῖς

ὀρέξεσιν, ἐνίοτε μὲν ἀμελέστερον, ἐνίοτε δὲ προπετέστερον. ἔστι δ' ὅτε τῷ μὴ πεπεῖσθαι βέλτιον, ἠναγκάσθημεν ἐπὶ τὸ τῶν ἁλμυρῶν καὶ δριμέων ἀφικέσθαι ποτῶν, οὕτως καὶ ἡ ἐν ταῖς φλεψὶ δύναμις ἑλκτική, διὰ παντὸς ἐπισπᾶται τὴν ἐκ τῶν πλησιαζόντων ὑγρότητα, μὴ διακρίνουσα τὴν οὐσίαν αὐτῆς ὁποία τίς ἐστιν. οὐ γὰρ ἔχει λογισμὸν ὡς σκέψασθαί τι περὶ τοῦ βελτίονος, ἀλλ' ὥσπερ τὰ παιδία καὶ τὰ βοσκήματα τὸ προστυχὸν ὑγρὸν αἱρεῖται διψῶντα, κατὰ τὸν αὐτὸν τρόπον κἀκεῖνη. ἐὰν μὲν οὖν καθ' ἕν τι μέρος τοῦ σώματος ἡ διάθεσις αὕτη γένηται, κατ' ἐκεῖνο μόνον ἐρυσιπελατῶδές τι πάθος ἔσται. αἱ δὲ καὶ καθ' ὅλον τὸ σῶμα φλέβες ὑπερξηρανθεῖσαι, τὰς ἐκ τῶν σαρκῶν ὑγρότητας εἰ ἐπισπάσωνται θερμὰς οὔσας, ἐν ὅλῳ τῷ σώματι γίνεται καυσώδης διάθεσις. ἀλλ' ὅ γε καῦσος ἰδίως καλούμενος, οὐ μόνον τῇ σφοδρότητι τῆς καθ' ὅλον τὸ σῶμα γιγνομένης θερμασίας διαφέρει, ἀλλὰ καὶ τῷ δίψει. βίαιόν τε γάρ ἐστιν ἐν τούτῳ καὶ ἄπαυστον. ἐλλείπει τοίνυν τῇ προκειμένῃ ῥήσει, περὶ τῆς τοῦ καύσου γενέσεως ὁ περὶ τῶν μορίων λόγος, ὃν ἡμεῖς ἀρτίως προστεθείκαμεν. ἐνίοτε μὲν γὰρ καθ' ἕν ὁτιοῦν, ἐνίοτε δὲ καὶ καθ' ὅλον τὸ σῶμα καῦσος γίγνεται, ἐπὶ μὲν τοῦ καθ' ὅλον τὸ σῶμα γιγνομένου, ἐξ ἅπαντος δίψαν ἐργάζεται. ἐπὶ δὲ τῶν καθ' ἕν τι μέρος οὐκ ἐξ ἀνάγκης, εἰ μὴ αὐτὸ τὸ μέρος τὴν δίψαν ἐργάζεται. πάντων μὲν πρῶτον, καὶ μάλιστα τὸ στόμα τῆς γαστρὸς, ἐφεξῆς δὲ ἡ γαστὴρ, καὶ μετὰ ταύτην ὁ στόμαχος, εἶτα πνεύμων, εἶτα νῆστις. ἆρ' οὖν οὕτως μόνον γίνεται καῦσος, ὡς εἶπεν, ὅταν ἐπισπάσηται τὰ φλεβία δριμεῖς καὶ χολώδεις ἰχῶρας ἐς ἑαυτὰ, ἢ καὶ τῆς σαρκὸς ταὐτὸ τοῦτο παθούσης ἔσται καῦσος; εἴτ' οὖν καθ' ἕν μόριον, εἴτε καθ' ὅλον τὸ σῶμα συμβῇ παθεῖν αὐτήν. ἐδείχθη γὰρ καὶ αὕτη δύναμιν ἑλκτικὴν ἔχουσα τῶν ἐνδεόντων αὐτῇ. καὶ μέντοι καὶ καθ' ἕτερον τρόπον ἐγχωρεῖ γενέσθαι τὴν ὁμοίαν διάθεσιν. ἕτερον δὲ τρόπον λέγω, ὅταν πέμπηται πρός τι μόριον ἀσθενέστερον ἐκ τῶν ἰσχυροτέρων τὰ περιττώματα. δέδεικται γὰρ ὥσπερ ἑλκτικὴ δύναμις ἐν ἑκάστῳ τῶν μορίων ἐστὶν, οὕτω καὶ ἀποκριτική. οὐκ ἀδύνατον οὖν ἐστιν, ἐνίοτε μὲν ἐξ ἑνὸς μέρους, ἐνίοτε δὲ ἐκ πλειόνων δριμεῖς καὶ χολώδεις ἰχῶρας ἀποκριθέντας ἐπιχυθῆναι τῶν εἰρημένων μορίων, ὅ, τι περ ἂν αὐτῶν ἀσθενέστερον ᾖ. ὅτι δὲ ἰχῶρας ὀνομάζει τὰς λεπτὰς ὑγρότητας, οὐ δῆλον.

Καὶ πυρετὸς πολὺς ἴσχει τότε σῶμα, ὥσπερ ὑπὸ ὀστεοκόπου ἐχόμενον, κοπιᾷ καὶ ἀλγέει.

Πυρετὸς μὲν οὖν πολὺς ἔχει διὰ τὴν τῶν ἰχώρων φύσιν, οὓς δριμεῖς ἔφη καὶ χολώδεις. τοῖς τοιούτοις γὰρ οἱ σφοδρότατοι τῶν πυρετῶν ἐπιγίγνονται, τουτέστιν οἱ πολλήν τε καὶ δριμυτάτην ἔχοντες τὴν θερμασίαν, ὥσπερ γε καὶ οἱ τὴν ἐλάττονα τε καὶ ἧττον δριμεῖαν, τοῖς φλεγματώδεσιν ἑπόμενοι χυμοῖς. κοπιᾷ δὲ τὸ σῶμα σύμπαν διὰ τὴν δριμύτητα τῶν ἰχώρων, τὸν ἑλκώδη κόπον. εἴρηται δὲ τελέως περὶ τῆς τῶν πάντων τῶν κόπων διαφορᾶς, ἐν τοῖς ὑγιεινοῖς.

Γίγνεται δὲ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐκ πορείης μακρῆς, καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλεβία, δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται πρὸς ἑαυτά.

Καὶ κατὰ τὴν ἀρχὴν εἴρητο, καὶ νυνὶ δ' αὖ, τὸ ἀναξηρανθῆναι προσέθηκε, τὰς προκαταρκτικὰς καλουμένας αἰτίας δηλῶν, ὡς ἐν παραδείγματι. πᾶσαι μὲν γὰρ αἱ θερμαὶ καὶ ξηραὶ τοὺς καύσους ἐργάζεσθαι δύνανται. τινὰς γοῦν εἶδα διὰ πόσιν οἴνου τεθαλασσωμένου πλείονος ἁλόντας καύσῳ, καθάπερ ἄλλους διὰ ταρίχων, καὶ ταριχηρῶν κρεῶν, καὶ τινῶν ἄλλων ἁλικῶν ἐδωδὴν ἄμετρον. ἕτερος δέ τις ἐξ ὁδοιπορίας τε καὶ καύματος ἥκων, ἐλούσατο μὲν πρῶτον, ἀφικόμενος δ' οἴκαδε, καὶ πιὼν οἴνου κατὰ τὴν κρᾶσιν ἔχοντος τὸ πλεῖον, ἤρξατο πυρέττειν αὐτίκα καυσώδη πυρετόν. καὶ ἄλλος δέ τις σφοδρῶς ὀργισθεὶς, καὶ ἄλλος ἀγρυπνήσας.

Γίγνεται δὲ ἡ γλῶσσα τρηχείη καὶ ξηρὴ, καὶ μέλαινα κάρτα. καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει, τά θ' ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίγνεται, καὶ δίψαι σφοδραὶ ἔνεισι καὶ ἀγρυπνίαι, ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν.

Τὰ παρακολουθοῦντα τοῖς καύσοις ἐν τῷδε τῷ λόγῳ δεδήλωκεν, ἃ δὴ καὶ συνεδρεύοντα καλοῦσιν. ἔστι δὲ ταῦτα γλῶσσα ξηρὰ καὶ τραχεῖα καὶ μέλαινα, δήξεις τε ἐπὶ τῆς γαστρὸς, ὑποχωρήματα ὠχρὰ, καὶ δίψαι σφοδραὶ, καὶ ἀγρυπνία, ποτὲ δὲ καὶ παραφροσύνη. ἡ μὲν οὖν γλῶσσα ξηρὰ γίνεται, διότι καὶ ἡ διάθεσις ὅλη τοῦ σώματος ξηρά ἐστι καὶ θερμὴ, καὶ ὁ πυρετὸς αὐτὸς τοιοῦτος. ἡ δὲ δῆξις τῶν κατὰ τὴν γαστέρα, διὰ τὴν τῶν εἰς αὐτὴν συρρεόντων ἰχώρων δριμύτητα. τὰ δὲ διαχωρούμενα, κατὰ τὸν πλεονάζοντα χυμόν. ἔξυγρα δὲ εἶπεν αὐτὰ, τὸ μηδὲ ὅλως πεπέφθαι δηλῶν. ἡ γὰρ τοι πέψις ἅπαντα συνάγει τε καὶ παχύνει. τὸ δὲ ἀγρυπνεῖν τοῖς οὕτω πάσχουσι συμβαίνει, διὰ τὴν ξηρότητα. δέδεικται γὰρ ἡ μὲν ἄμετρος ὑγρότης, τὰς καταφοράς. τὰς δὲ ἀγρυπνίας, ἡ πολλὴ ξηρότης ἐργαζομένη. προσέρχεται δὲ καὶ ἡ ἀπὸ τῶν ἄλλων συμπτωμάτων ταλαιπωρία, τῆς ἀγρυπνίας αἰτία γιγνομένη. παραφροσύνην δὲ ἐμάθομεν γίγνεσθαι, διά τε χολὴν ἀναδραμοῦσαν ἐπὶ τὴν κεφαλὴν, καὶ διὰ ξηρότητα καὶ θερμότητα κράσεως. ὅτι δ' ὅταν εἴποι τὶς ἁπλῶς χολὴν, ἡ πικρὰ δηλοῦται, προείρηται. καὶ ὅτι γε τὴν αὐτὴν χολὴν ὠχράν τε καὶ ξανθὴν ὀνομάζουσιν. ὥσπερ οὖν οὐδὲν παραλέλειπται τῶν κατὰ τὸν χολώδη καῦσον, ὅτι γε μὴ καὶ κατὰ τὴν ἐπιρροὴν τῶν ἰχώρων αὐτὸν, οὐ μόνον διὰ τὴν ὁλκὴν γίγνεσθαι, οὕτως αὐταρκῶς γέγραπται τινά. τῶν γάρ τοι λελεγμένων, ἔνια μέν ἐστι παθογνωμονικὰ συμπτώματα τοῦ καύσου, ἔνια δὲ συνεδρεύοντα. τῶν γεννώντων δὲ αὐτὸς, τὰ μέν ἐστι προηγούμενα, τὰ δὲ προκατάρχοντά γε καλούμενα ὑπὸ τῶν ἰατρῶν. πάντων γοῦν ὧν εἶπον προηγουμένων συμπτωμάτων, ἔξεστί σοι τὸν κατάλογον ὡς ἂν ἐθέλοις ποιεῖσθαι. ἀλλ' ὅ γε γράψας τὸ βιβλίον, ἤρξατο μὲν ἀπὸ τῶν προηγουμένων. τὸ γὰρ ἀναξηρανθῆναι τὰ φλεβία, προηγούμενον αἴτιόν ἐστιν. ἐφεξῆς δὲ δέον εἰπεῖν τὰ προκαταρκτικὰ, οἷον ὁδοιπορίαν μακρὰν, καὶ δίψος, οὐ ταῦτ' εἶπεν, ἀλλὰ τῶν παθογνωμονικῶν τι, τὸν πολὺν πυρετόν. ἐχρῆν δὲ ἐνταῦθα προσθεῖναι καὶ τὸ σφοδρὸν δίψος, ὃ μετὰ ταῦτα ἅμα τοῖς ἄλλοις εἶπε συμπτώμασι τοῖς συνεδρεύουσιν ὀνομαζομένοις. ὧν τὰ μὲν ἐνίοτε, τὰ δὲ ἀεὶ ὑπάρχει τοῖς καύσοις. τοῦτο δὲ καὶ αὐτὸς ἐδήλωσεν εἰπὼν, ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν. τὸ γὰρ ἐνίοτε, τῷ διὰ παντὸς ἀντίκειται. ἐγὼ δὲ φημὶ καὶ τὸ, τὰ περὶ τὴν νηδὺν δάκνεσθαι καὶ διαχωρεῖν χολώδη, οὐ τῶν διὰ παντὸς συνόντων τοῖς καύσοις εἶναι. διὰ γὰρ τὸ μέγεθος τοῦ νοσήματος καὶ τὴν ἔσω ῥοπὴν τῶν δριμέων ἰχώρων, ταῦτα συμβαίνει τοῖς κατὰ γαστέρα καὶ ἧπαρ ἔχουσι

τὴν οἷον

τὴν οἷον ἑστίαν τοῦ καύσου. τοῖς δὲ κατὰ πνεύμονα, ταῦτα μὲν οὐ πάνυ συμπίπτει. τὰ δὲ κατὰ τὰς γλώσσας εἰρημένα, καὶ τὰς παραφροσύνας μᾶλλον. ἀλλὰ καὶ δυσπνοοῦσιν οὗτοι τὴν περὶ τὸ πυκνὸν, καὶ μέγα πνεῦμα δύσπνοιαν, ἐκφυσῶσί τε συνεχῶς ἀνοιγνύντες τὸ στόμα, ὑπὸ τῆς τοῦ πυρώδους πνεύματος ἀποχύσεως βιαζόμενοι. τὸ μὲν οὖν τῆς δυσπνοίας ὅλον παραλέλειπται, καίτοι γε ἐν προγνωστικῷ λελεγμένον ἡμεῖς ἐδείκνυμεν. ἀτάκτως δ' εἴρηται τὰ κατὰ τὴν γλῶσσαν συμπτώματα. προτέραν μὲν γὰρ ἐχρῆν γεγράφθαι τὴν ξηρὰν, δευτέραν δὲ τὴν τραχεῖαν. διὰ γὰρ τὴν ἄμετρον ξηρότητα, τραχεῖαν συμβαίνει γίγνεσθαι τὴν γλῶσσαν, ὥστε τὴν τραχεῖαν οὖσαν πάντως εἶναι ξηράν. ὅτι δὲ καὶ μελαίνεται διὰ τὴν ἄμετρον θερμασίαν, ὥσπερ τοῖς ἡλιοβᾶσι τὸ δέρμα προμεμαθήκαμεν ἤδη.

Τῷ τοιῷδε πίνειν ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν δίδου ὑδαρὲς, ὁκόσον ἐθέλει.

Τοῦτο τὸ βιβλίον εἰ καὶ μὴ Ἱπποκράτους ἐστὶ σύγγραμμα, παλαιὸν γοῦν ἐστιν ὡς κατὰ τοὺς Ἐρασιστράτου χρόνους ἤδη προσκεῖσθαι τῷ γνησίῳ. θαυμαστὸν οὖν ὅπως ἐτόλμησεν εἰς Ἀπολλώνιον καὶ Δέξιππον ἀποσκῶψαι τὰ περὶ τῶν κυαθίων, κυλίκων ὁ Ἐρασίστρατος. ὁ γὰρ ταῦτα γράψας, τὴν Ἱπποκράτους γνώμην ἄμεινον Ἐρασιστράτου γινώσκων, ὁπόσον ἐθέλουσι πίνειν ἐπιτρέπει καὶ τοῖς καυσουμένοις. ἐδείξα δὲ καὶ κατὰ τὸ γνήσιον μέρος τοῦ συγγράμματος οὕτω γινώσκοντα τὸν Ἱπποκράτην. περὶ μὲν οὖν τῆς τοῦ Ἐρασιστράτου κακοηθείας ἱκανὰ καὶ ταῦτα. σκοπῶμεν δὲ ἤδη τὰ κατὰ τὴν ῥῆσιν εἰρημένα. κελεύει γὰρ μήτε ὑφ' ὕδατος μόνου διαιτᾶν τοὺς καυσουμένους, μήτε ὑπὸ μελικράτου μόνου. τὸ μὲν γὰρ ὕδωρ ἔμαθεν, ὡς τῇ φύσει ψυχρὸν ὂν, βραδύπορον εἶναι, καὶ μένον ἐν ὑποχονδρίῳ πλεῖστον χρόνον, διαφθείρεσθαι κατὰ τοὺς ὀξεῖς πυρετούς. τὸ δὲ μέλι ῥᾳδίως ἐκχολοῦσθαι, διὰ τοῦτο ἀξιοῖ ὑδαρὲς διδόναι τὸ μελίκρατον, ἵνα τὸ ὕδωρ μὴ μηκύνῃ κατὰ τὴν ἄνω γαστέρα ποδηγούμενον ὑπὸ τοῦ μιγνυμένου μέλιτος εἰς τὴν ἀνάδοσιν, διὰ δὲ ταῦτα αὐτὰ καὶ ἑφθὸν αὐτὸ δίδωσιν. ἀδιψότερον γὰρ καὶ ἀφυσότερον τοῦτο τοῦ ὠμοῦ, καὶ τὴν οὔρησιν μᾶλλον κινοῦν, ὥσπερ γε τὴν διαχώρησιν τὸ ὠμόν. ἧττον γὰρ γίνεται δριμὺ τὸ ἑψημένον, οὐ μόνον τῷ πέπτεσθαι κατὰ τὴν ἕψησιν, ἀλλὰ καὶ τῷ τὸ ἀφρῶδες αὐτοῦ πᾶν ἀφαιρεῖσθαι, καθότι τὸ δριμὺ καὶ φυσῶδες ἐστὶν ἐν τῇ τοῦ μελικράτου οὐσίᾳ. τὸ δ' ἑψημένον ἄδηκτόν τε καὶ ἄφυσον γιγνόμενον, ἀναδίδοται μᾶλλον ἢ ὑπέρχεται κατ' ἔντερα, ὥστε καὶ διὰ τοῦτο τρέφει μᾶλλον τοῦ ὠμοῦ. χρήζουσι δ' οὕτω νοσοῦντες ὡς ἂν μὴ λαμβάνοντες τὸν χυλὸν τῆς πτισάνης, ἐκ τοῦ μελικράτου τρέφεσθαι. προείρηται δὲ ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου περὶ τοῦ χρῆναι διαιτᾶν ἐν τοῖς ὀξυτάτοις νοσήμασιν ὑπὸ μόνων τῶν πομάτων. καὶ ταῦτα μοι πάντα τὰ κατὰ τὴν ἐξήγησιν, τοῦδε τοῦ νῦν προκειμένου γράμματος τοῖς προανεγνωκόσι τε, καὶ μεμνημένοις τὰς ἐν ἐκείνοις γεγονυίας ἐξηγήσεις, οὕτως λέλεκταί τε καὶ λεχθήσεται.

Καὶ ἢν πικρὸν τὸ στόμα γίγνηται, ἐμέειν συμφέρει, καὶ τὴν κοιλίην ὑποκλύσαι.

Ἡ πικρία τῆς χολῆς, πικρὸν ἐργάζεται τὸ στόμα. κοινὸς γὰρ καὶ εἷς χιτών ἐστιν, ὅ, τε ἔνδον τῆς γαστρὸς καὶ ἅπας ὁ ὑπαλείφων τὸ στόμα, κατὰ λόγον οὖν ὁ συγγραφεὺς ἐκκενοῖ τὴν χολὴν, δι' ἐμέτων τε καὶ κλύσματος.

Ἢν δὲ πρὸς ταῦτα μὴ λύηται, γάλα ὄνου ἑψήσας κάθαιρε.

Ἐπειδὴ πάντως μὲν ἐκκενῶσαι βούλεται τὴν εἰς τὴν γαστέρα χολὴν, εὐλαβεῖται δὲ τὰ καθαίροντα φάρμακα, διότι δριμέα καὶ θερμὰ παντελῶς ἐστι, διὰ τοῦτ' ἐπὶ τὸ τῆς ὄνου γάλα παραγίνεται, δριμύτητα μὲν οὐδεμίαν ἔχον, ὥσπερ οὐδ' ἄλλο οὐδὲν, ἀλλὰ πλεονεκτοῦν τῇ ὑγρότητι μόνον τῶν ἄλλων ἁπάντων, καὶ διὰ τοῦτο μόνον ὑπέρχεται. περιεφθὸς δὲ αὐτὸ διὰ τὸ φυσῶδες, ἀλλὰ σύ γε καὶ μόνῳ τῷ ὀῤῥῷ δυνήσῃ χρῆσθαι, χωρίζων αὐτὸν, ὅταν τὸ γάλα προαφεψήσῃς δι' ὀξυμέλιτος, ἐγκαθεὶς ἀγγεῖον χαλκοῦν ὕδατος πλῆρες ψυχροῦ συνεχῶς εἰς τὸ γάλα, καὶ γὰρ αὕτη καλῶς ἡ κάθεσις γιγνομένη, χωρίζει τὸν ὀῤῥὸν τοῦ τυρώδους.

Ἁλμυρὸν δὲ μηδὲν μήτε δριμὺ προσφέρειν, οὐ γὰρ ὑποίσει.

Ὁ μὲν ἁλμυρὸς χυμὸς ὁποῖός τις ἐστὶν, ἐν τοῖς ἁλσὶ φαίνεται. περὶ δὲ τῆς τοῦ δριμέος οὐσίας τε καὶ δυνάμεως, εἴρηται κατὰ τὸ τέταρτον βιβλίον τῶν ἁπλῶν φαρμάκων, ὅτι πέπερι καὶ νᾶπυ, καὶ πύρεθρον, ὅσα τἄλλα θερμὰ ταῖς δυνάμεσιν ἐστὶ, καὶ δριμέα γευομένοις φαίνεται. ὡς οὖν συναυξάνοντα τὴν διάθεσιν τῶν καυσωδῶν, φεύγειν κελεύει τὰ δριμέα καὶ τὰ ἁλμυρά. ταῦτα δὲ καὶ ξηραίνει μᾶλλον τῶν δριμέων, εἰ καὶ μὴ παραπλησίως ἐκείνοις θερμαίνει, ἀλλ' ἧττον.

Ῥόφημα δὲ, ἔστ' ἂν ἔξω τῶν κρισίμων γένηται, μὴ δίδου.

Ὡς προσυπακουομένου τοῦ τὴν δύναμιν ἐῤῥῶσθαι, τὸν λόγον ἄκουε. ποιεῖται γὰρ οὕτω τὴν διδασκαλίαν καὶ αὐτὸς ὁ Ἱπποκράτης, ὡς τὰ πολλὰ τὰ καθ' ἕκαστον σκοπὸν ὑπαγορευόμενα γράφων. εἶθ' οὕτως ἅπαξ εἰπὼν ἀλλήλοις χρῆναι παραβάλλειν τὰ δεδειγμένα τὰς δυνάμεις αὐτῶν ἐπισκοπούμενον. ὅτι δὲ οὐ προσήκει διδόναι ῥόφημα πρὸ τῆς κρίσεως, ἐὰν ἡ δύναμις ἐξαρκῇ, κατὰ τὸ πρῶτον μέρος τοῦ βιβλίου δεδήλωται τὸ γνήσιον.

Καὶ ἢν αἷμα ἐκ τῶν ῥινῶν ῥέῃ, λύεται τὸ πάθος, καὶ ἢν ἱδρῶτες ἐπιγίγνονται κρίσιμοι γνήσιοι μετ' οὔρων λευκῶν καὶ παχέων, καὶ λείων ὑφισταμένων.

Ἐν τοῖς ὀξέσι πυρετοῖς ἐπὶ τὴν κεφαλὴν φέρεται τὸ ζέον τοῦ αἵματος. ὅταν οὖν ἀναῤῥήξασα τὰς φλέβας ἡ φύσις, ἐκχέῃ τοῦτο μετὰ τῶν συναχθέντων ἀτμῶν, ἑτοιμότερον κρατεῖν τῶν λοιπῶν. κατὰ δὲ τὸν αὐτὸν λόγον ὅταν καὶ διὰ τῶν ἱδρώτων ἐκχέῃ τοὺς ζέοντας ἰχῶρας, ἰᾶται τὴν νόσον, ὅταν γε πεπεμμένου τοῦ νοσήματος ἐπιγίγνονται. λέλεκται γὰρ ἤδη περὶ τούτου πολλάκις ἔν τ' ἄλλοις τέ τισιν ὑπομνήμασιν ἐξηγητικοῖς, καὶ ἐν τοῖς περὶ κρίσεως. ὥσπερ οὖν ἐν τῷ πρώτῳ μέρει τοῦδε τοῦ βιβλίου τῷ κατὰ πάντας ὁμολογουμένῳ γνησίῳ, τὸν ἀπὸ τῆς πέψεως τοῦ νοσήματος σκοπὸν, ὡς χρήσιμον εἰς δίαιταν παρέλαβεν, οὕτω καὶ νῦν εἰς πρόῤῥησιν, αὐτὸ μὲν οὐκ ἔγραψε τὸ τῆς πέψεως ὄνομα, τὸ δὲ βεβαιότατον αὐτοῦ σημεῖον ἐν τοῖς οὔροις ἔγραψεν, ἄριστον μὲν οὖν ἐστι τὸ λευκήν τε καὶ λείαν ἔχον τὴν ὑπόστασιν

ὅρον, ὡς ἐν τῷ προγνωστικῷ δεδήλωται. οὐ μὴν ἀξιώσεις γε ἀεὶ φαίνεσθαι, ἀλλ' ἀρκέσει σοι πολλάκις ἤδη τῇ κατὰ φύσιν χροιᾷ τε καὶ συστάσει, χρηστὸν ἐναιώρημα φανέν, εἰς τὴν τῆς σωτηρίας ἐλπίδα. καὶ δὴ τούτων οὕτως ἐχόντων, πεπλεόνασται κατὰ τὴν ἑρμηνείαν ἡ λέξις. ὑπὸ γὰρ τῶν εἰρημένων ὅρων δηλοῦται, καὶ τὸ κρισίμους εἶναι τοὺς ἱδρῶτας, ὥστε ἐκ περιττοῦ προσκεῖται. τὸ δὲ γνήσιοι, οὐ κυρίως ἐπ' αὐτῶν λέγοιτο. κατὰ γὰρ τὰς τῶν νοσημάτων ἰδέας ἐπιφέρειν εἰώθασι τὴν τοιαύτην προσηγορίαν, οἵ τ' ἄλλοι τῶν ἀρίστων ἰατρῶν, καὶ αὐτὸς ὁ Ἱπποκράτης.

Ἢν ἀπόστημά τι γένηται.

Σπανιώτατόν ἐστι τὸ δι' ἀποστήματος κριθῆναι καῦσον. ἔτι δὲ μᾶλλον εἰ χωρὶς τοῦ μόριόν τι τοῦ σώματος προσθεῖναι, τὴν ἀπόφασίν τις ποιοῖτο. παρωτίσι μὲν γὰρ οἶδα τινὰς καύσους κριθέντας, ἀλλ' οὐ τοὺς γνησίους. τοῦτο δ' ὀλίγον ὕστερον μαθήσῃ, μετὰ τὴν ἐξήγησιν.

Ἢν δ' ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται τῆς ἀρρωστίης, ἢ ἰσχίου, ἢ σκελέων ἄλγημα συμβήσεται. καὶ οὐρήσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι.

Αἱμορραγίας καὶ ἱδρῶτος μνημονεύσας, ἄνευ χωρὶς τούτων ὁ καῦσος παύσηται, φησὶν ἄπιστον εἶναι τὴν λύσιν, ὑποστρέψει γὰρ ὀλίγον ὕστερον. ἔσται γάρ φησι κατὰ τὴν ὑποστροφὴν ἄλγημα σκελέων, ἢ ἰσχίου, καὶ οὐρήσει παχέα. τὸ μὲν οὖν αἱμορραγίας ἢ ἱδρῶτος, ἢ ἀποστήματος δεῖσθαι τὸν μέλλοντα κριθῆναι, δύναιτ' ἄν τις εἰρῆσθαι δοκεῖν ὑγιῶς, ἐάν τε προστεθῇ τοῖς εἰρημένοις, ἃ θεραπεύων αὐτὸς ἔγραψε, ἐμεῖν τε κελεύων, καὶ τὴν κοιλίαν ὑπάγειν, διδούς τε ποτὸν ὕδωρ καὶ μελίκρατον ὑδαρὲς ἑφθόν, ὥστε ἐὰν μετὰ τούτων τις λέγῃ τὴν αἱμορραγίαν, καὶ τὸν ἱδρῶτα, καὶ τὸ ἀπόστημα λύειν τὸν καῦσον, ἄλλως δὲ μὴ δύνασθαι λυθῆναι, τάχα δόξει λόγον τινὰ ἐπιεικῆ λέγειν. ἐπιεικῆ δὲ εἶπον, ὡς μετρίως ἀληθεύοντα, καὶ μᾶλλον τοῦ πρόσθεν, οὐ μὴν ἄμεμπτόν γε παντάπασιν, οὐ γὰρ ἀληθής ἐστιν ὁ λόγος. τὸ γὰρ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένον, ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγινομένου λύσις, ἀληθέστατόν ἐστιν. ἕπεται δ' ἐξ ἀνάγκης τῷ ῥίγει τούτῳ ποτὲ μὲν ἱδρὼς μόνος, ἐνίοτε δὲ ἔμετος χολωδῶν μόνος, ἢ κάτω διαχώρησις μόνη. πολλάκις δὲ τῶν εἰρημένων τριῶν, γίνεται τὰ δύο, καὶ ποτὲ πάλιν τὰ τρία. τῶν γὰρ δύο τούτων ἀναγκαῖόν ἐστιν ἐπὶ τοῦ καύσου γίνεσθαι θάτερον, εἰ μέλλοι λυθήσεσθαι τελέως, ἢ ἐκκριθῆναι τοὺς τελέως χολώδεις χυμούς, ἢ σβεσθῆναι. διὸ καὶ παραλελεῖφθαι δόξει τὸ κυριώτατον ἴαμα τῶν καύσων, ἡ τοῦ ψυχροῦ πόσις, ᾧ διὰ παντὸς ἡμεῖς ἐθεραπεύσαμεν τοὺς καύσους, οὐδενὸς ἀποθανόντος ᾧ ψυχρὸν ὕδωρ ἐδώκαμεν ἐν τῷ προσήκοντι καιρῷ, περὶ οὗ τὴν ἐξήγησιν τοῦ προτέρου μέρους τοῦδε τοῦ βιβλίου διῆλθον ἐπ' ὀλίγον, ἐν ἄλλοις δὲ ὑπομνήμασί τε καὶ συγγράμμασιν ἐπὶ πλέον. ἴσως οὖν οἰήσεταί με τις λέγειν μηδένα τῶν καυσουμένων τεθνήξεσθαι πιόντα ψυχρὸν ὕδωρ ἐν τῷ προσήκοντι καιρῷ, καίτοι οὐ τοῦτο αὐτὸς εἶπον, ἀλλ' ὅτι πᾶσιν οἷς ἔδωκα παμπόλλοις οὖσιν ὡς μηδὲ μεμνῆσθαι τῶν ἀριθμῶν αὐτῶν, ἠκολούθησεν ὠφέλειά τε καὶ σωτηρία. τοῦτο δ' οὐ ταὐτόν ἐστι τῷ πάντως τοὺς καυσουμένους ἂν πίωσι ψυχρὸν ὕδωρ σωθήσεσθαι. οὓς γὰρ ὀλεθρίως τε καὶ ἀσώστως ἔχοντας, οὔτε δι' ἄλλου τινὸς, οὔτε δι' ὕδατος σῶσαι δυνατόν ἐστι, τούτοις οὐδ' ἐπιχειρεῖν δεῖ. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, καὶ οὐρήσεται παχέα ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι, παραφυλακτέον ἐστί σοι κατ' ἐκείνους μόνους τοὺς καύσους, ὁπόσοι πεπονθότος τοῦ πνεύμονος γίγνονται.

Καύσου γένος ἄλλο, κοιλίη ὑπάγουσα, δίψης μεστὴ, γλῶσσα τρηχεῖα, ξηρὴ, ἁλικώδης.

Τὸ τοῦ γένους ὄνομα τοὺς παλαιοὺς Ἕλληνας εὑρίσκω καὶ κατὰ τῶν ὁμωνύμως λεγομένων ἐνίοτε φέροντας, τῶν μὲν ἐν ἐχόντων τὸ σημαινόμενον. ἐκ δὲ τῆς κατ' αὐτὸ τομῆς εἰς διαφορὰς πλείους ἀφικνουμένων, ἐφ' ὧν πολλάκις εἰώθαμεν λέγειν γενικὰς εἶναι διαφορὰς τοῦδε τοῦ πράγματος, δύο, ἢ τρεῖς, ἢ τέσσαρας, ἢ ὅσας δυνατόν. ὄντων δὲ καὶ τῶν ὁμωνύμων διττῶν, τινῶν μὲν μηδ' ὅλως ἀλλήλοις κοινωνούντων, ὡς ὅταν κύνα τόν τ' ἐπίπεδον τε καὶ τὸν ἐνάλιον λέγωμεν, ἐνίων δὲ κοινωνούντων κατά τι τοῖς συνωνύμοις, ὅταν ἀφ' ἑνὸς ἔχωσι τὴν προσηγορίαν γεγενημένην, ἢ πρὸς ἓν ἀναφέρονται, προσεπισκεπτέον ὡς εἴρηται τὰ δύο γένη τῶν καύσων. γνωσθήσεται δ' ἀκριβῶς τοῦτο τοῦ κατὰ τοὔνομα λόγου τῆς οὐσίας ἑκατέρου δηλωθείσης. ἐπεὶ δ' ὁ λόγος ὑπὸ τῆς ἐννοίας κρίνεται, σκεπτέον εἰ τὴν ἔννοιαν ἔχομεν τοῦ καύσου πυρετοῦ σύμφωνον οὕτως, ὥσπερ ἀνθρώπου καὶ βοὸς, καὶ ἵππου. ἐκπίπτειν δὲ τοῦ λόγου μέλλοντες εἰς μῆκος μεῖζον ἢ καθ' ὑπόμνημα, συνελεῖν αὐτὸν ὥσπερ καὶ τοὺς ἄλλους εἰς βραχὺ κεφάλαιον πειρώμεθα, ἀρχὴν τῷ λόγῳ τήνδε ποιησάμενοι. τὸν καῦσον πυρετὸν εὑρίσκω τοὺς ἰατροὺς λέγοντας, ὅταν ἡ θερμασία διακαίῃ τὸν ἄνθρωπον, ἄπαυστόν τε τὸ δίψος ἔχῃ, καὶ εἴπερ οὕτως ἔχει τοῦτο, †τὸ μὲν ἄνευ τοῦ διακαίειν τὸ σῶμα δίψαν προηγορουμένην ἔχοντα, καῦσον μὲν ἁπλῶς, ἀκριβῆ δὲ καὶ γνήσιον οὐκ ἐροῦμεν. ἐξ ἡμίσεως δ' ὄντα τοιοῦτον, οὐ χεῖρον ὀνομάσαι σαφοῦς διδασκαλίας ἕνεκα νόθον καῦσον. ὥσπερ ἐπὶ τῶν τριταίων πυρετῶν εἰώθαμεν χρῆσθαι ταῖς προσηγορίαις, οὕτως ἀκουσόμεθα τοῦ δύο εἶναι γένη καύσων πυρετῶν, ὡς εἴ γε καὶ γένη τριταίων τις εἴποι δύο, τὸν μὲν ἀκριβῆ τε καὶ γνήσιον, ἕτερον δὲ νόθον, ᾧ τινα μὲν πάρεστι τῶν τούτου συμπτωμάτων, ἔνια δ' οὔ. ὅτι δ' ὁ δεύτερος καῦσος, ὑπὲρ οὗ νῦν πρόκειται λέγειν, οἷον ἐλλιπής τίς ἐστι, καὶ οὐ τελέως διηκριβωμένος, εἴσῃ σαφῶς προσέχων τὸν νοῦν τοῖς ὑπ' αὐτοῦ συγγραφέως εἰρημένοις συμπτώμασιν ὑπ' αὐτοῦ γίνεσθαι. κατὰ μὲν γὰρ τὴν ἀρχὴν ἔφη, κοιλίη ὑπάγουσα, δίψης μεστὴ, γλῶσσα τρηχείη, ξηρὴ, ἁλικώδης, μὴ προσθεὶς, ὃ προσέθηκεν ἐπὶ τοῦ προτέρου. ὁ γὰρ νόθος τῶν τοῦ γνησίου καύσου συμπτωμάτων, τὸ μὲν ἕτερον ἔχει, τὸ δ' ἕτερον οὐκ ἔχει. πάλιν δ' ἐφεξῆς εἰπὼν τὴν γλῶτταν εἶναι τραχεῖαν καὶ ξηρὰν, οὐ προσέθηκε τὸ μέλαιναν, ὥσπερ ἐπὶ τοῦ προτέρου, ἀλλὰ ἀντὶ τούτου τοῦ συμπτώματος, εἶπεν ἁλικώδη. ὥσπερ γὰρ ὅταν ἡ γλῶττα γίνηται πικρὰ, τὴν ξανθὴν ἐνδείκνυται πλεονάζειν χολὴν, οὕτως ὅταν ἁλικὴ, τὸν ἁλικόν τε καὶ ἁλμυρὸν ὀνομαζόμενον χυμὸν, ὅστις ἐν τι τῶν τοῦ φλέγματός ἐστιν εἰδῶν τριῶν ὄντων, ὡς ἔμαθες, ὀξέος, ἁλμυροῦ, γλυκέος. ὥσπερ οὖν ὁ πρότερος καῦσος ἐπὶ τῇ πικρᾷ χολῇ συνιστάμενος, ἐκκρίσεις ὠχρὰς ἐργάζεται κατὰ διττὴν αἰτίαν, ὅτι τε λεπτός ἐστιν, ὅτι τε κατ' αὐτὸν ὁ διακαὴς πυρετὸς ηὔξανε, προσαγ-

Acida
Salsa
Dulcis

προσεγγινομένης ἐν αὐτῷ τῆς ξανθῆς χολῆς. οὕτω γοῦν ὁ φλεγματώδης χυμὸς οὔτ᾽ ἐπιεικῶς ὤν, οὔτε αὐξάνει τοὺς πυρετούς, οὔτε φλογώδη τὴν δίψαν ἔχει, οὔτε ἐμπνευματοῦται. καὶ διὰ τοῦτ᾽ εἴρηκεν ἐπ᾽ αὐτοῦ, κοιλίη ὑπάγουσα. διαχωρεῖν αὐτὴν μόνην δηλώσας, ἐναντίον ὃν τοῦ μὴ διαχωρεῖν, ὑπέρχεται μὲν γὰρ τούτοις ἡ γαστήρ. οὐ μὴν κατὰ χυμοῦ τινος ἰδέαν, ἀλλ᾽ αὐτῶν τῶν προσφερομένων ἐν τροφῆς μοίρᾳ διαφθειρομένων. οὐ γὰρ ὑπὸ πομάτων ἔτι διαιτῶνται, καθάπερ οἱ πλεῖστοι τῶν τὸν πρότερον καῦσον νοσούντων, ἐπειδὴ σύντομον ἐκεῖνοι τὴν ἔκκρισιν ἔχουσιν, ὑπὸ λεπτῷ καὶ ζέοντι χυμῷ συνιστάμενοι. βραδεῖαν δ᾽ οὗτος διὰ τὸ ψυχρὸν, καὶ γλίσχρον καὶ παχὺ τῆς τοῦ φλέγματος οὐσίας. οὐκοῦν ἐνδέχεται ποτῷ μόνῳ χρῆσθαι τοὺς οὕτως νοσοῦντας. τοῦτο γὰρ ἐμάθομεν ἐπὶ τῶν μελλόντων πεπλῆσθαι περὶ τὴν ε. ἢ τὴν ζ. ἡμέραν, ἰσχυρᾶς οὔσης δηλονότι τῆς δυνάμεως. εἰ δ᾽ εἰς τὴν θ. ἢ ιδ. ἢ κ. ἐμπίπτειν μέλλει τὸ νόσημα, χυλῷ πτισάνης εὐθὺς ἀρχῆς ἐπ᾽ αὐτοῦ χρώμεθα.

Οὔρων ἀπόληψις.

Εἴωθε λέγεσθαι παρ᾽ αὐτοῖς ὅταν ἢ οὐκ ἀξιόλογον, ἢ μηδ᾽ ὅλως φέρηται. γίγνεται δὲ τοῦτο κατὰ τὸν προκείμενον ἐν τῷ λόγῳ καῦσον, ὑπὸ τῷ πάχει τοῦ χυμοῦ.

Ἀγρυπνίη.

Τοῦτο κοινὸν ἀμφοτέρων τῶν καύσων. καὶ διὰ τοῦτο κατὰ τὸν πρότερον ἐμνημόνευσεν αὐτοῦ, καὶ γὰρ γίγνεται μᾶλλον ἐπ᾽ ἐκείνου, διότι καὶ ἡ κεφαλὴ μᾶλλον ἐκπυροῦται.

Ἀκρωτήρια ἐψυγμένα.

Τοῦτο τὸ σύμπτωμα τοῦ δευτέρου ἐστὶ καύσου. οὐ δεῖ δὲ ἁπλῶς εἰρῆσθαι τὸν λόγον, ἀλλὰ μετὰ διορισμοῦ τινος. οὐ γὰρ ἀεὶ τοιοῦτος ἐστὶν, ἀλλ᾽ ὅταν κακοήθης ᾖ. κατὰ μὲν γὰρ τοὺς χολώδεις καὶ διακαεῖς πυρετοὺς ἄχρι τῶν περάτων τοῦ σώματος ἐκτείνεται ἡ θερμασία, κἂν μὴ κακοήθης ὁ καῦσος ᾖ, κατὰ δὲ τοὺς φλεγματικοὺς ἡ καπνώδης τῆς θερμασίας οὐσία, ὅταν ἐν τοῖς κατὰ γαστέρα χωρίοις, ἢ τὸ ἧπαρ, ἢ τὸν πνεύμονα γένηται σῆψις ἁλικοῦ χυμοῦ, δι᾽ ἐκείνην μὲν ἡ πυρώδης θερμασία γίγνεται, κακοηθευομένου δὲ τοῦ νοσήματος, ἀκρωτήρια ψύχεται διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως, καὶ τὸ μέγεθος τῆς φλεγμονῆς ἐφ᾽ ἑαυτὴν ἑλκούσης πᾶν τὸ αἷμα. χωρὶς γὰρ τούτων οὐκ ἂν ὀλέθριον γένηται ποτὲ τὸ νόσημα.

Τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινὸς ῥυῇ, ἢ ἀπόστημα περὶ τὸν τράχηλον γένηται, ἢ σκελέων ἄλγημα, καὶ πτύσματα παχέα πτύσῃ. ταῦτα δὲ ξυστάσης τῆς κοιλίης γίνεται, ἢ ἰσχίων ὀδύνη, ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται. καὶ ὄρχις ἐνταθεὶς κριτικός.

Ὅτι διὰ ἀποστημάτων μᾶλλον ἢ ἐκκρίσεων, οἱ ὑπὸ φλέγματι σηπομένῳ γινόμενοι πυρετοὶ τὴν λύσιν ἔχουσι, πολλάκις δέδεικται. κατὰ δὲ τὸν προκείμενον καῦσον, οὐκ ἀποστημάτων μόνον ἐμνημόνευσεν, ἀλλὰ καὶ προσέθηκεν καὶ αἱμορραγίαν γινομένην ἐπ᾽ ἐκείνων μᾶλλον τῶν καύσων, ἐφ᾽ ὧν ἡ τοῦ πάθους σύστασις ἐν τῷ πνεύμονι γίγνεται. θερμαινομένη γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ κεφαλὴ, πληροῦται τοῦ αἵματος, ἀπεχεῖ τε τὸ πλεονάζον αὐτοῦ, ῥηγνυμένων, ἢ ἀναστομουμένων τῶν φλεβῶν. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ περὶ τὸν τράχηλον ἀποστήματα καὶ παρωτίδες γίνονται τοῖς οὕτω πάσχουσιν. οἷς δὲ τοῦ πάθους ἡ σύστασις ἐν τοῖς κατὰ τὴν νῆστιν, ἢ τὸ ἧπαρ ἐγγὺς μορίοις, κάτω μᾶλλον αἱ ἀποστάσεις τούτοις συμπίπτουσιν, ὥστε καὶ ἡ τῶν ἰσχίων ὀδύνη, καὶ τὸ τοῦ αἰδοίου πελίωμα, καὶ ἡ τοῦ ὄρχεως ἔντασις, τοῖς οὕτω κάμνουσι μᾶλλον συμβαίνει. γίνεται δ᾽ ἔντασις ὄρχεως, ἐνίοτε μὲν ὑπὸ τῆς καθ᾽ ἑαυτὸν φλεγμονῆς, ἐνίοτε δὲ ὑπό τινος τῶν ἄνω φλεγμαινόντων ἑλκομένου. τὸ δὲ καὶ πτύσματα παχέα πτύειν ἐνίους αὐτῶν, ἐπὶ τῶν κατὰ τὸν πνεύμονα πάθος ἐχόντων εἴρηται, πέψεως ἤδη γεγονυίας. εὔδηλον οὖν ἐκ τούτου τὸ συγκεχυμένον, καὶ ἄτακτον, καὶ ἀδιόριστον τῆς διδασκαλίας, ὅπερ ὑποτυπώσει μὲν ἕνεκα συγγραμμάτων γιγνομένῃ πρέπει, συγγράμματι δ᾽ οὐδαμῶς ἐστιν οἰκεῖον. ἐπὶ γὰρ πολλοῖς μορίοις πεπονθόσι γινομένων τούτων πυρετῶν, ἐχρῆν ἐφεξῆς τῶν συμπτωμάτων γεγράφθαι τὸν κατάλογον, καὶ μὴ ἀδιορίστως τε καὶ ἀτάκτως, ἀλλ᾽ ἢ κατὰ τὸ οἰκεῖον προκείμενον νόσημα ποιεῖν. καὶ τὸ κοιλίη ὑπάγουσα κατὰ τὸν αὐτὸν εἴρηται τρόπον, οὐχ ὡς ἀεὶ τοῖς καύσοις ὑπάρχοντος τοῦ συμπτώματος, ἀλλ᾽ ὡς ἐνίοτε. τοῖς γὰρ ἐν τῇ γαστρὶ τὴν εἰρημένην διάθεσιν ἔχουσι, διαφθειρομένων τῶν σιτίων αἱ διαχωρήσεις ὑγραί. τοῖς δ᾽ ἐν τῷ πνεύμονι ἔχουσι, τῆς γαστρὸς ἀπαθοῦς ὑπαρχούσης, οὐκ ἀνάγκη τὰ διαχωρούμενα τοιαῦτα εἶναι. τοὐναντίον γὰρ ἐνίοτε τοῖς οὕτω διακειμένοις συμβαίνει σκληρὰν, καὶ δυσδιαχώρητον εἶναι τὴν γαστέρα. καὶ μὴν δὴ καὶ οἷς κατὰ τὸ ἧπάρ ἐστιν ἡ οἷον ῥίζα τοῦ καύσου, καὶ τοῖς διὰ τὸ ἧπαρ καυσουμένοις, ποτὲ μὲν ἔκκρισις ὑγρὰ, ποτὲ δὲ ξηρὰ τὰ διαχωρήματα αὐτῶν ἐκκρίνεται, οἷον τὰ καλούμενα πυραθώδη, κατοπτωμένων δηλονότι τῶν σκυβάλων ὑπὸ τῆς ἐν τῷ σπλάγχνῳ φλεγμονῆς. ὅταν μὲν οὖν φλεγμαίνῃ μόνον, τοῦτο ἐργάζεται. ὅταν δὲ σὺν τῇ φλεγμονῇ ἡ καὶ ἡ ἀτονία, ὑγρὰ διαχωροῦσι, μὴ δυναμένου τοῦ σπλάγχνου πρὸς ἑαυτὸ τὴν τροφὴν ἕλκειν. διορίζεται δὲ τὰ τοιαῦτα διαχωρήματα τῶν ἀπὸ τῆς γαστρὸς πεπονθυίας γενομένων, τῷ κεχυλῶσθαι.

Ῥοφήματα ἐπισπαστικὰ δίδου.

Ὃ πολλάκις εἴωθα λέγειν, ὡς ἀσαφὴς λέξις οὐδὲν διδάσκει, τοῦτο καὶ νῦν ὁρῶ. τοῖς γὰρ διὰ φαυλότητα φλέγματος νοσοῦσι, ποτὸν μὲν ὀξύμελι χρησιμώτατόν ἐστι, τροφὴ δὲ χυλὸς πτισάνης. ἀλλ᾽ ὅμως ἐγὼ καίτοι γινώσκων ταῦτα, καὶ παρ᾽ ἑτέρου μαθὼν οὐδενὸς, οὐκ ἔχω μαντεύεσθαι, τίνα ποτὲ λέγει τὰ ἐπισπαστικὰ ῥοφήματα. τὸ γὰρ ὀξύμελι τμητικόν τε καὶ διαιρετικὸν, καὶ ῥυπτικὸν ἐγχωρεῖ λέγειν, ἐπισπαστικὸν δ᾽ οὐδαμῶς, ὅτι γε οὐ δυνάμεθα δεῖξαι τὸ ἐπισπώμενον ὑπ᾽ αὐτοῦ. οὕτως οὐδὲ τὸν τῆς πτισάνης χυλὸν ἐπισπαστικὸν εἶναι φαίημεν. ἴσως οὖν ἐρεῖ τις κελεύειν αὐτὸν τὴν γαστέρα ὑπάγειν τοῖς ἐπισπαστικοῖς, τουτέστι τοῖς ἐπισπωμένοις τὸν παχὺν χυμὸν, ὁποῖος ἐστὶ καὶ ὁ τοῦ φλέγματος. ἀλλ᾽ οὐκ ἂν εἶπε ῥοφήματα, φαρμάκων γὰρ τὸ τοιοῦτον ἔργον, οὐ ῥοφημάτων ἐστὶν, ὥσπερ οὐδὲ πομάτων. πρόδηλον

οὖν γέγονεν, ὡς ταῖς ἀσαφέσι λέξεσιν, οὐδὲ γινώσκομεν βέβαιον, καὶ διὰ τοῦτο οὐδὲ ταύτῃ τῇ λέξει ἐπιχειροῦμεν. οὐδὲ γὰρ ὡρισμένον, οὐδὲ βέβαιον παρ' αὐτῆς ἐστιν εὑρεῖν. ἀλλ' οὐκ οἶδ' ὅπως οἱ ἄνθρωποι, καθάπερ καὶ ἄλλα πολλὰ φανερῶς ἁμαρτάνουσιν, οὕτω καὶ τὸ χαίρειν τοῖς ἀσαφῶς εἰρημένοις, καίτοι πάντες ὥσπερ ἐξ ἑνὸς στόματος, τὴν μὲν σαφήνειαν ἀρετὴν εἶναι ἑρμηνείας λέγουσι, τὴν δὲ ἀσάφειαν κακίαν.

Τὰ δὲ ὀξέα πάθεα φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα, καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ, καὶ ῥώμη παρῇ αὐτέοισιν.

Οὗτος ὁ λόγος ἄξιος ἐστὶν Ἱπποκράτους, θαυμάζω δὲ, πῶς οὐκ ἔγραψεν αὐτὸν ἐν ἀφορισμοῖς. ἐν ὀλίγῃ γὰρ τῇ λέξει δύναμίς ἐστι μεγάλη, καθάπερ ἐν τοῖς ἀφορισμοῖς. περὶ γοῦν τῶν φλεβοτομίας χρῃζόντων, εἴρηται πολλάκις τοῖς ἰατροῖς, ὧν τὰ δοκοῦντα πιθανώτατα περὶ φλεβοτομίας ἀσφαλῶς εἴρηται, διὰ δυοῖν βιβλίων ὑπ' ἐμοῦ γεγραμμένων. τὸ μὲν οὖν ἕτερον αὐτῶν, ἐπιγέγραπται περὶ φλεβοτομίας, ἐν ᾧ τὰ πάντα χρήσιμα διδάσκεται. τὸ δ' ἕτερον γέγραπται, ὡς ἔφην τοῖς ἰατροῖς, τοῖς τε ἐμπειρικοῖς καὶ δογματικοῖς. οἱ δ' ἀμέθοδοι θεσσαλεῖοι, καθάπερ καὶ τἄλλα χωρὶς ἀποδείξεως ἁπλῶς λέγουσιν, οὕτω καὶ τὴν φλεβοτομίαν ἀπεφήναντο, χαλαστικὸν εἶναι βοήθημα. τὸ χαλαστικὸν δ' αὐτὸ, διαφόρως ἐξηγοῦνται καθὼς δεδήλωταί μοι διὰ τῶν ἐμῶν ὑπομνημάτων, περὶ τῆς μεθοδικῆς αἱρέσεως ἐπεσκεμμένων. τὸν μὲν οὖν ἅπασαν ἀναλέξασθαι τὴν περὶ τῆς φλεβοτομίας ἱστορίαν βουλόμενον, πάρεστιν ἀναγινώσκειν τά θ' ἡμέτερα καὶ τὰ τῶν ἄλλων ἰατρῶν βιβλία. νυνὶ δὲ αὐτὸ τὸ κεφάλαιον αὐτῆς ἄκουσον εἰς ὀλίγους τέως ἀνηνεγμένον σκοπούς. φλεβοτομήσεις γὰρ πρῶτον, εἰ τοι φαίνοιτο μέγα τὸ νόσημα. φανερῶς ἀεὶ τοῦ νοσοῦντος πηλίκου τῷ βοηθήματι χρῆται διὰ τὰ ἰσχυρὰ πάθη. οὐ διαφέρει γὰρ εἰπεῖν ἰσχυρὸν, ἢ μέγα νόσημα φαίνεσθαι. δεύτερος σκοπὸς τῆς φλεβοτομίας ἐστὶν, εἰ ἀκμάζει κατὰ τὴν ἡλικίαν ὁ κάμνων. οὔτε γὰρ παῖς, οὔτε γέρων, φέρουσι τὴν φλεβοτομίαν, οὐδ' ἂν μέγα νόσημα νοσῶσιν. ὁ δὲ δὴ τρίτος σκοπὸς εἴρηται τῷ συγγραφεῖ, τῆς ζωτικῆς δυνάμεως ἡ ῥώμη. καὶ γὰρ καὶ τῶν ἀκμαζόντων ἐν ταῖς νόσοις οὐ διὰ παντὸς ἡ ῥώμη ἐμφαίνεται. ἴσως οὖν τινι δόξει τὰ δύο ἀρκεῖν μόνα, σκοποὺς ὑποθέσθαι φλεβοτομίας, μέγεθος νοσήματος, καὶ ῥώμην δυνάμεως. ὁ γάρ τοι γέρων οὐ διὰ τὴν πολυετίαν αὐτὴν καθ' ἑαυτὴν, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως οὐ φέρει τὴν φλεβοτομίαν. ἀλλ' οἵ γε παῖδες ἰσχυροὶ τὴν ζωτικὴν δύναμιν ὄντες, ὅμως οὐδ' αὐτοὶ τὴν φλεβοτομίαν ἀνέχονται. διαφορεῖται γὰρ αὐτῶν ἑτοίμως ἡ οὐσία, διά τε τὴν ὑγρότητα, καὶ διὰ τὴν θερμότητα τῆς κράσεως. οὐκοῦν δέονται φλεβοτομίας σύμφυτον ἔχοντες τὴν ἐκ τῆς κράσεως κένωσιν. διὰ ταῦτα γὰρ οὖν οὐκ ἀρκεῖ μέγεθος νοσήματος, καὶ ῥώμην δυνάμεως σκοποὺς εἶναι φλεβοτομίας, ἀλλ' ἄμεινον εἶναι προστιθέναι, καὶ τὴν τῶν ἀκμαζόντων ἡλικίαν. τὸ γεμὴν ἐν ἀρχῇ τῆς ῥήσεως ἄξιον ἐπισκέψασθαι, ὅπως εἴρηται, τὰ ὀξέα πάθεα φλεβοτομήσεις. τῶν δὲ χρονίων πῶς οὐκ ἐμνημόνευσεν; ἐπειδὴ περὶ τῶν ὀξέων αὐτῷ νῦν ἐστιν ἡ διδασκαλία, καὶ διὰ τοῦτο περὶ τούτων μόνον ἐμνημόνευσε. δέονται γὰρ καὶ τῶν χρονίων πολλὰ φλεβοτομίας, ὅταν καὶ αὐτὰ τοῖς εἰρημένοις τρισὶν ὑπάγηται σκοποῖς. ὀρθῶς δὲ πάντων τούτων εἰρημένων, οὐκ ὀρθῶς ὑποληπτέον κεχρῆσθαι πρός τινων, ὧν ἐστι καὶ Μηνόδοτος ὁ ἐμπειρικὸς, ἤδη μόνῃ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ, φάσκων τετηρῆσθαι φλεβοτομίαν. ἡμεῖς δὲ καὶ μὴ παρούσης αὐτῆς φλεβοτομοῦμεν, ὅταν ὀδύνη σφοδρὰ καταλαμβάνῃ τὸν ἄνθρωπον ἐξαίφνης, ἢ θλασθῇ τι μόριον, ἢ ὁπωσοῦν ἐξωσθῇ κατὰ ἄρθρον, ἢ ἄλλό τι ἄρθρον συναρθῇ. οὐ φλεβοτομοῦμεν δὲ ἀεὶ, καίτοι τῆς πληθωρικῆς συνδρομῆς γινομένης. διὰ δὲ τρίψεως καὶ λουτρῶν πλειόνων, καὶ διαίτης ἐνδεοῦς, ἡμέραις δύο, ἢ καὶ τρισὶν εἰς τὸ κατὰ φύσιν ἄγομεν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τῷ περὶ πλήθους, καὶ ἐν τῷ περὶ φλεβοτομίας. ἔτι δὲ ἐν τῷ τῆς θεραπευτικῆς μεθόδου βιβλίῳ. ἱκανὰ μὲν οὖν καὶ ταῦτα εἰς τὸ παρὸν, ὡς ἐν ὑπομνήματι περὶ φλεβοτομίας εἰρῆσθαι. προσθήσω δὲ ἕνεκα τοῦ μηδὲν λείπειν, τὸν ἀπὸ τοῦ περιέχοντος ἡμᾶς ἀέρος σκοπὸν, ὅταν ᾖ θερμὸς ἱκανῶς καὶ ξηρὸς, ὡς διαφορεῖσθαι ταχέως ὑπὸ τούτου τὸ σῶμα. τηνικαῦτα γὰρ ἀφιστάμεθα τῆς φλεβοτομίας, εἰ καὶ μέγα τὸ νόσημα, καὶ ἀκμάζων ὁ ἄνθρωπος εἴη. τοῦτ' οὖν ὁ συγγραφεὺς τοῦ βιβλίου παρέλιπε μόνον γράψας τὰ λοιπὰ, καὶ τὴν ἕξιν αὐτοῦ τοῦ πάσχοντος σώματος, ἀλλ' ἤδη προσήκοντί γε τῷ γράμματι, καὶ τῆς ἕξεως ἐμνημόνευσε δυνάμενος, καὶ τὰς τῆς ἡλικίας διαφορὰς ἐν ἑαυτῇ περιλαβεῖν ὡς δείξω.

Ἢν μὲν οὖν συνάγχος ᾖ, †ἐκλεικτῷ ἀνακάθαιρε, κἤν τ' ἄλλό τι τῶν πλευριτικῶν. ἢν δὲ ἀσθενέστεροι φαίνωνται, ἢν καὶ πλέον τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ τὴν κοιλίην χρέεσθαι διὰ τρίτης ἡμέρας, ἕως ἂν ἐν ἀσφαλείῃ γένηται ὁ νοσέων, ἢ καὶ λιμοῦ χρήζοι.

†ἢ ἐκλείχοισιν

Ἡ συνάγχη τῶν περὶ τὴν φάρυγγα μορίων ἐστὶ φλεγμονὴ, δυναμένη μετὰ τὴν φλεβοτομίαν ἐκλεικτοῖς ἀνακαθαίρεσθαι, τουτέστιν αὐτὰ τὰ περιεχόμενα κατὰ τὰ φλεγμαίνοντα μόρια, κενοῦσθαι διὰ τῶν πτυσμάτων. τὸ γὰρ ἀκάθαρτον σῶμα, καὶ περιττωματικὸν ἐκκενούμενον, εἰκότως ἄν τις καθαίρεσθαι λέγοι. τὰ δ' ἄλλα νοσήματα τὰ ὀξέα παραλείψας, περὶ τοῦ πλευρίτου εἴρηκεν, ὡς κἀν τῷ πρώτῳ μέρει τοῦ βιβλίου πεποίηκεν. ἢν δὲ ἀσθενέστεροι φησὶν εἶναι δοκῶσιν, ἢ διὰ τὸ πλῆθος τοῦ κατὰ τὴν φλεβοτομίαν ἀφαιρεθέντος αἵματος, ἢ καὶ ἄλλως, ἀντὶ τοῦ καθαίρεσθαι, κλυστῆρι χρῶ διὰ τρίτης ἡμέρας. χαλασθέντος γὰρ τοῦ σώματος ὑπὸ τῆς φλεβοτομίας, ὅσον ὑπολείπεται κατὰ ποιότητα μοχθηρὸν τῶν νοσαζόντων χυμῶν, τοῦτο διὰ τῶν κλυστήρων ἐκκενῶσαι βούλεται. πρόδηλον δέ ἐστι, ὅτι σκοπὸν ἔχει οὐ μόνον ὑπάγειν τὰ περιττώματα τῆς τροφῆς, ἀλλὰ καὶ τὸν πεπονθότα τόπον ἐκκαθαίρειν. τὸ δὲ προσκείμενον ἤδη τῇ τελευτῇ τοῦ λόγου, τὸ, ἢ καὶ λιμοῦ χρήζοι, δῆλον τοῖς μεμνημένοις τῶν ἐν τῷ πρώτῳ μοι βιβλίῳ διδαχθέντων.

Φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμάτων ἀπολήψει, φρενῶν ἐντάσιες, ἢ πνευμάτων περιτάσιες, ὀρθοπνοίης ξηρῆς, οἷσι μὴ πύον ὕπεστιν, ἀλλ' ὑπὸ πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ἐπιγίνεται. μάλιστα δὲ καὶ ἥπατος περιωδυνίαι,

καὶ ἁπλῶς βάρεα, καὶ ἄλλαι φλεγμασίαι τε, καὶ ὑπὲρ φρενῶν περιωδυνίαι τε καὶ ξυστροφαὶ νοσημάτων, ἀδύνανται λύεσθαι, ἤν τις πρότερον ἐπιχειρέῃ φαρμακεύειν, ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονική ἐστιν. ἔπειτα δὲ ἐπὶ κλυσμῶν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νόσημα ᾖ. εἰ δὲ μὴ, καὶ ὕστερον φαρμακείης δεῖ. δέεται δὲ καὶ ἀσφαλείης καὶ μετριότητος μετὰ φλεβοτομίην φαρμακείη.

Κατάλογός ἐστι νοσημάτων, φλεβοτομίας μὲν πρότερον, ἐπ' αὐτῆς δὲ καθάρσεως δεομένων, ὧν πρῶτον ἁπάντων γέγραπται φλεγμαίνοντα ὑποχόνδρια, ὃ κατὰ τὸ τοῦ Ἱπποκράτους ἔθος ἄκουε τῆς φλεγμαίνοντα φωνῆς, σημαινούσης πάντα τὰ φλογώδη, καὶ θερμὰ δηλοῦντα τῶν νοσημάτων, ἐρυσιπέλατα, ἕρπητες, ἄνθρακες, αὐταὶ αἱ ἰδίως ὀνομαζόμεναι φλεγμοναί. ἁπάντων δὲ οἱ νεώτεροι τῶν ἰατρῶν, καθ' ἑνὸς εἴδους τῶν φλεγμαινόντων σωμάτων, μεταφέρουσι τὸ πάλαι ἁπάντων κοινὸν ὄνομα, καὶ καλοῦσιν οὕτως μόνον ἐκεῖνον τὸν ὄγκον ὃς ἀντίτυπός τε καὶ ὀδυνηρός ἐστι, μετὰ θερμασίας πολλῆς. ὄντων δὲ καὶ ἄλλων ὄγκων παρὰ φύσιν, οἷον τοῦ τε σκίρρου καὶ τοῦ καλουμένου παρὰ τοῖς νεωτέροις ἰατροῖς οἰδήματος. ἦν γὰρ καὶ τοῦτο πάλαι κοινὸν ὄνομα πάντων τῶν παρὰ φύσιν ὄγκων, ἔτι δὲ καὶ τῆς ἐμπνευματώσεως. εἴρηται μὲν ἡμῖν ἑτέρωθι δι' ἑνὸς βιβλίου περὶ τῶν παρὰ φύσιν ὄγκων. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ καθάπερ τὰ ἄλλα διὰ κεφαλαίων, καὶ τοῦτο εἴρηται. σκίρρος μὲν ὁ ἀντίτυπος ὄγκος καὶ ἀνώδυνος. ἡ δὲ πνευμάτωσις γίνεται διττῶς, ἤτοι κατά τινας αἰσθητὰς κοιλότητας ἀθροιζομένου πνεύματος φυσώδους, ἢ λόγῳ θεωρητάς. ἐνίοτε γοῦν τινων ὄγκους παρὰ φύσιν ἐν μυσὶν ἐτέμομεν, ὡς ἐν βάθει πύον εὑρήσοντες, εἶθ' εὕρομεν οὐδὲν ἄλλο πλὴν πνεύματος ἐν ἁπάσῃ τῇ σαρκὶ κατὰ μικρὰ παρεσπαρμένου. καὶ μέντοι καὶ θρόμβους ἐνίοτε μόνους οἱ οὕτω τέμνοντες, ἢ γλίσχρον ὑγρὸν εὗρον, ἢ μυξῶδες. ἀλλ' ἐπὶ τῶν τοιούτων ὁ ὄγκος κατὰ τὸν θρόμβον, ἢ τὴν μύξαν ἦν, ὡσαύτως φαινομένης διακεῖσθαι τῆς σαρκός. τὸ δὲ πνεῦμα κατὰ βραχὺ ἐστι διεσπαρμένον ἐν ταύτῃ. κατὰ τοίνυν τὴν προκειμένην ἐν τῷ λόγῳ ῥῆσιν, τὰ φλεγμαίνοντα ὑποχόνδρια φαίνεταί μοι μὴ κατὰ τὸ σύνηθες Ἱπποκράτει σημαινόμενον εἰρῆσθαι. τίνα γὰρ ἕξει νοῦν τὸ προσκείμενον αὐτῇ, μὴ πνευμάτων ἀπολήψει, τῆς φλογώδους θερμασίας ἐν ὑποχονδρίοις, αὖτε μετὰ πνεύματος ᾖ, αὖ τε μὴ, τὴν αὐτὴν ἔνδειξιν ἐχούσης. οὐ μὴν οὐδ' οὕτως ἔοικεν εἰπεῖν, ὡς ἐπὶ συνόδου λέγεσθαι φλογώσεώς τε καὶ πνευμάτων ἀπολήψεως γινομένων, ὅπερ ἐστὶ ψεῦδος. οὐδέποτε γὰρ ἡ τοῦ πνεύματος ἀπόληψις ὑποφέρει φλογώδη διάθεσιν ἐν ὑποχονδρίῳ. ἔοικεν οὖν ὁ γράψας ταῦτα φλεγμαίνοντα λέγειν ὑποχόνδρια τὰ εἰς ὄγκον ἠρμένα. τούτοις ἐφεξῆς ἐμνημόνευσε, φρενῶν ἐντάσεως, εἶτα πνευμάτων προτάσεως. ἡ μὲν οὖν τῶν φρενῶν ἔντασις, εὔδηλός ἐστι. τὰ δὲ προτεταμένα πνεύματα ἔοικε λέγειν, τὰ οἷον ἐγκοπτόμενα, περὶ ὧν ἐν τῷ προτέρῳ μέρει τοῦ βιβλίου τοῦδε γέγραπται, πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορᾷ, καὶ λέλεκται περὶ αὐτοῦ κατὰ τὴν ἐξήγησιν ἐκείνης τῆς λέξεως. ξηρὰν δὲ ὀρθόπνοιαν εἴρηκεν τὴν χωρὶς πτυσμάτων, ἢ αὐτῆς βήξεως, ἰσχυρὰν οὕτω δύσπνοιαν, ὡς μὴ φέρειν τὴν κατάκλισιν, ἀλλὰ πνίγεσθαι, περὶ ἧς ἔμαθες ὡς ὑπὸ στενοχωρίας γίγνοιτο τῶν κατὰ τὸν πνεύμονα κοιλιῶν τοῦ πνεύματος, αἵ τινες τούτοις πάσχουσι κατακειμένων μὲν μᾶλλον, ἑστώτων δ' ἧττον, ἀνακαθημένων γε δηλονότι πάντων ὀρθῶς τῶν κατὰ τὸν θώρακα, διὸ καὶ καλεῖται ὀρθόπνοια. γιγνομένης δ' αὐτῆς ἐνίοτε μὲν διὰ φλεγμονὴν τοῦ σπλάγχνου, καθάπερ ἐν ταῖς περιπνευμονίαις, ἐνίοτε δὲ τῶν βρόγχων πεπληρωμένων, φλεβοτομίας δεῖσθαί φησι τοὺς ὀρθόπνοιαν πάσχοντας, οἷς μὴ πύον ἤθροισται. πρόδηλον γὰρ ὡς ἐκεῖνοι κενωθῆναι χρῄζουσι τὸ πύον, τοὺς δ' ὑπὸ πνεύματος ἀπολήψεως, ὅπερ ἐστὶ στενοχωρουμένου τοῦ πνεύμονος, ταῦτα πάσχοντας, φλεβοτομητέον ἐστίν. ὡσαύτως δὲ καὶ ἥπατος περιωδυνίας, καὶ σπληνὸς, καὶ τὰς ἄλλας ἁπάσας φλεγμασίας ὀνίνησιν ἡ φλεβοτομία καὶ συμπάσας τὰς συστροφὰς τῶν νοσημάτων. εἰκὸς δ' ἐστὶ συστροφὰς εἰρῆσθαι νοσημάτων ὑπ' αὐτοῦ, τὰς ὑπὸ τοῖς ὀγκουμένοις μορίοις γιγνομένας. ἀκούω γὰρ καὶ νῦν πολλῶν ὀνομαζόντων οὕτως, ἐπὶ τῆς ἡμετέρας Ἀσίας πάντας τοὺς παρὰ φύσιν ὄγκους. ὑπὲρ τούτων γὰρ ἀπαγορεύεσθαι, δεῖ καθαίρειν πρὸ τοῦ φλεβοτομῆσαι, καίτοι τοῦτον τὸν λογισμὸν ἐφεξῆς αὐτὸς ἐρεῖ κατὰ τήνδε τὴν ῥῆσιν.

Ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος, οὐδὲν ἀφαιρέουσιν. οὐ γὰρ ἐνδιδοῖ, ὠμὸν ἐὸν τὸ πάθος. τὰ δ' ἀντέχοντα τῷ νοσήματι, καὶ ὑγιέα συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γιγνομένου, τὸ νόσημα ἐπικρατέει. ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσει τοῦ σώματος, τὸ τοιόνδε ἀνιήτως ἔχει.

Ἐν τῷ πέπονα φαρμακεύειν καὶ κινεῖν, προεξήγημαι τὸν ἀφορισμὸν τοῦτον. ἐν τοῖς αὐτοῖς συμπτώμασιν οἷσπερ καὶ νῦν, ὀρθῶς ἐπὶ φλεβοτομίαν ἥκειν ἀξιοῖ πρότερον, ὅταν τινὲς χυμοὶ μοχθηροὶ συρρέωσί τε καὶ ἀθροίζωνται κατά τι μόριον ὅ, πως, ὡς ἔφην, συστρέφεσθαι λέγεται ἐν τῷδε τῷ μορίῳ. τὸ δ' ἐπὶ τῷ τέλει τῆς προγεγραμμένης ῥήσεως, ἔνιοι ποιοῦσιν ἀδιάγνωστον οὐκ ὀρθῶς γράφοντες, τὸ τῆς φαρμακείας ὄνομα κατὰ τὴν τελευτὴν εἰρηκότος τοῦ συγγραφέως, ἀσφαλείας μὲν καὶ μετριότητος δεῖσθαι φλεβοτομίαν μετὰ φαρμακείην, τὴν καλουμένην αἰτιατικὴν πτῶσιν, αὐτοὶ γενικῆς ποιοῦντες. ἐν ὅλῃ γὰρ τῇ ῥήσει, τουτέστιν αὐτὸ τὸ συμβουλευόμενον, ἐπὶ φλεβοτομίαν ἥκειν πρότερον, εἶθ' ἑξῆς ἐπὶ φαρμακείαν, οὐχὶ τοὐναντίον ὡς ἐκεῖνοι γράφουσιν, ὑπὲρ φαρμακείαν πρότερον παραληφθεῖσαν, εἶθ' οὕτως ἐπὶ φλεβοτομίαν ἀφικέσθαι. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα τοῖς γε προσεσχηκόσι ἀκριβῶς τὸν νοῦν οἷς εἴρηκα.

Τὸ δὲ ἀφώνους ἐξαίφνης γίνεσθαι φλεβῶν ἀπολήψιες ποιέουσιν, ἢν ὑγιαίνοντι τόδε ξυμβῇ ἄνευ προφάσιος, ἢ ἄλλης αἰτίης ἰσχυρῆς.

Ἀπολήψεις φλεβῶν ὠνόμασεν τὰς πληρώσεις τῶν φλεβῶν ὑπὸ πλήθους γινομένας. ὅταν οὖν αὗται ὑπερπληρωθῶσι, βαρυνθῆναί τε τὴν δύναμιν, ἀνάγκη καὶ ἐς κίνδυνον ἀφικέσθαι τὴν ἔμφυτον θερμασίαν τοῦ ἀποσβε-

ωδίνας, πνιγμῷ τι παραπλήσιον πάσχουσαν ὑπὸ τοῦ πλήθους. ἐπιληψίαι τε γὰρ καὶ ἀποπληξίαι καὶ καρδιακαὶ συγκοπαὶ γίγνονται. διὰ γὰρ ἑνὸς συμπτώματος κοινοῦ τῆς ἀφωνίας, τὰ τοιαῦτα συμπτώματα ἐδήλωσε. προσέθηκε δὲ τῷ λόγῳ, τὸ, ἢν ὑγιαίνοντι τοῦτο συμβῇ, ἄνευ προφάσιος ἢ ἄλλης αἰτίας ἰσχυρᾶς. πρόφασιν μὲν λέγω τὴν φανερὰν αἰτίαν, ὡς εἰ καὶ παλαίων τις ἢ παγκρατιάζων ἐκ περιθέσεως τῶν πήχεων εἰς κίνδυνον περιαχθείη τοῦ πνιγῆναι. αἰτίαν δ' ἄλλην ἰσχυρὰν οἷα τοῖς ἐκπληττομένοις διὰ φόβον, ἢ λύπην μεγίστην γίνεται. ἐπὶ δὲ τῶν νοσούντων ἡ ἀφωνία γενέσθαι δύναται, καὶ αὐτῶν μόνων ἐνίοτε τῶν φωνητικῶν ὀργάνων βεβλαμμένων, ἢ καὶ τῶν ἀναπνευστικῶν. δύναται δ' αὖ καὶ διὰ ἔκλυσιν τινὰ πρόσφατον, καὶ κάκωσιν τῆς δυνάμεως. ἀλλὰ τῶν τοιούτων ἀφωνιῶν διορίζόμενος τὴν ἐν τῷ λόγῳ προκειμένην, διὰ τοῦτο προσέθηκεν, ἢν ὑγιαίνοντι συμβαίνῃ.

Φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν τὴν ἔσω φλέβα.

Τάχιστα καὶ πλεῖστον ἐκ τῶν κυριωτάτων μορίων ἡ φλὲψ αὕτη κενοῖ τὸ σῶμα, καὶ διὰ τοῦτ' ἐπ' αὐτὴν ἀφικνεῖται ἐν τοῖς ὀξυτάτοις νοσήμασιν.

Καὶ ἀφαιρέειν τοῦ αἵματος κατὰ τὴν ἕξιν, καὶ τὴν ἡλικίην διαλογιζόμενος τὸ πλέον καὶ τὸ ἔλασσον.

Ἔμπροσθεν μὲν ὁπότε τοὺς σκοποὺς τῆς φλεβοτομίας ἔλεγεν, τὴν ἕξιν τοῦ σώματος παρέλειπε, νυνὶ δὲ τὴν δύναμιν οὐκ εἶπεν. οἴονται δέ τινες ἀντὶ τοῦ τῆς δυνάμεως ὀνόματος, τὸ τῆς ἕξεως εἰρῆσθαι. καθ' ἑνὸς ἀμφότερα λεγόμενα πράγματος, οὐκ ὀρθῶς ὑπολαμβανόντων. τὴν μὲν γὰρ ἕξιν ἐπὶ τὴν τοῦ σώματος σύστασιν φερόντων λέγομεν, ὅταν ὁ μέν τις ᾖ μαλακὸς, ὁ δὲ σκληρὸς, τὴν δ' ἰσχὺν τῆς δυνάμεως, τῇ τῶν ἐνεργειῶν σφοδρότητι γνωρίζομεν, ὥστε δύο τε εἰσὶν οὗτοι σκοποὶ, τὴν μὲν ἔνδειξιν τοῦ κενοῦν ἐκ τοῦ κοινοῦ ὄντως ἔχοντες, ἀλλήλων δὲ διαφερόντων, ὥσπερ γε καὶ ἀπὸ τῆς ἡλικίας. ἐγχωρεῖ δὲ μᾶλλον εἰς τὴν τοῦ σώματος ἕξιν ἀναφέρειν τὴν ἡλικίαν, οὐ τὴν δύναμιν. καὶ γὰρ τὰ παιδία διὰ μαλακότητα τῆς ἕξεως, οὐ διαφέροντά γε εἰσὶ, καὶ οἱ πρεσβύτεροι διὰ ξηρότητα καὶ ψυχρότητα διαδιαφέρονται, καὶ δύναταί τις λέγειν, ἀρκεῖσθαι τρισὶ τούτοις σκοποῖς τῆς φλεβοτομίας, ἔκ τε τοῦ κατὰ τὸ θεραπευόμενον πάθος μεγέθους ἔνδειξιν λαμβανόντων ἡμῶν, ἔκ τε τῆς ἕξεως καὶ τῆς δυνάμεως. εἴρηται δὲ ἔμπροσθεν ὅτι καὶ τὸ περιέχον ὅπως ἔχει κράσεως, ἐπισκοπεῖσθαι χρή.

Ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτέων τοιάδε, ἐρυθήματα προσώπου, καὶ ὀμμάτων στάσιες, καὶ διαστάσιες χειρῶν, τρισμοὶ ὀδόντων, σφυγμοὶ, σιαγόνων συναγωγὴ, καὶ καταψύξιες ἀκρωτηρίων, πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας.

Τῶν ἐφεξῆς συμπιπτόντων, τὰ προγεγραμμένα προσώπου μόνου ἐρυθήματα, πλῆθος αἱματικὸν ἐνδείκνυται. στάσις ὀμμάτων, τουτέστιν ἀκινησία, καὶ διαστάσιες χειρῶν, βεβλάφθαι μὲν καὶ αὐτὰς συμβαίνει, διὰ τὴν ἀρχὴν τῶν νεύρων, ἀλλ' ἕτερον τρόπον τῆς στάσεως τῶν ὀφθαλμῶν. αὕτη μὲν γὰρ οἷον νάρκην τινὰ περὶ τὰς ἐνεργείας δηλοῖ περὶ τὴν ἀρχὴν τῶν νεύρων. αἱ δὲ διαστάσεις τῶν χειρῶν, καὶ οἱ τρισμοὶ τῶν ὀδόντων οὐ δι' ἡσυχίαν, οὐδὲ δι' ἀκινησίαν τῆς ἀρχῆς, ἀλλὰ διὰ πλημμελῆ γίνονται κίνησιν. οἱ δὲ σφυγμοὶ τί ποτε δηλοῦσιν, οὐ πάντῃ δῆλον ἐστὶν, ἐπειδὴ περὶ τῶν ἐν τοῖς φλεγμαίνουσι μορίοις ὀδυνηρῶν κινήσεων ἐπέφερον οἱ παλαιοὶ τοὔνομα, καὶ περὶ τῶν παλμῶν, καὶ προσέτι καὶ ταύτης τῆς ἐν ταῖς ἀρτηρίαις σφοδρᾶς κινήσεως. ἡ δὲ τῶν σιαγόνων συναγωγὴ, σπασμῶδες ἐστὶ σύμπτωμα, καὶ ἡ τῶν χειρῶν διάστασις, καὶ οἱ τρισμοὶ τῶν ὀδόντων. ἥ γε μὴν τῶν ἀκρωτηρίων ψύξις ἐν τοῖς τοιούτοις πάθεσιν ὑπὸ τοῦ πλήθους τῶν χυμῶν βαρυνέσθαι δηλοῖ τὴν ἔμφυτον θερμότητα. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας, εἰκός ἐστιν ἐπὶ τῆς ἀσφυξίας λέγεσθαι. φλέβας γὰρ ἐκάλουν οἱ παλαιοὶ τὰς ἀρτηρίας. ἀπολήψεις οὖν πνευμάτων τὰς οἷον κατακλείσεις τε καὶ ἡσυχίας δυνατὸν λέγειν. ἔνιοι δὲ δευτέρας ῥήσεως ἑτέραν ἐχούσης διάνοιαν, ἀρχὴν τίθενται ταύτην τὴν λέξιν, ἣ συνάπτουσι τὴν ἐφεξῆς γεγραμμένην.

Ὁκόταν ἀλγήματα προσγένηται, μελαίνης χολῆς, καὶ δριμέων ῥευμάτων ἐπιρρύσιες γίνονται. ἀλγέει δὲ τὰ ἐντὸς δακνόμενα. δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες, ἐντείνονταί τε καὶ φλεγμαίνουσαι, ἐπισπῶνται τὰ ἐπιρρέοντα, ὅθεν διαφθειρομένου τοῦ αἵματος, καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, καταψύξιες γίνονται ὑπὸ τῆς στάσεως, καὶ σκοτώσιες, καὶ ἀφωνίη, καὶ καρηβαρίη, καὶ σπασμοὶ, ἢν ἤδη ἐπὶ τὴν καρδίην, ἢ τὸ ἧπαρ, ἢ ἐπὶ τὴν φλέβα ἔλθῃ. ἔνθεν ἐπίληπτοι γίνονται, ἢ παραπληγίη, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα, καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι καταξηρανθῇ.

Ἐκ ταὐτοῦ τοῦ γένους τῶν προειρημένων λόγων, καὶ ὁ νῦν ἐστι, καὶ ἔνιοι τοῦτον ἐκείνοις συνάπτουσι. καὶ διὰ τοῦτο, καὶ ἡ γραφὴ διττὴ τοῦ, προσγένηται, ῥήματος εὑρίσκεται, τῶν μὲν συναπτόντων τὸν ἐνεστῶτα λόγον τῷ προειρημένῳ, τὴν πρὸς συλλαβὴν γραφόντων μετὰ τοῦ σ στοιχείου. τῶν δὲ μὴ συναπτόντων, διὰ τῆς προ, χωρὶς τοῦ σίγμα. τὸ δὲ λεγόμενον ἐστὶ τοιοῦτον. ἡ τῶν ἀλγημάτων κίνησις εἴωθε κινεῖν ἐπιρροὴν ὑγρῶν, ἐπὶ τὸ τὴν ὀδύνην ἔχον μόριον. ὅταν οὖν κακοχυμότερον ᾖ τὸ σῶμα, μελαίνης τε χολῆς καὶ δριμέων ἄλλων χυμῶν ἐπιρρύσεις γίνονται, δι' ἃς ἔτι καὶ μᾶλλον ἀλγεῖ τε ὁ κάμνων, καὶ δάκνεται τὰ ἔνδον. ὑπὸ δὲ τῶν εἰρημένων χυμῶν, αἱ ἐν τῷ πεπονθότι μορίῳ φλέβες ἀνιῶνται δακνόμεναι, καὶ τοῦτο αὐτὸ ἕτερον γίγνεται αἴτιον ἐναντίον. πληρωθέντος γὰρ τοῦ πάσχοντος μέρους ὑπὸ τῶν τοιούτων ῥευμάτων, διαφθείρεται μὲν αὐτὸ τὸ αἷμα πρῶτον, ἐπιπληροῦνται δὲ τὰ ἀγγεῖα, καὶ τοῦτο πά-

σας ἐν αὐτῷ τὰς τῶν πνευμάτων διεξόδους κωλύει. σαφῶς γὰρ τοῦτό γε αὐτὸς ἐδήλωσεν, εἰπὼν τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, ὅπερ ὀλίγον ἔμπροσθεν ἐκάλεσεν πνευμάτων ἀπόληψιν. ὅταν δὲ ἐστὶ τὸ αἷμα, καὶ σὺν αὐτῷ δηλονότι τὸ πνεῦμα, καταψύξεις γίνονται, σκοτώσεις, ἀφωνίαι, καρηβαρίαι, καὶ σπασμοί. τούτοις δ' ἕπονται καὶ παραπληξίαι τε καὶ ἐπιληψίαι, ὅταν εἰς τοὺς περιέχοντας τόπους τὰς πληρωθείσας φλέβας ἐμπέσῃ τὰ ῥεύματα. τόπους δὲ εἴρηκε δηλονότι τὰ μόρια τοῦ σώματος, ἃ προσέγραψεν αὐτὸς, καρδίαν καὶ ἧπαρ καὶ φλέβα τὴν συνάπτουσαν δηλονότι τὰ εἰρημένα σπλάγχνα, τὴν κοίλην ὕστερον ὑπὸ τῶν ἰατρῶν ὀνομασθεῖσαν, ἐπειδὴ τῶν κατὰ τὸ σῶμα τοῦ ζώου φλεβῶν ἐστὶν εὐρυτάτη. εἰκότως οὖν τὸ ἐν τούτοις τοῖς τόποις αἷμα διὰ τὸ πεπληρῶσθαι τὰς φλέβας οὐκ ἐπιτρέπει τὸ διεξέρχεσθαι τὸ πνεῦμα, ἀλλὰ καθάπερ ἐν νεκρῷ τῷ σώματι πήγνυται. τοῦτο δὲ καὶ αὐτὸς ὁ συγγραφεὺς ἐδήλωσε, τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι καταξηρανθῆ. κυριώτερον δ' ἦν εἰπεῖν ὑπὸ τῶν, πήγνυται μὲν γὰρ δὴ καὶ τὰ ξηραινόμενα, καὶ τὰ ψυχόμενα. νυνὶ δὲ οὐ διὰ τὸ ξηραίνεσθαι πήγνυται τὸ αἷμα, καὶ οἱ ἐπιρρυέντες εἰς αὐτὸ μοχθηροὶ χυμοί. ἐπερχομένων γὰρ αὐτῶν, ἄσηπτόν τε ἅμα καὶ κεχυμένον ἐν τῷ κατὰ φύσιν ἔχειν ἐργάζονται τὸ σύμπαν αἷμα. πάντως οὖν αὐτῶν καὶ τὸ σύμφυτον θερμὸν ἀποβαλλόντων καὶ σβεννυμένων, ἡ πῆξις τοῦ αἵματος ὡς ἐν νεκρῷ τῷ σώματι γίγνεται. φλεβοτομηθέντων οὖν αὐτῶν τῶν οὕτως καμνόντων, ψυχρὸν καὶ παχὺ, καὶ μόγις ἐκρέον τῶν φλεβῶν, ὁρᾶται τὸ αἷμα διά γε τὴν ψύξιν ταύτην. ἐνίοτε δὲ δι' ὅλου γίγνονται τοῦ σώματος οἱ σπασμοὶ, καὶ πρὸς ἀγαθοῦ γε καὶ συμφέρουσιν ἐστὶν ὅτε. κλονοῦντες γὰρ ὅλον τὸ σῶμα, πάντα τὰ μόρια θερμαίνουσιν, ὥστε τὸ μὲν διαφορεῖσθαι τοῦ πλήθους, τὸ δὲ ὠθεῖσθαι πρός τινα τῶν ἀκυρωτέρων μορίων ἐν οἷς ὅταν δυσλύτως σφηνωθῇ, τὴν παραπληξίαν ἐργάζεται. δέδεικται γὰρ ὡς οὕτως ὁ Ἱπποκράτης ὀνομάζει τὰς ἐξ ἀποπληξίας, ἢ ἐπιληψίας εἴς τινα τῶν ἀκυρωτέρων μορίων ἀποσκηψάσας παραλύσεις. ἐνίοτε καὶ χωρὶς σπασμοῦ τῆς ἀποπληξίας γενομένης, εἰς μορίου παράλυσιν ἐνίοις ἐτελεύτησε τὸ πάθος, ὃ παραπληξία καλεῖται. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

Ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας, φλεβοτομέειν ἀρχῇσιν εὐθέως, μετεώρων ἐόντων πάντων τῶν λυπεόντων πνευμάτων καὶ ῥευμάτων, εὐβοηθότερα γάρ ἐστι.

Προπυριᾶν δεῖ τοὺς οὕτως ἔχοντας, ἐπειδὴ πέπηγεν ἐν αὐτοῖς τὸ αἷμα καὶ δυσρουῦ ἐστιν, ἀλλ' ἐπειδὴ καὶ τριβή τις ἐν τῷ προπυριᾶν γίγνεται, κάλλιον πράττειν, ὅπερ ἡμᾶς ἐγράψαμεν ἀεὶ, τέμνειν αὐτίκα τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔνδον. οὐ γὰρ ἀεὶ πεπηγὸς οὕτως ὡς μὴ δύνασθαι ῥεῖν εὑρίσκεται τὸ αἷμα. τρίβειν δ' ἐν αὐτῷ τῷ χρόνῳ διὰ πολλῶν ἀνθρώπων ἅπαντα τοῦ σώματος τὰ μόρια, κἂν μὲν ῥυῇ σύμμετρον, αὖθις τρίψαντα πάλιν ἐπαφαιρεῖν. εἰ δὲ μὴ, τρίβειν τε καὶ πυριᾶν, ἄχρις ἂν ῥέῃ. ἔνθα δ' εἰς παραπληξίαν κατέσκηψε τὸ πάθος, ἐγχωρεῖ τρίβειν ἐν χρόνῳ βραχεῖ καὶ πυριᾶν, καὶ τρίβειν αὖθις, καὶ πυριᾶν μέχρις ἂν τάχιστα παυθῇ ταῦτα, ἔτι μετεώρων ὄντων τῶν πνευμάτων, καὶ κενωθῆναι μὴ δυσλύτων.

Καὶ ἀναλαμβάνοντα, καὶ τὰς κρίσιας ἐπιθεωρέοντα φαρμακεύειν, ἢν μὴ κουφίζηται ἄνω. τὴν δὲ κάτω κοιλίην, ἢν μὴ ὑποχωρέῃ κλυσμῷ, ὄνου γάλα ἑφθὸν διδοὺς, καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτύλων. ἢν δὲ ῥώμη περιέχῃ, πλεῖον ἑξκαίδεκα.

Μετὰ τὴν ἐκ φλεβοτομίας κένωσιν, ἀνακτᾶσθαι κελεύει καὶ ῥωννύναι τὸν ἄνθρωπον, ὅπως εἰ μηδὲν φαίνοιτο κεκουφισμένος, ἐπὶ κάθαρσιν ἀχθῇ, τὴν διὰ τῶν ἄνω μορίων, ὅπερ ἐστὶ τὴν δι' ἐμέτων. παραλέλοιπεν δ' εἰπεῖν ὀνομαστὶ τὸ καθαρτικὸν φάρμακον, οὐδ' ἐνέφηνε μίαν ποιησάμενος αὐτοῦ τὴν ἔκλεξιν. εὔδηλον γὰρ ὅτι πρὸς τὸ τοῦ νοσήματος μέγεθος, καὶ τῆς δυνάμεως τὴν ῥώμην ἀποβλέποντες, ἢ τὸν λευκὸν ἐλλέβορον, ἤ τι τῶν ἄλλων τῶν τὸν ἔμετον κινούντων, δώσομεν. τὰ δὲ περὶ τῆς κάτω κοιλίας εἰρημένα, πρόδηλα. μὴ θαυμάσῃς δὲ τὸ πλῆθος τοῦ γάλακτος. οὕτω γὰρ πᾶσι τοῖς παλαιοῖς ἦν συνήθες. εἴρηται δὲ ἐν τοῖς ἔμπροσθεν, ὅτι διὰ ὑγρότητα δίδωσιν ὄνου γάλα, καὶ πρὸς τοῖς ἄλλοις οὐδέ ἐστι πηγνύμενον ὅταν ποθῇ, καθάπερ τὰ παχέα. προσμιγνύναι δ' αὐτῷ μέλιτός τε καὶ ἁλῶν προσήκει.

Συνάγχος δὲ γίνεται ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πολὺ, καὶ χολῶδες ὥρην χειμερινὴν, ἢ ἐαρινὴν ἐς τὰς σφαγίτιδας φλέβας ἐπιρρυῇ, καὶ τὸ πνεῦμα πλεῖον διὰ τὴν εὐρύτητα ἐπισπάσωνται. ὅταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες, ἐμφράξῃ τοῦ τε πνεύματος τὰς διεξόδους, καὶ τοῦ αἵματος ἀποφράξασα, πήγνυσι τὰς συνεγγὺς τοῦ αἵματος, καὶ ἀκίνητον καὶ στάσιμον ποιεῖ, φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν. διὰ τοῦτο πνίγονται, τῆς γλώττης ἀποπελιουμένης, καὶ στρογγυλουμένης, καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας, τὰς ὑπὸ τὴν γλῶσσαν. τῆς γὰρ ὑποτεμνομένης σταφυλῆς, οἱ δὲ κιονίδα καλέουσιν, ἑκατέρωθεν φλὲψ παχεῖα. ὁκόταν οὖν πλήρεες αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται, ἀραιὴν ἐοῦσαν καὶ σπογγώδεα διά γε τὴν ξηρασίην. ἡ δ' ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν, ἐκ πλατείης μὲν στρογγύλη γίνεται, ἐξ εὔχροου δὲ πελιδνὴ, ἐκ μαλθακῆς δὲ σκληρὴ, ἐξ εὐκάμπτου δὲ ἄκαμπτος, ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ταχέως βοηθῇ, φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων, καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτεμὼν, καὶ φαρμακεύων τοῖσιν ἐλικτοῖσι, καὶ ἀνα

γαργαρίζειν θερμοῖσι, καὶ κεφαλὴν ὑποξυρᾶν, καὶ κήρωμα τραχήλῳ, καὶ κεφαλῇ περιτιθέναι, καὶ ἐρίοισι περιελίσσειν, καὶ σπόγγοισι μαλθακοῖσιν ἐν ὕδατι θερμῷ ἐκπιέζοντα πυριᾶν, πίνειν τε ὕδωρ καὶ μελίκρητον μὴ ψυχρά. χυλὸν δὲ προσφέρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ.

Εἴτε συνάγχην ἐθέλοις λέγειν, εἴτε κυνάγχην, ἢ τὸ μὲν ἕτερον αὐτῶν συνάγχην, τὸ δ' ἕτερον κυνάγχην, εἴτε συνάγχην ἄμφω καλέσειας, εἰδέναι δεῖ δύο λόγους εἶναι κυνάγχης. πρὸς γὰρ τὴν θεραπείαν οὐδὲν τῶν ὀνομάτων δεόμεθα. εἴωθε γὰρ διδάσκειν αὐτὴν ἄμεινον μακρῷ, τῶν ἐν τοῖς ὀνόμασι θεραπευομένων. ὑπογράψω δέ σοι διὰ βραχέος λόγου τὴν τῆς τοιαύτης διδασκαλίας ἰδέαν, ἀρχὴν τήνδε ποιησάμενος. τῶν ἐκ τῆς κεφαλῆς καταφερομένων ῥευμάτων, ἔνια μέν ἐστι λεπτὰ κατὰ τὴν σύστασιν, ἔνια δ' ἐκ παχέων καὶ γλίσχρων χυμῶν. ὅσα μὲν οὖν τῶν λεπτῶν ἐστι, διεξερχόμενα τὰς εὐρείας φλέβας ἐπὶ ταῖς στενοτέραις ἴσχεται. τοιαῦται δ' εἰσὶ αἱ κατὰ τὸν λάρυγγα. τὸ δ' ἐναντίον ἐπὶ τῶν παχέων συμβαίνει, τῷ μὴ ἐνδύεσθαι πάσαις ταῖς λίαν στεναῖς φλεψὶ, φθανόντων δὲ κατὰ τὰς εὐρυχώρους αὐτῶν ἴσχεσθαι. ἐμφραττομένων οὖν τῶν τοιούτων χυμῶν ἐν ταῖς κατὰ τὴν φάρυγγα φλεψὶν, ἐπ' ὄγκον αἴρεται τὸ μόριον, ὥσπερ ὁ λάρυγξ ἐπὶ τοῖς ἑτέροις, ἅτε δὴ παμπόλλῳ στενῶν ὄντων τῶν τοῦ λάρυγγος, ἢ τοῦ φάρυγγος. ἔστι δὲ χρὴ ἀπέριττον τὸ πᾶν σῶμα, καὶ μὴ πληθωρικὸν δυοῖν ἕνεκα, τῆς τε πρὸς τὸ κενοῦν ἀντισπάσεως, καὶ διότι κενωθέντος, ἐπὰν ἀποκρουόμεθα τῶν πεπονθότων τόπων τὸ ἐπιῤῥέον, ὑποδέξεται ῥᾳδίως, εἴτε διαφορεῖν ἐθέλοιμεν θερμαίνοντες, οὐδὲν τῷ θερμαινομένῳ τόπῳ χορηγήσει. τὸ μὲν οὖν ὅλον σῶμα χρὴ κενοῦσθαι διὰ φλεβοτομίας, καὶ καθάρσεως, καὶ κλυστήρων. αὐτὰ δὲ τὰ πάσχοντα μόρια διὰ μὲν τῶν στυφόντων φαρμάκων, ἀποκρουομένων τούς τε παραῤῥέοντας χυμοὺς, καὶ τῶν ἐστηριγμένων ὅσοι γε μὴ σφοδρῶς εἰσιν ἐμπεφραγμένοι, καὶ πάνυ γλίσχροι καὶ παχεῖς, διά τε τῶν θερμῶν καὶ δριμέων διαφορούντων, τοὺς κατὰ τὰ πεπονθότα μόρια περιεχομένους χυμούς. ἄνευ δὲ φαρμάκων, αἱ ὑπὸ τὴν γλῶτταν φλέβες τεμνόμεναι, τὴν ἐν τῇ φάρυγγι φλεγμονὴν ἐκκενοῦσιν. ἐπεὶ δὲ τῶν χυμῶν ἔνιοι παχεῖς εἰσι καὶ γλίσχροι, πολὺ δριμυτέρων τούτοις ἐστὶ φαρμάκων χρεία, τέμνειν δηλονότι καὶ διαιρεῖν εἰς λεπτὰ, καὶ καταθραύειν τὰ γλίσχρα, καὶ τὰ παχέα δυναμένων. καὶ πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ἀντισπᾶν χρὴ τοὺς χυμοὺς, περιτιθέντας τῷ τραχήλῳ φάρμακα δύναμιν ἔχοντα ἑλκτικήν. βέλτιον γὰρ τὰ κατὰ τὸ δέρμα μᾶλλον, ἢ τὸ βάθος πάσχειν τοῦ τραχήλου, διότι τὸ μὲν πνεῦμα, κατὰ μὲν τὰς εἰσπνοὰς ἐμπίπτει τῇ φάρυγγί τε, καὶ τῷ λάρυγγι κατά τε τὰς ἐκπνοὰς ἔξω δι' αὐτῶν φέρεται. πολλάκις μέντοι τὰ παραγινόμενα εἰς τὰ προειρημένα μόρια ῥεύματα, μεθίστανται πρὸς ἄλλα τινὰ μόρια, τῆς φύσεως ἀποτριβομένης αὐτά. καί ποτε κατ' ἀρχὰς εὐθέως οὕτως ἠνέχθη, ὥστε πάλιν ἄλλας διαφορὰς γίνεσθαι, τοῦ τε κατὰ τὴν φάρυγγα, καὶ κατὰ τὸν λάρυγγα ῥεύματος. εὔδηλον δ' ὅτι τὰ πρὸς τὸ δέρμα χωρήσαντα πολὺ τῶν εἰς τὸ βάθος κατασκηψάντων ἐστὶν εὐιατότερα. κοινὸν δ' ἐπ' ἀμφοτέρων βοήθημα, τῶν τε κατὰ τοῦ τραχήλου, καὶ τῆς κεφαλῆς ἀφ' ἧς ὁρμᾶται τὰ ῥεύματα γιγνέσθω σοι. οὗτος ὁ λόγος ἐδίδαξέ σε τάς τε τῶν συνάγχων ἤδη καὶ τὰς αἰτίας αὐτῶν, καὶ τοὺς πεπονθότας τόπους, καὶ τὰς θεραπείας οὐδὲν δεηθεὶς ὀνομάσαι συνάγχην τε κυνάγχην, ὥσπερ οὐδὲ σύναγχόν τε καὶ κύναγχον. ὁ τοίνυν γράψας τὸ βιβλίον τοῦτο, μηδὲν φροντίζων τῶν ὀνομάτων, ἅπαντα τὰ κατὰ τὴν φάρυγγα, καὶ τὸν λάρυγγα συνιστάμενα πάθη, καὶ στενοχωροῦντα τὴν ἀναπνοὴν ὀνομάσας συνάγχους, δύο φησὶν αὐτῶν ὑπάρχειν εἴδη, τὸ μὲν ἕτερον ὑπὸ κολλώδους τε καὶ ψυχροῦ ῥεύματος γινόμενον, ὅπερ ἐστὶ καλεῖν φλεγματικὸν, τὸ δ' ἕτερον ὑπὸ θερμοῦ καὶ δριμέος, ὅπερ οὖν πάλιν πικρόχολον ὀνομάζων, ἢ χολῶδες ἁπλῶς, οὐκ ἂν ἁμάρτοις. κατασκήπτειν δέ φησι τὸ πρότερον τῶν εἰρημένων ῥευμάτων εἰς τὰς εὐρυτέρας φλέβας, ἐνδεικνύμενος ὅτι καθ' ἕτερον τὸ χολῶδες εἰς τὰς λεπτοτέρας ἀφικνεῖται. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα. δεῖ δὲ προσέχειν οἷς εἶπον τὸν νοῦν. εἰ δὲ μὴ νοήσεις τὴν πρώτην, δὶς καὶ τρὶς ἀναγνοὺς, νοήσεις. ἐγὼ δὲ μεταβήσομαι πρὸς τὸ δεύτερον εἶδος τοῦ συνάγχου.

Ὁκόταν ἐν θερινῇ, ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταῤῥυῇ καὶ νιτρῶδες, ἅτε ὑπὸ τῆς ὥρης δριμὺ, καὶ θερμὸν γεγενημένον, δάκνει δὲ τὸ τοιόνδε ἐὸν, καὶ ἑλκοῖ, καὶ πνεύματος ἐμπίπλησι, καὶ ὀρθόπνοια παραγίνεται, καὶ ξηρασίη πολλὴ, καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται.

Πῶς καὶ διατί; ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. τὸ μὲν γὰρ πρότερον ῥεῦμα τὸ φλεγματικὸν ἐν χειμῶνι καὶ ἦρι κατασκήπτειν ἔφη, τουτὶ δὲ τὸ δεύτερον ἐν μετοπωρινῇ, ἢ ἐν θερινῇ ὥρῃ. ἐπὶ δὲ τῶν ἄλλων ὡρῶν ἀνάλογον, ὡς ἔμπροσθεν εἴρηται. ὀρθόπνοιαν δὲ τούτῳ τῷ εἴδει τῆς συνάγχης προσεῖναι φησὶν, ἥτις ὀρθόπνοια μεγάλης ἐστὶ στενοχωρίας γνώρισμα, κατά τι τῶν ἀναπνευστικῶν μορίων ἐνοχλούσης, ὡς ἔμπροσθεν ἐδείκνυμεν. ἐὰν δὲ κελεύσῃς τούτους διοῖξαι μέγιστον τὸ στόμα, καὶ καταστείλῃς τὴν γλῶτταν ὑπὲρ τοῦ κατασκέψασθαι τὰ κατὰ τὴν φάρυγγα, τοιοῦτον οὐδένα παρὰ φύσιν ὄγκον, οἷον ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις, εὑρήσεις. ἔδειξε δὲ ὁ συγγραφεὺς τοῦτο, διὰ τὸ φάναι καὶ τὰ ὁρώμενα ἰσχνὰ φαίνεται. τὸ γὰρ φλεγμαῖνον ἐν τῷ πόρῳ τῆς φάρυγγος, ἀόρατόν ἐστι. ὅσον δ' ὁρατὸν ἀνοιξάντων, τοῦτο πᾶν ἀφλέγμαντόν τε καὶ ἰσχνὰ τὰ μόρια. τὸ γὰρ ἰσχνὸν, ἐνίοτε λέγεται πρὸς ἀντίθεσιν τῶν παρὰ φύσιν ὀγκουμένων. ἔνιοι δὲ μὴ νοήσαντες τὸ σημαινόμενον ἐκ τῆς ἰσχνὰ φωνῆς ὅπως εἴρηται νῦν, ἐξηγοῦνται τὴν λέξιν γελοίως. τινὲς δὲ καὶ κατασκευάζουσιν, ὥσπερ καὶ οἱ οὕτω γράφοντες, καὶ τὰ ὁρώμενα ἄχροα φαίνεται. τοῖς γε μὴν οὕτω διακειμένοις, ἐνίοτε τοῦ ῥεύματός τι καὶ εἰς τοὺς πλησιάζοντας τῷ λάρυγγι μεθίσταται μῦς, ὄπισθεν αὐτοῦ τεταγμένους ἔνθα καὶ ὁ στόμαχος, ὃς καὶ αὐτὸς συνδιατίθεται πολλάκις. μετὰ τοῦτο γοῦν ἐν τῇ προκειμένῃ ῥήσει καὶ τοῦτο γέγραπται.

Καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται, καὶ δοκέει οἷον τέτανος ἐντετάσθαι.

Τὸ δ᾽ ἐφεξῆς εἰρημένον ἔτι καὶ μᾶλλον ἐνδείκνυται τὸ πεπονθέναι τὸν λάρυγγα. δέδεικται γὰρ ἐν τούτῳ τοῦ ζώου τῷ μορίῳ, τῆς φωνῆς ἡ γένεσις ἀποτελεῖσθαι, διὰ τοῦτο γοῦν ἔφη,

Καὶ ἡ φωνὴ ἀπέῤῥωγε, καὶ τὸ πνεῦμα σμικρόν.

Ἡ μὲν γὰρ φωνὴ παντάπασιν ἀπέῤῥωγε, τουτέστιν ἀπόλλυται, παθόντος ὡς εἴρηται τοῦ λάρυγγος. ἡ δ᾽ ἀναπνοὴ μικρὰ γίγνεται, διὰ τὴν στενοχωρίαν τοῦ πόρου. λέγεται δὲ ἐν τοῖς περὶ δυσπνοίας, ὅτι μακροτέρα τῷ χρόνῳ καὶ τοῖς διαλείμμασι πυκνοτέρα. τοῦτο δ᾽ αὐτὸ ὁ συγγραφεὺς οὕτως ἡρμήνευσεν.

Καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίνεται.

Πνεῦμα, καὶ τὴν μετὰ τὴν εἰσπνοὴν, δευτέραν ἐκπνοὴν, καὶ τὴν μετὰ τὴν ἐκπνοὴν δευτέραν εἰσπνοὴν εἶπεν. ἑκατέρως γὰρ πυκνὸν γίγνεται τὸ πνεῦμα. καὶ γὰρ ἡ μετὰ τὴν εἰσπνοὴν ἠρεμία βραχυχρόνιός ἐστι τοῖς οὕτω διακειμένοις, καὶ ἡ μετὰ τὴν ἐκπνοὴν πρὸ τῆς εἰσπνοῆς. τὰς δ᾽ ἀποδείξεις τούτων ἐν τοῖς περὶ δυσπνοίας ἔχεις εἰρημένας.

Οἱ τοιοίδε τὴν ἀρτηρίαν ἑλκοῦνται, καὶ τὸν πνεύμονα †πίμπρανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. τοῖσι τουτέοισι δὲ ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ διὰ τὴν ὥρην, καὶ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. †πίμπλανται

Ἀλλὰ καὶ τὴν ἀρτηρίαν ἑλκοῦσθαι τοῖς οὕτω διακειμένοις εἴρηται, καὶ διὰ τὴν τῶν χυμῶν δριμύτητα δηλονότι. τὸν δὲ πνεύμονα πίμπρασθαι στερόμενον ἔφη, συνάπτων τὸν λόγον ἀληθεῖ δόγματι. δέδεικται γὰρ ἐν τῷ περὶ χρείας ἀναπνοῆς, οὐκ ἐνδείᾳ τῆς οὐσίας ἀπολλύμενον τὸ ζῶον, ἐπὶ τῇ στερήσει τῆς ἀναπνοῆς, ἀλλ᾽ ὅτι τὴν ἐμψυξίν τε καὶ ῥίπισιν ἀπόλλυσι τὸ ἔμφυτον θερμόν. εἰκότως οὖν ἀμετρίας ἐχόμενον πίμπρησι τὸν πνεύμονα. τοῦτο τοιγαροῦν τὸ τῆς κυνάγχης εἶδος δεινότερόν τε καὶ ἀφυκτότερον εἶναι φησὶ τοῦ προτέρου, διά τε τὰ προειρημένα, καὶ διὰ τὸ θερινήν τε καὶ φθινοπωρινὴν ὥραν εἶναι, ὅτι τε δριμυτέροις αὕτη γίνεται χυμοῖς. ἀμείνων οὖν ἐστιν ἡ μετὰ τοῦ καὶ συνδέσμου γραφὴ, τῆς ἄνευ τοῦ καὶ συνδέσμου. συνεμφαίνει δ᾽ ἐπὶ τοῖς προειρημένοις τὸ, καὶ διὰ τὴν ὥραν, ἐν ᾗ γίνεται καὶ διὰ τὸν χυμὸν, ὑφ᾽ οὗ χαλεπώτερον εἶναι τὸ εἶδος τὸ δεύτερον τῆς συνάγχης. οὐχ ἁπλῶς οὖν εἶναι γράπτεον, ὅτι δεινότερον, καὶ ἀφυκτότερον ἐστὶ διὰ τὴν ὥραν. εἰ δὲ καὶ τὴν ἄνευ τοῦ συνδέσμου γραφὴν ἐθέλοι τις φυλάττειν, ἀναγκαῖον ἔσται καὶ οὕτως προσυπακούειν αὐτὸν, ὡς εἰ καὶ κατὰ τὴν λέξιν εἴρητο. πολλὰ γὰρ καὶ ἄλλα κατὰ τὸν ἐλλειπτικὸν τρόπον εὑρίσκεται παρὰ τοῖς παλαιοῖς γεγραμμένα.

Ἢν πυρετὸς λάβῃ παλαιῆς κόπρου ὑπεούσης, ἢ νεωβρῶτι ἐόντι, ἤν τε σὺν ὀδύνῃ πλευροῦ, ἤν τε μὴ ἡσυχίην ἄγειν, μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην.

Καὶ διὰ τῶν τοιούτων ῥήσεων, ἐνδείξεις γίνεται τοῦ τὰ προσκείμενα τῷ περὶ διαίτης ὀξέων, οὐκ εἶναι τοῦ Ἱπποκράτους αὐτοῦ συγγράμματα. οὐκ ἔδει γὰρ τὰ πλεῖστα διεληλυθὼς ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου γεγραμμένα, περὶ τῶν πλευριτικῶν, ἐνταῦθα πάλιν ὀλίγα παραθεῖναι.

Πόματι δὲ χρῆσθαι ὀξυμέλιτι. ὁκόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἵκηται, κάτω κλύσαι κλυσμῷ, ἢ καθῆραι φαρμάκῳ. ὁκόταν δὲ καθαρθῇ, διαιτᾶν ῥοφήμασι πρῶτον, καὶ πόματι μελικρήτῳ, ἔπειτα σιτίοισι καὶ ἰχθύσιν ἑφθοῖσιν. καὶ οἴνῳ ὑδαρεῖ ἐς νύκτα ὀλίγῳ, ἡμέρῃ δὲ ὑδαρὲς μελίκρητον. ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν οὕτως, ἢ βαλάνῳ, ἢ κλυσμῷ. εἰ δὲ μὴ, ἐπέχειν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην, εἶτα οὕτως κλύσματι ὑπαγαγεῖν.

Ἀδιορίστως εἴρηται, καί τοι διώρισται ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου τὸ γεγραμμένον ἐν τῷδε, καὶ τὰ μετὰ τοῦτο, μέχρις οὗ καὶ τῶν ἰχθύων ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπειδὴ ἔτι περὶ τῶν νοσούντων ὁ λόγος αὐτῷ κατὰ τὸ βιβλίον ἦν, οὐ περὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως δῆλα.

Ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἤν σοι δοκέῃ φαρμακεύειν, ἐπιτηδείως ἔχειν, εἴσω τεσσάρων ἡμερέων μὴ φαρμακεύειν, ἀλλ᾽ ἢ τεταρταῖον.

Ὅτι μὲν ἀκαίρως ἐνταῦθα πάλιν μέμνηται τοῦ καύσου, προειρημένων ἐν ἀρχῇ, τῶν τε διαφορῶν αὐτοῦ καὶ τῶν θεραπειῶν, εὔδηλον. καὶ γὰρ αἱ ῥήσεις αὗται κατὰ τὴν γνώμην ἐκείνου τοῦ ἀφορισμοῦ εἰσὶ, τοῦ πέπονα φαρμακεύειν, καὶ κινέειν μὴ ὠμὰ, μηδ᾽ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ, τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ. τινὲς ἑτέρως γράφουσιν ἐν ἀρχῇ τοῦ καύσου ἀξιοῦντες φαρμακεύειν, ὡς εἶναι τὴν ῥῆσιν τοιαύτην, εἴσω τριῶν ἡμερῶν φαρμακεύειν. προσῆκεν οὖν οὐχ ὡς πάντα μετὰ τὰς τρεῖς, ἀλλ᾽ ὥσπερ ὁ ἀφορισμός ἐστι τοῖος. ἐν τοῖς ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι, καὶ χρὴ κατὰ τοὺς ἀφορισμοὺς διορίζεσθαί τε καὶ σκέπτεσθαι, πότε κατ᾽ ἀρχάς ἐστι χρηστέον τῇ φαρμακείῃ, καὶ πότε τὴν πέψιν ἀναμένειν τοῦ νοσήματος. ἐὰν δέ τις ἤτοι κατ᾽ ἀρχὰς εἴποι ἁπλῶς, ἢ μὴ διορισάμενος, ἑκάτερον σφάλλεται.

Ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥοφήμασι χρῶ, διαφυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, ὅκως μηδέποτε παρούσης ἐόντων, μηδὲ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόν-

των, ἢ παυσαμένων, καὶ ὡς πορρωτάτω ἀπὸ τῆς ἀρχῆς. ποδῶν δὲ ψυχρῶν ἐόντων, μήτε ποτὸν, μήτε ῥόφημα, μήτε ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγεῖο τοῦτ' εἶναι διαφυλάσσεσθαι, ἕως ἂν διαθερμανθῇ σφόδρα, εἶθ' οὕτως τὸ ξυμφέρον πρόσφερε. ὡς γὰρ ἐπὶ τὸ πολὺ σημεῖόν ἐστι μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ ψύξις ποδῶν. εἰ δὲ ἐν τούτῳ καιρῷ προσοίσεις ἅπαντα, τὰ μέγιστα ἐξαμαρτήσεις. τὸ γὰρ νόσημα αὐξήσεις οὐ μικρῶς. ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες θερμότεροι γίνονται τοῦ ἄλλου σώματος. αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας, ἐξαπτόμενος ἐκ τοῦ θώρακος εἰς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα. συνδεδραμηκότος δὲ ἄλεος τοῦ θερμοῦ ἅπαντος ἄνω, καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται, ἄσαρκοι καὶ νευρώδεες φύσει ἐόντες. ἔτι δὲ καὶ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων, ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ εἰς τὸν θώρακα. καὶ πάλιν ἀνάλογον λυομένου τοῦ πυρετοῦ, καὶ καταθερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει. κατὰ τόνδε οὖν τὸν χρόνον ἡ κεφαλὴ, καὶ ὁ θώρηξ κατέψυκται. τουτέων ἕνεκεν τουτέου προσαρτέον, ὅτι ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσιν, θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι, καὶ πολλῆς ἄσης μεστὴν, καὶ ὑποχόνδριον ἐντεταμένον, καὶ ῥιπτασμὸν τοῦ σώματος διὰ τὴν ἔνδον ταραχὴν, καὶ μετεωρισμοὺς γνώμης καὶ ἀλγήματα, καὶ ἕλκεται καὶ ἐμέειν ἐθέλει, καὶ ἢν πονηρὰ ἐμέῃ, ὀδυνᾶται. θέρμης δὲ καταβάσης εἰς τοὺς πόδας, καὶ οὔρου διελθόντος, καὶ ἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν δεῖ τὸ ῥόφημα διδόναι, τότε δὲ ὄλεθρος.

Περὶ τοῦ κατὰ μέρος καιροῦ τῆς τροφῆς εἴρηται μὲν κἀν τῷ γνησίῳ μέρει τοῦ βιβλίου διὰ βραχέων. οὐδὲν δ' ἧττον καὶ νῦν λέγεται διὰ μακροτέρων καὶ σαφεστέρων, ὡς εἶναι τὸν λόγον οἷον ἐξήγησιν ἐκείνου, φυλαττομένης τῆς Ἱπποκράτους γνώμης, ἣν ἔν τε τοῖς ἄλλοις εἴρηκε, καὶ ἐν τοῖς περὶ τοῦ τὸν πυρετὸν ἐκ μὲν τοῦ θώρακος ἐξάπτεσθαι, τουτέστιν ἐκ τῆς καρδίας, εἰς τὴν κεφαλὴν δὲ ἀναπέμπειν τὴν φλόγα.

Ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρὴ, τουτέοισι διαφερόντως τοὺς πόδας θερμαίνειν, καὶ περιστέλλειν κηρώμασι, καὶ ταινιδίοις περιελίσσειν πρόσεχε, ὡς μὴ ἔσονται ψυχρότεροι τοῦ ἄλλου σώματος. θερμοῖσι δ' οὖσι, θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει ὅκως μὴ ψυχθήσονται. πόματι δὲ χρέεσθαι ὡς ἐλαχίστῳ ὕδατι ψυχρῷ ἢ μελικρήτῳ.

Τὸ διὰ τέλεος, τὸ διὰ παντὸς τοῦ χρόνου τοῦτο σημαίνει. πολλῶν δ' οὐσῶν διαθέσεων, ἐφ' αἷς συμβαίνει δι' ὅλης τῆς νόσου τὰς κοιλίας ὑγρὰς εἶναι, καίπερ αὐτῶν μὴ δυναμένων μίαν ἔχειν θεραπείαν, ὡς δέδεικται πολλάκις, οὐ μόνον οὐδέν ἐστιν ἐκ τῆς ῥήσεως διδαχθῆναι χρηστὸν, ἀλλὰ καὶ βλαβῆναι, πιστεύσαντα τὸν γεγραμμένον τρόπον τῆς θεραπείας ἐπὶ πολλῶν διαθέσεων ἁρμόττειν. ἵνα γὰρ τἆλλα παραλείπω, τῆς κοιλίας ὑγρᾶς εἶναι δυναμένης, καὶ διὰ φλεγμονὴν τὴν κατὰ τὴν γαστέρα, καὶ διὰ συντηκτικὸν πυρετὸν, ἡ τοῦ ψυχροῦ πόσις ἐναντιωτάτη ἐστὶ τῇ φλεγμονῇ, συμφορωτάτη δὲ τοῖς συντηκτικοῖς πυρετοῖς, καθ' ὃν ἔμαθες καιρὸν γιγνομένη.

Ὁκόσοισι δὲ ἐν πυρετοῖς κοιλίη ὑγρὴ καὶ γνώμη τεταραγμένη, καὶ οἱ πολλοὶ τῶν τοιουτέων τὰς κροκίδας ἀφαιρέουσι, καὶ τὰς ῥῖνας σκάλλουσι, καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον. αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον. δοκέει οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι. ἢν δὲ τῶν τοιῶνδε ἐόντων, ἡ κοιλίη ὑγρὴ ᾖ καὶ συντήκῃ, δοκέει μοι τὰ ῥοφήματα ψυχρότερα καὶ παχύτερα προσφέρειν, καὶ τὰ πόματα σταλτικὰ καὶ οἰνωδέστερα, ἢ καὶ στυπτικώτερα.

Ἀλλὰ μὲν εἰσὶ τὰ τῶν φρενιτικῶν συμπτώματα. τὸ δὲ τῆς ὑγρᾶς κοιλίας, γίνεται μὲν ποτὲ καὶ μετὰ φρενίτιδος, οὐ μὴν ἴδιον ταύτης ἐστὶν, ὥστε τὴν μὲν ὑγρὰν κοιλίαν ἐκ τῶν διορισμῶν θεραπεύειν προσήκει, τὴν δὲ φρενῖτιν ἰδίας θεραπείας ἑτέρας ἀξιοῦν. ἣν δ' οὗτος ἔγραψε θεραπείαν, οὐδ' ὅλως στοχάζεται τῆς φρενίτιδος, ἀλλὰ μᾶλλόν μοι δοκεῖ βούλεσθαι θεραπεύειν τινὰ διάθεσιν, ἐκ μὲν τῆς κατὰ κοιλίαν ὡρμημένην, εἰς συμπάθειαν δὲ τὴν κεφαλὴν ἐπισπωμένην, ὡς παραληρεῖν ἐπὶ τῷ πάθει τῆς κοιλίας. οὐκ ὀρθῶς δὲ εἴρηται μελαγχολικὰ τὰ τοιαῦτα εἶναι. μᾶλλον γὰρ ὑπὸ τῆς ξανθῆς χολῆς τὰ τοιαῦτα γίγνονται, τῆς γαστρὸς ἐπεχομένης.

Ὁκόσοισι δὲ τῶν πυρετῶν δῖνοί τε ἀπ' ἀρχῆς, καὶ σφυγμοὶ κεφαλῆς εἰσὶ καὶ οὖρον λεπτὸν, τουτέοισι δεῖ προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετὸν, οὐ

θαυμάσαι

θαυμάσαι μηδ᾽ ἂν, οὐδ᾽ εἰ παραφρονήσειαν.

Ὅταν ἡ κεφαλὴ περιφέρεσθαι φαντάζηται, δῖνος ὀνομάζεται τὸ πάθος. ὅταν δὲ καὶ σκοτώδης ἡ ὄψις ἅμα τῷδε φαίνηται, σκοτόδινος καλεῖται, καὶ γίνεται διὰ κίνησιν ἄτακτον φυσώδους πνεύματος, ἢ κατὰ τὴν κεφαλὴν ἔχοντος τοπικὴν γένεσιν, ἢ κάτωθεν ἀναφερομένου. πᾶσαι δὲ τῶν τοιούτων πνευμάτων γενέσεις, ταραχῆς εἰσι δηλωτικαί, δι᾽ ἃς καὶ κρίσεις γίνονται μετὰ τῶν συμπτωμάτων θορυβωδῶν. εἰδέναι γὰρ χρὴ τὰς τοιαύτας διαθέσεις μεταξύ πως οὔσας, τῶν τε ἀκινδύνων καὶ τῶν ὀλεθρίων. ἐπιχειρεῖ μὲν γὰρ ἡ ἔμφυτος θερμασία διαλύειν τε καὶ χεῖν τοὺς κατὰ τὸ σῶμα χυμοὺς, λεπτύνειν δὲ ἀκριβῶς αὐτοὺς, καὶ κατὰ τὸ ἄδηλον αἰσθήσει ἐκκρίναι οὐ δύναται. τελέως δὲ ἀρρωστήσασα, τὴν ἀρχὴν οὐδ᾽ ἐπιχειρεῖ τῇ λύσει, καὶ κατὰ τοῦτο πνεῦμα φυσῶδες οὐκ ἀρρωστούσης, ἐσχάτως τῆς ἐμφύτου θερμασίας γεννᾶται. τὸ μὲν οὖν ἀρρωστεῖν ἀκινδυνότατόν ἐστιν. ὑπερέχει γὰρ ἡ φύσις τοῦ νοσήματος. τὸ δ᾽ ἐσχάτως ἀρρωστεῖν ὀλέθριον, ὑπερέχεται γὰρ οὐ σμικρῶς. ὅταν δὲ μὴ ὑπερέχηται, τὰ εἰρημένα γίνεται συμπτώματα, καὶ μετὰ τὸ νοσῆσαι, κρίσεις ἀποτελοῦνται, τινὲς μὲν εἰς ὑγείαν, τινὲς δὲ εἰς θάνατον. οἱ γε μὴν σφυγμοὶ κατὰ τὴν κεφαλὴν γινόμενοι, τουτέστιν αἱ τῶν ἀρτηριῶν αἰσθηταὶ κινήσεις, θερμασίας εἰσὶ πολλῆς συμπτώματα, δι᾽ ἃς καὶ παραφροσύναι γίνονται πολλάκις. οὕτως οὖν ἐχόντων ἐν τῷ καθόλου τῶν εἰρημένων, ὅταν ἀρξαμένου τινὸς ἀσθενεῖν, ὑπὸ μὲν τῆς τῶν οὔρων λεπτότητος, ἄπεπτον εἶναι δηλοῦται τὸ νόσημα, τὴν δὲ κεφαλὴν ἐμπεπλῆσθαι πνεύματος φυσώδους, σημαίνουσιν οἱ δῖνοι μετὰ τῶν σφυγμῶν. εἰδέναι χρὴ τὴν φύσιν οὐχ ἡσυχάζουσαν, ἀλλ᾽ ἐπιθεμένην ποτὲ τοῖς περιεχομένοις ἐν τῷ σώματι μοχθηροῖς χυμοῖς, ὡς διακρίναι τε τῶν χρηστῶν αὐτοὺς, ἐκκρίναι τε κατ᾽ ὁντινοῦν τρόπον, ἢ εἰς ἄκυρον ἀποθέσθαι μόριον. ὁ τοίνυν εἰρημένος λόγος χρησιμώτατός ἐστιν εἰς πρόγνωσιν τῶν εἰρημένων. ἐνίοτε γὰρ ἀπὸ τῆς ἀρχῆς τοῦ νοσήματος, οἱ μὲν πυρετοὶ μέτριοι γίγνονται, συμπτώματα δὲ τοιαῦτα κατὰ τὴν κεφαλὴν ἐστι δι᾽ ἔγκαυσιν ἢ ἀναθυμίασιν ἐκ τῶν κατὰ τὸ σῶμα τῆς κοιλίας περιεχομένων χυμῶν. τὴν οὖν ἄλλως ὁπωσοῦν ἐχομένης αὐτῆς τῆς κεφαλῆς μόνης θερμότητα, τῇ τοιαύτῃ διαθέσει τῆς κεφαλῆς. λουτρὸν ὀνίνησι, καὶ τὸ ῥόφημα δ᾽ ἀρκέσει, χυλὸν εἶναι τῆς πτισάνης. ὅταν δ᾽ ἐκ τῆς τῶν χυμῶν μοχθηρίας ἐπὶ τὴν κεφαλὴν ἀναφέρηται θερμὸν πνεῦμα φυσῶδες, οὐ λούειν συμφέρει τούτοις. ἀσφαλῶς δὲ προσήκει ταῦτα πράττειν ἕκαστα. διορισμὸς δὲ τῶν διαθέσεων εἷς μόνος ἐστὶν, ἐκ τῆς τῶν οὔρων ἀπεψίας τε καὶ πέψεως, ὧν ὀρθῶς ὁ συγγραφεὺς ἐμνημόνευσεν, εἰπὼν οὖρον λεπτὸν, ὅπερ εἴρηται πολλάκις ἀπεψίας εἶναι σημεῖον, ὡς οὐδεὶς ἰατρὸς ἐν τοῖς τοιούτοις νοσήμασιν ἀμελεῖ τῆς τῶν οὔρων ἐπισκέψεως.

Οἷσι δ᾽ ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα, ἢ καὶ παχέα, τοὺς τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τἄλλα συμφέρῃ. ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτὰ, μὴ φαρμάκευε τοὺς τοιούσδε, ἀλλ᾽ ἢν δοκέῃ κλύσαι, τούτους συμφέρει οὕτως θεραπεύεσθαι.

Εἴτε συνάπτει ταῦτα τοῖς κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένοις, εἴτε καὶ μὴ τὸ, ὅπερ ἐξ αὐτῶν χρήσιμον, ἔχειν δύναταί τις κοινὸν, ὡς φυλάττεσθαι καθαίρειν τὰ σώματα παντελῶς ἀπεψίας οὔσης ἐν τοῖς χυμοῖς, ἐδήλωσεν εἰπὼν, οὖρα λεπτὰ, ὡς τά γε παχέα πέψεως ἔχοιεν. ἤδη τοῦτ᾽ αὐτὸ τὴν σύστασιν. καὶ τὸ νεφελοειδέα δὲ, τὰ τὰς νεφέλας ἔχοντα δηλονότι δηλοῖ. προσετίθει γὰρ μέλανας, εἴπερ ἐκείνας ἀκούειν ἡμᾶς ἐβούλετο. πολλὰ γὰρ τῶν κοινῶν ὀνομάτων ἄνευ διορισμῶν λέγειν εἰώθασιν, ὅταν τὸ βέλτιον ἐν τοῖς σημαινομένοις ἐπ᾽ αὐτῶν τῶν πραγμάτων δηλῶσαι βουληθῶσιν. οὕτως οὖν ὅταν εἰς σωτηρίαν τελευτῶσιν αἱ κρίσεις λέγουσιν, ἁπλῶς ἐκρίθη, ἀποθανόντος δὲ τοῦ κριθέντος, οὐχ ἁπλῶς, ἀλλ᾽ ὅλον τοῦτο λέγουσι, κριθεὶς ἀπέθανε. καὶ χολὴν δὲ ὅταν τις ἐκκριθῆναι ἁπλῶς εἴπῃ, τὴν ὠχρὰν οὐ τὴν μέλαιναν νοοῦμεν. οὕτως οὖν καὶ νῦν ἀκουστέον οὖρα νεφελοειδέα τὰ λευκὰς ἔχοντα τὰς νεφέλας, αἵπερ εἰσὶ πέψεως σημεῖα. ἐπεὶ τοίνυν τὰ πέπονα φαρμακεύειν, διὰ τοῦτο καὶ νῦν οὕτως ἔγραψεν ὁ τούτου τοῦ βιβλίου συγγραφεὺς, συμφέρει τουτέοισι οὕτως θεραπεύεσθαι. μηδὲν δ᾽ εἰπὼν οὗτος περὶ φλεβοτομίας, τὰ περὶ μέρος διεξέρχεται πάντα ἐφεξῆς, οὐχ ὡς ἄν ποτε οὕτως ἐχόντων μὴ δεῖσθαι φλεβοτομίας, ἀλλ᾽ ὡς καὶ νῦν τὰ ἄλλα διδάξαι βουλόμενος μόνα. περὶ γὰρ τῆς φλεβοτομίας αὐτάρκως ἐν τοῖς ἔμπροσθεν εἴρηται οὕτως θεραπεύεσθαι.

Τῷ σώματι ἡσυχίην ἄγοντα, ἀλείφοντά τε καὶ περιστέλλοντα ὁμαλῶς. ποτῷ δὲ χρέεσθαι μελικρήτῳ ὑδαρεῖ, καὶ ῥοφήματι χυλῷ πτισάνης ἐς ἑσπέραν. κοιλίην δ᾽ ὕπαγε κατ᾽ ἀρχὰς κλυσμῷ, φάρμακα δὲ μὴ πρόσαγε τούτοισιν. ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαίνεται, ἀλλ᾽ ἀνιδρός τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ πολὺν χρόνον ἔσται.

Καὶ τόνδε τὸν λόγον διεξέρχεται ὁ σκοπὸν ἔχων ἐν αὐτῷ, τὴν μετὰ συμμέτρου θάλψεως ἡσυχίαν. χυλὸν δὲ πτισάνης δίδωσιν ἀπ᾽ ἀρχῆς, ὡς ἂν μὴ δυνάμενον ἐξαρκέσαι μέχρι τῆς ἀκμῆς τε καὶ κρίσεως ἐπὶ τῷ μελικράτῳ, ἐπειδὰν ἄπεπτος μὲν ἡ νόσος, οὐκ ἐγγὺς δὲ οἱ πεπασμοὶ, δίδωσι τὸ μελίκρατον ὑδαρὲς, ἐπειδὴ τὸ ὕδωρ ἐλέχθη μηδὲν ἀγαθὸν ἔχειν αὐτὸ καθ᾽ αὐτὸ μόνον. εἰς ἑσπέραν δὲ ἀξιοῖ δίδοσθαι τὴν πτισάνην, ἤπερ τὸ μελίκρατον. προμεμαθηκότων δ᾽ ἡμῶν ἔμπροσθεν ἐν τῷ γνησίῳ μέρει τοῦ συγγράμματος, ὡς ὕστερον χρὴ τῆς πτισάνης προσφέρεσθαι τοῦ μελικράτου, ἄμεινον ἦν καὶ νῦν οὕτως εἰρῆσθαι, μελίκρατον μὲν πρότερον, ὕστερον δὲ χυλὸν πτισάνης προσφέρεσθαι. ὅταν δὲ ἀντὶ τοῦ ὕστερον φάναι, τὸ εἰς ἑσπέραν εἴπῃ, μερικωτέραν τὴν διδασκαλίαν ποιεῖται οὐ καθολικωτέραν. διατί δὲ κελεύει μὴ καθαίρειν ἐφ᾽ ὧν ἀπεψία παντελής ἐστι, τὴν αἰτίαν αὐτὸς εἶπεν, ἐπιλογιστικὴν μᾶλλον ἤπερ ἀναλογιστικήν. ἔστιν γοῦν αὐτὴν εἰπεῖν, καὶ τῷ χωρὶς ἐνδείξεως λογικῆς ἐξ ἐμπειρίας μόνης τὸ γιγνόμενον ἐγνωκότι. δογματικοῦ δ᾽ ἀνδρὸς ἦν διδάξαι, διατί καθαιρόντων ἡμῶν τοὺς οὕτως ἔχοντας, οὔτε πεπαίνεται τὸ οὖρον,

ἀνιδρός τε καὶ ἄκριτος ὁ πυρετὸς διαμένει. τελεώτερον μὲν οὖν ἐν ἑτέροις περὶ τῶν τοιούτων ἁπάντων ἐπισκεψόμεθα, νυνὶ δὲ τὸ κεφάλαιον εἰρήσεται τὸ χρήσιμον εἰς τὰ παρόντα. σὺ δέ μοι πρόσεχε τὸν νοῦν. τεττάρων οὐσῶν δυνάμεων ὡς ἔμαθες, οὐκ ἐλαχίστην δ' ἐν αὐταῖς ἰσχὺν ἐχούσης καὶ τῆς ἀλλοιωτικῆς, καθ' ἣν ἐξομοιοῖ τοῖς ὑφ' αὐτῆς διοικουμένοις σώμασι τὴν τροφὴν ἡ φύσις, αὕτη πέψις ὀνομάζεται, κατὰ ποιότητα μεταβολὴ τῆς μελλούσης θρέψειν οὐσίας οὖσα. δεῖται τοίνυν ἡ φύσις ὥσπερ εἰς γαστέρα καταποθείσης τῆς τροφῆς, ἡσυχίας μὲν ἀπὸ τῶν ἄλλων κινήσεων, ἵνα τῇ περὶ τὴν πέψιν ἐνεργείᾳ μόνῃ σχολάσῃ, βοηθείας δέ τινος ἔξωθεν, ὅταν ἀσθενεστέρα γένηται ποτέ, κατὰ τὸν τοιόνδε τρόπον ἐπὶ τῆς ἐν ταῖς φλεψὶ πέψεως τῶν χυμῶν, ἡσυχίας μὲν δεῖται παρὰ τῆς δευτέρας θερμασίας, ἐκ τοῦ θερμανθῆναι καὶ ψυχθῆναι, ἢ ξηρανθῆναι καὶ ὑγρανθῆναι κατ' ἄλλον καὶ ἄλλον δηλονότι χρόνον, ἑκάστου τῶνδε γιγνομένου. περὶ τούτου οὖν ὁ γράψας ταῦτα, συνεβούλευσεν ἡσυχίαν ἄγοντα τῷ σώματι θεραπεύεσθαι τὸν ἄνθρωπον, ἀλειφόμενόν τε καὶ περιστελλόμενον ὁμαλῶς τοῖς ἱματίοις. πρὸς γὰρ τὴν τοῦ πυρετοῦ δύναμιν, ἀντίρροπον ἡγήσατο αὖ εἶναι τὴν ἐκ τῶν ἀλειμμάτων ὑγρότητα, πρὸς τῷ μήτε θερμαίνειν ἰσχυρῶς, μηδὲ ψύχειν, ἀλλὰ λεαίνειν, ὧν μάλιστα δεῖται τὰ πεττόμενα. καὶ ἅπερ ταῦτα συντελεῖ τῇ πέψει τῶν χυμῶν, αἱ καθάρσεις ἐναντίαι εἰσί, κινοῦσαι γὰρ σφοδρῶς, τὸ σῶμα ῥήσσουσι. τοιαύτης γὰρ δυνάμεως ἅπαντ' ἐστὶ τὰ καθαίροντα φάρμακα. αὕτη μὲν οὖν ἐστιν ἡ αἰτία τοῦ τὰς καθάρσεις ἐναντιοῦσθαι ταῖς πέψεσι. πρὸς δὲ τὸ συνεχὲς ἴωμεν ἤδη τοῦ λόγου τόδε.

Τὰ δὲ ῥοφήματα ὁκόταν τῆς κρίσεως ἐγγὺς ᾖ, μὴ δίδου ἢν θορυβῆται. ὁκόταν δ' ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας, καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν.

Φυλάττει κἀνταῦθα τὴν Ἱπποκράτους γνώμην ὁ τοῦ βιβλίου συγγραφεύς, ἐν ἀρχῇ μὲν ἐπὶ μελικράτου καὶ χυλοῦ πτισάνης διαιτῶν, ἐγγὺς δὲ τῆς κρίσεως, ἀφελὼν τὸν χυλόν.

Μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοί, οἱ δὲ γίγνεσθαι καὶ ἀποστήματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον, ἢν δὲ μὴ ψυχρὰ ᾖ, ἀλλὰ ἴσχει μεταβολάς, ῥέει δὲ αἷμα ἐκ ῥινῶν, καὶ κοιλίαι τοῖσι τουτέοισι ἐκταράσσονται.

Οἷς ἐστι λεπτὸν τὸ οὖρον διὰ τὴν ἀπεψίαν τῶν χυμῶν, εἰκότως μηκύνουσιν οἱ πυρετοί, μὴ δυνάμενοι λυθῆναι πρὸ τῆς πέψεως. ὅτι δ' ἀποσκήμμασιν οἱ τοιοῦτοι κρίνονται, πολλάκις ἤδη λέλεκται. σπανιώτερον δέ πως καὶ δι' ἐκκρίσεως αἱ λύσεις αὐτῶν γίνονται. πότερον δ' ἄνω τοῦ σώματος, ἢ κάτω τὸ ἀπόστημα γενήσεται, τοῖς ἐν τῷ προγνωστικῷ γεγραμμένοις ὡμολόγηται τὰ νῦν εἰρημένα.

Ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεες εἰσί, καὶ ὑποχόνδρια συντείνουσι, καὶ κεκλισμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ, καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείης καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοισι προσφέροντας μηδὲν ἄλλο ἢ ὀξύμελι ὑδαρές, ῥόφημα δὲ μὴ πρόσφερε ἕως ἂν λήξῃ, καὶ οὖρον πεπανθῇ.

Ἀσώδεις ὀνομάζει πυρετούς, ἐν οἷς οἱ κάμνοντες ἀσῶνται καὶ ἀηδῶς ἔχουσι. τὸ δὲ δυσφορεῖν ἑπόμενον ἐστὶν ἐνίοτε μὲν τῷ μόνιμον εἶναι τὸν πυρετὸν καὶ καυσώδη, πολλάκις δὲ καὶ τῇ τοῦ στομάχου κακώσει, στόμα δὲ τῆς γαστρὸς, οὕτως ἀκούομεν λέγοντος νῦν. ἤρξατο μὲν οὖν ἀπ' αὐτῶν πυρετῶν, ἀσώδεις εἰπὼν αὐτούς, ὑποχόνδριά τε συντείνοντας, ἐφεξῆς δὲ ἐπὶ τοὺς πυρέσσοντας μετέβη. τὸ γὰρ κεκλιμένοι, οὐκ ἀνέχονται ἐν τῷ αὐτῷ, περὶ τῶν πυρεττόντων εἴρηται, καθάπερ καὶ τὸ τὰ ἄκρα ψύχονται. τὸ μὲν οὖν μὴ ἀνέχεσθαι κεκλιμένους ἐν τῷ αὐτῷ τῶν ἀσώντων τε καὶ δυσφορούντων ἐστὶ γνώρισμα. τὸ δὲ ψύχεσθαι τὰ ἄκρα, φλεγμονῆς μεγάλης ἐν τοῖς σπλάγχνοις ἐπὶ παχέσι χυμοῖς, ὡς ἔμπροσθεν ἐδείκνυον, ἡνίκα περὶ τοῦ δευτέρου τῶν καύσων εἴδους ὁ λόγος ἦν, καὶ ἅπερ σφοδρὰ ἡ κατάψυξις εἴη τεκμήριον ἤδη γίνεται καὶ τὴν δύναμιν εἶναι ἄρρωστον ἰσχυρῶς. εἰκότως οὖν ἔφη φυλακῆς πλείστης καὶ ἐπιμελείας δεῖσθαι τοὺς κάμνοντας οὕτως. εἰκότως δὲ καὶ ὀξύμελι δίδωσιν αὐτοῖς ὑπὸ παχέων τε καὶ γλίσχρων χυμῶν ἐνοχλουμένοις. προσέθηκε δὲ τῷ λόγῳ ὑδαρές, ὡς πρὸς τὸ διδόμενον οἷς ἐν πνεύμονι τοιοῦτοι περιέχονται χυμοί. πολὺ γὰρ ὀξύτερον ἐπ' ἐκείνων εἶναι προσήκει, ἐπεὶ διὰ τὸ μῆκος τῆς κατὰ τὴν ἀνάδοσιν φορᾶς ἐπὶ τὸ πεπονθὸς μόριον, ἀναγκαῖον ἐστὶν ἐκλυθῆναι τὴν δύναμιν. τοῖς δὲ καθ' ὑποχόνδριον εὐθέως προσπίπτει τοιοῦτον, οἷον ἐπόθη. τὸ δὲ μηδ' ὅλως διδόναι ῥόφημα τοῖς οὕτως ἔχουσι, πρὶν πεπανθῆναι τὴν νόσον, ἀδιορίστως εἴρηται, φυλαττόντων γε ἡμῶν ὃ ἐδίδαξεν ὁ Ἱπποκράτης. προσκεῖσθαι δεῖ τῷ λόγῳ, ἢν ἀρκέῃ ὁ νοσέων, ὅπερ ὡς φανερὸν ἴσως παραλέλοιπεν.

Κατακλίνειν δὲ εἰς ζοφερὰ οἰκήματα, καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοις στρώμασι, πουλὺν χρόνον ἐπὶ τὰ αὐτὰ καρτερέοντα, καὶ ὡς ἥκιστα ῥιπτάζειν. μάλιστα γὰρ τοῦτο τοὺς τοιούσδε ὠφελέει.

Τὴν ἐν ζοφεροῖς οἰκήμασι κατάκλισιν, οὐχ ὡς πεπαντικὸν βοήθημα συνεβούλευσε νῦν, ἀλλ' ὡς τῆς διὰ τὴν ἄσην γινομένης δυσφορίας ἐπανορθωτικόν, ἧς ἕνεκα καὶ τῆς μαλθακῆς στρωμνῆς ἐμνημόνευσε. τὸ δὲ πειρᾶσθαι μὴ ῥιπτάζειν ἑαυτὸν ἀλλ' ἡσυχάζειν, ἑκατέρως χρήσιμον τῷ κάμνοντι, καὶ ὡς τῇ πέψει τῆς ὅλης νόσου συντελοῦν, καὶ ὡς διαφυλάττον τὴν δύναμιν.

Ἐπὶ δὲ τὸ ὑποχόνδριον λίνου σπέρμα ἑγχείων ἐπιτιθέναι, φυλασσόμενος ὅκως μὴ φρίξῃ προστιθέμενον, ἔστω δὲ ἀκροχλίαρον ἑφθὸν ὕδατι καὶ ἐλαίῳ.

Μαλα-

Μαλακτικόν ἐστι τὸ λινόσπερμον, καὶ μὴ θερμαῖνον ἐπιφανῶς, ὧν μάλιστα δεῖται φλεγμονὴ πᾶσα, καὶ μέν τοι καὶ τὴν θίξιν αὐτὸ παρασκευάζει τοιοῦτον, ὁποῖον καὶ κατὰ τὴν δύναμιν ἐστὶν, ἀκροχλίαρον ἀξιῶν προσφέρειν. καὶ ἡ μίξις δὲ τοῦ ἐλαίου, καὶ τοῦ ὕδατος χλιαρᾶς θερμασίας ἐστὶ γεννητικὴ, μετὰ τοῦ μαλάττειν τε καὶ παρηγορεῖν μετρίως ὑπάρχον δυνάμεως, ὁποίας μάλιστα ἐλέχθη δεῖν εἶναι τὰ πέττοντά τε καὶ διαφοροῦντα.

Τεκμαίρεσθαι δ' ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι, ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω. ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα.

Οὐ πᾶν τὸ μέλλον ἔσεσθαι διδάσκει ἐκ τῶν οὔρων, ἀλλὰ σωτηρίαν ἢ θάνατον. σωτηρίαν μὲν γὰρ δηλοῖ τὰ παχύτερα καὶ ὠχρότερα. σαφῶς δὲ τὰ παχύτερα τοῖς λεπτοῖς παραβάλλεται εἰπών, οὐ τοῖς κατὰ φύσιν, ὡς καὶ μικρὸν ἔμπροσθεν ἠξίουν ἀκούειν. οὔτε γὰρ αὖ παχέα λέγοις ἑρμηνεύειν ὀρθῶς ἐθέλων, οὔτε λεπτὰ τὰ κατὰ φύσιν οὖρα, τά γε μὴν λεπτὰ καὶ μέλαινα χείριστα. πρὸς γὰρ τῶν λεπτῶν μόνον γινομένων, ἄπεπτον δηλοῦται τὸ νόσημα. τὸ γὰρ ἀκριβῶς λεπτὸν, ὑδατῶδές ἐστιν, ὥστε καὶ λευκόν. αἱ δὲ τῶν οὔρων προγνώσεις ἐν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν εἴρηνται.

Ἢν δὲ μεταβολὰς ἔχει, χρόνον τε σημαίνει, καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν, καὶ ἐπὶ τὰ χείρω, καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίην.

Καὶ τοῦτο γὰρ φυλάττων ἐπὶ τῶν νοσούντων, εὑρήσεις ἀληθὲς εἰς χρόνον πλείονα, καὶ μεταβολὰς μεταξὺ γιγνομένας, ἐμπίπτοντα τὸν ἄνθρωπον ἐπὶ τοῖς ποικίλοις οὔροις. πλείους γὰρ αἱ διαθέσεις δηλοῦνται αἱ μὴ τῆς αὐτῆς θεραπείας δεόμεναι, οὐδὲ τὴν ἴσην ἔχουσι προθεσμίαν τῆς λύσεως.

20 Τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν ἐᾶν μέχρις ἂν στῶσιν. ὁκόταν δὲ στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ κατὰ φύσιν θεωρέων.

Ἀκαταστάτους πυρετοὺς εἴρηκεν ἐφ' ὧν μηδέν ἐστι καθεστηκὸς, ὅπερ σημαίνει τὸ βέβαιον. ἔστι δὲ βέβαια τά ἐν ταῖς περιόδοις φαινόμενα, καὶ τοῖς οὔροις, ἔτι δὲ καὶ ταῖς ἠκριβωμέναις ἰδέαις τῶν πυρετῶν. αἱ μὲν οὖν περίοδοι τὴν ἀρχὴν οὐδὲ φαίνονται ταῖς πρώταις ἡμέραις. τὰ δὲ ἐπιγίνεται ἄλλοτε ἄλλα, καὶ πολλάκις τρὶς καὶ τετράκις οὐρεῖν, διά γε τῆς ἡμέρας καὶ τῆς νυκτὸς συμβαίνει, καὶ ἀνόμοια φαίνεται τὰ οὖρα πρὸς ἄλληλα. τὴν τοίνυν ἰδέαν τοῦ τοιούτου πυρετοῦ ἀκατάστατον εἶναι φησὶν, ὅπερ ταὐτόν ἐστι σημαίνειν, τῷ μὴ διασώζοντι τὴν ἰδέαν μίαν ἀκριβῶς. ἐδήλωσα δέ σοι τὰς ἀκριβεῖς ἰδέας τῶν πυρετῶν, ἔν τε τοῖς περὶ διαφορᾶς αὐτῶν ὑπομνήμασι, κἂν τῷ δευτέρῳ περὶ κρίσεων. ἐπὶ τῶν τοιούτων οὖν πυρετῶν ἀξιοῖ μὴ κατ' ἀρχὰς τῇ διαίτῃ χρῆσθαι, ἀλλ' ἐᾶν ἕως ἂν ἴδωμεν ποῖοί τινές εἰσι, καὶ τηνικαῦτα τὸ τῆς διαίτης εἶδος ὁρίζειν.

30 Εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων.

Ὄψιας εἴρηκεν ὡσανεὶ διαφορὰς, ἢ τρόπους, ἢ ἰδέας. τῶν καμνόντων δὲ, ἀντὶ τοῦ τῶν τοῖς κάμνουσι γινομένων νοσημάτων. ἐλέχθη γὰρ ἤδη πολλάκις ὡς ἅπασι τοῖς παλαιοῖς ἔθος ἐστὶ, ἀπό τε τῶν παθημάτων ἐπὶ τοὺς πάσχοντας αὐτοὺς μεταφέρειν τὰς προσηγορίας, ἀπό τε τῶν πασχόντων ἐπὶ τὰ πάθη, ὡς μηδὲν διαφέρειν, τῶν πυρετῶν εἰπεῖν διαφορὰς ἢ τῶν πυρεττόντων. οὕτως δὲ καὶ πλευριτικῶν, ἢ συναγχικῶν, ἢ πλευρίτιδος, ἢ συνάγχης. ὄψιας οὖν εἶπε καμνόντων, ἐπειδὴ τοῖς ὀφθαλμοῖς αὐτοὺς θεωροῦντες, εὑρίσκομεν τὰς διαφοράς.

Διὸ προσεκτέον τῷ ἰωμένῳ, ὅκως μὴ διαλήσεται τὶς τῶν προφασίων.

Ἐμάθομεν ὅτι τὰς φανερὰς αἰτίας ὀνομάζει προφάσεις. ἀλλὰ καὶ νῦν εὔδηλός ἐστιν ἐπὶ τούτου φέρων τὴν προσηγορίαν. ἐπιφέρει γοῦν,

40 Μήτε τῶν κατὰ λογισμὸν, μήτε ὁκόσαι ἐς ἀριθμὸν ἄρτιον ἢ περισσὸν δεῖ φανῆναι.

Ὡς τῶν αἰτίων τὰς μὲν φανερὰς ἁπάντων γινωσκόντων ἄνευ τεχνικοῦ λογισμοῦ, τὰς δὲ μόνων τῶν χρωμένων τῷ τεχνικῷ λογισμῷ. προσέχειν δὲ δεῖ φησι κἀκείναις, ἃς ἐν ἀρτίῳ ἢ περιττῷ φανῆναι δεῖ.

Μάλιστα μὲν οὖν δεῖ τὸν περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτεροῤῥεπέας ποιοῦσι τοὺς κάμνοντας.

Οὐχ ἁπλῶς ἀκουστέον ἐστὶν, ἀλλ' ἐπὶ τῶν ὀξέων νοσημάτων μέγα δύνασθαι τὰς περισσὰς ἡμέρας, ὡς μεταβολὰς ἑκατέρως ἀξιολόγους ἐμποιούσας εἰς ὑγείαν τε καὶ θάνατον. τοῦτο γὰρ σημαίνει τὸ ἑτεροῤῥεπέας. ἐπὶ μὲν τῶν ὀξέων ἡ γ'. καὶ ἡ ε'. καὶ ζ'. καὶ θ'. καὶ ια'. καὶ ιδ'. καὶ ιζ'. ἐπὶ δὲ τῶν χρονίων ξ'. καὶ π'. μέσαι δ' αὐτῶν εἰσι κ'. καὶ λδ'. καὶ μ'. περιτταὶ δὲ καὶ αὗται.

50 Φυλάττεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην ἢ ἤρξατο ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν ἐξ ὅτου καὶ ὅτε. ἡγέεται γὰρ τοῦτο τὸ πρῶτον εἰδῆσαι. ὁκόταν δὲ ὁρῇ αὐτοὺς καὶ διασκέψῃ πάντα, πρῶτον μὲν κεφαλὴν ὅπως ἔχει, εἰ ἀνάλγητος καὶ μὴ βάρος ἔχει ἐν ἑωυτῇ, ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρὰ, εἰ ἀνάλγητα. ὑποχόνδριον μὲν γὰρ εἰ ἐπίπονόν ἐστιν, ἢ ἐπηρμένον, ἢ ἔχει τινὰ σκολιότητα ἢ κόρον, ἢ πλευροῦ ἀλγηδὼν ἐνείη, καὶ ἅμα τῷ ἀλγήματι ἢ βηχίον, ἢ στρόφος, ἢ πόνος κοιλίης. ὁκόταν δέ τι τούτων παρεῖ ἐν ὑποχονδρίῳ, μάλιστα λύειν τὴν κοιλίην κλυσμοῖσι. πινέτω δὲ μελίκρητον θερμὸν ἀφη-

ψημένον. καταμανθάνειν δὲ χρὴ καὶ ἐν τῇσιν ἐξαναστάσεσιν, εἰ λειποθυμέει, καὶ εἰ τοῦ πνεύματος εὐφορίη αὐτοὺς ἔχει. ἰδεῖν δὲ διαχώρησιν μήτι μέλαν ἰσχυρῶς διεχώρησεν χρῶμα, ἢ καθαρὸν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα, καὶ ὁ πυρετὸς εἰς τὴν τρίτην ἐπιπαροξυνόμενος. κατιδεῖν δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα συνορέειν, καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρᾳ ὅμοιον ἔχει τι τῶν αὐτῶν τούτων, κινδυνώδης ὁ κάμνων γίγνεται. τὰ δὲ σημεῖα, ἡ μὲν μελαίνη διαχώρησις θανάτους σημαίνει. ἡ δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας, φαίνηται σωτήριος.

Φυλάττεσθαί φησι χρῆναι, πρῶτον μὲν τὴν πρώτην ἡμέραν, ἐν ᾗ γνῶναι κελεύει τὴν αἰτίαν τοῦ νοσήματος. τὸ γὰρ ἐξ ὅτου καὶ ὅτε, τὸ τί ποτ' ἐστὶ τὸ νόσημα, δηλοῖ. πυνθάνεσθαι δὲ κελεύει, πρῶτον μὲν τὴν κεφαλὴν ὅπως ἔχει, ἔπειτα ὑποχόνδρια, καὶ πλευράς. ὑποχόνδριον μὲν, εἴτις ἐστὶν ὀδύνη, ἢ ἐξαίρεται, ἤ τινα ἔχει σκολιότητα, τουτέστιν ἀνωμαλίαν, ὅπερ ἐν τῷ προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν ἔγραψεν, εἰ ἀνωμάλως διακείμενον τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ, ἢ εἰ κόρον ἔχει φησὶ, τοῦτο δέ μοι δοκεῖ τὴν πλήρωσιν τῶν σιτίων εἶναι. ἐρωτᾶν δὲ ἀξιοῖ καὶ τὰ ἄλλα περὶ τὴν ἑξῆς λέξιν, κἄπειτα κελεύει τῶν μὲν ὑποχονδρίων πεπονθότων λύειν τὴν κοιλίαν κλυσμοῖς. πίνειν δὲ μελίκρατον θερμὸν ἀφηψημένον. ἀδιορίστως δὲ ταῦτ' εἰπὼν, ἐφεξῆς γράφει. καταμανθάνειν δὲ χρὴ καὶ τὰ ἐν ταῖς ἐξαναστάσεσιν εἰ λειποθυμεῖ, καὶ ἢν τοῦ πνεύματος φησὶν εὐφορίη αὐτὸν ἔχει. τοῦτο δ' ἀντίκειται τῷ λειποθυμοῦντι. ὁρᾶν δ' ἀξιοῖ καὶ τὸ διαχώρημα, πότερον μέλαν ἐστὶν ἢ καθαρὸν, καὶ ἄμεμπτον, ὁποῖον τῶν ὑγιαινόντων, ὥσπερ καὶ εἰ ὁ πυρετὸς εἰς τὴν τρίτην ἡμέραν ἐπιπαροξύνεται. τούτων οὕτως ἐχόντων, ἐὰν ἡ δ. τῇ γ. παραπλήσιον ἔχει τι κατὰ τὸν παροξυσμὸν, κινδυνώδη δηλονότι ταύτην φησί. τῷ γὰρ καὶ τὴν δ. ἡμέραν ἐπίδηλον οὖσαν τῆς ζ. νεωτερῆσαι τι, τῶν χαλεπῶν ἐστι σημείων. ὁ δὲ νεωτερισμὸς δῆλος. εἰ γὰρ τῇ α. τῶν ἡμερῶν καὶ τῇ γ. παροξυσμὸς ἐγένετο, τῇ β. δὲ οὐκ ἐγένετο, προσῆκον ἦν τὴν ε. ἔχειν παροξυσμὸν, τὴν δὲ δ. μὴ ἔχειν. ἔχουσα τοίνυν καὶ αὕτη, κακοῦ τινος ἑτέρου γένεσιν ἐνδείκνυται. εἰ δὲ καὶ μέλανα διαχωρήσειε, θάνατον ἔσεσθαι δηλοῖ. μέμνηται δὴ τούτου, παραλιπὼν τὰ πολλὰ τῶν εἰρημένων. εἰ γὰρ τῇ α. τῶν ἡμερῶν ἡ γ. τὸν ἀνάλογον ἤνεγκε παροξυσμὸν, νεώτερον μὲν εἰ καὶ ἡ δ. παρώξυνεν. εἰ δὲ καὶ μέλανα διεχώρησεν, ὀλέθριόν ἐστι τὸ σημεῖον. ἐὰν δὲ πάλιν ὅμοια τοῖς ὑγιαίνουσιν ἀνὰ πάσας τὰς ἡμέρας διαχωρῇ, σωτηρίαν ἐλπίζει τοῦ κάμνοντος ἔσεσθαι.

Ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνῇ δὲ τοῦ πνεύματος εὐφορίη, διαναστὰς ἐπὶ τὸν θρόνον, ἢ αὐτοῦ ἐν τῇ κλίνῃ ἡ ἀψυχίη ἐνῇ. ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι, ἢ τῇ καμνούσῃ κατ' ἀρχὰς, παραφροσύνην προσδέχου ἐσομένην.

Συγκέχυται τῆς ῥήσεως ταύτης ἡ διάνοια. τὸ γὰρ ὅταν βάλανος μηδὲν ἀνύῃ, δοκῇ δ' εὐφόρως ἔχειν ὁ κάμνων, εἴ γε κἂν ταῖς διαναστάσεσι λειποψυχῇ, παραφροσύνην προσδέχεσθαι, κακῶς εἰρῆσθαί μοι δοκεῖ, μήτε τῆς ἐμπειρίας μαρτυρούσης αὐτῷ, μήτε τοῦ λογισμοῦ. γένοιτο γὰρ ἄν ποτε καὶ τοιοῦτόν τι. αἱ δὲ προγνώσεις εἰσὶν οὐ τῶν σπανίως γιγνομένων ἀλλὰ τῶν διὰ παντὸς, ἢ ὡς τὸ πολύ.

Προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν. ἢν γὰρ τρομέωνται, προσδέχου τῷ τοιῷδε ἀπόσταξιν αἵματος διὰ ῥινῶν ἐσομένην.

Καὶ οὗτος ὁ λόγος, οὐ τὸ διηνεκὲς, οὐδ' ὡς τὸ πολύ τι γιγνόμενον, ἀλλὰ τὸ σπάνιον διδάσκει.

Ὁρῆν δὲ χρὴ αὐτοὺς τοὺς μυκτῆρας, ἢν ὁμοίως τὸ πνεῦμα δι' ἀμφοτέρων ἕλκηται, καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός. ἢν δὲ σπασμὸς γένηται, τῷ τοιῷδε θάνατος προσδόκιμος, καὶ καλῶς ἔχει προλέγειν.

Οὐσῶν τῶν χειρῶν τρομωδῶν, οὕτω γὰρ προσῆκον εἰπεῖν, εἰ τὸ πνεῦμα πολὺ φέρεται δι' ἀμφοτέρων τῶν μυκτήρων σπασμὸν ἐπιγίνεσθαι φησίν. εἴωθε δ' οὕτως καλεῖν τὴν σπασμώδη διάθεσιν, γινομένην κατὰ τῶν τὰ πτερύγια τῆς ῥινὸς κινούντων μυῶν.

Ἢν δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχείη γένηται, καὶ ἀψυχίαι ἐνέωσι, φιλέει τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ. ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ, καὶ ὑδατοποσίῃ, καὶ μελικρήτου πόσει καὶ χυλοῖσι παραφύλασσε, μηδὲ πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν, ὡς οἱ τὰ τοιάδε ἔχοντες σημεῖα, ἐπικίνδυνοί εἰσι θνήσκειν. ὁκόταν δὲ ταῦτα συμβαίνῃ, οὕτω προλέγειν ἢν σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα.

Χειμερινὸν πυρετὸν ἔνιοι μὲν ἁπλῶς ἀκούουσι τὸν ἐν χειμῶνι γινόμενον, ἔνιοι δὲ τὸν οἰκεῖον φύσει χειμῶνι. εἴη δ' ἂν ὁ τοιοῦτος ἐπὶ φλέγματι, καθάπερ θερινὸς ἐπὶ χολῇ. ἐὰν οὖν φησιν ἐπὶ τῷ τοιῷδε πυρετῷ γλῶσσα γένηται τραχεῖα, καὶ λειποθυμίαι, συγγινώσκειν αὐτὸν ὄντα κινδυνώδη, καὶ διὰ τοῦτο μὴ πιστεύειν ταῖς ἐπανέσεσι τῶν πυρετῶν, ὅταν μετὰ συμπτωμάτων, ἢ σημείων μοχθηρῶν γίγνονται, καθάπερ νῦν ἅμα τῇ λειποθυμίᾳ τε καὶ τῇ τῆς γλώττης τραχύτητι. μὴ τοίνυν φησὶν ἀμελῶς διαιτᾶν τοὺς κάμνοντας, ἀλλ' ὕδωρ τε καὶ μελίκρατον καὶ χυλὸν

πτισάνης

ἐπιστάντες ῥοφεῖν δίδω. δόξει δὲ ταῦτα μάχεσθαι τῷ χρῆναι λιμοκτονεῖν. ἡ γὰρ λιμοκτονία, μάλιστα μὲν ἀσιτίαν παντελῆ σημαίνει, εἰ δ' οὖ, ἀλλὰ τήν γε ἐπὶ τοῖς πόμασι μόνοις δίαιταν. οὕτως δὲ καὶ μελίκρατον καὶ χυλὸν πτισάνης συνεχώρησαν δίδοσθαι. δοκεῖ δέ μοι διὰ τοῦτο λιμοκτονεῖν λέγειν αὐτοὺς, ὅτι χρονίζουσι τὰς ἐπανέσεις τῶν πυρετῶν ἔχοντες τὰς φορωτάτας, ὡς ἐξαπατηθέντας τινὰς, τροφὴν ἰσχυροτέραν δοῦναι, καὶ μάλιστα διὰ τὴν λειποθυμίαν. ὡς πρὸς τοιαύτην οὖν δίαιταν ἡ διὰ τοῦ μελικράτου τε καὶ τοῦ χυλοῦ γινομένη, ἐν πολλαῖς ἡμέραις εἴρηται ὀρθῶς λιμοκτονία.

Ὁκόταν δ' ἐν πυρετοῖσι φοβερόν τι γίνηται πεμπταίοις ἐοῦσιν, ἢ κοιλίη ἐξαίφνης ὑγρὰ διαχωρήσει, καὶ ἀψυχίη γίνηται, ἢ ἀφωνίη ἐπιλάβῃ, ἢ σπασμώδης γίνηται ἢ λυγμώδης, ἐπὶ τούτοισιν ἀσώδης φιλέει γίνεσθαι. καὶ περὶ ὑποκόνδριον καὶ μέτωπον ἱδρῶτες καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς. οἱ δὲ ταῦτα πάσχοντες, θνήξουσι πνευματωθέντες οὐκ ἐς μακράν.

Τῶν ἐκ τηρήσεως ἐμπειρικῶς γεγραμμένων τοῖς ἰατροῖς ἔνια τοιαῦτα ἐστὶ, τουτέστιν ἐκ τῶν ὀφθέντων ἅπαξ, ἢ δὶς ἀπόφασιν ἔχει καθόλου τρόπου, ὡς πλειστάκις ἐπὶ τῶν αὐτῶν, καὶ ὡσαύτως δυνάμενα θεωρηθῆναι, τοιοῦτον δέ τι καὶ τοῦτο ἐστὶ τὸ νῦν λεγόμενον. ἑωρακὼς γὰρ ἔγραψε ταῦτα, πεμπταῖον τινὰ διαχωρήσαντα μέν τινα ὑγρὰ διαχωρήματα, λειποψυχήσαντα δὲ καὶ ἄφωνον γενόμενον. ἕτερον δὲ σπασμώδη, καὶ μετὰ τοῦτο, ἤτοι γε ἀμφοτέρους, ἢ τὸν ἕτερον ἀσώδη. καὶ τὰ περὶ τὸ πρόσωπόν τε καὶ τὸν αὐχένα ἀφιδρώσαντας, εἶτα ἀποθανόντας ἔγραψεν, ὡς οἴεται συνδρομὴν σημείων ἐμπειρικῶν. ἔστι δ' αὐτὰ δυνάμενα καὶ στομαχικῆς προηγεῖσθαι συγκοπῆς. δυνάμενα δὲ καὶ διὰ πλῆθος γίνεσθαι θλιβομένης τῆς δυνάμεως, ἢ καὶ ἄλλως ἀῤῥωστούσης. ἕκαστον γάρ τοι τῶν εἰρημένων, καθ' ἑαυτὸ μοχθηρόν ἐστι, μή τοί γε συνελθόντα πάντα. τὸ γὰρ ἐπὶ ταῖς ἐξαίφνης διαχωρήσεσι λιποθυμεῖν, ἐπικίνδυνόν ἐστιν, ὥσπερ καὶ τὸ ἄφωνον γενέσθαι καὶ ἀσώδη. οὐκ ἀγαθὸν δὲ καὶ τὸ περὶ τὸ πρόσωπόν τε καὶ τὴν κεφαλὴν ἱδροῦν μόνα. καθάπερ οὖν ταῦτα πολλὰ καὶ μοχθηρὰ συμπτώματά ἐστιν, οὕτω καὶ τἄλλα τὰ ἐν τῷ προγνωστικῷ γεγραμμένα. καὶ δυνατοί τις ἐπιπλέκων αὐτὰ ἀλλήλοις, δοκεῖν τι διδάσκειν νεώτερον. ἐὰν δέ που καὶ λέξις ἀσαφὴ μίξῃ τῷ λόγῳ, καθάπερ αἴνιγμα, τοῖς μὲν πολλοῖς, κἂκ τούτου σοφώτερος εἶναι δόξει. θαυμάζουσι γὰρ ἃ μὴ νοοῦσιν. ἀνθρώπῳ δὲ ἐγνωκότι διακρίνειν ἀπὸ τῆς παθογνωμονικῆς συνδρομῆς τὰ ἐπιγινόμενα, φωραθήσεται ποικίλως μὲν, ἄχρηστος δὲ ὁ λόγος. ἡ μὲν γὰρ παθογνωμονικὴ συνδρομὴ, τὸ τοῦ νοσήματος εἶδος ἐνδείκνυται. τὰ δ' ἐπιγινόμενα συμπτώματα τὴν ἐπιείκειαν τε καὶ κακοήθειαν αὐτοῦ. καὶ χρὴ μαθόντα περὶ τούτων τῶν συμπτωμάτων ἑκάστου τὴν δύναμιν, ἐκλογίζεσθαί τε καὶ παραβάλλειν ἀλλήλοις τὰ φανέντα. κἂν μὲν ἰσχυρότερα τε καὶ πλείω φαίνεται τῶν ἀγαθῶν τὰ μοχθηρὰ, γινώσκειν ἐν κινδύνῳ τὸν ἄνθρωπον ὑπάρχειν. εἰ δὲ τὰ ἀγαθὰ τῶν φαύλων ἰσχυρότερα τε εἴη καὶ πλείω, καλὴν προσδοκίαν ἔχειν ἐπὶ τῷ κάμνοντι. τοῦτο δέ σε καὶ αὐτὸς Ἱπποκράτης ἀξιοῖ πράττειν. ἐν γοῦν τῷ προγνωστικῷ πάντων τῶν συμπτωμάτων καὶ τῶν σημείων ἑκάστου καταμόνας ἐδίδαξε τὴν δύναμιν. ἐπὶ τῇ τελευτῇ δὲ τούτου τοῦ συγγράμματος φησὶ, χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προλέγειν τούς τε περιεσομένους καὶ τοὺς ἀποθανουμένους, οἷς τε ἂν μέλλοι πλέονας ἡμέρας παραμένειν τὸ νόσημα, καὶ οἷς ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα πάντα κρίνειν ἐκλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται. τὰς δυνάμεις ἀξιοῖ τῶν σημείων ἐκλογιζόμενον προγινώσκειν ἐξ αὐτῶν τὸ ἀποβησόμενον. ἔνθα μὲν οὖν ἀγαθὰ μοχθηροῖς μέμικται, περισσόμενά πως ταῖς δυνάμεσι γεγυμνασμένου μὲν ἀνδρὸς δεῖται τεθεωρηκότος ἐπὶ τῶν ἔργων αὐτὰ πολλάκις. ἔνθα δ' ἐστὶν ἤτοι πάντα κακὰ, καθάπερ νῦν, ἢ πάντα καλὰ, κατάδηλον ἅπαντι τὸ γενησόμενον. ὄντος γὰρ καὶ καθ' αὐτὸ σημείου κακοῦ τοῦ, διαχωρούσης τῆς κοιλίας λειποψυχῆσαι. κακοῦ δ' ὡσαύτως καὶ τοῦ ἀφωνίας, ἐὰν πρὸς τούτοις, καὶ σπασμώδης ἢ λυγμώδης, ἢ ἀσώδης ὁ κάμνων γίνεται, σαφέστερον ἐνδείξεται τὸν κίνδυνον. ἐὰν δὲ καὶ ἄλλο τι μοχθηρὸν αὐτοῖς σημεῖον ἐπιγένηται, καθάπερ οἱ περὶ τὸν αὐχένα καὶ τὸ πρόσωπον ἱδρῶτες, ἔτι καὶ μᾶλλον, ἅπερ εἴρηται νῦν ὑπ' αὐτοῦ τοῦ γράψαντος τὸ βιβλίον, οὐδενὸς ἀγαθοῦ σημείου μεμιγμένου τοῖς κακοῖς. ὅτι μὲν ὁ τοιοῦτος ἐξ ἀνάγκης τεθνήξεται, πρόδηλον ἐκ τοῦ τῶν κακῶν ἀθροίσματος σημείων. τὸ δὲ καὶ πνευματωθήσεται, τῇ τελευτῇ τῆς ῥήσεως ὥσπερ αἴνιγμα προσέῤῥιπται ταύτης, ὥς τι τῶν ἐξ ἀνάγκης ὡμολογημένων ἔσεσθαι, ὅτι περ ἂν σημαίνῃ τὸ πνευματωθήσεται, εἴτε τὸ τῶν κατὰ τὴν γαστέρα πνευμάτων πλῆθος, ὡς ἔνιοι γαστέρα φυσηθῆναι πᾶσαν αὐτὴν, εἴτε τὴν μεγάλην καὶ πυκνὴν ἀναπνοὴν, ἀλλὰ καὶ ταύτην ἐμάθομεν, αἷς ἔσεσθαι διαθέσεσιν, οὐκ ἀγαθόν. ὥσπερ γε καὶ τὴν τῆς γαστρὸς, ὡς οὐ χρὴ ζητεῖν ἄλλα σημεῖα, τούτων ἐξ ἀνάγκης προηγουμένων. ἐπὶ τούτοις γὰρ οὐκέτι ὡς ἐπ' ἐνίοις τοῖς κατὰ τύχην γενομένοις, ἢ τῶν ἀκριβουμένων ἀσφαλής τις γίγνεται πρόγνωσις.

Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίγνεται φυματώδεα, καὶ ἐν χρονιζόμενα μὴ ἐκπεπαίνεται ἐόντων ἐν πυρετοῖσιν, καὶ προσπέσοι πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα, καὶ μηδὲ πεπαίνηται, ἀλλὰ σβεσθῇ, φιλέει τῷ τοιῷδε αἷμα ἐκ ῥινῶν ῥέειν, κἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου, ἢν δὲ μὴ, μακρήν. ὁκόσον δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ μῆκος. εἰ δὲ τἄλλα ῥήϊστα γένηται, προσδέχεσθαι τῷ τοιῷδε ἐς πόδας ἀλγήματα. ἢν δ' ἅψηται τοῦ ποδὸς καὶ ἐπώδυνος γενόμενος παραμένει, πυρίφλεγης γενόμενος καὶ μὴ λυθῇ, κατὰ σμικρὸν ἥξει καὶ ἐς αὐχένα ἀλγήματα, καὶ ἐς κληῗδα, καὶ ἐς ὦμον, ἢ ἐς στῆθος, καὶ ἐς ἄρθρον, καὶ τούτῳ δέησε φυ-

ματώδεα γίνεσθαι. σβεννυμένων δὲ τούτων, ἢν αἱ χεῖρες ἐφέλκωνται, ἢ φομβέαι γίνωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει καὶ παραφροσύνη. ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν, καὶ ἐρυθήματα ἴσχει, τὸ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει, καὶ σκληρὴ φλεγμονὴ κατέχει, καὶ οἰδεῖ ἰσχυρῶς ὁ ὀφθαλμὸς, καὶ παραφροσύνη μέγα ἐπιδιδοῖ. αἱ δὲ νύκτες μᾶλλον ἐπισημαίνουσιν ἢ αἱ ἡμέραι, τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐς τὸν περισσὸν ἀριθμὸν, ἢ ἐπὶ τὸν ἄρτιον. ὁκοτέρῳ δ' ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὀλέθριοι ἐπιγίνονται.

Καὶ πάντα ταῦτα τὰ νῦν εἰρημένα, δοκεῖ μοι τεθεαμένος ἐφεξῆς ἀλλήλων ὁ συνθεὶς τὸ γράμμα τουτὶ, καθολικόν τινα ἐκ τῆς ἐν μέρει τηρήσεως λόγον πεποιηκέναι προπετῶς. ἄμεινον μὲν γὰρ ὡς Ἱπποκράτης ἐν τοῖς τῶν ἐπιδημιῶν εἰώθει γράφειν, οὕτω καὶ αὐτὸν πεποιηκέναι, προειπόντα μὲν ἐν ἀρχῇ τὸ τοῦ παθόντος ὄνομα, καὶ μετὰ ταῦτα, καὶ τὰς ἡμέρας ἐν αἷς ἕκαστον ἐγένετο, καθάπερ ἐπ' αὐτῶν τῶν νῦν εἰρημένων συμπτωμάτων ἔνεστι ποιῆσαι. γεγενῆσθαι γάρ τινι φυματώδη τὰ σκέλη, καὶ μὴ πεπαίνεσθαι. προσυποκείσθω δὲ καὶ πυρετώδης εἶναι καὶ πνιγώδης γενόμενος παυσάσθω, προσδοκήσειεν αὖθις ἄνω γεγονέναι μετάστασιν τῶν ἐν σκέλεσι χυμῶν, ἥ τις ἐν ταῖς προόδοις πνιγώδη τὸν ἄνθρωπον ἐποίησεν. ἐὰν οὖν ὁ τοιοῦτος, ὡς Ἱπποκράτης εἶπεν ἐστὶ περιεστηκὼς, αἱμοῤῥαγῆσαι δυνήσεται διὰ ῥινῶν, καὶ ἐὰν πολὺ ᾖ τὸ αἷμα, λύσει τὴν νόσον, εἰ δ' οὔ, χρονίσει. καὶ εἴτ' ἄλλα καλῶς γένοιτο, πάλιν εἰς τοὺς πόδας ἀλγήματα τούτῳ κατασκῆψαι δυνατόν ἐστιν. ὑποκείσθω δὲ καὶ τοῦτο γεγονέναι, καθάπερ καὶ τὸ πυρεφλεγῆ τὸν ἄνθρωπον ἐπὶ τούτοις γενέσθαι, ὅπερ ἤτοι θερμασίαν πολλὴν περὶ τὸν πόδα δηλοῦν εἴωθεν, ἢ πυρετὸν πολὺν καὶ πυρώδη, καὶ εἰ ἐπὶ τούτοις μὴ λυθείη τὰ συμπτώματα, πάλιν ἀναχωρῆσαν ἄνω μᾶλλον τὸ πλῆθος, ἀλγήματα γεννήσει κατὰ τοὺς αὐχένας καὶ κλεῖς, καὶ τὸν ὦμον, καὶ τὸ στῆθος. ὡς δὲ πάντα συνέβη ταῦτα αὐτῷ ἀλόγως, τοῦτο γάρ ἐστι τὸ σβεσθῆναι, τὰς χεῖρας ὑποκείσθω γενέσθαι τρομώδεις, ἔπειτα σπασμὸν ἐπακολουθῆσαι, τοῦ πλήθους ἀποσκήψαντος εἰς τὰ νευρώδη μόρια, καὶ αὐτὴν τὴν ἀρχὴν αὐτῶν καταλαβόντος, ἐντεῦθεν γὰρ αἱ παραφροσύναι. θεασάμενος οὖν ὁ γράψας τῶν οὕτως τινὰ νοσησάντων φλυκταίνας ἔχοντα κατὰ τὴν ὀφρὺν, τοῦτο γὰρ σημαίνει τὰ φλυζάκια, προπετῶς ἀπεφήνατο πᾶσι τοῖς οὕτως ἔχουσι ἐσόμενον τοῦτο τὸ σύμπτωμα, καὶ περὶ τῶνδε τῶν ἐφεξῆς γεγραμμένων, ὁ αὐτὸς λόγος. ὃ γὰρ ἐγένετο τινὶ τῶν οὕτω νοσούντων, εἴτε δυοῖν, ἐπὶ πάντας ἐκτείνων, ἔφη καὶ ἐρυθήματα ἴσχειν αὐτὸς, καὶ τὸ βλέφαρον ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνειν, καὶ ξηρὰν γίνεσθαι τὴν φλεγμονὴν, καὶ οἰδεῖν ἰσχυρῶς τοὺς ὀφθαλμούς. τούτων δὲ τὰ μὲν ἄλλα σαφῆ. τὸ δὲ παραβλαστάνει τὸ βλέφαρον τὸ ἕτερον, ἀσαφές ἐστιν, πότερον ἐκ μέρους αὐτῶν τινα γινομένην σύμφυσιν, ἢ σαρκῶδές τι βλάστημα, θάτερον μὲν ἐκφυόμενον, ἐπὶ δὲ θάτερον ἐκτεινόμενον ἠβουλήθη δηλῶσαι. εἰ δέ τι χρήσιμον ἦν τῆς εὑρέσεως αὐτοῦ χάριν, πλέον ἂν περὶ αὐτοῦ διασκεψαίμην.

Τοὺς τοιούτους δὲ, ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς ε. ἢν βορβορύζῃ ἡ κοιλίη, ἢν δὲ μὴ, ἐᾶν ἀφαρμακεύτους εἶναι. ἢν δὲ διαβορβορύζῃ, καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῃ ὑποκάθαιρε μετρίως. τῇ δὲ ἄλλῃ θεραπείῃ ὡς ἐλάχιστα προσφέρειν, ποτὰ καὶ ῥοφήματα, ἵνα βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην ἐπανιόντες.

Θεραπείαν γράφει προειρημένης τῆς συνδρομῆς, ὀνομάζει δ' αὐτὴν ἐμοὶ μὲν ὡς εἴρηκα, ὃ δὲ τοῦτο δοκεῖ, καὶ ἡ θεραπεία δὲ οὐδὲν κοινὸν ἔχει παρὰ τὰ πρόσθεν ἤδη εἰρημένα πολλάκις. προεπισκεψάμενον γὰρ εἴρηκε καὶ τὰ ἐν τῇ γαστρὶ, καὶ γνωρίσαντα ταῦτα διὰ τῶν βορβορυγμῶν καθαίρειν. εἰ δὲ καὶ χολώδη τὰ κάτω ῥέποντα εἴη, σκαμμωνίαν δίδωσι, φάρμακον χολώδη καθαῖρον. ἐν δὲ τῇ ἄλλῃ θεραπείᾳ κελεύει προσφέρειν ἐλάχιστα ῥοφήματα, μέχρις ἂν ἐπανιῶσιν ὑπερβαίνοντες τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν. τούτῳ δὲ τῷ λόγῳ συνενδείκνυται περὶ τῆς ιδ΄ μὴ δύνασθαι πεφθῆναι τὴν νόσον.

Ὁκόταν πυρέσσοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει λῦσις ταχείη, οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίγνεσθαι, ἀλλὰ χρόνον τῷ τοιῷδε σημαίνει. ὁκόταν δὲ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, μακρότερον συμπίπτει.

Οὗτος ὁ λόγος περιττός ἐστι τοῖς μεμαθηκόσι τὰ μοχθηρὰ συμπτώματα μείζονα δύναμιν ἔχειν ἐν κρισίμοις ἡμέραις φαινόμενα. τούτῳ γὰρ τῷ καθόλου κέχρηται καὶ νῦν ὁ γράψας τὸ βιβλίον ἐφ' ἑνὸς τῶν κατὰ μέρος πραγμάτων τῆς ιδ΄ ἡμέρας. ὡς γὰρ ἐν ταῖς ἄλλαις κρισίμοις, οὕτω καὶ ἐν ταύτῃ, εἰ φανῇ τι μοχθηρὸν σύμπτωμα, μείζονα τὴν δύναμιν ἔχει. χρὴ δὲ τὴν ἀπόφασιν τοῦ γενησομένου μηδ' ἁπλῶς, μηδ' ὡς ἔτυχεν, ἀλλὰ μετὰ διορισμοῦ ποιεῖσθαι. εἰ μὲν γάρ τινα τῶν ἀγαθῶν σημείων, μείζονα δύναμιν ἔχοντα παρείη τῷ κάμνοντι, νοσήσας πλείονος δυνηθήσεται σωθῆναι. μηδενὸς δὲ ὄντος τοιούτου, τεθνήξεται μὴ δυναμένης τῆς δυνάμεως ἐξαρκέσαι τῇ πέψει τοῦ νοσήματος. κακῶς οὖν ὁ ταῦτα γράψας ἔφη, μακρότερον πάντως ἔσεσθαι τὸ νόσημα. δύναται γὰρ καὶ διὰ ταχέων ἀποθανεῖν ὁ τὴν ἀφωνίαν ἐν τῇ ιδ΄ σχὼν ἡμέρᾳ, μετὰ τῶν χαλεπῶν ἄλλων σημείων γενομένου τοῦ συμπτώματος.

Ὁκόταν

Ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ γλῶσσα ἐκ τεταραγμένης διαλέγηται, καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρά, φιλέει παραληρεῖν ὁ τοιόσδε, ἀλλὰ χρὴ παραφυλάσσειν προεπόμενον τοῖς ἀποβαίνουσι.

Ἀλλὰ καὶ ἐν ἄλλῃ τινὶ τῶν ἡμερῶν. ἐὰν δὲ καὶ τεταρταία φανῇ πρῶτον, κινδυνωδεστέραν εἶναι τὴν ζ΄. δηλοῖ, τουτέστι τὰ ἐκείνῃ γενησόμενα.

Θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων, αἵματος ἀπόσταξις ἐξαπίνης, συντονίην καὶ πολλὴν φλεγμασίην ἐπὶ τὰς φλέβας δηλοῖ, καὶ ἐς τὴν ὑστεραίην λεπτῶν οὔρων ἐπιφάσιας. καὶ ἢν ἀκμάζῃ ἡ ἡλικίη, καὶ τὸ σῶμα ἐν γυμνασίῳ, ἢ εὐσαρκώσιος ἔχῃ, ἢ μελαγχολικὸς, ἢ ἐκ πόσιος χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν, ἢ σπασμόν.

Καὶ αὕτη πάλιν ἡ ῥῆσις ἐπιπλοκὴν ἔχει συμπτωμάτων πολλῶν οὐ συγγινομένων ἐν ἅπαντι ἀνθρώπῳ νοσοῦντι. διὸ καὶ ἄχρηστα τὰ οὕτως γραφόμενα, τῆς χρησίμου διδασκαλίας, διὰ τῶν καθόλου γινομένης, ὡς Ἱπποκράτης εἴωθε ποιεῖν. εἴρηται δ᾽ ὅτι τῶν καθόλου, τὰ μὲν διηνεκῆ τὴν α΄. ἔχει δύναμίν τε καὶ χρείαν, τὰ δ᾽ ὡς τὸ πολὺ τὴν β΄. ἔτι δ᾽ ἀμφίδοξον, ἢ σπάνιον ὄν, ἄχρηστον εἰς τὴν διδασκαλίαν. ἃ γοῦν εἶπεν ἐπισκεψώμεθα κατὰ μέρος, καὶ πρῶτόν γε τὸ πρῶτον εἰρημένον θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων, αἵματος ἀπόσταξις ἐξαπίνης, συντονίην καὶ πολλὴν φλεγμασίην ἐπὶ τὰς φλέβας δηλοῖ, καὶ εἰς τὴν ὑστεραίην λεπτῶν οὔρων ἐπιφάσιας, καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ, καὶ τὸ σῶμα ἐκ γυμνασίων ἢ εὐσαρκώσιος ἔχῃ, ἢ μελαγχολικὸς, ἢ ἐκ πόσιος, χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν ἢ σπασμόν. βέλτιον οὖν ἦν εἰπεῖν τὴν συντονίαν ἐνδείκνυσθαι θεραπείας χρήζειν τὰς φλέβας, ἐπιστάμεθα δ᾽ ὅτι τὰς στάξεις τοῦ αἵματος ἐκ τῶν μυκτήρων, μοχθηρὸν ἀεί τι φησὶν εἶναι, διὰ τὴν φύσιν μὲν ἐφίεσθαι ἐκκρίνειν τὸ περιττὸν, ἀδυνατεῖν δὲ δι᾽ οἰκείαν ἀρρωστίαν, ἢ πάχος τοῦ αἵματος, ἢ πύκνωσιν τῶν μορίων, ἢ τινὰ τούτων, ἢ πάντα συνελθόντα. μοχθηροῦ δ᾽ ὄντος ἀεὶ τοῦ σημείου, μᾶλλον δέ τι καὶ ἐπὶ θέρους καὶ φθινοπώρου τὰ πρῶτα, τὴν δύναμιν αὐτοῦ συμβέβηκεν ἐπιτείνεσθαι. ἐν ταύταις γὰρ ταῖς ἡμέραις ἥ τε ξανθὴ πλεονάζει χολὴ, καὶ τὸ περιέχον θερμόν ἐστιν, ὥστε εὔρουν ἐχρῆν δι᾽ ἄμφω εἶναι τὸ αἷμα. μέγεθος οὖν αἰτίας δηλοῦται, δι᾽ ἣν κωλύεται ῥεῖν, ἣν τὴν συντονίαν εἶναί φησιν, ἴσως τὴν πύκνωσιν οὕτως ὀνομάζων. τήν γε μὴν θεραπείας δεῖσθαι τὰς φλέβας τὰς οὕτως ἐχούσας, οὐδὲν οὐδέπω διδάσκει, πρὶν εἰπεῖν ἥν τινα λέγει θεραπείαν, οὐ μὴν εἶπε. πρόρρησιν δὲ μόνην πρώτην ἔγραψε λεπτῶν οὔρων ἐπιφάσιας γίνεσθαι κατὰ τὴν ὑστεραίαν, οὐ κατὰ μόνην ταύτην ἐξ ἀνάγκης φαινομένων αὐτῶν λεπτῶν, ἀλλὰ καὶ κατὰ τὰς ἔμπροσθεν αὐτῆς. καὶ σπασμόν φησι καὶ παραφροσύνην ἔσεσθαι τοῦ κάμνοντος ἀκμάζοντος κατὰ τὴν ἡλικίαν οὕτως. ἔτι πρὸς τούτοις καὶ γυμνασίου καὶ τῆς εὐσαρκίας αὐτοῦ μέμνηται καὶ τῆς κράσεως. οἱ γοῦν μελαγχολικοὶ, κράσεως ὄνομα, καὶ μέντοι καὶ ἐκ πόσεως φησὶν αὐτὸν χεῖρας ἴσχειν τρομεράς. τὰ μὲν οὖν συμπτώματα ταῦτα δυνατόν ἐστιν ἀλλήλοις ἐπιπλακῆναι, οὐ μὴν ἐξ ἀνάγκης γε, ἢ ὡς τὸ πολὺ τούτοις ἐπακολουθήσει παραφροσύνη καὶ σπασμός.

Καὶ ἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται, βέλτιον, ἐν κρίσει δὲ ὀλέθριον, ἢν μὴ πουλὺ ἅλις ἐπεσσυθὲν αἷμα ἔξοδον ποιήσεται διὰ πλεονεξίης ἐπὶ ῥῖνας, ἢ καθ᾽ ἕδρην ἐμποιήσειεν, ἢ μεταστάσιες, ἢ ἀποστάσιες, ἢ πόνοι ὑποχονδρίων, ἢ ἐς ὄρχιας, ἢ ἐς σκέλεα. πεφθέντων δὲ τουτέων, ἔξοδοι γίγνονται πτυσμῶν, παχέων οὔρων, ἢ λείων, λευκῶν.

Δύο γραφαί εἰσι τῆς ἐπιγίγνεσθαι λέξεως. μία μὲν διὰ τοῦ τ στοιχείου τῆς τρίτης συλλαβῆς γεγραμμένης. ἄλλη δὲ διὰ τοῦ γ. ἀλλ᾽ ἐάν τε κατὰ τὴν προτέραν ἐπιτείνεσθαι λέγῃ τοὺς κάμνοντας ἐν ἀρτίαις ἡμέραις, ἐάν τε κατὰ τὴν β΄. ἐπιτείνεσθαι τὰ εἰρημένα συμπτώματα κατὰ τὰς ἀρτίους ἡμέρας, οὐκ εὐθέως ἐστὶ καὶ βέλτιον. τοῦτο δ᾽ αὐτὸς εἶπεν. οὐδὲ γὰρ εἰ ἄρτιοι προσήκει σκοπεῖν, ἀλλ᾽ εἰ καὶ κρίσιμοι. τὴν γοῦν τετάρτην ἡμέραν ἀρτίαν οὖσαν καὶ αὐτὸς ἐξ ἧς ὀλίγον ἔμπροσθεν εἶπεν ὅτι μεγίστην δύναμιν ἔχει. τό γε μὴν ἐφεξῆς εἰρημένον ἀληθές. ἐὰν γὰρ αἷμα πολὺ καθ᾽ ὅντινοῦν τρόπον ἐκκριθῇ, σωτηρίας ἔχειν ἐλπίδα, καὶ δι᾽ ἀποστάσεως αὐτὸς καὶ μεταστάσεως φησὶ σώζεσθαι. τὴν μὲν ἀπόστασιν ἄντικρυς διὰ τῆς ἰδίας προσηγορίας δηλώσας, τὴν δὲ μετάστασιν διὰ τοῦ φάναι, πόνους ἐν ὑποχονδρίῳ, ἢ εἰς ὄρχιν, ἢ σκέλεα. διαφέρει δ᾽ ἀλλήλων, τῷ, τὴν μὲν ἀπόστασιν, αὐτὴν τὴν κρίσιν ἐπιφέρειν καὶ ἀπαλλάττειν ἁπάντων τῶν ὀχληρῶν τὸν κάμνοντα. τὴν δὲ μετάστασιν ἑτέρων ἴσχειν ἀρχὴν παροξυσμῶν τε καὶ πόνων, ὡς δεῖσθαι πάλιν ἄλλου χρόνου πρὸς τὴν πέψιν τὸν τόπον τοῦ σώματος, εἰς ὃν ἡ μετάστασις ἐγένετο τῶν λυπούντων χυμῶν, διὸ καὶ προσέθηκε, πεφθέντων δὲ τούτων, αἱ διέξοδοι γίνονται πτυσμῶν, ἢ παχέων οὔρων, λείων, λευκῶν, σημεῖα διδάσκων, τοῦ πεπέφθαι τὴν μετάστασιν ἐκ τῶν πεπεμμένων πτυσμάτων τε καὶ οὔρων.

Πυρετῷ λυγγώδει ὀπὸν σιλφίου, ὀξύμελι, δαῦκον, ῥίψας, πιεῖν δίδου καὶ χαλβάνην ἐν μέλιτι καὶ κύμινον ἐκλεικτικὸν καὶ χυλὸν πτισάνης ἐπὶ τουτέοισι ῥοφέειν. ἄφυκτος δ᾽ ὁ τοιοῦτος ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται, καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ, ἢ εἰς ἀπόστασιν στηρίξῃ.

Τὰς λύγγας εἰώθασι καὶ λυγμοὺς ὀνομάζειν. εἰσὶ δὲ κινήσεις τινὲς τοῦ στομάχου σπασμώδεις. γίνεσθαι δέ φασι δι᾽ ἀμέτρου κένωσιν ἢ πλήρωσιν. οἱ μὲν οὖν διὰ κένωσιν γινόμενοι σχεδὸν ἀνίατοι τυγχάνουσιν ὄντες. οἱ δὲ διὰ πλήρωσιν, ὑπὸ τῶν τεμνόντων καὶ ῥυπτόντων τὰ ἐμπεπλασμένα βοηθημάτων θεραπεύονται. τοιαῦτα δέ εἰσι καὶ τὰ νῦν γεγραμμένα. φαίνεται δὲ νῦν ἡ λύγξ αὕτη γινομένη, καὶ διὰ δριμύτητα δάκνουσαν τὸν στόμαχον, ὡς ἐπειδάν τις πέπερι πλέον, ἤ τι

καὶ τοῦτον καταπίῃ. καὶ μέντοι καὶ τῶν πυρεσσόντων ἔνιοι λύγξαντες ἤμεσαν διαβρωτικὸν καὶ δριμύτατον χυμόν, ἐφ᾽ ᾧ τελέως ἐπαύσαντο τοῦ συμπτώματος. ἀλλ᾽ ὅγε τοιοῦτος πυρετός, οὐ καλεῖται λυγγώδης. ἐπὶ πλέον γὰρ δεῖ παραμένειν τὸν λυγμόν, ἢ καὶ δι᾽ ὅλου τοῦ νοσήματος εἶναι συμπαροξυνόμενον τοῖς πυρετοῖς, ἵνα λυγγώδης ὀνομασθῇ. τὸν τοιοῦτον πυρετὸν ὑφ᾽ ἱδρώτων κρισίμων καὶ ὕπνων ὁμαλῶν, καὶ οὔρων δριμέων καὶ παχέων ἐκκριθέντων θεραπεύεσθαι φησίν, ἤτοι γε ἐκκριθέντων τῶν τοιούτων, ἢ εἰς ἀπόστημα στηριχθῇ.

Κόκκαλος καὶ σμύρνα ἐκλικτόν. πίνειν δὲ τοῖσι τοιουτέοισιν ὀξύμελι διδοὺς ὡς ἐλάχιστον.

Ἀτάκτως τοῦτο γεγράφθαι. βέλτιον γὰρ ἦν αὐτὸ μικρῷ πρόσθεν γεγράφθαι κατ᾽ ἐκεῖνο τοῦ λόγου τὸ μέρος, ἔνθα ἐθεράπευσε τοὺς δεομένους τὸν θώρακα καὶ πνεύμονα διὰ πτυσμάτων ἐκκαθαίρεσθαι, οὐ πρὸς τὸν λυγγώδη πυρετόν, ἀλλὰ καὶ αὐτὸ τὸ εἰρημένον ἀσαφές. ὁ μὲν γὰρ κόκκαλος ὑπ᾽ αὐτοῦ λελεγμένος, οὐχ οὕτως, ἀλλὰ κῶνος μᾶλλον ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ὠνομάζετο, καθάπερ ὑπὸ τῶν νεωτέρων ἰατρῶν σχεδὸν ἁπάντων στρόβιλος. εἰώθει δὲ ἐξ αὐτοῦ σκευάζειν ἐκλικτόν, ὅταν ᾖ λιπαρὸς μάλιστα, τουτέστι πολλὴν ἐν κύκλῳ περικεχυμένην ἔχει ἰδίαν ῥητίνην. ἑψόμενοι δ᾽ αὐτὸν ἐν ὕδατι μετὰ πρασίου προσφάτου, εἶτα τῷ ἀφεψήματι μιγνύντες μέλι σύμμετρον, ἕψοντες τε πάλιν τοῦτο, μέχρι μελιτώδους συστάσεως, οὕτω τῷ γενομένῳ φαρμάκῳ χρώμεθα πρὸς τὰς ἐκ θώρακος καὶ πνεύμονος πτύσεις. ὥσπερ δὲ καὶ ἄλλα τινὰ προσεπεμβάλλομεν τούτῳ τῷ φαρμάκῳ πολλάκις, οὕτως οὐδὲν εἰκὸς καὶ τὸν ταῦτα γράψαντα σμύρναν ἐπεμβάλλειν, εἶτα διὰ συντόμων δεδήλωκε καὶ τοῦτο, κόκκαλον καὶ σμύρναν ἐκλικτὸν εἰπών. δύναται δὲ καὶ αὐτοὺς τοὺς ἐσθιομένους κώνους μετὰ σμύρνης διδόναι, τάχα κἀνταῦθα πάλιν ὑπακουσάντων ἡμῶν, οὐ κακῶς μίγνυσθαι μέλι τῷ φαρμάκῳ. τινὲς μὲν οὖν χωρίσαντες τῆς προγεγραμμένης ῥήσεως, ταύτην αὐτὴν καθ᾽ ἑαυτὴν γράφουσι. τινὲς δὲ τὸ πρὸς αὐτῆς ἀρχὴν ποιοῦσι κατὰ τόνδε τὸν τρόπον. ἢν δὲ ἀποστήματα στηρίζῃ, κόκκαλος καὶ σμύρνα ἐκλικτόν, ἵνα τῶν εἰς ἀπόστημα στηριζόντων νοσημάτων ἀκούωμεν αὐτῷ φάρμακον ὑπάρχειν. ἔστι δὲ ἄλογον τοῦτο, καὶ μάλιστα διὰ τὸ ἐπιφερόμενον, ἐν ᾧ φησί, πίνειν δὲ τοῖσι τοιουτέοισιν, ὀξύμελι διδοὺς ὡς ἐλάχιστον. ἐπὶ μὲν γὰρ τοῦ λυγγώδους πυρετοῦ, λόγον ἔχει δεδιέναι τὸ ὄξος, ἐπὶ δὲ τῶν εἰς ἀπόστημα στηριζόντων οὐδὲν. καὶ διὰ τοῦτο τινὲς ἄλλοι κατά τι μὲν συνάπτουσι τὴν ῥῆσιν ταύτην τῇ προγεγραμμένῃ, κατά τι δὲ διαζευγνύουσι. προστιθέντες τὸν δὲ σύνδεσμον, καὶ γράφοντες οὕτως. ἢν δὲ εἰς ἀπόστημα στηρίζῃ, περὶ τοῦ λυγγώδους πυρετοῦ τοῦ προειρημένου καὶ τοῦτο εἶναι λεγόμενον, συμβουλεύσαντος τοῦ γράψαντος τὸ βιβλίον, ἐὰν εἰς ἀπόστημά ποτε συμβῇ στηρίξαι τὸν λυγγώδη πυρετόν, κόκκαλον μετὰ σμύρνης διδόναι, καὶ φυλάττεσθαι τὴν δαψιλῆ πόσιν τοῦ ὀξυμέλιτος. τὸ δ᾽ εἴτε διὰ τοῦ ζ. γράμματος ἡ τελευταία συλλαβὴ τοῦ στηρίζῃ γράφοιτο, εἴτε διὰ τοῦ ξ. μεγάλην, οὐδὲ μίαν ἐξαλλαγὴν ὁ λόγος ἔχει.

Ἢν δὲ διψώδεες σφόδρα ἔωσι τοῦ κριθείου ὕδατος.

Ὅτι μὲν ὡς ἄδιψον πόμα, εὔδηλόν ἐστιν. ἄμεινον δ᾽ ἦν εἰρῆσθαι πρὸς αὐτοῦ πῶς χρὴ σκευάσαι τὰς κριθάς, πότερον ἀποβρέξαντας ἁπλῶς, ἢ ὡς οἱ νῦν ἐξ αὐτῶν τὸν ζύθον ποιοῦντες, ἢ κατ᾽ ἄλλον τινὰ τρόπον.

Τὰ δὲ περιπνευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι. ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ, καὶ τὰ ὀδυνήματα τοῦ πλευροῦ τοῦ ἑτέρου ἢ καὶ ἀμφοῖν, καὶ τοῦ πνεύματος ἄνω φερομένου, ἢν πονέῃ, καὶ βῆχες ἐνέωσι καὶ πτύσματα ἀνέῃ πυρρὰ ἢ πελιά, ἢ καὶ λεπτὰ καὶ ἀφρώδεα καὶ ἀνθηρά, καὶ εἴ τι ἄλλο διάφορον ἔχει, παρὰ τὰ μεμαθηκότα τούτοισιν, οὕτω χρὴ διάγειν.

Τὰ μεγάλα καὶ ἀξιόλογα πλευρίτιδος καὶ περιπνευμονίας διώρισται ἅπαντα κατὰ τὸ γνήσιον μέρος τοῦ βιβλίου. τὰ δὲ πᾶσιν ἰατροῖς γινωσκόμενα παραλέλειπται. τοιαῦτα δέ ἐστιν ἃ νῦν οὗτος γράφει, καὶ πρῶτον μὲν τὴν συνδρομὴν ὀνομαζομένην ὑπὸ τῶν παλαιῶν ἐμπειρικῶν. οἱ παλαιοὶ δὲ συντρέχοντα τοῖς πάθεσιν, ἐκάλουν τὰ τοιαῦτα συμπτώματα. πυρετὸς οὖν ὀξὺς καὶ ὀδύνη πλευροῦ θατέρου, ἢ ἀμφοτέρων, μάλιστα κατὰ τὴν ἐκπνοὴν γε γινομένην, τοῦτο γάρ ἐστι καὶ τοῦ πνεύματος ἄνω φερομένου, ἢν πονέῃ, καὶ βῆχες, καὶ πτύελα πυρρά, ἢ πελιδνά, καὶ λεπτά, καὶ ἀφρώδη, καὶ ἀνθηρά, καὶ ὁπωσοῦν ἄλλως ἐξηλλαγμένα παρὰ τὰ συνήθη, τοῦτο γὰρ δηλοῖ λέγων, καὶ εἴ τι ἄλλο διάφορον ἔχει, παρὰ τὰ μεμαθηκότα, ταῦτα τοῖς πλευριτικοῖς τε καὶ περιπνευμονικοῖς ἐμφαίνεσθαι φησὶ συμβαίνοντα, τουτέοισιν οὕτω χρὴ διάγειν.

Ἢν μὲν ὀδύνη ἄνω τεκμαίνῃ πρὸς κληῗδα, ἢ περὶ μαζὸν καὶ βραχίονα, τέμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ᾽ ὁκότερον ἂν ᾖ τῶν μερῶν, κατὰ τόδε.

Κἀνταῦθα πάλιν ἐργάζεται τὴν τοῦ γνησίου μέρους γνώμην. ἐπεὶ παραλέλειπτο τὸ συνεπινοούμενον τοῖς εἰρημένοις αὐτῷ, προστιθεῖ, οἷον καὶ τοῦτο, κατ᾽ εὐθὺ τῆς πεπονθυίας πλευρᾶς ποιεῖσθαι τὴν φλεβοτομίαν, ὅπερ ἐδήλωσεν εἰπών, τέμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ᾽ ὁκότερον ἂν ᾖ τῶν μερῶν κατὰ τόδε. προδήλως συντέμνων, τῆς ἑρμηνείας ἀμελεῖ. δέον γὰρ εἰπεῖν τὴν κατ᾽ ἀγκῶνα φλέβα, τὴν ἐν τῷ βραχίονι λέγει.

Ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν καὶ ὥρην καὶ ἡλικίην καὶ χροιὴν πλέον, καὶ θαρσέως. ἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἀγαγεῖν πρὸς λειποψυχίην.

Ἐνταῦθα πάλιν πλέον τοῦ μέτρου τοὺς σκοποὺς τῆς φλεβοτομίας ἅπαντας εἰπεῖν φιλοτιμηθείς, ὅμως παραλέλοιπε τινάς. οὔτε γὰρ τῆς δυνάμεως ἐμνημόνευσεν, οὔτε τῆς μεταβολῆς τοῦ αἵματος, ἀλλ᾽ οὐδὲ χώρας ἢ καταστάσεως. πλέον δ᾽ ἀφαιρεῖν κελεύων, καὶ θαρρεῖν μέχρι λειποθυμίας ἄγειν, ἥμαρτεν ἐν τῇ λέξει, προσθεὶς δι᾽ ὃ θαρρεῖν προσήκει. διὰ μὲν γὰρ τὴν ὀξύτητα τοῦ ἀλγήματος, ἐπὶ τὸ πλέον ἐκκενοῦν τοῦ αἵματος ἀφικνούμεθα. τὸ δ᾽ ἐᾶν ῥεῖν, οὐκ ἐκ τῆς ὀξύτητος ἀλλ᾽ ἐξ ἄλλων ἔχομεν, ἐὰν ἥτε δύναμις ἐρρωμένη, καὶ ἡ τῶν ἀκμαζόντων ἡλικία καὶ τὸ πλῆθος αἱματικόν,

καὶ ἡ τοῦ

καὶ ἡ τοῦ κάμνοντος φύσις πυκνοτέρα τε καὶ σκληροτέρα, καὶ δυσδιαφορητοτέρα καὶ πολύαιμος, ἥτε ὥρα τοῦ ἔτους, καὶ ἡ κατάστασις εὔκρατος. οὕτω γοῦν καὶ ἡ χώρα. τὸ γὰρ ἄχρι λειποθυμίας ἄγοντα θαῤῥεῖν, ἐκ τούτων ἡμῖν προσγίνεται.

Ἔπειτα ὑποκλύζειν μετὰ ταῦτα.

Μετὰ τὴν φλεβοτομίαν κλύζειν κελεύει. βέλτιον δὲ ἦν προστεθεικέναι τὸν Ἱπποκράτειον διορισμὸν, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.

Ἢν δὲ ὑποκάτω τοῦ θώρακος τὸ ἄλγημα ᾖ, καὶ ξυντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε. μεσηγὺ δὲ τῆς καθάρσεως μηδὲν δίδου. μετὰ κάθαρσιν δὲ ὀξύμελι, φαρμακεύειν δὲ τεταρταῖον. τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν, κἢν μὴ ἐκφέρῃ, οὕτως ὑποκάθαιρε. φυλακὴ δὲ ἔστω ἕως ἀπύρετος καὶ ἑβδόμης. ἔπειτα ἢν ἀσφαλὴς ἐὼν φαίνηται, οὕτω χυλῷ ὀλίγῳ, καὶ λεπτῷ τὸ πρῶτον, καὶ μέλιτι μίσγων δίδου. ἢν δὲ ἀνάγηται ῥηιδίως, καὶ εὔπνοος ᾖ καὶ ἀνώδυνος ᾖ, τὰ πλευρὰ κατὰ σμικρὸν παχυτέρῳ τε καὶ πλείονι καὶ δὶς τῆς ἡμέρης.

Πλευριτικὸν ὠνόμασε τὸ εἰρημένον ὑφ᾽ Ἱπποκράτους ἐν τῷ γνησίῳ μέρει βιβλίου, ἐν ᾧ καθαίρει τοὺς οὕτως ἔχοντας πλευριτικούς. σκευάζει δὲ αὐτὸ δηλῶς. τὸ φαρμακεύειν δὲ τεταρταῖον ἀδιορίστως εἴρηκε καὶ τοῦτο αὐτό. τὴν γὰρ ἀρχὴν οὐδὲν τῶν τοιούτων βοηθημάτων προσακτέον τῷ κάμνοντι, σκοπὸν ποιησάμενον ἡμερῶν ἀριθμόν. ἀλλ᾽ ὅπερ Ἱπποκράτης εἶπεν, ἤτοι κατὰ τὴν ἀρχὴν εὐθέως πρὶν στηριχθῆναι τοὺς χυμοὺς κελεύει φαρμακεύειν, ἢ ὕστερον ὅταν πεφθῶσιν, ὥστε καὶ περὶ τὴν πρώτην ἡμέραν, ἐνίοτε δὲ καὶ β. καὶ δ. ἐνίοτε δὲ καὶ ε. ἐφαρμακεύσαμεν, οὐκ ἐν τῇ τετάρτῃ μόνον, καθάπερ οὗτος ἔγραψεν.

Ἢν δὲ μὴ ῥηιδίως ἀπαλλαγῇ, ἔλασσόν τε τὸ πόμα, καὶ τὸ ῥόφημα ὀλίγον, χυλὸν λεπτὸν, καὶ ἅπαξ. ἐν ὁκοτέρῃ ἂν ὥρῃ βέλτιον διάγῃ, γνώσῃ δὲ ἐκ τῶν οὔρων. δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νοσημάτων μὴ πρότερον, ἢ πέπονα τὰ οὖρα, ἢ πτύσματα ἴδῃς γεγενημένα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι, ἔλασσον δὲ καὶ λεπτότερον. οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν, οὐδὲ πέσσειν ὁμοίως, οὐδὲ τὰς κρισίας ὑπομένειν, ἀλλ᾽ ἐπειδὰν ξυντήξιες ὤμων γένωνται, καὶ τὰ ἀντέχοντα ἀποβάλῃ, ἀνθέξει οὐδέν.

Περὶ τοῦ κατὰ μέρος καιροῦ τῆς τροφῆς ἐπισκοπούμενος ὁ Ἱπποκράτης, καὶ αὐτὸς δὲ οὗτος ὁ ταῦτα γράψας ἐν τοῖς ἄνω γεγραμμένοις αὐτῷ, θερμασίᾳ προσέχειν ἠξίου τῇ κατά τε τὸν θώρακα καὶ τοὺς πόδας. ἡ γὰρ τῶν οὔρων ἐπίσκεψις εἰς τὴν καθόλου δίαιταν οὐκ εἰς τὴν τοῦ μορικοῦ μέρους τῆς τροφῆς ἐστι χρήσιμος, ὥστε οὐκ ὀρθῶς εἶπε νῦν χυλὸν λεπτὸν ἅπαξ διδόναι καθ᾽ ἣν ὥραν βέλτιον διάγει. γνώσεσθαι δὲ ἐκείνην ἐκ τῶν οὔρων. εἰ γὰρ καὶ ὅτι μάλιστα βραχεῖαν ῥοπὴν ἐπὶ τὸ βέλτιον ἴσχει τὰ οὖρα κατὰ τοὺς μειλικτοὺς παροξυσμοὺς, ἀλλ᾽ οὐχ οὕτως γε μακρὸς ὁ χρόνος ἐκεῖνος ἐστὶν, ὡς ἀποθέσθαι ταῦτα ἡμᾶς, καὶ περιμεῖναι, πότερον νεφέλας ἐπαιωρουμένας, ἢ κάτω χωρούσας ἴσχει. ταῦτα γὰρ ἐν πολλῷ χρόνῳ γίγνεται. τρέφεσθαι δὲ ἐν τοῖς ὀξέσι νοσήμασι τοὺς κάμνοντας, ἐνίοτε ἀναγκαῖον ἐστὶ καὶ ἐν ἀρχῇ τῆς παρακμῆς.

Πέπονα δὲ ἐστὶ τὰ μὲν πτύελα, ὁκόταν γένηται ὅμοια πύῳ. τὰ δὲ οὖρα τὰς ὑποστάσιας ἔχοντα ὑπερύθρους, ὁκοῖον ὀρόβων. οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων χλιάσματα προστιθέναι καὶ κηρώματα. ἀλείφειν δὲ τὰ σκέλη καὶ ὀσφὺν θερμῷ, καὶ λίπος ἐγκαταλείφειν. ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσων ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπλευμονίης, ἀβοήθητον μὴ ἀνακαθαιρομένου, καὶ πονηρὸν ἢν δύσπνοος ᾖ, καὶ οὖρα λεπτὰ καὶ δριμέα καὶ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίγνονται. οἱ τοιοίδε ἱδρῶτες πονηροὶ, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ἐπικρατεόντων τῶν νοσημάτων. ἢν μὴ οὖρα πολλὰ καὶ παχέα ὁρμήσῃ, καὶ πτύσματα πέπονα ἔλθῃ, ὅτι δ᾽ ἂν τούτων αὐτοματίσῃ, λύει τὸ νόσημα.

Οὔτε αὐτοῦ μέμνημαι διὰ τῶν ἔμπροσθεν οὕτω γράψαντος ὑπὲρ τῶν πεπτομένων οὔρων, οὐδ᾽ Ἱπποκράτους ἄλλως εἰπόντος. οὖρον δὲ ἄριστον, ὁκόταν ὑπόστασις λευκή τε καὶ λείη καὶ ὁμαλή. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως τὰ περὶ τῶν πλευριτικῶν καὶ περιπνευμονικῶν εὔδηλα, καὶ χωρὶς τῆς ἐμῆς ἐξηγήσεως, ὅπῃ τε τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων ὁ ταῦτα γράψας ἀποχωρεῖ, καὶ ὅπῃ μάλιστα πάντῃ, ἢ ἐκ μέρους γέ τινος ἕπεται.

Περιπνευμονίης ἔκλικτον, κόκκαλον, χαλβάνην ἐν μέλιτι ἀττικῷ, ἀβρότονον ἐν ὀξυμέλιτι, πέπερι, ἐλλέβορον μέλανα ἀποζέσας, καὶ πλευριτικῷ ἐν ἀρχῇσι περιωδυνέοντι πίνειν δίδου. ἀγαθὸν δὲ καὶ πάνακα ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα διδόναι πίνειν, καὶ ἡπατικοῖσι καὶ τοῖσιν ἀπὸ τῶν φρενῶν περιωδυνίῃσιν, καὶ ὁκόσα δεῖ ἐς κοιλίην, ἢ

ἐς οὔρησιν ἐν οἴνῳ καὶ μέλιτι. τὰ δὲ ἐς κοιλίην ξὺν ὕδατι μελικρήτῳ πίνειν πλεῖον δίδου.

Καὶ τὸ τῶν φαρμάκων α΄. καὶ δεύτερον, ἀναγωγὰ πτυέλων ἐστί. τὸ δὲ διὰ τοῦ μέλανος ἐλλεβόρου, γαστρὸς ὑπακτικόν. τὸ δὲ διὰ τοῦ πάνακος, οὗτος εἶπεν εἰς ὃ αὖ χρήσιμον ὑπάρχει.

Δυσεντερίη, ἀπόστημα, ἢ ἔπαρμά τι, παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς, ἢ ἱδρῶτας, καὶ οὖρα παχέα καὶ λευκὰ καὶ λίην ἐπιφανῆ, ἢ ἐπὶ φιταίους, ἢ ἐς κιρσοὺς, ἢ ἐπὶ ὄρχιν, ἢ ἐπὶ σκέλεα ἀλγήματα, ἢ ἐς ἰσχίον στηρίξῃ ὀδύνη.

Καὶ οὗτος ὁ λόγος ἀδιόριστός ἐστιν, οὐδ᾽ ὁποίαν λέγει δυσεντερίαν ἐνδειξαμένου τοῦ συγγραφέως, οὔτε πᾶσα ἐπαύσατο ταῦτ᾽ ἐπιφέρουσα.

Ἐν πυρετῷ χολώδει πρὸ τῆς ζ΄. ἡμέρας μετὰ ῥίγους ἴκτερος ἐπιγινόμενος, λύσει τὸν πυρετόν. ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται ἔξω τῶν καιρῶν, ὀλέθριον.

Οὐ δή που πρὸ τῆς ζ΄. μετὰ ῥίγους ἐπιγινόμενος ἴκτερος, λύει τὸν πυρετόν. οὐχὶ δὲ μετὰ τὴν ζ΄. ἀλλ᾽ ὁ διορισμός ἐστι τοιόσδε. τοῖς πυρέττουσιν ἴκτερος ἐπιγίγνεται, ἐνίοτε μὲν ὡς σύμπτωμα τῆς κατὰ τὸ ἧπαρ διαθέσεως, ἐνίοτε δὲ τὴν χολὴν τῆς φύσεως ἐκκρίνειν διὰ τοῦ δέρματος ἐπιχειρησάσης, εἶτα μὴ δυνηθείσης αὐτὸ, καθάπερ εἴωθεν ἐπὶ πάντων γίνεσθαι τῶν ἀποστημάτων. εἴρηται δὲ περὶ τῶν τοιούτων ἰκτέρων ἐν ἀφορισμοῖς.

Τέτανος δὲ ὀσφύος, καὶ τῶν μελαγχολικῶν διὰ φλεβῶν πνευμάτων ἀπολήψιες ὅταν ἔωσι, φλεβοτομίη λύεται.

Ὅταν δέ φησι διὰ μελαγχολικὸν αἷμα πλεονάζον ἐν ταῖς φλεψὶ πνευμάτων ἀπολήψιες γίνονται, φλεβοτομία ταῦτα λύει. πνευμάτων δὲ ἀπόληψιν εἰ μὲν τῶν κατὰ τὰς ἀρτηρίας λέγει, καὶ γὰρ καὶ ταύτας φλέβας ὠνόμαζον οἱ παλαιοὶ, τί ἄλλο, ἢ ἀσφυξία γένοιτ᾽ ἂν τὸ πάθος; εἰ δὲ τῶν κατὰ τὸν πνεύμονα, πάλιν ἐνταῦθα τὴν καλουμένην ἄπνοιαν αἰνίττεται. δύναται δὲ καὶ πλῆθος τε καὶ πάχος αἵματος, οὐ μόνον τὰς ἀρτηρίας πνευματῶσαι ποτὲ, καὶ διέξοδον οὐκ ἔχειν, ἀλλὰ καὶ ταύτας τὰς ἰδίως ὀνομαζομένας φλέβας.

Ὁκόταν δὲ ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, καὶ περὶ τὸν τράχηλον καὶ πρόσωπον ἱδρῶτες ὑπὸ τοῦ πόνου δακνομένων καὶ ξηραινομένων τῶν τενόντων, τῶν ὀρρωδέων, οἳ παχύτατοι τὴν ῥάχιν συνέχουσιν, ἢ οἱ μέγιστοι σύνδεσμοι καταπεφυκότες, ἕως εἰς πόδας ἀποτελευτῶσι. τῷ τοιῷδε ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται, καὶ ἑπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ, καὶ ἱδρῶτες κριτικοὶ, πίνειν οἶνον κρητικὸν οἰνώδεα, καὶ ἄλητον ἑφθὸν ἐσθίειν, καὶ κηρωτῇ ἀλείφειν καὶ ἐγχρίειν, τά τε σκέλεα περιελίσσειν ἕως τῶν ποδῶν, θερμῷ βρέχοντα ἐν σκάφῃ, καὶ βραχίονας ἕως δακτύλων κατειλίσσειν, καὶ ὀσφὺν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων, σίαλον ἐγκηρώσας μαλακῷ δέρματι, ὅπως καὶ τὰ ἔμπροσθεν περιέξῃ, καὶ διαλείπων πυρία τοῖσιν ἀσκίοισι. θερμὸν δ᾽ ὕδωρ ἐγχέων, καὶ περιτείνων σινδόνιον, ἐπανάκλινε αὐτόν. κοιλίην δὲ μὴ λίην λύσῃς ἢν μὴ βαλάνῳ, ἢ μὴ πολλὸν χρόνον ἢ ἀδιαχώρητος ἐοῦσα, καὶ ἢν μέν τοι σοὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. εἰ δὲ μὴ, τοῦ μόλυ τῆς ῥίζης τρίβων ἐν οἴνῳ κυώδει καὶ δαῦκον πίνειν δίδου πρωῒ νήστει πρὸ τοῦ βρέχειν, καὶ τάχυ μετὰ τούτοισι τὸ ἄλευρον ἑφθὸν, χλιαρὸν ἐσθιέτω ὡς πλεῖστον, καὶ οἶνον ὁκόταν βούληται κεκρητον ἐπιπινέτω. καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον, ἢν δὲ μὴ, προλέγειν.

Καὶ οὗτος ὁ λόγος ἀδιορίστως εἴρηται μετὰ τοῦ καὶ ἀκύρως ἔνια τῶν ὀνομάτων γεγράφθαι. τὸ γὰρ ὑπὸ τοῦ πόνου δάκνεσθαι τοὺς τένοντας, ἀκύρως λέλεκται, δριμέσι χυμοῖς πρέποντος τοῦ δάκνειν ῥήματος, οὐ τοῖς πόνοις. καὶ μέντοι καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως, ὑπὸ τοῦ σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, μετὰ ταῦτα φησὶ, ξηραινομένων τῶν τενόντων ὀρρωδέων, οἳ παχύτεροι τὴν ῥάχιν συνέχουσι, τοὺς ἄχρι τοῦ ὀρραίου καλέσας οὕτως. ὀνομάζουσι δὲ οὐραῖον τὸ πέρας τοῦ ὀστέου. εἰ δ᾽ ἀμφότερα τὰ μόρια δηλῶσαι βούλεται τεινόμενα, καὶ περὶ τὰ πρόσω καὶ ὀπίσω τέτανον ἐπιτείνεσθαι δυνατὸν, καθάπερ ὀλίγον ἔμπροσθεν ἔφη. τετανοῖσι δὲ ὀσφύος. οὐκ ἀσφαλῶς δὲ οὐδὲ τῇ πέψει τῶν οὔρων τὴν ῥαστώνην τοῦ πάθους προγινώσκει. πυρετώδους γὰρ νοσήματος ἀπεψίαι διὰ τῶν οὔρων δηλοῦνται σαφῶς. τοῖς δὲ κατὰ τοὺς μῦς οὐκ ἀσφαλὴς ἡ διὰ τῶν οὔρων σημείωσίς ἐστιν, ἀλλὰ τοῦτο μὲν μικρόν. τὸ οἶνον δ᾽ αὐτοῖς διδόναι χωρὶς τοῦ διορίσασθαι, πότερον ὑπὸ ψύξεως ἔπαθον, ἢ δι᾽ ἄλλην τινὰ αἰτίαν, οὐ σμικρὸν ἁμάρτημά ἐστιν, ἀλλὰ καὶ πάνυ προπετές. ἀλόγως δ᾽ εἴρηται καὶ τὸ, κοιλίην δὲ μὴ λύειν, εἰ μὴ βαλάνῳ. λυθεῖσα γὰρ ἄν ποτε ἐπὶ τοῖς τοιούτοις ὠφελίμως. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως δῆλα.

Τὰ δὲ νοσήματα πάντα λύεται, ἢ κατὰ στόμα, ἢ κατὰ κοιλίην, ἢ κατὰ κύστιν, ἢ τινος ἄλλου τοιοῦδε ἄρθρου. ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὸν ἁπάντων.

Οὐκ ἔστιν

οὐκ ἔστιν ὁ λόγος καθόλου, οὐδὲ κοινῶς ἁπάντων. οὐ γὰρ διὰ τούτων μόνον, ἀλλὰ καὶ διὰ μήτρας, καὶ διὰ τῆς ἐκ τῶν ῥινῶν αἱμορραγίας γιγνομένης, αἱ λύσεις γίνονται τῶν νοσημάτων.

Ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα.

οὐκ ἀναγκαῖον ὅσοις ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα πάντας ἐλλεβορίζειν, ἀλλ' ἐνίοτε τῆς κεφαλῆς μόνης ποιεῖσθαι πρόνοιαν εἰθίσμεθα.

Ὁκόσοι δ' ἐξ ἀποστημάτων, ἢ φλεβορραγίης, ἢ δι' ἀκρασίην, ἢ δι' ἄλλην τινὰ ἰσχυρὰν αἰτίαν ἔμπυοι γίγνονται, μὴ διδοῦ ἐλλεβόρους τοῖσι τουτέοισιν. οὐδὲν γὰρ ὠφελήσει, καὶ ἤν τι πάθῃ, αἴτιον δόξειεν ἂν ὁ ἐλλέβορος. ἢν δὲ διαλύηται τὸ σῶμα, ἢ πόνος ἐν κεφαλῇ, ἢ ἐμπεπλασμένα τὰ ὦτα ἢ ῥίς, ἢ πτυαλισμὸς, ἢ τῶν γονάτων βάρος, ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ, τι ἂν συμβαίνῃ, μήθ' ὑπὸ πότων μήθ' ὑπὸ ἀφροδισίων, μήθ' ὑπὸ λύπης, μήθ' ὑπὸ φροντίδων, μήθ' ὑπὸ ἀγρυπνιῶν. ἢν μέν τι τουτέων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείην.

Φλεβορραγίην μὲν λέγει τὴν ῥῆξιν τῶν φλεβῶν. ὅτι δ' οὔτε τοὺς ἐκ τοιαύτης αἰτίας ἐμπύους γιγνομένους ἐλλεβορίζειν προσέθηκεν, οὔτε τοὺς ἐξ ἀποστημάτων, οὔτε τοὺς ἐξ ἄλλης αἰτίας, εὔδηλον. οἱ δὲ δι' ἀκρασίαν ἔμπυοι καλῶς ἐν τῷ νῦν εἴρηνται καταλόγῳ, τῆς ἀκρασίης αὐτῆς καθ' ἑαυτὴν βλαπτούσης τοὺς ἀκρατεῖς, οἷον πλησμονῆς, ἀπεψίας, οἰνοφλυγίας, ἀφροδισίων πολλῶν καὶ ἀγρυπνιῶν, ὅσα τε ἄλλα τοιαῦτα. προειπὼν δὲ τίσιν ἐλλέβορον οὐ χρὴ διδόναι φησὶν, ἢν διαλύηται τὸ σῶμα, τουτέστιν ἐὰν ἔκλυσις ἱκανῶς γένηται χωρὶς προφάσεως δηλονότι, ἢ πόνος ἐν κεφαλῇ χρόνιος καὶ δύσλυτος, ὑπακοῦσαι γάρ σε τοῦτο κἂν τῷ τῆς κεφαλῆς χρὴ πόνῳ, καὶ τοῖς ἐφεξῆς εἰρημένοις ἅπασι τοῖς ἐμπεπλασμένοις, ὠσὶ καὶ ῥινὶ καὶ τῷ πτυαλισμῷ. προστίθησι δὲ γονάτων βάρος καὶ πόνον καὶ σώματος ὄγκον παρὰ τὸ ἔθος. ἐπὶ πάντων γὰρ τούτων ἄνευ φανερᾶς αἰτίας γιγνομένων, ἐλλεβορίζειν συμβουλεύει, δηλῶν τε τὸν καθόλου τοῦτον λόγον, εἰς τὰ κατὰ μέρος, ἔφη, μήθ' ὑπὸ ἀφροδισίων, μήθ' ὑπὸ φροντίδος, ἢ ἀγρυπνιῶν τῶν εἰρημένων γεγονότων. εἰ γοῦν ἐκ τούτων τινὸς εἴη γεγονότα, πρὸς τὸ ποιῆσαν αἴτιον ἁρμόττεσθαι κελεύει. τίνα δ' ἐκ τούτων ἁπάντων ὧν εἶπον ἀληθῶς ἀκριβῶς εἴρηται, καὶ τίνα μὴ, μεμαθήκατε κἂν τῶν Ἱπποκράτους βιβλίων, καὶ τῶν ἡμετέρων πραγματειῶν.

Τὰ ἐκ πορείης ἀλγήματα πλευρέων, νώτου, ὀσφύος, ἰσχίων, καὶ ὁκόσα ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες. πολλάκις γὰρ μεμάθηκε φοιτᾶν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων ἀλγήματα, καὶ εἰς ὀσφὺν καὶ ἐς ἰσχίον. οἷς δ' ἂν αὐτῶν ᾖ τοιάδε, δυσουρέεται. τούτων δὲ πορείη αἰτίη, καὶ κορύζεων καὶ βράγχων.

οὐ τεταγμένως ἡρμήνευσε ταῦτα, προειπὼν γὰρ τὰ ἐκ πορείης ἀλγήματα, πλευρῶν, νώτου, ὀσφύος, ἔμφασιν ἐποίησεν, ὡς μέλλων ἐρεῖν ὅπως τὰ τοιαῦτα θεραπεύηται. κἄπειτα προσθεὶς, πολλάκις γὰρ μεμάθηκε φοιτᾶν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων, μετὰ ταῦτα ἐπήνεγκεν, ὅσα αὖ ᾖ τοιάδε, δυσουρέεται. καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς ἔφη, τούτων δὲ πορείη αἰτίη καὶ κορύζεων καὶ βράγχων, ἀκέφαλον ὡς ἂν εἴπῃ τις ἐργασάμενος τὸν λόγον.

Ὅσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλὰ ἕκαστος ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ μάλιστα ἐπισημαίνει. καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστᾶν, ἢν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖς τῆς γαστρὸς καὶ νυσταγμὸς καὶ πληθώρη. ἢν δὲ ἐπιδειπνήσωσι, κοιλίη ἐκταράσσεται. ξυμφέρει δὲ τουτέοισιν ἐκλουσαμένοις καθεύδειν. κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον. καὶ ἢν μὲν λαπαχθῇ, δειπνῆσαι, καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον. ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ. κἢν διψῇ, ὑδαρέα οἶνον λευκὸν ἢ γλυκὺν ἐπιπίοντα ἀναπαύεσθαι. ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι. τὰ δὲ ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω. τὰ δὲ ἀπὸ πομάτων, ὁκόσα μὲν ὑδαρέα βραδυπορώτερα ἐστὶ, καὶ ἐγκυκλέεται καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια, καὶ εἰς οὔρησιν οὐ καταφέρει. τοιούτου δὲ πόματος πληρωθεὶς, μηδὲν ἔργον ὀξέως διαπράξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι βίῃ ἢ τάχει πονέειν ξυμβαίνει. ὡς μάλιστα δὲ ἡσυχαζέτω μέχρι καταπεφθήτω μετὰ τῶν σιτίων. ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερα ἐστὶν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιεῖ. τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι, καὶ θερμόν τι ῥοφέειν πρὸς ἅπερ μάλιστα ἥδιστα ἔχουσι. νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην, καὶ κραιπάλην. ὁκόσοι δὲ μονοσιτέουσι, κεῖνοι καὶ ἀδύνατοι εἰσὶν, καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες. γίνεται δὲ καὶ στόμα ἁλικὸν καὶ πικρὸν, καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ, καὶ κροτάφοις ἐπιξυντείνονται, καὶ τὸ

δείπνου οὐ δυνάμενοι πέσσειν, ὁκόσοι περ ἂν ἠριστηκότες ἔωσιν. τούτους δὲ χρὴ πίνειν ἔλασσον, ἢ μεμαθήκασιν, καὶ ὑγροτέρην μάζαν ἀντὶ ἄρτου, καὶ λαχάνων λάπαθα, ἢ μαλάχην, ἢ πτισάνην, καὶ σεῦτλα. πίνειν δὲ μετὰ τὸ σιτίον οἶνον ὁκόσον σύμμετρον, καὶ ὕδαρέστερον, καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον ἕως οὗ ἂν καταδράμῃ, καὶ οὐρήσῃ. χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσι. βρώματα δὲ μάλιστα ἐπισημαίνει.

Μεμνήμεθα δήπου τοῦτον ἅπαντα τὸν λόγον ἐπὶ τῷ γνησίῳ μέρει τοῦ συγγράμματος ἱκανῶς ἐξειργασμένον. ἐξ ἐκείνων οὖν δυνήσῃ ὡσαύτως εἰρημένα, καὶ ταῦτα διαγνῶναί τε καὶ κρῖναι. ἐμοὶ δ' οὐκ ἀναγκαῖον ἐν τοῖς τοιοῖσδε μηκύνειν. Βρώματα δὲ μάλιστα ἐπισημαίνει, οὐκ ἐκ λόγου τινὸς, ἀλλ' ἐμπειρίᾳ προσήκει κρίνεσθαι τῶν ἐδεσμάτων τὴν δύναμιν. οὐ διοίσει δὲ νῦν βρώματα λέγειν ἢ ἐδέσματα. καὶ μέντοι καὶ ὁ γράψας ταυτὶ, τοιοῦτόν τι δηλοῖ διὰ τοῦ ἐπισημαίνειν. ἐπίσημος γάρ φησι τοῖς σώμασι γίνεται καθ' ἑκάστην ἀλλοίωσιν ἐξ ἰσχυρῶν ἐδεσμάτων, εἶθ' ἑξῆς αὐτὰ καταλέγει,

Σκόροδον φῦσαν καὶ θέρμην περὶ τὸν θώρηκα, καὶ κεφαλῆς βάρος, καὶ ἄσην, καὶ εἴ τι ἄλλο ἄλγημα εἴη, μεμαθηκὼς πρόσθεν, παροξύνειεν ἄν, οὐρητικὸν δὲ, καὶ τοῦτο ἔχει ἀγαθόν. ἄριστον δ' αὐτοῦ φαγέειν, ἢ μέλλοντι ἐς πόσιν ἰέναι, ἢ μεθύοντι.

Εἰ τῇ πείρᾳ χρὴ κρίνειν ἐν ἕκαστον τῶν ἐσθιομένων, οὐκ ἂν ὀρθῶς λέγοιτο φυσῶδες εἶναι τὸ σκόροδον, οὐδὲ θέρμης πλείονος ἢ κατὰ κρόμμυον αἴσθησιν φέρον τοῖς φαγοῦσιν, οὔτ' ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος, οὔτ' ἐν τῷ θώρακι. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' ἄσης, καὶ μάλιστα ἄν τις αὐτὸ βραχὺ προαποζέσας προσάρηται. τὰ δὲ πολλὰ τῶν ἐδεσμάτων, ὅταν μὲν πληθωρικὸν ᾖ τὸ σῶμα, θερμαίνει. ὅταν δὲ προκεκενωμένον ᾖ, ξηραίνει γε ἱκανῶς. ἡμάρτηκεν οὖν ὁ συγγραφεὺς τοῦ βιβλίου, χωρὶς διορισμοῦ τὴν ἀπόφασιν ποιησάμενος. ἄμεινον γὰρ ἦν διορίσαι καθὸ λέλεκται. νυνὶ δὲ ἁπλῶς εἰπὼν, ἀπεφήνατο περὶ σκορόδου, βέλτιον δ' ἦν εἰπεῖν ξηραίνειν καὶ θερμαίνειν αὐτὸ καὶ ἄφυσον εἶναι. οὐ μετὰ γὰρ ἀδιορίστου ἀποφαίνεσθαι ἔθος ἐστίν. προσυπακούειν δ' ὅταν ἐν καιρῷ δοθῇ, ὃ τῷ προπαρεσκευασμένῳ τῷ σώματι δηλοῖ. προπαρασκευάζεται δὲ, μήτε πληθωρικὸν, μήτε κακόχυμον ὄν. οὐκ ὀρθῶς οὖν οὐδὲ κεφαλῆς βάρος ὑπ' αὐτοῦ γίνεσθαι φησίν. ἐὰν γὰρ προκενώσας τὸ σῶμα, προσενέγκῃ σκόροδον, καὶ κεφαλῆς βάρος ἰάσῃ καὶ παντὸς ἄλλου μορίου. θαυμάζω δὲ πῶς ἃ μέχρι τοῦ νῦν διῆλθεν ἐπ' αὐτοῦ προειπὼν, ἐφεξῆς φησίν. ἄριστον δ' αὐτὸ φαγεῖν μέλλοντι ἐπὶ πόσιν ἰέναι, ἢ μεθύοντι. φαίνεται δὲ ἐκ τούτων οὔτε κραιπάλην, οὔτε μέθην ἐργαζόμενον, ἀλλὰ καὶ προφυλακτικὸν αὐτὸ ὑπάρχει, ὡς καὶ βάρος ὤσαι δύνασθαι, καὶ θεραπευτικὸν γενέσθαι φυσῶν. ἀληθῆ μὲν ταῦτα εἶπε, καὶ προσέτι τὸ οὐρητικὸν εἶναι φαρμάκων αὐτό. ψευδῶς δὲ τἄλλα προσέθηκεν, ἅμα καὶ τῷ μαχόμενα λέγειν αὐτά.

Τυρὸς δὲ φῦσαν καὶ στεγνότητα, καὶ σιτίων ἔξαψιν ποιέει. ὠμὸν καὶ ἄπεπτον. κάκιστον δ' ἐν τῷ ποτῷ φαγεῖν, πεπληρωμένοισιν.

Φυσώδης μᾶλλον ἐστὶν τοῦ ξηροῦ ὁ μαλακὸς καὶ νέος τυρὸς, καὶ ἧττον στεγνοῖ, τουτέστιν ἵστησι τὴν γαστέρα τοῦ ξηροῦ, τούτῳ γὰρ ὑπάρχει φυσώδει μὲν ἧττον εἶναι, μᾶλλον δ' ἱστάναι τὴν γαστέρα, καὶ μέντοι καὶ διψώδεις μᾶλλον ἐστὶν, ὅπερ ἐδήλωσεν εἰπὼν, σιτίων ἔξαψιν ποιεῖ. τὸ δ' ὠμὸν καὶ ἄπεπτον, μεταξὺ παρέγκειται κατὰ τὴν ῥῆσιν οὐκ ἐπιμελῶς ἑρμηνευόμενον. ἐμφαίνει γοῦν, ὅτι τὸ κατὰ τὸ σῶμα συνιστάμενον πᾶν ὠμὸν καὶ ἄπεπτον ἐν χυμοῖς ἐκ τοιούτων ἐδεσμάτων πέφυκε γίνεσθαι, ὁποῖος ἐστὶ καὶ ὁ τυρὸς, ὠμὸν καὶ ἄπεπτον ἔδεσμα, ὡς εἰ καὶ οὕτως ἔλεγε. τυρὸς δὲ καὶ φῦσαν καὶ στεγνότητα τῆς γαστρὸς ἐργάζεται, καὶ καυσώδης ἐστὶν, ἔτι δ' ὠμὸν καὶ ἄπεπτον ἐστὶν ἔδεσμα, καὶ χυμῶν τοιούτων γεννητικόν. κάκιστον δέ φησι καὶ πεπληρωμένον μετὰ πόματος φαγεῖν αὐτὸ, ὅπερ εὔδηλόν ἐστι καὶ τοῖς ἰδιώταις. ἔστι μὲν γὰρ καὶ ἄλλως οὐκ ἀγαθὸν ἔδεσμα τυρὸς, ὡς ἂν παχύχυμος καὶ δύσπεπτος ὑπάρχων. εἰ δ' ἐν τῷ πίνειν αὐτῷ τὶς χρήσαιτο πεπληρωμένος ὢν, χείριστος ἁπάντων τῶν ἐδεσμάτων γίνεται, βαρύνων τε τὸ στόμα τῆς γαστρὸς, αὐτός τε πρῶτος διαφθειρόμενος, εἶθ' ἑαυτῷ συνδιαφθείρων, καὶ τἄλλα.

Ὄσπρια δὲ πάντα φυσώδεα, καὶ ὠμὰ καὶ ἑφθὰ, καὶ πεφρυγμένα, ἥκιστα δὲ βεβρεγμένα ἢ χλωρά. τουτέοισι δὲ μὴ χρέεσθαι εἰ μὴ μετὰ σιτίων. ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαστον αὐτέων.

Ἐμπίπλησι τὴν κοιλίαν πάντα τὰ ὄσπρια, πρὸς τούτοις δὲ καὶ δυσπεπτότατα αὐτῶν ἐστι τὰ ὠμά. τὰ δὲ πεφρυγμένα, φυσώδη μὲν ἧττον, ἄπεπτα δ' οὐδὲν ἧττον. ὅσα δὲ πλεῖστον ἕψηται, μετριώτερα. τὸ δὲ ἐφεξῆς ἐν τισὶ μὲν τῶν ἀντιγράφων γέγραπται, καὶ βεβρεγμένα καὶ χλωρὰ, ὡς καὶ τῶν τοιούτων τὰς προειρημένας κακίας ἐχόντων. ἐν τοῖς πλείστοις δὲ οὐχ οὕτως, ἀλλ' ἐφ' ἑτέρας ἀρχῆς, ἥκιστα δὲ βεβρεγμένα. χλωρὰ μὲν οὖν λέγεται τὰ μὴ ξηρὰ, μηδὲ ἀκριβῶς ἤδη τέλεα, βεβρεγμένα δὲ τὰ ὕδατι βρεχθέντα. συμβουλεύει τοίνυν ἄνευ σιτίων ὀσπρίοις μὴ χρέεσθαι. σιτία δηλονότι, μάλιστα μὲν τοὺς ἐκ πυρῶν ἄρτους λέγων, ἢ ἁπλῶς ἅπαντα τὰ ὁπωσοῦν σκευαζόμενα. τάχα δὲ καὶ τἄλλα πάντα ἐξ ὅσων ἄρτοι γίνονται, ζειὰς, καὶ τίφας, καὶ κριθάς. οἱ δ' ἀγροῖκοι καὶ ἀπὸ τῶν κέγχρων ἄρτους ποιοῦνται.

Ἐρέβινθος φῦσαν μὲν ὠμὸς καὶ πεφρυγμένος, καὶ πόνον ἐμποιέει.

Τινὲς γράφουσι διὰ τοῦτ' αὐτῶν φυσώδη, ὡς ἐντείνοντα τὰ αἰδοῖα τὸν ἐρέβινθον. διὰ μέντοι τὸν ὑπογεγραμμένον τῆς λέξεως τὸν πόνον, φέρομεν αὐτὴν διὰ τὴν ἐμφύσησιν ὀδύνην.

φασὶ

Φακὸς δὲ στύφει καὶ ἄραδον ἐμποιέει, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ.

Τὴν ἄραδον φωνὴν ἔφην σημαίνειν ταραχήν τινα, καὶ οἷον μάχην ἐν τῇ γαστρὶ γινομένην ἐκ τῶν διαφόρων ταῖς δυνάμεσι σιτίων. ὥσπερ καὶ νῦν ὅταν μετὰ τοῦ φλοιοῦ προσενέγκηται, πολὺ τῆς σαρκὸς αὐτῆς ἐστι δυσπεπτότερα.

Θέρμος δὲ ἥκιστα τουτέων κακὰ ἔχει.

Τὸ ἥκιστα τοὐναντίον ἐνταῦθα σημαίνει, τοῦ μάλιστα δηλονότι. τὸν θέρμον ἐλάχιστα τῶν προειρημένων ἔχειν φησὶ τὰ κακά.

Σιλφίου δὲ καυλὸς καὶ ὀπὸς, ἔστι μὲν οἷσι μάλιστα, τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται τὴν κοιλίην, ἀλλὰ καλέεται ξηρὴ χολερή.

Τὴν ῥίζαν τοῦ σιλφίου καλεῖν ἔθος τοῖς ἀνθρώποις ὁμωνύμως ὅλῃ τῇ βοτάνῃ. ταύτην δέ φησι καὶ πρὸς ἔτι τὸν ὀπὸν τῆς πόας. τοῖς ἀπείροις, τουτέστι τοῖς ἀήθεσι ξηρὰν ἐργάζεσθαι χολέραν. ἥτις δ' ἐστὶν αὕτη, μετ' ὀλίγον αὐτὸς διδάξει γράφων ὧδε, χολερῆς δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται καὶ ψόφοι γίνονται. δῆλον οὖν ὅτι πνεῦμα φυσῶδες ἀθροίζεται κατὰ τὴν κοιλίην, ἐκ τῆς τοῦ σιλφίου προσφορᾶς, ἔστι δὲ δριμὺ καὶ καυσῶδες τοῦτο. τί δὴ οὖν σημαίνει τό, ἔστι μὲν οἷσιν, οὐδὲν ἐκ τῆς λέξεως σαφές, καὶ διὰ τοῦτο ἐξηγούμενός τις, ἕκαστον τούτων ἐρεῖ τὸ πιθανώτατον ἑαυτῷ φαινόμενον. ἄπορον γὰρ τὸ περὶ λόγον ἐρεῖν ἐν τοῖς τοιούτοις.

Μάλιστα δὲ γίγνεται ἢν μετὰ πολλοῦ τυροῦ μιχθείη, ἢ κρεηφαγίης βοείων κρεῶν.

Τὴν ξηρὰν χολέραν αὐτῷ κεκλημένην, μάλιστα γίγνεσθαί φησι τοῖς τὸ σίλφιον ἅμα τῷ τυρῷ πλέον προσενεγκαμένοις, ἢ βοείοις κρέασιν. ἡ γὰρ ἐκ τοῦ σιλφίου γεννωμένη φῦσα, τοῖς ἐμπλαστικοῖς καὶ βραδυπόροις ἐδέσμασι μιχθεῖσα, μένει περὶ τὴν γαστέρα μὴ διεξερχομένη.

Τὰ δὲ γοῦν μελαγχολικὰ καὶ προξυνθείη ἂν παθήματα, ὑπὸ βοείων κρεῶν ἐδωδῆς. ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτῶν, καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι.

Ἦν μὲν αὐτῷ περὶ σιλφίου δυνάμεως ὁ λόγος. ἐπέμιξε δὲ τούτῳ τὴν τῶν βοείων κρεῶν ἐδωδήν, καὶ μετὰ ταῦτα ἑξῆς ἐπ' αὐτὰ μεταβάς, τὰ μελαγχολικὰ πάθη προξυνθήσεσθαί φησιν ὑπ' αὐτῶν. εἶθ' ἑξῆς ὡς ἂν ἐπαναδιπλῶς αἰτίας ἀποδιδοὺς τοῦτο φησίν, ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτῶν. ἐχρήσατο μὲν οὖν τῷ γὰρ συνδέσμῳ, καθάπερ οἱ τὰς αἰτίας, ὧνπερ εἰρήκασι, λέγοντες. οὐ μὴν αὐτοῦ τε προξυνέσθαι τὰ μελαγχολικὰ πρὸς τῶν βοείων κρεῶν εἶπεν αἰτίαν. ἀλλὰ δὲ ἄλλην κοινοτέραν, τὴν περὶ τὸ δυσκατέργαστον τῆς φύσεως καὶ ἰσχυρόν. ἡ γοῦν ἀνυπέρβλητος φύσις ἐστίν, ἣν οὐκ ἄν τις ὑπερβάλλοι.

Βέλτιστα δὲ ἂν ἀπαλλάσσοιεν, εἰ διέφθοισί τε χρέοιντο, καὶ ὡς παλαιοτάτοισι.

Καὶ τοῦτο καθολικωτέραν ἔχει τὴν συμβουλήν, οὐ περὶ τὰ μελαγχολικά. τοῖς γὰρ βοείοις κρέασιν ἄμεινον χρῆσθαι διέφθοις τε καὶ παλαιοῖς, ὥσπερ τοῖς ἄλλοις ἅπασι δυσπέπτοις. οὐ κυρίως δὲ ἐχρήσατο τῇ βέλτιστα λέξει, οὔτε γὰρ οἱ μελαγχολικῶς νοσοῦντες, οὔτ' ἄλλος τις ἄνθρωπος ὑγιαίνων, ἢ νοσῶν, βέλτιστα ἂν ἀπαλλάσσοι βόεια διέφθα καὶ παλαιὰ προσφερόμενος. τῶν γὰρ ἐσθιόντων εἰσὶν αὐτὰ πάντων, οὐκ ἀγαθὴ τροφή, ἀλλ' ἧττον τῶν ἄλλων οἱ τὰ τοιαῦτα προσφερόμενοι βλάπτονται. μεταθεὶς οὖν τὸ βέλτιστα, καὶ ποιήσας ἥκιστα, τὸν λόγον ἀμεμπτον ἐργάσῃ.

Αἴγεια δὲ κρέα, ὅσα τε ἐν βοείοισιν ἔνι κακά, ἅπαντ' ἔχει, τήν τε ἀπεψίην, καὶ φυσωδέστερα καὶ ἐρευγματωδέστερα. καὶ χολέρην ποιέει. ἔστι δὲ τὰ εὐωδέστατα στερεὰ καὶ ἥδιστα, μὴ ταῦτ' ἄριστα διέφθα καὶ ψυχρά. τὰ δ' ἀηδέστατα, καὶ δυσώδεα καὶ σκληρά, ταῦτα κάκιστα, καὶ τὰ πρόσφατα. βέλτιστα δὲ ἐστὶ τῇ θερινῇ, μετοπωρινῇ δὲ κάκιστα.

Κἀνταῦθα πάλιν εἰπὲ τὴν αἰτίαν τοῦ τὰ βοείων κρεῶν εἶναι, φαυλότερα τὰ αἴγεια. δύσπεπτα γὰρ ὁμοίως ὄντα τὰ αἴγεια, φυσωδέστερα τῶν βοείων εἰσίν, ἐρυγάς τε πολλάκις ποιεῖ μοχθηρὰν ἐχούσας ποιότητα. δριμύτερα δ' ὄντα καὶ θερμότερα τῶν βοείων, εἰ ἀπεπτηθῇ, καὶ χολέραν ἐργάζεται. διὸ καὶ ψυχρὰ μᾶλλον ἢ θερμὰ δεῖν ἐσθίειν αὐτά. βέλτιστα δ' ἐστὶ τῇ θερινῇ, μετοπωρινῇ δὲ κάκιστα. βέλτιστα δ' εἶναι φησὶ σφῶν αὐτῶν τὰ κρέα τῶν αἰγῶν, οὐ γοῦν δὴ τῶν ἄλλων γε κρεῶν. ἐχρῆν μὲν οὖν ὅσον ἐπὶ τῇ ὥρᾳ, φαυλότατα διὰ τὴν κρᾶσιν εἶναι. συμβαίνει δὲ βελτίονα τὴν τροφὴν αὐταῖς κατὰ τὸ θέρος εἶναι, καθάπερ τὰ ποηφάγα τῶν ζώων μοχθηρά, διὰ τὸ μηκέτι ἔχειν τὴν πόαν χλωράν. ταῖς δ' αἰξὶν ἐπιτηδειοτάτη τροφή, τῶν δένδρων οἱ βλαστοὶ καὶ καυλοί ἐστιν, οὓς ἐπὶ τῇ τελευτῇ τοῦ ἦρος ἔχει δαψιλεῖς κατὰ θέρος. ὅτι δὲ τροφὴ πλεῖστον δύναται, πρὸς τὴν τῶν καιρῶν ἐπιτηδειότητα, κἀκ τῶν ἀλωπέκων ἔνεστί σοι μαθεῖν ἐν φθινοπώρῳ, μάλιστα καλλίστην ἐχουσῶν διὰ τὰς σταφυλὰς σάρκα. οὕτως δὲ καὶ τὸ στρουθίον ἡ σικαλὶς καλλίστην ἔχει τὴν σάρκα. φθινοπώρου τοίνυν αἱ αἶγες ἀποροῦσαι τροφῆς ἐπιτηδείου, χειρίστην καὶ ἰσχνοτάτην ἔχουσι τὴν σάρκα. κατὰ δὲ τὸν χειμῶνα πάλιν ἀμείνω τὴν τοῦ αἵματος ἕξιν ἴσχουσι, τὴν φυσικὴν δυσκρασίαν ὑπὸ τῆς κατὰ τὴν ὥραν κράσεως ἐπανορθούμεναι.

Χοίρου δὲ πονηρά, ὁκόταν ᾖ ὠμότερα καὶ περικαῆ, χολώδεα δ' ἂν εἴη καὶ ταρακτικά. ὕεια δὲ βέλτιστα τῶν κρεῶν πάντων. κράτιστα δὲ τὰ μὴ ἰσχυρῶς πίονα, μήτε λεπτά, μήθ' ἡλικίην ἱερείου παλαιοῦ. ἐσθίειν δὲ ἄνευ τῆς φορίνης, ἢ καὶ ὑπόψυχρα.

Χοῖρον ἐξαιρέτως ὠνόμαζον οἱ παλαιοὶ τὸν μικρὸν λίαν, ὥσπερ παρὰ τῷ ποιητῇ ἐστιν εὑρεῖν. Ἔσθιε νῦν ὦ ξεῖνε, τὰ δὴ δμώεσσι πάρεστι Χοίρε', ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν. οἱ δὴ μνηστῆρες οὐκ οἶδ' ὅπως

τοὺς συάλους ἤσθιον. τοὺς γὰρ ὑπὲρ τοὺς τελείους οὕτως ὠνόμαζον. ἀναισθητότατοι πάντων ἦσαν οἱ μνηστῆρες εἰς διάγνωσιν εὐπέπτων τε ἅμα καὶ ἡδέων ἐδεσμάτων, ὥσπερ κἂν τῷ τὰς γαστέρας τῶν αἰγῶν ἐσθίειν, τὰς ἐμπλησθείσας αἵματος καὶ λίπους, οὗ δυσπεπτότερόν τι ἂν εὕροις ἔδεσμα. κάλλιστον δὲ κρέας εἰς ἡδονὴν καὶ πέψιν ἐστὶ τὸ τῶν μέσων κατὰ τὴν ἡλικίαν, τὸ δὲ καὶ γεννητικόν ἐστιν αἵματος χρηστοῦ. χείριστον δέ ἐστι τὸ τοῦ παλαιοτάτου, καὶ τὸ τοῦ μετὰ τὴν ἀποκύησιν εὐθέως ἐσθιομένου. τούτων γὰρ σχεδὸν ἁπάντων ὧν ἄνθρωπος ἐσθίει ζώων χερσαίων, ὑγροτάτην ἔχει τὴν σάρκα, καὶ διὰ τοῦτο ὑπερβαλλόντως ὑγρὰ ἡ σὰρξ τῶν ἀρτιγενῶν οὖσα, φλέγμα γεννᾷ πλεῖστον. ἐὰν δὲ καὶ ἐναιμότερα τύχῃ, πολὺ μᾶλλον. τῷ δ' αὐτῷ τούτῳ λόγῳ καὶ τὴν τῶν ὑείων λιπαρωτάτην οὖσαν σάρκα, χείρονα νομίζει τῶν μέσων εὐσάρκων, ὑποπτεύων αὐτῆς τὴν ὑγρότητα, δι' ἣν καὶ πᾶσα πιμελὴ τῆς ὁμογενοῦς σαρκὸς χείρων ἐστὶν, εἰς πέψιν τε καὶ θρέψιν, καὶ τὰ περικεκαυμένα δὲ κατὰ τὴν ὄπτησιν ἀνεπιτήδεια πρὸς εὐχυμίαν τε καὶ πέψιν ἐστὶ, καὶ χολερᾶς ποιητικὰ, διὰ τὴν προσελθοῦσαν αὐτοῖς δριμύτητα. κοινὴ γὰρ αὕτη κακία τῶν χολερωδῶν ἐδεσμάτων ἐστὶν, ὅταν ὑγρά τε ᾖ καὶ δριμέα. διαφθείρεται γὰρ ὁμοίως τὰ τοιαῦτα, καὶ τῇ δριμύτητι τὰ στόματα τῶν καθηκόντων εἰς τὴν κοιλίαν ἀγγείων ἀναδάκνοντα, τῶν ἐξ ὅλου τοῦ σώματος εἰς αὐτὴν ῥευμάτων αἴτια γίνεται. τὸ δ' αὐτὸ τῆς φορίνης δεῖν ἐσθίειν τὰ χοίρεια, τουτέστιν αὐτὸ τοῦ δέρματος, πρόδηλον. οὐ γὰρ ὁμοίως τῇ σαρκὶ τοῦ ζώου τὸ δέρμα πέττεσθαι πέφυκεν, ὡς ἂν ψυχρότερον ὑπάρχον. ὑπόψυχρα δὲ καὶ ταῦτα ἀξιῶν ἐσθίειν, δῆλός ἐστι τὰ θερμὰ πάντα εὐλαβούμενος κρέα, νομίζων ἴσως αὐτὰ καυσωδέστερα καὶ φυσωδέστερα τῶν ὑποψύχρων εἶναι. ἐγὼ δ' ἐπὶ μὲν τῶν αἰγείων κρεῶν, ὅσα τε ἄλλα φύσει θερμὰ, προσίεμαι τὸν λόγον. ἐπὶ δὲ τῶν εὐκράτων κατὰ θερμότητα καὶ ψύξιν, οἷα τῶν ὑείων ἐστὶν, ἁπλῶς οὕτως λεγόμενον ἀδιορίστως, οὐ προσίεμαι. διορισαμένῳ γὰρ, ἐπιτηδειότερα γένοιτο τὰ θερμὰ τῶν ψυχρῶν.

Χολερῆς δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται, καὶ ψόφοι ἔνεισι, καὶ ὀδύνη πλευρέων καὶ ὀσφύος. διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ' ἀπεστέγνωται.

Τὴν ἁπλῶς ὀνομαζομένην ὑπὸ τῶν ἀνθρώπων χολέραν, ὑγρότητι διορίζει τῆς ξηρᾶς χολέρας. ὀνόματι δὲ κοινῷ κατ' ἄμφω κέχρηται, πρὸς τὸν τῆς γενέσεως τρόπον ἀποβλέπων ὄντα κοινόν. ὡς γὰρ ὑγρὰ χολέρα γίνεται δριμέων χυμῶν ἐκ τῆς διαφθορᾶς τῶν ἐδηδεσμένων γεννηθέντων, οὕτως ἡ ξηρὰ πνεύματος φυσώδους δριμέος. διὸ καὶ τὰ πλησιάζοντα τῇ γαστρὶ νευρώδη σώματα δακνόμενά τε καὶ τεινόμενα, πόνον ποιοῦσι. δυναμένων δὲ τῶν πνευμάτων τούτων ποτὲ μὲν ἴσχεσθαι, ποτὲ δὲ διεξιέναι, διὰ τὰ ἰσχόμενα πνεύματα τὴν ξηρὰν χολέραν ἐπιγεννᾶσθαι, οὐκ ἔχω φάναι. πιθανώτερον γὰρ ἦν οὕτως ὀνομάσαι τὰ διεξερχόμενα.

Τὸν τοιόνδε διαφυλάξον ὅπως μὴ ἐμῆται, ἀλλὰ κοιλίην ὑπελεύσηται. κλύσον οὖν ὅτι τάχος θερμῷ καὶ ὡς λιπαρωτάτῳ, καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλεῖστον καθίζε θερμὸν, ἐν σκάφῃ κατακλίνων, καὶ τοῦ θερμοῦ κατὰ μικρὸν παράχεε, καὶ ἢν θερμαινομένῳ αὐτῷ ἡ κοιλίη ἠπίη, λέλυται.

Τὸ μὲν ὅτι τάχιστα κλύζειν, καὶ κωλύειν ἐμεῖν, κοινὰ παραγγέλματα πάντων τῶν ἐν κοιλίᾳ περιεχομένων παρὰ φύσιν, ἃ σπουδάζομεν ἐκκενοῦσθαι κάτω. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τῷ θερμῷ κλύζειν κλύσματι. προκλητικὸν γὰρ τὸ θερμὸν, ὥσπερ ἀποκρουστικὸν τὸ ψυχρόν. τὸ δὲ λιπαρὸν εἶναι τὸ κλύσμα, τῆς ξηρᾶς ἴδιον ἴαμα, διότι καὶ τὴν δύναμιν ἐναντίον ἐστὶν, ὑγραῖνον τὴν ξηρότητα, παρηγοροῦν τε τὴν δῆξιν. τῶν αὐτῶν ἔχεται σκοπῶν, καὶ τὸ δι' ὕδατος καὶ δι' ἐλαίου θερμαίνειν τε καὶ παρηγορεῖν ἐν τῇ σκάφῃ πυελῶντα.

Ξυμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε.

Ἄδηλον πότερον ἐν τῇ σκάφῃ πυελούμενον αὐτὸν, ἢ καὶ χωρὶς ἐκείνης κοιμᾶσθαι κελεύει. αὐτὸ δὲ καθ' ἑαυτὸ σκοπουμένῳ πρόδηλον, ὅτι πᾶσι τοῖς ἐξ ἀπεψίας ὠφελιμώτατόν ἐστιν.

Καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν, καὶ ἀκρητέστερον.

Οἶνον μὲν ὡς τῇ πέψει συντελοῦντα δίδωσι. λεπτὸν δὲ ὡς μὴ μένοι κατὰ τὴν γαστέρα, παλαιὸν δὲ καὶ ἀκρατέστερον ἕνεκα τοῦ θερμαίνειν μᾶλλον, ἅπας γὰρ οἶνος θερμαίνει τὴν ἕξιν, μᾶλλον δὲ ὁ παλαιός.

Καὶ ἔλαιον διδόναι, ὥστε ἡσυχίη, καὶ ἡ κοιλίη ἠπίη, καὶ λέλυται.

Τῶν δριμέων δὲ πραϋντικὸν τὸ ἔλαιον, καὶ τῆς ξηρότητος ἐπανορθωτικόν. ὑπάγει δὲ μετρίως τὴν κοιλίην, ὧν ἁπάντων δεῖ τῷ θεραπευομένῳ.

Σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθωσαν.

Οἷς ἔνδεια μὲν οὐδεμία ἐστὶ κατὰ τὸ σῶμα, οὐδὲ χρεία προσθέσεως. ἄπεπτα δὲ ἔνια περιέχεται πέψεως δεόμενα, τούτοις ἡσυχίας μέν ἐστι χρεία. σιτίων δὲ, οὔ, πρὶν πεφθῆναι μετρίως τὰ περιεχόμενα.

Ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα διδόναι πίνειν ἕως καθαρθῇ.

Εἰ δὲ τὸ προειρημένον ποιοῦντός σου, ὁ πόνος μὴ λύοι, πλείων ἐστὶν ἡ δριμύτης τοῦ λυποῦντος αἰτίου, καὶ διὰ τοῦτο καθᾶραι προσήκει τὸ σῶμα. ὄνου δὲ χρῆσθαι γάλακτι προστάττει, τῶν μὲν καθαρόντων ἁπάντων φαρμάκων ὄντι πραϋτέρῳ καὶ ἀπρακτοτέρῳ. τοῦ δὲ τῶν ἄλλων γαλάκτων ὑγρότερόν τ' ἐστὶ καὶ ὑπακτικώτερον.

Ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ, καὶ χολὴ ὑποχωρέῃ, καὶ στρόφοι καὶ ἔμετοι καὶ πνιγμοὶ, τούτοισι κράτιστον ἀτρεμίζειν, πίνειν δὲ μελίκρητον καὶ μὴ ἐξεμέειν.

Ἄδηλον εἴτε περὶ τῆς ξηρᾶς χολέρας ἔτι καὶ νῦν ἐστὶν ὁ λόγος, ἢ τούτων ἀκούειν χρὴ καθ' ἑαυτά. ὁποτέρως δ' ἂν ἔχῃ, φαίνεται

φαίνεται δὴ χολὴ δριμεῖα δύσεκκριτοτέρα περιέχεσθαι κατὰ τὴν γαστέρα. ταύτην δὲ ὑπάγειν πειρᾶται μετρίως, ἅμα τῷ συμπέττειν τὰ περιεχόμενα κατ' αὐτήν. ὑπαχθήσεται μὲν οὖν μετρίως τῷ μελικράτῳ, πεφθήσεται δὲ τῇ ἡσυχίῃ. πολλάκις δὲ ἐπὶ τῶν τοιούτων διαθέσεων ἀγωνιστικῶς βοηθῶν, ἀθρόως ἐκκαθαίρει τὴν κακοχυμίαν ἰσχυρῷ φαρμάκῳ, προσεπισκεψάμενος τὴν δύναμιν καὶ τὴν ἕξιν τοῦ νοσοῦντος, καὶ τὴν ὥραν καὶ τὴν ἡλικίαν, καὶ τὴν κατάστασιν. τὸ δ' ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον, πίνειν δὲ μελίκρητον, καὶ ἐξεμέειν, ὡς βουλομένου τοῦ συγγραφέως ἐκκαθᾶραι τὴν ἄνω κοιλίαν εἴρηται. ἀμείνων δὲ ἡ ἑτέρα γραφὴ ἡ μετὰ τοῦ, μή. ῥυπτικὸν γὰρ ὂν τὸ μελίκρατον, ἐπὶ τὴν κατὰ φύσιν ὁδὸν προτρέπεται τὰ διεφθαρμένα χωρεῖν τοῦ βλάβην τε κινδυνεῦσαι τὸ στόμα τῆς κοιλίας ὑπὸ τοῦ ἐμέτου.

Ὑδρώπων δύο φύσιες. ὧν ὁ μὲν ὑποσαρκίδιος, ἐγχειρέων γίνεσθαι ἄφυκτος, ὁ δὲ μετ' ἐμφυσημάτων πολλῆς εὐτυχίης δεόμενος, μάλιστα δὲ ὑπὸ ταλαιπωρίης καὶ πυρίης, καὶ ἐγκρατείης. ξηρὰ δὲ καὶ δριμέα ἐσθιέτω, οὕτω γὰρ ἂν οὐρητικώτατος εἴη, καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος εἴη, καὶ ἡ ὥρη θερινὴ ἐοῦσα τύχῃ, καὶ ἡ ἡλικίη ἀκμάζῃ καὶ ῥώμη ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν, εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου ἀποβάπτων ἐσθιέτω, καὶ ὡς ἐλάχιστα πίνων, ὡς πλεῖστα πονεέτω, καὶ κρέα ὕεια σαρκώδεα ἐσθιέτω μετ' ὄξεος ἑφθά, ὅκως πρὸς τοὺς προσάντεας περιπάτους ἀντέχῃ.

Τινὲς οὐχ ὑποσαρκίδιον, ἀλλ' ἐπισαρκίδιον γράφουσιν, ὃ μὴν ἀνὰ σάρκα τε καὶ κατὰ σάρκα γεγραμμένον εὗρόν που, καίτοι γε τῶν νεωτέρων οὕτως ὀνομαζόντων. εἰπόντος δ' αὐτοῦ δύο φύσιας εἶναι ὑδρώπων, καὶ περὶ μὲν τοῦ δευτέρου τὰ ἐμφυσήματα γράψαντος, ἄλλο δ' οὐδὲν σύμπτωμα προσθέντος, ἐπὶ δὲ τοῦ προτέρου οὐδὲν παντάπασιν εἰπόντος, δῆλον οὖν ἐστιν ὅτι κατά τι συγκέχυται καὶ σφάλλεται, κατὰ τὴν τῶν ὑδέρων διαφοράν. ἔνιοι μὲν οὖν τῶν ἰατρῶν τέτταρας λέγουσιν εἶναι διαφορὰς τῶν ὑδέρων, ὑπερβαίνοντες τὸ προσῆκον, ἀλλ' οὐ νῦν καιρὸς ἐλέγχειν αὐτούς. ὁ δὲ ταῦτα γράψας ἐλλείπει φανερῶς. ἔστι γὰρ τῶν ὑδέρων, ὁ μέν τις ὑγροῦ λεπτοῦ κατὰ τὴν σύστασιν ἀθροίζων πλῆθος ἐν τῷ κάτω τοῦ θώρακος χωρίῳ παντί, τοῦ παρακεντοῦντος ἐνίοτε τὸ ὑγρὸν ἐκκενοῦμεν. ἄλλος δ' οὐχ ὕδατος, ἀλλὰ πνεύματος ἔχει τὸ χωρίον τοῦτο μεστόν, καὶ σχεδὸν τὰ ἄνω πάντα διοιδισκόμενα, τοῦτον τυμπανίαν προσαγορεύουσιν. ὁ δέ τις φλέγματος ἔχει τὴν ὅλην ἕξιν μεστήν, τοῦτον ὑποσαρκίδιον ἔνιοι προσαγορεύουσιν, ὥστε ἐλλιπῶς εἶπε τῶν ὑδέρων εἶναι δύο φύσεις. οὐ μὴν οὐδ' ὀρθῶς εἶπε, τὸ ἐγχειρέων γίγνεσθαι, ἀληθέστερον γὰρ ἂν εἶπεν, οὕτω γράψας. ἀποκτείνει δ' εὐθὺς ὁ ὕδερος ἐπὴν γένηται. γέγραπται δ' ἡ λέξις οὕτω, κακῶς γεγραμμένη παρὰ τοῦ πρῶτον γράψαντος. τοῦ γε μὴν ἑτέρου τῶν ὑδρώπων, ὃν μετ' ἐμφυσημάτων φησὶ γίγνεσθαι, θεραπείαν γράφει, τὸ μέν τι κοινὸν ἔχουσαν πάντων ὑδέρων, ὡς κατὰ τὴν ἀρχὴν ἔγραψε ταλαιπωρίαν, καὶ πυρίαν καὶ ἐγκράτειαν, συμβουλεύων ἐσθίειν θερμὰ καὶ ξηρά. τὸ δέ τι μόνου τοῦ ἀνὰ σάρκα, ὃν ὡς ἀθεράπευτον ἀπέλιπεν. οὗτος γὰρ μόνος ἀρχόμενος, ἐνίοτε δεῖται φλεβοτομίας ὅταν γ' ἐξ αἱμορροΐδος ἐπισχέσεως, ἢ καταμηνίων ταῖς γυναιξίν, ἢ τινὸς οὕτω πληθωρικῆς αἰτίας ἀρξάμενος συνίσταται. τὸν δὲ τυμπανίαν, ἢ τὸν ἀσκίτην ὕδερον, οὐδεὶς ἐτόλμησε διὰ φλεβοτομίας ἰᾶσθαι. ἐπὶ γοῦν τοῦ δεομένου τῆς φλεβοτομίας ἡ ἐφεξῆς θεραπεία θερμαίνουσα καὶ ξηραίνουσα γίγνοιτ' ἄν. ταῦτα μὲν οὖν γράψας τοῦ προσήκοντος ἐστοχάσθαι φαίνεται, καὶ ὁ ταῦτα γράψας, οὐ μὴν ὀρθῶς γε εἶπεν. ἢν δὲ δύσπνοος ᾖ ὁ κάμνων, φλεβοτομίας χρῄζει, μὴ διὰ πληθώραν ὄντως εἰς τὸν ὕδερον ἐμπίπτων, κινδυνευούσης δηλονότι σβεσθῆναι τῆς ἐμφύτου θερμασίας ὥσπερ τὸ πῦρ. ὡς γὰρ τὸ πῦρ κινδυνεύει σβεσθῆναι, ἐπιβληθέντων αὐτῷ ξύλων ὑγρῶν πολλῶν, εἰ μή τις τοῦ πλήθους ὑφέλοιτο. οὕτως καὶ ἐπὶ τοῦ διὰ πλῆθος αἵματος ψυχροτέρου σβεσθῆναι κινδυνεύοντος ἐμφύτου θερμοῦ μέγιστον ἐστὶν ἴαμα ἡ φλεβοτομία, καθ' ἣν ὥραν ὁ κίνδυνος οὕτως καταλάβῃ. κακῶς οὖν πρόσκειται τῷ λόγῳ, καὶ ὥρα θερινὴ ἐοῦσα. τοῦ μὲν γὰρ πλέον ἢ ἔλασσον ἀφελεῖν, ἄλλα τέ τινα εἴρηται ἂν ὥσπερ καὶ ἡ ὥρα σκοπός, αὐτοῦ δὲ τοῦ βοηθήματος ἡ τοῦ πάθους φύσις. ἔνιοι δὲ ὥσπερ καὶ Διοσκορίδης, οὐ θερινὴν ὥραν, ἀλλ' ἐαρινὴν ἔγραψεν, ὑποπτεύοντες τῆς μὲν θερινῆς τὴν διάλυσιν τῆς δυνάμεως, τῆς δὲ χειμερινῆς τὴν προσγενησομένην τῷ πάθει ψύξιν. ἰδιωτικῶς δὲ καὶ ἀρχαίως πάνυ θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου δίδωσιν ἐσθίειν τῷ φλεβοτομηθέντι, σκοπὸν μὲν ἔχων ἀληθῆ, ῥωννύναι τὴν δύναμιν ὅπως ἐξαρκέσῃ ταῖς κατὰ τὰ γυμνάσια ταλαιπωρίαις. οὐχ εὗρον δὲ τὴν ὕλην ἀξίαν τοῦ σκοποῦ. μέλας γὰρ οἶνος πλεῖστον αἷμα γεννᾷ, τοσοῦτον δὲ ὡς παχύτερον καὶ μελαγχολικὸν γενέσθαι. ἐκείνου βέλτιον δ' ἐστὶ κιρρὸν οἶνον διδόναι, λεπτὸν μὲν τὴν σύστασιν, ὅπως καὶ τὴν οὔρησιν κινεῖ, τὴν δ' ἡλικίαν μὴ νέον, ὥσπερ οὖν καὶ τὰ πολλὰ συμβαίνει. τῶν νέων γὰρ οἴνων οὐδεὶς ἔσται κιρρός, ἀλλ' ἤτοι λευκός, ἢ ἐρυθρὸς ἢ μέλας, παλαιούμενοι δὲ κιρροί τε γίνονται καὶ ξανθοί. τό γε μὴν ὡς ἐλάχιστον πίνοντα πλεῖστον πονεῖν, ὀρθότατα εἴρηται, ξηραίνει γὰρ ἡ τοιαύτη δίαιτα καὶ θερμαίνει. τὰ δ' ὕεια κρέα καθ' ὃν εἴρηται τρόπον ἐσθιόμενα ἀκμάζουσι, καὶ ἰσχυροῖς οὐ κακῶς ἂν δοθείη. τῶν δ' ἄλλων οὐδεὶς ἂν δύναιτο πέψαι καλῶς αὐτά, ἤδη κινδυνεύων σβεσθῆναι τὴν ἔμφυτον θερμασίαν. ἄμεινον οὖν ὅσα καλῶς πέψουσι διδόναι τοῖς ἔχουσιν οὕτως.

Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι, καὶ δριμέα τὰ ὑποχωρήματα καὶ ἀνώμαλα διέρχεται, ὑπὸ συντήξεως αὐτέοισιν. ἢν μὲν δυνατοὶ ἔωσιν, ἐλλεβόρῳ τῷ λευκῷ ἀντισπάσαι. ἢν δὲ μή, ὁ χυλὸς τῶν σιτανείων πυρῶν παχύς, ψυχρός, καὶ τὸ φακίου ἔτνος, καὶ ἄρτοι ἐγκρυφίαι, καὶ ἰχθύες πυρέσσοντι μὲν ἑφθοί, ἀπυρέτῳ δ' ὄντι ὀπτοί, καὶ οἶνος μέλας ἀπυρέτῳ. ἢν δὲ μή, ὕδωρ ἀπὸ μεσπίλων, ἢ μύρτων, ἢ μήλων, ἢ οὔων, ἢ φοινικοβαλάνων, ἢ οἰνάνθης ἀμπέλων.

Κυριώτερον αὖ εἴρηκε τὰ διαχωρήματα τούτοις ὑπὸ συγκαύσεως οὐχ ὑπὸ συντήξεως διέρχεσθαι. σύντηξις μὲν γὰρ ἐν αὐτῷ γίνεται διὰ πυρετὸν κακοήθη τηκομένης τῆς πιμελῆς, ἢ καὶ σαρκὸς τῆς ἁπαλῆς. σύγκαυσις δὲ ἐν τῇ γαστρὶ τῶν ἐνδεδεσμένων ὑπὸ θερμασίας δριμείας, δι᾽ ἣν καὶ πυρέττειν συμβαίνει. τούτῳ οὖν ἐλλέβορον διδόναι κελεύει λευκόν, ἐνεδείξατο γὰρ τοῦτο διὰ τοῦ ἀντισπάσαι ῥήματος, ἐπειδὴ διὰ τῆς ἄνω γαστρός. ἢν δὲ μὴ δύναιτο δι᾽ ἡντινοῦν αἰτίαν ἐλλέβορον λαβεῖν δριμύτητος ἐπικρατούσης ὁ ἄνθρωπος, ἐδέσματα κελεύει διδόναι καὶ πόματα στύφοντα καὶ ψύχοντα. προστίθησι δὲ τοῖς ἐδέσμασι, καὶ ξηραίνειν δυνάμενα, καθάπερ τοὺς ἐγκρυφίας ἄρτους καὶ τοὺς ὀπτοὺς ἰχθῦς. τούτων οὕτως εὐλόγως εἰρημένων, ἐπισκεπτέον τίνα λέγει τὴν ἄνω κοιλίαν. ἐνίοτε μὲν γὰρ οἱ παλαιοὶ τὸν θώρακα τὴν ἄνω κοιλίαν ὀνομάζοντες, τὸ μετὰ τὸ διάφραγμα πᾶν τῆς τροφῆς ἀγγεῖον, κάτω κοιλίαν προσαγορεύουσιν. ἐνίοτε δ᾽ ἄνω κοιλίαν ὀνομάζοντες, εἰς ἣν καταπίνομεν τὰ σιτία, πάντα δὲ τὰ μετ᾽ αὐτὴν ἅπαντα. κοιλίαν μὲν οὖν καλοῦσι κάτω, ἐνίοτε δὲ μόνα τὰ παχέα τῶν ἐντέρων. εἰσὶ δ᾽ οἳ τὸ κῶλον μόνον ὀνομάζουσι τὴν κάτω κοιλίαν. ἴσως μὲν οὖν ἂν ἐζητήσαμεν, τί τῶν εἰρημένων μορίων, ἢ τίνα πιθανώτερον καὶ νῦν ἀκοῦσαι ἐλπίζομεν, εἰ μέγα τι κερδαίνειν ἐμέλλομεν. ἐπεὶ δ᾽ ἡ τῶν τοιούτων εὕρεσις, οὐδὲν μὲν ἡμᾶς διδάσκει, πλέον ὧν ἴσμεν τε καὶ κρίνομεν αὐτοί, περὶ τοῦ τίνα μὲν ὀρθῶς εἴρηται, τίνα δ᾽ οὔ, περιεργασίαν δὲ ἔχει μᾶλλον γνώσεως ἤπερ ὠφέλειαν, ἄμεινον ἀπολιπεῖν διὰ ταχέων, καὶ μάλιστα ὅπου μηδὲ γνήσιον αὐτοῦ ἐστι τὸ σύγγραμμα.

Ἢν δὲ πυρετὸς μὴ ἔχοι καὶ στρόφοι ἔωσι, γάλα ὄνειον θερμὸν ὀλίγον τὸ πρῶτον, ἔπειτα ἐκ προσαγωγῆς πλεῖον, καὶ λινόσπερμον, καὶ πύρινα ἄλφιτα, καὶ τῶν αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρά, καταλεπίσας ἐπιπάσσων, πινέτω. ἢ ὠὰ ἡμίπαγεα ἐσθιέτω ὀπτά, καὶ σεμίδαλιν καὶ κέγχρον, καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθίειν, καὶ τὰ τούτοις ὅμοια, καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω.

Οἱ μὲν πλεῖστοι τῶν ἐξηγουμένων, βέλτιον τοῖς προειρημένοις συντάττουσι ταῦτα περὶ τῶν θερμὴν ἐχόντων τὴν κάτω κοιλίαν, ἡγούμενοι καὶ νῦν ἔτι γίγνεσθαι τὸν λόγον. ὀλίγοι δέ τινες ἀποχωρήσαντες, ἴδια ταῦτα ἐξηγοῦνται, σκοπὸς δὲ ἐστιν αὐτοῖς, τὸ μέντοι καθάραι τῆς κακοχυμίας, τὸ δ᾽ ἐπικεράσαι, τὸ δ᾽ ἐπιξηρᾶναι, τὸ δ᾽ ἐμψύξαι. τὸ μὲν οὖν γάλα τὸ ὄνειον, καθαίρειν δύναται καὶ ἐπικεραννύναι. τὸ δὲ τοῦ λίνου σπέρμα ξηραίνειν τε καὶ ψύχειν. τὰ δ᾽ ἐκ τῶν πυρῶν ἄλφιτα, τὸ ἐπικεραστικὸν ἔχει. καλῶς δ᾽ αὐτοῖς ἀναμέμικται καὶ τὰ κρίθινα, ξηραίνοντά τε καὶ ψύχοντα. οἱ δὲ αἰγύπτιοι κύαμοι, μετρίως ψύξαι δύνανται. τὰ δὲ ὠὰ καὶ ἡ σεμίδαλις καὶ ὁ χόνδρος, παχύχυμα καὶ εὔχυμα καὶ ἐπικερατικά, καὶ ξηραίνει δὲ ἱκανῶς ὡς ἐν ἐδέσμασιν ἡ κέγχρος, ὥσπερ δὲ καὶ ψύχει. ταῦτα δὲ πάντα δίδωσι ψυχρὰ διὰ τὴν δριμύτητα καὶ θερμότητα τῶν τὸ πάθος ἐργαζομένων χυμῶν.

Τῆς διαιτητικῆς ἐστι μέγιστον, παρατηρεῖν καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖς μακροῖσιν ἀρρωστήμασι, καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν, καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαφυλάττειν, ὁπότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν, καὶ ἀσφαλέως, ὁκόταν δέῃ προσενέγκειν, εἰδέναι. ἔτι δὲ ὁκόταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσεως.

Διαιτητικῆς τέχνης μέγιστον εἶναί φησι, τὸ, τὸν ἤδη μικρὸς καιρὸν γνῶναι τῆς τροφῆς. αὐτὸς οὖν ἕνα σκοπὸν φησὶ πλεῖστον ἀπέχειν τὸν καιρὸν ἐκεῖνον, ἐν ᾧ τὴν τροφὴν δεῖ διδόναι τῆς ἐπιτάσεως. εἴη δ᾽ ἂν ἐπίτασιν λέγων, τὴν ἀρχὴν τοῦ παροξυσμοῦ. τοῦτο δ᾽ οὐ μόνον ἐπὶ τῶν χρονιζόντων, ἀλλὰ καὶ τῶν ὀξέων, ἀληθὲς εἶναι δοκεῖ. διατί οὖν προσέθηκε τοῖς μακροῖς ἀρρωστήμασιν; ὅτι μᾶλλον ἐπὶ τούτων ἐναργὴς ὁ σκοπός, ἢ τάχα καὶ μόνον. ἐπὶ γὰρ τῶν ὀξέων αὐτάρκης ἦν γνώρισμα καιροῦ τροφῆς, καταλαβεῖν τὴν θέρμην εἰς τοὺς πόδας, οὐ μὴν ἐπὶ τῶν χρονίων γε θεραπευτέον οὕτως, ἀλλὰ περιμένειν προσήκει τὰ βέλτιστα τῆς ἀνέσεως. ἤδη γὰρ τὰς ὀξείας νόσους ἀναμένειν οὐκ ἐγχωρεῖ φόβῳ τῆς μελλούσης διὰ ταχέων ἐπιτάσεως ἔσεσθαι. ἔνιοι δὲ τὴν λέξιν γράφουσιν οὕτω. τῆς διαιτητικῆς ἐστι μέγιστον, τὸ παρατηρεῖν καὶ παραφυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσιν, οὕτω καὶ ἐν τοῖς χρονίοις, τὸ ἐπίστασθαι ὁπηνίκα χρὴ τρέφειν. ἔνιοι δὲ τὴν τελευτὴν ταύτης τῆς ῥήσεως οὕτω γράφουσιν. ἔτι δὲ ὅταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσεως, εἰδέναι ὡς πρὸς τοῖς ἄλλοις, οἷς ἐκέλευσεν ἡμᾶς ἐπισκέψασθαι περὶ τὸν ἄρρωστον, καὶ τοῦτο συμβουλεύοντος αὐτοῦ. φαίνεται δέ, εἰ αὐτὸ τις ἐξετάζει τοῦτο, μὴ συνάπτων τῇ κατὰ μέρος εὑρέσει τοῦ καιροῦ τῆς τροφῆς, ἄκαιρον τὸ περὶ τῆς τροφῆς παράγγελμα καὶ οὐδενὸς ἄξιον.

Εἰδέναι δὲ τοὺς κεφαλαλγικοὺς ἐκ γυμνασίων, ἢ δρόμων ἢ περιπάτων, ἢ κυνηγεσίων, ἢ ἄλλου τινὸς πόνου ἀκαίρου, ἢ ἐξ ἀφροδισίων. τοὺς ἀχρόους, τοὺς βραγχαλέους, τοὺς σπληνώδεας, τοὺς λειφαίμους, τοὺς πνευματώδεας, καὶ ξηρὰ βήσσοντας καὶ διψώδεας, τοὺς φυσώδεας, καὶ φλεβῶν ἀπολήψιας. ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον, καὶ τοὺς ἀποναρκουμένους, καὶ ἀμαυρὰ βλέποντας, καὶ οἷς ἦχοι τῶν ὤτων ἐμπίπτουσι, καὶ τοὺς οὐρητῆρας ἀκρατέως διακειμένους, τοὺς ἰκτερώδεας, καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσιν, καὶ αἱμορραγέοντας ἐκ ῥινῶν ἢ καθ᾽ ἕδρην σφοδρῶς, ἢ ἐν ἐμφυσήμασιν ἐόντας, ἢ πόνος αὐτοῖς ἐπιτρέχει σφοδρὸς, καὶ μὴ ἐπικρατέωσι, τουτέστι μηδένα φαρμακεύειν. κίνδυνόν τε γὰρ ἐξεῖς, καὶ οὐδὲν ὀνήσεις, τάς τε ἀπὸ ταυτομάτου ἀπαλλάξιας καὶ κρίσιας ἀφαιρήσεις.

ὅπη μὲν

Ὅτι μὲν ἀτάκτως καὶ τρόπον ὑπομνήσεως παρασκευῆς, ἅπαντα τὰ κατὰ τὸ βιβλίον τοῦτο γέγραπται, πρόδηλον οἶμαι παντί. πολλὰ δ' οὖν ὡς ἔφην ἐν αὐτῷ καλῶς εἴρηται, δι' ἃ καὶ τοῖς εἰρημένοις οὐκ ὀρθῶς ἐπείσθησαν ἔνιοι, καὶ μᾶλλον ὅσοι συνήθεσαν ἑαυτοῖς, ὡς οὐκ ἔχουσιν ἐπιστήμην κριτικὴν τῶν γεγραμμένων. τὰ δ' οὖν ἐν τῇδε τῇ ῥήσει λεγόμενα κατάλογον ἔχει τῶν ἀνεπιτηδείων φαρμακεύεσθαι. τὸ καθαίρεσθαι δὲ τῷ φαρμακεύεσθαι συμβαίνει ὄν ταυτόν, ὥσπερ γε καὶ φαρμακεύειν ἐν τῷ καθαίρειν. ἴσμεν οὖν τινας ἀπ' ἀρχῆς ἀπαγορεύει καθαίρειν, τοὺς κεφαλαλγικοὺς φησὶν ἐκ γυμνασίων, ἢ ἄλλου τινὸς πόνου ἀκαίρου. συντόμως οὖν ἀκούσας τοὺς ἐξ ἀκαίρων πόνων κεφαλαλγικοὺς γινομένους μὴ καθαίρε. ἄκαιροι πόνοι πάντως εἰσὶν οὓς ἡ παροῦσα κατ' ἐκεῖνον τὸν χρόνον διάθεσις τοῦ σώματος οὐ δύναται φέρειν. ἀναμνήσω δέ σε νῦν εἰς πολλὰ χρησίμου πράγματος, οὗ διὰ παντὸς ἀξιῶ μεμνῆσθαι. τοῦ σώματος ἡμῶν παρασκευῆς μετέχοντος, ἐγγὺς τοῦ συμπληρωθῆναι, τῶν ἔξωθεν τι προσιὸν, ἐξήλεγξε τὴν διάθεσιν αὐτοῦ πυρετὸν ἀνάψαν, ἢ κεφαλαλγίαν, ἢ κατάρρουν, ἢ βῆχα κινῆσαν, ἤ τι τοιοῦτον ἄλλο. κἄπειτα ἐκ τούτου κατὰ τὸ συνεχὲς ἐπὶ τὴν παρασκευὴν τῆς νοσώδους διαθέσεως ἀλγοῦσιν ἐπικινδύνως, ὅτε δρόμου τὴν νόσον γεννήσαντος, ἢ ὅλως τῆς ἰσχυρᾶς κινήσεως, ὥσπερ οὐδὲ τῆς ἀκρασίας, ἢ τῆς ψύξεως, ἢ τινὸς ἄλλου τῶν τοιούτων. οὐδὲν γοῦν αὐτῶν ἱκανὸν ἐστὶ κατὰ τὴν ἑαυτοῦ φύσιν, ἀλγηδόνα ἐργάζεσθαι σφοδράν. ἀλλ' εἴτε πυρετὸς ὑπό τινος αὐτῶν γένοιτο, τῶν ἐφημέρων ὀνομαζομένων ὁ τοιοῦτος ἐστὶ πυρετὸς, εἴτ' ἄλλο τι σύμπτωμα, ὀλιγοχρόνιον ἔσται πολλάκις, καὶ τοῦτο γε ὡς ἔφην διὰ τὴν τοῦ σώματος διάθεσιν, ἕκαστον τῶν τοιούτων οὐκ αἴτιον τοῦ νοσήματος, ἀλλὰ πρόφασις γίγνεται. κυρίως γὰρ ἄν τις μάλιστα τὰς τοιαύτας αἰτίας ὀνομάζοι προφάσεις, οὐχ ἁπλῶς φανεράς, ὡς πολλάκις εἰώθασιν αὐτοὶ καλεῖν, ὅταν ὑπό τινος τῶν φανερῶν αἰτίων βλάβη γένηται σαφὴς ἐν τῷ σώματι. μηδεμιᾶς γοῦν ἑτέρας διαθέσεως νοσώδους ὑποκειμένης, οὔτε νόσος ἀξιόλογος ἀκολουθήσει, καὶ τῆς γινομένης ἐν τῷ σώματι βλάβης, τὸ ποιῆσαν αὐτὴν αἴτιόν ἐστι. ἴσθι τοίνυν αὐτῷ τὸν ἐνεστῶτα λόγον περὶ τοῖς τοιούτοις αἰτίοις γινόμενον, ἃ μὴ κατὰ τὸν ἑαυτῶν λόγον βλάπτει τὸ σῶμα. κεφάλαιον δ' αὐτῶν ἐστὶν, ἐν μὲν καὶ πρῶτον οἱ πόνοι, πολυειδεῖς κατὰ μέρος ὄντες, δρόμοι, καὶ πάλαι, καὶ παγκράτια, ἀφροδίσια, τρίψεις, ἔγκαυσις, ψύξις, ἀγρυπνία, θυμοὶ, λῦπαι, φόβοι. τῶν μὲν οὖν ἀφροδισίων ἐμνημόνευσε, τὰ δ' ἄλλα παρέλειπε, καίτοι τὴν αὐτὴν δύναμιν ἔχοντα. τὰ γοῦν, ὡς εἴρηται, τὸ πνεῦμα ταράττοντα, καθάρσεως οὐ δεῖται, διὰ τὸ μηδ' ὑπὸ κακοχυμίας γεγονέναι τὴν νόσον ταύτην. μεταβὰς δὲ ἀπὸ τούτων τῶν γνωρισμάτων αὐτὸς ἐδήλωσεν, οὓς πρότερον εἶπεν, ἰδίως ἢ καλοῦσιν ἀχρώους τοὺς λειφαίμους, ἔτι τε δὴ ἄλλην, οὐ κατὰ τὴν φύσιν ἔχοντας τὸ σῶμα, κακοχρόους ὀνομάζουσιν. οὗτοι τοίνυν οἱ ἄχροοι θερμαίνεσθαι δέονται, διά τε γυμνασίων, καὶ πόσεως οἴνου θερμοῦ τῇ δυνάμει, καὶ σιτίων παραπλησίων, ἀλλὰ καὶ τοὺς βραγχαλέους φησί. καὶ γὰρ καὶ τούτων τὴν ὑγρότητα καὶ ψύξιν τοῦ κατασκήψαντος εἰς τὸν λάρυγγα ῥεύματος, ἰᾶσθαι προσήκει, τὴν κεφαλὴν ξηραίνοντας, καὶ τὰ πεπονθότα μόρια, διὰ τῶν τοπικῶν βοηθημάτων. ἀλλὰ καὶ τοὺς σπληνώδεας φησὶν οὐ δεῖσθαι καθάρσεως, τοῦτο μοι δοκεῖ μὴ λέγειν ὀρθῶς. δέονται γὰρ εἴπερ τινὲς ἄλλοι καὶ οὗτοι καθαίρεσθαι μέλανα. τούτοις ἐφεξῆς τῶν λειφαίμων μνημονεύει, τουτέστι τῶν ἐνδεὲς ἐχόντων αἷμα, καὶ μηδέπω σαφῶς ὦσιν ἄχροοι. μετ' αὐτοὺς δ' ἐμνημόνευσε τῶν πνευματωδῶν, καὶ ξηρὰ βησσόντων, διψωδῶν, ἀσαφῶς ἑρμηνεύσας, ὡς μὴ δηλῶσαι πότερον ἑκάστου καταμόνας ἀκουστέον ἐστὶν, ἢ τῶν τριῶν ἅμα γινομένων. ἔστι δ' οὐδὲ καθ' ἓν ἕκαστον αὐτῶν λεγόμενον σαφὲς, ὡς καὶ πρόσθεν ἤδη λέλεκται. πνευματώδεις γὰρ ὡς πολὺ μόνον ὀνομάζουσι τοὺς κατὰ τὴν εἰσπνοὴν ἀέρος δεομένους, ἔστι δ' ὅτε καὶ τοὺς ἐμπνευματουμένους. ἀλλ' ἑκάτερον αὐτῶν πολλὰς αἰτίας ἔχει, καὶ εἰ πάσας ἐπεξίοιμι μακρότερος ὁ λόγος ἔσται, πρὸς τῷ καὶ φανῆναι τινὰς μὲν αὐτῶν φλεβοτομίας δεομένους, τινὰς δὲ καθάρσεως, τινὰς δ' ἄλλου βοηθήματος. οὕτω δὲ καὶ οἱ ξηρὰ βήσσοντες, οὐ κατὰ μίαν γίγνονται διάθεσιν, οὐδ' οἱ διψώδεις αὐτῶν. οὕτως δὲ οὐδ' εἰ περὶ τῶν πυρεσσόντων διψωδῶν ὁ λόγος ἐστὶν αὐτῷ, ἐπίστασθαι νῦν ἡμᾶς, ἢ περὶ τῶν ἀπυρέτων, ἢ ἀμφοτέρων. καὶ γὰρ ἐνίοις αὐτῶν μνημονεύσω κατὰ τοὺς ἀφορισμοὺς εἰρημένου, τὸ καθόλου διαβεβλῆσθαι. λέλεκται δὲ ἐν ἀφορισμοῖς ὧδε, „ἀπυρέτῳ ἐόντι, ἀποσιτίη καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει. „ἐὰν δὲ ἐκπικροῦται τὸ στόμα, διψώδεις εἰσίν. οὕτως δὲ καὶ οἱ φυσώδεις πρῶτον μὲν οἵτινες ὑπ' αὐτοῦ λέγονται ἀγνοῶ. εἰ σὺν τῷ φλεβῶν ἀποληψίας τοὺς γεγονότας φυσώδεις ἀκούομεν, ἐνίων ἀναγιγνωσκόντων καθ' ἑαυτὸ, καὶ μεταβάλλειν ἔχον τῆς λέξεως ταύτης ἕκαστον, ἐδυνάμην ἂν ἅπαντα, ὅσα γιγνώσκειν χρήσιμον ἐστὶ διδάξαι, μὴ πολλὰ πληρῶν βιβλία, καθάπερ καὶ περὶ τῶν ἑξῆς λεγομένων. φησὶ γὰρ, ἐκτεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον, καὶ ἀμαυρὰ βλέποντας, καὶ οἷς ἦχοι τῶν ὤτων εἰσὶ, καὶ ὅσοι τὰς οὐρήθρας ἀκρατῶς διάκεινται. καθ' ἕκαστον γὰρ τούτων τῶν παθημάτων, αἰτίαι τε καὶ διαθέσεις εἰσὶ πολλαὶ, καὶ θεραπειῶν διαφερουσῶν δεόμεναι. αὐτῶν γοῦν ἐστὶ ὅτε καὶ καθάρσεως δεηθήσονται τινὲς, τῆς διὰ χολαγωγοῦ φαρμάκου. περὶ πάντων οὖν τούτων, ἔτι τε τῶν ἐφεξῆς εἰρημένων, οὐκ ἀποφάσεις ἀδιορίστους, ἀλλὰ διορισμούς τε καὶ σαφεῖς διδασκαλίας, τῇ τε μακρᾷ πείρᾳ κεκριμένας, ἐν ταῖς ἡμετέραις ἔχεις πραγματείαις, ἃς ἀναλεξάμενος, ἱκανὸς ἔσῃ κρίνειν ἅπαντα τὰ τούτῳ λεγόμενα, μετὰ τοῦ μεμνῆσθαι τοῦ μέρους, ὃ γνήσιον ὁμολογεῖται καὶ παρ' ἡμῶν, διδασκαλίας ἔχον ὠφελούσας. ἅπαντα γὰρ ἐν αὐτῷ γέγραπται, σὺν ἀποδείξει τε καὶ σαφηνείᾳ, καὶ διορισμοῖς τοῖς προσήκουσι. τὰ δ' οὕτως ἐσπαρμένα, καθάπερ ἡ νῦν ὑποκειμένη ῥῆσις, οὐδὲν ὀνίνησιν. ἐὰν μὲν γὰρ νῦν ἀκούῃ τις ἁπλῶς ἑκάστου τούτων ἄνευ τοῦ διορίσασθαι, πολλὰ κακῶς πράξει κατὰ τὴν τέχνην. ἐὰν δὲ ἕκαστον ὡς χρὴ διορίσηται, γνώσεται πρῶτον μὲν οὐδὲν ἐντεῦθεν εἰς τὴν εὕρεσιν αὐτῶν ὠφελούμενος, εἶτα πολλῶν βιβλίων δεόμενος, εἰς τὴν περὶ τῶν προκειμένων σκέψιν. ἀλλὰ γὰρ οὐκ ἔστι πεῖσαι τοὺς πολλοὺς τῶν ἀνθρώπων, ἐπέρχεσθαι μὲν τὰ σαφῆ τῶν γραμμάτων μόνα, καταλιπεῖν δὲ τοῖς γράψασι τὰ μὴ τοιαῦτα. καὶ γὰρ δίκαιον ἐστὶν, εἰ μηδεμίαν ἐκεῖνοι φροντίδα τοῦ γινώσκειν ἡμᾶς ἃ γεγράφασιν ἐποιήσαντο, μηδ' ἡμᾶς λιπαρῶς προσκεῖσθαι, ζητοῦντας τε καὶ καταμαντευομένους ὧν λέγουσιν.

Ἢν δὲ αἷμα τινὶ ξυμφορέῃ ἀφαιρέειν, στερεὴν ποιέειν τὴν κοιλίην, καὶ οὕτως ἀφαιρέειν, καὶ λιμοκτονέειν, καὶ οἶνον ἀφαιρέειν αὐτῷ, ἔπειτα διαίτῃ τῇ προσηκούσῃ τὰ ἐπὶ

λοιπὰ αὐτῶν, καὶ πυρετοῖσι ἐνίκμοισι θεράπευε.

Μὴ ῥεούσης τῆς κοιλίης, ἀφελεῖν τοῦ αἵματος. ἐὰν γὰρ ἐπιμένῃ μετὰ τὴν ἀφαίρεσιν ἀπορρέουσα, καταλύει τὴν δύναμιν, τό, τε λιμοκτονεῖν ὧν ἀφέλοις τοῦ αἵματος, οἴνου τε ἀπέχειν, ὀρθῶς εἴρηται, καθάπερ καὶ τὸ τῇ διαίτῃ τῇ προσηκούσῃ χρῆσθαι. τὸ δὲ καὶ ταῖς πυρεταῖς ταῖς ἐνίκμοις θεραπεύειν, εἰ μὲν ἐπὶ πάντων λέγοιτο τῶν ἀφαιρουμένων αἷμα, ψεῦδός ἐστιν, εἰ δ᾽ ἐπί τινων, ἐχρῆν εἰπεῖν.

Ἢν δέ σοι κατάπυκνος ἡ κοιλίη δοκῇ εἶναι, μαλθακῷ κλύσματι ὑπόκλυζε.

Οὐκ ἄξιον συγγράμματος τοῦτο, πρόδηλον γάρ ἐστιν ἅπασιν.

Ἢν δὲ φαρμακεῦσαι ἐλλεβόρῳ ἀσφαλέως, ἄνω κάθαιρε, κάτω δὲ μηδενὶ τῶν τοιούτων.

Ὡς προειρηκὼς τὸ πάθος ἐφ᾽ οὗ κελεύει ταῦτα πράττεσθαι, τὸν λόγον ποιεῖται, καίτοι οὐδὲν προείρηκεν. ἢ οὖν ἀπώλετό τις ῥῆσις ἐν ᾗ τὸ πάθος ἐδηλοῦτο, ἢ ἐπιλήσμων ἦν ὁ ταῦτα γράψας, καὶ τοιοῦτος οἷος ὁ νῦν ὀνομαζόμενος ὑπὸ τῶν παλαιῶν μετέωρος.

Κράτιστον δὲ τοὺς οὔρησιν καὶ τοὺς ἱδρῶτας καὶ τοὺς περιπάτους ἄγειν, καὶ ῥίψει ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν. ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν.

Καὶ ταῦθ᾽ οὕτως, ὡς προειρηκὼς, τὸ πάθος ἔγραψεν.

Καὶ ἢν μὲν ἐν τῷ θώρακι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος αὐτόν, ἀνακαθίζειν ὡς πολλάκις, καὶ ἥκιστα προκλινέσθωσαν τοὺς ὅτι δυνατοί εἰσι, καὶ καθίζοντα ἀναρριπτεῖν πολὺν χρόνον πολλῷ θερμῷ. ἢν δὲ τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἔχῃ τὰ ἀλγήματα, ἀνακεῖσθαι ξυμφορώτερον, καὶ μηδεμίαν κίνησιν κινέεσθαι τῷ τοιῷδε σώματι ξυμφέρει, ἔξω τῆς ἀναρρίψεως.

Ἐκ ταύτης τῆς ῥήσεως τεκμαίροιτ᾽ ἄν τις ταῦτα καὶ τὰ πρὸ τούτων ἅπαντα περὶ ἀλγημάτων γεγράφθαι. τὰ οὖν ἐν ἀρχῇ τῆς ῥήσεως παραλέλειπται, ἁμαρτόντος τοῦ πρώτου βιβλιογράφου, καὶ μετὰ ταῦτα μενούσης τῆς ἁμαρτίας, ὥστε οὐδ᾽ ἐξετάζειν τὴν ἐν τοῖς εἰρημένοις ἀλήθειαν οἷόν τε, μή τινι κἂν ἐν τοῖς τοιούτοις ἐπὶ πλέον εἰκῇ καταρρίβεσθαι δόξωμεν.

Τὰ δ᾽ ἐκ τῆς κάτω κοιλίης λυόμενα δι᾽ οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται τὰ μικρά, τὰ σφόδρα δὲ πονηρόν. οἱ τοιοίδε γὰρ, ἢ ἀπόλλυνται, ἢ ἄνευ κακῶν ἄλλων οὐ γίνονται ὑγιέες, ἀλλ᾽ ἀποστηρίζει καὶ τὰ τοιουτότροπα.

Καὶ διὰ ταύτης τῆς ῥήσεως ἔνεστι τεκμαίρεσθαι περὶ ἀλγημάτων θεραπείας ἅπαντα αὐτῷ τὰ προγεγραμμένα λελέχθαι.

Πόμα ὑδρωπιῶντι κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης καὶ πόδας καὶ πτερά, τρίψαι ἐν τρισὶ κυάθοις ὕδατος τὰ σώματα. ὅταν δὲ πονῇ ὁ πιών, θερμῷ βρεχέσθω, ὑπαλειφόμενος δὲ πρότερον, νῆστις δὲ πινέτω, ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξαλείφατος.

Ταύτην τις ἀναγνοὺς τὴν ῥῆσιν ἰατρὸς τολμηρός, ἀφελὼν τὰ προειρημένα μόρια τῶν κανθαρίδων, ἔδωκεν ὑδρωπιῶντι, καὶ μετὰ μίαν ἡμέραν ἀποστήματι σχὼν ὁ ἄνθρωπος εἰς τὴν γαστροκνημίαν, εἶτα μετὰ τρεῖς ἄλλας τμηθείς, ὑπ᾽ αὐτοῦ πλείστου ῥυέντος ὕδατος, ἔδοξε τεθεραπεῦσθαι. προσεστάλη γοῦν ἐν τῷ παραυτίκα τὸ πλεῖστον τοῦ παρὰ φύσιν ὄγκου, ἀλλ᾽ ὅμως ἀπέθανεν οὐ μετὰ πολλὰς ἡμέρας. ἐπετίμησεν οὖν τις τῷ ἰατρῷ, κακῶς φάσκων δεδόσθαι τὰ σώματα τῶν κανθαρίδων. ἐχρῆν γὰρ ἀφελόντα τὰ σώματα δοῦναι πιεῖν τὴν κεφαλήν, καὶ τοὺς πόδας καὶ τὰ πτερά, καὶ τοῦτ᾽ εἶναι τὸ κατὰ τὸ βιβλίον εἰρημένον. οὐκ ὀκνήσας οὖν ὁ τολμηρὸς ἰατρός, ἐπ᾽ ἄλλου πάλιν δέδωκεν οὕτως, εἶτ᾽ ἀποστήματος ὁμοίως κατὰ τὸν μηρὸν γενομένου, καὶ τμηθέντος αὐτοῦ, μετὰ πολλὰς ἡμέρας ἀποθανεῖν συνέβη καὶ τοῦτον. ἔστι γε μὴν οὐρητικῷ φαρμάκῳ διὰ κανθαρίδων σκευαζομένῳ κεχρημένους τινὰς ἄνευ βλάβης τῶν πινόντων αὐτό.

Ἰσχαιμον. ὀπὸν συκῆς ἐν ἐρίῳ περιθεῖναι ἔσω πρὸς τὴν φλέβα. ἢ πιτύην συστρέψαντα ἐμβῆσαι εἰς τὸν μυκτῆρα. ἢ χαλκίτιδος τῷ δακτύλῳ προσεπιπασάμενος πίεσον, καὶ τοὺς χόνδρους ἔξωθεν περιπίεζε ἑκατέρωθεν, καὶ τὴν κοιλίην λῦσαι ὄνου γάλακτι ἑφθῷ, καὶ τὴν κεφαλὴν ξυρῶν, στυπτικὰ πρόσφερε ἢν ὥρη θερμὴ γίγνηται. Σησαμοειδὲς ἄνω καθαίρει, ἡ πόσις ἡμιόλιον δραχμῆς ὁ σταθμὸς ἐν ὀξυμέλιτι τετριμμένος. ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισιν, καὶ ἧσσον πνίγει τὸ τρίτον μέρος τῆς πόσιος.

Τειχώσιος ὑποθεὶς τὸ ῥάμμα τῇ βελόνῃ τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τὸ ἄνω τάσιος τοῦ βλεφάρου εἰς τὸ κάτω διακοντήσας, δίες, καὶ ἄλλο ὑπὸ κάτω τούτου. ἀνατείνας δὲ τὰ ῥάμματα, ῥάψον καὶ κατάδει ἕως ἂν ὑποπέσῃ, κἢν μὲν ἱκανῶς ἔχῃ. εἰ δὲ μή, ἢν ἐλλείπῃ ὀπίσω ποιέειν τὰ αὐτά. καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν τρόπον διώσας τῇ βελόνῃ, ὡς ταχύτατον ἐρείου οἰσυπηροῦ ῥάμμα, καὶ ὡς μέγιστον ἀποδήσας. ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη, εἶτα ἀποπιέσας τῷ σηπτῷ χρέο, καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ, καὶ ἀεὶ μίαν καταλίμπανε, καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι, εἶτα γυμναζέσθω καὶ ἀφιδρούτῳ γυμνασίου τε τρίψις πολλὴ ἀπὸ ὄρθρου, δρόμου δὲ ἀπεχέσθω καὶ μέθης, καὶ

τῶν δριμέων ἔξω ὀλιγάκις. ἐμεέτω δὲ δὶς ἑπτὰ ἡμερῶν, ἢ τρὶς ἐν τῷ μηνί. οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. οἶνον δὲ κιῤῥὸν, αὐστηρὸν, ὑδαρέα τε καὶ ὀλίγον πινέτω. τοῖσι δὲ ἐμπύοισι σκίλλης κατατάμων κυκλίσκους, ἕψειν ὕδατι, καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον, καὶ ἐπιχέας ἄλλο ἕψεε ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φανῇ, εἶτα τρίψας λεῖον, ξυμμίσγε κύμινον πεφρυγμένον, καὶ λευκὰ σήσαμα, καὶ ἀμυγδάλας νέας τρίψας ἐν μέλιτι, ἐκλεικτὸν δίδου, καὶ ἐπὶ τούτῳ οἶνον γλυκύν, ῥοφήματα δὲ μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον, ὕδατι δεὶς σητανίου πλήματι ἀλεύρου ἑψήσας, μέλι ἐπιχέας, χλιηρὸν ἐπιῤῥοφέων. οὕτω διαγέτω τὴν ἡμέρην, εἶτα πρὸς τὰ ἀποβαίνοντα λογιζόμενος τὸ δεῖπνον δίδου. Δυσεντερίης. κυάμων καθαρῶν τεταρτημόριον, καὶ ἐρυθροῦ δαύκης δυοκαίδεκα κάρφεα λεῖα ξυμμίξαντα καὶ ἑψήσοντα, λιπαρὰ διδόναι ἐκλείχειν. Ὀφθαλμῶν. σποδὸς πεπλυμμένη λιπαρῶς πεφυρημένη, ὡς στέαρ μὴ ὑγρὸν λεῖον τρίψαι, ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀνυγρήνας, ἐν ἡλίῳ τε ἀναξηρᾶναι, ὑγραίνειν ὡς ἐναλειπτόν. ὁκόταν δὲ ξηρὸν γένηται, λείῳ τετριμμένῳ ξηρῷ, ὑπάλειφε τοὺς ὀφθαλμοὺς, καὶ παράπασσε τοὺς κανθούς. Ὑγρῶν. ἐβένου δραχμὴν, χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ᾽ ἀκόνης τρίβων, κρόκου τριώβολον. ταῦτα τρίψας λεῖα, παράχεε οἴνου γλυκέος κοτύλην ἀττικὴν, κἄπειτα πρὸς τὸν ἥλιον θεὶς καὶ κατακαλύψας, ὁκόταν συνεψηθῇ, τούτῳ χρέο. Πρὸς τὰς περιωδυνίας, ἔστω χαλκίτιδος δραχμὴ, σταφυλῆς ὁκόταν δύο μέρεα λειφθῇ, ἐκπιέσας, σμύρναν καὶ κρόκον τρίψας, ξυμμίξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ, καὶ τούτῳ ἐπάλειφε τοὺς περιωδυνέοντας, ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ. Ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις. πιέσαι τοῖσι δυσὶ δακτύλοισι, καὶ ἢν αἴσθηται, τὰ ὑστερικά ἐστιν, ἢν δὲ μὴ, σπασμώδεα. Τοῖσιν ὑδρωπιώδεσιν. μηκώνειον λεκίσκιον ἀττικὸν στρογγύλον. Πόσις. λεπίδος, μηλαὶ τρεῖς τῷ πλάτει, καὶ ἀλεύρου σητανίου κολλήσαντα, ταῦτα λεῖα τρίψας καταποτὰ ξυστρέψας, δίδου, κάτω ὕδωρ καθαίρει, κοιλίην ἐκκοπροῖ.

Ἐς ἰσχάδας, ὀποῦ τοῦ τιθυμάλλου ἀπόσταζε ὁκόσον ἑπτάκις πρὸς ἕκαστον τῶν εἰρημένων, εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι, δίδου πρὸ τῶν σιτίων, καὶ τὸ μηκώνειον τρίβων, ὕδωρ ἐπιχέων καὶ ἀνηθέων, ἄλευρον πυρῶν, ἴτριον ὀπτῶν, μέλι ἑφθὸν παραχέων, τοῖσιν ὑδρωπικοῖσι φαγεῖν δίδου, καὶ ἐπιπίνειν γλυκὺν ὑδαρέα, ἢ μελίκρητον ὑδαρές. τὸ δὲ ἀπὸ τῶν κοπείων μηκώνειον ξυλλέγων, ταμιεύου καὶ θεράπευε.

Φανερῶς ἐκ τῶν τοιούτων δηλοῦται τοῦτο τὸ βιβλίον, ὑπόμνημα συμμίκτων εἶναι θεωρημάτων, ἀτάκτως τῆς μεταβάσεως ἀπ᾽ ἄλλων πρὸς ἄλλα γιγνομένης, ὥσπερ καὶ νῦν ἐπὶ τῆς ἐκ τῶν μυκτήρων αἱμοῤῥαγίας γέγραπται βοηθήματα, τὰ μὲν αὐτῷ τῷ μέρει τῷ αἱμοῤῥαγοῦντι προσφερόμενα, τὰ δὲ ἀντισπαστικά, καθάπερ ἡ γαστὴρ λυομένη. τὰ δὲ τῆς κεφαλῆς πυκνωτικὰ, καὶ στυπτικὰ καθάπερ τὰ ψύχοντα. τὰ δ᾽ ἐφεξῆς τούτων ἅπαντα φαρμάκων ἔχει γραφὰς, καί τινα παραμεμιγμένα βοηθήματα. περὶ πρώτου μὲν οὖν τὸν λόγον ποιεῖται καλουμένου σησάμου, ἐφεξῆς δὲ τριχῶν ἐν τοῖς βλεφάροις χειρουργίαν ἔγραψεν, ἣν ὀνομάζουσιν ἀναβροχισμόν. καὶ μετὰ ταῦτα πάλιν ὁμοίως αἱμοῤῥοΐδων, καὶ τῆς ἄλλης ἰάσεως, εἶτ᾽ ἐμπύων φάρμακά τε καὶ ῥοφήματα. καὶ μετὰ ταῦτα σκευασίας φαρμάκων ὀφθαλμικῶν, εἶτα περὶ τῶν ὑστερικῶν γινομένων, εἶτα καὶ περὶ τοῦ μήκωνος, εἶθ᾽ ἑξῆς ὑδραγωγὸν φάρμακον, εἶτ᾽ ἐκκοπρωτικὸν, εἶθ᾽ ἑδρικοῖς, ὑδερικοῖς τε δίδωσι διὰ μηκωνείου καὶ ἰτρίων. ἔστιν οὖν ἐφεξῆς τῶν εἰρημένων τὰ μὲν πλεῖστα σαφῆ, παρέγκειται δέ τινα καὶ ἀσαφῆ περὶ ὧν ἐφεξῆς ποιήσομαι τὸν λόγον.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Α.

Τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν.

Ὅτι μὲν ἀντὶ τῆς προγνώσεως εἴρηκε τὴν πρόνοιαν, ἄντικρυς δῆλον, ἐπιφέρων γοῦν φησὶ, προγινώσκων γὰρ, καὶ προλέγων παρὰ τοῖσι νοσέουσιν. ἐδέησε δὲ αὐτῷ προοιμίου κατὰ τοῦτο τὸ σύγγραμμα, καί τοι γε οὐ πάνυ τι προοιμίοις χρωμένῳ, διά τινας ὡς εἰκὸς ἰατροὺς τῶν κατ᾽ αὐτὸν, οἷοι καὶ νῦν εἰσι τῶν μεθοδικοὺς ἑαυτοὺς ὀνομαζόντων. ἰατροῦ μὲν ἔργον εἶναι φάσκοντες, ἤτοι φυλάττειν τὴν οὖσαν ὑγείαν, ὡς ἐπὶ τῶν ὑγιαινόντων, ἢ ἀναλαμβάνειν τὴν διεφθαρμένην, ὡς ἐπὶ τῶν νοσούντων. μάντεως δὲ τὸ προλέγειν τὸ γενησόμενον. ἐπιδείκνυσιν οὖν ὁ Ἱπποκράτης διὰ τοῦ προοιμίου χρήσιμον ἰατρῷ, τὸ προγινώσκειν ὑπάρχειν, εἰς τρία κεφάλαια

τὸν λόγον ἀνάγων. ἓν μὲν, ὅτι τοὺς νοσοῦντας εὐπειθεστέρους ἕξει τοῖς ἐφ' ἑαυτοῦ προσταττομένοις. δεύτερον δὲ, ὅτι προειδὼς τὰ συμβησόμενα τοῖς κάμνουσιν, ἐκ πολλοῦ πρὸς αὐτὰ παρασκευάσεται, καὶ τρίτον, ὅτι θανάτου τῶν νοσούντων αὐτὸς ἀναίτιος ὑπολειφθήσεται. βούλεται δ' οὐδὲν ἧττον ὑπάρχειν αὐτῷ τοῦτο, τὸ καὶ τῆς ὑγείας αἴτιον νομίζεσθαι. προσχὼν οὖν ἤδη ταῖς ῥήσεσιν, ἐξ ὧν ἕκαστον τῶν εἰρημένων κεφαλαίων κατασκευάζει.

Προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι, τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύμενος, πιστεύοιτ' ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πράγματα.

Τὸ πρῶτον τῶν κεφαλαίων ἐν τούτῳ τῷ λόγῳ κατασκευάζει, τολμᾶν φάσκων τοὺς ἀνθρώπους ἐπιτρέπειν ἑαυτοὺς τῷ ἰατρῷ, διὰ τὴν τῆς προρρήσεως ἐπιτυχίαν. ἕπεται γὰρ ταύτῃ, τὸ πιστεύεσθαι γινώσκειν τὸν ἰατρὸν ἀκριβῶς ἅπαντα τῶν νοσούντων τὰ πράγματα, τουτέστιν ὁποία ποτὲ τούτοις ἡ κατασκευὴ τοῦ νοσήματος ὑπάρχει, ὡς εἶναι τὸ συνεχὲς τῆς ἀποδείξεως ὧδέ πως περαινόμενον. ὁ ἰατρὸς ἐξ ὧν προλέγει, πιστεύεται γινώσκειν τὴν φύσιν τοῦ νοσήματος. ὁ πιστευόμενος γινώσκειν τὴν φύσιν τοῦ νοσήματος, εὐπειθεστέρους ἔχει τοὺς κάμνοντας. ὁ τοὺς κάμνοντας εὐπειθεστέρους ἔχων, μᾶλλον ἰᾶται τὰς νόσους. Ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύμενος. παραλείπουσιν οἱ ἀσθενοῦντες, οὐχ ἃ μηδ' ὅλως ἐπίστανται, καθάπερ ἔνιοι τῶν ἐξηγητῶν γράφουσι, τοὺς ἐν τῷ βάθει τοῦ σώματος τόπους πεπονθότας, ἢ τὰς αἰτίας τε καὶ διαθέσεις αὐτῶν. ἀλλὰ τῶν μὲν αἰτίων τὰ προκαταρκτικὰ λεγόμενα μόνα, τῶν δὲ περὶ τὸ σῶμα συμπτωμάτων τὰ φαινόμενα. τούτων μὲν οὖν ὅσα περὶ τὴν διήγησιν οἱ κάμνοντες οὐκ εἶπον, ἐὰν ἀκούσωσι παρὰ τοῦ ἰατροῦ, εὐλόγως αὐτὸν θαυμάζουσι. τίνι δὲ μεθόδῳ χρώμενοι τοῦτο πράξομεν, ἐπιδείξω τοῦ λόγου προϊόντος.

Ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφέας ωὐτοὺς τῷ ἰητρῷ. τὴν δὲ θεραπείην ἄριστ' ἂν ποιέοιτο, προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας, ἀδύνατον. τοῦτο γὰρ τοῦ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι, κρέσσον ἂν ἦν.

Τὴν δευτέραν χρείαν ἐνταῦθα διεξέρχεται τῆς προγνώσεως. ἐκ γὰρ τοῦ γινώσκειν ἀκριβῶς τὴν διάθεσιν τοῦ κάμνοντος, ἔνια μὲν κωλύσει τῶν εἰωθότων αὐτῇ παθημάτων ἀκολουθεῖν, ἐνίων δὲ κωλύσει τὸ μέγεθος. ἅπασι δὲ κοινῇ καλῶς ἀντιτάξεται προπαρασκευαζόμενος ὡς ἀγαθὸς κυβερνήτης μέλλοντος ἔσεσθαι χειμῶνος.

Ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν, οἱ μὲν πρὶν ἢ καλέσαι τὸν ἰητρὸν ὑπὸ ἰσχύος τῆς νούσου, οἱ δὲ καὶ ἐσκαλεσάμενοι, παραχρῆμα ἐτελεύτησαν, οἱ μὲν ἡμέρην μίην ζήσαντες, οἱ δὲ ὀλίγῳ πλέονα χρόνον, πρὶν ἢ τὸν ἰητρὸν τὴν τέχνην πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι. γνόντα οὖν χρὴ τῶν παθέων τῶν τοιουτέων τὰς φύσιας, ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτων. ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι, καὶ τούτου τὴν πρόνοιαν ἐκμανθάνειν. οὕτω γὰρ ἂν θαυμάζοιτό τε δικαίως, καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. καὶ γὰρ οὓς οἷόν τε περιγίνεσθαι, τούτους ἔτι μᾶλλον δύναιτ' ἂν ὀρθῶς διαφυλάσσειν, ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα, καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων, ἀναίτιος ἂν εἴη.

Ἐν τούτῳ λόγῳ τὰ προειρημένα δύο κεφάλαια τῆς περὶ τὴν πρόγνωσιν χρείας, ἔτι κατασκευάζει. τὸ δὲ τρίτον αὐτοῖς προσέθηκεν, ἀναίτιον εἶναι λέγων τὸν ἰατρὸν, ἐὰν τοὺς σωθησομένους τε καὶ τεθνηξομένους προλέγῃ. νεανίσκον γοῦν τις ἰατρὸς ἐν ἄγχος ἀρξάμενον νοτίζεσθαι συγκοπτικῶς, ἀγνοήσας εἰς βαλανεῖον εἰσήγαγεν, εἶθ' ἱδρώτων πολλῶν γενομένων, ἐγεγήθει μὲν ὡς ἐστοχασμένος ἀκριβῶς τοῦ καιροῦ. μικρὸν δὲ ὕστερον ἀποθανόντος, πρὸς τῶν οἰκείων ὡς αὐτὸς ἀποκτείνας ἐνεκαλεῖτο. ἄχρι μὲν οὖν τοῦδε, τὴν ἐξήγησιν ἐποιησάμην τοῦ προοιμίου, πλὴν τοῦ περὶ τὸ θεῖον σημαινομένου, διὰ βραχυτάτων, ὅπερ εἶδος ἐξηγήσεως λόγων, ἁρμόττει τοῖς πεπαιδευμένοις μὲν τὰ πρῶτα, ποθοῦσι δὲ ἰδεῖν τὸ χρήσιμον τοῦ βιβλίου. τοῖς δέ γε ἤτοι λέξεως ἑλληνικῆς ἀήθεσιν, ἢ καὶ τοῖς τῆς ἐν λόγοις ἀκολουθίας ἀμαθέσιν, ἢ τῶν χρησιμωτάτων μὲν ἀμελοῦσι, διατρίβουσι δὲ καὶ νῦν ἑκόντες ἐν τοῖς σοφιστικωτέροις τῶν λόγων, ἕτερος ἰδιαίτερος ἐξηγήσεως ἐστὶ τρόπος, ὁ διὰ μακροτέρων περαινόμενος, ὃν ὑπερβαίνειν ὅλον ἔξεστι, τοῖς ἰδεῖν τὸ χρήσιμον ποθοῦσιν † ὑπολείψασι τὸ μεταξὺ τοῦ βιβλίου, μέχριπερ ἂν ἐπ' ἐκείνην ἀφίκωνται τὴν ῥῆσιν, ἧς ἡ ἀρχὴ, σκέπτεσθαι δὲ ὧδε χρὴ ἐν τοῖσιν ὀξέσι νοσήμασι.

† ὑπερλέξασι

Τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν.

Οὐ περὶ τὸ κοινὸν ἔθος τῶν ἑλλήνων ὁ Ἱπποκράτης δοκεῖ κεχρῆσθαι τῷ τῆς προνοίας ὀνόματι. τὴν γάρ τοι φροντίδα καὶ τὴν ἐπιμέλειαν οὕτως ὀνομάζουσιν. ὥσπερ ἀμέλει καὶ ὁ Εὐριπίδης ἐδήλωσεν εἰπών. ἡ δὲ καὶ θνήσκουσ' ὅμως, πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν. καὶ μὲν δὴ καὶ τὸ, προνοεῖσθαι, ῥῆμα περὶ πάσας τὰς ἐγκλίσεις, ἀπείρῳ τῷ πλήθει παρὰ τοῖς ἕλλησιν ἐστὶν, ἐπὶ τοῦ φροντίζειν τινὸς, ἢ προπαρασκευάζειν ἀεὶ τὸ συμφέρον, λεγόμενον. ἀλλὰ καὶ τὸ προνοίᾳ τὸν κόσμον διοικεῖσθαι. τοῦτο δὴ τὸ πολυθρύλλητον πρόβλημα, τοιοῦτον ἐνδείκνυται σημαινόμενον. ὁ δέ γε Ἱπποκράτης οὐχ οὕτως, ἀλλά γε ἀντὶ τῆς προγνώσεως, εἶπε τὴν πρόνοιαν. ἐμοὶ δοκεῖν οὐχ ἁπλῶς, ἀλλ' ἀπό τινος κοινοῦ σημαινομένου, κατ' ἀμφοτέρας τὰς προσηγορίας. ἀπὸ γάρ τοι τοῦ νοῆσαι τὰ πράγματα πρὶν ἔσεσθαι, τὸ προνοῆσαι ῥῆμα παρ' Ὁμήρῳ, καὶ τὸ τῆς προνοίας ὄνομα γέγονε παρὰ τούτῳ. ἀπ' αὐτοῦ δὲ τούτου καὶ τὸ προγνῶναι καὶ ἡ πρόγνωσις

πρόγνωσις. ὅσα μὲν οὖν αἰσθητά εἰσι φύσει, τῷ λογισμῷ δ' αὐτὰ θηρεύομεν πρὸ τοῦ θεάσασθαι, προνοεῖν ταῦτα δεόντως ἂν εἴποιμεν, ἐνδεικνύμενοι διὰ τοῦ ῥήματος, τὸ πρὶν ἔσεσθαι νοεῖν. διὰ τοῦτο καὶ τῶν πραγμάτων, τὰ μὲν ἐξαίφνης ἀκούσια καὶ ἀπρονόητα, τὰ δὲ ἐκ τοῦ βουλεύεσθαι, μετὰ προνοίας λέγουσι πεπρᾶχθαι. τοιοῦτον γοῦν ἐστι καὶ τὸ παρὰ τῷ Σόλωνι. δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν ἀρείῳ πάγῳ, φόνου καὶ τραύματος καὶ πυρκαϊᾶς ἐκ προνοίας, καὶ φάρμακον ἐάν τις ἀποκτείνῃ δούς. καὶ μέντοι καὶ παρὰ τοῖς ῥήτορσι τοῖς παλαιοῖς παμπόλλη χρῆσίς ἐστι, τῶν τοιούτων ὀνομάτων τε καὶ ῥημάτων ἐν οἷς τὰ κατὰ πρόνοιαν ἀντιδιαιροῦνται, τοῖς ἄνευ τοῦ προβουλεύεσθαι γιγνομένοις, οἷον ἄκων εἴ τις ἐπήρωσεν, ἢ εἰ θυμωθεὶς, ἐπάταξεν, οὐ γὰρ ἐκ προνοίας γεγονέναι ταῦτα φασίν. εἰ δὲ προβουλευσάμενος ἐκ πολλοῦ, καὶ προδιασκεψάμενος ὅπως πραχθείη, τοὔργον ἐποίησεν, ἐκ προνοίας ἤδη τοῦτο πεπρᾶχθαι λέγουσι. κοινὸν οὖν τοῦτο ἤδη σημαίνεται παρὰ τοῖς Ἕλλησιν ἐκ τοῦ τῆς προνοίας ὀνόματος, ἀγαθῶν τε καὶ κακῶν ἔργον, οὐχ ὡς ἔνιοι νομίζουσιν, ἐπὶ τῶν ἀγαθῶν μόνων εἴωθε λέγεσθαι. καὶ γὰρ καὶ αὐτὸ τοῦτο τὸ πρόβλημα, πότερον τύχῃ τινὶ τὰ περὶ τὸν κόσμον διοικεῖται ἢ προνοίᾳ, κατὰ τὸ κοινὸν εἴρηται σημαινόμενον, ὡς δῆλον ἐκ τῆς πρὸς τὴν τύχην ἀντιθέσεως. ἔνιοι δ' οὐ τύχην, ἀλλὰ τὸ αὐτόματον ἀντιδιαιροῦνται τῇ προνοίᾳ, ταυτὸν σημαίνοντες ἑκατέρᾳ τῇ προσηγορίᾳ. καὶ μέντοι καὶ λέγεται πολλάκις ὑπὸ τῶν φιλοσόφων ὁ κόσμος διοικεῖσθαι τῇ τοῦ βελτίστου προνοίᾳ, προσθέντων αὐτῶν τῇ τοῦ βελτίστου, διότι τὸ τῆς προνοίας ὄνομα κοινὸν ἠπίσταντο, χείρονός τε καὶ βελτίονος. εἴπερ οὖν ἡ πρόνοια κατὰ τοῦτο τὸ κοινὸν εἴρηται, δῆλον, ὡς ἀπὸ τοῦ πρὶν ἔσεσθαι νοεῖν ὠνόμασται. τὴν αὐτὴν δὲ καὶ τὸ τῆς προγνώσεως ὄνομα γένεσιν ἔσχηκεν. ὅσα γὰρ αἰσθητὰ κατὰ τὴν ἑαυτῶν ὑπάρχοντα φύσιν, ἐκ τινῶν σημείων ἂν εὑρίσκοιμεν, εἰκότως ταῦτα προνοεῖν φαμὲν, ὡς εἰ καὶ πρὸ τοῦ θεάσασθαι νοεῖν ἔφαμεν. καί μοι δοκεῖ ἡ ἀντιθέτως λεγομένη τῇ τύχῃ πρόνοια, μὴ εἰρῆσθαι κατὰ τὸ κοινὸν σημαινόμενον. ἡ γὰρ οὕτως λεγομένη πρόνοια, τῶν ἀγαθῶν λέγεται μόνων. ἡ γὰρ τοῦ παντὸς πρόνοια, οὐκ ἔστι κακὸν ἔργον, καὶ διὰ τοῦτο τοῦ κατὰ τοὺς τρεῖς χρόνους ἡ πρόγνωσις ἐστὶν, οὐ μόνον τοῦ κατὰ τὸν μέλλοντα. μάντις δ' οὐδὲν ἧττόν ἐστι θαυμαστὸς, ὃς ὡς ὄντα τὰ γεγονότα λέγοι, μὴ θεασάμενος τῶν τὰ μέλλοντα γενήσεσθαι λεγόντων. οὕτω δὲ καὶ ὁ τὰ νῦν πραττόμενα πρὶν θεάσασθαι λέγων, οὐδὲν ἧττον ἐκείνων ἀγαθός ἐστι μάντις. τοῦτο οὖν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐνεδείξατο λέγων. προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖς νοσέουσι τά τε παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι. τῆς αὐτῆς γοῦν τέχνης ἐστὶ καὶ τὰ προγεγονότα, μὴ θεασάμενον εἰπεῖν ὡς ἐγένετο, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἔσεσθαι. τῇ χρείᾳ δ' ἀλλήλων πάμπολυ διαφέρει. τῶν μὲν γὰρ ἔσεσθαι μελλόντων, ἡ πρόγνωσις χρησιμωτάτη. τῶν δ' ἤδη γεγονότων, ἄχρηστος μὲν εἰς τὰ ἄλλα. μόνῳ δὲ τῷ δεῖξαι βουλομένῳ τὴν ἑαυτοῦ τέχνην ἰατρῷ, χρησίμη τετύχηκεν οὖσα. ταῦτα μὲν οὖν εἰ καὶ μὴ τῆς ἰατρικῆς τέχνης ἐστὶν ἴδια, τῆς γοῦν ἐξηγήσεως ἐστὶν οἰκεῖα τὰ σημαινόμενα τῶν ἐν τοῖς συγγράμμασιν ὀνομάτων ἐξαπλούσης. ἐκ περιττοῦ δ' ὡς πρὸς τὴν ἐξήγησιν, καὶ πρὸς ἄλλο τι χρήσιμα ἐστὶν, ὅσα λέγουσιν ἔνιοι τῶν ἐξηγητῶν εἰς τὸ τοῦ συγγραφέως ἦθος, ὥσπερ κἀνταῦθα τὸ μέτριον ἐπαινοῦντες ἐν τῷ φάναι, δοκέει μοι ἄριστον εἶναι. δυνατὸν γὰρ αὐτῷ φασὶν εἰρηκέναι, τὸν ἰητρὸν ἄριστόν ἐστι πρόνοιαν ἐπιτηδεύειν. ὁ δὲ κἀνταῦθα τὸ, δοκέει μοι προσέθηκε, καίτοι μέλλων ἀποδείξεις γράφειν τῆς ἀποφάσεως. ἃ δ' οἱ περὶ τὸν Ἡρόφιλον εἰρήκασι διορίζοντες τὴν πρόγνωσιν τῆς προρρήσεως, οὐ μόνον ἄχρηστά ἐστιν ἢ ἀνοίκεια τὰ σημαινόμενα, ἀλλὰ καὶ σοφιστικὰ καὶ ψευδῆ. καίτοι δοκοῦσι γε διαφορὰς πραγμάτων διδάσκειν, οὐ σημαινόμενα νομοθετεῖν. ἁμαρτάνοντες ἐν αὐτῷ τούτῳ πρῶτον, ὅτι ἀγνοοῦσι περὶ σημαινομένων ποιούμενοι τὸν λόγον, οὐ περὶ πραγμάτων φύσεως ἰατρικῇ χρησίμων. ἡ γάρ τοι γνῶσις ἡ κατὰ τὸ τῆς προγνώσεως ὄνομα περιεχομένη, λέγεται μὲν ὡς τὰ πολλὰ κατὰ τὸ βέβαιον. ἔστι δ' ὅτε μὴν εἰ καὶ λείπει τι πρὸς τὸ βεβαιότατον αὐτῇ, καὶ τὸ δ' ὡσαύτως ὀνομάζεται. διόπερ ἐνίοτε καὶ μετὰ προσθήκης λέγουσιν, οἱ διηγούμενοι τὰ κατ' αὐτήν. ἔστιν ὅτε μὲν ἀκριβῆ γνῶσιν, ἐνίοτε δὲ ἀσφαλῆ, καί ποτε βεβαίαν, ἢ καὶ διηνεκῆ προσαγορεύοντες, ἐξ αὐτῆς τῆς προσθήκης ἐνδεικνύμενοι, τὸ μὴ σημαίνεσθαι τὸ βέβαιον ἀεὶ πρὸς τὸ τῆς γνώσεως ὀνόματος. οὕτως οὖν καὶ ἡ πρόγνωσις ἐστὶ διττή. βεβαία μὲν, ὅτι μετὰ τὸν χειμῶνα γενήσεται τὸ ἔαρ, εἶθ' ἑξῆς θέρος, εἶτα φθινόπωρον. οὐ βεβαία δὲ ἐν οἷς ὁ Ἄρατος ἔγραψεν ἐπὶ τῆς σελήνης. Εἰ δέ κεν οἱ κεράων τὸ μετέωρον ἐπινεύοι. Δεῖ δέχθαι Βορέω, ὅτε δ' ὑπτία εἰσὶ νότοιο. ὡς τὸ πολὺ μὲν γὰρ οὕτως ἀποβαίνειν τετήρηται. γίνεται γε μὴν ἔσθ' ὅτε καὶ οὐχ οὕτως. οἱ δὲ περὶ τὸν Ἡρόφιλον ἡγοῦνται τὴν μὲν πρόγνωσιν τὸ βέβαιον ἔχειν, τὴν πρόρρησιν δὲ οὐκέτι. πολλὰ γὰρ τῶν προρρηθέντων, οὐ γίνεσθαι φασίν. ὥσπερ δυναμένου τινὸς προειπεῖν ἄνευ τοῦ προγνῶναι, ἢ ἄλλο τι τὸ διὰ τῆς φωνῆς ἑρμηνευόμενον, ὅ, τι μὴ τὸ κατὰ τὴν ψυχὴν γινωσκόμενον. εἰ δ' οὐ γινωσκόμενον ἐθέλοιεν ὀνομάζειν αὐτὸ, πάντως γε δοξαζόμενον ἐροῦσιν ὡς προηγήσασθαι κατὰ τὴν ψυχὴν τῶν προλεγόντων, εἰ καὶ μὴ πρόγνωσιν, ἀλλὰ προδόξασιν. οὐ μὴν ὀνομάζουσί γε προδόξασιν οἱ Ἕλληνες, ὥσπερ οὐδ' οἱ περὶ τὸν Ἡρόφιλον αὐτοὶ, καίτοι πλεῖστα βαρβαρίζοντες. ἢ νομοθετησάτωσαν οὖν λέγεσθαί τι προδόξασιν, ἕτερόν τι τῆς προγνώσεως ἅμα τῷ καὶ τοὺς ἀνθρώπους πεῖσαι παραδέξασθαι τὴν νομοθεσίαν αὐτῶν, ἢ τοῦτο πρᾶξαι μὴ δυνάμενοι, τὰ σημαινόμενα τῶν ὀνομάτων ὡς εἴθισται νοείτωσαν. εἴθισται δὲ καὶ τὴν ὡς τὸ πολὺ περὶ τῶν μελλόντων ἔσεσθαι ἐλπίδα, καὶ τὴν ἀσφαλῆ καλεῖσθαι πρόγνωσιν. ἀγαθῶν δὲ ἰατρῶν ἐστιν ἔργον, οὐ τὰ τοιαῦτα ζητεῖν, ἀλλ' ὅπως ἂν ὁ προλέγων τὰ συμβησόμενα τοῖς κάμνουσι, πλειστάκις μὲν ἐπιτυγχάνῃ, ὀλιγάκις δὲ ἀποτυγχάνῃ. φωνὴ μὲν γὰρ μία ἐστὶν ἡ ὡς ἐπὶ τὸ πολὺ, παμπόλλη δὲ τοῖς πράγμασιν ὑπάρχει διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. εἰ γοῦν τις ἐν εἴκοσι προρρήσεσιν ἅπαξ ἀποτύχῃ, τοῦ μὲν διηνεκῶς ἀφημαρτηκότος, ἀμείνων δέ ἐστι τοῦ δὶς ἀποτυχόντος, κἀκεῖνος τοῦ τρὶς. ὥσπερ γε πάλιν ἐκεῖνος τοῦ τετράκις, καίτοι γε πάντες κοινὸν ἐσχήκασιν τὸ τυχεῖν ὡς τὸ πολύ. τὰς μὲν δὴ τοιαύτας διδασκαλίας ἐξ ὧν ἄν τις ὁρμώμενος ἑτέρου μᾶλλον ἐπιτυγχάνει, προσίεσθαι δεῖ. τὰς δ' ἐν τοῖς σημαινομένοις περιεργίας, ἀποτρέπεσθαί τε καὶ φεύγειν, ἃς Πρόδικος ὁ τηλικοῦτος σοφιστὴς ἀσπαζόμενος, ἐπαχθεὶς τοῖς πεπαιδευμένοις ἐγίνετο, καὶ ἐσκώπτετο συνεχῶς ὑπὸ τοῦ παρὰ τῷ Πλάτωνι Σωκράτους, καίτοι γε τὰ ἄλλα ἐπαινούμενος. ἴσως δὲ κακῶς ἐποίησα, τὴν ἀρχὴν μνημονεύσας τῶν περὶ τὸν Ἡρόφιλον. ἄμεινον γάρ ἐστι δηλοῦν τἀληθῆ, ὅτι τάχιστα τοῖς παιδεύουσι ἐπὶ τὰ τῆς τέχνης ἔργα, καὶ μὴ κατατρίβειν αὐτοὺς

διττῶς. ἔνιοι μὲν χρόνῳ διδάσκοντα τοὺς λόγους τῶν σοφιστῶν, ἑτέρῳ δ' ἐξελέγχοντα. κάλλιον οὖν μοι δοκεῖ διὰ τῶνδε τῶν ὑπομνημάτων, αὐτὰ τὰ χρήσιμα μόνα διελθεῖν, ἐξετάσαι δὲ αὖθις ἐπὶ σχολῆς πλείονος ἐν ἑτέρᾳ πραγματείᾳ καὶ διασκέψασθαι περὶ τῶν ὑπὸ Ἡροφίλου πρὸς τὸ προγνωστικὸν Ἱπποκράτους ἀντειρημένων. ὁπόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες, ἐκδιηγούμενοι, πιστεύοιντ' ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσούντων πράγματα. ἔδει τοὺς ἐξηγεῖσθαι τὰ τῶν τοιούτων ἐπιχειροῦντας, ἔργῳ πρότερον ἐπιδειξαμένους αὐτούς, τολμᾶν οὕτω γράφειν. ἕτοιμον γὰρ ὃ βούλεταί τις γράψαι. δύσκολον δὲ δεῖξαι τοιαύτην θεωρίαν, ἐξ ἧς ἐπιτεύξεται πολλά, παρὰ τοῖς κάμνουσι λέγων, οὐ τῶν μελλόντων ἔσεσθαι μόνον, ἀλλὰ καὶ τῶν προγεγονότων, οἷς αὐτὸς οὐ παρεγένετο. καὶ τῶν νῦν ὄντων περὶ τοὺς κάμνοντας, ἃ μήτε ἤκουσε παρ' αὐτῶν μηδέπω, μήτ' οἶδεν αὐτός, ὥσπερ καὶ ἡμεῖς ἐν οἷς ἐρῶμεν, εἰκότως ἂν εἴημεν πιστοὶ τοῖς ἔργοις αὐτοῖς προαποδεδειγμένοι τὸ τῆς θεωρίας ἀληθές. ὅπως δὲ μὴ δὶς ἀναγκαζοίμην περὶ τῶν αὐτῶν γράφειν, ἔν τε τῇ τοῦ προοιμίου νῦν ἐξηγήσει, καὶ μετὰ ταῦτα ἐν τῇ τῶν κατὰ μέρος, ἄμεινον εἶναί μοι δοκεῖ φυλάττειν ἅπαντα τὰ τοιαῦτα, ταῖς μελλούσαις ἡμῖν γενήσεσθαι τῶν κατὰ τόδε τὸ βιβλίον, ἰατρικῶν ῥήσεων ἐξηγήσεσι. καὶ μάλισθ' ὅτι μηδ' ἐποιήσατό τις αὐτὸ τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἀναγκαιότατον ὑπάρχον. ὃ γὰρ ἀξιοῖ τὸν ἰατρὸν ἀσκεῖν ὁ Ἱπποκράτης, ὅλον ἐστὶ τοῦτο τοῖς παραλέλοιπε, μὴ δείξας ὅπως ἐχρῆν τῶν προγεγονότων ἢ παρόντων μέν, οὐκ ἐγνωσμένων δὲ δι' αἰσθήσεως ἡμῖν, τὴν πρόγνωσιν ποιεῖσθαι. ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τοῖς νόσοισι, καὶ τούτου τὴν πρόνοιαν ἐκμανθάνειν, τί ποτ' ἐστὶ τὸ θεῖον, ὃ κελεύει ποιεῖσθαι τὴν πρόγνωσιν, διαπεφώνηται τοῖς ἐξηγουμένοις τὸ βιβλίον. ἔνιοι μὲν γὰρ οἴονται, διὰ θεῶν τινὰ ὀργὴν γίγνεσθαι τοῖς ἀνθρώποις νοσήματα, καὶ λέγουσί γε μαρτυρίαν τῆς δόξης ταύτης, παρὰ τῶν γραψάντων τὰς καλουμένας ἱστορίας ἀνδρῶν λόγων, μηκέτ' ἐπιδεικνύντες, εἰ τῆς δόξης ταύτης μετεῖχεν ὁ Ἱπποκράτης, ὅπερ ἦν ἔργον ἀγαθῶν ἐξηγητῶν. οὐ γὰρ ἁπλῶς πρόκειται λέγειν ἐν ταῖς ἐξηγήσεσιν, ὅτι περ ἂν ἡμῖν ἀληθὲς εἶναι δοκῇ, ἀλλὰ τὸ κατὰ τὴν τοῦ συγγραφέως γνώμην, κἂν ψευδὲς ᾖ. φαίνεται γοῦν ὁ Ἱπποκράτης, οὐδὲ καθ' ἓν τῶν ἑαυτοῦ συγγραμμάτων, εἰς θεούς ποτε ἀναφέρων αἰτίαν νοσήματος, ὥστε καὶ τοὺς βλητοὺς καλουμένους, οὓς ἀπό τινος ὁρμηθέντες οὕτως ὠνόμασαν οἱ παλαιοί, διῆλθεν ἐν τῷ περὶ διαίτης ὀξέων. τοῦτο μὲν οὖν τὸ σύγγραμμα τῶν ὁμολογουμένων γνησίων ἐστίν. ἐν δὲ τῷ περὶ ἱερῆς νόσου, καὶ πλείω γέγραπται πρὸς ἔλεγχον τῶν οἰομένων ὑπὸ θεῶν γίνεσθαι τὰ νοσήματα. μήτ' οὖν οἰόμεθα τὴν ἐπιληψίαν θεῖον εἶναι νόσημα, μηδὲ τὸν ἔρωτα. καὶ γὰρ καὶ τοῦτον τινὲς ὑπολαμβάνοντες, ἀληθῆ μὲν ἔγραψαν ἱστορίαν ὡς Ἐρασίστρατος ἐφώρασε δι' ἔρωτα τὸν τοῦ βασιλέως ἀρρωστοῦντα υἱόν. θεῖον δ' οὐκ ἐδίδαξαν, οὔθ' ὑπὸ Ἐρασιστράτου καλούμενον, οὔθ' ὑπὸ Ἱπποκράτους, οὔθ' ὑπ' ἄλλου τινὸς ἰατροῦ τὸν ἔρωτα. τοὺς δ' ἤτοι καταλεπτυνομένους, ἢ ἀχροοῦντας, ἢ ἀγρυπνοῦντας, ἢ καὶ πυρέξαντας ἐπὶ προφάσεσιν ἐρωτικαῖς, ἐν ἐκείνῳ τοῦ λόγου τῷ κεφαλαίῳ περιλαμβάνουσιν οἱ παλαιοί, καθὸ περὶ τῶν προκαταρχόντων αἰτίων διεξέρχεται. πλειόνων γὰρ ὄντων ἐν τούτοις γενῶν, ἓν ἐξ αὐτῶν ἐστὶ καὶ ἡ λύπη. λυποῦνται δέ, οἱ μὲν ἀποθανόντων τέκνων, ἢ οἰκείων, ἢ συγγενῶν, ἢ φίλων. οἱ δὲ προσδοκῶντες ἑαυτοὺς ἢ μόνους παθεῖν, ἢ καὶ τὴν πατρίδα πᾶσαν ἀνάστατον ἔσεσθαι. λυποῦνται δὲ καὶ οἱ φιλοχρήματοι, χρημάτων στερούμενοι, καὶ οἱ φιλότιμοι τιμῆς, καὶ τῶν ἄλλων ὡς ἕκαστος. ἐκ τούτων οὖν εἰσὶ καὶ οἱ δι' ἔρωτα λυπούμενοι, θεῖον οὐδὲν πεπονθότες, ἀλλ' ἀνθρώπινον πάθος, εἰ μὴ ἄρα τις οὕτως πείθεται τοῖς μυθολογουμένοις, ὡς νομίζειν ὑπὸ δαίμονός τινος μικροῦ καὶ νεογενοῦς λαμπάδας ἔχοντος καιομένας, εἰς τοῦτο ἄγεσθαι τὸ πάθος ἐνίους τῶν ἀνθρώπων. ὁ δὲ τὸ τῶν κρισίμων γένος ἡμερῶν εἰπὼν εἶναι θεῖον, ἑαυτοῦ τι πάθος ὡμολόγησεν. οὐ μὴν Ἱπποκράτους γε τὴν γνώμην ἔδειξεν, ὅτι γὰρ ἁπλῶς ὅσα ἀγνώστους, ἢ παραλόγους ἔχει τὰς αἰτίας, θεῖα προσαγορεύομεν. ἀλλ' εἴπερ ἄρα θαυμαστὰ μόνον, οὐδ' Ἱπποκράτης ἠγνόει τὰς αἰτίας τῶν κρινουσῶν ἡμερῶν, ὡς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ὑφ' ἡμῶν ἐπιδέδεικται. ὅπερ οὖν εἶπον ἔμπροσθεν ὡς οὐ χρὴ μνημονεύειν ἐν τοῖσδε τοῖς ὑπομνήμασι τῶν μοχθηρῶς εἰρημένων ἁπάντων, ἀλλ' ὅσα πιθανοῦ τινὸς ἔχεται, διὸ καὶ τὰ κακῶς ὑπὸ Ἡροφίλου γεγραμμένα πρὸς τὰς Ἱπποκράτους προγνώσεις, ἀνεβαλλόμην ἐπισκέψασθαι, τοῦτο καὶ νῦν καὶ καθ' ὅλον τὸν ἐφεξῆς λόγον, αὐτός τε ποιήσω καὶ τοὺς ἐντυγχάνοντας ἀξιώσω πράττειν, ὡς μὴ μέμφεσθαί μοι παραλιπόντι πολλὰ τῶν τοῖς ἐξηγηταῖς εἰρημένων μοχθηρῶς. εἰ δ' ἐπιμελῶς ἀναγνώσονται τὰ πρὸς ἡμῶν εἰρημένα, δυνήσονται καὶ καθ' ἑαυτοὺς ἐκεῖνα δοκιμάζειν. ἐάσαντες οὖν ἤδη τοὺς ληρήσαντας ὑπὲρ τοῦ θείου, πειραθῶμεν αὐτοὶ κατὰ τὴν Ἱπποκράτους γνώμην εὑρεῖν τὸ λεγόμενον. ὅτι μὲν οὖν ἕν τι τῶν κατὰ τὴν ἰατρικὴν τέχνην εἶναι χρὴ τὸ θεῖον τοῦτο, καὶ μὴ μόνον ἐπαινεῖσθαι τὴν γνῶσιν αὐτοῦ πρὸς Ἱπποκράτους, ἀλλὰ καὶ δεδεῖχθαι, πρόδηλον παντί. ληρώδης γὰρ ἂν εἴη συγγραφεὺς ἐπαινῶν πράγματος γνῶσιν, ὃ μηδ' ὅλως ἐδίδαξεν, ὥστε τῶν ὑφ' Ἱπποκράτους γεγραμμένων ἕν τι καὶ τὴν τοῦ θείου πρόγνωσιν εἶναι χρή. δυνάμεθα οὖν ἤδη θαρροῦντες οὐκ ἄλλο τι τοῦτ' εἶναι παρὰ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κατάστασιν, ὑπὲρ ἧς ἐν ἀφορισμοῖς οὕτως ἔγραψεν.

» ἢν μὲν ὁ χειμὼν αὐχμηρός τε καὶ βόρειος γένηται, τὸ δ' ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος τοὺς πυρετοὺς ὀξέας
» καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξί, καὶ τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας.

ταῦτα καὶ τὰ τούτοις ἐφεξῆς γεγραμμένα, προγνώσεις εἰσὶ τῶν ἐκ τῆς τοῦ περιέχοντος αἰτίας ἐν ἡμῖν γινομένων, ὑπὲρ ὧν ἐν μὲν τοῖς ἀφορισμοῖς ἐν κεφαλαίοις βραχέσιν ἐδίδαξεν. ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ἐπὶ πλεῖστον διῆλθεν, ἐν μέντοι τῷ προγνωστικῷ τῷδε παρέλιπε, καίτοι ταύτης τῆς θεωρίας ὄντα. βέλτιον οὖν ἦν ἐζητηκέναι τὴν αἰτίαν τοῦ παραλιπεῖν τὸ περὶ θείου λέγειν, ἢ ψευδῶς ἐξηγεῖσθαι. δοκεῖ δέ μοι διὰ μέγεθος τῆς πραγματείας μὴ προσθεῖναι τῷδε τῷ βιβλίῳ τὴν περὶ τῶν ἐπιδημίων νοσημάτων διδασκαλίαν. συντελέσας οὖν αὐτό, κατὰ τὴν τελευτὴν ἔγραψε ταυτί,
» χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ τῶν ἐπιδημεόντων ταχέως ἐνθυμέεσθαι, καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασιν.
ὅτι μὲν οὖν χρὴ γινώσκειν τὸν ἰατρὸν εἴπερ τι καὶ ἄλλο τῶν εἰς τὰς προγνώσεις διαφερόντων, οὕτως καὶ τὸ περὶ τῆς τῶν ἐπιδημίων νοσημάτων γενέσεως ἐδήλωσεν. ἰδίαν δ' αὐτοῖς ἀνέθηκε διδασκαλίαν. ἐν ἀφορισμοῖς μὲν ὡς εἴρηται, διὰ βραχέων κεφαλαίων διδάξας. ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν ἐπὶ πλέον ἐξεργασάμενος, ὅθεν εἰκότως ἔνιοι τῶν ἐξηγητῶν, ἐφεξῆς τῷδε τῷ βιβλίῳ τὰ τῶν ἐπιδημιῶν ἐξηγήσαντο, καὶ ἡμεῖς οὕτω ποιήσομεν.

Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσι ὀξέσι νοσήμασι. πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ

τος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων. μάλιστα δὲ εἰ αὐτῷ ἑωυτῷ, οὕτω γὰρ ἂν εἴη ἄριστον. τὸ δὲ ἐναντιώτατον τοῦ ὁμοίου δεινότατον.

Ὅτι μὲν οὖν ὁ λόγος αὐτῷ περὶ τῶν ὀξέων νοσημάτων ἐν τούτῳ τῷ βιβλίῳ γεγένηται, σαφῶς ἐδήλωσεν. ἄρχεται δὲ τῆς διδασκαλίας ἀπὸ τῶν κατὰ τὸ πρόσωπον σημείων, ὡς ἂν πρώτων τε φαινομένων καὶ μεγάλην ἐχόντων δύναμιν. ὅτι μὲν οὖν πρῶτα φαίνεται ταῦτα, πρόδηλον παντί. ὅτι δὲ καὶ μεγάλην ἔχει δύναμιν εἰς πρόγνωσιν, ἐφεξῆς μαθήσῃ. πρῶτον δ' ἀναμνησθῆναί μοι τοῦ κοινοῦ τῆς τέχνης ὅλης αὐτοῦ προοιμίου, γραφέντος ἐν τῷ κατ' ἰητρεῖον, ἢ ὅμοια, ἢ ἀνόμοια ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων, εἶτα ἀπὸ τῶν ῥηΐστων. οὐ γὰρ ἡ πρόγνωσις μόνον, ἀλλὰ καὶ ἡ τῶν ποιητέων ἐν διδάξεις ἀπὸ τούτων ἄρχεται. περὶ οὖν τῶν ποιητέων ἐν τοῖς τῆς θεραπευτικῆς εἴρηται μεθόδου γράμμασι. περὶ δὲ τῶν προγνώσεων ἐνταυθοῖ σκόπει, πάλιν ἀναμνησθεὶς ὡς οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα, καὶ τὰ νῦν ὄντα κατὰ τὸ σῶμα διά τινων σημείων εὑρίσκειν, ἐκ τοῦ προγνωστικοῦ μέρους τῆς τέχνης ἐστίν. ἀλλὰ τήν γε τῶν ἐνεστώτων γνῶσιν, ἰδίᾳ προσηγορίᾳ καλεῖν εἰθίσμεθα διάγνωσιν. ἐπισκέπτεσθαι δὲ κελεύει τὸ πρόσωπον τοῦ νοσέοντος ἐξ ἀρχῆς, εἰ ὅμοιον, ἢ ἀνόμοιόν ἐστι τῷ τῶν ὑγιαινόντων, ἔτι δὲ μᾶλλον εἰ αὐτὸ ἑωυτῷ. καὶ γὰρ καὶ τοῦτο τὸ σημεῖον, τῶν Ἱπποκράτους δογμάτων ἐστίν, ὡς μὴ μόνον ἀπὸ τῆς κοινῆς φύσεως ἁπάντων, ἀλλὰ καὶ τῆς ἰδίας ἑκάστου σκέπτεσθαι πάντα κατὰ τὴν τέχνην. καὶ γὰρ ὁπότε παραβάλλειν ἠξίου τὰ πεπονθότα μόρια τοῖς ὑγιαίνουσι, συνεβούλευε μὴ τὰ ἀλλότρια καθορᾶν, ἀλλὰ τοῦ πεπονθότος αὐτοῦ. ἄριστον μὲν οὖν ἐστι πρόσωπον ἀνθρώπου κάμνοντος, ὅταν ὁμοιότατον ἑαυτῷ διαμένῃ. χαλεπώτατον δὲ, ὅταν ἐναντιώτατον γένηται. τὰ δὲ ἐν τῷ μεταξὺ τοῦ ἀρίστου τε καὶ χειρίστου οἷα, σὸν ἔργον ἤδη σκοπεῖσθαι, τῶν ἄκρων ἀφωρισμένων. τὰ μὲν γὰρ καὶ ἐγγυτέρω τοῦ ἀρίστου, βελτίω, τὰ δ' ἐγγυτέρω τοῦ χείρίστου, χείρω. μέσα δ' ἀμφοῖν ἐστι τὰ μηδ' ἑτέρου πλέον ἀφιστάμενα. τὸ μὲν οὖν ἄριστον πρόσωπον ἐν κεφαλαίῳ περιλαβὼν, ἐδήλωσε. τὸ γὰρ ὁμοιότατον τῷ κατὰ φύσιν, ἄριστον. τὸ δ' ἐναντιώτατον, ὡς ἂν οὐδὲ συντροφον ἡμῖν ὑπάρχον. τοῦ δὲ προγινωσκομένου, αὐτὸς ἐκ τῶν κατὰ μέρος ἐδίδαξε γνωρισμάτων, ὧν ἑκάστου ἰδίᾳ προχειριοῦμαι διὰ τῶν ἐφεξῆς γεγραμμένων.

Εἴη δ' ἂν τὸ τοιόνδε, ῥὶς ὀξεῖα.

Τῶν κακῶν σημείων ἕν τι τοῦτο πρῶτον ἔγραψε, τὴν ὀξεῖαν ῥῖνα. χρὴ δ' ὡς πρὸς τὴν κατὰ φύσιν ἑκάστου παραβάλλοντα καθότι προείρηται, σκοπεῖσθαι. τοῦ τε γὰρ σιμοῦ φύσει, φανεῖται πάντως ἡ ῥὶς ἑαυτῆς ὀξυτέρα, καθάπερ καὶ τοῦ γρυποῦ, καὶ δηλονότι καὶ τοῦ τὴν εὐθεῖαν ἔχοντος. ἀλλὰ χρή σε μεμνημένον εἰς ὅσον ἀποκεχώρηκε τῆς κατὰ φύσιν ἰδέας, εἰς τοσοῦτο μοχθηρὰν αὐτὴν εἶναι νομίζειν. ὀξυνομένη δὲ ἡ ῥὶς, ἐναργῶς ὁρᾶται καὶ τοῖς ἐν χρονίῳ νόσῳ καταλεπτυνθεῖσι, καὶ τοῖς ὑπὸ καμάτου ταλαιπωρημένοις, ἢ ὁπωσοῦν ἐκλυομένοις, ἢ λειποψυχοῦσι, καὶ δὴ καὶ τοῖς τεθνεῶσιν ἅπασιν, ὡς εἰκότως ἄν τις ἐπιλογίσαιτο τῷ κοινῷ πάντων ἀνθρώπων χρώμενος λόγῳ, μοχθηρὸν εἶναι τὸ σημεῖον ἐν κακῇ διαθέσει γινόμενον. ἥτις δέ ἐστιν ἡ διάθεσις αὕτη καθ' ἣν ἡ ῥὶς ὀξύνεται, δογματικῆς ἤδη θεωρίας ἔργον, ἀναλογισμῷ μόνῳ φωραθῆναι δυναμένης. ἀλλὰ πρότερον ἐπιλογιστικῶς τῶν εἰρημένων σημείων σκεψώμεθα ὑπὲρ ἑκάστου. πολὺ γὰρ ἄμεινόν ἐστι διὰ συμφωνουμένου, καὶ κοινοῦ πάντων ἀνθρώπων λόγου, ποιήσασθαι τὴν πρώτην διδασκαλίαν, ἤπερ εὐθέως ἐπὶ τὸν ἀναλογισμὸν ἔρχεσθαι.

Ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρόν τε καὶ περιτεταμένον καὶ καρφαλέον ἐόν, καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε ἢ καὶ μέλαν ἐὸν, καὶ πελιὸν, ἢ μολυβδῶδες.

Καὶ ταῦτα πάντα τὰ σημεῖα περὶ τὸ πρόσωπον γίνεται, κατά τε τὰς χρονίας νόσους καὶ τοὺς καμάτους, καὶ τὰς λειποψυχίας, καὶ πολὺ μᾶλλον ἔτι κατὰ τοὺς θανάτους. εὐεπιλόγιστον οὖν ἐστι τὰ ἀνόμοια τοῖς κατὰ φύσιν, κακοῦ τινος εἶναι δηλωτικὰ, κειμένου γε τοῦ κατ' ἀρχὰς εὐθέως ὁμολογουμένου, ὡς τὰ μὲν ἐναντιώτατα τοῖς κατὰ φύσιν ὀλέθρια, τὰ δὲ ὅμοια σωτήρια ἐστὶ σημεῖα. ταῦτα μὲν οὖν ἐπιλογιστικῶς ἡμῖν ὑπὲρ αὐτῶν εἰρήσθω. σκεψώμεθα δ' ἀκριβῶς ὑπὲρ ὅλης αὐτῶν τῆς φύσεως. γίνονται τοίνυν αἱ τοιαῦται διαθέσεις, ἤτοι διά τινα αἰτίαν συντηκουσάν τε καὶ διαφθείρουσαν τὰ σαρκώδη μόρια τῶν ζώων, ἢ δι' ἀρρωστίαν τῆς ἐμφύτου θερμασίας, μηκέτ' ἀποτείνεσθαι δυναμένης αὐτῆς ἐπὶ τὰ πέρατα τοῦ σώματος, ἀλλ' ἐν τοῖς σπλάγχνοις μόνοις ὀλίγης διασωζομένης. ἀκολουθεῖ δὲ τούτῳ δηλονότι καὶ τὸ μήθ' αἵματος ἔτι, μήτε πνεύματος ἐπιρρεῖν τοῖς ἄκροις τοῦ σώματος, ὅσον ἔμπροσθεν ἐπέρρει κατὰ φύσιν ἐχόντων. διὰ τοῦτ' οὖν ἐν τῷ προσώπῳ φαίνεται μεγίστη σαφῶς ἡ τοῦ κατὰ φύσιν ἐξαλλαγή. παρακειμένων γὰρ ἀλλήλοις τῶν τε ὀστείνων μορίων, καὶ τῶν ὑγροτέρων τε καὶ σαρκωδῶν, εἶτα τῶν μὲν ὀστείνων διὰ τὸ γεῶδες τῆς οὐσίας ὁμοίων διαμενόντων, τῶν δὲ ὑγροτέρων καὶ σαρκωδῶν, συντήκεσθαί τε ῥᾳδίως δυναμένων καὶ πίπτειν εἰς ἑαυτὰ, διά τε τὴν ἔνδειαν τοῦ πνεύματος καὶ τοῦ αἵματος, εὐφορωτάτη ἡ διάθεσις γίνεται. τῆς μὲν γὰρ ῥινὸς κατὰ τὰ καλούμενα πτερύγια μόνα σαρκοειδής ἐστιν ἡ οὐσία, τὸ δ' ἄλλο πᾶν ὀστῶδες. εἰκότως οὖν ὅταν ἤτοι τετηκὸς ᾖ τὸ σαρκῶδες, ἢ κενωθὲν συνιζήσῃ, τὸ πέρας αὐτῆς φαίνεται λεπτὸν, οὕτω δὲ καὶ ψυχθῇ σφοδρῶς, ὃ δὴ τοῖς ἀποθνήσκουσιν ἤδη συμβαίνει. πιλουμένης γὰρ ἐν τῇ ψύξει τῆς οὐσίας τῶν σαρκωδῶν μορίων, ἰσχνὴ κατ' ἄκρας ἑαυτῆς εἰκότως γίνεται, καὶ μὴν οὐκ ἄλλην τινὰ ὀξεῖαν ὀνομάζομεν ῥῖνα, πλὴν τῆς κατὰ τὸ πέρας ἰσχνῆς. οὕτως μὲν οὖν ἡ ῥὶς ὀξεῖα φαίνεται, κοῖλοι δὲ ὀφθαλμοὶ, διὰ τὰς αὐτὰς αἰτίας. ἀλλ' ὅσῳ τῆς ἄκρας ῥινός εἰσιν ὑγρότεροί τε καὶ μαλακώτεροι, τοσούτῳ θᾶττον κοιλαίνονται. ἀλλὰ καὶ πνεύματος ψυχικοῦ παμπόλλου μετέχουσι, καὶ θερμασίας οὐκ ὀλίγης, ὧν ἀπολειπόντων αὐτοὺς, εἰκότως συστέλλονται. τοῦτο δέ ἐστιν ὀφθαλμῶν κοιλότης. οὕτω δὲ καὶ οἱ κρόταφοι συμπίπτουσιν, ὅτι μόνοι τῆς ἄλλης κεφαλῆς ἔχουσι μῦς, οὓς ὀνομάζουσι κροτα-

φῖτας. ἡ δ' ἄλλη πᾶσα κεφαλὴ, παντάπασιν ἄσαρκος ἐστίν. ὦτα δὲ ψυχρὰ καὶ συνεσταλμένα, διότι χονδρώδη, καὶ ἄσαρκα, καὶ ὀλίγαιμα ἐστί. τάχιστα οὖν καταψύχεται παρεσκευασμένα πρὸς τὸ πάθος ὑπὸ τῆς οἰκείας φύσεως. διὰ τίνα δὲ αἰτίαν ἀπεστρέφεσθαι συμβαίνει τοὺς λοβοὺς αὐτῶν; ἢ, ὅτι μαλακωτέραν ἔχουσι τὴν οὐσίαν, οὐχ ὥσπερ τὸ ἄλλο σύμπαν, ὅπερ ἀκριβῶς λεπτὸς χόνδρος ἐστὶ, λεπτῷ δέρματι σκεπόμενος, ὥσθ' ὑπὸ τῶν εἰρημένων ἔμπροσθεν αἰτίων οἱ λοβοὶ λεπτύνονταί τε καὶ συστρέφονται, καὶ ξηραίνονται, καὶ πήγνυνται. ταῦτα δὲ πάσχοντα, ὀπίσω τείνονται μᾶλλον ἐπὶ τὰς ἀρχὰς τῶν τὴν αἴσθησιν αὐτοῖς παρεχόντων νεύρων. τὸ μὲν γὰρ σπᾶσθαι, τοῖς ἱμαντώδεσιν ἅπασι ξηραινομένοις κοινόν. ἴδιον δ' ἑκάστῳ τῶν ἐν τῷ σώματι μορίων, ἐπ' ἐκεῖνο τὸ μέρος διαστρέφεσθαί τε καὶ περισπᾶσθαι μᾶλλον, ἔνθα τῶν ἐμφυομένων αὐτῷ νεύρων ἐστὶν ἡ ἀρχή. θεάσασθαι γοῦν ἐστιν ἐναργῶς τοῦτο καὶ κατὰ τοὺς δακτύλους. ἐὰν μὲν ὁ ἔνδον τένων ὑπό τινος αἰτίου παθῇ, καμπτομένους τοὺς δακτύλους σαφῶς ἐστιν ἰδεῖν, ἐὰν δὲ ὁ ἔξωθεν, ἐκτεινομένους. διὰ δὲ τὴν δὴ αὐτὴν ξηρότητά τε καὶ πῆξιν, ὅλον τὸ δέρμα τὸ περὶ τὸ πρόσωπον πᾶν σκληρόν τε φαίνεται καὶ περιτεταμένον, ἐναργέστερον δὲ ὁρᾶται τὸ πάθος αὐτοῦ κατὰ τὸ μέτωπον. ὅτι σαρκώδης οὐσία λεπτὴ κατὰ τοῦτο τὸ μέρος ὑποβέβληται τῷ δέρματι. πάσχει δὲ ὑπὸ τῶν εἰρημένων αἰτίων, ἡ σαρκώδης μᾶλλον φύσις τοῦ δέρματος. ἡ δὲ περὶ χροίας μεταβολὴ μοχθηροτάτη μέν ἐστιν, ἡ ἐπὶ τὸ μέλαν, ὡς ἂν ἀποψυχομένου τοῦ αἵματος, ὥσπερ ὅταν ἐκτὸς ἐκχυθὲν θρομβωθῇ. μετριωτέρα δὲ ἡ ἐπὶ τὸ χλωρόν. εἰώθασι δὲ οὕτως ὀνομάζειν οἱ παλαιοὶ, ποτὲ μὲν τὸ ὠχρὸν, ἐνίοτε δὲ ὡς οἱ πολλοὶ κράμβας τε καὶ θριδακίνας καλοῦσι χλωρὰς, ὅπερ χρῶμα μελάντερον ἐστὶν ἐρυθροῦ, καὶ οἷον ἀρχή τις τοῦ μελαίνεσθαί τε καὶ πελιδνοῦσθαι, ψύξεως ἐργαζομένης αὐτὸ, καθάπερ καὶ τὸ μέλαν, ὥστ' εἰκότως καὶ τὸ πρόσωπον ἐν ᾧ ταῦτ' ἐστὶ τὰ προειρημένα, προσαγορεύεται νεκρῶδες. καὶ τοῦτο ἐν μὲν τοῖς κεχρονισμένοις νοσήμασι πολλάκις ὁρᾶται γιγνόμενον, ὀλιγάκις δ' ἐν ἀρχῇ. διὸ καὶ κινδυνωδέστατόν ἐστιν, ὡς ἂν μηδὲ τὴν ἐκ τοῦ χρόνου πρόφασιν ἔχον. ἐπὶ μακρῷ μὲν γὰρ χρόνῳ συντακῆναί τε τὸ σῶμα, καὶ ψύχεσθαι ἀκρωτηρίων τινὰ, θαυμαστὸν οὐδέν. ἐν ἀρχῇ δὲ καὶ μάλιστ' ἐν ὀξεῖ νοσήματι, πάντως ὀλέθριον, εἰ μὴ διά τινα αἰτίαν ἑτέραν ἢ τοῦτο γεγονὸς, ὁποῖαι δ' εἰσὶν αἱ τοῦτο ποιεῖν δυνάμεναι, κατὰ τὴν ἑξῆς ῥῆσιν αὐτὸς ἐδίδαξε. νυνὶ δὲ ὃ χρὴ προσθεῖναί με, παραλελεῖφθαι δοκοῦν ὑπ' αὐτοῦ, πρότερον ἄκουσον. ὥσπερ γὰρ ἐν τοῖς χρονίοις νοσήμασι τοιοῦτον γίνεσθαι πρόσωπον οὐκ ἂν εἴη μεγάλως ὀλέθριον, οὕτως οὐδ' ἐν ψυχρῷ χωρίῳ, καὶ χειμῶνι, καὶ καταστάσει ψυχρᾷ καὶ γεροντικῇ καθάπερ ἐμάθομεν ἐν ἀφορισμοῖς, ὡς ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν οἷσιν ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων ᾖ.

Ἢν δὲ οὖν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μήπω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι ξυντεκμαίρεσθαι, ἐπανέρεσθαι χρὴ, μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος, ἢ τὰ περὶ κοιλίης ἐξυγρασμένα ᾖ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχει αὐτόν. καὶ ἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον νομίζειν δεινὸν εἶναι. κρίνεται δὲ τὰ τοιαῦτα ἐν ἡμέρᾳ τε καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ. ἢν δὲ μηδὲν τουτέων φησὶν εἶναι, μηδ' ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ τοῦτο τὸ σημεῖον θανατῶδες ἐόν.

Ὀλέθριον μὲν οὖν ἐσχάτως ἐστὶ καὶ ἀνίατον νόσημα, καθ' ὃ νεκρῶδες εὐθὺς ἐν ἀρχῇ τὸ πρόσωπον ἐγένετο χωρὶς τῆς ἔξωθεν αἰτίας. τούτου δ' ἧττον ἐστὶ κινδυνῶδες, εἰ διά τινα αἰτίαν προφανῆ, καθάπερ εἰ τύχοι διὰ σφοδρὰν ἀγρυπνίαν, ἢ ἔνδειαν τροφῆς, ἢ ῥεῦμα γαστρός. ἄμεινον μὲν γὰρ, μηδ' ὑπὸ τῶν τοιούτων αἰτίων, ἐσχάτως καταλύεσθαι τὴν δύναμιν ἐν ἀρχῇ τοῦ νοσήματος. ἧττον δὲ ἐστὶ κινδυνῶδες, εἰ διὰ ταῦτα τούτων εἴη γεγονὸς, ἀλλ' οὐ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν. ἥτις δέ ἐστιν ἡ διάθεσις τοῦ σώματος, ἐν ᾗ τοιοῦτον ἀποτελεῖται, τὸ πρόσωπον εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις, ἤδη σοι φράσω σαφῶς διὰ βραχέων. ὁπόταν ἀῤῥωστία τῆς καθεκτικῆς τοῦ ζώου δυνάμεως εἰς ταὐτὸν ἀφίκηται λεπτότητι χυμῶν ἅμα θερμῷ πυρετῷ, διὰ μὲν τὴν ἀῤῥωστίαν ἀποκρίνεταί τι συνεχῶς, ἀόρατον ὑπὸ σμικρότητος, ἔξω τοῦ δέρματος ὡσανεὶ λεπτομερῶν ἀποῤῥεόντων χυμῶν. ὁ δὲ πυρετὸς ἔτι δὴ καὶ μᾶλλον ἐκδαπανᾷ μὲν τοὺς λεπτοτάτους χυμοὺς. ἀπολεπτύνει δὲ τοὺς ἧττον τοιούτους, ὡς μὴ διαλείπειν τὴν κένωσιν, ἀλλ' ἐοικέναι συνεχέσιν ἐμέτοις, ἢ διαῤῥοίαις γαστρὸς, ἢ τῇ δι' οὔρων ἀμέτρῳ κενώσει. πλὴν ἐκεῖναι μὲν αἱ κενώσεις αἰσθηταὶ, καὶ ταύτῃ διαφέρουσιν. ἣν δὲ νῦν ἐγὼ διηγησάμην, διὰ λεπτότητα τῶν κενουμένων ἀόρατος ἐστίν. οὔκουν οὐδὲ συνίσταταί ποτε τὸ τοιοῦτον πρόσωπον ἐπὶ φλεγματώδει νοσήματι. καθάπερ οὐδ' ἐπὶ πληθωρικῷ, διὰ πλεονεξίαν αἵματος, ἀλλ' ἐνδεᾶ τε μᾶλλον ὧν δεῖ κατὰ τὸ σῶμα, καὶ κόπους τινὰς προηγεῖσθαι, καὶ φροντίδας. ἐπὶ τοιούτῳ γὰρ ἀθροίζεται χυμὸς πικρόχολος. εἰ δὲ καὶ τὸ χωρίον εἴη θερμὸν, καὶ ἡ ὥρα τοῦ ἔτους θερινὴ, καὶ ἡ κατάστασις θερμὴ καὶ ξηρὰ, τότε δὴ καὶ μᾶλλον ἕτοιμον ἁλῶναι τοιαύτῃ διαθέσει, καὶ πολὺ μᾶλλον, εἰ χολωδέστερος ὁ ἄνθρωπος εἴη φύσει, καὶ μανὴ καὶ ῥᾳδίως ἔνιοι διαφοροῦνταί τε καὶ διαπνέονται, καὶ οἱ τὸ στόμα τῆς γαστρὸς ἔχοντες ἀσθενές. ἅπερ εἰ καὶ αὐτὰ συνέλθοι τοῖς προειρημένοις, ἑτοιμότατον ἁλῶναι τὸ τοιοῦτον σῶμα τῇ τὸ νεκρῶδες πρόσωπον ἐργαζομένῃ διαθέσει. τοῦτ' οὖν γινώσκων τὶς, οὐκ εἰς πρόγνωσιν μόνον, ἀλλὰ καὶ εἰς θεραπείας εὕρεσιν ὁδηγηθήσεται, σκοπὸν ἔχων στηρίζειν τὴν δύναμιν εὐστομάχοις τροφαῖς. ἀλλὰ τοῦτο μὲν ὡς ὁδοῦ τι πάρεργον οὐ σμικρὸν εἰρήσθω. περὶ δὲ τῶν ἔξωθεν αἰτίων ἐπισκεπτέον ἀκριβέστερον. ἔστι δὲ ὧν μὲν αὐτὸς ὀνομαστὶ ἐμνημόνευσε, λιμὸς, ἀγρυπνία, καὶ διάῤῥοια. προσθεῖναι δ' ἔξεστί σοι, καὶ τὰ τούτοις ὅμοια, κένωσιν ἄμετρον αἵματος ἐκ ῥινῶν, ἢ μήτρας, ἢ αἱμοῤῥοΐδος, ἢ τραύματος, ἢ ὁπωσοῦν ἑτέρως, ἔτι τε λύπην σφοδρὰν, ἐφ' αἷς τισιν αἰτίαις συστῇ. τάχα δ' εὔλογον ταύτην ὑπολαμβάνειν εἰρῆσθαι δυνάμει πρὸς Ἱπποκράτους, ἐν τῷ τῆς ἀγρυπνίας λόγῳ. γίνεται μὲν γὰρ καὶ δι' ἄλλας αἰτίας ἀγρυπνία. γίνεται μὲν δὴ καὶ διὰ λύπην, ὡς ἐπὶ πλέον ἥκειν λύπης ἀγρυπνίαν, καὶ διὰ τοῦτο περιέχειν αὐτὴν εἰκότως λεχθήσεται. οὕτω δὲ καὶ ἡ γαστὴρ ἰσχυρῶς ὑπελθοῦσα, παράδειγμά σοι πάσης ἀμέτρου κενώσεως ἔστω. τῷ γε μὴν ἐπιμελῶς τοῖς

ἔργοις

ἔργοις τῆς τέχνης ὡμιληκότι, καὶ τρίβωνι τῆς ἑκάστου τῶν πραγμάτων ἰδέας, ἐμφαίνεται πολλάκις ἡ ποιήσασα τὸ πρόσωπον τοιοῦτον αἰτία. δύσρητα δ' αὐτῶν ἐστι τὰ γνωρίσματα, καὶ διὰ τοῦτο διδάσκειν αὐτὰ λόγῳ, καὶ ἰδίᾳ ὥσπερ οἱ πολλοὶ τῶν ἰατρῶν ἀφίσαντο. πρὸς ἡμῶν δ' εἴρηται πάντα κατὰ τὰς οἰκείας πραγματείας, ὥστε καὶ σὺ μαθὼν αὐτά, δυνήσῃ ποτὲ καὶ αὐτὸς εἰσελθὼν πρὸς ἄρρωστον, ἀποφήνασθαι περὶ τῆς τὸ τοιοῦτον πρόσωπον ἐργασαμένης αἰτίας, καὶ μᾶλλον εἰ καὶ προηγησαμένην ἅπασαν δίαιταν εἰδείης τοῦ κάμνοντος. ἐπεσκεμμένος δ' ἔτι περὶ τῆς κράσεως εἴης αὐτοῦ, καὶ πολὺ μᾶλλον, εἰ καὶ τῆς τῶν ἀρτηριῶν κινήσεως ἐμπειρίαν ἔχοις, ἔτι τε τῆς τοῦ πυρετοῦ ποιότητος. ὑποκείσθω γάρ τις ἕνεκα παραδείγματος, ὥρᾳ θέρους ἐν καταστάσει θερμῇ καὶ ξηρᾷ χολώδης φύσει νεανίσκος ἐκ ταλαιπωρίας τε καὶ ἐνδείας καὶ λύπης ἠργμένος νοσεῖν. ἔστω δὲ αὐτοῦ καὶ ἡ θερμασία, δάκνουσα σφοδρῶς τὴν ἀφὴν ἡμῶν, τὸ δ' οὖρον χολῶδες, ὅ, τε σφυγμὸς ἀρρωστίαν δυνάμεως ἐνδεικνύμενος, ὑπόπτευσον τὸν τοιοῦτον ἐν τῇ προκειμένῃ κατὰ τὸν λόγον τόνδε γενήσεσθαι καταστάσει, δι' ἣν τὸ πρόσωπον νεκρῶδες ἐν τάχει ἕξει, μὴ φθάνων γε προσηκόντως τρέφεσθαι. μὴ τοίνυν ἔστω ταῦτα περὶ τὸν κάμνοντα, μήτε προγεγονότα, μήτε κατὰ τὴν πρώτην καὶ δευτέραν ἡμέραν πεφηνότα. τῇ τρίτῃ δ' ἀφικομένῳ σοι, φαινέσθω τὸ πρόσωπον, οἷον εἴρηται νῦν ὑφ' Ἱπποκράτους. ἴσθι τοίνυν ἐπί τινι τῶν ἔξωθεν αἰτίων, οὕτως πεπονθέναι. διάσκεψαι οὖν παρὰ σαυτῷ, τί ποτε μᾶλλον αὐτῷ ἐνδέχεται γεγονέναι, πότερον ἔκκρισίν τινα πολλήν, ἢ ἀγρυπνίαν. ἐπ' ἐνδείᾳ μὲν γὰρ οὐδ' ἂν ἐγένετο τοιοῦτον ἀθρόως αὐτίκα, τά τε προηγησάμενα τῆς νόσου τοιαῦτα ὑπάρχειν, οἷα λέλεκται, καὶ τὴν φύσιν εἶναι τοιοῦτον οἷος εἴρηται. εἰ μὲν οὖν κατὰ τὴν προτεραίαν αὐτὸς ἑωρακὼς εἴης αὐτόν, οὐδ' ἂν ἔλαθέ σε μέλλουσα γενήσεσθαι πολλή τις ἔκκρισις αὐτομάτη. βεβαιότατα γὰρ αὐτῆς ἐστι τὰ γνωρίσματα, καὶ λέλεκται πρὸς ἡμῶν ἔν τε τοῖς περὶ κρίσεων ὑπομνήμασι, καὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ὥστε ἔξεστί σοι παραχρῆμα θεασαμένῳ τὸν ἄνθρωπον, ἀποφήνασθαι σφοδρὰν ἀγρυπνίαν γεγονέναι. καὶ γὰρ δὴ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ θεάσῃ ξηροὺς ἱκανῶς, οὐχ ὥσπερ ταῖς ἀμέτροις αἰσθηταῖς κενώσεσιν οὐ γινομένους τοιούτους, ὥσπερ ἐπ' ἀγρυπνίᾳ. ὄψει δὲ καὶ τὰ βλέφαρα δυσχερῶς ἀνατεινόμενα, καὶ τοιαύτην ἔχοντα τὴν ἰδέαν ἐν τῷ καταφέρεσθαι, καὶ ἀστήρικτα ὑπάρχειν, οἷα τοῖς κωματώδεσι γίγνεται. καὶ μὲν δὴ καὶ πρότερον σοι τότε φαινομένου τοῦ κάμνοντος, ἔμπροσθεν δὲ οὐδ' ὅλως ἑωραμένου, τά τε τοιαῦτα γνωρίσματα, καὶ τὰ τῶν σφυγμῶν ἐνδείξεταί τινα διάκρισιν. ἐπὶ μὲν ἀμέτροις ἐκκρίσεσι, σώζοντός τι, κἂν ὀλίγον οὖν γνώρισμα τῆς ἰδέας, τοῦ δηλοῦντος αὐτάς. ἐπὶ δὲ ταῖς ἀγρυπνίαις, χορδῆς τεταμένης ἔμφασιν ἔχοντος. τῷ δ' ἐξ ἐνδείας μόνης εἰς τὴν εἰρημένην τοῦ προσώπου διάθεσιν ἀφικομένῳ, τῶν εἰρημένων γνωρισμάτων, οὐδέτερα πάρεστιν, οὔτε τὰ τῆς ἐκκρίσεως, οὔτε τὰ τῆς ἀγρυπνίας, ὥστε ἐκ συμβεβηκότων μᾶλλον, ἤπερ ἐξ οἰκείων σημείων, ἐπ' ἐκείνων ἡ πρόγνωσις ἔσται σοι, τοῦ δι' ἔνδειαν τροφῆς εἰς τοιαύτην αὐτὸν ἥκειν διάθεσιν. ἔτι δὲ μᾶλλον, ἐὰν ὁ πυρετὸς τὴν ἰδιότητα τῆς διαφορητικῆς θερμασίας ἀκριβῶς ἐπισκεπτομένῳ σοι, μὴ προσβάλλῃ, ὡς ἐάν γε φαίνηται τοιαύτη, δι' ἐκείνην μᾶλλον, ἢ τι τῶν ἔξωθεν ὑποπτεύειν ἰσχνὸν οὕτω γεγονέναι τὸ πρόσωπον. χρονίζειν δὲ προσήκει ἁπτόμενον, ὅλην τὴν χεῖρα περιβάλλοντα, μὴ περὶ καρπῷ μόνῳ τοῦ κάμνοντος, ἀλλὰ καὶ τοῖς ἀνωτέρω μορίοις ἀκριβῶς προσέχοντα τὸν νοῦν, εἰ μὴ δριμεῖα μόνον ἐστίν, ἀλλὰ συναναφέρει πολλὴν οὐσίαν ἅμα ἑαυτῇ σωματοειδῆ. καθάπερ τινὰ φλόγα διεξερχομένην, τότε δέρμα τῆς σῆς χειρὸς ἡ ψαύει τοῦ κάμνοντος δέρματος, ἐγκαταβαίνουσάν τε σαφῶς περὶ βάθει. τοιοῦτοι γάρ εἰσιν οἱ τὸ προειρημένον πρόσωπον ἐργαζόμενοι πυρετοί. ταῦτα δ' ὡς ἔφην δύσρητα μέν ἐστιν, οὐ μὴν ἄρρητά γε παντάπασιν, οὐδὲ δυσδιάγνωστα τοῖς γυμνασθεῖσιν ἀμφ' αὐτά. καὶ πολλάκις ὑπ' ἐμοῦ τεθεαμένοις τὰ τοιαῦτα προλεγόμενα πάντα, πολύ τε μᾶλλον ἀσκοῦσι γνωρίζειν, ἐπὶ τῶν ἔργων ἃ διὰ τῶν προγνωστικῶν ἐδιδάχθησαν πραγματειῶν. ἐκ μὲν τοῦ θεάσασθαι τὰ προλεγόμενα, τὸ δυνατὸν αὐτῶν ἔργῳ μεμαθηκότος, οὐ προαπογινώσκοντος δὲ ἃ ἐν ἀρχῇ φαίνεται δυσδιάγνωστα. διδύμους γὰρ ἀδελφοὺς ὁμοιοτάτους, ἅπαξ ἢ δὶς θεασάμενος, οὐ διαγινώσκει τις, τῶν δ' οἰκείων οὐδεὶς ἀγνοεῖ. ταῦτα μὲν οὖν εἰρήσθω μοι, προτροπῆς ἕνεκα τῶν νέων, καὶ μᾶλλον ὅσοι μὴ τεθέανται προλεγόμενα τὰ τοιαῦτα πάνθ' ὑφ' ἡμῶν. οὐ γὰρ μόνον ἀγρυπνίαν ἔχουσιν εἰπεῖν, ἀλλὰ καὶ ὅτι διὰ λύπην ἐπὶ τῷ δέ τινι γεγενημένην. οὐδὲ γὰρ Ἐρασίστρατος ἰδὼν κορώνας πετωμένας ἢ κόρακας, ἐφώρασε τὸν ἔρωτα τοῦ νεανίσκου, οὐ μὴν οὐδ' ὥς τινες ἔγραψαν, ἐρωτικὸν σφύζουσῶν ἤθος τῶν ἀρτηριῶν τοῦ νεανίσκου. οὐδεὶς γὰρ ἐστι σφυγμὸς ἴδιος, ἔρωτος ἐξαίρετος. ἀλλ' ὥσπερ κἀμοί ποτε ἐφάνη, τῷ καρπῷ μὲν ἐπιβεβληκότι τοῦ νοσοῦντος τὴν χεῖρα. γυναικὸς δέ τινος ὀφθείσης τῶν κατὰ τὴν οἰκίαν, αὐτίκα μέντοι ἀνώμαλός τε καὶ ἄτακτος γινόμενος, ὀλίγῳ δὲ ὕστερον εἰς τὸ κατὰ φύσιν ἐπανελθών, ἅμα τῷ διαχωρῆσαι τὴν ὀφθεῖσαν. ὁ γὰρ οὕτω τρεπόμενος σφυγμός, κοινὸν ἐνδείκνυται ταραχῶδες τι πάθος ἐν τῇ τοῦ κάμνοντος γεγονέναι ψυχῇ. τὸ δὲ ταραχῶδες τοῦτο, διακρίνειν προσήκει, διὰ τῶν ἅμα τούτῳ λεγομένων ἢ ὁρωμένων. καὶ γὰρ αὖ καὶ λεγομένων τινῶν εἰς ἀνωμαλίαν οἱ σφυγμοὶ τρέπονται, τῶν ἀρρώστων ταραττομένων ἐφ' οἷς ἤκουσαν. ἀλλὰ περὶ μὲν τούτων, ἰδίᾳ μοι γέγραπται κατὰ μίαν πραγματείαν, ἣ περὶ τοῦ προγινώσκειν ἐπιγέγραπται, νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. ἦν δὲ τὸ προκείμενον, ὅτι πολλὰ τῶν προγεγονότων τε καὶ παρόντων ἰατρὸς δύναται παρὰ τοῖς κάμνουσι λέγων θαυμάζεσθαι, καθάπερ καὶ τὰ νῦν προκείμενα, κατὰ τὸν νῦν λόγον, ἀγρυπνίαν, διάρροιαν, λιμόν. ἐνίοτε δὲ τὸ μὲν ἓν ἐξ αὐτῶν ἀφωρισμένως εἰπεῖν, δύσκολον γίνεται. ὅτι δὲ ἐκ τῶν δυοῖν θάτερον, ἢ ἐκ τῶν τριῶν γε πάντως ἕν τι δυνατόν ἐστι βεβαίως προγνῶναι. φέρει δὲ καὶ τοῦτο παρὰ τοῖς ἀκούουσιν ἔπαινον, ἐν ἑπτερωτήσει τῆς προγνώσεως, γινομένης ὧδέ πως. ἆρά γε δι' ἀγρυπνίαν σφοδράν, ἢ ἔνδειαν τροφῆς, οὕτω λελέπτυνται. πολλάκις μὲν γὰρ ὁμολογοῦσιν ἀμφότερα, καὶ θαυμάζουσι δηλῶς τὸν ἰατρόν. ἐνίοτε δὲ τὸ ἕτερον αὐτῶν ἀποκρίνονται, θαυμάζοντος ἔτι καὶ οὕτω. τοῦτ' οὖν ἐστι τὸ πρὸς Ἱπποκράτους εἰρημένον. ἐπανερέσθαι δέ, μὴ ἠγρύπνησεν ὁ ἄνθρωπος, ἢ πολλὰ διεχώρησεν, ἢ λιμώττει. εἶτα τί φησι. καὶ ἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον δεινὸν εἶναι νομίζειν δέοντος. βέλτιον μὲν γὰρ ἦν οὕτως ἰσχυρὰν εἶναι τὴν δύναμιν, ὡς ὑπὸ μηδενὸς τῶν ἔξωθεν αἰτίων νικᾶσθαι. ἧττον

Indicia vigiliarum praecedentium ex oculis sumenda.

Qualis pulsus sit in vigiliis

Erasistratus amatorium affectum in quodam adolescente quomodo deprehenderit.

Gal. idem animadvertit ex pulsu.

μέντοι δεινόν, εἰ διὰ τούτων, καὶ μὴ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν ἡ τοσαύτη γίνεται σύντηξις. ἀλλ' ἐπειδὴ δυνατόν ἐστιν ἄμφω συνελθεῖν, αἰτίαν τέ τινα τῶν ἔξωθεν, ὡς εἴρηται, λυποῦσαν τὸ σῶμα, καὶ πυρετὸν συντηκτικόν, ὁ διορισμός σοι γινέσθω διὰ τῆς ἐπιούσης ἡμέρας τε καὶ νυκτός. εἰ μὲν γὰρ ὑπὸ μόνης τῆς ἔξωθεν αἰτίας εἴη γεγονὸς οἷον εἴρηται τὸ πρόσωπον, ἐπανορθώσεως ἐν ἡμέρᾳ καὶ νυκτὶ τεύξεται. εἰ δ' ἀπὸ τῆς ἐν τῷ σώματι διαθέσεως, ἤτοι μενεῖ τοιοῦτον, ἢ καὶ χεῖρον ἔσται. ταυτὶ μὲν οὖν ἅπαντα φαίνεται δεόντως εἰρῆσθαι τῷ Ἱπποκράτει. διὰ τί δὲ εἶπεν, ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τοιοῦτον τὸ πρόσωπον ᾖ, καὶ μήπω οἷόν τε τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι, ἑξῆς σκεψώμεθα. δυοῖν γὰρ θάτερον, ἢ ὡς οὐ γινομένων αὐτῶν ἐν ἀρχαῖς, ἢ ὡς οὐδὲν βέβαιον δηλούντων, οὐχ οἷόν τέ ἐστι χρῆσθαι τοῖς τοιούτοις σημείοις εἰς τοὺς τῶν ἀμφιβόλων διορισμούς. ἐγὼ τοίνυν φημὶ μήτε γίγνεσθαι διὰ παντὸς ταῦτα, μήτ' εἰ γίγνοιτο, βέβαιον δηλοῦν, ὅτι δὲ τοῦθ' οὕτως ἔχει, κατὰ τὴν ἐξήγησιν αὐτῶν διδάξω, διὰ τῆς ἐχομένης ῥήσεως ταύτης.

Ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου τὸ πρόσωπον ᾖ, περὶ τούτων ἐπανέρεσθαι περὶ ὧν καὶ πρότερον ἐκέλευσα, καὶ τἄλλα σημεῖα σκέπτεσθαι τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, καὶ τὰ ἐν τῷ σώματι.

τὸ τῆς ἀρχῆς ὄνομα δηλοῖ μὲν καὶ τὴν πρώτην εἰσβολὴν τοῦ νοσήματος, οὐδέπω πλάτος ἔχουσαν. δηλοῖ δὲ καὶ τὴν εἴς τινα χρόνον ἐκτεταμένην, οὐ πολὺν τοῦτον, ἔτι τε πρὸς τούτοις τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ἐφ' ᾧ καὶ δεύτερον ἀριθμοῦσι, τὸν τῆς ἀναβάσεως, καὶ τρίτον τὸν τῆς ἀκμῆς, καὶ τέταρτον τὸν τῆς παρακμῆς. εἰπὼν οὖν ὁ Ἱπποκράτης ὀλίγον ἔμπροσθεν, ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον τοιοῦτον ᾖ, κατ' ἐκείνην μὲν αὐτὴν λέξιν οὐκ ἐδήλωσε, τίνος τῶν εἰρημένων τριῶν ἀρχῶν μνημονεύει. νυνὶ δὲ γράψας, ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου τὸ πρόσωπον τοιοῦτον ᾖ, δῆλος ἐγένετο περὶ τῆς κατὰ πλάτος ἀρχῆς προειρηκώς, αὕτη γὰρ μέχρι τῆς τρίτης ἡμέρας ἐκτείνεται. τηνικαῦτ' οὖν οἷς εἶπεν ἔμπροσθεν, προστιθέναι ἀξιοῖ τὸν ἀπὸ τῶν ἄλλων σημείων διορισμόν, ὑπὲρ ὧν εἴρηκε, καὶ μήπω οἷόν τε τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι, καταλέγει δὲ ἐφεξῆς αὐτὰ διὰ τῶν ἐχομένων ῥήσεων τούτων.

Καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν, ἢ δακρύωσιν ἀπροαιρέτως, ἢ διαστρέφωνται, ἢ θάτερος θατέρου ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πελιά, ἢ μέλανα φλεβία ἐν αὐτέοισιν ἔχωσιν, ἢ λῆμαι φαίνωνται περὶ τὰς ὄψιας, ἢ καὶ ἐναιωρεύμενοι, ἢ ἐξίσχοντες, ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι, ἢ αἱ ὄψιες αὐχμῶσαι, καὶ ἀλαμπέες, ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ, ταῦτα πάντα κακὰ νομίζειν, καὶ ὀλέθρια εἶναι.

τὰ εἰρημένα συμπτώματα, κοινὸν μὲν ἔχει τὸ παρὰ φύσιν εἶναι. διαφέρει δ' ἀλλήλων, τῷ τὰ μὲν ἁπλῶς ἐναντία τοῖς κατὰ φύσιν ὑπάρχειν, ἔνια δ' ὡς αὐτὸς ἔμπροσθεν εἶπεν, ἐναντιώτατα. διὸ καὶ κατὰ τὸν κοινὸν ἐπιλογισμόν, ἅπαντα μὲν ὀλέθρια νομισθήσονται, κατὰ δὲ τὴν ποσότητα τῆς ἐναντιώσεως, ἧττόν τε καὶ μᾶλλον ἕξει τοῦτο. τάς γε μὴν διαθέσεις ἐφ' αἷς γίνεται κατὰ τὴν ἀκολουθίαν τῶν ἀφ' Ἱπποκράτους δογμάτων, ἄμεινόν ἐστιν ἐπισκέψασθαι, τὸ τοίνυν φεύγειν τὴν αὐγήν, ὅπερ ἐστὶν ἀποστρέφεσθαι, δι' ἀσθένειαν γίνεται τῆς ὀπτικῆς δυνάμεως. ἐνίοτε μὲν ἤδη τῇ τῶν ὀργάνων διαθέσει καμνούσης, ὥσπερ ἐν ταῖς ὀφθαλμίαις, ἐνίοτε δ' αὐτῆς καθ' αὐτήν, ἡνίκα ὀλέθριόν ἐστι τὸ σημεῖον, οὕτως δὲ καὶ τὸ δακρύειν. ἐὰν μὲν ἤτοι δι' ὀφθαλμίαν, ἢ διά τι ῥεῦμα καταφερόμενον ἐκ τῆς κεφαλῆς γίνηται, παρὰ φύσιν μέν ἐστιν, οὐ μὴν θάνατόν γε σημαίνει πάντως. ἐὰν δὲ δι' ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, ὀλέθριόν τέ ἐστι καὶ θανατῶδες. αἱ γε μὴν διαστροφαὶ τῶν ὀφθαλμῶν, σπωμένων γίνονται τῶν κινούντων αὐτοὺς μυῶν, ὅπερ ἐὰν μὲν αὐτῶν ᾖ μόνον ἐκείνων πάθος, οὐδὲν ἄτοπον. ἐὰν δὲ τῆς ἀρχῆς τῶν νεύρων, ὅπερ ἐστὶν ἐγκέφαλος, ἐσχάτως ὀλέθριον. αἰσθάνονται γὰρ τῶν κατὰ τὴν ἀρχὴν παθημάτων, οἱ πλησιάζοντες μύες πρότεροι τῶν ἄλλων. ἐνίοτε μὲν οἱ κατὰ τοὺς ὀφθαλμούς, ὑπὲρ ὧν νῦν λέγει, ποτὲ δὲ καὶ οἱ κροταφῖται καλούμενοι, περὶ ὧν ἐν τῷ περὶ ἄρθρων ἐδίδαξε, καὶ μὴν τὸ γενέσθαι τινὰ τῶν ὀφθαλμῶν τοῦ κατὰ φύσιν ἐλάττω, ὀλέθριον σύμπτωμα. νεκροῦσθαι γὰρ δηλοῖ τὴν διοικοῦσαν αὐτὸν δύναμιν. τὸ δὲ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἐρυθρὰ φαίνεσθαι, καθάπερ ἐν ὀφθαλμίαις τέ τισι καὶ τῶν μεθυσθέντων ἐνίοις, ἐνδεικνύμενόν ἐστι τοῦτο, τὸ κατὰ τὸν ἐγκέφαλον, καὶ μήνιγγας πλῆθος. ἔστι δ' ὅτε καὶ φλεγμονῆς ἐν αὐτοῖς γεγενημένης, ἑκατέρως γὰρ ἀποθλίβεται τὸ αἷμα πρὸς τὰς ἐν τοῖς ὀφθαλμοῖς φλέβας. διὸ ἐρυθρὸν φαίνεται τὸ λευκὸν ἐν αὐτοῖς μέρος, ὅπερ ἐστὶ τὸ πέριξ τῆς στεφάνης ὀνομαζομένης, ἣν ἐμάθομεν ἐν ταῖς ἀνατομαῖς ἁπάντων τῶν κατὰ τὸν ὀφθαλμὸν ὑμένων τε καὶ χιτώνων σύνδεσμόν τινα οὖσαν. ἐμάθομεν δὲ ὡς τὸ τοῦ περικρανίου πέρας ἤδη ταύτην ἐξήκει, μετὰ τῶν ἐν αὐτῷ φλεβῶν. ὅτι δὲ διὰ ταῦτα ἔφη τὸ λευκὸν ἐρυθρὸν γίνεσθαι, σαφῶς ἐδήλωσε διὰ τῶν ἐπιφερομένων εἰπών, ἢν πελιά, ἢ μέλανα φλεβία ἐν αὐτοῖς ἔχουσιν, ἔστι δὲ τοῦτο πάντων ὀλέθριον. ἐρυθρὰ μὲν γὰρ φαίνεται τὰ φλεβία, καὶ διὰ πλῆθος ὡς ἔφην, ἤ τινα φλεγμονὴν τῶν κατὰ τὸν ἐγκέφαλον. μελαίνεται δὲ καὶ πελιδνοῦται ψυχόμενα, ψύχεται δὲ νεκρούμενα, καὶ διὰ τοῦτο ὀλέθρια δὴ τὰ τοιαῦτα χρώματα διὰ παντός ἐστι. αἱ γε μὴν λῆμαι γίνονται μὲν ὡς ἴσμεν, καὶ διὰ τὸ τῶν ὀργάνων πάθος, ὡς ἐν ὀφθαλμίαις τε καὶ ἄλλως, οὐδένα κίνδυνον δηλοῦσαι. γίνονται δὲ καὶ δι' ἀρρωστίαν τῆς διοικούσης τὰ κατὰ τὸν ὀφθαλμὸν δυνάμεως φυσικῆς, ἀδυνατούσης ἐκπέττειν τὴν τροφὴν τῶν ὀφθαλμῶν. ἐδείχθη γὰρ ἡμιπέπτου τροφῆς ἡ λήμη περίττωμα. κατὰ μὲν οὖν τὰς ὀφθαλμίας, διά τε τὸ πλῆθος τῆς παρὰ φύσιν ὑγρότητος, καὶ διὰ τὸ πάθος τῶν ὀργάνων εἰκός ἐστι μὴ πέττεσθαι καλῶς τὴν τροφὴν αὐτῶν. ἔνθα δ' ἔνδεια σαφής ἐστι, δηλουμένη διὰ τῆς κοιλότητος, ἡ μὲν ἀπὸ

τοῦ πλήθους αἰτία, παντάπασιν οἴχεται. καταλείπεται δὲ ἡ διὰ δυνάμεως ἀσθένεια μόνη. καὶ οὐδ' ἡ τυχοῦσα τις αὕτη γε, ἀλλ' ἰσχυρὰ πάνυ, μηδὲ τὴν ὀλιγίστην τροφὴν τῶν ὀφθαλμῶν ἱκανῶς φέρειν ἰσχύουσα. οἱ γε μὴν ἐναιωρούμενοι, τουτέστιν ἀστήρικτοι καὶ κινούμενοι διὰ παντὸς ὀφθαλμοί, γνωρίσματά εἰσιν, ἢ παραφροσύνης, ἢ τρόμου τῶν περὶ αὐτοὺς μυῶν, ὧν ἑκάτερον ἐπὶ τῆς προκειμένης διαθέσεως ὀλέθριον ἐστίν. αἵ τε γὰρ μετ' ἐνδείας παραφροσύναι, χαλεπώταται. καὶ οἱ διὰ ξηρότητα τῶν ὀργάνων τρόμοι, παντάπασιν ἀνίατοι, καὶ μὴν καὶ τοὺς διΐσχοντας ὀφθαλμούς, ἢ κοίλους ἰσχυρῶς γινομένους μέμφεται. τὸ μὲν οὖν τῶν διϊσχόντων σύμπτωμα καὶ κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος γίνεται, καὶ μάλιστα τοῖς ἐμέσασιν ἐπὶ πολυφαγίᾳ τε καὶ πολυποσίᾳ. τὸ δὲ τῶν ἰσχυρῶς ἐγκοίλων, οὐ γίνεται, διόπερ οὐδὲ τούτου κατ' ἀρχὰς ἐμνημόνευσεν, ἡνίκα ἔλεγε ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι. τοῦ μὲν, ὅτι μηδ' ὅλως ἐν τῷ νεκρώδει προσώπῳ φαίνεται. πῶς γὰρ ἂν ἅμα κοῖλοί τε καὶ διΐσχοντες εἶεν οἱ ὀφθαλμοί; τοῦ δὲ ὅτι μηδ' ὅλως γίνεται τηνικαῦτα, καὶ δόξει γε τὸ κατὰ τοὺς διΐσχοντας ὀφθαλμοὺς, μάχεσθαι τοῖς προειρημένοις. εἰρηκὼς γὰρ ἤδη τοῦ νεκρώδους προσώπου, ῥῖνα ὀξεῖαν, ὀφθαλμοὺς κοίλους, εἶτα ἐπιδιοριζόμενος αὐτὰ τοῖς μετὰ τὴν τρίτην ὁρωμένοις, οὐκ ὀρθῶς προσέθηκε τοὺς διΐσχοντας, ὃ δή μοι δοκεῖ γεγονέναι κατὰ τόνδε τὸν λόγον ὑπ' αὐτοῦ, καὶ δὴ φράσω, μεταβαλὼν ὅλην τὴν ῥῆσιν αὐτοῦ εἰς τοιάνδε λέξιν. ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου τὸ πρόσωπον τοιοῦτον ᾖ, περί τε τούτων ἐπανέρεσθαι, περὶ ὧν καὶ πρόσθεν ἐκέλευσα, καὶ τἆλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ σύμπαντι σώματι, καὶ τὰ ἐν τοῖς ὀφθαλμοῖς. ἔστι δὲ τὰ γινόμενα σημεῖα ἐν τοῖς ὀφθαλμοῖς ὀλέθρια μετὰ τὴν τρίτην ἡμέραν τοιάδε. φεύγειν τὴν αὐγὴν, δακρύειν, διαστρέφεσθαι, τὸν ἕτερον ὀφθαλμὸν ἐλάττονα γίνεσθαι θατέρου. τὰ λευκὰ μόρια κατ' αὐτοὺς ἐρυθρὰ φαίνεσθαι, φλέβας ἔχειν ἤτοι μελαίνας ἢ πελιδνὰς, ἢ λήμας εἶναι, ἐναιωρεῖσθαί τε, ἢ διΐσχειν, ἢ κοίλους ἰσχυρῶς εἶναι, τοῦ τε προσώπου παντὸς ἠλλοιῶσθαι τὸ χρῶμα. πάντα γὰρ ταῦτα ἐστὶν ὀλέθρια, καὶ ὅ, τι περ ἂν αὐτῶν ἐπὶ τῷ προειρημένῳ γένηται προσώπῳ, τεκμήριον οὐ σμικρόν ἐστι τοῦ μέλλοντος ἔσεσθαι θανάτου. κατ' αὐτὴν οὖν τὴν διάνοιαν, δοκεῖ μοι συγκαταριθμεῖσθαι τοῖς ἄλλοις σημείοις ὅσα τῷ νεκρώδει προσώπῳ δύναται συνυπάρχειν, καὶ τοὺς διΐσχοντας ὀφθαλμοὺς, καὶ μὴ δυναμένους συνυπάρχειν. ὅτι μὴ μόνον προκείμενον ἦν αὐτῷ τὰ τῷ νεκρώδει σώματι συνυπάρχοντα λέγειν, ἀλλὰ καὶ τῶν ὀλεθρίων σημείων ὅσα κατὰ τὸ πρόσωπον φαίνεται ποιήσασθαι κατάλογον, ὡς εἰ μὴ μόνον ἐν, ἀλλὰ καὶ πλείω τῶν εἰρημένων δυνατὸν ἦν μὴ συνυπάρξαι τῷ νεκρώδει προσώπῳ, μηδεμίαν εἶναι μάχην ἐπὶ τὴν διδασκαλίαν αὐτοῦ τῶν μοχθηρῶν ἁπάντων μεταβεβηκότος. ὅτι δ' ὡς ἔφην ὀρθῶς εἶπε, καὶ μή πω οἷόν τε ἦ τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι, σκοπεῖν ἤδη σοι, ἐν ἑνὶ κεφαλαίῳ κοινῷ τῷδε, τῶν εἰρημένων ἕκαστον ἢ οὐ γίνεται κατ' ἀρχὰς, ἢ οὐκ ἐξ ἅπαντος ἐστὶν ὀλέθριον. ἰδίᾳ δὲ καθ' ἕκαστον ἐπισκοπουμένῳ σοι, φανεῖται τοῦτ' ἀληθέστατον. ἐκ πολυποσίας οὖν ἐνίοτε καὶ σφοδρῶν ἐμέτων ἐν ἀρχῇ τῶν νόσων, συμβαίνει τὸ τὴν αὐγὴν φεύγειν, οὕτω δὲ καὶ τὸ δακρύειν, καὶ τὸ διαστρέφεσθαι, ἢ ἐναιωρεῖσθαι, ἢ διΐσχειν, ἢ τὸ τὰς φλέβας ἐρυθρὰς ἔχειν. ἡ δ' ἤδη τὸ πελιδνὸν ἢ μέλαν χρῶμα μεταβολὴ τῶν φλεβῶν, οὐκ ἐν ἀρχῇ γένοιτο ποτέ. καθάπερ οὐδ' ὑπερβάλλουσα κοιλότης, οὐδὲ τὸ λημᾶν, ἀλλὰ τοὐλάχιστον ἤτοι τριῶν, ἢ τεσσάρων ἡμερῶν εἰς τὸ γενέσθαι δεῖται.

Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, τῶν βλεφάρων μὴ συμβαλλομένων, μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.

Ἀπὸ τοῦ ὑποφαίνεσθαι ῥήματος, τὴν ὑπόφασιν τοὔνομα πεποίηκεν, οὗ τὸ πληθυντικὸν αἱ ὑποφάσεις γίνεται, ἀφ' ὧν κατὰ διαίρεσιν ἰωνικὴν, αἱ ὑποφάσιες. οἱ δὲ περὶ τὸν Ἀρτεμίδωρον καὶ Διοσκουρίδην, οὐκ οἶδα πόθεν ὁρμηθέντες ἔγραψαν ὑποφύσιας μετὰ τοῦ υ. τὸ μὲν οὖν εἰρημένον ὑφ' Ἱπποκράτους δῆλον ἐστίν. αὐτὸ γὰρ ἐξηγήσατο, τί ποτε λέγει τὴν ὑπόφασιν εἰπών. ἤν γάρ τι ὑποφαίνηται συμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ. ἀλλὰ καὶ διορισμὸν εἰς ἀκρίβειαν τοῦ λεγομένου, προσέθηκεν αὐτὸς εἰπὼν, μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακείης ἐόντι. προσυπακούειν δὲ καὶ ἡμᾶς ἄμεινον ἐστὶ τῷδε, καὶ τῶν ἄλλων τῶν ἐχόντων τοῖσδε τὴν αὐτὴν δύναμιν. ἐνὶ γὰρ κεφαλαίῳ περιλαβὼν ἄν τις εἴποι τὸ σύμπτωμα τοῦτο, δι' ἀῤῥωστίαν γίγνεσθαι τῆς †κινούσης τὰ βλέφαρα δυνάμεως, ὅπερ ὀλέθριον ἐστιν, ἐπειδὰν χωρὶς τῆς ἔξωθεν αἰτίας συστῇ. ταῦτα δ' εἶναι χρὴ δηλονότι τοιαῦτα τὴν φύσιν, ὡς καταλύειν τὴν δύναμιν, οἷον ἤτοι διαῤῥοιαν, ἢ κάθαρσιν, ἐκκαθαίροντος φαρμάκου προσφορᾶς, ἢ λύπην σφοδρὰν, ἢ ἀγρυπνίαν, ἢ ἔνδειαν τροφῆς, ἢ αἱμοῤῥαγίαν πολλὴν, ἢ τινα ἁπλῶς ἑτέραν κένωσιν ἄμετρον. ὃ δ' ὀλίγον ἔμπροσθεν εἶπον, ὡς τῶν ὀλεθρίων ἁπάντων σημείων ποιεῖται τὸν κατάλογον, οὐ μόνον ὅσα πρὸς τῷ νεκρώδει προσώπῳ γίνεται, δῆλον ἐποίησεν ἐνταῦθα, προσθεὶς μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακείης ἐόντι. προειρήκει γὰρ ἤδη τοῦ νεκρώδους προσώπου τὸν διορισμὸν τοῦτον, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἰσχυρῶς. τὸ γὰρ ἐξυγρασμένον τοῦτο, κοινόν ἐστι διαῤῥοίης τε καὶ φαρμακείας, ἀλλ' ἐπειδὴ πάλιν ἀφ' ἑτέρας ἀρχῆς ἁπάντων ποιεῖται τῶν ὀλεθρίων σημείων ἐξαρίθμησιν, εἰκότως ἑκάστῳ τοὺς οἰκείους προσδιορισμοὺς προστίθησιν.

†κλεισης

Ἢν δὲ καμπύλον γένηται, ἢ πελιὸν, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ ἐγγὺς ἐόντα θανάτου. θανατώδεα δὲ καὶ τὰ χείλεα ὑπολυόμενα καὶ κρεμασμένα, καὶ ψυχρὰ, καὶ ἔκλευκα γινόμενα.

Τὰ μὲν οὖν πλεῖστα τῶν ἀντιγράφων, οὕτως ἔχει τὴν ἀρχὴν τῆς ῥήσεως. ἔνια δὲ ἀντὶ τοῦ καμπύλον τὸ ῥιγνὸν, ἵν' ᾖ τὸ δηλούμενον ἐκ τῆς φωνῆς ταύτης, τὸ συνεσταλμένον ὁμοίως τοῖς κατεψυγμένοις ὑπὸ κρύους. τοῦτο μὲν οὖν νεκρώσεως ἐστὶ σημεῖον, ὥσπερ καὶ τὸ πελιδνόν. τὸ δὲ καμπύλον, τάσεως τινὸς σπασμώδους, ἢ παραλύσεως, θατέρου τῶν κλώντων μυῶν τὸν ὀφθαλμόν. ἑκάτερα δ' ἐστὶν ὀλέθρια, μαρτυρούμενα πρὸς τῶν ἄλλων σημείων ὅπερ ἐδήλωσεν εἰπὼν, μετά τινος τῶν ἄλλων σημείων, ὡς οὐχ ἱκανὸν ἐν μόνον τῶνδε, τὸν θάνατον δηλῶσαι.

Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατροῦ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καὶ τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον. οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται. ἄρισται δέ εἰσι τῶν κατακλισίων αἱ ὅμοιαι τῇσι τῶν ὑγιαινόντων.

Καὶ τοῦτο μαρτυρεῖ τῷ κατάλογον εἶναι τῶν ὀλεθρίων σημείων ἐν τῷ χωρίῳ τοῦ βιβλίου τῷδε παντί. φαίνεται γὰρ καὶ νῦν οὐκ ἀφ' ἑτέρας ἀρχῆς περὶ τῶν ἐν ὅλῳ τῷ σώματι σημείων ὁ ἀνὴρ διδάσκων, ἀλλὰ συνάπτων αὐτὰ τοῖς προειρημένοις. προειρηκὼς γὰρ ἔμπροσθεν περὶ τοῦ νεκρώδους προσώπου, καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ σύμπαντι σώματι, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἐφεξῆς ταῦτα διέρχεται συνάπτων ἀλλήλοις. αὐτὸ δὲ τὸ δεῖν εὑρίσκεσθαι τὸν ἄρρωστον ὑπὸ τῶν ἐπισκεπτομένων ἰατρῶν, οὐχ ὕπτιον κείμενον ὥσπερ τινὰ παρειμένον, ἀλλ' ἐπὶ θατέρου πλευροῦ, καθ' ὃ ἂν ὁ ἰατρὸς αὐτῷ προσέῃ, καὶ διὰ τοῦτο ἐστὶν ἀγαθὸν, ὅτι ῥώμην ἐνδείκνυται τῆς στηριζούσης διὰ τῶν μυῶν τὸ σῶμα δυνάμεως. ὥσπερ αὖ πάλιν ἀρρωστίαν, εἰ μὴ δύναιτο τὴν ἐπὶ τοῦ πλευροῦ κατάκλισιν φέρειν. αὐτὸς δ' Ἱπποκράτης προσέθηκε τῷ λόγῳ τὸν κοινὸν ἐπιλογισμὸν, εἰπών. οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται, καὶ δῆλον ὅτι μάλιστα κατ' ἐκεῖνον τὸν χρόνον ᾧ ὁ ἰατρὸς αὐτοὺς ἐπισκοπεῖ. προσυπακοῦσαι γὰρ ἄμεινόν γε τῷ λόγῳ, τοῦτο δυνάμει λεγόμενον ὑπ' αὐτοῦ. κατὰ τὴν λέξιν ἔνθα φησὶ, κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατροῦ. οὐ γὰρ ἁπλῶς εἶπεν ἐπὶ πλευρῷ χρῆναι κεκλίσθαι τὸν ἄνθρωπον, ἀλλ' ὑπὸ τοῦ ἰατροῦ καταλαμβάνεσθαι κεκλιμένον οὕτως. προσέθηκε δὲ καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα, ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καὶ γὰρ καὶ τοῦτο σύνηθές ἐστι τοῖς πλείστοις τῶν ὑγιαινόντων. καὶ μέντοι καὶ κατ' αὐτὸ τοῦτο τὸ προσθεῖναι, τὸ πλεῖστοι, ἀνέμνησέ σε διορισμοῦ τινὸς ἑτέρου κεφάλαιον ἔχοντος, εἰς πολλὰς προγνώσεις χρήσιμον, οὗ μεμνῆσθαί σε δεῖ, κἂν παραλείπηται ποτέ. τί δ' ἐστὶ τοῦτο, καὶ δὴ φράσω. ὅσα τισὶ τῶν ἀρρώστων ἰδίως ὑπάρχει παρὰ τοὺς ἄλλους ἐξαίρετα, ταῦτ' οὐ χρὴ κατὰ τὸ πάρεργον ἐπισκοπεῖσθαι. ἐὰν μὲν γὰρ ὁρᾷς κατακείμενον αὐτὸν ὡς οἱ πλεῖστοι τῶν ὑγιαινόντων, ἀγάπα τὴν κατάκλισιν. ἐὰν δ' ἐναντίως, οὐ χρὴ καταγινώσκειν εὐθέως ὡς κακοῦ τοῦ σημείου. προσαναπυθέσθαι δὲ, μὴ σύνηθές ἐστι τὸ σχῆμα τοῦτο τῷ κάμνοντι. τὸ δὲ ὑγρὸν κεῖσθαι τὸ σῶμα, πρὸς ἀντίθεσιν αὐτῷ λέγεται τοῦ τεταμένου τὰ τέτταρα κῶλα, τουτέστι τὰ σκέλη καὶ αἱ χεῖρες ὀλίγον ἐπικεκάμφθωσαν, καὶ τὸ σύμπαν σῶμα τὸν αὐτὸν τρόπον κείσθω, τῶν ὑπερβολικῶν σχημάτων ἔξω καθεστηκός. ὑπερβολικὰ δ' ὀνομάζεται σχήματα, τὰ μετὰ μακρᾶς ἐκτάσεως, ἢ κάμψεως, ἤτοι τῶν κώλων, ἢ τῆς ῥάχεως ἧς μόριον εἰσὶ καὶ οἱ κατὰ τὸν τράχηλον σπόνδυλοι. τὰ μὲν οὖν ὑπερβολικὰ σχήματα, τεινομένων ἰσχυρῶς γίνεται τῶν νεύρων, ὡς ἐν τῷ περὶ κινήσεως μυῶν ἐπιδέδεικται λόγῳ. τὸ δ' ἐν τῷ μέσῳ τῶν ὑπερβολικῶν, ἄνευ τάσεώς ἐστι, διὸ καὶ προσηγόρευσεν αὐτὸ ὑγρὸν, τῶν ὑγρῶν σωμάτων οὐ πεφυκότων τείνεσθαι.

Ὕπτιον δὲ κεῖσθαι, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν.

Ἡ τοιαύτη κατάκλισις οὐκ ἔστιν ὅλως ἀγαθὴ, διόπερ οὐδ' ἧσσον ἀγαθή. εἰ γὰρ μηδ' ὅλως ὑπάρχει τὸ ἀγαθὴν εἶναι, πῶς ἂν αὕτη λέγοιτο προσηκόντως ἧσσον ἀγαθὴ εἶναι; δηλοῖ δὲ καὶ αὐτὸς, ὡς οὐδ' ὅλως ἐστὶν ἀγαθὴ, λέγων ἐφεξῆς,

Εἰ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστιν.

Ὥσπερ γὰρ καὶ τῆς προειρημένης δεινῆς κατακλίσεως οὔσης, οὕτω περὶ αὐτῆς ἔφη ὡς δεινότερόν ἐστιν. ἐμοὶ δὲ δοκεῖ τὴν κατάκλισιν ταύτην ἐν τοῖς οὐδετέροις τίθεσθαι σημείοις, ἅπερ οὐδὲ πρὸς ὑγείαν ἀξιόλογον ἔχει δύναμιν, οὐδὲ πρὸς θάνατον. ἀλλ' ἤτοι μέσα τελέως ἐστὶν, ἢ σμικρά τις αὐτοῖς ἐστι ῥοπὴ πρὸς τὸ ἕτερον, ὥστε τοὺς ἀμελέστερον ὑπὲρ αὐτῶν ἑρμηνεύοντας, ἀμφοτέροις αὐτὰ παραβάλλειν δύνασθαι, ὅπερ καὶ νῦν ἐποίησεν ὁ Ἱπποκράτης. ἧττον μὲν ἀγαθὴν εἶναι εἰπὼν τῆς προειρημένης τὴν τοιαύτην κατάκλισιν, μοχθηροτέραν δ' αὐτῆς τὴν ἐφεξῆς λεγομένην. ἀναμιμνήσκων καὶ νῦν τοῦ διορίζεσθαι κατὰ πάντα τὰ τοιαῦτα, μή τι σύνηθές ἐστιν ὑπτία κατάκλισις τῷ κάμνοντι. ἐὰν γὰρ καὶ τοῦτ' εἴη, καὶ μὴ πάνυ τι φροντίζῃ τοῦ εἰσιόντος ἰατροῦ, τότ' ἂν οὐδ' ἐν τῷ μέσῳ τῶν ἀγαθῶν τε καὶ κακῶν ὀρθῶς ὑπολαμβάνοιτο κατακλίσεων, ἀλλ' ἐκ τῶν ἀγαθῶν μᾶλλον. εἰ δὲ μηδ' ἐν τούτῳ τῷ σχήματι κατακλίνοιτο συνήθως, αἰδῶ τε πολλὴν ἔχει πρὸς τὸν ἰατρὸν, οὐκ ἀγαθὸν τὸ σημεῖον. ἔτι δὲ καὶ μᾶλλον, εἰ καὶ φύσει τῶν αἰδημονεστέρων εἴη. διὰ ταῦτ' οὖν ἅπαντα τὴν τοιαύτην κατάκλισιν, ἐν μὲν τῷ μέσῳ θετέον ἀγαθῶν τε καὶ κακῶν, ὅσον ἐφ' ἑαυτῇ, μεταπίπτειν δ' ἐφ' ἑκάτερα κατὰ τὴν φύσιν τοῦ κάμνοντος. εἰ δὲ καὶ προπετὴς γίνοιτο, καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι, ὥσπερ ἡ ἐπὶ τὰς πλευρὰς κατάκλισις ἔχεταί τινος ἐνεργείας, οὕτως καὶ ἡ ἀνάρροπος ὑπτία, καθ' ὃν τρόπον ἅπαντες κλινόμεθα. διὸ κἂν ἐπὶ τῆς ἑτέρας τῶν πλευρῶν κατακλίνῃς νεκρὸν σῶμα, περιτραπήσεται πάντως, ἤτοι πρὸς τὸ πρηνὲς, ἢ τὸ ὕπτιον σχῆμα. καθάπερ εἰ καὶ ἀνάρροπον αὐτὸ σχηματίσαις, ἐπὶ πόδας γὰρ οὕτως κατενεχθήσεται. εἰκότως οὖν ἔφη μοχθηρὸν εἶναι τὸ σημεῖον τοῦτο, νέκρωσίν τινα τῆς διοικούσης τὸ σῶμα δυνάμεως ἐνδεικνύμενον.

Εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων, μὴ θερμοὺς κάρτα ἐόντας, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἀνωμάλως διερριμμένα, καὶ γυμνὰ, κακόν. ἀλυσμὸν γὰρ σημαίνει.

Ὀρθότατα διωρίσατο τὸν λόγον, εἰπὼν μὴ θερμοὺς κάρτα ἐόντας. ἐν γὰρ τοῖς θερμοτάτοις πυρετοῖς ἅμα τοῖς ἄλλοις μορίοις, καὶ τῶν ποδῶν διακαιομένων, ἀναγκάζονται γυμνοῦν αὐτοὺς οἱ κάμνοντες. εἰ δὲ μὴ τοιοῦτος ὁ πυρ-

πως εἴη, τὸ γυμνοῦν τοὺς πόδας, ἢ μαλακίας ἐστὶ τοῦ νοσοῦντος, ἢ ἄλυος σημεῖον. εἰ δὲ καὶ τὰς χεῖρας ἅμα τῷ τραχήλῳ καὶ τοῖς σκέλεσι, φαίνοιτο μὴ κατὰ τρόπον ἐσχηματισμένας ἔχων ὡς ἔμπροσθεν εἶπεν, ἀλλὰ διερριμμένα πως ἀνωμάλως εἴη ταῦτα τὰ μόρια, κακὸν τὸ σημεῖον, ἀλυσμὸν γὰρ ἔφη σημαίνεσθαι. τοῦτο δ' αὐτὸ τοὔνομα δηλοῖ τὸ δυσφορεῖν ἅπαντι σχήματι, καὶ μεταβάλλειν ἄλλοτε εἰς ἄλλο, καὶ εἰ γε σοῦ παρόντος ὡς εἴρηται κατακείμενος ὁ κάμνων αὐτίκα μεταβάλλοι τὸ πρότερον σχῆμα πρὸς ἕτερον, ἅμα τῷ καὶ τὰ κῶλα διερριμμένα ἀνωμάλως ἔχειν, ἢ καὶ τὴν τοῦ τραχήλου θέσιν, ἴσθι τοῦτον, ἢ διὰ τὴν τοῦ στομάχου κάκωσιν, ἢ δι' ἀρρωστίαν δυνάμεως ἀλύοντα, προσεπιλογιζόμενος κἀνταῦθα τὴν προαίρεσιν αὐτοῦ, μή τις τῶν μαλακωτέρων εἴη, καὶ πρὸς ἅπαν ἑτοίμως ἐνδιδόντων τε καὶ νικωμένων, εἰ καὶ μικρότατον ὑπάρχοι.

Θανατῶδες δὲ καὶ τὸ κεχηνότα καθεύδειν ἀεί.

Ἐπεὶ ἀτονίας καὶ τοῦτο σημεῖόν ἐστι, τῶν κλειόντων μυῶν τὸ στόμα, καθάπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τῶν τὰ βλέφαρα συναγόντων ἐρρέθη, ἡ γραφὴ μὲν οὕτως ἔχει καθότι γέγραπται νῦν ὑπ' ἐμοῦ, καὶ τά τε παλαιὰ τῶν ἀντιγράφων, οὐκ ἄλλην ἔχει. τινὰ δ' ὥσπερ καὶ τὰ τῶν περὶ Διοσκουρίδην, οὐ ταύτην ἀλλὰ τήνδε. χαλεπὸν δὲ καὶ τὸ κεχηνότα καθεύδειν ἀεί, σημείων ἐχούσας σύνοδον δύο. ἑνὸς μὲν τοῦ κεχηνέναι ἀεί, δευτέρου δὲ τοῦ καθεύδειν ἀεί. τὸ μὲν οὖν δεύτερον ὅτι μοχθηρόν ἐστι, κἂν χωρὶς τοῦ κεχηνέναι γίνηται, δεδήλωται πρὸς αὐτοῦ, καὶ κατὰ τὸν ἀφορισμὸν ἐκεῖνον ἔνθα φησίν, ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν. τὸ δὲ κεχηνέναι, πιθανώτερον μέν ἐστιν εἰρῆσθαι, μετὰ τοῦ καθεύδειν. οὕτως γὰρ ὡς τὰ πολλὰ φαίνεται γινόμενον. εἰ δὲ καὶ χωρὶς τοῦ καθεύδειν τινὶ συμβαίνει, πολὺ μείζονα τὴν κάκωσιν ἐνδείξεται.

Καὶ τὰ σκέλεα ὕπτιος κειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς, καὶ διαπεπλεγμένα.

Γράφεται γὰρ ἑκατέρως διὰ τοῦ γ. καὶ διὰ χ. σημαίνει δὲ τὰ διεστῶτα μέχρι πλείστου, καὶ εἴη ἂν ἄτοπος ἡ τοιαύτη κατάκλισις ὡς παραφροσύνην ἐμφαίνειν, οὐδενός γε οὕτως εἰθισμένου κοιμᾶσθαι. ὥσπερ οὐδ' εἰ διαπεπλεγμένα γράφοιτο, καὶ γὰρ οὕτως ἀλλόκοτος ἡ κατάκλισις, ἐὰν ὕπτιός τις κείμενος, ἔχῃ τὰ σκέλη συγκεκαμμένα τε καὶ ἀλλήλοις διαπεπλεγμένα.

Ἐπὶ γαστέρα δὲ κεῖσθαι ᾧ μὴ ξύνηθές ἐστι, καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων.

Ἀναμιμνήσκει συνεχῶς ἡμᾶς τοῦ πᾶσι ἅπασι συνεζευγμένου διορισμοῦ, τοῦ κατὰ τὴν συνήθειαν τοῦ νοσοῦντος γινομένου, καὶ γὰρ καὶ τὸ νῦν ἐπὶ τὴν γαστέρα κατακεῖσθαι παρὰ τὸ ἔθος, ἤτοι παραφροσύνην σημαίνει, καθάπερ ἐπὶ τῆς προειρημένης κατακλίσεως, ἢ ὀδύνην τινὰ τῶν ἐνταῦθα τινὸς μορίων, φαίνονται γὰρ οὐκ ὀλίγοι τῶν ὀδυνωμένων τὴν γαστέρα, τοῦτο αἱρούμενοι τὸ σχῆμα.

Ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα τῆς νούσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νουσήμασι, κάκιστον δ' ἐν τοῖσι περιπνευμονικοῖσι.

Αὐτοὶ λέγουσιν οἱ περιπνευμονικοί, στενοχωρίας αἰσθάνεσθαι κατὰ τὸν θώρακα, καὶ πνεύμονα πολλῆς ἐν ταῖς ὑπτίαις κατακλίσεσιν, εὐπνούστεροι δὲ ἀνακαθίζοντες γίνεσθαι. καταφέρεται γὰρ ὡς ἐπὶ τὴν ῥάχιν ἐπὶ ταῖς ὑπτίαις κατακλίσεσι, τὰ κατὰ τὸ στέρνον μέρη τοῦ θώρακος, ὑφ' ὧν συμβαίνει στενοχωρεῖσθαί τε τὸν πνεύμονα, καὶ μὴ δέχεσθαι τὸν ἱκανὸν ἀέρα, διὰ τὴν εἰσπνοήν. ἐν δὲ τοῖς ἄλλοις νοσήμασιν, ὅταν ἀκμάζῃ, τούτῳ γὰρ μάλιστα χρή σε προσέχειν τὸν νοῦν, ὡς οὐκ εἰκῆ προσκειμένῳ, χαλεπώτατόν ἐστιν ἀνακαθίζειν ἐθέλειν τὸν κάμνοντα. βούλονται γὰρ τηνικαῦτα μάλιστα κεκμηκότες, ἀκίνητοι κεῖσθαι, κἂν ἐπεγείρῃ τις αὐτούς, ἄχθονται. τεκμαίρου τοίνυν, ἤτοι γε ὑπὸ δυσπνοίας σφοδρᾶς, ἢ ἄλυος, ἢ παραφροσύνης ἀνακαθίζειν ἐπιχειρεῖν τὸν κάμνοντα, κατὰ τὴν ἀκμὴν τῆς νόσου.

Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν ὁκόσοισι μὴ ξύνηθές ἐστιν ἀπὸ παιδὸς, μανικὸν καὶ θανατῶδες, ἀλλὰ προλέγειν ἀπ' ἀμφοῖν κίνδυνον ἐσόμενον. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον γίνεται κάρτα ἤδη.

Σπασμωδῶς κινουμένων τῶν κροταφιτῶν τε καὶ μασητήρων μυῶν, αἱ πρίσεις τῶν ὀδόντων γίνονται. τισὶ μὲν αὐτῶν μόνων πεπονθότων τῶν μυῶν, ἤτοι ἐξ ἀρχῆς ἀπὸ γενέσεως, ἢ κατά τινα αἰτίαν ὕστερον. ἐνίοις δὲ τῆς ἀρχῆς τῶν νεύρων εἰς διάθεσιν ἀχθείσης τοιαύτην, ὑφ' ἧς μάλιστα δύνανται γίνεσθαι τῶν ἀπ' αὐτῆς πεφυκότων σπασμοί. ἐννοῆσαι γάρ σε χρὴ τὴν ἐξ ἀρχῆς ἑκάστου κατασκευὴν τῶν μορίων, ἰδίαν ἑκάστῳ γινομένην. ὑπὲρ ἧς εἴρηται μὲν, ἐν ἄλλοις ἐπὶ πλέον. ἀρκέσει δὲ καὶ νῦν ἅπαξ εἰπεῖν ἐν τῷδε κελεύσαντα μεμνῆσθαι τοῦ λοιποῦ πρὸς τὸ μὴ θαυμάζειν, ὅπως τῆς κοινῆς ἁπάντων νεύρων ἀρχῆς παθούσης, ἄλλοτε ἄλλος μῦς, ἤτοι τρομώδης γίνεται, ἢ σπασμώδης. ὥσπερ γὰρ ἐναργῶς ὁρῶμεν ἐνίοις μὲν σώμασιν ἀρίστην κατασκευὴν ὑπάρχουσαν σκελῶν, ἐνίοις δὲ χειρίστην εὐθὺς κατ' ἀρχάς, ὡς τοὺς μὲν ὠκύτατα θεῖν, τοὺς δὲ μόγις ἵστασθαι, καὶ κατ' ἄλλα μόρια ὡσαύτως. οὕτω δὲ καὶ τὸ βλάπτεσθαι ῥᾳδίως ἐπὶ μικραῖς προφάσεσιν, ἐνίους μὲν τὰ σκέλη, τινὰς δὲ ἄκρους πόδας, ἢ ὀφθαλμοὺς, ἢ κεφαλήν, ἤ τι τῶν ἄλλων, εὐθὺς ἐξ ἀρχῆς ἕπεται ταῖς κατασκευαῖς τῶν σωμάτων. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ τῶν μυῶν, ἐνίοις μὲν ἀσθενεῖς οἱ τοὺς ὀφθαλμοὺς κινοῦντες, ἐνίοις δὲ οἱ τὰς γένυας εἰσί, δι' οὓς οὗτοι μὲν, ἢ ἀεὶ πρίουσι τοὺς ὀδόντας, ἢ ἐπὶ μικραῖς προφάσεσιν. ἐκεῖνοι δὲ διὰ παντὸς κινοῦσι τοὺς ὀφθαλμούς. τὸ μὲν γὰρ φύσει πρίειν τοὺς ὀδόντας, ὅμοιόν ἐστι τῷ κατὰ τοὺς ὀφθαλμοὺς πάθει συγγινομένῳ τισίν, ὃ προσαγορεύουσιν ἵππον. οὐ δυναμένων αὐτῶν ἑδραίων μεῖναι χρόνον οὐδένα, σαλευομένων δὲ ἀεὶ τρομωδῶς. τὸ δὲ ἐν ταῖς πυρετώδεσι νόσοις, ἐπὶ τῷ τῆς ἀρχῆς πάθει γίνεσθαι τὸν σπασμὸν αὐτοῖς, ὅμοιόν ἐστι πάλιν ἐκείνῃ τῇ κατασκευῇ, τῶν κατὰ τῶν ὀφθαλμῶν μυῶν, ἐφ' ὧν εἶπεν,

ἢ ἐνδιαιωρούμενοι φαίνονται. κατά τινα μὲν γὰρ σώματα θᾶττον ἀπολαμβάνουσι τῶν τῆς ἀρχῆς παθημάτων οἱ κατὰ τοὺς ὀφθαλμοὺς μῦες, κατά τινα δὲ οἱ κροταφῖται, καὶ οἱ μασητῆρες. εἰκότως οὖν ἔφη τὸ σύμπτωμα τοῦτο, καὶ μανικὸν εἶναι καὶ θανατῶδες. μανικὸν μὲν, ὡς εἰ καὶ παρακοπτικὸν ἰσχυρῶς εἰρήκει. θανατῶδες δὲ, διὰ τὴν τῆς ἀρχῆς βλάβην. ἀλλ' ἐκεῖνό γε ζητήσεως ἄξιον, ὅπως εἰπὼν αὐτὸς, εἶναι μανικὸν αὐτό. μετὰ ταῦτα φησίν. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα ἤδη γίνεται. πρόδηλον γὰρ ὡς εἴπερ ἀγγέλλει παραφροσύνην τὸ πρίειν τοὺς ὀδόντας, οὐκέτι παύσαιτ' ἄν. ἀλλὰ καὶ σφοδροτέρα γένοιτο τῆς παραφροσύνης ἀφικνουμένης, σὺν τῷ καὶ ἄλλους τινὰς μύας εἰς τὴν αὐτὴν ἀχθῆναι τηνικαῦτα διάθεσιν. ἔοικεν οὖν ἡ διάνοια τοῦ λόγου τοιαύτη τις εἶναι, τὸ πρίειν τοὺς ὀδόντας, οἷς οὐκ ἦν ἔθος ἐξ ἀρχῆς, παραφροσύνης ἐσομένης σύμπτωμά ἐστιν. εἰ μέντοι ποτὲ ἐπ' ἄρρωστον ἀφικόμενος, εὕροις αὐτὸν ἀμφότερα πάσχοντα, παραφρονοῦντά τε καὶ πρίοντα τοὺς ὀδόντας, ἐγγὺς ἤδη τοῦτον ἥκειν ὀλέθρου τεκμαίρου, ὥστε κατὰ μὲν τὸν πρότερον λόγον, ὅτε οὔπω παραπαίων ἔπρισεν ὁ κάμνων τοὺς ὀδόντας, 10
ἁπλῶς αὐτὸ τοῦτο προδηλοῦσθαι μόνον, ὡς παρακοπτικόν τέ ἐστι καὶ ὀλέθριον αὐτῷ τὸ σημεῖον. ἡνίκα δ' ἤδη παραφρονεῖ σὺν τῷ πρίειν τοὺς ὀδόντας, ἐγγὺς ἐνδείκνυται θάνατον. ἐδήλωσε δὲ τοῦτο σαφῶς αὐτὸς, ἐν τῷ προσθεῖναι τὸ ἤδη. ὅτι μὲν γὰρ ἐστι θανατῶδες τὸ σύμπτωμα, καὶ κατὰ τὸν ἔμπροσθεν εἰρήκει λόγον. ἐν δὲ τῷ δευτέρῳ, τό, τε κάρτα καὶ τὸ ἤδη προσέθηκεν, εἰπὼν ὀλέθριον ἤδη κάρτα γίνεται, τουτέστι λίαν ὀλέθριον, ὅπερ ἐστὶν οὐκ εἰς μακρὰν, ἀλλὰ διὰ ταχέων τεθνήξεσθαι τὸν κάμνοντα.

Ἕλκος δὲ ἢν τε καὶ προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νόσῳ γένηται καταμανθάνειν χρή. ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου πελιδνόν τε καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

Ξηρὸν μὲν ἔσται πάντως τὸ ἕλκος ἀρρωστίᾳ τῆς τρεφούσης τὸ σῶμα δυνάμεως. χρόα δὲ οὐδεμία διὰ παντὸς αὐτῷ 20
γενήσεται, ἀλλὰ παρά τε τὸ διαφορόντως ἔχειν τὰ σώματα, πρὸς ἄλληλα τοῖς χυμοῖς, καὶ παρὰ τὸ ποσὸν τῆς βλάβης ὑπαλλαχθήσεται. τῶν μὲν γὰρ χολωδῶν ἐπικρατούντων, ὠχρὸν ἔσται τὸ χρῶμα. τῶν δὲ μελαγχολικῶν, ἤτοι πελιδνὸν, ἢ κατὰ τὸ ἕτερον τῶν σημαινομένων χλωρόν. εἴπομεν δὲ ἔμπροσθεν ὡς τὸ χλωρὸν ἐνίοτε μὲν σημαίνει ταὐτὸν τῷ ὠχρῷ, ἐνίοτε δὲ τὸ οἷον ἰῶδες τῇ χρόᾳ, καθ' ὃ σημαινόμενον εἰώθασι καὶ κράμβας χλωρὰς λέγειν οἱ ἄνθρωποι. οὕτω δὲ καὶ ἡ βλάβη, πελιδνὸν μὲν ἡ μείζων ἐργάζεται, πλησίον γὰρ ἔσται τοῦτο τοῦ μέλανος. ἐρυθρὸν δὲ καὶ χλωρὸν, ἡ ἐλάττων, διὸ καὶ τὴν τελευτὴν τῆς ῥήσεως ἔνιοι μὲν οὕτως γράφουσιν, ἢ ὠχρόν τε καὶ ξηρόν. ἔνιοι δὲ ἐκείνως, ἢ χλωρόν τε καὶ ξηρόν.

Περὶ δὲ χειρῶν φορῆς, τάδε γινώσκειν χρή. ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσι, ἢ περιπνευμονίῃσιν, ἢ ἐν φρενίτισι, καὶ ἐν κεφαλαλγίῃσι πρὸ τοῦ προσώπου φερομένας, καὶ θηρευούσας διὰ κενῆς, καὶ ἀποκαρφολογούσας, καὶ κροκίδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας, καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς καὶ θανατώδεας. 30

Αἱ τῶν χειρῶν φοραὶ, τουτέστιν ἐνέργειαί τε καὶ κινήσεις ἃς εἴρηκε νῦν, ὑπὸ φαντασίας γίνονται, παραπλησίως τῇ τῶν ὑποχεομένων. ἐκεῖνοί τε γὰρ ὅσα κατὰ τὴν μεταξὺ χώραν ὁρῶσι, τοῦ τε κρυσταλλοειδοῦς ὑγροῦ, καὶ τοῦ περὶ τὴν κόρην κερατοειδοῦς χιτῶνος, ἐκτὸς ὑποκεῖσθαι δοξάζουσιν. ἐπειδὴ διὰ παντὸς εἰθίσθησαν ἐν τῷ κατὰ φύσιν ἔχειν, ὁρᾶν τὰ πράγματα ἐπὶ τὸν ἔμπροσθεν ἑαυτῶν ἀέρα. τὸν αὐτὸν δὲ τρόπον οἱ νῦν οὗτοι περὶ ὧν Ἱπποκράτης ἔγραψεν, ἐν πυρετοῖσιν ὀξέσι καὶ περιπνευμονίῃσι καὶ φρενίτισι καὶ κεφαλαλγίῃσι, ὁρᾶν δοκοῦσιν ὡς ἐκτὸς ὑποκείμενα, τὰ ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἔνδον ἐόντα. δέδεικται γὰρ ὅτι τὸ πνεῦμα, τὸ ὀπτικὸν αὐγοειδὲς ὂν, ἑαυτῷ συνομοιοῖ, τὸ μεταξὺ τοῦ τε κρυσταλλοειδοῦς, καὶ τῆς κόρης ὑγρὸν, λεπτὸν καὶ καθαρὸν ὑπάρχον. ὁμοιότατον τῷ περιεχομένῳ 40
κατὰ τὰ ᾠὰ, ᾧ καὶ κατὰ τὰς ὀφθαλμίας χρώμεθα. δέδεικται δ' ὅτι καὶ διὰ τούτου τοῦ ὑγροῦ φέρεται τὸ πνεῦμα κατὰ τὸ τῆς κόρης τρῆμα, πρὸς τὸν ἀέρα τὸν ἐκτὸς συμπαγὲς αὐτῷ γινόμενον. ἀλλὰ καὶ ὅτι τούτῳ τῷ ἀέρι συμφωτισθέντι, χρῆται καθάπερ ὀργάνῳ συμφύτῳ τοιούτῳ τὴν δύναμιν ὄντι, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρον ἐστίν. ὑπὸ δέδεικται καὶ τοῦτο κατὰ τοὺς ἰδίους τῆς ὄψεως λόγους, ὡς ἐν τῷ τρισκαιδεκάτῳ περὶ ἀποδείξεως ἐν τῷ ἑβδόμῳ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἔγραψα. λέλεκται δ' οὐκ ὀλίγα περὶ αὐτοῦ, καὶ κατὰ τὸ δέκατον τῶν περὶ χρείας μορίων. ὡς οὖν διὰ τοῦ νεύρου τῶν κατὰ τὸν δάκτυλον εἰ τύχοι, τοῦ ποδὸς αἰσθάνεται παθημάτων ὁ ἐγκέφαλος, οὕτω καὶ διὰ τοῦ πέριξ ἀέρος, τῶν ἐκτὸς ὑποκειμένων ὁρατῶν, ὅσα γε σύμμετρον ἀφεστήκει αὐτοῦ. τὰ τοίνυν ὑποχύματα, κατὰ τοῦτο γίνεται τὸ ὑγρὸν, ὃ παραπλήσιον ἐστὶν ὡς ἔφην τῷ λευκῷ τε καὶ λεπτῷ τοῦ ᾠοῦ, ὃ μεταξὺ κεῖται τῆς κόρης καὶ τοῦ κρυσταλλοειδοῦς. κατὰ τοῦτο δὲ καὶ τῶν ἀποπτόντων ἐνίοις, φαντασίαι παραπλήσιαι τοῖς ὑποχεομένοις γίνονται. ὅπου γὰρ αὐτίκα τι μέλαν ὑγρὸν, ἢ παχὺ κωλύον ἔξω διεκπίπτειν τὴν ὀπτικὴν 50
αὐγὴν, ἐκεῖ φαντασίαι γίνονται, ἐπὶ τὴν τοῦ συνεστῶτος ὑγροῦ φύσιν. ἐνίοτε μὲν οἷον τριχῶν τινῶν, ἢ κροκῆς, ἢ στήμονος, ἐνίοτε δὲ κωνωπίων μελάνων, ἢ μυῶν παραπέτασθαι δοκούντων. ἔστιν ὅτε δὲ καὶ φακοῖς ὅμοιον, ἢ κέγχροις μέλασιν. οὕτως οὖν συμβαίνει κατὰ τοὺς ὀξεῖς πυρετοὺς, καὶ κατὰ τὰς περιπνευμονίας, ἄγαν ἀναθυμιωμένων ὑπὸ τὴν κεφαλὴν τῶν ἐν τῷ σώματι χυμῶν, συναπολαύειν τῆς ἀναθυμιάσεως αὐτῶν, τὸ ἐπὶ τὴν κόρην ὑγρὸν ἐκεῖνο τὸ καθαρόν. ὅπῃ δ' ἂν καὶ ὅπως αὐτὸ θολωθῇ, τὰ προειρημένα γίνεται φαντάσματα. ἐπὶ δὲ τὰς ἰσχυρὰς κεφαλαλγίας, ὥσπερ οὖν καὶ κατὰ τὰς φρενίτιδας, διὰ τὸ πεπληρῶσθαι τὴν κεφαλὴν, ἀφικνουμένων τε τῶν χυμῶν ὑπὸ τοὺς ὀφθαλμοὺς, τῶν αὐτῶν συμπτωμάτων αἴτιον γίνεται. καὶ τό γε κροκιδίζειν καὶ καρφολογεῖν ἐθισμένα τοῖς ἰατροῖς ἅπασι, ῥήματα ἐπὶ τῶν φρενιτιζόντων λέγεσθαι, τὴν θέσιν ἐντεῦθεν ἔλαβεν. ἔνιοι γοῦν ἡρμήνευσαν ἡμῖν, τήν τε

τῶν κροκίδων, καὶ τὴν τῶν ἀχύρων φαντασίαν, ἐν αὐτῷ τε τῷ γίγνεσθαι, καὶ μετὰ ταῦθ' ὕστερον ἀπομνημονευσάντων. ἔστι δ' αὐτῶν ἡ διαφορὰ διττή. τινὲς μὲν γὰρ ἐν αὐταῖς ταῖς αἰσθητικαῖς φαντασίαις τὸ παραφρονεῖν ἐκτήσαντο, τῆς κριτικῆς δυνάμεως ἐρρωμένης. ἔνιοι δὲ καὶ διὰ φρόνησιν ὑπορβάλλουσαν, ὅμως καί τοι πεπονθότων, ἐπὶ βραχὺ τὴν κριτικὴν δύναμιν, αὐτέχον καὶ ἀνήνεγκαν, ὡς ἐνικῆσαι τε καὶ ἀπομαχέσασθαι, καὶ παρακολουθῆσαι τοῖς γιγνομένοις. αὐτοὶ τοίνυν ἐδήλωσαν ἡμῖν ἐπὶ τίσι φαντάσμασιν ἐκίνουν τὰς χεῖρας, ὡς Ἱπποκράτης ἔγραψεν. ἐδόκει μὲν γὰρ αὐτοῖς ἐσθῆσιν, αἱ τῶν ἱματίων κροκίδες πολλαχόθι, καὶ τοῖς τοίχοις ἄχυρα προσκεῖσθαι, πολλάκις δὲ καὶ κάρφη πολλὰ ἐπὶ τὴν στρωμνὴν ἐπικεῖσθαι, καὶ παραπέτασθαι ζῶα μικρὰ πλησίον τῶν ὀφθαλμῶν. ταῦτα μὲν οὖν θηρεύειν ἐπιχειροῦσι, περιφέροντες τὰς χεῖρας ὡς τι ληψόμενοι. τὰ δ' ἄλλα ἐξέχειν φαινόμενα, τὰ μὲν ἀπὸ τῶν ἱματίων ἀφαιρεῖν ἐπιχειροῦσι, τὰ δ' ἀποσπᾶν τοῦ τοίχου. χαλεπαὶ δ' εἰσὶν εἰκότως αἱ ποιοῦσαι τὰ τοιαῦτα συμπτώ-
10 ματα διαθέσεις, ὡς αὖ τοῦ μὲν ὀξέως πυρετοῦ, καὶ τῆς περιπνευμονίας, καὶ τῆς κεφαλαλγίας διὰ μέγεθος χυμῶν ἐργαζομένων αὐτά. τῆς δὲ φρενίτιδος διὰ τὸ κύριον τοῦ πεπονθότος μορίου, ταύτης μὲν ἐν ὅλον τὸ γένος ὀλέθριον, αἱ περὶ δὲ καὶ αἱ περιπνευμονίαι, καὶ αἱ κεφαλαλγίαι, κατὰ τὸ μέγεθος, ὡς εἴρηται.

Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται.

Ταύτην τὴν ῥῆσιν ὅλην, ἐν τῷ τρίτῳ τῶν περὶ δυσπνοίας ἐξήγημαι πλειῶστα, διὸ καὶ νῦν ἐρῶ μόνα τὰ κεφάλαια. πνεῦμα μὲν ὀνομάζει κατὰ τόνδε τὸν λόγον ὁ Ἱπποκράτης, ὅλην τὴν ἀναπνοήν. φησὶ δὲ πυκνὴν αὐτὴν γινομένην, ἐνίοτε μὲν ἄλγημα σημαίνειν. ἐνίοτε δὲ τῶν κατὰ θώρακα μορίων φλόγωσιν, ἅπερ ἐστὶ καρδία
20 τε καὶ πνεύμων ὑπὲρ τὸ διάφραγμα τὴν θέσιν ἔχοντα. φρένας γὰρ καὶ διάφραγμα ἐκάλουν οἱ παλαιοὶ ταυτό. ἐν μὲν οὖν τοῖς ἀλγήμασι ἐδείχθη τούτῳ μικρὸν καὶ πυκνὸν γινόμενον τὸ πνεῦμα, κατὰ δὲ τὰς φλογώσεις, πυκνὸν καὶ μέγα. ταύτας γὰρ εἰώθασιν ὀνομάζειν φλεγμονάς. τὸ δ' ἀραιὸν πνεῦμα, τουτέστι τὸ διὰ πολλοῦ, μετὰ μεγέθους μὲν παραφροσύνην σημαίνει. μετὰ δὲ σμικρότητος, σβέσιν τῆς ἐμφύτου θερμότητος. ἀλλὰ ταύτην γε τὴν διάθεσιν, ἐκ τοῦ συμβεβηκότος ἐδήλωσεν εἰπών. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. ὅτι δὲ τούτων τῶν δυσπνοιῶν ἐμνημόνευσε μόνον ἐν τῷ προγνωστικῷ, τὴν διδασκαλίαν περὶ τῶν ὀξέων νοσημάτων ποιούμενος. ἔτι τε κατὰ τὰ τῶν ἐπιδημιῶν, ὡς περὶ πλειόνων δυσπνοιῶν οὐσῶν ἐποιήσατο τὸν λόγον, ἐν τῷ τρίτῳ περὶ δυσπνοίας ἐπιδέδεικται.

Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν
30 ὀξέσιν νοσήμασιν, ὁκόσα ξὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

Τὴν κατὰ φύσιν ἀναπνοὴν εὔπνοιαν εἴρηκεν. ἐνδεικνυμένην μήτε θώρακα, μήτε καρδίαν καὶ πνεύμονα, μήτε τὰς φρένας ὀδυνηρόν τι πάθος ἔχειν, ἀλλὰ μηδὲ τῶν συνημμένων αὐτοῖς μορίων τινά. κινούμενα γὰρ ἐπὶ τὰς ἀναπνοὰς ὀδυνᾶται, καὶ αὐτὰ φλεγμαίνοντά τε καὶ ὁπωσοῦν ἔχοντά τι πάθος ὀδυνηρόν. ἔστι δὲ ταῦτα κοιλία, σπλὴν, ἧπαρ. ὅταν οὖν μήτε τι τούτων πάσχῃ, μήτε θερμασίας πλῆθος ἢ τοσοῦτον, ὡς διακαίεσθαί τε καὶ φλέγεσθαι δοκεῖν, ἀλλὰ μηδὲ τοὐναντίον ὡς ἤδη σβέννυσθαι τὴν ἔμφυτον θερμότητα, πῶς οὐκ ἂν τις φαίη τὸν κάμνοντα πολλὰς ἐλπίδας ἔχειν σωτηρίας; ἐπί γε τῶν ὀξέων νοσημάτων, ἐφ' ὧν ἤτοι διὰ τὸ μέγεθος τῶν πυρετῶν, ἢ διὰ τὴν ἰδίως ὀνομαζομένην φλεγμονὴν οἱ κίνδυνοι γίνονται. τὰ μέντοι χρόνια καὶ χωρὶς τούτων, τῷ καταλύειν τὴν δύναμιν, οὐκ ἀκίνδυνα. διὰ τοῦτ' οὖν ἐξεῖλεν αὐτὰ τοῦ λόγου, καὶ περὶ μόνων ἀπεφήνατο τῶν ὀξέων. ὄντων δὲ τούτων διττῶν, ἐπειδὴ τὰ μὲν ἁπλῶς τε καὶ πρώτως ἐστὶν ὀξέα, τὰ δὲ ἐκ μεταπτώσεως τούτων γίνεται, περὶ ἀμφοτέρων ἐδήλω-
40 σεν εἰπών. ὁκόσα σὺν πυρετοῖσιν ἐστὶ, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τὸ μὲν οὖν σὺν πυρετοῖς προσθεὶς, ἵνα χωρίσῃ ταῦτα σπασμοῦ, καὶ τετάνου, καὶ χολέρας, ὅσα τ' ἄλλα χωρὶς πυρετῶν ἐστὶν ὀξέα. τὸ δὲ ἐν τεσσαράκοντα ἡμέρῃσιν κρίνεσθαι, χάριν τοῦ συγκαταριθμῆσαι τοῖς ἁπλῶς τε καὶ κυρίως λεγομένοις ὀξέσι, τὰ ἐκ μεταπτώσεως ὀξέα. γίνεται δὲ ταῦτα, κατ' ἀρχὰς μὲν ὀξέως νοσησάντων, ὕστερον δὲ κατὰ τὴν ιδ. ἡμέραν, ἢ καὶ πρὸ αὐτῆς κριθέντων οὐ τελέως, ἄλλος τε τι λείψανον τῆς νόσου μέχρι τῆς τεσσαρακοστῆς ἡμέρας ἐκταθῆναι. μετάπτωσις μὲν γὰρ ἐν ταῖς ἐλλιπέσι κρίσεσι γίνεται τῶν ὀξέων νοσημάτων, οὐκ εἰς ταῦτα μόνον, ἀλλὰ καὶ τῶν χρονίων ἔνια, καὶ μάλιστα εἰς μαρασμὸν, καὶ τεταρταῖον ἐμπύημά τε καὶ φθόην, καὶ ὕδρωπας. ἀλλ' ὅγε Ἱπποκράτης ἐξαιρεῖ τοῦ παρόντος λόγου κἀκεῖνα. μόνοις τοῖς ἁπλῶς ὀξέσιν, ὅσα σὺν πυρετῷ γίνεται, καὶ τοῖς ἐκ μεταπτώσεως αὐτῶν εἰς τεσσαρακοστὴν ἡμέραν ἀφικνουμένοις, ἄριστον εἶναι σημεῖον ἀποφηνάμενος τὴν εὔπνοιαν, οὔτε δὲ τοῖς ἄνευ πυρετῶν ὀξέσιν ἅπασιν, οὔτε τοῖς χρονίοις, ὡς εἶναι τὰ πάντα τρία γένη τῶν νοσημάτων ἐν τῇ περὶ χρόνον διαφορᾷ. ἐν μέσῳ τῶν ὀξέων
50 τεσσαρεσκαίδεκα κρινομένων ἡμέραις, ἀντικειμένων αὐτῷ τῶν χρονίων, ἐπαμφοτερίζον καὶ οἷον ἐν μεθορίῳ τεταγμένον ἀμφοῖν ἄλλο τρίτον, οὗ πέρας ἐστὶ τῶν κρισίμων ἡμερῶν ἡ τεσσαρακοστή. ταῦτα μὲν οὖν ἐγὼ λέγω τοῖς ἐναργῶς φαινομένοις ἐπὶ τῶν νοσούντων ὁμολογοῦντα, καὶ ὅς τις αὐτὰ ἐπ' ἐκείνων βασανίσει, γνώσεται τὴν τῶν πραγμάτων φύσιν οὕτως ἔχουσαν. ὅσοι δὲ καὶ τὸ ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι κρίνεσθαι τὰ ὀξέα νοσήματα, λέγουσιν εἰρῆσθαι τὸν ἀριθμὸν τῶν κρισίμων ἡμερῶν διδάσκοντος ἡμᾶς τοῦ παλαιοῦ, πρὸς τῷ μὴ γινώσκειν ἃ μάλιστα ἐχρῆν αὐτοὺς ἐπίστασθαι, καὶ τῶν λέξεων οὐκ ἀκούουσιν. εἰ γὰρ καὶ τὸ τεσσαρεσκαίδεκα ἡμέραις κρίνεσθαι τὰ ὀξέα νοσήματα, δηλωτικόν ἐστι τοῦ πλήθους τῶν κρισίμων ἡμερῶν ὁπόσων ἐστὶ, καὶ τὸ ἐν τεσσαράκοντα ἡμέραις κρίνεσθαι, τὸν ἀριθμὸν δηλώσει τῶν κρισίμων ἡμερῶν. ζητησάτωσαν οὖν ὥσπερ ἐν ταῖς τεσσαρεσκαίδεκα ποιοῦσι τὰς ἕως τῆς τεσσαρακοστῆς, οὕτως καὶ τὰς νῦν εἰρημένας τεσσαράκοντα ποιῆσαι.

Οἱ ἱδρῶτες ἄριστοι μὲν εἰσὶν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσοι ἂν ἐν ἡμέρῃσί τε κρισίμοισι γίνονται, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάξωσι. ἀγαθοὶ δὲ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημα. οἱ δ' ἂν μὴ τουτέων τι ἐξεργάσωνται, οὐ λυσιτελέες. κάκιστοι δὲ οἱ ψυχροί τε καὶ μοῦνον περὶ τὴν κεφαλὴν γινόμενοι, καὶ τὸ πρόσωπον, καὶ τὸν αὐχένα. οὗτοι γὰρ ξὺν μὲν ὀξεῖ πυρετῷ θάνατον προσημαίνουσι, ξὺν δὲ πρηϋτέρῳ μῆκος νούσου. καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι τοῖσι περὶ τὴν κεφαλήν. οἱ δὲ κεγχροειδέες, καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι πονηροί. οἱ δὲ μετὰ σταλαγμῶν, καὶ ἀτμίζοντες, ἀγαθοί. κατανοεῖν δὲ χρὴ τὸ σύνολον τῶν ἱδρώτων. γίνονται γὰρ οἱ μὲν δι' ἔκλυσιν σωμάτων, οἱ δὲ διὰ συντονίην φλεγμονῆς.

Ἐπὶ μὲν τῶν ἀρίστων ἱδρώτων δύο γράψας γνωρίσματα, τὸ τρίτον παρέλιπεν, ὡς ἐξ ἀνάγκης ἑπόμενον οἷς εἶπεν. ὅσοι γὰρ ἐν ἡμέραις τε κρισίμοις γίνωνται, καὶ τελέως τῶν πυρετῶν ἀπαλλάξουσι τὸν κάμνοντα, οὗτοι καὶ δι' ὅλου τοῦ σώματός εἰσιν. ἐν δὲ τοῖς ἀγαθοῖς μὲν οὐ μὴν ἀρίστοις γε, τὸ δι' ὅλου τοῦ σώματος γίνεσθαι καὶ τὸ καθελεῖν τι τῆς νόσου γράψας, οὐδὲν ἔτι προσέθηκε περὶ τῶν κρισίμων ἡμερῶν, ὡς ἐξ ἀνάγκης αὖ πάλιν καὶ τούτου συνεπομένου τοῖς ἀγαθοῖς ἱδρῶσι. τρίτη δ' ἄλλη τάξις ἱδρώτων ἐστὶ μετρίως κακῶν, ὑπὲρ ὧν εἶπεν. οἱ δ' ἂν μηδὲν τουτέων ἐργάσωνται, οὐ λυσιτελέες, τουτέστι τό τε δι' ὅλου τοῦ σώματος γίνεσθαι, καὶ τὸ μὴ τὸν κάμνοντα ποιεῖν εὐπετέστερον φέρειν τὴν νόσον. αὐτῶν δὲ τούτων, εὔδηλον ὅτι χείρους μέν εἰσιν οἱ μηδέτερον τούτων ἐργασάμενοι, μετριώτεροι δὲ οἱ τὸ ἕτερον. αὖθις δὲ πάλιν αὐτῶν τούτων, οἱ μὲν εὐπετέστερον φέρειν τὴν νόσον ἐργασάμενοι, μετριώτεροι, κἂν μὴ δι' ὅλου τοῦ σώματος γίνωνται. χείρους δ' οἱ βαρύτερον ἀποδείξαντες τὸ νόσημα, κἂν εἰς ὅλον ἐκταθῶσι τὸ σῶμα. τούτοις μὲν οὖν ἅπασιν ὑπάρχει τοῖς ἱδρῶσι, θερμοῖς εἶναι, καὶ διὰ τοῦτ' οὐδὲ κατὰ μίαν τῶν τριῶν τάξεων ἐδίδαξεν αὐτό, παραλείπειν εἰθισμένος, ὅσα τε ἐξ ἀνάγκης ἕπεται τισί, καὶ ὅσα διὰ τῆς τῶν ἐφεξῆς λεγομένων ἀντιθέσεως δηλοῦται. πᾶσι δὲ τοῖς προειρημένοις κατὰ τοῦτον τὸν λόγον ἱδρῶσιν ἀντιτίθησι τοὺς ψυχρούς, εἰπὼν ὧδε. κάκιστοι δὲ καὶ οἱ ψυχροί, καὶ σὺν αὐτοῖς κακοὺς εἶναι φησίν, ὅσοι περὶ τὴν κεφαλήν, καὶ τὸν αὐχένα γίνονται κἂν μὴ ψυχροὶ τυγχάνωσιν ὄντες, ἀπειλοῦσι γὰρ οὗτοι συγκοπήν. εἰ δ' ἅμα τε περὶ ταῦτα γίνωνται τὰ μέρη, καὶ ψυχροὶ φαίνονται, χείριστοι πάντων εἰσίν. οὐ γὰρ ἔτι μέλλειν, ἀλλ' ἄρχεσθαι δηλοῦσιν ἤδη τὴν συγκοπήν. ἀποδιορίζονται δὲ τῇ σφοδρότητι τοῦ πυρετοῦ. εἰ μὲν γὰρ ὀξεῖς ὑπάρχουσι θάνατον οἴσουσι πάντως οἵτε ψυχροί, κἂν δι' ὅλου γίνονται τοῦ σώματος, οἵτε περὶ τὸν τράχηλον καὶ κεφαλήν, εἰ καὶ θερμοὶ τύχοιεν ὄντες. εἰ δὲ καὶ πρᾷος ὁ πυρετὸς εἴη, δυνήσεταί ποτε πέψαι τοὺς μοχθηρούς, ἡ δύναμις ἐν τῷ χρόνῳ, μὴ φθάσασα προαναλωθῆναι τῇ τοῦ πυρετοῦ ὀξύτητι. περὶ μέντοι τῶν κρισίμων ἡμερῶν, οὐκέτι οὐδὲν εἶπεν ἐπὶ τῶν ἄλλων ἱδρώτων, καίτοι γε ἐν τοῖς περὶ τῶν ἀρίστων εἶπεν ἐν ἀρχῇ. διότι τε μέλλει δύναμίν τινα τῶν κρισίμων ἐν τῷ περὶ αὐτῶν λόγῳ διδάσκειν, ἐν αὐτῇ τε τῇ ῥήσει συνενεδείξατο. μία γὰρ αὐτῶν ἐστιν ἡ δύναμις πιστὴν ἐργάσασθαι τὴν κρίσιν, ἄν τε εἰς ἀγαθόν, ἄν τε εἰς κακὸν τελευτήσῃ. γινώσκειν δὲ χρὴ τὴν τελευτὴν τῆς προκειμένης ῥήσεως ὑπὸ τῶν περὶ τὸν Διοσκορίδην γεγραμμένην, κατὰ τήνδε τὴν λέξιν. κάκιστοι δ' οἱ ψυχροί, καὶ μόνοι περὶ τὴν κεφαλὴν γινόμενοι, καὶ τὸν αὐχένα, οὗτοι γὰρ θάνατον σημαίνουσιν, ἢ μῆκος νόσου. δῆλον δ' ὅτι καὶ ἡ τοιαύτη γραφή, συντομωτέρα μὲν ἐστὶ τῆς προτέρας. δύναμιν δὲ τὴν αὐτὴν ἔχει, καὶ δεήσει προσθεῖναι τὸν ἐξηγητήν, ὅπερ ἐπὶ τῆς προτέρας ἤδη γέγραπται, σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον, σὺν δὲ πρηϋτέρῳ, μῆκος νόσου. ἐφεξῆς τούτων γέγραπται τινὰ περὶ ἱδρώτων, ἃ οὐκ εἰσὶν ἐν ἅπασι τοῖς ἀντιγράφοις, ἃ καλῶς ἄλλοι τε τινὲς ἐξεῖλον ὡς οὐχ Ἱπποκράτους, καὶ οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοσκορίδην.

Ὑποχόνδριον δὲ ἄριστον ἀνώδυνόν τε ἐόν, καὶ μαλθακόν, καὶ ὁμαλόν, καὶ ἐπὶ δεξιά, καὶ ἐπ' ἀριστερά. φλεγμαῖνον δέ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενον τὰ δεξιὰ πρὸς τὰ ἀριστερά, ταῦτα πάντα φυλάσσεσθαι χρή.

Ἑνὶ μὲν λόγῳ βραχυτάτῳ, περιλαβὼν ἄν τις εἴποι τὸ τῷ κατὰ φύσιν ὁμοιότατον ὑποχόνδριον ἄριστον εἶναι. κατὰ μέρος δὲ αὐτὸ διδάσκων ὁ Ἱπποκράτης τὰ γνωρίσματα, τὸ μὲν πρῶτον αὐτῶν ἐκ τῶν οὐχ ὑπαρχόντων εἶπεν, ἃ δὴ καλεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἀποσυμβεβηκότα. τὰ δ' ἐφεξῆς δύο γνωρίσματα τῶν συμβεβηκότων ἐστὶ τοῖς ὑποχονδρίοις. ἀνώδυνον μὲν οὖν ὑποχόνδριον, ἐκ τοῦ μὴ συμβεβηκότος αὐτῷ λέλεκται, μαλθακὸν δὲ καὶ ὁμαλόν, ἐξ ὑπαρχόντων τινῶν. ἀλλὰ τὸ μὲν μαλθακόν, ἐκ τοῦ συμμέτρου τῆς ἀντιβάσεως γνωρίζεται. τὸ γὰρ ἀντικείμενον αὐτῷ, τὸ σφοδρῶς ἀντιβαῖνον, σκληρόν ἐστι. τὸ δ' ὁμαλόν, οὐ κατὰ μίαν μόνην τήνδε νοεῖται τὴν ποιότητα. δύναται γὰρ ὁμοίως μὲν εἶναι μαλθακὸν ἅπαν. ἤτοι δὲ κατά τι μὲν ἀνώδυνον ὑπάρχειν, κατά τι δ' ὀδυνώμενον, ἢ τὸ μὲν ἑαυτοῦ θερμότερον εἶναι, τὸ δὲ ψυχρότερον, ἢ τὸ μὲν ὑψηλότερον, τὸ δὲ ταπεινότερον. ὅθεν ἀντιθεὶς τῷ ἀρίστῳ, καὶ ὁμαλῷ τὰ τοῦ χειρίστου, καὶ ἀνωμάλου γνωρίσματα φησίν, φλεγμαῖνον δὲ ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενον τὰ δεξιὰ πρὸς τὰ ἀριστερά. τὸ μὲν φλεγμαῖνον εἶπε, καθ' ὅλου τοῦ ὑποχονδρίου. σημαίνει δὲ δηλονότι τοῦτο τὸ ῥῆμα, τὸ φλεγμαίνειν, ὡς εἰ καὶ διακαίεσθαι, καὶ φλέγεσθαι, καὶ πυροῦσθαι λέγοιτο. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὸ τὴν ὀδύνην παρέχον ἐφ' ὅλου λέγεται τοῦ ὑποχονδρίου, καθάπερ γε καὶ τὸ τεταμένον. ἐφ' ὅλου γὰρ εἴρηται, καὶ τοῦτο τὸ ἀνωμάλως διακείμενον, ὅταν μὴ πᾶν ἔχῃ τὸ ὑποχόνδριον τὴν αὐτὴν διάθεσιν, ἢ κατὰ θερμασίαν, ἢ κατὰ ψύξιν, ἢ κατ' ὀδύνην τε καὶ ἀνωδυνίαν, ἢ κατ' ἰσχνότητα, καὶ χαλαρότητα, καὶ τάσιν. γίνεται γάρ ποτε τάσις ὑποχονδρίου χωρὶς

τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς, ἤτοι διὰ ξηρότητα τινὰ σφοδρὰν, οὐ μόνον τῶν κατ' αὐτὸ μορίων, ἀλλὰ καὶ τῶν κατὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα, καὶ τὰς φρένας, ἢ διὰ τὰς μετ' ὄγκου φλεγμονὰς αὐτῶν τῶν κατὰ τὸ ὑποχόνδριον μυῶν, ἔξω τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς καθεστώσης, ἥτις ἐστὶν ὄγκος ὀδυνηρός.

Ἢν δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην, ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικαταδεῖν χρὴ τῶν τοιουτέων. ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς.

Εὑρίσκεται μὲν ἔν τισι τῶν ἀντιγράφων, οὐ σφυγμὸς ἀλλὰ παλμὸς γεγραμμένος. ἐμάθομεν δὲ, ὅτι τὸ σύμπτωμα τοῦτο διὰ πνεῦμα γίνεται φυσῶδες, ἀλλ' ἐν τοῖς πλείστοις γέγραπται σφυγμός. ἤτοι γε ὡς συνὼν ταῖς μεγάλαις φλεγμοναῖς, ἢ καὶ τῆς κατὰ ῥάχιν ἀρτηρίας τῆς μεγάλης ἡ αἰσθητὴ κίνησις τῷ κάμνοντι, ὥσπερ κἂν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἶπεν ὁ ἀνὴρ, ὅταν ἡ φλὲψ ἡ κατ' ἀγκῶνα σφύζῃ, μανικὸς καὶ ὀξύθυμος. εὔδηλος γάρ ἐστι κἀνταῦθα τὸ σφύζειν ἐπὶ τῆς μεγάλης, οὕτω καὶ σφοδρᾶς κινήσεως τῶν ἀρτηριῶν ἐκφέρων, ὡς καὶ περὶ τὴν ἁφὴν ἐπιβάλλειν αὐταῖς, αἰσθητὴν εἶναι τὴν κίνησιν. ἐνίοτε μὲν αὐτῷ τῷ πάσχοντι μόνῳ, ἐνίοτε δὲ καὶ τοῖς ἔξωθεν ὁρῶσιν. ὅ, τι δ' ἂν ᾖ τούτων τῶν συμπτωμάτων, οὐκ ἀγαθόν ἐστι σημεῖον. καὶ γὰρ ἡ μεγάλη ἀρτηρία, τῶν κυριωτάτων μορίων ὑπάρχει, καὶ ἡ γαστὴρ, καὶ τὸ ἧπαρ, ὥσπερ γε καὶ τὸ διάφραγμα. πάντως δὲ τούτων ἔν ἐστί τι τὸ πάσχον, εἴτε παλμὸς εἴη γεγραμμένος, εἴτε σφυγμός. ἀλλὰ τὸ μὲν διάφραγμα, παραφροσύνην ἑτοιμοτάτην φέρει, διόπερ καὶ προσαγορεύεσθαί φησιν αὐτὸ φρένας ὑπὸ τῶν παλαιῶν, οὐχ ἥκιστα δὲ καὶ τὸ στόμα τῆς γαστρὸς, ὅταν μεγάλως φλεγμαίνῃ. τὰ δ' ἄλλα μόρια τὰ τῇδε, πάσχοντά τι τῶν εἰρημένων παθημάτων, ἐν ἐπικινδύνῳ γίνεται διαθέσει. διὸ καὶ Ἱπποκράτης εἰκότως, ἤτοι θόρυβον ἔφη σημαίνεσθαι πρὸς τοῦ συμπτώματος, ἢ παραφροσύνην. θόρυβον μὲν ἐν κοινῷ συμβεβηκότι πασῶν τῶν κινδυνωδῶν διαθέσεων, ἐφ' αἷς οὐ τοῖς κάμνουσι μόνον, ἀλλὰ καὶ τοῖς ἰατροῖς θορυβεῖσθαι συμβαίνει. παραφροσύνην δὲ, διά τε τὸ διάφραγμα, καὶ τὸ τῆς γαστρὸς στόμα. περὶ μέντοι τῶν καθ' ὑποχόνδριον μυῶν ἐπισκεπτέον ἐστὶν, οὔτε γὰρ παραφροσύνην ἐξ ἀνάγκης, οὔτε κίνδυνον ἐπιφέρουσιν ἤτοι σφυζόντων, ἢ παλλόμενοι. μήτε οὖν ἰδιώτερον ἀκοῦσαι χρὴ, τοῦ ἐνείη ῥήματος ἐν τῇ λέξει καθ' ἣν εἶπεν ὁ Ἱπποκράτης. εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, τὸν ἐν τῷ βάθει τοῦ ὑποχονδρίου γινόμενον παλμὸν, ἢ σφυγμὸν, ἐκ τῆς ἐνείη φωνῆς ἐνδείξασθαι βουληθέντος αὐτοῦ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐπικαταδεῖν χρὴ τῶν τοιουτέων. ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς. ἐπειδὴ θόρυβον ἢ παραφροσύνην ὑπὸ τοῦ συμπτώματος ἔφη δηλοῦσθαι, διορίζεται νῦν καὶ διδάσκει, πηνίκα μὲν παραφροσύνην, πηνίκα δὲ θόρυβον ἔσται μόνον. ὁ διορισμὸς δὲ ἀπὸ τῆς τῶν ὀφθαλμῶν κινήσεως, ὃς οὐ νῦν μόνον ἀλλὰ κἀπὶ τοῖς ἄλλοις ἅπασι συμπτώμασιν, ἐφ' ὧν ὑποπτεύεις ἔσεσθαι παραφροσύνην ἀκριβῶς ἐπισκέπτου. τὸ γὰρ ἀστήρικτον αὐτῶν, ἐκείνης ἐστὶ δηλωτικόν. ἐνταῦθα οὐχ ἁπλῶς ἔφη παραφρονῆσαι τὸν ἄνθρωπον, ἀλλὰ μανήσεσθαι, σφοδράν τινα παραφροσύνην ἐπὶ τῶν εἰρημένων σημείων γενήσεσθαι δηλῶν. ὅτι δὲ ἡ πυκνὴ κίνησις τῶν ὀφθαλμῶν τὴν ὑποψίαν τῆς παραφροσύνης βεβαιοῖ, δῆλον οἶμαί σοι κἀκ τῶν ἤδη λεγομένων ἐπινοεῖν, ἡνίκα τοὺς περὶ τοὺς ὀφθαλμοὺς μύας ἐλέγομεν αἰσθάνεσθαι πρώτως τῶν κατὰ τὸν ἐγκέφαλον παθῶν. αὐτὸς δὲ ὁ ἐγκέφαλος ἐπὶ διαφράγματι, καὶ στόματι κοιλίας πάσχει, καθότι κἀπὶ τοῖς ἄλλοις τοῖς νευρώδεσι. ἐξ ἐκείνου γὰρ ἁπάντων τῶν νεύρων πεφυκότων, ὅσα μόρια πλείστων αὐτῶν, ἢ μεγίστων μετέχει, ταῦτ' εἰκότως εἰς συμπάθειαν ἄγει τὴν ἑαυτῶν ἀρχήν.

Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρὰ πᾶν εἴη τὸ ὑποχόνδριον. εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνώτερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά.

Οἴδημα μὲν οὖν εἴωθε καλεῖν τὸν παρὰ φύσιν ὄγκον ἅπαντα τῶν νεωτέρων ἰατρῶν, ἕνα μόνον οὕτως ὀνομαζόντων ὄγκον, ὃς ἐν τῷ πιέζειν ἀνώδυνός τε καὶ μαλακός ἐστι. ἣν δὲ πάλιν ἰδίως ὀνομάζουσι φλεγμονὴν οἱ νεώτεροι, ταύτην Ἱπποκράτης συνθέτῳ λέξει σκληρὸν, καὶ ἐπώδυνον οἴδημα καλεῖ. τὸ γὰρ τῆς φλεγμονῆς ὄνομα, κατὰ τῆς φλογώσεως ἔλεγεν. εὔδηλον δ' ὅτι ἡ τοιαύτη διάθεσις ἐν ὑποχονδρίῳ γινομένη, χείρων μὲν ἐστὶν ἐν τοῖς δεξιοῖς, διὰ τὸ ἧπαρ. ἐπιεικεστέρα δὲ ἡ ἐν τοῖς ἀριστεροῖς διὰ τὸν σπλῆνα, χείριστη δὲ ἡ ἐν ἀμφοτέροις ἅμα γινομένη.

Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μὲν κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι.

Τὰ εἰρημένα καθ' ὑποχόνδριον οἰδήματα σκληρὰ, καὶ ἐπώδυνα, τὰ πρὸς τῶν νεωτέρων ἰατρῶν ἰδίως ὀνομαζόμενα φλεγμονὰς, κίνδυνον φησὶ σημαίνειν θανάτου ταχέως ἑπομένου. τοῦτο δὲ, ἐὰν μὴ καὶ τῶν ἔνδον τι συμπεπόνθῃ, ψεῦδός ἐστι. τὰ δ' ἔνδον, ἴσμεν ὅτι τόδ' ἧπαρ ἐστὶ, καὶ ἡ γαστὴρ, καὶ ὁ σπλὴν, καὶ τὸ περιτόναιον, ὡς αἵγε μύες οἱ καθ' ὑποχόνδριον φλεγμήναντες, οὐχ ἱκανοὶ θάνατον ἐπενεγκεῖν. εἰ μή τι ἄρα ποτὲ σπανίως, ἤτοι διὰ μέγεθος ὑπερβαλλούσης φλεγμονῆς, ἢ δι' ἀῤῥωστίαν δυνάμεως, ἢ καὶ τῶν ἰατρῶν κακῶς θεραπευόντων, ἢ τοῦ κάμνοντος ἁμαρτάνοντος. συγκεχυμένως οὖν καὶ ἀδιορίστως ταύτην τὴν ῥῆσιν ἔγραψεν.

Ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθισταμένου, ἐς διαπύησιν τρέπεται.

Ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι, διαφορουμένων τῶν ἐργαζομένων αὐτοὺς χυμῶν, θεραπεύονται καὶ καθίστανται. πρόδηλον οὖν ὡς ἐπειδὰν μὴ καθιστῶνται, διαμένουσιν οἱ χυμοὶ, καὶ πάντως ἐν τῷ χρόνῳ μεταβολή τις ἔσται αὐτῶν κατὰ ποιότητα, ποτὲ μὲν ἐπὶ τὸ σηπεδονῶδες, ὅταν ὡς ἐν νεκρῷ σώματι μηδὲν εἰς τὴν πέψιν αὐτῶν ἡ φύσις ὑπὸ ἀῤῥωστίας ἐνεργῇ, ποτὲ δὲ ἐκείνης ἰσχυούσης, εἰς πῦον ἡ μεταβολὴ γίνεται. δεόντως οὖν εἶπεν ὁ Ἱπποκράτης, ἐὰν μήτε κα-

θίσκηται τὰ φλεγμαίνοντα, καὶ ὁ πυρετὸς ἔχει αὐτά, εἰς διαπύησιν τρέπεται. παυσαμένου γὰρ τοῦ πυρετοῦ, σκοπεῖσθαι χρή, μή τις σκιῤῥώδης φλεγμονὴ γίνηται. πολλάκις γὰρ εἴωθεν οὕτως συμβαίνειν, ὅταν τῶν ἐργαζομένων αὐτὴν χυμῶν τὸ μὲν λεπτομερέστερον διαπνευσθῇ, τὸ δὲ παχὺ ἔτι καὶ γλίσχρον ἐν αὐταῖς ἐμπλασθῇ ταῖς κατὰ λεπτὸν εὐρυχωρίαις τῶν οὕτω παθόντων σωμάτων. διὰ τί δὲ τὴν κ. ἡμέραν ὅρον ἔθετο τῆς τῶν τοιούτων ἀποστημάτων ἐκπυήσεως, ἐν τῷ περὶ κρισίμων ἡμερῶν εἴρηται λόγῳ, κατὰ τὸ δεύτερον ὑπόμνημα.

Γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ, καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελέει, ἀλλ᾽ ἐπανερωτᾷν χρή, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυώττουσιν, ἢν γάρ τι τουτέων εἴη, ἐνταῦθα ἂν ῥέποι.

Ὅτι τῶν καθ᾽ ὑποχόνδριον φλεγμονῶν, ἀδιορίστως ἐμνημόνευσεν, καὶ διὰ τῆσδε τῆς ῥήσεως φαίνεται διορίζόμενος αὐτήν. αἱμοῤῥαγίας τε γὰρ ἐπ᾽ αὐτῶν γίνεσθαί φησιν ἐκ ῥινῶν, ὠφελεῖσθαί τε πάνυ πρὸς αὐτῶν, ὅπερ ἐπὶ τῶν καθ᾽ ἧπαρ τε καὶ σπλῆνα φλεγμονῶν συμβαίνει μάλιστα, περὶ ὧν ἀλλαχοῦ καὶ τὸ κατ᾽ ἴξιν αἱμοῤῥαγεῖν, ἐπαινεῖ, καὶ τὸ ἀνάπαλιν δὲ μέμφεται, διδάσκων αὐτός, τί δή ποτε λέγει τὸ ἀνάπαλιν, οἷον τὸ ἐπὶ σπληνὶ μεγάλῳ αἷμα ἐκ δεξιοῦ μυκτῆρος ῥέειν. αἱμοῤῥαγίας ἐν τῇ πρώτῃ περιόδῳ γίνεσθαί φησι, τῶν κρισίμων ἡμερῶν δηλονότι, καὶ γέγραπται διττῶς ἡ λέξις, ἑνικῶς τε καὶ πληθυντικῶς. ἑνικῶς μὲν ἐν τῇ πρώτῃ περιόδῳ, πληθυντικῶς δὲ ἐν τῇσι πρώτῃσι περιόδοισιν. εἰ μὲν οὖν ἑνικῶς εἴη γεγραμμένον, ἑβδομαδικὴν ἐνδείκνυται περίοδον, εἰ δὲ πληθυντικῶς, ἐγχωρεῖ μὲν καὶ τὴν ἑβδομαδικήν. ἐνίοις γὰρ ἡ αἱμοῤῥαγία κατὰ τὴν δευτέραν ἑβδομάδα γίνεται, μᾶλλον δ᾽ ἀκουστέον ἐστὶ τὰς κατὰ τετράδα περιόδους ἐν τῇ τοιαύτῃ γραφῇ. οἱ πλεῖστοι μὲν γὰρ αἱμοῤῥαγοῦσιν ἐν ταῖς πρώταις ἡμέραις ἑπτά, περὶ δὲ τὴν ἐνάτην καὶ ἑνδεκάτην ὀλίγοι. σπανιώτατοι δὲ οἱ ἐν τῇ ιδ΄. τῆς δ᾽ ἄνω ῥοπῆς τῶν χυμῶν, ἐφ᾽ ἧς τὰς αἱμοῤῥαγίας γίνεσθαι συμβαίνει, προστίθησι σημεῖα, τό τε κεφαλὴν ἀλγεῖν, καὶ τὸ ἀμβλυώττειν. ἀλλ᾽ ἐν τοῖς ἑξῆς τελεώτερον ὑπὲρ αὐτῶν διέξεισι, καθ᾽ ὃν τόπον καὶ ἡμεῖς ὅλον ἐξεργασόμεθα τὸν περὶ αἱμοῤῥαγίας λόγον.

Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων τὴν τοῦ αἵματος ῥῆξιν χρὴ προσδέχεσθαι.

Τὸν ἀπὸ τῆς ἡλικίας διορισμόν, εἰς τὴν τῆς αἱμοῤῥαγίας πρόγνωσιν διδάσκει, μᾶλλον τὸ ἐλπίζειν ἔσεσθαι χρὴ τὴν αἱμοῤῥαγίαν, ἐπὶ τῶν νεωτέρων πέντε καὶ τριάκοντα ἐτέων, ἐν ταύτῃ τε γὰρ αἷμά τε πλεῖστόν ἐστι, καὶ ἡ δύναμις ἰσχυροτάτη, καὶ ἡ θερμασία δαψιλής.

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα, καὶ ὑπείκοντα χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν.

Ταῦτα ἐστὶν ἃ καλοῦσιν ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν οἰδήματα, περὶ ὧν ἐνίοτε μὲν ἀρκοῦνται λέγοντες οἱ παλαιοί, τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, ἐνίοτε δὲ καὶ τὸ ἀνώδυνα προστιθέασιν. ὅπου τε γ᾽ ἐμὴν αὐτὸ παραλίποιεν, ὡς συνεμφαινόμενον τοῖς μαλθακοῖς ὑπερβαίνουσιν, ἀνώδυνα γάρ ἐστι τὰ μαλθακά. νυνὶ δ᾽ ὁ Ἱπποκράτης, οὐ τοῦτο προσέθηκε μόνον, ἀλλὰ καὶ τὰ ὑπείκοντα, καὶ αὐτὸ περιέχεσθαι δοκοῦν, ἐν τῷ μαλθακά. πλὴν εἰ τὰ βεβρεγμένα περὶ τὴν πίεσιν, ἐνδείκνυται νυνὶ ὅπερ οὐχ ἁπλῶς ἅπασι συμβέβηκε τοῖς εἴκουσι, γίνεται δὲ ταῦτα, τοῦ δέρματος οἰδισκομένου. διότι δέ ἐστι φλεγματικὰ πάντα τὰ τοιαῦτα, διὰ τοῦτο καὶ χρονίζει, καὶ ἧττον ὑπάρχει κινδυνώδη. χρονίζει μὲν οὖν ὅτι ψυχρότερα, θερμῶν γὰρ αἱ πέψεις γίνονται. ἧττον δέ ἐστι κινδυνώδη, διότι καὶ ἀνώδυνα. καταλύουσι γὰρ αἱ ὀδύναι τὴν δύναμιν.

Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἔμπυον ἔσεσθαι σημαίνει καὶ τοῦτο, καὶ τῷ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό.

Ἔμπροσθεν μὲν ἐπὶ τῶν φλεγμονωδῶν οἰδημάτων ὡς ἂν θερμοτέρων ὄντων, εἰ μήθ᾽ ὁ πυρετὸς παύοιτο μετὰ τὴν εἰκοστὴν ἡμέραν, ἔφη τὰς ἐκπυήσεις ἔσεσθαι. νυνὶ δὲ περὶ τῶν ψυχροτέρων, τὴν ἑξηκοστὴν ὅρον τίθεται τῆς ἐκπυήσεως. εἴη δ᾽ ἂν καὶ ἕτερά τινα μεταξὺ τούτων, τὴν τεσσαρακοστὴν ἡμέραν ὅρον ἔχοντα. τὸν γε μὴν σύμπαντα λόγον ὑπὲρ τῶν τοιούτων ἁπάντων, εἰς τὸν περὶ τῶν κρισίμων ἡμερῶν τόπον ἀνεβαλλόμην, οὐ μόνον δὲ τὰ καθ᾽ ὑποχόνδριον οἰδήματα χρονίζοντα, διαπυήσειν φησίν, ἀλλὰ καὶ τὰ κατὰ τὴν ἄλλην κοιλίαν, ὡς καὶ τῶν ὑποχονδρίων κατά τι σημαινόμενον, ἐκ τῶν τῆς κοιλίας μερῶν ὄντων.

Ὁκόσα μὲν οὖν ἐπώδυνά τέ ἐστι καὶ σκληρὰ καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι. ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων.

Πλεῖον οὐδὲν ἐν τῇδε τῇ ῥήσει διδάσκει τῶν προειρημένων, πλὴν ὅτι προσέθηκε τοῖς ἐπωδύνοις τε καὶ σκληροῖς οἰδήμασι, τὸ μέγεθος ὅπερ ἡμεῖς ἔμπροσθεν εἰρήκαμεν. ἡνίκα ἐλέγομεν οὐδὲν ἔχειν κινδυνῶδες τὰς τῶν ἐν ὑποχονδρίῳ φλεγμονὰς μικρῶν, εἰ μή τι πάνυ σφόδρα μεγάλαι γεννηθεῖεν.

Τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν, ἥκιστα δὲ τὰ ὑπὸ κάτω τοῦ ὀμφαλοῦ ἐς ἀποπύησιν φέρεται.

Τῶν μὲν διαφορηθέντων οἰδημάτων ἐκπυήσεις, οὐ μόνον θᾶσσον, ἀλλὰ καὶ μᾶλλον γίνονται κατὰ τὸ ὑποχόνδριον, ὅτι θερμότερόν ἐστι τὸ χωρίον. ὅσα δ᾽ ἂν ἀποχωρεῖ τοῦδε πρὸς τὰ κάτω, καὶ τοῦ βάθους, καὶ τοῦ μᾶλλον ὑφαιρεῖ, καὶ διὰ τοῦτο τὸ κάτω τοῦ ὀμφαλοῦ, σπανίως ἐκπυΐσκεται.

Αἵματος δὲ ῥῆξιν μάλιστα τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρή.

Ἐν ἐνίοις μὲν ἀντιγράφοις ἡ ῥῆσις γέγραπται μετὰ τοῦ καὶ, συνδέσμου. συνεπιδείκνυται δὲ τὴν ἐκ τῶν ῥινῶν αἱμοῤῥαγίαν, οὐ μόνον ἐπὶ τοῖς ὑποχονδρίοις, ἀλλὰ καὶ τοῖς †κατωτέρω γενέσθαι. ἐνίοις δ' αὖ δὲ τοῦ καὶ, συνδέσμου. ἐνδείκνυται μὲν καὶ τούτοις, ἀλλ' ἧττον. ἀλλ' ἐνίοις μὲν, χωρὶς τοῦ μάλιστα κατὰ τοιάνδε λέξιν. αἵματος δὲ ῥῆξιν τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρή. τὰ κάτωθεν ἐκείνων, οὐ βούλεται φοβεῖν αἱμοῤῥαγίας. ἔστι δὲ τὸ ἀληθὲς ἐπὶ μὲν τῶν κατὰ τὸν ὀμφαλὸν γίνεσθαι τὰς αἱμοῤῥαγίας. αὐτῶν δὲ τούτων, ἐπὶ μὲν τοῖς ἄνω μᾶλλον, ἐπὶ δὲ τοῖς ἀνωτάτω, μάλιστα. λεχθήσεται δὲ καὶ περὶ αἱμοῤῥαγίας αὐτῷ, κἀπὶ τῶν ἑξῆς, ἡνίκα καὶ ἡμεῖς ἀναλαβόντες ὅλον τὸν λόγον ἐροῦμεν τελεώτερον.

†κατωτάτω

Ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ ταῦτα τὰ χωρία ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας.

Ἑνὶ κεφαλαίῳ περιλαβὼν εἴρηκεν, ἃ καὶ διὰ τῶν ἔμπροσθεν ἐδήλωσε κατὰ μέρος, ὥστε οὐδὲν δεῖν νεωτέρας ἐξηγήσεως τῇ ῥήσει.

Τὰ δὲ διαπυήματα ὧδε χρὴ σκέπτεσθαι τὰ ἐντεῦθεν. ὁκόσα μὲν ἔξω φέπεται ἄριστά ἐστιν, μικρά τε ἐόντα καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω, καὶ ἐς ὀξὺ ἀποκυρτούμενα. τὰ δὲ μεγάλα τε ἐόντα, καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα.

Ὅτι μὲν οὖν ὅταν ἀθρόον τὸ πύον συστῇ, πεττομένου τινὸς ὄγκου τῶν παρὰ φύσιν, ἐμπυήματά τε καὶ διαπυήματα καλεῖ τὸ τοιοῦτον σύμπτωμα, πρόδηλόν σοι γενήσεται πάντα τὸν πρὶν ἀναγνόντι τὸν λόγον αὐτοῦ, καθ' ὃν περὶ τῶν ἐν ὑποχονδρίοις οἰδημάτων ἐποιήσατο τὴν διδασκαλίαν. ἀθροίζεται δὲ τὸ καθ' αὑτὸ πύον, ἐνίοτε μὲν ὑπὸ τῷ δέρματι, πολλάκις δὲ τῷ βάθει κατὰ διττὴν αἰτίαν, ἢ τῷ τὸ διαπυῆσαν μόριον ἐντὸς τοῦ περιτοναίου τὴν διάθεσιν ἔχειν, ἢ τῷ τὸ καθ' μῦς ὁ πεπονθὸς ᾖ, τὸ πύον ὑπό τι τῶν ἀμφιεσμάτων αὐτοῦ καταλαμβάνεσθαι, μὴ φθάσαν εἰς τὴν ἐκτὸς χώραν ἀφικέσθαι διὰ γλισχρότητα, ἢ πάχος, ἢ τὴν τοῦ περιέχοντος χιτῶνος πυκνότητα. οὐδὲ δὴ γὰρ ἡ φύσις ἐκκρίναι τὸ πύον ἀπωσαμένη τῶν πεπονθότων σωμάτων, καὶ τυγχάνει τοῦτο πολλάκις, ὅταν ἐπιτύχῃ πόρων ἐπιτηδείων εἰς ἔκκρισιν, οἷον ὀχετῶν τινῶν. οὐ μὴν ἀεί γε τούτων ἐπιτυγχάνουσα, συνωθεῖ τὸ πύον εἰς τὰς παρακειμένας χώρας, καὶ ὅταν μακραὶ τυγχάνωσιν οὖσαι, ὑποδέρει τὸ περιέχον αὐτὰς σκέπασμα, τὴν δ' ὑπ' αὐτὸ χώραν εὐρύνουσα. δῆλον οὖν ὅτι τῶν οὕτω διαπυησάντων, ἐπιεικέστερα ἐστὶν τὰ τὴν ῥοπὴν ἔξω, καὶ οὐκ ἔσω ποιησάμενα, καὶ τούτων αὐτῶν, ὅσα μὴ πολὺν ἐπιλαμβάνει τόπον εἰς τὸ πλάτος ἐκτεινόμενα. συνεσταλμένα δ' ὅταν πρός τινα κορυφὴν ἀνατείνεται, κωνοειδῆ τῷ σχήματι γινόμενα. ταῦτα δ' ἅμα μὲν ἐνδείκνυται ῥώμην τῆς ὠθούσης ἔξω τὸ πύον δυνάμεως, ἅμα δ' οὐ πολὺ διαφθείρει μόριον ὧν διαβιβρώσκει σωμάτων. εἴτε δ' εἰς ὀξὺ ἀποκυρτούμενα, εἴτ' εἰς ὀξὺ ἀποκορυφούμενα γεγραμμένον εἴη, δῆλον, ὅτι μία κατ' ἀμφοτέρας τὰς λέξεις ἐστὶ, καὶ ἡ αὐτὴ διάνοια.

Ὁκόσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν μηδὲν ἂν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλ' ἔστι προσεσταλμένα, καὶ ἀνώδυνα, καὶ πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνεται.

Οὐχ ἁπλῶς ἐστὶν ἄριστα τὰ τοιαῦτα τῶν ἐμπυημάτων, ἀλλὰ τῶν εἴσω ῥηγνυμένων ἄριστα, ἐπεί τοι χείρω ταῦτά ἐστιν τῶν ἐκτὸς ῥηγνυμένων. αὕτη τε γὰρ ἡ ῥῆξις εἰς πολλῷ κυριώτερα μόρια γίνεται τοῦ καθ' ὑποχόνδριον δέρματος, ἔτι τε φάρμακον, οὐχ ὁμοίως ἐπιθεῖναι δυνάμεθα θεραπευτικόν, ὅταν εἴσω συῤῥαγῶσιν, ἥτε ἔκκρισις τοῦ πύου διὰ τῶν ἐντέρων γινομένη, δάκνει καὶ ξύει ταῦτα, καὶ δυσεντερίαν ἐργάζεται, καὶ εἴποτε κατὰ τὴν νῆστιν, ἢ τὰ λεπτὰ τῶν ἐντέρων γένοιτο, τῇ τῆς τροφῆς ἀναδόσει λυμαίνεται, κατὰ δὲ τὴν γαστέρα, καὶ τῇ πέψει. πρόδηλον οὖν ὡς χείριστα πάντων ἐστὶν ὅσα πρὸς ἀμφοτέρους ἐῤῥάγη τοὺς τόπους, ἔσω τε καὶ ἔξω. διπλασιάζεται γὰρ οὕτω τὸ κακόν. ἕδραν τε γὰρ καὶ οἷον ἀρχὴν ἀναθρέψεως, οὐδεμίαν ἡ φύσις ἔχει τότε τοῦ περιποιήσασθαι τοῖς ἐῤῥωγόσιν οὐδ' οἷον ἐπ' ἐδάφει τινὶ, βέβαια θεμέλια βάλλεσθαι τῆς σαρκώσεως.

Pessimae suppurationes.

Τὸ δὲ πύον ἄριστον λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες. τὸ δὲ ἐναντιώτατον τούτου, κάκιστον.

Ὅτι μὲν ὡς ἥκιστα δυσῶδες εἶναι προσήκει τὸ πύον, ἄντικρυς δῆλον, ἡ γὰρ ὑπερβάλλουσα δυσωδία, σήψεως ἐστὶν οὐ πέψεως σημεῖον. ὅτι δὲ καὶ λευκὸν, ἐὰν μὲν τὴν γένεσιν αὐτοῦ μάθοις, ἐπιστήσει σε ὁ λόγος ἐπὶ τοῖς προαποδεδειγμένοις ἑτέρωθι. ἅπαντα γὰρ ἐν ἅπασιν ἀποδεικνύειν, ἀδολεσχίας ἐστὶ μᾶλλον, ἢ διδασκαλίας ἴδιον. ἔστι δὲ τὰ δι' ἑτέρων πραγματειῶν ἀποδεδειγμένα ταυτί. κατὰ μὲν γὰρ τὴν περὶ τῶν φυσικῶν δυνάμεων βίβλον, ὅτι μία τίς ἐστιν αὐτῶν, καὶ ἀλλοιωτικὴ δύναμις, ἥτις καὶ τὴν ἐν γαστρὶ, καὶ τὴν ἐν ἥπατι ἐργάζεται πέψιν, μεταβαλλομένης τῆς τροφῆς, ἐν ἥπατι μὲν εἰς αἷμα, κατὰ δὲ τὴν κοιλίαν εἰς ἐπιτήδειον αἵματι χυμὸν, ὅτι τε τῶν τοῦ ζώου μορίων ἕκαστον, εἰς τὴν ἑαυτοῦ φύσιν ἄγει τὸν αὐτῷ πλησιάζοντα χυμόν. ἡ γὰρ ἐσχάτη πέψις, ἐν τῷ προσίθεσθαί τε καὶ ἐξομοιοῦσθαι τὸ τρέφον, τῷ τρεφομένῳ γίνεται. δῆλον οὖν ὅτι προπαρασκευάζεται χρόνῳ πλείονι πρὸς ταύτην τὴν ὁμοίωσιν. ἐλέχθη δὲ καὶ ἐν τοῖς περὶ σπέρματος, ὡς ἐν τοῖς τῶν ἀγγείων χιτῶσιν, ὑφ' ὧν οἱ ὄρχεις τρέφονται, πολλάκις φαίνεται ἐναργῶς προμεταβεβλημένον ἤδη τὸ αἷμα πρὸς τὴν τοῦ σπέρματος γένεσιν. οὐ γὰρ οὐδ' αὐτοὺς τῶν ἀγγείων τοὺς χιτῶνας, εἰκὸς ὑπ' ἄλλου τινὸς τρέφεσθαι, καὶ καλοῦσιν ἔνιοι τῶν ἰατρῶν τὴν τοιαύτην ὑγρότητα θορώδη. διὸ καὶ τὸ σπέρμα αὐτὸν θορὸν ὀνομάζουσι, καὶ μάλιστα ὅσοι τὴν δύναμιν αὐτοῦ σπέρμα καλοῦσιν, οὐ τὴν σωματικὴν οὐσίαν. ἀλλὰ μὴν καὶ ὅτι τὰς φλεγμονὰς ἐργάζεται τὸ κατασκῆψαν αἷμα τοῖς φλεγμαίνουσι μορίοις, ὡς ἐν ἀρχῇ μὲν

ἐν ἅπασιν ἀποδεικνύειν, ἀδολεσχίας ἐστὶ μᾶλλον ἢ διδασκαλίας ἴδιον.

αὐτὰ μόνα τὰ ἀγγεῖα πληρῶσαί τε καὶ διατεῖναι, μετὰ ταῦτα δὲ καὶ τὰς παρακειμένας αὐτοῖς κενὰς χώρας πολλὰς καὶ μικρὰς οὔσας καθ᾽ ἕκαστον μόριον, ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων δέδεικται. λέλεκται δὲ κἂν τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας. τοῦτο γοῦν τὸ αἷμα κατὰ μικρὰ μόρια παρεσπαρμένον τοῖς φλεγμαίνουσι μορίοις, ὡς ἂν ἔξω τῶν ἰδίων ἀγγείων γεγενημένον, ἐπανελθεῖν μὲν εἰς τὴν ἀρχαίαν φύσιν οὐκέτι δύναται. μεταβάλλεται δὲ καὶ σήπεται, καθότι καὶ πάνθ᾽ ὅσα θερμαίνεται σφοδρότερον ἐν ἀλλοτρίῳ χωρίῳ. ἐὰν μὲν οὖν ἐνταῦθα πλεῖστον ᾖ ἐξεστηκὸς τῆς οἰκείας εὐκρασίας τὸ ἔμφυτον θερμὸν, ὡς ἐν ἀψύχῳ σώματι σήπεται τὸ αἷμα. διασώζοντος δ᾽ αὐτοῦ τινα δύναμιν, ἐπίμικτός τις αὐτοῦ ἡ μεταβολὴ πρός τε τῆς παρὰ φύσιν αἰτίας, καὶ τῆς κατὰ φύσιν ἀποτελεῖται. σήποντος μὲν τῆς παρὰ φύσιν αἰτίας, πέττοντος δὲ τῆς κατὰ φύσιν. ὁποτέρα δ᾽ αὐτῶν μᾶλλον κρατήσει, κατ᾽ ἐκείνην αὐτὴν ἐξ ἀνάγκης καὶ τὰ γνωρίσματα προσέρχεται, τά τε τῆς χρόας καὶ ὀδμῆς, καὶ συστάσεως. ἐκ δὲ τούτων ὡς ἔφην ἀποδεδειγμένων ἐν ἑτέραις πραγματείαις, ἀκόλουθόν ἐστι συλλογίσασθαι τὸ καλῶς μεταβεβλημένον εἰς πύον αἷμα. πρῶτον μὲν μὴ σεσῆφθαι, μᾶλλον δὲ πεπέφθαι, δεύτερον δὲ συνεμφαίνεσθαι μέντοι τῆς παρὰ φύσιν ἐν αὐτῷ σηπεδόνος, ὀλίγον δ᾽ εἶναι τοῦτο, καὶ καθάπερ Ἱπποκράτης εἶπεν ὡς ἥκιστα δυσῶδες. τὸ γὰρ ὡς ἥκιστα, ταυτὸν σημαίνει, τῷ ὡς ἐλάχιστα. πρὸς τούτοις δηλονότι, καὶ τὴν χρόαν αὐτοῦ παραπλησίαν, εἰκός ἐστι γίνεσθαι τῷ σπέρματι. λευκὴν μὲν οὐ μὴν ἀκριβῶς γε τοιαύτην ὁποία τῆς χιόνος ἐστίν. εἰς γὰρ τὴν τῶν στερρῶν σωμάτων ἄγεται χρόαν ὑπὸ τῆς φύσεως, ἀκριβῶς μὲν τὸ σπέρμα, μετρίως δὲ τὸ πύον. ἐπειδὴ τῷ μὲν σπέρματι τῆς παρὰ φύσιν αἰτίας οὐδὲν μέμικται, τῷ πύῳ δ᾽ οὐκ ἀεὶ μὲν ἴσον, ὡς ἐρρέθη, μέμικται δ᾽ οὖν τι πάντως, ἔξω τῶν οἰκείων ὀργάνων γενομένου τοῦ αἵματος. αὕτη μὲν οὖν ἡ αἰτία τοῦ λευκὸν γίνεσθαι τὸ σπέρμα, καὶ τὸ πύον. ὁμοιοῦται γάρ πως τοῖς στερροῖς σώμασι, καὶ τὸ πύον, ἅπερ ἐστὶν οἵ τε τῶν ἀγγείων χιτῶνες, καὶ τὰ νεῦρα, καὶ οἱ σύνδεσμοι, καὶ οἱ ὑμένες, οἵ τε χόνδροι, καὶ τὰ ὀστᾶ. ἡ δ᾽ αὐτὴ, καὶ τοῦ τὸ ὑφιστάμενον ἐν τοῖς οὔροις, λευκὸν ὑπάρχειν αἰτία. καὶ γὰρ καὶ τοῦτο, τῷ πύῳ τὴν γένεσιν ἀνάλογον ἔχει, μεταξὺ τεταγμένην ἐκείνου τε καὶ τῶν κατὰ φύσιν χυμῶν. ὅσον γὰρ τῆς τροφῆς, ἐν τῇ τοῦ αἵματος γενέσει τὴν ἀπὸ τῆς φύσεως ἐνέργειαν ἐξέφυγε, τοῖς οὔροις ὑφίσταται, οὔθ᾽ ὡς τὸ αἷμα μεταβληθὲν ὑπ᾽ αὐτῆς, οὔθ᾽ ὡς τὸ πύον τῆς παρὰ φύσιν αἰτίας ἐν τῇ γενέσει μεταλαβόν.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Β.

Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τε εἰσὶ κάρτα καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος, οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

Κατὰ μὲν τὴν ἀρχὴν τοῦ συγγράμματος αὐτὸς ἔφη, σκέπτεσθαι δὲ ὧδε χρὴ ἐν τοῖς ὀξέσι νοσήμασι, πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, ὅθεν ἔνιοί φασιν, οὐ περὶ τοῦ νεκρώδους προσώπου μόνον ὡς ἐν ὀξεῖ νοσήματι, ἀλλὰ περὶ τῶν ἑξῆς ἁπάντων γεγονέναι τὸν λόγον αὐτῷ, μηδὲ τὸ κατὰ τὴν τελευτὴν τοῦ συγγράμματος εἰρημένον ἀναγνόντες, ἔνθα φησί. ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τούτων γίνεται. καὶ μέντοι καὶ φαίνεται περί τε τῶν ἐμπυημάτων εἰρηκὼς ἔμπροσθεν, οὐ μόνον ἐκείνων ὅσα κατὰ τὴν εἰκοστὴν ἡμέραν ῥήγνυσθαι πέφυκεν, ἀλλὰ καὶ τῶν εἰς τὴν τριακοστήν τε καὶ τεσσαρακοστὴν, καὶ ἑξηκοστὴν ἀφικνουμένων. ἔτι τε πρόσθεν ὑπὲρ τῶν ἄχρι τῆς τεσσαρακοστῆς ἡμέρας ἐκτεινομένων νοσημάτων, ἔνθα φησίν. εὔπνοιαν δὲ χρὴ κάρτα νομίζειν μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς τε ἐστὶ, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. καὶ νῦν αὖθις εἶπεν, οὐ περὶ πάντων ὑδρώπων ποιούμενος τὸν λόγον, ἀλλ᾽ ὅσοι περ ἂν αὐτῶν ἐκ τῶν ὀξέων νοσημάτων γίνονται. καὶ περὶ μὲν τῶν ἐμπύων τε καὶ φθινόντων, καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ, καὶ πρὸς τούτοις ἔτι καὶ περὶ τεταρταίων, ὁμολογουμένων καὶ τούτων χρονίων νοσημάτων. οἱ γοῦν ἐκ τῶν ὀξέων νοσημάτων ὕδρωπες, ὅτι πάντες εἰσὶ κακοὶ, μήτε τὸν πυρετὸν παύοντες, ὀδυνηροί τε διαμένοντες, αὐτὸς εἶπεν. ἐδίδαξε δὲ καὶ τὰς γενέσεις αὐτῶν, ἥπατος μὲν αὖθις ὀνομαστὶ μνημονεύσας, ἐν δὲ κοινῷ λόγῳ τῶν ἐν τοῖς κενεῶσι μορίων, ἅπερ ἐστὶ νῆστις καὶ μεσεντέριον, ἔντερά τε λεπτά. προσαγορεύειν γὰρ εἰκός ἐστιν αὐτὰ ἐκεῖνα τὰ μόρια κενεῶνας, ὅσα μεταξὺ τῆς τε τοῦ θώρακος ἐσχάτης πλευρᾶς ἐστὶ, καὶ τοῦ τῆς λαγόνος ὀστοῦ. καὶ γάρ τοι καὶ κενὸν ἅπαν φαίνεται τοῦτο τὸ χωρίον, εἰ παραβάλλοις αὐτὸ τοῖς ἄνωθεν αὐτοῦ μέρεσι, καὶ κάτωθεν ὀστώδεσιν ὑπάρχουσιν ἀμφοτέροις. ἔστι δὲ καὶ λαπαρὸν ἅπαν τοῦτο τὸ μόριον, ὅταν γε μὴ πρὸ ὀλίγου τις ἐμπεπλησμένος ᾖ, σιτίων τε καὶ ποτῶν. καί μοι δοκεῖ καὶ ὁ ποιητὴς αὐτὰ ταῦτα τὰ μόρια τοῦ σώματος ὀνομάζειν λαπάρας. ὑδρώπων μὲν οὖν ἁπάντων ἡ κοινὴ γένεσις, ἀποτυχία τῆς αἱματώσεως ἔργου γίνεται. καθάπερ γὰρ καὶ ἐν γαστρὶ πέττεται τὰ σιτία, κατὰ τὸν αὐτὸν τρόπον, ἐν ἥπατι καὶ φλεψὶν, ἡ ἐν τῇ κοιλίᾳ προπεφθεῖσα τροφή. καὶ μέντοι καὶ ὡς ἐν τῇ κοιλίᾳ ποτὲ μὲν ἧττον ἀποτυγχάνεται τὸ τῆς πέψεως ἔργον, ἔστιν ὅτε δὲ μᾶλλον, οὕτω κἂν τῷ ἥπατι. πάσχει γὰρ τὸ ἧπαρ ἐνίοτε μὲν αὐτὸ καθ᾽ αὑτὸ πρῶτον, ὥσπερ καὶ ἡ γαστὴρ, ἐνίοτε δὲ κατὰ συμπάθειαν ἑτέρων μορίων. εὔδηλον οὖν ὅτι τὰ πάντα συμπαθοῦντα ἀλλήλοις, ἢ τῷ γειτνιᾷν, ἢ τῷ κοινωνίαν ἔχειν μεγάλην κατὰ τὰ ἀγγεῖα, καὶ νεῦρα πάσχει. οὕτω τοίνυν καὶ τὸ ἧπαρ διά τε φλεβῶν μεγάλων συνῆφθαι φαίνεται, καὶ σπληνὶ, καὶ γαστρὶ, καὶ ἐντέροις. ἥ τε θέσις αὐτῶν οὕτω πλησίον, ὡς ἔνια μὲν ἅπτεσθαι, τινὰ δὲ ὀλίγου δεῖν ψαύειν αὐτοῦ. σπληνὸς μὲν οὖν οὐκ ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπειδὴ περὶ τῶν ὀξέων νοσημάτων, ὁ λόγος ἦν αὐτῷ. φαίνεται δὲ τοῦτο τὸ σπλάγχνον ὅταν ἐν χρονίοις νοσήμασι σκιῤῥώδη λάβῃ διάθεσιν, εἰς συμπάθειάν τε τὸ ἧπαρ ἄγειν, ὕδερόν τε δι᾽ ἐκεῖνο μέσου τῷ παντὶ σώματι κατασκευάζειν. ἥπατος δὲ καὶ τῶν κενεώνων μέμνηται, καὶ διδάσκει τὰς διαφορὰς τῶν ἐπ᾽ αὐτῶν γινομένων ὑδέρων, ὡς διὰ τῆς ἑξῆς λέξεως ἔσται δῆλον.

Οἷσι

Οἷσι δὲ οἱ ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται τῶν ὑδρώπων, οἵτε πόδες οἰδέουσι, καὶ διάῤῥοιαι πολυχρόνιοι ἴσχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι.

Τὸ μὲν οὖν οἰδεῖν τοὺς πόδας, ἁπάντων κοινὸν ὑδέρων, ἀμέλει καὶ τοῖς ἐφ' ἥπατι συνεδρεύειν αὐτό φησι. γινώσκομεν δ' ὅτι καὶ τοῖς ἐπὶ σπληνί, καὶ ἁπλῶς ἅπασι τοῖς ἄλλοις. τὸ δὲ τῆς διαῤῥοίας, ἴδιον ἐξαίρετον ἐστὶ τοῖς ἐπὶ κενεῶσιν ὑδέροις, ὅσοι τῆς νήστεως, ἢ τοῦ μεσεντερίου φλεγμαινόντων γίνονται. μάλιστα γὰρ διὰ τούτοις ἀκρατεῖς αἱ φλέβες εἰσί, δι' ὧν ἕλκει τὸ ἧπαρ εἰς αὐτὸ τὴν τροφήν, ὡς οὐδ' ὑπηρετεῖν τῷ σπλάγχνῳ πρὸς τὴν ἀνάδοσιν, οὔτε μένειν ἐν τῇ νήστει, καὶ τοῖς λεπτοῖς ἐντέροις τὴν τροφήν. κἂν εἰ ἀῤῥωστοῦντα τύχῃ βαρυνόμενα πρὸς αὐτῆς, ὠθεῖ κάτω παραχρῆμα πᾶσαν αὐτήν, καὶ αὕτη τῆς διαῤῥοίας αἰτία. καὶ δὴ καὶ διαφθείρεσθαι τὴν τροφὴν ἀθροίζεσθαί τε πολὺ τὸ χολῶδες, εἰκός ἐστι διὰ τὴν τῶν φλεγμαινόντων μορίων θερμότητα. δῆξις οὖν οὐ σμικρὰ γίνεται διὰ ταῦτα τοῖς ἐντέροις, ἐρεθίζουσα πρὸς τὴν ἀπόκρισιν τῶν περιεχομένων ἐν αὐτοῖς, καὶ αὕτη πάλιν αἰτία δευτέρα τῆς διαῤῥοίας ἐστίν. εἰκότως δ' αὐτάς φησιν, οὔτε τὰς ὀδύνας παύειν, οὔτε λαπάττειν, τουτέστι κενοῦν καὶ προστέλλειν τὰ τῆς γαστρὸς οἰδήματα. δηλῶν κἂν τούτοις, ὅτι μετ' ὀδύνης ἐκκρίνουσιν, ὅτι τε τὸ ὑπογάστριον ὅλον αὐτοῖς εἰς ὄγκον ἐξαίρεται. τὰς μὲν γὰρ ὀδύνας ἀναγκαῖον ἐστὶ γίνεσθαι, διά τε τὰς φλεγμονὰς καὶ τὰς δήξεις, τὴν γαστέρα δ' ὅλην ἐξαίρεσθαι, τῶν ἐντέρων πληρουμένων πνεύματος φυσώδους, οὗ τὴν μὲν γένεσιν, εὔλογον ἐστὶν ἕπεσθαι ταῖς ἀπεψίαις. τὸ δὲ οὐ μένειν ἔνδον, ἀῤῥωστίᾳ τῆς περισταλτικῆς δυνάμεως τῶν ἐντέρων γίνεται.

Ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος οἱ ὕδρωπες γίνονται, βῆχές τε καὶ θύμος ἐγγίνεται αὐτέοισιν, καὶ οὐδὲν ἀποπτύουσιν ἄξιον λόγου, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην, καὶ περὶ τὴν κοιλίην γίνεται οἰδήματα. τὰ μὲν ἐπὶ δεξιά, τὰ δὲ ἐπ' ἀριστερὰ ἱστάμενά τε καὶ καταπαυόμενα.

Θυμὸν εἴρηκε τὴν νῦν προθυμίαν ἣν ἴσχουσι πρὸς τὸ βήττειν. ἐρεθιζόμενοι μὲν ὡς πρὸς τὸ σύμπτωμα, παραχρῆμα δ' αὐτοῦ παυόμενοι, καὶ μόνον ἀρχῆς τοῦ βήττειν πειρώμενοι. ὁ γὰρ τοῦ ἥπατος ὄγκος ἐγκείμενος ταῖς φρεσί, στενοχωρίαν ἐργάζεται τῷ πνεύμονι. παραπλησίας οὖν διαθέσεως γινομένης, τῇ κατὰ τὰς ὄντως αὐτῷ στενοχωρίας, δι' ἃς φλεγμαίνων τε, καὶ καταῤῥοιζόμενος ἐκ τῆς κεφαλῆς, πάσχει. προθυμοῦνται μὲν βήττειν, ἐλπίζοντες ἐκ τοῦ κενῶσαι τὸ λυποῦν, ἰάσασθαι τὴν στενοχωρίαν. ἀρξάμενοι δὲ αὐτοῦ, παραχρῆμα παύονται, διὰ τὴν πεῖραν αὐτῆς εἰς γνῶσιν ἀκριβεστέραν ἀφικνούμενοι τῆς διαθέσεως, αἰσθανόμενοί τε σφῶν αὐτῶν, ὅτι μάτην ἤλπιζον. ἀλλὰ καὶ ἡ φύσις αὐτὴ καθ' αὑτὴν ἐπάγει βῆχα, τὰς ἐμφράξεις τοῦ πνεύμονος ἐκκαθαίρουσα, κἂν ἡμεῖς μὴ προαιρώμεθα βήττειν, ὥστ' ἐργώδες εἶναι πολλάκις, ἀντισχεῖν τε καὶ κωλῦσαι τὸ σύμπτωμα. νῦν οὖν ὁπότε διὰ τὴν στενοχωρίαν ἐπὶ τὸ βήττειν οἱ κάμνοντες ὄρχονται μάτην, ὡς ὀνησόμενοί τι τὴν ἐκ τῆς φυσικῆς δυνάμεως ὑπηρεσίαν οὐκ ἔχοντες, αὐτίκα παύονται. διὰ ταῦτα μὲν γὰρ ἡ προθυμία γίνεται τοῖς οὕτω κάμνουσι τοῦ βήττειν. ἀπολείπει δ' αὐτοὺς ἐν τάχει τοὔργον, ὡς αὖ μηδὲν ἀποπτύοντας ἄξιον λόγου. ἀλλὰ τοσοῦτον ὅσον εἰς τὰς τραχείας ἀρτηρίας ὀῤῥῶδές τε καὶ λεπτόν, ἐκ τῶν περιεχόντων ἀγγείων τὸ ὀῤῥῶδες αἷμα συνθλίβεται δίκην ἱδρῶτός τινος. ταῦτ' οὖν οἱ ἀπὸ τοῦ ἥπατος ὑδρωπικοὶ ἀφορίζονται τῶν προειρημένων, ἔτι τε τῇ βραχύτητι, καὶ τῇ σκληρότητι τῶν ὑποχωρουμένων κάτω. διορθίζονται γὰρ ἐκεῖνοι πεπονθότων αὐτοῖς, ἤτοι τῶν ἐντέρων, ἢ τοῦ μεσεντερίου. τοῖς δ' ἀπὸ τοῦ ἥπατος ὑδεριῶσιν, ὡς αὖ ἀπαθῶν ὄντων τούτων, οὔτε διαφθειρομένης τῆς τροφῆς, οὔτε βαρυνομένων ὑπ' αὐτῆς τῶν μορίων. ἔῤῥωνται γὰρ καὶ οὐ γίνονται διάῤῥοιαι, μένει πλεῖον αὐτόθι τὰ τῆς τροφῆς λείψανα. τὸ μέντοι διαπέμποντα πρὸς τὴν ἐντὸς τοῦ περιτοναίου χώραν, τὸ δέ τι καὶ τῇ φλεγμονῇ τοῦ ἥπατος οἷον ἐξοπτώμενα. καὶ μέντοι καὶ τὸ δέρμα πᾶν αὐτοῖς ὡς αὖ ὑπὸ φλεγματώδους αἵματος τρεφόμενον, οἰδαλέον τε γίνεται, καὶ εἰ πιέσαις αὐτὸ τῷ δακτύλῳ, παραχρῆμα μὲν φαίνεται κοῖλον, ὀλίγον δ' ὕστερον εἰς τὴν ἔμπροσθεν ἐπανερχόμενον κατάστασιν. οὐ μὴν εὐθέως ἐξ ἀρχῆς ἅμα τῇ μεταπτώσει τῆς ὀξύτητος εἴωθε γίνεσθαι τὸ τοιοῦτον, ἀλλ' οἱ μὲν πόδες οἰδίσκονται πρῶτοι, ποῤῥωτάτω τῶν θερμοτάτων μορίων ὄντες. ἐπαναβαῖνον δὲ τὸ σύμπτωμα, καὶ περὶ τὴν κοιλίαν πᾶσαν, τὴν αὐτὴν ἐργάζεται διάθεσιν, ὥστε εἰ πιέσας τὸ οἴδημα τῷ δακτύλῳ, κοιλαίνεσθαί τε καὶ οἷον βοθροῦσθαι τὸν τόπον, εἶτ' ὀλίγον ὕστερον εἰς τὴν ἔμπροσθεν ἐπανέρχεσθαι κατάστασιν. ὅπερ Ἱπποκράτης εἶπε, καὶ περὶ τὴν κοιλίην οἰδήματα γίνεται, ἱστάμενά τε καὶ καταπαυόμενα. δύναιτο δ' αὖ εἰρηκέναι τοῦτο, καὶ περὶ τῆς πρώτης γενέσεως αὐτῶν ἔτι. καὶ γὰρ ἀρχόμενα συνίστασθαι, καθίστανται πολλάκις, ὡς δόξαι τινὶ πεπαῦσθαι τελέως αὐτά. μετὰ ταῦτα δ' αὖθις ἐπαίρεται, καὶ πάλιν δὲ καθίστανται, καὶ αὖθις πάλιν ἐπαίρεται. προελθόντος δὲ τοῦ χρόνου, μένει μηκέτι καθιστάμενα. διαφέρει γε μὴν ταῦτα, τῶν προειρημένων ἐν τοῖς κενεῶσι, τῷ κοιλαίνεσθαι πιεζόμενα, φλεγματικὴν ἔχοντα τὴν φύσιν, οὐκέτι φυσώδει πνεύματι, καθάπερ ἐκεῖνα γινόμενα.

Κεφαλὴ δὲ καὶ χεῖρες, καὶ πόδες ψυχρὰ ἐόντα, κακόν, τῆς τε κοιλίης, καὶ τῶν πλευρῶν θερμῶν ἐόντων.

Ἐν μὲν τοῖς χρονίοις νοσήμασι, καὶ μάλιστα χειμῶνι, καὶ γέρουσιν, οὐ μόνον ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν, ἃς ἐπισημασίας ὀνομάζουσιν, ἀλλὰ καὶ τοῖς διαλείμμασιν, οὐδὲν θαυμαστόν ἐστι περιψύχεσθαι τὰ πέρατα τοῦ σώματος, ἄσαρκά θ' ὑπάρχοντα φύσει, καὶ ποῤῥωτάτω κείμενα τῶν σπλάγχνων. ἀλλ' ἐν τούτῳ τῷ βιβλίῳ περὶ τῶν χρονίων νοσημάτων, οὐκ ἔστιν ὁ λόγος αὐτῷ. τὸ τοίνυν ἐν τοῖς ὀξέσι καταψύχεσθαι ταῦτα τὰ μόρια, κατὰ τὴν ἐναντίαν διάθεσιν, ὡς τὸ πολὺ γίνεται, τῆς ἐν τοῖς χρονίοις ἐργαζομένης τὸ σύμπτωμα τοῦτο. κατ' ἐκεῖνα μὲν γὰρ οὐκ ἐξ-

κνεῖται μέχρι τῶν ἄκρων τοῦ ζώου μορίων ἡ ἔμφυτος θερμότης ὑπὸ ἀῤῥωστίας. ἐν δὲ τοῖς ὀξέσι, διὰ μέγεθος τῆς τῶν σπλάγχνων φλεγμονῆς, ὀλίγον μέντοι τῆς αἱματώδους οὐσίας, εἰς ὅλον ἥκει τὸ σῶμα. πλεῖστον δὲ αὐτῆς ἐν τοῖς φλεγμαίνουσι κατακλείεται, καὶ διὰ τοῦτο τὰ μέσα μόρια τοῦ σώματος, ἅπερ ἐστὶ θώραξ τε καὶ γαστὴρ, ἱκανῶς φαίνεται θερμά. γίνεται γε μὴν ἐνίοτε ἐν τοῖς ὀξέσιν ἐπισημασία μετὰ ῥίγους, ἢ ψύξεως, οὐ μόνα τὰ πέρατα τοῦ σώματος, ἀλλὰ αὐτὸ καὶ τὸ περὶ θώρακα, καὶ τὴν γαστέρα δέρμα ψυχρὸν ἐργαζομένη. αὕτη μὲν οὐδὲν ἐνδείκνυται κατὰ τὰ σπλάγχνα φαῦλον. ὅταν δὲ μενόντων θερμῶν τῶν κατὰ πλευράς τε καὶ τὴν γαστέρα μορίων, ἢ καὶ τοῦ κατὰ φύσιν ἔτι θερμοτέρων γεγενημένων, ψύχηται τὰ τοῦ σώματος ἄκρα μόρια, μέγεθος φλεγμονῆς ἐνδείκνυται κατὰ τὰ σπλάγχνα, καὶ τάχα βέλτιόν ἐστιν, ἀκοῦσαι τὸ θερμῶν ἐόντων, ἐπί τε τῆς κοιλίας καὶ τῶν πλευρῶν οὕτως εἰρημένον, ὡς ἐπιφανέστερον αὐτῶν τεθερμασμένων, ἢ ὁπότε κατὰ φύσιν εἶχον. ἴσμεν δ᾽ ὅτι καὶ ὁ καλούμενος λειπυρίας πυρετὸς, ἐκ τῆς τοιαύτης ἰδέας ἐστίν.

Ἄριστον δὲ καὶ ἅπαν τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακὸν ὁμαλῶς.

Χειρίστην προειρηκὼς κατάστασιν νοσήματος εἶναι, ὅταν τῶν μέσων τεθερμασμένων καταψύχηται τὰ πέρατα τοῦ σώματος. ἀντιπαραβάλλει νῦν αὐτῇ τὴν ἀρίστην ἐν ᾗ μὲν, ἐν ᾗ θερμὸν ὁμαλῶς ἐστιν ὅλον τὸ σῶμα, μετὰ τοῦ καὶ μαλθακὸν ὁμαλῶς εἶναι, τὸ γὰρ ὁμαλὸν ἀμφοτέρων ἐστὶ κοινόν. ὁμαλῶς μὲν οὖν θερμὸν γίνεται τὸ σῶμα, καὶ ἐπὶ τοὺς διακαεστάτους τῶν πυρετῶν, ἀλλὰ δακνῶδές τε καὶ ξηρὸν φαίνεται κατὰ τὰς τοιαύτας διαθέσεις, οὐ μαλακόν. εἰ δὲ ἅμα τε μαλακὸν εἴη καὶ θερμὸν ὁμαλῶς, ἀρίστην ἐνδείκνυται διάθεσιν τοῦ σώματος.

Στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγέοντα, καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι.

Κεφάλαιον μὲν ἁπάσης προγνώσεως ἐστὶ τῶν τεθνηξομένων, καὶ σωθησομένων ἡ παραβολὴ τῆς τοῦ νοσήματος ἰσχύος, πρὸς τὴν τοῦ κάμνοντος δύναμιν. ἰσχυροτέρου μὲν γὰρ ὄντος τοῦ νοσήματος, τεθνήξεται πάντως ὁ ἄνθρωπος. εἰ δ᾽ ἀσθενέστερον εἴη τῆς τοῦ κάμνοντος δυνάμεως, οὐκ ἂν ἀποθάνοι, μηδενὸς ἁμαρτηθέντος, καὶ τοῦτο τὸ κεφάλαιον, αὐτὸς ἔγραψε κατὰ τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νόσου. τὸ μὲν οὖν κεφάλαιον τοῦτο, τῆς προγνωστικῆς θεωρίας ἐστίν. οὐσῶν δὲ δυνάμεων τριῶν κατὰ γένος ἐπὶ τρισὶν ἀρχαῖς, ἐγκεφάλῳ καὶ καρδίᾳ, καὶ ἥπατι, διὰ τῶν ἐνεργειῶν ἑκάστης αὐτῶν, ἥ τ᾽ ἀῤῥωστία, καὶ ἡ ῥώμη γνωρίζεται. ἐνέργειαι δὲ τῆς μὲν κατὰ τὸν ἐγκέφαλον ἀρχῆς, αἱ μὲν ἡγεμονικαὶ, κατά τε μνήμας γίνονται, καὶ διαλογισμούς. αἱ δ᾽ ὑπηρετικαὶ, κατά τε τὰς αἰσθήσεις, καὶ τὰς καθ᾽ ὁρμὴν κινήσεις. τῆς δὲ κατὰ τὴν καρδίαν, αἱ διὰ τῆς τῶν ἀρτηριῶν κινήσεως. τῆς δὲ κατὰ τὸ ἧπαρ, αἱ περὶ τὸ αἷμα καὶ τοὺς χυμούς. εἰς ταῦτ᾽ οὖν τὰ κεφάλαια τῆς προγνωστικῆς θεωρίας τεμνομένης, ὅτι περ ἂν ὑφ᾽ Ἱπποκράτους ῥηθῇ σημεῖον, ἐπισκοπεῖσθαι τίνος ἐστὶ γένους. οἷον ἐστὶ νῦν ἐπὶ τοῦ ῥᾳδίως στρέφεσθαι τὸν κάμνοντα, καὶ διανιστάμενον ἐλαφρὸν ἑαυτῷ φαίνεσθαι. γνωρίσματα γάρ ἐστι ταῦτα τῆς καθ᾽ ὁρμὴν κινούσης τὸ σῶμα δυνάμεως. ἴσμεν δ᾽ ὅτι καθ᾽ ὁρμὴν ἢ κατὰ προαίρεσιν, ἢ βούλησιν ὀνομάζειν, οὐδὲν εἰς τὰ παρόντα διαφέρει, τούτου τοῦ γένους ἐστὶ, καὶ τὰ περὶ τῆς κατακλίσεως ἔμπροσθεν εἰρημένα ἐπὶ τὴν ῥῆσιν ἧς ἡ ἀρχὴ, κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα. δείκνυσι μὲν γὰρ ὅτι ἡ τοιαύτη κατάκλισις, ὥσπερ καὶ ἡ ἀναῤῥοπος ἐνεργούντων γίνεται τῶν μυῶν, ὀνομάζειν δὲ αὐτὴν εἰώθασι τονικήν. εἴρηται δὲ περὶ αὐτῆς ἐπὶ πλέον ἐν τοῖς περὶ μυῶν κινήσεως. ἔλεγε δὲ καὶ ὁ Διοκλῆς, ὅτι τὰ σώματα τῶν ζώων συνέστηκεν, ἐκ τοῦ φέροντος καὶ τοῦ φερομένου. φέρον οὖν ἐστιν ἡ δύναμις, φερόμενον δὲ τὸ σῶμα. καθάπερ οὖν οἱ βαστάζοντες φορτίον, ἤτοι βαρυνόμενοι πρὸς αὐτοῦ κινοῦνται μόλις, ἢ κοῦφον εἶναι νομίζοντες, ἀλύπως φέρουσιν. οὕτω καὶ ἡ δύναμις, ἡ μὲν ἰσχυρὰ, ῥᾳδίως τὸ βάρος τοῦ σώματος φέρει, ὡς μηδὲν εἰς τὰς κινήσεις τοῦ σώματος βλάπτεσθαι. ἡ δ᾽ ἀσθενὴς βαρυνομένη, μόγις ἐξαίρει τὰ μόρια τοῦ σώματος.

Εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο, τό, τε ἄλλο σῶμα, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας, ἐπικινδυνότερόν ἐστιν.

Ἐπιχειροῦντι κινεῖσθαι τὰς κατὰ προαίρεσιν ἐνεργείας, ἡ τῶν μορίων βαρύτης καταφανὴς γίνεται. σκελῶν μὲν ἐν τῷ διανίστασθαι, καὶ βαδίζειν, ἢ ἐστὶ μεταφέρειν ὅλως αὐτὰ πειρᾶσθαι κατακείμενον, οὕτω καὶ χειρῶν ἐν τῷ λαμβάνειν τι, καὶ μεθιέναι, καὶ μεταφέρειν ἐπιχειρεῖν, ὡσαύτως καὶ τῶν ἐπὶ τράχηλον καὶ ῥάχιν, ἐν τῷ μετασχηματίζειν ἐπιχειρεῖν τὸ σῶμα κατὰ ταῦτα τὰ μόρια. ἐστὶ μέγιστόν γε τοῦτ᾽ ἐστὶ καὶ κυριώτατον ἀῤῥώστου δυνάμεως σημεῖον, ἡ βαρύτης τῶν μορίων, οὐ πάσης ὡς εἴρηται πρόσθεν, ἀλλὰ τῆς ἐπὶ μόνα τὰ νεῦρα, καὶ τοὺς μῦς.

Εἰ δὲ καὶ πρὸς τῷ βάρει οἱ ὄνυχες ἐστὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος ὁ θάνατος αὐτίκα.

Δέδεικται μὲν δι᾽ ἑτέρων ἡμῖν, ὅπως ἀλλήλαις αἱ διοικοῦσαι τὸ ζῶον δυνάμεις συναπόλλυνται, καὶ ὡς ἄχρις οὗ ἥτις οὖν αὐτῶν διασώζεται, ζῇ πάντως ὁ ἄνθρωπος. εἰρηκὼς οὖν ὁ Ἱπποκράτης γνωρίσματα τῆς καταλυομένης δυνάμεως, ὑφ᾽ ἧς οἱ μύες κινοῦνται, νῦν αὐτοῖς προστίθησιν ἑτέρας δυνάμεως σβεννυμένης ἴδια γνωρίσματα. τὸ γὰρ πελιδνοῦσθαι, σημεῖον τοῦ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν, ἣ τις ἀπὸ καρδίας ὁρμᾶται. διὰ τοῦτο τοιγαροῦν οὐχ ἁπλῶς θάνατον ἔφησε δηλοῦν τὴν πελιδνότητα προσγινομένην τῷ βάρει τοῦ σώματος, ἀλλὰ παραχρῆμα, καὶ οὐκ εἰς ἀναβολὴν ἔσεσθαι τοῦτο. ἐπειδὴ τῶν δυνάμεων ἀμφοτέρων νεκρουμένων, φαίνεται τὰ γνωρίσματα.

Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσιν, ἀλλὰ καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι χρή. ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν, ἢ καὶ ἄλλο τι τῶν περιεστηκότων πρὸς τουτέοισι σημείων ὑποδεικνύει τὸ νόσημα

σῆμα ἐς ἀπόστασιν τρέπεσθαι ἐλπὶς, ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.

Οὐχ ἧσσον ὀλέθριοι τῶν πελιδνῶν, ἐχρῆν εἰπεῖν, ἀλλ' ὡς ἐνίοτε μὲν οὐδ' ὅλως, ἐνίοτε δὲ ἐσχάτως εἰσὶν ὀλέθριοι, καὶ ἴσως ἄν τις ὑπονοήσειεν ἀγνοεῖν αὐτὸν τοῦτο, διὰ τὸ μὴ κυρίως χρῆσθαι τῇ λέξει. προσθεὶς δὲ ἑξῆς τὸν διορισμὸν, καὶ διδάξας σαφῶς ἑκάτερον ὧν εἶπον, εὔδηλός ἐστι, γινώσκων μὲν τὸ ἀληθὲς, οὐκ ἀκριβῶς δὲ ἑρμηνεύσας. ἐνίοτε γὰρ ἀποσκήμματος λόγῳ μελαίνεταί τι μόριον, ἐνίοτε δὲ καὶ νεκρώσεως. ὅπως δ' ἄν τις αὐτὸ τοῦτο διαγνοίη, σαφῶς ἐδήλωσεν. ἢν γὰρ εὐπετῶς φέρων φαίνηται τὸ κακὸν, τουτέστιν εὐφόρως ὁ κάμνων ἔχῃ, καί τι ἄλλο σημεῖον αὐτῷ παρῇ τῶν σωτηρίων, ἀποσκήμματα ἐστίν. εἰ δὲ τὰ ἐναντία, νέκρωσις.

Ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα.

Φαίνεται τοῖς ὀδυνωμένοις ἀνασπώμενα ταῦτα τὰ μόρια, καθάπερ καὶ τοῖς ἀποθνήσκουσι, καὶ λόγον ἔχει. νεκρουμένης γὰρ ἤδη τῆς ζωτικῆς δυνάμεως, καὶ διὰ τοῦτ' αὐτὸ ἀποτείνεσθαι μέχρι τῶν περάτων τοῦ σώματος ἀδυνατούσης, ἐκλαζούσης δὲ καὶ ἐπὶ τὴν ἑαυτῆς ἀρχὴν συναγομένης, ἀναγκαῖον ἐστὶν ἕπεσθαι καὶ τὰ μόρια τῇ δυνάμει καὶ συνέρχεσθαί τε καὶ συναπτέσθαι πρὸς τὰ μέσα τοῦ σώματος, ὅτι δὲ καὶ οἱ πόνοι συστολὴν ἐργάζονται τῆς δυνάμεως εἰς ἑαυτὴν, ἐμάθομεν ἤδη πολλάκις, ὥστ' εἰκότως καὶ δι' ἐκείνους ἀνασπᾶσθαι τὰ μόρια πρὸς τὴν ἀρχήν.

Περὶ δὲ ὕπνων ὥσπερ καὶ κατὰ φύσιν ξυνήθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρὴ, τὴν δὲ νύκτα καθεύδειν. ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον. ἥκιστα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. οἱ δ' ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσι.

Οὐ μόνον ὀρθῶς ἀπεφήνατο περὶ τῶν κατὰ τοὺς ὕπνους σημείων, ἀλλὰ καὶ τὴν αἰτίαν προσέθηκεν αὐτοῖς, εἰς μὲν τὸ κατὰ φύσιν ἀναφέρων ὅσα χρηστά. τὰ δ' ἐναντία, διότι παρὰ φύσιν εἰσὶ, διὰ τοῦτο μεμψάμενος. οὕτω δὲ καὶ κατὰ τὸ ἔθος ἔχει. τὸ μὲν γὰρ συνήθες ἀγαθὸν, τὸ δ' ἀσυνήθες μοχθηρόν. ἀλλ' ἐπὶ τῶν Ἱπποκράτους χρόνων, οὐκ ἄλλο μὲν ἦν τὸ κατὰ φύσιν, ἄλλο δὲ τὰ ἔθη. νυνὶ δ' ἔμπαλιν, οἱ πλούσιοι δρῶσιν, ἔν ἄλλοις τέ τισι, καὶ κατὰ τοὺς ὕπνους. τὰς μὲν ἡμέρας κοιμώμενοι, νύκτωρ δὲ ἐγρηγορότες. ἐπὶ τούτων οὖν ὡς ἂν παρὰ φύσιν ἐθισμένων ζῆν, οὐκ ἀληθής ἐστιν ἡ εἰρημένη πρὸς Ἱπποκράτους διδασκαλία. κυριώτερον γὰρ ἔν γε τοῖς νῦν χρόνοις ἐστὶ τὸ ἔθος τῆς φύσεως, οὐκ ἐπὶ τῶν πλουσίων γυναικῶν μόνον, ἀλλὰ καὶ ἀνδρῶν οὐκ ὀλίγων.

Κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης. ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνίη, ἢ παραφροσύνη ἔσται ἀπὸ τουτέου τοῦ σημείου.

Τὸ μήτε ἡμέρας μήτε νυκτὸς κοιμᾶσθαι, τοῖς κατατεινομένοις ὑπό τινος ὀδύνης τε καὶ πόνου, γίνεται καὶ τοῖς ἀρχομένοις παραφρονεῖν. ἀγρυπνίας γάρ ἐστι καὶ αὕτη ποιητικὴ, διὰ ξηρότητα τῆς κατὰ τὸν ἐγκέφαλον κράσεως.

Διαχώρημα δὲ ἄριστόν ἐστι, μαλθακόν τε καὶ ξυνεστηκὸς, καὶ τὴν ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει, πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν.

Ἀπὸ συστάσεως καὶ ποσότητος, καὶ χρόνου καθ' ὃν ἐκκρίνεται τὰ διαχωρήματα, τὴν διάγνωσιν ἐποιήσατο τῶν ἀρίστων διαχωρημάτων. οὐ μὴν τῶν γε κακίστων, ἀπὸ τούτων μόνων, ἀλλὰ προσέθηκεν αὐτοῖς τά τε ἀπὸ τῆς χρόας γνωρίσματα, καὶ τὰ ἀπὸ τῆς ὀσμῆς, ἔτι τε πρὸς τούτοις, τὸν κατὰ τὴν ἀπόκρισιν συνεζευγμένον ψόφον. σύστασιν μὲν οὖν ἔχει τὴν κατὰ φύσιν, ὅσα μήτε σκληρὰ παντελῶς ἐστιν ὡς λιθώδη, μήθ' ὑγρὰ τελέως ὡς δύνασθαι διαρρεῖν, ἀλλὰ μέχρι τοσούτου μαλακὰ, μέχρι τοῦ μένειν ἔτι συνεστῶτα. ἔστω δ' αὐτῶν καὶ τὸ πλῆθος ἀνάλογον τῶν ἐδηδεσμένων, καὶ ὁ χρόνος ἐν ᾧ κενοῦται συνήθης τῷ κάμνοντι. προσκείσθω δὲ, ὅτι καὶ ἡ χροιὰ, καὶ ἡ ὀσμὴ φυλαττέσθω τὴν κατὰ φύσιν, ἅπερ αὐτὸς ὁ Ἱπποκράτης οὐ προσέγραψεν, ὡς ἐξ ὧν εἶπε παρὰ φύσιν, ἐπινοῆσαι σοι δυναμένῳ καὶ ταῦτα. συνήθες γὰρ αὐτῷ τοῦτο πολλάκις ἐδείξαμεν ὄν, ἐκ τῶν ἐναντίων ἐνδείκνυσθαι τὰ ἐναντία. παραλείποντι τὰς προσηγορίας αὐτῶν, ὑγιαίνειν δὲ τὴν κάτω κοιλίαν εἶπεν, ὡς πρὸς τὸν θώρακα παραβάλλων, ἵνα ἀκούσωμεν αὐτὴν τε τὴν γαστέρα, καὶ τὴν νῆστιν ἅμα τῷ μετ' αὐτὴν ἐντέρῳ παντὶ κάτω κοιλίην. οὐ μὴν εὐθέως παρὰ φύσιν ἔχειν αὐτὴν ἐνδείξεται τἀναντία διαχωρήματα. τοῦτο γὰρ οὔτ' αὐτὸς εἶπεν, οὔτ' ἄλλως ἀληθές. ἐγχωρεῖ γοῦν ὑγιαίνειν μὲν τὰ κατὰ τὴν κάτω κοιλίαν. ἤτοι δ' ἐστὶν ἧπαρ, ἢ σπλὴν, εἰς αὐτὴν τι συρρέον, ἀλλοιοῦν οὐ μόνον τὸ χρῶμα τὸ κατὰ φύσιν, ἀλλὰ καὶ τὴν σύστασιν καὶ τὴν ὀσμὴν τῶν διαχωρουμένων. ὑπαλλαχθήσεται δ' ἐνίοτε καὶ τὸ πλῆθος αὐτῶν, ἐπιμιξίᾳ τῶν καταρρεόντων ὑγρῶν. οὐ φυλαχθήσεται δ' οὐδ' ὁ συνήθης χρόνος τῆς ἀποκρίσεως. τὸ μὲν οὖν ὁμοιώτατον τῷ κατὰ φύσιν διαχωρήματι, γνώρισμά ἐστιν οὐ μόνον τοῦ τὴν κάτω κοιλίαν ὑγιαίνειν, ὅπερ εἶπεν αὐτὸς, ἀλλὰ καὶ τοῦ μηδὲν ἐκ τῶν εἰρημένων σπλάγχνων καταρρεῖν εἰς αὐτήν. τὸ δὲ παρὰ φύσιν ἔχον, ἔσθ' ὅτε μὲν αὐτὰ μόνα τὰ κατὰ τὴν κοιλίαν ἐνδείκνυται πεπονθέναι. πολλάκις δὲ καὶ τῶν ἄλλοθεν εἰς αὐτὴν συρρεόντων, ἔχει γνωρίσματα. καὶ πολυειδῆ γε ταῦτα, τῷ τὸ ἧπαρ οὐ μόνον ἑαυτοῦ τινὰ περιττώματα καὶ ἰχῶρας καὶ χυμοὺς παρὰ φύσιν εἰς τὴν γαστέρα παραπέμπειν, ἀλλὰ καὶ τοῦ σώματος ὅλου. συνάπτεται γὰρ ἡ γαστὴρ δι' αὐτοῦ, πᾶσι τοῖς τοῦ ζώου μορίοις, καὶ δέχεται δι' ἐκείνου τὰ περιττώματα αὐτῶν. ἐνίοτε μὲν ὡς ἀποσκήμματα τὸ σύμπαν ἐκκαθαίροντα σῶμα, ἐνίοτε δὲ μορίου ἑνὸς, ἢ δυοῖν, ἢ πλειόνων ἅμα. πολλάκις δὲ ὡς συμπτώματα δηλωτικὰ τῶν παθημάτων, ἤτοι τοῦ σύμπαντος σώματος, ἢ μορίου τινὸς, ἢ τινῶν. προσέχομεν τοίνυν ἐφεξῆς τοῖς λόγοις αὐτοῦ, περὶ τούτων διδάσκουσιν.

Εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τε καὶ κατ'

ὀλίγους ὑποχωρέειν. κοπιῶν γὰρ ἄνθρωπος ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος, ἀγρυπνέει ἄν. εἰ δὲ ἀθρόους πολλάκις διαχωρέει, κίνδυνος λιποθυμῆσαι.

Ὅτι μὲν διὰ τὸ μὴ γεγονέναι τὴν ἐκ τῆς κοιλίας εἰς ἧπαρ ἀνάδοσιν, ἢ διὰ τὸ κατερρυηκέναι τι τῶν ἐξ ἥπατος ἢ σπληνὸς περιττωμάτων εἰς αὐτὴν, ὑγρὸν ἔσται τὸ διαχώρημα, πρόδηλον. ἀλλ' ἐγχωρεῖ μὲν τὸ τοιοῦτον ἀγαθὸν μὲν ὑπάρχειν, ἐὰν ἐκκαθαίρηται τὸ ἧπαρ ἢ ὁ σπλὴν, ἢ τὸ σύμπαν σῶμα δι' ἥπατος. οὐκ ἀγαθὸν δ', ὅταν ἐν συμπτώματος λόγῳ γίνηται, τῆς ἀναδόσεως ἀτυχηθείσης, ἢ τῶν ἐξ ἥπατος ἰόντων εἰς γαστέρα, διαθέσεως οὐκ ἀγαθῆς ἐχόντων γνωρίσματα. διορισμὸς δὲ τούτων ἐστὶν, εἰ μή γε τρύζει. γέγραπται δὲ καὶ μετὰ τοῦ σίγμα καὶ χωρὶς τοῦ σίγμα τοὔνομα, καθ' ἑκατέραν γραφὴν, ἀπὸ τοῦ γινομένου ψόφου πεποιημένον. ἔτι τε εἰ μὴ πυκνῶς, καὶ κατ' ὀλίγον διαχωρέει. τὰ γὰρ οὕτω διαχωροῦντα, συμπτώματος λόγον ἔχει. τὰ δὲ διὰ χρόνου πλείονος ἀθροώτερα, πολλάκις ἀγαθῆς ἐκκρίσεως γνωρίσματά ἐστιν, τῆς φύσεως ἀποτιθεμένης τὰ περιττὰ, κατὰ πλῆθος ἢ ποιότητα, ἢ τὸ σύμπαν ζῷον, ἢ ἔν τι μόριον αὐτοῦ κενούσης, ἢ καθαιρούσης. ὀνομάζω δὲ κένωσιν μὲν τῶν οἰκείων, ὅταν ὑπερβάλλῃ τῷ πλήθει. κάθαρσιν δὲ τὴν τῶν ἀλλοτρίων κατὰ ποιότητα. συνακολουθεῖ δὲ καὶ ἄλλα τινὰ τοῖς τοιούτοις διαχωρήμασιν, ὧν ἐμνημόνευσεν ὁ Ἱπποκράτης εἰπὼν, κοπιῶν γὰρ ὁ ἄνθρωπος, ὑπὸ τῆς συνεχοῦς ἐξαναστάσιος, ἀγρυπνέει ἄν. καὶ μὴν δὴ καὶ τὸ πολὺ πολλάκις ἐκκρίνεσθαι, ὡς καταλυτικὸν τῆς δυνάμεως μέμφεται. καὶ γὰρ σπανίως ποτὲ γίνονται ἐκκρίσεις ἀγαθαὶ τοιαῦται. τὸ γὰρ καταλύεσθαι τὴν δύναμιν, οὐκ ἀγαθὸν ὂν, αὐταῖς συνέζευκται. καθάπερ καὶ ταῖς κρισίμοις μὲν, ἀμέτροις δ' αἱμορραγίαις.

Ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν εἰσιόντων ὑποχωρέειν, δὶς ἢ τρὶς τῆς ἡμέρης, καὶ τῆς νυκτὸς ἅπαξ. πλεῖστον δ' ὑπιέτω τὸ πρωῒ, ὥσπερ σύνηθές ἐστι τῷ ἀνθρώπῳ.

Τοῦτο μὲν καὶ πρόσθεν ἐγέγραπτο. βέλτιον δ' ἦν αὐτὸν εἰρηκέναι νῦν, τὸν περὶ τῶν κριτικῶν μὲν, ἀθρόως δὲ ἐκκρινομένων λόγον, ὃν ἐγὼ διῆλθον ἄρτι. μέμφομαι δὲ ὡς περιττὰ τὸ δὶς ἢ τρὶς τῆς ἡμέρας, καὶ τῆς νυκτὸς ἅπαξ ὅσα τἄλλα πρὸς τούτοις ἔγραψεν. ἤρκει γὰρ μόνον εἰπεῖν, ὥσπερ σύνηθες ἦν τῷ ἀνθρώπῳ, κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ὑπ' αὐτοῦ γεγραμμένον. ἐν τισὶ μὲν ἀντιγράφοις, μετὰ τοῦ ὑπιέτω, κατ' ἔνια δὲ καὶ χωρὶς τούτου. κατὰ τοῦτον τὸν τρόπον, πλέον ὑπὸ τὸ πρωῒ ὥσπερ σύνηθες ἦν τῷ ἀνθρώπῳ. διαφέρει δὲ οὐδὲν, ἢ οὕτως, ἢ ἐκείνως γεγράφθαι, φυλάττεται γὰρ ἑκατέρως, ἄριστον εἶναι τὸ συνηθέστατον.

Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου.

Παχύνεται δηλονότι τὸ ὑδατῶδες καὶ λεπτὸν, οὐ τὸ παχὺ καὶ σκληρὸν, ὡς ἂν εἴη ὁ λόγος αὐτῷ περὶ τῶν ἐξ ἀρχῆς ὑγρὰ διαχωρούντων. ἴδιον δὲ τοῦτο βραχυλογίας παλαιᾶς, καὶ μάλιστα σύνηθες Ἱπποκράτους τὸ διὰ τῶν ἀντικειμένων ἐνίοτε συνενδείκνυσθαί τινα, παραλείποντα μνημονεύειν αὐτῶν ὀνόμασι.

Ὑπόπυρον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες.

Ἔπρεπε τοῦτον τὸν λόγον κατὰ τὴν ἀρχὴν εἰρῆσθαι, τῆς περὶ τῶν διαχωρημάτων διδασκαλίας, ὡς γενέσθαι τὴν ῥῆσιν τοιαύτην. διαχώρημα δ' ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς, καὶ τὴν ὥραν ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων, ὑπόπυρον δ' ἔστω καὶ μὴ λίαν δυσῶδες. ἵνα ὡς ἔφην ὀλίγον ἔμπροσθεν τήν τε σύστασιν αὐτοῦ καὶ τὸ πλῆθος, καὶ τὸν καιρὸν τῆς ἀποκρίσεως, ἔτι τε τὰς ποιότητας ἀμφοτέρας, τήν τε ὁρατὴν καὶ τὴν ὀσφραντὴν ᾖ διωρισμένος. ὅτι δὲ τὸ κατὰ φύσιν ὑπόπυρόν ἐστι, δεχόμενον τὴν ἐξ ἥπατος εἰς γαστέρα καταρρέουσαν χολὴν, σύμμετρον μὲν τῇ ποιότητι, ὀλίγην δὲ τῇ ποσότητι, πρόδηλόν τε ἐστὶ καὶ πᾶσιν ἰατροῖς ὁμολογούμενον. ἐὰν γὰρ ἄκρατος ἡ χολὴ καταρρέῃ, ξανθὸν ἢ πυρρὸν ἐργάζεται, μηδ' ὅλως ἀφικνουμένης αὐτῆς εἰς τὰ ἔντερα ὡς ἐπὶ τῶν ἰκτεριώντων, λευκὸν ἔσται τὸ διαχώρημα.

Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας ξυνεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου.

Ὅταν δὲ καὶ ταύτας ἡ φύσις ἅμα τοῖς ἄλλοις περιττοῖς ὠθῇ κάτω, βέλτιόν ἐστιν ἤπερ ἄνω. καὶ ὅταν ἄλλως ἐπιφαίνηται, λόγῳ συμπτώματος. εἴρηται δὲ ἐπὶ πλέον ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασιν, ἡ διαφορὰ πᾶσα τῶν κρισίμως ἐπιφαινομένων.

Δεῖ δὲ ἐν παντὶ τῷ νουσήματι λαπαρὴν τὴν κοιλίην εἶναι καὶ εὔογκον.

Τὸ μὲν λαπαρὴν, ἀντίκειται τῷ τεταμένην, ἢ πεπληρωμένην. τὸ δ' εὔογκον, τῷ ἐκτετηκέναι, ἵνα τὸ μὲν πρότερον, ὑπὲρ τῶν ἐν αὐτῇ περιεχομένων διδάσκῃ, τὸ δὲ δεύτερον, ὑπὲρ αὐτῆς τῆς κοιλίας, ὡς εἰ καὶ οὕτως εἶπε. δεῖ δὲ ἐν παντὶ νοσήματι, συμμέτρως μὲν κενὴν εἶναι τὴν κοιλίην, εὔογκον δὲ κατὰ τὴν ἑαυτῆς οὐσίαν καὶ μὴ λεπτήν.

Ὑδαρὲς δὲ κάρτα, ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα.

Τὸ μὲν οὖν ὑδαρὲς, ἀπεψίας ἐστὶ σημεῖον. τὸ δὲ λευκὸν ὡς εἴρηται πρόσθεν ἤδη, τοῦ μὴ κατιέναι τὴν ὠχρὰν χολὴν ἐξ ἥπατος εἰς τὰ κατὰ γαστέρα χωρία. τὸ δὲ χλωρὸν ἰσχυρῶς, ἐπειδὴ δύο σημαίνει τὸ χλωρὸν, ὡς καὶ τοῦτο εἴρηται πρόσθεν. κατὰ μὲν τὸ ἕτερον τῶν σημαινομένων, τὴν ὠχρὰν χολὴν παμπόλλην μεμίχθαι δηλώσει. κατὰ δὲ τὸ ἕτερον τὴν ἰώδη. τὸ δὲ ἀφρῶδες, ποτὲ μὲν πνεῦμα φυσῶδες ὑγρῷ δυσλύτῳ μεμίχθαι, ποτὲ δὲ θέρμης ἐστὶ πολλῆς σημεῖον. ὁρᾶται γοῦν κἀπὶ τῶν ἐκτὸς οὕτω γιγνομένων. ἐν μὲν τῇ θαλάσσῃ, διὰ τὰς τῶν ἀνέμων ἐμβολὰς, ἐπὶ δὲ τῶν ἑψομένων λεβήτων, διὰ τὴν πολλὴν θερμασίαν.

Πονηρὸν δὲ καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον καὶ λευκὸν, καὶ ὑπόχλωρον καὶ λεῖον.

Διττὴν ἰδέαν ἐν τῷδε τῷ λόγῳ διδάσκει διαχωρημάτων. ἀμφοτέρων μὲν ὑπὸ συντήξεως γινομένων, διαφερόντων

φερόντων δὲ καθόσον ἡ μὲν μικρὰ καὶ γλίσχρα καὶ λευκὴ διαχώρησις, πιμελῆς τετηκυίας ὑπὸ πυρώδους μὲν θερμότητος, οὐ μὴν κακοήθους γε σφοδρῶς γίνεται. ἡ δὲ ὑπόχλωρος καὶ λεία, πιμελῆς μὲν ἐστι, καὶ ἡ δὲ συντετηκυίας. ἀλλ' ἤτοι διὰ θερμασίαν σφοδροτέραν, ἢ αὐτῆς τῆς πιμελῆς παλαιᾶς τε καὶ οἷον ἡμισαποῦς ὑπαρχούσης. ὁρᾶται γοῦν κάκτος οὐχ ἡ πιμελὴ μόνον, ἀλλὰ καὶ τὸ στέαρ, μεταβάλλοντα ἐν τῷ χρόνῳ τὸ πρόσθεν ἑαυτῶν χρῶμα, καὶ σαφῶς ὑπόχλωρα γινόμενα. εἰ δέ γε τὸ ὑπόχλωρον ὑπὸ τῆς ἰώδους χολῆς εἴη γεγενημένον. ἔστι γὰρ ὡς ἐδείχθη, δεύτερον εἶδος τῆς χλωρᾶς φωνῆς σημαινόμενον, ἰσχυρᾶς συντήξεως ἔσται σημεῖον. λεῖον δὲ γίνεται πᾶν ὁποιοῦν τῶν ἐκκρινομένων τοῦ σώματος, ἢ διὰ τὸ ὁμαλὴν πέψιν ἔχειν, ὥστε μηδὲν αὐτοῦ διαπεφευγέναι μέρος τὴν ἐκ τῆς φύσεως ἀλλοίωσιν, ἢ διὰ ἰσχυρὰν σύντηξιν, ὡς μηδὲν ἐνταῦθα μόριον τῆς ὕλης, ἀπαθὲς ὑπολειφθῆναι. ὥσπερ οὖν ὅσα χρηστά, βελτίω ταῦτ' ἐστὶν ὁμαλῶς φαινόμενα. κατὰ τὸν αὐτὸν τρόπον, ὅσα μοχθηρὰ χείρω καὶ ταῦτα πάντ' ἐστιν, ὁμαλῶς ὄντα τοιαῦτα. δι' ὅλων γὰρ ἑαυτῶν ἑκάτερα φαίνεται, τὰ μὲν τὸν τῆς φύσεως κόσμον δεδειγμένα, τὰ δὲ τὸ τῆς μοχθηρίας αἶσχος. τὸ δὲ γλίσχρον, ὅτι μὲν πολλάκις ἐπὶ τῶν πλεῖον ἤδη τεθερμασμένων γίνεται, πρόδηλον. ἐνίοτε δὲ καὶ ἡ τῶν ἐδεσμάτων ποιότης, ἀπεργάζεται τοιούτους χυμούς. ἀλλ' οὗτοι μὲν ὅταν ἐπὶ τὴν ἔκκρισιν ὁρμήσωσιν, οὐκ εἰσὶν ὀλίγοι. τὸ δὲ κατ' ὀλίγον ἐκκρινόμενον γλίσχρον, ἀποκεχώρηκε μὲν τούτων, ᾤκείωται δὲ συντήξεσι μετρίαις. ἐνίοτε δὲ αἱ σφοδραὶ συντήξεις ἀθρόας γλίσχρας ἐργάζονται διαχωρήσεις. ἀλλ' αἱ τοιαῦται πάντως εἰσὶ δυσώδεις, καὶ ταύτῃ διορίζονται τῶν ὠμῶν χυμῶν, οὐκ ὄντων δυσωδῶν.

Τουτέων δὲ θανατωδέστερα ἂν εἴη τὰ μέλανα, ἢ λιπαρά, ἢ πέλια, ἢ ἰώδεα καὶ κάκοσμα.

Τὰ μέλανα μὲν ὑπὸ μελαίνης χολῆς ἀκράτου χρώζεται. τὰ πελιδνὰ δὲ, μετρίας τε καὶ μετρίως ἐπιμιγνυμένης αὐτοῖς, γίνονται τοιαῦτα. λιπαρὰ δὲ διαχωρεῖται, συντηκομένης πιμελῆς ὑπὸ πυρώδους θερμασίας. τὰ δὲ κάκοσμα, σηπεδόνος ἐστὶ γνωρίσματα.

Τὰ δὲ ποικίλα χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. ἔστι δὲ τὰ τοιαῦτα ξυσματώδεα καὶ χολώδεα καὶ αἱματώδεα, καὶ πρασοειδέα καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα, ποτὲ δὲ κατὰ μέρος.

Τὰ ποικίλα, πολλὰς εἶναι διαθέσεις ἐνδείκνυται, διὸ καὶ χρόνου δεῖται πρὸς τὴν πέψιν. πολλῶν γὰρ οὐσῶν διαθέσεων, εἰκὸς μὲν εἶναι τινὰς ἐξ αὐτῶν χρονίας. εἰ δὲ μή, ἀλλὰ πάντως γε πρὸς τὴν φύσιν. δεῖ οὖν ὥσπερ ἀνταγωνιστὰς πολλοῖς διαγωνιζομένην, ἀναλίσκειν πλείονα χρόνον.

Φῦσαν δὲ ἄνευ ψόφου καὶ πορδῆς διεξιέναι ἄριστον, κρέσσον δὲ καὶ ξὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ ἀνειλέεσθαι. καίτοι καὶ οὕτω διελθοῦσα, σημαίνει ἢ πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω ποιήσηται τὴν ἄφεσιν τῆς φύσης.

Τὰς φύσας ἔνιοι μὲν ἐκκρίνουσι μετὰ ψόφου, μηδὲν ἀπαισχυνόμενοι. τινὲς δὲ ἀποθανεῖν ἂν ἕλοιντο μᾶλλον, ἢ τοῦτο πρᾶξαι. τούτους μὲν οὖν ὅταν ἀκουόντων πολλῶν προΐωνται φύσαι, εἰδέναι δεῖ δυοῖν θάτερον, ἢ μὴ παρακολουθεῖν τοῖς πραττομένοις, ἢ διὰ μέγεθος ὀδύνης κατηναγκάσθαι πρᾶξαι τι τῶν ἀβουλήτων. ἐπὶ δὲ τῶν ἄλλων, ὅσοι μηδ' ὅλως φροντίζουσι τῶν παρόντων, οὐδὲν μὲν σημαίνειν ἄτοπον ὑποληπτέον τὴν μετὰ ψόφου φύσαν. ἄμεινον δ' εἶναι καὶ ἐπὶ τούτων ἄνευ ψόφου. πάντως γὰρ ἤτοι πλῆθος ἐνδείκνυται τοῦ φυσώδους πνεύματος, ἢ στενοχωρίαν τῶν ὀργάνων. ὅταν δὲ τὸ πνεῦμα μὴ πάνυ πολὺ ᾖ. τὰ δ' ὄργανα δι' ὧν ἐκκρίνεται χαλαρὰ τελέως ᾖ, χωρὶς ψόφου τοῖς τοιούτοις ἡ τῆς φύσης ἀπόκρισις γίνεται.

Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ τὰ κυρτώματα, ἢν ᾖ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε καὶ οὔρῳ καὶ φύσῃ. εἰ δὲ μή, καὶ αὐτὸς διαπεραιωθείς. ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

Κυρτώματα τῶν ὑποχονδρίων ὠνόμασεν, ἃ διὰ τῶν ἔμπροσθεν οἰδήματα προσηγόρευσεν. ἔστι δὲ ταῦτα, πάντες οἱ παρὰ φύσιν ὄγκοι. χωρὶς μὲν φλεγμονῆς οὗτοι γινόμενοι, πνευματώδεις, καὶ μάλιστα ὅταν ὦσι πρόσφατοι. λύεσθαι δέ φησι, βορβορυγμοῦ ἐγγινομένου κατὰ τὸ ὑποχόνδριον. ὁ γὰρ τοιοῦτος ψόφος, οὐ μόνον πνεύματος ἐστὶ σημεῖον, ἀλλ' ὑγρῷ συμμιγοῦς, καὶ σώματι στερεῷ. ὅταν οὖν ἤτοι διεξέλθῃ κάτω τὸ φυσῶδες τοῦτο πνεῦμα φῦσα γενόμενον, ἢ μὴ διεξελθὸν ὑποκαταβῇ κάτω πρός τι τῶν κάτω χωρίων, ἀπαλλάττει τὸ ὑποχόνδριον ἀμφοτέρων τῶν συμπτωμάτων, τῆς τ' ὀδύνης καὶ τοῦ οἰδήματος. ἔτι δὲ μᾶλλον, εἰ καὶ σὺν οὔρῳ καὶ κόπρῳ κενωθείη. καταλείπεται γὰρ οὐδὲν ἔτι πνεῦμα, τῇ τοιαύτῃ κενώσει ἐν τοῖς ὑποχονδρίοις.

Οὖρον δὲ ἄριστόν ἐστιν ὅταν ᾖ λευκή τε ἡ ὑπόστασις, καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον ἐς ἂν κριθῇ ἡ νοῦσος. σημαίνει γὰρ ἀσφάλειάν τε καὶ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέει, ποτὲ δὲ ὑφίσταται τὸ λευκὸν καὶ λεῖον, χρονιωτέρα γίνεται ἡ νοῦσος καὶ ἧσσον ἀσφαλής.

De Vrinis.

Ὥσπερ ὀλίγον ἔμπροσθεν ἔφην ἐκ μὲν τῶν κατὰ προαίρεσιν ἐνεργειῶν γνωρίζεσθαι μίαν δύναμιν, ὅπως ἔχει ῥώμης τε καὶ ἀῤῥωστίας, ἣν τὴν ἄνωθεν ἀρχὴν ἔλεγον ὑπάρχειν, ἣν ἔδειξα δι' ἑτέρων ἐν ἐγκεφάλῳ καθιδρυμένην. οὕτω δὴ νῦν

ἄλλης δυνάμεως φυσικῆς ὁ Ἱπποκράτης σημεῖα. τὰ μὲν ἤδη διῆλθεν, τὰ δὲ καὶ κατὰ τὸν νῦν ἐνεστῶτα λόγον διεξέρχεται. καλεῖται δὲ ἡ δύναμις περὶ ἧς φημὶ προκεῖσθαι τὸν λόγον, ἀλλοιωτική τε καὶ πεπτική. τὰ μὲν οὖν τῆς κατὰ γαστέρα δυνάμεως σημεῖα, διὰ τῶν ὑποχωρουμένων ὁσημέραι γνωρίζεται, τὰ δὲ τῆς καθ᾽ ἧπάρ τε καὶ φλέβας ἐκ τῶν οὔρων. ἔστι γὰρ καὶ ἐν τούτοις ἐναργέστατα σημεῖα. τὰ μὲν ἀκριβοῦς πέψεως, τὰ δὲ ἐλλιποῦς, τὰ δὲ καὶ τελέως ἀποτυγχανομένης, ὥσπερ καὶ ἐν τοῖς κατὰ γαστέρα. πρὸς τούτοις ἔξωθεν ὥσπερ ἐκεῖ συνεκκρίνεται τινὰ γνωρίσματα διαθέσεων ἑτέρων, οὕτω κἀνταῦθα. τὴν μὲν οὖν ἀρχὴν τῆς διδασκαλίας ὁ Ἱπποκράτης ἀπὸ τῶν τῆς πέψεως γνωρισμάτων ἐποιήσατο. συνάψει δ᾽ αὐτοῖς ἐφεξῆς τἄλλα, πρῶτον οὖν καὶ ἡμεῖς λέγομεν, ἃ πρῶτον διῆλθεν ἐκεῖνος ἐν τῇ προκειμένῃ ταύτῃ ῥήσει, τὰς ὑποστάσεις τῶν οὔρων σκέπτεσθαι κελεύων, εἰ λευκαὶ καὶ λεῖαι καὶ ὁμαλαὶ πᾶσαι τυγχάνουσιν οὖσαι, καὶ μὴ ποτὲ μὲν τοιαῦται, ποτὲ δὲ ἕτεραι. γίνεται γὰρ καὶ τοῦτο συνεχέστατα. καί τις οὐρήσας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ἄμεμπτον, ἕτερον οὔρησε κατὰ τὴν ἑξῆς νύκτα μεμπτόν, εἶτ᾽ αὖθις ἄμεμπτον αὖθις τῆς τρίτης ἡμέρας ἕωθεν, εἶθ᾽ ἑσπέρας μεμπτόν. ἐκ μὲν δὴ τῶν τοιούτων οὔρων, ἐμφαίνεται τὸ μέν τι πεττόμενόν τε καὶ κρατούμενον ὑπὸ τῆς φύσεως τῶν ἐν τοῖς ἀγγείοις χυμῶν, τὸ δὲ ἀπεπτούμενον. ἐὰν δὲ μηδαμῶς παρεμπίπτῃ τῷ πεπεμμένῳ τὸ ἄπεπτον, ἄριστον οὖρον ἐστὶ τὸ τοιοῦτον. εἰ μὲν οὖν ὑπόστασιν ἔχει, λευκήν τε εἶναι χρὴ ταύτην καὶ ὁμαλὴν καὶ λείαν, διὰ παντὸς τοῦ χρόνου, μέχρι λύσεως τοῦ νοσήματος ὁμοίως γινομένην. εἰ δ᾽ οὐκ ἔχει, πάντως μὲν ἕξει τινὰ νεφέλην λευκήν. ἐξ ἀνάγκης δὲ καὶ τῇ χροιᾷ συμμέτρως ὠχρὸν ἔσται, καὶ τῇ συστάσει μεταξὺ τοῦ λεπτοῦ καὶ ὑδατώδους, καὶ τοῦ παχέος, ὁποῖον ἐστὶ τὸ τῶν ὑποζυγίων. ἀλλὰ τὰ μὲν οὐδ᾽ ὅλως ἔχοντα τὰς ὑποστάσεις οὖρα τοῖς λεπτῶς πάνυ διῃτημένοις γίνεται, τὰ δὲ πολλὴν τοῖς ἁδρῶς, τὰ δ᾽ ὀλίγην τοῖς συμμέτρως. ἔτι δ᾽ ἐν μὲν τοῖς χολώδεσι νοσήμασιν, αὐτὸ τὸ ξανθότερον ῥέπει κατὰ τὴν χρόαν. ἐν δὲ τοῖς ἐξ ὠμῶν χυμῶν γινομένοις, αὐτὸ τὸ λευκότερον. ὑπόστασιν δὲ, τὰ μὲν ἐπὶ τοῖς ὠμοῖς χυμοῖς ἴσχει δαψιλῆ. τὰ δ᾽ ἐπὶ τοῖς χολώδεσιν, ἢ οὐδ᾽ ὅλως ἢ παντάπασιν ἐλαχίστην, ἀλλ᾽ ἱκανόν ἐστιν αὐτοῖς ἐναιώρημα ἔχειν. ὀνομάζω δὲ ἐναιώρημα τὸ παχύτερον μὲν καὶ λευκότερον ἐν οὔρῳ, μήτ᾽ ἐπιπολῆς αὐτοῦ, μήτ᾽ ἐν τῷ πυθμένι τοῦ ἀγγείου. κατὰ δὲ τὴν μεταξὺ χώραν ἐναιωρούμενον, ἤτοι μέσον ἀκριβῶς, ἢ κάτω μᾶλλον, ἢ ἄνω. τὰ μὲν οὖν τοιαῦτα σύνηθές μοι καλεῖν ἐναιωρήματα. πρὸς Ἱπποκράτους γεμὴν καὶ ταῦτα νεφέλαι προσαγορεύονται, τὴν αὐτὴν ἀναλογίαν ἔχουσαι περὶ τὸ οὖρον, ἣν αἱ ὄντως νεφέλαι πρὸς τὸν ἀέρα. καὶ γὰρ καὶ ταῦτα τοῦ περιεξ ἑαυτῶν ὑγροῦ παχύτερα, κἀκεῖναι τοῦ ἀέρος. πολλάκις οὖν ὡς ἔφην ἐφίσταταί τι τοῖς οὔροις ἄνωθεν, ὅπερ ἐγὼ νεφέλην ἰδίως ὀνομάζειν εἴωθα. ταυτὶ μὲν οὖν ἐγνώσθω τέ σοι καὶ μνημονευέσθω πρῶτα, μετὰ δὲ ταῦτα πρόσεχε τὸν νοῦν οἷς ἔγραψεν ὁ Ἱπποκράτης. τὸ γὰρ διὰ παντὸς ὑπόστασιν οἵαν εἴρηκε ποιούμενον οὖρον, ἀσφαλῆ τε σημαίνει, τουτέστιν ἀκίνδυνον εἶναι τὸ νόσημα, καὶ τελέως λυθησόμενον, ὡς μηκέτι ὑποστρέφειν. καὶ πρὸς τούτοις ἔτι ταχεῖαν αὐτοῦ γενέσθαι τὴν λύσιν, ὡς εἰ καὶ κατὰ τὴν πρώτην ἡμέραν, ἢ καὶ τὴν ἐχομένην αὐτῇ νύκτα φανεὶν, ὅμοιον διαμένοι, κατά τε τὴν δευτέραν ἡμέραν καὶ νύκτα, τῆς πρώτης περιόδου, τῶν κρισίμων ἡμερῶν, οὐκ ἂν ἐξωτέρω προέλθοι τὸ νόσημα. λέγεται δὲ ταῦτα δηλονότι, περὶ τῶν πυρετωδῶν νοσημάτων, οὐ τῶν ὅσα γε χωρὶς πυρετῶν, ἤτοι κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας, ἢ κατὰ τὸν θώρακά τε καὶ πνεύμονα συνίσταται, δι᾽ ἄλλων σημείων γνωριζόμενα, εἴτε ἐπιεικῆ τε καὶ ταχυκρίσιμα ἐστὶν, εἴτε κινδυνώδη τε καὶ χρόνια. διατί δὲ τὴν ὑπόστασιν τῶν οὔρων λευκὴν εἶναι χρὴ, ἔμπροσθεν ἐν τῷ περὶ πύου δέδεικται λόγῳ, κατὰ τὸ τέλος τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων.

Εἰ δὲ εἴη τότε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λείη, πολυχρονιώτερον μὲν τούτου τοῦ πρώτου γίνεται, σωτήριον δὲ κάρτα.

Ὅταν αἵματος ὀῤῥὸς συναπέρχεται τῷ οὔρῳ, φαίνεται μὲν καὶ κατὰ τὴν χρόαν ὑπέρυθρον, ἐνδείκνυται δὲ περιουσίαν αἵματος οὐκ ἀκριβῶς κατειργασμένου. διότι μὲν οὖν τοῦ χρηστοτάτου τῶν χυμῶν ἐστὶν ἡ πλεονεξία, διὰ τοῦτο ἀκίνδυνον ὑπάρχει. διότι δὲ ὑγροτέρου τε καὶ ὀῤῥωδεστέρου τούτου ὄντος, διὰ τοῦτο χρῄζει πέψεως. εἴπερ οὖν ἐκ τῶν χρόνων οἱ πεπασμοὶ γίνονται, δεόντως τὸ τοιοῦτον οὖρον χρονιωτέραν ἔσεσθαι παρὰ τὸ πρότερον ἐνδείκνυται τὴν λύσιν τοῦ νοσήματος.

Κριμνώδεες δ᾽ ἐν τοῖσιν οὔροισιν ὑποστάσιες πονηραί, τουτέων δέ εἰσι κακίους αἱ πεταλώδεες, λεπταὶ δὲ καὶ λευκαὶ κάρτα φλαῦραι, τουτέων δέ εἰσι κακίους αἱ πιτυρώδεες.

Κριμνὰ καλεῖται τὰ τοῖς ἀλφίτοις ἐμφερόμενα τῆς πεφρυγμένης κριθῆς μόρια μεγάλα, διαπεφευγότα δηλονότι τὴν ἐν τῇ μύλῃ κατεργασίαν ἀκριβῆ. τοιαῦτα τοίνυν ὅταν ἐμφέρεται ταῖς ὑποστάσεσι τῶν οὔρων, οὐκ ἀγαθόν ἐστι σημεῖον. ἐν μὲν γὰρ τοῖς ἀλφίτοις τὸ μὴ καταθραυσθὲν εἰς ἄκρως λεπτὰ μόρια, γίνεται κριμνόν. ἐν δὲ τοῖς οὔροις, οὐ δήπου τῶν σιτίων τι συναναδοθὲν, ἔμεινεν ἔτι σκληρόν, ἀλλ᾽ ἐξ ὑπεροπτήσεως αἵματος παχέος, ἢ συντηκομένων ἀνωμάλως τῶν σαρκῶν γίνεται ταῦτα. τὸ δὲ ἀνωμάλως ἐστὶν, ὅταν ὑπὸ πυρετώδους θερμασίας ὅσον μὲν ἁπαλόν τε ἐστὶ, καὶ νεοπαγὲς τῆς σαρκὸς, εἰς ἰχῶρα ἀναλυθῇ. τὸ σκληρὸν δὲ τοῖς πεφρυγμένοις ὑπὸ τηγάνου παραπλησίως συστῇ ξηρανθέν. πρώτη μὲν γὰρ ἡ νέα καὶ ἁπαλὴ πιμελὴ, τήκεται κατὰ τοὺς τοιούτους πυρετούς, εἶθ᾽ ἡ σκληροτέρα καὶ παλαιοτέρα. καὶ μετὰ ταύτην αἱ νέαι καὶ ἁπαλαὶ σάρκες, εἶθ᾽ αἱ σκληραὶ καὶ παλαιαί, καὶ τούτων ἐφεξῆς ἤδη τὰ στερρὰ μόρια τοῦ σώματος, ὧν πάλιν ἀνωμάλως συντηκομένων, πεταλώδη μόρια τοῖς οὔροις συνεκκρίνεται. διὸ καὶ χείρω τὰ τοιαῦτα ἐστὶν οὖρα, τῶν τὰ κριμνώδη μόνον ἐχόντων. ἕτεραι δ᾽ εἰσὶν ὑποστάσεις λεπταί, τουτέστιν οὐκ ἔχουσαι πάχος, ἀλλ᾽, ὡς ἂν εἴποι τις, ἀφρῷ παραπλήσιοι, εὐθέως δ᾽ εἰσὶν αἱ τοιαῦται καὶ λευκαί, διότι δέχονται δι᾽ ὅλων ἑαυτῶν τὴν τοῦ περιέχοντος αὐγὴν μᾶλλον τῶν παχέων. ἡ γένεσις δ᾽ αὐταῖς ἐκ φυσώδους πνεύματος, ἀναμεμιγμένου δυσλύτως ἡμιπέπτῳ περιττώματι χυμῶν. ἴδιον γάρ ἐστιν αὐτῶν τῶν τελέως πεπεμμένων, ὃ καλεῖν εἴωθα ὁμαλές. γίνεται δὲ τὸ τοιοῦτον ὅταν ὁμοιομερὲς ὑπάρχει πᾶν, ὡς τό γε μεμιγμένον ἑτεροίῳ σώματι, διάφορα τὰ μόρια κατά τε τὴν σύστασιν ἔχει καὶ τὴν χρόαν, αὐτῶν δὲ τῶν ἀνωμάλων τὰ κατὰ σμικρὰ μόρια, τῶν κατὰ μεγάλα τὴν ἀνωμαλίαν ἐχόντων,

ἐχόντων, ἐστὶ χεῖρον. τὰ μὲν γὰρ περὶ μεγάλα, μεγάλην τινὰ ῥώμην τῆς φύσεως ἐνδείκνυται τοσαύτην, ὅσον περ ἐστὶ τὸ μέγεθος τῆς οὐσίας ἀκριβῶς κατειργασμένης. τὰ δὲ κατὰ σμικρά, νικᾶσθαι πρὸς τῆς ὕλης τὴν δύναμιν ἐμφαίνει καὶ οἷον μάχην τινὰ ἔχειν ἐν αὐταῖς ἰσοσθενῆ. τοῦτο μὲν δὴ κοινὸν ἁπάντων ἐστὶ τῶν ἀνωμάλων· αἱ δὲ κατὰ μέρος ἐν αὐταῖς διαφοραί, παρά τε τὴν τοῦ πεφθέντος ἀρετὴν γίνονται καὶ τὴν κακίαν τοῦ μὴ πεφθέντος. ἐπὶ δὲ ταῖς εἰρημέναις οὖν τρισὶ διαφοραῖς τῶν ὑποστάσεων, ἄλλην τετάρτην λέγει, τὴν πιτυρώδη, χείρω τῆς τρίτης, ὡς αὖ καὶ αὐτὴν ἐνδεικνυμένην ὁμοίως τῇ τε πρώτῃ καὶ τῇ δευτέρᾳ τὴν θερμασίαν τοῦ πυρετοῦ φλογώδη καὶ συντηκτικήν, ἣν οὐκ ἐχρῆν τετάρτην, ἀλλὰ τρίτην γεγράφθαι.

Νεφέλαι δὲ ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φλαῦραι.

Περὶ τῶν ἐν ταῖς ὑποστάσεσι διαφορῶν εἰπών, ἑξῆς ἐπὶ τὰς νεφέλας μετέβη, δηλώσας ὅτι τὸ ἐναιώρημα νεφέλην ὀνομάζει, τῇ προσθήκῃ τοῦ ἐμφερόμεναι ῥήματος, ὧν ὅτι τὰς μελαίνας εἰκότως μέμφεται, δῆλον. εἴγε δὴ τὸ μέλαν, ἢ διὰ ψύξιν ἰσχυρὰν γίνεται, καθ' ὃν λόγον καὶ τὸ αἷμα μελαίνεται, θρομβούμενον, ὅσα τε νεκροῦται ψυχθέντα τελέως, ἢ δι' ὑπερβάλλουσαν θερμασίαν. καὶ γὰρ αὖ καὶ τὸ αἷμα μελαίνεται, καιόμενον, ὥσπερ καὶ τὰ ἄλλα σύμπαντα σώματα, καὶ οἱ πολλῷ χρόνῳ διατρίψαντες ἐν ἡλίῳ θερινῷ, μέλανες γίνονται.

Ἔστ' ἂν δὲ πυῤῥὸν ᾖ τὸ οὖρον καὶ λεπτόν, σημαίνει τὸ νόσημα ἄπεπτον εἶναι.

Τὸ κατὰ φύσιν οὖρον, μετρίως ἐστὶν ὠχρόν, ὡς ἂν ἐκ τοῦ πεφθέντος ὑγροῦ γεγονός, ὀλίγον τι τῆς ξανθῆς χολῆς προσειληφότος. ὅταν δὲ ἤτοι πλεῖον ᾖ αὕτη τοῦ δέοντος, ἢ ἄκρατος ἰσχυρῶς οὖσα προσαναμιχθῇ τῷ οὔρῳ, πυῤῥὸν φαίνεται. ἐὰν οὖν πρὸς τῷ τοιοῦτον εἶναι κατὰ χρόαν, ἔτι καὶ λεπτὸν εἴη κατὰ τὴν σύστασιν, ἄπεπτον εἶναι σημαίνει τὸ νόσημα. χρὴ γὰρ ὥσπερ ἐν τῇ χρόᾳ μετρίως ὠχρὸν ἔφαμεν εἶναι δεῖν τὸ κατὰ φύσιν οὖρον, οὕτως καὶ κατὰ τὴν σύστασιν ἔχειν μετρίως, μήθ' οὕτως λεπτὸν ὑπάρχον ὡς ὕδωρ, μήθ' οὕτως γεγονὸς παχύ, ὡς ἐοικέναι τοῖς τῶν ὑποζυγίων. εἴρηται δὲ τελέως ἅπαντα, περὶ τῆς τῶν οὔρων φύσεώς τε καὶ διαφορᾶς, ἐν τοῖς περὶ κρίσεων. ἐκεῖθεν οὖν αὐτὰ μανθανέτω, ὅστις ὄντως ἐραστής ἐστι προγνωστικῆς θεωρίας. ἐν γὰρ ταῖς ἐξηγήσεσι σκοπός ἐστι, σαφὲς ἐργάσασθαι τὸ δοκοῦν ἀσαφῶς εἰρῆσθαι. τὸ δὲ καὶ διακρίναι τίνα μὲν αὐτῶν ὡς ἀληθῶς εἴρηται, τίνα δ' οὔ, καὶ προσθεῖναι τὰς ἀποδείξεις ἑκατέροις, ἐκ περιουσίας γίνεται.

Εἰ δὲ καὶ πολυχρόνιον εἴη τὸ νόσημα, τὸ δὲ οὖρον τοιοῦτον ἐόν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ τὸ οὖρον.

Ἐὰν ἐπὶ πλείονα χρόνον, ἄπεπτον διαμένῃ τὸ νόσημα, κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον, εἰ μή τι ἄρα τὴν ἀντέχουσαν τῷ νοσήματι δύναμιν ἰσχυροτάτην ἔχει. δῆλον οὖν ὅτι κἀνταῦθα, τὸ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένον μεμνημένος ἐπίσκεψαι, πηλίκη μέν ἐστιν ἡ ῥώμη τῆς δυνάμεως. ὁπόσης δὲ πέψεως, δεῖται τὸ νόσημα, καὶ εἰ ὁ κάμνων ἐξαρκέσει μέχρι τῆς ἀκμῆς αὐτοῦ.

Θανατωδέστερα δὲ τῶν οὔρων, τά τε δυσώδεα καὶ ὑδατώδεα καὶ μέλανα καὶ παχέα.

Τὰ ὑδατώδη, λεπτὰ μὲν τὴν σύστασιν ἐστί, λευκὰ δὲ τὴν χρόαν, ἀπεψίαν μὲν ἐσχάτην ἐνδεικνύμενα τῶν χυμῶν, ἀῤῥωστίαν δὲ τῆς φυσικῆς δυνάμεως. περὶ δὲ τῶν δυσωδῶν ἁπάντων, εἴρηται πρόσθεν, ὥσπερ γε καὶ περὶ τῶν μελαινομένων. ταῦτα μὲν οὖν αὐτὰ καθ' ἑαυτὰ καὶ σὺν ἀλλήλοις ἐστὶ θανατώδη. τὰ δὲ παχέα πότερον αὐτὰ καθ' ἑαυτὰ καὶ ταῦτα θανατώδη νομιστέον, ἢ συμπλέξαι χρὴ τοῖς προειρημένοις αὐτά, καὶ τοῖς μέλασιν, ἄξιόν ἐστιν ἐπισκέψεως, ὅσα τοίνυν ἡμεῖς εἴδομεν, ἀκριβῶς παραφυλάξαντες ἐροῦμεν, ἵνα ἐξ αὐτῶν τις ὁρμώμενος, ἅμα μὲν ἐπίσηται τὸ ἀληθές, ἅμα δὲ καὶ τὴν βελτίω τῶν ἐξηγήσεων ἕληται. τὰ μέλανα τῶν οὔρων, ὅσῳ περ ἂν ᾖ παχύτερα, τοσούτῳ χείρω παραφυλάξαμεν ὄντα. τὰ δὲ τῆς κατὰ φύσιν χρόας μὴ ἐκστάντα, παχέα, διττὴν ἔχοντα τὴν ἔκβασιν, ἐνίοτε μὲν ἐπ' ὄλεθρον, ἐνίοτε δὲ εἰς ὑγείαν ὑπόγυον τελευτῶντα, καθάπερ καὶ ἄλλα πολλὰ τῶν παρὰ φύσιν, ὡς ἂν ἐκκαθαίρηται δι' αὐτῶν τὸ σῶμα. δῆλον δ' ὅτι παχέα πρὸς αὐτοῦ λέλεκται, τὰ πάνυ σφόδρα τοιαῦτα. τὰ γὰρ ἁπλῶς παχύτερα τοῦ κατὰ φύσιν, οὐ πάντως ἐστὶν ὀλέθρια.

Ἔστι δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα, τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα.

Ἐν πάσαις μὲν ταῖς ἡλικίαις ὀλέθρια, τά τε μέλανα τῶν οὔρων ἐστί, καὶ τὰ ὑδατώδεα. ἀλλ' ἐπὶ μὲν τῶν ἀκμαζόντων, τὴν πρώτην ἔχει τάξιν, ὡς ἐν ὀλεθρίοις τὰ μέλανα, ἐπὶ δὲ τῶν παιδίων τὰ ὑδατώδη. λέλεκται γοῦν ἔμπροσθεν αὐτῶν, τὰ ἐναντιώτατα τοῖς κατὰ φύσιν, ὀλεθριώτατα ὑπάρχειν. ἐναντιώτατα δέ ἐστιν ἐπὶ τῶν παίδων οὐχ οὕτως τὰ μέλανα τοῖς κατὰ φύσιν, ὡς τὰ λεπτά. κατὰ φύσιν γοῦν αὐτοῖς ἐστιν οὐρεῖν παχέα τε, καὶ πολλὴν ὑπόστασιν ἔχοντα. τοῖς δ' ἀκμάζουσι καὶ λεπτότατα καὶ ὀλίγην ὑπόστασιν ἔχοντα γίνεται, διόπερ ἐπ' αὐτῶν ἐστιν ὀλεθριώτατα, τὰ μέλανα τῶν οὔρων. ἐπὶ δὲ τῶν παιδίων, καὶ δι' ἄλλην αἰτίαν ὀλέθρια ὑδατώδη. τάχιστα γὰρ ἐπ' αὐτῶν πέττεται πάντα, διὰ ῥώμην τῆς ἀλλοιωτικῆς δυνάμεως. αἱ πέψεις δὲ παχύνουσιν, οὐ οὖρα μόνον, ἀλλὰ καὶ διαχωρήματα τοῖς εὐπεπτοῦσι κατὰ γαστέρα. καὶ πτύσματα περιπνευμονικοῖς τε καὶ πλευριτικοῖς, καὶ φλέγματα ἐν κατάῤῥοις καὶ κορύζαις, καὶ λῆμα ἐν ὀφθαλμίαις, καὶ πῦον ἐν ἕλκεσιν. ἐὰν οὖν φαίνηται τοῖς παισὶ τὸ οὖρον ὑδατῶδες, ἐπὶ πλείονα χρόνον παραμένον, ὡς μηδεμίαν μεταβολὴν ἴσχειν ἐπὶ τὸ παχύτερον, ὀλέθριον γίνεται τὸ σημεῖον.

Ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πουλὺν χρόνον, ἤν τ' ἄλλα ὡς περιεχομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

Ἀληθέστατα καὶ τοῦτ' εἴρηται τῷ Ἱπποκράτει. τὰ μὲν γὰρ δυσπεπτότερα τῶν νοσημάτων, ὡς ἂν ἐπὶ πα-

χυτέροις καὶ ψυχροτέροις γινόμενα χυμοῖς, εἰς ἀπόστασιν εἴωθε κρίνεσθαι, τὰ δὲ ἐπὶ θερμοῖς καὶ λεπτοῖς, ἐκκρίσεσιν. ὅταν οὖν ποτὲ χρόνῳ πλείονι παραμένῃ τὰ οὖρα μὴ πεττόμενα, διορίζεσθαι χρή, πότερον οὐκ ἐξαρκέσει τῷ μήκει τοῦ νοσήματος ὁ κάμνων, ἢ διὰ ἀπόστασιν κριθήσεται. ὁ διορισμὸς δὲ ἀπὸ τῶν ἄλλων σημείων γενήσεται. τὰ μὲν γὰρ ὀλέθρια θάνατον δηλοῦσι, τὰ δὲ ἐπιεικῆ σωτηρίαν. αἱ γε μὴν ἀποστάσεις ἐν μὲν τοῖς πάνυ χρονίζουσιν, εἰς τὰ κάτω χωρία γίνονται, διά τε τὴν ψυχρότητα καὶ τὸ πάχος τῆς ὕλης, καὶ τὴν τῆς δυνάμεως ἀῤῥωστίαν, κεκμηκυῖας διὰ τὸν χρόνον, ἐν δὲ τοῖς ὀξυτέροις παρ' ὦτα. καὶ γὰρ καὶ οἱ χυμοὶ τούτοις ἧττον εἰσὶ παχεῖς, καὶ ἡ θερμασία πολλή, καὶ ἡ δύναμις εὐρωστοτέρα. τὰ δὲ μεταξὺ τούτων νοσήματα, τὰς ἀποστάσεις ἐπαμφοτεριζούσας ἔχει. καὶ οὐδὲν ἐστιν ὅσον ἐπὶ τῷ χρόνῳ ζητεῖν, ἄνω μᾶλλον ἢ κάτω ῥεύσειν, ἀλλ' ἐκ τῶν ἄλλων σημείων διορίζεσθαι προσήκει.

Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι, ξυντήξεως γὰρ σημεῖα.

Οἷον τι τοῖς λιπαροῖς ζωμοῖς ψυχομένοις ἐφίσταται τὸ καλούμενον ὑπὸ τῶν πολλῶν γραῦς, τοιοῦτον καὶ τοῖς ἐκ τῆς συντήξεως οὔροις ὑπὲρ ὧν νῦν ἐποιήσατο τὸν λόγον αὐτὸς, καὶ τὴν αἰτίαν προσθείς.

Σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλαι, ἤν τε ἄνω ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι. καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται, ἀγαθὰς εἶναι καὶ ἐπαινεῖν, τὰς δὲ ἄνω ξὺν τοῖσιν χρώμασιν, οἷσιν εἴρηται κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιαύτας.

Ὅτι τὰ πρὸς ἐμοῦ εἰς τὰ περὶ κρίσεων ὑπομνήματα πολλάκις ἐναιωρήματα λελεγμένα, καλεῖν αὐτὸς εἴωθε νεφέλας, ἐδήλωσε καὶ διὰ τῆς ῥήσεως οὐκ ἀσαφῶς. ἀλλαχοῦ γε μὴν αὐτοῦ ἐναιώρημα γονοειδὲς εἴρηκεν, ὡς εἶναι δυοῖν θάτερον, ἤτοι γενικωτέρου πράγματος ὄνομα τὸ ἐναιώρημα τὴν τάξιν ἔχοντος, εἴς τε τὰς νεφέλας καὶ τὰ γονοειδῆ, ἢ μηδέ ποτε τὰς νεφέλας ἐναιωρήματα καλεῖσθαι πρὸς αὐτοῦ. ὅτι δὲ πάντα τὰ τοῖς οὔροις ἐμφερόμενα κάτω χωρεῖ, καὶ ὅσῳ περ ἂν ὑφιζάνῃ κάτω, τοσούτῳ βελτίω γίνεται, λέλεκται δυνάμει πρόσθεν, ἡνίκα ἐλέγομεν ἀναμεμίχθαι τοῖς τοιούτοις ἐνίοτε φυσῶδες πνεῦμα. τὸ τοίνυν ἀκριβῶς πεπεμμένον καὶ διακεκριμένον, ὁμαλές τε καὶ ὁμοιομερὲς ὂν, ὡς ἂν οὐδὲν ἔχον πνεύματος, εἰς τὸν πυθμένα καταφέρεται τοῦ τὸ οὖρον ἀγγείου περιέχοντος. ὅσον δ' ἐπίμικτόν ἐστιν ἀερώδει τινὶ καὶ ἀτμώδει φύσει, τοῦτο κουφιζόμενον ὑπ' ἐκείνης, ἀνάλογον τῇ ποσότητι τοῦ κουφίζοντος, ἧττόν τε καὶ μᾶλλον ἄνω φέρεται.

Μὴ ἐξαπατάτω δέ σε ἤν τι ἡ κύστις νόσημα ἔχουσα, τῶν οὔρων τοιαῦτα ἀποδιδῷ. οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑωυτῆς.

Κάλλιστα καὶ τοῦτο προσέγραψεν ἀναμιμνήσκων ἡμᾶς, ὃ τάχ' ἂν ἐνίοτε παρελίπομεν ἐπὶ τῶν νοσούντων διορίσασθαι, καὶ χρὴ δηλονότι καὶ περὶ τῶν διαχωρουμένων κατὰ γαστέρα μεμνῆσθαι τοῦ νῦν εἰρημένου διορισμοῦ. κοινὸν μὲν γὰρ ἀμφοτέραις ταῖς ἐκκρίσεσι, τό, τε τοῦ παντὸς σώματος ὑποδέχεσθαι τὰ περιττώματα ταῦτα, καὶ τὸ τῶν μορίων ἐκείνων δι' ὧν ἐκκρίνεται. συμβέβηκε δὲ κατὰ φύσιν ἐχόντων ἡμῶν, τὰ μὲν τοῦ παντὸς σώματος ἐκκαθαίρεσθαι περιττώματα δι' οὔρων, τὰ δὲ τῶν κατὰ γαστέρα, συνεξέρχεσθαι τῇ κόπρῳ. παρὰ φύσιν δὲ ἐχόντων, τοῖς μὲν οὔροις συνεκκρίνεσθαι τινὰ τῶν ἐν νεφροῖς καὶ κύστει νοσημάτων γνωρίσματα, τῇ δὲ κόπρῳ τοῦ παντὸς σώματος. οὐκ ὀλιγάκις γοῦν ἐπὶ τῶν οὐρησάντων πυώδη, ζήτησις ἐγένετο πόθεν ἥκει τὸ πύον. οὕτω δὲ καὶ πεταλώδη ποτὲ οὐρηθέντα, τὴν αὐτὴν ζήτησιν ἔχει. καὶ δριμέα δὲ καὶ δυσώδη καὶ χολώδη τὰ οὖρα, πολλάκις μὲν ἐγένετο, διὰ κύστιν τε καὶ νεφρούς. οὐκ ὀλιγάκις δὲ καὶ διὰ τὸ πᾶν σῶμα, τουτέστι τὴν ἐν ὅλῳ τῷ ζώῳ περιττὴν δύναμιν τῶν χυμῶν. ἥτις ὡς ἐδείξαμεν οἷον ἑστίαν καιομένην καὶ πηγὴν ἔχει τὸ ἧπαρ. ἐνίοτε δὲ καὶ ταύτης αὐτῆς μηδὲν πεπονθυίας, ἐκκαθαίρεται διὰ νεφρῶν καὶ κύστεως ὅλον τὸ ζῶον. ἢ μορίων τινῶν τῶν ἐν αὐτῷ τινὰ περιττώματα ταῖς φλεψὶν ἐμπίπτοντα, ἐκκαθαιρομένου τοῦ αἵματος ὑπὸ τῶν νεφρῶν, συνεκκρίνεται, καθότι καὶ ἀποστήματα πολλαχόθι γινόμενα, δι' οὔρων ἐκκρίνεται.

Ἔμετος δὲ ὠφελιμώτατος, ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένος ὡς μάλιστα, καὶ μὴ παχὺς κάρτα, μήτε πολὺς ἐμείσθω. οἱ γὰρ ἀκρητέστεροι, κακίους εἰσίν.

Καὶ διὰ ταύτης τῆς λέξεως ἐδήλωσεν, ὁποῖόν τι καλεῖ τὸ ἄκρατον, ἀντιθεὶς αὐτῷ τὸ μεμιγμένον. δηλωτικὸν δ' οὐχ ἥκιστα καὶ αὐτὸ τοὔνομα ἐστὶ τοῦ πρὸς αὐτοῦ σημαινομένου. καὶ γὰρ οἶνον ἄκρατον εἶναι λέγομεν, ᾧ μὴ μέμικται τὸ ὕδωρ, ἢ παντάπασιν ὀλίγον μέμικται. καὶ τῶν ἄλλων ἕκαστον ἄκρατον ἐστί τε καὶ λέλεκται πρὸς τῶν ἑλλήνων, ὅταν αὐτὸ καθ' αὑτὸ μόνον ἀμιγὲς ἑτέρας οὐσίας ὑπάρχῃ. τὴν γοῦν ξανθὴν χολὴν, ποτὲ μὲν ἐστὶν ἰδεῖν παχεῖαν τε καὶ ἄκρως ξανθὴν, ἐμουμένην τε καὶ κάτω διεξερχομένην, ἣν δὴ καὶ λεκυθώδη προσαγορεύουσιν ἔνιοι. πολλάκις δὲ ὑγροτέραν καὶ ἧττον ξανθὴν, ἥτις ἰδιαίτερον ὠχρὰ προσαγορεύεται, μεμιγμένον ἔχουσα δι' ὅλης ἑαυτῆς φλεγματώδη χυμὸν λεπτὸν, ἢ ὑδατῶδές τι περίττωμα. βούλεται τοίνυν ὁ Ἱπποκράτης μηδέτερον τῶν χυμῶν ἄκρατον φαίνεσθαι, μεμῖχθαι δ' ἀλλήλοις πως αὐτούς. ὁ μὲν γὰρ χολώδης ἄκρατος, πολλὴν τὴν θερμασίαν, ὁ δὲ φλεγματώδης, τὴν ψύξιν ἐνδείκνυται, καὶ μέντοι καὶ παχυτέροις ὑπάρχει τοῖς ἀκράτοις εἶναι. τῷ μὲν φλεγματώδει, διὰ ψύξιν οἱονεὶ πεπηγότι, τῷ δὲ χολώδει, διὰ τὴν τῆς θερμασίας ὑπερβολὴν, ἐξικμασμένῳ τε καὶ οἷον πεφρυγμένῳ. δύο γὰρ αἴτια ταῦτα ἐναντία τῶν παχυνομένων ἐστίν. τὸ θερμὸν πάνυ, καὶ τὸ ψυχρὸν, ἐξικμάζον μὲν τὸ θερμὸν, πηγνύον δὲ τὸ ψυχρόν.

Εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πελιὸν, ἢ μέλαν, ὅτι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι.

Περὶ μὲν οὖν τοῦ πελιδνοῦ καὶ μέλανος χρώματος, εἴρηται πρόσθεν. τοῦ πρασοειδοῦς δὲ νῦν πρώτως ἐμνημόνευσεν,

ἐοῦσαν, οὐκ ἔχοντος μὲν οἰκεῖον ὄνομα, συγχρωμένου δὲ τῇ τῶν πράσων προσηγορίᾳ. εἰ μὴ ἄρα τις ἔμπαλιν ἀπὸ τοῦ πρασοειδοῦς χρώματος ὀνομάσθαι φαίη τὸ πράσον, οὐκ ἀπὸ τοῦ πράσου τὸ πρασοειδές. ἐπί τινων μὲν γὰρ εὔδηλος ἡ παραγωγὴ τῶν ὀνομάτων, ὡς γνωρίζεσθαι τότε πρωτότυπον ὑπὸ γραμματικῶν ὀνομαζόμενον, καὶ τὸ παρηγμένον ἀπ' αὐτοῦ. καθάπερ ἐπὶ τοῦ γαλακτώδους χρώματος, ἐπί τινων δὲ οὐ δῆλον. ἔξεστι γὰρ λέγειν οὐκ ἀπὸ τοῦ φοίνικος ὠνομάσθαι τὸ φοινικοῦν, ἀλλ' ἀπὸ τοῦ φοινικοῦ τὸν φοίνικα. καθάπερ γε καὶ τὸ κυανὸν, οὐκ ἀπὸ τοῦ κυανοῦ μᾶλλον, ἤπερ τὸ κυανοῦν ἀπ' ἐκείνου. καὶ ἡ ὤχρα δὲ καὶ τὸ ὠχρὸν χρῶμα τῆς αὐτῆς ἐστι συστοιχίας. ὤχραν δὲ εἴρηκα, οὐ τὴν ὀξυνομένην φωνὴν, ὥσπερ ἂν εἴποι τις ὠχρὸν μὲν εἶναι τὸν νεανίσκον, ὤχραν δὲ τὴν γυναῖκα, ἀλλὰ τὴν προξυνομένην. ἔστι γάρ εἶδός τι γῆς ὤχρα, καὶ μάλιστα ταύτης ἡ ἀττικὴ καλλίστη. τουτὶ μὲν οὖν ἅπαξ εἰρήσθω μοι. ἀεὶ γὰρ μέμνησο, τοῦ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι τοσοῦτον, ὅσον εἰς σαφῆ δήλωσιν ὧν λέγομεν ἐξ αὐτῶν ἐστιν ὀνήσασθαι. τὸ δ' ἐπέκεινα τοῦδε, περιττὸν ἡγοῦ, τὸν χρόνον εἰς τὴν τῶν βελτιόνων σπουδὴν κατατιθέμενος. γίνεται δή τις ἐν τῷ σώματι καθάπερ ὠχρὰ χολὴ κατὰ φύσιν ἐχόντων, οὕτω καὶ πρασοειδὴς ἑτέρα παρὰ φύσιν. καὶ φαίνεται αὕτη πολλάκις μὲν ἐν αὐτῇ τῇ γαστρὶ γεννωμένη, διά τινων ἀπεψίαν ἐδεσμάτων, ἢ λαχάνων, ὁποῖα καὶ τὰ τεῦτλα ἐστὶ καὶ τὰ κρόμμυα, καὶ αἱ κράμβαι. φαίνεται δ' ἐνίοτε καὶ χωρὶς τούτου, πιστὸν τὶ προσενηνέχθαι, τῷ λόγῳ τοῦ νοσήματος ἐν ταῖς φλεψὶ γεννᾶσθαι, καὶ καταῤῥεῖν, ἤτοι γε εἰς τὴν ἄνω κοιλίαν, ἢ εἰς τὴν κάτω, θερμασίαν γέ τινα ἐν τῷ σώματι παρὰ φύσιν δηλοῦσα καὶ περιττώματος ἰδιότητα τοιούτου τὴν κρᾶσιν, οἷος ὁ τῶν εἰρημένων λαχάνων ἐστὶ χυμός.

Εἰ δὲ καὶ πάντα τὰ χρώματα ωὑτὸς ἄνθρωπος ἐμέοι, κάρτα ὀλέθριον ἤδη γίνεται.

Εἴτε περὶ τῶν προειρημένων χρωμάτων τοῦ πρασοειδοῦς καὶ πελιδνοῦ καὶ μέλανος εἴρηται τὸ πάντα, εἴτε καὶ περὶ τῶν ἄλλων σὺν αὐτοῖς ὁπόσα χρώματα ἐστὶ παρὰ φύσιν, ἑκατέρως ὀλεθριώτατον ἐστὶν, ἐνδεικνύμενον πολλὰς ἐν τῷ σώματι χαλεπὰς εἶναι διαθέσεις.

Τάχιστον δὲ θάνατον σημαίνει τὸ πέλιον τῶν ἐμεσμάτων, εἰ ὄζοι δυσῶδες.

Σηπεδόνα γὰρ ἐνδείκνυται μετὰ νεκρώσεως τὸ τοιοῦτον, εἴγε μεμνήμεθα τῶν προειρημένων.

Πᾶσαι δὲ ὑπόσαπροι καὶ δυσώδεες ὀδμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν.

Ἡ γὰρ αὖ διαθέσει μιχθεῖ σηπεδὼν, χείρων αὐτὴ ἑαυτῆς φαίνεται.

Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πνεύμονα καὶ τὰς πλευρὰς, ταχέως τε ἀναπτύεσθαι καὶ εὐπετέως.

Τὸ μὲν ταχέως ἐν ἀρχῇ τῆς νόσου δηλοῖ, τὸ δὲ εὐπετέως, ἀντὶ τοῦ ῥᾳδίως τε καὶ ἑτοίμως οἱ Ἕλληνες λέγουσι. συμβαίνει δὲ τοῦτο ταχέως τε καὶ ἀπόνως ἀναπτυόντων. τὸ γάρ τοι ταχέως γίγνεσθαι, διττόν ἐστι. τὸ μὲν ἕτερον ὅλου τοῦ νοσήματος τὸν πρῶτον καιρὸν ἐνδεικνύμενον, τὸ δὲ ἕτερον τὸν ἐν ταῖς ἐνεργείαις ἐξευγμένον χρόνον. εὐπετὴς γὰρ ἀναγωγὴ πτυέλου, τουτέστιν ἑτοίμη τε καὶ ῥᾳδία γίγνεται, μήτ' ὀδύνης ἰσχυρᾶς οὔσης περὶ τὸν θώρακα. διακόπτει γὰρ αὕτη καὶ καταπαύει μεταξὺ, πρὶν ἐκτελεσθῆναι γινομένην ἔτι τὴν τοῦ θώρακος ἐνέργειαν. ἀλλὰ μηδ' ἀσθενοῦς ὑπαρχούσης τῆς δυνάμεως, ὀκλάζει γὰρ καὶ αὕτη μεταξὺ περὶ τὴν ἐνέργειαν, ὡς ἡμιτελὲς ἀπολιπεῖν τὸ ἔργον. αὖ τότε τὸ ἀναγόμενον ἐὰν μὲν ἰσχυρῶς ᾖ γλίσχρον, ἐμπλάττεται δυσαπολύτως τοῖς μορίοις, ἀναφερόμενόν τε πολλάκις, ἐνίσχεται προσκολλώμενον ταῖς σύραγξι τοῦ πνεύμονος, ὥσπερ γε καὶ ἐὰν ἱκανῶς ᾖ παχὺ δυσχερῶς ἀναφερόμενον. ἐν χρόνῳ τε πλείονι, κακοπαθεῖν ἀναγκάζει, καί που καὶ σφηνοῦται κατά τινας τῶν στενοχώρων ὁδῶν, ὅθεν καὶ τὸ πνιγῆναι τισὶ συνέβη. καὶ μὴν δὴ καὶ τὸ λεπτὸν ἱκανῶς ὡς ὑδατῶδες εἶναι, μόγις ἀναπτύεται, περιῤῥέον ἐν κύκλῳ τῷ πνεύματι. τοῦτο γάρ ἐστι τὸ πρῶτον αἴτιον τῆς ἀναγωγῆς, ὅπερ καὶ προσεχὲς ὀνομάζουσι. διττὸν γὰρ τὸ πρῶτον αἴτιον, ὡς ἐν τοῖς περὶ αἰτίων λόγοις εἴρηται, τό, τε φαῦλον τῆς ὕλης, καὶ τὸ τὴν ἀρχὴν τῆς κινήσεως ἔχον. ἡ μὲν οὖν ἀρχὴ τῆς κινήσεως, ἐπὶ τῶν βηττόντων ἐκ τῆς τὸν θώρακα κινούσης δυνάμεως ἐστίν. ἐδείχθη γὰρ τοῦτο ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις. ἡ συστολὴ δὲ αὐτοῦ βίαιος γινομένη, τὴν ἔξω φορὰν τοῦ πνεύματος ἐργάζεται σφοδράν. ἡ δὲ ταύτης σφοδρότης, ἑαυτῇ συναναφέρει τὰ περὶ τὰς σύραγγας τοῦ πνεύμονος, αἵπερ εἰσὶν ἀρτηρίαι τραχεῖαι. ὅταν μὲν οὖν ὅ, τε θώραξ ἐνεργῇ ῥωμαλέως, τό, τε ἐν ταῖς σύραγξι τοῦ πνεύμονος ὑγρὸν ὑπάρχει μετρίως παχὺ, ῥᾳδίως ἀναπτύεται. μηδ' ἑτέρου δ' ὄντος τούτου, χαλεπῶς καὶ μόγις. εἰ δὲ τὸ μὲν εἴη τῶν εἰρημένων αἰτίων, τὸ δ' οὐκ εἴη μεταξὺ τοῦ ἀρίστου τρόπου καὶ τοῦ χειρίστου, τὴν κένωσιν τοῦ πτυέλου συμβήσεται γίγνεσθαι, καὶ ὅλως δὲ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐπιτετάσθαι τι ἑκάστου τῶν αἰτίων ἢ ἐκλύεσθαι, τινὲς μὲν αὐτῶν ῥᾷον, τινὲς δὲ χαλεπώτερον ἀναπτύουσι. τί μὲν οὖν ἐστι τὸ εὐπετέως ἀναπτύεσθαι, δοκῶ μοι δεδεῖχθαι σαφῶς τε ἅμα καὶ ἀληθῶς. εἰ δ' ἀληθές ἐστι τοῦτο, καθάπερ οὖν καὶ ἔστιν, ἀληθὲς ἂν εἴη καὶ τὸ ταχέως. οὐ γὰρ τὸν ἐξευγμένον χρόνον αὐταῖς ταῖς βηξὶν, ἀλλὰ τὸν πρῶτον τοῦ νοσήματος σημαίνει καιρὸν ὑπὲρ οὗ καὶ κατὰ τοὺς ἀφορισμοὺς εἶπεν. ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου βραχύνει. ὡς εἴγέ τις ἐπὶ τοῦ χρόνου τῆς ἐνεργείας, ἀκούσειεν εἰρῆσθαι τὸ ταχέως, ὅπερ ἐδείχθη κἀν τῷ εὐπετέως περιεχόμενον. δῆλος ἁμαρτήσεται, τῷ τὸν μὲν τῶν χρόνων ἀναξίως εἰρῆσθαι δὶς ὑπ' αὐτοῦ. τὸν δ' ἕτερον οὗ κἀν τοῖς ἀφορισμοῖς ἐμνημόνευσε παραλελεῖφθαι, καίτοι μεγίστην ἔχοντα δύναμιν. ὅτι δ' οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ διὰ τὰ συνεχῶς εἰρημένα κατὰ τὴν ἑξῆς ῥῆσιν οὕτως ἀκούειν δεῖ, δειχθήσεταί σοι διὰ τῆς κατ' ἐκείνην αὐτὴν ἐξηγήσεως.

Ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ.

Τὸ ἰσχυρῶς, ἐπὶ τὸ ξυμμεμιγμένον, οὐκ ἐπὶ τὸ ξανθὸν φέρεσθαι χρὴ, ὡς εἰ καὶ οὕτως εἴρητο. φαίνεσθαι δὲ χρὴ τὸ ξανθὸν συμμεμιγμένον ἰσχυρῶς τῷ πτυέλῳ. τὸ γὰρ μὴν ἰσχυρῶς, αὐτῷ τῷ λίαν, καὶ μάλιστα, σημαίνει ταυτόν. ὀλίγον μὲν οὖν εἶπεν ἔμπροσθεν, ἔμετος δὲ ὠφελιμώτατος φλέγματός τε καὶ χολῆς συμμεμιγμένος μάλιστα. νυνὶ δ' ἐπὶ τῶν πτυομένων, τὸ ἰσχυρῶς προσέθηκεν, ὅτι δ' ὀρθῶς ἐξηγησάμεθα, τῆς ἑξῆς ῥήσεως ἀκούσας μαθήσῃ.

De sputo.

Εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοι τὸ ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται.

Κατὰ ταύτην τὴν ῥῆσιν ὑπισχόμην ἀποδείξειν ἀμφοτέρας τὰς ἔμπροσθεν ἐξηγήσεις ἀληθεῖς, τήν τε τοῦ ταχέως, καὶ τὴν τοῦ ἰσχυρῶς διάνοιαν. ἐπὶ γάρ τοι τἀναντία μεταβὰς, ὡς εἴωθε, τῷ μὲν ταχέως, ἀντέθηκε τὸ εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο. τῷ δὲ συμμεμιγμένον ἰσχυρῶς, τὸ μὴ ἰσχυρῶς συμμεμιγμένον ἀντέθεικε, καὶ τῷ εὐπετέως πτυομένῳ, τὸ πολλὴν βῆχα παρέχον. τὸ γὰρ ἀνωδύνως τε καὶ ταχέως ἀναφερόμενον, ὀλίγης δεῖται βηχός. εἴρηται γάρ μοι πρόσθεν, ἄμεινον εἶναι μεμίχθαι πῶς ἀλλήλοις τὰ κρινόμενα, καὶ μηδὲν εἰλικρινῶς ἄκρατον ἐκκρίνεσθαι. λέλεκται δὲ καὶ περὶ τοῦ δεῖν ἐπιφαίνεσθαι ταχέως ἐν πλευριτικοῖς τὰ πτύσματα, κατά τε τὰ περὶ κρίσεων καὶ τῶν ἀφορισμῶν ὑπομνήματα.

Τότε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες, τότε λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές.

Οὐκ ἄλλο τι νῦν λέγει τοῦ πρόσθεν εἰρημένου. τὸ γὰρ μὴ συμμεμιγμένον, ἄκρατόν ἐστι, καὶ γίνεται ξανθὸν μὲν διὰ τὴν ξανθὴν δηλονότι χολήν. λευκὸν δὲ καὶ γλίσχρον καὶ στρογγύλον, διὰ φλέγμα κατωπτημένον. ἀποδέδεικται δὲ ἡμῖν πολλάκις ὡς τὰ κατασκήπτοντα μέλεσι ῥεύματα, καὶ φλεγμονὰς καὶ ἐρυσιπέλατα καὶ οἰδήματα, καὶ σκίῤῥους καὶ καρκίνους ἐργαζόμενα, παρὰ τὰς διαφορὰς τῶν ἐπικρατούντων ἐν αὐτοῖς χυμῶν, εὐήθη τε καὶ κακοήθη γίνεται. τὰ μὲν γὰρ αἱματώδη καὶ φλεγματώδη, μέτρια. τὰ δὲ τῆς ξανθῆς ἢ μελαίνης χολῆς, χαλεπά. διαβρωτικὰ μὲν γάρ ἐστιν ἄμφω τῶν σωμάτων, καὶ τοῦτ᾽ αὐτοῖς κοινόν. ἴδιον δ᾽ ἑκατέρου, τοῦ μὲν τῆς ξανθῆς χολῆς, τὸ πυρετοὺς ὀξεῖς ἐπιφέρειν, τοῦ δὲ τῆς μελαίνης, τὸ δύσλυτον ἐργάζεσθαι τὴν διάθεσιν. ἅτε γὰρ παχὺς ὢν καὶ γεώδης ὁ χυμὸς, οὕτως ἐμφράττεται τοῖς ὑποδεξαμένοις μέλεσιν αὐτὸν, ὡς δυσεκνιπτότατον εἶναι.

Κακὸν δὲ καὶ χλωρὸν ἐὸν κάρτα, καὶ ἀφρῶδες.

Εἴρηται πολλάκις ὅτι τὸ χλωρὸν ἐπί τε τοῦ ὠχροῦ λέγειν εἴωθε, καὶ τοῦ καλουμένου πρός τινος ἰώδους. ὁπότερον δ᾽ αὐτῶν ἄκρως ἢ τοιοῦτον, ὅτι χαλεπόν ἐστιν, οὐδὲν ἔτι δέομαι λέγειν. εἰρηκὼς ἤδη περὶ πάντων τῶν ἀκράτων χυμῶν. πλὴν γὰρ τοῦ αἵματος, ὅς τις ἂν ἄκρατος ἦ, μοχθηρὰν ἐνδείκνυται διάθεσιν, ἐπὶ θερμότητι φλογώδει τὴν γένεσιν ἔχων. ὁ μὲν ξανθὸς, ἐξοπτωμένης αὐτῆς τῆς ὀῤῥώδους ὑγρότητος, ἧς ἐπιμιγνυμένης ὠχρὸς ἐφαίνετο. ὁ δ᾽ ἰώδης, ἐξ ὑπεροπτήσεως ταύτης. ὁ δὲ μέλας, ἤτοι τῆς αὐτῆς ὑπεροπτηθείσης, ἥπερ δὴ κακίστη τε καὶ διαβρωτικωτάτη γίγνεται μέλαινα χολὴ, ἢ τοῦ παχέος αἵματος ὁμοίως ξηρανθέντος, ἢ λόγῳ νεκρώσεώς τε καὶ ψύξεως. ταῦτ᾽ οὖν χρὴ μεμνημένον σε μὴ πολλάκις ἀξιοῦν ἀκούειν ὑπὲρ τῶν αὐτῶν τὰ αὐτά. τὸ γε μὴν ἀφρῶδες πτύελον, εἴρηται γὰρ καὶ τοῦτ᾽ ἐπὶ τέλει τῆς ῥήσεως, ἐκ φλεγματικῆς τε ἅμα καὶ ἀερώδους οὐσίας ἐστὶ συμμιγές. ἐκ τούτων γὰρ καὶ ἡ γένεσις ἐστὶν ἀφρῷ παντί. κατὰ μὲν τὴν θάλασσαν, ὑπὸ βιαίας ἀνέμων ἐμπτώσεως εἰς πολλὰ καὶ μικρὰ μόρια θραυομένου τοῦ ὕδατος, ἐπὶ δὲ τῶν ἑψομένων, διὰ τὸ πλῆθος τῆς θερμασίας. κοινὸν δ᾽ ἐν ἀμφοῖν ἐστι γένεσις, πομφολύγων πολλῶν τε καὶ μικρῶν. γίνονται δ᾽ αὗται δύσλυτοι, μάλιστα μὲν ἀμφοῖν συνελθόντων, ἀέρος τε θολεροῦ, καὶ ὁμιχλώδους ὑγρότητος, γλίσχρον ἐχούσης τι καὶ παχύ. τὸ γὰρ λεπτὸν ὑγρὸν οἷόν περ ἐστὶ τὸ ἀκριβῶς ὕδωρ, ὅταν ἀέρα περιλάβῃ καθαρὸν, οὐ στέγει μέχρι πλείονος, ἀλλ᾽ αὐτίκα ῥαγεισῶν τῶν πομφολύγων, εἰς τὴν ἑαυτοῦ χώραν ἀναθεῖν ἐπιτρέπει, διὰ τοῦτο καὶ κατὰ τὴν θάλατταν ἀφρὸς ἐν τάχει λύεται. τὸ δὲ παχὺ καὶ γλίσχρον ὑγρὸν, ὅταν ὡς εἴρηται θολερὰν καὶ ὁμιχλώδη τινὰ οὐσίαν ἔνδον ἑαυτοῦ κατακλείσῃ, μέχρι πλείστου κατέχει, μήτ᾽ ἐκείνης ἐπειγομένης ἄνω, καθάπερ καὶ ὁ καθαρὸς ἀὴρ, αὐτό τε δύσρηκτον ὑπάρχον. ὥσπερ γὰρ ἡ γένεσις ταῖς πομφόλυξιν ἐξ ὑγρᾶς οὐσίας γίνεται, κατακλειούσης ἔνδον ἑαυτῆς ἀέρα, κατὰ τὸν αὐτὸν τρόπον ἡ λύσις αὐταῖς ἐν τῷ ῥαγῆναι τὴν ὑγρὰν οὐσίαν ἐστί. ῥήγνυται μὲν οὖν ῥᾳδίως ὑπὸ τῆς ἄνω φορᾶς, τοῦ λεπτοῦ πνεύματος, οὐ ῥήγνυται δὲ, ὅταν μήτε λεπτὸν ἦ, μήτ᾽ ἄνω φέρηται. τοιοῦτον δ᾽ ἐστὶ τὸ ὁμιχλῶδες, οὔτε ἀναθέον εἰς ὕψος, οὔτε λεπτὸν ὂν, ἀλλ᾽ ἱκανῶς ὑγρὸν, ὡς βαστάζειν δύνασθαι τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῷ. διὰ τοῦτ᾽ οὖν οὐδ᾽ ὅταν ὕδωρ ἕψεται, δύσλυτος γίνεται πομφόλυξ, ἀλλ᾽ ἐπειδὰν ἢ παχὺς ἢ λιπαρός ἐστιν ὁ χυμὸς, ἐξ οὗ τό, τε γεννώμενον πνεῦμα, φυσῶδές τε καὶ ἀτμῶδές ἐστι, τότ᾽ ἐπιπολῆς τοῦ λέβητος ὑγρὸν, ἐλαιῶδές τε καὶ λιπαρὸν, καὶ γλίσχρον. οὕτως οὖν ἀναγκαῖόν ἐστι καὶ κατὰ τὰ τῶν ζῴων σώματα γεννᾶσθαι τὸν ἀφρόν. οὐ γὰρ δὴ σφοδράς γέ τινας ἀνέμων, ὥσπερ ἐν τῇ θαλάττῃ καταιγίδας ὑπολαβεῖν ἐγχωρεῖ, θερμασίαν μέντοι πυρώδη συντήκουσάν τε ἅμα καὶ πνεῦμα φυσῶδες ἐργαζομένην, μονονοὺ καὶ αὐτοῖς ὀφθαλμοῖς ἐπὶ πολλῶν ἐστιν ἀῤῥώστων θεάσασθαι. ταῦθ᾽ ἡμῖν μὲν αὐτάρκως εἰρήσθω. καί σοι δὲ μνημονευέσθω περὶ γενέσεως ἀφρωδῶν, εἴτ᾽ οὖν πτυσμάτων, εἴτε διαχωρημάτων, εἴτ᾽ οὔρων, ἐφίσταται γάρ ποτε καὶ τούτοις ἡ καλουμένη πομφόλυξ, πρὸς τὸ μηκέτι ποθεῖν αὖθις ἀκούειν ὑπὲρ αὐτῶν.

Εἰ δὲ εἴη οὕτως ἄκρητον ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τούτων ἐκεῖνο. κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πνεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῷ φάρυγγι.

Εἴρηται πρόσθεν ἤδη περὶ τῶν ἀκράτων ἁπάντων κοινῇ, καὶ περὶ τῶν μελάνων ἰδίως τι, καὶ εἰ μὴ μέμνησαι τῶν εἰρημένων, αὖθις ἀνάγνωθι τὰ αὐτά. βέλτιον γὰρ τοῦτο τοῦ πολλάκις ἐμὲ γράφειν περὶ τῶν αὐτῶν τὰ αὐτά.

Κορύζαι δὲ καὶ πταρμοὶ ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πνεύμονα νουσήμασι, καὶ προγεγονέναι καὶ ἐπιγενέσθαι κακὸν, ἀλλ᾽ ἐν τοῖσιν ἄλλοισιν νουσήμασιν τοῖσι θανατώδεστάτοισιν, οἱ πταρμοὶ λυσιτελοῦσιν.

Τὸ διὰ τῶν ῥινῶν ἐκκρινόμενον ὑγρὸν λεπτὸν καὶ ἄπεπτον, ὀνομάζειν εἰώθασι κόρυζαν πάντες οἱ παλαιοὶ ἰατροί, καθάπερ τὸ δι' ὑπερῴας, τοῦτον κατάῤῥουν. καὶ θαυμάζω γε, πῶς ὁ Ἱπποκράτης οὐ τοὺς καταῤῥους, ἀλλὰ τοὺς πταρμοὺς ταῖς κορύζαις προσέθηκεν. αἱ μὲν οὖν κόρυζαι καθ' ἕνα λόγον εἰσὶ μοχθηραί, τοῖς τοιούτοις ἐπιγινόμεναι νοσήμασιν, οἱ κατάῤῥοι δὲ κατὰ δύο. καὶ λέλεκται πολλάκις ἡμῖν ἔμπροσθεν ἔνια μὲν μοχθηρά, κατὰ συμβεβηκὸς ἐν τοῖς κακοῖς ἀριθμεῖσθαι σημείοις. ἄλλα δ' ἄντικρυς, αὐτὸ δὴ τοῦτο μόνον εἶναι σημεῖα μοχθηρά, μηδὲν μὲν αὐτὰ κακὸν ἐργαζόμενα, δηλοῦντα δέ τινα χαλεπὴν διάθεσιν, ἐφ' ᾗ γέγονεν. ἄλλα δὲ πρὸς τούτοις εἶναι τρίτα τὰ κατ' ἄμφω μοχθηρά, καὶ ὡς σημεῖα, καὶ ὡς αἴτια. σημεῖα μέν, ὅταν ὑπὸ χαλεπῶν γένηται διαθέσεων, αἴτια δέ, ὅταν αὐτὰ πάλιν ἑτέρας ἐργάζηται μοχθηρὰς διαθέσεις. ἐπιγίνονται μὲν οὖν κατάῤῥοι καὶ κόρυζαι τοῖς περὶ τὸν πνεύμονα νοσήμασι, θερμοὺς ἀτμοὺς δεχομένης τῆς κεφαλῆς. ἀδικεῖται δὲ οὐχ ὑπ' ἀμφοτέρων ὁ πνεύμων, ἀλλ' ὑπὸ τῶν καταῤῥων μόνων. ἔξω γὰρ ἐκκρίνεται τὸ διὰ τῶν ῥινῶν φερόμενον ἐν ταῖς κορύζαις, διὸ δὴ καὶ χείρους εἰσὶν οἱ κατάῤῥοι τῶν κορυζῶν. οὐκ οἶδ' οὖν ὅπως ἐν τῷ προκειμένῳ λόγῳ παρελείφθησαν ὑπὸ τοῦ Ἱπποκράτους, εἰ μή τι ἄρα συνεπινοεῖν ἡμᾶς ἀξιοῖ ταῖς κορύζαις αὐτούς. ἴσως δὲ ἐν ἀρχῇ πρὸς τοῦ βιβλιογράφου παρελείφθησαν. μυρία γὰρ ὁρῶ καὶ νῦν γινόμενα τοιαῦτα. κορύζας μὲν οὖν καὶ καταῤῥους, ἀεὶ χρὴ νομίζειν οὐκ ἀγαθὰ σημεῖα. προγινομένους μὲν ὡς ἂν πληροῦντας τὸν πνεύμονα κακοχυμίας, προήκοντος δὲ τοῦ νοσήματος ἐπιφαινομένους, ὡς ἂν τήν τε τοῦ πνεύμονος διάθεσιν ἐνδεικνυμένους μεγάλην, ὑπ' αὐτῆς τε τὴν κεφαλὴν βεβλάφθαι σημαίνοντας. οἱ γε μὴν πταρμοὶ ταῖς κορύζαις ἕπονται τὰ πολλά, καὶ μὲν δὴ καὶ σείοντες σφοδρῶς ὅλον τὸν θώρακα, λυμαίνονταί τι καὶ τὸν πνεύμονα. ἐν μέντοι τοῖς ἄλλοις νοσήμασιν οὐ συνεισβάλλοντες οὐδέ ποτε, καθάπερ οὐδὲ ἄλλο οὐδὲν σύμπτωμα, προήκουσι δὲ ἐπιφαινόμενοι, σωτηρίαν σημαίνουσι, κἂν θανατώδης ὅσον ἐπὶ τοῖς ἄλλοις σημείοις ἡ νόσος ὑπάρχῃ. πέψεως τε γάρ εἰσι γνωρίσματα, καὶ ῥώμης τῆς περὶ τὸν ἐγκέφαλον ἀποκριτικῆς δυνάμεως, ὑφ' ἧς εἰς τὰς ῥῖνας τῶν φυσωδῶν πνευμάτων ἐκκρινομένων, ἅμα τισὶν ὑγρότησιν, ἐνίοτε μὲν αἰσθηταῖς τε καὶ σαφέσιν, ἐνίοτε δὲ ἀμυδραῖς τε καὶ δυσοράτοις, οἱ πταρμοὶ γίνονται.

Αἵματι δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθόν, ἐν τοῖσι περιπνευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον περιεστηκός, κάρτα ὠφελέει. ἑβδομαίῳ δὲ ἐόντι ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές.

Κοινὸς καὶ οὗτος ὁ λόγος ἐστὶν ἐπὶ πασῶν φλεγμονῶν, ἤδη πολλάκις ἡμῖν ἐν πολλοῖς εἰρημένος, ὡς τοῦ κατασκήψαντος εἰς τὰ φλεγμαίνοντα μόρια χυμοῦ, διιδροῦται τὸ λεπτότερον, ὅταν ἡ περιέχουσα τὸ φλεγμαῖνον ἐπιφάνεια, μὴ πυκνὴ τὴν φύσιν ὑπάρχῃ, καθάπερ τουτὶ τὸ ἐκτὸς δέρμα. καὶ διὰ τοῦτ' ἄν τε περὶ τοὺς πόρους τῆς ῥινός, ἢ τοὺς ὀφθαλμούς, ἢ τὸ στόμα φλεγμονή γένηταί τις, ἀποῤῥέουσιν αὐτῆς ὑγρότητες λεπταί, παραπλήσιαι τοῖς ἐπὶ τῶν ἑλκῶν ἰχῶρσιν. οὕτως οὖν καὶ ὁ πνεύμων φλεγμήνας, ἀποκρίνει τινὰς ὑγρότητας εἰς τὰς ἐντὸς ἑαυτοῦ κενὰς χώρας, αἵπερ εἰσὶν αἱ τῶν τραχειῶν ἀρτηριῶν, αἵτινες ὑπὸ τῶν βηχῶν ἀναφερόμεναι πτύονται, τὰ γνωρίσματα φέρουσαι, τοῦ τὴν περιπνευμονίαν ἐργαζομένου ῥεύματος. ἐκείνου γάρ εἰσιν οἷον ὀῤῥός τις. ἔσονται τοιγαροῦν ἐὰν μὲν χολώδης ἱκανῶς ὁ χυμὸς ᾖ, ξανθαὶ μόνον. ἐὰν δὲ αἱματώδεις, ἐρυθραί. ἐὰν δὲ ἐξ ἀμφοῖν μικτός, ἐρυθραί τε ἅμα καὶ ξανθαί. αὗται μὲν οὖν αἱ ὑγρότητες ἀγαθαί. βραχὺ δὲ ἀπολείπονται αὐτῶν, καθ' ἃς ἀναπτύουσιν εἰλικρινὲς αἷμα, καὶ τάχα τινὰ καταπλήξεται τὸ σημεῖον, ὥσπερ ὅταν ἕλκος ἐν πνεύμονι γίνεται ῥαγέντος ἀγγείου, καὶ γὰρ καὶ τότε πτύουσιν αἵματος. ἀλλὰ καὶ τὸ κατά τινας τῶν περιπνευμονικῶν ἐπιφαινόμενον αἷμα, παντελῶς ὀλίγον ὅμοιον γίνεται τῇ κατὰ διαπήδησιν ὀνομαζομένῃ πρὸς τῶν ἰατρῶν αἵματος πτύσει. γίνεται γὰρ καὶ τοῦτο τὸ σύμπτωμα, κατασκήψαντος μὲν αἵματος εἰς τὸ σῶμα λεπτοῦ τὴν σύστασιν, ἀραιῶν δὲ τῶν ὅλων ὑπαρχόντων ὡς μὴ στέγειν αὐτό. καὶ μέντοι κατὰ τὴν φάρυγγα δι' αἰτίαν τὴν αὐτήν, γίνεταί ποτε τοῦ αἵματος τοιαύτη ἔκκρισις ὀῤῥώδης. οὐδὲ οὖν ἄτοπόν ἐστιν οὐδὲν ὅταν ἐν τῷ πνεύμονι γένηταί τι τοιοῦτον. διαγνώσεις δ' αὐτὸ ῥᾳδίως, ἔκ τε τῆς συστάσεως τοῦ αἵματος, καὶ αὐτοῦ τοῦ πλήθους. οὔτε γὰρ παχὺ τὴν σύστασίν ἐστι τὸ οὕτως ἀναπτυόμενον, οὔτε πολύ. χρὴ δὲ μὴ παραμένειν τὸ σύμπτωμα, μέχρι τῆς ἑβδόμης ἡμέρας, ἀλλὰ μάλιστα ἐντὸς τῆς πρώτης τετράδος ἀλλοιωθῆναι πεττόμενον. εἰ δὲ μή, ἀλλὰ πάντως γε πρὸ τῆς ἑβδόμης. εἰ δὲ διαμένει τοιοῦτον οἷον ἐξ ἀρχῆς ἦν, εὔδηλον ὡς εἰς χρόνον πλείονα δηλοῖ τὸ νόσημα προήξειν. ὅπου γὰρ οὐδέπω μέχρι τῆς ἑβδόμης ἤρξατο πέττεσθαι, χρονιωτάτην ἔσεσθαι δηλοῖ τὴν τελείαν πέψιν. ἐν δὲ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν καὶ τῶν ἄλλων ἀτόπων εἴωθε συμπίπτειν, ὅσα τε διὰ τὸν κάμνοντα, καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ, τά τε ἄλλως ἔξωθεν ἀδοκήτως γινόμενα συμβαίνει. καὶ μέντοι καὶ διὰ τὸν ἰατρὸν αὐτὸν ἐνίοτε, κἂν τούτων μηδὲν γένηται, κίνδυνός ἐστι πρὸ τοῦ πεφθῆναι τὸ νόσημα, καταλυθῆναι τὴν δύναμιν. καὶ διὰ τοῦτ' οὖν ἧττον ἀσφαλές φησι διαμένειν τὰ τοιαῦτα πτύσματα, μέχρι πλειόνων ἡμερῶν.

Πάντα δὲ πτύελα πονηρά ἐστι, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ. κάκιστα δὲ τὰ μέλανα ὡς διαγέγραπται. τὰ παύοντα δὲ τὴν ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα.

Κοινὸς καὶ οὗτος ὁ λόγος ἐστὶν ἤδη πάντων τῶν ἐκκρινομένων ἐκ τοῦ σώματος. ὑπὲρ οὗ καὶ κατὰ τὰ ἄλλα βιβλία καὶ περὶ τοὺς ἀφορισμοὺς εἶπεν αὐτός, ὡς τὴν εὐφορίαν μάλιστα θεᾶσθαι χρή. πολλάκις γὰρ ἴσχυσεν ἡ φύσις νικήσασα τὴν μοχθηρὰν διάθεσιν, ἐκκαθᾶραι τὸ σῶμα. κἂν τούτῳ καταπλήττονται πολλοὶ θεώμενοι τὴν κακίαν τῶν ἐκκρινομένων, οὐκ εἰδότες, εἴτε συμπτώματος λόγῳ γίνεται τὸ τοιοῦτον, εἴτε τῆς φύσεως ὠθούσης ἔξω τὰ μοχθηρά. κατὰ μὲν οὖν τοὺς ἀφορισμούς, τὴν τῆς εὐφορίας προσηγορίαν ἔγραψε μόνην. ἐνταυθοῖ δὲ τὴν ἀνωδυνίαν ἐξελέξατο, δι' ἣν ἐπαινεῖ τὰ παύοντα τὴν ὀδύνην πτύσματα. μετ' ὀλίγον δέ, πάνθ' ἑξῆς ἐρεῖ τὰ γνωρίσματα τῶν ἐπὶ τὸ βέλτιον ἰόντων νοσημάτων, ἃ τῷ τῆς εὐφορίας ὀνόματι περιέλαβε. καὶ μέντοι καὶ κατωτέρω κελεύει τῶν εἰρημένων ὑπ' αὐτοῦ σημείων ἁπάντων, ἀκριβῶς ἐξητακέναι τὰς δυνάμεις, ὅπως ἀλλήλοις αὐτὰ παραβάλλων τις, ἱκανὸς εἴη στοχάζεσθαι

τὸ μέγεθος τῆς ἐπὶ τὸ χεῖρον ἢ καὶ βέλτιον ὅλου τοῦ σώματος ῥοπῆς, οἷόνπερ κἀν τῷδε τῷ λόγῳ τῷ νῦν ἡμῖν προκειμένῳ πεποίηκεν αὐτός. εἰ γὰρ ἐπὶ τοῖς πτυέλοις αἱ ὀδύναι μὴ λύονται, οὐκ ἀγαθὸν τὸ σημεῖον. οὐ μὴν ἀρκέσει γέ σοι μόνον τοῦτο γνῶναι πρὸς ἀκριβῆ τοῦ μέλλοντος ἔσεσθαι πρόγνωσιν, ἀλλὰ θεάσασθαι χρὴ καὶ τὰ ἄλλα συμπτώματα, τοῦτο γὰρ ἐνεδείξατο τῶν μελάνων πτυσμάτων μνημονεύσας. ὄντος γοῦν τοῦ κοινοῦ σημείου τοῦ μὴ παύσασθαι τὴν ὀδύνην, εἰ μὲν ὠχρὸν εἴη τὸ ἐκπτυόμενον ἢ ἐρυθρὸν, ἧσσον ἐστὶ κινδυνῶδες. εἰ δὲ μέλαν, ὀλεθριώτατον, ὥσθ' ἅπαντα ἐπισκεψάμενος, οὐ μόνον τὰ εἰρημένα, κεφάλαιον ἐν ἐξ αὐτῶν ἀθροίσεις ἀκριβοῦς προγνώσεως. καὶ αὐτὸς δὲ ἐφεξῆς ὁ Ἱπποκράτης ἁπάντων τῶν ἀγαθῶν τε καὶ κακῶν σημείων ἔγραψε κατάλογον, ἀναμιμνήσκων τῶν προειρημένων.

Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύεται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ διαίτας καὶ φαρμακείας, εἰδέναι δεῖ ἐκπυήσοντα.

Ὅσα τῶν ἀλγημάτων ἐκ τῶν κατὰ θώρακα καὶ πνεύμονα χωρίων, οὐ παύονται πρὸς τὰ βοηθήματα, καὶ τοῦτ' ἔχει μόνον ἄτοπον, οὐδενὸς ὀλεθρίου συνόντος ἑτέρου γνωρίσματος, ἐκπυῆσαι αὐτὰ προσδοκᾶν. μέσα γάρ πως ἐστὶ ταῦτα τῶν τε λυομένων ἐν τάχει καὶ τῶν ἀνιάτων.

Τῶν δὲ ἐμπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύηται, ἤν τε ὁμοῦ.

Τῶν ἐν τοῖς φανεροῖς μέρεσι τοῦ σώματος ἐκπυϊσκόντων, ὅσα τοιαῦτ' ἐστὶν, ὡς ἐν μέρει μέν τινι πύον ἔχειν, ἐν μέρει δ' εἶναι τὸ λοιπὸν, οὐδὲν εὐίατον ἐστίν. εἰ δὲ καὶ πρὸς τῷ μηδέπω τὸ πύον ἔχειν ἔτι καὶ κακόηθές τι σημεῖον αὐτοῖς συνείη, πολὺ μᾶλλον ἐστὶ μοχθηρά. τούτων δὲ πολὺ μᾶλλον ὑποληπτέον εἶναι μοχθηρὰ, τὰ κατὰ τοὺς κυρίους τόπους γινόμενα. δηλοῦται γὰρ ἀθειώτατος τις ὢν ὁ λυπῶν χυμὸς, ὅπου τῆς φύσεως ἐνδειξαμένης ὅπως ἔχει τοῦ εἰς τὸ πέττειν παρασκευῆς, οὐδὲν ὅλως εἶξεν αὐτῆς.

Μάλιστα δ' ἢν ἄρξηται χωρέειν τὸ ἔμπυημα ἀπὸ τουτέου τοῦ πτυέλου ἑβδομαίου ἐόντος τοῦ νοσήματος.

Καὶ τοῦτο κοινὸν ἁπάντων ἐστὶ τῶν ἐν ταῖς κρισίμοις ἡμέραις γινομένων. εἰς γὰρ τὸ βέβαιον τῆς προγνώσεως, ἡ κρίσιμος συντελεῖ. πότερον δ' ἀγαθόν ἐστιν, ἢ κακὸν τὸ γινόμενον, ἐξ ἄλλων τεκμηρίων ἡ διάγνωσις. ἐάν τε γὰρ ἱδρὼς γένηται κατὰ τὴν ἑβδόμην ἡμέραν, ἐάν τε διαχώρησις γαστρὸς, ἐάν θ' αἱμορραγία, βελτίονα μὲν ἐργασάμενα τὸν κάμνοντα, τῶν ἀγαθῶν ἐστὶ σημείων, χείρω δὲ τῶν κακῶν. καὶ πιστῶς γε δηλοῖ τούτων ἑκάτερον, οὐχ ὡς εἰ κατ' ἄλλην ἡμέραν ἐγένετο. γέγραπται δέ μοι περὶ τούτων ἐπὶ πλεῖστον, ἔν τε τοῖς περὶ κρισίμων ἡμερῶν, καὶ τοῖς περὶ κρίσεων, ἐν οἷς χρὴ προγεγυμνάσθαι τὸν βουλόμενον ἀκριβῶς παρακολουθῆσαι τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις.

Ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν.

Ἔργῳ τὴν τούτων ἀλήθειαν μεμαθήκατε, προλέγοντος ἐμοῦ πειραθέντες, ὥστε προσέχειν ὑμᾶς χρὴ τὸν νοῦν τοῖς λεγομένοις ὑφ' Ἱπποκράτους, μὴ τοιαῦτα νομίζοντες αὐτὰ ταῖς δυνάμεσιν ὑπάρχειν, ὁποῖα τοῖς πολλοῖς τῶν ἰατρῶν γέγραπται, μέχρι γραμμάτων καὶ λόγων τὸ πιθανὸν ἔχοντα. τοῖς δ' ἤδη τῶν νόσων ἔργοις ἐλεγχόμενα. πῶς γάρ τοι τὸν εἰρημένον ὑπ' αὐτοῦ σκοπὸν ὄντα μέσον ἁπάντων τῶν ἄλλων, κακῶν τε καὶ ἀγαθῶν ἀποβλέπων, δυνήσῃ προλέγειν τὴν ἡμέραν, ἐν ᾗ τεθνήξεταί τις. ὑποκείσθω γὰρ ὁ κάμνων ἑβδομαῖος ἐπτυκὼς τὸ πυῶδες, οὐ μὴν μόνον, οὐδὲ δι' ὅλης ἡμέρας ἐφεξῆς, ἀλλ' ἤτοι σὺν αὐτῷ τὸ χολῶδες, ἢ μόνον ἐκεῖνο, χωρὶς τοῦ πυώδους. ἔστω δ' αὐτῷ καὶ τἄλλα πάντα μέσα, ἀπό τε τῆς ἡλικίας καὶ τῆς φύσεως, καὶ τῆς ὥρας καὶ τῆς χώρας, καὶ τῆς οἰκείας δυνάμεως, ὡς μήτε ἰσχυροτάτην εἶναι τὴν δύναμιν, μήτ' ἀσθενεστάτην. ὡσαύτως δὲ καὶ τὴν κρᾶσιν αὐτοῦ τοῦ κάμνοντος, μήτε τὴν εὐκρατοτάτην εἶναι, μήτε τὴν δυσκρατοτάτην. οὕτως δὲ καὶ ὥραν καὶ χώραν καὶ κατάστασιν, καὶ ἡλικίαν τοῦ κάμνοντος ἐν τῷ μέσῳ τετάχθαι τῶν ἀρίστων τε καὶ χειρίστων ὑποθώμεθα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἑκάστου γένους σημείων ὑπάρχειν ὑποκείσθω τῷ κάμνοντι τὰ μέσα. τοῦτον ἔλπιζε τεθνήξεσθαι τεσσαρεσκαιδεκαταῖον, ὡς ταύτης μέσης οὔσης προθεσμίας τοῦ θανάτου. προσγινομένων δὲ σημείων, ἀγαθῶν μὲν τὸν πλείονα χρόνον ἐκταθήσεσθαι τὴν προθεσμίαν τοῦ θανάτου, κακῶν δὲ θᾶττον, ἢ τεσσαρεσκαιδεκαταῖον τεθνήξεσθαι. τίνα δέ ἐστι τὰ ἀγαθὰ καὶ τὰ κακὰ, διῆλθεν αὐτὸς ἐφεξῆς, τὰ μὲν ὀνόμασι, τὰ δὲ τοῖς κεφαλαίοις. ἀλλὰ σύ γε μηδὲ περὶ τούτων ἀκούσῃς ἁπλῶς ὡς ὁμοτίμων ἁπάντων, ἀλλ' ἀναμνησθεὶς ὧν αὐτὸς ἔγραψε, καὶ ὧν ἡμεῖς προστεθήκαμεν, εἴς τε τὸν ἀριθμὸν αὐτὸν ἀπόβλεπε, καὶ τὴν δύναμιν. ὅπου μὲν αὐτὸς εἶπε σωτήριον κάρτα, καὶ ὀλέθριον κάρτα, τῆς πρώτης τοῦτο δυνάμεως τιθείς. τὸ μὲν ἐν τοῖς ἀγαθοῖς, τὸ δὲ ἐν τοῖς κακοῖς. ὡσαύτως δὲ καὶ ὅπου τὸν θάνατον ὑπόγυον ἔφησεν ὑπάρχειν, ἢ θανατωδέστατα προσέγραψεν, οὐχ ἁπλῶς εἶπε θανατώδη. καὶ μὲν δὴ κἀπὶ τῶν ὑγιεινῶν σημείων, ὅταν εἴπῃ μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν, καὶ πάλιν. ἀσφάλειάν τε γὰρ σημαίνει, καὶ τὸ νόσημα ὀλιγοχρόνιον, ἢ τι τοιοῦτον προσέθηκε, τὰ δ' ἁπλῶς θανατώδη, καὶ πάλιν ἁπλῶς περιεστηκότα λεγόμενα, μέσης ἐστὶ τάξεως ἀμφότερα κατὰ τὴν ἑαυτῶν φύσιν. ἐφ' ἑκάτερα δὲ τούτων, ὅσα παραβλητικῶς εἶπεν, ἤτοι θανατωδέστερα, ἢ περιεστηκότερα, ἢ τὸ μᾶλλόν τε καὶ ἧττον ἑκατέροις προσέθηκεν. ἐὰν μὲν γὰρ ἐπιφανῇ τι τοῖς κατὰ τὴν πέμπτην, ἢ ἑβδόμην ἡμέραν εἰρημένοις ὀλεθρίοις πτύσμασι τῶν τῆς πρώτης τάξεως κακῶν σημείων, οὐκ ἂν οὐδ' εἰς τὴν ἑνδεκάτην ἡμέραν ὁ κάμνων ἀφίκοιτο, καὶ μᾶλλον ἐὰν ἑνὸς πλείω γένηται ταῦτα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐὰν τῶν ἱκανῶς ἀγαθῶν ἐπιφανῇ τινα, μέχρι τῆς τρίτης ἑβδομάδος ἐκταθήσεται τὸ νόσημα. μιχθέντων δ' ἀλλήλοις, ὀλεθρίων τε καὶ περιεστηκότων, ἢ τῶν μᾶλλον ἐν ἑκατέρῳ τῷ γένει τοῖς

νεῦσις ἧττον, ἢ ὁπωσοῦν ἄλλως. ἐπὶ μὲν τοῖς πλείοσί τε καὶ ἰσχυροτάτοις ἀγαθοῖς σημείοις, ἐλπὶς τὸν κάμνοντα πλείονα ζήσεσθαι χρόνον, ἐπὶ δὲ τοῖς ἐναντίοις, ἐλάττονα. κατὰ ταῦτα δὲ καὶ ἤτοι γέρων ἢ ἀσθενὴς τὴν δύναμιν, ἢ ἐν ὥρᾳ καὶ χώρᾳ καὶ καταστάσει μοχθηρᾷ καὶ δυσκράτῳ νοσῇ τις, ἐπιταθήσεσθαι τοῦ θανάτου τὸ τάχος προσδοκᾶν, μεγίστην πάλιν ἔχειν ἐν τούτοις ἰσχὺν ἡγούμενος τὸν ἀπὸ τῆς δυνάμεως σκοπόν.

Ἔστι δὲ τὰ μὲν ἀγαθὰ τάδε, εὐπετέως φέρειν τὸ νόσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τό, τε πτύελον ῥηϊδίως ἀναβήσσειν, τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε καὶ μαλθακόν, καὶ δίψαν μὴ ἔχειν, οὖρά τε καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι. οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπιγινομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος. ἢν δὲ τὰ μέντοι αὐτέων ἐπιγίνοιτο, τὰ δὲ μή, οὐ πλείονα χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ᾽ ἂν ὁ ἄνθρωπος. κακὰ δὲ τἀναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν, διψῆν κάρτα, τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι, καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ψυχρούς. οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας ὡς διαγέγραπται ἕκαστα εἰδέναι κακὰ ἐόντα. οὕτως γὰρ εἰ ἐπιγίνοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλοιτ᾽ ἂν ἄνθρωπος πρίν, ἢ ἐς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐνναταῖος, ἢ ἑνδεκαταῖος. οὕτως οὖν ξυμβάλλεσθαι χρή, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας. τὰ δὲ ἐπιγινόμενα κακά τε καὶ ἀγαθὰ ξυλλογιζόμενον, ἐκ τουτέων χρὴ τὰς προρρήσιας προλέγειν, οὕτω γὰρ ἂν τις ἀληθεύοι μάλιστα.

Ἐντεῦθεν ἄρχεται τοῦ καταλόγου τῶν ἀγαθῶν τε καὶ κακῶν σημείων, ὑπὲρ ὧν ἔμπροσθεν εἴρηται, καὶ διὰ τοῦθ᾽ ὑπερβὰς αὐτά, τὰ ἑξῆς προχειρίσομαι. πρὸς μὲν οὖν τὸ περιγενέσθαι, πάντων δεῖ παρόντων τῶν ἀγαθῶν. πρὸς δὲ τὴν ἀπώλειαν, ἀρκεῖ καὶ ἓν παρεῖναι τῶν κακῶν, μόνου τοῦ θᾶττον καὶ βράδιον ἀπολέσθαι, ἐκ τοῦ πλείω, ἢ ἐλάττω ἀγαθὰ ἢ κακὰ παρεῖναι δηλουμένου.

Αἱ δ᾽ ἄλλαι ἐκπυήσιες ῥήγνυνται, αἱ πλεῖσται μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

Ἀσαφές ἐστιν ὁποίας ἄλλας λέγει. δυνατὸν μὲν γάρ ἐστι καὶ περὶ τῶν ἐν ἑτέροις μέρεσι γινομένων ἐκπυήσεων, τὸν λόγον αὐτὸν ποιεῖσθαι, καταλιπόντα θώρακα καὶ πνεύμονα, περὶ ὧν ἄχρι δεῦρο διείλεκται. δυνατὸν δὲ καὶ περὶ τῶν ἐν αὐτοῖς μὲν τοῖς ὀργάνοις, ἀλλ᾽ οὐχ ὁμοίων ἐκπυήσεων ταῖς προειρημέναις, ἐνδέχεται δὲ καὶ περὶ ἀμφοτέρων. ἐπεὶ δὲ οὐχ ὁμοίων ταῖς προειρημέναις εἶπον, ἐξηγήσασθαι χρὴ τοῦτο. φημὶ γὰρ οὐ περὶ πασῶν ἐκπυήσεων αὐτόν, ἀλλὰ τῶν ὡς αὐτὸς εἶπεν χολῶδες ἐχουσῶν τι μεμιγμένον, ἄχρι δεῦρο ποιεῖσθαι τὴν διδασκαλίαν. οὐδὲ τούτων ἁπασῶν, ἀλλ᾽ ὅσαι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐρράγησαν. ἔστι δὲ τοῦτο σπάνιον. αἱ πλεῖσται γὰρ εἰκοσταῖαι ῥήγνυνται. τινὲς δὲ καὶ μέχρι πλείονος ἀφικνοῦνται χρόνου, περὶ ὧν νῦν διέρχεται. διαφοραὶ δὲ πασῶν εἰσὶ δύο κοιναί, δι᾽ ἃς καὶ τῷ χρόνῳ παραλλάττουσιν ἀλλήλων, ἔκ τε τοῦ πάσχοντος μορίου καὶ τοῦ πλεονάζοντος χυμοῦ. τὰ μὲν γὰρ θερμότερα καὶ μαλακώτερα μόρια, θᾶττον ἐκπυΐσκεται, τὰ ψυχρότερα δὲ καὶ σκληρότερα, βραδύτερον. οὕτω δὲ καὶ τῶν χυμῶν, οἱ μὲν θερμότεροι θᾶττον, οἱ δὲ ψυχρότεροι βραδύτερον. αὗται μὲν αἱ κατὰ τὴν τοῦ πράγματος τὴν οὐσίαν εἰσὶ διαφοραί, προσέρχονται δὲ ἔξωθεν, αἱ παρὰ τὴν ἡλικίαν τε καὶ τὴν φύσιν, ὥραν τε καὶ χώραν, καὶ κατάστασιν, ἔτι δὲ καὶ δύναμιν τοῦ κάμνοντος, ἐν ἁπάσαις δ᾽ αὐταῖς, οἱ μὲν θερμότεροι χυμοὶ θᾶττον, οἱ δὲ καὶ ψυχρότεροι, βραδύτερον ἐκπυΐσκονται. ταῦτα μὲν οὖν κοινῇ περὶ πασῶν ἐκπυήσεων ἐπίστασθαι καλόν. ἐμοὶ δὲ δοκεῖ νῦν ἔτι περὶ τῶν κατὰ τὸν θώρακα καὶ τὸν πνεύμονα διέρχεσθαι.

Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον ἀπὸ τῆς ἡμέρης ἧς ὁ πρῶτον ἄνθρωπος ἐπύρεξεν, εἴποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβεν, καὶ εἰ βαίη ἀντὶ τῆς ὀδύνης βάρος αὐτῷ γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεε. ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων. ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους.

Ἕν τι τῶν ὁμολογουμένων ἐστὶν ἅπασι σχεδὸν τοῖς ἰατροῖς, ἐπειδὴ καὶ φαίνεται σαφῶς, ὡς ὅταν αἱ κατὰ τὰ κύρια μέρη φλεγμοναί, μὴ διαφορηθῶσιν ὑπὸ τῶν βοηθημάτων ἀλλ᾽ ἐκπυΐσκωνται, ῥῖγος γενέσθαι τηνικαῦτα καὶ πυρετὸν ἐπ᾽ αὐτῷ. δέδεικται δὲ ἐν τοῖς περὶ ῥίγους λόγοις, ὡς ἡ δριμύτης τοῦ γενομένου πύου δάκνουσα καὶ διαβιβρώσκουσα τὰ παρακείμενα σώματα, ῥῖγος ἐργάζεται παραπλησίως τοῖς δριμέσι φαρμάκοις. ὧν ἐνίοτε προσενεχθέντων ἕλκεσι κακοήθεσιν, ἢ τινὶ σηπεδονώδει διαθέσει, ῥιγῶσαί τε καὶ πυρέξαι συνέπεσεν. ἀκολουθεῖ δὲ τῷ τοιούτῳ ῥίγει πυρετός. ἀμέλει καὶ ὁ Ἱπποκράτης ἀμφοτέρων ἐμνημόνευσε, καὶ προτέρου γε τοῦ πυρετοῦ λέγων, ἀπὸ τῆς ἡμέρης ἧς τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, οὐκ ἐκείνην ἑρμηνεύων τὴν ἡμέραν, ἥτις ὅλου τοῦ νοσήματος ἐγένετο πρώτη, ἀλλὰ καθ᾽

ἢν τὸ ῥῖγος ἅμα τῷ πυρετῷ συνέπεσεν, ἐναργῶς σφοδροτέρου δηλονότι τοῦ πρόσθεν ὄντος γινομένου. ἀλλὰ καὶ βάρους αἴσθησις γίνεται τηνικαῦτα τοῖς κάμνουσι, τοῦ κατὰ πολλὰ καὶ σμικρὰ μόρια παρεσπαρμένου τοῖς φλεγμαίνουσι σώμασι χυμοῦ, μετὰ τὴν εἰς πύον μεταβολὴν ἀθροιζομένου, πρός τινα μίαν χώραν κενήν, συνεχῆ τῷ φλεγμαίνοντι παντί. ἐκ τούτων οὖν φησὶ τῶν χρόνων ἐν οἷς ταῦτα πρῶτον ἐγένετο, προσδέχεσθαι χρή, τὰ μὲν εἰκοσταῖα, τὰ δὲ τριακοσταῖα, τὰ δὲ τεσσαρακοσταῖα, τὰ δὲ ἑξηκοσταῖα ῥήγνυσθαι τῶν ἐμπυημάτων. ἃ δ' εἶπε γνωρίσματα, τρία τὸν ἀριθμόν ἐστι, βάρος, καὶ ῥῖγος, καὶ πυρετὸς τοῦ πρόσθεν, ὡς ἔφην, σφοδρότερος πολλῷ.

Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐς θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐς τουτέοισι μήτι ἔχει ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ, καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, καὶ κατακλινομένου ἐς τὸ ὑγιαῖνον πλευρόν, ἐρωτᾶν εἴ τι αὐτῷ δοκέει βάρος ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. εἰ γὰρ εἴη οὕτω, ἐπὶ θάτερον ἐστὶ τὸ ἐμπύημα ἐς ὁκοῖον ἂν πλευρὸν βάρος ἐγγίνεται.

Ὅτι διαφράττουσιν ὑμένες τὸν θώρακα διήκοντες ἀπὸ τοῦ στέρνου μέχρι τῆς ῥάχεως, ὡς δύο ποιεῖν αὐτοῦ κοιλότητας, ἐν ταῖς ἀνατομαῖς ἐμάθομεν. ὅθεν οὐδὲ κοινωνεῖ τὰ περὶ τὸ ἕτερον μέρος ἐμπυήματα τοῖς περὶ θάτερον, ὥσπερ ἐπὶ τῶν ἐντὸς τοῦ περιτοναίου. κατ' ἐκεῖνο μὲν γὰρ ἐν κύκλῳ πᾶσι τοῖς ἐντέροις περιρρεῖ τὸ πύον, ἐνταῦθα δ' οὔτε τὸ περὶ τὰ δεξιὰ μέρη τοῦ θώρακος εἰς τὰ ἀριστερὰ δύναται μετελθεῖν, οὔτ' ἔμπαλιν ὅσον ἐν τοῖς ἀριστεροῖς ἐστιν, εἰς τὰ δεξιὰ μεταρρυῆναι. διὰ ταῦτ' οὖν ἀξιοῖ καταμανθάνειν, εἴτε ἐξ ἀμφοτέρων τῶν μερῶν ἔχει τὸ πύον ὁ κάμνων, εἴτε κατὰ τὸ ἕτερον μόνον. ἐν μὲν γὰρ ταῖς περιπνευμονίαις εἰς ἐμπύημα τρεπομέναις, κατ' ἄμφω μᾶλλον, ἢ περὶ θάτερον ἀθροίζεται τὸ πύον. ἐν δὲ ταῖς πλευρίτισι κατὰ τὸ ἕτερον μέρος μᾶλλον, οὐ κατ' ἄμφω. διάγνωσις δὲ τοῦ πεπονθότος, ἔκ τε τῆς τῆς θερμασίας διαφορᾶς. θερμότερον γάρ ἐστι τὸ πεπονθός, κἀκ τοῦ κατακλινόμενον τὸν ἄνθρωπον ἐπὶ τὸ ἀντικείμενον πλευρὸν, αἰσθάνεσθαι βάρους ἐγκειμένου τῷ ὑψηλοτέρῳ μέρει. δῆλον γὰρ ὅτι τὸ πύον ἠθροισμένον ἐν τούτῳ τῷ μέρει, τὴν τοῦ βάρους αἴσθησιν ἐργάζεται.

Τοὺς δὲ ξύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσιδε τοῖς σημείοισι. πρῶτον μὲν εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων, καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται, βῆξαί τε θυμὸς ἐγγίνεται αὐτέοισι, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου. καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνονται, αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσι, καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦνται, οἱ δὲ δάκτυλοι θερμαίνονται, καὶ μάλιστα ἄκροι, καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίνονται, καὶ σιτίων οὐκ ἐπιθυμέουσι καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

Ὅσοι πύον ἄθροον ἔχουσιν ἔνδον τοῦ σώματος, εἴτ' οὖν ἔτι περιεχόμενον ἐν τῷ φλεγμαίνοντι μορίῳ πρόσθεν, εἴτε καὶ μετὰ τὸ ῥαγῆναι, δυνατόν ἐστιν ὀνομάζεσθαι τούτους ἐμπύους. ἀλλ' εἴθισται παρὰ τοῖς ἰατροῖς μόνους, ἢ μάλιστα τοὺς κατὰ θώρακα καὶ πνεύμονα τοιοῦτον ἔχοντας πάθος, ἐμπύους ὀνομάζεσθαι. περιέχεται δὲ μετὰ τὴν ῥῆξιν ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος χώρᾳ τὸ πύον τούτων, καὶ εἰ μὴ διὰ ταχέων ἀναπτυσθείη, φθινωδῶς ἀπόλλυνται, πυρέττοντες λεπτῶς μὲν, ἀεὶ δέ πως αὐξανομένης τῆς θερμασίας εἰς νύκτα, καὶ γίνεται τοῦτο πᾶσι τοῖς ἑκτικῶς πυρέττουσιν, οὐ τῷ τῆς διαθέσεως λόγῳ τῆς νυκτὸς αὐξανούσης αὐτοῖς τὸν πυρετὸν, ἀλλὰ κατά τι συμβεβηκός, ὅπερ ἐστὶ τοιοῦτον. ἐν τοῖς καλουμένοις ἑκτικοῖς πυρετοῖς, αὐτὰ τοῦ ζώου τὰ στερεὰ μόρια διάπυρα γίνεται. περὶ τοῦτ' οὖν αὐτό, ἀεὶ παραπλήσιος ὁ πυρετὸς ἐν ἑαυτῷ μένει, τὴν θερμασίαν ἔχων, οἵαν περ ἡ τίτανος ἀμυδρὰν τοῖς ἁπτομένοις. ὅταν γοῦν φάγωσί τε καὶ πίωσιν, ὅμοιόν τι συμβαίνει τοῖς γινομένοις περὶ τὴν τίτανον ὕδατι βραχεῖσαν, ὥστε τοὺς ἁπτομένους ἔξωθεν, αἰσθάνεσθαι πολὺ θερμοτέρου τοῦ κάμνοντος. ἔδειξα δὲ τοῦτο πολλάκις ὑμῖν ἐπὶ τῶν ἀρρώστων, ἄλλοτ' ἄλλῳ καιρῷ θρέψας τοὺς οὕτω πυρέξαντας, ἵνα πεισθῆτε διὰ τὴν τροφὴν γίνεσθαι τοῦτ' αὐτοῖς, οὐ τῷ τῆς διαθέσεως λόγῳ. ἐναργῶς γὰρ φαίνεται συμμεταπίπτειν ἡ πυρετώδης θερμασία τοῖς καιροῖς τῆς τροφῆς. αὐτίκα μὲν ἐπὶ ταῖς προσφοραῖς τῶν σιτίων αὐξανομένη, σφοδροτάτη τε ἑαυτῆς φαινομένη κατὰ τὴν ἀνάδοσιν αὐτῶν. διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως, ἱδρῶτες ἐπιγίνονται συνεχεῖς, διαφορουμένης τῆς ἀναδοθείσης τροφῆς. Ἀλλὰ καὶ βῆξαι φησὶ θυμὸς αὐτοῖς γίνεται, τουτέστι προθυμία, καὶ ἀναπτύουσιν οὐδὲν ἄξιον λόγου. εἰ γὰρ ἔπτυον, οὐκ ἂν ἔμπυοι διέμενον. αἰτία δὲ τοῦ μηδὲν ἀναπτύειν ἄξιον λόγου, τριττή. τοῦ πύου μὲν αὐτοῦ, γλισχρότης καὶ πάχος. τοῦ δὲ περιέχοντος ὑμένος τὸν πνεύμονα, πυκνότης. ἀρρωστία δ' ἐπὶ τούτοις, τῆς τοῦ κάμνοντος δυνάμεως. ἀλλὰ καὶ οἱ ὀφθαλμοί φησιν ἔγκοιλοι γίνονται. κοινόν τι τοῦτο τῶν χρονίων ἁπάντων πυρετῶν, καὶ μάλιστα τῶν ξηραινόντων ἐπιφανῶς. ἐρυθραίνονταί τε τὰ μῆλα, διὰ τὴν ἐν τῷ πνεύμονι θερμότητα, καὶ διὰ τὰς βῆχας. ἄμφω γὰρ ταῦτα θερμαίνει, τό, τε πρόσωπον καὶ ὅλην τὴν κεφαλήν. ἀπό τε τοῦ κατασκήψαντος εἰς τὸν πνεύμονα ῥεύματος, ἀτμῶν ἀναφερομένων εἰς αὐτά. Οἱ δ' ὄνυχες γρυποῦνται, τῶν στηριζουσῶν αὐτοὺς ἑκατέρωθεν σαρκῶν ἐκτηκομένων. Οἱ μὲν οὖν δάκτυλοι, καίτοι καταψυχόμενοι τοὔμπαλιν ἐπὶ τῶν χρονίως νοσούντων, ὅμως ἐν πᾶσι τοῖς ἑκτικοῖς πυρετοῖς θερμοὶ διαμένουσιν, ἐπειδὴ κατειλήφασιν οὗτοι τὰ στερεὰ μάλιστα μόρια τοῦ σώματος, κατά γε μὴν ἄκρους ἑαυτοὺς ἐναργέστερον φαίνονται θερμότεροι. οὐκ ἐκ τῶν ἔξω μερῶν, ἀλλ' ἐκ τῶν ἔνδον, ἔνθα τὸ σαρκῶδες αὐτῶν ἐστι. καὶ ἡ αἰτία πρόδηλος εἴ γε μεμνήμεθα τῶν ἐπὶ ταῖς προσφοραῖς εἰρημένων. ἔνθα γὰρ ὑγρότης ἡ δαψιλεστέρα, †σαφέστερον ἐν τούτοις χωρίοις ἡ θερμασία φαίνεται. προϊόντος γε μὴν τοῦ χρόνου, καὶ οἱ πόδες αὐτῶν οἰδίσκονται, τῆς τοῦ σώματος ὅλου νεκρώσεως, ἐκεῖθεν ἀρχομένης, ὡς ἂν πορρωτάτω κειμένων μορίων τῆς ἀρχῆς. τηνικαῦτα ἤδη καὶ ἀνόρεκτοι γίνονται, νεκρουμένης δηλονότι τῆς ὀρεκτικῆς δυνάμεως, ἅμα ταῖς ἄλλαις, καὶ φλύκταιναι τινὲς ἐπιγίνονται, διαβρωτικῶν ἰχώρων ἀθροιζομένων ἐν σώματι. Τοιαύτην γὰρ αὐτῶν ὁ Ἱπποκράτης ἐδίδαξε τὴν γένεσιν εἶναι ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἡνίκα φησίν, ἐπιγίνονται

†σαφέστερα

μὲν γὰρ

ἢ ἐν τῷ δέρματι ἰχῶρες, ἐγκαταλαμβανόμενοι δὲ, θερμαίνονται. οἱ γὰρ ἰχῶρες οὗτοι, τὸ μὲν ἄλλο τοῦ δέρματος ὅσον μανώτερόν ἐστι διεξερχόμενοι, περὶ τὸ ἔξω πέρας αὐτοῦ πυκνότερον ὂν ἴσχονται. διΐστασι δὲ τοῦτο καὶ ἀφιστᾶσιν ἀπὸ τοῦ ἔνδον, ἀθροιζόμενοί τε κατ' αὐτὸ, τὰς φλυκταίνας ἐργάζονται.

Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα, καὶ πιστεύειν αὐτέοισι χρὴ κάρτα. ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεσθαι τουτέων, ἤν τι ἐπιφαίνηται οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν, ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος.

Καλῶς εἶπε πιστεύειν χρῆναι τοῖς τῶν χρονιζόντων ἐμπυημάτων σημείοις. οὕτω γάρ ἐστιν ἰσχυρὰ τὴν δύναμιν ὡς μηδεμίαν ἀμφιβολίαν ἑαυτοῖς ἀπολείπεσθαι. τὰ δ' ὀλιγοχρόνια γνωρίζεσθαι, διὰ τῶν ἔμπροσθεν εἰρημένων. ἦν δ' ἐκεῖνα, τὸ ῥῖγος, καὶ ὁ πυρετὸς, καὶ τὸ βάρος, εἴτε τι τῶν ἄλλων τοῖς χρονίοις εἰρημένων ἤδη φαίνεται, καὶ εἰ δυσπνούστερος ὁ κάμνων γένοιτο παρὰ τὸ πρόσθεν, ἀνάγκη δὲ τοῦτο συμβῆναι, διὰ τὴν στενοχωρίαν τοῦ πνεύμονος ὅταν καταλάβῃ τὰς κενὰς χώρας τοῦ θώρακος τὸ πῦον.

Τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ῥηγνύμενα, τοῖσδε γινώσκειν χρὴ, ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γένηται, καὶ ἡ δύσπνοια καὶ ἡ βὴξ, καὶ ὁ πτυελισμὸς† διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων προσδέχεσθαι τὴν ῥῆξιν, καὶ ἔτι ἔμπροσθεν. ἢν δὲ ἡσυχέστερος ὁ πόνος ᾖ, καὶ τἆλλα πάντα κατὰ λόγον, τουτέοισι προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον, προσγίνεσθαι δὲ ἀνάγκη καὶ πόνον καὶ δύσπνοιαν, καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξεως.

†διαπλέῃ

Ἐξ ὧν ὅτι ῥαγῆναι κίνδυνός ἐστι τὸ διαπυϊσκόμενον, γίνεταί σοι προγινώσκειν ἐκ τούτων, καὶ ὅτι θᾶττον. ἔστι δὲ ταῦτα, πόνος, καὶ δύσπνοια, καὶ βὴξ, καὶ πτυελισμός. ἐὰν μὲν οὖν συνεχῆ τε γένηται καὶ ἰσχυρὰ, ταχεῖαν ἔσεσθαι σημαίνει τὴν ῥῆξιν. ἐὰν δὲ μήτε συνεχῆ, μήτε ἰσχυρὰ, χρονιωτέραν. ἀνάγκη δὲ διαβιβρωσκομένου τοῦ περιεχομένου τῷ πύῳ σώματος ὑπὸ τῆς δριμύτητος αὐτοῦ, πόνον μὲν γενέσθαι δι' αὐτὸ τοῦτο, βῆχα δὲ καὶ πτυελισμὸν ἰχῶρός τινος ἤδη λεπτοῦ διεξερχομένου τὸ περιέχον σῶμα. δυσπνοοῦσι δὲ καὶ δι' ὅλην μὲν τοῦ νοσήματος τὴν κατάστασιν, ἐξαιρέτως δὲ διὰ τὴν προσγινομένην ὀδύνην.

Περιγίνονται δὲ τουτέων, μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως ἐπιθυμέωσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ, καὶ τὸ πύον λευκόν τε καὶ λεῖον ὁμόχροον ᾖ, καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς. ἄριστα μὲν οὖν οὕτως καὶ τάχιστα ἀπαλλάσσουσιν. εἰ δὲ μὴ, οἷσιν ἂν ἐγγυτάτω τουτέων γίνονται. ἀπόλλυνται δὲ οἷσιν ἂν ὅ, τε πυρετὸς μὴ ἀφείῃ, ἢ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ τὸ πύον χλωρὸν καὶ πελιδνὸν πτύῃ, ἢ φλεγματῶδες καὶ ἀφρῶδες. ἢν ταῦτα πάντα γίνηται ἀπόλλυνται. ὁκόσοισι δ' ἂν τουτέων, τὰ μὲν ἐπιγένηται τὰ δὲ μὴ, οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. ἀλλ' ἐκ πάντων τεκμηρίων τῶν ἐόντων ἐν τουτέοισι σημαίνεσθαι καὶ τοῖσιν ἄλλοισιν ἅπασιν.

Οὗτος ἅπας ὁ λόγος, ὁ ἀπὸ ταύτης τῆς λέξεως ἀρχόμενος, ὅλος ἐστὶ σαφὴς τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων. ὑπερβὰς οὖν αὐτὸν, ἐπὶ τὰ συνεχῆ μεταβήσομαι.

Ὁκόσοισι δὲ ἀποστάσιες γίνονται ἐκ τῶν περιπνευμονικῶν νοσημάτων παρὰ τὰ ὦτα, καὶ ἐκπυοῦσιν, ἢ ἐς τὰ κάτω χωρία καὶ συριγγοῦνται, οὗτοι περιγίνονται.

Τὸ συριγγοῦνται, μόνον ἀσαφές ἐστιν ἐν ταύτῃ τῇ ῥήσει κατὰ μεταφορὰν εἰρημένον. αἱ γάρ τοι σύριγγες αἱ κυρίως ὀνομαζόμεναι, ταῦτα δὴ τὰ μουσικῶν ὄργανα, προμήκεις ἔχουσι κοιλότητας. ὅταν οὖν ἐν τοῖς τῶν ζώων σώμασιν ὅμοιαι παρὰ φύσιν γεννῶνται, διὰ τῆς αὐτῆς προσηγορίας δηλοῦνται. δοκεῖ δή μοι καὶ νῦν ὁ Ἱπποκράτης διὰ τὸ τῆς διεξόδου πρόμηκες, κεχρῆσθαι τῷ συριγγοῦνται ῥήματι. τὸ δὲ σύμπαν τοῦ λόγου κεφάλαιον, ἐστὶ περὶ τῶν ἐπιγινομένων τοῖς περιπνευμονικοῖς ἀποστάσεων. ἐνίοτε μὲν εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἐνίοτε δὲ εἰς τὰ κάτω τοῦ θώρακος χωρία.

Ὑποσκέπτεσθαι δὲ χρὴ καὶ τὰ τοιαῦτα ὧδε, ἢν ὅτε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ εὔλυτοι καὶ ἄκρητοι γίνωνται, μηδὲ τὸ οὖρον κάρτα πολύ τε καὶ παχὺ καὶ πολλὴν ὑπόστασιν ἔχον, ὑπηρετεῖται δὲ καὶ περιεστηκὸς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστηκότων σημείων, τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι.

Τὰς προειρημένας ἀποστάσεις, ὅπως ἄν τις προγινώσκῃ, διδάσκει, δίχα τεμὼν τὸν λόγον. ὡς τὸ μὲν πρῶτον

αὐτοῦ μόριον ἐστὶ, διδασκαλίαν τοῦ γνώσεσθαι τὴν ἀπόστασιν. τὸ δὲ δεύτερον, διορίζεσθαι, πότερον ἄνωθεν τοῦ θώρακος εἰς τὰ ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἢ κάτω τῶν φρενῶν. ἀρξόμεθα οὖν καὶ ἡμεῖς ἀπὸ τοῦ προτέρου μέρους, οὗ ἐν ᾧ κεφάλαιόν ἐστι, δυσαπάλλακτον μὲν εἶναι τὸ νόσημα, μὴ μέντοι θανατῶδες. ὅτε γὰρ ἐὰν εὔπεπτον ᾖ, διὰ ἀποστάσεως, ἀλλ' ἤτοι διὰ ἐκκρίσεως, ἢ κατὰ βραχὺ λυθήσεται πεπανθέν. ὅτε αὖ ὀλέθριον ὑπάρχει, γενήσεταί τις ἀπόστασις ἀγαθή. μέσον οὖν αὐτὸ χρὴ τῶν τε ἐπιεικῶν εἶναι καὶ τῶν ὀλεθρίων. ὅθεν εἰκότως ὁ Ἱπποκράτης ἔνια μὲν αὐτῶν τῶν γνωρισμάτων, ἔγραψεν ἐκ τῶν κακῶν σημείων, ἔνια δὲ ἐκ τῶν ἀγαθῶν, ἃ κατὰ μέρος ἤδη σοι δίειμι, τὴν ἀρχὴν ἀπὸ τοῦ πρώτου ποιησάμενος, ὑπὲρ οὗ πρώτου κατὰ λέξιν οὕτω φησίν. Ἢν ὁ πυρετὸς ἔχῃ, τουτέστι κατείληφε τὸν ἄνθρωπον, ὡς εἰς ἀπυρεξίαν μηδέποτε ἀφικνεῖσθαι, καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ. παυσαμένης γὰρ αὐτῆς, οὐκ ἀποστάσεως ἐστὶ χρεία τις ἔτι πρὸς τὴν λύσιν, ὡς ἐπιεικοῦς τοῦ νοσήματος ὄντος. καὶ τὸ πτύελον φησὶ μὴ ἐγχωρέῃ, κατὰ λόγον. οὐδὲ γὰρ ὅλως ἀποστάσεως δεηθήσεται τὸ νόσημα, διὰ τῶν πτυσμάτων ἀεὶ καθαιρόμενον, εἶτ' ἐφεξῆς μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες. εἴρηται γάρ σοι καὶ πρόσθεν ὡς ἐν τοῖς χολώδεσι νοσήμασιν, αἱ ἀποστάσιες οὐ γίνονται. χρὴ γὰρ ὠμὴν καὶ παχεῖαν εἶναι τὴν τῶν χυμῶν ὕλην, ἵν' εἴς τε χρόνον πλείονα ἐκπέσῃ τὸ νόσημα, καὶ μὴ διὰ ἐκκρίσεως, ἀλλ' ἤτοι διὰ ἀποστάσεως, ἢ μόνης πέψεως ἰαθῇ. τὸ δὲ ἐφεξῆς τῷδε, τινὲς μὲν οὕτω γράφουσι. μηδ' εὔλυτοι καὶ ἄκρητοι γίνωνται ὥσπερ ἔφη, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, οὕτω μηδὲ εὔλυτοι, καὶ ἄκρητοι γίνωνται. τοῦ μὲν ἀκρήτου, πρὸς τὰς ἀμίκτους τῶν ἄλλων χυμῶν τινὶ ἀναφερομένου, διὰ τὸ μὴ ἔχειν αὐτὰς ποιότητα τὴν τῶν χολωδῶν. τοῦ δὲ μηδ' εὔλυτοι, πρὸς τὸ πλῆθος τῶν ἐκκρίσεων, ὡς εἴτε καὶ χολώδεις εἶεν καὶ εὔλυτοι διὰ ἐκκρίσεως μᾶλλον ἢ διὰ ἀποστάσεως ἐσομένης τῆς κρίσεως. ἔνιοι δὲ ἐναντίως γράφουσι τὴν λέξιν ὧδε, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες. εὔλυτοι δὲ καὶ ἄκρητοι γίνωνται. εὐλύτους μὲν εἶναι βουλόμενοι, τὰς συμμέτρως ὑπερχομένας, ἀκρήτους δὲ τὰς ὑδατώδεις καὶ ἀμίκτους. ἐρρέθη γὰρ ἔμπροσθεν, ὡς τὸ ἄκρητον, ἐπὶ τῆς ἀμίκτου λέγεται ποιότητος. ἀφελὼν οὖν ὁ Ἱπποκράτης, φησὶ τὰς χολώδεις διαχωρήσεις, ἐπὶ τῶν ἀκράτων, ὅπερ ἐστὶν ἀμίκτους καὶ οἷον ἄκρας κατὰ μίαν ποιότητα, δῆλος ἐστὶ τὰς ὑδατώδεις λέγων, αἵπερ ἄπεπτοί εἰσιν, καὶ διὰ τοῦτο χρόνου δέονται πρὸς τὴν πέψιν, ἐν ᾧ καὶ αἱ ἀποστάσεις γίνονται. τὰ μὲν γὰρ ὀξέα, διὰ ἐκκρίσεων μᾶλλον εἴωθε κρίνεσθαι, τὰ δὲ χρονίζοντα, διὰ ἀποστάσεως. ἀλλὰ περὶ μὲν τῶν ἐν ταῖς εἰρημέναις γραφαῖς διαφορῶν, ἔξεστί σοι καὶ αὖθις ἐπισκέψασθαι κατὰ πολλὴν σχολήν. ἐν δὲ τῷ παρόντι, τὴν ὅλην τοῦ λόγου σύνοψιν, ὡς εἰς τὰ τῆς τέχνης ἔργα λαβεῖν ἐξ αὐτῆς τὸ χρησιμώτατον, ἐγώ σοι δίειμι. πρόκειται μὲν οὖν αὐτῷ τεκμήρασθαί τι περὶ τῶν εἰς ἀπόστασιν ὁρμησάντων νοσημάτων. εἶναι δὲ ταῦτα χρὴ, πάντως μὲν ἐξ ὠμῶν καὶ παχέων χυμῶν, οὐ μὴν ὀλεθρίων γε. τὰ γὰρ τοιαῦτα χρονίζοντα, ποιεῖσθαι δεῖ τὰς ἀποστάσεις, εἴ γε μὴ κατὰ σύμπεψιν, οὕτω γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ὑφ' Ἱπποκράτους, ἡ λύσις αὐτῶν γενέσθαι φθάσει. γνώρισμα δέ σοι τῆς πέψεως ἔσται τὸ οὖρον, αὐτό τε πολὺ γινόμενον, ὑπόστασίν τε πολλὴν ἔχον. ᾧ δ' ὑπόστασίς ἐστι πολλὴ, τοῦτο πάντως ἐστὶ καὶ αὐτὸ παχύτερον τοῦ κατὰ φύσιν. εἰκότως οὖν ἐγένετο διττὴ γραφὴ κατὰ λέξιν. ἐνίων μὲν οὕτω γραψάντων, μηδ' οὖρον πολύ τε καὶ παχὺ καὶ ὑπόστασιν ἔχον πολλήν. ἐνίων δὲ μηδ' οὖρον πολὺ κάρτα καὶ ὑπόστασιν πολλὴν ἔχον.

Γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγίνηται. αἱ δὲ ἄνω, οἷσιν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ, δύσπνοον δέ τινα χρόνον γενόμενον, παύσηται, ἄτερ φανερῆς προφάσιος ἄλλης.

Προφάσεις εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης τὰς φανερὰς αἰτίας. ὅταν οὖν ἐξαίφνης γενομένη δύσπνοια κατὰ τὰς προειρημένας διαθέσεις, ἐξαίφνης πάλιν παύσηται, καὶ τὸ γενέσθαι καὶ τὸ παύσασθαι χωρὶς φανερᾶς αἰτίας ἔχουσα, τὴν ἐπὶ κεφαλὴν ῥοπὴν ἐνδείκνυται τῶν χυμῶν, ὥσπερ πάλιν τὴν ἐπὶ τὰ κάτω, θερμασία τις ἐν τοῖς ὑποχονδρίοις ἐπιφανής. οὐ γὰρ δὴ τὸν χυμόν γε τὸν φλεγματικὸν, ἡγεῖσθαι χρὴ νῦν ὑπ' αὐτοῦ λέγεσθαι, κατὰ τὴν λέξιν ἐν ᾗ φησίν, οἷς δ' ἂν κατὰ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγίνεται. πολλῷ γὰρ ἄμεινον ἀκούειν, ἐπὶ τῆς παρὰ φύσιν θερμασίας τῆς φλογώδους εἰρῆσθαι τὸ φλέγμα. γίνεται δὲ αὕτη διὰ ἐρυσίπελας, ἢ τὴν ἰδίως ὀνομαζομένην φλεγμονήν. εἰ δέ γε τοὐναντίον εἴη, λαπαρὸν μὲν καὶ ἀνώδυνον τὸ ὑποχόνδριον. ἡ δ' ἄνω ῥοπὴ τῶν χυμῶν, ὑπὸ τῆς προειρημένης δυσπνοίας δηλουμένη, τὴν ἀπόστασιν γενήσεσθαι ἄνω προσδέχου.

Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι. ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἤδη ἐόντος γινόμεναι. εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίνοιτο τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γινομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα ὅ τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα ἂν παύσαιτο. ἢν δὲ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὸν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πράγματα παρασχεῖν.

Ἐπὶ τῶν ἰσχυρῶν περιπνευμονιῶν, ἀποστάσεις ἐς τὰ σκέλη γίνεσθαι, πάντως μὲν ἀγαθόν ἐστιν. εἴ γε δὴ παντὸς μᾶλλον ἀληθὲς ὑπάρχει, τὸ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπὲρ τῶν ἀγαθῶν ἀποστάσεων εἰρημένον, ὡς ἄρισται πασῶν εἰσὶν, αἱ μάλιστα κάτω καὶ πορρωτάτω τῆς νόσου, μᾶλλον δὲ ὅταν ἅμα πέψει γίνονται. καὶ γὰρ καὶ τοῦτ' ἐπήνεσεν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰπών. πεπασμοὶ ταχυτῆτα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ἐνδείκνυται δὲ τὴν πέψιν, ἥτε μεταβολὴ τοῦ πτυέλου, καὶ ἡ κένωσις ἄλυπός τε καὶ δαψιλὴς γινομένη. τοῦτο γὰρ ἐδήλωσεν εἰπών. ἔτι τοῦ πτυέλου ἐκχωρέοντος ἔξω, εἰ δὲ καὶ χωρὶς τοῦ πεφθῆναι τὴν νόσον, ἀπόστασις ἐς

τὰ σκέλη

τὰ σκέλη γένοιτο, ῥύσαιτο μὲν ἂν καὶ οὕτωσὶ ἐκ τοῦ κατὰ τὴν περιπνευμονίαν κινδύνου τὸν ἄνθρωπον. αὐτὸ δὲ τὸ ἄρθρον εἰς ὃ κατέσκηψε, δυσίατον ἕξει τὸ ἀπόσκημμα, καὶ τάχ' ἂν ἐνίοτε χωλωθείη κατὰ τοῦτο ὁ ἄνθρωπος. εἴρηται δ' αὐτῷ πάλιν ἐνταυθοῖ οὐχ ἐν τῆς ἀπεψίας σημεῖον, ὥσπερ τῆς πέψεως. ἀλλὰ προσέθηκε τοῖς πτύσμασι, καὶ τὴν ἀπὸ τῶν οὔρων διάγνωσιν. ἐπ' αὐτῶν γε μὴν τῶν κακοήθων πτυσμάτων οὐκέτι προσέθηκε, τὸ μὴ πεπέφθαι, καίτοι γε ἀντέκειτο τοῦτο τῷ πεπαίνεσθαι. μόνῳ δ' ἠρκέσθη τῷ μὴ ἐκχωρεῖν, ἱκανὸν εἶναι γνώρισμα αὐτὸ τῆς κακοηθείας τοῦ νοσήματος ὑπολαβὼν, ὡς τό γε πτύεσθαι μόνον, ἢ πέττεσθαι μόνον, οὐδέτερον ἱκανόν. ὅτι καὶ πτύεται πολλάκις αὐτάρκως, ἀπέπτου τοῦ νοσήματος ὄντος, καὶ πέττεται μὲν ἐνίοτε τὸ νόσημα, πτύεται δ' οὐκ αὐτάρκως τὸ πτύελον. ποτὲ μὲν ἐπ' ἀῤῥωστίᾳ τῆς κινούσης τὸν θώρακα δυνάμεως, ἐνίοτε δὲ διὰ πάχος ἢ γλισχρότητα τοῦ πτυέλου, καί ποτε δι' ἀμφότερα συνελθόντα, τήν τε τῆς δυνάμεως ἀῤῥωστίαν καὶ τοῦ πύου τὴν ποιότητα. χρὴ τοίνυν καὶ πεπέφθαι τὸ νόσημα καὶ πτύεσθαι καλῶς τὰ πτύελα, κατὰ τὰς ὑγιάζεσθαι μελλούσας διαθέσεις. κατὰ μέντοι τὰς ἐναντίας, ἱκανὸν γνώρισμα καὶ τὸ μὴ πτύεσθαι μόνον. ἐκ περιουσίας δ' ἂν ἐν αὐταῖς ταύταις ἡ διάγνωσις γένοιτο τῆς κακοηθείας τοῦ νοσήματος, εἰ σὺν τῷ μὴ πτύεσθαι καλῶς, μηδὲ κενοῦσθαι τὰ κατὰ τὸν πνεύμονα καὶ θώρακα, προσείη τινὰ καὶ τῆς ἀπεψίας τοῦ χυμοῦ γνωρίσματα. πρόδηλον γὰρ ὅτι χαλεπωτέρα μὲν ἐστὶν ἡ διάθεσις ἐφ' ἧς οὔτε πτύουσιν, ἥ τ' ἀπεψία διαμένει. μετριωτέρα δὲ καθ' ὧν πέττεται μὲν, οὐχ ἱκανῶς δ' ἀποπτύουσιν, οὐδὲ καθαίρονται τελέως. ὅτι δ' εἰς ἄρθρα μάλιστα τὰς ἀποστάσεις γίνεσθαι συμβέβηκεν, ὃ, περ κἀν ταῖς ἐπιδημίαις ἔγραψεν, ἐδήλωσε κἀνταῦθα, κατὰ τὸ πάρεργον εἰπὼν, κίνδυνος γενέσθαι χωλὸν τὸ ἄρθρον. αἰτία δὲ τῶν τοιούτων ἀποστάσεων, ἡ εὐρυχωρία τῶν ἄρθρων ἐστὶν, ὑποδεχομένη τὰ κατασκήπτοντα ῥεύματα. δύναται δέ τι, καὶ ἡ κίνησις αὐτῶν συντελεῖν. πρὸς γὰρ τὰ κινούμενά τε καὶ θερμαινόμενα, ῥᾷον ἀφικνοῦνται πάντες οἱ χυμοί.

Ην δ' ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες, τοῦ πτυέλου μὴ ἐκχωρέοντος, τοῦ τε πυρετοῦ ἔχοντος, δεινὸν, κίνδυνος γὰρ μὴ παραφρονήσῃ καὶ ἀποθάνῃ ὥνθρωπος.

Τὸ ἀφανισθῆναι ἵνα τῶν παρὰ φύσιν ὄγκων εἰπεῖν, οὐ ταὐτὸν σημαίνει τῷ παύσασθαι φάναι. γενικώτερον μὲν γάρ τι δηλοῖ τὸ παύσασθαι. τὸ δὲ ἀφανισθῆναι, τοῦ διὰ ταχέως παύσασθαι καὶ οἷον ἐξαίφνης ἐστὶ δηλωτικόν. ἐνίοτε μὲν οὖν γίνεται τοῦτο διὰ λεπτότητα χυμοῦ καὶ ἀραιότητα μορίου, καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμότητα, καὶ τὴν ἰσχὺν τοῦ προσαχθέντος φαρμάκου, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως τὴν ῥώμην. ἐὰν γοῦν ἅμα πάντα συνέλθοι τὰ εἰρημένα, διαφορηθήσεται ταχέως ὁ παρὰ φύσιν ὄγκος. ὡς τὰ πολλὰ δὲ τὸ ἀφανίζεσθαι τὰ τοιαῦτα, εἴωθε συμβαίνειν, μεταῤῥεόντων τῶν ἐργαζομένων αὐτὰ χυμῶν, ἤτοι γε εἰς τοὺς αὐτοὺς τόπους ὅθεν ὥρμησαν, ὅπερ ἰδίως ὁ Ἱπποκράτης ὀνομάζει παλινδρομεῖν, ἢ καί τινας ἄλλους ἐν τῷ βάθει τοῦ σώματος ὄντας. ὡς οὖν ὑπὸ τῶν ἐναντιωτάτων αἰτίων τὸ ἀφανίζεσθαι τοὺς παρὰ φύσιν ὄγκους γινόμενον, ἐναντιωτάτην ἔχει καὶ τὴν τελευτήν. ἤτοι γε ἀπαλλαγὴν ταχίστην ἐνδεικνύμενον τῶν λυπούντων, ἢ χειρίστην διάθεσιν ἐπανερχομένων αὐτῶν ἐπὶ τὰ κύρια μόρια. ταῦτα μὲν οὖν κοινὰ πασῶν ἀποστάσεων. ὁ διορισμὸς δὲ κοινὸς μὲν καὶ αὐτός ἐστι τῶν ἀφανιζομένων. ἐπισκέπτεσθαι δὲ χρὴ τἄλλα σημεῖα, καὶ μάλιστα τὰ τῶν πεπονθότων μορίων οἰκεῖα. νυνὶ δὲ τῶν ἀναπνευστικῶν ὀργάνων ὁ ἴδιος εἴρηται διορισμὸς, πρὸς Ἱπποκράτους ἐχόμενος δηλονότι τῶν κοινῶν. ἔφη γοῦν οὕτως, ἢν δὲ ἀφανίζωνται αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος, τοῦ πυρετοῦ τε ἔχοντος, δεινόν. δῆλον γὰρ ὅτι εἰς τὸ βάθος ἀπεχώρησαν εἰς τόπους κυρίους, ὡς εἴγε διεφορήθησαν, οὐκ ἂν ἐπύρεττον ἔτι, καὶ ῥᾳδίως ἔπτυον. εὔλογον οὖν ἐστὶν ἐπὶ τὸν πνεύμονα τούτοις πάλιν ὑποχωρῆσαι τὸ ῥεῦμα, διὸ καὶ παραφρονεῖν αὐτοὺς εἰκός ἐστιν. ἐπεὶ καὶ τοῦτο ἔν τι τῶν ἐπὶ πνεύμονι τὰ τοιαῦτα πάθη πάσχοντι συμβαινόντων ἐστίν. ὅτι δὲ δυσπνοοῦντες τεθνήξονται, παρέλειπεν εἰπεῖν, εἰδὼς αὐτὸ νοηθησόμενον ἡμῖν ἐκ τῶν προειρημένων.

Τῶν δ' ἐμπύων τῶν ἐκ τῶν περιπνευμονικῶν νουσημάτων, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται, ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

Γεραιτέρους οὐχ ἁπλῶς τοὺς γέροντας, ἀλλὰ παραβλητικῶς ἢ συγκριτικῶς, ἢ ὅπως ἂν τῷ φίλον ὀνομάζειν ἀκουστέον ἐστὶν ὡς πρὸς νέους. οἱ μὲν γὰρ ἤδη προήκοντες ἱκανῶς κατὰ τὴν ἡλικίαν, οὐδὲ ἐξ ἑνὸς νοσήματος, μᾶλλον τῶν νεωτέρων διασώζονται. τοὺς δὲ μεταξὺ τούτων τε καὶ τῶν ἀκμαζόντων, οἵπερ εἰσὶν οἱ μεσαιπόλιοί τε καὶ ὠμογέροντες ὀνομαζόμενοι, διασωζομένους ἐστὶν ἰδεῖν ἐνίοτε μᾶλλον τῶν ἀκμαζόντων. ὥσπερ αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξεν, ἐπί τε τῶν ἐν τοῖς ὠσὶ φλεγμονωδῶν διαθέσεων, καὶ νῦν ἐπὶ τῶν ἐκ περιπνευμονίας ἐμπύων. ἐν μὲν γὰρ τούτοις, ἐπειδὴ διὰ τὸ πτύειν ἡ ἴασις ἐστὶν ἰσχυρᾶς δυνάμεως δεομένη, διὰ τοῦτο μᾶλλον οἱ νεώτεροι τῶν πρεσβυτέρων διασώζονται. κατὰ δὲ τὰ ἄλλα συμβαίνει φθάνειν ἀποθανεῖν τοὺς νεωτέρους ἐπὶ τοῖς πόνοις τε καὶ πυρετοῖς, ὅπερ αὐτὸς εἶπεν ἐπὶ τῶν ὤτων. οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτοῖσιν ἐπιγίνονται, καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυηθέντα. οἱ δὲ νεώτεροι φησὶ πρὶν ἐμπυηθῆναι τὸ οὖς, οἱ πολλοὶ ἀπόλλυνται. ἐπεὶ ἤν γε ῥυῇ πύον ἐκ τοῦ ὠτὸς, ἐλπὶς περιγενέσθαι. κἀπὶ τῶν ἄλλων οὖν ἐμπυημάτων, κατ' αὐτὸν τὸν τοῦ διαπυΐσκεσθαι χρόνον, οἱ νεώτεροι φθάνουσιν ἀποθνήσκειν, ὑπὸ μεγέθους τῶν πυρετῶν καὶ τῆς ὀδύνης.

Αἱ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται τὰ κάτω ἐκλίπουσαι, ὀλέθριαι κάρτα. προσέχειν οὖν δεῖ τὸν νόον τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων πονηρὸν ἐπιφαίνηται, ἀνέλπιστος ὁ ἄνθρωπος. ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν μὲν καθαρὸν τὸ πύον ᾖ καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται, οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται. εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, τἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι πολλαὶ ἐλπίδες εἰσίν.

Τὸ τῶν φρενῶν ἅπτεσθαι, τινὲς μὲν ἀντὶ τοῦ παραφρονεῖν ἤκουσαν, ὡς εἰ καὶ οὕτως εἶπεν. αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἐὰν ἐπαναβᾶσαι, παραφροσύνην ἐργάζωνται, χαλεπαί. τινὲς δ᾽ ἄμεινον τούτων, τὸ μόριον τοῦ σώματος φρένας εἰρῆσθαί φασιν, ὃ δὴ καὶ διάφραγμα προσαγορεύεται. μαρτύριον δὲ τῆς ἀληθείας τοῦ λόγου, τὸ περὶ τὴν τελευτὴν τοῦ λόγου εἰρημένον, ἔνθα φησὶν, ἔμπυον γενέσθαι πολλαὶ ἐλπίδες εἰσίν. βούλεται γὰρ ἀνελθόντος τοῦ νοσήματος ἐπὶ τὸν θώρακα, δυοῖν θάτερον, ἢ εὐθέως ἀπολέσθαι τὸν ἄνθρωπον, ἢ εἰ εἰς τὰ βέλτιστα περιάγοι, πάντως γοῦν ἔμπυον ἔσεσθαι, διορίζεται δὲ ταῦτα τοῖς ἄλλοις σημείοις. εἰ μὲν γὰρ εἴη μὴ πονηρὰ, γένοιτ᾽ ἂν ἔμπυος. εἰ δὲ καί τι μοχθηρὸν ἐπιφανείη, τεθνήξεται πάντως.

Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν παντελῶς καὶ ὀλέθριοι. ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται. καὶ γὰρ οἱ ἀπ᾽ αὐτέων τῶν κυστίων πόνοι, ἱκανοὶ ἀποκτεῖναι. καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐπὶ τῶν τοιούτων, εἰ μὴ σκληραί τε καὶ πρὸς ἀνάγκην.

Εἴρηταί μοι πολλάκις ὡς τὸ τῆς φλεγμονῆς ὄνομα, κατὰ τῆς φλογώσεως ὁ Ἱπποκράτης ἐπιφέρει, λόγῳ δηλῶν, ἣν ὁ Ἐρασίστρατός τε καὶ οἱ μετ᾽ αὐτὸν ὀνομάζουσιν μιᾷ προσηγορίᾳ φλεγμονήν. ὥσπερ ἀμέλει καὶ νῦν εἶπε, κύστιες δὲ σκληραὶ καὶ ἐπώδυνοι. διότι δὲ τὰς τοιαύτας ἔφη χαλεπὰς εἶναι διαθέσεις, καὶ μάλιστα ὅταν πυρετὸς ὀξὺς ᾖ, σαφῶς αὐτὸς ἐδήλωσεν, τό, τε μέγεθος αἰτιασάμενος τῶν πόνων, καὶ τὴν τῶν διαχωρημάτων καὶ τῶν οὔρων ἐπίσχεσιν. ἐπέχεται δὲ διὰ τὴν στενοχωρίαν τοῦ ἀπευθυσμένου, καὶ τὴν ὀδύνην τῆς κύστεως. αἰσθάνονται γὰρ οἱ κάμνοντες τῆς ἐνεργείας, ὅταν εὐθέως ἀρχομένης αὐτῆς, ὀδυνᾶσθαι συμβῇ, καὶ τοῦτο κοινὸν ἁπάντων τῶν πόνων ἐστί. τὸ γὰρ μὴν ὀδυνᾶσθαι, ποτὲ μὲν αὐτῶν τῶν ἐνεργούντων ὀργάνων φλεγμαινόντων, ἐνίοτε δὲ τῶν συνεχῶν αὐτοῖς γίνεται. οὕτω γοῦν ἀναπνέοντες ἀλγοῦσιν ἐπὶ φλεγμονῇ σπληνὸς, ἢ γαστρὸς, ἢ ἥπατός τε καὶ τῶν ἐν ὑποχονδρίῳ μυῶν, καὶ διὰ τοῦτο ἀναγκάζονται δυσπνοεῖν, εἴδει δυσπνοίας ἐκείνῳ καθ᾽ ὃ μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. εἴρηται δὲ καὶ ταύτης τῆς δυσπνοίας, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν ἑκάστης ἡ αἰτία, περὶ τὸ περὶ τῆς δυσπνοίας πρῶτον.

Λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον ὑπόστασιν.

Ὅταν ἡ τῆς κύστεως φλεγμονὴ πεφθῇ, συρρέουσιν εἰς τὴν ἔσω χώραν αὐτῆς οἱ πεφθέντες χυμοὶ, καὶ συνεκκρίνονται δηλονότι τοῖς οὔροις, τὸ γνώρισμα τῆς ἀγαθῆς πέψεως ἐν ταῖς ὑποστάσεσιν ἔχοντες.

Ἢν δὲ μήτε τὸ οὖρον μηδὲν ἐνδιδοίη, μήτε ἡ κύστις μαλθάσσοιτο, ὅ, τε πυρετὸς ξυνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι.

Τὸ μὲν μήτε τὴν κύστιν μαλαχθῆναι καὶ τὸν πυρετὸν διαμένειν, εὔδηλον. τὸ δὲ οὖρον μηδὲν ἐνδοῦναι, τῶν ἀσαφῶς εἰρημένων ἐστίν. εἴωθε γὰρ ἐπί τε τῶν διαθέσεων καὶ τῶν συμπτωμάτων φέρειν τοὔνομα. καθάπερ καὶ οἱ ἄλλοι πάντες οἱ μετ᾽ αὐτὸν, ἐνδοῦναι τὴν φλεγμονὴν, καὶ τὸν ὄγκον καὶ τὴν σκληρότητα, καὶ τὴν τάσιν καὶ τὴν ὀδύνην λέγοντες. οὐ μὴν τό γε οὖρον ἐνδοῦναι τις εἶπεν. ἴσως οὖν ἀπὸ τῶν προειρημένων ὁ Ἱπποκράτης μετήνεγκε τὴν προσηγορίαν ἐπὶ τὸ οὖρον, ἵνα τὴν ἐπὶ τὸ βέλτιον αὐτοῦ μετάστασιν, οὕτως ἀκούσωμεν, ὅπερ εἰ συγχωρηθείη, καὶ τὴν τῆς ἐπισχέσεως κένωσιν εἰρῆσθαι πρὸς αὐτοῦ, δυνατόν ἐστιν, ἵνα ἐπινοήσωμεν ἐπὶ τῆς φλεγμαινούσης κύστεως ἐπισχεῖσθαι τὸ οὖρον. εἴωθε γὰρ καὶ τοῦτο ἐνίοτε συμβαίνειν, ὁπότε καὶ δεινῶς ὀλέθριον ἐστὶ τὸ νόσημα, καὶ σπανίως ἐξ αὐτοῦ διασώζονται. αὕτη μὲν ἡ γραφὴ τῆς ῥήσεως ἐν ἄλλοις τέ τισιν ἐστὶ καὶ τοῖς κατὰ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοσκορίδην ἀντιγράφοις. ἐν ἑτέροις δὲ ἡ λέξις οὕτως ἔχει. ἢν δὲ μήτε οὖρον ᾖ μηδὲν, μήτ᾽ ἐνδιδοίη ὁ πόνος, ὥστε μηδὲν ἔχειν ζήτημα μηδ᾽ ἀμφίβολον εἶναι τὸ λεγόμενον.

Ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἔστ᾽ ἂν πεντεκαιδεκαταῖα γίνεται.

Διὰ τὰς ἀκαίρους τε καὶ πολλὰς ἐδωδὰς, ἀθροίζεται πλεῖστος ὁ καλούμενος ὠμὸς χυμὸς ἐν τοῖς τῶν παίδων σώμασιν. οὗτος οὖν διὰ τῶν νεφρῶν ἐκκαθαιρόμενος ὁσημέραι, καὶ μέντοι καὶ διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν ἀθροιζόμενος, ἐνίοτε μὲν λίθους ἐν αὐτῇ γεννᾶσθαι ποιεῖ, πολλάκις δὲ καὶ φλεγμονὰς, ὅταν ποτὲ ἡ κύστις τύχῃ σφοδρότερον ὑπὸ τῆς συνεχοῦς τῶν τοιούτων χυμῶν διεξόδου, κακωθεῖσα.

Οἱ δὲ πυρετοὶ κρίνοντες ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσιν τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται.

Δύο πραγματείας ἔχετε (πρὸς ὑμᾶς γὰρ λέγω τοὺς ἑταίρους, ὅσοι κατηναγκάσατέ με μὴ προῃρημένον, ἐξηγήσεις γράψαι τῶν Ἱπποκράτους συγγραμμάτων) ἐν αἷς ἅπαντα, περί τε κρισίμων ἡμερῶν εἴρηται, καὶ κρίσεων. ἴστε δὲ ὅτι καὶ αὐτὰς οὐκ ἐκδοθησομένας, ἀλλ' ὥσπερ ὑμῖν μόνοις ἐσομένας ἔγραψα. συνέβη δ' ἐκπεσεῖν αὐτὰς, καὶ παρὰ πολλοῖς εἶναι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν ὑπ' ἐμοῦ γεγονότων. ὅθεν οὐδ' ἐξηγεῖσθαι προῃρούμην ἐν ὑπομνήμασιν οὐδὲν τῶν Ἱπποκράτους βιβλίων. ὅσα γὰρ εἰς τὴν τέχνην χρήσιμα παρ' αὐτοῦ μαθεῖν ἐστι, γέγραπταί μοι κατὰ πολλὰς πραγματείας, ἅμα ταῖς οἰκείαις ἐξηγήσεσιν. ἐπεὶ δ' ἔνιαι καὶ τῶν λέξεων ἀσαφέστερον εἰρημέναι μοχθηρᾶς ἐξηγήσεως ἔτυχον, ὡς ἀρέσκειν ὑμῖν μηδένα τῶν γραψάντων ὑπομνήματα. βέλτιον δὲ αὐτῶν στοχάζεσθαι τῆς Ἱπποκράτους γνώμης ἐδόκουν ὑμῖν ἐγὼ, διὰ τοῦτό με, καὶ διὰ γραμμάτων ἠξιώσατε παρασχεῖν ὑμῖν ἅπερ ἐν ταῖς διὰ λόγων συνουσίαις ἠκούσατε. τοῦτ' αὐτὸ κἀγὼ προεῖπον ὑμῖν, ὡς ἀναγκαῖον ἔσται τὰς ἐξηγήσεις ἀνωμάλους ἔσεσθαι, ἤτοι μὴ πάσας ὁμοίως ἐξηγουμένου μου τὰς λέξεις, ἀλλὰ τελεώτερον μὲν, ὑπὲρ ὧν οὐδαμόθεν τῶν ἐμῶν πραγματειῶν ἐμνημόνευσα. διὰ κεφαλαίων δὲ, περὶ ὧν ἤδη τελέως ἐν ἐκείναις διῆλθον, ἵνα μὴ πολλάκις ὑπὲρ τῶν αὐτῶν πραγμάτων ἀναγκαζώμεθα γράφειν. ἐπεὶ τοίνυν ἅπαντα τὸν περὶ κρισίμων ἡμερῶν λόγον, ὡσαύτως δὲ καὶ τὸν περὶ κρίσεων τρισὶ πραγματείαις διῆλθον, ἐνταυθοῖ μόνα τὰ κεφάλαια τῶν ἐκεῖ γεγραμμένων ἀναμνήσω, τὴν ἀρχὴν ἐνθένδε ποιησάμενος. ἡ γὰρ κατὰ τὰ νοσήματα κρίσις, ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις μετενήνεκται, σημαίνουσα τὴν ὀξύῤῥοπον ἐν νόσῳ μεταβολὴν, γινομένην κατὰ τέτταρας τρόπους. ἢ γὰρ ἀπαλλάττονται τῶν νοσημάτων εὐθέως, ἢ μεγάλην μεταβολὴν ἐπὶ τὸ βέλτιον ἴσχουσιν, ἢ ἀποθνήσκουσιν εὐθέως, ἢ χείρους γίνονται πολλῷ. τὰς μὲν οὖν πρώτας δύο κρίσεις, ἁπλῶς ὀνομάζουσι κρίσεις. τὰς δὲ δευτέρας δύο, τὰ πολλὰ μὲν ἅμα προσθήκῃ, κακὴν κρίσιν ἢ μοχθηρὰν κρίσιν, ἢ τι τοιοῦτον τῷ τῆς κρίσεως ὀνόματι προστιθέντες, ἔστιν ὅτε δὲ καὶ χωρὶς προσθήκης ἁπλῶς. ἐμάθετε δὲ καὶ ὡς αἱ κρίσεις ἅπασαι, μετά τινος φανερᾶς γίνονται κενώσεως, ἢ ἀποστάσεως. ἐν γὰρ τῷ σπανίῳ, παιδία μόνα διὰ ὕπνων βαθέων, καὶ μακρῶν ὀξείας ἐποιήσαντο μεταβολὰς ὡς ἐπὶ τὸ βέλτιον, ἃς ἔνιοι μὲν ἀξιοῦσι καὶ αὐτὰς ὀνομάζειν κρίσεις, ἔνιοι δὲ οὐ συγχωροῦσιν, ἡμέρας δὲ κρισίμους καλοῦσιν, ἐν αἷς αἱ τοιαῦται μεταβολαὶ πισταί τε ἅμα καὶ πλεῖσται γίνονται. κατὰ γὰρ τὰς ἄλλας ἡμέρας, οὔτε πιστὰς ὁρῶμεν γινομένας τὰς κρίσεις, οὔτε πολλάς. κατεγνώκει δ' οὐ πρῶτος μόνον, ἀλλὰ καὶ μάλιστα τὴν τῶν κρισίμων ἡμερῶν φύσιν, ὁ θαυμάσιος Ἱπποκράτης, ἐνεδείξατό τε τὴν αἰτίαν τῆς γενέσεως αὐτῶν, ἣν καὶ ἡμεῖς ἐν τῇ περὶ κρισίμων ἡμερῶν πραγματείᾳ διήλθομεν, ἰσχυροτάτην μὲν ἐπιδεικνύντες εἶναι περίοδον ἡμερῶν κρισίμων τὴν ἑβδόμην. δευτέραν δὲ τῇ δυνάμει τὴν τετράδα γινομένην, ἐκ τοῦ δίχα τμηθῆναι τὴν ἑβδόμην. σημαίνεσθαι δὲ τὰς μελλούσας ἔσεσθαι κρίσεις ἐν ταῖς ἑβδοματικαῖς περιόδοις, ὑπὸ τῶν τετράδων. τὴν μὲν γὰρ τετάρτην ἡμέραν, τῆς ἑβδόμης εἶναι δηλωτικὴν, τὴν ἑνδεκάτην δὲ τῆς ιδ'. ὀνομάζει δ' αὐτὰς ὁ Ἱπποκράτης ἐπιδήλους, καὶ θεωρητάς. ἀριθμεῖσθαι δὲ τὰς μὲν ἑβδομάδας τοιῷδε τρόπῳ γε βούλεται, δύο μὲν ἐφεξῆς ἀλλήλων τὰς πρώτας, κατὰ διάζευξιν, ἐπειδὴ δ' αὐταῖς τὴν τρίτην κατὰ συνάφειαν. διάζευξις μὲν οὖν ἐστιν, ὅταν ἑφ' ἑτέραν ἡμέραν λήξασης τῆς προτέρας ἑβδομάδος, ἡ μετὰ ταύτην ἀφ' ἑτέρας ἄρξηται. συνάφεια δὲ ὅταν ἡμέρα μία κοινὴ τῶν ἑβδομάδων ἀμφοτέρων γένηται, τελευτώσης μὲν εἰς αὐτὴν τῆς προτέρας, ἀρχομένης δὲ τῆς δευτέρας ἀπ' αὐτῆς, καὶ διὰ τοῦτο τὴν εἰκοστὴν ἡμέραν ἐσχάτην εἶναι τῆς τρίτης ἑβδομάδος, ὡς εἴγε καὶ αὐτὴ κατὰ διάζευξιν ἠριθμεῖτο, τὴν πρώτην καὶ εἰκοστὴν ἡμέραν, οὐ τὴν εἰκοστὴν ἰσχυροτέραν ἐχρῆν εἶναι, φαίνεται δ' οὐχ οὕτω γινόμενον. ἡ γὰρ εἰκοστὴ, καὶ πλεῖστα, καὶ βεβαίως ὁρᾶται κρίνουσα. τριῶν οὖν ἑβδομάδων τὰς εἴκοσιν ἡμέρας συμπληρουσῶν, εἶτα τῆς τετάρτης ἑβδομάδος ἀρχομένης κατὰ τὴν εἰκοστὴν πρώτην ἐκ τῶν ἐφεξῆς τριῶν ἑβδομάδων, εἴκοσιν ἡμερῶν συμπληρουμένων, εἰκότως ὁ Ἱπποκράτης τὴν μ'. ἡμέραν, οὐ τὴν μα'. δευτέραν κρίσιμον εἶναι φησίν. οὕτως δὲ καὶ τὴν ἑξηκοστὴν, καὶ τὴν ὀγδοηκοστὴν, οὐ τὴν ἑξηκοστὴν τρίτην, οὐδὲ τὴν πδ'. αὕτη μὲν οὖν ἡ τῶν ἑβδομαδικῶν περιόδων, ἡ συναρίθμησις. ἡ δὲ κατὰ τετράδας, ἀκόλουθος τῇδε. τεμνομένης γὰρ ἑκάστης ἑβδομάδος εἰς τὰς ἐν αὐτῇ δύο τετράδας, ἡ τετάρτη μετὰ τὴν εἰσβολὴν τοῦ νοσήματος ἡμέρα, τελευτὴ μὲν ἔσται τῆς πρώτης τετράδος, ἀρχὴ δὲ τῆς δευτέρας. ἡ δὲ ἐφεξῆς τῇδε τρίτη τετρὰς, ἀπὸ τῆς ὀγδόης ἡμέρας ἄρξεται. διότι καὶ ἡ δευτέρα τῶν ἑβδομάδων, ὥστε συμβήσεται τὴν ἑνδεκάτην ἡμέραν, τελευτὴν μὲν εἶναι τῆς τρίτης τετράδος, ἀρχὴν δὲ τῆς τετάρτης. ἡ δὲ πέμπτη τετρὰς, ἀπὸ τῆς ιδ'. ἡμέρας ἄρξεται, διότι καὶ ἡ τρίτη τῶν ἑβδομάδων. ἀφίξεται τοιγαροῦν εἰς τὴν ιζ'. αὐτῆς τὸ τέλος, ἥ τις ἐστὶ πάλιν κοινὴ τῶν δύο τετράδων τῆς πέμπτης, καὶ τῆς ἕκτης, εἰς ἃς ἡ τρίτη τῶν ἑβδομάδων ἐτμήθη, καὶ οὕτως εἰκοστὴ τοῦ νοσήματος ἡμέρα, τέλος μὲν τριῶν ἑβδομάδων, ἓξ δὲ τετράδων. αὗται μὲν οὖν αἱ κατὰ περιόδους εἰσὶ κρίσιμοι. παρεμπίπτουσι δὲ αὐταῖς, καὶ ἕτεραι κατὰ τὰς ὀξείας νόσους, ὧν τὴν αἰτίαν τῆς παρεμπτώσεως, ἐν τοῖς περὶ κρισίμων ἡμερῶν εἶπον. εἰσὶ δὲ αὗται τρίτη, καὶ πέμπτη, καὶ ἐνάτη. παρεμπίπτει δέ ποτε καὶ ἡ ἕκτη κακὴ κρίσιμος οὖσα, τῷ τε μετὰ συμπτωμάτων ἐνίοτε ποιεῖσθαι τὴν κρίσιν ἐπισφαλῶν, εἴς τε τὴν καλουμένην ὑπέρκρισιν ἐκπίπτειν, καὶ μέντοι, καὶ τὸ μὴ τελέως ἀπαλλάττειν τῶν νοσημάτων, ἀλλ' ἐλλιπῶς, ἢ εἴ ποτε καὶ τελέως ὑποστροφὰς πάντως ποιεῖσθαι. εἴρηται δὲ καὶ ταῦτα, καὶ ἄλλα πολλὰ ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ὑφ' ἡμῶν, ἃ σύμπαντα σχεδὸν Ἱπποκράτης ἔγραψεν, ἄλλο τε κατ' ἄλλο βιβλίον. ὑπ' ἐμοῦ δ' εἰς ἓν ἤθροισται κατὰ τὴν περὶ κρισίμων ἡμερῶν πραγματείαν, ἅμα τῷ καὶ διορθῶσαι τὰ μὴ διωρισμένα, καὶ τελέως ῥηθῆναι τὰ δοκοῦντα ἐλλιπέστερον ὑφ' Ἱπποκράτους γεγράφθαι. τῷ μὲν οὖν θέλοντι προγινώσκειν ἀκριβῶς, ἀναγνωστέον ἐστὶ τὰς δύο πραγματείας ἐκείνας, τήν τε περὶ κρισίμων ἡμερῶν, καὶ τὴν περὶ κρίσεων. ἐν δὲ τῷ παρόντι, τὴν λέξιν μόνην ἐξηγήσασθαι πρόκειται τῶν εἰρημένων ὑφ' Ἱπποκράτους, κατὰ τὸ προκείμενον βιβλίον, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. τὸ μὲν ἐξ ὧν ἤτοι τῶν κρίσεων, ἢ τῶν ἡμερῶν λέγει, καὶ βέλτιον μὴ τῶν ἡμερῶν ἀκούειν, ἀλλὰ τῶν

κρίσεων. εἰ γὰρ καὶ ὅτι μάλιστα δυνατόν ἐστι, κἀπὶ τῶν ἡμερῶν λέγεσθαι, τὸ ἐξ ὧν, ἀλλὰ πρώτως ταῖς κρίσεσιν ὑπάρχει, καὶ δι᾽ ἐκείνας καὶ ταῖς ἡμέραις. τὸ δὲ ἐκ τούτων, ἤτοι περιγενέσθαι τὸν ἄνθρωπον, ἢ ἀπόλλυσθαι, δηλωτικόν ἐστι τοῦ τὴν κρίσιν ὀνομάζειν αὐτὸν ἐπὶ πάσης τῆς ὀξυῤῥόπου μεταβολῆς, οὐ μόνης τῆς ἐπὶ σωτηρίαν.

Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται, ἢ πρόσθεν, οἵ τε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν.

Εὐήθεις ἄνθρωποι, λέγονται μὲν καὶ οἱ κακοήθεις ἐν ὑποκορισμῷ τινὶ, καθάπερ καὶ ὁ πίθηκος καλλίας. λέγονται δὲ καὶ οἱ ἐπαινετὸν ἔχοντες τὸ ἦθος. ἀλλὰ τοῦ μὲν πρώτου παμπόλλη χρῆσις ἐστὶ παρὰ τοῖς ἕλλησι, τοῦ δὲ δευτέρου σπανιωτέρα. λέγουσι δ᾽ οὖν ποτε καὶ οὕτως οὐ τὸν εὐήθη μόνον, ἀλλὰ καὶ τὴν εὐήθειαν ἐπὶ τῆς εὖ τὸ ἦθος ἐχούσης διαθέσεως. Δείναρχος μὲν οὖν ἐν τῷ πρὸς Δαώνα οὕτως εἶπε. διοικῶν δὲ τὴν οὐσίαν αὐτοῦ Κεφαλίων μειρακιωδέστερον, καὶ φύσει χρηστὸς ὢν καὶ εὐήθης. ὁ δὲ Δημοσθένης, ἐν τῷ κατ᾽ Αἰσχίνου τοῖς δικασταῖς διαλεγόμενος ἔφη. νῦν διὰ τὴν ὑμετέραν εὐήθειαν καὶ πραότητα, εὐθύνας δίδωσι, καὶ ταῦτα ὁπηνίκα βούλεται. Πλάτων δὲ ἐν τῷ τρίτῳ τῆς πολιτείας φησίν. εὐλογία ἄρα καὶ εὐαρμοστία, καὶ εὐσχημοσύνη, καὶ εὐρυθμία, καὶ εὐήθεια ἀκολουθεῖ. οὐχὶ ἄνοιαν οὖσαν ὑποκοριζόμενος τὴν καλουμένην εὐήθειαν, ἀλλὰ τὴν ὡς ἀληθῶς εὖ τε καὶ καλῶς τὸ ἦθος κατεσκευασμένην διάνοιαν. οὕτως οὖν καὶ τὸν εὐήθη, κατὰ τὸν Εὐθύδημον εἶπεν ἐπὶ τοῦ τὸ ἦθος ἔχοντος ἁπλοῦν, καὶ κεκοσμημένον, καὶ ὡς ἐθαύμασεν, οὗτος ἐστὶν νέος τε καὶ εὐήθης. ἀρκεῖ ταῦτα παραδείγματος ἕνεκεν πρὸς τὸ γνῶναι σε τὴν τῶν ἀλλήλων συνήθειαν ἐπί τε τῷ τῆς εὐηθείας ὀνόματι, καὶ τοῦ εὐήθους. κατὰ δεύτερον σημαινόμενον γεγενημένην, καὶ νῦν ὁ Ἱπποκράτης κατὰ τὸ ἕτερον αὐτῶν εἶπε τοὺς πυρετοὺς εὐηθεστάτους ἐν ἴσῳ τῷ ἐπιεικεστάτους, καὶ ἀπλαστάτους, καὶ μηδὲν ἔχοντας κακόηθες. καὶ ὅταν τὰ τῆς ἀσφαλείας σημεῖα παρῇ, τῆς πρώτης τετράδος, οὐκ ἂν ἐξωτέρω προέλθοιεν, ἀλλ᾽ ἤτοι κατ᾽ αὐτὴν ἢ θᾶσσον παύονται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ οἱ κακοήθεις πυρετοὶ, καὶ μετὰ σημείων ὀλεθρίων γενόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. εὔδηλος οὖν ἐστι, καὶ τὴν τρίτην ἡμέραν ἐν ταῖς κρισίμοις τάττων. ἐν τῷ φάναι τεταρταῖοι παύονται ἢ πρόσθεν. οὕτω δὲ κἂν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐγίνωσκεν, ἐν ταῖς κρισίμοις ἡμέραις, πρώτην γράψας τὴν τρίτην. ἀσφαλέστατα δὲ σημεῖα λέγει, τὰ κατὰ μέρος ἐπῃνημένα πρὸς αὐτοῦ μεγάλως, ὧν καὶ μετ᾽ ὀλίγον ὀνομαστὶ μνημονεύσει παραδείγματος ἕνεκα.

Ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτέων, οὕτω τελευτᾷ, ἡ δὲ δευτέρη ἐς τὴν ἑβδόμην περιάγεται, ἡ δὲ τρίτη ἐς τὴν ἑνδεκάτην, ἡ δὲ τετάρτη ἐς τὴν τεσσαρεσκαιδεκάτην, ἡ δὲ πέμπτη ἐς τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἕκτη ἐς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νουσημάτων διὰ τεσσάρων εἰς τὰς εἴκοσιν ἐκ προσθέσιος τελευτῶσιν.

Πολλάκις εἰρημένην εὑρήσεις παρὰ τοῖς ἕλλησιν ἔφοδον πολεμίων ἢ λῃστῶν, ἀφ᾽ οὗ νῦν οὕτως Ἱπποκράτης, μετενήνοχε τὴν προσηγορίαν ἐπὶ τὰς τῶν κρισίμων ἡμερῶν περιόδους. τὰ δ᾽ ἐφεξῆς πάντα, καὶ καθ᾽ ἑαυτά μέν ἐστι σαφῆ, καὶ πολὺ δὲ μᾶλλον τοῖς μεμνημένοις ὧν ἄρτι προεῖπον.

Οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως, οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμεῖσθαι.

Ἐπειδὴ τὰς τρεῖς ἑβδομάδας εἰς τὴν εἰκοστὴν ἡμέραν περιήγαγε, διὰ τοῦτ᾽ ἔφη οὐ δύναται πλήρεσιν ἡμέραις ἀριθμεῖσθαι τὰ τοιαῦτα. μηδὲ γὰρ τὸν ἐνιαυτὸν, μηδὲ τοὺς μῆνας ὅλαις ἡμέραις ἀριθμεῖσθαι, καὶ ἀληθῶς γε αὐτὰ εἶπεν. ὁ γὰρ ἐνιαυτὸς, οὐ τριακοσίων ἑξήκοντα πέντε μόνον ἡμερῶν ἐστιν, ἀλλὰ καὶ τετάρτου μορίου ἡμέρας, ἔτι δὲ πρὸς αὐτῷ μορίου τινὸς ἐγγύς πως ἑκατοστοῦ. τῶν μηνῶν δὲ ἕκαστος ἐλάττων μέν ἐστι τριάκοντα ἡμερῶν, μείζων δὲ ἐννέα καὶ εἴκοσιν. ὠνομάζετο δὲ καὶ παρὰ τοῖς παλαιοῖς ἕλλησι μὴν, ὡς καὶ νῦν ἔτι κατὰ πολλὰς τῶν ἑλληνίδων πόλεων, ὁ μεταξὺ χρόνος δυοῖν συνόδοιν ἡλίου καὶ σελήνης, καὶ ὅστις βούλεται τὸν χρόνον τοῦτον ἀκριβῶς ἐκμαθεῖν, ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν ὁπηλίκος ἐστιν, ὅλον ἔχει βιβλίον Ἱππάρχου γεγραμμένον, ὥσπερ γε καὶ περὶ τοῦ ἐνιαυσίου χρόνου σύγγραμμα ἡμέτερον. οὕτως οὖν καὶ τὴν ἑβδομάδα φησὶν ὁ Ἱπποκράτης, καὶ δῆλον ὅτι καὶ τὴν τετράδα μὴ εἶναι τελείων ἡμερῶν, ἀλλ᾽ ἐνδεῖν τι μόριον τηλικοῦτον ὡς τὰς τρεῖς ἑβδομάδας εἴκοσιν ἡμέρας περιγράφεσθαι. τίς δὲ ἐστιν ἡ αἰτία τούτων, πεπειράμεθα ἡμεῖς εἰπεῖν ἐν τῷ τρίτῳ τῶν κρισίμων ἡμερῶν, οὐδενὸς τῶν ἔμπροσθεν οὐδ᾽ ἐπιχειρήσαντος εἰπεῖν.

Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ κατὰ τὴν αὐτέην πρόσθεσιν, ἡ μὲν πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων, ἡ δὲ δευτέρη τεσσαράκοντα ἡμερέων, ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων.

Οὐ τοῦτο λέγει νῦν ὁ Ἱπποκράτης, ὅτι μετὰ τὴν εἰκοστὴν ἡμέραν, ἄχρι τῆς τριακοστῆς τετάρτης οὐδεμία παρεμπίπτει κρίσιμος. ἑαυτῷ τε γὰρ οὕτω μαχεῖται, μεταξὺ τινῶν ἡμερῶν κρινουσῶν ἐν ἐπιδημίαις μεμνημένος, τά τε φαινόμενα κατὰ τοὺς ἀῤῥώστους, ἐξελέγχει τὸν λόγον αὐτοῦ, ἀλλ᾽ ἐπειδὴ τριῶν ἑβδομάδων ἄχρι τῆς εἰκοστῆς ἡμέρας ἐφεξῆς ἀλλήλων ἠριθμημένων, οὐχ ἡ αὐτὴ γέγονε σύνθεσις. ἡ μὲν γὰρ δευτέρα διεζεύχθη τῆς πρώτης, καὶ κατὰ τοῦτο εἰς τεσσαρεσκαιδεκάτην ἡμέραν ἐτελεύτησεν. ἡ τρίτη δὲ ταύτῃ συνήφθη, καὶ κατὰ τοῦτο τὴν εἰκοστὴν ἔσχε τέλος. διὰ τοῦτο καὶ τὴν μετὰ τὴν εἰκοστὴν ἑβδομάδα ὁμοίως προϊέναι βουλόμενος, ὡς ἐκ δυοῖν μὲν διεζευγμένων, τῆς τρίτης δὲ συνημμένης εἴκοσιν ἡμέρας συμπληροῦσθαι, τὴν μὲν τεσσαρακοστὴν ὅρον ἔσχατον ἔθετο τῶν δευτέρων τριῶν ἑβδομάδων. ἐν αὐταῖς δὲ ταῖς

δυσὶ

δυσὶ περιέγραψε τὸν ὅρον, τὴν τριακοστὴν τετάρτην, καὶ κατὰ τοῦτο ταύτης ἐμνημόνευσε πρὸ τῆς τεσσαρακοστῆς, καὶ κατά γε τὸν αὐτὸν λόγον αἱ μετὰ ταῦτα τρεῖς ἑβδομάδες, εἰς τὴν ἑξηκοστὴν περιάγονται, καὶ τὴν ὀγδοηκοστὴν δὲ κρίνουσαν οἶδεν, ὃ τὴν π δι' ἐν τοῖς τῶν ἐπιδημιῶν, οὕτως αἱ τρεῖς ἑβδομάδες εἴκοσι ἡμερῶν ἀριθμὸν συμπληροῦσι, καὶ γίνεται τοῦτο τῶν δύο ἡμερῶν, πρώτην κατὰ διάζευξιν ἐν αὐταῖς ἀριθμουμένων ὡς εἰς τὴν ιδ' ἡμέραν τελευτᾶν, τῆς τρίτης δὲ συναπτομένης τῇ δευτέρᾳ, ὡς καὶ ταύτην εἰς τὴν εἰκοστὴν ἡμέραν περιέρχεσθαι.

Τουτέων δ' ἐν ἀρχῇσιν ἐστὶ χαλεπώτερον προγινώσκειν, τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι. ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην ἐπισκέπτεσθαι, καὶ οὐ λήσει ὅπῃ τρέψεται τὸ νόσημα.

Κἀνταῦθα πάλιν ἐπὶ ἀμφοτέρων ἔταξε τὸ κρίνεσθαι, τῶν τ' ἐπ' ἀγαθῷ, καὶ τῶν ἐπὶ κακῷ τὴν μεταβολὴν ποιουμένων, καί φησιν ἐν ἀρχῇ τῶν νοσημάτων, ὅσα μὲν ὀλιγοχρονίως μέλλει διακριθήσεσθαι, ῥᾴστην εἶναι τὴν διάγνωσιν αὐτῶν εἰς ὅ, τι τελευτήσει, καθάπερ ὀλίγον ἔμπροσθεν ἔφη περὶ τῶν ἐν τῇ πρώτῃ τετράδι μελλόντων κρίνεσθαι. τῶν τε γὰρ πυρετῶν αὐτῶν, ὁ μὲν ἀπαλλάττεσθαι μέλλων, ἐπιεικέστερος ἐστίν. ὁ δ' ἀναιρεῖν τὸν κάμνοντα, κακοηθέστατός ἐστιν, ὅσα τε σύνεστιν ἑκατέρῳ σημεῖα. τὰ μὲν ἐν τῷ προτέρῳ πάντ' ἐστὶ κάλλιστα, τὰ δ' ἐν τῷ δευτέρῳ χείριστα. συμβήσεται γὰρ οὕτω μηδέτερον αὐτῶν ὑπερβῆναι τὴν τετάρτην ἡμέραν. ἐπειδὴ μεμαθήκαμεν ἀεὶ γίγνεσθαι τὴν κρίσιν, ἤτοι τῆς φύσεως ἐπικρατούσης τοῦ νοσήματος, ἢ νικηθείσης ὑπ' αὐτοῦ. τῶν μὲν οὖν ἐπιεικεστάτων νοσημάτων, ἡ φύσις τάχιστα κρατεῖ. νικᾶται δὲ ὑπὸ τῶν χαλεπωτάτων τάχιστα. κατὰ τοῦτ' οὖν ἐναντιώτατα μὲν ἀλλήλοις ἐστί, τὰ διὰ ταχέων κρινόμενα. παραπλήσια δὲ, τὰ παμπόλλου χρόνου δεόμενα πρὸς τὴν λύσιν. ὥσπερ γὰρ ἐν τοῖς ὀλιγοχρονίοις ὑπεροχὴ μεγάλη, ποτὲ μὲν τῆς φύσεώς ἐστι, ποτὲ δὲ τοῦ νοσήματος, οὕτως ὅταν μηδέτερον ὑπερέχῃ μεγάλως θατέρου, ἀλλ' ὥσπερ ἀνταγωνισταί τινες ἰσόρροποι διαμάχονται, χρόνου δεῖ πλείονος εἰς τὴν θατέρου νίκην. οὕτω καὶ τοὺς παλαίοντας, οἱ παλαιστρικῆς ἔμπειροι διαγινώσκουσιν. εἰ μὲν ὑπεροχὴν θεάσονται πολλὴν, αὐτίκα νικῆσαι τὸν ἕτερον ἐλπίζοντες. εἰ δὲ μηδέτερος ὑπερέχει μεγάλως, ὅτι μὲν ἐν χρόνῳ πλείονι διαπαλαίσουσι, βεβαίως εἰδότες. ὅστις δ' ὁ νικήσων ἔσται μηδέπω γιγνώσκοντες, ἀλλ' ἐν τῷ χρόνῳ προϊόντι, καὶ τοῦτο πρότεροι τῶν ἰδιωτῶν καταμανθάνουσιν, ὡς ἂν καὶ τῶν μικρῶν ὑπεροχῶν ὄντες διαγνωστικώτεροι. ᾧ γὰρ ὁ τεχνίτης ἀτέχνου διαφέρει μάλιστα, τοῦτ' ἐστὶν αὐτὸ, τὸ μικρῶν αἰσθάνεσθαι διαφορῶν. ἀλλ' ἐπεί τινες οὐδ' ὅλως εἰσὶν αἰσθηταὶ διὰ σμικρότητα τῶν τοιούτων, οὐδ' ὁ τεχνίτης ἐστὶ γνωριστικός. ὅταν οὖν πρῶτον αἰσθηταὶ γίνονται, τηνικαῦτα γνωρίζονται. διὰ τοῦτ' οὖν ὁ Ἱπποκράτης ἐκέλευσε καθ' ἑκάστην τετράδα διασκοπεῖσθαι τὴν μεταβολήν. οὐ γὰρ λήσει ὅπῃ τρέψεται, τουτέστι πότερον εἰς ὑγείαν τε καὶ σωτηρίαν τοῦ κάμνοντος, ἐπικρατησάσης τῆς φύσεως, ἢ κρατηθείσης ἐπὶ θάνατον. τοῦτο μὲν τοῦ λόγου τὸ κεφάλαιον. ὅπως δ' ἄν τις αὐτὸ πράττοι κάλλιστα, διὰ τῶν περὶ κρίσεων ὑπ' ἐμοῦ γεγραμμένων ἐστί σοι μαθεῖν.

Γίνεται δὲ καὶ ἡ τῶν τεταρταίων κατάστασις ἐκ τοῦ τοιούτου κόσμου.

Ἠγνόηται καὶ τοῦτο τοῖς πλείστοις, καὶ διὰ τοῦτο θαυμάζουσιν, ἐκ μαντικῆς τέ τινος οἴονται προλέγεσθαι πολλάκις ὑφ' ἡμῶν, ὡς ὅτι τις τεταρταῖον ἔχων πυρετὸν ἀπαλλαγήσεται μεθ' ἡμέρας, εἰ τύχοι πεντεκαίδεκα, καί τοι γε ἐπὶ τῶν τριταίων οὐ θαυμάζουσι τὴν πρόρρησιν. ἔστι δὲ κοινὸς ἀμφοῖν ὁ λόγος. ὥσπερ γὰρ ἐπὶ τῶν συνεχῶν πυρετῶν, ἀριθμοῦμεν ἁπάσας ἐφεξῆς τὰς ἡμέρας εἰς πρόγνωσιν τῆς ἐσομένης κρίσεως, οὕτως ἐπὶ τῶν διαλειπόντων τὰς ἐπισημασίας, ἵν' ὅπερ ἐπὶ τῶν συνεχῶν ἡ ἑβδόμη τῶν ἡμερῶν, τοῦτ' ἐπὶ τῶν διαλειπόντων ἡ ἑβδόμη περίοδος ἐργάσηται. κατὰ τοῦτο γέ τοι ὁ ἀκριβὴς τριταῖος, ἐν ἑπτὰ περιόδοις οὐχ ἡμέραις ἑπτὰ κρίνεσθαι πέφυκε, καὶ μὲν δὴ καὶ ὅπερ ἡ τετάρτη τῶν ἡμερῶν ἀπ' ἀρχῆς ἀριθμουμένη πρὸς τὴν ἑβδόμην ἐστί, τοῦθ' ἡ τετάρτη περίοδος, ὡς πρὸς τὴν ἑβδόμην περίοδον. ἐπίδηλος μὲν γὰρ ἡ τετάρτη τῶν ἡμερῶν ἐστι τῆς ἑβδόμης, ἐπίδηλος δὲ καὶ ἡ τετάρτη περίοδος τῆς ἑβδόμης περιόδου. λέλεκται δὲ καὶ περὶ τῶν τοιούτων ἁπάντων ἐν τοῖς περὶ κρίσεων. ὅθεν ἀρκέσει νῦν ἀκηκοέναι τό γε τοσοῦτον, ὡς καὶ τῶν τεταρταίων πυρετῶν αἱ κρίσεις κατὰ τὸν ἀριθμὸν γίνονται τῶν περιόδων, οὐ τῶν ἡμερῶν, ἐκ τοιούτου τοῦ κόσμου. κόσμον εἴρηκε τὴν τάξιν τῶν κρινουσῶν ἡμερῶν. ὥσπερ γὰρ ἀκοσμίας ἴδιόν ἐστιν ἡ ἀταξία, οὕτως ἡ τάξις τοῦ κόσμου. κατὰ τοῦτο γέ τοι, καὶ τόδε τὸ πᾶν ὠνόμασαν οἱ ἄνθρωποι κόσμον, ἐπειδὴ τέτακται τὰ κατ' αὐτὸν, ἐν μέσῳ μὲν αὐτῶν τῆς γῆς κειμένης. ἔξωθεν δὲ ταύτης περικεχυμένης τῆς θαλάττης, περιέχοντος δὲ ταύτην ἀέρος, ἐκεῖνον δὲ αἰθέρος, εἶτ' οὐρανοῦ, πᾶσι τούτοις κύκλῳ περιβεβλημένου. καὶ μὲν δὴ καὶ αἱ κινήσεις τῶν μὲν ἀπλανῶν ἀστέρων, τί δεῖ καὶ λέγειν εἰς ὅσον ἥκουσι κόσμου, διὰ παντὸς ὡσαύτως ἔχουσαι. τῶν πλανωμένων δ' εἰ μὴ καὶ καθ' ἑκάστην ἡμέραν εἰσὶν ἴσαι, τό γε τεταγμένον ἔχουσιν ἐν ἴσαις χρόνου περιόδοις, ἀεὶ τοὺς αὐτοὺς τόπους τοῦ ζωδιακοῦ διεξερχομένων αὐτῶν.

Quod in continuis septima dies id in intermittentib. septima periodus

Τὰ δ' ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα προγινώσκεσθαι. μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέοισιν ἐστί. οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοι εἰσὶν, καὶ κοιμώμενοι τὰς νύκτας, τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. οἱ δὲ ἀπολλύμενοι, δύσπνοοι γίνονται, ἀλλοφάσοντες, ἀγρυπνέοντες, τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες.

Τὸ μὲν εὐπετέως, εἴρηται καὶ πρόσθεν, ἑτοίμως τε καὶ ῥᾳδίως σημαῖνον. τὸ δ' εὐπετέστερα, ῥᾴονα δηλονότι λέγει, καὶ πρὸς τὴν διάγνωσιν ἑτοιμότερα. πρὸ ὀλίγου μὲν οὖν εἶπεν, οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται ἢ πρόσθεν. ἀλλὰ νῦν γε ἐπανέλαβεν αὐτὸ, χάριν τῆς διὰ παραδειγμάτων

ἐνδείξασθαι σαφέστερον, ὁποῖα τὰ σημεῖα τὰ κάλλιστα ἐστίν, αὐτὸς γοῦν ὑπογράφων φησίν, οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοι, καὶ ἀνώδυνοι, καὶ κοιμώμενοι τὰς νύκτας. οἱ δ' ἀπολούμενοι, δύσπνοοι, ἀλλοφάσσοντες, ἀγρυπνέοντες. εἶθ' ἑκατέρῳ τῷ λόγῳ προσέθηκε, τῷ μὲν πρώτῳ καὶ τἆλλα σημεῖα ἔχοντες ἀσφαλέστατα, τῷ δὲ δευτέρῳ, καὶ τἆλλα σημεῖα κάκιστα ἔχοντες. ὑποδεικνύμενος σαφῶς, ὅτι παραδειγμάτων ἕνεκεν ἐμνημόνευσεν ἐξ ἑκατέρου γένους τῶν σημείων. εἰκότως δὲ καὶ τοῦτο προσέθηκε τῷ λόγῳ. μέγιστα γὰρ τὰ διαφέροντα αὐτοῖσιν ἀπ' ἀρχῆς ἐστίν, ὅπερ εἴρηταί μοι καὶ πρόσθεν, ὡς παμπόλλη τίς ἐστιν ἡ διαφορὰ πρὸς ἄλληλα, τῶν μελλόντων ἐν ἐλαχίστῳ χρόνῳ κρίνεσθαι νοσημάτων ἐπ' ὀλέθρῳ τε καὶ σωτηρίᾳ, καθάπερ τῶν εἰς πλεῖστον χρόνον ἐκτεινομένων, ὅτι παραπλήσια κατὰ τὴν ἀρχήν ἐστι τὰ σημεῖα. τὸ δὲ ἀλλοφάσσοντες, εἴρηται γὰρ καὶ τοῦτο τοὔνομα κατὰ τὴν ῥῆσιν, οὐ πάνυ τι σύνηθες ὄν, ἤτοι τοὺς παραφρονοῦντας, ἢ τοὺς μεταρριπτοῦντας ἑαυτοὺς, ὅπερ ἐστὶν ἀλυομένους, ἐνδείκνυται. βέλτιον δ', ὅσον ἐξ αὐτῆς τῆς φωνῆς οἷόν τε τεκμαίρεσθαι τὸ πρότερον, ἵν' ᾖ γεγονημένον τοὔνομα τὸ, ἀλλοφάσσοντες, ἐκ τοῦ ἄλλοτε φάσκειν ἄλλα. τινὲς δὲ ἀπὸ τοῦ μεταβάλλειν ἄλλοτε εἰς ἄλλο σχῆμα τὰ φάη, τουτέστι τοὺς ὀφθαλμοὺς, γεγονέναι φασὶ τὴν προσηγορίαν.

Ὡς ὦν τουτέων οὕτω γιγνομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην, ἐπὶ τὴν κρίσιν ἐόντων τῶν νοσημάτων.

Ὥσπερ ὅσα περὶ τῆς πρώτης τετράδος εἶπε κατὰ τὴν ἀρχὴν, ἐπανέλαβε μετὰ τὸ προσθεῖναι, καὶ παραδείγματα. κατὰ τὸν αὐτὸν τρόπον αὖθις ἐν τῇδε τῇ ῥήσει διέρχεται τὰ κατ' ἐκείνην αὐτῷ προγεγραμμένα, δι' ἧς φησίν. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρας ἐνθυμεῖσθαι καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην ἐπισκέπτεσθαι, καὶ οὐ λήσει ὅπῃ τρέψεται.

Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.

Καθ' ἣν ἂν ἡμέραν ἀποκυήσῃ, ἡ ἀρχὴ τῆς ἐξαριθμήσεως γινέσθω σοι, μὴ καθ' ἣν ἤρξατο πυρέττειν. ἔνιαι γοῦν ἤτοι περὶ δευτέραν, ἢ τρίτην ἡμέραν ἄρχονται μετὰ τὸν τόκον, ἀφ' ἧς ἀριθμοῦσιν οἱ πολλοὶ τὴν ἑβδόμην κρίσιν. ἔχει δὲ οὐχ οὕτως, ἀλλ' ἀφ' ἧς ἀπεκύησε, τὴν συναρίθμησιν δεῖ γενέσθαι τῶν ἡμερῶν. ὁπότ' οὖν ταῦτα ἅπαντα περὶ τῶν κρισίμων ἡμερῶν ἐπὶ κεφαλαίων διῆλθεν ὁ Ἱπποκράτης, ἀναμνῆσαι σε βούλομαι τοῦ πολλάκις ἐν πολλοῖς ὑπ' ἐμοῦ λεγομένου. τὸ δ' ἐστὶ τοιοῦτον, ὅτι τῶν ζητουμένων, ἔνια μηδὲν εἰς τὰ τῆς τέχνης ἔργα συμβαλλόμενα, λογικὴν ἔχει τὴν σκέψιν. ἡ μὲν γὰρ χρεία τῆς προγνώσεως, ἐστὶν ἐν τῷ γνῶναι τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα. τὸ δὲ εἴτε ὀξὺ κλητέον, εἴτε κάτοξυ τὸ τοιοῦτον, εἴτε χρόνιον, εἴτε ὀξὺ παρηυξημένον, εἴτε κατὰ μετάπτωσιν ὀξὺ, περὶ ὀνομάτων ἐστὶ μᾶλλον ἢ περὶ πραγμάτων ζητεῖν. εἰ δὲ καὶ περὶ πραγμάτων ἐθέλοι τις εἶναι τὴν τοιαύτην ζήτησιν, ἀλλ' ὅτι γε περὶ τοιούτων πραγμάτων ἐστὶν ἐξ οἵων ἄν τις ὁρμώμενος, ἢ προγνοίη τὸ γενησόμενον, ἢ θεραπεύσειεν ὀρθῶς. ὑποκείσθω γοῦν ἡμῖν προεγνῶσθαι ἀληθῶς τὸν νοσοῦντα, κατὰ τὴν εἰκοστὴν ἡμέραν, ἀπαλλαγήσεσθαι τοῦ νοσήματος. εἶτα γενομένου τοῦ πράγματος ὡς ἠλπίσθη, τὸν μέν τινα λέγειν ὀξὺ νόσημα γεγονέναι τἀνθρώπῳ. τινὰ δ' οὐκ ἐπιτρέπειν ὀξὺ προσαγορεύειν αὐτὸ, ὅρος γὰρ εἶναι τῶν ὀξέων τὴν ιδ. ἡμέραν. εἶθ' αὐτοὺς πάλιν ἀλλήλοις διαφέρεσθαι τοῦ μέν τινος, ἐπειδὴ τῶν ὀξέων ἐξέπεσεν ἡ νόσος, ἄντικρυς αὐτὴν ὀνομάζοντος χρονίαν. εἶναι γὰρ οὐδεμίαν ἄλλην τρίτην διαφορὰν ἀπὸ χρόνου ποσότητος ἐν τοῖς νοσήμασιν ὑποληπτέον. ἑτέρου δὲ ἐκ μεταπτώσεως, ὀξὺ τὸ τοιοῦτον νόσημα καλοῦντος. ἄλλου δὲ παρηυξημένον ὀξὺ προσαγορεύοντος. ἄλλου δ' οὐχ ἁπλῶς οὕτως, ἀλλὰ παρηυξημένον ἐπ' ὀλίγον ὀξὺ καλοῦντος. ἵνα γοῦν τις ἀκούσῃ, πρῶτον μὲν ἐκ τίνων πιθανῶν ἕκαστος τῶν διαφωνούντων ὁρμᾶται, διακρίνῃ δ' ἐφεξῆς, ὅστις ἄμεινον αὐτῶν, ἢ χεῖρον γινώσκει. κατατρίψει μὲν οὐκ ὀλίγον χρόνον, ὀνήσεται δ' οὐδὲν εἰς τὴν τέχνην. οὕτως δὲ καὶ ὅστις μὲν οἶδε προγνῶναι κατὰ τὴν κζ. λυθησόμενον τὸ νόσημα, μὴ δύναται δ' ἀποφαίνεσθαι πότερον ὀξὺ κλητέον, ἢ χρόνιον, ἢ παρηυξημένον ὀξὺ, ἢ ἐκ μεταπτώσεως ὀξὺ, βέβλαπταί τι πρὸς τὴν τέχνην οὐδὲ οὗτος οὐδέν. ἄριστον μὲν γάρ ἐστιν ἐν ταῖς κατὰ χρόνον διαφοραῖς τῶν νοσημάτων, τὸ σύμπαν αὐτῶν ὑπολαμβάνειν εἶναι τὸν ἀριθμὸν, ὅσος περ καὶ τῶν κρινουσῶν περιόδων, ὡς εἶναι τὸν μὲν ὀλιγοχρονιώτατον ἐν τῇ πρώτῃ τετράδι περιγραφόμενον. ἐφεξῆς δὲ τούτῳ, τὸν κατὰ τὴν δευτέραν, εἶθ' ἑξῆς τὸν κατὰ τὴν τρίτην, εἶτα τὸν κατὰ τὴν τετάρτην, καὶ μετὰ τοῦτον τὸν κατὰ τὴν πέμπτην. ἐφεξῆς δὲ τούτῳ τὸν κατὰ τὴν ἕκτην, ἥτις εἰς τὴν εἰκοστὴν ἡμέραν ἀφικνεῖται. μετὰ δὲ ταύτην, ἐκλύεσθαι μὲν τὰς τετράδας, ἑβδομαδικὰς δὲ γίνεσθαι κρίσεις. εἶτα καὶ ταύτας ἐκλύεσθαι τοῦ χρόνου προϊόντος, ὡς διὰ εἴκοσιν ἡμερῶν τὰς λύσεις τῶν νοσημάτων ἀποτελεῖσθαι, καὶ μετὰ ταῦτα εἰς ἀριθμὸν μεταβαίνειν μηνῶν. δύο γὰρ προθεσμίαι χρόνων εἰσὶ τοῖς νοσήμασιν, ὡς τὰ μὲν ὀξέα, τὰ δὲ χρόνια λέγεσθαι. ἀλλ' ἕνεκα σαφοῦς διδασκαλίας, πολλάκις οὕτως ὀνομάζομεν, εἶθ' ὑπὸ τῶν πραγμάτων αὐτῶν ἀναγκαζόμεθα μεταξὺ πάλιν αὐτῶν ἕτερα τιθέναι τὰ ἐκ μεταπτώσεως ὀξέα, καὶ ποιεῖν τρεῖς τὰς πάσας διαφοράς. αὖθις δὲ τούτων ἑκάστην τέμνειν, οἷον εὐθὺς ἐπὶ πρώτων τῶν ὀξέων, τὸ μὲν ἁπλῶς ὀξὺ, τὸ δὲ κάτοξυ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους ὠνόμασται. κάτοξυ μὲν τὸ τῆς ζ. ἡμέρας οὐκ ἐξωτέρω προϊὸν, ἀλλ' ἤτοι κατ' αὐτὴν, ἢ καὶ πρωϊαίτερον κρινόμενον. ὀξὺ δὲ τὸ μέχρι τῆς ιδ. ἐκτεινόμενον, εἶτα καὶ τούτῳ πάλιν αὐτῷ βραχύ τι προστιθέμενον, ὁρῶντες ἀπορούμεθα, προσηγορίαν ἰδίαν οὐκ ἔχοντες θέσθαι, τῷ κατὰ τὴν ιζ. ἡμέραν κρινομένῳ νοσήματι. καθάπερ οὐδὲ τῷ κατὰ τὴν εἰκοστὴν, τῆς καλουμένης σωρητικῆς ἀπορίας κατὰ τὸ πρᾶγμα φαινομένης, ὡς ἐνίοτε πιθανὸν ἡμῖν δοκεῖ τὴν κ. ἡμέραν ὅρον θέσθαι τῶν ὀξέων, οὐ τὴν ιδ. οὔσης καὶ ἄλλης οὐ σμικρᾶς ἀπορίας κατὰ τὸ πρᾶγμα. τὸ γὰρ ὀξὺ νόσημα, μετὰ μεγέθους τινὸς νοεῖται, καὶ συνεχείας πυρετοῦ. τὸ γάρ τοι μὴ τοιοῦτον, εἴγε καὶ περὶ τὴν ιδ. ἡμέραν, ἢ καὶ θᾶττον λυθείη, τῆς αὐτῆς προσηγορίας οὐκ ἀξιοῦμεν. αὗται μὲν οὖν αἱ διαφοραὶ, καὶ τοσαῦται περὶ τῶν ὀξέων νοσημάτων εἰσὶ τῆς προθεσμίας, ἄλλαι δὲ περὶ τῶν μετὰ τὴν κ. ἡμέραν κρισίμων εἰς πλάτος ἱκανὸν ἐκτεταμένων. κἀκείνων δ' εὔλογον οἶμαι τὰ μὲν ἄχρις τῆς μ. ἡμέρας προϊόντα, κατά τινα διαφορὰν ἰδίαν τίθεσθαι. τὰ δ' ἀπὸ τούτων, ἄχρι μηνῶν ἑπτὰ κατ' ἄλλην διαφοράν. ὥσπερ γε καὶ τὰ ἐνιαύσια, κατ' ἄλλην αὖ πάλιν καὶ ταῦτα, καὶ

πρὸς

πρός γε τούτοις ἐπὶ τὰ συμπεριλημφθέντα ἐτῶν οὐ μείων ἔχοντα. ὅπερ οὖν ἀεὶ λέγω, τὰ μὲν τοιαῦτα παραλειπτέον ἐστίν. ἀσκητέον δὲ αὐτὸν ἱκανὸν εἶναι προγινώσκειν, ὁπότε λυθήσεται τὸ νόσημα. φαίνεται γοῦν ὁ Ἱπποκράτης ἐφ᾽ ἑνὸς εἴδους νοσήματος, ὃ καλεῖν εἴωθεν ἐμπύημα, τισὶ μὲν αὐτῶν τὴν εἰκοστὴν ἡμέραν ὅρον τῆς ῥήξεως τιθέμενος, ἐνίοις δὲ τὴν λ´. ἢ μ´. ἢ ξ´. ἐπιτρέψας οὖν τὰς προσηγορίας ἑτέροις ἐπ᾽ αὐτῶν τίθεσθαι, τοῖς περὶ τὰ τοιαῦτα δεινοῖς, αὐτὸς σπούδαζε προγινώσκειν, εἰς ἥν τινα τῶν προειρημένων ἡμερῶν, ἡ προθεσμία τῆς ῥήξεως ἀφίξεται. τούτου δὲ εὑρέσεως, διὰ δυοῖν ὥσπερ ὀργάνων, ἐμπειρίας τε καὶ λόγου. τῆς μὲν ἐμπειρίας, γνοὺς καὶ δεύτερον ἐμπύημα διδαξάσης ἐρρωγός, ἑκατέρου ἰδίᾳ προθεσμίᾳ. τοῦ λόγου δὲ γινώσκοντος τήν τε τῆς ὕλης τῶν ἐμπυημάτων οὐσίαν, τό, τε δραστικὸν αἴτιον αὐτῆς, τά τε τούτῳ συνεργοῦντα. θεασάμενος γάρ τις τὸ πρῶτον ἐμπύημα κατὰ τὴν μ´. ἡμέραν εἰ τύχοι ῥαγέν, ὑπὸ τοῦ τοιοῦδε χυμοῦ γεγονός, οἷον ὅτι μετρίως ψυχροῦ, καὶ καθ᾽ ὥραν ὡσαύτως μετρίως ψυχράν, ἡλικίαν τε καὶ χώραν, καὶ φύσιν ὅλου τοῦ σώματος, καὶ τοῦ πεπονθότος μορίου, καὶ πάλιν ἕτερον θεασάμενος ἑξηκοσταῖον διερρωγός, ἐπὶ ψυχροτέροις ἅπασι τοῖς προειρημένοις, εἶτ᾽ εἰ οὕτως ἔτυχεν εἰκοσταῖον ἐπὶ θερμοτέροις. ἐκ τούτων ὁρμώμενος, ἱκανὸς ἔσται περὶ τῶν ἄλλων ἐμπυημάτων στοχάζεσθαι. σκοποῖς μὲν χρώμενος τοῖς ἐμπείρως ὀφθεῖσι, παραβάλλων δὲ ἐκείνοις τὰ νῦν γινόμενα κατὰ θερμότητα καὶ ψύξιν, αὐτῶν τε τῶν μεταβαλλομένων χυμῶν, καὶ τῆς ἀλλοιούσης αὐτοὺς αἰτίας δραστικῆς, ἥ τις ἐστὶ τὸ ἔμφυτον θερμόν, ὅσα τἄλλα ταύτῃ συνεργεῖ κατὰ χώραν καὶ ὥραν, καὶ κατάστασιν. αὐτῆς δὲ τῆς δραστικῆς αἰτίας τὸ μέγεθος ἔκ τε τῆς ἡλικίας τεκμαιρόμενος, ἔτι τε τῆς ἰδίας φύσεως αὐτοῦ, καὶ τοῦ μορίου καθ᾽ ὃ συνέβη τὴν ἐκπύησιν γίνεσθαι, καὶ τῶν ἄλλων σημείων, ὅσα ῥώμην τε καὶ ἀρρωστίαν ἐνδείκνυται τῆς κατὰ τὰς ἀρτηρίας τε καὶ φλέβας δυνάμεως. ὁ γὰρ μηδὲν τούτων ἐπιστάμενος, ἀλλὰ περιμένων ἐκ παρατηρήσεως διδαχθῆναι περὶ πάντων τῶν ἐμπυημάτων, ἐτῶν εἰς τοῦτο χιλίων χρόνος οὐκ ἐξαρκέσει. ὥσπερ αὖ πάλιν ὁ πρὸς τὴν ἔμφυτον ἀποβλέπων θερμασίαν, ὁπόση τίς ἐστι, καὶ ταύτῃ παραβάλλων τὴν φύσιν τῶν πεφθησομένων χυμῶν, ὁδὸν ἔχει τῆς εὑρέσεως, οὗ ζητῶν τυγχάνει πράγματος. οὗτος οὖν ἐστὶν ὁ δυνάμενος ἐξ ὧν οἶδε καὶ περὶ ὧν οὐκ οἶδε τεκμαίρεσθαι τεχνικῶς. οὗτος ὁρᾷ μόνος, ὡς περὶ μὲν τὴν εἰκοστὴν ἡμέραν, ἐκπυήσει τόδε τι, περὶ δὲ τὴν λ´. τόδε τι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, οὐδὲν ἔτι προστεθῆναι δεόμενος, εἴτ᾽ ὀξὺ χρὴ καλεῖν, εἴτε χρόνιον, εἴτ᾽ ἐκ μεταπτώσεως ὀξὺ τὸ νόσημα. ταῦτα γὰρ ἔργον ἐστὶ διακρίνειν, οὐκ ἰατρῶν νὴ Δία περὶ τὰ τῆς τέχνης ἔργα σπουδαζόντων, ἀλλὰ σοφιστῶν λόγοις σχολαζόντων, καὶ διὰ τοῦτο περὶ μὲν τῶν τοιούτων προβλημάτων, ἐφ᾽ ὑψηλοῦ θρόνου καθήμενοι, σεμνῶς πάνυ καταντλοῦσι λόγοις οἱ πολλοὶ τοὺς μαθητάς. ὁποῖον δέ τι γενήσεται τῷ κάμνοντι, μᾶλλον αὐτοὺς λέληθεν, ἢ τῆς θαλάττης χόες. ἕτεροι δὲ ἔμπαλιν, ἱκανοὶ μέν εἰσι καὶ διαγνῶναι τὰ νοσήματα, καὶ προγνῶναι τὰ γενησόμενα, λέγειν δ᾽ οὐδὲν ἔχουσιν εἰς τὰ λογικὰ ζητήματα κατὰ ταύτης τῆς αἰτίας. ἄλλοι μὲν ἰατροὶ νομίζονται παρὰ τοῖς ἀνθρώποις, ἕτεροι δὲ σοφισταί, καὶ λογιατροί. καλοῦσι γὰρ αὐτοὺς οὕτως, κἂν θεάσωνταί τινα βιβλίον ἀναγινώσκοντα, καὶ λόγῳ χρώμενον, εἰς ἑρμηνείαν τῶν χρησίμων φαρμάκων, ὑποπτεύουσι τοῦτον ἐκ τῶν λογιατρῶν εἶναι.

Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες ξὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίγνοιτο, ὀλέθριον κάρτα. εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ, τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν ἐς τὰ κάτω χωρία. ἔστ᾽ ἂν δὲ καὶ ἡ ὀδύνη ᾖ νεαρά, προσδέχεσθαι χρὴ ὡσαύτως αἵματος ῥῆξιν διὰ ῥινῶν ἢ ἐκπύησιν, ἄλλως τε κἢν ὀδύνη περὶ τοὺς κροτάφους τε καὶ τὸ μέτωπον ᾖ.

Ἀτακτότερον ἡρμήνευται χρησιμώτατον εἰς πρόγνωσιν ὂν πρᾶγμα. κατὰ τάξιν δ᾽ αὖ οὕτως ῥηθείη. κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ συνεχεῖς σὺν πυρετῷ. εἰ μέν τι τῶν θανατωδῶν σημείων προσγένηται, τελέως ὀλέθριον. εἰ δ᾽ ἐξ ὧν ἔμαθες, ἐλπίζοις τι περὶ τοῦ νοσοῦντος ὡς σωθησομένου, κατ᾽ ἀρχὰς μὲν ἄχρι τῆς ἑβδόμης ἡμέρας, αἱμορραγίαν διὰ ῥινῶν προσδέχου. προελθόντος δὲ τοῦ χρόνου, καὶ τοῦτο μὲν ἔτι. πῦον δ᾽ αὖ ἐλθὸν διὰ ῥινῶν, ἢ διὰ ὤτων ἐπὶ σωτηρίᾳ τοῦ κάμνοντος. εἰ δὲ ἄχρι τῶν εἴκοσι ἡμερῶν ἐκταθείη τὸ σύμπτωμα τῆς κεφαλαλγίας, ἔτι καὶ τότε τὴν αἱμορραγίαν σπανιωτέραν ἐλπίζε. μᾶλλον δὲ ἐκπύησιν, ἢ ἀπόστασιν εἰς τὰ κάτω χωρία προσδέχου. κατ᾽ ἐκεῖνον δὲ τὸν χρόνον, καθ᾽ ὃν αὖ τὴν αἱμορραγίαν ἐλπίσεις, αὐξήσει σου τὴν ἐλπίδα, κατὰ τοὺς κροτάφους τε καὶ τὸ μέτωπον ὀδύνη σφοδρὰ παραμένουσα.

Μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ αἵματος μὲν τὴν ῥῆξιν τοῖσι νεωτέροισι πεντεκαιτριήκοντα ἐτέων. τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησιν.

Ἀπὸ τῆς ἡλικίας ὁ διορισμὸς εἰς τὸ μᾶλλον ἐλπίζειν διὰ ῥινῶν αἱμορραγίαν. ἡ δ᾽ αἰτία πρόδηλος εἰρημένη πολλάκις, ὡς ἡ μέχρι πέντε καὶ τριάκοντα ἐτῶν ἡλικία, πλεῖστον αἷμα γεννᾷ. πρόσεστι δὲ καὶ τοῦτο, καὶ τὸ θερμότερον τε καὶ χολωδέστερον εἶναι ἐν ταύτῃ τῇ ἡλικίᾳ τὸ αἷμα. δέδεικται δὲ καὶ πρόσθεν, εἰς τὰς ὑπὸ τῆς φύσεως γινομένας αἱμορραγίας, τὸ τοιοῦτον ἐπιτήδειον ὑπάρχειν, ἐπὶ δὲ τῶν γεραιτέρων τῶν περαιτέρω τῶν τριάκοντα, καὶ πέντε ἐτῶν μᾶλλον προσδοκῆσαι τὴν ἐκπύησιν.

Ὠτὸς δὲ ὀξείη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ δεινόν. κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. ὡς οὖν τουτέου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον, καὶ τοῖσιν ἄλλοισι σημείοισι πᾶσιν ἀπὸ τῆς πρώτης ἡμέρης.

Οὐδέποτε γίνεται ὀδύνη σφοδρὰ ἐπὶ τῶν φαινομένων τούτων ὤτων, ὅτι εἰ καὶ γένοιτο, κίνδυνος ἀκολουθήσει, μήτ' αὐτοῦ τι τοῦ μορίου κύριον ἔχοντος, μήτε κυρίῳ τινὶ συνεχοῦς ὄντος. ἀλλ' εἰώθασιν ὠταλγίας ὀνομάζειν, ὅταν ἐν τῷ βάθει κατὰ τὸν ἀκουστικὸν πόρον, ἡ τῆς ὀδύνης αἴσθησις γίνηται. τηνικαῦτα γὰρ αὐτὸ πάσχει τὸ ἀκουστικὸν ὀνομαζόμενον νεῦρον, ὃ διὰ μακροῦ συνάπτον τῷ ἐγκεφάλῳ. εἰκότως οὖν ἀπόλλυνται πολλοὶ κατὰ τὰς σφοδρὰς ὠταλγίας, εἰς συμπαθεῖν ἀρχομένου τοῦ ἐγκεφάλου. διὸ καὶ παραφρονοῦσι τῶν καμνόντων ἔνιοι, καὶ μέντοι καὶ ἀποθνήσκουσιν αὐτῶν τινὲς ἐξαίφνης, ὃν τρόπον οἱ ἀπόπληκτοι, ὅταν ἐπὶ τὸν ἐγκέφαλον ἀφίκηται ἀθρόως, τὸ τὴν ὠταλγίαν ἐργαζόμενον ῥεῦμα.

Ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον ὑπὸ τοῦ νοσήματος τουτέου, οἱ δὲ γεραίτεροι πολλῷ βραδύτερον. οἵ τε γὰρ πυρετοὶ, καὶ αἱ παραφροσύναι, ἧσσον αὐτέοισιν ἐπιγίγνονται, καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι. ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι, ἀποκτείνουσι τοὺς πλείστους. οἱ δὲ νεώτεροι πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπὴν γε ῥυῇ πύον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς περιγενέσθαι τῷ νέῳ, ἤν τι καὶ ἄλλο χρηστὸν αὐτέῳ ἐπιγένηται σημεῖον.

Τοῖς νέοις τῶν ἀνθρώπων, οἵ τε πυρετοὶ, καὶ αἱ παραφροσύναι μᾶλλον γίνονται, διὰ τὸ χολῶδες, καὶ θερμὸν τῆς κράσεως. εἰκότως οὖν ἀπόλλυνται θᾶσσον ἢ ἐκπυΐσκονται τὰ ὦτα. τοῖς δὲ πρεσβύταις, ὅσον μὴ ἐπὶ τούτοις ἧττον ὑπάρχει κινδυνεύειν, καὶ ὑποστροφαὶ αὐτοῖς γίνονται τῶν παθημάτων, ὅτι μὴ τελέως ἐκπέττεται, διὰ τὴν ψυχρότητα τῆς κράσεως, ὁ τὴν ὀδύνην ἐργαζόμενος χυμός. τὰ δ' ἄλλα τῆς ῥήσεως ἱκανῶς ἐστὶ σαφῆ.

Φάρυγξ δὲ ἑλκουμένη σὺν πυρετῷ δεινὸν, ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον ἐπιγένηται, τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου.

Ἡ ἑλκουμένη φάρυγξ, σημεῖον ἐστὶ κακοχυμίας διαβρωτικῆς. αἴτιον δὲ δυσκολίας οὐ σμικρᾶς, διὰ τὸ μετὰ πόνου καταπίνειν. ἐπιβλέπειν οὖν χρὴ καὶ τὰ ἄλλα σημεῖα πρὸς ἀκριβεστέραν γνῶσιν τοῦ γινομένου. κοινὸν δὲ ἐπὶ πάντων ἔστω σοι παράγγελμα, μάλιστα δ' ἐπὶ τῶν μήτ' ἀκριβῶς ἀρίστων, μήτε χειρίστων. ἐφ' ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης εἴωθεν ἀξιοῦν συνεπισκέπτεσθαι καὶ τἆλλα σημεῖα.

Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιροῦσιν, ὁκόσαι μήτ' ἐν τῇ φάρυγγι, μηδὲν ἔκδηλον ποιέουσι, μήτ' ἐν τῷ αὐχένι, πλεῖστον δὲ πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι.

Ὅτι φάρυγγα τὴν προκειμένην χώραν στομάχου τε καὶ λάρυγγος ὀνομάζει, δῆλόν ἐστι κἀξ ὧν νῦν ἔγραψεν ἐκείνας τὰς κυνάγχας δεινοτάτας εἶναι λέγων, ὅσαι μήτ' ἐν τῇ φάρυγγι, μήτε κατὰ τὸν αὐχένα διάθεσίν τινα παρὰ φύσιν ἐνδείκνυνται, κατὰ χροιάν τε καὶ θερμότητα, καὶ ὄγκον. αὐχένα μὲν γὰρ τὸν τράχηλον λέγει. φάρυγγα δὲ, τὴν ἐν τῷ διανοῖξαι τὸ στόμα, καὶ πιλῆσαι τὴν γλῶσσαν κάτω φαινομένην εὐρυχωρίαν, ἐν ᾗ τὰ δύο στόματά ἐστι, τό, τε τοῦ στομάχου, καὶ τὸ τοῦ λάρυγγος. ὅταν οὖν ἐν μηδετέρῳ τούτων ἐπίδηλον ᾖ τι παρὰ τὸ κατὰ φύσιν, ἡγεῖσθαι χρὴ τῶν ἔνδον τοῦ λάρυγγος σωμάτων εἶναι φλεγμονὴν, ἐφ' ᾗ πνίγονται. στενῆς δ' οὔσης φύσει καὶ ὁδοῦ τοῦ πνεύματος, ἀναγκαῖόν ἐστι πνίγεσθαι κλειομένης αὐτῆς τελέως διὰ τὴν φλεγμονὴν τῶν περιεχόντων σωμάτων. ἀναγκάζονται τοιγαροῦν ὀρθοῦντες τὸν τράχηλον ἀναπνεῖν ὑπὲρ τοῦ διοῖξαι κἂν ἐπὶ βραχὺ τὸν πόρον. αἱ γὰρ ὕπτιαι κατακλίσεις, ἀποκλείουσιν ἐσχάτως αὐτὸν, καταπιπτόντων μᾶλλον τῶν πρόσω σωμάτων, ὡς ἐπὶ τοὺς τοῦ τραχήλου σπονδύλους. διά τε οὖν τοῦτο, καὶ ὅτι φλεγμαίνουσιν οἱ περὶ τὸν λάρυγγα μύες, εἰκότως ὀδυνῶνται.

Ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ καὶ ἐν τῇ φάρυγγι ἐρυθήματα ποιέουσιν, ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γίνηται.

Δευτέρας διαφορᾶς μέμνηται κυνάγχης, ἐν ᾗ συνεπαίρεται μὲν τὰ κατὰ τὸν αὐχένα, καὶ ἡ φάρυγξ ἐρυθραίνεται. πονοῦσι δ' ὁμοίως τοῖς προειρημένοις, οὐ μὴν ὀρθόπνοιά τις αὐτοῖς ἐστιν, ὅπερ ἐστὶν, οὐ δυσπνοοῦσι σφοδρῶς, ὅτι μηδὲ φλεγμαίνουσιν ἰσχυρῶς οἱ κατὰ τὸν λάρυγγα μύες. εἰκότως οὖν αὐτὰς ὀλεθρίους φησὶν, οὐ μὴν ὁμοίως ταῖς πρὸ αὐτῶν ἀναιρεῖν ὀξύτατα.

Ὁκόσοισι δὲ ξυνεξαιρεθῇ ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται χρονιώτεραι, καὶ μάλιστα ἐξ αὐτέων περιφεύγουσιν, ἢν ὅ τε αὐχὴν, καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴσω.

Τρίτην ταύτην διαφορὰν ἑρμηνεύει κυνάγχης, ἣν ἔνιοι διὰ τοῦ σ γράμματος ὀνομάζουσι συνάγχην, οὐ διὰ τοῦ κ κυνάγχην. ἐφ' ᾗ γὰρ ἰσχυρῶς μὲν πνίγονται καὶ ὀδυνῶνται. φαίνεται δ' οὐδὲν οὔτε φλεγμονῶδες οὔτ' ἐρυσιπελατῶδες, ἤτοι περὶ τὸν τράχηλον, ἢ τὴν φάρυγγα, κυνάγχην διὰ τοῦ κ τὴν τοιαύτην διάθεσιν ὀνομάζουσιν. ἀλλ' ὅπερ ἀεὶ λέγω, φαίνεται καὶ ὁ Ἱπποκράτης ποιῶν, οὐ μικρολογούμενος ἐν ὀνομάσιν, ὡς δ' ἂν ἐπέλθοι καλῶν, ἀμέλει καὶ γέγραπται

κατὰ

κατά τινα τῶν παλαιῶν ἀντιγράφων, ἡ ἀρχὴ τῆς ῥήσεως διὰ τοῦ σ γράμματος. αἱ δὲ συνάγχαι, ὦ καὶ δῆλον ὡς οὐδὲν ὠφελεῖ, τὸ περὶ τοῦ κ καὶ σ διαφέρεσθαι, καθάπερ οἱ νεώτεροι πεποιήκασι τῶν ἰατρῶν. ὅπου γὰρ ὁμολογεῖται τὸ πρᾶγμα, σκαιόν ἐστι τὸ περὶ τῶν ὀνομάτων ἐρίζειν. ὡμολόγηται δὲ τὸ πρᾶγμα τοῖς γινώσκουσι τὰ τῆς τέχνης ἔργα. τῶν γὰρ ἰσχυρῶς πνιγομένων, ὡς ἀνακαθίζειν ἀναγκάζεσθαι, χείριστα διάγνωσιν, οἱ σφοδρῶς μὲν ὀδυνώμενοι, μηδὲν δὲ ἔχοντες ἐν τῷ τραχήλῳ, καὶ τῇ φάρυγγι σύμπτωμα. τούτων δ᾽ ἐφεξῆς οἱ μὴ δυσπνοοῦντες μὲν, ὀδυνώμενοι δὲ σφόδρα, μετὰ τοῦ συνεξῆρθαι μὲν αὐτοῖς τὸν τράχηλον, ἐρυθροτέραν δὲ φαίνεσθαι τὴν φάρυγγα. τρίτοι δ᾽ ἐπ᾽ αὐτοῖς εἰσιν περὶ ὧν κατὰ τὴν προκειμένην ῥῆσιν, ὁ Ἱπποκράτης δεδήλωκεν. οἱ μήτε ὀδυνώμενοι σφοδρῶς μήτε δυσπνοοῦντες. ἀπαθοῦς μὲν αὐτοῖς διαμένοντος τοῦ λάρυγγος. ἤτοι δ᾽ εἰς τὴν φάρυγγα τοῦ ῥεύματος, ἢ εἰς τὸν τράχηλον, ἢ εἰς ἄμφω ταῦτα τραπέντος. ἔσται δὲ τὸ πᾶν τὸ ῥεῦμα τοῦτο χολωδέστερον, ὡς ἤτοι ἄντικρυς ἐρυσίπελας, ἢ φλεγμονὴν ἐρυσιπελατώδη ποιεῖν, ὅθεν καὶ αὐτὸς ἔφη, εἰ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴσω. φλεγματῶδες δὲ, εἴ ποτ᾽ αὐτοῖς γένοιτο τὸ οἴδημα, τάχιστα θεραπεύεται, καὶ τὴν ἀρχὴν, οὐδὲ τῶν ὀξέων ἐστὶ τὸ τοιοῦτον πάθημα. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως δῆλα.

Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμοισιν, ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πύον ἀποβήσσῃ, ῥηιδίως τε καὶ ἀπόνως ἔχειν δοκέει, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος.

Τὸ μὲν αὐτοῦ φύματος, ἢ πτυσμάτων ὑπείως ἀναγομένων, ἀφανισθῆναι τὸ ἐρυσίπελας, ἢ τὸ ἔρευθος, ἑκατέρως γὰρ γέγραπται, πρόδηλον ὅπως ἐστὶ μοχθηρόν. τὸ δὲ μήτ᾽ ἐν ἡμέρῃσι κρισίμοισι, ἄξιον ἐπισκέψασθαι, πότερον οὕτως ἀκουστέον ἐστὶν, ὡς ἂν ἐν κρισίμοις ἡμέραις ἀφανίζηται μηδενὸς ὀφθέντος μοχθηροῦ σημείου αὐτῷ, ἢ οὔ. ἐξηγήσαντο γὰρ αὐτὸ οὕτω τινὲς, ἢ συνάψαι χρὴ τοῦτο τοῖς ἐφεξῆς, ὡς κἀκεῖνα βουλομένου τοῦ Ἱπποκράτους ἐν ἡμέρᾳ γίνεσθαι κρισίμῳ χάριν τῆς βεβαίας πίστεως, ὅπερ ἀληθέστερόν ἐστιν. ἐὰν γὰρ ἐν κρισίμοις ἡμέραις ἡ μετάστασις εἰς τὸν πνεύμονα γένηται, παλινδρομοῦντος ἔσω τοῦ ἐρυσιπέλατος, οὐ διαφθειρομένου κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, οὐ μόνον οὐκ ἀγαθόν ἐστι τὸ τοιοῦτον, ἀλλὰ καὶ μέγιστον κακὸν, ἐκ τοῦ τῆς ἡμέρας πιστοῦ τὸ βέβαιον τῆς κακίας προσλαμβανόμενον. εἰ δὲ μετὰ τοῦ φῦμα μὲν ἐκτὸς γενέσθαι, ῥᾳδίως δ᾽ ἀποβήττειν, ἀπόλλυται τὸ ἐρυσίπελας, ἢ τὸ ἐρύθημα, τηνικαῦτα θάνατον οὐκέτι προσδοκᾶν χρὴ τῷ κάμνοντι γενέσθαι.

Ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι. ἢν δὲ ἐς τὸν πνεύμονα τράπηται, παράνοιάν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων γίνονται ὡς τὰ πολλά.

Καὶ ταῦτα, καὶ τὰ τούτων ἐφεξῆς δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν.

Οἱ δὲ γαργαρεῶνες, ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι, καὶ ἀποσχάζεσθαι ἕως ἂν ἐρυθροί τε ὦσι, καὶ μεγάλοι, καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμοῤῥαγίαι. ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι κατισχναίνειν πειρᾶσθαι ἐν τουτέῳ τῷ χρόνῳ. ὁκόταν δὲ ἀποκριθῇ ἤδη πᾶν ὃ δὴ σταφυλὴν καλέουσιν, καὶ γένηται τὸ ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω λεπτότερον, ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. ἄμεινον δὲ καὶ ὑποκενώσαντα τὴν κοιλίην τῇ χειρουργίῃ χρέεσθαι, ἢν ὅ τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.

Προγνωστικῷ θεωρήματι μέμικται θεραπευτικὸν τι σμικρὸν, οὗ χωρὶς οὐχ οἷόν τε ἦν ἀσφαλῶς διδαχθῆναι τὸ προγνωστικόν. τοὺς γαργαρεῶνας εἰ φλεγμαίνοντας ἀποτέμνοις, ἢ ἀποσχάζοις, ἀκολουθήσωσιν αἱ αἱμοῤῥαγίαι τε καὶ φλεγμοναί. ὅταν δ᾽ ἀποκριθῇ ὃ δὴ σταφυλὴν καλοῦσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος, μεῖζόν τε καὶ περιφερὲς, τὸ δ᾽ ἄνω λεπτότερον, ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν, καὶ μάλιστα τῆς κοιλίας προϋπελθούσης διαψιλῶς, εἴτ᾽ οὖν αὐτομάτως, εἴτε κατὰ πρόνοιαν τοῦ ἰατροῦ.

Ὁκόσοισιν οἱ πυρετοὶ παύονται, μήτε σημείων γινομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμοισιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν.

Ὅταν μηδέτερον ὧν εἶπε γένηται, τότε χρὴ προσδέχεσθαι τὴν ὑποστροφὴν, οὐχ ὅταν τὸ ἕτερον μὲν αὐτῶν γένηται, τὸ δὲ ἕτερον μή. τὰ γὰρ ἀλόγως ῥαστωνήσαντα φιλυπόστροφα, κἂν ἐν ἡμέρῃσι κρισίμοις γένηται τοῦτο. δῆλον δ᾽ ὅτι ταῦτ᾽ ἀλόγως ῥαστωνῆσαι λέγοιτ᾽ ἂν, ὅσα μήτε μετὰ σημείων λυτηρίων, μήτ᾽ ἐν κρισίμοις ἡμέραις ἔδοξε πεπαῦσθαι.

Ὅστις δ᾽ ἂν τῶν πυρετῶν μηκύνῃ περιεστηκὼς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν, μετ᾽ οἰδήματος καὶ ὀδύνης ἔς τι ἄρθρων, καὶ οὐχ ἧσσον τῶν κάτω.

Ἃ διὰ τῶν ἔμπροσθεν εἶπε κατὰ μέρος, περὶ πρώτων μὲν τῶν καθ᾽ ὑποχόνδρια, δευτέρων δὲ τῶν κατὰ θώρακα καὶ πνεύμονα. ταῦτα νῦν ἐπαναλαβὼν, ἀπεφήνατο καθόλου. τρίτης γὰρ οὔσης τῆς αἰτίας τοῦ μηκύνειν τοὺς πυρετοὺς, ἢ διατί μόριον πεπονθὸς δυσιάτως, ἢ διὰ χυμοὺς ὠμοὺς, καὶ παχεῖς, καὶ ἀπέπτους, ἢ διατί τῶν ἡμαρτημένων, ἐὰν μήτε μόριον ᾖ πεπονθὸς, ἢ ἄλλό τι μηδὲν αἴτιον, ἤτοι τοῦ κάμνοντος ἁμαρτάνοντος, ἢ τῶν θεραπευόντων αὐτὸν, ἢ διατί τῶν ἔξωθεν, οἷον ὥραν, χώραν, κατάστασιν, οἴκησιν μοχθηρὰν, ὀχλήσεις, φροντίδας, λύπας ἀπολείπει

τούτων ὑπὸ χυμοῖς ὠμοῖς καὶ δυσπέπτοις μηκύνειν. τούτους οὖν εἴωθεν ἡ φύσις εἰς τὴν τῶν ἀκυρωτέρων μορίων ἀποτίθεσθαι χώραν, ὅταν μὴ δυνηθῇ διὰ ἐκκρίσεως ἔξω τοῦ σώματος ἀπώσασθαι. λέλεκται γὰρ ἤδη πολλάκις, ὡς οἱ θερμότεροί τε καὶ λεπτότεροι τοῦ σώματος χυμοὶ, πρὸς τὰς ἐκκρίσεις εἰσὶν ἐπιτηδειότατοι. τοὺς δ᾽ ὠμοὺς καὶ παχεῖς, ἤτοι διὰ ἀποστάσεως, ἢ περὶ σύμπεψιν ἡ φύσις ἰᾶται, καὶ αὐτὴ δὲ ἡ μετὰ τὸ κατὰ σύμπεψιν, ἔκκρισις τίς ἐστι διὰ οὔρων γινομένη τὰ πολλὰ, σπανίως δέ ποτε καὶ κατὰ γαστέρα.

Μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέων.

Εἴρηται πολλάκις, ὡς αἱ μὲν ἐκ τῶν θερμοτέρων χυμῶν νόσοι, μετὰ τῆς τοῦ κάμνοντος δυνάμεως ἰσχυροτέρας, διὰ ἐκκρίσεως κρίνονται. ταύταις δὲ εἰσὶν ἐναντίαι διαθέσεις, ἐφ᾽ ὧν ἥ τε δύναμις ἀσθενὴς, οἵ τε χυμοὶ ψυχροὶ, μήτ᾽ ἐκκρίσει, μήτ᾽ ἀποστάσει κρινόμεναι, ἀλλ᾽ ἤτοι διαφθείρουσαι τοὺς κάμνοντας, ἢ χρόνῳ παμπόλλῳ μόλις πεττόμεναι. μέσαι δ᾽ ἀμφοῖν εἰσιν, αἱ διὰ ἀποστάσεως κρινόμεναι. καθ᾽ ἃς τῶν εἰρημένων ἀντιθέσεων δυοῖν, τὸ μὲν ἕτερον ἐκ τῆς ἑτέρας ἐστὶ, τὸ δὲ ἕτερον, ἐκ τῆς λοιπῆς. αἱ μὲν γὰρ ἀντιθέσεις αἱ δύο, κατὰ μὲν τὴν τῶν χυμῶν φύσιν ἐστὶν ἡ ἑτέρα, κατὰ δὲ τὴν δύναμιν ἡ ἑτέρα. καθ᾽ ἑκάτερον δὲ αὐτῶν ἀλλήλοις ἀντίκειται δύο, κατὰ μὲν τὴν τῶν χυμῶν, οἱ θερμοὶ τοῖς ψυχροῖς, κατὰ δὲ τὴν τῆς δυνάμεως, ἡ ἀσθενὴς τῇ ἰσχυρᾷ. ἐὰν μὲν οὖν οἱ χυμοὶ θερμοὶ τύχωσιν ὄντες, οὐ χρὴ τὴν δύναμιν ὑπάρχειν ἰσχυρὰν εἰ μέλλει γενήσεσθαί τις ἀπόστασις. εἰ δὲ ψυχροὶ, δυνάμεως ἰσχυρᾶς αὐτοῖς δεῖ πρὸς τὰς ἀποστάσεις. ἡ διάγνωσις δὲ τῆς δυνάμεως, ἡ μὲν οἰκειοτάτη, καθ᾽ ἑκάστην αὐτῶν, εἴρηται πρόσθεν, ἀπὸ τῶν ἐνεργειῶν. ἡ δὲ ἀπὸ τῆς ἡλικίας, κατὰ νεότητά τε καὶ γῆρας ἐστὶ, περὶ ἧς νῦν ὁ Ἱπποκράτης διορίζεται, καί φησι, μᾶλλον δὲ γίνεσθαι, καὶ θᾶσσον τὰς τοιαύτας ἀποστάσεις τοῖς νεωτέροις ἐτῶν τριάκοντα, τοῖς δὲ τούτων πρεσβυτέροις, οὐ μὴν ἤδη πω γέρουσιν, ἧττόν τε γίνονται, καὶ χρόνῳ πλείονι. τοῖς δὲ γέρουσιν ἥκιστα γίνονται, μεμνημένων ἡμῶν τῆς ἀρχῆς ὅλου τοῦ λόγου καθ᾽ ὃν ὁ Ἱπποκράτης εἶπεν, ὅστις δ᾽ ἂν τῶν πυρετῶν μηκύνῃ περιεστηκὼς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονὴν, ἢ διὰ ἄλλην τινὰ πρόφασιν ἐμφανέα. τούτων οὖν ἡμᾶς ἀναμιμνήσκων, ἔφη τὰς τοιαύτας ἀποστάσεις ἔσεσθαι τοῖς νεωτέροις μᾶλλον.

Ὑποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰς τοιαύτας ἀποστάσιας, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ.

Καὶ διὰ τῶν ἔμπροσθεν ἤδη περὶ τῶν χρονιζόντων νοσημάτων διαλεγόμενος, ἐμνημόνευσε τῶν κ΄. ἡμερῶν ὡς ἄχρι ταύτης μηδέπω χρονίων ὑπαρχόντων αὐτῶν. εἴρηται δὲ πρόσθεν ἡ αἰτία τοῦ μὴ δύνασθαί τινα βέβαιον ὅρον ἐνθέσθαι νοσημάτων ὀξέων, ὥστ᾽ οὐδὲν θαυμαστόν ἐστιν, ἐν τεσσαρεσκαίδεκά τε λέγειν αὐτὸν ἡμέραις κρίνεσθαι τὰ ὀξέα τῶν νοσημάτων, αὖθίς τε τῆς εἰκοστῆς μνημονεύειν. καὶ γὰρ καὶ κατ᾽ αὐτοὺς τοὺς ἀφορισμοὺς ἔνθα τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ὅρον ἔσχατον ἔθετο τῆς κρίσεως τῶν ὀξέων νοσημάτων, ἐμνημόνευσε καὶ τῆς ιζ΄. ἔστι δ᾽ ἀρχὴ μὲν ἐκείνου τοῦ ἀφορισμοῦ, τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι. τελευτὴ δὲ θεωρητὴ πάλιν ἡ ιζ΄. αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς ιδ΄. ἑβδόμη δὲ ἀπὸ τῆς ια΄.

Τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνονται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ.

Δεόντως ἐπειδὴ καὶ τοῖς ἀποστάσει τινὶ μέλλουσι κρίνεσθαι, τὴν δύναμιν τόνον ἔχειν τινὰ προσήκει, καὶ μὴ παντάπασιν εἰς ἐσχάτην ἀτονίαν καταπεπτωκέναι. διὰ τοῦτ᾽ οὖν εἰς ὅσον ἂν ἡλικίας προήκοιεν, τὰς ἀποστάσεις ἧττον γενέσθαι συμβαίνει. τοῖς γέρουσι δὲ οὐχ ἧττον, ἀλλ᾽ ἥκιστα. νυνὶ δ᾽ οὐ τοὺς γέροντας ἁπλῶς εἶπεν, ἀλλὰ τοῖς τριάκοντα ἔτεσι παραβάλλων, γεραιτέρους ὠνόμασε τοὺς τούτων πρεσβυτέρους. ὅτι δ᾽ οὕτω χρῆται τῇ τοῦ γεραιτέρου προσηγορίᾳ, καὶ διὰ τῶν ἔμπροσθεν ἐδείχθη, καὶ διὰ τῶν ἑξῆς οὐδὲν ἧττον φανεῖται.

Χρὴ δὲ καὶ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι συνεχέος ἐόντος τοῦ πυρετοῦ. ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ.

Εἴρηται κἀν τοῖς περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, ὡς ὑπὸ τῶν μελαγχολικῶν χυμῶν γίνονται τεταρταῖοι. λέλεκται δὲ καὶ περὶ τῆς γενέσεως τοῦ χυμοῦ τοῦδε, διττῆς ὑπαρχούσης, ἔκ τε τοῦ παχέος αἵματος, ὅπερ ἀνάλογόν ἐστιν ἐν ταῖς φλεψὶ τῇ κατὰ τοὺς πίθους τῶν οἴνων τρυγὶ, καὶ τῆς ξανθῆς ὑπεροπτηθείσης. αὕτη μὲν οὖν ἡ μέλαινα χολὴ τά τ᾽ ἄλλα κακοήθης ἐστὶ, καὶ διαβιβρώσκει τὰ μόρια καθ᾽ ἅπερ ἂν τύχῃ πλείων ἀθροισθεῖσα. ἡ δ᾽ ἑτέρα μέλαινα πραοτέρα τε ταύτης ἐστὶ, καὶ μάλιστα ἐπειδὰν μήπω τύχῃ κεχρονικυῖα κατὰ τὸ ζῶον, ἢ τινι θερμασίᾳ πλείονι, καὶ παρὰ φύσιν ὡμιληκυῖα. τούτων οὖν οὕτως ἐχόντων, ὅταν ὁ πυρετὸς ᾖ συνεχὴς, ὅπερ ἐστὶ μὴ παυόμενος εἰς ἀπυρεξίαν, εἰς τὰς προειρημένας ἀποστάσεις τρέπεται χρονίζων. ἐὰν δὲ διαλείπῃ, καὶ τοῦτ᾽ αὐτὸ μάλιστα γίνεται περὶ τὴν τελευτὴν τοῦ θέρους, εἰκός ἐστι μεταπεσεῖν τὴν νόσον εἰς τεταρταίαν περίοδον. ὅσον γὰρ ἂν τῶν χυμῶν ζέσαν ὥρᾳ θέρους ἐν συνεχέσι πυρετοῖς ἐτελεύτησεν εἰς μέλαιναν χολὴν, σβέννυσθαι τρόπον τινὰ, καὶ κατὰ τοῦτο τῆς πυρετώδους θερμότητος ὁ κάμνων ἀπηλλάγη, καὶ μάλισθ᾽ ὅταν ἱδρῶτες ἐπιγίνονται. ἀλλ᾽ ἐὰν μὴ φθάσῃ πως ἡ φύσις ἐκκρίνασα τὴν οἷον τέφραν τῶν ὑπεροπτηθέντων χυμῶν, αὕτη πάλιν μένουσα κατὰ τὸ σῶμα, καὶ θερμαινομένη, τὴν ἀναστοιχείωσιν... διάθεσιν ἐπικτᾶται, καὶ τοῦτ᾽ ὅταν αὐτῇ γένηται ζέσασα, πυρετὸν ἤγειρεν. ἐφ᾽ ᾧ πάλιν ἱδρῶτος γενομένου, συνδιέπνευσε τούτῳ τὸ ζέσαν τῆς μελαίνης, εἶτ᾽ αὖθις ἕτερον ὑπόλειμμα ζέσαν, αὖθις ἕτερον ἀνήγειρε πυρετόν. ἅτ᾽ οὖν μήπω μίαν ἔχοντος παντὸς τοῦ σώματος διάθεσιν, ἀλλ᾽ ἐν τισὶ μὲν μορίοις κινουμένης ἔτι τῆς μελαίνης, ἐν τισὶ δ᾽ ἀκινήτου κειμένης, ἐν ἄλλοις δὲ σηπομένης, ἢ ζεῖν ἀρχομένης, ἀτάκτους ἀναγκαῖόν ἐστι γίνεσθαι τοὺς πυρετούς.

πυρετούς. ὅταν δὲ ἐν ἁπάσαις ταῖς φλεψὶν ἡ αὐτὴ διάθεσις γένηται κρατούσης τῆς μελαίνης, ὁ τεταρταῖος συνίσταται πυρετός, καὶ μάλιστα ὅταν εἰς τὸ φθινόπωρον ἐκ τοῦ θέρους ἡ μεταβολὴ γινομένη, τὴν μὲν ἔξω φοράς τε καὶ διαπνοῆς ἐπίσχῃ τοὺς χυμούς, ἔσω δ' ἀποστρέφῃ πρὸς τὸ βάθος, ἥν τινα διάθεσιν ὁ χειμὼν διαδεξάμενος, ὡς ἂν ἀντιτείνων διὰ τὸ κρύος τὴν ἔσω φορὰν τῶν χυμῶν, ἄχρι πάλιν ἑτέρας μεταβολῆς γινομένης ἤδη τὸ θερμότερον ἐν ᾧ κατέλαβε νόσημα, φυλάττει τὸ σῶμα.

Ὥσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριηκονταετέσι καὶ γεραιτέροισι.

Περὶ τῆς καθ' ἡλικίαν μεταβολῆς, εἴρηται μὲν ἐπὶ πλέον ἑτέρωθι, διὰ κεφαλαίων δὲ νῦν εἰπεῖν ἀρκέσει, τὰ μὲν παιδία πλεῖστον ἔχει τὸν τοῦ αἵματος χυμόν. καὶ μόνον γε τοῦτον ἔχειν ἂν, ὅσον ἤδη τῇ κατὰ τὴν ἡλικίαν κράσει. πολλὰ δ' ἐσθίοντα, καὶ μέντοι καὶ ἀτακτότερα ὑπάρχοντα, ὑποστρέφεται τι καὶ τῶν καλουμένων ὠμῶν χυμῶν. ὁπόταν δ' εἰς τὴν τῶν μειρακίων ἡλικίαν ἀφίκηται, τινὰ μὲν ἤδη καλῶς διαιτᾶται βελτίονος ἀγωγῆς εὐτυχήσαντα, καὶ οὕτως αὐτοῖς αἷμα πλεονάζει μόνον. ἔνια δὲ τῶν μειρακίων πολὺ χεῖρον ἢ οἱ σμικροὶ παῖδες, καὶ τοίνυν νοσεῖ ταῦτα συνεχῶς τε ἅμα καὶ σφοδρῶς, ἀθροίζοντα πλῆθος ὠμῶν χυμῶν. τοῖς ἐφεξῆς δὲ τῇδε τῇ ἡλικίᾳ, καὶ μάλιστα τοῖς κακῶς διαιτωμένοις, ὁ πικρόχολος ὑποστρέφεται χυμός, ὥστε πλεονάζειν τούτοις, οὐχ αἷμα μόνον, ἀλλὰ κἀκεῖνον, ὅσπερ ὠχρά τε καὶ ξανθὴ χολὴ προσαγορεύεται, καὶ γίνεται τοῦτο τισὶ μὲν ἄχρι τριάκοντα ἐτῶν, ἐνίοις δ' ἄχρι πέντε καὶ τριάκοντα. πρῶτος μὲν γὰρ ὅρος οὗτος ἤδη τὸ ψυχρὸν μεταβολῆς ὁ τῶν λ'. ἐτῶν, ἔσχατος δὲ ὁ τῶν πέντε καὶ τριάκοντα. πολλοῖς δὲ ἐν τῷ μεταξὺ διά τε τὴν ἐξ ἀρχῆς φύσιν, ὅσα τε κατὰ τὰς περιστάσεις, ἢ ἐτῶν, ἢ προαιρέσεων διαφορὰς ὑπαλλάττεται, τὴν ἀκμαστικὴν ἡλικίαν περιέγραψε. διὰ τοῦτο οὖν καὶ ὁ Ἱπποκράτης, ἐνίοτε μὲν τοῦ τριακοστοῦ μνημονεύει, καθάπερ ἄρτι, πολλάκις δὲ πέμπτου καὶ εἰκοστοῦ. τῷ γὰρ ἄλλας ἄλλοις γίνεσθαι μεταβολάς, οὐχ οἷόν τε ὁρίσαι βεβαίως, ἐν ἐφ' ἅπασι μέτρον κοινόν. ἀλλὰ τούτου μὲν ἀεί μοι μέμνησο λελεγμένου, καὶ πρόσθεν ἐν τῷ τρίτῳ περὶ κρισίμων ἡμερῶν λόγῳ. μεμνημένος γε μὴν αὐτοῦ, καὶ προσθεὶς τοῖς προειρημένοις, οὐ χαλεπῶς εὑρήσεις τὴν αἰτίαν, ὧν κατὰ τήνδε τὴν ῥῆσιν ὁ Ἱπποκράτης ἔγραψεν. ὥσπερ γὰρ ἐν ταῖς ὥραις τοὺς ἐν τῷ θέρει θερμανθέντας ἐπὶ πλέον χυμούς, καὶ ὡς ἂν εἴποι τις ζέσαντας, ἀναγκαῖόν ἐστι γεννῆσαι τὸν μελαγχολικὸν χυμόν, ὃν διαδεξάμενον ἠθροισμένον ἐν τῷ σώματι, τὸ φθινόπωρον, ἅτε ψυχρὸν ὄν, οὐκ ἐπιτρέπει διαπνεῖν ὁμοίως ἐκτός, οὐδὲ κενοῦσθαι ῥᾳδίως, οὕτως ἐν ταῖς ἡλικίαις ἡ παρακμή. ὅσον γὰρ ἐν τῇ ἀκμῇ ζέσαν τῶν χυμῶν εἰς μέλαιναν χολὴν μετέβαλε, τοῦτο δυσκόλως αὕτη διαφοροῦσα, τοὺς τεταρταίους μᾶλλον ἐργάζεται πυρετούς, καὶ χρόνου γε πλείονος δεῖται, τοῖς κατὰ τὴν ἡλικίαν ταύτην, πρὸς τὸ καθαρθῆναι τὸ σῶμα τῆς τοιαύτης χολῆς, ὅθεν ἄχρι τοῦ γήρως ἐν τῷ μεταξύ, τὰ μελαγχολικὰ πάντα νοσήματα, τοῖς μὲν μᾶλλον πλεονάζει, τοῖς δ' ἧττον, ἐλεφαντιάσεις, καρκίνοι, λέπραι, μελαγχολίαι, καὶ τεταρταῖοι πυρετοί.

Τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γινομένας, χρονιώτερόν τε παυομένας, ἧσσον τε παλινδρομούσας.

Τρεῖς ἀποφάσεις ἐποιήσατο περὶ τῶν ἀποστάσεων ὁ Ἱπποκράτης κατὰ τὸν ἐνεστῶτα λόγον. μίαν μὲν καὶ πρώτην, ὅτι γίνονται μᾶλλον ἐν χειμῶνι, δευτέραν δ' ὅτι χρονιώτερον παύονται, καὶ τὴν τρίτην, ὅτι παλινδρομοῦσιν ἧττον. ὅτι μὲν οὖν ἐν τῷ χειμῶνι γίνονται μᾶλλον, ὁ πλεονάζων ἐν αὐτῷ χυμὸς ἐνδείκνυται. λέλεκται γὰρ ἤδη καὶ πρόσθεν, ἐκκρίσεσι μὲν τοὺς θερμούς, ἀποστάσεσι δὲ τοὺς ψυχροὺς κινεῖσθαι χυμούς. ὅτι δὲ καὶ χρονιώτερον παύονται, τήν τε τοῦ χυμοῦ φύσιν αἰτιατέον ἐστί, καὶ τὴν τοῦ περιέχοντος ψυχρότητα. διαφορηθῆναι μὲν γὰρ δεῖ πάντως τὸν κατασκήψαντα χυμόν, ἵνα θεραπευθῇ τὸ ἀπόστημα. δυσδιαφορητότεροι τέ εἰσιν οἱ παχεῖς, καὶ ψυχροί, καὶ μάλιστα ὅταν ᾖ καὶ τὸ περιέχον ψυχρόν. διὰ δὲ τὰς τοιαύτας αἰτίας, καὶ παλινδρομοῦσιν ἧττον, ἐπειδὴ κίνησίν τινα τοῖς παλινδρομοῦσι προσεῖναι χρή, δυσκίνητοι δ' οἱ ψυχροί.

Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, εἰ καὶ καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος προσγένηται, καὶ τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι πίῃ, ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμεῖται.

Περὶ τῶν αὐτομάτως γινομένων ἐμέτων κρίσεως λόγῳ, διδάσκει νῦν ὁ Ἱπποκράτης. ἔστι δ' αὐτῷ πρῶτος μὲν διορισμός, ἀπὸ τοῦ μὴ θανατῶδες εἶναι τὸ νόσημα, κέκληκε δὲ ἤδη περιεστηκὸς οὐκ ὀλιγάκις τὸ τοιοῦτον. δεύτερον δὲ ἀπὸ τοῦ τὴν κεφαλὴν ἀλγοῦντι τῷ κάμνοντι, προφαίνεσθαί τι πρὸ τῶν ὀφθαλμῶν ὀρφνῶδες, ὅπερ σημαίνει τὸ μέλαν, ἐξ ἀναθυμιάσεως χολῆς ξανθῆς ἀκράτου γενόμενον. αὐτὴ γὰρ ἤδη πλέον θερμανθεῖσα, καὶ ὡς ἂν εἴποι τις ὑπεροπτηθεῖσα, μέλαιναν ἀναθυμίασιν, οἷον λιγνύν τινα πρὸς τὴν κεφαλὴν ἀναπέμπει, δι' ἣν αἱ κεφαλαλγίαι γίνονται. ὅταν δ' ἂν αὐτῆς ἤδη τοὺς ὀφθαλμοὺς ἀφίκηται, θολερώτερον ἐργάζεται τὸ κατ' αὐτοὺς ὑγρόν, λαμπρὸν φύσει καὶ καθαρὸν ὑπάρχον, ὡς γίνεσθαί τινα κατάστασιν ὁμοίαν τῇ περὶ τὸν καθαρώτατόν τε καὶ φανότατον ἀέρα, δεχόμενον ἐξαίφνης εἰς ἑαυτόν, ἤτοι καπνώδη τινὰ ἢ λιγνώδη μελανότητα, ταύτης οὖν τῆς ἀναθυμιάσεως αἰσθανόμενον τὸ ἀπ' ἐγκεφάλου παραγενόμενον εἰς τοὺς ὀφθαλμοὺς ὀπτικὸν πνεῦμα, καθάπερ ἐπὶ τῶν ὑποχεομένων, τὴν φαντασίαν ὧν εἶπεν ὀρφνωδῶν ἀποτελεῖ. γινομένης δ' ἐνίοτε κἀκ τῶν κατὰ τὸν πνεύμονα τόπων ἀναθυμιάσεως τοιαύτης, διακρινομένην αὐτὴν τὴν ἀπὸ στομάχου τῇ καρδιαλγίᾳ. πνεύμονα μὲν γὰρ οἱ τοιοῦτοι χυμοὶ λανθάνουσιν, ἤτοι

δυσαίσθητον, ἢ παντελῶς ἀναίσθητον ὄντα. τὸ δὲ τῆς γαστρὸς στόμα, καλεῖται δὲ τοῦτο ὡς ἴσμεν καὶ καρδία, διὰ τὸ μέγεθος ὧν ἔχει νεύρων αἰσθητικῶν, οὐδὲν λανθάνει τῶν κατ' αὐτό. δακνόμενον οὖν ὑπὸ τοῦ πικροχόλου χυμοῦ, τὸν καλούμενον οὕτω καρδιωγμὸν ἐργάζεται, διὸ καὶ χολώδης ἔμετος αὐτοῖς γίνεται. τοῦτο γὰρ καὶ ὁ Θουκυδίδης ἐδήλωσεν ἔνθα φησί, καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξει, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς ὁπόσαι παρὰ τῶν ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπῄεσαν. τὸ γὰρ ἀνέστρεφεν, ἐπὶ τῆς πρὸς ἔμετον ὁρμῆς εἶπεν, εὐθέως γε καὶ καρδίαν ὀνομάσας τὸ στόμα τῆς γαστρός. διὸ δὴ καὶ τὰς δήξεις αὐτοῦ, καρδιωγμούς τε καὶ καρδιαλγίας ὀνομάζουσιν. ἐνταῦθα δ' Ἱπποκράτης ἔγραψεν, ὡς τὸ κάτω χεῖλος τὸ αὐτὸ ἐπισημαίνει τοῖς οὕτως ἔχουσιν οὐχ ἡσυχάζον ἀλλὰ διασειόμενόν πως, ἐπειδὴ δακνόμενος ὑπὸ τῆς χολῆς ὁ ἔνδον τοῦ στομάχου χιτὼν, τὴν τοιαύτην τὸ χεῖλος λαμβάνει κίνησιν. ἐμάθομεν γὰρ ἐκ τῆς ἀνατομῆς ἕνα τοῦτον ὅλον εἶναι τὸν χιτῶνα συνεχῆ, κατὰ πᾶν ἑαυτῷ, τῆς θ' ὅλης γαστρὸς, καὶ τοῦ στομάχου, καὶ γλώττης, καὶ οὐρανίσκου, καὶ ὑπερῴας, ὅλου τε τοῦ στόματος. οὗτος οὖν αὐτός ἐστιν ὁ καὶ τὰ χείλη διασείων, ὅταν ὑπὸ δριμείας χολῆς ἠθροισμένης ἐν τῷ στόματι τῆς γαστρὸς δάκνηται. πέφυκε γὰρ οὗτος ὁ χυμὸς ἐπιπολάζειν, ὑπὸ κουφότητος, καὶ διὰ τοῦτ' ἐπὶ τὸν στόμαχον ἀναφέρεται καταλιπὼν τὸν πυθμένα τῆς γαστρὸς, ἐμεῖταί τε ῥᾳδίως. ἂν δὲ καὶ ῥῖγος ἐπιλάβῃ τηνικαῦτα τὸν ἄνθρωπον, ἔτι δὴ καὶ μᾶλλον ὁ ἔμετος οὐ θᾶττον μόνον, ἀλλὰ καὶ πλείονος ἔσται χολῆς, εἰωθότος ὡς τὰ πολλὰ τοῦ ῥίγους ἔμετον χολῆς ἐργάζεσθαι, καθότι κἂν τῷ περὶ αὐτοῦ δέδεικται λόγῳ. καὶ μὲν δὴ καὶ εἰ πίῃ τι καὶ φάγῃ κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ ἄνθρωπος, ἔτι δὴ καὶ μᾶλλον ἐμεῖ τε ταχέως, ἐπειδὴ συνδιαφθείρεται τὰ ληφθέντα, κατὰ τὴν γαστέρα χολῇ.

Τουτέων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, τεταρταῖοι πιέζευνται μάλιστα καὶ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέντοι πλεῦνες αὐτῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, χειμάζονται δὲ μάλιστα πεμπταῖοι, ἀπαλλάσσονται δὲ ἐνναταῖοι, ἢ ἑνδεκαταῖοι. οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τἄλλα κατὰ λόγον αὐτέοισι τῶν πρόσθεν γίνονται, ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος.

Τρεῖς διαφορὰς εἴρηκε κατὰ χρόνον ἀλγήματος κεφαλῆς, καὶ τρεῖς προθεσμίας τῆς κρίσεως αὐτῶν. πρώτη μὲν οὖν ἐστι διαφορὰ τῆς κατὰ τὴν πρώτην ἡμέραν τοῦ νοσήματος, ἀρχομένης τῆς κεφαλαλγίας, δευτέρα δὲ τῆς κατὰ τὴν τρίτην, τρίτη δὲ τῆς κατὰ τὴν ε. ἁπάσαις γε μὴν αὐταῖς κοινόν ἐστιν εἰς τὴν ζ. πως ἡμέραν ἀφ' ἧς ἤρξαντο τελευτᾶν. ἡ μὲν οὖν κατὰ τὴν πρώτην ἀρξαμένη, τὴν ἑβδόμην ἔχει αὐτὴν κρίσιμον. ἡ δὲ κατὰ τὴν τρίτην, ὅσον ἐπὶ τῷ τῆς ἑβδομάδος ἀριθμῷ, τὴν δεκάτην. ἐπεὶ δὲ οὐκ ἔστιν αὕτη κρίσιμος εἰς τὴν θ. ἢ ἐνδεκάτην ἡ κρίσις ἀφικνεῖται, τῆς ἑβδομαδικῆς προθεσμίας, ἤτοι πρωϊαίτερον, ἢ ὀψιαίτερον ἡμέραν μίαν. καί μοι μέμνησο πάλιν, ὅτι καὶ τῆς θ. ἡμέρας ὡς κρινούσης ἐμνημόνευσε νῦν, καθάπερ καὶ πρόσθεν ὡς ἔδειξα, τῆς τρίτης οὔσης κατὰ τετράδων, ἢ ἑβδομάδων περίοδον ἐχουσῶν τὸ κρίνειν, ἀλλὰ τῷ λόγῳ τῶν ἐμπιπτουσῶν, ὡς ἐν τοῖς περὶ κρισίμων ἐδείχθη. καὶ μὲν δὴ καὶ ἡ τρίτη διαφορὰ τῆς κεφαλαλγίας, ἡ κατὰ τὴν πέμπτην ἡμέραν ἀρχομένη, ἄχρι τῆς ιδ. ἐκτείνεται, διὰ τὸ μὴ πάνυ θερμή τις εἶναι, καὶ κατεπείγουσα. δηλοῖ δ' ἐκ τοῦ κατὰ τὴν ε. ἡμέραν ἄρξασθαι, καὶ διὰ τὸ τῆς ἑβδομάδος προσθεισῆς, ταῖς πρώταις πέντε, τὰς πάσας γίνεσθαι ιβ. κρίσιμον δὲ οὐκ εἶναι τὴν ιβ. οὐ μὴν οὐδὲ προλαβεῖν οἷόν τε ἐστι τὴν μίαν ἡμέραν. ἐδείχθη γὰρ τοῦτο τῶν ὀξύτατα κινουμένων ἴδιον. εἰκότως οὖν εἰς τὴν ιδ. ἐξέπεσε.

Γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶν, ἐν τοῖσι τριταίοισι μάλιστα. τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τούτοισιν, μᾶλλον δὲ καὶ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι.

Τοῖς μὲν ἤδη τελείοις, ἐφ' ὧν εἴωθε φέρειν τὴν τῶν ἀνδρῶν, καὶ γυναικῶν προσηγορίαν, ἐν πᾶσι τοῖς τριταίοις πυρετοῖς, γίνεται τὰ τοιαῦτα, διὰ τὸ χολωδεστάτην εἶναι τὴν ἡλικίαν. ἐν δὲ τοῖς νεωτέροις αὐτῶν οὐκ ἐν πᾶσιν, ἀλλ' ἐν μόνοις τοῖς ἀκριβέσι τριταίοις, οἵπερ εἰσὶ χολωδέστατοι. γίνεται δὲ κἂν τοῖς ὀξυτάτοις νοσήμασι, χολωδέστατα γὰρ καὶ ταῦτα, καὶ δῆλον, ὅτι καὶ τοῖς τελείοις πολλῷ μᾶλλον. ἀκόλουθον γὰρ ὂν τοῦτο τοῖς προειρημένοις, οὐκέτι προσέγραψεν, ὡς καὶ πρὸς ἡμῶν νοεῖσθαι δυνάμενον.

Οἷσι δὲ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται, ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐπὶ δεξιὰ, ἢ ἐπ' ἀριστερὰ ξυντείνεταί τι, μήτε σὺν ὀδύνῃ μήτε σὺν φλεγμονῇ, αἷμα δὴ διὰ ῥινῶν τουτέοισι ῥυῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου, μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσιν νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι, τοῖσι δὲ τριήκοντα ἔτεσι, καὶ γεραιτέροισιν ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι.

Τοιουτότροπον εἴρηκε πυρετὸν, ὃν κατὰ τὴν ἀρχὴν τοῦ λόγου διὰ τῆσδε τῆς λέξεως ἐδήλωσεν. ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ τὴν κεφαλὴν ἀλγέειν. τοῦτ' οὖν κοινὸν ἀμφοτέροις φυλάξας τοῖς πυρετοῖς, κοινὸν αὐτοῖς ἔτι ἔσεσθαι τὸ κριθῆναι δι' ἐκκρίσεως ἔφη, τὸ ἴδιον δ' ἑκατέρῳ προσέθηκεν, ἐν τῷ τῆς ἐκκρίσεως εἴδει. χολώδη μὲν ἔμετον τῷ προτέρῳ, αἱμορραγίαν δ' ἐν τῷ δευτέρῳ, τὰ δὲ τούτων δηλωτικὰ σημεῖα, τῷ μὲν προτέρῳ, τά τε φανταζόμενα θεάματα ὀρφνώδη, καὶ τὸν καρδιωγμόν. τῷ δὲ δευτέρῳ, ἀμβλυωπίαν τε καὶ μαρμαρυγὰς, καὶ συντάσιν,

τασιν, ἐν ὑποχονδρίῳ χωρὶς ὀδύνης καὶ φλεγμονῆς, γνωρίσματα μέγιστα ἐστὶ τῆς ἄνω ῥοπῆς τῶν χυμῶν. εἴρηκε δὲ καὶ ἔμπροσθεν, αἱμορραγίας ἑπομένας κρισίμως ταῖς καθ' ὑποχόνδριον φλεγμοναῖς, καὶ μᾶλλον τοῖς νεωτέροις ἐφ' ὧν αἷμα πλεονάζει, καὶ αὖθις αὐτό τε τοῦτο νῦν προσέγραψε, καὶ ὡς οἱ χολώδεις ἔμετοι τοῖς ἀκμάζουσι γίνονται. περὶ δὲ τὸ πρῶτον τῶν ἐπιδημιῶν, καὶ διαρρήδην ἀκουσίως ἔφη τοὺς μέλλοντας αἱμορραγήσειν ἐκ ῥινῶν. ταῦτ' οὖν συνθεὶς πάντα, ἔτι τε προσθεὶς αὐτοῖς ἃ δι' ἑτέρων εἶπεν, ἀεὶ προγνώσῃ γενησομένην αἱμορραγίαν, καὶ μάλιστ' ἐὰν ἐναργῶς σοι φανήσεταί ποτε τὸ περὶ τοὺς σφυγμοὺς σημεῖον ἐκκρίσεως, ὃ πανταχοῦ προηγεῖται τῶν κρισίμων αἱμορραγιῶν.

Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν, ἢ πελιὸν, ἢ ἐρυθρὸν ἴσχωσι. γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι, τοῖσι νεωτάτοισιν ἐς τὰ ἑπτὰ ἔτεα. τὰ δὲ πρεσβύτερα τῶν παιδίων, καὶ οἱ ἄνδρες οὐκέτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷά περ ἐπὶ τῇσι φρενίτισι γίνεται.

Περὶ σπασμῶν αὐτῷ ὁ λόγος νῦν ἐστιν, οὐ τῶν ἐν ἑνὶ μορίῳ τοῦ σώματος γινομένων, ἀλλὰ τῶν ὅλον αὐτὸ καταλαμβανόντων, οἵτινες ἐπὶ μὲν τῶν παιδίων ἑτοιμότατα γίνονται, καὶ μᾶλλον ἐπὶ θηλαζόντων. οὐχ ἥκιστα δὲ, καὶ δι' αὐτὸ τὸ γάλα, καὶ μᾶλλον ὅταν ᾖ λίαν παχὺ, καὶ ὅτι πλείστῳ τε χρῶνται, καὶ ἀκαίρῳ τροφῇ, μηδὲν εἰδότα τῶν κατὰ τὸν βίον ἄλλο, πλὴν τοῦ ἐσθίειν. πᾶν γὰρ τὸ νευρῶδες αὐτῶν γένος, ἀσθενές ἐστι. τριῶν γὰρ οὐσῶν περὶ γένος δυνάμεων, ἐφ' ὧν διοικεῖται τὸ σῶμα, ταῖς δυσὶ μὲν εἰσὶν ἰσχυρότερα τὰ παιδία τῶν ἄλλων, ἀσθενέστερα δὲ τῇ μιᾷ, τῇ κατὰ τὰ νεῦρα, διὸ καὶ σπᾶται μὲν ἑτοιμότατα. πάλιν δὲ εἰς τὸ κατὰ φύσιν ἐπανέρχεται ῥᾳδίως, τοῖς δὲ τελείοις οὔτε γίνεται ῥᾳδίως, οὔτε καθίσταται τὰ σπασμώδη πάθη, διὰ τὴν ἰσχὺν τῆς κατὰ τὰ νεῦρα δυνάμεως. γίνεται μὲν οὖν σπασμὸς, καὶ χωρὶς πυρετῶν ἐν ταῖς σφοδραῖς πάνυ ψύξεσι, καὶ πλήθει χυμῶν ἀπέπτων τε καὶ παχέων, ἔτι τε φλεγμοναῖς ἐν νεύροις καὶ τένουσιν, ὅταν εἰς συμπάθειαν ἄγωσι τὴν ἀρχήν. ἀλλὰ νῦν ὁ λόγος αὐτῷ, περὶ τῶν ἐν πυρετοῖς γινομένων σπασμῶν ἐστιν, ὥσπερ ἐξ ἀρχῆς ὑπέθετο διελθεῖν προγνώσεις ἐπί τε τῶν ὀξέων νοσημάτων, καὶ ὅσα τούτων μεταπιπτόντων γίνεται. τοὺς μὲν οὖν ἐν τοῖς τοιούτοις νοσήμασι σπασμοὺς, ἐπὶ μὲν τῶν ηὐξημένων, ἐκεῖνα τὰ σημεῖα δηλώσει τὰ μάλιστα ταῖς χαλεπαῖς ἐπιφαινόμενα φρενίτισι, καὶ μάλιστα ὅσα διαστρεφομένων γίνεται τῶν ἐν τῷ προσώπῳ μορίων, ἢ ὀδόντων πριομένων, ἢ ὀφθαλμῶν ἀστηρίκτων, ἢ διεστραμμένων. ἐπὶ δὲ τῶν παιδίων ἀρκεῖ καὶ τὸ ἀγρυπνῆσαι μόνον. ἐνίοτε δὲ καὶ φοβηθῆναι σφοδρῶς, ὅπερ ὠνόμασεν ἐκπλαγῆναι, καὶ τὸ κλαῦσαι μετ' ἐντάσεως σφοδροτέρας, καὶ τὸ τὴν γαστέρα μὴ διαχωρῆσαι. ταῦτα μὲν οὖν ὡς αἴτια, σημεῖα δὲ τοῦ σπασθήσεσθαι, πρὸς τοῖς τοιούτοις αἰτίοις, τὰ παρὰ φύσιν χρώματα, δηλοῦντα τῶν χυμῶν τὴν μοχθηρίαν, ἐφ' οἷς εἴωθε σπᾶσθαι. χλωρὸν μὲν γὰρ ἢ πελιδνὸν, μοχθηρὸν τῇ ποιότητι δηλοῖ τὸν χυμὸν, ἐρυθρὸν δὲ πλῆθος αἵματος ἐνδείκνυται.

Τοὺς δὲ ἀπολλυμένους τε καὶ περιεσομένους τῶν παιδίων, καὶ τῶν ἄλλων τεκμαίρεσθαι τοῖσι ξύμπασι σημείοισιν ὡς ἐφ' ἑκάστοισιν ἕκαστα διαγέγραπται.

Τοῦτο καὶ πρόσθεν εἴρηκε, καὶ νῦν ἀναμιμνήσκει, καὶ μετ' ὀλίγον αὖθις ἐρεῖ, διότι χρησιμώτατόν ἐστι, καὶ ὅμως οὐκ ἀκούουσιν αὐτοῦ πολλοὶ τῶν ἰατρῶν. ἀλλ' ἐνίοτε θεασάμενοι τι τῶν κακῶν σημείων, ἐφ' ὧν συνέβη ζῆσαι τὸν ἄνθρωπον, ἐπεγκαλοῦσιν ὡς ψευσαμένῳ, καθάπερ αὖθις ἀγαθῶν φανέντων, ἀπολλυμένου τοῦ κάμνοντος, οὐκ ἀληθεύειν φασὶ τὸν Ἱπποκράτην, μηκέτι ὁρῶντες, ὡς ἐνίοτε μὲν ὑπὸ πολλῶν ἀγαθῶν σημείων ἓν νικᾶται κακὸν ἰσχυρὸν, ἐνίοτε δὲ ἔμπαλιν ὑπὸ πολλῶν κακῶν, ἓν ἀγαθὸν τὸ ἰσχυρόν.

Ταῦτα δὲ λέγω περί τε τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται.

Καὶ τοῦτο καθάπερ καὶ τὸ πρότερον ἔγραψεν Ἱπποκράτης, ἀπομαντευσάμενος τῆς ἀμελείας τε ἅμα καὶ προπετείας τῶν ἀναγνωσομένων αὐτοῦ τὰ βιβλία, καὶ ζητησόντων αὖ ὅπως ἐν αὐτῷ μνημονεύει τεσσαρακοστῆς τε καὶ ἑξηκοστῆς ἡμέρας, ἐμπύων τε καὶ ὑδερικῶν, καὶ τεταρταίων πυρετῶν. ὅπου γὰρ καὶ γράψαντος αὐτοῦ σαφῶς, ὅτι μὴ περὶ μόνων τῶν ὀξέων, ἀλλὰ καὶ τῶν ἐν μεταπτώσεως τούτων εἰς χρόνου μῆκος ἐκτεινομένων, ὁ λόγος αὐτῷ γέγονεν, ὅμως τοιαῦτα ζητοῦσι, τί ποτ' ἐξεπράξαντ' ἂν, εἰ μὴ τοῦτ' ἐποίησε.

Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους, καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νόσημα, καὶ ὅσοισιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα πάντα, διακρίνειν λογιζόμενον τὰς δυνάμεις αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν.

Ὅτι μὲν ἀεὶ χρὴ πάντα θεάσασθαι τὰ σημεῖα, καὶ μὴ πιστεύειν ἑνὶ, καὶ διὰ τῶν ἔμπροσθεν εἶπεν, ἀλλὰ νῦν γε προσέθηκε τὸ χρησιμώτατον τοῦ λόγου. φησὶ δ' εἶναι τοῦτο, τὸ τὰς δυνάμεις ἐκλογίζεσθαι τῶν σημείων, οὐχ ἁπλῶς οὐδὲ ταύτας, ἀλλὰ μετὰ τοῦ παραβάλλειν ἀλλήλαις. ἔστι μὲν γὰρ ἔνια τῶν σημείων, καὶ αὐτὰ καθ' ἑαυτὰ μοχθηρὰ μᾶλλον τε καὶ ἧττον, ὧν τὰς δυνάμεις ἐκμετρεῖσθαι χρὴ τοῖς ῥήμασιν, ὡς καὶ πρόσθεν ἐδείκνυεν, ἢ θανατῶδες εἰπὼν, ἢ θανατωδέστερον, ἢ ὀλέθριον κάρτα. καί που προσθεὶς τὸ ἤδη, κἀπὶ τῶν ἀγαθῶν πάλιν ὁμοίως, ἢ σωτήριον, ἢ περιεστηκὸς ἁπλῶς, ἢ μεγάλην δύναμιν ἔχον, ἢ καὶ μετὰ τοῦ κάρτα. πλέον γάρ ἐστι τὸ φάναι τὸ κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτη-

ρίαν τοῦ ψιλοῦ, καὶ μόνον μεγάλην δύναμιν ἔχειν. ἀλλὰ νῦν γε πρὸς ἀλλήλας φησὶ χρῆναι παραβάλλειν τὰς δυνάμεις, οὐ τῶν ὁμογενῶν μόνων σημείων, οἷον ἀγαθῶν πρὸς ἀγαθὰ, καὶ κακῶν πρὸς κακὰ, ἀλλὰ καὶ τῶν ἀγαθῶν πρὸς κακά. διὰ γὰρ τῆς παραβολῆς ταύτης, καὶ τὰ παρὰ λόγον γινόμενα ἠνίξατο. πρῶτον μὲν γὰρ γνωριοῦμεν, ὅτι παρὰ λόγον ἐγένετο, δεύτερον δ' οὐ καταπλαγησόμεθα, καὶ τρίτον ἐπισκεψόμεθα, διὰ τί γέγονεν, ἢ τί δηλοῦν πέφυκεν. εἴρηται μὲν οὖν ἅπαντα ταῦτα κατὰ τὰς ἡμετέρας πραγματείας, καὶ μάλιστα τὴν περὶ κρίσεων. οὐ χεῖρον δὲ καὶ νῦν ἕνεκα παραδείγματος ἀναμνῆσαι τινῶν ἀπὸ κοινῆς ἀρχῆς ἀρξαμένων ἁπάσης τῆς προγνωστικῆς τέχνης. ἐπισκέπτεσθαι γάρ σε χρὴ πρῶτον ἁπάντων, εἴτ' ἐν ἐξαιρέτως πέπονθε μόριον, εἴτε τῶν ἐν τοῖς ἀγγείοις χυμῶν ἐστι τὸ νόσημα. δεύτερον δὲ κατά τινα μάλιστα δύναμιν ὁ κίνδυνος ἐστὶ τῷ κάμνοντι. προείρηται δ' ὅτι τρεῖς εἰσιν, εἶθ' ἑξῆς τὰ τῆς δυνάμεως ἐκείνης ἀγαθά τε καὶ κακὰ γνωρίσματα. φέρε γὰρ ἀπαθῆ μὲν εἶναι τὴν ἀπ' ἐγκεφάλου δύναμιν, ἀπαθῆ δὲ καὶ τὰ μόρια τοῦ σώματος, ἐπὶ τοῖς χυμοῖς δὲ μόνοις σηπομένοις, ἔχοντος τὴν ὑπόθεσιν ὅλου τοῦ νοσήματος, ὥσπερ ἐστὶ πυρετώδους ὄντος. εἶτα τούτων οὕτως ἐχόντων, ἀπ' ἀρχῆς φαίνεσθαι πάντα ἐν τοῖς οὔροις ἀγαθὰ σημεῖα, τοῦτον τὸν ἄνθρωπον ἀδύνατον ἀποθανεῖν, ὥστε κἂν ἐπιφαίνεταί τι σύμπτωμα φοβερὸν, οὐ μόνον οὐ καταπλαγήσεται καθάπερ πολλοὶ τῶν ἰατρῶν, ἀλλὰ καὶ κρίσεως αὐτὸ μηνυτικὸν ἡγήσει. καὶ γὰρ ὀδυνῶνται κεφαλὴν, καὶ παρανοοῦσι, καὶ βλέπουσιν ὀρφνώδη τε καὶ ξανθὰ, καὶ ἀμβλυώττουσι, καὶ καρδιαλγοῦσι, καὶ δυσπνοοῦσιν, ὑποχόνδριά τε συντείνονται λόγῳ κρίσεως, αὖθις δὲ διαχωρήματα κακοήθη, καὶ πτύσματα, καί τινες ἔμετοι γινόμενοι, καὶ μόρια μελαινόμενα, καὶ σηπόμενα, καὶ νεκρούμενα, τὸν ἄνθρωπον ἀποφαίνει κατὰ πάντα βελτίω. καὶ γὰρ εὐπνούστεροι, καὶ εὐορεκτότεροι, καὶ εὐυπνότεροι, καὶ ἀνωδυνώτεροι, καὶ κατὰ τὰς ἀναστάσεις κουφότεροι, καὶ τὸ σύμπαν εὐφορώτεροι πολλάκις ἐπὶ τοῖς τοιούτοις ἀποκρίσεσιν οἱ κάμνοντες ἐγένοντο, φανερῶς ἐνδεικνυμένων τῶν κενουμένων ἐκκαθαίρεσθαι τὸ σῶμα, τῆς φύσεως ἐκ παραδόξου τὴν ἔμπροσθεν ἧτταν ἀναμαχομένης. ἅπαντα δὲ ταῦτα δυνάμει προείρηται, καὶ διώρισται κατὰ τὸ βιβλίον τοῦτο, καὶ μόνα τὰ περὶ τῶν σφυγμῶν αὐτοῖς γε χρὴ προσθεῖναι, γεγραμμένα πρὸς ἡμῶν ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ σαφῶς πάντα, μηδαμόθεν περιεχομένων σφιγγὸς αἰνιγμάτων, οἷα μυρία γεγράφασιν οἱ περὶ τὸν Ἀρχιγένην. ταῦτ' οὖν ἅπαντα πρόχειρα τῇ μνήμῃ φυλάττων, ἐπίβλεπε παραβάλλων ἀλλήλοις. ἐξ αὐτῶν γὰρ δυνήσῃ † προλέγειν, καὶ τὰ παραλειπόμενα πρὸς τῶν ἀρρώστων, ἐνίοτε μηδ' αὐτοῖς τοῖς οἰκείοις αὐτῶν ἀκριβῶς γινωσκόμενα, ὡς ἐμὲ πολλάκις ἐθεάσασθε, τοῦτο μὲν ἐπὶ τῶν πρ[ο]ιόντων τοὺς ὀδόντας εἰπόντα, φύσει τὸ σύμπτωμα τοῦθ' ὑπάρχειν αὐτοῖς, ὡς νομίσαι τοὺς ἀκούοντας οἰκείους οὐκ ἐξ ἰατρικῆς, ἀλλ' ἀπὸ μαντικῆς τέχνης γεγονέναι τὴν πρόρρησιν. ἐνίοτε δ' ἐπὶ τῶν κοιμωμένων περιεστραμμένοις τοῖς ὀφθαλμοῖς, ὅτι καὶ τοῦτ' ὑπάρχειν φύσει. καί τινος ἐπὶ τὰ στέρνα κατακειμένου, καὶ τοῦτο ἀναγκαῖον ὑπάρχειν αὐτῷ φύσει, γυναικὸς δέ τινος ὤφθη πρὸς ἡμῖν εἰσελθούσιν, ὁ δεξιὸς ὀφθαλμὸς ὑπερέχειν θατέρου πολλῷ δείκνυται, περὶ ἧς ἔφην, ἔμπροσθεν τῆς νόσου γεγονέναι τὴν προπέτειαν. ἐπ' ἄλλου δὲ κοιλότητα τοῦ κροτάφου μεγίστην, ὁρωμένου κἀκείνου πρῶτον τότε, κατὰ φύσιν ὑπάρχειν ἔφην αὐτὴν, ἄλλου δὲ ὑφαίμους τοὺς ὀφθαλμοὺς εἶναι φύσει, παρεσπασμένον δ' ἐφ' ἑτέρου τινὸς μέρος ὀφρύων, ἢ ὀφθαλμῶν, ἢ χειλῶν εἶπον. ἔνια δὲ καὶ πρὸ τοῦ νοσήματος ἔκ τινος ἔξωθεν αἰτίας γεγονέναι, καὶ μὴν δὴ καὶ διαλείποντα σφυγμὸν, ἑτέροις φυξίαν τε δὲ τοιαῦθ' ἕτερα, φύσει τισὶν ὑπάρχειν ἔφην, ἀγνοούμενα καὶ τοῖς κάμνουσιν αὐτοῖς, ἐνίοτε καὶ σωθέντων αὐτῶν ἀφθησομένα παραμένοντα, φωνάς τε τραχείας, ἢ βραγχώδεις, ἢ κλαγγώδεις, τῷ μὲν φύσει, τῷ δὲ πρὸ τῆς νόσου γενομένας, περὶ ὧν ἐπὶ πλέον ἐν τῇ περὶ τοῦ προγινώσκειν πραγματείᾳ διεληλυθὼς, οὐδὲν δέομαι ἐπαναλαμβάνειν νῦν, ἀλλὰ τὸ κεφάλαιον ἀρκεῖ τῆς τῶν τοιούτων εὑρέσεως εἰπόντα, καταπαῦσαι τὸν λόγον. ὅταν γὰρ ἐκ τῶν ἄλλων ἁπάντων, ἀκίνδυνον φαίνεται τὸ νόσημα, τὸ τοιοῦτον φοβερὸν σύμπτωμα φύσει παρεῖναι γίνωσκε, ἢ πάντως γε πρὸ τῆς νόσου γεγονέναι, διά φανεράν τινα αἰτίαν, ὥστε καὶ ἐμοὶ καὶ Ἱπποκράτει πιστεύσαντες, ἐπισκέπτεσθε καθότι προείρηται, τὰς τῶν σημείων δυνάμεις ἐκλογιζόμενοι, καθάπερ φημὶ προεῖπεν. αὐτὸς γὰρ τοῦ παραδείγματος ἐμνημόνευσεν, ὅταν ὁμοῦ τε πῦον ἀναβήσσῃ καὶ χολήν. εἴρηται δ' αὐτῷ τοῦτο, κατά γε τὴν ῥῆσιν ἐκείνην ἧς ἡ ἀρχή. τῶν δὲ ἐμπυημάτων ὅσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκονται, ὀλέθρια κάρτα, εἴτ' ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύοιτο, εἴτε ὁμοῦ. κατὰ ταύτην γὰρ τὴν ῥῆσιν, ἠξίωσε θεωρεῖν ἀκριβῶς ἅπαντα τὰ τῷ κάμνοντι συνυπάρχοντα, καὶ δῆλον γε ἔνια αὐτῶν, τῶν μὲν ἀγαθῶν οὕτως ἀρξάμενος, ἔστι δὲ τὰ μὲν ἀγαθὰ ταῦτα, εὐπετέως φέρειν τὸ νόσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύελον ῥηϊδίως ἀναβήσσειν. εἶτα ἐφεξῆς αὐτὰ διελθὼν πάντα, τῶν κακῶν αὖθις ἀρχόμενος φησὶ, κακὰ δὲ τὰ ἐναντία τούτων, δυσπετέως φέρειν τὸ νόσημα, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόγις ἀναβήσσειν, διψῆν κάρτα, τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι. αὕτη δὲ καὶ ἡ τῶν μοχθηρῶν σημείων ἀρχὴ τῆς διδασκαλίας. ἔμπροσθεν ὑπ' αὐτοῦ γεγενημένης, κατὰ τὴν προειρημένην περὶ τῶν πτυσμάτων ὧν ἔγραψε ὑπόθεσιν. ὡς οὖν φησιν ἐπὶ τούτων εἶπον, οὕτως ἐπὶ πάντων πρᾶττε μηδὲν παραλείπων, ἀλλὰ κατὰ μέρος ἐκλογιζόμενος ἑκάστου σημείου τὴν δύναμιν, εἶθ' οὕτως παραβάλλων ἀλλήλοις αὐτά.

Χρὴ δὲ καὶ τὰς φορὰς, τῶν νοσημάτων τῶν ἀεὶ ἐπιδημεόντων, ταχέως ἐνθυμεῖσθαι, καὶ μὴ λανθάνειν τὴν τῆς ὥρης κατάστασιν.

Εἰς τὸ προγνῶναι τὰ γενησόμενα τοῖς κάμνουσι συμπτώματα, μέγιστον συντελεῖ καὶ ἡ τῶν ἐπιδημούντων νοσημάτων γνῶσις, ἤδη τε ἐνεστῶτα καὶ μέλλοντα ἔσεσθαι. διείλεκται δ' αὐτὸς ἐν κεφαλαίοις βραχέσι κατὰ τοὺς ἀφορισμοὺς τά τε καθ' ὥραν ἑκάστην πλεονάζοντα, καὶ τὰ τῇ παρούσῃ τε καὶ προγεγονυίᾳ καταστάσει συνεπόμενα. τοῦ μὲν γὰρ ἦρος ἔφη πλεονάζειν τὰ μελαγχολικὰ, καὶ τὰ μανικὰ, καὶ τὰ ἄλλα ἐφεξῆς ὅσα κατέλεξεν ἅτε τοῦ ἦρος ἐστὶν ἴδια, καὶ τῶν ἄλλων ὡρῶν ὅταν δηλονότι φυλάττωσι τὰς οἰκείας φύσεις. εἰ δὲ μὴ φυλάττοιεν ἐπιδημήσειν φησὶν ἕτερα νοσήματα τῇ γενομένῃ καταστάσει προσήκοντα, καὶ τούτων ἐδίδαξε, τίνα μὲν ἐξ ὑστέρου γενήσεται, τίνα δὲ εὐ-

θὺς ἅμα τῇ πρώτῃ καταστάσει. περὶ μὲν οὖν τῶν ὕστερον ἐπιγινομένων, ὧδέ πως ἐδίδαξεν. ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς ἢ καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, καὶ τὰ ἄλλα ὅσα τούτων ἐφεξῆς φησί. περὶ δὲ τῶν ἐν αὐταῖς ταῖς παρούσαις καταστάσεσιν, ἐν οἷς φησι, τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβρίων, εἰσὶν ὑγιεινότεροι, καὶ τἆλλα ὅσα τούτων ἐφεξῆς. ἐν ἀφορισμοῖς μὲν οὖν διὰ κεφαλαίων ἐδίδαξε περὶ τῶν ἐπιδημίων νοσημάτων. ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ἐπὶ τὰ κατὰ μέρος ἧκεν. ὁπόση δ' ἐστὶ καὶ τούτων αὐτῶν ἡ χρεία, καὶ τί δὲ κοινὸν ἐν τοῖς καθόλου περιέχεται, λεχθήσεται κατὰ τὰ τῶν ἐπιδημιῶν ὑπομνήματα τούτοις ἀκολούθως γραφησόμενα. νυνὶ δὲ τὸ κεφάλαιον ὁρῶ τῆς ὅλης† προγνώσεως, ὑπὲρ οὗ τὸν λόγον ὁ Ἱπποκράτης ἐποιήσατο κατὰ τὴν προκειμένην ῥῆσιν. οἷς γὰρ εἴρηκε σημείοις ἐν τῷ προγνωστικῷ τούτῳ βιβλίῳ τῶν νοσημάτων αὐτῶν ἰδίοις, τούτοις ἀξιοῖ προστίθεσθαι τὰ διὰ τὸ περιέχον γινόμενα. φέρε γὰρ ὦφθαι τινὰ σημεῖα κατὰ τὸν λόγον τοῦ νοσήματος αἱμοῤῥαγίας. εἶναι δὲ καὶ τὴν ὥραν ἐαρινήν, ἔτι μᾶλλον ἐλπίσαις ἔσεσθαι τὴν αἱμοῤῥαγίαν. εἰ δὲ καὶ ἡ παροῦσα κατάστασις εἴη θερμὴ καὶ ὑγρά, πολλῷ δὴ μᾶλλον, καὶ ἡ τῶν προγεγενημένων δυοῖν ἢ τριῶν ὡρῶν κατάστασις, εἰ αἵματος εἴη γεννητική, ἔτι καὶ μᾶλλον ἐλπὶς ἔσεσθαι τὴν αἱμοῤῥαγίαν. ὥσπερ οὖν ὁ λόγος ἐπὶ τῆς αἱμοῤῥαγίας, οὕτως καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ἀρκέσει δὲ εἰπεῖν ἓν ἔτι παράδειγμα γινομένων ἱδρώτων ἐν καύμασιν ἀμυδροῖς, πυρετοὶ ἀνίδρωτοι τὰ πλεῖστα, τοῖσι δὲ ἐπὶ ψεκάσιν, ἱδρωτικώτεροι γίνονται. δῆλον οὖν ὅτι πρὸς τοῖς ἄλλοις σημείοις, ὅσα τοῦ νοσήματός ἐστιν ἴδια, δηλωτικὰ γινομένων ἱδρώτων, ἔτι καὶ τοῦ περιέχοντος ἡ κατάστασις προσερχομένη, τὴν ἐλπίδα τοῦ γενησομένου βεβαιοτέραν ὑπογράφει.

†πραγματείας

Εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων, καὶ τῶν ἄλλων σημείων, καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακὸν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν.

Οὐ παρὰ τοῖς ἰατροῖς μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ῥήτορσιν ἐζήτηται, τινὶ διαφέρει σημείου τεκμήριον, οὐκ ἐν σημαινομένοις μόνον, ὡς ἄλλοθι τοῦ προβλήματος ἔχοντος τὴν σύστασιν, ἀλλὰ καὶ πραγμάτων ἐφαπτομένου. χρὴ γὰρ εὑρεῖν τινα φύσιν διττὴν πραγμάτων, ἀφ' ὧν οἱ μὲν ἰατροὶ προγινώσκουσι, οἱ δὲ ῥήτορες ἀποδεικνύουσιν, ἢ πείθουσιν. ἐπὶ μὲν οὖν τῶν εἰς τὰς ἀποδείξεις λαμβανομένων, εἴτ' ἐπιστημονικὰς οὔσας, εἴτε πιθανάς, ἡ διαφορὰ μὲν μία ἐστὶν ἀναγκαία τε καὶ διὰ παντὸς ἔχουσα τὸ ἕτερον τῷ ἑτέρῳ ἑπόμενον, ἐξ ὧν ἡ πρότασις σύγκειται. ἄλλη δ' οὐκ ἀναγκαίως, οὐδὲ διὰ παντός, ἀλλ' ὡς τὸ πολὺ μόνον. ἔτι δὲ κατ' ἄλλην διαφοράν, ἡ μὲν ἐκ τηρήσεως ἐστὶν ἐμπειρικῆς, ἡ δ' ἐξ ἀκολουθίας λογικῆς, ὅπερ ἐστὶν ἔνδειξις. αὕτη μὲν ἐστὶ τῶν πραγμάτων ἡ διαφορά. τοῖς δ' ὀνόμασιν ἐπ' αὐτῶν οὐχ ὁμοίως ἐχρήσαντο πάντες, ἀλλ' οἵγε χαριέστεροι, παρίημι γὰρ ἑκὼν τοὺς ἄλλους, ἐπὶ μὲν τῇ προτέρᾳ τομῇ, κατὰ τὸ διηνεκῶς μὲν ἐν ὁτιοῦν δηλοῦντος ἀξιοῦσι χρῆσθαι τῇ τοῦ τεκμηρίου προσηγορίᾳ, σημεῖον δ' ὀνομάζουσι τὸ ἕτερον. ἐπὶ δὲ τῇ δευτέρᾳ, τὸ μὲν ἐκ τηρήσεως σημεῖον, τὸ δ' ἐξ ἐνδείξεως τεκμήριον. ὅτι μὲν οὖν οὕτω χρῶνται τοῖς ὀνόμασιν οἱ Ἕλληνες, οὐκ ἰατροῖς μόνον ἐπίστασθαι χρήσιμον, ἀλλὰ κἀκείνοις, ὅσοις τῇ τέχνῃ προσήκει τὸ ἑλληνίζειν. ὅτι δὲ εἴς τε τὰς ἀποδείξεις, καὶ τὰς προγνώσεις ἡ εἰρημένη διαφορὰ τῶν πραγμάτων ἐγνῶσθαι χρησιμωτάτη, πρόδηλον εἶναι παντὶ νομίζω. τὸ γε μὴν ἀμφότερα τὴν ἑαυτῶν ἀεὶ διαφυλάττειν δύναμιν, ὅσα τε ἀγαθόν τι δηλοῖ, καὶ ὅσα τι κακόν, ἄξιον ἐπισκέψεως ἐστίν. ἐν γοῦν τοῖς ἀφορισμοῖς αὐτὸς εἶπεν, ἐν τῇσι νούσοισι ἧσσον κινδυνεύουσιν οἱ νοσέοντες, οἷς ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίας, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων. τοῦτ' οὖν πρὸς τὸ νῦν εἰρημένον, οὐ διαφέρεται, κακὸν μὲν γάρ τι σημαίνειν ἔφη τὰ κατὰ διὰ παντός, οὐ μὴν ὅτι γε ὡσαύτως, ἢ οὐχ ὡσαύτως ἔτι προσέγραψεν ὁ εἰρημένος ἀφορισμός. οὐδέτερον δὲ μεταπίπτουσιν εἰς τὴν ἐναντίαν φύσιν, ἀλλ' ἧττον καὶ μᾶλλον ὑπάρχειν αὐτοῖς τοῦτό φησι, παρά τε τὰς φύσεις, καὶ τὰς ἡλικίας, καὶ τὰ ἄλλα ὅσα κατέλεξεν, ὥστε κατὰ τοῦτο μέν, οὐκ ἂν ἐναντία λέγοιτο πρὸς Ἱπποκράτους. κατ' ἐκεῖνο δὲ μᾶλλον ὅταν εἴπῃ, τοῖσι μὲν κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον. τὰ γὰρ πολλὰ τῶν τοιούτων ἐστὶν ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθεν. διὰ τοῦτο γοῦν αὐτὸ προσέγραψεν ἐν τῷ προγνωστικῷ, τὴν νῦν ἡμῖν προκειμένην ῥῆσιν. ἐν μὲν γὰρ τοῖς συμπτώμασι γίνεταί τις μετάπτωσις, ἔκ τε τῶν πονηρῶν εἰς ἀγαθά, κἀκ τῶν ἀγαθῶν εἰς πονηρά. τῶν δὲ σημείων, οὐδὲν εἰς τοὐναντίον μεταπίπτειν πέφυκεν, ἀλλ' ἧττον μὲν καὶ μᾶλλον ἤτοι κακόν τι σημαίνειν, ἢ ἀγαθόν, οὐ μὴν ἀγαθὸν μὲν νῦν, αὖθις δὲ κακόν, ἢ κακὸν μὲν νῦν, αὖθις δ' ἀγαθόν. ὅσα γοῦν ἐν τοῖς οὔροις εἶπεν εἶναι κακὰ σημεῖα, ταῦτ' οὐκ ἄν ποτε ἀγαθὰ γένοιτο, καθάπερ οὐδὲ τῶν ἀγαθῶν οὐδὲν κακόν. οὕτως δὲ καὶ ὅσα περὶ τῶν πτυσμάτων, ἢ διαχωρημάτων ὡς ἀγαθῶν, ἢ κακῶν εἴρηκεν, οὐδὲν εἰς τοὐναντίον μεταπίπτει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ ὅσα περὶ τὸ πρόσωπον εἶπε γίγνεσθαι σημεῖα κατὰ χρόαν, ἢ ὄγκον, ἢ σχῆμα, καὶ περὶ κατακλίσεως δὲ καὶ τοῦ πελιδνοῦσθαι, καὶ μελαίνεσθαι μόριον, ἢ ὁτιοῦν ἄλλο τοιοῦτον πάσχειν. ἅπαντα γὰρ διαφυλάττει τὴν οἰκείαν δύναμιν, οὐ κατὰ τὸ μέγεθος δηλονότι, προείρηται γὰρ ὅτι τὸ μᾶλλον δέχεται καὶ ἧττον, ἀλλὰ κατὰ γένος. ἐπεὶ μήτε τῶν ἀγαθῶν οὐδέν, εἰς τὸ τῶν κακῶν μεταπίπτει γένος, ἐκείνων τε οὐδὲν εἰς τὸ τῶν ἀγαθῶν. ὅταν γε δηλονότι μετὰ τῶν οἰκείων ἐξετάζηται διορισμῶν, οὐ μὴν ἐπί γε τῶν συμπτωμάτων οὕτως ἔχει. καὶ γὰρ δυσπνοοῦσιν ἔνιοι καὶ παραφρονοῦσι, καὶ ὑποχόνδριον ἀνασπῶνται, καὶ μαρμαρυγὰς ὁρᾶν οἴονται, καί τινα ὀρφνώδη προφαίνεσθαι κρίσεως λόγῳ, καὶ μὴν καὶ καρδιαλγεῖν, καὶ χεῖλος τὸ κάτω σείεσθαι, καὶ παρωτίδας, καί τινα ἑτέραν ἀπόστασιν ἔχειν. ἅπαντα γὰρ φαίνεται ταῦτα, ποτὲ μὲν ὡς εἴρηται κρίσεως λόγῳ γινόμενα, ποτὲ δὲ αὐξανομένοις νοσήμασιν ἑπόμενα, καθὸ κἀκεῖνο δεόντως εἴρηται πρὸς αὐτοῦ. τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. διώρισται δ' ἡμῖν ὑπὲρ ἁπάντων τῶν τοιούτων, ἐν ἄλλοις τέ τισι κἀν τοῖς περὶ κρίσεων, ὥστε μηδὲν εἰς τὸ προγινώσκειν ἐνδεῖν, καὶ διὰ τοῦτο ὅπερ ἀεὶ συμβουλεύω, καὶ νῦν διελθεῖν οὐκ ὀκνήσω. πρῶτα μὲν καὶ μάλιστα σπουδάζειν φημὶ μαθεῖν ὅσα τῆς ἰατρικῆς ἐστὶν ἔργα. τὰ δ' ἄλλα ὅσα τοιαῦτα, τινὰ μὲν ἐν φωνῇ καὶ σημαινομένῳ τὴν ζήτησιν ἔχοντα, τινὰ δὲ λογικῆς ἐχόμενα θεωρίας, ὕστερον ποτὲ καὶ κατὰ πολλὴν σχολὴν μεταχειρ-

ζεσθαι, καθάπερ καὶ νῦν ἐπὶ τῶν σημαινομένων, ἔκ τε τοῦ τεκμηρίου ὀνόματος, καὶ τοῦ σημείου. ἐπειδὴ γὰρ ὅσον ἦν χρήσιμον εἰς τὴν τέχνην εἴρηταί μοι, προσθήσω τι καὶ τῆς τούτων ἐξηγήσεως ἐχόμενον, ἕτερον ὧν ἔμπροσθεν εἶπον. ἔστι δὲ τοῦτο τοιόνδε, τῶν κρισίμων συμπτωμάτων ἐγχωρεῖ κατηγορῆσαι τὸ σημείου ὄνομα, τὸ μέντοι τεκμήριον οὐκ ἐγχωρεῖ. μόνα γὰρ ἐκεῖνα σημεῖά τε ἅμα καὶ τεκμήρια καλοῦσιν οἱ Ἕλληνες, ἐξ ὧν ἔνεστι τεκμήρασθαί τι περὶ τῆς σωτηρίας, ἢ ἀπωλείας τοῦ κάμνοντος, ἃ περιλαβὼν ἄν τις ἐν κεφαλαίῳ, φαίη γνωρίσματα εἶναι τῶν διοικουσῶν τὸ σῶμα δυνάμεων, ὅπως ἔχουσιν ἀῤῥωστίας ἢ ῥώμης, ἐν οἷς δηλονότι καὶ τὰ τῆς ἀπεψίας τε καὶ τῆς πέψεως σημεῖα. τῶν δὲ κρισίμων συμπτωμάτων, οὐδὲν ἔχει τοιαύτην φύσιν. ἀλλ᾽ ὅτι μὲν ἔσται κρίσις δηλοῦται πρὸς αὐτῶν, ὥσπερ ὅτι διὰ ἐκκρίσεως, ἢ ἀποστάσεως, ἔτι τε πρὸς τούτοις διά τινος ἐκκρίσεως, ἢ ἀποστάσεως οἷον αἱμοῤῥαγίας, ἢ ἐμέτων, ἢ ἱδρώτων. εἴτε δὲ ἀγαθὴ γενήσεται κρίσις ἢ κακή, διὰ τῶν τοιούτων σημείων οὐκ ἔνεστι τεκμήρασθαι. φαίνονται γὰρ οὐδὲν ἧττον, ἢ εἰς ἀγαθόν, ἢ εἰς κακὸν αἱ τοιαῦται κρίσεις ἅπασαι τελευτῶσαι, καὶ διορισμὸν αὐτῶν ἐδίδαξεν ἡμᾶς βεβαιότατον, οὐκ ἐκ συμπτωμάτων τινῶν γινόμενον, ἀλλ᾽ ἐκ σημείων τε καὶ τεκμηρίων ὄντων. πεπασμοὶ γάρ φησι ταχύτητα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα, ἢ ἐς κακὰς ἀποστάσιας τρεπόμενα, ἢ ἀκρισίας, ἢ χρόνους, ἢ πόνους, ἢ θανάτους, ἢ τῶν αὐτέων ὑποστροφάς. ὥστε ὅτι μὲν ἔσται κρίσις ἐκ τῶν κρισίμων συμπτωμάτων, ἃ δὴ καὶ σημεῖα κρίσιμα καλεῖν ἐγχωρεῖ, προγνῶναι δυνατόν ἐστι. εἴτε δὲ εἰς ἀγαθὸν εἴτ᾽ εἰς κακὸν αὕτη τελευτήσει, διὰ τῶν πεπασμένων ἡ γνῶσις, ἐν οἷς πάλιν οὐ τοῦ γενήσεσθαι κρίσιν ἡ δήλωσις, ἀλλὰ τοῦ σωθήσεσθαι τὸν ἄνθρωπον, ἢ τεθνήξεσθαι. ἔστω δέ σοι καὶ ἥδε πρὸς ταῖς εἰρημέναις ἔμπροσθεν ἐξήγησις τῶν προσηγοριῶν, ἅμα χρησίμοις πράγμασιν εἰς τὴν τέχνην εἰρημένη. μέμνησο δέ, ὅτι καὶ τὰ κρίσιμα σημεῖα, συμπτώματα ἐστὶ τῷ γένει, δηλοῦντα τὰς ἐσομένας ἐκκρίσεις, ἢ ἀποστάσεις. αὗται δὲ τοῦ λῦσαι τὴν νόσον, ἢ καταλῦσαι τὴν δύναμιν, αἴτια μὲν πρώτως, κατὰ συμβεβηκὸς δὲ καὶ σημεῖα γίνονται.

Ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ, φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα.

Οὐ κατὰ τὴν ἑαυτοῦ συνήθη βραχυλογίαν, τὸν περὶ τῶν χωρῶν ἐποιήσατο λόγον. ἐν ᾗ γὰρ αὐτῷ τῇ περὶ ταύτης ῥήσει δύο συλλαβὰς προστιθέντι, μηδὲν ἔτι δεῖσθαι ταύτης. προσθεὶς οὖν αὐτὰς ἐγώ, δείξω ἐναργῶς ὁποῖος τις ἂν ὁ λόγος ἐγεγόνει. δεῖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων καὶ σημείων, καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ ἔτει, καὶ πάσῃ ὥρῃ καὶ χώρῃ, τά τε κακὰ κακόν τι σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν. ἐν ταύτῃ τῇ ῥήσει, τὸ χώρῃ προσθείς, ἔδειξα σαφῆ τὴν εἶναι τὴν νῦν προκειμένην ῥῆσιν. οὐδὲν γὰρ ἄλλο διὰ αὐτῆς ἐδιδάχθη, ἢ τὰ σημεῖα, τά τε ἀγαθὰ καὶ τὰ κακά, ταὐτὸν ἑαυτοῖς σημαίνειν ἑκάτερα ἐν ἁπάσῃ ὥρῃ, κἂν θερμή, κἂν ψυχρά, κἂν εὔκρατος ᾖ. Λιβύης μὲν γὰρ ὡς θερμῆς, Σκυθίας δὲ ὡς ψυχρᾶς, Δήλου δ᾽ ὡς εὐκράτου, καὶ μέσης ἀμφοῖν ἕνεκα παραδείγματος ἐμνημόνευσε.

Εὖ γοῦν χρὴ εἰδέναι, ὅτι ἐν τοῖς αὐτοῖσι χωρίοισιν, οὐδὲν δεινὸν τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν, ἢν ἐκμαθὼν τις αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίστηται.

Ὅπερ ἡμεῖς ἔμπροσθεν εἰρήκαμέν που κατὰ τὴν τοῦ λόγου χρείαν, τοῦτο νῦν ἔγραψεν ὁ Ἱπποκράτης, ὅτι τῷ καλῶς ἐκμαθόντι τὰς δυνάμεις τῶν σημείων, ὑπάρξει κἂν εἰ μὴ διὰ παντὸς ἀκριβῶς προγινώσκειν τὰ γενησόμενα, τὸ γοῦν ἐπιτυγχάνειν πολλαπλάσιον τῶν ἀποτυγχανομένων, ἐν ᾧ δὴ καὶ βελτίων ἕτερος ἑτέρου τῶν ὁπωσοῦν προγινωσκόντων ἐστί. τὸ μὲν γὰρ μηδέποτε ἁμαρτάνειν, μεῖζον ἢ κατ᾽ ἄνθρωπον. τὸ δ᾽ ὡς ἥκιστα, τεχνίτου μόνου. πολλῆς δὲ οὔσης, καὶ κατ᾽ αὐτὸ τοῦτο διαφορᾶς, ὁ μὲν ἐν τοῖς εἴκοσιν ἅπαξ ἀποτυγχάνων, οὐκ ὀλίγῳ τινὶ βελτίων ἐστὶ τοῦ κατὰ δέκα διαμαρτάνοντος ἅπαξ. αὐτοῦ δὲ τούτου πάλιν, ὁ ἐν τοῖς ἑκατὸν ἅπαξ ἀποτυγχάνων, ὥσπερ γε καὶ τούτου πάλιν, ὁ ἐν τοῖς διακοσίοις. οὔκουν ὀρθῶς ἡμᾶς ἐρωτῶσιν οἱ ἐμπειρικοί, τί τῶν ὡς τὸ πολὺ θεωρημάτων ἐκ τῆς τοῦ λόγου προσθήκης ἀδιάπτωτόν τε καὶ διηνεκὲς ἐποιησάμεθα. εἶτ᾽ οὐκ ἔχοντας δεῖξαι, δοκοῦσιν ἐλέγχειν, ὡς ἐκ περιττοῦ τὸν λόγον προσθέντας. εἰ γὰρ μὴ διηνεκῶς, ἀλλὰ πλεονάκις γ᾽ ἐκείνων τοῦ τέλους τῆς τέχνης τυγχάνομεν, ὥσπερ ἐν τῷ προγινώσκειν τὰ μέλλοντα γενήσεσθαι τοῖς κάμνουσιν, οὕτω κἂν τῷ θεραπεύειν αὐτούς.

Ποθέειν δὲ χρὴ οὐδενὸς νοσήματος ὄνομα, ὅτι μὴ τυγχάνει ἐνθάδε γεγραμμένον, πάντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσιν αὐτέοισι σημείοισιν.

Τοῦτο μοὶ δοκεῖ προσθεῖναι κατὰ τὴν τελευτὴν τοῦ λόγου, διότι περὶ τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τούτων γίνεται, τὴν διδασκαλίαν ἔφη σε πεποιῆσθαι κατὰ τοῦτο. μεμνημένος οὖν, ὅτι τὰ μὲν πλεῖστα τῶν εἰρημένων ὑπ᾽ αὐτοῦ σημείων ἀγαθῶν τε καὶ κακῶν, ἁπλῶς εἴρηται ἐπὶ πάντων κοινῇ τῶν νοσημάτων, ὀλίγα δ᾽ ἐπ᾽ ἐνίων ἀφωρισμένων, ἀνέμνησε καὶ ἡμᾶς αὐτοῦ μετὰ τοῦ προσθεῖναι τὸ μηδὲν παραλελεῖφθαι κατὰ τὸν λόγον, ὃ τάχα ἂν ἡμεῖς ᾠήθημεν εἶναι ψευδές. ἐπειδὴ τινῶν μὲν ἐμνημόνευσεν ὀνομαστί, τινῶν δ᾽ οὔ. τοῦτο γὰρ αὐτὸ δηλοῖ, μὴ μάτην ὑπ᾽ αὐτοῦ γεγονέναι, μηδ᾽ ἄνευ τινὸς αἰτίας, ἀλλ᾽ ἐπειδὴ παρὰ τὰ ἄλλα διδασκαλίας ἐξαιρέτου τινὰ τῶν νοσημάτων ἐδεῖτο, διὰ τοῦτ᾽ αὐτῶν ἐμνημόνευσεν ἰδίᾳ. τὰ δ᾽ ἄλλα πάντα τὰ παραλελειμμένα, τοῖς κοινοῖς ὑποπέπτωκε σημείοις, οὐδὲ θέως γε τοῦτο πρῶτον ὑπ᾽ αὐτοῦ γεγραμμένον, ὃ προσαγορεύουσι, νεκρῶδες πρόσωπον ἐπὶ παντὸς νοσήματος ὀξέως, ὀλέθριον ἀληθῶς εἴρηται. ἐπὶ δὲ τὸν αὐτὸν λόγον, ὅσα περὶ κατακλίσεως ἔγραψεν, ἢ ἀναπνοῆς, ἢ ὕπνων, ἢ ἀγρυπνίας, ἢ τῶν ἄλλων, ὅσα κοινὰ πάντως ἐστὶ τῶν ἐν τοῖς προγεγραμμένοις χρόνοις κρινομένων.

οὐ γὰρ δή γε περὶ τῶν χρονίων αὐτῷ τὸ σύγγραμμα ἐστίν, ἀλλ᾽ ὡς αὐτὸς εἶπεν, ὀξέων τε καὶ τῶν ἐκ τούτων γινομένων, ὧν καὶ τοὺς χρόνους αὐτὸς ἐδήλωσεν. ἐπ᾽ ἐνίων μὲν εἰκοστὴν ἡμέραν, ἐπ᾽ ἐνίων δὲ τεσσαρακοστήν, ἢ ἑξηκοστήν, ὅρον θέμενος.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ ΤΟ ΠΡΟΡΡΗΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ, ΥΠΟΜΝΗΜΑ Α.

ΟΥ ΜΗΝ οὐδὲ τὴν Ἡροφίλου νομοθεσίαν ἀποδεκτέον ὑπισχνουμένου διωρίσθαι πρόγνωσιν προρρήσεως, τῷ βεβαίῳ τε καὶ οὐ βεβαίῳ. καὶ γὰρ καὶ προγινώσκομεν ἑκατέρως, καὶ προλέγομεν, ὥσπερ καὶ τἄλλα πάντα κατὰ πάσας τὰς τέχνας. ὄμβρους γοῦν καὶ αὐχμοὺς, καὶ κρύος καὶ θάλπος, ἀνέμους τε καὶ νηνεμίας, ἔκ τινων σημείων προγινώσκουσι, καὶ κυβερνῆται καὶ γεωργοί, καί ποτε μὲν ἀκριβῶς τε καὶ βεβαίως, ποτὲ δ᾽ ἄχρι πιθανῆς ἐλπίδος. καὶ γέγραπται περὶ τῶν τοιούτων σημείων ἄλλοις τε πολλοῖς, καὶ Ἀράτῳ κατὰ τὰ τελευταῖα τοῦ τῶν ἐν ἀέρι φαινομένων βιβλίου. πῶς δ᾽ ἂν δύναιτό τις ἑτέρως προειπεῖν ὁποιοῦν ὡς ἐσόμενον, ἄνευ τοῦ πρότερον αὐτὸς γνῶναι; τοῦτο γοῦν αὐτὸ καὶ Ἱπποκράτης ἐδήλωσεν ἐν ἀρχῇ τοῦ προγνωστικοῦ γράψας ὧδε. προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσιν. ἀλλ᾽ ἡ μὲν πρόγνωσις ἐν ταῖς ψυχαῖς ἡμῶν, ἡ δὲ τῶν προγνωσθέντων τοῖς πολλοῖς πρόρρησις, διὰ τῆς φωνῆς γίνεται, καὶ δῆλον ὡς οὐκ ἄλλα μὲν ἐν τῇ ψυχῇ δοξάζομεν, ἄλλα δὲ προλέγομεν. ἀλλὰ γὰρ ὅπως ἂν ἔχῃ τὰ τῆς ἐπιγραφῆς τοῦ βιβλίου, καταλιπόντες ἑτέροις ἐπιζητεῖν, ὅσοι τῶν ἔργων τῆς τέχνης οὐ πάνυ τι πεφροντίκασιν, αὐτοὶ τῶν γεγραμμένων κατὰ τὸ βιβλίον ἕκαστον ἐπισκεψώμεθα, καθότι κἀπὶ τῶν ἄλλων ἐποιήσαμεν ἃ προεξηγησάμεθα. τοῖς μὲν διορισμούς τινας ἀναγκαίους προστιθέντες, οὐκ εἰρημένους ὑπὸ τοῦ γράψαντος. ἔνια δὲ δεικνύντες οὐκ ὄντα καθόλου κἂν τῷ χαρακτῆρι τῆς λέξεως, ὡς περὶ τούτων ὁ συγγραφεὺς φαίνηται διαλεγόμενος.

Οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι, μετὰ κεφαλῆς ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί εἰσιν; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων ὀλέθριον, ἄλλως τε καὶ ἢν τεταρταίοισιν ἀρχομένοισιν.

Τὰ πλεῖστα τῶν παλαιῶν ἀντιγράφων, οὐκ ἔχει προσκείμενον τῷ φρενιτικοὶ, τὸ εἰσίν. διὸ καὶ ζήτησις ἐγένετο, πότερον ἤδη φρενιτικοὺς τις ὀνομάσει τοὺς οὕτως ἔχοντας, ἢ γενήσεσθαι προσδοκήσει. προσκειμένου μέντοι τοῦ εἰσὶ καὶ γεγραμμένης ὁμοῦ τῆς λέξεως, ἆρά γε φρενιτικοί εἰσιν, ἡ ζήτησις ἐστίν. πότερον εἰσὶν ἢ οὐκ εἰσὶν οἱ οὕτως ἔχοντες ἤδη φρενιτικοί. ταύτῃ δὲ τῇ ζητήσει, καὶ ἄλλη τις οὐ σμικρὰ συνάπτεται ζήτησις, ἣν καὶ περὶ τῆς ἀρχῆς τῶν πυρετικῶν παροξυσμῶν ἐποιήσαντο. καὶ γὰρ ἐν ἐκείνοις εὔλογον εἶναι φαίνεται, μὴ τὸν ἐσόμενον ὕστερόν ποτε παροξυσμὸν προγινώσκειν ἡμᾶς, ἀλλὰ τὸν ἀρχόμενον ἤδη διαγινώσκειν ἐκ τῆς τῶν σφυγμῶν ἀλλοιώσεως. ἐπεὶ δὲ οὐδέπω μέγεθος ἀξιόλογον εἴληφεν, ὡς καὶ τῷ νοσοῦντι φαίνεσθαι σαφῶς. ἐκείνῳ μὲν, ὡς μέλλοντα λέγεσθαι, γινώσκεσθαι δὲ ὑφ᾽ ἡμῶν, ὡς ἤδη γεγενημένον, ὁμοίου τοῦ πράγματος ὄντος τῇ διαγνώσει τῶν ἄρτι τῆς γῆς ἀνισχόντων φυτῶν, ἃ γεωργὸς μέν τις, ἢ διαγνωστικὸς ἁπάντων φυτῶν εὐθέως γνωρίζει, τοῖς δ᾽ ἄλλοις ἄγνωστά ἐστιν. πολλάκις γοῦν ὁρῶμεν ἀρούρας ὁμοιοτάτας τὴν βλάστησιν ἐχούσας πόας, ἃς ἡμεῖς μὲν οὐ διαγινώσκομεν, οἱ γεωργοὶ δὲ ἴσασιν. τί μὲν ἐξ αὐτῶν ἐστι πόα, τί δὲ πυρὸς ἄρτι γεννώμενος, τί δὲ κριθὴ, τί δὲ ζειὰ, τί δὲ τῶν ἄλλων ἕκαστον. οὕτω δὲ κἀπὶ τῶν δένδρων ἔχει. καὶ γὰρ καὶ ταῦτα συμπεπληρωμένα πᾶσι τοῖς οἰκείοις μορίοις, ἅπαντες γνωρίζομεν, ἀρχόμενα δὲ φύεσθαι παντάπασιν ὀλίγοις γνωρίζεται. τοῦτον τε οὖν τὸν λόγον, ὡς πάνυ πιθανὸν ἀποδεκτέον, ἐφεξῆς δὲ ζητητέον ἐστὶ περὶ τῆς κατὰ τὴν φρενῖτιν ἐννοίας. ἐν γὰρ τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ὡς ἐπιδέδεικταί μοι διὰ τῶν εἰς αὐτὰ γεγραμμένων ὑπομνημάτων, ὁ Ἱπποκράτης φαίνεται τὴν ἐν ὀξεῖ πυρετῷ διηνεκῆ παραφροσύνην φρενῖτιν ὀνομάζων. διηνεκῆ δὲ εἶπον, ἐπεὶ ταῖς ἀκμαῖς τῶν σφοδρῶν πυρετῶν, ἐνίοτε παραφροσύναι ἐμπίπτουσιν, ἐν ταῖς παρακμαῖς εὐθέως παυόμεναι. μαίνεσθαι μὲν γὰρ ὀνομάζουσι πάντες ἄνθρωποι τοὺς ἄνευ πυρετοῦ παραφρονοῦντας, φρενιτίζειν δὲ τοὺς ἐν πυρετῷ, τὸ δ᾽ ἐν ἀκμῇ σφοδροῦ πυρετοῦ παραφρονῆσαι, παρακόψαι τε καὶ παραχθῆναι, καὶ παραληρῆσαι καὶ αὐτὸ δὴ τοῦτο παραφρονῆσαι καλοῦσιν. φρενῖτιν δ᾽ οὐκ ὀνομάζουσιν ἄνευ τοῦ πυρέσσειν, καὶ τοῦ διηνεκοῦς τῆς παραφροσύνης. τῷ διηνεκεῖ δὲ τῆς παραφροσύνης, ὅταν ἅμα πυρετῷ γένηται, τὴν φρενῖτιν γνωρίζομεν. οὐδὲν δὲ ἧττον ὁρῶμεν εἶναι φρενιτικοὺς ὅσοι κωματώδεις ὄντες σωφρονοῦσιν, ἀλλὰ παράφορά τε φθέγγονται, καὶ πρὸς τῶν παρόντων διεγερθέντες ἐκτεθαμβημένοις ἐοίκασιν. οὕτω γοῦν κἀν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἔφη, οὐδ᾽ ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς ὥσπερ ἐπ᾽ ἄλλων, ἀλλ᾽ ἄλλῃ τινὶ νωθρῇ καταφορῇ καρηβαρέες ἀπώλλοντο. καὶ τοῦτον οὖν τὸν λόγον ἐγὼ ὡς πιθανώτατον προσδέχομαι, καὶ καλεῖσθαι πάντας ὑφ᾽ Ἱπποκράτους ἡγοῦμαι φρενιτικοὺς, ὅσοι τὰς φρένας βεβλαμμένοι διηνεκῶς ὦσιν, ὥσπερ οἱ μαινόμενοι, μόνῳ τῷ πυρέττειν αὐτῶν διαφέροντες. ἐπεὶ δ᾽ ὡς τὰ πολλὰ τούτοις ὑπάρχει, καὶ τῶν βλεφάρων ἀνεῳγότων ἀγρυπνεῖν, οἱ πλεῖστοι τῶν ἰατρῶν ἐν τοῖς παθογνωμονικοῖς φρενίτιδος, καὶ τὴν τοιαύτην ἀγρυπνίαν ἔγραψαν. εἶπον δὲ τοιαύτην, ἐπεὶ καὶ μετὰ κώματος ἀγρυπνίαι γίνονται, καθάπερ αὐτὸς ἐδήλωσεν ἐν τῷ γ. τῶν ἐπιδημιῶν εἰπών. ἦν δὲ ἢ τὸ κῶμα συνεχὲς οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἀγρυπνοι, ὡς εἶναι τὸ κῶμα τὴν εἰς ὕπνον καταφορὰν, οὐ δυναμένων τῶν ἐχομένων τῷ συμπτώματι, τὰ τῶν ἐγρηγορότων πράττειν, ἀλλὰ κλείειν τε τὰ βλέφαρα δεομένων, ἐλπιζόντων τε κοιμηθῆναι. συμβαίνει δ᾽ ἐνίοτε τούτων τισὶ μὴ δύνασθαι κοιμηθῆναι κλεισθέντων τῶν βλεφάρων, ἀλλ᾽ ἀγρυπνεῖν ἐπὶ πλεῖστον ὅπερ ὠνόμασεν ὁ Ἱπποκράτης οὐχ ὑπνῶδες κῶμα. περὶ μὲν οὖν τοῦ κατὰ κῶμα σημαινομένου βιβλίον ὅλον ἔχεις ἡμέτερον, ἐν ᾧ διὰ πλειόνων μαρτυριῶν ἐπιδέδεικται, πᾶσαν ὀνομάζων καταφορὰν ὁ Ἱπποκράτης κῶμα, καὶ νῦν οὐδὲν θαυμαστὸν, τοὺς αὐτοὺς ἅμα τε κωματώδεις εἰρῆσθαι καὶ ἀγρυπνοῦντας, ὡς εἴγε κωματώδεις μὲν ἦσαν, ἀγρυπνίας δὲ χωρὶς, οὐδ᾽ ἂν ἐζήτησεν εἰ φρενιτικοὺς ὀνομαστέον αὐτοὺς, εἴτε ὄντας ἢ γενησομένους, ἀεὶ γὰρ οὕτως ἀκούειν με διὰ τὰ προειρημένα τῆς πρώτης γενέσεως

ἁπάντων πραγμάτων, οὐ μόνον τῶν παθῶν, οὐ μὴν οὐδ᾽ εἰ τὰ νευρώδη μέρη κακῶς διέκειτο μετ᾽ ἀγρυπνίας, ἐν ἀρχῇ τοῦ νοσήματος, οὐκ αὖ οὐδ᾽ οὕτως ἐζήτησα, εἰ φρενιτικοὺς ὀνομαστέον αὐτούς. οἵ τε γὰρ ἄνευ τῆς ἀγρυπνίας κωματώδεις, οὐδ᾽ ὅλως φρενιτικοί, οἵ τε ἄγρυπνοι χωρὶς κώματος, ὅταν ἐν ἀρχῇ τοῦτο πάσχωσι μετὰ τῆς τῶν εἰρημένων μορίων ὀδύνης, ἐξ ἀνάγκης φρενιτικοί. μιχθείσης δ᾽ ἀγρυπνίας τῷ κώματι, ἀμφιβολία γίνεται, καὶ διὰ τοῦτο τῷ λόγῳ, τὸν ἄρα σύνδεσμον προσέθηκεν, ὃν περισπῶντες τῷ τόνῳ λέγομεν, ὅταν περί τινων πραγμάτων ἀπορούντες τύχωμεν. ὃ δὲ κἀν τοῖς ἐφεξῆς ἐστι μεμνῆσθαι χρήσιμον, ἀκούσαντας ἅπαξ δεῖ ἀεὶ πρόχειρον ἔχειν, ἀφορίζοντας τὰ διὰ τι τῶν ἔξωθεν αἰτίων γεγονότα, καὶ τὰ κατὰ τὸν τοῦ νοσήματος λόγον ἐπιφαινόμενα. ἐὰν γὰρ ὁδοιπορήσας τις συντόνως, ἢ κατ᾽ ἄλλας τινὰς ἐνεργείας κοπωθείς, ἢ καὶ σὺν αὐτοῖς ἐκκαυθείς, ἅμα τε πυρέττειν ἄρξηται, καὶ κεφαλὴν ἀλγεῖν, καὶ ὀσφύν, καὶ ὑποχόνδριον, καὶ τράχηλον, μηδὲν ἐκ τούτων ἔλπιζε μέγα λήψεσθαι γνώρισμα πρὸς διάκρισιν τῶν ἐσομένων, ἢ γεννωμένων ἤδη παθῶν. εἰ δ᾽ ἄνευ τῆς ἔξωθεν αἰτίας, ὀδύνη τῶν εἰρημένων εἴη μορίων, εἰ μὲν ἀγρυπνίαι τῷ κάμνοντι χωρὶς καταφορᾶς συμβαίνοιεν, ἔλπιζε παραφρονήσειν αὐτόν. εἰ δὲ μετὰ κώματος συμβάλλει κατὰ τὸ παρὸν ἀναμένειν ἡμέραν μίαν, ἐν ᾗ τὴν κίνησιν τοῦ νοσήματος διαγνώσῃ. φρενῖτις μὲν γὰρ ἡ ἀκριβής, καὶ ἄμικτος ἑτέρῳ νοσήματι γίνεται, χολῆς ξανθῆς καταλαβούσης τὸν τόπον, ἐν ᾧ τὸ τῆς ψυχῆς ἡγεμονοῦν ἐστιν. λήθαργος δὲ τὸν αὐτὸν τόπον ὑγράναντός τε καὶ διαβρέξαντος φλέγματος. αἳ γὰρ ἐν ἑτέροις τισὶ μέρεσι δυνάμεναι εἰς συμπάθειαν ἀγαγεῖν, τὸν ἐγκέφαλον ἐκ χολῆς καὶ φλέγματος βλάβαι, τὸ συνεχὲς οὐκ ἔχουσιν. ὅταν οὖν ὑπ᾽ ἀμφοτέρων τῶν χυμῶν ἐνοχλεῖσθαι συμβαίνει τὸν ἐγκέφαλον, ἐναντία συμπτώματα καταλαμβάνει τὸν ἄνθρωπον, ὡς ἀγρυπνεῖν τε ἅμα καὶ καταφέρεσθαι κατ᾽ ὀλίγον. ὅταν δὲ καὶ καταφέρηται ἅμα καὶ παραφρονεῖ, τὴν μικτὴν διάθεσιν διαμένειν αὐτῷ νομιστέον. ἐνίοτε δὲ τὸ θάτερον ἔῤῥεψεν, ὡς ἤτοι τὴν χολήν, ἢ τὸ φλέγμα νικῆσαι, καὶ γενέσθαι τὸν ἄνθρωπον, ἤτοι φρενιτικὸν ἀκριβῶς, ἢ ληθαργικόν. ἐγὼ μὲν οὖν ὅταν ἄχρι τέλους, ἥ τε παραφροσύνη, καὶ τὸ κῶμα διαμένῃ, μικτὸν ὀνομάζω τοῦτο τὸ πάθος φρενίτιδός τε καὶ ληθάργου. τινὲς δὲ τυφομανίας ἐκάλεσαν, ὡς κἀν τῷ περὶ νούσων Ἱπποκράτει γέγραπται, κατὰ μέντοι τὸ γ. τῶν ἐπιδημιῶν, ὡς ἔφην ἀρτίως, ἅπαντας ὀνομάζει φρενιτικοὺς ὁ Ἱπποκράτης, ὅσοι συνεχῶς παραφρονοῦσι πυρεττόντων. ὑπόλοιπον δέ ἐστι ζητῆσαι διὰ τί τῆς ῥήσεως ἀρχόμενος μὲν εἶπεν, οἱ κωματώδεις ἐν ἀρχῇσιν, τελευτῶν δὲ πάλιν, ἄλλως τε καὶ τεταρταίοισιν ἀρχομένοισι. τὸ γὰρ τῆς ἀρχῆς ὄνομα, δηλοῖ μὲν καὶ τὴν πρώτην εἰσβολὴν τοῦ νοσήματος, δηλοῖ δὲ καὶ τὴν ἐν πλάτει νοουμένην ἄχρι τῆς τρίτης, ἢ τετάρτης ἡμέρας, δηλοῖ δὲ καὶ τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ὅταν εἰς τέσσαρα μέρη διελόντες αὐτὸν εἴπωμεν, ἐξ ἀρχῆς τε καὶ ἀναβάσεως, ἀκμῆς τε καὶ παρακμῆς συγκεῖσθαι. περὶ μὲν οὖν τῶν σημαίνεσθαι ταῦτα παρὰ τοῦ τῆς ἀρχῆς ὀνόματος, ἐν τῷ πρώτῳ τῶν περὶ κρίσεων ἐπιδέδεικται. νυνὶ δὲ ἐπισκεψώμεθα, κατὰ ποῖον αὐτῶν σημαινόμενον εἴρηται τοὔνομα. δοκεῖ δέ μοι κατὰ μὲν τὸ πρῶτον μέρος τῆς ῥήσεως ἀρχὴν εἰρηκέναι τὴν κατὰ πλάτος εἰσβολὴν ὅλου τοῦ νοσήματος. ἐπὶ δὲ τῆς τελευτῆς ἔνθα φησίν, ἄλλως τε καὶ τεταρταίοισιν ἀρχομένοισιν, ἄρχεσθαι τηνικαῦτα λέγειν μόνα τὰ προειρημένα συμπτώματα, φθάνοντος ἤδη πυρέττειν ἐκ τεττάρων ἡμερῶν τοῦ νοσοῦντος, ἵν᾽ ἐν τῇ κατὰ πλάτος ἀρχῇ τὴν γένεσιν ἔχει τό, τε κῶμα καὶ ἡ ἀγρυπνία, καὶ τὰ τῶν νευρωδῶν μορίων ἀλγήματα. κατὰ μὲν γὰρ τὴν πρώτην, ἢ δευτέραν ἡμέραν ἐκ πλήθους αἵματος ἔχοντος τινὰ δριμύτητα δακνώδη, δι᾽ ἐπιμιξίαν χολῆς, δύναται γενέσθαι κωματώδης τε καὶ ἄγρυπνος ὁ αὐτὸς ἄνθρωπος, ὑπὸ μὲν τοῦ πλήθους τοῦ αἵματος βαρυνομένης τῆς κατὰ τὸν ἐγκέφαλον δυνάμεως, ὑπὸ δὲ τῆς χολῆς ἐρεθιζομένης, ὡς ὑπνοῦν κωλύεσθαι, κατὰ δὲ τὴν τετάρτην ἡμέραν τοῦ πλήθους ἤδη συνῃρημένου, καὶ μάλιστα ἐὰν ὁ ἰατρὸς αὐτὸ φθάσῃ κενῶσαι, καὶ τῆς δριμύτητος πεπεμμένης χρὴ ἀμφότερα παύεσθαι τὰ συμπτώματα, καὶ τὸ κῶμα, καὶ τὴν ἀγρυπνίαν. ὅταν οὖν ἐν ᾧ χρόνῳ πεπαῦσθαι ἐχρῆν αὐτά, γινόμενα φαίνηται, χολὴν ἢ φλέγμα δηλοῖ κατειληφέναι τὸν ἐγκέφαλον, οὐχ αἵματος πλῆθος. εἴρηται δὲ ἐν τῷ περὶ κρισίμων ἡμερῶν ἡ τῆς τετάρτης δύναμις, ἐξηγουμένων ἡμῶν ἐν αὐτοῖς τὴν Ἱπποκράτους γνώμην, ὥσπερ κἀν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν. ἐπίδηλον γὰρ εἶναί φησιν αὐτὴν τῆς ἑβδόμης, ὅπερ ἐστὶ προδηλοῦν πεφυκέναι ὁποία τις ἡ ἑβδόμη γενήσεται. μοχθηροῦ μὲν οὖν ἐν τῇ τετάρτῃ φανέντος σημείου, μοχθηρὰν ἀναγκαῖον ἔσεσθαι καὶ τὴν ἑβδόμην, σωτηρίου δὲ καὶ ἀγαθοῦ, καὶ τὴν ἑβδόμην ἀγαθὴν γενήσεσθαι. κατὰ γὰρ τὴν ἀναλογίαν τῆς τοῦ σημείου δυνάμεως, τὸ ἧττόν τε καὶ μᾶλλον ἀγαθήν, ἢ κακὴν γενέσθαι τὴν ἑβδόμην ἡμέραν ἀκόλουθον. δέδεικται γὰρ ἐν τῷ προγνωστικῷ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ὀλέθριά τε καὶ σωτήρια τῶν σημείων. καὶ τὴν ἑβδόμην οὖν ἀνάλογον κατὰ τὴν τετάρτην, ἤτοι μᾶλλον, ἢ ἧττον ἀγαθήν τε καὶ κακὴν γενέσθαι συμβήσεται. τῆς οὖν ἀπὸ τῶν ῥινῶν στάξεως οὔσης ἀεὶ κακοῦ σημείου, τελεωτάτη κακία δηλοῦται τοῦ νοσήματος ἐὰν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν γίνηται. φαίνεται γὰρ ἐγκεχειρηκέναι μέν, ἡ φύσις ἀποῤῥίψασθαι τὸ κατὰ τὴν κεφαλὴν ἠθροισμένον πλῆθος, οὐ δεδυνῆσθαι δέ. πρόδηλον δ᾽ ὅτι κάκιστόν ἐστι τὸ γένος τῶν τοιούτων σημείων. καὶ γὰρ ὅσα φύματα, καὶ ἐξανθήματα πρὸς τὸ δέρμα τοῦ βάθους ἐξανθήσαντα παλινδρομεῖ, χαλεπώτατα πάντων ἐστί. καὶ οἱ ἀρξάμενοι μὲν ἱδρῶτες, εὐθέως δὲ παυσάμενοι, καὶ οὗτοι μοχθηροί, καὶ τὰ διαχωρήματα δ᾽ ὁμοίως, ὅσα τε δι᾽ αἱμοῤῥαγιῶν, ἢ μήτρας ἐπὶ γυναικῶν κενοῦνται. πάντα γὰρ ταῦτα χείρω τῶν μηδ᾽ ὅλως ἐπιφανέντων, ὅταν ἀρξάμενα παύσηται. ἐνίοτε γὰρ συμβαίνει πέττουσαν ἔτι τὰ λυποῦντα τὴν φύσιν, οὐδέπω τῆς ἀποκρίσεως αὐτῶν ἔχεσθαι. τῶν δ᾽ ἀρξαμένων μέν, εὐθέως δὲ παυσαμένων, ὥσπερ ὁρμή τις ἐμφαίνεται, τῆς φύσεως ἐκκρῖναι τὰ λυποῦντα σπευδούσης, καὶ οὕτως διὰ ἀσθένειαν, μὴ δυναμένης ὃ προὔθετο κατεργάσασθαι.

Κοιλίης περίπλυσις ἔξερυθρος, κακὸν μὲν ἐν πᾶσι τοῖσι νοσήμασι, οὐχ ἥκιστα δὲ ἐπὶ τοῖς προειρημένοις.

ὁ μὲν

Ὁ μὲν οὖν Ἱπποκράτης ἐν τῷ περὶ προγνωστικῶν συγγράμματι τῶν σημείων ἑκάστου διδάσκει τὴν δύναμιν, ὑπὲρ
δὲ τέλει τε τοῦ βιβλίου συμβουλεύει τὰς δυνάμεις τῶν εἰρημένων σημείων, ἐκλογιζόμενον, ὅπερ ἐστὶν ἀλλήλοις πα-
ραβάλλοντα, τὴν πρόγνωσιν οὕτω ποιεῖσθαι. ἔνια μὲν γὰρ ὁμοειδῆ τῶν σημείων ἐστὶν, ἄκουε δέ μου νῦν οὕτως ὁμοειδῆ
λέγοντος, ὡσεὶ καὶ ὁμογενῆ φθάσας εἶπον. ἔνια δὲ ὅτι γένος ἔχει ταὐτὸν, οὔτε εἶδος. ὁμοειδῆ μὲν οὖν ἐστὶ τὰ καθ'
ἕν τι πάθος γιγνόμενα. τὰ μὲν ἀναπτυόμενα τὰ κατὰ πνεύμονα καὶ θώρακα, καὶ τραχεῖαν ἀρτηρίαν καὶ λάρυγ-
γα, συμπλόντα δὲ φωναὶ, τῶν ἀναπνευστικῶν ὀργάνων διαθέσεως εἶναι σημεῖα. τῶν δ' αὐτῶν τούτων, ὅσα κατὰ
τὴν ἀναπνοὴν πλημμελεῖται πρώτως, ἔξωθεν γὰρ αὐτῶν ἐστὶ τὰ κατὰ συμπάθειαν. ἐγκεφάλου δὲ καὶ μηνίγ-
γων, ὅπως διάκειται σημεῖα, διὰ μὲν τῶν ἐκκρινομένων, οἷα τὰ διὰ μυκτήρων, ἢ ὑπερῴας κενοῦται. διὰ δὲ τῶν
βεβλαμμένων ἐνεργειῶν, ἐν καταφοραῖς, ἢ ἀγρυπνίαις, ἢ παραφροσύναις, ἢ σπασμοῖς, ἢ τρόμοις ὅλου τοῦ σώ-
10 ματος. ἐὰν οὖν ἅμα παραφρονεῖ καὶ σπᾶται τίς, εὔδηλον ὅτι μείζων ἐστὶν ἡ διάθεσις, ἢ εἰ τὸ ἕτερον ἦν μόνον,
οὕτω δὲ καὶ δυσπνοῶν εὐθὺς καὶ πτύει μέλαινα. καὶ ταῦτα μὲν οὖν ἴσως οὐκ ἄν τις ὀρθῶς ἀλλήλοις συμπλέκει, διὰ
τῆς ἐν τοῖς βιβλίοις διδασκαλίας. ἀρκεῖ γὰρ ἑκάστου τὴν δύναμιν εἰπεῖν ἐπιτρέψαντα τῷ μανθάνοντι, σκοπεῖ-
σθαι πάντα περὶ τῶν ἀρρώστων. ἡ δὲ τῶν ἑτερογενῶν σημείων ἐπιπλοκὴ, παντάπασιν ἄχρηστος, ἐν βιβλίοις τε
γραφομένη, καὶ διὰ τῆς ἐν τοῖς λόγοις συνουσίας εἰς γυμνασίαν ἥκουσα. μετὰ γὰρ τὴν τῶν ἁπλῶν ἑκάστου δύνα-
μιν ὁρισθεῖσαν, ἀρκεῖ μόνον ἐφεξῆς ἅπαξ εἰπεῖν, ὅπερ εἶπεν ὁ Ἱπποκράτης, ὡς ἐκλογίζεσθαι δεῖ τῶν σημείων τὰς
δυνάμεις, καὶ παραβάλλειν ἀλλήλοις ἐς τὴν περὶ τῶν καμνόντων ἀπόφασιν. ἐὰν δέ τις εἰπὼν κακὸν εἶναι ση-
μεῖον οὖρα μέλανα, προσθῇ τούτῳ κάκιον εἶναι καὶ πτύει μέλανα. καὶ τούτου πάλιν ἐφεξῆς φήσει, καὶ διαχωρή-
σει δὲ μέλανα, εἰ δὲ καὶ κατ' ἀρχὰς ἔτι κάκιον. ἐφεξῆς τε πάλιν ἔτι κάκιον εἶναι φήσει, τεταρταίῳ συμβῆναι τοῦ-
το, προσθῇ δὲ τούτοις, καὶ τὸ κατ' ἀρχὴν τοῦ προγνωστικοῦ γεγραμμένον, καὶ τὸ πρόσωπον νεκρῶδες, ὅπερ ἰδίως
20 ὀνομάζουσιν οἱ ἰατροὶ, ματαίαν ἐπιπλοκὴν γράψει σημείων. οὐδεὶς γὰρ οὕτως ἐστὶν ἀδιανόητος, ὡς μὴ νοεῖν, ἥτ-
τον μὲν ἔχειν κακῶς, ᾧ περὶ πνεύμονα μόνον ἢ θώρακα διάθεσίς ἐστι νοσώδης. ᾧ δ' ἐν ἀμφοτέροις χεῖρον, ᾧ δὲ πρὸς
τούτοις καὶ κατὰ γαστέρα, μᾶλλον. εἰ δὲ καὶ καθ' ἧπαρ, ἢ ἐγκέφαλον, ἔτι καὶ μᾶλλον. ἅπερ οὖν ἅπαντες νοοῦσι
καὶ χωρὶς τοῦ γραφῆναι, μάτην ταῦτα γράφεται, πλὴν, εἰ χάρτας τις ἢ χρόνον ἀπολλύναι βούλεται. τούτου
μὲν οὖν ἀεί μοι μέμνησο. πρὸς δὲ τὸ προκείμενον ἐπανέλθωμεν. τοῖς κεφαλὴν ὀδυνωμένοις, ὀσφύος μὲν ἀλγή-
ματα, καὶ τραχήλου καὶ ὑποχονδρίου, προσθεῖναι λόγον ἔχει. πλειόνων γὰρ ὁμοειδῶν σημείων γινομένων ἅμα,
οὐ μόνον τὸ τῆς διαθέσεως εἶδος ἢ γένος ἀσφαλέστερον, ἀλλὰ καὶ τὸ μέγεθος αὐτοῦ γνωσθήσεται. προστεθέντος τε
κώματος ἅμα παραφροσύνῃ, καὶ αὐτῶν ἐνδεικνυμένων τὰ κατὰ τὸν ἐγκέφαλον ἔχειν κακῶς, ἥ τε ἡμετέρα γνῶ-
σις ἀσφαλεστέρα γενήσεται, καὶ ἡ διάθεσις μείζων φανεῖται. προσελθούσης δὲ τῆς ἀπὸ ῥινῶν στάξεως, οὐκ ἀσφαλε-
στέραν αὖ ἔτι φαίην διάγνωσιν εἶναι, ἀλλ' ἐπιστημονικὴν καὶ βεβαίαν, ἐνδεικνυμένων τῶν σημείων νενικῆσθαι
30 τὴν κατὰ τὸν ἐγκέφαλον δύναμιν ὑπὸ τοῦ νοσήματος. εἰ δὲ καὶ τὸ τῆς τετάρτης ἡμέρας προστεθῇ, βεβαιότατα
αὖ οὕτως εἰδείημεν, ἐν μεγάλῃ μὲν εἶναι διαθέσει τὸν ἐγκέφαλον, ὀλεθρίως δὲ τὸν ἄνθρωπον ἔχειν. ἐὰν δέ τις τού-
τοις προσθῇ, ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον μὲν ἐν πᾶσιν, οὐχ ἥκιστα δὲ ἐν τοῖς
προειρημένοις, ἀληθὲς μέν τι φησὶ, περιττὸν δὲ πρὸς τὴν ἐν συγγράμμασι διδασκαλίαν. ὥσπερ εἰ καὶ τούτοις
προσθείη μέλανα πτύσματα, κακὰ μὲν γὰρ καὶ ταῦτα, διαθέσεως δ' ἄλλης ἐστὶ παρὰ τὰς προειρημένας γνωρί-
σματα. καθάπερ καὶ τὰ οὖρα. καὶ γὰρ καὶ ταῦτα μελαινόμενα, φαῦλον ἐστὶ σημεῖον, ἀλλ' ἑτέραν διάθεσιν ἐνδείκνυ-
ται. κατὰ μὲν οὖν τὸ προγνωστικὸν, ἑκάστου τῶν σημείων ἡ δύναμις ἰδία δηλοῦται, καὶ σύνοδος αὐτῶν ἐνίοτε
γέγραπται, μίαν ἐνδεικνυμένων διάθεσιν. ὡς ἐν ἀρχῇ μὲν ἐπὶ τοῦ νεκρώδους προσώπου, κατωτέρω δὲ, ἐπί τε τῶν
ἐμπυημάτων καὶ ἐπὶ ὑδέρων, καί τινων ἄλλων. ἐνταυθοῖ δὲ πολλάκις ἐν μιᾷ συνδρομῇ τῶν ἑτερογενῶν συμ-
πλέκεται πολλὰ περιττῶς. ἐξέρυθρος οὖν περίπλυσις ἐν ταῖς ἡπατικαῖς διαθέσεσιν γινομένη, κακῶς ἐζεύ-
40 κται νῦν τοῖς κατὰ τὸν ἐγκέφαλον. ἔστι μὲν οὖν καὶ αὐτὴ καθ' αὑτὴν οὐκ ἀγαθὸν σημεῖον, ἀρρωστίαν ἥπατος ἐν-
δεικνυμένη, προστεθεῖσα δὲ τοῖς κατὰ τὸν ἐγκέφαλον πάθει, κατὰ δύο διαθέσεις ἰσχυρὰς ἐνδείξεται τὸν ἄνθρω-
πον κινδυνεύειν. ἀλλὰ τί τοῦτο; καὶ γὰρ ἐὰν πλευρῖτις καὶ περιπνευμονία καθ' ἕνα γένηται χρόνον, ἐπικινδυ-
νώτερον ἐστὶν, ἢ εἰ θάτερον αὐτῶν μόνον ἐγεγόνει. καὶ δυσεντερικὸς ἐπὶ τούτοις ὁ αὐτὸς ἄνθρωπος γένηται ἔτι,
καὶ ὁτιοῦν ἄλλο σὺν αὐτοῖς πάθη. ἀλλ' οὐδεὶς ἐν συγγράμματι τοιαύτας ἐπιπλοκὰς διδάσκει. περιπλύσεις δὲ
ὀνομάζει κοιλίας τὰς τῶν λεπτῶν κατὰ τὴν σύστασιν ὑγρῶν διαχωρήσεις, ὡσεὶ καὶ πλύνας τις ὕδατι κοιλίαν
ἡμαγμένην, ἐκχέει τὸ ὕδωρ. οὕτω δὲ καὶ χολώδης λέγεται περίπλυσις, ὅταν οἷον αὖ ἐξ ὕδατος ἐγγενομένου καὶ χο-
λῆς ὀλίγης μιχθέντων, τοιοῦτον φαίνηται διαχωρούμενον. ἀρρωστίᾳ δὲ τῆς καθεκτικῆς δυνάμεως τοῦ ἥπατος, ὡς
τὰ πολλὰ δὲ σὺν αὐτῇ, καὶ τῆς αἱματοποιητικῆς τὸ σύμπτωμα τοῦτο γίνεται, τοῖς εἰρημένοις περιπτώμασιν ἀνά-
λογον. ὅταν γὰρ ἡ κατὰ τὴν γαστέρα πέψις ἄμεμπτος γίνηται, τοιοῦτον οὐδὲν ἕπεται σύμπτωμα. βαρυνθείσης
50 δὲ ὑπὸ πλήθους ἢ διαφθορᾶς αὐτῆς, ἢ καὶ περιττῶν ὑγρῶν ὑπολειφθέντων ἐν τῷ στόματι τῆς κοιλίας, οὐ πάνυ
τι χρηστῶν, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν ἐξορμῶσα, τοὺς ἐμέτους ἐργάζεται. τοιοῦτον δή τι καὶ κατὰ τὴν τοῦ αἵμα-
τος γένεσιν ἐν ἥπατι συμβαίνει. καὶ διὰ τοῦτο ποτὲ μὲν αἱματώδεις γίνονται διαχωρήσεις, ἐνίοτε δ' ἐξέρυθροι
περιπλύσεις, ἐξ αὐτοῦ τοῦ ἥπατος ὑδατώδους ἅμα καὶ αἱματώδους ἰχῶρος εἰς τὴν γαστέρα συρρέοντος, ἢ βραχέως
αἵματος δριμέος καὶ δακνώδους, ὡς αὖ ἡμιπέπτοις λεπτοῖς καὶ ὑδατώδεσιν ὑγροῖς ἀναμεμιγμένου, καὶ χραί-
νοντος αὐτάς.

2. Αἱ δασεῖαι γλῶσσαι καὶ κατάξηροι, φρενιτικαί.

Ἄμεινον ἦν τραχεῖαι γεγράφθαι, σύμφυτον γὰρ ἐχούσης ὑγρότητα τῆς γλώττης, τῆς ἐκ τῶν ὀνομαζομένων σιαλοχόων

ἀγγείων τε καὶ ἀδένων, ἡ μὲν πρώτη ταύτης ἔνδεια, δασεῖαν αὐτὴν, ἡ δ' ἤδη πλείων, τραχεῖαν ἐργάζεται. ἡ δ' ἀμφοτέρων ξηρότης, ῥήγνυσιν αὐτὴν, τουτέστι τὴν κάθυγρον, ὥσπερ τὴν λιπαρὰν γῆν ὁ πολυχρόνιος αὐχμός. οὐκ οὖν οἷόν τε κατάξηρον ἅμα καὶ δασεῖαν εἶναι τὴν γλῶτταν. ἀλλ' ἄμεινον ὡς ἔφην γεγράφθαι τραχεῖαν, ὥστε δυοῖν θάτερον, ἢ αὐτὸς ὁ συγγραφεὺς ἀμελῶς ἡρμήνευσεν, ἢ ὁ πρώτως ἐγγραφόμενος τὴν ῥῆσιν ἥμαρτεν. ἀλλά γε ἡ τοιαύτη γλῶττα ξηρότητος ἐστὶν ἀμέτρου γνώρισμα, διὸ καὶ τοῖς καυσώδεσι πυρετοῖς αὕτη γίνεται. καὶ ἤρκει τοῦτο διδάξαι τὸ κατὰ τὸν ἐν τῷ προγνωστικῷ νόμον, ἤδη τὴν διδασκαλίαν ἀφικνουμένῳ. νοεῖ γὰρ ὁ μανθάνων κατὰ τὸν αὐτὸν λόγον ἔν τε τοῖς τοιούτοις πυρετοῖς γίνεσθαι, κἂν τῷ φρενιτικῷ τὴν κατάξηρον γλῶτταν, ἐπειδὴ καὶ τὸ φρενιτικὸν πάθος ὑπὸ τῆς ξανθῆς χολῆς γιγνόμενον, θερμὸν καὶ ξηρόν ἐστιν. ἐμοὶ μὲν οὖν ἄμεινον δοκεῖ τὴν λέξιν ἡμαρτῆσθαι φάναι, καθάπερ καὶ ἄλλας πολλὰς ἐν πολλοῖς τῶν παλαιῶν ἐπεδείξαμεν ἡμαρτημένας, τῶν πρὸ ἐμοῦ γεγονότων οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ φιλοσόφων, καὶ γραμματικῶν καὶ ῥητορικῶν. ἔνιοι δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἐπεχείρησαν αὐτῷ βοηθεῖν, γλώττας εἰρῆσθαι φάσκοντες δασείας, τὰς ποικιλίας τῆς δασείας φωνῆς. εἶναι γάρ τινας φασὶν οὕτως ὀνομαζομένας φωνὰς, ἀφ' ὧν τοὺς φθεγγομένους ἀνθρώπους αὐτὰς δασυνομένους ὀνομάζεσθαι. τὰς οὖν τοιαύτας φωνὰς μετὰ καταξήρου γλώττης φρενιτικὰς εἶναι φασίν, ὥσπερ οὖν δυνηθέντος ἂν εἰρηκέναι τοῦ συγγραφέως. αἱ δασεῖαι φωναὶ μετὰ καταξήρου γλώττης φρενιτικαί. τὸ δ' ἀντὶ τῶν φωνῶν γλῶτταν εἰπεῖν, ἀλλόκοτόν ἐστιν. οὕτω γὰρ ἄν τις εἴποι καὶ βαρείας καὶ ὀξείας καὶ μεγάλας, καὶ μικρὰς γλώττας, ὅταν ὀξεῖαν ἢ βαρεῖαν, ἢ μικρὰν ἢ μεγάλην ἐθέλοι δηλῶσαι φωνήν, πρὸς τὸ μηδ' ἀκηκοέναι με τινὰς ὀνομαζομένας φωνὰς δασείας, ὥσπερ ἤκουσα μελαίνας τε καὶ λευκὰς ἐκ μεταφορᾶς ὀνομαζόντων ἐνίων, ὡς οὐδὲ τίνας λέγουσι δασείας, οἶδα. τὰς μὲν γὰρ βραγχώδεις καὶ μελαίνας ἐν τοῖς περὶ φωνῆς ἔδειξα δι' ὑγρότητα τῶν φωνητικῶν ὀργάνων γιγνομένας. τὰς δασείας δὲ εἰ μὲν ἄλλας τινὲς παρὰ ταύτας λέγουσιν, ἐχρῆν ἑρμηνεύειν αὐτούς. εἰ δ' ἐκ τούτων τινὰς, δι' ὑγρότητα μᾶλλον, οὐ διὰ ξηρότητα τοιαῦται γίνονται φωναί, καθάπερ ὀξεῖαι καὶ κλαγγώδεις ἤδη ξηρότητι τῶν φωνητικῶν ὀργάνων, ἅπερ ἐστὶ τὰ κατὰ τὸν λάρυγγα. τὴν γλῶτταν δ' οὐ φωνητικόν, ἀλλὰ διαλεκτικὸν ὄργανον ἴσμεν οὖσαν, καὶ διὰ τοῦτο παθούσης αὐτῆς, τραυλίζειν τε καὶ ψελλίζειν συμβαίνει κατὰ τὰς διαλέκτους, οὐ βραγχώδη φωνὴν ἢ μέλαιναν ἴσχειν, οὓς μέντοι ὑπονοῶ τινὰς εἶναι νομίζειν ἃς αὐτοὶ καλοῦσι δασείας φωνάς. ἐγὼ μὲν γὰρ ὡς ἔφην οὐκ ἤκουσα καλοῦντος οὕτως οὐδ' ἑνὸς, καί τοι πολλῶν ἀκούσας ἰατρῶν λεγόντων, δασέα βλέφαρα τὰ τραχύτητα ἔχοντα τινὰ μετρίως, καθάπερ ἡ δασεῖα γλῶττα. τὰς γοῦν ὁλοκλήρους δασύτητας ἐν τοῖς βλεφάροις, οὐκέτι δασύτητας ἀλλὰ τραχύτητας καλοῦσιν. ἀνάλογα οὖν πάλιν καὶ ταῦτα τῇ κατὰ τὴν γλῶτταν τραχύτητι.

Τὰ ἤδη ταραχώδεσιν ἀγρύπνοισιν, οὖρα ἄχροα, μέλανα, ἐναιωρεύμενα, ἐφ' ἱδρῶτι φρενιτικά.

Σολοικώδεις κατὰ τὴν λέξιν εἰσὶν οὐκ ὀλίγαι τῶν ἐν τούτῳ τῷ βιβλίῳ ῥήσεις, ὡς καὶ διὰ τοῦθ' ὑποπτεύειν αὐτό τινὰς εὐλόγως Ἱπποκράτους οὐκ εἶναι. διὰ βραχυλογίαν μὲν γὰρ ἀποκεχωρηκέναι τοῦ μοχλικοῦ, ὄντος τῶν ὁμολογουμένων Ἱπποκράτους βιβλίων οὐ μόνον τούτου, ἀλλὰ καὶ τῶν ἀφορισμῶν. καίτοι διὰ βραχυτάτης λέξεως ἑρμηνευομένων κἀκείνων, οὐ μὴν σολοικώδης γέ ἐστιν ἡ ἑρμηνεία κατ' αὐτὸ, μετὰ καὶ τοῦ περιγίνεσθαι τῶν ἑρμηνευομένων, ὡς λέγειν δεινὸν ὄντα τὸν γεγραφότα τὸ βιβλίον ἐκεῖνο. τουτὶ δὲ τὸ προκείμενον ἡμῖν ἀλλόκοτον ἐν πολλαῖς ῥήσεσιν ἔχει τὴν ἑρμηνείαν, ὥσπερ ἐπὶ τῶν οὔρων ἐν τῇδε τῇ νῦν προκειμένῃ. οὕτω γὰρ ἀκύρως λέλεκται τὸ ἐναιωρεύμενα γίνεται τὰ οὖρα, τῶν ἐμφερομένων αὐτοῖς ὀνομαζομένων οὕτως, οὐκ αὐτῶν τῶν οὔρων, διὸ καί τινες ὑπαλλάξαντες τὴν λέξιν οὕτως ἔγραψαν. τὰ ἤδη ταραχώδεσιν ἀγρύπνοισιν οὖρα ἄχροα, μέλασιν ἐναιωρούμενα. ἔνιοι γοῦν καὶ κατὰ τήνδε τὴν γραφὴν τὸ σολοικοφανὲς, κἂν ὅτι μάλιστα δοκῶσιν αὐτὸ φεύγειν, ὑπαλλάττοντες τὴν λέξιν. τὰ γὰρ ἐναιωρούμενα, φανερῶς ἐπὶ τὰ οὖρα τὴν ἀναφορὰν ἔχει. ταῦτα οὖν αὐτὰ καὶ φρενιτικὰ λέγεται, τουτέστιν ἤτοι σημαίνοντα φρενῖτιν, ἢ ποιοῦντα. τὸ μὲν οὖν ποιεῖν, οὐκ εὔλογον, τὸ δὲ σημαίνειν, οὐκ ἄλογον. εἰ δὲ σημαίνει, αὐτῇ τῇ ποιούσῃ αἰτίᾳ τὴν φρενῖτιν κατά τι κοινωνεῖν αὐτά. δέδεικται δὲ τὰ μέλανα διὰ τὸν ὀῤῥὸν τῆς μελαίνης χολῆς τοῖς ὑδατώδεσι σωμάτων ἐρχόμενον περιττώμασι, γίνεσθαι. διττὴ δ' ἐστὶν ἡ γένεσις τῆς μελαίνης χολῆς, ἢ τῆς ξανθῆς ὑπεροπτημένης, ἢ τοῦ πάχεος αἵματος, ὑπεροπτᾶται δὲ διὰ θερμασίαν ἰσχυράν. εἰκότως οὖν ἔν τε τοῖς καύσοις ὀνομαζομένοις πυρετοῖς ὁρᾶται, κἂν ταῖς φρενίτισι ταῦτα τοιαῦτα. θερμὰ γὰρ καὶ ξηρὰ τὰ πάθη ταῦτα. χείρω δὲ τῶν οὔρων ἐστὶ τὰ δι' ὅλων αὐτῶν μέλανα, τῶν ἐναιώρημα μόνον ἐχόντων μέλαν. ἀλλὰ κατὰ τὴν προκειμένην λέξιν, οὐδὲ τοῦτο διήρθρωται σαφῶς, εἴθ' ὅλα λέγει τὰ οὖρα μέλανα, εἴτε μόνα τὰ ἐναιωρήματα. βούλεται οὖν ὁ γράψας τὴν προκειμένην ῥῆσιν ὅστις ἂν ᾖ, τὰ τοιαύτην ἔχοντα χροιὰν, οὖρα γινόμενα ταραχώδεσί τε καὶ ἀγρύπνοις, φρενῖτιν σημαίνειν. ταραχώδεις ἀκουόντων ἡμῶν τοὺς ἀλόγως ταραττομένους, ὃ γίνεται βεβλαμμένης μετ' ὀλίγον τῆς διανοίας. αὐξηθείσης δὲ τῆς ὀλίγης ταύτης βλάβης, οὐ ταραχώδεις ἁπλῶς, ἀλλ' ἤδη παραφρονοῦντες λέγονταί τε καὶ γίνονται. περὶ δὲ τῆς ἀγρυπνίας τί δεῖ καὶ λέγειν, ὡς ἔν τι τῶν φρενιτικῶν ἐστι συμπτωμάτων; ἐκ περιττοῦ δὲ πρόσκειται κατὰ τὴν ῥῆσιν τὸ ἄχροον ἐπὶ τῶν οὔρων, συνενδεικνυμένου γὰρ τοῖς μέλασιν. τὸ δ' ἐφ' ἱδρῶσιν, δηλοῖ μὲν ἱδρῶτας γίνεσθαι περὶ τὴν κεφαλὴν, σημαίνοντας αὐτὴν ὑπὸ πλήθους ἐνοχλεῖσθαι. καὶ εἴη ἂν καὶ ἐν τοῖς ἄλλοις καὶ τοῦτο φρενιτικὸν σημεῖον. ἀκύρως δ' ἡρμήνευται, μὴ δυναμένων ἡμῶν ἐφευρεῖν τί νοῆσαι δεῖ ἐφ' ἱδρῶτι, πότερον οὖρα. πιθανώτατον γοῦν τοῦτο δόξειεν ἀκούεσθαι, κατὰ τὴν ἀκολουθίαν τῆς ὅλης ἑρμηνείας, ἢ τὰ πεπονθότα σώματα, καὶ πρὸς τούτοις ἔτι τὰ πάθη. ὅπως δ' ἄν τις ἀκούοι, τό γε τῆς ἑρμηνείας ἄκυρον, οὐκ ἔστιν ἐκφυγεῖν, ἀλλὰ καταλιπόντες ταύτην ὅπως ἂν ἔχει, περὶ τῶν γεγραμμένων ἐπισκεψώμεθα. τὰ μὲν οὖν τῆς ἀγρυπνίας τε καὶ ταραχῆς τῶν καμνόντων, ὄντως φρενιτικὰ, τὰ δὲ τῶν οὔρων τε καὶ ἐφ' ἱδρώσεως, οὐδαμῶς. τῶν γὰρ κατὰ τὰς ἀρτηρίας τε καὶ τὰς φλέβας χυμῶν ὅπως ἔχουσι, γνωρίσματα ἐστὶ τὰ οὖρα, τὰ δὲ φρενιτικὰ σημεῖα, τὴν περὶ τὸν ἐγκέφαλον ἐνδείκνυνται διάθεσιν, ὥσπερ γε καὶ τὰ κατὰ τοὺς

ἱδρῶτας

τοὺς ἱδρῶτες ἄλλων μὲν τινων ἐστι διαθέσεων γνωρίσματα, περὶ ὧν εἴρηται πολλάκις. ὁμοίως ὅπως ἔχει τὰ περὶ τὸν
ἐγκέφαλον ἱκανὰ δηλοῦν ἐστιν. ἔνιοι δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἐκ τῶν ἐν ταῖς ἐπιδημίαις γεγραμμένων
ἀῤῥώστων ἐκλέγουσι τοὺς παραφρονήσαντας, οἷς συνέβη ἴσχειν τι τῶν ἐνταῦθα λεγομένων συμπτωμάτων τε καὶ ση-
μείων, ἢ ἐν διαχωρήμασιν, ἢ ἐν οὔροις, ἢ ἐμέτοις, ἢ ἱδρῶσιν, ἢ ἐξανθήμασιν, ἢ πτύσμασιν, ἢ κατά τι μέρος ἐνοχλοῦν-
των. μὴ μέντοι γε ὄντων φρενιτικῶν τῶν τοιούτων σημείων, ὑπαρχόντων δὲ τοῖς ἀῤῥώστοις ἐξ ἀνάγκης. ἀδύνατον ἐστιν
ἐν αὐτοῖς μηδ' ὅλως εὑρεῖν ἢ ἴδιον, ἢ μὴ ἴδιον ὁρᾶν. ὡσαύτως δὲ κἀπὶ τῶν διαχωρημάτων καὶ πτυσμάτων καὶ τῶν ἄλλων
ἁπάντων. ἐὰν οὖν ἅμα τοῖς φρενιτικοῖς σημείοις ἐπ' ἀῤῥώστου τινὸς ὀφθῇ διαχώρημα τοῖον, ἢ τοῖον ἄλλοτε, κἄπειτα φρε-
νιτικὸς ὁ ἄνθρωπος γένηται, μοχθηρῶς ἄν τις ἀποφαίνηται τὰ γενόμενα σημεῖα ταῦτα φρενίτιδος εἶναι δηλωτικά.
δυοῖν γὰρ θάτερον ὑπάρχειν δεῖ τοῖς ἰδίοις τῶν νοσημάτων σημείοις, ἤτοι διὰ παντὸς, ἢ μόνοις συμβαίνειν. ὅταν
10 δὲ μήτε μόνοις ὑπάρχει, μήτε διὰ παντὸς, οὐκ ἔστιν ἐκείνων ἴδια. τὰ τοίνυν καὶ τὰ φρενιτικὰ σημεῖα, βεβαιότατα μὲν
ἐστιν, ὅσα διά παντός τε καὶ μόνοις ὑπάρχει τοῖς φρενιτικοῖς. εἶθ' ἑξῆς ὅσα διὰ παντὸς μὲν, ἀλλ' οὐ μόνοις. ὑφ' ἡμῶν μὲν
οὖν ἐν ταῖς περὶ τούτων πραγματείαις διώρισται ταῦτα, καὶ δέδεικται μήτ' ἐν οὔροις, μήτε ἐν διαχωρήμασι, μήτ' ἐν
ἱδρῶσι, μήτ' ἐν πτύσμασι, μήτ' ἐν τοῖς ἐμέσμασι φρενιτικὰ γίνεσθαι σημεῖα. τοῖς δ' ἐξηγουμένοις τὸ βιβλίον ὀλί-
γου δεῖν ἅπασιν ἔθος ἐστὶν ὡς ἔφην παραγράφειν, τοὺς ἐκ τῶν ἐπιδημίων ἀῤῥώστους, οὐ μόνον ἐπὶ τῆς προκειμένης ῥήσεως
ἀλλὰ καὶ τῶν ὁμοίων αὐτῇ πασῶν. διὰ τοῦτο οὖν αὐτῶν οἱ ζηλωταὶ πολυλόγοι μὲν γίνονται καθ' ἑκάστην ἡμέραν ἐπὶ
τῶν ἀῤῥώστων, ἰδιώταις δὲ ὅμοιοι φαίνονται προγνώσεως ἕνεκα. τὸ γὰρ συνεχές ἐστιν ἐν ἅπασι τοῖς προγνωστικοῖς,
περὶ τῶν νοσημάτων ἰδίοις σημείοις, ἐν τῇ περὶ τῶν πεπονθότων τόπων μεθόδῳ γεγυμνάσθαι, περὶ ἧς ἰδίᾳ μοι γέ-
γραπται, καθάπερ γε καὶ περὶ τῶν τὰς κρίσεις σημαινόντων, ὧν ἀγύμναστοι τινὲς ὄντες, ἐξηγεῖσθαι τολμῶσιν τὰς τῶν
παλαιῶν ἀνδρῶν βίβλους, οὐκ εἰδότες ὅτι τὸν ἀγαθὸν ἐξηγητὴν ἱκανὸν εἶναι χρὴ κρίνειν πρότερον αὐτὸν ὅσα καλῶς,
10 ἢ μὴ καλῶς εἶπεν ὁ συγγραφεὺς, ἵνα μὴ τοῖς κακῶς εἰρημένοις συναγορεύων, ἀγνοίας ἢ φιλονεικίας ἀπενέγκηται
δόξαν. ἐπεὶ δὲ οὐ μόνον ἐν αὐτῇ τῇ ῥήσει τῇ νῦν προκειμένῃ παρατίθενται, τοὺς ἐκ τῶν ἐπιδημίων ἀῤῥώστους, ἀλλὰ καὶ δι'
ὅλου τοῦ βιβλίου τοῦτο πράττουσιν, ἄμεινον εἶναί μοι δοκεῖ τέλειον ὅρον ἐκπληρῶσαι τὸν ἐνεστῶτα λόγον. ἐὰν δέ τις ἄχθη-
ται τῷ μήκει, νομίζων τῆς προκειμένης ῥήσεως ἴδιον αὐτὸν, οὐ κοινὸν ὑπάρχειν ὅλου τοῦ βιβλίου, παρ' ἡμῶν ἀκούσας ὡς
τοῖς μὲν ἐξηγηταῖς ἐν ἁπάσαις σχεδὸν ταῖς ἐξηγήσεσιν, ἐξ ὧν κακῶς παρατίθενται ῥήσεων, οὐ μόνον μακρὸς, ἀλ-
λὰ καὶ βλαβερὸς τοῖς μανθάνουσιν ὁ λόγος γίνεται. τὰ δ' ὑπ' ἐμοῦ νῦν ἅπαξ ῥηθέντα χρησιμώτατά ἐστι, καὶ τὴν τῶν
μελλόντων ἁπάντων ἐξήγησιν σύντομον ποιεῖται, παύσεται μὲν ἐγκαλῶν τῷ μήκει, χάριν δ' εἴσεταί μοι περὶ τῆς δι-
δαχθέντων ὠφελείας ἕνεκα, καὶ περὶ τῶν μελλόντων λεχθήσεσθαι συντομίας. γενήσεται δ' ὁ λόγος ὡς ἐπὶ παράδειγμα-
τος περὶ φρενίτιδος, ἁπάντων νοσημάτων κοινὸς ὤν. ἐπεὶ τοίνυν πρόκειται μεθόδῳ τὰ φρενιτικὰ σημεῖα πάνθ'
εὑρεῖν, ἀπὸ περὶ τοῦ πάθους ἐννοίας ἀρξώμεθα. δέδεικται γὰρ ἐν τοῖς περὶ ἀποδείξεως ἀρίστη πάντων τῶν ῥηθήσεσθαι μελ-
10 λόντων ἀρχὴ, τοῦ ζητουμένου πράγματος ἡ ἔννοια. φρενῖτιν οὖν ὀνομαζόντων πάντων ἀνθρώπων τὴν τοιαύτην διά-
θεσιν, ἐν ᾗ τὰς φρένας ὁρῶσι βεβλαμμένας, ἃς δὴ καὶ νοῦν καὶ διάνοιαν ὀνομάζουσιν, εὑρεῖσθαι χρὴ πρότερον ἐν ᾧ τοῦ σώ-
ματος μορίῳ τὸ φρονοῦν τῆς ψυχῆς ἐστιν. ἐπιδέδεικται δ' ἡμῖν πρῶτον τοῦτο, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτω-
νος δογμάτων, ὥστε ἀπ' αὐτῶν νῦν ἀρξάμενοι, διὰ κεφαλαίων εἴπωμεν, οἷον ἐπιτομήν τινα τῶν ἐν τῇ περὶ τῶν πε-
πονθότων τόπων πραγματείᾳ γεγραμμένων. ἀναγκαῖον γὰρ εἶναί φημι τῇ τε βλάβῃ τῶν ἐνεργειῶν τοῦ πεπονθότος
μορίου, καὶ τοῖς κατ' αὐτὸ φαινομένοις εὑρίσκεσθαι τὴν διάθεσιν, ἤτοι γ' ἀρχομένην, ἢ συντετελεσμένην. εἴρηται
δέ μοι καὶ πρόσθεν, ὡς τὰ τῆς ἀρχομένης γνωρίσματα, προγνωστικὰ σημεῖα τῆς ἤδη συμπεπληρωμένης ἐστί. τίνα τοί-
νυν ἔργα τοῦ ἐγκεφάλου κατὰ φύσιν ἔχοντος ἐστὶν, ὁ γνοὺς, ἐκ τῆς βλάβης αὐτῶν εὑρίσκειν δυνήσεται, πρῶτον μὲν ὅτι
πέπονθεν, εἶθ' ὁποῖόν τι τὸ πάθος ἐστὶν αὐτό. εὑρέθη δὲ ἡμῖν ταῦτα, ἥτε κατὰ προαίρεσιν ἐνέργεια, καὶ διανόησις,
αἴσθησίς τε καὶ μνήμη. τούτων οὖν αἱ βλάβαι τὸν ἐγκέφαλον ἐνδείξονται πάσχοντα τοιοῦτον πάθος, οἷον ἂν εἴη τὸ τῆς βλά-
40 βης εἶδος, οἷον αὐτίκα τῶν κατὰ προαίρεσιν ἐνεργειῶν ὄργανα μὲν οἱ μῦές εἰσί. γίνονται δ' αὗται τοῖς διά τε τῶν χειρῶν καὶ
σκελῶν ἐνεργοῦσι, καὶ τὴν κεφαλὴν καὶ ῥάχιν κινοῦσιν, διαλεγομένοις τε καὶ φωνοῦσιν, καὶ ἀναπνέουσιν. ἐδείχθη γὰρ καὶ
ἥδε ἡ ἐνέργεια, τὴν πρώτην ἀρχὴν τῆς κινήσεως ἔχουσα διὰ τῶν ἀπ' ἐγκεφάλου νεύρων ἐπὶ τοὺς τοῦ θώρακος μῦς ἀφικνου-
μένων. ὅταν οὖν τις ἐνέργεια τῶν εἰρημένων φανεῖται βεβλαμμένη, ζητητέον ἐστί σοι, πότερον τὸ ἴδιον πάθος ἐστὶ τῶν ἐρ-
γαζομένων αὐτὴν μυῶν, ἢ διὰ τὴν ἀπὸ τῆς ἀρχῆς ἀφικνουμένην ἐν αὐτοῖς δύναμιν ἡ βλάβη γίγνεται. εἶτ' αὖ εὕροις,
ὅτι διὰ τὴν ἀπὸ τῆς ἀρχῆς, ὑπόπτευε εὑρεθήσεσθαί τι νόσημα τῆς ἀρχῆς αὐτοῦ, ἐὰν ἡ φαινομένη βλάβη μὴ μικρὰ, καὶ
τὴν αὔξησιν ἀξιόλογον ἔχει, οἷον ἵνα σαφὴς ὁ λόγος γένηται, τῆς ἀναπνοῆς ὑπὸ τῶν κατὰ τὸν θώρακα μυῶν γινομένης,
ὅταν ἀπαθεῖς ὦσιν οἱ τοιοῦτοι, ζήτησαι μήτι τῶν ἄλλων μορίων πέπονθε, δι' ὧν τὸ πνεῦμα κατὰ τὰς ἀναπνοὰς εἴ-
σω τε καὶ ἔξω φέρηται, καὶ μηδὲν εὑρὼν ἐκείνων βεβλαμμένον, ὑπόπτευε τὸν ἐγκέφαλον πεπονθέναι. ἵνα δὲ ἀκρι-
βὴς ὁ διορισμὸς ᾖ, καὶ τὰ συγκινούμενα τῷ θώρακι μόρια συνεπίσκεψαι. δέδεικται γὰρ ἐν τῷ περὶ δυσπνοίας
50 καὶ ταῦτα βλάπτοντα τὴν ἀναπνοήν. ἐὰν οὖν ἅπανθ' εὕροις αὐτὰ τελέως ἀπαθῆ, τηνικαῦτα τὸ τῆς δυσπνοίας
εἶδος ἐπίσκεψαι. τίνα δύναται διάθεσιν ἐνδείξασθαι τῶν κατὰ τὸν ἐγκέφαλον, οἷον ἵνα πλήρες ᾖ τὸ παράδειγμα,
φησὶν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ. πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ ,,
τῶν φρενῶν χωρίοις, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ὀνομάζει δὲ τὸ διὰ πολ- ,,
λοῦ τοῦτο πνεῦμα, καὶ ἀραιὸν αὐτὸ, ὡς ἐπιδέδεικταί μοι κατὰ τὰ περὶ δυσπνοίας ὑπομνήματα. τὸ μὲν γὰρ
ἀραιόν, ἴδιόν τε ἅμα καὶ ἀχώριστον παραφροσύνης σημεῖον. ἐπιδέδεικται δὲ καὶ κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία, ὡς
ἅπαντες οἱ μέγα καὶ ἀραιὸν ἀναπνέοντες παρεφρόνησαν. εἰ μὲν οὖν τις ἐν οὔροις, ἢ διαχωρήμασιν, ἢ πτύσμασιν, ἢ
ἐμέτοις, ἢ ἱδρῶσιν, ἢ τινὶ τῶν ἄλλων δύναται δεῖξαι τὶ σημεῖον, εἴ τε ἰδίᾳ μόνης περὶ παραφροσύνης ἐστὶν ἴδιον,
εἴτε μὴ καὶ μόνης, ἀλλ' ἀχώριστον αὐτῆς, εἰκότως αὐτὸ τοῖς φρενιτικοῖς συναριθμήσει σημείοις. εἰ δ' οὔτ' ἐκ περὶ

τῶν πραγμάτων φύσεως ἀπόδειξιν εἰπεῖν αὐτῷ τινὰ δυνατόν ἐστιν, ὅτι ἐν τοῖς τῶν ἐπιδημιῶν δεῖξαι τὰς παραφροσύναις πάσαις, ἤτοι διὰ παντὸς ὑπάρχον, ἢ εἰ μὴ διὰ παντός, ἀλλὰ μόναις ὑπάρχει αὐταῖς. οὐκ εὐλόγως τὸ τοιοῦτον σημεῖον ἐν τοῖς φρενιτικοῖς τάττει, τοῦτ᾽ ἔχων ἐν μόνον εἰπεῖν ὅτι τεθέαταί ποτε φρενιτικοῖς τισὶν ὑπάρξαν αὐτό. κατὰ γοῦν τὸν αὐτὸν λόγον τἀναντία τοῖς φρενιτικοῖς νομίζειν σημεῖα εἶναι. φέρε γὰρ εἰκὸς ἡμῖν ἑωρᾶσθαι φρενιτικούς, ὧν τοῖς μὲν τὰ κατὰ τὴν κοιλίαν ἐπισχεῖσθαι, τοῖς δὲ ἄλλοις καὶ πλείω τῶν κατὰ φύσιν ἐκκρίνεσθαι. ἔγραψε δή πού τις σὺν τοῖς φρενιτικοῖς σημείοις, καὶ τὴν τῆς γαστρὸς ἐπίσχεσιν, εἶτά τινα τούτου μαρτύριον εἶναι νομίζει τῶν φρενιτισάντων ἐκείνους, οἷς προσεπισχέθη γαστήρ. προπετοῦς γάρ τινος ἐν ταῖς ἀποφάσεσι γράψαντος, ἐπισχεθεῖσαν κοιλίαν φρενιτικὸν εἶναι σημεῖον, ἐνέστιν ἄλλῳ προπετεῖ μὴ μαρτυρεῖν τῷ λόγῳ φάσκοντι, καὶ τοὺς δὲ φρενιτικούς, ὧν ἐκταραχθεῖσαν ἐθεάσατο τὴν γαστέρα. γράφοντος οὖν Ἱπποκράτους ἐπὶ τῶν ἐπιδημιῶν ἅπαντα τὰ συμβαίνοντα τοῖς ἀῤῥώστοις, ἀναγκαῖόν ἐστιν ὥσπερ τοῖς φρενιτικοῖς, οὕτω καὶ τοῖς περιπνευμονικοῖς καὶ τοῖς κυναγχικοῖς, ἅπασί τε τοῖς ἄλλοις, ἤτοι γ᾽ ἐπισχεθείσης τῆς γαστρὸς ἢ ὑπελθούσης, ἐκεῖνο μετὰ γράψαι σὺν τοῖς ἰδίοις τῶν παθῶν καὶ ταῦτα. τοὺς δ᾽ ἐξηγητὰς ἡγεῖσθαι τοῦ νοσήματος αὐτὰ εἶναι σημεῖα, μὴ γινώσκοντες ἄλλα μὲν εἶναι τὰ παθογνωμονικά, καὶ προγνωστικὰ νοσήματος ἴδια. ἄλλα δὲ καὶ ἀχώριστα σημεῖα. καθάπερ ὀλίγον ἔμπροσθεν ἔφην, ἐπὶ τῆς ἀναπνοῆς μεγάλης καὶ ἀραιᾶς γινομένης. ὅταν δὲ τούτων μὴ εὐπορῶμεν, τὸ μήτ᾽ ἴδιόν τι ζητεῖν, ἢ ἀχώριστον τοῦ πάθους γνώρισμα, ἀλλὰ πότερον ὀλεθρίως ἢ σωτηρίως ὁ κάμνων ἔχει, τότε πάντων τῶν κατὰ τὸ σῶμα φαινομένων αὐτῷ σημείων τε καὶ συμπτωμάτων, ἡ ἐπίσκεψις ἀναγκαία γίνεται. περιέχεται δ᾽ ἐν αὐτοῖς καὶ τὰ τῶν κρίσεων δηλωτικά. πάλιν οὖν ἐπ᾽ ἀρχὴν ἀναγαγόντες τὸν λόγον, εἴπωμεν ὡς κατὰ τὴν προκειμένην ῥῆσιν ὁ γράψας, τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοις οὖρα ἄχροα, μέλανα, ἐναιωρούμενα, ἐφ᾽ ἱδρῶτι φρενιτικά. περὶ μὲν ἰδίων τε καὶ ἀχωρίστων φρενίτιδος ἔγραψεν ἐν τῷ φάναι, τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοις. τῶν δ᾽ οὔτ᾽ ἀχωρίστων, οὔτε μόνης αὐτῆς ἰδίων, τὴν ἐφ᾽ ἱδρῶσιν, ἀλλ᾽ ὅμως αὐτὴν κατὰ τὸν πεπονθότα γιγνομένην τόπον, συνενδείκνυσθαι δύναται τοῖς προειρημένοις. τὰ δὲ περὶ τῶν οὔρων συνημμένα, κεχώρισται μὲν τῶν φρενιτικῶν. εἰς γοῦν τὴν ἐπίσκεψιν τοῦ πότερον ὀλεθρίως ἢ σωτηρίως ὁ κάμνων ἔχει, συντελεῖ. εἴ γε προσήκει πρῶτον ἁπάντων ἐν ταῖς πρὸς τοὺς ἀσθενοῦντας εἰσόδοις εὑρεῖν, εἴτε μιᾶς ἐκ τῶν κυρίων ἀρχῶν νοσούσης εἴτε δυοῖν, ἢ καὶ πασῶν ὁ κάμνων ἔχει μοχθηρῶς, ἢ τῶν μὲν ἀρχῶν οὐδεμία πέπονθεν, τῶν δ᾽ ἀπό τινος αὐτῶν ἐκπεφυκότων, ἢ ὅπως οὖν ὠκειωμένων τι. ἐὰν οὖν ἐπὶ ταραχώδεσιν ἀγρύπνοις ἐπισκεπτομένῳ σοι τὰ οὖρα, μηδὲν ἐν αὐτοῖς σημεῖον μοχθηρὸν φαίνηται, ἀλλὰ μηδ᾽ ἐν τοῖς σφυγμοῖς, ἕνεκα γε ἀκριβεστάτης διαγνώσεως, ἀναγκαῖον ἐστι καὶ τοῦτο προσθεῖναι, φρενιτικὸν μὲν οὐδὲν ἔτι ἐγχωρεῖ γενέσθαι τὸν οὕτως διακείμενον ἄνθρωπον, ἐπειδὴ τὰ τῆς φρενίτιδος αὐτῷ πάρεστι σημεῖα, κινδυνεύσαι δ᾽ ἧττον ἐκείνων, ἀβλαβεῖς τὰς κυριωτάτας ἐνεργείας τῶν ὑπολοίπων δυοῖν ἀρχῶν ἔχοντα. ταῦθ᾽ ὡς ἔφην ἅπαξ μὲν εἰρήσθω μοι. μνημονευέσθω δὲ καθ᾽ ὅλον τὸ βιβλίον ἵνα μὴ πολλάκις ἀναγκάζωμαι λέγειν τὰ αὐτά.

Ενύπνιά τε ἐν φρενιτικοῖσιν ἐναργῆ.

Τοῦτο Σάτυρος ὁ Κοΐντου μαθητής, ὃν ἐγὼ πρότερον ἔσχον διδάσκαλον Πέλοπος, οὕτως ἐξηγεῖτο. τῶν ἐν τοῖς φρενιτικοῖς ἐναργῶς ὁρωμένων τε καὶ πραττομένων πρὸς αὐτῶν, ὅσα ὁρᾶσθαί τε καὶ πράττεσθαι δοκεῖ ἡμῖν, οὐκ ἔστι κατ᾽ ἀλήθειαν ὕπαρ, ἀλλ᾽ ἐνύπνια πάντα ἐναργῆ. ὅτι μὲν οὖν καὶ ἄλλοι τινὲς ἐκ τοῦ ὕπνου ἀνιστάμενοι περιέρχονται, κοιμώμενοι μέν, ἀναπεπταμένους δὲ τοὺς ὀφθαλμοὺς ἔχοντες ὁμοίως τοῖς ἐγρηγορόσιν, ἐν πολλοῖς ἱστόρηταί τε καὶ γέγραπται. εἰ δὲ τοιαῦτα ἐστὶ τοῖς φρενιτικοῖς τὰ πραττόμενα τῶν ἀδήλων ἡμῖν ἐστιν. ὅπως δ᾽ ἂν ἔχει τὸ ἀληθές, οὐδὲν εἰς πρόγνωσιν ὀνίνησιν ἡ ἐξήγησις αὕτη. εἰ δ᾽ ἐγὼ τὰ προηγούμενα τῶν φρενιτικῶν ἐνύπνια βλέπεσθαι λέγω σαφῶς οὕτως ὡς ἐκθροεῖσθαι τῶν ὕπνων αὐτούς, ἀναπηδῶντας, ἢ φθεγγομένους διὰ τὴν ἐνάργειαν τῶν φαντασμάτων, χρήσιμον εἰς τὴν τοῦ πάθους τούτου πρόγνωσιν. ἡ γὰρ ξηρότης αὐτὴ τῆς ἀγρυπνίας ἐστὶν αἰτία, καὶ τῆς τῶν ὀνειράτων ἐμφάσεως. οὕτω γοῦν καὶ τοῖς μελαγχολικοῖς, διὰ τὴν ξηρότητα πάνυ ἐναργῆ φαίνεται τὰ κατὰ τοὺς ὕπνους φαντάσματα. καὶ τῶν ὑγιαινόντων δέ, τοῖς μὲν ἐνδεῶς διαιτηθεῖσιν, ἐναργεῖς οἱ ὄνειροι γίνονται. τοῖς δ᾽ ἐμπεπλησμένοις ἢ μεθύουσιν οὕτως ἀφάντασοι δοκοῦσιν εἶναι, διαῤῥεόντων αὐτοῖς τῶν φαντασμάτων ὑπὸ ἀμυδρότητος, ὡς μηδὲ ἴχνος αὐτῶν καταλιπεῖν εἰς μνήμην. οὕτω καὶ τῶν παθῶν, ὅσα μεθ᾽ ὑγρότητος ἐγκεφάλου γίνεται, κωματώδη τέ ἐστι καὶ ὑπνώδη καὶ ἀφάντασα. μοχθηρὸς οὖν ἐστιν ὁ λόγος τῶν οἰομένων οὐδ᾽ ἐνύπνια ὁρᾶσθαι τοῖς φρενιτικοῖς ἐναργές. εἴτε φασὶν ὡς μηδ᾽ ὅλως ὁρῶσιν ἐνύπνιον, ὡς ἂν μὴ κοιμώμενοι. πρῶτον μὲν γὰρ ἑτοίμως λαμβάνουσι τό, τὰ συμπεπληρωμένα σὺν τοῖς οἰκείοις μεγέθεσι πάθη, μόνα καλεῖται ταῖς ἰδίαις προσηγορίαις, ὑπεριδόντες τοῦ σμικροῦ λόγου τοῦ κατ᾽ ἀρχὰς ἡμῖν ῥηθέντος, ὡς οὐ δὲ προγινώσκεταί τι τοῖς ἰατροῖς μέλλον πάθημα. τῶν δὲ ἤδη μὲν ἀρχὴν γενέσεως ἐχόντων, οὐδέπω δὲ τοῖς πολλοῖς διὰ τὴν σμικρότητα γνωριζομένων, ἡ γενομένη τοῖς τεχνίταις γνῶσις ἐπαγγελθεῖσα τοῖς ἰδιώταις, πρόγνωσις ὡς πρὸς ἐκείνους ἐστὶν, ὥστε καὶ τοὺς φρενιτικοὺς ἤδη τοῖς τεχνίταις γνωρίζεσθαι τῆς κατὰ τὸν ἐγκέφαλον διαθέσεως ἄρτι συνισταμένης. ἔπειτα δὲ εἰ καὶ μὴ συγχωρεῖ τις ὀνομάζειν φρενιτικοὺς ἤδη τοὺς μηδέπω σαφῶς παρακόπτοντας, ἀλλ᾽ ὅτι γε φρενιτικοὶ γενήσονται, προγνῶναι δυνατόν ἐστιν ἐκ τῶν ἐνυπνίων, ὡς κατὰ τὴν προκειμένην ῥῆσιν ἐγχωρεῖ λελέχθαι, τὰ ἐν τοῖς φρενιτικοῖς ἐσομένοις ἐνύπνια προηγούμενα, πᾶσιν αὐτοῖς ἐναργῶς ὁρᾶσθαι.

Ἀνάχρεμψις πυκνή, ἤν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικά.

Βέλτιον ἦν ἴσως προσκεῖσθαι τῷ λόγῳ τό, μηδενὸς ἀποπτυομένου κατ᾽ αὐτήν, ὡς ἔτι ἀποπτύουσι, καθάπερ ἐν κατάῤῥοις ἐνίοτε συμπίπτει, διὰ τὸ συῤῥέον εἰς τὸ στόμα διὰ τῶν εἰς τὴν ῥῖνα συντρήσεων, εἴωθε γίνεσθαι τοῦτο. συμβαίνει δ᾽ ἐνίοτε καί τινος ἔξωθεν τῇ ῥύμῃ τῆς ἀναπνοῆς ἑλχθέντος, εἶτ᾽ ἐν αὐτοῖς τοῖς κατὰ τὴν σύντρησιν πόροις ἐμπλασθέντος ἢ σφηνωθέντος, ἀνάχρεμψιν γίνεσθαι πυκνήν. ἀλλ᾽ ὅπερ ἔμπροσθεν ἔφην ὑπὲρ τῆς ἀμελέστερον, ἢ ἁπλοικώτερον ἑρμηνευόντων αὐτοῦ διορισμοῦ, χρὴ μεμνῆσθαι τὰ λεγόμενα πάντα κατὰ τὰς τοιαύτας διδασκαλίας, ὑπεξῃρημένων τῶν ἔξωθεν αἰτίων λέγεσθαι. διὰ τοῦτο οὖν καὶ ἡ ἀνάχρεμψις ἔν τισι τῶν προαιρετικῶν οὖσα ἔργων, γίγνεται πυκνὴ βλαβέντος τοῦ λογισμοῦ,

γισμοῦ, καθάπερ καὶ ἄλλη τις τῶν προαιρετικῶν ἐνεργειῶν, ὡς ἔνιοι μέν γε μετὰ ψόφου φῦσαν ἐκκρίνουσι, περὶ παντὸς αὐτόθεν ποιούμενοι τοῦτο δρᾶν ἀκούοντός τινος. ἔνιοι δὲ χεῖρα κινοῦσιν ἀλόγως, ἢ σκέλος, ἢ ὁτιοῦν ἄλλο τοιοῦτον πράττουσιν ἢ λέγουσι. κατὰ τὸν κοινὸν οὖν λόγον, ἁπασῶν τῶν προαιρετικῶν ἐνεργειῶν ἀλόγως πλεοναζουσῶν, ἢ ἐλλειπουσῶν, καὶ ἡ ἀνάχρεμψις ἐν τοῖς φρενιτικοῖς σημείοις ἐστίν. οὐ μὴν οὕτω γε ἰσχυρὸν ὡς ἡ ἀγρυπνία, καὶ μάλιστα ἡ ταραχώδης, αὕτη γὰρ ἡ ἴδιος τῶν φρενιτικῶν. ἔστι δὲ ταραχώδης ὡς ἴσμεν, εἰ ἐν φαντασίαις ἐκβοῶσιν, ἢ ἀναπηδῶσι, καὶ μόλις γνωρίζουσι τοὺς οἰκείους. καλῶς οὖν προσέθηκεν ἐπὶ τῆς ἀναχρέμψεως, εἰ δέ τι καὶ ἄλλο σημεῖον προσῇ. μικρὰν γὰρ ἔχον τὴν δύναμιν τοῦτο τὸ σημεῖον, ἑτέρων δεῖται μαρτυρούντων αὐτῷ, γιγνομένης δέ ποτε πυκνῆς ἀναχρέμψεως διὰ γλίσχρον πτύελον ἐμπεφραγμένον τοῖς εἰς τὸ στόμα πόροις ἐκ τῆς ῥινός, οὐκ ἀδύνατον οὐδ᾿ οὕτως τισὶ τῶν φρενιτίζειν μελλόντων συμπίπτειν αὐτήν, διὰ τὴν κατὰ τὸν ἐγκέφαλον διάθεσιν ξηρὰν καὶ θερμὴν οὖσαν. τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, οὐχ ἑνικῶς φρενιτικόν, ἀλλὰ πληθυντικῶς φρενιτικά, πάντως πρὸς τὰ σημεῖα τὴν ἀναφοράν, ἢ πρὸς τὰ πάθη λήψεται, καθ᾿ ἑκάτερον δὲ τὴν ἑρμηνείαν ἀλλόκοτον ἐργάζεται.

Τὰ ἐγκαταλιμπανόμενα καύματα ἐν ὑποχονδρίῳ πυρετοῦ περιψυχθέντος, κακόν. ἄλλως τε κἂν ἐφ᾿ ἱδρῶσιν.

Ἀσφαλῶς εἶπε πυρετοῦ περιψυχθέντος, οὐ γὰρ ἀληθὲς ἦν φάναι πυρετοῦ παυσαμένου. διαμένει γοῦν ἐν τοῖς κυρίοις μέρεσιν, εἰ καὶ περὶ τὴν ἐπιφάνειαν ἐπαύσατο, πυρέττειν ἡμῶν λεγόντων, οὐ μόνον τὸ περὶ τὸ δέρμα καὶ τὴν ἐκτὸς ἐπιφάνειαν ἔχοντα πυρώδη θερμασίαν, ἀλλὰ καὶ πολὺ μᾶλλον τοῦτο τὸ ἐν τῷ βάθει τε καὶ τοῖς σπλάγχνοις. ὁ μὲν οὖν ὀλέθριος καῦσος, τὰ μὲν ἔνδον ἐκκαίει, τὰ δ᾿ ἔξωθεν οὐδὲ μετρίως θερμαίνει. καὶ μέμνηται τοῦ τοιούτου πυρετοῦ περὶ τοὺς ἀφορισμοὺς αὐτὸς ὁ Ἱπποκράτης. ἐν ᾧ φησίν, ἢν ἐν μὴ διαλείποντι πυρετῷ, τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δ᾿ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον. τὸ δ᾿ ἐφ᾿ ἱδρῶσιν, ἐπειδὴ ποτὲ μὲν αὐτοῖς περὶ κεφαλήν, ἢ θώρακα χωρίοις ἱδρώτων γινομένων εἰώθασι λέγειν. ἐνίοτε δὲ αὐτοῖς τοῦ δι᾿ ὅλου μὲν τοῦ σώματος, ἀλλ᾿ ὀλίγοι, ὁπότερον δ᾿ ἂν ᾖ νῦν εἰρημένον, οὐκ ἀγαθόν ἐστι σημεῖον. οἱ μὲν γὰρ δι᾿ ὅλου τοῦ σώματος ἱδρῶτες ἐπ᾿ ὀλίγον οὕτω γιγνόμενοι, διότι μὴ λύουσι τὴν καθ᾿ ὑποχόνδριον φλόγωσιν, οὐκ ἀγαθοί. οἱ δ᾿ ἐν τοῖς ἄνω μέρεσιν, ἐπειδὴ κατὰ διττὸν γίνονται τρόπον, ἢ ἀρρωστούσης τῆς δυνάμεως, ἢ βαρυνομένης ὑπὸ πλήθους.

Αἱ προεξαδυνατησάντων παραφροσύναι, κάκισται, οἷον καὶ Θρασύωνι.

Οὕτως εἰσὶν αἱ προεξαδυνατησάντων παραφροσύναι κάκισται, ὡς οὐκ ἂν ἐλπίσαις σωθῆναί τινα ἐξ αὐτῶν. ἀκούειν δὲ δηλονότι περὶ τῶν παραφροσυνῶν ἐκείνων προσῆκον, ὅσαι κατὰ διάθεσιν νοσώδη γίνονται, τοῦ φρονοῦντος ἐν ἡμῖν μορίου. πρόσκαιροι γὰρ ἕτεραί τινες συμπίπτουσιν ἐκ τῶν ἔξωθεν αἰτίων, οἷον ἀνθράκων θέρμης, ἢ οἴνου πόσεως, ἢ οἴκου, τὴν ἐκ τῆς τιτάνου διασώζοντος ποιότητα. βλαβεραὶ μὲν γὰρ καὶ κινδυνώδεις εἰσὶν καὶ αἱ τοιαῦται προεξαδυνατηκόσι συμπίπτουσαι. παντάπασι δ᾿ ὀλέθριαι τῶν κατὰ διάθεσιν ἐγκεφάλου φρενιτικὴν παρακοπτόντων. μέγεθος γάρ τι τῆς κατὰ τὴν δύναμιν ἀρρωστίας ἐνδείκνυται, τὸ προεξαδυνατησάντων ὄνομα προσκειμένης τῆς ἐξ προθέσεως, τῷ προαδυνατησάντων, ὃ καὶ αὐτὸ καθ᾿ αὑτὸ βλάβην ἱκανὴν σημαίνει τῆς δυνάμεως, καὶ κατά τινα τῶν ἀντιγράφων οὕτως εὑρίσκεται γεγραμμένον. οὐ μόνον δὲ αἱ παραφροσύναι δέονται δυνάμεως ἐρρωμένης, ἵνα καμνόντων ἐξαρκέσῃ τῇ πέψει τοῦ νοσήματος, ἀλλὰ καὶ περιπνευμονία καὶ πλευρῖτις καὶ κυνάγχη, καὶ τἆλλα τὰ μεγάλα πάθη. προέρχεται δὲ ἐξ ἐπιμέτρου τῇ παραφροσύνῃ, καὶ ἀγρυπνία καταλύουσα τὴν δύναμιν, οὐδὲν ἧττον τῶν αἰσθητῶν ἐκκρίσεων, ἥ τ᾿ ἐν κινήσεσι πολλαῖς καὶ ἀτάκτως γινομέναις πλημμέλεια. τὸ δ᾿ οἷον καὶ Θρασύωνι, μᾶλλον ὑπομνήματι πρέπον ἐστὶν ἢ συγγράμματι. κατὰ γοῦν τὸ προγνωστικὸν καὶ τοὺς ἀφορισμούς, καὶ τὸ περὶ ἀγμῶν καὶ ἄρθρων, ὁμοίως δὲ καὶ κατὰ τὸ περὶ διαίτης ὀξέων, ἔτι τε τὸ περὶ τῶν ἐν κεφαλῇ τραυμάτων, οὐδαμόθεν φαίνεται μεμνημένος ὀνόματος. ὥσπερ γε οὐδ᾿ ἐν τοῖς ἄλλοις, ὅτι μὴ μόνοις τοῖς τῶν ἐπιδημιῶν ἐν οἷς αὐτὸ τοῦτο μόνον προκείμενόν ἐστιν, ἐξετάσαι τὰ καθόλου διδαχθέντα διὰ τῶν κατὰ μέρος φαινομένων ἐφ᾿ ἑκάστης ἀρρωστίας.

Τὰ φρενιτικὰ νεανικῶς, τρομώδεα τελευτᾷ.

Τὸ νεανικῶς δηλονότι ἀντὶ τοῦ γενναίως ἢ σφοδρῶς, ἢ ἰσχυρῶς εἴρηκε. μέσον δὲ τεταγμένον τοῦ τε φρενιτικά, καὶ τοῦ τρομώδεα, δύναται μὲν ὅσον ἐπὶ τῇ τάξει μεθ᾿ ἑκατέρου λέγεσθαι. κατὰ δὲ τὴν τῶν πραγμάτων ἀλήθειαν ἐξεταζόντων τὸν λόγον, οὐ δύναται τῷ τρομώδεα συντάσσεσθαι. γενήσεται γὰρ ἡ διάνοια τοιαύτη, ὅτι τὰ φρενιτικὰ πάθη τελευτᾶν εἴωθεν εἰς τρόμον σφοδρόν, ὃ προφανῶς ψευδές ἐστι μόναις ταῖς σφοδροτάταις φρενίτισιν ἑπομένου τοῦ συμπτώματος. αἱ γὰρ ἀτονίαι τῶν νεύρων, διὰ τὴν τοῦ πάθους ξηρότητα τοῖς φρενιτικοῖς ὑπάρχουσιν ἄχρι πλείστου. καταλυθείσης δὲ τῆς δυνάμεως ἀγρυπνίαις τε καὶ πολλαῖς κινήσεσιν, ἅμα δὲ καὶ τῶν νεύρων ὑπερξηρανθέντων οἱ τρόμοι γίνονται.

Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος ἀγρυπνώδεα, ταχὺ ἐκμαίνει.

Μεμνημένῳ σοι τῶν περὶ τῶν χυμῶν, τῶν τε ἄλλων καὶ τῆς μελαίνης χολῆς, οὐ χαλεπὸν ἐννοῆσαι περὶ τῶν ἰωδῶν ἐμεσμάτων, ὡς κατὰ τὴν ἐπὶ τὸν μέλανα χυμὸν ὁδοιπορίαν γίνεται. μεμάθηκας γὰρ ἔκ τε τῆς ξανθῆς χολῆς ὑπεροπτηθείσης καὶ τοῦ παχέος αἵματος γεννᾶσθαι τὴν μέλαιναν. ἡ ξανθὴ χολὴ δ᾿ ὑπεροπτωμένη, πρῶτον μὲν εἰς τὸν ἰώδη τρέπεται χυμόν, ἔπειτα εἰς τὸν μέλανα. ὑπεροπτᾶται δὲ διὰ μέγεθος πυρετοῦ. κατειληφυίας οὖν τὸν ἐγκέφαλον χολῆς ξανθῆς ἐν τοῖς φρενιτικοῖς πάθεσι, ὅταν ἡ τοῦ πυρετοῦ σφοδρότης ὀπτῶσα, τὸν χυμὸν τοῦτον ἐργάζηται μελαγχολικόν, αἱ παραφροσύναι γίγνονται σφοδραί, διὰ τὴν κακοήθειαν τῆς μελαίνης χολῆς, ἃς μανιώδεις κἂν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις Ἱπποκράτης ὠνόμασεν. αὐτὸς οὖν ὁ ἰώδης χυμὸς ἄν τε δι᾿ ἐμέτων, ἄν τε διὰ τῆς κάτω γαστρός, ἄν τε διὰ πτυσμάτων, ἄν τε δι᾿ οὔρων ἐπιφανῇ, τόν τε χυμὸν ἐξ οὗ γεννᾶται δηλώσει, καὶ τὸ νόσημα θερμόν τε εἶναι καὶ ξηρὸν ἰσχυρῶς. ἀδήλου δ᾿ ὄντος, ὅθεν ἐπὶ τῷ κινουμένῳ χυμῷ, πότερον αὐτοῦ τοῦ τόπου πεπονθότος τινὸς ἐξαιρέτου, ἢ μετά τινος κινεί-

μορίου φλεγμονὴν ἐρυσιπελατώδη ἔχοντος ἡ γένεσις αὐτῷ γέγονε, διαγινώσκεται καὶ διορίζεται τούτων, τοῖς συνεζευγμένοις συμπτώμασι. καὶ γὰρ καὶ δι᾽ ἧπαρ οὕτω φλεγμαῖνον, ἰώδης γεννᾶται χυμὸς οὗ νῦν μνημονεύει. τῇ κοινωνίᾳ γοῦν τῶν ἄλλων συμπτωμάτων ὅσα τῶν εἰρημένων μορίων τε καὶ παθῶν ἐστὶν ἴδια, τὴν διάγνωσιν αὐτῶν ποιεῖται. ἥτε γὰρ ἀγρυπνία, καὶ ἡ κεφαλαλγία, καὶ ἡ κώφωσις, ἐν τῇ κεφαλῇ δηλοῖ τὴν διάθεσιν εἶναι. χαλεπῶς δ᾽ ἔχοντος τοῦ ἐγκεφάλου, πρὸς ἔμετον ὁρμᾷν τὸ στόμα τῆς γαστρὸς ἴσμεν, εἴρηται γὰρ ὑπὲρ τούτων πολλάκις. εὔλογον οὖν ἐστι παρακόψαι σφοδρῶς τὸν τοιοῦτον ἄνθρωπον ἐπὶ ξηρᾷ καὶ θερμῇ κατὰ τὴν κεφαλὴν δυσκρασίᾳ, διὰ ξανθῆς χολῆς πλεονεξίαν ὑπεροπτωμένης. ἐν τάχει δὲ γενήσεσθαι τοῦτο, διά τε τὸ μέγεθος τῆς διαθέσεως, καὶ τὴν ἰδέαν τοῦ πλεονεκτοῦντος χυμοῦ. ὅσα μὲν γὰρ ἐπὶ ψυχροῖς ἢ παχέσιν, ἢ γλίσχροις, ἢ ὅλως δυσκινήτοις χυμοῖς παθήματα γίνεται, βραδεῖαν ἴσχει τὴν ἐπὶ τὴν ἀκμὴν ἀνάβασιν. ὅσα δ᾽ ἐν λεπτοῖς μὲν τῇ συστάσει, θερμοῖς δὲ τῇ κράσει, δακνώδεσι δὲ τῇ ποιότητι, χρόνον οὐ προσμένει πλείονα. καθάπερ οὐδὲ τὰ Φιλίσκῳ γενόμενα τῷ γεγραμμένῳ κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν, ὃν ἐμέσαι μὲν ἔφη χολώδεα, ὀλίγα ξανθὰ πρότερον, μετὰ δὲ ταῦτα ἰώδεα πλείω. εἶτα εἰπὼν ὅτι κώφωσις αὐτῷ συνέπεσεν, ἐφεξῆς φησὶ ἐξεμάνη. καὶ νῦν οὖν ὀρθῶς οὐ μόνον ὅτι παρακόψουσιν οἱ οὕτως ἔχοντες, ἀλλὰ καὶ ὅτι σφοδρῶς, ἐδήλωσε προσθεὶς τὸ ἐκμαίνεσθαι, μεγάλης παρακοπῆς δηλωτικὸν ῥῆμα.

Τὰ ἐν ὀξέσι περὶ φάρυγγα, ὀδυνώδεα, ἰσχνά, σμικρά, πνιγώδεα, ὅτε χανόντες μὴ ῥηιδίως συνάγειν τε καὶ ἐκλείειν τὸ στόμα, παρακρουστικά, ἐκ τουτέων φρενιτικοὶ καὶ ὀλέθριοι.

Ὅτι μὲν οὖν ἐπὶ τοῖς τοιούτοις συμπτώμασιν ἐνίοτε γίνεται φρενῖτις, ὅτι τε γιγνομένη πάντως ἐστὶν ὀλέθριος, ὀρθῶς εἴρηται. μὴ μέντοι παρυπονοήσαις ἕπεσθαι τοῖς εἰρημένοις συμπτώμασιν ἐξ ἀνάγκης φρενῖτιν, οὐδὲν γὰρ πρόσκειται τῇ συνδρομῇ τῶν συνενδεικνυμένων πεπονθέναι τὸν ἐγκέφαλον. ἐκ δὲ τοῦ τὰ κατὰ τὴν φάρυγγα κακῶς διακείμενα, τὸν τοιοῦτον ἄνθρωπον ἔχειν αὐτὸν τινὸς ὄγκου παρὰ φύσιν, οὐ δυνάμενον ὁπότε χάνῃ συνάγειν ἑτοίμως τὴν γένυν, καὶ ἐκλείειν τὸ στόμα, τεκμαίροιτ᾽ ἄν τις ἐνίοτε πεπονθέναι τὴν ἀρχὴν τῶν νεύρων. ἄρχεσθαι γὰρ εἰκός ἐστιν ὡς ἐπὶ τῶν φαινομένων μορίων τὰς διαθέσεις, οὐκ ἀθρόως ὅλων ἤτοι φλεγμαινόντων, ἢ οἰδισκομένων, ἢ ἐρυσιπέλατα ἰσχόντων, ἀλλὰ ἐφ᾽ ἑνός τινος αὐτῶν τόπου, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἐν τῷ βάθει κειμένων. μέγεθος οὖν ἀξιόλογον ἔχοντος τοῦ ἐγκεφάλου, καὶ πολλὰς νεύρων ἐκφύσεις, εἰκός ἐστιν ἄλλοτ᾽ ἀπ᾽ ἄλλων αὐτῶν πρώτων ἄρχεσθαι τὴν φλεγμονὴν αὐτοῦ. καθ᾽ ὅτι δ᾽ ἂν μέρος πάθῃ, κατ᾽ ἐκεῖνο καὶ τὰς τῶν νεύρων ἐκφύσεις πασχούσας ἀδυνάτους γίνεσθαι κινεῖν τοὺς μῦς εἰς οὓς ἐμφύονται. τὴν τοίνυν κάτω γένυν ἑτέρων μὲν μυῶν ἀνοιγόντων, ἑτέρων δὲ κλειόντων, ὅταν μὲν ἐν τοῖς τῶν διανοιγόντων μυῶν νεύροις ἡ διάθεσις γένηται, δυσκόλως ἀνοιγνύουσιν. ὅταν δ᾽ ἐν τοῖς τῶν κλειόντων, οὐ ῥᾳδίως κλείουσιν. ἐνδεχομένου δὲ ὄντος αὐτοὺς μόνους ἐνίοτε τοὺς μῦς πεπονθέναι χωρὶς τῆς τῶν νεύρων ἀρχῆς, οὐκ ἀναγκαῖόν ἐστι τοῖς εἰρημένοις συμπτώμασιν ἀκολουθεῖν φρενῖτιν. οὐδὲ γὰρ ὃ μάλιστα αὐτὸν ἔπεισεν ὑποπτεῦσαι πεπονθέναι τὴν ἀρχὴν τῶν μυῶν, ἔστι δὲ τοῦτο τῶν κατὰ τὴν φάρυγγα χωρίων ἡ ἰσχνότης, τῶν ἀναγκαίων ἐστὶ μορίων. ἐγχωρεῖ γὰρ τοὺς ἐν τῷ φάρυγγι μῦς φλεγμαίνοντας τὸ πνιγῶδες ἐργάζεσθαι σύμπτωμα, μὴ δυναμένους φανῆναι, μηδ᾽ ἂν ἐπὶ πλεῖστον τις διανοίξῃ τὸ στόμα, ὡς εἶγε χωρὶς τῆς τούτων φλεγμονῆς γίνοιτο τὰ εἰρημένα συμπτώματα. σκοπεῖσθαι χρὴ μή τις τῶν μυῶν μόνων τῶν κινούντων τὴν κάτω γένυν, ἰδία τίς ἐστι διάθεσις. ἐὰν γὰρ μηθ᾽ οὗτοι τι πεπονθότες ὦσι, μήθ᾽ οἱ τοῦ λάρυγγος, εὐλόγως ἂν τις αἰτιάσαιτο τὴν ἀρχὴν τῶν νεύρων. ἐὰν μέντοι διὰ τὴν ἀρχὴν ᾖ τὰ τοιαῦτα συμπτώματα γεγονότα, χαλεπωτάτην εὔλογον εἶναι τὴν διάθεσιν, ὡς καὶ σπασμὸν ἀκολουθῆσαι. μεμαθήκαμεν γὰρ ἐπὶ ταῖς τῶν μυῶν τάσεσι διὰ τὴν ἀρχὴν γινομέναις ἕπεσθαι σπασμόν. οὐκ ἐμνημόνευσε δὲ ἐν ᾧ δηλοῦται λόγῳ τῶν ἐπὶ τοῖς τοῦ τραχήλου ἀποστήλοισιν εἰς τὸ πρόσω ῥεύσασι κυναγχικῶν, διά τε τὸ σπάνιον τῆς διαθέσεως, ὅτι τέ μοι δοκοῦσι καὶ τότε συμφλεγμαίνειν οἱ τοῦ λάρυγγος μῦς.

Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇ τὸ ἐπιεικές, πυκνὰ δὲ μεταπίπτειν, κακὸν δὲ τοιοῦτον. καὶ πτυελισμὸς κακόν.

Οὐδὲν ἐξαίρετον ἐπὶ φρενίτιδος ὁ λόγος ἔχει. καὶ γὰρ κἀπὶ τῶν ἄλλων παθῶν εἰ μεταπέσῃ τὸ ἐπιεικές, ἐνδείκνυται τὴν δύναμιν ὑπὸ τοῦ νοσήματος νικᾶσθαι. τὸ δ᾽ ἐν ἀρχῇ πρόσκειται τάχα, μηδ᾽ ἄλλως γενήσεσθαι δυναμένου. ἐν ἀρχῇ γὰρ ὁρῶνται συνεχεῖς μεταπτώσεις, οὐχ ὅταν χρονίζῃ τὰ νοσήματα, καὶ ταῦτ᾽ εἰκὸς συμβαίνειν ἐν ταῖς κατὰ πλῆθος ἢ ποιότητα μοχθηρῶν χυμῶν διαθέσεσι, ἄλλοτ᾽ εἰς ἄλλο μόριον, ἐνίοτε μὲν εἰς κύριον μεθισταμένων, ἐνίοτε δὲ εἰς ἄκυρον. αἱ μὲν οὖν εἰς τὰ κύρια μέρη μεταῤῥέοιαι, διαφθείρουσι τὸ ἐπιεικές. αἱ δ᾽ εἰς τὰ μὴ κύρια, δηλοῦσιν ἐν ᾧ καιρῷ μάλιστα χρὴ τὸν ἰατρὸν εἶναι τὰς κενώσεις ἰέναι τῶν λυπούντων χυμῶν, ἢ κατὰ πλῆθος ἢ ποιότητας. τοῦτο μὲν οὖν ὡς ἔφην ἁπάντων νοσημάτων κοινόν. ὁ πτυελισμὸς δὲ γίνεται μὲν καὶ διὰ τὸ στόμα τῆς γαστρὸς ἀῤῥωστοῦν ἐφ᾽ ὑγρότητι. γίνεται δὲ καὶ διὰ τὸν ἐγκέφαλον ἐμπεπλησμένον ὑγρῶν, ἐξ ὧν συῤῥεῖ τι καὶ εἰς τὸ στόμα παραπλησίως τοῖς κατὰ τοὺς φλεγμαίνοντας ὀφθαλμοὺς δακρύοις λεπτοῖς. νῦν οὖν ἐπειδὴ τοῖς φρενιτικοῖς ἔφη γίνεσθαι τὸν πτυελισμόν, ἐγκεφάλου κακοπραγοῦντος ἐστὶ σημεῖον, τουτέστι πεπληρωμένου ὄντος.

Ἐν φρενιτικοῖσι λευκὴ διαχώρησις, κακὸν ὡς καὶ Ἀρχεκράτει. ἆρά γε ἐπὶ τούτοισι καὶ νωθρότης γίνεται; ῥῖγος ἐπὶ τούτοισι κάκιστον.

Αἱ λευκαὶ διαχωρήσεις ὅτι καὶ δι᾽ ἐδεσμάτων χρόαν γίνονται, πρόδηλον. ὁρῶμεν γὰρ ὅσοι γάλα προσενήνεγκαντο μόνον, ἢ ἄρτον καθαρόν, ἢ χόνδρον, ἢ θέρμας, ἢ τι τοιοῦτον, τὴν διαχώρησιν αὐτῶν λευκὴν γινομένην, εἰ παραβάλλοιτο τοῖς φακῆν ἐδηδοκόσιν, ἢ κράμβας, ἢ ἑφθὸν αἷμα λαγωῶν, ἢ ζωμὸν μέλανα τῶν διὰ σιραίου πολλοῦ σκευαζομένων. ἀλλ᾽ ὅμως καὶ τοῖς ἐδέσματα λευκὰ προσενηνεγμένοις προσαπερχόμενόν τι τῆς ξανθῆς χολῆς, χρώννυσι τὴν διαχώρησιν, ὡς ὠχροτέραν φαίνεσθαι τῶν ἐδηδεσμένων. ὅταν οὖν ἀκούσῃς τινὸς τῶν ἰατρῶν ἐπὶ τῶν ἰκτεριώντων λέγοντος λευκὰ γίνεσθαι τὰ διαχωρή-

διαχωρήματα, δεῖ πρὸς τὰ κατὰ φύσιν ἔχοντα αὐτὰ παραβάλλειν, καὶ πρὸς παραβολὴν τούτων γεγονέναι τὸν λόγον αὐτῷ, καὶ καθάπερ ἄλλοι πολλοὶ τῶν ἰατρῶν ἔγραψαν λευκὰ διαχωρήματα γίγνεσθαι τοῖς ἰκτεριῶσιν. οὕτω καὶ νῦν οὗτος ἐπὶ τῶν φρενιτικῶν εἶπεν, ὡς εἰ καὶ μηδ᾽ ὅλως ἔχοντα τὴν ξανθὴν χολὴν εἴρηκε. γίνεται δὲ τοῦτο μηκέτι αὐτῆς εἰς τὴν γαστέρα συρρεούσης, ἀλλὰ τῷ πρὸς ὅλον τὸ σῶμα φερομένῳ κατὰ τὴν ἀνάδοσιν αἵματι συναναφερομένης, διὰ στέγνωσιν τινὰ τῶν καταφερόντων αὐτὴν εἰς τὴν γαστέρα πόρων, καθάπερ ἐπὶ τῶν ἰκτεριώντων, ἢ διὰ σφοδρὰν πύρωσιν, ἐν τοῖς ἄνω τοῦ ἥπατος μορίοις ἀναρπαζούσαν τὸ αἷμα σὺν τῇ χολῇ. κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον ἀναφερομένης εἰς ὅλον τὸ σῶμα τῆς χολῆς, ἡ βλάβη γίνοιτ᾽ ἂν ἐξ αὐτῆς τοῖς κατὰ τὸν ἐγκέφαλον, ἤδη καὶ πρόσθεν ἐκκεχολωμένοις. κατὰ δὲ τὸν δεύτερον τρόπον, οὐ μόνον αἴτιον βλαβερὸν ἡ τῆς χολῆς ἀνάδοσις, ἀλλὰ καὶ σημεῖον ἔσται θερμασίας παμπόλλης ἐνδεικνύμενον ὑπάρχειν ἐν αὐτῷ. τὸ δ᾽ ὡς καὶ Ἀρχεκράτει πρόσκειται, συγγράμματι μὲν οὐ πάνυ προστιθέμενον ὡς ἔφην, ὑπομνήματι δὲ πρέπον, καὶ μάλιστα ὅταν ἑαυτὸν ὁ γράφων ἀναμιμνήσκειν ἐθέλῃ. τῶν δ᾽ ἑξῆς εἰρημένων τὸ μὲν ἆρά γε ἐπὶ τούτοις καὶ νωθρότης γίνεται, δοκεῖ μοι προσγεγράφθαι, ὡς τοῦ Ἀρχεκράτους οὕτως διατεθέντος. ἀλλ᾽ ἐπειδὴ μὴ διὰ παντὸς ἥτε πεῖρα δείκνυσι, ὅ, τε λόγος ἐνδείκνυται, λέγεσθαι δεῖ ἐπὶ τοῖς εἰρημένοις νωθρότητα οὐ προσηκόντως. νωθρότης γὰρ ἐπὶ ψυχροῖς καὶ παχέσι καὶ γλίσχροις καὶ ὅλως δυσκινήτοις χυμοῖς, οὐκ ἐπὶ θερμοῖς καὶ λεπτοῖς καὶ δριμέσιν, οἷος ὁ τῆς ξανθῆς χολῆς εἴωθε γίγνεσθαι, πλὴν εἰ θανάτῳ πλησίον ἥκοιεν, ὡς διὰ νέκρωσιν ἤδη τῆς δυνάμεως ἡσυχάζειν. καὶ γὰρ διὰ νέκρωσιν τῆς δυνάμεως, οὐ διὰ τὸν χυμὸν γέγονεν. ἀδύνατον δὲ τοὺς οὕτω γινομένους, νωθροὺς συμβῆναι, καὶ κοινὸν τοῦτ᾽ ἐστὶ σύμπτωμα τῶν κατὰ δυσκρασίαν ἄμετρον ἀποθνησκόντων ἁπάντων, οὐκ ἴδιον τῶν φρενιτικῶν. εἴπερ οὖν ἐγένετο νωθρότης τῷ Ἀρχεκράτει, κατὰ τοῦτον ἂν ἐγένετο τὸν λόγον, καὶ πάντως ἀπέθανεν οὐκ ὅτι λευκὰ διεχώρησεν, ἢ τῆς νωθρότητος, ἢ τοῦ θανάτου συμβάντι, ἀλλὰ διὰ τὸ μέγεθος τοῦ νοσήματος, οὗ σημεῖον ἡ λευκὴ διαχώρησις ἦν. τὸ μέντοι ῥῖγος αὐτοῖς εἶναι κάκιστον, οὐχ ἁπλῶς ἀκουστέον. ἐπιφαίνεται γὰρ ἐνίοτε καὶ κρίσιμον ῥῖγος τοῖς φρενιτικοῖς ἱδρῶσι λύον τὴν νόσον. ἀλλὰ καὶ τὸ κατ᾽ ἐκεῖνον τὸν χρόνον ῥῖγος, εἰρῆσθαι χρὴ νομίζειν ὀλέθριον, ἐν ᾧ διαχωροῦσι λευκά. δέδεικται γὰρ ἐν τοῖς περὶ κρίσεων ἐν ἀπέπτῳ νοσήματι μὴ δύνασθαι γενέσθαι κρίσιν ἀγαθήν. ἄπεπτον δέ ἐστιν ἐν ᾧ συναναφέρεται τῷ αἵματι χολὴ καθ᾽ ὃν ἂν χρόνον τοῦτο γίνηται, καὶ μᾶλλον γε ὅταν ἀμετρία πυρώδους θερμασίας ἠθροισμένης ἐν ἐγκεφάλῳ, συμβαίνῃ τι τοιοῦτον.

Τοῖσιν ἐξισταμένοισι μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγίνονται, κακόηθες.

Μελαγχολικὴν ἔκστασιν ἀκουστέον τὴν σφοδρὰν καὶ θηριώδη. γίνεται δ᾽ αὕτη διαβρεχούσης τὸν ἐγκέφαλον ξανθῆς χολῆς κατοπτηθείσης. ἐμάθομεν δὲ ἐν τῷδε τὴν μεταβολὴν αὐτῆς εἰς τὸ μέλαιναν ποιεῖσθαι. ὅταν οὖν ἐπὶ τῇ τοιαύτῃ διαθέσει τρόμος γίνηται, μεγάλως ὑπεξηρᾶνθαι δηλοῖ τὰ νεῦρα, καὶ διὰ τοῦτο τὸν ἄνθρωπον ὀλεθρίως ἔχειν. οὐ καλῶς οὖν ἡρμήνευσεν εἰπὼν κακόηθες. ἐσχάτως γὰρ ὀλέθριον ὂν τὸ σύμπτωμα, προσηγορίας ἑτέρας ἐδεῖτο. τὸν γοῦν ἐκστάντα μελαγχολικῶς ἐπιγινομένου τρόμου βεβαίως τις ἀποθανεῖσθαι λέγων οὐκ ἂν ἁμάρτοι. κακοήθη δὲ νοσήματα καλοῦμεν, ὅσα κίνδυνον ἀπειλοῦντα τοῖς κάμνουσιν, οὐκ ἀποκόπτει τὴν τῆς σωτηρίας ἐλπίδα. βέλτιον οὖν εἰρῆσθαι τὴν γεγραμμένην συνδρομὴν, ὀλέθριον ἢ θανατικὴν, ἤ τι τοιοῦτον.

Οἱ ἐκστάντες ὀξέως, ἐπιπυρέξαντες σὺν ἱδρῶτι, φρενιτικοὶ γίνονται.

Ἀσύμφωνον μὲν καλοῦμεν τὴν τοιαύτην ἑρμηνείαν. ἀσαφὴς δ᾽ αὐτῶν ἡ διάνοια γίνεται, δυναμένων ἀλλήλοις ἁπάντων τῶν ὀνομάτων συνάπτεσθαί τε καὶ χωρίζεσθαι. μία μὲν γάρ ἐστι σύνθεσις αὐτῶν, οἱ ἐκστάντες ὀξέως, εἶτ᾽ ἀπ᾽ ἄλλης ἀρχῆς ἐπιπυρέξαντες ὀξέως. ἄλλη δ᾽ αὖ πάλιν σύνθεσις τὸ, σὺν ἱδρῶτι, ποτὲ μὲν τῷ πρὸ αὐτοῦ, ποτὲ δὲ τῷ μετ᾽ αὐτὸ συντασσόμενον. δύναται γὰρ καὶ οὕτως ἡ ῥῆσις ἀναγνωσθῆναι, ἐπιπυρέξαντες σὺν ἱδρῶτι. κἄπειτα ἀφ᾽ ἑτέρας ἀρχῆς, φρενιτικοὶ γίνονται. δύναται δὲ καὶ σὺν ἱδρῶτι φρενιτικοὺς αὐτοὺς γίνεσθαι λέγειν ὁ γράψας ταῦτα. δῆλον οὖν ἐστιν ὅπερ ἀεὶ λέγω τὰς ἀσαφεῖς ἑρμηνείας οὐδὲν διδάσκειν. ἐννοήσαντας γὰρ ἡμᾶς τὸ ἀληθὲς, ἐφαρμόσαι χρὴ δυναμένῃ λέξει προσέσθαι τὸν λόγον, ἢ κατατρίβειν μὲν χρόνου πάμπολυ, οὐδὲν δ᾽ ἡμᾶς ἐπιμαθεῖν. ἐν ᾗ γὰρ χρῆσθαι παρ᾽ αὐτοῦ χρὴ φέροντα τὸ ἀληθὲς ἐφαρμόζειν πειρᾶσθαι ταῖς κατὰ μέρος λέξεσιν, ἐν ταύτῃ βοήθεια μέν τις ἐξ ἡμῶν τῇ ῥήσει γίνεται, κινδυνευούσῃ φανῆναι μοχθηρᾷ, διδασκόμεθα δὲ οὐδὲν ἐξ αὐτῆς. ἀλλὰ καίτοι τούτων οὕτως ἐχόντων, καὶ φαινομένης ἐναργοῦς τῆς τῶν ἀσαφῶν ἀχρηστείας, ὅμως οὐκ ὀλίγοι τῶν σαφῶν συγγραμμάτων ἥδιον ὁμιλοῦσι τοῖς ἀσαφέσι. μὴ τοίνυν ἐμὲ τοῦ μήκους τῆς ἐξηγήσεως μέμψαιτ᾽ ἄν τις, ἀλλὰ τὴν ἑαυτῶν ἄλογον ἐπιθυμίαν, ὅσοι τὰ τοιαῦτα βιβλία προθύμως ἀναγινώσκουσιν. ἐγὼ μὲν γὰρ ὅτι οὐχ ἑκὼν ἐπὶ τὰς ἐξηγήσεις αὐτῶν ἥκω, οἱ ἑταῖροι πάντες ἴσασι, καὶ μάλιστα οἱ τῶν νῦν γραφομένων αἴτιοι. μοχθηρῶς δὲ πάντων ἐξηγησαμένων τὸ σύγγραμμα τοῦτο, κἀγὼ τοῖς ἀναγκάσασί με πεισθεὶς ἐπὶ τὴν ἐξήγησιν ἧκον, ἧς αὖθις ἀρξάμενοι λέγομεν. ἐὰν μὲν συνάψαντες ἀλλήλοις, τό, τε ἐκστάντες, καὶ τὸ ὀξέως, ἔπειτα δὴ σιωπήσαντες, εἴπωμεν, ἐπιπυρέξαντες σὺν ἱδρῶτι, καὶ πάλιν ἐφεξῆς φρενιτικοὶ γίνονται, τὴν ἐξήγησιν ποιησόμεθα τοιάνδε. πρῶτον μὲν ἐπισκεψώμεθα τὸ κοινὸν ἄπορον ἁπασῶν τῶν ἀναγνώσεων. ἐκστάντας γὰρ ὀξέως εἶπεν ἐν ἀρχῇ οὓς κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ἔφη φρενιτικοὺς γίνεσθαι, ὥσπερ οὐχὶ καὶ τῶν ἐκστάντων ἤδη φρενιτικῶν ὄντων. ἐροῦμεν οὖν κατασπᾶσθαι τὴν λέξιν ἐνδεικνυμένην διὰ τοῦ ἐπιπυρέξαντες, τὸ, καὶ πρότερον αὐτοὺς, οἵπερ ἐξέστησαν, ὀξέως πυρέττοντας ὕστερον παύεσθαι, κἄπειτα πάλιν ἐξ ὑποστροφῆς πυρέξαι σὺν ἱδρῶτι. τούτους οὖν φησὶ φρενιτικοὺς γίνεσθαι. τὸ μὲν οὖν ὅτι γενήσονται φρενιτικοὶ, λογισάμενος ἐκ τῆς ἔμπροσθεν αὐτοῖς γενομένης παρακοπῆς σφοδρᾶς, ἣν διὰ τῆς ἐκστάντες ἐδήλωσε φωνῆς. ἐκ δὲ τοῦ σὺν ἱδρῶτι τὴν ὑποστροφὴν γίνεσθαι βεβαιούμενος τὴν ὑπόνοιαν, ἐπειδὴ τὰς τοιαύτας εἰσβολὰς τῶν πυρετῶν, αὐτ᾽ ἐξ ἀρχῆς, αὖτε μεθ᾽ ὑποστροφῆς γίνονται, πλῆθος ἴσμεν ἐνδεικνυμένας. ἐπεὶ τοίνυν ὅσα περιττὰ κατὰ τοὺς χυμοὺς ἢ ἐν ποσότητι ἐν αὐτοῖς, ἢ ἐν ποιότητι ἀθροίζεται κατὰ τὸ σῶμα, ταῦτα ἐπὶ τοὺς πεπονθότας εἴωθε ῥεῖν τόπους, ἐπεπόνθει δὲ τούτοις ὁ ἐγκέφαλος, εἰ ἂν γὰρ ἐξέστησαν ὀξέως ἂν ἐπιπυρέξωσι, καὶ μάλιστα μεθ᾽ ἱδρῶτος, εὔλογον οὖν ἐστιν ἐλπίσαι φρενιτικοὺς οὕτως

ἔσεσθαι. γνωσθήσεται γὰρ ἡ διάθεσις αὐτῶν ὅλη τοιάδε τις οὖσα, πλῆθος χολωδῶν δριμέων εὐθὺς ἐν ἀρχῇ ῥυέντος ἐπὶ τὸν ἐγκέφαλον, ἐκείνῃ τινὶ συμβαίνει, τούτου δ' αὖθις εἰς ἕτερόν τι μόριον μεταῤῥυέντος, παύσασθαι τὴν ἔκστασιν. ἂν δ' ἐπιπυρέξωσιν οὗτοι μεθ' ἱδρῶτος, ἐπὶ τὸ πεπονθὸς αὐτοῖς παλινδρομήσει τὸ χολῶδες πλῆθος, ὡς γενέσθαι φρενιτικούς. ἐὰν δὲ τὸ ὀξέως τῷ ἐπιπυρέξαντες συντάξωμεν, ὁ λόγος ἔσται τοιοῦτος, οἱ ἐκστάντες, εἶτα παυσάμενοι, καὶ πάλιν ἐπιπυρέξαντες ὀξέως σὺν ἱδρῶτι, φρενιτικοὶ γίνονται, τῆς προῤῥήσεως καὶ ταύτης καὶ τῆς προειρημένης οὐκ ἐχούσης τὸ διηνεκές, ἀλλ' ὥσπερ καὶ ἄλλαι πολλαί, τὸ πλειστάκις. ἐὰν δὲ τῷ σὺν ἱδρῶτι τὸ φρενιτικοὶ γενήσονται συντάξωμεν, ὁ λόγος ἔσται καθ' ἑτέραν ἀνάγνωσιν τῶν προειρημένων μετὰ τὴν ἀρχὴν τῆς ῥήσεως τοιόσδε. κατὰ μὲν τὴν προτέραν, οἱ ἐκστάντες ὀξέως, εἶτα ἐπιπυρέξαντες, φρενιτικοὶ σὺν ἱδρῶτι γίνονται, κατὰ δὲ τὴν δευτέραν, οἱ ἐκστάντες φρενιτικοὶ σὺν ἱδρῶτι γίνονται, καὶ δύναται μὲν ὁ γράψας ταῦτα τοιοῦτον ἄῤῥωστον ἑωρακέναι, τὸ πολλάκις δὲ προειρημένον, οὐκ ἔξεστι. πολλὰ μέντοι καὶ ἄλλα τῶν κατὰ βιβλίον τοῦτο γεγραμμένων, οὐκ ἔστιν ὡς ἐπὶ τὸ πολὺ γινόμενα. τοῦ γράψαντος αὐτά, θεασαμένου μέν τινας ἀῤῥώστους τοιούτους, οὔπω δὲ γιγνώσκοντος εἴτε τὸ διηνεκὲς ἔχουσιν, εἴτε τὸ πλειστάκις. ἔοικε γὰρ ἐκ τηρήσεως μᾶλλον, ἢ τῆς τῶν παθῶν οἰκείας κατασκευῆς ὁ γράψας ταύτας ἀποφάσεις ἐθέλειν ποιεῖσθαι. τῷ δ' οὕτως ἀθροίζοντι τὴν ἰατρικὴν θεωρίαν, οὐχ ἑκατόν, ἀλλὰ χιλίων ἐτῶν ἐστι χρεία, καὶ διὰ τοῦτο τὴν μικρὰν καὶ ταπεινὴν ὁ Ἱπποκράτης ηὔξησεν ἐπὶ πλεῖστον, οἷς ἐκ τῆς ἱστορίας ἔμαθε, καὶ αὐτὸς ἐθεάσατο τὴν λογικὴν κρίσιν προσθείς. ἐκ πολλῶν οὖν ὑπονοήσαιμεν τι ἄν τις οὐκ εἶναι τοῦ Ἱπποκράτους σύγγραμμα τὸ βιβλίον τοῦτο, πολυλογεῖ γὰρ ἐμπειρικῶς αὐτὸ συνθείς, μὴ δυνάμενος εἰς τὸ καθόλου λογικῶς ἀναγαγεῖν τὰ θεωρήματα.

Οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι τρομώδεες.

Οὐκ αὐτοὶ ψόφου καθαπτόμενοι, βέλτιον ἦν εἰπεῖν, ἀλλ' ὧν ὁ ψόφος καθάπτεται. τὸ μέντοι λεγόμενον ἀληθές ἐστιν, ὑπὸ γὰρ τῶν ψόφων θορυβοῦνται, παραπλησίως τοῖς δειλοῖς, ὅταν ἐξαίφνης ἀκούσωσι μεγάλης βροντῆς, ἢ θηρίον τι θεάσωνται πλησίον. ἀλλὰ καὶ βραχυπόται πάντως εἰσὶν οἱ φρενιτικοί, καίτοι διάθεσιν ἔχοντες θερμὴν καὶ ξηράν, ὥστε καὶ τὴν γλῶτταν ἔχειν διὰ τὴν πολλὴν ξηρότητα τραχεῖαν. ἐδίδαξε δὲ ὁ Ἱπποκράτης ἡμᾶς, ὅτι τούτοις ἡ γνώμη νοσεῖ κατὰ τὸν ἀφορισμὸν ἐν ᾧ φησί, ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων μὴ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσεῖ. καὶ μέντοι κἂν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐν τῇ λοιμώδει καταστάσει, περὶ τῶν φρενιτικῶν αὐτὸς εἶπεν, ἄδιψοι δὲ οὗτοι πάνυ ἦσαν. τρομώδεις δὲ οὐ πάντες ἐγίνοντο οἱ φρενιτικοί, ἀλλ' οἱ χείριστα διακείμενοι, καθάπερ εἴρηται καὶ πρόσθεν. ἔνιοι δὲ βραχυπόται γράψαντες, ἀξιοῦσιν ἀκούειν τοὺς ὑποτοπουμένους τὰ βραχύτατα, καὶ τοῦτο μαρτυρεῖν φασί, τὸ ψόφου καθαπτόμενοι, τουτέστιν ταραττόμενοι, διὰ τὸ καὶ βραχύτατα ὑποτοπεῖσθαι, τουτέστιν ὑποπτεύειν.

Τὰ ἐξ ἐμέτου ἀσώδεος, κλαγγώδης φωνή, ὄμματα ἐπίχνουν ἔχοντα, μανικά, οἷον καὶ ἡ Ἑρμοζύγου ἐκμανεῖσα ὀξέως ἄφωνος, ἀπέθανε.

Εἴ τινάς που θέρους ὥρᾳ καύματος ἰσχυροτάτου διὰ κόνεως ὁδοιπορήσαντας, τεθέασαι ξηροὺς ἱκανῶς ἔχοντας τοὺς ὀφθαλμούς, ὡς δοκεῖν τοῦ καλουμένου χνοῦ μεστοὺς εἶναι, τούτους ἐν νῷ λαβών, νοήσεις ὃ βούλεται δηλοῦν ἡ προκειμένη ῥῆσις. ἔστι γὰρ τῶν κατ' αὐτὴν εἰρημένων τὸ κυριώτατον τοῦτο. κοινὸν μὲν οὖν τῶν τε μαραινομένων, καὶ τῶν σφοδρότατα φρενιτιζόντων, οὐ μὴν δυσχερῆ τὴν γνῶσιν ἔχον, τῷ μαραινομένων ἑωρακότι ποτὲ καὶ ἕνα. τοῖς μὲν γὰρ μαραινομένοις ἐκτέτηκε πᾶν ὅσον ἐστὶν κατὰ τὸ πρόσωπόν τε καὶ τοὺς κροτάφους σαρκῶδες, ἅμα τῷ καὶ τοὺς ὀφθαλμοὺς κοίλους ἱκανῶς γεγονέναι. οἱ φρενιτικοὶ δέ, χωρὶς τούτων τὸν ὀφθαλμὸν ἐπίχνουν ἔχουσι, πρὸς τῷ καὶ τὸ βλέμμα, θρασὺ μὲν τοῖς φρενιτικοῖς, δειλὸν δ' εἶναι τοῖς μαραινομένοις. ὁ δὲ ἀσώδης ἔμετος κοινὸν μὲν σύμπτωμα τοῖς τοιούτοις φρενιτικοῖς ἐστι πρός τινας τῶν κακοήθων πυρετῶν, ὥσπερ καὶ ἡ κλαγγώδης φωνή. γίνεται δὲ ὁ μὲν ἀσώδης ἔμετος, ἐπί τε χολώδει καὶ δακνώδει χυμῷ. ἡ φωνὴ δὲ κλαγγώδης διὰ ξηρότητα φωνητικῶν ὀργάνων, ὡς ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασι δέδεικται. ὅταν οὖν τοῖς φρενιτικοῖς ταῦτα συμπέσοι, μανιωδῶς παραπαίουσιν, ὅπερ τοῦτον βούλεται σημαίνειν τῷ σφοδρῶς, καὶ γίνεται τοῦτο διά τε τὴν κακοήθειαν τοῦ χυμοῦ καὶ τὴν ἄμετρον ξηρότητα, διὸ καὶ ἄφωνοι γίνονται.

Ἐν πυρετῷ καυσώδει ἤχων προσγινομένων μετὰ ἀμβλυωγμοῦ, καὶ κατὰ τὰς ῥῖνας προσελθόντος βάρεος, ἐξίστανται μελαγχολικῶς.

Γίνεται μὲν ὁ καυσώδης πυρετὸς καὶ δι' ἄλλας αἰτίας, ὡσαύτως δὲ καὶ διὰ τὸν ἐγκέφαλον φλεγμαίνοντα. τούτῳ γὰρ ἕπεται καὶ ἡ διηνεκὴς παραφροσύνη, ἐκ τῶν οἰκείων τῆς φρενίτιδος σημείων. ἐκ δὲ τοῦ πλεονάζοντος ὑγροῦ τῇ κεφαλῇ, γεννᾶται πνεῦμα φυσῶδες, διὸ καὶ οἱ ἦχοι γίνονται. ὡσαύτως καὶ ἀμβλυωγμὸς παχέος τινὸς ὑγροῦ, ἢ πνεύματος ἐμπίπτοντος τοῖς ὀφθαλμοῖς. ἀλλὰ καὶ κατὰ τὰς ῥῖνας ἐμπεσὸν ὑγροῦ πλῆθος, αἴσθησιν ποιεῖ βάρους ἐν αὐταῖς. εἰκὸς δ' ἐστὶν ὅτε γίνεσθαι τὴν τῶν εἰρημένων συμπτωμάτων συνδρομήν, καὶ διὰ συνεχῆ πυρετὸν χολώδους ὕλης ἐμφερομένης ταῖς φλεψί, καὶ στεγομένης ἐκεῖσε, ἑξῆς καὶ πνεύματα φυσώδη πρὸς τὴν κεφαλὴν πέμποντα, πρὸς ὦτά τε καὶ ὀφθαλμούς, πλῆθός τε κατὰ τὰς ῥῖνας ὑγροῦ. εἰ δέ που ἐγκαυθῇ, εἴτ' ἐν τῇ κεφαλῇ ἡ ξανθὴ χολή, εἴτ' ἐν ὅλῳ τῷ σώματι πρὸς τὸ μελαγχολικώτερον ῥέπει, κἀκεῖθεν πρὸς αὐτὸν ἐκπέμπεται, καὶ διὰ τοῦτο ἐξίστανται μελαγχολικῶς.

Αἱ παρακρούσιες σὺν φωνῇ κλαγγώδει, γλώσσης σπασμοὶ τρομώδεες, καὶ αὗται τρομώδεες γινόμεναι, ἐξίστανται, σκληρυσμὸς τουτέοισιν ὀλέθριον.

Ὅταν ἐπὶ φρενίτιδι παραφροσύνη γένηται θερμὸν οὔσῃ καὶ ξηρὸν πάθος, τῇ ἐν αὐτῇ δὲ ξηρότητι μεταδοθείσῃ τῇ τραχείᾳ ἀρτηρίᾳ, γίνεται ἡ φωνὴ κλαγγώδης, ὥσπερ τῇ ταῖς ὑγρότησιν ἀναποθείσαις, βραγχώδης, ἀλλ' οὐχ ὡς ἴδια τῆς φρενίτιδος. γίνονται γὰρ καὶ ἑτέροις νοσήμασιν, οὐδὲ γὰρ συνυπάρχουσι διηνεκῶς τῇ φρενίτιδι. ὁ γοῦν τρόμος γίνεται τῇ γλώσσῃ, διὰ τὴν ἐκ τοῦ προειρημένου πάθους ξηρὰν δυσκρασίαν, ἀτονησάσης τῆς ψυχικῆς δυνάμεως. σπασμοὶ δὲ τῇ τῶν ἐν αὐτῇ μυῶν ξηρότητι ἕπονται, τῇ κεφαλῇ συμπασχόντων, ὥσπερ καὶ ἡ φωνὴ τρομώδης δι' ἀτονίαν,

ὑπὸ τῆς αὐτῆς δυσκρασίας. ταῦτα δὲ σύμπαντα τὰ προειρημένα συμπτώματα δι᾽ ἐπίτασιν γινόμενα τῆς ἐν τῇ κεφαλῇ ξηρότητος, ἔκστασιν δηλοῦσι γενέσθαι. τούτοις δὲ πᾶσι σκληρυνθεῖσιν, ὀλέθριον, διὰ τὴν ἐν τῷ ἐγκεφάλῳ ἄμετρον γεγονυῖαν ξηρότητα.

Αἱ τρομώδεες γλῶσσαι, σημεῖον οὐχ ἱδρυμέναις γνώμαις.

Εἴρηταί μοι πολλάκις ὡς αἱ τρομώδεις γλῶσσαι, δι᾽ ἀσθένειαν τῆς ψυχικῆς δυνάμεως γίνονται. σημεῖον δ᾽ ἐστὶν οὐχ ἱδρυμέναις γνώμαις, διὰ τὸ ἐπὶ τῇ φρενίτιδι γίνεσθαι. πάσχοντος γὰρ τοῦ ἐγκεφάλου καὶ τοῦ πάθους ὄντος θερμοῦ, ἠρεμεῖν οὐ δύναται. ὥσπερ γὰρ τοῦ ψυχροῦ τὸ ποιεῖν στάσιμα δυσκίνητά τε καὶ ἀκίνητα ἐν οἷς ἐμφιλοχωρήσει, οὕτως τοῦ θερμοῦ τὸ κινεῖν ἀεί, καὶ μὴ ἐᾶν ἠρεμεῖν. μέλλων οὖν ὁ Ἱπποκράτης δηλῶσαι τὴν ἐν τῇ κεφαλῇ διάθεσιν ὁποία τίς ἐστιν, οὐχ ἱδρυμένην γνώμην ὠνόμασε. οὐκ ἔστιν δὲ ἡ τρομώδης γλῶσσα τῶν οἰκείων τῆς φρενίτιδος σημείων ἐνταῦθα, ἀλλὰ τῶν κατὰ συμπάθειαν πασχόντων ἑτέρῳ τινὶ πρωτοπαθοῦντι, ἢ διὰ γειτνίασιν, ἢ διὰ κοινωνίαν τῶν ἐν αὐτῇ μορίων.

Ἐπὶ τοῖσι χολώδεσι ἀκρήτοισι διαχωρήμασι, τὸ ἀφρῶδες ἐπάνθισμα κακόν. ἄλλως τε καὶ ὀσφὺν προηλγηκότι, καὶ παρενεχθέντι.

Ὅτι μὲν ὁ ἀφρὸς γίνεται διὰ ψῦξιν καὶ διὰ θερμότητα, δῆλον ἐκ τοῦ τοὺς ἀνέμους ἀφρὸν ἐμποιεῖν τοῖς ὕδασιν, καὶ τὴν ἐν τῷ λέβητι ζέουσαν θερμασίαν. τὸ γοῦν ἐν τοῖς χολώδεσι διαχωρήμασιν ἀφρῶδες ἐπάνθισμα, οἷον ἄνθος ἄνωθεν ἐπικείμενον, ζέσιν οὐ μικρὰν ἐνδείκνυται τῆς τοιαύτης χολῆς. προσοδυνῶνται δὲ τὴν ὀσφύν, διὰ τὸ δριμεῖαν εἶναι καὶ δακνώδη τὴν ἐν τοῖς ἐντέροις διερχομένην χολήν. τοῦ γὰρ τοιούτου διαχωρήματος, παρενεχθέντος τοῖς ἐντέροις, οὐ τοῖς κατ᾽ ὀσφὺν μόνον, ἀλλὰ καὶ τοῖς λοιποῖς, ὀδύναι τούτοις ἐπακολουθοῦσιν.

Τὰ ἀραιὰ κατὰ πλευρὸν ἐν τουτέοισιν ἀλγήματα, παραφροσύνην σημαίνει.

Ἐλλιπῶς οὕτως καὶ ἀπροσδιορίστως ῥηθεὶς ὁ περὶ τῶν ἀλγημάτων τῶν πλευρῶν λόγος, ἀσάφειαν οὐ τὴν τυχοῦσαν ἐμποιεῖ. ἀλλ᾽ ἡμεῖς σπουδάζοντες ἐν σαφεῖ διδασκαλίᾳ, τὰ παρὰ αὐτοῦ ἀσαφῶς εἰρημένα διδάξαι, τῆς ἐξηγήσεως ἐφαψόμεθα. ἀραιὰ ὀδύνη γίνεται ἐν πλευραῖς, ὅταν τι φυσῶδες πνεῦμα γεννᾶται ἐν αὐταῖς. τοῦτο οὖν καταλειφθὲν καὶ διαφορηθέν, παύει τὴν ὀδύνην, εἶθ᾽ ὕστερον πάλιν ἕτερον γεννηθέν, αὔξει ταύτην. ἡ γοῦν οὕτως ἀραιὰ γιγνομένη ὀδύνη, παραφροσύνην οὐ σημαίνει. ὅταν δὲ φλεγμαίνῃ ἡ πλευρά, καὶ ποτὲ μὲν συνεχοῦς αἰσθάνεται τῆς ὀδύνης ὁ κάμνων, ποτὲ δὲ διὰ χρόνου, δείκνυσι τὴν γνώμην νοσεῖν, οὐχὶ παντελῶς σημεῖον γοῦν τὸ τοιοῦτο παραφροσύνης.

Αἱ μετὰ λυγμοῦ ἀφωνίαι κάκιστον.

Ἀφωνίαι γίνονται μὲν καὶ διὰ τὴν τῶν φωνητικῶν ὀργάνων βλάβην, καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν. ἡ δὲ λὺγξ οἷον σπασμώδης τίς ἐστιν τοῦ στόματος τῆς γαστρὸς διάθεσις, ὑπὸ πλήθους ὑγρῶν βαρυνομένου, ἢ δακνομένου, ἢ διὰ ψῦξιν ἀνιωμένου. τί παθόντων οὖν τῶν φωνητικῶν ὀργάνων, λὺγξ ἐπηκολούθησεν. λείπεται οὖν ἢ πλῆθος ὑγροῦ τοῦ καὶ τὴν ἀφωνίαν ἐμποιήσαντος, παρεῤῥυηκέναι εἰς τὸ στόμα τῆς γαστρός, ἢ διὰ τὸ εἶναι δριμὺ ἢ ψυχρόν.

Αἱ μετ᾽ ἐκλύσιος ἀφωνίαι κάκιστον. ἐν ἀφωνίῃ πνεῦμα οἷον τοῖσι πνιγομένοισι πρόχειρον, πονηρόν. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον;

Γίνονταί τε εἰκότως, διότι ἀέρος πλῆθος οὐχ ὑπάρχει, φαινόμενόν τε λέγειν αὐτῷ ἔθος ἐστὶν τὸ τοιοῦτον πνεῦμα. φαίνονται γὰρ οὗτοι πάντες οἱ τὴν τοιαύτην ἀναπνοὴν ἀναπνέοντες, ὅλας κινεῖν τὰς ὠμοπλάτας, ὡς καὶ διὰ τῶν ἀμφιεσμάτων ἐναργῶς ὁρᾶσθαι τὴν κίνησιν, ὡς ἂν ἰσχυρῶς ἐνεργούντων αὐτῶν τοῖς ἄνω μέρεσι τοῦ θώρακος. εἰκότως οὖν ἐνταῦθα μὲν ὠνόμασεν πρόχειρον τὸ τοιοῦτον πνεῦμα, κατὰ δὲ τὸ δεύτερον τῶν ἐπιδημιῶν μετέωρον. πρόχειρον μέν, ἐπειδὴ φαίνεται προχείρως, ὅπερ ἐστὶν ἑτοίμως τε καὶ ῥᾳδίως τοῖς τὸν κάμνοντα θεωμένοις, εἰωθότων ἡμῶν αὐτῶν ἀντιδιαιρεῖν τοῖς ἀποκεκρυμμένοις καὶ μὴ φαινομένοις τὸ πρόχειρον. μετέωρον δέ, ἐπειδὴ τὰ μετέωρα μέρη τοῦ θώρακος οἱ οὕτως ἀναπνέοντες φαίνονται κινοῦντες. δύναται τοιγαροῦν τὸ τοιοῦτο πνεῦμα καὶ διὰ τὴν τῶν ἀναπνευστικῶν ὀργάνων στενοχωρίαν γίνεσθαι, καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν, ἣν ἐδείξαμεν ὀρθῶς τὸν Ἱπποκράτην βλαβεῖσαν ἡγεῖσθαι μεγάλην ἀναπνοὴν ἐργάζεσθαι. δυναμένης οὖν καὶ τῆς ἀφωνίας, αὐτῶν τε τῶν φωνητικῶν ὀργάνων βεβλαμμένων, καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν γίγνεσθαι, καὶ τοῦ προχείρου πνεύματος ὁμοίως. ἄδηλον ἦν ὅσον ἐπὶ τούτοις, εἰ παραφρονήσουσι καὶ διὰ τοῦτο ἀμφιβάλλων εἶπεν, ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον. περὶ μέντοι τοῦ πονηρὸν εἶναι τὸ σημεῖον, οὐχ ὡς ἀμφιβάλλων ἀλλ᾽ ὡς βεβαίως ἐπιστάμενος ἀπεφήνατο. εἰ γὰρ μὴ τῆς ἀρχῆς τῶν νεύρων πεπονθυίας, ἀλλ᾽ αὐτῶν τῶν ἀναπνευστικῶν τε καὶ φωνητικῶν ὀργάνων βεβλαμμένων, ἡ ἀναπνοὴ τοιαύτη μετ᾽ ἀφωνίας ἐγγένηται, κίνδυνον οὐ τὸν τυχόντα φέρει, πνιγομένων ἐν τάχει τῶν οὕτω διακειμένων.

Αἱ ἐπ᾽ ὀλίγου θρασεῖαι παρακρούσιες θηριώδεες εἰσίν, καὶ μόνου ἐὰν ἐπ᾽ ὀλίγον χρόνον γίνωνται.

Τάχα ἂν εἴποι τις ἐγκαλῶν τῷ λόγῳ, τὰς ἐπὶ πολὺ γινομένας θρασείας παρακρούσεις μᾶλλον, τῶν ἐπ᾽ ὀλίγον εἶναι θηριώδεις, ἀλλὰ καὶ ταύτας μὲν οὐδὲ δεόμεθα ἀναγνῶναι. τὰς δ᾽ ἐπ᾽ ὀλίγον γινομένας θρασείας, εἶτα παυσαμένας, ὑποπτεύειν συμβουλεύει, καὶ μὴ πιστεύειν αὐταῖς, ὡς οὐκ ἐπανελευσομέναις. αἱ μὲν γὰρ ὑπὸ πυρετοῖς θερμοῖς γινόμεναι παρακρούσεις, οὐκ ἔχουσι τὸ θρασύ. ταῖς δὲ φρενιτικαῖς λεγομέναις, τοῦθ᾽ ὑπάρχει. δυνάμει τοιγαροῦν ὁ λόγος ἔσται τοιοῦτος. ὅταν ἴδῃς τινὰ θρασέως παρακρούσαντα, καὶ δι᾽ ὀλίγου ὕστερον παύσεται, γίνωσκε τοῦτον οὐ πυρετοῦ λόγῳ βλαβέντα τὴν γνώμην, ἀλλὰ τῷ φρενιτικὴν ὑποστρέφεσθαι διάθεσιν, ἥτις ὕστερον αὐξηθεῖσα, θηριώδης σοι φανεῖται. θηριώδεις δ᾽ ὀνομάζει παραφροσύνας ἐν αἷς καὶ πατοῦσι, καὶ λακτίζουσι, καὶ δάκνουσιν, καὶ χολῶσιν ὡς ἐπιβούλους τοὺς εἰσιόντας νομίζοντες.

Αἱ μετὰ καταψύξεος, οὐκ ἀπυρέτῳ ἐφιδρώοντι τὰ ἄνω, δυσφορίαι φρενιτικαί, ὡς καὶ Ἀρισταγόρῃ, καὶ μέντοι καὶ ὀλέθριαι.

Τινὰ μὲν ὡς καὶ πρόσθεν ἔφην, βέβαια γνωρίσματα ἀρχομένων γίνεσθαι νοσημάτων, τινὰ δ' ἐστὶ μὲν ὡς τὸ πολύ, ἀλλ' ἐγγὺς τῶν βεβαίων. ἔνια δ' οὐκ ἐγγὺς μὲν οὐ μὴν ἤδη γε πόῤῥω. ἔνια δ' ἀμφίδοξα, καί ἔνια τούτων ἤδη κατωτέρω, περὶ ὧν ὅταν γράφει, ποτὲ μὲν ἀπορεῖν ὁμολογεῖ, ποτὲ δὲ ὀνομαστὶ μνημονεύει τῶν ἀνθρώπων, ἐφ' ὧν ἐθεάσατο γενόμενόν τι τοιοῦτον, ὥσπερ καὶ νῦν ἅπαντα ἃ διῆλθε συμπτώματα, καὶ ἄλλων ἐστὶ πυρετῶν. ἐγχωρεῖ γε μὴν καὶ φρενῖτιν ἐπ' αὐτοῖς, μάλιστα διὰ τὴν ἐφίδρωσιν τῶν ἄνω. τὸ δ' ὀλεθρίας εἶναι τὰς τοιαύτας διαθέσεις, ἐάν τε φρενῖτιν ἐνέγκωσιν, ἐάν τε μή, δῆλον ἐστὶ τοῖς τε τῶν ἄχρι δεῦρο λελεγμένων, μὴ παρέργως ἀκηκοόσι καὶ μεμνημένοις τῶν ἐν τῷ προγνωστικῷ.

Τὰ ἐν φρενίτισι πυκνὰ μεταπίπτοντα, σπασμώδεα.

Ἔμπροσθεν μὲν εἴρηκεν τὸ ὡς ἐπίπαν, περὶ τῶν ἐν ἀρχῇ τῆς νόσου μεταπιπτόντων, οὐκ ἀγαθὸν σημεῖον εἶναι. νυνὶ δὲ προὔθετο, περὶ τίνων μεταπιπτόντων ὁ λόγος ἐστὶν αὐτῷ διαρθρῶσαι. δύναται γὰρ καὶ συμπτώματα ταῖς δυνάμεσιν ἐναντία, μεταβάλλειν εἰς ἄλληλα, καθάπερ ἐν τοῖς ἐφεξῆς αὐτὸς εἶπεν, ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν, καὶ ἡ δίψα δὲ ἡ τοιαύτη, κακόν. ἐπ' ἀμφοτέρων γὰρ ἀκουστέον, ὧδε μὲν τῶν ἀκρέων ἐκθερμαινομένων σφοδρῶς, καὶ πάλιν ψυχομένων ἰσχυρῶς. ὧδε δὲ τῆς δίψης γιγνομένης σφοδρᾶς, καὶ μετ' ὀλίγον οἰχομένης τελέως, τὸ τοιοῦτον δὲ τοῦτ' ἐστί, τὸ ἐπιεικὲς ταχὺ μεταπίπτειν. ἐπ' ἐκείνου μὲν γὰρ ἐξ ἀγαθοῦ πρὸς τὸ μοχθηρόν, αὖθις δ' ἐξ ἐκείνου πρὸς τὸ κατὰ φύσιν ἐπάνοδος γίνεται. κατὰ δὲ τὴν νῦν εἰρημένην ῥῆσιν, μετάπτωσις ἐκ μοχθηρῶν συμπτωμάτων εἰς μοχθηρὰ δηλοῦται, αἱ τοιαῦται δὲ ἅπασαι μεταπτώσεις, ἐπὶ χυμοῖς μεταῤῥέουσι γίνονται, τοῖς μὲν γὰρ ἐνὶ μορίῳ στηριχθεῖσιν, ἓν εἶδος ἕπεται συμπτώματος οἰκεῖον, τῇ τε τοῦ μορίου φύσει, καὶ τῇ τοῦ χυμοῦ δυνάμει, καὶ μὴν ἐκ τοῦ διαμένειν ἐπ' αὐτῶν τὴν φρενῖτιν ἐστηρίχθαι τις ἂν ἐν τῇ κεφαλῇ τὸν τὸ πάθος ἐργαζόμενον, ὑπονοήσει χυμόν. ὄντως οὖν κατ' αὐτὸν τὸν ἐγκέφαλον ἡ μετάῤῥυσις ἐστίν, ἄλλοτε κατ' ἄλλο μόριον αὐτοῦ τι γινομένη, τὴν μὲν ἰδέαν τοῦ πάθους φυλάττουσα, κατὰ μέρος δ' ὑπαλλάττουσα τὰ συμπτώματα. καὶ νῦν ὁ γράψας τὸ προκείμενον βιβλίον, περὶ τῶν τοιούτων μεταπτώσεων ποιεῖται τὸν λόγον, ἵνα κροκιδίζοντες, ἢ καρφολογοῦντες ἐφ' ἡσυχίας πολλῆς ὀλίγον ὕστερον ἀναπηδῶσιν, ἢ καί τι μανιῶδες πράξωσιν, εἶτ' αὖθις ἡσυχάσωσιν, ἢ μέμψωνταί τι τῶν ἔξωθεν οὐ παρόν. ὥσπερ οὖν κελεύουσιν ἀπελθεῖν τοὺς σαλπιστὰς ἢ τοὺς αὐλητάς, οὐδενὸς τοιούτου παρόντος. ὡς γὰρ τὸ κροκιδίζειν καὶ τὸ καρφολογεῖν, βλάβη τῆς ὀπτικῆς ἐστὶν αἰσθήσεως, οὕτω ταῦτα τῆς ἀκουστικῆς. καὶ κατὰ τὴν ὀσφραντικὴν δὲ παραπλήσιον γίνεται σύμπτωμα, δυσώδεις τινὰς ὀσμὰς οὐ παρούσας αἰτιωμένων αὐτῶν. εἰσὶ δ' οἳ καὶ τῶν ὑποκειμένων τι κελεύουσιν αἴρειν, ὡς βαρὺ ὂν σφοδρῶς ἢ θερμαῖνον, ἢ δάκνον, ἢ ψῦχον βασάζοντες, τῆς ἁπτικῆς αἰσθήσεως ἐν τοῖς τοιούτοις συμπτώμασι βεβλαμμένης. εἰκὸς οὖν ἐστὶ τὸν συγγραφέα τοῦ βιβλίου τούτου, τὰς τῶν συμπτωμάτων μεταπτώσεις αἰτιᾶσθαι, διαμένοντος τοῦ φρενιτίζειν. ἑώρανται γὰρ ἡμῖν οὐκ ὀλιγάκις αἱ τοιαῦται παρακοπαὶ διὰ παντὸς μὲν ἐν τῷ παρανοεῖν ἔτι ὄντος τοῦ κάμνοντος, ὑπαλλαττομένου δὲ τοῖς τρόποις κατὰ πάντα τὰ γένη τῶν ψυχικῶν ἐνεργειῶν. ὡς γὰρ ἐπὶ τῶν αἰσθητικῶν διῆλθεν, οὕτω κἀπὶ τῶν κατὰ λόγον καὶ γνώμην, μνήμην τε καὶ νόησιν ὁρῶμεν, ἐνίοτε τοῖς φρενιτικοῖς μεταπτώσεις γιγνομένας, ὥστε ποτὲ μὲν ὀργίζεσθαι, ποτὲ δ' εὐθυμεῖσθαι, ἢ συνουσίας τινὸς ἔχεσθαι λόγου παραφρονοῦντας αὐτούς. καὶ γὰρ ῥήτορος ἤκουσα μελετῶντός τινος ἐν παρακοπῇ, καὶ γραμματικοῦ βιβλίον ἀναγινώσκειν οἰομένου Βακχυλίδου ἢ Σαπφικόν. ἀριθμητικοῦ δέ τινος ἢ γεωμέτρου, θεωρήματα διερχομένου τῆς αὐτῆς τέχνης. ἐὰν οὖν ταῦτα σεμνῶς λέγοντες, ὀλίγον ὕστερον αἰσχρῶν καὶ ἀσελγῶν πραγμάτων μνημονεύσωσιν, ὅπερ ἐν ταῖς ἐπιδημίαις αἰσχρομυθεῖν ἐκάλεσεν, ἡ μετάπτωσις οὐκ ἐκ φαύλων εἰς ἐπιεικῆ, ἀλλ' ἐκ μοχθηρῶν εἰς μοχθηρὰ γίνεται. καθάπερ ἐνίοτε θρασύτατοι κατά τινα καιρὸν ὀφθέντες οἱ παραφρονοῦντες, ὀλίγον ὕστερον φαίνονται δειλοὶ καὶ καταπεπληχότες. ὁρᾶται γὰρ τὰ τοιαῦτα περὶ αὐτοὺς συμπτώματα, ποτὲ μὲν μηδὲ τὰ φοβερώτατα φοβουμένους, ἐνίοτε δ' ἐπὶ τοῖς σμικροτάτοις ἐκπληττομένους. τῶν γοῦν τοιούτων μεταπτώσεων, δοκεῖ μοι καὶ κατὰ τὴν ἑπομένην ῥῆσιν γεγραφὼς παράδειγμα, καθ' ἣν φησὶ τὰ οὐρούμενα, μὴ ὑπομνησάντων ὀλέθρια. νοοῦ οὖν μοι τινὰ τὰς εἰρημένας μεταβολὰς ἁπάσας ἐσχηκότα, περί τε τὴν οὔρησιν καὶ τὰ ἄλλα, ὅσα κατὰ τὴν μνήμην σφάλλονται τινές, νόησον δὴ καὶ κατὰ τὰς αἰσθητικὰς παρατυπώσεις ἁπάσας ἐν μέρει σφαλλομένου, ὡσαύτως τε καὶ κατὰ τὰς διανοητικάς, ἐπὶ τοῦ τοιούτου, κατὰ μὲν τὸν ἐγκέφαλον ἐστὶ τὸ αἴτιον, ἀλλ' ἄλλοτ' ἄλλον αὐτοῦ τόπον ἐνοχλεῖ μεταῤῥέον. ἐδείχθησαν δ' ἡμῖν αἱ τοιαῦται μεταῤῥύσεις γινόμεναι, τῶν δεχομένων μορίων ἑκάστου τὸ περιττὸν ὠθοῦντος εἰς ἕτερον ἀφ' ἑαυτοῦ. καὶ τοίνυν εἰκός ἐστιν ἐὰν ἄλλοτ' ἐξ ἄλλου μέρους τοῦ κατὰ τὸν ἐγκέφαλον εἰς ἄλλο καταῤῥέων ὁ λυπῶν χυμὸς ὑπὸ πάντων ὠθεῖται, τοῖς ἀποπεφυκόσιν αὐτοῦ νεύροις ἐμπεσών, ποτὲ σπασμὸν ἐπενεγκεῖν. εἴρηκε γὰρ αὐτὸς ὁ Ἱπποκράτης ὑπὸ πληρώσεως τε καὶ κενώσεως τὸ πάθος τοῦτο γίνεσθαι.

Τὰ οὐρούμενα μὴ ὑπομνησάντων ὀλέθρια. ἆρά γε τουτέοισιν οὐρέεται, οἷον εἰ τὴν ὑπόστασιν ἀναταράξειας;

Ἐπὶ φρενιτικῶν ἀκουε τοῦ λεγομένου, παραβάλλοντας αὐτοὺς τοὺς μετὰ τῆς ὑπὸ τῶν παρόντων ἀναμνήσεως οὐροῦντας, τοῖς χωρὶς ταύτης. οἳ τινες οὐδὲ ἀγγεῖον αἰτοῦσιν, ἀλλ' ἀτάκτως τε καὶ ἀλόγως εἰς τὴν στρωμνὴν προΐενται τὸ οὖρον. εὔδηλον οὖν ὅτι πολὺ χεῖρον ἔχουσιν οὗτοι τῶν μηδ' ὅλως οὐρούντων, εἰ μή τις αὐτοὺς ὑπομνήσειεν. ἐπ' ἐκείνων μὲν γὰρ ἐν γοῦν τι σώζεται τῶν κατὰ φύσιν ἔργων τῆς διανοίας, φυλαττομένων οὖρον εἰς τὴν στρωμνὴν ἀποκρίνειν, ἐπὶ τούτων δ' ἀπώλοντο τε καὶ τοῦτο. τὸ δὲ προσκείμενον ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως, ἔνθα φησίν, ἆρά γε τουτέοισιν οὐρέεται οἷον εἰ τὴν ὑπόστασιν ἀναταράξειας, διὰ τοῦτό μοι δοκεῖ προστεθεικέναι, διότι τοιαύτην ἰδέαν οὔρων ἐφ' ἑνὸς ἢ δυοῖν ἐθεάσατο τῶν οὕτως οὐρούντων. ἀδύνατον οὖν ἐκ τῆς τοῦ πράγματος φύσεως ἐνδεικτικῶς ἀποφήνασθαι τὸ καθόλου, μετὰ τοῦ μηδ' ἐκ τῆς ἐμπειρίας ἔχειν-

ἐγχωρεῖ γὰρ τι πιστὸν ὀλιγάκις ἑωραμένου τοῦ πράγματος, εἰκότως τὸν τῆς ἀπορίας δηλωτικὸν προσέθηκε σύνδεσμον, τὸν ἆρα. τολμήσωμεν οὖν ἡμεῖς ἀποφήνασθαι τὸ καθόλου, καθάπερ ἔμπροσθεν ἐπ᾽ ἄλλων ἐποιήσαμεν, ὡς τὸ τῶν ὠμῶν χυμῶν πλῆθος, ἤτοι πεπτομένων ἢ πνευματωθέντων, ἡ τοιαύτη τῶν οὔρων ἰδέα, σύμπτωμά ἐστιν, οὐ φρενίτιδος. ἀλλὰ καὶ τοῦτο καὶ γενέσθαι ποτὲ δύναται τοῖς φρενιτικοῖς, καὶ μὴ γενέσθαι, καθάπερ τι καὶ ἄλλο σύμπτωμα τῶν οὔτ᾽ οἰκείων φρενίτιδι, οὔτ᾽ ἐναντίων αὐτῇ.

Οἱ παλμώδεες δι᾽ ὅλου, ἆρά γε ἀφώνως τελευτῶσιν;

Δῆλός ἐστι πάλιν ἐνταῦθα παλμώδη τινὰ τεθεαμένος, ἤτοι δι᾽ ὅλου τοῦ σώματος, ἢ τῷ τυχόντι μορίῳ. ἄδηλον γὰρ, πότερον εἶπε τὸ δι᾽ ὅλου, κἄπειτα πλησίον τοῦ θανάτου γενόμενον ἄφωνον ἰδὼν ὄντα, οὐ δυνάμενος ἐμπειρικῶς, οὔτε λογικῶς εὑρεῖν ἐξ ἀνάγκης ἀφωνίαν ἑπομένην τῷ παλμώδει παθήματι, καὶ διὰ τοῦτο ἐπιζητῶν καὶ ἀπορῶν, προστεθεικέναι τῷ λόγῳ, τὸν ἆρα σύνδεσμον. ἡμεῖς οὖν πάλιν ἀποφαινόμεθα κἀνταῦθα τὸν παλμὸν καθότι δέδεικται, διὰ πνεῦμα φυσῶδες γινόμενον, τοῦ φυσώδους ἀθροιζομένου πνεύματος διὰ ψύξιν. ὅταν οὖν ὅλον τὸ σῶμα παλμῶδες γένηται, δυνατὸν τὸν οὕτως ἔχοντα διὰ ψύξιν ἀποθανεῖν ἄφωνον, μηκέτι τῶν τὸν λάρυγγα κινούντων μυῶν, ἢ τῶν εἰς τούτους ἐμβαλλόντων νεύρων ἐνεργεῖν δυναμένων. διὰ τοῦτον αὐτὸ βέλτιόν ἐστιν ἀκούειν, τοὺς δι᾽ ὅλου τοῦ σώματος παλμώδη κίνησιν ἔχοντας. οὔτε γὰρ ἡ πεῖρα τοῦτο ἔδειξεν, οὔτ᾽ εὔλογόν ἐστι τῷ τυχόντι μορίῳ παλμώδει γενομένῳ συμπάσχειν τὰ φωνητικὰ μόρια.

Τὰ ἐν τοῖσι φρενιτικοῖσι μετὰ καταψύξεως πτυελίζοντα, μέλανα ἀνεμεῖται.

Ἐπεὶ μηδέν ἐστιν ἄλλό τι ὑπονοῆσαι σημαίνειν τὴν πτυελίζουσαν φωνὴν, ὅτι μὴ τὸ πτύειν πολλάκις, ἢ πληροῦσθαι συνεχῶς πτυέλου τὸ στόμα, διὰ τοῦτο κἀγὼ καὶ οἱ ἄλλοι πάντες οὕτως ἤκουσαν ὅσοι τὸ βιβλίον ἐξηγήσαντο, καὶ μέντοι καὶ φαίνεται πληρούμενον σιάλου λεπτοῦ τὸ στόμα τοῖς μέλλουσιν ἐμεῖν, διὰ τὴν κοινωνίαν τοῦ χιτῶνος, ἑνὸς ὄντος αὐτοῦ συνεχοῦς, τοῦ τε τὸ στόμα πᾶν ἔνδον ὑπαλείφοντος τῇ φάρυγγι, καὶ τοῦ κατὰ τὸν στόμαχόν τε καὶ τὴν γαστέρα, καὶ διὰ τοῦτο ἐνίοτε τὸ κάτω σείεται χεῖλος, εἰς ἔμετον ὁρμῶντος τοῦ στόματος τῆς γαστρός. ἐνδείκνυται γὰρ ἡ σεῖσις τοῦ χείλους, δάκνεσθαί τε καὶ παράττεσθαι καὶ κλονεῖσθαι τὸν ἐκτεταμένον ἀπὸ τοῦ στόματος ἐπὶ τὴν γαστέρα χιτῶνα. ἐπὶ μὲν οὖν τῶν δυναμένων εἰπεῖν ἃ πάσχουσιν, καὶ καρδιωγμός ἐστι σημεῖον οὐ σμικρὸν ἐμέτου μέλλοντος, ἄλγουσι τε καὶ κεφαλὴν, καί τι καὶ τοῖς ὀφθαλμοῖς φαντάζονται ὀρφνῶδες. εἴρηται γοῦν ἐν τῷ προγνωστικῷ ταῦτα. ὅστις δ᾽ ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ κεφαλὴν ἀλγεῖν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τούτῳ προσγένηται, χολώδης ἔμετος παρέσεται. τῶν φρενιτικῶν δ᾽ οὐ δυναμένων ἃ πάσχουσι λόγῳ δηλοῦν, ἐξ ὧν αὐτοὶ θεώμεθα μόνων, ἐπιχειροῦμεν τῇ προγνώσει. θεώμεθα δὲ ἐπὶ τῶν φρενιτικῶν τὸ λεπτὸν τῇ συστάσει πτύελον ἱκανώτατον ἐνδείξασθαι τὸν ἔμετον. οὐ γὰρ ἂν ἄλλως ἐν ξηρῷ νοσήματι φρενίτιδι, καθ᾽ ὃ καὶ ἡ γλῶττα πολλάκις γίνεται ξηροτάτη, περιττεῦον ἐν τῷ στόματι φαίνοιτο τὸ λεπτὸν ὑγρόν. ἡ δὲ κατάψυξις αὐτῷ προσερχομένη, τὴν ποιότητα δηλοῖ, τοῦ μέλλοντος ἐμεῖσθαι χυμοῦ. διὰ μὲν οὖν τὸν πτυελισμὸν, ὅτι γενήσεταί τις ἔμετος, διὰ δὲ τὴν κατάψυξιν, ὅτι μελάνων ἔνεστι προγνῶναι.

Κώφωσις καὶ οὖρα ἀκατάστατα, ἐξέρυθρα, ἐναιωρούμενα, παρακρουστικά. τοῖσι τουτέοισιν ἰκτερῶσθαι κακόν. κακὴ δὲ καὶ ἡ ἐπὶ ἰκτέρῳ μώρωσις. τούτους ἀφώνους μὲν, αἰσθανομένους δὲ συμβαίνει γίνεσθαι. οἶμαι δὲ καὶ κοιλίαι καταῤῥήγνυνται τουτέοισιν, οἷον ἐγένετο Ἑρμίππῳ καὶ ἀπέθανεν.

Εἴρηταί μοι καὶ πρόσθεν ὡς ἐν οἷς πάθεσιν οὔτε τήρησιν ἤδη πολλῶν ἔχειν ἀῤῥώστων, οὔτε τῆς τοῦ πράγματος φύσεως ἔνδειξιν βεβαίαν, ἐπὶ τούτων εἴωθεν ἤτοι τοὺς ἀνθρώπους ὀνομαστὶ γράφειν ἐφ᾽ ὧν ἐθεάσατο τὰ συμπτώματα, ἢ περὶ ὧν ἑκάστοτε πεποίηται τὴν διήγησιν, ἢ ζητεῖν ἔτι καὶ ἀπορεῖν ὁμολογεῖ, πῇ ποτ᾽ ἔχει τὸ ἀληθές. ἔοικεν οὖν καὶ νῦν ἐπί τινος Ἑρμίππου θεάσασθαι τὰ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένα συμπτώματα παρακρούσαντός τε καὶ ἰκτερωθέντος ἐπὶ κωφώσει καὶ οὔροις ἐξερύθροις ἀκαταστάτοις. ἡ μὲν δὴ κώφωσις, ἕν τι τῶν ἐνδεικνυμένων ἐστὶ πεπονθέναι τὸν ἐγκέφαλον. ἐξέρυθρα δὲ οὖρα, διαφέρει μὲν δήπου τῶν ὑπερύθρων, ἃ κατὰ τὸ προγνωστικὸν εἴρηται, χρόνου μὲν εἶναι σημεῖα, μὴ μέντοι κινδύνου. τίνα δ᾽ ἄλλα νοήσειέ τις ἐξέρυθρα, ἢ τὰ καλούμενα πρὸς ἁπάντων αἱματώδη, πολλοῖς τῶν νεφριτικῶν οὐρούμενα; καὶ εἴπερ ταῦτα βούλεται δηλοῦν ἀνάλογόν τι σημαίνει τοῦ πρόσθεν εἰρημένου, κοιλίης περίπλυσις ἐξέρυθρος. ὥσπερ οὖν ἐκείνην ἔφαμεν ἥπατος ἀῤῥωστοῦντος γίνεσθαι, κατὰ τὸν αὐτὸν τρόπον, ἐπὶ νεφροῖς κακοπραγοῦσιν, οὖρον ἐξέρυθρον ἐροῦμεν γίγνεσθαι. τὸ δ᾽ ἀκατάστατον αὐτοῦ μετὰ τοῦ φαίνεσθαί τινα παχύτερα τῆς ὅλης οὐσίας τῶν οὔρων ἐναιωρούμενα, ταραχὴν ἐνδείκνυται κατὰ τὰς φλέβας ὑπάρχειν, ἅμα θερμασίᾳ τινὶ παρὰ φύσιν, οὐκ ὀλίγου πνεύματος ἠθροισμένου φυσώδους. ὥσπερ οὖν ἐνδεχόμενόν ἐστιν ἐπὶ τῶν εἰρημένων συνόδων παρακροῦσαι τὸν ἄνθρωπον, οὕτως οὐκ ἀναγκαῖον. ἡ γὰρ ἐπιπλοκὴ τῶν σημείων, οὐχ ἁπάντων ἐστὶν ὁμογενής, τῆς μὲν κωφώσεως τὴν κεφαλὴν ἐνδεικνυμένης πεπονθέναι, τῶν δ᾽ ἐξερύθρων οὔρων τοὺς νεφροὺς, τῶν δὲ ἀκαταστάτων οὔρων ἐν τοῖς ἐναιωρήμασι, πρῶτον μὲν ἐν ταῖς φλεψὶν ἀπέπτων χυμῶν ταραχὴν ἐνδεικνυμένων, κατὰ συμβεβηκὸς δὲ καὶ τῇ τῆς παρακρούσεως γενέσει συντελούντων. τὸ δ᾽ ἐφεξῆς τῶν εἰρημένων γεγραμμένον, τὸ τοὺς τοιούτους ἰκτερῶσθαι κακὸν, ἀληθὲς μέν ἐστιν. ἀλλ᾽ ὅτι συνδρομὰς ἑτερογενῶν σημείων οὐ χρὴ ποιεῖσθαι κατὰ τὰς τοιαύτας διδασκαλίας, ἔμπροσθεν δέδεικται. καὶ μὴν δὴ καὶ περὶ τοῦ κακὴν εἶναι μώρωσιν ἐπὶ τοῖς ἰκτέροις, εἴρηται πρόσθεν, ἡνίκα προσπὼν ἐν φρενιτικοῖς λευκὴ διαχώρησις κακὸν, ἐπήνεγκεν, ἆρά γε καὶ ἐπὶ τούτοισι νωθρότης γίνεται. καὶ γὰρ μεταλαμβάνει τὸν λόγον εἰς ἑτέρας φωνὰς, ἀντὶ μὲν τῆς λευκῆς διαχωρήσεως ἥτις ἐστὶν ἴδιον τῶν ἰκτερικῶν σύμπτωμα, τοῦ πάθους αὐτοῦ μνημονεύσας, ἀντὶ δὲ τῆς νωθρότητος, τὴν μώρωσιν εἰπών. τούτους οὖν φησιν ἀφώνους μὲν αἰσθανομέ-

νος δὲ συμβαίνει γίνεσθαι. φαινομένων δὲ τῶν ἀφώνων ἐν ὀξέσι νοσήμασι γιγνομένων, ἔνιοι μὲν οὐδ' αἰσθανόμενοι, δῆλον τὸ τῆς ἀρχῆς πάθος ἀμφοτέρων αὐτοῖς τῶν συμπτωμάτων ἑπομένων. ἔνιοι δὲ μόνον ἄφωνοι γιγνόμενοι, καὶ τούτων οἱ μὲν ἅμα τῷ καὶ τὰς ἄλλας κινήσεις ὅσαι κατὰ προαίρεσιν γίνονται, βεβλάφθαι πάσας, οἱ δὲ τὴν φωνὴν μόνην. ἐὰν οὖν ἅμα τῇ φωνῇ καὶ τῶν ἄλλων ἐνεργειῶν ἡ βλάβη γένηται, τῆς ἀρχῆς τῶν νεύρων ἐστὶ τὸ πάθος. ἐὰν δὲ μόνης τῆς φωνῆς, μόνων τῶν φωνητικῶν ὀργάνων. ἀλλ' ἐπί γε τῆς προειρημένης συνδρομῆς, ὅταν πλησίον ἤδη ἥκωσι τοῦ θανάτου, τὸ τῆς ἀφωνίας αὐτῆς ἀκολουθεῖ σύμπτωμα. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ὅλης ῥήσεως εἰρημένον, καὶ κοιλίαν καταῤῥήγνυνται, οἷον ἐγένετο καὶ Ἑρμίππῳ καὶ ἀπέθανεν, οὕτως αὐτὸν εἰκὸς εἰρηκέναι, διότι μήτε ἐτεθέατο πολλάκις ἑπόμενον τὸ σύμπτωμα τῇ προκειμένῃ συνδρομῇ, μήτ' αὖ λογικῶς εὑρεῖν ἠδυνήθη.

Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν.

Γίνεται μὲν καὶ διά τινα χυμὸν κατὰ τοὺς ἀκουστικοὺς πόρους σφηνωθέντα κώφωσις, οὐδὲν ἔχουσα κακόηθες. γίνεται δὲ ἐνίοτε καὶ τῆς ἀκουστικῆς δυνάμεως νενεκρωμένης, ἣν ἐν τοῖς ὀξέσιν ἅμα καὶ ταραχώδεσιν νοσήμασιν ὁρῶμεν συμπίπτουσαν, ὑπὲρ ἧς νῦν ἀπεφήνατο, κακὸν εἶναι λέγων αὐτὴν σύμπτωμα, ὅτε τὸ ἄρα προσθεὶς, ὅτ' αὐτὸ τὸ ὄνομα τοῦ νοσήσαντος οὕτως, ἐπειδὴ ἐνίοτε ἀποφήνασθαι περὶ τῶν τοιούτων συμπτωμάτων.

Αἱ βομώδεες, ἀσαφώδεες, ψηλαφώδεες παρακρούσιες, πάνυ φρενιτικαὶ, ὡς καὶ τῷ Διδυμάρχῳ ἐν Κῷ.

Γίνεται καί τι τοιοῦτον παραφροσύνης εἶδος οὐκ ὀλιγάκις, ὡς ἡσυχάζοντα κατακεῖσθαι τὸν νοσοῦντα, μὴ ὅτι θορυβωδῶς κεκραγότα καὶ ἀναπηδῶντα, καθάπερ ἔμπροσθεν, ἀλλὰ μηδὲ φθεγγόμενον ὅλως, μηδὲ τὸ τῆς κατακλίσεως σχῆμα μεταβάλλοντα, καὶ πολλάκις γε τοῖς οἰκείοις οὗτοι παρέσχον δόξαν, ὡς εἰ γένοιτό τις σιγὴ κοιμηθησομένοις. συγκλείσαντες οὖν τὰς θυρίδας ἡσυχάζουσιν ἐπιτηροῦντες, ἐν τούτοις τε τρίβεται χρόνος ἐνίοτε μακρός. τῶν μὲν οἰκείων τῶν καμνόντων ἐκ τοῦ μὴ φθέγγεσθαί τι, μηδὲ κινεῖσθαι τὸν νοσοῦντα τεκμαιρομένων κοιμᾶσθαι τὸν ἄνθρωπον. αὐτοῦ δὲ τοῦ νοσοῦντος μήτε κοιμωμένου, καὶ τὰς χεῖρας κινοῦντος ἀτρέμα, ὁμοίως τοῖς διὰ ψηλαφίας ἠρεμαίας ἅψασθαί τινος, ἢ εὑρεῖν τι βουλομένοις. ἐπεὶ δὲ τούτων οὕτως ἐχόντων, ἔνιοι μὲν κεκλεισμένων τῶν βλεφάρων ταῦτα πράττουσιν, καὶ εἰ προσελθών τις αὐτοῖς διαλέγοιτο, τινὲς μὲν οὐδ' ὅλως ἀνοίγουσι τοὺς ὀφθαλμοὺς, ἔνιοι δὲ ἀνοίξαντες, ἢ τι μικρὸν ὕστερον ἔκλεισαν, ἢ ἀκινήτους φυλάττουσιν. ἔνιοι δ' οὐδ' αὖ ἐμβοήσῃ τις αὐτοῖς, ἢ νύξῃ, τὰ βλέφαρα διανοίγουσιν. περὶ τούτων οὖν φρενιτικῶν ὁ Ἱπποκράτης κατὰ τὸ γ΄. τῶν ἐπιδημιῶν οὕτως ἔγραψεν, οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς ὥσπερ ἐπ' ἄλλοις, ἀλλ' ἄλλῃ τινὶ καταφορῇ νωθρῇ, καρηβαρέες ἀπώλοντο. τοὺς δ' αὐτοὺς τούτους φρενιτικοὺς κατὰ τὴν προκειμένην ῥῆσιν ὠνόμασεν ἀσαφεῖς, ὡς εἰ καὶ δυσγνώστους εἶπε τοῖς πολλοῖς, οὐ μόνον τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἰατρῶν. οἴονται γὰρ ἐκείνους μόνους εἶναι φρενιτικοὺς, ὅσοι κεκράγασιν, ἢ ἀναπηδῶσιν, Ἱπποκράτους τοὺς βεβλαμμένας τὰς φρένας οὕτως ὀνομάζοντος, κἂν διὰ παντὸς ἐν καταφορᾷ τινὶ τύχοιεν ὄντες. συνεισβάλλοι μὲν οὖν ἐξ ἀρχῆς παραφροσύνη κώματι. δέδεικται γὰρ ἐν τῷ περὶ τοῦ κώματος ὁ Ἱπποκράτης, ἐπὶ ταυτὸν ἀναφέρων ἀμφοτέρας τὰς προσηγορίας, τήν τε τῆς καταφορᾶς, καὶ τὴν τοῦ κώματος. ἀλλὰ τὸ μὲν τῆς ἡσυχίας ἀσαφὲς, αἱ τοιαῦται φρενίτιδες οὐκ ἔχουσιν. τὸ δ' ὡς εἴρηται νῦν ἀσαφὲς εἶδος φρενίτιδος ἐπὶ προήκοντι τῷ χρόνῳ γίνεται, καὶ πάντας οὓς εἶδον οὕτω παθόντας, ἄῤῥωστον, καὶ σκληρὸν, καὶ στενὸν καὶ βραχὺν εἶχον τὸν σφυγμὸν, ὡς τεκμαίρεσθαι κεκμηκυίας τῆς δυνάμεως αὐτοῖς γίνεσθαι τὴν ἡσυχίαν, οὐ δυναμένοις ἰσχυρότατα κινεῖσθαι. τινὲς δ' αὐτῶν ὥσπερ τὰς χεῖρας ἠρέμα κινοῦσιν, οὕτω καὶ φθέγγονται βραχύτατα, καὶ τοῦτο λανθάνει τοὺς πολλοὺς, καὶ μόνοις γίνεται κατάδηλον ὅσοι περ αὖ ἐγγυτέρω γενόμενοι κατακύψωσιν εἰς αὐτούς. ἔστι δ' ὅτε πειρᾶταί τις πρὸς τὸ κατακούειν σαφῶς πλησίον αὐτῶν τοῦ προσώπου καταθεῖναι τὸ οὖς, ἀλλὰ καὶ ἡ τῶν χειρῶν κίνησις αὐτοῖς βραχεῖα τρομώδης οὖσα, λανθάνει τοὺς πολλοὺς, μόνοις τοῖς ἀκριβῶς κατασκεψαμένοις φαινομένη. τεκμήριον μὲν οὖν τοῦτ' ἐστι, τοῦ τὴν δύναμιν αὐτῶν ἀῤῥωστεῖν. ἑκτικὴν δέ τινα διάθεσιν εἶναι φρενίτιδος, ὥσπερ πυρετῶν ἐκείνων, οὓς δι' αὐτὸ τοῦτο προσαγορεύομεν ἑκτικάς. εἴρηται δὲ περὶ αὐτῶν ἔν τε τοῖς περὶ τῆς διαφορᾶς τῶν πυρετῶν ὑπομνήμασι, καὶ τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, καὶ μέντοι κἀν τῷ περὶ μαρασμοῦ, τὰ στερεὰ τοῦ ζώου μόρια κατειληφέναι τοὺς τοιούτους πυρετοὺς ἐνδεικνυμένους, οὐκ ἐπὶ χυμῷ σηπεδονώδει γίνεσθαι. καὶ τῆς φρενίτιδος οὖν ἐπὶ χολώδει χυμῷ τὴν γένεσιν ἐχούσης, ὅταν ἐπὶ τὸν ἐγκέφαλον οὗτος κατασκήψῃ, κατ' ἀρχὰς μὲν οὐδέ πω ταῖς ποιότησιν αὐτοῦ κεκραμένης ὅλῳ τῷ σώματι τοῦ ἐγκεφάλου, θορυβώδεις παραφροσύναι γίνονται. προήκοντος δὲ τοῦ χρόνου, παραπλήσιόν τι πάσχει τοῖς ὑπὸ τῶν καλουμένων βαφέων ἐρίοις βαπτομένοις. καὶ γὰρ καὶ ταῦτα δυσέκπλυτα γίνεται, τοῖς κατ' ἀρχὰς ἴδιον ἔχουσιν τὸ χρῶμα παραπλησίως. καὶ ἡ τοιαύτη τοίνυν οἷον βαφὴ τοῦ ἐγκεφάλου, τὴν παραφροσύνην ἑκτικὴν ἴσχει, καὶ διὰ τοῦτ' ἐστὶν ἡ διάθεσις αὐτῶν μοχθηρὰ τοῖς ἑκτικοῖς πυρετοῖς ὡσαύτως, οὓς ἐδείκνυμεν ἀρχομένους μὲν συνίστασθαι μόγις λυομένους. συσταύτας δὲ ἀκριβῶς καὶ ἐκπληρωθέντας, οὐκέτι δύνασθαι λυθῆναι. ὀρθῶς οὖν εἴρηται τὰς τοιαύτας παρακρούσεις πάνυ φρενιτικὰς εἶναι. ταύτην τὴν ῥῆσιν ὥσπερ καὶ ἄλλας τινὰς τῶν ἰατρῶν παρατρέχοντες οἱ ἐξηγηταὶ, χρονίζουσιν ἐν τοῖς σοφιστικοῖς ζητήμασιν. ὀνομάζω δὲ ὡς ἴστε σοφιστικὰ, τὰ μηδὲν εἰς τὸ βέλτιον ἰατρεύειν συντελοῦντα. τοιαῦτα δὲ οὐκ ὀλίγα καὶ κατὰ τὰς ἐξηγήσεις εὑρίσκεις. τινὰ μὲν μᾶλλον ἀποκεχωρηκότα τοῦ πρὸς τὰς θεραπείας χρησίμου. τινὰ δὲ ἧττον, ὥσπερ ἀμέλει καὶ τὸ ζητῆσαι τὴν αἰτίαν, δι' ἣν προσέθηκεν ἐπὶ τῷ τέλει τῆς προκειμένης ῥήσεως, οἷον τὸ Διδυμάρχῳ ἐν Κῷ. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ, προσγράφειν ὀνομαστὶ τοὺς νοσήσαντας ἐπ' ἐκείνων τῶν ῥήσεων ἐν αἷς οὐ τολμᾷ καθόλου τοῦ πράγματος ὑπὲρ οὗ ποιεῖται τὸν λόγον ἔντι κοινὸν ἀποφήνασθαι. νυνὶ δὲ ἀληθές γε φαίνεται λέγων, καθόλου κατὰ πάντων τῶν οὕτως ἐχόντων ἀποφαινόμενος, οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὡς πάνυ πεπεισμένος, προσέθηκε τοῦ τοῦ λόγου.

τῷ λόγῳ, καὶ πάνυ φρενιτικαὶ, καίτοι δυνάμενος ἁπλῶς φρενιτικαὶ εἰπεῖν. δοκεῖ δέ μοι μαρτύριον τῷ λόγῳ προσγράψαι τὸν ἄῤῥωστον ὀνόματι, διὰ τὸ πολλοὺς, οὐ μόνον τῶν ἰδιωτῶν ἀλλὰ καὶ τῶν ἰατρῶν ἐπὶ τῶν τοιούτων διαπατᾶσθαι. καί μοι γοῦν ποτέ τις ἠμφισβήτησε περί τινος οὕτω φρενιτίζοντος, οὐκ ὀλεθρίως ἔχειν αὐτὸν, οὐδ' ὅλως φρενιτικὸν εἶναι νομίζων. ἴσως δὲ καὶ αὐτῷ, τῷ προῤῥητικὸν τοῦτο γράψαντι, τοιαύτη τις ἀμφισβήτησις ἐγένετο πρός τινα, διὸ τοῦ παθόντος ἐμνημόνευσεν ὀνόματι.

Αἱ ἐκ ῥίγεος νωθρότητες, οὐ πάνυ παρ' ἑωυτοῖσιν.

Οὐκ οἶδ' ὅπως ὁ γράψας τοῦτο τὸ βιβλίον, ἐν πολλαῖς ταῖς ῥήσεσιν ἀλλοκότῳ χρῆται τῇ λέξει, μεταβαίνων ἐνίοτε μὲν ἀπὸ τῶν παθῶν ἐπὶ τοὺς πάσχοντας ἀνθρώπους, ἐνίοτε δὲ ἀπὸ τῶν πασχόντων ἐπὶ τὰ πάθη. καὶ νῦν γοῦν προειπὼν, αἱ ἐκ ῥίγεος νωθρότητες, ἐπήνεγκεν, οὐ πάνυ παρ' ἑωυτοῖσιν, καίτοι δυνάμενος εἰπεῖν, οἱ ἐκ ῥίγεος νωθροὶ οὐ πάνυ παρ' ἑωυτοῖσιν. ὃ δ' οὖν λέγει τοιοῦτόν ἐστιν. ὅταν ἀκολουθήσῃ ῥίγει νωθρότης, οὐ πάνυ τὴν διάνοιαν οὗτοι ἀβλαβεῖς γίνονται, δηλοῦται γὰρ ἐκ τοῦ συμβάντος ἐψύχθαι τὸ σῶμα μεγάλως. ἐμάθομεν δ' ὅτι ταῖς καθ' ὅλον τὸ σῶμα δυσκρασίαις ἕπεται πολλάκις ἡ τῆς διανοίας βλάβη, παθόντος ὁμοίως τῷ παντὶ σώματι τοῦ ἐγκεφάλου.

Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες ἔχουσι μέν τι καὶ γνώμης παράφορον. περὶ κρίσιν δὲ τουτέοισι πνεῦμα ἅλις ξὺν τόνῳ διέρχεται, καὶ οἱ περὶ γαστροκνημίην πόνοι, ἐν τούτοισι γνώμης παράφοροι.

Τινὲς οὐ μόνον ἅλις, ὅπερ ἀθρόον σημαίνει, γράφουσιν, ἀλλὰ καὶ τὸ συχνὸν αὐτῷ προστιθέασιν, ἕτεροι δὲ τὸ, γόνῳ διέρχεται, διὰ τοῦ γ γράφουσιν, οὐ διὰ τοῦ τ, καὶ προστιθέασιν αὐτῷ ἴκελον, ὅλην τὴν λέξιν ποιοῦντες τοιάνδε, γόνῳ ἴκελον διέρχεται. ἔνιοι δὲ ἀντὶ τοῦ πνεῦμα, φλέγμα γράφουσι. τὸν μὲν οὖν παλμὸν ἐδείξαμεν ὑπὸ φυσώδους πνεύματος γίνεσθαι, διὸ τοῦτο περὶ μὲν τὸ διάφραγμα συστὰν, παραβλάπτει τι καὶ τὴν γνώμην, ἐπειδὴ τοῖς νευρώδεσι μορίοις ἡ ἀρχὴ συμπάσχειν εἴωθεν, ὅταν δὲ κατ' ἄλλο τι τῶν ἐνταῦθα μορίων γένηται, τὰ μὲν τῆς γνώμης ἀβλαβῆ μένει, διέρχεται δ' αὐτοῖς κριτικῶς φλέγμα συχνὸν κάτω μετὰ τόνου, τουτέστι μετὰ προθυμίας ἰσχυρᾶς, ὁποῖα περὶ τοὺς τεινεσμοὺς γίνεται. τοιαῦται δὲ τάσεις εἰώθασι συμβαίνειν ἐπὶ τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς μόγις διερχομένοις εἰς τὰ ἔσω χωρία τῶν ἐντέρων. ἐν τισὶ δ' ὡς ἔφην μὲν τῶν ἀντιγράφων, οὐ διὰ τοῦ τ γέγραπται, τόνῳ διέρχεται τὸ κενούμενον, ἀλλὰ διὰ τοῦ γ γόνῳ ἴκελον, τουτέστι γόνῳ ὅμοιον. εἴτε δὲ κατὰ τὴν σύστασιν, εἴτε κατὰ τὴν χρόαν, εἴτ' ἄμφω βούλεται γόνῳ παραπλήσιον εἶναι τὸ κενούμενον, ἄδηλον ὑπάρχον ἐστίν. ὅ γε μὴν ὑπὸ Πραξαγόρου καλούμενος ὑαλώδης χυμὸς, ὅμοιος ὢν ὑέλῳ κεχυμένῃ, τοιοῦτός ἐστιν, ὡς ὀδύνας μεγίστας τονώδεις παρέχειν, ὅταν διεξέρχηται τοὺς χιτῶνας τῶν ἐντέρων. ἔστι δὲ τῇ κράσει ψυχρότατος ἁπάντων τῶν κατὰ τὸ σῶμα γεννωμένων χυμῶν. ὅτι δ' ἐκ τῶν παχυτέρων χυμῶν τὸ φυσῶδες πνεῦμα τὴν γένεσιν ἔχει, καὶ τοῦτ' ἔμπροσθεν ἤκουσας ἐν τοῖς περὶ τοῦ παλμοῦ λόγοις, οὐ μὴν οἵ γε κατὰ γαστροκνημίαν πόνοι παραφροσύνην ἐν τούτοις σημαίνουσι, διὸ κελεύουσιν ἡμᾶς οἱ βοηθοῦντες τῇ ῥήσει προσυπακοῦσαι καταπαυσάμενοι, τουτέστιν ἀλόγως ἐξαίφνης ἀφανισθέντες, καὶ παρατίθενται τὸν ἐγγεγραμμένον ἄῤῥωστον, ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐν τῷ Δεάλκους κήπῳ κατακείμενον, ἐφ' οὗ προειπὼν ὁ Ἱπποκράτης, ὅτι γόνατα καὶ κνήμας ἐπωδύνως εἶχεν, λωφησάντων αὐτῶν, ἀκολουθῆσαι παραφροσύνην φησὶ, εἴρηται τέ μοι πρόσθεν ὡς οὐ χρὴ διὰ τοιούτων ἀῤῥώστων παραθέσεως ἐξηγήσεως ποιεῖσθαι. πάντα γὰρ ἔσται πάντων σημεῖα κατὰ τοῦτον τὸν λόγον. ἀλλὰ καὶ τὸ τοὺς περὶ γαστροκνημίαν πόνους, γνώμης γενέσθαι παραφόρους, ἐπειδὰν ἀφανισθῶσιν, οὐ προκειμένου περὶ τὴν ῥῆσιν τοῦ παύσασθαι τοὺς τοιούτους πόνους, ἀτοπωτάτην ἔχει τὴν ἐξήγησιν. οὕτω γὰρ ἐξέσται πᾶν ὅτι ἂν βουληθῶμεν εἰς τοὐναντίον ἕλκειν, ὥστε κἂν κεφαλαλγίαν εὕρωμέν που γεγραμμένην, οὐ τὴν οὖσαν ἀλλὰ παυσαμένην ἀκούειν ἡμᾶς, καὶ βῆχα καὶ δύσπνοιαν, κἂν ἦχον ὤτων, κἂν ὁτιοῦν ἄλλο.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΒΙΒΛΙΟΝ ΤΟ ΠΡΟΡ ΡΗΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Β'.

Ην ἐναιωρηθῇ τι τῷ οὔρῳ, τοῦ περὶ τὸν μηρὸν ἀλγήματος ἀφανισθέντος, παραλειρητικὸν, καὶ οἷα περὶ ἤχους τοιαῦτα.

Ἔστι μὲν οὐκ ὀλίγον ἐν ὅλῳ τῷ βιβλίῳ τὸ ἀσαφές. τὸ δὲ τῆς διανοίας ἐφεξῆς ἴδωμεν, ἐὰν ἐναιωρηθῇ τι τῷ οὔρῳ τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος, ὡς οἱ ἐξηγηταὶ λέγουσιν ἀφανισθέντος, ἀσφαλέστερόν τε καὶ βεβαιότερον ἀποφαινόμεθα περὶ τῆς ἐσομένης παραφροσύνης. οὐ μὴν γ' ἀληθὲς ὃ λέγουσι, ἐὰν ὡς καθόλου λέγηται. τὸ γὰρ λευκὸν καὶ λεῖον καὶ ὁμαλὸν ἐναιώρημα, κάλλιστόν ἐστιν. οὔκουν ἁπλῶς χρὴ λέγειν, ἐὰν ἐναιωρηθῇ τι τῷ οὔρῳ, τοῦ περὶ τὸν μηρὸν ἀλγήματος ἀφανισθέντος, ἔσεσθαι παραφροσύνην, ἀλλ' ἐὰν μοχθηρὸν ᾖ τὸ ἐναιώρημα, καὶ οὐδὲ τοῦτο αὔταρκες, ἀλλ' ἔτι κἂν ἐν ἅμα τοῖς εἰρημένοις γένηται παραληρητικὸν σημεῖον. ἐνδέχεται γὰρ τοῦ κατασκήπτοντος εἰς τὸν μηρὸν χυμοῦ παλινδρομήσαντος, ἄλλο τι κατωτέρω τῆς κεφαλῆς μόριον ὑποδεξάμενον, αὐτὸ μὲν παθεῖν, κωλῦσαι δὲ βλαβῆναι τὴν κεφαλὴν, ἐὰν ἀφανισθῇ μὲν τὸ περὶ τὸν μηρὸν ἄλγημα, ἐναιώρημα δὲ φανῇ μηδὲν τῆς κεφαλῆς πασχούσης, ὅτι ἐστὶν οὖρον ἄμεμπτον μὴ ἔχον ἐναιώρημα. μόνον γὰρ ἐν ἐστὶν ἄμεμπτον, ὅπερ ἂν ᾖ, κατὰ μὲν τὴν χρόαν ὕπωχρον μετρίως, κατὰ δὲ τὴν σύστασιν σύμμετρον, ἐν τῷ μεταξὺ δηλονότι τοῦ τε παχέος ὄντος καὶ λεπτοῦ. ἐγὼ μὲν οὖν ἀεὶ προσδιορίζομαι τὰ κατὰ τὸ βιβλίον ἀδιορίστως εἰρημένα. καὶ διὰ τοῦτο μέλλοντα βλάψαι τοὺς ἀναγινώσκοντας αὐτά. τοῖς δ' ἐξηγηταῖς ἀδιόριστος ἡ διδασκαλία γινομένη βλάπτει μᾶλλον ἢ ὠφελεῖ τοὺς νέους. ἀρετὴ γὰρ ἐξηγήσεως νομίζουσιν εἶναι συναγορεύειν τοῖς γεγραμμένοις ἐξ ἅπαν-

τοῦ τρόπου, καὶ προφανῶς ὑπάρχει ψευδῆ. ὅπου δὲ καὶ τὴν πρᾶξιν ἑτοίμως ἐπὶ τῶν προφανῶν, πολὺ δήπου μᾶλλον ἐπὶ τῶν ἀφανῶν, οὐδὲν αὐτοῖς μέλει τῆς ἀληθείας. τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, τὸ καὶ οἷα περιέχουσι τοιαῦτα. καλὸν ἦν αὐτὸ καθ' ἑαυτὸ γεγράφθαι, χωρὶς τῆς τῶν οὔρων ἐπισκέψεως ἵν' ὁ λόγος ἢ μερικὸς, ὃν μικρὸν ἔμπροσθεν εἶπον ἐγὼ καθόλου. τὰ γὰρ περὶ μηρὸν ἀλγήματα παλινδρομήσαντος τοῦ ποιήσαντος αὐτὰ χυμοῦ, δύναταί ποτε παραφροσύνην ἐνεγκεῖν ἐπὶ τὴν κεφαλὴν ἀφικνουμένου τοῦ χυμοῦ. σημεῖον οὖν ἔσται τῆς ἐπὶ τὴν κεφαλὴν ἀνόδου τὰ ἐν αὐτῇ συμπτώματα, ὧν εἰσὶ καὶ οἱ ἦχοι. γράφουσι δ' ἔνιοι καὶ ὅσα περὶ κύστιν τοιαῦτα, καί φασι δηλοῦν τὴν λέξιν, οὐ μόνον ἐναιωρήματος σκοπεῖσθαι τῶν οὔρων, ὡς παρακρουστικὸν σημεῖον, ἀλλὰ καὶ εἴ τι ἄλλο τοιοῦτον φαίνοιτο τῶν ἐκ τῆς κύστεως ἀποκρινομένων, ὥσπερ οὐ δυνηθέντες αὐτοὶ τοῦτο εἰπεῖν, ὃ ὁ συγγραφεὺς ἠβουλήθη κατὰ τόνδε τὸν τρόπον ἑρμηνεῦσαι.

Ἄλλως τε καὶ ἢν οὖρον ἐναιωρηθῇ, καὶ ὅσα ἄλλα κατ' αὐτὸ γίγνεται, παρακρουστικὰ σημεῖα.

Πάλιν κἀνταῦθα τοὺς νέους ἀναμνῆσαι ἀναγκαῖον, μηδὲν τῶν ἐν οὔροις σημείων γίνεσθαι παρακρουστικόν. ἐνδείκνυται γὰρ ἐνταῦθα διάθεσιν μορίων ἥπατος καὶ νεφρῶν, καὶ κύστεως, καὶ τῶν τὸ αἷμα περιεχόντων ἀγγείων, ῥώμην τε καὶ ἀῤῥωστίαν, τῆς τοὺς χυμοὺς γεννώσης δυνάμεως. τῶν δὲ κατὰ τὸν ἐγκέφαλον παθῶν, ἄλλα συμπτώματά ἐστι καὶ σημεῖα, περὶ ὧν ἔμπροσθεν ἤκουσας.

Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπώδεϊ, κεφαλαλγικῷ, διψώδεϊ, ἀγρύπνῳ, ἀσαφεῖ, ἀδυνάτῳ, οἷσι τὰ τοιαῦτα, ἐλπὶς ἐκστῆναι.

Ἡ μὲν ὑγρὰ κοιλία, λέγοιτο δ' ἂν οὕτως ἐφ' ἧς ὑγρὰ διαχωρεῖται, καὶ ἡ κοπώδης αἴσθησις ἡ αὐτῷ τῷ κάμνοντι δηλονότι γιγνομένη, νοσώδη μέν ἐστι συμπτώματα, παρακρουστικὰ δὲ οὐκ ἔστιν, εἴ τι μεμνήμεθα τῶν ἔμπροσθεν εἰρημένων, ἔνθα δίηλθον ὅπως χρὴ γνωρίζειν τὰ δηλωτικὰ τῶν νοσημάτων ἑκάστου σημεῖα, καὶ τἆλλα πάντα τὰ κατὰ τὸ σῶμα τοῦ νοσοῦντος φαινόμενα. τινὰ μὲν ἕνεκα τοῦ τὰς ἐν ἑκάστῳ νοσήματι διαφορὰς ἀπ' ἀλλήλων χωρίσαι, τινὰ δὲ χάριν τοῦ γνῶναι τὸ ἦθος ἑκάστου τῶν παθῶν, ἢ τὴν ἐσομένην κρίσιν ὁποία τέ τις ἔσοιτο, καὶ ὁπότε, τὴν γε μὴν διδασκαλίαν ἑκάστου τῶν συμπτωμάτων τε καὶ σημείων ἐδείκνυον οὕτω χρῆναι ποιεῖσθαι. καθάπερ ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ πεποίηκεν, ἑνὸς ἑκάστου κατὰ μόνας ἐκδιδάσκων τὴν δύναμιν, ἢ πάλιν ἅμα πλειόνων ὁμοειδῶν, ὥσπερ καὶ νῦν ὁ ταῦτα γράψας ἐμνημόνευσεν κεφαλαλγικῶν, ἀγρύπνων, ἀσαφῶν. ἐὰν μὲν γὰρ ἀσαφεῖς ἀκούσωμεν εἰρῆσθαι τοὺς διαλεγομένους ἀσαφῶς, ἤτοι διὰ τὴν τῶν διαλεκτικῶν ὀργάνων βλάβην, ἣν ἐκ τῆς τῶν νεύρων κακώσεως ἔχον, ἢ διὰ τὴν τῆς διανοίας αὐτῆς, εἴη ἂν ὁμοειδῆ τὰ τρία σημεῖα, κεφαλαλγία μὲν ἄντικρυς δηλοῦσα τὸν πεπονθότα τόπον, ἀγρυπνία δὲ τῷ γινώσκοντι κατὰ διαφερούσας ἐγκεφάλου διαθέσεις, ἐγρήγορσίν τε καὶ ὕπνον, ἀγρυπνίαν τε καὶ κῶμα γιγνόμενα. περὶ δὲ τῆς ἀσαφείας ἀρτίως εἶπον, ὅπως ἀκουόντων ἐστὶ παρακρουστικόν. ταῦτα μὲν οὖν ἐκ τοῦ γένους ἢ εἴδους, ἢ ὅπως ἂν ἐθέλει ὀνομάζειν, τῶν φρενιτικῶν ἐστι σημείων. ἐπεὶ δὲ ξηρὸν μάλιστα τὸ φρενιτικὸν πάθος ὁρῶμεν ὑπάρχον, ὅσα συμπτώματα ξηρότητος ἐν τοῖς πλησίον τῆς κεφαλῆς ὀργάνοις ἐστὶν, ἢ καθ' ὁντινοῦν αὐτῇ τρόπον κοινωνοῦσι, καὶ ταῦτα συνενδείκνυται τὴν μέλλουσαν ἔσεσθαι παραφροσύνην, ὧν σημείων κατὰ τὴν ἐν τῇ προκειμένῃ ῥήσει νόσον εἴρηται, τὸ διψῶδες, τὸ κοπῶδες, διὰ τὸ πολλαχῶς γίγνεσθαι τὸν κόπον, ὡς ἐν τοῖς ὑγιεινοῖς δέδεικται, σαφὲς ἡμῖν οὐδὲν ἄλλο δηλοῖ. τοῦ μὲν οὖν ἑλκώδη τὴν αἴσθησιν ἔχοντος κόπου, διὰ χυμοὺς δακνώδεις τε καὶ δριμεῖς γινομένου, τοῦ δὲ τονώδη, διὰ πλῆθος, τοῦ δὲ φλεγμονώδη, δι' ἄμφω. εἰ μὲν ἑλκώδης ἢ φλεγμονώδης ὁ κόπος εἴη, συντελέσει τι πρὸς τὴν ἐλπίδα τῆς γενέσεως τοῦ παρακοπτικοῦ πάθους, εἰ δὲ τονώδης οὐδέν. οὕτω δὲ καὶ ἡ ὑγρὰ κοιλία, χολῆς μὲν ξανθῆς ἀκράτου κενουμένης, ἢ καὶ τῶν ἐκ συντήξεων συνενδείξεταί τι περὶ τῆς τοῦ φρενιτικοῦ πάθους γενέσεως, καὶ μᾶλλον ἐὰν ἀφρώδη τὰ διαχωρήματα γίνηται. μὴ προστεθείσης δ' ἐν τῷ λόγῳ τῆς ποιότητος τῶν ἐκκρινομένων, ἀλλ' ἁπλῶς ὑγρᾶς κοιλίας ῥηθείσης, οὐδὲν ἂν ἔχοιμεν ἐξ αὐτῆς λαβεῖν εἰς πρόγνωσιν τοῦ τοιούτου νοσήματος. ὡς γὰρ εἴρηται καὶ πρόσθεν ἐπὶ τοῖς ἰδίοις τοῦ πάθους σημείοις, ὅσα τοῦ γένους ἐν ᾧ τὸ πάθος ἐστὶ δηλωτικὰ ἐνδείξεταί τι. πρῶτον μὲν γὰρ οὐ τοῦ πάθους αὐτοῦ δηλωτικὰ τὰ τοιαῦτα ἐστὶν, ἀλλὰ τοῦ γένους ἐν ᾧ περιέχεται τὸ πάθος, ὅ ἐστι θερμὸν καὶ ξηρόν. ἐπεὶ δὲ ἕκαστον γένος ᾠκείωται τοῖς εἴδεσιν, χρήσιμον εἰς τὴν τῶν εἰδῶν γίνεται πρόγνωσιν, ὅταν τῶν ἰδίων τοῦ γένους σημείων φαίνηταί τινα. τὸ δὲ ἀδυνάτῳ προσκείμενον, ἐν τῇ συνδρομῇ τῶν εἰρημένων σημείων, οὐδὲν ὅλως εἰς τὴν τοῦ παρακοπτικοῦ πάθους πρόγνωσιν συντελεῖ, καθάπερ οὐδ' εἰς τὴν τοῦ μεγέθους αὐτοῦ γνῶσιν. ἐπὰν γὰρ, ἐλπὶς ἐκστῆναι, παρακοπτικὸν μὲν ἐδήλωσεν ἔσεσθαι πάθος, οὐ μὴν δὲ μικρὸν ἢ μέγα τοῦτο. πόθεν οὖν ἔλαβεν αὐτοῦ τὸ μέγεθος, οὔτε γὰρ ἰώδης ἔμετος, οὔτε μέλας, οὔτ' οὖρον, οὔτε διαχώρημα τοιοῦτον φαίνεται γεγονός. ὥσπερ οὐδὲ τῶν ἄλλων ὅσα προείρηκεν αὐτὸς ἑκάστοτε σημεῖα. οὐ τοίνυν τὴν εἰρημένην ἄρτι συνδρομὴν ἐλπίζομεν, εἰς φρενῖτιν τελευτῆσαι, καὶ κινδυνώδη φρενῖτιν, ἐπειδὴ προσέθηκεν ἀδυνάτῳ, τοιαύτην δ' ἔσεσθαι φρενῖτιν, ὡς ἐστὶν αἱ μήτ' αὐτὸς προσδοκήσεις, μήτ' ἄλλῳ προειπεῖν τολμήσεις. ἐνδέχεται γὰρ ποτὲ μὲν γενέσθαι καὶ τοιαύτην, ἀλλ' οὐκ ἐκ τῶν σπανίων σημείων ἡ πρόγνωσις. ἀλλ' ἐκ τῶν ἤτοι διηνεκῶν, ἢ πλειστάκις ἀληθευόντων γίνεται. βουλόμεθα γὰρ ἐν ταῖς προῤῥήσεσι μάλιστα μὲν εἰ οἷόν τε διὰ παντὸς ἐπιτυγχάνειν, ὡς ἐάν γέ τις ὀκτάκις ἀποτυχὼν, ἐπιτύχῃ δὶς, ἰδιώτου φαυλότερός ἐστιν. δύναται γοῦν ἰδιώτης ἐπὶ τῶν νοσούντων ἀποφαινόμενος ἀεὶ τὸ ἐπελθὸν, ἐὰν ἐπιτύχῃ πλεονάκις, ἀληθεύειν ἢ ψεύδεσθαι.

Οἱ ἐφιδροῦντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσιν ὑποδύσφοροι, κακόν. ἄλλως τε καὶ ἐπ' οὔροισι μέλασι, καὶ τὸ θολερὸν ἐπὶ τουτέοισι πνεῦμα, κακόν.

Καὶ χωρὶς μὲν τῶν ἄλλων ὀλέθριον ἐστὶ τὸ μέλαν οὖρον. εἰ δὲ κἀκεῖνα προστεθῇ, συνεπαυξήσει τὸ πλεῖστον τῆς προγνώσεως. τὸ δὲ θολερὸν πνεῦμα, τί ποτε δηλοῖ, τῶν ἀσαφῶν ἐστι, καὶ μάλιστα ὅτι μήτ' ἐν τῷ προγνωστικῷ, μήτ' ἐν

ἀφορι-

σμοῖς, μήτε ἐν ἄλλῳ τινὶ τῶν γνησίων, ὁ Ἱπποκράτης συγγραμμάτων εἴρηκε πνεῦμα θολερόν, ὥσπερ οὖρον. ἀλλὰ τὸ μὲν οὖρον ὁποῖόν ἐστι τὸ θολερόν, ἡμεῖς τε νοοῦμεν ἀκούοντες ἑκάστοτε τῶν ἀνθρώπων λεγόντων θολερὸν ὕδωρ, καὶ ὁ Ἱπποκράτης ἐδίδαξεν αὐτὸ εἰπών, οἷον ἂν τὴν ὑπόστασιν ἀνταράξειας. εἴκαζε δὲ αὐτὸ καὶ τοῖς τῶν ὑποζυγίων. οὐ μὴν ὁποῖόν δή τι τὸ θολερὸν πνεῦμα χρὴ νοῆσαι δῆλόν ἐστιν, ἐπεὶ μηδεὶς λέγει ὥσπερ ὕδωρ θολερόν, οὕτω καὶ ἀέρα. πλὴν εἴ τις ἀτμοῦ μεστὸν ἀκούσειε, ὥσπερ καὶ ἤκουσάν τινες τῶν ἐξηγησαμένων τὴν προκειμένην ῥῆσιν, καὶ λέγουσί γε ὥσπερ ἐκτὸς ἀποχεόμενον ἱδρῶτα κατὰ τὰς συγκοπὰς ὁρῶμεν, οὕτως ἔσω τὴν ῥύσιν τῶν ὑγρῶν, ἐπὶ τῶν ἔσω διαφορουμένων ἀῤῥώστων γίγνεσθαι, καὶ διὰ τοῦτο πάμπολυν ἀτμὸν ἐκπέμπεσθαι διὰ τῆς ἐκπνοῆς, καὶ τοῦτ' εἶναι τὸ θολερὸν πνεῦμα. εἰ δ' ὡς ἔνιοι τὴν πρώτην συλλαβὴν οὐ διὰ τοῦ ο γράφουσι θολερόν, ἀλλὰ διὰ τοῦ α θαλερόν, οὐκέτι τεκμήρασθαι ποῖόν τι τὸ θαλερὸν πνεῦμά ἐστιν. πρόσωπον μὲν γὰρ θαλερὸν ὥσπερ εἴρηται, τάχ' ἄν τις ἤκουσε τὸ οἷον εὐεκτικὸν καὶ εὔχροον. πνεῦμα δὲ θαλερὸν οὐκ ἔστιν νοῆσαι τί σημαίνει, πλὴν εἰ τὸ σφόδρα μέγα βούλεται δηλοῦν. ἡ γὰρ τῶν ὀνομάτων ἀλλόκοτος χρῆσις, ἀφορμὴν παρέχει τοῖς βουλομένοις νοεῖν ὡς ἂν ἐπέλθοι. τοιγαροῦν καὶ διὰ τοῦ ο γεγραμμένον θολερόν, τὸ δυσῶδες ἤκουσαν ἔνιοι, καθάπερ ἄλλοι τὸ βραγχῶδες. ἄλλοι δ' αὖ τὸ τεταραγμένον, ὡς δύσπνοιαν ὑπ' αὐτοῦ δηλοῦσθαι, καθάπερ κἂν εἰ οὕτως εἶπεν, καὶ δύσπνοια δὲ ἐπὶ τούτοις κακόν, οὐ μὴν ἔοικεν ὁ συγγραφεὺς ἁπλῶς δύνασθαι δηλῶσαι δύσπνοιαν, ἀλλά τινα μίαν ἐν αὐτῇ διαφοράν. εἴτε γὰρ διὰ τοῦ α θαλερόν, εἴτε διὰ τοῦ ο θολερὸν εἴη γεγραμμένον, ἐμφαίνεται τῇ προσηγορίᾳ, δηλῶσαι βουλόμενος ἓν εἶδος δυσπνοίας, οὐχ ἁπλῶς πᾶσαν δύσπνοιαν.

Αἱ παρὰ λόγον κενεαγγικὸν ἀδυναμίαι, οὐκ ἐούσης κενεαγγείης, κακόν.

Οὔτε τὸ λεγόμενον ἀσαφές, οὔτε τὴν αἰτίαν αὐτοῦ χαλεπὸν εὑρεῖν. αὐτὸ μὲν γὰρ τὸ λεγόμενον ἐστὶ τοιοῦτον, τὸν ἀδυνατοῦντα καὶ ἀῤῥωστοῦντα κατὰ τὰς ἐνεργείας, ὁμοίως τοῖς ἐπὶ πολὺ κεκενωμένοις, ἐν κινδύνῳ καθεστάναι νόμιζε, μηδεμιᾶς αὐτῆς γεγενημένης ἀξιολόγου κενώσεως. ἡ δὲ κατὰ τὴν δύναμιν ἀῤῥωστία ὅταν ἐπὶ μηδεμιᾷ φανερᾷ κενώσει γένηται, πλῆθος ἐνδείκνυται βαρῦνον, ἢ δυσκρασίαν μιᾶς τῶν ἀρχῶν. τριῶν δὲ οὐσῶν ὡς ἔμαθες τῶν ἀρχῶν, τῆς μὲν τῶν προαιρετικῶν ἐνεργειῶν, ἐγκεφάλου, τῆς δὲ τῶν ζωτικῶν ὀνομαζομένων, καρδίας, τῆς δὲ περὶ τὴν τροφήν, ἃς δὴ καὶ φυσικὰς ὀνομάζουσιν, ἥπατος. ἡ τῆς φυσικῆς δυνάμεως καὶ ζωτικῆς ἀῤῥωστία, χρίσει τέ δεῖ, καὶ διὰ ταχέων ἀναιρεῖ. συγκαταλύεται γὰρ αὐτῇ καὶ ἡ κατὰ τὸν ἐγκέφαλον εὐθέως. ἐκείνου μέντοι πάσχοντος, οὐκ εὐθέως ἡ καρδία βλάπτεται. μεμάθηκας δὲ περὶ τῶν τοιούτων ἁπάντων, ἐν πολλαῖς τῶν ἡμετέρων πραγματειῶν.

Κοιλίαι ἀπολελαμμέναι, σμικρὰ δὲ μέλανα σπυραθώδεα πρὸς ἀνάγκην χαλῶσαι, μυκτὴρ ἐπὶ τουτέοισι ῥηγνύμενος, κακόν.

Σπυράθους ὀνομάζουσι τὰ τῶν αἰγῶν διαχωρήματα. ξηρὰ δὲ ἐστὶ ταῦτα καὶ περιφερῆ κατὰ περιγραφὴν ἰδίαν ἕκαστον ἐκκρινόμενον. ὅταν οὖν τις ὁμοίως ξηρὰ καὶ περιγεγραμμένα διαχωρήσῃ, σπυραθώδη καλεῖται, καὶ γίνεται τοιαῦτα, διά τε τὸ χρόνῳ πλείονι κατέχεσθαι, καὶ διὰ θερμασίας πυρώδους πλῆθος. ἐὰν οὖν πρὸς τῷ τοιαῦτα εἶναι, καὶ μέλανα γίνηται, καυσώδη διάθεσιν ἐνδείκνυται περὶ τὰ μέσα τοῦ σώματος εἶναι, καὶ διὰ τοῦτ' ἐστὶ κακά. πρόσκειται δὲ τῷ λόγῳ, τὸ μυκτὴρ ἐπὶ τούτοις ῥηγνύμενος, κακόν, ὥσπερ ἐν ἄλλαις πολλαῖς ῥήσεσι, τὸ κοινὸν πολλῶν ὡς ἴδιον γράφοντος αὐτοῦ, διὰ τὸ μὴ δύνασθαι περιλαβεῖν ἐν ἑνὶ λόγῳ καθόλου τὴν διδασκαλίαν. ἔστι δὲ τὸ κοινὸν ἐν αὐτοῖς τοιοῦτον, χολῆς πολλὴν κένωσιν, ὡς κλόνον σφοδρὸν κρισίμως ἐπὶ πολλῶν γινόμενον νοσημάτων, οὐ φέρουσι οἱ καταξηρανθέντες, οὔτε ῥῖγος, οὔτε γαστρὸς ἔκκρισιν, οὔτε ἱδρῶτας, οὔτε παρωτίδας μεγάλας, ἤ τι τῶν ἄλλων ἀποσκημμάτων. οὕτω γάρ τοι τὰς ἐν τοῖς τῶν ἐπιδημιῶν μεμφόμεθα γενομένας ἀποστάσεις, ἢ μείους ὡς ἔφην, ὡς μηδὲν ὠφελεῖν, ἢ μείζους ὡς μὴ δύνασθαι φέρειν. οὕτως οὖν καὶ τὰς αἱμοῤῥαγίας οὐ φέρουσιν οἱ προεξηραμμένοι. τοιαύτη δέ ἐστιν ἡ προειρημένη διάθεσις, οὐδ' ἐν ἑνὶ κατ' ἀρχὴν τῆς νόσου σπυραθωδῶν διαχωρημάτων ἐκκρινομένων, καὶ τούτων οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ πραγματεύεσθαί τι τὸν ἰατρόν, ἢ διὰ κλυστῆρος, ἢ διὰ βαλάνου. τὸ γὰρ πρὸς ἀνάγκην τοιοῦτόν τι σημαίνει.

Οἷσιν ὀσφύος ἄλγημα ἐστὶ πολύ, μετὰ καύματος ἀσώδεος, ἐφιδροῦντες οὗτοι, κακόν. ἆρά γε τουτέοισι τρομώδεα γίγνεται, καὶ φωνὴ δὲ ὡς ἐν ῥίγει αὐτοπτική.

Πάλιν ἡ συνδρομὴ τῶν εἰρημένων συμπτωμάτων ἐστίν, οὐ λογική. διὰ τοῦτο καὶ αὐτὸς ἀπορῶν περί γε τούτου λέγει, ἆρά γε τούτοις τρομώδεις γίγνεται. κακὴν μέντοι φησὶ τὴν συνδρομήν, οὐκ ἀπορῶν περὶ ταύτης, διὰ τὸ μετὰ καύματος ἀσώδους ἐπὶ πολὺ παραμένειν τὸ τῆς ὀσφύος ἄλγημα. καὶ ἡ ἐφίδρωσις δὲ τούτοις προσελθοῦσα, βεβαιοτέραν ἐργάζεται τὴν πρόγνωσιν. ἐάν τε γὰρ ὀλίγον ἱδρῶτα καθ' ὅλου τοῦ σώματος γινόμενον ὑπὸ τοῦ τῆς ἐφιδρώσεως ὀνόματος δηλοῦσθαι νοήσωμεν, οὐκ ἀγαθὸν τὸ σημεῖον. ἐχρῆν γὰρ ὑπ' αὐτοῦ, κἂν εἰ μὴ τὸ τῆς ὀσφύος ἄλγημα, τό γε ἀσῶδες καῦμα λυθῆναι. ἐάν τε περὶ θώρακα καὶ κεφαλὴν ἱδρῶτας γινομένους, ἐμάθομεν, ὅτι διὰ παντὸς οὗτοι μοχθηροί, δυνάμεως ἀῤῥωστίαν, ἢ πλῆθος ἐν τοῖς τοιούτοις μορίοις ἐνδεικνύμενοι. διὰ μὲν δὴ ταῦτα πάντα, ἡ εἰρημένη συνδρομὴ τῶν σημείων ὑπάρχει κακή. πολλῶν δὲ κατὰ τὴν ὀσφὺν κειμένων μορίων, ἄδηλον ὅπου ἐπὶ τοῖς εἰρημένοις τὸ πεπονθός ἐστιν, ἐφ' ᾧ τὸ ἄλγημα διαμένει μέχρι πολλοῦ. καὶ τὸ καῦμα τὸ ἀσῶδες οὐ παύεται. διακρίνειν οὖν προσήκει τοῖς ἄλλοις σημείοις. εἰ μὲν οὖν οἱ νεφροὶ πεπόνθασιν, ἔμαθες ὅπως χρὴ γινώσκειν διὰ οὔρων τὰ κατ' αὐτούς. εἰ δέ τις τῶν ἐνταῦθα μυῶν, ἢ κατὰ τὸν νωτιαῖον αὐτόν, ἔτι δῆλον ἅμα τῷ προσγενέσθαι τι γνώρισμα καὶ ἄλλο. τῶν γὰρ νωτιαίου παθόντος αἴσθησις ἔσται ναρκώδης ἐν τοῖς μορίοις ἐκείνοις ὅσα τοῦ πεπονθότος ἐκφύεται. ἔμαθες δὲ ἀπὸ τε τῆς τῶν νωτιαίου νεύρων ἀνατομῆς, τά τε καθ' ἕκαστον σπόνδυλον ἐκφυόμενα νεῦρα, τά τε τοῦ σώματος μόρια εἰς ἃ διασπείρεται. ἐὰν οὖν τι τοιοῦτον γνώρισμα τοῦ νωτιαίου πεπονθότος γένηται, καὶ τρόμου ἔλπιζε καὶ πᾶν ἄλλο πάθος ἔσεσθαι νεύρων, ἐν δέ τι τούτων ἐστὶ καὶ ἡ τῆς τρομώδους φωνῆς βλάβη. τὸ γὰρ ὡς ἐν ῥίγει, τὴν τρομώδη φωνὴν δηλοῖ.

Ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν. καὶ δίψα τοιαύτη πονηρόν.

Ἔνιοι τῇ προγεγραμμένῃ ῥήσει συνάπτουσι τὴν νῦν εἰρημένην, καὶ διὰ τοῦτο μετὰ τοῦδε συνδέσμου γράφουσιν αὐτὴν κατὰ τόνδε τὸν τρόπον. ἄκρεα δὲ ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν. ἔστι δὲ τὰ κατ' αὐτὴν λεγόμενα τῆς προειρημένης συνδρομῆς ἀφωρισμένα. διὸ καὶ ὁ συγγραφεὺς ἅμα ἐκείνοις αὐτὰ γέγραφε, καθάπερ καὶ ἄλλα πολλὰ συνῆψεν ἀλλήλοις οὐκ ἀναγκαίαν ἔχοντα κοινωνίαν. ἡμᾶς οὖν αὐτῶν τὴν ἐξήγησιν ἰδίᾳ χρὴ ποιεῖσθαι. μεταπίπτοντα γὰρ ἐπ' ἀμφότερα ῥᾳδίως τὰ τοῦ σώματος ἄκρεα, πονηρόν ἐστι σημεῖον. ἄκρεα δὲ δηλονότι πόδες καὶ χεῖρές εἰσιν, καὶ ὦτα καὶ ῥίς, ἃ δὴ κἀν ταῖς μετὰ καταψύξεως εἰσβολαῖς τῶν παροξυσμῶν ἁπάντων πρῶτα ψύχεται. τὸ δ' ἐπ' ἀμφότερα, δῆλον ὅτι θερμασίαν τε καὶ ψύξιν λέγει. κατὰ φύσιν μὲν οὖν ἐχόντων ἡμῶν, εὐκράτως διάκειται τὰ τοῦ σώματος ἄκρεα μηδεμιᾶς ἐξαιφνιδίου γινομένης μεταβολῆς ἐν αὐτοῖς. εἰ γὰρ καὶ ὅτι μάλιστα χειμῶνος μὲν εἴη ψυχρά, θέρους δὲ θερμά, κατὰ βραχὺ τὴν τοιαύτην ἴσχει μεταβολήν, οὐ διὰ ταχέων οὐδ' ἰσχυράν, ὡς ἤτοι κρυστάλλῳ παραπλησίως ἐψύχθαι χειμῶνος, ἢ τοῖς παρὰ πυρὶ πολλῷ θαλφθεῖσιν ἐοικέναι τοῦ θέρους. ἐν δέ γε ταῖς κακοηθεστάταις νόσοις, ἡ μετάπτωσις αὐτῶν ἐν ὥρᾳ μιᾷ γίνεται πρὸς τἀναντία, ποτὲ μὲν ὡς ἐν χειμῶνι ψυχρῶν γινομένων, ποτὲ δὲ ὡς ἐν θέρει θερμῶν. καὶ συμβαίνει τὸ τοιοῦτον τὴν μὲν οἰκείαν θερμασίαν οὐκ ἐχόντων αὐτῶν, ὑπὸ δὲ τῆς πυρετικῆς θερμαινομένων, ἥ τις ἀπὸ τῶν μέσων τοῦ σώματος ἀρξαμένη, παραπλησίως φλογὶ πᾶν ἐπινεμομένη τὸ σῶμα, συνεκθερμαίνει τὰ πέρατα. διαπνευσάσης δ' αὐτῆς εὐθέως ψυχρὰ γίνεται, τῆς ἐμφύτου θερμασίας ἐσβεσμένης. καὶ δίψα δέ φησιν ἡ τοιαύτη, κακόν. εὔδηλον δ' ὅτι τοιαύτην λέγει τὴν ἐπὶ τἀναντία μεταπίπτουσαν ἐν τάχει, παραπλησίως τοῖς ἄκροις. ἡ δὲ τἀναντία μετάπτωσις γίνεται δίψης, ὅταν διψῶν ὀλίγον ἔμπροσθεν, ἄδιψος ἐν τῷ παραυτίκα γενήσεται, καὶ μετ' ὀλίγον αὖθις διψῶν ἔσται, μὴ παυομένης δηλονότι τῆς διψώδους διαθέσεως. ἀδύνατον γὰρ ὀλίγον ἔμπροσθεν ἰσχυρῶς ἐξηραμμένον τὸν ἄνθρωπον, ὑγρανθῆναι τελέως, ὡς ἄδιψον γενέσθαι. τί ποτ' οὖν ἐστι τὸ συμβαῖνον ἐπὶ τῶν οὕτως ἐχόντων, ὅπερ κἀπὶ τῶν δι' ὅλης ἡμέρας τε καὶ νυκτὸς, ἐνίοτε οὐδ' ὅλως οὐρησάντων. πρότερον μὲν γὰρ οὔτε παρηκολούθησε τοῖς κατὰ τὸ σῶμα παθήμασιν ἡ γνώμη τοῦ ἀνθρώπου, τό, τε ἀθροιζόμενον οὖρον, οὔπω διέτεινεν ἰσχυρῶς τὴν κύστιν. ἐπεὶ δὲ ἥ τε διάνοια παρηκολούθησεν, ἥ τε κύστις ἐπληρώθη, δι' ἄμφω ταῦτα τοῦ παθήματος ὁ κάμνων ᾔσθετο. καθάπερ οὖν τοῦτο παραφροσύνης ἐστὶ σημεῖον, οὕτω καὶ τὸ κατὰ τὴν δίψαν ἐχόντων μὲν αὐτῶν ἀεὶ τὴν τῆς δίψης διάθεσιν, οὐκ αἰσθανομένων δὲ πρὶν ἢ τήν τε ψυχὴν αὐτῶν αἰσθητικωτέραν γενέσθαι, τήν τε τῆς δίψης διάθεσιν εἰς ἄκρον αὐξηθῆναι. τὴν μὲν οὖν τῶν ἄκρων μετάπτωσιν ἐπὶ τἀναντία, κακὸν εἶναι νομιστέον, ἐνδεικνυμένην ἀῤῥωστίαν μὲν τῆς ἐμφύτου θερμασίας, εὐρωστίαν δὲ τῆς παρὰ φύσιν. τὴν δὲ τῆς δίψης μετάπτωσιν, ἀμαύρωσιν μὲν τῆς αἰσθητικῆς δυνάμεως, ἰσχὺν δὲ τῆς διψώδους διαθέσεως.

Ἐκ κοσμίου θρασεῖα ἀπόκρισις, κακόν.

Καὶ τούτου τοῦ λόγου γενικώτερος ἄλλος ἐστὶ περιέχων οὐ τοῦτον μόνον, ἀλλὰ καί τινας ἄλλους πολλούς. τὸ γὰρ παρὰ τὴν οἰκείαν φύσιν ἅπαν κακὸν γένος τούτων καὶ ἄλλων πολλῶν ὁ λόγος ἐστίν. ὅτῳ μὲν γὰρ ἡ οἰκεία φύσις κόσμιος, οὗτος οὐ μόνον ἐν ἀκόσμῳ παραφρονήσας, ὀλεθρίως ἔχειν ἐνδείκνυται τὴν διάθεσιν, ἀλλὰ καὶ θρασέως ἀποκρινόμενος ἐγγὺς ἥκει φρενίτιδος. ὅτῳ δ' ἔμπαλιν ἀπόκρισις κόσμιος ἐν τῷ φύσει θρασεῖ, τοῦτο καταφορὰν ἢ λήθαργον ἐλπίζειν ἔσεσθαι.

Φωνὴ ὀξεῖα, ὑποχόνδρια τουτέοισιν εἴσω εἰρύαται.

Κατὰ φύσιν μὲν οὖν ἦν εἰπεῖν οἷς ὀξύνεται νοσοῦσιν ἡ φωνή, τούτων ἕλκεσθαι τὰ ὑποχόνδρια πρὸς τὴν ἔσω χώραν. ἀλλ' οὐκ οἶδ' ὅπως χαίρει ταῖς ἀλλοκότοις ἑρμηνείαις ὁ τοῦ βιβλίου συγγραφεύς. ἐάσαντες οὖν τὴν περὶ τούτων σπουδήν, ἐπὶ τὴν τῶν εἰρημένων διάνοιαν ἔλθωμεν, οὐδ' αὐτὴν μὲν οὖσαν καθόλου παραπλησίως ταῖς πολλαῖς τῶν κατὰ τοῦτο τὸ βιβλίον εἰρημένων. ἀληθῆ δ' αὖ ὧδέ πως λεχθησομένην, πολλοῖς τῶν ὀξυφωνούντων ἐν ταῖς νόσοις, τὰ ὑποχόνδρια πρὸς τὴν ἔσω χώραν ἕλκεσθαι. τοῦτο γὰρ δηλονότι σημαίνει τὸ εἰρύαται, οὐκ αὐτοῦ τοῦ ὑποχονδρίου προστρέχοντος τοῖς εἴσω, κατά τινα διάθεσιν ἰδίαν, ἀλλ' ἐκείνων ἑλκόντων αὐτὸ μᾶλλον. τὸ γάρ τοι διάφραγμα, τοῦ τοιούτου συμπτώματος αἴτιόν ἐστιν, ἤτοι φλεγμαῖνον, ἢ ξηραινόμενον ὑπὸ τῆς πυρώδους θερμότητος, ἢ ἀνασπώμενον ὑπὸ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, αὐτοῦ πάλιν ἐκείνου διὰ φλεγμονὴν ἢ ξηρότητα τεινομένου. καὶ οἱ μὲν πολλοὶ τῶν ἰατρῶν ἐν τοῖς συνεδρεύουσι τῇ φρενίτιδι, καὶ τὸ ἀνεσπασμένον ὑποχόνδριον ἔγραψαν. καὶ γὰρ καὶ φαίνεται τοῖς τῶν φρενιτικῶν πλείστοις οὕτω διακείμενον. ἀλλ' ἡ προκειμένη ῥῆσις οὐκ ἀνασπᾶσθαι τὰ ὑποχόνδριά φησιν, ἀλλ' εἴσω ἕλκεσθαι. σὺ δ' εἰ βούλει τελέως ἀληθεύειν, ἐξ ἡμίσεος ἀμφότερα συνθείς, ἐρεῖς εἴσω τε καὶ ἄνω τὸ ὑποχόνδριον ἕλκεσθαι. καὶ τοῦτο εἰκότως γίνεσθαι διὰ τὴν τοῦ διαφράγματος θέσιν λοξὴν οὖσαν. ἄρχεται γὰρ ἀπὸ τοῦ κατὰ τὸ στέρνον πέρατος. ἐντεῦθεν δὲ καὶ βραχὺ λοξούμενον, εἴσω τε καὶ κάτω πρὸς τὴν ὀσφὺν ἀφικνεῖται, ὥστε τὸ πλεῖστον μὲν αὐτοῦ τῆς ὅλης οὐσίας ὑποκεῖσθαι κατὰ τὸ βάθος τῶν ὑποχονδρίων, τὴν δ' ἄνωθεν ἀρχὴν ὑψηλοτέραν εἶναι. καὶ τοίνυν διὰ ταῦτα φαίνεται πρὸς τὴν εἴσω τε καὶ ἄνω χώραν ἑλκόμενον. εἰ δὲ παραβάλλοις ἀλλήλοις ταῦτα πλέον εἴσω μεθεστὸς, ἢ ἄνω σοι φανεῖται. τὴν οὖν φωνὴν παρὰ φύσιν ὀξυνομένην, διά τε τὴν τῶν ὀργάνων ξηρότητα, καὶ φλεγμονὴν τῶν μυῶν καταλιπών, ἐπειδὴ κυνάγχη τοῦτο τὸ πάθος προσαγορεύεται, περὶ τῆς ὀξυνομένης ἐν ταῖς ἄλλαις νόσοις φωνῆς ἀπεφήνατο, λέγων εἰρύαται κατὰ ταύτας εἴσω τὰ ὑποχόνδρια. δέδεικται μὲν οὖν ἐν τοῖς περὶ φωνῆς ὑπὸ στενότητος τῶν φωνητικῶν ὀργάνων ὀξυνομένη φωνή. καὶ διὰ τοῦτο εὐνοῦχοί τε καὶ παῖδες καὶ γυναῖκες ὀξυφωνοῦντές εἰσιν. ἀλλ' ἐν τοῖς πυρετώδεσι νοσήμασιν ἡ ξηρότης ἐργάζεται τὴν στένωσιν αὐτῶν.

Ὄμμα ἀμαυρούμενον, φλαῦρον, καὶ τὸ πεπηγὸς καὶ ἀχλυῶδες, κακόν.

Τὸ ἀμαυρούμενον ὄμμα, καθάπερ γε καὶ τὸ ἀχλυῶδες, αὐτῷ τε τῷ κάμνοντι, καὶ τοῖς ὁρῶσι γίνεται, δῆλον. αὐτῷ μὲν τῷ κάμνοντι, μηκέτ' ἐναργῶς ὁρῶντι καθάπερ ἔμπροσθεν ἐν ταῖς ἀμαυρουμέναις ὄψεσιν, ὥσπερ ἐν τοῖς ἀχλυώδεσι

λυώδεσι πρὸς τὸ βλέπειν ἀμαυρὸν, ἔτι καὶ διά τινος ἀχλύος οἰομένῳ βλέπειν. ἀχλὺν δ' ὀνομάζουσι θόλωσιν ἀέρος, ἐν τῷ μεταξὺ νέφους τε καὶ ὁμίχλης ἔχουσαν τὸ πάχος, ὡς ὁμίχλης μὲν μᾶλλον πεπιλῆσθαι, νέφους δ' ἧττον, καὶ γίνεται τὸ τοιοῦτον πάθημα κατὰ τοὺς ὀφθαλμοὺς, καὶ τῶν ἀπυρέτων μὲν οὐκ ὀλίγοις. ὥσπερ καὶ ἡ ἀμαύρωσις ἀμυδρὰ τῶν ὀργάνων αἴσθησις οὖσα χωρὶς τῆς κατὰ τὴν ἀχλὺν φαντασίας ἤδη καὶ τῶν νοσούντων πολλοῖς. ἔστι δὲ γενικώτερον ἡ ἀμαύρωσις τῆς ἀχλυώδους ὄψεως. ἀμυδρῶς γὰρ ἀμφοτέρων ὁρώντων, προσέρχεται τοῖς μὲν κάμνουσιν αὐτοῖς αἴσθησις οἷον ἀχλύος τινὸς, ἐν ταῖς ἀχλυώδεσιν ὄψεσι. τοῖς δ' ἔξωθεν ὁρῶσι τῶν ὀφθαλμῶν, ὁ μὲν ἠμαυρωμένος οὐδεμίαν ἔχων φαίνεται σύστασιν ὑγροῦ παρὰ φύσιν. ἀπόλωλε δ' ἐξ αὐτοῦ τὸ λαμπρὸν καὶ στίλβον, ἐν τοῖς ὀξέως ὁρῶσιν ὀφθαλμοῖς ὑπάρχον, καί εἰσιν οἱ ἀμαυρούμενοι παραπλήσιοι τοῖς τῶν νεκρῶν. καὶ πολλοῖς τῶν ἀποθνησκόντων ἔτι ζῶσιν οἱ ὀφθαλμοὶ τοιοῦτοι φαίνονται, καθάπερ καὶ τοῖς ἐν ἐσχάτῳ γήρᾳ. ἀχλυώδεις δ' οὐ πᾶσιν, ἀλλ' οἷς μόνοις τεθολῶσθαι φαίνεται τὸ κατὰ τὴν κόρην ὑγρὸν, ὃ λαμπρόν τε καὶ λευκὸν ἦν ὅθ' ὑγίαινον. ἐκ γοῦν τῶν εἰρημένων εὔδηλον μοχθηρὰς τὰς διαθέσεις ἀμφοτέρας εἶναι τῶν ὀφθαλμῶν. τὸ δὲ πεπηγὸς ὄμμα, διὰ τὴν ἀκινησίαν γίνεται τῶν κινούντων τὸν ὀφθαλμὸν μυῶν, ἡ τις ἀκινησία διὰ παράλυσιν, ἢ τάσιν ἰσόῤῥοπον ἁπάντων αὐτοῦ γίνεται τῶν μυῶν, ἢ διὰ τελείαν ἀῤῥωστίαν τῆς κινούσης αὐτοὺς δυνάμεως, ἐναντίας τῆς τοιαύτης καταστάσεως οὔσης τῇ τῶν ἐνδεδινημένων ὀφθαλμῶν. ἀστήρικτοι γάρ εἰσι παραπλησίως ἐκείνοις, τοῖς τὸν καλούμενον ἵππον ἔχουσιν, ὡς μηδέποθ' ἡσυχάζειν. ἔμπαλιν δ' αὐτοῖς οἱ πεπηγότες οὐδέ ποτε κινοῦνται. τὰς οὖν αἰτίας ἀκηκοότι σοι τῆς τοιαύτης καταστάσεως τῶν ὀφθαλμῶν, εὔδηλον ἐστὶ καὶ τὸ μοχθηρὰς αὐτὰς εἶναι. γράφουσι δ' ἔνιοι καὶ τὸ πεπηγὸς ἀχλυῶδες κακὸν, ἀχλύν τινα παραπεπηγέναι βουλόμενοι τοῖς ὀφθαλμοῖς κατὰ τὴν τῆς διαθέσεως ξηρότητα καὶ θερμότητα.

Ὀξυφωνίη κλαγγώδης, πονηρόν.

Ἔνιοι μὲν κλαγγώδης, ἔνιοι δὲ κλαυθμώδης γράφουσιν. λέλεκται δὲ ὅτι κλαγγώδης γίνεται φωνὴ, τῆς ξηρότητος ἐπιτεινομένης τῶν φωνητικῶν ὀργάνων. ἡ κλαυθμώδης δὲ κατὰ τὴν αὐτὴν ταύτην ἐπίτασιν νοεῖται, καὶ ἔστι χαλεπωτέρα τῆς κλαγγώδους, ὅσῳ καὶ τὴν διάθεσιν ἐνδείκνυται μείζονα.

Ὀδόντων πρίσις ὀλέθριον, οἷσι μὴ σύνηθες καὶ ὑγιαίνουσιν, πνιγμὸς ἐν τούτοισι, πάνυ κακόν.

Τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων οὐκ εἰωθὼς μνημονεύειν ὁ τὸ βιβλίον τοῦτο γράψας, ἐμνημόνευσε νῦν τῆς τῶν ὀδόντων πρίσεως. ἔτι προσθεὶς κατὰ τὸ τέλος αὐτοῦ, τὸ πνιγμὸς ἐν τούτοισι πάνυ κακόν. ἔμαθες δὲ καὶ περὶ πρίσεως ὀδόντων ὅπως γίνεται, καὶ περὶ πνιγμοῦ, ὥστε οὐδὲν ἔτι κατὰ τήνδε τὴν ῥῆσιν λέγεσθαι ἀναγκαῖον περιττότερον, αὐτὸς γὰρ ἐξ ἐκείνων νοήσεις ἅπαντα.

Προσώπου εὔχροια, καὶ τὸ λίην σκυθρωπὸν, πονηρόν.

Ἐπειδὴ πολλάκις ἐξαπατᾶσθαι συμβαίνει διὰ τὴν εὔχροιαν τοῦ προσώπου, ἣν νομίζουσιν, ἤτοι γε αἱμοῤῥαγίας κρισίμου τῆς ἐκ τῶν ῥινῶν, ἢ παρωτίδων αὐτὴν εἶναι δηλωτικὴν, εἰκότως ἔγραψεν, ὅταν ἅμα σκυθρωπότητι πολλῇ γένηται, μοχθηρὸν εἶναι σημεῖον αὐτήν. εὐχροεῖν γὰρ ἐν νοσήμασιν, ὁμοίως τοῖς ὑγιαίνουσιν ἄριστα, κατὰ μὴ τὴν αὐτὴν ἐκείνοις διάθεσιν οὐκ ἐνδέχεται. καταλείπεται δ' ὑπὸ θερμασίας πολλῆς ἐξερύθρους αὐτοὺς γεγονότας ὁμοίους τοῖς εὐχροοῦσι φαίνεσθαι. τὸ δ' ἐξέρυθρον ἐν τῷ δευτέρῳ τῶν ἐπιδημίων ἐπιτήδειον εἰς μελαγχολίαν εἶναι φησὶν, ἧς σημεῖον ἡ σκυθρωπότης ἐστίν. ὅταν δὲ καὶ τὸ λίαν αὐτῇ προσῇ, πολὺ δήπου μᾶλλον, ὥσθ' ὅταν εὐανθὲς μὲν φαίνηται τὸ πρόσωπον, ὁ δ' ἄνθρωπος ᾖ λίαν σκυθρωπὸς, ἐμφαίνεταί τις εἶναι κατὰ τὸν ἐγκέφαλον ἱκανῶς θερμὴ διάθεσις ἐκκαίουσα τὸ αἷμα, καὶ διὰ τοῦτο γεννῶσα τὴν μέλαιναν χολὴν ὡς ἐπιδέδεικται. εὔδηλον δ' ἴσως ἐστὶν ὥσπερ κἀγὼ εἰς ὅλον τὸ βιβλίον ἀδιανοήτων ἁπλῶς ἐμνημόνευσα, ὃ νῦν οὕτω ποιήσω, καὶ γράψω τινὰ τῶν ἀδιανοήτων ἐξηγήσεων ἕνεκα παραδείγματος, ὑπὲρ ὧν οὐχὶ τὸν εἰπόντα πρῶτον ἐθαύμασα. κοινὸν γὰρ ἁμάρτημα τοῦτο πάντων, ὥσπερ τοὺς ὗς, οὕτω καὶ τὰ πρὸς ἑαυτῶν ἐπινοούμενα στέργειν, πλὴν εἴ τις ἀσφαλὴς ἱκανῶς ὑπάρχων, ἐν μνήμῃ διὰ παντὸς ἔχει τὸν αἰσώπιον μῦθον, ἐξῆφθαι δύο πήρας ἡμᾶς εἰπόντα, ἔμπροσθεν μὲν τὴν τῶν ἀλλοτρίων κακῶν μεστὴν, ὄπισθεν δὲ τὴν τῶν ἰδίων, καὶ διὰ τοῦτο τὰ μὲν τῶν ἄλλων ἁμαρτήματα θεᾶσθαι, τὰ δὲ ἑαυτῶν μὴ βλέπειν. οὗτος γὰρ μόνος ἑαυτὸν ἀσκήσει πρὸς τὴν τῶν ἀληθῶν γνῶσιν. οὔκουν ὡς ἔφην θαυμάζω τὸν πρῶτον γράψαντα τὴν ἐξήγησιν, ἀλλὰ τῶν ἀδιανοήτως τὰ ἐκείνου ἐπαινούντων, ὥσπερ καὶ νῦν τις ἐπαινεῖ τὴν ἐξήγησιν τῶν εἰπόντων, ἀκούειν χρῆναι προσώπου μὲν εὔχροιαν, πρὸς τὴν τοῦ νοσοῦντος αὐτοῦ. τὸ δὲ λίαν σκυθρωπὸν ἐπὶ τῶν ἰατροῦ θεωμένου τὴν παρὰ φύσιν εὔχροιαν, ὡς κακὸν σημεῖον. εἰ γὰρ τοῦτ' ἐβούλετο διδάσκειν ὁ γράψας τὸ προῤῥητικὸν, οὕτως ἂν εἰρήκει, προσώπου εὔχροιαν λίαν σκυθρωπὸν ἐργάσεται τὸν ἰατρόν. ἐπὶ τούτῳ δὲ πονηρὸν, οὐκ ἂν ἔτι προσεγέγραπτο κατὰ τὸ τέλος. ἀδιανόητον γὰρ ἱκανῶς προσώπου λέγειν εὔχροιαν λίαν σκυθρωπὸν σημεῖον ἰατρῷ πονηρόν. ἢ πάλιν οὕτω προσώπου εὔχροια λίαν σκυθρωπὸν ἐργάζεται τὸν ἰατρὸν, καὶ πονηρόν ἐστι σημεῖον. ἤτοι γὰρ τὸ σκυθρωπὸν ἐργάζεται τὸν ἰατρὸν, καὶ πονηρόν ἐστι σημεῖον, ἢ πονηρὸν εἶναι τὴν εὔχροιαν ἤρκει λελέχθαι μόνον. ἀμφότερα δ' ἅμα λέγειν, οὐκ ἐγχωρεῖ, μετὰ τοῦ καὶ τὸν σύνδεσμον προσκείμενον, ἐνδείκνυσθαι σαφῶς ἐν τῷ κάμνοντι ταῦτ' ἄμφω συμβεβηκέναι, τήν τ' εὔχροιαν τοῦ προσώπου, καὶ τὸ λίαν σκυθρωπόν. ἵνα δέ τις ἐάσας τὴν ἀπὸ τῆς λέξεως ἔνδειξιν ἐπὶ τὸ λεγόμενον ἔλθοι, ψευδὴς ἐστὶν ὁ λόγος τῶν οὕτως ἐξηγησαμένων. οὐ γὰρ ἐξ ἀνάγκης ἡ εὔχροια τοῦ προσώπου λίαν ἐργάζεται σκυθρωπὸν τὸν ἰατρὸν, ἀλλ' ἔστιν ὅτε καὶ φαιδρότερον, ἢ πρόσθεν, ὅταν αἱμοῤῥαγίας, ἢ παρωτίδων κρισίμων ἐλπίσῃ σημεῖον εἶναι τὴν εὔχροιαν. εἰ μὲν οὖν ἄπορον καὶ ἀσαφὲς ἐσχάτως τῆς ῥήσεως οὔσης, ἐπενόουν τοιαῦτα κενὰ, ἴσως ἂν αὐτοῖς συνέγνωμεν. ἐπεὶ δὲ χρησιμώτατον πρᾶγμα διδάσκει σαφῶς διορίζόμενον, πότε μὲν ἀγαθὸν ἐστὶ σημεῖον ἡ εὔχροια τοῦ προσώπου, πηνίκα δὲ οὐκ ἀγαθὸν, τίς αὐτοῖς συγγνώμη, καθάπερ τοῖς λέγουσι περὶ τοῦ εἰς

ἄλληλα μεταπτώσεως, τῆς τ' εὐχροίας τοῦ προσώπου, καὶ τῆς σκυθρωπότητος εἶπε τὸν ἐνεστῶτα λόγον. ἡγοῦνται μὲν γὰρ ὅταν ἄλληλα διαδέχεται ταῦτα, καὶ τῆς μὲν εὐχροίας παυσαμένης, ὁ κάμνων γένηται λίαν σκυθρωπὸς, αὖθις δὲ τὴν σκυθρωπότητα γενομένην, εὔχροια διαδέχηται, χαλεπὸν εἶναι σημεῖον, ὡς οὐ δυναμένων ἀμφοτέρων ἅμα γίγνεσθαι, ἢ οὐ περὶ τῶν ἐναντίων ἔμπροσθεν εἰρηκότος αὐτοῦ, τὴν εἰς ἄλληλα μετάπτωσιν οὐκ ἀγαθὸν εἶναι σημεῖον, ἐκεῖ μὲν γὰρ ἡ θατέρου γένεσις ἀναιρεῖ τὴν ὕπαρξιν θατέρου, καὶ διὰ τοῦτο ἀδύνατον αὐτοῖς ὑπάρχειν ἅμα. τῇ δ' εὐχροίᾳ τοῦ προσώπου σκυθρωπότητα συνυπάρχειν ἅμα, οὐκ ἀδύνατον. ἐὰν μὲν οὖν ἐφ' ἑκάστῃ τῶν ῥήσεων ὅσα κακῶς εἴρηται τισὶν ἐξελέγχωμεν, μέμψονται πολλοὶ τῷ μήκει τῶν ὑπομνημάτων. ἐὰν δ' ἀνέλεγκτα παραλίπωμεν, συμβήσεται τινὰς ἐφεξῆς ἀκούσαντας ἐξηγήσεως ξένης, ὡς παραλελειμμένης ὑπ' ἐμοῦ μέμφεσθαι, καὶ μάλιστα ὅταν διακρίνειν οὐδέπω δύνανται κακίαν, καὶ ἀρετὴν ἐξηγήσεως. ἐπεὶ τοίνυν ἀδύνατόν ἐστιν ἐκφυγεῖν τὴν μέμψιν, ἢ ὡς μηκύναντα περιττῶς, ἢ ὡς παραλιπόντα τι τῶν χρησίμων, εἱλόμην θάτερον ὃ τοῖς ἀναγνωσομένοις τὰς ὑπ' ἐμοῦ γεγραμμένας ἐξηγήσεις ὠφελιμώτερον ἔσεσθαι, πείσομαι.

Τὰ τελευτῶντα ὑποχωρήματα εἰς ἀφρώδεα ἄκρητα, παροξυντικά.

Οὐκ οἶδ' ὅπως οἱ ἐξηγησάμενοι τὸ βιβλίον, ὥσπερ ἄλλων πολλῶν παρακηκόασι λέξεων, οὕτω καὶ τῆσδε. τελευτῶντα γὰρ εἰπόντος αὐτοῦ τὴν ἐξήγησιν οὗτοι ποιοῦνται, διαχωρημάτων ἀφρωδῶν ἀκράτων. οὐ ταὐτὸν δέ ἐστι, ἢ ᾧ τὰ τοιαῦτα διαχωρεῖται, παροξυνθήσεσθαι τὴν νόσον, ἢ ᾧ τελευτήσουσιν αἱ διαχωρήσεις εἰς τὰ τοιαῦτα. μοχθηρᾶς μὲν οὖν ἐστι διαθέσεως γνωρίσματα τὰ ἀφρώδη, καὶ τὰ ἄκρητα, μεμνημένων ἡμῶν ἄκρατα καλεῖσθαι διαχωρήματα, τὰ μόνον ἕνα τὸν ἀποκρινόμενον ἔχοντα χυμὸν ἄμικτον ἑτέροις. οὐ μὴν τοῖς ἐκκρίνουσι τὰ τοιαῦτα παροξυνθῆναι τὴν νόσον ἀναγκαῖόν ἐστι, ἀλλ' ἐγχωρεῖ καὶ λωφῆσαι κατὰ βραχὺ πεττομένης τῆς διαθέσεως, ἐφ' ᾗ τὰ τοιαῦτα ἐξεκρίνετο. πότε οὖν ἀναγκαῖον παροξυνθήσεσθαι τὴν νόσον; ὅταν τὰ διαχωρήματα πρὸς τῷ μὴ παύεσθαι τὴν μεταβολὴν εἰς ἀφρώδη τε καὶ ἄκρατα ποιήσηται. χείρονα γὰρ ὄντα τῶν ἔμπροσθεν ἐκκρινομένων, ταῦτα παροξυνθήσεσθαι δηλοῖ.

Αἱ ἐκ καταψύξιος ἐν ὀξέσιν οὔρων ἀπολήψιες, κάκισται.

Τὰ ὀξέα νοσήματα γίνονται ἐπὶ θερμοτέραις ὕλαις. εἰ οὖν ἐπίσχεσις τῶν οὔρων ἐκ καταψύξεως γένηται τῆς κύστεως, κακόν. δηλοῖ γὰρ ἐκ τῆς τοιαύτης δυσκρασίας, ἀτονίαν γενέσθαι τῆς ἀποκριτικῆς ἐν τῇ κύστει δυνάμεως, ἢ ἀναισθησίαν, διὰ τὸ καταψυχθῆναι τὸ ἐν αὐτῇ νεῦρον, καὶ μὴ αἰσθάνεσθαι τῆς ἀνίας. ἡ δὲ κατάψυξις ἐν τῇ κύστει γίνεται τοῦ κατὰ φύσιν ἐν αὐτῇ θερμοῦ ὑπὸ τῆς παρὰ φύσιν θερμασίας διαφορηθέντος. ἴσως δ' ἄν τις εἴποι, διὰ ποίαν αἰτίαν τοῦ πυρετοῦ ἐν ὅλῳ τῷ σώματι ὄντος ἐψύχθη ἡ κύστις; λύσις δὲ τούτων ἐστὶν ἡ τοῦ μορίου ἰδιότης, οὐ γὰρ ἅπαντα ὡσαύτως τῆς αὐτῆς ἔτυχε φύσεως.

Τὰ ὀλέθρια ἀσήμως ῥαστωνήσαντα, θάνατον σημαίνει.

» Χωρὶς σημείων ἤτοι ἐκκρίσεως ἢ πέψεως. ταὐτὸν δὲ δηλοῖ τῷ καθόλου ἐν ἀφορισμοῖς εἰρημένῳ τῷδε, τοῖσι μὴ
» κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίαν τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον. ἡ γὰρ νῦν προκειμένη ῥῆσις ἀποχωρήσασα τοῦ καθόλου, τῶν ὑποπεπτωκότων αὐτῷ τι διδάσκει. περὶ γὰρ τῶν ὀλεθρίων ἀποφαίνεται μόνον, οὐχ ἁπάντων τῶν μοχθηρῶν. οὐκ ἔστι ἅπαντος δὲ πᾶν ὅτι περ ἂν ᾖ μοχθηρὸν, ἤδη τοῦτο καὶ ὀλέθριόν ἐστι. ἀπεδείξαμεν γὰρ ἐν τῷ προγνωστικῷ διαφορὰς πολλὰς τῶν μοχθηρῶν εἰρημένας, ἐφ' ὧν αὐτὸν τὸν Ἱπποκράτην, προσθήκῃ τῶν οἰκείων ὀνομάτων ἐνδείκνυσθαι τὸ μέγεθος αὐτῶν. περὶ μὲν οὖν τῶν ἁπλῶς μοχθηρῶν, οὐ μὴν ὀλεθρίων γε, ἀρκεῖ τοῦτο μόνον γινώσκειν, ὡς οὐ χρὴ πιστεύειν αὐτοῖς ἀσήμως παυσαμένοις, ἐπανήξει μὲν γὰρ αὖθις, οὐ μὴν ἀποκτενεῖ γε τὸν ἄνθρωπον. ὅσα δ' εἰς τοσοῦτον προήκει μοχθηρίας ὡς ἐν τοῖς ὀλεθρίοις εἶναι, ταῦθ' ὅτι μὲν ἀπιστότερα τῶν μετρίως μοχθηρῶν ἐστιν, οὐ δυνάμενα πιστῶς παύσασθαι χωρὶς τῶν φανερῶν σημείων, ἐν τοῖς περὶ κρίσεων ἐπὶ πλεῖον μοι δέδεικται. κατασκευάσαντα γὰρ ἐν τῷ χρόνῳ τὰ τοιαῦτα, βλάβην ἑκτικὴν καὶ ἄλυτον ἐπανήξει ἐπὶ τὸ μέγεθος τῆς αὐτῶν κακίας, τὸ τοῦ κινδύνου φέροντα μέγεθος. ἔνια γὰρ αἴτια τῶν ἐπὶ τὸ σῶμα γιγνομένων, παραπλησίαν ἔχει δύναμιν, τῷ τε τῶν λυττώντων κυνῶν ἰῷ, καὶ τῶν θανασίμων φαρμάκων ἐκείνοις, ὅσα κατὰ τὰ πεπονθότα ἐπίδηλον οὐδὲν ἐν τῷ παραυτίκα σύμπτωμα ἐργάζεται, μετὰ δὲ τέτταρας ἢ ἓξ μῆνας, ἢ καὶ πλείονα χρόνον ἀναιρεῖ τὸν ἄνθρωπον. ἴσμεν δ' ἐνίους καὶ τῶν ὑπὸ κυνὸς λυττῶντος δηχθέντων, ὕστερόν ποτε δείσαντάς τε τὸ ὕδωρ, καὶ τελευτήσαντας, ἀπὸ τῆς πρώτης ἀρχῆς ἐν ᾗ δηχθέντες ἔτυχον, μετὰ δύο μῆνας, ἢ τρεῖς, ἢ τέτταρας, ἢ πολὺ πλείους, οἶδα τοίνυν ἕνα ὃς μετὰ ἐνιαυτὸν εἰς τοῦτο δὴ τὸ πάθος ὃ καλοῦσιν ὑδροφόβον ἐμπεσόντα, περὶ οὗ πᾶσι τοῖς ἰατροῖς ἔδοξεν ἐσχάτη γίνεσθαι ξηρότης ἐν τοῖς στερεοῖς τοῦ ζώου μορίοις, ἅμα τῷ καὶ τὴν παρὰ φύσιν θερμασίαν συνεξῆφθαι, τεταμένην ἐπὶ τὸ πυρῶδες. ταύτην οὖν τὴν διάθεσιν ὁ τοῦ κυνὸς ἰὸς ἐργάζεται πολλῷ χρόνῳ κατὰ βραχὺ δηλονότι, καὶ διὰ τοῦτ' ἐστὶν ἀνιατώτερον, διότι τῶν στερεῶν μορίων ἡ οὐσία μεταβάλλεται, καθάπερ εἴωθε κἂν ταῖς καλουμέναις λεύκαις γίνεσθαι. ἄχρι μὲν γὰρ ἐν τούτοις ἐστὶν ἡ παρὰ φύσιν διάθεσις, ἀλλοιουμένων μὲν αὐτῶν τὰ στερεὰ σώματα, μηδέπω δ' αὐτῶν ἠλλοιωκότων ἅμα τῷ κενωθῆναι ταῦτα, καὶ ἡ τῶν στερεῶν ἀλλοίωσις παύεται, ποτὲ μὲν ἡμέρᾳ μιᾷ, ποτὲ δὲ καὶ θᾶττον εἰς τὸ κατὰ φύσιν ἐπανερχομένων. γινομένη γὰρ ἡ διάθεσις, καὶ οὔπω γεγονυῖα, συντόμως ἀποκαθίσταται τοῦ ποιοῦντος αὐτὴν αἰτίου χωρισθέντος. συμπληρωθείσης δ' αὐτῆς, κἂν ἐκκενωθῇ τὰ ποιήσαντα τὴν διάθεσιν ὑγρὰ, πλέον οὐδὲν εἰς ὑγείας λόγον. ὅμοιον γάρ τι συμβαίνει τῷ γινομένῳ περὶ τὰ ξύλα τὰ πλησίον τοῦ μαλθακοῦ κειμένου πυρός. θερμαίνεται μὲν γὰρ μέχρι πολλοῦ, καίεται δὲ οὐδέπω, κἂν φθάσῃς ἀποχωρῆσαι τοῦ πυρὸς αὐτὰ πρὶν ἄρξασθαι καίεσθαι, ταχέως ἀποτίθεται τὴν γεγονυῖαν αὐτοῖς θερμότητα. δεξάμενα δ' εἰς ἑαυτὰ τοσοῦτον ὡς ἄρξασθαι καίεσθαι, κἂν ἀπαχθῇ τοῦ πυρὸς, οὐδὲν ἧττον καίεται. κἂν εἰς αὐτὸ δὲ τὸ πῦρ τὸ ὑγρὸν ξύλον ἔλθοι, οὐκ εὐθέως ἅπτεται, καθάπερ εἰ στυππίον ἐνθείης, ἢ κάλαμον ξηρὸν, ἢ θρυαλλίδα, καὶ εἰ μετὰ βραχὺ βαστάσειας τὸ τοιοῦτον ξύλον, ἀποθήσεται τὴν ἐκ τοῦ πυρὸς ἐν αὐτῷ γενομένην ἀλλοίω-

σιν

σιν οὐ μετὰ πολὺν χρόνον. οὐδ' ὅσων ἀπεψίας καὶ γεννηθῆναι κατὰ βραχὺ τοιοῦτον ἐν τῷ σώματι χυμὸν ὁποῖος ὁ, τῶν λυπησάντων καμῶν ἐστι, ἢ τῶν ἐν χρόνῳ πλείονι διαφθειρόντων φαρμάκων, ὡς καὶ λανθάνειν τοὺς πολλοὺς τῶν ἰατρῶν, ὡς ἐπὶ τοῦ διὰ κόπον ὡς ἔδοξε μετριώτατον πυρέξαντος, ὃς μετὰ τὴν τετάρτην ἡμέραν ἀπέκρινεν οὖρον, τῇ μὲν συστάσει λεπτόν, τῇ χρόᾳ δὲ μέλαν, ὡς ἐοικέναι κατ' ἄμφω τῇ γινομένῃ κράσει μέλανος ὀλίγου γραφικοῦ μιχθέντος ὕδατι πολλῷ, καὶ ἄλλως γε εἰ μὴ τὸ μέλαν αὐτὸ νοήσαιμεν μεμιγμένον, ἀλλὰ καὶ τὴν καλουμένην ὑπὸ τῶν πολλῶν ἀσβόλην, ἣν ἄσβολον οἱ Ἕλληνες ὀνομάζουσιν, ὁ ἄνθρωπος οὗτος ἔδοξεν ἔχειν καλῶς κατὰ τὴν τετάρτην ἡμέραν, ὡς καὶ λούσασθαι ταῖς ἑξῆς ἡμέραις, εἶτα κατὰ τὴν ἑβδόμην ἡμέραν εἰς ἑσπέραν ἀρξάμενος πυρέττειν, ἀπέθανε μαρανθείς. τοῦτο αὐτὸ κατὰ τὴν προκειμένην ῥῆσιν διδάσκεται, τοῖς ἀρίστοις τῶν ἰατρῶν ὠφέλειαν φέρον οὐ τοῖς ἐπιτυχοῦσιν. οὗτοι γὰρ οὐδὲ γινώσκουσι τὰ τῶν ὀλεθρίων νοσημάτων σημεῖα. νεανίσκος γοῦν τις ἐξέκρινεν ἅμα πυρετῷ βληχρῷ περίπλυσιν ἐρυθρὰν, οὐκ ὀλίγην πολλάκις ἐν ἡμέρᾳ μιᾷ, καὶ νυκτὶ μετὰ χλιαροῦ πυρετοῦ, τὸν ἐντεῦθεν ἔδοξε μετριώτερον ἔχειν ὡς τῇ γ΄. τῶν ἡμερῶν ἀπύρετον εἶναι δοκεῖν. ἐγὼ μὲν οὖν ἐπισκεψάμενος αὐτοῦ τὰ οὖρα, λεπτὰ καὶ λευκὰ καθάπερ ὕδωρ ὄντα, τὴν κατὰ τὸ ἧπαρ ἀτονίαν ἐτεκμηράμην διαμένειν, ἐκέλευόν τε τοῖς πρὸς αὐτὴν ἁρμόττουσιν ἐπιθέμασί τε καὶ βρώμασι, καὶ συμπάσῃ τῇ διαίτῃ χρῆσθαι. καταγελάσας δέ μου τῶν ἀπὸ Θεσσαλοῦ τις ἰατρῶν, οὐ μόνον αὐτὸς οὐδέποτε τὴν δι' οὔρων ἐπίσκεψιν πεποιημένος, ἀλλὰ καὶ τοὺς ἐπισκεπτομένους αὐτὰ γναφέας ἀποκαλῶν, κεκώλυκε βοηθεῖσθαι τὸν ἄνθρωπον, ἀναλήψεως μόνης ἐπὶ κενώσει χρῄζειν εἰπών. ἀλλὰ καὶ τοῦτο κατὰ τὴν ἑβδόμην ἀπὸ τῆς ἀρχῆς ἡμέραν ἐπελθὸν τὸ νόσημα, φανερὸν ἐγένετο πᾶσιν ἡπατικὸν ὑπάρχον. τὰ μὲν οὖν τοιαῦτα πάντα, παρατρέχουσιν οἱ ἐξηγηταὶ μεγάλως ὄντα χρήσιμα, κατατρίβονται δ' ἐνίοτε περὶ λεξείδια μηδ' ὅλως χρήσιμα.

Τὰ ἐν ὀξέσι χολώδεσιν ἔκλευκα, ἀφρώδεα, περίχολα διαχωρήματα, κακόν. κακὸν δὲ καὶ οὖρα τοιαῦτα, ἆρα τουτέοισιν ἧπαρ ἐπώδυνον;

Τὸ πολλάκις ἤδη καὶ πρόσθεν εἰρημένον ὁρῶ, καὶ νῦν. ὁ συνθεὶς τὸ βιβλίον τοῦτο, φαίνεται μὲν ἀπὸ τῆς αὐτῆς ὢν Ἱπποκράτει τοῦ μεγάλου τέχνης, ἀπολείπεται δ' αὐτοῦ πάμπολλα, καὶ διὰ τοῦτο ἐνίοις μὲν ἔδοξε τοῦ Δράκοντος Ἱπποκράτους, ἐνίοις δὲ τοῦ Θεσσαλοῦ τὸ σύγγραμμα τοῦτο εἶναι. δύο γὰρ υἱεῖς τοῦ μεγάλου Ἱπποκράτους ὁμολογοῦνται γεγονέναι, Δράκων καὶ Θεσσαλός, ὧν ἑκατέρου πάλιν Ἱπποκράτης. εἴτ' οὖν ὑπὸ θατέρου τούτων, εἴτε καὶ ὑπ' ἄλλου τινὸς ἐγράφη τὸ βιβλίον, εἴτ' ἔφθασεν ὁ γράψας αὐτὸ πρὶν ἐκδοῦναι τοῖς ἄλλοις ἀποθανεῖν, περιττόν ἐστιν ἔργον ζητεῖν. ἱκανὰ γὰρ καὶ τὰ νῦν εἰρημένα περὶ αὐτοῦ. σπούδασμα δ' ἔστω τοῖς ἀναγινώσκουσιν αὐτό, τὴν διάνοιαν τῶν λεγομένων ἐξετάζειν. ἡ δὲ ἐξέτασις ἔστω διττή, πρός τε τὴν τῶν ὁμολογουμένων Ἱπποκράτους βιβλίων, καὶ πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν ἀναφερόντων ἡμῶν, ὅτι περ ἂν αὐτῷ λέγηται, καὶ νῦν αὐτὸ τὸ προκείμενον οὕτως ἐξετάσωμεν, ὡς ἐπιπλέκοντος ἐνίοτε συμπτώματα τοῦδε τοῦ ἀνδρός, ὧν ἕκαστον καθ' ἑαυτὸ τὴν δύναμιν ἐμάθομεν ἐν τῷ προγνωστικῷ. τὰ γὰρ ἔκλευκα καὶ τὰ ἀφρώδη διαχωρήματα, μοχθηρὰ λέλεκται κατ' ἐκεῖνο τὸ βιβλίον. ἀλλὰ καὶ ὅτι κινδυνεύουσιν ἐν ταῖς νόσοις ἧττον, οἷς ἂν οἰκείη τῆς φύσεως ἡ νόσος ᾖ, μεμαθήκαμεν ἐν τοῖς ἀφορισμοῖς, ὥσθ' ὅσοις ἂν μὴ οἰκεία τύχοι, μᾶλλον οὗτοι κινδυνεύουσιν. τοῖς οὖν χολώδεσιν, εἴτ' ἀνθρώποις, εἴτε νοσήμασι, χολώδη διαχωρεῖν, ἢ οὐρεῖν οἰκεῖον. ἄχολα δὲ καὶ λευκὰ παρὰ τὴν φύσιν αὐτῶν ἐστιν, καὶ διὰ τοῦτο μοχθηρά. ἀφρώδη δὲ διαχωρεῖν, ἁπάσαις φύσεσι κακόν. εἰ μὲν δὴ ταῦτ' εἴρητο μόνα κατὰ τὴν προκειμένην ῥῆσιν, οὐδὲν ἂν ἦν ζήτημα, προσκειμένου δὲ τοῦ περίχολα μέγιστον γίνεται ζήτημα. πῶς γὰρ ἂν χολώδεά τε ἅμα καὶ ἔκλευκα διαχωρεῖσθαι δυνατόν ἐστι. ἐγὼ μὲν οὖν νομίζω, καὶ ταύτην τὴν λέξιν ἡμαρτῆσθαι καθάπερ καὶ ἄλλας πολλάς. ἄμεινον γὰρ ἦν, ἢ μὴ περίχολα γεγράφθαι κατὰ αὐτήν, ἢ μηδ' ὅλως γεγράφθαι τὰ ἔκλευκα, εἰ δέ περ ἀναγκαζόμεθα τὴν λέξιν, ὡς ἀναμάρτητον ἡγεῖσθαι, δυοῖν θάτερον, ἢ τὸν μὲν ἕνα καιρὸν, ἔκλευκα διαχωρεῖσθαι νομιστέον, ἐν ἑτέρῳ δὲ περίχολα, ἢ εἴπερ ἐν ἑνὶ χρόνῳ βούλοιτό τις ἀμφότερα λέγειν ἐκκρίνεσθαι, τὰ μὲν ἔκλευκα τῶν ἔσωθεν τε καὶ σκληρῶν διαχωρημάτων τὴν χρόαν δηλώσει, τὰ περίχολα δὲ, τὰ πέριξ αὐτῶν ἔχοντα χολὴν τῇ συστάσει λεπτήν. εἰώθασι δὲ ὀνομάζειν τὰς τοιαύτας ἐκκρίσεις περιχόλους. τὰ γε μὴν οὖρα, τοιοῦτον μὲν ἔχειν οὐδὲν δύναται μεμιγμένον, ἤτοι δὲ θάτερον τῶν εἰρημένων ἐπ' αὐτῶν, ἢ τὸ ἕτερον ἀκούειν ἀναγκαῖον ἐστίν. ἄμφω δὲ μοχθηρὰ, τό τε ἔκλευκον καὶ τὸ περίχολον. ἀκοῦσαι δὲ ἐπὶ τῶν οὔρων τὸ περίχολον ἀναγκαῖον ἐστιν αὐτὸ τὸ περιττῶς χολῶδες. οὐ γὰρ οἷόν τε κατὰ τὸν αὐτὸν τρόπον, ὃν ἐπὶ τῶν διαχωρημάτων εἴπομεν ἐγχωρεῖν γενέσθαι τὰ περίχολα μετὰ τῶν ἐκλεύκων, οὕτω κἀπὶ τῶν οὔρων ἀκούειν. ὃ ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψεν, ἆρά γε τούτοισι ἧπαρ ἐπώδυνον; ὀρθῶς εἴρηται. τισὶ μὲν γὰρ αὐτῶν ἐπώδυνον γίνεται, τισὶ δὲ οὔ, διὰ φλεγμονὴν καὶ δι' ἔμφραξιν, καὶ διάθεσιν φλογώδη, κατά τε τὴν γαστέρα, καὶ διὰ τῆς κύστεως ἐκκρίνεσθαι. λέλεκται δέ μοι περὶ τῶν τοιούτων ἁπάντων, ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν, ἐν ταῖς ἡμετέραις πραγματείαις, ὥστε οὐ χρὴ νῦν καθ' ἑκάστην ῥῆσιν ἀποδείξειν ἀκούειν φυσικὰς, ἀλλ' ἀρκεῖσθαι μόνοις τοῖς ἐξ αὐτῶν ἀποδεδειγμένοις.

Αἱ ἐν πυρετοῖσιν ἀφωνίαι σπασμώδεα, τρόπον ἐξίστανται σιγῇ ὀλέθριον.

Ἁπάντων μὲν τῶν παλαιῶν ἀντιγράφων τὴν γραφὴν ταύτην ἐχόντων, ἁπάντων δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον δεχομένων αὐτήν, ἔνιοι τῶν χθὲς καὶ πρώην γεγονότων, μεταγράφουσιν εἰς τοιαύτην λέξιν, ἣν ἐξηγήσασθαι ῥᾷστον αὐτοῖς. ἐγὼ δὲ τὸν μὲν ἀποροῦντα περὶ τῆς ἐξηγήσεως, ὑπονοῆσαί τε τὴν λέξιν ἡμαρτῆσθαι, καὶ μεταγράψαι πρὸς τὸ φαινόμενον ἀληθές, οὐ μέμφομαι. τὸ δ' οὕτω γεγραμμένον ἐξ ἀρχῆς ὡς αὐτὸς ἐτόλμησε μεταγράψαι τὴν ἐξήγησιν ποιεῖσθαι, μέμψεως ἄξιον εἶναι νομίζω. πεποιηκότων δ' ἐνίων τοῦτο κατὰ πολλὰς λέξεις ἐπὶ πάντων μεμνῆσθαι τῆς ῥᾳδιουργίας αὐτῶν, μακρὸν εἶναι νομίζω. ὥσπερ δὲ καὶ ἄλλα πολλὰ τῶν καθ' ὅλον τὸ βιβλίον γεγραμμένων, ἅπαξ ἢ δὶς ἐπεσημηνάμην, οὕτω καὶ τοῦτο. λέλεκται μὲν οὖν μοι ταῦτα διὰ τοὺς

ὅλον ἀφελόντες τῆς προκειμένης ῥήσεως, τὸ σιγῇ ὀλέθριον. ἐγὼ δὲ ἡγοῦμαι τὴν διάνοιαν εἶναι τοιαύτην. αἱ ἐν πυρετῷ ἀφωνίαι ὅσαι κατὰ σπασμώδη τρόπον γίνονται, τελευτῶσιν εἰς τὴν μετὰ σιγῆς ἔκστασιν ὀλέθριον. τὸ δ', εἴτε πάθος, ἢ σύμπτωμα, προσυπακοῦσαι δεῖ τοῦτο, συνήθως οὕτως ἑρμηνεύοντος τοῦ γράψαντος τὸ βιβλίον. χρὴ τοίνυν τὸ σιγῇ, κατὰ δοτικὴν πτῶσιν ἀκούειν, συντάττοντας τὸ ἐξίστανται τῷ σιγῇ. κατὰ δοτικὴν δὲ πτῶσιν ἀκουόμενον τὸ σιγῇ, οὐκέτι αὐτὸ σημαίνει μόνον τὸ ἐξίστανται μετὰ σιγῆς, πάνυ κακόν. δῆλος γάρ ἐστι πάλιν ὑποτάξας τῷ σιγῇ, τὸ ὀλέθριον, ὅπερ ἀκουστέον ἀντὶ τοῦ λεληθότως τε καὶ ἀδήλως τοῖς πολλοῖς. γιγνομένων οὖν ἀφωνιῶν κατὰ πολλοὺς τρόπους, ὡς δέδεικται νῦν, οὗτος φησὶν, τὴν σπασμώδη τρόπον γινομένην ἀφωνίαν, εἰς τὴν μετὰ σιγῆς ἔκστασιν τελευτᾶν. τίνων τοίνυν σπασμώδη τρόπον ἀκούσωμεν; εἴπῃ τις τῶν φωνητικῶν ὀργάνων, ἃ καὶ τῷ παραλελύσθαι, καὶ τῷ μηδ' ὅλως ὑπὸ τῆς προαιρέσεως κινεῖσθαι, τῆς ἀφωνίας αἴτια γίγνεται. τούτων οὖν τὴν διάθεσιν ἀφορίζων τὴν σπασμώδη, διὰ τοῦτο εἶπεν, αἱ ἐν πυρετοῖς ἀφωνίαι, σπασμώδεα τρόπον. αὗται τοίνυν οὐ μετὰ θορύβου καὶ κραυγῆς, οὐ γὰρ δύνανται φωνεῖν οἱ ἄφωνοι γεγονότες, ἀλλὰ μετὰ σιγῆς εἰς ἔκστασιν ἀφικνοῦνται, καὶ ζήτημα οὐδέν ἐστι πῶς ἐξίστανται μετὰ σιγῆς, οἱ μηδ' ὅλως φωνεῖν δυνάμενοι. πόθεν ἂν φασὶ γνῶμεν αὐτοὺς ἐξισταμένους, γελοιότατον ἐρωτῶντες ἐρώτημα, μόνοις πρέπον ἐκείνοις ἐρωτᾶν, οἳ μηδέ ποτε ἑωράκασιν βεβλαμμένους τὴν διάνοιαν ἀνθρώπους. καὶ γὰρ μὴ φθέγγονται, τῷ μὴ βλέπειν αὐτοὺς προσηκόντως τοὺς συνήθεις, μήτε ἐρωτωμένους ἃ πεπόνθασι λέγειν, ἢ διὰ γραφῶν, ἢ νευμάτων ἐνδείκνυσθαί τε κινήσεις ἀλόγους, ἀναπηδῶντας, ἢ ἐκπασμένους ἀτάκτως, ἐνδεικτικόν ἐστι τῆς παραφροσύνης αὐτῶν, καὶ ἰσχυρῶς ἐκστατικὸν τούτων γίνεται τὸ πάθος, ὃ παραφροσύνην ἁπλῶς, ἀλλ' ἔκστασιν εἰκότως ὀνομάζομεν.

Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι.

Τὸ δυσθάνατοι, σημαίνει μέν ποτε καὶ τὸ βραδυθανάτοι. σημαίνει δὲ καὶ τὸ σὺν ὀδύνῃ θνήσκειν, ὅπερ εὔλογόν ἐστι κατὰ τὴν προκειμένην ῥῆσιν εἰρῆσθαι, καὶ μάλιστα ὅτι τοιαύτης ἀφωνίας ἐμνημόνευσεν ἐν τῇ πρὸ αὐτῆς, ὀδυνηρὸν γὰρ πάθος σπασμός.

Οἱ ἐξ ὑποχονδρίων ἀλγημάτων πυρετοὶ, κακοήθεες.

Εἴθ' ὁ συνθεὶς τὸ βιβλίον, εἴτ' ἄλλος ἔγραψεν, αὐτὸς τήνδε τὴν ῥῆσιν οὐκ ἐπαινῶ. χωρὶς γὰρ διορισμοῦ λεγομένη, δηλῶς ἐστι ψευδὴς, ὅτι καὶ διττοῦ διορισμοῦ δεῖται. πολλῶν γοῦν ἐν τοῖς ὑποχονδρίοις κειμένων μορίων, οὐκ ἐπὶ πᾶσιν αὐτοῖς οἱ πυρετοὶ κακοήθεις εἰσὶν, ἀλλ' ἐπὶ διαφράγματι, καὶ γαστρὶ καὶ ἥπατι. γινώσκομεν δ' ὅτι καὶ τῶν μυῶν ἔνιοι τῶν ἐνταῦθα φλεγμαινόντων, ἀνάπτουσι πυρετός. οὐ μὴν οὐδ' ὅταν ἐφ' ἥπατος, ἢ γαστρὸς, ἢ διαφράγματος φλεγμονὴ γίγνηται, πυρετὸς εὐθὺς οὗτος ἐστι κακοήθης, ἀλλ' ὀξὺς ἴσως ἂν εἴη, καί τοι γε οὐδὲ τοῦτο, κακοήθης δὲ οὐδέπω. διότι δὲ μηδ' ὀξὺν ἀεί φημι γίγνεσθαι, μαρτυρεῖ μὲν καὶ ἡ πεῖρα, καὶ ὁ λόγος δὲ ἀποδείκνυσιν, ἀπὸ τῶν ἐκτὸς φλεγμονῶν ἐναργῆ κομιζόμενος πίστιν. ἀνάλογον γὰρ ἀεὶ τῷ μεγέθει τῶν φλεγμονῶν τῶν πυρετῶν ἀκολουθούντων. ὥσπερ οὐκ ἔστιν ἀναγκαῖον ἀεὶ φλεγμαίνειν ἰσχυρῶς τῶν ἐν ὑποχονδρίοις τι κυρίων μορίων, οὕτως οὐδὲ πυρετὸν ὀξὺν ἐπιφέρειν. ἀφίημι τοιγαροῦν τὴν λέξιν τοῖς καὶ τῶν ψευδῶς εἰρημένων αἰτίας ψευδεῖς, ὡς ἀληθεῖς λέγουσιν. ἐμοὶ δ' ὡς ἔφην οὔτε συναγορεύειν τινὶ πρόκειται τῶν παλαιῶν, οὔτε φιλονείκως αὐτοῖς ἀντιλέγειν, ἀλλ' ἅπερ ἀληθῶς οἶδα γιγνόμενά τε καὶ φαινόμενα κατὰ τοὺς ἀῤῥώστους, ταῦτα τοῖς ἀσκοῦσι τὴν ἰατρικὴν τέχνην διέρχεσθαι.

Δίψα παραλόγως λυθεῖσα ἐν ὀξέσι, κακόν.

Μέρος ἐστὶ καὶ τοῦτο τοῦ καθόλου λόγου, καθ' ὃν πάντα τὰ παρὰ λόγον ῥηΐζοντα, πρῶτον μὲν ἄπιστα φησὶν ὑπάρχειν, εἶτα καὶ κινδυνώδη πολλάκις, ὅταν καὶ αὐτὰ παρὰ λόγον ῥηΐζοντα τὰ κινδυνώδη συμπτώματα. εἴρηται δέ τις καὶ ἄλλος ἐν ἀφορισμοῖς καθόλου λόγος, ἐφ' ᾧ καὶ αὐτὸ λέλεκται τὸ νῦν εἰρημένον. ὁκόσοι γὰρ πονέοντες τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσεῖ. τὸ τοίνυν ἐν ὀξέσι νοσήμασι παραλόγως λυθῆναι δίψαν, ὅτι μὲν κακόν ἐστι σημεῖον αὐτὸ τὸ παράλογος λυθῆναι, δεδήλωκε ἱκανῶς. ὅτι δὲ καὶ τῆς γνώμης βλάβην σημαίνει, ἐκ τούτου δῆλόν ἐστι, ὅτι τῆς διαθέσεως ἔτι μενούσης ἀναίσθητός ἐστιν αὐτὸς, καί τοι γε ὀδυνηρᾶς οὔσης διαθέσεως. τὸ δὲ παραλόγως ὁποῖόν τι δηλοῖ, πολλάκις μὲν ἐν πολλοῖς εἶπον, οὐ χεῖρον δὲ καὶ νῦν ἀναμνῆσαι, ὅταν μήθ' ἱδρῶτος γενομένου, μήτε ἐμέτου, μήτε διαχωρήσεως, ἀλλὰ μηδὲ ἀποστήματος κρισίμου, λυθῆναι συμβῇ τὴν δίψαν, οὐ τῷ πεπαῦσθαι τὴν διάθεσιν, ἀλλὰ τῷ τὴν αἴσθησιν ἠμαυρῶσθαι. τοῦτο γιγνόμενον οὐκ ἀγαθόν ἐστι σημεῖον. ἐὰν δὲ γλώσσης ξηρᾶς μενούσης, καὶ τῶν οὔρων ἀπέπτων ὄντων, ἡ δίψα παύσηται, βεβαιότερον ἔτι διαγνώσῃ τὴν κακίαν τῆς διαθέσεως. ἐὰν δὲ καὶ χωρὶς τοῦ τὸν ἰατρὸν ἐπιθεῖναί τι τῶν ψυχόντων τε καὶ ὑγραινόντων ἔξωθεν, ἐπειδὴ μᾶλλον τὰ τοιαῦτα τὴν ἐν ὀξέσι νοσήμασι δίψαν οὐ παύειν, ἀλλὰ πραΰνειν πέφυκεν. παντοίως δὲ κακὸν τὸ παύεσθαι τελέως τὴν δίψαν ἐν ὀξέσι νοσήμασι, καί μοι μέμνησο τῶν εἰρημένων ἄρτι, τῷ τοῦ παραλόγως λύεσθαι παραδείγματι, ὅπως μὴ πολλάκις αὐτῶν χρῄζεις ἀκούειν.

Ἱδρὼς πολὺς ἅμα πυρετοῖσιν ὀξέσι γιγνόμενος, φλαῦρος.

Τῷ πολὺς, μάλιστα πρόσεχε τὸν νοῦν, ἐπεί τοι πολλάκις ἐν ὀξέσι νοσήμασιν ἱδρούντες ἀεὶ μετρίως, χρονίζουσι μὲν, οὐ μὴν ἀποθνήσκουσιν. εἰ δὲ καὶ πολὺς ἱδρὼς γίνοιτο, μὴ λύων τὸν πυρετὸν, εὔδηλον ὅτι καταλυθήσεται ταχέως ἡ τοῦ κάμνοντος δύναμις.

Καὶ οὖρα δ' ἐπίπονα, πονηρόν.

Κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων, οὖρα πέπονα γέγραπται, καὶ οἱ ἐξηγησάμενοι τὸ βιβλίον, οὕτως ἴσασι γεγραμμένον, ὅτι μὴ Ῥοῦφος ὁ Ἐφέσιος, ἀνὴρ φυλάσσειν μὲν ἀεὶ πειρώμενος τὰς παλαιὰς γραφὰς, ἐνταυθοῖ

δὲ

ἡ τῶν τιμῶν Ζεύξιδι, τῷ παλαιοτάτῳ ἐμπειρικῷ, τῷ εἰς ἅπαντα τὰ Ἱπποκράτους βιβλία γεγραφότι ὑπομνήματα, τάδε φησὶν αὐτοῖς ὀνόμασι. Ζεύξις δὲ, εἰ ἄρα δεῖ καὶ τούτου μνημονεῦσαι κατὰ πολὺ διαφεύγων τὸ ἐναντίον, ἐνταῦθα διαπέφευγεν. ἐπὶ πιστῶν γὰρ ἁμαρτήματι, ἐφύλαξεν αὐτό. βούλεται γὰρ γεγράφθαι τὸ οὖρα πέπονα, ὥσπερ καὶ οὖρα πυώδη, καὶ πάχος ἔχοντα μοχθηρὸν, οὐκ εἰδὼς τοῦτο, ὅτι ταῦτα ἐν τοῖς μεγίστοις βοηθήμασι καταριθμεῖται. ταῦτα μὲν ὁ Ῥοῦφος οὐκ ἀγεννῶς ἔγραψε πρὸς τὸν Ζεύξιν, ἡμαρτῆσθαι λέγων τὴν πέπονα γραφὴν. ταύτης δὲ τὴν τὰ ἐπίπονα προελόμενος, ἵνα σημαίνῃ τὰ μετὰ πόνου ἀποκρινόμενα. τοῖς δὲ προσιεμένοις τὴν πέπονα γραφὴν, εἴρηται τινὰ μὲν ἀπίθανα, μηδὲ τοῦ μνημονεύειν αὐτῶν ἄξια. πιθανὸν δέ τι δυνάμενον παρακρούσασθαι τοὺς πολλοὺς τοιοῦτον, ἐπειδὴ φαίνεται λέγων ὁ Ἱπποκράτης, τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. διὰ τοῦτο φησὶ καὶ τὰ πέπονα οὖρα, ὅταν μὴ λύῃ τὴν νόσον, οὐκ ἀγαθὸν εἶναι σημεῖον. ἀγνοοῦσι δ' ὅτι κρίσιμα μὲν ὑφ' Ἱπποκράτους ὀνομαζόμενα, συμπτώματά τε καὶ σημεῖα τὰ σημαίνοντα κρίσιν, ἢ καὶ ποιοῦντα παρ' ἑαυτῶν καθάπερ αἱμοῤῥαγία, ἢ διὰ γαστρὸς κένωσις, οὔρων τε πλῆθος, ἔμετος, ἐπιμήνια, αἱμοῤῥοΐς, παρωτίδες, ἀποσκήμματα, πᾶν ἄλλο. τούτων δὲ ἕτερα τὰ τῆς πέψεως σημεῖα περὶ ὧν αὐτὸς εἶπεν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. οἱ δὲ πεπασμοὶ ταχύτητα κρίσεως, ἀσφάλειαν εἰς ὑγιείαν σημαίνουσι, καὶ μέντοι κἀν τῷ προγνωστικῷ, ἐπὶ τῶν οὔρων αὐτὸς ἔγραψεν. οὖρον δὲ ἄριστον μέν ἐστιν, ὅταν ἡ ὑπόστασις λευκή τε εἴη καὶ λεία, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος, σημαίνει τε γὰρ ἀσφάλειαν, καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. πάρεστι δέ σοι καὶ τήνδε τὴν τῶν νοσημάτων διήγησιν, ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις ἀναγνόντα μαθεῖν, ὡς οὐδεὶς τῶν ἀποθανόντων οὖρησε πέπονα. χρὴ δὲ γινώσκειν σε κατὰ πολλὰ τῶν ἀντιγράφων ἁπλῶς γεγραμμένον, καὶ οὖρα πέπονα μὴ προσκειμένου τοῦ πονηρά. ἐπενήνεκται γὰρ ὀλίγον ὕστερον, καὶ τούτοις καὶ τοῖς ἐφεξῆς εἰρημένοις οὔροις, τὸ πονηρά.

Καὶ τὰ ἐρυθρὰ ἐκ τούτων ἐπανθίσματα κατεχόμενα, καὶ τὰ ἰώδεα πονηρά. καὶ τὸ μικρὰ ἐπιφαίνεσθαι οἷον στάξιας.

Περὶ τῶν εἰρημένων οὔρων ὁ λόγος. συνάψαι δὲ χρὴ ταῦτα σαφηνείας ἕνεκα, ὡς γενέσθαι τὴν ὅλην ῥῆσιν τοιάνδε. καὶ οὖρα πέπονα, καὶ τὰ ἐρυθρὰ ἐκ τούτων ἐπανθίσματα κατεχόμενα, καὶ τὰ ἰώδεα πονηρά. τὸ τοίνυν ἐκ τούτων, ἐκ τῶν ἐπιπόνων οὔρων βούλεται σημαίνειν, οὐκ ἐκ τῶν πεπόνων. οὐδὲ γὰρ ἐφίσταται ποτὲ πεπανθεῖσιν οὔροις, οὔτε ἐπανθίσματα κατὰ χροιὰν ἐρυθρὰ, οὔτε ἰώδη. τὸ δὲ κατεχόμενα πρόσκειται τοῖς τοιούτοις οὔροις, ἤτοι μόγις ἐκκρινόμενα δηλοῦν, ἢ καὶ τελέως ἰσχόμενα δηλοῦν. φαίη δ' ἄν τις ἴσως ἀδύνατον εἶναι τὰ κατεχόμενα διαγνῶναι τίνος ἐστὶ χροιᾶς, ἀλλ' ὅταν ἐφθάσῃ τε πρότερον οὐρεῖσθαι τοιαῦτα, καὶ μετὰ τὴν ἐπίσχεσιν ἐκκριθῇ, βιασαμένων τῶν ἀῤῥώστων, ἢ καὶ πραγματευσαμένων τῶν ἰατρῶν, ἅμα τε τῷ τὰς χρόας αὐτῶν ἐγνῶσθαι, καὶ τὸ κατέχεσθαι, καὶ οὕτως ἀποκρίνεσθαι λέγων ἄν τις, οὐ ψεύσεται. προσκειμένου δὲ τῷ λόγῳ, καὶ τοῦ μικρὰ ἐπιφαίνεσθαι οἷον στάξιας, ἔτι καὶ μᾶλλον, ἥ τε τῆς χροιᾶς αὐτῶν γνῶσις ἐστὶ σαφὴς, καὶ ἀληθὲς τὸ κατέχεσθαι. μεμνῆσθαι δέ σε βούλομαι τῶν κατὰ τὸ προγνωστικὸν εἰρημένων περὶ τῶν ὑπερύθρων οὔρων κατὰ τήνδε τὴν λέξιν. εἰ δὲ εἴη τὸ οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λεία, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρόσθεν γίνεται, σωτήριον δὲ κάρτα. τῶν τοίνυν ἐξερύθρων οὔρων ὧν νῦν μέμνηται, πάμπολυ διαφορεῖ τὸ κατὰ τὸ προγνωστικὸν ὑπέρυθρον λελεγμένον. τὸ μὲν γὰρ ἐξέρυθρον, ὅτι τῶν ἀπέπτων ἐστὶ, καὶ πρόσθεν ἐδήλωσε, τὸ δ' ὑπέρυθρον ἐπαινεῖ μὲν ὡς σωτήριον. χρόνου δὲ πλείονος εἶναι φησὶ σημεῖον. ὅτι δὲ καὶ τὸ ἐρυθρὸν οὖρον ἐν τῷ μέσῳ τοῦ τε ἐξερύθρου, καὶ τοῦ ὑπερύθρου τεταγμένον, ἐν τῷ μεταξὺ καθ' ἑκάτερον αὐτῶν ἐστὶν ἐπαίνου τε καὶ ψόγου πρόδηλον.

Καὶ ἔμετοι μετὰ ποικιλίας κακόν. ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων.

Ὑπαλλάξειεν αὖ τις τὸ τῆς ἑρμηνείας ἀλλόκοτον, ᾧ φαίνεται χαίρων ὁ γράψας τὸ βιβλίον. ὁ δὲ λόγος ἔσται τοιοῦτος, καὶ ἔμετοι κατὰ ποικιλίας τῶν ἐμουμένων, κακὸν σημεῖον ἐστὶ, ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων τῶν ἐμουμένων, ὅπερ ἐστὶν οὐ μετὰ πολὺν χρόνον, καὶ διὰ τὸ προσθεῖναι τοῦτο, τῆς ποικιλίας τῶν ἐμουμένων ἐμνημόνευσε. φαίνεται γὰρ οὐ πάντων τῶν ἐν τῷ προγνωστικῷ μνημονεύων, εἰ μή τις προσθεῖναι βούλοιτο. γέγραπται δὲ ἐν τῷ προγνωστικῷ περὶ τῶν ἐμέτων οὕτως. εἰ δὲ εἴη τὸ ἐμούμενον πρασοειδὲς, ἢ πελιδνὸν, ἢ μέλαν, ὅτι ἂν εἴη τούτων τῶν χρωμάτων, πονηρὸν χρὴ νομίζειν εἶναι. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέοι, κάρτα ὀλέθριον γίνεται. τὰ μὲν ἐν τῷ προγνωστικῷ σαφῶς εἴρηται, μεμφομένου τοῦ Ἱπποκράτους τὴν ποικιλίαν τῶν ἐμουμένων, ἐπειδὴ πολλὰς διαθέσεις μοχθηρὰς κατὰ τὸ σῶμα τοῦ κάμνοντος ἐνδείκνυται. περὶ δὲ τὴν προκειμένην ἐνταῦθα ῥῆσιν, ὡς ἔφην ἄρτι πρόσκειται, τὸ συνεχῶς ἐπ' ἀλλήλοις ἐμεῖσθαι τοὺς παρὰ φύσιν ἐν τῷ σώματι πλεονάζοντας χυμούς. ὅτι δὲ οἱ συνεχῶς κενούμενοι χείρους εἰσὶ τῶν διαλειπόντων, εὔδηλον παντί. πολλοὶ μέντοι τῶν ἐξηγησαμένων τὸ βιβλίον τοῦτο, μίαν ῥῆσιν ἐξ ἁπάντων ποιοῦνται τῶν ἀπὸ τῆσδε τῆς ἀρχῆς προειρημένων. ἱδρὼς πολὺς ἅμα πυρετοῖς ἐν ὀξέσι γινόμενος, φλαῦρον. ἀλλήλοις ἅπαντα συνῆφθαι βουλόμενοι ἄχρι τοῦ ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων, ὡς ἐφ' ἑνὸς ἀῤῥώστου μίαν συνδρομὴν ἡγεῖσθαι τῶν γεγραμμένων μεταξὺ τῆς ἀρτίως ἀρχῆς εἰρημένης, καὶ τῆς ἐν τῇ προκειμένῃ ῥήσει τελευτῆς, καὶ δυνατόν ἐστι κατὰ τὴν διάνοιαν ταύτην ὑπὸ τοῦ γράψαντος, τὸ βιβλίον ἐζεῦχθαι ταῦτα τὰ εἰρημένα συμπτώματα. φαίνεται γὰρ ἐξ ἀνομοιογενῶν ἐνίοτε συνδρομὰς ποιούμενος.

Ὁκόσα ἐν κρισίμοις ἀλυσμῷ ἀνιδρῶτι περιψύχεται, κακὸν, καὶ τὰ ἐπιῤῥιγώσαντα ἐκ τούτων κακά.

Ὅτι καὶ τῶν κατὰ τὴν ῥῆσιν ταύτην ἐκ τῶν ὑφ' Ἱπποκράτους καταμόνας εἰρημένων ἤθροισε τὴν συνδρομὴν, εὔδηλόν ἐστιν. ὅτε γὰρ ἀλυσμὸς ἀεὶ κακὸν, ὡσαύτως δὲ καὶ τὸ περιψύχεσθαι, ὡς πρὸς τοῦτον κακόν ἐστι. τὸ δὲ κατὰ

τὰς κρισίμους ἡμέρας τὰ φαινόμενα πάντα, πιστότερον τῶν ἄλλων εἶναι, παρ᾽ ἐκείνου μεμαθήκαμεν. ἐνταυθοῖ δὲ πρόσκειται κακῶς τῷ ἀλυσμῷ τὸ ἀνιδρῶτι. δόξει μὲν γὰρ ὁ μεθ᾽ ἱδρῶτος ἀλυσμὸς οὐκ εἶναι κακὸς, ἢ εἴπερ ἐστὶν, οὐδ᾽ ἐν ἧττον, ἀλλὰ καὶ μᾶλλον κακὸς, οὐ μόνον ἐκ περιττοῦ φαίνεται τὸ δ᾽ ἀνιδρῶτι προσκείμενον, ἀλλὰ καὶ πρὸς κακοῦ τῶν ἀναγινωσκόντων τὸ βιβλίον, ἡγουμένων τὸν χωρὶς ἱδρῶτος ἀλυσμὸν κακοηθέστερον εἶναι τοῦ σὺν ἱδρῶτι. καὶ μέντοι καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον, καὶ τὰ ἐπιῤῥιγώσαντα ἐκ τούτων κακὰ, ψεῦδός ἐστιν ἁπλῶς οὕτως ῥηθὲν ὡς εἴρηται νῦν. ἐὰν μὴ προστεθῇ καθάπερ τῷ ἀλυσμῷ, οὕτως καὶ περὶ ῥίγους, τὸ χωρὶς ἱδρῶτος, καὶ μᾶλλον ἐπὶ τοῦ ῥίγους ἡ προσθήκη γνώριμός τε καὶ χρήσιμος. ὁ μὲν γὰρ ἱδρῶτος χωρὶς ἀλυσμὸς, ἧττον κακόν ἐστι. τὸ δὲ μὴ μεθ᾽ ἱδρῶτος ῥίγος, μεῖζον κακὸν, ὡς ἐάν γε κρίσιμον ῥίγος ἐπ᾽ ἀλυσμῷ γένηται, λύει τὴν νόσον, καὶ ἱδρώτων ἐπιγενομένων, ἢ ἐμέτων χρηστῶν, ἢ γαστρὸς ὑπελθούσης.

Ἐμέσματα ἄκρητα, ἀσώδεα, πονηρά.

Σύγκειται πάλιν ἐνταῦθα δύο σημεῖα τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων πονηρῶν. ἐμάθομεν γὰρ ἐν τῷ καθόλου διδάσκοντος, καὶ τὰς ἀκράτους τῶν χυμῶν κενώσεις μοχθηρὰς, καὶ πᾶσαν ἄσην ἐν νόσοις. οὐ μόνον οὖν ἐμέσματα ἄκρητα ἀσώδη πονηρὰ, ἀλλὰ καὶ διαχωρήματα, καὶ πτύσματα, καὶ οὖρα, καὶ ὁτιοῦν ἄλλο.

Τὸ καρῶδες ἆρά γε πανταχοῦ κακόν.

Ἀπορίαν ἡμῖν ἡ ῥῆσις κινεῖ, διὰ τὸ μὴ σαφῶς εἰρῆσθαι τὸ σημαινόμενον ἐκ τῆς καρου φωνῆς. ὅταν οὖν ἐν οἴνου πόσει πλείονι κεκαρωμένον τινὰ λέγομεν ὥσπερ ὁ Πλάτων ἐπὶ τοῦ παύλου κατὰ τὸ συμπόσιον εἶπεν, οὐδεμίαν ἐνδεικνύμεθα νοσώδη διάθεσιν. ὃ δ᾽ αὖ εἴποι τις ἑρμηνεύων λόγῳ μακροτέρῳ, βαθὺν καὶ δυσέγερτον ὕπνον κάρος, ἐντοῦθα φαίνεται σημαίνειν οὐ χρηστόν. ἀλλὰ καὶ ζήτησις οὐ σμικρὰ γέγονε περὶ τοῦ νοσώδους καρου, πότερον τὴν αὐτὴν κατὰ γένος αἰτίαν ἔχων τῷ διὰ τὸν οἶνον κάρῳ, τὸ δύσλυτον προσείληφεν, ἢ γένος ἕτερόν ἐστι τῆς αἰτίας. εἰκότως οὖν ἀπορεῖ περὶ τοῦ καρου ζητῶν, εἴτε παντελῶς εἶναι χρὴ νομίζειν αὐτὸν, εἴτε ποτὲ καὶ ἀγαθὸν, καὶ μέσον ἀγαθῶν τε καὶ κακῶν. ἐὰν γὰρ ὁ βαθύς τε καὶ δυσδιέγερτος ὕπνος ἀκούηται κάρος, οὐκ ἔχοντος ἑτέραν τῷ γένει διάθεσιν τοῦ νοσώδους καρου, γένοιτ᾽ ἄν ποτε ἀγαθὸν αἴτιόν τε καὶ σημεῖον ὁ κάρος. ἑωράκαμεν οὖν ἐπ᾽ ἐνίων ἀῤῥώστων ἠγρυπνηκότων ἐφεξῆς ἡμέραις τρισὶν ἢ τέταρσι, δυσδιέγερτον ὕπνον γενόμενον, ὡς ὅλης ἡμέρας τε καὶ νυκτὸς ὠφελήσαντα μεγάλως. ἐπὶ δὲ παιδίων εἶδον πολλάκις, οὐ μιᾶς μόνον, ἀλλὰ καὶ δυοῖν ἡμερῶν ἐφεξῆς, ἐπ᾽ ὠφελείᾳ μεγάλῃ γενόμενον τοιοῦτον. ἐὰν δ᾽ ἑτέρα τῷ γένει διάθεσις εἴη τοῦ νοσώδους καρου, διαφέρειν μὲν ἐροῦμεν ὕπνον βαθὺν τοῦ καρου. τὸ δὲ καρῶδες πανταχοῦ κακὸν εἶναι. δεδειγμένου δ᾽ ἡμῖν ἐγρήγορσιν μὲν γίνεσθαι, διά τε ξηρότητα καὶ θερμότητα τοῦ πρώτου αἰσθητικοῦ μορίου, τουτέστι τοῦ ἐγκεφάλου. τὸν δ᾽ ὕπνον ἐπὶ τοῖς ἐναντίοις, ὅταν ὑπὸ πλήθους ὑγροῦ χρηστοῦ βαρύνηται τὸ σῶμα, καθάπερ ἐν ταῖς μέθαις ὕπνος ἐστὶ βαθὺς, ὃν ἔξεστι τῷ βουλομένῳ κάρον ὀνομάζειν, ὁμολογηθείσης δὲ τῆς διαθέσεως, ἐν ὀνόματι μόνον ἡ διαφωνία γίνεται. ὅταν δ᾽ ὑπὸ φλέγματος ὁ ἐγκέφαλος ὑγρανθῇ καὶ ψυχθῇ, τὸ κατὰ τὰς ληθαργικὰς διαθέσεις ἔσται κῶμα, καὶ καλεῖν ἔξεστι τῷ βουλομένῳ καὶ τοῦτο κάρον. ἔνιοι δ᾽ ὅταν ἀκίνητος καὶ ἀναίσθητος ὁ ἄνθρωπος ἐπὶ χρόνου τινὰ γένηται, κἂν νύττῃς αὐτὸν κἂν πλήττῃς, κἂν ἐκβοᾷς ὀνομάζουσι κάρον, ὁποῖος ἐνίοις γίνεται τῶν πληγέντων σφοδρῶς τὴν κεφαλὴν κατὰ τοὺς κροταφίτας μῦς. ὁρᾶται δὲ πολλάκις ἡμῖν καὶ κατὰ τὰς πυρετώδεις νόσους ἐν ἐπισημασίαις, καθ᾽ ἃς οὔτε νυττόντων οὔτε θλώντων οἱ κάμνοντες αἰσθάνονται, καὶ πολλῷ μᾶλλον βοώντων. ἐὰν οὖν τις τὸ μὲν τοιοῦτον πάθημα κάρον ὀνομάζῃ, τὴν δὲ δυσδιέγερτον κατάστασιν, κῶμά τε καὶ καταφορὰν, τὸ δὲ τρίτον ἐπ᾽ αὐτοῖς ὑπὲρ οὗ πρῶτον διῆλθον, ὕπνον βαθὺν, οὔτε κῶμά ποτε ἀγαθὸν, οὔτε πολὺ μᾶλλον αὐτὸν τὸν κάρον λέγεσθαι χρή. ἐὰν οὖν δή τις ἀμφισβητεῖ περὶ τῶν εἰρημένων διαθέσεων, ἑτέρας γίνεσθαι λέγων αὐτὰς, ἢ οὐχ ὡς ἐγὼ νῦν λέγω, ἐν πράγματι οὐ διαφωνήσει, συγχωρῶν δὲ ὡς εἴρηται γίγνεσθαι, τοῖς ὀνόμασιν ἑτέρως χρώμενος, ἐν τούτοις μόνον ἡμῖν διενεχθήσεται.

Μετὰ ῥίγεος ἄγνοια κακόν. κακὸν δὲ καὶ λήθη.

Εἴτε μετὰ ῥίγεος γεγραμμένον εἴη, ὡς γενικὴν δηλοῦσθαι πτῶσιν, εἴτε μετὰ ῥίγος ὡς αἰτιατικήν, ἐγγὺς ἀλλήλων εἰσὶν αἱ διάνοιαι τῶν λόγων. ἑκατέρων νενικῆσθαι γὰρ δηλοῖ τὴν ἔμφυτον θερμασίαν, ὑπὸ τῆς κατὰ τὸ σύμπτωμα ψύξεως ἡ μετὰ ῥίγους ἄγνοια καὶ λήθη. ἐμάθομεν γὰρ ὅτι καὶ τὸ μὴ γνωρίζειν τοὺς συνήθεις, καὶ τὸ μὴ μεμνῆσθαι τῶν πεπραγμένων, ἐπὶ τῇ κατὰ τὸν ἐγκέφαλον γίνεται ψύξει, καὶ πρόδηλον ὡς ἑκάτερον, καὶ καθ᾽ ἑαυτὸ μοχθηρόν ἐστι σύμπτωμα, καὶ εἰ ἄμφω γένηται, διπλασίως ἄτοπον.

Αἱ ἐκ ῥίγεος καταψύξιες, μὴ ἀναθερμαινόμεναι, κακαί.

Ἀπεψίαν δηλοῖ καὶ νέκρωσιν τῆς ἐμφύτου θερμασίας ἡ τοιαύτη κατάψυξις.

Οἱ ἐκ καταψύξεως ἱδρώδεες ἀναθερμαινόμενοι κακόν, ἐπὶ τούτοις ἐν πλευροῖς καῦμα ὀδυνῶδες, καὶ τὸ ἐπιῤῥιγῶσαι κακόν.

Ἀναθερμαινομένους ἀκούσαι νῦν χρὴ τοὺς ἀναπυρέττοντας. ἔστι δὲ ὁ λόγος τοιοῦτος, ἐὰν ἱδρώσας τις ἐν νόσῳ, ψυχρότερος μὲν ἐν τῷ παραχρῆμα γένηται τοῦ κατὰ φύσιν, ἀναπυρέξῃ δ᾽ αὖθις, οὐκ ἀκινδύνως διάκειται. τοῦτο μὲν οὖν ὅτι καὶ αὐτὸ κακόν ἐστι, πρόδηλον παντί. συνάπτει δ᾽ αὐτῷ καθάπερ ἐπ᾽ ἄλλων συμπτώματά τινα διαφερούσαις ἑπόμενα διαθέσεσι. τὸ γὰρ ἐν τῇ πλευρᾷ καῦμα ὀδυνῶδες, σημεῖόν ἐστι τῆς ἐν ἐκείνῳ περὶ μορίῳ φλεγμονῆς, δι᾽ ἣν αὖ ἐπύρεξεν. ἐὰν δὲ καὶ ῥίγος αὐτοῖς ἐπιγένηται, καὶ διαπυῆσαι προσδόκα τὴν φλεγμονήν. ὥσπερ δὲ ἐπὶ πλευρᾶς φλεγμαινούσης δυνατὸν ἀναπυρέξαι τὸν ἄνθρωπον, οὕτω καὶ διὰ πνεύμονα, καὶ δι᾽ ἧπαρ, ἢ κοιλίαν, ἢ ὁτιοῦν ἄλλο. μερικὸς οὖν καὶ αὐτὸς ὁ λόγος, καὶ οὐ καθόλου, καὶ μέντοι καὶ κατὰ σύνθεσιν οὐχ ὁμοιογενῶν σημείων.

Τὰ καυματώδεα ῥίγεα, ὑπό τι ὀλέθρια, καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος ἐν τούτοις κακὸν, ἐπὶ τούτοις ἡ ψύξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται.

Εἴτε καυματώδεα γεγραμμένον εἴη, τῆς πρώτης συλλαβῆς διὰ τοῦ α καὶ υ γεγραμμένης, εἴτε κωματώδεα διὰ τοῦ ω, χαλεπὴν ἑκάτερον ἐνδείκνυται τὴν διάθεσιν. ἐν γὰρ τῷ καθόλου περὶ ῥίγους ἐγνωκότας χρὴ μεμνῆσθαι διὰ παντὸς, ὡς ἐν μὲν τριταίῳ καὶ τεταρταίῳ γινόμενον, οἰκεῖον ἐστὶ σύμπτωμα τῶν τοιούτων πυρετῶν, ἐν νόσοις δὲ ἐπιφαινόμενον, ἐὰν μὴ κρίσιν ἐπενέγκῃ, κάκιστον. ἔμαθες γὰρ ὡς τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. πάλιν καὶ τούτῳ συνῆψεν ἕτερα συμπτώματα διαθέσεων, οὐκ ἀναγκαίων ἅμα ῥίγει γίγνεσθαι. λέλεκται δὲ καὶ πρόσθεν, ὡς ὥσπερ ἂν πλείονα συμπτώματα κινδυνώδη περὶ τὸν ἄνθρωπον γίγνηται, τὴν ἐν αὐτῷ πρόρρησιν ἀξιοπιστοτέραν ἐργάζεται τοῖς ἰατροῖς, ὥσπερ εἰ καὶ τῶν σωτηρίων σημείων πολλὰ φαίνοιτο, καὶ γὰρ καὶ οὕτω βεβαιοτέρα ἡ τῆς σωτηρίας ἐλπίς. ἴσμεν δ' ὅτι καὶ χωρὶς τοῦ ῥίγους τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος κακόν ἐστι σημεῖον, ἕν γάρ τι τῶν κρισίμων, καὶ ὁ ἱδρώς ἐστιν. ὅταν οὖν μὴ κρίνῃ, τὴν κακοήθειαν ἐνδείκνυται τοῦ νοσήματος, ἐπὶ τούτοις δὲ καταψυχθέντων τῶν ὀπίσω, σπασμὸν οὐκ ἄν τις ἀλόγως ἐλπίσειεν, ὅτι καὶ τὰ μέρη νευρώδη, καὶ ἡ ψύξις σπασμοῦ ποιητική.

Οἱ ἐφ' ἱδρῶσιν ἄγρυπνοι, ἀναθερμαινόμενοι, κακόν.

Εἰ μέμνησθε τῶν πολλάκις εἰρημένων περὶ τῶν οὕτω συμπλεκομένων τῆς παρ' ἡμῖν ἐξηγήσεως, οὐκέτι χρήζετε. ὑπάγεται γὰρ ἐν ὀλίγῳ καθόλου πάντα τὰ τοιαῦτα, ὅτι τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδη, τὰ δὲ δύσκριτα.

Ἐξ ὀσφύος ἀναδρομῆς, ὀφθαλμοῦ εἴλωσις κακόν.

Οὐδὲν ἄλλο νοῆσαι δυνατόν ἐστιν, ἢ ὅτι τῶν κατ' ὀσφὺν ἀλγημάτων, εἰς τὴν ἄνω χώραν μεταστάντων, ἐγχωρεῖ καὶ τὴν ἀρχὴν τῶν νεύρων παθεῖν, ἧς σύμπτωμα ἐστὶν, ἡ τῶν ὀφθαλμῶν διαστροφή. τὰ γὰρ ἀπ' ἐγκεφάλου λαμβάνοντα μόρια τὴν τῶν νεύρων ἔκφυσιν, οὐ νωθροῦ πάσχοντός τι τοιοῦτον πάθος ἐνδείκνυται τῶν ἐν αὐτοῖς διαθέσεων ἐστίν. ὅμοιος δὲ ὁ λόγος οὗτος ὑπάρχει τοῖς ἐπὶ τὸ προγνωστικὸν ὧδέ πως εἰρημένοις. αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι, περὶ τὴν ὀσφὺν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται τὰ κάτω ἐκλείπουσαι, ὀλέθριον κάρτα.

Ὀδύνη ἐς στῆθος ἱδρωθεῖσα σὺν νωθρότητι κακὸν, ἐπιπυρετήναντες οὗτοι καυστικοὶ, ὀξέως ἀποθνήσκουσιν.

Ἔμιξε πάλιν ἐνταῦθα διαθέσεων συμπτώματα δυοῖν. ἡ μὲν γὰρ ἱδρωθεῖσα, τουτέστι στηριχθεῖσα, δυσλύτως ἐπὶ τὸ στῆθος ὀδύνη, τὴν τοῦ θώρακος ἐνδείκνυται φλεγμονήν. ἡ δὲ νωθρότης, ὑγρότητα κατὰ τὸν ἐγκέφαλον, ἢ ψύξιν, ἢ ἄμφω. δῆλον δὲ ὅτι κατὰ τοὺς τοιούτους ἅπαντας λόγους, μεμνῆσθαί σε χρὴ τοῦ συνδέσμου τοῦ τὸ σημαινόμενον ἔχοντος, ὡς παραδιαζευκτικοῦ, οὐ μὴν ἀναγκαῖον γε τοὺς οὕτω πάσχοντας, καυστικοὺς ὀξέως γινομένους ἀποθανεῖν, εἴγε τὸ καυστικοὶ, τὸ οἷον καυσώδεις σημαίνει. τινὲς μέντοι νωθρότητα τὴν δυσκινησίαν τοῦ σώματος ἤκουσαν, ὅπερ γὰρ εἴρηταί μοι πολλάκις ἐν ταῖς ἀσαφέσι ῥήσεσι, ὡς ἂν ἐθέλοι τις ἀκούειν ἔξεστιν.

Οἱ ἐπανεμέοντες μέλανα ἀπόσιτοι, παράφοροι, καθ' ἥβην μικρὰ ὀδυνώδεες, ὄμμα θρασὺ κεκλεισμένον, τούτους μὴ φαρμακεύειν, ὀλέθριον γάρ.

Τὸ μὲν ὀλεθρίως ἔχειν ἅπαντας τούτους, ὅπερ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἴρηκεν, ἀληθές ἐστιν, ὥσπερ δή γε καὶ τὸ μὴ δεῖν φαρμακεύειν αὐτοὺς, ὅπερ ἐστὶ καθαίρειν. ἐλέχθη γὰρ ἤδη πολλάκις ἐπὶ τούτου λεγόμενον τὸ φαρμακεύειν, ἀλλ' ὅμοιός ἐστιν ὁ λόγος ὅδε τῷ τοιούτῳ λόγῳ. τοὺς τετρωμένους καρδίαν οὐ χρὴ θεραπεύειν ἐπαγγέλλεσθαι, τεθνήξονται γάρ. εἴτ' οὖν ἕκαστον ὧν εἴρηκεν ἐπὶ τὴν προκειμένην ῥῆσιν αὐτὸ καθ' αὑτό τις ἀκούσει, μοχθηρᾶς διαθέσεως ἐστὶ σημεῖον. εἴτε πολλὰ ἅμα, παραπλησίως ἂν εἴη ὀλέθριον. τὸ γοῦν πρῶτον αὐτῶν εἰρημένον, τὸ ἐπανεμεῖν μέλανα, τῶν ὀλεθριωτάτων ἐστὶ σημείων, εἰ καὶ χωρὶς τῶν ἄλλων μόνον εἴη. ἐφεξῆς δὲ αὐτῷ γέγραπται τὸ ἀπόσιτοι, τουτέστι τὸ ἀνόρεκτοι πολὺ μὲν ἧττον ἐκείνου κακὸν, ὅμως μὴν κακὸν καὶ αὐτό. καθάπερ καὶ τὸ παράφοροι, τουτέστι παρανοοῦντές τε καὶ παραπαίοντες. τὸ δὲ καθ' ἥβην σμικρὰ ὀδυνώδεες, οὐδὲ σαφές ἐστι τῶν ἐξηγουμένων τὸ βιβλίον, οὐχ ὡσαύτως αὐτὸ νοησάντων. ἔνιοι μὲν γὰρ διελόντες ἑκάτερον ἰδίᾳ, τὸ μὲν καθ' ἥβην αὐτὸ, τὸ ἐπὶ τὴν ἡβικὴν ἡλικίαν ἤκουσαν, τὸ δὲ σμικρὰ ὀδυνώδεες, ἕν τι καὶ αὐτὸ τῶν συμπτωμάτων ὧν ἐποιήσατο κατάλογον. ἔνιοι δὲ καὶ καθ' ἥβην ὀδυνώδεες, ἐπὶ τοῦ μέρους εἰρῆσθαί φασιν, ἐν ᾧ καὶ ἡ κύστις κεῖται. βούλεται γὰρ αὐτοὺς ἐνδείξασθαι πεπονθέναι μὲν αὐτὴν μεγάλως, παραφόρους δὲ ὄντας, τῷ τοὺς πάσχοντας σμικρὰν αἴσθησιν ἔχειν ἀπ' ἀρχῆς αὐτῆς. ἐφεξῆς δὲ πάλιν ἄλλα δύο συμπτώματα γράψας σαφῶς φρενιτικὰ, τό τε θρασὺ, καὶ τὸ κεκλεισμένον ὄμμα. δύο γάρ ἐστι ταῦτα κἂν ἐφ' ἑνὸς μορίου λέγηται. δύναται γε μὲν καθ' ἑαυτὸ συστῆναι τὸ ἕτερον αὐτῶν μόνον, ὥσπερ καὶ φαίνεται θρασὺ μέν ποτε γινόμενον, οὐ μὴν κεκλεισμένον γε τὸ ὄμμα, ποτὲ δὲ κεκλεισμένον μὲν, οὐ μὴν καὶ θρασύ. τὸ γὰρ κεκλεῖσθαι συμβαίνει τοῖς κατ' ὀφθαλμοὺς βλεφάροις, ἤτοι διὰ τάσιν σπασμώδη τῶν κλειόντων αὐτοὺς μυῶν, ἢ δι' ἀρρωστίαν τῶν ἀνοιγνύντων αὐτούς. τὸ τοίνυν τοὺς οὕτως ἔχοντας ἐπιχειρεῖν φαρμακεύειν, ἀμαθοῦς ἐστι καὶ τελέως ἰδιώτου τέχνης ἰατρικῆς. οὐχ ὁ συμβουλεύων οὖν μὴ φαρμακεύειν σοφὸς, οὐ μὴν οὐδὲ τὸ γνῶναι μέγα τι τούτους ὀλεθρίως ἔχοντας. ὥστ' οὐδὲν ἡμᾶς διδάσκει θεώρημα τεχνικὸν ἡ ῥῆσις ἄξιον συγγράμματος. ὥσπερ ἐπὶ τοὺς ἀφορισμοὺς μὲν ἐδίδαξεν ἐν τῷ καθόλου μὲν μία ῥῆσις ἐν ᾗ φησίν, ἐν τοῖσ ὀξέσι παθήμασιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι. δευτέρα δὲ καθ' ἣν λέγει τὰ ὀξέα φαρμακεύειν ἢν ὀργᾷ αὐθημερόν. ἀξία γὰρ ἰατροῦ μεγάλου ταυτὶ, καθότι δέδεικται διὰ τῆς ἐξηγήσεως αὐτῶν. τὰ δὲ νῦν εἰρημένα περιττά. καθαίρειν γὰρ οὐδεὶς ἐπιχειρεῖ τοὺς οὕτω διακειμένους, ὡς ἡ ῥῆσις ἐδήλωσε μετὰ τοῦ καὶ συνενδείκνυσθαι προήκοντος τοῦ νοσήματος ταῦτα γίνεσθαι, καὶ μὴ κατ' ἀρχὰς ἡνίκα μόνον τοῖς ὀξέσι τοῦ καθαίρειν ὁ καιρός.

Τοὺς ἐπιδιδόντας σκοτώδεας, ἐν τῷ πλαναᾶσθαι ἐκλείποντας ἀποσίτους ἄχροους.

Ὥσπερ δεδιὼς ὁ τοῦ βιβλίου συγγραφεὺς εἰπεῖν τι σαφές, οὕτως ἐπιτηδεύει πανταχοῦ τὰ κύρια καὶ σαφῆ τῶν ὀνομάτων ὑπερβαίνων, ἑτέροις χρῆσθαι. τοὺς γὰρ ἐν τῷ πλαναᾶσθαι ἐκλείποντας, εἴπερ τούτους βούλεται σημαίνειν, τοὺς ὅσοι καὶ ἠρέμα κινούμενοι λειποψυχοῦσιν ἰσχυρῶς, ἐν ᾗ αὐτὸν δεῖ ὧν νῦν ὀνομάτων ἐγὼ λέγων ἐτύγχανον ἑρμηνεῦσαι σαφῶς. ἔτι δὲ ἄμεινον εἰπεῖν οὕτως ἐν τῷ καθόλου τὸ πᾶσιν ἰατροῖς ὁμολογούμενον, οὐχ ἥκιστα δὲ καὶ τοῖς ἰδιώταις γινωσκόμενον, ὡς οὐ χρὴ φαρμακεύειν τοὺς ἀσθενῆ τὴν δύναμιν ἔχοντας. ὅσον μὲν γὰρ ἐπὶ τῷ οἰδαλέους τε εἶναι καὶ σκοτώδεις, ὅπερ ἐστὶν ἐν ταῖς κινήσεσι σκοτουμένους, δόξαιεν δεῖσθαι καθάρσεως οἱ κατὰ τὴν προκειμένην δηλούμενοι ῥῆσιν. ὅσον δ᾽ ἐπὶ τῷ καταπεπτωκέναι τὴν δύναμιν αὐτῶν, οὐκ οἴσουσι τὴν κένωσιν.

Μηδὲ τοὺς ἐν πυρετῷ κωματώδεας καὶ κατακεκλιμένους, ὀλέθριοι γάρ.

Τοὺς κατακεκλιμένους μᾶλλον ἐνταῦθα πάλιν εἰπεῖν εἵλετο διὰ τὴν ἀσάφειαν, ἐπειδὴ σαφὲς ἦν ἐκλύτους εἰπεῖν. ὑποπεπτώκασι δ᾽ οὗτοι τῷ κοινῇ πᾶσι γινωσκομένῳ καθόλου λόγῳ. τίς γὰρ οὐκ οἶδεν, ἢ τίς οὐκ εἴρηκεν ὡς τοὺς ἐκλύτους οὐ χρὴ καθαίρειν; ἐκ περιττοῦ τοίνυν τὸ εἰ κωματώδεις πρόσκειται, διττῶς γραφομένης τῆς πρώτης συλλαβῆς, διά τε τοῦ κ καὶ ω, καὶ διὰ τοῦ κ καὶ α καὶ υ. ὅπου γὰρ ὡμολόγηται, τὸ μηδένα τῶν ἐκλύτων φαρμακεύειν, ἔξεστιν ἡμῖν τῶν παθῶν ἕκαστον προσάπτουσιν αὐτῷ, μυρίους ἐργάζεσθαι κατὰ μέρος λόγους.

Καρδίης πόνος ἅμα ὑποχονδρίου ξυντόνῳ καὶ κεφαλαλγίῃ, κακόηθες, καί τι ἀσθματώδες. ἆρά γε ἐξαίφνης οὗτοι τελευτῶσιν; ὡς ἐν Δυσώδει, τούτῳ καὶ οὖρα ἐζυμωμένα, ἐγγενόμενα βιαίως διέρυθρα.

Δῆλος ἐστὶν ὡς ἐπὶ τῷ Δυσώδει ταῦτα εἶδε γενόμενα, ζητεῖν εἴτε καθόλου περὶ αὐτῶν ἀποφήνασθαι προσῆκεν, εἴτε μή. λέλεκται δέ μοι περὶ τῶν τοιούτων ἔμπροσθεν ἐπιδεικνύντι, τὰ μὲν ἐπὶ μιᾷ διαθέσει γινόμενα συμπτώματα προσηκόντως ἐφεξῆς ἀλλήλων διδάσκεσθαι, τὰ δ᾽ ἐπὶ διαφερούσαις, οὐκ ὀρθῶς συναπτεσθαι, μηδεμιᾶς διδασκαλίας τεχνικῆς ἐκ τῆς μίξεως αὐτῶν γινομένης. ἐπὶ μέντοι τῶν νοσούντων τῶν χρησιμωτάτων ἐστὶν ἅπαντα σκοπεῖσθαι, καὶ μηδὲν παραλιπεῖν, ἅπερ ἀμφότερα πεποίηκεν ὁ Ἱπποκράτης, ἐν μὲν τῷ προγνωστικῷ, καὶ τοῖς ἀφορισμοῖς τὰς προγνώσεις διὰ τῶν καθόλου ποιούμενος, ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν ἅπαντα γράφων τὰ συμβαίνοντα τοῖς ἀῤῥώστοις. ἔγκειται δέ τινα καὶ κατ᾽ αὐτὰ τὰ βιβλία τῶν καθόλου, χωρὶς ἀῤῥώστων διδασκόμενα. κατὰ μέντοι τὸ προῤῥητικὸν τοῦτο σύγγραμμα πολλαχόθεν συγκέχυται τὰ τῆς διδασκαλίας τῶν φανέντων κατὰ τοὺς νοσοῦντας, ἁπάντων εἰς μίαν ἀναγομένων συνδρομήν, κἂν ἐπὶ διαθέσεσιν ἑτερογενέσι γίνηται, καθάπερ καὶ νῦν ἐπὶ τοῦ Δυσώδους καρδίας πόνον εἰπών, τουτέστι στόματος τῆς γαστρὸς, ἅμα ὑποχονδρίῳ συντόνῳ. καὶ κεφαλαλγίαν, προσέθηκε τὸ ἀσθματῶδες. εἶτα μετὰ ταῦτα ἐπὶ τῇ τελευτῇ, καὶ οὖρα ἐζυμωμένα βιαίως, πρόσκειται γὰρ τῷ λόγῳ, καὶ τὸ βιαίως ἵνα κἀνταῦθα ζητῶμεν, εἴτε βιαίως ἐζυμωμένα φησὶ γεγενημένα τὰ οὖρα, τὸ βιαίως ἀντὶ τοῦ σφοδρῶς εἰπών, εἴτε προσυπακοῦσαι δεῖ τὸ βιαίως, τῷ οὐρούμενα, δηλοῦντος αὐτοῦ τὸ μόγις, καὶ μετὰ βίας οὐρεῖν. ἀλλὰ καὶ τὰ ἐζυμωμένα κατὰ τὸν λόγον εἴρηται, μήτε κατὰ τὸ προγνωστικὸν γεγραμμένα, μήτε ἐν τοῖς τῶν ἐπιδημιῶν, εἶθ᾽ ὅταν ἅπαντα διεξέλθωμεν, οὐδὲν ἡμῖν ἐστι πλέον. ὅμως δ᾽ οὖν ἐπειδὴ κατέστημεν ἐπὶ τὸ σαφηνίζειν αὐτά, καὶ περὶ τῶν ἐζυμωμένων εἴπωμεν. ὅταν τοίνυν κατὰ τῆς γῆς ὄξος ἐκχυθῇ δριμύ, πνευματούμενον αὐτίκα συναναφέρει τινὰ τῆς γῆς αὐτῆς μόρια, καὶ γίνεταί τι σύνθετον ἐκ τε τῆς γεώδους οὐσίας, καὶ τῆς ὑγρᾶς τοῦ ὄξους, καὶ τοῦ γεννηθέντος ἀτμώδους πνεύματος. ὅμοιον δ᾽ αὐτῷ συμβαίνει, κἀπειδὰν καὶ μέλαινα χολὴ κατὰ τῆς γῆς ἐκχυθῇ, καὶ σαφῶς γε φαίνεται πνευματώδης τις κίνησις ἐπ᾽ ἀμφοτέροις γινομένη, παραπλησία τῇ κατὰ τὸ ζέον γλεῦκος. ὅμοιον δὲ τούτοις κἀπὶ τῶν ζυμουμένων ἄρτων ὁσημέραι φαίνεται γινόμενον. ὅταν γὰρ ἀναμίξαντες ὕδατι τὸ τῶν πυρῶν ἄλευρον, μίξαντες αὐτῷ καὶ τὴν ζύμην, ἐῶσι διαφυσηθῆναι μετρίως, ἡ ζύμωσις φαίνεται γιγνομένη, χεομένης τε ἅμα καὶ πνευματουμένης τῆς ζυμουμένης οὐσίας, ὥστε καὶ τὰ ζυμούμενα τῶν οὔρων πάντως πάχος μὲν ἔχειν χρὴ ἀξιόλογον, εἶτα τούτου βραχεῖάν τινα ζέσιν ἐν ταὐτῷ, καὶ κίνησιν λαβὸν τὸ πνεῦμα τοῦτο, μείζονα τὸν ὄγκον ἔχειν, οὗ κατὰ τὴν ἔκκρισιν εἶχεν. οὖρα δὲ ὅτι τοιαῦτα γίνεται τῶν ὠμῶν χυμῶν ταραχωδῶς κινουμένων, ἐν τοῖς περὶ κρίσεων ἐμάθομεν. ὁ δ᾽ αὖ προῤῥηθεὶς ἄῤῥωστος μετ᾽ οὐ πολὺ ἴσως ἐξαίφνης τελευτήσας, ζήτησιν αὐτῷ παρέσχεν, εἴτε πάντας χρὴ τοὺς οὕτως ἔχοντας ἐξαίφνης φάναι τελευτᾶν, εἴτε μή. πρόδηλον δὲ καὶ ὅπως ἡμᾶς ἀποκρίνασθαι προσήκει τοῖς οὕτως ἐρωτῶσιν ὡς ὁ γράψας εἶπεν, ἆρά γε ἐξαίφνης οὗτοί γε τελευτῶσιν. ἀποκρινόμεθα γὰρ ὡς εἰκάσαι μέν ἐστιν ἀποθανεῖν ἐξαίφνης αὐτὸν πνιγέντα. τοῦτο γὰρ ἐκ τοῦ ἄσθματος δηλοῦται. τίς δ᾽ ἦν ἡ διάθεσις ἐφ᾽ ᾗ τοῦτο γίνεται τὸ σύμπτωμα, μαντείας δεῖσθαι, μηδὲν εἰπόντος αὐτοῦ συγγραφέως. καὶ γὰρ ὑπό τε πνεύματος, καὶ φλέγματος κατενεχθέντος πολλοῦ, διὰ τῆς τραχείας ἀρτηρίας ἐκ κεφαλῆς εἰς τὰ τοῦ πνεύμονος βρογχία, καὶ μεταστάσεως εἰς αὐτὰ γενομένης ἐκ πλευρίτιδος, διά τε πάθος ἕτερον πύου πολλοῦ τὴν μεταξὺ χώραν τῶν δυοῖν καταλαβόντος ὀργάνων, ἀσθματώδης ὀξεῖα γίνεται δύσπνοια, πυκνουμένης τε πάνυ τῆς ἀναπνοῆς, καὶ τοῦ θώρακος ἐπὶ πολὺ διαστελλομένου. ὅταν οὖν τοιοῦτον γένηται δυσπνοίας εἶδος, ἐρυθρὸν εἰκότως ἀποτελεῖται τὸ πρόσωπον. ὅπου δὲ καὶ κεφαλαλγία σύνεστιν, οὐδὲν θαυμαστὸν διέρυθρον αὐτὸν γενέσθαι. πᾶσαι γὰρ αἱ κατὰ τὰ τοιαῦτα νοσήματα κεφαλαλγίαι, μετὰ θερμασίας πολλῆς εἰώθασι γίνεσθαι.

Τραχήλου πόνος, κακὸν μὲν ἐν παντὶ πυρετῷ, κάκιστον δὲ οἷς ἐκμανῆναι ἐλπίς.

Καὶ τοῦτο τῶν κατὰ μέρος ὄν, ἔγραψεν ὡς καθόλου. ὁ γὰρ πόνος ἐὰν μὲν ἤτοι διὰ τὸ κακῶς ἔχειν τὸν ἐγκέφαλον, ἢ τὸν νωτιαῖον, ἢ τὰς περὶ αὐτὸν μήνιγγας γίνηται, μοχθηρόν ἐστι σημεῖον. ἐὰν δὲ τῶν ἔξωθεν περικειμένων τῷ σπονδύλῳ σωμάτων, οὐ κακόν. ἐφ᾽ ὧν δὲ ἐλπὶς ἐκμανῆναι, τί ἂν ἔτι χεῖρον γένοιτο τοῦ πάθους, ἢ τὸ ἐκμανῆναι.

Κωμα-

Κωματώδεες, κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, ἐφιδροῦντες, πυρετοὶ κακοήθεες.

Ἐκ τῶν ἔμπροσθεν εἰρημένων, καὶ ταῦτ᾽ ἐστὶ δῆλα, κατάλογος ὄντα συμπτωμάτων κακῶν, οὐδεμίαν ἀνάγκην ἔχοντα ἅμα γίγνεσθαι.

Ἐκ νώτου φρίκαι πυκναὶ, ὀξέως μεταπίπτουσαι, δύσφοροι, οὔρου ἀπόληψιν, ἐπώδυνον σημαίνουσιν.

Ἔνεστι καὶ μέχρι τοῦ δύσφοροι τὸ πρῶτον μέρος τῆς ῥήσεως περιγράψαντα, δεύτερον ἐπ᾽ αὐτῷ λόγον ποιήσασθαι, τὸ οὔρου ἀπόληψιν ἐπώδυνον σημαίνουσι, ὡς εἰ καὶ οὕτως εἶπεν, ἐκ νώτου φρίκαι πυκναὶ, ὀξέως μεταπίπτουσαι, δύσφοροί τε εἰσὶ, καὶ προσέτι σημαίνουσι ἀπόληψιν, ὅπερ ἐστὶν ἐπίσχεσιν οὔρου ἐπώδυνον. ἀλλ᾽ ἄμεινον ἐπὶ πᾶσιν τοῖς εἰρημένοις τὴν τῶν οὔρων ἐπίσχεσιν αὐτὸν εἰρηκέναι σημαίνεσθαι. δῆλος γάρ ἐστιν ἑωρακώς τινα πεπονθότα τὸν κατὰ τὴν ὀσφὺν νωτιαῖον, ἢ τὰς ἀμφ᾽ αὐτὸν μήνιγγας, ἢ ἀμφότερον, κἄπειτα κατὰ συμπάθειαν οὔρων ἀπόληψιν ἐπώδυνον τυχηκότα. πιθανὸν γὰρ καὶ τὰς ταχὺ μεταπιπτούσας φρίκας τὰς δυσφόρους, ἐπὶ φλεγμονῇ τῶν εἰρημένων μορίων γίγνεσθαι.

Καὶ οἱ ἀσώδεες ἀνεμέτως προξυνόμενοι, κακοί.

Ἐχρῆν αὐτῷ προσεθῆναι πότερον ναυτιώδεις ὄντες ἢ οὔ. τινὲς μὲν γὰρ οὐκ ἐμοῦσι ναυτιῶντες. ἔνιοι δὲ ἀσώδεις ὄντες, οὐδ᾽ ὅλως ἐναντίαν, ὃς καὶ δοκεῖ μοι διὰ τῆς προκειμένης ῥήσεως ἐνδείκνυσθαι. διττῶς γὰρ γινομένων ἀσωδῶν τῶν καμνόντων, ἕνα μὲν τρόπον ὅταν ἡ δύναμις ὑπὸ τοῦ σώματος βαρύνηται, καὶ μηδὲν φέρειν σχῆμα ῥᾳδίως. ἕτερον δὲ ὅταν τὸ στόμα τῆς γαστρὸς ὑπὸ μοχθηρῶν δάκνηται χυμῶν, οἱ πρότεροι μὲν ὀλεθρίως διάκεινται, ναυτιώδεις δ᾽ εἰσὶν οἱ δεύτεροι.

Κατάψυξις μετὰ σκληρυσμοῦ, σημεῖον ὀλέθριον.

Κατὰ διττὸν τρόπον σκληρύνεται τὰ σώματα, ποτὲ μὲν διὰ βάθος ὅλα σφοδρῶς ψυχόμενα, ποτὲ δ᾽ ἰσχυρῶς ξηραινόμενα. καὶ ἡ κατάψυξις δὲ εἰ οὕτως εἴη βίαιος ὡς ὅλα δι᾽ ὅλων ψύξαι τὰ σώματα, καὶ σκληρῦναι, νεκρώσεως ἐστὶ σημεῖον. εἰ δὲ καὶ ξηρότητα προσλάβοι, κατ᾽ ἄμφω ἐστὶν οὐκ ἀγαθὸν σημεῖον. ἐὰν μὲν οὖν ἐν μόναις ταῖς ἐπισημασίαις γένοιτο τοῦτο, μετριώτερον ἐνδείκνυται τὸ κακόν, ἐὰν δὲ ἄχρι πολλοῦ παραμένῃ, μεῖζον, ἐὰν δὲ καὶ διὰ παντὸς, ἐγγὺς ὁ θάνατος.

Ἀπὸ κοιλίης λεπτὰ μὴ αἰσθανομένῳ διϊέναι, ἐόντι παρ᾽ ἑωυτοῦ κακὸν, οἷον τῷ ἠπατικῷ.

Καλῶς ἐποίησεν αὐτὸς, προσθεὶς οἷον τῷ ἠπατικῷ. καὶ γὰρ ἡμεῖς ἱστορήκαμεν ἐνίοις τῶν ἠπατικῶν, ἄδηκτα διαχωρήματα λεπτὰ γιγνόμενα, καί τοι δακνόντων ὡς τὸ πολὺ τῶν τοιούτων διαχωρημάτων. ἔοικεν οὖν ἔσω αὐτῶν, ἢ μὴ γεννᾶσθαι χολώδεις χυμοὺς, ἀῤῥωστίᾳ τῆς ἐν ἥπατι θερμασίας, ἢ μὴ καταῤῥεῖν εἰς τὰ ἔντερα. ἐὰν δὲ κυρίως ἀκούσωμεν τοῦ μὴ αἰσθανομένῳ, καὶ φῶμεν ἐπὶ τῶν ἀπροαιρέτως ἐκκρινομένων τὸν λόγον αὐτοῦ γεγονέναι νῦν, οὐ περὶ τῶν ἀδήκτων, ἄτοπόν τι συμβήσεται. κατὰ διττὸν γὰρ τρόπον ἀπροαιρέτως ἐκκρινόντων, ἢ διὰ τὸ τὴν γνώμην νοσεῖν, ἢ δι᾽ ἀναισθησίαν τῶν μορίων, δι᾽ ὧν ἡ ἔκκρισις γίγνεται. τὸ μὲν μὴ νοσεῖν, τὴν γνώμην αὐτὸς ἐδήλωσεν εἰπὼν, ἐόντι παρ᾽ ἑαυτῷ, τουτέστι κατανοοῦντι καὶ σωφρονοῦντι. τὸ δ᾽ ὑπόλοιπον οὐ πιθανὸν ὑπολαβεῖν. ματαίαν γὰρ ἔσται περὶ τὸν λόγον εἰπὼν ἐπὶ τῶν διαχωρημάτων, τὰ λεπτὰ τῶν ἀναισθήτων μορίων ἐπὶ πᾶσι τοῖς διεξερχομένοις αὐτῶν ἀναισθήτως ἐχόντων, οὐδ᾽ ἑνός τε συμπτώματος ἄλλου γεγραμμένου κατὰ τὴν ῥῆσιν, ὃ δύναται νεύρων ἐνδείξασθαι πάθος. τὸ γὰρ οἷον τῷ ἠπατικῷ, τοῖς μὲν ἄλλοις λεπτοῖς διαχωρήμασιν ἐζεῦχθαι δύναται, νεύρων ἐπενεγκεῖν βλάβην κατὰ συμπάθειαν οὐ δύναται, διὰ τὸ μόνον ἐγκεφάλῳ τε καὶ νωτιαίῳ τὰς τῶν νεύρων ἀποφύσεις ὁρᾶσθαι συμπαθούσας. ἥπατι γὰρ οὐκ οἴδαμεν ἑπομένην τὴν τοιαύτην συμπάθειαν, ὅτε ἡ φύσις ἐνδείκνυται, τοῦ σπλάγχνου νεύρων ἐλαχίστων μετέχοντος.

Τὰ σμικρὰ ἐμέσματα χολώδεα κακὸν, ἄλλως τε καὶ ἢν ἐπαγρυπνήσωσιν, μυκτῆρσιν τουτέοισιν ἀποστάζων, ὀλέθριον.

Ἐπὶ τῶν νοσούντων ἕν τι καὶ τοῦτο τῶν καθόλου μοχθηρῶν ἐστι σημείων, ἀποκρίνεσθαι σμικρὰ, εἴθ᾽ αἷμα διὰ μυκτήρων, εἴτε κάτω διὰ τῆς γαστρὸς, εἴτε δι᾽ ἐμέτων ὁτιοῦν περίττωμα. τοῦτο δὲ τοῦτο κἀπὶ τῶν ἱδρώτων ἐστὶν, καὶ τῶν διὰ μήτρας ἐκκρινομένων. οὐδὲν γὰρ τῶν κρισίμων σμικρὸν ἐκκρίνεσθαι προσήκει, ἀλλὰ πάντα τὰ οὕτω κενούμενα, δυοῖν θάτερον, ἢ μὴ στεγόμενα διὰ τὸ πλῆθος ἀποχεῖται τῶν πεπονθότων μορίων, ἢ τὴν φύσεως ἀσθένειαν ἐνδείκνυται, προελομένης μὲν ἐκκρῖναι τὰ περιττὰ, μὴ δυνηθείσης δέ. τοῦτο οὖν καθόλου γινώσκοντας ἐχρῆν τὰ κατὰ μέρος ἐξευρίσκειν, καὶ τοῦτ᾽ ἐστὶ τὸ νῦν εἰρημένον ἐπὶ τῶν χολωδῶν. πρόσκειται δ᾽ αὐτῷ τῶν ἰδίων γνωρισμάτων ἡ ἀγρυπνία, χολώδεσι μὲν ἑπομένη χυμοῖς, φλεγματώδεσι δ᾽ οὐχ ἑπομένη. καταφοραὶ γὰρ ἐπὶ τῶν τοιούτων οὐκ ἀγρυπνίαι γίνονται. καὶ τοίνυν ὅταν μὲν ὀλίγον ἐμῆται τι φλεγματῶδες, μακρότερον δὲ καὶ βραδύτερον τοῦ συνήθους ὑπνοῦντες φαίνονται, τῶν καταφορικῶν τι νοσημάτων προσδόκα, μεμνημένος τοῦδε τοῦ ἀφορισμοῦ, ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γιγνόμενα, κακόν.

Αἷς ἐκ τόκου γενομένῃ, ἐπιστάντα δ᾽ ἅμα πυρετῷ, κώφωσις, καὶ εἰς πλευρὸν ὀδύνη ὀξείη, ἐξίστανται ὀλεθρίως.

Καὶ τὸ νῦν εἰρημένον ὥσπερ καὶ τὸ πρὸ τούτου, καὶ ἄλλα πολλὰ τῶν ἐν τούτῳ τῷ βιβλίῳ γεγραμμένων ὑποπέπτωκε καθολικοῖς θεωρήμασιν, οὐ μόνον γὰρ ἐπὶ λεχοῦς τῶν ἐπὶ τῷ τόκῳ κενουμένων εἰ ἐπίστασις γίνεται μοχθη-

ρόν ἐστιν αἴτιον καὶ σημεῖον, ἀλλὰ καὶ τῶν χολωδῶν, καὶ αὐτοῦ τοῦ αἵματος. ἡ γάρ τοι λοχία κάθαρσις ἐστὶν, ἀλλὰ καὶ κατὰ τοὔνομα κάθαρσις τῶν ἀλλοτρίων ἃ περὶ τὸν τῆς κυήσεως χρόνον ἠθροίσθη ἐν ταῖς φλεψὶ, δαπανωμένου μὲν εἰς τροφὴν τῷ κυουμένῳ τοῦ κατ' αὐτὰς χρηστοῦ αἵματος, μένοντος δὲ τοῦ φαυλοτέρου, ὃ καθ' ἕκαστον μῆνα πρότερον ἐξεκρίνετο διὰ τῆς μήτρας. ὅταν οὖν τοῦτο μὴ κενωθῇ, τεκούσης τῆς γυναικὸς, ἤτοι τὰς μήτρας εἰς φλεγμονὴν ἐξαίρει μεγάλην, ἢ πρός τινα τῶν ἀνωτέρω τόπων ἐνεχθὲν, οἰκεῖον τῷ δεξαμένῳ τότε πάθος ἐπιφέρει καὶ τὸν κίνδυνον, ὅ,τι δὲ δηλοῖ διὰ τῶν ἐπιφαινομένων συμπτωμάτων εἰσὶ, καθάπερ ἐστὶ νῦν ὅτε θώραξ καὶ ἡ κεφαλὴ, τὸ ἀπὸ τῶν ὑστέρων ἀναφερόμενον ἐδέξατο πονηρὸν αἷμα.

Ἐν πυρετοῖσι καυσώδεσιν ὑποπεριψύχουσι διαχωρήμασιν, ὑδατοχόλοις, συχνοῖσιν, ὀφθαλμῶν ἴλλωσις, σημεῖον κακὸν, ἄλλως τε καὶ ἢν κάτοχοι γίνωνται.

Κατάλογον πάλιν ἐνταῦθα σημείων τε καὶ συμπτωμάτων ἐποιήσατο μοχθηρῶν, ὧν ἕκαστον ἰδίᾳ καθ' ἑαυτὸ παρ' Ἱπποκράτους μεμαθήκαμεν εἶναι μοχθηρόν. ἐν μὲν τοῖς πάθεσι τὸν καῦσον πυρετὸν, ἐν δὲ τοῖς διαχωρήμασι, τὰ ὑδατόχολα. τῶν δ' ἐν τοῖς ὀφθαλμοῖς μοχθηρῶν σημείων, ἓν ἐστὶν ἡ ἴλλωσις. περὶ δὲ τῆς κατοχῆς, τί δεῖ καὶ λέγειν; εἰ μὲν οὖν ἠθέλησεν ἅπαντα εἰπεῖν τὰ ὀνόματα τῶν μοχθηρῶν σημείων, πάμπολλα πλείω παραλέλοιπεν ὧν εἶπεν. εἰ δ' ὡς μίαν συνδρομὴν, οὐκ ἔστιν ὁμογενῆ τὰ εἰρημένα. καῦσος μὲν γὰρ πυρετὸς σὺν τῇ περιψύξει χαλεπώτατον σύμπτωμά ἐστι, τά τε διαχωρούμενα, καὶ ὅλως τὰ περὶ τοὺς ὀφθαλμοὺς, ταῦτα μὲν ἑτερογενῆ. ἡ κατοχὴ δὲ, αὐτὴ μὲν γένους ἄλλου συμπτωμάτων ἐστὶν, ἡ δὲ συστροφὴ τῶν βλεφάρων, πάλιν ἑτέρας διαφορᾶς.

Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως, ἐπιπυρετήναντι χρονίως, ὀλέθρια, οἷον ὁ Νουμηνίου υἱός.

Κἀνταῦθα μὲν ἐδήλωσεν εἰπὼν ἑαυτὸν περὶ καθολικὴν ἀπόφασιν ἐφιέμενον ἐξ ἑνὸς ἀῤῥώστου, μετὰ τοῦ καὶ τῶν συνήθων τι περὶ τὴν λέξιν πρᾶξαι. τὸ γὰρ ἐπιπυρετήναντι λελυμένως εἰπεῖν, ἀφίστασθαι περιηρημένου τῶν κυρίων ὀνομάτων ἵνα ἔχωσιν ὕλην οἱ σοφισταὶ περιέργων ἐξηγήσεων. ἀμέλει καὶ νῦν ἔνιοι μὲν ἐπὶ τῶν ἀποπληκτικῶν ἀκούουσι τὸ λελυμένως, ἀντὶ τοῦ μετρίως. ἔνιοι δὲ ἐπὶ τὰς ἰδίως παραπληγίας λεγομένας μεταφέρουσιν, ἐφ' αἷς εἰς ἀκινησίαν, καὶ ἀναισθησίαν μορίων τινῶν κατασκήπτει τὸ νόσημα. ταύτας μὲν γὰρ καὶ νῦν βούλονται ἀποπληγίας εἰρηκέναι, καταχρησάμενον αὐταῖς. εἶτα διττῶς αὐτῶν γιγνομένων, ὡς Ἐρασίστρατος ἐν τοῖς περὶ παραλύσεως εἶπεν, αἱ μὲν γὰρ συνάγουσι, καὶ συντείνουσιν, αἱ δὲ ἐκλύουσί τε καὶ χαλῶσι τὰς διαρθρώσεις, εἰρῆσθαι φασὶ νῦν ὑπ' αὐτοῦ, τὸ κατ' ἔκλυσίν τε καὶ χάλασιν τῶν νευρωδῶν σωμάτων εἶδος τῆς παραπληγίας. ἀλλ' ἐπί γε τῶν τοιούτων ἁπάντων παθῶν ὅσα τοῦ νευρώδους ἐστὶ γένους, ὅταν ὑπὸ ψυχρῶν τε καὶ φλεγματικῶν γένηται χυμῶν, ὥσπερ αἵ τε ἀποπληξίαι, καὶ αἱ παραπληγίαι, πυρετὸς ἐπιγινόμενος θερμὸς, οὐ σμικρὸν γίνεται βοήθημα. τὰ γοῦν ἐν ἀφορισμοῖς εἰρημένα, ἐνταῦθα ἡμᾶς διδάσκει. τόγε πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ, καὶ τὸ ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβοι, ἢ εἰς τὴν ὥραν ἐλθὼν καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται. συνέβη τοιγαροῦν ὡς ἡ ῥῆσις ἐνδείκνυται τῷ τοῦ Νουμηνίου υἱῷ, γενομένης ἀποπληξίας, οὐκ ὀξὺν καὶ θερμὸν, ἀλλὰ βληχρὸν καὶ χρόνιον, ἀκολουθήσαντα πυρετὸν, μηδὲν ὠφελήσειν.

Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ εἰς καρδίην πυρετώδεες, φρικώδεες, ἀνεμοῦσαι ὑδατώδεα λεπτὰ πλέονα, παρενεχθεῖσαι, ἄφωνοι, ἐμέσασαι μέλανα, τελευτῶσιν.

Ἤθροισται κἀνταῦθα συμπτώματα πολλὰ μοχθηρὰ, μετὰ τοῦ καὶ τὴν ἑρμηνείαν εἶναι κακόζηλον. αἱ γὰρ ἀναδρομαί φησιν ἐμέσασαί τε καὶ παρενεχθεῖσαι, δέον αὐτοὺς ἐμέσαντάς τε καὶ παρενεχθέντας εἰπεῖν. ἀλλὰ σύ γε καὶ τῶν συμπτωμάτων ἑκάστου τὴν δύναμιν εἰδὼς, οὐ χαλεπῶς εὑρήσεις εἰς ὅσον ὁ κάμνων ἥκει κινδύνου. τοῦτο δ' ἐπὶ τέλει τοῦ προγνωστικοῦ παραινέσας ὁ Ἱπποκράτης ἠρκέσθη.

Ὄμματος κατάκλεισις ἐν ὀξείᾳ, κακόν.

Ἤδη καὶ πρόσθεν ἐν ἀθροίσματι πλειόνων σημείων, ἃς συνδρομὰς ὀνομάζουσιν οἱ ἀπὸ τῆς ἐμπειρίας, ὄμματος κατάκλεισιν ἔγραψαν. ἔνιοι δὲ διὰ τοῦ α. οὐ διὰ τοῦ ει κατάκλασιν γράφουσιν, οὐ μεγάλης οὔσης διαφορᾶς περὶ τὸ σημαινόμενον ἐξ ἀμφοῖν. βούλεται γὰρ δηλῶσαι τὸ κατακεκλασμένον, ἢ τὸ κατακεκλεισμένον βλέφαρον, ἐφ' ᾧ δυοῖν θάτερον, ἢ τῇ συντονίᾳ τῶν κλειόντων αὐτὸ μορίων, ἢ ἀῤῥωστίᾳ τῶν ἀνοιγόντων ἕπεται τὸ πάθος.

Ἄραγε τοῖς ἀσώδεσιν ἀνεμέτοις, ὀσφυαλγέσιν, ἢν θρασέως παρακρούσωσιν, ἐλπὶς μέλανα διελθεῖν.

Ἀποκρινόμεθά σοι καὶ πρὸς τοῦτο ῥᾳδίως, ὅτι μὴ πᾶσιν ἀλλά τισιν αὐτῶν ἔσται τοῦτο, καθάπερ δέδεικται πρόσθεν.

Φάρυγξ ἐπώδυνος, ἰσχνὴ μετὰ δυσφορίης, πνιγώδης, ὀλεθρίη ὀξέως.

Ἀναμνήσθητι τῆς ἐν τῷ προγνωστικῷ ῥήσεως, ἧς ἡ ἀρχὴ, αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιροῦσαι, ὅσαι μήτ' ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ἐμποιοῦσι, μήτ' ἐν τῷ αὐχένι, πλεῖστον τε πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν. ἔνθά σοι καὶ παραβάλλειν ἔξεστιν ἑρμηνείαν ἐπιστήμονος ἀνδρὸς, ὧν λέγει πραγμάτων τῇ τοῦ πλανωμένου κατὰ τὰς συνδρομὰς, ἀδυναμίᾳ τοῦ πρὸς τὸ καθόλου ποιεῖσθαι τὴν συναγωγήν. ὁ μὲν γὰρ Ἱπποκράτης τότε τοῦ πάθους ὄνομα προεῖπεν, καὶ τὰς διαφορὰς ἁπάσας ἐφεξῆς εἶπεν, ἀρξάμενος ἀπὸ τῆς χαλεπωτάτης αὐτῶν, ἧς νῦν παρέγραψα τὴν ῥῆσιν. ὁ δὲ τοῦτο τὸ βιβλίον γράψας, πρῶτον μὲν ἥμαρτεν, εἰπὼν τὴν φάρυγγα πνιγώδη, δέον τὴν κυνάγχην.

κυνάγχην. οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς αὐτὸ τὸ πάθος τῷ πεπονθότι μορίῳ κατεχρήσατο, τὴν ἀρχὴν οὐδὲ πέπονθέ τι τοῖς οὕτως ἔχουσι φάρυγξ ὡς Ἱπποκράτης ἐδήλωσε, δεινοτάτας εἰπὼν εἶναι κυνάγχας, ὅσαι μήτε ἐν τῇ φάρυγγι εὔδηλον μηδὲν ποιοῦσι, μήτ' ἐν τῷ αὐχένι. ὁ δὲ τὸ προῤῥητικὸν τοῦτο γράψας ἔφη, φάρυγξ ἐπώδυνος ἰσχνή. τὸ γὰρ ἰσχνὴ, ταυτὸν τῷ μηδὲν εὔδηλον ἔχειν δύναται. προσέθηκε δὲ οὕτως μάτην τὸ μετὰ δυσφορίας ἐξ ἑτέρου γένους ὑπάρχον συμπτωμάτων, εἶτα καὶ τὸ πνιγώδης. ὁ μὲν τοῦτο τὸ βιβλίον γράψας, ἀδιορίστως τε καὶ κοινῶς εἶπεν· ὁ Ἱπποκράτης δὲ οἰκείῳ τῆς διαφορᾶς ὀνόματι, προσηγόρευσεν εἰπὼν, ὀρθόπνοιαν ἐπιφέρειν αὐτήν. ὀνομάζει δὲ καὶ αὐτὸς, καὶ οἱ ἄλλοι πάντες ὀρθόπνοιαν ἐκεῖνο τὸ τῆς δυσπνοίας εἶδος ἐν ᾧ πνίγονται κατακείμενοι, καὶ μόλις διαρκοῦσιν ὄρθιον ἔχοντες τὸν θώρακα, κατὰ μηδενὸς ἐρειδομένου τοῦ μεταφρένου. καταχιζομένης γὰρ εἰς τὸν πνεύμονα τῆς τραχείας ἀρτηρίας, τὴν ἀρχὴν ἀπὸ τῆς λάρυγγος ἐχούσης, ὅταν μὲν ἀνατείνωμεν ὄρθιον τὸν θώρακα, σὺν τῷ τραχήλῳ τὴν τραχεῖαν ἀρτηρίαν ἐξευρύνεσθαι συμβαίνει, καὶ τὰς ἐξ αὐτῆς ἀποφύσεις ἁπάσας τὰς εἰς τὸν πνεύμονα καταχιζομένας εὐρύνεσθαι, κἂν τούτῳ τὴν ἔνδον αὐτῷ χώραν αὐξάνεσθαι. διὰ τοῦτο μὲν οὖν κἀπὶ τῆς περιπνευμονίας ἡ ὀρθόπνοια γίνεται, κἂν τοῖς καλουμένοις ἀσθματικοῖς πάθεσι. διὰ τὸ δὲ τοῦτο κἀπὶ τῆς χαλεπωτάτης κυνάγχης, ἐν ᾗ φλεγμαινόντων οἱ τῆς λάρυγγος ἔνδον μυῶν, ἀποφράττουσι τὴν ὁδὸν τῆς ἀναπνοῆς. ἐπιτείνεται γὰρ καὶ τοῦτο τὸ πάθημα κατακειμένων, αὐξανομένης τῆς στενοχωρίας. ἀλλὰ καὶ τῆς ἄλλης κυνάγχης διαφορὰς ὁ Ἱπποκράτης ἔγραψεν ἐν τῷ προγνωστικῷ, σαφέστατά τε καὶ ἀκριβέστατα κατ' ἐκεῖνο τοῦ βιβλίου τὸ χωρίον, ἐν ᾧ καὶ ἡ ῥηθεῖσά μοι νῦν εἴρηται ῥῆσις. ἐν δὲ τῷ προῤῥητικῷ τούτῳ, καίτοι πολλάκις φάρυγγος μνημονεύσας ὁ γράψας τὸ βιβλίον, οὐδὲν ἡμᾶς σαφὲς, οὐδὲ διηρθρωμένον ἐδίδαξε, περὶ τῶν κατὰ ταῦτα παθῶν.

Οἷς πνεῦμα ἀνέλκεται, φωνὴ δὲ πνιγώδης, ὁ σπόνδυλος ἐγκάθηται, τουτέοισιν ὥσπερ τῶν τελευτώντων, ὡς συσπῶντος τινὸς τὸ πνεῦμα γίνεται.

Περὶ δυσπνοίας ὑπομνήματα γέγραπταί μοι, δεικνύντι πόσαι μὲν αἱ πᾶσαι διαφοραὶ κατ' αὐτῶν εἰσιν ἑκάστην. τίνες δὲ αἴτιαι αἱ γεννῶσαι ἑκάστην, ὅτι τε σημαίνειν πεφύκασιν. ἐπιδέδεικται δὲ διὰ τῶν αὐτῶν ὑπομνημάτων, καὶ περὶ τῶν ὑφ' Ἱπποκράτους εἰρημένων δυσπνοιῶν, ἐν τοῖς ὁμολογουμένοις αὐτοῦ γνησίοις βιβλίοις. οὔτ' οὖν ἐγὼ διαφοράν τινα ἀνελκομένου πνεύματος εὗρον, οὔτε παρ' Ἱπποκράτους μαθὼν, ἐζήτουν οὖν ἥν τινά ποτε λέγει τὴν δύσπνοιαν ταύτην ὁ γράψας τὸ βιβλίον τοῦτο. εἰσὶ μὲν οὖν καὶ ἄλλαι δύο γραφαὶ τῆς αὐτῆς λέξεως, ὧν ἡ μὲν σημαίνει ἕτερα, βραχὺ παραλλάττουσα κατὰ τὴν φωνὴν, οὐ μὴν τήν γε διάνοιαν ὑπαλλάττουσα. πρόσκειται γὰρ ἐν αὐτῇ κατὰ τὴν ἀνέλκεται φωνὴν, τὸ ω γράμμα μετὰ τὰ πρῶτα δύο, τό τε α καὶ τὸ ν, ὡς γενέσθαι τὴν λέξιν τοιάνδε. οἷς πνεῦμα ἄνω ἕλκεται, πολὺ δὲ ἀποχωρήσαντες. ἔνιοι τῶν νεωτέρων ἀνέρχεται γράφουσιν, οὐδ' ἑνὸς τῶν παλαιοτέρων ἐπισταμένου τὴν γραφήν. ταύτης μὲν οὖν τελευταῖον μνημονεύσω, περὶ προτέρας δὲ διασκεψόμεθα τὰ τῶν ὁμολογουμένων εἰς ἃς οὐδὲν εὗρον, οὐδ' ἕνα πιθανὸν εἰπόντα, τινὰς δὲ καὶ μεμψαμένους ἄντικρυς, ὥσπερ καὶ τοὺς μεταγράψαντας εἰς τὴν ἀνέρχεται φωνήν. ὥσπερ γὰρ ἀβοηθήτων οὐσῶν τῶν προτέρων γραφῶν, ἐπὶ τὸ μεταγράφειν αὐτὰς ἀφίκοντο. δοκεῖ δέ μοι τὸ ἀνελκόμενον πνεῦμα, τὸ ἄνω ἑλκόμενον λέγειν, ἐφ' οὗ κατὰ τὸν ἔμπροσθεν λόγον ἔφην εἰρῆσθαι τό τε πρόχειρον, καὶ τὸ μετέωρον ὅταν τοῖς ἄνω μέρεσιν ὁ θώραξ μεγάλην ποιῇ τὴν ἀναπνοὴν εἰσπνεόντων, ὡς φαίνεσθαι κινουμένας τὰς ὠμοπλάτας, καὶ διὰ τίνα τὸν τρόπον οὕτως ἀναπνέουσιν οἱ πνιγόμενοι πάντες, ἐδήλωσεν. καὶ μέντοι καὶ περὶ τῶν πνιγωδῶς ἐνοχλουμένων, οὐ διὰ τὴν ἐν πνεύμονι στενοχωρίαν, οὔτε διὰ τὴν φλεγμονὴν τῶν ἐν τῷ λάρυγγι μυῶν, ἀλλὰ διὰ τὴν τῶν ἐπικειμένων μὲν τῷ λάρυγγι, καὶ τῷ στομάχῳ. τοῖς πρόσω δὲ μέρεσι τῶν ῥαχιτῶν μυῶν ὑποβεβλημμένων, ἔμπροσθέν τε καὶ κατ' αὐτὸ τοῦτο τὸ προῤῥητικὸν βιβλίον εἴρηταί μοι, καὶ δι' ὧν ἐξηγησάμην τὸ δεύτερον βιβλίον τῶν ἐπιδημιῶν ἔνθα φησί. ἢν δὲ τῶν κυναγχικῶν τὰ παθήματα τοιάδε. τοῦ τραχήλου οἱ σπόνδυλοι εἴσω ἔῤῥεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι δὲ ἐπ' ἔλαττον. καὶ ἔξωθεν δ' ἦν δῆλος ἐγκοίλως ἔχων ὁ τράχηλος, καὶ ἤλγει ταῦτα ψαυόμενος. ἦν δὲ κατωτέρω τινὶ τοῦ ὀδόντος καλουμένου, ὃ οὐχ ὁμοίως ὀξύ ἐστι. πρόδηλον δ' ὅτι τὸν δεύτερον σπόνδυλον ὅλον ἀπὸ μέρους ὀδόντα κέκληκεν, ἢ μόνην αὐτοῦ τὴν ἀπόφυσιν ἐκείνην, ἣν οἱ μὲν ὀδοντοειδῆ προσαγορεύουσιν, οἱ δὲ ἄντικρυς ὀδόντα. διότι παραπλήσιός πως φαίνεται τῷ καλουμένῳ κυνόδοντι. ἐπεὶ δὲ μετὰ τὸ εἰπεῖν, ἦν δὲ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου, προσέθηκεν, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν, ἐδήλωσε κίνδυνον οὐχ ὁμοίως ἐπιφέρειν ὀξὺν ὁ γράψας ταῦτα τὸν σπόνδυλον τοῦτον, ὥσπερ κἀπειδὰν ἐν τοῖς ἀφορισμοῖς καταλέγων τὰ λεγόμενα πάθη τῶν παιδίων εἴπῃ, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, οὐκ ἄλλον σπόνδυλον ἀκούειν χρὴ παρὰ τὸν εἰρημένον. ὅταν γὰρ οἱ ἐπικείμενοι μύες ἐν τοῖς πρόσω μέρεσιν αὐτοῦ φλεγμήναντες, ἢ ὁπωσοῦν ἐνταθέντες, πρὸς ἑαυτοὺς ἐπισπάσωνται ὅλον τὸν σπόνδυλον, ἡ μὲν ὀπίσω χώρα κοιλοτέρα φαίνεται, θλίβεται δ' ὁ λάρυγξ, καὶ κατὰ τοῦτο πνίγονται. σπανιωτάτη δὲ ἡ τοιαύτη κυνάγχη γίνεται. καὶ νῦν οὖν ὁ σπόνδυλος αὐτὸς ἐγκαθέζεσθαι λέλεκται. τὸ δὲ κινδυνῶδες τοῦ πάθους, δεδήλωται διὰ τῆς προκειμένης ῥήσεως ἔνθα φησὶ, τουτέοισιν ὥσπερ τῶν τελευτώντων, ὡς συσπῶντος τινὸς τὸ πνεῦμα γίνεται. τὸ γὰρ ἐπὶ τῶν τελευτώντων ὅταν ἀποθνήσκουσι δηλοῖ. τὸ δ' ὡς συσπῶντος, ἐπειδὴ σπασμώδης αὐτοῖς ἡ ἀναπνοὴ γίνεται, τελευτῶσιν, σφοδρῶς μὲν ἕλκοντος τοῦ θώρακος, ὁδὸν δ' οὐκ ἔχοντος αὐτάρκη τοῦ πνεύματος. ἀλλὰ διὰ τῆς στενῆς ὀπῆς βιαίως εἰσπνεομένου. τοῦτ' οὖν ἡγούμενοι δηλοῦσθαι, κἀκ τῆς ἀνέχεται φωνῆς, ἔγραψάν τινες, οἷς πνεῦμα ἀνέχεται.

Οἱ κεφαλαλγικοὶ, κατόχως παρακρούοντες, κοιλίης ἀπολελαμμένης, ὄμμα θρασύνοντες, ἀνθηροὶ, ὀπισθοτονώδεες γίνονται.

Ἐλέχθη καὶ πρόσθεν ὁ ἀνὴρ οὗτος ἐξ ἀνομοιογενῶν σημείων γράφων συνδρομὰς, ἃς ἐφ' ἑνὸς ἢ δυοῖν ἐθεάσατο,

καὶ διὰ τὸ πολλάκις αὐτῷ προστίθησι τὸν, ἄρα, σύνδεσμον, ὃν καὶ νῦν ἄμεινον ἦν αὐτῷ συντεθῆναι φάναι, ἆρά γε ὀπισθοτονώδεες γίνονται. ἡ μὲν γὰρ κεφαλαλγία, δηλοῖ πεπονθέναι τὴν κεφαλὴν αὐτῶν. τὸ δὲ κατόχως τὸν ἐγκέφαλον αὐτὸν, ὥσπερ δὴ καὶ τὸ παρακρούοντες. ἐδείχθη δὲ πρότερον ὡς οὐ μάχεται τὰ τοιαῦτα συμπτώματα, καθάπερ οἴονταί τινες, ἀδύνατον εἶναι φάσκοντες, ἅμα τε κατέχεσθαι, καὶ παρακρούειν τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τῶν τοιούτων διὰ τῶν ἔμπροσθεν εἶπον, ὁπηνίκα τὴν πρώτην ἁπασῶν ἐξηγούμην ῥῆσιν, καὶ τὴνδε τρομώδεες, ψηλαφώδεες παρακρούσιες πάνυ φρενιτικαὶ, ὡς οὐδὲν ἔτι χρὴ λέγειν περὶ αὐτῶν. βέλτιον δ᾽ ἐπισημήνασθαι δύο ταῦτα ὑπόλοιπα τῶν προγεγραμμένων ἐν τῇ προκειμένῃ ῥήσει, τὸ μὲν ἕτερον ἔνθα φησί. κοιλίης ἀπολελαμμένης, τὸ δ᾽ ἕτερον, ὄμμα θρασυνόντες. αἱ μὲν γὰρ ἀπολελαμμέναι κοιλίαι, τουτέστιν ἐπεχόμεναι, τῆς κατὰ τὸν ἐγκέφαλον διαθέσεως οὐκ εἰσὶν οἰκεῖον σημεῖον. αὐξάνουσι μέντοι, καὶ χείρονα ποιοῦσιν αὐτήν. τὸ δ᾽ ὄμμα θρασυνόντες ἀναγκαίως πρόσκειται τῇ συνδρομῇ· τοὺς γὰρ ἰδίως κατόχους καλουμένους, καὶ οἱ περὶ τὸν Ἀρχιγένην, καὶ Φίλιππον ἴσασιν ἀναπεπταμένους ἔχοντας τοὺς ὀφθαλμοὺς, οὐχ ὡς οἱ κωματώδεις, καὶ οἱ καταφορικοὶ κεκλεισμένους. ἐπ᾽ ἐκείνων μὲν γὰρ ὑγρότης αἰτία τοῦ παθήματος, ἐκλύουσα τὸν τόνον τῶν νεύρων, ἐπὶ τούτων δὲ διὰ ξηρότητα τάσις γίνεται, καί τις τῶν ἡμετέρων συμφοιτητῶν, καμὼν συχνῶς ποτὲ περὶ μαθήματα, ἔπαθε τὸ πάθος τοῦτο. κατέκειτο γὰρ οἷόν περ ξύλον ὅλον ἄκαμπτος ἀποτεταμένος, ἐφαίνετό τε βλέπων ἡμᾶς ἀνεῳγότων τῶν ὀφθαλμῶν, ὡς μηδὲ σκαρδαμύττειν, οὐ μὴν ἐφθέγγετό τι. οὗτος μέντοι καὶ ἀκούειν ἔφη κατὰ τὸν καιρὸν ἐκεῖνον ὅσα λαλούντων ἐτυγχάνομεν, οὐ μὴν ἐναργῶς τε καὶ σαφῶς, ἔλεγε δέ τινα ἀναμεμνημένος. ἐμβλέπειν τ᾽ ἔφη τοὺς παρόντας ἅπαντας, ὡς καὶ τὰς ἐνεργείας ἐνίων ἀπομνημονεύων διηγεῖσθαι. μήτε δὲ φθέγγεσθαι δύνασθαι, μήτε τι μέλος κινεῖν, διὸ καὶ νῦν οὐκ ἀρκῆσαι τὸ κατὰ τὴν εἰρημένην συνδρομὴν, τὸ παρακρούοντες, ὅπως πρόσκειται. τὸ μὲν γὰρ ἐπὶ τῆς ῥήσεως, αἱ τρομώδεες ἀσαφώδεες, ψηλαφώδεες παρακρούσιες, οὐ παντελῶς ἀκινήτους εἶναι τοὺς οὕτω διακειμένους σημαίνει, ὥσπερ οὐδὲ τοὺς ἐν κώματι παραφρονοῦντας. ἐπὶ δὲ τῶν κατόχων οὐδεμίαν κίνησιν κινουμένων, οὐδὲ τὴν παραφροσύνην ἔστι γνωρίσαι. τάχ᾽ οὖν οὗτος εἶδε κατόχου εἶδος, ὡς ἀκίνητον μὲν εἶναι καὶ πεπηγὸς ὅλον τὸ σῶμα, βραχὺ δέ τι φθεγγόμενον τὸν ἄνθρωπον, ἐξ οὗ δυνατὸν ἦν γνωρίσαι τὴν παραφροσύνην, ἢ προηγησαμένης τῆς παραφροσύνης παρηκολούθησεν ἡ κατοχὴ, καὶ γραπτέον ἐστὶ κατ᾽ αὐτὴν τὴν ἐξήγησιν. οἱ κεφαλαλγικοὶ, καὶ κατόχως παρακρούσαντες. ἐγχωρεῖ δὲ κατὰ τὴν πρώτην αὐτοῦ σύστασιν ὑποφθεγγομένων αὐτῶν δηλοῦσθαι τὴν παραφροσύνην. συμπληρωθείσης δὲ τῆς κατοχῆς, μηκέτι φθέγγεσθαι τοὺς κάμνοντας. ἀνθηροὺς δὲ ὠνόμασεν ὡς εἰκὸς αὐτοὺς, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐξερύθρους ἐκάλεσεν. σημεῖον δ᾽ αὖ εἴη τοῦτο τοῦ περὶ τὴν κεφαλὴν πλήθους ἀθροιζομένου μετὰ θερμότητος, ἐφ᾽ ᾧ καὶ ἡ προηγησαμένη κεφαλαλγία, καὶ ὁ μετ᾽ αὐτὴν ἀκολουθῶν ὀπισθότονος. ἀλλὰ καὶ ταῦτα μὲν εἰς τὴν γένεσιν αὐτῶν πρότερον ἄν τις λάβοι σημεῖον. δευτέρως δὲ τὴν ἀπολελαμμένην κοιλίαν, παροξύνουσαν ἀεὶ τὰ τῆς κεφαλῆς συμπτώματα.

Ἐπ᾽ ὀμμάτων διαστροφῇ πυρετώδει, κοπιώδει, ῥῖγος ὀλέθριον, καὶ οἱ κωματώδεες ἐν τούτοισι, πονηρόν.

Ἐδείχθη κἀν τοῖς ἔμπροσθεν ὁ ἀνὴρ οὗτος ἐπιπλέκων ἀλλήλοις χαλεπὰ συμπτώματα, περὶ ὧν ἑκάστου κατὰ μόνας ἐχρῆν ἅπαξ εἰπεῖν ὡς ἡμῶν δυναμένων ἐννοεῖν, ὡς ἐπειδὰν ἀλλήλοις ἐπιπλέκηται πλείω, σφοδρότερον μὲν ἀποτελεῖσθαι κίνδυνον ἐξ αὐτῶν τοῖς κάμνουσι. βεβαιοτέραν δ᾽ ἡμῖν γίνεσθαι τὴν πρόγνωσιν, ὅθεν οὖν εἴρηται καινόν. μεμαθήκαμεν γὰρ τήν τε τῶν ὀμμάτων διαστροφὴν, κατά τινα γίνεται διάθεσιν, τίνες τε τῶν κόπων αἱ διαφοραὶ, καὶ πότε χρὴ ῥῖγος ἐπιφαίνεσθαι χρησίμως, ὁποῖόν τε τὸ κῶμα, καὶ ἥ τις αὐτὸ διάθεσις ἐγκεφάλου γεννᾷ.

Αἱ ἐν πυρετοῖσι πρὸς ὑποχόνδριον ὀδύναι ἀναύδως, ἱδρῶτι λυόμεναι, κακοήθεες, τούτοισιν ἐν ἰσχίῳ ἀλγήματα ἅμα καυσώδει πυρετῷ, καὶ ἢν κοιλίη καταῤῥαγῇ, ὀλέθριον.

Ἀπορίαν τοῖς ἀναγινώσκουσιν, αἱ ἀσαφεῖς τῶν ῥήσεων ἐργάζονται, καὶ τῶν σαφῶν ὅσαι τοῖς ἐναργῶς φαινομένοις ἐναντίως ἀποφαίνονται. τινὲς δὲ καὶ κατ᾽ ἀμφοτέρους τοὺς τρόπους τὴν ἀπορίαν ἐπιφέρουσιν, ὥσπερ καὶ ἡ νῦν προκειμένη. πλέον δὲ ἐν αὐτῇ τὸ μὴ συμφωνεῖν τοῖς φαινομένοις ἐπὶ τῶν νοσούντων, τὰ κατ᾽ αὐτὴν λελεγμένα. προχείρως μὲν οὖν δοκεῖ τοιόνδε τὸν λόγον τινὰ δηλοῦν ἡ προκειμένη ῥῆσις. αἱ ἐν πυρετοῖς πρὸς ὑποχόνδρια ὀδύναι ἅμα ἀφωνίῃ, ἱδρῶτι λυόμεναι, κακοήθεες. ψεῦδος δ᾽ εἶναι φαινόμενον τοῦ τὰς μεθ᾽ ἱδρῶτος λύσεις κακοήθεις εἰρῆσθαι, κατ᾽ αὐτὸ τοῦτο πρῶτον ἀπορία τις ἡμᾶς καταλαμβάνει. τὰ μὲν γὰρ ἄνευ τινὸς ἤτοι τεχνικοῦ βοηθήματος, ἢ φυσικοῦ παυσάμενα παθήματα, προσηκόντως ὡμολόγηται, τὴν λύσιν ἄπιστον ἔχειν. τὰ δὲ μετὰ τοιούτου τινὸς ὁποῖον, καὶ νῦν ὁ ἱδρὼς εἴρηται, βεβαίως λελύσθαι φαίνεται. τοὐναντίον γὰρ ἅπαν ὅταν ἱδρῶτος, ἢ τινος ἄλλου φυσικοῦ βοηθήματος γενομένου, μὴ λύηται, τὸ νόσημα κακόηθες νομίζεται. διὸ καὶ πιθανῶς τις ἐπ᾽ αὐτῆς τῆς ῥήσεως ἔλεγε λείπειν ἀπόφασιν τὴν μὴ παραλελειμμένην, ὑπὸ τοῦ πρώτου τὸ βιβλίον μεταγραψαμένου, καθάπερ καὶ ἄλλα πολλὰ πολλάκις ἐν πολλοῖς βιβλίοις ὡμολόγηται. τὰ μὲν παραλελεῖφθαι, τὰ δὲ ὑπηλλάχθαι, μηδενὸς ὕστερον ἐπανορθῶσαι τὰ ἡμαρτημένα τολμήσαντος. ἀληθὴς γὰρ ὁ λόγος, ἐὰν οὕτω γράψωμεν ἔσται, αἱ ἐν πυρετῷ πρὸς ὑποχόνδρια ὀδύναι ἀναύδως, ἱδρῶτι μὴ λυόμεναι, κακοήθεες. ἀλλὰ τὰ σαφῆ καὶ γνώριμα καταλιπόντες οἱ πολλοὶ τῶν ἀνθρώπων, χαίρουσι τοῖς αἰνιγματωδῶς εἰρημένοις. ἔνιοι δὲ καὶ τοῖς προφανῶς ἡμαρτημένοις συναγορεύειν ἐπίδειγμα σοφίας ἡγοῦνται παραπλησίως τοῖς περὶ τὰ δικαστήρια ῥήτορσιν οἳ τοὺς φανερῶς, ἤτοι φόνον ἐργασαμένους, ἤ τι τοιοῦτον κακὸν δράσαντας τῆς προσηκούσης κολάσεως, ἐξαπατήσαντές τε καὶ παρακρουσάμενοι τοὺς δικαστὰς, ὅταν ἰδιῶται λόγον ὦσιν, καὶ τὰς ἐν αὐτοῖς πανουργίας ἀγνοῶσιν. οὕτως οὖν καὶ τὴν

τῆς προκειμένης ῥήσεως ἐπεγνώκασιν τινὲς αὐαύδως εἰρῆσθαι τὸ ἀλόγως, ἐπειδήπερ ὁ λόγος μὲν ἐν τῷ γένει τῆς φωνῆς ἐστι. λέγεται δὲ ἡ φωνὴ παρὰ τοῖς παλαιοῖς οὐχ οὕτω μόνον, ἀλλὰ καὶ αὐδή. κατὰ δὲ τὴν μετάβασιν ταύτην τὸ ἀλόγως φαμὲν ἐκ τοῦ αὐαύδως σημαίνεσθαι. τὰ δ' ἀλόγως παυσάμενα, ταῦτα ἐστιν ἄπιστα. μαχομένων δὲ καὶ τούτῳ τῷ λόγῳ τοῦ τε κακοήθεις εἰρῆσθαι τὰς τοιαύτας ἐκκρίσεις, οὐκ ἀπίστους, καὶ τοῦ μηδ' ἀλόγως λύεσθαι σὺν ἱδρῶσιν ὡς αὐτὸς εἶπεν. ἕτεροί τινες ὑπερβαλλόμενοι τῇ σοφίᾳ τούτους, ἀλόγως λύεσθαι φασὶν, οὐ μόνον ὅσα χωρὶς τοῦ γενέσθαι τι βοήθημα τεχνικὸν ἢ φυσικὸν ῥᾳστώνησαν, ἀλλὰ καὶ ταῦτα τὰ γενόμενα μὲν, οὐ μὴν κατ' ἀξίαν τοῦ νοσήματος, ὥσπερ εἰρηκότος τοῦ συγγράψαντος ὀλίγον γενέσθαι τὸν ἱδρῶτα, καὶ μὴ χωρὶς ἁπάσης προσθήκης γράψαντα ἱδρῶτι λυόμενα, ἀλλὰ προσυπακοῦσαι φησὶ, τὸ ὀλίγῳ. τάχα δέ τις καὶ ἄλλος ἀναφανείς ποτε τούτων τολμηρότερος, ἀξιώσει τὸ πολλῷ καὶ ἀμέτρῳ προσυπακούειν, εἶτα περὶ συμμετρίας ἀμαθέσι παισὶ καὶ ἀγυμνάστοις πάσης παιδείας ληρήσας, μακρὰ δόξει τις εἶναι σοφός. εἰ δ' ὅλως οἴσπερ ἔξεστι τῷ ἱδρῶτι λυόμεναι προστιθέναι τοιοῦτον, πολλῷ βέλτιον ἦν προστιθέντας μίαν συλλαβὴν τὴν, μὴ, γράψαντας μὴ λυόμεναι, πραγμάτων ἀπηλλάχθαι. αἱ γὰρ σὺν πυρετῷ τῶν ὑποχονδρίων ὀδύναι, ἃς ἱδρὼς μὴ λύει, κακοήθεις εἰσίν. ἔργῳ τοίνυν ἐδείχθη μοι καὶ νῦν ὥσπερ ἤδη πολλάκις, τῶν ἐπὶ πολλῶν ἀσαφῶν ῥήσεων, οὐδὲν μὲν ὧν οὐκ ἴσμεν ὑπ' αὐτῶν διδασκόμενον, ἀνηλωμένον δὲ χρόνον ὥσπερ ἐπὶ τῶν αἰνιγμάτων, εἰ ἐφαρμόσωμεν ἃ γινώσκομεν τῇ λέξει. καὶ γὰρ οὖν καὶ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, οὐ μακρὰν ἔχει ζήτησιν αὐτῶν, διότι ἐὰν ἡ κοιλία καταῤῥαγῇ, τουτέστιν ἀθρόως ἐκκριθῇ πολλὰ, θανατῶδες εἶναι τὸ νόσημα δηλώσει. τὰ γὰρ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι φησὶν ὁ Ἱπποκράτης, ἀλλ' ὡς ἂν χωρέει, οἷα δεῖ καὶ φέρει εὐφόρως. οὕτως μὲν ὁ λόγος ὅτι καὶ σαφής ἐστιν, καὶ καθόλου τι διδάσκει, καταφρονεῖται. τὰ δ' αἰνιγματωδῶς εἰρημένα, σπουδάζεται τοῖς μὲν σοφισταῖς εἰκότως, ἵνα τι θαυμαστὸν διδάσκειν δόξωσι τοὺς μαθητὰς, αὐτοῖς δὲ τοῖς μαθηταῖς διὰ τὴν ἀπαιδευσίαν τῶν πρώτων μαθημάτων, ἐν οἷς οἱ παλαιοὶ τοὺς παῖδας ἔτρεφον. ἀγύμναστος δὲ ὢν ὁ λογισμὸς αὐτῶν, οὐδ' ἕπεται τοῖς λεγομένοις, οὔτε κρῖναι τὴν ἐν αὐτοῖς ἀλήθειαν δύναται, ἐπεὶ τίς ἀκούσας ἄνευ διορισμοῦ ἐπὶ καταῤῥηγνυμένης κοιλίας ἀπόφασιν ἡντιναοῦν, οὐκ εὐθέως μέμφεται τὸν λόγον, ὡς μηδὲν διδάσκοντα. κοιλία μὲν γὰρ ἐν ᾡτινιοῦν νοσήματι καταῤῥαγεῖσα, χωρὶς μετὰ τῶν τῆς πέψεως σημείων ἃ πολλάκις ἀκήκοας, οὐδὲν ὀνίνησι. ἐὰν δὲ δυσφορώτερος ἐργάσηται, πρὸς τῷ μηδὲν ὠφελεῖν ἔτι, καὶ βλάβην ἐπήνεγκεν. ἅμα δὲ τούτοις ὠφελεῖ, καὶ μᾶλλον ἐὰν ὁ λυπῶν ἐκκενῶται χυμός. ἔτι δὲ μᾶλλον ἐὰν εὐφορώτερος ὁ κάμνων ἐπὶ τῇ κενώσει γίγνηται. καὶ βεβαιότερον ὅταν ἐν ἡμέρᾳ κρισίμῳ φανῇ τι προδεδηλωμένων διὰ τῶν ἐπιδήλων. ταῦτ' οὖν ὁ ἐπιγινώσκων, καὶ τῆς εἰρημένης ῥήσεως καταφρονεῖ, καὶ τῶν ἄλλων ἁπασῶν ὅσαι τῶν συμπτωμάτων τῶν κατὰ μέρος, ἢ νοσημάτων μνημονεύουσιν. ἐφ' οἷς γὰρ ἂν ἡ κοιλία καταῤῥαγῇ νοσήμασιν, ἢ συμπτώμασιν, ἐν οἷς μεθ' ὧν εἶπον ἄρτι γένηται διορισμῶν, ἀσφαλῆ τὴν γνῶσιν ἐργάζεται. χωρὶς δὲ τούτων τῶν διορισμῶν, οὐδέποτε ἀληθὴς ὁ λόγος ἔσται, κοιλίαν λέγων καταῤῥηγνυμένην ὠφελεῖν, ἢ βλάπτειν, ἐπὶ πάντων γὰρ ἑκάτερον γίνεται. κατὰ δὲ τοὺς ὡρισμένους διορισμοὺς οὐδὲν ἔστιν εἰπεῖν, ἐπὶ μὲν ἥπατος φλεγμονῇ, φαῦλον εἶναι σύμπτωμα καταῤῥαγεῖσαν κοιλίαν, ἐπὶ δ' ἄλλου τινὸς ἀγαθὸν, ἀλλ' ἐπὶ πάντων ὡς εἴρηται, καὶ ἀγαθὸν, καὶ κακὸν γίνεται μετὰ τῶν οἰκείων διορισμῶν.

Οἷσι φωναὶ ἅμα πυρετοῖσιν ἐκλείπουσαι μετὰ κρίσιν, τρομώδεες, καὶ κωματώδεες τελευτῶσιν.

Καὶ ἥδε ἡ ῥῆσις, ὁμοία ταῖς εἰς ἀσάφειαν ἐξεπίτηδες ἐπιτηδευομέναις ἐστί. τὸ γοῦν ἐκλείπουσαι, ἔνιοι μὲν ἐπὶ τῶν φωνῶν μόνων ἤκουσαν, ἔνιοι δὲ καὶ τοὺς πυρετοὺς αὐταῖς προσέθηκαν, ἄμφω λέγοντες εἰρῆσθαι ἐκλείπειν, καὶ τὰς φωνὰς, καὶ τοὺς πυρετοὺς, ὡς εἶναι τὸν λόγον τοιοῦτον, οἷς δοξάντων λελύσθαι τὸν πυρετὸν ἀφωνία γίνεται, καὶ μετὰ τὴν κρίσιν, οὗτοι τρομώδεες τελευτῶσιν, καὶ κωματώδεες, δηλονότι τῶν πυρετῶν οὐκ ἀσήμως, ἀλλὰ μετὰ κακῆς κρίσεως δοξάντων πεπαῦσθαι. κακὰς δ' ἴσμεν κρίσεις ἐκείνας λεγομένας, ὅσαι γινόμεναι μετὰ φυσικῶν κενώσεων ἢ ἀποστάσεων, οὐ μόνον οὐδὲν ὠφέλησαν τοὺς κάμνοντας, ἀλλὰ καὶ χεῖρον ἔχειν ἢ πρόσθεν ἐποίησαν. ἕτεροι δὲ, οὐδὲ τὰς φωνὰς ἅμα τοῖς πυρετοῖς, ἀλλὰ μόνας αὐτὰς νομίζοντες ἐκλείπειν, ὅλον τὸν λόγον τοιόνδε ποιοῦσιν, οἷσιν ἐκλείπουσι φωναὶ μενόντων τῶν πυρετῶν, εἰ τοῦτο γίνεται, μετὰ κρίσιν οὗτοι τρομώδεές τε ἅμα καὶ κωματώδεες τελευτῶσιν, καίτοι κἀνταῦθα πάλιν ἑτέρα διαφωνία τοῖς ἐξηγουμένοις ἐγένετο. τινὲς μὲν γὰρ ὅταν ἐπὶ τοῖς εἰρημένοις τρομώδεις γένωνται, τελευτᾶν φασὶ τούτους, καὶ κωματώδεις ἅμα καὶ τρομώδεις. τινὲς δὲ κωματώδεις γενομένους οὕτως ἀπόλλυσθαι, οὐδεὶς δ' αὐτῶν οὔτ' ἐκ τῆς τῶν πραγμάτων φύσεως ἀπόδειξιν ἔγραψε λογικὴν, οὔτε τὴν ἐμπειρίαν ἔχει δεῖξαι μαρτυροῦσαν. οὔτε γὰρ τρομώδεις, οὔτε κωματώδεις ἐπὶ τοῖς προειρημένοις, ὡς τὸ πολὺ φαίνονται τελευτῶντες. εἰ δέ τινες ἐν τῷ σπανίῳ γίνονται τοιοῦτοι, τοῦ προγνωστικοῦ τε καὶ προῤῥητικοῦ μέρους τῆς τέχνης ἐκπεπτώκασιν, οὐ γὰρ τῶν τοιούτων, ἀλλὰ τῶν ἢ διηνεκῶς, ἢ ὡς τὸ πολὺ γινομένων εἰς τὰς προῤῥήσεις χρῄζομεν. εἰ δὲ βούλει καὶ τῶν ἀμφιδόξως ἀποβαινόντων, οὐ μὴν γε σπανίων, οὐδεὶς γὰρ βούλεται πολλάκις ἀποτυχὼν ἅπαξ ἐπιτυχεῖν.

Οἷσι καυστικὰ, μεμωρωμένα, κάτοχα, ποικίλλοντα ὑποχόνδρια, καὶ κοιλίην ἐπηρμένοι, σίτων ἀπολελαμμένων, ἐφ' ἱδρῶσι, ἆρα τούτοις τὸ θολερὸν πτύσμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύει γε διασημαίνει; καὶ κοιλίη δὲ ἔπαφα, χολώδεα προσδιεδέχετο; τὸ λαμπῶδες ἐν τούτοισιν ὠφελέει οὐρηθὲν, κοιλίη δὲ τούτοισιν ἐπιταράσσεται.

Ἤθροισε πάλιν ἐνταῦθα συμπτώματα διαθέσεων οὐχ ὁμογενῶν, ἐφ' ὧν ἐδείχθη πρόσθεν οὐδεμία διδασκαλία γινομένη τεχνική. πάντα μὲν γὰρ ἐπισκέψασθαι δεῖ τὰ κατὰ τὸν νοσοῦντα, καὶ μηδὲν μήτε παρορᾶν, μήτ' ἀργῶς

ὁρᾶν. ἑκάστου δ' αὐτῶν ἰδίᾳ μεμαθηκέναι τὴν δύναμιν, οἷον εὐθέως τὰ καυστικὰ πρῶτα πάντων εἴρηται, δυναμένων μὲν ἀκούεσθαι καὶ παθῶν καυστικῶν, ὡς εἰ θερμῶν καὶ διακαῶν εἰρήκει. δυναμένων δὲ καὶ διαχωρημάτων νοεῖσθαι τοιούτων, ὧν ἡ δύναμις ἐστὶν, ὀξύ τε τὸ νόσημα, καὶ ταχὺ κρίσιμον ἐργάζεσθαι, καὶ μέντοι καὶ κινδυνῶδες, ἐὰν ἰσχυρῶς γίνηται, καυστικά. μεμωρωμένα δὲ καλεῖ, τὰ μώρωσιν ἐμποιοῦντα τῇ διανοίᾳ. αὕτη δέ ἐστι χωρὶς παραφροσύνης σύμπτωμα, τοῖς φύσει μωροῖς ὁμοίως ἀποφαῖνον τοὺς νοσοῦντας, ὁποίους καὶ τῶν λεγομένων ἀπογηρᾶν ἐνίους ἴσμεν γιγνομένους, ὃ πάθημα παραπλήσιον μέν ἐστιν, οὐ μὴν ταὐτὸν ὅπερ ὀνομάζουσιν ἄγνοιαν, ὑπὲρ ἧς καὶ ὁ Θουκυδίδης ἔγραψεν ἐπὶ τῶν ἐν τῷ λοιμῷ διασωθέντων ὧδε, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς, καὶ τοὺς ἐπιτηδείους. ἐν τίνι δὲ διαφέρει τῆς λήθης, οὐκ ἀναγκαῖον εἰς τὰ παρόντα σκοπεῖσθαι. τὰ γε μὴν κάτοχα, τὰ τὴν καλουμένην κατοχὴν ἐπιφέροντα, νοσούντων ἡμῶν, ἕτεροι φασὶ τὰ βεβαίως ἱδρυμένα, καὶ οἷον κατεχόμενα νοσήματα, κεκλῆσθαι κάτοχα. καὶ μέντοι καὶ ποικίλλοντα, τὰ συνεχῶς ἐπὶ τἀναντία συμπτώματα τὰς μεταβολὰς ποιούμενα τινὲς ἤκουσαν, ἀποχωρίζοντες δὲ τῆς λέξεως ταύτης τὰ ὑποχόνδρια, ὑφ' ἓν αὐτὸ πάλιν ἀναγινώσκουσι, τὸ κοιλίην ἐπηρμένοι. τινὲς δὲ ὑφ' ἓν, ἀγνοοῦντες τὰ ποικίλλοντα ὑποχόνδρια, καθ' ἑαυτὸ πάλιν ἀναγινώσκουσι, τὸ κοιλίην ἐπηρμένοι, καὶ φασὶν ἐπὶ τῶν ὑποχονδρίων εἰρῆσθαι τὰ ποικίλλοντα. καθάπερ γὰρ εἴρηται ἔμπροσθεν ἐπὶ τῶν καθ' ὅλον τὸ σῶμα γιγνομένων ἐπὶ τἀναντία μεταπτώσεων, οὕτως ἐπὶ τῶν ὑποχονδρίων ἐποίησαν, καὶ μὴν καὶ οἱ συνάπτοντες ὅλην τήνδε τὴν λέξιν, ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, τοὺς παρὰ φύσιν ὀγκουμένους τὰ μόρια ταῦτα δηλοῦσθαι φασίν, ὥσπερ καὶ σίτων ἀπολελαμμένων, ὧν ἐφεξῆς ἐμνημόνευσεν, ἔνιοι μὲν τοὺς ἀνορέκτους φασὶν εἰρῆσθαι νῦν, ὡς εἰ καὶ ἀποκεκλεισμένους εἰρήκει τῆς τῶν σιτίων προσφορᾶς, ἔνιοι δὲ τοὺς ἐπεσχημένους τὴν γαστέρα. καὶ γὰρ κἀν τῷ περὶ διαίτης ὀξέων ἐπὶ τῶν διαχωρουμένων εἰρῆσθαι φασὶ τὴν φωνὴν ταύτην. ἅπαντα οὖν ταῦτα προειπὼν, ὁ γράψας τόδε τὸ βιβλίον, εἶτα ἐπὶ τῷ τέλει προσθεὶς ἐφίδρωσιν, ὃ καὶ αὐτὸ πάλιν ὅλου τοῦ σώματος ὀλίγον ἱδρῶτα, καθάπερ νοτίδα δύναται δηλοῦν, ἢ τὸν περὶ θώρακα καὶ κεφαλὴν μόνην, ἐπενήνεγκεν αὐτοῖς αἰνιγματωδεστέραν ἔτι καὶ τούτων αὐτῶν ῥῆσιν. εἰπὼν ἆρα τούτοισιν τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύγγα σημαίνει, πάλιν γὰρ ἐνταῦθα τὸ θολερὸν πνεῦμα, καθάπερ ἤδη καὶ πρόσθεν εὕρομεν ἀμφισβητουμένην ἔχον τὴν νόησιν. ἀλλ' ἐν ἐκείνῃ μὲν τῇ ῥήσει τὸ περὶ τὴν ἐκπνοὴν θολερὸν πνεῦμα εἰρῆσθαι ὑπ' αὐτοῦ, ὡς λέλεκται, πιθανὸν ἐφαίνετο. νῦν δὲ καὶ τὸ κατὰ τὰς ἐρυγὰς ἔνιοι κελεύουσιν ἡμᾶς ἡγεῖσθαι λελέχθαι, καθάπερ ἄλλοι τὸ κατὰ τὰς φύσας. εἴρηται δὲ καὶ πρόσθεν ὅτι θολερὸν, οἱ μὲν τὸ δυσῶδες, οἱ δὲ ἀτμῶδες ἤκουσαν ὥσπερ καὶ τὸ θαλερόν. ἔνιοι διὰ τοῦ α γράψαντες, τὸ οἷον θάλλον καὶ ἀκμάζον, καὶ μέγα λέγουσιν εἰρῆσθαι. προείρηται δέ μοι καὶ ὅτι πολλάκις ἐν τοῖς ὁμολογουμένοις γνησίοις συγγράμμασιν ὁ Ἱπποκράτης εἰρηκὼς, ἄλλοτε ἄλλας δυσπνοίας διαφορὰς, ἐν τῷ δευτέρῳ καὶ ἕκτῳ πάσας ἐφεξῆς οὐδαμόθεν θολερὸν ὠνόμασε πνεῦμα, καθάπερ οὐδὲ λύγγα θολερὰν, οὐδὲ φύσαν, οὐδὲ ἄλλο τι τῶν τοιούτων. ἔτι δὲ μᾶλλον αἰνιγματωδῶς εἴρηται τὸ γονοειδὲς ἐπελθὸν, εἴτε οὖρον, εἴτε διαχώρημα. καὶ μετὰ ταῦτα διὰ τί προσέθηκεν τὸ λύγγα σημαίνει, καὶ τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, ἄπορον εὑρεῖν. ἐν γὰρ ταῖς τῶν συμπτωμάτων αἰτίαις ἡ λὺγξ ἐδείχθη γινομένη, τῆς γαστρὸς ὁρμώσης ἐκκρίνειν τὰ τοῖς χιτῶσιν αὐτοῖς, οἷον ἐμπεπλασμένα δυσλύτως ὑγρὰ, δύναμιν ἔχοντα δακνώδη, οὐκ ἀρκεσθεὶς δὲ τῷ πλήθει τῶν συμπτωμάτων, ἐξῆς προσέθηκεν, κοιλίη ἔπαφρα χολώδεα προσδιέρχεται, ὃ πάλιν καὶ αὐτὸ διττῶς γράφουσιν. ἔνιοι μὲν ἐπὶ τῆς πρώτης συλλαβῆς τὸ σίγμα προστιθέντες, ἔνιοι δὲ ἀφαιροῦντες. ἀλλ' εἰ μὲν προστεθείη, τὸν ἐφεξῆς χρόνον δηλώσει τῷ προειρημένῳ. εἰ δ' ἀφαιρεθείη τὸν ἔμπροσθεν, οὐ μὴν ἴσον γε οὐδ' ὅμοιον προδιεξέρχεσθαι τὸ ἕτερον θατέρου λέγειν, ἢ ἐπιδιεξέρχεσθαι. τὸ μὲν γὰρ προσδιερχόμενον, σημεῖον ἔσται τοῦ μέλλοντος ἐκκρίνεσθαι, τὸ δ' ἐκκρινόμενον ὑπὸ τοῦ προελθόντος ἀγγελθήσεται. τοιαύτης οὖν ἀσαφείας ἐν ἅπασι τούτοις ὑπαρχούσης, οὐδ' ἐκ τῶν ἐπιφερομένων αὐτοῖς ἔνεστί τι πρὸς τὴν τῶν προόντων ἐξήγησιν λαβεῖν, ὥσπερ οὐδ' εἰς ἐκεῖνα. φησὶ γὰρ τὸ λαμπῶδες ἐν τούτοισιν ἐρυθρὸν, ὠφελεῖ. διττὴ δὲ καὶ κατὰ τοῦτον τὸν λόγον ἐστὶν ἡ ἀσάφεια, μία μὲν ἡ τοῦ λαμπῶδες τί σημαίνει, γραφομένου πρός τινων μὲν διὰ τῶν δυοῖν ππ, πρός τινων δὲ, διὰ τοῦ μ καὶ π. μία δ' ἄλλη ἐν τούτοισιν. ἐν τίσι γὰρ λέγει, πότερον ἀναθήσει τοῖς προειρημένοις, ἢ τοῖς ἐσχάτοις, καὶ ποίοις ἐσχάτοις. δύναται γὰρ ἔσχατα λέγεσθαι, καὶ πάνθ' ὅσα μετὰ τὴν ἀρχὴν εἶπεν. ἆρα τούτοισι τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐλθὸν, λύγγα σημαίνει, ἢ μόνα ταῦτα ἔσχατα εἰρήκει. κοιλίη ἔπαφρα χολώδεα προσδιέρχεται. καὶ μέντοι καὶ τούτοις ἅπασιν ἐπὶ τῷ τέλει προσθεὶς, κοιλίαι τουτέοισιν ἐπιταράσσονται, καὶ καταπαύσας ἐνταῦθα τὸν λόγον, οὐδ' ἑνὸς ἕνεκα φαίνεται τῶν ἐν ἀρχῇ μνημονεύσας. τὰ γάρ τοι μεμωρωμένα, καὶ τὰ κάτοχα μεγάλην βλάβην ἐνδεικνύμενα, τοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἔχοντος μορίου, μάτην εἰρῆσθαι φαίνεται, καὶ χωρὶς μὲν τῶν καυστικῶν ἀποκτεῖναι δυνάμενα, σὺν ἐκείνοις δὲ μᾶλλον, ἀλλ' ὅμως οὐδ' ἓν εἴρηται περὶ θανάτου, καθάπερ ἐπ' ἄλλων ἔμπροσθεν οὐκ ὀλίγων, ἀλλὰ μετὰ τὸ προσθεῖναι ποικίλον τὸ ὑποχόνδριον, καὶ κοιλίην ἐπηρμένην σίτων ἀπολελαμμένων. συνάψας δ' αὐτοῖς καὶ τὴν ἐφίδρωσιν, ἆρα τούτοισι φησὶ τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐλθὸν, λύγγα σημαίνει τίσι τούτοισιν, οἷς ἅπαντα τὰ προειρημένα συμπτώματά εἰσι. καὶ μὴν εἰ μετ' ἐκείνων ἁπάντων τὸ θολερὸν πνεῦμα γένοιτο, ἅμα τὸ γονοειδὲς ἐκκρίσεσι λύγγα σημαίνει, κἂν ἓν ὁτιοῦν λείπῃ τῶν εἰρημένων, ἡ λὺγξ οὐκ ἔσται, καὶ τάχα που τὶς ἅπαξ ἐν ἔτεσι πολλοῖς ἄρρωστον ὄψεται τοιοῦτον. ὃ δὲ πάντων τῶν εἰρημένων ἐστὶν ἀτοπώτατον, ἤδη σοι φράσω, πολλοὺς μὲν ἀρρώστους τεθεαμένος, μυρία δὲ προειρηκὼς τῶν ἐσομένων, οὔτε διὰ τῆς πείρας ἔγνων ἐκ τῶν τοιούτων σημείων λύγγα προερχομένην, οὔτ' ἐκ τῆς τῶν πραγμάτων φύσεως ἐνδεικτικῶς, ἢ αὐτὸς εὗρον, ἢ τινος γράψαντος ἀνέγνων. ἀλλ' ἔστιν ἡ προκειμένη ῥῆσις ἐοικυῖα τῷ κατὰ τὴν παροιμίαν ἐν παιδιᾷ λεγομένῳ. ὤδινεν ὄρος καὶ ἔτεκε μῦν. πολλὰ γὰρ εἰπὼν παθήματα, τινὰ μὲν ἐσχάτως ὀλέθρια, τινὰ δ' ἧττον ἐκείνων, ἔνια δὲ μέτρια, λυγμὸν πρότερον ἔγραψε πρόῤῥησιν. ἐφεξῆς δὲ τὸ λαμπῶδες φησὶν ἐν τούτοισιν ἐρυθρὸν, ὠφελεῖ. τίσι φησὶ τούτοις; τοῖς καυστικοῖς, τοῖς μεμωρωμένοις, ἢ τοῖς κατόχοις, ἢ οἷς ὑποχόνδριον ποικίλα, καὶ ἡ γαστὴρ ἐπηρμένη, ἢ τοῖς ἀνορέκτοις, ἢ τοῖς ἐπεσχημένοις τὴν κοιλίαν, ἢ οἷς ἐφίδρωσις, ἢ οἷς τὸ πνεῦμα θολερὸν, ἢ οἷς αὖ

ἔκκρισις

ἐκκρίσεις γονοειδῆς, ἢ τοῖς λύζουσιν, ἢ οἷς ἡ γαστὴρ ἔπαφρα, καὶ χολώδεα προδιῆλθεν, ἐπειδὴ καὶ τοῦτο διττῶς γέγραπται, μετά γε τοῦ σ καὶ χωρὶς τοῦ σ, ἕκαστον τῶν εἰρημένων προσήκει. ἤτοι γὰρ οἷς ἕκαστον τῶν εἰρημένων, ἢ οἷς ἅπαντα, εἰρῆσθαι προσήκει δέξασθαι. τὸ γὰρ, τούτοισιν, ἀκόλουθόν ἐστι τοῖς καθ' ἕκαστα, ὥστε συνεπινοεῖσθαι πάντως, εἰ μὴ τύχῃ λεχθέν. καὶ γὰρ ἐν ἕκαστον αὐτῶν ὠφελεῖ τὸ λαμπῶδες οὐρούμενον, κἂν δύο κἂν τρία, κἂν πλείω συνέλθοι, τὴν ὠφέλειαν αὐτοῖς παρέχει. θαυμαστὸν δ' ἂν εἴη τοσαῦτα παθήματα διαφερούσαις ἑπόμενα διαθέσεσιν ἄλλων καὶ ἄλλων μορίων, μετὰ τοῦ λαμπώδους ὠφελεῖσθαι. πάντως μὲν ἀφρώδους ὄντος, εἴγε λαμπηδὼν ἴσμεν τὸ τοῖς οὔροις ἐποχούμενον λευκόν. οἱ δ' ἀφρώδες πάντες φασὶν ὀνομάζεσθαι, γινομένου δὴ τοῦ ἀφροῦ, πνευματικῆς οὐσίας ἀναμιγνυμένης, ἢ τοῖς ὠμοῖς καὶ φλεγματώδεσι χυμοῖς, ἢ τηκεδόνι πιμελῆς, μετὰ τοῦ διορισμοῦ δεῖσθαι τὴν ἀπόφασιν οἷα καὶ κατὰ τὴν πρὸ ταύτης ῥῆσιν ἐπὶ τῶν κρισίμως ἐκκρινομένων εἶπον. ἅπαντα γάρ ἐστιν ἀγαθῶν τε καὶ κακῶν κρίσεων κοινὰ διορίζόμενα, μάλιστα μὲν τοῖς πρώτοις τοῖς τῆς πέψεως σημείοις, ἃ διὰ παντὸς ἀγαθόν τι σημαίνει. σὺν αὐτοῖς δ' ὡς ἔφην, τῇ εὐφορίᾳ, καὶ τὸ τὸν λυποῦντα χυμὸν ἐκκενοῦσθαι, καὶ τῷ τῆς ἡμέρας ἐν ᾗ ταῦτα γίνεται πιστῷ, παραλελειμμένου ζητεῖν ἡμᾶς, εἰ μὴ λαμπῶδες ὑπογεγραμμένον διὰ τῶν δυοῖν ππ, σημαίνει τὸ λαμπῶδες, ὃ διὰ τοῦ μ καὶ π γράφουσίν τινες. ὥσπερ γάρ ἐστι γεγραμμένον, διὰ τῶν αὐτῶν ἀπὸ τῆς λάμπης, οὕτω λαππῶδες ἀπὸ τοῦ λάππειν ὠνόμασται. ταῦτ' οὖν ἅπαντα συμπεφόρηται καθάπερ αἰνίγματα, κἂν διεξέλθοι τις αὐτὰ πάντα. τοῦ κατὰ τὸ τέλος ὥσπερ ἐπῳδοῦ γεγραμμένου, καὶ κοιλίαι δὲ τούτοισιν ὑποταράσσονται, τὸν λογισμὸν οὐκ ἔστιν εἰπεῖν, ὅτε γὰρ ὁ λόγος οὔθ' ἡ πεῖρα τῶν ὡς ἐπὶ τὸ πολὺ τοῖς εἰρημένοις ἑπομένων, ἔδειξε κοιλίαν ὑποταρασσομένην.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΒΙΒΛΙΟΝ ΤΟ ΠΡΟΡΡΗΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ, ΥΠΟΜΝΗΜΑ γ.

Οἷς κῶμα γίνεται ἐπ' ἀφῶν παρελθόντων, πυρετὸς παροξύνεται ὀξύς.

Τὴν πρώτην ἁπασῶν ῥῆσιν ἐξηγησάμενος τοῦ προκειμένου βιβλίου, γέγραπταί μοι βιβλίδιον ὑπογεγραμμένον περὶ τοῦ παρ' Ἱπποκράτην κώματος, ἐν ᾧ ὑποδέδεικται τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς ταύτης εἶναι τὴν εἰς ὕπνον καταφορὰν, ἐγρηγορσάναι μετὰ ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς, οὐ δυναμένων τῶν κωματωδῶν. οὐκ ἐξ ἅπαντος δὲ κοιμωμένων ἐπειδὰν μύσωσιν αὐτοὺς, ἀλλ' ἔστιν ὅτε καὶ ἀγρυπνούντων. ἔδειξα δὲ σημαίνεσθαι τοῦτο δι' ὧν εἶπεν ὁ Ἱπποκράτης ἐν ὁμολογουμένοις γνησίοις βιβλίοις, τῷ τε πρώτῳ καὶ τῷ τρίτῳ τῶν γνησίων ἐπιδημιῶν ἐκ τῶν συμφραζομένων ἢ φαινομένων, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, περὶ τοῦ κώματος ὀνόματι. μόνως γὰρ οὕτως εὑρίσκεται τὸ σημαινόμενον ὑφ' ἑκάστης φωνῆς, οὐ μὴν ἐν τούτῳ γε τῷ βιβλίῳ, δυνατὸν ἐγένετό μοι μέχρι δεῦρο διὰ τῶν συμφραζόντων εὑρεῖν τὸ σημαινόμενον ἐκ τοῦ κώματος, ἁπασῶν δὲ τῶν ῥήσεων αἰνιγματωδῶς ἑρμηνευομένων. ἀλλ' οὐδ' ἐν τοῖς ἐφεξῆς οἷόν τε διὰ τῶν συντεταγμένων ὀνομάτων αὐτῷ, τὸ δηλούμενον εὑρεῖν, ὅθεν ὡς ἐν ἀσαφέσι πάσαις ταῖς ῥήσεσιν, ἀσφαλέστερον ὑπέλαβον εἶναι τῆς φωνῆς ἀκούειν ταύτης ὡς Ἱπποκράτης ἐχρήσατο. γίνεσθαι δὲ καταφορὰν αὖ, ὡς ἐν ἄλλοις τέ τισιν ὑπομνήμασι, κἂν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπέδειξα. τὸ μὲν ὑπὸ πλήθους χρήσου βαρυνομένου τοῦ ἐγκεφάλου, καθάπερ ἐπὶ τῶν μεθυσθέντων. ἔστι δ' ὅτε διὰ φλεγματικὸν χυμὸν, ἢ καὶ χωρὶς τοῦ χυμοῦ δυσλύτου ψύξιν. ὅταν δ' ἀγρυπνίᾳ ζευχθῇ τὸ κῶμα, δακνώδους μίξει χυμοῦ τὴν τοιαύτην διάθεσιν ἐδείκνυον γίνεσθαι. κατὰ μὲν οὖν τὰ τῶν ἐπιδημιῶν βιβλία, εἴτ' ἐκ τῶν συντεταγμένων, εἴτ' ἐκ τῶν συμφραζομένων ἐθέλοι τις ὀνομάζειν, ἐδήλουτο τοῦ κώματος ἡ διαφορὰ, μετὰ τοῦ καὶ αὐτὸν τὸν Ἱπποκράτην διορίζεσθαι, ποτὲ μὲν βαθὺ κῶμα λέγοντα ποτὲ δὲ ὑπνῶδες, ποτὲ δὲ ἄγρυπνον, ἢ τι τοιοῦτον. κατὰ δὲ τοῦτο τὸ βιβλίον ὃ νῦν ἡμῖν πρόκειται, μηδ' ἐκ τῶν τοιούτων διορισμῶν, μηδ' ἐκ τῶν συμφραζομένων ἡμῶν δυναμένων νοεῖν τὴν διαφορὰν τοῦ κώματος, οὐδὲ τὴν ἐξ αὐτῶν πρόγνωσιν οἷόν τε κατασκήσασθαι βεβαίως. ἔνθα μὲν οὖν ἤτοι παραφροσύνην, ἢ φρενῖτιν, ἢ μώρωσιν, ἢ κατοχὴν ἐξ ἧς ἔγραψε συνδρομῆς παρελέγει, χρήσιμόν ἐστι τὴν διαφορὰν τοῦ κώματος ἐπίστασθαι. ἐν δὲ τῇ νῦν προκειμένῃ, παντάπασιν ἄχρηστος ἐστὶν ἡ τοιαύτη γνῶσις. ὥσπερ γὰρ ἐπ' ἄλλων συνδρομῶν, οὐκ ὀλίγα συμπτώματα προστίθησιν ὁ γράψας τὸ βιβλίον, οὐδὲν εἰς ἣν ἀποφαίνεται πρόρρησιν συντελοῦντα, κατὰ τὸν αὐτὸν τρόπον, καὶ νῦν ἄχρηστος ἐστὶ πρὸς τὴν ἐνεστῶσαν κρίσιν τοῦ κώματος ἡ μνήμη. προπαροξυνόμενον γὰρ τὸν πυρετὸν ἐπὶ τοῖς ἀφρώδεσι διαχωρήμασιν, ἐγὼ μὲν συνεχῶς εἶδον. ἕκαστος δὲ τῶν ἄλλων ἀναμιμνησκέσθω τῆς ἰδίας αὐτοψίας, οὐ μὴν ἐπί γε τοῖς κώμασιν οἱ πυρετοὶ παροξύνονται πάντως, ἀλλ' ἴσως ἐθεάσατό τινα κωματώδη ἅμα τε γενόμενον, ἀφρώδη τε διαχωρήσαντα, κἄπειτα παροξυνόμενον, καὶ διὰ τοῦτ' ᾠήθη συντελέσαι τι τῷ κώματι τῷ γινομένῳ τοῦ πυρετοῦ παροξυσμῷ. καθάπαξ οὖν ἐγὼ μὲν ἀφρῶδες ὠνόμασα τὸ διαχώρημα, καθάπερ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ λέγων, ὑδαρὲς δὲ κάρτα, ἢ λευκὸν, ἢ χλωρὸν ἰσχυρῶς, καὶ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα. καὶ κατὰ τῶν ἐπιδημιῶν οὐκ ὀλιγάκις. ἐξηγητὴς δέ τις τοῦ προκειμένου συγγράμματος, ἔπαφρα καλεῖν ἔφη τὰ τὸν ἀφρὸν ἄνωθεν ἐποχούμενον ἔχοντα, ὥσπερ ῥυτῶν τινῶν ὄντων, ἢ διαχωρημάτων, ἢ οὔρων, ἢ χυμῶν, ἐφ' ὧν ἐν ἄλλῃ τάξει θέσθαι ὁ ἀφρὸς φαίνεται. διατί δὲ τοῖς πυρικαέσι πυρετοῖς μόνοις ἀφρώδεα διαχωρεῖται, λέλεκταί μοι πολλάκις, ὥσπερ γε καὶ ὅτι τὰ συνήθη τῶν ὀνομάτων ἐξαλλάττειν, ὁ τοῦ προκειμένου βιβλίου συγγραφεὺς ἔργον πεποίηται, κἂν μὴ δύνηται τοῦτο πρᾶξαι, τὰ σημαινόμενα γοῦν ὑπαλλάττειν μετὰ τοῦ καὶ τὴν σύνταξιν αὐτῶν ὑπαλλάττειν ἐν σολοικώδεσι ποιεῖσθαι σχήμασιν. εἰ δὲ οὐ βούλει σύνταξιν ὀνομάζειν, ἔξεστί σοι σύνθεσιν αὐτὴν καλεῖν.

Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶσι πυρετώδεσιν χαλῶνται ἐφ' ἑαυτοὺς ἐπανιόντα, χρονιώτερον, ἐπιρριγῶσαι τούτοισιν οὐ πονηρόν.

διαφωνία τις οὐ σμικρὰ γέγονεν πρὸς ἀλλήλους, καὶ κατ' αὐτὴν τὴν ῥῆσιν, ἄλλων ἄλλως ἐξηγουμένων αὐτήν. ἐγὼ δὲ ὅσα μὲν δυνατόν ἐστί μοι τῶν εἰρημένων ἐν αὐτῇ προσάγειν τοῖς ἀληθέσι, πειράσομαι τοῦτο πρᾶξαι. τὸ δ' ὑπόλοιπον οὐκ ἐμόν, ἀλλὰ τοῦ γράψαντος ἀσαφείας ἔγκλημα. τὸ γὰρ τοιούτων ἀνδρῶν μετὰ πολλῆς σπουδῆς σαφηνίσαι τὰ λεγόμενα, καὶ συναγορεῦσαι προελομένων, ἅπαντας ἀπιθάνους φανῆναι, αὐτοῦ τοῦ συγγραφέως ἐστὶν ἔγκλημα. δοκεῖ δέ μοι τὸ μὲν ἐκ κεφαλαλγίης ἀφωνίαι, διὰ τοῦτο εἰρῆσθαι, διότι σημεῖον εἶναι βούλεται τὴν κεφαλαλγίαν τοῦ πεπονθέναι τὴν ἀρχὴν τῶν νεύρων, ἢ τοπικὴν εἶναι διάθεσιν τῆς ἀφωνίας, οἷαι γίνεσθαι πολλάκις εἰώθασι, ἢ διὰ τὴν τάσιν σφοδράν, ἢ ἔκλυσίν τε καὶ χάλασιν τῶν τὴν φωνὴν ἐργαζομένων μυῶν τε καὶ νεύρων. τὸ δ' ἅμα ἱδρῶσι, πλῆθος ὑγρότητος λεπτῆς, ἢ τῆς καθεκτικῆς δυνάμεως ἔκλυσιν ἐνδείκνυται. τὸ δὲ χαλῶντα, ἐφ' ἑαυτούς, εἰ μὲν ὡς οἱ πλεῖστοι τῶν ἐξηγητῶν ἤκουσαν, ὡς ἐπὶ τῶν ἀκουσίως διαχωρουμένων, οὕτω καὶ ἡμεῖς ἀκούομεν, ἤτοι τῆς διανοίας ἐνδείξεται βλάβην, ἢ τῶν κλειόντων τὴν ἕδραν μυῶν τε καὶ νεύρων. εἰ δ' ὡς ἔνιοι νομίζουσι δηλοῦται τὸ χαλᾶν ἐπὶ τῆς διαθέσεως, ὅπερ ἐστὶ μετεωροτέραν αὐτὴν ἐργάζεσθαι. διὰ μὲν τοὺς ἱδρῶτας φασὶν ἐκεῖνοι, συμβήσεται χρονιώτερον ἐργάζεσθαι τὸ νόσημα, διὰ τοῦτο παραλείπουσιν οὗτοι τὴν τοῦ ἐπανιέντος ἐξήγησιν, ἐπειδὴ ταυτὸν ἀναγκασθήσονται λέγειν, ὅπερ ἐπὶ τοῦ χαλῶντος προειρήκασιν. διὰ τοῦτ' οὖν ὑπαλλάξαντες τὸ ε γράμμα, καὶ γράψαντες τὸ αι, κατὰ τὴν πρὸ τέλους συλλαβήν, ἐπανιόντα φασὶν εἰρῆσθαι, δηλοῦντος δι' αὐτοῦ τὰ ἐπανερχόμενα νοσήματα. καλοῦσι δὲ ἐπανερχόμενα νοσήματα τὰ μετεωρίσαντα μὲν ἐπ' ὀλίγον, αὖθις δὲ παροξυνθέντα. εἰ μέντοι τὰ χαλῶντα ἐφ' ἑαυτοὺς ἐπὶ τῶν διαχωρουμένων ἀπροαιρέτως εἴρηται, ὁ σύμπας λόγος ἔσται τοιοῦτος. αἱ ἐπὶ κεφαλαλγίᾳ ἀφωνίαι γίνονται τοῖς κάμνουσι πυρέττουσι σὺν ἱδρῶτι, καὶ χωρὶς προαιρέσεως ἐκκρίνονται τὰ περιττώματα, κἂν ἐπαύσεις τις γίνηται τῶν συμπτωμάτων ὁμοίως, εἰς χρόνον πλείονα ἐκπίπτει τὰ τοιαῦτα νοσήματα. πρόδηλον δὲ ὅτι χαλεπῶν συμπτωμάτων εἰρημένων οὐκ ἐχρῆν εἰπεῖν μόνον, ὅτι χρονιώτερον γίνεται, ἀλλὰ καὶ περὶ αὐτοῦ πότερον ἐλπίζειν χρὴ σωθήσεσθαι τοὺς οὕτω νοσοῦντας, ἢ τεθνήξεσθαι. παραλιπὼν ὁ γράψας αὐτά, περὶ τοῦ χρονίσαι μόνον ἐδήλωσε. ἀλλὰ τούτῳ πάλιν ἐναντιοῦται τὸ κατὰ τὴν τελευτὴν εἰρημένον, ἐπιῤῥιγῶσαι τούτοισιν οὐ πονηρόν, ὅπερ ἔνιοι φασὶν ἡμαρτῆσθαι. χρὴ γὰρ ἀντὶ τῆς ἀποφάσεως πονηρόν, οὐ μετ' αὐτῆς οὐ πονηρὸν γεγράφθαι. συγχωρηθείσης δὲ τῆς ἐν ἅπασι τῶν ἀντιγράφων εὑρισκομένης γραφῆς, ἥ τις ἐστὶ μετὰ τῆς ἀποφάσεως, εἰκότως φασὶν εἰρῆσθαι τὸ ῥῖγος οὐ πονηρὸν εἶναι διὰ τὴν φύσιν ἐκλελυμένην ἐπεγείρειν. ὅτι δὲ ἐκλέλυται, τήν τε ἀφωνίαν καὶ τὴν ἀκούσιον ἀπόκρισιν τῶν περιττῶν, καὶ τοὺς ἱδρῶτας δηλοῦν.

Χεῖρες τρομώδεες, κεφαλαλγέες, τραχήλου ὀδυνώδεες, ὑπόκωφοι, οὐρέοντες μέλανα δεδασυσμένα, οἷσι ταῦτα μέλανα, προσδέχεσθαι ἥξειν ὀλέθριον.

Ἡ μὲν κεφαλαλγία τούτοις τὴν κεφαλὴν ἐνδείκνυται πάσχειν, ὥσπερ γε καὶ ἡ τῆς ἀκουστικῆς αἰσθήσεως βλάβη, τὸν ἐγκέφαλον αὐτόν, ὥστε καὶ τὴν ὀδύνην τοῦ τραχήλου, καὶ τὰς τρομώδεις χεῖρας τὴν τῶν νεύρων ἀρχὴν πεπονθέναι βεβλάφθαι. τὰ δ' οὖρα μέλανα πολλάκις εἴρηται τῆς ἑτέρας ἀρχῆς εἶναι πάθος, καὶ γίνεται τοῦτο διὰ σφοδροτάτην θερμότητα. τὰ δ' οὖρα δεδασυσμένα, τῶν εἰς ἀσάφειαν εἰσὶν ἐπιτετηδευμένων, ὥσπερ καὶ ἄλλα πολλὰ κατὰ τοῦτο τὸ βιβλίον, ἵνα κἀνταῦθα φλυαρεῖν ἔχουσιν οἷς φίλον τοῦτο. κατὰ γοῦν τὸ προγνωστικὸν ἁπάσας τῶν οὔρων τὰς διαφορὰς αἳ γίνονται τοῖς ὀξέως νοσοῦσι διερχόμενος, οὐκ ἐμνημόνευσε δασέων οὔρων, ὥσπερ οὐδ' ἐν τοῖς τῶν ἐπιδημιῶν, ἢ κατὰ τοὺς ἀφορισμούς. ἀλλ' οἵ γε τὰ τοιαῦτα μὲν ἀποφαίνεσθαι τολμηροί, περὶ ὧν οὐ τὴν γνῶσιν ἀκριβῆ λαβεῖν ἐστιν, οὔτ' εἰ λάβοιμεν, ἔχειν τι πλέον ὧν ἐπιστάμεθα. τὰ δ' ὄντως χρήσιμα μὴ γινώσκοντες ἀνώμαλον ἔχειν, φασὶ τὴν ἐπιφάνειαν τὰ δασέα τῶν οὔρων, ἐξοχαῖς βραχείαις τε καὶ λευκαῖς, οἷόν περ θριξὶ τετραχυσμένα. καί τινες μὲν αὐτῶν ἀφρώδη φασὶν εἶναι τὰ τοιαῦτα τῶν οὔρων, ἀφρὸν λεπτὸν ἐπιπολῆς ἀνωμάλως διεσπαρμένον ἔχοντα. τινὲς δέ, παχέα μὲν αὐτὰ κατὰ τὴν ἐπιφάνειαν ἔχοντα σκληρότητα, πάνυ λεπτὴν ὡς ψάμμον, ἀλλά γε ταῦτα πάντα δηλοῦσιν ἡμῖν οὐδὲν πλέον. αὐτὸς γὰρ ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψε μέλανα προσδέχεσθαι ἥξειν, καὶ τούτῳ γε πάλιν αὐτῷ προσέθηκεν ὀλέθριον. εἴρηκε δὲ ἔμπροσθεν αὐτὸν οὐρεῖν μέλανα. τὸ γοῦν ἐλπὶς μέλανα ἥξειν, ἀπολείπεται περὶ τῶν διαχωρουμένων, ἢ ἐμουμένων ἀκοῦσαι. περιττὸν δὲ ἀναμένειν ἐκεῖνα προῤῥήσεως ἕνεκεν, ὀλεθριώτερα αὐτὸν ἑωρακότα σημεῖα οὖρα μέλανα, πρὸς τῷ μήτε διὰ παντός, μήθ' ὡς τὸ πολὺ μελαίνων οὔρων γενομένων, ἔκκρισιν διὰ γαστρός, ἢ ἔμετον ἕπεσθαι διὰ παντὸς μέλανα. διό μοι δοκεῖ καὶ ὁ Διοσκουρίδης ὑπομέλανα γράψαι τὰ τοιαῦτα οὖρα, προσθεὶς τὴν, ὑπό, πρόθεσιν, ἵνα προῤῥητικόν τι κἂν ὀλίγον ὁ λόγος ἔχῃ. περιττὴ δὲ παντοίως ἔσται τῶν ἄλλων συμπτωμάτων ἡ προσθήκη. τὰ γὰρ ὑπομέλανα οὖρα ῥοπὴν ἔχοντα πρὸς τὸ μέλανα γενέσθαι, τῆς ἰδέας δεῖται τοῦ πυρετοῦ, διοριζομένης ἀσφαλεστέραν πρόῤῥησιν, ἑτέρου δὲ οὐδενός. ἐὰν γὰρ ἱκανῶς ᾖ δριμὺς καὶ πυρώδης ὁ πυρετός, ἡ μετάπτωσις εἰς τὸ μέλανα τῶν ὑπομελαίνων οὔρων ἔσται ῥᾳδίως. ἐὰν δὲ μὴ τοιοῦτος, οὐ πάνυ τι πυρώδης, τούτῳ τρομώδεις αἱ χεῖρες, ὥσπερ καὶ ἡ κεφαλαλγία καὶ τὸ ὑπόκωφον, καὶ τὸ τοῦ τραχήλου ὀδυνῶδες. ταῦτα γὰρ ἅπαντα φρενιτικὰ σημεῖα.

Αἱ μετ' ἐκλύσεως κατόχως ἀφωνίαι, ὀλέθριαι.

Πάλιν κἀνταῦθα λόγον ἔγραψε κατὰ μέρος ὥσπερ καὶ πρόσθεν ἡνίκα ἔλεγεν, αἱ παραφροσύναι κάκισται κοινῶς πᾶσι τοῖς τοιούτοις εἰσίν, ὃ καὶ τοῖς ἰδιώταις δῆλον ὑπάρχει, τὸ τὰ μεγάλα πάθη τοῖς προκεκμηκόσι τὴν δύναμιν ὀλέθρια γίνεσθαι. ἀλλ' ὅπερ ἐκεῖ προεξαδυνατησάντων, τοῦτο ἐνταῦθα μετὰ ἐκλύσεως εἶπε. δύναται δέ τις καὶ μετὰ ἐκλύσεως, ἢ ἀσθενείας, ἢ ἀῤῥωστίας εἰπών, ἐκπέμψαι φαντασίαν τοῖς πολλοῖς καὶ ἀμαθέσιν ἄλλό τι λέγειν. δύναται καὶ τῶν κατὰ μέρος παθῶν μνημονεύειν ἵνα ἐν τῷ δὲ δόξῃ λέγειν ἄλλοτε ἄλλα. καὶ γὰρ αἱ περιπνευμονίαι, καὶ αἱ πλευρίτιδες ἐν ἀσθενείᾳ δυνάμεως γινόμεναι, καὶ πᾶν ὁποιοῦν πάθος ἰσχυρόν, ὀλέθριόν ἐστιν, ὅπου γ' οὐδὲ οἱ τὴν

δύναμιν

δυνάμιν ἰσχυροὶ διασώζονται πάντες ἐξ αὐτῶν, εὔδηλον ὡς τῶν ἀσθενῶν οὐδένα σωθῆναι δυνατόν ἐστι. νῦν μὲν οὖν ἐμνημόνευσε δύο συμπτωμάτων ἑπομένων τῇ βλάβῃ τοῦ ἐγκεφάλου, καὶ θάτερον δι' αὐτῶν μόνον εἰπὼν τὶς ἀληθεύει. καὶ γὰρ αἱ μετ' ἐκλύσεως κατοχαὶ, μοχθηραὶ, καὶ αἱ μετ' ἐκλύσεως ἀφωνίαι παραπλησίως αὐταῖς.

Πλευροῦ ἄλγημα ἐν πτύσεσι χολώδεσιν ἀλόγως ἀφανισθὲν, ἐξίσταντο.

Καὶ τοῦτο τοῦ λόγου τὸ καθόλου πολλάκις εἴρηται πάντων τῶν ἀλόγων ἀφανισθέντων κακόν τι σημαινόντων, καὶ ἐνταῦθα δὲ πρόσκειται τῶν κατὰ μέρος τι κακὸν γιγνόμενον ἐπὶ χολώδεσι πτύσμασιν ἐν πλευριτικοῖς πάθεσιν ἐξαίφνης ἀφανισθεῖσιν, οὐ μὴν διὰ παντὸς ἢ πλειστάκις, ἀλλ' ὅταν ἡ μετάστασις τοῦ χολώδους ἐπὶ τὴν κεφαλὴν γένηται, τηνικαῦτα μόνον οἱ κάμνοντες ἐξίστανται. τῇ μέντοι συνηθείᾳ τῆς ἑρμηνείας ἤδη χρησάμενος ὁ γράψας τὸ βιβλίον, ἀλλόκοτον ἐποίησε τὴν λέξιν, οὐκ ἐχόντων ἡμῶν τινὶ τὸ ἐξίσταντο συντάξομεν. ὅσον μὲν γὰρ ἐπὶ τῇ

10 λέξει τῷ τοῦ πλευρᾶς ἀλγήματι, φαίητε γε αὐτοῦ, πλευροῦ ἄλγημα ἀλόγως ἀφανισθὲν, ἐξίσταντο. πάνυ δ' ἀκύρως ἂν εἴη λεγόμενον, τὸ τοῦ πλευροῦ ἄλγημα ἀλόγως ἀφανισθὲν ἐξίσταντο. καὶ γὰρ ἀντὶ τοῦ ἐξίσταντο, ἐξίσαται γράφωμεν χωρὶς τοῦ ν τῆς περὶ τέλους συλλαβῆς διὰ μόνου τοῦ τ καὶ α, καὶ οὕτως ἄτοπος ἡ ἑρμηνεία γίνεται, καὶ πολὺ χείρων αὐτῆς. τὸ μὲν γὰρ ἀπὸ τῶν παθῶν ἐπὶ τὸν κάμνοντα, σολοικώδης ἡ μετάβασις γίνεται. τὸ δ' αὖθις τοῦ ν λεγόμενον ἐξίσαται, τὴν ἀρχὴν οὐδ' οὕτως τι πρότερον σημαίνει δυνατὸν εὑρεῖν. κατὰ φύσιν γὰρ ἦν εἰρηκέναι πλευροῦ ἀλγήματος ἐπὶ πτύσμασι χολώδεσιν ἀλόγως ἀφανισθέντος, οἱ κάμνοντες ἐξίστανται. σημαίνοντος δηλονότι τοῦ ἐξίστανται, παρακοπὴν σφοδρὰν καὶ μανιώδη.

Ἐπὶ τραχήλου ἀλγήματι κωματώδει ἱδρώδει, κοιλίη φυσηθεῖσα, εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ὑποπεριπλυθεῖσα, ἐκ τουτέων ἄχολα ἐξίστανται, τὰ τοιαῦτα

20 ## διασωζόμενα μακροτέρως διανοσεῖ. ἆρά γε εἰσὶν ἄχολοι περιπλύσιες, εὐηθέστεραι, καὶ τὸ φυσῶδες ὄγκῳ προσωφελέει;

Καὶ κατὰ τήνδε τὴν ῥῆσιν ἀνομοιογενῶν ἐστι συμπτωμάτων ἄθροισμα. τραχήλου μὲν γὰρ ἄλγημα μετὰ κώματος, ἐν τῇ κεφαλῇ νοσώδη διάθεσιν εἶναι σημαίνει. ὁ δ' ὡς σύμπτωμα καὶ μὴ κριτικὸς ἱδρὼς, ἤτοι πλῆθος ἢ ἀῤῥωστίαν ἐνδείκνυται τῆς ἑκτικῆς τε καὶ καθεκτικῆς ὀνομαζομένης δυνάμεως. ἐμφυσηθεῖσα δ' ἡ γαστὴρ, αὐτὸ δὴ τοῦτο πεπονθέναι τὸ μόριον δηλοῖ τὴν γαστέρα. τὸ δὲ πρὸς ἀνάγκην ὑγρὰ χαλᾶν, ὑποπεριπλυθεῖσαν δὲ τοῦτο ποιεῖν, τὸ ἧπαρ ἐνδείκνυται πεπονθέναι. ἐξίστασθαι δὲ ὅπερ ἐστὶ παρακόπτειν σφοδρῶς τούτους φησὶν, καίτοι μηδενὸς σημείου γενομένου τοῦ ἐκστάσεως. τὸ γὰρ κωματῶδες εἴρηται μόνον ἐγκεφάλου πάθος ἐναντίον ὑπάρχειν ἐκστάσει. πλὴν εἰ τὸ τραχήλου τις ἄλγημα φησὶν τοῦ ἐκστάσεως εἶναι σημεῖον, ὃ μηδὲ τὴν ἁπλῆν παραφροσύνην σημαίνειν δύναται μό-

30 νην, αὖθις γε τοῦ καὶ ἄλλα προσελθεῖν αὐτῷ σημεῖα, οἷον ἀγρυπνίαν, κεφαλαλγίαν, ὄμμα θρασὺ, θρασεῖαν ἀπόκρισιν, ὕπνους ταραχώδεις, ἤ τι κατὰ τὰς αἰσθήσεις, ἢ προαιρετικὰς κινήσεις βεβλαμμένον. εἰκότως οὖν ἀντὶ τοῦ ἐξίστανται ἔνιοι ἐφίστανται ἐπὶ τῶν διαχωρημάτων εἰρῆσθαι φάσκοντες αὐτὰ, καὶ συνῆφθαι μᾶλλον ἐκείνοις, ὡς εἶναι τὸ συνεχὲς τῆς λέξεως τοιόνδε, κοιλίη φυσηθεῖσα. εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα ὑποπεριπλυθεῖσα, ἐκ τουτέων ἄχολα ἐφίστανται. τούτοις οὖν ἐφεξῆς εἰπὼν, τὰ τοιαῦτα διασωζόμενα μακροτέρως διανοσεῖ. τελευταῖον ἔγραψεν, ἆρα γε ἄχολοι περιπλύσιες εὐηθέστεραι, καὶ τὸ φυσῶδες ὄγκῳ προσωφελέει, ὡς εἰ καὶ οὕτως εἶπε. καὶ φυσώδεις ὄγκωμα προσωφελοῦσι. τοῦτο δ' αὐτὸ πάλιν ἴσον δύναται, τῷ τοὺς φυσώδεις ὄγκους ὠφελεῖν. εἰ δὲ ἀλλόκοτός σοι ἡ σύνταξις εἶναι δοκεῖ, χρὴ συγγινώσκειν τοῖς οὕτως ἐξηγουμένοις. πάμπολλα γὰρ ἐν τῷ βιβλίῳ τούτῳ τοιαῦτα φαίνεται ἀσυνήθεσι τῶν ὀνομάτων ἑρμηνευόμενα. εἰκότως δὲ φαίνεται ζητῶν εἰ ἄχολοι περιπλύσεις τοὺς τοιούτους ὄγκους ὠφελοῦσι, τεκμαιρόμενος τοὺς φυσώδεις, οὐχ ὑπὸ χολῆς ἀλλ' ὑπὸ ψυχρῶν ὑγρῶν ὑδατωδῶν κατὰ τὴν σύστασιν ἅμα

40 πνεύματι φυσώδη γίγνεσθαι. κατ' αὐτὴν μὲν οὖν τὴν ἐξήγησιν ὁμολογεῖν ἀλλήλοις φαίνεται ταῦτα. καὶ καλῶς ὑπό τινων γέγραπται τὸ συνίσταται, ἢ ἐφίσταται ἐπὶ τῶν διαχωρημάτων, καὶ μᾶλλον γε αὐτὸ τὸ ἐφίσταται, διότι γάρ ἐστιν ἄχολα, διὰ τοῦτο ἐφίσταται καὶ πρὸς ἀνάγκην μόγις χαλᾶται, τουτέστι μετὰ τοῦ πραγματεύεσθαί τι τὸν ἰατρόν. ἐκ περιττοῦ δὲ πάλιν φαίνεται τὸ κατὰ τὴν ἀρχὴν ἐπὶ τραχήλου ἀλγήματι κωματώδει συνῆφθαι, κατὰ μηδὲν συνημμένον τοῖς περὶ τὴν κοιλίαν συμπτώμασι. ἔοικεν οὖν ὥσπερ ἄλλας πολλὰς συνδρομὰς ἐφαίνετο τεθεαμένος ἐφ' ἑνὸς ἢ δυοῖν, ἐπὶ τὸ γράφειν ἀφῖχθαι, καὶ νῦν οὕτω πεποιηκέναι χωρὶς τοῦ προγράψαι τὸν ἄῤῥωστον ὀνόματι, καθάπερ ἐπ' ἄλλων ἐποίησε. καὶ εἴπερ τοῦθ' οὕτως ἔχει, δυνατόν ἐστιν ἐν ἀρχῇ μὲν τῆς νόσου, πλῆθος τι χυμῶν ψυχρῶν μὲν τῇ κράσει, λεπτῶν δὲ τῇ συστάσει, τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἐνοχλῆσαι μόρια. μεταῤῥυέν δὲ ἐπὶ τὰ κατὰ τὴν γαστέρα, τόντε φυσώδη κατ' αὐτὴν ἐργάσασθαι ὄγκον, καὶ τὰ διαχωρήματα λεπτὰ καὶ ὑδατώδη ποιῆσαι, καὶ διὰ τοῦτο μένοντα ἐπὶ τὴν γαστέρα, καὶ μὴ διεξερχόμενα καθάπερ τὰ χολώδη καὶ δάκνοντα. διαφέρει δὲ οὐ σμι-

50 κρὸν, ἢ τὰ συμβάντα τινὶ διηγουμένου, τοῦ τὸ βιβλίον γράψαντος, αἰτίας αὐτῶν ἡμᾶς ἀποδιδόναι πιθανὰς, ὡς ἐν τῷ τῶν ἐπιδημιῶν ἐποιησάμεθα, ἢ ὡς καθολικοὺς τοὺς λόγους ἐξετάζειν. ἀπὸ μὲν γὰρ τῆς κεφαλῆς εἰς τὴν γαστέρα μεταῤῥυῆναι τὶς δύναται χυμὸς, ὥσπερ γε καὶ εἰς τὸν φάρυγγα καὶ λάρυγγα καὶ πνεύμονα, καὶ εἰς θώρακα καὶ διάφραγμα, καὶ σπλῆνα καὶ ἧπαρ. καὶ ὁτιοῦν ἄλλο, καθάπερ γε κἀξ ἐκείνων γε ἕκαστα πάλιν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθῆναι. τὸ δ' ἤτοι διὰ παντὸς ἢ πλειστάκις εἰς ἐν τοῦ εἰρημένου τὴν μετάστασιν γίνεσθαι, ψεῦδος, ὅπερ αἱ πλεῖσται τῶν κατὰ τοῦτο τὸ βιβλίον ἐνδείκνυνται ῥήσεις, ἐφ' αἷς ἁπλῶς ἀποφαίνεται χωρὶς τοῦ προσθεῖναι τὸν ἐπαπορητικὸν σύνδεσμον, ἢ τοῦ ἀῤῥώστου αὐτὸν ὀνομάσαι. ἀλλά γε ἐπὶ τὴν προκειμένην ῥῆσιν εἰπὼν, ἆρά γε εἰσὶν αἱ ἄχολοι περιπλύσιες εὐηθέστεραι, δῆλος ἐστὶ μὴ θαῤῥεῖν ὡς καθολικῷ τῷ λόγῳ. τὸ δὲ εὐηθέστεραι ῥῆμα, σημαίνει μὲν καὶ τὸ κακοηθέστεραι. καὶ πολλάκις ἐπὶ τοῦτο τὸ σημαινόμενον τούτῳ φαίνονται κεχρημένοι πολλοὶ τῶν παλαιῶν, σημαίνει δὲ καὶ τὸ εὔτροποι. κέχρηνται γὰρ καὶ τούτῳ τινὲς παλαιῶν

καθό ἐστι νῦν ἔοικεν εἰρῆσθαι. συνεμφαίνει γὰρ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, προσωφελεῖν.

Κοιλίης περίτασις πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ταχὺ ὀγκουμένη, ἔχει τι σπασμῶδες, οἷον καὶ τῷ Ἀσπασίου υἱῷ, τὸ ἐπιῤῥιγοῦν τούτοις ὀλέθριον. ἐκ τουτέων σπασμώδης γενηθεὶς, καὶ ἐμφυσηθεὶς, μακρότερον διανοσήσας, στόματι σῆψις χλωρὴ ἐπεγένετο.

Εἴρηταί μοι καὶ πρόσθεν ὡς ἡ διδασκαλία τῆς ἰατρικῆς θεωρίας ὑφ' Ἱπποκράτους διὰ τῶν καθόλου γέγονεν ἐν ἅπασι τοῖς γνησίοις βιβλίοις, προχειριζομένου ποτὲ καὶ τῶν κατὰ μέρος ἔνια παραδειγμάτων ἕνεκα πρὸς σαφήνειαν τῶν μανθανόντων. ἐπεὶ δ' οὐκ ἀπόχρη τὰ καθόλου θεωρήματα μαθεῖν, εἰς τὸ διαγινώσκειν ἑτοίμως ἐπὶ τῶν ἔργων αὐτὰ χωρὶς τοῦ γυμνάζεσθαι, διὰ τὴν γυμνασίας ἕνεκα, ἔγραψε τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν ἀῤῥώστους, ἐφ' ὧν οὐδὲν παρέλιπεν τῶν συμβάντων αὐτοῖς. ἡ δ' ὑπὸ τοῦ τὸ προῤῥητικὸν γράψαντος ἀνδρὸς γινομένη διδασκαλία, δέδεικται μὲν ἤδη πολλάκις οὐκ ἔχουσα τὸ καθόλου, πλὴν εἴπου σπανίως. ἀπολειπομένη δὲ καὶ τῆς κατὰ μέρος ἀκριβοῦς διηγήσεως, ὁποία γέγραπται κατὰ τοὺς ἐν τοῖς ἐπιδημιῶν ἀῤῥώστους, ἔνθα πρῶτον μὲν ἐὰν ἐπίσημον οὖν τι τῶν προκαταρξάντων αἰτίων, δεδήλωκε λέγων, οἷον εἴ τις ἐκ κόπων, ἢ γυμνασίων ἀκαίρων, ἢ μέθης ἤρξατο νοσεῖν, εἶθ' ὅτι τῇ μὲν πρώτῃ τῶν ἡμερῶν ἐγένετο ταυτὶ περὶ αὐτόν, ἐν δὲ τῇ δευτέρᾳ ταυτὶ, καὶ οὕτως κατὰ τὴν τρίτην καὶ τὴν τετάρτην, καὶ τὰ ἐφεξῆς ἅπαντα διηγεῖται τὰ γινόμενα, τοῖς παρ' αὐτοῦ μεμαθηκόσι τὴν καθόλου θεωρίαν, ἐφαρμόττειν προτρέπων τοῖς πεφηνόσι κατὰ τοὺς ἀῤῥώστους, μετὰ τοῦ καὶ αὐτὸν ὑφηγεῖσθαι ἐνίοτε πρὸς τὴν γυμνασίαν, ὡς ἐπιδέδεικταί μοι κατὰ τὰς ἐξηγήσεις αὐτῶν. ὁ δὲ τοὺς ἐν τούτῳ τῷ βιβλίῳ γράφων ἀῤῥώστους, ἀπὸ τῆς τοιαύτης διηγήσεως ἐπί τισι τῶν ὀφθέντων ἅπαξ ἤδη βούλεται καθόλου θεωρήματα συνίστασθαι, σφαλλόμενος ἐν πολλοῖς οὐ σμικρὰ, καθάπερ ἐν τῷ ἑτέρῳ γινόμενον, ἑτέρῳ προσνέμειν ὥσπερ καὶ νῦν. τῷ γοῦν Ἀσπασίου υἱῷ τὰ περὶ τὴν γαστέρα συμπτώματα γράψας μόνον, σπασμώδη τι φησὶν ἔχειν αὐτά. τρία δ' ἐστὶν ἃ ἔγραψε συμπτώματα, πρῶτον μὲν κοιλίης περίτασις, ἐφεξῆς δ' αὐτῆς, τὸ πρὸς ἀνάγκην ὑγρὰ χαλᾶν, ὅπερ ἔν τισι διαχωρεῖν εἴωθε λέγειν. καὶ τρίτον ἐπ' αὐτοῖς, τὸ ταχέως ὀγκοῦσθαι. συνεκφαίνει δὲ τούτῳ ἐστὶ τὸ μειοῦσθαι τὴν αὐτὴν ἴσως ἐπὶ τοῖς ὑγροῖς διαχωρήμασι. καὶ γὰρ ἐφεξῆς αὐτῶν εἴρηται τὸ ταχὺ ὀγκουμένη. τούτοις δὲ τοῖς συμπτώμασι μόνοις †ἐζεύχθαι σπασμῶδές τι, ἐάν τις ἐπὶ νοσοῦντος οὕτως ἀνθρώπου προείποι, σφαλήσεται μὲν πάνυ πολλάκις, ἐπιτύχοι δ' αὖ ποτε καὶ ἅπαξ ἐν τῷ σπανίῳ. καὶ αὐτὸς δὲ ὁ ταῦτα γράψας ὅμοια τοῖς νῦν εἰρημένοις συμπτώμασι κατὰ τὴν γαστέρα προειρηκὼς ἐν τῇ πρὸ ταύτης ῥήσει, περὶ σπασμοῦ λόγον πεποίηται οὐδένα, καίτοι τραχήλου πόνον εἰρηκὼς γεγονέναι μετὰ κώματος. ἔχει δ' ἡ ῥῆσις ὧδε, ἐπὶ τραχήλου ἀλγήματι κωματώδει ἱδρώδει, κοιλίη φυσωθεῖσα, εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ὑποπεριπλυθεῖσα. δῆλον οὖν ὅτι τὰ μὲν κατὰ τὴν κοιλίαν συμπτώματα, παραπλήσια τοῖς νῦν εἰρημένοις ἐστὶν, ἔξωθεν δ' αὐτῶν ἄλγημα τραχήλου πρόσκειται νευρώδους μορίου, καὶ πλησίον ἐγκεφάλου κειμένου, καὶ τὸ κωματῶδον περιέχοντος, μετὰ τοῦ καὶ τὸν ἐγκέφαλον ἤδη πεπονθέναι. τὸ γοῦν κωματῶδες ἐκείνου σύμπτωμα, πιθανώτερον ἦν ἐπὶ τοῦ κάμνοντος οὕτως γεγράφθαι τὸ ἔχειν τι σπασμῶδες, οὐκ ἐπὶ τοῦ νῦν. ἐφ' οὗ δυνατὸν ἐστὶν ἕτερόν τι σύμπτωμα γεγονέναι τοῦ σπασμοῦ δηλωτικὸν ὃ παρέλιπεν ἐν τῇ διηγήσει. εἰ μὴ ἄρα τὸ ἐπιῤῥιγοῦν αὐτῷ εἰρημένον ἐν αὐτῇ νομίζει τις σπασμοῦ σημεῖον. εἴρηται γὰρ καὶ τοῖς τῶν ἐξηγητῶν ἐνίοις. οὐδὲ τὰς ὁσημέραι τριταίας τε καὶ τεταρταίας περιόδους ὁρῶσι μετὰ σφοδροτάτου ῥίγους ἐνίοις γινομένας, οὐδὲν ἐχούσας σπασμῶδες. ἀλλ' οὕτως εἰσὶ σοφώτατοι τὰ περὶ ἰατρικῆς οἱ τὰ τοιαῦτα γράφοντες, ὡς ἡγεῖσθαι νεύρων εἶναί τι πάθος τὸ ῥῖγος, ὡς σπασμὸν καὶ τρόμον. οὔτε δὲ διατί σπασμώδης ὁ τοῦ Ἀσπασίου υἱὸς ἐγένετο, δύναιτ' ἄν τις εἰπεῖν, ἁπάντων μὴ γεγραμμένων τῶν συμβάντων αὐτῷ, οὔτε διατί χλωρὰ σηπεδὼν ἐν τοῖς κατὰ τὸ στόμα τόποις ἐγένετο. κακοχυμίας μὲν γὰρ ἔκγονα τὰ τοιαῦτα παθήματα. πόθεν δ' ἤθροισέ ποτ' αὐτὴν, ἄδηλον, οὐκ εἰδότων ἡμῶν ὅπως διῃτήθη. ὁμοίως οὐδὲ τὰ κατὰ τὴν κοιλίαν αὐτοῦ γινόμενα, σηπεδονώδους καὶ κακοχυμίας σημεῖον, πρὸς τῷ μηδὲ τίνα λέγει τὴν χλωρὰν σηπεδόνα γινώσκεσθαι σαφῶς, ἐπειδὴ χλωρά ἐστι τὰ τὴν ἰώδη χροιὰν ἔχοντα καλοῦσιν, καὶ τὰ τὴν ὠχράν.

Τὰ κατ' ὀσφὺν κατὰ λεπτὸν χρόνια ἀλγήματα πρὸς ὑποχόνδριον γριφόμενα, ἀποσιτικὰ, ἅμα πυρετῷ, τούτοισιν εἰς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν κτείνει ὀξέως τρόπῳ σπασμώδει.

Εἴθ' ὑπὸ λεπτὸν ἢ κατὰ λεπτὸν, ἑκατέρως γὰρ γράφουσιν, ἀσάφειαν ἔχει πολλὴν, διὸ τινὲς ἔγραψαν ὑπὸ πλευρόν. οἱ δ' οὖν ὑπὸ λεπτὸν, ἢ κατὰ λεπτὸν γράψαντες, ἐσχίσθησαν ταῖς γνώμαις. ἔνιοι μὲν ἔντερον λεπτὸν εἰρῆσθαι λέγοντες, ἔνιοι δὲ τὸ πλατὺ καὶ ἱερὸν ὀνομαζόμενον ὀστοῦν. εἰσὶ δ' οἳ καὶ τρίτον τι τούτων ἐποίησαν, ὡς λέγειν ἄμφω ἅμα καὶ συνάπτουσι τὸν λόγον, τοῖς ἐπιφερομένοις. φασὶ γοῦν ἀπὸ τῆς ἐπιπολῆς ἥπατος φλεβὸς ἀποφύσεις τε καὶ καταχίσεις παμπόλλας περὶ τὸ μεσάραιον γίνεσθαι. τούτων οὖν παχουσῶν, ὀδύνας ἕπεσθαι περὶ τὴν ὀσφὺν οὐ συνεχεῖς, ἀλλὰ κατὰ λεπτάς τινας διαστάσεις, ἅς τινας ἀνάγεσθαί τε ἐστὶ συνάγεσθαι, ἐστὶ οἷον συσπᾶσθαι πρὸς τὸ δεξιὸν ὑποχόνδριον, ἐπὶ τὰς πύλας τοῦ ἥπατος. ἔνθα τὴν οἷον ῥίζαν εἶναι τοῦ πάθους ὑποτίθενται φλεγμαινούσης τῆς φλεβὸς ταύτης ἅμα ταῖς ἀποφύσεσιν ἁπάσαις. διατί δ' οὕτως ἀκούειν χρὴ τὸ γριφόμενα, παραλείπουσι μὲν οὗτοι. λέγουσι δ' ἄλλοι τινὲς παρὰ τὸν γρῖφον ὠνομάσθαι. καλεῖται δ' οὕτως τι τῶν ἁλιευτικῶν δικτύων, οὐχ ὡς οὗτοι νομίζουσι διὰ τοῦ φ γραφόμενον. ἕτερον γὰρ τὸ περὶ φωνῆς σημαινόμενον ταύτης, ἀλλὰ διὰ τοῦ π, διὸ καί τινες ἐν τῇ προκειμένῃ ῥήσει γριπόμενα γράφουσι. τινὲς δὲ τοὺς ἐνειλουμένους ὑμένας, γριφομένους φασὶ λέγεσθαι συνήθως, ὅταν τις διαγράφῃ τε καὶ διαγινώσκῃ τῷ δακτύλῳ. ἐκ μεταφορᾶς οὖν τὰ τοῖς δακνομένοις τε καὶ διαγραφομένοις ἀλγήματα γιγνόμενα κεκλῆσθαι γριφόμενα. τινὲς δὲ καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρῆσθαί φασι τὰ περὶ τὴν ὀσφὺν καὶ κατὰ λεπτὸν χρόνια ἀλγήματα, ὡς εἰ καὶ κατὰ τόνδε τὸν τρόπον εἰρήκει, τὰ κατὰ σμικρὸν ἀλγήματα γινόμενα, τουτέστι τὰ

πεσεῖ τὰ ἄλλα γίνεσθαι. συγχωρήσαντες οὖν ἐστὶ τοῖς οὕτως ἐξηγουμένοις καὶ τοῖς τὰς πύλας τοῦ ἥπατος πάσχειν ὑπολαμβανομένοις ὀρθῶς εἰρῆσθαι πάντα. ἐστὶ γὰρ τὸ ἀποσιτεῖν περὶ τῶν ἀνορέκτων εἰρημένον, ἕν τι τῶν τεκμηρίων εἶναί φασι τοῦ πεπονθέναι τὸ ἧπαρ, ἀκούσωμεν παρ' αὐτοῦ τίς ἐκ τῶν οὕτως εἰρημένων ἡμῖν ὠφέλεια γενήσεται. φησὶ γοῦν ὁ γράψας τὴν ῥῆσιν, τούτοισιν ἐν κεφαλῆς ἄλγημα σύντονον ἐλθὸν, κτείνει ὀξέως τρόπῳ σπασμώδει. ἆρ' οὖν συμβάλλουσιν ἡμῖν πρὸς ἐπαίνεσιν ἑπόμενα πάντα ταῦτα. τὸ μὲν γὰρ ὅτι δύναται μετάστασις, οὐ μόνον ἐπὶ κεφαλὴν, ἀλλὰ καὶ πᾶν ὁποιοῦν ἄλλο μόριον γενέσθαι τῶν λυπούντων, εἴτ' οὖν τὸ μεσεντέριον, εἴτε ἐστὶ τὸ ἧπαρ πάσχειν βούλονται, συγχωρήσειεν αὖ τις. τὸ δ' ὅπως μεταστήσεται, πρὶν γενέσθαι τινὰ τῶν ἰδίων τῷ μορίῳ συμπτωμάτων, τοῦτ' οὐχ οἷόν τε προγνῶναι. γενομένην μέντοι γνωρίσαι τὴν μετάστασιν, καὶ μάλιστα ὅταν παύσηται τὰ πρότερον λυποῦντα. καὶ μέντοι καὶ τοιαῦται μεταστάσεις ἐπὶ ἀρρώστων ἐν τοῖς τῶν ἐπιδημιῶν γεγραμμέναι εἰσὶ, καθάπερ καὶ νῦν ἐγέγραπτο. τῶν δὲ τινῶν εἰρημένων κατὰ τὴν κοιλίαν συμπτωμάτων, εἶτα ἀφανισθέντων ἐξαίφνης, ἤλγησεν ὁ κάμνων σφόδρα κατὰ κεφαλῆς, ἔφαμεν αὖ εἰς ταύτην γεγονέναι τὴν μετάστασιν. οὐ μὴν ὅ, τι περ αὖ ἐργάσηται βεβαίως ἦν εἰπεῖν, πρὶν ἄλλο τι φανῆναι σημεῖον, ἢ καταφορᾶς, ἢ παραφροσύνης, ἢ σπασμοῦ. δυνατὸν μὲν γοῦν ἐστὶ τοῦτο γίνεσθαι, δυνατὸν δὲ καὶ τὴν φύσιν ἰσχυροτέραν τοῦ νοσήματος εὑρεθεῖσαν, αἱμορραγίας ἐργάσασθαι διὰ ῥινῶν, ἢ παρωτίδας ἐγεῖραι. μεμαθήκαμεν γὰρ τούτων ἁπάντων ἀρχομένων γίνεσθαι σημεῖον. πρὶν δ' ἄρξασθαι, τὸ τῆς κεφαλῆς ἄλγημα μόνον ὑπάρχον, ὑποψίαν μὲν πάντων παρέχειν, βεβαίαν δὲ πρόγνωσιν οὐδενὸς ἐξ αὐτῶν.

Τὰ ἐπιρριγοῦντα καὶ τὰς νύκτας μᾶλλον τι παροξυνόμενα, ἄγρυπνα, φλεβοδονώδεα ὄντα ἐν τοῖς ὕπνοις, ἔστιν ὅτε οὖρα ὑφ' ἑαυτοὺς χαλῶντα, ἐς σπασμοὺς ἀποτελευτᾷ κωματώδεας.

Ἔργον ὁ ταῦτα γράψας πεποίηται καθ' ἑκάστην ῥῆσιν, ἢ ὄνομά τι τῶν ἀήθων, ἢ σύνθεσιν ἐξευρίσκειν, ὥσπερ καὶ νῦν ἄμφω πεποίηκεν. ἀλλὰ τὸ μὲν τῆς ἀήθους συνθέσεως ἐν ἑκάστῃ ῥήσει γινόμενον ἀπὸ τῶν παθῶν μεταβαίνοντος αὐτοῦ πρὸς τοὺς πάσχοντας, ἢ ἀπ' ἐκείνων ἐπὶ τὰ πάθη παραλειπτέον ἡμῖν ἐστιν, ὅταν ὅσον ἐπὶ τούτων μηδεμίαν ἀσάφειαν ὁ λόγος ἔχει. τὸ δὲ φλεβοδονώδεα, καινὸν ἐστὶ ξένον ὄνομα περὶ τὴν προκειμένην ῥῆσιν ἐποίησεν, ἐμφαίνων ὅσον ἐπὶ τῇ φωνῇ φλέβας δονουμένας. εἴτε δὲ ὥς τινες ἔγραψαν αὐτὸ διὰ τοῦ φλεβονώδεα, τὰς τεινομένας φλέβας, εἴτε τὰς κυρίως ὀνομαζομένας φλέβας, εἴτε ἐστὶ τὰς ἀρτηρίας, ὅτι ταύτας ἔνιοτε φλέβας ὀνομάζουσιν οἱ παλαιοὶ, δονουμένας ἢ τεινομένας ἀκούειν χρὴ, θαυμαστὸν ὅπως νῦν πρῶτος αὐτῶν ἐμνημόνευσε. τὰς μὲν γὰρ ἀρτηρίας εἴπερ βούλεται σημαίνειν, ἤτοι τεινομένας, ἢ δονουμένας, ὅπερ ἐπὶ τῆς κλονώδους κινήσεως ἀκούειν χρὴ, κατὰ πολλὰ τῶν ἀρρώστων ἐχρῆν αὐτὸν εἰρηκέναι τι περὶ αὐτῶν. εἰ γοῦν ἦν οὗτος ἐπιμελὴς ὁ ἀνὴρ περὶ τὴν τῶν ἀρτηριῶν κίνησιν, ὥστε καὶ κλονουμένας αὐτὰς ἐστὶ τεινομένας παραφυλάττειν, οὐ δήπου τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἠγνόει, πῶς οὖν οὐδὲν ὑπὲρ αὐτῶν ἔγραψεν. εἰ δὲ τῶν κυρίως ὀνομαζομένων φλεβῶν μνημονεύει τεινομένων, πῶς οὐχὶ καὶ τούτου τοῦ συμπτώματος ἤδη πρότερον ἐμνημόνευσεν, ἐν κεφαλαλγίαις σφοδραῖς γινομένου. φαίνονται γὰρ ἐν αὐταῖς ἐστὶ μάλιστα ὅταν μετὰ πολλῆς θερμασίας γίνονται, σφύζουσαι καὶ οἱονεὶ κλονούμεναι αἱ κατὰ τοὺς κροτάφους φλέβες. πολλάκις δὲ καὶ τὰς ἐν τραχήλῳ σφαγίτιδας τὰς ἐπιπολῆς δηλονότι δονουμένας ἐθεασάμεθα σφυγμῷ τινὶ παραπλήσιον κίνησιν, καὶ δοκεῖ καὶ ἐν τοῖς κροτάφοις ἐκ τῶν ὑποκειμένων ἀρτηριῶν ἡ κίνησις προσγίνεσθαι, καθ' ὃν καιρὸν ἐκεῖναι μέγιστον σφύζουσι. ταύτας οὖν ἀπορίας ἔνιοι φεύγειν βουληθέντες, ἀντὶ τοῦ φλεβοτονώδεα φλεβοδονώδεα φασὶ, ποιήσαντες ἀπὸ τῶν φλεβοιδόνων τοὔνομα. φλεβοιδόνας δὲ, ὅτι φλυαρίας καὶ λήρους ὠνόμασαν ἔνιοι τῶν παλαιῶν, οἶδα. τὰ οὖν ἄγρυπνα ὄντα πάθη φησὶ, καὶ παραληροῦντα περὶ τοὺς ὕπνους ἀπροαιρέτως οὖρον χαλῶντες ὅπερ ἐστὶν ἀποκρίνοντες. ἀπὸ γὰρ τῶν παθῶν ἐπὶ τοὺς πάσχοντας μετέβη, καὶ πάλιν ἐπανελθὼν ἐπὶ τὸ πάθος φησὶν, ἔστιν ὅτε εἰς σπασμοὺς τελευτᾷ κωματώδεας εἰπὼν, ἔστιν ὅτε πραγμάτων ἡμᾶς ἀπήλλαξε. πεπονθυίας γοῦν τῆς ἀρχῆς τῶν νεύρων ὡς ἥτε ἀγρυπνία καὶ ἡ παραλήρησις, ἥτε τῶν οὔρων ἀπροαίρετος κίνησις δηλοῖ, θαυμαστὸν οὐδέν ἐστι, καὶ φρενίτιν ἐπ' αὐτῆς γενέσθαι, καὶ κῶμα καὶ σπασμὸν, καὶ ἀφωνίαν καὶ πᾶν ὁτιοῦν ἄλλο πάθημα τοιοῦτον. περιττὰ τοίνυν ἐστὶ, καὶ πρὸς τὴν πρόρρησιν ταύτην, τότε ἐπιρριγοῦν καὶ τὸ εἰς νύκτα παροξύνεσθαι. ἀλλ' ὅπερ ἤδη πολλάκις ἐλέχθη, καὶ τὰ μηδὲν προσήκοντα ταῖς ὑφ' ἑαυτοῦ λεγομέναις προρρήσεσι, γράφει μὴ δυνάμενος ἀπὸ τῶν ἰδίων χωρίσαι τὰ κοινά.

Οἱ ἐξ ἀρχῆς ἐφιδροῦντες, οὔροισι πέποσι, καυσικοὶ, ἀκρίτως περιψύχοντες, διὰ ταχέως περικαέες, νωθροὶ, κωματώδεες, σπασμώδεες, ὀλέθριοι.

Πάλιν ἐνταῦθα τὸ ἐξ ἀρχῆς ἐφιδροῦντες σὺν οὔροις πέποσι, περιττόν. ἱκανὰ γὰρ ἀποκτεῖναι τὸν ἄνθρωπον τὰ καυσικὰ μετὰ τοῦ περιψύχειν ἀκρίτως, ἔπειτα διὰ ταχέων γίνεσθαι διακαῆ. καθάπερ γε καὶ τὰ τῆς ἑτέρας ἀρχῆς ἱκανὰ πάλιν αὐτὰ καθ' αὑτὰ διαφθεῖραι τὸν νοσοῦντα, περὶ ὧν οὕτως ἔγραψε. νωθροὶ κωματώδεες, σπασμώδεες. ἐπὶ τούτοις οὖν ἑκατέροις τοὺς ἐξ ἀρχῆς ἐφιδροῦντας ἅμα πέποσιν οὔροις ἔγραψεν ὅ τοιοῦτόν ἐστιν, οἷον εἰ καί τις λέγει κινδυνεύειν ἀποθανεῖν τόνδε τινὰ τὸν ἄνθρωπον, ἐπεὶ τήν τε μήνιγγα τέτρηται, ἐστὶ τὰ περὶ τὸν θώρακα συντέτρηται, καὶ περὶ τὸν μηρὸν ἑλκύδριον ἔχει σμικρόν. ἢ εἴ τις λέγει κινδυνεύειν ἀποθανεῖν τόνδε τινὰ διὰ τὸν ὕδερον, καὶ τὴν παρωνυχίαν. τί οὖν ἔτι ζητῶμεν ἅττα ποτ' οὖρα λέγει πέπονα; περὶ ὧν ἔμπροσθεν ἔφην ἐπιτιμῆσαι τὸν ἐφέσιον Ῥοῦφον, Ζεύξιδι τῷ ἐμπειρικῷ. ψεῦδος μὲν γὰρ εἶναι τοῦτο μηδέποτε κακόν τι τῶν τοιούτων οὔρων γεννώντων, ἀληθὲς δὲ τὸ τὰ ἐπίπονα οὖρα κακόν τι σημαίνειν. δηλοῦσθαι γοῦν τὰ μετὰ πόνου γενόμενα. δεύτερον μέντοι τοῦτο τὸ γεγραμμένον τὸ τῶν πεπόνων οὔρων, οὐκέτι πιθανόν ἐστιν, ὁμοίως κατ' ἀμφοτέρας τὰς ῥήσεις ἡμαρτῆσθαι τὴν λέξιν, ὡς ὁ Ῥοῦφος ἠξίου μεμφόμενος τὸν Ζεῦξιν, ἀλλ' ἴσως αὐτὸς ὁ γράψας τὰ παχέα καὶ λευκὰ πέπονα κεκληκώς ἐστιν, ἐπειδὴ τοιαύτην ὑπόστασιν

ἑώρα καὶ ἐν τοῖς ἀληθῶς πεπόσιν οὔροις. τὰ δ' ἀνατεταραγμένα, παραπλησίως τοῖς τῶν ὑποζυγίων, οὐ πέπονα.

Τῇσιν ἐπιφόροισι κεφαλαλγικά, καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα, ἴσως δὲ ταύτῃσι καὶ σπασμῶδές τι παθεῖν ὀφείλει.

Πάλιν κἀνταῦθα τὴν σύνταξιν τῶν ὀνομάτων εἰδότες σολοικώδη, μετέγραψαν ἔνιοι τὴν ταύτῃσι, τοιαύδε ποιήσαντες τὴν λέξιν, ἴσως δὲ ταῦτα καὶ σπασμῶδές τι παθεῖν ὀφείλει. ἀλλ' ὡς ἔφην καὶ πρόσθεν, ὅταν ἡ αὐτὴ σώζηται διάνοια, γράφειν ἐπιτρέψαντες ὡς ἂν ἕκαστος ἐθέλοι, περὶ τῆς ἀληθείας τῶν εἰρημένων σκοπῶμεν. ἀλλ' οὐδὲ περὶ ταύτης ἤδη σκοπεῖν ἐπιτρέπει προκείμενον τῇ ῥήσει τοὔνομα τὸ, ἐπιφόροισιν ἐξηγήσεως δεόμενον. οὐ γὰρ μόνον ἀήθη σύνθεσιν ὀνομάτων ὁ συγγραφεὺς εὑρίσκειν πειρᾶται καθ' ἑκάστην ῥῆσιν, ἀλλὰ καὶ τῶν ὀνομάτων αὐτῶν, ἐν μέντοι τῶν πάντων. ἔστι δ' ὅτε καὶ δύο πού καὶ τρία προσεντίθησιν, ἤτοι ξένα παντάπασιν, ἢ μὴ κατ' αὐτὸ τὸ σημαινόμενον, ὅπερ παρὰ τοῖς Ἕλλησιν εἴθισο. τὰς δ' οὖν ἐπιφόρους, ἔνιοι μὲν ἤκουσαν τὰς ἐγκυμονούσας ὅσαι πλησίον εἰσὶ τῆς ἀποκυήσεως, ἔνιοι δὲ τὰς ῥᾳδίως συλλαμβανούσας καὶ συνεχῶς κυούσας. ταύταις οὖν φησι κεφαλαλγικὰ καρώδη βάρεος μετὰ γινόμενα, φλαῦρα. τὸ κοινὸν δὲ ἁπάντων, τῶν οὕτως ἐχόντων τὸ τῆς ἐπιφορᾶς ὄνομα περιέσφιγξεν, πῶς τῷ μετὰ βάρεος ἐνταῦθα, ἵνα ζητῶμεν, ἆρά γε μετὰ τοῦ τὸ σύμπαν σῶμα φαίνεσθαι βαρὺ τῇ καμνούσῃ, τοῦτο προσέθηκεν, ἢ κεφαλαλγικὰ μετὰ τοῦ βαρύνεσθαι τὴν κεφαλὴν, ἢ καρώδη μετὰ βάρους. ἀλλὰ καὶ ταῦτα πάντα διεξελθών τις, οὐδὲν ἕξει πλέον εἰς πρόῤῥησιν, οὐδὲ κατ' αὐτὸν τὸν γράψαντα. φησὶ γοῦν ἴσως γε ταύτῃσι καὶ σπασμῶδές τι παθεῖν ὀφείλει. ὅταν δ' ἀκούσῃς ἀνθρώπου λέγοντος ἴσως περὶ τῶν κατὰ μέρος ὡς καθόλου τὴν ἀπόφασιν πεποιημένου προπετῶς, γίνωσκε σαφῶς σπάνιον εἶναι τὸ πρᾶγμα. λέλεκται δέ σοι πολλάκις ἐκπεπτωκέναι τὰ σπάνια τῆς προῤῥητικῆς θεωρίας. ἐὰν γὰρ ὡς ἐνδεχόμενα γενέσθαι λέγῃ τις, ἀκήκοας ἤδη πολλάκις ἐγκέφαλον παθόντα, ἐνδέχεσθαι σύμπτωμα πᾶν ὁτιοῦν ἀκολουθῆσαι τῶν κατὰ τὰς αἰσθήσεις, ἢ προαιρετικὰς κινήσεις. ἐὰν δ' ὡς πολλάκις γιγνόμενον, οὐ μόνον οὐ γίνεται πολλάκις, ἀλλ' οὐδὲ ἀμφιδόξως ὁ νῦν εἶπεν.

Τὰ ἐν φάρυγγι ἰσχνῷ, ἀλγήματα πνιγώδεα ἔχει τι σπασμῶδες, ἄλλως τε καὶ ἀπὸ κεφαλῆς ὁρμῶντα, οἷον καὶ τῇ Θρασύνοντος ἀνεψιῇ.

Καὶ διὰ τοῦτ' αὖτις οὐκ εἶναι γνήσιον Ἱπποκράτους ὑπολάβοι τὸ σύγγραμμα, καθ' ὃ ἔγραψε φάρυγγι ἰσχνῷ. ταύτην γὰρ ἔχει τὴν γραφὴν τά τε παλαιὰ τῶν ἀντιγράφων πάντα, καὶ τὰ τῶν ἐξηγησαμένων ὑπομνήματα, πλὴν εἰ καὶ τοῦ γραφέως ἐστὶν ἁμάρτημα, καθάπερ καὶ ἄλλα πολλὰ κατὰ πολλὰ τῶν ἀντιγράφων εὑρίσκεται. οἱ γοῦν περὶ τὸν Ἀρτεμίδωρον καὶ Διοσκουρίδην αὐτίκ' εὐθὺς ἔγραψαν τὰ ἐν φάρυγγι ἰσχνῇ. καὶ γὰρ τοῖς ἀνωτέρω πᾶσιν ὁμολογουμένη ἡ γραφὴ τῆς φάρυγγος ὡς θηλυκῶς λεγομένης. εὑρίσκεται καὶ κατὰ τήνδε τὴν λέξιν, φάρυγξ ἐπώδυνος ἰσχνὴ, μετὰ δυσφορίης, πνιγώδης. ὅτι δ' ἀῤῥώστους θεώμενος ἔγραφεν αὐτῶν τὰς συνδρομὰς, οὐκ ἐξ ὧν ἐθεάσατο τεχνώσας ἑαυτὸν, οὐδ' εἰς τὸ καθόλου τὰ κατὰ μέρος ἀνάγων, εὔδηλος ἐστὶ κἀκ τούτου. φάρυγγος γὰρ οὐχ ἅπαξ ἐμνημόνευσε, καθάπερ ἐν τῷ προγνωστικῷ ἐποίησεν ὁ Ἱπποκράτης, ἅπαντα τὰ κατ' αὐτὴν διελθὼν ἐφεξῆς οὐ πολλάκις, ἄλλοτε ἐν ἄλλῳ μέρει τοῦ συγγράμματος. ὃ δ' οὖν λέγει κατὰ τὴν προκειμένην ῥῆσιν ὁ συγγραφεὺς, εἰ τῶν πολλάκις εἰρημένων ἰδίᾳ μέμνησαι, καὶ κατὰ ταύτην νοήσεις, ὅπως ἐκ τοῦ κατὰ μέρος εὑρεθέντος, ὧδε τὴν καθολικὴν ἀπόφασιν ἐτόλμησε μεταβῆναι, μεμνημένος ὀνομαστὶ τῆς Θρασύνοντος ἀνεψιῆς, ἐφ' ἧς τὴν γεγραμμένην συνδρομὴν ἐθεάσατο.

Τὰ βρομώδεα σπασμώδεα γενόμενα ἐφ' ἱδρῶσι φιλυπόστροφα, τούτοις ἡ κρίσις ἐπιῤῥιγώσασιν. οὗτοι ἐπιῤῥιγέουσι περὶ κοιλίην καύματι προκληθέντες.

Ταύτην τὴν ῥῆσιν ἔνιοι διαιροῦσιν εἰς δύο λόγους, ἕνα μὲν τόνδε, τὰ τρομώδεα σπασμώδεα γενόμενα. καὶ μέντοι καὶ ὁμολογοῦσιν αὐτοὶ κολοβὸν εἶναι τὸν λόγον τοῦτον, καὶ κελεύουσι προσυπακούειν αὐτῷ τι, περὶ οὗ μικρὸν ὕστερον ἐρῶ. δεύτερον δ' ἀφ' ἑτέρας ἀρχῆς ποιοῦσι τὰ ἐφ' ἱδρῶσι φιλυπόστροφα. τούτοις ἡ κρίσις ἐπιῤῥιγώσασιν. οἱ δέ γε συνάπτοντες ἀμφοτέρους τοὺς λόγους, χωρὶς τοῦ ἄρθρου τοῦ, τὰ, γράφουσι τὰ τρομώδεα σπασμώδεα γενόμενα, ἐφ' ἱδρῶσι φιλυπόστροφα. τοῦτο μὲν ὅτι ψεῦδος ἐστὶ, διὰ τῶν ἐξηγητῶν κατέγνωσαι. τὸ δ' ἕτερον, ὅτι κολοβόν. ἀλλὰ τὸ μὲν ἐλλειπὲς τῆς λέξεως, καὶ διὰ τὴν τοῦ γραφέως ἁμαρτίαν δύναται γεγονέναι. τὸ δὲ ψεῦδος, οὐδεμίαν ἔχει παραμυθίαν. τὰ γὰρ τρομώδεα σπασμώδεα γενόμενα τοῖς ἐφ' ἱδρῶσι φιλυπόστροφα γενέσθαι, ψεῦδος ἐστὶν, οὐ φιλυποστρόφων αὐτῶν ἀλλ' ὀλεθρίων ὄντων. ἐάν τε ἐφ' ἱδρῶσιν αὐτοῖς, εἴτε καὶ μή. θεασώμεθα οὖν αὐτὰ ἃ λέγουσιν οὗτοι, τὰ τρομώδεα σπασμώδεα γενόμενα, θάνατον ἐπιφέρει. δύναται δὲ καὶ οὕτως τὰ βρομώδεα ἢ σπασμώδεα καθ' ἑαυτὰ κελεύοντες ἀναγινώσκειν. δύνασθαι μὲν γάρ φασι, καὶ οὕτω νοεῖσθαι. τὰ τρομώδεα σπασμώδεα γενόμενα, θάνατον ἐπιφέρει. δύνασθαι δὲ καὶ οὕτω. τὰ βρομώδεα ἢ σπασμώδεα γενόμενα, μοχθηρά. ἵνα τὸ μὲν πρότερον, τὴν πάνυ τελείαν μετάπτωσιν ἐκ τῶν βρομωδῶν εἰς τὰ σπασμώδη διδάσκῃ. τὸ δὲ δεύτερον, ὅταν τοῖς τρομώδεσι πάθεσιν ἐπιγένηται τὸ σπασμῶδες, ἐπειδὰν θάνατον, ἑκάτερον μὲν γὰρ ὀλέθριον. ἀλλὰ τὸ μὲν πρότερον, ὡς μεταπιπτόντων τῶν βρομωδῶν εἰς τὰ σπασμώδη πρὶν ἀποθνήσκειν τὸν ἄνθρωπον, τὸ δὲ δεύτερον, ὡς πάντως μὲν μετὰ τοῦτο γιγνομένων. ὁπότε δὲ γένηται βέβαιον, θάνατον ἐπιφερόντων. ὥστε ταῦτα φίλα, πάρεστιν αὐτοῖς χρῆσθαι. ἐγὼ δὲ μεταβήσομαι πρὸς τοὺς ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκοντας ἅμα τῷ ἄρθρῳ τὴν ῥῆσιν. τὰ ἐφ' ἱδρῶσι φιλυπόστροφα, εἶτα διασιωπησάντων ἡμῶν, καὶ μετὰ ταῦτα ἀναγνόντων, τούτοις ἡ κρίσις ἐπιῤῥιγώσασιν, ἵνα ὁ λόγος γένηται τοιοῦτος. τὰ ἐφ' ἱδρῶσι πεπαῦσθαι δόξαντα πάθη, καὶ πάλιν ὑποστρέψαντα, καὶ πάλιν ἀναπυρώσαντα, καὶ πάλιν ἱδρῶσι δόξαντα λυθῆναι τὴν ἀληθῆ καὶ βεβαίαν ἴσχει λύσιν καὶ κρίσιν, ὅταν ἐπιῤῥιγώσωσι. τὸ δ' ἑξῆς εἰρημένον, οὗτοι ἐπιῤῥιγέουσι περὶ τὴν κοιλίαν καύματι προκληθέντες, ἔχει διάνοιαν τοιάνδε, καῦμα κατὰ τὴν κοιλίαν προηγεῖται, μέλλοντος ἐπιγίνεσθαι τοῖς προειρημένοις τοῦ ῥίγους.

Ὀσφύος

Ὀσφύος πόνος, καὶ κεφαλαλγικὸς καὶ καρδιαλγικὸς μετὰ ἀναχρέμψεως βιαίας, ἔχει τι σπασμῶδες.

Ἔνιοι μὲν ὡς ἅπαξ γεγραμμένου τοῦ, καὶ, συνδέσμου, τὴν ῥῆσιν ἐξηγοῦνται, βουλόμενοι τὸ ἔχειν τι σπασμῶδες, οὐκ ἐπὶ τοῖς προειρημένοις τέσσαρσι γινόμενον, ἀλλὰ πᾶσιν ἀληθῶς προλέγεσθαι. τέτταρα δὲ λέγω, τόν τε τῆς ὀσφύος πόνον, καὶ τὴν κεφαλαλγίαν, καὶ τὴν καρδιαλγίαν, καὶ τὴν βιαίαν ἀνάχρεμψιν, διόπερ οὕτω γράφουσιν, ὀσφύος πόνος κεφαλαλγικῷ καὶ καρδιαλγικῷ. τινὲς δὲ γράφουσι τὸ, καὶ, σύνδεσμον δίς, ὡς κἀγὼ τὴν ἀρχὴν εὐθέως ἔγραψα, διότι τὰ πλεῖστα τῶν ἀντιγράφων οὕτως ἔχει. δηλώσει δὲ πάλιν ἡ διαγραφὴ, τοιόνδε τι τὸ περὶ ὀσφύος ἄλγημα, ἐάν τε καὶ κεφαλαλγικὸς ᾖς, ἐάν τε καὶ καρδιαλγικὸς τις, ἢ μετὰ ἀναχρέμψεως βιαίας ἔχει τι σπασμῶδες. καί τοι καὶ οὕτω γραφόμενον, ἐνδέχεται δηλοῦν αὐτὸ, συναμφότερον γεγονέναι τῷ κάμνοντι, καὶ τὸν περὶ ὀσφύος πόνον, καὶ τὴν κεφαλαλγίαν. ἐγὼ δ᾽ οὐδ᾽ ἐκ περὶ πεῖρας, ἀλλ᾽ οὐδ᾽ ἐκ περὶ τῶν πραγμάτων φύσεως, ἀκόλουθον τοῖς εἰρημένοις σπασμὸν ἀποφήνασθαι δύναμαι. καὶ μέντοι καὶ αὐτὸς ὁ γράψας ταῦτα προσέθηκεν, ἔχει τι σπασμῶδες, ὅπερ οὐ ταυτόν ἐστι τῷ φάναι σπασμώδη τὰ τοιαῦτα συμπτώματα ὑπάρχειν. εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς οὐχ ὁμοίως ἀκούειν προσήκει λέγοντος εὐλαβοῦς ἀνθρώπου τὰς τοιαύτας φωνὰς, καὶ τοῦ ῥᾳδίως ἀποφαινομένου περὶ τῶν κατὰ μέρος ὡς καθολικῶν. ὅταν γὰρ ὁ προπετὴς ἀμφιβάλλων εἴπῃ ἔχει τι σπασμῶδες, ἐνδείκνυται σμικρὸν ἢ σπανίως γινόμενον εἶναι τὸ λεγόμενον. περὶ δὲ τῆς δυνάμεως ἑκάστου τῶν εἰρημένων συμπτωμάτων, ἐν ταῖς δὲ ταῖς ῥήσεσιν ἁπάσαις ὅσας κατὰ τὸ τρίτον ὑπόμνημα τοῦτο μεταχειρίζομαι, λέλεκταί μοι διὰ βραχέων μὲν ἐν τῷ πρώτῳ καὶ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων, μετὰ διεξόδου δὲ, ἔν τε τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασι, καὶ μᾶλλον ἔτι κατά γε τὰ περὶ κρίσεων, καὶ τὰς τῶν συμπτωμάτων αἰτίας. οὐκ ὀλίγα δὲ καὶ ἐν τοῖς τῶν ἐπιδημιῶν εἴρηται περὶ αὐτῶν. ἀρκέσει τοιγαροῦν ἐνταῦθα μόνην τὴν λέξιν ἐξηγεῖσθαι μετὰ τοῦ προσεπιφθέγγεσθαι, πότερον ἀληθές ἢ ψευδές ἐστι τὸ λεγόμενον, καὶ πότερον ὡς τὸ πολὺ, ἢ ἀμφίδοξον, ἢ σπάνιον, ἐφεξῆς δὲ τῷ, ἔχει τι σπασμῶδες. γέγραπται τὸ ὑπάφωνον ὄνομα, τινῶν μὲν συναπτόντων αὐτὸ τοῖς προειρημένοις ὡς γίνεσθαι τοιαύτην τὴν λέξιν, ἔχει τι σπασμῶδες ὑπάφωνον. τινῶν δὲ ἀρχὴν ἡγουμένων περὶ ἐπιφερομένης ῥήσεως, καὶ τούτων αὐτῶν πάλιν ὑπαλλαττόντων τὴν γραφήν. ἔνιοι μὲν γὰρ ἄνευ τοῦ ἄρθρου γράφουσιν, ἔνιοι δὲ προστιθέασιν ἄρθρον οὐδέτερον, τοιάνδε ποιοῦντες τὴν λέξιν. τὸ ὑπάφωνον ἅμα κρίσει ῥῖγος ἀπὸ κοιλίης ὑποπέλια, ταραχώδεα, καὶ οὖρα λεπτά. τινὲς δὲ καὶ καθ᾽ ἑαυτὸ μόνον ἀναγινώσκουσι τὸ ἅμα κρίσει ῥῖγος, οὔτε τοῖς προειρημένοις συντάττοντες, οὔτε τοῖς ἑπομένοις. ἔνιοι δὲ ὅλην ὑπαλλάξαντες τὴν λέξιν, οὕτως ἔγραψαν. ὑπόφοβον ἅμα κρίσει ῥῖγος. ἐφεξῆς οὖν σοι τὴν ἐξήγησιν ἑκατέρων ἀκριβῶς κατὰ μόνας γράψω, ἅμα κρίσει ῥῖγος. τοῦθ᾽ ὡς ἔφην, ἔνιοι καθ᾽ αὑτὸ τὸ γεγράφθαι βούλονται σημαῖνον κρίσεις πολλὰς γίνεσθαι σὺν ῥίγει. ὑπόφοβον ἅμα κρίσει ῥῖγος, εἶπον ἤδη καὶ πρόσθεν ὑπαλλάξαντας ἐνίους τὴν ὑπάφωνον γραφὴν, ὑπόφοβον γράψαι, τὴν ἐξήγησιν αὐτῆς διττὴν ποιοῦντες. τινὲς μὲν ἀντὶ τοῦ φοβερὸν ἅμα κρίσει ῥῖγος εἰρῆσθαι νομίζοντες. ἔνιοι δὲ τὸ μετρίως φοβερὸν, ἵν᾽ ὅμοιον ᾖ τὸ ὑπάφωνον ἅμα κρίσει ῥῖγος, τῷ ὑπόφοβον. εἴη δ᾽ ἂν καὶ τρίτη τις ἐξήγησις περὶ γραφῆς ταύτης τοιάδε. τὸ συντίθεσθαι καθ᾽ ὃν τινοῦν τρόπον ῥῖγος οὐκ ἀγαθόν ἐστιν, οἷον, ἐὰν ἤτοι δι᾽ αἱμορραγίας τις ἢ ἐμέτου, ἢ γαστρὸς κενώσεως, ἢ ἱδρώτων, ἢ αἱμορροΐδος κρινόμενος, ἢ γυνὴ διὰ καταμηνίων ἐν ῥίγει κρίνηται, τὸ μὲν προηγεῖσθαι ῥῖγος ἐκκρίσεως τινὸς ἀγαθῆς πολλάκις φαίνεται γινόμενον. τὸ δὲ ἐκκρινόντων ἤδη, ῥῖγος ἄρξασθαι, φαῦλον. τοῦτο δ᾽ ὅτι μὲν ἀληθές ἐστιν, οἱ πολλοὺς ἀρρώστους τεθεαμένοι ἐπιμελῶς, γινώσκουσιν. εἰ δ᾽ ὁ γράψας τὸ προῤῥητικὸν οὕτως ἐνόησε, μαντείας δεῖται. τὴν ἀρχὴν γὰρ οὐδ᾽ εἰ γέγραπται πρὸς ἐκείνου τὸ ὑπόφοβον, ἴσμεν. ἐν γοῦν τοῖς πλείστοις τῶν παλαιῶν ἀντιγράφων οὐχ οὕτως γέγραπται.

Ἀπὸ κοιλίης ὑποπέλια, ταραχώδεα, καὶ οὖρα λεπτά, καὶ ὑδατώδεα, ὕποπτα.

Περὶ τούτων ἑκατέρων κατὰ μόνον ἐδίδαξεν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, τά τε κατὰ κοιλίαν ὑπαρχόμενα πελιὰ, μοχθηρὰ λέγων εἶναι, καὶ τὰ οὖρα τὰ λεπτὰ καὶ ὑδατώδεα. νυνὶ δ᾽ οὕτως, ὥσπερ αὐτῷ σύνηθες, ἑτερογενῆ σημεῖα συμπλέκων, οὐδὲν πλέον διδάσκει. ἐξὸν γοῦν αὐτῷ καὶ τούτοις συνάψαι περὶ πτυσμάτων πονηρῶν, ἢ δυσπνοίας, ἢ τινος ἄλλου τῶν φαύλων σημείων. ἔνιοι μέντοι τῶν ἐξηγητῶν ταύτην τὴν ῥῆσιν συνάπτουσι, τῷ ὑπάφωνον ἅμα κρίσει ῥῖγος, καὶ μίαν ὅλην ποιήσαντες ἐκ πᾶσι τοῖς εἰρημένοις, φασὶν ἀπόφασιν γεγονέναι τῷ συγγραφεῖ, τὸ κατὰ τὸ τέλος εἰρημένον ὕποπτα. καὶ τούτοις μὲν γὰρ τοῖς ἀπὸ κοιλίης ὑποπελίοις καὶ οὔροις λεπτοῖς ὑδατώδεσιν, οὐκ ἀλόγως ἐπιφέρεσθαι τὰ ὕποπτα. τούτοις δ᾽ αὖθις προσθεῖ καὶ τὸ ὑπάφωνον οὐχ ὕποπτον φασὶ τὴν συνδρομὴν, ἀλλὰ καὶ κακὴν εἶναι σαφῶς.

Φάρυγξ τρηχυνθεῖσα ἐπ᾽ ὀλίγον, καὶ κοιλίη διαβορβορίζουσα κεναῖς ἐξαναστάσεσι, καὶ μετώπου ἀλγήματα, ψηλαφώδεες, κοπιώδεες, ἐν στρώμασι καὶ ἱματίοις ὀδυνώδεες, τὰ ἐκ τούτων αὐξανόμενα δύσκολα, ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης, καὶ τὰ εἰς μέτωπον ἀλγήματα βαρέα, καὶ οὔρησις δυσκολαίνουσα.

Καὶ τὴν διαβορβορίζουσαν κοιλίαν κεναῖς ἐξαναστάσεσιν, ἔνιοι φασὶν φρενιτικῶν εἶναι σύμπτωμα. διττὸν γὰρ ἁμαρτάνειν τρόπον αὐτοὺς, ἢ τοῦ αἰσθητῶν οὐκ αἰσθανομένους, καίτοι σὺν ὀδύνῃ γιγνομένων πολλάκις, ἢ τοῦ μὴ αἰσθητῶν αἰσθάνεσθαι δοκοῦντας. κατὰ δὴ τὸν δεύτερον τρόπον φασὶν ἐξανίστασθαι μὲν ὡς δακνομένους, μὴ ἐνεργεῖν δὲ, ἐπεὶ μηδὲ τὸ δάκνον ἦν τι, δάκνεσθαι γὰρ οἴονται μὴ δακνόμενοι. τὸ δὲ ἐν στρώμασι καὶ ἱματίοις ὀδυνώδεες, κατὰ τὸ σύνηθες αὐτῷ εἶδος τῆς ἑρμηνείας, ἀλλοκότως εἴρηται, διάνοιαν ἔχει τοιάνδε. μὴ φέροντες τὴν ψαῦσιν τῶν ὑποβεβλημμένων τε καὶ ὑπεστρωμένων αὐτοῖς, ἀλλ᾽ ὀδυνώμενοι, πότερον μὲν διὰ τὸ βαρύνεσθαι ὑπὸ τῶν ἐπικειμένων. σκληρὰ γὰρ εἶναι

δοκεῖ, ἢ δακνώδη τὰ ὑποβεβλημμένα, καὶ ὅσα περίκειται, δυσχεραίνουσι τοῖς ἱματίοις, ἢ διὰ ἄλλο τι τοῦτο αὐτοῖς συμβαίνει, παντάπασιν ἄδηλον. μετὰ δὲ τοῦτο καὶ τῶν ἄλλων κατὰ λόγον ἐφεξῆς εἰπὼν, ὕπνος πολλὰ ἐν τούτοισι σπασμώδης, ἀφορμὴν παρέχει ζητήσεως τοῖς σοφισταῖς, εἰ δύναταί ποτε βλάπτειν ὕπνος. ἢ γὰρ ὠφελεῖν αὐτόν φασιν, ἢ εἰ μηδὲν ὠφελεῖ, οὐ μὴν βλάπτει ποτέ. λέλεκται δέ μοι περὶ τούτου πρόσθεν ἐν τοῖς εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν. οὐ μὴν οὐδ᾽ εἰ βλάπτει ὁ πολὺς ὕπνος, δοκεῖ σπασμῶν εἶναι ποιητικὸς, ἀλλὰ μόνον ὅτι κινδυνῶδές ἐστι τὸ νόσημα, δηλοῖ. τὸ δὲ οὔρησις δυσκολαίνουσα, θαυμαστῶς εἰς ἀσάφειαν ἐπινενόηται τῷ συγγραφεῖ. ἵν᾽ ὁ μὲν τις εἴπῃ τῶν ἐξηγητῶν, τὴν μετ᾽ ὀδύνης εἰρῆσθαι δυσκολαίνουσαν, ὁ δέ τις τὴν ἐπεχομένην, ἄλλος δέ τις τὴν μόγις γινομένην, καὶ τὴν συνεχῶς, καὶ τὴν κατὰ στραγγουρίαν, τὴν δάκνουσαν δ᾽ ἰσχυρῶς ἄλλος. ὅταν δὲ δὴ πάντα διεξέλθωμεν, οὐδὲν ἀξιόλογον εἰς πρόγνωσιν εἰσόμεθα δι᾽ ἣν πολλάκις εἶπον αἰτίαν, συμπλέκοντος αὐτοῦ πάμπολλα τῶν ἀνομοιογενῶν συμπτωμάτων. ἀπόδειξις δὲ τούτου μεγίστη, καὶ τὸ τῶν ἐξηγησαμένων βιβλίον, ἐνίοις μὲν ἄχρι τοῦ ὕπνος πολὺς ἤδη τοῖς σπασμώδεσιν ἐξήκειν οἰέσθαι τὴν ῥῆσιν, ἀπ᾽ ἄλλης ἀρχῆς κελεύοντας ἀναγινώσκειν τὰ μετὰ ταῦτα, τινὰς δὲ συνάπτειν, καὶ τῶν συναπτόντων ἄλλος ἐπ᾽ ἄλλῳ μέρει τῶν ἐφεξῆς εἰρημένων ἀξιοῦν περιγράφεσθαι τὴν ῥῆσιν. ἐὰν οὖν ἅπαντα διέρχηταί τις, οἷα καθ᾽ ἑκάστην ὑπόνοιαν ἰδίως εἰρήκασιν οἱ ἐξηγηταὶ, μακρὸν μέντοι ἐργάσεται τὸν λόγον, ὀνήσει δ᾽ οὐδὲν τοὺς ἐντυγχάνοντας.

Οὔρου ἐπίστασις καὶ οἷσι ῥίγεα, ἤδη τούτοισι, σπασμώδεσι οἷον καὶ αὐτὴ φρίξασα ἐφίδρωσεν.

Ἐὰν μεταθῶμεν τὸν καὶ σύνδεσμον, ὁ λόγος ἔσται σαφέστερος τοιοῦτος γενόμενος, οὔρου ἐπίστασις οἷσι ῥίγεα, καὶ ἤδη τούτοισι σπασμώδεα. τὸ μὲν οὖν οἷσι ῥίγεα, κἂν τοῖς τῶν ἐπιδημιῶν εἴρηται κατὰ τήνδε τὴν λέξιν, περὶ ῥίγους αἱ σχέσεις τῶν οὔρων. ὅτι δὲ κἀπὶ τοῖς σπασμώδεσιν πάθεσιν ἴσχεται τὰ οὖρα, προέθηκεν οὕτως ἐν τῇ προκειμένῃ ῥήσει. τὰ δ᾽ εἰρημένα ματαίως ἐνίοις τῶν ἐξηγησαμένων τήνδε τὴν ῥῆσιν, ἄμεινον σιωπᾶν. ἐγὼ δὲ ζήτησιν εἴπω ὠφελεῖν εἰς πρόγνωσιν ἱκανήν, καὶ οὕτως φρίξασα ἐφίδρωσεν. καὶ ὁ Κόϊντος μὲν μόνην εἰδὼς τὴν γραφὴν ταύτην ἣν εὗρεν ἐν παλαιοῖς ἀντιγράφοις, ὥς φησιν ὁμολογεῖ μὴ νοεῖν. ἐν δὲ τοῖς πλείστοις τῶν ἀντιγράφων γέγραπται, καὶ αὐτὴ φρίξασα ἐφίδρωσεν, ἵνα γυναικὸς ὄνομα τὴν αὐτὴν φωνὴν ἀκούσωμεν, ᾗ φριξάσῃ ἐφιδρῶσαι συνέβη.

Αἱ ἄκριτοι τελευτῶσαι καθάρσιες, περὶ δὲ προξυντικαί. τούτοισι δὲ καὶ πάνυ ἐκ τοιούτων καὶ παρ᾽ οὓς ἀνίστανται.

Ἀντὶ τοῦ καθάρσιες, ἄμεινον ἦν εἰρῆσθαι κενώσιες. ὅταν γὰρ ἐκκρινόμενα τύχοι τὰ διεφθαρμένα, κάθαρσις γίνεται τοῦ σώματος, ὅταν ἐκκρίνηται τὰ τῷ λόγῳ τῆς νόσου γινόμενα. τίνι δὲ ὅτι περὶ τούτων λέγεται, δῆλόν ἐστιν ἐκ τοῦ φάναι τελευτῶσαι, ὡς αἱ ἐκκαθαίρουσαι τὸ σῶμα κενώσεις, τὴν ἀρχὴν μὲν ἴσχουσιν ἀπὸ τῶν ἀκράτων ἐνίοτε, τελευτῶσι δὲ εἰς εὔτροπα διαχωρήματα. τὸ δὲ ἐν τούτοισι δὲ καὶ πάνυ τὰς τοιαύτας κενώσεις εἶναι προξυντικὰς, ἤδη τὰ προειρημένα τὴν ἀναφορὰν ἔχει. προείρηται δὲ οὔρου ἐπίστασιν οἷσι ῥίγεα, καὶ ἐπὶ τοῖς σπασμώδεσι σφοδρῶς. ἡ πρόγνωσις δὲ ἐπὶ τούτου, τὴν παρ᾽ οὓς ἀνίστασθαι δυνάμενον μέν ποτε γενέσθαι, καὶ διὰ τοῦτο γράφων ἐπειδὴ τινὶ παθόντι τὰ κατὰ τὴν εἰρημένην συνδρομὴν συνέβη ἔχειν παρωτίδα. οὐ μὴν διὰ παντὸς, ἀλλ᾽ ὡς τὸ πολὺ τὴν προειρημένην συνδρομὴν τὰ παρ᾽ οὓς, ἀκολουθεῖν εὔλογον. ἐμάθομεν γὰρ τὰ τῶν τοιούτων ἀποστάσεων σημεῖα.

Αἱ ταραχώδεες θρασυνόντες ἐπεγέρσιες, σπασμώδεες, ἄλλως τε καὶ μεθ᾽ ἱδρῶτος.

Ἔμπροσθεν ἤδη τοιαύτας συνδρομὰς ἐξηγησάμεθα, οὐδὲν οὔτε ἐξ ἀνάγκης ἐχούσας, οὔθ᾽ ὡς τὸ πολὺ, καὶ διὰ τοῦτο καὶ τὴν προκειμένην ταύτην, οἱ μὲν συνάπτουσι τοῖς ἐπιφερομένοις, οἱ δὲ διασπῶσι.

Καὶ αἱ τραχήλου καὶ αἱ μεταφρένου καταψύξιες δοκέουσαι καὶ ὅλου δὲ τοῦ σώματος, ἐν τούτοισι καὶ ἀφρώδεες οὐρήσιες ἅμα ἀψυχίῃ, καὶ ὄμματος ἀμαύρωσις, σπασμὸν ἐγγὺς σημαίνει.

Ἐν πολλοῖς μὲν τῶν ἀντιγράφων ἡ ῥῆσις γέγραπται οὕτως, καταψύξιες δοκέουσαι. κατ᾽ ἔνια δὲ ἄμεινον ὧδε, δοκέουσαι δι᾽ ὅλου τοῦ σώματος, ὡς ἀδύνατον ὅλον ἅμα κατεψύχθαι τὸ σῶμα, καὶ διὰ τοῦτ᾽ αὐτὸ καλῶς προσκείμενον ἐστὶ τὸ δοκέουσαι. τὸ δ᾽ ἐφεξῆς εἰρημένον, οὐ μικρὰν διαφωνίαν ἔσχηκεν ἐν τῇ γραφῇ, τινῶν μὲν ἀφρώδεες διαχωρήσιες γραφόντων, τινῶν δὲ πυώδεες. εὐλογώτερον δὲ ὡς πρὸς τὴν ὅλην διάνοιαν ἐστὶ τὸ ἀφρώδεες. αἱ μὲν γὰρ πυώδεις διαχωρήσεις ἐάν γε κυρίως ἀκούσωμεν, καὶ μὴ καθάπερ εἴωθεν ὁ τοῦ βιβλίου συγγραφεὺς ἀκύροις μεταφοραῖς ὀνομάτων χρῆσθαι, πύον ὑπομεμίχθαι τοῖς οὔροις δηλοῦσι. πύου δὲ γένεσις, οὐ μόνον οὐ δύναται σημαίνειν σπασμὸν, ἀλλὰ καὶ ὑποπτευομένῳ τινὶ σπασθήσεσθαι, σημεῖον ἀγαθόν ἐστιν, πέπτεσθαί γε δηλοῦσα τὴν νόσον. αἱ δὲ ἀφρώδεες, εἴτε διὰ σύντηξιν, εἴτε διὰ ταραχήν τινα καὶ πνεῦμα γίγνοιντο, φυσώδεες, ἑκατέρως ὕποπτοι πρὸς σπασμόν. οὐ μὴν αἱ πυώδεις ὁμοίως ταύταις. εἰ δ᾽ ἀκύρως πυώδεις εἴρηκε τὰς τῶν ὠμῶν καὶ παχέων οὔρων ἐκκρίσεις, οὐδ᾽ οὕτως ὕποπτοι, οὐ τελεῖ πρὸς τὴν τοῦ σπασμοῦ γένεσιν, ἡ δ᾽ ἀψυχία καὶ ἡ τοῦ ὄμματος ἀμαύρωσις, ἀῤῥωστούσης τῆς ψυχικῆς δυνάμεως εἰσὶ σημεῖα. τὸν οὖν σπασμὸν οὐκ αὐτὰ τὰ συμπτώματα προσγινόμενα τοῖς εἰρημένοις, ἀλλ᾽ ἐκεῖνα μόνα δύναται δηλῶσαι. λέγω δ᾽ ἐκεῖνα, τραχήλου καὶ μεταφρένου κατάψυξιν ἅμα τῷ παντὶ σώματι, καὶ πρὸς τούτοις, οὖρον ἀφρῶδες, ἢ ὠμὸν καὶ ἄπεπτον. ἡ δὲ τοῦ ὄμματος ἀμαύρωσις, κατὰ συμβεβηκὸς ὑπομαρτυρήσει τῇ προσδοκίᾳ τοῦ σπασμοῦ, διότι τὴν ἀρχὴν τῶν νεύρων πεπονθέναι σημαίνει. γνωστέον δὲ καὶ ταύτην τὴν συνδρομὴν δυναμένην ἐνεγκεῖν σπασμὸν, οὐ μὴν διηνεκῶς, ἢ ὡς τὸ πολύ. μᾶλλον δὲ ἀμφιδόξως, ἐὰν ἀφρώδη γράψωμεν, ὅτε πυωδῶν γραφόντων, ἔμπαλιν ὡς εἴρηται τῆς προσδοκίας ἔσται, διὰ μέσου δ᾽ ἀμφοῖν ὑπνωδῶν γραφόντων. ἐπὶ μᾶλλον δὲ τούτων εἰ ὠμὰ καὶ ἄπεπτα φαίνοιτο. τοῖς δ᾽ ἀναπαυσομένοις ἐξ αὐτῶν ἐγγὺς εἶναι τὸν σπασμὸν καὶ τὸν θάνατον, ἥτε ἀμαύρωσις τῶν ὀφθαλμῶν, καὶ ἡ ἀψυχία σημαίνει. λέγει δὲ δηλονότι τὴν λειποψυχίαν. Διοσκουρίδης δὲ ἀντὶ τοῦ ἀψυχίας, ἅμα ἀψυχῇ γράφει.

Πήχεες, ἀλγήματα μετὰ τραχήλου σπασμώδεα. ἀπὸ προσώπου δὲ ταῦτα καὶ περὶ φάρυγγα, ἦχοι συχνοὶ σιελίζοντες, ἐν τούτοισιν ἐν ὕπνοις ἱδρῶτες, ἀγαθοί. ἆρά γε καὶ τοῦ ἱδρῶτος κουφίζεσθαι τοὺς πλείστους οὐ πονηρόν;

Τὸ ἀπὸ προσώπου δὲ ταῦτα, πάντες ἤκουσαν ἐν ἴσῳ τῷ ἀπὸ κεφαλῆς. καὶ γὰρ πρόσθεν εἴρηκε κατ' ἄλλην ῥῆσιν ἄλλως τε καὶ κεφαλῆς ὁρμῶντα. διατί δὲ σπασμώδεα λέγει ταῦτα τὰ συμπτώματα, τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων, οὐκ ἄδηλον. ἔνιοι μέντοι τὸ πρῶτον μέρος τῆς ῥήσεως, αὐτὸ καθ' αὑτὸ γράφουσί τε καὶ ἀναγινώσκουσιν, ἵν' ὁ λόγος ᾖ τοιοῦτος, πήχεως ἀλγήματα μετὰ τραχήλου σπασμώδεα. ἀπὸ προσώπου δὲ ταῦτα, μηκέτι δεομένων ἡμῶν εἰς τὴν πρόγνωσιν τοῦ σπασμοῦ τῶν ἐφεξῆς εἰρημένων. οὗτοι δὲ τὸν καὶ σύνδεσμον ἀφελοῦντες, ἀρχὴν τῶν ἐφεξῆς γεγραμμένων ταύτην ἐποιήσαντο. περὶ φάρυγγα ἦχοι συχνοί. τινὲς δὲ ἀντὶ τοῦ ἦχοι γράφουσι κατὰ φάρυγγα ὄχλοι συχνοί, ὥσπερ ὁ Διοσκουρίδης. ὁ δὲ Καπίτων οὕτως ἔγραψεν. ἴσῳ, καὶ κατὰ φάρυγγα ὠχροὶ ἰσχνοί. προχείρως γὰρ ὡς εἴρηται πολλάκις οἱ νεώτεροι ἐπὶ τὸ μεταγράφειν ἥκουσιν, ὡς βούλονται τὰς παλαιὰς γραφὰς ἐν τοῖς ἀσαφέσι βιβλίοις. ἀλλὰ ταῦτα μὲν ὅπως ἂν ἔχει τὰ συμπτώματα μοχθηρά, καὶ δοκεῖ τι συντελεῖν εἰς τὴν τῆς προκειμένης ῥήσεως ἀλήθειαν. ἄξιον δὲ ζητήσεως, διατί προσέθηκεν οἱ ἐν ὕπνοις ἱδρῶτες, ἐν τούτοισιν ἀγαθοί. οὐδὲν γὰρ ἐξαίρετον τοῖς οὕτω νοσοῦσιν, ἀπὸ τῶν ἐν τοῖς ὕπνοις ἱδρώτων ὠφελοῦνται μόνοις. κοινὸν γάρ ἐστι τὸ τῶν ὠφελίμων ἱδρώτων, ἐπί τε τοῖς εἰρημένοις παθήμασιν, καὶ τοῖς ἄλλοις ἅπασιν ἑτέρων διορισμῶν δεομένων, οἷον εἰ ἐπὶ πέψει τοῦ νοσήματος, εἰ δι' ὅλου τοῦ σώματος, εἰ ἐν ἡμέραις κρισίμοις, εἰ παύουσι τούς τε πυρετοὺς καὶ τὰ συμπτώματα. τὸ δὲ ἐν ὕπνοις τοὺς ἱδρῶτας ἐγρηγορῶσι γίνεσθαι, περιττόν. ἔνιοι μέντοι βουλόμενοι τῷ λόγῳ βοηθεῖν, φασὶν ἐπὶ τῶν σπωμένων ἱδρῶτας γίνεσθαι, διὰ τὴν συντονίαν τοῦ παθήματος. ἐὰν οὖν ἐκλελυμένου καὶ κεχαλασμένου τοῦ σώματος, ὅπερ ἐν τοῖς ὕπνοις συμβαίνει γένηται τοῦτο, κατὰ φύσιν οἰητέον ἱδροῦν αὐτούς. τὸ δ' ἐφεξῆς εἰρημένον, ἔτι μείζονα τὴν ἀπορίαν ἔχει, γράψαντος αὐτοῦ, ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι τοῖσι πλείστοισιν οὐ πονηρόν. οὐδεμίαν γὰρ ἀμφιβολίαν ἔχει τοῦτο, προφανῶς ὑπάρχον ἀγαθόν. εἰ δὲ μή, ἀλλὰ πάντως γε οὐ πονηρόν.

Οἱ ἐς τὰ κάτω μέρη πόνοι, τούτοισιν εὔφοροι.

Ποῖα κάτω λέγει, μὴ προσθέντος αὐτοῦ, συνέβη διττὴν ποιήσασθαι τοὺς ἐξηγητὰς τὴν γραφήν, ἐνίους μὲν εὔφοροι γράψαντας, ἐνίους δὲ δύσφοροι. ἐὰν μὲν γὰρ εἰς τὰ περὶ θώρακα καὶ στόμα γαστρὸς ἀφικνῶνται πόνοι, δυσφορίαν ἐνθήσουσι μείζονα τῷ τραχήλῳ τε καὶ πήχεσιν. ἐὰν δ' εἰς τὰ σκέλη, μεγάλως ὀνήσουσιν ὅλην τὴν νοσώδη διάθεσιν.

Οἱ ἐν πυρετοῖσιν ἐφιδροῦντες κεφαλαλγέες, κοιλίης ἀπολελαμμένης, σπασμώδεες.

Ἀπὸ βραχυτάτης προσδοκίας ἐνίοτε γράφει σπασμώδεις ἔσεσθαι. θεασάμενος γὰρ ἴσως ἅπαξ ἕνα τῶν οὕτως ἐχόντων σπασθέντα, πολλάκις δὲ οὐκ ἰδών, ὅλον ὀλίγου δεῖν τὸ βιβλίον, εἰς παραφροσύνης καὶ σπασμοῦ πρόρρησιν ἀνάλωσεν. ἐὰν οὖν πιστεύσας αὐτῷ τις, τοὺς ἐν πυρετῷ κεφαλαλγοῦντας μετ' ἐφιδρώσεως καὶ κοιλίας ἐπεχομένης, ἀποφήνασθαι τολμήσῃ, σπασθήσεσθαι, πάνυ πολλάκις ἀποτυχών, ἅπαξ που τεύξεται.

Τὰ ὑπόψαθυρα ὑγρὰ διαχωρήματα περιψύχοντα, οὐκ ἀπύρως, φλαῦρα, τὰ ἐπὶ τούτοισι ῥίγεα, κύστιν καὶ κοιλίην ἐπιλαμβάνοντα, ὀδυνώδεα. ἆρα τὸ κωματῶδες τούτοισιν ἔχειν τι σπασμῶδες, οὐκ ἂν θαυμάσαιμι;

Ψαθυρὰ διὰ μὲν τοῦ δ οἱ ἀττικοὶ γράφουσιν. διὰ δὲ τοῦ θ ἅπαντες οἱ ἄλλοι, τὰ κρέα τὰ τοῖς σκληροῖς καὶ ἰνώδεσι καὶ δυσδιαλύτοις, καὶ δυσμασήτοις ἐναντίως διακείμενα. μάλιστα δὲ γίνεται τοιαῦτα, τὰ καλούμενα πρὸς τῶν πολλῶν σαχνά, μίαν ἡμέραν ἢ δύο τιθέμενα μετὰ τὸ σφαγιάσαι τὸ ζῶον. ἕωλα δὲ εἰώθασιν καλεῖν αὐτὰ οἱ Ἕλληνες, ἑωλίζειν τε τὸ οὕτως προσειπεῖν. ὅθεν καὶ σιτίον νέον ἄκρως εἴρηται, τὸ ἐπὶ βραχὺ προσεωλισμένον. εὔδηλον γὰρ ἐκ τοῦ μετ' αὐτὸ ῥηθέντος ὧδε. γέρουσι δὲ ἐς τέλος μεταβεβηκός. ἐγὼ μὲν οὖν ἐδήλωσα, τίνα λέγουσιν οἱ ἄνθρωποι ψαθυρά, ἐπ' ἐδεσμάτων οὐ διαχωρημάτων ποιούμενοι τὸν λόγον. ὁ δὲ τοῦ βιβλίου συγγραφεὺς αὐτὸς ἦν δίκαιος εἰπεῖν ἡμῖν τίνα λέγει διαχωρήματα ὑπόψαθυρα. δῆλον γὰρ ὅτι τὰ μετρίως ψαθυρά, πάντως γὰρ ἦν ἐκείνου χρεία ἡμῖν δηλῶσαι τίνα λέγει τὰ ὑπόψαθυρα. τῶν προφητῶν δ' αὐτῶν διενεχθέντων ἀλλήλοις, ἔτι μείζων ἡμῖν ἀπορία γίνεται τοῖς μὴ προφήταις. ὁ μὲν γάρ τις τὰ ὑγρὰ φησὶν ἁπλῶς εἰρῆσθαι νῦν, ὁ δὲ τὰ ὑδατωδῶς ὑγρά, πάχος καὶ σύστασιν οὐδεμίαν ἔχοντα. τινὲς δὲ τὰ οἷον ἀλιπῆ, τινὲς δὲ τὰ οἷον ἄγλισχρα. τινὲς δὲ οὐκ οἶδ' ὅτι δόξαν αὐτοῖς, τὰ μὴ μιγνύμενα φασὶν ἑτέροις ὑγροῖς ὥσπερ τὸ ὕλαιον, ἄλλοι δὲ τὰ ἐν ὑγρῷ διαχωρήματι χολώδη καὶ ἄπεπτα συστρέμματα, τινὲς δὲ τὰ εὐδιάλυτα. καθάπερ εἰ καὶ ψάμμον ὕδατι δεύσειας, εἶτα σφίγξας τοῖς δακτύλοις καταθείς, διαλυθεῖσαν εἴποις, καὶ δοκοῦσιν οὗτοι πιθανώτεροι τῶν ἄλλων εἶναι. τὰ δ' αὐτὰ λέγουσιν αὐτοῖς δυνάμει, καὶ οἱ τὰ μὴ γλίσχρα φάντες, ἅπερ εἴποι τις ἐν μιᾷ συνθέτῳ φωνῇ οἷον ἄγλισχρα. εἰ γὰρ ἀπὸ τῶν ψαθυρῶν ἐδεσμάτων ἐπὶ διαχωρήματα μεταφέρειν χρὴ τὴν ὁμοιότητα, πιθανώτερον ἂν εἴη λέγειν ψαθυρὰ τὰ εὐδιάλυτα, καὶ μηδεμίαν ἕνωσιν ἔχοντα δύσλυτον. ἀλλά τά γε τοιαῦτα διαχωρήματα, γένοιτ' ἂν καὶ ἀπ' ἐδεσμάτων ψαθυρῶν καὶ εὐδιάλυτον ἐχόντων τὴν οὐσίαν. εἶδον οὖν ἐγὼ ἐν ἀγρῷ παιδία κηπαροῦ σίτου μὲν εὐποροῦντα, ἄρτων δ' εὐποροῦντα ἐκ τοῦ ἐκείνων ἐδωδῆς τοιαῦτα διαχωροῦντα οἷα τῆς κέγχρου καὶ τῆς ἐλύμου ἐσθίοντα, ἢ τοὺς κριβίνους ἄρτους, ὅμοια τούτοις ἀποπατοῦσιν. εἰ δ' ἄρτους τις ἐκ πυρῶν ἐσθίων, τοιαῦτα διαχωρήσειεν ὑπονοήσειν χρὴ λεπτὴν καὶ δαλυτικὴν ὑγρότητα μεμίχθαι τοῖς ἀποπατήμασιν αὐτοῦ, κωλύουσαν ἀλλήλοις ἑνοῦσθαι. Διοσκουρίδης δὲ ὥσπερ ἄλλα πολλὰ προχείρως ἐν τοῖς ἀσαφέσι βιβλίοις ὑπήλλαξεν, οὕτω καὶ τὰ ὑπόψαθυρα μεταγράψας, ἐποίησεν ὑπόψεφαρα, καὶ φησὶν αὐτὸς οὕτως ὀνομάσθαι τὰ ὑπομελανίζοντα. τὸ γὰρ σκότος ψέφας εἰρῆσθαι καὶ παρὰ Πινδάρῳ. μετὰ δὲ τὴν τῶν ψαθυρῶν μαντείαν, ἢ

εἰκασίαν, ἢ προπέτειαν. ὅτι γὰρ αὖτις ἐν τοῖς τοιούτοις ὡς βεβαίως ἐγνωκὼς ἀποφαίνεται, προπετές ἐστιν, ἐπὶ τὰς ἑξῆς ἴωμεν λέξεις, ἐν αἷς ἐστι πρώτη περιψύχοντα οὐκ ἀπύρως. ὅπερ αὖ καὶ αὐτὸ βεβαίως γνῶναι τί βούλεται, προπετοῦς ἐστιν ἀνθρώπου. στοχαζόμενοι δὲ ὥσπερ ἐπὶ πολλῶν ἄλλων ἐποιήσαμεν ἐν τῷδε τῷ βιβλίῳ, καὶ περὶ τούτου, φήσομεν εἰρῆσθαι περιψύχοντα μὴ ἀπύρως, τὰ κατὰ μὲν τὴν ἐκτὸς ἐπιφάνειαν περιψύχοντα, διὰ βάθους δὲ τοῦ σώματος αἴσθησιν ἔχοντα πυρώδους θερμασίας. ταῦτ᾽ οὖν φησιν εἶναι φαῦλα. τίς δ᾽ οὐκ οἶδεν ὅτι περιψυχόμενος μὲν τὸ δέρμα, πυρώσεως δ᾽ αἰσθανόμενος ἐν τῷ βάθει φαύλως ἔχει, καὶ χωρὶς τοῦ ζητῆσαι ἡμᾶς εἰ διεχώρησεν ὑπόψαθυρα; τοῖς γὰρ ἐν τῷ προγνωστικῷ γεγραμμένοις ἀρκούμενοι, πρὸς διάγνωσιν ἀγαθῶν τε καὶ κακῶν διαχωρημάτων, οὐ σφαλησόμεθα. τούτοις δ᾽ ἐφεξῆς γέγραπται κατὰ τὴν προκειμένην ῥῆσιν ὧδε. τὰ ἐπὶ τούτοις ῥίγεα κύστιν καὶ κοιλίην ὑπολαμβάνοντα, ὀδυνώδεα. ζητεῖν οὖν πάλιν ἐνταῦθα ἡμᾶς ὁ συγγραφεὺς βούλεται, τί σημαίνει τὸ ἐπιλαμβάνοντα. διὰ μὲν γὰρ τῶν ἔμπροσθεν, ἀπολήψεις τὰς ἐπισχέσεις ὠνόμασε. νυνὶ δὲ τὰ ὑπολαμβάνοντα γράψας, ἐνίοις μὲν ἤδη τοῦτο φορτικὸν δοκεῖ τοὔνομα, τὸ ὑπολαμβάνοντα ταῖς ἀπολήψεσιν. ἐνίοις δὲ τὸ οἷον ἤδη πλέον ἐκτεινόμενα δηλοῦν. τὸ δέ γε ὀδυνώδεα προκείμενον, ἱκανὸν ἐνδείξασθαι κάμνωσιν τινὰ δηλῶσαι διὰ τῆς ὑπολαμβάνοντα φωνῆς. ἤδη οὖν μὲν τῶν ἄλλων συγγραμμάτων τὰ πλεῖστα τῶν ἀπορουμένων, ἐκ τῶν ἐπιφερομένων γινώσκεται. κατὰ δὲ τὸ βιβλίον τοῦτο, μεῖζον ἀεὶ τοῦ πρόσθεν ἐπιφέρεται ζήτημα, καθάπερ καὶ νῦν εἰπόντος αὐτοῦ, ἆρα τὸ κωματῶδες. ἤτοι γὰρ πιστόν ἐστιν ὅ φησιν ἐν τούτοις τοῖς εἰρημένοις, ἢ ἅπασί τε καὶ τοῖς ὑστέροις. καὶ γὰρ καὶ τοῦτο δῆλον τὸ κωματῶδες πάθημα συνυπάρχον τι ἔχειν καὶ σπασμῶδες, ὡς ἐν ᾧ μὲν αὐτὸ καὶ συνυπῆρξεν, ὅτι τοῖς εἰρημένοις ἕπεται τὸ κωματῶδες. ἀλλ᾽ οὐδ᾽ ἕτερον τούτων οὔτ᾽ ἀναγκαῖόν ἐστιν, οὔθ᾽ ὡς ἤδη πολύ, καὶ μέντοι καὶ αὐτὸς ὁμολογεῖ. προσέθηκε γοῦν τὸν ἀπορητικὸν ἆρα σύνδεσμον, εἴτ᾽ ἀποπεφώνηκεν αὐτῷ τὸ οὐκ ἂν θαυμάσαιμι. γέγραπται γοῦν οὕτως ἐν τοῖς πλείστοις καὶ ἀξιοπίστοις ἀντιγράφοις, ὥσπερ οὖν καὶ κατ᾽ ἄλλα τινὰ μηδ᾽ ὅλως γεγραμμένον εὑρίσκεται.

Τὰ ἐν ὀξέσιν ἐμετωδῶς ἑλκόμενα, φλαῦρα, καὶ αἱ λευκαὶ διαχωρήσιες δύσκολοι. ἄγλισχρα ἐκ τούτων διεξελθόντα ἐξίσανται καύματι πολλῷ, οἱ ἐκ τούτων κωματώδεες νωθροί, ἀπογίνονται, τὰ ἐκ τοιούτων μακροτέρως ἐπινοσέει. ἆρα περὶ κρίσιν οὗτοι ξηρώδεες δύσπνοοι;

Τὰ ἐν ὀξέσι φησὶν ἐμετωδῶς ἑλκόμενα, φλαῦρα. τοιοῦτον δέ τι καὶ πρόσθεν ἐγέγραπτο, καὶ ἡμεῖς ὑπὲρ τῶν ὁμοίων ὅμοια λέγειν ἀναγκαζόμεθα. προσθήσω δὲ νῦν κἀκεῖνο πρότερον οὐκ εἰρημένον, ἡνίκα ἔφασκον ἀποτρίψασθαι τὰ λυποῦντα τῆς γαστρὸς ὁρμώσης γίγνεσθαι τὴν ναυτίαν. τινὲς δὲ καὶ διὰ φλεγμονὴν αὐτῆς εἰρήκασι, ναυτιώδη γίγνεσθαι διάθεσιν, ὅπερ ἐμπεριέχεται τῷ πρόσθεν εἰρημένῳ λόγῳ τῷ καθόλου. φλεγμονὴ γὰρ εἰ κατὰ τὸν ἑαυτῆς λόγον ἐποίει ναυτίαν, οὐκ ἂν εὑρίσκετο ποτὲ φλεγμαίνουσα χωρὶς ναυτίας. συμπίπτει δὲ αὐτῇ τὸ σύμπτωμα τοῦτο φλεγμαινούσῃ ποτὲ κατὰ διττὸν τρόπον, ἕνα μὲν ὅταν ἀποῤῥέοντες τινὲς ἰχῶρες ἐκ τῶν φλεγμαινόντων μορίων εἰς τὴν ἐντὸς εὐρυχωρίαν ἀθροιζόμενοί τε, κατ᾽ αὐτὸ τὸ χωρίον ἀνιῶσιν αὐτῆς τὸ στόμα. καθ᾽ ἕτερον δ᾽ ὅταν ἐπίμικτος ἡ διάθεσις γίνηται, δυοῖν ἀλλήλαις συμπλεκομένων διαθέσεων, ἐν ἑκατέρᾳ κατὰ μόνας γίνεται. τῆς οὖν τὸ ναυτιῶδες σύμπτωμα ποιούσης διαθέσεως ἐπιπλακείσης τῇ φλεγμονῇ, διὰ τὴν ἑτέραν αὐτῶν οἱ κάμνοντες γίνονται ναυτιώδεις, οὐ διὰ τὴν φλεγμονήν. συμβαίνει δ᾽ ἐνίοτε μὲν ἐπὶ μετρίαις ναυτίαις ἐμεῖν αὐτίκα συμπίπτειν. ἐνίοτε δὲ συνταράττεσθαι μὲν ἐπὶ πλεῖστόν τε καὶ πυκνόν, ἐμεῖν δ᾽ ἤτοι μηδὲν ἢ παντάπασιν ὀλίγον, ὅπερ ἐστὶν εἰκάσαι, τὸ ἐμετωδῶς ἑλκόμενα δηλοῦν, ὅπερ εἴρηται κατὰ τὴν προκειμένην ῥῆσιν ἐν ἀρχῇ. μοχθηρὸν δ᾽ ἐστίν, οὐχ ὡς σημεῖον μόνον, ἀλλὰ καὶ ὡς αἴτιον τὸ τοιοῦτον σύμπτωμα. καθόσον μὲν γὰρ ἐνδείκνυται κακοχυμίαν, δυσέκκριτον ἐν τῷ στόματι τῆς κοιλίης περιέχεσθαι, κατὰ τοῦτο σημεῖόν ἐστι μοχθηρόν. ὅτι δὲ συνεχέσι σπαραγμοῖς ἀνιᾷ τὴν γαστέρα, κατὰ τοῦτο πάλιν ὡς αἴτιον αὐτῆς γενήσεται, τῆς μὲν οὐκ οὔσης φλεγμονῆς, ὡς γενέσθαι νῦν, τῆς δ᾽ ἔμπροσθεν οὔσης, ὡς αὐξηθῆναι. ἀλλὰ καὶ αἱ λευκαὶ διαχωρήσεις, φησί, δύσκολοι. τοῦτο δ᾽ ἔνιοι μὲν ἀπὸ τοῦ προειρημένου χωρίζουσιν, ἔνιοι δ᾽ ἐκείνῳ συνάπτουσιν. εἰρήκαμεν δὲ ὅπερ ἐπὶ τῶν προειρημένων διὰ τοῦ ἔμπροσθεν, αὐτὸ καὶ περὶ τούτων. λευκαὶ γὰρ αἱ διαχωρήσεις γίνονται, μὴ καταῤῥεούσης ἐξ ἥπατος εἰς τὴν γαστέρα χολῆς. ἀλλὰ τοῦτό γε καὶ καθ᾽ ἑαυτὸ δύναται, καὶ μετὰ τοῦ προειρημένου συστῆναι. διὰ μέντοι τὸ μιγνύειν αὐτόν, ἀλλήλοις πολλὰ τῶν ἑτερογενῶν, ἔξεστι τοῖς ἀναγινώσκουσι συνάπτειν αὐτά, καὶ χωρίζειν ἀπ᾽ ἀλλήλων. ἀλλὰ τό γ᾽ ἐφεξῆς τοῖς λευκοῖς διαχωρήμασι γεγραμμένον, ἄγλισχρα ἐκ τούτων διεξελθόντα ἐξίσανται καύματι πολλῷ, τῶν ἅπαξ ἴσως ἢ δὶς ἑωραμένων ἐστὶν αὐτῷ, μηδεμίαν ἀναγκαίαν ἔχοντα τῆς ἀκολουθίας αἰτίαν, ἀλλ᾽ ὡς εἴρηται πολλάκις ἤδη, γίνεσθαι δυνάμενα, ποτὲ μὲν τῷ μεθίστασθαι τοὺς λυποῦντας χυμούς, ποτὲ δὲ τῷ μερίζεσθαι, ποτὲ δὲ τῷ πλείονας ὑπολαμβάνειν τόπους, αὐξανομένης τῆς διαθέσεως. ἔτι δὲ μᾶλλον οὐδὲ κωματώδεις αὐτοὺς γενέσθαι τῶν ἀναγκαίων ἐστίν, ἀλλὰ τῶν ἐνδεχομένων. τοῦτο δὲ καὶ αὐτὸς ὡμολόγησεν εἰπών, ἆρά γε ἐκ τοιούτων κωματώδεες. ἐφάνη γοῦν αὐτὸ διὰ τῶν ἔμπροσθεν ἀεὶ προσγράφων, ἐφ᾽ ὧν οὐδ᾽ αὐτὸς ἀποφήνασθαί τι τολμᾷ. καὶ μέντοι καὶ τἄλλα τὰ ἐφεξῆς ἄχρι τέλους τῆς ῥήσεως, ὁμοίως ἔχει τὴν ἀπορίαν, ὡς ἴσως ἐχρῆν ἡμᾶς ἤδη πεπαῦσθαι τῆς ἐξηγήσεως τῶν ὑπολοίπων ἐν τῷ βιβλίῳ ῥήσεων. τοῖς μὲν γὰρ ἀκριβῶς ἐκμεμαθηκόσι τίνα τε ἐν τοῖς Ἱπποκράτους γέγραπται βιβλίοις, ὅσα τε κατὰ τὰς ἐξηγήσεις αὐτῶν ὑπ᾽ ἐμοῦ λέλεκται, γινώσκειν τινὰ μέντοι τῶν σημείων ἔγραψεν, ἵνα ἔχῃ τὴν προγνωστικὴν ὡσαύτως ἔχουσαν ἀεί, τίνα δ᾽ ὡς τὸ πολύ. τίνα δ᾽ ἀμφίβολον, ἢ σπάνιον, ἔτι τε τὰς ἐν τούτοις αὐτοῖς ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφοράς, ὡς οὐδὲν ἐμοῦ πρὸς τὰ παρόντα δέονται. τοῖς δὲ πρὶν ἐκεῖνα μαθεῖν ἐπὶ ταῦτα ἐλθοῦσι, μακροῦ πάνυ λόγου καθ᾽ ἕκαστον αὐτῶν ἐστι χρεία, ὥστε μὴ τριῶν ἀλλὰ τριάκοντα δεηθῆναι βιβλίων. ἐγὼ μὲν οὖν τὰς ἐν τοῖς πιστοῖς τῶν ἀντιγράφων ὁμολογουμένας γραφὰς ἐν τῇ προκειμένῃ ῥήσει διῆλθον. εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ γραφαί, ἄλλαι ἄλλως ὡς ἂν ἐθελήσωσιν, ἀλλ᾽ εἰς ἄπειρον, ὡς ἔφην, μῆκος ἐκπεσεῖν ἀναγκασθήσομαι πασῶν μνημονεύων.

Τὰ δὲ

Τὰ δ' ἐξ ὀσφύος ἐς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα καὶ παραλύσαντα, παραπληκτικὸν τρόπον σπασμώδεα παρακρουστικά, ἆρά γε καὶ λύεται τὰ τοιαῦτα σπασμῷ; ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι καὶ διὰ τῶν αὐτῶν ἰόντες.

Καὶ κατὰ ταύτην τὴν ῥῆσιν ἄδηλον ἐστὶν ὅπως ἀναγινώσκειν ἡμᾶς ὁ γράψας ἠβουλήθη, πότερον ἐφεξῆς ἅπαντα συνάπτοντας τὰ συμπτώματα, κἄπειτα ἐπ' αὐτοῖς λέγοντας, ἆρά γε καὶ τὰ τοιαῦτα λύεται σπασμῷ, ἢ μέχρι τοῦ παραλύσαντα παραπληκτικὸν τρόπον ἐφεξῆς ἀναγνῶναι, εἶτα διασιωπήσαντας, πάλιν ἐφεξῆς εἰπεῖν, σπασμώδεα παρακρουστικά. τινὲς μὲν γὰρ οὕτως, τινὲς δ' ἐκείνως ἀνέγνωσαν. ἐφεξῆς γάρ φησι, ἆρά γε καὶ τὰ τοιαῦτα λύεται σπασμῷ. τὸ μὲν οὖν τὰ σπασμώδη λύεσθαι σπασμῷ, τῶν ἀτόπων ἐστί. τὰ δὲ προειρημένα λύεσθαι σπασμῷ, πιθανώτερον ἄν τις ἀκούσειεν. ἔστι δὲ τὰ προειρημένα ταυτί, τὰ δ' ἐξ ὀσφύος ἐς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα παραλύσαντα παραπληκτικὸν τρόπον, ὕστερον γίνεσθαι σπασμώδη, καὶ γινόμενα τοιαῦτα λῦσαι τὴν παραπληγίαν. ταῦτα γὰρ ἔχειν τινὰ νοῦν φαίνεται, διὰ τὸ τὴν παραπληγίαν πρῶτον πάθος ὑπάρχειν ἑνὸς μορίου τοῦ σώματος, ὁποῖον ἐστὶν ἡ παραπληξία τοῦ παντός. τούτῳ γ' ἐναντιώτατον ἐστὶ κατά γε τὴν κίνησιν αὐτὴν πάθημα, τὸν σπασμόν. ἀκίνητα γὰρ ἐργαζομένης τὰ πεπονθότα μόρια τῆς παραπληγίας, ὁ σπασμὸς εἰς κίνησιν ἄγων, σφοδροτέραν τοῦ κατὰ φύσιν ὡς διασείεσθαι αὐτὰ βιαίως, εἰ ἔμφραξις, ἢ σφήνωσις ὑγρῶν, ἢ παχέων ἢ γλίσχρων ἐν τοῖς νεύροις εἴη, κατὰ τοῦτο δόξειεν ὠφελεῖν τὴν παραπληγίαν. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι καὶ διὰ τῶν αὐτῶν ἰόντων, θεάσασθαί μοι δοκεῖ γεγονὸς ἐπί τινος. εἶδον οὖν ἅπαξ κἀγὼ παραπλησίως τινὰ διατεθέντα, καὶ μετάπτωσιν ἔχοντα ποικίλως ἄλληλα διαδεχομένων τῶν συμπτωμάτων, ἐγένετο δὲ κἀκείνῳ ταῦτα, προηγησαμένων ἀλγημάτων ὀσφύος, καὶ τραχήλου, καὶ κεφαλῆς, ἐφ' οἷς ἡ χεὶρ ὅλη δυσαίσθητός τε καὶ δυσκίνητος ἦν, ὥσπερ γε καὶ κατὰ ταύτην τὴν ῥῆσιν εἴρηται παραπληκτικὸν τρόπον, οὐκ οὔσης ἀκριβοῦς παραπληγίας, εἶτα σπασμὸς ἐπιγενόμενος, αἰσθητικωτέραν τε καὶ πρὸς τὰς κινήσεις ἑτοιμοτέραν αὐτὴν εἰργάσατο. παυσαμένου δὲ τοῦ σπασμοῦ, μετὰ βραχὺ πάλιν ἐγένετο χείρων, εἶτα καὶ τὰ κατ' ὀσφὺν καὶ τράχηλον καὶ κεφαλὴν αὖθις ἀλγήσας, ἀθρόαν ἔσχεν αὔξησιν τῆς κατὰ τὴν χεῖρα παραπληγίας, εἶτ' αὖθις σπασμὸν ἔσχε πάλιν οὐ σμικρόν.

Οἱ ἐν ὑστερικαῖς ἀπύρως σπασμοὶ εὐχερέες, οἷον καὶ Δορκάδι.

Κἀνταῦθα τὸ γινωσκόμενον ἡμῖν ἐφαρμόζομεν τῇ ῥήσει, μηδὲν ἀπ' αὐτῆς διδασκόμενοι. τὸ γὰρ εὐχερὲς ὄνομα, τῶν ἀμφιβόλων ἐστὶν ὅσον ἐφ' ἑαυτῷ. δύναται γοῦν τις ἀκούειν ἐξ αὐτοῦ καὶ τὸ εὔλογον τῆς γενέσεως τῶν ἐπὶ ὑστερικοῖς παθήμασι γινομένων σπασμῶν. δύναται δὲ καὶ τὸ ἀκίνδυνον αὐτῶν εἰρῆσθαι, ὥστε αὐτὴ μὲν ἡ ῥῆσις οὐδὲν διδάσκει, καθάπερ οὐδ' ἄλλος τις λόγος ἀμφίβολος. οἱ φθάνοντες δ' ἐπίστασθαι τὴν ἐν τοῖς λεγομένοις πράγμασιν ἀλήθειαν, ἐφαρμόττουσιν ἐνὶ μορίῳ τῆς ἀμφιβολίας, ἐνίοτε δὲ καὶ δυσίν, ὥσπερ καὶ νῦν ἀναγινώσκουσιν οὗτοι. ταῖς γὰρ ὀνομαζομέναις ὑστερικαῖς γυναιξίν, αἳ ταῖς ὑστερικαῖς πνίξεσιν ἁλίσκονται, καὶ γίνονται συνεχεῖς ὅλου τοῦ σώματος συνολκαὶ σπασμώδεις, καὶ οὐχ ὁμοίως ἔχουσι τοῖς ἄλλοις σπασμοῖς κίνδυνον. ἐπεὶ δὲ καὶ ταῖς μεγάλαις τῆς μήτρας φλεγμοναῖς ἐνίοτε σπασμοὶ συνεδρεύουσι, τούτων ἀφώρισε τοὺς νῦν εἰρημένους, προσθεὶς τῇ ῥήσει τὸ ἀπύρως, ὅπερ ἐστὶ χωρὶς πυρετοῦ. πρόδηλον γὰρ ὅτι ταῖς φλεγμοναῖς τῆς μήτρας μεγάλαις ἕπονται πυρετοί, ἀλλ' οὐδὲ γίνονται πολλάκις ἐπὶ φλεγμονῇ μήτρας οἱ σπασμοὶ γινόμενοι, κινδυνώδεις εἰσί.

Κύστις ἀποληφθεῖσα, ἄλλως τε καὶ μετὰ κεφαλαλγίης ἔχει τι σπασμῶδες. τὰ ναρκωδῶς ἐν τούτοισιν ἐκλυόμενα δύσκολα, οὐ μὴν ὀλέθρια. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον;

Ἀπόληψιν οὔρων ὥσπερ καὶ διαχωρημάτων εἴωθεν ἀντὶ τῆς ἐπισχέσεως ὀνομάζειν. ἔχειν οὖν φησίν τι σπασμῶδες αὐτήν, ἐν ἴσῳ τῷ δύνασθαι σπασμόν ποτε ἐργάσασθαι, καὶ μάλιστα ὅταν ἄλγημα προσγένηται κεφαλῆς, δηλοῖ γὰρ ἐν συμπαθείᾳ τῆς κύστεως τὴν τῶν νεύρων ἀρχὴν γεγονέναι. τὸ δ' ἐπιφερόμενον τούτῳ κατὰ τὴν ῥῆσιν, ἐν ᾧ τὰ ναρκωδῶς ἐν τούτοισιν ἐκλυόμενα γέγραπται, διττῶς ἐξηγήσαντο. τινὲς μὲν ἐπ' αὐτῶν τῶν οὔρων εἰρῆσθαι φάσκοντες, ὡς εἰ ἐκ τῆς ἐπισχέσεως ναρκωδῶς ἐκκριθῇ. βούλονται γὰρ ἀντὶ τοῦ ἐκκρινόμενα, ἐκλυόμενα λελέχθαι. τινὲς δὲ ἐπὶ μορίων τοῦ σώματος ἤκουσαν φάναι ἐκλύεσθαι, τινὲς δ' ἐφ' ὅλου τοῦ σώματος, ἵνα φήσωμεν αὐτὸ κατὰ μὲν τὴν αἴσθησιν ναρκῶδες, κατὰ δὲ τὴν προαιρετικὴν κίνησιν, ἔκλυτον γεγονέναι. ταῦτ' οὖν βούλονται δύσκολα μὲν ἐν ἴσῳ τῷ ἀκίνδυνα λελέχθαι, οὐ μὴν ὀλέθριά γε. εἰ δὲ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ἀπορώτερον ἀποφαίνεται, παρακρουστικὸν ἐστὶ τὸ τοιοῦτον, ἢ μή, πολλάκις μεμαθήκαμεν αὐτοῦ τὴν γνώμην ἐν οἷς ἀπορεῖ.

Ἆρά γε καὶ περὶ κρόταφον ὀξέων διακοπαὶ σπασμὸν ἐπικαλέονται, ἢ τό, μεθύοντα πληγῆναι, ἢ τό, ῥυῆναι πολὺ ἐν ἀρχῇσι, εἰ τοῦτο ποιεῖ σπασμώδεα.

Τὸ μὲν ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, σπασμώδεα κατά τινα τῶν ἀντιγράφων οὐ πρόσκειται, διαφέρει δ' οὐδὲν ὡς πρὸς τὴν διάνοιαν, εἰ καὶ μὴ προσκέοιτο, συνυπακούεται τῷ κατ' ἀρχὴν εἰρημένῳ, σπασμὸν ἐπικαλέονται. προφανῶς οὖν ἐδήλωσεν ἐνταῦθα τὸ φανὲν αὐτὸ καθ' ἕκαστον ἀρρώστων, ὅταν ἄξιον εἶναι αὐτῷ δόξῃ γραφῆς ἑρμηνεύειν, εἶτα ἐνίοτε μὲν ἀποφαινόμενος ὡς καθολικόν, ἐνίοτε δὲ διαπορῶν, ὥσπερ καὶ νῦν ἐπί τινος διακοπέντος ὀστοῦ τῆς κεφαλῆς κατὰ κρόταφον, ὃς ἐμέθυε μὲν ἡνίκα ἐπλήγη, παραχρῆμα δὲ αἱμορραγήσας ἰσχυρῶς, ὕστερον ἐσπάσθη. τριῶν οὖν αὐτῷ προσγενομένων, ἑνὸς μὲν τῆς κατὰ τὸν κρόταφον διακοπῆς, δευτέρου δὲ τοῦ μεθύοντος γενέσθαι τοῦτον, καὶ τρίτου τῆς αἱμορραγίας, ζητεῖ διὰ τί τούτων ὁ σπασμὸς ἐγένετο. καὶ τοίνυν ἀποκρινοῦμαι αὖ

» ῥᾳδίως αὐτῷ. περὶ μὲν τῆς κατὰ τὸν κρόταφον διακοπῆς Ἱπποκράτης λέγει, ὅτι καὶ πληγαὶ καίριοι καὶ καροῦ-
» σαι, αἱ κροταφῖται γίνονται, καὶ μέντοι καὶ ὅτι ἐν σπασμοῖς καὶ τετάνοις οἱ κροταφῖται μύες πρῶτοι πάσχουσι.
» περὶ δὲ τῆς μέθης τὸν ἀφορισμὸν ἐκεῖνον εἰρῆσθαι, ἤν μεθύων τις ἐξαίφνης ἄφωνος γένηται, σπασθεὶς ἀποθνήσκει. περὶ δὲ τῆς αἱμοῤῥαγίας, ὅτι σπασμὸς γίνεται ὑπὸ πληρώσεως ἢ κενώσεως, ἀλλ' οὐχὶ τοῦ παντὸς σώματος, ἀλλὰ τῶν νεύρων αὐτῶν, ὅθεν ἐφ' αἱμοῤῥαγίᾳ οὐ σπῶνται, πλὴν εἰ καταψυχθεῖεν, ἤτοι διὰ τὴν τῶν θεραπευόντων ἀμέλειαν, ἢ τὸ καταπαύειν ἐθέλειν τὴν αἱμοῤῥαγίαν διὰ τῶν ψυκτηρίων βοηθημάτων.

Ἐν ἱδρῶτι πτύελα περιῤῥέοντα πυρετώδει ἐόντι, ἀήθεα. ἆρά γε ἐπί τινας ἡμέρας κοιλίαι καθυγραίνονται; οἴομαι. ἆρά γε τούτοισιν εἰς ἄρθρον ἀπόστημα ἔσεσθαι;

Τινὲς τὸ πέρας τῆς προτέρας ῥήσεως ἀρχὴν ταύτης ποιοῦνται διττῶς, ἔνιοι μὲν μετὰ τοῦ ἄρθρου τὰ σπασμώδεα ἐν ἱδρῶτι πτύελα παραῤῥέοντα, διαφέρει δ' οὐδὲν ὡς πρὸς τὴν διάνοιαν, ἐάν τε προσθῇ, ἐάν τε ἀφέληται τὸ ἄρθρον. τὸ μέντοι προστάξαι τῶν ἐφεξῆς λεγομένων τὰ σπασμώδεα, μεγάλην ἐξαλλαγὴν ποιεῖ τῆς διανοίας. καὶ ταύτης γε ἔτι μᾶλλον κατὰ τὴν ἑτέραν γραφὴν, ἣν τινὲς τῶν νεωτέρων ἔγραψαν, ἀντὶ τοῦ ἐν ἱδρῶτι ποιήσαντες ὄνομα σύνθετον ἀνιδρωτὶ, τουτέστι τὸ μὴ ἐν ἱδρῶτι, ἢ ἄνευ τοῦ ἱδρώτων. εἰ μὲν οὖν πολλάκις ἐν πολλαῖς ῥήσεσι, τὰ μηδὲ εἰς τὴν πρόῤῥησιν συντελοῦντα τοῖς συντελοῦσιν αὐτὸς ἔγραφεν, ἄντικρυς ἂν ἐμεμψάμην τοὺς προγράψαντας ἢ προστάξαντας τῇ ῥήσει τὰ σπασμώδεα. προσιθέντος δ' αὐτοῦ καὶ τοῦ μηδὲν συντελοῦντος, συγγιγνώσκω τοῖς γράψασι τὰ σπασμώδεα, καίτοι μηδὲν ἀξιόλογον εἰς τὰ προκείμενα συντελεῖ. τὰ γὰρ ἐν πυρετοῖς ἅμα τοῖς ἀκρίτοις ἱδρῶσι παραῤῥέοντα πτύελα, διὰ πλῆθος ἄμετρον, ἢ δι' ἀῤῥωστίαν τῆς δυνάμεως γίνεται, καὶ διὰ τοῦτο οὐκ ἐστὶν ἀήθη, καθάπερ εἰ καὶ οὕτω τροπάς τις εἶπεν. ἀλογωτέρα δέ τι γένοιτ' ἂν ἡ διάνοια, γραφόντων ἡμῶν ἀνιδρωτί. καίτοι οἱ μεταθέντες τὴν παλαιὰν γραφὴν, ὥς τι σοφώτερον εὑρηκότες οὕτως ἔγραψαν, ἀντὶ τοῦ ἐν ἱδρῶτι ποιήσαντες αὐτό. τόδε ἆρά γε τούτοισιν ἐπί τινας ἡμέρας κοιλίαι καθυγραίνονται, τεθεαμένος ἐπ' ἀῤῥώστου δηλονότι γενόμενον οὕτως ἔγραψε, ζητῶν εἰ πολλοῖς δύναται τοῦτο συμβαίνειν, ἀποκεῖσθαι δ' αὐτῷ βεβαίως, ὅσον ἐπὶ τοῖς εἰρημένοις οὐδὲν ἔχομεν. ὅπως γὰρ ἔχει τὰ ἄλλα τῷ τοιούτῳ ἀῤῥώστῳ, χρὴ προσδιορίζεσθαι, περὶ ὧν οὐδὲν εἴρηκε. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν ἀποστησομένων εἰς ἄρθρα, μεμάθηκας γὰρ ἐκ τίνων σημείων χρὴ τὰ τοιαῦτα διορίζεσθαι, περὶ ὧν οὐδὲν εἴρηται νῦν.

Τὰ ἐπ' ὀλίγον θρασέως παρακρούοντα, μελαγχολικά. ἢν δὲ ἀπὸ γυναικείων ᾖ, θηριώδεα. ἐπὴν πλείω δὲ ταῦτα συμπίπτῃ, ἆρά γε καὶ σπασμώδεες αὗται; ἆρά γε καὶ αἱ μετὰ κάρου ἀφωνίαι, σπασμώδεες αὗται; οἷον τῇ τοῦ Σκυτέως θυγατρὶ, ἤρξατο γυναικείων παρεόντων.

Τίνα μὲν ὀνομάζει μελαγχολικὴν παραφροσύνην, ἔμπροσθεν εἶπον, αὐτῆς ταύτης ἧς νῦν εἶπε ῥήσεως τὴν ἀρχὴν αὐτοῦ γράψαντος. ὁ δὲ ἐνεστὼς λόγος οὐκ ἐστὶν ὡς αὐτὸς ὡμολόγησεν, ἑωρακότος αὐτοῦ τὴν τοῦ Σκυτέως θυγατέρα ἐξ ἐπιμηνίου ὑποσχέσεως παρακρούσασαν θηριωδῶς. ἐνεδείξατο δὲ διὰ τῆς φωνῆς ταύτης ἐπίτασιν τοῦ μελαγχολικοῦ. ἑτοίμων γὰρ ὄντων εἰς τὸ κακουργεῖν τῶν πέλας τῶν μελαγχολικῶς παρακρουόντων, ὅταν μεγάλας ποιῶνται τὰς κακουργίας, θηριώδεις αὐτὰς ὀνομάζει. ἀλλὰ τὸ ἐξ ἐπισχέσεως τῆς ἐμμήνου καθάρσεως τοιαύτην γίνεσθαι παραφροσύνην, οὔτε παντελῶς ἀληθὲς, οὔθ' ὡς τὸ πολύ. μελαγχολικοῦ μὲν ὄντος τοῦ αἵματος, τὸ ἐπὶ τὸν ἐγκέφαλον ἰέναι τοιαύτην ἐργάζεται παρακοπὴν, πικροχόλου δὲ οὐκέτι τοιαύτην, ἀλλὰ τὴν συνήθως γινομένην. εἰ δ' ἦ φλεγματῶδες ἢ τὸ πλῆθος, καταφορὰν καὶ λήθαργον μᾶλλον ἐργάσεται, μικτὴν δ' εἴπερ ἐκ τούτων εἴη, μικτὴν καὶ τὴν διάθεσιν ἐκ καταφορᾶς καὶ ἀγρυπνίας, ἢ παρακοπῆς ἀποτελέσει. ὥσπερ δὲ οὐδὲν τούτων ἐστὶ καθολικὸν αὐτοῖς, οὕτως οὐδὲ τῶν ἐφεξῆς εἰρημένων οὐδὲν, ὅσα τῇ τοῦ Σκυτέως ἔγραψε συμβῆναι θυγατρί.

Οἷσιν ἐν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλάμπουσιν ἀτενέως, οὔτε παρ' ἑωυτοῖσιν εἰσὶν, διανοσέουσί τε μακροτέρως.

Τὸ παρ' ἑωυτοῖσιν ἔνιοι γράφουσιν, παρὰ σφίσιν αὐτοῖς εἰσὶν, εὔδηλον δ' ὅτι περὶ τῶν σωφρονούντων ἀμφότερα λέγεται, τό τε παρὰ σφίσιν αὐτοῖς εἶναι, καὶ παρ' ἑαυτοῖσιν εἶναι. τὸ δὲ οὐκ εἶναι παρ' ἑαυτοῖσιν, τουτέστι μὴ κατανοεῖν, ἀλλὰ παραφέρεσθαι τῇ γνώμῃ τὴν διάγνωσιν. ἀγνοοῦσι δὲ ὥσπερ ἐξ ἄλλων τινῶν, οὕτω καὶ τῶν ἀτενῶς ἐκλαμπόντων ὀφθαλμῶν ἴσχειν. ἤρκει δ' εἰς τοῦτο τὸ ὑπ' αὐτοῦ λελεγμένον, ὄμματος θράσος παρακρουστικὸν, ὡς καὶ τοῖς ἰδιώταις ἐστὶ δῆλον, ὅσοι γε μὴ παντάπασιν ἠλίθιοι. πρόδηλον γὰρ ὅτι τοῦτο προσυπακούειν ἀεὶ χρή. καλοῦμεν γὰρ εἰς τὰ τοιαῦτα πάντα μάρτυρας ἰδιώτας τε, ἀδιανοήτους ὄντας τε καὶ ὀνομαζομένους, ἀλλὰ μάλιστα μὲν εἰ οἷόν τε τοὺς φύσει συνετοὺς, εἰ δὲ μὴ, ἀλλά γε μὴ τοὺς νωθροὺς τὴν διάνοιαν. ἐν μέντοι τῷ νῦν λόγῳ, πρόσκειται τὸ ὑπερεκλάμπειν τοὺς ὀφθαλμοὺς, ὅπερ ἦν αὐτὸ καθ' αὑτὸ τῶν θυμουμένων γνώρισμα, ὃ τάχα συνελθὸν τῷ ἀτενεῖ ὄμματι, τουτέστι τῷ θρασεῖ, σφοδροτέραν ἐνδείξεται γενήσεσθαι τὴν παραφροσύνην. ἐκ περιττοῦ δὲ ὡς πρὸς τὴν τοῦ παραφρονῆσαι αὐτοὺς τοιούτους πρόῤῥησιν, ἐμνημόνευσε τῶν σπασμωδῶν. καὶ γὰρ καὶ χωρὶς αὐτῶν δύναται γενέσθαι παραφροσύνη, καὶ παρόντων αὐτῶν μὴ γενέσθαι. τὸ δὲ διανοσήσειν αὐτοὺς μακροτέρως, ἔτι καὶ μᾶλλον εἰκῆ λέλεκται. οἷς γὰρ σπασμώδεσιν ἐκλάμπουσιν ἀτενὲς οἱ ὀφθαλμοὶ, τούτους εὔλογον ὀξέως νοσῆσαι μᾶλλον, ἢ χρονίως.

Τὰ ἀνάπαλιν αἱμοῤῥαγέοντα κακὸν, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ δεξιοῦ ῥέειν, καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως, ἐφ' ἱδρῶτι δὲ κάκιον.

Εἴπερ καὶ ἄλλο πολλάκις αὐτὸς ἀποβαίνων εἶδον, οὕτω καὶ τοῦτο. φαίνεται δὲ καὶ Ἱπποκράτης ἐκ πολλῆς πείρας ἠθροικέναι τὰ καθόλου ἐκ τῶν ἐπὶ μέρους αὐτῷ γεγονότας. καὶ γὰρ κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία πολλοὺς ἔγραψεν ἀρρώστους αἱμορραγήσαντας ἐπ' ἀγαθῷ, τοὺς δ' αὖ πάλιν ἐπὶ κακῷ. τὴν δ' αἰτίαν τούτων ἀποφηνάμενοι ἑτέρωθι σκεψόμεθα. νυνὶ δ' ἀρκέσει τοῦτο γινώσκειν ὡς οἱ φάσκοντες, ὥσπερ ἐξ ἥπατος ἡ κοίλη φλὲψ ἀναφέρεται διὰ τοῦ θώρακος, οὕτω καὶ ἐκ σπληνὸς ἑτέραν ἀρχομένην διανέμεσθαι τοῖς ἀριστεροῖς μέρεσιν, οὐκ ἀληθεύουσι. μία γάρ ἐστι μόνη φλὲψ ἐκ τῶν κάτω τοῦ διαφράγματος ἀναφερομένη. ζητεῖται δ' οὐκ ἀλόγως ὑπὸ τῶν ἐξηγητῶν, διατί προσέθηκε τῷ ὧδε σπληνὶ τῷ μεγάλῳ, καί φασιν οἱ τὰ πιθανώτατα δόξαντες λέγειν, ἐπὶ σμικροῦ σπληνὸς, οὐ πάνυ σαφῆ γίνεσθαι τὴν ἐφ' ἑκάτερα ῥοπὴν ὠφελείας ἢ βλάβης. ἐμοὶ δὲ δοκεῖ προσθεῖναι τῷ λόγῳ τῷ μεγάλῳ ὡς εἰ καὶ ἐσκιρρωμένῳ ἢ ὠγκωμένῳ, ἢ φλεγμαίνοντι προσέγραψεν. εἰ γὰρ ἁπλῶς ἐπὶ σπληνὶ ἐγεγράφει, ζήτησις πάλιν ἂν ἦν ἑτέρα τί πάσχοντος λέγει τοῦ σπληνός. εἰ οὖν τοῦτο μὴ ζητῶμεν, ἀλλ' εἴδωμεν ἐπὶ παντὸς ὄγκου τοῦ παρὰ φύσιν ἐν σπληνὶ τὴν ἀνάπαλιν αἱμορραγίαν βλαβερὰν οὖσαν, ἕνεκεν τοῦ διορισμοῦ προσέγραψε τὸ μεγάλῳ. παράδειγμα δέ ἐστιν τοῦτο αὐτὸ δηλονότι τὸ ἐπὶ σπληνὸς ἁπάντων τῶν ἀνάπαλιν αἱμορραγούντων, καὶ διὰ τοῦτο πρόσκειται τῷ λόγῳ τὸ οἷον, ὡς εἰ καὶ οὕτως εἰρήκει, οἷον ἐφ' ἥπατι μεγάλῳ ἐξ ἀριστεροῦ μυκτῆρος αἱμορραγία γινομένη, ἀλλ' οὕτως ἐπὶ σπληνὶ ὡς παραδείγματι ἐφ' ἧπαρ μεταβῆναι, προφανὲς εἶναι δοκήσας, οὐκέτ' ἐμνημόνευσε τοῦ ἥπατος. ὅτι δ' αὖ ἀπὸ σπλάγχνου πάλιν ἐπὶ σπλάγχνον ἡ μετάβασις ἐγίνετο, προσέθηκε τὸ ὑποχόνδριον, εἰπὼν καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως, ἵνα μὴ μόνον ἐπὶ τοῖς σπλάγχνοις τὰς κατ' ἴξιν αἱμορραγίας ἀγαθὰς εἶναι νομίζωμεν, ἢ κακὰς τὰς ἀνάπαλιν, ἀλλὰ καὶ τοῖς ὑποχονδρίοις. οὔσης δὲ κακῆς τῆς ἀνάπαλιν αἱμορραγίας, ἔτι μοχθηρότερον γίνεται τὸ σημεῖον, ἐὰν μετ' ἐφιδρώσεως συμβαίνει. ἐφίδρωσιν δὲ πολλάκις μὲν ἤδη κατὰ τὸ βιβλίον ἔγραψεν, οὐδαμόθεν δὲ σαφῶς οὕτως ὡς γνῶναι, πότερον τὴν περὶ θώρακα καὶ κεφαλὴν γινομένην ἱδρώτων ἐπιφάνειαν οὕτως ὠνόμασεν, ἢ καὶ τὴν δι' ὅλου τοῦ σώματος, ὅταν ὀλίγοι τε καὶ μηδὲν ὠφελοῦντες γίνονται. μοχθηρὸν μὲν οὖν ἑκάτερον αὐτῶν ἐστιν, μοχθηρότερον δὲ ἐν τοῖς ἄνω μέρεσι γίνεται. σημαινούσης γὰρ ἁπάσης ἐφιδρώσεως, ἤτοι πλῆθος ἐν τοῖς ἐφιδροῦσι μορίοις, ἢ τῆς καθεκτικῆς δυνάμεως ἀρρωστίαν, ὁπότερον ἂν ᾖ τούτων, ἐν τοῖς περὶ θώρακα καὶ κεφαλὴν τόποις μοχθηρότερον ἐστὶ σημεῖον, ἢ κατ' ἄλλο τι μέρος γεγονότος.

Ἐκ ῥινῶν μικροῖς ἱδρῶσιν περιψυχόμενα, κακοήθεα, μοχθηρά.

Κἀνταῦθα πάλιν ἑρμηνείᾳ κέχρηται, μὴ προσθεὶς τὸ ἐκ ῥινῶν ἀεὶ αἱμορραγοῦντι, προσυπακοῦσαι δ' ἡμᾶς ἐξ ἀνάγκης αὐτῷ χρὴ, διὰ τὸ μηδὲν ἔχειν ἄλλον νοῆσαι. γενήσεται γοῦν ὁ λόγος ὁλόκληρος ἑρμηνευθεὶς τοιόσδε. γινομένης ἐκ ῥινῶν αἱμορραγίας, ὅταν ἱδρῶσιν, ἢ ὥσπερ ἢ ἐπιγίνωνται, περίψυξιν μὲν φέρουσι μηνύουσαν κακὸν εἶναι τὸ νόσημα. περιψύξεως δὲ τῆς μὲν ἐν τοῖς ἄκροις γινομένης, τῆς δὲ καθ' ὅλον τὸ σῶμα, χαλεπωτέρα δηλονότι περίψυξις ἐστὶν ἡ καθ' ὅλον τὸ σῶμα.

Μεθ' αἱμορραγίαν μελάνων διέξοδος, κακὸν, πονηρὰ δὲ καὶ τὰ ἐξέρυθρα. εἰ δὲ ἆρά γε τεταρταίοισι ταῦτα αἱμορραγέει, κωματώδεες, ἐκ τοιούτων σπασμῶν τελευτῶσιν; ἆρα μελάνων προδιελθόντων καὶ κοιλίης ἐπαρθείσης.

Συνέχει πάλιν κἀνταῦθα καθάπερ ἐν ἄλλοις πολλοῖς λόγον σαφῆ καὶ χρήσιμον ὑφ' Ἱπποκράτους εἰρημένον. ἔστι δ' αὐτοῦ τὸ μὲν πρῶτον καθόλου τοιόνδε. τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. πολλῶν δὲ ὄντων κρισίμων, καθ' ἕκαστον αὐτῶν πάλιν ἴδιος γίνεται λόγος, ἐπὶ μέρους μὲν ὡς πρὸς τὸν εἰρημένον, ἐν τῷ καθόλου δὲ, ὡς πρὸς τοὺς ὑποτεταγμένους, οἷόσπερ καὶ ὁ τοιόσδε. αἱμορραγία μὴ κρίνουσα θανατώδης, ἢ δύσκριτος. οὕτω δὲ καὶ ἱδρὼς, ἢ πλῆθος οὔρων, ἢ διαχωρημάτων, ἢ ἐμέτων, ἢ τὰ καθ' αἱμορροΐδας καὶ μήτρας ἐκκενούμενα, καὶ παρωτίδες ἅμα τοῖς ἄλλοις ἀποσκήμμασιν. ἅπαντα γὰρ ταῦτα μὴ κρίνοντα, ποτὲ μὲν θανατώδη, ποτὲ δὲ δύσκριτα γίνονται, τουτέστιν ἄκριτα ποιεῖ τὰ νοσήματα. κοινότατος δὲ ἐπ' αὐτοῖς ἐστι λόγος, καὶ καθολικώτατος, καὶ γενικώτατος. ὀνομαζέτω γὰρ ἕκαστος ὡς ἂν ἐθέλῃ, τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδη, τὰ δὲ δύσκριτα. χρήσιμα δ' ἐνταῦθα διορίσασθαι ποτὲ θανατώδη, καὶ ποτὲ δύσκριτα. δέδεικται δὲ καὶ τοῦθ' ὑφ' Ἱπποκράτους αὐτοῦ. τὰ μὲν γὰρ ὧδε τοῖς κρισίμοις οὐδὲν ὠφελούμενα, δύσκριτα, τὰ δὲ καὶ πρὸς τοὐναντίον ῥέποντα, θανατώδεα. μαρτυρεῖται δὲ τὰ πρὸς τοὐναντίον ῥέποντα ἐκ τῶν ἄλλων σημείων, ὥσπερ καὶ νῦν ἔγραψε τὰ κακοήθη διαχωρήματα. γένοιτο δ' ἄλλως τινὶ τοιοῦτον ἕτερον πάθος κακόηθες, οἷον ἔμετος, ἢ οὖρα μοχθηρὰ, καθάπερ γε καὶ περίψυξις δυσεκθέρμαντος, ἢ ὅλου τοῦ σώματος, ἢ τῶν ἀκρωτηρίων μόνων. οὕτω δὲ καὶ δίψος διὰ βάθους καὶ καῦμα καὶ ἀχλὺς, καὶ δυσφορία, καὶ ἀγρυπνία, καὶ τῶν ἄλλων τι τῶν μοχθηρῶν. ἔμαθες δὲ ταῦτα αὐτὰ πάντα κατὰ τὰ περὶ κρίσεων ὑπομνήματα, καὶ τὰ τοῦ προγνωστικοῦ, τινὰ δὲ κἂν τοῖς τῶν ἐπιδημιῶν. ἔγραψε γοῦν κἀνταῦθα τὸν καθόλου λόγον, ἑνὸς εἴδους τῶν κατὰ μέρος μνημονεύσας. ὁ γὰρ ἄρτι μανθάνων τὴν τέχνην, οἴεται ταῦτα μόνα κακοήθη εἶναι περὶ ὧν ἤκουσε. εἰ δὲ καὶ φύσει δριμύς ἐστι, ὑπονοῆσαι ἐνδέχεται τινὰ καὶ ἄλλα τοιαῦτα εἶναι, καὶ περιμένειν χρόνον ἄλλον ἐν ᾧ κἀκεῖνα μαθήσεται, κἂν οὕτω τύχῃ μαθὼν, ἀλλὰ τὰ κατὰ μέρος αὖθις περιμενεῖ, μὴ γινώσκων ὁπόσον ἔτι λείπει τῆς διδασκαλίας αὐτῷ. ὁ δὲ τὸ καθόλου μαθὼν, ἅπαντα γινώσκει τὰ κατὰ μέρος. ἀλλ' ὁ τὸ προρρητικὸν τοῦτο γεγραφὼς, ἐν ᾧ κατὰ μέρος φέρεται, καὶ διὰ τοῦτο ποτὲ μὲν ἐξ ἀνομοιογενῶν συμπτωμάτων ἀθροίζει συνδρομὴν, ποτὲ δ' ἐξ ἑνὸς ἢ δυοῖν ἀρρώστων ἀπόφασιν ποιεῖται καθόλου, ποτὲ δ' ἀπορεῖ, καὶ ἀμφιβάλλει, καθάπερ καὶ νῦν εἰπὼν, ἆρά γε τεταρταίοισι ταῦτα αἱμορραγέει. ὡς γὰρ ἑωρακὼς τινὰ τεταρταῖον αἱμορραγήσαντα, παραλιπὼν δὲ τοὔνομα γράψαι, τὸν λόγον ἐποιήσατο, καὶ

τοι τὰ περὶ τῶν ἠπατικῶν καθόλου διδασκαλίαν ἔχειν ἐν τῷ περὶ προγνωστικῷ. πάλιν δὲ τὰ κατὰ μέρος ἀποφαινόμενος οὗτος ὁ τὸ προῤῥητικὸν γράψας, οὐχ ὡς κατὰ μέρος, ἀλλ' ὡς καθόλου τὸν λόγον ἐποιήσατο, γράψας ὧδε, κωματώδεες, ἐκ τούτων σπασμῷ τελευτῶσιν, οὐκ ἀναγκαίως γιγνόμενον εἰπών, ἀλλ' ἔσθ' ὅτε συμβαῖνον ὥσπερ καὶ ἄλλοτι τῶν ἀρχὴν σπασμοῦ ἐχόντων γένεσιν, ἀλλὰ τοῦτο μὲν ἁπλῶς ἀπεφήνατο. περὶ δὲ τῶν μελαίνων προδιελθόντων, καὶ κοίλης ἐπαρθείσης, ἀποκρινόμεθα τοιγαροῦν αὐτῷ κἀνταῦθα, δύνασθαι μὲν καὶ ταῦτα γενέσθαι, ἀλλ' οὔτε διὰ παντὸς, οὔθ' ὡς τὸ πολύ.

Τὰ αἱμοῤῥαγέοντα ἐφιδροῦντα, τρώματα, κακοήθεα, διαλεγόμενοι, λαθραίως τελευτῶσιν.

Ἔνιοι μὲν ἔγραψαν τρώματα, διὰ τοῦ τ καὶ ρ καὶ ω τὴν πρώτην συλλαβήν, ἔνιοι δὲ τρομώδεα, διὰ τοῦ τ καὶ ρ καὶ ο. συνήθεσται μὲν αἱ γραφαὶ αὗται τοῖς τε ἐξηγηταῖς ἐγένοντο, καὶ τοῖς γράφουσι, σπάνιαι δὲ ταῖς συνδρομαῖς, ὥσπερ καὶ ἡ διὰ τοῦ τ καὶ ρ καὶ α καὶ υ τὴν πρώτην συλλαβὴν ἔχουσα γεγραμμένην. ἀρκτέον οὖν ἐστι καὶ ἡμῖν ἀπὸ τῆς συνήθους, ἣν διὰ τοῦ τ καὶ ρ καὶ ω γεγραμμένην εὑρίσκομεν, ταυτὸν σημαίνουσαν τῇ διὰ τοῦ τ καὶ ρ καὶ α καὶ υ γεγραμμένῃ. τρώματα γὰρ τὰς ἀπὸ τῶν ἔξωθεν αἰτίων βλάβας ὀνομάζει καὶ Ἱπποκράτης. εἰκὸς οὖν ἐστι καὶ νῦν τοῦτον τὸν λόγον, οὐ μόνον ἐπὶ τραυμάτων ἢ ἐξανθημάτων, ἢ ἀποστημάτων καὶ διαστάσεων γεγονέναι, ἀλλὰ καὶ ἐπὶ τῶν αἱμοῤῥαγιῶν. συμφωνότεραι γάρ εἰσιν αἵδε ἐπὶ τοῖς τραύμασι, ταῦτα γὰρ αἱμοῤῥαγοῦσι μόνα. τινὲς δὲ φασὶν ὅτι περὶ τῶν ἐκ ῥινὸς αἱμοῤῥαγιῶν ἔτι καὶ νῦν ὁ λόγος ἐστὶν αὐτῷ γινόμενος, οὐκ ἐν πυρετοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄρτι λελεγμένοις πάθεσιν θανατώδεσιν. ἐάν τ' οὖν περί τε πάντων αὐτῶν ὁ λόγος, ἐάν τε καὶ περὶ τραυμάτων μόνον αἱ μετ' ἐφιδρώσεως αἱμοῤῥαγίαι κακοήθεις εἰσίν, ὡσαύτως δὲ καὶ τρομώδεα γεγραμμένον ᾖ. τὸ δὲ διαλεγομένους αὐτοὺς ἐν ἄλλῳ τραυματώδεα, λαθραίως τελευτᾶν, τοιοῦτόν τι δηλοῦν φασι, μηδὲν ἔχειν δοκοῦντες οἱ τοιοῦτοι κακὸν, ἀλλ' ὡς ἐν ἀκινδύνῳ καθεστῶτες καὶ διαλεγόμενοι τοῖς παροῦσιν, ἐξαίφνης τελευτῶσιν. εἰ δὲ τοῦτο αὐτοῖς βούλεται σημαίνειν, τὸ λαθραίως, ἄκρως φαίνονται οἱ σπουδάζοντες ἐξαλλάττειν τὴν κατὰ φύσιν ἑρμηνείαν ἀλλοκότοις μεταφοραῖς. ἡγοῦμαι γὰρ ἀρετὴν εἶναι λόγου, τὸ διὰ παντὸς ὑφίστασθαι συνήθους, ὡς οὐδὲν διαφέρον, εἰ καὶ πρὸς τὸ χεῖρον τις ἀφίσταται.

Ἡ μεθ' αἱμοῤῥαγίαν βραχεῖαν καὶ μελαίνων διαχώρησις ἐν ὀξέσι κώφωσις, κακόν, αἵματος διαχώρησις ἐν τούτοισι ὀλέθριον, κώφωσις δὲ λύει.

Περιέχεταί τι κατὰ τὴν συνδρομὴν ταύτην ἀληθὲς καθολικόν, ἐπὶ γάρ τοι τοῖς μέλασι διαχωρήμασιν ἐν τοῖς ὀξέσι νοσήμασιν, αὖ αἷμα διαχωρήσωσιν, ὀλέθριον ὄντως ἐστίν. καὶ γὰρ καὶ ἡμεῖς εἴδομεν τοῦτο, καὶ ἄλλοι γεγραφότες ἐν τοῖς τῆς τέχνης ἔργοις. καί μοι φαίνεται γίνεσθαι τὸ σύμπτωμα, κατὰ τὸν αὐτὸν λόγον καθ' ὃν ἐν ταῖς ὑπερκαθάρσεσιν ὕστατον ἐκκρίνεται τὸ αἱματῶδες. ἀλλὰ τῶν κατὰ μέρος ἐστὶν, ἐν οἷς ὁ συγγραφεὺς ὠνόμασεν.

Ὀσφύϊ ἐπωδύνῳ καρδιαλγικὰ προσέοντα σημεῖα, αἱμοῤῥαγώδεα οἶμαι τὸ προγεγενημένον σημεῖον.

Οὐ καλῶς τὴν ῥῆσιν ταύτην ἐξηγήσαντο πολλοὶ τῶν γεγραφότων εἰς τὸ βιβλίον ὑπομνήματα, μετὰ τοῦ καὶ διενεχθῆναι πρὸς ἀλλήλους. ἐμοὶ δ' αὖ τις αὐτὴν δοκεῖ χρησίμως τοῖς μανθάνουσιν ἐξηγήσασθαι, κατὰ τόνδε τὸν τρόπον. οὐκ ἐμνημόνευσεν ἐν τῷ λόγῳ πυρετῶν, ἢ ὀξέος νοσήματος ὥσπερ εἴωθεν. εἰκὸς οὖν ἐστιν ἐπὶ τῶν ἀπυρέτων αὐτῷ γίνεσθαι τὸν λόγον, ἐπ' οὐδεμιᾷ προφάσει φανερᾷ πλείοσιν ἡμέραις ἐφεξῆς ὀδυνωμένων ὀσφὺν, καὶ καρδιαλγούντων. ἐπὶ τούτων οὖν προσδοκᾶν χρὴ δι' αἱμοῤῥοΐδων κενώσεως. δύναιο δ' αὖ, οὐ μόνον ὅτι γενήσεται τοῦτο προλέγειν, ἀλλὰ καὶ δι' ἐπίσχεσιν αἱμοῤῥοΐδων αὐτὰ γενέσθαι τεκμαίρεσθαι, καὶ μᾶλλον εἰ βλέποις τὴν κρᾶσιν τοῦ ταῦτα πάσχοντος μελαγχολικὴν, ὥστε σοι τὴν ἐκ τῶν εἰρημένων πρόῤῥησιν, οὐ μόνον μέλλοντος ἀλλὰ καὶ προγεγονότος εἶναι, καὶ τρίτον γε τοῦ ἐνεστῶτος. ὅταν γὰρ ἀπὸ τῶν ἄλλων διορισθῇ τὸ τῆς ὀσφύος ἄλγημα, καὶ ἡ καρδιαλγία, προγεγονότος μὲν ἔσται πρόγνωσις ἐκ τοῦ γνῶναι καὶ πρόσθεν αὐτῷ γεγονέναι δι' αἱμοῤῥοΐδος κένωσιν. μέλλοντος δὲ ὅτι καὶ νῦν ἔσται, ἐνεστώσης δὲ τῆς διαθέσεως αὐτῆς, σαφῆ τὰ συμπτώματα. πλῆθος γὰρ ἠθροισμένον κατὰ τὰς φλέβας, λεπτὸς μέν τις ὀῤῥὸς αὐτῷ συῤῥέων εἰς τὴν γαστέρα, τὰς καρδιαλγίας ἐργάζεται, προσαναβαίνων ἐπὶ τὸ κατ' αὐτὴν στόμα, πάντων σχεδὸν αἰσθητικώτατον ὑπάρχον τῶν μορίων. τὸ δὲ πλεῖστον τοῦ πλήθους εἰς τὸ κάτω χωρίον ῥέπον, ἐφ' ὃ καὶ πρῶτον εἰώθασιν γε φέρεσθαι, τὰ τῆς ὀσφύος ἀλγήματα γενήσεται.

Τὰ τεταγμένοισι χρόνοισιν αἱμοῤῥαγέοντα, διψώδεα, δύσκολα, ἐκλυόμενα, μὴ αἱμοῤῥαγήσαντα, ἐπιληπτικὰ τελευτᾷ.

Κἀνταῦθα πάλιν ἤρκει καθόλου φάναι, πρῶτον μὲν οἷς αὖ συνήθης κένωσις αἵματος ἐπίσχεται, τούτοις ἔσεσθαι νοσήματα πληθωρικὰ, ῥυέντος αὐτοῦ πρὸς ἐκεῖνα τὰ μόρια τοῦ σώματος, ὅσα πλησίον ἐστὶ τῶν ἐπεσχημένων ἐκρύσεων, ἢ τῶν ἄλλων ἀσθενέστερα. κατὰ μέρος δὲ περὶ τῶν ἐξ αἱμοῤῥοΐδος, ὡς αὖ μελαγχολικὰ περιπτώματα, τρεφόντων ἤτοι μελαγχολίαν ἢ φθίσιν, ἢ ὕδερον, ἢ κιῤῥοὺς, ἢ καρκίνον, ἢ ἐλέφαντα. τούτους δὲ ἔξωθεν ἑκάστῳ κατ' ἐκεῖνο τὸ μόριον ἔσεσθαι τὸ πάθος, ὃ τῶν ἄλλων ἐστὶν ἐπιφανῶς ἀσθενέστερον. οὐκ ὀρθῶς δὲ προσέθηκεν ἐν τῇ προκειμένῃ ῥήσει δυοῖν συμπτωμάτων τῆς δίψης καὶ τοῦ ἐκλύεσθαι τὴν ἐπίσχεσιν. τὸ μὲν γὰρ τῆς δίψης, οὐδ' ὅλως ἴδιον ἐπισχέσεως αἵματος ἐστί. τὸ δὲ ἐκλύεσθαι ταῖς ἀμέτροις ἐκρύσεσι τοῦ αἵματος, οὐ ταῖς ἐπισχέσεσιν ἕπεται. καὶ καλῶς εἴρηται κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν αἵματος πολλοῦ ῥυέντος ἐνοχλεῖσθαι, ἔνθα καὶ τὸ σημαινόμενον ἐξηγησάμην ἐκ τῆς ἐκλύεται φωνῆς.

Τὰ δὲ ὑπο-

Τὰ εὔθετα ταραχώδεα, ἄγρυπνα, ἀποστάξαντα ἐκ ταῦτα κουφισθέντα, νύκτα πονήσαντα, ἐς τὴν αὔριον ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαντα αἱμοῤῥαγήσει λάβρως. ἆρά γε τὸ ὑδατῶδες οὖρον τούτοισι τὸ τί σημαίνει;

Ἐδήλωσε πάλιν ἐνταῦθα σαφῶς αὐτὸ ἐν ταῖς κατὰ μέρος συνδρομαῖς φαινόμενον. αἱμοῤῥαγίας γὰρ εἰσὶν ἴδια σημεῖα τὰ γεγραμμένα σαφῶς ἐφεξῆς ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι, νῦν δὲ ἐπ' ἀνθρώπου λάβρως αἱμοῤῥαγήσαντος, πάντα τὰ προηγούμενα τῆς αἱμοῤῥαγίας ἔγραψε.

Οἷσιν αἱμοῤῥαγίαι πλείους, προεληλυθότος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ τὰ οὖρα πεπανθῇ.

Ἐν μὲν τοῖς ἀφορισμοῖς ὁ Ἱπποκράτης εἶπεν. οἷσιν ἐν πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκόθεν οὖν, ἐν τῇσιν ἀναλήψεσιν, ἐν τούτοισιν αἱ κοιλίαι καθυγραίνονται. οὕτως δὲ ἁπλῶς ἔφη πονηρεύονται, τάχα περιλαβεῖν τῷ πονηρεύονται ῥήματι, βουληθεὶς καὶ τὸ ὑπευγραίνονται, καὶ τὰ ἄλλα ὅσα κατὰ κοιλίαν πλημμελεῖται. τινῶν μὲν δακνομένων, τινῶν δὲ ἐμφυσωμένων, ἢ ὀξυρεγμίαις ἁλισκομένων, ἢ ὅλως ἀπεπτούντων. ἅπαντα δ' ἕπεται τῇ τῆς ἐμφύτου θερμασίας ἐνδείᾳ, δι' ἣν καὶ τὸ οὖρον ὑδατῶδες φαίνεται.

Ἐν κρισίμοις περιψύξεσι τῶν αἱμοῤῥαγιῶν, αἱ νεανικαὶ κάκισται.

Σαφὴς ὁ λόγος ἐστὶ καὶ ζήτημα οὐδὲν ἔχων, νεανικαὶ καὶ κάκισται γεγραμμένον. εἰ δ' ὡς ἔνια τῶν ἀντιγράφων ἀντὶ τοῦ κάκισται τὸ κράτισται γεγραμμένον ἔχει, μέγιστον γίνεται ζήτημα, καί τινες αὐτῷ συναγορεύοντες, φασὶ τὸ δηλούμενον εἶναι τοιοῦτον, ὅσαι αἱμοῤῥαγίαι νεανικαὶ περιψύχονται ἐν κρισίμοις ἡμέραις ἄρισται εἰσίν, ὡς ἂν ἐπισχοῦσαι τὰς αἱμοῤῥαγίας. οὗτοι δὲ οὐ τὴν γεγραμμένην ἐξηγοῦνται ῥῆσιν, ἀλλ' ἑτέραν, ἧς ἔδει τὴν λέξιν εἶναι τοιαύτην, αἱ ἐν κρισίμοις περιψύξιες τῶν νεανικῶν αἱμοῤῥαγιῶν κράτισται, πρὸς τῷ καὶ μάτην προσκεῖσθαι τὸ κρισίμοις. ἐν ἧ γὰρ ἡμέρᾳ νεανικαῖς αἱμοῤῥαγίαις περιψύξιες ἐπιγίνονται, τὰς αἱμοῤῥαγίας ἱστῶσιν.

Οἱ καρηβαρικοὶ, κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμοῤῥαγικοὶ, ἄλλως τε καὶ ἤν τι ἐν τραχήλῳ ἐντείνεται.

Αἱμοῤῥαγοῦσι μὲν καὶ ἐπὶ τὰς τοιαύτας συνδρομὰς, οὐ μὴν πολλοί γε.

Τὰ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ αἱμοῤῥαγεῖ, ἄλλως τε καὶ ἤν μή τι προεῤῥύη, ἆρά γε φρίξαντα;

Καὶ ταύτῃ τῇ συνδρομῇ τὸν αὐτὸν προσθήσω λόγον, ὡς ἔνιοι καὶ τούτων αἱμοῤῥαγοῦσι κατὰ τὰ κεφαλαλγικά.

Τραχήλου ὀδυνώδεα, ὄμματα ἐξέρυθρα, αἱμοῤῥαγικά.

Ὄντως ταῦτα συνελθόντα πολλάκις αἱμοῤῥαγίας ἤνεγκε. τὰ δ' ἄλλα τὰ πρόσθεν ὀλιγάκις. ἐν αὐτοῖς δὲ μεγίστην δύναμιν ἔχει τὰ ἐξέρυθρα ὄμματα.

Οἷσι κοιλίης ἔπιτασις αἱμοῤῥαγέει, καὶ ἐπιῤῥιγέει, ἆρα κοιλίη λειεντεριώδης καὶ ἐπίσκληρος, ἢ ἀσκαρίδες, ἢ ἀμφότερον;

Τὸ αἱμοῤῥαγέει, ἐμφαίνεται πολλάκις οὐχ ἅπαξ αἷμα ῥυῆναι ἐκ τῆς ῥινὸς ἀξιοῦν ἀκούειν. ἑωρακέναι δέ μοι δοκεῖ τινὰ, ὡς ἐπισχεθείσης τῆς γαστρὸς, αἱμοῤῥαγέειν, εἶτ' ἐπιῤῥιγοῦν, καὶ μετὰ ταῦτα ἐγένετο λειεντεριώδης. τὸ δὲ καὶ ἐπίσκληρον ἅμα τῇ λειεντερίᾳ γενέσθαι τὴν γαστέρα, μάχην ἐμφαίνει. ὅτι δέ τινες μὲν ἐπ' αὐτοῦ τοῦ σώματος τῆς γαστρὸς αὐτὸ ἐπήκουσαν, τὸ ἐπίσκληρον, οὐκ ἐπὶ τῶν διαχωρημάτων. ἔνιοι δ' οὐδὲν τοῦτο κωλύειν φασὶ, τινὰς μὲν τοῦ οὕτως αἱμοῤῥαγούντων ἔτι μᾶλλον, ἢ πρόσθεν ἐπισκληρυνθῆναι τὴν γαστέρα, τινὰς δὲ λειεντεριώδεις γενέσθαι, καθάπερ γε καὶ σχεῖν ἀσκαρίδας. ἔνιοι δὲ δύνασθαι φασὶ λειεντερίαν ἐπίσκληρον γενέσθαι τῶν διερχομένων, οὐ μόνον ἀπέπτων ἢ ἀμεταβλήτων κατὰ ποιότητα μενόντων, ἀλλὰ καὶ σκληρῶν οἷα κατεπόθη μενόντων διὰ τὸ διαβραχῆναι. Διοσκουρίδης δὲ τὴν προκειμένην ῥῆσιν ταύτην διχῇ τελῶν, ἰδίᾳ μὲν ἔγραψε τὸ οἷσι κοιλίης ἔπιτασις αἱμοῤῥαγέει καὶ ἐπιῤῥιγώσασι, ἆρά γε καὶ πρὸς τὸ αἱμοῤῥαγέει τοιοῦτον. μετὰ ταῦτα δὲ ἀφ' ἑτέρας ἀρχῆς, κοιλίη λειεντεριώδης, ἢ ἐπίσκληρος, ἀσκαρίδες, ἢ ἀμφότερον. γράφει δὲ οὐκ ἐπίσκληρος, ἀλλ' ἐπίσκληρον διὰ τοῦ ν καὶ κατ' αὐτοῦ τὸ λ ἄνωθεν ἐπιθεὶς, ἑκατέρωθεν ἐπιστίζει, βούλεται σημαίνειν τὴν ἐπίσκληρον ταύτην φωνὴν, τὸ κατεσκληρυκὸς σῶμα.

Οἷσιν ἐξ ὀσφύος ἀναδρομὴ ἐς κεφαλὴν καὶ χεῖρας ναρκώδεες, καρδιαλγικοὶ, ἰχωρώδεες, αἱμοῤῥαγέουσι λάβρως, καὶ κοιλίη δὲ καταῤῥήγνυται, τούτοισι ταραχώδεσιν.

Ἐπὶ πολὺ πρόσεχε πάλιν ἐνταῦθα τὰς συνδρομὰς αὐτῷ γράφοντι, καθὼς ἐθεάσατο τινὰς αἱμοῤῥαγήσαντας, καὶ εἰ μέμνησαι τῶν ὑπ' ἐμοῦ διδαχθέντων, αὐτὸς κρίνειν δύνασθαι τίνα περιττῶς γέγραπται γενόμενα τοῖς αἱμοῤῥαγήσασι τὰ σημεῖα. τὰ μὲν οὖν ἄλλα τῆς ῥήσεως, ὡσαύτως οἱ πλεῖστοι γράφουσι. τὸ δὲ ἰχωρώδεες, ἔνιοι χολώδεες ἔγραψαν, πρόδηλον δέ ἐστιν εἰ μέμνησαι τῶν ἔμπροσθεν, ὅπως ἑκατέρα δύναται συναγορεύεσθαι.

Οἷς ἐφ' αἱμοῤῥαγίῃ λάβρως, πυκνῶν μελάνων, συχνῶν διαχώρησις, ἔπιτασις, δὶς αἱμοῤῥαγοῦσιν οὗτοι, κοιλίης ὀδυνώδεες, ἅμα δέ τινι ῥύσει εὔφοροι. ἆρα οὗτοι ψυχροῖς ἐφιδρῶσι πολλοῖς; τὸ ἀνατεταραγμένον ἐν τούτοισιν οὐ πονηρὸν, οὐδὲ τὸ ἐφιστάμενον γονοειδές. ἐπίσυχνον δὲ οὗτοι ὑδατώδεα οὐρέουσιν.

Καὶ ταῦτα πάντα δῆλος ἐστὶ τεθεαμένος τὸ καθόλου συλλαβεῖν ἐπ᾽ αὐτοῖς, διὰ τὸ μὴ γινώσκειν ἑκάστου τῶν εἰρημένων τὴν δύναμιν, ἣν ἔμαθες, εἰ μέμνησαι τῶν ἔν γε τούτοις τοῖς ὑπομνήμασιν εἰρημένων, καὶ τῶν εἰς τὸ προγνωστικόν, ἔτι τε ἐν τοῖς περὶ κρίσεων, ἀλλὰ καὶ τὴν ἐν αὐτοῖς ἄσκησίν τε καὶ γυμνασίαν εἰς τῶν ἐπιδημιῶν ἔμαθες. οὐ χρὴ δ᾽ ἅπαξ, ἢ δὶς ἀναγνόντα τῶν τοιούτων οὐδὲν ἐᾶν σε τοῦ λοιποῦ θαῤῥήσαντα τῇ μνήμῃ. μόλις γὰρ αὖθις ἑτοίμην δὲ καὶ πρόχειρον αὐτὴν σχοίη, συνεχῶς μεταχειριζόμενος ἕκαστα τῶν ὑπομνημάτων.

Οἷς αὖ ἀπὸ ῥινῶν ἐπικώφωσις, καὶ νωθρείη μικρὰ, ἡ ἀπόσταξις ἔχει τὶ δύσκολον αἵματος, ἔμετος τούτοις συμφέρει καὶ κοιλίης ταραχή.

Οὐκ οἶδα ὅπως ἐκ μικροῦ κακοῦ τῆς ἐκ τῶν ῥινῶν ἀποστάξεως φρονεῖ. τὸ γὰρ, ἔχει τὶ δύσκολον, ἐπὶ τῶν μικρῶν εἰώθασι λέγειν οἱ ἄνθρωποι. τὸ δὲ ἐστὶν οὐ σμικρὸν κακὸν, εἰ καὶ χωρὶς κωφώσεως καὶ νωθρότητος γένοιτο, σὺν τούτοις δηλωτικῶν οὖσι τοῦ πεπονθέναι τὸν ἐγκέφαλον, ὀλέθριον ἐστὶ σημεῖον ἡ ἀπὸ ῥινῶν στάξις. εἰ δ᾽ ἔμετος ἢ κοιλίας ταραχὴ συμφέροι τούτοις, δυνατὸν οὐκ ἐστιν ἁπλῶς ἀποφήνασθαι χωρὶς διορισμοῦ. διορισμὸς δὲ ἐστὶν ἐν τοῖσιν ἐν ἀρχῇ τοῦ νοσήματος εἰ τὴν δύναμιν ἰσχυρὰν, ἢ αἵματος ἔχον πλῆθος, ἢ φλέγματος, ἢ χολῆς ὁποτέρας οὖν. εἰ γὰρ ἰσχυρῶς κενοῖ πλῆθος αἵματος ἔχοντος, εὔδηλον, ὅτι φλεβοτομίας οὐκ ἐμέτων ἢ γαστρὸς ταραχώδους δέονται. καὶ τοῦτ᾽ αὐτὸ κατὰ τοὺς ἐμέτους, καὶ τὴν τῆς γαστρὸς ταραχὴν, δῆλον ἐστὶν, ὅπερ εἴρηται πρόσθεν, τὸν ἰατρὸν ἀξιοῦντα αὐτὸν κινεῖν ἔμετον καὶ τὴν γαστέρα ταράττειν, μὴ περὶ τῶν ὑπὸ τῆς φύσεως γινομένων ἀποφαινόμενον.

Οἷσιν ἐκ ῥίγεος πυρετοὶ κοπώδεες γυναικεῖα καταῤῥέει, τράχηλος δ᾽ ἐν τούτοις ὀδυνώδης, αἱμοῤῥαγικόν.

Καὶ χωρὶς τοῦ ῥιγῶσαι μετὰ τοῦ πυρετοῦ, ταῖς ὑγιαινούσαις γυναιξὶν ἡ ἐμμήνιος κάθαρσις, εἴτε μετά τινος αἰσθήσεως κοπώδους. ὅταν οὖν καὶ ῥῖγος γένηται, μείζονα τὴν κίνησιν ἐργαζόμενα ὅλου τοῦ σώματος, καὶ τοῦ κατ᾽ αὐτὸ πλεονάζοντος αἵματος ἐπεγείρει τὴν φύσιν εἰς ἀπόκρισιν τοῦ περιττοῦ, μᾶλλον γ᾽ ἐλπὶς γενέσθαι τὴν κένωσιν τῶν γυναικείων, ὅπερ ἐστὶ τῶν καταμηνίων, ἐὰν καὶ ἡ προθεσμία τῆς κατὰ περίοδον καθάρσεως ἐμπέφυκεν. ἐὰν μὲν τοι τράχηλος ὀδυνώδης ἐπὶ τοῖς προειρημένοις γένηται τῆς ἄνω ῥοπῆς, αὐτὸ τίθεται γνώρισμα.

Καὶ διὰ ῥινῶν αἱμοῤῥαγήσασιν ἐλπίζειν τὰ σείοντα κεφαλὴν καὶ τὰ ἠχώδεα, αἱμοῤῥαγέειν ἢν γυναικεῖα καταβιβάζει, ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα, περὶ ἀκολουθήσῃ. ἴσως δὲ καὶ περὶ δυσεντερικῶν.

Προσέγραψεν ἐνταῦθα πάλιν ἐν ἀμφίβολον ὄνομα, πᾶσαν ῥῆσιν ἔχειν ἔργον πεποιημένος τὶ ζήτημα. τίνα γάρ ἐστι τὰ σείοντα τὴν κεφαλὴν, ἀσαφὲς πάνυ. τινὲς μὲν ἅπαντα τὰ κατὰ τὴν κεφαλὴν συμπτώματα φασὶ οὕτως εἰρῆσθαι, γενικήν τινα φωνὴν ταύτην εὑρόντος αὐτοῦ, καθάπερ ἔμπροσθεν ἐπὶ τῆς κοιλίας τὸ πονηρεύεσθαι. τινὲς δὲ κατὰ τοὺς παλμοὺς ἢ σφυγμοὺς τῶν ἐν κροτάφῳ φλεβῶν κίνησίν τινα τῆς ὅλης κεφαλῆς, ἤτοι τρομώδεις, ἢ πῶς κλονώδεις. ταῦτ᾽ οὖν τὰ σείοντα κεφαλὴν, κινοῦντα ποτὲ, ἐστὶ τὰς ἐκ τῶν ῥινῶν αἱμοῤῥαγίας, ὥσπερ γε ἐστὶ καταμήνια. μᾶλλον δ᾽ ἐλπίζει τοῦτ᾽ ἔσεσθαι καύματος αἴσθησιν ἐχούσης ἐν τοῖς κατὰ ῥάχιν χωρίοις τῆς γυναικὸς, ἐγχωρεῖν τε δηλονότι εἰπεῖν τὴν ἐπὶ τὴν κεφαλὴν ῥοπὴν τῶν λυπούντων, εἰ μὴ διὰ τῆς μήτρας κενωθείη, καὶ δυσεντερίαν ἐργάσασθαι.

Καὶ οἱ κατὰ κοιλίην παλμοὶ, ὑποχονδρίου ἐντάσει ὑπομακρῷ ὀγκώδεες, αἱμοῤῥαγικοὶ, φρικώδεες οὗτοι.

Ἄδηλόν ἐστιν ἐπὶ τίνος συμπτώματος εἴρηται τὸ τῶν παλμῶν ὄνομα. πρὸς γὰρ τὸ μηδὲ διακεκρίσθαι σαφῶς τὰς προσηγορίας τῶν παλαιῶν, ὡς δηλοῖ καὶ τὸ περὶ παλμοῦ βιβλίον, ἐν ᾧ περὶ τῶν κατὰ τὰς ἀρτηρίας σφυγμῶν διαλέγεται, οὕτως ἐστὶ ὁ γράψας τοῦτο τὸ βιβλίον εὐχερής ἐστιν εἰς θέσιν ὀνομάτων ἐκ καταχρήσεως ἢ μεταφορᾶς. ἴσμεν δ᾽ ὅτι κατὰ τὸ προγνωστικὸν εἰπὼν Ἱπποκράτης. εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ ἐπήνεγκε, θόρυβον σημαίνει, ἢ παραφροσύνην. ἤκουσαν δὲ κἀκεῖ τινὲς μὲν ἀντὶ τοῦ σφυγμοῦ, παλμὸν εἰρῆσθαι, τινὲς δὲ κυρίως ἐπὶ τῆς σφοδρᾶς κινήσεως τῆς κατὰ ῥάχιν ἀρτηρίας. ἐπεὶ δὲ καὶ οἱ παλμὸν ἔγραψαν, οὐ μὴν αἱμοῤῥαγικὸν εἶναι σημεῖον, ἀπεφήνατο κατὰ τὸ προγνωστικὸν ὁ Ἱπποκράτης τὸν σφυγμὸν τοῦτον ὑπάρχειν. ἀλλ᾽ ἐφεξῆς περὶ τῶν καθ᾽ ὑποχόνδριον φλεγμονῶν γράψας, προσέθηκε τῷ λόγῳ, γίνεται δὲ τούτοισι καὶ αἵματος ῥῆξις διὰ ῥινῶν, καὶ κάρτα ὠφελέει. καὶ ἵνα γε μᾶλλον ἐλπίσῃ ἔσεσθαι τὴν ἐκ τῶν ῥινῶν αἱμοῤῥαγίαν, ἐπανέρεσθαι φησὶν, εἰ κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυώττουσιν. εἰ γὰρ εἴη τούτων τὶ, ἐνταῦθα ἂν ῥέποι. καλῶς δ᾽ εἰπόντος Ἱπποκράτους ἐπὶ τῶν καθ᾽ ὑποχόνδριον φλεγμονῶν, γίνεται δὲ τούτοισι καὶ αἵματος ῥῆξις διὰ ῥινῶν, οὕτως κἀνταῦθα τὸν λόγον ἐκ τοῦ καθόλου μετήγαγεν ἐπὶ τὸ κατὰ μέρος εἰπὼν, ὑποχονδρίου ἐντάσει ὑπομάκρῳ. ἡ δὲ ὑπὸ αἵματος ἔντασις αὕτη τῶν μυῶν ἂν εἴη τῶν μέσων, οἵ τινες ἀπὸ τοῦ θώρακος ἐπὶ τὰ τῆς ἥβης ὀστᾶ καταφέρονται. γίνεται δὲ καὶ σπληνὸς ὑπόμακρος φλεγμονὴ, ἀλλ᾽ οὐκ ἄν τις φαίη μετὰ παλμοῦ γινομένου ταύτας τὰς φλεγμονὰς αἱμοῤῥαγικὰς εἶναι. τὴν δ᾽ ἥπατος φλεγμονὴν τῶν ἄλλων μυῶν τῶν καθ᾽ ὑποχόνδριον, ἐξ γάρ εἰσιν ὑπόλοιποι τῶν εἰρημένων δύο μυῶν, εἶναι καὶ αὐτὰς τὰς αἱμοῤῥαγίας. ὅπερ οὖν ἐν πολλαῖς ῥήσεσιν ἐμεμψάμεθα τοῦ βιβλίον τοῦτο γράψαντος, οὐκ ἂν ὀκνήσαιμι καὶ τὰ νῦν μέμψασθαι, περὶ ὧν κατὰ μέρος ἀπόφασιν πολλὴν ποιησαμένου, σύντομον δὲ καὶ ἀληθῆ διδασκαλίαν διὰ τῶν καθόλου παραλιπόντος. καὶ γὰρ καὶ κατὰ τὸ τέλος τῆς ῥήσεως οὗτοι προσέθηκαν φρικώδεες, ὡς καθόλου καὶ τούτοις συμβαῖνον αὐτοῖς, καίτοι γ᾽ οὐκ ἂν καθόλου. γίνεται μὲν γὰρ ἐπὶ ταῖς τοιαύταις συνδρομαῖς ἐνίοτε καὶ τοῦτο τὸ σύμπτωμα, διὰ παντὸς δ᾽, ἢ πλειστάκις οὐ γίνεται. χρὴ δὲ ταῦτα γράφειν ἐν τῇ προῤῥητικῇ διδασκαλίᾳ ὅσα διὰ παντὸς ἢ πλειστάκις γίνεται. οἷον ἦν ἐπὶ τοῦ προκειμένου καθάπερ ἐπὶ παραδείγματος ὁ λόγος γένηται σαφής.

σαφὴς, εἴ τις φαίη τῶν κατ᾽ ἐπιγάστριον μυῶν ἐξ τὸν ἀριθμὸν ὄντων, τοὺς μέσους τοὺς ὀρθίους αἱμορραγικωτέρους τῶν ἄλλων εἶναι, πλέον τι διδάξει, τοὺς αἱμορραγίαις ἐπιγίνεσθαι λέγοντας. εἰ δ᾽ ἁπλῶς μόνους τούτους εἶπε φλεγμαίνοντας, εἴπερ καὶ ἄλλό τι τῶν αἱμορραγικῶν αὐτοῖς ἐπιγένηται σημείων, ἐπιφέρειν αἱμορραγίαν.

Ἐκ ῥινῶν λαῦρα βίαια πολλὰ ῥυέντα, ἕτοιμοι εἰς σπασμοὺς προσάγεται, φλεβοτομία λύει.

Εἰ ἁπλῶς εἰρήκει σπασμὸν προσαλγεῖσθαι ταῖς τοιαύταις αἱμορραγίαις, ἐμεμψάμεθα ἂν αὐτὸν, ὥσπερ ἐν ἄλλοις πολλοῖς οὕτω κἀνταῦθα τὸ κατὰ μέρος ἀποφηνάμενον ὡς καθόλου. ἐπεὶ δὲ προστέθεικεν, οὐδὲν οἷον ἐπαινοῦμεν ἀληθεύεται. καὶ γὰρ ἡμεῖς ὡς εἴδομεν πολλάκις ἐπὶ τοιαύταις αἱμορραγίαις σπασθέντας τινὰς, οὐ μόνον διὰ τὴν ὑπερκένωσιν, ἀλλὰ καὶ διὰ τὴν ψύξιν ἣν ψύχουσιν οἱ ἰατροὶ τὴν κεφαλὴν ἐπισχεῖν βουλόμενοι τὴν αἱμορραγίαν. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, φλεβοτομία λύει, τοιόνδε τι φαίνεται δηλοῦν τὰς τοιαύτας διαθέσεις, ἐφ᾽ αἷς σφοδρῶς αἱμορραγοῦσι, φλεβοτομία λύει πρὸ τῆς αἱμορραγίας παραληφθεῖσα. δῆλον ὅτι βαρυνομένη τῷ πλήθει τοῦ αἵματος, ἡ φύσις ὥρμησε μὲν ἐπὶ τὴν ἀπόκρισιν αὐτοῦ, κρατῆσαι δὲ τοῦ συμμέτρου μὴ δυνηθεῖσα, τὴν καλουμένην ὑπὸ τῶν νεωτέρων ἰατρῶν ὑπερέκρισιν εἰργάσατο. δύναται δὲ καὶ αὐτῆς τῆς σφοδρᾶς αἱμορραγίας βοήθημα τὴν φλεβοτομίαν εἰρηκέναι. καὶ γὰρ καὶ ἡμεῖς πολλάκις ἐπειράθημεν τοῦ βοηθήματος, ἐναργῶς ἱσταντος τὴν ἄμετρον φορὰν τοῦ αἵματος. εὔδηλον δ᾽ ὅτι τὴν κατ᾽ εὐθὺ χεῖρα τέμνειν χρὴ τοῦ μυκτῆρος, ἐξ οὗ ῥεῖ τὸ αἷμα λάβρως, καὶ ταύτης αὐτῆς τῆς χειρὸς τὴν ὠμιαίαν φλέβα διαιρεῖν, εἰ δ᾽ ἐξ ἀμφοτέρων, οὐδὲν κωλύει διαιρεῖν ἀμφοτέρας. οὐ γὰρ ὑπὲρ τοῦ κενῶσαι δι᾽ αὐτῶν, ἀλλ᾽ ἀντισπάσεως ἕνεκα τὴν τομὴν ποιούμεθα.

Αἱ πυκναὶ καὶ κατὰ μικρὰ ἀναστάσιες ὑπόξανθοι, γλίσχραι, ἔχουσαι μικρὰ κοπρώδεα μετὰ ὑποχονδρίου ἀλγήματος, καὶ πλευροῦ, ἰκτεριώδεες. ἆρα δ᾽ ἐπιστάντων αὐτῶν οὗτοι ἐκλύονται, ἅμα τε καὶ αἱμορραγεῖ ἐφ᾽ οἷς τούτοις τάσις ὀσφύος, ἀλγήματα ἐν τούτοισιν αἱμορραγικά.

Συνεφόρησε πάλιν ἐνταῦθα συμπτωμάτων πλῆθος οὐχ ὁμογενῶν, ὑπὲρ ὧν ἑώρα, οὐδ᾽ αὐτὸς διατείνεται. ἑκάστου τὴν δύναμιν ἔμαθες ἐν οἷς ὀλίγον ἔμπροσθεν εἶπον Ἱπποκρατείοις μὲν συγγράμμασιν, ἡμετέροις δ᾽ ὑπομνήμασιν.

Ὑποχονδρίου τάσις μετὰ καρηβαρίης καὶ κωφώσεως, καὶ τὰ πρὸς αὐτὰς ὀχλέοντα, αἱμορραγικά.

Βούλεται δηλοῦν ἅπερ Ἱπποκράτης σκοτώδεα περὶ τὰς ὄψεις εἴρηκεν ὄντως ἐν τῇ εἰρημένῃ συνδρομῇ τῶν συμπτωμάτων αἱμορραγικῇ, καθὼς διὰ τῶν ἡμετέρων ὑπομνημάτων ἔμαθες. ἀναγινώσκειν γὰρ ἄρτι πάλιν ὧν πολλάκις ἐμνημονεύσαμεν, εἰς μῆκος λόγου ἐκτείνειν οὐ δεῖ τὰ ὑπομνήματα.

Ἑνδεκαταίοισι στάξιες δύσκολαι, ἄλλως τε καὶ ἢν ἐπίσταξις.

Τὸ μὲν ἐπιστάξει περιττὸν, εἰ γὰρ καὶ τοῖς δʹ. καὶ εʹ. ὁμοίως ἄτοπον. ἁπασῶν δ᾽ οὐσῶν τῶν ἀπὸ ῥινὸς στάξεων χαλεπῶν, ὅταν παχὺς καὶ μέλανα ἀπόσταξις, ταύτας ὀλεθριωτάτας εὑρήσεις. εἰ δὲ κατά τινας τῶν ἐπιδήλων ἢ κρισίμων ἡμερῶν συμβαίνει τὸ τοιοῦτον, βεβαιότερον ἕξει προδηλῶσαι. ἐπίδηλος δὲ καὶ ἡ ιαʹ. τῆς ιδʹ. ὥστε τοῦ λελεγμένου καθόλου θεωρήματος ὑπ᾽ ἐμοῦ, νῦν ὁ γράψας τὸ βιβλίον, ἔν τι τῶν κατὰ μέρος εἶπεν ἐνδεκάτης μνημονεύσας ἐν αὐτοῖς ἡμέρας, ἐν δὲ τῷ καθόλου περὶ τῶν ἐπιδήλων τε καὶ κρισίμων εἰρηκέναι ἴσον.

Τὰ φρικώδεα ἅμα ἱδρώσαντα κρισίμως, εἰς δὲ τὴν αὔριον φρίξαντα παραλόγως, ἀγρυπνέοντα, αἱμορραγήσειν οἴομαι.

Καλῶς εἶπεν οἴομαι, διατείνεσθαι περὶ τῆς προρρήσεως, τῶν μήτε διηνεκῶς, μήθ᾽ ὡς τὸ πολὺ γινομένων ἀφελών.

Οἷσιν ἐξ ἀρχῆς αἱμορραγίαι λαῦραι, ῥῖγος ἱστᾶσι ῥύσιν.

Ῥῖγος οὐ δεῖ ὅτε μέτριον ἐθεασάμεθα προηγησάμενον αἱμορραγίαν ἐν πλήθει σώματος. ταραχὴν γὰρ ἐν αὐτῆς ποιῆσαν, ἐπεγείρει τὴν φύσιν ἀποκρῖναι τὸ λυποῦν, ὡς τὸ πολὺ μὲν οὖν ἱδρῶτες, ἔμετοί τε χολωδῶν, καὶ διαχωρήσεις ἐπὶ τῷ ῥίγει γίνονται, συμβαίνει δ᾽ ὡς ἔφην ἐνίοτε καὶ δι᾽ αἱμορραγίαν κενωθῆναι τὸ πλῆθος.

Ἐὰν δὲ ἐπιγένηται λαῦρα αἱμορραγίη, ἀντισπᾶται. ἐξ αἱμορραγίας, ῥίγεα μακρά.

Ὅταν μὴ παύσῃ τὴν νόσον ἡ αἱμορραγία, διαδέξεται δ᾽ αὐτὴν ῥῖγος, ἑκάτερον γίνεται μακρὸν ἐκ τοῦ δυσεκθέρμαντον εἶναι, καὶ τοῦ περαιωθῆναι ἐπὶ πλείοσιν ἡμέραις, γινόμενον ἐκ περιόδου μὲν ὡς τὸ πολὺ, συμβαίνει δέ ποτε καὶ πεπλανημένως.

Οἷσι κεφαλαλγίαι καὶ τραχήλου πόνος καὶ ὅλου δέ τις ἀκράτεια τοῦ σώματος τρομώδης, αἱμορραγικὰ λύουσιν. ἀτὰρ καὶ χρόνῳ οὕτως λύεται.

Πολλὰς ἐν τούτῳ τῷ λόγῳ παντὶ συνδρομὰς ἐφεξῆς ἀλλήλων ἔγραψε, καὶ μὴ δυνάμενος ἐν ὀλίγῳ περιγράψαι τὴν καθόλου μέθοδον ἐπὶ τῶν αἱμορραγησάντων. ἐπισκέπτεσθαι δ᾽ χρὴ δύο ταῦτα πρῶτα πυρετὸν θερινὸν ἱκανῶς, ὥσπερ οἱ καῦσοι, καὶ τὰ περὶ τῆς κεφαλῆς καὶ τοῦ τραχήλου συμπτώματα, καὶ μάλιστα αὐτῶν τὰ πληθωρικά. συναριθμῶν δὲ δῆλον, ὅτι τῇ κεφαλῇ, καὶ τὸ κατὰ τὸ πρόσωπον, εἶθ᾽ ἑξῆς αἵματος πλῆθος οὐκ ἐν ὅλῳ τῷ σώματι σημεῖα. καὶ τούτων οὐδὲν ἧττον ἐφ᾽ ὥρᾳ θέρους ἢ ἐαρινῇ χώρας τε τῆς εὐκράτου, ἢ τῆς θερμοτέρων, καθ᾽ ὑποχόνδρια φλεγμονή τις. ἐφεξῆς δὲ τούτων τὰ περὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον αἱμορραγικὰ σημεῖα, καὶ ἔτι κατὰ θώρακα καὶ ὑποχόνδρια τῆς ἄνω ῥοπῆς γνώρισμα. ταῦτα γὰρ ἅπαντα διὰ τῶν περὶ κρίσεων ὑπομνημάτων ἐξηγησάμην, καὶ μέντοι καὶ τῶν

εἰς τὸ προγνωστικὸν καὶ τὸ πρῶτον ἐπιδημιῶν, ἐν οἷς καὶ διώρισαι τά τε μελλούσης ὅσον οὔπω γενήσεσθαι τῆς αἱμοῤῥαγίας σημεῖα, καὶ τὰ μὴ τοιαῦτα.

Οὖρα τοῖσι παρ' ὦτα ταχὺ καὶ ἐπ' ὀλίγον ἐπαινούμενα, φλαῦρα. καὶ τὸ καταψύχεσθαι ὧδε πονηρόν.

Καὶ τὸ περὶ ταύτην τὴν ῥῆσιν εἰρημένον ἐπὶ μέρους ἐστὶν ὑποπεπτωκὸς καθολικῷ λόγῳ. τὰ οὖρα, περὶ πᾶν νόσημα ταχὺ καὶ ἐπ' ὀλίγον ἐπαινεθέντι, μετὰ ταῦτα δὲ παυσάμενον, φλαῦρόν τι σημαίνει. πρόδηλον δ' ὅτι καὶ τὸ καταψύχεσθαι πονηρὸν, οὐκ ἐν τούτοις μόνον, ἀλλὰ καὶ πᾶσιν. οὐδὲ γὰρ ἐπὶ τῶν κοινῶν πρόσεστιν ἐξαίρετόν τι καθάπερ ἐπὶ τῶν καύσων. οὗτοι γὰρ ὅτι διακαεῖς ὄντες, οὐκ ἐκθερμαίνουσι τὰ ἄκρα, κακοήθεις εἰσὶ, τοῦ ἐπικρατοῦντος ὅλον τὸ σῶμα διακαιόντων ὁμαλῶς.

Τὰ ὑποκαρώδεα ἱκτερώδεα οὐ πάνυ αἰσθανόμενα, κοιλίη καταῤῥήγνυται, ἴσως καὶ ἐπίστασις οὗτοι ἐκλύονται, ἆρα τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα;

Εἰ ὑφ' ἡμῶν μεμάθηκας τά τε τῶν παρωτίδων ἴδια σημεῖα καὶ τὰ τῶν ὀλεθρίως ἐχόντων γνωρίσματα, γνωριεῖς ῥᾳδίως τὰ νῦν εἰρημένα τῶν ἰδίων οὐκ ὄντα.

Τὰ ἐπεχημένα μετὰ ῥίγεος οὖρα πονηρὰ, ἄλλως τε καὶ προκαρωθέντα παρ' οὖς. ἆρα ἐπὶ τούτοισιν ἐλπίς;

Ἐν μὲν ταῖς πρὸ τούτου ῥήσεσι γράφειν ἐβούλετο αἱμοῤῥαγιῶν μελλουσῶν συνδρομὰς, οὐ δυνάμενος ὡς ἔφην ἐν ὀλίγῳ περιλαβεῖν αὐτῶν τὰ ἴδια. πάλιν ἤδη δεύτερον ἔγραψε ῥῆσιν ταύτην εἰς πρόῤῥησιν ἐσομένων παρωτίδων. ἔχει δ' οὐδὲν οὐδ' αὕτη τῶν ἰδίων, μετὰ τοῦ καί τινα τῶν ὀλεθρίων μεμίχθαι συμπτωμάτων, ἐφ' οἷς σπανίως γίνονται παρωτίδες. ὅτι δ' οὐδ' αὐτὸς ἐτόλμησεν ἀποφήνασθαι περὶ τῆς τῶν παρωτίδων γενέσεως, ἀλλὰ τὸ περίδηλον διὰ τοῦ προσθεῖναι τὸν, ἆρα, σύνδεσμον.

Ἐκ στροφώδεος ὑπόστασις, ἰλυώδης, ὑποπέλιος, κακή. ἆρά γε ἐκ τῶν ὑποχονδρίων ὀδυνᾶται δοκέω δεξιόν; ἐκλύεται ἆρα τὰ παρ' ὦτα τούτοισιν ὀδυνώδεα ἐπ' ὀλίγῳ; κοιλίη καταῤῥαγεῖσα τούτοισιν ἐν ἅπασιν, ὀλέθριον.

Ἐν ἅπασι τοῖς ἄλλοις ἀντιγράφοις εὗρον ἐκ στροφωδέων ἐν ἀρχῇ τῆς ῥήσεως γεγραμμένον, ὅτι μὴ τοῖς Διοσκορίδου καὶ Καπίτωνος. οὗτοι γὰρ ἔγραψαν ἐκ στροφωδέων, ὧν ὁ λόγος ἐπ' οὔρων λέλεκται, καὶ διὰ τούτων τὰς ὑποστάσεις Ἱπποκράτει τε καὶ τοῖς ὑπ' αὐτῶν σκοπεῖσθαι μὴ τῶν διαχωρημάτων. αὐτὸς μὲν οὖν ὁ Διοσκορίδης τὰ στροφώδεα οὖρα λέγεσθαί φησι, τὰ ἔχοντα τινὰ ἐν αὐτοῖς ἐμφερόμενα πεπηγότα παρὰ τὸ διαστρέφεσθαι, ὃ ἐστι πήγνυσθαι γεγονότος τοῦ ὀνόματος. ἴσμεν γὰρ ὅτι καὶ ὁ ποιητὴς εἶπε τόδε. τὸ, καὶ περιστρέφεται κυκλωδῶς, δηλοῦν τὸ περιπήγνυται. οἱ δ' ἄλλοι σχεδὸν ἅπαντες ἐξηγηταὶ, τὰς ἐν τοῖς διαχωρήμασιν ἰλυώδεις καὶ ὑποπελίους ὑποστάσεις εἰρῆσθαί φασι νῦν, ὅταν ὑγραίνηται γαστὴρ, καὶ τὰ στροφώδη συμφωνεῖν ἡγοῦνται. τοὐπίπαν γὰρ αἱ τοιαῦται διαχωρήσεις μετὰ στρόφων γίνονται. ἐφίστασθαι δή φησι τοῖς οὕτω διαχωρουμένοις ὑγροῖς οὖσιν, ὑποστάσεις ἰλυώδεις ὑποπελίους ὅταν μοχθηρὰ διάθεσις ᾖ καθ' ἣν ἐκκρίνεται τὰ τοιαῦτα, καὶ τοὐπίπαν γε τοῖς τὰ τοιαῦτα διαχωροῦσι τὸ ἧπαρ πεπονθέναι φησὶ, καὶ διὰ τοῦτο καὶ αὐτὸν τὸν γραφέα προστεθεικέναι τῇ ῥήσει. ἆρα ἐκ τῶν ὑποχονδρίων ὀδυνᾶται δοκέω δεξιόν. ἀεὶ μὲν γὰρ ἡπατικὰ τοιαῦτα διαχωρήματα, οὐ μὴν μετὰ φλεγμονῆς ἀεὶ τοῦ σπλάγχνου, διότι τῷ λόγῳ προσέθηκε τὸν ἆρα σύνδεσμον ὡς οὐ δυνάμενον διατείνεσθαι ὅταν τὸ δεξιὸν ὑποχόνδριον ἀεὶ ὀδυνᾶται τοῖς οὕτω πάσχουσιν. ἀλλὰ καὶ τὸ τούτοις ἐφεξῆς εἰρημένον τὸ ἐκλύεσθαι, πρόδηλον ἠπατικὸν ἐστι σύμπτωμα, καθότι δέδεικται διὰ τοῦ δευτέρου τῶν ἐπιδημιῶν. μετὰ ταῦτα προσέγραψε περὶ τῶν παρ' ὦτων. φαίνεται δὲ ταύταις ἁπάσαις ταῖς ῥήσεσιν ἐπὶ συνδρομαῖς τισὶ προγνώσεις αὐτῶν γράφειν, καὶ τοῦτ' ἐστὶν μάλιστα, καὶ περὶ τὸ προκείμενον αὐτῷ, καὶ περὶ τὴν ἐνεστῶσαν ῥῆσιν, ἀλλ' οὐκ ἐτόλμησεν ἀποφήνασθαι περὶ αὐτῶν καίτοι γε εἰωθὼς ἐπὶ τῶν κατὰ μέρος ὡς πολλάκις καθόλου ἀποφάσεις γράφειν. ἀλλὰ νῦν γέ φησι καὶ τὰ παρ' ὦτα τούτοισιν ὀδυνώδεα ἐπ' ὀλίγον, ἐμφαίνων πάλιν ὡς ἑωρακὼς ἤ τινα τοιοῦτον ἄῤῥωστον ἐφ' οὗ ὑπὸ τῆς φύσεως ὁρμή τις ἐγένετο πρὸς γένεσιν παρωτίδων, οὐ μὴν ἐξίσχυσέ γε ἀποθέσθαι ταύτῃ τὰ λυποῦντα, καὶ συνέβη τὸν νοσοῦντα κοιλίης καταῤῥαγείσης ὀλέθριον ἔχειν, ὡς ἂν μὴ κρίσεως λόγῳ τῆς φύσεως ἐκκρινούσης κάτω τοὺς λυποῦντας χυμοὺς, ἀλλὰ δι' ἀῤῥωστίαν τῆς ἥπατι δυνάμεως.

Ἐν τισὶν ἀσώδεσιν ἀγρυπνίῃσι τὰ παρ' οὖς μάλιστα.

Προσέθηκεν ἐνταῦθα διὰ τὸ πολλάκις ἑωρακέναι ταῦτα καὶ οὐχ ἅπαξ, ὥστε περὶ τὴν πρὸ ταύτης ῥῆσιν ἀληθές ἐστιν ἀσώδεις εἶναι, οἷς ἀνίστανται παρωτίδες, ἀλλ' οὐχ ἱκανὸν τοῦτο. καὶ γὰρ ὅτι παραφροσύνην ἀπαγγέλλει τὰ τοιαῦτα συμπτώματα, διὰ τῶν ἔμπροσθεν ἐδήλωσε. ἐὰν οὖν ἀπὸ ὁ Ἱπποκράτης ἡμᾶς ἐδίδαξε, προδιασκεψάμενος ἐλπίσεις ἔσεσθαι παρωτίδας, εἶτ' ἀσώδη καὶ ἄγρυπνον ἴδῃς τὸν κάμνοντα, γενήσεσθαι τὰς παρωτίδας, δι' ὧν δὲ σημείων ἐλπίσεις ἔσεσθαι τὰς παρωτίδας, ἐστὶ ταῦτα. πρῶτον μέντοι τὸ κοινὸν ἁπασῶν ἀποστάσεων, ὅτι χρονίζοντι προσέθηκε τῷ κάμνοντι, εἶθ' ἑξῆς, εἰ ἀργὴ καὶ κατάῤῥοπος ἡ νόσος, ἢ θερμὴ καὶ ἀνάῤῥοπος, ἢ τὰ περὶ τράχηλον καὶ κεφαλὴν βάρη, καὶ τὰς ὀδύνας, καὶ τὸ ἔρευθος τοῦ προσώπου. διὰ τοῦτο γάρ τοι προελπίσαντι παρωτίδας ἔσεσθαι, βεβαιοτέρα πρόγνωσις ἔσται τῶν κατὰ τήνδε τὴν ῥῆσιν εἰρημένων ἐπιφανέντων. ἐκείνου μὲν πρὸ πάντων μέμνησο τοῦ λόγου. μετὰ ταῦτα τοίνυν πάντα τὰ σημεῖα καθ' ἕκαστον ἂν εἶπον πρὸς Ἱπποκράτους αὐτὰ γεγραμμένα δυοῖν ἤδη βιβλίοιν. ἐπιτάσσειν δ' αὐτοῖς ὅσα διὰ σφυγμῶν εἰς ἑκάστου πρόγνωσιν συντελεῖ, παραλέλειπται μὲν πρὸς Ἱπποκράτους, ἔχεις δὲ καὶ ταῦτα γεγραμμένα πρὸς ἡμῶν ἐν τῇ περὶ σφυγμῶν πραγματείᾳ.

Ἐπὶ εἰλεοῖσι δυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχόνδρια μετέωρα χρονιώτερα, τὰ παρ' οὖς ἐπαρθέντα κτείνει.

Ἐν ταύτῃ τῇ ῥήσει γέγονε μέν τις ἀσάφεια, καὶ δι' αὐτὸν τὸν γράψαντα. γέγονε δὲ διά τινας ἐξηγητὰς ἡγουμένους ἄδηλον εἶναι, πότερον καθ' ἕκαστον τῶν εἰρημένων συμπτωμάτων ὁ ἀνὴρ ἐλπίζειν ἡμᾶς ἀξιοῖ γενέσθαι παρωτίδας, ἢ πάντα συνελθόντα. ἐν ἀρχῇ μὲν τούτου συγγράμματος, ἔτι ἀγνοουμένης τῆς γνώμης αὐτοῦ προσηκόντως ἄδηλα τὰ τοιαῦτα ἄν τις εἶναι νομίσῃ, ἐν ὅλῳ δὲ τῷ βιβλίῳ πεῖραν ἱκανὴν ἐσχηκότων ἡμῶν τῆς προαιρέσεως αὐτοῦ, καὶ γινωσκόντων ὅτι κατὰ συνδρομὴν ὧνδε τὰς προγνώσεις γράφει. δῆλος οὖν καὶ νῦν ἐστι πᾶσιν οἷς ἔγραψεν ἅμα γινομένοις ἀξιῶν ἡμᾶς ἐλπίζειν τὰς παρωτίδας ἔσεσθαι. ἀλλ' ὅτι θανατώδεις εἰσὶν εἰ γένοιντο, πρόδηλον, ὡς καὶ νῦν ἑωρακὼς τῶν οὕτω νοσούντων ὡς παρωτίδων γινομένων ἠκολούθησε θάνατος, ὃς διὰ τὰς παρωτίδας οὐκ ἐγένηθη ἴσασθαι, ὅτι ἰδεῖν ἐστι τοιαῦτα, δῆλον δὲ ὧν ἔγραψεν, ὅτι πυρ ὀξὺς πυρετὸς κακὸν οὐκ ἀκίνδυνος. ὅτι δ' ὡς ὀλέθριον πάθος, ἐπεὶ δ' οὐδὲν ὡς πλέον ἔγραψεν, ἀλλὰ δυσώδη τοῦτον εἶναι βούλεται, πολὺ δὴ μᾶλλον. ὅπως γὰρ ἂν ἀκούσῃς δυσώδη τὸν εἰλεὸν ὀλεθριώτερος ἐστι, τοῦ μὴ δυσώδους. ἀκοῦσαι δ' ἐγχωρεῖ δυσώδεα, πρῶτον μὲν καθ' ὃν ἐμεῖται κόπρος, ὀλεθριωτάτων σημεῖον. εἶτ' εἰ δυσώδης ἐστὶν ἡ ἐκπνοή, καὶ τρίτον, εἰ δυσώδης ἡ ἐρυγή, καὶ τέταρτον, εἰ δυσώδης ἡ φῦσα, καὶ πέμπτον, εἰ δυσῶδες τὸ σῶμα, καὶ γὰρ ὁ τοιοῦτος εἰλεὸς ὤφθη παρ' ἡμῖν.

Κωφώσιες ἐπιεικέως τὰ παρ' ὦτα, ἄλλως τε καὶ ἢν ἀσῶδές τι ἐπιγένηται, καὶ τοῖσι κωματώδεσιν, ἐπὶ τούτοισι μᾶλλον.

Ἐπεὶ τὸ ἐπιεικῶς, ἐν τῷ μεταξὺ τῶν πολλὴν ἐλπίδα, καὶ τῶν ὀλίγην ἐχόντων, ἐπὶ πάντων συμπτωμάτων λεγόμενον ἐστίν. οὕτω καὶ ἄνθρωπον ἐπιεικῆ καλοῦμεν τὸν μέτριον, ᾧ μηδὲν ἄγαν πράττεται κατὰ τὸν βίον. ὁ τοίνυν ὅλος λόγος τοιόσδε τις ἐστίν. ἐὰν κώφωσις γένηται παρ' οὖς, ἀνασῆσαι μετρίως ἐλπίζε. προσθήσει δὲ, τί, ἐλπίζει τοῦ κάμνοντος ἀσώδους γινομένου, καὶ μᾶλλον ὅταν καὶ κωματώδης ὁ αὐτὸς ἄρρωστος ᾖ. ἀλλὰ καὶ ταῦτα καθάπερ καὶ τὰ πρὸ τούτων, οὐ μᾶλλον ἐστὶ παραφροσύνης καὶ φρενίτιδος, ἢ παρωτίδων σημεῖα, μὴ προδιωρισμένως εἰπών. ἐπὶ μὲν χολώδεσι χυμοῖς ἐν ἀρχῇ νοσήματος, αὐτῆς παραφροσύνης μᾶλλον εἶναι σημεῖον, προϊόντος δὲ τοῦ νοσήματος ἐπὶ χυμοῖς ἀπέπτοις καὶ παχυτέροις, καὶ μᾶλλον ὅταν φαίνηται προκειμένη ἡ τῶν παρωτίδων γένεσις. αὐτὸ γάρ τοι καθόλου κεφάλαιον ἐστὶν ἐπὶ τῶν παρωτίδων εἰ μὴ προειρημένος, ὡς κάμνων τὴν ῥοπὴν τῶν ἐνοχλούντων χυμῶν, εἰς τὸν περὶ τὴν κεφαλὴν ἔχει τόπον, ὥστε πάλιν ἐνταῦθα δύναταί τις πλανώμενος, ἐφ' ἑκάστῳ τῶν τὴν ῥοπὴν ἄνω σημαινόντων γράφειν, ὡς ἐν προρρήσει παρωτίδας ἑπομένας. ἔστι δὲ καὶ τὰ νῦν εἰρημένα, τῆς ἐπὶ τὴν κεφαλὴν ῥοπῆς σημεῖα. λέγω δὴ τήν τε κώφωσιν, καὶ τὸ κωματῶδες, οὐ τούτων μᾶλλον ἢ τῶν κατὰ τὴν γαστέρα, καὶ θώρακα πασχόντων ὑπάρχειν σύμπτωμα, μεθ' ὁποτέρου ἂν γένηται, συνεπαύξει τὴν ἐκείνων πρόγνωσιν.

Τὰ παρ' ὦτα φλαῦρα τοῖσι παραπληγικοῖς.

Τὰς παραπληγίας ἔμαθον εἶναι τοῖς ὑπὸ πάθους ἐνίοις τῶν ἐν τῷ ζώῳ μορίων, ὁποῖον τοῦ παντὸς σώματος ἐστὶ πάθος ἀποπληξία. δοκεῖ δή μοι τεθεαμένον ἴσως, καὶ δύο καὶ τρεῖς παραπληγικοὺς, μηδὲν ὠφεληθέντας ὑπὸ παρωτίδων ἀποφήνασθαι φλαῦρον εἶναι σημεῖον αὐτάς. ἐγὼ δ' οὐκ ἂν ἁπλῶς ἀποφηναίμην μοχθηρὸν εἶναι σημεῖον ἐπιγινομένας τοῖς παραπληγικοῖς παρωτίδας, ἀλλ' ἀρκεῖ τοῦτο μόνον εἰπεῖν ὡς ἔλαττον ἐστὶν ἡ ἀπόστασις ἤδε τοῦ νοσήματος. ἐμάθομεν δὲ παρ' Ἱπποκράτους εἰπόντος ἀγαθὰς ἀποστάσεις εἶναι, ἀξίως τῆς περιβολῆς τοῦ νοσήματος εἰς τὰ κάτω τοῦ σώματος γινομένης, ὧν οὐδέτερον αἱ παρωτίδες ἔχουσι. καὶ γὰρ σμικρότεραι τοῦ πάθους εἰσὶ, καὶ οὐ κάτω. τοῦτ' οὖν εἰ ἀρκεῖ μόνον ὀλέθριον ἀποφήνασθαι, τὰ σπασμώδη τρόπον παροξυνόμενα κατόχως τὰ παρ' οὖς ἀνίστησιν. ἔργῳ πάρεστι σοι μαθεῖν ὅπως ἐπὶ συνδρομῇ τήρησις οὐδὲν εὑρίσκει. χωρὶς γὰρ τοῦ τὴν φύσιν ἐπισκέψασθαι τοῦ πράγματος, ἐφ' οὗ τὴν πρόγνωσιν εἰπεῖν θεραπείαν ποιησόμεθα, τὴν δύναμιν οὐκ ἔστι τῶν σημείων ἑκάστου κρῖναι. χωρὶς δὲ τοῦ γνῶναι τῶν πραγμάτων ἑκάστου τὴν δύναμιν, ἀδύνατον ἐστὶν ἐπ' αὐτοῖς συστήσασθαι, καὶ τοῦτ' ἡμᾶς ἐδίδαξα περὶ πάσας τὰς τέχνας γινόμενον, οὐ μόνον κατὰ τὴν ἰατρικήν. καὶ διὰ τοῦτο καὶ Ἱπποκράτης ὅλον ὑπερβάλλεται τῶν περὶ αὐτοῦ τῶν ἁπλῶν φαρμάκων ἑκάστου τὴν δύναμιν ἐξευρὼν, ὡς ἐν ἅπασι αὐτοῦ δέδεικται τοῖς συγγράμμασι. τοῦτο μὲν οὖν ἀεὶ μεμνῆσθαι χρή. πρὸς δὲ τὸν ἐνεστῶτα λόγον ἐπὶ μορίους ὄντα, τοὐντεῦθεν πάλιν ἐκ τοῦ καθόλου προσήκει λαβεῖν ὅσον εἰς τὸν νῦν εἰρημένον ἐστίν. αἱ μὲν γὰρ κατοχαὶ πάθη εἰσὶν ὡς ἔμαθον ἐγκεφάλου, καθάπερ γε καὶ οἱ δι' ὅλου τοῦ σώματος σπασμοί περὶ ὧν νῦν αὐτὸν εἰκός ἐστιν. οὐ γὰρ δὴ περὶ χειρὸς, ἢ σκέλους, ἢ τινος ἄλλου μορίου τὴν ἀπόφασιν ποιήσασθαι ἁπλῶς, ἐπί τε τὰ σπασμώδη τρόπον παροξυνόμενα, καί τοι κακόν. τὸν δὲ σπασμὸν ὑπὸ πληρώσεως κακὸν γίνεσθαι φησὶν Ἱπποκράτης. ἴσμεν δ' ὅτι τὰ σπασμώδη πάθη καλεῖται ἐφ' ὧν ἐξ ἀρχῆς, ἢ οὐ μετὰ πολύ γε ἀρξάμενα γίνεσθαι, σπασμοὶ δηλοῦσιν ὑπὸ πληρώσεως ἔχοντες τὴν γένεσιν, ὥσπερ αὖ πάλιν ὑπὸ κενώσεως οἱ μεθ' ἱδρῶτας πολλοὺς, ἢ ἐμέτους, ἢ διαχωρήσεις, ἢ αἱμορραγίας, ἢ λιμὸν, ἢ ἀγρυπνίας, ἢ κινήσεις πολλὰς καὶ σφοδράς. οἱ μὲν γάρ τοι σπασμοὶ, κενώσεσι ἕπονται μᾶλλον, οἱ δ' εὐθὺς ἐξ ἀρχῆς, πληρώσεσι. καὶ τοίνυν καὶ τὰς παρωτίδας εὔλογον ἐστὶν ἐπὶ ταῖς σπασμώδεσί τε καὶ κωματώδεσι χρονίζουσι γίνεσθαι, μέλλοντος τοῦ κάμνοντος.

Τὸ σπασμῶδες, ῥομῶδες, ἀσῶδες, καὶ τὸ ταχέως μικρὰ παρ' οὖς ἐπιπαροξυνόμενα.

Οὐκ ἐν πᾶσι τοῖς ἀντιγράφοις ἤδε ἡ ῥῆσις γέγραπται, τὴν αὐτὴν ἔχει λέξιν. ἀλλὰ περὶ τινὰ μὲν ἐν αὐτῇ τῇ νῦν εἰρημένῃ γέγραπται λέξει, κατά τινα δὲ ἐν τῇδε τὰ σπασμοτρομώδεα τρόπον παροξυνόμενα κατόχους τὰ παρ' οὖς. ἐπαινῶ τοὺς μὴ γράψαντας ἐν τοῖς ἰδίοις ἀντιγράφοις τὴν ῥῆσιν. αὐτάρκους γὰρ ἡμῖν ἐπιπλέκοντος αὐτοῦ συμπτώματα πολλὰ πολλοῖς ἀνομοιογενέσιν, ἄχρι δεῦρο παραμεῖναι, καὶ μὴ κάμνουσιν ἀποστῆναι. τὸ δὲ κατὰ τὴν λέ-

ξιν τὴν ἐπιπλοκὴν ποιεῖσθαι τῶν συμπτωμάτων ἀγνώστων τοῖς ἄλλοις, οὐχ οὕτως ἀλλόκοτον κατ᾽ αὐτό, μηδὲ πάνυ τι φαινόμενα κατὰ σπασμὸν τρομώδη συμπτώματα. ἐν γὰρ τοῖς σπασμοῖς ἀδύνατον ἐστὶ φωραθῆναι τοὺς τρόμους κάμνουσιν, εἰ μήτοι ἄρα τοιαύτην τεθέαται συμπτωμάτων ἀμοιβήν, ὡς ἡνίκα μὲν οἱ σπασμοὶ διαλίποιεν τρομώδη γίνεσθαι τὸν ἄνθρωπον. ἡνίκα δ᾽ ἐπιπέσοι σπασμός, ἀδιάγνωστον εἶναι τὸν τρόπον ἡγοῦνται. ἐπιπλοκὴ τῶν συμπτωμάτων ὁμογενὴς μέν ἐστιν, περιττὴ δέ. τὸ γὰρ ἐπὶ κατόχῳ γίνεσθαι τὰς παρωτίδας, ἱκανὸν ἡμῖν εἰρῆσθαι συνεπαύξοντας τὴν ἐλπίδα τῆς κενώσεως αὐτοῦ τοῦ ἀσώδους. εἰ δὲ βούλει καὶ τὰ τῶν οὔρων πάθη, συνεπαυξέτω τὴν προσδοκίαν. ἀλλὰ τό γε σπασμοτρομῶδες ὄνομα, μοχθηρόν.

Ἆρά γε εἰσὶ τὰ πρῶτα κεφαλαλγικοί; ἆρά γε καὶ ἐφιδροῦσι τὰ ἄνω, εἶτα καὶ κοιλίη καταῤῥήγνυται, καί τι κωματῶδες; ἆρά γε καὶ ὑδατώδεα οὖρα ἐναιωρεύμενα λευκοῖς καὶ ποικίλως, ἔκλευκα δυσώδεα πῶς, εἶτα παρ᾽ οὖς; ἆρά γε εἰσὶ τὰ αὐτὰ οὖρα στάξιος πυκναί; ἆρά γε καὶ γλῶσσα τούτοις λείη;

Ἄν, ὡς ἔφην, ἄρξηται τῆς προγνώσεως ἀφ᾽ ὧν Ἱπποκράτης ἔγραψεν ἐν τῷ προγνωστικῷ, καὶ ταῖς ἐπιδημίαις ὑπὲρ πασῶν ἀποστάσεων καθόλου γενήσεται, κἀκ τῶν εἰρημένων αὐτῷ τις εἰς ἀσφαλεστέραν ἀπόφασιν ὠφελεῖται. ἐὰν γὰρ ἐλπίσῃς ἀπόστασιν ἔσεσθαι, σκέπτου τὴν ῥοπὴν τῶν χυμῶν εἰς ὅ, τι μόριον ποιοῦνται, καὶ οὕτως ἑκάστου τῶν περὶ τὴν κεφαλὴν συμπτωμάτων τὴν δύναμιν ἐκλογισάμενος, ἧττόν τε καὶ μᾶλλον ἐλπίσεις ἔσεσθαι τὰς παρωτίδας. ἕνεκα τοίνυν παραδείγματος, οὐ χεῖρον ἐπ᾽ αὐτῶν, ὧν νῦν προεχειρίσατο ποιῆσαι τὸν λόγον. κεφαλαλγία αὐτῶν σημαινόντων ἐστίν, ἐπὶ τὴν κεφαλὴν γίνεσθαι τὴν ῥοπὴν τῶν χυμῶν. τὸ δὲ ἐφιδροῦντας, μικρὰν δύναμιν εἰς τὴν τοιαύτην πρόγνωσιν ἔχει, μείζονα δ᾽ αὐτοῦ τὸ ἐπιῤῥιγοῦν. τὸ δὲ καταῤῥήγνυσθαι τὴν κοιλίαν, οὐκ οἶδα ὅπως ἄν τις φαίη δηλωτικὸν εἶναι τῆς τῶν παρωτίδων γενέσεως, ἀλλὰ τοὐναντίον ἐπὶ τὰ κάτω τὴν ῥοπὴν ἐργάζεσθαι τοῖς λυποῦσι χυμοῖς. τὸ κωματῶδες, ἀξιόλογον ἐστὶ σημεῖον εἰς παρωτίδων γένεσιν. ἀλλὰ καὶ τὰ ὑδατώδη τῶν οὔρων οἷς ἐναιωρεῖται λευκὰ συντελεῖ κατὰ συμβεβηκὸς εἰς τὴν πρόγνωσιν, ἐπειδὴ τὰ μὲν ὑδατώδη χωρὶς ἐναιωρημάτων λευκῶν, ἄπεπτον εἶναι τὸ νόσημα δηλοῖ. τὰ δὲ καὶ τὴν σύστασιν κατὰ φύσιν ἔχοντα, καὶ πρὸς τούτοις ἐναιωρήματα ἴσχοντα λευκὰ πεπέφθαι δηλοῖ τὴν νόσον χωρὶς ὑποστάσεως. χρὴ τοίνυν αὐτὰ μὴ ἄπεπτα παντάπασιν εἶναι, μήτε πεπέφθαι τελέως, ἵνα ἡ φύσις ἀπόστασιν ἐργάσηται. τὰ δὲ ποικίλως ἔκλευκα καὶ δυσώδεα, σπανίως μὲν ἀπόστασιν ἔχει γενομένην. εἰ δέ ποτε καὶ γένοιτο, κακὴν ἔχει. καλῶς οὖν προσέθηκεν ἀκρῶν, ἆρά γε οἷσι τὰ τοιαῦτα οὖρα στάξιος πυκναί. κακοήθεις γὰρ ἐν τοῖς χυμοῖς οὖσιν ἀπέπτοις, κἂν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθῶσιν, ἤτοι στάξεις μᾶλλον ἐκ ῥινῶν ποιοῦσι κακοήθεις, ἢ παρωτίδας. τὸ δὲ ἆρά γε καὶ ἡ γλῶττα τούτοισι λείη, ἀπρεπὲς ὄν ἐστι. ἐπὶ γὰρ τοῖς προειρημένοις εὐλογώτερόν ἐστι καὶ πυρετοὺς κακοήθεις γίγνεσθαι, καὶ γλῶτταν τραχύνεσθαι.

Οἷσι πνευματουμένοισιν ἐοῦσιν ἰκτερικοί, καὶ πυρετοὶ ὀξέες μεθ᾽ ὑποχονδρίων σκληρῶν κατεψύχθαι, εἰ τὰ παρ᾽ ὦτα μεγάλα ἵστανται.

Πνευματουμένους τοὺς μέγα καὶ πυκνὸν ἀναπνέοντας εἰρηκέναι δοκεῖ, ἐπειδὴ κἀν τῷ περὶ διαίτης ὀξέων οὕτως αὐτοὺς ὠνόμασεν ὁ Ἱπποκράτης. εἰκότως οὖν ἐλπίζει τὰ παρ᾽ οὖς ἀναστήσεσθαι, καὶ γὰρ λόγον ἔχει, καὶ γινόμενον αὐτὸ πολλάκις εἴδομεν. εἰ δὲ τοὺς ἐμπνευματουμένους τοὺς κατὰ τὴν κοιλίαν, ὡς ἔνιοι ἤκουσαν οἵπερ καὶ πνευματώδεις γράφουσι, καὶ πνεύματα, οὐδὲν ἂν εἴη τοῦτο πρὸς τὴν τῶν παρωτίδων γένεσιν, ὥσπερ καὶ οἱ ἴκτεροι. περὶ δὲ πυρετῶν ὀξέων, καὶ μάλιστα τῶν καύσων εἴρηται πρόσθεν ὡς αἱμοῤῥαγίας κινοῦσιν χέοντές τε τὸ αἷμα, καὶ πρὸς τὴν κεφαλὴν ἀναφέροντες. καὶ μέντοι καὶ τὰ ὑποχόνδρια τὰ σκληρά, τίνα μὲν λέγει, σαφῶς οὐκ ἔστι γνῶναι, διὰ τὸ μὴ προσκεῖσθαι ἐπώδυνα. τούτου γὰρ προσκειμένου φλεγμονὴν αὐτῶν ἤδη, μὴ προσκειμένου δὲ τὸν ὑπόψυχρον ὄγκον δηλώσει σκιῤῥώδη μᾶλλον, ἢ φλεγμαίνοντα. λύεται δὲ τὰ τοιαῦτα μᾶλλον ἀποστάσεσιν οὐχ αἱμοῤῥαγίαις. ἐπὶ γὰρ τῶν φλεγμαινόντων τὰς αἱμοῤῥαγίας ὁρῶμεν μάλιστα γιγνομένας. ἀλλὰ διὰ τὴν ἀλλόκοτον ἑρμηνείαν τοῦ συγγραφέως, οὐκ ἔστιν ἀκριβῶς γνῶναι, πότερον λέλειπται τὸ τῆς ὀδύνης, ἀσαφέστερον ἡρμηνευκότος αὐτοῦ ἅμα τε γράψαντος, ἢ ὄντως σκιῤῥώδη βούλεται τὴν ὑποχονδρίων σκληρότητα. τὸ δὲ κατεψύχθαι, εἴρηται γὰρ καὶ τοῦτο, δύναται σημαίνειν οὐ τὸ λελύσθαι τὸν πυρετόν, ἀλλὰ τὰ κάτω μόρια τοῦ σώματος ἧττον εἶναι θερμά, παραβαλλόμενα τοῖς ἄλλοις, ἵνα τὴν ἀναστροφὴν τῆς θερμασίας ἐκ τούτου τεκμαιρώμεθα. τὸ δὲ μεγάλα τὸ παρ᾽ οὖς, ἐπὶ τῶν αὐτῶν γίνεσθαι, δοκεῖ μοι τεθεαμένος ἐπί τινος, οὕτως ἀποφήνασθαι περὶ τὸ κατὰ μέρος ὡς καθόλου τὴν ἀπόφασιν ποιησάμενος. ἤρκει γὰρ καὶ χωρὶς τοῦ μεγάλως ἀπόφασιν γεγράφθαι.

Τὰ κωματώδη, ἀσώδη, ὑποχόνδρια ὀδυνώδεα, αἱματώδεα μικρά, ἐν τούτοισι τὰ παρ᾽ οὖς ἐπανίστανται, πρόσθεν δὲ τὰ περὶ πρόσωπον.

Ὅτι μέλλει γίνεσθαι τις ἀπόστασις, ἐλπίσεις ἐξ ὧν Ἱπποκράτης ἔγραψεν. ἐφεξῆς δέ, ἤτοι τὸ μόριος τοῦ σώματος εἰς ὃ γενήσεται χρήσιμον ἕξεις τὴν εἰρημένην συνδρομήν. τὸ μὲν γὰρ κωματῶδες, εἴπερ καὶ ἄλλο σύμπτωμα, προηγεῖται παρωτίδων. τὰ δὲ ὀδυνώδη ὑποχόνδρια, φλεγμονὴν ἔχει, ἐάν τις ἐπινοήσῃ. τούτων δ᾽ οὕτως ἐχόντων, συντελέσει πρὸς τὴν γένεσιν τάτε ἀσώδη, καὶ τὰ αἱματώδη συμπτώματα. τὸ δ᾽ ἐπὶ τῆς τελευτῆς εἰρημένον, τὸ ἔμπροσθεν τὰ περὶ πρόσωπον, ἱκανῶς χρήσιμον, εἰ ὡς προσήκει τις ἀκούσειε τῆς λέξεως. προσήκει δ᾽ οὕτως ἀκούειν, ὡς ἀληθῆ γίνεσθαι τὸν λόγον. ἀληθὲς δ᾽ ἔσται νοησάντων ἡμῶν νοεῖσθαι κατὰ τήνδε τὴν διάνοιαν αὐτόν, πρὸ τῆς τῶν παρωτίδων γενέσεως τὰ περὶ πρόσωπον σημεῖα προσήκει σκοπεῖσθαι. ταῦτα δ᾽ ἐστὶν ἔρευθος ὄγκος παρὰ φύσιν, ὑγρότης ὀφθαλμῶν, ἀχλυῶδες ὁρᾶν, ὅσα τἆλλα τοιαῦτα. εἰ δὲ καὶ μὴ πάντα τις ἀκούειν ἐθέλοι περὶ τὸ πρόσωπον,

ἀλλὰ

ἀλλὰ τόν γε παρὰ φύσιν ὄγκον ἀκούειν πάντως. εἰρηκὼς γὰρ ἐν τούτοισι παρ᾽ οὓς ἐπανίσταται, ἔπειτα ἐφεξῆς εἰπὼν, πρόσθεν δὲ τὰ περὶ πρόσωπον, ἐμφαίνειν ἂν δόξειεν ἐκ κοινοῦ δεῖν ἀκούειν τὸ ἐπανίσταται.

Κοιλίης μαλακὰ κοπρώδεα διέσιος, κῶμα ἐπιφανὲν, τὸ παρ᾽ οὓς ἀνίστησιν.

Οὐκ ὀρθῶς ἔγραψαν ἔνιοι κοιλίης μέλανα κοπρώδεα χολώδεα διέσιος, οὔτ᾽ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις εὑρὸν, οὔτέ τις τῶν ἐξηγησαμένων τὸ βιβλίον ἐπίσταται τὴν γραφὴν ταύτην, ἀλλὰ καὶ χολώδεα κατὰ τῆς ὠχρᾶς χολῆς ἔθος τοῖς παλαιοῖς ἰατροῖς λέγειν, οὐκ ἂν εἴρηται κατὰ τὴν αὐτὴν ῥῆσιν, εἰς ἣν τὰ μέλανα διαχωρεῖ. τοῦ τοιούτου ἕνεκα τὰ χολώδεα ταῦτα περιεξήρουν τὰ γεγραμμένα. μέλανα μὲν ὑπὸ Καπίτωνος ἐν αὐτῷ περιελάφθη, κατὰ δὲ τὸ μέτωπον ὑπὸ τοῦ Διοσκουρίδους. δοκεῖ δέ μοι καὶ τήνδε τὴν συνδρομὴν ὁ γράψας τὸ βιβλίον ἐπ᾽ ἀρρώστου τεθεαμένος, ὅλην θελῆσαι διηγήσασθαι, μὴ διορίσας τὰ κατά τινα συντυχίαν προσγεγενημένα τοῦ σημαίνοντος τὰς παρωτίδας, ἱκανὸν γὰρ αὐτῷ σημεῖον τὸ κῶμα.

Βήχεα μετὰ πτυελισμοῦ ὄντα, τὸ παρ᾽ οὓς ἀπαλλάσσει.

Δύναται καὶ θάρρους γράφειν. ἐγχωρεῖ γὰρ ἔσω ῥοπῆς γινομένης διὰ τοῦ φυσικοῦ πόρου ἐκρεῖν τὸ λεπτότερον, τῶν τὰς παρωτίδας ἐργαζομένων χυμῶν εἰς τὴν τοῦ στόματος εὐρυχωρίαν, καὶ οὕτως τὸν πτυελισμὸν γίνεσθαι. καθεσταμένων δ᾽ οὕτως, εὔλογον μὲν ἐτέρας φαίνεσθαι τὰς παρωτίδας. τὸ γὰρ ἀπαλλάσσειν κυρίως κενοῦν σημαίνει, τῷ κενοῦσθαι δ᾽ ἕπεται, τότε προστέλλεσθαι, καὶ τὸ μαλακώτερον γίνεσθαι.

Ἐν κεφαλαλγίῃ κῶμα, καὶ κώφωσις παρ᾽ οὓς τι ἐξορμήσεται.

Ὄντως ἀεὶ ταῦτα σημεῖα παρωτίδων, ἐπεὶ προσηλπίσαμεν οὕτω γενήσεσθαί τινα ἀπόστασιν. οἱ γὰρ εἰς τὴν κεφαλὴν ἀναδραμόντες χυμοὶ, θερμοὶ μὲν ὄντες καὶ λεπτοὶ, παραφροσύνας καὶ αἱμοῤῥαγίας φέρουσι, παχεῖς δὲ καὶ ψυχροὶ, κώματα καὶ παρωτίδας. ἡ κεφαλαλγία δὲ κοινὸν ἀμφοῖν, ὥσπερ καὶ ἡ κώφωσις, ἀλλὰ μᾶλλον μὲν τῶν θερμῶν ἡ κεφαλαλγία. τῶν δὲ ψυχρῶν, ἡ κώφωσις. ἀρκεῖ δὲ ὁ συγγραφεὺς τῷ τοῦ κώματος ὀνόματι, μὴ διαλαμβάνων γράψας ἐν ὅλῳ τῷ βιβλίῳ τὴν τοῦ ληθάργου προσηγορίαν.

Ὑποχονδρίου σύντασις μετὰ κώματος ἀσώδους καὶ κεφαλαλγίης, τὰ παρ᾽ οὓς ἐπαίρει.

Πάλιν κἀνταῦθα τὸ μὲν κῶμα μετὰ τῆς κεφαλαλγίας ἀξιόλογον ἐστὶ σημεῖον, ἐνδείξασθαι γένεσιν παρωτίδων. συνενδείκνυται δὲ καὶ ἡ τοῦ ὑποχονδρίου σύντασις. ἡ μὲν οὖν φλεγμονὴ δηλοῦται διὰ τῆς προσηγορίας ταύτης, οὐ μεγάλη γὰρ αὐτῆς ἡ ἔνδειξις. εἰ δ᾽ αὐτοῦ φλεγμονῆς ἡ σύντασις γίνοιτο κατὰ τὴν ἄνω ῥοπὴν τῶν χυμῶν, ἀξιόλογον ἐστὶ σημεῖον εἰς παρωτίδων γένεσιν ταύτην, αἱμοῤῥαγίαν σημαίνει. τὸ δὲ ἀσῶδες, αὐτὸ μὲν καθ᾽ ἑαυτὸ παρωτίδας οὐδ᾽ ὅλως δηλοῖ, τῇ δ᾽ εἰρημένῃ συνδρομῇ μαρτυρεῖ συνεπιφαινόμενον. τὰ ἐπώδυνα ἀκρίτως καταμολυνθέντα, φλαῦρα, ἤδη πολλάκις ὁ λόγος οὗτος εἴρηται, καὶ κατὰ μέρος καὶ καθόλου, καὶ βέλτιόν γε δηλοῦται προσκειμένου τοῦ ἐξαίφνης, καὶ τοῦ ἀφανισθέντος. τὸ γὰρ καταμολυνθέντα, τὴν κατὰ βραχὺ λύσιν ἐνδείκνυται. τὸ δ᾽ ἐξαίφνης ἀφανισθῆναι τὰς ὀδυνηρὰς διαθέσεις, αὐτοῦ τοῦ κατ᾽ ἄλλο τι μέρος τῶν προφανῶν ἀπόστασιν γενέσθαι, πρὸς τὰ σπλάγχνα δηλοῖ τὴν μετάστασιν τῶν λυπούντων γεγονέναι.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ ΙΠΠΟΚΡΑΤΟΥΣ, ΥΠΟΜΝΗΜΑ Α.

Βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

Ὅτι μὲν οὖν οὗτος ὁ λόγος, εἴθ᾽ εἷς ἀφορισμός ἐστιν, εἴτε δύο, προοίμιον ὑπάρχει τοῦ παντὸς συγγράμματος, ὡμολόγηται σχεδὸν ἅπασι τοῖς ἐξηγησαμένοις αὐτόν. τί δὲ βουλόμενος ὁ Ἱπποκράτης ἐχρήσατο τοιούτῳ προοιμίῳ, τῶν ἀπορωτάτων ἐστί. τάχα δ᾽ ἂν εὕροιμεν αὐτὸ, τὰ κατὰ μέρος ἅπαντα τοῦ λόγου προδιασκεψάμενοι. τὸν μὲν οὖν βίον ὅτι τῇ τέχνῃ παραβάλλων, ἔφη βραχὺν, ἅπασι σχεδὸν τοῖς ἐξηγησαμένοις τὸ βιβλίον πρόδηλον. τὴν τέχνην δ᾽ αὐτὴν, διὰ τοῦτο ὑπολαμβάνω ἡγεῖσθαι μακρὰν, ὅτι τόν τε καιρὸν ὀλίγου δεῖν ἁπασῶν τῶν κατὰ μέρος ἐνεργειῶν ὀλιγοχρόνιον ἔχει, καὶ κατὰ τοῦτο δυσληπτον, ὡς μακρᾶς δεῖσθαι τριβῆς τὸν διαγνωσόμενον αὐτήν. ὀργάνοιν τε δυοῖν ὄντοιν ὑφ᾽ ὧν εὑρίσκεται τὰ κατὰ τὰς τέχνας, τὸ μὲν ἕτερον, ἡ πεῖρα, σφαλερόν ἐστι. τὸ δ᾽ ἕτερον, ἡ ἐκ λόγου κρίσις, οὐκ εὐπετὲς, ἀλλ᾽ ἔστιν ὅτι καὶ ἄλλο τῶν δυσκολωτάτων. ὁ μὲν οὖν καιρός ἐστιν ὀξὺς, διὰ τὸ τῆς ὕλης ῥευστὸν, ἣν ἡ τέχνη μεταχειρίζεται. εὐμετάβλητον γὰρ ἡμῶν τὸ σῶμα, καὶ ῥᾳδίως ἀλλοιούμενον, οὐχ ὑπὸ τῶν ἔξωθεν αἰτίων μόνον, ἀλλὰ καὶ ἐξ ἑαυτοῦ. σφαλερὰ δὲ ἡ πεῖρα, διὰ τὸ τῆς ὕλης ἀξίωμα. οὐ γὰρ δὴ διὰ τὸ μεταβάλλειν ἑτοίμως. ἐν γὰρ τῷ τοῦ καιροῦ βραχυχρονίῳ περιέχεται τοῦτο. τὴν κρίσιν δὲ, εἰ μὲν ὡς ἐγώ φημι τὸν λόγον ἀκούει τις, εὔδηλον δή που τὸ χαλεπώτατον αὐτοῦ μέχρι τήμερον ἔτ᾽ ἀμφισβητούμενον. εἰ δ᾽ ὡς ἔνιοι τῶν ἐμπειρικῶν ὑπονοοῦσι, τὴν τῶν ἀποβαινόντων ἐκ πείρας ἐπίκρισιν, καὶ οὕτως εὔδηλον τὸ δυσκατόρθωτον αὐτῆς. ἀλλ᾽ ὅτι γε δογματικός ἐστιν ὁ γράψας τὸ βιβλίον, ἐν ὅλῳ τῷ συγγράμματι δειχθήσεται. τὸ μὲν οὖν πρότερον αὐτοῦ μέρος τοῦ προοιμίου, κατὰ τουτὶ τελευτᾷ. τὸ δὲ δεύτερον, οὐχ ὡς ἀποφαινόμενος, ἀλλ᾽ ὡς συμβουλεύων γράφει. δεῖ δ᾽ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν

νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. δυνάμει τοῦτο λέγων, ὡς εἰ μέλλεις ἐξετάζειν τε καὶ βασανίζειν τὴν ἐν τῷδε τῷ βιβλίῳ γεγραμμένων τὴν ἀλήθειαν, οὐ μόνον αὐτόν σε χρὴ τὸν ἰατρὸν ἅπαντα πράττειν προσηκόντως, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ, καὶ πρὸς τούτοις ἔτι, τὰ ἔξωθεν ἀμέμπτως ἔχειν ἅπαντα. γνώσεται τοίνυν ὁ μὲν πρότερος λόγος ἐν τῷδε τὸ κεφάλαιον ἔχων, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρά. τὰ γὰρ ἑξῆς ἅπαντα τοῦ μακρὰν εἶναι τὴν τέχνην, ἀπόδειξιν ἔχει. μετὰ δὲ τοῦτον καὶ ὁ δεύτερος οἷον συμβουλὴν, ἢ συνθήκην τινὰ πρὸς τοὺς ἀναγνωσομένους τε καὶ κρινοῦντας αὐτοῦ τὸ σύγγραμμα φέρων. τί δή ποτ' οὖν αὐτῷ βούλεται τὸ, προγράψαι ἐν ἀρχῇ τοῦ βιβλίου, τὸ βραχὺν εἶναι τὸν βίον, ὡς πρὸς τὸ τῆς τέχνης μέγεθος; ἐξ ἀρχῆς γὰρ ἡμῖν τοῦτο πρόκειται. ἔνιοι μὲν οὖν βούλονται προτροπῆς ἕνεκεν τῶν ἀσκησόντων ἀξιολόγως τὴν τέχνην, ἔνιοι δ' ἀποτροπῆς, ἔνιοι δ' οἷον ἀπὸ πείρας τινὸς καὶ διακρίσεως, τῶν τε ἀσκησόντων ἀξιολόγως τὴν τέχνην, καὶ τῶν μή. ἔτι δὲ τὴν αἰτίαν ἀποδιδόναι φασὶν αὐτὸν, ἐν τῷδε, τοῦ δεῖν γράφειν συγγράμματα, τινὲς δὲ τοῦ ἀφοριστικά. τινὲς δὲ οἴονται τοῦ στοχαστικοῦ τῆς τέχνης ἐν τούτῳ τῷ λόγῳ τὰς αἰτίας αὐτὸν εἰρηκέναι, ἄλλοι δὲ παρ' ὅσας αἰτίας, ἀποτυγχάνουσιν οἱ ἰατροί. οὗτοι μὲν οὖν, ἵν' ἀπὸ τῶν ὑστάτων πρῶτον ἄρξωμαι, παντάπασί μοι δοκοῦσιν οὐδὲν πρὸς ἔπος ἀποφαίνεσθαι. τί γὰρ ἂν εἴη σοφὸν, ἢ τῆς Ἱπποκράτους ἄξιον γνώμης, ἀρχόμενον εὐθὺς τοῦ συγγράμματος; ἢ ὅτι στοχαστική τίς ἐστιν ἡ τέχνη διδάσκειν, ἢ ὅτι γε τοῦ τέλους ἁμαρτάνομεν, ἤτοι δι' ἡμᾶς αὐτοὺς, ἢ διὰ τὸ τῆς τέχνης αὐτῆς μέγεθος. ἀλλὰ καὶ τὸ, δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν, τοὐναντίον ἅπαν ἐνδείκνυται. πρέπει γὰρ ταῦτα πάντα γράφειν τῷ πάντα ἐπαγγελλομένῳ, τὰ κατὰ τὸ βιβλίον ὑπάρχειν ἀληθῆ μᾶλλον, ἢ ὅστις ὁμολογεῖ διὰ πολλὰς αἰτίας ἁμαρτάνειν τοῦ τέλους. οὐ γὰρ ἂν εἶπε, δεῖ δὲ, ἀλλὰ μετὰ τὸ γράψαι ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὰ, ἡ δὲ κρίσις χαλεπή. προσέθηκεν ἂν καὶ ὁ ἰατρὸς δὲ καὶ αὐτὸς ἁμαρτάνει, καὶ οἱ νοσέοντες, καὶ οἱ ὑπηρετοῦντες αὐτοῖς. οὐ μὴν οὐδ' ὅσοι φασὶν ἀποτρέπειν αὐτὸν, ἐξ ὧν τὸν μὲν βίον εἶπε βραχὺν, τὴν δὲ τέχνην μακρὰν, οὐδ' οὗτοι μοι δοκοῦσι προσηκόντως λέγειν. ἐσχάτης γὰρ ἠλιθιότητος ἅμα τε γράφειν συγγράμματα καταλείποντα τοῖς μετ' αὐτὸν ἀνθρώποις ὡς δῆτι χρήσιμον, ἅμα τε κατὰ τὴν ἀρχὴν εὐθὺς ἀποτρέπειν, οὐχ ὅπως τῆς τοῦδε τοῦ συγγράμματος ἀναγνώσεως, ἢ μαθήσεως τῶν γεγραμμένων, ἀλλὰ καὶ τῆς ὅλης τέχνης ἣν ἐπαγγέλλεται διδάσκειν. ὅσοι δὲ προτρέπειν φασὶν αὐτὸν ἡμᾶς τὸ φιλοπόνως ἀναλαμβάνειν τὴν τέχνην. μὴ γὰρ ἂν ἄλλως αὐτὴν δυνηθῆναι γνωσθῆναι πᾶσαν, ἐν βραχεῖ χρόνῳ μακρὰν οὖσαν, εἰ καὶ ἀληθές τι λέγουσιν, ἀλλ' οὐκ ἄξιόν γέ μοι δοκοῦσι τὸ προοίμιον ἀποφαίνειν, οὔτε τῆς γνώμης τἀνδρὸς, οὔτε τῶν κατὰ βιβλίον εἰρημένων. ὥσπερ οὐδ' οἱ πειραστικὸν εἶναι τῶν προσερχομένων τῇ τέχνῃ τὸν λόγον ὑπειληφότες. ἔστι μὲν γὰρ ἀληθὲς, ὥσπερ εἴρηται καὶ Πλάτωνι, τὸ πεῖραν οὕτω μάλιστα γίνεσθαι τῆς προαιρέσεως τῶν ἀναληψομένων, ἥν τινα οὖν τέχνην, εἰ μεγάλην τε καὶ χαλεπὴν αὐτοῖς εἶναι τὴν διδασκαλίαν ὑποδεικνύοιμεν, ἀλλ' οὔτε διὰ βιβλίου τὸ τοιοῦτον, ἀλλ' ἐν ταῖς συνουσίαις γίνεται, οὔτε πρέπον μοι δοκεῖ εἶναι ἐν τῷ παρόντι συγγράμματι. χρὴ γὰρ τὸ προοίμιον οἰκεῖον εἶναι τῶν κατὰ τὸ βιβλίον εἰρησομένων. εἰ μὴ ἄρα πρώτους ἁπάντων ἀναγινώσκεσθαι βούλεται τοὺς ἀφορισμοὺς, καὶ διὰ τοῦτο κοινὸν ὅλης τῆς τέχνης ἐν τῷ προοιμίῳ τοῦ συγγράμματος ἐποιήσατο τὸν λόγον, ἐνδεικνύμενος διὰ τούτου, μὴ πάντων τῶν βουληθέντων εἶναι μάθημα τὴν ἰατρικὴν μακρὰν οὖσαν τέχνην, ἀλλὰ τῶν καὶ χρόνον ἱκανὸν ἐχόντων, ἐν ᾧ μαθήσονται καὶ φύσιν ἐπιτηδείαν. εἰ δ' ὅλως πιθανὸν εἶναι δόξειε, τὸ κοινὸν ἁπάσης τῆς τέχνης αὐτὸν πεποιῆσθαι τὸ προοίμιον, οὐδ' ἐκείνους ἄν τις μέμψοιτο τοὺς φάσκοντας αἰτίαν ἀποδίδοσθαι τοῦ συγγράφειν. ἐποιήσατο δὲ ἐν τῷ κατ' ἰητρεῖον ἁπασῶν τῶν ἀναγνώσεων προοίμιον κοινὸν, ὡς ἐν τῇ κατ' ἐκεῖνο τὸ βιβλίον ἐξηγήσει δείκνυται. ὅσοι τοίνυν, ἢ τοῦ τρόπου τῆς διδασκαλίας, ἢ ὅλως τῆς χρείας τῶν συγγραμμάτων αἰτίαν ἀποδίδοσθαι κατὰ τὸ προοίμιον φασὶν, οὗτοι μοι δοκοῦσιν ἄμεινόν τι τῶν ἄλλων γινώσκειν. τό γε γὰρ ἀφοριστικὸν εἶδος τῆς διδασκαλίας ὅπερ ἐστὶ τὸ διὰ βραχυτάτων ἅπαντα τὰ τοῦ πράγματος ἴδια περιορίζειν, χρησιμώτατον τῷ βουλομένῳ μακρὰν τέχνην διδάξαι ἐν χρόνῳ βραχεῖ, τό τε ὅλως διὰ τοῦτο συγγράφειν, ὅτι ὁ βίος βραχύς ἐστιν, ὡς πρὸς τὸ τῆς τέχνης μέγεθος εὐλογώτατον. οὐδεὶς γὰρ ἡμῶν ἱκανός ἐστι συστήσασθαί τε ἅμα καὶ τελειῶσαι τὴν τέχνην, ἀλλ' ἀγαπητὸν, εἰ πολλοῖς ἔτεσι τὰ τῶν ἔμπροσθεν οἱ μετέπειτα παραλαμβάνοντες, καί τι προστιθέντες, αὐτοὶ συντελέσαιεν ποτε αὐτήν. ἤτοι γὰρ διὰ θάτερον τούτων, ἢ δι' ἄμφω δοκεῖ μοι τοιούτῳ τινὶ κεχρῆσθαι τῷ προοιμίῳ, ὡς εἰ καὶ οὕτως ἔγραψεν, ἐπειδὴ τὸ τῆς τέχνης μέγεθος ὑπὲρ τὸν βίον ἐστὶ τὸν ἀνθρώπειον, ὡς ἀδύνατον εἶναι, κἂν πάνυ τις εἴη φιλόπονος, ἄρξασθαί τε ἅμα καὶ τοῦ τέλους τοῦ κατ' αὐτὴν ἐφικέσθαι, διὰ τοῦτ' ἄριστον ἐστὶν ὅσα τις ἔγνω, τοῖς μετέπειτα καταλιπεῖν ἐν συγγράμμασιν, ἀκριβῶς τε ἅμα καὶ ταχέως, καὶ σαφῶς ἅπασαν τὴν τῶν διδασκομένων πραγμάτων φύσιν ἑρμηνεύοντα. τοῦ μέντοι τὴν τέχνην εἶναι μακρὰν ἀπόδειξίς ἐστι τὰ ἐπιφερόμενα ταῦτα, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. ὡς εἰ καὶ οὕτως ἔλεγεν, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, ὅτι ὁ καιρὸς ὀξὺς, καὶ ἡ πεῖρα σφαλερὴ, καὶ ἡ κρίσις χαλεπή. διὰ τοῦτο γὰρ καὶ ἡ τέχνη μακρὰ, διότι καὶ ὁ τῶν πραττομένων καιρὸς ἐν αὐτῇ ὀξύτατός ἐστι, τουτέστι στενότατός τε καὶ ὀλιγοχρονιώτατος, καὶ πρὸς τούτοις τῶν ὀργάνων τῶν εὑρισκόντων τὰ βοηθήματα δυοῖν ὄντοιν λόγου, καὶ πείρας, ἐπισφαλὴς μὲν ἡ πεῖρα, χαλεπὸς δ' ὁ λόγος, τουτέστιν οὐ ῥᾴδιον δυνάμενος γνωσθῆναι θατέρῳ, ὅτι δ' ἀληθές ἐστιν ἕκαστον τῶν εἰρημένων, οὐ χαλεπὸν ὑποδεῖξαι διὰ βραχέων. ὁ μὲν γὰρ καιρὸς ὀξὺς, διὰ τὴν τῆς τέχνης ὕλην, λέγω δὲ τὸ σῶμα ῥέον ἀεὶ, καὶ μεταβαλλόμενον ἐν ἀκαριαίῳ χρόνῳ. ἐπισφαλὴς δὲ ἡ πεῖρα, καὶ αὐτὴ διὰ τὴν ὕλην. οὐ γὰρ πλίνθοι, καὶ πηλὸς, καὶ ξύλα, καὶ λίθοι, καὶ κέραμος, καὶ σκύτη, καθάπερ ἄλλων τεχνῶν, ἡ ὕλη τῆς ἰατρικῆς ἐστιν, ἐν οἷς ἄλυπον τὸ πειρᾶσθαι πολυειδῶς, καὶ γυμνάζεσθαι παρὰ τὴν ὕλην ἀσκοῦντα, καὶ μελετῶντα τὰ θεωρήματα, καθάπερ ἐν ξύλοις μὲν οἱ τέκτονες, ἐν δέρμασι δ' οἱ σκυτοτόμοι. ξύλα μὲν γὰρ καὶ σκύτος διαφθεῖραι κακῶς μεταχειριζόμενον, οὐδεὶς κίνδυνος. ἐπ' ἀνθρωπείου δὲ σώματος πειρᾶσθαι τῶν ἀπειράστων, οὐκ ἀσφαλὲς, εἰς ὄλεθρον ὅλου τοῦ ζώου τῆς κακῆς πείρας τελευτώσης. καὶ μὴν καὶ ἡ κρίσις, ὁ λόγος δ' ἂν ἡ κρίσις εἴη, τῷ κρίνεσθαι

περὶ αὐτοῦ τὰ ποιητέα, χαλεπὸς καὶ δυσθήρατός ἐστιν ὅ, γε ἀληθὴς, ὡς δηλοῖ καὶ τὸ πλῆθος τῶν κατὰ τὴν ἰατρικὴν τέχνην αἱρέσεων, οὐ γὰρ ἂν εἴπερ οἷόν τ' ἦν ῥᾳδίως εὑρεθῆναι τὸ ἀληθὲς, εἰς τοσοῦτον ἧκον ἀντιλογίας ἀλλήλοις οἱ ζητήσαντες αὐτὸ, τοιοῦτοί τε καὶ τοσοῦτοι γενόμενοι. τοῖς δ' ἐμπειρικοῖς, οὐχ ὁ λόγος εἰρῆσθαι δοκεῖ κρίσις, ἀλλ' ἡ τῶν διὰ τῆς πείρας εὑρισκομένων βοηθημάτων ἐπίκρισις. ὄντως γὰρ καὶ τοῦτο χαλεπὸν καὶ δυσθήρατον, ὅταν πολλῶν ἰαμάτων τῷ κάμνοντι γεγενημένων, ἓν τι ᾖ αὐτῶν αἴτιον τῆς ὠφελείας ἢ βλάβης. εἰ γὰρ οὕτως ἔτυχε κοιμηθέντος καλῶς αὐτοῦ, καὶ καταιωνηθέντος ἐφεξῆς, καὶ καταπλασθέντος ἐπὶ τούτῳ, κἄπειτα κλυσθέντος, ἢ αὐτομάτως τῆς γαστρὸς ἐνδούσης, εἶτα καὶ ῥαφανῖδας ἢ τινὰς δὲ τινὰς ῥοφὰς, συνέβη τὸν ἄρρωστον ἢ ὠφεληθῆναι ἢ βλαβῆναι. διὰ ταῦτα οὖν ἅπαντα ἡ κρίσις χαλεπή. συγκεφαλαιωσόμεθα γοῦν ἤδη τὸν λόγον. ἡ μὲν τέχνη μακρὰ γίνεται, ἑνὸς ἀνθρώπου παραμετρουμένη βίῳ. χρήσιμον δὲ τὸ καταλιπεῖν συγγράμματα, καὶ μάλιστα τὰ σύντομά τε καὶ ἀφοριστικὰ, εἴς τε γὰρ αὐτὴν τὴν πρώτην μάθησιν, καὶ εἰς τὴν ὧν ἔμαθέ τις κἀπὶ τούτοις ἅπασιν ὠφεληθέντος ἢ βλαβέντος, οὐ ῥᾴδιον εἰπεῖν, διὰ τὶ τῶν γεγενημένων ὠφεληθῆναι μνήμην, καὶ εἰς τὴν ὧν ἐπελάθετό τις μετὰ ταῦτα ἀνάμνησιν, ὁ τοιοῦτος τρόπος τῆς διδασκαλίας ἐπιτήδειος. ὁμολογεῖ δὲ τούτοις καὶ τὸ ἐπιφερόμενον. ὡς γὰρ ὑπὲρ τοῦ συγγράμματος αὐτοῦ, καὶ τῶν κατ' αὐτὸ λεχθησομένων τοῦ προοιμίου γεγονότος, εἰκότως ἐπιφέρων, φησί.

Δεῖ δ' οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. εἰ μέλλοι τις κρίναι φησί ποτε τὰ περὶ τὸ βιβλίον εἰς ὅσον ἀληθείας ἥκει, οὐ μόνον ἑαυτὸν παρεκτέον ἐστὶ, τὰ δέοντα ποιέοντα, καὶ μηδὲν τῶν χρησίμων τῷ νοσοῦντι παραλίποντα, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον εὐπειθῆ τε ἅμα καὶ μηδὲν ἰδίᾳ χαριζόμενον ἡδονῇ πεφυκέναι, καὶ μέντοι καὶ τοὺς ὑπηρετοῦντας ἐπιτηδείους, καὶ δὴ καὶ τὰ ἔξωθεν ἅπαντα συμπαρασκευασμένα. καὶ γὰρ δι' ἐκεῖνα πολλάκις, ἤτοι τὴν πρόγνωσιν, ἢ τὴν θεραπείαν, ἢ ἄμφω συνέβη διαπταῖσαι, τὰ δ' ἔξωθεν ἐστὶ, τάτε κατὰ τὰς οἰκήσεις ἐπιτηδείους οὔσας, ἢ καὶ ἐνοχλουμένας, ἢ οὐκ ἐνοχλουμένας, καὶ ἔτι τὰ προσαγγελλόμενα καὶ πραττόμενα θυμὸν, ἢ λύπην, ἢ τι τοιοῦτον ἕτερον ἐργαζόμενα τῷ νοσοῦντι, καὶ προσέτι, τὰ νύκτωρ αὐτῷ τὸν ὕπνον διακόπτοντα, μυρία ἐπὶ μυρίοις ὄντα. εἰ οὖν φησιν ἅπαντα ταῦτα καλῶς καὶ ἀμέμπτως ἔχει τῶν κατὰ τοῦτο τὸ βιβλίον αὐτὰ γεγραμμένων, οὐδὲν εὑρεθήσεται ψεῦδος.

Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν, ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὲ καὶ ἡ κενεαγγείη, ἢν μὲν οἵη δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν, ἢν δὲ, μὴ τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ χώρην καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους ἐν ᾗσι δεῖ, ἢ οὔ.

Οὐ περὶ ποσότητος αὐτῷ τῶν κενουμένων ἐστὶν ὁ λόγος ὡς τινὲς ᾠήθησαν, ἀλλὰ περὶ τῆς ποιότητος μόνης, ὡς δηλοῖ σαφῶς ἑκάτερον τῶν ὀνομάτων, τό, τε οἷα καὶ τὸ οἵη. ἐπὶ μὲν γὰρ τῶν αὐτομάτως γινομένων κενώσεων προσεῖπεν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν. ἐπὶ δὲ τῶν ὑπὸ τοῦ ἰατροῦ, ἢν μὲν οἷα δεῖ γίγνεσθαι γίγνηται, καί τοι δυνάμενος εἰπεῖν, ἢν μὲν ὅσα δεῖ καθαίρεσθαι καθαίρεται, καὶ πάλιν, εἰ ἢν μὲν ὅσα δεῖ γίνεσθαι γίνεται, δηλοῦται δὲ τοῦτο καὶ διὰ τοῦ καθαίρεσθαι ῥήματος. οὐ γὰρ ἁπλῶς εἶπεν ἢν μὲν οἷα δεῖ κενοῦσθαι, ἀλλὰ ἢν μὲν οἷα δὴ καθαίρεσθαι ἔφη. κάθαρσις δέ ἐστιν, ἡ τῶν λυπούντων κατὰ ποιότητα κένωσις. ἐν γε δὴ τούτοις ἁμαρτάνουσιν οἱ πλεῖστοι τῶν ἐξηγητῶν, οὐ συνιέντες οὔτε τῶν φωνῶν, οὔτε τῆς γνώμης τἀνδρός. ἔτι δὲ μᾶλλον, ἐπειδὰν τὸ τῆς κενεαγγείας ὄνομα, τινὲς μὲν ἐπὶ τῆς ἀσιτίας, τινὲς δὲ ἐπὶ τῆς φλεβοτομίας ἀκούωσιν. ὁ γὰρ Ἱπποκράτης ἅπασαν κένωσιν ὀνομάζει κενεαγγείαν ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ κενὰ τὰ ἀγγεῖα συμβαίνει γίνεσθαι κατὰ πάσας τὰς κενώσεις. ὁ μὲν δὴ λόγος αὐτῷ νῦν ἐστι περὶ ποιότητος τῶν κενουμένων, ὥσπερ δὲ παρακελεύεται διὰ παντὸς ὅσα καλῶς ὑπὸ τῆς φύσεως γίγνεται, ταῦτα μιμεῖσθαι τὸν ἰατρόν. οὕτω καὶ νῦν ἐποίησε τὸν περὶ τῶν αὐτομάτων κενώσεων προτάξας λόγον, ἐν αἷς ὅταν μὲν οἷα δεῖ κενῶνται, τουτέστι τὰ λυποῦντα, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν. εἰ δὲ ἄλλων τινῶν ἡ κένωσις γένηται, καὶ μὴ τῶν λυπούντων, τὸ ἐναντίον, οὔτε συμφέρει, καὶ δυσφοροῦσιν οἱ κάμνοντες. οὕτως οὖν εἰ καὶ ὑπὸ τοῦ ἰατροῦ κένωσις τις ἐπιτηδεύοιτο, τῶν λυπούντων αὕτη γιγνέσθω, καθάπερ καὶ ἐν ἄλλοις παρακελεύεται τὸν λυποῦντα συμβουλεύων κενοῦν χυμὸν, καὶ μὴ ἄλλον τινὰ παρ' αὐτοῦ. φλέγματος μὲν οὖν πλεονάζοντος, τοῦτο κενωτέον ἂν εἴη παντὶ τρόπῳ. χολῆς δὲ ξανθῆς, εἴτε μελαίνης ἐνοχλούσης, ἀφεκτέον μὲν τοῦ φλέγματος, τὴν λυποῦσαν δὲ χολὴν κενωτέον. οὕτω δὲ κἂν αἱματικὸν ᾖ τὸ πλεονάζον, αἵματος ποιητέον τὴν κένωσιν, καὶ δὴ καὶ εἰ ὀῤῥὸς αἵματος ἐκείνου. τεκμαίρεσθαι δὲ δεῖ τὸν πλεονάζοντα χυμὸν τῇ χρόᾳ, πλὴν εἴ τινες ὑποχωρήσαιεν εἰς τὸ βάθος τοῦ σώματος. τὸ γὰρ χρῶμα, τῶν χυμῶν ἐοικὸς ἀνθέων, ὁκόσων μὴ ἄμπωτίς ἐστιν. ἐπὶ τούτων οὖν μάλιστα τῶν ὑπονοστησάντων, καὶ μὴ κεχυμένων, ὁμαλῶς εἰς ὅλον τὸ σῶμα προσεπιβλέπειν δεῖ ὥρην, καὶ χώρην, καὶ ἡλικίην, καὶ νούσους, ἐν ᾗσι δεῖ ἢ οὔ, τουτέστιν ἐν αἷς προσήκει, ἢ μὴ τοιοῦδέ τινος, ἢ τοιοῦδε χυμοῦ ποιεῖσθαι τὴν κένωσιν. ἔχει μὲν γὰρ καὶ αὐτὸς ἕκαστος τῶν πλεοναζόντων ἐν τῷ σώματι χυμῶν ἴδια γνωρίσματα, περὶ ὧν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς ἐροῦμεν, οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τελείαν διάγνωσιν, ἐπιβλέπειν χρὴ καὶ τὴν ἐνεστῶσαν ὥραν τοῦ ἔτους, καὶ τὸ χωρίον ἐν ᾧ νοσοῦσιν οἱ κάμνοντες, καὶ τὴν ἡλικίαν αὐτῶν, καὶ τὴν ἰδέαν τῆς νόσου. ἔστω γὰρ εἰ οὕτως ἔτυχε, χολῆς ξανθῆς ἐν τῷ σώματι πλεονεκτούσης γνωρίσματα, συνεπιβλέπειν αὐτῇ δεήσει, καὶ εἰ ὥρα θερινὴ, καὶ εἰ τὸ χωρίον θερμὸν, καὶ εἰ ὁ κάμνων ἀκμάζων, οὕτω δὲ καὶ ἐπὶ τοῦ φλέγματος εἰ χειμὼν εἴη, εἰ τὸ χωρίον ψυχρὸν, εἰ πρεσβύτης ὁ ἄνθρωπος, ἀλλὰ καὶ πρὸς τούτοις ἅπασιν, αὐτὸ τὸ εἶδος τῆς νόσου ἐπιβλεπτέον, οἷον ὅτι τριταῖος μὲν, εἰ οὕτως ἔτυχεν, ὑπὸ τῆς ξανθῆς χολῆς ἐπικρατούσης γίνεται. τεταρταῖος δ' ὑπὸ τῆς μελαίνης. ἀμφημερινὸς δ' ὑπὸ τοῦ φλέγματος, καὶ καρκίνος μὲν ὑπὸ τῆς μελαίνης χολῆς, ἐρυσίπελας δὲ ὑπὸ τῆς

ξανθῆς, τῶν τ' ἄλλων νοσημάτων ὡσαύτως ἕκαστον. καὶ γὰρ ταῦτα πάντα διορισώμεθα, βεβαιότερον ἤδη τὴν τοῦ λυποῦντος χυμοῦ κένωσιν ἀφιξόμεθα. πάντων οὖν ἀτοπώτατοι τῶν ἐξηγητῶν εἰσιν, οἱ νομίζοντες τὸν λόγον αὐτῷ ὑπὲρ ἀσιτίας γίνεσθαι μόνης τῆς ἐν τοῖς πυρετοῖς. ὅτε γὰρ αὐτὸς ὠνόμασε πυρετούς, ὅ,τε λόγος ἤδη πάντων ἐστὶ καθόλου τῶν παρὰ φύσιν, ἐκδιδάσκων ἡμῶν σκοπούς, οἷς προσέχοντας, εὑρίσκειν προσήκει τὸ ποιὸν τῆς κενώσεως, οὐ τὸ ποσόν. ὁ γὰρ ἐφεξῆς ἀφορισμός, ὑπὲρ τοῦ ποσοῦ διαλέγεται. κατά τινα δὲ καιρὸν τοῦ νοσήματος ἐπιχειρεῖν δεῖ τῇ κενώσει, καὶ τίνι τρόπῳ ποιητέον αὐτήν, ἐν ἄλλοις ἀφορισμοῖς ἑξῆς ἐρεῖ, ὅθεν οὐδ' ἐμοὶ νῦν ἀναγκαῖον ἐστὶ λέγειν περὶ αὐτῶν. οὕτω γὰρ ἂν οὐδὲν μὲν εἴην σοφώτερος διδάσκων, εἰς μῆκος δὲ λόγων οὐκ ἀναγκαῖον, ἐκτείνων τὰ ὑπομνήματα.

Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραί, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν, οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν. ἐπεὶ δ' οὐκ ἀτρεμέουσιν, οὐκέτι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται οὖν ἐπὶ τὸ χεῖρον. τουτέων οὖν εἵνεκα τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λάβῃ τὸ σῶμα, μηδὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν, σφαλερὸν γάρ, ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί, καὶ πάλιν αἱ ἀναθρέψιες, αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.

Τὸν μὲν πρὸ τούτου λόγον αὐτῷ περὶ ποιότητος εἶναι ἐδείξαμεν τῶν κενουμένων. ἐν τούτῳ δὲ καὶ τοῖς ἐφεξῆς περὶ ποσότητος βούλεται διδάσκειν, καὶ ἄρχεταί γε παρὰ τῆς ἀμέτρου πληρώσεώς τε καὶ κενώσεως, ἐν τῷδε τῷ νῦν ἡμῖν προκειμένῳ ἀφορισμῷ, ὁμοίως τῷ πρόσθεν ὑποθέμενός τι παράδειγμα, καὶ πρὸς τοῦτο κατευθύνων τὸν λόγον ὥσπερ ἔθος αὐτῷ. τὸ παράδειγμα δὲ αὐτῷ ἐστιν, ἡ γυμναστικὴ εὐεξία. γυμναστικὴν δὲ εὐεξίαν ὀνομάζει τὴν τῶν αὐτὸ τοῦτο ἔργον πεποιημένων, κατὰ τὸν βίον ἅπαντα διατρίβειν ἐν γυμνασίοις, τοῦ καταβάλλειν ἑτέρους ἕνεκα, καθάπερ οἱ ἀθληταί. ἡ μὲν γὰρ ἁπλῶς εὐεξία λεγομένη, ἣν καὶ τῶν ἀγροίκων ἔχουσι πολλοί, σκάπτοντες καὶ θερίζοντες, καὶ τἄλλα ὅσα κατὰ τὸν βίον διαπονούμενοι, οὐχ ἥκει μέχρι πληρώσεως ἀμέτρου. τῆς δὲ τῶν ἀθλητῶν εὐεξίας, οὐ μικρὸν τοῦτο ἐστὶν ἔγκλημα, τὸ περιβάλλεσθαι πειρᾶσθαι μέγεθος ὄγκου κατὰ τὸ σῶμα, καὶ δηλονότι, καὶ πλῆθος χυμῶν. παρασκευὴ γὰρ οὗτοι τῆς τοῦ παντός εἰσι σώματος θρέψεως, καὶ οὐχ οἷόν τε χωρὶς αὐτῶν ἑτοίμως παρεσκευασμένων, εἰς ὄγκον ἀρθῆναι τοῦ δέοντος μείζονα τὰ σώματα, διὸ καὶ σφαλερὰν ἀναγκαῖον εἶναι τὴν τοιαύτην διάθεσιν. ὅταν γὰρ ὑπερπληρωθῇ τὰ ἀγγεῖα ποτῶν ἢ σιτίων, τοῦ διαρραγῆναι κίνδυνος αὐτοῖς, ἢ καταπνιγῆναι, ἢ καὶ σβεσθῆναι τὸ ἔμφυτον αὐτοῖς θερμόν, καθάπερ καὶ ἀπώλοντό τινες ἐξαιφνίδιον ἤδη τῶν εἰς ἄκραν πλήρωσιν ἀφικομένων ἀθλητῶν. ἡ δ' εἰς τὰ κατὰ φύσιν ἔργα χρήσιμος εὐεξία, τοιοῦτον οὐδένα κίνδυνον ἐφεδρεύοντα κέκτηται, τὸ μηδ' εἰς ἄκρον ἥκειν ποτὲ τῆς πληρώσεως, ὅθεν οὐδὲ λύειν αὐτὴν προσήκει καθάπερ τὴν τῶν ἀθλητῶν ὅταν εἰς ἄκρον ἥκῃ. ταύτην γὰρ χρὴ λύειν, μὴ βραδέως, ἀλλὰ φθάνειν δηλονότι τὸν κίνδυνον. τὴν αἰτίαν δὲ αὐτὸς τοῦ χρῆναι λύειν αὐτήν, τοιαύτην ἔγραψεν. οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδ' ἀτρεμέειν εἰπών. ἀεὶ γὰρ τῆς φύσεως τὴν πέψιν, καὶ τὴν ἀνάδοσιν, καὶ τὴν ἐξαιμάτωσιν, ἔτι τὴν πρόσθεσιν, καὶ τὴν πρόσφυσιν, καὶ τὴν ἐξομοίωσιν ἐργαζομένης, ὅταν μήτε προσθεῖναί τι τοῖς στερεοῖς τοῦ σώματος μορίοις ἐγχωρῇ, μήθ' αἱ φλέβες ἔτι χώραν ἔχωσιν ὑποδέχεσθαι τὴν ἀναδιδομένην τροφήν, ἀνάγκη κίνδυνον καταλαβεῖν, ἢ ῥήξεως ἀγγείου τινός, ἢ ἐξαιφνιδίου θανάτου. ἵνα οὖν ἔχῃ χώραν αὖθις ἀνατρέφεσθαι τὸ σῶμα, λύειν χρὴ μὴ βραδέως τὴν εὐεξίαν. ἡ λύσις δ' αὐτῆς, κένωσίς ἐστι δηλονότι, καὶ χρὴ ταύτην οὐδ' αὐτὴν ἀμέτρως ποιεῖσθαι, καὶ γὰρ ἔτι τοῦτο σφαλερόν, οὐχ ἧττον ἀμέτρου πληρώσεως. σκοπὸς δὲ τοῦ ποσοῦ τῆς κενώσεως, οὐ τὸ πλεονάζον μόνον, ἀλλὰ ἔτι ἡ φύσις ἂν εἴη, τουτέστιν ἡ δύναμις τοῦ κενουμένου ἀνθρώπου. ἄλλοι γὰρ ἄλλως εἰώθασι φέρειν μᾶλλον τὰς κενώσεις. ταῦτα μὲν οὖν αὐτῷ περὶ τῆς ἀθλητικῆς εὐεξίας εἴρηται, καὶ αὐτὰ μὲν καθ' ἑαυτὰ χρήσιμα τοῖς βουλομένοις τὴν ἐπιτήδευσιν ἐκείνην μετέρχεσθαι. καὶ τοῖς ἰατροῖς δὲ ὡς παράδειγμα τοῦ λόγου τοῦ μέλλοντος λεχθήσεται. φησὶ γάρ, ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι σφαλεραί, καὶ πάλιν, αἱ ἀναλήψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί, τοιοῦτόν τι βουλόμενος ἐνδείξασθαι καθ' ὅλον τὸν λόγον, ὡς ὅτι οὔτε κενοῦν, οὔτε πληροῦν ὑπερβαλλόντως προσήκει. μάθοιμεν δ' ἂν τοῦτο μάλιστα, παρὰ τῆς ἀθλητικῆς εὐεξίας, ἧς καίτοι τἄλλα κεκτημένης, οὐ μεμπτά. καὶ γὰρ καὶ εὔχυμοι, καὶ ἰσχυροὶ ταῖς δυνάμεσιν εἰσὶν οἱ γυμναστικοί, ὅμως τοῦτό γε αὐτῷ μέγιστόν ἐστιν αὐτοῖς κακόν, τὸ εἰς ἄκρον ἥκειν πληρώσεως, διὸ καὶ λύεσθαι δεῖται συντόμως, ὥσπερ αὖ πάλιν, οὐδ' εἰς ἔσχατον ἄγειν χρὴ κενώσεως τοὺς τοιούτους. οὕτως οὐδὲ τοὺς ἄλλης δεομένους ἡστινοσοῦν κενώσεως, ὑπερκενοῦν προσήκει. καθόλου γὰρ εἰπεῖν ἐν πάσῃ κενώσει, στοχάζεσθαι προσήκει τῆς δυνάμεως, καὶ μέχρις ἂν ἀντέχῃ καὶ μὴ κάμνῃ, πειρᾶσθαι τὸ περιττὸν ἀπάγειν. καταλυομένης δέ, κἂν ἔτι λείπηταί τι τῶν περιττῶν, φυλάττεσθαι χρὴ τὴν κένωσιν. τὸ δὲ καὶ πάλιν αἱ ἀνατρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί, εἰ μὲν ἀνταποδώσειν μέλλοι τις τῷ παραδείγματι τὸν λόγον, ὡς μὴ γενέσθαι κολοβόν, ἐπὶ τῆς ἐσχάτης πληρώσεως εἰρῆσθαι δόξει, παραινοῦντος αὐτὴν φυλάττεσθαι, καὶ μὴ μέχρι τοσούτου τὰς ἀνατρέψεις ποιεῖσθαι τῶν σωμάτων, μέχρις ἂν εἰς τὸ ἔσχατον ἀφίξωνται τῆς πληρώσεως. εἰ δὲ τῷ τῆς λέξεως σχήματι προσέχοις τὸν νοῦν, ὥσπερ ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, περὶ τοῦ αὐτοῦ πράγματος, δὶς αὐτὸν ὑπονοήσεις λέγειν ἑτέρως καὶ ἑτέρως. ὅταν μὲν οὖν εἴπῃ ὡσαύτως, καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι σφαλεραί, κατ' αὐτὸ τοῦτο μόνον φθέγγεται κελεύοντα τὰς ἀμέτρους κενώσεις, ὅτι πολὺ τὸ ἐπισφαλὲς ἔχουσιν, ἐπειδὰν δ' ἐπιφέρων ἐρεῖ, καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί, διὰ τοῦτο ἀπαγορεύοντα τὰς ἀμέτρους κενώσεις, ὅτι καὶ αἱ ἀναθρέψεις αἱ ἀπ' αὐτῶν

οὐκ ἀσφαλεῖς εἰσιν, ὡς ἂν ἀκριβοῦς γεγενημένης τῆς φύσεως, καὶ μήτε πέψειν ἱκανῶς, μήτ᾽ ἀναδιδόναι, μήτ᾽ ἐξομοιοῦν δυναμένης, παραλελείψεται δὴ φανερῶς, ἐὰν οὕτω τις δέξηται θάτερον αὐτῷ μέρος τῆς διδασκαλίας, τὸ περὶ τῆς ἄκρας πληρώσεως, καὶ μάτην ἔσται τῆς γυμναστικῆς εὐεξίας μεμνημένος, καὶ μὲν δὴ καὶ αὐτὸ τοῦτο τὸ προκείμενον ὄνομα κατὰ τὴν λέξιν, τὸ πάλιν, ἐνδείκνυσθαί μοι δοκεῖ τὴν εἰρημένην γνώμην, εἰπόντος αὐτοῦ, καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί. ὥσπερ γὰρ ὑπὲρ ἄλλου πράγματος τὸν λόγον ποιούμενος, οὕτως ἐμνημόνευσε τὸ, καὶ πάλιν.

Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί, καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί. καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι, χαλεπαί.

Ἐν τῷ πρόσθεν ἀφορισμῷ περὶ πάσης καθόλου διαλεχθεὶς ἀμέτρου πληρώσεώς τε καὶ κενώσεως, ἐν τούτῳ περὶ τῆς τῶν νοσούντων διαίτης διεξέρχεται, κελεύων ἡμᾶς ἐν μὲν τοῖς μακροῖς ἀεὶ πάθεσι φυλάττεσθαι τὰς λεπτὰς διαίτας, ἐν δὲ τοῖς ὀξέσιν οὐκ ἀεί. φαίνεται γὰρ τὰ πλεῖστα τούτων, λεπτῆς διαίτης δεόμενα, ἔνια δ᾽ αὐτῶν καὶ τῆς ἐσχάτης λεπτῆς. εἴη δ᾽ ἂν ἐσχάτως μὲν λεπτὴ δίαιτα, ἡ δι᾽ ἀσιτίας μόνης, ἢ μελικράτου μέχρι κρίσεως ποιοῦσα. λεπτὴ δὲ, ἡ δι᾽ ὀλίγων ἐδεσμάτων, ἢ δι᾽ ὀλιγοτρόφων, οἷόν περ καὶ ὁ τῆς πτισάνης ἐστὶ χυλός. ὅρος δ᾽ αὐτῆς, ἡ τῆς δυνάμεως ἐστὶ καθαίρεσις ἧς περ ἕνεκα καὶ τρέφομεν. ἐπὶ μὲν οὖν τῶν ὑγιαινόντων, ἀεὶ χρὴ τὴν ῥώμην τῆς δυνάμεως φυλάττειν, ἢ παραύξειν ταῖς τροφαῖς, οὐ καθαιρεῖν, καὶ εἴη ἂν ἡ μὲν παραύξουσα τροφὴ ἁδρὰ, ἡ δὲ φυλάττουσα, σύμμετρος, ἡ δὲ καθαιροῦσα, λεπτή. ταύτην μὲν οὖν φεύγειν χρὴ ἀεί. τῶν δ᾽ ἄλλων ὁποτέρας ἂν δέηται τὰ παρόντα, χρῆσθαι ταύταις. ἐπὶ δὲ τῶν νοσούντων, σπάνιον μὲν ἐνίοτε τὴν δύναμιν ἰσχυροτέραν ἧς παρελάβομεν ἐργάζεσθαι, σπεύδομεν δὲ ὡς τὰ πολλὰ, φυλάττειν μὲν ἐν τοῖς χρονίοις, μετρίως δὲ καθαιρουμένην διασώζειν ἐν τοῖς ὀξέσιν. εἰ γὰρ ἤτοι φυλάττειν αὐτὴν οἵαν παρελάβομεν ἐν τούτοις, ἢ προσαύξειν ἀεὶ σπεύδοιμεν, αὐξήσομεν τὴν νόσον. τίνα δ᾽ οὖν ἐστιν ὀξέα νοσήματα, τὰ δεόμενα τῆς ἐσχάτως λεπτοτάτης διαίτης, καί τινα λεπτοτάτης μὲν, οὐ μὴν ἐσχάτως, καί τινα τὰ λεπτῆς, ἐπὶ πλέον μὲν ἐν τῷ περὶ διαίτης ὀξέων, ὃ καὶ περὶ πτισάνης ἐπιγράφουσί τινες, ὁ Ἱπποκράτης ἐδίδαξε. καὶ ἡμεῖς δὲ ἐν ταῖς εἰς ἐκεῖνο τὸ βιβλίον ἐξηγήσεσι τὸν ἅπαντα λόγον ἐξεργασόμεθα, νυνὶ δὲ ἀρκεῖ τόγε τοσοῦτον εἰπεῖν, ὡς ἐφ᾽ ὧν μὲν ἂν νοσημάτων ἡ ἀκμὴ καὶ ἡ κρίσις ἐν τῇ πρώτῃ μέλλει γενέσθαι τετράδι, τῆς δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης, μετὰ ἀσιτίας παντελοῦς τούτους φυλάξομεν, ὅπερ ἐστὶν ἐσχάτως λεπτοτάτης διαίτης. ἐφ᾽ ὧν δὲ μὴ ἐξωτέρω τῆς πρώτης ἑβδομάδος, ἰσχυρᾶς οὔσης τῆς δυνάμεως, ἀρκέσει μελικράτῳ μόνῳ χρήσασθαι, λεπτοτάτη δ᾽ ἂν εἴη καὶ αὕτη μόνη δίαιτα, οὐ μὴν ἐσχάτως γε. μὴ θαρροῦντες δὲ τῇ δυνάμει, πτισάνης χυλῷ χρησόμεθα, λεπτὴ δ᾽ ἂν εἰκότως ἡ τοιαύτη δίαιτα καλοῖτο, καθάπερ ἡ διὰ τῆς κριθώδους πτισάνης. οὐκέτι μὲν ἀκριβῶς λεπτὴ, πλὴν εἰ μὴ παντελῶς ὀλίγη λαμβάνοιτο, οὐ μὴν ἤδη γε καὶ ἁδρὰ, ὥσπερ ἡ διὰ ᾠῶν καὶ χόνδρου, καὶ ἰχθύων, καὶ ὅσα τοιαῦτα. τὸ τοίνυν οὗ μὴ ἐπιδέχεται προσκείμενον ἐν τῷ περὶ τῶν ὀξέων λόγῳ διὰ τὰ κατόξεα λέγεται. περὶ τούτων γὰρ αὐτὸς ἐρεῖ, ὅκου μὲν οὖν κατοξὺ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇσι ἐσχάτως λεπτοτάτῃ διαίτῃ, ἀναγκαῖον χρέεσθαι.

Ἐν τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. πᾶν γὰρ τὸ ἁμάρτημα ὃ ἂν γίνηται, μᾶλλον γίνεται ἐν τῇσι λεπτῇσι, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσιν διαίτῃσι, διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ, καὶ καθεστηκυῖαι, καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ, καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν σμικρῷ ἁδροτέρων.

Γράφεται δὲ καὶ ἑτέρως ἡ ἀρχὴ τοῦδε τοῦ ἀφορισμοῦ κατὰ τόνδε τὸν τρόπον, ἐν τῇσι λεπτῇσι διαίτῃσι τὰ πολλὰ ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. καί τισιν ἀρέσκει μᾶλλον ἥδε τῆς ἑτέρας, ἡγουμένοις τοῦτο βούλεσθαι λέγειν τὸν Ἱπποκράτην, ὡς ἄρα ἐν ταῖς λεπταῖς διαίταις ἁμαρτάνοντες οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. τρέφεσθαι γὰρ ἀναγκάζονται λάθρα τῶν ἰατρῶν δι᾽ αὐτὸ τοῦτο, διότι λεπτῶς ὑπ᾽ αὐτῶν διαιτῶνται κἀντεῦθεν μειζόνως βλάπτονται, ἢ εἰ μὴ διῃτῶντο λεπτῶς. ὅτι δὲ ἁμαρτάνουσι δῆλον, ὅτι καὶ ἐπ᾽ ἀσθενεῖ τῇ δυνάμει, ὡς ἂν ἐν ταῖς ἐνδείαις πεπονηκυῖᾳ. ἀμείνων δὲ ἡ προτέρα γραφὴ, περιλαμβάνει γὰρ καὶ ταύτην, καὶ γενικώτερον ποιεῖται τὸν λόγον, ὑπὲρ ἁπάσης ἁμαρτίας ἐκδιδάσκουσα τῆς ἀκουσίως τε καὶ ἑκουσίως συμπιπτούσης τοῖς νοσοῦσιν, ὡς εἶναι τὸν λόγον τοιοῦτον. ὅτι ἂν ἁμάρτημα συμπέσῃ τοῖς λεπτῶς οὕτω διαιτωμένοις, σφαλερώτερον τοῦτο καθίσταται, παρόσον ἤτε δύναμις ἄῤῥωστος ὑπὸ τῆς τοιαύτης διαίτης γέγονεν, ἥ τ᾽ ἐπ᾽ αὐτὴν μετάβασις ἀήθης. μαρτυρεῖ δὲ τῇ προειρημένῃ γραφῇ, καὶ τὰ περὶ τῶν ὑγιαινόντων εἰρημένα. σφαλερὰς γὰρ ἐπ᾽ αὐτῶν ἔφη τὰς λεπτὰς διαίτας ὑπάρχειν, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσιν, οὐχ ὅτι διὰ τὸ λεπτὸν τῆς διαίτης ἁμαρτάνειν ἀναγκάζονται. τὰ δ᾽ ἐφεξῆς τοῦ ἀφορισμοῦ, σαφῆ.

Ἐς δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην, κράτισται.

Ἔσχατα νοσήματα κέκληκεν ὁ Ἱπποκράτης τὰ μέγιστα, μεθ᾽ ἃ οὐκ ἔστιν ἄλλα, καὶ τοίνυν κελεύει τὴν θεραπείαν ὅλην ἐπ᾽ αὐτῶν ἀκριβεστάτην εἶναι, καὶ δηλονότι καὶ τὴν δίαιταν λεπτοτάτην. εἴη δ᾽ ἂν πάντως ταῦτα κατόξεα, καὶ διὰ τοῦτο ἐπιφέρων τὸν ἑξῆς ἀφορισμὸν, ἐρεῖ.

Ὅκου μὲν οὖν κατοξὺ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λε

πτοτάτῃ διαίτῃ χρέεσθαι ἀναγκαῖον, ὅκου δὲ μὴ, ἀλλ᾽ ἐνδέχεται ἁδροτέρως διαιτᾷν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

Ὥσπερ ἔσχατα νοσήματα τὰ μέγιστα προσηγόρευσεν, οὕτω καὶ νῦν ἐσχάτους πόνους τοὺς μεγίστους καλεῖ, πόνους δὲ ἤτοι τοὺς παροξυσμοὺς, ἢ ἁπλῶς ἅπαντα τὰ συμπτώματα. καὶ γὰρ τοὺς παροξυσμοὺς, καὶ πάνθ᾽ ἁπλῶς τὰ συμπτώματα, μέγιστα κέκτηται τὸ κάτοξυ νόσημα κατὰ τὰς πρώτας ἡμέρας εὐθὺς τῆς νόσου. συνεμπίπτει γὰρ αὐταῖς ἡ ἀκμὴ, οὐδὲν ἄλλο οὖσα ἢ τὸ μέγιστον τοῦ νοσήματος, ὡς ἐν συμπτώμασι, καὶ δὴ καὶ κάτοξυ νόσημα τοῦτ᾽ ἂν εἴη, τὸ αὐτίκα ἀκμάζον. αὐτίκα δ᾽ ἀκουστέον, περὶ τὴν πρώτην τετράδα, ἢ μικρὸν ταύτης ἐξώτερον. προσήκει δὴ διὰ τοῦτο διαιτᾶν ἐσχάτως λεπτῶς, εἴπερ γε χρὴ ἐν ταῖς ἀκμαῖς τῶν νοσημάτων λεπτότητα διαιτᾶν, ὡς ἔν τε τῷ περὶ διαίτης ὀξέων ἐδίδαξεν, καὶ κατ᾽ αὐτὸν τοῦτον τὸν ἀφορισμόν. ἡ δ᾽ ἀκμὴ τοῦ κατόξεος νοσήματος, εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις ἐστὶν, ὅτι δ᾽ εὔλογον ἐν ταῖς ἀκμαῖς λεπτοτάτως διαιτᾶν, ἐπὶ πλέον μὲν ἐν ἑτέροις ἡμῖν δέδεικται. ἀρκέσει δὲ τόγε νῦν τοσοῦτον εἰπεῖν, ὡς εἴ γε διὰ τὰς φλεγμονὰς, ἢ τοὺς πυρετοὺς τοὺς ἀχωρίστους τῶν ὀξέων νοσημάτων, δεδιέ τις διδόναι τροφὰς ἀξιολόγους, ἐν ταῖς ἀκμαῖς τοῦτο μᾶλλον ποιεῖν εὐλαβηθήσεται. μέγισται γὰρ δὴ αἱ φλεγμασίαι τηνικαῦτα εἰσὶν, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἔλεγε φλεγμασίας. εἴτ᾽ οὖν τὰς ἰδίως ὀνομαζομένας φλεγμονὰς ἐθέλοι τις ἀκούειν, εἴτε συμπεριλαμβάνειν αὐταῖς καὶ τοὺς πυρετοὺς, κατὰ τὸ παλαιὸν ἔθος τῆς λέξεως, ἔτι τε πρὸς τούτοις ἄμεινον ἐπιτρέψαι τῇ φύσει σχολάζειν τῇ πέψει τῆς νόσου κατὰ τὰς ἀκμὰς, ἢ μὴ περιέλκειν αὐτὴν εἰς τὴν τῶν ἄρτι ληφθέντων σιτίων κατεργασίαν. διὰ ταῦτα μὲν δὴ κατὰ τὰς ἀκμὰς διαιτᾶν χρὴ λεπτότατα. ἐπεὶ δὲ τοῦθ᾽ ὑπόκειται, τοὐντεῦθεν ἤδη τοῖς μὲν ἄλλοις νοσήμασιν, ὅσα τὴν ἀκμὴν οὐχ ὕστερον ἀπολήψεσθαι μέλλοι τὴν ἐσχάτως λεπτοτάτην δίαιταν, οὐχ οἷόν τε προσάγειν εὐθὺς ἀπ᾽ ἀρχῆς. φθάσει γὰρ οὕτως ἀποθανεῖν ὁ ἄνθρωπος, πρὶν εἰς τὴν ἀκμὴν ἀφικέσθαι. ἐν οἷς δ᾽ ἂν αὐτίκα ἡ ἀκμὴ, τουτέστι κατὰ τὴν πρώτην τετράδα μέλλοι γίνεσθαι δυνατὸν, ἐν τούτοις τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ χρῆσθαι, φερούσης τῆς δυνάμεως, καὶ ἀσιτίαν παντελῆ, καὶ μελικράτου μόνου προσφορὰν, καὶ χυλὸν πτισάνης ὀλίγον παντελῶς. τοιαύτη μὲν οὖν τις ἡ λεπτοτάτη δίαιτα. ἡ δὲ ταύτης ἧττον λεπτὴ, ἣν καὶ ἁδροτέραν ὠνόμασε, τῶν δὲ ὕστερον μελλόντων ἀπολήψεσθαι τὴν ἀκμὴν νοσημάτων ἐστὶν, ἐφ᾽ ὧν τοσοῦτον ὑποκαταβαίνειν τοῦ λεπτοῦ τῆς διαίτης κελεύει, ὅσον καὶ ἡ νόσος ἀπολείπεται τῶν ἐσχάτων, τουτέστι τῆς ἀκμῆς. ἐγγὺς μὲν γὰρ οὔσης τῆς ἀκμῆς, ὀλίγον ἁδρότερον διαιτήσομεν, ἐξωτέρω δὲ αὐτῆς, πλέον ἁδρότερον, καὶ ὅσῳ ἂν πορρώτερον μᾶλλον τὴν ἀκμὴν ἔσεσθαι προσδοκήσωμεν, τοσούτῳ καὶ τὸ τῆς διαίτης ὑπαλλάξωμεν σχῆμα.

Ὁκόταν ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

Μόριον οὖν αὐτῷ καὶ οὗτος ὁ λόγος τῆς διαιτητικῆς τέχνης, ὑπ᾽ ἐνίων μὲν ἰδίᾳ γραφόμενος ἐν τῇ νῦν εἰρημένῃ λέξει, προστιθέμενος δ᾽ ὑφ᾽ ἑτέρων τῷ πρόσθεν ἀφορισμῷ, καθότι προγέγραπται. διδάσκει δὲ ἡμᾶς ὅπως ἂν ἡ γεγραμμένος ἔν τι καὶ τοῦτον θεώρημα κελεύοντος τοῦ παλαιοῦ τῷ λεπτοτάτῳ τῆς διαίτης ἐν τῷ τῆς ἀκμῆς χρῆσθαι καιρῷ, διά τε τὸ μέγεθος δηλονότι τῶν συμπτωμάτων, καὶ τὴν πέψιν τοῦ νοσήματος. οὐ γὰρ χρὴ περιέλκειν τὴν φύσιν εἰς ἑτέραν πέψιν πρόσφατον, ἐγκειμένην ἰσχυρῶς τῇ πέψει τῶν νοσοποιῶν χυμῶν ἐν ἐκείνῳ τῷ χρόνῳ, καὶ μέλλουσάν γε, εἴπερ οὕτω κρατήσειν αὐτῶν. οὕτω γὰρ ἡμῖν ἐπιδέδεικται, κἀν τῇ περὶ κρίσεων πραγματείᾳ, κατ᾽ ἐκεῖνα δηλονότι τὰ νοσήματα τοῦ λόγου παντὸς ἀνυομένου, ἐφ᾽ ὧν ὅλως ἐγχειροῦμεν διαίτῃ τε καὶ θεραπείᾳ. ταῦτα δ᾽ οὖν ἐν οἷς τὴν ἀκμὴν ἐκδέχεται παρακμὴ, ὡς ἐφ᾽ ὧν γε θάνατος ἀκμαζόντων ἀκολουθεῖ, τῷ προγνωστικῷ μέρει τῆς τέχνης προσχρώμεθα μόνῳ, προλέγοντες τὸ γενησόμενον, ὅπως ἀναίτιοι τῶν ἀποβησομένων εἴημεν. αὕτη μὲν οὖν σοι μία περὶ τῶν καιρῶν τοῦ νοσήματος ἔνδειξις εἰς τὸ τῆς διαίτης εἶδος. ἑτέρα δ᾽ ἀπὸ τῆς δυνάμεως, ἣν κατὰ τὸν ἑξῆς ἀφορισμὸν διδάσκει.

Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νόσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει, καὶ ἀμβλυνεῖται.

Ἐπειδὴ κατὰ τὸν ἔμπροσθεν ἀφορισμὸν, τοσοῦτον ὑποκαταβαίνειν ἐκέλευσε τῆς ἐσχάτως λεγομένης λεπτῆς διαίτης, ὁπόσον ἂν χρόνον ἡ νόσος μαλακώτερον τῆς ἀκμῆς ᾖ, νῦν ἐνταῦθα προστίθησιν ἕτερον σκοπὸν, εἰς ἀκριβέστερον τὸ ποσὸν λαβεῖν τῆς ὑποκαταβάσεως. ἔστι δὲ ὁ σκοπὸς οὗτος ἡ δύναμις, ἧς ἕνεκα καὶ τρέφειν ἐστὶν, οὐ γὰρ δὴ τοῦ νοσήματος αὐτοῦ χάριν. ὅταν μὲν γὰρ οὕτως ἔχει ῥώμης, ὡς ἐλπίζειν ἡμᾶς ἐξαρκέσαι τῷ μεταξὺ χρόνῳ παντὶ μέχρι τῆς ἀκμῆς ἐπὶ τῷ τοιῷδε σχήματι τῆς διαίτης, ἔχοιμεν ἂν ἤδη τὸ ποσὸν ἀκριβῶς. ἂν δ᾽ ἀσθενεστέρα φαίνηται, προσθετέον τι τῇ διαίτῃ, καὶ ἁδρότερον διαιτητέον, εἰς τοσοῦτον εἰς ὅσον ἂν ἡ τῆς δυνάμεως ἀσθένεια κελεύει, διὰ τοῦτο γοῦν ποτε ἢ κατ᾽ αὐτὴν τὴν ἀκμὴν ἐπιγενομένου συμπτώματος ἐκλυτικοῦ τῆς δυνάμεως, ἀναγκαζόμεθα τρέφειν. μέρος δ᾽ ἂν εἴη καὶ οὗτος ὁ λόγος τοῦ περὶ διαίτης παντὸς, καὶ εἴ τις ἓν ἅπαντα σύμπαντα τοῦτόν τε καὶ τὸν προειρημένον, καὶ τὸν ἐφεξῆς μέλλοντα ῥηθήσεσθαι ποιήσειεν, οὐχ ἁμαρτήσεται. ἐγὼ δὲ εἰς μόρια τέμνων ἐξηγοῦμαι, εἰς ὅσον δύναμαι σαφηνείας ἕνεκα.

Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾷν. ὁκόσοισι δὲ ἡ ἀκμὴ ὕστερον εἰς ἐκεῖνο, καὶ πρὸ ἐκείνου, σμικρὸν ἀφαιρετέον. ἔμπροσθεν δὲ πιοτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσει ὁ νοσέων.

Καὶ οὗτος ὁ λόγος τῆς αὐτῆς ἔχεται γνώμης, εἴρηται δὲ καθολικώτερον τοῦ πρόσθεν. ἔμπροσθεν μὲν γὰρ ἐπὶ τῶν κατοξέων

κατοξέων νοσημάτων ἔλεγεν, ὡς αὐτίκα τῇ λεπτοτάτῃ διαίτῃ χρηστέον ἐπ' αὐτῶν. ἐν ταύτῃ δὲ ἁπλῶς ἀποφαίνεται περὶ πάντων τῶν νοσημάτων, ὧν αὐτίκα ἡ ἀκμὴ, τουτέστιν οὐ μετὰ πολὺ τῆς πρώτης εἰσβολῆς, ταύτῃ κελεύων λεπτῶς διαιτᾶν. τὰ δ' ἐφεξῆς δῆλα τῆς αὐτῆς ἐχόμενα γνώμης.

Ἐν δὲ τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρὴ, τὸ προστιθέναι γὰρ βλάβη, καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.

Τὸ μὲν τῆς ὅλης διαίτης εἶδος, ἐν ἑκάστῳ τῶν νοσημάτων, ἀπὸ δυοῖν σκοποῖν ἐκέλευσεν ἡμᾶς λαμβάνειν, ἔκ τε τῆς μελλούσης τοῦ ὅλου νοσήματος ἀκμῆς, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως, ὡς δ' ἄν τις καὶ τὰς κατὰ μέρος προσφορὰς ποιοῖτο προσηκόντως, ἐν τῷδε τῷ λόγῳ διδάσκει, τοὺς παροξυσμοὺς ἀξιῶν φυλάττεσθαι. σαφέστερον δ' αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων εἶπεν, ὡς ἂν μήτ' ὄντων ἤδη, μήτε ἔτι ὅσον οὔπω μελλόντων ἔσεσθαι τῶν παροξυσμῶν, διδῶμεν τροφὰς, ἀλλὰ δηλονότι δεῖ διδόναι παρακμαζόντων τε καὶ παυομένων.

Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλοῦσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀνταποδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνονται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι, πτύελον ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου, βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει, καὶ οὖρα, ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ δύσκριτα, καὶ εὔκριτα, καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ.

Εἰ τῶν ἔμπροσθεν εἰρημένων αὐτῷ περὶ διαίτης ἀναμνησθείημεν, ἐναργεστέρα ἡμῖν ἡ χρεία φανεῖται, τῶν νῦν λεγομένων. τὰ δὲ προειρημένα ταῦτα ἐστίν· τὸ μὲν τῆς ὅλης διαίτης σχῆμα, πρὸς δύο σκοποὺς ἀποβλέπων ἐποιεῖτο, τήν τε δύναμιν τοῦ κάμνοντος, καὶ τὴν κατάστασιν τοῦ νοσήματος. τὸ γὰρ εἴτε κάτοξυ εἴτε ὀξὺ, εἴτε χρόνιον ἔσοιτο τὸ νόσημα, καὶ ὁπηνίκα μάλιστα τὴν ἀκμὴν ἀπολήψοιτο, τὴν κατάστασιν οὖν τοῦ νοσήματος σκοπεῖν. τὰς δὲ κατὰ μέρος προσφορὰς, τῶν σιτίων τοῖς κατὰ μέρος παροξυσμοῖς ἐτεκμαίρετο. τριῶν οὖν ὄντων σκοπῶν εἰς τὸ τελέως καὶ ἀνελλιπῶς διαιτᾶν, πρώτου μὲν τῆς δυνάμεως τοῦ κάμνοντος, δευτέρου δὲ τῆς καταστάσεως τοῦ νοσήματος, ἐπ' αὐτοῖς δὲ τρίτου, τῶν κατὰ μέρος παροξυσμῶν, τὴν μὲν δύναμιν οἷόν τε ἐστὶν εὐθὺς εἰσελθόντα διαγινώσκειν, ἀπὸ τῶν σφυγμῶν δηλονότι καὶ τῶν ἄλλων, ἅπερ αὐτὸς ἐν τῷ προγνωστικῷ διῆλθεν, ὅθεν οὐδὲ ἀδύνατον ἔφησέ τις εἶναι διαγνῶναι μέγεθος δυνάμεως, ἀλλ' εἰ καὶ μὴ δυνατὸν ἀκριβῶς αὐτῆς ἐξευρεῖν τὸ ποσὸν, τῷ τεχνικῷ γοῦν στοχασμῷ, πλησίον ἀφικνεῖσθαι συγχωροῦσιν ἅπαντες. τὴν δὲ τοῦ νοσήματος κατάστασιν ὁποία τις ἔσται, καὶ τοὺς κατὰ μέρος παροξυσμοὺς, πολλοῖς τῶν ἰατρῶν ἀδύνατον ἔδοξε διαγνῶναι, οὐ μὴν Ἱπποκράτει γε, ἀλλὰ κἀνταῦθα καθάπερ ἐπὶ τῶν ἄλλων πολλάκις μὲν ἀκριβῶς, καὶ ὡς ἂν εἴποι τις ἐπιστημονικῶς, πολλάκις δὲ στοχαστικῶς μὲν, ἀλλ' οὐκ ἀτέχνως, οὐδὲ πόρρω τῆς ἀληθείας, ἀλλ' ἐγγὺς καὶ πλησίον ἀφιξόμεθα, τήν τε μέλλουσαν ἀκμὴν προγινωσκόντων, καὶ τὰς ἀνταποδόσεις τῶν παροξυσμῶν. περὶ πλέον μὲν οὖν αὐτὰ διά τε τοῦ προγνωστικοῦ, καὶ διὰ τῶν ἐπιδημιῶν ἐκδιδάσκει, καὶ ἡμεῖς κατὰ τὴν γνώμην τοῦ παλαιοῦ μετὰ τῆς προσηκούσης ἐξηγήσεως τὰς ῥήσεις αὐτοῦ παρεθέμεθα, κατὰ τὸ πρῶτον περὶ κρίσεων δεικνύντες, ὅπως ἄν τις μάλιστα δύναιτο προγινώσκειν τὴν μέλλουσαν ἀκμήν. νυνὶ δὲ διὰ κεφαλαίων αὐτῷ τῷ Ἱπποκράτει λέλεκται τὸ πᾶν, ἡμεῖς τε καθόσον οἷόν τε, διὰ συντόμων αὐτὰ σαφηνιοῦμεν. οἷς δὲ φροντὶς ἐπιμελῶς ἐκμαθεῖν ἅπασαν τὴν περὶ ταῦτα μάθησιν, ἐπὶ τὸ περὶ κρίσεων ὑφ' ἡμῶν γεγραμμένον πορευέσθωσαν. αὗταί τε αἱ νόσοι, καὶ τὰς τῶν παροξυσμῶν ἀναλογίας δηλοῦσι, καὶ τὰς ἑαυτῶν δὲ καταστάσεις, οὐδὲν ἧττον, οἷον ἐν μὲν τοῖς διαλείπουσιν, ὅτι ὁ μὲν τριταῖος ταχυκρίσιμος, ὁ δ' ἀμφημερινὸς, ὅτι χρόνιος, ὁ δὲ τεταρταῖος, ἔτι καὶ τοῦδε χρονιώτερος. ἐν δὲ τοῖς συνεχέσιν, οἱ μὲν καυσώδεις ὀξεῖς, οἱ δὲ τυφώδεις χρονιώτεροι, μέσοι δ' ἀμφοῖν οἱ ἡμιτριταῖοι. ὡς δ' ἄν τις καὶ τούτους ἅπαντας τοὺς πυρετοὺς εὐθὺς εἰσβάλλοντας γνωρίζοι, διὰ τοῦ δευτέρου τῶν περὶ κρίσεων ἐπὶ πλεῖστον εἴρηται. οὔκουν χρὴ μεταφέρειν εἰς τόνδε τὸν λόγον ὅσα καλῶς ἐν ἄλλοις φθάνει ἤδη λελέχθαι, οὐδὲ πολλάκις ἐν πολλαῖς περὶ τῶν αὐτῶν πειρᾶσθαι λέγειν. ἀλλ' ἀναμνῆσαι χρὴ μόνον ὡς εἴπερ οἷόν τ' ἐστὶν ἐν ἀρχῇ γνωρίσαι τριταῖον εἰσβάλλοντα εὐθὺς πυρετὸν, ἔστι λαβεῖν ἀπ' αὐτοῦ ὅτι τε ταχυκρίσιμος, ὅτι τε διὰ τρίτης οἱ παροξυσμοὶ, καὶ τοῦτ' ἐστὶ τὸ λεγόμενον ὑφ' Ἱπποκράτους, τοὺς δὲ παροξυσμοὺς, καὶ τὰς καταστάσιας δηλοῦσιν αἱ νοῦσοι. τεταρταίων γοῦν πυρετῶν ἀρχὰς εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἡμεῖς γνωρισάντων πολλάκις, οὐδὲν ἔτι τῆς ἀνταποδόσεως δεηθέντων, ἐξ ἀρχῆς κατεστησάμεθα τὸ τῆς διαίτης εἶδος, ὡς πρὸς νόσημα μετὰ πάμπολυν χρόνον, ἐξ οὗ λαβεῖν τὴν ἀκμήν. οὕτω δὲ καὶ ἀμφημερινῶν, καὶ τριταίων ἑκατέρων κατὰ τὴν οἰκείαν προθεσμίαν τῆς ἐσομένης ἀκμῆς. ὥσπερ δὲ ἐπὶ τῶν πυρετῶν, οὕτω καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων. πλευρῖτις μὲν γὰρ καὶ περιπνευμονία καὶ φρενῖτις, ὀξέα νοσήματα. συνάγχη δὲ, καὶ κυνάγχη, καὶ χολέρα, καὶ τέτανος, κάτοξεα. ὕδερος δὲ καὶ μελαγχολία, καὶ ἐμπύημα καὶ φθόη, χρόνια. καὶ οἱ παροξυσμοὶ δὲ πλευρίτισι μὲν καὶ φρενίτισι, διὰ τρίτης ὡς τὰ πολλά. τοῖς δὲ κατὰ γαστέρα, καὶ καθ' ἧπαρ ἐμπυήμασί τε καὶ φθίσεσι, καθ' ἑκάστην ἡμέραν, καὶ μᾶλλον εἰς νύκτα. τοῖς δ' ἀπὸ σπληνὸς, καὶ ὅλως μελαγχολικοῖς, διὰ τετάρτης. τὸ δὲ, καὶ ὧραι τοῦ ἔτεος ἐφεξῆς εἰρημένον αὐτῷ πρὸς τὰ εἰρημένα, τὴν ἀναφορὰν ἔχει. καὶ γὰρ τὴν κατάστασιν τοῦ νοσήματος, καὶ τοὺς παροξυσμοὺς αἱ ὧραι τοῦ ἔτεος ἅμα τῷ νοσήματι δύνανται δηλοῦν. οὐ γὰρ ἱκανὸν ὅτι τεταρταῖος εἰσέβαλλε κατὰ τήνδε τὴν ἡμέραν, ἐπίστασθαι μόνον, ὡς ἐξ ἀρχῆς προγνῶναι τὸ σχῆμα τῆς διαίτης, ὡς πρὸς χρόνιον νόσημα καταστήσασθαι, ἀλλὰ καὶ εἴτε χειμῶνος, εἴτε ἔαρος, εἴτε θέρους, εἴτε φθινοπώρου συνέβη τὴν ἀρχὴν ταύτην γενέσθαι, προσεπισκοπεῖσθαι χρὴ γινώσκοντας, ὅτι οἱ μὲν θερινοὶ τεταρταῖοι

ὡς τὰ πολλὰ γίνονται βραχεῖς, οἱ δὲ φθινοπωρινοὶ μακροί, καὶ μᾶλλον οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. ταῦτα γὰρ ἐν τοῖς ἑξῆς αὐτὸς ἡμᾶς διδάξει. καὶ μὲν δὴ καὶ ὁ τριταῖος πυρετός, ἔστι μὲν καὶ ἄλλως ταχυκρίσιμος, ἀλλ' ἐν θέρει πολὺ μᾶλλον ἤπερ ἐν τῷ χειμῶνι. καὶ τῶν ἄλλων δὴ ἑκάστων νοσημάτων, τάχος μὲν τὸ θέρος, βραδυτῆτα δὲ ὁ χειμὼν προστίθησιν. ἀλλὰ καὶ οἱ παροξυσμοί, διὰ τρίτης μέν, τοὐπίπαν ἐν θέρει, διὰ τετάρτης δ' ἐν φθινοπώρῳ, καθ' ἑκάστην δ' ἡμέραν ἢ νύκτα χειμῶνος. ὡς δ' ἐπὶ τῶν ὡρῶν, οὕτω καὶ ἐπὶ τῶν κράσεων ἀνάλογον ἔχει, περὶ ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης διεξῆλθε πολλάκις, οὐ μὴν ἐνταῦθά γε εἶπεν, ἐπιτρέψας ἡμῖν ἐξ ἑνὸς ἀναμνησθῆναι περὶ τῶν ἄλλων. ἃ γὰρ ἡ θερινὴ ὥρα ταῦτα, καὶ ἡ κρᾶσις τοῦ νοσοῦντος, εἰ φύσει θερμοτέρα καὶ ξηροτέρα ᾖ, καὶ ἡλικία εἰ ἀκμάζουσα, καὶ τὸ χωρίον εἰ θερμὸν καὶ ξηρόν, συνενδείξεται καὶ τὰ ἐπιτηδεύματα δηλονότι, καὶ τὰ ἔθη τὰ ὁμοίως ἔχοντα, καὶ ἡ παροῦσα κατάστασις τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ὑπὲρ ὧν ἑξῆς διδάξει. οὕτως δὲ καὶ ὅσα περὶ φθινοπωρινῆς ὥρας, εἴς τε κατάστασιν νοσήματος, καὶ εἰς ἀνταπόδοσιν παροξυσμῶν ἐλαμβάνετο, ταῦτα καὶ περὶ τῆς τοῦ κάμνοντος ἡλικίας, καὶ φύσεως, ἐπιτηδευμάτων τε καὶ ἐθῶν, καὶ τῆς χώρας ἐν ᾗ νοσεῖ, καὶ τῆς τοῦ περιέχοντος ἐπιδημούσης κράσεως, οἷόν τέ ἐστι λαβεῖν. ἐκ μὲν δὴ τούτων εὔδηλον, ὅτι τήν τε κατάστασιν τοῦ νοσήματος, καὶ τοὺς παροξυσμοὺς γνωσόμεθα, τὴν μὲν κατάστασιν, εἰ κάτοξυ εἴη τὸ νόσημα ἢ χρόνιον, ὅπερ καὶ εἰς τὴν τῆς ἀκμῆς πρόγνωσιν ἀναγκαῖον ἐστίν. τοὺς δὲ παροξυσμούς, ἢ διὰ τρίτης, ἢ διὰ τετάρτης, ἢ καθ' ἑκάστην ἡμέραν, ἢ τίνι τῆς ἡμέρας, ἢ τῆς νυκτὸς εἰσβάλλουσιν ὥρᾳ. τὸ δ' ἐπὶ τῷ τέλει τοῦ ἀφορισμοῦ γεγραμμένον, ἐφεξῆς ἴδωμεν, εἰ τῶν αὐτῶν τούτων, ὧν εἰρήκαμεν ἐπίδειξιν ποιεῖται. λέγει μὲν γὰρ ὁ Ἱπποκράτης οὕτως. καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται. εὔδηλον δ' ὅτι ἐπιδόσεις τῶν περιόδων, τὰς αὐξήσεις λέγει τῶν κατ' αὐτὰς παροξυσμῶν, αἵτινες τόν τε χρόνον τῆς αὐξήσεως τοῦ νοσήματος ἐπιδείκνυνται, καὶ τὴν προθεσμίαν τῆς μελλούσης ἀκμῆς, ἐνθάδε αὖ μάλιστα μάθοις, ἐπίδοσις δευτέρου παροξυσμοῦ πρὸς τὸν πρότερον ἐν τρισὶ τούτοις ὁρᾶται, τῇ ὥρᾳ τῇ παροξυντικῇ, τῷ μήκει τοῦ παροξυσμοῦ, καὶ τῷ μεγέθει. διοίσει δ' οὐδέν, οὐδ' εἰ σφοδρότητα λέγοις. ἄμφω γὰρ σύνηθη τοῖς ἰατροῖς ἐστι τὰ ὀνόματα, καὶ κατὰ τοῦ αὐτοῦ πράγματος ἐπιφέρουσιν αὐτὰ πολλάκις. ἐνίοτε μὲν μείζονα φάσκοντες τὸν πυρετὸν γεγονέναι τοῦ πρόσθεν, ἐνίοτε δὲ σφοδρότερον. ἐνδέχεται δὲ τὸν σφοδρότερον τοῦτον πυρετόν, ἤτοι τὰς ἴσας τῷ πρόσθεν ὥρας κατασχεῖν, ἢ ἐλάσσους, ἢ πλείους, ὅπερ οὐ μέγεθος ἢ σφοδρότης, ἀλλὰ μῆκος ἔσται παροξυσμοῦ. παροξυσμὸν δὲ ἀκούειν σε χρὴ νῦν τὸ χεῖρον μόριον τῆς ὅλης περιόδου, τὸ ἀπὸ τῆς πρώτης εἰσβολῆς ἄχρι τῆς ἀκμῆς, ὥσπερ γε τὸ ὑπόλοιπον τὸ τῆς παρακμῆς ἄμεινον. ἐπειδὰν οὖν ὁ παροξυσμός, εἴτε διὰ τρίτης, ἢ διὰ τετάρτης, εἴτε καθ' ἑκάστην ἡμέραν γινόμενος προλαμβάνῃ τὴν ἀναλογίαν, καὶ προλαβὼν ἐπὶ πλείονα χρόνον ἐκταθῇ, μετὰ τοῦ καὶ σφοδρότερον γενέσθαι, σαφὴς μὲν ἡ αὔξησις τοῦ νοσήματος, εἰς ὁπόσον δὲ αὔξεται, τὸ καθ' ἕκαστον τῶν εἰρημένων ἐνδείξεται. ὁ μὲν γὰρ πλείονά τε χρόνον προλαμβάνων, καὶ πλείονα παροξύνων, καὶ πολλῷ σφοδρότερον, ἀξιόλογον μὲν ἐνδείξεται τὴν αὔξησιν, ταχεῖαν τε τοῦ νοσήματος τὴν κίνησιν, ἐγγὺς δὲ τὴν ἀκμήν. οὐ γὰρ ἐνδέχεται μεγάλας προσθήκας λαμβανόντων τῶν παροξυσμῶν, μὴ οὐχ ὑπόγυον ἔσεσθαι τὴν ἀκμήν. ὁ δ' ἐναντίος παροξυσμὸς ὁ μικρὰς δηλονότι τὰς προσθήκας ποιούμενος ἑκάστου τῶν εἰρημένων, οὗ ἐπὶ τούτῳ τὴν ἀκμὴν ἐπιδείξεται πορρωτέρω γενήσεσθαι. τοῦτο οὖν αὐτὸ διὰ τῆς τῶν περιόδων ἐπιδόσεως μαθησόμεθα, τοῦ στοχάσασθαι μετὰ πόσον ἔσται χρόνον ἡ ἀκμὴ τοῦ νοσήματος, ἔτι τε τὴν ἀκριβῆ προθεσμίαν, τῆς εἰσβολῆς τοῦ παροξυσμοῦ. χρήσιμον δὲ τὸ μὲν πρότερον εἰς τὸ καταστήσασθαι τὴν ἰδέαν τῆς καθόλου διαίτης τὸ δὲ δεύτερον, εἰς τοὺς κατὰ μέρος καιροὺς τῶν τροφῶν, ὧν ἐξ ἀρχῆς αὐτῷ προὔκειτο διδάξαι τοὺς σκοπούς. ὅτι δὲ περίοδον καλεῖ τὴν ἐπὶ τὸ αὐτὸ ὁμοίαν ἐπάνοδον, εὔδηλον δή που παντί. ἀλλὰ καὶ τοῖσιν ἐπιφαινομένοισι φησὶ τεκμαίρεσθαι χρῆναι, περί τε τοῦ παροξυσμοῦ, καὶ τῆς καταστάσεως ὅλου τοῦ νοσήματος. εἴτε δὲ συμπτώματα καλεῖν, εἴτε σημεῖα βούλοιο ταῦτα τὰ ἐπιφαινόμενα, διοίσει οὐδέν. ἀλλ' ἐκεῖνο γινώσκειν ὑπὲρ ἁπάντων τῶν συμπτωμάτων τε καὶ σημείων, ἄμεινον, ὡς τὰ μὲν αὐτῶν ἐστι παθογνωμονικά, τὰ δὲ συνεδρεύοντα, τὰ δὲ κρίσιμα, τὰ δὲ πέψεως, ἔνια δὲ ἀπεψίας, καὶ τὰ μὲν σωτηρίας, ἄλλα δὲ ὀλέθρου δηλωτικά. τὰ μὲν οὖν παθογνωμονικὰ συνεισβάλλει τῷ νοσήματι. τὰ δὲ συνεδρεύοντα, ποτὲ μὲν συνεισβάλλει, ποτὲ δ' ἐπιγίνεται, ποτὲ δ' οὐδ' ὅλως γίνεται. οὐ γὰρ ἀχώριστά ἐστι τοῦ νοσήματος, οὐδὲ τὴν οὐσίαν αὐτῶν συνίστησιν, ἀλλὰ τὰς οἰκείας ἐργάζεται διαφοράς. τὰ δὲ ὑφ' Ἱπποκράτους ὀνομαζόμενα κρίσιμα συμπτώματα, τῇ μὲν ἀκριβῶς πρώτῃ τῶν νοσημάτων ἀρχῇ, συνεισβάλλειν οὐ πέφυκε, ταῖς δ' ἄλλαις δύο πέφυκε, περὶ ὧν ὀλίγον ὕστερον ἐρῶ. πολλάκις δ' οὐδὲ ταύταις, ἀλλ' ἐν ταῖς ἀναβάσεσιν, ἢ ἀκμαῖς τῶν νοσημάτων ἐπιφαίνεται. τὰ δὲ τῆς πέψεως σημεῖα, συνεισβάλλει μέν, οὐδὲ ταῦτα οὐδέποτε τῇ πρώτῃ τοῦ νοσήματος ἀρχῇ, περιορίζει δὲ τὴν ὡς μέρος ἀρχὴν ὅλης τῆς νόσου. τὰ δὲ τῆς ἀπεψίας συνεισβάλλει μὲν τῇ πρώτῃ τοῦ νοσήματος ἀρχῇ, καὶ μετὰ ταῦτα ὕστερον ἐστὶν ὅτε γίνεται, καθάπερ γε καὶ τὰ τοῦ θανάτου. καὶ γὰρ καὶ τούτων ἡ γένεσις, ἐξ ὑστέρου τῆς τοῦ νοσήματος ἀρχῆς. νοσήματος δὲ ἀρχήν, ὡς ἐδιδάξαμεν ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι, τήν τε πρώτην εἰσβολὴν τὴν ἀπλατῆ προσαγορεύομεν, καὶ τὴν ὡς μέρος ὅλου τοῦ νοσήματος, ὅταν εἰς ἀρχὴν ἀνάβασίν τε καὶ ἀκμήν, καὶ παρακμὴν τέμνηται, καὶ τὴν ἄχρι τῆς τρίτης ἡμέρας ἐκτεινομένην. ἐδιδάξαμεν δὲ καὶ τὰς τῶν εἰρημένων ἁπάντων συμπτωμάτων δυνάμεις, ἐν ἐκείνῃ τῇ πραγματείᾳ, μετὰ τοῦ καὶ τὰς ἀναγκαίας εἰς τοῦτο τῶν Ἱπποκράτους ἐξηγήσασθαι ῥήσεων, ἀλλὰ καὶ νῦν ὡς ἐν ἐπιτομῇ λεχθήσεται καὶ περὶ αὐτῶν. ὅστις δ' αὖ ἐθέλῃ περὶ ταῦτα τὴν ὅλην τέχνην Ἱπποκράτους ἐκμαθεῖν, ἐπ' ἐκείνην ἀφικνείσθω τὴν πραγματείαν. τοῖς οὖν ἐπιφαινομένοις τεκμαίρεσθαι συμβουλεύει περὶ τῆς ὅλης καταστάσεως τοῦ νοσήματος, εἶτ' ἐξ αὐτῶν ἐν νόσημά τι προχειρισάμενος φησίν, οἷον ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνεται μηκύνει. μάθοις δ' ἂν ὃ διδάσκει σαφῶς εἴ σοι παραγράψαιμι τὰ ἐκ τοῦ τρίτου τῶν ἐπιδημιῶν ἐπὶ Ἀναξίωνος εἰρημένα τοῦ πλευριτικοῦ, καὶ τοῦτον δὲ αὐτὸν ἐξηγησάμην τὸν ἄρρωστον ἐν τῷ πρώτῳ τῶν περὶ κρίσεων. ἔχει δὲ Ἱπποκράτους ἡ ῥῆσις ὧδε.

Ἐν Ἀβδήροις Ἀναξίωνα ὃς κατέκειτο περὶ τὰς θρηϊκίας πύλας, πυρετὸς ὀξὺς ἔλαβε, πλευροῦ δεξιοῦ ὀδύνη συνεχής, βὴξ ξηρά, οὐδ' ἔπτυε τὰς πρώτας, διψώδης, ἄγρυπνος, οὖρα δὲ εὔχροα, πολλά, λεπτά, ἕκτῃ παράληρος. εἰς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου, ἑβδόμῃ ἐπίπονος. ὅ τε γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔταμον, ἐῤῥύη πολὺ οἷον ἔδει, ξυνέδωκαν οἱ πόνοι. αἱ μέντοι βῆχες ξηραὶ παρείποντο, ἐνδεκάτῃ συνέδωσαν οἱ πυρετοί, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν. αἱ βῆχες καὶ τὰ ἀπὸ πνεύμονος ὑγρά. ιζ΄. ἤρξατο σμικρὰ πέπονα πτύειν. κ΄. ἵδρωσεν, ἄπυρος ἐγένετο. μετὰ δὲ κρίσιν ἐκουφίσθη. διψώδης τε ἦν, καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσιες, ζ΄. καὶ κ΄. ὁ πυρετὸς ὑπέστρεψεν. ἔβηξεν, ἀνῆγε πέπονα πολλά. οὔροις δ' ὑπόστασις πολλὴ λευκή, ἄδιψος ἐγένετο, εὔπνους, δ΄. καὶ λ΄. ἵδρωσε δι' ὅλου. ἄπυρος ἐκρίθη πάντη. οὗτος οὖν ὁ Ἀναξίων ἐξ ἀρχῆς μὲν ἦν πλευριτικός, οὐ μὴν ἐξ ἀρχῆς ἀπέπτυεν, ἀλλὰ καὶ κατὰ τὴν ὀγδόην ἡμέραν ἔτι αἱ βῆχες αὐτῷ ξηραὶ παρείποντο, ὥς φησιν Ἱπποκράτης. ὅθεν εἰκότως καὶ ἡ τοῦ νοσήματος ὅλου λύσις εἰς τὴν λδ΄. ἐξετάθη, καίτοι τῶν γε πλευριτικῶν, ὡς τὰ πολλὰ τὴν ιδ΄. ὅρον ἐχόντων τῆς κρίσεως. εἰ δὲ καὶ μὴ ταύτην, ἀλλὰ πάντως γε τὴν εἰκοστήν. εἰ δὲ πρὸ τῆς γ΄. ἡμέρας ἔπτυσεν, ἤτοι περὶ τὴν ζ΄. ἢ τὴν θ΄. ἢ πάντως γε τὴν ια΄. ἐκρίθη, κἂν εἰ κατ' αὐτήν γε τὴν τρίτην ἤρξατο πτύειν, οὐκ ἂν ἐξωτέρω τῆς ιδ΄. προῆλθε. συμβαίνει γὰρ ἐπὶ τῶν φλεγμονῶν ἁπασῶν ὅσαι μὴ καλύπτονται σκεπάσματι πυκνῷ, καθάπερ αἱ κατὰ τὸ ἐκτὸς δέρμα, διαῤῥεῖσθαι τινὰς ἰχῶρας, ἐν ἀρχῇ μὲν λεπτούς, ὕστερον δὲ εἰ πέττοιντο, καὶ πρὸς τὸ βέλτιον ἔρχοιντο παχυτέρους. καὶ τούτων αὐτῶν τῶν παχυτέρων, τοὺς μὲν ἧττον, τοὺς δὲ μᾶλλον πεπέφθαι. ταῦτα κἀπὶ τῶν κατὰ τὸ στόμα φλεγμονῶν ἁπασῶν ἔστι θεάσασθαι, κἀπὶ τῶν ὀφθαλμῶν. οὐχ ἥκιστα δὲ καὶ καθ' ἓν ὁτιοῦν ἄλλο μόριον, ὅταν ἅμα τοῦ δέρματος ὅλου διαιρέσει φλεγμαίνῃ τι τῶν ἔνδον. καὶ γὰρ τῶν τοιούτων ἑλκῶν ἰχώρων ἀπόῤῥευσιν οἷος εἶπον. ὅταν οὖν ποτε φλεγμονή τις ᾖ μετὰ τοσαύτης στεγνώσεως, ὡς μηδὲν ἔξω ἀποχεῖν, ἀνάγκη δυσαπεπτόν τε καὶ χρονίαν γενέσθαι ἐκείνην. κατὰ τοῦτον οὖν τὸν λόγον, κἂν ταῖς πλευρίτισιν, ἐπειδὴ καὶ τοῦτο τὸ νόσημα φλεγμονή τις ὑπάρχει, τῷ γένει προσέχειν δεῖ τοῖς τῆς πέψεως σημείοις. ἀπεπτοτάτη μὲν γὰρ ἐφ' ἧς ὅλως οὐδὲν πτύεται. δευτέραν δ' ἔχει τάξιν ἐφ' ἧς ἰχῶρες λεπτοί, τρίτην δ' ἐφ' ἧς παχύτεροι, καὶ τετάρτην ἐφ' ἧς εἰς τέλος ἐπέφθησαν. ἀλλ' ὅτι μὲν εἰ πρὸ τρίτης ἢ δ΄. ἡμέρας ἐπιφανεῖεν, οὐκ ἐγχωρεῖ τῆς ἑβδόμης ἐξωτέρω προβῆναι τὸ νόσημα. τῶν δ' ἄλλων ἕκαστον κατὰ τὸ τῆς πέψεως μέτρον, ἀναγκαῖον ἀκολουθῆσαι τὸν χρόνον. ὥσπερ οὖν τελείας ἐστὶ γνώρισμα τὸ πτύελον πέψεως, ὅταν ᾖ λευκόν τε καὶ λεῖον, καὶ ὁμαλόν, τῇ τε συστάσει μήθ' ὑπέρυγρον, μήθ' ὑπέρπαχυ, κατὰ τὸν αὐτὸν τρόπον ἀπεψίαν ἐνδείκνυται παντελῆ τὸ μηδ' ὅλως πτυόμενον. εἰ δὲ πτύοιτο μέν, ἀλλὰ καὶ λεπτὸν εἴη ἔτι, πέψεως ἀμυδρᾶς ἐστι σημεῖον. εἰ δὲ ἄκρατον εἴη, ἢ ξανθόν, ἢ πυῤῥόν, οὐκ ἀγαθόν. εἰ δὲ καὶ πελιδνόν, ἢ ἰῶδες, ἢ μέλαν, ὀλεθριώτατον. διῃρημένων οὖν ἡμῖν τῶν τε τῆς πέψεως, καὶ τῆς ἀπεψίας σημείων, ἔτι τε τρίτον ἐπ' αὐτοῖς τῶν ὀλεθρίων, ἰστέον ὅτι τὰ μὲν τῆς πέψεως σημεῖα, διὰ παντός ἐστιν ἀγαθά, λύσιν τοῦ νοσήματος ἐνδεικνύμενα ταχεῖαν. ὥσπερ γε καὶ τὸ τῶν ὀλεθρίων σημείων γένος, ὡς ἐν τάχει τὴν ἀπώλειαν ἔσεσθαι τοῦ κάμνοντος προδηλοῖ. τὰ δὲ τῆς ἀπεψίας σημεῖα, χρόνιον μὲν ἐξ ἀνάγκης προσημαίνει τὸ νόσημα. τεθνήξεσθαι δὲ ἢ σωθήσεσθαι τὸν ἄνθρωπον, ὅλως μὲν ἐφ' ἑαυτοῖς, οὐ δηλοῖ. προλογιζομένῳ δέ σοι τὴν ῥώμην τῆς δυνάμεως, καὶ τοῦθ' ὑπάρχει προγινώσκειν. ἄλλο δὲ γένος ἐστὶ σημείων τῶν κρισίμων ὑπ' αὐτοῦ προσαγορευομένων. ἱδρῶτες δ' εἰσὶ ταῦτα αἱμοῤῥαγίαι τε καὶ ῥῖγος, καὶ γαστὴρ καταῤῥήξασα πολλά, καί τις ἔμετος τοιοῦτος, καὶ ἄλγημα κεφαλῆς ἐξαιφνίδιον, ἢ δύσπνοια παράλογος, τε καὶ σφοδρά, ἢ καρδιωγμός, ἤ τις ὑποχονδρίου σύντασις αἰφνίδιος, ἀγρυπνία τε σφοδρά, καὶ παραφροσύνη, καὶ νὺξ ἀλόγως δύσφορος, καὶ παροξυσμὸς προληπτικός, ἀλλὰ καὶ δάκρυον ἀκούσιον ἐν ἀπαθέσιν ὀφθαλμοῖς ἄνευ λύπης, ἐρευθός τε, καὶ τὸ κάτω χεῖλος σειόμενον. ἐνηλιωμένα καὶ σκοτεινά, ὀρφνώδη τε προφαινόμενα τῶν ὀφθαλμῶν, ἢ μαρμαρυγαί τινες, ἢ μῆλον, ἢ ῥὶς ἐξαίφνης ἐρυθρὰ γινόμενα, καὶ παρωτίδες, ἢ ὅλως ἀποστήματος εἰς ἄρθρον τινὸς γένεσις. ταῦτά τε οὖν σύμπαντα, καὶ πρὸς τούτοις ἄλλα πολλὰ τοιαῦτα, κατὰ μὲν τὴν αὐτῶν ἰδίαν οὐσίαν ὀνομαζόμενα συμπτώματα, καθότι δὲ μεταβολὴν ὀξύῤῥοπον δηλοῖ, κρίσιμα σημεῖα προσαγορευόμενα, διττὴν παρέξει σοι τὴν πρόγνωσιν. εἰ μὲν ἤδη πεπεμμένῳ τῷ νοσήματι γίγνοιτο, σωτηρίαν ὑπόγυον. εἰ δ' ἔτι ἀπέπτῳ, κρίσιν οὐκ ἀγαθήν, ἤτοι γε εἰς ὄλεθρον ἄξουσαν, ἢ εἰς χρόνου μῆκος. ὅτι δὲ ἄλλη μέν ἐστιν ἡ φύσις ἡ τῶν κρισίμων τούτων σημείων, ἄλλη δὲ ἡ τῶν τῆς πέψεως, ἐνθένδε μάλιστα μάθοις, ὡς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν φησὶν Ἱπποκράτης. πεπασμὸν ταχυτῆτα κρίσεως ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα, καὶ εἰς κακὰς ἀποστάσιας τρεπόμενα, ἀκρισίας, ἢ πόνους, ἢ χρόνους, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. οὕτω μὲν ἐπῄνεσε καθόλου τὴν τοῦ νοσήματος πέψιν. ἐν δὲ τῷ προγνωστικῷ κατὰ μέρος ὡσαύτως, ἅμα τῷ διδάσκειν αὐτῆς τὰ γνωρίσματα. οὖρον δὲ ἄριστον, ὅταν ᾖ λευκὴ ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἐς ἂν κριθῇ ἡ νοῦσος, σημαίνει τε γὰρ ἀσφάλειαν ὑγιεινήν, καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. οὕτως πάλιν ἐπῄνεσεν, οὖρον ἐνδεικνύμενον πέψιν ἐν τῷ φλεβώδει γένει. αὖθις δ' ἐν τῷ λέγειν, διαχώρημα δὲ ἄριστόν ἐστι μαλθακόν τε καὶ ξυνεστηκός, καὶ κατὰ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει. τὰ γνωρίσματα τῶν κατὰ γαστέρα πέψεων ἐπαινεῖ τε ἅμα καὶ διδάσκει. οὕτω δὲ καὶ τὴν ἐν τοῖς ἀναπνευστικοῖς πέψιν ἐπαινῶν τε ἅμα καὶ διδάσκων εἶπε. πτύελον δὲ χρὴ ἤδη πᾶσι τοῖσιν ἀλγήμασι τοῖς περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς ταχέως τε ἀποπτύεσθαι, καὶ εὐπετῶς συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ. τὰ μὲν τῆς πέψεως σημεῖα διὰ παντὸς ἀγαθά. τὰ δὲ τῆς κρίσεως, οὐκ ἔτι. φησὶν οὖν οὕτως, τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. καὶ μέντοι κἂν τῷ λέγειν τὰ κρίνοντα ἤδη τὸ βέλτιον μὴ αὐτίκα ἐπιφαίνεσθαι, τὴν αὐτὴν ἐνδείκνυται γνώμην. τὰ γὰρ τῆς πέψεως σημεῖα καθ' ὃν ἂν ἐπιφαίνηται χρόνον, ἀγαθά. διὰ παντὸς γάρ ἐστι τὸ γένος αὐτῶν ὅλον χρηστόν. οὐκοῦν μάχεται τῷ νῦν εἰρημένῳ τῷ, ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἢν ἐπιφαίνηται. τὰ μὲν γὰρ κρίσιμα ποτὲ γίνεται κακά, πέψεως δὲ σημεῖον οὐδὲν οὐδέποτε μοχθηρόν, ἀλλ' ἀεὶ πάντα χρηστά, καὶ τοὐναντίον θᾶττον ὑγιασθήσεσθαι δηλοῖ τὸν ἄνθρω-

πον, ὅσωνπερ ἂν ὑποφαίνηται θᾶττον. ἀρκεῖ τοσαῦτα πρός γε τὸ παρὸν, ὡς ἐν ἐπιτομῇ λελέχθαι. τὴν δ᾽ ὅλην ὑπὲρ αὐτῶν γνώμην τοῦ παλαιοῦ, διὰ τῆς περὶ κρίσεων ἐδήλωσα πραγματείας. ἵνα δέ μοι τέλος ὁ κατὰ τὴν διαίρεσιν, ἣν ἀρτίως εἶπον ὑπάρχῃ λόγος, ὅπως τῶν εἰρημένων διαφέρει τά τε παθογνωμονικὰ, καὶ τὰ συνεδρεύοντα καλούμενα δείξω, προχειρισάμενος ὡς ἐν παραδείγματι πάθος ἓν, αὐτὸ δὴ τοῦτο τὸ πρὸς Ἱπποκράτους ὠνομασμένον. ἐπεὶ τοίνυν τῆς πλευρίτιδος, ὁ μὲν ὀξὺς πυρετὸς ἅμα τῇ δυσπνοίᾳ, καὶ τῇ βηχὶ, καὶ τῷ κατὰ τὴν πλευρὰν ἀλγήματι νυγματώδει, παθογνωμονικὰ σημεῖά εἰσι. τὸ δ᾽ ἤτοι πρὸς ὑποχόνδριον, ἢ πρὸς τὴν κλεῖν διήκειν τὴν ὀδύνην συνεδρεύοντα, καθάπερ γε καὶ τὸ ῥᾷον ἐπὶ τοῦ πεπονθότος, ἢ θατέρου κατακλίνεσθαι πλευροῦ. γέγραπται δὲ καὶ Πραξαγόρᾳ τῷ Νικάνδρου, δύο μὲν τῶν συνεδρευόντων βιβλία, τῶν δ᾽ ἐπιγινομένων ἓν ἕτερον, ὡς εἰ καὶ ἐπιφαινομένων ἐπιγέγραπτο. ταῦτα οὖν τὰ ἐπιφαινόμενα φησὶν ὁ Ἱπποκράτης, εὔκριτά τε καὶ δύσκριτα, καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῦν. ἐμνημόνευσε δὲ οὐ μόνον πτυέλων, ἀλλὰ καὶ οὔρων, καὶ διαχωρημάτων, καὶ ἱδρώτων, ἐν παραδείγματι δηλονότι τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων ἀναμιμνήσκων ἡμᾶς, ἃ νῦν ἐνταῦθα μεταφέρειν περιττόν. ἔν τε γὰρ τοῖς περὶ κρίσεων εἴρηται, κἂν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν, ἐν οἷς ἔτι καὶ μᾶλλον ὑπὲρ αὐτῶν ἐξηγησάμεθα τὴν γνώμην τοῦ παλαιοῦ.

Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια, πάντων δὲ μάλιστα παιδία. τουτέων δὲ αὐτέων, ἃ ἂν τύχῃ, αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

Καὶ ἡ τῶν ἡλικιῶν διαφορὰ συμβάλλεταί τι πρὸς τὰ διαιτήματα. γέροντες μὲν γὰρ εὐφόρως ἀσιτοῦσι, παῖδες δὲ δυσφόρως. ἔστι δὲ τὸ μὲν εὐφόρως κατά τε τὸ μὴ ὀρέγεσθαι, καὶ μὴ βλάπτεσθαι. τὸ δὲ δυσφόρως, κατὰ τὰ ἐναντία. καὶ γὰρ ὀρέγονται, καὶ βλάπτονται μᾶλλον οἱ παῖδες ἐν ταῖς μακραῖς ἀσιτίαις. αἱ δὲ μεταξὺ ἡλικίαι τῆς τε τῶν παίδων, καὶ τῆς τῶν γερόντων ἐφ᾽ ὅσον ἂν ἐγγυτέρω τῆς ἑτέρας αὐτῶν ἥκουσιν, ἐπὶ τοσοῦτον ἢ μᾶλλον, ἢ ἧττον ἀνιῶνται, καὶ βλάπτονται κατὰ τὰς μακρὰς ἀσιτίας. τούτου δὲ τοῦ ἀφορισμοῦ τὴν αἰτίαν αὐτὸς ἐν τῷ ἐφεξῆς διδάσκει, οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα σώματα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, ὥστε κἂν εἰ συνάπτειν τις αὐτὸν βούλοιτο. καὶ μετὰ τοῦ γὰρ ἐκφέρειν συνδέσμου, γένοιτ᾽ ἂν ὁ λόγος εἷς τε ἅμα καὶ σαφὴς, οὕτως ἔχων. γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια, καὶ μάλιστα πάντων παιδία. τὰ γὰρ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. καθεστηκότας δὲ λέγει δηλονότι τοὺς τὴν μέσην ἔχοντας ἡλικίαν, ἀκμῆς τε καὶ γήρως, ὡς παύεσθαι μὲν ἤδη τὰ τῆς ἀκμῆς, μηδέπω δὲ μηδεμίαν αἴσθησιν σαφῆ γήρως ἔχειν. οὕτω δὲ καὶ Θουκυδίδης εἶπε, τοὺς ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ. μεταξὺ δὲ ταύτης τε καὶ τῆς τῶν μειρακίων ἡλικίας, ἑτέρα τίς ἐστι, ὥσπερ καὶ τῇ τάξει μέση τούτων, οὕτω καὶ κατὰ τὴν εὐφορίαν τε καὶ δυσφορίαν, ὡς μήτ᾽ εὐφόρως ἡμᾶς δύνασθαι φέρειν τὴν ἀσιτίαν, καθάπερ οἱ καθεστηκότες καὶ γέροντες, μήτε δυσφόρως, ὡς τὰ μειράκιά τε καὶ οἱ παῖδες. ἀλλ᾽ οὐκ ἐμνημόνευσεν αὐτῆς ὁ Ἱπποκράτης, ὡς νοεῖσθαι δυναμένης ἐξ ὧν εἶπεν. ἐν γὰρ τῷ φάναι, τούτων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα, τὰς φυσικὰς ἐνεφάνισε διαφοράς. ὅσα γὰρ τῶν παιδίων τὸ θερμὸν τὸ ἔμφυτον ἔχει πολὺ, ταῦτα καὶ προθυμότερα τῶν ἄλλων ἐστὶ περὶ τὰς τῶν σιτίων προσφορὰς, καὶ κρατεῖν μᾶλλον αὐτῶν δύνανται, καὶ μὴ λαμβάνοντα, μᾶλλον βλάπτεται. τοιοῦτος μὲν ὁ Ἱπποκράτους λόγος, δεῖται μέντοι καὶ βραχείας τινὸς ἔτι προσθήκης εἰς τὸ τέλειον. ἐπὶ μὲν γὰρ τῶν ἐν ἀρχῇ τῆς γεροντικῆς ἡλικίας, ὀρθῶς εἴρηται, τὸ γέροντες εὐφορώτατα νηστείην φέρουσιν. ἐπὶ δὲ τῶν ἐς ἔσχατον ἡκόντων γῆρας, οὐκ ἔτι ὀρθῶς, ὅτι μηδὲ φέρουσιν ἐκεῖνοι τὰς μακρὰς ἀσιτίας. ἢ τοίνυν προσθετέον ἐστὶ τῷ ἀφορισμῷ βραχύ τι καὶ κατὰ τόνδε τὸν τρόπον αὐτὸν λεκτέον, γέροντες εὐφορώτατα νηστείην φέρουσι, πλὴν τῶν ἐσχατογήρων, δεύτερον οἱ καθεστηκότες. ἢ τὴν νηστείην ὄνομα μεταθετέον εἰς ὀλιγοσιτίην, καὶ οὕτως ῥητέον. γέροντες εὐφορώτερον ὀλιγοσιτίην φέρουσιν, δεύτερον οἱ καθεστηκότες. εὑρεθήσονται γὰρ καὶ οἱ ἐν ἐσχάτῳ γήρᾳ, εἰ καὶ μὴ φέροντες τὴν μακρὰν ἀσιτίαν, ὀλιγοσιτίας γοῦν δεόμενοι. παραπλήσιον γάρ τι πάσχουσι τοῖς ἀποσβεννυμένοις λύχνοις, οἳ καὶ συνεχεστέρας μὲν δέονται χορηγίας, ἀθρόας δὲ ἅμα καὶ πολλῆς οὐ δέονται. καὶ δὴ καὶ προσήκει τοῖς τοιούτοις διδόναι τὸ σύμπαν πλῆθος ὀλίγον, μερίζοντας δὲ καὶ αὐτὸ τοῦτο, τὸ ὀλίγον, εἰς πλείω μέρη, καὶ μὴ μίαν ἀσιτίαν ἐπιφέρειν μακρὰν αὐτοῖς.

Τὰ αὐξανόμενα πλείστην ἔχει τὴν ἔμφυτον θερμὴν, πλείστης οὖν δεῖται τροφῆς. εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται, ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες, ψυχρὸν γὰρ τὸ σῶμα.

Εἴρηται ἡμῖν κἂν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐπὶ πλέον, ὅπως οἱ ἀκμάζοντες ἐνίοις μὲν τῶν ἰατρῶν, ἐνίοις δὲ οἱ παῖδες ἔδοξαν εἶναι θερμότεροι. ἔχουσι γὰρ, οἱ μὲν δριμύτερον τὸ θερμὸν, οἱ δὲ πλέον. ἀνάγκη δὲ καὶ νῦν εἰπεῖν, ὅσον εἰς τὰ παρόντα χρήσιμον ἐν ὀλίγοις, ὡς οἷόν τε μακροὺς περιλαμβάνοντας λόγους. τὸ τοίνυν ὄνομα τοῦτο τὸ θερμὸν, ἐνίοτε μὲν ἐπὶ τὴν ποιότητα φέρομεν ἧς ἴδιον ὄνομα θερμότης ἐστίν. ἐνίοτε δὲ παρωνύμως ἀπὸ τῆς ποιότητος, ὅλον τὸ σῶμα θερμὸν προσαγορεύομεν, καὶ ἔστιν ἡ χρῆσις ἤδε πολλὴ κατὰ τὸν βίον ἅπαντα, καὶ παρὰ τοῖς παλαιοῖς, ὡς καὶ Θεόφραστος ἐδήλωσεν ἐν τῷ περὶ θερμοῦ καὶ ψυχροῦ γράμματι. τῆς γὰρ τῶν σωμάτων οὐσίας δεχομένης ἐν μέρει τὰς ἐναντίας ταύτας ποιότητας, θερμότητά τε καὶ ψυχρότητα, καὶ ξηρότητα, καὶ ὑγρότητα. κατὰ μὲν τὴν δεδεγμένην οὐσίαν, ὅταν ὀνομάζομεν θερμὸν, τὸ σῶμα λέγομεν, ὀλίγον τε ἢ πολὺ φαμὲν ὑπάρχειν τὸ θερμὸν τῷ ποσῷ τῆς οὐσίας προσέχοντες τὸν νοῦν, καὶ τοῦτο ποιοῦμεν διττῶς. ἕνα μὲν τρόπον ἐπὶ τῶν

ἀμίκτων

ἀμίκτων οὐσιῶν, ἕτερον δ᾽ ἐπὶ τῶν μεμιγμένων. ἐπὶ μὲν τῶν ἀμίκτων, ὡς ἂν εἰ καὶ δυοῖν ἐχόντων ὕδωρ ὁμοίως θερμὸν ἐν δεξαμεναῖς ἀνίσοις περιεχόμενον, τὸν μὲν ἕτερον πλέον ἔχειν λέγομεν τὸ θερμὸν, ᾧ μείζων ἡ δεξαμενὴ, τὸν δ᾽ ἕτερον ἔλαττον. ἐπὶ δὲ τῶν μεμιγμένων, ὡς ἂν ἴσων μὲν ἀλλήλαις οὐσῶν, ἀνίσῳ δὲ μέτρῳ κεκραμένων, ἐξ ὕδατός τε καὶ οἴνου. τὴν μὲν ἑτέραν αὐτῶν τὸν οἶνον ἔχειν πλείονα, τὴν δ᾽ ἑτέραν, τὸ ὕδωρ φαμὲν. ὥσπερ τρίτος οὗτος, καὶ ἀνίσους ὑποθώμεθα τὰς δεξαμενὰς, εἶναι κατὰ τὴν αὐτὴν ἀναλογίαν κεκραμένας. ἔνιοι δὲ οὐ πρὸς τὸ πλῆθος ἀναφέροντες τῆς οὐσίας τὸν λόγον, ἀλλὰ πρὸς τὴν ποιότητα μόνην, τῷ μὲν τινὶ πλέον εἶναι φαμὲν, τῷ δὲ ἧττον τὸ θερμὸν, ὡς καὶ δυοῖν δεξαμενῶν ἴσων ἀκριβῶς τὸ μέγεθος, τῆς μὲν θερμοτέρας πλέον εἶναι τὸ θερμὸν λέγομεν, τῆς δὲ ψυχροτέρας ἧττον, οὐκέτι κυρίως ἐνταῦθα τὸ πλέον ἐπιφέροντες. ἄμεινον γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον, καὶ σφοδρότερον, καὶ ἀμυδρότερον, καὶ πάνθ᾽ ὅσα τοιαῦτα ταῖς ποιότησιν ἀναφέρειν ὀνόματα. τὸ δ᾽ ὀλίγον καὶ πολὺ κατὰ τὸ ποσὸν μόνον τῆς οὐσίας φυλάττειν. ἀλλὰ γὰρ οὐκ ἐνταῦθα μόνον αἱ τοιαῦται καταχρήσεις εἰσὶ τῶν ὀνομάτων, ἀλλὰ καὶ κατὰ ἄλλα πάμπολλα τῶν κατὰ τὸν βίον, οὐχ ἥκιστα δὲ καὶ κατὰ τὴν ἰατρικὴν αὐτήν. ἁπάσας γοῦν τὰς νόσους ὀνομάζουσι μεγάλας τε καὶ μικρὰς, καίτοι γε οὐκ οὔσας οὐσίας, πυρετὸν μέγαν, πυρετὸν μικρὸν, ἀποπληξίαν μεγάλην, ἀποπληξίαν μικρὰν, ὡσαύτως δὲ πλευρῖτιν, καὶ φρενῖτιν, καὶ περιπνευμονίαν, ἁπάσας τε τὰς ἄλλας. προσέχειν οὖν χρὴ ταῖς ὁμωνυμίαις καὶ σκοπεῖσθαι, τί ποθ᾽ ἡ σύμπασα λέξις ἑκάστοτε βούλεται τοῦ λέγοντος. εἰ γὰρ ἐκείνου καθ᾽ ἑτέρου σημαινομένου τοὔνομα φέροντος, ἡμεῖς καθ᾽ ἕτερόν τι δεξάμενοι τὸν λόγον εὐθύνωμεν, οὐ τὸν εἰρηκότα δή που κατά γε τὴν ἀλήθειαν αὐτὴν ἐξελέγξομεν, ἀλλὰ τὴν ἡμετέραν ὑπόληψιν, ὥσπερ ἀμέλει κἀνταῦθα ποιοῦσιν ἔνιοι τῶν πρὸς Ἱπποκράτους ἀσυνδόντων ἀντιλέγειν. ἐπὶ γὰρ τὴν ποιότητα μεταφέροντες τοὔνομα τοῦ θερμοῦ, πειρῶνται δεικνύναι σφοδροτέραν ὑπάρχουσαν αὐτὴν τοῖς ἀκμάζουσιν. ἀλλ᾽ Ἱπποκράτης οὐκ ἐπὶ ταύτην, ἀλλ᾽ ἐπὶ τὴν οὐσίαν ἀναφέρει τοὔνομα κατὰ τὸν ἐνεστῶτα λόγον. ἡ μὲν οὐσία τοῦ ἐμφύτου θερμοῦ, ἀερώδης καὶ ὑδατώδης ὑπάρχει, ὡς ἐκ τοῦ σπέρματος ἔνεστι τεκμήρασθαι, παντάπασι μὲν ὀλίγης γεώδους οὐσίας μετέχοντος, τὸ πλεῖστον δ᾽ ἐν αὐτῷ περιέχοντος ἀέρος θερμοῦ τε καὶ ὑγροῦ, ὡς κἂν τοῖς περὶ σπέρματος ὑπομνήμασι δεδήλωται, καὶ μὴν καὶ ἡ ἑτέρα τῆς γενέσεως ἡμῶν ἀρχὴ τὸ καταμήνιον ὑγρὸν δή που τὴν φύσιν ἐστίν. ὅταν οὖν ἐπὶ τὸ γεωδέστερον μεταβάλλῃ τὸ σῶμα τοῦ ζώου, μεταβάλλει δὲ καθ᾽ ἑκάστην ἡμέραν αὐξανόμενον, τηνικαῦτα κἂν πάνυ σφόδρα θερμὸν ᾖ καὶ πυρῶδες, ἀλλὰ τήν γε οὐσίαν τοῦ ἐμφύτου θερμοῦ ὀλιγίστην ἔχει. ἐπεὶ οὕτως ἂν καὶ τοὺς πυρέττοντας εἴπομεν πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν, οἵτινες οὐχ ὅπως πλέον, ἀλλ᾽ οὐδὲ τὸ πρόσθεν ἴσον ἔχουσιν. εὔκρατος μὲν οὖν ἐστὶν ἡ οὐσία τοῦ ἐμφύτου θερμοῦ, πυρώδης δὲ ἡ τοῦ ἐπικτήτου. καὶ δὴ καὶ αἱ δι᾽ ὅλου τοῦ σώματος ἡμῶν ἀπόρροιαι, ἕπονται καπνώδεις μὲν καὶ λιγνυώδεις, καὶ ξηραὶ, καὶ δριμεῖαι τῷ ἐπικτήτῳ θερμῷ, ἀτμώδεις δὲ καὶ ἡδεῖαι καὶ εὔκρατοι τῷ κατὰ φύσιν, καί σοι διὰ τῆς ἁφῆς ἔνεστι διαγινώσκειν ταῦτα. τὸ μὲν γὰρ τῶν ὑγιαινόντων θερμὸν, ἀτμῶδές ἐστι καὶ ἡδὺ, καὶ οἰκεῖον τῇ ἁφῇ, μηδὲν ἀνιαρὸν μηδὲ τραχὺ, μηδὲ δακνῶδες ἔχον. τὸ δὲ τῶν πυρεττόντων, καὶ μάλιστα τοὺς ἑκτικοὺς πυρετοὺς, ἢ τοὺς ἐπὶ σήψει χυμῶν, δριμὺ καὶ ἀηδὲς καὶ δάκνον, καὶ διαβιβρῶσκον ἡμῶν τὴν ἁφήν. ἀκριβοῦται δὲ ἡ ὑγιεινὴ ποιότης αὐτοῦ ἐν τοῖς παισὶν, ὡς τῶν γε ἀκμαζόντων τοὺς πλείστους ἐστὶν εὑρεῖν δακνῶδες ἤδη τὸ θερμὸν ἔχοντας, καὶ οὐκ ἔθ᾽ ὑγρὸν, οὐδὲ ἀτμῶδες, οὐδὲ ἀερῶδες, καὶ οὐδὲν θαυμαστόν. ὁμοίαν γὰρ εἶναι τὴν ἀπόρροιαν δεῖ τῇ ὑποκειμένῃ οὐσίᾳ. ἡνίκα μὲν ὑγρὰ καὶ ἀερώδης ἐστὶν ἡ οὐσία, καὶ τὸ ἀπόρρεον αὐτῆς ἀτμῶδές ἐστι καὶ ἡδύ. ἡνίκα δὲ γεώδης καὶ ξηρὰ, τηνικαῦτα καὶ τὸ ἀπόρρεον καπνῶδες γίνεται, καὶ λιγνυῶδες, καὶ δριμύ. ὥσπερ γε κἀπὶ τῶν ἐκτὸς, αἱ μὲν ἐξ ὕδατος ἀναθυμιάσεις γλυκεῖς τε καὶ θερμοῦ, χρησταὶ καὶ ἀτμώδεις εἰσίν. αἱ δ᾽ ἔκ τινος τῶν στερεῶν σωμάτων καιομένου, καπνώδεις τε καὶ δριμεῖαι. διττῶν οὖν οὐσιῶν οὐσῶν, καὶ τῆς μὲν ἡδεῖαν ἐχούσης θερμότητα, τῆς δὲ ἀνιαράν. τὴν μὲν ἑτέραν πλείστην ἔχει τὰ παιδία, τὴν δ᾽ ἑτέραν οἱ ἀκμάζοντες, ὡς πρὸς τὴν ὅλην τοῦ σώματος ἀναλογίαν δηλονότι. ἵνα δὲ καὶ φυσικώτερον ἐπὶ τὸν λόγον ἀναγαγὼν ἐπὶ τὰ στοιχεῖα, τὸ πᾶν διέξειμι. τεττάρων ὄντων στοιχείων ἐξ ὧν τὰ πάντα σώματα κέκραται, τὸ μὲν τῶν παιδίων ἥκιστα μετέχει τοῦ γεώδους πλεῖστον ἐν ἑαυτῷ κεκτημένον τό, τε ἀερῶδες, καὶ τὸ ὑδατῶδες. τὸ δὲ τῶν ἀκμαζόντων, ἔμπαλιν ὑπὸ ξηρότητος ἐπικρατεῖται γεώδους. ἐνδεῖ δ᾽ ἡ ὑδατώδης αὐτοῦ καὶ ἀερώδης οὐσία, ὥστ᾽ εἰ καὶ τὸ τέταρτον τὸ στοιχεῖον ἴσον πῦρ, ἐν ἀμφοῖν θείημεν, ὡς ὁμοίως αὐτὰ λέγειν εἶναι θερμὰ, ἀλλ᾽ οὐ παραπλησίαν γε τὴν θερμὴν οὐσίαν ἐν ἀμφοτέροις αὐτοῖς ὑπάρχειν φρουμεν. τῆς μὲν τῶν παίδων, ὑγρᾶς οὔσης, τῆς δὲ τῶν ἀκμαζόντων ξηρᾶς. ἡ μὲν γὰρ ὑγρὰ, κατὰ τὸ ἔμφυτον θερμὸν μάλιστα, ἐξ ὑγροῦ γὰρ ἡ γένεσις ἡμῖν, ἡ δὲ ξηρὰ κατὰ τὸ ἐπίκτητον. οὕτως οὖν οἱ μὲν ἄρτι γεγενημένοι παῖδες, οὐσίας θερμῆς ὑδατώδους τε καὶ ἀερώδους πλείστης μετέχοντες, πλεῖστον ἂν ἔχειν λέγονται τὸ ἔμφυτον θερμόν. οἱ δ᾽ ἀκμάζοντές τε καὶ παρακμάζοντες, εἰς ὅσον αὐτοὶ μὲν ἐνδέουσι, πλεονεκτεῖ δὲ ἡ γεώδης, εἰς τοσοῦτον καὶ τὴν οὐσίαν ἔχουσιν ἐλάττονα τοῦ ἐμφύτου θερμοῦ. ὅτι δ᾽ ἀπορρεῖν ἀναγκαῖόν ἐστι τῆς ὑγρᾶς καὶ ἀερώδους οὐσίας πλέον, ἤπερ τῆς γεώδους, κἂν ὁμοίως ἀμφότεραι θερμαὶ τυγχάνωσιν οὖσαι κατὰ τὴν ποιότητα, πρόδηλον παντί. θεάσασθαι γοῦν σοι, τοῦτο κἀπὶ τῶν ἐκτὸς ἐναργῶς ὑπάρχει. τῶν γὰρ εἰς τὴν ὁμοίαν ἡκόντων θερμότητα σωμάτων, οὐκ ἴσον ἀπορρεῖν φαίνεται, ἀλλὰ τῶν μὲν ξηρῶν ἐλάχιστον, τῶν δ᾽ ὑγρῶν πλεῖστον. αὐτίκα γοῦν ὕδατος μὲν καὶ ἐλαίου θερμῶν μετρίως γινομένων, πλεῖστον ἀπορρεῖ καὶ διαφορεῖται. σιδήρου δὲ καὶ χαλκοῦ, καὶ λίθων, ἐλάχιστον, ὥστε καὶ εἰ καταθεῖναι βουληθείης εἰς ἥλιον θερμότατον ὕδωρ, εἰ οὕτως ἔτυχε, καὶ σίδηρον ἴσα τῷ σταθμῷ ποιήσας, εἶτα διελθούσης ὅλης τῆς ἡμέρας ἄμφω στῆσαι, τὸ μὲν ὕδωρ εὑρήσεις ἔλαττον ἑαυτοῦ παραπολὺ γεγενημένον, τὸν δὲ σίδηρον ἴσον. οὕτως δὲ καὶ ἔλαιον εἰ θέλεις παραβάλλειν χαλκῷ καὶ σιδήρῳ, καὶ λίθῳ, τὸ μὲν ἐκδαπανώμενον εὑρήσεις, τὰ δ᾽ ὑπομένοντα, κατὰ τὸν ὄγκον τῆς οὐσίας. ἐντεῦθεν δὲ μεταβαίνων ἐπὶ κηρόν τε καὶ πίτταν, ἄσφαλτόν τε καὶ ῥητίνην, ὅσα τἄλλα πλείστης ὑγρᾶς οὐσίας μετέχει, θεάσῃ καὶ ταῦτα ἐν ἡλίῳ θερμῷ, πολὺ πλέον δαπανώμενα καὶ ἀπορρέοντα ἤπερ τοῦ

λίθου τε καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ τῶν ἄλλων τῶν οὕτω ξηρῶν, ὥστ᾽ εἴπερ ἡ χρεία τῆς τροφῆς ἀναπλήρωσις ἐστὶ τῶν ἀποῤῥεόντων ἐκ τοῦ σώματος. ἀποῤῥεῖ δὲ τῶν ὑγροτέρων τε καὶ ἀερωδεστέρων πλέον, ἀναγκαῖον καὶ τροφῆς πλείονος δεῖσθαι τὰ τοιαῦτα. τὸ δὲ τῶν παίδων σῶμα τοιοῦτον ἐστὶν, ὑγρᾶς καὶ ἀερώδους οὐσίας πλέον μετέχον, οὐχ ὡς τὸ τῶν ἀκμαζόντων, καὶ παρακμαζόντων, καὶ γερόντων ξηρᾶς καὶ γεώδους. ὁ τοίνυν Ἱπποκράτης ἐπειδὴ προὔκειτο κατὰ τόδε τὸ βιβλίον αὐτῷ σύντομόν τε καὶ ἀφοριστικὴν ποιεῖσθαι τὴν διδασκαλίαν, οὐχ οὕτως διῆλθεν τὸν λόγον ὡς ἐγὼ νῦν, ἀλλ᾽ ἀντὶ τοῦ φάναι τὰ αὐξανόμενα καὶ ἴσον ἐν αὐτοῖς ἔχει θερμῆς οὐσίας, καὶ πυρώδους τοῖς ἀκμάζουσιν, ἀλλὰ τῆς γε ὑδατώδους καὶ ἀερώδους οὐσίας πλέον ἔχει τὰ αὐξανόμενα, πλεῖστον εἶπεν ἔχειν τὸ ἔμφυτον θερμὸν, ἅμα μὲν ἀναμιμνήσκων ἡμᾶς τῆς οὐσίας αὐτῶν, ἅμα δὲ τὸ προκείμενον ἀποδεικνύς. ἐπειδὴ γὰρ ὑγρὰν καὶ θερμὴν ἔχει τὴν οὐσίαν τὰ αὐξανόμενα, διὰ τοῦτο πλεῖστον ἀποῤῥεῖν αὐτῶν ἀναγκαῖον ἐστὶ, πλείστης τε δεῖται τροφῆς. εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεσθαι φησὶν εὐλόγως. ἔνθα γὰρ τὸ μὲν ἀποῤῥέον πλεῖστον, τὸ δ᾽ ἐπιῤῥέον ὀλίγον, ἐνταῦθα ἀναγκαῖον διαφθείρεσθαι τὴν ὑποκειμένην οὐσίαν. γέρουσι δ᾽ ὀλίγον τὸ θερμὸν, τούτοις μέν γε κατ᾽ ἄμφω τὰ σημαινόμενα τῆς προσηγορίας, ὀλίγον ὑπάρχει τὸ θερμὸν, εἴτ᾽ ἐπὶ τὴν ποιότητα τις ἀναφέροι τὸν λόγον, εἴτ᾽ ἐπὶ τὴν οὐσίαν. καὶ γὰρ καὶ ἡ ποιότης ἀμυδρὰ, καὶ ἡ οὐσία ἐλαχίστη, εἴπερ τι μεμνήμεθα τῶν προειρημένων. διὰ τοῦτ᾽ ἄρα φησὶν, ὀλίγων ὑπεκκαυμάτων δέονται. ὑπεκκαύματα τὰς τροφὰς ὠνόμασεν, ἑπόμενος τῷ ἑαυτοῦ δόγματι, καὶ σχεδὸν ἁπάντων τῶν ἐνδοξοτάτων φιλοσόφων, οἵτινες τῶν συντεθέντων στοιχείων τὰ ζῷα τὸ θερμὸν αἰτιώτατον ἐνόμιζον εἶναι τῆς ζωῆς. ὥσπερ γὰρ αἱ λυχνιαῖοι φλόγες, καί τοι τροφὴν ἔχουσαι τοὔλαιον, ὅμως ἐὰν ἀθρόως τις ἐπιχέῃ, σβέννυνται μᾶλλον ἢ τρέφονται. κατὰ τὸν αὐτὸν δὴ τρόπον, καὶ τὸ ἐν τοῖς γέρουσι θερμὸν, ὑπέκκαυμα μὲν ἔχει τὰς τροφάς. εἰ δὲ πολλαῖς καὶ ἀθρόαις ἐπισωρεύσεσι καταπνίγοιτο, σβεσθῆναι κίνδυνος αὐτό. καθάπερ εἰ καὶ σμικρῷ σπινθῆρι πυρὸς πλῆθος ἐπισωρεύσαις ξύλων. καὶ διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖς γέρουσιν οὐχ ὁμοίως ὀξέες. τὸ δ᾽ ἐπιφερόμενον τεκμήριον οὕτως ἐστὶν, καὶ αὐτὸ τὸ ψυχρὸν εἶναι τὸ τῶν γερόντων σῶμα, καὶ ὅτι μάλιστα τροπὴ τῆς ἐμφύτου θερμότητος, ἐπὶ τὸ πυρῶδες ὁ πυρετὸς γίνεται. ἀλλὰ τοι τηλικαύτην τροπὴν συμβῆναι τοῖς γέρουσιν, ὡς εἰς ἴσον ἀφικέσθαι τῇ τῶν νεωτέρων οὐ πάνυ τι δυνατόν. τὸ μὲν γὰρ πολὺ θερμὸν, ἑτοίμως ἐπὶ μήκιστον αἴρεται. τὸ δ᾽ ὀλίγον, οὐ ῥᾳδίως, ἀλλὰ μεγίστης δεῖται τῆς βιαζομένης αἰτίας αὐτό. διὰ τοῦτο οὖν οὔτε πυρέττουσιν οἱ γέροντες, ὁμοίως τοῖς νέοις ὀξεῖς πυρετοὺς ὡς τὰ πολλὰ, καὶ εἴπου σπανίως γένοιτό τις ὁποῖος ἐν νέῳ, πάντως οὗτος εἰς ὄλεθρον τοῦ κάμνοντος τελευτᾷ. ἐνδείκνυται γὰρ ἐξαίσιόν τι μέγεθος τῆς ἐργαζομένης αὐτὸν αἰτίας. ταῦτα ἀρκεῖ τοῖς κατὰ φύσιν ἔχουσιν εἰς νόησίν τε καὶ πίστιν ὧν Ἱπποκράτης ἔγραψεν. ὅσοι δὲ οὐκ ὀρθῶς ἐνεκάλεσαν αὐτῷ καθάπερ ὁ Λύκος, ἐν ὅλον πρὸς ἐκείνους ὑπ᾽ ἐμοῦ γέγραπται βιβλίον, ἀπολογούμενον ὑπὲρ ὧν ἐπηρεάζουσι τὸν ἀφορισμόν. ἐπιγέγραπται δὲ τὸ βιβλίον πρὸς Λύκον, ὅτι μηδὲν ἡμάρτηται κατὰ τὸν ἀφορισμόν, οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. ἐδόθη δέ μοι τὸ τοῦ Λύκου βιβλίον, ἤδη γεγραμμένων τῶν ὑπ᾽ ἐμοῦ ὑπομνημάτων. ὅθεν αὐτὸς μετὰ τούτοις ἐνέθηκα τήνδε τὴν ῥῆσιν οὐκ οὖσαν ἐν τοῖς προεκδοθεῖσιν. ἰδίᾳ δὲ καθ᾽ ἕτερον βιβλίον ἀπελογησάμην ὑπὲρ ὧν ἐνεκάλεσεν Ἱπποκράτει.

Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖον ἔχουσι, τροφῆς οὖν πλείονος δέονται, σημεῖον αἱ ἡλικίαι, καὶ ἀθληταί.

Αἱ ὧραι τοῦ ἔτεος συντελοῦσιν εἰς τὴν δίαιταν οὐκ ὀλίγον. ἐν μὲν γὰρ τῷ χειμῶνι καὶ ὀρέγονται πλειόνων οἱ ἄνθρωποι, καὶ πέττουσι ῥᾷον αὐτά. κατὰ δὲ τὸ θέρος, ἔμπαλιν. τὴν δὲ αἰτίαν αὐτὸς ὁ Ἱπποκράτης εἶπεν, ἀποφηνάμενος τὰς κοιλίας χειμῶνος, καὶ ἦρος θερμοτάτας εἶναι φύσει. τί δέ ἐστιν αὐτὸ τὸ φύσει, καὶ ὅτι οὐ μάτην αὐτῷ προσέθηκεν ἐν τῷδε τῷ ἀφορισμῷ, ὀλίγον ὕστερον ἐξηγήσασθαι φάμενος, καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολὺ, πλείστης οὖν τροφῆς δεῖται. αἱ γοῦν κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται οὐχ ἁπλῶς, ἀλλὰ τῷ φυσικῷ θερμῷ θερμόταται, οὗ τὴν οὐσίαν ἔμπροσθεν ἐδήλωσα. διὰ τί δὲ τοῦ χειμῶνος αὐξάνεται τοῦτο, καὶ Ἀριστοτέλης εἶπεν, ὑποφεύγει γὰρ διὰ τὸ περιστάμενον ἔξωθεν κρύος. ὥσπερ αὖ πάλιν ἐν τῷ θέρει, πρὸς τὸ συγγενὲς ἀποτείνεται, καὶ οὕτω συμβαίνει διαφορεῖσθαι μὲν αὐτοῦ, καὶ σκεδάννυσθαι τὴν οὐσίαν ἐν τῷ θέρει. συνέχεσθαι δὲ καὶ σφίγγεσθαι, καὶ εἰς βάθος ὑποχωρεῖν ἐν τῷ χειμῶνι. διὰ τοῦτο οὖν καὶ αἱ πέψεις, καὶ αἱ ἐξαιματώσεις, καὶ αἱ θρέψεις ἀμείνους εἰσὶν ἐν ταῖσδε ταῖς ὥραις. προσέθηκε δὲ καὶ ἄλλο τι συμβεβηκὸς αὐτοῖς, τὸ καὶ τοὺς ὕπνους μακροτάτους γίνεσθαι, διὰ τὸ μῆκος δηλονότι τῶν νυκτῶν. οὐ σμικρὸν οὐδ᾽ αὐτὸ συντελοῦν εἰς τὰς φυσικὰς ἐνεργείας. τὸ δ᾽ ἐπὶ τέλει προσκείμενον, σημεῖον αἱ ἡλικίαι, καὶ οἱ ἀθληταὶ τοῦ δεῖσθαι τροφῆς ἔνθα πλεονάζει τὸ θερμὸν, ἀξιόλογον τεκμήριον ἐστίν. οἵ τε γὰρ παῖδες διότι τὸ θερμὸν ἔχουσι πλεῖστον, διὰ τοῦτο καὶ δέονται πλειόνων καὶ πεινῶσι. οἵ τε ἀθληταὶ, διότι τοῖς γυμνασίοις αὐξάνουσι τὴν ἔμφυτον θερμασίαν, διὰ τοῦτο καὶ τροφῶν ἀπολαύειν δύνανται πλειόνων. τὰ μὲν οὖν εἰρημένα κατὰ τὸν ἀφορισμὸν αὐτάρκως ἐξηγησάμεθα. περὶ δὲ τῆς ἐν αὐτοῖς ἀληθείας εἴ τις σκοποῖτο, μὴ κατὰ πάντων ἐκτεινέτω τῶν ζώων τὸν λόγον, ἀλλ᾽ ἀποχωριζέτω τὰ φωλεύοντα. ταυτὶ γὰρ οὐ δεῖται πλείονος τροφῆς, ἐν τῷ φωλεύειν. εἴγε καὶ μηδ᾽ ὅλως ἐσθίοντα διαρκεῖ, καὶ καθ᾽ ὑπόθεσιν εἰ προσενήνεκτο τοσαύτην ὅσην πρὶν φωλεύειν ἐχρῆτο, κακῶς ἂν αὐτὴν ἔπεψεν. ὁποῖον γάρ τι κατὰ τὰς ψυχρολουσίας συμβαίνει τοῖς ἀνθρώποις, τοιοῦτον τοῖς ζῴοις ἐν τῷ χειμῶνι. συμβαίνει δὲ τοῖς ἐν ψυχρῷ λουομένοις, οἷς μὲν ἀσθενές ἐστι τὸ σῶμα, ψύχεσθαί τε καὶ βλάπτεσθαι. οἷς δὲ ἰσχυρὸν, ἐν μὲν τῷ παραχρῆμα τὴν θερμασίαν εἰς τὸ βάθος ὑποφεύγουσαν ἀθροίζεσθαι, μετὰ δὲ ταῦτα πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ἐπανέρχεσθαι, καὶ πολὺ πλείονα τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῆς. οὕτω δὲ καὶ τῶν ζώων, ὅσα μέν ἐστι ψυχρότερα φύσει, νικᾶται τούτων ὑπὸ τοῦ κατὰ τὸν χειμῶνα κρύους τὸ ἔμφυτον θερμὸν, ὡς ὀλίγου δεῖν

αὐτὸ

αὐτὸ ἀποσβέννυσθαι, καὶ διὰ τοῦτ᾽ αὐτῶν τὰ πλεῖστα παραπλήσια νεκροῖς ἐστιν ἰδεῖν, ἀναίσθητά τε ἅμα καὶ ἀκίνητα κατὰ τοὺς φωλεοὺς κείμενα. τινὰ δὲ καὶ παντάπασιν ἐν τῷ τοιούτῳ πάθει διαφθείρεται. τὰ δὲ πολυαιμότερα καὶ θερμότερα τῶν ζώων, ὅμοιόν τι πάσχει κατὰ τὸν χειμῶνα, τῷ συμβαίνοντι τοῖς ἰσχυροῖς σώμασιν ἐπὶ τοῖς ψυχροτέροις λουτροῖς. ἀθροίζεται γὰρ αὐτῶν ἐν τῷ βάθει τὸ θερμὸν, οὐ μὰ Δία τῶν σαρκῶν ἀποφευγουσῶν εἰς τοῦτο, καὶ καταλιπούσης ἑκάστης ἣν ἐξ ἀρχῆς εἴληφε χώραν, ἀλλὰ τοῦ πνεύματος ἅμα τῷ αἵματι. τρία δ᾽ ἦν ταῦτα σώματα τὰ τὴν ἀρχίγονον ἡμῶν οὐσίαν συμπληροῦντα, πνεῦμα καὶ αἷμα, καὶ ἡ ἐρρώδης ὑγρότης, ἐξ ἧς κατ᾽ ἀρχὰς μὲν ὡς ἐν τοῖς περὶ σπέρματος ἐδιδάξαμεν, ἡ γένεσις τοῖς στερεοῖς τοῦ ζώου μορίοις, ὕστερον δὲ ἡ αὔξησίς τε καὶ θρέψις ἐν τούτοις προσέρχεται. ὅτι μὲν οὖν ἄμεινον ἐν τῷ χειμῶνι πέπτομεν, τοῦ αἵματος εἴσω καὶ τοῦ πνεύματος εἰς τὸ βάθος ὑποκεχωρηκότων, εὔδηλον παντί. λέγει γοῦν οὐ τοῦτο μόνον ὁ Ἱπποκράτης, ἀλλ᾽ ὅτι καὶ συμφέρει πλείω λαμβάνειν. ἐν ταύτῃσι γάρ φησι, τῇσιν ὥρῃσι, τουτέστι χειμῶνος, καὶ ἦρος, καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ μὴν εἴπερ γε ὀλίγον ἀπορρεῖ καὶ διαπνεῖται χειμῶνος ἐς τοὐκτὸς, οὐ δεῖται τὰ σώματα πολλοῦ τοῦ θρέψαντος. ἀναπλήρωσις γάρ ἐστι τοῦ κενωθέντος ἡ θρέψις. ἀνάλογον οὖν εἶναι χρὴ τὸ ποσὸν τῆς τροφῆς, τῷ ποσῷ τῆς διαπνοῆς. ὅτι μὲν οὖν ἐστιν ἀληθὲς, τὸ μὴ μόνον ἐν χειμῶνι πέττειν ἡμᾶς ἄμεινον, ἀλλὰ καὶ λαμβάνοντας ὀλίγα καταψύχεσθαί τε καὶ διὰ τοῦτο βλάπτεσθαι, προσφερομένους δὲ πλείονα μηδενὶ τῶν πληθωρικῶν ἁλίσκεσθαι νοσημάτων, αὐτὸ τὸ γινόμενον ἐναργῶς μαρτυρεῖ. τῆς δὲ αἰτίας ἡ ζήτησις ἐν κοινῷ προκείσθω. οὐ γὰρ δὴ Ἱπποκράτει γε μόνῳ μάχεται τὸ προβεβλημένον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν. οὐδεὶς οὖν ἐστιν ὃς οὔ φησι διαπνεῖσθαι τὰ τῶν ζώων σώματα, τῇ διὰ τῶν ἀδήλων αἰσθήσει διαπνοῇ πόρων. φανερὸν γὰρ τὸ εἰς χρείαν ἥκειν τροφῆς, ὅτι κενοῦται, ὡς εἴγε μηδὲν ἡμῶν ἀπέρρει, διὰ παντὸς δ᾽ ἐφυλάττετο τῆς οὐσίας ὁ ἀρχαῖος ὄγκος, οὐκ ἂν οὐδὲ τροφῆς ἐδεόμεθα. σκόπει τοίνυν εἰ κἀνταῦθα τοῖς μὲν ἄλλοις ἅπασιν ἄπορος ὁ λόγος, Ἱπποκράτει δὲ, καὶ τοῖς ἀπ᾽ αὐτοῦ μόνοις εὔπορος. οὐ γὰρ ἄλλό τι τὸ διαπλάσαν ἐξ ἀρχῆς τὸ ζῶον, ὥσπερ οὐδ᾽ αὖθις αὐξῆσαν, ἢ μέχρι τελευτῆς τρέφον, ὅτι μὴ τὸ θερμὸν τοῦτο τὸ ἔμφυτον, ὑπὲρ οὗ νῦν ὁ λόγος ἐστὶν αὐτῷ. τοιγαροῦν τοῦτο πάντων τῶν φυσικῶν ἔργων αἴτιον ὑπάρχον, ἐπειδὴ πλεῖόν ἐστιν ἐν τῷ χειμῶνι, καὶ τὰς ὀρέξεις ἐπιτείνει, καὶ τὰς πέψεις αὐξάνει, καὶ πλέον ἀθροίζει τὸ αἷμα, καὶ παχύνει τὸ σῶμα, καὶ τοῦ κενοῦν τὰ περιττώματα προνοεῖται. τὸ μὲν γὰρ πέριξ θάλπος, οὐ τὰ περιττὰ μόνον, ἀλλὰ καὶ πάνθ᾽ ὁμοτίμως ἐκκενοῖ, διαφοροῦν ἅμα τοῖς περιττοῖς τῶν ἐν τῷ ζώῳ, καὶ τὰ κατὰ φύσιν ἐν αὐτῷ περιεχόμενα, κατὰ τὴν ὑπὸ τῶν ἰατρῶν ὀνομαζομένην ἄδηλον διαπνοήν, ἣν τὸ ἔμφυτον ἐργάζεται θερμόν. οὐ γὰρ δὴ ἄλλο τι τοῖς ζώοις ἡ φύσις ἐστὶν, ἢ τοῦτο κατὰ τὸν Ἱπποκράτους λόγον. δέδεικται δ᾽ ὑφ᾽ ἡμῶν ἐν τοῖς περὶ φυσικῶν δυνάμεσιν, οὐ μόνον ὀρεγομένη καὶ κατεργαζομένη, καὶ προσφύουσα τοῖς μορίοις ἡ φύσις ἑκάστῳ τὴν οἰκείαν τροφὴν, ἀλλὰ καὶ διαφοροῦσα τὰ περιττώματα ταύτης, καὶ ὅσῳπερ ἂν ᾖ ῥωμαλεώτερον τὸ ἔμφυτον θερμὸν, τοσούτῳ μᾶλλον ἐκφεύγει τὴν αἴσθησιν ἡ διαπνοή. καὶ διὰ τοῦτο παρὰ φύσιν εἶναι τοὺς ἱδρῶτας ὁ Διοκλῆς εἶπεν, ὅτι καλῶς ἁπάντων διοικουμένων τῶν κατὰ τὸ σῶμα, καὶ κρατουμένης τῆς τροφῆς ὑπὸ τῆς φύσεως, οὐκ ἄν ποτε αἰσθητὴ διὰ τοῦ δέρματος ὑγρότης ἐκκριθείη. ὅσα γὰρ ἐν βαλανείοις, ἢ γυμναζομένοις σφοδρῶς, ἢ διὰ θερινὸν θάλπος ἱδροῦσιν ἄνθρωποι, βιαίων αἰτίων εἰσὶν ἔγγονα. καλῶς οὖν ἐν τῷ χειμῶνι διοικεῖται πάντα τὰ κατὰ τὸ ζῶον, ὅταν γε μέτριος ὑπάρχει δηλονότι. τὰς γὰρ ἀμέτρους δυσκρασίας, καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐν τοῖς ἐφεξῆς μέμφεται. γνωρίσματα δὲ οὐ σμικρὰ τοῦ καλῶς διοικεῖσθαι πάντα τὰ κατὰ τὸ ζῶον ἐν τῷ χειμῶνι, τῶν κατὰ φύσιν ἔργων ἡ ῥώμη. πέπτεται μὲν γὰρ ἐν τῇ γαστρὶ τὰ σιτία, διότι πλεῖστόν ἐστι τὸ κατὰ φύσιν θερμόν. ὕπνοις τε ἅμα μακροτέροις ἐκκαθαίρεται τὰ περιττώματα τοῦ σώματος, ὅσα μὲν ἀκριβῶς λελέπτυνται διὰ τοῦ δέρματος, ὅσα δὲ ἀτμώδη, διὰ τῆς ἐκπνοῆς. ὅσα δ᾽ ἱκανῶς παχέα, διὰ τῶν οὔρων. ὑφίσταται γὰρ αὐτοῖς πολὺ πλέον, ἢ κατὰ τὸ θέρος, πρὸς τῷ καὶ τὸ πλῆθος τῶν οὔρων ὅλων ἱκανῶς αὐξάνεσθαι κατὰ τὸν χειμῶνα. καὶ μὴν καὶ τρέφεται μὲν, καὶ σαρκοῦται τὰ σώματα μᾶλλον ἐν τῷ χειμῶνι, καὶ πλῆθος αἵματος ἀθροίζει χρηστοῦ, τοῖς γε μὴ παντάπασι μοχθηρῶς διαιτωμένοις. εἰ γὰρ γινώσκεις ὡς ὀλίγαιμόν τε καὶ ἰσχνὸν τὸ σῶμα ἡμῶν παρὰ τοῦ φθινοπώρου, διαδεχόμενος ὁ χειμὼν, εὔχυμόν τε καὶ παχύτερον ἀπεργάζεται, γνωρίσεις οἶμαι τὴν ῥώμην τῆς διοικούσης ἡμᾶς δυνάμεως, ἥτις ἐστὶ τὸ ἔμφυτον θερμόν. ἀλλ᾽ εἰ μὴ τροφῆς ἀπολαύσει δαψιλοῦς τοῦτο, νικηθήσεται μὲν αὐτὸ πρῶτον ὑπὸ τοῦ περιέχοντος κρύους, ἔξωθέν τε προσπίπτοντος, καὶ διὰ τῆς εἰσπνοῆς ἑλκομένου. συναρρωστήσει δ᾽ αὐτῷ, καὶ πέψις σιτίων, καὶ γένεσις αἵματος χρηστοῦ, καὶ θρέψις τῶν τοῦ ζώου μορίων, καὶ περιττωμάτων κένωσις. εἰ δ᾽ ὅλον κρατεῖν δύναται σιτίων ἀπολαῦον τούτων δαψιλῶς, αὐτό τ᾽ ἂν αὐξηθείη, καὶ πάνθ᾽ ὅσα προείρηται διαπράξεται περὶ τὸ ζῶον. ὅτι δ᾽ ἐκ τοῦ προσφέρεσθαι πλείω σιτία, καὶ κατεργάζεσθαι καλῶς οὐκ ἐν τῇ γαστρὶ μόνον, ἀλλὰ κἂν ταῖς φλεψὶ, καὶ παντὶ τῷ τοῦ ζώου μορίῳ, πολὺ μὲν εὐσαρκότερον ἕκαστον ἑαυτοῦ γίνεται, καὶ πολὺ εὐαιμότερον, ἱκανῶς ἐνδείκνυται καὶ τὸ διὰ τῆς πείρας ἐγνωσμένον τοῖς ἀνθρώποις, οὐκ ἐφ᾽ ἑαυτῶν μόνων, ἀλλὰ καὶ τῶν ὑποζυγίων. πρὶν γὰρ ἄρξασθαι τὸ θέρος ἐν τοῖς τελευταίοις τοῦ ἦρος, αἵματος ἀφαιροῦσιν ἑαυτῶν τε κἀκείνων, ἀναμιμνησκόμενοι τῶν καταλαμβανόντων αὐτοὺς νοσημάτων, ὅταν ἐξαίφνης ἐπιγίνηται θέρος θερμόν. ἐκτείνει γὰρ ἤδη πλεῖον τοῦτο καὶ χεῖ τὸ αἷμα, καὶ ὥσπερ τινὰ ζέσιν αὐτοῦ κατασκευάζει, ὡς μηκέτ᾽ ἐν ταῖς φλεψὶ στέγεσθαι τὸ τέως σύμμετρον, ἀλλ᾽ ἤτοι ῥηγνύειν αὐτὰς, ἢ ἀναβιβρώσκειν, καὶ ὅταν ἀμετρότερον ἐφ᾽ ἕν τι μόριον, ὅπερ ἂν ἁπάντων ἀσθενέστερον ᾖ, ῥυῇ, φλεγμονὴν, ἢ ἐρυσίπελας, ἤ τι τοιοῦτον ἕτερον ἐν τούτῳ νόσημα ἐργάζεται. πολὺ γὰρ πλείω τε καὶ μείζω τῶν πληθωρικῶν νοσημάτων, ἐκ τῆς τῶν χυμῶν γίνεται χύσεως. ἅπαντα οὖν ταῦτα μαρτυρεῖ τοῖς ἄλλοις, ὅσα κατὰ τὸν προκείμενον ἀφορισμὸν ὁ Ἱπποκράτης ἐδίδαξε, καὶ τὸ μὴ μόνον δύνασθαι πέττειν πλείω σιτία κατὰ τὴν ὥραν ἐκείνην, ἀλλὰ καὶ δεῖσθαι πλειόνων. ἀνάλογον γὰρ ἀεὶ χρὴ εἶναι τὰ σιτία τῷ πλήθει τῆς ἐμφύτου θερμασίας, πλὴν εἴποτε ὡς ἔφην ἐκ τῆς τοῦ περιέχοντος θερμασίας ἀσθενὴς γενομένη ἡ φύσις, ἀφαιρεῖν ἀναγκάζει. διὸ καὶ περὶ τοῦ ἦρος ἀδιοριστότερον εἰπόντος Ἱπποκράτους, ἐγὼ διορίζομαι. πρῶτον μὲν ὅτι κατὰ τὴν ἀρχὴν ὅμοιόν ἐστι μᾶλλον κράσει χειμῶνος ἢ θέρους. περὶ δὲ τῆς τελευτῆς ἔμπαλιν. εἶθ᾽ ὅτι πολλάκις.

μὲν οἷον χειμῶνος γίνεται ψυχρὸν, ἐνίοτε δὲ οἷόν περ θέρος θερμόν. ἐν μὲν οὖν τοῖς πρώτοις αὐτοῦ μέρεσι κἂν ἐπειδὰν γένηται ποτὲ ψυχρὸν, ὁμοίαν τῇ χειμερινῇ ποιησόμεθα τὴν δίαιταν. ἐν δὲ τοῖς ὑστέροις μέρεσιν ἐπειδὰν γένηται ποτὲ θερμότερον, ὁμοίαν τῇ θερινῇ. μέσου δ' ὄντος τῇ κράσει, καὶ τὴν δίαιταν ἀνάλογον τῇ κράσει ποιησόμεθα. ταῦτα μὲν οὖν πάντα περὶ τῆς τῶν ὑγιαινόντων εἴρηται διαίτης. ἑξῆς δὲ περὶ τῆς τῶν νοσούντων λέγει.

Ὑγραὶ πᾶσαι δίαιται τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι, τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

Ἐν μὲν τοῖς ἔμπροσθεν ἀφορισμοῖς περὶ τοῦ κατὰ τὴν δίαιταν ποσοῦ τὴν διδασκαλίαν ἐποιήσατο, νυνὶ δὲ περὶ τοῦ ποιοῦ διεξέρχεται, πολλὰ καὶ χρήσιμα τῶν κατὰ τὴν τέχνην ἐν βραχυτάτῳ διδάσκων λόγῳ. πρῶτον μὲν ὅπως χρὴ διαιτᾶν τοὺς πυρέττοντας, εἶθ' ὅτι τὰς ἐνδείξεις τῶν ὑγιεινῶν διαιτημάτων, ἀπὸ τῶν παρὰ φύσιν ἐναντίας, ἀπὸ δὲ τῶν κατὰ φύσιν ὁμοίας χρὴ ποιεῖσθαι. τῷ μὲν γὰρ πυρετῷ, διότι θερμὸν καὶ ξηρὸν ὑπάρχει πάθος, ἔστι γὰρ τροπὴ τῆς ἐμφύτου θερμασίας ἐπὶ τὸ πυρῶδες, ὑγρὰν δίαιταν συμβουλεύει. ταῖς δ' ὑγροτέραις φύσεσιν, εἴτε διὰ ἡλικίαν, εἴτε διὰ ἔθος, οὐ τὴν ἐναντίαν, ἀλλὰ τὴν οἰκείαν. φυλάττεσθαι γὰρ αὐτῶν δεῖ διὰ τῶν ὑγρῶν τὴν φύσιν οὐκ ἀνασκευάζεσθαι, καθάπερ τὰ νοσήματα. ὅσοι δὲ τοὺς ἅμα πυρετοῖς ὑδέρους προχειριζόμενοι τῷ λόγῳ, διαβάλλειν οἴονται τὸν ἀφορισμὸν, ὡς οὐ χρηζόντων ἐκείνων ὑγρᾶς, ἀλλὰ ξηρᾶς διαίτης, ἀγνοοῦσιν ἀναγκαιότατον τι τῆς θεραπευτικῆς μεθόδου κεφάλαιον, ὅπερ ἡμεῖς ἐπὶ πλέον ἐν ἐκείνῃ τῇ πραγματείᾳ διεληλύθαμεν, ὡς ἕκαστον μὲν τῶν ἁπλῶν παθῶν ἰδίας δεῖται θεραπείας. ἐπιπλεκομένων δ' ἀλλήλοις εἰς ὅλον αὖ ἐπιπλέκεται, εἰς τοὐναντίον ἔξει κοινὴν καὶ τὴν τῆς θεραπείας ἔνδειξιν. ἤτοι πρὸς τὸ κατεπεῖγον ἡμῶν ἱσταμένων μετὰ τοῦ μηδὲ ἑτέρων παντάπασιν ἀμελεῖν, ἢ ὁμοτίμως ἅπασι βοηθούντων. τὸ δὲ τῶν πυρεσσόντων ὑδρωπικῶν μεμνῆσθαι, τοιοῦτον ἐστὶν, οἷον καὶ τὸ τῶν αἷμα πτυόντων πλευριτικῶν. καὶ γὰρ ἐπὶ τούτων ἐναντίας μὲν δεῖται θεραπείας τὰ πάθη, αἵματος ἀναγωγὴ, καὶ πλευρῖτις. ἀλλ' εἴπερ ἅμα συμβαίνῃ τινὶ πρὸς τὸ κατεπεῖγον, ἵστασθαι μᾶλλον ἐν αὐτοῖς χρὴ, μὴ ἀμελοῦντας μηδὲ τοῦ ἑτέρου. οὕτως οὖν εἰ πυρέττει τις ἅμα καὶ ὑδρωπικὴν ἔχει διάθεσιν, εἰς ἄμφω τὰ πάθη βλέποντες ἐναντίας θεραπείας δεόμενα, πρὸς ἑκάτερον αὐτῶν τῶν παθῶν εὐμηχάνως ἱστάμεθα, καθάπερ ἐν τοῖς ἄλλοις ἅπασι τοῖς οὕτως ἐπιπλεκομένοις. οὐκοῦν τοιοῦτον οὐδὲν οὐδ' ἡμεῖς δρῶμεν, οὐδ' ἕτερος λέγοντος, πειρασόμεθα. καὶ ἔτι μὴ ῥητῶς ὠνόμασται κατὰ τὸν ἀφορισμὸν, ἐκ τῆς αὐτῆς ὑπάρχον τῆς εἰρημένης κρίσεως, καὶ τοῦθ' ἡγητέον εἰρῆσθαι δυνάμει, ἡλικίας μὲν γὰρ ἐμνημόνευσε καὶ ἔθους. σὺ δ' αὖ καὶ τῆς φυσικῆς κράσεως, καὶ ὥρας, καὶ χώρας εὐλόγως μνημονεύσεις, ἅπερ ἐνίοτε καὶ αὐτὸς μὲν Ἱπποκράτης προστίθησιν, ἐνίοτε δ' ἑνὸς ἢ δυοῖν μνημονεύσας, τὰ λοιπὰ τῶν ἐκ τῆς αὐτῆς συστοιχείας παραλείπει. γίνονται δὲ καὶ ἀπὸ τούτων ἐνδείξεις, ὥσπερ ἔμπροσθεν ἀπό τε τῆς ἡλικίας ἐρρέθη, καὶ τοῦ νοσήματος. ὅσα μὲν ἀμεμπτα, φυλαττόντων ἡμῶν αὐτὰ τοῖς ὁμοίοις τῇ κράσει διαιτήμασιν. ὅσα δὲ μεμπτὰ, τοῖς ἐναντίοις ἐπανορθουμένων. εἴρηται δὲ τελεώτερον περὶ πασῶν ἐνδείξεων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι.

Καὶ οἷσιν ἅπαξ, ἢ δὶς καὶ πλείω, ἢ ἐλάσσω καὶ κατὰ μέρος. δοτέον δέ τι καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ, καὶ τῷ ἔθει.

Ἐπειδὴ τὸν περὶ τῆς ποσότητος καὶ ποιότητος ἐποιήσατο λόγον, ἑξῆς ἡμᾶς διδάσκει περὶ τοῦ τρόπου τῶν προσφερομένων. οὐ γὰρ ἱκανὸν αὐτὸ τοῦτο μόνον, ὅτι τῷδε πλέον ἢ ἔλαττον δοτέον γινώσκειν, ἢ ὅτι ξηραινούσῃ χρηστέον, ἢ ὑγραινούσῃ τροφῇ, ἀλλ' εἰ καὶ ἅπαξ, ἢ καὶ πλεονάκις ἑκάστης ἡμέρας ἢ νυκτὸς, εὔλογον οὖν προσφέρειν τὰς τροφὰς, ἀναγκαιότατα οὐκ οὖν. καὶ πρὸς ταῦτ' οὖν ἀπό τε τῆς ὥρας, καὶ τῆς ἡλικίας, καὶ τοῦ ἔθους ἔνδειξιν λαμβάνειν, καθάπερ ἐπὶ τοῦ ποσοῦ, καὶ τοῦ ποιοῦ. πρῶτοι μὲν γὰρ σκοποὶ καὶ πρὸς ταῦτα, τά τε νοσήματα αὐτὰ, καὶ ἡ τοῦ κάμνοντος δύναμις, ἔτι τε ἡ ἡλικία καὶ ἡ ὥρα καὶ ἔθος, ὅσα τἄλλα τούτοις ἀνάλογα, καὶ διὰ τοῦτο, καὶ αὐτὸς ὁ Ἱπποκράτης προσέθηκεν τὸ, δοτέον δέ τι καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ, καὶ τῷ ἔθει. σαφῶς δηλῶν διὰ τῆς δοτέον δέ τι φωνῆς, ὡς οὔτε τὸ πᾶν, οὔτε τὸ μέγιστον ἀπὸ τῶν τοιούτων λαμβάνει. τὸ γὰρ εἴτε πολλάκις, εἴτ' ὀλιγάκις, εἴτ' ὅλως χρὴ τρέφειν, ἀπό τε τοῦ νοσήματος, καὶ τῆς δυνάμεως πρῶτον μάλιστα λαμβάνεται. μετὰ ταῦτα δὲ καὶ ἀπὸ τῆς ὥρας, καὶ τῆς ἡλικίας, καὶ τῶν τοιούτων. εἰ μὲν γὰρ ἥ τε δύναμις εἴη τοῦ κάμνοντος ἀσθενὴς, καὶ ἡ κατὰ τὸ σῶμα διάθεσις, ἤτοι κατὰ διαφθορὰν ἢ κατ' ἔνδειαν, ὀλίγην τροφὴν πολλάκις τοῖς τοιούτοις δώσομεν, ὀλίγην μὲν, ὅτι μὴ δύναται φέρειν, εἰς ἅπαξ ἀθρόον πλῆθος, ἄρρωστος δύναμις, πολλάκις δὲ ὅτι πολλῶν ἡ διάθεσις δεῖται. καὶ γὰρ ἡ ἔνδεια τῆς προσθέσεως δεῖται, καὶ ἡ διαφθορὰ τῆς ἐπικράσεως. εἰ δ' ἀσθενούσης τῆς δυνάμεως, μήτ' ἔνδεια τις συνυπάρχει, μήτε διαφθορὰ, συμμετρία δὲ τῶν κατὰ φύσιν εἴη χυμῶν, ἢ καὶ πλῆθος, ὀλιγάκις τε καὶ ὀλίγα τούτοις δώσομεν. ἔτι δὲ μᾶλλον εἰ τῆς δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης πλῆθος χυμῶν εἴη. εἰ δὲ μετ' ἐνδείας, ἢ διαφθορᾶς ἡ δύναμις ἐρρωμένη τύχοι, καὶ πολλὰ καὶ πολλάκις σιτία τοῖς οὕτω κάμνουσι δώσομεν, ὡς αὖ καὶ τῆς διαθέσεως δεομένης πολλῶν, καὶ τῆς δυνάμεως κρατεῖν αὐτῶν δυναμένης. μὴ συγχωρούντων δὲ τῶν παροξυσμῶν, μηδὲ πολλοὺς τῆς τροφῆς ἡμῖν καιροὺς παρεχόντων, ὀλιγάκις δώσομεν τὰ πολλά. τῆς μέντοι δυνάμεως ἰσχυρᾶς οὔσης μετὰ πληθωρικῆς διαθέσεως, ὀλιγάκις ὀλίγα δώσομεν. εἰ γὰρ καὶ τὸ κατεργαζόμενον ἔχοιμεν εὔρωστον, ἀλλὰ τῆς γε διαθέσεως μὴ δεομένης πολλῶν, εὔλογον ὀλίγα προσφέρειν. οὕτω μὲν ἀπό τε τοῦ νοσήματος, καὶ τῆς δυνάμεως εἰς τὰ προκείμενα τὰς ἐνδείξεις ληπτέον. ἀπὸ δὲ τῆς ὥρας καὶ τῆς ἡλικίας, καὶ τοῦ ἔθους, καὶ ὅσα τἄλλα τούτοις ἀνάλογα, ὧδε. κατὰ μὲν τὴν θερινὴν ὥραν, οὖσαν ἐπ' αὐτῇ τῇ ὥρᾳ, πολλάκις ὀλίγα δοτέον, ὅτι καὶ δέονται προσθήκης πλείονος, ὡς αὖ καὶ διαφορούμενοι, καὶ ὅτι ἡ δύναμις αὐτῶν ἐστὶν ἀσθενής. κατὰ δὲ τὴν χειμερινὴν πολλὰ μὲν διὰ τὴν ῥώμην τῆς δυνάμεως, οὐ πολλάκις δέ. οὐ γὰρ δέονται πάνυ πολλῆς προσθήκης οἱ κάμνοντες, ἅτε μηδὲ

πολλὰ

πολλὰ κινούμενοι. τοὺς γὰρ ὑγιαίνοντας ἔμπροσθεν ἐδείξαμεν ἱκανῶς κινουμένους ἐν χειμῶνι, διότι πλεῖον ἔχουσι τὸ ἔμφυτον θερμόν. μετὰ δὲ τὸν μέσον ἔτι τὸ ἔαρ. ἔστι δὲ καὶ μᾶλλον ὅταν ἐγγὺς ᾖ τοῦ θέρους ὀλίγοις τε καὶ διὰ πολλοῦ θρέψομεν. κινδυνεύει γὰρ ἤδη ἡ ὥρα πληθωρικῆς εἶναι διαθέσεως ἐγγὺς, διὰ τὴν τῶν ἐν χειμῶνι περιηγέτων χύσιν. ὥσπερ οὖν ἐν ταῖς πληθωρικαῖς διαθέσεσιν ὅταν ἡ δύναμις ἰσχύῃ, τὴν τροφὴν ὀλίγην τε καὶ διὰ πολλοῦ χρόνου δίδομεν, οὕτω καὶ κατὰ τὴν ἐαρινὴν ὥραν ποιητέον ἐπὶ τῶν πυρεσσόντων μάλιστα, ὑπὲρ ὧν ὁ λόγος οὗτος ἐστὶ τῷ Ἱπποκράτει. τὴν γὰρ τῶν ὑγιαινόντων δίαιταν, ἔμπροσθεν ἐδίδαξε. τὸ δὲ φθινόπωρον τοῖς κατὰ διαφθορὰν ἐνοχλοῦσι νοσήμασιν ἔοικεν, διὸ καὶ τῆς χρήσεως προσθέσεως συνεχοῦς οἱ τότε πυρέσσοντες δέονται, κἂν ἡ δύναμις ἰσχυρὰ εἴη, πολλάκις καὶ πολλὰ δώσομεν αὐτοῖς. εἰ δ᾽ ἀσθενὴς, ὀλίγα πολλάκις. παραπλησίως δ᾽ ἄν τις καὶ ἀπὸ τῶν ἡλικιῶν καὶ ἀπὸ τῶν ἐθῶν καὶ τῶν ἀπὸ χωρῶν λαμβάνῃ, τὰς ἐνδείξεις εἰς τοὺς πρώτους δύο σκοποὺς ἀνάγων αὐτάς. ἕκαστον γὰρ τῶν εἰρημένων, ἤτοι ἰσχυρὰν ἢ ἀσθενῆ τὴν δύναμιν ἐργάζεται, καὶ ἤτοι πληθωρικὸν, ἢ ἐνδεὲς, ἢ κακόχυμον τὸ σῶμα.

Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον.

Οὐ δὶς ὑπὲρ τῶν αὐτῶν ὥς ἄν τις οἰηθείη διῆλθεν, ἔμπροσθεν μὲν γράψας τὸν ἀφορισμὸν ἐκεῖνον οὗ ἡ ἀρχὴ, αἱ κοιλίαι χειμῶνος, καὶ ἦρος θερμόταται φύσει. νυνὶ δὲ πάλιν ὡς θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον. ἀλλ᾽ ἐπειδὴ πρός τε τὸ ποσὸν τῆς διαίτης καὶ πρὸς τὸν τρόπον τῆς χρήσεως τῶν σιτίων, ἐπί τε τῶν ὑγιαινόντων καὶ τῶν νοσούντων ἀπὸ τῶν ὡρῶν ἔνδειξίν τινα λαμβάνει, δεόντως ἐν ἀμφοτέροις μνημονεύουσιν. ἐκεῖ μὲν δείξας, ὡς τὰ προσάρματα τοῖς ὑγιαίνουσι πλείω διδόναι χειμῶνος, διότι τὸ ἔμφυτον θερμὸν πλεῖον, καὶ τρέφεσθαι δεῖται. νυνὶ δὲ ὅτι κἂν ἅπαξ αὐτοῖς πολλὰ δοίης, οὐ βλάψεις. εὐφόρως μὲν γὰρ φέρουσιν ἅπαντες πλῆθος σιτίων ἐν χειμῶνι, δυσφόρως δ᾽ ἐν θέρει. κατὰ τοῦτο ἐν χειμῶνι μὲν ὀλιγάκις τε καὶ πολλὰ προσφέρεσθαι σιτία συγχωρητέον. ἐν θέρει δ᾽ ἐπειδὴ δυσκόλως φέρουσι τὰ σιτία, διότι τὸ πέττον αὐτὰ καὶ κατεργαζόμενον τὸ ἔμφυτον θερμὸν ὀλίγον ὑπάρχει, τὸ μὲν ἀθρόον διδόναι ἅπαντι τρόπῳ φευκτέον, ἐπιχειρητέον δὲ συνεχέστερον ὀλίγα προσφέρειν. ἡ γὰρ τοῦ σώματος διάθεσις ὁμοία τοῖς κατ᾽ ἔνδειαν οὖσιν νοσήμασι, προσθήκης δεῖται. χειμῶνος μὲν οὖν καὶ θέρους, οὕτως ἔχουσι. τῶν δ᾽ ἄλλων δυοῖν ὡρῶν, τὸ μὲν φθινόπωρον ἐφεξῆς θέρει, τὸ δ᾽ ἔαρ χειμῶνι, καὶ ἡ αἰτία πρόδηλος. ἐμψύχεσθαι μὲν γὰρ ἄρχεται καὶ συνάγεσθαι καὶ πυκνοῦσθαι τὰ σώματα τῷ φθινοπώρῳ, χαλᾶσθαι δὲ καὶ ἀραιοῦσθαι τῷ ἦρι. διά γε οὖν ταῦτα δὶς οὐκ εἴρηται τοῦτο τὸ ὑπὲρ τῶν ὡρῶν παράγγελμα, ἣ καὶ ὅτι κατ᾽ ἐκεῖνον τὸν ἀφορισμὸν, ὑπὲρ τῶν ὑγιαινόντων ὁ λόγος ἦν αὐτῷ.

Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι μηδ᾽ ἀναγκάζειν, ἀλλ᾽ ἀφαιρέειν τῶν προσθέσιων πρὸ τῶν κρισίων.

Τριῶν οὖν ὄντων κεφαλαίων διαιτητικῶν, τοῦ ποσοῦ τῶν σιτίων, καὶ τοῦ ποιοῦ, καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν. εἰς μὲν τὰ πρότερον δύο κεφάλαια παρὰ τῶν παροξυσμῶν, οὐδὲν ἡμῖν ἐγγίνεται λυσιτελές. εἰς δὲ τὸ τρίτον, ἔνεστί τι γοῦν ἐκ τῶν παροξυσμῶν λαβεῖν. δεόντως οὖν καὶ ὁ Ἱπποκράτης ἐμνημόνευσεν αὐτῶν ἐν τῷ τρίτῳ κεφαλαίῳ. τοὺς καιροὺς γὰρ τῶν κατὰ μέρος τροφῶν, οἱ παροξυσμοὶ μάλιστα διδάσκουσιν ἐν οἷς γε νοσήμασι τεταγμένως ἀπαντῶσι, τουτέστι μετὰ περιόδου, καὶ διὰ τοῦτο καὶ αὐτὸς Ἱπποκράτης εἶπε, τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι. εἰδὼς ὅτι καὶ ἄλλοι τινὲς εἰσὶν οἳ παροξύνονται μὲν ἐν νόσοις, οὐ μὴν κατὰ περιόδους, τουτέστιν οὐ τεταγμένως. ἐπ᾽ ἐκείνων μὲν οὖν οὐδὲ δυνατόν ἐστιν ἀκριβῶς ἐξευρεῖν τὸν καιρὸν τῆς προσφορᾶς. ἐφ᾽ ὧν δὲ τὰ τῶν παροξυσμῶν τέτακται, φυλακτέον ἐστὶ τὰς ἀρχὰς αὐτῶν, τουτέστιν ὅπως μήτ᾽ ἤδη γεγονότος, μήτε ὅσον οὔπω γενησομένου τρέφωμεν. τὸ δὲ πρὸ τῶν κρίσεων ἤτοι πρὸ τῶν παροξυσμῶν ἁπάντων ἁπλῶς, ἢ πρὸ τῶν κυρίως λεγομένων κρίσεων ἀκουστέον ἐστὶν, ἢ πρὸ τῶν ἀκμῶν. ἀληθῆ γὰρ τὰ τρία. μᾶλλον δ᾽ ἂν δόξειεν ἁρμόττειν ἐν τοῖς προκειμένοις τὸ πρὸ τῶν παροξυσμῶν ἁπλῶς. περὶ γὰρ τῆς ἀκμῆς ἔμπροσθεν εἴρηται, καὶ περὶ ἐκείνης δηλονότι, καὶ περὶ τῆς κρίσεως. ἐν ταῖς ἀκμαῖς γὰρ τὸ πλεῖστον αἱ κρίσεις.

Τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως μὴ κινέειν μηδὲ νεωτεροποιέειν, μήτε φαρμακίῃσι μήτ᾽ ἄλλοισιν ἐρεθισμοῖσι χρῆσθαι, ἀλλ᾽ ἐᾶν.

Τὸν περὶ διαίτης συμπληρώσας λόγον, ἐφ᾽ ἕτερον μεταβαίνει κεφάλαιον, ἐν ᾧ διδάσκει πότε μὲν, ἐπιτρεπτέον ἐστὶ τῇ φύσει τὸ πᾶν αὐτῇ περὶ τῶν νοσούντων διαπράττεσθαι, μηδὲν ἡμῶν ἄλλο διαπραγματευομένων, ὅτι μὴ τὸ κατὰ τὴν δίαιταν. ποτὲ δὲ οὐ μόνον τῇ φύσει τὸ πᾶν ἐπιτρεπτέον, ἀλλά τι καὶ αὐτοὺς πραγματεύεσθαι. ἔνθα μὲν οὖν φησὶν, ἤτοι γέγονεν ἤδη τελεία ἡ κρίσις, ἢ γίνεται, τῇ φύσει τὸ πᾶν ἐπιτρέπειν χρὴ, καὶ μηδὲν αὐτοὺς νεωτεροποιεῖν, ἔνθα δ᾽ ἐλλιπῶς κρίνεται, τὸ λειπὸν αὐτοὺς προστιθέναι. τοῦτο δὲ ἔλεγε κἂν τῷ περὶ χυμῶν κατὰ τήνδε τὴν λέξιν, τὰ κρινόμενα ἀπαρτὶ μὴ κινεῖν, μήτε φαρμακίοισι, μήτε ἄλλοισιν ἐρεθισμοῖσι νεωτεροποιεῖν, ὅπερ γὰρ ἀρτίως ἐν τοῖς ἀφορισμοῖς ἔφη, τοῦτο ἐν ἐκείνῳ τῷ βιβλίῳ μεταβαλὼν, ἀπαρτὶ ὠνόμασεν. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις παλαιοῖς τοὔνομα τὸ ἀπαρτὶ, κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ ἀπηρτισμένως καὶ ὁλοκλήρως, καὶ ἀνελλιπῶς, ὅπερ αὐτὸ καὶ τὸ ἀρτίως νῦν σημαίνει. οὐ γὰρ δὴ τό γε ἐν ἀρτίαις ἡμέραις, ψεῦδος γὰρ δὴ τοῦτο ἐναργῶς. εἴ τις ἐν ἀρτίαις ἡμέραις ἢ ἐκρίθη, ἢ κρίνεται, μηδὲν ἐπὶ τούτων νεωτεροποιεῖν. οὐ μὴν οὐδὲ τὸ πρὸ ὀλίγου δηλοῖ τὸ ἀρτίως ἐν ταύτῃ τῇ ῥήσει. δῆλον δὲ μάλιστα μὲν ἐκ τοῦ ῥητοῦ τοῦ ὑποφερομένου. οὐ γὰρ εἶπεν ἁπλῶς τὰ κεκριμένα ἀρτίως, ἀλλὰ τὰ κρινόμενα, καὶ τὰ κεκριμένα. τούτων δὲ τὰ μὲν κεκριμένα τάχα ἂν ὁμολογήσειε τῷ ἀρτίως. τὰ δὲ κρινόμενα, κατ᾽ οὐδένα τρόπον, ἀλλὰ κἀξ αὐτῶν τῶν πραγμάτων τῆς ἀληθείας δῆλον. οὐ δήπου γὰρ εἴ τι πρὸ ὀλίγου κέκριται, τοῦτο οὐ χρὴ νεωτεροποιεῖν. ἀλλ᾽ εἰ μὲν τελέως τε καὶ ἀνελλιπῶς καὶ ὁλοκλήρως, ἀληθὲς ἂν εἴη τὸ λεγόμενον, εἰ δ᾽ ἐλλιπῶς κατά τι, τὸ λεῖπον αὐτῶν χρὴ προστιθέναι. τὰ γὰρ μετὰ

κρίσιν ὑπολειπόμενα, ὑποστροφὰς ποιεῖ. τίς οὖν ἐστιν ἡ τελεία καὶ ἀνελλιπὴς κρίσις; ἢ δηλονότι καθ' ἣν πάντα καλῶς γίγνεται, καὶ μηδὲ εἷς ἀριθμὸς ἐλλείπεται τῶν κριτικῶν; πρῶτον μὲν γὰρ ἀμείνων ἡ κατὰ κένωσιν τῆς κατὰ ἀπόστημα, εἶτα ἡ κατὰ τὸν λυποῦντα καὶ πλεονάζοντα χυμὸν τῆς ἄλλον τινὰ κενούσης, καὶ τρίτον, ἡ κατ' ἴξιν τῆς μή. κατ' ἴξιν δὲ αὐτὸς ὀνομάζει, τὸ κατ' εὐθυωρίαν. ἐπὶ ταύταις ἡ μετ' εὐφορίας, εἶθ' ἡ μετὰ πέψεως, ἐν ἡμέρᾳ κρισίμῳ. ταῦτα γὰρ πάντα χρὴ παρεῖναι τῇ τελείᾳ κρίσει. ἀπόντος δ' αὐτῶν τινὸς, ἢ καὶ πλειόνων οὐκ ἀκριβὴς, ἀλλ' ἀπηρτισμένη κρίσις ἂν εἴη.

Ἃ δεῖ ἄγειν, ταύτῃ ἄγειν ὅκου ἂν μάλιστα ῥέπῃ ἡ φύσις διὰ τῶν ξυμφερόντων χωρίων.

Τίνα δή ποτε ἐστὶν ἃ δεῖ ἄγειν, δηλονότι τὰ μήτε κρινόμενα, μήτε κεκριμένα ἀρτίως. ταῦτα οὖν διὰ τινὸς ἐκκενοῦν χρὴ μορίου διδάσκει, σκοπὸν ἡμῖν διδοὺς διττὸν, αὐτήν τε τοῦ μορίου τὴν φύσιν καὶ τὴν ῥοπὴν τοῦ χυμοῦ. ὅπως γὰρ ἄν φησι ῥέπῃ τῶν ξυμφερόντων χωρίων, ταύτῃ ἄγειν. ξυμφέροντα δ' ἐστὶ χωρία κενώσεσιν ἔντερά τε καὶ γαστὴρ, καὶ κύστις, καὶ μήτρα, καὶ σύμπαν τὸ δέρμα, καὶ πρὸς τούτοις αἵ θ' ὑπερῷαι τε καὶ ῥῖνες. ὅταν ἤτοι τὸν ἐγκέφαλον ἐκκαθαίρωμεν, ἢ καθ' αἱμορραγίαν ἡ κρίσις γίνεται, καὶ μάλιστα εἰ κατ' ἴξιν, ὅπερ ἐστὶ κατ' εὐθὺ τοῦ πεπονθότος μορίου. τὰ γὰρ ἀνάπαλιν αἱμορραγέοντα, κακόν. εἰς ἀσύμφορα δὲ χωρία αἱ ῥοπαὶ τῶν λυπούντων χυμῶν γίνονται, ὅταν ἤτοι κύρια ταῦτα τὴν φύσιν ὑπάρχῃ, καὶ μείζων ἡ ἐξ αὐτῶν ἔσεσθαι βλάβη μέλλει, τῆς τοῦ κρινομένου νοσήματος ἀξίας, ἢ ὅταν μηδεμίαν ἔκκρισιν ἔχῃ. παραδείγματος δ' ἕνεκα τῶν καθ' ἧπαρ λυπούντων ἐκκενοῦσθαι χρῃζόντων, ἐπιτήδειοι ῥοπαὶ διτταί. ἡ μὲν ἑτέρα κατὰ τὴν γαστέρα, καὶ ταύτης αὐτῆς βελτίων ἡ κάτω, τῆς δι' ἐμέτων. ἡ δ' ἑτέρα τῶν κατὰ νεφροὺς τε καὶ κύστιν, οὐ μὴν ἥ γε εἰς πνεύμονα καὶ θώρακα καὶ καρδίαν ἀγαθή. προσέχειν οὖν χρὴ τὸν ἰατρὸν τῇ ῥοπῇ τῆς φύσεως, εἶτ' ἐπιτηδείως μὲν γινομένης ὑπηρετεῖν τε ἅμα καὶ συνεργεῖν, εἰ δ' ἐναντίως τε ἅμα καὶ βλαβερῶς γίγνοιτο, κωλύειν τε ἅμα καὶ μετάγειν καὶ ἀντισπᾶν.

Πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ, μηδ' ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ. τὰ δὲ πολλὰ οὐκ ὀργᾷ.

Τὸ μὲν φαρμακεύειν ἔθος ἐστὶν αὐτῷ λέγειν, ἀντὶ τοῦ χρῆσθαι φαρμάκῳ καθαίροντι. τὸ δ' ὀργᾷν, ἀπὸ τῶν ὀργώντων ζώων μετενήνοχεν ἐπὶ τοὺς χυμοὺς, καθ' ὃν γὰρ τρόπον ἐκεῖνα ἡσυχάζειν οὐ δύνανται, γαργαλιζόμενά πως καὶ κινούμενα καὶ διανιστάμενα πρὸς τὸ πάθος, οὕτω καὶ οἱ χυμοὶ πολλάκις ἐν κινήσει σφοδροτέρᾳ καὶ μεταρρύσει μορίων εἰς μόρια, κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐνοχλοῦσι τὸν ἄνθρωπον, κινοῦντες καὶ γαργαλίζοντες, καὶ ἡσυχάζειν οὐκ ἐπιτρέποντες, ἀλλ' αὐτοί τε κινούμενοι καὶ μεταρρέοντες, ἐνοχλοῦντές τε τῇ τοιαύτῃ φορᾷ τὸν κάμνοντα. τοὺς μὲν δὴ τοιούτους ἐκκενοῦν προσήκει, τουτέστι τοὺς ἐν κινήσει καὶ φορᾷ καὶ ῥύσει. τοὺς δ' ἤδη καθ' ἕν τι μόριον ἐστηριγμένους, οὔτ' ἄλλῳ τινὶ βοηθήματι χρὴ κινεῖν, οὔτε φαρμακεύειν πρὶν πεφθῆναι. τηνικαῦτα γὰρ ἤδη καὶ τὴν φύσιν ἔχομεν βοηθοῦσαν τῇ κενώσει. φαίνεται γάρ τοι καὶ αὐτὴ μετὰ τὰς πέψεις διακρίνουσά τε τοὺς χυμοὺς, ἀπωθουμένη τε τὸ περιττὸν, ἐν ᾧ δὴ καιρῷ καὶ αἱ κρίσεις γίνονται. ἀλλὰ τελέως μὲν αὐτῆς κινουμένης, οὐδενὸς δεῖ φαρμάκου. μετριώτερον δὲ καὶ ἀσθενέστερον ἐνεργούσης, τὸ λεῖπον αὐτοὺς χρὴ προστιθέναι φαρμακεύοντας, ἵν' ἐξ ἀμφοῖν ἡ τοῦ λυποῦντος χυμοῦ γένηται κένωσις, ἀπωθουμένης μὲν τῆς φύσεως, ἑλκόντος δὲ τοῦ φαρμάκου. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἡ μὲν φύσις ἑκάστου τῶν μορίων τέτρασι δυνάμεσι χρωμένη, ἑλκτικῇ τε τοῦ οἰκείου, καὶ καθεκτικῇ τοῦ αὐτοῦ, καὶ πρὸς ταύτῃ πεπτικῇ, καὶ τετάρτῃ τῶν ἀλλοτρίων ἀποκριτικῇ, ἕκαστον δὲ τῶν φαρμάκων τὸν οἰκεῖον ἑαυτῷ χυμὸν ἐπισπώμενον ἐστί. καλῶς δὲ προσέθηκε τῷ λόγῳ, τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. καὶ χρὴ τοῦτο διδαχθῆναι παρὰ τῆς ἐμπειρίας, ὡς αἱ μεταρρύσεις ἄλλοτ' εἰς ἄλλο μόριον τῶν χυμῶν ὀλιγάκις γίνονται. τὰ πλείω δ' ἡσυχάζει καὶ μένει καθ' ἕν τι μόριον, ἐν ᾧ καὶ πέττονται παρ' ὅλον τοῦ νοσήματος χρόνον ἄχρι λύσεως. χρὴ δὲ γινώσκειν, ὅτι ἔν τισι τῶν ἀντιγράφων ὁ ἀφορισμὸς οὗτος οὐ γέγραπται. κατὰ μέντοι τὸ περὶ χυμῶν, ἐν ἅπασι γέγραπται.

Τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν χωρέῃ, οἷα δεῖ καὶ φέρῃ εὐφόρως, καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέσῃ ὁ νοσέων.

Εἴθ' ὑπὸ φύσεως, εἴθ' ὑφ' ἡμῶν ἡ κένωσις γίνοιτο, χρὴ πάντως ὡρίσθαι τι μέτρον αὐτῆς. ὡς γὰρ τῇ ποιότητα κατὰ τὸν λυποῦντα χρὴ κενοῦσθαι χυμὸν, οὕτω δηλονότι καὶ τὴν ποσότητα τῷ πλήθει τοῦ λυποῦντος ἁρμόττειν. ἀλλὰ τῆς μὲν ποιότητος, τὰς διαγνώσεις ἔμπροσθεν εἴπομεν, ἡνίκα τὸν ἀφορισμὸν ἐξηγούμεθα, οὗ ἡ ἀρχὴ, ἐν τῇσι ταραχῇσι τῆς κοιλίας καὶ τοῖσιν ἐμέτοισι. ποσότητος δ' οὐδὲν πιστὸν ἔχομεν εἰπεῖν γνώρισμα. διὰ τοῦτ' οὖν ἐπ' αὐτῆς ἔδωκεν ὁ Ἱπποκράτης ἡμῖν κριτήριον τὴν εὐφορίαν. εἰ μὲν γὰρ τὸ πλεονάζον ἐκκενοῖτο, κουφότερον ἑαυτοῦ τὸν κάμνοντα καὶ εὐφορώτερον ἀνάγκη γίνεσθαι. εἰ δ' ἔτι καὶ τὸ κατὰ φύσιν ἐκκρίνοιτο, καταλύεσθαί τε καὶ ἀρρωστεῖν αὐτοῦ τὴν δύναμιν αἰσθάνεσθαί τε δυσφορίας, ὥστε μὴ τῇ προχείρῳ φαντασίᾳ τῆς ποσότητος τῶν κενουμένων προσέχειν τὸν νοῦν, ἀλλὰ τοῖς εἰρημένοις δύο γνωρίσμασιν, εἰ οἷα δεῖ κενοῦται, καὶ εἰ μετ' εὐφορίας. τὸ δ' ἐφεξῆς εἰρημένον ὑπ' αὐτοῦ, τὸ καὶ ὅκου δεῖ ἄγειν μέχρι λειποθυμίας, ὀρθῶς μὲν λέλεκται. προσγεγράφθαι δὲ χρὴ τὰ γνωρίσματα τῆς χρήσεως. ἐπεὶ τοίνυν ἐκεῖνος οὐκ εἶπεν, ἡμεῖς ἐξ ὧν αὐτῇ τῇ τε πείρᾳ καὶ τῷ λόγῳ δοκοῦμεν εὑρηκέναι τὰς διαθέσεις, ἐφ' ὧν ἁρμόττει τὸ μέχρι τῆς λειποθυμίας κενοῦν, ἐροῦμεν. καὶ πρῶτόν γε τὸ μέχρι ποίας λειποθυμίας εἴρηται ὑπ' αὐτοῦ, διορίσασθαι δίκαιον. οὐ γὰρ δὴ τάς γε τοιαύτας λέγει λειποθυμίας, ὅσαι φοβηθέντων ἐνίοτε τῶν καμνόντων, ἢ τὴν τῆς φλεβὸς διαίρεσιν, ἤ τι τοιοῦτον ἄλλο βοήθημα γίνονται. οὐ μὴν οὐδ' ὅταν ἐν τῷ στόματι τῆς γαστρὸς ὑπάρχωσι δακνώδεις χυμοί τινες, ἤτοι πρότερον ἠθροισμένοι κατ' αὐτὴν, ἢ κατὰ τὴν τοῦ βοηθήματος χρῆσιν συρρυέντες, λειποθυμίαν παρέχον. λειποθυμοῦσι μὲν γὰρ καὶ τότε, οὐ μὴν ἱκανόν γε μέτρον κενώσεως ἡ τοιαύτη λειποθυμία, πρὸ τοῦ δέοντος ἐνίοτε γινο-

τε γινομένη, καθάπερ καὶ ἐπ' αὐτοῦ τοῦ διαναστῆναί τε καὶ καθίσαι πολλάκις ἐλειποθύμησαν ἔνιοι τῶν πυρεττόντων, διὰ δὴ καὶ κατακειμένους αὐτοὺς φλεβοτομοῦμεν. ἡ τοίνυν κατὰ τὸν λόγον τῆς κενώσεως ἐπιγιγνομένη λειποθυμία, νῦν εἰρηται πρὸς Ἱπποκράτους, μετὰ γινομένη τῆς κενώσεως, ἐπὶ τε μεγίστων φλεγμονῶν, καὶ πυρετῶν διακαεστάτων, καὶ ἀλγημάτων σφοδροτάτων. χρὴ δὲ ὡς καὶ αὐτὸς εἶπεν, ἐῤῥωμένης τῆς δυνάμεως ἐπιχειρεῖν ἐπὶ τοσοῦτον κενοῦν. καὶ ἡμεῖς πάνυ πολλάκις πεπειράμεθα τῶν τοιούτων κενώσεων ἰσχυρῶς ὠφελουσῶν. ἐν τε γὰρ τοῖς θερμοτάτοις πυρετοῖς, ἡ μέχρι λειποθυμίας φλεβοτομία, κατάψυξίν τε παραχρῆμα τῆς ὅλης ἕξεως ἐργάζεται, καὶ σβέννυσι τὸν πυρετόν. καὶ δὴ καὶ ἡ γαστὴρ διαχωρεῖ τοῖς πλείστοις, καὶ ἱδρῶτες περιχέονται, καί τινες αὐτῶν ἐπὶ τούτων ἐπαύσαντο τελέως. ἄλλοι δὲ μεγάλως ὠφεληθέντες, ἐνέκοψαν τὸ σφοδρὸν τοῦ νοσήματος. ἔν τε ταῖς ἰσχυροτάταις ὀδύναις, οὐδὲν οἶδα μεῖζον βοήθημα τοῦ μέχρι λειποθυμίας ἐκκενῶσαι διορισάμενος, εἴτε φλεβοτομεῖν, εἴτε καθαίρειν ἄχρι λειποθυμίας προσήκει, καθότι δεδήλωται ἐν τοῖς περὶ φλεβοτομίας ὑπομνήμασιν.

Ἐν τοῖσιν ὀξέσι πάθεσι ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

Ὀλίγον ἔμπροσθεν εἴρηκε πέπονα φαρμακεύειν, καὶ κινέειν μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ, τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. νῦν οὖν καὶ ὅτι κατὰ τὰς ἀρχὰς μόνων τῶν ὀξέων νοσημάτων ἐγχωρεῖ ποτὲ κάθαρσιν ποιήσασθαι συμφέρουσαν, ἐδίδαξεν ἡμᾶς. ἐν μὲν γὰρ τοῖς χρονίοις ἀεὶ χρὴ τὸν πεπασμὸν ἀναμένειν. ἐν δὲ τοῖς ὀξέσιν, ὅταν ὀργᾷ, καὶ κατ' ἀρχὴν οἷόν τε φαρμακεύειν, καὶ αὐτὸ τοῦτο ἔγραψε μετὰ πολλῆς εὐλαβείας καὶ περισκέψεως. ὅθεν μοι δοκεῖ ὁ Ἱπποκράτης καλῶς προσθεῖναι τό, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν. εἴτε γὰρ προδιασκεψάμενος ἐπιμελῶς, εἴ τε προπαρασκευάσας τὸν ἄῤῥωστον, εἴτε τὴν ἐνδεχομένην εὐκρίνειαν ἀναμείνας, εἴτε καὶ τινὰ τούτων, εἴτε καὶ πάντα σημαίνει τοὔνομα, τὴν εὐλάβειαν αὐτοῦ, τὴν περὶ τὰς τοιαύτας καθάρσεις, ἐνδείκνυται σαφῶς. κίνδυνος γὰρ οὐ μικρὸς ἐν ὀξεῖ νοσήματι κακῶς φαρμακεῦσαι, τῷ πάντα μὲν τὰ καθαίροντα φάρμακα θερμὰ ταῖς δυνάμεσιν εἶναι. δεῖσθαι δὲ τὸν πυρετόν, ἡ πυρετός ἐστι, κατὰ τὸν ἑαυτοῦ λόγον, οὐχ ὅπως τῶν θερμαινόντων καὶ ξηραινόντων, ἀλλὰ τῶν ἐναντιωτάτων αὐτοῖς, τουτέστι τῶν ὑγραινόντων τε καὶ ψυχόντων. οὐκοῦν οὐδ' αὐτῆς ἕνεκα τῆς πυρώδους θερμασίας ἡ κάθαρσις ἡμῖν παραλαμβάνεται. ταύτην γὰρ ἴσμεν ὅσον ἐφ' ἑαυτῇ βλαπτομένην, ἀλλὰ τῶν ἐργαζομένων αὐτὴν ἕνεκα χυμῶν. χρὴ τοίνυν μείζονα τὴν ὠφέλειαν ἐκ τῆς τῶν λυπούντων χυμῶν κενώσεως γίγνεσθαι τῆς βλάβης, ἣν ἐξ ἀνάγκης βλάπτεται τὸ σῶμα πρὸς τῶν καθαιρόντων φαρμάκων. ἔστι δὲ ἡ ὠφέλεια μείζων, ἐὰν ἀλύπως τε, καὶ πᾶς ὁ βλάπτων καὶ λυπῶν ἐκκενωθῇ χυμός. ἵνα δὲ τοῦτο γένηται, πρῶτον μὲν δεῖ προσκέψασθαι εἰ ἐπιτηδείως ὁ κάμνων ἔχει πρὸς τὴν τοιαύτην κάθαρσιν. οἱ γὰρ δὴ ἀπέψιων πολλῶν ἢ γλίσχρων ἢ παχέων ἐδεσμάτων. ὡσαύτως δὲ καὶ οἷς ὑποχόνδρια διατεταμένα πεφύσηται, ἢ ὑπερβαλλόντως ἐστὶ θερμὰ καὶ πυῤῥώδη τὰ οὖρα, καί τις αὐτόθι τῶν σπλάγχνων φλεγμονή, πάντες οὗτοι πρὸς τὰς καθάρσεις ἀνεπιτήδειοι. χρὴ τοίνυν ἀπεῖναί τε ταῦτα, καὶ τοὺς χυμοὺς ὡς ἐνι μάλιστα τοῦ κάμνοντος εὐρυσίτους εἶναι, τουτέστι λεπτούς, καὶ ἥκιστα μετέχοντας γλισχρότητός τινος, ἀναπεπταμένους τε τοὺς πόρους δι' ὧν ἡ κάθαρσις μέλλει γενέσθαι, καὶ μηδεμίαν ἔμφραξιν ἔχοντας. ταῦτα γὰρ καὶ ἡμεῖς προπαρασκευάζομεν, ἐπειδὰν μέλλωμεν καθαίρειν τινά, καὶ τοῦτο ἐστὶν αὐτὸ τὸ ὑφ' Ἱπποκράτους εἰρημένον ἐν ἐκείνῳ τῷ ἀφορισμῷ.

Τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρειν, εὔροα ποιέειν.

Ἀλλ' ἔν γε τοῖς ὀξέσι νοσήμασι, κατ' ἀρχὰς εὐθύς, ἤτοι περὶ τὴν πρώτην ἡμέραν, ἢ οὐκ ἔξω τῆς δευτέρας μελλόντων ἡμῶν χρῆσθαι ταῖς καθάρσεσιν, ὅταν ὀργᾷ τὴν τοιαύτην παρασκευήν, οὐκ ἐγχωρεῖ γενέσθαι. πλὴν εἰ μὴ ἄρα τις χροίη καιρὸν μελίκρατον δοῦναι πιεῖν, ἐναφεψήσας ὑσσώπου τι, ἢ ὀριγάνου, ἢ τραγοριγάνου, ἢ θύμου, ἢ γλήχωνος, ἤ τινος τῶν οὕτως λεπτυνόντων χυμούς, ὥστ' εὐλόγως εἶπεν ὀλιγάκις ἐν τοῖς ὀξέσι νοσήμασι, κατ' ἀρχὰς ἔσεσθαι χρείαν ἡμῖν φαρμακείας, τῷ μήτε πολλάκις ὀργᾶν ἐν ἀρχῇ τοὺς λυποῦντας χυμούς, μήτ' εἰ καί τι τούτων ὑπάρχει τοῦ νοσοῦντος ἐπιτηδείου πρὸς τὴν κάθαρσιν ἔχοντος. ἀλλὰ μηδὲ καιρὸν ἡμῖν παρέχοντος τοῦ νοσήματος, ἐπιτήδειον αὐτὸν παρασκευάσαι.

Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι. τὰ δὲ ἐναντία δυσχερῶς.

Φανερῶς οὗτος ὁ ἀφορισμὸς ἐν ἐκείνῳ περιέχεται καθ' ὃν ἔλεγεν. ἐν τῇσι ταραχῇσι τῆς κοιλίας καὶ τοῖσιν ἐμέτοισι, τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, ἢν δὲ μή, τἀναντία. ἀλλ' ἐπειδὴ κατὰ τοῦτο τὸ χωρίον τοῦ βιβλίου περὶ τῶν ὑπὸ τοῦ ἰατροῦ γινομένων διελέγετο καθάρσεων, καὶ σχεδὸν ἅπαντας εἴρηκε τοὺς ἀναγκαίους διορισμούς, οὐκ ὤκνησεν οὐδὲ τοῦτον προσθεῖναι τὸν ἀφορισμόν, οὐδὲν μὲν διδάσκοντα νεώτερον, ἀναμιμνήσκοντα δὲ ὧν ἔμπροσθεν ἐν ἑτέρῳ χωρίῳ τοῦ βιβλίου περὶ τῶν αὐτομάτων κενώσεων, προείρηκε, πρὸς τὸ κἀνταῦθα συμπεπληρῶσθαι τὸν περὶ τῶν καθάρσεων ἅπαντα λόγον.

Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιεῖ, θανάσιμον. ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

Ὅτι μὲν ὁ πόνος αὐτῷ βλάβην σημαίνει νῦν, εὔδηλον ἐκ τῆς ἀντιθέσεως. φησὶ γὰρ ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. οὔσης δὲ διττῆς τῆς ἐξ ὕπνου βλάβης, τῆς μὲν κοινῆς, ὅταν ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν ἃς ἐπισημασίας ὀνομάζουσιν, οἱ κάμνοντες κοιμηθῶσι. τῆς δ' ἰδίας, ὡς ἐπί τινων νοσημάτων, ὅταν ἐν ἄλλῳ τινὶ καιρῷ, περὶ ταύτης αὐτὸν ἡγητέον λέγειν. ἐκείνη γὰρ οὔτε θάνατον, οὔτ' ἄλλό τι σημαίνει δεινὸν, ἑπομένη τῇ φύσει τοῦ καιροῦ. συνδύουσι γὰρ εἰς τὸ βάθος τοῦ σώματος ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς, ἥτε θερμασία πᾶσα καὶ οἱ χυμοὶ, καθάπερ αὐτὸς ἐδίδαξε. καὶ μᾶλλον ἐφ' ὧν ἤτοι φρίκη τις, ἢ ῥῖγος, ἢ ψύξις τῶν ἔξω μορίων ἰσχυρὰ γίνεται, καὶ διὰ τοῦτο αὐτοῖς χρονίζει τὰ συμπτώματα κοιμηθεῖσιν ἐν ταῖς ἀρχαῖς, καὶ μόγις ἐπὶ τὴν ἀκμὴν οἱ πυρετοὶ παραγίνονται. καὶ εἰ δή τις εἴη φλεγμονὴ περὶ σπλάγχνων, εἰκότως αὔξεται. καὶ εἰ χυμοί τινες εἰς τὴν γαστέρα συῤῥέουσιν, οὐχ ὁμοίως πέττονται, καθάπερ ἐν τοῖς ἄλλοις ὕπνοις, ἀλλὰ πολλῷ πλείους γίνονται, διαμένοντες ἄπεπτοι. διὰ ταῦτά τοι καὶ παρακελευόμεθα τοῖς κάμνουσιν ἐγρηγορέναι τηνικαῦτα, τὴν ἀπὸ τῆς ἐγρηγόρσεως ἐπὶ τὰ ἐκτὸς φορὰν τοῦ πνεύματος καὶ τοῦ αἵματος, καὶ τῆς ἐν αὐτοῖς θερμασίας ἀντιτάττοντες, ὡς μέγιστον ἴαμα τῇ κατὰ τὰς ἐπισημασίας ἐπιγινομένῃ, πρὸς τὸ βάθος αὐτῶν φορᾷ. διὸ καὶ φαίη ἄν τις, οὐκ ἀλόγως μετὰ αὐτὰς τὰς βλάβας ἐν τούτῳ τῷ καιρῷ γίγνεσθαι τῇ φύσει τοῦ παροξυσμοῦ, κωλυομένας δὲ ὑπὸ τῆς ἐγρηγόρσεως. ἐπειδὰν δὲ καὶ ταύτης στερηθῶσιν οἱ κάμνοντες, ἐναργεστέραν ἴσχειν τὴν βλάβην, οὐχὶ τῷ προσέρχεσθαί τινα διὰ τὸν ὕπνον ἑτέραν βλάβην, ἀλλὰ τῷ τὴν ἐκ τῆς ἐγρηγόρσεως ὠφέλειαν ἀπογίνεσθαι. οὗτος μὲν οὖν ὁ λόγος ἐπιδείκνυσι μηδεμίαν ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν βλάβην ἐξ ὕπνου γινομένην, ἀλλ' αὐτὸ δὴ τοῦτο μόνον ἀπουσίαν ὠφελείας. ὁ δ' ἕτερος λόγος ὁ καὶ τοῖς ὕπνοις συγχωρῶν ἐν τούτῳ τῷ καιρῷ βλάβην ἐργάζεσθαι, τὴν διδασκαλίαν φησὶ γίνεσθαι νῦν Ἱπποκράτει περὶ τῶν ἐν ἄλλοις καιροῖς ὑπνούντων, οἷς ἀκολουθεῖ τοὐπίπαν ἐναργής τις ὠφέλεια, καὶ μάλιστα ὅταν ἐν ταῖς παρακμαῖς γεννηθῶσιν. ὠφελοῦσι μὲν γὰρ ἐναργῶς ἐνίοτε καὶ κατ' αὐτὰς τὰς ἀκμὰς γινόμενοι, καί ποτε κἂν τοῖς τῶν ἀναβάσεων τῶν γινομένων ἐν τοῖς ἐσχάτοις ὅσαι συνάπτονται ταῖς ἀκμαῖς, ἀλλ' ἡ πασῶν ἐναργεστάτη τῶν ὠφελειῶν, ἐν ταῖς παρακμαῖς γίνεται. καὶ τοίνυν καὶ βλάπτοντες, ἧττον μὲν ὀλέθριοι, κατά γε τὴν ἀκμήν εἰσι, καὶ τὴν αὔξησιν τοῦ παροξυσμοῦ, μάλιστα δ' ἐν ταῖς παρακμαῖς ὀλέθριοι γίνονται. ἐν ᾧ γὰρ ἕκαστον ὠφελιμώτατόν ἐστιν, ἐὰν πρὸς τῷ μηδὲν ὠφελεῖν ἔτι καὶ βλάπτῃ, θάνατον εἰκότως δηλώσει. βλάβαι δ' ἐξ ὕπνων εἰσὶν αἱ ταῖς ὠφελείαις ἐναντίαι, τότε τὸν πυρετὸν, ἢ μὴ λύεσθαι πρὸς αὐτῶν, ἢ καὶ παροξύνεσθαι, καὶ τὸ τὰς ὀδύνας ἐπιτείνεσθαι, καὶ τὰ ῥεύματα πλείω γίνεσθαι, καὶ τὰς φλεγμονὰς αὐξάνεσθαι. τινὲς δὲ καὶ κατ' αὐτοὺς τοὺς ὕπνους φθέγγονται παρακοπτικῶς. καὶ ἢν ἐξεγείρονται, μέχρι πολλοῦ παρανοοῦσιν. ἐνίοις δὲ ἀρχὴ κώματος ἐν τῷ ὕπνῳ γίνεται, καὶ μόγις ἀνίστανται νυττόμενοι, συμβαίνει δὲ ταῦτα πάντα διὰ τὴν τῶν χυμῶν κακοήθειαν, οὓς ὅταν μὲν ἰσχυρότερον ᾖ τὸ ἔμφυτον θερμὸν ἡμῶν, ἐκπέττει κατὰ τοὺς ὕπνους. ὅταν δὲ ἀσθενέστερον, ἐνικήθη μὲν ὑπ' ἐκείνων, βαρύνεται δ' ὑπ' αὐτῶν τὰ σπλάγχνα, καὶ τοῖς εἰρημένοις ἁλίσκεται παθήμασιν ὁ ἄνθρωπος. αὐτὸς γάρ τοι ὁ Ἱπποκράτης βούλεται τὸν μὲν ἐγρηγορότα ἔξωθεν θερμότερον εἶναι, τὸν δὲ καθεύδοντα ἐναντίον, διδάσκων ἡμᾶς ὅπερ καὶ ἄλλοις ἴσοι τῶν φυσικῶν ἔδοξε, περὶ τὰς ῥοπὰς τῆς ἐμφύτου θερμασίας, ἐγρήγορσίν τε καὶ ὕπνον γίνεσθαι. καὶ τοίνυν εἰκότως ἐπειδὰν ἐν τοῖς σπλάγχνοις ἀθροισθὲν τοῦτο, μὴ περιγίνηται τῶν νοσοποιῶν αἰτίων, ὄλεθρον σημαίνει. περιγινόμενον μέντοι, οὐδέπω βεβαίας ἐστὶν ἀσφαλείας σημεῖον, πλὴν εἴ τις ὅσον ἐπὶ τούτῳ τῷ πάθει φάσκοι σωθήσεσθαι τὸν κάμνοντα καθ' ἑτέραν διάθεσιν ἀπολέσθαι δυνάμενον. εἰ γὰρ δὴ φθάνοι φλεγμονή τις εἶναι καθ' ὁτιοῦν τῶν κυρίων μορίων δύσλυτος, ἐγχωρεῖ τὸν οὕτως ἔχοντα τεθνήξεσθαι, ὥστ' ἀσφαλέστερον μὲν εἰπεῖν, ὅταν ἐξ ὕπνου γίνεταί τις βλάβη, θανάσιμον εἶναι τὸ σημεῖον. ὅταν δ' ὠφέλεια, οὐ θανάσιμον. ὅτι δ' ἐξ ὕπνων γίνονταί τινων βλάβαι, κἂν τοῖς τῶν ἐπιδημιῶν αὐτὸς ἐδήλωσεν εἰπὼν, ἐν τούτοις πολλοὶ κωματώδεες ἦσαν καὶ παράφοροι, οἱ δ' ἐξ ὕπνου τοιοῦτοι ἐγίγνοντο.

Ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν.

Ἐὰν ἐφεξῆς ἀλλήλων εἴπωμεν ἀμφοτέρους τοὺς ἀφορισμοὺς, τοῦτόν τε καὶ τὸν προειρημένον, ὅλος ὁ λόγος γενήσεται τοιοῦτος. ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιεῖ, θανάσιμον. ἢν δ' ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. ὅκου γοῦν παραφροσύνην ὕπνος παύει, ἀγαθόν. ἵνα δ' οἷον παράδειγμά τι τῶν κατὰ μέρος ἐπιφέρηται τῷ προειρημένῳ λόγῳ τῷ καθόλου, ὡς εἰ καὶ οὕτως εἶπεν. ὅκου ὀδύνην ὕπνος παύει, ἀγαθόν. ὅκου πυρετὸν ὕπνος παύει, ἀγαθόν. ὅκου γοῦν φλεγμονὴν παύει ὕπνος, ἀγαθόν. ἀλλ' ἠρκέσθη τὸ κινδυνωδέστερον εἰπεῖν νόσημα μόνον. ἐναργέστερον γὰρ ἡ τῶν καθόλου λόγων ἀλήθεια, διὰ τῶν τοιούτων ἐπιδείκνυται παραδειγμάτων.

Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν.

Ἐνίοις τῶν ἰατρῶν ἔδοξεν, ἡ μὲν ἀγρυπνία μᾶλλον τοῦ μετρίου γιγνομένη, κακὸν εἶναι καὶ σημεῖον καὶ αἴτιον, οὐ μήν γε ὁ ὕπνος. ἀεὶ γὰρ τοῦτον ἀγαθὸν εἶναι, καὶ μηδὲ γίνεσθαι ποτὲ μᾶλλον τοῦ μετρίου. τοὺς πολλοὺς δ' ἐξηπατεῖσθαι τὰς κωματώδεις διαθέσεις ἀρχομένας, νομίζοντας εἶναι ὕπνον μακρὸν, ἀλλὰ μαθόντες ὅτι παρ' ἡμῶν ὡς πρὸ τοῦ, τὸ δυσδιέγερτον ἔχειν, οὔπω κῶμα προσαγορεύεται, συγχωρήτωσαν ὕπνον ὀρθῶς ὀνομάζεσθαι μακρὸν, ὅταν τῷ χρόνῳ μόνῳ ὑπερβάλλῃ τὴν κατὰ φύσιν συμμετρίαν, οὐδέ πω τὸ δυσδιέγερτον ἔχων. γίνεται δὲ ὁ τοιοῦτος ὕπνος, ἐπὶ ψύξει τοῦ πρώτου αἰσθητικοῦ, τουτέστι τοῦ ἐγκεφάλου, ἥ τις ψύξις ὅταν ἰσχυρὰ γενηθῇ, μετὰ μὲν ὑγρότητος μιχθεῖσα, τὰ ληθαργικὰ πάθη ποιεῖ, μετὰ δὲ ξηρότητος τὰς καλουμένας καταλήψεις. οὕτω δὲ καὶ ἀγρυπνίαι γίνονται μετὰ διὰ θερμασίαν

θερμασίαν τοῦ πρώτου μορίου τῶν αἰσθητικῶν. ἀλλ' ἤτοι κατὰ δυσκρασίαν μόνην, ἢ τοῦ χυμοῦ χολώδους πλεονάσαντος. αἱ δ' ἀποδείξεις ἁπάντων τῶν τοιούτων, ἐν ταῖς ἡμετέραις εἴρηνται πραγματείαις. νυνὶ δὲ ἀρκεῖ μόνα αὐτῶν λελέχθαι τὰ κεφάλαια. καθάπερ δὲ μόνον τὸν ὕπνον διὰ παντὸς οἴονται ἔνιοι σύμμετρον γίγνεσθαι, καὶ μηδέποτε ὑπάρχειν ὕπνον ἄμετρον, οὕτως ἔνιοι πάλιν φασὶν ἀγρυπνίαν μηδέ ποτε γίγνεσθαι μετρίαν, ἀλλ' εἶναι τοὔνομα μόνης ἀμετρίας δηλωτικὸν, ἐπιλελησμένοι τῆς τοῦ βίου συνηθείας, ὅτι καὶ κακὰ μέτρια λέγομεν, ἐνίοτε τοῖς μεγάλοις ἀντιθέντες. οὕτω γοῦν καὶ ἀγρυπνίαν ἀκούειν χρὴ μετρίαν ἐν ἴσῳ τῷ μικράν.

Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, ὅτι ἂν μᾶλλον τῆς φύσιος ᾖ.

Πάλιν οὗτος ὁ λόγος, ὥσπερ ὁ προγεγραμμένος ἀφορισμὸς ἐπὶ μιᾶς ὕλης ὁ αὐτὸς ἐπὶ πασῶν ἀποφαίνεται. τῆς γὰρ ὑγείας συμμετρίας οὔσης, ἀνάγκη πάσας τὰς ἀμετρίας, ὅσαι μὲν ἐπὶ πλεῖστον ἀποκεχωρήκασι τῆς συμμετρίας, ἤδη νοσήματα ὑπάρχειν. ὅσαι δ' οὐδέ πω τὸ μέχρι πλείστου κέκτηνται, νοσημάτων ἐνδείκνυνται γένεσιν.

Κόποι αὐτόματοι, φράζουσι νούσους.

Οὐ τῆς ἐκ τῶν κινήσεων ἀμετρίας ὄνομά ἐστιν ὁ κόπος, ἀλλὰ τῆς ἐγγινομένης διαθέσεως ἐν τοῖς τῶν ζώων σώμασιν, οὐ γινομένων γὰρ μνημονεύει κόπων, ἀλλὰ τῶν αὐτομάτων. ὅταν οὖν ἄνευ κινήσεως τοιαύτη γένηται διάθεσις, οὐ κόπος ἁπλῶς, ἀλλὰ κόπος αὐτόματος ὀνομάζεται. τριῶν οὖν ὄντων κόπων ὡς ἐν τοῖς ὑγιεινοῖς ἐδείξαμεν, ἑλκώδους, τονώδους, καὶ φλεγμονώδους τοῦ ἐκ τούτων συντιθεμένου. ὁ μὲν πρῶτος αὐτῶν ὑπὸ κακοχυμίας, ὁ δὲ δεύτερος ὑπὸ πλησμονῆς, ὁ δὲ τρίτος ὑπ' ἀμφοτέρων ἅμα συνελθόντων πέφυκε γίνεσθαι. ἐδείχθη γὰρ οὕτω καὶ περὶ τούτων, ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. εἰκότως οὖν οἱ αὐτόματοι κόποι, νόσους ἀπαγγέλλουσιν.

Ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων μὴ αἰσθάνονται, τουτέοισι ἡ γνώμη νοσέει.

Πόνους εἴωθεν ὀνομάζειν ἐνίοτε τὰς διαθέσεις αὐτὰς, ἐν αἷς ὀδυνώμεθα. κατὰ τοῦτο γοῦν ἔλεγεν ἐν ταῖς ἐπιδημίαις, ἐν Κρανῶνι αἱ μὲν παλαιαὶ ὀδύναι, ψυχραὶ, αἱ δὲ νεαραὶ, θερμαί. οὐκ αὐτὰς δήπου τὰς ὀδύνας θερμὰς καὶ ψυχρὰς ὀνομάζων, ἀλλὰ τὰς διαθέσεις ἐφ' αἷς γίνονται. καὶ νῦν οὖν ὡσαύτως εἴρηκε πόνους αὐτὰς τὰς διαθέσεις, ὅσαι μετ' ὀδύνης γίνεσθαι πεφύκασιν, ἐρυσιπέλας δηλονότι ἢ φλεγμονὴν, ἢ τραῦμα, καὶ θλάσμα, ἢ ῥῆγμα, καὶ σπάσμα, καὶ πᾶν ἔτι τοιοῦτον. ὧν ἐάν τινος ὑπάρχοντος ὁ κάμνων ἀναίσθητος ᾖ, τὴν γνώμην νοσεῖ. γνώμην δὲ λέγειν, ἢ διάνοιαν, οὐδὲν εἰς τὰ παρόντα διοίσει.

Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα, νωθρῶς ἐπανατρέφειν, τὰ δ' ἐν ὀλίγῳ, ὀλίγως.

Τὰ μὲν γὰρ ἐν ὀλίγῳ χρόνῳ λεπτυνόμενα σώματα κενώσει τῶν ὑγρῶν καὶ τῶν πνευμάτων, οὐ συντήξει τῶν στερεῶν πέπονθε τοῦτο. τοῖς δ' ἐν πλείονι χρόνῳ λεπτυνθεῖσιν, ἐκτήκονται μὲν αἱ σάρκες, ἰσχνὰ δὲ γίνονται καὶ τὰ ἄλλα δι' ὧν ἥ τε πέψις τῶν ζώων ἐπιτελεῖται, καὶ ἡ ἀνάδοσις, καὶ ἡ ἐξαιμάτωσις, καὶ ἡ θρέψις, ὥστε οὐ δυνήσεται τοσαύτην κατεργάσασθαι τροφὴν, ὅσης δεῖται τὸ σῶμα. διὰ τοῦτ' οὖν ἐν χρόνῳ πλείονι χρὴ τὰ τοιαῦτα ἀνατρέφειν, καὶ λεπτῶς, ὅπερ ὠνόμασε νωθρῶς. ἐφ' ὧν δὲ μόνα ἐκενώθη τὰ ὑγρὰ καὶ τὰ πνεύματα, ἐπὶ τούτων διὰ ταχέων ἀνατρέφειν ἐγχωρεῖ, καὶ ἀθρόως, θαρροῦντας τῇ τῶν στερεῶν εὐρωστίᾳ. τὸ δ' ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ, διχῶς γέγραπται, καὶ σημαίνει ταυτὸν, ἄν τε ὀλίγῳ κατὰ δοτικὴν πτῶσιν γεγραμμένον ᾖ, ἄν τ' ἐπιρρηματικῶς ὀλίγως μετὰ τοῦ σ.

Ἢν ἐκ νούσου τροφὴν λαμβάνων τις μὴ ἰσχύῃ, σημαίνει ὅτι πλείονι τροφῇ τὸ σῶμα χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίνηται, χρὴ εἰδέναι ὅτι κενώσεως δέεται.

Διὰ βραχυλογίαν καὶ συνήθειάν τινα λέξεως ὁποία καὶ νῦν ἔτι παρ' ἡμῖν ἐστιν ἐν πολλαῖς τῶν κατὰ τὴν Ἀσίαν πόλεων, ἀσαφὴς ὁ ἀφορισμὸς ἐγένετο. λέγειν γὰρ ἡμῖν ἔθος ἐστὶ, μὴ λαμβάνειν μὲν τροφὴν τοὺς ἀνορέκτους, λαμβάνειν δὲ τοὺς ὀρεγομένους τε καὶ τρεφομένους ἄχρι κόρου. ὅσοι μὲν οὖν ὀρεγόμενοι καὶ τροφὴν δαψιλῆ προσφερόμενοι, τὴν ὑγιεινὴν ἰσχὺν ἀδυνατοῦσιν ἀνακτήσασθαι, βαρύνονται μᾶλλον, οὐ τρέφονται πρὸς αὐτῆς. ὅσοι δ' οὐδὲ λαμβάνειν αὐτάρκως δύνανται, μοχθηροὺς ἔχουσι χυμοὺς, οὓς εἰ μὴ κενωθεῖεν, ἀδύνατον αὐτοῖς ἐστι τὴν ὑγιεινὴν ἰσχὺν ἀναλαβεῖν. ὁ δ' Ἱπποκράτης, οὐ νῦν μόνον ἀλλὰ κἂν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν, ὅταν μὲν ἀναλόγως ἀλλήλοις αὐξηθῶσιν οἱ χυμοὶ πάντες, αἵματος ἀφαιρέσει ποιεῖται τὴν βοήθειαν. ὅταν δ' εἷς τις ἐξ αὐτῶν πλεονάσῃ, καθαρτικὸν ἐκείνου δίδωσι φάρμακον. ἅτε οὖν ταῦτα γινώσκων τε καὶ πολλάκις ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν εἰρηκὼς, ὀρθῶς ἐπάγει τοὺς ἑξῆς ἀφορισμοὺς δύο, περὶ τῆς αὐτῆς ἔτι διαθέσεως διδάσκων, περὶ ἧς καὶ κατὰ τὸν προκείμενον ἀφορισμὸν ἐδίδαξεν εἰπών. ἢν δὲ μὴ λαμβάνοντος τοῦτο γίγνηται εἰδέναι, ὅτι κενώσεως δεῖται. καὶ τὴν γε τάξιν τῶν ἐφεξῆς δυοῖν ἀφορισμῶν πεπλημμελῆσθαι νομίζω κατὰ τὰ πλεῖστα τῶν ἄλλων ἀντιγράφων. καὶ κάλλιον ἐν ἐκείνοις γέγραπται, καθ' ἃ ὁ πρότερος ἀφορισμὸς ἐξ αὐτῶν γέγραπται οὕτω. τὰ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν θρέψῃς, μᾶλλον βλάψεις. ἵν' οὖν ὁ πᾶς λόγος ᾖ τοιοῦτος, ἢν δὲ μὴ λαμβάνοντος τοῦτο γίνηται, σημαίνει ὅτι κενώσεως δεῖται. τὰ γὰρ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν θρέψῃς, μᾶλλον βλάψεις. ἀλλ' ἡμεῖς τῇ κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων ἑπόμενοι τάξει, τὴν ἐξήγησιν αὐτῶν οὕτω ποιησόμεθα.

Τὰ σώματα χρὴ ὅκου ἄν τις βούληται καθαίρειν εὔροα ποιέειν.

Οἱ μὲν οὖν πολλοὶ βούλονται εὔροα γίγνεσθαι τὰ σώματα, τῶν μὲν ἐμετηρίων φαρμάκων μελλόντων κενοῦσθαι διὰ τοῦ τῶν ἐμετηρίων ἐρεθισμοῦ. τῶν δ' ὑπηλάτων, διὰ τοῦ συνεχῶς ὑπάγεσθαι τὴν γαστέρα. καὶ διὰ τοῦτο τὴν

διάθεσιν πᾶσαν ἑκατέροις, τοῖς μὲν εἰς ὑπαγωγὴν γαστρὸς ἐπιτήδειαν παρασκευάζουσι, τοῖς δὲ εἰς ἐμέτους. ἐγὼ δ᾽ ἡγοῦμαι τὸν Ἱπποκράτην διδάσκειν ἡμᾶς νῦν οὐ τοῦτο τὸ σμικρὸν, ἀλλά τι μεῖζον ἕτερον, ὃ διὰ μακρᾶς πείρας ἡμεῖς ἐδιδάξαμεν οὕτως ἔχον. εἰ γάρ τις λεπτύνοι καὶ τέμνοι τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς ἐν τῷ σώματι, καὶ τοὺς πόρους δι᾽ ὧν οὗτοι μεταλαμβάνονταί τε καὶ ἕλκονται πρὸς τῶν καθαρτικῶν φαρμάκων, ἀναστομώσειεν, ἡ κάθαρσις ἀρίστη γίνεται κατὰ πάντα. τοῖς δὲ τούτων μὲν ἀμελήσασιν, ἐμέτων δὲ καὶ γαστρὸς ὑπαγωγῆς προνοήσασιν, αἱ καθάρσεις δυσχερῶς ἀπαντῶσι, μετὰ στρόφων ἐνίοτε καί τινων ἰλίγγων, ἄσης τε τινὸς πολλῆς καὶ κακοσφυξίας, ἐκλύσεώς τε καὶ δυσκολίας. ἀλλ᾽ ἡμεῖς γε τῇ λεπτυνούσῃ χρώμεθα ἀγωγῇ, περὶ ἧς ὅλον ἐν ἐστιν ὑπόμνημα γεγραμμένον ἡμῖν. καὶ οὐδὲν ἔτι τούτων εἴωθε συμβαίνειν, αἵ τε κενώσεις ἁπάντων τῶν παρὰ φύσιν ἀλυπόταται, καὶ τάχισται γίνονται. διὰ τοῦτο τὸν Ἱπποκράτην φαμὲν περὶ λόγῳ προστεθεικέναι, τὸ, ὅκου τις ἂν βούληται καθαίρειν, τὰ σώματα εὔῤῥοα ποιέειν, ὡς εἰ καὶ οὕτως εἶπεν, εἴτε καὶ δι᾽ ἐμέτων, εἴτε καὶ δι᾽ ὑπαγωγῆς γαστρὸς ἐθέλοις καθαίρειν, εὔῤῥουν ὅλον ἐργασάμενος τὸ σῶμα, κάλλιστα ἂν οὕτω καθάρῃς. εὔῤῥουν δ᾽ ὡς εἴπομεν ἔσται, τῶν μὲν πόρων ἁπάντων ἀναστομωθέντων, τῶν δ᾽ ὑγρῶν τμηθέντων καὶ λεπτυνθέντων, εἴ πού τι παχὺ καὶ γλίσχρον ὑγρὸν ἦν κατὰ τὸ σῶμα.

Τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν θρέψῃς, μᾶλλον βλάψεις.

Συνδιαφθείρεται γὰρ ἡ ἐπεισιοῦσα τροφὴ, τῇ προϋπαρχούσῃ κατὰ τὸ σῶμα κακοχυμίᾳ, ὥστ᾽ αὐξάνεσθαι μὲν αὐτῆς τὴν ποσότητα, φυλάττεσθαι δὲ τὴν ποιότητα. καὶ μάλιστα γίγνεται τοῦτο, ὅταν ἡ γαστὴρ ἀναπεπλησμένη μοχθηρῶν χυμῶν ᾖ τινῶν, ὑφ᾽ ὧν καὶ τὸ μικρὸν ἔμπροσθεν εἰρημένον σύμπτωμα, τοῖς ἀνακομιζομένοις ἐκ τῶν νοσημάτων συμβαίνει, τὸ μὴ δύνασθαι λαμβάνειν τροφάς.

Ῥᾷον πληροῦσθαι ποτοῦ ἢ σιτίου.

Ἐπειδὴ περὶ τῶν ἀναθρέψεως δεομένων ὁ λόγος αὐτῷ προείρητο, διὰ τοῦτο τὸ νῦν ἔγραψε τὰς διαφορὰς τῶν ὑλῶν ὑφ᾽ ὧν ἀνατρέφονται. γέγραπται δὲ καὶ ἐν τῷ περὶ τροφῆς ὧδε. ὁκόσοι ταχίστης προσθέσιος δέονται, ὑγρὸν ἴημα εἰς ἀνάληψιν δυνάμεως ἄριστον. ὅκου δὲ ἔτι ταχυτέρης, δι᾽ ὀσφρήσιος. ἀκούειν δ᾽ οὐχ ἁπλῶς χρὴ καθ᾽ ἑκάτερον βιβλίον, οὔτ᾽ ἐκεῖ τὸ ὑγρὸν, οὔτ᾽ ἐνταῦθα τὸ ποτὸν, ἀλλ᾽ ἀπὸ τῶν πεφυκότων τρέφειν ὑγρῶν καὶ ποτῶν. εἰ γὰρ ὁμοίως ταῦτα τοῖς στερεωτέροις τρέφει, πλεονεκτήσει τῷ τάχει, καθάπερ οἱ παχύτεροι τῶν οἴνων. οἱ μὲν γὰρ ὑδατώδεις, ὀνομάζουσι δ᾽ οὕτως τοὺς λευκοὺς καὶ λεπτοὺς ἐγγὺς ὕδατος, ὥσπερ τὴν ἰδέαν εἰσὶν οὕτω καὶ τὴν δύναμιν, ὅθεν οὖρησιν μὲν κινοῦσιν, ἥκιστα δὲ τρέφουσιν. ὅσοι δὲ παχεῖς τε ἅμα καὶ τὴν χρόαν ἐρυθροὶ, τροφιμώτατοι πάντων οἴνων εἰσὶν, ὑπάρχει δὲ τούτοις καὶ τὸ τάχιστα πληροῦν τὰ κεκενωμένα σώματα, καὶ διὰ τοῦτο προσθέσεως δεόμενα. ὅτι δ᾽ ὑγρὰ τροφὴ καὶ μάλιστα ὅταν φύσει θερμὴ ᾖ, ῥᾷον ἀνατρέφει, πρόδηλον τοῖς ἐγνωκόσιν, ὅπως ἀνάδοσίς τε καὶ πέψις γίνεται.

Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφώδεα.

Καὶ οὗτος ὁ ἀφορισμὸς συνέζευκται τοῖς προειρημένοις. εἰρηκὼς γὰρ ὁ Ἱπποκράτης, ἢν ἐκ νόσου τις τροφὴν λαμβάνων μὴ ἰσχύῃ, σημαίνει ὅτι τὸ σῶμα πλείονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίγνεται, σημεῖον ὅτι κενώσεως δεῖται. καὶ διὰ τοῦτο περὶ τῶν κενώσεων ἐφεξῆς διελθὼν, ἀπέδωκε νῦν τὴν αἰτίαν τοῦ δεῖσθαι κενώσεως τοὺς ἀνορέκτους μετὰ νόσον, ὡς εἰ καὶ οὕτως ὁ πᾶς εἴρηται λόγος αὐτῷ. ἢν δὲ μὴ λαμβάνοντος τοῦτο γίνεται, σημαίνει ὅτι δεῖται κενώσεως. τὰ γὰρ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν, ὑποστροφώδεα, δηλονότι τὰ λείψανα τῶν μοχθηρῶν χυμῶν, ἐγκαταλιμπανόμενα κέκληκεν, ἅπερ ἀνάγκη σηπόμενα τῷ χρόνῳ, πυρετοὺς ἀνάπτειν. ἐπεὶ δὴ πᾶν ὑγρὸν ἀλλότριον ἐστι τοῦ περιέχοντος αὐτὸ σώματος φύσεως, ὅτε τρέφειν ἐκεῖνο πέφυκε, καὶ λοιπὸν ἐξ ἀνάγκης ἔχει, τὴν εἰς σηπεδόνα μεταβολήν. ὅταν δὲ καὶ θερμὸν ᾖ τὸ χωρίον, ἐν ὥπερ ἂν ἠθροισμένον ὑπάρχει, τότε δὴ μάλιστά τε καὶ τάχιστα σήπεται.

Ὁκόσοισιν ἡ κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ, ἡ δ᾽ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ.

Ἡ μὲν κρίσις ὀξύῤῥοπος ἐστιν ἐν νόσῳ, μεταβολὴ πρὸς ὑγείαν ἢ θάνατον. γίγνεται δὲ τῆς φύσεως διακρινούσης ἀπὸ τῶν χρηστῶν τὰ μοχθηρὰ, καὶ παρασκευαζούσης πρὸς τὴν ἔκκρισιν. εἰκότως οὖν ἐπὶ τῇ τοιαύτῃ ταραχῇ δυσφοροῦσι, καὶ μᾶλλον καταφωρὸς ἡ δυσφορία γίνεται κατὰ τὰς νύκτας, ἐν ταύταις γὰρ ἡμῖν ἔθος ἐστὶ κοιμᾶσθαι. διακοπτομένων οὖν τῶν ὕπνων ὑπὸ τῆς ταραχῆς, ἐναργῶς ἡ δυσφορία διαγινώσκεται, καίτοι τῆς ἡμέρας ὁμοίαν ἐχούσης ταραχὴν, ἐπειδὰν ἡ μετ᾽ αὐτὴν νὺξ ἔχῃ τὴν κρίσιν. τὸ δ᾽ ἐπὶ τέλει τοῦ ἀφορισμοῦ γεγραμμένον, ἡ δ᾽ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ τὸ πολὺ, κατὰ τὰ πολλὰ τῶν ἀντιγράφων οὐ φέρεται. βούλεται δ᾽ ἡμᾶς διδάσκειν, ὡς ἡ μετὰ τὴν κρίσιν νὺξ εὐφορωτέρα τῆς προηγησαμένης ἐστὶν ὡς ἐπὶ τὸ πολὺ, διὰ τὸ τῶν κρίσεων τὰς πλείους εἰς ἀγαθὸν τελευτᾶν. ἴσμεν γὰρ ὡς τῶν νοσούντων οἱ σωζόμενοι, πλείους εἰσὶ τῶν ἀποθνησκόντων, πλὴν εἰ μή ποτε λοιμώδης ἡ κατάστασις γενηθείη.

Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐπὶ πονηρὰ μεταβάλλῃ.

Αἱ μεταβολαὶ τῶν διαχωρημάτων πολλὰς ἰδέας ἐκκενοῦσαι χυμῶν, ἀκριβέστερον ἐκκαθαίρουσι τὸ σῶμα, πλὴν εἰ μὴ συντήξεως καὶ σηπεδόνος ἔχοιεν σημεῖα, περὶ ὧν ἐν τῷ προγνωστικῷ δεδήλωκεν αὐτὸς, ἔνθα καὶ λιπαρῶν, καὶ δυσωδῶν ἐμνημόνευσε, καὶ κακόσμων.

Ὅκου φά-

Ὁκοῦ φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, σκέπτεσθαι χρὴ τὰς ἐκκρίσιας. ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει. ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

Δύο λόγους ἀλλήλοις ἀντιτιθείς, ἐν ἑκατέρῳ παραλέλειπται τὸ συνεμφαινόμενον τῷ λόγῳ, ὥστε τοῦ λείποντος ἑκατέρῳ προστεθέντος, ἡ σύμπασα λέξις ἐστὶ τοιαύτη, ὁκοῦ φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι γίνεται, σκέπτεσθαι χρὴ τὰς ἐκκρίσιας. ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα συννοσέει, καὶ οὐκ ἀσφαλὲς τρέφειν αὐτό. ἢν δ' ὅμοιαι τοῖς ὑγιαίνουσι γίνονται, οὔτε συννοσέει τὸ σῶμα, καὶ ἀσφαλὲς τρέφειν αὐτό. ἐξ ὧν δέ μοι δοκεῖ πεῖσαι ἑαυτὸν ὁ Ἱπποκράτης οὕτως ἀποφήνασθαι, καὶ δὴ φράσω. τῶν ζώων ἡ φύσις ἐστίν, ὅτε τοὺς ἐν τοῖς κυρίοις μέρεσι μοχθηροὺς χυμοὺς ἐκκενοῦσα, τινὰς μὲν δι' οὔρων, ἢ ἐμέτων, ἢ τῆς κάτω γαστρὸς ἐκκρίνειν, τινὰς δ' ἐξωθεῖν μὲν ὡς ἐπὶ τὸ δέρμα, κενῶσαι δ' οὐ δυναμένη διὰ τὸ πάχος, ἀποτίθεται ταύτῃ, φύματά τε ἐν τῷ σώματι οὕτω γίνεται. πολλάκις δὲ ἥ τε φάρυγξ ὑποδεχομένη τοὺς ἐκ τῆς κεφαλῆς καταρρέοντας χυμούς, ἐνοχλεῖται. σκεπτέον οὖν ἐστι τηνικαῦτα καὶ διοριστέον, εἴτε σύμπαν ἤδη τὸ περιττὸν ἡ φύσις ἐναποτίθεται τοῖς πεπονθόσι μορίοις, εἴτ' ἐστὶν ἔτι καθ' ὅλον τοῦ ζώου τὸ σῶμα μοχθηρῶν χυμῶν περιουσία, δῆλον δ' ἔσται τοῦτο ταῖς ἐκκρίσεσιν. εἰ γὰρ ὅλως ἡ φύσις ὥρμησεν ἐκκαθαίρειν τὸ σῶμα, χολώδεις αὗται φανοῦνται. διότι καὶ τὰ φύματα θερμανθέντος αἵματος ὑπὸ τοῦ πικροχόλου χυμοῦ γίνεσθαι πέφυκε, καὶ δηλονότι πρότερον καθᾶραι, οὐ τρέφειν χρὴ τὰ τοιαῦτα σώματα. τὰ γὰρ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν μᾶλλον τρέφῃς, μᾶλλον βλάψεις. εἰ δ' ὅμοιαι ταῖς τῶν ὑγιαινόντων αἱ ἐκκρίσεις εἶεν, ὑγιαῖνον ἐνδείκνυται τὸ ὅλον σῶμα, καὶ κίνδυνος οὐδεὶς ἐστὶ τρέφειν αὐτό.

Ὁκοῦ λιμός, οὐ δεῖ πονέειν.

Λιμώττειν ἐκείνους φαμέν, ὅσοι δι' ἀπορίαν σιτίων εἰς ἄκρον ἥκουσι πείνης. οὕτως οὖν καὶ ὁ Ἱπποκράτης αὐτὸς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἶπεν. ἐν Αἴνῳ ὀσπριοφαγέοντες ἐν λιμῷ, σκελέων ἀκρατέες ἐγένοντο. καὶ μέντοι καὶ πᾶσαν τὴν σφοδρὰν ἔνδειαν τῶν σιτίων, εἰ καὶ χωρὶς ἀπορίας κατὰ προαίρεσιν ἢ πρόσταγμα γένοιτο, λιμὸν ὀνομάζειν εἴωθεν. ὅταν οὖν εἴπῃ, τοῖσιν ὑγρὰς ἔχουσι τὰς σάρκας, λιμὸν ἐμποιέειν, λιμὸς γὰρ τὸ σῶμα ξηραίνει, καὶ ἐπειδὰν ἐν τῷ προγνωστικῷ φησὶ, ἐπανερέσθαι χρή, μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος, ἢ τὰ τῆς κοιλίας ἐξυγρασμένα εἴη ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχει αὐτόν. ἐπὶ τῆς τῶν σιτίων ἐνδείας φέρει τοὔνομα. καὶ νῦν δὴ οὕτως εἴρηκεν, ὁκοῦ λιμός, οὐ δεῖ πονέειν, ὡς εἰ καὶ οὕτως εἰρήκει, τοῖς μὴ μέλλουσιν ἐσθίειν, μηδὲ πόνον τινὰ προσφέρειν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. πόνον δὲ νῦν ἀκούειν χρὴ τὴν σφοδρὰν κίνησιν, ἥνπερ καὶ γυμνάσιον ὀνομάζουσιν. οὕτω γοῦν ἔλεγεν αὐτός, πόνοι σιτίων ἡγείσθωσαν. ἔστιν οὖν ὁ λόγος αὐτῷ κοινῶς ὑγιαινόντων τε καὶ νοσούντων. ὑγιαίνουσί τε γὰρ οὐ χρὴ προσάπτειν γυμνάσια, ἅμα ταῖς ἀσιτίαις, ἐπί τε τῶν νοσούντων, μηδεμίαν σφοδρὰν κίνησιν ἐπάγειν τῷ σώματι σὺν ἀσιτίᾳ, μήτε φλεβοτομοῦντα, μήτε καθαίροντα, μήτε ἐμέτοις κενοῦντα, μήτε τρίψει χρώμενον πολλῇ, μήθ' ὅλως ἰσχυρᾷ κινήσει ἢ ἀλλοιώσει τοῦ σώματος. ὑπὸ γὰρ ταῖς τοιαύταις κινήσεσιν ἁπάσαις ὅταν ἄνευ τροφῆς γίνωνται, καταλύεσθαι πέφυκεν ἡ δύναμις, ἄν τε ὑγιαίνωσιν, ἄν τε νοσῶσιν οἱ ἄνθρωποι. πεφρόντικε δ' ἀεὶ μεγάλως ὁ Ἱπποκράτης τοῦ φυλάττειν ἐρρωμένην τὴν τὰ ζῶα διοικοῦσαν δύναμιν. ἐάν τε οὖν κατὰ τὸν ἑνικὸν ἀριθμὸν εἴπωμεν δύναμιν, ἄν τε κατὰ τὸν πληθυντικὸν δυνάμεις, οὐ διοίσει. καὶ τοῦτο κατὰ τὸ περὶ τῆς τροφῆς αὐτὸς εἶπε, δύναμις μία, καὶ οὐ μία. κατὰ μὲν τὸ γένος δηλονότι ἐμφαίνων μίαν εἶναι τὴν δύναμιν, ἰδέας δὲ πλείους ἔχειν.

Ὁκοῦ ἂν τροφὴ παρὰ φύσιν πλείων ἐσέλθῃ, τοῦτο νόσον ποιέει, δηλοῖ δὲ ἡ ἴησις.

Ὁ καθ' ἕτερον ἀφορισμὸν ἔφη καθόλου, τοῦτο νῦν ἐφ' ἑνὸς εἴδους διδάσκει. καθόλου μὲν γάρ ἐστιν ὁ τοιοῦτος λόγος, οὐ πλησμονή, οὐ λιμός, οὐδ' ἄλλο οὐδὲν ἀγαθόν, ὅτι ἂν μᾶλλον τῆς φύσεως ᾖ. ὁ δὲ νῦν ἡμῖν προκείμενος ἀφορισμός, ὑπὲρ ἑνὸς ἀποφαίνεται πράγματος τῆς πλησμονῆς. ἡ γὰρ πλείων τροφὴ τῆς τοῦ σώματος φύσεως ὀνομάζεται πλησμονή. πρός τι μὲν οὖν ἀεὶ τὸ πλέον, ἀλλ' ἐν γε τοῖς ἡμετέροις σώμασι διττόν. ἓν μὲν ὡς πρὸς τὴν τῶν ἀγγείων εὐρυχωρίαν, ἕτερον δὲ ὡς πρὸς τὴν διοικοῦσαν ἡμᾶς φύσιν, ὑπὲρ οὗ νῦν διδάσκων ἡμᾶς ὁ Ἱπποκράτης, ἔφη τὴν πλείονα τροφὴν εἶναι παρὰ φύσιν, ἵνα μήτε τοὺς ἐμπιπλαμένους εἰς τοσοῦτον σιτίων ὡς διατείνεσθαι τὴν γαστέρα πάντως ὑπολαμβάνωμεν ἐκ τούτου βλαβήσεσθαι, μήτε τοὺς ἐνδεῶς ἔχοντας αὐτῆς τὸ κύτος, ὀλίγα δὲ προσενηνέχθαι, καὶ πάντως πέψαι καλῶς αὐτά. καὶ γὰρ τοὺς προτέρους ἐγχωρεῖ πέψαι τὰ πεπληρωκότα τὴν κοιλίαν, εἰ ῥώμην αὐτὴν ἡ φύσις ἔχει. καὶ τοὺς δευτέρους ἀπεπτῆσαι δι' ἀρρωστίαν, καὶ μάλισθ' ὅταν εὔπεπτα μὲν οἱ πρότεροι, δύσπεπτα δ' οἱ δεύτεροι, τὰ σιτία προσενηνεγμένοι τύχωσιν. οὕτω δὲ κἀπὶ τῆς ἀναδοθείσης τροφῆς ἡ αἱματοῦσα δύναμις, ἀνάλογον τῇ πεττούσῃ κατὰ τὴν γαστέρα, ποτὲ μὲν ὑπ' ἀρρωστίας οὐκ ἀλλοιώσει τὸν εἰς τὰς φλέβας ἀναδοθέντα χυμόν, κἂν εἰ σύμμετρος εἶναι δοκῇ, ποτὲ δὲ τὸν τούτου πολλαπλάσιον ἑτοίμως αἱματώσει, διά τε τὴν ἑαυτῆς ῥώμην, καὶ τὴν ἐπιτηδειότητα τοῦ χυμοῦ. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἡ τρίτη τροφὴ ἥνπερ δὴ καὶ κυριώτατα λέγομεν τροφήν, ἡ προστιθεμένη τοῖς τοῦ ζώου μορίοις, ὡς πρὸς τὴν δύναμιν, ἤτοι πλείων ἢ οὐ πλείων εἶναι λεχθήσεται. καὶ ἤτοι πεφθήσεται καλῶς καὶ θρέψει, ἢ οὔ, καὶ κατὰ τοῦτο ἤτοι κρατηθήσεται πρὸς αὐτῶν, ἢ μὴ κρατουμένοις διαφθαρήσεται, καὶ νόσον γεννήσει. μία μὲν οὖν ἐξήγησις αὕτη, τὸ πλέον ὡς πρὸς τὴν διοικοῦσαν δύναμιν τὰ ζῶα ἀκουόντων ἡμῶν. ἑτέρα δὲ τὸ κατὰ ποιότητα παρὰ φύσιν, ἀληθὴς καὶ αὐτή. τρέφεται γὰρ ἕκαστον μόριον ἐξ οἰκείας αὐτῷ τροφῆς, ἣν ὀρθῶς ἂν εἴποιμεν εἶναι κατὰ φύσιν ἑαυτῷ. ἐὰν οὖν ποτε εἰς αὐτὸ παραγένηται χυμός τις, ἑτέρῳ μὲν μορίῳ κατὰ φύσιν, ἀλλότριος δὲ καὶ παρὰ φύσιν ἐκείνῳ, μοχθηρὸν μὲν τὸ τοιοῦτον, οὐ μὴν πάντως γε καὶ νόσος ἀκολουθήσει, βραχείας αὐτῷ ὑπαρχούσης. ὅπου γὰρ οὐδὲ τὰ διαφθείρειν ἡμῶν τὸ σῶμα δυνάμενα φάρμακα, μανδραγόρας, καὶ μήκων, καὶ κώνειον ἄνευ ποσότητος, οἷά τε βλάπτειν ἐστίν, ἤπου γε οὗτος χυμὸς ὃς πρὸς τῷ μὴ διαφθείρειν ἔτι καὶ τρέφειν ἕτερα μόρια δύναται. τὴν ἀρχὴν γὰρ οὐκ ἂν

ὠνόμασε τροφὴν αὐτὸν εἰ μὴ τοιοῦτος ἦν. ὥσπερ οὖν εἰ πνεύματος μέν τι βραχὺ διὰ τοῦ στομάχου κατενεχθὲν, εἰς τὴν γαστέρα τύχοι. τῆς δὲ πινομένης ὑγρότητος, ὀλίγιστον μὲν εἰς τὸν πνεύμονα διὰ τῆς τραχείας ἀρτηρίας, οὔτ' ἂν ἡ γαστὴρ ὅσον ἐπὶ τούτῳ νοσήσῃ, οὔτε ὁ πνεύμων, οὕτως ἔχει καὶ ἐπὶ τῆς κατὰ τὰ λοιπὰ μόρια τροφῆς. ἡ μὲν δὴ ἡ τρίτη τις ἐξήγησις εἴρηται πρός τινων, ἀκούειν ἡμᾶς ἀξιούντων τὸ παρὰ φύσιν, ἀντὶ τοῦ μεγάλως καὶ ὑπερβαλλόντως, ὡς εἰ καὶ οὕτως εἶπεν. ὅκου ἂν τροφὴ πλείων ὑπερβαλλόντως εἰσέλθῃ, τοῦτο νόσον ποιεῖ. τὴν γὰρ ὀλίγον ὑπερβάλλουσαν τοῦ συμμέτρου μηδέπω δύνασθαι νόσον ποιεῖν, ἀλλ' ἔτι φυλάττειν τὸ σῶμα κατά γε τὸ τῆς ὑγείας πλάτος. ἀληθὲς μὲν οὖν καὶ τοῦτο. χρὴ γὰρ τὴν μέλλουσαν ἐργάσασθαι νόσον τροφὴν, οὐ μικρῷ τινὶ τῆς ἀκριβοῦς συμμετρίας ὑπερέχειν, ἀλλ' οὐκ ἔστιν ἔθος τούτου ἕνεκα διορίζεσθαι τὸν λόγον. εἰώθασι γὰρ αὐτὸ μόνον ἀποφαίνεσθαι τὸ γένος, ἔγκαυσιν, ἢ ψύξιν, ἢ κόπον, ἀπεψίαν τε καὶ φθορὰν χυμῶν. ὅσα τ' ἄλλα τοιαῦτα νοσοποιεῖν φάσκοντες, ὡς ἡμῶν ἑκάστου τῶν εἰρημένων συνεπινοούντων ἀξιόλογον ποσότητα. κατὰ τὸν αὐτὸν οὖν τρόπον καὶ τὴν πλείονα τροφὴν νοσοποιεῖν λέγουσιν, αὐτοῦ τοῦ προσθεῖναι τὸ πολλῷ, γινωσκόντων ἡμῶν ὡς ἐὰν δραχμῆς μοίρᾳ ᾖ τὸ πλεῖον ἢ τοῦ συμμέτρου, νόσον οὐδέπω δύναται κατασκευάζειν, ἀλλὰ πολλαπλασιαζομένη γε, καὶ αὕτη ποτὲ ποιήσει νόσον. ἐκ γὰρ τοῦ γένους ἐστὶ μία τῶν κατεργαζομένων αἰτίων τὰς νόσους. κατὰ ταῦτα μὲν οὖν ἡ τρίτη τῆς ἐξηγήσεως, ἢ καὶ ὅτι μάλιστα ἀληθής ἐστι, παρεργοτέρα μοι δοκεῖ τοῦ τῶν παλαιῶν ἔθους ὑπάρχειν, μετὰ καὶ τοῦ βιαίως ἐξηγήσασθαι τῆς παρὰ φύσιν φωνῆς τὸ σημαινόμενον. ἡ δ' ἐπὶ τέλει τοῦ ἀφορισμοῦ προσγεγραμμένη λέξις ἐν ᾗ φησὶ, δηλοῖ δὲ ἡ ἴησις, ἄμεινον ἂν εἶχε μετὰ καὶ τοῦ, καὶ, συνδέσμου γεγραμμένη κατὰ τόνδε τὸν τρόπον, δηλοῖ δὲ καὶ ἡ ἴησις. οὐ γὰρ δὴ μόνον γε ἡ ἴησις δηλοῖ τὸ τὴν τροφὴν ἔνθα ἂν εἰσέλθῃ πλείω νοσοποιεῖν, ἀλλὰ καὶ ἡ τοῦ πράγματος φύσις συνενδείκνυται, συνεπιμαρτυρούσης αὐτῇ, καὶ τῆς ἰάσεως. ἐν ἁπάσαις γὰρ ταῖς τέχναις ταῖς καλῶς ἐπινοουμέναις, καὶ ἡ ἀπὸ τῆς ἐκβάσεως μαρτυρία προσέρχεται. τίς οὖν ἐστιν αὕτη κατὰ τὸν προκείμενον λόγον; ἡ ἐπὶ ταῖς κενώσεσιν ἴασις τῶν λυπούντων χυμῶν, ἥν τινα καὶ Ἡρόφιλος ἐν τῇ τριχρόνῳ καλουμένῃ σημειώσει παρέλαβεν. εἰ γάρ τις ἐσθίων μὲν πλείω τῶν συνήθων, ἤτοι δ' ἴσα τοῖς ἔμπροσθεν, ἢ ἐλάσσω γυμναζόμενος, βαρυνθείη τε τὸ σῶμα, καὶ συνερεύθει, καὶ ὄγκῳ τῶν φλεβῶν ἄρξηται πυρέττειν, οὐκ ἂν ἀλόγως τις αὐτὸν ὑπὸ πλήθους νοσῆσαι νομίζει. εἰ τοίνυν καὶ κενωθεὶς ὠφεληθείη, βεβαίωσις καὶ παραχρῆμα τῆς περὶ τοῦ πλήθους γενήσεται δόξης, θάρσος τε πρὸς τὸ πάλιν ἐπὶ τῶν αὐτῶν παραγγέλλεται ὡσαύτως κενῶσαι, μὴ περιμένοντας τὴν τῶν ἐμπειρικῶν τήρησιν, ἣν αὐτοὶ τοῦ πλειστάκις ἐπὶ τοῖς αὐτοῖς ὡσαύτως ἀποβαινόντων εἶναι φασίν. ἴσως μὲν οὖν καὶ προσέκειτο κατὰ τὸν ἀφορισμὸν, ὁ καὶ, σύνδεσμος, εἶτά τις ὡς περιττὸν, ἀφεῖλεν αὐτόν. ἴσως δὲ καὶ ἐξ ἀρχῆς αὐτὸς ὁ Ἱπποκράτης ἁπλῶς ἔγραψε χωρὶς τοῦ, καὶ, συνδέσμου. δηλοῖ δὲ ἡ ἴησις, ὡς εἰ καὶ οὕτως εἰρήκει, τοῖς γὰρ προειρημένοις, οὕτως ἔχουσιν ὡς εἴρηται, τουτέστι τροφῆς πλείονος παρὰ φύσιν ἐν τῷ σώματι περιεχομένης, ἐπειδὰν κενώσεως προσαχθείσης ὁ κάμνων ὠφεληθείη, δῆλον ἐστὶν ὡς εἰς νόσον ἧκε διὰ τὸ πλῆθος τῆς τροφῆς. ὅτι δὲ κένωσιν μὲν ἁπλῶς εἴωθε λέγειν ὁ Ἱπποκράτης, ὅταν ὁμοτίμως ἅπαντες οἱ χυμοὶ κενῶνται, κάθαρσιν δὲ, ὅταν οἱ μοχθηροὶ κατὰ ποιότητα, μεμνῆσθαι χρὴ, καὶ ὅτι ἡ νῦν ἴασις ὑπὸ κενώσεως, οὐ καθάρσεως ἐστὶ γινομένη, μαρτυρεῖ τῇ περὶ τοῦ πλήθους δόξῃ. κένωσις δ' ὁμοτίμως ἁπάντων τῶν χυμῶν, ἡ μὲν ἀκριβεστάτη, διὰ φλεβοτομίας ἐστὶν, ἐγγὺς δ' αὐτῆς ἥτε ἀποσχαζομένων τῶν σφυρῶν, ὥσπερ ἡμῖν εἴθισται, καὶ ἡ διὰ γυμνασίων, ἢ τρίψεων, ἢ λουτρῶν, καὶ προσέτι κατὰ συμβεβηκὸς ἡ διὰ ἀσιτίας. κατὰ συμβεβηκὸς δ' εἶπον, ὅτι μὴ δι' ἑαυτῆς ἡ ἀσιτία κενοῖ, καθάπερ ἕκαστον τῶν προειρημένων. ἀλλ' ἡ μὲν κένωσις γίνεται τῷ φυσικῷ τρόπῳ τῆς διαπνοῆς, μηδεμιᾶς δὲ ἀντὶ τῶν κενωθέντων εἰσενεχθείσης τροφῆς, ἐναργῶς τηνικαῦτα φαίνεται ἡ πρότερον λανθάνουσα. τουτὶ μὲν οὖν αὐτάρκη πρός γε τὴν ἐξήγησιν τοῦ ἀφορισμοῦ. ὅστις δὲ βούλεται τὸν περὶ πλήθους λόγον ἀκριβῶς ἀναλέξασθαι, βιβλίον ἔχει γεγραμμένον ὑφ' ἡμῶν ἓν ὅλον, ὃ δὴ καὶ περὶ πλήθους ἐπιγέγραπται. νυνὶ δ' ἀρκεῖ τό γε τοσοῦτον ἔτι προσθεῖναι τοῖς εἰρημένοις, ὡς ἄρξασθαι μὲν δύναται τὸ πρὸς τὴν δύναμιν πλῆθος, αὐτοῦ τοῦ διεφθάρθαι, μεῖναι δ' οὐ δύναται χρηστόν. ἀνάγκη γὰρ πᾶσα μεταβάλλειν αὐτὸ κατὰ ποιότητα, καὶ διαφθείρεσθαι τοῦ χρόνου προϊόντος, ἀλλὰ κἂν τοῦτο γίνεται, μέχρι τοῦδε τὸ πλῆθος αὐτὸ καλοῦμεν, μέχριπερ ἂν ἐπὶ τῇ κενώσει τοῦ περιττοῦ τὸ λοιπὸν δύνηται γίνεσθαι χρηστόν. ὁποῖον γὰρ κατὰ τοὺς ὀξυνομένους οἴνους συμβέβηκε, τοιοῦτόν τι καὶ κατὰ τὴν ἀλλοίωσιν τοῦ αἵματος. ἔστι δὲ τὸ συμβαῖνον ἐπὶ τῶν οἴνων τοιόνδε. τελέως μὲν ὀξεῖς γενηθέντες, οὐκέτ' εἰς τὴν τοῦ οἴνου φύσιν ἐπανέρχονται. βραχεῖαν δέ τινα ποιησάμενοι ῥοπὴν, ὡς ὀξύνεσθαι μὲν, ὄξος δ' οὐδέπω γεγονέναι, πολλοὶ πολλάκις ἀνεκτήσαντο τὴν πρότερον φύσιν, οὕτως ἔχει κἀπὶ τοῦ αἵματος. καὶ γὰρ καὶ τοῦτο, μεγάλης μὲν τῆς διαφθορᾶς γενομένης, οὐκέτ' ἐπανέρχεται πρὸς τὸ κατὰ φύσιν. ἐπὶ βραχὺ δὲ συμβάσης, ἐπειδὰν τὸ περιττὸν ἀποκενωθῇ, τὸ κατάλοιπον ἀνακτᾶται τὴν ἑαυτοῦ φύσιν. καὶ δὴ καὶ καλεῖν ἔθος ἐστὶ τὴν τοιαύτην διάθεσιν οὐ διαφθορὰν, ἀλλὰ πλῆθος. ἐκείνης ὡς ἔφην μόνης ὀνομαζομένης διαφθορᾶς, ἥτις ἂν οὕτως ἀξιόλογον ἔχει τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπὴν, ὡς μηκέτ' ὑπὸ φύσεως δύνασθαι πεττομένης, χρηστὸς γίνεσθαι χυμός.

Τῶν τρεφόντων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ αἱ διαχωρήσιες γίνονται.

Ταχέως μὲν τρέφειν ἀκουστέον εἰρῆσθαι πρὸς αὐτοῦ, τὰ μετ' ὀλίγον χρόνον τῆς προσφορᾶς εὐθέως τρέφοντα κατά γε τὴν ἑαυτῶν φύσιν. ἐξετάζεται δ' αὕτη κατά γε τοὺς ἀμέμπτως ὑγιαίνοντας. ἀθρόως δὲ τὰ μετὰ τὸ ἄρξασθαι τρέφειν, ἐν ὀλίγῳ χρόνῳ πᾶσαν τὴν ἐξ αὐτῶν τροφὴν διδόντα τῷ σώματι. τὰ τοιαῦτα οὖν ὅσον ἐπὶ τοῦτο μόνον τῷ τρέφειν ἀθρόως, καὶ διαχωρηθήσεται ταχέως. εἰ δ' ἤτοι δριμύτης τις αὐτοῖς ἐρεθίζουσα πρὸς ἀπόκρισιν, ἢ γλισχρότης ὑπάρχει δι' ἣν ἐπὶ πλέον κατέχεται, τὰ μὲν θᾶττον κατὰ τὴν διαχώρησιν ὁρμήσει, τὰ δὲ βραδύτερον. τάχιστα μὲν οὖν καὶ ἀθροώτατα οἶνος τρέφει. βραδύτατα δὲ καὶ κατὰ βραχὺ βόειον κρέας, καὶ κοχλίαι, καὶ σπόνδυλοι θαλάττιοι, καὶ ἀκρίδες καὶ κάραβοι, καὶ ἀστακοί, καὶ συνελόντι φάναι, πάντα τὰ σκληρόσαρκα, τῆς αὐτῆς ἐστὶ

τροφῆς

τούτοις φύσεως, καὶ σκληροὶ τυροὶ, καὶ τὰ ταριχευμένα τῶν κρεῶν, καὶ φακοὶ καὶ βολβοὶ, καὶ τὰ μέχρι τοῦ σκληρωθῆναι τῶν ὠῶν ἀφεψημένα. ταυτὶ γὰρ πάντα μετὰ πολὺν χρόνον τοῦ προσαχθῆναι τρέφει κατὰ βραχύ. σημεῖον δ᾽ ἔστω σοι τοῦ τρέφειν ἤδη τὸ προσγινόμενον, ἐν μὲν τοῖς σφυγμοῖς ἥ τε σφοδρότης καὶ τὸ μέγεθος, ἐν δὲ ταῖς καθ᾽ ὁρμὴν κινήσεσιν ἡ προστιθεμένη τοῖς τεθραμμένοις ῥώμη. μάλιστα δ᾽ ἐξετάζειν αὐτὴν προσήκον, ἐπὶ τῶν ἐκλελυμένων διὰ κένωσιν τινὰ αἰσθητὴν, ἢ διὰ κάματον, ἢ δι᾽ ἀσιτίαν. ἐπὶ μὲν οὖν τῶν προειρημένων ἁπάντων αἱ κατὰ τὴν γαστέρα διαχωρήσεις βραδεῖαι γίνονται, τουτέστι μετὰ πολὺν τῆς προσφορᾶς χρόνον, ἐπὶ δὲ τῶν ἐναντίων, ταχεῖαι. μάλιστα δ᾽ ἐναντίος ἁπάντων αὐτοῖς ἐστιν ὁ οἶνος, ὡς εἴρηται, τάχιστα τρέφων, ἐφεξῆς δ᾽ αὐτῷ κατὰ στοῖχον ἄλλα, περὶ ὧν ἐρῶ, πρῶτόν γε περὶ τῶν οἴνων αὐτῶν διερχόμενος. οἱ μὲν γὰρ ὑδατώδεις αὐτῶν, ἐλαχίστην τροφὴν τῷ σώματι δεδώκασιν. εἰσὶ δὲ οὗτοι λευκοὶ μὲν τὴν χρόαν, λεπτοὶ δὲ τὴν σύστασιν. οἱ δὲ παχεῖς καὶ κιῤῥοὶ, πολὺ μὲν πλείονα τὴν τροφὴν τούτων διδόασι τῷ σώματι. ἀπολείπονται δὲ τῶν μελάνων οὐ τοσοῦτον τροφῆς, ὅσον πλεονεκτοῦσιν εἰς τὸ ταχέως καὶ ἀθρόως τρέφειν. ὅσοι δὲ λευκοὶ μὲν ἀλλὰ παχεῖς εἰσιν, ἀτροφώτεροι μὲν τούτων ὑπάρχουσιν, τροφιμώτεροι δὲ τῶν λεπτῶν τε καὶ λευκῶν, ἀλλ᾽ οὔτε ταχέως, οὔτε ἀθρόως τρέφουσιν. εἰς ὅσον δὲ ἐν τούτοις διαφέρουσιν, εἰς τοσοῦτον καὶ κατὰ τὴν διαχώρησιν. οἱ μὲν γὰρ ὑδατώδεις κατ᾽ οὖρα διαχωροῦσι τάχιστα, διὰ τὸ φθάνειν τάχιστα σχεδὸν ἀναλαμβάνεσθαι ὅλοι. τῶν δ᾽ ἄλλων πάντων ὅσον ὑπέρχεταί τι κατὰ τὴν γαστέρα σαφὲς, ἀνάλογον τῷ χρόνῳ τῆς θρέψεως ἔχει τὴν διαχώρησιν. οὕτω δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων συμβέβηκεν. ὁ μὲν γὰρ τῆς πτισάνης χυλὸς, οὐ μετὰ πολὺν χρόνον τῆς προσφορᾶς φαίνεται τρέφων, οὐ μὴν πολλὴν τροφὴν δίδωσι τῷ σώματι, καὶ ταύτην ἐν ὀλίγῳ χρόνῳ παρέχειν ἀθρόαν. ὁ χόνδρος δὲ οὔτ᾽ ὀλίγην, οὔτ᾽ ἀθρόαν, ἀλλ᾽ ἐν πολλῷ τε χρόνῳ, καὶ πολλὴν παρέχει τροφήν. ὡσαύτως δὲ δηλονότι προσήκει τῇ συστάσει ἔχειν τὰ παραβαλλόμενα, καὶ μὴ τὸ μὲν ἀκριβῶς εἶναι ὑγρὸν, τὸ δὲ ἄκρως ξηρόν. ἐπὶ μὲν οὖν τῆς πτισάνης καὶ χόνδρου καὶ πάντων τῶν τοιούτων ὅσα σκευάζουσιν ἐκ κέγχρων, ἢ κυάμων, ἢ τινῶν ἄλλων καρπῶν, ὁμοίως ἐχέτω τὰ παραβαλλόμενα, κατὰ τὸ ποιὸν τῆς συστάσεως. ἐπὶ δὲ τῶν κρεῶν, ἰδία μὲν ἡ σύστασις ἑκάστου. παραβάλλεσθαι δὲ αὐτὰ χρὴ κατὰ τὸ ποιὸν τῆς σκευασίας, ἢ ὀπτωμένων ἀμφοῖν, ἢ ἑψημένων ὡσαύτως. ἀφαιρείσθωσαν δὲ κατὰ τὴν σκευασίαν καὶ οἱ δακνώδεις χυμοὶ, καθάπερ ἐπὶ κράμβης τε καὶ ὀσπρείων, εἰ μέλλεις ἀκριβῆ βάσανον αὐτῆς τῆς τρεφούσης οὐσίας λαβεῖν. ἡ δ᾽ ἀφαίρεσις τῶν χυμῶν, ἐκ τοῦ μετατίθεσθαι κατὰ τὴν ἕψησιν εἰς ἕτερον ὕδωρ ἐξ ἑτέρου γίγνεται. ἐὰν οὖν ἅπαντα ταῦτα διορισάμενος ἐξετάσῃς ἀκριβῶς, εὑρήσεις ὅσα μὲν ἐν ὀλίγῳ χρόνῳ τρέφει. τοῦτο δέ ἐστι, τὸ ἀθρόως, καὶ μετ᾽ ὀλίγον χρόνον τῆς προσφορᾶς, τοῦτο γάρ ἐστι τὸ ταχέως. τούτων καὶ τὴν διαχώρησιν ἐν τάχει γινομένην, ὅταν γε ὡσαύτως ἔχουσιν ἀνθρώποις δίδωται. καὶ γὰρ καὶ τοῦτο ἐπὶ πάντων τῶν τοιούτων χρὴ προσδιορίσασθαι. τὰ δ᾽ ἐναντίως ἔχοντα, βραδέως ὑποχωρεῖν. τὴν δ᾽ αἰτίαν τῶν γινομένων, μάθοις ἂν ἐκ τῶν ἀποδεδειγμένων ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. ἡ γάρ τοι γαστὴρ ἀπολαύειν ἐνεδείκνυτο τῶν σιτίων αὐτὴ πρώτως, τὸν οἰκεῖον ἐξ αὐτῶν ἕλκουσα χυμὸν, ἐναποτιθεμένη τε τοῖς ἑαυτῆς χιτῶσιν, εἶτ᾽ ἐπειδὰν τούτου κορεσθῇ, τηνικαῦτα ἐκπέμπει αὐτὰ πρὸς τὴν διαχώρησιν. ἐν τούτῳ δὲ τῷ χρόνῳ καὶ τὸ ἧπαρ ἐκ τῶν σιτίων ἕλκειν ἐδείχθη, ἐπειδὰν ἐνδεῶς ἔχῃ τροφῆς, εἰ δὲ μὴ, χρῆσθαι τῇ προϋπαρχούσῃ. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἕλκειν αὖθις ἐκ τοῦ ἥπατος ὅλον τὸ σῶμα, καθ᾽ ὃν ἂν χρόνον, καὶ τοῦτο ἀῤῥεῖ τροφῆς. ὅθεν ἐφ᾽ ὧν ὅλον τὸ σῶμα κενόν ἐστι, μάλιστα ἄν τις λάβῃ τὴν πεῖραν τῶν ἀθρόως τε καὶ ταχέως τρεφόντων, οἵαπερ ὡς ἔφαμεν ὑπάρχει, καὶ τὸ πρὸς τὴν διαχώρησιν ἰέναι θᾶττον, ὅσον ἐπὶ τῷδε. ἔνιοι μέντοι τὴν ἐξ ὅλου τοῦ σώματος ἔφασαν κένωσιν εἰρῆσθαι διαχώρησιν, ἵνα ταυτὸν ᾖ τὸ νῦν διδασκόμενον, τῷ λεγομένῳ κατὰ τὸ περὶ τροφῆς βιβλίον, ἔνθα φησὶν ἡ δυσαλλοίωτος, δυσεξανάλωτος, ἡ εὐπρόσθετος, ἐξαναλοῦται, ὅπερ ἀληθὲς μέν ἐστιν. οὐ μὴν οἰκείως ἀκούεσθαί τε δοκεῖ τῇ τῆς διαχωρήσεως προσηγορία. λέγεται γὰρ αὐτὴ μᾶλλον, ἐπὶ τῶν κατὰ γαστέρα μόνον, δυνατὸν γε μὴν κἀπὶ τῶν καθ᾽ ὅλον ἀκούειν αὐτὴν τὸ σῶμα. διαφέρει γὰρ, ἢ ὑποχώρησιν ἢ διαχώρησιν εἰπεῖν. ἡ μὲν οὖν ὑποχώρησις ἐπὶ τῶν κατὰ τὴν γαστέρα μόνων λέγεται. κοινὸν δ᾽ ἀμφοῖν τὸ τῆς διαχωρήσεως ὑπάρχειν ἐγχωρεῖ ὄνομα. τὰ μὲν οὖν χοίρεια κρέα, καὶ ὅσα γλίσχρους καὶ παχεῖς ἔχει τοὺς χυμοὺς, ἐν χρόνῳ ποιεῖται τὴν ἐξ ὅλου τοῦ σώματος διαπνοήν, λάχανα δὲ καὶ τῶν ἰχθύων οἱ πετραῖοι, καὶ ἁπλῶς ὅσα λεπτὸν ἔχει τὸν ἀναδιδόμενον χυμὸν, ἐν μὲν τῷ τάχει τῆς ἀναδόσεως, καὶ τῆς προσθέσεως πλεονεκτεῖ, μόνιμον δ᾽ οὐκ ἔχει τὴν φύσιν, ἀλλὰ διαπνεῖται ῥαδίως.

Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγείης.

Τὰ ὀξέα νοσήματα πρὸς τῷ κρίνεσθαι ταχέως, εὐθέως καὶ μέγεθος ἔχει. τοὺς γοῦν ἐφημέρους πυρετοὺς, καίτοι ταχέως παυομένους, οὐ καλοῦσιν ὀξέα νοσήματα. διττὴ δέ ἐστιν ἡ τῶν ὀξέων νοσημάτων φύσις. ἢ γὰρ ἐπὶ χυμοῖς μόνοις θερμοῖς οὐδένα τόπον ἐγκατειληφόσιν, ἀλλ᾽ ὁμοτίμως ἐν ἅπασι τοῦ ζώου τοῖς μέρεσι γίγνεσθαι πεφυκόσιν, ἢ τόπου τινὸς πεπονθότος, ὡς ἐν πλευρίτιδι, καὶ περιπνευμονίᾳ, καὶ κυνάγχῃ. καὶ οἵ γε πυρετοὶ τούτοις, οἷον συνεχεῖς εἰσιν ἐν τοῖς ὀξέσι νοσήμασι. σπάνια γὰρ τὰ χωρὶς πυρετῶν, ὁποῖα ἐστὶ καὶ ἡ ἀποπληξία. τὰ δὲ χρόνια νοσήματα, διὰ χυμοὺς γίνεται παχεῖς καὶ γλίσχρους, καὶ ψυχροὺς, οὔτε πεφθῆναι ῥαδίως δυναμένους, ἐμπλαττομένους τε καὶ σφηνουμένους ἐν τοῖς πεπονθόσι μορίοις, ὥστε καὶ σκιῤῥώδεις αὐτῶν μᾶλλον, ἢ φλεγμονώδεις εἶναι τὰς διαθέσεις. ὀλίγα δ᾽ ἐξ αὐτῶν γίγνεται τὰ κατὰ συμπάθειαν καὶ χωρὶς τόπου πεπονθότος, ἐν οἷς ὁμοτίμως ἁπασῶν τῶν φλεβῶν, ἤτοι μελαγχολικοὺς ἢ φλεγματώδεις χυμοὺς ἐχουσῶν σηπομένους. ἐπὶ μὲν τούτων ἁπάντων ἔοικεν ὁ Ἱπποκράτης θαῤῥεῖν ταῖς προγνώσεσιν. ἐπὶ δὲ τῶν ὀξέων, οὐχ ἁπάντων, ἀλλ᾽ ἔστιν ὅτε καὶ διαμαρτάνεσθαι τὴν πρόγνωσιν ὁμολογεῖν. τοιοῦτον γάρ ἐστι τὸ, οὐ πάμπαν, ἀπόφασις ὄν. τὸ γὰρ οὐ πάμπαν, τῷ οὐ παντελῶς ταυτὸν σημαίνει. καὶ ἔστι τὸ, οὐ πάμπαν, ἴσον τῷ οὐκ ἐπὶ πάντων, ὅπερ ὅταν ὀλίγα τῶν πάντων ἐξαίρωσιν, ὀνομάζειν εἰώθασιν. οἷον, οὐ πάντες ἄνθρωποι κακοί. δηλοῖ γὰρ ὁ τοῦτ᾽ εἰπὼν, ὀλιγοστοὺς εἶναι τοὺς ἀγαθούς. οὕτω γοῦν καὶ νῦν ὁ Ἱπποκράτης ἐμφαίνει λέγων,

οὐ πάμπαν ἀσφαλέες εἰσὶ τὰς προαγορεύσεις ἐπὶ τῶν ὀξέων, ὡς ὀλιγάκις ποτὲ καὶ σφαλλομένου τοῦ ἰατροῦ. συμβαίνει δ' αὐτὸ τοῦτο, διά τε τὴν ὀξύρροπον ἐν κρίσει μεταβολὴν, ἣ τις ἕπεται τῶν ἐργαζομένων αὐτὰ χυμῶν τῇ φύσει, καὶ διὰ τὸ μεταρρεῖν ἐνίοτε τὸν λυποῦντα χυμὸν ἐξ ἑτέρων εἰς ἕτερα.]

Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραὶ γίνονται. ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραί εἰσι, τουτέοισιν ἀπογηράσκουσιν ὑγραίνονται.

Ὅτι μὲν ὡς τὸ πολὺ τοῦτο γίνεται, καὶ οὐ διὰ παντὸς, ἐδήλωσεν αὐτὸς ἐν τοῖς κατωτέρω γράψας τόνδε τὸν ἀφορισμὸν, ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ἐόντες, βέλτιον ἀπαλλάσσουσι τῶν ξηρὰς ἐχόντων, ἐς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ ὡς ἐπὶ πολὺ ἀπογηράσκουσιν. ἀκουστέον δὲ ὅτι ξηρὰς καὶ ὑγρὰς κοιλίας, οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ τοῖς αὐτοῖς διαιτήμασιν. εἰ γάρ τις ἐν μὲν τῇ νεότητι, τῇ τῶν ἀλεξανδρέων χρῷτο διαίτῃ, ταρίχη τε καὶ πράσα ἐσθίων, ἐπιπίνων τε ζύθον, ἐν δὲ τῷ γήρᾳ μηδὲν τούτων προσφέροιτο, φακῆν δὲ ἐσθίει, καὶ οἶνον αὐστηρὸν ἔτι πίνει, πῶς ἂν φαίημεν ὑπηλλάχθαι τούτῳ τὰ διαχωρήματα τῷ λόγῳ τῆς ἡλικίας; οὕτω δὲ καὶ ὁ μὲν κατὰ τὴν νεότητα φακῆν ἐσθίων καὶ μέσπιλα, καὶ οἶνον αὐστηρὸν πίνων, ἐπὶ δὲ τοῦ γήρως τῇ τῶν ἀλεξανδρέων χρώμενος διαίτῃ, συμμεταβάλλει ταῖς διαίταις τὴν περὶ τὴν διαχώρησιν, οὐκ ὀρθῶς ποιησόμεθα κρίσιν. ἀλλ' ὅταν ἁπάντων τῶν ἄλλων, οὐ μόνον τῶν κατὰ τὴν τροφὴν ὁμοίως πραττομένων ὑπηλλάχθαι τὰ κατὰ τὰς διαχωρήσεις, ἡ κρίσις ὀρθὴ γενήσεται τῶν ὑφ' Ἱπποκράτους εἰρημένων, ὑπαλλαχθήσεται δὲ τὰ περὶ τὰς διαχωρήσεις, ὅσον ἐπὶ τῇ φύσει τῶν ἡλικιῶν, κατὰ τὰς ἐν τῷ σώματι διαθέσεις ἀλλαττομένας, ὑφ' ὧν ἡ γαστὴρ ὑγροτέρα τε καὶ ξηροτέρα γίνεται. τίνες δὲ εἰσὶν αὗται, τῶν ἐζητημένων ἐστὶ, καὶ οὕτω γε μακρὸν ἔσεσθαί μοι νομίζω τὸν λόγον, εἰ σὺν ταῖς οἰκείαις ἀποδείξεσι γράφειν αὐτὸν ἐπιχειρήσαιμι, ὥστε ἑνὸς ὅλου δεήσεσθαι βιβλίου. τοῦτο μὲν οὖν αὖθις ἔσται ποτὲ, νῦν δὲ διὰ βραχέων ἐρῶ τὰ κεφάλαια, συγχρησάμενος οἷς ἔν γε τοῖς τῶν φυσικῶν δυνάμεων ἀπέδειξα ὑπομνήμασι, καὶ τοῖς τῶν συμπτωμάτων αἰτίοις. ὑγροτέρα τοῦ συμμέτρου γίνεται ἡ γαστὴρ, ὅταν ἡ χυλωθεῖσα τροφὴ, κατ' αὐτὴν ἐνδεέστερον ἀναδίδοται, ξηροτέρα δὲ πάλιν, τῆς κατ' αὐτὴν ὑγρότητος ἁπάσης εἰς τὸ ἧπαρ ἀναφερομένης. ἀλλὰ τὸ μὲν ἐνδεέστερον ἀναδίδοσθαι γίνεται, ποτὲ μὲν πλείονα τροφὴν λαμβανόντων, ἢ ὅσης δεῖται τὸ ἧπαρ, ἔστι δ' ὅτε θᾶττον ἐπὶ τὴν διαχώρησιν ἰούσης αὐτῆς. τῆς μὲν γὰρ πλείονος ἀπολείπεται τὸ περιττὸν, ἐπειδὰν ἑλκύσῃ τὸ ἧπαρ ὅσης δεῖται. τῆς δὲ ταχέως διεξιούσης, οὐ φθάνει πρότερον ἕλκειν τὸ ἧπαρ, ὅσον δεῖται, θᾶττον δὲ ὑπέρχεται τὰ διαχωρούμενα. ποτὲ μὲν διὰ τὸ πλῆθος τῆς καταρρεούσης εἰς τὴν γαστέρα χολῆς, ἐρεθιζούσης αὐτὴν εἰς ἀπόκρισιν, ἐνίοτε δὲ τῆς μὲν ἐν αὐτῇ τῇ γαστρὶ καθεκτικῆς δυνάμεως, ἀρρωστοτέρας γινομένης, τῆς δ' ἀποκριτικῆς ἐν ταύτῃ γε καὶ τοῖς ἐντέροις ἰσχυρᾶς ὑπαρχούσης. πλειόνων μὲν οὖν ὀρεγόμεθα, τοῦ στόματος τῆς γαστρὸς, ἐνταῦθα γὰρ μάλιστα ἡ ὄρεξίς ἐστι, ψυχροτέρου τὴν κρᾶσιν ὑπάρχοντος, οὕτω δὲ καὶ τὸ ἧπαρ ἧττον ἕλκει διὰ ψυχρότητα. τὴν δὲ καθεκτικὴν ἡ γαστὴρ δύναμιν, ἀσθενεστέραν ἔχει δι' ὑγρότητα, καθάπερ δὴ καὶ τὴν προωστικὴν ἰσχυροτέραν διὰ ξηρότητα. γερόντων οὖν ἐπειδὰν ψυχρότερον γένηται τὸ σῶμα, τὴν ἐν τῷ στόματι τῆς κοιλίας ὑγρότητα συμβαίνει γίνεσθαι ψυχρὰν ἐς τοσοῦτον ὡς μεταπίπτειν ἐς ἀνορεξίαν, καὶ οὕτω ξηραίνεσθαι τὴν διαχώρησιν, ἐνδείᾳ τῶν προσφερομένων, ὡς πρὸς τὴν ἀνάδοσιν. οὕτω δὲ καὶ ὅσοι διὰ τὸ πλῆθος ἢ τὴν φύσιν τοῦ πικροχόλου χυμοῦ, τὴν κοιλίαν ὑγραίνονται, πρὸς τοὐναντίον μεταπίπτουσι, μηκέτι ἐν τῷ γήρᾳ τοῦ τοιούτου χυμοῦ πολλοῦ γινομένου. τοῖς μέντοι δι' ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως ὑγραινομένοις τὴν κοιλίαν, οὐχ ἅπασιν ἡ μετάπτωσις ἔσται, ἀλλὰ παρὰ τὸ ποσὸν τῆς συνεζευγμένης αὐτῇ θερμασίας. εἰ μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς εἴη ψυχροτέρα τὴν κρᾶσιν, ἡ γαστὴρ εἰς ἀμετρίαν τῆς περὶ ψυχρότητα δυσκρασίας ἐν τῷ γήρᾳ παραγινομένη, τὴν καθεκτικὴν δύναμιν ὁμοίως ἄρρωστον ἕξει, διὰ τὸ πᾶσαν ἄμετρον δυσκρασίαν ἐκλύειν τὰς ἐνεργείας. εἰ δ' † ἀκριβῶς εἴη θερμὴ μέχρι πλείστου τῆς ἡλικίας, ἰσχυρὰν ἕξει τὴν καθεκτικὴν ἐνέργειαν, ὡς ἂν μηδ' ἑτέραν ἴσχουσα τῶν δυσκρασιῶν ἀκριβῶς, μηδὲ τὴν κατὰ ξηρότητα. φύσει γὰρ ἦν ὑγροτέρα πάντως, ἢ οὐκ ἂν ἄρρωστον εἶχε τὴν καθεκτικὴν δύναμιν, μήτε τὴν κατὰ θερμότητα. τοῦτο γὰρ ὑπέκειτο. δῆλον οὖν ὡς ὀλίγον δεῖν ἅπασιν, οἷς ὑγρότεραι φύσεις γαστρός εἰσιν, εἰς τοὐναντίον ἡ μετάπτωσις γίνεται γηράσκουσιν. οἷς δὲ ξηρότεραι, τούτοις ὑγρότεραι γίνονται γηρῶσι, διὰ τὰς ἐναντίας κράσεις. ἤτοι γὰρ ὅταν ἐλάττονα τροφὴν προσφέρωνται τῆς περὶ τὸ ἧπαρ δυνάμεως, ἢ δι' ἐξικμάσιν, ἢ τὸ συρρεῖν τῆς χολῆς εἰς τὴν κοιλίαν ὀλίγον, ἢ δι' ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, ἡ διαχώρησις ἔσται ξηροτέρα. τούτων δὲ τὸ μὲν ἧττον ὀρέγεσθαι, καὶ θᾶττον ἐμπίπλασθαι, διὰ τὴν θερμότητα γίνεται τῶν ὀρεκτικῶν μορίων. τὸ δ' ἐξικμάζεσθαι τὴν τροφὴν, ἤτοι συμμέτρως ἔχοντος ἐν τῇ κράσει τοῦ ἥπατος, ἢ καὶ βραχεῖ τινὶ θερμοτέρου τὴν κρᾶσιν ὑπάρχοντος. τὸ δ' ὀλίγην συρρεῖν εἰς τὴν γαστέρα χολὴν ὡς ἂν δηλονότι καὶ γινομένης ὀλίγης, ἐπὶ τῇ ψυχρότητι τοῦ σπλάγχνου συμβαίνει. ῥωμαλέα δ' ἡ καθεκτικὴ δύναμις γίνεται τοῖς νέοις, ἐπὶ τὸ ξηρότερον τῇ κράσει ῥέπουσιν. εἰκότως οὖν γερόντων ἁπάντων τῶν προειρημένων, εἰς τἀναντία μετάπτωσις ἔσται. οὔτε γὰρ ἀνόρεκτοι διὰ θερμότητα, προηκούσης τῆς ἡλικίας ὀρεχθήσονται πλειόνων, ἢ ὅσων δύναται κρατήσειν τὸ ἧπαρ. ὅσοις τε διὰ ξηρότητα σύμφυτον ἡ καθεκτικὴ δύναμις ἦν ἰσχυροτέρα, τούτοις γηρῶσιν ἀρρωστοτέρα γενήσεται, τῇ τῆς ξηρότητος ἀμετρίᾳ. καὶ διὰ τοῦτο ἡ διαχώρησις ὑγρανθήσεται τῷ ταχύνειν τὴν διέξοδον τῶν σιτίων. ὅσοις δὲ διὰ τὴν ἔνδειαν τῆς χολῆς ἡ διαχώρησις βραδύνουσα διὰ τὸ πολυχρόνιον τῆς διεξόδου τὸ πολὺ τῆς ὑγρότητος ἐξικμάζεται, δυνατὸν μὲν ἔτι μεῖναι τὴν αὐτὴν διάθεσιν. ἐγχωρεῖ δὲ καὶ διὰ ψύξιν ἄμετρον τοῦ ἥπατος, εἰς ἀρρωστίαν ἱκανὴν τῆς ἀναδόσεως ἀφικνουμένης, ὑγρὰ γίνεσθαι τὰ διαχωρήματα. ταῦτ' ἐν τῷ παρόντι περὶ τῆς αἰτίας εἰρήσθω μοι τῶν ἐν ταῖς ἡλικίαις μεταβολῶν, ὅσας ἴσχουσι διὰ ξηρότητα καὶ ὑγρότητα γαστρὸς, ἀσαφῆ διὰ βραχυλογίαν ἐσόμενα τοῖς μὴ προγεγυμνασμένοις ἐν οἷς εἶπον ὑπομνήμασιν. ὕστερον ποτὲ δι' ἑνὸς ὅλου βιβλίου σαφέστερον ὑπὲρ τῶν αὐτῶν εἰρήσεται. πρὸς μέντοι τὴν ἐν τῇ τέχνῃ χρείαν, ἱκανὸν καὶ τοῦτο μόνον ἐπίστασθαι, τὸ πρὸς Ἱπποκράτους εἰρημένον, ἄνευ τοῦ προσκεῖσθαι τὴν αἰτίαν.

τὸ ἀκριβῶς

Λιμὸν

Λιμὸν θώρηξις λύει.

Θώρηξιν οἴνου πόσιν αὐτὸς εἴωθεν ὀνομάζειν. ἐν γοῦν τῷ περὶ φύσεως ἀνθρώπου καὶ διαίτης, ὧδέ πως ἔγραψε, φανερὸν γὰρ δὴ, ὅτι τὰ διαιτήματα ἑκάστου ἡμῶν οὐκ αἴτια ἐστίν. ὅτι δ᾽ ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς καὶ τῶν νεωτέρων, καὶ πρεσβυτέρων, καὶ γυναικῶν, καὶ ἀνδρῶν, ὁμοίως καὶ τῶν θωρησσομένων, καὶ τῶν ὑδροποτεόντων. ἐκ τοῦ τοίνυν ἀντιθεῖναι τοῖς ὑδροποτέουσι, τοὺς θωρησσομένους ἐδήλωσεν, ὅτι τοὺς οἰνοποτοῦντας ὀνομάζει θωρησσομένους, ὥστε καὶ θώρηξις ἡ τοῦ οἴνου πόσις ὑπ᾽ αὐτοῦ λέγεται. ταύτην οὖν φησὶ λύειν λιμόν. οὐ μὰ δία ἅπασαν ἔνδειαν ὀνομάζων λιμὸν, ὥς τινες ὑπολαμβάνουσιν. οὐ μὴν οὐδὲ τὴν μετ᾽ ὀρέξεως, ἀλλὰ τὴν ἐπ᾽ αὐτῶν δὴ τῶν πάθημα ἐχόντων ὄρεξιν σφοδρὰν καὶ ἄπαυστον σιτίων, ἣν ἔνιοι τῶν ἰατρῶν ὀνομάζουσι κυνώδη. τούτου γάρ τοι τοῦ λιμοῦ, ἡ τοῦ οἴνου θώρηξις ἴαμα ἐστὶν, οὐχ ὅς τις ἂν ἤτοι διὰ μακρὰν ἀσιτίαν, ἢ ῥύσιν γαστρὸς, ἢ αἱμοῤῥαγίαν, ἢ τινὰ ἑτέραν κένωσιν ᾖ γεγενημένος. οἱ μὲν τοι διά τι τῶν τοιούτων ἐνδεεῖς, οὐχ ὅπως ἀγαθόν τι τῆς οἰνοποσίας ἀπολαύουσιν, ἀλλὰ καὶ μέγιστα βλάπτονται σπασμοῖς καὶ παραφροσύναις ἁλισκόμενοι διὰ ταχέως, εἰ πρὸ τοῦ σιτία προσενέγκασθαι θωρηχθεῖεν. οἷς δέ ἐστι πάθος ὁ λιμὸς, ἴαμα τούτοις ἐστὶν ἡ τοῦ οἴνου πόσις, οὐ τροφῆς πλῆθος. ἐγὼ γοῦν οὕτως ἰασάμην ἐνίους τῶν ἀπαύστως λιμωττόντων, οἶνον πίνειν διδοὺς δαψιλῆ τῶν ἱκανῶς θερμαινόντων. οὐ γὰρ δὴ οἱ στρυφνοὶ τῶν οἴνων, ἰῶνται τὸν τοιοῦτον λιμὸν, ὅτι μηδὲ θερμαίνουσιν. ἀλλ᾽ ὅσοι γε κιῤῥοὶ τὴν χρόαν, ἢ ἐρυθροὶ, χωρὶς τῆς στύψεως, οὗτοι μέγιστον ἴαμα τῶν τὴν κυνώδη καλουμένην ὄρεξιν ἐχόντων εἰσί. χρὴ μὲν αὐτοὺς ὅταν ἐπὶ τὸ ἄριστον ἀφίκωνται, πρῶτον μὲν διδόναι λιπαρὰ, καὶ ὡς ἂν εἴποι τις ἐλαιώδη τῶν ἐδεσμάτων, καὶ τἆλλα δὲ πάντα ἃ δι᾽ ἐλαίου πολλοῦ σκευάζονται. μάλιστα δὲ μηδὲν αὐστηρὸν, ἢ στρυφνὸν ἔστω. μετὰ δὲ ταῦτα, τῶν εἰρημένων οἴνων τινὰ, κἂν μηδέπω διψῶσι, κελεύειν προσφέρεσθαι. πραΰνεται μὲν γὰρ αὐτοῖς εὐθέως ὁ λιμὸς, ἐπὶ τῇ τοιαύτῃ διαίτῃ. ἐν πλείονι δὲ χρόνῳ πραττόντων οὕτω, παύεται. καί μοι δοκεῖ τοῦτο μᾶλλον ὁ Ἱπποκράτης ἐνδείκνυσθαι περὶ τὸν προκείμενον ἀφορισμόν. ἐπειδὴ γὰρ αἱ κυνώδεις ὀρέξεις, ἤτοι διὰ δυσκρασίαν μόνην τὴν ἐπὶ τὸ ψυχρότερον, ἢ διά τινας χυμοὺς ὀξεῖς γίνεσθαι πεφύκασιν ἀναποθέντας εἰς αὐτὸ τὸ στόμα τῆς γαστρός. ἄμφω δ᾽ ἰᾶσθαι ταῦτα πέφυκεν ὁ εἰρημένος οἶνος, εἰκότως παύει τὰς κυνώδεις ὀρέξεις. ὅσοι δ᾽ ἡγοῦνται τὸν καλούμενον βούλιμον εἰρῆσθαι λιμὸν νῦν ὑφ᾽ Ἱπποκράτους, ἀλογώτερον μοι δοκοῦσιν ἀκούειν τοῦ λόγου. πρῶτον μὲν ἀντὶ γενικοῦ τε καὶ καθόλου, ποιοῦντες εἰδικόν τε καὶ κατὰ μέρος, εἶτα καὶ ψευδόμενοι. κατάπτωσις γάρ ἐστι δυνάμεως ὑπὸ τῆς ἔξωθεν ψύξεως ὁ βούλιμος, ἀρξάμενος μὲν ἀπὸ πείνης, οὐκ ἔτι δ᾽ ἔχων αὐτὴν συνοῦσαν.

Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσιος πλησμονὴ, καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

Οὐκέτι γινόμενον ὑπὸ πλησμονῆς, οὐδὲ οὐκέτι οὔσης αὐτῆς, ἔτι μένοι, τοῦτο ἰᾶσθαι κένωσις. ἀλλ᾽ ὅσα περὶ τὸν αὐτὸν γίνεται χρόνον ἐπιχειροῦμεν ἰᾶσθαι, κενώσεως χρῄζει. ὅτι μὲν οὖν πλῆθος ἐργάζεται νόσον, ἔμπροσθεν εἴρηται. ὅτι δὲ ἡ ἴασις αὐτοῦ κένωσις ἐστὶν, οὐδὲ λόγου δεῖται. καθάπερ οὐδ᾽ ὅτι πάντων τῶν ποιούντων τὰς νόσους, ἡ ἐναντίωσις. οὐδὲ γὰρ ἐπινοῆσαι δυνατὸν ἄλλο τι παρὰ τοὐναντίον τῶν ποιούντων τὰς νόσους αἰτίων, ὡς ἐπί γε τῶν νόσων αὐτῶν ἤδη γεγενημένων αὖθις ἐπισκεψόμεθα, καθάπερ γε κἀπὶ τῶν ἐξ ἀνάγκης ἑπομένων αὐτοῖς συμπτωμάτων. ἀλλὰ νῦν γε περὶ τῶν ἔτι γινομένων ὁ λόγος ἐστὶ νοσημάτων. εὔδηλον οὖν ὡς ἅμα τοῖς ποιοῦσιν αἰτίοις ἀναιρουμένοις, ἀναγκαῖον ἐστὶ καὶ αὐτὰ συναναιρεῖσθαι. τῶν ποιούντων δ᾽ αἰτίων, ἡ ἀναίρεσις ὑπὸ τῶν ἐναντίων γίνεται. εἰ μὲν γὰρ τῷ ψύχειν τι νόσον ἐργάζοιτο, διὰ τοῦ θερμαίνοντος ἡ ἴασις. εἰ δὲ τῷ θερμαίνειν, διὰ τοῦ ψύχοντος. οὕτω δὲ καὶ εἰ διὰ πλησμονὴν νόσος συνίσταται, τὸ τηνικαῦτα κενῶσαι χρὴ τὴν πλησμονήν. ὥσπερ γε καὶ εἰ ὑπὸ κενώσεως, ἀνατρέφειν ὅτι τάχιστα προσήκει. καί τι δοκεῖ τισὶν ὡς οὐδέ ποτε ἐργάζεται κένωσις νόσον. ἡγοῦνται δ᾽ ὡς ἔοικεν οἱ τοιοῦτοι, μόνον τὸν πυρετὸν εἶναι νόσον. ὡς εἴ γε ἔγνωσαν, ὡς ἅπασα διάθεσις ἐνέργειαν βλάπτουσα, νόσος ἐστὶ καὶ ὡς αἱ σφοδραὶ δυσκρασίαι τὰς ἐνεργείας βλάπτουσιν, οὐκ ἀμφισβήτητον περὶ τοῦ τὰς ἰσχυρὰς κενώσεις αἰτίας γίνεσθαι νόσου. αἷμα μὲν γοῦν, αὖ τε διὰ μήτρας, αὖ τε δι᾽ αἱμοῤῥοΐδος, αὖτ᾽ ἐξ ἕλκους ῥυὲν δαψιλὲς, ἢ πάσας, ἢ τάς γε πλείστας ἐνεργείας, οἱ οὕτω παθόντες, βλάπτονται. τινὲς δ᾽ ἐξ αὐτῶν οὐ μόνον ταῦτα πάσχουσιν, ἀλλὰ καὶ ὑδέροις ἁλίσκονται. μακραὶ δ᾽ ἀσιτίαι τοῖς φύσει πυρετωδέστερον ἔχουσι τὸ θερμὸν, οὐ μόνον τὰς ἄλλας βλάβας, ἀλλὰ καὶ πυρετὸν ἐπιφέρουσιν. ὅλον μὲν οὖν ἀληθὲς ἅμα ἐστὶ καὶ χρήσιμον, εἴρηται. προσθῶμεν δὲ αὐτῷ τι καὶ διὰ τοὺς ληροῦντας, οἷοίπερ νεώτεροι εἰσὶ τῶν ἰατρῶν, ὑπὲρ ὀνομάτων μὲν ἐρίζοντες, οἰόμενοι δὲ περὶ τῶν πραγμάτων αὐτῶν ποιεῖσθαι τοὺς λόγους. ὁποῖοί εἰσιν οἱ λέγοντες, οὐκ εἶναι θεραπείαν τὴν ἀναίρεσιν τῶν ποιούντων τὰς νόσους αἰτίων, ἀλλὰ προφυλακήν, οἷς πρῶτον μὲν ἐπιδεικτέον ἐστὶν, ὡς περὶ ὀνόματος ἐρίζουσιν, εἶθ᾽ ὅτι μηδὲ περὶ τούτου καλῶς. ἔνθα μὲν γὰρ οὐκ ἔστι τὸ ποιῆσαν αἴτιον τὴν νόσον, ἐνταῦθα ἴασις μόνη τῶν γεγονότων ὑπολείπεται. ἔνθα δὲ οὐδέπω ποιεῖ τὸ ἐνυπάρχον αἴτιον τῷ σώματι καθάπερ ἡ πληθώρα, τοῦ προφυλακτικοῦ μέρους τῆς τέχνης ἐστὶν, ἡ τῶν τοιούτων αἰτίων ἀναίρεσις. ὁπότε δ᾽ ἤδη ποιεῖ, μικτόν πως ἐστὶ τὸ τοιοῦτον ἔκ τε προφυλακῆς καὶ θεραπείας. ὅσον γὰρ ἔμελλε ποιήσειν, ἐκωλύθη γενέσθαι, καὶ τοῦτο ἐστὶ τοῦ προφυλακτικοῦ τῆς τέχνης. ὅλον δ᾽ ἤδη γέγονε τῆς νόσου, δεῖται θεραπείας ἰδίας. ὅθεν ἐπειδὴ μικτὰ τὰ τοιαῦτα ἐστὶν, ἔκ τε προφυλακῆς καὶ θεραπείας, ἴδιον οὐκ ἔχομεν ὄνομα, καὶ διὰ τοῦτο ἄλλοτε ἄλλως αὐτὸ προσαγορεύουσιν οἱ ἰατροὶ, ποτὲ μὲν προφυλάττεσθαι λέγοντες, ὡς μὴ τελεωθῆναι τὴν ὑπηργμένην ἤδη γεννᾶσθαι νόσον, ἔστι δ᾽ ὅτε ἰᾶσθαι λέγοντες, ὡς ἐπὶ τῶν ὑπὸ λυττώντων κυνῶν δεδηγμένων. ὅσα γὰρ ἐπ᾽ αὐτῶν προσφέρεται φάρμακα, διττῶς ὀνομάζουσι. ποτὲ μὲν ἰάματα λύττης, ὡς εἰ καὶ τῆς γεννώσης αὐτὴν διαθέσεως ἔλεγον. ἐνίοτε δὲ οὐκ ἰάματα προσαγορεύουσιν, ἀλλὰ προφυλακτικὰ τῆς μελλούσης ἔσεσθαι λύττης.

Τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι.

Τὰ ὀξέα νοσήματα, μεγάλα τέ ἐστι καὶ πρὸς τὴν ἀκμὴν ἐπειγόμενα διὰ ταχέων. εἰκότως οὖν ἐν ὀλίγῳ χρόνῳ, καὶ

τὰς μεταβολὰς ποιεῖται μεγάλας, ὅπερ ταυτόν ἐστι τῷ κρίνεσθαι. τὰς γοῦν τοιαύτας μεταβολὰς ὅταν ἀθρόως ἐν νόσῳ γίνωνται, αὐτὸς ὁ Ἱπποκράτης ὀνομάζει κρίσεις. ἐνίοτε μὲν ἀθρόως ὑγιαζομένων τῶν νοσούντων, ἢ ἀποθνησκόντων, ἐνίοτε δὲ μεταβολὴν τινὰ μεγάλην ποιησαμένων ἐπὶ σωτηρίαν, ἢ ὄλεθρον, ὃ μὴν πρᾶγμά γε σωθέντων, ἢ ἀποθανόντων, ὥστε εἶναι δ. τὰς ὀξυῤῥόπους ἐν αὐτοῖς μεταβολάς, ἃς αὐτὸς ἐδίδαξεν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰπών. ἐπὶ σωτηρίην, ἢ ὄλεθρον, ἢ ῥοπὴν, ἐπὶ τὸ ἄμεινον, ἢ τὸ χεῖρον. ὅτι δ᾽ ἀνάγκη διὰ τὸ μέγεθος τῶν νοσημάτων, καὶ τὴν σφοδρότητα τῶν συμπτωμάτων, ἢ νικηθῆναι διὰ ταχέως τὴν δύναμιν, ὥστε ἀπολέσθαι τὸν ἄνθρωπον, ἢ πρὸς τὴν τῶν λυπούντων ἔκκρισιν ὁρμήσασαν, εἰ μὲν κρατήσειεν ὧν προὔθετο, κρίσιν ἀγαθὴν, εἰ δὲ κρατηθείη, κακὴν ἐργάσασθαι, πρόδηλον παντί. διὰ τοῦτ᾽ οὖν ἀδύνατον εἰς μακρὸν χρόνον ἐκπεσεῖν τὴν κρίσιν, ἐν τοῖς ὀξέσι νοσήμασιν. ὅρον οὖν ἐπὶ τῶν τοιούτων ἁπάντων ὁ Ἱπποκράτης ἔθετο, τὸν τῶν δυοῖν ἑβδομάδοιν χρόνον, ὡς ἐξωτέρω μὲν οὐδενὸς προϊόντος. ἔμπροσθεν δὲ τῆς ιδ. πολλῶν κρίνεσθαι δυναμένων. καὶ γὰρ ἡ ια. καὶ θ. καὶ ζ. καὶ ἡ ε. πολλοὺς φαίνονται κεκρικυῖαι, κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία. κρίνει δὲ καὶ ἡ ϛ. τινάς, ἀλλ᾽ οὐκ ἀσφαλῶς, ὡς κἀν τοῖς περὶ κρισίμων ἡμερῶν ὑπομνήμασιν ἐπὶ πλέον ἐδείξαμεν, ἐν οἷς ἀξιοῦμεν τὸν μέλλοντα γεγυμνάσθαι παρακολουθήσειν οἷς Ἱπποκράτης διὰ βραχέων ἔγραψεν. ὅσαι δὲ τῶν κρίσεων οἷον ἡμιῤῥοποι γίνονται, ταύταις τὸ τέλος ἄλλη τις τῶν ἑξῆς ἡμερῶν ἐπιτίθησιν, ἃς αὐτὸς ἐδίδαξεν ὁποῖαί τινες εἰσὶν ἐν τῷ προγνωστικῷ. διδάξει δέ τι κἀνταῦθα μετὰ τὸν ἑξῆς ἀφορισμὸν ὑπὲρ αὐτῶν. ἔστι δέ τις καὶ τούτων τῶν ἡμιῤῥόπων κρίσεων ὅρος ἄλλος ἐξώτερος, μεθ᾽ ὃν οὐκέτι προέρχεσθαι πέφυκεν ἡ μ. τῶν ἡμερῶν. ὅσα μὲν οὖν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἐκκρίθη τελέως, ταῦθ᾽ ἁπλῶς ὁ Ἱπποκράτης εἴωθε προσαγορεύειν ὀξέα. ὅσα δὲ ἡμιῤῥόπως κριθέντα τῶν ἐφεξῆς τινὰ κρισίμων ἡμερῶν ἄχρι τῆς μ. ἐφυλάχθη, ταῦτα οὐκέτι ἁπλῶς προσαγορεύειν ὀξέα εἴωθεν, ἀλλ᾽ ἐν συνθέτῳ προσηγορίᾳ διὰ ὅλης τῆς λέξεως ὀξέα τὰ ἐν μ. ἡμέραις κρινόμενα. σαφέστερα δ᾽ αὐτὰ λέξει δηλοῦσιν οἱ προσαγορεύοντες, ἐκ μεταπτώσεως ὀξέα. περὶ τούτων μὲν οὖν ἐν τῷ προγνωστικῷ τάδε γράφει. Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην, ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστι καὶ ἐν μ. ἡμέρῃσι κρίνεται. νυνὶ δὲ ἐν τοῖς ἀφορισμοῖς περὶ τῶν ἁπλῶς ὀξέων ἀποφαινόμενος ιδ. φησὶ κρίνεσθαι αὐτὰ ἡμέραις, οὐ μὰ δία τοῦτο λέγων, ὥς τινες ὑπέλαβον, ὅτι ιδ. τὸν ἀριθμόν εἰσιν αἱ τὴν κρίσιν ἐπὶ τούτων τῶν νοσημάτων ἐργαζόμεναι. μετὰ τοῦτον γὰρ τὸν λόγον καὶ τὰ ἐκ μεταπτώσεως ὀξέα τὰς κρινούσας ἡμέρας μ. τὸν ἀριθμὸν εἶναι φήσομεν, ὡς ἡ αὐτή γε λέξις ἐπ᾽ ἀμφοῖν ἐστιν. ἐνταυθοῖ μὲν εἰπόντος αὐτοῦ ἐν ταῖς ιδ. ἡμέραις κρίνεσθαι τὰ ὀξέα τῶν νοσημάτων, ἐν δὲ τῷ προγνωστικῷ, ὁκόσα σὺν πυρετοῖς ἐστι καὶ ἐν ταῖς μ. κρίνεται ἡμέραις. ἀλλ᾽ οὗτοι μὲν οὐχ εὑρίσκοντες ὅπως ἀλλήλοις ἐπιδείξωσιν, ὁμολογοῦντας τοὺς λόγους, τόν τε ἐν τοῖς ἀφορισμοῖς, καὶ τὸν ἐν τῷ προγνωστικῷ γεγραμμένον, ἀλλόκοτον ταύτην ἐπενόησαν ἐξήγησιν. οὐ δὲ γὰρ εἰς τὴν ιδ. μέχρι τῆς μ. αἱ κρίσιμοι, ἀλλὰ μετὰ μὲν τῶν ἐκ μεταπτώσεως πλείους, αὖθις δὲ ἐκείνων ἐλάττους, ὡς ἡ περὶ κρίσεως ἡμερῶν ἐδίδαξε πραγματεία σαφῶς. αὐτὴ δὲ ἡ τῶν πραγμάτων φύσις, μαρτυρεῖ τῷ λογισμῷ, τῷ φάσκοντι τὰ ὀξέα τῶν νοσημάτων ὅρον ἔχειν τῆς κρίσεως τὴν ιδ. ἡμέραν. οὐδὲν γὰρ οὐδέπω τῶν ὤφθη κινούμενον ἀπ᾽ ἀρχῆς ὀξέως ὑπερβὰν τοῦτον τὸν ὅρον, αὐτοῦ ποι δέξασθαί τινα τῶν εἰρημένων τεσσάρων κρίσεων μίαν, ὡς ἔνιά γε καὶ βληχρά, καὶ μικρὰ μετὰ τὰς πρώτας ἡμέρας ὄντα περὶ τὴν δ. ἢ τὴν ε. ἡμέραν ἀρξάμενα τῆς ὀξύτητος, εἰς τὴν κ. ἐκτελεύτησεν. ἄλλα δὲ ἐπὶ τῆς ϛ. ἢ ζ. ἡμέρας ἀρξάμενα τῆς ὀξύτητος, εἰς τὴν κ. ἐτελεύτησεν, ὥστε μηδέποτε ὀξύτητα νοσήματος συνεχοῦς πλείους ἡμέρας δύνασθαι κατασχεῖν τῆς ιδ. τῶν δ᾽ ἀνωμάλως ἐχόντων τὰς κινήσεις, ἐκτείνεται πολλὰ πρός τινα τῶν ἐξωτέρων προθεσμιῶν. λέγω δ᾽ ἀνωμάλως ἐχόντων τὰς κινήσεις, ὅσα τισὶν ἡμέραις σφοδρωθέντα, μετὰ ταῦτα ἀσήμως ἐρρᾳστώνησαν, εἶθ᾽ αὖθις ἐξαυθέντα, τὴν συνέχειαν ἔλαβεν. ἐὰν οὖν τις ὡς εἴρηκα τὴν τήρησιν ἐπὶ τῶν ἀῤῥώστων ποιῆται, πάντα εὑρήσει τὰ δι᾽ ὅλων τοῖν δυοῖν ἑβδομάδοιν ὀξέως κινηθέντα, μηδέπω ἐξωτέρω προερχόμενα.

Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος, ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχή. θεωρητὴ δὲ ἡ ἑνδεκάτη, αὐτὴ γάρ ἐστι τετάρτη τῆς δευτέρης ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὐτὴ γάρ ἐστι, τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑπτὰ δὲ ἀπὸ τῆς ἑνδεκάτης.

Ἐπιδήλους καὶ θεωρητὰς εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν ἡμέρας, ἐν αἷς τι σημεῖον φαίνεται δηλωτικὸν τῆς ἐσομένης κρίσεως ἐν ἑτέρᾳ τινὶ τῶν κρινουσῶν ἡμερῶν, ἅς τινας αὐτὸς ἐν τῷ προγνωστικῷ κατὰ τετράδα ἐποιήσατο, τεμὼν ἑκάστην τῶν ἑβδομάδων δίχα. τὴν μὲν οὖν πρώτην τετράδα τῆς ζ. ἡμέρας ἐπίδηλον εἶναί φησι τὴν ἀπὸ τῆς ἀρχῆς, ἑνδεκάτην δὲ τῆς ιδ. ὅτι καὶ αὐτὴ δίχα τμηθεῖσα, τῆς δευτέρας ἑβδομάδος ἐγένετο. κατὰ δὲ τὸν αὐτὸν λόγον ἡ ιζ. τῆς κ. ἐστὶν ἐπίδηλος ἐκ τοῦ τμηθῆναι τὴν γ. ἑβδομάδα δίχα γενομένην, πλὴν ὅτι ταύτην τὴν ἑβδομάδα συνάπτει τῇ β. καίτοι τὴν δευτέραν ἀποχωρίσας τῆς α. ἀρχὴν γὰρ αὐτῆς ἔφησεν εἶναι τὴν η. ἡμέραν, οὐ μὴν γε τῆς γ. τὴν ιε. ὥς τινες τῶν μετ᾽ αὐτὸν ὑπέλαβον, ὅτι μηδὲ τὴν κα. τὸ πέρας, ἀλλ᾽ ἀρχὴν μὲν τῆς γ. ἑβδομάδος τὴν ιδ. ἡμέραν, τελευτὴν δὲ καὶ πέρας τὴν κ. διατί δὲ τὰς πρώτας μὲν ἑβδομάδας κατὰ διάζευξιν ἀλλήλων ἔταξε, τὴν τρίτην δὲ τῇ δευτέρᾳ μετὰ συνέχειαν, ἐν τῇ περὶ κρισίμων ἡμερῶν πραγματείᾳ λέλεκται. κατὰ δὲ τὸ παρὸν ἀρκεῖ, καὶ χωρὶς τῆς αἰτίας ἐπίστασθαι τὸ διὰ τῆς πείρας μαρτυρούμενον. καὶ αὐτὸς δὲ ὁ Ἱπποκράτης παμπόλλους ἀῤῥώστους κατὰ τὴν τοιαύτην τάξιν τῶν κρισίμων, ἐν τοῖς περὶ τῶν ἐπιδημιῶν βιβλίοις ἔγραψε κεκριμένους. λέγω δὲ τοιαύτην τάξιν, ὥστε τὰς πρώτας ἑβδομάδας τρεῖς εἰς τὴν κ. ἡμέραν περατοῦσθαι. τὰς δ᾽ ἐφεξῆς αὐταῖς τρεῖς εἰς τὴν μ. οὕτω δὲ καὶ τὴν ξ. καὶ τὴν π. ἕξομεν κρισίμους μεμαρτυρημένας καὶ αὐτὰς τῇ πείρᾳ, καθότι κἀν τοῖς περὶ κρισίμων ἀπεδείξαμεν. παραγράψαντος τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν κεκριμένους κατὰ τὴν εἰρημένην τάξιν τῶν ἡμερῶν, ἐκείνους μὲν οὖν τοὺς ἀῤῥώστους ἐνταῦθα περιγράφειν, μακρόν. ἀρκέσει δὲ μόνον

τὴν ἐκ

τὴν ἐκ τοῦ προγνωστικοῦ παραγράψαι ῥῆσιν τόνδε τὸν τρόπον ἔχουσαν. οἱ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν »
ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. οἵτε γὰρ εὐηθέστατοι τῶν πυρε- »
τῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται ἢ πρόσθεν. οἵτε κακοηθέστατοι καὶ ἐπὶ σημείων »
δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτῶν, οὕτω τελευτᾷ. ἡ δὲ δευ »
τέρα, ἐς τὴν ζ΄. περιάγεται. ἡ δὲ τρίτη ἐς τὴν ια΄. ἡ δὲ δ΄. ἐς τὴν ιδ΄. ἡ δὲ ε΄. ἐς τὴν ιζ΄. ἡ δὲ ϛ΄. ἐς τὴν κ΄. αὗται »
μὲν οὖν διὰ τεσσάρων, ἐκ τῶν ὀξέων ἐς τὰς κ΄. ἐκ προσθέσιος τελευτῶσιν. αὕτη σαφῶς ἡ ῥῆσις ἐδίδαξεν, ὅτι τὴν
τρίτην ἑβδομάδα κατὰ συνάφειαν ἀριθμεῖ τῇ δευτέρᾳ, καὶ ὅτι τὴν ιζ΄. ἐπίδηλον ποιεῖται τῆς κ΄.

Οἱ θερινοὶ τεταρταῖοι, τὰ πολλὰ γίνονται βραχέες. οἱ δὲ φθινοπωρινοὶ μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες.

Οὐ μόνον τεταρταῖοι βραχεῖς γίνονται τοῦ θέρους, ἀλλὰ καὶ τἄλλα νοσήματα, διὰ τὸ χεῖσθαι τηνικαῦτα τοὺς χυμοὺς, καὶ πάντῃ τοῦ σώματος φέρεσθαι, καὶ διαπνεῖσθαι. ἐφ᾽ ὧν μὲν οὖν ἡ δύναμις εἴη ῥωμαλέα, κενωθέντων τῶν λυπούντων, αἱ νόσοι παύονται. ἐφ᾽ ὧν δ᾽ ἀσθενὴς, ἅμα τοῖς λυποῦσι χυμοῖς κενουμένοις καὶ αὐτὴ διαλύεται, ὥστ᾽ εἰκότως οὐδὲν τῶν θερινῶν χρονίζει νοσημάτων. ὁ δ᾽ Ἱπποκράτης, ἐπὶ τοῦ χρονιωτάτου μόνου τὸν λόγον ἐποιήσατο, καθάπερ ἐπὶ παραδείγματος ἐνδεικνύμενος, ἐκ τούτου περὶ τῶν ἄλλων ἁπάντων. ὥσπερ δ᾽ ἐν τῷ θέρει, καὶ τοὺς χυμοὺς διαφορεῖσθαι καὶ τὴν δύναμιν διαλύεσθαι συμβέβηκεν, οὕτως ἐν τῷ χειμῶνι τἀναντία, καὶ τοὺς χυμοὺς ἔνδον μένειν ὥσπερ φωλεύοντας, καὶ τὴν δύναμιν ἐῤῥωμένην διαμένειν. οὔτ᾽ οὖν λύεται τὰ νοσήματα, μενόντων τῶν ποιούντων αὐτὰ χυμῶν, οὔτε ἀποθνήσκουσιν οἱ κάμνοντες, ἐξαρκούσης αὐτῶν τῆς δυνάμεως.

Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ.

Αὐτὸς ὁ Ἱπποκράτης ἐν τοῖς ἑξῆς ἀφορισμοῖς ἐρεῖ, τὸν σπασμὸν ἐπὶ πληρώσει γίνεσθαι καὶ κενώσει. ὅταν οὖν τινὰ τῶν ὑγιαινόντων ἐξαίφνης συμβῇ σπασθῆναι, τὸν τοιοῦτον σπασμὸν ἀναγκαῖον ἐπὶ πληρώσει γεγονέναι. καὶ τοίνυν πληροῦνται τὰ νεῦρα γλίσχρων καὶ ψυχρῶν χυμῶν, οἵπερ καὶ τρέφεται, ὥστε σπασμὸν ὑπομένειν. τούτοις οὖν ὁ πυρετὸς ἐπιγενόμενος εἴωθεν ὡς τὰ πολλὰ θερμαίνειν θ᾽ ἅμα λεπτύνειν καὶ διαφορεῖν. εἰ δ᾽ ἐκ πυρετῶν διακαῶν ξηρανθῇ τὸ ὅλον σῶμα καὶ τὰ νεῦρα, κἄπειτα διὰ τὴν ξηρότητα σπασθείη, μέγιστόν τε τοῦτο κακόν ἐστι, καὶ σχεδὸν ἀνίατον. ἐπειδὴ χρόνου μὲν δεῖται μακροῦ τὰ νεῦρα πρὸς τὴν τῆς ξηρότητος ἴασιν, οὐκ ἀναμένει δὲ χρόνον ἡ σφοδρότης τοῦ νοσήματος, ἀλλ᾽ ἐν τάχει καταλύει μὲν τὴν δύναμιν, ὀξὺν δὲ θάνατον ἐπιφέρει.

Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια, καὶ οὐ πάνυ τοι διαμένειν, οὐδὲ χρονίζειν εἴωθεν.

Ὅλος μὲν ὁ λόγος ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἐν τοῖς περὶ κρίσεων εἴρηται. νυνὶ δὲ ὅσον εἰς ἐξήγησιν τῶν προκειμένων ἱκανόν ἐστι λέγειν, λεχθήσεται. ὅταν εἰσβάλλει νόσημα σφοδρὸν, εἶτ᾽ ἐξαίφνης ῥαστωνήσει, μήτε δι᾽ ἱδρῶτος, ἢ ἐμέτων, ἢ διαχωρημάτων, ἢ αἱμοῤῥαγίας κενωθέντος τοῦ σώματος, ἀλλὰ μηδὲ πέψεως φανέντων σημείων, ἄπιστον ἡγεῖται εἶναι τὴν τοιαύτην ῥαστώνην, ὥστ᾽ εἰ καὶ δυσπνοήσειεν ἀλόγως ἢ παραφρονήσειεν, ἢ πυρέξειεν σφοδρότερον, ἢ καὶ μεγάλῳ ῥίγει καταληφθείη, καὶ γὰρ καὶ ταῦτα ἐστὶν ἀβέβαια, καὶ τοσοῦτον δεῖ χαλεπόν τι σημαίνειν, ὥστ᾽ ἐνίοτε κρίσιν ἀγαθὴν, οἷον οὔπω γενομένην καταγγέλλεται. ὅπως δὲ ταῦτα χρὴ διαγινώσκειν τε καὶ προγινώσκειν, ἐν τοῖς περὶ κρίσεων εἴρηται.

Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν. τὸ μὲν γὰρ, μῆκος νούσου σημαίνει, τὸ δὲ ἀσθένειαν.

Τὸ μὴ παντάπασιν ἐπιπολαίως, διορισμοῦ χάριν ὁ Ἱπποκράτης προσέθηκε. εἰ γὰρ ἁπλῶς εἴρητο, τῶν πυρεσσόντων τὸ διαμένειν καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα μοχθηρὸν ὑπάρχειν, οὐκ ἂν ἦν ἀληθὴς ὁ λόγος. ἐγχωρεῖ γοῦν ἐν κατάστασει ψυχρᾷ διὰ πλῆθος τινὰ νοσοῦντα, μὴ συμπίπτειν τὸ σῶμα, μηδ᾽ ἰσχναίνεσθαι μικρῶν γινομένων αὐτῶν τῶν πυρετῶν, ἀλλ᾽ ὅταν γε μείζους ὦσι πάμπολύ τι πλῆθος ἐνδείκνυται. τὸ δὲ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν ἐστι, καὶ χωρὶς τοῦ προστεθεικέναι, τὸ, μὴ παντάπασιν ἐπιπολαίως. ἄν τε γὰρ ἐπιπολαίως πυρέττωσιν, ἄν τε καὶ μὴ, σημεῖον ἀσθενείας ἐστὶν ἡ παράλογος ἰσχνότης. οὐ γὰρ δὴ τὸ λεγόμενον κυρίως συντήκεσθαι νῦν εἰρῆσθαι πρὸς αὐτοῦ νομιστέον ἐστὶ, ἀλλὰ καταχρῆσθαι μᾶλλον αὐτὸν τῷ ῥήματι. κάλλιστα δ᾽ εἶπεν ἐν τῷ δευτέρῳ μέρει τοῦ ἀφορισμοῦ. τὸ μᾶλλον τοῦ κατὰ λόγον, καὶ βέλτιον εἰρῆσθαι νομίζειν αὐτὸν κατὰ τοῦ προτέρου μέρους, ὥσθ᾽ ὅλον τὸν λόγον γενέσθαι τοιοῦτον. τῶν πυρεσσόντων, μὴ παντάπασιν ἐπιπολαίως τὸ διαμένειν τὸ σῶμα καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρὸν, ἵν᾽ ἀμφοῖν ἢ κοινῇ κατηγορούμενον, τὸ μᾶλλον τοῦ κατὰ λόγον, καὶ βέλτιον εἰρῆσθαι νομίζειν αὐτὸ, καὶ κατὰ τοῦ προτέρου μέρους, ὥσθ᾽ ὅλον τὸν λόγον γενέσθαι τοιοῦτον. τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν τὸ σῶμα καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν. ἵν᾽ ἀμφοῖν ἢ κοινῇ κατηγορούμενον, τὸ μᾶλλον τοῦ κατὰ λόγον. ἄν τε γὰρ διαμένωσι μᾶλλον τοῦ κατὰ λόγον, ἄν τε ἰσχνοὶ γένωνται, μοχθηρόν. αὐτὸ δὲ τὸ μᾶλλον τοῦ κατὰ λόγον, ἄμεινον μὲν ἦν εἰρῆσθαι πρὸς αὐτοῦ, τίσι κρίνεται σκοποῖς. ἐπεὶ δ᾽ ἀφοριστικόν ἐστι τὸ τῆς διδασκαλίας εἶδος ἐνταῦθα, καὶ κατὰ βραχυλογίαν ἄκραν γινόμενον, ἡμεῖς ἐξηγούμενοι τὸ κατὰ λόγον, ἀνοίσομεν εἰς τὸ μέγεθος τοῦ πυρετοῦ καὶ τὸν χρόνον τῆς νόσου, καὶ τὴν ἡλικίαν, καὶ τὴν χώραν καὶ τὴν ὥραν, καὶ τὴν τότε ὑπάρχουσαν κατάστασιν, ἔτι τε τὰς αἰσθητὰς κενώσεις, ἀγρυπνίας τε καὶ φροντίδας, καὶ ἀσιτίας καὶ κινήσεις πλείονας. οἱ μὲν γὰρ μέ-

ζεις τῶν πυρετῶν, θᾶττόν τε καὶ μᾶλλον ἰσχνοὺς ἀποφαίνουσι τοὺς κάμνοντας, ὥσπερ γε καὶ τὸ τῆς νόσου μῆκος, καὶ ἡλικιῶν, ἥ τε τῶν παίδων, καὶ ἡ τῶν ἐν ἐσχάτῳ γήρᾳ καθ᾽ ἕτερον ἑκατέρα λόγον. ἐπὶ μὲν γὰρ τῶν παίδων, διά τε τὴν ὑγρότητα καὶ τὴν θερμασίαν πλεῖστον ἀπορρεῖ, καὶ κενοῦται σώματα. ἐπὶ δὲ τῶν ἐν ἐσχάτῳ γήρᾳ, διὰ τὴν τῆς δυνάμεως ἀρρωστίαν. ὡρῶν δὲ καὶ χωρῶν καὶ καταστάσεων, αἱ μὲν θερμαὶ καὶ ξηραὶ μᾶλλον κενοῦσιν, αἱ δ᾽ ὑγραὶ καὶ ψυχραὶ μᾶλλον σφίγγουσι τὸ σῶμα, καὶ κωλύουσι διαπνεῖσθαί τε καὶ κενοῦσθαι. περὶ δὲ τῶν αἰσθητῶν κενώσεων τί δεῖ λέγειν; οὐδένα γὰρ ἀγνοεῖν οἶμαι περὶ τῶν δι᾽ αἱμορραγίαν, ἢ δι᾽ ἱδρῶτας πολλούς, ἢ οὔρου πλῆθος, ἢ ἐμέτων, ἢ διαχωρημάτων, ὥστ᾽ εἰκότως ἐν τάχει λεπτύνεσθαι. προσέρχεται δὲ τοῖς εἰρημένοις αἰτίοις, καὶ ἡ ἀσιτία, καὶ μετὰ δὲ καὶ ἀγρυπνία καὶ φροντὶς ἱκανῶς λεπτύνουσιν, ὥσπερ γε καὶ κινήσεις πλείονες. ἀλλ᾽ αὗται μὲν ὀλιγάκις ἐπὶ τῶν πυρεττόντων γίνονται, κατάκεινται γὰρ ὡς τὰ πολλὰ ἡσυχάζοντες. συμβαίνει γε μὴν ἔστιν ὅτε καὶ καθ᾽ ὁδοιπορίαν ἀρξάμενον τὸν ἄνθρωπον πυρέττειν, ἤτοι δι᾽ ἀνάγκην, ἢ διὰ τὸ σπεύδειν οἴκαδε καταλῦσαι τοῦ αὐτήν. ἀλλὰ καὶ διὰ παραφροσύνην ἀνιστάμενοι συνεχῶς ἔνιοι τῶν νοσούντων, ἢ κατακείμενοι μέν, ἀεὶ δὲ κινοῦντές τι μόριον, ἢ καὶ φθεγγόμενοί τι κατὰ λόγον ἐν ὀλίγαις ἡμέραις ἰσχνοὶ γίνονται. ταυτὶ μὲν οὖν ἅπαντα, τοὺς κάμνοντας ἰσχνοὺς ἐργάζεται. καθάπερ γε τἀναντία τούτων ἐν ὄγκῳ μείζονι τὸ σῶμα φυλάττει. σημεῖον δὲ οὐδὲν ἐστιν αὐτῶν ἀσθενοῦς δυνάμεως, ἀλλὰ μόνον αἴτιον ἕκαστον. ἐπ᾽ αὐτῶν γὰρ ὥσπερ τὸ σῶμα λεπτύνεται παρὰ λόγον, οὕτω καὶ ἡ δύναμις καθαιρεῖται. τὸ δ᾽ ἄνευ τῶν εἰρημένων λεπτύνεσθαι τὸ σῶμα παρὰ λόγον, ἀσθενοῦς δυνάμεως εἶναί φησι σημεῖον ὁ Ἱπποκράτης. ἵνα κἀπὶ τῶν πάνυ γερόντων αἰτιώμενοι, ταχέως αὐτῶν ἐφάσκομεν ἰσχνοῦσθαι τὸ σῶμα, καὶ οὐδὲν θαυμαστὸν ἐστὶ τῶν οὕτως ἐχόντων, τὴν μὲν ἀσθένειαν αἰτίαν γίνεσθαι τῆς ἰσχνότητος, τὴν δ᾽ ἰσχνότητα τῆς ἀσθενείας σημεῖον. οὕτω γὰρ ἐστὶ πάντων ἔχει τῶν ποιούντων καὶ ποιουμένων. αὕτη μὲν ἡ τοῦ Ἱπποκράτους γνώμη, διὰ παντὸς ἡγουμένου τὴν παρὰ λόγον ἰσχνότητα σημεῖον ἀσθενείας ὑπάρχειν. ἡμεῖς δὲ προσθῶμεν αὐτοῦ τῷ λόγῳ καὶ ἄλλην διάθεσιν ὡς αἰτίαν ἰσχνότητος ἐν πυρετοῖς γινομένην. ἔστι δ᾽ αὕτη λεπτότης μὲν τῶν χυμῶν, ἀραιότης δὲ τοῦ σώματος. ὅταν γὰρ ἄμφω ταῦτα συνέλθῃ, τάχιστα κενοῦται τὰ σώματα παρὰ τὴν ἄδηλον καλουμένην διαπνοήν. ὥσπερ γε κἀπὶ τῆς ἐναντίας τῷ πάχει τῶν χυμῶν, καὶ τῇ πυκνώσει τοῦ σώματος, ὅθεν ἡ κένωσις γίνεται τῶν χυμῶν, καὶ τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸν ὄγκον αὐτοῦ, τηνικαῦτα συμβαίνει. ταύτην μὲν οὖν τὴν διάθεσιν ἐδήλωσεν ὁ Ἱπποκράτης ἐν τῷ πρώτῳ μέρει τοῦ ἀφορισμοῦ διὰ τοῦ φάναι, μῆκος νόσου σημαίνεσθαι. τὴν δ᾽ ἀντικειμένην αὐτῇ παρέλειπεν. ἀλλ᾽ ἡμεῖς μέν γε κἀκείνην προσθέντες, ὁλόκληρον ἤδη τὸν λόγον εἴπωμεν, εἰς ὅσον οἷόν τε διὰ βραχέων, τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ παρὰ λόγον μοχθηρόν. τὸ μὲν γὰρ ἐπιμένειν, ἐπὶ τῇ πυκνώσει τοῦ δέρματος γίνεται, καὶ περὶ πάχει χυμῶν, καὶ διὰ τοῦτο μῆκος νόσου σημαίνει. τὸ δὲ συντήκεσθαι, ποτὲ μὲν διὰ λεπτότητα χυμῶν καὶ μανότητα τοῦ δέρματος, ἔστι δ᾽ ὅτε καὶ διὰ μόνην ἀσθένειαν δυνάμεως.

Ἀρχομένων τῶν νόσων ἤν τι δοκέῃ κινέειν, κίνει. ἀκμαζουσῶν δὲ ἡσυχίην ἄγειν, βέλτιόν ἐστι.

Διατί τοῦτο συνεβούλευσεν ὁ Ἱπποκράτης, ἐδήλωσε κατὰ τὸν ἑξῆς ἀφορισμόν, ὃν ἐὰν συνάψῃ τις περὶ προειρημένῳ τὸν ὅλον λόγον ποιήσει τοιοῦτον. ἀρχομένων τῶν νόσων, ἤν τι δοκέῃ κινέειν, κίνει. ἀκμαζουσῶν δὲ ἡσυχίαν ἔχειν, βέλτιόν ἐστι. περὶ γὰρ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστερα, περὶ δὲ τὰς ἀκμάς, ἰσχυρότερα. προσθεῖναι δ᾽ αὐτῷ χρὴ πάντα τὰ συμπτώματα. περὶ γὰρ τούτων εἴρηκε τό, πάντα, ὡς ἥ γε διάθεσις ἡ ταῦτα γεννῶσα, ἣν δὴ καὶ νόσον ὀνομάζομεν, οὐκ ἐστὶν ἅπαντος ἐν ταῖς ἀκμαῖς ἐστὶν ἰσχυροτέρα, ἀλλ᾽ ἐπί γε τῶν σωθήσεσθαι μελλόντων πολλῷ βελτίων, ἢ ἐν ἀρχῇ τοῦ νοσήματος, ἐφ᾽ ὧν καὶ συμβουλεύει νῦν Ἱπποκράτης ἡσυχίαν ἔχειν, ἀρχομένων τῶν νόσων ἤν τι δοκέῃ κινούντων. τῶν γὰρ ὀλεθρίων νοσημάτων, οὐ μόνον ἐγγὺς τῆς ἀκμῆς οὐδὲν δεῖ κινεῖν, ἀλλὰ κἂν ἔτι ἔμπροσθεν ταύτης καιροῖς μεμνημένον, ὡς οὐ χρὴ κεκρατημένοις ἐγχειρεῖν, ἀλλ᾽ ἀφίστασθαι δηλονότι προαγορεύσαντα μόνον ὅτι τελευτήσει τὸ νόσημα. κατὰ δὲ τὰς ἀρχὰς ἐκείνων τῶν νοσημάτων ἐν οἷς ἐλπίζει σωθήσεσθαι τὸν κάμνοντα, πειρᾶσθαι χρὴ τὰ μείζω βοηθήματα προσφέρειν, ὑπὲρ ὧν εἶπεν ὁ Ἱπποκράτης, ἤν τι δοκέῃ κινέειν, κίνει. ἔστι δὲ ταῦτα μάλιστα φλεβοτομία. ἐνίοτε δὲ καὶ ἡ κάθαρσις, ὧν οὐδέτερον ἐν τῇ ἀκμῇ χρὴ παραλαμβάνειν. ὡς γὰρ ἐν τῷ περὶ κρίσεων ἐδείξαμεν, αἱ κρίσεις τῶν νοσημάτων τηνικαῦτα γίνονται μάλιστα. πρὸς μὲν οὖν τὸ γίνεσθαι θᾶττον αὐτάς, ἄμεινον ἐν ἀρχῇ κενοῦν, ὅπως ἐλάττονα τὴν ὕλην γινομένην, ῥᾷον ἡ φύσις δυνηθῇ πέψαι. κατὰ δὲ τὰς ἀκμάς, πόθ᾽ ἤδη πέπτει, περιττὸν τὸ κενοῦν. τά τ᾽ ἄλλα καὶ τῆς ψυχικῆς δυνάμεως κεκμηκυίας τοὐπίπαν ἐν ταῖς ἀκμαῖς, εἰ καὶ ὅτι μάλιστα κατ᾽ ἐκεῖνον τὸν χρόνον, ἡ ζωτική τε καὶ φυσικὴ δύναμις, ἰσχυρὰ διαμένοιεν.

Περὶ δὲ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστερα, περὶ τὰς ἀκμὰς ἰσχυρότερα.

Τὰ συμπτώματα πάντα περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη, φησὶν ὑπάρχειν ἀσθενέστερα, τοὺς παροξυσμοὺς δηλονότι τῶν πυρετῶν, καὶ τὰς ἀγρυπνίας, καὶ τὰ ἀλγήματα, καὶ τὴν ἄσην, καὶ τὸ δίψος, ὡς τάς γε διαθέσεις αὐτὰς ἐφ᾽ αἷς ταῦτα γίνεται παρὰ τὰς ἀκμάς, ἀναγκαῖον εἶναι βελτίους ἐπὶ τῶν σωθήσεσθαι μελλόντων.

Τῷ δὲ ἐξ ἀρρωστίης εὐσιτέοντι μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν.

Ἔδει καὶ τοῦτον τὸν ἀφορισμόν, καὶ τὸν ἑξῆς αὐτοῦ γεγραμμένον ἐζεῦχθαι τοῖς ἀνωτέρω γεγραμμένοις, ἡνίκα ἔλεγεν, ἢν ἐκ νόσου τροφὴν λαμβάνων τις μὴ ἰσχύῃ. κατ᾽ ἐκεῖνον μὲν οὖν τὸν ἀφορισμόν, ἀντὶ τῆς νῦν εἰρημένης λέξεως, τῇ εὐσιτέοντι τροφὴν λαμβάνειν εἰπών, ἐδίδαξέ τι περὶ συμπτώματος τοῦ μὴ ἰσχύειν. ἐνταυθοῖ δὲ τὸ μὲν λαμβάνειν τὰ σιτία, τὸ κοινὸν ἀμφοῖν ἐφύλαξε. τὸ σύμπτωμα δ᾽ ὑπήλλαξεν, ἀνάλογον ἐκείνῳ τι γράψας. τὸ γὰρ μηδὲν ἰσχύειν, τὸ μηδὲν ἐπιδιδόναι τὸ σῶμα παραπλήσιόν πως ἐστίν. ἐκεῖνο μὲν γὰρ τῆς δυνάμεως τῆς διοικούσης τὸ σῶμα. τοῦτο δ᾽ αὐτοῦ τοῦ σώματός ἐστι πάθημα, καὶ γίνεται δηλονότι, τὸ μηδὲν εἰς εὐτροφίαν ἐπιδιδόναι τὸ σῶμα, ποτὲ μὲν διὰ τὴν τῆς τρεφούσης αὐτὸ δυνάμεως ἀρρωστίαν, ἔστι δ᾽ ὅτε καὶ διὰ μοχθηρῶν χυμῶν περιουσίαν.

Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες κατ' ἀρχὰς εὐσιτέοντες καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσιν. οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτέοντες, βέλτιον ἀπαλλάσσουσιν.

Ἔοικεν ἔτι καὶ οὗτος ὁ ἀφορισμὸς εἰρῆσθαι περὶ τῶν ἀνακομιζομένων ἐκ νόσου. τὸ γὰρ μηδὲν ἐπιδιδόναι, περὶ τούτων εἰώθασι λέγειν, οἵ τε ἄλλοι καὶ αὐτὸς ὁ Ἱπποκράτης. ἐὰν οὖν τις εὐσιτῶν ἐν ἀρχῇ, μὴ ἀνατρέφηται, δι' ἣν αἰτίαν τοῦτο πάσχει, διὰ ταύτην αὖθις ἔσται κακόσιτος. αἰτία δὲ ἐστι τοῦ κατ' ἀρχὰς εὐσιτοῦντός τινος, μηδὲν ἐπιδιδόναι, μοχθηρία μὲν ὅλου τοῦ σώματος, ἀρρωστία δὲ τῶν ὀρεκτικῶν μορίων. ἀλλ' ἐν τῷ χρόνῳ, διὰ τὸ πλῆθος τῆς τροφῆς αὐξηθείσης τῆς ἐν ὅλῳ τῷ σώματι μοχθηρίας, βλαβήσεταί τι καὶ τὸ τῆς ὀρέξεως ὄργανον, ὥστε ἀνορέκτους γενέσθαι τοὺς πρότερον ὀρεγομένους, καλῶς οὖν εὐσιτέοντας ὠνόμασεν. εἰρήκει δὲ κἂν τοῖς ἔμπροσθεν ἀφορισμοῖς αὐτὸ τοῦτο κατὰ τοῦτον τὸν τρόπον. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι γίγνηται, εἰδέναι ὅτι κενώσεως δεῖται. τοὺς μέντοι κατ' ἀρχὰς μὲν ἀποσίτους ἰσχυρῶς γενηθέντας, ὡς παντάπασιν ὀλίγον λαμβάνειν, ὕστερον δ' ἐς τοὐναντίον μεταβάντας, ἄμεινον ἀπαλλάττειν φησί. συμβαίνει δὲ τοῦτο εἰς τοὐναντίον πεψάσης τῆς φύσεως, ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν αὖ ἐνδεῶς διῃτῶντο, τὴν αἰτίαν τῆς ἀποσιτίας διάθεσιν.

Ἐν πάσῃ νόσῳ τὸ ἐρρῶσθαι τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν. τὸ δ' ἐναντίον, κακόν.

Οὐδ' ὅταν ἀγαθόν τι εἴπῃ τῶν κατὰ τὸ σῶμα πάντως ἡγητέον, ἐπ' αὐτῷ σωθήσεσθαι τὸν ἄνθρωπον, οὐδ' ὅταν κακὸν, τεθνήξεσθαι πάντως. ἔστι γὰρ ἀγαθὸν σημεῖον, ὑπὸ μείζονος κακοῦ νικηθῆναι δυνατὸν, καὶ κακὸν ὑπὸ μείζονος ἀγαθοῦ. κατὰ τὰς τοιαύτας οὖν ἀποφάσεις, ἀκουστέον ἐστὶν ἐκείνου μόνου τοῦ λεγομένου. λέγεται δ' ὅτι σημεῖον ἀγαθόν ἐστιν ὅσον ἐφ' ἑαυτῷ, τὸ δέ τι περὶ σημεῖον κακόν ἐστιν ἐφ' ἑαυτῷ, τὸ δέ τι πότερον δὲ σωθήσεται ὁ ἄνθρωπος, ἢ τεθνήξεται, πάντων τῶν σημείων τὰς δυνάμεις ἐκλογισάμενον, οὕτω χρὴ ποιεῖσθαι τὴν ἀπόφασιν, ὡς κἂν τῷ προγνωστικῷ συνεβούλευσεν αὐτός. οὕτως οὖν ἐστι νῦν τό τε ἐρρῶσθαι τὴν διάνοιαν, καὶ τὸ τὴν ὄρεξιν διαμένειν, ἀγαθὰ σημεῖα κατὰ πάσας τὰς νόσους. ἔνια γὰρ οὐκ ἐν ἁπάσαις ἐστὶν ἀγαθὰ, καθάπερ καὶ αὐτὸς εἴωθεν ὑποσημαίνεσθαι, λέγων, εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην, ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασιν. ὅτι δὲ τὸ τὴν διάνοιαν ἐρρῶσθαι σημεῖον ἀγαθόν ἐστιν, ἐντεῦθεν γνώσῃ. τὰ περὶ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας, ἔτι δὲ νωτιαῖον μυελὸν καὶ διάφραγμα, καὶ ὅλως τὰ νευρώδη μόρια, καὶ μάλισθ' ὅσα πλησίον ἐγκεφάλου ἐστὶ, πάντως ὑγιεινὰ σημαίνεται, τῆς διανοίας ἐρρωμένης. ὥσπερ γε καὶ τὰ κατὰ γαστέρα τε καὶ ἧπαρ, αὐτήν τε τὴν καρδίαν, ὅταν ἕτοιμοι πρὸς τὰς τῶν σιτίων ὦσι προσφοράς. πάντων δὲ τούτων ἐρρωμένων, οὐ μικρὰ τῷ κάμνοντι τῆς σωτηρίας ἐλπίς.

Ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης καὶ τῆς ἕξιος καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

Τῆς φύσεως πολλαχῶς λεγομένης, ἀκουστέον νῦν ἐστιν αὐτῆς κατ' ἐκεῖνο τὸ σημαινόμενον, ᾧ κέχρηται πολλάκις αὐτὸς, ἐν ἑτέροις πολλοῖς, καὶ καθ' ὅλον γε τὸ περὶ φύσεως ἀνθρώπου βιβλίον, ἐν ᾧ τὴν ἐκ τῶν πρώτων στοιχείων κρᾶσιν ὀνομάζει φύσιν, ὡς εἰ καὶ οὕτως ἔφη, ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷς ἂν οἰκεία τῆς πρώτης τοῦ σώματος κράσεως, ἔτι τε νῦν διὰ τὴν ἡλικίαν, ἢ τὴν ἕξιν, ἢ τὴν ὥραν προσγεγενημένης ἡ νόσος ᾖ μᾶλλον, ἢ οἷς αὖ μὴ οἰκεία κατά τι τούτων ᾖ. τῇ μὲν γὰρ θερμῇ φύσει, καὶ ἡλικίᾳ καὶ ἕξει, καὶ ὥρᾳ, δηλονότι καὶ καταστάσει καὶ χώρᾳ, τὰ θερμότερα τῶν νοσημάτων ἐστὶν οἰκεῖα. ταῖς δὲ ψυχροτέραις, τὰ ψυχρότερα. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ταῖς μὲν ξηροτέραις τὰ ξηρότερα, ταῖς δ' ὑγροτέραις, τὰ ὑγρότερα. τὸ δ' ἐναντίον ὑπὸ Διοκλέους εἴρηται, κἂν τῷ περὶ ἑβδομάδων ὑπολαβόντων, ὡς εἴρηται τῶν γραψάντων ἀνδρῶν αὐτά. προξενεῖσθαι μὲν ὑπὸ τῶν ὁμοίων τὰ νοσήματα, λύεσθαι δὲ ὑπὸ τῶν ἐναντίων, ἐπειδὴ καὶ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους εἴρηται, τὰ ἐναντία, τῶν ἐναντίων ἰάματα. νομίζουσιν οὖν ἐν χειμῶνι συστάντα καῦσον, εὐιατότερον εἶναι τοῦ περὶ τὸ θέρος, οὐκέτι ἐννοοῦντες, ὡς ὑπὸ μεγίστης διαθέσεως γίνεται καῦσος ἐν χειμῶνι. μηδὲ γὰρ ἂν συστῆσαι τὴν ἀρχὴν αὐτὸν ἑτέρως, εἰ μὴ διὰ τὴν τῆς αἰτίας ἰσχὺν ἐνίκησε τὴν ἐκ τῆς ὥρας ἐναντίωσιν. ὁπότ' οὖν οὐ κατέχειν ἡ ὥρα τὸ μέγεθος τῆς αἰτίας, καίτοι βοηθὸν ἔχουσα τὴν ὑγείαν, ἧπου γ' ἂν ἐν τῇ νόσῳ νικήσειεν αὐτὴν, μηδὲ τῆς ὑγιεινῆς ἰσχύος ἔτι παρούσης. ἀλλὰ καὶ δι' αὐτῆς τῆς πείρας ἐναργῶς φαίνεται τοῦτο. τῶν γὰρ ἴσων τὸ μέγεθος καύσων, ὀλεθριώτερός ἐστιν ὁ ἐν χειμῶνι συνιστάμενος, ὡς ὅταν γε συστῇ μὲν ἐν θερμοτέρᾳ καταστάσει, μεταβολὴ δ' ἐξαιφνίδιος εἰς ψυχρότερα γένηται, μεγάλως ὁ τοιοῦτος καῦσος ὑπὸ τῆς τοῦ περιέχοντος ὀνίναται ψύξεως, ἀμφοτέρων αὐτῷ γινομένων ἀγαθῶν. τῆς μὲν προτέρας καταστάσεως ἐν ᾗ τὴν γένεσιν ἔσχεν ὡς σημείου, τῆς δ' ἑτέρας, ἐν ᾗ τὴν λύσιν ὡς αἰτίου. ταῦτ' οὖν ἅπαντα μαρτυρεῖ μᾶλλον καὶ οὐ μάχεται τῇ κατὰ τὸν ἀφορισμὸν γνώμῃ. καθάπερ οὐδὲ τὸ βράγχους καὶ κορύζας τοῖς σφόδρα πρεσβυτέροις μὴ πεπαίνεσθαι, καίτοι γε οἰκεῖα παθήματα τῆς τῶν γερόντων ἡλικίας ὄντα. πρῶτον μὲν γὰρ οὐ ταυτόν ἐστι, τῷ μὴ πεπαίνεσθαι τὸ κινδυνῶδες ὑπάρχειν, εἶτα καὶ τὸ μηδ' ἁπλῶς εἰρῆσθαι τοὺς πρεσβυτέρους, ἀλλὰ μετὰ τοῦ σφόδρα, πάντα γὰρ ἐκείνοις ἐστὶ κινδυνώδη, διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως. οὐ μὴν οὐδὲ τὸ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν γεγραμμένον, καὶ μάλιστα ἔθνησκον οἷς ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες, ἐναντιοῦται τοῖς εἰρημένοις. οὐ γὰρ τὴν ἐκ τῶν στοιχείων κρᾶσιν εἴρηκε νῦν, ἀλλὰ τὴν τοῦ σώματος ἰδέαν. ἔστιν ὅτε γὰρ ὀνομάζουσι φύσιν καὶ ταύτην, καὶ ὥσπερ ἀληθές ἐστι τὴν θερμὴν κρᾶσιν ἧττον ἐν τοῖς θερμοῖς κινδυνεύειν νοσήμασιν, οὕτως καὶ τοὺς στενοθώρακας, οὐ μόνον μᾶλλον ἁλίσκεσθαι ὑπὸ φθίσεως, ἀλλὰ καὶ κινδυνεύειν ἁλόντας. ἔνιοι μέντοι τῶν ἐξηγησαμένων τοὺς ἀφορισμοὺς ὑπὸ τῶν τοιούτων πιθανῶν ἀπατηθέντες, οἰκεῖον νόσημά τι τῇ τοῦ κάμνοντος φύσει, τὸ κατὰ τὴν κρᾶσιν ἐναντίον ἔφασαν, ὡς εἰ καὶ τὸ ὑπεναντίον εἴρηται πάμπολυ ἐστι τῆς τῶν πραγμάτων ἀληθείας, καὶ τῆς Ἱπποκράτους γνώμης, ἁμαρτάνοντες ὡς δέδεικται.

Ἐν πάσῃ νόσῳ τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν, βέλτιόν ἐστι. τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν. ἐπισφαλὲς δὲ τὸ τοιοῦτον, καὶ πρὸς τὰς κάτω καθάρσιας.

Ὅτι μὲν ἔξω εἶναι χρὴ πάσης διαθέσεως τῆς παρὰ φύσιν ἅπαντα τὰ κατὰ τὴν γαστέριον χωρία, πρόδηλον ἐστὶ, καὶ λέλεκται κατὰ τὸ προγνωστικὸν ἔνθα φησὶν, ὑποχόνδριον ἄριστον μὲν ἀνώδυνόν τε εἶναι καὶ μαλθακὸν, καὶ ὁμαλόν. ἀλλὰ καὶ τούτων αὐτῶν ἐστι τὰ μὲν ἰσχνότερα, τὰ δὲ παχύτερα, περὶ ὧν νῦν τὸν λόγον ποιεῖται, ὅσα μὲν παχύτερα, βελτίω ταῦτ' εἶναι λέγων. ὅσα δὲ ἰσχνὰ, μοχθηρὰ, καὶ ὡς σημεῖα δηλονότι καὶ ὡς αἴτια. ὡς σημεῖα μὲν γάρ εἰσι τῆς ἐν τοῖς ἐκτετηκόσι μορίοις ἀσθενείας, ὡς αἴτια δὲ τοῦ μηδὲ πέττεσθαι καλῶς ἐν τῇ γαστρὶ τὰ σιτία, μηδ' αἱματοῦσθαι ὑπὸ τὸ ἧπαρ. ἄμφω γὰρ ταῦτα πάντα τὰ μόρια πρὸς τοῦ πάχους τῶν εἰρημένων σωμάτων ὠφελεῖται θαλπόμενα. τοσούτων οὖν εἰκός ἐστιν ἐκτακέντων αὐτῶν βλάπτεσθαι τὰς ἐνεργείας, ὅσον ὑγιαινόντων ὠφελοῦνται. ὅτι δὲ ἡ λεπτότης τῶν εἰρημένων μερῶν καὶ πρὸς τὰς κάτω καθάρσεις ἐπισφαλής ἐστι, πρόδηλον. ἰσχυρὰ γὰρ δεῖ εἶναι πάντα τὰ κάτω τοῦ θώρακος μόρια πρὸς τὸ καλῶς ὑπηρετεῖν ταῖς καθάρσεσιν. εἰ δὲ μὴ, μεγάλαις περιπίπτειν βλάβαις. διατί δὲ μόνας εἶπε τὰς κάτω καθάρσεις, ἄξιον ζητῆσαι. καὶ γὰρ αἱ ἄνω, τουτέστιν αἱ δι' ἐμέτων, ἐπισφαλεῖς εἰσὶ τοῖς οὕτω διακειμένοις, ἢ ταύτας μὲν ὡς σαφεῖς παρέλειπεν, ἐκείνων δ' ὡς ἀσαφεστέρων ἐμνημόνευσεν. ἦτρον δὲ ἰδίως ὀνομάζει τὸ κάτω χωρίον τῆς γαστρὸς, ὅσον ἐστὶ μεταξὺ τῶν αἰδοίων, καὶ τοῦ ὀμφαλοῦ, ὡς εἰς τρία ταῦτα διαιρεῖσθαι τὸ σύμπαν ὑποχόνδριον τὰ περὶ τὸν ὀμφαλὸν, καὶ τὸ ἦτρον.

Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι, ἐκλύονται ταχέως, καὶ οἱ πονηρᾷ τροφῇ χρεόμενοι.

Οἱ μὲν ὑγιεινῶς ἔχοντες τὰ σώματα δεόντως ἐν ταῖς φαρμακίαις ἐκλύονται ταχέως. συντήκονται γὰρ, οὐ καθαίρονται. οἱ πονηρᾷ δὲ τροφῇ χρώμενοι, διὰ τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν, ἐκλύονται ῥᾳδίως ἐπὶ ταῖς καθάρσεσιν. εἴτε δὲ τὴν ἔξωθεν εἰσφερομένην τροφὴν τῷ σώματι, εἴτε τὴν ἐν αὐτῷ περιεχομένην εἴρηκε μοχθηρίαν, ἑκάτερος ἀληθὴς ὁ λόγος, ἐπειδὴ καὶ τὰ μοχθηρὰ σιτία, μοχθηρὸν εἴωθεν αἷμα γεννᾶν. οὕτως οὖν καὶ λέγεται μοχθηρὰ, τῆς ἀναφορᾶς γινομένης, ἐπὶ τὸ γεννηθησόμενον ἐξ αὐτῶν αἷμα.

Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.

Οὐ τοὺς ὁπωσοῦν φάρμακον προσφερομένους, φαρμακεύεσθαι λέγειν εἴωθεν ὁ Ἱπποκράτης, ἀλλ' ἐπὶ μόνων τῶν καθαιρόντων τούτῳ χρῆται τῷ ῥήματι. ὁ μὲν οὖν προγεγραμμένος ἀφορισμὸς, ἓν τῶν προγινομένων αὐτοῖς ἐδήλωσε σύμπτωμα, ἐκλύεσθαι γὰρ ἔφη ταχέως ἐν ταῖς καθάρσεσι τοὺς ὑγιεινῶς ἔχοντας. ἐν τῇ δὲ γενικωτέρᾳ λέξει περὶ τῶν αὐτῶν ἀπεφήνατο, λέγων αὐτοὺς ἐργώδεις εἶναι φαρμακεύεσθαι, καὶ γὰρ ἰλιγγιῶσι, καὶ στροφοῦνται, καὶ δυσχερῶς αὐτοῖς ἡ κάθαρσις προχωρεῖ, καὶ πρὸς τούτοις ἔτι ταχέως ἐκλύονται. γίνεται δὲ ταῦτα πάντα τοῦ καθαρτικοῦ φαρμάκου τὸν οἰκεῖον μὲν ἕλκειν χυμὸν ἐφιεμένου, ἤτοι τὴν ξανθὴν, ἢ τὴν μέλαιναν χολὴν, ἢ τὸ φλέγμα, ἢ τὸ ὑδατῶδες περίττωμα. τῷ δ' ἀπορεῖν αὐτοῦ, τὸ αἷμα καὶ τὰς σάρκας συντήκει, ἵν' ἐξ ἐκείνων ἕλξῃ τὸ οἰκεῖον.

Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ μᾶλλον αἱρετέον.

Οὐ διὰ τὸ κεχαρισμένον μόνον τῷ κάμνοντι τοῦτο ποιητέον, ἀλλὰ καὶ ὡς ὠφελιμώτερον αὐτῷ γενησόμενον. ὅσα γὰρ αὖ ἡδέως προσφερόμεθα, περιστέλλεσθαι τούτοις ἡ γαστὴρ εἴωθε, καὶ πέττειν μᾶλλον αὐτὰ ῥᾳδίως. ἀποχωρεῖν δὲ ἀπὸ τῶν ἀηδῶν, ὡς ἤτοι ναυτίας ἐπιφέρειν, ἢ πνευματώσεις, ἢ κλύδωνας. ὅπερ οὖν ἐπὶ τῶν πλείστων καὶ εὐχύμων ὄντων γίνεται, ὅταν ἡ μικρῷ χεῖρον, ἐπὶ τῶν ἡδέως λαμβανόντων, οὐ μόνον οὐκέτι χεῖρον, ἀλλ' ἐνίοτε καὶ βέλτιον γίνεται.

Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον, ὁκόσα δ' αὖ αὐτέοις χρόνια νοσήματα γίνηται, τὰ πολλὰ ξυναποθνήσκουσιν.

Οἱ πρεσβῦται τῶν νέων οὐ πάντες ἧσσον νοσοῦσιν, οὐδὲ γὰρ ἅπαντες ἐγκρατέστερον διαιτῶνται. ὅσοις δ' ὑπάρχει τοῦτο, μᾶλλον νοσοῦσιν, ἀσθενέστεροι τῶν νέων ὄντες. ὅτι δ' αὐτοῖς πάμπολλα τῶν χρονίων νοσημάτων συναποθνήσκει πρόδηλον, εἴγε καὶ ἡ δύναμις ἀσθενὴς, ὡς μήτε πέττειν ἔτι δύνασθαι ῥᾳδίως τὰς νόσους, καὶ ψυχρὰ πάντα ἐστὶ τὰ χρόνια νοσήματα, διὸ καὶ μᾶλλον γέρουσιν ἢ νεωτέροις γίνεται. τοῖς γὰρ οἰκείοις νοσήμασιν, εὐαλωτότεροι πάντες.

Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

Ἐὰν συνάψωμεν ἀλλήλοις τοὺς ἀφορισμοὺς ἑκατέρους, ὁ λόγος ἔσται τοιοῦτος. οἱ πρεσβύτεροι τῶν νέων τὰ μὲν πλεῖστα νοσοῦσιν ἧττον. ὅσα δ' αὐτοῖς χρόνια νοσήματα γίνεται, τὰ πολλὰ συναποθνήσκει. βράγχοι γοῦν καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται, ὥστε οἷόν τι παράδειγμα τὸν ἀφορισμὸν εἶναι τοῦτον τοῦ προγεγραμμένου. συναποθνήσκει γὰρ, οὐ ταῦτα μόνον τοῖς πρεσβυτέροις, ἀλλὰ καὶ νεφρίτις καὶ ποδάγρα, καὶ ἀρθρίτις, καὶ ἰσχιάς. αἵ τε περὶ κῶλον, ἢ σπλῆνα διαθέσεις ψυχραὶ, καὶ πρὸς ταύταις, ἄσθματα, βῆχες, κυρτώσεις, λορδώσεις, σκολιώσεις, ὅσα τἄλλα διὰ τοὺς ψυχροὺς γεννᾶται χυμοὺς, οὓς καὶ τῶν ἀκμαζόντων τισὶ, μὴ ὅτι πρεσβύταις χαλεπὸν ἐκπέψαι.

Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσιν.

Οὐ πάντες οἱ ἐκλυόμενοι ἐξαίφνης τελευτῶσιν, ἀλλ' εἰ προσθείης αὐτοῖς διορισμοὺς τρεῖς. ἕνα μὲν καὶ πρῶτον, ἵνα πολλάκις τοῦτο πάσχωσι, δεύτερον δὲ, ἵνα ἰσχυρῶς, καὶ τρίτον ἄνευ φανερᾶς αἰτίας. ἐπεὶ γοῦν τις ἐπὶ πλεῖστον ἐν τῷ

Βαλανείῳ

βαλανείῳ διατελοῦσα χρόνον συνεχῶς ἐξελύετο διὰ τὸ μῆκος τοῦ χρόνου, καὶ ὅτι τὸ βαλανεῖον ὡς τὰ πολλὰ μοχθηροῖς ὑπεκαίετο ξύλοις, ἀλλ' οὐ νοσήματός τινος τοῦτο σημεῖον ἐπὶ φανερᾷ προφάσει γινόμενον. ἑτέρα δὲ καὶ ὑστερικοῖς ἐνοχλουμένη παθήμασιν, ἔπαχε τοῦτο, καί τις ἄλλος εἰ ἐπὶ πλέον ἀσιτήσας ἔτυχεν, ἐξελύετο λουόμενος. ἄλλος δέ, εἰ μὴ προλάβοι ἄρτου τι, τοῦτ' ἔπασχεν, εἰ καὶ καθ' ὥραν ἐλούετο. τοῖς τοιούτοις μὲν οὖν ἢ ἀσθενές, ἢ αἰσθητικὸν ἱκανῶς ἐστι τὸ τῆς γαστρὸς στόμα. ὅσοι δὲ διὰ μηδὲν τούτων ἐκλύονται πολλάκις καὶ ἰσχυρῶς, ἤτοι δι' ἀρρωστίαν τῆς ψυχικῆς δυνάμεως τοῦτο πάσχουσιν, ὥσπερ κἀκεῖνος, ᾧ μετὰ τῆς ἐκλύσεως παλμὸς ἐγένετο τῆς καρδίας ἰσχυρῶς, ἀπέθανεν ἐξαίφνης, ὥσπερ οἱ ταῖς ὀξυτάταις ἁλισκόμενοι καρδιακαῖς συγκοπαῖς.

Ἀποπληξίην ἰσχυρὴν λύειν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον.

Ἐν ταῖς ἀποπληξίαις ἐξαίφνης ἀναίσθητοί τε καὶ ἀκίνητοι γίνονται πᾶν τὸ σῶμα, πλὴν μόνης τῆς ἀναπνοῆς, ὡς εἴ γε καὶ αὕτη κωλυθῇ, ἡ μεγίστη τέ ἐστιν ἤδη καὶ ὀξυτάτη τῶν ἀποπληξιῶν. ὅσοι δ' ἀναπνέουσι μέν, ἀλλὰ μετὰ βίας σφοδροτάτης, ἰσχυρὰ τούτοις ἐστὶν ἡ ἀποπληξία, ἰσχυρὰ δὲ καὶ τοῖς τοιούτοις, ἀλλ' ἧττον, ὅσοι χωρὶς μὲν συντονίας καὶ βίας, ἀνώμαλον δὲ καὶ ἄτακτον, ἔτι δὲ διαλείπουσαν ἔχουσι τὴν ἀναπνοήν, ὡς ἐφ' ὧν γε διασώζει τινὰ τάξιν, ἀσθενὴς ἡ τοιαύτη, καὶ πράττων ἃ χρὴ πάντα, τάχα ἂν αὐτὴν ἰάσαιο. πᾶσαι μὲν οὖν αἱ ἀποπληξίαι γίνονται, τῆς ψυχικῆς δυνάμεως ἐπιρρεῖν ἀδυνατούσης τοῖς κάτω τῆς κεφαλῆς, ἤτοι διὰ φλεγμονώδη τινὰ διάθεσιν ἐν αὐτῷ τῷ ἐγκεφάλῳ συστᾶσαν, ἢ τῶν κοιλιῶν αὐτοῦ ἐμπιπλαμένων, ὑγρότητος φλεγματώδους. ἀλλὰ τῷ μεγέθει τῆς αἰτίας, καὶ τὸ τοῦ πάθους ἕπεται μέγεθος. ἀνίατον δ' ἐστὶν ὡς τὰ πολλά, διὰ τὴν βλάβην τῆς ἀναπνοῆς, καὶ θαυμάσαι γέ ἐστιν, ὅπως τῶν ἄλλων μυῶν ἁπάντων ἀκινήτων ἐν ταῖς ἀποπληξίαις γινομένων, οἱ τὸν θώρακα διαστέλλοντες, εἰ καὶ μόγις, ἀλλὰ κινοῦνταί γε πολλάκις. ἔοικε δὲ γίνεσθαι τοῦτο διὰ τὴν χρείαν τῆς ἀναπνοῆς ἐπεγειρούσης αὐτὴν τὴν ἐν τοῖς νεύροις δύναμιν ἐπὶ τὴν ἐνέργειαν, καὶ δι' αὐτό γε τοὔμπαλιν ἅπαντες οἱ μύες ἐπὶ τῶν ἀπληκτῶν ἐνεργοῦσιν οἱ κινοῦντες τὸν θώρακα. καί τοι πρόσθεν ὀλιγάκις ἐνεργοῦντες ἅπαντες, ὥσπερ ἐν τοῖς σφοδροτάτοις γυμνασίοις, ἐπειδὴ πλείστης τῆς ἀναπνοῆς ἐστι χρεία κατὰ ταῦτα. ἀλλὰ τοῖς ἀπληκτοῖς, οὐ τὸ τὴν χρείαν ηὐξῆσθαι τῆς ἀναπνοῆς, ἀλλὰ διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως συνεργεῖν ἀναγκάζονται πάντες οἱ τοῦ θώρακος μύες. ὥσπερ καὶ τῶν ἄλλως ἐν πυρετῷ ἀσθενῆ τὴν δύναμιν ἐχόντων. δι' αὐτό γε τοῦτο καὶ κινεῖν ἀναγκάζονται πάντες ἑαυτοὺς εἰς ἓν ἀξιόλογον κεφάλαιον τὴν ἐξ ἁπάντων ἐνέργειαν ἀθροίζοντες.

Τῶν ἀπαγχομένων καὶ καταλυομένων, μήπω δὲ τεθνηκότων οὐκ ἀναφέρουσιν οἷς ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

Πᾶσα μὲν ἀφροῦ γένεσις ἐκ μίξεως ἀποτελεῖται δυοῖν οὐσιῶν, τῆς μὲν ἑτέρας πνευματικῆς, ὑγρᾶς δὲ τῆς ἑτέρας. γίνεται δ' ἡ μίξις αὐτῶν, εἰς πολλὰ θραυσθείσης ἑκατέρας, καὶ πολλὰς ἐν τῇ συμπλοκῇ σμικρὰς πομφόλυγας ἐργαζομένων. ὅταν δὲ ἢ γλίσχρον τῇ συστάσει τὸ καταθραυσθὲν ὑγρόν, ὃ περιπλεκόμενον τῷ πνεύματι τὰς πομφόλυγας γεννηθῆναι συμβῇ, δύσλυτός τε καὶ μόνιμος ὁ ἀφρὸς γίνεται, οἷον μάλιστα τοῖς δραμοῦσιν ἵπποις, ἢ τοῖς θυμωθεῖσι κάπροις ἀθροίζεται περὶ τὸ στόμα. τὴν δ' ἑκατέρων τῶν οὐσιῶν θραῦσίν τε καὶ μίξιν, ἐνίοτε μὲν ἐργάζεται βιαία κίνησις, ἤτοι γ' ἀμφοῖν, ἢ μόνης τῆς ἑτέρας, ἐνίοτε δὲ ἰσχυρὰ θερμότης. εἰ μὴ ἄρα καὶ ταύτῃ τῇ κινήσει τις λέγοι τὸν ἀφρὸν ἐργάζεσθαι. ἀλλὰ τῷ γε τοῖς ἐναργῶς φαινομένοις ἑπομένῳ, διττὴν ἀσφαλέστερον ἐστι φάναι τὴν γένεσιν εἶναι. κατὰ μὲν οὖν σφοδροὺς ἀνέμους ἐμπίπτοντας τῇ θαλάττῃ, διὰ πληγὴν ἰσχυράν, ἐπὶ δὲ τῶν λεβήτων διὰ τὴν θερμασίαν, οὕτω τε κἂν τοῖς τῶν ζώων σώμασιν. ἐν μὲν τοῖς ἐπιληπτικοῖς σπασμοῖς, ἡ συντονία τῶν κινήσεων τὸν ἀφρὸν εἴωθε γεννᾶν, ἐπὶ δὲ τῶν κάπρων ἡ θερμασία. κατὰ δὲ τοὺς δρόμους τῶν ἵππων ἄμφω φαίνεται σύντονα, συνεχῶς γὰρ εἴσω καὶ ἔξω τοῦ κατὰ τὰς ἀναπνοὰς ἀέρος φερομένου, τό τε σίαλον αὐτοῖς λεπτύνεται, καί τι κἀκ τοῦ πνεύμονος ἀτμοειδῶς ἀναφερόμενον, ἐπιμίγνυταί τε καὶ συμπλέκεται τῷ σιέλῳ, τοῦ γεννωμένου τὴν οὐσίαν ἀφροῦ συναύξον. ὅσοι δ' ἡγοῦνται τὸν ἀφρὸν τοῦτον ἐκ τῆς κοιλίας ἀναφέρεσθαι, διαμαρτάνουσιν. οὔτε γὰρ ἀθρόως αὐτὸν ἐκεῖθεν ἥκειν ἐγχωρεῖ, μήτε ἐμοῦντος τοῦ ζώου τηνικαῦτα, μήθ' ὅλως ναυτιῶντος, ὧν συμπτωμάτων χωρίς, οὐχ οἷόν τε ἐστὶν ἐκ τῆς γαστρὸς ἀνενεχθῆναί τι, καὶ πολὺ δὴ μᾶλλον ἀδύνατον ἀναφέρεσθαί τινα ἀτμὸν ὁμοίως τῷ κατὰ τὰς ἀναπνοάς, μηδεμιᾶς τοιαύτης ἐκ τῆς γαστρὸς ἀναφερομένης οὐσίας οἵαν ὁ πνεύμων ἀναπνεῖ. καὶ γάρ τοι καὶ τὸ αἷμα, τὸ μὲν ἐκ τοῦ πνεύμονος ἀναγόμενον, ἀφρῶδες ὁμοίως ἐστὶ τῷ σπλάγχνῳ. τὸ δ' ἐκ τῆς γαστρὸς, οὐδ' ἐγγὺς τῷ τοιούτῳ. ἀλλ' ὁ μὲν ἅμα τῷ αἵματι ἐκ τοῦ πνεύμονος συναναφερόμενος ἀφρός, ἀθρόως τε καὶ μετὰ βηχὸς ἀνάγεται. ὁ δ' ἐκ τοῦ τοιούτου χυμοῦ κατ' ὀλίγον ἐκπνεόμενος ἀτμός, οὐ κινεῖ βῆχας. περιβληθείσης γε μὴν ἀγχόνης τῷ τραχήλῳ, δεῖται μὲν ἡ καρδία καὶ ὁ πνεύμων ἐκπνεῦσαι τὸ λιγνυῶδες περίττωμα. δέδεικται γὰρ τοῦτο ἡμῖν ἐν τῷ περὶ χρείας ἀναπνοῆς γράμματι. κωλυόμενον δὲ διὰ τῆς ἀγχόνης βιαίως ὠθεῖ πᾶν αὐτό, κἂν τούτῳ καὶ τῆς οἰκείας ὑγρότητός τι συνεκβάλλει, καθάπερ κἂν ταῖς τοῦ αἵματος ἀναγωγαῖς. ὀλέθριον οὖν τοῦτο τὸ σημεῖον ἐστίν, ἐπειδὴ τῆς βίας τοῦ πνεύμονος ἐστὶ δηλωτικόν, ἣν πάσχει πνιγομένου τοῦ ζώου. μάλιστα δ' εἰκὸς αὐτῷ γίνεσθαι τοῦτο, διὰ τὴν ἐκ τῆς καρδίας εἰς αὐτὸν ὠθουμένην θερμασίαν, ὥστε καὶ τῇ ζέσει τοῦ θερμοῦ, καὶ τῇ τοῦ πνεύματος βιαίᾳ κινήσει καὶ τῇ σφοδρᾷ τοῦ πνεύμονος συντονίᾳ τῆς ἀναγωγῆς γενομένης τοῦ ἀφροῦ, θανατῶδες τὸ σημεῖον. ἔνιοι γε μὴν ἐν τῷ σπανίῳ τῶν ἀπαγχομένων ἀπήνεγκαν, ἀφροῦ φανέντος περὶ τὸ στόμα, καὶ ἴσως ὁ Ἱπποκράτης οὐχ ὡς διὰ παντὸς ἀπολλυμένων, ἀλλ' ὅτι τοὐναντίον σπανιώτατα οὕτως ἀπεφήνατο, καθάπερ ὀλίγον ἔμπροσθεν ἐδείκνυε, ἔνθα φησὶ κατὰ τὸν ἀφορισμόν. ὁκόσοισι νέοισιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται. τὸ γὰρ ὡς τὸ πολὺ παρέλιπεν ἐνταῦθα εἰπεῖν ἐν τοῖς κατωτέρω προσθεὶς αὐτὸ ἔνθα φησίν, ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ὄντες βέλτιον ἀπαλλάσσουσι τῶν ξηρὰς ἐχόντων, ἐς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ἀπογηράσκουσιν.

Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι μᾶλλον γίνονται τῶν ἰσχνῶν.

Τοὺς ἐκ τῆς πρώτης ἡλικίας παχεῖς καὶ ἰσχνοὺς ἀλλήλοις παραβάλλων, ἀποφαίνεται περὶ τῶν παχέων, ὡς εἰσὶ ταχυθάνατοι μᾶλλον τῶν ἰσχνῶν. ἄριστον μὲν γὰρ εὔσαρκον φῦναι, τουτέστι σύμμετρον, ὥστε μήτε παχὺν εἶναι μήτ᾽ ἰσχνόν, οὕτω γὰρ αὖ δυνατὸν καὶ εἰς μακρὸν ἀφικέσθαι γῆρας. εἰ δ᾽ ὑπερβάλλοι τὸ σύμμετρον, ἀμείνων μὲν ἡ ἰσχνότης, μοχθηρὰ δὲ ἡ εἰς πάχος ὑπερβολή. στεναὶ γάρ εἰσι τούτων αἱ ἀρτηρίαι, καὶ αἱ φλέβες, καὶ διὰ τοῦτο καὶ αἷμα, καὶ πνεῦμα, παντελῶς ὀλίγον ἔχουσιν, ὡς ἐπειδὰν προέρχονται κατὰ τὴν ἡλικίαν, ταχέως αὐτοῖς ἐπὶ μικρᾷ προφάσει ἡ ἔμφυτος θερμασία διαφθείρεται. οἱ δ᾽ ἰσχνοί, ταύτῃ μὲν οὐ κινδυνεύουσι. τῷ δὲ διακεῖσθαι τὰ κύρια μόρια μηδὲν ἔχοντα πρόβλημα, πρὸς τῶν ἔξωθεν αἰτίων ἑτοίμως βλάπτονται. ὅσοι μέντοι φύσει μὲν ἦσαν σύμμετροι, διαίτῃ δ᾽ ἀργοτέρᾳ χρησάμενοι, παχεῖς ἐγένοντο, τούτοις εἰ καὶ σαρκὸς καὶ πιμελῆς ἐπιτράφη πλῆθος, ἀλλ᾽ εὐρεῖαι αἵ τε φλέβες εἰσὶ καὶ αἱ ἀρτηρίαι, καὶ διὰ τοῦτο μείζονα ἔχουσι τὴν ἔμφυτον θερμασίαν.

Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν χωρίων, καὶ τῶν βίων ποιέουσιν.

Ἐγγὺς πώς ἐστιν ἀποπληξίας, τὸ τῆς ἐπιληψίας πάθος, ὡς αὖ τὸν πάσχοντα τόπον ἐχόντων ἀμφοῖν τὸν αὐτὸν καὶ τὸν ποιοῦντα χυμόν. ἀλλ᾽ ἡ μὲν ἀποπληξία, διὰ παντελῆ στέρησιν τῆς ἐπιρρεούσης δυνάμεως τοῖς νεύροις, ἡ δ᾽ ἐπιληψία, διὰ πλημμελῆ κίνησιν γίνεται. ψυχρὸς δ᾽ ἐστὶν ἀμφοῖν, καὶ παχὺς χυμός, καὶ διὰ τοῦτο ἡ τῶν νεανίσκων ἡλικία ξηρὰ καὶ θερμὴ τὴν κρᾶσιν ὑπάρχουσα, μέγιστον βοήθημα γίνεται τῶν ἐπιληπτικῶν διαθέσεων, οὕτω δὲ καὶ τῶν χωρίων αἱ ἀνάλογοι μεταβολαί. λέγω δ᾽ ἀνάλογον, ὅταν εἰς ξηρότητά τε καὶ θερμότητα μεθιστῶνται. κατὰ ταῦτα δὲ καὶ τὸν βίον, οὐδὲ γὰρ αἱ τούτων μεταβολαὶ πᾶσαι λύουσι τὴν ἐπιληψίαν, ἀλλ᾽ ὅσαι θερμοτέραν καὶ ξηροτέραν ἐργάζονται τὴν τοῦ σώματος ἕξιν. ἐγχωρεῖ δὲ καὶ ἁπλῶς ἀκοῦσαι, τὴν μεταβολὴν τοῦ βίου τὰς ἐπιληψίας ὠφελεῖν. ἐπειδὴ τοὐπίπαν ἡ μοχθηρὰ δίαιτα γεννᾷ τὸ πάθος, ὥσθ᾽ ἡ μεταβολὴ πάνυ ἐπὶ τὸ βέλτιον ἄγει.

Δύο πόνων ἅμα γιγνομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

Εἰ μὲν ἀκριβῶς ἀκούει τις τὸν αὐτὸν τόπον, οὐδέποτε δύο δύνανται πόνοι γίνεσθαι κατὰ τὸν αὐτόν. εἰ δ᾽ ἐν πλάτει, δυνατόν. λέγω δ᾽ ἐν πλάτει, περὶ μόριον μεῖζον, οἷον ἢ περὶ βραχίονα, ἢ πῆχυν, ἢ μηρόν, ἢ κνήμην. ἀλλ᾽ οὗτοί γε οἱ πόνοι συναύξουσιν ἀλλήλοις τὴν ἀνίαν τοῦ μορίου, μηδ᾽ ἑτέρου τὸν κάμνοντα διαλανθάνοντος. εἰ δ᾽ ἐν διαφόροις τόποις εἶεν, ὁ μὲν εἰ τύχοι κατὰ τὸν πῆχυν, ὁ δ᾽ ἐν τῇ κνήμῃ. συμβαίνει τηνικαῦτα, πρὸς τοῦ σφοδροτέρου τὸν ἕτερον ἀμαυροῦσθαι, τῆς αἰσθητικῆς δυνάμεως ὅλης ἐπὶ τὸ σφοδρότερον ἀπαγομένης τε καὶ περιελκομένης. τοῦτο γὰρ ἡμῖν καὶ κατὰ τὰς λύπας εἴωθε συμβαίνειν, ὅσας καὶ αὐτὰς οἷον ἀλγήματά τινα τῆς ψυχῆς, αὐτοῦ τοῦ σώματος. κατακρύπτουσι γὰρ οὖν ἐν αὐταῖς αἱ σφοδρότεραι τὰς ἐλάσσους, ὅταν γε μὴ περὶ ἑνὸς γίνονται πράγματος. εἰ δὲ μή γε, ἀλλήλας κἀκεῖναι συναύξουσιν.

Περὶ τὰς γενέσιας τοῦ πύου, οἱ πόνοι καὶ οἱ πυρετοὶ ξυμβαίνουσι μᾶλλον ἢ γενομένου.

Τὸ πῦον ἐξ αἵματος γίνεται μεταβάλλοντος εἰς ἡμιμόχθηρον, ὡς ἄν εἴποι τις μεταβολήν. ἡ μὲν γὰρ ἁπλῶς μοχθηρά, μετὰ σηπεδόνος ἀποτελεῖται δυσώδους, ὥσπερ καὶ ἡ ἁπλῶς χρηστὴ θρέψις ἐστί, τῶν τοῦ ζώου μορίων. ἡ δὲ τὸ πῦον ἐργαζομένη, μεταξὺ τούτων ἐστίν, οὔθ᾽ ὑπὸ τῆς παρὰ φύσιν μόνης, οὔθ᾽ ὑπὸ τῆς ἐμφύτου θερμασίας γινομένη. μικτὴ γάρ πως ἐξ ἀμφοῖν ἐστιν ἡ τῆς φλεγμονῆς. πόνος μὲν γίνεται, τεινομένου τε ἅμα καὶ θερμαινομένου παρὰ φύσιν τοῦ φλεγμαίνοντος μορίου, πυρετοὶ δ᾽ ἕπονται τῆς ἀρχῆς συνεκθερμανθείσης, καὶ ταῦτ᾽ ἄμφω συμβαίνει, κατὰ τὴν οἷον ζέσιν τε καὶ καῦσιν τοῦ αἵματος. ἐπειδὰν δὲ τελέως καυθῇ τὸ λείψανον αὐτοῦ, πῦον γίνεται, καθάπερ ἐπὶ τῶν καυθέντων ξύλων ἡ τέφρα, καὶ διὰ τοῦτο κατ᾽ ἐκεῖνον τὸν χρόνον, οἵ τε πόνοι, καὶ οἱ πυρετοὶ λωφῶσι, καὶ μάλιστα ὅταν ἐκκριθῇ τὸ πῦον, ὡς ἂν ἤδη δεδαπανημένης μὲν τῆς ὕλης, σβεσμένης δὲ τῆς φλογώδους θερμασίας.

Ἐν πάσῃ κινήσει τοῦ σώματος, ὅταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

Τὸ πονεῖν, σημαίνει μὲν καὶ τὸ ἀλγεῖν. σημαίνει δὲ καὶ τὸ κάμνειν, καὶ καθ᾽ ἑκάτερόν γε ὁ λόγος αὐτῷ ἀληθής ἐστιν. ἐάν τε γὰρ ἀλγῶσιν ἤδη τὰ μόρια διὰ τὰς πλείονας κινήσεις, ἐάν τε καὶ κάμνωσιν, ὡς ἐνεργεῖν ἔτι μόγις δύνασθαι, τὸ διαναπαύειν εὐθύς ἐστιν ἄκοπον.

Οἱ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, κἂν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀσυνήθων ἰσχυρῶν τε καὶ νέων ῥᾷον φέρουσι.

Ἄλλος ἄλλῳ συνήθης πόνος ἐστί, τῷ μὲν δρόμος, ἤ τις ἑτέρα κίνησις διὰ τῶν σκελῶν, τῷ δὲ τὸ χειρονομεῖν, ἤ τις ἄλλη διὰ τῶν χειρῶν ἐνέργεια. τοῖς δὲ τὸ σκάπτειν, ἢ ἐρέσσειν, ἢ ἀροῦν, ἢ ἁπλῶς ὁτιοῦν ἄλλο. διαφορὰ δ᾽ ἐν ἅπασι τοῖς τοιούτοις ἐστὶ πόνοις, παρά τε τὸ πλείοσιν, ἢ ἐλάσσοσιν ἐνεργεῖν μορίοις, καὶ παρὰ τὸ αὐτοῖς, ἢ μᾶλλον, ἢ ἧττον. ἀλλὰ τόγε κοινὸν ἐπὶ πᾶσιν εὐτονώτερα τῶν ἄλλων γίνεσθαι τὰ γυμναζόμενα μόρια, καὶ διὰ τοῦτο ῥᾷον ὑπομένει τοὺς συνήθεις πόνους.

Τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, κἂν ᾖ χείρω τῶν ἀσυνήθων, ἧσσον ἐνοχλεῖν εἴωθε. δεῖ δὲ καὶ ἐς τὰ ἀσυνήθεα μεταβάλλειν.

Οὐ περὶ τῶν γυμνασίων ἐστὶ μόνον, ὡς ὁ πρόσθεν, ἀλλὰ περὶ πάντων ἁπλῶς ἀποφαίνεται τῶν συνήθων, ὁ ἀφο-

ρισμὸς οὗτος, ἐδεσμάτων, πομάτων, λουτρῶν, ἀλασίας, ἀγρυπνίας, ὕπνου, θάλψεως, ψύξεως, φροντίδων. ἧττον γὰρ ἕκαστον αὐτῶν βλάπτει συνήθων γινόμενον, τοῦ φύσει μὲν ἀβλαβεστέρου, μηδέποτε δὲ εἰς ἔθος ἀφιγμένου. τὸ μὲν οὖν περὶ τῶν γυμνασίων οὕτως ἔχειν, εἰς τὴν εὐρωστίαν τῶν ἐνεργούντων μορίων ἀναφέρεται, καθότι προείρηται. τὸ δὲ περὶ τῶν ἄλλων ὅπως γίνεται, νῦν ἐροῦμεν. ἐδέσματα μὲν καὶ πόματα φύσιν ἐπίκτητον ἐργάζεται, μάλιστα μὲν ἐν τῇ γαστρί. σὺν ἐκείνῃ δέ πως ἤδη ἐστὶ κατὰ τἆλλα μόρια. καὶ γὰρ εἰ καὶ ὅτι μάλιστα κρατοῖτο, καὶ μεταβάλλοιτο πρὸς τοῦ σώματος, ἀλλά τοι καὶ αὐτὰ διατίθησί πως αὐτὸ, κατὰ τὴν ἑαυτῶν φύσιν, ὥστ᾽ ἐν τῷ χρόνῳ πολλὴν γενέσθαι τὴν ἐναλλαγὴν, καὶ τὴν ὁμοίωσιν τοῖς τρεφομένοις συστῆναι πρὸς τὰ τρέφοντα. ὑποδέδεικται γὰρ τοῦτο ἡμῖν ἐν τῷ περὶ ἐθῶν βιβλίῳ. δέδεικται δὲ ἐστὶν ὅτι πρὸς τῶν ὁμοίων ἕκαστον θᾶττον ἀλλοιοῦται. διὰ τοῦτ᾽ οὖν ὅταν ὁμοιότερον γένηται, τῷ μεταβαλλομένῳ τὸ μεταβάλλον, ἀλλοιοῖ θᾶττον αὐτὸ, καὶ μὴν δὴ καὶ πρὸς τῶν ἄλλων ἁπάντων οἷς ὁμιλεῖ τὸ σῶμα, διατίθεταί πως οἷον ἐν ἀέρι ψυχρῷ καὶ θερμῷ. πυκνούμενον μὲν ὑπὸ τοῦ ψυχροῦ, ἀραιούμενον δ᾽ ὑπὸ τοῦ θερμοῦ, καὶ διὰ τοῦτο ἀνέχονται μὲν τῶν συνήθων, μᾶλλον ἐνοχλεῖται δ᾽ ὑπὸ τῶν ἀήθων. εἰ γὰρ ἀραιῷ σώματι, διὰ τὴν πρὸς τὸ θερμὸν ὁμιλίαν ἐξαίφνης προσπέσοι τὸ ψυχρὸν, εἴς τε τὸ βάθος αὐτοῦ διαδύεται, παραχρῆμα καὶ βλάπτει μεγάλως. ἡ μὲν οὖν αἰτία καθ᾽ ἕκαστον τῶν συνήθων, ἐν τῷ περὶ ἔθους λέγεται γράμματι. τὸ δ᾽ ἐκ τῆς πείρας ἐγνωσμένον, ἤδη γινώσκομεν, ὃ μόνον ἔγραψεν ὁ Ἱπποκράτης, οὐκ ἀξιώσας προσγράψαι τὴν αἰτίαν. ἀλλ᾽ ἡμεῖς καὶ πρὸς τὴν αὐτῆς εὕρεσιν, ἀφορμάς τινας δεδώκαμεν. ταῦτα μὲν οὖν ἱκανὰ πρός γε τὸ πρότερον μέρος, τοῦ κατὰ τὸν ἀφορισμὸν λόγου. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ γεγραμμένον, ἐν ᾧ συμβουλεύει, μεταβάλλειν πῶς εἰς τὰ μὴ συνήθη, χάριν ἀσφαλείας ὑγιεινῆς εἴρηται. σφαλερὸν γάρ ἐστι πᾶν ἔθος μονοειδὲς, ἀδοκήτοις τύχαις πραγμάτων ὑποπεπτωκότων ἁπάντων ἀνθρώπων. ἵν᾽ οὖν μή ποτ᾽ ἐξαίφνης περιπεσόντες ἀήθεσι πράγμασι μεγάλως βλαβῶμεν, ἄμεινον εἶναί φησιν ἁπάντων πεπειρᾶσθαι. γένοιτο δ᾽ ἂν τοῦτο, μὴ μενόντων ἡμῶν ἐπὶ τοῖς συνήθεσι διὰ παντὸς, ἀλλά ποτε μὲν καὶ τῶν ἐναντίων ἀποπειρωμένων.

Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ὅλως ὁπωσοῦν τὸ σῶμα κινεῖν σφαλερὸν, καὶ πᾶν τὸ πολὺ, τῇ φύσει πολέμιον. τὸ δὲ κατ᾽ ὀλίγον ἀσφαλὲς, καὶ ἄλλως ἢν ἐξ ἑτέρου, μεταβαίνῃ εἰς ἕτερον.

Διατὶ τὸ κατὰ πολὺ, καὶ ἐξαπίνης πληροῦν, ἢ κενοῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁπωσοῦν κινεῖν τὸ σῶμα σφαλερόν ἐστιν, αὐτὸς ἐδήλωσεν εἰπὼν, ἅπαν εἶναι τὸ πολὺ τῇ φύσει πολέμιον. ἔστι γὰρ ἡ φύσις ἐν συμμετρίᾳ τῶν στοιχείων ἔχουσα τὴν οὐσίαν. εἰκότως οὖν τὸ πολὺ πᾶν ὡς ἂν φθεῖρον τὴν συμμετρίαν, διαλυτικόν ἐστι τῆς τοῦ ζώου συστάσεως. τὸ δὲ κατὰ μικρόν φησι πληροῦν, ἢ κενοῦν δηλονότι, καὶ τἆλλα ὅσα τούτοις ἑξῆς εἶπεν ἀσφαλὲς, ἄλλως γινόμενον, καὶ μάλιστα ὅταν ἐξ ἑτέρου τινὸς τῶν ἐν ἔθει τὴν μεταβολὴν εἰς ἕτερον ποιώμεθα. συνεβούλευσε γὰρ ἐν τῷ πρὸ τούτου ἀφορισμῷ, καὶ εἰς τὰ ἀσυνήθη μεταβαίνειν. ἐν ταῖς τοιαύταις οὖν μεταβάσεσι, τὸ μὲν κατὰ πολὺ καὶ ἐξαπίνης, σφαλερὸν ἱκανῶς ἐστι. τὸ δὲ κατὰ μικρὸν, ἀσφαλές.

Πάντα κατὰ λόγον ποιέοντι, μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ᾽ ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

Οὐ σμικρᾶς ἐπιστήμης ἔργον ἐστὶ, τὸ μὴ μεταβαίνειν ἀπὸ τῶν ὀρθῶς δοξάντων, εἰ καὶ μηδέπω φαίνηται σαφὴς ἡ ὠφέλεια τοῖς οὕτω γινομένοις ἐπομένη. καθάπερ γὰρ ἐπὶ τοῦ πλήττοντος τὴν ὑποκειμένην πέτραν σταλαγμοῦ, παμπόλλῳ χρόνῳ μόγις αἰσθητὸν γίνεται τὸ τοῦ λίθου πάθος, οὕτω συμβαίνει κἀπὶ τῶν δυσπαθεστάτων διαθέσεων, ἐφ᾽ ὧν ὁ κατὰ λόγον ὀρθὸν εὑρηκὼς τὸ συμφέρον, οὐκ ἀφίσταται τοῦ δόξαντος ἐξ ἀρχῆς, οὐδ᾽ ἂν μηδὲν φαίνηται σαφὲς ἐπὶ τῇ χρήσει γεγενημένον.

Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ὄντες, βέλτιον ἀπαλλάσσουσι τῶν τὰς ξηρὰς ἐχόντων, ἐς δὲ καὶ γῆρας χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ἀπογηράσκουσιν.

Καὶ σαφής ἐστιν ὁ ἀφορισμὸς, καὶ ὅσα χρὴ λεχθῆναι περὶ αὐτοῦ πρόσθεν εἴρηται, κατ᾽ ἐκεῖνον τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἐγγηράσκουσι ξηραίνονται.

Μεγέθη δὲ σώματος ἐννεάσαι μὲν ἐλευθέριον, καὶ οὐκ ἀηδές ἐστιν. ἐγγηράσαι δὲ δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων.

Μέγεθος σώματος, κυρίως μὲν ὀνομάζεται τὸ κατὰ μῆκος, καὶ βάθος, καὶ πλάτος ὑπὲρ τὸ σύμμετρον ηὐξημένον. ἤδη δὲ καὶ τὸ κατὰ μῆκος μόνον ἐπὶ πλέον ηὐξημένον, σῶμα προσαγορεύομεν ἐνίοτε μέγα, καί τοι τό γε κύριον ὄνομα τούτου, τὸ μακρόν ἐστιν. ὀνομάζουσι γὰρ ἐνίοτε καὶ τὸ κατὰ πλάτος τε καὶ βάθος ὑπὲρ τὴν ἀναλογίαν ηὐξημένον σῶμα μέγα, καί τοι καὶ τοῦτο παχὺ λέγεται κυρίως ὀνομαζόμενον. εἰ μὲν οὖν μέγεθος σώματος εἴρηκεν ὁ Ἱπποκράτης τὸ κυρίως λεγόμενον, οὐδὲν μᾶλλον τοῦ μικροτέρου χεῖρον ἐν γήρᾳ. εἰ δὲ τὸ μακρὸν, ἢ παχὺ δηλοῖ, χείρω καὶ δυσχρηστότερα ταῦτα γερόντων γίνεται. ἀλλὰ τό γε παχὺ οὐδ᾽ ἐννεάσαι καλὸν, οὐδ᾽ ἐλευθέριον. ἐπὶ τοίνυν μόνου τοῦ μακροῦ, τὸ ἐννεάσαι μὲν ἐλευθέριον, ἐγγηράσαι δὲ δύσχρηστον ἀληθῶς λέγοιτο. κυφοῦται γὰρ τούτων γερόντων, καὶ μόγις δυνάμενοι βαστάζειν, ὅπερ εἶπεν ὁ Ἱπποκράτης δύσφορον.

Ἐν τῷ τρίτῳ τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων τῷδε, περὶ τῶν κατὰ τὰς ὥρας τε καὶ ἡλικίας Ἱπποκράτει γεγραμμένων ἐξηγησόμεθα. μάλιστα μὲν οὖν ὅσον ἐν αὐτοῖς ἀσαφές ἐστι σαφηνίζοντες, ἔργον γὰρ τοῦτο ἴδιον ἐξηγήσεως. οὐ μὴν ἀλλὰ καὶ τὴν ἀπόδειξιν ἑκάστου τῶν ὀρθῶς εἰρημένων προστιθέντες, ἐπειδὴ καὶ τοῦτο ἐστὶν ἔθος ἐν τοῖς ὑπομνήμασι γίνεσθαι. θαυμάζω δὲ κἀνταῦθα τὴν ἀνωμαλίαν τοῦ Λύκου, γράφοντος μὲν ὡς φησιν ἐξηγήσεις Κοΐντου τοῦ διδασκάλου, μηδεμίαν δὲ τῶν κατὰ τὰς ὥρας, καὶ ἡλικίας εἰρημένων προαγόντος πίστιν ἀποδεικτικὴν, ἀλλ᾽ εἰς ἐμπειρίαν καὶ τήρησιν ἀναπέμψαντος ἅπαντα. καί τοι γ᾽ ἄλλους πολλοὺς ἀφορισμοὺς ἐξηγούμενος αὐτὸς, ἐπισκέπτεται λογικῶς ὑπὲρ τῆς ἐν αὐτοῖς ἀληθείας, οὐκ ἀρκούμενος μόνῃ τῇ πείρᾳ. ὅτι δ᾽ οὐ δυνατόν ἐστι μόνῃ τῇ πείρᾳ τοιαύτην ἀθροῖσαι θεωρίαν, Ἱπποκράτης τε αὐτὸς ἐνδείκνυται τοῦτο, καὶ προϊόντος ἐπιδειχθήσεται τοῦ λόγου.

Αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νοσήματα, καὶ ἐν τῇσι ὥρῃσιν αἱ μεγάλαι μεταβολαὶ, ἢ ψύξιος, ἢ θάλψιος, καὶ τἄλλα κατὰ λόγον οὕτως.

Μεταβολὰς ὡρῶν ἔνιοι νομίζουσι λέγεσθαι καθ᾽ ἃς εἰς ἀλλήλας μεταβάλλουσιν, ὡς εἰ καὶ διαδοχὰς, τὰς μεταβολὰς εἰρήκει. χειμῶνος μὲν γὰρ εἰς ἔαρ μεταβάλλοντος, ἡ γένεσίς ἐστι τῶν εἰρημένων νοσημάτων, ὑπὲρ ὧν αὐτὸς ἐφεξῆς ἐρεῖ. τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικά. τοῦ δ᾽ ἦρος πάλιν εἰς θέρος μεταβαλλόντος, ὅπερ ἐστὶν ἀρχομένου θέρους, πυρετοὶ συνεχεῖς φησι καὶ τριταῖοι, καὶ καῦσοι, καὶ τἄλλα ὅσα τούτοις ἐφεξῆς κατέλεξε, καὶ περὶ φθινοπώρου δὲ, καὶ χειμῶνος ὁμοίως ἔγραψεν ὥς φασιν οἱ τὰς μεταβολὰς ἐν ἴσῳ τῷ διαδοχὰς ἡγούμενοι λέγεσθαι, ἀλλὰ τὸ μάλιστα προσκείμενον ἐν τῇ λέξει τοῦ ἀφορισμοῦ, τὴν ἐξήγησιν ταύτην οὐ προσίεται. μεταβαλλουσῶν γὰρ ἐνίοτε εἰς ἀλλήλας τῶν ὡρῶν, ὥσπερ ἔνια συνίσταται νοσήματα, κατὰ τὸν αὐτὸν τρόπον καὶ λύεται, καὶ τοῦτο αὐτὸς εἴρηκεν ὁ Ἱπποκράτης, ὥστε οὐδὲν μᾶλλον αἱ διαδοχαὶ τῶν ὡρῶν τίκτουσι νοσήματα, ἢ λύουσι. πῶς οὖν οὐκ ἠρκέσθη μόνον εἰπὼν, αἱ μεταβολαὶ τῶν ὡρῶν τίκτουσι νοσήματα, ἀλλὰ καὶ τὸ μάλιστα προσέθηκεν. ἄμεινον τοίνυν ἐστὶ διὰ τὴν προσθήκην τήνδε μεταβολὰς ἀκούειν, τὰς κατὰ τὴν κρᾶσιν αὐτῶν ἀλλοιώσεις. αὗται γάρ εἰσιν, αἳ μάλιστα τίκτουσαι νόσους, ὅταν ἐφεξῆς ἀλλοιώσεις ὦσι πλείους, ὡς ἐν ταῖς ἐπιδημίαις ἔγραψε, καὶ νῦν δ᾽ ὀλίγον ὕστερον ἐρεῖ. ἡ δὲ μιᾶς ὥρας ἀλλοίωσις μόνης ἐργάζεται μὲν νόσους τινὰς, ἀλλ᾽ οὐ μάλιστα. πότ᾽ οὖν μάλιστα νόσοι γίνονται κατὰ μίαν ὥραν ἀλλοιωθεῖσαν; ὅταν συμβῇ μεγάλην ἔσεσθαι τὴν μεταβολὴν, καὶ διὰ τοῦτ᾽ αὐτὸς εἶπεν ὁ Ἱπποκράτης. καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταβολαὶ, ἢ ψύξιος, ἢ θάλψιος, ἢ τινος τῶν ἄλλων, οἷον ὑγρότητος, ἢ ξηρότητος, ἢ πνευμάτων, ἢ ἀπνοιῶν. αὕτη μὲν οὖν ἡ ἐξήγησις ὀρθῶς εἴρηται τῆς προκειμένης γραφῆς. ἔστι δέ τις καὶ ἄλλη γραφὴ τοιάδε. αἱ μεταβολαὶ τῶν ὡρέων, τίκτουσι νοσήματα μέγιστα. μάλιστα δὲ καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταβολαὶ, καθ᾽ ἣν οὐδέν ἐστιν ἀσαφὲς, καὶ μάλιστα τοῖς ἀκηκοόσιν ὧν ἄρτι πέπαυμαι λέγων. εἰσὶ δὲ καὶ ἄλλαι τινὲς γραφαὶ τῆς αὐτῆς ῥήσεως, ἃς καὶ νοῆσαι καὶ δοκιμάσαι ἐξ ὧν εἶπον ὁρμώμενος.

Τῶν φύσιων, αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ, ἢ κακῶς πεφύκασιν.

Φύσεις εἴρηκε νῦν ὁ Ἱπποκράτης κατὰ τὸ κυριώτατόν τε καὶ πρῶτον σημαινόμενον, ὃ κατ᾽ αὐτὴν μάλιστα τὴν οὐσίαν ἐστὶ τῆς φύσεως. ἐλέγομεν δ᾽ ἐν τοῖς ἔμπροσθεν αὐτὴν κρᾶσιν εἶναι τῶν τεσσάρων στοιχείων, ὑγροῦ καὶ ξηροῦ, καὶ θερμοῦ καὶ ψυχροῦ. καὶ μέντοι καὶ δέδεικται πρὸς ἡμῶν ἐν τοῖς περὶ κράσεων. μία μὲν κρᾶσις ἡ εὔκρατός τε καὶ ἀρίστη, δύσκρατοι δὲ καὶ μοχθηραὶ τὸν ἀριθμὸν ὀκτώ. τέσσαρες μὲν κατὰ μίαν ἐπικρατοῦσαν ποιότητα, τέσσαρες δ᾽ ἄλλαι κατὰ δύο. κατὰ μίαν μὲν ἡ θερμὴ καὶ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρά. κατὰ δύο δὲ, ἡ θερμὴ καὶ ξηρὰ, καὶ ὑγρὰ καὶ θερμὴ, καὶ ψυχρὰ καὶ ὑγρὰ, καὶ ψυχρὰ καὶ ξηρά. πρὸς μὲν δὴ τὸ θέρος, αἱ ψυχραὶ καὶ ὑγραὶ φύσεις ἄριστα διάκεινται, πρὸς χειμῶνα δὲ αἱ θερμαὶ καὶ ξηραί. καθάπερ γε καὶ κακῶς, αἱ μὲν θερμαὶ καὶ ξηραὶ πρὸς θέρος, αἱ δὲ ψυχραὶ καὶ ὑγραὶ πρὸς χειμῶνα. τελεώτατα μὲν οὖν αἱ φύσεις αὗται πρὸς τὰς εἰρημένας ὥρας ἄριστά τε καὶ χείριστα διάκεινται. μετρίως δὲ αἱ καθ᾽ ὁτιοῦν, ἢ ὠφελούμεναι πρὸς τὰς ὥρας, ἢ βλαπτόμεναι. καθάπερ ἡ ὑγρὰ καὶ θερμὴ, θέρους καὶ χειμῶνος, ἐπειδὴ κατὰ τὸ θέρος μὲν, ὡς ὑγρὰ βέλτιον διατίθεται, κατὰ δὲ τὸν χειμῶνα πάλιν ὡς θερμή.

Τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ καὶ κακῶς πεφύκασι, καὶ ἡλικίαι τινὲς πρὸς ὥρας καὶ χώρας, καὶ διαίτας.

Ἀτακτότερον ἑρμηνευκέναι μοι δοκεῖ τὸν ἀφορισμὸν τοῦτον ὁ Ἱπποκράτης. ἄμεινον γὰρ ἂν οὕτως εἴρητο, τῶν νούσων, καὶ τῶν ἡλικιῶν, ἄλλαι πρὸς ἄλλας ὥρας, καὶ χώρας, καὶ διαίτας, εὖ καὶ κακῶς πεφύκασι. νόσοι μὲν οὖν εὖ πεφύκασι πρὸς ὥρας, ὡς μὲν πρὸς γένεσιν αἱ ὅμοιαι, ὡς δὲ πρὸς λύσιν αἱ ἐναντίαι. διώρισται γὰρ ἡμῖν ὑπὲρ τοῦδε πρόσθεν ἡνίκα ἐξηγούμεθα τὸν ἀφορισμὸν, οὗ ἡ ἀρχή. ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷς ἂν οἰκείη τῆς φύσεως. ἡλικίαι δὲ ὥσπερ καὶ φύσεις, αἱ ψυχραὶ μὲν πρὸς θερμὰς, αἱ δὲ θερμαὶ πρὸς ψυχράς. ἡ μὲν τῶν γερόντων πρὸς θέρος, ἡ δὲ τῶν ἀκμαζόντων πρὸς χειμῶνα. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ πρὸς τὰς χώρας, οὐχ αἱ νόσοι μόνον, ἀλλὰ καὶ αἱ ἡλικίαι διάκεινται. γεννῶνται γὰρ μᾶλλον ἐν ταῖς θερμοτέραις χώραις αἱ θερμαὶ νόσοι, καὶ ἧσσόν εἰσι κινδυνώδεις. ὑγιαίνουσί τε μᾶλλον ἐν ταῖς ψυχροτέραις χώραις, αἱ θερμότεραι τῶν ἡλικιῶν, ἐπί τε τῶν ἄλλων ἀνάλογον. οὕτω δὲ καὶ πρὸς διαίτας ἄλλαι πρὸς ἄλλας εὖ καὶ κακῶς διάκεινται, νόσοι τε καὶ ἡλικίαι. αἱ μὲν γὰρ θερμότεραι πρὸς τὰς ψυχροτέρας, αἱ δὲ ψυχρότεραι πρὸς τὰς θερμοτέρας. καὶ αἱ μὲν ξηρότεραι πρὸς τὰς ὑγροτέρας, αἱ δὲ ὑγρότεραι, πρὸς τὰς ξηροτέρας εὖ διάκεινται. καὶ ἁπλῶς εἰπεῖν, αἱ μὲν ἐναντίαι, πρὸς τὰς ἐναντίας καλῶς. κακῶς δὲ αἱ ὅμοιαι πρὸς τὰς ὁμοίας. πλὴν εἰ ἡ σύμμετρος ἡλικία συμμέτρῳ περιβάλλοιτο διαίτῃ τε καὶ ὥρᾳ καὶ χώρᾳ. μόνον γὰρ οὕτως ὑπὸ τῶν ὁμοίων, αἱ ὅμοιαι καλῶς διακείσονται. ταῖς δ᾽ ἀμετροτέρον ἐχούσαις ἡλικίαις κατὰ τὴν κρᾶσιν αἱ ἐναντίαι

χώραι

χῶραι καὶ ὧραι καὶ δίαιται συμφορώτεραι. τῶν νόσων δ' ἀμετρίων οὐσῶν ἁπασῶν, ἡ γένεσις μὲν ἐν ταῖς ὁμοίαις ὥραις καὶ χώραις, ἡ λύσις δ' ὑπὸ τῶν ἐναντίων γίνεται.

Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψύχος ποιέῃ, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή.

Δεόντως, οὐ γὰρ αἱ προσηγορίαι τῶν ὡρῶν αἰτίαι τῶν νοσημάτων, ἀλλ' αἱ κράσεις εἰσίν. ὅταν οὖν αὗται μεταπίπτωσιν, ἀναγκαῖον ἐστὶ συμμεταπίπτειν καὶ τὰ νοσήματα.

Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοὶ, ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσι. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα τῇσι ἀῤῥωστίῃσι προσδέχεσθαι χρή.

Τὸ μὲν οὖν γινόμενον ἐδήλωσεν εἰπὼν, ὅτι νότοι βαρυήκοοι, ἀχλυώδεις, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. τὴν δ' αἰτίαν προσγράψας, ὅταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσιν. ἀεὶ γὰρ χρὴ τὸν ἰατρὸν ἀποχωρίζειν τε καὶ διακρίνειν, τὸ διά τι τῶν ἔξωθεν, ἢ διὰ τὰς νόσους γεγονὸς, ἵνα καὶ τὰς προγνώσεις ἀκριβεστέρον ποιῆται. τὴν δ' αἰτίαν δι' ἣν οἱ νότοι βαρυηκοΐαν ποιοῦσι, καὶ ἀχλυώδη τὴν ὄψιν, οὐ χαλεπὸν ἐκ τῆς κράσεως αὐτοῦ κατανοῆσαι, θερμοῦ καὶ ὑγροῦ τὴν φύσιν ὑπάρχοντος. πάντα γὰρ τὰ τοιαῦτα πληρωτικὰ τῆς κεφαλῆς εἰσι, διὰ τοῦτ' οὖν τά τε τῶν αἰσθήσεων ὄργανα μετὰ πολλῆς ὑγρότητος ἀποφαίνουσι, καὶ καρηβαρείας ἐργάζονται. τῆς δ' ἀρχῆς τῶν νεύρων ὑγρασμένης, ἀναγκαῖον ἐστὶ καὶ περὶ τὰς καθ' ὁρμὴν ἐνεργείας γίνεσθαι νωθρότητα, καὶ ὥσπερ διαλελυμένον ἐν ἑαυτῷ φαίνεσθαι τὸν ἄνθρωπον. ἐξ ὑπεναντίου δὲ πάλιν ἐν τοῖς βορείοις, ὡς αὐτὸς ἐρεῖ κατωτέρω συνίστατοι τὰ σώματα, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὐηκοώτερα γίνεται. νυνὶ δὲ οὐκ αὐτέθηκε ταῦτα τοῖς ὑπὸ τοῦ νότου περὶ τὸ σῶμα συμβαίνουσιν, ἐπειδὴ κατὰ τὸν ἀφορισμὸν τοῦτον αὐτῷ περὶ τῆς ἐξ ἑκατέρων τῶν ἀνέμων βλάβης διελθεῖν πρόκειτο μόνον, ἵν' εἰδότες ταῦτα, ἀποχωρίζωμεν ὅσα διὰ τὰς νόσους συμβαίνειν. ἐν τοῖς βορείοις οὖν φησὶ γίνονται βῆχες, διὰ δυσκρασίαν δηλονότι τῶν ἀναπνευστικῶν ὀργάνων, καὶ διὰ τὴν τραχύτητα τῆς φάρυγγος. ὑπὲρ ἧς ἐνεδείξατο προσθεὶς, τὸ φάρυγγες, ἵνα προσυπακούσωμεν τὸ πάσχουσι. καὶ γὰρ καὶ οὕτως εἴωθεν ἑρμηνεύειν ἐνίοτε. μετ' ὀλίγα οὖν ἐρεῖ, τοῦ μὲν φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, πυρετοὶ τεταρταῖοι, καὶ πλανῆτες, καὶ σπλῆνες. ἔνεστι δὲ καὶ συνάπτοντας ἀναγινώσκειν ἅμα τὰ δύο. φάρυγγες, κοιλίαι σκληραὶ, καθάπερ ἔνιοι τῶν ἐξηγητῶν ἠξίωσαν. αἵ τε γὰρ φάρυγγες ἐν ταῖς βορείαις καταστάσεσι γίνονται σκληραὶ, διὰ τὸ ξηραίνεσθαί τε καὶ ψύχεσθαι, καὶ ἡ γαστὴρ ἡ κάτω σκληρὰ διαχωρεῖ, διά τε τὴν κρᾶσιν τῆς καταστάσεως ἤδη ξηρότερον ῥέπουσαν, ὅλου τοῦ σώματος ξηραινομένου, καὶ μᾶλλον ἕλκοντες εἰς ἑαυτὰ τὰς ἐκ τῶν σιτίων ὑγρότητας. οὐ μὴν ἀλλὰ καὶ διότι χρόνῳ πλείονι μένοντα, καὶ μὴ διαχωρούμενα πάντα ἐξικμάζεται. καὶ αἱ δυσουρίαι δὲ γίνονται τῆς κύστεως βλαπτομένης ἐν τῷ βοῤῥᾷ, διὰ τὴν ψύξιν. ἄνεμός τε γάρ ἐστι ψυχρὸς, καὶ διὰ ταῦτα πλέον, ἢ τἄλλα μόρια τοῖς ψυχροῖς αἰτίοις εὐάλωτα. ἡ αὐτὴ δὲ τοῦ βοῤῥᾶ ψυχρότης, καὶ τὰς τοῦ θώρακος ὀδύνας ἐργάζεται τῇ κοινῇ πρὸς τἄλλα μόρια βλάβῃ, καὶ τὴν ἐκ τῆς ἀναπνοῆς αὐτοῦ προσειληφότος, ἢ τις οὐχ ὁμοίως ἅπτεται πνεύμονός τε καὶ καρδίας, διὰ τὸ πλῆθος τῆς ἐν αὐτοῖς θερμασίας. τὸ δὲ φρικώδεις γίνεσθαι τοὺς ἀνθρώπους ἐν τοῖς βορείοις καταστάσεσι, πρόδηλον ὡς διὰ τὴν τοῦ περιέχοντος ἀκολουθεῖ κρᾶσιν.

Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἐν τοῖσι πυρετοῖσιν ἱδρῶτας πολλοὺς προσδέχεσθαι χρή.

Ὥσπερ ὀλίγον ἔμπροσθεν ἔλεγεν, ὅταν τῆς αὐτῆς ἡμέρης ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψύχος ποιέῃ, φθινοπωρινὰ τὰ νοσήματα δεῖ προσδέχεσθαι, οὕτω νῦν πάλιν ὅταν θέρος ὅμοιον γένηται ἦρι, τουτέστι σύμμετρον τῇ κράσει προσδέχεσθαι φησὶ χρῆναι πολλοὺς ἱδρῶτας ἐν τοῖς πυρετοῖς εἰκότως. ὅτι γὰρ αὐτοῦ τοῦ θερμὸν εἶναι τὸ περιέχον, ἱδρῶτες δύνανται γίνεσθαι πολλοὶ, ὅτι αὐτοῦ τοῦ περιέχεσθαι τινὰ ὑγρότητα, περιττὴν ἐν τῷ σώματι. τούτων δὲ τὸ μὲν ἕτερον οὐκ ἔστιν ἐν τῷ θέρει, τὸ δ' ἕτερον ἐν τῷ χειμῶνι. κατὰ δὲ τὸ φθινόπωρον οὐδέτερον, ἄμφω δ' ἐν τῷ ἦρι. δεόντως οὖν, τὸ μὲν αὐχμηρὸν ἱκανῶς θέρος, δαπανᾷ τε καὶ διαφορεῖ τὴν ὑγρότητα. τὸ δ' ὅμοιον ἦρι, διὰ μὲν τὴν θερμασίαν, ἕλκει πρὸς τὸ δέρμα, διὰ δὲ τὴν ὑγρότητα, διαφορεῖν ἀτμοειδῶς οὐ δύναται. ἀθρόως οὖν ἐν ταῖς τῶν νόσων κρίσεσι τὸ ὑγρὸν ἅπαν ἐκκρινόμενον, ἱδρῶτας πολλοὺς ἐργάζεται.

Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται, καὶ ἢν μὲν ἤδη πλέον ᾖ τὸ ἔτος τοιοῦτον ἐὸν, ὁκοίην καὶ τὴν κατάστασιν ἐποίησεν, ὡς ἤδη τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

Οὐ πολλοὺς πυρετοὺς ἐν τοῖς αὐχμοῖς γίνεσθαι φησὶν, ἀλλ' ὀξεῖς, ἐπεί τοί γε μετ' ὀλίγον ἐρεῖ, τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβρίων μᾶλλον εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες, καὶ τούτων ἐφεξῆς συνάπτων πάλιν ἐρεῖ. νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν, ὡς τὰ πολλὰ γίνονται πυρετοί τε μακροὶ, δεόντως. ἡ μὲν γὰρ ὑγρότης τοῦ περιέχοντος, τούς τε φλεγματώδεις ἀθροίζει χυμοὺς, καὶ τῶν ὑδατωδῶν περιττωμάτων οὐκ ὀλίγα. ἡ δὲ ξηρότης, ἐνδεεστέρους μὲν τῷ πλήθει τοὺς χυμοὺς ἐργάζεται. χολωδεστέρους δὲ τῇ ποιότητι, καὶ διὰ τοῦτο οἱ πυρετοὶ τὸν ἀριθμὸν μὲν εἰσὶν ἐλάττους τῶν ἐν ταῖς ἐπομβρίαις, ὀξύτεροι δὲ γίνονται. τὰ δ' ἑξῆς τῶν εἰρημένων κατὰ τὸν ἀφορισμὸν, δῆλα.

Ἐν τοῖσι καθεστῶσι καιροῖς ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐσταθέες καὶ εὐκρινέσταται γίνονται αἱ νοῦσοι. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι.

Καθεστῶτας καλεῖ τοὺς καιροὺς, τὰς ὥρας τὰς ἐν τάξει τὴν οἰκείαν κρᾶσιν ἀπειληφυίας. τίνα καθεστῶτα καλεῖ τῶν ἐτῶν, ἔνεστί σοι μαθεῖν παρ' αὐτοῦ λέγοντος ἐν τοῖς περὶ ὑδάτων καὶ τόπων καὶ ἀέρων ὧδε. ἢν μὲν κατὰ λόγον γίνηται, τὰ σημεῖα τὰ ἐπὶ τοῖσι ἄστροισι δύνουσί τε καὶ ἐπιτέλλουσι, ἔν τε τῷ μετοπώρῳ, ἢν ὕδατα γίνηται, καὶ ὁ χειμὼν μέτριος, καὶ μήτε λίαν εὔδιος, μήτε ὑπερβάλλων τὸν καιρὸν τῷ ψύχει, ἔν τε τῷ ἦρι γίνηται ὕδατα ὡραῖα, καὶ ἐν τῷ θέρει, οὕτω τὸ ἔτος ὑγιεινότατον εἰκὸς ὑπάρχειν. ὁπότε οὖν ἤδη μεμάθηκας ὁποῖόν τι τὸ καθεστὸς ἔτος εἶναι βούλεται, ῥᾶστόν σοι νοῆσαι τὸ ἀκατάστατον. ἅπαντα γὰρ ὅσα μὴ φυλάττει κατά τι τὴν τοῦ καθεστῶτος ἔτους ἀγωγὴν, αὐτά τε καλεῖ νῦν ὁ Ἱπποκράτης ἀκατάστατα, καὶ τὰς ἐν αὐτοῖς νόσους ὁμοίως προσαγορεύει. φησὶ δ' αὐτὰς καὶ δυσκρίτους εἶναι, τουτέστι κακοκρίτους. ἢ γὰρ μετὰ κινδυνωδῶν συμπτωμάτων αἱ κρίσεις γίνονται τοῖς τοιούτοις νοσήμασιν, ἢ αὐτίκα ὀλέθριοι, ἢ πάντως ὑποστροφιάζουσιν.

Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι καὶ θανατωδέσταται ὡς ἐπίπαν, ἦρ δὲ ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες.

Ὁπόταν αἱ ὧραι τὴν προσήκουσαν ἅπασαι φυλάττωσι κρᾶσιν, ὑγιεινότατον μὲν ἐν αὐταῖς ἔσται τὸ ἔαρ ὡς ἂν εὔκρατον ὄν, ὀξυτάτας δὲ νόσους καὶ θανατώδεις, ὡς ἐν ὥραις οἴσει τὸ φθινόπωρον, ἐπειδὴ τὸ μὲν ἔαρ εὔκρατόν ἐστι. τῷ δὲ φθινοπώρῳ, πρῶτον μὲν ὑπάρχει τὸ τῆς αὐτῆς ἡμέρας, ὅτε μὲν θάλπος, ὅτε ψύχος ἴσχειν, εἶτα διαδέχεται τὴν θερινὴν ὥραν, ἐν ᾗ πολλοῖς μὲν οἱ χυμοὶ κατωπτήθησαν, ἐνίοις δὲ καὶ ἡ δύναμις ἔκαμεν. οὐ μόνον δὲ κατὰ τοῦτο μοχθηρόν ἐστι τὸ φθινόπωρον, ἀλλὰ καὶ ὅτι πρῶτον μὲν, οἱ χυμοὶ τὴν ἐπὶ τὸ δέρμα κίνησιν ἐκινοῦντο, καὶ διεπνέοντο. κατὰ δὲ τὸ φθινόπωρον εἰς τὸ βάθος ὑπὸ τῆς τοῦ περιέχοντος ψύξεως, ὠθοῦνται τε καὶ συνελαύνονται. ταῦτα μὲν οὖν ἅπασιν ἀνθρώποις κοινὰ, τοῖς δ' οὐκ ὀρθῶς διαιτωμένοις ἐξ ἐπιμέτρου προσέρχεται, τὸ κατὰ τὰς ὀπώρας, ὧν ἀφθόνως ἐμπιπλάμενοι κακοχυμίας πληροῦνται.

Τὸ φθινόπωρον τοῖσι φθίνουσι κακόν.

Ἐμέμφετο μὲν καὶ ἄλλως τὸ φθινόπωρον ἐν τῷ πρόσθεν ἀφορισμῷ, νυνὶ δ' ὡς ἐξαιρέτως αὐτοὺς βλάπτον τοὺς φθίνοντας, αὖθις μέμφεται. πότερον δὲ τοὺς φθόην νοσοῦντας μόνους ὀνομάζει φθίνοντας, οἷς ἥλκωται δηλονότι ὁ πνεύμων, ἢ πάντας τοὺς ὁπωσοῦν συντηκομένους, οὐχ οἷόν τε ἀμφιβάλλειν. ὅτι δ' ἀμφοτέροις κακὸν τὸ φθινόπωρον δῆλον, ἐπειδὴ ξηρόν τε ἐστὶν ἅμα καὶ ψυχρὸν καὶ ἀνώμαλον.

Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα δὲ τῇσι γυναιξὶ, καὶ τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας.

Περὶ τῆς ἐν ταῖς ὥραις ἀλλοιώσεως ἐν τούτοις διδάσκει, τὴν ἀρχὴν ἀπὸ χειμῶνος αὐχμηροῦ καὶ βορείου ποιησάμενος, ἦρος δ' ἐπόμβρου καὶ νοτίου. μικραὶ μὲν οὖν αἱ τοιαῦται μεταβολαὶ, παρὰ φύσιν δ' ὅμως εἰσὶ, διὸ καὶ εἰς τὸ θέρος ἔσεσθαι φησὶ νοσήματα πυρετοὺς ὀξεῖς, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας. τὴν δ' αἰτίαν τοῦ πλεονάζειν ἐπὶ τῇ προειρημένῃ καταστάσει τοιαῦτα νοσήματα δεδήλωκεν αὐτὸς, ἐν τῷ περὶ ὑδάτων, τόπων καὶ ἀέρων. ἔχει δ' ἡ ῥῆσις ὧδε, Ἢν δ' ὁ μὲν χειμὼν αὐχμηρὸς, καὶ βόρειος γένηται, τὸ δ' ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τὸ θέρος πυρετῶδες εἶναι, καὶ ὀφθαλμίας ἐγγίνεσθαι. ὅταν γὰρ τοῦ θέρους ἐπιγένηται πνῖγος ἐξαίφνης, τῆς τε γῆς ὑγρᾶς οὔσης ὑπὸ τῶν ὀμβρίων τῶν ἠρινῶν, καὶ ὑπὸ τοῦ νότου, ἀνάγκη διπλοῦν τὸ καῦμα εἶναι, ἀπό τε τῆς γῆς διαβρόχου οὔσης καὶ θερμῆς, καὶ ὑπὸ τοῦ ἡλίου καίοντος, τῶν τε κοιλιῶν μὴ συνεστηκυιῶν τοῖς ἀνθρώποις, μήτε τοῦ ἐγκεφάλου ἀνεξηραμμένου. οὐ γὰρ οἷόν τε τοῦ ἦρος τοιούτου ἐόντος μὴ συντήκεσθαι τὸ σῶμα, καὶ τὴν σάρκα, ὥστε τοὺς πυρετοὺς συνεμπίπτειν ὀξυτάτους τοῖσιν ἅπασι, μάλιστα δὲ τοῖσι φλεγματίῃσι. τὰς δὲ δυσεντερίας εἰκὸς γίνεσθαι τῇσι γυναιξὶ, καὶ τοῖσιν ἀνδράσι τοῖσιν ὑγροτάτοισιν. ταῦτα μὲν οὖν ὁ Ἱπποκράτης εἴρηκεν, ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων καὶ ἀέρων. ἡμεῖς δὲ ἐπὶ πλέον ἐξειργασάμεθα τὸν λόγον αὐτοῦ, καὶ πρῶτόν γε διατί μήτε ἐν αὐτῷ τῷ χειμῶνι, μήτε ἐν τῷ ἦρι κατὰ τὴν τοιαύτην κατάστασιν ἐπιδημεῖν φησι νοσήματα. καίτοι γε ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν κατ' αὐτὴν τὴν βεβλαμμένην ὥραν, ἐν κρανῶνι λέγων γενέσθαι τοὺς ἄνθρακας. ἔχει δ' ἡ ῥῆσις οὕτως, ἄνθρακες ἐν κρανῶνι θερινοί, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ δι' ὅλου. ἐγίνοντο δὲ μᾶλλον νότῳ. δῆλον τοίνυν ἐξ ὧν εἶπε καὶ ἡ αἰτία τοῦ κατὰ τὸ θέρος ἐν κρανῶνι γενέσθαι τοὺς ἄνθρακας. οὐ γὰρ ἐπὶ βραχὺ μετέστη τῆς κατὰ φύσιν κράσεως, ἀλλ' εἰς τοιαύτην κατάστασιν ἧκεν ἐν ᾗ σήπεται ῥᾳδίως, ὅσα σήπεσθαι φύσιν ἔχει. ἱκαναὶ μὲν γὰρ ὑγρότητες ἄμετροι γεννηθεῖσαι σήπειν, ὥσπερ αὐτὸς ἐρεῖ. νοσήματα δὲ ἐν μὲν ταῖς ἐπομβρίαις, ὡς τὰ πολλὰ γίνεται, πυρετοί γε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες, ἔτι δὲ μᾶλλον αὐτῶν αἱ θερμότητες. ἐν ταύτῃ δ' ἀμφοῖν ἀφικομένων, οὕτως ἰσχυρῶν τε καὶ ἀμέτρων ὡς ἐν κρανῶνι. δευτέραν ὥραν οὐκ ἀναμένει τὸ σῶμα, φθάνον ἐν αὐτῇ τῇ πρώτῃ μέγιστα βλάπτεσθαι. κατὰ δὲ τὸν αὐχμηρὸν καὶ βόρειον χειμῶνα λυπηθείη μὲν, ἄν τι τὰ σώματα τοιοῦτον, οἷον αὐτὸς εἶπε. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρῶν, στηθέων, οὐ μὴν ἀξιόλογόν τε τὸ νόσημα συστήσεται. πρὸς γὰρ τοῖς ἄλλοις, καὶ αἱ ξηρότεραι τῶν καταστάσεων ὑγιεινότεραι. τὸ γὰρ ὅλον φησὶν οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ ἧττον θανατώδεες. ὁ δὲ χειμὼν ὁ βόρειος καὶ αὐχμηρὸς, λυπήσει μὲν ὀρθοστάδην τοὺς ἀνθρώπους, εἰς βῆχάς τε καὶ γαστρὸς ἐποχὴν, καὶ δυσουρίαν, καὶ τὰς ὀδύνας τῶν περὶ τὸν θώρακα χωρίων. οὐ μὴν πυρετοὺς ἢ δυσεντερίας, ἢ τοιοῦτόν τι ἐργάζεται, τί δή ποτ' οὖν, οὐδὲ κατὰ τὸ ἔαρ ἔπομβρόν τε καὶ νότιον γενόμενον ἐπιδημεῖ

τὰ νοσήματα, ὅτι προϋπῆρχεν ὁ χειμὼν ἱκανῶς ψυχρός τε καὶ ξηρός. εἴρηκε δ' αὐτὸς, οὐχ ἁπλῶς χρὴ σκοπεῖσθαι τὰς ἐνεστώσας καταστάσεις, ἀλλὰ καὶ τὸ ἐξ οἵων εἰς οἷα εἰσὶν αἱ μεταβολαὶ προσεπισκοπεῖσθαι. προεξηρασμένον οὖν τὸ σῶμα κατὰ τὸν χειμῶνα γινόμενον αὐχμηρὸν καὶ βόρειον, οὐ μόνον οὐδὲν πείσεται τοῖς ὄμβροις τοῖς ἠρινοῖς, ἀλλά τι καὶ προσωφεληθήσεται μέχρι τινὸς εἰς τὴν κατὰ φύσιν ἐπανερχόμενον συμμετρίαν. εἰ δ' ὅλον τὸ ἔαρ ὑγρὸν γένηται, πρὸς τὴν ἐναντίαν ἀχθήσεται τὸ σῶμα κατάστασιν, τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῷ τῆς ξηρᾶς, ὑπερβαῖνον τὴν ἐν τῷ μέσῳ συμμετρίαν, ὥστε ἕτοιμον αὐτὸ πρὸς βλάβην διαδέξεται τὸ θέρος, ἐπὶ τῆς γῆς ὑγρᾶς οὔσης. καὶ διὰ τοῦτο πνίγος ἐργαζομένης, ἅτε μήτε τῶν ἐτησίων ἤδη πνεῖν δυναμένων. ὕστερον γὰρ ἐκεῖνοι καὶ μετὰ κύνα πεφύκασιν ἄρχεσθαι, ὥστε ὁ μεταξὺ χρόνος ἅπας ἕξει τούς τε πυρετοὺς ὀξεῖς τε, διά τε τὴν ὑγρότητα καὶ θερμότητα σηπομένων τῶν ἐν τῷ σώματι χυμῶν, καὶ τὰς ὀφθαλμίας, καὶ τὰς δυσεντερίας, κατά γε τὴν ἐπιτηδειότητα τῶν δυναμένων βλάπτεσθαι μορίων. ἀλλὰ γὰρ ἄλλων μᾶλλον εὐπαθῆ τέ ἐστι καὶ δυσπαθῆ κατὰ τὰς κράσεις τῶν σωμάτων. αἱ μὲν γὰρ ὀφθαλμίαι σχεδὸν ἅπαντας ἐνοχλοῦσι πληρουμένης τῆς κεφαλῆς, πλὴν εἴ τινες ἰσχυροὶ πάνυ τοῖς ὀφθαλμοῖς εἶεν. δυσεντερίαι δ' ὡς αὐτὸς εἴρηκε τοῖς ὑγρὰς ἔχουσι τὰς φύσεις καὶ ταῖς γυναιξίν, ὑγρότεραι γάρ εἰσιν αὗται τῶν ἀνδρῶν. εἴπερ οὖν ὅλην τὴν κατάστασιν, ὡς σηπούσαν ἡμῶν τὰ σώματα μεμφόμεθα, πρόδηλον ὅτι μᾶλλον ἡ σηπεδὼν ἐν τοῖς ὑγροῖς ἔσται σώμασιν, αὐτὸ γὰρ δὴ τοῦτ' ἔστι τὸ σηπόμενον ἐν τοῖς σώμασιν ὑγρόν, ὡς ὕλη τις ὑπὸ δυνάμεως τῆς θερμότητος. ἡ δ' ὑγρότης ἡ τοῦ περιέχοντος, ὅτι κωλύει ξηραίνεσθαι τὴν ἐν τῷ σώματι περιουσίαν τῶν ὑγρῶν, κατὰ τοῦτο συντελεῖ τῇ σηπούσῃ δυνάμει. θαυμαστὸν οὖν οὐδὲν ἐν ταῖς τοιαύταις καταστάσεσι, μᾶλλον βλάπτεσθαι τὰς ὑγροτέρας φύσεις. διὰ τοῦτο καὶ τοὺς πυρετοὺς ἔφη τοῖς φλεγματώδεσι μᾶλλον γίνεσθαι, καὶ γὰρ καὶ τούτους ὑγροτέρους ἀναγκαῖον εἶναι. μενούσης μὲν οὖν ἐν τῷ σώματι τῆς σηπεδόνος, οἱ πυρετοὶ γίνονται. κενουμένης δὲ διὰ τῆς γαστρὸς, αἱ δυσεντερίαι καὶ τοῦτ' ἔσται δι' ὅλου τοῦ θέρους, ἐὰν μὴ μεταβολή τις περὶ κυνὸς ἐπιτολὴν γένηται, περὶ ἧς αὐτὸς ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων, ἐφεξῆς τῇ γεγραμμένῃ μικρὸν ἔμπροσθεν ῥήσει διῆλθεν. ἧς ἐστι τελευτή, τὰς δὲ δυσεντερίας εἰκὸς γίνεσθαι ταῖς γυναιξί, καὶ τοῖς ἀνδράσι τοῖς ὑγροτέροις. τούτοις γὰρ συνάπτων ἐφεξῆς γράφει. καὶ ἢν μὲν ἐπιγένηται περὶ κυνὸς ἐπιτολὴν ὕδωρ καὶ χειμὼν, καὶ ἐτήσιοι πνεύσωσιν, ἐλπὶς παύσεσθαι, καὶ τὸ μετόπωρον ὑγιεινὸν γενέσθαι. εἰ δὲ μὴ, κίνδυνος θανάτους γενέσθαι τοῖς παιδίοις, καὶ ταῖς γυναιξίν, ἥκιστα δὲ τοῖσι πρεσβυτέροισι. τοὺς δὲ περιγενομένους εἰς τεταρταίους ἀποτελευτᾶν, καὶ αὖ τοὺς τεταρταίους εἰς ὕδρωπας. ἀλλὰ περὶ μὲν τούτων, ὧν προσέθηκεν ἐν τῷ περὶ ἀέρων, καὶ τόπων, καὶ ὑδάτων, ὅταν εἰς ἐκεῖνο τὸ βιβλίον ἐξηγώμεθα, διασκεψόμεθα. περὶ δὲ τῶν κατὰ τὸν προγεγραμμένον ἀφορισμὸν, αὐτάρκως εἴρηται, πλὴν μιᾶς λέξεως, τῆς ἐξ ἀνάγκης, ἣν οὐ μόνον ἐν τοῖς ἀφορισμοῖς προσέθηκεν, ἀλλὰ κἀν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων ἐνδεικνύμενος, ὅτι τῇ φύσει τοῦ πράγματος πεπιστευκὼς, οὐ τηρήσει τινὶ γράφει ταῦτα. ποσάκις οὖν εἰκός ἐστιν ἑωρακέναι τοιαύτην αὐτὸν κατάστασιν, ἢ ἐν πόσοις χωρίοις. ἆρά γε δὶς ἢ τρὶς ἔσται, ἢ τετράκις. ἀλλ' οὐδ' εἰ πλεονάκις εἴπῃς δυνατόν ἐστιν ἤδη εἰπεῖν, ὅτι διὰ παντὸς οὕτως ἔσται. καθάπερ οὐδ' εἰ κεκαθαρμένους ὑπὸ φαρμάκου τινὸς ἴδοις ἀνθρώπους ϛ'. ἢ ζ'. δυνήσῃ διατεταγμένως εἰπεῖν, ὅτι πάντες οἱ μετὰ ταῦτα ἐξ ἀνάγκης καθαρθήσονται. δῆλον οὖν ἐστιν ὅτι τῇ φύσει τοῦ πράγματος ὁ Ἱπποκράτης ἑπόμενος, οὐ τηρήσει τινὶ προσέγραψεν εἰπὼν, ἀνάγκη τοῦ θέρους πυρετοὺς ὀξεῖς, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι.

Ἢν δὲ νότιος ὁ χειμὼν καὶ ἔπομβρος, καὶ εὔδιος γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες ἦσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν. αἳ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσιν, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι δυσεντερίαι καὶ ὀφθαλμίαι ξηραὶ γίνονται. τοῖσι δὲ πρεσβυτέροισι, κατάρροι συντόμως ἀπολλύντες.

Ἔμπαλιν ἡ κρᾶσις ἔχει ταῖς κατὰ τὸν πρότερον ἀφορισμὸν εἰρημέναις ὥραις δύο, πρὸς τὰς νῦν λεγομένας. οἷος μὲν γὰρ πρότερος ὁ χειμὼν ἐν ἐκείνῳ, τοιοῦτον νῦν ἐστι τὸ ἔαρ. ὁποῖον δὲ τὸ ἔαρ ἐν ἐκείνῳ, τοιοῦτος νῦν ἐστιν ὁ χειμών. ὅτι μὲν οὖν ἐπ' ἐκείνων οὐκ ἦν ἀναγκαῖον ἐν τῷ ἦρι νόσους ἐπιδημῆσαι σφοδράς, αὐτάρκως ἐδείχθη. νυνὶ δὲ ὅτι τοῦ χειμῶνος μὲν ὑγροῦ τε καὶ θερμοῦ γινομένου, τοῦ δ' ἦρος ξηροῦ καὶ ψυχροῦ, νοσεῖν ἀναγκαῖον ἐστι τοὺς ἀνθρώπους, ἐν αὐτῷ τῷ ἦρι δεικτέον ἐστίν. αἱ μὲν οὖν γυναῖκες αἷς ἂν ὁ τόκος ᾖ πρὸς τὸ ἔαρ, ἐπὶ ταῖς τυχούσαις προφάσεσιν ἐκτιτρώσκουσιν. ὑγρὰ γὰρ τὰ σώματα καὶ μαλακὰ, καὶ ἀραιὰ γεγονότα κατὰ τὸν εὔδιον χειμῶνα, ῥᾳδίως εἰς τὸ βάθος αὐτῶν διαδίδωσι τὴν ἐκ τοῦ περιέχοντος ψύξιν, ὥστε ὅσα τῶν παιδίων ἤδη πολυχρόνιον ἔθος ἔχει ἀέρος ἀλέας, ταῦτα πληττόμενα σφοδρῶς, ὑπὸ τοῦ κρύους εἰκότως ἁλίσκεται. τὰ μὲν ἤδη νεκρά, τὰ δ' ἀποθνήσκοντα κατ' αὐτὸν τὸν τόκον. ἃ δ' ἂν αὐτῶν ζῶντα τεχθῇ, τὴν εἰς τοὐναντίον ἐξαιφνίδιον οὐ φέροντα μεταβολήν, ἤτοι διὰ τάχους ἀποθνήσκει, ἢ λεπτὰ καὶ νοσώδεα γινόμενα, μόλις διαζῇ. τῶν δ' ἄλλων τοῖς μὲν φλεγματώδεσι καὶ ταῖς γυναιξί, δυσεντερίας φησὶ γίνεσθαι, φλέγματος ἀπὸ τῆς κεφαλῆς εἰς τὴν γαστέρα καταρρέοντος. εἰκὸς γὰρ δήπου τοῦτο πολὺ γεννᾶσθαι κατὰ τὴν εἰρημένην κατάστασιν. ἐν μὲν τῷ χειμῶνι πληρωθείσης τῆς κεφαλῆς, ψυχθείσης δὲ ἀθρόως ἐν ἀρχῇ τοῦ ἦρος, ἐπειδὴ φλεγματικὰ περιττώματα πέφυκε γεννᾶν ὁ ἐγκέφαλος, ὅταν ψυχθεὶς ἀδυνατεῖ κρατεῖν τῆς τροφῆς. ὑπάρχει δὲ καὶ τοῦτο τῇ τοῦ φλέγματος γενέσει, τὸ μὲν γὰρ ὑπὸ ψύξεως ἰσχυρᾶς γιγνόμενον, ὀξὺ γίγνεται. τὸ δ' ὑπὸ θερμασίας πληρούσης τὴν κεφαλὴν ἁλυκόν, ὥσπερ γε καὶ τὸ διὰ βραχεῖαν ψύξιν, ἢ τὸ βραχὺ γλυκύτητος ἔχει, ἢ μηδεμίαν ἐναργῆ ποιότητα. τὸ τοίνυν ἐπὶ τῇ προκειμένῃ καταστάσει γενόμενον φλέγμα, διὰ τὴν ἐν τῷ χειμῶνι θερμασίαν ἁλυκόν ἔσται, καὶ κατὰ τοῦτο μάλιστα γεννήσει δυσεντερίας, ὅταν ἐν

χρόνῳ πλείονι διαδακνόμενον καὶ ξυόμενον κακώσει τὸ ἔντερον. ἅτε γὰρ διὰ τὴν γλισχρότητα κατὰ τὴν διέξοδον ἐν τοῖς ἐντέροις ἰσχόμενόν τε καὶ βραδύνον, ἀεί τε ῥύπτον αὐτὸ διὰ τὴν ποιότητα, τὴν δυσεντερίαν ἐργάζεται. τοῖς μέντοι φύσει θερμοῖς καὶ χολώδεσιν, αὐτός φησιν ὀφθαλμίας γίνεσθαι ξηράς. οὕτω δ᾽ ὀνομάζει τὰς ἄνευ ῥεύματος. εἰκὸς δὲ δή που ταῖς θερμαῖς καὶ ξηραῖς φύσεσιν ἐν ξηρᾷ καὶ ψυχρᾷ καταστάσει διαδεξαμένης θερμήν, καὶ ὑγρὰν τοιαύτας γίνεσθαι τὰς ὀφθαλμίας. ἡ μὲν γὰρ κεφαλὴ πεπλήρωται πρόσθεν τῇ θερμῇ καὶ ὑγρᾷ καταστάσει, τὸ δὲ κρύος ἐπιγινόμενον, ὥσπερ χείρ τις ἔξωθεν λαβοῦσα καὶ θλίψασα, καθάπερ τινὰ σπόγγον τὸν ἐγκέφαλον ἐκθλίβει τὴν κατ᾽ αὐτὸν ὑγρότητα. φερομένη δ᾽ αὕτη ἄλλοτε πρὸς ἄλλον τόπον τῶν δυσπαθῶν, πλείονα γεννᾷ τὰ νοσήματα. καὶ κατὰ τοῦτο καὶ ὀφθαλμίαι συμβαίνουσι τοῖς ἀσθενέσι φύσει τοὺς ὀφθαλμούς. ἀπορρήσεται δὲ οὐδὲν αὐτῶν ἐκτὸς, διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος πυκνοῦντος τὴν ἐπιφάνειαν. ὅτι δ᾽ αὐτὸς ὁ Ἱπποκράτης εἰς τάσδε τὰς αἰτίας ἕκαστον τῶν εἰρημένων ἀναφέρει, δῆλον ἐξ ὧν ἔγραψεν ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων ἐπὶ τήνδε τὴν ῥῆσιν. τοῖσι μὲν οὖν φλεγματίοισι τὰς δυσεντερίας εἰκὸς γίνεσθαι, καὶ τῇσι γυναιξὶ φλέγματος ἐπικαταῤῥέοντος ἀπὸ τοῦ ἐγκεφάλου διὰ τὴν ὑγρότητα τῆς φύσεως. τοῖσι δὲ χολώδεσιν, ὀφθαλμίας ξηρὰς διὰ τὴν θερμότητα, καὶ ξηρότητα τῆς σαρκός. τὸ δ᾽ ἤδη τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον. τοῖσι δὲ πρεσβυτέροισι καταῤῥόοι συντόμως ἀπολλῦντες, ἐπὶ τήνδε τὴν λέξιν αὐτὸς ἔγραψεν ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων. τοῖσι δ᾽ ἄγαν πρεσβυτέροισι καταῤῥόους διὰ τὴν ἀραιότητα, καὶ τὴν ἔκτηξιν τῶν φλεβῶν, ὥστε ἐξαπίνης ἀπόλλυσθαι, τοὺς δὲ παραπλῆγας γίνεσθαι τὰ δεξιὰ, ἢ τὰ ἀριστερά. διὰ τούτων ἔοικεν ὁ Ἱπποκράτης, οὐ τοὺς πάνυ συνήθεις λεγομένους καταῤῥόους, δηλοῦν τοὺς ἐκ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα διὰ τῆς τραχείας ἀρτηρίας γιγνομένους, ἀλλὰ πάντα τὰ καταφερόμενα ῥεύματα διὰ τῶν φλεβῶν ἀπὸ τῆς κεφαλῆς εἰς τὰ κάτω μόρια. διὸ καὶ τὸ συντόμως ἀπολλῦντες, καλῶς δοκεῖ προσκεῖσθαι, διότι ταχεῖαν τὴν κρίσιν οὗτοι ποιοῦνται, τῶν ἄλλων χρονιζόντων. ἔνιοι δὲ τῶν ἐξηγητῶν καταῤῥόους ἀκούσαντες, τοὺς ἀπὸ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα γιγνομένους, διὰ φάρυγγος καὶ ἀρτηρίας μετὰ τῆς ἀποφάσεως τοῦ, οὐ, γράφουσι τὴν λέξιν. καταῤῥόους γίγνεσθαι τοῖς πρεσβυτέροισι, οὐ συντόμως ἀπολλῦντας, εἰκότως φάσκοντες. οὐ γὰρ πέπτεται τὰ ψυχρὰ τῶν ῥευμάτων αὐτοῖς διὰ τὴν ἡλικίαν. ἐν τισὶ δὲ τῶν ἀντιγράφων γέγραπται συντόμως ἀπολλῦντες. ἐπειδὴ κἀν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων αὐτὸς εἶπεν, ὥστε ἐξαπίνης ἀπόλλυσθαι.

Ην δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἰσχυραὶ ἐς τὸν χειμῶνα, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, ἐνίοισι δὲ καὶ φθίσιες.

Τὴν αὐτὴν κρᾶσιν ἀνατέθεικε νῦν θέρει καὶ φθινοπώρῳ, τὴν μικρὸν ἔμπροσθεν εἰρημένην, περί τε χειμῶνος καὶ ἦρος, ἡνίκα ἔλεγεν, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δ᾽ ἔαρ ἔπομβρον καὶ νότιον. ἀλλ᾽ ἐκεῖ μὲν ἐπὶ ταύτῃ τῇ καταστάσει τοῦ θέρους ἔφησε, τοὺς πυρετοὺς ὀξεῖς, ὀφθαλμίας καὶ δυσεντερίας γίγνεσθαι. νυνὶ δὲ ἐν τῷ χειμῶνι κεφαλαλγίας, καὶ βῆχας, καὶ βράγχους, καὶ κορύζας. προσέγραψε δὲ ὅτι ἐκεῖ τὴν τοῦ θέρους κατάστασιν, ὅτε ἐνταῦθα τὴν τοῦ χειμῶνος, ὡς ἐν τῇ κατὰ φύσιν ἀξιῶν φυλάττεσθαι κράσει τὰς ὥρας ἀμφοτέρας. ἐὰν γὰρ ἔτι καὶ κατὰ ταύτας ἑτέρα τις γένηται δυσκρασία τοῦ περιέχοντος, ἔσται τι καὶ δι᾽ ἐκείνην ἕτερον ἐπὶ τοῖς εἰρημένοις νοσήμασι τῆς δυσκρασίας οἰκεῖον, ἀλλ᾽ ἤδη μὲν ἐκείνης τῆς καταστάσεως ἐν ᾗ τὸν χειμῶνα φησὶν αὐχμηρὸν καὶ βόρειον γενέσθαι, τὸ δ᾽ ἔαρ ἔπομβρον καὶ νότιον, αὐτὸς ἔγραψε τὰς αἰτίας τῶν εἰρημένων νοσημάτων ἐν τῷ θέρει γενέσθαι, ἐν τῷ περὶ ἀέρων, καὶ τόπων, καὶ ὑδάτων βιβλίῳ. ἐπὶ δὲ τῆς νῦν προκειμένης οὐδὲν εἶπεν ἐν ἐκείνῳ. μετὰ γὰρ τὰς δύο τὰς προγεγραμμένας καταστάσεις, μίαν μὲν ἐν ᾗ τὸν χειμῶνα βόρειόν τε ἅμα καὶ αὐχμηρὸν ἀξιοῖ γενέσθαι, τὸ δ᾽ ἔαρ ἔπομβρον καὶ νότιον. ἑτέραν δὲ, ἐν ᾗ τοὐναντίον, ἔπομβρον μὲν καὶ νότιον τὸν χειμῶνα, τὸ δ᾽ ἔαρ αὐχμηρὸν καὶ βόρειον. τὴν δ᾽ ἐφεξῆς αὐταῖς τήνδε τρίτην οὖσαν τροπὴν ὑπὲρ ἧς ὁ ἐνεστηκὼς λόγος, οὐκέτι προσέγραψεν, ἀλλὰ ἀντὶ ταύτης ἑτέραν τοιαύτην. ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, καὶ φθινόπωρον ὡσαύτως, ἀνάγκη τὸν χειμῶνα νοσερὸν εἶναι, εἶτ᾽ ἐφεξῆς ἄλλας τινὰς, οὐδὲ ἐκείνας ὡσαύτως τῇ νῦν προκειμένῃ. περὶ μὲν οὖν ἐκείνων ὅταν εἰς αὐτὰ ἐξηγησώμεθα, τὸν λόγον ποιησόμεθα. νυνὶ δὲ περὶ τῆς ἐν τοῖς ἀφορισμοῖς εἰρημένης ὑπ᾽ αὐτοῦ λέγομεν, ἀρχὴν τῷ λόγῳ τὴν αὐτὴν θέμενοι τὴν μικρῷ πρόσθεν εἰρημένην. φυλάττειν γὰρ εἰκός ἐστιν αὐτὸν ὅμοιον τῷ κατὰ φύσιν τὸν χειμῶνα, τουτέστιν ὑγρόν τε καὶ ψυχρὸν, εἰς ὅσον αὐτῶν ἑκάτερον πρέπει τοῖς εὐκράτοις τῆς οἰκουμένης χωρίοις, ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ὧν ὀλίγον ὕστερον ὀνομαστὶ μνημονεύω, φυλάξαντός τε τὴν ἑαυτοῦ κρᾶσιν τοῦ χειμῶνος, οὐδὲν ἐν αὐτῷ συστήσεται ἰσχυρὸν νόσημα. κεφαλαλγίαι δὲ μόνον, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, πεπληρωμένης τῆς κεφαλῆς συμπτώματα. εἰ μὲν οὖν ὡς καὶ πρόσθεν ἔφην ἀμφοτέραις ταῖς ὥραις, τῇ θερινῇ καὶ τῇ φθινοπωρινῇ τοὺς νοτίους ὄμβρους γενέσθαι συνέβη, τάχα μὲν ἂν καὶ κατ᾽ αὐτὸ τὸ θέρος. εἰ δὲ μὴ, ἀλλὰ πάντως γε κατὰ τὸ φθινόπωρον ἐπεδήμησεν ἂν οἰκεῖα νοσήματα καταστάσεως ὑγρᾶς καὶ νοτίου. νῦν ἐπειδὴ τὸ θέρος αὐχμηρόν τε καὶ βόρειον ὑπέθετο προσγεγονέναι, τὸ δὲ φθινόπωρον ὑγρόν τε καὶ νότιον, εὔλογον οὐ μόνον αὐτίκα νοσεῖν ἄρξασθαι τινὰς, ἀλλὰ καὶ τῆς ἀμετροτέρας ἐν τῷ θέρει ξηρότητος ἴαμα ἔχειν οὐ σμικρὸν, τὴν ἐν τῷ φθινοπώρῳ κατάστασιν ὑγρὰν γενομένην. ἐπεὶ δ᾽ ὅλον τὸ φθινόπωρον ἠκολούθησε τοιοῦτον, ἀναγκαῖον ἔσται τοῖς ὑγροτέραν ἔχουσι τὴν φύσιν ἱκανώτερον τοῦ μετρίου πληρωθείσης τῆς κεφαλῆς, ἀπαντῆσαι κατὰ τὸν χειμῶνα τὰ προειρημένα νοσήματα. τισὶ δ᾽ αὐτῶν δηλονότι καὶ φθίσιν, ὅσοι πρὸς τὸ πάθος ἐπιτηδείως εἶχον, οἵ τε κατὰ τὸν θώρακα στενοὶ, καὶ οἷς ἀπὸ τῆς κεφαλῆς εἰς πνεύμονα καταφέρεται ῥεῦμα. τούτοις οὖν ἔσονται φθίσιες, τοῖς δ᾽ ἄλλοις οὐδὲν μὲν ἰσχυρὸν νόσημα. τὰ δὲ περὶ τὰς βῆχας, καὶ τοὺς βράγχους, ὅσα τἄλλα γενήσεται συμπτώματα, τοιαῦτα τῆς χειμερινῆς ὥρας πεπληρωμένα ὑπὸ τῶν νοτίων ὄμβρων, κεφαλὰς διαδεξαμένης, εἶτ᾽ ἐπ᾽ ἐνίων μετ᾽ αὐτὸ

δια

δὴ τοῦτο μόνον ἐργαζομένης, ὡς ἐν τῇ κεφαλῇ διαμένον τὸ περιττὸν, ἀλγήματος αἴτιον αὐτῇ γίνεσθαι. διαφορεῖ γὰρ οὐδὲν πλῆθος οὐδὲ καθ' ἓν μέτριον ὁ χειμών. ἐπ' ἐνίων δὲ συναχθείσης ἤδη πλέον, καὶ οἱονεὶ πληθείσης τῆς κεφαλῆς, ἐκθλιβόμενον τὸ περιττὸν εἰς τὰ κάτω τῆς κεφαλῆς ἰέναι χωρία. τοῦτο μὲν οὖν οἷον κάθαρσίς ἐστι καὶ κένωσις τῆς κεφαλῆς. ἐφ' ὧν δὲ διὰ τὸ βαρυνθῆναι τῷ πλήθει περικαμφθεῖσα τὸ τοῦ χειμῶνος οὐκ ἤνεγκε κρύος, ἀλλ' ἐπὶ τούτων ψυχθεῖσα, κατὰ δυσκρασίαν ἤδη μειζόνων ῥευμάτων αἰτία τοῖς κάτω μορίοις ἑαυτῆς γίνεται.

Ἢν δὲ βόρειον καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας, καὶ τῇσι γυναιξὶ ξύμφορον, τοῖσι δὲ λοιποῖσιν ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες, καὶ κόρυζαι, ἐνίοισι δὲ καὶ μελαγχολίαι.

Οὗτος ὁ λόγος ὁ νῦν εἰρημένος δῆλον, ὡς οὐκ ἔστι τέλειος ἀφορισμὸς, ἀλλ' ἑνὸς ἀφορισμοῦ μέρος δεύτερον, οὗ τὸ πρότερον μέρος, ἄρτι πεπαύμεθα διεξερχόμενοι. μενούσης γὰρ κοινῆς τῆς κατὰ τὸ θέρος ὑποθέσεως ἀμφοτέροις τοῖς λόγοις, ὁ μὲν πρότερος, ἐπομβρον καὶ νότιον ἐπ' αὐτῷ προϋποτίθεται τὸ φθινόπωρον. ὁ δὲ δεύτερος ὁ νῦν ἐνεστὼς, ἄνυδρον καὶ βόρειον. ὅτι δ' οὐδὲν διαφέρει ξηρὸν, ἢ αὐχμηρὸν, ἢ ἄνυδρον εἰπεῖν, πρόδηλον παντί. γενομένων οὖν ἀμφοτέρων τῶν ὡρῶν αὐχμηρῶν τε καὶ ξηρῶν, αἱ μὲν ὑγραὶ φύσεις, οὐ μόνον οὐδὲν βλαβήσονται πρὸς τῆς τοιαύτης καταστάσεως, ἀλλὰ καὶ ὠφέλειά τις ἐν αὐταῖς γενήσεται. τὴν δ' αἰτίαν αὐτὸς εἶπεν, ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων, οὕτω γράψας. τοῖσι δὲ φλεγματίοισι ταῦτα πάντα ἀρωγά ἐστιν. ἀναξηραίνονται γὰρ καὶ ἐς τὸν χειμῶνα ἀφικνέονται, οὐ πλαδῶντες, ἀλλ' ἀνεξηραμμένοι. τοῖσι δὲ λοιποῖσιν ὅσοι μὴ τοιοῦτοι, ξηραὶ μὲν ὀφθαλμίαι, πυρετοὶ δ' ὀξέες ἕπονται καὶ κόρυζαι, τισὶ δ' αὐτῶν καὶ μελαγχολίαι. τὴν δ' αἰτίαν τῆς τούτων γενέσεως αὐτὸς εἶπεν ἐν τῷ προγεγραμμένῳ βιβλίῳ διὰ τῆσδε τῆς λέξεως. τοῖσι δὲ χολώδεσι τοῦτο πολεμιώτατόν γίνεται, λίαν γὰρ ἀναξηραίνονται, καὶ ὀφθαλμίαι τούτοισιν ἐπιγίνονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι, ἐνίοισι δὲ καὶ μελαγχολίαι. εἶτα ἐπιφέρων φησὶν, τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον καὶ ὑδαρέστατον, ἀποξηραίνεται καὶ ἀναλίσκεται. τὸ δὲ παχύτατον καὶ δριμύτατον λείπεται, καὶ τοῦ αἵματος, κατὰ τὸν αὐτὸν λόγον, ἀφ' ὧν ταῦτα τὰ νοσήματα αὐτοῖς γίνεται. ταῦτα μὲν οὖν ἡμῖν εἰς τὰς προκειμένας καταστάσεις αὐτάρκως εἰρήσθω. διατί δὲ μόνον τούτων τῶν καταστάσεων ἐμνημόνευσεν ὁ Ἱπποκράτης, οὐσῶν γε καὶ ἄλλων πολλῶν, οὐκ ἔχω φάναι. δηλῶσαι δὲ μᾶλλον βούλομαι τὴν μέθοδον ᾗ τις ἂν χρώμενος, συμπλέκοι πάσας τὰς καταστάσεις, οὔσας τοιαύτην. ἄρξασθαι μὲν οὖν ἀναγκαῖον ἐστιν, ὡς ἀπὸ στοιχείων τῶν ἁπλῶν δυσκρασιῶν τοῦ περιέχοντος ἡμᾶς ἀέρος. διελόμενος δὲ αὐτὰς εἴς τε τὰς πάνυ μικρὰς, καὶ εἰς τὰς πάνυ σφοδρὰς, καὶ εἰς τὰς μέσας, καὶ μετὰ ταῦτα εἰπεῖν περὶ ἑκάστης τῶν εἰρημένων δυσκρασιῶν ἐν ἑκάστῃ τῶν ὡρῶν γενομένης, τίνα γεννήσει νοσήματα καθ' ἑκάστην φύσιν. εἶθ' ἑξῆς συμπλέκειν ἀλλήλαις δυοῖν ὡρῶν δυσκρασίαν, ὃς νῦν Ἱπποκράτης ἐπεχείρησε. διελθόντα δὲ καὶ ταύτας ἁπάσας, ἐφεξῆς τὰς τῶν τριῶν ὡρῶν δυσκρασίας συμπλέξαι πάσας πάσαις, εἶθ' ἑξῆς τὰς τῶν τεσσάρων, οὕτως γὰρ ἂν ἡ γυμνασία γένοιτο τελεία. ταυτὶ μὲν οὖν ἴσως ποτὲ καὶ ἡμεῖς σχολῆς ἐὰν ἐπιλαβώμεθα πλείονος, ἰδίᾳ γράψομεν. ἐν τῷ παρόντι δ' ἀρκείτω μόνον τοῦτ' εἰρημένον, ὡς ὀλίγας πάνυ συμπλοκὰς δυσκρασιῶν ἔγραψεν ὁ Ἱπποκράτης, ὡς παράδειγμα δοκεῖν εἶναι μᾶλλον αὐτὰς, ἤ τι μέρος ἀξιόλογον ὅλης τῆς περὶ ταῦτα διδασκαλίας. ἐροῦμεν δ' ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐπειδὰν ἐξηγώμεθα, τότε περὶ τῶν ὑδάτων καὶ ἀέρων καὶ τόπων σύγγραμμα. καὶ τὸ πρῶτον τῶν ἐπιδημιῶν. ὃ δὲ ὑπεσχόμην ὀλίγον ἔμπροσθεν ἐρεῖν, ἤδη προσγράψας, ἐπ' αὐτῷ καταπαύσω τὸν λόγον. ἀκούειν γὰρ ἡμᾶς χρὴ τῶν καταστάσεων ἁπασῶν, ὧν ἔγραψεν ὁ Ἱπποκράτης ἐν τοῖς εὐκράτοις χωρίοις τῆς οἰκουμένης γινομένων ἐξηρημένων τοῦ λόγου. τῆς μὲν θράκης, ὅσα τῆς θαλάττης ἀποκεχώρηκεν, ὑγρὰ γὰρ ταῦτα καὶ ψυχρὰ περαιτέρω τοῦ μετρίου, καθάπερ τὰ κατ' αἴγυπτόν τε καὶ λιβύην θερμὰ καὶ ξηρὰ, πλὴν κἀνταῦθα τῶν ἐπὶ τῇ θαλάττῃ κειμένων. ἐν γὰρ τοῖς ψυχροῖς χωρίοις ὁποῖα τὰ κατὰ τὴν θρᾴκην ἐστὶ καὶ πόντον, ἐπειδὴ ταπεινὰ τὰ πρὸς τῇ θαλάττῃ, διὰ τοῦτ' ἐστὶ θερμότερα ταῖς κράσεσιν. ἐν δὲ τοῖς θερμοῖς ὁποῖα τὰ κατ' αἴγυπτόν τε καὶ λιβύην, ἐπειδὴ τοῦ θέρους ἀναψύχεται τοῖς ἀρκτικοῖς ἀνέμοις, διὰ τοῦτ' ἐστὶν ἧττον θερμὰ τῶν ἀποκεχωρηκότων εἰς μεσόγειον. ἡ δ' ἀκριβῶς εὔκρατός τε καὶ μέση ζώνη τῆς οἰκουμένης ἐστὶν, ἡ διὰ κνίδου καὶ κῶ, καὶ ὅσα χωρία μὴ πολὺ τούτων ἀποκεχώρηκεν, ἤτοι πρὸς ἄρκτον, ἢ πρὸς νότον. ἐπινοῆσαι δέ σε χρὴ, δι' ὧν εἴρηκα χωρίων ἐπ' ἀνατολήν τε καὶ δύσιν εὐθεῖαν τινὰ τεταμένην γραμμὴν εἶναι τὴν εὔκρατον καλουμένην ζώνην, καὶ ὑπὸ τῶν περὶ τὰ τοιαῦτα δεινῶν ἀκριβῶς νοήσεις. ὀνομάζουσι δ' ἔνιοι τῶν ἀστρολόγων οὐ ζώνας, ἀλλὰ παραλλήλους τὰς τοιαύτας ἐπὶ τῆς γῆς ὁμοιότητας τῶν οἰκήσεων, ἀπ' ἀνατολῆς ἕως δύσεως ἐκτεταμένας. ὁ μὲν οὖν λόγος τῷ Ἱπποκράτει περὶ τούτων ἐστὶ μάλιστα τῶν χωρίων. ἡ δὲ τῶν ὡρῶν τάξις, ὡς αὐτός τε πολλάκις ἐνδείκνυται διὰ τῶν ἐπιδημιῶν, οἵ τ' ἄριστοι τῶν περὶ τὰ τοιαῦτα δεινῶν ἔγραψαν, ἥδ' ἐστίν. ἐπιτολὴ πλειάδος ἀρχὴ θέρους ἐστὶ, μεθ' ἣν κυνὸς ἐπιτολὴ τῆς καλουμένης ὀπώρας, ἣν δὴ καὶ αὐτὴν τὸ δεύτερον μέρος τοῦ θέρους τίθενται, μεθ' ἣν ἀρκτοῦρος ἐπιτέλλων, ἀρχὴν ποιεῖται φθινοπώρου, κἄπειτα δύσις πλειάδων χειμῶνος ἀρχὴ γίνεται, εἶτα μετὰ τὸν χειμῶνα ἰσημερία τὴν ἀρχὴν ἔχει τοῦ ἦρος.

Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι καὶ ἧσσον θανατώδεες.

Ὅτι βέλτιον ἦν τῶν προειρημένων ἀφορισμῶν ἐν οἷς διδάσκει περὶ τῆς ἐν ταῖς ὥραις καταστάσεως, γεγράφθαι τοῦτον πρῶτον τὸν ἀφορισμὸν, ὃν νῦν προκεχειρίσμεθα, δι' αὐτῶν τῶν πραγμάτων ἐμάθομεν. ἐν τῷ πιστοῦσθαι τοὺς προγεγραμμένους ἀφορισμοὺς, δεηθέντες αὐτοῦ, καὶ τοῦτο ἐξ ἀνάγκης ἐμάθομεν, ἐπειδὴ πρότερον ἐστὶ καὶ τῇ φύσει, καὶ τῇ διδασκαλίᾳ τὸ ἁπλοῦν τοῦ συνθέτου. μετ' ἐκεῖνον οὖν τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, νότοι βαρήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. πρότερον μὲν τάξομεν οὗ ἡ ἀρχὴ, αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν

βόρβοι, τῷ τε σώματι συνίστασι, δεύτερον δὲ τὸ γε νῦν ἡμῖν προκείμενον, ἐν ᾧ τῶν ὅλων τοῦ ἐνιαυτοῦ καταστάσεων προκρίνει τοὺς αὐχμοὺς τῶν ἐπομβρίων εἰκότως. ἐν μὲν γὰρ τοῖς αὐχμοῖς διαφορεῖται, τὰ περιττὰ ὑγρά, κατὰ δὲ τὰς ἐπομβρίας ἔνδον τοῦ σώματος ἀθροιζόμενα σήπεται, πλὴν εἴ τις αὐτὰ καθ᾽ ἑκάστην ἡμέραν ἀθροιζόμενα ἐκκαθαίρει τοῖς γυμνασίοις. οὐ μεγάλη γὰρ ἡ διὰ τῶν βαλανείων κένωσις, καὶ μόνον σχεδόν τι τῶν κατὰ τὸ δέρμα. τὰ δὲ ἐν τῷ βάθει κατεσπαρμένα, τῇ τε σαρκὶ, καὶ τοῖς στερεωτέροις ὀργάνοις οὐκ αὐτάρκως ἐκκενοῦται διὰ τῶν βαλανείων. οὐ μὴν οὐδὲ διὰ τῶν καθαρτικῶν φαρμάκων ἡ κένωσίς γε τῶν περιττῶν ἐντελής. μεγάλως τε γὰρ δεομένοις χρήσιμος, καὶ διὰ χρόνων μακρῶν. αἱ δὲ τῶν ὁσημέραι γεννωμένων ἐν τῷ σώματι περιττωμάτων κενώσεις, ἐλάττους εἰσὶν, ἢ κατὰ φαρμάκου καθαίροντος ἐνέργειαν. εἰ δὲ καὶ βουληθείη τις αὐταῖς χρῆσθαι δὶς τοῦ μηνὸς, ἢ πάντως γε ἅπαξ, συλλαβόμενον ἀθροισθῆναι πολλὰ τῶν περιττωμάτων, κακώσει τὸ σῶμα μετὰ καὶ τοῦ μοχθηρῷ περιβάλλειν ἔθει. τῆς γάρ τοι τροφῆς, τὸ μὲν οἷον ὀρρῶδές ἐστι καὶ ὑγρὸν, ὄχημα τῆς ἀναδόσεως αὐτῇ μέμικται. τὸ δὲ οἷον λιγνυῶδες περίττωμα κατὰ τὰ πλεῖστά γε τῶν σιτίων ὅσα μοχθηρότερα, καὶ διαφεύγει τὴν ἐργασίαν τῆς φύσεως, ὡς μήθ᾽ ὁμοιωθῆναι τῷ τε τρεφομένῳ σώματι, μήτε προσφῦναι. ταῦτα οὖν πάντα κενοῦσθαι μὲν ἐφ᾽ ἡμέρᾳ δεῖται· κενοῦται δὲ μᾶλλον ἐν ταῖς ξηραῖς καταστάσεσιν, ἤπερ ἐν ταῖς ὑγραῖς, καὶ διὰ τοῦτο ταύτας ὑγιεινοτέρας εἶπεν.

Νοσήματα δὲ ἐν μὲν τῇσι ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται, πυρετοί δὲ μακροί, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. ἐν δὲ τοῖσιν αὐχμοῖσι φθινώδεες ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, καὶ δυσεντερίαι.

Τὸ μὲν τοὺς μακροὺς πυρετοὺς ὑγρότητος ἐπειδὴ πλήθει, θαυμαστὸν οὐδέν. εἴ γε δέονται μὲν τῆς πέψεως οἱ καμνόντων εἰς λύσιν τῶν νοσημάτων, τὰς πλείονας δὲ ὑγρότητας, εἰκὸς ἐν πλείονι χρόνῳ πέττεσθαι. πρόσεστι δὲ καὶ τὸ ψυχροτέρους, καὶ φλεγματικωτέρους ἐν ταῖς ἐπομβρίαις γίνεσθαι τοὺς χυμοὺς, ὥσπερ αὖ πάλιν ἐν τοῖς αὐχμοῖς χολωδεστέρους, ὥστε καὶ κατὰ τοῦτο χρονίζουσι μὲν ἐν ταῖς ἐπομβρίαις. ὀξύτεροι δὲ ἐν τοῖς αὐχμοῖς οἱ πυρετοὶ γίνονται, τὸ δὲ καὶ τὰς ῥύσεις τῆς κοιλίας, εἰκότως ἐν ταῖς ἐπομβρίαις γίνεσθαι, τῆς ἐν τοῖς χυμοῖς περιουσίας ἐκκαθαιρομένης διὰ τῆς γαστρὸς, οὐκ ἄδηλον, ὥσπερ γε οὐδὲ τὰς σηπεδόνας. ἀσηπτότερα γὰρ ἐναργῶς ὁρᾶται τὰ ξηρὰ τῶν ὑγρῶν. εἰσὶ δὲ δήπου καὶ αἱ ἀποπληξίαι, καὶ αἱ ἐπιληψίαι φλεγματικὰ νοσήματα. κυνάγχη δὲ γίνεται μέν ἐστιν, ὅτε καὶ αὐτοῦ τοῦ πλήθους τῶν περιττωμάτων ἐνεχθέντος εἰς φάρυγγα. γίνεται δὲ ὡς τὰ πολλὰ καὶ τῶν ἐκ τῆς κεφαλῆς ῥευμάτων ἐν φάρυγγι στηριχθέντων. ὅτι δὲ ἐν ταῖς ἐπομβρίαις τά τε ἄλλα ῥεύματα, καὶ μάλιστα τὰ ἐκ τῆς κεφαλῆς ὁρμώμενα πλεονάζει, πρόδηλόν ἐστι, καὶ λέλεκται πολλάκις. ἐν δὲ τοῖς αὐχμοῖς τάς τε φθινώδεις νόσους φησὶ πλεονάζειν, καὶ τὰς ὀφθαλμίας, ἀρθρίτιδάς τε καὶ στραγγουρίας, καὶ δυσεντερίας, ἀδιοριστότερον ὡς ἐμοὶ δοκεῖ, τὴν περὶ τούτων ἀπόφασιν ποιησάμενος. αἱ γὰρ φθινώδεις νόσοι δύο ταύταις ἕπονται καταστάσεσι, τῇ τε ἄκρως ψυχρᾷ, καθ᾽ ἣν καὶ ῥήγνυταί τι τῶν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἀγγείων τινὰ, καὶ τῇ μεθ᾽ ὑγρότητος θερμῇ, καθ᾽ ἣν ἡ κεφαλὴ πληρωθεῖσα, καταπέμπει τῷ πνεύμονι ῥεύματα. τῇ δὲ ξηρᾷ μὲν, ὅσον ἐστὶ τῇ θερμότητι καὶ ψυχρότητι κατὰ φύσιν ἐχούσῃ, πάντα μᾶλλον ἢ φθινώδεις ἀκολουθοῦσι νόσοι. διό μοι δοκοῦσι τινὲς ἀναγκασθῆναι τὸ περὶ τῶν ὀφθαλμῶν ἀκοῦσαι τὸ φθινῶδες, ἵνα ὁ λόγος ᾖ τοιοῦτος. ἐν δὲ τοῖς ἀμέτροις αὐχμοῖς, αἵ τε ὀφθαλμίαι φθινώδεις γίνονται, τουτέστιν εἰς φθίσιν ὀφθαλμῶν τελευτῶσι, καθ᾽ ἣν ἀτροφώτεροί τε καὶ ξηρότεροι τῶν κατὰ φύσιν ἀποτελοῦνται, μετὰ τοῦ καὶ τὴν κόρην αὐτῶν στενὴν γίνεσθαι, ξηραινομένων δηλονότι τῶν ὑγρῶν. ὑφ᾽ ὧν διατεινομένη μετρίως μὲν, ἐν τῇ κατὰ φύσει ἐφυλάττετο συμμετρίᾳ. μειζόνως δὲ ἢ προσῆκεν εἰς πλάτος ἐκτεινόμενος μοχθηρόν. εἰ δ᾽ αὐτὰς καθ᾽ ἑαυτὰς ἀκούομεν εἰρῆσθαι τὰς ὀφθαλμίας, προσθήσομεν αὐταῖς τὰς ξηράς. εἴρηται δ᾽ ὀλίγον ἔμπροσθεν ἡ αἰτία τοῦ ξηρὰς ὀφθαλμίας ἐν τοῖς ἀμέτροις αὐχμοῖς γίνεσθαι. καὶ μὲν δὴ καὶ τὰ ἀρθριτικὰ νοσήματα, τὰ μὲν ἐστὶ ῥεύμασιν οὐδὲ ὅλως ἔσται κατὰ τὰς ἀμέτρους ξηρότητας. τὰ δ᾽ ὑπὸ δριμύτητος τινὸς, ἐὰν καὶ θερμότης ἄμετρος προσγένηται, τηνικαῦτα μόνον ἔσται. τίνας οὖν εἴρηκεν ἀρθρίτιδας, ἐν τοῖς αὐχμοῖς γίνεσθαι ζητητέον. εἰ γὰρ ἄμετροι γεννηθέντες δαπανήσαιεν ἐκ τῶν ἄρθρων τὴν ὑγρότητα, δυσκινησίαν μέν τινα κατὰ ξηρότητα ποιήσουσιν. ἴσως δ᾽ ἄν ποτε καὶ ἄλγημα, τὴν μέντοι καλουμένην ἀρθρῖτιν, οὐκ ἂν ἐργάσαιντο, πλὴν εἰ πᾶν ἄρθρων ἄλγημα καλεῖν τὸ τοιοῦτον τις ἐθέλει. καί τοι αὐτὸς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν φησιν, ἐν Αἴνῳ ἐν λιμῷ ὀσπριοφαγέοντες σκελέων ἀκρατέες ἐγένοντο. ἀτὰρ καὶ ὀροβοφαγέοντες γονυαλγέες. οὐκ ἀρθριτικοὺς ἀλλὰ γονυαλγεῖς ὠνόμασεν αὐτούς. ἴσως δ᾽ ἄν τις λέγει μὴ τὸν ἑνὸς ἄρθρου πόνον, ἀλλὰ τῶν πολλῶν ἀρθρῖτιν ὀνομάζεσθαι, καὶ κατὰ τοῦτο μηδέπω τοὺς γονυαλγεῖς ἀρθριτικοὺς προσαγορεύεσθαι. περὶ μὲν οὖν τῆς ἀρθρίτιδος ἀρκείτω διηπορῆσθαι μέχρι τοσούτου, περὶ δὲ τῶν στραγγουριῶν ἐφεξῆς εἴπωμεν. οὐδὲ γὰρ οὐδ᾽ αὗται τοῖς αὐχμοῖς ἁπλῶς ἕπονται χωρὶς τοῦ διορίσασθαι τοὺς τρεῖς διορισμούς. ἕνα μὲν τὴν ἀμετρίαν τῆς ξηρότητος, ἕτερον δὲ τὴν μετὰ θερμότητος, καὶ τρίτον τὴν μετὰ ψυχρότητος, ὧν οὐκ ἐμνημόνευσεν ὁ Ἱπποκράτης. ἀλλ᾽ ἐάν τις ὡς ἔφην ἐθελήσῃ πασῶν τῶν ἐν ταῖς ὥραις καταστάσεων ἐρευνήσασθαι τὴν φύσιν, οὕτως αὐτῷ ποιητέον. ἔσται δ᾽ ὁ λόγος σαφὴς, ἐστὶ παράδειγματος αὐτοῦ τοῦ νῦν προκειμένου σκέμματος. αὐχμὸς μὲν γὰρ ἄμετρος, ἐν μὲν ταῖς εὐκράτοις φύσεσιν ἑτέραν ἐργάζεται κατὰ τὸ σῶμα διάθεσιν. ἑτέραν δ᾽ ἐν ταῖς ξηραῖς, ὥσπερ γε κἀν ταῖς ὑγραῖς ἑτέραν. οὕτω δὲ καὶ κατὰ τὴν θερμήν τε καὶ ψυχρὰν, ἄλλην ἐν ἑκατέρᾳ διάθεσιν ἐργάζεται, καὶ κατὰ τὰς συζυγίας δὲ τῶν ἁπλῶν δυσκρασιῶν. ἄλλην μὲν ἐν τῇ θερμῇ τε καὶ ξηρᾷ, διαφέρουσαν δ᾽ αὐτῆς ἐν τῇ ψυχρᾷ τε καὶ ξηρᾷ, κἀπὶ τῶν ὑπολοίπων δυοῖν ὡσαύτως. ὥσπερ δ᾽ ἁπλῆν φυλάξαντες ἄρτι τὴν τοῦ περιέχοντος δυσκρασίαν, καθ᾽ ἑκάστην φύσιν ἔφαμεν τινὰ ἰδίαν ἐργάζεσθαι διάθεσιν, οὕτω σύνθετον ὑποθέμενοι καθ᾽ ἑκάστην αὖ πάλιν φύσιν ἐπισκεψόμεθα τὰς ἐσομένας διαθέσεις. ἔσται δὲ σύνθετος, ἡ ξηρὰ τοῦ περιέχοντος κατάστασις, ὅταν ἤτοι μετὰ ψυχρότητος ἢ θερμότητος μιχθῇ καί τοι γε ἡ ἁπλῆ, δόξειεν ἂν εἶναί πως σύνθετος. ἐμίγνυτο γὰρ εὐκράτῳ καταστάσει μέσῃ τῶν

ἀμετριῶν

ἀμετριῶν ἑκατέρων, τῆς τε κατὰ θερμότητα, καὶ τῆς κατὰ ψυχρότητα. συγκεχωρημένου δ' ἐν ταῖς διδασκαλίαις, ἁπλᾶς μὲν δυσκρασίας γίγνεσθαι τὰς κατὰ μίαν ποιότητα τοῦ κατὰ φύσιν ἐξισταμένας, οὐχ ἁπλᾶς δὲ τὰς κατὰ πλείους εἰκότως. ὅταν ἐν μὲν τῇ κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν ἀντιθέσει, δύσκρατον ᾖ τὸ περιέχον, ἐν δὲ τῇ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν εὔκρατον, ἁπλῆν φήσομεν εἶναι τὴν δυσκρασίαν. ὑφ' ἁπάντων οὕτω σκοπούντων ἡμῖν, εὔδηλον εἰς ὅσον ἐκταθήσεται μῆκος ὁ τε ἄλλος τῶν καταστάσεων λόγος, ὅ τε νῦν εἰρημένος περὶ τῆς κύστεως. αἱ γάρ τοι στραγγουρίαι γίγνονται διά τε τὴν δριμύτητα τῶν οὔρων, καὶ ἀρρωστίαν τῆς ἐν τῇ κύστει καθεκτικῆς δυνάμεως, ἥτις πάλιν ἀρρωστία γίνεται, διά τινα ἄμετρον δυσκρασίαν. οὐσῶν δ' ὀκτὼ τῶν ἀμετριῶν, καθ' ἑκάστην αὐτῶν, ἄρρωστός τε ἡ κύστις ἔσται, καὶ διὰ τοῦτο ἀκολουθήσουσιν αὐτῇ στραγγουρίαι. καὶ μὲν δὴ καὶ αἱ δριμύτητες τῶν οὔρων, ὑπὸ δυσκρασιῶν γίγνονται τινῶν, καὶ μᾶλλον ἔτι τῆς κατὰ τὸ θερμόν. ἐφεξῆς δ' ἔτι τῆς κατὰ θερμότητά τε καὶ ὑγρότητα, καὶ τρίτον τῆς καθ' ὑγρότητος. γενήσεται γοῦν καὶ διὰ ταῦτα στραγγουρία τῶν αὐτῆς τῆς κύστεως παθῶν ἰδίων εἰρημένων, οἷς ἀκολουθοῦσιν αἱ στραγγουρίαι λόγῳ συμπτώματος, οἷον ὅταν ἤτοι δι' ἕλκος, ἢ ἐρυσίπελας, ἢ ἀπόστημα κατ' αὐτὴν γενόμενον, ἢ φλεγμονήν, ἤ τι τῶν τοιούτων ἕτερον τῇ στραγγουρίᾳ συμπέσῃ. νυνὶ γὰρ οὐ περὶ τούτων ὁ λόγος, ἀλλὰ μόνον τῶν ἐκ τῆς τοῦ περιέχοντος κράσεως γινομένων ἐστίν. ὥσπερ γε οὐδὲ περὶ τῶν ἐκ διαίτης τινὸς πλημμελοῦς. ἃ δὲ περὶ τῆς στραγγουρίας εἴρηται, ταυτά μοι νόει κἀπὶ τῆς δυσεντερίας εἰρῆσθαι, περὶ ἧς οὐδ' αὐτὸς συμφέρομαι τῷ Ἱπποκράτει. δυσεντερία δ' οὐχ ἁπλῶς ἀκολουθήσει ταῖς ξηρότησιν ἄνευ τοῦ διορίσασθαι, πρῶτον μὲν τὸ κατ' αὐτὴν ἐσχάτως ἄμετρον, εἶτα τὴν θερμότητα καὶ ψυχρότητα τοῦ περιέχοντος ἐξαλλαγήν, εἶτα καὶ τὰς πασχούσας φύσεις τῶν σωμάτων. ἔστι δ' οὐχ οὕτως, ὑπὲρ Ἱπποκράτους ἀπορῆσαι δίκαιον, ὅτι τηλικαύτην θεωρίαν πρῶτος συστησάμενος, οὐκ ἐξειργάσατο πᾶσαν. ὥσπερ Διοκλέους μὲν πρότερον, καὶ Μνησιθέου μετ' αὐτόν, εἶτα καὶ ἄλλων πολλῶν ἰατρῶν, ὅσοι ταῖς ἀληθέσιν ὁδοῖς Ἱπποκράτους χρώμενοι, πολλὰ τῶν κατὰ μέρος ἐξεργάσασθαι προὔθεντο. δέον γὰρ αὐτούς, εἴπερ τι καὶ ἄλλο τὴν περὶ τῶν καταστάσεων θεωρίαν, ὡς ὑπεθέμην ἄρτι διαρθρώσασθαι, καὶ πᾶσαν ἐξεργάζεσθαι, παντελῶς ὠλιγώρησαν. ἀλλ' ἡμεῖς αὐτὸ πειρασόμεθα ποιῆσαι. γράψαντες ἑτέραν ἰδίαν πραγματείαν ὅλην περὶ τούτων, ἐνταῦθα δ' ἡμῖν πρότερον ὅσα μετὰ χεῖρας ἔχομεν συντελέσθω.

Αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι τά τε σώματα ξυνιστῶσι, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὔχροα, καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρακα ἄλγημα ἤν τι προϋπάρχῃ, πονέουσι μᾶλλον. αἱ δὲ νότιοι διαλύουσι τὰ σώματα, καὶ ὑγραίνουσι, καὶ καρηβαρίας, καὶ βαρηκοΐας, καὶ ἰλίγγους ποιέουσιν, ἔν τε τοῖσιν ὀφθαλμοῖσι, καὶ ἐν τοῖσι σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσιν.

Ξηρὸς καὶ ψυχρὸς ἄνεμος ὑπάρχων ὁ Βορρᾶς, ἀναλίσκει μὲν ἅπαντα τὰ ἐκ τοῦ σώματος περιττά, τόνον δὲ ἐντίθησι τοῖς ὀργάνοις αὐτοῖς, ἐκ τοῦ σφίγγειν τε καὶ συνάγειν αὐτὰ πιλοῦσι τῆς οὐσίας. διὰ τοῦτο γοῦν βελτίω ταῦτα γίγνεται φησὶ κατά τε τὰς φυσικάς, καὶ τὰς ψυχικὰς ἐνεργείας. τὰς μὲν γὰρ ψυχικάς, ἐνεδείξατο διὰ τοῦ φάναι, εὐκίνητά τε καὶ εὐηκοώτερα. τὰς δὲ φυσικὰς ἐνεργείας, ὅταν εὔχροα λέγει. κοινὸν δ' ἀμφοῖν ἡ εὐτονία, καὶ δῆλον ὡς ἐκ μιᾶς αἰσθήσεως τῆς ἀκοῆς οἷον παραδείγματος, ἐδήλωσε καὶ περὶ τῶν ἄλλων. ταυτὶ μὲν οὖν ἀγαθὰ ταῖς βορείαις ὑπάρχει καταστάσεσι, καὶ μάλιστα τούτων ἀπολαύουσιν, οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, καὶ τούτων αὐτῶν οἱ ὑγρότεροι μᾶλλον. ὑπάρχει δέ τινα καὶ κακὰ ταῖς καταστάσεσι ταύταις, ἀλλὰ μικρὰ καὶ οὐχ ὅμοια τοῖς νοτίοις. πῶς γὰρ οὐ σμικρὰ τό τε ἐπισχεθῆναι τὴν γαστέρα, καὶ δηχθῆναι τοὺς ὀφθαλμούς, καὶ παροξυνθῆναι τὰς προϋπαρχούσας ὀδύνας κατὰ τὸν θώρακα; γνώσῃ δ' ἐναργέστερον, αὐτῶν τὴν σμικρότητα παραβάλλων ταῖς νοτίαις καταστάσεσιν, ἃς διαλύειν ἔφη τὰ σώματα. μέγιστον γὰρ τοῦτο κακὸν εἰς ἅπαν ἐστὶν ἔργον ζωτικόν τε καὶ ψυχικόν. οὐ μικρὸν δ' οὐδ' ἡ καρηβαρία τε καὶ δυσηκοΐα. περὶ δὲ τῶν ἰλίγγων τί δεῖ καὶ λέγειν. ἐγγὺς γὰρ οὗτοι εἰσὶν ἐπιληψίας τε καὶ ἀποπληξίας. ἴλιγγος γάρ ἐστιν ἡ σκοτοδινεία, ἥτις γίνεται ὑγροῦ μετὰ πάχεος πνεύματος κινουμένου κατὰ τὴν κεφαλήν, διὸ καὶ προηγεῖται ἐπιληψίας καὶ ἀποπληξίας. ἀλλὰ καὶ δυσκινησίας φησὶ κατά τε τοὺς ὀφθαλμοὺς ἀποτελοῦσι καὶ σύμπαν τὸ σῶμα, μοχθηρὰ δὲ καὶ ταῦτα τὰ συμπτώματα. μόνον δ' ἐν αὐτοῖς ὑπάρχει τὸ μέτριον, ὅτι τὰς γαστέρας ὑγροτέρας ἐργάζονται. δρῶσι δὲ καὶ τοῦτο καὶ τὰ ἄλλα πάντα, μάλιστα μὲν διὰ τὴν ὑγρότητα, πρὸς ταῦτα δὲ καὶ διὰ τὴν θερμότητα. καὶ τό γε κατὰ τὴν ἀρχὴν τοῦ λόγου γεγραμμένον, ἄμεινον ἦν ἐνηλλάχθαι τῇ τάξει, πρῶτον μὲν ἔχον ἐν ἑαυτῷ τὸ ὑγραίνουσι, δεύτερον δὲ τὸ διαλύουσιν, εἶθ' οὕτω τὰ ἐφεξῆς. εἰ γὰρ ὑγραίνουσι, καὶ τῶν ἄλλων ἕκαστον ποιοῦσι συντελούσης εἰς ταῦτα καὶ τῆς θερμασίας. αἱ μὲν γὰρ ἐνέργειαι γίνονται διὰ τῶν στερεῶν τοῦ ζώου μορίων, ἅπερ δὴ καὶ ὄντως ἐστὶν αὐτοῦ μόρια. βαρύνεται δὲ ταῦτα, καὶ διὰ τοῦτ' ἐνεργεῖ χεῖρον ὑπὸ πλήθους τῶν ὑγρῶν.

Κατὰ δὲ τὰς ὥρας τοῦ μὲν ἦρος, καὶ ἄκρου τοῦ θέρεος οἱ παῖδες, καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστά τε διάγουσιν καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος καὶ τοῦ φθινοπώρου μέχρι μέν τινος οἱ γέροντες. τὸ δὲ λοιπὸν τοῦ χειμῶνος οἱ μέσοι τῇσιν ἡλικίῃσι.

Οὐ μόνον περὶ τῶν ἡλικιῶν, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων ὅσα κατὰ κρᾶσιν ἤτοι συμμέτρως ἢ ἀμέτρως ἔχει, τὸν εἰρημένον νῦν ὑπὸ Ἱπποκράτους λόγον ἐξετάζων, εὑρήσεις ἀληθῆ. ταῖς μὲν γὰρ εὐκράτοις φύσεσι καὶ ἡλικίαις καὶ χώραις, ἀρίστη τῶν ὡρῶν ἐστὶν ἡ εὐκρατοτάτη, δεομένης γε οὐ μεταβολῆς ἧς ἔχουσιν ἕξεως, ἀλλὰ φυλακῆς. ἐπειδὴ

τῶν ὄντων ἕκαστον ὑπὸ μὲν τῶν ὁμοίων φυλάττεται, μεταβάλλεται δὲ ὑπὸ τῶν ἐναντίων, ὥσθ' ἡ τῶν παίδων ἡλικία, καὶ τούτων μᾶλλον ἔτι ἡ τῶν μειρακίων. αὕτη γὰρ ἀρίστη τῶν ἡλικιῶν ἐστιν, ἐν ἦρι κάλλιστα διάγουσι, καὶ κατὰ τὸν αὐτὸν λόγον ὅσαι τῶν φύσεων, ἢ τῶν χωρῶν εἰσιν εὔκρατοι. προσέθηκε δὲ τῷ ἦρι τὴν ἀρχὴν τοῦ θέρους ὁ Ἱπποκράτης, εἰς πλάτος ἐκτείνων τὴν χρείαν ἑκάστου τῶν θεωρημάτων. ἀκριβέστερον δ' ἦν εἰπεῖν, τὰ μὲν μειράκια τοῦ ἦρος, τοὺς δὲ παῖδας ἐν ἀρχῇ τοῦ θέρους ἄριστα διάγειν. τῶν δὲ τῶν γερόντων διὰ τὴν ψυχρότητα τῆς κράσεως, ὠφέλιμόν ἐστι τὸ θέρος, ὥσπερ γε καὶ τοῖς ἀκμάζουσιν ὁ χειμὼν ὠφελιμώτατός ἐστιν. ἐναντίος γάρ ἐστι καὶ οὗτος τῇ κατὰ τούτους δυσκρασίᾳ χολώδει οὔσῃ, οὕτω καὶ τῶν φύσεων. αἱ μὲν χολωδέστεραι, χειμῶνος ἄριστα διάγουσιν, αἱ δὲ φλεγματικώτεραι θέρους, αἱ δ' εὔκρατοι τοῦ ἦρος. ὁμοίως δὲ καὶ τῶν χωρῶν αἱ μὲν εὔκρατοι κάλλιστον ἔχουσι τὸ ἔαρ, αἱ δ' ἄλλαι, θέρους μὲν αἱ ψυχραὶ, χειμῶνος δ' αἱ θερμαί. καὶ μὲν δὴ καὶ τὰς χειρίστας ὥρας ἑκάστῃ τῶν ἡλικιῶν, καὶ τῶν φύσεων, καὶ τῶν χωρῶν, ἐκ τῶν εἰρημένων ἔνεστιν εὑρεῖν. ἐναντιώταται γάρ εἰσι ταῖς ἀρίσταις αἱ κάκισται. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰς μέσας τῶν ἀρίστων τε καὶ χειρίστων εὑρήσεις. ἔτι δὲ κἀκείνῳ χρὴ προσέχειν ἀκριβῶς τὸν νοῦν, ὡς τὸ μὲν ἔαρ ἄριστον εἴρηται τοῖς μειρακίοις, ἅπασι δὲ τοῖς ἄλλοις ἐστὶ μέσον, οὔτε γὰρ ἄριστον ὑπάρχει, οὔτε χείριστον. οὕτω δὴ καὶ πρὸς τὰς φύσεις ἔχει καὶ τὰς χώρας. τό γε μὴν φθινόπωρον ἁπάσαις καὶ ἡλικίαις κακὸν, καὶ φύσεσι καὶ χώραις. ἧττον δ' ἐν αὐταῖς τῶν ἄλλων, αἱ ὑγραὶ καὶ θερμαὶ βλάπτονται κατὰ τὸ φθινόπωρον.

Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνονται, μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτέων, καὶ γίνεται καὶ παροξύνεται.

Εἰ μὲν ἡ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσις ἦν αἰτία μόνη τῶν νοσημάτων, ἅπαντες ἂν ἐνοσοῦμεν ἐν ἑκάστῃ τῶν ὡρῶν ἐκείνας τὰς νόσους, ὅσαι τῶν ὡρῶν εἰσιν οἰκεῖαι. νυνὶ δὲ ἐπειδὴ καὶ διὰ τὰς ἐν τῷ βίῳ πλημμελείας αἱ νόσοι γίνονται, πᾶσαι μὲν ἐν ἁπάσαις ἔσονται ταῖς ὥραις, πλείους δὲ καθ' ἑκάστην αὐτῶν αἱ οἰκεῖαι. συμβάλλεται μὲν οὐ μικρὸν εἰς τοῦτο, καὶ ἡ τῶν φύσεων διαφορά. οὐ γὰρ ὁμοίως ὑπὸ τῆς αὐτῆς αἰτίας ὁ θερμὸς τῷ ψυχρῷ βλάπτεσθαι πέφυκεν, ἢ ὁ ὑγρὸς τῷ ξηρῷ. καθάπερ οὐδὲ ὁ εὔκρατος ἑκάστῳ τούτων, οὔτε τοῖς κατὰ συζυγίαν τινὰ δυσκράτοις, ὡς ἔμπροσθεν εἴρηται.

Τοῦ μὲν ἦρος τὰ μανικὰ καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ, καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά.

Καί πως ἂν ἔτι δόξειεν ὀρθῶς εἰρῆσθαι πρόσθεν, ἔαρ δ' ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες, παμπόλλων παθῶν ἐν αὐτῷ γιγνομένων. ἔοικε γὰρ μᾶλλον ἁπάσῃ ὥρᾳ ἐξισοῦσθαι κατὰ τὴν ποικιλίαν, ὧν γεννᾷ νοσημάτων. αἱ μὲν γὰρ μανίαι καὶ αἱ μελαγχολίαι, ἐπιληψίαι τε καὶ κυνάγχαι, φθινοπωρινὰ νοσήματα. κόρυζαι δὲ καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι χειμεριναί. περὶ δὲ τοῦ θέρους αὐτὸς ἐφεξῆς ἐρεῖ, τὴν κοινωνίαν ἐνδεικνύμενος αὐτοῦ τὴν πρὸς τὸ ἔαρ. τοῦ δὲ θέρεος ἔνια τουτέων, τουτέστι τῶν προειρημένων κατὰ τὸ ἔαρ. ἐξαιρέτως δὲ παρὰ τὰς ἄλλας, τὸ ἔαρ αἵματός τε ῥύσεις, καὶ λέπρας, καὶ λειχῆνας, καὶ ἀλφοὺς, καὶ ἐξανθήσεις ἑλκώδεις πλείστας ἐργάζεται, καὶ φύματα καὶ ἀρθριτικά. ταῦτα μὲν οὖν ὅσα τῆς ἐαρινῆς ὥρας ἴδια, διὰ παντ' ἐστὶν ἀκίνδυνα, καὶ τοσοῦτον δεῖ τὸν ἀφορισμὸν ἐκεῖνον ἀποφαίνειν ψευδῆ, καθ' ὃν εἶπεν αὐτὸς, ἔαρ δὲ ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες, ὥστε μαρτυρεῖν αὐτῷ μᾶλλον ἔοικεν. ἐκκαθαίρεται γὰρ ἐν αὐτῇ τῇ ὥρᾳ τὸ βάθος τοῦ σώματος ἀπὸ τῶν κυρίων μορίων, ἐπὶ τὸ δέρμα τῶν μοχθηρῶν χυμῶν ἀφικνουμένων. οὕτω γοῦν αἵ τε λέπραι καὶ οἱ ἀλφοὶ, καὶ αἱ λειχῆνες ἑλκώδεις τέ τινες ἐξανθήσεις πολλαὶ γίγνονται. καθ' ἕτερον δὲ τρόπον ἐν τοῖς φύμασι, καὶ ταῖς ἀρθρίτισι καθαίρεται τὸ βάθος τοῦ σώματος εἰς τὰ ἄκρα μόρια τῆς μεταστάσεως γινομένης τῶν μοχθηρῶν χυμῶν. ὅτι δὲ καὶ αἱ τοῦ αἵματος ῥύσεις κενοῦσαι τὸ πλῆθος, καὶ τὴν κακοχυμίαν, κωλύουσι τὰς ἐν αὐτοῖς νόσους, ἄντικρυς δῆλον. εἰ δέ τι σῶμα εὔχυμον παρέλαβεν ἡ τοῦ ἦρος ὥρα, φυλάττει τοῦτο ὑγιεινότατον, οὐδὲν ἐκ τῆς ἰδίας φύσεως νεωτερίζουσα. οὐ μὴν τό γε θέρος, ἢ τὸ φθινόπωρον, ἢ ὁ χειμών. ταῦτα γὰρ εἰ καθαρὸν τὸ σῶμα καὶ παντοίως ἄμεμπτον παραλάβοι, τὸ μὲν τὴν ὠχρὰν εἴωθε χολὴν πλείονα τοῦ δέοντος γεννᾶν, τὸ δὲ τὴν μέλαιναν, ὁ χειμὼν δὲ τὸ φλέγμα. παραπλήσιον δέ τι συμβαίνει κατὰ τὸ ἔαρ, ὁποῖον ἐπὶ τῶν γυμνασίων ὁρῶμεν γιγνόμενον. καὶ γὰρ καὶ τοῦθ' ὑγιεινότατον μέν ἐστιν, ἀλλ' ἐὰν φλέγματος ἄνθρωπον μεστὸν, ἢ χολῆς ὠχρᾶς, ἢ μελαίνης, ἢ καὶ αὐτοῦ τοῦ αἵματος ἐθελήσειε γυμνάζειν, ἤτοι γε ἐπίπληκτον αὐτὸν, ἢ ἀπόπληκτον ἐργάσεται τοῖς γυμνασίοις, ἢ εἰ μὴ ταῦτα, κινδυνεύσει ῥαγέντος ἀγγείου κατὰ τὸν πνεύμονα, περιπεσεῖν ἀνηκέστῳ κακῷ. πολλοὶ δὲ πυρέττειν ἀρξάμενοι, διὰ τὰ γυμνάσια νόσοις ὀξυτάταις ἑάλωσαν. ὅσοις δ' αὖ τι καθάρσεως τῶν ἐν τῷ βάθει χυμῶν γένηται τὸ γυμνάσιον, εἰς τὸ δέρμα τὴν κακοχυμίαν ἐκτεῖνον, ἕλκη καὶ ψώρας ἐργάζεται, κατὰ τοῦτο γοῦν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἔλεγεν, ἕλκεα ἐκφύουσιν ἢν ἀκάθαρτος ἐὼν πονήσῃ, καὶ δὴ καὶ κατὰ τὸ ἔαρ ἡ ἐκ τοῦ περιέχοντος θερμασία χέουσα τοὺς χυμοὺς, ἐξάγει πρὸς τὸ δέρμα, καὶ τοῦτο τὸ ἔργον αὐτοῦ τοῖς γυμνασίοις ἐστὶ παραπλήσιον. οὐ μόνον δὲ τοῖς τούτων ἔργοις ἔοικε τὰ τοῦ ἦρος, ἀλλὰ καὶ τοῖς τῆς φύσεως αὐτῆς. ταύτης γοῦν ἐστιν ἔργα, τήν τε ἄδηλον διαπνοὴν ἐργάζεσθαι καθ' ὅλον τὸ σῶμα, δι' ἧς ἐκκρίνεται τὰ περιττὰ, καθαίρειν τε τὸ σῶμα πολλάκις ἐν ταῖς νόσοις.

Τοῦ δὲ θέρεος ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες, καὶ καῦσοι, καὶ τριταῖοι πλεῖστοι, καὶ τεταρταῖοι, καὶ ἔμετοι, διάῤῥοιαι, καὶ ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ στομάτων ἑλκώσιες, καὶ σηπεδόνες αἰδοίων, καὶ ἱδρῶα.

Τοῦ θέρους φησὶν ἔνια μὲν καὶ τῶν ἠρινῶν γενέσθαι νοσημάτων κατὰ τὴν ἀρχὴν δηλονότι αὐτοῦ. τὰ γὰρ συνάπτοντα

τα

ἐπὶ τῷ τέλει τοῦ ἦρος ὥσπερ ὁμοιότητα τῆς κράσεως ἔχει πρὸς τὸ θέρος, οὕτω καὶ τῆς τῶν παθῶν γενέσεως. γενέσθαι μὲν γάρ φησι καὶ ἄλλα τινὰ τοῦ θέρους ἴδια πυρετοὺς συνεχεῖς, καὶ καύσους, καὶ τριταίους, καὶ ἁπλῶς εἰπεῖν ὅσα διὰ τὴν ξανθὴν χολὴν συμβαίνει πάσχειν τὰ σώματα. καὶ γὰρ οὖν καὶ οἱ ἔμετοι ταύτης ἐπιπολαζούσης, καὶ διάρροιαι κάτω χωρούσης γίγνονται, καὶ ὀφθαλμίαι δὲ τοῦ θέρους πολλαί, ὡς αὖ τῆς κεφαλῆς πληρουμένης. οὕτω δὲ καὶ ὤτων πόνοι, καὶ τὰ ἄλλα τὰ ὅμοια πάσχει τῷ θέρει τὸ σῶμα, διὰ τὴν πλήρωσιν τῆς κεφαλῆς, ἄλλοτε εἰς ἄλλο μόριον ἀποτιθεμένης τὸ περίττωμα. αἱ δὲ ἑλκώσεις αἱ τῶν στομάτων, ὅτι διὰ τὸν χολώδη γίγνονται χυμόν, εὔδηλόν ἐστιν. αἱ μέντοι σηπεδόνες τῶν αἰδοίων οὐχ ἁπλῶς, ἀλλ᾽ ὅταν ὑγρότερον μᾶλλον, ἢ ἁπλούστερον, ἢ νοτιώτερον γένηται. τὸ μὲν γὰρ ἐπὶ πολὺ τοῦ κατὰ φύσιν ἀποκεχωρηκὸς εἰς ὑγρότητα, καὶ ἄπνοιαν, οὐκ αἰδοίων μόνων ἐργάζεται σηπεδόνας, ἀλλὰ καὶ παντὸς ἄλλου μορίου. καθάπερ ἥ τε ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν κατάστασις, ἥ τ᾽ ἐν τῷ δευτέρῳ κατὰ τὴν ἀρχήν. αἱ δ᾽ ἐπ᾽ ὀλίγον ἐκτροπαὶ τῶν αἰδοίων ἅπτονται, διὰ ὑγρότητα καὶ θερμότητα σήπεσθαι πεφυκότων ἐπὶ ταῖς τυχούσαις προφάσεσιν, ὥστ᾽ ἐπειδὰν τὴν ἑαυτοῦ κρᾶσιν φυλάττῃ τὸ θέρος, † ἐν περιττώμασιν ἐνοχλοῦνται πολλοῖς, ἐπειδὰν ῥυῇ ταῦτα κατά τινα πρόφασιν ἐπὶ τὰ αἰδοῖα τὰς σηπεδόνας αὐτῶν πάσχουσι. τὰ δ᾽ ἱδρῶα τῶν κατὰ τὴν ἐπιφάνειαν ἐξανθημάτων ἐστὶ ἑλκωδῶς τραχύνοντα τὸ δέρμα, καὶ γίγνεται καθάπερ καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται διὰ τοὺς πολλοὺς ἱδρῶτας, ὅταν χολωδέστεροι πως, ἢ ὅλως δακνωδέστεροι τυγχάνουσιν ὄντες. ὀδαξοῦσι γὰρ οὗτοι τὸ δέρμα καὶ κνησμώδη ἐργάζονται, καὶ τραχύνουσιν ἑλκωδῶς.

Τοῦ δὲ φθινοπώρου καὶ τῶν θερινῶν τὰ πολλά, καὶ πυρετοὶ τεταρταῖοι, καὶ πλάνητες, καὶ σπλῆνες, καὶ ὕδρωπες, καὶ φθίσιες, καὶ στραγγουρίαι, καὶ λειεντερίαι, καὶ δυσεντερίαι, καὶ ἰσχιάδες, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοί, καὶ ἐπιληψίαι, καὶ τὰ μανικά, καὶ τὰ μελαγχολικά.

Ἐν τῷ φθινοπώρῳ φησὶ καὶ τῶν θερινῶν νοσημάτων γίνονται πολλά, μένοντος ἔτι κατ᾽ αὐτὸ τοῦ θερινοῦ χυμοῦ, δηλονότι τῆς ξανθῆς χολῆς. οὐ γὰρ ὥσπερ ἐπὶ τῷ ἦρι τὸ θέρος γιγνόμενον ἐκκενοῖ τοὺς χυμούς, οὕτω καὶ τὸ φθινόπωρον ἐκκενοῖ τοὺς θερινούς, ἀλλὰ τοὐναντίον ἅπαν, ἀπὸ τῶν ἐκτὸς μερῶν εἰς τὸ βάθος ἄγει. δεόντως οὖν τὸ μὲν θέρος ἔνια τῶν ἠρινῶν νοσημάτων φησὶ γεννᾶν. τὸ δὲ φθινόπωρον, οὐκ ἔνια τῶν θερινῶν, ἀλλὰ πολλά. καὶ μέντοι καὶ τεταρταίους πυρετοὺς ἐν ταύτῃ τῇ ὥρᾳ γίγνεσθαί φησιν ἐπὶ τῇ μελαίνῃ δηλονότι συνισταμένους χολῇ διττὴν ἐχούσῃ τὴν γένεσιν. ἐκ μὲν τῆς ξανθῆς ὑπεροπτηθείσης τὴν ἑτέραν, ἐκ δὲ τοῦ πάχεος αἵματος τὴν ἑτέραν. γίνονται δὲ καὶ πλάνητες ἐν φθινοπώρῳ πυρετοὶ διὰ τὴν ἀνωμαλίαν τῆς κράσεως, καὶ σπλῆνες μεγάλοι, διὰ τὸ μελαγχολικὸν περίττωμα, καὶ δὴ καὶ ὕδεροι διὰ τὸν σπλῆνα, καὶ ἔτι φθινῶδες ἀμφίβολον, ἐν φθινοπώρῳ μάλιστα ἐξελέγχεται, διὰ τὴν ξηρότητα καὶ τὴν ψύξιν, καὶ τὴν ἀνωμαλίαν τῆς ὥρας, οὐδὲν δ᾽ ἧττον καὶ διὰ τὴν κακοχυμίαν. διὰ δὲ τὰ αὐτὰ ταῦτα καὶ αἱ στραγγουρίαι γίνονται μάλιστα κατὰ τὴν ὥραν ἐκείνην. ψύχεται γὰρ ἡ κύστις ἐν ταῖς ἀτάκτοις καὶ ἐξαπίνης ἐπὶ τὸ θερμὸν καὶ ψυχρὸν μεταβολαῖς, αἵ τ᾽ ἐκ τῆς κακοχυμίας ἐνοχλοῦσιν αὐτὴν δριμύτητες, καὶ μάλιστα ὅταν ἐξαίφνης ἐπὶ τὸ ψυχρὸν γιγνομένης μεταβολῆς τοὺς τέως διαπνεομένους, καὶ δι᾽ ἱδρώτων κενουμένους χυμοὺς ἀποστρέψῃ πρὸς τὴν κύστιν. αἱ λειεντερίαι δὲ ταχεῖαί τέ εἰσι, καὶ κατὰ πάντα ἀμετάβλητοι τῶν σιτίων διαχωρήσεις, ἤτοι δι᾽ ἕλκωσιν ἐπιπολῆς κατά γε τὴν γαστέρα, ἢ κατὰ τὰ ἔντερα συνισταμένην τοιαύτην, οἵαπερ καὶ ἐπὶ τῶν παιδίων αἱ ἄφθαι καλούμεναι, δι᾽ ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως. ὧν τὸ μὲν πρότερον ἐπὶ δακνώδεσι χυμοῖς, ἢ λεπτοῖς τῇ συστάσει, τὸ δὲ δεύτερον ἐπὶ δυσκρασίᾳ μεγάλῃ, τῆς κοιλίας τε καὶ τῶν ἐντέρων γίγνεται. ἄμφω δὲ ταῦτα τῷ φθινοπώρῳ μάλιστα γίνεσθαι συμβαίνει, τὰς δ᾽ ἰσχιάδας εὔλογον ἐπί τε τῇ κακοηθείᾳ τῶν χυμῶν, καὶ τῇ ψύξει μάλιστα γίνεσθαι. κυνάγχαι δὲ ἐπὶ χολώδεσι χυμοῖς συνίστανται, κατασκήπτουσιν εἰς τὴν φάρυγγα, καὶ διαφέρουσι τῶν κατὰ τὸ ἔαρ, ὅτι φλεγματωδέσταί πως ἐκεῖναι. καὶ μὲν δὴ καὶ τὰ ἄσθματα, διά τε τὴν ἔσω κίνησιν τῶν χυμῶν, καὶ τὴν ψύξιν εἴωθε γίγνεσθαι. δι᾽ αὐτὰ δὲ ταῦτα καὶ οἱ εἰλεοὶ τῆς κάτω διεξόδου τῶν τῆς τροφῆς περιττωμάτων ἐπίσχεσις ὄντες, ἐπὶ φλεγμοναῖς τὰ πολλὰ μορίου τινὸς ἐντέρων γίγνονται. μάλιστα δὲ εἰκὸς ἐν ψυχρῷ καὶ ἀνωμάλῳ, καὶ κακοχύμῳ καιρῷ, βλάπτεσθαι τὰ κατὰ γαστέρα τε καὶ τὰ ἔντερα. λεπτοὺς γὰρ καὶ εὐκινήτους ἐν τῷ θέρει τοὺς χυμοὺς γιγνομένους, διαδεχόμενον τὸ φθινόπωρον, ψυχρόν τε ἅμα καὶ ἀνώμαλον ὑπάρχον, εἰς τὸ βάθος ἄγει τοῦ σώματος, ἐν τῷ βάθει δ᾽ οὖν καὶ ἡ τῶν ἐντέρων θέσις. αἱ δ᾽ ἐπιληψίαι γίγνονται τοῖς ἐπιτηδείως ἔχουσι πάσχειν τὸ πάθος τοῦτο, διὰ τὴν ἐξαιφνίδιον ἐπὶ τἀναντία μεταβολήν. θάλπος μὲν γὰρ ἐν τοῖς μέσοις τῆς ἡμέρας, ψῦχος δ᾽ ἐν τοῖς πρώτοις καὶ τελευταίοις γίγνεται. οὐδὲν δ᾽ οὕτω τοὺς ἐπιληπτικοὺς παροξυσμούς, ὡς ἡ τοιαύτη μεταβολὴ γεννᾶν πέφυκε. τὰ δὲ μανικὰ πάθη, διὰ τὴν ἐν τοῖς λεπτοῖς χολώδεσι χυμοῖς κακοήθειαν γίγνεται, καθάπερ γε καὶ τὰ μελαγχολικά, διὰ τὴν μέλαιναν, ὑπὲρ ἧς ὀλίγον ἔμπροσθεν εἴρηται.

Τοῦ δὲ χειμῶνος πλευρίτιδες, περιπνευμονίαι, κόρυζαι, βράγχοι, βῆχες, πόνοι στηθέων, πλευρέων, ὀσφύος, κεφαλαλγίαι, ἴλιγγοι, ἀποπληξίαι.

Τὰ χειμερινὰ νοσήματα ἐξηγούμενος ἐφεξῆς τῶν φθινοπωρινῶν, οὐκέθ᾽ ὁμοίως ὡς ἔμπροσθεν εἶπεν, οὐθ᾽ ὅτι τοῦ χειμῶνος τὰ πολλὰ τῶν φθινοπωρινῶν, καίτοι γ᾽ ἔμπροσθεν ἐπὶ μὲν τῶν θερινῶν εἰρήκει παραβάλλων αὐτὰ τοῖς ἠρινοῖς, τοῦ δὲ θέρεος ἔνιά τε τουτέων. ἐπὶ δὲ τῶν φθινοπωρινῶν, τοῦ φθινοπώρου καὶ τῶν θερινῶν τὰ πολλά. νυνὶ δὲ τοῦ χειμῶνος ἁπλῶς τὸν κατάλογον ἐποιήσατο τῶν νοσημάτων, ἤτοι γὰρ ἀεὶ κοινοῦ βουλόμενος ἡμᾶς κἀνταῦθα προσυπακοῦσαί τι τῶν εἰρημένων, ἢ ἁπλῶς ἀποφαινόμενος, ὡς κατὰ μηδὲν κοινωνούσης τῆς φθινοπωρινῆς ὥρας τῇ χειμερινῇ. καίτοι τάγε πρῶτα τοῦ χειμῶνος, εὔλογόν τε ἅμα καὶ διὰ τῆς πείρας φαίνεται κοινωνοῦντα τῷ φθινοπώρῳ. ἀλλὰ τάγε τοῦ χειμῶνος ἴδια τοῦτ᾽ εἶναι βούλεται, πλευρίτιδας καὶ περιπνευμονίας, διὰ τὸ κρύος βλαπτομένων

τῶν ἀναπνευστικῶν ὀργάνων, ἐπεὶ τὰ μὲν ἄλλα, καὶ σκεπάσαι δυνατὸν οὕτως ἀκριβῶς, ὡς ἤτοι μηδὲν, ἢ ὡς ἥκιστα αἰσθάνεσθαι τῆς τοῦ περιέχοντος ψυχρότητος. τὰ δ᾽ ἀναπνοῆς οὐδ᾽ εἶρξαι τινὰ δυνατὸν, οὐδ᾽ ἀναπνεῖν ἑτέρωθεν ἐγχωρεῖ. ὧν διά τε ταύτην αὐτὴν τὴν ψύξιν, αἵ τε βῆχες ἐν χειμῶνι γίνονται μάλιστα, καὶ οἱ τῶν πλευρῶν πόνοι. διὰ δὲ τὴν αὐτὴν ταύτην ψύξιν, καὶ ἡ κεφαλὴ βλαπτομένη, κορύζας τε καὶ βῆχας καὶ βράγχους ἐργάζεται. γίγνονται δ᾽ ὥσπερ τῶν πλευρῶν οἱ πόνοι διὰ τὴν ψύξιν, οὕτω καὶ τῆς κεφαλῆς καὶ τῆς ὀσφύος, καὶ ἁπλῶς τῶν νευρωδῶν, καὶ οἱ ἴλιγγοι δὲ ταῖς τῆς κεφαλῆς ἕπονται βλάβαις, ὥσπερ γε καὶ ἀποπληξίαι. καὶ γὰρ καὶ τοῦτο τὸ πάθος, ὅταν ὁ ἐγκέφαλος ἐμπλησθῇ φλέγματος, γίνεται.

Ἐν δὲ τῇσι ἡλικίῃσι τοιάδε συμβαίνει, τοῖσι μὲν μικροῖσι καὶ νεογνοῖσι παιδίοισιν ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναὶ, ὤτων ὑγρότητες.

Ἐπιμελέστερον διείργασται τὰ κατὰ τὰς ἡλικίας τῶν κατὰ τὰς ὥρας, εἰς μικρὰ μόρια τέμνων αὐτάς. τῶν μὲν οὖν τῶν παιδίων τῶν νεογνῶν, ἄφθας φησὶ γίγνεσθαι. καλοῦσι δὲ οὕτως τὰς ἐπιπολῆς ἑλκώσεις κατὰ τὸ στόμα, διὰ μαλακότητα μάλιστα τῶν ὀργάνων γιγνομένας, μὴ φερόντων μήτε τὴν ἀφὴν, μήτε τὴν ποιότητα τοῦ γάλακτος, ἔχοντος οὐκ ὀλίγον ὀρρῶδες ἐν αὐτοῖς. ῥυπτικὸν δ᾽ ἐστὶ τοῦτο τὴν φύσιν, ὥστ᾽ οὐδὲν θαυμαστὸν ἐν μαλακοῖς σώμασιν ἐργάζεσθαί τινας ἐπιπολῆς ἑλκώσεις. τοὺς δ᾽ ἐμέτους τηνικαῦτα εἰκὸς γίνεσθαι τούτοις διὰ τὸ πλῆθος οὗ προσφέρονται γάλακτος, ἀγρυπνίαι δ᾽ αὐτοῖς οὐδαμῶς συνήθεις εἰσί. κοιμᾶται γὰρ τὸ πλέον τοῦ χρόνου, πλὴν εἰ δι᾽ αὐτὸ τὸ πάθος νομίζει γινομένας ποτ᾽ ἀγρυπνίας τοῖς παιδίοις, ἐπειδὴ τὸ πλῆθος τῶν ὕπνων κατὰ φύσιν ἦν αὐτοῖς μάλιστα. οἱ φόβοι δὲ τοῖς παιδίοις γίνονται κατὰ τοὺς ὕπνους, καὶ μάλιστα ἐξ αὐτῶν τοῖς ἀδηφάγοις, ὅταν δυσαίσθητα μὲν ᾖ, ἀσθενῆ δ᾽ ὑπάρχει φύσει τὰ κατὰ τὴν γαστέρα χωρία, διαφθείρεται δὲ ἡ τροφή. παρεφυλάξαμεν γὰρ οὐκ ἐπὶ τῶν τηλικούτων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἤδη τελείων ἐν τοῖς ὕπνοις γιγνομένας φαντασίας φοβεράς, ὅταν πολλοί τε ἅμα καὶ μοχθηροὶ χυμοὶ βαρύνωσι καὶ δάκνωσι τὰ κατὰ τὴν γαστέρα, καὶ μάλιστα αὐτῆς τὸ στόμα, τοῦτο γὰρ αὐτῆς ἐστι τὸ αἰσθητικώτατον. αἱ δὲ τῶν ὀμφαλῶν φλεγμοναὶ τῶν ἀποτετμημένων, ὃ πρὸ πολλοῦ δεόντως τοῖς νεογνέσι παιδίοις γίνονται, καθάπερ εἰ καί τι μόριον ἔτυχεν ἑλκωθέν. ἀλλὰ τάς γε μὴν τῶν ὤτων ὑγρότητας ἐν παθήμασι τίθεται, καίτοι τάς γε τῆς ὑπερῴας, καὶ τῆς ῥινὸς οὐ τιθέμενος, ὅτι κατὰ φύσιν μὲν ἐστι διὰ ῥινῶν, καὶ ὑπερῴας μεταχετεύεσθαι τὸ περίττωμα τοῦ ἐγκεφάλου, καὶ γίγνεται τοῦτο καὶ τοῖς τελείοις ἤδη, παρὰ φύσιν δὲ διὰ τῶν ὤτων. ἀλλὰ τοῖς γε βρέφεσι, καὶ διὰ τούτων ὁ ἐγκέφαλος ἐκκαθαίρεται, καὶ καλῶς ὁ Ἱπποκράτης ἐν τοῖς ἰδίοις τῆς ἡλικίας, ἔγραψε καὶ τὰς τῶν ὤτων ὑγρότητας. ἔστι μὲν οὖν καὶ ὅλον τὸ σῶμα τοῖς νεογνέσι παιδίοις ἐσχάτως ὑγρὸν, ὡς καὶ τὴν τῶν ὀστῶν φύσιν ἐν αὐτοῖς οἷον κηρώδη μᾶλλον ὑπάρχειν, ἢ λιθώδη. πολὺ δὲ μᾶλλον τῶν ἄλλων μορίων ὁ ἐγκέφαλος ὑγρός ἐστιν, ὡς ἂν καὶ τοῖς τελείοις ὑπάρχων τοιοῦτος, ὥστε εὐλόγως αὐτοῖς, ἐπειδὴ πλῆθος ἐστὶ τῶν περιττῶν, διὰ πάντων ἐκκρίνεσθαι τῶν πόρων.

Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν οὔλων ὀδαξισμοὶ, πυρετοὶ, σπασμοὶ, διάρροιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παίδων, καὶ τοῖσι τὰς κοιλίας σκληρὰς ἔχουσι.

Τὸ μὲν ὀδαξισμούς τινας γίνεσθαι τῶν οὔλων, ὅταν οἱ ὀδόντες φύειν μέλλωσι τοῖς παιδίοις, οὐδὲν θαυμαστόν. ὁ γὰρ ὀδαξισμὸς κνησμός τίς ἐστι μετὰ βραχείας τινὸς ἀνίας. οἱ πυρετοὶ δὲ καὶ οἱ σπασμοὶ καὶ αἱ διάρροιαι συμβαίνουσι τοῖς παιδίοις, ὀδοντοφυοῦσιν ἤδη καὶ μηκέτι μέλλουσιν, ὡς καὶ αὐτὸς ἐδήλωσεν εἰπὼν, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας. εὔλογον δὲ δήπου, ὅτι διατετραμμένων τῶν οὔλων ὑπὸ τῶν ἀνιόντων ὀδόντων, ταῦτα γίνεσθαι τὰ συμπτώματα, καθάπερ ὅταν ἐμπεπαρμένος ᾖ σκόλοψ σαρκί, καὶ πλέον γ᾽ ἐστὶ τὸ κατὰ τοὺς ὀδόντας, ἢ τοὺς σκόλοπας τὸ τῆς ἀνίας. οἱ μὲν γὰρ σκόλοπες ἡσυχάζουσιν ἐστηριγμένοι κατὰ τὸ μόριον ᾧ κατ᾽ ἀρχὰς ἐμπεπήγασιν. οἱ δ᾽ ὀδόντες ἀεὶ προχωροῦσι τοὔμπροσθεν, ἅτε αὐξανόμενοι. πυρέττει μὲν οὖν ἐν τούτῳ τῆς ἡλικίας τὰ παιδία, διά τε τὰς ὀδύνας, καὶ τὰς ἀγρυπνίας, καὶ τὰς φλεγμονάς. οἱ σπασμοὶ δ᾽ αὐτοῖς ἕπονται, διά τε ταῦτα, καὶ διὰ τὴν τροφὴν ἀπεπτουμένην, καὶ διότι μηδέπω τὰ κατὰ τῶν νεύρων φύσιν ἐστὶν ἰσχυρά. τούτοις ἅπασιν ἀκολουθοῦσι ἐξ ἀνάγκης, καὶ αἱ διάρροιαι, διὰ τὸ μὴ πέττεσθαι καλῶς τὴν τροφὴν, μήτε ἀναδίδοσθαι. τὸ δὲ καὶ τοῖς παχυτάτοις τῶν παιδίων, καὶ τοῖς τὰς κοιλίας σκληρὰς ἔχουσιν, ἐπὶ τοὺς σπασμοὺς ἀναφέρεται. τούτοις μάλιστα λέγοντος αὐτοῦ τῶν παιδίων γίγνεσθαι σπασμοὺς, ἅπερ ἂν ᾖ παχύτατα καὶ κοιλίας ἔχοντα σκληράς. πληθωρικὰ γάρ ἐστι τὰ τοιαῦτα καὶ περιττωματικὰ, καὶ διὰ τοῦτο σπασμοῖς εὐάλωτα, μάλιστα δὲ σπασμοὶ τὰς τοιαύτας καταλαμβάνουσι φύσεις.

Πρεσβυτέροισι δὲ γινομένοισι παρίσθμια, σφονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοὶ, χοιράδες, καὶ τἆλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα.

Πρῶτον μὲν ἔγραψε περὶ τῶν νεογνῶν παιδίων, εἶθ᾽ ἑξῆς τῶν ὀδοντοφυόντων, εἶτα νῦν περὶ τῶν μεταξὺ κατὰ τὴν ἡλικίαν ἤδη, τῶν πεπαυμένων τοὺς ὀδόντας φύειν, καὶ τῶν πλησίον τοῦ ἡβάσκειν, ἐφεξῆς γὰρ ἐκείνων, ὑπὲρ τοῖσδε τετάρτων τῇ τάξει μνημονεύει κατὰ τὸν ἑξῆς ἀφορισμόν. ἀλλὰ τήν γε τρίτην ἡλικίαν, ἥτις νῦν πρόκειται ἡμῖν, τὴν ἄχρι δωδεκάτου καὶ τρισκαιδεκάτου περιϊοῦσαν ἔτους, ἁλίσκεσθαι πάθεσι φησίν, ὧν πρῶτα γράφει παρίσθμια, φλεγμονὰς ὄντα τῶν κατὰ τὸν ἰσθμὸν χωρίων. ἀκούειν δ᾽ νῦν ἰσθμὸν χρὴ, τὸ μεταξὺ τοῦ στόματός τε καὶ τοῦ

στομάχου

στομάχου μόριον, ἐκ μεταφορᾶς οὕτως ὠνομασμένον, ἀπὸ τῶν κυρίως λεγομένων ἰσθμῶν, αἳ δή τινές εἰσι στεναὶ γῆς διέξοδοι, μεταξὺ δυοῖν θαλαττῶν. τὰ δὲ παρίσθμια ταῦτα, ποτὲ μὲν αὐτοῦ μόνου τοῦ κοινοῦ, τῇ τε γαστρὶ καὶ τῷ στομάχῳ, καὶ τῇ φάρυγγι, καὶ ὅλῳ τῷ στόματι χιτῶνος εἰσὶ φλεγμοναὶ, ποτὲ δὲ καὶ τῶν ὑποκειμένων αὐτῶν μυῶν, ἡνίκα καὶ τοῦ κατὰ τὸ ἰνίον σπονδύλου συμβαίνουσιν αἱ εἴσω ῥοπαὶ, περὶ ὧν ἐφεξῆς ἐν τοῖς παρισθμίοις ἐρεῖ. σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες. ἑλκόμενος γὰρ ὑπὸ τῶν φλεγμαινόντων μυῶν ὁ σπόνδυλος οὗτος, εἰς τὸ πρόσω τοῦ τραχήλου μέρος ἀπονεύει. κέκληκε δὲ οὐ πρόσω τοῦτο τὸ μέρος, ἀλλ' εἴσω, νῦν ὁ Ἱπποκράτης ὡς πρὸς τὸν σπόνδυλον ἀναφέρων τὸν λόγον ὀπίσω κείμενον. ἡ γὰρ εἰς τὸ βάθος μετάστασις τοῦ σώματος, ἐάν τε ἐκ τῶν ὀπίσω, ἐάν τε ἐκ τῶν πρόσω γίνηται, διὰ μιᾶς φωνῆς δηλοῦται τῆς εἴσω. τί δή ποτ' οὖν ὁ Ἱπποκράτης ἐπὶ τῶν ἀρτιγενῶν παιδίων, οὔτε περὶ τῶν παρισθμίων, οὔτε περὶ τῆς εἴσω ῥοπῆς τοῦ κατὰ τὸ ἰνίον σπονδύλου διῆλθεν, ὅτι δηλονότι ἧττον κἀκείνων ὑγρὸν καὶ περιττωματικὸν ἐχόντων τὸν ἐγκέφαλον, ὡς ἐπιπέμπειν ῥεῦμα τοῖς ὑποκειμένοις μορίοις, ἢ ὅτι φθάνει τὰ τηλικαῦτα διαφθειρόμενα, πρὶν ὑπομεῖναι φλεγμονὴν ἰσχυρὰν τοὺς ὑποκειμένους τῇ φάρυγγι μύας ἅμα τοῖς νεύροις. καὶ ἄλλως ὅτι μαλακὰ ταῦτα ἐστὶν αὐτοῖς τὰ μόρια, καὶ διὰ τοῦτο ἀδύνατα τάσιν ὑπομεῖναι σφοδρὰν, ὡς ἐπισπᾶσθαι δύνασθαι τὸν σπόνδυλον εἴσω πρὸς αὐτά. καὶ μὲν δὴ καὶ τὸ ἆσθμα, καλοῦσι δ' οὕτως οἱ Ἕλληνες τὴν πυκνὴν ἀναπνοὴν, οἵα συμβαίνει τοῖς δραμοῦσιν, ἢ ὁπωσοῦν ἑτέρως εἰς σφοδρὰν κίνησιν ἀχθεῖσιν, ἐπὶ μὲν τούτων γίνεται, δι' αὐτὸ τὸ γυμνάσιον ἀναπνοῆς πολλῆς τοῦ ζώου χρῄζοντος. ἐπὶ δὲ τῶν ἄνευ γυμνασίου, διὰ τὴν στενοχωρίαν τῶν ἐν τῷ πνεύμονι κοιλιῶν. ἡ στενοχωρία δ' αὕτη πληρουμένου τοῦ σπλάγχνου, τῶν ἄνωθεν ῥευμάτων γίνεται. τὰ δὲ ῥεύματα ταῦτα, πλείω μὲν ἐστὶ τοῖς νεογνοῖς παιδίοις, ἀναιρεῖ δ' ὀξέως αὐτὰ, διότι καὶ ἄλλως ἔχει κακῶς. ἥτε γὰρ ἐκ τῆς μήτρας εἰς τὸν πέριξ ἀέρα κατάστασις, ἥτε τῆς τροφῆς ἑτερότης, ἥτε φλεγμονὴ, κατ' ἀρχὰς μὲν τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων, αὖθις δὲ διὰ τὴν τῶν ὀδόντων γένεσιν, ἀσθενῆ πάντα ποιεῖ τὰ τοιαῦτα, καὶ μόγις ἐφ' οἷς εἴρηκα διαρκοῦνται, μήτι γε δὴ πρὸς ἐκείνοις ἔτι καὶ τὸ ῥεῦμα δυνάμενα φέρειν, εἰς πνεύμονα κατασκῆπτον. αἱ δὲ λιθιάσεις ἴδιον ἐστὶ τῶν παίδων πάθημα, διὰ τὴν ἀδδηφαγίαν ὠμοὺς χυμοὺς ἀθροιζόντων οὐκ ὀλίγους, ἐξ ὧν τὸ παχύτερον αἷμα τοῖς οὔροις εἰς τὴν κύστιν ἀφικνούμενον, ὕλη τῆς τῶν λίθων ἐστὶ γενέσεως, καὶ διὰ τὴν θερμασίαν τὴν πολλήν. ἀθροίζουσι μὲν γὰρ καὶ οἱ γέροντες οὐκ ὀλίγον ὠμὸν χυμὸν, οὐ διὰ τὴν ἀδδηφαγίαν ὡς οἱ παῖδες, ἀλλὰ διὰ τὴν ἀῤῥωστίαν τῆς πεπτικῆς δυνάμεως. οὐ μὴν τόγε θερμὸν ἔχουσιν ἰσχυρὸν, ὃ τὴν παχεῖαν ὕλην ἐξατμίζον ἐργάζεται τοὺς λίθους. ἕλμινθες δὲ καὶ ἀσκαρίδες ἀνάλογον ἐοίκασι γίνεσθαι τοῖς ἄλλοις ζώοις, ὅσα τὴν γένεσιν οὐκ ἐκ σπερμάτων, ἀλλ' ἐκ σηπεδόνος ἔχει μόνων. μόνη γὰρ οὐχ ἱκανὴ ταῦτα γεννῆσαι σηπεδὼν, ἀλλὰ καὶ θερμασίας πολλῆς προσδεῖται. διαφθείρεται μὲν οὖν ἡ τροφὴ πολλάκις ἐν τῇ γαστρὶ, καὶ μάλιστα ἐν τῇ κάτω τοῖς παιδίοις. ἀλλ' ἡ θερμασία τοῖς μὲν πάνυ νέοις, οὐδέπω τῆς ὕλης ἐγκρατής ἐστι. τῶν δὲ τηλικούτων καὶ τὴν ὕλην ἐπέχει τὴν ἐπιτήδειον εἰς ζώων τοιούτων γένεσιν, ἐπ' αὐτῇ τε τὴν θερμασίαν προσείληφεν. ἀσκαρίδες μὲν οὖν εἰσι λεπταί τινες ἕλμινθες ἐν τῷ κάτω μάλιστα τοῦ παχέος ἐντέρου μέρει γεννώμεναι, καὶ φαίνονταί γε πλεῖσται σαφῶς ἐπὶ τῶν ἀπεπτούντων ὑποζυγίων γεννώμεναι. τὴν δ' ἀπεψίαν αὐτῶν ἡ δυσωδία τῶν διαχωρημάτων ἐνδείκνυται. τὸ δ' ἄλλο γένος τῶν ἑλμίνθων αἱ στρογγύλαι, γεννῶνται μὲν ἐν τοῖς ἄνω μᾶλλον ἐντέροις, ὥστε καὶ εἰς αὐτὴν ἐπαναβαίνουσαι ἐστὶν ὅτε τὴν γαστέρα, πολὺ δὲ πλείους αὗται τῶν ἀσκαρίδων ἐν τοῖς παισὶ γίγνονται. σπανιωτέρα δ' ἡ τῆς πλατείας ἕλμινθος γένεσίς ἐστιν, ἥτις καὶ μακροτάτη γίγνεται, παρεκτεινομένη πολλάκις ἅπασι τοῖς ἐντέροις. ἀλλὰ ταύτης μὲν οὐδ' ὅλως ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ὅτι μηδὲ προὔκειτο περὶ πάντων αὐτῷ διεξέρχεσθαι τῶν παθημάτων, ὅσα συμβαίνει τοῖς ἀνθρώποις, ἀλλ' ἐκείνων μόνων ὅσα γίγνεται καθ' ἑκάστην τῶν ἡλικιῶν. διὰ τοῦτο γοῦν αὐτὸς μετὰ τὸν εἰρημένων κατάλογον, ἐφεξῆς ἀκροχορδόνας τε καὶ χοιράδας ἔγραψε κακοχύμου πλήθους ἔγγονα νοσήματα ῥέποντος ἔξω τε καὶ πρὸς τὸ δέρμα. πᾶν δὲ αὐτῶν τὸ γένος ὀνομάζει φύματα, γράψας ἐφεξῆς οὕτως, ἀκροχορδόνες, χοιράδες καὶ τἄλλα φύματα. λέγονται δ' ἐξαιρέτως ἔνια φύματα φλεγμοναί τινες αὐτόματοι, τάχιστα μὲν γεννώμεναι, τάχιστα δ' εἰς ὀξὺ καὶ ὑψηλὸν αἰρόμεναι, τάχιστα δὲ καὶ ἐκπυϊσκόμεναι, καὶ πλείστη γε καὶ ἡ τούτων γένεσις ἐστὶν ἐν βουβῶνι, καὶ μασχάλῃ, ὅτι καὶ ἀδένες ἐνταῦθα πολλοὶ φύσιν ἔχοντες εἰς ἑαυτοὺς ἑτοίμως δέχεσθαι τὰ περιττά. τούτων τῶν ἀδένων ἐστὶ πάθημα καὶ ἡ χοιρὰς, οὐχ ὑπὸ θερμῆς ὕλης, οὐδ' εἰς ἐκπύησιν ἐπειγομένης, μάλιστα δὲ ψυχροτέρας τε καὶ φλεγματικωτέρας.

Τοῖσι δὲ ἔτι πρεσβυτέροισι, καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

Ἄρχονται μὲν ἡβάσκειν μετὰ τὸ τεσσαρεσκαιδέκατον ἔτος οἱ παῖδες. ὅσοι δὲ πλησίον ἥκουσι τῆς ἡλικίας ἐκείνης, εἶεν ἂν ποτὲ ἐτῶν δυοκαίδεκα, ἢ τρισκαίδεκα, καὶ μέντοι καὶ τεσσαρεσκαίδεκα τινὲς αὐτῶν. οὐ γὰρ ἁπάντων ἀκριβὴς μία προθεσμία τῆς ἥβης ἐστὶ, διὰ τὴν θερμότητα καὶ ψυχρότητα τῆς κράσεως. οἱ μὲν γὰρ θερμοὶ πρωϊαίτερον, οἱ ψυχροὶ δὲ ὀψιαίτερον ἡβάσκουσι. νοσοῦσιν δ' οἱ παῖδες οὗτοι, πολλὰ μὲν καὶ τῶν ἤδη προειρημένων τῇ τῆς κράσεως ὁμοιότητι, καὶ μέντοι καὶ πυρετοὺς χρονιωτέρους τῶν ἔμπροσθεν. οὐ μὴν εἴρηκέ τι περὶ τῶν ἐν ἐκείνῃ τῇ ἡλικίᾳ πλεοναζόντων πυρετῶν, ἀλλ' ἐκ τοῦ νῦν εἰρημένου δῆλός ἐστιν ἐνδεικνύμενος ὀξεῖς αὐτοὺς γίγνεσθαι. ἀλλοιοῦνται γὰρ αἱ διαθέσεις τῶν παίδων τάχιστα, διὰ τὴν ὑγρότητα τοῦ σώματος, καὶ τὴν τῆς φυσικῆς δυνάμεως ἀῤῥωστίαν. αἵματος δὲ ῥύσεις ἐκ τῶν ῥινῶν γίνονται τοῖς τηλικούτοις, ἐπειδὴ πλεονάζειν ἄρχεται κατὰ τὴν ἡλικίαν ἐκείνην ὁ χυμὸς οὗτος, οὐχ ὅτι πλείων γεννᾶται, ἢ πρόσθεν, ἀλλ' ὅτι νῦν ἧττον ἀναλίσκεται, διὰ τὸ καὶ τὴν αὔξησιν ὡς πρὸς τὴν ἀναλογίαν τοῦ σώματος, ἧττον κατὰ τὴν ἡλικίαν ταύτην γίνεσθαι τῆς ἔμπροσθεν.

Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δ᾽ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ᾽ ἂν διαμείνῃ τοῖσι παιδίοισι πάθεα, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τοῖσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας χρονίζειν εἴωθεν.

Εἰ προσέκειτο τῷ λόγῳ τὰ χρόνια, κάλλιον ἂν ἦν, ὅθεν ἔνιοι τὸ τοῦ πάθους ὄνομα κατὰ τῶν χρονίων μόνων οἴονται λέγειν αὐτόν. ἀλλ᾽ ἐναντιοῦται γε αὐτοῖς τὰ τοιαῦτα κατὰ τοὺς ἀφορισμοὺς εἰρημένα, ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι, καὶ αἱ λεπταὶ δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν ἀεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσι. δῆλον οὖν ἐκ τούτων ἐστὶν, ὡς οὐ μόνον ἐπὶ τῶν χρονίων, ἀλλὰ καὶ ἐπὶ ὀξέων λέγειν εἴωθεν ὁ Ἱπποκράτης τὸ τοῦ πάθους ὄνομα. φαίνεται γε μὴν νῦν ἤτοι ἐπὶ τῶν χρονίων αὐτὸ φέρων, ἢ τὸν λόγον ἐλλιπῆ πεποιημένος. ἀλλ᾽ ἡμεῖς γε ἀναπληρώσαντες αὐτὸν, φήσομεν οὕτως. τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθη χρόνια κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι. τῶν μὲν οὖν ἡμερῶν ἡ τεσσαρακοστὴ, πρώτη μὲν τῶν χρονιζόντων ἐστὶ κρίσιμος, ἐσχάτη δὲ τῶν ἐκ μεταπτώσεως ὀξέων, ὡς καὶ πρόσθεν εἶπον. ὅσα δὲ τὸν ἀριθμὸν τοῦτον ὑπερβαίνει, κατὰ τὸν τῆς ἑβδομάδος λόγον ἴσχει τὴν κρίσιν, οὐκέθ᾽ ἡμερῶν ἑπτὰ συναριθμουμένων, ἀλλὰ πρότερον μὲν μηνῶν, εἶθ᾽ ἑξῆς ἐτῶν. καὶ μέντοι δὴ καὶ ὅτι ἐπὶ τοῦτον ὑπερβαίντα τὸν χρόνον εἰς τὴν τετάρτην ἡλικίαν ἀφικνεῖται, πρόδηλον. δευτέρα τε γὰρ ἑβδομὰς ἐν τούτῳ τῷ χρόνῳ συμπληροῦται. καὶ ἄλλως αἱ μεταβολαὶ τοῦ σώματος μεγάλαι γίνονται κατὰ τὴν ἥβην, καὶ μάλιστα ἐπὶ τῶν θηλειῶν, διὰ τὴν τῶν καταμηνίων φορὰν, ὥσθ᾽ ὅσα γε νοσήματα μηδὲ ἐπὶ ταύτην τὴν ἡλικίαν ἐλύθη, μέχρι πολλοῦ χρόνου παραμένειν εἴωθεν.

Τοῖσι δὲ νεηνίσκοισιν αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τἄλλα νοσήματα, μάλιστα δὲ τὰ προειρημένα.

Λεπτομερῶς πάνυ διελθὼν τὰς πρώτας ἡλικίας ἄχρι τῆς τῶν ἡβώντων, οὐκ οἶδ᾽ ὅπως ὑπερέβη τὴν τῶν μειρακίων, ἐν τῷ μεταξὺ τῆς τῶν ἡβώντων, καὶ τῶν ἀκμαζόντων οὖσαν. ἀλλ᾽ ἐκ τῶν εἰρημένων, ἔνεστί σοι τι καὶ περὶ ταύτης τεκμήρασθαι, κοινωνούσης μὲν ἐπὶ πολλὰ ταῖς περιεχούσαις αὐτὴν ἑκατέρωθεν ἡλικίαις, ἴδιον δ᾽ ἐξαίρετον ἐχούσης ἐπὶ τῶν ἀρρένων, τὴν ἐκ ῥινῶν αἱμοῤῥαγίαν, ἧς ἐμνημόνευσεν ἐπὶ τῶν ἐγγὺς τῆς ἥβης. ἄρχεται μὲν γὰρ ἐπιφαίνεσθαι κατ᾽ ἐκείνην τὴν ἡλικίαν τοῦτο τὸ σύμπτωμα, μάλιστα δ᾽ ἀκμάζει τοῖς μειρακίοις, εἶθ᾽ ὑφίησιν ἀνδρουμένοις. ἀλλὰ ταύτην τὴν ἡλικίαν ὑπερβὰς ὁ Ἱπποκράτης, ἐπὶ τὴν τῶν νεανίσκων ἀφικνεῖται, καὶ πρῶτον μὲν αἵματος πτύσιν καὶ φθίσιν ἔγραψεν, εἶθ᾽ ἑξῆς πυρετοὺς ὀξεῖς, καὶ μετ᾽ αὐτοὺς ἐπιληψίαν. εἶτ᾽ ἐπὶ τούτοις ἔφη, καὶ τὰ ἄλλα νοσήματα, μάλιστα δὲ τὰ προειρημένα. καλῶς μὲν τοῦτο προσγράψας, ὁρᾶται γὰρ οὕτως ἔχον, ἐλλιπῶς δὲ περὶ τῶν ὀξέων πυρετῶν διελθών. οὐ γὰρ ἁπλῶς ἐχρῆν εἰπεῖν ὀξεῖς, καὶ οἵγε τοῖς παισὶν, οὐδὲν ἧττον ὁρῶνται γιγνόμενοι, ἀλλὰ τῶν ὀξέων τριταίους μάλιστα καὶ καύσους. οὗτοι γὰρ χολωδέστατοί τε πυρετῶν ἁπάντων εἰσὶ καὶ πλεῖστοι τοῖς νεανίσκοις γίνονται. διότι καὶ ἡ ξανθὴ χολὴ πλεονάζει κατ᾽ αὐτὴν τὴν ἡλικίαν, ἐφ᾽ ἧς αἱ τοιαῦται νόσοι τοῖς ἀκμάζουσι γίνονται. φθίσεις δὲ καὶ πτύσεις αἵματος, οὐ κατὰ τὴν φύσιν τῆς ἡλικίας πάσχουσιν, ἀλλὰ κατά τι τῶν συμβεβηκότων αὐτῇ. διὸ καὶ πρόσθεν ἔλεγεν, οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πλεῖστα νοσοῦσιν ἧττον, ἔνθα καὶ ἡμεῖς εἴπομεν, ὡς διὰ τὴν ἀκρασίαν τοῖς νέοις, οὐ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως τὰ νοσήματα γίγνεται πολλά. κατὰ τοῦτο οὖν καὶ τοῖς νεανίσκοις αἱ τοῦ αἵματος πτύσεις συμβαίνουσιν, ἤτοι διὰ τὸ πληγῆναι, καὶ θλασθῆναι, καὶ πηδῆσαι, καὶ κράξαι σφοδρῶς, ἢ διὰ ψύξιν καὶ χαμευνίαν, ἢ πλησμονὴν, ἢ τι τοιοῦτον. ταῖς δὲ τοῦ αἵματος πτύσεσιν, ἕπονται φθίσεις, ὥστε καὶ διὰ ταῦτα νοσήσουσιν οἱ νεανίσκοι κατὰ συμβεβηκὸς, οὐ πρώτως οὐδὲ τῷ λόγῳ τῆς ἡλικίας. ἐπιληψίαι δὲ καίτοι κακῶς διαιτωμένοις αὐτοῖς, ὅμως οὐ γίγνονται πολλαὶ, καὶ θαυμάζω πῶς καὶ ταύτας ἔγραψεν ὁ Ἱπποκράτης αὐτὸς ἐν ἑτέροις, οὐ μόνον ὅτι πλεονάζουσι τοῖς παισὶν εἰπὼν, ἀλλὰ καὶ ὅτι διὰ τοῦτο παιδικὸν ὀνομάζεται τὸ πάθημα, καὶ ὅτι κατὰ τὴν μεταβολὴν τῆς ἡλικίας παύονται. γίνονται μὲν οὖν τισι καὶ τῶν νεανίσκων ἐπιληψίαι πρότερον οὐκ οὖσαι διὰ τὴν ἐν τῇ διαίτῃ πλημμέλειαν, ἥν ἔν τε τοῖς προσφερομένοις ποιοῦνται, καὶ ἣν ἐν τοῖς διαπραττομένοις ὑπ᾽ αὐτῶν ἔργοις, ἔν τε χαμευνίαις, καὶ ἡλιώσεσι, καὶ χειμῶσι, καὶ τοιούτοις. ἀλλ᾽ αὗταί γε οὐ πολλαί τινές εἰσι, καὶ γίγνεται δὲ καὶ ἄλλα τινὰ νοσήματα κατὰ τὸν αὐτὸν λόγον, ὥστε κάλλιον ἦν ὧδέ πως εἰρῆσθαι τὸν ἀφορισμόν. τοῖς δὲ νεανίσκοις γίνεται καὶ τἄλλα σχεδὸν ἅπαντα τὰ ῥητὰ κατὰ τὰς ἄλλας ἡλικίας, ἐξαιρέτως δὲ οἵ τε καῦσοι, καὶ οἱ τριταῖοι πυρετοί.

Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, χολέραι, διάῤῥοιαι χρόνιαι, δυσεντερίαι, αἱμοῤῥοΐδες.

Τῶν νεανίσκων ἡλικία κατὰ τὴν πέμπτην ἑβδομάδα περιγράφεται. κατὰ τοῦτο γοῦν καὶ αὐτὸς ἔλεγεν ἐν τῷ προγνωστικῷ. μᾶλλον δὲ χρὴ προσδέχεσθαι, τοῦ μὲν αἵματος τὴν ῥύσιν τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων. ἡ γὰρ ἐχομένη τῶν νεανίσκων ἡλικία, ταῖς ἐφεξῆς ἑβδομάσι δύο παρεκτείνεται. πάντα μὲν ἔτι πράττειν ἐπιχειρούντων αὐτῶν τὰ κατὰ τὸν βίον, παραπλησίως τοῖς ἀκμάζουσιν, οὐ μὴν ὁμοίως γε ἐξαρκούντων τοῖς πόνοις. ὑπό τε γὰρ ἐγκαύσεως, καὶ ψύξεως, καὶ χαμευνίας, ἀγρυπνίας τε καὶ πλησμονῆς, μᾶλλον ἐκείνων βλάπτονται. καὶ μὴν δὴ καὶ ἡ κρᾶσις αὕτη τῶν τοιούτων μελαγχολικωτέρα πώς ἐστι, καὶ διὰ τοῦτο ἐν αὐτῇ μελαγχολῶσι πολλοὶ, καθάπερ τῶν ὡρῶν ἐν φθινοπώρῳ. ὡς γὰρ ἐκεῖνο τὴν ἐν τῷ θέρει κατοπτηθεῖσαν ὠχρὰν χολὴν διαδέχεται ψυχρὸν ὂν, οὕτω καὶ ἡ τῶν παρακμαζόντων ἡλικία τὴν τῶν νεανίσκων, ἐπεὶ αὐτὴ ἔοικε μάλιστα θέρει, καὶ θαυμάσαι γέ ἐστι, πῶς οὐκ ἔγραψεν ἐπ᾽ αὐτῆς μελαγχολίαν, εὗρον γε μὴν ἔν τισι τῶν ἀντιγράφων, καὶ ταύτην γεγραμμένην, ἤτοι

προσθέντας

προσθεῖναι τὸ λεῖπον τολμήσαντός τινος ὡς παρεωραμένον ὑφ᾽ Ἱπποκράτους, ἢ τῶν ἄλλων ἡμαρτημένοις ἀντιγράφοις πιστευσάντων. ἀπόλλυνται δὲ καὶ τῶν φθινόντων πολλοὶ κατὰ ταύτην τὴν ἡλικίαν, καὶ τῶν νεανίσκων ὅσοι δὲ αἵματος πτύσεως ἁλίσκονται φθόῃ, περὶ ταύτην ἀπόλλυνται. οὐ μὴν πτύουσί γε αἷμα πολλοὶ περὶ ταύτην, ὅτι μηδὲ πλῆθος αἵματός ἐστιν ἐπὶ τοῖς τηλικούτοις. ἄσθμασι δὲ καὶ περιπνευμονίαις καὶ πλευρίτισιν ἁλίσκονται μᾶλλον τῶν νεανίσκων, ὡς ἂν τῇ μὲν διαίτῃ καὶ τοῖς πόνοις ὁμοίως χρώμενοι, πολὺ δ᾽ ἀσθενέστερον ἐκείνων ἔχοντες τὸ σῶμα, καὶ ὅλως ἃ παρέλιπεν ἐπὶ τῶν ἀκμαζόντων κατὰ λέξιν νοσήματα, ταῦτα νῦν ἅπαντα διέρχεται. καὶ γὰρ αἱ φρενίτιδες, καὶ οἱ καῦσοι, καὶ αἱ χολέραι, καὶ αἱ δυσεντερίαι τοῖς νεανίσκοις οὐδὲν ἧττον, ἢ τοῖς παρακμάζουσι γίνονται, τὴν ὑπόθεσιν τῆς γενέσεως ἐκ τῆς ὠχρᾶς χολῆς λαμβάνουσαι. χρονιώτεραι δὲ ἐπὶ τῶν παρακμαζόντων αἱ διάρροιαι γίνονται, διὰ τὸ τῆς ἀναδόσεως ἐλλιπές. σχεδὸν γὰρ ἁπασῶν τῶν ἡλικιῶν ἡ παρακμαστική, βραχυτάτων δεῖται τῶν ἀναλαμβανομένων εἰς τὴν ἕξιν, ὅτι καὶ τὸ διαφορούμενον ὑπ᾽ αὐτῶν ὀλίγιστον. οὔτε γὰρ ἔτι θερμὸν ὁμοίως ἐστὶ τὸ σῶμα ὡς ἔμπροσθεν, οὔτε εἰς αὔξησιν ἔτι δαπανᾶται κατ᾽ αὐτήν, ἀλλ᾽ οὐδὲ τῆς καθεκτικῆς δυνάμεως ἱκανῶς ἀρρωστούσης, ὡς ἐπὶ τῶν γερόντων, ἀπορρεῖ τι πλέον ἐκ τοῦ σώματος. ἐπεὶ τοίνυν αἱ διάρροιαι γίγνονται μὲν, ἤτοι τῆς πέψεως ἢ τῆς ἀναδόσεως ἀποτυγχανομένων, γίγνονται δὲ καὶ διὰ χολῆς δριμύτητα ξυούσης τὸ ἔντερον. ἅπαντα δὲ ταῦτα ἐπὶ τῶν παρακμαζόντων ἐστὶν, εἰκότως ἐπ᾽ αὐτῶν αἱ διάρροιαι χρονίζουσιν. οἵ γε μὴν ληθαργικοὶ πυρετοὶ, γίγνονται μὲν ἐπὶ φλεγματώδει χυμῷ περὶ τὸν ἐγκέφαλον ἠθροισμένῳ. ταῖς δὲ ἔμπροσθεν ἡλικίαις ἐνδεῖ μᾶλλον ὁ χυμὸς οὗτος, ἢ περιττεύει. κατὰ γε μὴν τὴν τῶν γερόντων πάμπολυς μὲν ἐστιν, ἀλλὰ διὰ τὸ ψυχρὸν τῆς ἡλικίας οὐκ ἅπτεται πυρετός. ἐπὶ δὲ τῆς τῶν ἀκμαζόντων καὶ περιττεύει ὁ τοιοῦτος χυμὸς, καὶ ψυχρὸν οὐδέ πω τὸ σῶμα ἐστίν. αἱ λειεντερίαι δὲ ἐδείχθησαν, αἱ μὲν ὑπὸ τοῦ ψυχροῦ φλέγματος, αἱ δὲ ὑπὸ δυσκρασίας μόνης ἄρρωστον ἐργαζομένης τὴν καθεκτικὴν τῆς γαστρὸς δύναμιν. αἱ δ᾽ ὑπό τινος ἑλκώδους διαθέσεως γιγνόμεναι, καὶ ταῦτα πάντα πλεονάζει τοῖς παρακμάζουσιν. αἱ δ᾽ αἱμορροΐδες, οἰκεῖον ὄντως εἰσὶ τῆς ἡλικίας ταύτης πάθος ὥσπερ αἱ μελαγχολίαι. γίνονται γὰρ ὑπὸ μελαίνης χολῆς, ἐπειδὰν εἰς τὰς κατὰ τὴν ἕδραν φλέβας ἀθροώτερον κατασκήψῃ. ἐμοὶ μὲν οὖν εἴρηται τῶν κατειλεγμένων ἁπάντων παθῶν ἡ αἰτία. τὸ δ᾽ ἐπιστημονικὸν τῆς πίστεως αὐτῶν ὑπάρξει τοῖς ἀναλεξαμένοις τὰς περὶ τούτων ἀποδείξεις, ἃς ἐν ταῖς ἡμετέραις πραγματείαις πεποιήμεθα. καταμαθήσεται δ᾽ αὐτὰς ὁ βουλόμενος ὁπόσαι τέ εἰσι, καὶ ὁποῖαι, καὶ ἥν τινα θεωρίαν διδάσκουσα ἑκάστη, τὸ περὶ τῆς τάξεως τῶν ἡμετέρων ὑπομνημάτων ἀναγνοὺς βιβλίον. ἐκ τούτων γὰρ ὁρμηθεὶς, εἴσεται πῶς ἑκάστην αὐτῶν ἀναγνωστέον ἐστί.

Τοῖσι δὲ πρεσβύτῃσι δύσπνοιαι, καὶ κατάῤῥοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρηκοΐαι.

Τοὺς πρεσβύτας τῶν γερόντων ἔνιοι τῶν ἀπὸ Ἱπποκράτους διορίζουσιν, ἐπὶ μὲν τῆς τελευταίας ἡλικίας, τὸ τῶν γερόντων ὄνομα διορίζοντές τε καὶ διὰ παντὸς ἡγούμενοι λέγεσθαι. τὸ δὲ τῶν πρεσβυτῶν ἐπὶ τῆς πρὸ αὐτῆς, ἥτις ἐστὶ μέση τῆς τε τῶν νεανίσκων καὶ τῆς τῶν γερόντων. ἀλλὰ νῦν γε σαφῶς ἐνεδείξατο, πρεσβύτας ὀνομάζων τοὺς τὴν ἐσχάτην ἄγοντας ἡλικίαν. ἐν αὐτοῖς γοῦν καταπαύει τὸν λόγον, ὡς ἁπάσας ἤδη διεληλυθώς. ἁλίσκονται δ᾽ οὗτοι συνεχέστατα καταῤῥόοις βηχώδεσι, διά τε τὸ ῥᾳδίως ψύχεσθαι τὰ περὶ τὴν κεφαλὴν, καὶ διὰ τὸ πολλὰ γεννᾶσθαι περιττώματα τούτοις φλεγματικὰ, ψυχρῶν τὴν κρᾶσιν ἱκανῶς ἤδη γεγονότων τῶν περὶ τὸν ἐγκέφαλον. ἄσθματα δὲ, διά τε τοὺς καταῤῥοῦς τούτους καὶ ἄλλως τῶν ἀναπνευστικῶν ἰδίαν ἀρχὴν ψύξεως πολλάκις λαμβανόντων. ἅτε δὴ πολλῶν τε καὶ παχέων ἐν αὐτοῖς περιττωμάτων γιγνομένων, καὶ προσέτι τῆς δυνάμεως ἀσθενοῦς οὔσης, ἐμφράττονται πολλάκις οἱ νεφροὶ καὶ τοὺς λίθους γεννῶσιν, ὅταν γλίσχρον ἢ παχὺ περίττωμα μένον αὐτόθι πωρῶδη λάβῃ σύστασιν. ἄρθρων δὲ πόνοι γίγνονται, ὅτε μὲν ἐπιῤῥεόντων ἐνίοις περιττῶν ἐνταῦθα. ἔστι δ᾽ ὅτε καὶ τῇ ψύξει τῶν κινούντων ὀργάνων αὐτά. καὶ τοὺς ἰλίγγους δὲ πολλάκις μὲν ἐν αὐτοῖς τοῖς περὶ τὸν ἐγκέφαλον χωρίοις ἀτμώδους πνεύματος ἄτακτος κίνησις ἐργάζεται. πολλάκις δ᾽ ἀθροισθέντων ἐν τῇ γαστρὶ περιττωμάτων μοχθηρῶν ἀτμώδης ἀναθυμίασις ἐπὶ τὸν ἐγκέφαλον φέρεται. περὶ δὲ τῆς ἀποπληξίας, τί δεῖ καὶ λέγειν. οὐδὲν γὰρ οὕτως οἰκεῖον ἐστὶ νόσημα τῇ τῶν γερόντων ἡλικίᾳ, διὰ τὸ πληροῦσθαι τὸν ἐγκέφαλον αὐτοῖς φλεγματωδῶν περιττωμάτων. εἴ γε μὴν ἕλκος που γένηται γέροντι, δυσχερῶς ὑγιάζεται διὰ τὴν ἔνδειαν τοῦ αἵματος, καὶ κνῶνται πυκνῶς, ὅπερ ὠνόμασε ξυσμὸς, ὡς ἂν τὴν κίνησιν ἐργαζομένων περιττωμάτων, δυσχερῆ τὴν διὰ τοῦ δέρματος ἐχόντων κένωσιν. εἰκὸς γάρ που τῇ ψύξει καὶ τὸ δέρμα πυκνούμενον αὐτοῖς εἶναι, καὶ τὰ περιττώματα πλείω γε ἅμα καὶ παχύτερα. οὐ γὰρ δὴ πάντες συνεχῶς ἀγρυπνοῦσι, καὶ ἄλλως μὲν ὅτι φροντιστικόν πως ὑπάρχει τὸ γῆρας, ἀλλὰ καὶ διὰ τὴν τοῦ σώματος ξηρότητα, διὸ καὶ μᾶλλον ἀγρυπνοῦσιν ὅταν ἀκριβῶς ὑγιαίνουσι. λέλεκται τοιγαροῦν ἡμῖν ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν, αὐτὰ μὲν τὰ μόρια τοῦ σώματος ἐν τῷ γήρᾳ γίνεσθαι ξηρότατα. περιττωμάτων δὲ πλῆθος ἀθροίζεσθαι φλεγματωδῶν, διὸ πρὸς τῶν πολλῶν εἰκότως ὑπολαμβάνεται ψυχρὸν καὶ ὑγρὸν τὸ γῆρας. ἐν ᾧ μὲν χρόνῳ ταῦτ᾽ ἄθροα ἐστὶ πλείω περὶ τὸν ἐγκέφαλον, ὑπνώδεις γίγνονται μᾶλλον, ἐν ᾧ δ᾽ αὖ ἐκκρίνονται καλῶς, ἀγρυπνητικοί. συμβαίνει δὲ καὶ γεννᾶσθαι μείω, καὶ θᾶττον ἐκκρίνεσθαι μᾶλλον, καθ᾽ ὃν αὖ ὑγιεινῶς διάγουσι χρόνον, ὅθεν καὶ μάλιστα πάθος ἴδιον δοκεῖ γεροντικῆς ἡλικίας ἀγρυπνία. αἱ δ᾽ ὑγρότητες αὐτοῖς, αἵ τε τῶν ὀφθαλμῶν καὶ τῶν ῥινῶν, δῆλον ὅτι διὰ τὰ τοῦ ἐγκεφάλου περιττώματα γίγνονται. τῶν δ᾽ αὐτῶν τούτων καταῤῥεόντων εἰς τὴν γαστέρα, καὶ αὐτὴ πολλάκις ὑγραίνεται. αἱ δ᾽ ἀμβλυωπίαι, καὶ αἱ βαρηκοΐαι, διὰ τὴν τῆς αἰσθητικῆς δυνάμεως ἀμαύρωσιν αὐτοῖς γίνονται. γλαυκώσεις δὲ διὰ τὴν τῶν ὀργάνων ἄμετρον ξηρότητα, καὶ διὰ τὴν ἰδέαν τοῦ ὑποχύματος ἔχειν.

Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

Αἱ πρὸς τὰς μήτρας συμφύσεις τῶν ἐμβρύων, ἀνάλογον ἔχουσι ταῖς τῶν καρπῶν πρὸς τὰ φυτά. ταυτὶ γὰρ τοι κατὰ μὲν τὴν πρώτην γένεσιν, ἀσθενέσι λαβαῖς συνέχεται, καὶ διὰ τοῦτο ἀποπίπτει ῥᾳδίως, ἐπειδὰν σφοδρότερος ἄνεμος αὐτὰ διασείσῃ. μετὰ ταῦτα δὲ αὐξανόμενα, δύσλυτον ἔχει τὴν πρὸς τὰ φυτὰ κοινωνίαν. ὥσπερ αὖ πάλιν ἐπειδὰν τελειωθῇ, καὶ χωρὶς τῆς ἔξωθεν βίας ἀποπίπτει. κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ τὰ κυούμενα, ἐν μὲν τῷ πρώτῳ χρόνῳ τῆς καταβολῆς τοῦ σπέρματος, κἂν ἅλλεσθαί ποτε συμβῇ τὴν γυναῖκα, ἢ καταπεσεῖν ὀλισθήσασαν, ἢ ὁπωσοῦν ἄλλως σφοδρότερον, ἢ κατὰ ψυχὴν ἢ κατὰ σῶμα κινηθῆναι, ῥᾳδίως ἀπορρήγνυνται. παραπλησίως δὲ καὶ ἐπειδὰν ἤδη τέλεια τυγχάνῃ ὄντα. ὁ δὲ μεταξὺ χρόνος, ἀσφαλεστέραν ἔχει τὴν σύμφυσιν, ὥστε καὶ κινήσεων σφοδροτέρων ἀνέχεσθαι τὴν κύουσαν, ἄνευ τοῦ βλαβῆναι τὸ ἔμβρυον, ἅπερ ἐπιστάμενος ὁ Ἱπποκράτης, εἰκότως ἔφη, τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ τετράμηνα, καὶ ἄχρις ἑπτὰ μηνῶν. ὅπερ ἐστὶν ἐν τῷ μέσῳ τῆς κυήσεως, ἡνίκα ἀκριβῶς ἐνέχεται τῇ μήτρᾳ τὸ κυούμενον. οὐ μὴν οὐδ' ἐν τούτῳ πάσας ὅσαι δέονται καθάρσεως ἐπιτρέπει καθαίρειν, ἀλλ' ἢν ὀργᾷ φησι, τουτέστιν ἐπείγηται. μετενήνεκται γὰρ ἀπὸ τῶν ὀργώντων εἰς συνουσίαν ζώων ἡ προσηγορία. ὅταν οὖν κινῶνται τε καὶ φέρωνται πάντῃ τοῦ σώματος οἱ πλεονάζοντες χυμοί, μηδέπω καθ' ἕν τι μόριον ἐστηριγμένοι, τηνικαῦτα πρὸς τὴν ἀπόκρισιν αὐτῶν ἡ φύσις ὁρμᾷ, καὶ δεῖται τινὸς ὀρέξοντος χεῖρα καὶ ποδηγήσοντος αὐτὴν τὴν ὁρμὴν ἐπὶ τὴν γαστέρα. τοὺς δὲ καθ' ἕν τι μόριον ἐστηριγμένους χυμούς, οὐ χρὴ κινεῖν. οὕτως γοῦν εἴρηται κἀκεῖνο, ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇσι τῶν νοσημάτων φαρμακείῃ λύειν ἐπιχειρέουσι, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος, οὐδὲν ἀφαιρέουσιν, οὐ γὰρ ἐνδιδοῖ, ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νοσήματι, καὶ ὑγιέα συντήκουσιν. ὅτι δὲ τὸ φαρμακεύειν ὁ Ἱπποκράτης, ἐπὶ τοῦ διὰ φαρμάκου καθαίρειν εἴωθε λέγειν, ὡμολόγηται πᾶσιν ὅσοι κἂν ἐπὶ βραχὺ τῆς λέξεως αὐτῶν συνιᾶσιν. ἵνα γὰρ ἐάσας τις τὰ ἄλλα βιβλία, τῶνδε γεγραμμένων ἀφορισμῶν μνημονεύσῃ, κατ' οὐδένα τρόπον οἷόν τ' ἐστὶν ἀκούειν ἐν αὐτοῖς ἄλλο τι σημαίνεσθαι πρὸς τῆς φαρμακεύειν φωνῆς, ὡς ὀλίγον ὕστερον ἔσται δῆλον.

Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος ὁκοῖα καὶ αὐτόματα ἰόντα, χρήσιμα. τὰ δ' ἐναντίως ἰόντα παύειν.

Αὐτόματα κενοῦσθαι λέγομεν ἐκ τοῦ σώματος, ὅσα χωρὶς τοῦ πρᾶξαί τι τὸν ἰατρὸν ἐκκρίνεται. ποτὲ μὲν τῆς διοικούσης τὸ σῶμα φύσεως ἐκκαθαιρούσης αὐτά, ποτὲ δὲ δι' ἐρεθισμόν, ἢ τὸ μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων. ὅτε μὲν οὖν ἡ φύσις ἐκκενοῖ τὸ περιττόν, ὠφελεῖται τὸ ζῷον. ὅταν δ' ἄλλως ἀποκρίνηται λόγῳ συμπτώματος, οὔτ' ὠφέλειά τις ἕπεται, καὶ σημεῖον ἐστὶν ἡ τοιαύτη κένωσις μοχθηρᾶς διαθέσεως. εἰκότως οὖν ὁ Ἱπποκράτης συμβουλεύει μιμεῖσθαι τὴν φύσιν. ἡ μίμησις δ' ἐστὶν ἐν τῷ πειρᾶσθαι κενοῦν τοὺς τοιούτους χυμούς, ἐφ' ἑκάστῳ τῶν νοσημάτων, οἵας εἴδομεν ὠφελοῦντας ἐν ταῖς αὐτομάτοις κενώσεσιν. ἔμπροσθεν μὲν οὖν εἴρηται περὶ πάσης κενώσεως αὐτῷ γενικώτερον. οὕτω δὲ καὶ κενεαγγείην ἢν μὲν οἵη δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρειν τε καὶ εὐφόρως φέρουσι. νυνὶ δὲ περὶ μόνης καθάρσεως τὸν αὐτὸν ἐποιήσατο λόγον, ἐπειδὴ περὶ ταύτης αὐτῷ πρόκειται διδάσκειν ἐν τῷ χωρίῳ τῷδε τοῦ βιβλίου. βέλτιον δ' οὖν ἴσως ἐστὶ κἀμὲ ἀναλαμβάνειν τὸν λόγον ὑπὲρ ἁπασῶν κενώσεων ἃς οἱ ἰατροὶ μηχανῶνται περὶ τὰ τῶν καμνόντων σώματα. γίγνονται δὲ αὗται, ποτὲ μὲν διὰ τῶν καθαιρόντων ὅλον τὸ σῶμα φαρμάκων ἐμετηρίων τε καὶ ὑπηλάτων. ἐνίοτε δὲ μορίου τινὸς κενωτικόν ἐστι τὸ φάρμακον, οἷον ὅσα διὰ ὑπερῴας καὶ ῥινῶν ἀπάγει τῆς κεφαλῆς τὰ περιττά. τοῦ γένους δ' ἐστὶ τῶν καθαιρόντων τὰ περιττὰ, καὶ ὅσα διὰ βηχὸς ἐκκαθαίρει τὰ κατὰ θώρακα καὶ πνεύμονα, καὶ ὅσα δι' οὔρων ἀπάγει τὸ τοῦ παντὸς αἵματος ὀρρῶδες περίττωμα. καὶ κλυστὴρ δ' αὖ ἐκ τοῦ τοιούτου γένους εἴη, καὶ πᾶν ὁτιοῦν ἄλλο τῶν μὴ κενούντων ὁμοτίμως ὅλον τὸ σῶμα. καθάπερ ἥ τε φλεβοτομία κενοῦν πέπιστευται, καὶ ὅλως ἀφαίρεσις αἵματος πᾶσα, καθ' ὁντινοῦν γιγνομένη τρόπον. ἐκ τῶν τοιούτων δ' ἐστὶ κενώσεων, ἥ τε διὰ μήτρας, καὶ ἡ δι' αἱμορροΐδων, ἥ τ' ἐπὶ τοῖς γυμνασίοις καὶ τρίψεσι καὶ πάσῃ κινήσει τε καὶ ἀλέᾳ, καὶ λουτροῖς θερμοῖς, καὶ μάλιστα εἰ νιτρώδη, καὶ θειώδη, καὶ ἀσφαλτώδη τύχῃ, καὶ κατὰ συμβεβηκὸς ἡ ἀσιτία. τὰ γὰρ τοιαῦτα πάντα, δοκεῖ μὲν ὁμοτίμως ὅλον τὸ σῶμα κενοῦν. καίτοι γε εἰ ἀκριβῶς τις ἐξετάζοι, εὑρήσει μὴ κενοῦν ὁμοτίμως, ἀλλ' ἐν τούτοις μὲν ἐπειδὴ μικρὰ τοῦ ἑτέρου πρὸς τὸ παρὰ τὸ ἕτερόν ἐστιν ὑπεροχὴ κατὰ τὴν ποιότητα τῶν κενουμένων, ὁμότιμος εἶναί μοι δοκεῖ. τὰ δὲ καθαρτικὰ καλούμενα φάρμακα, φανερῶς διάφορα εἴδη ἐργάζεται κενώσεως, ὑπὲρ ὧν, ὡς ἔφην, νῦν αὐτῷ πρόκειται λέγειν. οὐ μὴν περιττότερόν γε διδάσκει τι τῶν περὶ πασῶν κενώσεων αὐτῷ εἰρημένων. σκοπὸς γάρ ἐστιν ἁπάσαις εἷς ὁ πλεονάζων χυμὸς ὁ πειρᾶσθαι διαγνωστικὸν ὑπάρχειν, ἔκ τε τῆς καθ' ὅλον τὸ σῶμα παρὰ φύσιν ἑκάστῳ γινομένης χρόας, ἔτι τε τῶν συμπτωμάτων καὶ τῶν νοσημάτων, ὥρας τε καὶ χώρας, καὶ ἡλικίας, καὶ καταστάσεως, καὶ φύσεως τοῦ κάμνοντος, ἐπιτηδευμάτων τε καὶ διαίτης. οἷον εἰ τύχῃ καθ' ὅλον μὲν τὸ σῶμα τῆς χρόας ὠχροτέρας γεγενημένης ὡς ἐν ἰκτέροις, οὐχ ὑποχωρούσης δὲ δι' ἕδρας τῆς χολῆς ἢ τινῶν ἐξανθημάτων ἐν ὅλῳ τῷ σώματι γεγενημένων χολωδῶν, κατὰ μέρος δὲ δήξεως ἐν τῇ γαστρὶ καὶ ἄσης, καὶ ἀσιτίας, καὶ δίψης, ἐκπικρουμένου τε τοῦ στόματος, ἢ κατά τι μέρος ἐρυσιπέλατος, ἢ τριταίου πυρετοῦ κατέχοντος τὸν ἄνθρωπον, ἢ τῶν καυσωδῶν τοῦ πικροχόλου. πλεονάζει γὰρ ἐν τοῖς τοιούτοις ἅπασιν ἡ ξανθὴ χολή, καὶ διὰ τοῦτο ἐξάγειν αὐτὴν ἐπιχειρήσομεν ἐκείνοις τοῖς φαρμάκοις, ὅσα διὰ αὐτὴν τὴν ἐνέργειαν ὀνομάζουσι χολαγωγά, καὶ τοῦτ' ἐστὶ τὸ ὑφ' Ἱπποκράτους εἰρημένον. ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρειν τε καὶ εὐφόρως φέρουσι. τὸ γὰρ οἷα δεῖ, τὸ πλεονάζον ἐστὶ τῶν λυπούντων δηλονότι κατὰ ποιότητα τὸν κάμνοντα,

διὰ τοῦ

διὰ τοῦτ' οὖν συμφέρειν φησὶ τὰς τοιαύτας κρίσεις. ἀλλ' ἐπεὶ πάντες οἱ τεχνικοὶ στοχασμοὶ περὶ τὰς πράξεις εἰσίν, ὅτε καὶ διαμαρτάνουσιν, αἱ γὰρ ὁμοιότητες ὡς αὐτὸς εἶπεν, οὐ μόνον τοῖς ἐπιτυχοῦσιν, ἀλλὰ καὶ τοῖς ἀγαθοῖς ἰατροῖς φέρουσιν ἀπάτην, ἕτερον ἡμᾶς γνώρισμα ταῖς ἀγαθαῖς κρίσεσιν ἐζευγμένον ἐδίδαξε τὴν εὐφορίαν, ἵνα κἂν τούτῳ θαῤῥῶμεν ὀρθῶς ποιούμενοι τὴν κρίσιν. ὅπερ οὖν ἐπὶ τῆς ξανθῆς χολῆς ὡς ἐπὶ παραδείγματος εἴρηκα, τοῦτό μοι καὶ ἐπὶ τῆς μελαίνης νόει. καὶ γὰρ κἀπὶ ταύτης, ἡ μὲν καθ' ὅλον τὸ σῶμα χρόα πρὸς τὸ μελάντερον τρέπεται, τά τε ἐξανθήματα μέλαινα, διὰ τὴν τῆς μελαίνης γίνεται χρόαν. ὅσα δὲ πάθη διὰ τὴν πλεονεξίαν αὐτῆς γίγνεται, φανερῶς ἐνδείκνυται τὸ πλῆθος τοῦ χυμοῦ, καθάπερ ἐλέφας τε καὶ καρκίνος, καὶ μὴν καὶ ἡ τεταρταία περίοδος ἐπὶ τῷ μελαγχολικῷ γίγνεται χυμῷ, καὶ σπλὴν μέγας, καὶ κιρσοὶ μελαινόμενοι τῆς αὐτῆς ταύτης ἔγγονα πάθη, καθάπερ γε καὶ ἡ μελαγχολία καλουμένη, καὶ πᾶσα παραφορὰ διανοίας ὀργίλη καὶ θρασεῖα καὶ θηριώδης. Ἱπποκράτης δὲ κἀκ τῶν καταμηνίων ἐτεκμαίρετο τὸν πλεονάζοντα χυμὸν ταῖς γυναιξί, καὶ γέγραπται αὐτῷ τὰ γνωρίσματα περὶ τὸ πρότερον τοῦ γυναικείων. ἐκ τούτων μὲν οὖν ὅτι πλεονάζει μέλαινα, διαγινώσκειν χρή, καὶ τούτους ἔχοντά σε τοὺς σκοποὺς, ἐπὶ τὴν κρίσιν αὐτῆς ἰέναι. δεύτερον δὲ κατ' αὐτὴν τὴν κρίσιν σκοπὸν ἔχειν τὴν εὐφορίαν. ὅσα δὲ ἐπὶ τῆς μελαίνης χολῆς καὶ ὠχρᾶς εἴρηται, ταῦτα καὶ ἐπὶ τοῦ φλέγματός μοι νόει, ὄγκους οἰδηματώδεις, ἐξανθήματά τε καὶ σύμπαν τοῦ σώματος τὸ χρῶμα περὶ τὴν ἰδέαν τοῦ χυμοῦ, καὶ τῶν πυρετῶν τοὺς ἀμφημερινοὺς, καὶ τῆς διανοίας, ἀργίας καὶ νωθρότητας, ἔτι τε καταφορὰς ὑπνώδεις, καὶ βάρη τῆς κεφαλῆς, ὀξυρεγμίας τέ τινας, ὅταν ἐν τῇ γαστρὶ πλεονάζῃ τὰ τοιαῦτα, προτρέψεται διδόναι φάρμακα ἐκκαθαῖρον τὸ φλέγμα. γενομένης δ' ἤδη τῆς καθάρσεως, ἡ εὐφορία ἐπιμαρτυρήσει τῇ τε διαγνώσει καὶ τῇ δι' ἐκείνην ἐπιληφθείσῃ κρίσει, πρός τε τὴν διάγνωσιν καὶ ἐλπίδα τῆς κρίσεως ἔχειν αὖ τι συντελοῦσαν οὐχ ἡλικίαν μόνην, ἢ φύσιν τοῦ κάμνοντος, ἀλλὰ καὶ τὴν ὥραν τοῦ ἔτους, καὶ τὴν παροῦσαν κατάστασιν. ἔτι δὲ καὶ τὴν χώραν, καὶ τὴν προγεγενημένην δίαιταν ἅμα τοῖς ἄλλοις ἅπασιν ἐπιτηδεύμασιν. ἔμαθες γὰρ ὡς καὶ τούτων ἁπάντων, τὰ μὲν τὸ φλέγμα, τὰ δὲ τὴν ξανθὴν, τὰ δὲ τὴν μέλαιναν αὐξάνει χολήν. ταῦτα μὲν ὡς εἴρηται πάντα, σκοποὶ τοῦ προσάγειν τὸ καθαρτικὸν τοῦ λυποῦντος χυμοῦ φάρμακον. ἐν αὐτῇ δὲ τῇ κρίσει σκοπὸς ἔσται ἕτερος. ἤτοι μαρτυρῶν ἡμῖν ὅτι καλῶς διέγνωμεν, ἢ διελέγχων τὸ σφάλμα, μαρτυρῶν μὲν τῇ εὐφορίᾳ, διελέγχων δὲ τῇ δυσφορίᾳ. τῶν μὲν γὰρ λυπούντων κρινομένων, εὐφορήσουσιν οἱ κάμνοντες. εἰ δὲ ἕτερόν τι κρίνοιτο, καὶ μὴ τὸ λυποῦν εἴη κρινόμενον, ἀνάγκη πᾶσα δυσφορεῖν αὐτούς. ὅπερ οὖν ὡς ἔφην ἐν ἀρχῇ τοῦ βιβλίου δι' ἑνὸς ἐδίδαξεν ἀφορισμοῦ λέγων, οὕτω καὶ κενεαγγείην, ἣν μὲν οἵην δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρειν τε καὶ εὐφόρως φέρουσι. τοῦτο νῦν ἐνταῦθα δίχα τεμὼν ἐν ταῖς φαρμακείαις. διὰ μὲν τοῦ προτέρου λόγου, τίνες εἰσὶν αἱ συμφέρουσαι κρίσεις διδάσκει. διὰ δὲ τοῦ μετ' αὐτὸν, ὅτι ταῖς τοιαύταις ἕπεται γνώρισμα βέβαιον ἡ εὐφορία. παραδείγματα δ' αὐτὸς εἴρηκε τῶν αὐτομάτως γιγνομένων κρίσεων ἐπ' ἀγαθῷ. πάμπολλα μὲν ἐν τοῖς τῶν ἐπιδημιῶν, ὀλίγα δὲ καὶ κατ' αὐτὸ τοῦτο τὸ βιβλίον τὸ τῶν ἀφορισμῶν, ὁποῖα καὶ ταῦτα ἐστίν, ὑπὸ ὕδρωπος ἐχομένῳ κατὰ τὰς φλέβας, εἰς τὴν κοιλίην ὕδατος ῥυέντος λύσις. ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίας ληφθῆναι ἀγαθόν, οἷσι χολώδεα διαχωρήματα τοῦ κωφώσιος γενομένης, παύεται

Ἣν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, συμφέρει τε καὶ εὐφόρως φέρουσι. τὰ δ' ἐναντία δυσχερῶς.

Προεξήγημαι τοῦτον ἐν τῇ περὶ τὸν προγεγραμμένον ἀφορισμὸν ἐξηγήσει, γεγραμμένον κἂν τοῖς ἀνωτέρω τοῦ βιβλίου περὶ τὴν αὐτὴν λέξιν, ὅθεν ἔνιοι καὶ περιαιροῦσιν αὐτὸν ἐντεῦθεν.

Φαρμακεύειν, θέρεος μὲν τὰς ἄνω μᾶλλον, χειμῶνος δὲ τὰς κάτω.

Προσυπακοῦσαι χρὴ δηλονότι κοιλίας. εἰκότως δὲ θέρους μὲν ἄνω καθαίρει. καὶ γὰρ ὁ πλεονάζων τηνικαῦτα χυμὸς, ἡ ξανθὴ χολὴ, καὶ ὅλως ἡ φύσις ἅπασα τοῦ ζώου διὰ τὴν περιέχουσαν θερμασίαν ἄνω κινεῖται μᾶλλον. ἀκτέον δέ ἐστιν ἕκαστον τῶν περιττῶν ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων, ὡς αὐτὸς ἐν τῷ περὶ χυμῶν ἔγραψε. προσέθηκε δὲ τῷ κατὰ τὸν ἀφορισμὸν λόγῳ, μᾶλλον. καὶ οὐχ ἁπλῶς εἶπε φαρμακεύειν θέρεος τὰς ἄνω, χειμῶνος δὲ τὰς κάτω. καὶ γὰρ εἰ μὴ πολλάκις, ἀλλὰ σπανίως γοῦν ποτὲ θέρους ὥρᾳ φλεγματικὸς ὤφθη τινὶ πλεονάζων χυμὸς, ὥσπερ ἐνίοτε τῆς ὠχρᾶς χολῆς χειμῶνος.

Ὑπὸ κύνα, καὶ πρὸ κυνὸς ἐργώδεες αἱ φαρμακεῖαι.

Ἐκπεπυρωμένη τε γὰρ ἡμῶν ἡ φύσις ἐστὶ τηνικαῦτα, τὴν ἀπὸ τῶν καθαρτικῶν οὐκ οἴσει δριμύτητα, διὸ καὶ πυρέττουσι πολλοὶ τῶν ἐν τούτῳ τῷ καιρῷ καθαρθέντων. ἀσθενής τε οὖσα ἡ δύναμις διὰ τὸ καῦμα, προσκαταλυθήσεται τῇ καθάρσει. καὶ μέντοι καὶ ἡ κάθαρσις αὐτὴ γενήσεται μοχθηρὰ, ἀντισπώσης τῷ καθαρτικῷ φαρμάκῳ τῆς τοῦ περιέχοντος ἀλέας πρὸς τοὐκτὸς τοὺς χυμούς. ὥσπερ γὰρ τὰ θερμὰ λουτρὰ ταῖς καθάρσεσιν ἀντιπράττειν πέφυκεν, οὕτω καὶ ἡ κατὰ τὸ θέρος θερμασία, καὶ μάλιστα ὅταν ᾖ σφοδροτέρα ἑαυτῆς.

Τοὺς ἰσχνοὺς καὶ εὐημέας ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα.

Προσθεῖναι κἀνταῦθα χρὴ τὸ μικρὸν ἔμπροσθεν εἰρημένον τὸ μᾶλλον, ὡς τὸ πολὺ γὰρ οἱ ἰσχνοὶ, χολώδεις εἰσίν. ἐὰν οὖν αὐτοῖς ὑπάρχῃ καὶ εὐεμέσιν εἶναι, φαρμακευτέον ἄνω, πλὴν εἰ μὴ χειμὼν ἐναντιοῖτο. προείρηκε γὰρ, ὡς θέρους μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ τὰς κάτω φαρμακευτέον ἐστί.

Τοὺς δὲ δυσεμέας καὶ μέσως εὐσάρκους κάτω, ὑποστελλομένους θέρος.

Εἰ μὲν εὐέμετος τε εἴη καὶ ἰσχνὸς, ἄνω φαρμακεύειν αὐτόν. πλὴν εἰ μὴ χειμὼν εἴη, τουτέστι καὶ θέρους καὶ φθινοπώρου καὶ ἦρος. ἢν δὲ δυσεμὴς εἴη καὶ μέσως εὔσαρκος, κάτω φαρμακευτέον, ἐὰν ἐπείγῃ, μόνον τοῦ θέρους φυλαττόμενον. ἐν ἄλλῃ δ' ὥρᾳ οὐ φυλακτέον.

Τοὺς δὲ φθινώδεας ὑποστελλόμενος τὰς ἄνω.

Ἐπὶ τὰς ἄνω φησὶ φαρμακείας οὐδέποτε ἄξεις, οὐ λαβόμενος δηλονότι τὴν ἐν τοῖς ἀναπνευστικοῖς αὐτῶν ὀργάνοις ἀσθένειαν. ἀκουστέον δὲ φθινώδεις, ἤτοι τοὺς φθίσει τῇ νόσῳ ἑαλωκότας, ἢ τοὺς ἐπιτηδείως ἔχοντας πρὸς τὴν φθίσιν, ὑπὲρ ὧν εἴρηκεν αὐτὸς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. καὶ μάλιστα ἔθνησκον οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. στενὸς δὲ τούτοις ἐστὶν ὁ θώραξ, καὶ ὁ περιεχόμενος ἐν αὐτῷ πνεύμων.

Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω, τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς.

Φαρμακεύειν τὰς κοιλίας δηλονότι τὰς κάτω τῶν μελαγχολικῶν ἁδροτέρως χρή. ἁδροτέρως δὲ εἴρηκεν, ἀντὶ τοῦ σφοδρῶς. ὅτι δὲ κάτω ῥέπει ὁ χυμὸς οὗτος, εἰκότως αὐτὸν ἐκκενοῦν διὰ τῆς κάτω κελεύει γαστρός, ὥσπερ τὴν ξανθὴν χολὴν διὰ τῆς ἄνω, κοῦφον ὄντα χυμὸν ἐπιπολάζοντά τε συνεχῶς αὐτόματον. ἐν ἀμφοτέροις μὲν οὖν κοινὸν τὸ ἄγειν ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων. ἴδιον δὲ τοῦ μὲν ἑτέρου τῶν χυμῶν ἄνω ποιεῖσθαι τὴν κένωσιν, ὅτι ταύτῃ ῥέπει. τοῦ δ᾽ ἑτέρου κάτω, διότι καὶ οὗτος ῥέπει ταύτῃ. ἐναντίον οὖν τὸ ἄνω κενοῦν τῷ κάτω, ὃ καθ᾽ ἕνα γίγνεται λογισμὸν κοινόν, διὸ καὶ προσηκόντως εἶπεν ὁ Ἱπποκράτης, τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς.

Φαρμακεύειν ἐν τῇσι λίην ὀξέσιν, ἢν ὀργᾷ, αὐθημερόν, χρονίζειν γὰρ ἐν τοῖσι τοιουτέοισι κακόν.

Εἴρηταί μοι καὶ πρόσθεν ὅτι τὴν ὀργᾷ φωνήν, ὁ Ἱπποκράτης ἀπὸ τῶν ζώων μετενήνοχε τῶν ἐπειγομένων χρῆσθαι συνουσίᾳ, φυσικήν τινα ταύτην ἐπιθυμίαν ἐχόντων αὐτῶν εἰς τὴν τοῦ σπέρματος ἀπόκρισιν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ σπέρματος λόγοις, καὶ τὸ θῆλυ κατὰ τὰς συνουσίας σπερμαῖνον. ὅταν οὖν ἤτοι γε ἐν ὅλῳ τῷ σώματι παραπλησίως τῇδε γένηται τῆς φύσεως ὁρμὴ πρὸς ἀπόκρισιν τῶν περιττῶν, ἢ εἰ καὶ μὴ καθ᾽ ὅλον, ἀλλά γε περὶ τὰ κυριώτατα μέρη, τὸ τοιοῦτον ὁ Ἱπποκράτης, ὀργᾶν ὀνομάζειν εἴωθεν, ἀξιοῖ τε διὰ φαρμάκου κενοῦν αὐτίκα, πρὶν ἤτοι κακωθῆναι τὴν δύναμιν, ἢ αὐξηθῆναι τὴν τοῦ πυρετοῦ θερμασίαν, ἢ εἰς κύριόν τι κατασκῆψαι μόριον τοὺς ὀργῶντας ἤδη κατὰ τὸ σῶμα χυμούς. ὅτι δὲ λίαν ὀξέα κέκληκε νῦν ἃ πρόσθεν ὠνόμασε κατόξεα, δῆλον παντί. καὶ μέντοι καὶ ὅτι τῆς τούτων κρίσεως, ὅρος ἐστὶν ἡ ἑβδομὰς ἡ πρώτη, λέλεκταί μοι καὶ τοῦτο πρόσθεν.

Ὁκόσοισι στρόφοι, καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον, μήτε ὑπὸ φαρμακίης μήτ᾽ ἄλλως, εἰς ὕδρωπα ξηρὸν ἱδρύεται.

Οἱ μὲν στρόφοι γίγνονται διά τε δῆξιν ἰσχυρὰν καὶ πνεῦμα φυσῶδες, οὐκ ἔχον διέξοδον, ἀλλ᾽ ἐν ταῖς τῶν ἐντέρων ἕλιξιν ἐναπειλημμένον. οἱ πόνοι δέ, ὅτι ταῖς τοιαύταις διαθέσεσιν ἕπονται, πρόδηλον. ἀλλ᾽ ὅταν μὲν περὶ τὸν ὀμφαλὸν ἐρείδωσι καὶ τὴν ὀσφύν, εἶτα μήθ᾽ ὑπὸ φαρμακείας, μήθ᾽ ὑπὸ τῶν ἄλλων βοηθημάτων λύονται, δυσκρασία τίς ἐστιν ἑκτικὴ τῶν αὐτῶν μορίων, ἥτις ὡς τὰ πολλὰ χρονίζουσα, τὸν ὑφ᾽ Ἱπποκράτους ὀνομαζόμενον ξηρὸν ὕδρωπα ἐργάζεται. ὀνομάζεται δ᾽ ὑπὸ τῶν μετ᾽ αὐτὸν ἰατρῶν ὁ τοιοῦτος ὕδερος τυμπανίας, ὅτι κρουόμενον τὸ ὑπογάστριον, ἀποτελεῖ ψόφον οἷόνπερ τὰ τύμπανα. καὶ γὰρ οὖν καὶ κατ᾽ ἐκεῖνα, διὰ τοῦ περιτεταμένου δέρματος ὁ ἀὴρ πλήττεται, καθάπερ ὁ ἐν τῷ βάθει τῶν τοιούτων ὑδέρων. ὅτι δὲ ἀπὸ τῆς κατὰ τὸν ὄγκον ὁμοιότητος ὕδρωπα καὶ τοῦτον ὁ Ἱπποκράτης ὠνόμασεν, εὔδηλον. οὐ μὴν ὑγρόν γε καθάπερ τὸν ἀσκίτην, ἐφ᾽ ᾧ τὸ συνειλεγμένον, οὐκ ἀήρ ἐστι φυσώδης, ἀλλ᾽ ὑγρὸν ὑδατῶδες. ἔοικε δὲ μείζονος μὲν τῆς ψύξεως ἔκγονος ὑπάρχειν ὁ ὑδατώδης ὕδερος, ὃν ἀσκίτην ὀνομάζουσιν. ὅτι καθάπερ ἐν ἀσκῷ τινὶ τῷ περιτοναίῳ κατακέκλειται τὸ ὑγρόν, ἐλάττονος δ᾽ ὁ τυμπανίας, οὐδὲ γὰρ οὐδὲ μεταβάλλειν ἡ ὑγρότης εἰς ἀέρα φυσώδη δύναται χωρὶς θερμασίας τινός.

Ὁκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω κακόν.

Ὅταν ἐν τάχει τῶν ἐσθιομένων ἡ διαχώρησις γίγνηται τοιούτων, οἷα κατεπόθη, λειεντερίαν ὀνομάζουσι τὸ νόσημα. γίγνεται μὲν οὖν ἤδη τῇ τῆς καθεκτικῆς δυνάμεως ἀρρωστίᾳ. ταῖς δυσκρασίαις δ᾽ ἕπεται πάντων τῶν περὶ τὴν κοιλίαν ὀργάνων, τουτέστιν αὐτῆς τε τῆς γαστρὸς εἰς ἣν καταπίνομεν τὰ σιτία, καὶ τῶν ἐκ ταύτης αὐτὰ διαδεχομένων τε καὶ παραπεμπόντων ἐντέρων. γίνεται δ᾽ ἔστιν ὅτε λειεντερία καὶ κατά τινα ἐπιπολῆς ἕλκωσιν ὁμοίαν ταῖς ἄφθαις. αἱ μὲν οὖν δυσκρασίαι, ποτὲ μὲν ὡς ἂν εἴποι τις, ἑκτικαὶ γίνονται. καλοῦσι δ᾽ οὕτως τὰς αὐτῆς τῆς ἕξεως τῶν σωμάτων βεβλαμμένης ἀποτελουμένας, ἔστιν ὅτε διὰ φλέγμα ψυχρόν, οἷόν ἐστι μάλιστα τὸ ὀξύ. τῶν δ᾽ ἐπιπολῆς ἑλκώσεων, αἴτιόν ἐστι χυμὸς ὁ δριμὺς καὶ λεπτός. οὗτος μὲν οὖν, εἰ καὶ τῆς ἄνω φαρμακείας δεῖται, διὰ τὸ μᾶλλον ἐπιπολάζειν ἢ ὑποχωρεῖν κάτω τοὺς τοιούτους χυμούς, ἀλλ᾽ οὐκ ἐν χειμῶνί γε δίδοται, καθότι καὶ πρόσθεν εἴρηται. ὁ δ᾽ ἕτερος ὁ φλεγματικός, ὅταν ἐν τοῖς ἐντέροις ἐμπεπλασμένος, οὐδέποτε δεῖται τῆς ἄνω φαρμακείας, ὥσπερ ἐστὶν ἐμετηρίου φαρμάκου. μόνα γὰρ ἐμεῖσθαι πέφυκε τὰ περὶ τὴν γαστέρα. τῶν δ᾽ ἐν τοῖς ἐντέροις περιεχομένων, οὐδέν οἷόν τε δι᾽ ἐμέτου κενῶσαι.

Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥᾳδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος ὑγραίνειν τὰ σώματα πλείονι τροφῇ καὶ ἀναπαύσει.

Προπεπειρᾶσθαι χρὴ τῆς τοῦ μέλλοντος τὸν ἐλλέβορον λήψεσθαι φύσεως, ὅπως ἔχει πρὸς τὰς ἄνω καθάρσεις, τουτέστι τὰς δι᾽ ἐμέτων. γιγνέσθω δ᾽ ἡ πεῖρά σοι διὰ τῶν ἐμετικῶν φαρμάκων ὅσα μέτρια. ἐὰν οὖν φαίνηται μὴ ῥᾳδίως καθαιρόμενος, οὐ χρὴ τὸν τοιοῦτον ἄνθρωπον ἤδη τὸν ἐλλέβορον ἄγειν, ἄνευ τοῦ προπαρασκευάσασθαι. γίγνοιτο δ᾽ ἂν τοῦτο, καὶ διὰ τοῦ συνεχῶν μὲν ἐμέτων ἐθισθέντος ἑτοίμως ἐμεῖν τοῦ ληψομένου τὸν ἐλλέβορον. ἀλλ᾽ ὡς μικρὸν τοῦτο καὶ γνώριμον ἅπασιν, ὁ Ἱπποκράτης παρέλιπε. γένοιτο δ᾽ ἂν ἄμεινον, καὶ διὰ τοῦ προϋγραίνειν τὰ σώματα. προϋγραίνεται δὲ

νεται δὲ πλείονι τροφῇ, καὶ ἀναπαύσει. τὸ μὲν οὖν τῆς ἀναπαύσεως δῆλον, ὡς γὰρ τὰ γυμνάσια ξηραίνειν πέφυκεν, οὕτως καὶ ἡ ἀνάπαυσις, ὅπερ ἐστὶν, ἡσυχία τε καὶ ἀγυμνασία, φυλάττειν τὰς ὑγρότητας. ἡ τροφὴ δ' οὐχ ἁπλῶς ἡ πλείων ὑγραίνειν πέφυκεν, ἀλλ' εἴ τις αὐτῆς ποιότητες ἰσχυραὶ ἦ, τουτέστι μήτε στρυφνῆς μήτε δριμείας, μήτ' ἁλυκῆς, μήτε πικρᾶς. τάχα δ' οὐδὲ τροφὴν ἁπλῶς φατέον εἶναι τὴν τοιαύτην, ἀλλ' οἷον φαρμακώδη τροφὴν, ὡς τῇ γε ἁπλῶς τροφῇ μόνῃ τῶν ἁπάντων ὑπάρχειν κατὰ τὴν ἑαυτῆς φύσιν, οὐ κατά τι συμβεβηκὸς, ὑγραίνειν τὰ στερεὰ τοῦ ζώου μόρια, τῆς ἀναπαύσεως, οὐ καθ' αὑτὴν, ἀλλὰ κατά τι συμβεβηκὸς τοῦτο ποιούσης. ὅτι γὰρ οὐ ξηραίνει τὴν ἐκ τῆς τροφῆς ὑγρότητα, διὰ τοῦτο ὑγραίνειν λέγεται. τὸ δ' ὕδωρ, ὅτι πινόμενον οὐκ ἔξω περαιτέρω ὑγραίνειν πέφυκεν αὐτὰ τὰ στερεὰ τοῦ ζώου μόρια. μαθεῖν δ' ἐστί σοι τελεώτερον ὑπὲρ τῶν τοιούτων τῇ τῶν φυσικῶν δυνάμεων ἐντυχόντι πραγματείᾳ τῇ ἡμετέρᾳ, καὶ τῷ περὶ μαρασμοῦ βιβλίῳ.

Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς δὲ τοὺς ὕπνους καὶ μὴ κινήσιας, ἧσσον. δηλοῖ δὲ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει.

Ὁ αὐτὸς εἶπε τὴν αἰτίαν δι' ἣν κινεῖσθαι κελεύει τὰ σώματα τῶν τὸν ἐλλέβορον εἰληφότων. ἡσυχία μὲν γὰρ ὡς τῆς αὐτῆς καταστάσεως φυλακτική. μεταβάλλει δὲ καὶ ἀλλοιοῖ τὸ σῶμα κίνησις, ὡς δηλοῖ καὶ ἡ ναυτιλία, κίνησις μὲν οὖσα, ταράσσουσα δὲ τὰ σώματα μέχρι τοῦ καὶ πρὸς ἔμετον ὁρμᾶν. ὁπότ' οὖν ἡ τοιαύτη κίνησις ἱκανὴ καὶ μόνη παρασκευάσαι τὸ σῶμα πρὸς ἔμετον, εἰκὸς δή που συνελθοῦσαν αὐτὴν ἐμετικῷ φαρμάκῳ μικρῷ τινὶ γενέσθαι δραστικωτέραν. ἔνιοι δὲ ἀντὶ τοῦ ναυτιλίη, ναυτίη γράφουσιν, ὡς εἶναι τὸν λόγον τοιοῦτον. δηλοῖ δὲ καὶ ἡ ναυτίη ταῖς σφοδραῖς τοῦ σώματος κινήσεσιν ἐπιγιγνομένη, ὅτι κίνησις αὐτὰ ταράσσει. πρόδηλον δὲ ὡς καὶ οὕτως ὁ λόγος ὁ αὐτός ἐστι τῇ δυνάμει τῷ προειρημένῳ.

Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα. ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει, καὶ μὴ κίνει.

Ὁ μὲν πρότερος ἀφορισμὸς ὅπως χρὴ παρασκευάσαι τὸν ἐλλέβορον εἰληφότα πρὸς τὴν κάθαρσιν, ἐδίδαξεν, ὁ δὲ νῦν ὅπως χρὴ παύειν τοὺς καθαιρομένους. εὔλογον δὲ τἀναντία τοῖς ποιοῦσι τὸν ἔμετον, παύειν τὴν κάθαρσιν. ὅπερ οὖν αἱ κινήσεις ποιοῦσιν, αἱ ἡσυχίαι παύουσι. καὶ πολὺ δὴ μᾶλλον ὁ ὕπνος ἠρεμίαν ἐργαζόμενος τῶν ψυχικῶν ἐνεργειῶν, ὅσαι διὰ τῶν αἰσθήσεων γίνονται, καὶ προσέτι διὰ τῶν μυῶν ἐν ταῖς καθ' ὁρμὴν κινήσεσιν.

Ἐλλέβορος ἐπικίνδυνος τοῖσι σάρκας ὑγιέας ἔχουσι, σπασμὸν γὰρ ἐμποιέει.

Ὅπερ ἐν τοῖς ἔμπροσθεν ἐπὶ πασῶν τῶν καθάρσεων εἶπε, τοῦτο νῦν ἐπὶ μόνης τῆς δι' ἐλλεβόρου, ὥστε καὶ συναφθῆναι δύνασθαι τοὺς ἀφορισμοὺς τρόπῳ τοιῷδε. οἱ εὖ τὰ σώματα ἔχοντες φαρμακεύεσθαι ἐργώδεες. οὕτω γοῦν καὶ ὁ ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι, σπασμὸν γὰρ ἐμποιέει. ἐξαίρετον γάρ τι πρόσεστι τῷ ἐλλεβόρῳ τὸ τοῦ σπασμοῦ, διὰ τὸ σφοδρὸν τῆς ἐνεργείας.

Ἀπυρέτῳ ἐόντι, ἀποσιτίη καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

Ἡ μὲν ἀσιτία τὸ αὐτὸ δηλοῖ τῇ ἀνορεξίᾳ. ὁ δὲ καρδιωγμὸς, δῆξίς ἐστι καρδίας, τουτέστι τοῦ στόματος τῆς γαστρός. ὀνόμαζον γὰρ οἱ παλαιοὶ καὶ τοῦτο καρδίαν. σκοτόδινος δ' ἐστὶν, ἐπειδὰν ἅμα περιδινεῖσθαι δοκῇ τὰ βλεπόμενα, ἥ τε διὰ τῆς ὄψεως αἴσθησις ἐξαίφνης ἀπολλῆται, δοκούντων αὐτῶν σκότος περικεχύσθαι. γίνεται δὲ τοῦτο, τοῦ στόματος τῆς κοιλίας ὑπὸ μοχθηρῶν χυμῶν δακνομένου. διὰ γὰρ τὸ μέγεθος τῶν νεύρων τῶν ἐξ ἐγκεφάλου καθηκόντων εἰς αὐτὸ, βλάπτεται τὰ τῆς ψυχῆς ἔργα, κακοπραγοῦντος τοῦ μορίου. τὰ μὲν τοιαῦτα συμπτώματα κοινὰ πάντων ἐστὶ τῶν δακνειν δυναμένων χυμῶν. τὸ δ' ἐκπικροῦσθαι τὸ στόμα, μόνης τῆς ὠχρᾶς τε καὶ ξανθῆς ὀνομαζομένης χολῆς. διὸ καὶ καλῶς τοῖς εἰρημένοις συμπτώμασιν, ὁ Ἱπποκράτης εἶπεν, ἄνω φαρμακείην σημαίνειν, ὅπερ ἐξαπλωθὲν, οὕτως ἑρμηνευθήσεται. τὰ εἰρημένα συμπτώματα σημαίνει, τῷ ἰατρῷ τὸν ἄνθρωπον τοῦ ἄνω δεῖσθαι φαρμακείης, τουτέστι τῆς δι' ἐμέτων.

Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα ὁκόσα καθάρσεως δέονται, ἄνω φαρμακείας σημαίνει δεῖσθαι, ὁκόσα δὲ κάτω, κάτω.

Οὗτος ὁ ἀφορισμὸς ὅπερ ὁ πρόσθεν ἐφ' ἑνὸς ἀλγήματος ἐδίδαξε τοῦ κατὰ τὸ στόμα τῆς κοιλίας, τοῦτ' ἐπὶ πάσας ἐκτείνει τὰς ὀδύνας. ὅσαι μὲν ἄνω τῶν φρενῶν συνίστανται καθάρσεως δεόμεναι, δηλονότι συμβουλεύει ἄνω φαρμακεύειν. ὅσαι δὲ κάτω τῶν φρενῶν, εὔδηλον, ὅτι καὶ ταύτας κάτω. προσέθηκε δὲ τῷ λόγῳ τὸ καθάρσεως δεόμεναι, χάριν τοῦ μὴ δόξαι τινὰ πάσας ἁπλῶς τὰς ὀδύνας τὸν Ἱπποκράτην διὰ καθάρσεως ἰᾶσθαι. νυνὶ γὰρ οὐ τοῦτ' εἶπεν, ἀλλ' ὅτι κατὰ τὰς ῥοπὰς τῶν λυπούντων χυμῶν χρὴ τὰς κενώσεις ποιεῖσθαι, καὶ μήτε τὰς ἄνω τῶν φρενῶν ὀδύνας διὰ τῶν ὑπηλάτων ἐκκενοῦν, μήτε τὰς κάτω διὰ τῶν ἐμετικῶν.

Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι, μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσιν.

Τῶν καθαιρομένων τινὲς μὲν εὐθέως διψῶσι, τινὲς δ' ὕστερον. καὶ γίνεται τοῦτο διά τε τὴν αὐτῆς τῆς κοιλίας διάθεσιν, καὶ τὸ δοθὲν φάρμακον, καὶ τὴν ἰδέαν τοῦ κενουμένου χυμοῦ. διὰ μὲν τὴν κοιλίαν, ὑπὸ θερμότητος ἢ ξηρότητος, ἢ ἀμφοῖν ἑτοίμως εἰς τὸ δίψην ἀγομένην. ἐάν τε φύσει τοῦθ' ὑπάρχει τῷ πεπωκότι τὸ φάρμακον, ἐάν τε κατ' ἐκεῖνον μόνον τὸν καιρόν. διὰ δὲ αὐτὸ τὸ φάρμακον δριμὺ καὶ θερμὸν καὶ δηκτικὸν ὑπάρχειν. διὰ δὲ τὸν κενούμενον χυμὸν, ὅταν

πικρόχολος ᾖ. ἐπὶ μὲν δὴ τοῖς τοιούτοις αἰτίοις διψῶσιν, ἐπὶ δὲ τοῖς ἐναντίοις, ἄδιψοι μέχρι πλείστου διατελοῦσιν. ὅταν ἤτοι ψυχροτέραν καὶ ὑγροτέραν ἔχει ὁ καθαιρόμενος τὴν κοιλίαν, ἤτοι γε ἐξ ἀρχῆς, ἢ διὰ τὸν τῆς φαρμακοποσίας χρόνον, ἢ ὅταν αὐτὸ τὸ φάρμακον ἄδηκτον ᾖ, καὶ τρίτον ὅταν ἤτοι φλεγματικὸς ὁ κενούμενος ὑπάρχει χυμὸς, ἢ ὑδατώδης. ἀλλὰ τι κἀπὶ τούτων ὅταν δαψιλῶς κενωθῶσιν, ἕπεται δίψος. ἱκανὴ μὲν γὰρ ἡ ἐπὶ τῇ κενώσει ξηρότης ἐργάσασθαι τοῦτο. πρόσετι δὲ καὶ ἡ ἀπὸ τοῦ καθαίροντος φαρμάκου δύναμις ἔχοντός τινα, καὶ εἰ μὴ φανερὰν, μηδ' αἰσθητὴν, ἀλλὰ λεληθυῖαν δριμύτητα καὶ θερμασίαν.

Ἀπυρέτοισιν ἐοῦσιν ἢν γένηται στρόφος καὶ γονάτων βάρος καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

Ὥσπερ ὀλίγον ἔμπροσθεν ἐδίδαξε τὰ σημεῖα τῶν δεομένων τῆς ἄνω φαρμακείας, οὕτω νῦν διδάσκει δι' ὧν ἄν τις γνοίη τοὺς δεομένους τῆς κάτω. κοινὸς δ' ἀμφοῖν ἐστιν ὁ λογισμὸς, ἐπὶ διαφόροις συμπτώμασι. χρὴ γὰρ τὰς ῥοπὰς τῶν λυπούντων, καὶ τὰς κενώσεις χρὴ ποιεῖσθαι.

Ὑποχωρήματα μέλανα ὁκοῖον αἷμα μέλαν ἀπὸ ταὐτομάτου ἰόντα, καὶ σὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, κάκιστα, καὶ ὁκόσῳ ἂν χρώματα πλείω πονηρότερα ᾖ, μᾶλλον κακόν. ξὺν φαρμάκῳ δὲ ἄμεινον, καὶ ὁκόσῳ ἂν χρώματα πλείω ᾖ, οὐ πονηρόν.

Περὶ τῶν διαχωρημάτων αὐτῷ νῦν ὁ λόγος ἐστὶν, ἅπερ ὀνομάζεται μὲν ὑπὸ τῶν παλαιῶν ἰατρῶν μέλανα. μέλαινα δ' ἀκριβῶς οὐκ ἔστι χολὴ, τὸ γὰρ δριμὺ καὶ διαβρωτικὸν, καὶ ὀξῶδες οὐκ ἔχει. πολὺ δὲ δὴ μᾶλλον, οὐδὲ ζυμοῦται τὴν γῆν ἐκχεόμενα κατ' αὐτῆς, ἀλλ' ἔστιν ὥσπερ ἂν εἴ τις εἰκάζων εἴποι σαφῶς, οἷον ἰλύς τις αἵματος, οἷα καὶ τοῖς παχέσιν οἴνοις καθισταμένοις ὑφίστασθαι πέφυκεν, ἣν ὀνομάζουσι τρύγα. χρονιζούσης δ' αὐτῆς ἐν τῷ σώματι, καὶ μήτε ἐκκρινομένης κατά τινα τῶν αἰσθητῶν ἐκροῶν, μήτε διὰ τὸ ἄδηλον, ἀλλὰ μεταβαλλομένης τε καὶ σηπομένης ἀκριβῶς μέλαινα γίνεται χολή. πρὶν δὲ γεννηθῆναι ταύτην, ὁ σπλὴν ἕλκει τὴν οἷον τρύγα τοῦ αἵματος ἐκκαθαίρων τὸ ἧπαρ, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι δέδεικται. καὶ τρέφει καὶ καταχρῆται τούτῳ τῷ μελαγχολικῷ χυμῷ πρὸς τὴν ἑαυτοῦ τροφὴν ὁ σπλήν. ὅσον δ' αὖ πάλιν αὐτὸς ἐργάσεται περίττωμα, τοῦτο ὠθεῖ πάλιν εἰς τὴν γαστέρα μετὰ τῶν ἄλλων περιττωμάτων ἐκκριθησόμενον. ἐὰν οὖν ποτε μήθ' ὁ σπλὴν ἐκκαθαίρῃ καλῶς, αὐτό τε τὸ αἷμα τὸ διὰ τὸ ἧπαρ ἔχει πολλὴν ἰλὺν τοιαύτην, ἀῤῥωστήσει τε τὸ σπλάγχνον ὡς μὴ κατέχειν ἐν ἑαυτῷ τὰ περιττὰ δυνάμενον, τηνικαῦτα ὑποχωρεῖ τὰ καλούμενα μέλανα, περὶ ὧν ὁ λόγος ἐστὶν αὐτῷ νῦν. προσέθηκε δ' ἐν τῷ λόγῳ, τὸ, οἷον αἷμα, τοιοῦτον δηλῶν, ὁποῖόν τι γίγνεται τὸ αἷμα τὸ μελανθὲν ἐν τῇ διὰ τῶν ἐντέρων φορᾷ, τοιαῦτ' ἐστὶ τὰ μέλανα. τελέως γὰρ ἠλίθιόν ἐστιν ὑπολαμβάνειν αἵματι τῷ κατὰ φύσιν ἔχοντι ταῦτα ἐοικέναι τὰ μέλανα. γενήσεται γὰρ ἐρυθρά τε καὶ μέλανα ταῦτα, καίτοι γε ἀδύνατον ἅμα ταὐτὸν ἐρυθρόν τε καὶ μέλαν ὑπάρχειν. πάμπολλα τοιαῦτα διαχωρήματα κατὰ τὴν λοιμώδη νόσον εἴδομεν ταύτην τὴν μακρὰν, οὐ μᾶλλόν τι τοῖς ὀλεθρίως ἔχουσιν, ἢ τοῖς σωθησομένοις ἐπιφανέντα. οὐ μὴν ἀρχομένων τε καὶ αὐξανομένων τῶν νοσημάτων ἑωρᾶτο. συντήξεις γὰρ ἦσαν αἱ τότε κενούμεναι ξανθαί τε καὶ πυῤῥαὶ τὸ χρῶμα. τὰ δ' ὕστερον ἐπιφαινόμενα μέλανα, καθάπερ αἵματος τρὺξ, ἤτοι γε ὑπεροπτηθέντος αὐτοῦ τὴν γένεσιν ἔσχεν, ἢ σηπεδόνα τινὰ λαβόντος ἀλλόκοτον, ἀνάλογον ταῖς ἐν τῇ γαστρὶ γενομέναις ἀπεψίαις ὅταν εἰς μοχθηροὺς χυμοὺς ἡ διαφθορὰ τελευτήσει. διὸ καὶ κατ' ἀρχὰς μὲν οὐδέποτε ἐπ' ἀγαθῷ φαίνεται τοιαῦτα, μεγάλην κάκωσιν ἐνδεικνύμενα τοῦ σπλάγχνου. ταῖς δ' ἀκμαῖς ἕπεται πολλάκις ἐκκαθαιρούσης τὰ περιττὰ τῆς φύσεως, οὐ μὴν προσέθηκέ γε αὐτὸ κατὰ τὸν ἀφορισμὸν ὁ Ἱπποκράτης. καίτοι γε ἀλλόθεν μὲν εἰπὼν, καθόλου τὰ κρίσιμα μὴ αὐτίκα ἐπιφαίνεσθαι. κατὰ δὲ τὸν ἐφεξῆς ἀφορισμὸν ἐπὶ μέρους ἐν τῷ φάναι, νοσημάτων ὁκόσων ἀρχομένων, ἢν χολὴ μέλαινα ἢ ἄνω, ἢ κάτω ὑπέλθῃ, θανάσιμον. μήτι τοίνυν ἔδοξεν αὐτάρκως δεδηλωκέναι τὴν ἑαυτοῦ γνώμην ἰόντα φάμενος, ἐνδείκνυται γὰρ τοῦτο τοὔνομα χρόνου μῆκος, ὡς ἤτοι δι' ὅλου τοῦ νοσήματος, ἢ κατὰ πολὺν χρόνον αὐτοῦ ἰόντων τοιούτων ὑποχωρημάτων. εἰ γὰρ ἕνα τινὰ καιρὸν ἐβούλετο δηλῶσαι, πάντως ἂν ἢ ἐπιφανέντα ἢ ἐλθόντα εἶπεν, οὐκ ἀπὸ ταὐτομάτου ἰόντα. τοῦτο γὰρ τὸ, ἰόντα, τῷ ἐρχόμενα ταὐτὸν, οὐ τῷ ἐλθόντα δηλοῖ. φαρμάκου μέντοι ληφθέντος ὑφ' οὗ κενοῦται, μέλανα διαχωρῆσαι τὰ τοιαῦτα, θαυμαστὸν οὐδέν. οὕτω δὴ καὶ τὰ πλείω τῶν διαχωρημάτων χρώματα τὰ παρὰ φύσιν, αὐτόματα μὲν ἐκκενούμενα, σημεῖα πολλῶν ἐστι διαθέσεων ἐν τῷ σώματι ἐνδεικτικά. τὰ ὑπὸ φαρμάκου δ' ἀγόμενα πεφυκότος ἐκκενοῦν ἤδη πλείονα χυμὸν, οὐδὲν ἄτοπον σημαίνει.

Νοσημάτων ὁκόσων ἀρχομένων ἢν χολὴ μέλαινα, ἢ ἄνω, ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

Διώρισταί μοι καὶ διὰ τὸν προγεγραμμένον ἀφορισμὸν ὁ μελαγχολικὸς χυμὸς αὐτῆς τῆς μελαίνης χολῆς ὑπὲρ ἧς νῦν ὁ λόγος αὐτῷ, καὶ τὴν αἰτίαν τοῦ κατ' ἀρχὰς μὲν ὀλεθρίους εἶναι τοὺς τοιούτους χυμοὺς, ἐξ ὑστέρου δὲ κρισίμους ἐπιφαίνεσθαι, καὶ κατ' ἐκεῖνον μὲν αὐτάρκης δῆλον. ἀναλήψομαι δὲ καὶ νῦν, ἐπειδὴ καὶ περὶ τῶν ἀναγκαιοτάτων τῇ τέχνῃ διέρχεσθαι πολλάκις, ἄμεινόν ἐστιν. ὅταν ἄρχηταί τι νόσημα τῶν ἐκκρινομένων οὐδὲν ἐκκρίνεται τηνικαῦτα τῷ λόγῳ τῆς φύσεως, ἀλλ' ἔστιν ἅπαντα συμπτώματα τῶν ἐν τῷ σώματι παρὰ φύσιν διαθέσεων. ἐν ᾧ γὰρ χρόνῳ βαρύνεται μὲν ὑπὸ τῶν νοσωδῶν αἰτίων ἡ φύσις, ἀπεψία δ' ἐστὶ τῶν χυμῶν, ἐν τούτῳ κενοῦσθαί τι χρηστῶς ἀδύνατον. εἴ γε προηγεῖσθαι μὲν χρὴ πέψιν, ἀκολουθῆσαι δὲ διάκρισιν, εἶθ' ἑξῆς κένωσιν, ἵν' ἀγαθὴ γένηται κρίσις. ἐδίδαξε γοῦν ἡμᾶς ταῦτα αὐτὸς κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν εἰπών. πεπασμοὶ ταχύτητα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα καὶ ἐς κακὰς ἀποστάσιας τρεπόμενα, ἀκρισίας, ἢ πόνους, ἢ χρόνους, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ὅταν οὖν ἄνευ πέψεως νοσήματος ἔκκρισις γένηται μοχθηροῦ τινὸς χυμοῦ, καθαίρεται

τηνικαῦτα

τηλικαῦτα τὸ σῶμα πρὸς τῆς φύσεως. καὶ διὰ τοῦτο ἡ μέλαινα χολὴ, καὶ πᾶς ἄλλος τοιοῦτος χυμὸς ἐπειδὰν πέψεως φανῇ σημεῖα προήκοντος τοῦ νοσήματος, ἀγαθὴν σημαίνει τὴν κένωσιν. εἰ δ' ἄλλως ἐκκρίνοιτο χωρὶς τῶν τῆς πέψεως σημείων, ὀλέθριόν ἐστι τὸ σύμπτωμα, ὥστ' ἐπειδὴ κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἀπεψίας ἐστὶν ἀεὶ σημεῖα, μοχθηρὰ διὰ παντὸς ἔσται τῶν τοιούτων χυμῶν ἡ κένωσις.

Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως λελεπτυσμένοισι χολὴ μέλαινα, ἢ ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

Ὁ μὲν τόνδε τὸν ἀφορισμὸν λόγος ἐστὶ δυνάμει τοιοῦτος, ἐάν τε χολὴ μέλαινα περὶ ἧς ὁ προγεγραμμένος ἀφορισμὸς ἐδίδαξεν, ἐάν τε τὰ μέλανα τὰ τῷ αἵματι ἐοικότα, περὶ ὧν ὁ προκείμενος, λελεπτυσμένοις ἐσχάτως ἐπιφανῇ, κατὰ τὴν ὑστέραν ἀποθνήσκουσιν. ἀσθενὴς γὰρ ἤδη τῶν τοιούτων ἡ φύσις, ὡς μήτε πέψαι δύνασθαι, μήτε διακρῖναι, μήτε ἐκκρῖναι τὰ οὕτω μοχθηρά. διὰ μέγεθος οὖν τοῦ νοσήματος ἀποχεῖται μὴ στεγόμενα, καὶ ταύτῃ χαλεπὸν τὸν θάνατον οὐκ ἐν ὑστέρῳ φέρει, καθάπερ ἐν ἄλλοις νοσήμασι διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ἐδήλωσε μέντοι μὲν τοῦτον τὸν ἀφορισμὸν ἐναργῶς, ὅ, τι καὶ κατὰ τὸν ἔμπροσθεν ἀφορισμὸν ἡνίκα ἔλεγεν, ὑποχωρήματα μέλανα ἢ οἷον αἷμα, προσυπακοῦσαι χρὴ τὸ μέλαν, ἵν' ᾖ τὸ πλῆρες τοιοῦτον, ὑποχωρήματα οἷον αἷμα μέλαν. ἐδήλωσε δὲ καὶ ὅτι καλῶς ἡμεῖς διωρίσαμεν ἀπὸ τῶν μελάνων τὴν μέλαιναν χολήν. τὰ μὲν γὰρ αἵματι μεμελασμένῳ παραπλήσια φέρεται, διαφέροντα τῷ κεχύσθαι τε καὶ μὴ πεπηγέναι καθάπερ ἐκεῖνο. μέλαινα δὲ χολὴ, τοῦ τε κεχύσθαι χωρὶς τοῦ πεπῆχθαι, καὶ τῷ στίλβον ἔχειν τῷ μέλανι. ἔτι δὲ δακνώδης ἐστὶ καθάπερ ὄξος, ἀναδέρειν τε καὶ ζυμοῦν τὴν γῆν, ὧν οὐδὲν ὑπάρχει τοῖς μέλασιν.

Δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

Ὑπὸ τῆς ὠχρᾶς μὲν ὑπὸ ἐνίων, ὑπ' ἄλλων δὲ ξανθῆς ὀνομαζομένης χολῆς, ἄρχεται τοὐπίπαν ἡ δυσεντερία. ξυομένων μὲν τὰ πρῶτα τῇ τοῦ χυμοῦ δριμύτητι τῶν ἐντέρων, ἀναβιβρωσκομένων δ' ὕστερον, ὡς ἑλκοῦσθαι καὶ γίνεσθαι δυσεντερίαν. ταύτην μὲν οὖν τὴν δυσεντερίαν ἰώμεθα πολλάκις. ἢν τις δ' αὖ ὑπὸ τῆς μελαίνης γένηται χολῆς, ἀνίατός ἐστι πάντῃ, οὐδὲν διαφέρουσα καρκίνου, τοῦ μεθ' ἑλκώσεως. ὅπου τοίνυν ὁ ἐπὶ πολλῆς συνιστάμενος ὁ τοιοῦτος καρκίνος, ἤτοι δυσίατος, ἢ παντάπασιν ἀνίατός ἐστι, καίτοι διὰ παντὸς ἐπικείμενον ἑαυτῷ φάρμακον ἔχειν δυνάμενος, εἰκὸς δήπου τὸν τοῖς ἐντέροις γιγνόμενον, οὐ μόνον τῷ μηδὲν ἔχειν δύνασθαι διὰ παντὸς ὁμιλοῦν φάρμακον ἑαυτῷ, ἀλλὰ καὶ τῶν ἀπὸ τῆς τροφῆς περιττῶν ἀεὶ ψαυόντων αὐτοῦ, παντάπασιν ἀνίατον μένειν.

Αἷμα ἄνωθεν μὲν ὁκοῖον ἂν ᾖ κακὸν, κάτω δὲ ἀγαθὸν, τὰ μέλανα ὑποχωρέοντα.

Ἐν τοῖς ἔμπροσθεν ἀφορισμοῖς ὁ λόγος αὐτῷ γέγονε περὶ τῶν διὰ τοῦ στόματος, ἢ τῆς ἕδρας ἐκκρινομένων, ὥστε καὶ κατὰ τόνδε τὸν προκείμενον, ἀκούσωμεν αὐτοῦ λέγοντος, ἄνω τὴν διὰ τοῦ στόματος ἔκκρισιν μόνην, αὐτὸν τοῦ περιλαμβάνεσθαι τὴν διὰ τῶν ῥινῶν. ταύτην οὖν φησὶ διὰ παντὸς εἶναι κακὴν, ὁποῖον ἂν ᾖ τὸ αἷμα τὸ ἐκκρινόμενον, τουτέστιν ἄν τε ἀφρῶδες, ἄν τε ἐρυθρὸν, ἄν τε ξανθὸν, ἄν τε μέλαν, ἄν τε ὑδατῶδες, ἄν τε παχύ. κάτω γὰρ ὑπέρχεσθαι, βέλτιον εἶναι φησὶν αὐτό. οὐκοῦν οὐδ' ἐνταῦθα τρόπον αἱμοῤῥαγικὸν, ἀλλὰ μὲν βραχὺ συῤῥέον, ὥστε ἐν τῷ βραδὺ τῆς διεξόδου μελανθῆναι. αὐτὸ μὲν οὖν τὸ συῤῥεῖν ὅλως εἰς τι τῶν ἐντέρων αἷμα, φαῦλον εἶναι χρὴ νομίζειν. ἄμεινον δ' ὀλίγον, ἤπερ ὅταν αἱμοῤῥαγικῶς ἐκκρίνηται πάμπολλα. διὸ καὶ τὸ ἀγαθὸν ὡς οὐ κυρίως εἰρημένον ἀκούειν προσῆκον, ἀλλ' ἐν ἴσῳ τὸ ἄμεινον, ὡς εἰ καὶ οὕτως εἴρητο. κάτω δὲ ἄμεινον τὰ μέλανα χωρέοντα. τῷ γὰρ ὄντι τοῦτ' ἂν ἕλοιτό τις πρὸς τοῦ διὰ στόματος ὁπωσοῦν ἀναφέρεσθαι τὸ αἷμα. τουτὶ μὲν οὖν ἄν τις εἴποι διαλυόμενος τὴν μάχην τῶν λόγων τοῦ παλαιοῦ, νυνὶ μὲν εἰπόντος, ἀγαθὸν εἶναι κάτω ὑποχωρεῖν τὰ μέλανα, μικρὸν δ' ἔμπροσθεν κάκιστον ὑπάρχειν. ἐγχωρεῖ δὲ καὶ οὕτως ἀκοῦσαι τὰ μέλανα, καθάπερ αὐτὸς ἐπὶ τῶν αἱμοῤῥοΐδων ἐν ἐπιδημίαις ἔλεγεν, ὡς ἰωμένων τὰ μελαγχολικὰ πάθη. τῷ γὰρ ὄντι μελαγχολίας ἤδη γεγενημένης, ἴαμα μέγιστόν ἐστιν αἱμοῤῥοΐς, μελλούσης ἔσεσθαί γε κώλυμα. τοιγαροῦν οὕτως ἀκουόντων ἡμῶν, ὁ λόγος ἔσται τοιοῦτος. αἷμα ἄνω μὲν ὁποῖον ἂν ᾖ, κακὸν, κάτω δὲ δι' αἱμοῤῥοΐδων, ἀγαθὸν, ὅταν ἐκκενοῖ τὰ μέλανα, τουτέστιν ὅταν ἡ φύσις τοῦ ἀνθρώπου, πολὺν τὸν τοιοῦτον ἀθροίζῃ χυμόν. ἄλλως δὲ οὐκ ἐπιτρεπτέον ἐθίζεσθαι τῇ τὴν δι' αἱμοῤῥοΐδος κενώσει σφαλερὰν ἐχούσῃ τὴν ἀμετρίαν ἑκατέρᾳ, ἔν τε τῷ πέρα τοῦ προσήκοντος ἐκκρίνεσθαι, κἂν τῷ παντάπασιν ἴσχεσθαι.

Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ σάρκες ὑποχωρήσωσι, θανάσιμον.

Ἐν ταῖς δυσεντερίαις ἔτι μὲν συνισταμέναις ἐκκρίνεταί τινα πιμελώδη σώματα. τούτοις δ' ἐφεξῆς ὅταν μὴ φθάσῃ παυσαμένη, ξύσματά τινα τῶν ἐντέρων αὐτῶν ἀποῤῥιπτομένης τῆς ἔνδοθεν ἐπιφανείας αὐτῶν ὑμενώδους οὔσης καὶ πυκνῆς, ἀνάλογον τῇ κατὰ τὸ δέρμα τοὺς ἐπὶ τῷ δορμίδι. μετὰ δὲ ταῦτα, καὶ αὐτῆς τι τῆς οὐσίας τῶν ἐντέρων ἀποξύεται, καθ' ὃν ἤδη χρόνον, οὐκέτι γίνεσθαι τὴν δυσεντερίαν, ἀλλ' ἤδη γεγονέναι καὶ κατασκευάσθαι φαμέν. ὅταν οὖν οὕτως μεγάλα μόρια τῶν ἐντέρων ἐκκρίνηται κατὰ τὴν δυσεντερίαν, ὡς δύνασθαι σάρκας ὀνομάζεσθαι αὐτὰ, θανάσιμον εἶναι φησὶ τὸ νόσημα, μήτε σαρκωθῆναι τῆς τηλικαύτης ἑλκώσεως, μήτε ἐπουλωθῆναι δυναμένης.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

Τῆς ἐμφύτου θερμασίας ἀῤῥώστου γιγνομένης διὰ τὴν αἱμοῤῥαγίαν, οὔτε πέττεσθαι καλῶς τὰ σιτία, οὔθ' αἱματοῦσθαι. πολὺ δὲ δὴ μᾶλλον, οὐδ' ἀναδίδοσθαι δύναται, καὶ διὰ ταῦτα πάντα τὰς κοιλίας ὑγροτέρας γίνεσθαι τοῖς τοιούτοις εἰκός ἐστι, μέχρισπερ ἂν ἐν χρόνῳ πλείονι τὴν ἑαυτῆς ἰσχὺν ἡ φύσις ἀνακτήσηται.

Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γινομένης παύεται, καὶ ὁκόσοισι κώφωσις, χολωδέων γινομένων παύεται.

Οὐ περὶ τῆς ἐν ἕξει δυσλύτου κωφώσεως ὁ λόγος αὐτῷ νῦν ἐστι, ἀλλὰ περὶ τῆς ἐξαίφνης ἐν πυρετοῖς, ἢ ἄλλως γινομένης, ἀναδραμούσης ἐπὶ τὴν κεφαλὴν τῆς χολῆς. αὕτη γὰρ ὅταν μὲν καταλάβῃ τοὺς ἀκουστικοὺς πόρους, τὴν κώφωσιν ἐργάζεται. ὅταν δ' ἐντεῦθεν ἀπωσαμένης αὐτὴν τῆς φύσεως, ἐπὶ τὴν διαχώρησιν ἀφίκηται, λύει τὴν κώφωσιν.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα.

Ὅσα τοῖς πυρετοῖς καὶ μάλιστα τοῖς καυσώδεσι ἐπιγίνεται ῥίγη, κρίνειν εἴωθεν ἀγαθὴν μὲν καὶ τελείαν κρίσιν, ὅταν ἐν ἡμέρᾳ κρισίμῳ γένηται, καὶ μετὰ τῶν τῆς πέψεως σημείων. οὐκ ἀγαθὴν δὲ οὐδὲ τελείαν, ὅταν ἤτοι τὰ τῆς ἡμέρας, ἢ τὰ τῆς πέψεως σημεῖα ἐλλιπῶς ἔχει. ὅτι μὲν οὖν πεπέφθαι, χρὴ τὰ μέλλοντα κρίνεσθαι καλῶς, ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐδίδαξε διὰ τῆς ὀλίγον ἔμπροσθεν εἰρημένης ῥήσεως, ἧς ἡ ἀρχὴ, πεπασμοὶ ταχύτητα κρίσιος ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὅτι δ' οὐδὲ ἐν ἁπάσαις ταῖς ἡμέραις, ἔν τε τῷ προγνωστικῷ δηλοῖ, καὶ κατὰ τουτὶ τὸ βιβλίον τῶν ἀφορισμῶν, ἔτι δὲ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν. ἠθροίσθη δ' ὑφ' ἡμῶν ἅπαντα ταῦτα μετὰ τῆς προσηκούσης ἐξηγήσεως. ὅσα μὲν εἴρηται περὶ τῶν κρισίμων ἡμερῶν, κατὰ τὴν περὶ κρισίμων ἡμερῶν πραγματείαν, ὅσα δὲ περὶ τῶν τῆς πέψεως σημείων, ἐν τῇ περὶ τῶν κρίσεων. εἴρηται δ' ἐν αὐταῖς, καὶ περὶ τῆς κατὰ τὴν ἕκτην ἡμέραν κρίσεως, ἧς καὶ νῦν μνημονεύων, ἔφη, τὰ κατ' αὐτὴν ῥίγη δύσκριτα γίνεσθαι, τουτέστιν, ἤτοι κακὴν ἐπιφέροντα κρίσιν, ὥσπερ καὶ κακόκριτα ἐλέλεκτο, ἢ οὐ βεβαίαν. ἀλλ' ὥστε ῥαδίως ὑποτροπιάζειν, ἢ εἰς μακρὸν ἐμπίπτοντα χρόνον ὥσπερ καὶ δύσλυτα ἐλέλεκτο. καὶ μετὰ συμπτωμάτων δ' ἔστιν ὅτε χαλεπῶν, εἰ ἐκταία γίνεται ἡ κρίσις, ὑπὲρ ὧν ἁπάντων γέγραπταί μοι τελέως ἐν ταῖς πραγματείαις προειρημέναις. ταῦτα μὲν οὖν οὕτως γίγνεσθαι καὶ πρὸ τῆς ἐμπειρίας μεμαρτύρηται. τὰς δ' αἰτίας αὐτῶν, μακρὸν ἂν εἴη νῦν διεξέρχεσθαι. περὶ μὲν γὰρ τῶν κρινουσῶν ἡμερῶν, ἐν τῷ τρίτῳ τῶν περὶ κρίσεων εἴρηται, περὶ δὲ τοῦ ῥίγους ἰδίᾳ κατ' αὐτό.

Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, εἰς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

Ὑποθώμεθα τινὰ κατὰ τὴν πρώτην ἡμέραν ἀρξάμενον ὥραν τρίτην. πεπαῦσθαι δὲ καθ' ἥντινα οὖν ὥραν ἑτέραν, εἶθ' ὑπῆρχθαι πάλιν ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν κατὰ τὴν αὐτὴν ὥραν τὴν τρίτην, εἶτα παυσάμενον αὖθις, ὅτε δή ποτε τῇ τρίτῃ τῶν ἡμερῶν πάλιν ἄρξασθαι κατὰ τὴν τρίτην ὥραν. εἶτ' αὖθις ὡς ἔτυχε παυσάμενον, ἄρξασθαι τῇ τετάρτῃ τῶν ἡμερῶν κατὰ τὴν τρίτην ὥραν, καὶ οὕτως ἀεὶ κατὰ τὸ ἑξῆς φυλάττεσθαι μὲν αὐτῷ τὴν τρίτην ὥραν, ἐν ᾗ τὴν ἀρχὴν ὁ παροξυσμὸς λαμβάνει, μὴ φυλάττεσθαι δὲ τὰς ἄλλας ἐν αἷς παύεται. τὸν οὖν οὕτω νοσοῦντα μακροτέρων ἀνάγκη νοσῆσαι χρόνων, τῶν ἄτακτον ἐχόντων τὴν ὥραν τῆς ἀρχῆς τοῦ παροξυσμοῦ. τοῦτο μὲν οὖν ἡμεῖς ὑπὸ τῆς πείρας μαρτυρούμενον εἰρῆσθαι φαμέν. εἰσὶ δ' οἳ τοιοῦτό τι φασὶν εἶναι τὸ λεγόμενον, εἰ τῇ πρώτῃ τῶν ἡμερῶν παροξυνθεὶς ὁ κάμνων, ὥρᾳ φέρε εἰπεῖν τρίτῃ, παυσάμενός τε δωδεκάτην ὥραν, εἰ τύχοι, πάλιν ἄρξαιτο τῇ δευτέρᾳ τῶν ἡμερῶν κατὰ τὴν δωδεκάτην ὥραν, δύσκριτον ἔσεσθαι φασὶν αὐτῷ τὸ νόσημα, μήτε λογισμόν τινα προστιθέντες, ἀλλὰ μηδ' ἀπὸ τῆς πείρας μαρτυρούμενον ἀποδεῖξαι δυνάμενοι τὸν ἑαυτῶν λόγον. οὐ μὴν οὐδὲ τὸ δύσκριτον οἷόν τ' ἐστὶν, ἐπινοῆσαι κατ' ἄλλο τι σημαινόμενον εἰρῆσθαι, παρὰ τὸ δύσλυτον, ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον, ἐάν τε καθ' ἑκάστην ἡμέραν, ἐάν τε διὰ τρίτης, ἐάν τε διὰ τετάρτης ὁ κάμνων παροξύνηται κατὰ τὴν αὐτὴν ὥραν, δύσλυτον ἔσται τοῦτο τὸ νόσημα, κἂν πολλαῖς, κἂν ὀλίγαις ὁ παροξυσμὸς ὥραις γένηται. τοῦτο μὲν οὖν ὡς ἔφην ὑπὸ τῆς ἐμπειρίας μαρτυρεῖται. τὴν δ' αἰτίαν αὐτοῦ νομιστέον εἶναι τοιαύτην, ὅταν μὲν ἀστήρικτον ᾖ τὸ τῶν παροξυσμῶν αἴτιον, οὐ φυλάττει τὴν αὐτὴν περίοδόν τε καὶ προθεσμίαν, ὅταν δ' ἐστηριγμένον φυλάττει, καὶ διὰ τοῦτο δύσλυτον μὲν ἐστὶ τὸ ἐστηριγμένον, εὔλυτον δὲ τὸ μὴ τοιοῦτον. μοχλείας γὰρ ὡς ἂν εἴποι τις ἰσχυρᾶς δεῖ τοῖς ἐστηριγμένοις, ἥτις ἐν χρόνῳ πλείονι καὶ διὰ βοηθημάτων ἰσχυροτέρων τε καὶ πλειόνων γίγνεται.

Τοῖσι κοπώδεσιν ἐν τοῖσι πυρετοῖσιν ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους, μάλιστα αἱ ἀποστάσιες γίνονται.

Ἐῤῥέθη ἤδη καὶ πρόσθεν ὡς τῶν κόπων ἔνιοι μὲν ἐπὶ κινήσεσι γίγνονται πολλαῖς, οἵπερ ἁπλῶς τε καὶ κυρίως ὀνομάζονται κόποι. τινὲς δὲ οὔτε πολλὰς, οὔτε σφοδρὰς κινήσεις κινηθέντες, εἰώθασι γίγνεσθαι κοπώδεις. τοὺς τοιούτους οὖν κόπους, οὐχ ἁπλῶς κόπους, ἀλλὰ μετὰ προσθήκης ὀνομάζουσι κόπους αὐτομάτους. ἀμφοτέρων δ' αὐτῶν κοινῶς ὁ πεπονθὼς ὑπάρχει τόπος. ἔστι δ' οὗτος, ἅπαν τὸ μυῶδες ἐν τῷ σώματι γένος. ὅσοι δ' ἐπὶ κινήσεσι πλείοσι γίνονται κόποι, πρόσεστιν αὐτοῖς ἴδιον ἐξαίρετον ἡ ἐν τοῖς ἄρθροις θερμότης, ὥστ' ἐπὶ τούτων μὲν οὐδὲν θαυμαστὸν εἰς τὰ ἄρθρα γίγνεσθαι τὰς ἀποστάσεις, ὡς καὶ πεπονηκότα τοῖς μυσὶν, ὁμοίως καὶ τεθερμασμένα περαιτέρω τοῦ προσήκοντος. τοῖς δ' αὐτομάτοις κόποις, ἑνὶ μόνῳ λόγῳ τὰ ῥεύματα κατασκήπτειν εἰς ἄρθρα συμβέβηκεν, ὡς καὶ τοῖς ἄλλοις σχεδὸν ἅπασι νοσήμασιν, ὅσα δι' ἀποστάσεως κρίνεται, τῆς εὐρυχωρίας αὐτῶν ἐπιτηδείως ἐχούσης ὑποδέξασθαι τὰ περιττά. σπανιώτερα μὲν οὖν ἐπ' ἐκείνων εἰσὶν αἱ ἀποστάσεις, ἐπὶ δὲ τῶν κοπωδῶν πλείους, καὶ μάλιστα ὅταν αὐτόματος ὁ κόπος ᾖ, καὶ τούτων αὐτῶν μάλιστα ὅσοι διὰ πλῆθος. ἔσται τοιγαροῦν καὶ κατὰ τὸν ἀφορισμὸν τοῦ λόγου τὸ κεφάλαιον τοιοῦτον. τοῖς κοπώδεσιν ὁπωσοῦν ἐν πυρετοῖς γενομένοις, εἰς ἄρθρα καὶ μάλιστα περὶ τὰς γνάθους αἱ ἀποστάσιες γίνονται. συμβαίνει δὲ τοῦτο διὰ τὴν ἐν τοῖς πυρετοῖς θερμασίαν, ἐπὶ κεφαλὴν ἀναφερομένου τοῦ πλήθους, εἶτ' ἐντεῦθεν τῶν περὶ τὰς γνάθους ἀδένων ὑποδεχομένων αὐτὸ, καθάπερ ὅταν εἰς βουβῶνας ἢ μασχάλας ἀφίκηταί τι τῶν ἐν ἐκείνοις τοῖς μέρεσιν.

Ὁκόσοισι

Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων, ἤν τι πονέσῃ, ἐνταῦθα αἱ ἀποστάσιες γίνονται.

Εἴπερ ὁ πόνος τὴν τε σφοδρὰν κίνησιν σημαίνει, καὶ τὴν ὀδύνην καὶ τὴν βλάβην, ὡς ἔμπροσθεν ἐδείχθη, πρόδηλον δήπου, ὅτι καὶ τὸ πονεῖν, τότ' ἐν πλείονι κινήσει γενέσθαι δηλώσει, καὶ τὸ ἔχειν τινὰ ὀδύνην ἢ βλάβην. ἀτὰρ οὖν καὶ φαίνεται τισὶ τῶν ἀνακομιζομένων ἐκ νόσου, μὴ πάνυ καλῶς κεκαθαρμένων τῶν ἐργασαμένων τὴν νόσον χυμῶν, ἀλλά τινα περιττὰ καταλελοιπότων, ὅταν ἤτοι κάμνωσιν ἢ ὀδυνηθῶσι τι μόριον, ἐκεῖσε κατασκήπτειν ἀποστήματα. τοῦ μὲν καμάτου λόγον αἰτίας ἔχοντος, τῆς δ' ὀδύνης σημείου. κατὰ μὲν γὰρ τὰς σφοδροτέρας κινήσεις, ἥτε δύναμις ἀρρωστοτέρα γίνεται, καὶ θερμασία πλείων ἀνάπτεται. τὸ δ' ὀδυνᾶσθαι, τῶν ῥευμάτων ἤδη κατασκήπτοντος ἀποτελεῖται. τοῦτο μὲν οὖν ὡς ἔφην, γινομένης ἀποστάσεως ἐστὶ σημεῖον. ἡ ἀρρωστία δὲ καὶ ἡ θερμασία, ποδηγεῖ τοῖς περιττοῖς ἐπὶ τὸ πεπονθός. ἑκατέρως μὲν οὖν ὡς ὑποδέδεικται, δυνατὸν ἀκούειν τοῦ πονῆσαι. τῷ μέντοι λόγῳ παντὶ τῶν νῦν ὑφ' Ἱπποκράτους περαινομένων τὸ ἕτερον τῶν σημαινομένων, οἰκειότερόν ἐστιν, εἴγε δὴ πρότερον μὲν ὑπὲρ τῶν κοπωδῶν πυρετῶν. ἐφεξῆς δὲ πάλιν φησίν, ἀτὰρ καὶ ἤν προπεπονηκός τι ᾖ. φαίνεται γὰρ ὁ μὲν πρῶτος ἀφορισμὸς οὗ ἡ ἀρχή, ἐν τοῖσι κοπώδεσι, περὶ τῶν ἐν ταῖς νόσοις κόπων διαλεγόμενος. ὁ δὲ νῦν προκείμενος, ὑπὲρ τῶν ἐν ταῖς ἀναλήψεσιν. ὁ δ' ἑξῆς, ὑπὲρ τῶν προκαμνόντων τῆς νόσου.

Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσεῖν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

Εἴτε συνάπτειν τις ἐθέλει τοῖς προειρημένοις δύο λόγοις καὶ τοῦτον τὸν νῦν εἰρημένον, εἰς ἑνὸς ἀφορισμοῦ συμπλήρωσιν, εἴθ' ἕκαστον ἰδίᾳ περιγράφειν, οὐ διοίσει. δέδεικται γὰρ ἥτε κοινότης αὐτῶν καὶ ἡ καθ' ἕκαστον ἰδιότης ἐν τῷ προειρημένῳ λόγῳ. ῥηθήσεται δὲ καὶ νῦν ἔτι διὰ βραχέων. ὅταν ἐν νοσήματι κοπώδης αἴσθησις ᾖ, τῷ κάμνοντι προσδέχεσθαι χρὴ γενήσεσθαί τινα ἀπόστασιν εἰς ἄρθρα, καὶ μάλιστα περὶ τὰς γνάθους. ὁμοίως δὲ καὶ ἐὰν ἀνακομιζόμενος ἐκ νόσου κάμῃ τινὶ μορίῳ τοῦ σώματος, ἢ πρὶν τοῦ νοσεῖν. εἴωθε γὰρ κατὰ πολὺ κατασκήπτειν εἰς τὰ τοιαῦτα, κατ' ἐκείνας δηλονότι τῶν νόσων, ἐφ' ὧν ἐλπίς ἐστιν ἀπόστασιν γενέσθαι, καὶ μὴ προκεκρίσθαι τὸ νόσημα, δι' ἐκκρίσεως. εἴρηται μὲν οὖν τινὰ κἀν τοῖς πρόσθεν ὑπὲρ τῆς τῶν τοιούτων νοσημάτων διαγνώσεως. ὁ δὲ σύμπας λόγος, ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι διῄρηται.

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῷ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγίγνηται, θανάσιμον.

Ἔνεστι μὲν καὶ ἁπλῶς ἀκοῦσαι τῆς ἀρχῆς τοῦ ἀφορισμοῦ, καθ' ἣν φησίν, ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, ὡς εἰ καὶ οὕτως ἔτυχεν εἰπών, ἢν πυρέσσοντι ἀνθρώπῳ οἰδήματος μὴ ἐόντος. ἔνεστι δὲ καὶ σὺν ἐνδείξει τινὶ πλείονι καθάπερ εἴωθεν καὶ ἐν τοῖς τῶν ἐπιδημιῶν γράφειν, οὐ τὸν ἁπλῶς ὁπωσοῦν πυρέττοντα δηλῶν, ὅταν εἴπῃ πυρετὸς εἶχεν αὐτόν, ἀλλ' ὅτῳ μέγας ἐστὶν ὁ πυρετός, τούτου ἑρμηνεύων. ἐγχωρεῖ μὲν οὖν καὶ χωρὶς μεγάλου πυρετοῦ πνίξεως ἐξαίφνης ἐπιγινομένης, ἀπολέσθαι τὸν ἄνθρωπον. ἀφυκτότερος δὲ καὶ θᾶττον ὁ θάνατος, ὡς μηδ' ἐκ παραδόξου ποτὲ σωθῆναι, σφοδροῦ κατέχοντος τὸν κάμνοντα πυρετοῦ. δεῖται γὰρ ὁ τοιοῦτος πυρετός, ὡς ἐν τοῖς περὶ δυσπνοίας δέδεικται λόγοις, εἰσπνοῆς δαψιλοῦς. γίνεται δ' οὐχ ὅπως δαψιλής, ἀλλὰ καὶ παντάπασιν ὀλίγη τοῖς πνιγομένοις. οὐ γὰρ δὴ οὐδ' ἄλλό τι ἐστὶν ἡ πνὶξ παρὰ τὴν γιγνομένην ἀπώλειαν ἐξ ἐνδείας ἀναπνοῆς, διὰ στενοχωρίαν τῶν ἀναπνευστικῶν τινὸς ὀργάνων ἀποτελουμένης. ἡ γάρ τοι στενοχωρία, οὐκ αὐτῶν χωρὶς τῶν τῆς ἀναπνοῆς ἐστι γιγνομένης καὶ ταύτης, ἤτοι διὰ τὴν ἀρρωστίαν τῆς κινούσης τὸν θώρακα δυνάμεως, ἢ διὰ ψύξιν ἰσχυρὰν τῆς ζωτικῆς ἀρχῆς. ἀλλ' ἤγε πνίξ, ἔνθα στενοχωρία μὲν γίγνεται πάντως. ἡ στενοχωρία δέ, ἤτοι πεπληρωμένης τῆς μεταξὺ τοῦ θώρακός τε καὶ πνεύμονος χώρας, ἢ τῶν σηράγγων τοῦ πνεύμονος, ἢ τινὸς φλεγμονῆς περὶ τὸ σπλάγχνον ὅλον οὔσης, ἢ κατὰ τὴν τραχεῖαν ἀρτηρίαν, ἢ τὴν οἷον κεφαλὴν αὐτῆς ἣν ὀνομάζουσι λάρυγγα. καί ποτε κατὰ τὴν προκειμένην εὐρυχωρίαν ταύτης ᾗ τοὔνομα φάρυγξ ἐστί, πνίγεσθαι πέφυκεν. οὕτως οὖν καὶ Ὅμηρος ἔφη, φάρυγγος δ' ἐξέσυτο οἶνος, ψωμοί τ' ἀνδρόμεοι. τὴν προκειμένην εὐρυχωρίαν στομάχου καὶ λάρυγγος ὀνομάζων φάρυγγα. φαίνεται δὲ καὶ νῦν ὁ Ἱπποκράτης, ταυτὸ τοῦτο τὸ μόριον ὡσαύτως Ὁμήρῳ καλέσας, φησὶ γοῦν. οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι. ὡς δυνατὸν ἐπὶ πλέον ἀνοιχθέντος τοῦ στόματος ἀκριβῶς θεάσασθαι τὸ μόριον, ὅπερ οὐχ ὑπάρχει τῷ λάρυγγι. γενήσεται γοῦν ὁ σύμπας λόγος τοιοῦτος. ἐὰν ὑπὸ πυρετοῦ ἐχομένῳ, πνὶξ ἐξαίφνης ἐπιγενήσεται χωρὶς ὄγκου τοῦ κατὰ τὴν φάρυγγα, θανατῶδές ἐστιν. ὡσαύτως ὠνόμαζον οἱ παλαιοὶ τό, τε οἴδημα καὶ τὸν ὄγκον. ἴσμεν δ' ὅτι τριττή τίς ἐστιν ἡ διαφορὰ τῶν ὄγκων. ἤτοι γὰρ μετ' ὀδύνης εἰσί, καὶ καλοῦσιν αὐτοὺς οἱ νεώτεροι φλεγμονάς, ἢ χωρὶς ὀδύνης καὶ σκληροί, καλοῦσι δὲ καὶ τούτους σκίρρους, ἢ χωρὶς ὀδύνης καὶ μαλακοί. προσαγορεύουσι δὲ καὶ τούτους ἰδίως οἰδήματα, καὶ δι' αὐτό γε τοῦτο τῆς παλαιᾶς χρήσεως ἀπέστησαν, ὡς μηκέτι τὰς παρὰ φύσιν αὐξήσεις ἁπάσας οἰδήματα προσαγορεύειν. ὅταν οὖν ἡ φάρυγξ φαίνηται χωρὶς ὄγκου, πνὶξ δὲ ἐξαίφνης ἐπιγίνηται, τοῦ λάρυγγος ἐστὶ μόνου τὸ τοιοῦτον πάθημα. πνίγονται μὲν γὰρ ὡς ἔφην καὶ δι' ἄλλα νοσήματα τὰ μικρῷ πρόσθεν εἰρημένα. τὸ δ' ἐξαίφνης, ὑπάρχει μόνῳ τῷ λάρυγγι. περιπνευμονία γὰρ οὐκ ἐξαίφνης πνίγει τοὺς κάμνοντας ἀνθρώπους, ἀλλὰ κατὰ βραχὺ τὴν αὔξησιν ἀπὸ τῆς ἀρχῆς λαβοῦσα μέχρι τῆς ἰδίας ἀκμῆς, ἐν ᾗ τοῦτ' ἐπάγει τὸ σύμπτωμα. καὶ ἔτι φῦμα καὶ απόστημα κατὰ πνεύμονα γίνεται, χρόνιον καὶ τοῦτ' ἐστί, καθάπερ καὶ ἡ μεταξὺ πνεύμονός τε καὶ θώρακος χώρα πληρουμένη πύου, πολλάκις ἀποπνίγει τὸν ἄνθρωπον, ἀποστήματος εἰς αὐτὴν ῥαγέντος ἐν χρόνῳ πολλῷ, δηλονότι καὶ τούτου συσταντος. ἡ γε μὴν τῆς τραχείας ἀρτηρίας φλεγμονή, δύσπνοιαν μέν τινα δύναται ποιῆσαι. πνίξ δ' οὐ δύναται, διά τε τὸ μέγεθος τῆς κατ' αὐτὴν εὐρυχωρίας καὶ τὴν λεπτότητα τοῦ χιτῶνος. ἀδύνατον γάρ ἐστιν οὕτω λεπτοῦ σώματος φλεγμονὴν εὐρυχωρίαν ἀξιόλογον πληρῶσαι. λοιπὸν οὖν ὁ λάρυγξ ἐστίν, ὁ τὴν αἰφνίδιον πνῖγα δυνάμενος ποιῆσαι, ἐπειδὴ στενοῦταί τε κατὰ τοῦτον ὁ τοῦ πνεύμονος πόρος, οὐκ ἔνδον αὐτῷ μένει ἅμα τῷ περιέχοντι χιτῶνι

φλεγμήναντες, ἀποκλεῖσαι δύνανται τὴν ὁδὸν τοῦ πνεύματος. ὀνομάζουσι δ' ἔνιοι τῶν ἰατρῶν τὴν τοιαύτην διάθεσιν, οὐ διὰ τοῦ σ συνάγχην, ἀλλὰ διὰ τοῦ κ κυνάγχην, οἷς ἀρέσκει τὴν τῆς φάρυγγος φλεγμονὴν διὰ τοῦ σ συνάγχην. ἔνιοι δὲ καὶ παρασυνάγχην, καὶ παρακυνάγχην ὀνομάζουσι. παρασυνάγχην μὲν ὅταν τῶν ἐπικειμένων τῇ φάρυγγι μυῶν, γένηται φλεγμονή, παρακυνάγχην δέ, ὅταν ἔξωθεν τοῦ λάρυγγος. ἐκ γοῦν τῶν εἰρημένων εὔλογον ἐστὶ τὴν τοιαύτην διάθεσιν ὀδύνην τινὰ φέρειν κατὰ τὸν λάρυγγα, καὶ φαίνεταί γε σαφῶς μεμνημένος ὁ Ἱπποκράτης αὐτῆς ἐν τῷ προῤῥητικῷ κατὰ τήνδε, τὴν ῥῆσιν. φάρυγξ ἐπώδυνος ἰσχνὴ μετὰ δυσφορίης πνιγώδης ὀλέθριοι ὀξέως. ἀλλὰ νῦν γε τὸ ἐπώδυνον οὐκ εἶπεν, ὡς τοῖς προειρημένοις συνεπινοεῖσθαι δυνάμενον, ἢ ὡς καὶ χωρὶς ὀδύνης ὑπολαμβάνων ποτὲ τὴν ἐν τῷ προκειμένῳ λόγῳ συνίστασθαι πνίγα. εἴπερ ὅλως δύναται χωρὶς ὀδύνης γενέσθαι πνίξ, ἐπ' αἰτίαις ἔσται τοιαῖσδε. δυνατὸν μὲν καὶ πλῆθος ὑγρότητος καὶ μάλιστα φλεγματώδους διαβρέξαι τὴν ἔνδοθεν τοῦ λάρυγγος χιτῶνα, γενέσθαι τὸν ὄγκον ἀνώδυνον αὐτῷ. δυνατὸν δὲ καὶ τῶν διοιγόντων αὐτὸν μυῶν παχυνθέντων στενότερον ἀποτελεσθῆναι τὸν πόρον. ἐγχωρεῖ δὲ καὶ ἄμφω συνελθεῖν. οὐκ ἀδύνατον δὲ οὐδὲ δι' ὑπερβάλλουσαν ξηρότητα τῶν ἔνδον τοῦ λάρυγγος μυῶν ἐπὶ πλεῖον ταθέντων, στενωθῆναι τὸν πόρον. οἵτινες δ' εἰσὶν οὗτοι, καὶ ὅπως κλείουσι τὸν λάρυγγα τεινόμενοι, δέδεικται κατὰ τὴν περὶ φωνῆς πραγματείαν.

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῆται, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος, θανάσιμον.

Οὐκέτι προσέθηκεν ἐνταῦθα τὸν τόπον ἐν ᾧ φησίν, οἰδήματος μὴ ἐόντος, ὥσπερ ἐν τῷ πρόσθεν ἀφορισμῷ τῆς φάρυγγος ἐμνημόνευσεν εἰπών, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι. ἀλλ' ἡμεῖς γε δυοῖν θάτερον ἐροῦμεν. ἤτοι ἀπὸ κοινοῦ δεῖν ἀκούειν ἐπὶ τῆς φάρυγγος, ἢ ὅλως ἐπὶ πάντων τῶν κατὰ τὸν τράχηλον χωρίων. ὁπόταν γὰρ ἐν μηδενὶ τούτων φαίνηται, μήτε διοιγομένου τοῦ στόματος ἐν τῇ φάρυγγι, μήτε ἔξωθεν οἴδημα. συμβῇ δὲ τὸν ἄνθρωπον ἀδυνατεῖν καταπίνειν, ὀλέθριον σύμπτωμα ἐστὶ γινόμενον ἐπὶ φλεγμονῇ, ποτὲ μὲν τῶν προβεβλημένων μυῶν τοῦ στομάχου, ποτὲ δὲ αὐτοῦ τοῦ στομάχου, κοινωνία γάρ τις ἐστὶ τούτοις τοῖς μορίοις, διὰ νεύρων καὶ συνδέσμων πρός τε τὸν νωτιαῖον μυελόν, καὶ τὰς ἀμφ' αὐτὸν μήνιγγας, ἔτι τε τὰ παρακείμενα τούτοις ἔξωθεν ὅσα τῶν σπονδύλων. τεινομένων οὖν ἐπὶ τὰ φλεγμαίνοντα μόρια, τῶν τε συνδέσμων καὶ τῶν νεύρων ἕλκεσθαι τοῖς σπονδύλοις, ἤτοι γε εἰς τὸ ἐντός, ἢ εἰς τὰ πλάγια, ἀναγκαῖον ἐστίν. εἰ μὲν κατὰ τὴν ἑτέραν ἀπόφυσιν τῶν νεύρων, τὴν τάσιν συμβαίνει γενέσθαι πρὸς τὰ πλάγια. εἰ δὲ κατ' ἀμφοτέρας, εἰς τὸ ἐντός. ἐπὶ πλέον δὲ περὶ τούτων ἐροῦμεν, ἐξηγούμενοι τὸ περὶ τῶν ἄρθρων βιβλίον, ἔνθα τὰς διαστροφὰς τῆς ῥάχεως γίγνεσθαί φησι, φυμάτων ἀπέπτων ἔνδον αὐτῆς συστάντων. ἐν ἐκείνῳ μὲν οὖν τῷ βιβλίῳ, καὶ τὰς κυφώσεις ἔφη γίνεσθαι, τεινομένων ἔσω τῶν τοῦ σπονδύλου μορίων, οὐ μόνον τὰς λορδώσεις τε καὶ σκολιώσεις. ἐν μέντοι τῷ δευτέρῳ τῶν ἐπιδημιῶν τῆς νῦν προκειμένης κατὰ τὸν ἀφορισμὸν συνάγχης μνημονεύων, ἔφη, ἦν δὲ τῶν συναγχικῶν τὰ παθήματα τοιάδε, οἱ σπόνδυλοι τοῦ τραχήλου ἔσω ἔῤῥεπον, καὶ ἔξωθεν ἦν δῆλος, κοῖλον ἔχων ὁ τράχηλος, καὶ ἤλγεε ταύτῃ ψαυόμενος. ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ, μίαν ἐδήλωσε διαστροφὴν τῶν σπονδύλων τὴν ἐπὶ τὰ ἔσω. κατὰ δὲ τὸν προκείμενον ἀφορισμόν, ὀνόματι γενικωτέρῳ κέχρηται, λέγων, ἢν ὁ τράχηλος ἐπιστραφῇ. τὸ γὰρ ἐπιστραφῇ ῥῆμα, τὴν ἐκτροπὴν τὴν εἰς τὸ παρὰ φύσιν ἅπασαν δηλοῖ τῆς τῶν σπονδύλων εὐθυωρείας. ἐν μὲν οὖν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν προσέθηκε τῷ λόγῳ, καὶ ἤλγεε ταύτῃ ψαυόμενος. ἐνταυθοῖ δ' οὐδὲν εἶπεν ὑπὲρ ἀλγήματος, καίτοι γε ἀναγκαῖον ἄλγημα συνεῖναι τῇ κατὰ τὸν τράχηλον φλεγμονῇ. πλὴν εἰ κἀνταῦθα τὴν δι' ὑπερβάλλουσαν ξηρότητα γιγνομένην ὁλκὴν καὶ τάσιν καὶ διαστροφὴν τῶν μορίων ἐνδείκνυται μόνην. καὶ διὰ τοῦτο αὐτὸ θανάσιμον εἶναί φησι τὸ σύμπτωμα, τοῦ ἑτέρου τοῦ κατὰ τὴν φλεγμονὴν συνισταμένου μὴ πάντως ὄντος θανασίμου, καθάπερ τὸ πρότερον ἦν, τὸ μετὰ τοῦ πνίγεσθαι καὶ τοῦ καταπίνειν μόγις. ἀλλ' ἐὰν δι' ὑπερβάλλουσαν ξηρότητα γεγονὸς ᾖ, τὸ περιεστράφθαι τὸν τράχηλον. καὶ τὸ καταπίνειν μόγις, ὀλέθριον ἔσται τὸ σύμπτωμα, καὶ μάλιστα ὅταν ὁ πυρετὸς ᾖ σφοδρός, ἵνα τό, ἢν ὑπὸ τοῦ πυρετοῦ ἐχομένῳ, καὶ κατὰ τοῦτο ἀκούοι τις. διὰ δὲ τὸν αὐτὸν τοῦτον πυρετόν, καὶ τὴν ἄμετρον ἐν τοῖς μέλεσιν εἰκὸς γίγνεσθαι ξηρότητα, καὶ δῆλον ἔξει λόγον ὁ σφοδρὸς πυρετός, ὡς πρὸς τὸν θάνατον, ὅτι τε σημεῖον ἔσται τοῦ διὰ ξηρότητα τήν τε διαστροφὴν γεγονέναι, καὶ τὸ καταπίνειν μόγις, ὅτι τε συντελέσει τι καὶ αὐτός, ὡς ἕν τι τῶν ἐπὶ θάνατον ἀγόντων αἰτίων.

Ἱδρῶτες πυρεταίνοντι ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, καὶ ἑνδεκαταῖοι καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι καὶ μίῃ καὶ εἰκοστῇ, καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, καὶ τριηκοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες νόσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι, καὶ μῆκος νόσου καὶ ὑποτροπιασμόν.

Οὐχ ἱδρῶτες μόνον, ἀλλὰ καὶ διαχωρήσεις γαστρὸς ἀξιόλογοι, καὶ οὖρα πολλά, καὶ ἀποστήματα παρ' οὖς, ἢ κατ' ἄλλο τι τῶν ἄρθρων, ἐν ταῖς ἡμέραις ταῖς εἰρημέναις ἐπιφαίνεται χρηστῶς. ὁ γάρ τοι καθόλου λόγος ἐστὶ τοιόσδε. τὰ δὲ κρίσιμα σημεῖα τε καὶ συμπτώματα, ταῖς κρισίμοις ἡμέραις ἀρχέσθω, καὶ ἤρκει οὗτος ὁ λόγος ὁ εἰρημένος. ἀλλ' ὁ Ἱπποκράτης νῦν οὐ περὶ πάντων αὐτῶν ἐποιήσατο τῶν κρισίμων, ἀλλ' ἱδρώτων μόνων. ἀνέμνησέ τε τῶν κρισίμων ἡμᾶς ἡμερῶν ὅσαι τῆς τεσσαρακοστῆς ἐντός εἰσι. τὰ γὰρ τούτων χρονιώτερα νοσήματα, δι' ἱδρώτων οὐ πάνυ τι κρίνεσθαι πέφυκεν, ὥσπερ οὐδὲ δι' ἐκκρίσεως ὅλως, ἀλλ' ἤτοι κατὰ τὴν σύμπεψιν, ἢ δι' ἀποστημάτων ὅτι. δι' οὖ πάσης τῆς ἡμέρας ἀριθμὸς ἐπιτήδειος εἰς κρίσιν, ἐναργῶς ἡ πεῖρα μαρτυρεῖ, καὶ θαυμάσειεν ἄν τις τῶν φασκόντων μηδεμίαν ἐν αὐταῖς εἶναι διαφοράν. ἄμεινον μὲν γάρ, ἐκ τῶν ἐναργῶς φαινομένων διδάσκεσθαι τὴν διαφοράν. τὴν δ' αἰτίαν τοῦ γιγνομένου, κατὰ πολλὴν ἐπισκέπτεσθαι σχολήν, ὅπερ ἡμεῖς ἐποιήσαμεν ἐν τῇ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ. τὸ μὲν εἰς τὴν χρείαν τῆς τέχνης διάφορον, ἐν τοῖς πρώτοις ὑπομνήμασι δύο διελθόντες, τὰς δ' αἰτίας

τίας αὐτῶν, ἐν τῷ τρίτῳ πειραθέντες ζητῆσαι. διαπεφώνηνται δ' ἱκανῶς αἱ νῦν ἑρμηνεῖαι κατὰ τὸν ἀφορισμὸν ἡμέραι, γραφόντων αὐτὰς ἄλλων ἄλλως ὡς ἂν ἐθέλωσιν. ἀλλ' ἡμεῖς γε κατὰ τὰ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους εἰρημένα, διά τε τοῦ προγνωστικοῦ, καὶ τῶν ἐπιδημιῶν, καὶ αὐτοῦ τοῦ βιβλίου τούτων ἀφορισμῶν τὴν ἐξαρίθμησιν αὐτῶν ἐποιησάμεθα. τὰς δὲ ῥήσεις ἐν αἷς ἔγραψε περὶ τούτων τῶν ἡμερῶν ὁ Ἱπποκράτης, ἔν τε τῇ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ, καὶ τῇ τῶν κρίσεων, ἁπάσας ἔχεις ἠθροισμένας. νυνὶ δ' ἀπὸ τῆς τρίτης ἤρξατο, προλαμβανούσης τῆς τετράδα κατὰ βραχὺ τὰ χρονιώτερα τῶν νοσημάτων, καὶ μετὰ ταύτην ἔγραψε τὴν πέμπτην, ὑστερίζουσαν ἡμέραν μίαν τῆς τετάρτης. οὕτω γὰρ σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις εὑρίσκεται, οὐκέτι γεγραμμένης τῆς τετάρτης ἡμέρας κατὰ τὸν ἀφορισμόν. καίτοι δοκεῖ πρώτη κρίσιμος ὑπάρχειν αὕτη, ἀλλ' ὅμως αὐτὴν ὑπερέβη νῦν, ἢ αὐτὸς ὁ Ἱπποκράτης, ἢ ὁ πρῶτος τὸ βιβλίον γράψας. εἴπερ δ' ὅλως ὁ Ἱπποκράτης αὐτὴν ὑπερέβη, δοκεῖ μοι διὰ τήνδε τὴν αἰτίαν αὐτὸ ποιεῖσθαι. τὰ πλεῖστα τῶν κατόξεων νοσημάτων, ὅσα σὺν ἱδρῶτι κρίνεται τῇ τρίτῃ καὶ τῇ πέμπτῃ μᾶλλον ἢ τετάρτῃ τὴν κρίσιν λαμβάνει. σπανιώτεροι γὰρ οἱ διὰ τῆς τετάρτης κρινόμενοι, καί μοι τοῦτο ἐξεύρηται πάνυ σφόδρα δι' αὐτὸ τοῦτο ζητήσαντι, διότι παραλέλειπε κατὰ τὸν προκείμενον ἀφορισμόν. ἔοικε δὲ συμβαίνειν οὕτως, ἐπειδὴ τὰ κατόξεα νοσήματα, τόν τε πρῶτον εὐθὺς παροξυσμὸν ἔχει σφοδρότερον, καὶ τὸν ἀνάλογον αὐτῷ διὰ τρίτης. ἐμάθομεν δ' ὡς ἐν τοῖς σφοδροτέροις παροξυσμοῖς αἱ κρίσεις γίνονται. καὶ μέντοι καὶ ὅτι τὰ μὲν ἐν περιτταῖς ἡμέραις παροξυνόμενα θᾶττον κρίνεται. τὰ δ' ἐν ἀρτίαις χρονίζει, καὶ διὰ τοῦτο κἂν ἐν ἀρχῇ τι παροξύνηται νόσημα, κατὰ τὰς περιττὰς μᾶλλον. ἐὰν δὲ μέλλῃ χρονίζειν, εἰς τὰς ἀρτίας μεταπίπτουσιν οἱ σφοδρότεροι παροξυσμοί. ταυτὶ μὲν ἔχω περὶ τῆς τετάρτης λέγειν. ἐπὶ δὲ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ, τινὲς μὲν τὴν τριακοστὴν πρώτην ἡμέραν, τινὲς δὲ τὴν τριακοστὴν τετάρτην γράφουσιν. ἴσμεν δ' αὐτὰς ἐν τῷ καταλόγῳ περιεχομένας τῶν κρισίμων ἡμερῶν, καὶ ἴσως ἰσχυροτέραν γε τὴν τριακοστὴν τετάρτην. οὐ μὴν τῆς τεσσαρακοστῆς ἐμνημόνευσεν ἴσως, ἐπειδὴ ταύτην οἷον ἀρχὴν τῶν χρονίων ἐνόμιζεν, ἃ δι' ἱδρώτων οὐ πάνυ τι κρίνεται. καὶ γὰρ καὶ αὐτὴν τὴν τριακοστὴν πρώτην, καὶ τριακοστὴν τετάρτην, καὶ πρὸ αὐτῶν τὴν εἰκοστὴν ἑβδόμην, σπανίως ἔστιν ἱδρῶσι κρινούσας εὑρεῖν.

Οἱ ψυχροὶ ἱδρῶτες, σὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον σημαίνουσι, ξὺν δὲ πρηϋτέρῳ, μῆκος νόσου.

Ὅτι μὲν οὖν οὕτω γίνεται, πολλάκις ἡ πεῖρα διδάσκει. τίς δ' ἡ αἰτία τοῦ γινομένου, σκεπτέον. ἀπορώτατον γὰρ εἶναι δοκεῖ πυρετοῦ θερμοτάτου κατέχοντος τὸν ἄνθρωπον, ἱδρῶτα ψυχρὸν γίγνεσθαι. ὅτι μὲν οὖν ἐν ἄλλοις χρὴ μορίοις τοῦ σώματος εἶναι τὴν σφοδρὰν θερμασίαν, ἐξ ἄλλων δὲ κενοῦσθαι τοὺς ψυχροὺς ἱδρῶτας, εὔδηλον. ἐθερμάνθησαν γὰρ ἂν εἴπερ ἐκ τῶν θερμοτάτων ἐφέροντο. κενοῦνται δὲ ἐκ τοῦ αὐτοῦ δέρματος οἱ ἱδρῶτες, ὅπερ ἐγχωρεῖ ψυχρὸν εἶναι, διακαιομένων τῶν ὑπ' αὐτό. σηπομένων γὰρ τινῶν χυμῶν, ἐδείχθησαν ὀξεῖς γινόμενοι πυρετοί. σήπονται δ' οὗτοι, πολλάκις μὲν ἐν ὅλῳ τῷ σώματι, πολλάκις δ' ἐν τοῖς ἀγγείοις μόνοις. ὅταν οὖν ποτε συμβῇ δύο ταῦτα, τοὺς μὲν ἐν τοῖς ἀγγείοις χυμοὺς σήπεσθαι, τὴν δὲ τὰ στερεὰ μόρια διοικοῦσαν φύσιν, ἥτις ἐστὶ καθ' Ἱπποκράτην τὸ ἔμφυτον θερμόν, ἤτοι γε ἐσβέσθαι παντάπασιν, ἢ πλησίον ἥκειν σβέσεως, τὰ μὲν ἐκ τούτων κενούμενα ψυχρὰ φαίνεται. τῆς δ' ἐπὶ τῇ σήψει θερμασίας, οὐδὲν κωλύει σφοδροτάτην εἶναι, καὶ διὰ τοῦτο ὀλέθριον τὸ σημεῖον, ἐνδεικνύμενον ἐν τῷ τοῦ ζώου σώματι πλεονεκτεῖν ὑγρῶν πλῆθος ψυχρῶν τοσοῦτον, ὡς μήθ' ὑπὸ τῆς ἐμφύτου, μήθ' ὑπὸ τῆς πυρετώδους ἐκθερμαίνεσθαι. χλιαρῶν μέντοι πυρετῶν ὑπαρχόντων, ἐγχωρεῖ σωθῆναι τὸν ἄνθρωπον, ἐν χρόνῳ πλείονι τοῦ ψυχροῦ πλήθους πεφθέντος, καὶ κρατηθέντος ὑπὸ τῆς φύσεως. ὁ μὲν γὰρ ὀξὺς πυρετός, αἴτιόν ἐστι καὶ σημεῖον ὀλεθριώτατον. αἴτιον μέν, ἐπειδὴ πέφυκε διαλύειν τὰ σώματα. σημεῖον δέ, ὅτι τὸ πλῆθος τῶν ὑγρῶν ἐνδείκνυται, ὅτι ψυχρότατον ὑπάρχει, ὅπου γε μήθ' ὑπὸ τῆς τοῦ πυρετοῦ μεταβάλλεται θερμότητος. ὁ δ' οὐκ ὀξύς, ἀλλὰ μέτριος πυρετός, ἐπιτρέπει χρόνῳ πλείονι πρὸς τῆς φύσεως πεφθῆναι τὸ πλῆθος, ὡς ἂν μὴ φθάνων διαλύειν τὸ ζῶον. σημεῖον δ' οὐκ ἔστιν οὕτως ὀλέθριον ὡς ὁ σφοδρός. ἐγχωρεῖ γὰρ ἐν χλιαρῷ πυρετῷ, κἂν μετρίως ψυχρὸν ᾖ τὸ πλῆθος, ἀνεκθέρμαντον μένειν.

Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρώς, ἐκεῖ φράζει τὴν νοῦσον.

Εἴπερ εἰς ὅλον ἡ νόσος ἐξέτατο τοῦ ζώου τὸ σῶμα, καὶ τὴν κένωσιν ἂν ἐξ ἅπαντος ὁμοίως ὁμότιμον ἐποιεῖτο. γίνονται μὲν γὰρ οἱ ἱδρῶτες, ἤτοι τῆς φύσεως ἐκκενούσης τὰ περιττά, ἡνίκα καὶ κρίνουσι χρηστῶς, ἢ καὶ διὰ τὸ μὴ στέγεσθαι κατὰ τὸ σῶμα τῷ λόγῳ τοῦ νοσήματος. ὁποτέρως δ' ἂν γίνωνται, τὴν τῶν πεπονθότων μερῶν ἐκκρίνουσιν ὑγρότητα.

Καὶ ὅκου ἔνι τοῦ σώματος ψυχρὸν ἢ θερμόν, ἐνταῦθα ἡ νοῦσος.

Ἐν ᾧπερ ἂν ᾖ μορίῳ τοῦ σώματος ἐπίσημος, ἤτοι θερμότης, ἢ ψύξις, ἐν τούτῳ καὶ τὴν νόσον ἀναγκαῖον ὑπάρχειν. ἐξέστηκε γὰρ τοῦτο δηλονότι τῆς κατὰ φύσιν εὐκρασίας, ἥ τις ἐστὶν ἡ ὑγίεια.

Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαί, καὶ ἢν τὸ σῶμα καταψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νόσου σημαίνει.

Αἱ ποικίλαι διαθέσεις ἀεὶ χρονιώτεραι γίγνονται τῶν μονοειδῶν, ἀδυνατούσης δηλονότι τῆς φύσεως ἐν ὀλίγῳ χρόνῳ κατεργάζεσθαι τὰς πολλὰς διαθέσεις.

Ἱδρὼς πολὺς ἐξ ὕπνου γινόμενος ἄνευ φανερῆς αἰτίης, τὸ σῶμα σημαίνει τροφῇ ὅτι πλείονι χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο πάσχῃ, σημαίνει ὅτι κενώσιος δεῖται.

Ἔνιοι γράφουσιν οὕτω τὸν ἀφορισμόν, ἱδρὼς πολὺς ἐξ ὕπνου γιγνόμενος ἄνευ φανερᾶς αἰτίας, ἔνιοι δὲ ἄνευ τινὸς αἰτίης ἑτέρης, ἀλλά γε τὰ τοιαῦτα κἂν μὴ προσγραφῇ νοεῖται, μυριάκις ἐν μυρίαις ῥήσεσιν ὑπ' αὐτοῦ πα-

ραλελειμμένα, διὰ τὸ προσυπακούειν ἡμᾶς αὐτὰ, κἂν μὴ ῥηθῆ μεμαθηκότας γε ἅπαξ παρ᾽ αὐτοῦ, ὅτι διὰ τὴν ἔξωθεν αἰτίαν, οὐκ ἐκ τῆς τοῦ σώματος διαθέσεως γιγνόμενα συμπτώματα, πρόγνωσιν οὐδεμίαν ποιεῖται ἀσφαλῆ. τούτου μὲν οὖν ἀεὶ χρὴ μεμνῆσθαι. τὸ δὲ κατὰ τὸν προκείμενον ἀφορισμὸν διδασκόμενον, ἐν τῇ τοῦ πολὺς προσθήκῃ μάλιστα ἐστίν. εἰ γὰρ μὴ πολὺς ἱδρὼς ᾖ, δύναιτ᾽ ἂν καὶ διὰ τὴν τῆς δυνάμεως ἀῤῥωστίαν, καὶ διὰ τὴν τοῦ σώματος ἀραιότητα γίγνεσθαι. τὸ γὰρ πλῆθος ὑπ᾽ αὐτοῦ δυοῖν θάτερον, ἤτοι διὰ τὴν τῶν ἄρτι λαμβανομένων σιτίων ἀμετρίαν, ἢ διὰ τὴν τῶν ἔμπροσθεν ὑπάρχειν. εἰ μὲν διὰ τὴν τῶν ἄρτι λαμβανομένων σιτίων ἀμετρίαν, κωλυτέον πολλὰ λαμβάνειν. εἰ δὲ διὰ τὴν τῶν ἔμπροσθεν, κενωτέον.

Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς ἀεὶ ῥέων, ὁ ψυχρὸς μείζω, ὁ δὲ θερμὸς ἐλάσσω, νοῦσον σημαίνει.

Περὶ μὲν οὖν τῶν ἐν ταῖς κρισίμοις ἡμέραις γιγνομένων ἱδρώτων, ἔμπροσθεν εἴρηται. περὶ δὲ τῶν ἐν ὅλῳ χρόνῳ τοῦ νοσήματος ἐπιφαινομένων ἀκρίτως, ἐν τῷδε δηλοῖ. χαλεπωτέρους μὲν εἶναι λέγων τοὺς ψυχροτέρους, ἧττον δὲ τούτων μοχθηροὺς τοὺς θερμούς. ἀμφότεροι μὲν γὰρ ἐνδείκνυνται πλῆθος. ἀλλ᾽ οἱ μὲν ἕτεροι ψυχρὸν, οἵγε καὶ χείρους εἰσίν. οἱ δ᾽ ἕτεροι θερμὸν, ἧττον ἐκείνων ὄντες ὀλέθριοι πυρετοί.

Πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, μᾶλλον ἐπικίνδυνοι. ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

Ὅτι τὸ διαλείπειν ὁ Ἱπποκράτης ἐπὶ τῶν εἰς ἀπυρεξίαν παυομένων παροξυσμῶν λέγει, δῆλον ἐποίησεν ἐν τῷδε τῷ ἀφορισμῷ, τοὺς ὁπωσοῦν διαλείποντας, τῶν διὰ τρίτης παροξυνομένων ἀκινδύνους ἀποφαινόμενος. μόνοι γὰρ οἱ εἰς ἀπυρεξίαν λήγοντες, ἐξ αὐτῶν εἰσιν ἀκίνδυνοι, κἂν σφοδρότατον ποιῶνται τὸν παροξυσμὸν, κἂν ἱκανῶς μακρόν. ἐὰν μὲν γὰρ ᾖ βραχὺς, ὡς ἐν τοῖς ἀκριβέσι τριταίοις, ἐστὶν ἔλαττον ἢ τῶν δώδεκα ὡρῶν χρόνῳ περιγραφόμενος, οὐ μόνον ἀκίνδυνος ὁ τοιοῦτός ἐστι πυρετὸς, ἀλλὰ καὶ ταχυκρίσιμος. ἐὰν δὲ μακρότερος ὡς ὡρῶν εἰ τύχοι ιῆ ὑπάρχει, ἀκίνδυνος μὲν ἔτι καὶ οὗτος. εἰς τοσοῦτον δὲ χρονιώτερος, εἰς ὅσον ὁ παροξυσμὸς αὐτοῦ μείζων ἐστὶν, ἢ κατὰ τὸν ἀκριβῆ τριταῖον. εἰκότως δὲ τοὺς εἰς ἀπυρεξίαν τελευτῶντας ἀκινδύνους εἶναι φησὶν, ὡς ἂν μήτε διὰ φλεγμονήν τινα γιγνομένους, μήτε ἐπὶ κακοήθει σήψει χυμῶν. οὐδ᾽ ἕτεροι γὰρ τούτων εἰς ἀπυρεξίαν ἀφικνοῦνται, ὅτῳ δ᾽ ἂν οὖν τρόπῳ διαλείπει, σημαίνει ὅτι ἀκίνδυνοι, τουτέστιν, ἐάν τε σφοδροῦ τοῦ παροξυσμοῦ γεγονότος, ἐάν τε μακροῦ.

Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι γίνονται.

Οὐ διὰ παντὸς οὐδὲ τοῦτο καθάπερ οὐδ᾽ ἄλλο οὐδὲν τῶν ὁμοίων, ἀλλ᾽ ὡς τὸ πολὺ δηλονότι φαίνεται συμβαῖνον, ἡ δ᾽ αἰτία φανερά. διὰ γάρ τοι τὸ πλῆθος ἢ τὸ πάχος ἢ τὴν ψυχρότητα τῶν τοὺς πυρετοὺς ἐργαζομένων χυμῶν ἐπὶ πλεῖστον ἐκτείνεται τὰ νοσήματα, χρόνου μακροῦ δεομένων αὐτῶν εἰς τὴν πέψιν. εἰκὸς οὖν ἐστιν ἐπ᾽ αὐτοῖς καὶ φύματα γίνεσθαι καὶ κατασκήπτειν εἰς ἄρθρα τὸ περιττόν. εἴτε δ᾽ ἀντὶ τῶν ἀλγημάτων ἀκούσομεν εἰρῆσθαι τοὺς πόνους, εἴτε αὐτὶ τῆς βλάβης, ἑκάτερον ἔχει τινὰ λόγον. ἄμφω γὰρ ἕπεται τοῖς ἀποσκήμμασιν.

Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐκ πυρετῶν μακρῶν γίνονται, οὗτοι σιτίοισι πλέοσι χρέονται.

Περὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου διδάσκει. τούτοις γὰρ ἐμπιπλαμένοις εἰκός ἐστι γίγνεσθαι πληθωρικὰ περιττώματα, καὶ μάλιστα διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως.

Ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον.

Οὐ ταυτόν ἐστιν, ἢν ἐπιπέσῃ φάναι, καὶ ἢν ἐμπίπτῃ. τὸ μὲν γὰρ ἐπιπέσῃ, μίαν καταβολὴν τοῦ ῥίγους δηλοῖ, τὸ δ᾽ ἐμπίπτῃ, πλείονας. ἅπαξ μὲν οὖν ἐπιπεπτωκότος τοῦ ῥίγους, οὔπω δῆλον, εἴτ᾽ ὀλέθριος, εἴτε χρηστὴ κρίσις ἀκολουθήσει. δύναται μὲν γὰρ καὶ διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ὀλέθριον γενέσθαι τὸ σύμπτωμα, δύναται δὲ καὶ σφαλερὰ κρίσις, ἀλλ᾽ ὅμως εἰς ἀγαθὸν τελευτῆσαι. τὸ δὲ πλεονάκις γενέσθαι τὸ ῥῖγος μὴ διαλείποντος τοῦ πυρετοῦ, καὶ ἄλλως μὲν οὐκ ἀγαθὸν, ἐπ᾽ ἀσθενεῖ δὲ τῇ δυνάμει γιγνόμενον, ὀλέθριον. εἰ μὲν γὰρ καὶ κένωσις τὶς ἕποιτο τῷ ῥίγει, διάλειμμα μηδὲν ἐργαζομένη, κατ᾽ ἄμφω διαλυθήσεσθαι τὸν ἄνθρωπον εἰκὸς, ὑπό τε τῆς δυνάμεως φερούσης τὸν κλόνον τοῦ ῥίγους, ὑπό τε τῆς κενώσεως καταλυομένης. εἰ δὲ τὸ ῥῖγος γίγνοιτο μόνον, οὐδὲ μιᾶς γιγνομένης κενώσεως, ἑκατέρως οὐκ ἀγαθὸν τὸ σύμπτωμα. καὶ γὰρ ὡς αἴτιον κακὸν ἅψεται τῆς δυνάμεως, καὶ σημεῖον ἔσται μοχθηρὸν, ἐνδεικνύμενον ἀῤῥωστίαν ἐσχάτην αὐτῆς. εἰωθύας μὲν ἐπὶ τοῖς ῥίγεσιν ἐκκρίνειν τοὺς λυποῦντας χυμοὺς, ἀδυνατούσης δ᾽ αὐτὸ νῦν ποιεῖν.

Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσιν, αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ, καὶ κατὰ τὰς διαχωρήσιας καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τουτέων, κακόν.

Ἦν μὲν ἴσως πρέπον ἀφοριστικῇ διδασκαλίᾳ, συντομώτερον εἰρῆσθαι πάσας τὰς πονηρὰς ἐκκρίσεις καλῶς ἀποχωρούσας, εἰς ἀγαθὸν τελευτᾶν. ὁ δὲ Ἱπποκράτης, οὐχ οὕτως ἐποίησεν, ἀλλὰ πρῶτον μὲν ἐμνημόνευσε τριῶν γενῶν ἐκκρίσεως, τῆς τε διὰ στόματος, καὶ τῆς τῶν διαχωρουμένων, καὶ τῆς τῶν οὔρων, εἶτα καὶ τῆς διὰ στόματος αὐτῆς λεπτομερέστερον. οὐ γὰρ ἁπλῶς εἶπε τὰς μοχθηρὰς ἀποχωρούσας καλῶς ἀγαθὰς ὑπάρχειν, ἀλλὰ καὶ κατ᾽ εἶδος αὐτῶν ἐμνημόνευσεν, εἰπών, αἱ πελιδναὶ καὶ αἱματώδεες καὶ δυσώδεες καὶ χολώδεες. εἷς δέ τις ἐστὶν ὁ κοινὸς ἐπὶ πάντων τούτων λόγος, αἱ μοχθηραὶ κενώσεις μοχθηρῶν διαθέσεων εἰσὶ σημεῖα, καὶ γίνονται πολλάκις μὲν οὕτως ὡς ἐπὶ τῶν

συμπτωμα-

συμπεσόντων τῶν ἑλκῶν ἡμῶν οἷς ἰχῶρες ἀπορρέουσιν, οὐδὲν ὠφελοῦντες τὴν διάθεσιν, ἐνίοτε δὲ οὕτως ὡς πύον ἐξ ἀποστήματος ῥαγέντος, ἐκκαθαιρομένου καλῶς τοῦ πεπονθότος. τεκμήρια δὲ τοῦ καλῶς ἀποκρίνεσθαι, μέγιστα μὲν, εἰ πέψις εἴη καὶ ἡ εὐφορία. σὺν αὐτοῖς δὲ καὶ ἡ τοῦ νοσήματος ἰδέα, καὶ μετ' αὐτῶν ὥρα, καὶ χώρα, καὶ ἡλικία, καὶ ἡ τοῦ κάμνοντος φύσις. τὸ δ' ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ διχῶς εὑρίσκεται γεγραμμένον, ἐν τισὶ μὲν ὡς προγέγραπται. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται. ἐν τισὶ δὲ χωρὶς τοῦ μὴ, κατὰ τόνδε τὸν τρόπον, ἢν δέ τι τῶν συμφερόντων ἐκκρίνεται. κατὰ μὲν τὴν προτέραν γραφὴν ὁ λόγος ἔσται τοιοῦτος, ἢν δέ τι τῶν μὴ συμφερόντων ἐκκρίνεσθαι φαίνηται κενούμενον, οὐκ ἀγαθόν ἐστι. κατὰ δὲ τὴν δευτέραν, ἢν δέ τι τῶν συμφερόντων τῷ ζώῳ, καὶ οἰκείων ἐκκρίνηται, οὐκ ἀγαθόν ἐστι. βελτίων οὖν ἡ προτέρα γραφή.

Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον.

Σκεπτέον εἰ δυνατὸν ἔσται τὰ εἰρημένα συμπτώματα καὶ ἐπὶ τὸν διαλείποντα γενέσθαι πυρετόν. ἐγὼ μὲν γὰρ οὔτ' εἶδον, οὔτ' ἐπινοῶ. φαίνεται δὲ μόνον τοῖς ὀλεθρίοις ὑπάρχοντα καύσοις, ἢ εἰ βούλοιο καλεῖν ἑτέρως, τοῖς κακοηθεστάτοις, οἷον λιπυρίαις. ἄλλος δ' οὐδεὶς πυρετὸς διακαίει τὸ βάθος ἐψυγμένου τοῦ δέρματος. οὔτε γὰρ ὁ ἐπιεικὴς καῦσος, οὔθ' ὁ τριταῖος, οἵπερ ἁπάντων εἰσὶ πυρετῶν θερμότατοι. ἔοικεν οὖν οὐχ ἕνεκα διορισμοῦ προσκεῖσθαι τῷ κατὰ τὸν ἀφορισμὸν τὸ ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἀλλ' ὁμοίως εἰρῆσθαι. περὶ σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, οὐχ ὡς καὶ ἄλλοθι που τοῦ σώματος ὄντων σπονδύλων, ἀλλ' ὥσπερ εἰ καὶ οὕτως εἶπε, σπόνδυλοι δὲ οἷς ὑπάρχει κατὰ ῥάχιν εἶναι, καὶ νῦν οὕτως ἀκουσόμεθα τοῦ λόγου. τὸ διακαίεσθαι τὸ βάθος ἐψυγμένου τοῦ δέρματος, ὀλέθριόν ἐστι. γίγνεται δὲ τοῦτο κατά τινας τῶν μὴ διαλειπόντων πυρετῶν. αἰτία δ' αὐτοῦ τοιάδε τις ἐστίν. ὅταν ἤτοι φλεγμονή τις ἐστὶν ἰσχυρὰ κατά τι τῶν ἐν βάθει μορίων, ἢ ἐρυσίπελας συστῇ, πᾶν ἐπὶ τὸ πεπονθὸς μόριον ἐξ ὅλου τοῦ σώματος ἕλκεται τὸ αἷμα, καὶ διὰ ταῦτα μὲν διακαίεται τὸ βάθος, ἀποψύχεται δὲ τὸ δέρμα, καθάπερ ἐν ταῖς ἐπισημασίαις.

Ἐν μὴ διαλείποντι πυρετῷ ἢν χεῖλος, ἢ τὸ βλέφαρον, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενέος ἐόντος, ὅτι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

Αἱ διαστροφαὶ τῶν μορίων γίνονται, τεινομένων τε καὶ συνελκομένων ἐπὶ τὰς ἰδίας ἀρχὰς τῶν εἰς αὐτὰ καθηκόντων νεύρων, αὐτό τε τὸ τείνεσθαι φλεγμοναῖς καὶ σκίρροις, καὶ ξηρότησι καὶ ψύξεσιν ἀμέτροις ἕπεται. χαλεπὰ δὲ ταῦτα ἐστὶ, ὁπόταν τῆς τῶν νεύρων ἀρχῆς πλησίον συνίσταται. διὸ κἀπειδὰν ὅτε πυρετὸς ᾖ συνεχὴς, καὶ ὁ κάμνων ἀσθενὴς, ἐγγὺς εἶναι τοῦ θανάτου εἰκός ἐστι. ἔτι δὲ μᾶλλον, ὅταν ἢ μὴ ἀκούῃ τις, ἢ μὴ βλέπῃ, διὰ τὴν τῆς αἰσθητικῆς δυνάμεως ἀρρωστίαν.

Ὁκόσοισιν δ' ἐν τῷ πυρετῷ μὴ διαλείποντι δύσπνοια γίνεται καὶ παραφροσύνη, θανάσιμον.

Γίνεται μὲν ἐνίοτε διὰ μίαν αἰτίαν ἀμφότερα, δύσπνοια καὶ παραφροσύνη, πεπονθότος τοῦ ἐγκεφάλου, καὶ φαίνεται τηνικαῦτα τὸ πνεῦμα καθάπερ αὐτὸς εἶπεν ἐν τῷ προγνωστικῷ, μέγα τε καὶ διὰ πολλοῦ, τουτέστι μέγα τε καὶ ἀραιόν. ἐγχωρεῖ δὲ καὶ διά τι τῶν ἀναπνευστικῶν ὀργάνων πεπονθὸς, γενέσθαι τὴν δύσπνοιαν. αἵ τε γὰρ πλευρίτιδες, καὶ περιπνευμονίαι, τά τ' ἄλλα τὰ περὶ θώρακα καὶ πνεύμονα πάθη, δύσπνοιαν ἐργάζεται. κινδυνῶδες δὲ ταῦτα πάντ' ἐστὶ, καὶ μάλιστα μετὰ συνεχοῦς πυρετοῦ. καὶ γὰρ καὶ γίνεσθαι πέφυκεν ἀεὶ μετὰ τούτου, ὥστε κἀνταῦθα, τὸ, ἐν πυρετῷ μὴ διαλείποντι, κατὰ τὸν αὐτὸν ἔοικε λόγον εἰρῆσθαι, τῷ, κατὰ τὸν ἔμπροσθεν ἀφορισμόν.

Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νούσου σημαίνει.

Πρόδηλος ὁ λόγος καὶ ἴσως οὐδὲ Ἱπποκράτους δεόμενος. ἐν αὐτῷ γὰρ τῷ μὴ λύεσθαι κατὰ τὰς πρώτας κρισίμους, εὔδηλον ὡς χρονίζει τὰ τοιαῦτα παθήματα.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἢ ἐν τῇσιν ἄλλῃσιν ἀρρωστίῃσι κατὰ προαίρεσιν δακρύουσιν, οὐδὲν ἄτοπον. ὁκόσοι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

Εἴρηται κἀν τῷ προγνωστικῷ, τὸ δακρύειν οὐκ ἀγαθὸν εἶναι σημεῖον, ὅταν γε δηλονότι μηδὲν ᾖ πεπονθὼς αὐτὸς ὁ ὀφθαλμὸς ἴδιον ἐξαίρετον πάθος, οἷον ὀφθαλμίαν ἢ τραχύτητα περὶ τὰ βλέφαρα, ἤ τι τοιοῦτον. ἀρρωστία γάρ τις ἐμφαίνεται τῆς καθεκτικῆς δυνάμεως, ἐπειδὰν μηδενὸς ὄντος τοιούτου δακρύουσιν. οὐκ ὀρθῶς δὲ ἀτοπώτερον γέγραπται παραβλητικῶς. ἄμεινον γὰρ ἦν, ἀπολελυμένως ἄτοπον εἰρῆσθαι, καί μοι δοκεῖ τὸ σφάλμα τοῦ πρώτου βιβλιογράφου γεγονέναι μᾶλλον, ἢ Ἱπποκράτους αὐτοῦ.

Ὁκόσοισι δὲ περὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περιγλίσχρα γίνεται, ἰσχυροὶ γίνονται οἱ πυρετοί.

Οὐδὲ γὰρ οὐδὲ γενέσθαι δύναται ταῦτα τὰ περίγλισχρα, χωρὶς πολλῆς θερμασίας ὑγρότητα φλεγματικωτέραν ξηραινούσης.

Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ, βραχέα ἐρεθίζουσιν ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσι.

Ξηρὰς ὀνομάζουσι βῆχας, ἐφ' ὧν οὐδὲν ἀναπτύεται. γίγνονται δὲ ποτὲ μὲν ἐπὶ δυσκρασίᾳ τῶν ἀναπνευστικῶν

ὀργάνων. ἔστι δ' ὅτε ὑπὸ τραχύτητι τοῦ φάρυγγος, ἢ τινὸς ὑγροῦ λεπτοῦ τε καὶ ὀλίγου καταῤῥέοντος. ὅ, τι δ' ἂν ᾖ τούτων ὑποτέγγεταί πως τὰ περὶ τὴν ἀρτηρίαν χωρία, καὶ διὰ τοῦθ' ἧττον γίγνονται διψώδεις. καὶ γὰρ ἐὰν τραχύτης ᾖ μόνη, διὰ τὴν ἐν τῇ βηχὶ κίνησιν, ἐκ τῶν πλησίον ἕλκεταί τις ὑγρότης. οὕτω δὲ κἂν ἡ δυσκρασία μόνη.

Οἱ ἐπὶ βουβῶσι πυρετοὶ πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

Ἐφήμεροι πυρετοὶ πάντες πρὸς αὐτοῦ καλοῦνται, ὅσοι κατὰ τὸν ἴδιον λόγον ἡμέρᾳ γίγνονται μιᾷ. τοιοῦτοι δέ εἰσι, καὶ οἱ ἐπὶ τοῖς βουβῶσιν, ὅταν ἐπὶ φανεροῖς αἰτίοις συστῶσι. τοὺς δ' ἄλλους βουβῶνας, ὅσοι χωρὶς αἰτίας φανερᾶς ἐγένοντο, ταῖς τῶν σπλάγχνων εἰκός ἐστι συνεισβάλλειν φλεγμοναῖς, καὶ διὰ τοῦτο καὶ τοὺς ἅμα αὐτοῖς γιγνομένους πυρετοὺς, κακοὺς εἶναι.

Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει.

Ἐχρῆν τοῦτον τὸν ἀφορισμὸν ἐζεῦχθαι τῷ μικρῷ πρόσθεν εἰρημένῳ, καθ' ὃν ἔφη, ἱδρὼς πολὺς ψυχρὸς, ἢ θερμὸς ἀεὶ ῥέων. αὐτός τε ἐδήλωσε καὶ ὅπως κακὸν ἔφησε τὸν τοιοῦτον εἶναι, καὶ διά τινα αἰτίαν. κακὸς μὲν οὖν ἐστιν, ὅτι πρὸς τῷ μὴ λύειν τὴν νόσον, ἔτι καὶ μηκύνειν αὐτὴν δηλοῖ. τὴν δ' αἰτίαν τοῦ κατὰ τὸν χρόνον μήκους, ὑγρότητα πολλὴν εἶναι φησὶν, ἣν ἐν χρόνῳ πλείονι διαφορούσης τε καὶ πεττούσης τῆς φύσεως, ἀναγκαῖον ἐστὶ μηκύναι τὸ νόσημα.

Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ, πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα.

Ἔστι μὲν δή που καὶ ὁ τέτανος σπασμὸς ἀλλ' οὐ φαίνεται σπώμενα τὰ μόρια κατ' αὐτὸν, ὅτι κατ' ἴσον ὀπίσω τε καὶ πρόσω τείνεται, καὶ διὰ τοῦτο ἐξαίρετόν ἐστιν ὄνομα τέτανος, ὡς εἶναι πάντας τοὺς τρεῖς σπασμοὺς, ὀπισθότονον, ἐμπροσθότονον, τέτανον. ἅπαντες δ' οἱ σπασμοὶ γίγνονται κατ' αὐτὸν, ὑπὸ κενώσεως ἢ πληρώσεως τῶν νευρωδῶν δηλονότι μορίων. ὅσοι μὲν οὖν ἐπιγίγνονται πυρετοῖς καυσώδεσι σπασμοὶ, τούτους μὲν εἰκός ἐστι διὰ ξηρότητα συνίστασθαι. ὅσοι δ' ἀπ' ἀρχῆς ἰδίας εἰσβάλλουσιν, ἐπὶ πληρώσει τὴν γένεσιν ἴσχουσι, τούτοις οὖν τοῖς σπασμοῖς, ἐπιγινόμενοι πυρετοὶ, τὸ μέν τι διαφοροῦσι τῆς περιττῆς ὑγρότητος. τὸ δέ τι καὶ συμπέττουσι τῆς ψυχρότητος, οἵπερ εἰσὶ καὶ τοῖς ἰατροῖς σκοποὶ τῶν ἰαμάτων. εἰκότως οὖν ὀλέθριοι μὲν οἱ ἐπὶ πυρετοῖς σπασμοὶ, οὐκ ὀλέθριοι δὲ οἱ πρὸ τῶν πυρετῶν.

Ὑπὸ καύσου ἐχομένῳ ῥίγεος ἐπιγενομένου, λύσις.

Ἐλέχθη γὰρ ἐν τῷ περὶ ῥίγους λόγῳ, καὶ διὰ τὴν ξανθὴν χολὴν φερομένην ὀξέως διὰ τῶν αἰσθητικῶν σωμάτων ῥῖγος γιγνόμενον. ἐφ' ὧν δηλονότι καὶ κοιλίαι καταῤῥήγνυνται, καὶ ἱδρῶτες, καὶ ἔμετοι χολώδεις ἐπιφαίνονται. καθαιρομένης οὖν τῆς τὸν καῦσον ἐργαζομένης χολῆς, ἡ λύσις τῷ πυρετῷ. καῦσον γὰρ ἴσμεν γιγνόμενον, ὅταν ἐν θερινῇ ὥρᾳ ἀναξηρανθέντα τὰ φλέβια ἐπισπάσηται δριμείας καὶ χολώδεις ἰχῶρας εἰς ἑαυτά.

Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

Ὁ τριταῖος πυρετὸς τοῦ καύσου κατὰ μὲν τὸν ποιοῦντα χυμὸν οὐ διαφέρει. γίνονται γὰρ ὑπὸ τῆς ξανθῆς χολῆς ἀμφότεροι. διαφέρουσι δὲ πολὺ, τὸν μὲν καῦσον ἐν ταῖς φλεψὶν ἅμα τῷ αἵματι τὴν ξανθὴν χολὴν πλεονάζουσάν τε καὶ ζέουσαν ἔχειν, τὸν δὲ τριταῖον ἐν ὅλῳ τῷ σώματι, φερομένην τε καὶ κινουμένην. ἀκριβὴς οὖν ἔσται τριταῖος, ὁ τὴν ἑαυτοῦ φύσιν εἰλικρινῆ διασώζων. διασώζει δὲ ὁ ξανθὴν χολὴν ἔχων, ὡς εἴρηται, πλεονεκτοῦσαν τε καὶ κινουμένην, τήν τε ὥραν θερινὴν, καὶ τὸ χωρίον ὁμοίως τῇ ὥρᾳ θερμὸν καὶ ξηρὸν, καὶ τὴν ἡλικίαν τοῦ ἀνθρώπου, καὶ τὴν κρᾶσιν ὁμοίαν. εὐθὺς δ' ἂν τῷ τοιούτῳ τριταίῳ, καὶ ὁ παροξυσμὸς γίγνοιτο μετὰ ῥίγους, καὶ ἡ λύσις αὐτοῦ μεθ' ἱδρῶτος, ἢ ἐμουμένης, ἢ ὑπιούσης τῆς ξανθῆς χολῆς, ἢ καὶ πάντων ἅμα τούτων γιγνομένων. ἔσται δὲ τῷ τοιούτῳ τριταίῳ καὶ ὁ τοῦ παροξυσμοῦ χρόνος, ἐλάττων πολλῷ τοῦ τῆς ἀνέσεως. ἐν δυοῖν γὰρ ἡμέραις καὶ νυξὶ ταῖς ἴσαις συντελουμένης ὅλης αὐτοῦ τῆς περιόδου, τὸν ἀκριβῆ τριταῖον οὐκ ἄν ποτ' εὕροις ἐξωτέρω τῶν δώδεκα ὡρῶν ἐκτείνοντα τὸν παροξυσμόν. τὸν τοιοῦτον οὖν ὁ Ἱπποκράτης φησὶ ἐν ἑπτὰ περιόδοισι κρίνεσθαι τὸ μακρότατον. ὃ γὰρ ἐπὶ τῶν συνεχῶν ἡμέρα μία δύναται, τοῦτο ἐπὶ τῶν διαλειπόντων ὁ παροξυσμός. κατὰ γοῦν τὴν τούτων συναρίθμησιν αἱ κρίσεις αὐτῶν γίγνονται. τοῦτο δ' ἠνίξατο μὲν καὶ αὐτὸς ἐν τῷ προγνωστικῷ κατὰ τὸν περὶ τεταρταίων λόγον εἰπών. γίγνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τοῦ τοιούτου κόσμου. τετήρηται δὲ καὶ ἡμῖν ἐπὶ τῶν τεταρταίων αὐτῶν καὶ τῶν τριταίων ἡ κρίσις γιγνομένη κατὰ τὸν τῶν περιόδων ἀριθμὸν, οὐ τὸν τῶν ἡμερῶν. εὐθὺς γοῦν ἐπὶ τοῦ τριταίου πυρετοῦ ὁ ἕβδομος ἀπὸ τῆς ἀρχῆς παροξυσμὸς, εἰς τὴν τρισκαιδεκάτην ἡμέραν ἐμπίπτει, καὶ κρίνεται πολλάκις ἐν αὐτῷ τὸ νόσημα, μὴ περιμεῖναν τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν. καθάπερ οὖν ἐν τοῖς συνεχέσι νοσήμασι τῶν μὲν ὀξέων νοσημάτων ὅρος ἦν ἡ τεσσαρεσκαιδεκάτη, τῶν δὲ κατόξεων ἡ ἑβδόμη, οὕτως ἐν τοῖς διαλείπουσιν ὁ μακροχρονιώτατος πυρετὸς τριταῖος, ὅρον ἔχει τὴν ἑβδόμην περίοδον. ὥσπερ δὲ πάλιν ἐπὶ τῶν κατόξεων ἐνδέχεται κριθῆναι τὸ νόσημα, καὶ κατὰ τὴν πέμπτην ἡμέραν, καὶ κατὰ τὴν τετάρτην, καὶ κατὰ τὴν τρίτην, οὕτως καὶ τοῦ τριταίου καὶ κατὰ τὰς αὐτὰς περιόδους ἐνδέχεται γενέσθαι τὴν λύσιν, οὐκ ἀναμενούσης τῆς φύσεως τὴν ἑβδόμην περίοδον. ἐνίοτε μὲν οὖν μετὰ προσθήκης ὁ Ἱπποκράτης ἀκριβῆ τριταῖον ὀνομάζει τὸν τοιοῦτον. ἐνίοτε δὲ ἁπλῶς ἀρκεῖται τριταῖον εἰπών. ὥσπερ καὶ νῦν ἔθους ὄντος καὶ τοῖς ἄλλοις ἅπασιν Ἕλλησι τὰ τοιαῦτα πάντα πράγματα ἀδιορίστως ὀνομάζειν.

Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα.

Εἴρηται καὶ πρόσθεν αὐτῷ κώφωσιν γίγνεσθαι χολωδῶν διαχωρημάτων ἐπισχεθέντων καὶ ἀναδραμόντων ἐπὶ τὴν κεφαλὴν, λύεσθαί τε τὴν τοιαύτην κώφωσιν ἐκταραχθείσης τῆς γαστρός. εἴρηται δὲ καὶ νῦν αὐτῷ τοῦτο καὶ πρὸς αὐτῷ

τὸ περὶ

τὸ περὶ τῆς διὰ τῆς ῥινὸς αἱμοῤῥαγίας. καὶ γὰρ καὶ αὕτη λύει κώφωσιν τὴν ἐν πυρετοῖς γιγνομένην, δηλονότι χωρὶς τοῦ πεπονθέναι τι τὸ τῆς ἀκοῆς ὄργανον ἴδιον ἐξαίρετον πάθημα, καὶ οὐδὲν θαυμαστὸν ἐκκρινομένων τε καὶ μεταβαλλομένων τῶν λυπούντων χυμῶν παύεσθαι τὰ νοσήματα.

Πυρέσσοντι ἢν μὴ ἐν περισσῇ ἡμέρῃ ὁ πυρετὸς ἀφῇ, ὑποτροπιάζειν εἴωθε.

Οὐκ οἶδ' εἰ τοῦτον τὸν ἀφορισμὸν Ἱπποκράτης αὐτὸς ἔγραψε καὶ μὴ τῶν παρεγγεγραμμένων ἐστίν. ἔν τε γὰρ τῷ προγνωστικῷ, τὰς κατὰ τετράδα τῶν κρισίμων ἡμερῶν αὐξήσεις τε καὶ συνθέσεις ἐδίδαξε, καὶ ἐπὶ τοῦ αὐτοῦ τοῦ βιβλίου τῶν ἀφορισμῶν. ἔν τε ταῖς ἐπιδημίαις, οὐ μόνον ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πολλοὺς οἶδε κρινομένους, ἀλλὰ καὶ κατὰ τὴν εἰκοστὴν, καὶ τὴν τεσσαρακοστὴν, καὶ ἑξηκοστὴν, καὶ ὀγδοηκοστήν. κρίνει δ' αὐτῷ καὶ εἰκοστὴ τετάρτη καὶ τριακοστὴ τετάρτη, ὀγδοηκοστή τε, καὶ ἐπὶ ἀρχὰς εὐθέως ἡ τετάρτη. πῶς οὖν νῦν φησιν, εἰ μὴ ἐν περισσῇ ἡμέρᾳ ὁ πυρετὸς παύσεται, μὴ γίνεσθαι πιστὴν τὴν κρίσιν. ἄμεινον οὖν ἀντὶ τοῦ ἐν περισσῇ ἡμέρᾳ, ἐν κρισίμῃ γράφειν ὡς ἐνίοις ἔδοξε. πολλὰ μέν τοι τῶν ἀντιγράφων πληθυντικῶς, τέ, τὸ ἐν περισσῇσι καὶ τὸ ἡμέρῃσιν ἔχει γεγραμμένα.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακόν.

Ἴκτερος μὲν ἐνίοτε γίνεται καὶ κριτικὸς, ἀποτιθεμένης τῆς φύσεως εἰς ὅλον τὸ σῶμα, καὶ μάλιστα πρὸς τὸ δέρμα τὴν ξανθὴν χολήν. γίνεται δὲ καὶ σύμπτωμα κακοπραγοῦντος τοῦ ἥπατος. αἱ κακοπραγίαι δ' αὐτοῦ τρεῖς εἰσιν ἐφ' αἷς ἴκτερος εἴωθεν ἐπιγίνεσθαι, σκίῤῥος, καὶ φλεγμονὴ, καὶ ἔμφραξις. ἀλλὰ σκίῤῥος μὲν χρόνιον νόσημα, φλεγμονὴ δὲ καὶ ἔμφραξις καὶ ἐξαίφνης δύναται γενέσθαι. καὶ δὴ καὶ οἱ πρὸ τῆς ἑβδόμης ἡμέρας ἴκτεροι κατά τι τούτων γίνονται. θᾶττον γὰρ οὐχ οἷόν τε κριτικῶς ἀναχυθῆναι τὴν χολὴν εἰς τὸ σῶμα. τὸ μὲν οὖν πρὸ τῆς ἑβδόμης ἡμέρας κακὸν εἶναι τὸν ἴκτερον, ἀληθές. οὐ μὴν τόγε μετὰ τὴν ἑβδόμην ἀκίνδυνον, ὁμοίως ἀληθές, οὐδ' εἴρηται νῦν τοῦτο. δύναται γὰρ καὶ φλεγμονὴ καὶ ἔμφραξις ἄχρι πλείονος παραμεῖναι. θᾶττον μέντοι τῆς ἑβδόμης ἀναχυθῆναι τὴν χολὴν κριτικῶς, ἀδύνατόν ἐστιν. ἐν τισὶ δὲ τῶν ἀντιγράφων πρόσκειται τῷ ἀφορισμῷ κατὰ τὸ τέλος, ἢν μὴ ξυνδόσιες ὑγρῶν ἐπὶ τὴν κοιλίην γίνονται. τῶν προσθέντων αὐτὸ βουλομένων καὶ κατὰ τὴν κοιλίαν ἐκκαθαίρεσθαι τὴν χολήν.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι ῥίγεα γίνεται καθ' ἡμέρην, οἱ πυρετοὶ λύονται.

Ἐπειδὴ κινουμένης τῆς χολῆς κατὰ τὴν ὅλην τοῦ σώματος ἕξιν ἐπιγίνεται ῥίγη, καὶ διὰ τοῦτο ἐκκαθαίρεταί τε καὶ κενοῦται καθ' ἕκαστον παροξυσμὸν, εἰκότως εἰς ἀπυρεξίαν ἀφικνεῖται τὸ διάλειμμα τῶν τοιούτων πυρετῶν. τοῦτο οὖν ἐστιν αὐτὸ τὸ νῦν εἰρημένον, τὸ καθ' ἑκάστην ἡμέραν οἱ πυρετοὶ λύονται, ὡς εἰ καὶ καθ' ἡμέραν ἀπυρέτους γίγνεσθαι τοὺς κάμνοντας εἰρήκει. ὥσπερ δὴ εἰ καθ' ἡμέραν γίνοιτο τὰ ῥίγη, καθ' ἡμέραν οἱ πυρετοὶ παύοιντο, οὕτω δηλονότι καὶ εἰ διὰ τρίτης καὶ εἰ διὰ τετάρτης, ὅπερ ἀμέλει καὶ φαίνεται γινόμενον, ἐπί τε τῶν τριταίων, καὶ τεταρταίων περιόδων, ἐφ' ὧν οἱ μὲν πυρετοὶ λύονταί τε καὶ πάλιν γίνονται. μένει δέ τις ἐν τῷ σώματι παρὰ φύσιν διάθεσις, ἐφ' ἧς κατὰ περίοδον οἵ τ' ἄλλοι πυρετοὶ, καὶ τὰ νοσήματα γεννῶνται.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ ἢ τῇ ἐννάτῃ, ἢ τῇ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ ὑποχόνδριον τὸ δεξιὸν σκληρὸν γένηται. εἰ δὲ μὴ, οὐκ ἀγαθόν.

Ὁ πρὸ τούτου γεγραμμένος ἀφορισμὸς, ἀτάκτως μοι δοκεῖ παρεγκεῖσθαι. βέλτιον γὰρ ἦν συνῆφθαι τὸν νῦν εἰρημένον ἀφορισμὸν ἐκείνῳ, καθ' ὃν φησιν, οἷσιν ἂν ἐν πυρετῷ ἴκτερος ἐπιγένηται πρὸ ἑπτὰ ἡμερῶν, κακόν. ἵν' ὁ σύμπας λόγος γένηται τοιοῦτος, πρὸ μὲν τῶν ἑπτὰ ἡμερῶν ἴκτερον γενέσθαι, κακὸν πάντως, μετὰ δὲ τὰς ἑπτὰ χρηστόν. εἰ μή τι τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν εἴη, τουτέστιν εἰ μή τις ἐν τῷ σπλάγχνῳ ἤτοι περὶ ἥπατι κακοπραγία, τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων ὑπάρχει. καθαιρομένου γὰρ ἐν αὐτῷ τοῦ αἵματος καὶ τῆς χολῆς μεταλαμβανομένης ἐκ τῶν φλεβῶν εἰς τοὺς χολωδόχους πόρους. ἐάν τ' ἔμφραξίς τις γένηται κατά τι τῶν μεταλαμβανόντων χωρίων, ἐάν τε φλεγμονή τις ἢ σκίῤῥος, ἀνάγκη πᾶσα, μήτε καθαίρεσθαι τὸ αἷμα καὶ συναναφέρεσθαι τὴν χολὴν αὐτῷ παντὶ τοῦ σώματος, ἐντεῦθεν τε τὸν ἴκτερον γίνεσθαι.

Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν καὶ καρδιωγμὸς, κακόν.

Ὅτι μὲν οὖν οὐ μόνον τὸ σφύζον ἐξ ἑαυτοῦ κατὰ φύσιν σπλάγχνον, ἀλλὰ καὶ τὸ στόμα τῆς γαστρὸς, οἱ παλαιοὶ καρδίαν ὠνόμαζον, ἕν τι τῶν ὁμολογουμένων ἐστίν. ὥσπερ γε καὶ ὅτι καρδιαλγίαν τὰ τούτου τοῦ μέρους ἀλγήματα προσαγορεύουσι. τὸ γε μὴν καρδιώσσειν, οἱ πλεῖστοι μὲν τῶν ἐξηγησαμένων τοὺς ἀφορισμοὺς, ταυτὸν ἡγοῦνται σημαίνειν τῷ καρδιαλγεῖν. ἔνιοι δὲ τῆς καρδίας αὐτῆς, λέγω δὴ τοῦ σπλάγχνου, καρδιωγμὸν δηλοῦσθαι φασὶν, ἐξηγούμενοί τε κίνησίν τινα, φασὶ παλμώδη τὸν καρδιωγμὸν εἶναι. τὸ μὲν οὖν ἰσχυρὸν καῦμα τῆς κοιλίας ὑπὸ τῆς ξανθῆς χολῆς ζεούσης, ἐν τοῖς χιτῶσιν αὐτοῖς γίνεται. κατὰ λόγον δὲ τοῖς οὕτω διακειμένοις, καὶ τὸ στόμα τῆς γαστρὸς δάκνεται, καὶ διὰ τοῦτο κακόν ἐστι τὸ σύμπτωμα. εἰ δὲ καὶ τὴν πυκνὴν καὶ ταχεῖαν κίνησιν τῆς καρδίας, καὶ μάλιστα ὅταν ᾖ καὶ παλμώδης, ἀκούοι τις εἰρῆσθαι καρδιωγμὸν, ἔσχατον ἤδη τοῦτο κακόν ἐστι, σημαῖνον ἐκπεπυρῶσθαι τὴν ζωτικὴν ἀρχήν.

Ἐν τοῖσι πυρετοῖσιν ὀξέσιν οἱ σπασμοὶ καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

Οἱ σφοδροὶ πυρετοὶ παραπλησίως πυρὶ ξηραίνοντες τὰ νεῦρα, τείνουσί τε καὶ σπῶσι, καὶ κατὰ τοῦτο ἐπιφέρουσιν ὀλεθρίους σπασμούς. ἐνίοτε δὲ καὶ αὐτὰ τὰ σπλάγχνα κατὰ τὴν τοιαύτην διάθεσιν ὀδυνᾶται, τῷ σφοδρῷ τῆς φλογώσεώς τε καὶ ξηρότητος, καὶ διὰ τοῦτο κακὴν εἶναι φησὶν αὐτήν, ἔτι δὲ μᾶλλον κακὴ ἔσται τῶν πό-

νων ἰσχυρῶν γιγνομένων. ἴσμεν δὲ δή που καὶ διὰ φλεγμονὴν ἢ ἐρυσίπελας, ἢ ἔμφραξιν ἰσχυρὰν, ἢ ἀποστήματα ἐν τοῖς σπλάγχνοις ὀδύνας γιγνομένας, ἀλλὰ νῦν οὐκ εἰκὸς αὐτῷ τὸν λόγον ὑπὲρ ἐκείνων εἶναι. προφανής τε γὰρ ὁ ἐπ᾽ αὐτῆς κίνδυνος ἐστὶ, καὶ οὐκ ἐξ ἀνάγκης συνημμένος σπασμόν. καὶ τὸ ἐν πυρετοῖς εἴωθε λέγειν ὁ Ἱπποκράτης, ἀντὶ τοῦ πυρεκτικοῖς νοσήμασιν, ὅταν αὐτοῖς πάθος ὑπάρχωσιν οἱ πυρετοὶ, καὶ μὴ σύμπτωμα μορίου πεπονθότος τι τῶν προειρημένων παθῶν.

Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι, ἢ σπασμοὶ, κακόν.

Εἴρηται μὲν ὑπ᾽ αὐτοῦ καὶ πρόσθεν ὅτι ὁ μὲν βλάπτων τὸν ἄῤῥωστον ὕπνος, θανάσιμος ὑπάρχει. ὁ δὲ μὴ βλάπτων, οὐ θανάσιμος. ἐνθάδε καὶ παράδειγμα τοῦ λόγου προσθεὶς εἶπεν, ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν. ὡς ὄντος τινὸς ὕπνου τοῦ μήτε παύοντος παραφροσύνην, καὶ παροξύνοντος ἐνίοτε καὶ γεννῶντος. ἀλλὰ καὶ νῦν ἕτερα παραδείγματα τῆς ἐξ ὕπνου βλάβης εἶπε τοὺς φόβους καὶ τοὺς σπασμούς. γράφουσι δ᾽ οὐ φόβους ἀλλὰ πόνους ἔνιοι, καὶ μέντοι καὶ τεθεάμεθα πολλάκις ἐν ὀλεθρίοις νοσήμασι καὶ φόβους, καὶ πόνους, καὶ σπασμοὺς ἐξ ὕπνου γιγνομένους. ἔοικε δὲ τοῦτο συμβαίνειν, ὅταν ἐν τοῖς ὕπνοις ἐπὶ τὸν ἐγκέφαλον ὁ λυπῶν ἀφίκηται χυμὸς, ἔσω κινουμένης τηνικαῦτα τῆς φύσεως μᾶλλον, ἤπερ ἔξω. καὶ μέν τοι ὥσπερ ἐπὶ τῇ τροφῇ κατενεχθέντες εἰς ὕπνον πληροῦνται τὴν κεφαλὴν, οὕτω κἀν ταῖς πληθωρικαῖς διαθέσεσιν οἱ ὕπνοι πληροῦσιν αὐτὴν, βαρύνουσι τὸν ἐγκέφαλον. ἐὰν μὲν οὖν μελαγχολικώτερον ᾖ τὸ πλῆθος, οἱ φόβοι γίνονται, μὴ τοιούτου δὲ ὄντος, οἱ πόνοι τε καὶ οἱ σπασμοί. καὶ οἱ ὕπνοι δὲ δηλονότι διὰ παντὸς ἂν ἔβλαπτον, ὅσον ἐπὶ τὸ συῤῥεῖν εἰς τὸ βάθος τε καὶ τὰ σπλάγχνα τὴν ὕλην, εἰ μὴ διὰ τῆς πέψεως λόγῳ πλέον εἶχε τὸ τῆς ὠφελείας, ἤπερ τὸ τῆς βλάβης ἐστὶν, ἐκ τῆς ἔσω ῥοπῆς. οὐ μόνον δὲ κατὰ τὸν ἐγκέφαλον αὐτὸν ἀθροιζόμενοι μοχθηροὶ χυμοὶ τοιαῦτα συμπτώματα φέρουσιν, ἀλλὰ καὶ κατὰ τὸ στόμα τῆς γαστρὸς, ὅθεν καὶ μᾶλλον ἐν τοῖς ὕπνοις αἱ ἀναθυμιάσεις γίγνονται, μενόντων ἀπέπτων αὐτῶν, ὡς ἂν γε πέψεις τὰς ὠφελίμους ἐπιφέρουσιν ὕπνους.

Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακὸν, σπασμὸν γὰρ σημαίνει.

Πνεῦμα νῦν ἀκουστέον αὐτὸν λέγειν, ὥσπερ κἀν τῷ προγνωστικῷ, τὸ κατὰ τὴν ἀναπνοὴν, ὅπερ ἐπειδὰν προσκόπτῃ, ποτὲ ἐστιν ἴσχηται μεταξὺ καὶ διακόπτηται, σπασμὸν σημαίνει. καὶ γὰρ καὶ γίνεται τῶν τὸν θώρακα κινούντων μυῶν, καὶ νεύρων ἤδη σπασμωδῶς διακειμένων. αὐξηθείσης οὖν τῆς διαθέσεως, ἐπιλαβούσης τε πλείονα μόρια, σαφὴς σπασμὸς καταλήψεται τὸν ἄνθρωπον. οὔσης δὲ διπλῆς τῆς κατὰ τὴν ἀναπνοὴν κινήσεως, ἡ μὲν ἔσω φορὰ τοῦ πνεύματος, εἰσπνοὴ προσαγορεύεται. ἡ δ᾽ ἔξω, τὴν ἐναντίαν ἔλαβε προσηγορίαν ἐκπνοὴ κληθεῖσα. προσκόπτει δὲ τὸ πνεῦμα, ποτὲ μὲν εἰσπνεόντων, ὥσπερ ὅταν αὐτὸς εἴπῃ, διπλῆ ἔσω ἀπανάκλησις, οἷον ἐπείσπνευσις. ποτὲ δὲ ἐκπνεόντων, ὡς ὅταν εἴπῃ, καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἔξω φορῇ. ἐν τούτοις μὲν οὖν ἑκατέρου τοῦ μέρους τῆς ἀναπνοῆς ἐμνημόνευσε μόνου. κατὰ δὲ τὸν νῦν προκείμενον ἀφορισμὸν ὑπὲρ ὅλης αὐτῆς ἀποφαινόμενος ἔφη, τὸ πνεῦμα προσκόπτον, εἴτε κατὰ τὴν ἔσω φορὰν, εἴτε κατὰ τὴν ἔξω, εἴτε κατὰ ἀμφοτέρας, πάσχει τὸ τοιοῦτον.

Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν ὠφελέει, μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται τοῖσιν ἐξ ἀρχῆς, ἢ διὰ † ταχέων ὑπόστασιν ἔχει.

† Βραχέων

Οὐχ ἁπλῶς εἴρηκεν οὖρα παχέα, ἀλλὰ προσέθηκε καὶ θρομβώδεα, δυοῖν θάτερον ἐνδεικνύμενος, ἤτοι τοῦ πάχους τὸ ποσὸν, ἢ τὸ τῆς ὑποστάσεως ἀνώμαλόν τε καὶ διεσπασμένον, ὡς καὶ κατὰ περιγραφήν τινα φαίνεσθαι πολλὰς συστάσεις αὐτῶν ὥσπερ θρόμβους. ἔνιοι μὲν οὖν οὐ θρομβώδεα γράφουσιν, ἀλλὰ βορβορώδεα, καθάπερ καὶ ὁ Νουμησιανὸς, καὶ ὁ Διονύσιος. οἱ μὲν καὶ δυσωδίαν τινὰ συνενδεικνύμενοι διὰ τῆς λέξεως, πλέον τι τῶν ἄλλων δηλοῦσιν. εἰ δ᾽ ὡς τοῦ πάχους τὸ ποσὸν, οὐδὲν περιττότερον, ἐν τῷδε διδάσκουσιν. ὁ γε μὴν σύμπας λόγος τοῦ Ἱπποκράτους, οὐ φαίνεται περὶ δυσωδῶν οὔρων γινόμενος, ἀλλὰ μόνων ὀλίγων τε καὶ παχέων, ὡς ἐκ τῆς ἀντιθέσεως ἔσται δῆλον. πλῆθος γάρ φησιν ἐλθὸν ἐκ τούτων λεπτὸν, ὠφελέει, ὥστε εἰ καὶ μόνον ἐγέγραπτο τοῦτο, ὅσοις οὖρα παχέα ὀλίγα, μηδὲν ἂν λείπειν τῷ λόγῳ. γίγνεται μὲν οὖν καὶ χωρὶς πυρετοῦ τισὶν οὖρα τοιαῦτα, τῆς φύσεως ἐκκαθαιρούσης διὰ νεφρῶν τὰ τοῦ παντὸς σώματος περιττώματα. γίγνεται δὲ καὶ μετὰ πυρετῶν, ἐφ᾽ ὧν ἴσως ἄν τις ὑπονοήσειε τὴν εἰς τοὐναντίον αὐτῶν μετάπτωσιν οὐκ εἶναι χρηστήν. ἐπειδὴ τοὔμπαλιν ἐν τοῖς πυρετοῖς, ἐκ λεπτῶν κατ᾽ ἀρχὰς τῶν οὔρων ἡ μετάπτωσις εἰς τὸ παχύτερον γίνεται, πρὸς τὴν λύσιν ἰούσης τῆς νόσου, καὶ διὰ τοῦτο μοι δοκεῖ μάλιστα καὶ ὁ ἀφορισμὸς οὕτως αὐτῷ γεγράφθαι, διδάσκοντι τὸ σπάνιον τοῦ πράγματος. ἔστιν ὅτε γὰρ ἤτοι κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος, ἢ οὐ μετὰ πολύ γε τῆς ἀρχῆς οὖρα γιγνόμενα παχέα, διὰ τὸ βάθος ὑπόστασιν ἔχει. τούτοις οὖν τοῖς οὔροις οὐκ ἔστιν ἀγαθὸν σημεῖον ἡ ὑπόστασις, ὥσπερ τοῖς ἄλλοις, ὁπόσα λεπτὰ κατ᾽ ἀρχὰς ὄντα τῷ λόγῳ τῆς πέψεως ὅλου τοῦ νοσήματος ὑπόστασιν λαμβάνει. τῷ πλήθει δ᾽ εἰκότως ἐστὶν ὀλίγα τὰ παχέα τῶν οὔρων, ὡς ἂν μόγις διεξερχόμενα τῶν νεφρῶν. ὁπότ᾽ ἂν οὖν ἅμα μὲν ἐκκενωθῇ τὸ πλέον τῆς τοιαύτης κακοχυμίας, ἅμα δὲ καὶ πεφθῇ τὸ κατάλοιπον, ἐκκρίνεται τηνικαῦτα λεπτότερα πολὺ τῶν πρόσθεν. ἄμεινον γὰρ οὕτως εἰπεῖν, οὐκ ἀπολύτως ὡς Ἱπποκράτης εἶπε λεπτά. τὰ γὰρ κατὰ φύσιν, οὐχ ἁπλῶς ἐστι λεπτὰ, καθάπερ οὐδὲ παχέα. μέσα δ᾽ ἑκατέρας τῆς ὑπερβολῆς καὶ σύμμετρα ὄντα, παχύτερα μέν ἐστι καὶ λέγεται τῶν ὑδατωδῶν, λεπτότερα δὲ τῶν θρομβωδῶν, πολλὰ δὲ εἰκότως ἐκκρίνεται, διὰ τὸ πρόσθεν ἐπέχεσθαι, καθ᾽ ὃν χρόνον μόγις διεξῄει τὰ παχέα.

Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι, ἢ πάρεισιν, ἢ παρέσονται.

Τοῦτον ἔνιοι τὸν ἀφορισμὸν τῷ πρὸ αὐτοῦ συνάπτουσιν, ὡς μόριον ἐκείνου γράφοντες οὕτως. οἷσιν δ' ἀνατεταραγμένα τὰ οὖρα, τούτοισι κεφαλαλγίαι. καὶ βούλονται τινὲς μὲν τὸ ἀνατεταραγμένα, τὰ ἐναντία δηλοῦν τοῖς προειρημένοις τοῖς λεπτοῖς, τινὲς δ' αὐτὰ τὰ ἀνατεταραγμένα. ψεῦδος γε μὴν ἐστὶ τὸ τὰ λεπτὰ τῶν οὔρων εἶναι κεφαλαλγικά. φαίνονται γὰρ αἱ κεφαλαλγίαι, ποτὲ μὲν προηγούμεναι, ποτὲ δὲ συνοῦσαι τοῖς ἀνατεταραγμένοις οὔροις. ὁποῖα δ' ἐστὶ ταῦτα, σαφῶς ἐδήλωσεν εἰπὼν, οἷον ὑποζυγίου, καὶ γίγνεται τοιαῦτα, παχείας τε καὶ πυκνῆς ὕλης ὑπὸ θερμοῦ κατεργαζομένης. αὗται γὰρ μάλιστα καὶ πρὸς τῆς ἔξω θερμασίας φαίνονται πνευματούμεναι, καθάπερ ἄσφαλτος, καὶ πίσσα, καὶ ῥητίνη. τινὰ μὲν οὖν τῶν τοιούτων οὔρων, ἐπὶ πλεῖστον ἀνατεταραγμένα μένει, τινὰ δ' ὑπόστασιν ἴσχει παχεῖαν διὰ ταχέων, καὶ δηλοῖ, βραδέως λυθήσεσθαι τὸ νόσημα. τὰ δ' ἕτερα τὰ μὴ καθιστάμενα, σὺν μὲν ἰσχυρᾷ τῇ δυνάμει μηκυνεῖσθαι τὸ νόσημα δηλοῖ, σὺν ἀσθενεῖ δὲ τεθνήξεσθαι τὸν κάμνοντα. ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἴρηταί μοι, διότι χρήσιμά ἐστιν. ἃ δ' εἰς αὐτὸν τὸν ἀφορισμὸν ἔτι χρὴ εἰπεῖν, ἐστὶ τοιαῦτα. τοῖς ἀνατεταραγμένοις οὔροις ἐξ ἀνάγκης αἱ κεφαλαλγίαι καθὼς προεῖπεν ὁ Ἱπποκράτης, ἢ σύνεισιν, ἢ ἔσονται, ἐπειδὴ τὸ φυσῶδες πνεῦμα μετὰ τῆς θερμασίας ἐπὶ τὴν κεφαλὴν ἑτοίμως ἀναφέρεται, οὐ μὴν εἴ τις ἐκεφαλάλγησεν, ἢ κεφαλαλγεῖ, τούτῳ πάντως τοιαῦτα τὰ οὖρα ἐστί. γίνονται γὰρ αἱ κεφαλαλγίαι καὶ διὰ θερμότητα μόνην. ἐνίοτε δὲ καὶ διὰ τὴν ξανθὴν χολὴν, ἤτοι γε ἐν τῇ κεφαλῇ περιεχομένην, ἢ ἐν τῇ γαστρί, καὶ διὰ πλῆθος ὑγρῶν κατειληφὸς τὴν κεφαλὴν, καὶ δι' ἔμφραξιν τινὰ τοπικὴν, ἢ πνεύματος φυσώδους ἐν αὐτῷ τῷ μορίῳ τὴν γένεσιν ἔχοντος, ὧν οὐδεμία τοιοῦτον οὖρον ἐπιφέρει ἐξ ἀνάγκης.

Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τὰ ἄλλα κατὰ λόγον.

Ὥσπερ ἐν ἄλλοις πολλοῖς ἐπεδείξατο τῆς Ἱπποκράτους τέχνης ἑαυτοὺς ἀμαθεῖς ὄντας, οἱ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, οὕτω κἂν τῷδε. νομίζουσι γὰρ προσκεῖσθαι τῷ ἀφορισμῷ, τὸ, καὶ τἄλλα κατὰ λόγον, ὅσα περὶ ὕπνους, ἢ ἐγρήγορσιν, ἢ ἀναπνοὴν, ἢ ἀνάκλησιν, ἢ διανάστασιν, ἢ τι τοιοῦτον ἄλλο τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων, ἵνα εἰ ταῦτα πάντα φαίη καλῶς γιγνόμενα, τὴν κρίσιν ἔσεσθαι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐλπίζωμεν. ἀγνοεῖν δ' ἐοίκασι τὰ μέγιστα τῶν προγνωστικῶν κεφαλαίων. ἀγρυπνοῦσι τε γὰρ ὡς τὰ πολλὰ, καὶ δυσφοροῦσι καὶ πυρέττουσι σφοδρότερον οἱ κάμνοντες, ὅσωπερ ἂν ἐγγυτέρω τῆς κρίσεως ἀφίκωνται. πολλοὶ δ' αὐτῶν καὶ δυσπνοοῦσιν ἐγγυτέρω τῆς κρίσεως. οὔκουν δεῖται τοῦδε τὸ διὰ τῶν οὔρων φανὲν σημεῖον, αὐτὸ τῶν εἰρημένων συμπτωμάτων εἰς πιστοτέραν ἐλπίδα τῆς μελλούσης ἔσεσθαι κρίσεως, σημεῖον ἐν οὔροις. ἀλλ' ἕτερα πολλὰ συνεχέστερον αὐτοῦ φαινόμενα, περὶ ὧν ἐοίκασιν οὐδὲν γιγνώσκειν οἱ τολμῶντες ἐξηγεῖσθαι τὰ Ἱπποκράτους συγγράμματα, πρὶν ἐκμαθεῖν ἅπασαν αὐτοῦ τὴν τέχνην. οὔσης γὰρ τῆς τετάρτης ἡμέρας ἐπιδήλου καθάπερ αὐτὸς ἐδήλωσε, καὶ μηνυούσης ὁποία τις ἡ ἑβδόμη γενήσεται, πᾶν ὅτιπερ ἂν ἐν αὐτῇ πρώτῃ φανῇ σημεῖον ἀξιόλογον πέψεως, τὴν ἐσομένην κρίσιν ἐπὶ τῆς ἑβδόμης δηλοῖ, ὥστε οὐ μόνον ἐρυθρά τις ἐπιφανεῖσα νεφέλη πρότερον οὐ γεγενημένη, σημαίνει τὴν κρίσιν, ἀλλὰ καὶ ἡ λευκὴ πολὺ μᾶλλον αὐτῆς. ἔτι δὲ μᾶλλον ἐναιώρημα λευκὸν, ὁμαλόν τε καὶ συνεστηκός. εἰ δ' ὀξέως πάνυ κινοῖτο τὸ νόσημα, καὶ ἡ τῆς χροιᾶς μεταβολὴ, καὶ ἡ τῆς συστάσεως ἱκανὰ σημεῖα τῆς μελλούσης ἔσεσθαι κρίσεως. τὸ γοῦν λεπτὸν οὖρον εἰ συμμέτρως γένηται παχὺ, καὶ τὸ λευκὸν, ἢ ὠχρὸν ἐν τοιούτῳ νοσήματι, προδηλοῖ τὴν κρίσιν. ἑνὸς μὲν οὖν ὀνομαστὶ σημείου τοῦ κατὰ τὴν ἐρυθρὰν νεφέλην ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἀξιοῖ δ' ὡς τοῦδε, καὶ τἄλλα κατὰ λόγον ἡμᾶς ἐννοεῖν, ὅσα σημαίνει μελλούσας ἔσεσθαι κρίσεις. ἔστι δὲ ταῦτα, τὰ κατὰ τὰς ὑπ' αὐτοῦ καλουμένας ἐπιδήλους τε καὶ θεωρητὰς ἡμέρας ἐπιγινόμενα, ἢ δι' οὔρων, ἢ διαχωρημάτων, ἢ πτυσμάτων. ἀεὶ μὲν γὰρ ἅπαντα τὰ τοιαῦτα δηλοῖ κρίσεις, οὐ μὴν ἀεί γε τὰς ἀγαθάς. μόνοις γὰρ τοῖς τῆς πέψεως σημείοις ἐν ταῖς θεωρηταῖς ἡμέραις ἐπιφανεῖσιν, ἀγαθαὶ προδηλοῦνται κρίσεις. ἡ μὲν οὖν διάνοια τοῦ κατὰ τὸν ἀφορισμὸν λόγου τοιαύτη τίς ἐστιν. ἐμνημόνευσε δὲ τῆς ἐρυθρᾶς νεφέλης, ὡς σπανίου σημείου. λευκαὶ μὲν γὰρ συνεχέστατα φαίνονται, καί εἰσιν ἐναργέστερον πέψεως σημεῖον. αἱ δὲ ἐρυθραὶ, σπανίως γίνονται, καὶ εἰ μὴ νῦν ὑφ' Ἱπποκράτους εἴρηντο, καὶ αὗται κατὰ τὰς ἐπιδήλους ὁρώμεναι, μέλλουσαν ἐπαγγέλλεσθαι κρίσιν. ἴσως αὐτῆς οὐδὲ προσεδόκησε τοιαύτην ὑπάρχειν αὐταῖς δύναμιν. εἴγε γοῦν τὸ ἐρυθρὸν χρῶμα, σωτήριον μὲν εἶναι φησί, χρονιώτερον δέ. λέγει γὰρ ἐν προγνωστικῷ κατὰ λέξιν οὕτως. εἰ δὲ εἴη τότε οὖρον ὑπέρυθρον, καὶ ὑπόστασις ὑπέρυθρός τε καὶ λείη, πολὺ χρονιώτερον μὲν τοῦδε τοῦ πρώτου γίνεται, σωτήριον δὲ κάρτα. ἆρ' οὖν ἐν τετάρτῃ τῶν ἡμερῶν ἡ τοιαύτη νεφέλη φανεῖσα, δηλώσει τὴν ἐπὶ τῆς ἑβδόμης ἐσομένην κρίσιν, ἐν ἄλλῃ δέ τινι τῶν ἐπιδήλων οὐ δηλώσει, σκεπτέον ἀκριβῶς· ὅπερ ἐστὶ παραφυλακτέον ἐπ' αὐτῶν τῶν ἔργων. ὅσον μὲν γὰρ ἐπὶ αὐτῷ τῷ λόγῳ δυνατὸν εἰς ἑκάτερον ἐπιχειρῆσαι, καὶ μᾶλλόν γε ὡς οὔπω δηλώσει, πλὴν εἰ πάνυ σφόδρα τὸ νόσημα ταχέως κινοῖτο. κατὰ μὲν γὰρ τὴν τετάρτην ἡμέραν γενόμενον, ἴσον τῷ πρόσθεν χρόνῳ τὸν ἑξῆς ἐπιλαβὸν, οὐκ ἀδύνατόν ἐστι δηλῶσαι κρίσιν. ἐπὶ δὲ τῆς ἐνδεκάτης φανὲν, οὐ πάνυ τί μοι δοκεῖ τριῶν ἡμερῶν δεήσεσθαι μόνων, ἀλλὰ καὶ πλειόνων. ἀληθέστατον μὲν γάρ ἐστι τὸ τὴν τοιαύτην χρείαν ἐπιμετρεῖν τι ταῖς λύσεσιν. ἐθεασάμην γοῦν ἐγὼ σπανιάκις τὸ τοιοῦτον σημεῖον ἐν ἄλλαις ἡμέραις παρὰ τὴν τετάρτην. ᾧ μὲν οὖν ἐπὶ τῆς ἑβδόμης ἐφάνη, τεσσαρεσκαιδεκαταῖος ἐκρίθη. ᾧ δὲ ἐπὶ τῆς τεσσαρεσκαιδεκάτης, εἰκοσταῖος. ἐφάνη δὲ καὶ ἄλλῳ κατὰ τὴν ἐνδεκάτην ὅστις ἑπτακαιδεκαταῖος ἐκρίθη, καὶ ἄλλῳ πάλιν ἐπὶ τῆς αὐτῆς ἐνδεκάτης, ὅστις εἰκοσταῖος.

Ὁκόσοισιν οὖρα διαφανέα λευκά, πονηρά, μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

Τὰ τοιαῦτα τῶν οὔρων ἀπεψίας ἐσχάτης ἐστὶ σημεῖα, διὸ καὶ χρονίζει τὰ νοσήματα. τινὰ δ' αὖ τῶν ὅταν γε φθάσῃ προκαταλύσαντα τὴν δύναμιν, ὄλεθρος γίνεται, καθάπερ ἐν ταῖς φρενίτισιν. οὐδένα γοῦν οἶδα σωθέντα φρενιτικὸν, ᾧ τοιοῦτον οὖρον ὤφθη. βέλτιον γὰρ ὥσπερ ὅλον τὸ νόσημα χολῶδες, οὕτω καὶ τὰ οὖρα φαίνεσθαι χολώδη. τὰ δ' ὑδατώδεα τῶν οὔρων, τοιαῦτα γάρ ἐστι τὰ διαφανέα λευκά, παμπόλλην τε τὴν ἀπεψίαν δηλοῖ, καὶ προσέτι τῆς ξανθῆς χολῆς ἅπασαν τὴν ὁρμὴν ἄνω γεγονέναι πρὸς τὴν κεφαλήν. διαφανῆ μὲν γὰρ γίνεταί τισιν οὖρα, χωρὶς τοῦ λευκά, λεπτὰ μὲν ὄντα τῇ συστάσει, χολώδη δὲ τῇ χρόᾳ. τὰ δὲ διαφανῆ τε ἅμα καὶ λευκὰ, τελέως ἐστὶν ὑδατώδη. εἰ μὲν οὖν ἁπλῶς εἴη γεγραμμένον, μάλιστα δὲ τοῖς φρενιτικοῖσιν, εἴρηται σαφῶς ὁ νοῦς τοῦ λόγου. προσκειμένου δ' ἐπὶ τῇ τελευτῇ τοῦ ἐπιφαίνεται, καθάπερ ἐν ἄλλοις πρόσκειται τῶν ἀντιγράφων, τὸ δηλούμενον ἔσται τοιοῦτον. τὰ ὑδατώδη τῶν οὔρων ἐστὶ πονηρά, μάλιστα δ' ἐπιφαίνεται τοιαῦτα τοῖς ὀλεθρίοις ἔχουσι φρενιτικοῖς. οὐ γὰρ δὴ πᾶσί γε ὡς κενοῦ ἤκουσαν τῶν ἐξηγησαμένων τὸ βιβλίον, οὐδὲν ἐπιστάμενοι τῶν κατὰ τοὺς ἀρρώστους ἐπιφαινομένων. ἐν τισὶ δὲ τῶν ἀντιγράφων οὕτω γέγραπται τὸ τέλος τοῦ ἀφορισμοῦ. μάλιστα δ' ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται τὰ τοιαῦτα, καὶ ἔστιν ἡ αὐτὴ διάνοια τῇ κατὰ τὴν προειρημένην δευτέραν γραφήν.

Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγενομένου, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγῶσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα.

Ὑποχονδρίων μετεώρων, ὅπερ ἐστὶν ἐν ὄγκῳ μείζονι, διὰ πολλὰς αἰτίας γιγνομένων, ἔστι μία καὶ ἡ διὰ πνεῦμα φυσῶδες, ὑπὲρ ἧς νῦν διαλέγεται, διττῶς αὐτῆς γιγνομένης. ἐνίοτε μὲν ἐπὶ διαθέσει τινὶ δυσλύτῳ τῶν κατὰ τὴν γαστέρα χωρίων, ἐνίοτε δὲ ἐπί τινι προσφάτῳ προφάσει. διακρίνει δὲ ταῦτα νῦν ὁ Ἱπποκράτης. ἡ μὲν γὰρ προτέρα διάθεσις, οὐ μετὰ βορβορυγμοῦ γίνεται, τεταμένα γοῦν καὶ πεφυσημένα, καθάπερ ἀσκὸν ἀποφαίνει τὰ ὑποχόνδρια, ἡ δ' ἑτέρα μετὰ βορβορυγμοῦ συνίσταται. καλεῖται δ' οὗτος ὁ ψόφος τοῦ πνεύματος, ὅταν μὴ μέγας ᾖ, μηδὲ πολὺς, σὺν ὑγρότητι δέ τινι μετρίᾳ κινούμενος ἐπὶ τὰ κάτω. καὶ τοίνυν καὶ συμβαίνει τῷ τοιούτῳ βορβορυγμῷ κατιόντι τὸν ἐκ τῶν ὑποχονδρίων ὄγκον εἰς τὰ κατὰ τὴν ὀσφὺν ἅμα ἑαυτῷ καταφέρειν, ἐφ' ᾧ τεινομένων τῶν ἐνταῦθα μορίων, ἄλγημά τι γίνεσθαι κατ' αὐτήν. εἶθ' οὕτως ἐνίοτε μὲν εἰς ἀνάδοσιν ὁρμήσαντος τοῦ ὑγροῦ, τὸ φυσῶδες πνεῦμα διαχωρηθῆναι μόνον, ἐνίοτε δὲ σὺν τῷ ὑγρῷ, καὶ μέντοι καὶ τὸ ἀναδοθὲν ὑγρὸν, ὡς τὰ πολλὰ δι' οὔρων ἐκκρίνεται. προσηκόντως οὖν εἶπεν ἐν τοῖς εἰρημένοις σημείοις, κοιλίαν καταῤῥήγνυσθαι, εἰ μή γε συμβῇ ἰδίᾳ μὲν ἀναδοθῆναι τὸ ὑγρὸν, ἰδίᾳ δὲ τὸ καταληφθὲν ἐν τοῖς ἐντέροις πνεῦμα δι' ἕδρας ἐκκριθῆναι. ἔστι δ' ὅτε ἄμφω πρὸς ἀνάδοσιν ὁρμώμενα, τὸ ὑγρὸν καὶ τὸ πνεῦμα διεξέρχεται ῥᾳδίως ἐπὶ τὴν κύστιν. τὸ δ' ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον, ἐν πυρετοῖσι δὲ ταῦτα, τοιοῦτόν μοι δοκεῖ δηλοῦν. πυρετοῖς ἐνοχλεῖσθαι τοὺς νοσοῦντας ὠνόμαζον οἱ παλαιοὶ, τοὺς ἄνευ τινὸς φλεγμονῆς, ἢ ἀποστήματος, ἢ ἀλγήματος, ἢ ἐρυσιπέλατος, ἢ ἁπλῶς εἰπεῖν ἄνευ μορίου τινὸς ἐξαιρέτως πεπονθότος ἔχοντας κακῶς. εἰ δ' ἤτοι διὰ πλευροῦ φλεγμονὴν, ἢ πνεύμονος, ἢ τινος ἑτέρου τοιούτου πυρέττοιεν, οὐ πυρέττοντας αὐτοὺς ὠνόμαζον, οὐδ' ὑπὸ πυρετῶν ἐνοχλουμένους, ἀλλὰ πλευριτικούς τε καὶ περιπνευμονικοὺς, ἡπατικούς τε καὶ σπληνικοὺς, ὅσα τἆλλα τοιαῦτα. νῦν οὖν μοι δοκεῖ βούλεσθαι δηλοῦν ὁ Ἱπποκράτης, δυοῖν θάτερον, ὡς ἢ τοῖς πυρετοῖς τούτων ὧν εἴρηκε συμβαινόντων, ἐν οἷς οὐδέν ἐστι τὸ πεπονθὸς μόριον, ἢ ὡς γιγνομένων μὲν, καὶ κατ' ἐκεῖνα τὰ νοσήματα, μὴ μέντοι καταῤῥηγνυμένης αὐτῶν γαστρὸς, ἢ φυσῶν, ἢ οὔρων διερχομένων. οὐδὲ γὰρ οὐδὲ φυσικῇ τινι κινήσει τῶν μορίων ἀπωθουμένων, τὸ φυσῶδες πνεῦμα γίνεσθαι συμβαίνει, τὸν βορβορυγμὸν ἐν ἐκείνοις, ἀλλ' ὡς σύμπτωμα μόνον.

Ὁκόσοισιν ἐλπὶς ἐς τὰ ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ καὶ παχὺ, καὶ λευκὸν γενόμενον, οἷον ἐν τοῖσι κοπώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχέως λύεται.

Λέλεκταί μοι καὶ πρόσθεν ὡς ἀποστάσεις εἰς τὰ ἄρθρα γίγνονται, τοῖς τε προπεπονηκόσιν αὐτά, καὶ τοῖς ὁπωσοῦν κοπώδεσιν ἐν τῇ νόσῳ γιγνομένοις, ἔτι τε πρὸς τούτοις ὅσοι χρονίζουσι παχέων χυμῶν ἐπὶ πλήθει. κἂν οὖν ἡ φύσις ἀῤῥωστήσῃ δι' οὔρων ἐκκαθᾶραι τὸ σῶμα, τῆς ἀποστάσεως ἐρύσατο τὸν κάμνοντα, τὸ μέλλον εἰς ἄρθρα κατασκήπτειν, ἐκκενώσασα διὰ κύστεως. ἠρκέσθη δὲ τῶν κοπωδῶν πυρετῶν, ὡς παραδείγματος μνημονεῦσαι, τὴν ἀρχὴν τὴν εἰς οὖρα ῥοπὴν ἐν ἡμέρᾳ λαβόντων ἐπὶ δήλῳ. τούτοις γὰρ τοῖς κοπώδεσι ἀποστήματα ποιεῖν ὑπάρχει διὰ ταχέων, οὐκ ἀναμένουσι πλείονα χρόνον ὥσπερ οἱ ἄλλοι. τοῖς δ' αὖ τοῖς τούτοις, καὶ τὰ παρ' οὓς ἀποστήματα πέφυκε γίνεσθαι, ὡς τοῖς γε ἄλλοις τοῖς χρονίοις εἰς τὰ κάτω μᾶλλον ἀποσκήπτει τὸ πλῆθος. οἷς οὖν ἡ θερμασία πλείων γινομένη, μετέωρον ἐργάσαιτο τὴν ὕλην, ἤτοι διὰ ῥινῶν αἱμοῤῥαγοῦσιν, ἢ παρωτίδας ἴσχουσιν. ὅτι δ' ἡ τοιαύτη λύσις θᾶττον ἐστὶ τῆς δι' οὔρων, οὐδὲ λόγου δεῖται. διὸ καὶ προσέθηκεν ὁ Ἱπποκράτης ἐπ' αὐτῆς, καὶ πάνυ ταχὺ λύεται τῆς ἑτέρας τῆς δι' οὔρων κενώσεως ἡμερῶν πλειόνων δεομένης. τὸ δ' ἐπὶ τῆς τετάρτης ἐν παραδείγματι γέγραπται πρὸς αὐτοῦ, μετάγειν δέ σε χρὴ καὶ πρὸς τὰς ἄλλας ἁπάσας ὅσαι θεωρηταί εἰσι καὶ κρίσιμοι.

Ἢν αἷμα ἢ πύον οὐρέῃ, τῶν νεφρῶν ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

Ἐάν τε κατὰ τὴν κύστιν, ἐάν τε ἐν νεφροῖς ἕλκος γένηται, κατὰ μὲν ἀγγείου τινὸς ἀξιολόγου ῥῆξιν συστάντος αὐτοῦ, καὶ μάλιστα μετὰ ἀναβρώσεως αἵματος ἔκκρισις ἐπακολουθεῖ, χωρὶς δὲ τοῦ πύου μόνου. ἐγχωρεῖ δὲ καὶ κατά τινα τῶν οὐρητήρων ἕλκους γινομένου, καὶ πύον οὐρηθῆναι καὶ αἷμα. μέχρι δ' οὖν τοι κεῖται νεφρῶν τε καὶ κύστεως, καὶ χρὴ συνυ-

πακούειν

πάσχειν αὐτὸ ἐκείνοις. ἐλκοῦνται δ' ὡς τὰ πολλὰ τοῖς λιθιῶσι κατὰ νεφροὺς οὐρητῆρες, ὅταν ὑπὸ λίθου τινὸς ὀξέως, ἢ σφοδροῦ ταχέως ἐμφραχθέντος αὐτοῖς ἀναδαρῶσι, τῶν μέντοι κατὰ τὸ αἰδοῖον αὐτὸ γιγνομένων ἑλκῶν, καὶ χωρὶς τῶν οὔρων ἐκκρίνεται, τό, τε πῦον καὶ τὸ αἷμα. συνεξέρχεται δὲ τοῖς οὔροις πῦον ἐνίοτε, συῤῥαγέντος ἀποστήματος ἔν τινι τῶν ἄνω χωρίων, ὅθεν ἔνιοι τῶν ἐξηγητῶν, καὶ οἱ πλεῖστοι εἵλοντο τὴν ἑτέραν γραφὴν, τὴν διὰ τοῦ, καὶ, συνδέσμου τήνδε τὴν λέξιν ἔχουσαν. ἢν αἷμα καὶ πῦον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστεως ἕλκωσιν σημαίνει, ὡς τῆς ἑτέρας μόνου αὐτῶν οὐρουμένου τοῦ πύου, δυνατὸν οὐ νεφρῶν, ἢ κύστεως μόνον ἡλκωμένων, ἀλλὰ καί τινος τῶν ἀνωτέρω τὸ σημεῖον εἶναι. τάχα μὲν οὖν τι καὶ οὗτοι λέγουσι, τάχα δὲ καὶ τό, οὐρέῃ ῥῆμα, διάφορόν τι δηλοῖ τοῦ οὐρῆσαι, τὸν διορισμὸν ἐν αὐτῷ περιέχον. οὐ γάρ ἐστι ταυτὸν, ἢ οὕτως εἰπεῖν, ἢν αἷμα καὶ πῦον οὐρέῃ. ἢ ἐκείνως, ἢν αἷμα καὶ πῦον οὐρήσῃ. ἐν μιᾷ μὲν γὰρ, ἢ δυοῖν, ἢ τρισὶν ἡμέραις ἐγχωρεῖ πῦον οὐρῆσαι συῤῥαγέντος ἀποστήματος εἰς τὰ τῆς οὐρήσεως ὄργανα. πολλαῖς δ' ἡμέραις, ἢ καὶ μησὶν ἐπειδὰν τοῦτο γένηται, νεφρῶν ἢ κύστεως ἕλκωσις δηλοῦται. ὁπότερον δ' αὖ τῶν μᾶλλον, ἥ τ' ὀδύνη διακρινεῖ κατὰ διαφέροντα χωρία γιγνομένη, καὶ τὰ συνεκκρινόμενα τοῖς οὔροις, ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ. καὶ μὲν δὴ καὶ περὶ τῶν οὐρητήρων, ὁ αὐτός ἐστι λόγος.

Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ, ἢ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισι ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

Τὰ μικρὰ σαρκία, τῆς τῶν νεφρῶν οὐσίας εἰσὶ γνωρίσματα. τὰ δ' ὥσπερ τρίχες, οὐδαμῶς μὲν τῆς τῶν νεφρῶν. οὐ γὰρ οἷόν τε διαλυθῆναι νεφρὸν εἰς τοιοῦτον εἶδος οὐσίας, ἀλλ' ὅσοι τοῦτο λέγουσιν, ἀγνοοῦσι φύσιν νεφρῶν. οὐ μὴν οὐδὲ κύστεως, ἀναλυομένης τε καὶ ἀναβιβρωσκομένης, ὡς ἐνίοις ἔδοξεν οὐρεῖται τὰ τοιαῦτα. πεταλώδη γάρ ἐστι μᾶλλον τὰ ταύτης μόρια, καθάπερ καὶ αὐτὸς ὁ Ἱπποκράτης ὀλίγον ὕστερον αὐτὰ προσαγορεύει λεπίδας. ἀλλὰ τό γε ἀληθὲς οὕτως ἔχει. πολλάκις ἡμῖν ἑωραμένα ἔκ τινος τύχης. ἄλλοι γοῦν τινὲς ἰατροὶ πάνυ τρίβωνες, ἑωρακέναι πολλάκις φασὶν οὖρα τοιαῦτα. καλοῦσι δ' οἱ νεώτεροι τριχίασιν τὸ πάθος, ἐπειδὴ θριξὶν ὅμοια, καὶ μᾶλλόν γε ταῖς λευκαῖς ἐοικότα φαίνεται τὰ τοῖς οὔροις ἐμφαινόμενα. ἔναγχος δ' ἔτι τις οὔρει τοιαῦτα σώματα μικρὰ, ὥστ' ἄπιστον τὸ μῆκος ἔδοξεν εἶναι. τινὰ γὰρ αὐτῶν εἰς ἥμισυ πήχεως ἐξετείνετο. προσενηνέγκτο δ' οὗτος ὅλῳ σχεδὸν ἐν αὐτῷ τῷ πρόσθεν, ἐρεγμῶν τε καὶ κυάμων, πάνυ πολλάκις δὲ τυρῶν ἁπαλῶν τε καὶ ξηρῶν. καὶ οἱ ἄλλοι δὲ πάντες οἷς οὐρῆσαι συνέβη, τὰ τοιαῦτα παχύμοις ἐδέσμασιν ἐκέχρηντο. τούτου τοίνυν τοῦ χυμοῦ κατοπτωμένου πως ἐν νεφροῖς, αἱ τριχώδεις γίνονται συστάσεις. καὶ μέντοι καὶ ἡ θεραπεία μαρτυρεῖ τῷ λογισμῷ τῆς αἰτίας. ὑπὸ γὰρ τῶν λεπτυνόντων καὶ τεμνόντων φαρμάκων, ἅμα καὶ τὴν ἄλλην δίαιταν ὑγραίνουσαν ὑπέχειν, ἐθεραπεύθησαν οἱ κάμνοντες οὕτως. εἴπερ δὲ ἦν ἕλκωσις τηνικαύτη νεφρῶν, ἢ κύστεως, ὡς διαλύεσθαι τὴν οὐσίαν αὐτῶν, οὐ μόνον οὐδὲν ἂν ὠνήναντο ὑπὸ τῶν τοιούτων φαρμάκων, ἀλλὰ καὶ παρωξύνοντο ἐσχάτως. ἄξιον οὖν ἐστιν ὥσπερ ἐν τοῖς ἄλλοις, οὕτω κἀν τούτοις θαυμάσαι τὸν Ἱπποκράτην, τὰ μηδέπω μηδὲ τήμερον ἐγνωσμένα πολλοῖς τῶν ἰατρῶν, αὐτὸν ἐξευρεῖν. καὶ μέντοι καὶ ἡ τῆς λέξεως ἀκρίβεια θαυμαστῶς ὅπως ἔχει, λέγοντος ἀπὸ τῶν νεφρῶν ἐκκρίνεσθαι τὰ τοιαῦτα. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ πρόσθεν ἀφορισμοῦ ἕλκωσιν τοῦ νεφροῦ αἰτιᾶται, οὕτω καὶ νῦν εἶπεν, ἀλλ' ἁπλῶς ἀπὸ νεφρῶν ἐκκρίνεσθαι φησίν, ὡς καὶ λίθου τινὸς οὐρήσαντος ἀπὸ νεφρῶν ἐνηνέχθαι φαίημεν ἂν αὐτὸν, οὐχ ὅτι τῆς οὐσίας αὐτῶν ἐστι μόριον, ἀλλ' ὅτι τὴν σύστασιν ἐν ἐκείνοις λαμβάνει. τὰ μὲν οὖν σμικρὰ σαρκία, τῆς οὐσίας ἐστὶ μόρια ἑλκωθέντων ὅλως τῶν νεφρῶν. τὰ δ' οἷον τρίχες, ἐν νεφροῖς μὲν λαμβάνει τὴν σύστασιν, ὥσπερ καὶ οἱ λίθοι, μόρια δ' οὐκ ἔστι τῆς οὐσίας αὐτῶν. κακῶς ἐν ἅπασι τοῖς ἀντιγράφοις ὁ ἀφορισμὸς οὗτος διὰ τοῦ, ἢ, γέγραπται, σαρκία σμικρὰ ὥσπερ τρίχες. οὐδαμῶς γὰρ ἔοικε τὰ σμικρὰ σαρκία ταῖς θριξίν. ἀλλὰ χρὴ μεταξὺ, τοῦ τε σμικρὰ, καὶ τοῦ ὥσπερ τὸ ἢ φωνῆεν τάξαι, ὡς δυοῖν πραγμάτων, οὐχ ἑνὸς ἐν τῷ λόγῳ μνημονεύοντος τοῦ Ἱπποκράτους. τὸ μὲν οὖν ἕτερον αὐτῶν ἐστι σαρκία σμικρὰ, τὸ δ' ἕτερον ὥσπερ τρίχες. ἐπὶ μὲν οὖν τῶν ταῖς θριξὶν ὁμοίων, ἀεὶ φαίνεται παχὺ τὸ οὖρον, ὡς ἂν φλεγματικῆς οὐσίας ἣν ἤθροισαν αἱ φλέβες, ἐκκαθαιρομένης διὰ τῶν νεφρῶν, ἐπὶ δὲ τῶν σαρκίων, οὐκ ἀναγκαῖον. οὐ μὴν οὐδὲ ἐθεασάμην ποτὲ τοιαύτην νεφρῶν διάθεσιν. ἀλλὰ τὸ μὲν οἷον σαρκία, πολλάκις ἐν ἐκείνοις τοῖς πυρετοῖς, ἐν οἷς καὶ τὰς καλουμένας ὀροβοειδεῖς ὑποστάσεις ὁρῶμεν γιγνομένας κατωπτημένου παχέος αἵματος ἐν νεφροῖς, ἢ καθ' ἧπαρ. οὐ μὴν ἀκριβῆ γε σαρκία τεθέαμαι ποτὲ συνεξερχόμενα τοῖς οὔροις. ἐγχωρεῖ οὖν ἡγοῦμαι παχὺ οὖρον εἰρῆσθαι πρὸς αὐτοῦ, τὸ σύμμετρόν τε καὶ κατὰ φύσιν. ἀντίκειται γὰρ τοῦτό πως τῷ λεπτῷ, καὶ γινώσκομεν ὅτι κυρίως μὲν, αἱ κατὰ τὰς ὑπερβολὰς ἀντιθέσεις οὕτω λέγονται. καταχρηστικῶς δὲ, καὶ τὸ μέσον ἐνίοτε καὶ σύμμετρον ἀμφοτέροις χρῆται τοῖς ὀνόμασι τῶν ἄκρων. πρὸς μὲν τὸ τελέως παχὺ, λεπτὸν ὀνομαζόμενον, πρὸς δὲ τὸ λεπτὸν, ἐσχάτως παχύ. καὶ εἴπερ οὕτως ἀκούσαιμεν, ὁ λόγος ἔσται τοιοῦτος, οἷς ἐν τῷ οὔρῳ μὴ ὄντι λεπτῷ συνεξέρχεται τὰ εἰρημένα, τῶν νεφρῶν ἐστι τὸ πάθημα. λεπτῶν μέντοι τῶν οὔρων ὄντων, ὀλίγον τὸ φλεβῶδες γένος πέπονθε. τὴν δ' αὐτὴν ταύτην γνώμην δείκνυσθαί μοι δοκεῖ, καὶ κατὰ τὸν ἑξῆς ἀφορισμόν.

Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

Ἐὰν μὲν οὖν λεπτὸν ᾖ τὸ οὖρον, οὐ κατὰ φύσιν ἔχουσιν αἱ φλέβες. ἐὰν δὲ μὴ ᾖ λεπτὸν, ἀλλὰ μετρίως συνεστηκὸς, ὅπερ ἀκούσαι νῦν χρὴ τὸ παχὺ, τὰ συνεκκρινόμενα τῷ τοιούτῳ περὶ τοὺς νεφροὺς, ἢ τὴν κύστιν ἐνδείκνυταί τι πάθος. ἐπειδὴ γὰρ ἐκ μὲν τῶν φλεβῶν ἥκει τὸ οὖρον, διηθεῖται δὲ διὰ τῶν νεφρῶν, ἀθροίζεται δὲ ἐν τῇ κύστει, πᾶν ὅτι περ ἂν ἐν αὐτῷ φαίνηται παρὰ φύσιν, ἢ τὰς φλέβας ἐνδείκνυται φαύλως ἔχειν, ἢ τὰ κατὰ τοὺς νεφροὺς, ἢ κύστιν, ὥσπερ καὶ νῦν τὰ πιτυρώδεα τὴν κύστιν ψωριᾶν, ὅταν γ' αἱ φλέβες ἀπαθεῖς ὑπάρχωσι. φέρεται γὰρ ἐνίοτε καὶ ἐξ ἐκείνων τὰ πιτυρώδη, ποτὲ μὲν αὐτοῦ τοῦ χιτῶνος αὐτῶν παθόντος, ὥσπερ καὶ τοῦ τῆς κύστεως. ἔστι δ' ὅτε τοῦ κατ' αὐτὰς αἵματος ὑπὸ καυσώδους θερμοῦ φρυγέντος. πιθανώτερος δὲ δηλονότι πρὸς τοῦτο πᾶς ὁ παχὺς ἐν αὐταῖς χυμός ἐστι, καὶ

μᾶλλον ἔτι ἡ οἷον τρὺξ τοῦ αἵματος, ὃν ὀνομάζειν εἰθίσμεθα μελαγχολικὸν χυμόν. ὥσπερ γὰρ ἡ τοῦ δέρματος ἐπιφάνεια, καλοῦσι δ' αὐτὴν ἐπιδερμίδα, κατὰ τὰς ψώρας καὶ τὰς λέπρας, καὶ τὰς λειχῆνας ἀποβάλλει τι λεπτὸν, οἷόν περ τὸ γῆρας ἐστὶ τῶν ὄφεων, οὕτω κἀπειδάν τι τῶν ἔνδον μορίων ὅμοιόν τι πάθημα πάθῃ τὸ οἷον δέρμα, καὶ τὸ σύμπτωμα τοῦ παθήματος ὅμοιον γενήσεται. κατὰ τοῦτο οὖν αἱ φλέβες αὗται, καὶ ἡ κύστις ψωριῶσα πιτυρώδη, δέρματα σὺν τοῖς οὔροις ἔξω κενούμενα. διοριοῦσθαι δὲ τῇ λεπτότητι, καὶ τῷ πάχει τῶν οὔρων, ὡς προείρηται. τὰ μὲν γὰρ λεπτὰ, πεπονθέναι τὰς φλέβας ἐνδείξεται, τὰ δ' οὐ λεπτὰ, τὴν κύστιν.

Ὁκόσοι ἀπὸ ταυτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

Τὸ ἀπὸ ταυτομάτου, δύναται μὲν καὶ χωρὶς αἰτίας τῆς ἔξω δηλοῦν. δύναται δὲ καὶ τὸ, οἷον ἐξαίφνης οὐδενὸς προηγησαμένου συμπτώματος, οἷά περ ἤδη κύστεως ἡλκωμένης φαίνεται. κατὰ ταύτην γὰρ οὐχ οἷόν τε ῥαγῆναι φλέβα διὰ πλῆθος αἵματος ὑπερβρυγεῖσαν, ὡς ἤδη τῶν νεφρῶν εἴωθε συμβαίνειν. οὐδὲ γὰρ δεῖται διὰ τῶν ἐν αὐτῇ φλεβῶν αἷμα, μόνον δ' ὅσον εἰς τροφὴν αὐτάρκες αὐτῇ χορηγεῖται. πρὸς τούτῳ δὲ, οὐδὲ αἱ φλέβες αἱ κατὰ τὴν κύστιν γυμναί πως καὶ ἀστήρικτοι πεφύκασιν, ὥσπερ αἱ εἰς τὰς κοιλίας τῶν νεφρῶν ἐμβάλλουσαι, καθ' ἃς ἀναστόμωσίς τε καὶ ῥῆξις ὑπὸ πάχους καὶ πλήθους γίνεται τῶν κατ' αὐτὰς χυμῶν. ἡ μὲν οὖν ῥῆξις, ἀκριβοῦς αἵματος ἐργάζεται κένωσιν. ἡ δ' ἀναστόμωσις, οὐκ ἀθρόον αἷμα προχέουσα, καὶ μάλιστα ὅταν ᾖ βραχὺ, κατ' ὀλίγον δὲ τὸ λεπτότερον διηθοῦσα, τὸ ὅλον οὖρον ὕφαιμον ἐργάζεται. γίγνεται δ' ὡς ἔφην, καὶ τῶν ἐν κύστει φλεβῶν ἐξ ἀναβρώσεως πεπονθυιῶν, αἵματος κένωσις, ἐφ' ᾗ προηγεῖται τὰ κατὰ τὴν κύστιν ἕλκους τὰ σημεῖα, τουτέστιν, ὀδύνη τε τοῦ μορίου, καὶ πύον, καί τινα πολλάκις αὐτοῦ τοῦ σώματος τῆς κύστεως, οἷόν περ θρύμματα. κατὰ τοῦτο οὖν ἄμεινον ἀκούειν τὸ ἀπὸ ταυτομάτου σημαίνειν τὸ ἐξαίφνης, οὐ τὸ χωρὶς αἰτίας φανερᾶς ἐκκρίνεσθαι. ἐκ γὰρ τῶν νεφρῶν αἷμα πολλάκις μὲν καὶ χωρὶς τῆς ἔξωθεν αἰτίας ῥαγέντος τοῦ ἀγγείου διὰ πλῆθος, ἔστι δ' ὅτε καὶ ἐπιδησαμένων σφοδρότερον, ἢ καταχυθέντων, ἢ πληγέντων.

Οἷσιν ἐν τοῖς οὔροισι ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

Οὐ πάντως ἡ κύστις, ἀλλ' ἐνδέχεται καὶ νεφρὸς, ὥσθ' ἡμάρτηται φανερῶς ὁ ἀφορισμὸς, ἤτοι γε αὐτοῦ τοῦ Ἱπποκράτους παριδόντος ὅλου τοῦ λόγου τὸ ἥμισυ μέρος, ἢ τοῦ πρώτου βιβλιογράφου παραλιπόντος. ἐάν τε γὰρ ἐν νεφροῖς, ἐάν τ' ἐν κύστει λίθοι γίνονται, συνεξέρχονται τοῖς οὔροις τὰ ψαμμώδη.

Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ τὸ περίνεον, τὰ περὶ κύστιν πονέει.

Γέγραπται μὲν διχῶς ἡ τελευτὴ τοῦ ἀφορισμοῦ. κατά τινα μὲν τῶν ἀντιγράφων πονέει, καθ' ἕτερα δὲ νοσέει, καὶ σχεδὸν ἀλλήλων ταύτῃ γε οὐδὲν διαφέρουσιν αἱ γραφαί. κοινῇ δ' ἀμφότεραι σφάλλονται, εἴ τις ἀκούσειε τὰ περὶ τὴν κύστιν εἰρῆσθαι πρὸς Ἱπποκράτους, ὡσεὶ καὶ αὐτὴν τὴν κύστιν ἐγεγράφει. τὰ γὰρ εἰρημένα συμπτώματα, κοινὰ τῶν οὐρητικῶν ὀνομαζομένων ὀργάνων ἁπάντων ἐστὶ, κύστεως, νεφρῶν, οὐρητήρων. οὕτως οὖν ἄμεινον ἀκούειν τὰ περὶ τὴν κύστιν, οὐχ ὡς αὐτῆς μόνης δηλουμένης, ἀλλ' ὡς καὶ τῶν συνεζευγμένων αὐτῇ μορίων. ἔτι δὲ μᾶλλον, οὕτως ἀκούειν ἡμᾶς, καὶ ὁ ἑξῆς ἀφορισμὸς ἐπιτρέπει, καθ' ὃν οὐ τὰ περὶ τὴν κύστιν νοσεῖν φησιν, ἀλλὰ τῆς κύστεως ἕλκωσιν ὑπάρχειν, ὡς οὐ τοῦτον, αὐτὴν τὴν κύστιν ἁπλῶς μόνην ἀποφαίνεσθαι τι πάσχειν, ἢ τὰ περὶ αὐτήν.

Ἢν αἷμα καὶ πύον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρέα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

Τὸ μὲν αἷμα καὶ τὸ πύον οὐρεῖν, πάντως ἐστὶ τῶν οὐρητικῶν ὀργάνων ἡλκωμένων κοινὰ σημεῖα. τὸ δὲ βαρὺ τῆς ὀσμῆς, ὅπερ δηλοῖ τὸ ἀηδὲς, ἔτι τε μᾶλλον αἱ λεπίδες ἴδια τῆς κύστεως. ἐν μὲν οὖν τοῖς πλείστοις τῶν ἀντιγράφων, ἢν αἷμα καὶ πύον οὐρέῃ γέγραπται. κατὰ δέ τινα αὐτῶν, ἢν αἷμα, ἢ πύον οὐρέῃ. δηλώσει δ' αὕτη μὲν ἡ δευτέρα γραφὴ, παραδιαζευκτικὸν εἶναι τὸν, ἢ, σύνδεσμον, ὡς ὁπότερον ἂν ὑπάρχῃ τῶν εἰρημένων, ἑλκώσεως εἶναι σημεῖον. ἡ δ' ἑτέρα τὰ δύο βουλήσεται συνεδρεύειν, ἢ ἅμα ἀλλήλοις, ἢ ἐναλλάξ.

Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα γίνεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

Διὰ βραχυλογίαν, οὐδὲν ἀξιόλογον οὗτος ὁ ἀφορισμὸς ἔχειν ὑποληφθήσεται. πρόχειρον γὰρ παντὶ γνῶναι τῶν ἐν τῷ πόρῳ τῷ οὐρητικῷ τῷ κατὰ τὸ αἰδοῖον, τοῦτον γὰρ οὐρήθραν καλοῦσι, συνισταμένων φυμάτων, τὴν λύσιν γίγνεσθαι ῥαγέντων. ἀλλ' εἰ προσχῶμεν τὸν νοῦν, ἔνδειξις ἐστί τινος μείζονος πράγματος. ἐνδέχεται γὰρ ἰσχουρίαν δή τινα γενέσθαι, καὶ διὰ τὸ τοιοῦτον φῦμα, καὶ μέντοι καὶ ὡς τὸ φῦμα τοῦτο ῥαγὲν, ἰᾶσεται τὴν ἰσχουρίαν, εὔδηλον. ἀλλὰ ἐκεῖνό γε παραφύεται τοῖς εἰρημένοις ἑπόμενον ζήτημα, πότερον ῥήγνυσθαι μόνον βούλεται τὸ κατὰ τοῦτο χωρίον συνιστάμενον φῦμα, ἢ πλειστάκις μὲν αὐτὸ τοῦτο συμβαίνειν, δύνασθαι δὲ διαφορεῖσθαι, ἢ παράδειγμα τῶν λύσεων ἐν τούτῳ ἔγραψε τὴν ῥῆξιν, ὅπερ καὶ ἀληθέστερόν ἐστιν.

Οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

Ὅτι μὲν οὖν ἀναγκαῖον ἐστὶν ἀναδοθέντος τοῦ κατὰ τὴν κοιλίαν ὑγροῦ βραχυτέραν γενέσθαι τὴν ὑποχώρησιν, πρόδηλον παντί. συνεμφαίνει δὲ τούτῳ, καὶ ὅτι διεξελθόντος ἅμα τοῖς σιτίοις, ὑγροτέρα μὲν ἡ γαστὴρ γενήσεται, καὶ διὰ τοῦτο πλείω ὑποχωρήσει. τὸ δ' αὖ οὖρον ἔλαττον ἐκκριθήσεται. διδάξει δ' ἡμᾶς ὁ λόγος οὗτος, ἰάματα ῥευμάτων γαστρὸς καὶ ξηρότητος, ἐφ' ὧν μὲν ὑγροτέρα γίνεται τοῦ προσήκοντος, τότε πότον ἔλαττον διδόμενοι, ἐπί τε κύστιν ἐπιτρέψομεν ἀφικέσθαι. ἐφ' ὧν δ' ᾖ ξηροτέρα, καὶ πλεῖον διδόμενοι τὸ πόμα, καὶ τὴν ἀνάδοσιν, ὡς οἷόν τε κωλύομεν.

Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον.

Τοῖς ἐλλέβορον εἰληφόσι λευκὸν δηλονότι, τοῦτον γὰρ ἁπλῶς εἰώθασιν ὀνομάζειν ἐλλέβορον, οὐχ ὥσπερ τὸν μέλανα μετὰ προσθήκης. τούτοις οὖν ἐὰν καθαιρομένοις ἐπιγένηται σπασμὸς, ὀλέθριον εἶναί φησι τὸ σύμπτωμα. γίνεται μὲν γὰρ ὁ κατὰ τὴν ἀρχὴν τῆς καθάρσεως ἡνίκα τοῦ πνιγῆναι κίνδυνος, ἀλλ' ὅταν σπαραχθῶσι σφοδρότερον ἐμοῦντες, διὰ αὐτὴν μάλιστα τὴν ἐν τοῖς ἐμέτοις συντονίαν πονησάντων τῶν νεύρων κατὰ συμπάθειαν τὴν πρὸς τὸ στόμα τῆς γαστρὸς, ἐφ' ᾧ καὶ ἄλλως ἑωράκαμεν. ὅταν ἰσχυρῶς δηχθῇ, γεγενημένους σπασμοὺς, ὥσπερ καὶ τῷ νεανίσκῳ τῷ ἰὸν ἐμέσαντι. βέλτιον γὰρ ἰὸν οὐκ ἰώδη τὸν ἔμετον ὀνομάζειν ἐκεῖνον, ἐπειδήπερ ἦν οἷος ἀκριβὴς ἰὸς ὀνομαζόμενος ὑπὸ ἀνθρώπων. ἀλλὰ κατά γε τὸν ἔμετον ἐσπάσθη πᾶν τὸ σῶμα, καὶ ὅτι πυρετὸς αὐτῷ, καὶ ὁ σπασμὸς ἐπαύσατο παραχρῆμα κενωθέντος τοῦ ἰοῦ. πιεῖν δ' ἦν τὸ ἐμεθὲν, οἷον εἴ τις ὕδατι διαλύσειεν ἰὸν τὸν ἄριστον, ὡς γενέσθαι σύστασιν ἐξ ἀμφοῖν σιραίου πάχει παρεοικυῖαν. οὐκ ἀδύνατον μὲν οὖν ὡς ἔφην καὶ κατὰ συμπάθειαν τὴν πρὸς τὸ στόμα τῆς γαστρὸς γενέσθαι σπασμὸν ἐπ' ἐλλεβόρῳ κακῷ, καὶ εἴη ἂν ὁ μετριώτατος σπασμὸς οὗτος. ἐγχωρεῖ δὲ καὶ διὰ αὐτὴν τὴν κένωσιν καθαιρομένοις αὐτοῖς γενέσθαι σπασμὸν, ὡς καὶ τοῖς χολερικοῖς ἐπιγίνονται συνολκαὶ πολλάκις, καὶ μάλιστα τῶν κατὰ τὰς γαστροκνημίας μυῶν. οὐκ ἀδύνατον δὲ οὐδὲ διὰ τὴν ἐνέργειαν τοῦ φαρμάκου, τὰ ἐκ τῶν νεύρων ὑγρὰ πρὸς ἑαυτὸ βίᾳ σπῶντος, ἐκ τῆς κακοπαθείας ταύτης ἐπιγενέσθαι σπασμόν. ἀλλὰ καὶ τῆς δυνάμεως ἐνίοτε τοῦ ἐλλεβόρου πρὸς ἀνάδοσιν ὁρμησάσης σφοδρότερον, ἐγχωρεῖ τὴν τῶν νεύρων οὐσίαν ξηρανθῆναι βιαιότερον. ἐδίδαξε δ' ἡμᾶς αὐτὸς ὁ Ἱπποκράτης, ὡς ὁ σπασμὸς, ὑπὸ κενώσεως καὶ πληρώσεως γίνεται τῶν νευρωδῶν δηλονότι σωμάτων, ὑφ' ὧν αἱ κατὰ προαίρεσιν ἐνεργοῦνται κινήσεις. ἔστι δὲ ταῦτα τένοντες, σύνδεσμοι, καὶ μύες, καὶ τένοντες. ὥσπερ ὁρῶμεν ἐπὶ τῶν ἐκτὸς, ἱμάντας τε καὶ χορδὰς τεινομένας, ἐάν τε ξηρανθῶσιν ἐπὶ πλέον, ἐάν θ' ὑγρότητι πολλῇ διαβραχῶσιν, οὕτω καὶ κατὰ τῶν ζώων σώματα τὰ πολλὰ τὸν σπασμὸν εἰκὸς γίνεσθαι, πρόδηλον δ' ὡς ὁ μὲν ἐπὶ πληρώσει, δυνατός ἐστιν ἰαθῆναι κενώσει. τὸν δ' ἐπὶ κενώσει τε καὶ ξηρότητι τῶν νεύρων, οὐ πάνυ τι δυνατόν ἐστιν ἰάσασθαι. γίνεται δ' ὡς ἔφην, καὶ κατὰ συμπάθειαν σπασμὸς, ὃν οὐκ ἠγνοεῖτο ὑπὸ τοῦ Ἱπποκράτους † περιλελῆφθαι. τὸν γοῦν πρώτως γινόμενον σπασμὸν, ἐδήλωσεν ἐν τῷ φάναι, σπασμὸν ἐπὶ πληρώσει καὶ κενώσει συνίστασθαι. καὶ μὴν καὶ τῷ λόγῳ τῆς λέξεως ἴσμεν ἐπὶ τῷ στομάχῳ λυγμὸν γινόμενον, ὡς ἂν ἵνα καὶ τὰ νεῦρα πάσχειν ὁμοίως προσδοκῆσαι, καὶ δόξει καὶ ὁ σπασμὸς οὗτος ἐνίοτε γίνεσθαι τοῖς ἐπ' ἐλλεβόρῳ καθαιρομένοις, ὑφ' Ἱπποκράτους οὐκ εἰρημένος. οὐ μὴ νὴ Δία φαίη τις αὐτὸν ἐπὶ κενώσει συμβαίνειν, τῶν δακνόντων χυμῶν ξηραντικῶν ὑπαρχόντων. οὗτοι μὲν οἱ τρόποι τῶν ἐπ' ἐλλεβόρῳ σπωμένων. θεραπεύονται δ' αὐτῶν ὅτε διὰ δῆξιν, καὶ ὁ διὰ τὴν συντονίαν τὴν ἐπὶ τοῖς ἐμέτοις. ὁ δὲ διὰ ξηρότητα τῶν ἀνιάτων ἐστὶν εἰκότως. τοιγαροῦν ὅλον τὸ γένος τοῦ τοιούτου σπασμοῦ φησι θανάσιμον ὑπάρχειν ὁ Ἱπποκράτης. ἐπειδὴ τινὲς μὲν αὐτοῦ διαφοραὶ λυσίμοι, μία δ' ἀνίατός ἐστιν.

Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, θανάσιμον.

Ὥσπερ ἐν τῷ πρὸ τούτου λόγῳ, θανάσιμον ἔφη τὸν σπασμὸν ἐν ἴσῳ τῷ κινδυνώδη τε καὶ τελευτῶντα πολλάκις εἰς θάνατον, οὕτω καὶ νῦν τὸν ἐπὶ τῷ τραύματι σπασμὸν ὠνόμασε θανάσιμον, ὡς οὐκ ἐξ ἀνάγκης τε καὶ διὰ παντὸς ἐπιφέροντα θάνατον, ἀλλ' ὡς πάνυ πολλάκις. ὡσαύτως δὲ καὶ κατὰ πολλοὺς τῶν ἔμπροσθεν ἀφορισμῶν ἐφαίνετο, τῷ θανασίμου ὀνόματι χρώμενος. ἐπὶ γοῦν τοῖς τραύμασιν οἱ σπασμοὶ γίγνονται, τῷ λόγῳ τῆς ἑπομένης αὐτοῖς φλεγμονῆς, ὅταν ἅψηται τῶν νευρωδῶν μορίων, καὶ πρῶτά γε φαίνεται σπώμενα τά τε κατ' εὐθὺ τῶν φλεγμαινόντων. εἶθ' οὕτως ὅταν καὶ τῆς ἀρχῆς αὐτῆς ἅψηται τὸ πάθος, ἐπὶ πᾶν ἐκτείνεσθαι τὸ σῶμα.

Αἵματος πολλοῦ ῥυέντος σπασμὸς, ἢ λυγμὸς ἐπιγενόμενος, κακόν.

Οὐκ ἄλλο μέντοι νομιστέον δηλοῦσθαι ἐκ τοῦ πρόσθεν ὀνόματος τοῦ θανάσιμον, ἄλλο δ' ἐκ τοῦ νῦν, τοῦ κακόν. εἴωθε γὰρ ὁ Ἱπποκράτης ἐκεῖνα τῶν συμπτωμάτων ὀνομάζειν οὕτως, οἷς ἐπιγίνεται πολλάκις καὶ θάνατος. εἰ δὲ τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων δόξειεν τὰ ὀνόματα διαφέρειν, μείζονα τὸν κίνδυνον ἐνδείξαιτ' ἂν ἡ θανάσιμον φωνὴ τοῦ κακόν. ὁ γοῦν ἐπὶ πολλῇ κενώσει τοῦ αἵματος γιγνόμενος σπασμὸς, ἐκ θατέρου γένους ἐστὶ τῶν ποιούντων αὐτὸν αἰτίων ὡς προείρηται.

Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

Ὅπερ ἐνίοτε τοῖς ἐλλέβορον εἰληφόσιν ἐλέγομεν γίγνεσθαι, τοῦτο νῦν ὑπὲρ ἁπάντων ἀπεφήνατο τῶν ὁπωσοῦν καθαιρομένων. πάσχουσι γὰρ οἱ ὑπερκαθαιρόμενοι κατὰ τὰς εἰρημένας αἰτίας ἐπὶ τῶν ἐλλέβορον εἰληφότων, κίνδυνός τε καταλαμβάνει τοὺς οὕτω κάμνοντας οὐ σμικρὸς, ἐπειδὴ πολὺ χείρων ἐστὶν ὁ ἐπὶ κενώσει σπασμὸς, τοῦ διὰ πλήρωσιν. ὅτι δὲ καὶ ὁ λυγμὸς, σπασμός ἐστι στομάχου, κατὰ τὸν Ἱπποκράτην γινώσκομεν δήπου.

Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥραν ἐλθὼν καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

Πληρουμένων τῶν νεύρων, ὁ τοιοῦτος ἐπιγίνεται σπασμός. εἴωθε δὲ ῥᾳδίως αὐτὰ πληροῦν ὁ οἶνος, ὡς ἂν θερμὸς ὑπάρχων τὴν κρᾶσιν. ἡ γὰρ τοιαύτη φύσις, ἑτοίμως ἅπασιν ἐγκαταδύεται, καὶ μάλιστα ὅταν, μὴ πάνυ τι παχυμερὴς ᾖ. τῷ μὲν οὖν πλήθει τῆς οὐσίας, τὸν σπασμὸν ἐπιφέρει τοῖς νεύροις. τῇ ποιότητι δὲ, θεραπεύει πάλιν αὐτὸς, ἣν εἰργάσατο διάθεσιν, ἐκθερμαίνων τε καὶ ξηραίνων τὰ νεῦρα. ἐὰν οὖν ποτε τοῦτο μὴ δυνηθῇ ποιῆσαι, θάνατον ἀκολουθεῖν ἀναγκαῖόν ἐστιν. ᾗ δὲ δυνάμει τὸν οἶνον ἔφαμεν ἰᾶσθαι τοὺς σπασμοὺς, ταύτῃ δηλονότι καὶ ὁ πυρετὸς ἰᾶται. προσεκτέον δ' ἐνταῦθα μάλιστα τῷ ἔθει τοῦ Ἱπποκράτους, ἀφώνους ὀνομάζοντος τοὺς ὁπωσοῦν καρουμένους. ἀλλὰ κυρίως λέγεται κάρος ἡ παντὸς τοῦ σώματος αἰφνίδιος ἀναισθησία τε καὶ ἀκινησία. ταύτην οὖν τὴν διάθεσιν, ἀφ' ἑνὸς τῶν συμπτωμάτων ὀνομάζειν εἴωθεν ὁ Ἱπποκράτης, καὶ γίνεται δηλονότι τῆς ἀρχῆς τῶν νεύρων παθούσης, ὁ δὲ γὰρ

† παραλελεῖφθαι

οὐδὲ ἄλλως ὅλως οἷόν τε σπασθῆναι τὸ σῶμα πρὶν τοῦ ταύτην παθεῖν, ἤτοι πρώτως, ἢ κατὰ συμπάθειαν ἑτέρου προπεπονθότος μορίου. κραιπάλας δ' ἐπὶ πάντων οἱ Ἕλληνες ὀνομάζουσι τὰς ἐξ οἴνου βλάβας τῆς κεφαλῆς, δῆλον. οὕτως γοῦν ἔνιοι καὶ τὴν ἐτυμολογίαν ἐποιήσαντο τῆς προσηγορίας, ἀπὸ τοῦ κάρηνον πάλλεσθαι γεγονέναι φάσκοντες. τὴν δ' ὥραν καθ' ἣν αἱ κραιπάλαι λύονται, κέκληκεν ὁ Ἱπποκράτης, αὐτὸ τοῦτο τὸν καιρόν. ἔστι δ' οὗτος οὐκ ἀποτετμημένος, οὐδὲ περιγεγραμμένος ἅπασιν ἐν ἑνὶ μέτρῳ. τινὲς μὲν γὰρ ἤδη τὴν ὑστεραίαν ἡμέραν ἐπαύσαντο τῆς κραιπάλης, τινὲς δὲ καὶ κατὰ τὴν ἐπιγιγνομένην αὐτὴν νύκτα. τινὲς δὲ ἐν τῇ τρίτῃ πάντως ἡμέρᾳ, καὶ γίνεται τοῦτο, διά τε τὴν δύναμιν, καὶ τὸ πλῆθος τοῦ ποθέντος οἴνου, καὶ αὐτὴν τοῦ πίνοντος φύσιν. ὥσπερ γὰρ οὖν ἡ τροφὴ τοῦ πεφθῆναι μίαν ἅπασιν ἀνθρώποις οὐκ ἔχει προθεσμίαν, οὕτως οὐδ' ὁ οἶνος. ἢ τοίνυν ἡμᾶς ἐμπείρως ἔχειν χρὴ τῆς φύσεως τοῦ κάμνοντος, ἢ τὴν ἐξωτάτω προθεσμίαν ἐπιτηρεῖν, καθ' ἣν ἐὰν μήτε πυρέξαι φθάσῃ, μήτε φθέγξηται, τεθνήξεται πάντως σπασθείς.

Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέτρασιν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

Καίτοι γε πάθος ὁ τέτανός ἐστιν, ὡς ἂν ἐξ ὀπισθοτόνου τε καὶ ἐμπροσθοτόνου συγκείμενος, ὡς εἰκότως αὐτὸν συντομωτέραν ποιεῖσθαι τὴν κρίσιν. οὐ φέρουσης τὸν ἐπὶ τῇ τάσει κάματον τῆς φύσεως ἐν πλείονι χρόνῳ. κατὰ τὴν πρώτην οὖν περίοδον τῶν κρισίμων ἡμερῶν, ἡ κρίσις τῷ πάθει.

Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἔχει. ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ συναποθνήσκει.

Κυρίως μὲν ὀνομάζονται μεταστάσεις πάθους, ὅταν ἐξ ἑτέρου μορίου εἰς ἕτερον μετέρχονται. καταχρωμένων, δὲ καὶ αἱ λύσεις οὕτω προσαγορεύονται. καί μοι δοκεῖ νῦν ὁ Ἱπποκράτης, κατὰ τὸ δεύτερον σημαινόμενον κεχρῆσθαι τῇ προσηγορίᾳ. οὐ μόνον γὰρ εἰς ἕτερα μόρια μεθισταμένων τῶν τὴν ἐπιληψίαν ἐργαζομένων χυμῶν λύεται τὸ πάθος, ἀλλὰ καὶ τελέως ἐκθεραπευομένων. εἰσὶ μὲν γὰρ οὗτοι παχεῖς καὶ ψυχροὶ, καὶ φλεγματικοί. παύονται δ' ὑπό τε τῆς ἡλικίας ἐπὶ τὸ ξηρότερον μεταβαλλούσης, καὶ διὰ γυμνασίαν, καὶ διὰ δίαιταν ξηραντικὴν, ἅμα τοῖς ἐπιτηδείοις φαρμάκοις. ἀλλά νῦν γε ὁ Ἱπποκράτης, μόνης τῆς καθ' ἡλικίαν μέμνηται μεταβολῆς, ὑφ' ἧς διδασκόμενοι, καὶ τὸ τῆς διαίτης εἶδος ἅμα τοῖς φαρμάκοις εὑρήσομεν. ὅπερ οὖν ἐν ἑτέρῳ μέρει τῶν ἀφορισμῶν εἶπε, τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεγάλαι μεταβολαὶ, μάλιστα τῆς ἡλικίας, καὶ τῶν χωρίων, καὶ τῶν βίων, καὶ τῶν τόπων ποιέουσι, τοῦτο νῦν ἐπ' αὐτῶν τῶν παθῶν ἐδήλωσε. τὰ μὲν πρὸ τῆς ἥβης συνιστάμενα τῶν ἐπιληπτικῶν παθῶν, παύεσθαι λέγων ἐν τῇ τῆς ἡλικίας μεταβολῇ. τὰ δ' ἐξωτέρω τῶν εἴκοσι πέντε ἐτῶν, συναποθνήσκειν, ᾧ καὶ δῆλον ὡς καὶ τὸν τῆς ἥβης χρόνον ἕως τῶν πέντε καὶ εἴκοσιν ἐτῶν ἐκτετάσθαι νομίζει, τὴν ἀρχὴν λαμβάνοντα μετὰ τὴν δευτέραν ἑβδομάδα. πρόδηλον δὲ, ὡς οὐ τε πᾶσιν ἰαθήσεται τὸ πάθος ὑπὸ τῆς ἡβητικῆς ἡλικίας, εἰ μὴ καὶ τἆλλα πράττοιεν ὀρθῶς, οὐθ' οἷς ἐν ταύτῃ συνέστη διὰ παντὸς ἐπιγραμμένοις καλῶς διαιτωμένοις. ἀλλ' ὅτι γε τὴν ἀπὸ τῆς ἡλικίας ἴασιν οὐκ ἔχει, συγκαταγηράσει δ' ὅλον ἐπ' αὐτῇ τὸ πάθος αὐτοῖς, ἐδήλωσε σαφῶς, οὐ μὴν σαφῶς γέ τι λέλεκται. καί τοι δοκοῦν εἶναι σαφὲς τοῖς ἀμελέστερον ἀκούουσι, τοῖς πέντε καὶ εἴκοσιν ἐτῶν συναποθνήσκειν τὸ πάθος οἷς ἐγένετο, τὸ ἕμπτον καὶ εἰκοστὸν ἔτος ἄγουσιν, ἀλλ' ἔτι καὶ μᾶλλον οἷς ἐξωτέρω. προσθέντες οὖν τὸ λεῖπον τῇ λέξει τοῦ Ἱπποκράτους, ἀληθῆ τελέως αὐτὴν ἀπεργασόμεθα, τὰ ἐπιληπτικὰ παθήματα. τὰ μὲν πρὸ τῆς ἥβης συνιστάμενα, κατὰ τὸν ἐκείνης λύεται καιρὸν, τὰ δ' ἐξωτέρω τῆς ἥβης, συναποθνήσκει. καιρὸς δ' ἥβης ἐστὶν ὁ μετὰ τεσσαρεσκαίδεκα μέχρι πέντε καὶ εἴκοσιν ἐτῶν. ἔστι δὲ καὶ ἄλλη τις γραφὴ τοιαύτη. οἷσι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τὰ πολλὰ συναποθνήσκει, σημαίνοντος τοῦ, τὰ πολλὰ, ταυτὸν τῷ, ὡς ἐπὶ τὸ πολύ.

De Malis Thoracis & Pulmonis

Ὁκόσοι πλευριτικοὶ γινόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν, τουτέοισιν ἐς ἐμπύημα μεθίσταται.

Τὴν διὰ τῶν πτυσμάτων κένωσιν τῶν τὴν πλευρῖτιν ἐργασαμένων χυμῶν, ἀνακάθαρσιν καὶ κάθαρσιν εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης, ὥσπερ γε καὶ τὸ πτύειν τούτους καθαίρεσθαι, κατά τε τὸ περὶ διαίτης ὀξέων, καὶ τὸ προγνωστικὸν ὠνόμασεν. ἀλλὰ νῦν γε χρόνον ὁρίζει τῆς καθάρσεως, ἐν ᾧ μὴ γενομένης αὐτῆς, εἰς ἐμπύημα φησὶ μεθίστασθαι τὴν πλευρῖτιν, ἤτοι τὴν εἰς πύον μεταβολὴν οὕτως ὀνομάζων ἅπασαν, ὥσπερ κἀν τῷ προγνωστικῷ πολλάκις, ἢ τὴν μεταξὺ θώρακός τε καὶ πνεύμονος ἔκχυσιν τοῦ πύου. γίνεται γὰρ ἑκάτερον τούτων, ὅταν οἱ πλευριτικοὶ μὴ καθαρθῶσι διὰ τῶν πτυσμάτων. ἀλλὰ τόγε δεύτερον τῶν εἰρημένων, ἐν τοῖς ἐφεξῆς αὐτὸς ὠνόμασε ῥῆξιν ἐμπυήματος.

Ἡ φθίσις γίνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα.

Διὰ τῶν ἔμπροσθεν ἀφορισμῶν ἡνίκα τὰ νοσήματα κατὰ τὰς ἡλικίας διηγεῖτο, τοῖσι δὲ νεανίσκοισιν αἵματος πτύσιας ἔφη. νυνὶ δὲ καὶ τὸν τῶν ἐτῶν ἀριθμὸν προσέθηκεν, οὐ διὰ τοῦτο γράψας πάλιν ἄνωθεν ὑπὲρ αὐτῶν, ἀλλὰ τῇ κοινωνίᾳ τῶν κατὰ θώρακά τε καὶ πνεύμονα παθῶν. διατί μὲν οὖν οἱ νεανίσκοι, καὶ μάλιστα τοῖς τοιούτοις ἁλίσκονται παθήμασιν, ἔμπροσθεν εἴρηται. περὶ δὲ τῶν κατὰ τὰς ἡλικίας ἐτῶν, ἐν τῷδε διοριστέον, ἐπεὶ καὶ ὁ Ἱπποκράτης ἔφη, φθίσιν γενέσθαι ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων, μέχρι τριάκοντα πέντε. τὸ γὰρ ἡλικίῃσι πληθυντικῶς εἰρημένον, ἐνδειξίν τιν' ἔχει, τοῦ μὴ μίαν ἡλικίαν ὑπολαμβάνειν εἶναι τὸν Ἱπποκράτην τὴν μεταξὺ τῶν εἰρημένων ἐτῶν. οὐδὲ γάρ ἐστι μία σκοπουμένοις ἀκριβέστερον, ἀλλ' ἡ μὲν ἀπὸ τῶν ὀκτωκαίδεκα μέχρι τῶν πέντε καὶ εἴκοσι ἐτῶν, μειρακίων ἐστίν. ἡ δ' ἀπὸ τῶνδε τῶν νεανίσκων, μέχρι πέντε καὶ τριάκοντα.

ὁκόσοι

Ὁκόσοι κυνάγχην διαφεύγουσιν, καὶ ἐς τὸν πνεύμονα αὐτέοισι τρέπεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

Περὶ μεταστάσεως ὁ λόγος αὐτῷ νῦν ἐστι τῆς ἐκ κυνάγχης εἰς τὸν πνεύμονα γινομένης, ἥν τινα φησὶν ἀναιρεῖν μὲν ὡς τὰ πολλὰ ὑπὸ τῶν ἑπτὰ ἡμερῶν, πνιγομένου δηλονότι τοῦ κάμνοντος. εἰ δ' ὑπερβαλεῖν αὐτὰς δυνηθεῖεν, μεταβάλλοντος εἰς πῦον τοῦ ῥεύματος, ἔμπυος γίνεσθαι.

Τοῖσιν ὑπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅτι ἂν ἀποβήσσωσι βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέωσιν, θανάσιμον.

Τὰς ἐπὶ πνεύμονι ἑλκώδεις διαθέσεις ὀνομάζει νῦν φθίσεις, ἐφ' ὧν ἀξιοῖ δοκιμάζειν ἀκριβέστερον τὴν ὀσμὴν ἐπιχέοντας ἄνθραξι τὸ ἀναπτυόμενον. ὥσπερ δ' ἐν τοῖς ἔμπροσθεν ἐπὶ τῶν ἤδη τὴν κύστιν ἑλκῶν ὀσμὴν γίνεσθαι βαρεῖαν ἔφησεν, οὕτω καὶ νῦν ὄζειν βαρὺ τὸ πτύσμα τῶν φθισικῶν. εἰ δὲ καὶ τῆς κεφαλῆς αἱ τρίχες ἐκρέοιεν, τοῖς οὕτω διακειμένοις ὀλεθρίως ἔχειν αὐτούς, ἐνδείκνυσθαι γὰρ ἔνδειαν τροφῆς ἐσχάτης ἐστὶν ὅτε καὶ διαφθορὰν χυμῶν.

Ὁκόσοισι φθισιῶσιν ἀπορρέουσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς, οὗτοι διαῤῥοίας ἐπιγιγνομένης, ἀποθνήσκουσιν.

Περὶ τῶν ἐγγὺς ἤδη τοῦ θανάτου φθισικῶν ὁ λόγος αὐτῷ νῦν ἐστιν, οὓς ἐδήλου μὲν ἔχειν κακῶς, καὶ ἡ τῶν τριχῶν ῥύσις. ἐπιγιγνομένης δὲ διαῤῥοίας, ἐπίδοξος ἂν εἴη ὁ θάνατος [ὅσον οὔπω γενήσεσθαι,] ὡς ἂν αἰτίου τε ἅμα καὶ σημείου κακοῦ τοῦ τοιούτου συμπτώματος ὄντος. γίγνεται μὲν γὰρ ἐπ' ἀῤῥωστίᾳ τῆς δυνάμεως, αὐτὸ δὲ πάλιν ἀῤῥωστοτέραν αὐτὴν ἀπεργάζεται.

Ὁκόσοι αἷμα ἀφρῶδες πτύουσι, τουτέοισιν ἐκ τοῦ πνεύμονος ἡ ἀναγωγὴ γίνεται.

Καὶ τῶν ἀντιγράφων τὰ πολλά, καὶ τῶν ἐξηγησαμένων τὸ βιβλίον οὐκ ὀλίγοι ἴσασι κατὰ τήνδε τὴν λέξιν τὸν ἀφορισμὸν γεγραμμένον, ὁκόσοι ἀφρῶδες αἷμα ἐμέουσι. καί τινές γε τὴν ἐξήγησιν αὐτοῦ ποιούμενοι, πλῆθος ἐνδείκνυσθαι φασὶ τοὔνομα, καὶ διὰ τοῦτ' ἀεὶ τοῦ κυρίου μετενήνεκται. προδήλως δ' οὗτοι καταψεύδονται τοῦ φαινομένου, πολλάκις γὰρ ὤφθη πτύσις αἵματος ἀφρώδους αὐτοῦ πλήθους γεγενημένη. εἰ μὲν οὖν ὄντως ὑφ' Ἱπποκράτους οὕτως ἐγράφη, κατακέχρηται τῇ προσηγορίᾳ φύσει μὲν αὐτόν. οὐ γὰρ δὴ τὸ μὴ πολὺ τὴν ἐκ πνεύμονος ἀναγωγὴν δηλοῖ, τὸ δ' ὀλίγον ἐξ ἄλλου τινός. εἰ δ' ἀνάπτυσιν ἢ ἀνάβηξιν εἴη γεγραμμένον, ὠνομάσθαι τε κυρίως ἐνδείκνυσθαί τε τὸ τοιοῦτον αἷμα τῆς σαρκοειδοῦς τοῦ πνεύμονος οὐσίας, ἥπερ ἐστὶ τὸ ἴδιον αὐτοῦ σῶμα, δεδέχθαι τὴν ἕλκωσιν, ὡς ἀληθὲς μὲν φαίνεσθαι τὸ ἀφρῶδες αἷμα μόνου τοῦ πνεύμονος ἐνδείκνυσθαι τὴν ἕλκωσιν. οὐκ ἀληθὲς δὲ τοῦ πνεύμονος ἑλκωθέντος, ἐξ ἀνάγκης ἀφρῶδες ἀναπτύεσθαι. πολλάκις γὰρ ἐθεασάμεθα κατενεχθέντων τινῶν ἀφ' ὑψηλοῦ καὶ λακτισθέντων καὶ πληγέντων ἐν ταῖς παλαίστραις, κατ' ἐκεῖνο μάλιστα τὸ τῆς πληγῆς μέρος, ἐν ᾧ καταφερομένῳ τινὶ πρὸς τοὔδαφος, ἕτερος ἐπέπεσε κατὰ τοῦ θώρακος, αἷμα μετὰ βηχὸς ἀναπτυσθὲν πλεῖστον ἐκχεόντων αὐτοῦ πάσης ὀδύνης, ὅπερ εὔλογόν ἐστιν ἔκ τινος τῶν κατὰ πνεύμονα ῥαγέντος ἀγγείου φέρεσθαι.

Ὑπὸ φθίσιος ἐχομένῳ, διαῤῥοίας ἐπιγιγνομένης, θανατῶδες.

Ὀλίγον ἔμπροσθεν εἴρηκε τοῖς φθίνουσιν, ἐπειδὰν τότε πῦον ἢ δυσῶδες, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ἐκρέωσι, διαῤῥοίας ἐπιγιγνομένης, ἐπεσθαι θάνατον. ἐνταυθοῖ δ' ἁπλῶς εἶπε θανατῶδες διάῤῥοιαν εἶναι ἐπὶ φθίσει, μήτε τοῦ πύου, μήτε τῶν τριχῶν μνημονεύσας, ὡς ἱκανῶς οὔσης καὶ μόνης τὸν θάνατον δηλῶσαι, οὐ μὴν οὕτω γε ὑπόγυιον, οὐδὲ ταχὺ γενησόμενον, ὡς ὅταν ἅμα τῇ ῥύσει τῶν τριχῶν.

Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται. ἢν δὲ μή, εἰς φθίσιν μεθίστανται.

Προσθεὶς τῷ λόγῳ τὸ τῆς ῥήξεως ὄνομα, σαφῶς ἐδήλωσεν αὐτὸν ὑπὲρ ἐκείνων διαλεγόμενον, οἷς εἰς ἐμπύημα τῆς κατὰ τὴν πλευρὰν φλεγμονῆς τρεπομένης, εἶτα ἐκραγείσης ἐν τῷ μεταξὺ θώρακός τε καὶ πνεύμονος χωρίῳ περιέχεται τὸ πῦον. ἅπασι γὰρ τούτοις ἐὰν μὴ τὸ πλεῖστον ἐν τεσσαράκοντα ἡμέραις ἡ κένωσις γένηται, τοῦ πύου διὰ τῶν πτυσμάτων ἐκκαθαρθέντος, ἀναγκαῖον ἐστι διαβρωθῆναι τὸν πνεύμονα, σηπομένου τῷ χρόνῳ τοῦ πύου. τῇ μὲν οὖν πλευρίτιδι, τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ὅρον ἔθετο τῆς καθάρσεως. τοῖς δ' ἐμπύοις τὴν τεσσαρακοστήν. εἴρηται δ' ἐπὶ πλεῖστον ὑπὲρ τῆς διαφορᾶς τῶν ἄλλων κρισίμων ἡμερῶν καὶ τῶνδε, κατὰ τὴν περὶ τῶν κρισίμων πραγματείαν, ὅθεν ἀναλεξαμένῳ τινὶ τὴν θεωρίαν ἅπασαν, ἕτοιμον ἔπεσθαι πᾶσι τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις περὶ κρισίμων ἡμερῶν.

Τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι πλεονάκις χρεομένοισι, σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκρατείαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας, ταῦτα οἷσι θάνατος.

Περὶ θερμοῦ καὶ ψυχροῦ χρήσεως ἀμέτρου τε καὶ συμμέτρου, λέλεκται μὲν οὐκ ὀλίγα κἂν τῷ περὶ χρήσεως ὑγρῶν. εἴρηται δὲ καὶ κατὰ τοῦτο τὸ χωρίον τῶν ἀφορισμῶν ἅπαντα σχεδόν γε τὰ κεφάλαια. καὶ πρῶτον γε αὐτῶν, ὅτι τοῦ θερμῷ ἀμέτρως χρωμένων, ταῦτ' ἐργάζεται τὰ πάθη, σαρκῶν ἐκθήλυνσιν, ὅπερ ἐστὶν ἀτονία. εἴρηται γὰρ ἐκ μεταφορᾶς, ἐπειδὴ τὸ θῆλυ παντὸς ἀσθενέστερόν ἐστι τοῦ ἄῤῥενος. ὡμολόγηται δὲ τούτῳ, καὶ τὸ ἐπιφερόμενον ἡ τῶν νεύρων ἀκρατεία. καὶ γὰρ ταῦτα ἄῤῥωστα γίνεται, λυομένης αὐτῶν ὑπὸ τοῦ θερμοῦ τῆς οὐσίας. καὶ ἡ τῆς γνώμης δὲ νάρκωσις, ἀγνοία γνώμης ἐστί, διαλυομένης δηλονότι καθάπερ τῆς τῶν νεύρων οὐσίας, οὕτω καὶ τῆς τοῦ ἐγκεφάλου, κατὰ

δὲ τὸν αὐτὸν τρόπον αἱμορραγίας ἐπιφέρει ἡ τοῦ θερμοῦ χρῆσις ἄμετρος, ἐκείναις δηλονότι ταῖς διαθέσεσι τοῦ σώματος, αἳ πρὸς αἱμορραγίαν ἐπιτηδείως ἔχουσιν. ἕπονται δὲ ταῖς αἱμορραγίαις λειποθυμίαι, καὶ ταύταις ὁ θάνατος, ὥσπερ γε καὶ τοῖς ἄλλοις τοῖς προειρημένοις. ἀλλ' ἐκείνοις μὲν ἐν χρόνῳ πλείονι, τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον. αἱμορραγίαις δὲ καὶ λειποθυμίαις αὐτίκα. γέγραπται μὲν οὖν ἡ τελευτὴ τοῦ ἀφορισμοῦ διαφερόντως ἐν τοῖς ἀντιγράφοις. ἅπασαι δὲ αἱ γραφαὶ, τὴν εἰρημένην ἐνδείκνυνται διάνοιαν. ἔστι δ' αὐτῶν μία μὲν ἥδε, τούτοισι θάνατος. ἑτέρα δὲ, ταῦτα ἐφ' οἷς ὁ θάνατος. ἡ τρίτη δὲ, ταῦτα οἷσι θάνατος. ἄλλη δὲ, ταῦτα εἰς θάνατον.

Τὸ δὲ ψυχρὸν, σπασμοὺς, τετάνους, μελασμοὺς, ῥίγεα πυρετώδεα.

Τὸ ἄμετρον δηλονότι ψυχρὸν, ἐργάζεται σπασμοὺς, καὶ τετάνους, καὶ κατάψυξιν τῶν νεύρων. ὥσπερ γὰρ οὐ χρὴ λύεσθαι τὴν οὐσίαν αὐτῶν ὑπὸ τῆς ἀμέτρου θερμασίας, οὕτως οὐδὲ περαιτέρω τοῦ προσήκοντος ἀποψύχεσθαί τε καὶ συνάγεσθαι καὶ σφίγγεσθαι. καὶ μὲν δὴ καὶ μελασμοὺς ἐργάζεται τῇ ψύξει, καὶ ῥίγη πυρετοὺς ἐπικαλούμενα. κάλλιον δ' ἦν εἰρῆσθαι, ῥίγη τά τε σπασμοὺς ἐργαζόμενα, καὶ μελασμοὺς, καὶ πυρετούς. εἴρηται δ' ἐπὶ πλέον ὑπὲρ τῆς τῶν συμπτωμάτων αἰτίας ἰδίᾳ.

Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροις, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ. τὸ δὲ θερμὸν φίλιον.

Ὅσα φύσει ψυχρότερα μόρια, τοιαῦτα δ' ἐστὶν ἐν τοῖς ζώοις ἅπανθ' ὅσα τελέως ἐστὶν ἄναιμα, θᾶττόν τε καὶ μᾶλλον ὑπὸ τῆς ἀμέτρου χρήσεως τοῦ ψυχροῦ βλάπτεται. τοῖς δ' αὐτοῖς τούτοις εἰκότως, οἰκειότερόν ἐστι τὸ θερμόν.

Ὁκόσα κατέψυκται ἐκθερμαίνειν δεῖ, πλὴν ὁκόσα αἱμορραγέειν μέλλει.

Οὐκ ἀνατρέπεται πρὸς τοῦ νῦν εἰρημένου, τὸ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα ὑπάρχειν, περὶ οὗ θεωρήματος ἐπὶ πλέον εἴπομεν ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ. δεικνύντες ὡς ἕτερόν τι θεώρημα ἐστὶν ἀναγκαιότερον, ἰᾶσθαι πρότερον κελεῦον, ὅσα κατεπείγει μᾶλλον, τουτέστιν ὅσα φέρει τὸν κίνδυνον, ὥσπερ καὶ νῦν ἡ αἱμορραγία. πρὸς ἐκείνην οὖν πρότερον ἵστασθαι χρὴ, κᾄπειθ' οὕτως εἰς τὴν οἰκείαν εὐκρασίαν ἀνακομίζειν τὸ πεπονθός.

Ἕλκεσι, τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιέει, μελασμοὶ, ῥίγεα πυρετώδεα, σπασμοὺς, τετάνους.

Κυρίως μὲν ὀνομάζοντι, τὸ θερμόν ἐστι δακνῶδες. τῇ δ' ὁμοιότητι τῆς αἰσθήσεως, καὶ τὸ ψυχρὸν ὕδωρ ὀνομάζεται δακνῶδες, οὐχ ἁπλῶς τῷ δέρματι προσπῖπτον, ἀλλ' ὁπόταν ἑλκωθῇ. διεξέρχεσθαι γὰρ χρὴ τὴν τοῦ δάκνεσθαι μέλλοντος οὐσίαν, τὸ δακνῶδες αὐτῇ γινόμενον, ὅπερ ἐπὶ μὲν τοῦ κατὰ φύσιν ἔχοντος δέρματος, οὐχ οἷόν τε ποιεῖν ἐστι τὸ ψυχρὸν ὕδωρ, ἐπειδὴ πυκνότερον, ἢ κατὰ τὴν οὐσίαν αὐτοῦ τὸ δέρμα ἐστίν. ἐπὶ δὲ τῶν ἡλκωμένων ὡς ἀραιοτέρων ὑπαρχόντων, διεξέρχεσθαι δύναται διὰ τῆς οὐσίας αὐτῶν ἐγκαταβαῖνον ἐν τῷ βάθει. λέλεκται δ' ἐπὶ πλέον ὑπὲρ τῆς τῶν δακνωδῶν φύσεως, ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. τοῖς μὲν οὖν ἡλκωμένοις, δακνῶδες τὸ ψυχρὸν, τοῖς δ' ἀνελκώτοις, οὔτε δακνῶδες, καὶ σκληρὸν ἐργάζεται τὸ δέρμα τῇ πιλήσει τῆς οὐσίας αὐτοῦ, καὶ μὴν δὴ καὶ τὴν ἀνεκπύητον ὀδύνην ἐργάζεται, τῷ καταψύχειν τὸ ἔμφυτον θερμὸν, ὅπερ ἐκπυΐσκει τὰ ἕλκη, κωλύει τε διαπνεῖσθαι τὰ τὴν ὀδύνην ἐργαζόμενα. τὰ δ' ἐφεξῆς εἴρηται, καὶ πρόσθεν αὐτῷ μελασμοὶ, καὶ ῥίγη πυρετώδη, καὶ σπασμοὶ, καὶ τέτανοι.

Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις, ἐπανάκλησιν θέρμης ποιέεται, θέρμη δὲ ταῦτα ῥύεται.

Ὅσα σπανίως ὠφελεῖ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἐφεξῆς τοῖς προειρημένοις ὁ Ἱπποκράτης διεξέρχεται, καὶ πρῶτόν γε περὶ τοῦ ψυχροῦ φησιν, ὡς ἐπὶ τετάνου. δῆλον δ' ὅτι καὶ παντὸς ἄλλου σπασμοῦ κατὰ τὴν μέσην ὥραν θερινὴν, ὅταν εὔσαρκος ὁ κάμνων ᾖ καὶ νέος, ἡ τοῦ ψυχροῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιησαμένη, θεραπεύσει τὸ πάθος. ᾧ καὶ δῆλον, ὡς οὐ κατὰ τὴν ἑαυτοῦ δύναμιν ἰατικὸν τοῦ νοσήματός ἐστι τὸ ψυχρὸν, ἀλλὰ κατὰ συμβεβηκὸς, ἐπειδὴ τοῖς εὐσάρκοις νέοις ἐπανάκλησιν θέρμης ποιεῖται. ἐπ' ἄλλης γὰρ οὐκ ὠφελήσει γε ἡλικίας, διότι μηδὲ τὴν ἐπανάκλησιν ἐργάζεται. ὅπου δ' οὐδὲ ἐπὶ ταύτης ἐν ἄλλῃ τινὶ τῶν ὡρῶν, ὅτι μὴ κατὰ μέσον τοῦ θέρους. ἡ γάρ τοι τοῦ ψυχροῦ πρόσπτωσις, ἤτοι νικᾷ τὴν ἔμφυτον θερμασίαν, ἢ ἀθροίζει. νικᾷ μὲν ὅταν ἀσθενὴς ὑπάρχει, ἀθροίζει δ' ὅταν ἰσχυρὰ, τὴν διαπνοὴν αὐτῆς συνέχουσα καὶ διακωλύουσα. παραιτεῖται δὲ τοὺς ἐφ' ἕλκεσι σπασμοὺς, ὡς οὐκ ἄν ποτε τούτων ὑπὸ τοῦ ψυχροῦ θεραπευθησομένων, οὐδ' εἰ νέος εἴη ὁ κάμνων, καὶ φύσει θερμὸς, καὶ κατὰ τὴν θερινὴν ὥραν καὶ χώραν. ἐπειδὴ, καθὰ προείρηκεν αὐτὸς, ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, ὀδύνην ἀνεκπύητον ποιέει. γινομένων οὖν ἐφ' ἕλκεσι διὰ τὴν τῶν νευρωδῶν σωμάτων φλεγμονὴν, ἐναντιώτατον ἔσται τὸ ψυχρὸν, οὔτε τὸ ἕλκος αὐτὸ παρηγοροῦν, οὔτε τὴν τῶν νευρωδῶν σωμάτων φλεγμονὴν διαλῦον.

Τὸ θερμὸν ἐκπυητικὸν οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφαλείην. δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν. τὴν δ' ἐν τῇ κεφαλῇ καρηβαρίην λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατάγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι. τουτέων δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι. καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισιν, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστει, τουτέοισι τὸ θερμὸν φίλιον καὶ κρῖνον. τὸ δὲ ψυχρὸν, πολέμιον καὶ κτεῖνον.

Ὥσπερ

Ὥσπερ τὸ ψυχρὸν, σπασμῶν καὶ τετάνων ὑπάρχει ποιητικὸν, ὅμως θεραπεύει σπανίως ποτὲ τέτανον, οὕτω καὶ τὸ θερμὸν ἐκπυητικὸν ὂν ὅσον ἐφ᾽ ἑαυτῷ, γίγνεταί ποτ᾽ ἀνεκπύητον. ἐπὶ γοῦν τῶν σηπεδονωδῶν ἑλκῶν καὶ ἁπλῶς ἁπάντων τῶν ῥευματικῶν, οὐκ ἐκπυΐσκει τὸ θερμὸν, ἀλλὰ καὶ βλάπτει μεγάλως αὐτὰ, καὶ συμβαίνει ἐν τούτοις ἄμφω, τότε βλάπτειν ἕλκη, καὶ τὸ μὴ ἐκπυΐσκειν. ὥσπερ οὖν καὶ κατὰ τοὐναντίον, τότ᾽ ὠφελοῦν, καὶ τὸ ἐκπυΐσκον. μέγιστον γὰρ ἐστὶ σημεῖον πρὸς ἀσφάλειαν ἕλκει, τό, τε πῦον καὶ τὸ τούτου ποιητικὸν φάρμακον. οὐδὲν γὰρ δύναται γενέσθαι κακὸν ἐφ᾽ ἕλκει πῦον γεννῶντι. τὰ γοῦν σπασμὸν ἐπιφέροντα, πάντως ἀνεκπύητά ἐστι. ὁμοίως δὲ καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν, ὅσα τε τῶν περιεξ χωρίων ἀνάβρωσιν ἔχει. καὶ τὰ δυσεπούλωτα δὲ πάντ᾽ ἐστὶ ἀνεκπύητα, καὶ ὅσα τῶν κακοήθων ἑλκῶν ἰδίοις ὀνόμασι κατ᾽ ἐξοχήν τινα κέκληται, καρκινώδη, χειρώνεια, τηλέφεια. φαγεδαινικὰ πάντ᾽ ἐστὶ καὶ ταῦτ᾽ ἀνεκπύητα. μέγιστον οὖν σημεῖον εἰς ἀσφάλειαν ἕλκει τὸ πῦον ἐστὶ, καὶ τοῦτο γε τεκμαίρου ἐπὶ τῆς τοῦ θερμοῦ χρήσεως. ἐφ᾽ ὧν γὰρ οὐχ ἁρμόττει, θεάσῃ ταῦτ᾽ ἀνεκπύητα μένοντα πρὸς τοῦ θερμοῦ. τὰ δ᾽ ἐφεξῆς ἔργα τοῦ θερμοῦ φαινόμενα συνεχῶς καταλέγει. καὶ γὰρ μαλάττει τὸ ἐσκληρυμμένον δέρμα, καὶ ἰσχναίνει τὸ πεπαχυσμένον, ἀνώδυνόν τ᾽ ἐστὶ, καὶ σπασμῶν καὶ τετάνων παρηγορικὸν, οὐχ ὥσπερ τὸ ψυχρὸν, ὀδύνην ἀνεκπύητον ἐργάζεται, ὑπὸ τῆς φύσεως ἡμῶν ἀλλότριον ὑπάρχειν, ἥ τις ἐστὶ τὸ ἔμφυτον θερμὸν, ἥν τινα συναύξει ὅταν γε μετρίως ὁμιλῇ. τὸ δ᾽ ἔξωθεν θερμὸν, ἐργάζεται πάνθ᾽ ὅσα λέλεκται. τὰ μὲν οὖν πλεῖστον τε καὶ ἀλλοιοῦν, ἐπὶ τὸ βέλτιον. ἔνια δὲ τῶν διαφορῶν καὶ ἀγνοοῦν τὰ λυποῦντα ἐκθεραπεύον. εἰ δὲ καὶ μὴ τελέως ἐκθεραπεύσειεν, ἀλλὰ τὰς γ᾽ ὀδύνας πραΰνει. ἐπὶ δὲ τῶν ἐν τῇ κεφαλῇ διαθέσεων, αὐτά τε ταῦτα δρᾷ, καὶ τὰς καλουμένας καρηβαρείας, αἳ τινές εἰσι βαρύτητες τῆς κεφαλῆς ἰᾶται, συμπέττον καὶ διαφοροῦν τὰ λυποῦντα. καὶ μὲν δὴ καὶ τοῖς τῶν ὀστῶν κατάγμασιν ὠφελιμώτατόν ἐστι, καὶ μᾶλλον τοῖς ἐψιλωμένοις, ὅπερ ἐστὶ γεγυμνωμένοις τῆς σαρκός. ἔτι δὲ μᾶλλον, ὅσα κατὰ τὴν κεφαλὴν γίγνεται. βλαβερώτατον γάρ ἐστι καὶ τούτοις τὸ ψυχρὸν, ὡς ἂν μὴ μόνον τοῖς ὀστοῖς, ἀλλὰ καὶ αὐτῷ τῷ ἐγκεφάλῳ πολέμιον ὑπάρχειν. καὶ μὲν δὴ καὶ ὅσα μόρια διὰ τὸ κατεψύχθαι νεκροῦται, καὶ τούτων ἴαμα ἐστὶ τὸ θερμόν. οὕτω δὲ καὶ ὅσα διὰ τὴν ψύξιν ἑλκοῦται, καθάπερ ἐν χειμῶνι πτέρναι, καὶ δάκτυλοι. καὶ ὅλως τὰ ἄκρα, καὶ τούτων ἴαμα ἐστὶ τὸ θερμόν. οὕτω δὲ καὶ τῶν ἑρπήτων τοῖς ἀναβιβρωσκομένοις, καὶ τοῖς ὑπὸ χολώδους καὶ θερμοῦ χυμοῦ γιγνομένοις. ἀλλὰ διὰ τὴν ἕλκωσιν, ἐναντίον αὐτοῖς τὸ ψυχρὸν, ὡς δακνῶδες ἑλκῶν ὑπάρχον. οὕτω δὲ καὶ ταῖς περὶ τὴν ἕδραν ἁπάσαις διαθέσεσιν, οἰκεῖον μὲν τὸ θερμὸν, ἐναντιώτατον δὲ τὸ ψυχρὸν, ὅτι τε νευρώδης ἡ ἕδρα. πολέμιον δὲ τοῖς νεύροις τὸ ψυχρὸν, καὶ ὅτι κατὰ τὴν κοινωνίαν ἥ τε ψύξις ἐπαναβαίνει ῥᾳδίως ἐκ τῆς ἕδρας, εἰς τὰ κατὰ τὴν κοιλίαν, ἥ τε θερμασία, κατὰ τὸν αὐτὸν τρόπον. οὕτω δὲ καὶ ὑστέρα καὶ κύστει, τὸ μὲν θερμὸν φίλον καὶ κεῖνον, τὸ δὲ ψυχρὸν, πολέμιον καὶ κτεῖνον. αὐτά τε γάρ ἐστι νευρώδη, καὶ μεταδίδωσι τοῖς ὑποβεβλημένοις ῥᾳδίως τῆς ψύξεως. ὅτι δὲ ἅπασι τοῖς εἰρημένοις, κατὰ τὸν ἀφορισμὸν ἐπιπεφώνηκε κοινῇ τούτοισι τὸ θερμὸν, φίλον καὶ κρῖνον. τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον, εὔδηλον ἐστὶ κἂν ἐγὼ μὴ λέγω.

Ἐν τουτέοισι δὲ δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμοῤῥαγέειν μέλλει, μὴ ἐπ᾽ αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥεῖ. καὶ ὁκόσαι φλεγμοναὶ ἢ ἐπιφλογίσματα ἐν τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι. ἐπεὶ τά γε παλαιὰ μελαίνει, καὶ ἐρυσιπέλας τὸ μὴ ἑλκούμενον, ἐπεὶ τό γε ἑλκούμενον βλάπτει.

Τὰς ἐκ τοῦ ψυχροῦ γιγνομένας ὠφελείας τε καὶ βλάβας, ἐν τῷδε διεξέρχεται, πρῶτον μὲν λέγων. ἐπὶ τῶν αἱμοῤῥαγούντων, ἢ μελλόντων, χρήσιμον ὑπάρχειν αὐτὸ, μὴ τοῖς αἱμοῤῥαγοῦσι μορίοις αὐτὸ προσαγόμενον. ἕλκεσι γὰρ τὸ ψυχρὸν δακνῶδες, ἀλλὰ τοῖς πέριξ αὐτῶν, καὶ μάλιστα ἐκείνοις, ὅθεν ἐπιῤῥεῖ τι τοῖς ἕλκεσι. καὶ μὲν δὴ καὶ τὰς φλεγμονὰς ἁπάσας, ὅσα τε ὡς αὐτὸς ὠνόμασεν ἐπιφλογίσματα, τουτέστιν ὥσπερ ὑπὸ φλογὸς ἐπικεκαυμένα διὰ τὴν θερμασίαν τῶν ἐργασαμένων αὐτὰ χυμῶν. καὶ γὰρ καὶ ταῦτα χαίρει τῷ ψυχρῷ. φαίνεται δέ σοι θεωμένῳ ταῦτα πάντα κατὰ τὴν χρόαν, ἐρυθρὰ καὶ ὕφαιμα, νεαρῷ δηλονότι καὶ οὐ παλαιῷ τῷ αἵματι. τὸ γὰρ ἐξανθὲς, οὐκ ἔχει τὸ παλαιὸν αἷμα. διὸ καὶ προσαγομένου τοῦ ψυχροῦ, τῷ τοιούτῳ πελιδνοῦσθαί τε καὶ μελαίνεσθαι συμβαίνει τὰ πεπονθότα μόρια. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐρυσίπελας ὠφελεῖται πρὸς τοῦ ψυχροῦ, τὸ χωρὶς ἕλκους. ὡς τοῖς γε ἑλκουμένοις, δακνῶδες τε καὶ ὀδυνῶδες ἐστὶ τὸ ψυχρὸν, καὶ ταύτῃ βλάπτει τῶν ὀδυνωμένων μερῶν ἀεὶ ῥεῦμα κινούντων ἐφ᾽ ἑαυτά.

Τὰ ψυχρὰ οἷον χιὼν, καὶ κρύσταλλος, στήθει πολέμια, βηχέων κινητικὰ, καὶ αἱμοῤῥαγικὰ καὶ καταῤῥοϊκά.

Μέχρι μὲν τοῦδε τοῦ λόγου, ὑπὲρ ὕδατος ἐποιήσατο θερμοῦ καὶ ψυχροῦ, νυνὶ δὲ καὶ περὶ χιόνος, καὶ κρυστάλλου διῆλθεν, ἐνδεικνύμενος ὡς τὰς βλάβας, μείζονας εἰς τοσοῦτον τῶν κατὰ τὸ ψυχρὸν ὕδωρ ἐργάζεσθαι πέφυκεν, εἰς ὅσον ἐκείνου ψυχρότερά ἐστι, καὶ τοῖς περὶ θώρακα χωρίοις πολεμιώτατα ὑπάρχει, βῆχάς τε κινοῦντα, καὶ ῥήξεις ἀγγείων ἐργαζόμενα, πολλάκις αἱμοῤῥαγικὰ γίγνεται. καὶ μέντοι καὶ τοῖς ἀπὸ κεφαλῆς καταῤῥόοις ἀδικοῦντα, θώρακά τε καὶ πνεύμονα. καὶ γὰρ καὶ τούτους ἐργάζεται χιὼν καὶ κρύσταλλος, καὶ τὰ ψύχοντα τὸν ἐγκέφαλον.

Τὰ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα ἄτερ ἕλκεος καὶ ποδαγρικὰ καὶ σπάσματα, τούτων τὰ πλεῖστα ψυχρὸν πολλὸν καταχεόμενον, ῥηΐζει τε καὶ ὀδύνην λύει. νάρκη δὲ μετρίη, ὀδύνης λυτική.

Ὅτι μὲν τὰ πλεῖστα τῶν τοιούτων, ὀνίνησι τὸ ψυχρὸν ἐδήλωσε. τίνα δέ ποτ᾽ ἐστὶ ταῦτα παρέλιπεν εἰπεῖν, ὡς ἐξ ὧν προείρηκεν, οὐ χαλεπὸν ἐξευρεῖν. ὁκόσαι γάρ φησι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα, εἰς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέ-

ποντα νεκρῷ αἵματι, ταῦθ' ὑπὸ τῆς ψυχροῦ θεραπεύεσθαι, τὴν ἐπιῤῥοὴν ἀναστέλλοντος δηλονότι, καὶ ταύτῃ κενοῦντος τὰ σώματα. διὸ καὶ τὴν ὀδύνην ἐν τοῖς τοιούτοις λύει, καὶ τὴν αἰτίαν αὐτῆς ἐκκόπτει. καὶ ἡ ψύξις δὲ τῶν μορίων ἐπὶ πλέον νάρκην φέρει μετρίαν, ἥ τις καὶ αὐτὴ λύει τὴν ὀδύνην, ἀμβλύνουσα τὴν αἴσθησιν.

Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, κουφότατον.

Οὐ τῷ σταθμῷ κουφότατον εἶναι τὸ τοιοῦτον λεκτέον. οὐδὲ γὰρ αὖ οὕτω μέγα διδάσκει περὶ τοῦ καὶ διὰ περιόδου τινὸς ἐξευρίσκειν, ὃ ῥᾳδίως ἦν ἐξ ἀρχῆς ἐξευρεῖν. εἴπερ δὲ βούλεται τὸ τῷ σταθμῷ κουφότατον ὕδωρ διαγνῶναι, πρόχειρον ἐπὶ τὸ τῶν ἱσταμένων ἴδιον ἄγειν κριτήριον διὰ ζυγοῦ καὶ σταθμοῦ ποιουμένῳ αὐτῶν τὴν ἐξέτασιν. ἀλλὰ κουφότερον εἶπε νῦν, τὸ μὴ βαρῦνον τὴν γαστέρα, καὶ διεξερχόμενον ταχέως. ὥσπερ καὶ βαρὺ λέγομεν τὸ ἐναντίον αὐτῷ, τὸ μὴ διεξερχόμενον ταχέως. εὔδηλον δὲ ὡς οὐ μόνον τοῦτο κριτήριον ὕδατός ἐστιν ἀρετῆς, ἀλλ' ὡς τῶν μὲν ἄλλων εὐπορωτάτων ὑπαρχόντων, καὶ πᾶσι γινωσκομένων. τούτου δ' ἔχοντός τι τεχνικόν, οὕτως ἐπὶ τὴν γραφὴν αὐτοῦ ἥκειν τὸν Ἱπποκράτην. τίνα δὲ τἄλλα ἐστί; πρῶτον μὲν εἰ μὴ θολερὸν, μήτ' ἰλυῶδες. εἶθ' ἑξῆς, εἰ μήτι κατὰ τὴν ὀσμὴν, μήτε κατὰ τὴν γεῦσιν ἐμφαίνει τινὸς ἀλλοκότου ποιότητος. εἶθ' οὕτως ὃ νῦν εἶπεν Ἱπποκράτης, εἰ θερμαίνεται καὶ ψύχεται ταχέως. δῆλον γὰρ, ὡς εὐαλλοίωτόν ἐστι τὸ τοιοῦτον. ἀρετὴ δ' ὥσπερ σίτου, τὸ εὐαλλοίωτον, οὕτω καὶ τοῦ ὕδατος. εἴ γε δὴ ῥᾷστα μεταβάλλεσθαι βουλόμεθα πᾶν τὸ μέλλον πεφθήσεσθαι, καλῶς ὑπὸ τῶν πεπτικῶν ὀργάνων. ὅσοι δὲ τῇ τῶν πινόντων διαθέσει μὴ κρίνουσι τὸ ἄριστον ὕδωρ, ἀσφαλέστατα μὲν χρῶνται τεκμηρίῳ. μόνον δ' εἴπερ αὐτὸ παραλαμβάνουσιν, οὐκ ὀρθῶς ποιοῦσι. χρὴ γὰρ αὐτὸ πρότερον προκεκρίσθαι τοῖς εἰρημένοις σημείοις, πρὶν ὅλως τις ἐπὶ τὴν τοιαύτην ἀφίκηται πεῖραν.

Ὁκόσοισι δὲ πίνειν ὄρεξις νύκτωρ, τοῖσι πάνυ διψώδεσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

Οὔτ' εἰ δοτέον, οὔτ' εἰ μὴ δοτέον ἐστὶ τὸ ποτὸν, ἐπὶ τῶν ἐν νυκτὶ πάνυ διψησάντων ἐδήλωσεν, ἀλλὰ μόνον ὅτι συμφέρει τούτοις ἐπικοιμηθῆναι. πεφθήσεται γὰρ δηλονότι καὶ ὑποκαταβήσεται κατὰ τὸν ὕπνον, ὅτι περ ἂν ᾖ τὸ τῆς δίψης αἴτιον. οὐ μὴν οὐδ' ἄδηλόν ἐστιν, ὡς τοῖς πάνυ διψῶσι δοτέον ἐστὶ τὸ ποτόν. εἴτ' ἐξ οἴνου πόσεως ἀκρατεστέρου τοῦτ' αὐτοῖς εἴη γεγενημένον, εἴτ' ἐξ ἐνδείας ποτοῦ. τό, τε γὰρ τὴν ἔνδειαν ἰᾶσθαι προσφορᾷ, τότε τὴν ἐξ οἴνου θερμασίαν ὕδατι σβεννύναι, τῶν ὑγιεινῶν ἐστι θεωρημάτων. εἰ μέντοι μετρίως εἶεν διψώδεις, οὐ πάντως ἐστὶ δοτέον αὐτοῖς τὸ ποτόν. ἀλλ' ἐπισκεπτέον, εἴτ' ἐνδείᾳ πάσχουσιν ὑγρότητος τὸ τοιοῦτον, εἴτε διὰ οἴνου πλείονα πόσιν. ἐγχωρεῖ γὰρ τούτους κοιμηθέντας, ὠφεληθῆναι.

Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη. πολλαχοῦ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρείας ἐνεποίει.

Γυναικείων εἴρηκε τῶν ἐκκενουμένων δηλονότι διὰ μήτρας ταῖς γυναιξὶ, κατά τε τὰς ἐμμήνους καθάρσεις καὶ μετὰ τοὺς τόκους. εὔδηλον δ' ὡς κἀνταῦθα τὰς μὲν ἤτοι διὰ φλεγμονὴν τῆς μήτρας, ἢ διαστροφὴν, ἤ τι τοιοῦτον μὴ καθαιρομένας καλῶς, ἰασόμεθα τὸ πάθος ἐκθεραπεύοντες, οὗ σύμπτωμα ἐστιν ἡ τῶν γυναικείων ἐπίσχεσις. τὰς δ' αὐτοῦ τοῦ τοιούτου παθήματος ἐνδεῶς καθαιρομένας, ταῖς νῦν ὑπ' αὐτοῦ διδασκομέναις πυρίαις ἰᾶται. ἐπὶ τούτων γὰρ ἤτοι πάχος αἵματος αἴτιόν ἐστι τῆς ἐπισχέσεως, ἢ ἔμφραξις, τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων, ἢ μύσις τῶν αὐτῶν τούτων, ἢ πύκνωσις ὅλης τῆς οὐσίας αὐτῆς. ὅτι δ' ἂν ᾖ τῶν εἰρημένων, ἡ διὰ τῶν ἀρωμάτων πυρία θεραπεύει τὴν διάθεσιν, ἀναστομοῦν μὲν δυναμένη τὰ μεμυκότα πέρατα τῶν ἀγγείων, λεπτύνειν δὲ τὸ πάχος τῶν χυμῶν. τὰς δ' ἐμφράξεις τῷ τέμνειν ἐκφράττουσα. πολλαχοῦ δὲ καὶ εἰς ἄλλα φησὶν ἦν ἂν χρήσιμος, εἰ μὴ καρηβαρείας ἐνεποίει. τὸ γὰρ ὅλον σῶμα πυριᾶσθαι διὰ τῆς μήτρας, ἠδυνάμεθα συνεχῶς ἐν ἁπάσαις ταῖς ψυχραῖς καὶ ὑγραῖς διαθέσεσιν, εἰ μὴ τὴν ἀπὸ πυρίας ἐφοβούμεθα κεφαλαλγίαν, καὶ μάλιστα ἐν τοῖς πυρετοῖς. ὅτι γὰρ κεφαλαλγῆ σχεδὸν ἅπαντα ἐστὶ τὰ ἀρώματα, δηλοῖ μὲν ἡ πεῖρα, διδάσκει δὲ καὶ ὁ λόγος. ὅσα γὰρ ἱκανῶς θερμαίνει κεφαλαλγῆ πάντ' ἐστὶν, ὡς ἂν ἄνω φύσει φερομένου τοῦ θερμοῦ. θερμὴ δὲ ἱκανῶς ἐστιν ἁπάντων τῶν ἀρωμάτων ἡ φύσις, καὶ μάλιστα κασσίας, καὶ κόστου, καὶ κινναμώμου, καὶ ἀμώμου.

Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν ἧσσον. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

Οὗτος ὁ ἀφορισμὸς εἴρηται καὶ πρόσθεν ἐν τοῖς περὶ φαρμακείας λόγοις, ἀλλὰ καὶ νῦν ἐν τοῖς περὶ τῶν γυναικείων, κατά γε τὰ πλεῖστα τῶν ἀντιγράφων εὑρίσκεται. τινὲς δ' ἐξαιροῦσιν αὐτὸν ὅπως μηδεὶς ᾖ γεγραμμένος, ἐξηγήσεως δὲ οὐ δεῖται νεωτέρας ἡμῖν ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι θανατῶδες.

Εἰκότως, ἐάν τε γὰρ πυρετῶδες ᾖ τὸ νόσημα, συνεχεῖς ἀνάγκη τοὺς πυρετοὺς ἔχειν αὐτό. τοιοῦτο γάρ ἐστι τὸ ὀξὺ καὶ κίνδυνος ἐν τῷδε διττὸς, εἷς μὲν αὐτοῦ τοῦ πυρετοῦ ἀναιροῦντος τὸ ἔμβρυον. ἕτερος δ' ὅτι διὰ μακροῦ μὴ τρέφοντες, ἐνδείᾳ τροφῆς ἀναιροῦμεν τὸ ἔμβρυον. εἰ δ' ἵνα τοῦτο διασώσωμεν, ἀφειδήσομεν τοῦ συνεχῶς τρέφειν, αὐξήσαντες τῇ τῶν τροφῶν ἀκαιρίᾳ τοὺς συνεχεῖς πυρετοὺς, ἀποκτενοῦμεν τὴν κύουσαν. οὕτω δὲ κἂν χωρὶς πυρετοῦ τῶν ἄλλων τι γένηται νοσημάτων ὀξέων, οἷον ἐπιληψία, ἢ ἀποπληξία, ἢ σπασμὸς, ἢ τέτανος, ἅμα τῷ μεγέθει, καὶ τῇ συντονίᾳ τοῦ νοσήματος, ἀδύνατον ἐξαρκέσαι τὴν κάμνουσαν.

Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

ἐνδείᾳ τροφῆς φθείρεται τὸ ἔμβρυον, οὐ μόνον ἐκ τῆς φλεβοτομίας, ἀλλὰ κἂν ταῖς μακροτέραις ἀσιτίαις, ὡς δείξομεν δὲ περὶ μικρὸν ὕστερον, καὶ δι' ἄλλων ἀφορισμῶν. εἰκότως οὖν τὸ ἔμβρυον τὸ μεῖζον μᾶλλον φθείρεται, φλεβοτομηθείσης τῆς γυναικὸς, διὰ τὸ πλείονος δεῖσθαι τροφῆς.

Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων, λύσις.

Εἰκότως, ἀντίσπασίς τε γὰρ ἅμα καὶ κένωσις ἔσται τῆς τὴν ὁρμὴν εἰληφότος αἵματος ἄνω. τοῦτο μὲν οὖν καὶ ἡ πεῖρα διδάσκει συμφερόντως γιγνόμενον. ἐξ αὐτῆς δ' ὁρμηθέντες καὶ ἡμεῖς, μιμησώμεθα τὰ καλῶς ὑπὸ τῆς φύσεως ἐπιτελούμενα, καὶ διὰ φλεβοτομίας κενώσωμεν τὰς οὕτω πασχούσας.

Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

Ὅτι μὲν οὖν ἀναγκαῖόν ἐστι τὸ καλῶς ἐφ' ἑκάστῳ μηνὶ κενούμενον αἷμα, ἐπειδὰν κατά τινα διάθεσιν ἐπισχεθῇ, βλάπτει τὴν γυναῖκα, καὶ ὅτι δι' ἑτέρου χωρίου κενουμένου, ἰᾶσθαι τῆς βλάβης τὸ πᾶν σῶμα, πρόδηλον παντί. πολλῶν δ' ὄντων χωρίων δι' ὧν ἐκκενοῦσθαι δύναται, τοῖς μὲν ἄλλοις ἅπασι πρόσεστί τις μείζων ἢ ἐλάττων βλάβη, μόνη δ' ἡ διὰ τῶν ῥινῶν κένωσις ἄλυπός ἐστιν, ἣν ἐπαινεῖ νῦν ὁ Ἱπποκράτης. οὐ μὴν οὐδ' εἴ τις ἄλλη κένωσις ἄλυπος εὑρίσκοιτο, τούτου χάριν ὁ ἀφορισμὸς ψευδής ἐστιν. οὐ γὰρ ὅτι μόνη κένωσις ἡ διὰ τῶν ῥινῶν ἀγαθὴ, τῶν καταμηνίων ἐκλειπόντων εἴρηκεν, ἀλλ' ἁπλῶς ἐπῄνεσεν αὐτὴν, μὴ προσθεὶς ὅτι μόνη. κἂν τὴν δι' ἕδρας οὖν τις ἀγαθὴν εἶναι λέγῃ, ταῖς οὕτως ἐχούσαις γυναιξὶν, οὐ μάχεται τῷ ἀφορισμῷ. φαίνεται γὰρ ἐνίοτε δι' ἑνὸς ὡς παραδείγματος ὁ Ἱπποκράτης ἀποφαινόμενος ὑπὲρ τῶν ὁμοίων ἁπάντων.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη ῥυῇ πολλάκις, κίνδυνος ἐκτρῶσαι.

Τῷ λόγῳ τῆς κενώσεως καὶ νῦν ὁ Ἱπποκράτης κίνδυνος φησὶν ἐκτρῶσαι, καθότι καὶ πρόσθεν ἐπὶ τῆς φλεβοτομίας ἐδείκνυμεν.

Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγενόμενος ἀγαθόν.

Ἀσαφές ἐστι τὸ τὸν κατὰ ἀφορισμὸν ὄνομα τὸ ὑστερικῶν. ἔνιοι μὲν γὰρ ἀκούουσιν ἐπὶ πασῶν κατὰ τὰς ὑστέρας διαθέσεων, ἔνιοι δὲ ἐπὶ μόνων ἐκείνων αἷς ἕπεται πάθος, ὃ προσαγορεύουσιν ὑστερικὴν πνίγα, καί τοί γε οὐ πνίγα κατ' ἀλήθειαν οὖσαν, ἀλλ' ἄπνοιαν. ἔνιοι δ' ἐπὶ τῶν χωρίων ἀκούουσιν, ἐπειδὴ καὶ ταῦτα ὑστέρα καλοῦσιν. ἀλλ' οὗτοι μὲν ἄντικρυς ἁμαρτάνουσιν, εἰ καὶ ὅτι μάλιστα δοκοῦσιν ἀληθεύειν ἐν τῷ καταῤῥήγνυσθαι τὰ ἐν τῇ μήτρᾳ κατεχόμενα χωρία πρὸς τῶν πταρμῶν. ἄλλος τε γὰρ ὑπὲρ τούτων ἀφορισμὸς αὐτῷ γέγραπται, καὶ διαφορὰ πάμπολυ, καὶ κατὰ τοὔνομα τὰ ὕστερα τῶν ὑστερικῶν. ψευδὸς γεμὴν ἐστὶ, καὶ τὸ περὶ πάντων τῶν κατὰ τὰς ὑστέρας παθῶν εἰρῆσθαι τὸν λόγον. οὔτε γὰρ ἑλκώσεις, οὔτε φλεγμονὰς, οὔτ' ἐρυσιπέλατα, καθάπερ οὐδ' ἀποστήματα πταρμὸς ὀνίνησιν. ἀληθὲς δὲ τὸ καὶ ἐπὶ ὑστερικὰς ἀπνοίας ἐπιγινομένου πταρμοῦ, ῥᾳστωνεῖν τὰς καμνούσας. οὐ μόνον ὅτι σημεῖον ἀγαθόν ἐστιν αὐτομάτως ἐπιγνόμενος ὁ πταρμὸς ταῖς οὕτως ἐχούσαις, ἀλλὰ καὶ αἴτιον ὥσπερ τι βοήθημα τοῦ πάθους γινόμενος. σημεῖον μὲν οὖν ἀγαθόν ἐστι, διότι δηλοῖ τὴν φύσιν ἔμπροσθεν νεναρκωμένην, ἐπεγείρεσθαί τε καὶ ἀναζωπυρεῖσθαι, καὶ τῶν οἰκείων κινήσεων ἀναμιμνήσκεσθαι, ὁπότε γε καὶ ἀποτίθεται τινὰ τῶν περιττωμάτων. ἐδείχθη γὰρ ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις ὁ πταρμὸς οὕτω γινόμενος. αἴτιον δὲ τῆς ὠφελείας, ὅτι τῷ σφοδροτέρῳ κλόνῳ καὶ βρασμῷ, τοῦτο μὲν ἐπεγείρει τὴν φύσιν, τοῦτο δ' ἐκκρίνει τὰ δυσεκκρίτως ἐμπεπτωκότα τοῖς μορίοις τοῦ σώματος. οὕτω γὰρ καὶ τὴν λύγγα πέφυκεν ἰᾶσθαι.

Γυναικὶ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθαρσίου δεῖσθαι σημαίνει.

Πολλὰ τῶν ἀντιγράφων βιβλία ἐστὶν εὑρεῖν οὕτως ἔχοντα τὴν λέξιν. γυναικὶ καταμήνια χρόνια, καὶ μὴ κατὰ τὰ αὐτὰ ἰόντα. δύναται μὲν οὖν καὶ τὰ χρόνια καταμήνια, τουτέστιν ὅσα τῆς εἰθισμένης ὑστερίζει περιόδου, καθάρσεως δεῖσθαι χυμοῦ φλεγματικοῦ, διὸ καὶ δύσχροα γίγνεται. οὐ μὴν ἐξ ἀνάγκης γε ταύτης μόνης. καὶ γὰρ δὴ καὶ διὰ τῆς λεπτυνούσης διαίτης, ἐνίοτε τὰς τοιαύτας διαθέσεις πολλάκις ἰασώμεθα. γέγραπται δὲ περὶ τῆς διαίτης ταύτης ἐν ἰδίῳ βιβλίον. ἅμα δ' αὐτῇ καὶ ἡ τῶν ἀρωμάτων πυρία, καὶ οἱ τὴν αὐτὴν ἐκείνην δύναμιν ἔχοντες πεσσοὶ πρόσθετοι, καὶ τὰ πινόμενα φάρμακα τμητικά τε καὶ λεπτυντικὰ πάχους τῶν χυμῶν, ὁποῖόν ἐστι, καὶ τὸ διὰ τῆς καλαμίνθης, ᾧ συνήθως ἑκάστοτε χρώμεθα, ὃ καὶ τὰς ἐμμήνους καθάρσεις βραδυνούσας ἐκίνησε πολλάκις. ὁ γάρ τοι σκοπὸς τῆς ἰάσεως αὐτῶν ἐστιν ἀναστομῶσαι μὲν τὰ στόματα τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων, λεπτῦναί τε τὸ αἷμα, καὶ μὴν δὴ καὶ ἡ τοῦ παντὸς σώματος κάθαρσις, ὡς εἶπον, ὅτε δὴ τῶν παχέων γένηται χυμῶν, ἰᾶται τὰς τοιαύτας διαθέσεις. εἰ δ' ἄχροα γεγραμμένον εἴη, πολὺ δὴ μᾶλλον ἡ κάθαρσις ἰάσεται τὰς οὕτως ἐχούσας. οὐδὲ γὰρ διὰ τὸν φλεγματικὸν μόνον χυμὸν, ἀλλὰ καὶ τὸν μελαγχολικὸν, καὶ τὸ πικρόχολον, ἄχροα γίνεται τὰ καταμήνια. πῶς μὲν οὖν χρὴ διαγινώσκειν τὸν πλεονάζοντα χυμὸν, ἐν τῷ προτέρῳ τῶν γυναικείων αὐτὸς ἐδίδαξεν, νῦν δ' ὅτι διὰ καθάρσεως ἐστὶ κενωτέον, αὐτὸ ἐδήλωσεν. τὸ δὲ μὴ κατὰ τὰ αὐτὰ ἰόντα, τῇδε τῇ γραφῇ συμφωνεῖ μᾶλλον, ἵν' ὁ σύμπας λόγος ᾖ τοιοῦτος. ἐὰν ἄχροα γένηται τὰ καταμήνια, καὶ μὴ κατὰ τὰ αὐτὰ ἰόντα, τοῖς δι' ἔθος ἔμπροσθεν γινομένοις τῇ γυναικὶ, καθάρσεως δεῖται. συμβαίνει γὰρ ἐπὶ τῶν κακοχύμων γυναικῶν, οὐ μόνον ἀχρουστέρας φαίνεσθαι τὰς ἐμμήνους καθάρσεις, ἀλλὰ καὶ τὸν χρόνον τῆς περιόδου διαφθείρειν. εἰ μὲν παχύτεροί τε καὶ δυσρουστέροι τῶν κατὰ φύσιν εἶεν οἱ χυμοὶ γεγονότες, ἐπιβραδυνόντων καὶ χρονιζόντων, φθάνονται δὲ τὴν συνήθη προθεσμίαν ἐπὶ τοῖς ἐναντίοις, ὑγροτέροις τε καὶ λεπτοτέροις δηλονότι.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν οἱ μαστοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἐξ ἐκείνων ἐστὶν, οὓς ἔφαμεν ἔνδειαν τῆς τροφῆς σημαίνειν τῷ ἐμβρύῳ. κοιναὶ γάρ τινες εἰσὶ φλέβες ὑστερῶν τε καὶ τιτθῶν, αἵ τινες ὅταν ἐνδεῶς ἔχωσιν αἵματος, ἰσχνοὺς μὲν τοὺς τιτθοὺς ἀποφαίνουσι. τῇ δὲ

ἀτροφίᾳ, ποτὲ μὲν ἀναιροῦσι τὸ ἔμβρυον. ἔστι δ᾽ ὅτε πρὸς ἔκκρισιν ἐξορμῶσι διὰ τὴν αἰτίαν, ἣν αὐτὸς ἐν τῷ περὶ
» φύσεως παιδίου γράφει κατὰ τήνδε τὴν ῥῆσιν. ἡ τροφὴ καὶ ἡ αὔξησις τὰ ἀπὸ τῆς μήτρας κατιόντα οὐκέτι αὐτάρκη
» τῷ παιδίῳ ἐστίν, ὅταν οἱ δέκα μῆνες προέλθωσι, καὶ τὸ ἔμβρυον αὐξηθῇ. ἕλκει γὰρ ἀπὸ τοῦ αἵματος εἰς ἑαυτὸ γλυκύ-
» τατον. ἅμα δὲ καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον. ὅταν δὲ αὐτῷ ταῦτα σπανιώτερα γένηται, καὶ ἁδρὸν ᾖ τὸ παι-
» δίον, ζητοῦν τε πλέον τῆς ὑπαρχούσης τροφῆς, ἀσκαρίζει, καὶ τοὺς ὑμένας ῥηγνύον, ἀρχὴν ἀποκυήσεως παρέχει τῇ μητρί.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος μαστὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει, καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν, ἢν δ᾽ ὁ ἀριστερὸς, τὸ θῆλυ.

Ὅπερ ὁ προγεγραμμένος ἀφορισμὸς ἐπ᾽ ἀμφοτέρων ἔλεγε τῶν τιτθῶν, τοῦτ᾽ οὗτος ἐπὶ θατέρου. διὰ δὲ τὴν προειρημένην αἰτίαν τῇ κοινωνίᾳ τῶν φλεβῶν τὸ κατ᾽ εὐθὺ τοῦ μειωθέντος τιτθοῦ μόνον ἔμβρυον, ἐκτιτρώσκεται. τὸ δ᾽ ὅτι διδύμων ὄντων, ἄρρενός τε καὶ θήλεος, ἐὰν μὲν ὁ δεξιὸς τιτθὸς ἰσχνὸς γένηται, τὸ ἄρρεν μόνον, ἐὰν δ᾽ ὁ ἀριστερὸς, τὸ θῆλυ διαφθείρεται, ἐξ ἐκείνης ἤρτηται τῆς δόξης αὐτοῦ, ἔμβρυα τὰ μὲν, ἄρρενα ἐν τοῖς δεξιοῖς, τὰ δὲ θήλεα, ἐν τοῖς ἀριστεροῖς μᾶλλον.

Γυνὴ μὴ κύουσα μηδὲ τετοκυῖα γάλα ἔχει, τὰ καταμήνια αὐτῆς ἐκλέλοιπε.

Μακρότερος ὁ λόγος καὶ δεῖται τοῦ μέλλοντος αὐτῷ παρακολουθήσειν, ἀκριβῶς γεγυμνασμένου κατὰ τὰ περὶ φυσικῶν δυνάμεων ὑπομνήματα. λεχθήσεται δὲ τοσοῦτον ὅμως αὐτοῦ νῦν, ὅσον ἐνδέχεται διὰ βραχυτάτων ῥηθὲν, εἰς τὰ προκείμενα γενέσθαι χρήσιμον. κοινὸν δὴ τοῦθ᾽ ὑπάρχει πᾶσι τοῖς τοῦ ζώου μορίοις ὅσα χυμῶν τινῶν ἐστι γεννητικὰ χρησίμων, ἤτοι γε ἑτέροις μορίοις, ἢ εἰς τὴν τοῦ γένους διαδοχὴν, ἢ εἰς τὴν τοῦ κυουμένου τροφὴν, περιττὸν ὑπάρχειν τὸν χυμὸν ἐκεῖνον τῆς τροφῆς τοῦ γεννῶντος αὐτὸν μορίου. οὐ γὰρ τῷ γινώσκειν οὖν ὅτι χρήσιμος ὁ χυμὸς ἔσται τῷ ζώῳ, τὴν γένεσιν αὐτοῦ ποιεῖται τὸ μόριον. εἴ γε μὴ μέλλει νοῦν ἕξειν τὸν τοιοῦτον, ὁποῖον ἀξιοῦμεν ἔχειν τοὺς πολιτικοὺς ἄνδρας, ἀλλ᾽ ὁ μὲν δημιουργήσας τὸ ζῶον, ἐκεῖνον ἔχει τὸν νοῦν. αὐτὸ δὲ τὸ μόριον ὡς ἐδείχθη διοικεῖται δυνάμεσι φυσικαῖς ἄλλαις τέ τισι, καὶ τῇ ἀλλοιωτικῇ, καθ᾽ ἣν ὁμοιοῖ τὴν τροφὴν αὐτῷ. ὅσον μὲν οὖν τῆς ἀλλοιωθείσης ὑπ᾽ αὐτοῦ τροφῆς ἀκριβῶς ὡμοιώθη τῷ τρεφομένῳ, προστίθεταί γε, καὶ τρέφει τὸ μόριον ἐκεῖνο, καὶ τοῦτ᾽ ἐστὶν ὅπερ αὐτὸς ἔφη, τροφὴ δὲ τὸ τρέφον, καὶ τὸ οἷον τροφὴ, καὶ τὸ μέλλον. τὸ δὲ περιττὸν ὑπολειπόμενον, ὅμοιός γέ τις ἐστὶ τῇ τοῦ μορίου φύσει χυμός. ἐν μὲν τοῖς ὀστοῖς, τὸ, κατὰ, τὰς σήραγγας αὐτῶν, κατὰ δὲ τὸ ἧπαρ τὸ αἷμα. τούτου τοῦ γένους ἐστὶ, καὶ τὸ κατὰ σάρκα τοῦ πνεύμονος, ἀφρῶδες ὑγρὸν, καὶ ὁ κατὰ τὰς διαρθρώσεις γλίσχρος χυμὸς, καὶ τὸ κατὰ τοὺς ὄρχεις τε καὶ παραστάτας ὀνομαζόμενον σπέρμα, καὶ τὸ κατὰ τὴν γλῶτταν, ᾧ τοὔνομα σίαλον. εἰσὶ δὲ τινὲς κἀν τοῖς μαστοῖς ἀδένες ὁμοιοῦν ἑαυτοῖς δυνάμενοι τὸ ἐπιῤῥέον. οὗτοι οὖν ἄναιμοί τε καὶ λευκοὶ, τὸν οἰκεῖον χυμὸν ἐργάζονται τοιοῦτον, οἷόν περ ἐστὶ τὸ γάλα, καὶ πλεῖον γε ποιοῦσι τοιοῦτον, ὅταν ἐπιῤῥέῃ τροφὴ πλείων ἐν αὐτοῖς. πλείων δὲ ἐπιῤῥεῖ κατὰ τὸν ὄγδοον μῆνα, καὶ τὸν ἔνατον τῆς κυήσεως, ἡνίκα καὶ πεπλήρωνται δαψιλῶς αἱ κοιναὶ φλέβες ὑστερῶν τε καὶ τιτθῶν, ὡς καὶ διὰ τῆς τῶν κυουμένων ζώων ἀνατομῆς, ἐναργῶς φαίνεται. γίνεται δέ ποτε καὶ χωρὶς τοῦ κυῆσαι σπανίως τὸ τοιοῦτον, ὅταν ἀφίκωνται εἰς ὁμοίαν πλήρωσιν αἱ φλέβες ἐξ ἐπισχέσεως καταμηνίων γινομένην, ἧς νῦν μέμνηται διαθέσεως ὁ Ἱπποκράτης.

Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

Ὅτι μὲν ἐς τοὺς τιτθοὺς τὸ αἷμα φερόμενον, εἶθ᾽ ὑπὸ τῶν αὐτόθι ἀδένων μεταβαλλόμενον γάλα γίνεται, κατὰ τὸν προγεγραμμένον ἀφορισμὸν εἴρηται. νυνὶ δ᾽ ὅταν ἀμετάβλητον διαμένῃ τὸ παραγενόμενον, εἰς αὐτοὺς αἷμα, φησὶν ὁ Ἱπποκράτης μανίαν σημαίνεσθαι. ἐγὼ μὲν οὖν οὔπω τοῦτο γινόμενον ἐθεασάμην, ὥστ᾽ εἰ καὶ γίνεται ποτὲ μὲν, τῶν σπανίων ἐστίν. ὁ Ἱπποκράτης δ᾽ ὡς ἑωρακὼς αὐτὸ γράφει, καὶ εἴπερ γε ἀληθές ἐστι, τινὰ δέ τινα χρὴ νομίζειν αὐτῆς τὴν αἰτίαν ὑπάρχειν. τῶν ἀδένων ἡ φύσις, καὶ μάλιστα κατὰ τοὺς τιτθοὺς, ἄναιμός τέ ἐστι καὶ δηλονότι ψυχρά. τὸ γὰρ ἄναιμον ἅπαν ψυχρὸν, καὶ δὴ καὶ τὴν τοῦ φερομένου πρὸς αὐτοὺς αἵματος ἀλλοίωσιν, ἐπὶ τὸ ψυχρότερον ἐργάζεται. ὅσῳ γὰρ εἰσὶν οἱ ἀδένες οὗτοι τῆς τοῦ ἥπατος σαρκὸς ψυχρότεροι, τοσοῦτον τὸ γάλα τοῦ αἵματος. ὅταν οὖν ποτε πολύ τε ἅμα καὶ ζέον αἷμα πάντῃ τοῦ σώματος ἀναφέρηται, καὶ μάλιστα ἐπὶ τὴν κεφαλὴν, μαίνονται μὲν, ὅτι τὴν κεφαλὴν καταλαμβάνει τὸ τοιοῦτον αἷμα. τὸ δ᾽ ἐπὶ τοὺς τιτθοὺς ὁρμῆσαν αὐτοῦ, τὴν εἰς τοὐναντίον οὐ δυνήσεται λαβεῖν ἀλλοίωσιν, ὡς γενέσθαι γάλα, διά τε τὴν ζέσιν καὶ τὸ πλῆθος.

Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ μελίκρητον δίδου πίνειν, κἢν μὲν στρόφος ἔχῃ περὶ τὴν γαστέρα, κύει, εἰ δὲ μὴ, οὐ κύει.

Ὁ στρόφος γίνεται μὲν καὶ διὰ δῆξιν. γίνεται δὲ καὶ διὰ πνεῦμα φυσῶδες, οὐκ ἔχον εὐπετῆ διέξοδον. ὅν τινα καὶ νῦν στρόφον ἡγητέον ἐπὶ τῶν κυουσῶν γίγνεσθαι διὰ τὴν ἀπὸ τῆς μήτρας στενοχωρίαν. καθεύδειν δὲ μελλούσῃ, διδόναι τὸ μελίκρατον, ὠμὸν δηλονότι. τοῦ γὰρ φυσώδους αὐτοῦ πρὸς τὴν διάγνωσιν χρῄζει, βουλόμενος ἡσυχάζειν τε ἅμα, καὶ πεπληρῶσθαι σιτίων τὴν γυναῖκα. συντελέσει γὰρ ἄμφω ταῦτα πρὸς τὴν τοῦ στρόφου γένεσιν.

Γυνὴ ἢν μὲν ἄρρεν κύῃ εὔχρους ἐστὶν, ἢν δὲ θῆλυ δύσχρους.

Ὡς πρὸς ἑαυτὴν κρινομένης τῆς γυναικὸς, οὐ πρὸς ἑτέραν ἡ διάγνωσις, ἀπό τε τῆς εὐχροίας δηλονότι καὶ τῆς δυσχροίας εἴρηται τῷ Ἱπποκράτει. ἑαυτῆς γὰρ ἀχρουστέρα φαίνεται κύουσα τὸ θῆλυ, διότι ψυχρότερόν ἐστι τὸ θῆλυ τοῦ ἄρρενος, οὐκ αὖ δὲ συνελήφθη τοιοῦτον, εἰ μὴ τότε σπέρμα τἀνδρὸς, ἢ θ᾽ ὑστέρα τῆς γυναικὸς ψυχρότερα κατ᾽ ἐκεῖνον τὸν χρόνον ἦν, ἐν ᾧ συνελάμβανε, διὸ καὶ τὸ πλειστάκις ἔχεται τὸ λεγόμενον. ἐνδέχεται γὰρ οὕτω καλῶς ἅπαντα πρᾶξαι τὴν γυναῖκα, μετὰ τὸν τῆς λήψεως καιρὸν, ὡς εὔχρουν γενέσθαι. δῆλον δὲ, ὅτι καὶ ἄλλα ἐστὶ γνωρίσματα τοῦ κύειν ἄρρεν,

ὥσπερ

ὥσπερ αὐτοῦ τοῦ κυουμένου, τό τε πλῆθος καὶ ἡ ἰσχὺς τῶν κινήσεων, οὐδ' αὐτὰ τῶν διαγνωστικῶν ὄντα σημείων. ἐνδέχεται γάρ ποτε κατὰ τὸ ἐναντίον καὶ θῆλυ κυούμενον, ῥωμαλεώτερον ἄρρενος, ἰσχυράς τε ἅμα καὶ πολλὰς κινεῖσθαι κινήσεις, καί ποτε τὸ ἄρρεν ἀσθενέστερον τοῦ θήλεος ὑπάρχειν, ἐλάττους τε καὶ ἀμυδροτέρας κινήσεις κινεῖσθαι.

Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

Ἆρά γε τὸ ἐρυσίπελας ἡγεῖται μόνον ἐν τῇ μήτρᾳ συνιστάμενον ἐπὶ τῆς κυούσης θανατῶδες ὑπάρχειν, ἢ καὶ τὴν ἰδίως ὀνομαζομένην φλεγμονήν, ὅτι μὲν γὰρ ἐρυσιπέλατος γινομένου τεθνήξεται τὸ ἔμβρυον, ἐξ ἀνάγκης οὐ δῆλον. εἴγε καὶ ὀξεῖς πυρετοὶ, πολλάκις ἀναιροῦσιν αὐτὸ χωρὶς ἐρυσιπέλατος. εἰ δὲ καὶ φλεγμηνάσης τῆς μήτρας, δυνήσεταί ποτε διασῶσαι τὸ ἔμβρυον, ἄξιον σκέψεως.

Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι δίμηνα πρὶν ἢ παχυνθῆναι.

Κατὰ τρεῖς τρόπους ἀκηκόασιν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, τῆς διανοίας τοῦ προκειμένου νῦν ἀφορισμοῦ. τινὲς μὲν γὰρ ἡγοῦνται πάντως ἐκτιτρώσκειν αὐτάς. τινὲς δὲ, εἰ μὴ παχυνθεῖεν τε καὶ ἀναθραφεῖεν, ἀλλὰ διαμένοιεν ἄτροφοί τε καὶ ἰσχναί. τινὲς δὲ ὅταν ἀνατρέφονται, τότε μάλιστα ἐκτιτρώσκουσιν, ὃ καὶ δοκεῖ τῶν προειρημένων ἀπιθανώτερον ὑπάρχειν. ἀλλ' ὅμως οὕτως ἐξηγήσατο τὸν ἀφορισμὸν Νουμησιανός. εἰρῆσθαι μὲν φάσκων ἐπὶ τῶν παρὰ φύσιν ἰσχνῶν γεγενημένων, δεομένων δὲ ἀνατραφῆναι πρότερον, εἶτα φθανουσῶν λαβεῖν, ἃς οὐχ οἷόν τε εἶναι, φησὶν ἀνατραφῆναι χωρὶς τοῦ τὸ χορηγούμενον αἷμα εἰς τροφὴν τῷ κυουμένῳ, πρὸς τὴν τῆς κυούσης ἀναλαμβάνεσθαι θρέψιν, ὥστε εἰκότως ἀποροῦν αὐτάρκους τροφῆς τὸ ἔμβρυον, ἀποφθείρεσθαι, ἀλλὰ καὶ τοῦ παρὰ φύσιν λεπταί. τινὲς μὲν οὕτως ἤκουσαν, ὡς ὁ Νουμησιανὸς, ἵνα παρὰ τὴν ἑαυτῆς φύσιν ἡ κύουσα εἴη γεγενημένη λεπτή. τινὲς δὲ τὸ ὑπερβαλλόντως φασὶ σημαίνεσθαι, δηλοῦν βουλομένου τοῦ Ἱπποκράτους, ὡς οὐχ αἱ μετρίως λεπτυνθεῖσαι τοῦτο πάσχουσιν ἐξ ἀνάγκης, ἀλλ' ὅσαι κατελεπτύνθησαν ἱκανῶς. ἑκατέρα δὲ ἡ ἐξήγησις ἔχει τινὰ λόγον.

Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα, καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσιν, καὶ οὐ δύνανται γοῦν κρατέειν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ' ἀποῤῥήγνυνται.

Ἄτερ φανερᾶς προφάσεως λέγει, πυρετοῦ σφοδροῦ, καὶ γαστρὸς ῥεύματος, ἢ αἱμοῤῥαγίας, ἢ ἐρυσιπέλατος, ἐν αὐτῇ τῇ μήτρᾳ συστάντος, ἢ πηδησάσης σφοδρότερον τῆς κυούσης, ἢ κραξάσης, ἢ λυπηθείσης, ἢ θυμωθείσης, ἢ φοβηθείσης, ἢ ἐνδεῶς διαιτηθείσης, ἢ τι τοιοῦτον ἕτερον διαπραξάσης, ἢ παθούσης. εἰκὸς γὰρ ταῖς τοιαύταις μυξώδη τὰ στόματα τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων ὑπάρχειν, ἐξ ὧν ἤρτηται τὸ χόριον, ἃ δὴ καὶ κοτυληδόνας ὠνόμασεν, οὐχ ὡς ἔνιοι νομίζουσι τὰς ἐπιτρεφομένας ἀδενώδεις σάρκας αὐταῖς. ἐν τε γὰρ τῷ πρώτῳ τῶν γυναικείων αὐτός φησιν, ἢν ᾖ αἱ κοτυληδόνες φλέγματος περίπλεοι ἔωσι, τὰ καταμήνια γίνεται ἐλάσσονα. καὶ ὁ Πραξαγόρας ἐν τῷ πρώτῳ τῶν φυσικῶν, κοτυληδόνες δέ εἰσι, τὰ στόματα τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν, τῶν εἰς τὴν μήτραν φερουσῶν.

Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν τῇ γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερῶν ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι οὐ κύουσιν.

Τοῦ παρὰ φύσιν διχῶς ἀκούουσι κἀνταῦθα. τινὲς μὲν τὸ ὑπερβαλλόντως δηλοῦσθαι νομίζοντες, τινὲς δὲ τὸ παρὰ τὴν αὐτῆς τῆς κυούσης τὴν φύσιν. ἀληθέστερον δὲ τὸ πρότερον. ὑπὸ γάρ τοι τῆς κατὰ τὸ ἐπίπλοον πιμελῆς, ἀποπιέζεται καὶ στενοχωρεῖται τὸ τῆς ὑστέρας στόμα ταῖς ὑπερβαλλόντως παχείαις γινομέναις. λέγει δὲ νῦν στόμα, δηλονότι τὸ ἔνδον, ἔνθα τελευτᾷ μὲν ἡ μήτρα, ὁ δ' αὐχὴν ἄρχεται, ὃ καὶ κυριώτερον ἂν ὑστέρας ὀνομάζοιτο στόμα. τὸ γὰρ ἕτερον πέρας τοῦ αὐχένος τὸ συνάπτον τῷ γυναικείῳ αἰδοίῳ, οὐ τῆς μήτρας, ἀλλὰ τοῦ αὐχένος αὐτῆς εἰκότως ἄν τις ὀνομάσειε στόμα.

Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

Τὴν δεομένην τῆς διὰ τῶν μότων θεραπείας, ἔμμοτον ὠνόμασεν. ὅτι δὲ διαπυήσασα ἡ μήτρα, καὶ μάλιστα πρὸς ἰσχίον ἐγκειμένη, δείκνυσι ... ἔοικε γὰρ τοῦτ' ἐνδείκνυσθαι νῦν, ἐξ ἀνάγκης δεηθήσεσθαι θεραπείας τοιαύτης, οὐκ ἄδηλον.

Ἔμβρυα τὰ μὲν ἄῤῥενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖσι μᾶλλον.

Ὅτι διὰ τὴν κρᾶσιν οὖσαν εὐθὺς ἐξ ἀρχῆς θερμοτέραν, ἄῤῥεν γίγνεται τὸ ἔμβρυον, ἐν τοῖσι περὶ σπέρματος ὑπομνήμασιν ἐπιδέδεικται. θερμοτέρα δὲ ἡ κρᾶσις γίγνεται τοῖς ἐμβρύοις, οὐχ ἥκιστα διὰ τὸ χωρίον, ὅπερ ἐστὶ τὸ δεξιὸν τῆς ὑστέρας μόριον, αὐτίκα δὲ τοῦτο θερμότερόν ἐστι τῇ γειτνιάσει τοῦ ἥπατος. εἴη δ' ἄν τι πρὸς τὴν θερμότητα τοῦ κυουμένου συντελοῦν, καὶ τὸ τῆς θηλείας σπέρμα, προερχόμενον μὲν ἐκ τῶν οἰκείων ὄρχεων δι' ἑκατέρας τῆς κεραίας, τὸ μὲν εἰς τὸν δεξιὸν κόλπον τῆς μήτρας, τὸ δὲ εἰς τὸν ἀριστερὸν ἀνόμοιον ὑπάρχον, ὡς καὶ τοῦτ' ἐπεδείξαμεν. εἴπερ οὖν ἀῤῥωστότερον ἐστὶ καὶ ψυχρότερον τὸ κατὰ τὸν ἀριστερὸν ὄρχιν σπέρμα, καὶ διὰ τοῦτ' ἂν εἰκότως ἐν τοῖς ἀριστεροῖς μέρεσι τῆς μήτρας τὸ συνιστάμενον εὐθὺς ἐξ ἀρχῆς κύημα γίγνοιτο ψυχρότερον. εἴρηται δὲ παρὰ τῶν τοιούτων ἁπάντων αὐτάρκως, κἀν τῷ πέμπτῳ τῶν Ἱπποκράτους ἀνατομικῶν.

Ὑστερέων ἐκπτώσιας, πταρμικὸν ἐπιτιθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

Οὐ περισπῶντας χρὴ τὴν ὑστάτην συλλαβὴν ἀναγινώσκειν ὑστερῶν, ἀλλὰ βαρύνοντας ὑστέρων. οὐ γὰρ δὴ αὐτὰς τὰς ὑστέρας ἐκπεσεῖν βούλεται διὰ τῆς γινομένης ἐντάσεως διὰ τῶν πταρμικῶν φαρμάκων, ἀλλὰ τὰ καλούμενα χόριά τε καὶ ὕστερα.

Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλε.

Ὥσπερ τῶν ἐλλιπῶς, ἢ μηδὲ ὅλως κενουμένων καταμηνίων, ἐδίδαξεν ἴασιν ὁ Ἱπποκράτης, οὕτω καὶ νῦν τῶν ἀμέτρως κενουμένων διδάσκει, κελεύων ἡμῖν μεγίστην σικύην προσβάλλειν τοῖς τιτθοῖς. ἄμεινον δ᾽ οὐκ αὐτοῖς τοῖς τιτθοῖς, ἀλλ᾽ ὑπ᾽ αὐτοὺς ἐκ τῶν κάτω μερῶν ἐρείδειν αὐτήν, καθ᾽ ὃ μάλιστά εἰσιν αἱ κάτωθεν ὑπ᾽ αὐτοὺς ἀναφερόμεναι φλέβες, καὶ μέντοι καὶ γράφουσιν, ἔνιοι σικύην ὡς μεγίστην ὑπὸ τοὺς τιτθοὺς πρόσβαλε. μεγίστην δ᾽ ἀξιοῖ τὴν σικύην εἶναι, ἵνα σφοδροτέραν ἀπὸ τῆς μήτρας ἐργάσηται τὴν ἀντίσπασιν ἄνω, διὰ τῶν κοινῶν τούτων ἀντιτεινομένων φλεβῶν.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι, τουτέων συμμύει τὸ στόμα τῶν ὑστερέων.

Μέγιστον τοῦτο γνώρισμα κυούσης γυναικός, ἣν ἡ μαιεύτρια δυνηθῇ καθέσει δακτύλου ψαῦσαι τοῦ στόματος τῶν ὑστερῶν. ἀφ᾽ οὗ γὰρ ἂν τὸ πρῶτον ἐντὸς ἑαυτῶν λάβωσι τὸ σπέρμα, περιστέλλουσι μὲν ἑαυτῶν τὸ κύτος ἅπαν, κλείουσι δὲ τὸ στόμα. φαίνεται γὰρ μὴν καὶ διὰ φλεγμονήν, καὶ σκίρρον μεμυκὸς τῶν ὑστερῶν τὸ στόμα, καὶ διορίζεται τῇ τῆς κυούσης σκληρότητι.

Γυναικὶ ἢν ἐν γαστρὶ ἐχούσῃ, γάλα ἐκ τῶν μαζῶν πολὺ ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει, ἢν δὲ στερεοὶ οἱ μαζοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

Κατ᾽ ἐκεῖνον δηλονότι τὸν χρόνον ῥεῖ τὸ γάλα, ἐν ᾧ φαίνεται ῥέον, ἡνίκα φύσιν ἔχει ταῖς κυούσαις γεννᾶσθαι. οὐ γὰρ δὴ κατά γε τοὺς πρώτους μῆνας γεννᾶται. τὸ δ᾽ ὅλως ῥεῖν αὐτό, καὶ μὴ μένειν ἔνδον ἐκ τοῦ πλέον ἀθροίζεσθαι γίνεται. πλέον δ᾽ ἀθροίζεται, πληρουμένων μὲν πλέον τῶν κοινῶν ἐν τιτθοῖς πρὸς τὰς ὑστέρας φλεβῶν. πληροῦνται δ᾽ ἔτι μᾶλλον, ὀλίγον ἀναλίσκοντος τοῦ κυουμένου. τοῦτο δ᾽ αὐτὸ γίνεται διὰ τὴν ἀσθένειαν αὐτοῦ. δῆλον οὖν ὅτι τοὺς τιτθούς, οὐκ ἰσχνοὺς φαίνεσθαι χρή, καθάπερ ὅτε ἦν ἀκύμων ἡ γυνή, τοῦτο γὰρ τὸ σημεῖον ἔνδειαν αἵματος ἐνδείκνυται, διὰ τοῦτο ἐπ᾽ αὐτῶν διαφθείρεται τὸ ἔμβρυον, οὐχ οὕτως μεστοὺς ὡς ἀπορρεῖν τὸ γάλα. διαιρουμένους δὲ εἰς τοῦτο, ὡς στερεοὺς ἀπτομένοις φαίνεσθαι. μέση γὰρ ἡ τοιαύτη κατάστασίς ἐστι τῶν τε ἀντιτύπων, διὰ τὸ πεπληρῶσθαι σφοδρῶς, καὶ τῶν μαλακῶν τε καὶ χαλαρῶν, διὰ τὴν ἔνδειαν τοῦ αἵματος. ὅθεν εἰκότως ἐπαινεῖ τὸ τοιοῦτο σημεῖον ὁ Ἱπποκράτης, ὡς ἂν ἐνδεικνύμενον οὔτ᾽ ἀσθενεῖν τὸ κυούμενον, οὔτ᾽ ἐνδεῖν αὐτοῦ τὴν τροφήν.

Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται, ἢν δὲ πάλιν σκληροὶ γίνωνται, ὀδύνη ἔσται, ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

Ἔμπροσθεν εἴρηκεν ἐν γαστρὶ ἐχούσῃ γυναικί, ἢν ἐξαίφνης οἱ μαζοὶ ἰσχνοὶ γίνωνται, ἐκτιτρώσκει. εἴρηκε δὲ καὶ ἢν ὁ ἕτερος μαζὸς ἰσχνὸς γίνηται δίδυμα ἐχούσῃ, τὸ ἕτερον τῶν ἐμβρύων ἐκτιτρώσκεσθαι. νυνὶ δὲ τὴν τάξιν τῆς ἀκολουθίας ὑπαλλάξας, οὐκ ἀπὸ τῶν σημείων, ἀλλ᾽ ἀπ᾽ αὐτῶν τῶν γυναικῶν τῶν διαφθειρουσῶν ἤρξατο προηγεῖσθαι, λέγων αὐταῖς ἰσχνοὺς τοὺς τιτθούς. ἔστι δ᾽ οὐ ταὐτὸ τοῦτο, ἢ τοῖς ἰσχνοῖς τιτθοῖς ἕπεσθαι διαφθορὰν εἰπεῖν, ἢ τῆς διαφθορᾶς μελλούσης ἔσεσθαι, τοὺς ἰσχνοὺς τιτθοὺς προηγεῖσθαι. ὁ μὲν γὰρ ἕπεσθαι λέγων τῇ τῶν τιτθῶν ἰσχνότητι τὴν διαφθοράν, οὗτος ἀποφαίνεται τοῦτο μόνον σημεῖον εἶναι τῆς μελλούσης φθορᾶς. ὁ δὲ ταῖς μελλούσαις διαφθείρειν λέγων τοὺς τιτθοὺς ἰσχνοὺς γίνεσθαι, οὐ μόνον ἔοικεν ἐνδείκνυσθαι τοῦτο, προηγεῖσθαι διαφθορὰν τῶν ἐμβρύων. ἐπισκεπτέον οὖν ἀκριβέστερον ἐστί, καὶ παραφυλακτέον ἐπ᾽ αὐτῶν φαινομένων κατὰ τὰς κυούσας, εἰ μή ποτ᾽ ἄλλως διαφθείρουσιν, ἀλλ᾽ ἀεὶ μετὰ τοῦ προηγεῖσθαι τὴν ἰσχνότητα τῶν τιτθῶν, ἢ ταῖς πεδηθείσαις, ἢ ταῖς μέγα βοησάσαις, ἢ θυμωθείσαις, ἢ φοβηθείσαις ἐξαίφνης ἰσχυρῶς, ἐγχωρεῖ ποτε μὲν μὴ προηγήσασθαι τὴν ἰσχνότητα τῶν τιτθῶν. ἐγχωρεῖ δὲ καὶ ταῖς διὰ πυρετοῦ μέγεθος, ἢ ἐρυσιπέλατος ἐν ταῖς ὑστέραις γινομένου, ἢ διὰ καὶ τὸ μυξῶδες τῶν κοτυληδόνων, ἤ τι τοιοῦτον ἕτερον ἀπολαβοῦσαι φθορὰν αὐτὴν τῆς τῶν τιτθῶν ἰσχνότητος. Ἱπποκράτης μὲν γὰρ ἔοικεν ὑπολαμβάνειν αἰεὶ προηγεῖσθαι, καί μοι παραφυλάττοντι πολλάκις, ἐφάνησαν μὲν τῶν προειρημένων αἰτίων τῆς φθορᾶς οἱ τιτθοὶ προϊσχνούμενοι. μή ποτε οὖν, ὅταν αὐτὴν τῶν τοιούτων τινὸς αἰτίων ἡ τῶν τιτθῶν ἰσχνότης γίνηται, τὴν ἔνδειαν τοῦ αἵματος αἰτιατέον ἐστὶν ἐν ταῖς κοιναῖς φλεψὶ τιτθῶν τε καὶ ὑστερῶν, ὡς ἔφη διὰ τὴν ἀτροφίαν φθείρεσθαι τὸ ἔμβρυον. ἐπὶ δὲ ταῖς ἄλλαις αἰτίαις ἐφ᾽ αἷς ἤτοι γε ἀποθνήσκει τι παθόν, ἢ ἀπορρήγνυται τὸ ἔμβρυον, ὅταν οἱ περιέχοντες αὐτὸ ὑμένες διασπῶνται τῆς φύσεως ἀναστομούσης τὰς μήτρας, ὠδῖνάς τε ἐγειρούσης, ῥοπὴν γίνεσθαι διὰ ταῦτα τοῦ αἵματος ἐπὶ τὰ γεννητικὰ μόρια. κοινὸς γάρ τις ἐστὶν οὗτος ὁ λόγος ἐφ᾽ ὧν ἡ φύσις ἐκκρίνει τι μετὰ βίας, ὡς τὴν ῥοπὴν ἐκεῖσε γίνεσθαι τοῦ τε αἵματος καὶ τοῦ πνεύματος, οἷς ὥσπερ τισὶν ὀργάνοις χρωμένη, διωθεῖται τὰ λυποῦντα βίᾳ. κατὰ τοῦτο γοῦν καὶ τοῖς ὀδυνωμένοις μορίοις ἐπιγίνονται φλεγμοναί, τῆς φύσεως μὲν ἐκκρῖναί τε καὶ διώσασθαι σπευδούσης τὸ τὴν ὀδύνην ἐργαζόμενον, ἵνα δὲ τοῦτο πράξῃ, πληρούσης αἵματός τε καὶ πνεύματος αὐτό. ταῦτα μὲν οὖν εἰς τὸ πρότερον μέρος τοῦ ἀφορισμοῦ λελέχθω μοι. τὰ δ᾽ ἑξῆς αὐτῷ τὸ δεύτερον, ἐν ᾧ διαθέσεως ἐναντίας μέμνηται τῶν τιτθῶν ἐστι τοιοῦτον. ἢν δὲ πάλιν φησὶν οἱ μαζοὶ γίνωνται σκληροί, σημαίνοντος δὲ τοῦ πάλιν ἐν ταῖς τοιαύταις ῥήσεσι δύο. τὸ μὲν ἕτερον ὃ σωπῆσαι τῇ προειρημένῃ διαθέσει, τὸ δ᾽ ἕτερον, ὅπερ καὶ δι᾽ ἄλλης λέξεως εἰώθασιν ἔμπαλιν λέγειν. ἀληθέστερόν γέ μοι φαίνεται, καὶ κατὰ τὴν Ἱπποκράτους εἶναι γνώμην τὸ δεύτερον σημαινόμενον, ἵν᾽ ᾖ τὸ καθ᾽ ὅλον τὸν ἀφορισμὸν λεγόμενον, τοιοῦτον. οἱ μὲν ἰσχνοὶ τιτθοί, πάντως προηγοῦνται τῆς διαφθορᾶς τῶν ἐμβρύων, καὶ ἐχρῆν τε διαφθαρῆναι ταῦτα, μὴ προϊσχνωθέντων αὐτῶν. οἱ μέντοι σκληροί, φθορὰν μὲν οὐ σημαίνουσιν, ὀδύνη δέ τις ἀπολαυθῇ αὐτοῖς τῶν εἰρημένων μορίων, ἵν᾽ ὥσπερ ἐνδείας αἵματος, ἰσχνότεροι τιτθοὶ τὴν ἔνδειξιν ἔχωσιν, οὕτω πλήθους οἱ σκληροί, διαφέροντες δηλονότι τῶν ὀλίγων ἔμπροσθεν εἰρημένων τῶν στερεῶν, ἐφ᾽ ὧν πάλιν ἀπο-

θεμένης τῆς φύσεως εἴς τινα μόρια τὸ περιττὸν, ὀδυνᾶται μὲν ἐκεῖνα, τὸ δ' ἔμβρυον ἀβλαβὲς διαμένει. ζητηθήσεται δὲ ἐνθάδε, διά τινα αἰτίαν οὐδέποτε τῷ τῆς μήτρας σώματι τὸ περιττὸν ἡ φύσις ἐναποτίθεται, καὶ ποιήσει φλεγμονὴν, ἢ διά τι φλεγμηνάσης τῆς μήτρας, οὐ φθαρήσεται τὸ ἔμβρυον, ἢ τὸ λεγόμενον ὑπὸ Ἱπποκράτους, ἕτερόν ἐστι. οὐ γὰρ ὅτι μηδέποτε τοῖς σκληροῖς τιτθοῖς ἕπεται φθορὰ τῶν ἐμβρύων εἰρηκέναι νομιστέον αὐτὸν, ἀλλ' ὅτι μὴ διὰ παντὸς, ὥσπερ ἐπὶ τῶν ἰσχνῶν, ἀλλ' ἐὰν εἰς ἕτερον μόριον ἀπωθεῖται τὸ περιττὸν ἡ φύσις, ὃ διὰ τῆς ὀδύνης γνωρίζομεν, οὐκ ἔστι φθορὰ, καὶ γενήσεται πάλιν ὁ σύμπας λόγος, ἐὰν οὕτως ἀκούσωμεν τοιοῦτος. τῶν φθείρειν μελλουσῶν, ἰσχνοὶ μὲν ἀεὶ προηγοῦνται οἱ τιτθοὶ, σκληροὶ δὲ καὶ πλήρεις οὐκ ἀεί. τὸ πίπαν γὰρ ἐπὶ τῶν τοιούτων, εἰς ἕτερόν τι μόριον ἡ φύσις ἐναποτίθεται τὸ περιττόν. εἴ γε μὴν ἐπὶ τὰς μήτρας αὐτὸ διώσαιτο, γενήσονται καὶ τότε πάντως ἰσχνοί. κατὰ γὰρ τὴν Ἱπποκράτους γνώμην, ὡς ἔοικεν εἰ καὶ δι' ἕτερόν τι καὶ μὴ διὰ τὴν ἔνδειαν τῆς τροφῆς ὁ ἐκτρωσμὸς γένοιτο, προηγήσεται πάντως ἡ ἰσχνότης τῶν τιτθῶν, δι' ἣν εἶπον αἰτίαν, ὥστε κἂν δι' ὑγρότητα τῶν κοτυληδόνων ἀπορρυήσεται τὸ κύημα, καὶ τότε διωθουμένης αὐτὸ τῆς φύσεως εἰς ἔκκρισιν, ἡ ῥοπὴ τοῦ αἵματος ἐπὶ τὰς μήτρας ἔσται, καὶ διὰ τοῦτο καὶ οἱ τιτθοὶ τῆς ἔμπροσθεν καταστάσεως ἰσχνότεροι γενήσονται.

Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

Εἴρηται μὲν καὶ πρόσθεν ὡς τὸ συμμύειν τὸ στόμα τῶν ὑστερέων, κοινόν ἐστι σημεῖον, ὄγκου τέ τινος ἐν αὐτῷ παρὰ φύσιν, καὶ κυήσεως τῇ γυναικὶ, καὶ ὡς χρὴ διακρίνειν αὐτὸ τῇ σκληρότητι. ταῖς μὲν γὰρ κυούσαις, ἁπαλόν ἐστι καὶ κατὰ φύσιν. αἷς δ' ὄγκος παρὰ φύσιν, ἢ φλεγμονώδης, ἢ σκιρρώδης γίνεται, σκληρόν. ἄμεινον οὖν ἦν τὸν ἀφορισμὸν τοῦτον ἐφεξῆς ἐκείνῳ γεγράφθαι, καθ' ὃν ἔλεγεν. ὅσαι ἐν γαστρὶ ἔχουσαι, τουτέων τὸ στόμα συμμύει τῶν ὑστερέων.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄτερ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

Συμβαίνει τισὶ τῶν τικτουσῶν, ἐφ' αἷς πρότερον ἠθροίσθησαν κακοχυμίαι περὶ μὲν νοσεῖν, ἐνίοτε μὲν ἁλίσκεσθαι σφοδροῖς πυρετοῖς, ὡς ἐκτιτρώσκειν ἐξ ἀνάγκης, ἐνίοτε δὲ μετρίοις μὲν, ἀλλ' οὐ καθαιρομένοις ἀκριβῶς. ὑπολείπουσι δέ τι λείψανον ἐν τῷ σώματι τῆς κακοχυμίας, ἐφ' ᾗ συνέστησαν, ὡς ἂν μὴ δυναμένων τῶν ἰατρῶν, διὰ τὸ κύειν τὴν γυναῖκα, μήτε βοήθημα προσάγειν ἰσχυρὸν, μήτ' ἀκριβῶς διαιτῆσθαι. διὰ τοῦτ' οὖν αὐταῖς ὅτε πυρετὸς ὑποστρέφει συνεχῶς, καὶ δυσφόρως τῷ πλείστῳ τοῦ χρόνου σύνεστι. εἰκότως τοιγαροῦν ποτὲ μὲν οὐκ ἀντέχει τὸ ἔμβρυον, ἀλλ' ἀποφθείρεται διά τε τοὺς πυρετοὺς, καὶ τὴν κακοχυμίαν. ἐνίοτε δὲ ἐξαρκεῖν μὲν ἄχρι τῆς ἀποκυήσεως, ἀλλ' αὐτό τε νοσῶδες ὂν, ὡς ἂν ἐν πολλῷ χρόνῳ τεταλαιπωρημένον, ἀσθενῆ τε καὶ τὴν κυήσασαν ἔχον οὐκ ἀκινδύνως τίκτεται. πρὸς γάρ τοι τὴν εὐτοκίαν ἰσχυρῶν ἀμφοτέρων δεῖται τῶν σωμάτων, τοῦ τε τῆς κυούσης αὐτῆς, καὶ τοῦ παιδίου.

Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

Οὐκ εὐθέως δηλονότι γεγονότος τοῦ ῥοῦ γίνεται ταῦτα, καθάπερ οὐδὲ τῶν ἄλλων οὐδὲν, ὅσα κατὰ τὸν ἑξῆς λόγον ἐπιγίνεται τισὶν ἑτέροις, ἀλλ' ἤτοι σφοδροῖς γινομένοις ἢ χρονίζουσιν. ἡ μὲν οὖν λειποθυμία, κοινὸν ἁπάσης ἀμέτρου κενώσεώς ἐστι σύμπτωμα. ὁ δὲ σπασμὸς, εἰ καὶ μὴ κοινὸν, ἀλλά γε ταῖς πλείσταις ἑπόμενον, καὶ μᾶλλον ὅταν ᾖ τὸ πεπονθὸς μόριον νευρῶδες.

Καταμηνίων γινομένων πλειόνων νοῦσοι ξυμβαίνουσι, καὶ μὴ γιγνομένων ἀπὸ τῆς ὑστέρης ξυμβαίνουσι νοῦσοι.

Ἐνίοις τῶν ἰατρῶν ἔδοξεν ἐπὶ πλήθει μὲν γίνεσθαι πολλὰ νοσήματα, δι' ἔνδειαν δὲ μηδέν, ἀλλ' ὁ Ἱπποκράτης ἡγεῖται ἐνίοτε καὶ δι' ἔνδειαν νοσεῖν, οὐ γυναῖκας μόνον ἀλλὰ καὶ τοὺς ἄνδρας, εἴγε ἐν ταῖς ἐνδείαις ἕπεται ποτὲ μὲν ψυχρότης, ποτὲ δὲ ξηρότης, ποτὲ δὲ ἄμφω. δέδεικται δ' ὅτι ὅσαι τῶν δυσκρασιῶν τηλικαῦται τὸ μέγεθος εἰσὶν, ὡς ἐνέργειαν ἤδη βλάπτειν, ἐκ τούτου τῶν νοσημάτων ὑπάρχουσι γένους. ἀλλὰ κατὰ τοῦτο μὲν, οὔτε ψευδῶς πρὸς Ἱπποκράτους, οὔτ' ἀσαφὲς εἴρηται. καθὸ δ' ἐπὶ μὲν τῶν πλειόνων καταμηνίων εἶπεν ἁπλῶς γίνεσθαι νόσους, μὴ προσθεὶς τὸ ἀπὸ τῆς ὑστέρας. ἐπὶ δὲ τῶν μὴ γινομένων, καὶ τοῦτο προσέθηκεν ἄξιον ἐπισκέψασθαι, πότερον ἀμφοτέροις τοῖς προειρημένοις ἐπενήνεκται κοινῇ τὸ ἀπὸ τῆς ὑστέρας, ἢ μόνον ἴδιόν ἐστι τῶν μὴ γινομένων. ἀδύνατον δὲ τοῦτο ἀκριβῶς ἐπισκέψασθαι, χωρὶς τοῦ γνῶναι τὰς αἰτίας ἁπάσας, ἐφ' αἷς πλείω τοῦ προσήκοντος, ἢ ἐλάττω γίνεται καταμήνια. δυνατὸν οὖν ἐστι καὶ ἀναστομωθέντων ἐπὶ πλέον τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων, καὶ λεπτοτέρου τοῦ αἵματος, ἢ θερμοτέρου γενομένου, καὶ τοῦ σώματος ὅλου διὰ καχεξίαν τινὰ βαρυνομένου τῷ αἵματι, κἂν μηδέπω τὴν κατὰ φύσιν ὑπερβαίνει συμμετρίαν, ὠθοῦντος αὐτὸ πρὸς τὰς ἐν τῇ μήτρᾳ φλέβας, ὥσπερ ἐν ταῖς ῥευματικαῖς διαθέσεσιν, ἄλλοτ' εἰς ἄλλο μόριον ἄμετρον κένωσιν γενέσθαι καταμηνίων. ἐλάττω δ' αὖ καταμήνια δυνατόν ἐστι γενέσθαι, διά τε μύσιν, ἢ ἔμφραξιν τῶν τὴν ἔμμηνον κάθαρσιν ἐπὶ τὴν μήτραν φερουσῶν φλεβῶν, διὰ πάχος αἵματος, ἢ διὰ ψυχρότητα, καὶ ῥώμην αὐτῶν τῶν κατὰ τὴν μήτραν ἀγγείων, ὡς μὴ παραδέχεσθαι τὸ περιττόν. ὅτι δ' αὖ ἢ τούτων, ἀναγκαῖον ἐστὶν ἐν τῷ χρόνῳ, καὶ τὴν μήτραν αὐτὴν πάσχειν τι πάθος ἤτοι φλεγμονῶδες, ἢ ἐρυσιπελατῶδες, ἢ σκιρρῶδες, ἢ καρκινῶδες, ᾧ πάλιν συμπάσχειν ὅλον τὸ σῶμα. κατὰ μέντοι τὰς ἀμέτρους κενώσεις οὐδὲν τοιοῦτον πάθημα γίνεται ταῖς ὑστέραις, ᾧ συννοσήσει τὸ σύμπαν σῶμα λόγῳ συμπαθείας, ὥστε πιθανώτερον ἐπὶ τῶν ἰσχομένων καταμηνίων εἰρῆσθαι μόνον ἀπὸ τῆς ὑστέρας τὰς νόσους συμβαίνουσι.

Ἐπὶ ἀρχῷ φλεγμαίνοντι καὶ ἐπὶ ὑστέρῃ φλεγμαινούσῃ, στραγγουρίη ἐπιγίνεται, καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισι στραγγουρίη ἐπιγίνεται. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λὺγξ ἐπιγίνεται.

Ὅταν τις ὀλίγον ἀποκρίνῃ οὖρον συνεχῶς, στραγγουρία τὸ πάθος καλεῖται, καὶ γίνεται ποτὲ μὲν ἐπ᾽ ἀρρωστίᾳ τῆς καθεκτικῆς δυνάμεως ἐν τῇ κύστει, ποτὲ δ᾽ ὑπὸ δριμύτητι τῶν οὔρων. ἡ μὲν οὖν ἀρρωστία, διά τε δυσκρασίαν γίνεται, καί τινα τῶν παρὰ φύσιν ὄγκων. ἡ δριμύτης δὲ, ἤτοι διὰ πάθος νεφρῶν, ἢ τὸ τοιοῦτον ἥκειν εἰς αὐτοὺς ἐκ τῶν φλεβῶν τὸ διηθούμενον ὀῤῥῶδες περίττωμα. εἰκότως οὖν ὁ Ἱπποκράτης ὑπὸ γίνεσθαί φησι στραγγουρίαν ἀρχῷ καὶ ὑστέρᾳ φλεγμαινούσῃ, καὶ νεφροῖς ἐμπύοις, ὑπὸ μὲν ἀρχῷ καὶ μήτρᾳ κατὰ συμπάθειαν πασχούσης τῆς κύστεως, ὑπὸ δὲ νεφροῖς ἐμπύοις, ἐκκρινομένου τοῦ πύου διὰ τῆς κύστεως. τοῦ μὲν οὖν τῇ δριμύτητι δάκνον τὴν κύστιν, ἐρεθίζει πρὸς τὴν ἀπόκρισιν. ὑπὸ δὲ τῇ κατ᾽ ἀρχὸν ἢ μήτραν φλεγμονῇ, τῷ τῆς γειτνιάσεως λόγῳ πάσχειν ἀναγκαῖον ἐστὶ τὴν κύστιν, καὶ τῆς δυσκρασίας τε καὶ τῆς φλεγμονῆς μεταλαμβάνουσαν, ἔτι τε θλιβομένην αὖ καὶ στενοχωρουμένην ὑπὸ τῶν παρὰ φύσιν ὄγκων ἐν αὐτοῖς. εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς οὐχ ἁπλῶς ἕτερον ἑτέρῳ πάθος ὑπογίνεσθαι πέφυκεν, ἀλλὰ τοῖς ἀξιολόγοις κατὰ μέγεθος. οὕτως οὖν καὶ τῷ ἥπατι φλεγμαίνοντι λὺγξ ὑπογίνεται, διὰ τὴν τῶν νεύρων κοινωνίαν, οὐ διὰ παντὸς, ἀλλ᾽ ὅταν εἰς μεγίστην ἀφίκηται κατάστασιν φλεγμονήν.

Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι θυμία κάτωθεν. κἢν μὲν πορεύεσθαί σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι᾽ ἑωυτὴν ἄγονός ἐστιν.

Τὸ θυμία ῥῆμα, τῆς ὕλης ἐνδεικτικόν ἐστι τῆς θυμιᾶσθαι πεφυκυίας, λιβανωτοῦ δηλονότι καὶ σμύρνης, καὶ στύρακος, ὅσα τ᾽ ἄλλα θερμὰ μὲν τὴν κρᾶσιν, εὐώδη δ᾽ ἱκανῶς. βούλεται γὰρ εἰς ὅλον ἀναχυθῆναι τὸ σῶμα τὴν ἀπ᾽ αὐτῶν δύναμιν, ἵνα καὶ ἐπὶ τὸ στόμα, καὶ κατὰ τοὺς μυκτῆρας αὐτῆς γινομένης, αἰσθάνηται σαφῶς ἡ γυνή. μόναις οὖν ἐκείναις οὐ διαδοθήσεται πρὸς ὅλον τὸ σῶμα τῶν θυμιαμάτων ἡ ποιότης, ὅσαις σκληρὸν ἢ πυκνόν ἐστι τὸ τῆς ὑστέρας σῶμα. τοιοῦτον δὲ ὂν, οὐκ ἐπιτήδειον εἰς τὰς συλλήψεις ἐστὶν, ὡς καὶ αὐτὸς μακρὸν ὕστερον ἐρεῖ. ὁκόσαι ψυχρὰς καὶ πυκνὰς ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσι. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον ἐν ᾧ φησὶ, γίνωσκε ὅτι οὐ δι᾽ ἑαυτὴν ἄγονός ἐστι, ἐνδεικτικόν ἐστι τῆς χρείας αὐτοῦ. πολλάκις γὰρ ἕνεκα διαμονῆς γένους, ἤτοι γε ἰδιωτικοῦ τινος, ἢ βασιλικοῦ σπουδάζουσιν αἱ πόλεις ἔκγονα ἔχειν ἀνδρῶν ἢ γυναικῶν, εἰς οὓς αὖ ἔτι μόνους καθεστήκῃ τὸ γένος. εἶθ᾽ ὅταν αἱ γυναῖκες μὴ κυΐσκωσιν, ζήτησις γίγνεται, δι᾽ ὁπότερον αὐτῶν συμβαίνῃ τοῦτο. καὶ ταύτην αἰνίττεται τὴν τέχνην ἐν ταῖς ἀγαθαῖς προμνηστρίαις ὁ Πλάτων ἐν θεαιτήτῳ. λεχθήσεται δ᾽ ὁ σύμπας λόγος ὀλίγον ὕστερον, ὅταν ἅπαντας ἐξηγησώμεθα τοὺς διαφέροντας εἰς αὐτὸν ἀφορισμούς.

Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

Καὶ τὸ καθάρσιες πληθυντικῶς εἰρημένον, καὶ τὸ πορεύονται μετ᾽ αὐτοῦ λεγόμενον, ἐνδείκνυται μήτε ὀλίγον εἶναι τὸ ἐκκρινόμενον αἷμα, μήθ᾽ ἅπαξ, ἀλλὰ καὶ πολλάκις καὶ πολύ. τὸ γὰρ ἅπαξ ἢ δὶς ὀλίγον ἐκκριθὲν, ὑποφαίνεται πολλάκις αὐτὸ τὸ πεπονθέναι τι τὸ ἔμβρυον. ὅταν δὲ μηδὲν ἀπολείπηται τὸ πλῆθος τῆς τῶν ἐμμηνίων καθάρσεως, ἐφεξῆς δὲ καὶ σώζηται τὴν περιοδικὴν τῶν περιόδων κατὰ τοὺς μῆνας, ἀδύνατον ὑγιαίνειν τὸ ἔμβρυον, εἴπερ γε τὸ ἐῤῥωμένον εἰς τροφὴν ἑαυτοῦ καταχρῆται τῷ φερομένῳ εἰς τὰς μήτρας ἐξ ὅλου τοῦ σώματος, ἡ γινομένη ἔκκρισις ἡ γινομένη ταῖς κυούσαις, ἐκ τῶν ἐπὶ τὸν αὐχένα φλεβῶν ἔοικεν ὑποφαίνεσθαι. τῶν γὰρ ἔνδον ἐν αὐτῷ τῷ κύτει τῆς μήτρας ἐξήρτηται τὸ χόριον, ὥστε οὐδὲν δι᾽ ἐκείνων εἰς τὸν γυναικεῖον κόλπον ἐκκριθῆναι δύναται.

Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγινομένου, ἆσαι δὲ αὐτῇ προσπίπτωσι, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

Ἐπὶ τῶν ἀμέμπτως καθαιρομένων γυναικῶν, εἶτ᾽ ἐξαίφνης ἐπισχεθεισῶν τῶν καθάρσεων, ἄνευ φανερᾶς αἰτίας τὸν λόγον τοῦτον ὁ Ἱπποκράτης ἐποιήσατο, διδάσκων ἡμᾶς ἅπερ αἱ πλεῖσται τῶν γυναικῶν διὰ πείρας ἴσασιν. ὅταν γὰρ ἀσώδεις ὦσιν ἐπεχομένων τῶν καταμηνίων, συνειληφέναι τεκμαίρονται. γίνεται δὲ ἡ ἄση καθ᾽ ὃν λόγον καὶ ἡ κίσσα, τοῦ στομάχου κεκακωμένου ταῖς συνειληφυίαις. ἐγχωρεῖ δέ ποτε, καὶ διὰ τὴν ἐν ὅλῳ τῷ σώματι κακοχυμίαν συμβῆναι τὸ τοιοῦτον. ἀλλὰ φρικώδεις τε καὶ πυρετώδεις ἐκεῖναι γίγνονται, καὶ ταύτῃ διορίζονται τῶν κυουσῶν.

Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν οὐ κυΐσκουσι. καὶ ὁκόσαι καθύγρας ἔχουσι τὰς μήτρας οὐ κυΐσκουσιν, ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαεῖς, ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι συμμέτρως, ἐπίτεκνοι γίγνονται αἱ τοιαῦται.

Εἰ τὴν προσήκουσαν ἅπασι τοῖς ἀφορισμοῖς ἐξῆν ἐπιθεῖναί μοι τάξιν, οὐκ ἂν ὤκνησα μεταθεῖναι τὸν ὀλίγον ἔμπροσθεν εἰρημένον ἀφορισμὸν, εἰς τὴν τοῦδε χώραν, ὥστε συμπληρωθέντος τοῦ περὶ τῶν καθάρσεων λόγου, τὸν περὶ τῶν μητρῶν αὐτῶν ἐφεξῆς γεγράφθαι, διδάσκοντος αὐτοῦ ἐπὶ πόσους τρόπους αἱ γυναῖκες γίνονται στεῖραι. πρῶτος οὖν ἐν αὐτοῖς ἐκεῖνος ὁ ἀφορισμὸς ἔσται, καθ᾽ ὃν ἔφη, ἢν γυνὴ μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοις, θυμία κάτω. δεύτερος δὲ οὗτος ὁ νῦν ἡμῖν προκείμενος, οὗ τὸ κεφάλαιόν ἐστι. τὰς μὲν εὐκράτους μήτρας ἐπιτηδείας εἶναι πρὸς σύλληψιν, τὰς δὲ δυσκράτους ἐὰν μὲν τοῦτο μετρίως πεπόνθασι δυσχερῶς συλλαμβάνειν. ἐὰν δὲ ἀμέτρως, στείρας ἐργάζεσθαι τὰς γυναῖκας, ὥστε συνεπινοεῖται μὲν ἡ τῆς τῶν ἀνδρῶν ἀγονίας αἰτία, λανθάνει δὲ τοὺς πολλούς. ἀλλ᾽ ὁ προσέχων ἀκριβῶς τὸν νοῦν τοῖς λεγομένοις, πρῶτον μὲν εἴσεται διότι καὶ τῶν ἀνδρῶν ἔνιοι παντάπασιν ἄγονοι γίνονται, δεύτερον δὲ ἐπὶ τῷδε. περὶ μὲν τῶν εὐκράτως ἐχόντων ἀνδρῶν τε καὶ γυναικῶν, ὡς ἀεὶ γεννῶσι κἂν καὶ δυσκράτοις μίγνυνται. περὶ δὲ τῶν δυσκράτων, ὡς μετὰ τῶν ἐναντίων μόνων. εἰρήσεται γοῦν πρότερον περὶ τῶν στείρων γυναικῶν, ὧν ἡ κατασκευὴ τῆς μήτρας εὐθὺς ἐξ ἀρχῆς ἀμέτρως ἐστὶ δύσκρατος, ἐπικρατούσης

ἤτοι μιᾶς τῶν πρώτων ποιοτήτων, ἢ δυοῖν, ὡς ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι διώρισται, δεικνύντων ἡμῶν ὀκτὼ
τὰς πάσας εἶναι δυσκρασίας. ἁπλᾶς μὲν τέτταρας, ὧν καὶ νῦν Ἱπποκράτης ἐμνημόνευσε. συνθέτους δὲ ἄλλας τέτταρας
ἀλλήλαις ἐπιπλεκομένας τούτων. ἔνθα μὲν οὖν ἐπικρατεῖ ψυχρότης ἄμετρος, ὡς πυκνὴν ἐργάζεσθαι τὴν μήτραν,
στενὰ μὲν ἐσχάτως ἐπὶ τούτων ἐστὶ τὰ στόματα τῶν εἰς αὐτὴν καθηκόντων ἀγγείων. στρίφαι δ' αἱ γυναῖκες,
ὡς ἂν μήτε συμφῦναι τοῦ χωρίου δυναμένου τοῖς στόμασι τῶν ἀγγείων, μήτ' εἰ τοῦτο ποτὲ γένοιτο, ῥαφῆναι καλῶς
τὸ κύημα. ἢ γὰρ οὐδ' ὅλως αἱ καθάρσεις γίνονται ταῖς τοιαύταις, ἢ παντάπασιν ὀλίγαι, καὶ αὗται μοχθηραί, μόνου τοῦ λε-
πτοτέρου καὶ ὑδατωδεστέρου διεκπίπτοντος τοῦ αἵματος. καὶ γὰρ οὖν ἐστι ῥᾳδίως ἐμφράττεται ταῦτα, διά τε τὴν οἰ-
κείαν στενότητα, καὶ διότι φλεγματικώτερον ἀθροίζουσι χυμὸν αἱ τοιαῦται γυναῖκες ὡς τὸ πολύ. καὶ γάρ ἐστι τὸ σύμ-
παν σῶμα τοὐπίπαν ὅμοιον ἐστὶ ταῖς μήτραις. ἐγχωρεῖ δὲ καὶ ψυχθῆναι τὸ τοῦ ἄῤῥενος σπέρμα κατὰ τὰς τοιαύ-
10 τας μήτρας, εἰ μὴ θερμότερον εἴη φύσει. πρώτης μὲν οὖν τῆς ψυχρᾶς κράσεως Ἱπποκράτης ἐμνημόνευσεν εἰπών,
ὁπόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν. οὐ μὰ δία συμπλέξαι βουλόμενος ἐπ' αὐτῶν τῇ ψυχρότητι τὴν
πυκνότητα, καθάπερ εἰ καὶ ξηρότητα προσέθηκεν ἢ ὑγρότητα. τούτων μὲν γὰρ οὐδέτερα διὰ παντὸς ἕπεται τῇ
ψυχρότητι, καὶ διὰ ταῦτα ἀνὰ μέρος ἑκάτερα μίγνυται. πυκνότης δὲ ἐξ ἀνάγκης σύνεσι ταῖς ἄγαν ψυχραῖς
ὑστέραις, δι' ἣν οὐδὲ κυῆσαι δύνανται καθότι προείρηται. καὶ τοίνυν ἀκούσωμεν οὕτω τοῦ κατὰ τὸν ἀφορισμὸν
λόγου παντός, ὅσαι ψυχρὰς τὰς μήτρας ἔχουσιν οὐ κυΐσκονται διὰ τὴν πυκνότητα τῆς οὐσίας αὐτῶν. διὰ τί δ'
ἡ πυκνότης ἐναντιοῦται τῇ κυήσει, παρέλιπεν εἰπεῖν, ὡς ἡμῶν συνιέναι δυναμένων. καὶ ὅσαι δ' ὑγρὰς ἀμέ-
τρως ἔχουσι τὰς μήτρας, οὐ κυΐσκονται, σβέννυται γὰρ ὁ γόνος, ὥσπερ ἐν τελματώδει γῇ τὰ δημήτρια σπέρμα-
τα, καὶ μὴν ὅσαι ξηράς, ἢ περικαεῖς ἔχουσι τὰς μήτρας ἐνδείᾳ τροφῆς οὐ κυΐσκονται. κατὰ μὲν γὰρ τὰς ξηρὰς
παραπλήσιόν τι συμβαίνει τοῖς εἰς ψάμμον, ἢ εἰς ἀργιλώδη γῆν, ἢ πετρώδη καταβαλλομένοις σπέρμασι. κατὰ
20 δὲ τὰς ἀμέτρως θερμάς, τοῖς εἰς πάνυ θερμὴν οἷάπερ ἐστὶν ἐν τοῖς ὑπὸ κύνα καύμασιν. οὕτω μὲν δὴ τεττάρων
ποιοτήτων ὁ Ἱπποκράτης ἐμνημόνευσεν, ἑκάστης ἰδίᾳ τὴν δύναμιν ἐξηγησάμενος, ἵν' εἰ καί ποτε μιχθεῖεν ἀλλή-
λαις, εὔδηλος ἡ μίξις ὑπάρχῃ. μετὰ δὲ ταῦτά φησιν, ὅσαι δὲ ἐξ ἀμφοτέρων τῇ κράσει συμμέτρως ἔχουσιν, ἐπί-
τεκνοι γίνονται. τίνων ἀμφοτέρων; οὐ τῶν ποιοτήτων δηλονότι, τέτταρες γάρ εἰσιν, ἀλλὰ τῶν κατ' αὐτὰς ἀντι-
θέσεων. ὡς γὰρ ἐν τοῖς περὶ κράσεων ἐλέχθη, μία μὲν εὐκρασία γίνεται, συμμέτρως ἀλλήλαις μιχθέντων τοῦ ψυ-
χροῦ καὶ τοῦ θερμοῦ. μία δὲ ἄλλη, τοῦ θ' ὑγροῦ καὶ τοῦ ξηροῦ, καὶ δύναταί τις ὑστέρα, κατὰ μὲν τὴν ἑτέραν ἀντίθεσιν
εὔκρατος εἶναι, κατὰ δὲ τὴν ἑτέραν δύσκρατος. ἀλλ' εἰς μὲν τὸ μὴ κυΐσκεσθαι, ἐστὶν ἡ ἑτέρα τῶν δυσκρασιῶν, ἱκα-
νή. γίνεσθαι δὲ ἐπίτεκνον γυναῖκα χωρὶς τῶν ἀμφοτέρων εὐκρασιῶν, ἀδύνατον. ὁ μὲν οὖν Ἱπποκράτης, ὥσπερ τὸν
ἔμπροσθεν λόγον, ἅπαντα περὶ τῶν γυναικείων ἔγραψεν, οὕτω καὶ τόνδε τὸν νῦν εἰρημένον ὑπὲρ τῶν κατὰ τὰς
ὑστέρας κράσεων, οὐ μὴν γέ τι προσέγραψε περὶ τῶν ἀνδρῶν, ἤτοι γ' ὡς ἐκ τῶν εἰρημένων ἑτοίμου ἡμῖν ὄντος ἐπὶ τὸ
30 σπέρμα τὰς αὐτὰς δυσκρασίας μετενεγκεῖν, ἢ ὡς ὕστερον μὲν εἰπεῖν ἀναβαλλόμενος, ἐπιλαθόμενος δέ. τινὲς
μέντοι προσέγραψαν ὑπὲρ τῶν ἀῤῥένων ἐφεξῆς ἀφορισμὸν ἕτερον, οὗ ἡ ἀρχή, παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων,
ὃν οἱ δοκιμώτατοι τῶν ἐξηγησαμένων τοὺς ἀφορισμοὺς λείπεσθαί φασι φανερῶς, καὶ τῆς διανοίας τοῦ Ἱπποκρά-
τους καὶ τῆς ἑρμηνείας. καὶ μέντοι καὶ κατὰ τὴν ἀναλογίαν ὧν ἔγραψεν ἐπὶ τῶν γυναικῶν ὁ Ἱπποκράτης, ἔστιν
ἡμῖν ἐπὶ τοὺς ἄνδρας μεταβαίνουσι λέγειν, ἤτοι διὰ τὴν ψυχρότητα τῆς κράσεως οὐκ ἀκριβῶς πέττεσθαι τὸ σπέρ-
μα, καὶ διὰ τοῦτο μετρίας μὲν τῆς ἐν αὐτῷ γινομένης δυσκρασίας δεῖσθαι μήτρας ἱκανῶς θερμῆς, ἀμέτρου δ'
ὑπαρχούσης, ἄγονον εἶναι παντάπασιν, ἢ δι' ὑγρότητα πάλιν οὐκ ἐκπέττεσθαι, καὶ δεῖσθαι καὶ τοῦτο μετρίας μὲν τῆς δυσ-
κρασίας οὔσης θερμοτέρας τε καὶ ξηροτέρας τῆς μήτρας, ἀμέτρου δὲ γενομένης ἄγονον ὑπάρχειν. ὡσαύτως δὲ διὰ
μὲν ὑπερβάλλουσαν θερμότητα περιεφρυγμένῳ παραπλήσιόν τι γενέσθαι τὸ σπέρμα. διὰ δὲ ξηρότητα, μηδ'
ἐκταθῆναι δύνασθαι κατὰ τὴν πρώτην ἔκπτωσιν, οὗ μάλιστα δεῖ πρὸς τὸ κυῆσαι τὴν γυναῖκα. δέδεικται γὰρ
40 ἐν τοῖς περὶ σπέρματος λόγοις, εἰ μὴ τῷ πλείστῳ τοῦ κύτους τῆς μήτρας ἐπεκταθείη τὸ σπέρμα, μὴ συλλαμβάνειν
αὐτήν. τούτων οὖν ἡμῖν ὥσπερ στοιχείων προεσκευασμένων ἐφεξῆς εἴπωμεν, ὅπερ ἔμπροσθεν εἰπεῖν ἀνεβαλλόμε-
θα, προβεβλημένον ὑπὸ τοῦ Πλάτωνος ἐν τῷ Θεαιτήτῳ. φησὶ γὰρ τοῦτ' ἔργον εἶναι μέγιστον τῶν μαιῶν, ὡς ἐπίστασθαι
συνάγειν ἀλλήλοις ἐπιτήδεια σώματα πρὸς κύησιν, ὅπερ ἐλέχθη νῦν ἐν τῷ λόγῳ, μετὰ τοῦ διαγινώσκειν δύνα-
σθαι, τίνες μὲν ἄγονοι τῶν ἀνδρῶν εἰσι, τίνες δὲ στρίφαι τῶν γυναικῶν. αἱ μὲν γὰρ ἄμετροι δυσκρασίαι, τούτων αἰτίαι.
μέτριαι δ' εἴπερ ὦσιν, εἰ μὲν ταῖς ἐναντίαις συνάγονται, κυΐσκουσιν αἱ γυναῖκες. εἰ δὲ ταῖς ὁμοίαις, οὐ κυΐσκουσιν. οὐ γὰρ
οἷόν τε ἐστὶ τὸ ψυχρότερον σπέρμα κατὰ τὴν ψυχροτέραν ὑστέραν τελεσφορεῖσθαι, καθάπερ οὐδὲ τὸ ξηρότερον ἐν τῇ ξη-
ροτέρᾳ, καὶ τῶν ἄλλων ἑκάτερον ὡσαύτως. ἀλλὰ δεῖται τὸ μὲν ψυχρότερον σπέρμα τοσούτῳ θερμοτέρας ὑστέρας, ὅσῳ-
περ ἂν αὐτὸ τῆς ἀρίστης ἀπολείπεται κράσεως. τὸ δ' ὑγρότερον τῆς ξηροτέρας, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. διάγνωσις δὲ
πασῶν τῶν ἀμέτρων κατὰ τὴν ὑστέραν δυσκρασιῶν ἐστιν, ἣν ὀλίγον ἔμπροσθεν εἴρηκεν ὁ Ἱπποκράτης διὰ τῆς τῶν ἀρω-
50 μάτων πυρίας. ἡ μὲν γὰρ ψυχρότης, διὰ τὴν πυκνότητα τῆς ὑστέρας οὐκ ἐᾷ μέχρι τοῦ στόματος, καὶ τῶν ῥινῶν ἀναφέρεσθαι
τὴν ὀσμὴν τῶν θυμιωμένων, ὡσαύτως δὲ καὶ ἡ ξηρότης. ἡ δὲ ὑγρότης ὥσπερ τὸν γόνον ὑπ' αὐτοῦ λέλεκται σβεν-
νύειν, οὕτω καὶ τὴν τῶν ἀρωμάτων ποιότητα. λοιπὴ δὲ ἡ σφοδρὰ θερμότης, εἰς τὴν τῶν ἀρωμάτων δύναμιν ἀλλοιώσει
τε καὶ διαφθείρει, καὶ διὰ τοῦτο οὐκ ἐάσει διασώζουσαν αὐτὴν τὸ εἰλικρινὲς ἀναφέρεσθαι, πρός τε τὸ στόμα καὶ τὰς ῥῖνας
αὐτάρκης, κἀπὶ τούτων τῶν φύσεων εἰς διάγνωσιν καὶ τῶν ἀρωμάτων γενήσεται πυρία. εἰ δὲ οὐχ ἱκανὴ ταῦτα δρᾶν
ἐστιν, ἐξ ἄλλων γνωρισμάτων ἐπισκεπτέον ἡμῖν ἔσται τὴν τοιαύτην φύσιν, αὐτὸ τοῦτο πρῶτον ἐγνωκότας, ὡς
ἔστι σπάνιος ἡ τοιαύτη κρᾶσις ἐπὶ τῶν γυναικῶν. ἐπειδὴ φύσει ψυχρότερον ἐστὶ τὸ θῆλυ τοῦ ἄῤῥενος, ὥστε καὶ διὰ τοῦ-
το τὴν Ἱπποκράτους διάγνωσιν ἣν ἐκ τῆς τῶν ἀρωμάτων ποιεῖται πυρίας ἐπὶ τῶν στρίφων γυναικῶν εἶναι χρησιμωτάτην
ἤτοι πάσης ἀμέτρου δυσκρασίας ὑποπιπτούσης, ἢ κατὰ τὸ σπάνιον ἐκφευγούσης αὐτὴν μιᾶς ἐπ' ἐκείνων τῶν γυναικῶν αἱ

λεπταί τε φαίνονται καὶ μέλαιναι καὶ δασεῖαι, ὥστε ἐξ αὐτῶν τούτων γινώσκεσθαι τὴν ἀμετρίαν τῆς κράσεως, αὐτὸ τῆς διὰ τῶν ἀρωμάτων πυρίας.

Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων, ἢ γὰρ διὰ ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα, ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρεῖται ἔξω, ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐᾷ πυριᾶσθαι, ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον, ἢ διὰ τὴν θερμασίην τὸ αὐτὸ τοῦτο γίνεται.

Ὁ τοῦτον παραθεὶς τὸν ἀφορισμὸν, οὐδὲ τῶν ἰδίων ἀκούει φωνῶν. ἐπαγγειλάμενος γὰρ ἐπὶ τῶν ἀρρένων παραπλήσιον ποιήσασθαι τὸν λόγον, ὥσπερ ἐπὶ τῶν γυναικῶν ὁ Ἱπποκράτης ἔγραψεν, οὐκ ἔπραξε τοῦτο. τεττάρων γὰρ ἐκείνου δυσκρασιῶν μνημονεύσαντος, ἐχρῆν καὶ τοῦτον ἐπὶ τῶν ἀρρένων εἰρηκέναι τὰς τέσσαρας, ὥσπερ ἡμεῖς ἐποιήσαμεν. ὁ δ᾽ οὐχ οὕτως, ἀλλὰ πρῶτον μὲν τὴν ἀραιότητα εὐθέως τοῦ σώματος μέμφεται μὴ λελεγμένην ἐπὶ τῶν γυναικῶν, εἶτ᾽ οὐδ᾽ αὐτὸς ὁ λόγος αὐτῷ καθ᾽ ἑαυτὸν ἐξεταζόμενος ἀληθής ἐστι. φαίνονται γὰρ οὐκ ὀλίγοι τῶν ἀνδρῶν, ἀραιὸν μὲν ἔχοντες τὸ σῶμα, γονιμώτατον δὲ σπερμαίνοντες, καὶ οὐδὲν θαυμαστόν. ἡ γὰρ ἀραιότης τοῦ σώματος ἐπὶ θερμοτέραις ἅμα καὶ ὑγροτέραις γίνεται κράσεσιν, αἵπερ δὴ μάλιστά εἰσι πολυσπερμόταται ἅμα καὶ γονιμώταται. καὶ γὰρ καὶ τὴν ὕλην ἔχουσιν, ἐξ ἧς τὸ σπέρμα γίνεται δαψιλῆ, καὶ τὴν δύναμιν ἐξ ἧς πέττεται. ἐξακοντίζεται δὲ τὸ σπέρμα, τῇ συντονίᾳ τῶν σπερματικῶν ἀγγείων ἐκθλιβόμενον, οὐχ ὑπὸ πνεύματος ὠθούμενον. ἀναμέμικται μὲν γὰρ οὐσία πνευματικὴ τῇ τοῦ σπέρματος ὑγρότητι, δεῖται δὲ καὶ αὕτη τῶν ἐκθλιβόντων αὐτήν ὥσπερ καὶ ἡ ὑγρότης τοσοῦτον πλεονεκτοῦσα τῆς ξηρότητος, ὅσον καὶ θᾶττον ἐξακοντίζεται, καὶ μέχρι πλείονος φέρεται. ταῦτα μὲν οὖν ὁ παραγράψας τὸν ἀφορισμὸν ἀγνοεῖ, καὶ πρὸς τούτοις ὅταν φῇ, διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρεῖν ἔξω. εἰ μὲν γὰρ ὑγρὸν ἄλλο τι λέγει, καὶ μὴ τὸ σπέρμα, ληρώδης ὁ λόγος. εἰ δὲ τὸ σπέρμα φησὶ διὰ τὴν πυκνότητα τοῦ σώματος ὅλου μὴ διαχωρεῖν ἔξω, παντάπασιν ἀγνοεῖ τὴν τῶν σπερματικῶν ὀργάνων κατασκευήν, ἄμεινον γὰρ ἦν αἰτιᾶσθαι τὴν ἐκείνων στενότητα. καὶ μὲν δὴ καὶ τὸ ἐφεξῆς εἰρημένον, ἄχρι τινὸς ἀληθῶς ἀδιανόητον ἔχει τὸ ἐπιφερόμενον. τὸ μὲν γὰρ δὲ διὰ τὴν ψυχρότητα τῆς κράσεως μὴ ἐκπυριᾶσθαι τὸ σπέρμα, καὶ διὰ τοῦτο ἄγονον ὑπάρχειν, ἀληθές ἐστι. τὸ δὲ ἀθροίζεσθαι μὴ δύνασθαι πρὸς τὸν τόπον τοῦτον, ἐκ περιττοῦ πρόσκειται. μετὰ δὲ τοῦ μὴ προσειρῆσθαι τὸν τόπον ὑπ᾽ αὐτοῦ, καταλελεῖφθαι δ᾽ ὑφ᾽ ἡμῶν νοηθῆναι. καί τοι γ᾽ ἡ τούτων φωνὴ, τὴν ἀναφορὰν ἔχει ὡς ἐπὶ τὸ προειρημένον, ἀλλὰ ταῦτα μὲν σμικρά. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ, μέγα σφάλμα, λέγοντος αὐτοῦ διὰ τὴν θερμασίαν τὸ αὐτὸ τοῦτο γίνεσθαι. φανερῶς γὰρ ἐπὶ τὸ προειρημένον ὁ λόγος οὗτος ἀναφέρεται. προείρηται δὲ διὰ τὴν ψυχρότητα, οὐκ ἐκπυριᾶται ὡς ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον, ὥστε καὶ διὰ τὴν θερμασίαν χρὴ νοεῖν οὐκ ἐκπυριώμενον, οὐδὲ ἀθροιζόμενον ἐν τοῖς σπερματικοῖς ὀργάνοις τὸ σπέρμα. προφανῶς δέ ἐστιν ἄτοπον τοῦτο. φρύγεσθαι μὲν γὰρ ἢ ὀπτᾶσθαι, ἤ τι τοιοῦτον λέγειν, πάσχειν τὸ σπέρμα διὰ τὴν θερμότητα, λόγον ἔχει. τὸ δὲ μὴ ἐκπυριᾶσθαι, παντάπασιν ἄτοπον.

Γάλα διδόναι κεφαλαλγέουσι καὶ πυρεταίνουσι κακὸν, καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, καὶ τοῖσι διψώδεσι. κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ ὑποχωρήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν. ἁρμόζει δὲ φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσι διδόναι, καὶ ἐν πυρετοῖσι μακροῖσι, βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτετηκόσι.

Ὅτι τὸ γάλα ταχέως ἀλλοιοῦται, καὶ ὅτι διττὴν ἔχει τὴν ἀλλοίωσιν, ὅταν μὲν ὁμιλῇ πλείονι θερμασίᾳ, κνισούμενον εὐθέως, ὅταν δ᾽ ὀλίγῃ, ταχέως ὀξυνόμενον, ἔνεστι μέν σοι κατανοῆσαι, τοῦτο ἐπὶ πυρὸς ἕψοντι παραχρῆμα μετὰ τὸ τῶν τιτθῶν ἐκπεσεῖν αὐτὸ, τοῦτο δὲ ἐν τῷ κεῖσθαι καθ᾽ ἑαυτό. τῷ μὲν γὰρ ἑψομένῳ, ἡ πρὸς τὸ κνισσῶδες ἀποτυχία. τῷ δ᾽ ἀποκειμένῳ ὀξύνεται πάντως, ἤτοι θᾶττον, ἢ βραδύτερον. οὕτω δὲ κἀπὶ τῶν ὑγιαινόντων, εἰ μὴ πεφθείη καλῶς, τοῖς μὲν ὀξύνεται, τοῖς δὲ κνισοῦται. κατὰ μὲν γὰρ τὴν ψυχροτέραν κοιλίαν, ὀξύνεται πάντως, ἤτοι θᾶττον ἢ βραδύτερον, κατὰ δὲ τὴν θερμοτέραν κνισοῦται. τὸ μέντοι καλῶς πεφθὲν γάλα, τρόφιμον τ᾽ ἐστὶ καὶ εὔχυμον. ἐν αὐτῷ δὲ τῷ πέττεσθαι, καὶ τούτοις ἐξαίρει τε τὰ ὑποχόνδρια καὶ κεφαλῆς ἅπτεται. ταῦτα μὲν οὖν αὐτοῦ τὰ ἔργα καὶ τὰ πάθη, κἀπὶ τῶν ὑγιαινόντων θεάσῃ. τὰ δ᾽ ἐπὶ τῶν νοσούντων, ὁ Ἱπποκράτης διεξέρχεται, φαινόμενα μὲν ἑκάστοτε, καὶ διὰ τῆς αὐτῶν ἐκείνων πείρας. ὅπου γὰρ ἐπὶ τῶν ἀμέμπτως ὑγιαινόντων ἴσμεν αὐτὸ κεφαλαλγές τε ἅμα καὶ φυσῶδες ὑποχονδρίων ὑπάρχον, οὐδὲν δὴ θαυμαστὸν ἐπινοεῖν, ὡς τοῖς ἤδη κεφαλαλγοῦσιν, ἢ μετέωρα τὰ ὑποχόνδρια ἔχουσιν, ἐναντιώτατόν ἐστι. καλῶς δὲ εἶπεν ὑποχόνδρια μετέωρα, καίτοι δυνάμενος εἰπεῖν ἐμπεφυσημένα καὶ φυσώδη. οὐ γὰρ ταῦτα μόνον τὸ γάλα βλάπτειν πέφυκεν, ἀλλὰ καὶ τἆλλα πάντα τὰ ὁπωσοῦν ἄλλως μετέωρα κατά τι φλεγμονῶδες ἢ ἐρυσιπελατῶδες, ἢ σκιρρῶδες, ἢ οἰδηματῶδες πάθος. ἔτι δὲ δὴ μᾶλλον αὖ ἀπόστημα μηδέ πω συνερρηγμένον ἢ καθ᾽ ὑποχόνδριον, οὐκ ἀγαθὸν, οὐδὲ τούτοις τὸ γάλα. τὰ μὲν οὖν τοιαῦτα πάντα δι᾽ ἑνὸς ὀνόματος ἐδήλωσεν εἰπὼν, ὑποχόνδρια μετέωρα. βλάπτεσθαι δέ φησι, καὶ τὰ διαβορβορύζοντα πρὸς τοῦ γάλακτος, ἕτερα μὲν ὄντα τῶν ἐμπεφυσημένων καὶ τεταμένων, φυσώδη γε μὴν καὶ ταῦτα καὶ πνευματώδη. μείζων μὲν οὖν ἡ βλάβη τοῖς διατεταμένοις ὑποχονδρίοις, ἐλάττων δὲ τοῖς διαβορβορύζουσιν, ἀλλ᾽ ὅμως οὐδὲ τούτοις ἐστὶ τὸ γάλα χρήσιμον, ὀξύνεται γὰρ ὑπ᾽ αὐτῶν. ὀῤῥὸν μέντοι γάλακτος ἡδύνοντες, ἁλσὶ καὶ μέλιτι πολλοῖς τῶν τοιούτων ἐδώκαμεν. ὠνήσαντο γὰρ ὑπελθούσης αὐτοῖς τῆς γαστρὸς, καὶ τοῖς διψώδεσι κακὸν εἶναί φησι τὸ γάλα. κνισοῦται γὰρ ἐπ᾽ αὐτῶν,

αὐτῶν, ἐάν τε φύσει διψῶσιν, ἐάν τε καὶ περὶ τὸν καιρόν τινα γεννηθῶσι. καὶ μὴν δὴ ὅσοι διαχωροῦσι χολώδεα, καὶ τούτοις ἐγὼ φαίην ἂν τὸ γάλα κνισσῶδες, οὐχ ἧττον δὲ καὶ τοῖς ἐμοῦσι τοιαῦτα. καθόλου γὰρ ἐμάθομεν ὡς ἀλλοιοῦται τάχιστα πρὸς ἁπάντων τῶν θερμῶν αἰτίων ἐπὶ τὸ κνισσῶδες. εἰκότως οὖν βλαβερὸν καὶ τοῖς ὀξέως πυρέττουσι, καί μοι δοκεῖ βέλτιον ἂν ἡ λέξις οὕτως ἔχειν, κακὸν δὲ καὶ οἷσι χολώδεες ὑποχωρήσιες, καὶ τοῖς ὀξέσι πυρετοῖσιν ἐοῦσιν. οὐ γὰρ ἐπὶ τούτων ἀμφοτέρων μόνον βλαβερόν ἐστιν, ἀλλὰ καὶ καθ᾽ ἑκάτερον ἰδίᾳ. ταῦτα μὲν οὖν τὰ πάθη, βλάπτει τὸ γάλα μεγάλως, τὰ δ᾽ ἐφεξῆς ὠφελεῖ, περὶ ὧν ὁ Ἱπποκράτης οὕτως ἔγραψεν. ἁρμόζει δὲ φθινώδεσι μὴ λίην πολλῷ πυρέττουσι διδόναι. περὶ τῶν φθινωδῶν γὰρ ποιεῖται τὸν λόγον πρῶτον. ἀκουστέον δὲ οὕτως ὀνομάζειν αὐτὸν ἐκείνους, ὅσοι νοσοῦσι φθόην. τοὺς δ᾽ ἄλλους ἐκτετηκότας, ἐφεξῆς ἐρεῖ κατὰ τὴν λέξιν ἧς ἡ ἀρχή, καὶ ἐν πυρετοῖσι βληχροῖσι. κοινὸν δ᾽ ἐπὶ πάντων, ὅσοι γάλακτος χρῄζουσι, τὸ δεῖσθαι τροφῆς εὐχύμου τε ἅμα καὶ ταχέως ἀναδιδομένης, καὶ οὐ δεῖ παραιτεῖσθαι εἰ τὸ γάλα φαμὲν εὔχυμον φυσῶδές τι ἔχον. καθόλου γὰρ εὔχυμα λέγομεν εἶναι, ὅσα μετὰ τὴν πέψιν εἰς χρηστὸν χυμὸν μεταβάλλει, ἤτοι εἰς αἱματικόν, οὗτος γὰρ φίλιος ἡμῶν χυμός. διατί δὲ εἰπών, ἁρμόζει δὲ φθινώδεσι, προσέθηκε, μὴ λίην πολλῷ πυρέσσουσιν, ἄξιον εἶναί μοι δοκεῖ σκέψεως οὐ μικρᾶς. ἤρκει γὰρ καὶ χωρὶς τοῦ λύειν. ἆρ᾽ οὖν καὶ τοῖς πολλῷ πυρέττουσι μόνοις μὴ διδόναι τὸ γάλα; ἢ τοῖς λίην πολλῷ πυρέττουσι μόνοις μὴ διδῶσι, ἢ παρεγγέγραπται πρός τινος τὸ λίην, ὥσπερ καὶ ἄλλα πολλά. ταυτὶ μὲν οὖν ἐπὶ σχολῆς τις ζητείτω. τὸ δὲ τοῖς πολλῷ πυρέττουσι μὴ διδόναι τὸ γάλα, παρ᾽ ἡμῶν ἤδη μαθὼν ἴσω. θαυμάζω δὲ πῶς ἐφ᾽ ὧν κελεύει διδόναι τὸ γάλα προσέγραψε, μηδ᾽ ἑνὸς ὧν προείρηται παρόντος, οὐ κατὰ βραχυλογίαν τὸν ὅρον τῆς ἀφοριστικῆς διδασκαλίας. ἐγινώσκετο γὰρ ἐξ ὧν προείρηκε καὶ μὴ ῥηθέν, ὅτι δοτέον φθινώδεσι καὶ παραλόγως ἐκτετηκόσιν ἄνευ τοῦ κεφαλαλγεῖν, ἢ ὀγκοῦσθαι τὸ ὑποχόνδριον, ἢ χολώδεις γίνεσθαι διαχωρήσεις, ἢ τῶν ἄλλων τι τῶν τοιούτων ὑπάρχειν αὐτοῖς, ἢ οὐχ ἁπλῶς οὐδὲ ἀεὶ βραχυλογίαν ἀσκεῖν ἔοικεν ὁ Ἱπποκράτης, ἀλλ᾽ ἐν οἷς μέγα τι τὸ κινδυνευόμενον τῷ ἀμελῶς ἀκούσαντι διδάσκει, λέγειν ἐπὶ τούτων οὐκ ὀκνεῖ ταῦτα ἐνίοτε δὶς ἢ καὶ τρίς.

Ὁκόσοισιν οἰδήματα ἐφ᾽ ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται οὐδὲ μαίνονται, τούτων δ᾽ ἀφανισθέντων ἐξαίφνης, τοῖσι μὲν ὄπισθεν σπασμοί, τέτανοι, τοῖσι δὲ ἔμπροσθεν μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα.

Τοὺς παρὰ φύσιν ὄγκους ἅπαντας ὁ Ἱπποκράτης οἰδήματα προσαγορεύει, περιεχομένων ἐν αὐτοῖς δηλονότι καὶ τῶν φλεγμονῶν, καὶ μέντοι καὶ αὐτὸ τοὔνομα, τὸ τῆς φλεγμονῆς, ἐπὶ τῆς φλογώσεως μᾶλλον οἱ παλαιοὶ πάντες ἔλεγον ἢ καὶ χωρὶς ὄγκου συστάσεως. ἔστι μὲν οὖν τὸ νῦν λεγόμενον τοιοῦτον, οἷς ὄγκοι τοῖς ἕλκεσιν ἐπιγίνονται, οὐ πάνυ τι σπῶνται, οὐδὲ μαίνονται. τὸν δὲ ἐνδείξιν ἔχει τοῦ καὶ σπᾶσθαι μέν τινας ἐπ᾽ αὐτοῖς καὶ μαίνεσθαι, ἀλλὰ σπανίως τοῦτο πάσχειν, ὅταν δηλονότι μέγεθος ἀξιόλογον, ἢ κακοήθειαν τινὰ προσλάβωσιν, ἂν μέντοι τύχωσιν ἀφανισθέντες ἐξαίφνης οἱ ὄγκοι, σπασμός τε καὶ τετανὸς, ὅταν ἐν τοῖς ὀπίσω μορίοις ᾖ τὰ ἕλκη, τουτέστι κατὰ τὸν νῶτον. τὰ δ᾽ ἄλλα τὰ ἐφεξῆς εἰρημένα τοῖς ἐν τοῖς πρόσω μορίοις γεγενημένοις, ἐπειδὴ φησί, νευρώδεα μὲν γὰρ τὰ ὄπισθεν, ἀρτηριώδεα δὲ καὶ φλεβώδεα τὰ ἔμπροσθέν ἐστιν. ὅταν οὖν ἀπὸ τῶν ἡλκωμένων μορίων ὁ χυμὸς ὁ ποιήσας τὸ οἴδημα ἐπαναβῇ πρός τι τῶν κυρίων μορίων, ἐν μὲν τοῖς νευρώδεσι μέρεσι τοῖς ὀπίσω σπασμοὶ καὶ τέτανοι γενήσονται, νεύρων δὲ ταῦτα πάθη. ἐν δὲ τοῖς πρόσω, μανία μὲν ἐὰν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθῇ, πλευροῦ δ᾽ ἄλγημα, τραπέντος ἐπὶ θώρακα τοῦ χυμοῦ. πολλάκις δ᾽ οὗτοι καὶ ἔμπυοι γίνονται μὴ διαφορηθέντος αὐτοῦ. δυσεντερίαν δ᾽ ἔσεσθαι φησίν, ἐὰν ἐρυθρῶν ὄντων τῶν οἰδημάτων, ἐξαίφνης γένηται μετάστασις. ἐκείνην μέντοι τὴν δυσεντερίαν ὀνομάζομεν αἱματηράν, ἥ τις ἐστὶν αἵματος κένωσις δι᾽ ἐντέρων χωρὶς ἑλκώσεως. ὅτι μὲν οὖν ἂν κατὰ νῶτον ἢ τὰ πρόσω μόρια τὰ τούτοις ἀντικείμενα ποτὲ συμβῇ ἀφανισθῆναι τὰ οἰδήματα, τοῖς εἰρημένοις πάθεσι περιπίπτουσιν οἱ κάμνοντες, ἑωράκαμεν. οὐ μὴν ὁ Ἱπποκράτης αὐτὸς ἐδήλωσεν, εἴτε περὶ τούτων λέγει μόνων τῶν μορίων, εἴτε περὶ πάντων ἁπλῶς, ὥστε καὶ τὰ κῶλα περιλαμβάνεσθαι κατὰ τὸν λόγον. ἐπὶ μὲν οὖν κνημῶν οὐκ εἰσὶν ἐν τοῖς πρόσω μορίοις μύες, εἰς τένοντας νευρώδεις τελευτῶντες. ἐπὶ δὲ τοῦ μηροῦ, τὴν ἐν τοῖς πρόσω μορίοις τοῦ γόνατος τένοντα, μέγιστον ὁρῶμεν, ἐφ᾽ ᾧ κατὰ συμπάθειαν, εὔλογόν ἐστιν ἀκολουθῆσαι σπασμὸν μᾶλλον, ἢ τινὶ τῶν ὀπίσω τοῦ μηροῦ κειμένων μυῶν. σαρκώδεις γάρ εἰσιν ἅπαντες, ὥστ᾽ οὐκ ἀληθὲς εἶναι δοκεῖ τὸ καθόλου λεγόμενον ὡς τοῖς ὀπίσω μέρεσι μόνοις ἕπονται σπασμοί. φαίνεται γε μὴν ὡς τὸ πολὺ τοῦτο γινόμενον, οὐκ ἐπὶ σκελῶν μόνων, ἀλλὰ καὶ χειρῶν, ἴσως διὰ τὸ κατ᾽ εὐθυωρίαν εἶναι ταῦτα πάντα τὰ μόρια τῷ νωτιαίῳ. πεφυκέναι δὲ ἀπὸ τούτου, τά τε τῶν κώλων νεῦρα, καὶ τὰ τῶν ῥαχιτῶν μυῶν.

Ἢν τραυμάτων ἰσχυρῶν καὶ πονηρῶν ἐόντων, οἴδημα μὴ φαίνηται, μέγα κακόν.

Δύναται μὲν καὶ τῷ κατὰ τὴν τελευτὴν εἰρημένῳ, τῷ, κακὸν συναφθῆναι τὸ μέγα. δύναται καὶ τῷ προτέρῳ τοῦ ἀφορισμοῦ μέρει. γενήσεται γὰρ ὁ λόγος τοιοῦτος. τραυμάτων πονηρῶν ἐόντων, οἴδημα μὴ φαίνεσθαι, κακόν ἐστι μέγα, εἴτε οὕτως τραυμάτων πονηρῶν ὄντων, οἴδημα μέγα μὴ φαίνεσθαι, κακόν, ἐγχωρεῖ δὲ καὶ κοινὸν ἀμφοῖν εἰρῆσθαι τὸ μέγα, ὡς εἰ οὕτως εἶπεν. ἢν τραυμάτων πονηρῶν ἐόντων οἴδημα μέγα μὴ φαίνηται, κακόν ἐστι μέγα. βελτίων δὲ τῶν τριῶν λόγων ἐστί, κατά γε τὴν ἐμὴν κρίσιν ὁ τοιοῦτος. ἢν τραυμάτων πονηρῶν ἐόντων, μὴ φαίνηται οἴδημα, κακόν ἐστι μέγα. προείρηται δέ μοι κατὰ τῶν παρὰ φύσιν ὄγκων ἁπάντων ὑπ᾽ αὐτοῦ λέγεσθαι τὸ οἴδημα, πονηρὰ δ᾽ ἡγητέον εἰρῆσθαι τραύματα, τὰ κατὰ τὰς κεφαλάς, ἢ τελευτὰς τῶν μυῶν, καὶ μάλιστα τῶν νευρωδῶν. κατὰ μὲν γὰρ τὰς κεφαλὰς τῶν μυῶν ἐμφύεται τοῖς μυσὶ τὰ νεῦρα, κατὰ δὲ τὰς τελευτάς, οἱ τένοντες ἐκφύονται. ὥσπερ οὖν ὀλίγον ἔμπροσθεν ἐμέμψατο τὰ ἐξαίφνης ἀφανιζόμενα τῶν οἰδημάτων, οὕτω νῦν τὰ μηδ᾽ ὅλως ἐπιγινόμενα τοῖς πονηροῖς τραύμασιν. ὕποψία γάρ τις ἐστὶν ἐπὶ τούτων ἐπὶ τὰ κυριώτερα, μεθίστασθαι τοὺς ἐπιρρέοντας τοῖς τραύμασι χυμούς, καὶ μάλιστα τοῦτ᾽ ἔοικε γίνεσθαι κατ᾽ ἐκεῖνα τῶν τραυμάτων, ἐν οἷς ὀδύνη μὲν ἐστί, καὶ δι᾽ αὐτὴν ἐπιρρεῖ τι πάντως, ἀνασέλλεται δὲ

ὑπὸ τῶν ἰατρῶν τοῖς ἰσχυρῶς ψύχουσιν ἢ στύφουσι φαρμάκοις, ὡς τά γε χαλῶντα ὀδύνης οὐδὲ ῥεῦμα κινεῖ. μάλιστα δ' ὀδυνᾶται τὰ νευρώδη μόρια, δεόμενα διὰ τῶν θερμαινόντων καὶ ξηραινόντων θεραπεύεσθαι φαρμάκων.

Τὰ χαῦνα χρηστά, τὰ δὲ ἀντίτυπα κακά.

Οὗτος ὁ λόγος μόριόν ἐστι τοῦ προγεγραμμένου, διδάσκοντος τοῦ Ἱπποκράτους, ὅσα μὲν οἰδήματα χαῦνα, χρηστὰ πάντ' εἶναι, τὰ δ' ἐναντία μοχθηρά. κυρίως μὲν οὖν ἀντίκειται τῷ χαύνῳ τὸ σκληρὸν καὶ ἀντίτυπον. ὁ δ' Ἱπποκράτης ἐναντίον αὐτὸ προσηγόρευσεν. οὐδὲ γὰρ οἷόν τε γενέσθαι ποτὲ ἀντίτυπον οἴδημα περιέχοντος καλῶς τῆς ἐν τῷ μορίῳ φύσεως τοὺς ἐπιρρέοντας χυμούς.

Τῷ ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα, ὠφελέει.

Οὐ μόνον ἐπιτηδεύει κενοῦν ὁ Ἱπποκράτης ἔνθα χρεία κενοῦν, ἀλλὰ καὶ μετὰ ἀντισπάσεως. ἡ δὲ ἀντίσπασις, ἐπὶ τἀναντία γίνεται. ἐπὶ μῆκος μὲν ἄνω καὶ κάτω, ἐπὶ πλάτος δὲ ἔνθα καὶ ἔνθα. τοῦτ' ἔστιν ἐπ' ἀριστερά τε καὶ δεξιά, κατὰ βάθος δὲ ὀπίσω τε καὶ πρόσω. νῦν οὖν ἐν τοῖς ὄπισθεν τῆς κεφαλῆς ἀλγήμασι μετὰ ἀντισπάσεως κένωσις ἐκ μετώπου γενήσεται, ὥσπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἢ κατ' ἰνίον. οὕτω γοῦν ὀφθαλμῶν χρόνια ῥεύματα πολλάκις ἐθεραπεύθη διὰ τῶν κατ' ἰνίον μερῶν, αἵματος ἀφαιρεθέντος ἅμα χρήσει σικύας.

Ῥίγεα ἄρχεται γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλήν, ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν τοῦ σώματος μᾶλλον ἢ ἔμπροσθεν, οἷον πήχεων, μηρῶν, ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν. δηλοῖ δὲ ἡ θρίξ.

Ῥῖγος πᾶν ἄρχεται μὲν μετά τινος αἰσθητῆς ψύξεως. ἑτοιμότερα δ' οὐ ψυγῆναι μόνον, ἀλλὰ καὶ τῆς ψύξεως αἰσθάνεσθαι τὰ ἐπὶ νῶτον, ὥστ' εἰκότως ἐντεῦθεν ἄρχεται τὰ ῥίγη, καὶ θᾶττόν γε ταῖς γυναιξὶ γίνεται τουτί, διότι καὶ ψυχρότερόν ἐστι τὸ θῆλυ φύσει, καὶ ἀσθενέστερον. ἀναβεῖ δ' ἐντεῦθεν ἀρξάμενον τὸ ῥῖγος ἐπὶ τὴν ἀρχὴν τῶν νεύρων τὴν κεφαλήν, τάχιστα γινομένης διὰ τοῦ νωτιαίου τῆς συμπαθείας. ἐπειδὴ καὶ οὗτος ὁμοίως ἐγκεφάλου, ψυχρός ἐστι φύσει, καὶ διὰ τὴν μαλακότητα τῆς οὐσίας ὁμοίως εὐάλωτος. ἐκ δὲ τῶν πρόσω μερῶν, οὐκ ἄρχεται τὰ ῥίγη, διότι θερμότερα τῶν ὀπίσω τὴν κρᾶσίν ἐστι, καὶ τούτων γνώρισμα τίθεται τὴν ἀραιότητα τοῦ δέρματος, αὐτῆς δὲ πάλιν ταύτης, τὸ πλῆθος τῶν τριχῶν. εἴρηται δέ μοι περὶ τριχῶν γενέσεως αὐτάρκως, ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν.

Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, οὐ πάνυ τοι ὑπὸ σπασμῶν ἁλίσκονται. ἢν δὲ ἁλίσκωνται πρότερον, καὶ ἐπιγένηται τεταρταῖος, παύονται.

Ὁ μὲν ἐπὶ κενώσει γινόμενος σπασμός, ὀξύτατός ἐστι καὶ ὀλεθριώτατος. ὁ δ' ἐπὶ πληρώσει τῶν νευρωδῶν μορίων οἷος καὶ ὁ ἐπιληπτικός, οὔτ' ὀξύτατος, οὔθ' ὁμοίως ἐκείνῳ κινδυνώδης. μέμνηται δὲ νῦν ὁ Ἱπποκράτης τοιούτου σπασμοῦ. τὸ γὰρ ἁλισκόμενοι καὶ ἁλίσκονται, παράτασιν δηλοῖ τοῦ χρόνου. τοῦτον οὖν τὸν σπασμὸν ὁ τεταρταῖος οὐκ ἐᾷ γενέσθαι, ἀλλὰ καὶ εἰ φθάσειε προσγενέσθαι, λύει. γίνεται δ' ὑπὸ γλίσχρων χυμῶν τε καὶ φλεγματικῶν ἐμπλαττομένων γε τοῖς νευρώδεσι μορίοις. οὓς δὲ τοῖς τοιούτοις χυμοῖς διττῆς τῆς ἰάσεως, ἐκκρίσεώς τε καὶ πέψεως, ἀμφοτέρας ὁ τεταρταῖος ἔχει, τὴν μὲν ἔκκρισιν τῷ ῥίγει. μόνος γὰρ ὁ τοιοῦτος σπασμὸς ἱκανῶς ἐκκρῖναι παχὺν χυμόν, τὴν δὲ πέψιν, τῷ λόγῳ τῆς ἐπιγινομένης τῷ ῥίγει θερμασίας.

Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ ξηρά, ἄνευ ἱδρῶτος τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιά, σὺν ἱδρῶτι τελευτῶσιν.

Τῶν μελλόντων ἀποθνήσκειν, οἷς μὲν αὐχμώδη καὶ σκληρὰ καὶ ξηρὰ καὶ τεταμένα τὰ δέρματα, χωρὶς ἱδρῶτος ἀποθνήσκουσιν. οἷς δὲ τἀναντία, ἀραιὰ καὶ μαλακὰ καὶ χαλαρά, σὺν ἱδρῶτι τελευτῶσι. τοῖς μὲν γὰρ προτέροις, ἢ οὐχ ὅλως ἐστὶν ὑγρότης, ἢ οὐκ ἐν τῷ δέρματι. τοῖς δ' ἄλλοις καὶ ἐπὶ τὸ δέρμα ἐστίν.

Οἱ ἰκτεριώδεες, οὐ πάνυ τι πνευματώδεες εἰσί.

Πνευματώδεις νῦν εἰρῆσθαι νομιστέον ἐκείνους ὅσοι κατὰ γαστέρα πλῆθος ἀθροίζουσι φυσώδους πνεύματος, ἤτοι δι' ἐρυγῶν κενούμενον, ἢ διὰ φυσῶν, ἢ παραμένον τε καὶ διατεῖνον τὰ τῇδε. γίνεται δὲ τοῦτο, ποτὲ μὲν δι' ἀτονίαν τε τινὰ καὶ ἀσθένειαν αὐτῶν τῶν κατὰ γαστέρα μορίων, ἐνίοτε δ' ὑπὸ φλεγματώδους χυμοῦ καὶ ψυχροῦ. οὗτοι μὲν οὖν οἱ διὰ φλεγματικὸν χυμὸν πνευματώδεις, ἐναντίοι τοῖς ἰκτεριώδεσιν εἰσὶ χολώδεσιν οὖσιν, ὥστε οὐκ αὖ ποτε κατὰ τὴν τοῦ πλεονάζοντος χυμοῦ φύσιν, οἱ ἰκτεριώδεις γίγνονται πνευματώδεις. ἐγχωρεῖ δ' αὐτοὺς ἐπ' ἀρρωστίᾳ τῶν μερῶν φυσώδεις γίνεσθαι. διὰ τοῦτ' οὖν προσέθηκε τῷ λόγῳ, τό, οὐ πάνυ τι. τὸ μὲν διηνεκὲς τῆς ἀποφάσεως κωλύων, ἐνδεικνύμενος δὲ ὡς τὸ πολὺ γίνεσθαι τὸ προειρημένον. οὐ πάνυ γάρ τοι τοῖς κατὰ γαστέρα μορίοις, ἅπαντα ἄτονα ἔστιν εὑρεῖν τοὺς ἰκτεριώδεις.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ ΙΠΠΟΚΡΑΤΟΥΣ, ΥΠΟΜΝΗΜΑ ς.

Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη μὴ πρότερον γενομένη, σημεῖον ἀγαθόν.

Ἡ λειεντερία ταχεῖα διέξοδός ἐστι τῶν ἐσθιομένων τε καὶ πινομένων, τοιούτων ὑποχωρούντων ὁποῖα κατεπόθη. συντομώτερον δ' ἄν τις αὐτὴν ἀφοριζόμενος εἴποι, στέρησιν πέψεως, οὔτε κατὰ χροιάν, οὔτε κατὰ σύστασιν, ἢ ὀσμήν, ἢ ὅλως ἡντινοῦν ποιότητα γινο-

γινομένης ἐν τῇ γαστρὶ μεταβολῆς τῶν σιτίων. ὠνομάσθη δὲ τὸ πάθος οὕτως, ὑπονοησάντων τῶν πρώτως θεμένων τὴν προσηγορίαν αὐτῷ, διὰ λειότητα γεγονέναι τῆς ἔνδον ἐπιφανείας τῶν ἐντέρων, δι' ἣν οὐκέτι ἀντιλαμβάνεται τῶν ἐμπεριεχομένων ἐν αὐτοῖς, ὡς ἂν ὅτε κατὰ φύσιν εἶχε τῇ τραχύτητι κατεχόντων αὐτά. πολλὰ μὲν οὖν καὶ ἄλλα τῶν πρώτως ὀνομασάντων τὰ πράγματα δίκαιον ἐπαινεῖν, οὐ μὴν ἐπί γε ταῖς λειεντερίαις ἀποδέχομαι τοὺς ἄνδρας, ἀγνοήσαντας ὅτι τῆς γαστρὸς αὐτῆς ἔργον ἐστὶ περιπλύσσεσθαί τε τὰ σιτία ἔν τινι χρόνῳ, ὡς σφιγγούσης τε καὶ κατεχούσης αὐτά, καὶ αὖθις ὠθεῖν κάτω, καὶ ὡς ἡ κατὰ τὴν κύστιν γίνεται στραγγουρία μὴ περιμενούσης ἀθροισθῆναι τὸ οὖρον, ἀλλ' εὐθὺς ἀποτριβομένης αὐτῆς, ἢ ὡς δακνώδες, ἢ ὡς βαρῦνον, οὕτω δὴ καὶ κατὰ τὴν γαστέρα αἱ ταχεῖαι διέξοδοι. αὗται γὰρ αἱ αἰτίαι κοιναὶ ἁπάσης εἰσὶν ἐκκρίσεως. ἃς εἴπερ οἱ πρῶτοι θέμενοι τοὔνομα τῷ πάθει λειεντερίᾳ ἠπίσταντο, τὴν μὲν περὶ τῆς λειότητος τῶν ἐντέρων ὑπόνοιαν οὐκ ἂν ἐπῄνεσαν, αὐτὴν αὐτῆς δὲ τὴν ἀρρωστίαν τῆς γαστρὸς ὅλης, καὶ τῶν ἐντέρων ἠπίσταντο, δι' ἣν αἰτίαν βαρυνόμενα, ταῦτα τὰ μόρια πρὸς τῶν καταποθέντων, ἀποτρίβεται διὰ ταχέων αὐτά. δυνατὸν δέ ποτε καὶ διά τινας χυμοὺς δακνώδεις ἐπιπολῆς ἑλκωθέντων αὐτῶν γενέσθαι τὸ πάθος, εἰ καὶ μὴ μεγάλως πεπόνθοι τὰ τῆς δυνάμεως. ἀναγκαῖον γὰρ ἐστι καὶ τότε διεξερχομένων τῶν σιτίων ἀνιώμενα τὰ ἡλκωμένα, προωθεῖν αὐτὰ κάτω, καὶ πέμπειν ἀφ' ἑαυτῶν ὅτι τάχιστα. τούτου δὲ διὰ πάντων τῶν μορίων γινομένου, τό, τε τάχος ἀκολουθήσει τῆς διεξόδου, καὶ τὸ μὴ δ' ἀρχὴν τινα πέψεως εἰληφέναι. ἀλλὰ τῇ μὲν τοιαύτῃ λειεντερίᾳ δήξεώς τινος αἴσθησις ἔσται. τῇ δὲ δι' ἀρρωστίαν τῆς κατὰ γαστρὸς καὶ τὰ ἔντερα, χωρὶς ἁπάσης ἀνιαρᾶς αἰσθήσεως γίνεσθαι τὴν ὑποχώρησιν. ὑπάρχει δέ τι τούτου διάφορον, οὐ σμικρὸν τῇ ἑτέρᾳ τῶν λειεντεριῶν. εἰ μὲν γὰρ ὑπὸ δριμέων χυμῶν ἑλκουμένης ἐπιπολῆς, τῆς τε γαστρὸς ὅλης, καὶ τῶν ἐντέρων γιγνομένη, εἰ μὲν ἡ κακοχυμία παύσαιτο, τάχιστα θεραπεύεται, διὰ τῶν στυφόντων ἐδεσμάτων τε καὶ πομάτων. εἰ δ' ἐπὶ πλείονα παραμένῃ χρόνον, εἰς δυσεντερίαν μεταπίπτει. ἡ δὲ δι' ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, ἐπὶ δυσκρασίᾳ μὲν πάντως ἐγγίνεται. ἤτοι δ' αὐτῶν ἐστι τῶν σωμάτων διάθεσις ἕξιν ἤδη τινὰ ἔχουσα δύσλυτον, ἢ διὰ χυμόν τινα περιεχόμενον ἐν τῇ κοιλίᾳ καὶ τοῖς ἐντέροις, εἷς δὲ ἐκ τούτων τῶν χυμῶν ἐστι καὶ τὸ φλέγμα. διὸ καὶ ὀξεῖαι τοῖς κάμνουσιν ἐρυγαὶ συμβαίνουσιν, ἃς ὀξυρεγμίας ὀνομάζουσι, γινομένας κατὰ χωρὶς φλέγματός τινος ἐπὶ ψυχροτέρᾳ γαστρί. καί τισι γε τῶν λειεντεριῶν ὅσαι διὰ ψυχρότητα γίνονται, συνεισβάλλουσι μὲν ὀξυρεγμίαι, προϊουσῶν δὲ παύονται. κατ' ἀρχὰς μὲν γὰρ ὀλίγον τινὰ χρόνον ἐν τῇ γαστρὶ μένει τὰ σιτία, προϊόντος δὲ καὶ ἐπαυξανομένου τοῦ πάθους, οὐδὲ τοῦτο. ἐφ' οἷς μὲν οὖν ὀλιγοχρόνιος ἐστὶν ἡ μονή, γίνεταί τις οἷον ἀρχὴ πέψεως, καὶ διὰ τοῦτο ἀποτυχία. μεμαθήκαμεν δὲ τὰς διὰ ψυχρὰν αἰτίαν ἀποτυχίας τῆς πέψεως, ὀξυρεγμίαν ἐργαζομένας. ἐφ' οἷς δὲ οὐκ ἄρχεται πέττεσθαι τὰ σιτία τὴν ἀρχήν, οὐδὲ μεταβολή τις αὐτῶν γίνεται κατὰ ποιότητα, ὥστε οὐδ' ὀξυρεγμίαι, πλὴν εἰ μὴ φλέγμα, καὶ μάλιστα ὀξὺ πλεονάζοι τὸ κατὰ τὴν γαστέρα. διὰ τοῦτ' οὖν ὁ Ἱπποκράτης, οὐχ ἁπλῶς εἶπεν τὴν ὀξυρεγμίαν σημεῖον ἀγαθὸν εἶναι ταῖς λειεντερίαις, ἀλλὰ πρῶτον μὲν ἐν ταῖς χρονίαις προσέθηκεν, ὡς ταῖς γε ἀρχομέναις ὡς εἴρηται, συνεισβάλλει πολλάκις, εἶτα πρόσθεν οὐ γινομένη φησίν. ὅσαι γὰρ ὑπὸ φλέγματος καταψύξαντος τὴν γαστέρα γίγνονται λειεντερίαι, σύνεστιν αὐταῖς ἡ ὀξυρεγμία διὰ παντὸς ὥς τι σύμπτωμα. ταῖς μὲν οὖν μήτε ἀρχομέναις ἔτι, μήτε διὰ φλέγμα γινομέναις, οὐ σύνεστιν ὀξυρεγμία. γιγνομένη δέ ποτε σημαίνει, δυναμένην μετὰ τοσοῦτον ἤδη χρόνον ἐν τῇ γαστρὶ τὴν τροφήν, ὡς ἀρχὴν μεταβολῆς λαμβάνειν, ἀναμιμνήσκεσθαι δὲ τῶν οἰκείων ἔργων τὴν φύσιν. ἐμοὶ μὲν ἱκανῶς, ὡς νομίζω πεπλήρωται τὰ τῆς ἐξηγήσεως. εἰ δέ τις ἐπιστημονικῶς ἐκμαθεῖν βούλεται τὰ κεφάλαια τῶν εἰρημένων, ἐν μὲν τῇ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ. περὶ τῶν τῆς γαστρὸς ἔχει δυνάμεων ἀποδείξεις οὐκ ὀλίγας, ἐν δὲ ταῖς τῶν συμπτωμάτων αἰτίαις, περὶ τῶν ταχέως ἀποκρινομένων ἁπάντων. ἐπεὶ δ' Ἐρασίστρατος ἐν τῷ δευτέρῳ περὶ κοιλίας κατεψεύσατό τε τῶν ἑαυτοῦ πρεσβυτέρων, ἐτάραξέ τε καὶ συνέχεε τὴν ἔννοιαν τῆς λειεντερίας, ἄμεινον εἶναί μοι δοκεῖ καὶ ταῦτα προσθεῖναι, καὶ πρῶτά γε αὐτὴν τὴν Ἐρασιστράτου παραγράψαι ῥῆσιν ἔχουσαν οὕτως, περὶ δὲ τῆς καλουμένης λειεντερίας ῥητέον. οἱ μὲν οὖν πρότερον ἰατροί, εἰς τρία μέρη διῄρουν τὸ πάθος, λειεντερίαν, δυσεντερίαν, καὶ τεινεσμόν. καί τινες μὲν ἐν τοῖς ἐκκρινομένοις, τὰς διαφορὰς τοῦ πάθους θεωροῦντες καὶ λέγοντες. ὅτε μὲν γὰρ αἱματώδη τε καὶ μυξώδη προχωροίη τὰ ἀπὸ τῆς κοιλίας, τότε μὲν δυσεντερίαν τὸ πάθος ἐκάλουν. εἰ δ' ἄπεπτα εἴη τὰ διαχωρούμενα, μεμιγμένα δὲ τοῖς αἱματώδεσι καὶ μυξώδεσι, λειεντερίαν. ὅτε δὲ ὑπόχολώδεα τοῖς αἱματώδεσι καὶ μυξώδεσι μεμιγμένα, τεινεσμόν, προσηγόρευον τὸ πάθος. ταυτὶ μὲν οὖν ὁ Ἐρασίστρατος εἶπεν, οὐκ οἶδα τί δόξαν αὐτῷ, προσθεὶς τοῖς ἀπέπτοις διαχωρήμασιν, αἱματώδη τε καὶ μυξώδη. τοῦτο γὰρ οὐδεὶς προσέθηκεν, οὔτε τῶν κατὰ τὸν αὐτὸν αὐτῷ γεγονότων χρόνον ἐπιφανεστάτων, οἷον Φιλότιμος, Ἡρόφιλος, Εὔδημος, οὔτε τῶν μετ' αὐτὸν γενομένων τις ἄχρι τῶν νεωτέρων τούτων τῶν περὶ τὸν Ἀρχιγένην. οὐ μὴν οὐδ' ὡς αὐτὸς εἶπεν οἱ πρότεροι ἰατροί, τουτέστιν ὅσοι πρεσβύτεροι τῶν Ἐρασιστράτου χρόνων. Διοκλῆς μὲν γὰρ ἐν τῷ περὶ πάθους αἰτίας θεραπείας βιβλίῳ ταῦτα γράφει. τὸ δὲ τρίτον γίνεται μὲν ὡς τὰ πολλὰ ἐκ δυσεντερίας, καλεῖται δὲ λειεντερία. ἕπεται δ' αὐτῇ καὶ διαχώρησις ὑγρὰ καὶ ἀφρίζουσα, ἔτι ὠμὴ καὶ πολλή, καὶ ταχεῖα μετὰ τὸ πιεῖν καὶ φαγεῖν. Πραξαγόρας δ' ἐν τῷ δευτέρῳ τῶν συνεδρευόντων. τοῖς δὲ λειεντερικοῖς φησίν, ἐπειδὴ ὀλισθηρὸν ἔχει τὸ ἔντερον, καὶ οὐχ ἥκιστα τὸ περὶ τὴν νῆστιν, ἀνάγκη ταχέως φέρεσθαι τὰ ἀπὸ τῶν σιτίων διαχωρήματα. εἶθ' ἑξῆς ὅτι τοῖς ταχέως διεξερχομένοις, ἀναγκαῖον ἐστιν ἀπέπτοις εἶναι παντάπασιν, ὁ Πραξαγόρας γράφει. τὸ μὲν ἰδιαίτατον τοῦ πάθους, ἐν τῇ ταχείᾳ διεξόδῳ τιθέμενος, τὸ δὲ μὴ πέπτεσθαι τὸ ἐξ ἀνάγκης ἀκολουθούντων τι ποιούμενος. οὐ γὰρ ὅτι παντάπασιν ἄπεπτα μένει τὰ σιτία, διὰ τοῦτ' ἐκκρίνεται ταχέως, ἀλλ' ὅτι ταχέως ἐκκρίνεται, διὰ τοῦτο οὐδ' ὅλως πέττεται, καὶ διὰ τοῦτο καὶ ἡμεῖς ἔτι ἄλλοι πολλοὶ τῶν ἰατρῶν, τὴν

χεῖαν διέξοδον ἀπέπτων παντάπασι τῶν σιτίων φαμὲν εἶναι τὴν λειεντερίαν. οὕτως δὲ περὶ αὐτῆς ἐοίκασι γινώσκειν καὶ ἄλλοι παλαιοί. ἐν μὲν γὰρ τῷ περὶ παθῶν Ἱπποκράτους, εἴτ᾽ οὖν αὐτοῦ τοῦ Ἱπποκράτους ἐστὶ τὸ βιβλίον, εἴτε Πολύβου τοῦ μαθητοῦ αὐτοῦ, ταυτὶ γέγραπται περὶ τῆς λειεντερίας. τὰ σιτία διαχωρέει ἄσηπτα ὑγρὰ, ὀδύνην οὐ κινέει, λεπτύ-
νεται δὲ τὸ σῶμα. δηλονότι παλαιά τις ἦν συνήθεια τοῦ τοῖς ἀνδράσιν ἄσηπτα καλεῖν, ἅπερ ἡμεῖς ἄπεπτα λέγομεν. ἐν δὲ τῷ διαιτητικῷ περὶ ὑγιεινῶν, τῷ Ἱπποκράτει μὲν ὑπογεγραμμένῳ καὶ αὐτῷ, τοῖς δ᾽ ἀποξενοῦσιν αὐτὸ, τινὲς μὲν εἰς Φιλιστίωνα, τινὲς δ᾽ εἰς Ἀρίστωνα, τινὲς δ᾽ εἰς Φερεκύδην ἀναφέρουσι. γέγραπται ταυτί. πάσχουσι δέ τινες καὶ τοιαῦτα· διαχωρέει αὐτοῖσι τὸ σιτίον ὑγρὸν ἄπεπτον, οὐ διὰ νόσημα οἷον λειεντερίαν, οὐδὲ πόνον οὐδένα παρέχει. οὗτοι μὲν οὖν οἱ ἄνδρες ἅπαντες, Ἐρασιστράτου πρεσβύτεροι, μυρίοι δ᾽ ὡς ἔφην ἄλλοι πάντες κατ᾽ αὐτὸν τὸν Ἐρασίστρατον ὕστεροι γεγονότες, ὡσαύτως τοῖσδε περὶ τῆς λειεντερίας ἔγραψαν, ὥστ᾽ οὐκ οἶδ᾽ ὅ,τι παθὼν Ἐρασίστρατος καταψεύδεται τῶν πρεσβυτέρων, αἱματώδη καὶ μυξώδη τοῖς ἀπέπτοις μεμίχθαι λέγων ὑπολαμβάνειν αὐτοὺς ἐν ταῖς λειεντερίαις.

Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηλότερον. οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

Ἐν μὲν ταῖς ξηροτέραις φύσει κράσεσιν, οὐδὲν ὅλως ἐκρεῖ διὰ τῶν ῥινῶν ἐξ ἐγκεφάλου περίττωμα σαφὲς οὐδ᾽ αἰσθητὸν, ὥσπερ οὐδὲ διὰ τοῦ δέρματος ἱδρὼς, ἀλλ᾽ ἡ καλουμένη πρὸς τῶν ἰατρῶν ἄδηλος διαπνοὴ, τὰ λελεπτυσμένα τῶν περιττωμάτων ἀτμοειδῶς ἐκκενοῖ. ταῖς δ᾽ ὑγροτέραις φύσεσιν, αἰσθητὰ γίνεται περιττώματα καὶ μάλιστα κατὰ τὸν ἐγκέφαλον, ὅτι φύσει ψυχρότερός ἐστι. ταῖς δ᾽ αὐταῖς ταύταις, καὶ τὴν γονὴν, τουτέστι τὸ σπέρμα γίνεσθαί φησιν ὑγροτέραν, ὥσπερ καὶ ἐν ταῖς ξηροτέραις ἀναλισκομένης τῆς ὑδατώδους ὑγρότητος, παχύτερόν τε καὶ ξηρότερον ἐστὶ τὸ σπέρμα. τοὺς οὖν ὑγροτέρους, εἴτ᾽ οὖν μόνον τὸν ἐγκέφαλον, εἴτε καὶ τὸ σύμπαν σῶμα τὴν ὑγιεινὴν διαγωγὴν οὐκ ἄμεμπτον ἔχειν συμβέβηκεν, ἀλλὰ κατάῤῥοις τε συνεχῶς ἐπὶ σμικραῖς αἰτίαις ἁλίσκεσθαι, κἂν δὴ ὑποῤῥυέντων αὐτοῖς κάτω ῥέπῃ τὸ περίττωμα, κακοῦσθαι τὰ ὑποκείμενα φάρυγγα, καὶ λάρυγγα, καὶ τραχεῖαν ἀρτηρίαν, καὶ πνεύμονα, καὶ στόμαχον, καὶ γαστέρα, καὶ βῆχας τε αὐτοῖς γίνεσθαι, καὶ δυσπνοίας, καὶ συνάγχας ἀπεψίας τε καὶ διαῤῥοίας. ἔστι δ᾽ ὅτε καὶ δυσεντερίας, ὅταν ἁλμυρότερόν πως γένηται τὸ καταῤῥέον, ἀναγκαῖον ἐστίν. εἴρηται δ᾽ αὐτῷ, κἂν τῷ περὶ ὑδάτων καὶ τόπων καὶ ἀέρων βιβλίῳ περὶ τούτων, ὥσπερ γε κἂν τοῖς περὶ νούσων τε καὶ παθῶν.

Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν, αἱ ἀποσιτίαι κακὸν, καὶ ξὺν πυρετῷ κάκιον.

Αἱ δυσεντερίαι γίνονται μὲν ὑπὸ δριμέων χυμῶν, ἑλκώσεις δ᾽ εἰσὶν ἐντέρων. ἐν ἀρχῇ μὲν ἐπιπολῆς ξυομένων, τῷ χρόνῳ δὲ βαθύτερα καὶ σηπεδονώδη ῥύπον ἐχόντων τὰ ἕλκη, καθ᾽ ὃν μάλιστα χρόνον ἡ γαστὴρ αὐτοῖς συμπάσχουσα, βλάπτεται περὶ τὰς πέψεις. ἐπαυξούσης δ᾽ ἀεὶ καὶ μᾶλλον ἀνωτέρω τῆς κακώσεως, ἐπειδὰν καὶ τὸ στόμα συμπαθῇ τῆς κοιλίας, ἀπόσιτοι γίνονται, τουτέστιν ἀνόρεκτοι. γίγνονται μὲν γὰρ ἐνίοτε καὶ κατ᾽ ἀρχὰς ἀπόσιτοι διὰ τοὺς συῤῥέοντας ἰχῶρας ἐξ ἥπατος, ἐφ᾽ ὧν ἔφαμεν ξύεσθαι τὰ ἔντερα, καὶ μάλιστα ὅταν ὦσιν οὗτοι πικρόχολοι, μέρος γὰρ αὐτῶν ἐπιπολάζον, ἀναφέρεται πρὸς τὸ στόμα τῆς γαστρός. κατὰ δὲ τὰς χρονίας δυσεντερίας, ὅταν ἐπιγένηται τοῦτο τὸ σύμπτωμα, νέκρωσιν ἤδη τινὰ σημαίνει γεγονέναι τῇ γαστρὶ κατὰ συμπάθειαν, ἐφ᾽ ᾗ τελέως ἀπολωλεκέναι ἀναγκαῖον τὸ εἰς τὴν ζωὴν ἔργον. εἰ δ᾽ ἅμα τῇ ἀνορεξίᾳ καὶ πυρετὸς ἐπιγένοιτο τῇ δυσεντερίᾳ, δυοῖν θάτερον, ἢ σηπεδών τις ἐστὶ περὶ τὰ ἕλκη, ἢ ἀξιόλογος φλεγμονή. καὶ οὕτως ὡς εἴρηται συμπασχούσης ὅλης αὐτῆς ἤδη τῆς γαστρὸς, ὀλεθρίως ἔχουσιν οἱ κάμνοντες.

Τὰ περιμάδεα ἕλκεα, κακοήθεα.

Ὅταν ἤτοι τὰς τρίχας ἐκπεπτώσας ἴδῃς τῶν περικειμένων τῷ ἕλκει χωρίων, ἢ καὶ τὸ δέρμα λεπίδας ἐπιπολῆς ἀφιὲν, ἴσθι τοῖς οὕτως ἔχουσι μοχθηροὺς χυμοὺς ὑποῤῥεῖν τῷ μέρει ἀκριβῶς ἀναβιβρώσκοντας τὸ ἕλκος, οἳ γάρ δή που τὰς μὲν ῥίζας τῶν τριχῶν διαφθείρειν δύνανται, τὸ δ᾽ ἡλκωμένον ἐᾶν συνεπουλοῦσθαι.

Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν, εἰ μέγα διαφέρουσι καταμαθητέον.

Καταμανθάνειν οὐ μόνον χρὴ τὸν ὀδυνώμενον τόπον, ὁποῖος ἐστὶν, ἀλλὰ καὶ τὸ μέγεθος τῆς κατ᾽ αὐτὸν ὀδύνης τηλίκον ἐστί. χρήσιμον οὖν τοῦτο πρός τε διάγνωσιν τοῦ πεπονθότος τόπου, καὶ πρόγνωσιν τῶν γενησομένων περὶ τὸν κάμνοντα, καὶ προσέτι τὴν τῆς θεραπείας εὕρεσιν. ἐν τῇ γοῦν πλευρᾷ ὅταν ἄλγημα ᾖ μέγα, πρῶτον μὲν οὐκ ἐνδέχεται πεπονθέναι τὸν ὑπεζωκότα καλούμενον ὑμένα δυνατόν ἐστι γενέσθαι. δεύτερον δὲ οὐκ ἀκίνδυνον, εἶτα καὶ θεραπείας δεήσεται πλείονος, εἰ μὲν εἰς κλεῖν ἡ ὀδύνη διατείνοι, φλεβοτομίας, εἰ δ᾽ εἰς ὑποχόνδριον, καθάρσεως, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἐδίδαξεν. εἰ μέντοι μέτριον εἴη τὸ ἄλγημα καὶ προσέτι μηδὲ νυγματῶδες, οἷον περ ἦν κατὰ τὸν ὑπεζωκότα, μήτε διατεῖνον πρὸς ὑποχόνδριον, ἢ κλεῖν, ἐγχωρεῖ καὶ τῶν σαρκωδῶν μορίων ἐπὶ ταῖς πλευραῖς πεπονθότων αὐτὸ γίνεσθαι, καὶ διὰ τοῦτο μήτε κινδυνῶδες εἶναι, μήτε μεγάλου δεῖσθαι βοηθήματος. οὕτω δὲ καὶ καθ᾽ ἕκαστον τῶν ἄλλων μορίων ἐπισκεπτέον ἐστὶ τὸ μέγεθος τῆς ὀδύνης, οἷον ἐπὶ νεφρῶν, εἰ τύχοι τῶν σαρκωδῶν μὲν αὐτῶν φλεγμαινόντων, ἔσται βαρεῖα ἡ ὀδύνη. καθάπερ αὐτὸς ἐν ἐπιδημίαις εἶπε, τὴν οἷον βάρους τινὸς ἐγκειμένου κατὰ τὸ χωρίον, αἴσθησιν ἐπάγουσαν οὕτως ὀνομάζων. τῶν δ᾽ ἄλλων μερῶν τῶν κατὰ τοὺς νεφροὺς πασχόντων, ὀξεῖα ἡ ὀδύνη. λέγω δ᾽ ἄλλα μέρη, τόν τε περιέχοντα χιτῶνα τούτων, καὶ τὴν ἔνδον κοιλίαν, καὶ τὰς εἰς αὐτὴν περαινούσας

ἀρτηρίας

ἀρτηρίας τε καὶ φλέβας, καὶ προσέτι τὰς ἐκφύσεις τῶν οὐρητήρων. οὕτως δ' ἔχει κἀπὶ τοῦ ἥπατος, αὐτοῦ μὲν τοῦ σαρκώδους φλεγμαίνοντος ὀδύνη γίνεται βαρεῖα. τοῦ δὲ περιεχομένου χιτῶνος ἢ τῶν ἀγγείων, ὀξεῖα, καὶ αὐτῆς δὲ τῆς ὀξείας, ἔνδειξιν φέρει, τὸ μᾶλλον καὶ ἧττον τοῦ ποιοῦντος αἰτίου. χολώδης μὲν γὰρ καὶ δριμὺς χυμὸς, ἐπιτείνει τὴν ὀδύνην. οὕτω δὲ καὶ φυσῶδες πνεῦμα, διέξοδον οὐκ ἔχον. ἐκλύει δὲ ὁ φλεγματώδης, οὐ μόνον δὲ ποιότητος τινὸς μέγεθος ὀδύνης ἔνδειξίν τινα ἡμῖν δίδωσιν, ἀλλὰ καὶ ποσότητος. παρατείνεται γὰρ ἑκάστου τῶν ὁπωσοῦν ἐργαζομένων αἰτίων ἡ ἐνέργεια τῆς οὐσίας αὐξανομένης. εἰ μὲν οὖν τὸ μέγεθος ἑκάστης ὀδύνης ἀξιῶν ἐπισκέψασθαι, ὥσπερ ἔγραψε τὸν ἀφορισμὸν Ἱπποκράτης, αὐτάρκως ἐξήγημαι τὴν χρείαν αὐτοῦ. εἰ δ' οὐ μόνον τὴν κατὰ μέγεθος διαφορὰν τῶν ὀδυνῶν ἐπισκέπτεσθαι φησὶ δεῖν, ἀλλ' ἔτι γενικώτερον, καὶ οἷον καθολικώτερον ἐνδείκνυται, συμβουλεύων ἁπάσας τὰς ἀξιολόγους ἐν ταῖς ὀδύναις ἐπισκέπτεσθαι διαφορὰς, ἔτι μείζονα χρείαν ἐξ αὐτοῦ καρπωσόμεθα. γενήσεται γὰρ ὁ λόγος τοιοῦτος. οὐχ ἁπλῶς χρὴ σκοπεῖσθαι τὴν ὀδύνην τῶν μορίων, οὐδ' ἡγεῖσθαι τὴν αὐτὴν ἐπὶ παντὸς εἶναι διάθεσιν. οἷον εἰ ἔμπροσθεν μὲν Δίων, νυνὶ δὲ Θέων ἀλγεῖ πλευρὰν, ὑπολαμβάνειν ὡσαύτως ἔχειν αὐτοὺς, ἀλλὰ καταμαθητέον, εἴτε μεγάλα διαφέρουσιν ἀλλήλων, εἴτε παραπλήσιοί πως εἰσί. γίνεται δὲ τοῦτο ἐκ δυοῖν καταφανὲς, ἰδέας τε τῆς ὀδύνης, καὶ σφοδρότητος. ἰδέας μὲν εἰ νυγματώδης, ἢ τονώδης, ἢ ναρκώδης, ἢ μετὰ βάρους ἐμφάσεως, ἢ οἱονεὶ κεντοῦντος τινὸς, ἢ διαβιβρώσκοντος, ἢ τιτρώσκοντος, ἢ διηνεκοῦς, ἢ διάλειμμα ἔχοντος, ἢ ὁμαλοῦ, ἢ ἀνωμάλου τινός. κατὰ δὲ τὰς σφοδρότητας, τοῦ μᾶλλόν τε καὶ ἧττον σκοπεῖν, ὅπερ ὀλίγον ἔμπροσθεν, ἡ κατὰ μέγεθος ἐν ταῖς ὀδύναις ὠνομάζετο διαφορά. σύνηθες γάρ ἐστι τοῖς ἰατροῖς καταχρωμένοις, τὸ σφοδρότερον ἅπαν ὀνομάζειν μεῖζον, εἰ καὶ μὴ ποσὸν ἀλλὰ καὶ ποιὸν ὑπάρχει. τὸν μὲν γοῦν πυρετὸν, οὐδὲ παύονται μέγαν ἢ μικρὸν, ἢ μέτριον ἅπαντες ὀνομάζοντες ἐν θερμασίᾳ τὴν ὕπαρξιν ἔχοντα. θαυμαστὸν οὖν οὐδὲν, εἰ καὶ τὸν σφοδρότερον πόνον μείζονα προσαγορεύουσιν. ἔτι δὲ μᾶλλον, οὐδὲν θαυμαστόν ἐστιν ὅσα κεχώρισται ταῖς ἰδέαις, ἀλλήλων μέγα διαφέρειν αὐτὰ λέγειν, οἷον τὸν μετὰ βάρους ἐμφάσεως πόνον, τοῦ μετὰ τοῦ τιτρώσκεσθαι δοκεῖν, ἢ τι τῶν ἄλλων πάσχειν τῶν προειρημένων.

Τὰ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσιν.

Τοῖς γέρουσι μόγις ὑγιάζεσθαι φησὶ, τουτέστι μετὰ πολλῆς πραγματείας, καὶ χρόνου μακροῦ τὰ περὶ νεφροὺς καὶ κύστιν. ὅτι δὴ δύσεργον αὐτῶν, ἄπαυστόν ἐστιν, ἡσυχίας δὲ δεῖ τοῖς ὁπωσοῦν μέλλουσι θεραπευθήσεσθαι, καὶ ὅτι περίττωμα δι' αὐτῶν κενοῦται δριμὺ παροξύνειν ἐπιτήδειον, εἴθ' ἕλκος, εἴτε φλεγμονή τις ἐν αὐτοῖς, εἴθ' ὁπωσοῦν ἄλλο συσταίη πάθημα. πολὺ δὲ δὴ μᾶλλον τῶν πρεσβυτικῶν σωμάτων ἐργωδῶς ὑγιάζεται τὰ περὶ τὴν κύστιν, ὅτι καὶ τἄλλα σύμπαντα νοσήματα καὶ μάλιστα ὅσα ἢ χρόνια. τὰ γὰρ τοιαῦτα, καὶ αὐτὸς ἔφη πρόσθεν συναποθνήσκειν.

Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κουφότερα, τὰ δὲ μὴ μετέωρα ἰσχυρότερα.

Μετέωρα νῦν ἀκουστέον, οὐ κατὰ τὸ μῆκος τοῦ σώματος, ἀλλὰ περὶ τὸ βάθος. ὁρίζει δὲ ταῦτα ἐπὶ τῶν κατὰ τὴν γαστέρα χωρίων τὸ περιτόναιον, ὥσθ' ὅσα μὲν ἐν τοῖς ἐπικειμένοις τῷδε γίνεται, κεκλῆσθαι μετέωρα. τὰ δ' ἐν τοῖς ὑποκειμένοις, τουτέστιν ἐν αὐτοῖς τοῖς ἐντέροις καὶ τῇ γαστρὶ, καὶ τὰ ἐν τῷ βάθει, ταῦτα λέγει μὴ μετέωρα. πρόδηλον δ' ὅτι τὰ τοιαῦτα καλῶς κέκληκεν ἰσχυρότερα.

Τοῖσι ὑδρωπικοῖσι τὰ γενόμενα ἕλκεα ἐν τῷ σώματι οὐ ῥηιδίως ὑγιάζεται.

Ἐδίδαξεν αὐτὸς ἐν τῷ περὶ ἑλκῶν, οὐ πρότερον ἐπουλούμενα τὰ ἕλκη, πρὶν ἀκριβῶς ξηρανθῆναι. τοῦτο δ' οὐ ῥᾴδιον ἐπὶ τῶν ὑδρωπικῶν ἐργάζεσθαι, διὰ τὴν ἀμετρίαν τῆς ὑγρότητος.

Τὰ πλατέα ἐξανθήματα, οὐ πάνυ κνησμώδεα.

Καθάπερ τῶν φυμάτων ἁπάντων διττή τις ἐστὶν ἡ διαφορὰ, τῶν μὲν ἀνατεινομένων εἰς ὀξὺ καὶ ὑψηλῶν γινομένων. τῶν δ' ἐκτεινομένων μὲν ἐπὶ πλέονα τόπον, οὐ μὴν εἰς ὕψος αἰρομένων. οὕτως καὶ τῶν ἐξανθημάτων ἔνια μὲν ὑψηλὰ γίνεται, ἔνια δὲ πλατέα. τὰ μὲν οὖν ὑψηλότερα φύματα καὶ ἐξανθήματα, θερμότερος ἐργάζεται χυμός. τὰ δὲ ταπεινότερα, ψυχρότερος, ὥστε διὰ δηλοῦν τὴν αἰτίαν οὐ πάνυ τι κνησμώδεα γίνεται τὰ πλατέα. διαπνεῖται γὰρ εἰς πλάτος ἐκτεταμένα, καὶ τὸν ἐργαζόμενον αὐτὰ χυμὸν ἧττον ἔχει δριμύν.

Κεφαλὴν πονέοντι καὶ περιωδυνέοντι, πύον ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα, ἢ κατὰ τὸ στόμα, λύει τὸ νόσημα.

Πολλὰ καὶ ἄλλα οὕτω δέδεικται λέγων ὁ Ἱπποκράτης, ἐφ' ὧν ἐὰν μὴ προσέχῃ τις τὸν νοῦν, δοκεῖ μόνον εἶναι τὸ λεγόμενον ὑπ' αὐτοῦ θεραπευτικὸν τοῦ πάθους, ἄλλο δὲ οὐδέν. ὁ δὲ οὐ τοῦτο μόνον φησὶν, ἀλλ' ἁπλῶς ὅτι πύον, ἢ ὕδωρ ῥυὲν, ἤτοι διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν λύει τὸ νόσημα. καὶ εἴγε οὕτως ἀντιστρέφων εἰρήκει καθάπερ ἐγὼ νῦν, ἀνέγκλητος ἂν ἦν ὁ λόγος. ἐπειδὰν ἤτοι διὰ φλεγμονὴν ἢ ὑγρῶν ἀπέπτων πλῆθος ἠθροισμένον ἐν τῇ κεφαλῇ τὴν ὀδύνην συμβαίνει γίνεσθαι, τηνικαῦτα τῆς φλεγμονῆς διαπυησάσης, ἢ τῆς ὑγρότητος ἐκκριθείσης, λύσιν γίνεσθαι τῆς ὀδύνης. ἐὰν δὲ διὰ πνεῦμα φυσῶδες, ἢ αἵματος πλῆθος, ἢ δάκνουσαν χολὴν, ἢ ὅλως κατὰ δυσκρασίαν ἡ ὀδύνη γίνεται, δι' ἄλλων ἰαθήσεται.

Τοῖσι μελαγχολικοῖσι καὶ τοῖσι νεφριτικοῖσιν, αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

Οὐ διὰ τὸν κενώσεως μόνον λόγον, αἱμοῤῥοΐδες ἰῶνται τὰ τοιαῦτα τῶν παθῶν, ἀλλὰ καὶ αὐτῇ τῇ ποιότητι τοῦ κενουμένου. παχὺ γὰρ εἰώθασιν αἱ τοιαῦται κενοῦν αἷμα μεστὸν τοῦ μελαγχολικοῦ χυμοῦ, παραπλησίαν ἔχοντος ἐν αἵματι δύναμιν οἵανπερ ἐν τοῖς οἴνοις ἡ τρύξ, ὥστ' οὐδὲν θαυμαστὸν, καὶ μελαγχολίαν καὶ νεφρῖτιν ἰᾶσθαι διὰ τῶν αἱμοῤῥοΐδων ἐκκενοῦν πεφυκυιῶν τὴν οἷον ἰλὺν τοῦ αἵματος.

Αἱμορροΐδας ἰηθέντι χρονίας, ἢν μὴ μία διαφυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.

Τὰς αἱμορροΐδας ἀδύνατον γενέσθαι, χωρὶς τοῦ διὰ πλῆθός τε καὶ πάθος αἵματος ἀναστομωθῆναι τινὰς φλέβας, ἀποτιθεμένου τοῦ ἥπατος εἰς αὐτὰς ἰλυῶδές τε καὶ μελαγχολικὸν αἷμα. ἐὰν οὖν ἀποκλείσῃ τις αὐτό, τὸ ἐντεῦθεν φορᾶς, ἅμα μὲν σκιρρῶδες ἐργάζεται τὸ ἧπαρ, ἅμα δὲ καὶ τῷ πλήθει καὶ τῷ πάχει βαρυνόμενον, ἀποσβέννυσι τὴν ἐν αὐτῷ θερμασίαν. ὁμοίου τοῦ συμβαίνοντος ὄντος, τῷ κατὰ τὰς ἐκτὸς φλόγας, ὑφ᾽ ὧν κακῶς ξύλα πολλὰ σωρευθέντα, πνίγει τε καὶ σβέννυσι τὸ πῦρ. ἐπεὶ δὲ ὑπὸ τῆς ἐμφύτου θερμασίας γεννᾶται τὸ αἷμα, πρόδηλον ὡς οὐκέτι γεννηθήσεται σβεννυμένης αὐτῆς. ὁ δὲ ὕδερος, ἀποτυχία τῆς αἱματώσεως γίνεται. ἐὰν δέ ποτε δυνηθῇ τὸ ἧπαρ ἀπώσασθαι τὸ πλῆθος ἐπὶ τὰς ἐν τῷ πνεύμονι φλέβας, ἀγγείου ῥαγέντος ἐνταῦθα, φθινώδεις γίνονται. εἰκότως οὖν συμβουλεύει, καὶ μίαν φυλάττειν αἱμορροΐδα ὡς διὰ ταύτης ἐκκενοῦσθαι τὴν ἰλυώδη κακοχυμίαν τοῦ ἥπατος, καὶ μάλιστα ἐφ᾽ ὧν ἐμελέτησε χρόνῳ πλείονι, διὰ τούτων ἐκκρίνειν αὐτὰς τῶν φλεβῶν.

Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγενόμενοι, λύουσι τὸν λυγμόν.

Καθάπερ αὐτὸς εἶπεν ὑπὸ πληρώσεώς τε καὶ κενώσεως γίνεσθαι τὸν σπασμόν, οὕτω καὶ τὸν λυγμόν. ὅταν οὖν ὑπὸ πληρώσεως γένηται, τοὐπίπαν δὲ οὕτω συνίσταται, βιαίας δεῖται κενώσεως ἵν᾽ ὥσπερ μοχλευθέντα τὰ κατὰ τούτων ὑγρὰ διαπνευσθῇ τε καὶ κενωθῇ, τοῦτο δὲ ὁ πταρμὸς ἐργάζεται. τοὺς δὲ ἐπὶ κενώσει λυγμοὺς σπανίως ἐπιγενομένους, οὐκ ἰᾶται πταρμός. ὅτι δ᾽ ἐπὶ πληρώσει συνεχῶς γίνεται λυγμός, ὁρᾶται κἀπὶ τῶν παιδίων λυζόντων πολλάκις ὅταν ὑπερπλησθῇ, καὶ τὸ κρύος δὲ καὶ ψύξις τῷ δυσδιάπνευστα ἐργάζεσθαι πάντα τὰ νευρώδη σώματα τὴν πλήρωσιν αὐτῶν ἀποτελεῖ, καὶ διὰ τοῦτο λύζουσιν ἐπ᾽ αὐτῶν.

Ὑπὸ ὕδρωπος ἐχομένῳ, κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

Ἓν καὶ τοῦτό ἐστι παράδειγμα τῶν αὐτομάτων γινομένων ἐπ᾽ ὠφελείᾳ κενώσεων. αὐτομάτων δὲ δηλονότι λεγομένων, οὐ τῶν χωρὶς αἰτίας, ἀλλὰ χωρὶς τῆς ἐξ ἡμῶν αἰτίας. ὅταν γὰρ δόντων ὑδραγωγὸν φάρμακον ἡ τοιαύτη κένωσις γένηται, οὐκέτι αὐτὴν ὀνομάζομεν αὐτόματον.

Ὑπὸ διαρροίης ἐχομένῳ μακρῆς ἀπὸ ταὐτομάτου ἔμετος ἐπιγενόμενος, λύει τὴν διάρροιαν.

Ἓν καὶ τοῦτό ἐστιν ὡσαύτως παράδειγμα, τῶν καλῶς ὑπὸ τῆς φύσεως γινομένων, ὃ χρὴ μιμεῖσθαι τὸν ἰατρόν. ἡ δὲ ὠφέλεια κατὰ τὸν τῆς ἀντισπάσεως λόγον.

Ὑπὸ πλευρίτιδος ἢ ὑπὸ περιπλευμονίης ἐχομένῳ, διάρροια ἐπιγενομένη, κακόν.

Τοῖς πάσχουσι μορίοις, οὐχ ἁπλῶς ἕτερα συμπάσχειν πέφυκεν, ἀλλ᾽ ὅταν ἐν ἰσχυρῷ γένωνται πάθει. κατὰ τοῦτ᾽ οὖν καὶ τῷ ἥπατι παθόντι λυγμὸς μὲν ἐπιγίνεται στομάχου παθόντος. βὴξ δὲ καὶ δύσπνοια, τῶν ἀναπνευστικῶν ὀργάνων. οὕτω γοῦν καὶ τοῖς ἀναπνευστικοῖς ὀργάνοις μεγάλως κακοπραγοῦσι, τὸ ἧπαρ συμπάσχει, καὶ τοῦτό γε σαφῶς ἐνεδείξατο καὶ αὐτὸς ὁ Ἱπποκράτης, οὐχ ἁπλῶς εἰπὼν ὑπὸ πλευρίτιδος ἢ περιπνευμονίας ἐκταραχθεῖσαν τὴν κοιλίαν κακὸν εἶναι σημεῖον, ἀλλὰ προσθεὶς τὸ ἐχομένῳ, ὡσεὶ κατεχομένῳ καὶ βιαζομένῳ τῷ κάμνοντι πρὸς τῶν τοιούτων παθῶν εἴρηκε τὴν διάρροιαν ἐπιγενομένην, κακὸν εἶναι σημεῖον, ἐπειδὴ τοῖς οὕτω ἔχουσι διάρροια γίνεται, μήθ᾽ ἕλκειν ἔτι καλῶς εἰς ἑαυτὸ τὴν τροφὴν δυναμένου τοῦ ἥπατος, μήθ᾽ αἱματοῦν, ἔστι δὲ ὅτε καὶ τῆς κοιλίας διαφθειρούσης αὐτήν. ἐπὶ μέντοι μετρίᾳ πλευρίτιδί τε καὶ περιπνευμονίᾳ, διάρροια ἐπιγενομένη, δύναταί ποτε κατὰ λόγον τῆς κενώσεως ὠφελῆσαι, καὶ μᾶλλον ὅταν φαίνηται τὰ τῆς πέψεως σημεῖα, τοῖς πάθεσι προσόντα, καὶ ὅτε φόβος ἐστὶν ἀλλὰ καὶ ἀκινδύνως. κοινῆς δ᾽ ἐπὶ τούτων καὶ τῶν ἄλλων ἁπάντων, ὅσα κατὰ τὸν αὐτὸν λέγεται τρόπον, ἐκείνου μεμνῆσθαι προσήκει, τοῦ διὰ μηδὲν ἄλλο πρόσκαιρόν τε καὶ πρόδηλον ἐπιγεγονέναι τὸ σύμπτωμα. καθάπερ γε καὶ νῦν τὴν διάρροιαν ἐξ ἐδέσματός τινος, ἢ πόματος, ἀλλὰ κατὰ λόγον τοῦ νοσήματος. ὅσα γὰρ δι᾽ ἄλλο τι, καὶ μὴ διὰ τὸ νόσημα γέγονεν, οὐ δύναται σημαίνειν αὐτοῦ τὸ ἦθος, εἴ γε σώζεσθαι χρὴ κατά τι τὸ σημεῖον, τοῦ δηλουμένου πρὸς αὐτοῦ.

Ὀφθαλμιῶντα ὑπὸ διαρροίης ληφθῆναι, ἀγαθόν.

Οὐχ ὡς σημεῖον τοῦτο τῶν ὀφθαλμιώντων ἀγαθόν, ἀλλ᾽ ὡς αἴτιον παρ᾽ αὐτοῦ εἴρηται, διὰ τὸ τὴν πλεονεξίαν τῶν χυμῶν, ἐκκενοῦν τε ἅμα καὶ ἀντισπᾶν κάτω. ἔστι δ᾽ αὐτῷ καὶ τοῦτο παράδειγμα ἐν τῶν αὐτομάτως ἐπ᾽ ὠφελείᾳ κενουμένων, ἃ χρὴ τὸν ἰατρὸν μιμεῖσθαι, ἀμέλει καὶ ποιοῦσιν οὕτω πάντες ἐν ὀφθαλμίαις τὴν γαστέρα, διά τε κλυστήρων καὶ καθάρσεων ὑπάγοντες.

Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

Τὸ θανατῶδες ὄνομα πολλάκις εἴρηται ἔν ἄλλοις τε καὶ κατ᾽ αὐτὸ τοῦτο τὸ βιβλίον, ἐπὶ τῶν ἐξ ἀνάγκης τεθνηξομένων. πολλάκις δὲ τῶν ὡς ἐπὶ τὸ πολύ, διὸ καὶ νῦν ἄδηλόν ἐστιν, εἴτε πάντως ἀποφαίνεται, θάνατον ἕπεσθαι ταῖς τῶν εἰρημένων μορίων διακοπαῖς, εἴτ᾽ ἐπί τινων ἐγχωρεῖ σωθῆναι σπανίως τὸν ἄνθρωπον. ὅτι μὲν οὖν ἡ τῆς καρδίας τρῶσις ἐπιφέρει θάνατον ἐξ ἀνάγκης, ἕν τι τῶν ὁμολογουμένων ἐστίν, οὐ μὴν ἐπί γε τῶν ἄλλων ὁμολογεῖται πᾶσα τρῶσις ἄφυκτον ἔχειν τὸν θάνατον, ἀλλ᾽ ἡ μεγάλη τε καὶ μέχρι βάθους, ἐπειδὴ εἰκός ἐστι σημαίνεσθαι πρὸς τῆς διακοπέντι φωνῆς, ἵνα ὅτε τῆς κύστεως χιτὼν ὅλος διακοπῇ μέχρι τῆς ἔνδον εὐρυχωρίας, ἑκαστόν τε τῶν ἄλλων. ἐπὶ μὲν οὖν τῆς κύστεως ὁμολόγηται τὸ μὴ συμφύεσθαι τὴν τοιαύτην τρῶσιν, ὥσπερ γε καὶ τοῦ νευρώδους

τῶν

τῶν φρενῶν, καὶ τῶν λεπτῶν ἐντέρων. ἐπὶ δὲ τῆς κοιλίας ἀμφισβητεῖται, τινὲς γὰρ σεσῶσθαι φασὶν ἐπ' αὐτῇ σπανίως τοὺς τρωθέντας. ἥπατος δὲ οὐ μόνον τρῶσιν βαθεῖαν, ἐπὶ τῶν λοβῶν γενομένην θεραπεύεσθαι φασὶν, ἀλλὰ καὶ λοβὸν ἀποτμηθέντα. ἴσμεν δ' ὅτι κἂν τῷ περὶ τῶν ὀλεθρίων τραυμάτων, ἔνια τῶν εἰρημένων ἐπιχειρεῖ θεραπεύειν ὁ γράψας τὸ βιβλίον. τό γε μὴν ἀκόλλητον μένειν τὴν διακοπὴν αὐτῶν, ἐπὶ μὲν τῆς καρδίας τε καὶ τοῦ διαφράγματος, ἐκ τῆς διηνεκοῦς τῶν μορίων γίνεται κινήσεως. ἐπὶ δὲ τῆς κύστεως ὅτι νευρώδης καὶ λεπτὴ καὶ ἄναιμος, ἀμέλει καὶ τὸν τράχηλον αὐτῆς ὁρῶμεν ὁσημέραι θεραπευόμενον ἐν ταῖς λιθοτομίαις, ἐπειδὴ σαρκώδης ἐστί. τὸ δ' ἧπαρ αἱμορραγικὰς ἔχει τὰς τρώσεις, καὶ διὰ τοῦτο ἀποθνήσκειν φθάνουσιν οἱ τρωθέντες οὕτως, πρὶν αὐτὸ κολληθῆναι. τὸ δ' οὕτως εἶπον, ἵνα καὶ φλέψ τις διακοπῇ. διὰ τοῦτ' οὖν οὔτε οἱ τὰς ἐπιπολῆς αὐτοῦ τρώσεις ἰᾶσθαι λέγοντες, οὔτε οἱ τοὺς λοβοὺς ἀφῃρηκέναι δοκοῦσιν ἀληθεύειν. ἐγκέφαλον δὲ τρωθέντα, πολλάκις εἴδομεν ἰαθέντα, καὶ ἅπαξ ἐν τῇ κατὰ τὴν Ἰωνίαν Σμύρνῃ, ἔτι γε τοῦ διδασκάλου Πέλοπος ζῶντος, ἐπ' ἀξιολόγῳ τῇ τρώσει. τισὶ μὲν οὖν τῶν πάνυ σπανίων ἐστὶν, ἀληθὲς δὲ, τὸ, τὰς μεγάλας τρώσεις, οἵας περ ἔοικεν ὁ Ἱπποκράτης ὀνομάζειν διακοπὰς, ἐπιφέρειν θάνατον. αἱ γε μὴν ἄχρι τινὸς τῶν ἐν αὐτῷ κοιλιῶν τρώσεις, ὁμολογοῦνται πᾶσι θάνατον ἐπιφέρειν. ἡ δὲ τῶν λεπτῶν ἐντέρων φύσις, καὶ μᾶλλόν γε ἡ τῆς κοιλίας, οὐκ ὀλίγον μετέχει τῆς σαρκώδους οὐσίας, καὶ διὰ τοῦτο ἐπιπολῆς μὲν τρωθέντα, κολλᾶται πολλάκις. ὅλα δὲ διακοπέντα μέχρι τῆς ἔσω κοιλίας, ἐν τοῖς σπανιωτάτοις. οὐ τοῦτο δέ μοι δοκεῖ διὰ τὴν οὐσίαν αὐτῶν, ἀλλ' ὅτι φάρμακον ἐπιθεῖναι καθάπερ τοῖς ἔξω τραύμασιν οὐ δυνάμεθα. διὸ καὶ διὰ τῶν καταπινομένων ἐπιχειρεῖ θεραπεύειν τὴν κοιλίαν ὁ περὶ τῶν ὀλεθρίων τραυμάτων γράψας, εἴτ' αὐτὸς ὁ Ἱπποκράτης, εἴτ' ἄλλος τις ἕτερος.

Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται οὔτε συμφύεται.

Αὔξεσθαι μὲν γὰρ λέγει, τὸ γεννᾶσθαί τινα ἑτέραν οὐσίαν τοιαύτην, οἵα τοῦ διακοπέντος ἐστὶν, ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ὁρᾶται σὰρξ βλαστάνουσα. συμφύεσθαι δὲ, ὅταν τοῦ διακοπέντος σώματος τὰ χείλη κολληθῇ. τὸ μὲν οὖν μὴ γεννᾶσθαι χόνδρον ἢ ὀστοῦν, ὡμολόγηται. περὶ δὲ τοῦ μὴ κολλᾶσθαι, τινὲς ἀμφισβητοῦσιν. ἐναργῶς γὰρ ὁρᾶσθαι φασὶ τὰ καταγνύμενα τῶν ὀστῶν κολλώμενα. πεπλάνηνται δ' οἱ τοιοῦτοι, καὶ διδάξειεν ἄν τις αὐτοὺς ἐπὶ τῶν ἀλόγων ζώων, ὅσα κατεάξαντά τι μόριον ἐπωρώθη. ταῦτα γὰρ, εἴτε τις ζῶντα, εἴτε τεθνεῶτα βούλοιτο σκοπεῖν, ἀνατεμὼν, εὑρήσει σαφῶς ὑπὸ τοῦ πώρου καθάπερ ὑπὸ δεσμοῦ τινὸς, ἐν κύκλῳ περιγραφέντος ἐσφιγμένα τὰ κεχωρισμένα μόρια τῶν ὀστέων, ἅπερ εἰ ἀποξέσειεν, ἀκόλλητον ὄψεται τὸ βάθος τοῦ κατάγματος. οὕτω δὲ καὶ περὶ τῶν εἰρημένων ἀμφισβητοῦσί τινες, οἱ μὲν αὐξάνεσθαι λέγοντες, οὐ μὴν συμφύεσθαι. τινὲς δὲ ἐν τῷ σπανίῳ καὶ συμφύεσθαι. τοῦ μὲν οὖν αὐξηθῆναι τὰ κατὰ διάβρωσιν ἡλκωμένα δεῖται, καὶ οὐδένα τεθέαμαι τῶν οὕτω παθόντων, μὴ σαρκωθέντα. τοῦ κολληθῆναι δὲ τὰ διῃρημένα, καὶ οὐ τὰ διακεκομμένα. διαφέρει γὰρ ἀλλήλων ταῦτα, τῶν διακεκομμένων ἐς τὸ πέρας ἐχόντων διήκουσαν τὴν διαίρεσιν, ἅπερ ἔφη νῦν ὁ Ἱπποκράτης μὴ συμφύεσθαι, οὐ μόνον ὅτι νευρώδη τέ ἐστιν καὶ λεπτὰ, ἀλλ' ὅτι καὶ τοιούτων αὐτῶν ὄντων, ἀφίστανται τὰ χείλη τῆς τρώσεως ἀλλήλων οὐκ ὀλίγον.

Ἤν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

Τινὲς μὲν χωρὶς ἄρθρου γράφουσιν, ἢν ἐς κοιλίην αἷμα ἐκχυθῇ, βουλόμενοι πᾶσαν δηλοῦσθαι κοιλότητα, μαρτυρεῖ γ' αὐτοῖς, ἡ τοῦ παρὰ φύσιν προσθήκη, ἰδιότητά τι δι' αὐτῆς ἐνδεικνυμένου τοῦ Ἱπποκράτους. ἐὰν ἐκχυθῇ ποτε τῆς οἰκείας κοιλότητος τὸ αἷμα, καὶ εἰς ἑτέραν κοιλότητα ἡντιναοῦν ἀφίκηται, μένειν αἵματι τοῦτο, παντάπασιν ἀμήχανον. οὕτω γοῦν καὶ κατὰ τὰς φλεγμονὰς καὶ τὰς ἐκχυμώσεις ὀνομαζομένας, φαίνεται γιγνόμενον, ἐπὶ μὲν τῶν φλεγμονῶν κατὰ μικρὰ διασπειρομένου τοῦ αἵματος εἰς τὰς λόγῳ θεωρητὰς ἐν τοῖς μυσὶ κοιλότητας, ἐπὶ δὲ τῶν ἐκχυμώσεων, ἐς τὰς περικειμένας χώρας τοῖς ἀγγείοις ἐκχεομένου. τὸ δ' ἐκπυηθῆναι κακῶς, εἴρηται μιᾶς μεταβολῆς ὄνομα ὑπάρχον. διὸ καί τινες εἰς τὸ γενικώτερον αὐτὸ μεταλαμβάνουσιν εἰς τὸ φθαρῆναι, τοῦτο σημαίνεσθαι λέγοντες ὑπ' αὐτοῦ. καὶ γὰρ οὕτω φαίνεται γιγνόμενον ὡς μὴ διαμένειν αἷμα, τὸ τῆς κατὰ φύσιν χώρας ἐκπεσὸν, ἀλλὰ ποτὲ μὲν ἐκπυΐσκεσθαι, ποτὲ δὲ μελαίνεσθαι, ποτὲ δὲ θρομβοῦσθαι, καὶ μάλιστα ὅταν εἰς μεγάλην κοιλότητα ἐκπέσῃ παρὰ φύσιν.

Τοῖσι μαινομένοισι, κιρσῶν ἢ αἱμορροΐδων ἐπιγενομένων, τῆς μανίης λύσις.

Ἐνταῦθα μανίαν τὴν κυρίως μελαγχολίαν καλεῖ, οὐχὶ τὴν ἀπὸ χολῆς. κιρσὸς γάρ ἐστιν ἀνεύρυσις τῶν φλεβῶν, τῶν ἐν τοῖς μηροῖς καὶ σκέλεσιν ἀπὸ παχέος καὶ μελαγχολικοῦ γενόμενος αἵματος, ὥστε ὠθούσης τῆς φύσεως εἰς ἀκυρώτερα μόρια τοὺς τὴν μανίαν ἐργαζομένους χυμοὺς, καὶ μάλιστα ὅταν ὦσι μελαγχολικοὶ καὶ παχεῖς, ἥτε τῶν εἰρημένων παθῶν ἕπεται γένεσις, ἥτε τῆς μανίας λύσις.

Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

Κάλλιον ἔνιοι γράφουσιν, ὁκόσα ἀλγήματα. τὸ γάρ τοι ῥῆγμα μεταβαίνειν αὐτὸ, τῶν ἀδυνάτων ἐστίν. εἴγε δὴ διασπωμένου τε καὶ ῥηγνυμένου κατὰ τὸ σαρκῶδες αὐτοῦ μόριον τοῦ μυὸς, γίνεται τὸ ῥῆγμα. φαίνεται γοῦν ἐνίοτε πάνυ σαφῶς ἀθροιζόμενον ἐν τῇ τῆς ῥήξεως χώρᾳ τὸ αἷμα, καὶ ἡ ἴασις ἐν τῷ διαφορῆσαι τοῦτο κεῖται. τὰ δ' ἄλλα τὰ κατὰ τὸν νῶτον ἀλγήματα μεθιστάμενα, καταῤῥέων ἐργάζεται χυμός. ἐνίοτε μὲν καὶ μόνος, ὡς τὰ πολλὰ δὲ καὶ μετὰ φυσώδους καὶ παχέος πνεύματος, ὃν ἐκλαμβάνειν τε χρὴ καὶ κενοῦν διὰ τῆς κατ' ἀγκῶνα φλεβοτομίας, ὅταν ἐνταῦθα φανεῖται ῥέων. αὐτὸς γὰρ ἐκέλευσε κατὰ τὰς ῥοπὰς τῶν χυμῶν τὰς κενώσεις ποιεῖσθαι. τοῦτο δὲ σημαίνει, καὶ ἥδε ἡ λέξις. ἀκτέα γὰρ ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων. εἰ δὲ περὶ τῶν ῥηγμάτων ὁ λόγος αὐτῷ γέγραπται, τὰ κατὰ συμπάθειαν ἀλγήματα γινόμενα, λεκτέον εἰρῆσθαι καταβαίνειν εἰς τοὺς ἀγκῶνας, οὐκ αὐτὴν τὴν διαίρεσιν τοῦ σαρκώδους μορίου. καὶ μέντοι καὶ ὠφελεῖσθαι δυνατόν ἐστιν ὑπὸ τῆς φλεβοτομίας τὰ τοιαῦτα τῷ κοινῷ λόγῳ τῆς κενώσεως.

Ἢν φόβος καὶ δυσθυμίη πολὺν χρόνον ἔχουσα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

Ἐὰν μὴ διά τινας φανερὰς αἰτίας φοβῆταί τις, ἢ δυσθυμῇ, φανερῶς ἐστι μελαγχολικά, καὶ τὰ τοιαῦτα συμπτώματα, καὶ μᾶλλον εἰ τύχῃ κεχρονικότα. διὰ μέντοι φανερὰν αἰτίαν ἀρξάμενα, κἄπειτα χρονίζοντα, μὴ λανθανέτω σε μελαγχολίαν ἐνδεικνύμενα. καὶ γὰρ καὶ μανία πολλοῖς ἤδη φαίνεται γεγενημένη, διὰ θυμὸν ἢ ὀργὴν, ἢ λύπην ἀρξαμένη, αὐτοῦ τοῦ σώματος δηλονότι πρὸς τὸ παθεῖν τὰ παθήματα ταῦτα κατὰ τὸν καιρὸν ἐκεῖνον ἐπιτηδείως ἔχοντος.

Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

Τοῦτο καὶ κατὰ τὸν ὀλίγον ἔμπροσθεν εἰρημένον ἀφορισμὸν ἐδήλωσεν, οὗ ἡ ἀρχὴ, κύστις ἢν διακοπῇ, ἢ ἐγκέφαλος. οὐκ οἶδα δ᾽ ὅπως νῦν μάτην γέγραπται. κατεμάθομεν δὲ αὐτὸν τοῦτον, καὶ κατ᾽ ἄλλους τινὰς ἀφορισμοὺς, οὓς καὶ ἐξαιρεῖν ἄμεινον.

Ἐρυσίπελας ἔξωθεν ἔσω τρέπεσθαι, οὐκ ἀγαθὸν, ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

Οὐκ ἐρυσίπελας μόνον, ἀλλὰ καὶ πᾶν ἄλλο ὁτιοῦν μεθιστάμενον, ἐκ τῶν βαθέων τε καὶ κυρίων μορίων, ἐπὶ τὸ δέρμα τῶν ἀγαθῶν εἶναι σημείων τε ἅμα καὶ αἰτίων ὑποληπτέον ἐστί. ἔμπαλιν δὲ μεθιστάμενόν γε ἐπὶ τὸ βάθος, τῶν κακῶν. ἀλλὰ καὶ ἄλλα πολλὰ φαίνεται κατὰ τὸ βιβλίον ὁμοίως εἰρηκὼς ὁ Ἱπποκράτης, ὥσπερ τινὰ παραδείγματα τῶν καθόλου λόγων, ἐφ᾽ ὧν καὶ τὴν τοῦ συμβαίνοντος ἐμπειρίαν ἐναργεστέραν ἔχειν δυνάμεθα. τοιαῦτα γὰρ εἶναι χρὴ τὰ παραδείγματα.

Οἷσιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γίνωνται, παρακοπὴ λύει.

Εἴτ᾽ αὐτὸς ὁ Ἱπποκράτης τοὺς τοιούτους ἀφορισμοὺς ἔγραψεν, οἷον παραδείγματα λόγων γενικωτέρων τε καὶ καθολικωτέρων, εἴτ᾽ ἄλλοι παρέθεσαν, ἐάσαντες ζητεῖν ἑτέροις, ἐκεῖνο μόνον ἐπ᾽ αὐτῶν φυλάττοιμεν, ὅπερ καὶ πρόσθεν μὲν εἴρηται, καὶ νῦν δὲ ἐπὶ τοῦ καύσου λεχθήσεται. τὰ γὰρ ποιοῦντα τὸν πυρετὸν τοῦτον, αἴτια κατὰ τὸ φλεβῶδες ὑπάρχοντα γένος, ὅταν εἰς τὰ νεῦρα μεταστῇ, τρόμον μὲν πρῶτον ἐργάζεται, συμπαθούσης δὲ τῆς ἀρχῆς, καὶ παραφροσύνας. ὡς οὖν ἐπὶ καύσου ἡ μετάστασις, οὕτω κἀπὶ παντὸς ἄλλου πυρετοῦ δύναται γενέσθαι, καὶ ὅλως ἐξ ἀρτηριῶν καὶ φλεβῶν εἰς νεῦρα μετάστασις τῶν λυπούντων χυμῶν, ὥσπερ αὖ πάλιν ἐκ νεύρων εἰς αὐτά. οὐκ ἀκριβῶς οὖν εἴρηκε, τὸν καῦσον ὑπὸ τῆς παραφροσύνης λύεσθαι. ταῦτα γὰρ ὀνομάζειν εἴωθεν ὁ Ἱπποκράτης ἐπιγινόμενά τισι, λύειν αὐτῶν τὴν κατασκευὴν, ὅσα τελέως ἐκθεραπεύει τὸν ἄνθρωπον, οὐχ ὅσα γεννᾷ πάθος ἕτερον, οὐδὲν ἧττον τοῦ πρόσθεν ἐπικίνδυνον.

Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ καίονται, ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

Ἐμπύους ὀνομάζειν μάλιστα εἴωθεν τοὺς ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος εὐρυχωρίᾳ τὸ πύον ἔχοντας, οὓς ὅπως χρὴ καίειν εἴρηκεν ἐν τῷ μεγάλῳ περὶ παθῶν, οὗ ἡ ἀρχὴ, ἢν τοῦ πνεύμονος αἱ ἀρτηρίαι. τινὲς δ᾽ ἐπιγράφουσι τὸ βιβλίον τοῦτο, περὶ ἐμπύων. δέονται μὲν οὖν καύσεως οἱ πλεῖστον ἔχοντες πύον, ὡς ἀπογνῶναι διὰ τῶν πτυσμάτων ἐκκαθαρθῆναι. τοῖς δ᾽ αὐτοῖς τούτοις καὶ ἡ δύσπνοια γίνεται σφοδρὰ, διὰ τὴν στενοχωρίαν, ὥστε καὶ διὰ ταύτην ἡμᾶς ἀναγκάζεσθαι καίειν αὐτούς. ἐπὶ δὲ τῶν ὑδρωπικῶν αἱ παρακεντήσεις ὀνομαζόμεναι, μᾶλλον τῶν καύσεων ἐν ἔθει τοῖς ἰατροῖς εἰσιν. ἀλλὰ νῦν γε τὸ κοινὸν παρακεντήσεώς τε καὶ καύσεως, ὅπερ ἐστὶ ἀθρόα κένωσις, ὁ Ἱπποκράτης συμβουλεύει φυλάττεσθαι, φαίνεται γὰρ οὕτως ἀποβαῖνον ὡς λέγει. γέγραπται δὲ καὶ πρὸς Ἐρασιστράτου, λεπτομερέστερον περὶ τῶν ὑδερικῶν ἐπὶ πλέον, ὡς φάσκοντος αὐτοῦ πεπειρᾶσθαι τῆς ἀθρόας κενώσεως, πυρετός τε φορούσης, καὶ θάνατον. ὁρῶμεν δὲ ἐπὶ τῶν ἄλλων μορίων ὥσπερ ἐπὶ θώρακος, ὅταν ὄγκος τις ἐμπυήσῃ μέγας, ἐπισφαλῆ γινομένην τὴν ἀθρόαν κένωσιν, ἔν γε τῷ παραχρῆμα λειποψυχούντων τε καὶ καταπιπτόντων τὴν δύναμιν, καὶ μετὰ ταῦτα, δυσανάκλητον ἐχόντων τὴν ἀσθένειαν. ἔοικεν οὖν ἐπὶ μὲν τῶν πρώτων ἐκ τῆς ἐπὶ πολὺ τῶν σωμάτων διαστάσεως, καὶ τῆς τοῦ πύου δριμύτητος, ἀνεστομῶσθαι τινὰ τῶν ἀρτηριωδῶν ἀγγείων, ἃ πρότερον μὲν οἷον ἐπίπωμά τι τὸ πύον ἔχει, κενωθέντι δ᾽ ἀθρόως τῷ πύῳ, συνέπεται καὶ συνεκκρίνεσθαι πνεῦμα, καὶ κατὰ τοῦτο ἡ βλάβη γίνεται τοῖς κάμνουσιν. ἐπὶ μέντοι τοὺς ὑδέρους, οὐ διὰ τοῦτο μόνον βλάβη γίνεται τοῖς κάμνουσιν, ἀλλὰ καὶ ὁ τοῖς σπλάγχνοις σκίρρος, ὡς ἂν μηκέτ᾽ ὀχλούμενος ὑπὸ τῆς ὑδατώδους οὐσίας, κατασπᾷ τό, τε διάφραγμα, καὶ τὰ κατὰ τὸν θώρακα σπλάγχνα.

Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

Τοὺς εὐνούχους τὸ τῆς τομῆς τῶν ὄρχεων πάθος, ὁμοίους ταῖς γυναιξὶν ποιεῖ. ἐκείναις οὖν ὥσπερ οὐ γίνεται φαλάκρωσις, οὕτως οὐδὲ τοῖς εὐνούχοις διὰ τὸ ψυχρὸν τῆς κράσεως. τὸ μέντοι μὴ ποδαγρίαν αὐτοὺς, ἐν μὲν τοῖς καθ᾽ Ἱπποκράτην χρόνοις ἦν ἀληθές. ἐν δὲ τῷ νῦν οὐκέτι, διὰ τὴν ὑπερβάλλουσαν ἀργίαν τε ἅμα καὶ ἀκολασίαν τῆς διαίτης. ἔχει δὲ ὧδε τὸ σύμπαν. ἀναγκαῖον μὲν ἀσθενεστέρους ἔχειν τοὺς πόδας, εἰ μέλλει τις ἁλῶναι ποδάγρᾳ, καθάπερ τὸν ἐγκέφαλον, εἰ μέλλει τις ἐπιληπτικὸς ἔσεσθαι. οὐ μὴν ἀναγκαῖόν γε πάντως ἑκάτερον ἁλῶναι τῷ πάθει, μηδὲν ἐν τῷ βίῳ πλημμελοῦντα. μαθήσῃ δὲ ἐναργῶς ὅτι τοῦ μέρους ἡ ἀσθένεια τὸ πάθος οὐχ ἱκανὴ ποιεῖν ἐστιν ἐκ τῷ μεταξὺ χρόνῳ τῶν παροξυσμῶν, ἐν ᾧ μηδὲν ὅλως ἐνοχλοῦνται, καί τοι τῆς φυσικῆς ἀσθενείας διὰ παντὸς ὑπαρχούσης αὐτῇ. εὔδηλον δὲ καὶ τοῦτ᾽ ἐστιν ἐπὶ τῶν ποδαγρικῶν ἐναργῶς φαινόμενον, ὡς ἐπιρρέοντος αὐτοῖς τινὸς ἐπὶ τοὺς πόδας χυμοῦ περιττοῦ, συνίσταται τὸ πάθος. ἐὰν οὖν μηδέ ποτ᾽ οὗτος ἐπιρρέῃ, πρόδηλον ὡς οὐδὲ τὸ πάθος ἔσται ποτέ. οὐκ ἐπιρρυήσεται δὲ αὖ διὰ παντὸς ἀπέριττον, ἐὰν γυμνάζηται τὰ μέτρια, καὶ πέττῃ καλῶς ὁ ἄνθρωπος τὴν τροφὴν, ὅθεν ἀργίαι τε καὶ ἀδηφαγίαι βλάπτουσιν αὐτούς. βλάπτουσι δὲ καὶ τῶν ἰσχυρῶν, καὶ πολλῶν οἴνων αἱ πόσεις, καὶ

μάλιστα

μάλιστα ὅταν αὐτὴν τὴν προειρημένην τις αὐτῶν προσφέρηται. πληροῦσι γὰρ ἑτοίμως οὗτοι τὸ νευρῶδες γένος, ὥσπερ καὶ αἱ συνουσίαι. κατὰ μὲν οὖν Ἱπποκράτους χρόνους, ὀλίγοι παντάπασιν ἐποδαγρίων, διὰ τὸ τοῦ βίου κόσμιον. ηὐξημένης δὲ τῆς τρυφῆς εἰς τοσοῦτον ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ὡς αὖ μηδ' ἐπινοεῖν ἔτι προσθήκην αὐτῇ, ἄπορόν τι τὸ πλῆθος τῶν ποδαγριώντων ἐστίν. ἐνίων μὲν οὖν ὅτε γυμναζομένων, ἀπεπτούντων τε καὶ μεθυσκομένων, καὶ πρὸ τῆς τροφῆς πινόντων οἴνους ἰσχυρούς, ἀφροδισίοις τε χρωμένων ἀμέτρως. ἐνίων δὲ εἰ καὶ μὴ περὶ πάντων, καθ' ἓν γοῦν ἢ δεύτερον, ὧν εἶπον πάντως ἁμαρτανόντων. ἀλλ' ὅταν ἡ πλημμέλεια γίνηται μεγάλη, πολλάκις ἐξαρκεῖ καὶ μόνον ἕν τι τῶν εἰρημένων ἁμαρτηθέν. διὰ τοῦτο γοῦν καὶ οἱ εὐνοῦχοι ποδαγριῶσιν, εἰ καὶ ὅτι μάλιστα τῶν ἀφροδισίων ἀπέχονται. τηλικαύτη γοῦν ἐστιν, ἥτε ἀργία καὶ ἡ ἀπληστία ἐπ' αὐτῶν, καὶ ἡ οἰνοφλυγία, ὥστε καὶ τῶν ἀφροδισίων χωρὶς ἁλῶναι δύνασθαι ποδάγρᾳ. τὰ δ' αὐτὰ δηλονότι κἀπὶ τῶν ἀρθριτικῶν εἰρῆσθαι νόμιζε. τοὐπίπαν γὰρ ἅπαντες οἱ ἀρθριτικοὶ πρότεροι γίνονται ποδαλγικοί. προσελήλυθε δὲ ταῖς εἰρημέναις αἰτίαις δι' ἃς νῦν ποδαγριῶσι πολλοί, καὶ τὸ πατέρων τοὺς πλείστους γεγονέναι, καὶ πάππων ἤδη ποδαγρικῶν, ἐφ' ὧν δηλονότι τὸ σπέρμα μοχθηρότερον ἦν, καὶ διὰ τοῦτο καὶ τοῖς ἐγγόνοις ἰσχυροτέραν τοῖς μορίοις εἰργάσατο τὴν ἀσθένειαν.

Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτέῃ ἐκλείπῃ.

Τῷ λόγῳ τῶν κενώσεων οὐ ποδαγριῶσιν αἱ γυναῖκες. ἐδείχθη γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ, χωρὶς τῆς κατὰ τοὺς χυμοὺς πλεονεξίας ἐκ μόνης τῆς τῶν μορίων ἀσθενείας, μὴ δυναμένην συστῆναι ποδάγραν. ἀλλὰ κἀνταῦθα πάλιν ἔμπροσθεν μὲν ἀληθὲς ἦν τὸ χωρὶς τοῦ τελέως ἐκλιπεῖν τὰ καταμήνια διὰ τὴν σμικρότητα τῶν ἁμαρτημάτων, ὧν ἔμπροσθεν ἡμάρτανον αἱ γυναῖκες. νυνὶ δὲ διὰ τὸ μέγεθος αὐτῶν ἔνιαι ποδαγριῶσι, πρὶν ἐκλιπεῖν τὰ καταμήνια, παμπόλλαις μὲν ἐλλιπῶς γινομένων, ὀλίγαις δὲ καὶ συμμέτρως.

Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιάζειν.

Ὅτι μεγίστην δύναμιν εἰς ποδάγρας γένεσιν ἡ τῶν ἀφροδισίων ἔχει χρῆσις, εὔδηλον κἀπὶ τῶν παιδίων, ὥσπερ ὀλίγον ἔμπροσθεν κἀπὶ τῶν εὐνούχων ἔλεγεν. εὐνούχους μὲν οὖν ἑωράκαμεν τινὰς ποδαγριῶντας, παῖδας δ' οὐκ εἴδομεν. ἀλλ' εἰ καί τις ἑάλω τοιούτῳ πάθει, μετὰ τοῦ καὶ τὰ γόνατα καὶ τὰ κατὰ τὰς χεῖρας ἄρθρα συνεξοιδῆσαι πέπονθεν, ἀρθριτικὸν τρόπον τινὰ αἰφνίδιον ὑπὸ πληθώρας ἐκ πολλῶν ἀπεψιῶν ἀθροισθείσης.

Ὀφθαλμῶν ὀδύνας ἀκρητοποσίη, ἢ λουτρόν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει.

Ἐκ πείρας μοι δοκεῖ μᾶλλον, οὐκ ἐκ λόγου τινὸς ἐγνωκέναι τῶν εἰρημένων ἕκαστον ὁ Ἱπποκράτης. οὐδὲν γὰρ θαυμαστὸν ὀδυνώμενον ἄνθρωπον ἐπὶ λουτρὸν ὁρμήσαντα παύσασθαι τῆς ὀδύνης, ἢ κωλυόμενον οἶνον πιεῖν, εἶτ' οὐδὲν ὀνινάμενον, ὁρμῆσαι πρὸς αὐτόν, ὄντα καὶ ἄλλως οἰνόφλυγα, κἄπειτα ὠφεληθῆναι. καθάπερ οὖν καὶ ἄλλα πολλὰ τῶν οὕτως ὀφθέντων, ἐγράφη τοῖς ἰατροῖς ἀδιορίστως, οὕτω κἀνταῦθα δοκεῖ μοι γεγράφθαι, μήτε λογικῶς εἰπόντος αὐτοῦ τὰς διαθέσεις, μήτ' ἐμπειρικῶς τὰς συνδρομάς. τὸ γε μὴν ἐκ τῶν οὕτω γραφομένων λόγων χρήσιμον ἡμῖν ἐστιν εἰς τὸ ζητῆσαι τὰς διαθέσεις ἐφ' αἷς ἀκρατοποσίη τε καὶ λουτρὸν ἕκαστόν τε τῶν εἰρημένων ἐφεξῆς ὀνίνησιν, ὅπερ κἀμοὶ συνέβη. τὸ μὲν γὰρ ὅτι πάντως εἰσί τινες τῶν ὀδυνωμένων ὀφθαλμοὺς, οἱ μὲν ἀκρατοποσίαις, οἱ δὲ λουτροῖς ὀνινάμενοι, πιστεύων Ἱπποκράτει, ἐπεπείσμην. οὐ γὰρ ἂν ἔγραψεν αὐτὸ μὴ θεασάμενος, οὐ μὴν ὑπό γε τῶν διδασκάλων τινὸς ἐθεασάμην ποτὲ τοιοῦτον βοήθημα προσενεχθὲν κάμνοντι. ζητήσας οὖν πάσας τὰς διαθέσεις ἐφ' αἷς ἀναγκαῖόν ἐστιν, οὐ κατὰ τὸν ὀφθαλμὸν μόνον, ἀλλὰ καὶ κατ' ἄλλα μόρια γίνεσθαι τὰς ὀδύνας, εἶτ' ἐμαυτὸν πάσας εὑρηκέναι, τοὐντεῦθεν ἐσκεψάμην αὐτῶν τὰ γνωρίσματα. κἄπειδὴ καὶ περὶ τούτων ἐπείσθην, ἐτόλμησα προσαγαγεῖν τὰ βοηθήματα τοῖς ὀδυνωμένοις, καὶ πρῶτον μὲν ἔλουσα νεανίσκον ὃν εὐλόγως ὁ θεραπεύων πεφλεβοτόμηκε κατὰ τὴν δευτέραν ἡμέραν ἀπ' ἀρχῆς, εἶτ' ἐξῆς ἐθεράπευσε τοῖς διὰ πείρας φαρμάκοις, φλεγμονῆς μόνης οὔσης κατὰ τοὺς ὀφθαλμούς. ὠδυνᾶτο δὲ κατά τινας εἰσβολὰς σφοδρότατα, καθ' ἃς αὐτὸς ἔφασκεν αἰσθάνεσθαι δριμέων ὑγρῶν ἀθρόως ἐπιρρυέντων τοῖς ὀφθαλμοῖς, εἶτ' ἐκκενωθέντων, αὐτῶν ἐπαύετο τὸ σφοδρότατον τῆς ὀδύνης, οὐ μὴν παντάπασιν ἀνώδυνος ἐγίγνετο, καὶ τοῦτο αὐτὸ συνέβη δι' ὅλης τῆς πέμπτης ἡμέρας ἀεὶ καὶ μᾶλλον αὐξανόμενον. οὐκέτ' οὖν φέρων τὴν ὀδύνην, ἐκάλεσεν ἐμέ τε, καὶ τῶν ὀφθαλμικῶν ἰατρῶν τινά, τῶν τότε ὄντων ἐν Ῥώμῃ τὸν δοκιμώτατον. ἐκείνῳ μὲν οὖν ἐδόκει τότε χρῆσθαι τινὶ κολλυρίῳ τῶν ἐμπλαστικῶν τε ἅμα καὶ ἀνωδύνων, οἷα τά τε διὰ ψιμμυθίου πεπλυμμένου, καὶ ἀμύλου καὶ μήκωνος συντιθέμενα. μάλιστα γὰρ αὖ οὕτως ἀνασταλήσεσθαι τὸ ἐπιρρέον ἤλπιζε διὰ τῶν ἐμπλαστικῶν. ναρκωθήσεσθαί τε ἅμα διὰ τῶν ναρκωτικῶν τὴν αἴσθησιν. ἐγὼ δ' ἐξ ἀρχῆς ὑπόπτως ἔχω καὶ πρὸς τὰ τοιαῦτα τῶν φαρμάκων. οὔτε γὰρ ἀναστέλλει τὰ σφοδρὰ τῶν ῥευμάτων, ἀλλ' ἐκκρίνεσθαι κωλύει, καὶ διὰ τοῦτο δριμέων μὲν ὄντων αὐτῶν, ἑλκοῦσθαι συμβαίνει τὸν κερατοειδῆ. πολλῶν δὲ διατείνεσθαί τε καὶ παροξύνεσθαι σφοδρῶς, ὥσπερ ῥηγνύμενον, ἐφ' οἷς εἰ μὴ καὶ μεγάλως εἴη ναρκωτικὸν τὸ φάρμακον, ἀφορήτους συμβαίνει γίνεσθαι τὰς ὀδύνας. εἰ δ' οὕτως εἴη ναρκωτικόν, ὡς καὶ τῆς μεγίστης φλεγμονῆς ἀναισθήτους ἐργάζεσθαι τοὺς ὀφθαλμούς, ἀναγκαῖόν ἐστιν ἅμα κακοῦσθαι τὴν ὀπτικὴν δύναμιν, ὡς μετὰ τὸ παύσασθαι τὴν ὀφθαλμίαν, ἢ παντελῶς ἀμυδρόν, ἢ μηδ' ὅλως αὐτοὺς ὁρᾶν, ἅμα δ' ὑπολείπεσθαί τινα σκιρρώδη διάθεσιν ἐν τοῖς χιτῶσι δυσίατον. ἅτε οὖν ταῦτα γινώσκων, ὁρῶν τε τὸ ἐπιρρέον, οὐκ ὀλίγον ἰσχυρῶς τε δριμὺ καὶ θερμόν, ἐνόησα χρήσασθαι πυρίᾳ πρότερον ἕνεκα πείρας, ὡς ἐξ αὐτῆς ἀκριβέστερον εἰσόμενος ὁποία τίς ἐστιν ἡ διάθεσις. εἴωθε γὰρ ἐπὶ τῶν τοιούτων ἡ πυρία παρηγορεῖν μὲν ἄχρι τινός, ἐπικαλεῖσθαι δ' ἕτερον ῥεῦμα. καθ' ὃν γὰρ λόγον διαφορεῖν πέφυκε τὸ περιεχόμενον ἐν τοῖς ὀφθαλμοῖς, κατὰ τὸν αὐτὸν λόγον ἕλκειν ἕτερον ἐκ τῶν πλησίων. ἀλλ' ἅμα γε τῷ κελεῦσαί με τοῦθ' ὕδωρ κομισθῆναι τὸ θερμόν, καὶ τὸν σπόγγον, αὐτὸς ὁ κάμνων ἔφη πεπειρᾶσθαι ἤδη πολλάκις δι' ὅλης ἡμέρας, τοῦ βοηθήματος, παρηγοροῦντος μὲν αὐτόν, ὀλίγῳ δ' ὕστερον ὀδύνην μείζονα ἐπιφέροντος. ἀκούσας οὖν ἐγὼ τοῦτο, τὸν μὲν ὀφθαλμικὸν ἰατρὸν ἀπέλυσα, παραμυθησάμενος αὐτὸν ὑποσχόμενος, καὶ ποιήσειν ἀνώδυνον τὸν κάμνοντα χωρὶς φαρμάκου

ψυκτικοῦ. τῷ λουτρῷ δὲ αὐτίκα χρησάμενος καὶ μόνῳ, οὕτως ἀνώδυνον εἰργασάμην αὐτὸν, ὡς δι᾽ ὅλης νυκτὸς κοιμηθῆναι, μηδ᾽ ἅπαξ καλέσαντα τῶν παρακοιμωμένων μηδένα. τοὐντεῦθεν δὲ λοιπὸν ἐφ᾽ ὧν ἐσημειωσάμην, ἐπιῤῥεῖν μὲν τοὺς δριμεῖς χυμοὺς τοῖς ὀφθαλμοῖς, οὐ μὴν ἔτι γε πληθωρικὸν εἶναι τὸ σῶμα, βαλανείου χρήσει τὴν ὀδύνην αὐτῶν ἰασάμην. ἄλλον δέ τινα νεανίσκον ἡμερῶν μὲν ἤδη πλειόνων ὀφθαλμιῶντα, κατ᾽ ἀγρὸν οὐκ ἐγγὺς ὄντα τῆς πόλεως, ὕστερον δ᾽ ὡς ἐν αὐτοῖς διέμενεν, ἀφικόμενον εἰς τὴν πόλιν, ἰδὼν αὐχμηροὺς μὲν ἔχοντα τοὺς ὀφθαλμοὺς, ἰσχυρῶς δ᾽ ὠγκωμένας καὶ πλήρεις αἵματος τὰς κατ᾽ αὐτοὺς φλέβας, ἐκέλευσα λουσάμενον ἀκρατεστέρῳ χρῆσθαι τῷ πόματι, καὶ οὕτω πειραθῆναι καθυπνῶσαι. καὶ τοίνυν ὕπνος τε βαθὺς αὐτῷ γίνεται, καὶ ἀνώδυνος ἕωθεν ἀνέστη, καί μοι θάρσος ἐνεποίησεν, ἐφ᾽ ὧν ἐστὶν ἔνστασις αἵματος παχέος ἐν τοῖς τῶν ὀφθαλμῶν φλεβίοις ἄνευ πληθωρικῆς διαθέσεως ἐν ὅλῳ τῷ σώματι, οἴνῳ χρῆσθαι πόσει δυναμένου καὶ κενοῦν τὸ αἷμα, καὶ τῷ σφοδρῷ τῆς κινήσεως ἐκφράττειν τὰς ἐνστάσεις. ταυτὶ μὲν οὖν ἀγνωστικὰ βοηθήματα τῶν κατ᾽ ὀφθαλμοὺς ὀδυνῶν. ἀσφαλέστατον δ᾽ ἡ πυρία, καὶ πάντως τινὰ χρείαν παρέχον, ἢ ὡς σημεῖον εἰς διάγνωσιν, ἢ ὡς αἴτιον ὑγιείας τοῖς ὀφθαλμοῖς. ὅταν μὲν γὰρ μηκέτι ὅλως ἐπιῤῥέῃ μηδὲν τοῖς ὀφθαλμοῖς, ἡ πυρία διαφορήσασα τὸ περιεχόμενον αὐτοῖς περιττὸν, ὑγιεῖς ἀπέφηνεν. ὅταν δ᾽ ἐπιῤῥέῃ, κατὰ μὲν τὴν πρώτην προσφορὰν, αὐτῷ τῷ θερμαίνειν μόνῳ παρηγορίαν τινὰ μετρίαν ἤνεγκεν, ὀλίγῳ δ᾽ ὕστερον αὐξάνει τὴν ὀδύνην, καὶ γίνεται τηνικαῦτα διαγνωστικὸν σημεῖον, ὡς καταμαθόντας ἡμᾶς τὴν διάθεσιν, ἐπί τινα κένωσιν ὅλου τοῦ σώματος ἀφικέσθαι. πληθωρικοῦ μὲν ὄντος αὐτοῦ, διὰ φλεβοτομίας, κακοχύμου δὲ διὰ καθάρσεως. οὐ γὰρ δὴ χαλεπόν γέ σοι διακρῖναι κακοχυμίαν ἀπὸ πλήθους αἵματος.

Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

Ὥσπερ τὸ ψελλίζεσθαι τῆς διαλέκτου πάθος ἐστὶν, οὐ τῆς φωνῆς, οὕτω καὶ τὸ τραυλίζειν, μὴ δυναμένης τῆς γλώττης ἀκριβῶς ἐκείνας διαρθροῦν τὰς φωνὰς, ὅσαι διὰ τοῦ τ. καὶ ρ. λέγονται, καθάπερ αὐτήν τε ταύτην τὴν τραύλωσιν, καὶ ὁμοίως τάσδε, τρέχει, τρέμει, βραχὺς, τροχὸς, βυφρὸς, ὅσαι τε ἄλλαι παραπλήσιαι. δέονται γὰρ αἱ τοιαῦται πᾶσαι, τῆς γλώττης μετὰ τοῦ πλατύνεσθαι στηριζομένης ἐπὶ τοῖς προσθίοις ὀδοῦσιν. ὅταν οὖν ἀτονωτέρα τισὶν ὑπάρχῃ, στηρίζεται χεῖρον, καὶ οὐ διαρθροῖ τὸν τοῦ τ. καὶ ρ. φθόγγον, ἀλλ᾽ ἀντὶ τὸν τ. καὶ λ. μεταπίπτει. δύναται δ᾽ αὐτῇ γενέσθαι τοῦτο, καὶ διότι βραχυτέρα πώς ἐστι τοῦ προσήκοντος, ὅπερ ἐστὶ σπανιώτατον. ἀλλὰ καὶ διότι μαλακωτέρα τε καὶ ὑγροτέρα τὴν κρᾶσιν. οὕτω γοῦν καὶ τὰ παιδία τραυλίζει παραπλησίου τοῦ συμβαίνοντος αὐτοῖς ὑπάρχοντος, οἷόν τι καὶ περὶ τὴν βάδισιν γίνεται. καὶ γὰρ καὶ ταύτην, τὰ μὲν οὐδ᾽ ὅλως, τὰ δ᾽ οὐχ ἱκανῶς ἔχει, τῶν σκελῶν αὐτοῖς διὰ μαλακότητα στηρίζεσθαι βεβαίως ἀδυνατούντων. ἐνίοις δὲ καὶ τῶν τελείων, ὅταν διαλεγόμενοι κάμνωσι συμβαίνει τραυλίζειν, ὥσπερ καὶ τοῖς ἐπὶ τὸ πλεῖστον αὐλήσασιν. οὕτω δὲ καὶ τοῖς ἐν νόσῳ κεκμηκόσιν ἰσχυρῶς τὴν δύναμιν, ὥσπερ γε καὶ διὰ τὸ σφοδρότερον ξηρανθῆναι τὴν γλῶτταν ἐνίοις. ἀλλ᾽ ἡ τοσαύτη ξηρότης οὐδενὶ τῶν κατὰ φύσιν ἐχόντων ὑπάρξαι δύναται. καὶ διὰ τοῦτο μόνης ὑγρότητος ἀμέτρου σύμπτωμά ἐστιν, ἐν τοῖς φύσει τραυλοῖς, ἡ τῆς διαλέκτου βλάβη, μὴ δυναμένων τῶν μυῶν τῆς γλώττης ἐγκρατῶς στηρίζεσθαι. τοῦτο δὲ αὐτοῖς συμβαίνειν, ἐγχωρεῖ μὲν καὶ διὰ τὴν οἰκείαν ἀῤῥωστίαν, ἐγχωρεῖ δὲ καὶ διὰ τὴν τῶν νεύρων, ὧν παρ᾽ ἐγκεφάλου λαμβάνει δηλονότι. καὶ οἱ μεθύοντες οὖν ἐνίοτε τραυλίζουσι, τοῦτο μὲν ὑγρότητι πολλῇ, διαβρεχομένου τοῦ ἐγκεφάλου, τοῦτο δ᾽ ὑπὸ πλήθους αὐτῆς βαρυνομένου. συμβήσεται γοῦν οὕτω καὶ τοῖς φύσει τραυλοῖς, ἤτοι τὸν ἐγκέφαλον ὑγρὸν ὑπάρχειν, ἢ τὴν γλῶτταν, ἢ ἀμφότερα. τοῦ μὲν οὖν ἐγκεφάλου τοιαύτην ἔχοντος κρᾶσιν, ἀποῤῥεῖν μὲν εἰκός ἐστι περιττωμάτων ὑγρῶν πλῆθος. ὑποδέχεσθαι δὲ αὐτὰ καταῤῥέοντα τὴν γαστέρα, κἀντεῦθεν ἁλίσκεσθαι διαῤῥοίαις μακραῖς τὸν ἄνθρωπον. τῆς γλώττης δ᾽ αὐτῆς ὑγροτέρας οὔσης σφόδρα φύσει, καὶ τὴν κοιλίαν εἰκὸς εἶναι τοιαύτην, ὡς ἂν θατέρου τῶν χιτώνων αὐτῆς, κοινοῦ πρὸς τὴν γλῶτταν ὑπάρχοντος, ἀτονίας δὲ ὑγρότητος. κοιλίας δ᾽ οἰκεῖον πάθημα, χρονία διάῤῥοια.

Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

Τοὺς ὀξυρεγμιώδεις ὀξεῖαν ἔχοντας ἐρυγὴν, σπανίως φησὶν ἁλίσκεσθαι πλευρίτισι. τὸ γὰρ οὐ πάνυ, τῶν σπανίως γιγνομένων δηλωτικόν ἐστιν, οὐ τῶν οὐδ᾽ ὅλως, ὡς ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἔγραψαν. εἴρηται δὲ ἡμῖν ἐν τοῖς περὶ πλευρίτιδος λόγοις, ὡς ἡ μὲν ἅμα τοῖς ὠχροῖς τε καὶ ξανθοῖς πτύσμασιν, ἐπὶ χολώδεσι γίνεται χυμοῖς, ἡ δ᾽ ἅμα τοῖς ἀφρώδεσιν ἐπὶ φλεγματικοῖς. ὥσπερ καὶ ἡ μὲν ἅμα τοῖς μελαντέροις, ἐπὶ τοῖς μελαγχολικοῖς, ἡ δ᾽ ἅμα τοῖς ἐρυθροῖς, ἐπ᾽ αὐτῷ τῷ αἵματι. φλεγμονὴ μὲν γάρ ἐστι περὶ τὸν ὑπεζωκότα καλούμενον ὑμένα ἡ τῶν πλευριτικῶν διάθεσις. ἁπάσης δὲ φλεγμονῆς γινομένης ὑπὸ πλεονεξίας τινὸς χυμοῦ, κατὰ τὴν ἐκείνου φύσιν, τότε τῶν πτυσμάτων εἶδος ἐπιγίνεται τοῖς πλευριτικοῖς, ἥτε τῆς σωτηρίας, ἥτε τοῦ θανάτου προσδοκία. καταδέχεσθαι δ᾽ οὐχ ὁμοίως πεφύκασι τοὺς χυμοὺς, οἵ θ᾽ ὑμένες καὶ ὁ πνεύμων. πυκνὴ μὲν γὰρ καὶ ἡ τῶν ὑμένων φύσις, ἀραιὸς δὲ πάντη καὶ μανὸς ὁ πνεύμων ἐστὶν, ὥστε τούτῳ μὲν ἅπαντας ἑτοῖμον δέχεσθαι τοὺς χυμούς. τῷ δ᾽ ὑπεζωκότι, τοὺς χολώδεις. μᾶλλον διὰ τοῦτο οὖν οἷς φύσει πλεονάζει τὸ φλέγμα, σπανίως ἁλίσκονται πλευρίτισι καὶ μάλιστ᾽ ἐὰν ἁλυκότητά τινα καὶ δριμύτητα προσλάβῃ. τὸ γὰρ τοιοῦτον δάκνον τὰ ἔντερα πρὸς τὴν διαχώρησιν ἐρεθίζει, καὶ συμβαίνει τηνικαῦτα, μὴ μόνον τῷ φλέγματι κενοῦσθαι, συναπέρχεσθαι δ᾽ αὐτῷ πολλὰ καὶ τῶν ἄλλων περιττωμάτων. ἔλεγε δ᾽ αὐτὸς ἐν τῷ περὶ ὑδάτων τε καὶ τόπων, καὶ ἀέρων, ἥκιστα πλευρίτισί τε καὶ τοῖς ἄλλοις νοσήμασιν ἁλίσκεσθαι τοὺς ὑγρὰν ἔχοντας φύσει τὴν γαστέρα.

Ὁκόσοι φαλακροὶ, τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίνονται, ὁκόσοις δ᾽ ἂν φαλακροῖς κιρσοὶ ἐπιγένωνται, πάλιν γίνονται δασέες.

Ὁπόταν ἐν ἀνδρὸς φρονίμου συγγράμματι λόγος εὑρεθῇ προφανῶς ψευδὴς, εἰκότως ἀπορεῖσθαι συμβαίνει τοὺς ἀναγινώσκοντας αὐτὸν, καὶ πρῶτον μὲν ἑαυτοῖς ἀπιστεῖν, ὡς μηδὲ τὰ φανερὰ γινώσκουσιν, εἶθ᾽ ἑξῆς ὑποπτεύειν,

μήτι

μήτι τῶν ὑποκειμένων ψευδὲς εἴη. τίς γὰρ οὐκ οἶδεν ἀνίατόν τι πάθημα τὴν φαλάκρωσιν ὑπάρχουσαν, ἀλλὰ καὶ τὸ μηδέ ποτε ἐπιγίνεσθαι μεγάλους κιρσοὺς τοῖς φαλακροῖς, οὐκ ἀληθές, ὥσπερ οὐδὲ τὸ γενομένων κιρσῶν, παύεσθαι τὴν φαλάκρωσιν. εἰ μή τι ἄρα καθάπερ ἔνιοι φασὶν τὴν καλουμένην ὑπὸ τῶν ἰατρῶν μαδάρωσιν ὀνομάζειν φαλάκρωσιν. ἐκείνη γὰρ ὑπὸ μοχθηρῶν χυμῶν γιγνομένη, καθάπερ αἵ τε ὀφιάσεις, καὶ ἀλωπεκίαι ὀνομαζόμεναι, μεταστάντων εἰς τὰ σκέλη τῶν φαύλων χυμῶν, ἐργάζεσθαι δύναται κιρσοὺς, ἀνακτήσασθαί τε τὰς τρίχας. εἰ γὰρ ἐμπαθῶν ὑπὸ μοχθηρῶν χυμῶν φθειρομένων αὐταῖς τῶν ῥιζῶν, ἡ διαφθορὰ συνέβαινεν, εἰκότως νῦν ἐπὶ τῇ μεταστάσει τῶν χυμῶν, εἰς τὴν κατὰ φύσιν ἐπανάξουσι κατάστασιν.

Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγιγνομένη, κακόν.

Ἐπιγίνεσθαι τοῖς πάθεσιν ἕτερα πάθη τε καὶ συμπτώματα, τοῖς παλαιοῖς ἰατροῖς ἔθος ἐστὶ λέγειν, ὅσα κατὰ τὸν αὐτοῦ πάθους λόγον αὐξανομένου συμβαίνειν εἴωθε. τοιοῦτον γάρ τι καὶ τὸ τῶν ἐπιγινομένων ἐστὶ Πραξαγόρου βιβλίον. οὕτω δὲ καὶ νῦν εἴρηται ἐπὶ τῆς βηχός. οὐ γὰρ ἐπειδὰν δι' ἄλλην τινὰ γένηται πρόφασιν ὑδερικῷ βὴξ, ὀλέθριόν ἐστι σημεῖον, ἀλλ' ὅταν αὐτῷ τῷ λόγῳ τοῦ νοσήματος. ἡνίκα γὰρ ἂν ἐς τοσοῦτον αὐξηθῇ πλῆθος ἐπὶ τῶν ὑδερικῶν παθῶν ἡ ὑδατώδης ὑγρότης, ὡς ἤδη καὶ τὰς τραχείας ἀρτηρίας καταλαμβάνειν, εἶτα βὴξ ἐπιγένηται, τότε κίνδυνος ἕπεται πνιγῆναι τὸν ἄνθρωπον οὐκ ἐς μακράν.

Δυσεντερίην φλεβοτομίη λύει, τάμνειν δὲ τὰς εἴσω.

Οὐδ' οὗτος ὁ λόγος ὑγιής ἐστιν εἰ μὴ προσλάβῃ τὸν, καὶ, σύνδεσμον, ὥστε γενέσθαι τὸν ἀφορισμὸν τοιόνδε. δυσεντερίην καὶ φλεβοτομία λύει. ὄντως γὰρ ἡ φλεβοτομία λύει δυσεντερίαν, ἐκείνην δηλονότι τὴν διὰ φλεγμονὴν καὶ πλῆθος γεγενημένην. τὸ δὲ τέμνειν τὰς εἴσω περὶ τῶν ἐν ταῖς χερσὶ φλεβῶν λεγόμενον, οὔτ' ἀληθές ἐστιν, οὔτε ὁμολογούμενον Ἱπποκράτει. φαίνεται γὰρ ἐν ἅπασι τοῖς συγγράμμασιν ἐπὶ μὲν τῶν ἀνωτέρω τοῦ ἥπατος, ἐκ τῶν χειρῶν ἀποχέων τοῦ αἵματος, ἐπὶ δὲ τῶν κατωτέρω, τὰς κατὰ ἰγνύαν ἢ σφυρὸν κελεύων τέμνειν. εἰ δὲ περὶ τούτων αὐτῶν εἰρῆσθαί τις ὑπολάβοι τὸ τέμνειν τὰς εἴσω, μικρὰν ἔχει δύναμιν ἔχει. ἀπὸ μιᾶς γὰρ ἀμφότεραι πεφύκασι, φλεβὸς τῆς ἐν ἰγνύϊ τριχῆ σχιδείσης, ὅτι καὶ μία φλὲψ εἰς τοῦθ' ἥκει τὸ κῶλον, οὐχ ὥσπερ ἐπὶ τῆς χειρὸς δύο. βέλτιον οὖν ἐστὶ καὶ τοῦτον τὸν ἀφορισμὸν, ἕνα τῶν παρακειμένων ὑπολαβεῖν.

Ὑπὸ κυνάγχης ἐχομένῳ, οἴδημα γενέσθαι ἐν τῷ τραχήλῳ, ἀγαθόν.

Ἀληθὴς ὁ λόγος καὶ ἡ αἰτία πρόδηλος, εἴγε ἐκ τῶν διὰ βάθους τε καὶ κυριωτέρων μορίων εἰς τὸ δέρμα μεθίστασθαι τὰ πάθη λυσιτελεῖ.

Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. θεραπευόμενοι γὰρ, ταχέως ἀπόλλυνται, μὴ θεραπευόμενοι δὲ, πολὺν χρόνον διατελοῦσιν.

Κρυπτοὺς καρκίνους εἴρηκεν, ἤτοι τοὺς χωρὶς ἑλκώσεως, ἢ τοὺς κεκρυμμένους, ὅπερ ἐστὶ μὴ φαινομένους, ὃ πάλιν ἴσον δύναται τῷ διὰ βάθους εἶναι τοῦ σώματος. ἀλλὰ καὶ τὸ θεραπεύειν διττόν ἐστιν. ἓν μὲν, τὸ, πάντα πράττειν ὡς ὑγιὲς ἀποφῆναι τὸ πεπονθὸς μέρος. ἕτερον δὲ τὸ προνοεῖσθαι τὴν ἁρμόττουσαν τῷ πάθει πρόνοιαν, ὅπερ ἐστὶ παρηγορεῖν τε καὶ πραΰνειν αὐτὸ, καὶ μάλισθ' ὅταν ᾖ μεθ' ἑλκώσεως. ἀναγκαῖον γὰρ εἰ καὶ μηδὲν ἄλλο, τηνικαῦτα τοὺς ἰχῶρας ἀποπλύνειν ὑγρῷ τινὶ χρώμενον, ὅπερ οὐ τὸ τυχὸν εἶναι προσήκει, ἀλλ' ὅτιπερ ἂν, ἤτοι διὰ πείρας, ἢ δι' ἐνδείξεως εὑρεθῇ, μήτε δάκνειν πεφυκὸς, μήτ' ἐρεθίζειν τὸ πεπονθὸς μέρος. ταύτης μὲν οὖν τῆς θεραπείας, οὔτ' ἀφίστασθαι προσήκει, οὐθ' οἱ χωρὶς ἑλκώσεως δεόμενοι καρκίνοι. τῆς δ' ἐκ τοῦ τεμεῖν καὶ καῦσαι, ἃ μόνῳ καρκίνῳ γινομένῳ ἐστὶν ἰάματα, συμβουλεύει μὴ προσάγεσθαι ἐπὶ τοὺς κρυπτοὺς καρκίνους. ὅτι μὲν οὖν οἱ ἐν τῷ βάθει διὰ τῆς τοιαύτης ἀγωγῆς οὐ θεραπεύονται, καὶ ἡ πεῖρα διδάσκει. πάντας γὰρ οἶδα τοὺς ἐπιχειρήσαντας ἰᾶσθαι καρκίνους τοιούτους, παροξύναντας μᾶλλον αὐτοὺς, ἐν τάχει τε τοὺς ἀνθρώπους ἀποκτείναντας. οἵ τε γὰρ τὸν ἐν τῷ οὐρανίσκῳ συστάντα, ἢ τὸν ἐν τῇ ἕδρᾳ, καὶ τὸν ἐν τῷ κρυπτῷ τῷ γυναικείῳ τεμόντες ἢ καύσαντες, οὐκ ἠδυνήθησαν ἀπουλῶσαι τὰ ἕλκη, καὶ τῇ τῆς ἰάσεως ταλαιπωρίᾳ, συνέτηξαν τοὺς ἀνθρώπους ἄχρι θανάτου, οἷς ἐνῆν μὴ θεραπευομένοις, ἀλυπότερον ἄχρι πλείονος ἐξαρκέσαι χρόνου. τοὺς μὲν οὖν τοιούτους καρκίνους, οὐδ' ὅλως ἐπιχειρητέον ἰᾶσθαι. τοὺς δ' ἐπιπολῆς, ἐκείνους μόνους οὓς ἐκτεμεῖν οἷόν τε σὺν ταῖς ῥίζαις αὐταῖς ὡς ἂν εἴποι τις. οὐδὲν γὰρ χεῖρον οἱονεὶ ῥίζας τινὰς ὀνομάσαι τοῦ καρκίνου τὰς διατεταμένας ἄχρι τῶν πέριξ σωμάτων πεπληρωμένας φλέβας αἵματος μελαγχολικοῦ. πολλοὶ μὲν γὰρ τῶν ἀξιολόγων ἰατρῶν, οὐδὲ τούτους ἐπιτρέπουσι χειρουργεῖν, ἀλλὰ μόνους ἐκείνους ὅσοι περ ἂν ἑλκωθέντες, ἅμα μὲν ἀνιαροὶ τοῖς κάμνουσιν ὦσιν, ὡς αὐτοὺς ὀρεχθῆναι τῆς χειρουργίας, ἅμα δ' ἐν τοῖς τοιούτοις συνεστῶσι μορίοις, ἃ μετὰ τῶν ῥιζῶν ἐκτεμεῖν καὶ καῦσαι δυνατόν ἐστιν. ἔνιοι δὲ οὐδὲ τούτους ἀνασκευάζεσθαι ἐῶσιν, ἀλλὰ τελέως ἀφίστασθαι συμβουλεύουσι βοηθημάτων ἀγωνιστικῶν ἐπὶ καρκίνου παντός. Ἱπποκράτης γοῦν, ὅτι μὲν τοὺς ἐν τῷ βάθει τοῦ σώματος οὐκ ἀεὶ συνεβούλευσε θεραπεύειν ἀγωνιστικῶς, ἐξ αὐτῆς τοῦ πάθους τῆς φύσεως ἔνεστι τεκμήρασθαι. εἰ δὲ καὶ τὸν ἐπιπολῆς τε καὶ χωρὶς ἑλκώσεως, ἄδηλόν ἐστιν ὅσον ἐπὶ τῇ κατὰ τὸν ἀφορισμὸν λέξει. γεγράφασι δ' αὐτὸν οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε καὶ τὸν Διοσκορίδην, ἄχρι τοῦ, μὴ θεραπεύειν βέλτιον.

Σπασμὸς γίνεται ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος, οὕτω δὲ καὶ λυγμός.

Σπασμὸς, ὡς καὶ τοὔνομα αὐτὸ δηλοῖ, σπωμένων ἐπὶ τὰς οἰκείας κεφαλὰς γίνεται τῶν μυῶν. ἐναργέστερον δ' ἂν εἴποι τις ἀνασπωμένων, ὅπερ κἂν τῷ κατὰ φύσιν αὐτοῖς ἐστὶ κίνησις. ἀλλ' ἐκείνη μὲν οὐκ ἄνευ τῆς ὁρμῆς γίνεται τοῦ ζώου. πάθος δ' ἀκούσιόν ἐστιν ὁ σπασμὸς, εἰς παραπλησίαν διάθεσιν ἐρχομένων τῶν νευρωδῶν μορίων ἐν αὐτοῖς, ἥνπερ κἂν ταῖς καθ' ὁρμὴν κινήσεσιν ἐλάμβανον. ὑπὸ γάρ τοι πληρώσεως γίνεται, καθάπερ ἐν ταῖς ὑπερβαλλόντως ὑγραῖς καταστάσεσι τοῦ περιέχοντος ἀέρος αἱ χορδαὶ, διὰ τοῦτο γοῦν καὶ ῥήγνυνται πολλάκις. οὕτω δὲ

κἀν ταῖς ξηροτέραις καταστάσεσι συμβαίνει. συνάγεται γὰρ εἰς ἑαυτά, καὶ σπᾶται πάντα τὰ νευρώδη σώματα ξηραινόμενα βιαιότερον, ὥσπερ οἱ πρὸς τῷ πυρὶ θερμανθέντες ἄχρι πλείονος ἱμάντες. ὅμοιον δ᾽ αὐτοῖς πάσχουσι, καὶ ὅσους ἥλιος θερμὸς ἐξήρανεν. ὁ μὲν οὖν σπασμὸς ὑπὸ τῶν ἐναντίων εἰκότως γίνεται. λυγμὸς δὲ συγχωρείσθω μὲν ὀνομάζεσθαι στομάχου πάθος, ὅταν ἕτερόν τι προσκείμενον ᾖ περὶ λόγον. ὅταν δ᾽ αὐτὸ μόνον τοῦτο ὑπάρχει σύνδεσμα, τὸ, γνῶναι τὴν οὐσίαν τοῦ παθήματος, ἄμεινον ἴσως οὐκ ἂν σπασμὸν ὀνομάζειν αὐτό, ἀλλὰ κίνησίν τινα. ἐν μὲν γὰρ τῷ αὐτῷ γένει τῷ κατὰ τοὺς ἐμέτους, ὑπερτεταμένην δὲ ἔστι σφοδροτέραν ἐκείνης. ἀπώσασθαι γάρ τι τῶν καθ᾽ ἑαυτὸν ὁ στόμαχος ὀρεγόμενος, ἐπ᾽ ἄμφω τὰ συμπτώματα ὁρμᾷ. σφοδρότερον μὲν ἐν τοῖς λυγμοῖς, μετριώτερον δὲ ἐν τοῖς ἐμέτοις, ἐπειδὴ κατὰ μὲν τοὺς ἐμέτους, τὸ περιεχόμενον ἐν τῇ τῆς γαστρὸς εὐρυχωρίᾳ μόνον ἐφίεται διώσασθαι. περὶ δὲ τοὺς λυγμούς, καὶ τὰ διὰ βάθους ἐν αὐτῷ τῆς γαστρὸς τῷ σώματι περιεχόμενα. στόμαχον δέ μοι νῦν ἄκουε, μὴ μόνον αὐτὸν ὃν ὀνομάζουσι κυρίως, ἀλλὰ καὶ τὸ τῆς γαστρὸς στόμα. τὰ γὰρ ἐν τούτῳ περιεχόμενα τῆς γαστρὸς ὀρεχθείσης ἐκκρῖναι, λύζουσιν. ὅτι δὲ τῶν δυσεκκρίτων τε καὶ οἷον ἀναποθέντων εἰς τὸ σῶμα τῆς γαστρὸς, ἡ διὰ τοῦ λυγμοῦ ἔκκρισις γίνεται, μαθεῖν ἔστι κἀκ τῶν ὁσημέραι συμβαινόντων πᾶσι σχεδόν, ἢ μᾶλλον ἢ ἧττον. ἐάν τε γὰρ αὐτὸ μόνον δριμὺ ὂν τὸ πέπερι καταπίωσιν, ἐάν τε καὶ μετὰ μέλιτος ἢ τινὸς ἄλλου, κἄπειτα ἐπιπίωσιν οἶνον ὕδατι κεράσαντες θερμῷ, εὐθέως λύζουσι, τῆς μὲν τοῦ πόματος θερμότητος ποδηγούσης εἰς τὸ βάθος τὸ πέπερι, τῇ δριμύτητι δὲ αὐτοῦ τῆς γαστρὸς ἀνιωμένης, ἐπιχειρούσης δὲ τῇ βίᾳ τῆς κινήσεως ἀπορρίψαι τὸ λυποῦν. ἐδείχθη δ᾽ ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις, ὅτι καὶ ἡ βὴξ καὶ ὁ πταρμὸς καὶ τὸ ῥῖγος ἐκ τῶν τοιούτων εἰσὶ κινήσεων.

Ὁσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὸν πόνον.

Ἕπεται μὲν καὶ ταῖς δήξεσι πόνος, ἀλλ᾽ εἰθισμένοι τῷ τῆς δήξεως ὀνόματι προσαγορεύειν, εἰσὶν οὐ τῷ τοῦ πόνου τὰ τοιαῦτα συμπτώματα. γίνεται δὲ καὶ διὰ φλεγμονώδη τινὰ διάθεσιν ὁ πόνος. οὕτως δ᾽ ὠνόμασθαι, διότι καὶ τοῖς ἐρυσιπέλασι ἐνδείκνυται ὁ πόνος. ὅταν οὖν μήτε διὰ τοιαύτην τινὰ διάθεσιν ὀδύνη τὶς ᾖ κατὰ τὸ ὑποχόνδριον, ἥτε τῆς δήξεως αἴσθησις αὐτὴ ἀπῇ, καταλείπεται γίνεσθαι τὸν πόνον, ἢ δι᾽ ἔμφραξιν, ἢ διὰ πνεῦμα φυσῶδες, ἢ τινὰ δυσκρασίαν ἀνώμαλον, ἅπερ ἡ τοῦ πυρετοῦ θερμότης ἰᾶσθαι πέφυκε, τὰ μὲν τέμνουσα καὶ λεπτύνουσα, καὶ διαφοροῦσα, τὰ δὲ εἰς ὁμαλότητα κράσεως ἄγουσα.

Ὁσοισι διαπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ ἀποσημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου οὐκ ἀποσημαίνει.

Καὶ διττῶς γέγραπται ἡ κατὰ τὸν ἀφορισμὸν ἑρμηνεία, καὶ διττῶς αὐτὴν ἐξηγοῦνται, καὶ λόγον ἡ ἑκατέρα τῶν τε γραφῶν ἔχει, καὶ τῶν ἐξηγήσεων. καὶ γὰρ καὶ διὰ τὴν τοῦ πύου παχύτητα, καὶ διὰ τὴν τοῦ τόπου, κατακρύπτεται πολλάκις ἡ διάγνωσις τοῦ περιεχομένου κατά τι χωρίον πύου. δεόντως οὖν τινὲς μὲν ἔγραψαν τούτοισι διὰ παχύτητα τοῦ τόπου, οὐκ ἀποσημαίνει, τινὲς δὲ τούτοισι, διὰ παχύτητα τοῦ πύου.

Ἐν τοῖσιν ἰκτεριkοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

Ἐνδείκνυται γὰρ ἡ σκληρότης τηνικαῦτα φλεγμονὴν ἢ σκίρρον εἶναι περὶ τὸ σπλάγχνον, ὡς αἰτίαν γε ταύτης. ἐγχωρεῖ μὲν καὶ δι᾽ ἔμφραξιν αὐτοῦ γεγονέναι τὸν ἴκτερον, ἐγχωρεῖ δὲ καὶ τῆς φύσεως κριτικῶς ἀπωσαμένης εἰς τὸ δέρμα τὸν ἐν ταῖς φλεψὶ πλεονάζοντα χυμόν.

Ὁκόσοισι σπληνώδεσι ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγιγνομένης μακρῆς δυσεντερίης, ἢ ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

Ἐχρῆν τοῦτο προτετάχθαι τὸν ἀφορισμὸν ἐκεῖνον καθ᾽ ὅν φησὶ τοῖς σπληνώδεσι, δυσεντερίη ἐπιγενομένη ἀγαθόν. ἀλλ᾽ οὗτος μὲν ἐν τοῖς ἑξῆς ἐστι μετὰ τέσσαρας ἄλλους μέσους, ἡμῖν δ᾽ ἀναγκαῖον αὐτοῦ ἤδη μνημονεῦσαι. ὅσοι γὰρ σπληνώδεις εἰσί, τουτέστι ὅσοι σπλῆνα χρονίως σκληρυσμένον ἔχουσι, τούτοις ἐπιγινομένη δυσεντερία, λύει τὴν διάθεσιν. ὅσον γε περὶ τὸν λόγον τῆς μεταστάσεώς τε καὶ κενώσεως τῶν ἐμπεπλασμένων τῷ σπληνὶ παχέων τε καὶ μελαγχολικῶν χυμῶν ἀποτελεῖσθαι. ἀλλ᾽ ἐπεὶ πολλάκις ὑπὲρ τὸ σύμμετρον αἱ τοιαῦται κενώσεις ἐκτεινόμεναι, βλαβεραὶ τοῖς κάμνουσι γίνονται, δεόντως ὁ Ἱπποκράτης ἐδήλωσεν ἐς ὅτι τελευτᾶν πέφυκεν ἄμετρος δυσεντερία, τοιαύταις ἐπιγενομένη διαθέσεσι. κακωθέντων γάρ τοι τῶν ἐντέρων ὑπὸ τῆς διόδου τῶν μοχθηρῶν χυμῶν, ἥτε δύναμις αὐτῶν κάμνει, καὶ ἡ συμμετρία τῆς ἐμφύτου θερμασίας ἀπόλλυται. διὰ τοῦτο οὖν ἡ λειεντερία καὶ ὁ ὕδρωψ ἐπιγίνονται. λειεντερία μὲν ἐπὶ τῇ τῶν ἐντέρων κακώσει μόνῃ. ὁ δ᾽ ὕδρωψ, περὶ συμπάθειάν τε ἥπατος καὶ σπληνός, καὶ παντὸς τοῦ γένους τῶν φλεβῶν.

Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεὸς ἐπιγίγνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται οἱ τοιοῦτοι, ἢν μὴ πυρετοῦ ἐπιγινομένου ἅλις τὸ οὖρον ῥυῇ.

Κατὰ τὸν εἰλεόν, οὐδὲν μὲν διεξέρχεται κάτω, οὐδ᾽ ἂν δριμυτέρῳ κλύσματι χρήσεταί τις. ἔμετος δὲ κόπρου ἐπιγίνεται τοῖς ὀλεθρίοις αὐτῶν εἰλεοῖς. ὅτι μὲν οὖν ἀποκεκλεισμένης τῆς κάτω διεξόδου γίνεται τὸ πάθος, ὅτι περὶ τὰ λεπτὰ τῶν ἐντέρων, οὐ τὰ παχέα, σχεδὸν ἅπασιν ὡμολόγηται. καὶ μὲν δὴ ἔστι ὅτι διὰ φλεγμονὴν καὶ ἔμφραξιν, ἤτοι κόπρου σκληρᾶς, ἢ γλίσχρων ὑγρῶν καὶ παχέων γίνεται, λέλεκται πολλοῖς. ἐμοὶ δὲ δοκεῖ καὶ φλεγμονὴν ἢ σκίρρον ἢ ἀπόστημα δύνασθαι τὴν στενοχωρίαν ἐργάσασθαι τοιαύτην, ὥστε μηδὲν κάτω διεξέρχεσθαι δύνασθαι. τὸ δ᾽ ὑφ᾽ ὑγρῶν παχέων ἢ γλίσχρων, οὐ πάνυ τι δοκεῖ πιθανὸν εἶναι. τίθει δ᾽ εἰ βούλει καὶ τοῦτο, καὶ εἴ τι πρὸς τούτοις λέγοιεν ἕτερον, ἀλλ᾽ ἐκεῖνό γε τὸ σχεδὸν ἅπασι δόξαν, ὅσοι τοὺς ἀφορισμοὺς ἐξηγήσαντο, πάνυ μοι δοκεῖ τῶν ἀπιθάνων

θαίων ἐστίν. λέγουσι γὰρ ὅτι τῆς κύστεως φλεγμαινούσης, στενοχωρίαν ἔν τισι τῶν ἐντέρων ἐκ τῆς παραθλίψεως γενομένην, ἐπιφέρειν τὸ πάθος τὸν εἰλεόν. ἐγὼ δὲ πλείστους μοι δοκῶ καθ' ὅλον ἐμαυτοῦ τὸν βίον ἑωρακέναι, τοὺς μὲν κινδυνεύσαντας μόνον, οὐκ ὀλίγους δὲ καὶ ἀποθανόντας ἐξ ἐπισχέσεως οὔρων, ἐναργῶς ἅπασι φαινομένης τηνικαῦτα κατὰ περιγραφὴν ἰδίαν, μεγίστης τῆς κύστεως, ὡς διατετᾶσθαι μὲν ἐσχάτως, ὀδυνᾶσθαι δὲ ὡς εἰκὸς ἐπὶ τῇ διατάσει, καὶ τούτων οὐδεὶς εἰλεώδης ἐγένετο. πῶς ἂν οὖν τίς ποτε πεισθείη διὰ φλεγμονὴν κύστεως ἔντερα στενοχωρούμενα γίνεσθαι ποτὲ τὸν εἰλεόν, οὐ μᾶλλον ἢ διὰ τὸν ὄγκον τῆς μήτρας τὸν ἐν τῇ κυήσει, καίτοι μέχρι τῶν ὑποχονδρίων, ὁ κατ' ἐκείνην ὄγκος ἀνατείνεται, καὶ μᾶλλον θλίβειν τε καὶ στενοχωρεῖν δύναται τὰ λεπτὰ τῶν ἐντέρων. ἡ δὲ κύστις εἰς ὄγκον ἀρθεῖσα, θλίβειν μόνον οἵα τέ ἐστι τὸ ἀπευθυσμένον. ἀτοπώτερον δ' ἔνιοι λέγουσι, τὸ, διὰ τὸν ἐπιγινόμενον πυρετὸν ὠφελεῖσθαι τὸν εἰλεόν. ὁ μὲν γὰρ πυρετὸς, ἐπί τινι φλεγμονῇ τῆς κύστεως εἰκότως ἂν γένοιτο, καὶ ὅσῳ ἂν μείζων ᾖ, καὶ χαλεπωτέρα, τοσοῦτον εἰκὸς κἀκεῖνον αὐξάνεσθαι σύμπτωμα ὑπάρχοντα τῆς φλεγμονῆς. ὁ δ' εἰλεὸς, ὡς αὐτοὶ λέγουσιν, ἐπὶ τῇ φλεγμονῇ συνέστηκε, καὶ μόνην ἐλπίδα λύσεως ἔχει τὴν παῦλαν τῆς φλεγμονῆς, ἣ καὶ τὸν πυρετὸν ἀναγκαῖόν ἐστι συμπραΰνεσθαι. σημεῖον οὖν ἀγαθὸν ἔσται τῆς λύσεως, ἐπὶ τῶν κατὰ τὸν εἰλεὸν παθημάτων, ἢ πραϋνόμενος ὁ πυρετὸς ἢ λυόμενος, οὔτε δέ ἐστι σημεῖον, ἢ αἴτιον ἀγαθὸν ἐπιγιγνόμενος, ἢ αὐξανόμενος. ἴσμεν γὰρ ἐκεῖνα μόνα τῶν νοσημάτων ὀνινάμενα πρὸς τῶν πυρετῶν, ὅσα ἐπὶ ψύξιν συνέστη. ποτὲ μὲν αὐτὴν μόνην, ἐνίοτε δὲ ἅμα χυμοῖς ὠμοῖς καὶ φλεγματώδεσιν, ἢ φυσώδει πνεύματι. βέλτιον οὖν ἀγνοεῖν ὁμολογεῖν ὅπως εἴρηται τὰ κατὰ τὸν ἀφορισμὸν τοῦτον ὑφ' Ἱπποκράτους. οὔτε γὰρ ὁ λόγος ἐνδείκνυται τὴν ἀλήθειαν αὐτῆς, οὔθ' ἡ πεῖρα διδάσκει, τρίτον δ' οὐδὲν ἔχομεν ἄλλο πρὸς πίστιν. ἐγὼ μὲν ὦπται ποτὲ τοιοῦτος ἄρρωστος, οὔθ' ὑφ' Ἱπποκράτους, οὔθ' ὑπ' ἄλλου τινὸς, οὔτε γὰρ εἰ γνήσιός ἐστιν ὁ ἀφορισμὸς, εἰπεῖν ἔχω. πλῆθος οὖν ὠμῶν καὶ παχέων χυμῶν ἅμα ψύξει σφοδρᾷ, βέλτιόν ἐστιν ὑποτίθεσθαι τῶν εἰρημένων συμπτωμάτων αἴτιον. οὕτως γὰρ ἂν μόνως ὅτε πυρετὸς ἴαμα γένοιτο τῆς διαθέσεως, ἤ, τε τῶν εἰργομένων οὔρων κένωσις. οὕτως γὰρ εἴωθε παχέα καὶ πολλὰ καὶ ἀθρόα κενοῦσθαι πεττομένων αὐτῶν.

Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίγνεσθαι.

Ὁκόσα χρονίζει τῶν ἑλκῶν, ἤτοι μηδ' ὅλως οὐλῆς αὐτοῖς ἐπιγιγνομένης, ἢ κἂν ἐπιγένηται, πάλιν ἀναλυομένης, οὐδὲν ἁμαρτανόντων δηλονότι κατὰ τὴν θεραπείαν τῶν ἰατρῶν, ἀναγκαῖόν ἐστιν, ἤτοι διὰ ἐπιρροήν τινα μοχθηρῶν ὑγρῶν, ἢ τὴν ἐν αὐτῷ τῷ μορίῳ διάθεσιν ἐν χρόνῳ κατασκευασθεῖσαν ἐκ τῶν ἐπιρρεόντων ὑγρῶν, ἢ διά τι πάθος ὀστοῦ φθειρομένου κατὰ τὸ χωρίον ἐκεῖνο, γίνεσθαι δυσίατα. τὰ μὲν οὖν ἄλλα τῶν ἑλκῶν, ἀεὶ μείζω καὶ χείρω γίνεται, καὶ σύμπαντα ταῦτα, φαγεδαίνας ἐκάλουν οἱ παλαιοί. διορίζεσθαι δ' ὕστερον ἐπεχείρησαν ἔνιοι προσηγορίαις ἕκαστον ἰδίαις. ἔνια μὲν οὖν αὐτῶν χειρώνεια καλοῦντες, ἔνια δὲ τηλέφια, φαγεδαίνας δ' ἄλλα, καί τινες ἔτι ἄλλας ποικιλωτέρας ἐπιφέροντες προσηγορίας. ἀλλ' ἡμῖν ἀρκέσει τῶν μὲν ἐπιλαμβανομένων τι τοῦ πέριξ χωρίου, τὰ μὲν ἕρπητας ὀνομάζειν, ὅταν ἐπιπολῆς ᾖ καὶ κατ' αὐτὸ τὸ δέρμα, τὰ δὲ φαγεδαίνας, ὅσα καὶ τὴν ὑποκειμένην διαφθείρει σάρκα. τὸ γὰρ σηπεδονῶδες, καὶ νομῶδες ὑπό τινων ὀνομαζόμενον ἕλκος, οὐχ ἕλκους ἐστὶ διαφορά τις ἴδιος, ἀλλ' ἐπιπεπλεγμένον πάθος ἐξ ἕλκους τε καὶ σηπεδόνος. ἴσμεν δ' ὅτι καὶ χωρὶς ἕλκους αὐτὴ καθ' ἑαυτὴν ἡ σηπεδὼν, ἐν πολλοῖς τῶν μορίων συνίσταται. καλεῖται δέ τι καὶ ἄνθραξ ἕλκος, ἐσχαρῶδες ἅμα πολλῇ τῇ τῶν πέριξ σωμάτων φλογώσει. τουτὶ μὲν οὖν ἰδίαν ἔσχηκε προσηγορίαν, ὅτε ἄνθραξ, καὶ ἡ φαγέδαινα, καὶ ὁ ἕρπης. ὅσα δ' ἕλκη γίνεται χωρὶς τῶν εἰρημένων συμπτωμάτων αὐτὰ, καθ' ἑαυτὰ προσαγορεύειν ἔθος ἐστὶ τοῖς παλαιοῖς, αὐτὸ τοῦτο μόνον ἕλκη, περὶ ὧν καὶ νῦν ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει διδάσκοντι, ὡς ὅσα τοιαῦτα τῶν ἑλκῶν ἐστιν, εἰς χρόνον ἐκπίπτει πλείονα. φαίνεται δὲ καὶ ἡ πεῖρα τῷ λόγῳ μαρτυροῦσα, καὶ πολλάκις γε πολλὰ τῶν τοιούτων ἑλκῶν συνουλωθέντα, μετὰ χρόνον οὐ πολὺν ἀναφλεγμαίνειν τε καὶ αὖθις ἀναρρήγνυσθαι, λυομένης αὐτῶν τῆς οὐλῆς. γίνεται δὲ τοῦτο διὰ τοιαύδε τινα αἰτίαν, ὅταν ἐκ τῶν προσφερομένων φαρμάκων, ἡ κατὰ τοῦ πεπονθότος ὀστοῦ σὰρξ ἐπικειμένη ξηρανθεῖσα συνουλωθῇ, παραχρῆμα μὲν ταχέως ὑγιάζεσθαι δοκεῖ, κατὰ βραχὺ δὲ πάλιν, ἰχῶρος τινὸς ἐπιρρέοντος ἐκ τοῦ φθειρομένου κατὰ τὸ βάθος ὀστοῦ, φλεγμονή τέ τις αὖθις ἐπιγίνεται, καὶ ταύτῃ γένεσις ἕπεται, διαβιβρώσκοντος μὲν τὴν οὐλὴν ἐπιφάνειαν, δάκνοντος δὲ τὴν σάρκα. τίς οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἴασίς ἐστιν; οὐκ ἄλλη τις, ἀλλ' ἣν αὐτὸς μὲν εἶπεν ἐν τῷ περὶ ἑλκῶν βιβλίῳ. ἡμεῖς δ' ἀπεδείξαμεν ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου. ξηραίνεσθαι μὲν γὰρ ἕλκη πάντα δεῖται, μάλιστα δ' ἐφ' ὧν ὀστοῦν πέπονθεν. ὅρος δέ ἐστι τῆς ξηρότητος, ἀποστῆναι τὸ πεπονθὸς αὐτοῦ μόριον. εἰκότως δὲ καὶ τὰς οὐλὰς εἰς τοσοῦτον συμβαίνει γίνεσθαι κοίλας, εἰς ὅσον ἂν ἥκῃ πάχους τὸ ἀποστάν.

Ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος, ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης, ἀπόλλυνται.

Ὑβοὺς καὶ κυφοὺς εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης, οὓς ἅπαντες οἱ νῦν ἄνθρωποι προσαγορεύουσι κυρτούς. καὶ γὰρ καὶ ὄντως ἡ ῥάχις αὐτοῖς εἰς τοὐπίσω γίνεται κυρτή. τῷ μὲν οὖν κυρτῷ, τὸ κοῖλον ἀντικειμένως λέγεται, τῷ δ' ὑβῷ τε καὶ κυφῷ, τὸ λορδόν. ἀλλὰ ταῦτα μὲν ἐπὶ μόνης τῆς ῥάχεως. ἐκεῖνα δ' ἐπὶ πάντων λέγουσιν οἱ Ἕλληνες. ὅπως δ' ἡ κύφωσις γίνεται, δεδήλωκεν αὐτὸς ἐν τῷ περὶ ἄρθρων βιβλίῳ, καθάπερ καὶ περὶ λορδώσεώς τε καὶ σκολιώσεως καὶ σείσεως. ἴδια γὰρ ἐξαίρετα ῥάχεως πάθη ταῦτα, καὶ χρὴ τὸν βουλόμενον ἐπιστήμονα γενέσθαι τῶν παθῶν, τοῖς δὲ, τοῖς ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένοις ἐπὶ πλέον ὁμιλῆσαι. νῦν δ' ἡμεῖς ἐροῦμεν ὅσα χρήσιμα εἰσὶν εἰς τὸν προκείμενον ἀφορισμὸν, ὑβοῦται ῥάχις, ἔστιν ὅτε μὲν καὶ διά τινα πληγὴν ἢ κατάπτωσιν. ὑβοῦται δὲ καὶ διά τινα φύματα σκληρὰ, συστάντα κατὰ τὴν πρόσω χώραν, ὑφ' ὧν φυμάτων, ὅταν μὲν εἷς σπόνδυλος ἑλκυσθῇ πρόσω, λορδοῦται κατ' αὐτὸν ἡ ῥάχις. οὕτω δὲ κἂν πλείους ὦσιν ἐφεξῆς ἀλλήλων. ὅταν δὲ μὴ συνεχεῖς ὦσιν ἀλλήλων οἱ τεινόμενοι σπόνδυλοι, κύφωσις γίνεται, τοσοῦτον χωρούντων ὀπίσω τῶν μεταξὺ, ὅσον εἴσω κατεκάμφθησαν οἱ παθόντες.

ὁρᾶται γοῦν ἐπὶ πάντων τῶν σκληρῶν μετρίως γινόμενον, οἷον καλάμων, καὶ λύγων καὶ ῥάβδων, ὅσα τ᾽ ἄλλα τοιαῦτα, καὶ λέγεται περὶ αὐτῶν ἐπὶ πλέον ἐν ταῖς ἐξηγήσεσι ταῖς εἰς τὸ περὶ τῶν ἄρθρων βιβλίον. ἀλλὰ νῦν γε τοὺς πρὸ τῆς ἥβης ὑβωθέντας, ἐπ᾽ ἄσθματι καὶ βηχὶ, διαφθείρεσθαί φησι ταχέως. οὐ γὰρ ἐθέλει τούτοις ὁ θώραξ ὡς αὐτὸς ἔφη ἐφεξῆς συναύξεσθαι, καὶ διὰ τοῦτο στενοχωρία πολλὴ γίνεται τοῖς ἀναπνευστικοῖς ὀργάνοις. ἅπασι μὲν κοινὸν τοῖς αὐτομάτως ὑβωθεῖσι, τουτέστιν οἷς ἄνευ πληγῆς ἢ καταπτώσεως ἔπαθεν ἡ ῥάχις, ὑπὸ φύμασι σκληροῖς, ἢ δυσπέπτοις γίνεσθαι τοιούτοις. διαφορᾶς δ᾽ οὔσης πολλῆς ἐν τοῖς φύμασι κατά τε τὸν ὄγκον, καὶ τὴν σκληρότητα, καὶ τὸ χωρίον ἐν ᾧ συνίσταται. τὰ μὲν ὑπὸ σκληροῖς τε ἅμα καὶ μεγάλοις συστάντα, δυσπνοοῦντας αὐτίκα τοὺς ἀνθρώπους ἐργάζεται. τὰ δὲ μεθιέντα τι τῆς ἐν αὐτοῖς ὑγρότητος εἰς τὰς τραχείας ἀρτηρίας, βηχώδεις ἀποτελοῦσι τοὺς ἀνθρώπους. ἀλλὰ ταῦτα μὲν ὅσα μεθίησιν ὑγρότητος, ἀκριβῶς ἐστι σκληρά, καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστιν ἐκπυῆσαι ποτὲ καὶ διαφθεῖραι τὸν ἄνθρωπον. ὅσα δ᾽ οὐ μεθίησιν, ὑπὸ παχέων γίνεται χυμῶν, καὶ διὰ τοῦτο ἐστὶν ἄπεπτά τε καὶ σκληρά, καὶ πολλῷ χρόνῳ μένοντα χωρὶς τοῦ διαπυΐσκειν, ὑπερτείνει τὴν τοῦ ἀνθρώπου. ὅσα δ᾽ ὡς ἔφην ἅμα βηχὶ τὴν γένεσιν ἔχει, ἐπείγεται πρὸς τὴν διαπύησιν, καὶ διὰ τοῦτο ἐστὶν ὀλέθρια. οὕτω δὲ καὶ ὅσα μετὰ δυσπνοίας ἐγένετο, θανατώδη τοῖς ἔτι αὐξανομένοις. ἤτοι γὰρ μεγάλα ταῦτ᾽ ἐστὶν, ἢ ἐν ἐπικαίρῳ χωρίῳ τοῦ θώρακος. ὅταν οὖν ὁ μὲν πνεύμων ἅμα τῇ καρδίᾳ τοῖς πᾶσιν αὐξάνεται, σμικρύνεται δ᾽ ἡ περιέχουσα χώρα, μήτ᾽ αὐξανομένων τῶν πλευρῶν, ἔντε τῷ κάμπτεσθαι, διὰ τὴν ὕβωσιν ὅλον τὸν θώρακα στενότερον ἐργαζομένων, ἀναγκαῖόν ἐστιν ἐν τάχει τοσαύτην αὐτοῖς γίνεσθαι τὴν δύσπνοιαν ὡς διαφθεῖραι τὸν ἄνθρωπον. ὅπου γὰρ οὐδὲ ἐπὶ τῆς κυφώσεως τῆς γιγνομένης, ὑπὸ μόνοις τοῖς παρὰ φύσιν ὄγκοις ἐδυσπνόουν τί χρὴ προσδοκῆσαι, τῶν μὲν φυμάτων αὐξηθέντων τῷ χρόνῳ, στενωθέντος δὲ τοῦ θώρακος. ὅτι μέντοι πολλῶν οὐσῶν δυσπνοιῶν, ἆσθμα προσαγορεύειν Ἱπποκράτης εἴωθεν, ἐκείνην μόνην ἐν ᾗ συμβαίνει πυκνοῦσθαι τὴν ἀναπνοὴν, ἱκανῶς δήλον παντί. καλοῦσι γοῦν οὕτω καὶ νῦν οἱ ἄνθρωποι τὸ ἀσθμαίνειν, ἐν δρόμοις τε καὶ γυμνασίοις συντόνοις γιγνόμενον, οἱ δὲ μεθ᾽ Ἱπποκράτους, καὶ πάθος τι χρόνιον. ἔνιοι μὲν ἁπλῶς ἆσθμα προσαγορεύουσιν, ἔνιοι δὲ καὶ ὀρθόπνοιαν, ὅταν ἄνευ πυρετοῦ διὰ παντὸς οὕτω δυσπνοῶσιν οἱ κάμνοντες.

Ὁκόσοισι φλεβοτομίη ἢ φαρμακείη συμφέρει, τούτους τοῦ ἦρος φλεβοτομεῖν ἢ φαρμακεύειν χρή.

Πρόδηλον ὅτι περὶ τῶν ὑγιαινόντων μὲν ἔτι, νοσησάντων δὲ εἰ μὴ κενωθεῖεν, ὁ λόγος αὐτῷ νῦν ἐστι. τούτους γὰρ φθάνειν χρὴ κενοῦν ἦρος ἐσβάλλοντος, ἤτοι διὰ φλεβοτομίας, εἰ πληθωρικοῖς ἁλίσκονται νοσήμασιν, ἢ διὰ καθάρσεως, εἰ τοῖς κατὰ διαφθοράν. ἡμεῖς γοῦν οὕτως ἀνόσους πολλοὺς φυλάττομεν, ἐτῶν ἤδη πολλῶν ἔμπροσθεν καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀεὶ νοσοῦντας. ἀλλὰ καὶ ποδάγραν καὶ ἀρθρῖτιν ἀρχομένην ἔτι καὶ μή πω περὶ τοῖς ἄρθροις ἐργασμένην πώρους ἐκ τῆς τοιαύτης κενώσεως, ἐτῶν ἤδη πολλῶν ἐκωλύσαμεν γενέσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἵματος πτύσιν, ἐπιληψίαν, μελαγχολίαν, ἀποπληξίαν, καὶ ἄλλα τε τοιαῦτα χρόνια πάθη διὰ τῆς εἰρημένης κενώσεως, ἐπὶ πολλῶν ἀνθρώπων ἐπαύσαμεν. ἡ μὲν οὖν φλεβοτομία, κοινὸν βοήθημά ἐστι τῶν πληθωρικῶν νοσημάτων, ἡ κάθαρσις δὲ οὕτωσὶ μὲν ἀκοῦσαι κατὰ γένος ἕν τι βοήθημά ἐστιν, οὐ μὴν κατ᾽ εἶδος γε ἀκοῦσαι. ἐνίοις μὲν γὰρ συμφέρει τοὺς φλεγματώδεις κενοῦσθαι χυμοὺς, ἐνίοις δὲ τοὺς πικροχόλους, ἐνίοις δὲ τοὺς μελαγχολικοὺς, ἐνίοις δὲ ὀρρῶδες περίττωμα, κατά γε τὴν τῶν ἐθισμένων αὐτοῖς γίνεσθαι παθῶν οὐσίαν, οἷον αὐτίκα τις μελαγχολίᾳ ἁλίσκεται καθ᾽ ἕκαστον ἔτος, εἰ μὴ καθαρθείη, καὶ θαῦμα ἐστὶν ἰδεῖν, ὅπως ἤδη καὶ αὐτὸς ἀρχομένου τοῦ πάθους διαγινώσκει τε τὴν πρώτην γένεσιν, εὐθὺς καὶ καλέσας με, κενοῦταί τε τὰ μέλαινα, καὶ παραχρῆμα παύεται τῆς μελαγχολίας, καὶ συμβαίνει γε τούτῳ διὰ τῆς καθάρσεως ἄμφω ταῦτα χρηστὰ, τό, τε καθαίρεσθαι τὰ περιττὰ, καὶ τὸ, τῇ δριμύτητι τῶν ἐκκρινομένων ἀναστομωθεῖσαν ὑπὸ βραχὺ τὴν αἱμορροΐδα, συνεκκρίνειν τι καὶ αὐτὴν αἵματος μοχθηροῦ. συνήθους γὰρ οὔσης αὐτῷ τῆς τοιαύτης ἐκκρίσεως, εἶτ᾽ ἐπισχεθείσης, ἡ μελαγχολία συνέστηκε. καθαίρω τοιγαροῦν αὐτὸν, οὐκ ἦρος μόνον, ἀλλὰ καὶ φθινοπώρου, καὶ ὡς εἰ καταφρονήσας ἐνίοτε ἐνταῦθα μὴ φθάσειε καθαρθῆναι, τῶν τοῦ πάθους αἰσθάνεσθαι συμπτωμάτων. οὕτω δὲ καὶ γυναῖκά τινα καθ᾽ ἕκαστον ἔτος εἰσβάλλοντος ἦρος ὁμοίως κενῶν, καρκινώδη ποτὲ ὄγκον ἐν μαστῷ ἔχουσαν ἰασάμην, ἰσχυρῶς κενώσας, πολλάκις διὰ φαρμάκου καθαίροντος μέλανα, καὶ εἰ παραληφθείη ποτὲ ἡ κάθαρσις, ὀδύνη διὰ βάθους αὐτῇ γίνεται, καὶ οὕτως αὕτη μετακαλουμένη με, παραχρῆμα κελεύει καθαίρειν. ἐλέφαντα δὲ ἀρχόμενον, ἑτέρῳ τινὶ μὲν πρῶτα διὰ φλεβοτομίας καὶ καθάρσεως ἰασάμην. ἑκάστου δὲ ἔτους ἀρκεῖ καὶ τούτῳ μία κάθαρσις, ἐλλειφθείσης δ᾽ αὐτῆς, αὐτίκα τὸ πάθος ἐπισημαίνει. τὰ μὲν οὖν τοιαῦτα νοσήματα, καθάρσεως χρῄζει μελαγχολικῶν χυμῶν. ἐπιληπτικὰ δὲ καὶ ἀσθματικὰ, καὶ ἀποπληκτικὰ τῶν φλεγματωδῶν. ἀρθριτικὰ δὲ τὰ μὲν ἅμα θερμασίᾳ πολλῇ τῶν πικροχόλων. τὰ δὲ σὺν ὄγκοις ψυχροῖς, τῶν φλεγματικῶν. ἄλλος δέ τις ὥρᾳ θέρους ἀεὶ τριταίοις ἁλισκόμενος πυρετοῖς, ἤδη πολλῶν ἐτῶν οὐκ ἐπύρεξεν, ὠχρὰν χολὴν ὑφ᾽ ἡμῶν φθάνων καθαίρεσθαι κατὰ τὴν τοῦ ἦρος τελευτήν. οὕτω γὰρ καὶ ἄμεινόν ἐστι τοὺς τοιούτους κενοῦσθαι, ὡς τοὺς ἐπιληπτικούς τε καὶ ἀποπληκτικοὺς, καὶ ἀρθριτικούς τε καὶ μελαγχολικοὺς, ὅσοι τε ἄλλοι διὰ πάχος χυμῶν νοσοῦσιν, εἰσβάλλοντος ἦρος ἄμεινον κενοῦσθαι, περὶ ὧν ἁπάντων ἰδίᾳ μοι γέγραπται κατὰ τὴν πραγματείαν ἐκείνην, ἐν ᾗ γέγραπται περὶ τῶν δεομένων ἦρος ὥρᾳ κενοῦσθαι. μόριον δέ ἐστιν αὕτη τῆς ὅλης ὑγιεινῆς πραγματείας.

Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγινομένη, ἀγαθόν.

Ὀλίγον ἔμπροσθεν ἐξηγησάμην τὸν ἀφορισμὸν τοῦτον, ἡνίκα τὸν λόγον ἐποιούμην ὑπὲρ τοῦ γεγραμμένου τόνδε τὸν τρόπον. ὅσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται. οὔκουν ἔτι δεήσει τῷδε τῷ νῦν προχειρισθέντι νεωτέρας ἐξηγήσεως.

Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

Αἱ κατὰ τοὺς ποδαγρικοὺς φλεγμοναί, ῥεύματος εἰς τὰ τῶν ποδῶν ἄρθρα κατασκήπτοντος γίνονται, λέγονται

ἢ τὸ ῥεῦμα τοῦτο, πρῶτον μὲν αἱ χῶραι τῶν διαρθρώσεων, ἔπειτα δὲ τὰ πέριξ πάντα μέχρι καὶ τοῦ δέρματος. ὅπου δὲ πληροῦσθαι φαμὲν τὰς διαρθρώσεις, εὔδηλον ὅτι τοὺς περικειμένους αὐταῖς ἔξωθεν κύκλῳ συνδέσμους, ἀναγκαῖόν ἐστι τείνεσθαι. τὰ μέντοι νεῦρα, καὶ τοὺς τένοντας, οὐκ εἰκὸς φλεγμαίνειν αὐτοῖς, ἀλλὰ μόνον τῷ συνεκτείνεσθαι ταῖς διαρθρώσεσιν ὀδυνᾶσθαι. δῆλον δὲ ἐκ τοῦ μηδέποτε ὁρᾶσθαι παθόντα ποδαγρὸν, ὅπερ εἴωθεν ἕπεσθαι συνεχέστατα, νεύρων τε καὶ τενόντων φλεγμοναῖς. ἄλλως τε περὶ ἰάσεως αὐτοῖς σκοπὸς κοινός ἐστι πρὸς τὰ φλεγμαίνοντα πάντα. διαφορηθῆναι γὰρ χρὴ τὸ ῥεῦμα εἰς τοὺς πόδας, εἰ μὲν λεπτὸν εἴη κατὰ τὴν σύστασιν, ἐλάττονι χρόνῳ. παχὺ δ᾽ ὑπάρχον ἢ γλίσχρον πλείονι, καὶ πολὺ ἔτι μᾶλλον, εἰ γλίσχρον ἅμα τε εἴη καὶ παχὺ, δεήσεται χρόνου μακροτέρου, πορρωτέρω μέντοι τῶν μ. ἡμερῶν, οὐκ ἂν ἐκταθείη ἡ περὶ φλεγμονῆς ἡ θεραπεία. τοῦ ἰατροῦ δηλονότι πράττοντος ὀρθῶς ἅπαντα, καὶ τοῦ κάμνοντος εὐπειθοῦς ὑπάρχοντος. ἡ δ᾽ ἐν τοῖς σαρκώδεσι μορίοις φλεγμονὴ, τῷ τῶν ὀξέων ὑποπέπτωκεν ὅρῳ τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, ἐπειδὴ μανωτέρα τέ ἐστι καὶ μαλακωτέρα τῆς τῶν συνδέσμων καὶ νεύρων φύσεως ἡ τῆς σαρκὸς οὐσία, διὰ τοῦτο δὲ καὶ φλεγμαίνειν ἄρχεται βραδύτερον, ἥ τε τῶν τενόντων, καὶ συνδέσμων, καὶ νεύρων φύσις ὅταν τρωθῇ, καὶ πρὸς τὴν ἀκμὴν τῆς φλεγμονῆς ἀφικνεῖται χρόνῳ πλείονι, καὶ θεραπεύεται βραδύτερον. ᾧ γὰρ λόγῳ μόγις εἰς ἑαυτὰ παραδέχεταί τι τῆς ἔξωθεν ὑγρότητος ὄντα πυκνὰ καὶ σκληρὰ τὰ τοιαῦτα μόρια, διὰ τοῦ τοιούτου λόγου, καὶ μεθίησι μόγις. διὰ τοῦτο οὖν καὶ ταῖς ποδαλγικαῖς φλεγμοναῖς ὁ Ἱπποκράτης ὅρον ἔθετο λύσεως παντελοῦς, οὐ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ἀλλὰ τὴν τεσσαρακοστήν. ἐπειδὴ τά τε ἐν ταῖς διαρθρώσεσιν ὑγρὰ διὰ τῶν περιεχόντων αὐτὰ συνδέσμων ἀτμοειδῶς ἐκκενωθῆναι χρὴ, καὶ τοὺς συνδέσμους καὶ τὰ ἐμπεσόντα αὐτούς. μέμνηται δὲ κἂν τῷ προγνωστικῷ τῆς τεσσαρακοστῆς ἡμέρας, ὡς ἐν αὐτῇ κρινομένων, ὅσα μήτ᾽ ἀκριβῶς ἐστιν ἤδη χρόνια, καὶ τὸν τῶν ὀξέων ὑπερεκπέπτωκεν ὅρον. εἴρηται δ᾽ ἐπὶ πλεῖστον ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἐν τῇ περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ.

Ὁκόσοισιν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

Εἰκότως πυρέττουσιν ἐγκεφάλου διακοπέντος τῷ κοινῷ λόγῳ, καθ᾽ ὃν ἅπαντος μορίου κυρίου φλεγμαίνοντος, ἕπεται πυρετός. ὁ δὲ τῆς χολῆς ἔμετος γίνεται, διὰ τὴν πρὸς τὸν ἐγκέφαλον κοινωνίαν συμπασχούσης τῆς γαστρὸς, καὶ μάλιστα τοῦ στόματος αὐτῆς, εἰς ὃ καταπέφυκεν ἐξ ἐγκεφάλου συζυγία τις ἀξιολόγων νεύρων. εἴωθε μὲν οὖν καὶ ἄλλως, ἐπί γε μεγάλοις ἀλγήμασι καὶ λύπαις ἰσχυραῖς συῤῥεῖν εἰς τὴν γαστέρα χολῶδες περίττωμα, πολὺ δ᾽ ἔτι μᾶλλον ὅταν ἀῤῥωστήσῃ. φέρεται γὰρ εἰς τὰ τοιαῦτα τῶν γειτνιώντων αὐτοῖς μορίων τὰ περιττώματα, καὶ μάλιστα ὅσα λεπτὰ ταῖς συστάσεσιν ἐστὶν, οἷόνπερ αὐτὸ τὸ χολῶδες ὑπάρχον ὑγρὸν, καὶ σὺν αὐτῷ πᾶν ὅσον ὀῤῥῶδες ὑγρὸν, ὃ δὴ καὶ μίγνυται πολλάκις ἐμούντων τῇ χολῇ, καὶ πάνυ σπάνιόν ἐστιν ἀκριβῆ χολὴν ἄνευ περιττώματος ὀῤῥώδους ἐμουμένην θεάσασθαι. φαίνεται δὲ καὶ τοῖς ὑγιαίνουσιν, ὅταν ἐπὶ πλέον ἀσιτήσωσι, καὶ μάλιστα ὅσοι χολωδέστεροι, τοὺς τοιούτους χυμοὺς ἡ γαστὴρ δεχομένη. δηλοῦσι δὲ τοῦτο, αἵ τε δήξεις αὐτοῖς καὶ οἱ ἔμετοι. οὐ μόνον δὲ ἐγκεφάλου τρωθέντος ἐμοῦσι χολὴν, ἀλλὰ καὶ τῆς περικειμένης αὐτῷ σκληρᾶς μήνιγγος, ἥ τις κατὰ πολλὰ μέρη συμφυὴς ὑπάρχουσα τῷ ἐγκεφάλῳ, τάχιστα μεταδίδωσιν αὐτῷ τῶν ἑαυτῆς παθημάτων. οἱ δὲ Ἐρασιστράτειοι τὰς μήνιγγας τῶν νεύρων ἀρχὰς τιθέμενοι, διὰ μὲν τὴν ἑαυτῆς φύσιν, ἐροῦσι τὴν παχεῖαν μήνιγγα ταῦτα ἐπιφέρειν τὰ συμπτώματα μόνην τρωθεῖσαν. εἰ δὲ καὶ πρὸς τὸν ἐγκέφαλον ποτὲ ἡ τρῶσις ἐξίκοιτο, διὰ τὸ φθάνειν ἀμφοτέρας προτιτρώσκεσθαι τὰς μήνιγγας, οὕτω φήσουσι τὴν τῶν εἰρημένων γένεσιν ἀκολουθεῖν παθημάτων. Ἐρασιστράτειος δ᾽ ἔφην ἐρεῖν ταῦτα, καὶ οὐκ αὐτὸν Ἐρασίστρατον. ὅτι πρεσβύτης ὢν, ἤδη καθ᾽ ὃν χρόνον αὐτοί φασι τὰ τῶν διαιρέσεων αὐτῷ γεγράφθαι βιβλία, τὸν ἐγκέφαλον ἀπεφήνατο τῶν νεύρων ἀρχὴν ὑπάρχειν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον, ἐν τοῖς περὶ τῆς Ἱπποκράτους ἀνατομῆς ὑπομνήμασιν.

Ὁκόσοισιν ὑγιαίνουσιν ἐξαίφνης ὀδύναι γίνονται ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

Ἀφώνους εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν, οὐχ οἷς ἡ φωνὴ μόνη βέβλαπται, κατ᾽ ἐξοχὴν δέ τινα τῇ ταύτης βλάβῃ συνεπινοεῖν ἡμᾶς ἐνδείκνυται πάσας τὰς κατὰ προαίρεσιν ἐνεργείας. ἐνίοτε μὲν οὖν ἐκείνων βεβλαμμένων, οὐκ ἀπόλωλεν ἡ αἴσθησις. αὐτὸς γοῦν ἔφη τοὺς ἀφώνους, αἰσθανομένους συμβαίνει γίνεσθαι, πολλάκις δὲ ἄμφω πέπονθεν, ὅπερ ἀποπληξίαν ὀνομάζουσιν. ἔστι δὲ καὶ ταύτης αὐτῆς ἡ μὲν ἀσθενὴς, ἡ δὲ ἰσχυρά. καὶ διὰ τοῦτο εἶπε, λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον. ἔοικε δὲ νῦν τῆς ἰσχυρᾶς ἀποπληξίας γνώρισμα προστεθεικέναι τὸ, ῥέγχειν, ὃ καὶ τοῖς βαθέως ὑπνοῦσι γίνεται κατὰ τὴν τῆς διαθέσεως ὁμοιότητα. καθ᾽ ἕτερον μὲν τρόπον ἑκατέροις, ὅμως οὖν ἔχουσι τὶ κοινὸν ᾧ ἕπεται τὸ ῥέγχειν. ἔστι δὲ τὸ κοινὸν ἀμφοῖν ἡ ἀῤῥωστία τῆς τῶν νεύρων ἐνεργείας. καὶ λέλεκται περὶ τούτων ἁπάντων ἐπὶ πλέον, ἐν τῇ περὶ τῶν πεπονθότων τόπων πραγματείᾳ. νυνὶ δ᾽ ὅσον εἰς τὸν ἀφορισμὸν ἀναγκαῖον εἰρήσεται, οἷς ἂν ὑγιαίνουσιν ἐξαίφνης ὀδύνη τις ἐν τῇ κεφαλῇ γένηται μάλιστα εἰς πνεῦμα φυσῶδες, ἀναφέρειν χρὴ τὴν αἰτίαν. ἤδη δὲ καὶ εἰς πλῆθος ὕλης ἀθρόως ἐπιῤῥυείσης, ἥν τινα καὶ νῦν εἰς τὸν ἐγκέφαλον ἐγκεχύσθαι, δηλοῖ τὰ μετὰ τὴν ὀδύνην γινόμενα συμπτώματα, δι᾽ ὧν ὅτι καὶ φλεγματική τίς ἐστιν ἡ ὕλη συνεμφαίνεται. καὶ διὰ τοῦτο ὁ πυρετὸς ἐπιγινόμενος, λύει τὴν διάθεσιν, ὡς ἂν ἐκθερμαίνων τε καὶ λεπτύνων καὶ διαφορῶν, τό, τε φυσῶδες πνεῦμα καὶ τοὺς φλεγματικοὺς χυμούς. γίνεται δὲ τοῦτο, ποτὲ μὲν τρισὶν ἢ τέτρασιν ἡμέραις, ποτὲ δὲ καὶ πλείοσι, οὐ μὴν ἐξωτέρω γε τῶν ἑπτὰ, διότι κύριον τὸ μέρος, οὐκ ἀνέχεται δὲ τὰ τοιαῦτα μόρια, χρονίων τε ἅμα καὶ ἰσχυρῶν διαθέσεων, ὡς ἐπιδέδεικται πολλάκις.

Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν, ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίης ἐὸν, τε ἢ ἐκ φαρμα

κοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.

Ἤτοι διὰ ξηρότητα τῶν βλεφάρων, ἢ διὰ τὴν τῆς κινούσης αὐτὰ δυνάμεως ἀσθένειαν, ὑποφαίνεταί τι τοῦ λευκοῦ, μὴ δυναμένων ἀκριβῶς κλείεσθαι τῶν ὀφθαλμῶν. διὰ τοῦτο γοῦν αὐτῷ καὶ κατὰ τὰς διαῤῥοίας καὶ φαρμακοποσίας, ὅπερ ἐστὶ κατὰ τὰς καθαιρόντων φαρμάκων πόσεις, ὑποφαίνεταί τι τοῦ λευκοῦ τῶν ὀφθαλμῶν, ὅταν ὑπνοῦντες τύχωσι. ξηραίνεται γὰρ ἅπαν τὸ σῶμα, καὶ ἡ δύναμις ἀσθενὴς γίνεται κατὰ τὰς τοιαύτας κενώσεις. ἐπισυμβαίνει δὲ πλεῖον ἐν τοῖς βλεφάροις ἡ ξηρότης, ὅτι φύσει ξηρά. καθάπερ οὖν αἱ βύρσαι ξηρανθεῖσαι δυσεπέκτατοι γίνονται, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ τοιαῦτα μόρια. καὶ μὲν δὴ καὶ ὅτι καμνούσης τῆς δυνάμεως, οὐ μόνον ἀδυνατοῦσιν ἀκριβῶς κλείειν τοὺς ὀφθαλμοὺς, ἀλλὰ καὶ τὸ στόμα, καὶ διὰ τοῦτο κοιμῶνται χάσκοντες, εὔδηλον ἅπαντι τῷ γε προσέχειν βουληθέντι τῇ φύσει τοῦ πράγματος τὸν νοῦν.

Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι, αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

Οὐδεμία μὲν ἀσφαλής ἐστι παραφροσύνη. σφαλεραὶ δ' ἧττον αἱ μετὰ γέλωτος, ὡς αἵ γε θρασεῖαι καθάπερ αὐτὸς ὀνομάζει σφαλερώτεραι πασῶν. ἐν τῷ μέσῳ δ' ἀμφοῖν εἰσιν, αἱ μετὰ σπουδῆς. γίνονται δὲ πᾶσαι μὲν ἐγκεφάλου πάσχοντος, εἴτ' οὖν πρῶτόν τε καὶ καθ' ἑαυτὸν, εἴτε κατὰ συμπάθειαν. ἀλλήλων δὲ διαφέρουσι ταῖς ἐργαζομέναις αὐτὰς αἰτίαις. ὅσαι μὲν γὰρ ὑπὸ θερμασίας γίνονται μόνης ἄνευ μοχθηροῦ χυμοῦ, παραπλήσιαί πως εἰσὶ ταῖς ἐπὶ οἰνοπόσεσιν. ὅσαι δ' ἐπὶ τῇ ξανθῇ χολῇ, μετὰ σπουδῆς ἐπιτελοῦνται. συγκαυθείσης δ' αὐτῆς ἐπὶ πλέον ὡς μελαγχολικωτέραν ὑπάρχειν ἤδη, μανιώδεις ἱκανῶς αἱ παραφροσύναι γίνονται. μεμνῆσθαι γὰρ χρὴ τῶν περὶ τῆς μελαίνης χολῆς ἐν ἄλλοις διωρισμένων, ὡς ἡ μὲν ὑπεροπτηθείσης γίνεται τῆς ξανθῆς χολῆς, ἥπερ δὴ καὶ χαλεπωτάτη παντελῶς ἐστίν. ἡ δ' ἐκ τοῦ αἵματος, ὡς ἂν εἴποι τις ἰλύος καὶ τρυγός, παχυτέρα μὲν ἐκείνης τῇ συστάσει, πολὺ δὲ ἀπολειπομένη τῷ μοχθηρῷ τῆς ποιότητος. εἴρηται δὲ καὶ ὅτι τὴν οἷον τρύγα τοῦ αἵματος ἀκριβολογούμενοι μὲν, οὐδέπω μέλαιναν χολὴν ὀνομάζομεν, ἀλλὰ μελαγχολικὸν χυμόν. καταχρώμενοι δὲ τοῖς ὀνόμασι, καὶ μέλαιναν ἔστιν ὅτε καλοῦμεν, ἐπειδὴ μικρὸν ὕστερον ἔσεσθαι μέλλει μέλαινα, μὴ φθασάντων κενῶσαι.

Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακόν.

Τὰ παιδία πολλάκις ὁρᾶται κατὰ τὸν τοῦ κλαίειν καιρὸν εἰσπνέοντα διακεκομμένην πνοὴν, ἱστάμενα μεταξὺ τοῦ θώρακος, εἶτ' αὖθις τὸ λεῖπον προστιθέντος, ὅπερ αὐτὸς ἐν ἐπιδημίαις ὀλίγως εἶπε. διπλῇ ἔσω ἐπανάκλησις οἷον ἐπεισπνέουσι. καὶ γίνεται τοῦτο, ποτὲ μὲν διὰ κάματον τῆς δυνάμεως, ποτὲ δὲ διὰ τὴν τῶν ὀργάνων σκληρότητα, ποτὲ δὲ ἀμφοῖν συνελθόντων. ἔστι δ' ὅτι καὶ διὰ σπασμώδη τινὰ τῶν μυῶν τοῦ θώρακος διάθεσιν. ἥ, τε γὰρ ἀσθενὴς δύναμις ὅταν εἰς ἅπαξ ἀδυνατήσῃ διαστεῖλαι τὸν θώρακα τοσοῦτον ὅσον δεῖται τὸ ζῶον, ἵσταται μεταξὺ κατὰ τὴν ἐνέργειαν ἀναπαυομένη πρότερον, εἶθ' οὕτως αὖθις ἐξορμᾷ, τότε σκληρὸν ὄργανον οὐχ ἑπόμενον ἑτοίμως ὁμοίως, τῇ διαστελλούσῃ δυνάμει κραδαινόμενον ὑπ' αὐτῆς βιαίως, διαστέλλεται. περὶ δὲ τῆς σπασμώδους διαθέσεως, τί δεῖ καὶ λέγειν ὡς τοιαύτην ἀναπνοὴν ἐργάζεται. ψύξεως μὲν οὖν καταλαβούσης, ἤτοι τοὺς μῦς τοῦ θώρακος, ἢ καὶ τὰ νεῦρα, σκληρότης ἄν τις ἐν τοῖς ὀργάνοις γεννηθείη καὶ σπασμώδης κίνησις, ἥν ὅ, τε πυρετὸς ἰᾶσθαι πέφυκε, καὶ τὰ θερμὰ βοηθήματα. πυρετοῦ δὲ σὺν τούτοις ὄντος, οὐκ ἐγχωρεῖ ψύξιν αἰτιᾶσθαι τῶν κατὰ τὸν θώρακα μυῶν ἢ νεύρων. ἀλλ' ἤτοι σκληρότητα γεγενημένην, ἢ δυνάμεως ἀῤῥωστίαν, ἢ σπασμώδη διάθεσιν. ὅτι δ' οὐδὲν τούτων, οὐκ ἀγαθόν ἐστιν, ἐν ὀξεῖ νοσήματι συμβαίνειν. εἰ μὲν οὖν κατὰ μόνης τῆς εἰρημένης κινήσεως τῶν ἀναπνευστικῶν ὀργάνων ἡ κλαυθμώδης ἀναπνοὴ λέλεκται πρὸς αὐτοῦ, τέλος ἔχει τὰ τῆς ἐξηγήσεως. εἰ δὲ καὶ μετὰ τοιούτου τινὸς ψόφου βούλεται τὴν εἰρημένην αὐτῷ ἀναπνοὴν συμβαίνειν ὁποῖα τοῖς κλαίουσι γίνεται, καὶ πρὸς τοῖς εἰρημένοις αἰτίοις, ἐνδείξεταί τινα διάθεσιν ὀδυνώδη, καθ' ἣν οἷον οἰμώζοντες, ἢ στένοντες, ἢ μακρόν τινα ἐξ ἀμφοῖν ἀποτελοῦντες ψόφον, ἀναπνέουσιν οὕτως.

Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου, κινέεται ὡς ἐπὶ τὸ πολύ.

Τὰ ποδαγρικὰ καθάπερ καὶ τἆλλα πάντα ἀρθριτικὰ, τοῦ ἦρος αὐξάνεται, καὶ διὰ τοῦτ' αὐτὸς ἔμπροσθεν ἐν τῷ τῶν ἠρινῶν νοσημάτων καταλόγῳ τῶν ἀρθριτικῶν ἐμνημόνευσεν, ἐν οἷς δηλονότι περιέχεται καὶ τὰ ποδαγρικά. παροξύνεται γε μὴν ἐνίοτε καὶ κατὰ τὸ φθινόπωρον, οἷς ἂν ἐν τῷ θέρει κατὰ τὴν ὀπώραν συναθροισθῇ τις κακοχυμία. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἑκάστου τῶν μορίων, ὥσπερ ἄλλαι τινὲς ὑπάρχουσαι δυνάμεις, οὕτω καὶ ἡ τῶν λυπούντων ἀποκριτικὴ δύναμις. λυπεῖ δὲ, τὰ μὲν τῷ πλήθει βαρύνοντα, τὰ δ' ἀνιῶντα, τῷ τῆς ποιότητος ἀλλοτρίῳ. κατ' ἄμφω μὲν οὖν ταῦτα τοῖς ἐν τῷ χειμῶνι μοχθηρῶς διαιτηθεῖσι, παροξύνεται τὰ χρόνια τῶν παθῶν, ἦρος ὥρᾳ χεομένων τῶν χυμῶν, εἶτα ἐπὶ τοὺς ἀσθενεῖς τόπους ἀπὸ τῶν ἰσχυροτέρων ἀπωθουμένων, καθ' ἕτερον δὲ μόνον ἐν φθινοπώρῳ.

Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἢ ἀποπληξίην τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνει.

Γίνονται μὲν καὶ διὰ φλεγματικὸν χυμὸν ἀποπληξίαι τε καὶ σπασμοὶ καὶ πηρώσεις ὀφθαλμῶν. γίνονται δὲ καὶ διὰ μελαγχολικὸν, ἐπειδὴ κοινόν ἐστιν ἐν ἀμφοτέροις τὸ πάθος. οὐ μὴν τό γε τῆς μανίας ἐστὶ κοινὸν, οὐδέποτε γὰρ ἐπὶ φλεγματικῷ χυμῷ τὸ πάθος τοῦτο συνίσταται, δεόμενόν γε πρὸς τὴν γένεσιν, ἐρεθίζοντός τε καὶ δάκνοντος χυμοῦ. τοιοῦτοι δέ εἰσιν ὁ μὲν τῆς ξανθῆς χολῆς διὰ παντὸς, ὁ μελαγχολικὸς δὲ οὐ διὰ παντὸς, ἀλλ' ὅταν ἐπὶ πλέον ἤτοι συγκαυθεὶς, ἢ διασαπεὶς, ἐπικτήσηται κακοήθη δριμύτητα.

Ἀπο-

Ἀπόπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

Οὐ πᾶσαν ἀποπληξίαν, ἀλλὰ τὴν προειρημένην μόνην, ἣ τῆς μελαίνης μόνης συνίσταται χολῆς, συμβαίνει γίνεσθαι τοῖς τὴν εἰρημένην ἄγουσιν ἡλικίαν, ὅτι πλεονάζει μάλιστα κατ᾽ αὐτὴν ὁ τῆς μελαίνης χυμός, ὥσπερ κἂν τῷ φθινοπώρῳ. ἁπλῶς δὲ ἀποφλεγμαινόντων, πλείους γερόντων γίνονται ἀπόπληκτοι. εἴπερ οὖν ἀληθὴς ὁ λόγος ἔσεσθαι μέλλοι, συναπτέον αὐτὸν τῷ κατὰ τὸν προειρημένον ἀφορισμόν, ὡς εἰ καὶ οὕτως εἴρητο, τοῖσι μελαγχολικοῖσι νοσήμασιν, ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἀποπληξίην τοῦ σώματος, ἥτις καταλαμβάνει τοὺς ἀπὸ τεσσαράκοντα ἐτέων, μέχρις ἑξήκοντα.

Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

Διὰ τὴν βραχυλογίαν δόξει ψευδὴς ὁ ἀφορισμὸς εἶναι τῶν μὴ καλῶς ἀκουσάντων αὐτοῦ. τὸ γὰρ λεγόμενον ἐστὶ τοιοῦτον. ὅταν ἐκπέσῃ, τουτέστιν ὅταν γυμνωθῇ καὶ περιψυχθῇ τοῦ περιτοναίου τὸ ἐπίπλοον, οὐκ ἐνδέχεται τοῦτο καταχθὲν, ὑγιὲς καὶ σῶον μεῖναι. καθάπερ εἰ καὶ ἄλλό τι περιψυχθέν, οἷον ἔντερον ἢ σπλάγχνου λοβός. ἐκεῖνα μὲν γὰρ εἰ μὴ πολλῷ χρόνῳ καταψυχθείη, τὴν ἀρχαίαν ἀπολαμβάνει κρᾶσιν, ἐπιπλωθείσης τῆς γεγενημένης κατὰ τὸ ἐπιγάστριον διαιρέσεως. ἐπίπλοον δὲ κἂν ἐλαχίστῳ χρόνῳ γυμνωθέν, σήπεται καταχθέν, δι᾽ ἣν αἰτίαν καὶ τέμνουσιν αὐτοῦ τὸ γυμνωθὲν οἱ ἰατροί. ταύτην οὖν ἔχει ὁ ἀφορισμὸς τὴν γνώμην, ἀδιοριστότερον εἰρημένος τῇ λελεγμένῃ λέξει. εἰ δέ τις φησὶν ὡς ἑώρακέ ποτε πρὸς βραχὺν χρόνον τὸ ἐπίπλοον ἐκπεσόν, ἔπειτα καταχθὲν μὴ σαπῆναι, τὸ μὲν διηνεκὲς τῆς Ἱπποκράτους ἀποφάσεως, ἀναιρήσει. φυλάξει δὲ τὸ ὡς ἐπὶ τὸ πολύ, καὶ κοινόν ἐστι τοῦτο τῷ ἀφορισμῷ πρὸς ἄλλους ὑφ᾽ Ἱπποκράτους εἰρημένον, ἐν σχήματι λέξεως τὸ διηνεκὲς ἐνδεικνύμενον. καί τοι γε οὐκ ἀποβαινόντων ἀεὶ τῶν πραγμάτων ὡσαύτως, ἀλλ᾽ ἐν σπανίῳ ποτὲ καὶ ἐναντίως.

Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης, τὸ ἰσχίον ἐξίσταται, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

Ἀθροίζεται πολλάκις ἐν τοῖς ἄρθροις χυμὸς φλεγματώδης ὃν ὀνομάζει μύξαν, ὑφ᾽ οὗ διαβρεχόμενοι τῆς διαρθρώσεως οἱ σύνδεσμοι, χαλαρώτεροι γίνονται, καὶ διὰ τοῦτο ἐξίσταται ῥᾳδίως τῆς κοιλότητος τὸ ἄρθρον, ἐμπίπτει τε πάλιν οὐ χαλεπῶς, ἃ δὴ καὶ νῦν φησι τοῖς οὕτω διακειμένοις ἰσχιαδικοῖς συμβαίνειν. ὅταν δὲ εἴπῃ, τὸ ἰσχίον ἐξίστασθαι, τὸ κατ᾽ ἰσχίον ἄρθρον ἀκουστέον, ὡς κἂν τῷ περὶ ἄρθρων ἔλεγεν, ὦμον δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαῖνον ἐν ἴσῳ, τὸ κατ᾽ ὦμον ἄρθρον.

Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι φθίνει τὸ σκέλος καὶ χωλοῦνται, ἢν μὴ καυθῶσι.

Οὐ χρὴ χωρίζειν τὸν ἀφορισμὸν τοῦτον τοῦ προγεγραμμένου, συνάπτοντας δὲ αὐτοὺς εἰς ἕνα λόγον, οὕτως ἀκούειν. βούλεται γὰρ λέγειν ὅτι τοῖς ἰσχιαδικοῖς οἷς διὰ τὸ πλῆθος τῆς μύξης ἐξίσταται τὸ ἄρθρον, ἐμπίπτει τε πάλιν, ἀναγκαῖόν ἐστιν ἐν χρόνῳ φθίνειν τὸ σκέλος, ἂν μὴ φθάσαντες τῇ καύσει ξηράνωμεν τὴν μύξαν, ὅπερ κἂν τῷ περὶ ἄρθρων συνεβούλευε πράττειν ἐπὶ τοῦ συνεχῶς ἐκπίπτοντος βραχίονος. καὶ γὰρ καὶ νῦν ἡ αὐτὴ τοῦ λόγου δύναμίς ἐστι καίειν συμβουλεύοντος αὐτοῦ κατ᾽ ἰσχίον, ὡς ἐν τῷ περὶ ἄρθρων ἐδίδασκεν, ὅπως ἐκδαπανηθῇ τε τὸ μυξῶδες, ἥ τε χαλαρότης τοῦ δέρματος, εἰς ἣν ὠλίσθανε τὸ ἄρθρον ὑπὸ τῆς καύσεως, εἰς συντονίαν ἀχθεῖσα, σφίγγει τε καὶ κωλύει μεθίστασθαι, ὡς εἴ γε διὰ τὸ πλῆθος τῆς μύξης ἐπὶ πλεῖον ἐξεστηκός, μένει τὸ ἰσχίον. ἔστι μὲν δή που τοῦτο χωλεία τοῦ σκέλους. ἀκολουθήσει δὲ ἐξ ἀνάγκης αὐτῇ καὶ ἀτροφία, καθ᾽ ὃ καὶ τοῖς ἄλλοις ἅπασιν ὅσα τῆς κατὰ φύσιν ἐστερήθη κινήσεως.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ ΙΠΠΟΚΡΑΤΟΥΣ, ΥΠΟΜΝΗΜΑ ζ.

Πάντων σχεδὸν οἱ προγράψαντες ἐξηγήσεις τῶν ἀφορισμῶν, ἐν ἀρχῇ μὲν ἐπὶ πλέον ἐπεκτείνουσι τοῦ χρησίμου τὸν λόγον, ἐκλύονται δὲ προϊόντες, ὥστε πρότερον μὲν ἐπὶ τὸ χρήσιμον προϊέναι μόνον, εἶθ᾽ ἑξῆς ἐλλιπέστερον τούτου, καὶ τελευτῶντες ἐσχάτως συντέμνουσι τὰς ἐξηγήσεις, ὡς μηδ᾽ ὅτι νόθοι τῶν ἀφορισμῶν εἰσιν ἔνιοι καὶ προφανῶς ψευδεῖς, ἔτι παρακολουθεῖν. ἀλλ᾽ ὥσπερ οἱ κάμνοντες ἐν τοῖς διαλόγοις ἐπινεύουσι πρὸς ἅπαν ἑτοίμως, οὕτω καὶ αὐτοὶ προσίενταί τε πάντας, οὓς ἂν εὕρωσι γεγραμμένους ἀφορισμούς, εἰς ἔσχατόν τε βραχυλογίας ἀφικνοῦνται κατὰ τὰς ἐξηγήσεις αὐτῶν, ἐπιλανθανόμενοι τῆς ἐν ἀρχῇ μακρολογίας. ἀλλ᾽ ἡμεῖς γε τὰς ἄλλας αὐτῶν ἀτοπίας ἐπειράθημεν φυλάξασθαι, καὶ πάσας ὁμαλῶς ποιήσασθαι τὰς ἐξηγήσεις ἐσπουδάσαμεν, ἐστοχασμένας μὲν τῶν ἀληθῶν τε ἅμα καὶ χρησίμων τῇ τέχνῃ. τῇ δὲ ἑρμηνείᾳ, μήτε εἰς βραχυλογίαν ἐσχάτην συνηγμένας, οὐ γὰρ ὑπομνήματι τὸ τοιοῦτον, ἀλλὰ συγγράμματι πρέπει, μήτ᾽ εἰς μῆκος τοσοῦτον ὅσον ἐν ἀρχῇ τῶν ἐξηγήσεων ἐκεῖνοι πεποίηνται. τὸ δὲ ἄριστον ἐν ἅπασι τοῖς λόγοις, ὅπερ καὶ σύμμετρόν ἐστιν ἑκάστῃ πραγματείᾳ, τοῦτο ἐσπουδάσαμεν ἀπ᾽ ἀρχῆς μέχρι τέλους διαφυλάξαι.

Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν.

Ἐν μὲν τοῖς χρονίοις νοσήμασι καὶ μάλιστα ὅσα χωρὶς πυρετῶν εἰσι, καὶ περὶ τὸν χειμῶνα καὶ γέρουσι, ψυχρὰ γίνεσθαι τὰ τοῦ σώματος ἔσχατα μόρια ῥῖνας, καὶ πόδας, καὶ ὦτα, καὶ χεῖρας ἄκρας, οὐδὲν ἄτοπον. οὐ μὴν ἔν γε τοῖς ὀξέσι μέτριον τὸ κακόν, ἀλλ᾽ ἱκανῶς ὀλέθριον τὸ σύμπτωμα, φλεγμοναῖς σφοδροτάταις τῶν σπλάγχνων ἐπιγινόμενον. ὀξέα

δὲ προσαγορεύεσθαι νοσήματά φησιν αὐτὸς, ὧν οἱ πυρετοὶ τὸ πλεῖστον εἰσὶ συνεχεῖς. ἐν οἷς ὅταν αὐτῶν μεγάλης φλεγμονῆς ὦσι, μὴ ὅτι καταψύχεσθαι τοῖς ἄκροις, ἀλλὰ καὶ διακαίεσθαι συμβέβηκεν. ἀλλ᾽ ὅταν τὸ τῆς φλεγμονῆς θερμὸν ᾖ οὕτω σφοδρὸν, ὡς ἕλκειν ἐφ᾽ ἑαυτὸ δίκην σικύας ἐξ ὅλου τοῦ σώματος τὸ αἷμα, διακαίονται μὲν οἱ οὕτως ἔχοντες τὰ σπλάγχνα, ψύχονται δὲ τὰ ἀκρωτήρια διὰ τὴν ἔνδειαν τοῦ αἵματος ἀποχωροῦντος εἰς τὰ σπλάγχνα, καὶ οἱ πλεῖστοί γε αὐτῶν οὐδὲ τῶν περιβολαίων ἀνέχονται, διὰ τὸ περὶ τοῖς σπλάγχνοις καῦμα.

Ἐπὶ ὀστέῳ νοσήσαντι σὰρξ πελιδνὴ, κακόν.

Οὐ γὰρ ἐπὶ μετρίαις βλάβαις ὀστῶν σηπεδόσι, τὸ τοιοῦτον εἶδος τῆς χρόας ἐγγίνεται περικειμέναις σαρξὶ, σβεννυμένης δηλονότι τῆς κατὰ φύσιν θερμασίας ἐν αὐτοῖς.

Ἐπὶ ἐμέτῳ λὺγξ, καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

Οἷόν τι πάθος τοῖς μυσὶν ὁ σπασμός ἐστι, τοιοῦτον ἐν τῷ στομάχῳ. γίνεται ἡ λὺγξ ὑγροῖς ἀνιῶσιν, ἐπιγινομένη ποτὲ μὲν ὅλην τὴν κοιλίαν, ὡς τὰ πολλὰ δὲ τό, τε στόμα, καὶ τὸν στόμαχον αὐτῆς, ἃ καὶ ἐν τοῖς ἐμέτοις ἀπορρίψασα, παραχρῆμα παύεται τῆς λυγγός. ὡς ὅταν γε μηδ᾽ ὑπὸ τούτων παύηται, δυοῖν θάτερον ἐνδείκνυται, ἤτοι τὴν ἀρχὴν τῶν νεύρων τὸν ἐγκέφαλον, ἢ τὴν γαστέρα φλεγμαίνειν οὐ μετρίαν φλεγμονήν. τὸ δὲ τῶν ὀφθαλμῶν ἔρευθος, ἕπεται ἀμφοτέροις, καὶ μᾶλλόν γε ταῖς κατὰ τὸν ἐγκέφαλον φλεγμονώδεσι διαθέσεσιν.

Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

Ὅτι τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα, λέλεκται πρὸς αὐτοῦ, διὰ τὸ τὴν φύσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ὑπὸ τοῦ νοσήματος νικᾶσθαι.

Ἐπὶ μανίῃ ἢ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

Δυσεντερίαν μὲν ἢ ὕδρωπα τῷ λόγῳ τῆς μεταστάσεως, ἴαμα γίνεσθαι μανίας, οὐδὲν ἄλογον, ἐκ τῆς κεφαλῆς τῶν λυπούντων κάτω μεθισταμένων. ἔκστασιν δ᾽ οὐδαμῶς διάλυσιν εἶναι μανίας, ὥστε μᾶλλον αὔξησιν ἄν τις εἴποι, καὶ μέντοι καὶ εἴπερ ὄντως ὁ Ἱπποκράτης πολλαχῇ μανίαν καὶ σφοδρὰν ὠνόμασεν ἔκστασιν, οἶδα μὲν οὕτω τινὰ παυσάμενον ἧς ἔμπροσθεν εἶχε μετρίας μανίας, ἐλογισάμεθά τε τῇ σφοδρότητι τῆς κινήσεως τῶν ποιούντων τὴν μανίαν αἰτίων, ἀκολουθῆσαι τὴν λύσιν, ὥσπερ εἴωθε κἀν τοῖς ὀξέσι νοσήμασι τὰ σφοδρότατα τῶν συμπτωμάτων, ἔστιν ὅτε κρίσεις ἀγαθὰς ἐργάζεσθαι.

Ἐν νόσῳ πολυχρονίῃ ἀποσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες, κακόν.

Καὶ αὐτὴ μὲν καθ᾽ ἑαυτὴν ἡ ἀποσιτία σημεῖόν ἐστι μοχθηρὸν ἐν χρονίοις νοσήμασιν. ἐπὶ γὰρ τῶν σωθήσεσθαι μελλόντων ἐκ τῶν τοιούτων νοσημάτων, αὐτῷ τοὐναντίον ὀρέξεις σφοδρότεραι γίνονται σιτίων, ὥστ᾽ οὐκ ἀγαθὸν σημεῖον ἡ ἀποσιτία. ὅταν δὲ καὶ τὰ περὶ τὰς διαχωρήσεις ὑπάρχῃ πονηρὰ, πολὺ δὴ καὶ μᾶλλον. ἀκράτους δὲ ὑποχωρήσεις εἴρηκε, τὰς ἀμίκτους ὑδατώδεσιν ὑγρότητας αὐτοῦ τοῦ κενουμένου χυμοῦ μόνου διαχωρουμένου, εἴτε πικρόχολος, εἴτε μελαγχολικὸς, εἴτε πρασοειδὴς, εἴτε ὁ τῆς ἰώδους λεγομένης ὑπάρχει χολῆς. ἐνδείκνυνται γὰρ αἱ τοιαῦται διαχωρήσεις, ἐκπεφεῦχθαι τὴν κατὰ φύσιν ὑγρότητα πᾶσαν ὑπὸ τῆς πυρετώδους θερμασίας.

Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

Ὅτι μὲν ἡ πολυποσία πολλὴν πόσιν οὐχ ὕδατος ἀλλ᾽ οἴνου δηλοῖ, πρόδηλον παντί. παραφρονοῦσι δ᾽ ἐπὶ ταῖς τοιαύταις πόσεσιν ἔνιοι, πληρουμένης τῆς κεφαλῆς αἵματός τε καὶ πνεύματος θερμοῦ. δι᾽ αὐτὸ δὲ τοῦτο καὶ θερμότεροι γίνονται, μάλιστα μὲν τὴν κεφαλὴν, ἤδη δὲ καὶ σύμπαν τὸ σῶμα. σπάνιοι γε μὴν ἐξ αὐτῶν εἰσιν, οἱ σὺν τῇ παραφροσύνῃ ῥιγώσαντες, ἐφ᾽ ὧν οὐκ ἐξάπτεται τὸ σύμφυτον θερμὸν, ἀλλὰ σβέννυται διὰ τὸ πλῆθος, ὥσπερ ἐπὶ τῶν πολλῶν ξύλων ἐπιβληθέντων τῷ πυρὶ, ἥ τε τοῦ λύχνου φλὸξ ἐξ ἐλαίου καταχυθέντος ἀθρόως.

Ἐπὶ φύματος ἔσω ῥήξιος ἔκλυσις, ἔμετος, καὶ λειποψυχίη γίνεται.

Φῦμα μὲν ὠνόμασεν, ὅπερ ἐν ἑτέροις αὐτὸς εἴωθε προσαγορεύειν ἐμπύημα, τὴν δ᾽ ἔσω ῥῆξιν αὐτοῦ, τὴν εἰς τὴν γαστέρα λέγει. ταύτῃ γὰρ ἔμετος ἕπεται, ὡς αἵ γε τὸν περὶ θώρακά τε καὶ πνεύμονα φυμάτων ῥήξεις, οὐκ ἐμέτους, ἀλλ᾽ ἐξ ἀνάγκης μὲν βῆχα, πολλάκις δὲ καὶ πνίγα φέρουσιν, ὥσπερ γε καὶ αἱ εἰς τὰ ἔντερα συρρήξεις τῶν ἐμπυημάτων διαχώρησιν ἐργάζονται πύου. κοινὸν δὲ πασῶν ῥήξεως, ἔκλυσίς τε καὶ λειποψυχία, διὰ τὴν τοῦ ζωτικοῦ πνεύματος ἔκκρισιν, ὡς ἑτέρωθι δέδεικται.

Ἐπὶ αἵματος ῥύσει παραφροσύνη, ἢ καὶ σπασμὸς, κακόν.

Οὗτος ὁ ἀφορισμὸς ἡμᾶς ὠφελεῖ μεγάλα, πρὸς τὸ πεπεῖσθαι γίνεσθαί ποτε παραφροσύνας ἐπ᾽ ἐνδείᾳ παραπλησίῳ τρόπῳ τοῖς περὶ κῶλα τρόμοις. ἐκεῖνά τε γὰρ ἀῤῥωστίᾳ τῆς κινούσης αὐτὰ δυνάμεως ἀστηρίκτους ἴσχει τὰς κινήσεις, ὅτ᾽ ἐγκέφαλος παραφόρως. διόπερ οὐδὲ σφοδρὸν γίνεταί ποτε τὸ τοιοῦτον εἶδος τῆς παραφροσύνης, ἀλλὰ μέτριόν τε καὶ ὡς ἂν εἴποι τις ληρῶδες. αὐτὸς γὰρ εἴωθεν ὀνομάζειν λῆρον τὴν μετρίαν παρακοπήν. ἐὰν οὖν καὶ σπασμός ποτε συνέλθῃ τῇ τοιαύτῃ παραφροσύνῃ, παντάπασιν ἀνιάτως ἔχουσιν. ἔνια μὲν οὖν τῶν ἀντιγράφων, διὰ τοῦ, καὶ, συνδέσμου γέγραπται, τινὰ δὲ τὸν παραδιαζευκτικὸν ὀνομαζόμενον ἔχει τὸ ἤ. καθ᾽ ὃν καὶ ἡ παραφροσύνη μὲν, οὐκ ἀγαθόν ἐστι σύμπτωμα μεθ᾽ αἵματος ῥύσιν, εἰ καὶ μόνη συμβαίνει. πολὺ δὴ μᾶλλον ὁ σπασμὸς, εἰ καὶ χωρὶς παραφροσύνης γίνοιτο, μέγιστον δὲ κακὸν, εἰ ἀμφοῖν ἐστι σύνοδος. ὅπου γε καὶ μόνος ὁ διὰ τὴν ἄμετρον κένωσιν γινόμενος σπασμὸς, ὀλεθριώτατόν ἐστι σύμπτωμα. τὸ μὲν γὰρ τῆς παραφροσύνης ἧττόν ἐστι κακόν.

Ἐπὶ εἰλεῷ ἔμετος, ἢ λὺγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

Ἐν τοῖς εἰλεοῖς οὐδὲν ὑπάρχει κάτω, καὶ τοῦτό ἐστιν ἴδιον ἀχώριστον τοῦ πάθους. ἔμετος δὲ οὐκ ἀεὶ σύνεστιν, ἀλλ' ὅταν ὀλεθρίως ἔχωσι. καὶ εἰ πλέον δὲ σπαράττονται, καὶ κόπρος αὐτοῖς ἐπαναφέρεται καὶ λύζουσιν. ἔνιοι δὲ καὶ παραφρονοῦσι καὶ σπῶνται, συμπασχούσης τῆς ἀρχῆς τῶν νεύρων τῇ τοῦ στομάχου κακώσει. δοκεῖ δέ μοι γίνεσθαι τὰ τοιαῦτα, τῶν ἐντέρων ἐν οἷς ἡ διάθεσίς ἐστιν, ἀπώσασθαι ἑαυτῶν τὴν κόπρον ἐφιεμένων, ὅταν ἀνιαρὰ διὰ χρόνου μῆκος ᾖ, μὴ δυναμένων δὲ διὰ τὴν ἐν τοῖς κάτω μορίοις στέγνωσιν ἐκεῖθεν διαπέμπειν, ἀλλ' ἀναγκαζομένων ἔμπαλιν τῇ φύσει κινεῖσθαι βιαίως, καὶ πρὸς τὴν ἄνω χώραν ἐκθλίβειν τὰ λυποῦντα.

Ἐπὶ πλευρίτιδι περιπνευμονίη, κακόν.

Ἐν μὲν τοῖς πλείστοις τῶν ἀντιγράφων ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ πρόσκειται, τὸ κακόν. ἐν τισὶ δ' ἁπλῶς οὕτως γέγραπται. ἐπὶ πλευρίτιδι περιπνευμονία, βουλομένων τῶν οὕτως γραφόντων, οὐχ ὅτι κακόν ἐστιν ἢ ἀγαθὸν ἐπιγινομένη πλευρίτιδι περιπνευμονία διδάσκειν νῦν αὐτόν, ἀλλ' ἁπλῶς αὐτὸ τοῦτο μόνον ὅτι μεταπίπτειν εἴωθε πλευρῖτις εἰς περιπνευμονίαν, ἢ ἐπιγίνεσθαι πλευρίτιδι περιπνευμονίαν. μεταπίπτει μὲν οὖν, ὅταν τοῦ προτέρου παυσαμένου ἕτερον γένηται. ἐπιγίνεται δὲ, ὅταν διαμένοντος ἐκείνου, προσγένηται ἕτερον. ἀλλὰ νῦν φαίνεται περὶ τῶν ἐπιγινομένων ὁ Ἱπποκράτης γράφων, οἷς εὐθὺς ἐξ ἀρχῆς καὶ τὸ κακοῖς εἶναι ὑπάρχει, ὥστε κἂν μὴ πρόσκειται τὸ κακόν, ἤτοι γε ἐπακουστέον αὐτό, κατὰ τὸν ἀπὸ κοινοῦ λεγόμενον τρόπον, ἢ δυνάμει δηλοῦσθαι νομιστέον. ἅπασα γὰρ ἡ τῶν οὕτως ἐπιγινομένων σύστασις, οὐ σμικροῖς ἀεὶ ἐπιεικέσιν ἕπεται νοσήμασιν, ἀλλὰ μεγάλοις τε καὶ κακοήθεσιν. οἷον εὐθέως ἐπὶ τῶν εἰρημένων κατὰ τὸν ἀφορισμὸν παθῶν, ὅταν μὴ στέγηται κατὰ τὰς πλευρὰς, ὁ τὴν πλευρῖτιν ἐργαζόμενος χυμὸς, ἀφικνεῖταί τι μέρος αὐτοῦ καὶ πρὸς τὸν πνεύμονα. τῇ μέντοι περιπνευμονίᾳ, πλευρῖτις οὐ πάνυ τι πέφυκεν ἕπεσθαι, διότι κατὰ μὲν τὴν ἐπιεικῆ περιπνευμονίαν ἐκκαθαίρεται πᾶς ὁ λυπῶν χυμὸς ἀναβηττόμενος. ἐν δὲ ταῖς ὀλεθρίαις, φθάνει πνίγειν πρὸ τοῦ τὰς πλευρὰς συμπαθεῖν.

Ἐπὶ περιπλευμονίῃ, φρενῖτις κακόν.

Ὅταν ὑπὸ θερμοῦ χυμοῦ γένηται περιπνευμονία, πολλοὺς ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν ἀναπέμπουσα, πληροῖ τὸν ἐγκέφαλον ἀτμῶν, καὶ φρενῖτιν ἐργάζεται. τὰ δ' ἄλλα κοινὰ πρὸς τὸν ἔμπροσθεν εἰρημένον ἀφορισμόν, οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ κἀν τοῖς ἐφεξῆς.

Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν.

Οἱ πλεῖστοι τῶν ἐξηγητῶν, οὕτως ἴσασι γεγραμμένον τὸν ἀφορισμὸν τοῦτον, ὁ δὲ Μαρῖνος ἐπὶ τραύμασι γράφει. καὶ γὰρ τὸν ἑξῆς ἀφορισμὸν αὐτῷ φησι μαρτυρεῖν. ἀληθὲς μὲν οὖν καὶ τὸ τοῖς ἰσχυροῖς τραύμασι φλεγμονάς τε καὶ σπασμοὺς γίνεσθαι. τῶν δ' ἐξηγησαμένων σχεδὸν ἁπάντων καὶ μάλιστα τῶν παλαιοτάτων, τὴν ἐπὶ καύμασιν ἰσχυροῖς γραφὴν ἐπισταμένων, ἄμεινον καὶ ἡμᾶς ἐκείνην ἐξηγεῖσθαι. τινὲς μὲν οὖν τὸ, καύμασιν, ἐν ἴσῳ τῷ πυρετοῖς ἤκουσαν. ἔνιοι δὲ τὴν ἐκ τοῦ περιέχοντος πύρωσιν οὕτως εἰρῆσθαί φασιν. ἔνιοι δὲ ἀντὶ τοῦ καυτηρίοις τε καὶ ἐσχάραις, καὶ πάντες ἀληθεύουσιν. ἐπιγίνονται γὰρ ἅπασι τούτοις, οὐκ ἐπ' ἀγαθῷ, τέτανοί τε καὶ σπασμοὶ κατὰ ξηρότητα τῶν νεύρων, οὕσπερ χαλεπωτάτους ἐδείκνυμεν ὄντας.

Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη, κακόν.

Ἡ μὲν γὰρ παραφροσύνη γνωρίζεται, φθεγγομένων τε καὶ πραττόντων οὐδενὸς ἐχόμενα λόγου. ἡ δ' ἔκπληξίς ἐστιν, ὅταν μὴ φθέγγωνταί τι μήτε πράττωσιν, ἀλλ' ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς, ἐφ' ἡσυχίας μένωσιν ὁμοίως τοῖς ὑπὸ δέους ἐκπλαγεῖσιν. ὅτι δὲ τὰ τοιαῦτα πάντα πάσχοντος ἐγκεφάλου γίνεται, πρόδηλον, ἐδείχθη γὰρ ἐν ἐκείνῳ τὸ τῆς ψυχῆς ἡγεμονικόν. ἐὰν γοῦν ἐπὶ τῇ τελευτῇ προγεγραμμένον ᾖ τὸ κακόν, εὔδηλον ὡς ὀρθῶς εἴρηται. διήκειν γὰρ εἰς αὐτὸν εἴσω τὸν ἐγκέφαλον ἐνδείκνυται τὴν πληγήν. ἐὰν δὲ μὴ προσγραφῇ, δυνατὸν ἡμῖν ἐστι καὶ προσυπακοῦσαι, καθάπερ ἐν τοῖς ἔμπροσθεν ἔφαμεν ἀπὸ κοινοῦ. δυνατὸν δὲ καὶ τὸ συνενδείκνυσθαι τὰ συμπτώματα τὴν βλάβην τοῦ ἐγκεφάλου, τὸ μέγεθος τῆς κακώσεως ἐπινοεῖν.

Ἐπὶ αἵματος πτύσει, πύου πτύσις, κακόν.

Ὅτι πᾶς οὗτος ὁ κατάλογος αὐτῷ τῶν καλουμένων ἰδίως ἐπιγινομένων ἐστὶν, ὑπὲρ ὧν καὶ Πραξαγόρας ἓν ὅλον οὐ σμικρὸν ἔγραψε βιβλίον, εὔδηλον εἶναι νομίζω κἀξ αὐτοῦ τοῦ ἀφορισμοῦ. οὐ γὰρ ἅπασα πτύσις αἵματος, ἑπομένην ἔχει πύου πτύσιν, ἀλλ' ἡ κακοήθης μόνη, διὸ καὶ ἐκ τοῦ πνεύμονος τοὐπίπαν ἡ τοιαύτη.

Ἐπὶ πύου πτύσει φθίσις καὶ ῥύσις. ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

Ἣν ἰδίως ὀνομάζουσιν οἱ Ἕλληνες καὶ μάλιστ' αὐτῶν οἱ Ἀθηναῖοι φθόην, ταύτην νῦν ὁ Ἱπποκράτης ὠνόμασεν φθίσιν, ἐπὶ πνεύμονος ἑλκώσεσιν ἀνιάτοις γιγνομένης ἅπαντος τοῦ σώματος ἰσχνότητος μετὰ πυρετοῦ λεπτοῦ. τὸ δὲ ῥύσις, ἤτοι κατὰ τὴν τῶν τριχῶν ἐκπτώσεως, ἢ κατὰ τὴν ὑγρᾶς διαχωρήσεως εἴρηκεν. ἀμφότερα γὰρ εἴωθε γίνεσθαι ἐσχάτως ἐχόντων τῶν φθινόντων. τὸ μὲν ἐπὶ ξηρότητι, τὸ δ' ἐπ' ἀρρωστίᾳ δυνάμεως. τὸ γε μὴν ἐπὶ τέλει γεγραμμένον, ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσι, τὸν τρόπον δηλοῖ τοῦ θανάτου τῶν ὑπὸ φθόης ἀπολλυμένων. ἄχρι γὰρ τοσούτου ζῶσιν ἰσχνοὶ γιγνόμενοι, μέχρι περ ἀναβήττειν δύνανται, τὸ καθαίρειν διὰ τῶν ἀναπτυομένων τὸν πνεύμονα. μενόντων δ' ἔνδον αὐτῶν, ἀναφράττονται μὲν αἱ τῆς ἀναπνοῆς ὁδοὶ, πνίγονται δ' οἱ πάσχοντες.

Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος, λὺγξ κακόν.

Εἶπον ἤδη καὶ πρόσθεν, ὡς ἅπαντες οὗτοι οἱ ἐφεξῆς ἀλλήλων ἀφορισμοὶ γεγραμμένοι, διδάσκουσι περὶ τῶν ἐπιγινομένων συμπτωμάτων τοῖς πάθεσιν αὐξανομένοις καὶ χείροσιν αὐτῶν γιγνομένοις. οὕτως οὖν καὶ νῦν ἡ λὺγξ ἐφ' ἥπατι φλεγμαίνοντι γίνεσθαι λέλεκται, οὐ διὰ παντὸς, οὐδ' ὡς ἔτυχε πάσχοντος, ἀλλ' ὅταν εἰς μέγεθος αἴρηται

ζούσης τῆς φλεγμονῆς, ὑφ' ἧς εἰς συμπάθειαν ὁ στόμαχος ἔρχεται. ποτὲ δὲ τῷ λόγῳ τῶν κοινῶν νεύρων, ἅπερ ἐστὶν ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐδίδαξε, βραχύτατα. διὸ καὶ τότε μόνον ἡ συμπάθεια γίνεται τῷ στομάχῳ πρὸς τὸ ἧπαρ, ὅταν καὶ ἡ φλεγμονὴ μεγίστη τε καὶ χειρίστη γένηται. καὶ μέντοι καὶ διὰ τὸ χολὴν ἱκανῶς θερμὴν τε καὶ πολλὴν ἐν ταῖς φλεγμοναῖς τοῦ δὲ τοῦ σπλάγχνου γεννᾶσθαι τε καὶ συῤῥεῖν εἰς τὴν ἀρχὴν τῶν ἐντέρων, ἧς ἐπιπολαζούσης καὶ ἀναθεούσης εἰς τὴν γαστέρα, δάκνεσθαί τε καὶ διὰ τοῦτο λύζειν τῷ στομάχῳ συμβέβηκεν. ἔνιοι δὲ οἴονται τὸ μέγεθος τῆς φλεγμονῆς τοῦ ἥπατος θλίβον τὴν κοιλίαν, ἐργάζεσθαι τὴν λύγγα, διέξοδον οὐκ ἔχοντος ὡς ἐκεῖνοι φασὶ, τοῦ πνεύματος.

Ἐπὶ ἀγρυπνίῃ σπασμὸς ἢ παραφροσύνη, κακόν.

Ἔνιοι προστιθέασι κἀνταῦθα τὸ κακόν. ἡμῖν δ' εἴρηται πρόσθεν, ὡς εἰ μὴ καὶ προστεθείη, περιέχεται δυνάμει. διατί δὲ ταῖς ἀμέτροις ἀγρυπνίαις ἕπεται σπασμὸς ἢ παραφροσύνη, δῆλον ἐστὶ τῷ μεμνημένῳ τῶν ἔμπροσθεν. ὁ μὲν γὰρ σπασμὸς ἐῤῥέθη καὶ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους ὥσπερ ὑπὸ πληρώσεως, οὕτω καὶ κενώσεως γίνεσθαι. κενωτικώτατον τι δὲ καὶ ξηραντικώτατον ἐστὶν ἡ ἀγρυπνία, καὶ διὰ τοῦτον τε τὴν ξηρότητα φέρει σπασμὸν καὶ τὴν παραφροσύνην, αὐτῷ τῷ λόγῳ τῆς ἀμέτρου ξηρότητος, καὶ πρὸς τούτῳ, διότι χολωδέστερον ἐν ταῖς μακραῖς ἀγρυπνίαις γίνεται τὸ αἷμα. κατά τινα μέντοι τῶν ἀντιγράφων, καὶ τά γε ἀκριβέστατα χωρὶς τῆς παραφροσύνης γέγραπται ὁ ἀφορισμὸς, τρόπῳ τοιῷδε. ἐπὶ ἀγρυπνίῃ σπασμὸς, ὡς αὖ οἶμαι τὰ κάκιστα τῶν ἐπιγινομένων ἐνταῦθα γράφοντος τοῦ Ἱπποκράτους.

Ἐπὶ ὀστέου ψιλώσει, ἐρυσίπελας.

Ἐν τούτῳ τῷ λόγῳ μάλιστα χρὴ προσυπακούειν τὸ κακόν. οὐ γὰρ δὴ τοῦτό γε φησὶν ὡς διὰ παντὸς, ἢ ὡς τὸ πολὺ τοῖς ἐψιλωμένοις ὀστοῖς ἐρυσίπελας ἐπιγίνεται. τοὐναντίον γὰρ πᾶν ἀληθές ἐστι τοῦ σπανίως ἕπεσθαι τοῖς οὕτω πάσχουσιν ὀστοῖς ἐρυσίπελας. ἀλλ' ὅτι μοχθηρόν ἐστι σύμπτωμα, συγγυμνωθέντος ὀστοῦ, τὴν πέριξ σάρκα φανῆναι κατειλημμένην ἐρυσιπέλατι.

Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν ἢ ἐκπύησις.

Πρόδηλον δή που καὶ κατὰ τοῦτον τὸν λόγον ἐστὶν, ὡς τοῖς κακοήθεσιν ἐρυσιπέλασιν ἐπιγίνεται ταῦτα.

Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖς ἕλκεσιν, αἱμοῤῥαγίη.

Ἐν τοῖς φλεγμαίνουσιν ἕλκεσιν ὁ σφυγμὸς γίνεται, μὴ φερούσης τῆς ἐπικειμένης ταῖς ἀρτηρίαις σαρκὸς τὴν κίνησιν αὐτῶν, ἀλλ' ὀδυνωμένης, ὅταν ἐμπίπτωσιν αὗται διαστελλόμεναι. ἔστι γὰρ ὁ τοιοῦτος σφυγμὸς, ὀδυνηρά τις αἴσθησις, ἐκ τῆς τῶν ἀρτηριῶν κινήσεως γινομένη, ὧν οὐδὲν αἰσθανόμεθα, τὴν ἀρχὴν ἔν γε τὸ κατὰ φύσιν ἔχειν τὰ μόρια, διά τε τὸ τῆς ὁμιλίας αὐτῶν ἄλυπον, καὶ διὰ τὴν εὐρυχωρίαν ἐν ᾗ κινοῦνται. φλεγμαινόντων δὲ, ἥ τε στενοχωρία καὶ τὸ τῆς διαθέσεως ὀδυνηρὸν, αἴσθησιν ἐναργῆ ἐργάζεται τοῖς κάμνουσιν ἐκ τῆς κινήσεως τῶν ἀρτηριῶν, ἣν καλοῦσιν οὐκ ἰατροὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι σφυγμόν. ἔοικε δὲ καὶ ἡ κίνησις αὕτη τῶν ἀρτηριῶν, κατὰ τὰς τοιαύτας διαθέσεις αὐξάνεσθαι. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ὡς ἔστι καὶ ἡ τῶν ἀλλοτρίων ἀποκριτικὴ μία τις ἐν αὐτοῖς δύναμις, ἥ τις καὶ τὰς κρισίμους ἱδρῶτας ἐργάζεται, καὶ τὰς αἱμοῤῥαγίας, καὶ τὰς διὰ γαστρὸς ὑποχωρήσεις, ὅσα τε ἄλλα τοιαῦτα. κατὰ ταύτην οὖν τὴν δύναμιν, ἐνίοτε σφοδρότερον ἡ φύσις ἐνεργοῦσα, μεγάλην τε ἅμα καὶ βίαιον ἐργάζεται τὴν κίνησιν τῶν ἀρτηριῶν, ἐφιεμένη διώσασθαι τὰ λυποῦντα, καὶ οὕτως ἐπιφέρει τὰς αἱμοῤῥαγίας.

Ἐπὶ ὀδύνῃ πολυχρονίῃ τῶν περὶ τὴν κοιλίην, ἐκπύησις.

Εἴτε γὰρ ψύξις, εἴθ' ὅλως ἀνώμαλός τις εἴη δυσκρασία περὶ τὴν κοιλίαν, εἴτε πνεῦμα φυσῶδες, εἴτε δριμύτης τις δακνώδης, ἀδύνατον αὐτοῖς εἰς πολὺν ἐκταθῆναι χρόνον, ἁπάντων δεόντως περὶ τὸν κάμνοντα γιγνομένων. ἀναγκαῖον γὰρ τοῦτο προσυπακούειν ἐν ἅπασι τοῖς τοιούτοις λόγοις. ὑπολείπεται γοῦν ἔτι διὰ φλεγμονὴν χρονίζειν τὴν ὀδύνην, ἥ τις ἐκπυΐσκει τῷ χρόνῳ δηλονότι, μὴ φθάσαντός γε ἀποθανεῖν τοῦ ἀνθρώπου. καὶ γὰρ τοῦτο χρὴ προσυπακούειν ἐν τοῖς τοιούτοις λόγοις ἅπασιν.

Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει, δυσεντερία.

Ἀκρήτους ὑποχωρήσεις εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης τὰς ἀμίκτους ὑγρότητας ὑδατώδους, αὐτὸν μόνον ἔχούσας εἰλικρινῆ τὸν ὑπερχόμενον κάτω χυμὸν, εἴτε τὸν τῆς ξανθῆς χολῆς, εἴτε τὸν τῆς μελαίνης. θαυμαστὸν οὖν οὐδὲν ἐπὶ ταῖς τοιαύταις ὑποχωρήσεσιν ἀναβρωθῆναί τι τῶν ἐντέρων.

Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη, ἢν κενεὸν λάβῃ.

Ἐπὶ τοῦ κατὰ τὴν κεφαλὴν ὀστέου δηλονότι διακοπέντος, οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλὰ μέχρι τῆς ἐντὸς ἐπιφανείας, ἣν περιέχουσα τὸν ἐγκέφαλον ἐκδέχεται κενὴ χώρα, παραφροσύνη γίνεται. πλησιάζει γὰρ ἤδη τὸ πάθημα ταῖς μήνιγξι, καὶ τῷ ἐγκεφάλῳ. Μαρῖνος δὲ οὐκ οἶδ' ὅπως ἰδίᾳ μὲν ἀναγινώσκειν ἀξιοῖ τὸ ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη. ἰδίᾳ δὲ αὖθις ἀρχὴν ἀφορισμοῦ δευτέρου ποιεῖται, τὸ, ἢν κενεὸν λάβῃ, προστιθεὶς αὐτῷ, τὸ, ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες. εἰκότως τε γάρ φησιν εἰρῆσθαι τοῦτο. τὸν γὰρ ἐπὶ κενώσει γινόμενον σπασμὸν ἀεὶ μέμφεσθαι τὸν Ἱπποκράτην. ἀλλὰ τοῦτο μὲν αὐτὸ καλῶς εἶπεν ὁ Μαρῖνος, ὡς ὁ διὰ κένωσιν ἄμετρον γινόμενος σπασμὸς, ὀλέθριόν ἐστιν. οὕτω γοῦν καὶ ὁ ἐκ φαρμακοποσίης ὀλέθριος γίνεται. τὸ πρότερον δ' οὐκ αἰσθάνεται, λόγον ἐργαζόμενος ψευδῆ. τὸ γὰρ ἐπὶ ὀστέου διακοπῇ, τὴν παραφροσύνην γίνεσθαι προφανῶς ψεῦδος ἐστίν. οὔτε γὰρ κατ' ἄλλο τι τῶν ὀστῶν, οὔτε κατὰ τὴν τῆς κεφαλῆς ἕπεται τῇ διακοπῇ παραφροσύνη, πρὶν ἐπὶ τὰς μήνιγγας ἀφικέσθαι τὸ πάθος.

Ἐκ φαρ-

Ἐκ φαρμακοποσίης σπασμὸς θανατώδης.

Φαρμακοποσίας καὶ φαρμακείας ἰδίως εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν, τὰς τῶν καθαιρόντων φαρμακείας μόνον. ὅτι δ᾽ ἐπὶ τούτοις ἀμέτρως κενώσασι, σπασμὸς ἐπιγινόμενος ὀλέθριόν ἐστιν, εἴ τις μέμνηται τῶν ἤδη πολλάκις εἰρημένων, οὐκ ἀγνοεῖ.

Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις, κακόν.

Γίνεται μὲν ὡς καὶ πρόσθεν ἐρρέθη, καὶ διὰ μέγεθος φλεγμονῆς σπλάγχνων ἡ τῶν ἀκρωτηρίων ψύξις. γίνεται δὲ καὶ διὰ λειποψυχίαν, ἢ τὸ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν, ἢ τὸ πνίγεσθαι διὰ πλῆθος, καὶ μάλιστα ὅταν ψυχρὸν ᾖ. γίνεται δὲ καὶ διὰ ὀδύνην ἰσχυρὰν ἐν τοῖς μέσοις τοῦ σώματος ὑπάρχουσαν, δι᾽ ἣν συστέλλεται μὲν ἡ φύσις εἰς ἑαυτήν, ἕπεται δ᾽ αὐτῇ καὶ τὸ αἷμα, καταλεῖπον οὐ μόνον τὰ ἀκρωτήρια τοῦ σώματος, οἷον πόδας, καὶ χεῖρας, καὶ κεφαλήν, ἀλλὰ καὶ σύμπαν τὸ δέρμα. μερικὴν οὖν τινα αἰτίαν εἴρηκεν ὁ Ἱπποκράτης ἐν τῷδε τῷ λόγῳ ψύξεως ἀκρωτηρίων, ὥσπερ καὶ κατ᾽ ἄλλους πολλοὺς ἐδείχθη λόγους τῶν πρακτικῶν, καὶ θαυμαστὸν οὐδὲν ἐστὶ τὸν ἐξ ἀρχῆς εἰσηγούμενον πρῶτον πολλά, μὴ πάντων ὁμοῦ τὴν εὕρεσιν, ἀλλ᾽ ἑκάστου κατὰ μέρος ποιεῖσθαι.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, τεινεσμὸς ἐπιγινόμενος, ἐκτιτρῶσαι ποιεῖ.

Περὶ τὸ καλούμενον ἀπευθυσμένον ἔντερον ὁ τεινεσμὸς γίνεται, τὴν αὐτὴν ἔχων αἰτίαν τε καὶ διάθεσιν ἣν ἐν ταῖς δυσεντερίαις λαμβάνει, τῶν ἄλλων τι τῶν ὑποκειμένων ἐντέρων. ὠνομάσθαι δὲ τὸ πάθος ἀπὸ τῆς τάσεως φασὶ τῆς γινομένης κατ᾽ αὐτήν, δι᾽ ἣν καὶ προθυμούμενοι σφοδρῶς ἀποπατεῖν, ἐξανίστανται συνεχῶς. διὰ τὴν τοιαύτην οὖν ἔντασίν τε καὶ κακοπάθειαν, τό, τ᾽ ἄλλο πᾶν σῶμα κάμνει, καὶ μάλιστα πάντων ἡ μήτρα, συμφυὴς οὖσα τῷ ἀπευθυσμένῳ. θαυμαστὸν δ᾽ οὐδὲν ἐπὶ σφοδραῖς τε καὶ συνεχέσιν ἐξαναστάσεσι καὶ τάσεσι ἐκτιτρώσκεσθαι τὸ κυούμενον, ὅτε καὶ ἐπὶ ταῖς ἄλλαις σφοδραῖς ἤτοι κινήσεσιν, ἢ ὀδύναις τῆς κυούσης ἐκτιτρώσκεσθαι πέφυκεν.

Ὅτι ἂν ὀστέον ἢ χόνδρος ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν ἤδη γέγραπται κατὰ τήνδε τὴν λέξιν. ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτόν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε συμφύεται, καὶ ἐφθάσαμεν αὐτὸν ἐξηγήσασθαι μετὰ τὸ ἕκτον ὑπόμνημα.

Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἰσχυρὴ ἐπιγένηται, λύει τὴν νοῦσον.

Σύνηθές ἐστι καὶ τοῖς ἄλλοις ἰατροῖς ὀνομάζειν τινὰ λευκοφλεγματίαν ὕδερον, ἢ γοῦν ὡς καὶ πελιδνοῦ τινος φλέγματος, ἢ ὡς κατὰ μὲν τὸν ἑαυτοῦ λόγον ὑπάρχοντος ἀεὶ λευκοῦ, δι᾽ ἐπιμιξίαν δέ τινα τῶν ἄλλων χυμῶν, μεταβάλλοντος τὸ ἀκριβὲς τῆς χρόας. δύναται δὲ καὶ ὡς ἐν τῷ περὶ ἄρθρων ἔγραψε. σπόνδυλοι δ᾽ οἱ κατὰ ῥάχιν, ὡς οὐκ ὄντων τῶν σπονδύλων ἑτέρωθι διοριζόμενος, ἀλλ᾽ ἁπλῇ προσθήκῃ χρώμενος, οὕτως κἀνταῦθα χωρὶς διορισμοῦ τὴν προσθήκην τοῦ λευκοῦ πεποιῆσθαι. τὸ δ᾽ ὑπὸ διαῤῥοίας ἰσχυρᾶς, ἢ χρονίας, ἑκατέρως γὰρ γράφεται, λύεσθαι τὴν τοῦ λευκοῦ φλέγματος πλεονεξίαν, κοινὸν καὶ πρὸς ἄλλα πολλὰ τῶν οὕτως εἰρημένων αὐτῷ.

Ὁκόσοισιν ἀφρώδεα τὰ ὑποχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς φλέγμα καταῤῥεῖ.

Ἀδιορίστως εἴρηται τοῦτο. γένοιτο μὲν γὰρ ἄν ποτε τὸ διαχωρούμενον ἀφρῶδες, ἐκ τῆς κεφαλῆς ὑπερρέοντος ὑγροῦ πνευματώδους εἰς τὴν γαστέρα. γένοιτο δ᾽ ἄν ποτε καὶ τῶν εἰς αὐτὴν καθηκόντων ἀγγείων ἐκχεόντων αὐτό. συσταίη δ᾽ ἂν ἐνίοτε καὶ κατὰ τὴν γαστέρα, μίαν μὲν ὡς ἂν εἴποι τις ἔχον αἰτίαν συνεκτικήν, ὅπως ἂν ἐκκρίνηταί τε καὶ γένηται, προηγουμένως δὲ πλείους. ἔστι δὲ ἡ συνεκτικὴ τοῦ τοιούτου φλέγματος αἰτία, πνεῦμα φυσῶδες ἐν τῇ πρὸς τὴν ὑγρότητα μίξει σφοδρᾷ καὶ ἀνωμάλῳ κινήσει κεχρημένον, ὡς αὐτό τε θραυσθῆναι, καὶ τὸ φλέγμα θραῦσαι κατὰ πολλὰ καὶ σμικρὰ μόρια. τῆς δὲ τοιαύτης αὐτῷ κινήσεως, ἥ, τε οἰκεία φύσις αἰτία, καί ποτε καὶ πλῆθος θερμασίας. οὕτως γοῦν ἐπί τε τῶν ἑψομένων ἀφρὸς ὁρᾶται, καὶ μάλιστα ὅταν ᾖ γλίσχρα τὴν φύσιν, ἔν τε τῇ θαλάττῃ, κατὰ τὰς βιαίας τῶν ἀνέμων ἐμβολάς. ὅσοι δὲ ἡγοῦνται διὰ τοῦ πνεύμονος εἰς τὴν γαστέρα τὴν ὁδοιπορίαν γίνεσθαι τῷ φλέγματι, καὶ διὰ τοῦτο ἀφρῶδες αὐτὸ φαίνεσθαι, οὐκ οἶδα τί φήσουσιν, ἐπὶ τῶν ἀπὸ κεφαλῆς σαφῶς εἰς πνεύμονα ῥευματιζομένων. ἐχρῆν γὰρ αὐτοὺς ἀφρώδη διαχωρεῖν. οἱ δ᾽ οὔτε διαχωροῦσιν οὐδ᾽ ἀναβήττουσιν ἀφρώδη, καίτοι πολλάκις ἐναργῶς αἱ τραχεῖαι κατὰ τὸ σπλάγχνον ἀρτηρίαι, πλήρεις εἰσὶ τοῦ καταῤῥέοντος ἐκ τῆς κεφαλῆς, ὃ πρόσθεν μὲν ἀναπτύεται πύῳ παραπλήσιον, ἀφρῶδες δ᾽ οὐ γίνεται. ἀλλ᾽ οὐδ᾽ αἷμα διὰ παντὸς ἀφρῶδες ἀναπτύουσιν ἐκ πνεύμονος. ἔοικεν οὖν ὅταν ἐξ αὐτῆς τοῦ σπλάγχνου τῆς ἰδίας οὐσίας συναναφέρηταί τι, ἀφρῶδες γίνεσθαι τὸ αἷμα. πτύουσι γεμὴν καὶ οἱ πλευριτικοί ποτε τὸ ἀφρῶδες, ἔτι τε σπανιώτερον αὐτῶν μᾶλλον οἱ περιπνευμονικοί. θερμασίας δὲ μοι δοκεῖ ἀκράτου τε καὶ πυρώδους ἠθροισμένης ἐν τοῖς πάσχουσι μορίοις. εἰ δὲ τὸ καταῤῥέον ἐκ τῆς κεφαλῆς εἰς τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος ὥς τινες φασὶ διεξέρχεται κάτω, πρῶτον μὲν εἰς τὰς τῆς καρδίας κοιλίας αὐτὸ παραγίνεσθαι δεήσει, μετὰ δὲ τοῦτο δυοῖν θάτερον, ἤτοι διὰ τῆς κοίλης φλεβὸς, εἰς μὲν τὰ κυρτὰ τοῦ ἥπατος πρῶτον, εἶτα ἐκεῖθεν εἰς τὰ σιμά, καὶ οὕτως διὰ τῶν πυλῶν εἰς τὰς τῶν ἐντέρων ἕλικας, ἢ πρῶτον μὲν εἰς τὴν μεγάλην ἀρτηρίαν, εἶθ᾽ οὕτως εἰς τὴν τοῦ μεσεντερίου. καὶ πῶς ἂν ἔτι μένειν ἀφρῶδες ἀναμιχθέν τε τῷ αἵματι, καὶ τοσαύτας διεξελθὸν ἅμα αὐτῷ φλέβας.

Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσι.

Καὶ οὗτος ὁ λόγος διοριθεὶς, ἀληθὴς γίνεται μαρτυρούμενος ὑπὸ τῆς πείρας. ὀλέθρια μὲν γάρ ἐστι τὰ κριμνώδη τῶν οὔρων, ὥσπερ τῷ προγνωστικῷ λέλεκται, καὶ φθάνουσιν ἀποθνήσκειν οἱ πλεῖστοι, πρὶν χρονίσαι τὴν νόσον. ὅσοι δ' ἐξ αὐτῶν ἐσώθησαν, ἐχρόνισαν οὗτοι πάντες, ὡς ἂν πολλῆς τῆς πέψεως δεομένης τῆς διαθέσεως, ἐφ' ἧς τὸ τοιοῦτον οὖρον οὐροῦσιν. εἴρηται δ' ἡμῖν ἐν τοῖς περὶ κρισίμων ὑπὲρ ἁπάντων οὔρων ἐπὶ πλέον, ἐν γε μὴν ταῖς ἐπιδημίαις. ἀρκέσει γάρ μοι δυοῖν ἀρρώστοιν μνημονεῦσαι, κατὰ μὲν τὸ πρῶτον, τοῦ μετὰ τρεῖς καταστάσεις δευτέρου γεγραμμένου Σιληνοῦ, περὶ οὗ κατὰ τὴν διήγησιν οὕτως εἶπεν. οὔρησεν ἀθρόως ὑπὸ τοῦ χυμοῦ κινούμενον, ὑπόστασις κριμνώδης λευκὴ, ἄκρεα πάλιν ψυχρὰ, ἐνδεκάτῃ ἀπέθανε. κατὰ δὲ τὸ τρίτον, τοῦ τρίτου τῶν ἀρρώστων, περὶ οὗ κατὰ μὲν τὴν ἀρχὴν τῆς διηγήσεως οὕτως ἔγραψεν. ὁ κατακείμενος ἐν τῷ Δεάλκους κήπῳ. προελθὼν δὲ μετ' ὀλίγον, οὖρα λεπτὰ ποικίλα ἐναιωρήματα ἔχοντα σμικρὰ οἷον κρίμνα. τοῦτον δέ φησι τεσσαρακοσταῖον κριθῆναι. δῆλον οὖν κἀκ τούτων τῶν παραδειγμάτων, ὅσοι μὲν σωθήσεσθαι μέλλουσι τῶν οὐρησάντων κριμνώδη, χρονίζουσιν. ὅσοι δὲ ὀλεθρίως ἔχουσι, τούτους ἐνδέχεται καὶ διὰ ταχέως ἀποθανεῖν.

Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξεῖαν ἀῤῥωστίην σημαίνει.

Τὸ μὲν χολῶδες, ἀεὶ ὀξείας ἐργάζεται νόσους. εἴρηται γὰρ ἡμῖν ὅτι τὸν πικρόχολον χυμὸν, οὕτως ὀνομάζειν ἔθος ἐστὶ τοῖς παλαιοῖς ἰατροῖς, ὡς τόν γε μελαγχολικὸν, ἀεὶ μετὰ προσθήκης λέγουσιν, οὐχ ἁπλῶς χολὴν ὡς τὴν ξανθὴν, ἀλλὰ μέλαιναν χολήν. τὸ δ' ἄνωθεν λεπταὶ, τουτέστιν ὑδατώδεες, οὕτω γὰρ εἴωθεν χρῆσθαι τῇ τοῦ λεπτοῦ προσηγορίᾳ ὁ Ἱπποκράτης, δόξειεν ἂν οὐ καλῶς εἰρῆσθαι. τὸ γὰρ ὑδατῶδες οὖρον, ἄπεπτόν ἐστι, καὶ χρόνιον. ἐγὼ γοῦν οὐκ ἐθεασάμην ποτὲ οὖρον, ὡς τὸ μὲν ὑφιστάμενον ἐν αὐτῷ χολῶδες εἶναι, τὸ δ' ἐπιπολάζον, ὑδατῶδες. οὐκ ἀλόγως οὖν ἔνιοι τῶν ἐξηγητῶν ἔφασαν, οὐ τόπου δηλωτικὸν ἀλλὰ χρόνου, τὸ, ἄνωθεν ἐπίῤῥημα νῦν εἶναι, καθάπερ εἰ καὶ οὕτως εἴρηται. τῶν οὔρων αἱ ὑποστάσεις ὅταν ἐξ ἀρχῆς μὲν ὦσι λεπταὶ, μετὰ δὲ ταῦτα χολώδεις γενηθῶσιν, ὀξεῖαν ἀῤῥωστίαν δηλοῦσιν.

Ὁκόσοισι δὲ διεστηκότα οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματι ἐστίν.

Τὰ διεστηκότα κυρίως μὲν ἀκούοντι, ἀδύνατόν τι δηλώσει. συνεχὲς γὰρ ἑαυτῷ τὸ οὖρον ἐστὶν ἀεὶ, μηδεμίαν ἐν τῷ μέσῳ χώραν ἔχον κενήν. εἰ δὲ τὸ κατὰ τὴν σύστασιν ἀνώμαλον εἰρῆσθαι δεχοίμεθα, δεόντως εἴπε ταραχὴν ἰσχυρὰν αὐτὸ σημαίνειν. ἐπικρατούσης μὲν γὰρ τῆς φύσεως, ὁμαλῶς ἥνωται πάντα. στασιαζόντων δὲ τῶν νοσωδῶν αἰτίων αὐτῇ, τὸ μὲν κρατούμενόν τε καὶ πεπτόμενον, ἑτέραν ἴσχει τὴν ἰδέαν. τὸ δὲ ἀνθιστάμενόν τε καὶ στασιάζον, ἑτέραν. καὶ ὅταν γε πλείω τὰ τοιαῦθ' ὑπάρχει, ποικιλωτέραν ἀποφαίνει τὴν ἀνωμαλίαν τῶν οὔρων, καὶ τὴν αἰτίαν αὐτῶν τὴν ταραχήν.

Ὁκόσοισι δὲ ἐν τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνουσιν, καὶ μακρὴν ἀῤῥωστίην ἔσεσθαι.

Πομφόλυγες γίνονται, περιτεινομένης ὑγρότητος φυσώδει πνεύματι. μᾶλλον δὲ εἴωθε τὸ τοιοῦτον συμβαίνειν, ὁπόταν ἔχῃ τι γλίσχρον ἡ ὑγρότης. ἡνίκα ταῦτα δὲ καὶ αἱ πομφόλυγες αὗται, δύσλυτοί τε καὶ μόνιμοι γίνονται. σημεῖον οὖν ἐστι, τὸ, συνεκκρίνεσθαι τοῖς οὔροις πνεῦμα φυσῶδες, ἀῤῥωστίας νεφρῶν ψυχρᾶς. ἡ τοιαύτη γὰρ ἀθροίζει τὸ φυσῶδες πνεῦμα, καὶ διὰ τοῦτο φησὶν ἔσεσθαι τὴν ἀῤῥωστίαν μακράν. τὸ γὰρ ψυχρὸν ἅπαν, δύσλυτόν τε καὶ δύσπεπτόν ἐστι, καὶ διὰ τοῦτο χρόνιον. ἔνιοι δέ φασιν ὑπὸ τῆς δριμύτητος τῶν οὔρων, ἀναστομωμένας τὰς ἐπὶ νεφροὺς ἀρτηρίας ἐκκρίνειν τι τοῦ πνεύματος, ὃ συνεξερχόμενον τοῖς οὔροις, τὰς πομφόλυγας ἐργάζεται.

Ὁκόσοισι δὲ λιπαρὴ ἡ ἐπίστασις, καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ καὶ ὀξέα σημαίνει.

Εἴ τε διαχώρησις εἴτ' οὖρον ἢ λιπαρὸν, ἐπὶ συντήξει γίνεται πιμελῆς, οὐ μᾶλλόν τι τῆς κατὰ τοὺς νεφροὺς, ἢ τῆς καθ' ὅλον τὸ ζῶον. ὅθεν οὐδὲ νεφριτικὸν ἰδίως ἐστὶ τὸ σημεῖον, ἀλλὰ κοινὸν ἁπάσης πιμελῆς τηκομένης ὑπὸ θερμασίας πυρώδους. ἢ τοίνυν οὕτως ἀκουστέον ἐστὶν, ὡς ἤδη τῶν νεφριτικῶν εἶναι ὁμολογουμένων, οὐ τὸ γένος τοῦ πάθους, ἀλλὰ τὴν ὀξύτητα διαγινώσκοντός τε καὶ προλέγοντος, ἐν τῷδε τοῦ Ἱπποκράτους, ἢ τὰ νεφριτικὰ μεταγραπτέον, ὡς ἔνιοι τῶν ἐξηγησαμένων ἐποίησαν εἰς τὰ φρενιτικά. καί τοι γε τοῦτο, οὐδὲ φρενίτιδος μόνης σημεῖον, οὔτε τῆς ἁπλῶς, οὔτε τῆς διακαοῦς, ἀλλὰ παντὸς συντήκοντος πυρετοῦ. τὸ γε μὴν ἀθρόον προσκείμενον τῷ λόγῳ, δύναται μὲν καὶ τὴν τοῦ χρόνου βραχύτητα δηλοῦν, δύναται δ' οὐδὲν ἧττον, καὶ τὴν τοῦ τόπου. τὸ γὰρ ἐσφιγμένον ἑαυτῷ τε συνεχόμενον ἀθρόον ὀνομάζομεν, ἐναντίον ὑπάρχον τῷ διεσπασμένῳ. ταυτὶ μὲν οὖν ἄχρι τοσούτου, καὶ τοῖς διδασκάλοις ἡμῶν ἡρμήνευται. τὸ δέ μοι δοκοῦν, ἤδη φράσω. τὸ ἀθρόον προσκεῖσθαι τῷ λόγῳ, δοκεῖ μοι περὶ τοῦ χρόνου λελέχθαι, καὶ διὰ τοῦτο τῆς περὶ τοὺς νεφροὺς πιμελῆς ἐνδείκνυσθαι τῆξιν. αἱ γοῦν ἐν ἄλλοις μορίοις τοῦ ζώου τηκόμεναι πιμελαὶ, κατὰ βραχὺ καὶ οὐκ ἀθρόως ἐπὶ τὴν οὔρησιν ἀφικνοῦνται, μεταλαμβανομένης τῆς συντήξεως εἰς πρώτας μὲν, τὰς πλησίον αὐτῆς φλέβας, ἐφεξῆς δὲ τὰς συνεχεῖς. εἶτ' αὖθις εἰς ἄλλας τε καὶ ἄλλας, μέχρι περ ἂν ἐπὶ τοὺς νεφροὺς ἀφίκηται. τῆς δὲ περὶ τοὺς νεφροὺς πιμελῆς τακείσης, μετάληψις εἰς οὖρα, ταχίστη τε ἅμα, καὶ οὐ κατὰ βραχύ. πᾶσα δὲ ἀθρόως γίνεται, καὶ διὰ τοῦτο περὶ τοῖς νεφροῖς αὐτοῖς ἐνδείκνυται τὴν διάθεσιν ὑπάρχειν. τούτῳ καὶ τὴν πεῖραν εὑρήσεις μαρτυροῦσαν, ἐὰν ἀκριβῶς παραφυλάττῃς. καὶ μέντοι καὶ διττῆς οὔσης γραφῆς, ἐν τισὶ μὲν γὰρ ἀντιγράφοις ἐπίστασις, ἐν τισὶ δὲ ὑπόστασις γέγραπται, τὴν προτέραν ἀληθεστέραν εἶναι φαμὲν, ἐφίσταται γὰρ ἀεὶ τὸ λιπαρὸν, οὐχ ὑφιζάνει. καὶ μέντοι καὶ τῇ τοῦ πρόσθεν ἀφορισμοῦ λέξει, συμφωνεῖ μᾶλλον ἡ τοιαύτη γραφή. κατ' αὐτὴν γὰρ εἶπεν ὁ Ἱπποκράτης, ὁκόσοισι δὲ ἐπὶ τοῖς οὔροις πομφόλυγες ἐφίστανται, νεφριτικὰ σημαίνει, καὶ μακρὴν τὴν ἀῤῥωστίαν ἔσεσθαι. ἀκόλουθον οὖν τὸ ἐφίστανται, τοῖς ἐφεξῆς εἰρημένοις ἐστὶν, ὁκόσοισι δὲ λιπαρὰ ἡ ὑπόστασις καὶ ἀθρόως, τουτέοισιν νεφριτικὰ σημαίνει καὶ ὀξεῖαν τὴν νόσον ἔσεσθαι.

ὁκόσοισι

Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι, τὰ προειρημένα ξυμβαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται, ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, καὶ τὰ ἀποστήματα προσδέχου ἐσόμενα ἔξω. ἢν δὲ μᾶλλον οἱ πόνοι περὶ τοὺς εἴσω τόπους γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχου μᾶλλον ἐσόμενον εἴσω.

Ἐν μὲν τοῖς ἔμπροσθεν ἀφορισμοῖς διαγνωστικὰ σημεῖα πασχόντων νεφρῶν ἔγραψεν. ἐν τούτῳ δὲ περὶ τῶν ὁμολογουμένων ἐκ πλείονος χρόνου νεφριτικῶν ὄντων διδάσκει, λέγων ἐπ' αὐτῶν ἀπόστασιν ἔσεσθαι τοῖς προγεγραμμένοις σημείοις, προσελθόντος πόνου, τουτέστιν ἀλγήματος κατὰ τοὺς ῥαχιαίους μῦς, οὓς καὶ ῥαχίτας ὀνομάζουσιν οἱ ἰατροί. διττὸν δέ ἐστι γένος τῶν μυῶν τούτων, ἐν μὲν ὄπισθεν ὑπὸ τῷ δέρματι, περιλαμβάνον ἑκατέρωθεν ὅλην τὴν ἄκανθαν. ἕτερον δ' ἐν τοῖς πρόσω μέρεσιν ὑποτεταμένον, οὐ καθ' ὅλης τῆς ῥάχεως, ἀλλὰ μόνων τῶν κατ' ὀσφὺν μερῶν. καθ' ὁποτέρους οὖν αὐτῶν ἐρείδει τὸ ἄλγημα, καὶ τὴν ἀπόστασιν ἐκεῖ γενήσεσθαι προσδέχου. πότερον δὲ τῶν νεφρῶν αὐτῶν ἐκπυησάντων, ἢ μόνων τῶν μυῶν, ἢ ποτε καὶ συναμφοτέρων, οὐκέτι διώρισεν. ἡ μέντοι πεῖρα δείκνυσιν ἅπαντα τὰ γινόμενα. καὶ γὰρ οἱ μύες ἐνίοτε μόνοι τοῦτο πάσχουσιν, ἤτοι γε οἱ ἔνδον τε καὶ πρόσω, ἢ οἱ ὀπίσω τε καὶ ἔξω. καὶ χωρὶς τῶν μυῶν οἱ νεφροί, ποτὲ μὲν εἴσω, ποτὲ δὲ ἔξω ῥεπούσης αὐτοῖς τῆς ἀποστάσεως.

Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον, ἢν δὲ ξὺν πυρετῷ, κακόν. θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσιν ἢ στυπτικοῖσιν.

Ἐμεῖται μὲν ἐκ στομάχου καὶ γαστρός, ἀναβήττεται δὲ τὰ ἐκ τῆς τραχείας ἀρτηρίας ἀναφερόμενα καὶ πνεύμονος. ἔνιοι μέντοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, εἰρῆσθαι φασὶ τὸ ἐμέουσι, καὶ κατὰ τῶν διὰ τῆς ἀρτηρίας τε καὶ πνεύμονος ἀναγόντων αἷμα. καίτοι γε σωτήριον εἶναι τοῦτο τὸ πάθημα, τουτέστι θεραπευθῆναι δύνασθαι, ὅταν μὴ πυρέττωσιν οἱ κάμνοντες, οὐκ ἀληθές. εἰ γὰρ καὶ ὅτι μάλιστα χωρὶς πυρετοῦ τι ἐκ πνεύμονος ἀναβήττοι τὸ αἷμα, κίνδυνός ἐστι καὶ τοῦτο μὴ θεραπευθῆναι, καὶ πάντως γε χρονίζοντος αὐτοῦ, γίνονται ὕστερον καὶ οἱ πυρετοί. διὰ τοῦτο μὲν οὖν ἄμεινον ἀκούειν τοῦ, ἐμέουσιν ὀνόματος ὡς κυρίως εἰρημένου, προσεπισκοπεῖσθαί τε καὶ διορίζεσθαι τό, τε ἀκίνδυνον ἐν αὐτῷ, καὶ τὸ κινδυνῶδες ἐκ τοῦ πυρέττειν, ἢ μή. τοῖς μὲν γὰρ ἀπυρέτοις, εὔδηλον ὡς οὐδεμία φλεγμονὴ κατὰ τὸν τόπον ἐστὶν ὅθεν ἀναφέρεται τὸ αἷμα, ὥστε ἤτοι κατ' ἀναστόμωσιν ἀγγείου γίνεσθαι τὸν ἔμετον τοῦ αἵματος, ἢ μεθ' ἑλκώσεως, ἀλλὰ χωρὶς φλεγμονῆς. θεραπεύεται δὲ τὰ χωρὶς φλεγμονῆς ἕλκη ῥᾳδίως τοῖς στυπτικοῖς. ὅσα δὲ σὺν φλεγμονῇ τε ἅμα καὶ πυρετοῖς ἐστιν, μὴ ὅτι θεραπείας τυχεῖν, ἀλλ' οὐδ' ἐπὶ τούτου δύναται διαμεῖναι μεγέθους, ἀεὶ γὰρ μείζω καὶ κακοηθέστερα γίνονται.

Καταῤῥόοι ἐς τὴν ἄνω κοιλίην ἐκπυοῦνται ἐν ἡμέρῃσιν εἴκοσιν.

Ἄνω κοιλίαν νῦν ὀνομάζει, τὴν ὑπὸ τοῦ θώρακος περιγραφομένην ἣν ὁ πνεύμων κατείληφε, καὶ διὰ τοῦτο εἰς τοῦτον ἐκ τῆς κεφαλῆς ὁ κατάῤῥοος φέρεται διὰ τῆς τραχείας ἀρτηρίας. ἐκπυΐσκεται δὲ τὸ πλεῖστον ἐν ἡμέραις εἴκοσι, καὶ οὐχ ὡς οἱ πλεῖστοι γράφουσιν ἡμέρας εἴκοσι μία. διὰ παντὸς γὰρ ὁ Ἱπποκράτης τὴν κ΄ ἡμέραν κρίσιμον, οὐ τὴν κα΄ οἶδεν, ὡς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ὑπομνήμασιν ἔδειξα.

Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίναιον, καὶ τὸ ὑπογάστριον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

Σχεδὸν μὲν ἐν ἅπασι τοῖς ἀντιγράφοις ὁ ἀφορισμὸς οὗτος γέγραπται. περιελεῖν δ' αὐτὸν χρὴ διὰ τὸν ἔμπροσθεν εἰρημένον. ἐξηγησάμεθα γὰρ αὐτὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων τοιοῦτον ὑπάρχοντα τῇ λέξει, ἢν οὐρέῃ αἷμα καὶ θρόμβους καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτει εἰς τὸ ὑπογάστριον καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσεῖ. ἔστι γοῦν αὐτὸν τὸν προκείμενον ἀφορισμόν, ἡ τελευτὴ διττὴν ἔχει τὴν γραφήν. μίαν μὲν ὡς προγέγραπται, ἑτέραν δέ, τὴν κύστιν νοσέειν σημαίνει.

Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο γίνεται.

Ἀκρατῆ μὲν ὀνομάζει γλῶσσαν, ἤτοι τὴν ἀστήρικτον ὡς μὴ διαρθροῦσαν ἀκριβῶς τὴν φωνήν, ἢ τὴν ἀκίνητόν τε καὶ παραλελυμένην παντάπασιν. ἀπόπληκτον δέ τι τοῦ σώματος τὸ παραλελυμένον. διότι δὲ ἐξαίφνης γινόμενα ταῦτα μελαγχολικὰ ὑπάρχειν φησίν, οὐκ οἶδα. μελαγχολίας μὲν γάρ, ἣν δὴ καὶ συνήθως ἅπαντες Ἕλληνες ὁμολογοῦσιν, ὀρθῶς εἴρηται πρὸς αὐτοῦ τὰ τοιαῦτα γνωρίσματα. ἢν φόβος, ἢ δυσθυμία πολὺν χρόνον ἔχουσα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. ἄλλως δὲ μελαγχολικὰ λέγομεν εἶναι πάθη, τούς τε καρκίνους καὶ τοὺς ἐλέφαντας, ἔτι τε λέπρας, καὶ ψώρας, καὶ μέλανας ἀλφούς. ἀλλ' οὐδὲ τῶν τοιούτων παθῶν τινος, οὔτε τῆς ὑπὸ πάντων ὀνομαζομένης μελαγχολίας, ὁρᾶται προηγουμένη γλώσσης ἀκράτεια, καθάπερ οὐδὲ μορίου τινὸς ἀποπληξία. λοιπὸν οὖν ἐστι λέγειν, ὥσπερ ἐπὶ τεταρταίου πυρετοῦ μελαγχολικὸν εἶναι φαμὲν αἴτιον τὸν τῆς περιόδου χυμόν, οὕτω καὶ τῶν εἰρημένων παθημάτων, τῆς τε κατὰ τὴν γλῶτταν ἀκρατείας, καὶ τῆς τοῦ μορίου παραλύσεως. καὶ δυνατόν γε τῷ πάχει τοῦ χυμοῦ τὰ τοιαῦτα ἀκολουθῆσαι παθήματα, καθάπερ τῷ παχεῖ τε καὶ γλίσχρῳ φλέγματι. οὐκοῦν ἁπλῶς μελαγχολικὸν ἐροῦμεν εἶναι τῶν εἰρημένων ἑκάτερον, ὥσπερ οὐδὲ φλεγματικὸν ἁπλῶς, ἀλλὰ φλεγματικὸν καὶ μελαγχολικόν. τὸ δὲ ἐξαίφνης πρόσκειται τῷ λόγῳ, διὰ τὰς κατὰ βραχὺ γιγνομένας βλάβας, ἐπί τε φλεγμονῇ σκιῤῥουμένῃ, καὶ δυσκρασίᾳ δυσλύτῳ.

Ἢν ὑπερκαθαιρομένων πρεσβυτέρων λὺγξ ἐπιγίνηται, οὐκ ἀγαθόν.

Κοινὸς οὗτος ὁ λόγος κατ᾽ ἄμφω, καὶ καθόλου ἅπασι τοῖς ὑπερκαθαιρομένοις οὐκ ἀγαθὸν ἡ λὺγξ, καὶ καθόλου τοῖς πρεσβυτέροις τὰ μοχθηρὰ πάντα χείρω, διὰ τὴν τῆς ἡλικίας ἀσθένειαν.

Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου, κατὰ τῆς κεφαλῆς λύσις τοῦ πυρετοῦ γίνεται.

Δηλοῖ σαφῶς ἐν τούτῳ τῷ λόγῳ, μὴ πάντας ὑπὸ χολῆς γίνεσθαι τοὺς πυρετούς. δηλοῖ δὲ καὶ ὅτι πλείους τῶν ὑπὸ χολῆς γινομένων, οἱ λοιποὶ πάντες ὕδατος πολλοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς λύονται. κατὰ τοῦτον γοῦν τὸν λόγον κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, περὶ Μελίτωνος ἔγραψεν, λουτροῖς ἐχρήσατο κατὰ τῆς κεφαλῆς. οἵ τε γὰρ ἐπ᾽ ἐγκαύσει καὶ ψύξει γινόμενοι πυρετοὶ, πρὸς τὴν τοιούτων ὀνίνανται λουτρῶν, οἵ τ᾽ ἐπὶ κόποις, οὐδὲν ἧττον. οἵ τε διὰ στέγνωσιν πόρων, εἴτε δι᾽ ἔμφραξιν, εἴτε διὰ μύσιν στεγνωθέντων. ἀναπνεῦσαι γὰρ ἐπ᾽ αὐτῶν χρὴ, καὶ διαφορηθῆναι τὴν πυρετώδη θερμασίαν. οὐ μὴν ὅταν γε φλεγμονή τις, καὶ χωρὶς φλεγμονῆς χυμῶν σηπεδὼν ἀνάπτῃ τὴν πυρώδη θερμασίαν, ὀνίνησι τὰ λουτρὰ, πρὶν ἤτοι κενωθῆναι τοὺς λυποῦντας χυμοὺς, ἢ πεφθῆναι. ἀλλὰ τά γε τοιαῦτα νοσήματα πλευρίτιδάς τε καὶ περιπνευμονίας ἡπατίτιδάς τε καὶ σπληνίτιδας ἐκάλουν οἱ παλαιοὶ, σύμπτωμα τιθέμενοι τὸν πυρετὸν αὐτῶν, οὐκ αὐτὸ πάθος. ἐφ᾽ ὧν δὲ χωρὶς μορίου φλεγμονῆς οἱ κατὰ τὰς φλέβας χυμοὶ σηπόμενοι πυρετὸν ἀνάπτουσιν, ἐπ᾽ ἐκείνων μόνων ἔλεγον ὑπὸ πυρετοῦ τὸν ἄνθρωπον ὀχλεῖσθαι, καὶ πυρετὸν ἔχειν αὐτόν. ἐπ᾽ ἐκείνων δὲ καὶ τὰς διαφορὰς τῶν πυρετῶν ἔγραψαν, ἠπίαλον, καὶ λειπυρίαν, ἐλώδη τε καὶ τυφώδη καὶ λοιμώδη, καὶ καῦσον. ἡπατῖτιν δὲ τὸν πυρετὸν, καὶ σπληνῖτιν ἢ περιπνευμονῖτιν, ἢ πλευρῖτιν οὐδεὶς εἶπεν, ὥστε νῦν ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει, περὶ τῶν αὐτῶν πυρετῶν μορίων ἄνευ φλεγμονῆς. κατὰ μέντοι τὰ πλεῖστα τῶν ἀντιγράφων, οὐχ ὕδατος ἀλλ᾽ ἱδρῶτος γέγραπται, τοιαύτην τινὰ ἔννοιαν ἐνδεικνυμένης τῆς γραφῆς. ἐὰν πυρετὸς μὴ ὑπὸ χολῆς ἔχῃ, πολὺς ἱδρὼς ἀπὸ τῆς κεφαλῆς καταῤῥέων λύει τὸν πυρετὸν, οὐ δήπου τῆς κεφαλῆς μόνης ἐκχεῖσθαι τὸν ἱδρῶτα λέγοντος τοῦ Ἱπποκράτους, ἀλλ᾽ ἀπὸ τοῦ πρώτου φαινομένου μορίου περὶ παντὸς τοῦ σώματος δηλοῦντος. κατὰ ταύτην τὴν γραφὴν συμβήσεται τοὺς διὰ χολὴν πυρέττοντας ὑπὸ τῶν τοιούτων ἱδρώτων μηδὲν ὀνίνασθαι, καὶ μὴν ἐναργῶς γε λύονται πολλάκις οἵ τ᾽ ἄλλοι πυρετοὶ, καὶ καθ᾽ οὓς ἡ ξανθὴ χολὴ πλείστη, τριταῖοί τε καὶ καῦσοι. βελτίων οὖν ἡ προτέρα γραφὴ θεραπείαν ἀληθῆ διδάσκουσα τοῦ γένους τῶν εἰρημένων πυρετῶν, ὅσοι διὰ κόπους, ἢ ἐγκαύσεις, ἢ ψύξεις, ἢ ὅλως στεγνώσεις τοῦ δέρματος γίγνονται. τὸ μὲν οὖν ἀπὸ χολῆς ῥῆμα, καὶ τὴν ὠχρὰν δύναται, καὶ τὴν μέλαιναν ἐνδείκνυσθαι χολήν. οὐ μὴν ἐπί γε ταύταις μόναις ἐνδείκνυμεν, ἀλλὰ καὶ διὰ φλέγμα σηπόμενον γίνεσθαι πυρετὸν, καὶ κατὰ τοῦτο μόνον, ὁ ἀφορισμὸς οὐκ ἀληθεύειν δόξει, πλὴν εἰ τὴν σηπεδόνα τοῦ φλέγματος εἰς χολώδη χυμὸν ἀξιώσειέ τις μεταπίπτειν.

Γυνὴ ἀμφιδέξιος οὐ γίγνεται.

Ἀμφιδέξιον Εὐριπίδης εἴρηκε σίδηρον, τὸν ἑκατέρωθεν μὲν τέμνοντα. περιδέξιον δὲ τὸν Ἀστεροπαῖον Ὅμηρος, τὸν ἀμφοτέραις ταῖς χερσὶν ὁμοίως χρώμενον, ὡς εἰ καὶ ἀμφοτεροδέξιον εἰρήκει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἀμφαριστερὸν Ἀριστοφάνης εἶπεν ἐν Ταγηνισταῖς ἄνθρωπον ἀμφοτέρωθεν ἀριστερόν. Ἱππῶναξ ἀμφιδέξιον ἔφη κατὰ τόνδε τὸν ἴαμβον. ἀμφιδέξιος γάρ εἰμι, καὶ οὐχ ἁμαρτάνω. ἄνδρες μὲν οὖν ἀμφοτέραις ταῖς χερσὶν ὡς δεξιαῖς χρώμενοι πολλάκις ὤφθησαν, γυνὴ δὲ οὐδεμία μέχρι δεῦρο, διὰ τὴν ἀσθένειαν τῆς φύσεως. εἴπερ γὰρ ἀμφοτέραις ταῖς χερσὶ διὰ ῥώμην τῶν κατὰ τὰ νεῦρα, καὶ τοὺς μῦς δυνάμεως ἄνδρες τινὲς χρῶνται, εἰκότως οὐδεμία γυνὴ χρήσεται, ἥ γε ἀγαπητόν ἐστι τῇ δεξιᾷ μόνῃ χρῆσθαι μετρίως. τὰς γοῦν Ἀμαζονίδας, αὐτός φησιν ἐπικαίειν τὸν δεξιὸν τιτθὸν, ἵνα εἰς τὴν πλησίον χεῖρα πλείονος τροφῆς ἀφικνουμένης, ἐῤῥωμενεστέρα τις αὐτῇ προσγένηται, ὡς τῇ φύσει γε καὶ ταύτης ὑπαρχούσης ἀσθενοῦς. ἔνιοι μέντοι φασὶν ἀμφιδέξιον εἰρῆσθαι τὴν ἐν τῷ δεξιῷ μέρει τῆς μήτρας γενομένην. καὶ τούτων ἔτι ἀλογώτεροι ἕτεροι, περὶ τῶν ἑρμαφροδίτων ὀνομαζομένων τὸν λόγον εἶναι φασὶ τῷ Ἱπποκράτει. τῷ μὲν ἄῤῥενι προσγίνεσθαι φάσκοντες γυναικεῖον αἰδοῖον, τῇ θηλείᾳ δὲ μὴ προσγίνεσθαι τὸ ἀνδρεῖον.

Ὁκόσοι ἔμπυοι καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται. ἢν δὲ ὕφαιμόν τε, βορβορῶδες καὶ δυσῶδες, ἀπόλλυνται.

Ἐμπυήματα μὲν εἰώθεσαν ὀνομάζειν, οὐ τὰ κατὰ θώρακα μόνον, ἀλλὰ καὶ τὰ καθ᾽ ὁτιοῦν μόριον ἄλλο τοῦ σώματος, εἰς πῦον ἀλλοιωθέντα φύματα. μόνους δὲ ἐμπύους προσαγορεύει τὸ πάμπαν ἐξαιρέτους, οἷς μεταξὺ θώρακός τε καὶ πνεύμονος ἤθροισται τὸ πῦον, ὃ ὅτι συνήθως ἔκαιον οἱ παλαιοὶ, μαθεῖν ἐστὶ καὶ ἐξ ὧν εἴρηκε Πλάτων ὁ κωμικὸς περὶ Κινησίου κατὰ τήνδε τὴν ῥῆσιν. μετὰ ταῦτα δὲ Εὐαγόρου ὁ παῖς ἐκ πλευρίτιδος Κινησίας σκελετὸς, ἄπυος, καλάμινα σκέλη φορῶν, φθόης προφήτης, ἐσχάρας κεκαυμένος πλείστας ὑπ᾽ Εὐρυφῶντος ἐν τῷ σώματι. ὅτι δὲ τὸ μὲν πῦον τὸ λευκὸν ἀγαθόν ἐστι, τὸ δὲ βορβορῶδες καὶ δυσῶδες μοχθηρὸν, οὐδεὶς ἀγνοεῖ.

Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίγνονται, ἐν χιτῶνι γὰρ τὸ πῦον τουτέοισίν ἐστιν. ἢν δὲ ἀμόργη ῥυῇ, ἀπόλλυνται.

Ὁ αὐτὸς εἶπε τὴν αἰτίαν, δι᾽ ἣν οἱ μὲν ἀπόλλυνται τῶν οὕτως ἐχόντων. οἱ δὲ περιγίνονται, καὶ γὰρ οἷς ἐν χιτῶνι τὸ πῦον ἐστὶ μηδὲν πεπονθυίας τῆς οὐσίας τοῦ σπλάγχνου, σώζονται πάντες. οἷς δ᾽ ἄχρι τῆς τοῦ ἥπατος σαρκὸς ἡ φθορὰ δήκει, εἰκότως ἀποθνήσκουσιν. ὅτι δὲ ἀμόργην ὀνομάζουσιν οἱ ἕλληνες τὴν ὑπόστασιν τοῦ ἐλαίου, καὶ ὅτι τοιαύτης εἰκὸς γίνεσθαι τὴν ἄπεπτον σηπεδόνα τοῦ ἥπατος, εὔδηλον παντί.

Ὀφθαλμῶν ὀδύνας ἀκρητοποσίας καὶ λούσας πολλῷ θερμῷ, φλεβοτόμει.

Τῶν προγεγραμμένων εἶναί μοι δοκεῖ καὶ οὗτος ὁ ἀφορισμὸς οὐχ ὁμολογῶν ἑνὶ τῶν ἔμπροσθεν εἰρημένων, τὸ, ὀδύνην ὀφθαλμῶν ἀκρατοποσίαν, ἢ λουτρὸν, ἢ πυρίην, ἢ φλεβοτομίην, ἢ φαρμακείην λύειν. ἐκεῖνον μὲν τὸν ἀφορισμὸν ἐξήγημαι, κατὰ τὸ ἕκτον ὑπόμνημα, δεικνὺς τὰς διαθέσεις ἐφ᾽ ὧν ἕκαστον χρὴ τῶν βοηθημάτων ἄγειν εἰς χρῆσιν. ὁ δὲ νῦν προκείμενος ἀφορισμὸς, ἐπὶ μιᾶς διαθέσεως ἀξιοῖ χρῆσθαι τοῖς τρισὶ βοηθήμασιν. εἰ μὲν οὖν ἔχει τις ἡμᾶς διδάξαι τὴν διάθεσιν ἐφ᾽ ἧς χρεία τῶν τριῶν ἐστι βοηθημάτων, εἰσόμεθα χάριν αὐτῷ. μέχρι δ᾽ ἂν ἐξηγῶνται μὲν τὸν ἀφορισμὸν ὡς γνήσιον, μὴ διδάσκωσι δ᾽ ἡμᾶς τὴν διάθεσιν, οὐ πειθόμεθα ταῖς ἐξηγήσεσιν αὐτῶν. ἃ γοῦν λέγουσιν, οἱ ὅλως ἐπιχειρήσαντες εἰπεῖν τι, κἂν μετρίως πιθανὰ ἐστὶ τοιαῦτα. ἐφ᾽ ὧν αἷμα παχὺ τὸ πλεονάζον ἐστὶ, καὶ διὰ τοῦτο κενώσεως χρῆζον, ἄμεινον νομίζουσι χέοντες πρότερον αὐτὸ, μετὰ ταῦτα χρῆσθαι τῇ φλεβοτομίᾳ. λυθήσεσθαι δὲ πιόντων τὸν ἄκρατον τῶν καμνόντων καὶ λουσαμένων. ἀλλ᾽ οἱ ταῦτα λέγοντες, ὅτι μηδέ ποτε διὰ πείρας ἦλθον ὧν λέγουσιν, ἀκριβῶς ἴσασιν οἱ τῶν ἔργων τῆς τέχνης τρίβωνες. οὔτε γὰρ οἶνον, οὔτε λουτρὸν ἀνέχεται ἡ πληθωρικὴ διάθεσις, ἄνευ μεγίστης βλάβης, ἀλλ᾽ ἔστι ταῦτα τὰ βοηθήματα, παχέος αἵματος ἐσφηνωμένου κατά τι μόριον, ἄνευ τοῦ καθ᾽ ὅλον τὸ σῶμα πλήθους. οὕτω γοῦν καὶ ὁ Ἀσκληπιάδης οἴνῳ χρῆται μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν, ὑπὲρ τοῦ τὰς ἐνστάσεις ἰᾶσθαι. πλήθους δ᾽ ὄντος ἐν ὅλῳ τῷ σώματι, διαῤῥαγῆναι φθάνουσιν οἱ χιτῶνες τῶν ὀφθαλμῶν ἐν αὐτῷ τῷ πίνειν τε καὶ λοῦσθαι, ὥστε εἰ μὲν ἄνευ πλήθους ἡ ὀδύνη γίγνοιτο, δι᾽ ἔμφραξίν τε καὶ σφήνωσιν αἵματος παχέος, ὀρθῶς μὲν λούουσί τε καὶ οἶνον διδόασιν, οὐκ ὀρθῶς δὲ φλεβοτομοῦσιν. εἰ δὲ πλῆθος εἴη, καλῶς μὲν φλεβοτομήσουσιν. οὐκ ὀρθῶς δὲ λούουσι, καὶ οἶνον διδοῦσιν.

Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.

Τοῦτο πρόσθεν εἴρηται, τοῖς ὑδρωπικοῖς βὴξ ἐπιγιγνομένη κακόν.

Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

Ὅτι ἡ στραγγουρία τὴν κατὰ στράγγα τῶν οὔρων ἀπόκρισιν δηλοῖ, τοὔνομα αὐτὸ διδάσκει. δυσουρία δὲ δύναται μὲν καὶ ἡ μετ᾽ ὀδύνης οὔρησις εἰρῆσθαι. δύναται δὲ καὶ ἡ μετὰ δυσχερείας τινὸς ὡς μόγις ἐνεργεῖν τὴν κύστιν. τὴν μὲν οὖν στραγγουρίαν αὐτῶν τε τῶν οὔρων ἐργάζεται ἡ δριμύτης, ἀῤῥωστία τε τῆς καθεκτικῆς ἐν τῇ κύστει δυνάμεως, ἥτις γίνεται διὰ δυσκρασίαν καὶ μάλιστα τὴν ψυχράν. τὴν δὲ δυσουρίαν, εἰ μὲν μετὰ ὀδύνης εἴη, φλεγμονὴ καὶ ἀπόστημα καὶ ἕλκωσις ἀνώμαλός τε δυσκρασία καὶ πνεῦμα φυσῶδες. εἰ δὲ δυσχερής τις κίνησις εἴη, ἢ ἀῤῥωστία δυνάμεως, ἢ παρὰ φύσιν ὄγκος, ἐκ τούτων ἁπασῶν τῶν διαθέσεων, τὴν μὲν ψύξιν ἡ θώρηξις λύει, τουτέστιν ἤτοι ἁπλῶς οἴνου πόσις, ἢ ἀκρατεστέρου. καὶ μέντοι τὴν τοιαύτην φλεγμονὴν ἥτις δι᾽ ἔμφραξιν παχέος αἵματος ἄνευ πλήθους ἐγένετο. τὴν δὲ σὺν πλήθει φλεγμονὴν, ἤδη δὲ καὶ τὴν ἄλλην ὅση χωρὶς μὲν ἐνδείας ἐστὶ, μετ᾽ εὐρωστίας δὲ δυνάμεως ἰᾶται φλεβοτομία. περὶ δὲ τοῦ τέμνειν τὰς εἴσω φλέβας, εἴρηταί μοι κατὰ τὸ πρὸ τούτου βιβλίον, ἐν ᾧ τόνδε τὸν ἀφορισμὸν ἐξηγούμην. δυσουρίην φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγιγνόμενον, ἀγαθόν.

Οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν εἴρηται κατὰ τήνδε τὴν λέξιν. ὑπὸ κυνάγχης ἐχομένῳ, οἴδημα γενέσθαι ἐν τῷ βρόγχῳ, ἀγαθόν. ἐξήγημαι δ᾽ αὐτὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων. ἐνταῦθ᾽ οὖν ἔοικε παραγεγράφθαι προσθεῖναι τινὸς βουληθέντος, τὸ, ἔξω γὰρ τρέπεται τὸ πάθος.

Ὁκόσοισι σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

Τὸ σφακελίζειν μὲν, ὡς πολλάκις εἴρηκα ἐν τῷ περὶ ἀγμῶν καὶ ἄρθρων, ἐπὶ τοῦ διαφθείρεσθαι τοὔνομα φέρων. ἐνταυθοῖ οὐκ ἐγχωρεῖ φθορὰν ἀκοῦσαι τοῦ ἐγκεφάλου, προσκειμένου τοῦ, ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. εἰ γὰρ δὴ φθορὰ τῆς οὐσίας ἐστὶν ὅλης ἑκάστου τῶν σφακελιζόντων μορίων ὁ σφάκελος, οὐκ ἐνδέχεται θεραπευθῆναι τὸν οὕτω κάμνοντα. μή ποτε οὖν ἐνίοτε οὕτω καταχρώμενοι φέρουσι τοὔνομα, καὶ κατὰ τῶν ἀρχομένων μὲν ἐμπίπτειν τῇ διαθέσει, μηδέπω δ᾽ ἀκριβῶς ἐχόντων αὐτὴν συμπεπληρωμένην. τοιαῦτα γάρ τινα κἀπὶ τῶν σαρκωδῶν μορίων ἐν ταῖς γαγγραίναις συμβαίνει, τοῦ μὲν πάθους αὐτοῦ διὰ μέγεθος τῆς φλεγμονῆς, ἀναισθησίαν τε καὶ μελασμὸν, ἢ πάντως γε νεκρώδη τινὰ χροιὰν ἐπιφέροντος τῷ πάσχοντι μορίῳ. γαγγραινοῦσθαι δὲ λέγομεν καὶ τὸν ἀρχόμενον ἐμπίπτειν τῇ διαθέσει. ὥσπερ οὖν γάγγραιναν ἤδη μὲν συμπεπληρωμένην, ὡς νεκροῦσθαι τὸ μόριον, ἀδύνατον ἰᾶσθαι, γινομένην δ᾽ ἔτι δυνατὸν, οὕτω καὶ σφάκελον. καίτοι γε καὶ τὴν ἐν τοῖς σαρκώδεσι μορίοις νέκρωσιν ἐπὶ μεγέθει φλεγμονῆς, ἣν ἰδίως ὀνομάζουσι γάγγραιναν οἱ ἰατροὶ, καὶ ταύτην οἱ Ἕλληνες ἐκάλουν σφάκελον. οὕτω γοῦν μοι δοκεῖ, καὶ ὁ Ἡρόδοτος τὸν μηρὸν εἰρηκέναι τοῦ Καμβύσου σφακελίζεσθαι. καὶ τὸν ἐγκέφαλον δὲ σφακελίζειν οὕτως αὖτις εἴποι μόνως. καὶ μέντοι καὶ διατί ταχὺς ὁ θάνατος ἐπ᾽ αὐτοῦ πρόδηλον, ὡς τοῦ τε πάθους ὄντος χαλεπωτάτου, καὶ τοῦ μορίου κυριωτάτου. μὴ φθάσαντος δὲ ἀποθανεῖν ἐν τρισὶ ταῖς πρώταις ἡμέραις τοῦ κάμνοντος, ἀλλ᾽ εἰς τὴν τετάρτην ἀφικομένου, παρακμάζειν τε χρὴ τὸ πάθος ἐλπίζειν, ἐῤῥῶσθαί τε τὴν δύναμιν, ὡς κρατῆσαι τελέως αὐτοῦ.

Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ, ὑπερχεῖται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω. ψοφεῖ δὲ, ὅτι διὰ στενοῦ αὐτῷ ἡ διέξοδός ἐστιν.

Αἱ τοιαῦται λέξεις δύο σημαίνουσι. ἓν μὲν καθόλου λεγόμενον ἐπὶ παντὸς τοῦ προκειμένου πράγματος, ὥσπερ ἐνταῦθα τῶν πταρμῶν. ἕτερον δ' ἐπὶ μέρους, ὡς ἐνταῦθα περὶ τῶν ἐξ ἐγκεφάλου γινομένων πταρμῶν. ὁ μὲν οὖν πρότερος λόγος ἔσται τοιοῦτος. πᾶς πταρμὸς ἐξ ἐγκεφάλου γίνεται διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. ὁ δὲ δεύτερος, ἐξ ἐγκεφάλου πταρμὸς ὁρμώμενος γίνεται, διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ, ὅσπερ ἐστὶν ἀληθέστερος. οὐ γὰρ πᾶς πταρμὸς γίνεται διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. πτεροῖς γοῦν τινων ἐρεθιζόντων τὰς ῥῖνας πτάρνυνται, καὶ μετὰ βηχὸς δέ τι πνεῦμα κάτωθεν ἀφικνούμενον εἰς τοὺς τῆς ῥινὸς πόρους, αἴτιον γίνεται πταρμοῦ. καὶ τὸ νομίζειν δὲ τὸν ἐκ τῆς κεφαλῆς ἐκκρινόμενον ἀέρα μόνον εἶναι τὸν ψοφοῦντα, προφανῶς ψεῦδός ἐστιν. ἐναργῶς γὰρ φαίνεται κάτωθεν ἐκ τοῦ πνεύμονος ὁ ἀὴρ ἀναφερόμενος, ἀθρόως συστελλομένου τοῦ θώρακος. ἀλλὰ καὶ τὸ προηγεῖσθαι τοῦ πταρμοῦ, τὴν εἰσπνοὴν ἀθροιζούσης τῆς φύσεως ἀέρα δαψιλῆ πρὸς τὴν τοῦ πταρμοῦ γένεσιν, ὁμολογεῖ τοῖς εἰρημένοις. μόνος οὖν ὁ τὴν ἀρχὴν τῆς γενέσεως ἔχων ὄρεξιν τῆς φύσεως, ἀποκρῖναι φυσῶδες ἐκ τῆς κεφαλῆς πνεῦμα, τοῦτον γίνεται τὸν τρόπον, ὃν ἐπιχειρεῖ διδάσκειν ὁ ἀφορισμός, οὐδὲ τοῦτον ἴσως πάντα. τὸ γὰρ, διυγραινομένου, περιττὸν εἰς πταρμοῦ γένεσιν. εἰ γὰρ καὶ πλεονάζει τι κατὰ τὴν κεφαλὴν ὑγρὸν, οὐκ ἐργάζεται πταρμὸν, ἄνευ τοῦ πνεύματος πάθους. καὶ τοῦτο φαίνεται προφανῶς ἐπὶ πολλῶν ἐκκρινόντων μὲν ὑγρότητα διὰ μυκτήρων παμπόλλην, οὐ πταρνυμένων δὲ ἀνάγκης ἐπὶ πολύ. ἐκεῖνοι μὲν γὰρ μόνοι πτάρνυνται τῶν οὕτω διακειμένων, οἷς δακνῶδές ἐστι τὸ καταῤῥέον ὑγρὸν, ὡς εἶναι τοῖς μυκτῆρσιν αὐτοῖς ἐνθένδε τι δακνῶδες. ὥσπερ γὰρ ἡ βὴξ φυσικόν τι σύμπτωμά ἐστιν ἕνεκα τοῦ καθαίρεσθαι τὰς ἐν τῷ πνεύμονι τραχείας ἀρτηρίας, οὕτω καὶ ὁ πταρμὸς ἐναργῶς φαίνεται καθαίρων τοὺς κατὰ τὴν ῥῖνα πόρους. διττῆς δ' οὔσης αὐτοῖς τῆς συντρήσεως εὐρείας μὲν εἰς τὸ στόμα, διὰ λεπτοτέρων δὲ πόρων εἰς τὸν ἐγκέφαλον. ἡ μὲν εἰς τὸ στόμα σύντρησις, ὑπὸ τοῦ κάτωθεν ἀναφερομένου πνεύματος, οἱ δ' εἰς τὸν ἐγκέφαλον ἀνήκοντες πόροι, πρὸς τοῦ κατιόντος ἐξ ἐκείνου καθαίρονται. καί μοι παραφυλάττοντι φανοῦνται κουφίζοντες τὰ βάρη τῆς κεφαλῆς οἱ ἐξ ἐγκεφάλου τὴν ἀρχὴν τῆς κινήσεως ἔχοντες πταρμοί. γίνονται γὰρ καθαιρομένων τε τῶν κατὰ τὴν κεφαλὴν ὑγρῶν, ἐκκρινομένων τε τῇ τῆς φύσεως ὁρμῇ. τὸ δ' ἀραιοῦσθαι γίνεται αὐτοῖς θερμαινομένοις. θερμαίνονται δὲ ὑπὸ τῆς ἐμφύτου θερμασίας ἀναζωπυρουμένης, ἣς διὰ τὴν ἀῤῥωστίαν πρότερον ἤθροιστο τὰ περιττὰ τῶν ὑγρῶν. ὅταν οὖν εἴπῃ διαθερμαινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ, μάλιστα μὲν ἀκουστέον τοῦ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου. ἤδη δὲ καὶ τοῦ περιέχοντος αὐτὸν ἔξωθεν. εὔπορον γάρ ἐστι κἀκεῖνο διὰ τοῦ ἐγκεφάλου, πρότερον μὲν εἰς τὰς κοιλίας αὐτὰς, ἐντεῦθεν δ' ὑπελθεῖν εἰς τὴν ῥῖνα. τὸ δὲ τῷ ἀθρόῳ τῆς ἐκπτώσεως αὐτοῦ γίνεσθαι τὸν ψόφον, αὐτὸς ὁ Ἱπποκράτης εἶπεν. ἔστι δὲ τοῦτο κοινὸν ὁποτέρωθεν ἂν ἔρχηται, εἴτ' οὖν ἐκ τοῦ πνεύμονος ἀναφερόμενος, εἴτ' ἐκ τῆς κεφαλῆς καταφερόμενος.

Ὁκόσοισιν ἧπαρ περιωδυνᾶται, τουτέοισι πυρετὸς ἐπιγινόμενος, λύει τὴν ὀδύνην.

Τὸ ἐπιγινόμενον ὄνομα, δηλωτικόν ἐστι τοῦ πρόσθεν ὅτε περιωδυνῶντο μὴ πυρέττειν αὐτούς. εἴπερ οὖν τὸ ἧπαρ ὀδυνᾶται σφοδρῶς, ἢ διὰ φλεγμονὴν ἰσχυρὰν, ἢ διὰ πνεῦμα φυσῶδες, οὐκ ἦν δ' αὐτοῖς φλεγμονὴ, πάντως γὰρ ἂν ἐπύρεττον. εὔλογον οὖν ὑπὸ φυσώδους πνεύματος ὀδυνᾶσθαι τὸ σπλάγχνον αὐτοῖς. ὀδυνᾶται μὲν γὰρ διὰ ἔμφραξιν, ἀλλὰ μετρίως, καὶ μετὰ βάρους μᾶλλον, ἢ σφοδρᾶς ὀδύνης. ἡ δὲ σφοδρὰ ὀδύνη, διὰ πνεῦμα φυσῶδες, ἢ φλεγμονὴν, ἤτοι μεγίστην, ἢ διαπυΐσκουσαν γίνεται.

Ὁκόσοισι συμφέρει αἷμα ἀφαιρεῖσθαι ἀπὸ τῶν φλεβῶν, τούτους χρὴ ἔαρι φλεβοτομεῖσθαι.

Οὗτος ὁ ἀφορισμὸς μόριόν ἐστι τοῦ διὰ τῶν ἔμπροσθεν εἰρημένου κατὰ τόνδε τὸν τρόπον. ὁκόσοις φαρμακείη ἢ φλεβοτομίη συμφέρει, τούτους ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν. ἔν τισι δὲ τῶν ἀντιγράφων ὅλως οὐ γέγραπται. καί τινες μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον ἴσασι, δίς τε γράφουσιν αὐτὸν, ἔνιοι δ' οὐδ' ὅλως μέμνηνται. θαυμάσαι δ' ἐστὶ τῶν μὴ μόνον γραφόντων δὶς τοὺς αὐτοὺς ἀφορισμοὺς, ἀλλὰ καὶ τὰς ἐξηγήσεις προστιθέντων ἐν τοῖς αὐτοῖς ὑπομνήμασιν, ἄνευ τοῦ ἐπισημαίνεσθαι ἤδη τῶν ἔμπροσθεν γεγραμμένων ὑπάρχειν αὐτοὺς, ἐνίους μὲν ὅλους, ἐνίους δ' ἐκ μέρους, ὥσπερ καὶ τόνδε. τί ποτ' οὖν ἔδοξεν, ἢ τοῖς προστιθεῖσι τοὺς τοιούτους ἀφορισμοὺς ἐπὶ τῆς τοῦ βιβλίου τελευτῆς, ἢ αὐτῷ γε Ἱπποκράτει δὶς ὑπὲρ τῶν αὐτῶν μνημονεύειν, καὶ τισὶ τῶν ἐξηγησαμένων δὶς ἐξηγεῖσθαι, μὰ τοὺς θεοὺς οὐκ ἔχω συμβαλεῖν. οὔτε γὰρ αὐτὸν τὸν συγγραφέα πιθανόν ἐστιν ἐπιλήσμονα τῶν τηλικούτων ὑπάρχειν, καὶ μάλιστα ὅταν ᾖ τοιοῦτος, οἷον ἴσμεν ἐν ἅπασιν ὄντα τὸν Ἱπποκράτην. οὔτε τῶν προστιθέντων, ἢ λήθην τοσαύτην, ἤ τινα ἄλλην πανουργίαν ἐστὶν ἐπινοῆσαι δι' ἣν δὶς ἔγραψαν ὑπὲρ τῶν αὐτῶν. ἔτι τε μᾶλλον ἐστὶ τῶν ἐξηγητῶν ἐκείνων θαυμάζειν, ὅσοι δὶς ἐξηγούμενοι τοὺς αὐτοὺς ἀφορισμοὺς, οὐδ' αὐτὸ τοῦτο προσέθεσαν, ὅτι δεύτερον αὐτὸ ποιοῦσι. καὶ τούτων ἔτι μᾶλλον ὅσοι καὶ διαφόρους ἐξηγήσεις ἔγραψαν, ἔν τε τούτοις ἐπὶ τῇ τελευτῇ, καὶ τοῖς ἔμπροσθεν ἐπὶ τῶν αὐτῶν εἰρημένοις.

Ὁκόσοισι μεταξὺ τῆς γαστρὸς καὶ τῶν φρενῶν φλέγμα ἀποκέκλεισται, καὶ ὀδύνην παρέχει οὐκ ἔχον ἔξοδον, οὐδὲ εἰς ἑτέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τραπομένου τοῦ φλέγματος λύσις γίνεται τῆς νόσου.

Εἰκότως ἀπορεῖν μοι δοκεῖ Μαρῖνος, ἀδύνατον ἡγούμενος συστῆναι μεταξὺ γαστρὸς καὶ φρενῶν φλέγμα. καταῤῥυήσεται γὰρ αὐτὸ κάτω μέχρι τῶν τῆς ἥβης ὀστῶν. οὐ μὴν οὐδὲ μεταληφθῆναι δύνασθαί φησιν εἰς τὰς φλέβας τοῦτο, καθάπερ ἐπὶ τῶν ὑδερικῶν ἡ λεπτὴ καὶ ὑδατώδης ὑγρότης μεταλαμβανομένη, δι' οὔρων ἐκκρίνεται. ἀκούειν οὖν φησι χρῆναι τοῦ μεταξὺ τῶν φρενῶν τε καὶ τῆς γαστρὸς, ἀντὶ τοῦ μεταξὺ τοῦ τῶν φρενῶν ἰδίου σώματος ὃ σαρκῶδές ἐστι, καὶ τῆς τοῦ περιτοναίου κορυφῆς. ἀλλ' εἰ καὶ οὕτως ἀκούσαιμεν ὦ Μαρῖνε, τὴν εἰς τὰς φλέβας μετάληψιν ὁμοίως

ἄπορον

ἄπορον εἴη. οὐ δυνατὸν γὰρ ἐντεῦθεν ἐπὶ τοὺς νεφροὺς ἀφικέσθαι διὰ φλεβῶν, οὐδ᾽ ἐκ τῆς ὑπὸ τὸ περιτόναιον εὐρυχωρίας ἀδύνατον, πρὸς τῷ καὶ παντελῶς ἄκυρον εἶναι τὴν κατάχρησιν τῆς κατὰ γαστέρα προσηγορίας. οὐδὲν γὰρ ὅμοιόν ἐστι περιτοναίῳ καὶ γαστρὶ, διότι τῆς προσηγορίας κοινωνοῦσι. κάλλιον οὖν ἀκούειν μὲν ὥσπερ ἅπαντες ἤκουσαν, ἐκείνην ὑπ᾽ αὐτοῦ λέγεσθαι τὴν εὐρυχωρίαν, ὅση κάτω μέν ἐστι τῶν φρενῶν, ἔνδον τε τοῦ κατ᾽ ἐπιγάστριον περιτοναίου, σκοπεῖν τε εἰ δυνατόν ἐστιν ὃ λέγει, γινωσκόντων ἡμῶν ὡς ἀεὶ ταῖς ὕλαις ὁδὸν εὑρίσκειν οἶδε τὴν φύσιν ὁ Ἱπποκράτης, ὅταν ἐῤῥωμένη τυγχάνει, καὶ ὅτι μάλιστα παχεῖαι πῶς εἰσι καὶ διὰ λεπτῶν ὁδοιποροῦσι πόρων, ὅπου γε καὶ δι᾽ ὀστῶν ἀποστάσεις γίνεσθαι φησίν. ὁρῶμεν δὲ καὶ τὸ μεταξὺ θώρακός τε καὶ πνεύμονος ὑγρὸν ἐπὶ τῶν ἐμπύων ἀναβηττόμενον, ἐνίοτε δὲ καὶ διὰ τοῦ δέρματος ὑγιοῦς ὑπάρχοντος, αἷμα διεκπίπτον ἐπὶ τῶν πορουμένων ὀστῶν. οὔκουν οὐδ᾽ ἐφ᾽ οὗ νῦν εἶπεν ὁ Ἱπποκράτης φλέγματος, ἀδύνατον παντάπασιν ὑποληπτέον εἰς οὖρα γενέσθαι μετάληψιν, ἀλλ᾽ ἐγχωρεῖν ποτε καὶ τοῦτο ὑπὸ τῆς φύσεως πραχθῆναι, προλεπτυνάσης κατὰ βραχὺ τὸ φλέγμα, καθάπερ ἐπὶ τῶν ἐμπύων τὸ πύον.

Ὁκόσοισι τὸ ἧπαρ ὕδατος πλησθὲν εἰς τὸν ἐπίπλοον ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐκπιμπλᾶται, καὶ ἀποθνήσκουσιν.

Ἐπιτηδειότατόν ἐστι τὸ ἧπαρ ὑδατίδας γεννῆσαι περὶ τὸν ἔξωθεν αὐτῷ περικείμενον ὑμένα. φαίνεται γοῦν ἐπὶ τῶν σφαττομένων ζώων ἐνίοτε μεστόν. ἐὰν οὖν ποτε συμβῇ ῥαγῆναι τὰς ὑδατίδας, ἐκχεῖται δηλονότι τὸ ὕδωρ εἰς τὴν κατ᾽ ἐπιγάστριον περιτοναίου χώραν, ἐν ᾗ καὶ τὸ κατὰ τοὺς ὑδέρους ἀθροίζεται. εἰς δὲ τὸ ἐπίπλοον οὐχ οἷόν τε ῥαγῆναι τὸ ὕδωρ αὐτοῦ τοῦ διαβρωθῆναί πως αὐτό. στεγανὸν γάρ ἐστι πανταχόθεν, ὡς μηδὲν εἰς αὐτὸ παρεμπεσεῖν ἐκ μηδενὸς ἄλλου μορίου, πλὴν ἐκ γαστρὸς καὶ κώλου καὶ σπληνὸς, ἐκείνων τε καὶ μερῶν ὅθεν ἐκπέφυκεν. εἰ τοίνυν βούλεται διαβιβρώσκεσθαι τὸν περιτόναιον ἐν τοῖς δεξιοῖς δηλονότι μέρεσιν αὐτοῦ καθὰ πλησιάζει τῷ ἥπατι, ἢ εἰς τὸν ἐπίπλοον, ἀκουστέον ἀντὶ τοῦ εἰς τὴν χώραν αὐτοῦ. τὸ δ᾽ ἐμπίπλασθαι τὴν κοιλίαν ὕδατος, οὐκ ἐπ᾽ αὐτῆς εἴρηται τῆς τὰ σιτία δεχομένης γαστρὸς, ἀλλὰ τοῦ παντὸς κύτους, ὃ κάτω τοῦ θώρακός ἐστι, καθὸ σημαινόμενον οἱ, τε περὶ γαστέρα λέγονται, καὶ αἱ γυναῖκες ἔχειν ἐν γαστρί. τὸ δ᾽ ἀποθνήσκειν οἷς ἐνταῦθα τὸ ὕδωρ ἀθροίζεται σκεπτέον, ἢ γὰρ διηνεκῶς ἀκουστέον, ἢ ὡς τὸ πολύ. σώζονται γοῦν ἔνιοι καὶ τῶν ὑδερικῶν, καί τοι τῆς τοιαύτης χώρας αὐτοῖς ὕδατος ἐμπλησθείσης. οὐ μὴν οὐδ᾽ ἀδύνατόν ἐστιν, ὥσπερ ἐπ᾽ ἐκείνων, διά τε τῶν ὑδατώδη καθαιρόντων φαρμάκων, καὶ προσέτι τῶν οὐρητικῶν, ἐπιθεμάτων τε τῶν ἐξατμίζειν δυναμένων ὑγρότητα τοιαύτην, οὕτω κἀπὶ τούτων γενήσεσθαι τὴν θεραπείαν.

Ἀλύκη, χάσμη, φρίκη, οἶνος ἴσος ἴσῳ πινόμενος, λύει τὴν νόσον.

Σολοικοφανὲς εἰκότως ἐνίοις ἔδοξεν εἶναι τὸ σχῆμα τοῦ λόγου, καὶ διὰ τοῦτ᾽ ἔνιοι κατ᾽ αἰτιατικὰς πτώσεις ἔγραψαν. ἀλύκην, χάσμην, φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος λύει. διαφέρει γοῦν οὐδὲν εἰς τὸ παρὸν καθ᾽ ὁποτέραν αὐτῆς γραφὴν ἐξηγήσασθαι τὸν ἀφορισμόν. ἐπίστασθαι γὰρ χρὴ πρῶτον ὅτι προσηγόρευκεν ἀλύκην, ἣν οἱ πολλοὶ τῶν ἑλλήνων ὀνομάζουσιν ἄλην, ἔπειτα δ᾽ ἥτις ἐστὶν ἡ τοῦτ᾽ ἐργαζομένη τὸ σύμπτωμα διάθεσις. ἀλύειν μὲν οὖν λέγουσιν ἐκείνους τῶν ὑγιαινόντων, ὅσοιπερ αὖ ἀεὶ τοῖς παροῦσι δυσχεραίνοντες, ἄλλοτε εἰς ἄλλα μεταβαίνουσι πράγματά τε καὶ πράξεις. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τῶν νοσούντων, ἐκείνους ἀλύειν φασὶν, ὅσοι μὴ φέροντες τὴν κατάκλισιν, ἐξαλλάττουσι τὰ σχήματα διὰ τὸ δύσφορον ἀεὶ τὸ παρὸν εἶναι. τοῦτο δὲ ἔγνωμεν ἐκείνοις μάλιστα συμβαῖνον, οἷσπερ αὖ ἐν τῷ στόματι τῆς γαστρὸς ὅπερ ἐνίοτε καταχρώμενοι στόμαχον ὀνομάζουσι, περιέχεταί τις ἰδιότης ὑγρότητος ἀνιαρᾶς, οὔτε πολλῆς, οὔτ᾽ ἐμπλεούσης τῷ κύτει τῆς γαστρὸς, ἀνατρεπομένης δὲ εἰς τοὺς χιτῶνας αὐτῆς. ἀλλὰ καὶ τὸ χασμᾶσθαι καθάπερ καὶ τὸ σκοτοδινᾶσθαι, περιεχομένης τινὸς ἐν τοῖς μυσὶ, δι᾽ ὧν καὶ κατὰ προαίρεσιν γίνονται κινήσεις, ἤτοι ὑγρότητος πνευματώδους, ἢ πνεύματος ἀτμώδους γίνεσθαι δέδεικται. καὶ ἡ φρίκη δὲ μοχθηρῶν χυμῶν διαθεόντων περὶ τὸ δέρμα, συμβαίνει. δῆλον δὲ ὅτι περὶ τῆς ἐκ τοῦ νοσώδους σώματος ὁρμωμένης φρίκης ὁ λόγος νῦν ἡμῖν ἐστιν, οὐ τῆς ὑπό τινος αἰτίας ἔξωθεν. ἕκαστον οὖν τούτων τῶν εἰρημένων, οἴνου πόσις θεραπεύει ἀκρατεστέρου, τὴν συμμετρίαν δὲ τῆς κράσεως αὐτοῦ ἐδήλωσεν εἰπών. οἶνος ἴσος ἴσῳ πινόμενος. ὕδατι γὰρ δηλονότι κεράννυσθαι βούλεται τὸν οἶνον ἴσῳ, χάριν τοῦ τὸ μὲν διώσασθαι, καὶ κενῶσθαι τῶν λυπηρῶν, ὅσον αὖ ὑπείκει τῇ ῥύμῃ τῆς τοῦ οἴνου φορᾶς, τὸ δ᾽ ὑπόλοιπον ἐπικεράσαι. θερμαίνει γὰρ ὡς ἴσμεν ὁ οἶνος ἅπαν τὸ σῶμα, καὶ ταχέως ἐπὶ πάντα φέρεται τὰ μόρια μετὰ τοῦ χυμοὺς χρηστοὺς ἐργάζεσθαι.

Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνονται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος λύεται ὁ πόνος.

Καὶ τοῦτον τὸν ἀφορισμὸν ἐν τοῖς ἔμπροσθεν ὁ Ἱπποκράτης ἔγραψεν. ἡμεῖς δὲ ἐξηγησάμεθα περὶ τήνδε τὴν λέξιν εἰρημένην. ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

Ὁκόσοισι δ᾽ ἂν ὁ ἐγκέφαλος σφαθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γίνεσθαι παραχρῆμα.

Καὶ κατὰ τόνδε τὸν ἀφορισμὸν ἐν τισὶ μὲν τῶν ἀντιγράφων ἀφώνους ἐστὶν εὑρεῖν κατὰ τὴν πληθυντικὴν αἰτιατικὴν πτῶσιν γεγραμμένον, ἐν τισὶ δὲ κατὰ τὴν ἑνικὴν, ἄφωνον, ἐν σολοικοφανεῖ σχήματι. διαφέρει δ᾽ οὐδὲν οὐδ᾽ ἐνταῦθα πρός γε τὰ παρόντα, γινωσκόντων ἡμῶν ὡς ἔθος ἐστὶ τῷ Ἱπποκράτει πολλάκις ἀφ᾽ ἑνὸς συμπτώματος τοῦ προδηλοτάτου τῆς ἀφωνίας ὀνομάζειν οὕτω καὶ δηλοῦν, ὅσοι μηδ᾽ ἄλλην τινὰ τῶν κατὰ προαίρεσιν ἀποσώζουσι κινήσεων, ἢ μηδ᾽ ὅλως αἰσθάνονται. κεῖνται δὲ ὡσαύτως τοῖς ἀποπληκτικοῖς ἀναίσθητοί τε ἅμα καὶ ἀκίνητοι. γίνεται δὲ

οὖν καὶ διὰ ἄλλας αἰτίας τοῦτο. νυνὶ μέντοι τῆς σείσεως τοῦ ἐγκεφάλου μνημονεύει ὁ Ἱπποκράτης, καὶ ταύτῃ τὴν τοιαύτην ὅλου τοῦ σώματος ἔσεσθαί φησι διάθεσιν. σφαδάζειν δὲ οὕτω συμβαίνει τὸν ἐγκέφαλον, διά τινα βιαίαν πτῶσιν ὅλου τοῦ σώματος ἐξ ὑψηλῶν γεγενημένην χωρίων. αἱ γὰρ τοιαῦται καταπτώσεις, εἰώθασι καὶ τὴν ἐν τοῖς τῆς ῥάχεως σπονδύλοις σεῖσιν ἐργάζεσθαι, ὅταν αἱ μὲν ἁρμονίαι κινηθῶσιν αὐτῶν. ὁ δ' ἐν τῇ κοιλότητι περιεχόμενος νωτιαῖος πονήσῃ, διασφαδαθεὶς δὲ σφοδρῶς, εἰς κίνδυνον ἄγει ῥήξεως ἔνια τῶν ἀποπεφυκότων αὐτῷ νεύρων, ὅπερ οὐχ ἥκιστα καὶ κατὰ τὸν ἐγκέφαλον γίνεται, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ καὶ πλείων ἐστὶν ἡ περὶ αὐτοῦ χώρα κενή, καὶ μᾶλλον ἐπὶ τῶν πρεσβυτέρων, ὡς ἐν ταῖς ἀνατομικαῖς πραγματείαις λέλεκται. συστέλλεται γοῦν ἡ ψυχικὴ δύναμις εἰς ἑαυτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἀναισθησίᾳ τῇ σφαλερᾷ κινήσει, καὶ διὰ τοῦτο ἡσυχάζει. τῆς δ' ἀποφύσεως ἔνιαι μὲν ἱκανῶς γίνονται, τινὲς δ' ἐκ μέρους γε διασπῶνται κατὰ τοῦτο μέχρι περ ἂν ἀνακτήσηται πάλιν ἑαυτὴν ἡ ψυχικὴ δύναμις, ἄφωνόν τε καὶ ἀκίνητον ὅλον κεῖται τὸ παθὸν οὕτω ζῷον. εἰ δ' ἀποσπασθῆναι φθάσειεν, ἢ κατά τι μέρος αὐτοῦ κατασπασθῆναι ὁ ἐγκέφαλος, οὐκέτι ἀναφέρουσιν.

Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι δεῖ λιμὸν ἐμποιέειν. λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

Ὅτι μὲν οὖν ὅσα ξηραίνει βοηθήματα τῶν ὑγρῶν παθημάτων ἐστὶν ἰατικά, πρόδηλον. εἴ γε δὴ τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα. ὅτι δὲ καὶ ὁ λιμὸς ξηραίνει κατὰ συμβεβηκός, οὐκ ἄδηλον. ἐὰν γὰρ ἀπορρέῃ μὲν ἐκ τοῦ σώματος ὡς καὶ πρόσθεν, ἀναπληρῶται δὲ μηκέτι ὑπὸ τροφῆς τὸ κενούμενον, ἀναγκαῖον αὐτῷ ξηρότερον γίνεσθαι. δῆλον γὰρ ὅτι τῶν κατὰ τὸ ζῷον ἑκάστου μορίων, ἀπέρχεται πρότερον ὅσον ἂν ὑγρότερον ᾖ, ὡς ἂν καὶ αὐτῆς τῆς ἀπορροῆς γιγνομένης, διὰ τὸ λεπτύνεσθαί τε καὶ εἰς ἀτμὸν λύεσθαι τὸ σῶμα διὰ διττὴν αἰτίαν, ἔξωθεν μὲν ὑπὸ τοῦ περιέχοντος, ἔνδοθεν δὲ ὑπὸ τῆς ἐμφύτου θερμασίας, ἀμέλει τῶν φωλευόντων τῶν ζῴων, ὡς ἂν μήτε ἔξωθεν ἔτι θερμαινομένων, μήτε ἔνδοθεν ὅλως οὐδὲν ἢ παντάπασιν ὀλίγιστον ἀπορρεῖ, καὶ διὰ τοῦτο τινὰ μὲν αὐτῶν οὐδ' ὅλως δεῖται τροφῆς, ἔνια δ' ὀλιγίστης παντάπασιν. ἐφεξῆς τοῖς προγεγραμμένοις ἀφορισμοῖς, ἕτεροι δύο σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις εὑρίσκονται, μετὰ τοῦ καὶ τοὺς ἐξηγησαμένους τὸ βιβλίον ὀλίγου δεῖν ἅπαντας μνημονεύειν αὐτῶν, καί τινας ἐξηγοῦνται αὐτοὺς ἀλλὰ διαφόρως, ἢ ἐν τοῖς ἔμπροσθεν, οὐδὲ τοῦτο αὐτὸ προστιθέντες ὅτι γεγραμμένοι ἔμπροσθεν εἰσίν. ἡμεῖς δὲ κατὰ τὸ τέταρτον ὑπόμνημα τὴν ἐξήγησιν αὐτῶν ἐποιησάμεθα, βραχύ τι τῇ λέξει διαφερόντων. ὁ μὲν γὰρ ἕτερος τῶν νυνὶ γεγραμμένων, ἐκ περιττοῦ προσκείμενον ἔχει καὶ καταπίνειν μὴ δύνασθαι, ἀλλ' ἢ μόγις. ὁ δ' ἕτερος ἔμπαλιν ὑπηλλαγμένον ἔχει τὸ μόγις, ὥστε εἶναι τὸ μὲν πρότερον τοιοῦτον. ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, καὶ καταπίνειν μὴ δύνηται, ἀλλ' ἢ μόγις, θανάσιμον. τὸ δὲ δεύτερον, ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, ὁ τράχηλος ἐπιστραφῇ καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. οἱ δὲ πρόσθεν οὓς κατὰ τὸ τέταρτον ἔφην ἐξηγήσασθαι τῶνδε τῶν ὑπομνημάτων, οὕτως εἶχον. ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, θανάσιμον. εἶθ' ἑξῆς ὁ μετ' αὐτόν. ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. ὅπερ οὖν ἐν τῷ προτέρῳ τῶν ἀφορισμῶν εἴρηται περιττόν, νῦν ἐπισκεψώμεθα. καὶ γὰρ καὶ τεθέαμαι γινόμενον αὐτὸ παντάπασιν ὀλεθρίως ἐχόντων τῶν καμνόντων, ὥστε ἤτοι μηδ' ὅλως δύνασθαι καταπίνειν, ἢ μόγις, οὐκ ὄντος οἰδήματος ἐν τῇ φάρυγγι. πάρεστι γὰρ τοῦτο διαγνῶναι σαφῶς ἀνοιχθέντος μὲν ἐπὶ πλεῖστον τοῦ στόματος, προβληθείσης δὲ τῇ κάτω γένυϊ τῆς γλώττης. ἐν τῇ τοιαύτῃ καταστάσει τοῦ δυσχερῶς καταπίνειν αἰτίαν ὑπολειπτέον, τὴν κοινωνίαν τοῦ χιτῶνος ὃς ὑποπέφυκεν ἐκ τῶν ἔνδον μερῶν, τοῦ τε στομάχου καὶ τοῦ λάρυγγος. ἐδείχθη γὰρ οὗτος ἐν τῇ διὰ τοῦ στόματος πορείᾳ τῶν σιτίων, αὐτὸς μὲν ὑπὸ γαστρὸς κατασπώμενος, ἀνασπῶν δ' ὅλον τὸν λάρυγγα. οἰδησάσης οὖν τῆς ἐν τῷ λάρυγγι φλεγμονῆς, ἐνίοτε μὲν οὐδ' ὅλως, ἔστι δ' ὅτε μόγις ἕπεται κατασπώσῃ τῇ γαστρί, καὶ διὰ ταύτην τὴν αἰτίαν, ἤτοι γ' οὐδ' ὅλως, ἢ μόγις καταπίνουσιν.

Ὁκου ἐν ὅλῳ τῷ σώματι μεταβολή, καὶ τὸ σῶμα καταψύχεται καὶ πάλιν θερμαίνεται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλει, μῆκος νόσου σημαίνει.

Καὶ τοῦτον τὸν ἀφορισμὸν ἐν τῷ τετάρτῳ τῶν ὑπομνημάτων ἐξηγησάμεθα, τὴν αὐτὴν παρὰ βραχὺ λέξιν ἔχοντα τῇ νῦν εἰρημένῃ. γέγραπται γὰρ οὕτως, καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαί, καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖθις θερμαίνηται, καὶ εἰ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, νόσου μῆκος σημαίνει.

Ἱδρὼς πολὺς θερμὸς, ἢ ψυχρὸς ἀεὶ ῥέων, σημαίνει ὑγρὸν ἀπάγειν, ἰσχυρῷ μὲν ἄνωθεν, τῷ δ' ἀσθενεῖ κάτωθεν.

Ἔμπροσθεν ἄλλον ἀφορισμὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων ἐξηγησάμεθα, ὃς κατὰ τόνδε τὸν τρόπον ἐγέγραπτο. ἱδρὼς πολὺς, ἢ θερμὸς, ἢ ψυχρὸς ἀεὶ ῥέων, ὁ ψυχρὸς μέζω, ὁ θερμὸς ἐλάσσω νοῦσον σημαίνει. καὶ τήν γε διάθεσιν ἔφαμεν εἶναι τῶν γε τοιούτων ἱδρώτων, ὑγρότητος πλῆθος ἐν τῷ τοῦ κάμνοντος περιεχόμενον σώματι. διὰ τοῦτ' οὖν ὁ νῦν ἡμῖν προκείμενος ἀφορισμὸς, ἀπάγειν κελεύει τὴν περιττὴν ὑγρότητα, τοῖς μὲν ἰσχυροῖς ἄνωθεν, ὅπερ ἐστὶ διὰ τῶν ἐμέτων. τοῖς δ' ἀσθενεστέροις κάτωθεν, ὅπερ καὶ αὐτὸ σημαίνει δι' ὑπαγωγῆς γαστρός. ὅτι μὲν οὖν ἐκκενοῦν ἀεὶ χρὴ τοῦ σώματος τὰς περιττὰς ὑγρότητας, ἄντικρυς δῆλον. εἰ δὲ τοῖς ἰσχυροῖς μὲν ἄνωθεν μόνον ἀεί, τοῖς δ' ἀσθενέσι κάτωθεν, ἄξιον ἂν δοκεῖ μοι σκέψεως. βέλτιον γὰρ ἴσως οὐ ταύτῃ διαιρεῖν τῶν βοηθημάτων τὴν χρείαν, ἀλλ' ὡς ἡμῖν ἐν τῇ θεραπευτικῇ πραγματείᾳ περὶ τῶν τοιούτων ἁπάντων διώρισται. καὶ τοῦτον οὖν τὸν ἀφορισμὸν ἐκ τῶν παραγεγραμμένων εἶναι νομίζω. ἑξῆς τοῖς προγεγραμμένοις ἀφορισμῶν ἄλλοι τρεῖς εὑρίσκονται κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων, καὶ τοῖς ἐξηγηταῖς ὁμοίως γεγραμμένοι βραχύ τι διαλλάττοντες τῇ λέξει τῶν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων. γράφουσι δ' αὐτοὺς ὧδε.

Πυρετοὶ

Πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

Ὁκόσοις πυρετοὶ μακροὶ, τουτέοισι φύματα εἰς τὰ ἄρθρα, ἢ πόνοι ἐγγίνονται.

Ὁκόσοις φύματα μακρὰ, ἢ εἰς τὰ ἄρθρα πόνοι ἐκ πυρετοῦ γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

Εὔδηλον δὲ ὅτι καὶ οὗτοι προέγκεινται τῶν ἔμπροσθεν, ἢ οὐδὲν, ἢ βραχύ τι τῇ λέξει διαφέροντες, ἐξήγημαι δ' αὐτοὺς ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων.

Ἤν τις τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ κάμνοντι, νοῦσος.

Γράφεται δὲ καὶ οὕτως ὁ ἀφορισμὸς, ἤν τις τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι, νοῦσος. ἑκατέρα δ' ἡ λέξις ἀποκεχώρηκε τῆς κατὰ φύσιν ἑρμηνείας. διὰ τοῦτο δὴ τὸ καλούμενον κακόζηλον, οὐκ οἶδ' ὅτι βουληθέντων τινῶν διεσκεύασαν οὕτω πολυειδῶς τὸ τέλος τοῦ βιβλίου. τὰ μὲν αὐτῇ τῇ λέξει γραφόντων τῶν ἔμπροσθεν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους εἰρημένων. τὰ δ' ὑπαλλαττόντων βραχύ τι, τὰ δ' ὅλα προσεντιθέντων, ὥσπερ καὶ τοῦτο τὸ νῦν προκείμενον, οὐδ' ἐγγὺς τῆς Ἱπποκράτους ἑρμηνείας ἧκον. ἐκεῖνος μὲν γὰρ ἔμπροσθεν ἔφη, τὰ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν θρέψῃς, μᾶλλον βλάψεις, καὶ, ἢν ἐκ νόσου τροφὴν λαμβάνων τις, μὴ ἰσχύῃ, σημαίνει ὅτι τὸ σῶμα πλείονι τροφῇ χρῆται. ἢν δὲ μὴ λαμβάνοντος τοῦτο γίνηται, εἰδέναι ὅτι κενώσεως δεῖται, καί τινα τοιαῦτα ἕτερα κατὰ φύσιν ἡρμηνευμένα. ὁ δὲ τὸν νῦν προκείμενον ἀφορισμὸν συνθεὶς, κακοζήλως εἶπεν περὶ τῆς τροφῆς, εἰ τῷ ὑγιαίνοντι ἰσχὺς αὕτη, τῷ κάμνοντι νοῦσος. βούλεται γὰρ λέγειν τὴν τροφὴν, ἰσχύος μὲν εἶναι τοῖς ὑγιαίνουσι ποιητικὴν, βλάβης δὲ τοῖς νοσοῦσιν. ἢ νὴ Δία τοῖς μὲν ὑγιαίνουσιν αὔξειν τὴν ἰσχὺν, τοῖς δὲ κάμνουσιν νόσον. ἑρμήνευκε δὲ ἀλλοκότως αὐτὸ, τὴν τροφὴν αὐτὴν εἰπὼν, ἰσχὺν μὲν τοῖς ὑγιαίνουσιν εἶναι, νόσον δὲ τοῖς κάμνουσιν, οὔτ' ἰσχὺν οὖσαν, ἀλλ' ἰσχύος ποιητικὴν, οὔτε νόσον, ἀλλὰ νόσων ποιητικήν. ἄμεινον δὲ εἰπεῖν αὐξητικήν.

Τὰ διὰ τῆς κύστεως διαχωρέοντα ὁρῆν δεῖ ἢν οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται.

Τὰ ἥκιστα οὖν ὅμοια τούτοισι, ταῦτα νοσερώτερα. τὰ δὲ ὁμοιότερα τοῖς ὑγιαίνουσι, ἥκιστα νοσερά.

Ὅμοια κατὰ τὸ σῶμα σύμπαν εἴρηται πρὸς Ἱπποκράτους ἔν τε τῷ προγνωστικῷ, καὶ κατ' ἄλλα βιβλία, πάντα τοῖς ὑγιαίνουσι δηλοῦν ἀγαθόν τι, τὰ δ' ἀνόμοια, τοὐναντίον. τοῦτο οὖν καὶ νῦν πειρᾶται λέγειν ὁ συνθεὶς τὸν ἀφορισμὸν τοῦτον. ὑποπτεύω γὰρ καὶ τοῦτον, οὐχ Ἱπποκράτους εἶναι τῇ λέξει τεκμαιρόμενος, οὐκ ἐχούσῃ τὴν αὐτὴν ἰδέαν ταῖς ἐκείνου καὶ τοῖς λεγομένοις αὐτοῖς, οὐκ ἀπηκριβωμένη ὁμοίως τοῖς ἐκείνου. ὅταν γοῦν εἴπῃ τὸ, τὰ ἥκιστα ὅμοια τούτοις ταῦτα νοσερώτερα, τίς οὐκ ἂν μέμψαιτο νοσερώτερα λέγοντι αὐτῷ, ἀντὶ τοῦ νοσερώτατα τότε ὕστατον νοσώδη. τὸ γὰρ ἥκιστα μετ' ἐπιτάσεώς τινος λέγεται, καὶ πολλῆς τῆς εἰς τὸ παρὰ φύσιν παρατροπῆς. ἕκαστον δὲ τῶν παρὰ φύσιν εἰς ὅσον ἀποκεχώρηκε τοῦ κατὰ φύσιν εἰς τοσοῦτον καὶ μοχθηρόν ἐστι. τὰ γοῦν ἥκιστα τοῖς κατὰ φύσιν ὅμοια μάλιστά ἐστι τοῖς κατὰ φύσιν ἐναντία, καὶ διὰ τοῦτο νοσερώτατα.

Καὶ οἷσι τὰ ὑποχωρήματα ἢν ἐάσῃς στῆναι, καὶ μὴ κινέῃς, ὑφίσταται οἷον ξύσματα, καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἡ νοῦσος γίγνεται. ἢν δὲ πολλὰ, πολλὴ, τουτέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην. ἢν δὲ μὴ καθαρὴν ποιήσας, διδῷς τὰ ῥοφήματα, βλάψεις, καὶ ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

Τὰ διὰ τῆς γαστρὸς ὑπιόντα λέγειν εἴωθεν αὐτὸς ὑποχωρήματά τε καὶ διαχωρήματα, καὶ διὰ τοῦτο καὶ νῦν ἔδοξαν ἔνιοί τινες περὶ τῶν κατὰ τὴν γαστέρα κενουμένων, εἰρῆσθαι τὸν λόγον αὐτῷ. μάχεται δ' αὐτοῖς τὸ προσκείμενον ἐν τῇ λέξει, τὸ, ἢν ἐάσῃς στῆναι καὶ μὴ κινέῃς. οἰκεῖον γὰρ τοῦτο τοῖς ὑγροῖς, καὶ διὰ τοῦθ' ἕτεροι πάλιν περὶ τῶν οὔρων ἔδοξαν τὸ λέγειν αὐτόν. ἑκάτεροι δὲ πάλιν σχισθέντες, οἱ μὲν ἐφίστανται γράφουσι διὰ τοῦ ε. τὴν πρώτην συλλαβὴν, οἱ δὲ ὑφίστανται διὰ τοῦ υ. τοῖς μὲν οὖν οὔροις οὐδ' ἕτερον ἐναντιοῦται τῶν ῥημάτων. καὶ γὰρ καὶ διὰ τῶν ὑφισταμένων αὐτοῖς, καὶ διὰ τῶν ἐφισταμένων εἰώθαμεν καὶ τῶν παρόντων τι διαγινώσκειν, καὶ τῶν μελλόντων ἔσεσθαι. κατὰ δὲ τὰ διαχωρήματα, τὸ ἐφίστασθαι μᾶλλον πως πρέπει. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν οὔρων, ἑτοίμη τῶν ὑφισταμένων ἡ διάγνωσις, οὕτω κἀπὶ τῶν διαχωρημάτων. ἐπὶ μὲν γὰρ τῶν οὔρων, καὶ αὐτὸ τὸ ἀγγεῖον ἐξ ὑέλου πεποιημένον, ἐνδείκνυται τῶν ὑφισταμένων τὴν φύσιν, καὶ εἰ ἐν ἄλλῳ δέ τινι περιέχοιτο σκεύει, δυνατὸν ἀποχέαντα τὸ ἐπιπολῆς αὐτὸ μόνον καταλιπεῖν τὸ ὑφιστάμενον. ἐπὶ δὲ τῶν διαχωρημάτων, οὐδέτερον πιθανόν. πάλιν δὲ αὐτὸ τὸ ἐφεξῆς εἰρημένον, τὸ οἷον ξύσματα, τοῖς μὲν κατὰ τὴν γαστέρα διαχωροῦσι πρέπει, τοῖς δ' ἐκφερομένοις τῶν οὔρων καθ' ὁντινοῦν τρόπον, εἴτ' ἄνωθεν, εἴτε κάτωθεν, οὐχ ἁρμόττει. ξυσματώδη μὲν γὰρ κατὰ τὴν γαστέρα διαχωρεῖται πολλάκις, ὀνομάζεταί τε συνήθως, οὐχ ὑπὸ Ἱπποκράτους μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἰατρῶν, οὐ μὴν ἐπί γε τῶν οὔρων. αὕτη τοίνυν ἡ περὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα χρῆσις ἄκυρος, ἐνδείκνυται παρεγκεῖσθαι καὶ τοῦτον τὸν ἀφορισμόν. ἔτι δὲ δὴ μᾶλλον, ἐπειδὰν εἴπῃ, τούτοις συμφέρει ὑποκαθῆραι τὴν κοιλίαν. οὐ γὰρ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν ὅτῳ ξυσματώδη κατὰ τὴν κοιλίαν ὑπάγονται, τούτῳ συμφέρει καθαίρειν αὐτήν, ὥσπερ οὐδὲ βλάβη τις ἐξ ἀνάγκης ἕπεται τροφὴν λαμβάνουσι τοῖς οὕτως ἔχουσιν. ὁρῶμεν γὰρ χολωδῶν διαχωρημάτων γινομένων, ἐκκρινόμενα κατὰ τὴν γαστέρα ξυσματώδη, ἐφ' οἷς οὔτε βλάπτονται ῥοφήματα λαμβανόντων ἁπάντων, οὔτε προκαθαίρειν αὐτοὺς ἀναγκαῖον ἐστὶν, ἐάν γε πᾶν ἤδη κεκενωμένον ᾖ τὸ χολῶδες. ἔτι δὲ μᾶλλον οὐδ' ἐν τοῖς οὔροις ἐμφέροιτο οἷον ξύσματα, καθαίρειν προσήκει, πρὸς τῷ καὶ χα-

λεπτὸν εἶναι διαγνῶναι τὴν ἰδέαν ὁποίαν τινὰ εἶναι βούλεται τῶν ἐμφερομένων τοῖς οὔροις ξυσματωδῶν. ἀλλ' οἱ τούτους τοὺς ἀφορισμοὺς προγραφέντας, δοκοῦσί μοι χάριν αὐτοῦ τούτοις συνθεῖναι, τοῦ συγκεχύσθαι τε τὸν λόγον ὥσπερ αἴνιγμα, καὶ δεῖσθαι ζητήσεως πολλῆς, ἐν ᾗ καθιστάντες ἑαυτοὺς ἐξηγητὰς τῶν λεγομένων εὐδοκιμοῦσι παρὰ τοῖς μειρακίοις. ὅτι δὲ οἱ λόγοι πάντες οἱ ἀσαφεῖς ἀφορμὰς πολυλογίας παρέχουσι τοῖς σοφισταῖς, δῆλον ἔσται σοι κατ' αὐτὸν τοῦτον τὸν ἀφορισμόν. ἔνιοι γάρ τοι τῶν ἐξηγησαμένων αὐτόν, οὔ φασιν ἀπαγορεύειν τὸν Ἱπποκράτην διδόναι ῥοφήματα τοῖς οὕτω διακειμένοις, ἀλλὰ πλείονα κωλύειν εἰρηκέναι, καὶ ὁκόσῳ ἂν πλείονα διδῷς, μᾶλλον βλάψεις. ὥσπερ οὖν καὶ τῶν ἄλλων ὅσοι χρήζουσι ῥοφημάτων ὑπὸ πλειόνων βλαπτομένων, ἢ ὡς οὐκ ἀκόλουθον τῷ φάναι, ὁκόσῳ ἂν πλεῖστα διδῷς, μᾶλλον βλάψεις, καὶ τοῖς ἐλάττοσιν ἐλάττονα τὴν βλάβην ἔσεσθαι νομίζειν. ἀλλ' ὅμως διὰ τὸ τῆς ἑρμηνείας μοχθηρόν, ὑπάρχει τοῖς σοφισταῖς ποιεῖσθαι τοῖς λόγοις διαλύσεις, καὶ μᾶλλόν γε ὅταν ἐξῇ καὶ προσθεῖναί τι καὶ ἀφελεῖν καὶ μεταγράψαι, ὅπερ ἐν τοῖς ἀσαφέσι λόγοις εἰώθασι πράττειν. αὐτίκα γέ τοι καὶ ἐπὶ τοῦτον τὸν ἀφορισμόν, ἔνιοι τόν, καὶ, σύνδεσμον προσθέντες, ἢν ἄλλοι τὸν μετ' αὐτὸν ἀρχὴν τιθέντες, ταύτην ποιοῦσι τούτου τελευτήν, ἵνα ὁ λόγος οὕτως ἔχῃ, ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς, μᾶλλον βλάψεις, καὶ ὁκόσοις ἂν κάτω ὠμὰ ὑποχωρέῃ, ὡς δηλονότι καὶ τούτοις ὅσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις. εἶτ' ἀφ' ἑτέρας ἀρχῆς πάλιν γράφουσιν. ὅτι χολῆς μελαίνης ἐοῦσιν, ἢν πλείω, πλείων, ἢν ἐλάσσω, ἐλάσσων ἡ νοῦσος. οἵ γε μὴν πολλοὶ τῶν ἐξηγητῶν ἑτέρως ἐξηγοῦνται, καὶ γράφουσιν ὡς ὑπογέγραπται ῥῆσις.

Ὁκόσα ἂν κάτω ὠμὰ ὑποχωρέῃ, ὅτι χολῆς μελαίνης ἐοῦσιν, ἢν πλείω, πλείων, ἢν ἐλάσσω, ἐλάσσων ἡ νοῦσος.

Εἴρηται δὲ καὶ πρόσθεν ὅτι καὶ ἄλλοι τινές εἰσιν. ἔξεστι γὰρ ἐν τοῖς ἀσαφέσιν ὡς ἂν ἐθέλῃ τις γράφειν, οὐδενὸς ἤδη τοῖς μεταγράφουσι νόμου κειμένου, πολλάκις δὲ οὐ διὰ τὴν ἀσάφειαν, ἀλλ' ὅτι ψευδής ἐστιν ὁ λόγος, διὰ τοῦτο ἀναγκάζονται προσγράφειν τοῖς ἐξ ἀρχῆς εὑρεθεῖσιν, ἢ ἀφαιρεῖν, ἢ μεταγράφειν. ὥσπερ ἀμέλει καὶ ἐπὶ τόνδε τὸν ἀφορισμόν, οὗ τὴν λέξιν οἱ πρῶτοι τῶν ἐξηγησαμένων τοὺς ἀφορισμούς, ὧν ἐστιν, Ἡρόφιλος ὁ Βακχεῖος Ἡρακλείδης τε καὶ Ζεῦξις οἱ ἐμπειρικοί, τοιαύτην τινὰ γράφουσιν. ὁκόσοις ἂν κάτω ὠμὰ ὑποχωρέῃ, χολῆς μελαίνης ἐστίν, ἢν πλείω, πλείονος, ἢν ἐλάσσω, ἐλάσσονος. ἀλλ' ὅτι τῶν ἤδη μορίων τινὸς ὁ λόγος οὗτος ἑρμηνευτής ἐστι, εἴρηται δ' ὡς ἐκ καθόλου, διὰ τοῦτο τὴν ἀπορίαν παρέχειν. ἐπεί τοι τὸ λεγόμενον αὐτοῦ κατὰ τὴν λέξιν, οὐδεμίαν ἔχει ζήτησιν, ἀποφαινομένου τοῦ γράψαντος αὐτήν. οἷς ἂν ὠμὰ χωρέῃ, διὰ χολῆς μελαίνης ἐστὶ εἶναι τοῖς πέττουσιν ὀργάνοις δηλονότι, δι' ἣν ψυχόμενα χεῖρον πέττει, καὶ τρόπον ἀπεψίας ἐργάζεται τὸν κατ' ὠμότητα, τῆς ξανθῆς χολῆς τὸ ἐναντίον ἐργαζομένης, οἷον κνισώδη γέ τινα γίνεται δι' αὐτὴν ἀπεπτούμενα. τινὲς δὲ καὶ τοῦτον τὸν λόγον, ἔτι περὶ τῶν οὔρων ἡγοῦνται λέγεσθαι.

Αἱ ἀποχρέμψιες ἐν τοῖσι πυρετοῖσι, τοῖσι μὴ διαλείπουσιν αἱ πελιδναί, καὶ αἱματώδεες, καὶ χολώδεες, καὶ δυσώδεες, πᾶσαι κακαί, ἀποχωρέουσαι δὲ καλῶς ἀγαθαί, καὶ κάτω κοιλίην καὶ κύστιν, καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένον, κακόν.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν γέγραπται κατὰ τόνδε τὸν τρόπον. αἱ ἀποχρέμψιες ἐν τοῖσι πυρετοῖσιν ἐν τοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ καὶ αἱματώδεες, πᾶσαι κακαί. ἀποχωρέουσι δὲ καλῶς ἀγαθαί, καὶ κατὰ τὴν διαχώρησιν, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν. ἐξηγησάμεθα δ' αὐτὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων.

Τὰ σώματα χρὴ ὅπου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν, καὶ ἢν ἄνω, στῆσαι τὴν κοιλίην, ἢν δὲ κάτω, ῥυῆσαι τὴν κοιλίην.

Καὶ τούτου τοῦ λόγου τὸ πρῶτον μέρος ἔμπροσθεν γέγραπται, μὴ προσκειμένου, καὶ ἄνω ἢν βούλῃ εὔροα ποιέειν, καὶ τὰ ἐφεξῆς, ἅ τινα προσγράψαι βουλόμενος, ἐνταυθοῖ τις ἐνέγραψεν αὖθις τὸν αὐτὸν ἀφορισμὸν μετ' ἐξηγήσεως, ὥστε ὑπάρχειν ἀληθῆ. ὅτι ἀληθεστέρα ταύτης ἑτέρα τίς ἐστιν ἐξήγησις, ἣν καὶ διὰ μακρᾶς πείρας ἡμεῖς ἐβασανίσαμεν, ἔμπροσθεν δέδεικται κατὰ τὸ τέταρτον ὑπόμνημα.

Ὕπνος, ἀγρυπνίη, ἀμφότερα γιγνόμενα μᾶλλον τοῦ δέοντος, νοῦσος.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔν τισι τῶν ἀντιγράφων παρέγκειται, πρόσθεν εἰρημένος ὅλως ὡσαύτως, πλὴν τοῦ κατὰ τὸ τέλος, ἐνταυθοῖ μὲν γὰρ νόσος. ἐκεῖ δὲ πολὺ βέλτιον γέγραπται, κακόν.

Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ ἔξω ψυχρὰ ᾖ, τὰ δ' ἔσω καίηται καὶ πυρετὸς ἔχῃ, θανάσιμον.

Καὶ οὗτος ὁ ἀφορισμὸς εἰκῇ γέγραπται, πρόσθεν ἄμεινον εἰρημένος, χωρὶς τοῦ, καὶ πυρετὸς ἔχῃ. νῦν δὲ ἐκ περιττοῦ πάλιν ἔχει προσκείμενον τό, καὶ πυρετὸς ἔχῃ. προειρηκότος γὰρ αὐτοῦ κατὰ τὴν ἀρχὴν ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖς. ματαία πάλιν ἡ ἐπὶ τῇ τοῦ λόγου τελευτῇ προσθήκη, καὶ πυρετὸς ἔχῃ.

Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥίς, ἢ ὀφθαλμός, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἀσθενέος ἐόντος, ὅτι ἂν τούτων γένηται, ἐγγὺς ὁ θάνατος.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν εἴρηται κατὰ τήνδε τὴν λέξιν. ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥίς, ἢ ὀφθαλμός, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ ἤδη, ἀσθενέος ἐόντος, ὅτι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

Ἐπὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγίνεται.

Τὸ λεγόμενόν ἐστι τοιοῦτον, ὅσοις ἂν πλεῖστον ἐν τοῖς ἀγγείοις, καὶ κατὰ τὴν ἕξιν ὅλην τοῦ σώματος ἀθροισθῇ λευκὸν φλέγμα, τούτοις ὁ λευκοφλεγματίας ὕδερος ἔσται.

Ἐπὶ διαῤῥοίῃ δυσεντερίη.

Ἀπὸ κοινοῦ δηλονότι προσυπακοῦσαι χρὴ τὸ, ἐπιγίνεται, ξυομένων τῶν ἐντέρων κατὰ βραχὺ, κἄπειτα διὰ βάθος τούτου γινομένου, καὶ οὕτως ἑλκουμένων. ἔμπροσθεν δὲ βέλτιον ἐν ἀφορισμῷ γνησίῳ γέγραπται κατὰ τόνδε τὸν τρόπον. ἐπὶ ἀκράτῳ ὑποχωρήσει δυσεντερία. καὶ ἡμεῖς ἐξηγησάμεθα τὸν ἀφορισμὸν τοῦτον ἐν τῷ ἕκτῳ τῶν ὑπομνημάτων.

Ἐπὶ δυσεντερίῃ λειεντερία ἐπιγίνεται.

Καὶ οὗτος ὁ ἀφορισμὸς, μόριόν ἐστιν ἀφορισμοῦ εἰρημένου ἔμπροσθεν τοῦτον τὸν τρόπον. ὅσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τούτοισιν ἐπιγενομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται. ἐξηγησάμεθα δὲ καὶ ἡμεῖς αὐτὸν περὶ τὸ ἕκτον τῶν ὑπομνημάτων.

Ἐπὶ σφακελισμῷ ἀπόστασις ὀστέου.

Ἀπὸ κοινοῦ δηλονότι κἀνταῦθα προσυπακοῦσαι δεῖ τὸ, ἐπιγίνεται. πότερον δὲ τῷ τοῦ ὀστέου σφακελισμῷ τὴν ἀπόστασιν αὐτοῦ ἕπεσθαι, ἢ τῷ τῆς περικειμένης σαρκὸς, οὐκ ἐδήλωσε. δύναται δ᾽ ἑκάτερον ἀληθῶς λέγεσθαι.

Ἐπὶ αἵματος ἐμέτῳ, φθόη καὶ τοῦ πύου κάθαρσις, ἄνω.

Ἐπὶ τῇ φθόῃ ῥεῦμα ἐκ τῆς κεφαλῆς, ἐπὶ τῷ ῥεύματι διαῤῥοια, ἐπὶ τῇ διαῤῥοίᾳ σχέσις τῆς ἄνω καθάρσεως, ἐπὶ τῇ σχέσει θάνατος. ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων, καὶ παρὰ τοῖς πλείστοις τῶν ἐξηγητῶν γέγραπται. ἐπὶ αἵματος ἐμέτῳ φθορά. κατά τινα μέντοι τῶν ἀντιγράφων, ἐπὶ αἵματος ἐμέτῳ, φθόη γέγραπται. φαίνεται γοῦν ὅτι καὶ ταῦτα συγκεκρᾶσθαι μοχθηρῶς ἐκ πολλῶν Ἱπποκρατείων ἀποφάσεων συγκείμενα διεφθαρμένως, μάλιστα δὲ παρ᾽ ἐκείνων τῶν ἀφορισμῶν, ἐπὶ αἵματος πτύσει, πύου πτύσις καὶ ῥύσις. ἐπὴν δὲ τὸ σίαλον ἴσχηται, ἀποθνήσκουσιν.

Ὁκοῖα καὶ ἐν τοῖσι περὶ τὴν κύστιν καὶ ἐν τοῖσι περὶ τὴν κοιλίην ὑποχωρέει, καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας, καὶ ἤν πη ἄλλῃ τῆς φύσεως ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη νοῦσος γίνεται, ἢν πολὺ δὲ, πολλή. ἢν πάνυ πολλὴ, θανάσιμον τὸ τοιοῦτον.

Οὗτος ὕστατος ὁ ἀφορισμὸς ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων γέγραπται, κατά τινα μέντοι καὶ ἄλλοι πρόσκεινται, διεσκευασμένοι καθάπερ καὶ οἵδε, οὓς διεληλύθαμεν ἐκ τῶν γνησίων ὄντες οὕτως, ὥστε τοὺς μὲν αὐτῇ τῇ λέξει, τοὺς δὲ παρὰ βραχὺ, τοὺς δὲ μετὰ βραχείας προσθέσεως ἐοικέναι τοῖς ὑπ᾽ αὐτοῦ τοῦ Ἱπποκράτους γεγραμμένοις, ὅθεν αὐτοὺς οὐδ᾽ ἡμεῖς ἔτι προσειθήκαμεν. οὐδὲ γὰρ αὐτὸς οὗτος ὁ νῦν προκείμενος ἔχει τι περιττότερον ὧν πολλάκις ὁ Ἱπποκράτης ἐδίδαξεν, ἀλλὰ καὶ ὁ τρόπος τῆς ἑρμηνείας ἔνδηλος ὁ κατ᾽ ἐκεῖνον. τὸ δὲ οἷα καὶ ἐν τοῖς περὶ τὴν κύστιν, καὶ ἐν τοῖς περὶ τὴν κοιλίαν, ἀποδόσεως χρήζει. τὸ γε μὴν κεφάλαιον ὡς ἔφην ἀληθές. εἰ μὲν γὰρ ὀλίγον ἐκβαίνοι τοῦ κατὰ φύσιν ἐν οἵῳ δή ποτε μορίῳ, μακροτέραν τὴν νόσον, εἰ δ᾽ ἐπὶ πλέον, πολλὴν ὑποληπτέον. εἰ δὲ πάνυ πολλὴ τοῦ κατὰ φύσιν ἡ μετάβασις γένηται, θανάσιμον εἶναι τὸ τοιοῦτον νόσημα.

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΛΥΚΟΝ, ΟΤΙ ΜΗΔΕΝ ΗΜΑΡΤΗΤΑΙ ΚΑΤΑ ΤΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΝ, ΟΥ Η ΑΡΧΗ, ΤΑ ΑΥΞΑΝΟΜΕΝΑ ΠΛΕΙΣΤΟΝ ΕΧΕΙ ΤΟ ΕΜΦΥΤΟΝ ΘΕΡΜΟΝ.

ΑΝΕΜΕΣΗΤΟΝ μὲν δήπου Λύκῳ καὶ παντὶ τῷ βουληθέντι πρὸς Ἱπποκράτην γράφειν. ἔτι δὲ ἀνεμεσητότερον οἶμαι τοῖς δυναμένοις ἀπολύεσθαι τὰ κακῶς εἰρημένα πρὸς αὐτὸν ἐγκλήματα, καθάπερ ἐν δικαστηρίῳ τοῖς ἀναγνωσομένοις ἀμφοτέρων τὰ γράμματα τὴν ἀπολογίαν ποιήσασθαι, καὶ μάλιστα ὅταν ὁ μὲν ἐγκαλῶν πρὶν μαθεῖν τὰ λεγόμενα θρασύνηται, τῷ δ᾽ ἀπολογουμένῳ πεπαιδεῦσθαι περὶ τῶν παλαιῶν δογμάτων. Λύκος τοίνυν ἔγραψε μὲν ἐξηγητικὰ τῶν Ἱπποκράτους ἀφορισμῶν ὑπομνήματα. λωβᾶται δὲ τοῖς δόγμασιν τἀνδρὸς ἑκατέρωθεν οἷς τε ψέγειν, καὶ οἷς ἐπαινεῖν τινὰ τῶν ἐπ᾽ αὐτοῦ λεγομένων οἴεται, καὶ δι᾽ ὧν ἀντιλέγειν ἐπιχειρεῖ. τά τε γὰρ ἐπαινούμενα Λύκου φαντάσματά ἐστιν, οὐχὶ Ἱπποκράτους δόγματα, δι᾽ ὧν τε ἀντιλέγει δῆλός ἐστιν, μηδὲ τὰ στοιχεῖα τῆς Ἱπποκράτους τέχνης ἐπιστάμενος. ὅτῳ δ᾽ οὐκ ἔστι τῶν στοιχείων ἐπιστήμη, σχολῇ γ᾽ ἂν οὗτος οὐ τὰς συλλαβὰς εἰδείη τῆς τέχνης ἐκείνης, ἢ τῶν ἀπ᾽ αὐτῆς. εἰ μὲν οὖν ἐγὼ πρῶτος, ἢ μόνος ἔλεγον ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ καὶ ξηροῦ τὰ τῶν ζώων σώματα συγκεῖσθαι νομίζειν Ἱπποκράτην, τάχα ἂν ἴσως εὐλαβέστερον ἐνεκάλουν Λύκῳ, πρὶν γνῶναι τὰ στοιχεῖα τῆς Ἱπποκράτους τέχνης ἐπιχειροῦντι τῶν συγγραμμάτων αὐτοῦ γράφειν ἐξηγήσεις. ὅτε γ᾽ οὖν οἱ δόγμασιν ἐναντίοις ἐνεγράφησαν, ἐπειδὴ οἱ μήτε τὰ πρῶτα γινώσκουσιν τῆς τέχνης χρήσιμα, εὔλογον ἐξηγεῖσθαι τοὺς ἀφορισμοὺς, ἀλλ᾽ ὅπερ μεμαθήκασιν μὲν ἐκ τῆς παιδικῆς ἡλικίας, ἐπαινοῦσι δὲ πάλιν ἢ ψέγουσιν αὐτοῦ τὰ δόγματα. Λύκος δὲ εἰς τοσοῦτον ἄρα τῆς Ἱπποκράτους τέχνης ἀμαθής ἐστιν, ὡς ἐγὼ θεοὺς ἅπαντας ἐπόμνυμι, τὰς πρώτας τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων αὐτοῦ ἐξηγήσεις ἀναγνοὺς, οὐκέτι ὑπέμεινα τὸ λοιπὸν τοῦ βιβλίου ἀναγνῶναι, τοσοῦτον* ἐφαίνετο τῆς γνώμης ἁμαρτάνειν τοῦ παλαιοῦ. τῶν ἑταίρων δέ τινος ἀξιώσαντος ἐπακοῦσαί με τῶν εἰς τόνδε τὸν ἀφορισμὸν ὑπ᾽ αὐτοῦ γεγραμμένων, ἐν ᾧ φησὶ τὰ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, εἶτα πολλῶν καὶ ἄλλων παρακαλεσάντων ἀπολογήσασθαι πρὸς τὰς κατηγορίας, οὕτως ἀναγκασθεὶς, ἐπὶ τόνδε τὸν λόγον ἥκω. ἵνα δὲ τοῖς μὲν ὑπ᾽ ἐκείνου λεγομένοις, ὑπ᾽ ἐμοῦ δὲ μέλλουσιν πρὸς αὐτὰ ῥηθῆναι, ῥᾷον ἀκολουθήσωσιν οἱ δικάζοντες ἡμῖν, ἀναγκαῖον ἔσται μοι βραχέα προειπεῖν. ὅτι μὲν ἔστι θερμὸν ἐν ἡμῖν, ἐναργῶς ἅπασι φαίνεται, πότερα δ᾽ ἐκ κινήσεως τοῦτο τῆς κατὰ τὴν καρδίαν,

καὶ τὰς ἀρτηρίας ἔχει τὴν γένεσιν, ἢ καθάπερ αὐτὸ τὸ κινεῖσθαι τῇ καρδίᾳ σύμφυτον ὑπάρχει, τὸν αὐτὸν τρόπον καὶ ἡ θερμασία, διαπεφώνηται τοῖς ἰατροῖς. ἀλλ' ὅς τις γε βούλεται μαθεῖν ἐπιστημονικῶς, ἀρχὰς τοῖς ζώοις ἁπάσι γενέσεως εἶναι τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ ξηρὸν, καὶ τὸ ὑγρὸν, ἐν ἔχει βιβλίον ὑπ' ἐμοῦ γεγραμμένον, ἐν ᾧ τὴν Ἱπποκράτους γνώμην ἐξηγοῦμαι καὶ ἀποδεικνύω. τοῦτο μὲν δὴ τὸ βιβλίον ἐπιγέγραπται περὶ τῶν καθ' Ἱπποκράτους στοιχείων. ἕτερα δὲ ἐφεξῆς ἐστιν αὐτοῦ τὰ περὶ κράσεων, ἐν οἷς δείκνυμι, τίνα μὲν τῶν σωμάτων πλείονα μοῖραν ἐν ἑαυτοῖς ἔχει τοῦ θερμοῦ στοιχείου, τίνα δ' ἐλάττονα. καὶ ὡς διὰ τοῦτ' αὐτὸ, τὰ μὲν θερμότερα φύσει, τὰ δὲ ψυχρότερα γέγονεν. ἅπασι γὰρ ἡμῖν ὑπάρχει τὸ θερμὸν στοιχεῖον ἔμφυτον ἐκ τῆς πρώτης ἀρχῆς, ἣν ἐκ σπέρματός τε καὶ καταμηνίου κεκτήμεθα. διαφέρομεν δ' ἀλλήλων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον εἶναι θερμοί. ἀλλ' εἰσί γέ τινες ὅροι τούτου τοῦ πλάτους, ὧν ἐπέκεινα τῆς κράσεως ἐξικομένης, ἤτοι νοσεῖν ἡμῖν ἀναγκαῖόν ἐστιν, ἢ διαφθείρεσθαι. καὶ γὰρ ὑπὲρ πλέον ψυχθέντες, ἐν νοσήματι ψυχρῷ καθιστάμεθα, καὶ θερμανθέντων ἔξω τοῦ κατὰ τὴν ὑγείαν πλάτους, εἰς πυρετὸν ἀγόμεθα. καὶ τοίνυν καὶ τῶν πυρετῶν αὐτῶν, ἔνιοι μὲν ἀκριβῶς εἰσι ξηροὶ, καθάπερ οἱ ἀκριβῶς καῦσοι. τινὲς δὲ ἐσχάτως ὑγροὶ, καθάπερ αἱ τυφώδεις, ἢ ἑλώδεις ὀνομαζόμενοι. εἰ δ' οὐ χαίρει τις τοῖς οὕτω καλουμένοις, ἢ κατ' ἄλλου πράγματος ἐπιφέρειν εἴθισται τὰς εἰρημένας προσηγορίας, ἐγὼ τούτῳ τῷ λόγῳ διηγήσομαι τοὺς ὑγροὺς πυρετοὺς ὁποίους εἶναί φημι. ἱδροῦσι μὲν οἱ κάμνοντες ἀπὸ πρώτης ἡμέρας, ἐνδ' αὐτοῖς ἱδροῦσιν, ἢ μετρίως, ἢ οὐδὲν ὠνήμενοι, τούτους ὑγροὺς ἐγὼ τοὺς πυρετοὺς ὀνομάζω. ξηροὺς δὲ ἔμπαλιν ἐκείνους καλῶ τῶν πυρετῶν, οἷς δίψα σφοδρὰ καὶ γλῶττα ξηρὰ, καὶ δέρμα σκληρὸν οἷόνπερ βύρσα, καὶ πολὺς αὐχμὸς ἐν ἅπαντι τῷ σώματι. καὶ μὴν καὶ ἕτεροι τινές εἰσι πυρετοὶ τὴν διαπνοὴν ὅλου τοῦ σώματος ἔχοντες ἀνιαρὰν τοῖς ἁπτομένοις, ὡς νύττεσθαί τε καὶ δάκνεσθαι δοκεῖν, διχῶς καὶ τούτου γιγνομένου, ποτὲ μὲν ἀερώδους ξηροῦ τοῦ προσπίπτοντος ἡμῖν, ἔστι δ' ὅτε ὑγροῦ πως φαινομένου, καθάπερ ἀτμοῦ τινός. τοιαύταις ἰδέαις ἀλλήλων διαφέρουσιν, καὶ τῶν ὑγιαινόντων αὐτῶν αἱ κράσεις, ἃς δὴ καὶ δυσκράτους εἶναι φαμὲν, ἐπανορθώμεθά τε καθόσον οἷόν τε τὴν φυσικὴν δυσκρασίαν αὐτῶν, ἔστι γὰρ καὶ τοῦτο μόριον οὐ σμικρὸν τῆς ὑγιεινῆς τέχνης. ὅσα δὲ εὔκρατα φύσει τῶν σωμάτων ἐστὶν, οὐδὲν τοιοῦτον ἁπτομένοις ἐμφαίνει. σύμμετρα γὰρ ἀκριβῶς ἐστιν, ὡς μηδὲν ἐνδεῖν αὐτοῖς τὸ θερμὸν, οἷα γέρουσιν, ἢ τοῖς ἐψυγμένοις, μήθ' ὑπερβάλλειν ὡς τοῖς ἀμετρότερον πονήσασιν, ἢ διατρίψασιν ὑπὲρ πλεῖον ἐν ἡλίῳ θερινῷ. πολὺ δὲ δὴ μᾶλλον οὐδὲ τὸ δάκνον, ἢ ἀνιαρὸν ἡ τούτων ἔχει θερμασία. σαφηνείας δὲ ἕνεκα τῶν λεγομένων, οὐδὲν ἂν εἴη χεῖρον ἀναμνησθῆναί σε βαλανείων, ἐν οἷς ἓν μέν ἐστιν δή που τὸ τῶν εὐκράτων εἶδος, αἱ δυσκρασίαι δὲ πολλαί. μία μὲν γὰρ δυσκρασία βαλανείου, ψυχροτέρου τῆς χρείας ὑπάρχοντος, ἑτέρα δὲ εἰ μέχρι τοῦ λυπεῖν ἤδη θερμανθείη, τρίτη δ' ἄλλη, καθ' ἣν οὔθ' ὡς ψυχρότερον, οὔθ' ὡς θερμότερον αἰτιώμενοι, πλήρεις ἀτμοῦ φαμὲν ὑπάρχειν, καὶ κατὰ τοῦτο μεμφόμεθα. τίς γὰρ οὐκ οἶδεν, εἴ γε ὅλως ἄνθρωπός ἐστιν, ὡς εὔκρατον ἔστι μὲν ὕδωρ πολλάκις, ἔστι δ' ὁμοίως αὐτῷ καὶ ἀὴρ καὶ ἀτμός. οὕτω γοῦν καὶ λίθος εὔκρατος ἐν αὐτοῖς τοῖς βαλανείοις γίγνεται, καθ' οὗ κυλινδεῖσθαι δυνατὸν, οὔτε θερμασίαν ὑπερβάλλουσαν, οὔτε ψύξιν αἰτιώμενον, οὔτ' αὐχμὸν, ἢ πλῆθος ὑγρότητος. ὥσπερ οὖν ἐν ὕδατι καὶ λίθῳ καὶ ἀέρι σύμμετρος γίγνεται θερμότης, οὕτως καὶ κατὰ τὸν ἀτμὸν, ὃς ἐπειδὰν εὔκρατος ὢν ἐμπλήσει τὸ βαλανεῖον, οἱ λουόμενοι δυσχεραίνουσι μὲν καὶ μέμφονται τὸ τοιοῦτον λουτρόν. ψυχρότερον δὲ ἢ θερμότερον οὐκ ὀνομάζουσιν, ὡς εἴ γε καὶ τοιοῦτόν τι ποιεῖ, διττὴν ποιοῦνται τὴν κατηγορίαν τοῦ βαλανείου, ψυχρὸν εἶναι φάσκοντες αὐτὸ, καὶ μεστὸν ἀτμοῦ, καθάπερ γε καὶ θερμὸν αὖθις ἀμέτρως σὺν ἀτμῷ διαψιλεῖ. μὴ τοίνυν ἐπιλανθανώμεθα τούτων, μηδὲ τὰ κοινῇ πᾶσιν ἀνθρώποις γιγνωσκόμενα διαφθείρωμεν ὑπὸ περιττῆς σοφίας, ἣν ἐπιδείκνυνταί τινες, ἀλλὰ μεμνημένοι τῶν βαλανείων, ἐπειδὰν ἀκούσωμέν τινος περὶ ζώου λέγοντος, ὡς ἔστι τούτου μὲν εὔκρατον τὸ θερμὸν, τούτου δὲ δύσκρατον, οὐκ ἐπ' ἄλλο τι μεταφέρωμεν τὴν διάνοιαν, ἀλλ' ἐφ' ὅπερ ἅπαντες, οἱ τὰς κοινὰς ἐννοίας διασώζοντες ἄνθρωποι καθ' ἑκάστην ἡμέραν ἐν ἄλλοις τε πολλοῖς, καὶ μέντοι γε καὶ τοῖς βαλανείοις ὧν ἐμνημονεύσαμεν. θερμὸν γοῦν εἶναι φασὶ τὸ βαλανεῖον καὶ ψυχρὸν, εἶτ' αὖθις ἀτμοῦ πλῆρες, ἢ ξηρὸν, καὶ αὐχμῶδες, καὶ ἑκάστῳ τῶν ὀνομάτων ἴδιόν τι δηλοῦντες πρᾶγμα. πρὸς τοίνυν τοῖς εἰρημένοις ἕτερόν τι βαλανεῖον ἐστὶ καπνοῦ πλῆρες, καὶ ναὶ μὰ Δία γε τούτου πολυειδέστερον. ἕτερος μὲν ὁ ἐκ δρυΐνων ξύλων, ἕτερος δὲ ὁ ἐκ συκίνων, ἢ ἐλαΐνων ἐστὶν, καὶ καθ' ἕκαστόν γε δένδρον ἄλλος καὶ ἄλλος. ἀλλ' οὐδέ πω δέομαι τῶν κατὰ μέρος διαφορῶν. ἀρκεῖ γάρ μοι τήν γε πρώτην ὅλον γε τὸ γένος τοῦτο μιᾷ κλήσει καὶ νοήσει περιλαμβάνοντι, καπνώδη τὸν ἀέρα φάναι τοῦ βαλανείου, μηδ' ἐνταῦθα μεμφόμενον αὐτοῦ θερμασίαν, ἢ ψύξιν, ἢ ὥσπερ γε μεμφόμενον αὖθις, εἰ οὕτως ἔτυχεν κατ' ἄμφω, καὶ ὡς θερμὸν τὸ βαλανεῖον, καὶ ὡς καπνῶδες. ἐάσας οὖν ἤδη τὰ βαλανεῖα, τῶν καθ' ἑκάστην ἡμέραν ἐν ταῖς οἰκίαις ἡμῖν συμβαινόντων ἀναμνήσθητί μοι, ποτὲ μὲν ὑγρότητα τῶν οἰκιῶν ἐν αἷς οἰκοῦμεν, ἔστι δ' ὅτε ἄμετρον ψύξιν ἢ θερμότητα μεμφόμεθα. πότερα οὖν ὁμοίως μεμφόμεθα τὸν κατὰ τὸν οἶκον ἀέρα τοῖς ὑπὸ κύνα καύμασιν, κἀπειδὰν καπνοῦ πληρωθῇ, ἢ κἀνταῦθα ὥσπερ ἐν τοῖς βαλανείοις, ἔστιν ὅτε κατὰ μὲν τὴν θερμασίαν διαλλάττουσιν οὐδὲν, ἔστι δ' αὐτῶν ὁ μὲν αὐτὸ δὴ τοῦτο μόνον ἀὴρ θερμὸς, ὁ δὲ σὺν τούτῳ καπνώδης, εἶτα ὁ μέν γε θερμὸς ἀὴρ, οὐδέ ποτε προκαλεῖται δάκρυον, τῷ καπνώδει δ' ἀεὶ ὑπάρχει τοῦτο κἂν μετρίως θερμὸς ᾖ, ὥστε ἐναργῶς ἐνταῦθα κατάδηλόν ἐστιν τὸ δακνῶδες θερμὸν, οὐ τῷ μᾶλλον θερμαίνειν, ἀλλ' ἑτέρῳ τινὶ διαλλάττον. ἐγγυτάτω γοῦν φλογὸς μεγίστης ἀκάπνου στάντες, θερμαινόμεθα οὕτω πολλάκις, ὡς ἐγγὺς μὲν ἥκειν τοῦ καίεσθαι, δάκνεται δ' οὐδεὶς, οὐδὲ δακρύει τοὺς ὀφθαλμοὺς ὡς ἀπὸ καπνοῦ. θαυμαστὸν οὖν εἴ τις ἐπὶ καπνοῦ καὶ φλογὸς αἰσθάνεται τῆς διαφορᾶς, ἐπὶ δὲ τῶν ἡμετέρων σωμάτων ἀναίσθητός ἐστιν. ἐνίοτε μὲν ἰσχυροτάτης θερμασίας οἷον φλογὸς, ἐνίοτε δὲ ἀνιαρᾶς καὶ δακνώδους οἷόνπερ καπνοῦ. θαυμάζω δὲ οὐδὲν ἧττον, εἰ μὴ συγχωρεῖ τὰς κατὰ τὸ θερμὸν ἐν τοῖς ζώοις δυσκρασίας, ἀνάλογον ἔχειν ταῖς κατὰ τὰ βαλανεῖα καὶ τὰς οἰκίας. ὡς οὖν ἐν ταῖς οἰκίαις ἄλλος μὲν ἀήρ ἐστιν οἷον καπνώδους, ἄλλος δὲ ἁπλῶς θερμοῦ, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, ἕτερος τούτων ἐναργῶς

ἐστιν, ἐν ᾧ πλῆθός ἐστι καιομένων λύχνων, ἡ δ᾽ αἰθαλώδης ἅμα λιγνύσι. καὶ τοίνυν καλοῦμεν ὥσπερ τὸν ἕτερον ἀέρα καπνώδη, λιγνυώδη τὸν ἐξ ὑπεροπτήσεως ὕλης γενόμενον. ἡ γάρ τοι λιγνὺς ταύτῃ τοῦ καπνοῦ διενήνοχεν, καίτοι γε ἀμφοῖν περιττωμάτων ὑπαρχόντων φλογός, ὅτι ἡ λιγνὺς ἐστὶ μὲν κατωπτημένης ὕλης γεώδης ἀναθυμίασις, καπνὸς δὲ οὐχ ὑπεροπτημένης, οὔτε γεώδης, ἀλλ᾽ ἡμικαύτου τε καὶ συμμιγοῦς, ἐξ ὑγρᾶς καὶ γεώδους οὐσίας. ὅστις οὖν ἐπαιδεύθη νομίμως ἐν Ἱπποκρατείοις δόγμασιν, ἔμαθεν οὗτος ὡς τῆς ὀνομαζομένης ἤδη συνήθως ἅπασι τοῖς ἰατροῖς ἀδήλου διαπνοῆς, ἣν διαπνεῖται τὰ σώματα, τὸ μὲν τοιοῦτόν ἐστιν οἷον ἀτμὸς, ἕτερον δὲ οἷον ἀὴρ ξηρὸς, ἕτερον δὲ σὺν αἰσθηταῖς ὑγρότησιν ἐκπίπτον.

αὕτη μὲν ἡ ῥῆσίς ἐστι τῶν ὑπὸ τοῦ Λύκου γεγραμμένων εἰς κατασκευὴν τοῦ μηδὲν διαφέρειν ἕτερον ἑτέρου θερμὸν, οὐκ ἀναμένουσα τὸν ἔξωθεν ἔλεγχον, ἀλλ᾽ ἑαυτὴν καταβάλλουσα. τί γὰρ δὴ καὶ φησὶ, τὸ θερμὸν ᾗ νενόηται θερμὸν, οὐδεμίαν ἔχει παραλλαγὴν πρὸς ἕτερον θερμόν. εἰ μὲν οὖν οὐδὲν ἐν τῷ λόγῳ σημαίνει τὸ, ᾗ νενόηται θερμὸν, ἐξαιρείσθω τελέως αὐτοῦ. σημαίνων δ᾽ ἔτι σαφῶς ἐνδείκνυται, ταύτῃ μὲν μὴ διαφέρειν τὸ θερμὸν τοῦ θερμοῦ, καθ᾽ ἕτερον δ᾽ ἔτι διαφέρειν. εἰ μὲν γὰρ οὐδαμῇ διαφέρει, περιττῶς πρόσκειται τὸ ᾗ. εἰ δ᾽ ἄλλῃ μέν πῃ διαφέρει, ταύτῃ δ᾽ οὐ διαφέρει, καθ᾽ ὃ διαφέρει, κατὰ τοῦτο νοείσθωσαν αἱ διαφοραί. ὡς εἴ γε καθ᾽ ὃ λέγεται μόνον ἕκαστον σκοποῖτο, πάντων τῶν πραγμάτων ἀναιρήσεις τὰς διαφοράς. τὸ ζῶον ᾗ νενόηται ζῶον, οὐδὲν ἑτέρου διαφέρει ζώου. τὸ φυτὸν ᾗ νενόηται φυτὸν, οὐδὲν ἑτέρου διαφέρει φυτοῦ. τὸ δένδρον ᾗ νενόηται δένδρον, οὐδὲν ἑτέρου διαφέρει δένδρου. ἆρ᾽ οὐκ εἰσὶ τοῦ ζώου διαφοραὶ, τὸ πτηνὸν, καὶ πεζὸν, καὶ νηκτὸν, καὶ τὸ ἔνυδρον καὶ ἔγγειον, καὶ ἀέριον, ἢ τὸ θνητὸν καὶ ἀθάνατον, ἢ τὸ λογικὸν καὶ ἄλογον, ἢ τὸ ἥμερον καὶ τὸ ἄγριον, ἢ τὸ δειλὸν καὶ ἄλκιμον, ἢ τῶν ἄλλων ὧν ἴσμεν ἕκαστον. τί γὰρ δεῖ μακρολογεῖν; οὕτω τῶν φυτῶν, τὸ μὲν δένδρον, τὸ δὲ θάμνος, τὸ δὲ ἄκανθα, τὸ δὲ πόα, τὸ δὲ φρύγανον, ἢ καὶ πάντων καθ᾽ ὃ νενόηται ζῶα, μηδεμίαν ἐχόντων διαφορὰν, ὅμως καὶ ταύτας ἁπάσας ἃς εἴρηκα, καὶ πρὸς ταύταις ἑτέρας οὐκ ὀλίγας, ἀληθῶς ἄν τις εἴποι ζώου διαφοράς. οὕτως δὲ κἀπὶ τῶν φυτῶν. οὐ γὰρ φυτόν γε φυτοῦ διενήνοχεν τῷ, τὸ μὲν εἶναι λογικὸν αὐτῶν, τὸ δὲ ἄλογον, οὔτε τὸ πτηνὸν, ἢ πεζὸν, οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδεμία διαφορά. καθάπερ οὐδὲ ζῶον ζώου διαφέρει, τῷ τὸ μὲν εἶναι θάμνος, τὸ δὲ ἄκανθα, τὸ δὲ δένδρον, τὸ δὲ πόα, τὸ δὲ φρύγανον, τὸ δὲ κέδρος, ἀλλ᾽ ἐν τῷ γένει τῶν φυτῶν ἡ τοιαύτη τομή. ἀλλὰ καὶ νοσημάτων διαφορὰς αὐτὸς ὁ Λύκος γράφει παμπόλλας. καίτοι γε οὐδὲν διαφέρει νόσημα νοσήματος ᾗ νόσημά ἐστιν, ὥσπερ οὐδὲ σύμπτωμα συμπτώματος, ᾗ σύμπτωμά ἐστιν, ἀλλ᾽ ὅμως καὶ τὰς τούτων διαφορὰς ὁ Λύκος ἐπιχειρεῖ γράφειν, ὥσπερ γε καὶ τὰς τῆς πλευρίτιδος, ἑκάστου τε τῶν ἄλλων νοσημάτων. καίτοι γε πλευρῖτις πλευρίτιδος, ᾗ πλευρῖτίς ἐστιν οὐδὲν διαφέρει, ἀλλ᾽ ὅμως ἡ μέν τις εἰς τὴν κλεῖν ἔχει περαινομένην τὴν ὀδύνην, ἡ δ᾽ εἰς τὸ ὑποχόνδριον. οὕτω δὲ καὶ μετὰ μὲν τοῦ κεχρῶσθαι τὸ πτύελον, ἡ ἑτέρα τῶν πλευριτίδων, ἑτέρα δ᾽ ἐναντία τῇδε, καλουμένη πρὸς ἐνίων ἄπτυστος, ἄλλαι τε πολλαὶ διαφοραὶ, καθ᾽ ἃς ὑπαλλάττεσθαι συμβαίνει καὶ τὴν θεραπείαν. ἀλλὰ ἐὰν καὶ ταύτας τῶν πυρετῶν αὐτῶν τὰς διαφορὰς ὁ Λύκος ἐκδιδάσκειν πειρᾶται. καίτοι εἴτε κατὰ πλεονεξίαν θερμασίας ἡ γένεσις αὐτοῖς ἐστιν, εἴτε κατὰ τὸ δακνῶδες τῆς ποιότητος, οὐδεμία γενήσεται διαφορὰ πυρετοῦ πρὸς πυρετὸν ᾗ πυρετός ἐστιν. οὕτως οὖν ἀπαίδευτον ἐρωτᾷ λόγον ὁ Λύκος, ὥστε οὐκ αἰσθάνεται τὰς τέχνας ἁπάσας ἀναιρῶν. ἐν γάρ τοι τῇ γνώσει τῶν διαφορῶν ἑκάστου τῶν ὄντων αἱ τέχναι συνίστανται, καὶ τοῦτο ἤδη πλεῖστον μὲν κἀν τῷ περὶ Φιλήβου διῆλθεν ὁ Πλάτων εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος. ἐφύλαξε δ᾽ αὐτοῦ τὴν γνώμην Ἀριστοτέλης καὶ Θεόφραστος, Χρύσιππός τε καὶ Μνησίθεος, καὶ οὐδεὶς ὅστις οὐ διῆλθεν ἐν τῷ περὶ τέχνης γράμματι τὸν αὐτὸν λόγον. ἔστι δ᾽ ἡ μὲν πρώτη ῥῆσις ὑπὲρ τῆς περὶ τὰς τέχνας συστάσεως τοῦ Πλάτωνος εἰρημένη τοιάδε. Σω. φωνὴ μὲν ἡμῖν ἐστί που μία διὰ τοῦ στόματος ἰοῦσα, καὶ ἄπειρος αὖ πλήθει, πάντων τε καὶ ἑκάστου. Πρ. τί μήν; Σω. καὶ οὐδὲν ἑτέρῳ γε τούτων ἐσμέν πω σοφοὶ, οὔθ᾽ ὅτι τὸ ἄπειρον αὐτῆς ἴσμεν, οὔθ᾽ ὅτι τὸ ἕν, ἀλλ᾽ ὅτι πόσα τέ ἐστι καὶ ὁποῖα, τοῦτ᾽ ἔστι τὸ γραμματικὸν ἕκαστον ποιοῦν ἡμῶν. Πρ. ἀληθέστατα. Σω. καὶ μὴν καὶ τὸ μουσικὸν, ὃ τυγχάνει ποιοῦν, τοῦτ᾽ ἔστι ταὐτόν. Πρ. πῶς; Σω. φωνὴ μέν που καὶ τὸ κατ᾽ ἐκείνην τὴν τέχνην ἐστὶ μία ἐν αὐτῇ. Πρ. πῶς δ᾽ οὔ; Σω. δύο δὲ θῶμεν βαρὺ καὶ ὀξὺ, καὶ τρίτον ὁμότονον, ἢ πῶς; Πρ. οὕτως. Σω. ἀλλ᾽ οὔπω σοφὸς ἂν εἴης τὴν μουσικὴν, εἰδὼς ταῦτα μόνα. μὴ εἰδὼς δὲ ὥς γε ἔπος εἰπεῖν, εἰς ταῦτα οὐδενὸς ἄξιος ἔσῃ. Πρ. οὐ γὰρ οὖν. Σω. ἀλλ᾽ ὦ φίλε ἐπειδὰν λάβῃς, τά τε διαστήματα ὁπόσα ἐστὶ τὸν ἀριθμὸν τῆς φωνῆς, ὀξύτητός τε πέρι καὶ βαρύτητος, καὶ ὁποῖα, καὶ τοὺς ὅρους τῶν διαστημάτων, καὶ τὰ ἐκ τούτων ὅσα συστήματα γέγονεν. ἃ κατιδόντες οἱ πρόσθεν παρέδοσαν ἡμῖν τοῖς ἑπομένοις ἐκείνοις, καλεῖν αὐτὰ ἁρμονίας, ἔν τε ταῖς κινήσεσιν αὖ τοῦ σώματος, ἕτερα τοιαῦτα ἐνόντα πάθη γιγνόμενα, ἃ δὴ δι᾽ ἀριθμῶν μετρηθέντα, δεῖν αὐτά φησι ῥυθ-

μοὺς καὶ μέτρα ἐπονομάζειν, καὶ ἅμα ἐννοεῖν, ὡς οὕτω δεῖ περὶ παντὸς ἑνὸς καὶ πολλῶν σκοπεῖν. ὅταν γὰρ αὐτά ταῦτά τε λάβῃς οὕτως, τό τε ἐγένου σοφός. ὅταν δ' ἄλλων τῶν ὄντων ὁτιοῦν ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τούτου γέγονας. ἤρκει μὲν οὖν καὶ ταῦτα παρὰ Πλάτωνος ἀκοῦσαι τοῖς ἔχουσι νοῦν ἀκροαταῖς εἰς ἔνδειξιν ἁπασῶν τεχνῶν συστάσεως. οὐ γὰρ οἷόν τε γενέσθαι τεχνικὸν οὐδὲ περὶ ἕνος, ἄνευ τοῦ γνῶναι τὰς αὐτῶν διαφοράς, ἀλλ' οὐδὲν χεῖρον ὥσπερ ὁ Πλάτων αὐτὸς οὐκ ἠρκέσθη τῷ κεφαλαίῳ τοῦ λόγου μόνῳ. παραδείγματα δὲ σαφηνείας ἕνεκεν προσέθηκεν, τήν γραμματικήν τε καὶ μουσικήν, οὕτως καὶ ἡμᾶς ἐν ἔτι προσθεῖναι παράδειγμα, τέχνης μὲν γραφικῆς, ὕλης δ' ὑποκειμένης αὐτῇ χρωμάτων. ἔξεστι γὰρ δήπου λέγειν κἀνταῦθα τὸ χρῶμα τοῦ χρώματος, ᾗ χρῶμα ἐστὶν οὐδὲν διαφέρει, καὶ κατὰ τοῦτ' ἀναιρεῖν ἁπάσας τὰς ἐν αὐτοῖς διαφοράς, ὅπερ ἀμέλει καὶ ὁ Πλάτων αὐτὸς ἐν ἀρχῇ τοῦ Φιλήβου δεδήλωκε. διαιρουμένῳ γὰρ τῷ Σωκράτει τὰς ἡδονάς, ὁ διαλεγόμενος οὐ συνεχώρει διαφέρειν ἀλλήλων ἁπάσας αὐτὰς καθόσον εἰσὶν ἡδοναί, φάσκων ὁμοιοτάτας αὐτὰς ὑπάρχειν. ἀλλ' ὅ γε Σωκράτης ἅπαντα τῷ λόγῳ τῷδε. καὶ γὰρ χρῶμα ὦ δαιμόνιε, χρώματι κατά γε αὐτὸ τοῦτο οὐδὲν διοίσει, τὸ χρῶμα εἶναι τὸ πᾶν. τὸ γε μὴν μέλαν, τῷ λευκῷ πάντες γινώσκομεν, ὡς πρὸς τὸ διάφορον εἶναι, καὶ ἐναντιώτατον ὂν τυγχάνει. καὶ δὴ καὶ σχῆμα σχήματι κατὰ ταυτὸν γένει μέν ἐστι πᾶν ἕν. τὰ δὲ μέρη τοῖς μέρεσιν αὐτοῦ, τὰ μὲν ἐναντιώτατα ἀλλήλοις, τὰ δὲ διαφορότητα ἔχοντα μυρίαν που τυγχάνει. καὶ πολλὰ ἕτερα οὕτως ἔχοντα εὑρήσομεν, ὥστε τούτῳ γε τῷ λόγῳ μὴ πίστευε, τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι. αὕτη μὲν ἡ περὶ χρωμάτων τε καὶ σχημάτων ῥῆσις. ἡ δὲ περὶ τῶν ἡδονῶν ἥδε. ἥδεσθαι μὲν φαμὲν τὸν ἀκολασταίνοντα, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα, αὐτῷ τῷ σωφρονεῖν. ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα, καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστόν. ἥδεσθαι δ' αὖ καὶ τὸν φρονοῦντα, αὐτῷ τῷ φρονεῖν. καὶ τούτων τῶν ἡδονῶν ἑκατέρας πως ἄν τις ὁμοίας ἀλλήλαις εἶναι λέγων, οὐκ ἂν ἀνόητος φαίνοιτ' ἂν ἐνδίκως; ὥσπερ δὲ τῶν ἡδονῶν τὰς διαφορὰς ὁ Πλάτων ἐν μὲν τῇδε τῇ ῥήσει διὰ βραχέων ἐνεδείξατο, καθ' ὅλον δὲ τὸ βιβλίον ἐπὶ πλεῖον διῆλθεν, οὕτως τῶν τεχνῶν ἐν δυοῖν βιβλίοιν, τῷ σοφιστῇ τε καὶ πολιτικῷ. ἆρ' οὖν ἐπιστημῶν μὲν καὶ ἡδονῶν εἰσι διαφοραὶ πολλαί, καὶ χρωμάτων καὶ σχημάτων, καὶ τῶν ἐν ταῖς φωναῖς τόνων, ὡσαύτως δὲ καὶ ἡλικιῶν, καὶ ὡρῶν καὶ χωρῶν, καὶ νόσων, ἁπάντων τε τῶν ἄλλων, ἐν μόνοις δὲ τοῖς θερμοῖς ἤτοι γε οὐκ εἰσὶν ὅλως, ἢ ἀδύνατον γιγνώσκεσθαι τοῖς ἀνθρώποις; καὶ μὴν ὅ γε τοῦ Λύκου λόγος ἀναιρεῖ τοῦ θερμοῦ τὰς διαφοράς, ὡς οἴεται μὲν αὐτοῦ μόνου. κατὰ δὲ τὴν ἀλήθειαν ἅμα τοῖς ἄλλοις ἅπασι, εἴ γε ἡ τοῦ λόγου δύναμις ὁμοίως ἀντεπεκτείνεσθαι δύναται. καὶ γὰρ δὴ κἀπὶ τῶν ὑγρῶν αὐτῶν ἐφεξῆς ἐρῶ τάδε, μηδὲ ταῦτα διαφέρειν ἀλλήλων λέγων καθόσον ὑγρά. τὸ δὲ δὴ μέγιστον αὐτοῦ τῶν ἁμαρτημάτων, ὅτι καὶ τὰς τέχνας ἁπάσας ἀναιρεῖ, τὴν σύστασιν ἐχούσας ἐν ταῖς τῶν εἰδῶν διαφοραῖς. ὁ μὲν οὖν Πλάτων ἐν κεφαλαίῳ γε πρότερον ὑπὲρ τῆς τῶν τεχνῶν συστάσεως, εἶτα παραδείγματός τε διῆλθε τὸν λόγον, ἐπιδεικνὺς ὅπως ἡ γραμματικὴ συνέστη τέχνη, γνωσθείσης τῆς ἐν ταῖς φωναῖς διαφορᾶς. ὁ δὲ τοῦ Λύκου λόγος, ἀναιρεῖ δηλονότι καὶ ταύτην τὴν τέχνην, καὶ τὴν μουσικὴν ὁμοίως αὐτῇ, καὶ τὰς ἄλλας ἁπάσας, ἀξιῶν τό, ᾗ νενόηται τὸ δέ τι, μίαν ἔχειν ἐν αὐτῷ διαφοράν. θέασαι γοῦν ὅπως ἀναιρήσει πρώτην μὲν τὴν περὶ τὰ γράμματα τέχνην ὁ λόγος αὐτοῦ, μετὰ δὲ ταῦτα καὶ τὰς ἄλλας ἁπάσας. δοκεῖ μοι ἀδύνατον καὶ ἀμήχανον εἶναι τὴν φωνὴν ταύτην γε σκοποῦντι ᾗ νενόηται, κατ' αὐτὴν λέγω τὴν ἐκφώνησιν, πρὸς ἑτέραν αὖ φωνὴν παραλλαγὴν ἔχειν, κατά τινα ἰδιότητα παραλλάττουσαν κατὰ ποιότητα ἐν τῇ ἐκφωνήσει κειμένην. οὗτος ὁ λόγος αὐτός ἐστιν πάντῃ τοῦ κατὰ τὴν ἀρχὴν γεγραμμένου τῆς ῥήσεως τοῦ Λύκου, καὶ δι' αὐτῶν γε περαίνεται τῶν ἐκείνου ῥημάτων ἁπάντων, ἑνὸς μόνου τοῦ κατὰ τὸ θερμὸν ὀνόματος εἰς τὸ τῆς φωνῆς μεταβεβλημένου, ὥστ' εἴπερ ἐκεῖνος ὑγιής, καὶ οὗτος. ἀλλὰ μὴν οὐχ ὑγιὴς οὗτος, ὥστ' οὐδ' ἐκεῖνος. εἰ μή τι ἄρα νομίζουσιν οἱ τὰ τοῦ Λύκου φρονοῦντες, οὔτε τὴν ε. φωνὴν ἑτέραν εἶναι τῆς ο. διαφέρειν δὲ τὴν ο. τῆς ω. εἰ δὲ καὶ ταύτας ἑτέρας ἀλλήλων ὁμολογήσομεν εἶναι, καὶ πρὸς ταῦτα καὶ τὴν α. καὶ τὴν ι. καὶ τὴν υ. καὶ τῶν ἄλλων ἁπάντων γραμμάτων, αὗται μὲν ἔσονται τέτταρες ἐπὶ ταῖς εἴκοσιν, ἡ γνοῦσα δ' αὐτῶν τὴν διαφορὰν τέχνη γραμματική, καθάπερ γε καὶ μουσικὴ τέχνη περὶ τῆς ἐν ταῖς φωναῖς ὀξύτητα καὶ βαρύτητα, καίτοι καὶ ταύτας οὐδὲν ἧττον ὁ τοῦ Λύκου λόγος ἀναιρεῖ. φωνὴ γὰρ φωνῆς, ᾗ φωνὴ διαφέρει οὐδέν, ἀλλ' ὅμως ὁ μὲν τῆς μέσης φθόγγος, ὀξύτερος μέν ἐστιν τόνῳ τῆς λιχανοῦ τῶν μέσων, βαρύτερος δὲ τόνῳ τῆς παραμέσης. αὐτῶν δ' ἐκείνων πάλιν, ὁ μὲν τῆς λιχανοῦ τῆς παρυπάτου τῶν μέσων, ὀξύτερος τόνῳ. ὁ δὲ τῆς παραμέσης, βαρύτερος ἡμιτόνῳ τῆς τρίτης τῶν διεζευγμένων. εἶτ' ἐκείνων αὖθις ὀξύτεροί τε καὶ βαρύτεροι, κἄπειτ' ἐκείνων αὖθις ἕτεροι, μέχρις ἂν ἐπὶ τὸν ὀξύτατόν τε καὶ βαρύτατον ἁπάντων ἀφικνούμεθα φθόγγον. ἀλλ' ὁ θαυμασιώτατος Λύκος οὐκ αἰσθάνεται, ταῦτα πάντα ἀναιρῶν ἐν τῷ λέγειν. δοκεῖ μοι ἀδύνατον καὶ ἀμήχανον εἶναι τὸ θερμὸν ταῦτα γε σκοποῦντι, ᾗ νενόηται, κατ' αὐτὴν λέγω τὴν θάλψιν, πρὸς ἕτερον αὖθις θερμὸν παραλλαγὴν ἔχειν καλόν, εἰ μηδὲ χρῶμα χρώματος ᾗ χρῶμα ἐστὶν διαφέρειν εἰπών, ἀναιρεῖ τὴν γραφικὴν τέχνην, ἐρυθρόν γέ τι παραθεμένην χρῶμα, καὶ λευκὸν καὶ μέλαν καὶ ξανθόν, ὅσα τ' ἄλλα τοιαῦτα. πολὺ γὰρ δή που πιθανώτερος ὁ λόγος αὐτοῦ καὶ περὶ χρωμάτων ἐστὶν ὁ λεγόμενος, ἢ νῦν εἴρηται περὶ τοῦ θερμοῦ. θερμὸν μὲν γὰρ θερμοῦ διαλλάττειν φαμέν, οὐ μὴν ἐναντίον γε ὑπάρχειν παντῃ. χρῶμα δὲ χρώματος, οὐ διαφέρειν μόνον, ἀλλὰ καὶ τὴν φύσιν ἐναντιώτατον ἐστὶν τοῦ λευκοῦ τὸ μέλαν. καὶ πῶς ἐγχωρεῖ φήσειεν ἂν ὁ Λύκος ἐναντίον εἶναι τῷ χρώματι καθ' ὃ νενόηται χρῶμα ὄν. καὶ ἀληθεύσει γε καὶ μὰ τοὺς θεούς, ὅσον ἐπὶ χρώματος, καὶ τὸ χρῶμα μηδὲν ἡγούμενος ἕτερον ἑτέρου διαφέρειν, ἀλλ' ὥσπερ τοῦτο ἀληθές, οὕτω κἀκεῖνο, τὸ λευκὸν τοῦ μέλανος οὐ μόνον διαφέρον, ἀλλὰ καὶ τοσοῦτον διαφέρον, ὡς ἐναντιώτατον εἶναι. καὶ πῶς ἐγχωρεῖ τάχα φήσουσιν οἱ τὰ τοῦ Λύκου πρεσβεύοντες, ἅμα μὲν εἶναι ταυτόν, ἅμα δ' ἐναντιώτατον εἶναι; καὶ πῶς τῷ μέλανι λευκόν; οἷς ἡμεῖς ἀποκρινούμεθα τί γε τοσοῦτον, ὡς εἴπερ οὐκ ἐγχωρεῖ τὸ λευκὸν ἐναντίον τε ἅμα καὶ ταυτὸν εἶναι τῷ μέλανι, τὸ ἕτερον αὐτοῦ αἱρείσθωσαν. ὁ μὲν γὰρ Πλάτων οἴεται δυνατὸν εἶναι καθάπερ γε καὶ Ἀριστοτέλης καὶ Θεόφραστος, ἕτερον ἑτέρῳ ταυτὸν ὂν τῷ γένει, τοσαύτην ὅμως ἔχειν τὴν ἐν εἴδει διαφοράν, ὡς ἐναντιώ-

ἐναντιώτατον ὑπάρχειν. οὗτοι δ' εἰ μὴ νομίζουσιν ἀληθεύειν ἄμφω, τὸν λόγον τὸν ἐναργέστατον ἐλελήθασιν. ἐναργέστατον δέ ἐστιν, ὅσῳ γε πᾶσιν ἀνθρώποις ὁμολογούμενον ἐναντίον εἶναι, τὸ λευκὸν τῷ μέλανι. καὶ μὴν εἴπερ ἀληθές ἐστι τοῦτο, νομίζουσι δὲ αὐτοὶ μὴ δύνασθαι τοὺς λόγους ἀμφοτέρους ἀληθεύεσθαι, τόν τε ἐναντίον εἶναι φάσκοντα τὸ λευκὸν τῷ μέλανι, καὶ τὸν αὐτὸν οὐκ ὀρθῶς ἐροῦσιν μηδὲν διαφέρειν, ᾗ χρῶμα ἐστὶν τὸ λευκὸν τοῦ μέλανος. ὁ μὲν οὖν ἐν τῷ τοῦ Πλάτωνος γράμματι διαλεγόμενος τῷ Σωκράτει, συγγνωστὸς ἦν ἴσως, κωλύων τὸν Σωκράτην διαιρούμενον ἡδονὴν ἡδονῆς διαφορᾷ. οὐ γὰρ ἦν που βιβλίον οὐδὲν τοιοῦτον διδάσκον, ὡς ἐγχωρεῖ πολλὰ πολλοῖς ὄντα τῷ γένει ταυτά, διαφέρειν ὅμως εἰς τοσοῦτον, ὡς ἐναντιώτατον ἀλλήλοις ἰδέαν τε καὶ φύσιν ἔχειν. ἐπεὶ δ' ὑπὸ Πλάτωνος ὁ Φίληβος ἐγράφη διδάσκων τἀληθές, εἰ μὲν οὐδ' ὅλως ἀνέγνω τὸ βιβλίον ὁ Λύκος, ἄγαμαι τῆς παιδείας τὸν Λύκον. εἰ δ' ἀναγνοὺς οὐκ ἐνόησεν, θαυμάζω τῆς συνέσεως. εἰ δὲ νοήσας οὐκ ἐπείσθη, μακαρίζω τῆς κρίσεως. ὦ πρὸς τοῦ Διὸς ἐρωτᾷ τις λόγον, οὐδὲ τὰ πρῶτα μαθὼν τῆς διαλεκτικῆς; ἔστι τις αὖ ἄνθρωπος Ἕλλην ἰατρὸς, ἢ γραμματικὸς, ἢ ῥήτωρ, ἢ φιλόσοφος, ἢ ὅλως ὁστισοῦν ἄλλος ἀντιποιούμενος λόγων, ὡς οὐκ ἀνέγνω τὸν Πλάτωνος Φίληβον; καί τοι τί λέγω τὸν Φίληβον, οὐ γὰρ ἐν τούτῳ μόνῳ τὸν προκείμενον λόγον Πλάτων ἐδίδαξεν, ἀλλὰ καὶ δι' ἄλλων πολλῶν ἐπεμνήσθη βιβλίων, ὧν ἐστιν οἱ νόμοι, καίτοι ἔν γέ τι τὸν θαυμασιώτατον Λύκον ἀνεγνωκέναι, ἀντιποιούμενον λόγων ἐπιστημονικῶν. αἰσχρὸν γὰρ Ἱπποκράτην διελέγχειν ἐπιχειροῦντα, καὶ λόγους ἐπερωτῶντα τυραννικῶς, ὡς νομίζει, μηδὲ τὰ πρῶτα φαίνεσθαι μεμαθηκότα τῶν ἐν ταῖς φιλοσόφοις διατριβαῖς. ἀλλὰ νὴ Δία θαυμαστὸν αὐτοῦ τὸ περὶ τῶν ὑγρῶν ἐστι παράδειγμα. καὶ γὰρ τοῦτο βούλεται, μηδὲν ἀλλήλων διαφέρειν ᾗ ταῦτα ἐστὶν ὑγρὰ, καθ' ὃ μέντοι τὰ μὲν ὀξέα, τὰ δὲ στρυφνὰ, τὰ δ' ἁλμυρὰ, τὰ δὲ γλυκέα ταύτῃ διαλλάττει, οὐκ ἀκούει δὲ ἐν τούτοις αὐτὸς ἑαυτοῦ. λέγων γὰρ ᾗ διαφέρει τὰ ὑγρὰ, κατασκευάζειν οἴεται μηδεμίαν ἐν αὐτοῖς εἶναι διαφορὰν, ἀλλὰ μάτην μὲν Ἱπποκράτην διαφορὰν εἰρηκέναι, μάτην δὲ Θεόφραστον ὅλην πραγματείαν γεγραφέναι περὶ χυλοῦ. καί τοι καὶ αὐτὸ τοῦτο τοὔνομα ὁ χυλὸς, ὑγροῦ διαφορὰν τινὰ ἐνδείκνυται, ἀλλ' ὅμως καί τοι διαφορά τις οὖσα ὑγροῦ, πάλιν αὐτὴ τέμνεσθαι πέφυκεν εἰς ἑτέρας διαφοράς. οὐ μὴν θαυμαστὸν εἰς τοσοῦτον ἀπαιδευσίας ἥκοντα Λύκον, ὡς νομίζειν ἐν ὄξει στύφουσαν εἶναι ποιότητα, τοιαύτην τολμῆσαι πρὸς Ἱπποκράτην γράφειν ἀντιλογίαν. τὰ γὰρ οὕτως ἐναργῆ καὶ Διοσκουρίδης ὁ Ἀναζαρβεὺς ἐγίγνωσκεν, οἵ τ' ἄλλοι πάντες οἱ τὰ περὶ ὕλης ὑπομνήματα γράψαντες· ὀνομάζουσι γοῦν ἐν ταύταις, τὰ μὲν ἁλυκὰ, τὰ δὲ ἁλμυρὰ, τὰ δὲ πικρὰ, τὰ δὲ γλυκέα, τὰ δὲ αὐστηρὰ, τὰ δὲ στρυφνὰ, τὰ δὲ στύφοντα, τὰ δὲ δριμέα, τὰ δὲ ὀξέα. Λύκος δ' ὁ θαυμασιώτατος, ἤτοι οὐδ' ὅλως γινώσκει διαφέρουσαν ὀξεῖαν ποιότητα στυφούσης, ἢ πεπήρωται τὴν γεῦσιν, ὃς μηδ' ὅλως αἰσθάνεσθαι τῶν ἐν τοῖς χυμοῖς διαφορῶν. ἔοικεν οὖν ὡς ἀπίου, καὶ μεσπίλου, καὶ μήλου, καὶ κυδωνίου τοῦ ὄξους αἰσθάνεσθαι. καί τοί γε πάντων ἀνθρώπων ἔνια μὲν τῶν μήλων ὀξέα καλούντων, ἔνια δὲ στύφοντα, γλυκέα δὲ ἄλλα, καθάπερ οἶμαι καὶ ῥοιὰς, ὀξείας τε καὶ στυφούσας, καὶ γλυκείας. ἐν μὲν γε τοῖς οἴνοις, ὧν ἀρετὴ κακίας ἀφώρισται, σύψις ὀξύτητος, συγγενεῖς μὲν γὰρ οἱ στύφοντες, ὀξὺς δ' οὐδεὶς κατὰ φύσιν, ἀλλ' εἰ καὶ μικρὸν αὐτοῖς προσέλθῃ τοιαύτης ποιότητος, ὑποπτεύομεν αὐτίκα τὴν εἰς ὄξος αὐτῶν μεταβολήν. ἴσως οὖν ὁ Λύκος, οὐδ' ὀξυλάπαθον, οὐδ' ὀξυαλίδα, λαπάθου τε καὶ θριδακίνης διεγίνωσκεν, οἷς στυφούσης μὲν ποιότητος οὐδὲ τοὐλάχιστον ὑπάρχει, τῆς δὲ ὀξείας δαψιλῶς μετέχουσιν ἄμφω. θαυμαστὸν μὲν οὖν, εἰ ταῦτα μὲν ἀπὸ τῆς ὀξείας ποιότητος ὠνόμασαι, τὸ δὲ ὄξος αὐτὸ οὐ μετέχουσιν αὐτῆς. ἀλλ' ὁ μηδὲ τὰς κοινὰς αἰσθήσεις ἀποσώζων Λύκος, ἐγκαλεῖν Ἱπποκράτει τολμᾷ. πάλιν οὖν ἔγνω τὴν παρὰ τοῖς φυσικοῖς ζήτησιν ὑπὲρ τοῦ τῶν χυμῶν ἀριθμοῦ. κατὰ τοῦτο γὰρ οὐδὲν ὡς ἔοικε διαφέρει χυμὸς χυμοῦ, καθόσον χυμός ἐστιν. ἡδέως αὖ οὖν ἤκουσα, τίνος τῶν ὄντων εἰσὶν αἱ τοιαῦται διαφοραὶ, γλυκὺς, ὀξὺς, δριμὺς, πικρὸς, ἁλμυρὸς, ἁλυκὸς, στρυφνὸς, αὐστηρὸς, στύφων, λιπαρός. εἰ μὴ γὰρ χυμῶν, ἴσως ἤτοι φωνῶν, ἢ χρωμάτων, ἢ ὀδμῶν, ἢ διὰ τῆς ἁφῆς εἰς γνῶσιν ἥκουσι. παρὰ ταύτας γὰρ οὐκ ἔχομεν ἄλλην αἴσθησιν, ἀλλ' εἰσὶν αἱ πᾶσαι πέντε, γεῦσις, καὶ ἀκοὴ, καὶ ὄψις, καὶ ὄσφρησίς τε καὶ ἁφή. διαγινώσκομεν δὲ ὥσπερ καὶ ταῖς ἄλλαις ἄλλα τῶν αἰσθητῶν, οὕτως τῇ γεύσει καὶ τοὺς χυμούς. ὡς δὲ ἐν τοῖς ὑγροῖς αἱ διαφοραὶ πολλαὶ, κατὰ τὸν αὐτὸν τρόπον κἀν ταῖς αἰσθήσεσιν, καί τοι γε ᾗ αἰσθήσεις εἰσὶν, οὐ διαφέρουσιν. ἀλλ' ὁ διαλεκτικώτατος Λύκος, οὐκ ἐάσει λέγειν ἡμᾶς, οὔτ' ἐν τοῖς χυμοῖς εἶναι τὰς εἰρημένας διαφορὰς, οὐδὲ ἐν ταῖς αἰσθήσεσιν, ἃς ἅπαντες γιγνώσκουσιν, οὔτ' ἐν τοῖς χρώμασι, καὶ λευκὸν, καὶ μέλαν, καὶ φαιὸν, καὶ ξανθὸν, καὶ πυῤῥὸν, ἐρυθρόν τε καὶ φοινικοῦν καὶ κυανοῦν. οὔτε γὰρ χρῶμα χρώματος ᾗ χρῶμα ἐστὶν διαφέρει. μαίνονται τοίνυν ἅπαντες ἰατροί, καὶ φιλόσοφοι, χρωμάτων μὲν ἡγούμενοι διαφορὰς εἶναι τὰς εἰρημένας. χυμῶν δὲ τὸν ὀξὺν καὶ πικρὸν καὶ δριμὺν, ὅσους τ' ἄλλους ὀλίγον ἔμπροσθεν εἶπον, ὥσπερ καὶ τῶν αἰσθήσεων αὐτῶν. οὔτε γὰρ χρῶμα χρώματος ᾗ χρῶμα ἐστι διαφέρει, ὡς οὔτ' αἴσθησις αἰσθήσεως, οὔτε χυμὸς χυμοῦ, καθάπερ οὐδὲ πυρετὸς πυρετοῦ, ὅτι μηδὲ θερμὸν θερμοῦ. μαίνονται τοίνυν οἱ γράψαντες ἰατροὶ πυρετῶν διαφορὰς πολλὰς, καὶ τὸν καῦσον, καὶ τὴν λειπυρίαν, καὶ τὸν ἠπίαλον, καὶ τὸν τυφώδη, καὶ τὸν λοιμώδη, καὶ τὸν ἡμιτριταῖον, ἀμφημερινόν τε καὶ τριταῖον, καὶ τεταρταῖον. ἀλλὰ καὶ αὐτὸς ὁ Λύκος ἑτέρωθι γράφει πυρετῶν διαφορὰς, ὥσπερ γε καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων πραγμάτων. τί ποτ' οὖν δόξαν αὐτῷ, νῦν ἐπελάθετο τοῦ τέμνειν ἕκαστον τῶν ἄλλων εἰς τὰς οἰκείας διαφορὰς, ὅς γε καὶ περὶ τοῦ τῶν ἀχύρων ἐξαπτομένου πυρὸς, ὡς χρῆσθαι τοῖς τὸν χρυσὸν ἐργαζομένοις ἔθος, οὐδεμίαν εἶναι νομίζει διαφορὰν, ἀλλὰ πρὸς τὰς ἄλλας ὕλας. οὐδὲ γὰρ τὸ πῦρ τοῦ πυρὸς ᾗ πῦρ ἐστιν, ἢ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ἰσχυρὸν γὰρ εἶναί τι, καὶ ἀσθενὲς πῦρ ἐγχωρεῖ, καὶ τό γε τῶν ἀχύρων ἀσθενέστατον εἶναι νομίζων, ἐνταμίευτον εἶναί φησι πρὸς τὴν ἐργασίαν τοῦ χρυσοῦ. διατήκεσθαι γὰρ αὐτὸν καὶ διαῤῥεῖν ἰσχυροτέρᾳ πλησιάζοντα φλογί. ἀλλ' ὦ βέλτιστε Λύκε, φαίη τις ἂν οἶμαι πρὸς αὐτόν, εἰ τῶν φυσικῶν φιλοσόφων ἀκήκοας ζητούντων ὅπως αἱ φλόγες γεννῶνται, κατανενόηκας ἂν οἶμαι τὰς ἐν αὐταῖς διαφοράς. ἐγὼ τοίνυν ὅσον οἷόν τε διὰ βραχυτάτων ἐπιτέμνεσθαι λόγων οὐ μικρὸν ἐξηγήσομαί σοι περὶ αὐτῶν. ὁρᾷς οἶμαι τῆς καιομένης ὕλης, ἀναθυμίασίν τινα γιγνομένην ἐν διεσπασμένοις ἀπ' ἀλλήλων μορίοις, ὧν μεταξὺ τίς ἀὴρ ἀπολαμβανόμενος, ἐξ ἀνάγκης

μὲν δήπου θερμαίνεται. παμπόλλην δὲ ἴσχει διαφορὰν ἐν τῷ μᾶλλον τε καὶ ἧττον. ἀλλὰ καὶ τὰ διαλείμματα τῶν ἀνα-
φερομένων σωμάτων, οὐκ ἴσα πάσαις ταῖς φλοξίν ἐστιν, ὥσπερ οὐδ' αὐτῆς τῆς ἀναθυμιάσεως ἡ φύσις, ἀλλὰ καὶ με-
γέθει καὶ σμικρότητι διενήνοχεν ἀλλήλων τὰ τῆς καιομένης ὕλης ἀναθέοντα μόρια, καὶ πυκνότητι καὶ μανότητι,
καὶ τῷ τὰ μὲν ἡμίκαυστα, τὰ δ' οἷον ὁλόκαυστα ὑπάρχειν, ἢ ὅλως τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἐκπυροῦσθαι. ὅταν οὖν ταῦ-
τα φαίνηται τοσαύτην ἔχοντα τὴν διαφοράν, ὅ, τε ἀὴρ ὁ δεδεγμένος αὐτά, ποτὲ μὲν μᾶλλον ὑπ' αὐτῶν ἐκτεθερ-
μασμένος ᾖ, ποτὲ δ' ἧττον, ἀναγκαῖον οἶμαι παμπόλλην γε ποικιλίαν γίνεσθαι καὶ διαφορὰν οὐκ ὀλίγην τῆς φλο-
γός. ἡ γὰρ τῆς μίξεως ἀνομοιότης, τὸ πλῆθος τῶν διαφορῶν ἐργάζεται. ὥσπερ δὲ τὰ περὶ τοῦ πυρὸς ἀμαθῶς εἴρηται περὶ
Λύκῳ, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, κἀπειδὰν φάμενος τριχῶς ἐννοεῖσθαι τὸ πολὺ θερμόν, ἕκαστον τῶν σημαινομέ-
νων ἐπεξέρχεται. τὸ μὲν γάρ τι κατὰ τὴν οὐσίαν, φησὶν ἐννοεῖσθαι πολὺ θερμόν. τὸ δέ τι κατὰ τὴν ἐπίτασιν τῆς
ποιότητος, τὸ δέ τι κατὰ τὴν ἰσχὺν τῆς οἰκείας ἐνεργείας. ἀλλ' οὐδὲ κατὰ τὴν οὐσίαν εἶναι τοῖς αὐξανομένοις, πολὺ
θερμὸν ἐπὶ σμικρῷ γε περὶ τοῦ σώματος ὄγκῳ, οὔτε κατὰ τὴν τῆς ποιότητος αὔξησιν, οὐ γὰρ φαίνεται θερμότερον
τῶν ἀκμαζόντων. ἐν μὲν δὴ τῇ τῶν οἰκείων ἔργων ἰσχύϊ συγχωρεῖ μὲν ὑπερέχειν τὸ τῶν αὐξανομένων θερμόν, ἀλλ'
οὐ κυρίως λέγεται. ἔστι μὲν οὖν ἡ ῥῆσις αὐτοῦ, δι' ἧς ταῦτα δηλώσει μεγίστη. ἀλλ' ἐγώ μοι δοκῶ καθάπερ ἐπὶ τῆς
προγεγραμμένης ἔπραξα, καὶ νῦν οὕτω ποιήσειν, οὔσαν μὲν κἀκείνην μακροτάτην, οὐχ ὅλην ἔγραψα, μόνον δὲ τὸ
ἐπικαιρότατον αὐτῆς ἐξέλεξα. γιγνέσθω τοίνυν κἀπὶ ταύτης οὕτως, καὶ γραφέσθω τὸ χρησιμώτατον εἰς τὸ προ-
κείμενον μέρος αὐτῆς. Ὁ μὲν ἕτερος οὖν μοι τῶν λόγων, καὶ δὴ πέρας ἔχει, ἤδη δὲ τὸν λοιπὸν αὖ ἀφικοίμην. δύο
γὰρ δή που μέμνησθέ μου προθέμενον οὔσας ἐπιζητήσεις ἐν ἀρχῇ, μίαν μὲν τήν, εἰ ὀρθῶς προσέθηκεν Ἱπποκράτης
τὸ ἔμφυτον, ἄλλην δὲ εἰ ὀρθῶς εἶπε, πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν. τῆς δ' ἑτέρας οὖν ζητήσεως ἐκτετε-
λεσμένης, ἐπὶ ταύτην οὖν λοιπὸν τραποίμην, καὶ ἐπιχειρήσαιμι ἀνασκοπεῖσθαι εἰ ὀρθῶς λέλεκται, πλεῖστον εἶναι τοῖς
αὐξανομένοις τὸ θερμόν. περὶ δὴ τὸ ἐξετάζειν ἕτερον πρὸς ἕτερον θερμόν, τριττὰ τυγχάνει ὄντα τὰ ἐπιζητήσεως
δεόμενα, καὶ μάλα πολὺ κεχωρισμένα ἀλλήλων. ἓν μέν, τί ποτε ἐστὶ τὸ πλεῖον ἄλλο ἄλλου θερμόν. ἕτερον δέ, τί πο-
τέ ἐστιν ἄλλο ἄλλου θερμότερον. καὶ τρίτον, τί ποτέ ἐστιν, ἄλλο ἄλλου θερμὸν ἰσχυρότερον. εἰ μὲν οὖν τύχῃ τις ἐρόμε-
νος ἡμᾶς ποῖόν τί ἐστι τὸ πλεῖον ἄλλο ἄλλου θερμόν, τὸ ἀνάλογον ὀφείλομεν ἀποκρίνεσθαι, ὡς καὶ πρὸς τὸν ἕτερον ἐρό-
μενον, ποῖόν τί ἐστιν ἕτερον ἑτέρου ὑγρὸν πλεῖον, ἀποκρινοίμεθα. ὥσπερ γὰρ ἐνταῦθα πρῶτον τὸ ἐπερώτημα πρὸς τὸ
εἰρημένον ἐστίν, οὐκέτι ἄλλό τι ὀρθῶς ἀποκρίνεσθαι, ἀλλ' ἢ μόνον τοῦτο, τὸ τῇ οὐσίᾳ ὑπερβάλλειν πλεῖον, ἀμέλει ὑγρὸν
ἄν τις εἴποι τὸν ἀμφορέα τοῦ ἡμίσεως. οὕτω δὲ κἀπὶ τοῦ θερμοῦ, εἰ τὴν αὐτὴν τις ἐρώτησιν ἐρωτοίη ταύτην, ποῖον
ἐστὶ πλέον τοῦ ἑτέρου θερμόν, οὐκ ἂν ἄλλό τι ὀρθῶς ἀποκρινοίμεθα, ἢ τὸ τῇ οὐσίᾳ πλέον, διὰ τὸ οὐσίας ὑπάρχειν πλεῖον
δηλονότι, καὶ περιέχειν τόπῳ πλείονι. καὶ οὐδὲν ἄν γε κωλύσει ταὐτὸν καὶ πλεῖον εἶναι θερμόν, καὶ ἐπ' ἔλαττον θερ-
μόν, ὥσπερ γε καὶ τὸ πλεῖον τῇ οὐσίᾳ ὑγρόν, δύναιτ' ἂν ἐπ' ἔλαττον εἶναι κεχυμένον. πρὸς μὲν οὖν τό γε ἐπερώτημα,
τοῦτο, ὀρθῶς ἄν τις ἀποκρίναιτο. πρὸς δ' αὖ ἐκεῖνο, τὸ ποῖόν ἐστιν ἕτερον ἑτέρου θερμότερον, ἀποκρίνασθαι ὀρθῶς ἐστὶ
τὸ κατὰ τὴν θάλψιν ἐπιτεταμένον μᾶλλον, κἂν ἐπὶ οὐσίας ἐλάττονος τύχῃ ὄν. ὥσπερ γὰρ πρὸς τὸν ἐρόμενον, ὁποῖον
τί ἐστιν ἕτερον ἑτέρου λευκότερον, ἔστιν ἀποκρίνασθαι ὀρθῶς, τὸ ἐπιτεταμένον μᾶλλον κατὰ τὴν ποιότητα τὴν λευ-
κήν. κατὰ γοῦν τοῦτο κἂν ἐν βραχεῖ ὄγκῳ τύχῃ οὖσα χιών, λευκοτέραν τις φαίη αὐτὴν εἶναι. ὅτι οὖν ἄλλου λευκοῦ, ὥσπερ
γε καὶ πρὸς τὸν ἐρόμενον, ποῖόν τί ἐστι τὸ ἕτερον ἑτέρου ὑγρότερον, ἀποκρίνασθαι ἐστὶν ὀρθῶς τὸ μᾶλλον κεχυμένον, οἷον
τὸ ὕδωρ τοῦ μέλιτος, καὶ τῆς πίττης, κἂν τὸ μὲν ὕδωρ ἐν πάνυ βραχείᾳ οὐσίᾳ θεωρεῖται. τὸ δὲ μέλι καὶ ἡ πίττα ἐν
ὑπερβολῇ. οὕτω δὲ καὶ τὸν περὶ τοῦ θερμοῦ ἐρόμενον, ποῖόν τί ἐστιν ἕτερον ἑτέρου θερμότερον, ὀρθῶς ἐστὶν ἀποκρίνασθαι,
τὸ μάλιστα ἐπιτεταμένον κατὰ τὴν θάλψιν, οἷον τὸ πῦρ, οὐκ ἂν ἐπ' ὀλίγης οὐσίας θεωρῆται. ἕτερον δέ, τί που θερμὸν
καὶ χλιαρὸν ἀντεξεταζόμενον, τούτου τυγχάνον ἐπὶ πλείονος οὐσίας ὑπάρχον. πρὸς μὲν οὖν ταῦτα αἱ δ' ἀποκρί-
σεις εἰσίν, πρὸς δὲ τὸν ἀναπυνθανόμενον, ποῖόν τί ἐστι τὸ ἕτερον τοῦ ἑτέρου ἰσχυρότερον θερμόν, οὐκέτι ὁμοία ταῖς
πρόσθεν ἀπόκρισις. οὔτε γὰρ τὸ κατὰ τὴν θάλψιν ἐπιτεταμένον μᾶλλον, ἀποκρινούμεθα, οὔτε τὸ ἐπ' οὐσίας θεωρούμε-
νον πλείονος, ἀλλὰ τὸ κατὰ τὴν ἄνυσιν τοῦ ἔργου ὑπερβάλλον. συνίσταται δ' αὖ ὅπερ λέγω οὕτως. ἔργα δή που τὰ
τοῦ θερμοῦ πολλά ἐστιν. χεῖται γὰρ ἕνεκα τούτῳ, καὶ ἄλλα συνίστησι, καὶ μεταβάλλει μάλα πολλά, καὶ ὡς κατὰ μέρος
εἰπεῖν, ἐπὶ τῶν ἡμετέρων σωμάτων πέττει τὴν τροφὴν ἐν γαστρί, καὶ τοῖς ἐντέροις, καὶ εἰς τὸ σῶμα ἀνάγει τὴν κατερ-
γασίαν, καὶ πρὸς σῶμα ἀλλοιοῖ, καὶ προσφύει τοῖς ἡμετέροις σώμασιν αὐτήν, κατά γε τὴν πέψιν καὶ τὴν αὔξη-
σιν. ἔστιν οὖν ἰσχυρότερον ἕτερον ἑτέρου θερμόν, τὸ μᾶλλον περαίνεσθαι ταῦτα δυνησόμενον. τὸ δὲ τυγχάνον ὂν οὐχὶ πάν-
τως, τὸ ἤτοι κατὰ τὴν ποιότητα ἐπιτεταμένον, ἢ κατὰ τὴν οὐσίαν πλεῖον. πολλάκις γὰρ τὸ ἔλαττον τῇ οὐσίᾳ, καὶ τὸ
ἔλαττον τῇ θάλψει, ἀνυσιμώτατον πρὸς τὸ ἔργον ἐστίν. ὡς γὰρ τὸ πρότερον εἴπομεν ἡμῖν πρὸς τὴν ἀπόδοσιν τῶν οἰ-
κείων ἔργων, οὐ τὸ μάλιστα ἐπιτεταμένον ἐστὶν ἰσχυρότερον, ἀλλὰ τὸ μάλιστα σύμμετρον. ὥς τό γε ἐπιταθὲν κατ'
αὐτὴν τὴν θάλψιν, ἐνίοτε καὶ βλάβος τοῖς ἔργοις γίνεται, καί μοι τοῦτο πιστότατα ἱκανά, ἃ πρόσθεν ἡμῖν ἐγὼ δι-
εξῆλθον περὶ τῆς ἰδιότητος τοῦ θερμοῦ λέγων. τούτων ὧδε ἐχόντων, καὶ τριῶν ὄντων, ὥσπερ προείρηκα, τῶν ἐπιζητουμέ-
νων, κατὰ τὸ ἀντεξετάζειν, ἕτερον πρὸς ἕτερον θερμόν, ἐπειδὰν Ἱπποκράτης φησὶν ἐνταῦθα ἔχειν τὰ αὐξανόμενα
τὸ θερμόν, πλεῖστον τὸ ἔμφυτον, τῶν τριῶν ἕν, ἢ κυρίως χρώμενος ταύτῃ τῇ φωνῇ ψεῦδος τι εἴρηκεν, ἢ κακῶς κέχρη-
ται τῇ φωνῇ καὶ ψεῦδος τι εἴρηκεν, ἢ ἵνα ἀληθές τι δόξει εἰρηκέναι. χρὴ γὰρ αὐτὸν οὐ καλῶς τῇ φωνῇ κεχρῆσθαι. εἰ μὲν
γὰρ λέγει πλεῖστον εἶναι τὸ θερμὸν τοῖς αὐξανομένοις, οἷον κατὰ τὴν οὐσίαν, ὡς ἂν καὶ τὸ ὑγρόν τις φαίη, πλεῖστον
εἶναι τοῦ ἀμφορέως, οὐ τὸ διπλάσιον τούτου, τῇ μὲν φωνῇ ὀρθῶς δόξει κεχρῆσθαι. ψεῦδος δέ τι πολὺ ἀνάγκη ἐστὶν
αὐτὸν εἰρηκέναι. οὐ γὰρ ἔστι τῇ οὐσίᾳ, τὸ ἐπὶ τῶν αὐξανομένων θερμὸν πλεῖστον, ὅτι οὐδὲ ὁ τοῦ σώματος ὄγκος μείζων
ἐστὶν ἐπὶ τούτων, ἢ ἐπὶ τῶν ἀκμαζόντων τε καὶ γερόντων. τὸ δ' ἔμφυτον θερμὸν παντὶ παρεκτέταται τῷ σώματι.
εἰ δ' αὖ πλείονα λέγει τοῖς αὐξανομένοις, καὶ ταύτην τὴν θάλψιν ἐπιτεταμένην ἴσως τούτου θερμοτέραν, ὡς ἂν
καὶ φαίη

καὶ φαίη τις βουλόμενος εἰπεῖν τὴν χιόνα λευκοτέραν εἶναι, ἀλλ' οὐ τὸ τῶν λευκῶν μὴ λευκότεραν εἶναι αὐτήν, μηδὲ
μᾶλλον λευκὴν πλεῖον εἶναι τὸ λευκὸν τοῦ δὲ λευκοῦ, κατ' ἀμφότερα δόξει ἁμαρτάνειν Ἱπποκράτην, κατά τε τὸ μὴ
καλῶς κεχρῆσθαι τῇ φωνῇ, καὶ κατὰ τὸ ἄλλως ψεῦδός τι λέγειν. κατὰ μὲν τὸ μὴ καλῶς κεχρῆσθαι τῇ φωνῇ, διαμαρ-
τάνειν αὖ δοκεῖ, ὅτι τὴν ἐπ' οὐσίας πλείονος ταττομένην φωνὴν ταύτην ἔταξεν, ἐθέλων σημῆναι ποιότητα ἐπι-
τεταμένην μᾶλλον ὑπάρχειν τῇ θάλψει. ψεῦδος δέ τι αὖ δοκεῖ εἰρηκέναι, ὅτι οὐ μάλιστα ἐπιτεταμένον τὸ θερ-
μὸν τοῖς αὐξανομένοις κατὰ τὴν ποιότητα, οὐ δεόντως θερμότερον ἐστὶ τῆς δὲ τῆς ἡλικίας τοῦ θερμοῦ, ἢ ἐπ' ἄλλης τι-
νός. ὃ δὲ ἔφη εἶναι μάλιστα ἐπιτεταμένον ἐπὶ τῶν αὐξανομένων, ὅτι δὲ τοῦτο ψεῦδος τυγχάνει ὄν, τὸ μάλιστα ἐπιτε-
τάσθαι τοῖς αὐξανομένοις τὸ θερμόν, ῥᾴδιόν ἐστι παντὶ ἐπιστῆσαι. οὐδὲν γὰρ αὖ εὑρέθη γνώρισμα κατὰ τὸ σῶμα
ὑπάρχον ἐπὶ τῶν αὐξανομένων τοῦ μάλιστα κατὰ τὴν θάλψιν ἐπιτάσεως τοῦ θερμοῦ. τὸ γὰρ εἰρημένον ὑπὸ τούτου
ἐν τῷ περὶ φύσεως ἀνθρώπου συγγράμματι εἰς τέκμαρσιν τοῦ πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν, ἠλίθιον
παντελῶς. τῷ γὰρ πρώτῳ χρόνῳ θερμότερον ἀποφαίνειν εἶναι τὸν ἄνθρωπον, τεκμαιρόμενος τῇ αὐξήσει πλείστῃ
τηνικαῦτα συντελουμένῃ. οὐ γὰρ αὖ πρὸς βίαν φησὶν καὶ παρὰ φύσιν ἀναφέρεται ἡ τροφὴ πρὸς ἐναντίον τοῦ αὐ-
τῆς βάρει ἐν τῷ αὔξεσθαι τὸ σῶμα, εἰ μή τι ἰσχυρὸν τὸ ἐπαναγκάζον ἦ. τῷ γὰρ τοιούτῳ, οὐ τῷ μᾶλλον ἐπιτετάσθαι κατὰ τὴν
θάλψιν τὸ θερμόν ἐστι γνώρισμα, ἀλλὰ τῷ ἰσχυρότερον εἶναι. τὸ δὲ ἰσχυρότερον, ὡς ὀλίγον ἔμπροσθεν εἶπον, οὐ τοιοῦτον
ἦν, οἷον τὸ μάλιστα ἐπιτεταμένον κατὰ τὴν αὐτοῦ ποιότητα, ἀλλὰ τὸ μάλιστα σύμμετρον πρὸς τὸ ἔργον. ὅτε δὴ οὖν ταῦ-
τα ταύτῃ ἔχει, εἴπερ οὕτως λέγει Ἱπποκράτης, τὰ αὐξανόμενα, τὸ θερμὸν ἔχει πλεῖστον τὸ ἔμφυτον, κατ' ἀμφότερα
διαμαρτάνει, κατά τε τὸ μὴ καλῶς κεχρῆσθαι τῇ φωνῇ, καὶ κατὰ τὸ ψεῦδός τι ἄλλως εἰρηκέναι. εἰ δ' ὡς τὸ ῥητὸν εἶπον
λέγει πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν, ἐν ἴσῳ τοῦ τε ἰσχυροτάτου πρὸς τὴν ἄνυσιν τοῦ ἔργου, ὅπερ γίνε-
ται ἐκ τοῦ μάλιστα σύμμετρον εἶναι. οὐχὶ δέ γε ἐκ τοῦ ἤτοι τῇ οὐσίᾳ πλεῖον ὑπάρχειν, ἢ αὐτῇ τῇ θάλψει ἐπιτετάσθαι
μάλιστα. τῇ μὲν οὖν φωνῇ δοκεῖν αὖ καλῶς κεχρῆσθαι, ὅτι πλεῖστον εἶπεν εἶναι τὸ θερμὸν δέον φάναι ἰσχυρότατον, τὸ
μέντοι εἰρημένον, ὀρθῶς λελέχθαι δοκεῖν αὖ. ὥσπερ γὰρ αἱ αὐξήσεις ὑπὸ τοῦ ἐμφύτου γίνονται θερμοῦ, ὥσπερ οὖν ἐρεῖ
ὁ λόγος, ἀμήχανον καὶ ἀδύνατον μὴ ἰσχυρότατον εἶναι αὐτὸ ἐπὶ τῶν αὐξανομένων. Καί μοι εἰς τοῦτο καλῶς αὖ εἶναι
λελεγμένον τὸ ἐκ τοῦ περὶ φύσεως ἀνθρώπου συγγράμματος. ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωροῦν τὸ σῶμα
πρὸς βίην ἰσχυρότατον ἔχειν τὸ θερμὸν αὐτῆς, οἷα καὶ ἡ τοῦ Λύκου ῥῆσις, εἰς μῆκος μὲν ἐκτεταμένη, πλέον δὲ οὐ-
δὲν ἑρμηνεύουσα τῶν ὑπ' ἐμοῦ προειρημένων. εἰ μὲν γὰρ τῷ τῆς οὐσίας ὄγκῳ παραμετρῶν ὁ Ἱπποκράτης πλέον ἔφησεν
εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν, ἁμαρτάνειν αὐτὸν οἴεται, μικροτέρου σαφῶς τοῖς παιδίοις ὑπάρχοντος τοῦ σώ-
ματος. εἰ δὲ τὸ κατὰ τὴν θάλψιν ἐπιτεταμένον, πάλιν αὖ καὶ τούτου μάχεσθαι φησὶ τὸ φαινόμενον. εἰ δὲ τὸ κατὰ
τὴν ἐνέργειαν ἰσχυρότερον, ἀληθὲς μέντοι λέγεσθαι συγχωρεῖ, κεχρῆσθαι δὲ οὐ καλῶς αὐτὸν ἀποφαίνει τῇ λέξει. χρῆ-
ναι γὰρ οὐ πλέον, ἀλλ' ἰσχυρότερον ὡς πρὸς τὴν ἐνέργειαν εἰρῆσθαι τὸν τῶν αὐξανομένων θερμόν. ἀλλ' ὦ βέλτιστε Λύκε,
φαίη τις αὖ οἶμαι πρὸς αὐτὸν ἀπολογούμενος ὑπὲρ ὧν ἐπηρεάζει τὸν Ἱπποκράτην, μὴ ταῦτα εἶναι μοχθηρὰ τὰ
λεγόμενα. εὐθὺς οὖν τὸ κατὰ τὴν οὐσίαν πλέον θερμόν, οὐχ ἁπλῶς κρίνεται τῷ τοῦ παντὸς ὄγκῳ σώματος, ἀλλ'
ὡς αὐτὸς ὁ Λύκος ἔλεγεν ἑτέρωθι μέγιστον ἐγκέφαλον ἔχειν τὸν ἄνθρωπον, οὐχ ἁπλῶς λαμβάνων τὸ μέγεθος, ἀλλὰ
κατὰ τὴν ἀναλογίαν τοῦ ζώου πρὸς τὸ ζῷον. ὥσπερ οὖν οὕτω σμικρὸν παιδίον ἐλέφαντος τοῦ μεγίστου, μείζονα τὸν
ἐγκέφαλον ἔχειν φησίν, οὐ τῷ τοῦ σώματος ὄγκῳ μόνῳ προσέχων τὸν νοῦν, ἀλλὰ προστιθεὶς αὐτοῦ τὸ κατὰ τὴν ἀναλο-
γίαν, οὕτω κἀπὶ τοῦ θερμοῦ σώματος ἐχρῆν πεποιηκέναι, σκεψάμενον ὁποῖόν τι τῶν ἐν ἡμῖν σωμάτων ἔμφυτον
ὑπάρχει, τουτέστιν ἀρχέγονον. αὐτὸς γὰρ ἐπίσταται τοὔνομα, καὶ γεγραμμένον ἐν τοῖς Ἱπποκρατείοις βιβλίοις, καὶ
συνημμένον ἐκεῖνο τὸ σῶμα, τὸ ἐξ ἀρχῆς ὑπάρχον τοῖς γεννωμένοις, τουτέστιν ἐξ οὗ τὴν πρώτην ἔσχηκε γένεσιν. ἆρ'
οὖν ἄλλο τι τοῦτ' ἐστὶν, πλὴν καταμηνίου καὶ σπέρματος; ἐγὼ μὲν οὐδὲν οἶδα τρίτον. ἀλλ' ἐπείπερ ἡ τοῦ σώματος οὐ-
σία τοῖς γεννωμένοις ἐκ τούτων ἐστὶ τῶν ἀρχῶν, ἡ μὲν ἀκριβῶς πρώτη σύστασις, οὐκ ἐκ πλείστων ἂν εἶναι λέγοιτο τῶν εἰρημέ-
νων σωμάτων, ἀλλ' ἐκ μόνων. καί τοι τί λέγω τὴν πρώτην ἀκριβῶς; εἰ γοῦν ἀναμνησθείημεν ὁποίαν τινὰ διηγήσα-
το τὴν ἑκταίαν γονὴν Ἱπποκράτης, εἰσόμεθα σαφῶς ἔτι διαμένον ἐν αὐτῇ τὸ ἔμφυτον σῶμα. πρὶν γὰρ ὀστοῦ τινὰ φύ-
σιν, ἢ φλεβός, ἢ ἀρτηρίας, ἢ νεύρου, ἢ χόνδρου, ἢ συνδέσμου ἐν τῷ κυήματι φαίνεσθαι, μόνον αὐτοῖς ὑπάρχει θερμὸν
σῶμα τὸ ἔμφυτον. ἀδιάπλαστος γάρ τις σὰρξ μαλακὴ παραπλήσιος αἵματος θρόμβῳ, διαδέχεται τὴν πρώτην τοῦ κυή-
ματος ἰδέαν, ἐν αὐτῇ τινὰ ἔχουσαν, καθάπερ Ἱπποκράτης ὠνόμασεν, οἷον αἱμάλωπας ἐκ τῆς τοῦ σπέρματος οὐσίας,
τῆς ἐν αὐτῇ λευκότητος ὑπαρχούσης, ὕστερον δ' ἐκ πολλῆς τῆς ἀλλοιώσεως συνεχῶς γιγνομένης, ὀστοῦ τις ὑπογρα-
φὴ ἢ χόνδρου, καὶ συνδέσμου, καὶ νεύρου, ἢ ἀρτηρίας, ἢ φλεβὸς ἀποτελεῖται, καθ' ὃν ἤδη χρόνον μένον ἔτι τὸ ἔμφυτον
θερμὸν σῶμα τοῖς κυουμένοις ἐστίν, ἀλλὰ πλεῖστον ἀεί τε ἢ μᾶλλον ἐστίν, ὅσον αὔξεται τὰ κυούμενα. τὸ μὲν ἔμφυτον
αὐτῶν σῶμα θερμόν, ὅπερ ἦν αἷμα καὶ σπέρμα, μεῖον γίγνεται. ποικιλία δὲ ἐπικτήτων προσγίνεται σωμάτων. οὐδὲν
γὰρ τῶν εἰρημένων τοῖς ζώοις ἔμφυτόν ἐστιν, ἀλλ' ἐπίκτητα πάντα, καὶ εἴπερ ὅλον οἷόν τε ἦν γενέσθαι ποτὲ ζῷον ὀστεΐ-
νον, ἢ νεύρινον, ἐφθείρετ' ἂν οὕτως τὸ ἔμφυτον θερμόν, ἀλλὰ τοῦτο μὲν ἀδύνατον, ἐπικρατεῖν δὲ τὴν τῶν ὀστῶν ἢ χόνδρων
καὶ συνδέσμων καὶ νεύρων καὶ ἀρτηριῶν οὐσίαν ἐγχωρεῖ. τὰ γοῦν εἰς ἔσχατον γῆρας ἀφικνούμενα τῶν ζώων, ἐλαχίστην
ἔχοντα τὴν αἱματώδη φύσιν, ὀλίγου δεῖν ἐξ ὀστῶν μόνων καὶ νεύρων, ὑμένων τε καὶ συνδέσμων, ἀρτηριῶν τε καὶ φλε-
βῶν καὶ χόνδρων σύγκειται. ἐκ γὰρ μόνων τῶν τοῦ ζώου μορίων, ἡ σὰρξ αἱματώδης ἐστίν, ἣν ἐλαχίστην ἔχει τὰ γεγηρακό-
τα, καὶ ταύτην ὀλίγαιμόν τε ἢ σκληράν. τῶν δ' ἄλλων τῶν εἰρημένων μορίων οὐδὲν αἱματῶδες ὑπάρχει. οὔκουν ἁπλῶς
χρὴ τῷ τῆς οὐσίας ὄγκῳ μετρεῖν τὸ ποσὸν τοῦ συμφύτου σώματος, ὅπερ ἀπὸ τῆς δραστικωτάτης τῶν ἐν αὐτῷ ποιοτήτων,
ἔμφυτον ὠνόμασται θερμόν, ἀλλὰ παραβάλλοντας τοῖς οὐκ ἐμφύτοις, σκοπεῖσθαι τὴν ἀναλογίαν. ὡς γοῦν ἐν τῷ βαλα-
νείῳ πολλὴν ἀτμόν, ἢ νὴ Δία καπνόν, ἢ τι τοιοῦτον ἕτερον εἶναι φαμέν, οὐ πρὸς τὸ μέγεθος ἀναφέροντες ἁπλῶς τοῦ οἰκεί-
ου, ἀλλὰ πρὸς τὸν οἰκεῖον ἀέρα τοῦ βαλανείου, οὕτως καὶ κατὰ τὸν ἄνθρωπον ἐροῦμεν, ἤτοι πλείστην εἶναι τὴν οὐσίαν, ἢ ὀλίγην τοῦ

ἐμφύτου θερμοῦ, παραβάλλοντες τοῖς οὐκ ἐμφύτοις σώμασιν. αἱματωδέστατα γὰρ ἅπαντα ἔχει τὸ βρέφος, ἄχρι καὶ τοῖς ὀστοῖς ἐμφαίνεσθαί τι τοιοῦτον. ἔμπαλιν δὲ οἱ γέροντες ἀναιμότατα πάντ' ἔχουσιν, ἄχρι τῶν σαρκῶν, καὶ γὰρ ταύταις ἐλάχιστον αἵματος ὑπάρχει. ἀλλ' ἦν ἔμφυτον σῶμα θερμὸν τὸ αἷμα, περαίνοιτ' ἂν οὖν ἐκ τῶνδε, πλεῖστον μὲν εἶναι τὸ ἔμφυτον θερμὸν σῶμα τοῖς αὐξανομένοις, ἐλάχιστον δὲ τοῖς γεγηρακόσιν. οὕτως δὲ καὶ τὸ σπέρμα συγκείμενον ἔκ τε τῆς ὀρρώδους ὑγρότητος καὶ τοῦ πνεύματος τοῦ κατ' αὐτήν, ἐλάχιστον μὲν ἐν τοῖς γεγηρακόσι, πλεῖστον δ' ἐστὶν ἐν τοῖς τῶν αὐξανομένων σώμασι, καὶ τούτων μάλιστα ἐν τοῖς νεωτάτοις, ὡς ἐν τοῖς περὶ σπέρματος ὑπομνήμασιν ἀπεδείξαμεν. εἰ γοῦν ἀπορήσεις, εἰ ῥαδίως ἀναλίσκεται καὶ διαρρεῖ τὸ σῶμα τῶν αὐξανομένων, καὶ μὴν ἐπί γε τῶν ἄλλων οὐκ ἀγνοεῖς, ὕδωρ μὲν θερμόν, ἢ ἔλαιον, ἤ τι τῶν οὕτως ὑγρῶν ἐλαχίστῳ χρόνῳ διαφορούμενον ὅλον. οὔτε γὰρ γῆν, οὔτε λίθον, οὔτ' ἄλλο τῶν ψυχρῶν φύσει καὶ ξηρῶν. δύο μὲν γάρ εἰσιν ἐν ἅπασι τοῖς οὖσιν ἐπιτηδειόταται ποιότητες εἰς διαφόρησιν, ὑγρότης καὶ θερμότης, δύο δὲ ἔμπαλιν εἰς διαμονήν, ξηρότης τε καὶ ψυχρότης, ὥστ' οὐδὲν θαυμαστόν, εἰ τὰ μὲν τῶν παιδίων σώματα, διά τε τὴν ὑγρότητα καὶ θερμότητα ῥαδίως διαπνεῖται, τὰ τε τῶν γερόντων οὐ ῥαδίως, ὑπὸ ξηρότητος καὶ ψύξεως πεπηγυῖαν ἐχόντων τὴν οὐσίαν, ὥστ' ὦ βέλτιστε Λύκε, περὶ ὧν ἐχρῆν ἐπιτιμηθῆναί σε, περὶ τούτων ἐγκαλεῖς. ἀγνοῶν οὖν ἐφάνης ἕν τι τῶν πρώτων μαθημάτων, ὃ μηδεὶς τῶν εἰσηγμένων νομίμως ἀγνοεῖ. πολλὴν μὲν γὰρ οὐσίαν ἁπλῶς ὁ τοῦ σώματος ὄγκος κρίνει, σύνθετον δὲ ἐκ διαφερόντων ὑπάρχουσαν, ἡ τῶν μιχθέντων ἀναλογία, καθάπερ καὶ τὸν ἐγκέφαλον, ἤ τι τῶν ἄλλων μορίων. οὕτω γοῦν καὶ μιγνύντες οἶνον ὕδατι τοῦ πιεῖν ἕνεκεν, ἤτοι πλείονα τὸν οἶνον λέγουσιν, ἢ τὸ ὕδωρ, ἢ οὐδέτερον, ὅταν εἰς συμμετρίαν κράσεως ἥκωσιν. ἔμπληκτος δ' οὐδεὶς οὕτως ἐστίν, ὡς ἐμβαλὼν εἰς οἴνου πίθον ὕδατος κοτύλην, πλεῖον εἶναι λέγει ἐν τῷ πίθῳ τὸ ὕδωρ τοῦ κατὰ τὸ μικρὸν ποτήριον, ὅταν οὕτως ἐτύχεν, ἐν ἐκείνῳ τριῶν ὄντων κυάθων, ὁ μὲν εἷς ὕδατος, οἱ δὲ δύο ὑπάρχουσιν οἴνου. Λύκος δὲ ὡς οἶμαι καὶ τὴν τετραφάρμακον ὀνομαζομένην δύναμιν, ἐκ κηροῦ καὶ στέατος καὶ πίττης καὶ ῥητίνης, ἴσων ἁπάντων συντεθειμένων, οὐ φύσει πλείονα μὲν πίτταν ἔχειν, ἐὰν διπλασίαν τις ἐμβάλλῃ τῶν ἄλλων, ἀλλὰ κἀνταῦθα ὑπερσκέψασθαι, πότερον πίθος ὅλος ἐστὶ μεστὸς τῆς τετραφαρμάκου δυνάμεως, ἢ μικρόν τι λεκάριον, εἶτα τὸν πίθον ἐρεῖ πολὺ πλείονα τὴν πίτταν ἔχειν τοῦ λεκαρίου, κἂν ὁ μὲν ἐξ ἴσων ᾖ τῶν τεττάρων, ἡ πίττα δὲ ὑπάρχει διπλασία τῶν ἄλλων ἐν τῷ λεκαρίῳ. εἴπερ οὖν ἅπαντα τὰ τοιαῦτα ἁμαρτήματα τῶν ἄλλων μὴ δυναμένων ἐστὶ διακρῖναι τὸ κατ' ἀναλογίαν, καὶ μίξιν πολὺ τοῦ κατὰ τὸ κοινὸν μέτρον ἁπλῶς οὕτω λεγομένου, οὐ κατὰ τὸν αὐτὸν τρόπον ἐφ' ὃν ὁ Λύκος ἐνεκάλεσεν Ἱπποκράτει. ἥτε γὰρ οὐσία τοῦ ἐμφύτου θερμοῦ, πλείστη τοῖς αὐξανομένοις ἐστίν, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν, ἥτε σὺν αὐτῇ ποιότης ὡσαύτως, ἐπειδήπερ ἀχώριστοι τῶν οὐσιῶν εἰσιν αἱ οἰκεῖαι ποιότητες, ὥσπερ γε δὴ καὶ αἱ δυνάμεις. οὕτω γοῦν κἂν εἰς τὴν τετραφάρμακον ἐμβάλῃς πλείονα τῆς τῶν ἄλλων ἀναλογίας τὴν πίτταν, οὐ τὴν οὐσίαν μόνον αὐτῆς, ἀλλὰ καὶ τὴν ποιότητα καὶ τὴν δύναμιν ἐρεῖς ἐνδεῖξαι πλείονα, καὶ διὰ τοῦτο καὶ τὸ ὑγρὸν ὅπερ ἂν τῆς πίττης ηὐξῆσθαι. δῆλον οὖν ὅτι κατὰ τὰ τρία τοῦ πολλοῦ σημαινόμενα τὰ πρὸς τοῦ Λύκου γεγραμμένα, πλείων ἥτε πίττα λεχθήσεται κατὰ τὴν τετραφάρμακον εἶναι, τό, τ' ἔμφυτον θερμὸν τοῖς ζώοις. ἔτι δὲ μᾶλλον ἐφ' ὧν οὐ κέκραται δι' ὅλων ἀλλήλων ὅλα τὰ μιγνύμενα, κατάδηλόν ἐστι τὸ κατὰ τοὺς τρεῖς τρόπους οὓς ὁ Λύκος εἶπεν, ἕτερον ἑτέρου λέγεσθαι πλέον, ὥσπερ ἤδη τοῦδε τοῦ φαρμάκου τῶν συνηθεστάτων ὄντος, ὃ σύγκειται μὲν ἐξ ἴρεως καὶ ἀριστολοχίας, καὶ τοῦ τῶν ὀρόβων ἀλεύρου καὶ λιβανωτοῦ, πάντων ἀλλήλοις ἴσων τῷ σταθμῷ, δύναιτό τις τὸ ἓν ἐξ αὐτῶν διπλάσιον ἐργασάμενος, ἀναμίξαι τοῖς ἄλλοις ἴσοις, οἷον εἰ τύχοι τὴν ἀριστολοχίαν. ἀληθὲς οὖν ἐστι κατὰ τὴν αὐτῶν μίξιν εἰπεῖν, ὅτι καὶ τῇ οὐσίᾳ, καὶ τῇ ποιότητι, καὶ τῇ ἐνεργείᾳ, πλεῖον ἐστὶ καὶ κρατεῖ τῶν ἄλλων ἡ ἀριστολοχία. ταυτὸν δὴ τοῦτο κἀπὶ τοῦ βαλανείου τις εἴποι, μὴ μόνον ἔχοντος ἐν αὐτῷ τὸν εὔκρατον ἀέρα, προσειληφότα δέ τι καὶ καπνοῦ καὶ ἀτμοῦ. δύναται γὰρ ἐκ τούτων, ποτὲ μὲν ὁ καπνὸς εἶναι πλείων, ποτὲ δὲ ὁ ἀτμός, ὥσπερ γε καὶ ὁ κατὰ φύσιν ἀὴρ τοῦ βαλανείου, τὸ δ' ἁπλῶς οὐ τῷ πλείονι κατὰ τὴν τῆς οὐσίας ὑπεροχὴν λέγομεν, ᾧ καὶ τὴν ποιότητα συναύξεσθαι, καὶ τὴν ἀπ' αὐτῆς ἐνέργειαν ἀναγκαῖον ἐστίν. ὑποκείσθω γοῦν εἶναι τὴν οὐσίαν τοῦ καπνοῦ πλείονα τῆς τῶν ἄλλων δυοῖν, ὀρθῶς ἐρεῖς τηνικαῦτα, καὶ τὴν ποιότητα τοῦ καπνοῦ τῆς τῶν ἄλλων ποιότητος εἶναι πλείονα, καὶ τὴν ἐνέργειαν, ὁμολογούμενον δὲ οὐ πλείονα γίγνεσθαι ποιότητα ποιότητος, ἀλλὰ σφοδροτέραν, ὥσπερ γε καὶ ἀμυδροτέραν οὐκ ἐλάττω, παμπόλλης οὔσης τῆς τοιαύτης χρήσεως τῶν ὀνομάτων ἐν ὅλῳ τῷ βιβλίῳ, καὶ κατὰ πάσας τὰς τέχνας. καὶ τί δεῖ τῶν ἄλλων μνημονεύειν ἔχοντας ἐναργῶς τοῦ λόγου μαρτύριον ἐπ' αὐτῶν τῶν πυρετῶν, οὓς ὁσημέραι πάντες, ποτὲ μὲν μείζονας ἢ ἐλάττονας ἀλλήλων γεγονέναι φασί, ποτὲ δὲ ἔλαττον ἢ πλέον πυρέττειν, τὸν δὲ τόνδε κατὰ τὸν αὐτὸν χθὲς ἢ σήμερον. οὕτως οὖν ὑποκειμένου λέγεσθαι τοῦ κατὰ τὴν ποιότητα πλέονος, οὐδὲν θαυμαστόν, ἐν ᾧ βαλανείῳ πλεῖον ἐστὶν οὐσία καπνοῦ, καὶ τὴν ποιότητα φάναι γεγονέναι πλείονα, καὶ τὴν ἐνέργειαν εἰ μὲν κυρίως ὀνομάζομεν ἰσχυράν τε καὶ σφοδροτέραν. εἰ δὲ καταχρώμενοι μείζονά τε καὶ πλείονα. δήξεται γὰρ δηλονότι τοὺς ὀφθαλμοὺς ὁ καπνὸς εἰς ὅσον αὐξάνεται καὶ τὴν οὐσίαν, ὡς ἀεὶ ταῖς οὐσίαις συναυξανομένων τῶν οἰκείων αὐταῖς ποιοτήτων, καὶ τῶν ἐνεργειῶν, ἀληθῶς ἂν εἴποι τις, ἐν τῷ τοιούτῳ βαλανείῳ πλεῖστον εἶναι τὸν καπνόν. ὑποκείσθω δὲ πάλιν ἐλέγομεν ἀτμοῦ τε καὶ καπνοῦ κατὰ τὸ βαλανεῖον ὑπάρχειν. ἡ δ' οἰκεία τοῦ ἀέρος οὐσία, πλείστη κατὰ τὴν ἀναλογίαν οὖσά τε καὶ γιγνομένη τοῦ τοῖς ζώοις ἐμφύτου θερμοῦ, λεχθήσεται γὰρ καὶ νῦν ἐν τῷ βαλανείῳ πλεῖστον εἶναι τὸ οἰκεῖον θερμόν. ἆρ' οὖν ἀποδεῖ τι τούτου, δὴ καὶ τοὺς ἐν τῷ ζώῳ χυμοὺς ἐξ ὧν ἀτμιζόντων, ἡ προσπίπτουσα θερμασία τοῖς ἁπτομένοις ἔξωθεν ἐστίν. ἄλλη μὲν γὰρ ἀπὸ τοῦ αἵματος ἀνάπτεται θερμότης, ἄλλη δὲ ἀπὸ τοῦ φλέγματος, ἄλλη δὲ ἀπὸ τῆς ξανθῆς, ἢ μελαίνης χολῆς. ἐπὶ μὲν οὖν τῶν παιδίων ἡ οὐσία τοῦ αἵματος πλείστη κατὰ τὴν τῆς μίξεως ἀναλογίαν. τούτου γὰρ ἀναμιμνήσκειν ἀεὶ δεῖ, καθάπερ ὑπὸ ληθάργου κατεχομένους τοὺς τὰ τοιαῦτα ληροῦντας, ὁποῖα Λύκος ἔγραψε, ἥτε συναυξομένη ποιότης οὖσα χρηστὴ καὶ φίλιος, οὐκ ἀνιαρὰ καὶ δακνώδης τοῖς ἁπτομένοις, ἥτ' ἐνέργεια καθ' ἣν αἱ πέψεις οὐ κνισώδεις γίνονται, οὐδ' ὀξώδεις ὡς ἐπὶ

φλέγματος

φλέγματος. κατὰ πάντας οὖν τοὺς τρόπους ὦ γενναιότατε λύκε, τοῖς αὐξανομένοις πλεῖον ἐστὶ τὸ ἔμφυτον θερ-
μόν, ὡς οὐδὲν Ἱπποκράτης ἥμαρτεν, ἀλλὰ σὺ μᾶλλον ἐξηλέγχθης ἐπηρεάζων. ἐνεδείξω γὰρ ἐξ ὧν ἔγραψας οὐδ᾽
ὅλως ἠσκημένος ὑπὸ διδασκάλων τῶν Ἱπποκρατείων ἐπαΐειν τι δογμάτων, ἐγκαλῶν τε συκοφαντικῶς, οἷς οὐδ᾽
ὅλως οἶσθα, τήν τε ἀντιλογίαν ἀμαθεστάτην ποιούμενος ἐφωράθης, τὴν δὲ αὐτῆς ἀνατρέπειν ἐγχειρῶν ἁπάσης τέ-
χνης σύστασιν. ἀγνοῶν δὲ ἃ περὶ τούτων ἔγραψε Πλάτων πολλάκις, ἐναντία λέγεις σαυτῷ, λυμαινόμενος τοῖς
νέοις, ὅσοι καθάπερ σὺ λογικῆς θεωρίας ἀγυμνάστως ἔχοντες, ἀγνοοῦσι διακρίνειν ἀληθεῖς λόγους ψευδῶν. ἐφ᾽ ἅπα-
σι δὲ τούτοις τολμηρότατός τε ἅμα καὶ φλυαρὸς ὤφθης, ἐπιχειρήσας γράφειν ἐξηγήσεις τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων,
οὐδὲ τοῦ μεμαθηκέναι πρότερον αὐτά.

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΤΑ ΑΝΤΕΙΡΗΜΕΝΑ ΤΟΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙΣ ΥΠΟ ΙΟΥΛΙΑΝΟΥ.

ΑΜΕΙΝΟΝ μὲν ἦν ὥσπερ οἱ νομοθέται τοὺς ψευδῶς ἐγκαλέσαντας, ὁμοίως τιμωροῦνται
τοῖς ἐγκληθεῖσιν εἴπερ ἥλωσαν, οὕτω καὶ τοὺς ἀντιλέγοντας ψευδῶς ὧν οὐκ ἔμαθον ὑπέχειν
ἀξίαν ὧν πλημμελοῦσι τιμωρίαν. ἐπεὶ δ᾽ οὐκ οἶδ᾽ ὅπως ὕβρεως μὲν ἐφεῖται δικάζεσθαι, νόμος
δ᾽ οὐδεὶς κεῖται περὶ τῶν ψευδῶς ἐγκαλούντων, εἰκότως οἶμαι καὶ τῶν ἀρίστων ἀνδρῶν οἱ
σκαιότατοι λέγειν τολμῶσι. ἐχρῆν γὰρ ὥσπερ ἐν Αἰγύπτῳ πάλαι τῶν κατὰ τὰς τέχνας εὑ-
ρισκομένων ἕκαστον ὑπὸ κοινοῦ συνεδρίου τῶν πεπαιδευμένων κριθὲν, ἐνεγράφετο στή-
λαισί τισιν ἀποκειμέναις ἐν ἱεροῖς χωρίοις, οὕτω καὶ παρ᾽ ἡμῖν εἶναί τι συνέδριον ἀνδρῶν
δικαίων τε ἅμα καὶ πεπαιδευμένων οἳ δοκιμάζοντες τὰ νέα συγγράμματα, θήσουσι μὲν ἐν δημοσίοις χωρίοις τὰ
χρηστὰ, διαφθείρουσι δ᾽ ὅσα μοχθηρὰ, βέλτιον δ᾽ ἦν εἰ μηδὲ τοὔνομα τοῦ γράψαντος ἐφύλαττον, ὥσπερ οὐδ᾽ ἐν Αἰ-
γύπτῳ τὸ ἀρχαῖον. ἐκωλύθη γὰρ ἂν οὐχ ἥκιστα κἀκ τούτου τῶν φιλοτίμων ἡ περὶ δόξαν ἄμετρος σπουδή. νῦν δ᾽ ἐπει-
δὴ καὶ γράφειν ἔξεστιν ἅπασι, καὶ κρίνειν τοῖς ἐντυγχάνουσιν, εὐδοκιμοῦσι παρὰ τοῖς πολλοῖς οἱ τολμηρότατοι. καθάπερ
ὁ Θεσσαλὸς ὧν ἔγραψε λοιδορηθεὶς Ἱπποκράτει. καί τι βιβλίον ἓν συνθεὶς, ἐν ᾧ καθάπερ οἴεται τοὺς ἀφορισμοὺς ἐξε-
λέγχει, δεικνὺς ἐναργῶς ἡμῖν ἑαυτὸν οὐδὲ τοὐλάχιστον ἐπιστάμενον τῆς Ἱπποκράτους τέχνης. καίτοι δίκαιόν γε ἦν
ἐκμαθόντα πρότερον αὐτὴν οὕτως ἐπιχειρεῖν ἀντιλέγειν, ἢ τοῦτο μὲν ἴσως οὐκ ὀρθῶς εἶπον. οὐ γὰρ ἂν ἐτόλμησε τοῖς
ἀληθέσιν ἀντειπεῖν εἴπερ ἔμαθεν αὐτὴν, πλὴν εἰ παντάπασιν ἀναίσχυντός τις ἦν, οἷος καὶ ὁ νῦν ἐνθάδε τῆς Ἀλεξαν-
δρείας γέγονεν Ἰουλιανὸς, οὗ βίβλους εἶναί φασιν ὀκτὼ καὶ τεσσαράκοντα πρὸς τοὺς Ἱπποκράτους ἀφορισμοὺς, ἐξ ὧν ἔναγ-
χος ἔλαβον τὴν δευτέραν, ἐν ᾗ τὸν ἀφορισμὸν ὡς οἴεται ψευδῆ εἶναι τοῦτον. Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖσιν
ἐμέτοισι τοῖσιν αὐτομάτως γιγνομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρου-
σιν, ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὴ καὶ κενεαγγείη, ἢν μὲν οἷα δεῖ γίνεσθαι γίγνηται, συμφέρει τε καὶ εὐφόρως φέρουσι, ἢν δὲ
μὴ, τοὐναντίον. χάριν γε ἔχειν τούτου ἡμῖν πρῶτον ἐγχειρισαμένοις τὸ βιβλίον, ὅπως μὴ μάτην ὁ χρόνος τρίβοιτο μακρὸν
ἀναγινωσκόντων ὧν ἔγραψε πρὸς τὸν πρῶτον ἀφορισμὸν ὃν ἐξῆς ἁπάντων ἐστὶ προοίμιον. ἴσως γὰρ ἂν εἶναι κάλλιόν τι
καὶ πρὸς ἐκεῖνα γράψας οὐδὲν μέγα δοκεῖν πεποιηκέναι, διὰ τὸ μηδέ πω θεωρίας ἰατρικῆς ἅπτεσθαι τὸν λόγον. ἀλλ᾽
ὅγε προειρημένος ἀφορισμὸς οὐ περὶ μικρὸν τῆς τέχνης διαλέγεται, συμβουλεύων τὸν ἰατρὸν τῶν αὐτομάτων γιγνο-
μένων κενώσεων, διά τε τῆς ἄνω καὶ κάτω γαστρὸς μιμεῖσθαι τὰς ὠφελούσας, καὶ διδάσκει γε τίνες εἰσὶν αὗται, καὶ πῶς
αὐτὰς γνωριοῦμεν, ὥσπερ γε καὶ τίνες αἱ βλάπτουσαι σὺν τοῖς οἰκείοις γνωρίσμασιν. εἰ μὲν οὖν ἐμεμαθήκει τὴν τέχ-
νην Ἰουλιανὸς ὑπὸ διδασκάλων Ἱπποκρατείων, οὐκ ἂν ἐτόλμησε τοῖς ἀληθέσιν ἀντιλέγειν. ἐπεὶ δὲ οὔτ᾽ αὐτὸς, οὔθ᾽ ὁ
τῆς τοιαύτης ἐμπληξίας ἡγεμὼν αὐτοῦ Θεσσαλὸς, ἐγνώκασι τὴν τῶν Ἀσκληπιαδῶν τέχνην, θαυμαστὸν γ᾽ οὐδὲν ἀγνοεῖν
αὐτοὺς, ἃ μηδ᾽ οἱ χωρὶς λόγου φάσκοντες ἰατρεύειν ἠγνόησαν. ἀκοῦσαι γοῦν ἐστιν ἐκείνων λεγόντων αὐξηθῆναι
μάλιστα τὴν τέχνην ἐκ τῆς μιμητικῆς πείρας. ὅσα γὰρ ἐκ περιπτώσεως γενόμενα τοὺς κάμνοντας ὠφέλησε, ταῦθ᾽
ἡμεῖς φασὶν μιμούμενοι πολλάκις συνετησάμεθα, καὶ διαιρούμενοι ταῦτα, φυσικὰ μὲν ὀνομάζουσιν ὧν ἐκ τοῦ σώμα-
τος ἡ αἰτία, κατὰ τύχην δὲ γίγνεσθαι φασὶν, ὧν ἔξωθεν, ὥστε μὴ μόνης φύσεως ἀλλὰ καὶ τύχης εἶναι μιμητικὸν τὸν
ἰατρόν. εἴρηται γοῦν ὑπ᾽ ἐκείνων τῶν ἀνδρῶν ἄλλα τε πολλὰ τῶν κατὰ τύχην ὠφελησάντων παραδείγματα, καὶ ὁ
τὴν ἐν μετώπῳ φλέβα διακοπεὶς ἐκ τοῦ καταπεσεῖν. ἐπεὶ γὰρ ὁμοίως διακειμένου τὴν αὐτὴν φλέβα τεμεῖν ἐτόλμη-
σαν, φασὶν ἐλπίδι τῆς αὐτῆς ὠφελείας. ἀλλὰ καὶ γαστὴρ ἀξιολόγως ὑπελθοῦσα φλεγμαινόντων ὀφθαλμῶν, εἶτ᾽ ὀνή-
σασα μεγάλως ἐνθάδε τὴν τῆς γενομένης μίμησιν ἡμᾶς προὐτρέψατο. ὡσαύτως δὲ καὶ τοὺς ἰκτεριῶντας ἀθρόα χολωδῶν
διαχωρημάτων ἔμετος ὤφθη πολλάκις ὠφελοῦσα, καὶ τοὺς ὑδεριῶντας ὑδατωδῶν, καὶ τοὺς τὸν καλούμενον ἐλέφαν-
τα νοσοῦντας ἡ τῶν μελαινῶν χυμῶν κένωσις, καὶ ἐκ τούτων πρόδηλον ἐστὶν ὅτι καὶ τοῖς ἰατροῖς προσήκει μιμεῖσθαι. καὶ
τί δεῖ λέγειν αὐτομάτους κενώσεις, ὅπου καὶ τὰ τῶν διδασκάλων ἔργα μιμούμενοι μανθάνομεν τὴν τέχνην, ἢ Θεσ-
σαλὸν μὲν, ἐὰν διὰ κλύσματος οὗ τινος ὑπαγωγῇ τὴν γαστέρα θεραπεύσῃ τὸν κάμνοντα, μιμητέον ἐστὶ τοὺς τούτου
μαθητὰς, ἐὰν δ᾽ αὐτομάτως ὑπελθοῦσα τύχῃ, φευκταῖον. ἢ τῆς ἐμμήνου καθάρσεως ἰσχομένης, ἐὰν αἵματος ἔμετος
γένηται τῇ γυναικί. κἄπειτα Θεσσαλὸς, ἤτοι κινήσας τὴν κάθαρσιν, ἢ φλέβα τεμὼν ἰάσηται τὸ πάθος, οὐκ ἂν ἁμάρ-
τοιεν οἱ μαθηταὶ μιμούμενοι τὸν διδάσκαλον. ἐὰν δ᾽ αὐτομάτως ῥαγέντων τῶν καταμηνίων ἡ κάμνουσα ῥαστωνή-
σει, τοῦτο οὐκέτ᾽ αὐτοῖς μιμητέον. καὶ μὴν οὐδὲν διαφέρει πρὸς τὴν ἑκατέραν μίμησιν αὖθ᾽ ὑπὸ τῆς μαίας, αὖθ᾽ ὑπὸ
τοῦ Θεσσαλοῦ κινηθέντων τῶν καταμηνίων αὖτε καὶ χωρὶς τούτων αὐτομάτως ἐκκριθέντων ἡ κάμνουσα ῥαστωνήσει.
διὰ γάρ τοι τὴν κένωσιν, οὐ διὰ τὸ ποιῆσαν αὐτὴν ἡ ὠφέλεια γίγνεται, καὶ τοῦτο διδάσκων ὁ Ἱπποκράτης ἔγραψε
τὸν ἀφορισμὸν ἐκεῖνον. Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων, λύσις. ὅπως ἂν ῥαγῇ, φησὶ τὰ καταμή-

νια λύσις ἐστὶ τοῦ παθήματος, εἴτε φυσικῶς, εἴτε καὶ ἡμῶν τοῦτ' ἐργασαμένων. οὐ γὰρ τὸ ποιῆσαν αἴτιον, ἀλλὰ τὸ γινόμενον ὠφελεῖ τὴν νοσοῦσαν. ἓν μόνον ὑπαρχέτω τοῖς καταμηνίοις τὸ ἀθρόως ἐκκριθῆναι, ὅπως ὁ Ἱπποκράτης ὠνόμασε ῥαγέντων, ἔθος ὂν αὐτῷ τὰς ἀθρόας κινήσεις οὕτω προσαγορεύειν, ὡς εἰ καὶ κατὰ τήνδε τὴν λέξιν εἰρῆσθαι. γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ἀθρόων ἐκκριθέντων, λύσις. ὑπολείποι δ' ἄν με ἡ ἡμέρα διερχόμενον ὅσα μιμοῦνται τῶν αὐτομάτως γιγνομένων οἱ ἄνθρωποι, ὃ μὴν οὐδ' ἀμφισβητεῖ τις ἕτερος, ἀλλ' ὡς κοινὴν ἔννοιαν λέγονται, πλὴν τῶν μιαρῶν σοφιστῶν, ὅσοι περὶ μὲν τὰ τῆς τέχνης ἔργα καὶ τῶν ἰδιωτῶν εἰσι χείρους, ἱκανοὶ δ' ἅπαντας γλωττῆσαι καὶ μακρὰς φλυαρίας συνθεῖναι κατὰ τῶν ἀρίστων ἰατρῶν, οἷος καὶ νῦν γέγονεν Ἰουλιανὸς οὗτος, ὃν οἱ πάντες μὲν ἴσασι μηδὲ πώποτε τῶν τῆς τέχνης ἔργων μεταχειρισάμενον, ἀναισχύντως δ' ὑβρίζοντα τοὺς παλαιοὺς ἰατρούς. ἃ γοῦν ἐτόλμησε γράψαι πρὸς τὸν ἀρτίως εἰρημένον ἀφορισμὸν, οὐδ' εἰπεῖν οἷόν τε πηλίκην ἤτοι γε ἀμαθίαν, ἢ ἀναισχυντίαν, ἢ τόλμην ἐνδείκνυται, μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν καὶ ταῦτα πάντα, καὶ τούτων ἔτι πλείω. τάχα μὲν οὖν ἄμεινον ἦν, μηδ' ἀντιλογίας ἀξιοῦν αὐτὰ τῆς διὰ γραμμάτων, μηδ' ἀπολλύναι τινὰ καὶ πρὸς τοῦτο χρόνον. δεηθέντων δέ μου λιπαρῶς πάνυ πολλῶν φίλων ὅτε προκομισθέντος μοι τοῦ βιβλίου καθ' ὃ τὸν προειρημένον ἀφορισμὸν ἐξελέγχειν Ἰουλιανὸς ἐπεχείρει, διῆλθεν ἐν ὑπομνήμασι αὐτὰς παραχεῖν ὑπέμεινα, καὶ τοῦτο οὐ σμικρὸν ἆθλα, ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν πολὺ μείζω τῶν κατὰ τοὺς αὐτοσχεδίους, οὓς ἡμερῶν ἓξ ἢ πλειόνων ἐποιησάμην, ἐπιδεικνὺς τὸ πλῆθος τῶν λήρων τῶν Ἰουλιανοῦ λόγων, ὧν ἐνέγραψε τῷ βιβλίῳ. κυριώτατον γὰρ ἄν τις εἴποι τοῦτο δὴ τὸ συνήθως λεγόμενον ὡς οὐδέν ἐστιν ἀπεραντολογώτερον τἀνθρώπου. Θερσίτης δέ τις μοῦνος ἀμετροεπὴς ἐλάλει, τούτῳ μᾶλλον ἂν ἢ Θερσίτῃ πρέπει, πάντας ὑπερβάλλοντα τοὺς πώποτε γεγονότας ἐν ἀμετροεπίαις. καὶ τοίνυν οἱ παραγενόμενοι τοῖς λόγοις, ἀναγινωσκομένοι αὐτοὺς, δύο ταύτας ἔθεντο προσηγορίας τἀνθρώπῳ, τὴν ἀμετροεπίαν καὶ τὴν ἀπεραντολογίαν, ὥστ' οὐκ ἐμοῦ σωφρονίζοντος, ἀλλ' Ὀδυσσέως τινὸς ἐδεῖτο τοῦ τῷ σκήπτρῳ καθεζομένου. σωφρονίσαι γὰρ τὸν οὕτως ἔμπληκτον, οὐδ' αὐτὸς ὁ τῶν μουσῶν δύναται χορὸς, ἐπεὶ τοίνυν ἄκων ἠναγκάσθην γράφειν, ταῦτα δ' ἐστί μοι προοιμίου τινὸς, ὅπως μὴ καταγνωσθῶ ὑπὸ τῶν ἀναγνωσομένων αὐτά. μέλλων γὰρ ἐλέγχειν ἄνθρωπον ἔμπληκτον, ἀμαθῆ, δοξόσοφον, ἐν ἀπαιδεύτοις μειρακίοις ἅπαντι τῷ βίῳ φλυαρίσαντα, παρ' οἷς ἐξ ὧν ἐβλασφήμει τοὺς παλαιοὺς ἐπίστευσέ τις εἶναι. δέομαι οὖν συγχωρῆσαι μοι κολάσαι τὴν ἀπαιδευσίαν αὐτοῦ λόγοις τραχυτέροις, ὧν οὐκ εἴθισμαι χρῆσθαι. δεινὸν γὰρ εἰ τοῦτον ἐξέσται λοιδορεῖσθαι τῶν παλαιῶν τοῖς ἀρίστοις, ἡμῖν δ' οὐκ ἐξέσται διὰ ἀποδείξεων ἐναργῶν ἐξελέγχειν αὐτοῦ τὴν ἀπαιδευσίαν. εἰς τοσοῦτον γὰρ ἥκει μεγέθους, ὡς οὐδ' ὅθεν ἄρξηται τις εὑρεῖν εὐπετές. κατὰ μὲν τὴν ἀρχὴν τοῦ βιβλίου τὰ πλείω πρὸς Σαβῖνον ἀποτείνεται καταλιπὼν τὸν Ἱπποκράτην, καὶ τοῦτο μὲν ὡς ἔοικεν ἐν ἁπάσῃ ποιεῖ τῇ πραγματείᾳ. καίτοι πρὸς τοὺς Ἱπποκράτους ἀφορισμοὺς ἐπιγράφει αὐτὴν, οὐ πρὸς τὰς Σαβίνου ἐξηγήσεις, εἶτα φλυαρεῖ πολλὰ καθάπερ ἔθος αὐτῷ, λῆρόν τινα ῥημάτων ἀσαφῶν συντιθεὶς, ὧν εἰ μὲν ἐλέγχειν τις ἐπιχειροῖ, φθάσει πληρώσας βιβλίον μέγιστον, πρὶν ἅψασθαι τῆς λέξεως, συγχωρῶν οὐ λελέχθαι πάντα. γράφοντα μὲν οὖν δυσδιάθετον καὶ τοῦτο, μᾶλλον δ' ἄπορον ἐσχάτως. ἐν μέντοι τοῖς αὐτοσχεδίοις λόγοις οὓς πολλάκις ἐποιησάμεθα παρόντων ἀνδρῶν πεπαιδευμένων ὑποδέδεικταί τις ἡμῖν εὐπορία καθ' ὁμοιότητα τῶν εἰς τοὺς παλαιοὺς ἐξηγήσεων εὑρεθεῖσα. καθάπερ γὰρ ἐκείνων τὸ προβληθὲν βιβλίον ἐν ταῖς δημοσίαις ἐπιδείξεσιν ἐξηγούμεθα.

εἰ δ' ὁ μεθοδικὸς φαίη λεληθότως φυσικευόμενον, ὅτι μὴ ἀλαζὼν, μηδὲ μεγαληγόρος, μηδ' εἰς μέσον φέρω τὴν ἄνωθεν ῥίζαν τοῦ κεκρυμμένου δόγματος, δύο εἶναι τὰ σώματος πάθη. τῷ γὰρ κατὰ φύσιν συνεστῶτι δύο ἂν ἐφεδρεύσειεν τροπαὶ καὶ μεταβολαὶ ἀλλήλαις ἐναντίαι, ἢ συναγομένου πλέον, ἢ χεομένου βίᾳ. διανοητὰ ἂν δοκοίη λέγειν οὐ μὲν διαφυσικευομένοις τοῖς φιλοσόφοις καὶ περὶ τῆς τῶν ὅλων ὕλης διηλεγμένοις, ἀλλ' ἰατροῖς φυσικοῖς. αὕτη μὲν σοι μία ῥῆσις ἐστὶ τῶν θαυμαστῶν Ἰουλιανοῦ λόγων, οἷς ἀποχωρῶν ὁ Ἀσκληπιάδης καὶ Θεμίσων καὶ Θεσσαλὸς ἔθεντο στοιχεῖα, ὥσπερ τοὺς προειρημένους ἥκει φιλοσόφους ἀναιροῦντας ἐκ τοῦδε τοῦ κόσμου παντάπασι τὸ κοινόν. ἑτέρα δ' ἐφεξῆς αὐτῆς ἥδε, ἀλλ' ὑποχωρήσειν, καὶ μήτ' ἐκείνης κατάσχοιμι αὐτὸν λοιπὸν τῆς γλώττης ὡς μὴ εἴποιμι. τί γὰρ ἂν ἐμοὶ τίδε, ἢ ὅτι ταῖσδε ταῖς ῥοπαῖς ὥσπερ ἠκολούθησεν ἡ τῶν στοιχείων γένεσις, οὕτω καὶ θερμοῦ φύσις, καὶ ψυχροῦ, καὶ ὑγροῦ, καὶ ξηροῦ. ἐκείνων γὰρ πρώτων τῶν γόνων ἔγγονα ποιήματα ἂν εἴη, ὅρα πῶς ἐν ὑψηλοτάτοις θρόνοις καὶ μετεωροτάτοις καθημένη ἡ μέθοδος ἐλάνθανεν, ἣν ὑπὸ ἐπιεικείας καὶ μετριότητος βουλόμενος λανθάνειν ἐν οὐρανῷ ἔδειξα, καὶ ἐξεκάλυψα μόνος καὶ πρῶτος τὸ ἐπισκοτοῦν νέφος περιαγὼν, καὶ ἐλευθερώσας. ταῦτ' οὖν ὁ Ἰουλιανὸς λέγει, καὶ τούτων ἑξῆς, ἄλλό τι μὴ νῦν ξυμφοροίμην ὑπὸ κόρου οὐχ ἑλόμενος αὐτοῦ τὰ στοιχεῖα, οὐχ ἐνώσαντι τὴν οὐσίαν. ἐν μὲν δὴ τῷ περὶ τῆς μεθόδου ταῦτά τε καὶ ἄλλα πολλὰ γέγραπται, τὸ βιβλίον ὅλον Ἰουλιανοῦ ἐπιγράφοντος Φίλωνα. δι' ἄλλου δ' αὖθις ἐν ᾧ περὶ τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν ὁ λόγος ἐστὶν αὐτῷ, γράφει ταυτί. σύμμετρον μὲν δὴ κατάστασιν καὶ μεμετρημένην συναγωγῆς τε καὶ χύσεως, ὑποστησάμενοι, ὥσπερ τῶν ἀνθρωπείων συγκριμάτων, ὄνομα αὐτῇ ἐθέμεθα, ὑγείαν. ἥδε δὲ ἡ μεσότης ὑπὸ τῶν νόσων ἐπιβουλευθεῖσα, ἐξ ἀνάγκης πάσχει τὰ σώματα συναγόμενα καὶ σκληρυνόμενα, καὶ ξηρότερα γιγνόμενα, ἢ χεόμενα, καὶ μαλακυνόμενα, καὶ ὑγραινόμενα. αὗται μὲν οὖν αἱ ῥήσεις τοῦ λαμπροτάτου σοφιστοῦ, Ζήνωνι καὶ Ἀριστοτέλει καὶ Πλάτωνι τοὺς μεθοδικοὺς ἰατροὺς ἕπεσθαι φάσκοντος. ἡμεῖς δ' αὖθις ἀναμνήσομεν αὐτῶν ὡς ἕκαστος τούτων τῶν φιλοσόφων ἅμα πολλοῖς τοῖς μετ' αὐτὸν, εὐκρασίαν μὲν ἡγεῖται τὴν ὑγείαν εἶναι, θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ καὶ ξηροῦ, νοσήματα δὲ γίγνεσθαι τά γε κατὰ δίαιταν ὑπερβάλλοντος ἑκάστου τῶν εἰρημένων, ἢ ἐλλείποντος,

τος, εἶν

τος. ἐὰν δὲ καὶ χυμοὺς ἐν τῷ σώματι, τοὺς μὲν ὑγροὺς καὶ ξηροὺς κατὰ δύναμιν, ἐνίους δὲ θερμοὺς ἢ ψυχροὺς ἀναλογίζον
ται νοσήμασιν. οὕτω Πλάτων ἅμα τοῖς ὑπ' αὐτοῦ πᾶσιν. οὕτως Ἀριστοτέλης ἅμα τοῖς ἐκ τοῦ περιπάτου. οὕτω Ζήνων
καὶ Χρύσιππος ἅμα τοῖς ἄλλοις στωϊκοῖς ἐγίνωσκον. Ἰουλιανὸς δ' οὐδ' αἰνέσω τι βιβλίον ὧν εἶπον ἀνδρῶν, οὐδ' ὅλως
ἀκολούθου καὶ μαχομένου σύνεσιν ἔχει. πάντως γὰρ ἂν ᾔσθετο, τῇ μὲν ἀναιρέσει τὸ κοινὸν αἱρέσει ταῦθ' ἑπόμενα, τοῦθ'
ὑπάρχειν εἰ πρὸς συμμετρίαν μέν τινα πόρων εἶναι τὴν ὑγείαν, ἐν στεγνώσει δὲ καὶ ῥύσει τῶν δι' αὐτῶν φερομένων συν
ίστασθαι τὰ κατὰ δίαιταν νοσήματα. πότερον οὖν Ἀριστοτέλους, καὶ Χρυσίππου, καὶ τῶν ἄλλων ἁπάντων περιπατητι
κῶν τε καὶ στωϊκῶν ἐξῆς παραγράψω τὰς ῥήσεις, ἐν αἷς φλέγμα καὶ χολὴν αἰτιῶνται, καὶ τὰ πρῶτα νοσήματα τέτταρα
ρα ὑπάρχειν φασί, ὥσπερ καὶ τὰ στοιχεῖα τὸ θερμὸν καὶ τὸ ψυχρὸν, καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν. ἢ τοῦτο μὲν ὡς ἂν οὐκ ἐν ἢ
δύο βιβλία πληρῶσαι δυνάμενον, ἀλλὰ καὶ τρία καὶ τέτταρα καὶ πλείω παραλιπεῖν ἄμεινον. ἀρκεσθῆναι δὲ μόνον

10 τοῖς ὑπὸ Πλάτωνος εἰρημένοις, εἰς οὓς ἄμεινον εἶναι πράξαι, καὶ μὴ συναδολεσχεῖν τὰ πάντα ληρώδει σοφιστῇ. το
σοῦτον μόνον εἰπὼν ὑπὲρ τῶν ἐκ τοῦ περιπάτου τε καὶ τῆς στοᾶς τῶν φιλοσόφων ἀπαλλάξομαι, οὐδὲν ἂν εὕροις οὔτ' Ἀριστο
τέλους οὔτε Θεοφράστου βιβλίον, ἐν ᾧ περὶ νοσημάτων ἀναγκασθέντες εἰπεῖν τι, θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ καὶ ξηροῦ μνη
μονεύσαι διῆλθον τὸν λόγον, ἀλλὰ καὶ τούτων ἀεὶ μέμνηνται, καὶ σὺν αὐτοῖς πολλάκις ἑκατέρας τῆς χολῆς, μελαί
νης τε καὶ ξανθῆς, οὐκ ὀλιγάκις δὲ καὶ φλέγματος. οἵγε τὰς διαφορὰς αὐτῶν διέρχονται, τὸ μὲν ὀξὺ, τὸ δ' ἁλμυρὸν,
ἢ ἁλυκὸν, ἄλλο δὲ γλυκὺ προσαγορεύοντες. οὐ μὴν οὐδὲ Χρύσιππος ἑτέρως ἀλλ' οὕτως ἀεὶ, καὶ περὶ νοσημάτων καὶ
περὶ τῶν χυμῶν διαλέγεται. εἴ τις ἐθέλοι μόνων τῶν εἰρημένων τριῶν ἀνδρῶν ἐκλέγειν τὰς ῥήσεις, οὐκ ὀλίγα πληρώ
σει βιβλία. σχολάζων δ' οὕτως τις ὥσπερ Ἰουλιανὸς ἐπὶ τῆς Ἀλεξανδρείας ἐσχόλαζεν. ἐὰν δὲ καὶ τῶν ἄλλων τῶν στωϊκῶν ἢ
περιπατητικῶν ἑκάστου ἐκλέγειν τὰς ῥήσεις, ὅλην βιβλιοθήκην πληρώσει. ἀλλ' ὥσπερ ἔφην ἐάσας τούτους, ἀρκεσθή
σομαι μόνον τοῦ Πλάτωνος ῥήσεσιν, ἑπομένου κατὰ πάντα τοῖς τοῦ Ἱπποκράτους δόγμασιν. οὐ μὴν οὐδὲ παρὰ τού

20 των τῶν ἄλλων ἐκλέξας βιβλίων ὄντων πολλῶν, ἀλλ' ἐξ ἑνὸς ἀρκεσθησόμενος μόνου τοῦ Τιμαίου παραγράψομαι ταῦ
τα. Τὸ δὲ τῶν νόσων ὅθεν συνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν ἐξ ὧν συμπέπηγε τὸ σῶμα,
γῆς, ὕδατος, πυρὸς, ἀέρος, τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια, καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλο
τρίαν γενομένη. πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ πλείονα γένη ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυ
τῷ προσλαμβάνον, καὶ πάνθ' ὅσα τοιαῦτα, † τάσεις καὶ νόσους παρέχει. παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου καὶ μεθιστα
μένου, θερμαίνεται μὲν ὅσα ἂν πρότερον ψύχηται. ξηρὰ δ' ὄντα, εἰς ὕστερον γίνεται νότερα καὶ κοῦφα δὴ καὶ βα
ρέα, καὶ πάσας πάντῃ μεταβολὰς δέχεται. Ἐν ταύτῃ μὲν οὖν τῇ ῥήσει σαφῶς ὁ Πλάτων ἀκολουθεῖ τῷ Ἱπποκράτει,
κατὰ πρῶτα στοιχεῖα καὶ τὰς ποιότητας αὐτῶν. ἐν δὲ τοῖς μετὰ ταῦτα καὶ τοὺς χυμούς πως αἰτιώμενος τῶν νοσημά
των, ὧδέ πως φησί. Τὸ δὲ λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα χαλεπὸν ἀποληφθὲν, ἔξω δὲ τοῦ σώ
ματος ἀναπνοὰς ἴσχον ἠπιώτερον μὲν, καταποικίλλει δὲ τὸ σῶμα, λεύκας, ἀλφούς τε καὶ τὰ τούτων συγγενῆ νοσή

30 ματα ἀποτίκτον. μετὰ δὲ χολῆς μελαίνης κερασθὲν, ἐπὶ τὰς περιόδους τὰς ἐν τῇ κεφαλῇ θειοτάτας οὔσας, ἐπισκε
δαννύμενον καὶ ξυνταράττον αὐτάς. καθ' ὕπνου μὲν ἰὸν πρᾳότερον, ἐγρηγορόσι δὲ ἐπιτιθέμενον, δυσαπαλλακ
τότερον. νόσημα δ' ἱερᾶς ὂν φύσεως, ἐνδικώτατα ἱερὸν λέγεται. καὶ ταύτῃ γε τῇ ῥήσει πάλιν ἐπιφέρων ἑτέραν φη
σί. Φλέγμα δ' ὀξὺ καὶ ἁλμυρὸν, πηγὴ πάντων νοσημάτων ὅσα γίνεται καταῤῥοϊκὰ, διὰ δὲ τοὺς τόπους εἰς οὓς
ῥεῖ παντοδαποὺς ὄντας, παντοῖα ὀνόματα εἴληφεν. Οὕτω μὲν οὖν ὁ Πλάτων περὶ τοῦ φλέγματος ἀπεφήνατο,
καὶ σὺν αὐτῷ μελαίνης χολῆς. ἐφεξῆς δ' ἄκουσον ἃ λέγει περὶ τῆς ξανθῆς. Ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώμα
τος ἀπὸ τοῦ καίεσθαί τε καὶ φλέγεσθαι, διὰ χολὴν γέγονε πάντα. λαμβάνουσα μὲν οὖν ἀναπνοὴν ἔξω, παντοῖα ἀνα
πέμπει φυσήματα ζέουσα. καθειργνυμένη δ' ἐντὸς, πυρίκαυτα νοσήματα πολλὰ ἐμποιεῖ. μέγιστον δ' ὅταν αἵμα
τι καθαρῷ συγκερασθεῖσα, τὸ τῶν ἰνῶν γένος ἐκ τῆς ἑαυτῶν διαφορῇ τάξεως, αἳ διεσπάρησαν εἰς αἷμα, ἵνα συμμέτρως
λεπτότητος ἴσχοι καὶ πάχους, καὶ μήτε διὰ θερμότητα ὡς ὑγρὸν ἐκ μανοῦ τοῦ σώματος ἐκρέοι, μήτ' αὖ πυκνότερον

40 δυσκίνητον ὂν, μόγις ἀναστρέφοιτο ἐν ταῖς φλεψί. καιρὸν δὴ τούτων ἶνες τῇ τῆς φύσεως γενέσει φυλάττουσιν, ἃς
ὅταν τις καὶ τεθνεῶτος αἵματος ἐν ψύξει τε ὄντος πρὸς ἀλλήλας ξυναγάγῃ, διαχεῖται πᾶν τὸ λοιπὸν αἷμα, ἐαθεῖσαι
δὲ ταχὺ μετὰ τοῦ περιεστῶτος αὐτὸ ψύχους συμπηγνύασι. ταύτην δὴ τὴν δύναμιν ἐχουσῶν ἰνῶν ἐν αἵματι, χο
λὴ φύσει παλαιὸν αἷμα γεγονυῖα, καὶ πάλιν ἐκ τῶν σαρκῶν εἰς τοῦτο τετηκυῖα, θερμὴ καὶ ὑγρὰ, κατ' ὀλίγον τὸ πρῶ
τον ἐκπίπτουσα, πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν. πηγνυμένη δὲ καὶ βίᾳ κατασβεννυμένη, χειμῶνα καὶ τρόμον
ἐντὸς παρέχει. πλείων δ' ἐπιῤῥέουσα τῇ παρ' αὐτῆς θερμότητι κρατήσασα, τὰς ἶνας εἰς ἀταξίαν ζέσασα διέσωσε.
καὶ ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι γένηται, πρὸς τὸ τοῦ μυελοῦ διαπερασαμένη γένος, καίουσα ἔλυσε τὰ τῆς ψυ
χῆς αὐτόθεν οἷον νεὼς πείσματα, μεθῆκε δ' ἐλευθέραν. ὅτε δ' ἐλάττων ᾖ, τότε σῶμα ἀντίσχῃ τηκόμενον αὐτὴ κρατη
θεῖσα, ἢ κατὰ πᾶν τὸ σῶμα ἐξέπεσεν, ἢ διὰ τῶν φλεβῶν εἰς τὴν κάτω ξυνωσθεῖσα, ἢ τὴν ἄνω κοιλίαν, οἷον φυ
γὰς ἐκ πόλεως στασιασάσης ἐκ τοῦ σώματος ἐκπίπτουσα, διαῤῥοίας καὶ δυσεντερίας, καὶ τὰ τοιαῦτα νοσήματα

50 πάντα παρέσχετο. Ταυτὶ μὲν οὖν ἐν μόνῳ τῷ Τιμαίῳ Πλάτων εἶπεν ἑπόμενος Ἱπποκράτει. τὰ δὲ τῶν ἄλλων αὐ
τῶν βιβλίων εἴ τις ἐκλέγοι, πάντα δόξει μιμεῖσθαι μακρολογίας ἕνεκα τὸν Ἰουλιανόν. ἔτι δὲ δὴ μᾶλλον εἰ τὰ παρὰ
Θεοφράστου καὶ Ἀριστοτέλους καὶ Χρυσίππου, καὶ πᾶσι τοῖς περιπατητικοῖς τε καὶ στωϊκοῖς εἰρημένα, περὶ θερμοῦ, καὶ ὑγροῦ,
καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ χολῆς, καὶ φλέγματος, ὑγείας τε καὶ νόσου παραγράφει σύμπαντα. καὶ γὰρ νῦν ἡγοῦμαι ἤδη τι
νὰς μέμφεσθαι τοῦ μήκους ἡμῖν τῶν λόγων εἰς ἔλεγχον ἀναισθήτου σοφιστοῦ συγκειμένων. ὡς γὰρ οὐκ ὤκνουν ὦ Ζεῦ καὶ
θεοὶ, Πλάτωνα μὲν καὶ Ἀριστοτέλην, καὶ Ζήνωνα, καὶ τοὺς ἀπ' αὐτῶν φιλοσόφους ἐπαινεῖν. ἐξελέγχειν δὲ τὰ περὶ τῶν τοῦ
σώματος στοιχείων ὑφ' Ἱπποκράτους εἰρημένα, τί ἂν ἐπὶ τῶν πάντων ὁ τοιοῦτος εἰπεῖν αἰδεσθῇ, ἢ ταῦτα μὲν ἀφεῖσθω.
σκέψαι δ' ἑξῆς ἃ γράφει, μὴ συγχωρῶν ὡς ἔοικε μηδὲ τοὔνομα τινὶ σκέψασθαι τῆς φύσεως. ἔστι δ' ἀρχὴ τῆς ῥήσεως
ἥδε, ἃ δ' αὖ πείσειν ἡμᾶς τε ἢ αὐτὸς ἐπ' ἀλήθειαν, ὅτι ἴσασι τί ἡ φύσις οὐδὲν, ἣν ἄνω τε καὶ κάτω θρυλλοῦσιν τραγῳ

δυνάμενος πανταχοῦ, ἤτοι θερμὸν ἁπλοῦν, ἢ κρᾶμα κατὰ μίξεως, ἢ ψυχροῦ οὐσία καὶ πνεύματος. κἄπειτα ἐξῆς τοῦτο ὑπέφερε πολλὰ συγχωρεῖν ἐγγνῶναι φύσεως οὐσίαν, ὥσπερ Ἱπποκράτους γεγραφότος ὄνομα φύσεως, αὐτῷ προκειμένῳ νῦν ἡμῖν ἀφορισμῷ, ἀλλ' οὐκ ἐν τοῖς αὐτομάτοις γιγνόμενον, εἰρηκότα πόθεν ἐπεισῆλθεν τὸ τῆς φύσεως ὄνομα. πόθεν δ' ἄλλοθεν ἢ ἐκ τῆς συνήθους Ἰουλιανοῦ φλυαρίας ἀφορμὴν παρέξει λόγου μακρόν, ὃν ἐάν τις ἀναπτύξει, προδήλως φωράσει τὸν λῆρον αὐτοῦ. ἐπεὶ τοίνυν ἅπαντες οἱ ἰατροὶ τῶν κενώσεων, τὰς μὲν ὑπὸ φύσεως, τὰς δ' ὑπὸ τύχης γίνεσθαι φασίν, ἐνδεικνύμενοι τὴν αἰτίαν αὐτῶν, ἐνίοτε μὲν ἐξ αὐτοῦ τοῦ τῶν καμνόντων ὁρμᾶσθαι σώματος, ἔστι δ' ὅτε ἔξωθεν ἀφορμὴν ταύτην ἔχει περὶ τοῦ ληρῆσαι τι περὶ τοῦ τῆς φύσεως ὀνόματος. ἔστι δ' ὃ βούλεται λέγειν ἐν κεφαλαίῳ περιλαβόντι τοιόνδε. φυσικὰς κενώσεις οὐδὲ φθέγγεσθαι προσῆκεν ἀγνοοῦντας ὅτι ποτ' ἐστὶν ἡ φύσις. ἀλλ' ὦ γενναιότατε σοφιστῶν, οὐδ' ὅτι ψυχὴν ἔχομεν, ἢ αἴσθησιν, ἢ νοῦν, ἢ λογισμόν, ἢ μνήμην ὁ τοιοῦτος λόγος ἐπιτρέψει γιγνώσκειν, ὡς ἑκάστου γε καὶ τούτων δυσγνωστος ἡ οὐσία, καὶ τί θαυμαστόν. ὅπου γὰρ καὶ τὸν ἥλιον αὐτὸν ὃν ἐναργέστατα βλέπομεν, οὐκ ἴσμεν ἀκριβῶς, ὁποῖος ἐστὶ τὴν οὐσίαν, ἢ πού τε περὶ φύσεως, ἢ ψυχῆς, ἢ μνήμης, ἢ τινὸς ἑτέρου τῶν τοιούτων ἑτοίμως ἀποφαινόμεθα, ἀλλ' ὥσπερ καὶ ταῦτα αὐτῶν ὀρθῶς εἰρήκαμεν, καὶ οὕτω ὅταν τὴν ἔννοιαν αὐτῶν ἑκάστου καὶ τὴν τῆς ὑπάρξεως διάγνωσιν ἔχομεν ἐναργῆ, προσθεῖναι χρὴ τῷ λόγῳ. ἅπαν μὲν γὰρ φυτὸν ὑπὸ φύσεως διοικεῖται. πᾶν δὲ ζῷον ὑπὸ φύσεώς τε ἅμα καὶ ψυχῆς. ἔγε δὴ τὴν μὲν τοῦ τρέφεσθαί τε καὶ αὐξάνεσθαι, καὶ τῶν τοιούτων ἔργων αἰτίαν ὀνομάζομεν ἅπαντες ἄνθρωποι φύσιν. τὴν δὲ τῆς αἰσθήσεώς τε καὶ τῆς ἐξ ἑαυτῆς κινήσεως, ψυχήν, ὥστ' οὐδεὶς ἡμῶν οὔτε καταψεύδεται τῶν ἔργων τῆς φύσεως, οὔτ' ἐπειδὴ ταῦτα γινώσκει καὶ τὴν οὐσίαν αὐτῆς εὐθὺς οἷός τε, καθάπερ οὐδὲ τὴν τοῦ ἡλίου, ἀλλ' ἀνατέλλοντα μὲν αὐτὸν ὁρῶμεν ἐναργῶς, ὥσπερ γε καὶ δυόμενον ἅπαντά τε τὸν μεταξὺ τόπον ἀμείβοντα τάξει χρόνῳ ἀφωρισμένῳ. τὴν δ' οὐσίαν ὁποῖός τίς ἐστιν, ἐπὶ σχολῆς ζητοῦμεν. εἰ μὲν οὖν ἀδύνατον ἦν γνῶναι τὰς φυσικὰς ἐκκρίσεις ὁπότε γίνονται, χωρὶς τοῦ προγνῶναι τὴν οὐσίαν αὐτῆς ἐργαζομένης αὐτὰς φύσεως, εἰκότως ἂν δείξας ἐκεῖνος ἄγνωστον, εὐθὺς αὐτῇ συνανῄρηκε τὴν τούτων γνῶσιν. ἐπεὶ δ' ἐγχωρεῖ κἂν ἐκείνην τις ἀγνοῇ, ταύτας γοῦν γιγνώσκειν, ἐκ περιττοῦ φλυαρεῖ ταῦτα πάνθ' ὁ θαυμασιώτατος Ἰουλιανός. ἡμεῖς γὰρ ὅταν χωρὶς φαρμάκου καθαίροντος, ἔμετος ἢ συχνὴ κάτω γένηται κένωσις, εἴτε δι' ἐντέρων, εἴτε διὰ τὰς μήτρας, ἅπαντα τὰ τοιαῦτα φύσει τε γεγονέναι φαμέν, ἢ ὑπὸ φύσεως ἢ φυσικῶς, οὐδὲν γὰρ διαφέρει, μιμούμεθά τε φανερῶς ὠφελήσαντες τοὺς κάμνοντας. Ἰουλιανὸς δ' ἔοικεν οὐδ' ὃ πάντες ἄνθρωποι λέγουσί τε καθ' ἑκάστην ἡμέραν καὶ γιγνώσκουσιν, οὐδὲ τοῦτ' ἐπίστασθαι, κατὰ φύσιν μὲν ἔχειν τοὺς ὑγιαίνοντας, παρὰ φύσιν δὲ τοὺς νοσοῦντας. εἰ γὰρ οὐκ ἔξεστιν οὐδὲν τῶν τοιούτων ὀνομάτων χρῆσθαι, μὴ πρότερον ἐπισταμένους τῆς φύσεως τὴν οὐσίαν, οὔτε τοὺς ὑγιαίνοντας ὅτι κατὰ φύσιν ἔχουσιν ἐροῦμεν, οὔτε τοὺς νοσοῦντας ὅτι παρὰ φύσιν. ἀλλὰ γὰρ εἰ βούλει καὶ τοῦτ' αὐτῷ δῶμεν ἐκ περιουσίας, καὶ συγχωρήσωμεν, εἰ μὴ πρότερον εἰδείημεν, ὡς ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ καὶ ξηροῦ τὰ σώματα ἡμῶν συνέστηκεν, ἀμήχανον εἶναι μιμήσασθαι τὰ καλὰ ὑπὸ φύσεως ἢ τύχης γιγνόμενα. τί οὖν κωλύει γιγνώσκειν ἡμᾶς ἀκριβῶς τοῦτο μέχρις ἂν ἡμεῖς τε λέγειν ἔχωμεν ἀπόδειξιν δόγματος, οἵ τ' ἄριστοι τῶν φιλοσόφων, οὓς καὶ σὺ θαυμάζεις αὐτούς, ὁμολογῶσιν Ἱπποκράτει τε καὶ ἀλλήλοις, εἰ μή τι τὴν διαφωνίαν ἱκανὸν ἡ μάρτυρα εἶναι τῆς ἀγνοίας τοῦ δόγματος, ἐξαίφνης ἀπορητικός τις αὐτὶ στωϊκοῦ γεγονώς. εἰ γὰρ δὴ τούτῳ πέπεισαι τῷ λόγῳ φάσκοντι μηδὲν τῶν διαπεφωνημένων πᾶσι τοῖς φιλοσόφοις εἰς γνῶσιν ἀνθρωπίνην ἀφικέσθαι δύνασθαι, τί δή ποτε οὐ πολὺ πρῶτον ἁπάντων ἀπιστεῖς ταῖς καλαῖς σου κοινότησιν, ἃς ἡ κατὰ τὸν οὐρανὸν οἰκοῦσα μέθοδος ἐγέννησεν; ἀλλ' οὐδεὶς τῶν ἄλλων ἰατρῶν εἶδεν αὐτὰς ἀμυδρῶς. ἐναργῶς δ' ὡς νομίζει ὁ Θεσσαλός, καὶ τό γε μεῖζον τούτου, ὅτι καίτοι θεασαμένου καὶ δείξαντος αὐτὰς τοῦ Θεσσαλοῦ τῷ λαμπροτάτῳ χορῷ τῶν ἀμφ' αὐτὸν ἰατρῶν, ὅμως οὐδεὶς οὐδενὶ συνεφώνησαν, ἀλλ' ἄχρι δεῦρο πολεμοῦσι μείζονα πόλεμον ὃν Θεσσαλὸς ἐπολέμησε τοῖς συμφοιτηταῖς. εἴπερ οὖν διαφωνία σημεῖον ἐστὶ τῆς τῶν πραγμάτων ἀγνοίας, ἁπασῶν πρῶτον ἀπιστητέον ταῖς τοῦ Θεσσαλοῦ κοινότησι, ὅσον καὶ πλείστη γε περὶ αὐτῶν ἐστὶν ἡ διαφωνία. τὸ μέντοι γε τὴν τοῦ σώματος ἡμῶν φύσιν, ἤτοι γε ἐξ ἀέρος, καὶ πυρὸς καὶ ὕδατος καὶ γῆς, ἢ ἐξ ὑγροῦ καὶ ξηροῦ, καὶ θερμοῦ καὶ ψυχροῦ συμμέτρως ἀλλήλοις κεκραμένων γεγονέναι, διαπεφώνηται μὲν ἀλλ' οὐκ εἰς τοσοῦτον ὅσον αἱ Θεσσαλοῦ κοινότητες. εἴτε καὶ Πλάτων καὶ Ζήνων, Ἀριστοτέλης τε καὶ Θεόφραστος, Εὔδημός τε καὶ Κλεάνθης, καὶ Χρύσιππος ἅμα πολλοῖς φιλοσόφοις. ὧν οἱ μὲν στωϊκούς, οἱ δὲ περιπατητικούς, οἱ δὲ πλατωνικοὺς ἑαυτοὺς ὠνόμασαν, ὁμολογοῦσιν ἀμφ' αὐτάς. αἱ δ' ὑπὸ Θεσσαλοῦ κοινότητες ἑρμηνευθεῖσαι, τοσοῦτο δέουσιν ἀρέσκειν τοῖς ἄλλοις ἰατροῖς, ὥστ' οὐδ' αὐτοῖς τούτοις ὁμολογοῦνται τοῖς ἀμεθόδοις μὲν ὄντως, ὀνόματι δὲ σεμνῷ τῷ τῆς μεθόδου καθάπερ τινὶ προβλήματι κεχρημένοις. οὔτε γὰρ Ἱπποκράτης, οὔτε Διοκλῆς, οὔτε Πλειστόνικος, οὔτε Πραξαγόρας, οὔτε Μνησίθεος, οὔτε Φιλότιμος, οὔτε Ἐρασίστρατος, οὔτε Ἡρόφιλος, οὔτε ἄλλος τις ἰατρός, οὔτε λογικός, οὔτ' ἐμπειρικός, ἠρέσθη ταῖς Θεσσαλοῦ κοινότησι. καὶ μὴν εἰ χρὴ παραβαλεῖν ἀλλήλαις τὰς διαφωνίας, οὐ μικρῷ τινὶ προὔχουσαν, εὑρήσεις τὴν περὶ τῆς Θεσσαλοῦ κοινότητα. τριῶν γὰρ οὐσῶν ἐν ἰατρικῇ κατὰ γένος αἱρέσεων ὡς αὐτοὶ λέγουσι, ὅταν οὔτ' ἀπὸ τῆς ἐμπειρίας ὄντες, οὔτε δογματίζοντες ἀναιρῶσι τὰς Θεσσαλοῦ κοινότητας, οὐ μικράν τινα χρὴ νομίζειν τὴν τοιαύτην διαφωνίαν, ἀνυπέρβλητον τὸ μέγεθος αὐτῆς γίγνεται, μήτ' αὐτοῦ τοῦ γεννήσαντος τὰς κοινότητας Θεμίσωνος, μήτε τῶν ἀπ' αὐτοῦ μηδενός, ἀλλὰ μήτε τῶν ἀμεθόδων Θεσσαλείων μηδενὸς φυλάξαντος αὐτάς. οὐδεὶς γοῦν ἐστὶν ὃς οὐκ ἤτοι προσέθηκεν αὐταῖς ἄλλος, ἢ ἀφεῖλε, ἢ μετεκόσμησέ πως. καίτοι γε οὐδ' εἰ πάντες οὗτοι συνεφώνουν ἀλλήλοις, οὐδ' οὕτω σμικρά τις ἦν ἡ διαφωνία, πρὸς τοὺς ἄλλους αὐτοῖς. ὁπότε δ' ἐπ' ἐκείνοις ἅπασιν οὐδ' αὐτοὶ συμφέρονται, μόνος οἴ' ἀπολείπεται ὁ Θεσσαλὸς ἔχων οὐδένα, πρὶν ἄχρι λόγου τοῦτον τὸν Ἰουλιανόν. ἔργῳ μὲν γὰρ ἐδείχθη καὶ οὗτος ἐναντιώτατα λέγων αὐτῷ, καὶ ὅς τις περὶ τούτου πεισθῆναι βούλεται τοῖς περὶ τῆς μεθοδικῆς αἱρέσεως ὑπομνήμασιν ὑμῶν ἐντυχέτω. ἀλλὰ καίτοι μόνος ὁ Θεσσαλὸς εἰ φαίη τοῖς ὑπὲρ ἀληθείας ἀγωνιζόμενοι, ἀπόδειξιν εἶναι τὸ κριτήριον συμφωνίαν τῶν τοῖς ἄλλοις δοκούντων, οὐδεὶς αὐτῶν καταγνώσεται, εἶτα Θεσσαλοῦ μὲν οὐ προκαταγινώσκομεν ἅπασι τοῖς ἄλλοις διαφωνοῦντος Ἱπποκράτους, ᾧ πρὸς τοῖς ἀρίστοις ἰατροῖς οἱ κράτιστοι τῶν

φιλοσόφων

φιλοσόφων μαρτυροῦσιν. ἀπιστήσομεν δ' ἐκ μόνης διαφωνίας, τίς ἂν τοῦτον ἀνασχέσθαι δύναται; τίς προσμεῖναι τῷ
λήρῳ τοιούτῳ, τίς οὐκ ἂν ἀλγήσειεν ἀπολλὺς τὸν χρόνον εἰς ἀλλογίαν ἀνθρώπου, μήθ' ὧν αὐτὸς εἶπεν μεμνημένου,
μήθ' ὧν γράφει συνιέντος; ἀλλὰ αὐτὸ δὴ τοῦτο τὸ περὶ τὴν προοιμίαν ὅπερ ἂν ἴδοι γλῶτταν ἔλθοι φλυαροῦντος.
ἀλλὰ γὰρ ἐάσαντες ἤδη καὶ ταῦτα, τῶν ἑξῆς εἰρημένων ἀκούσωμεν αὐτῷ, καὶ πρώτης γε τῆς ῥήσεως ἐν ᾗ φησι, τὸν προ-
κείμενον ἀφορισμὸν, ῥίζαν τε καὶ πηγὴν ἔχειν τὸ, ὅτι πλῆθος ὑγρῶν τῶν νοσημάτων ἐστὶ, συνεκτικὸν αἴτιον. ἄμει-
νον ἴσως κἀνταῦθα παραγράψαι τὴν ῥῆσιν ὅλην αὐτοῖς ὀνόμασι. γέγραπται δ' οὕτως ὑπ' αὐτοῦ αὐτίκα ὧδέ πως
εἰρημένον. καιρὸς γὰρ ἤδη ἐπὶ τὴν ἐξ εὐθείας παρελθεῖν ἀντίρρησιν. ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, ὡς τὸ παραλειπό- "
μενον τοῦ ἀφορισμοῦ ἅπαν ῥίζαν τε καὶ πηγὴν ἔχειν, τὸ ὅτι πλῆθος ὑγρῶν νοσοποιεῖ τὰ σώματα, περὶ ἔννοιαν συνεκ- "
τικοῦ αἰτίου, ὅθεν ἀποδεδειγμένον τὸ, οὐκ ἐν ὑγροῖς εἶναι αἴτια τῶν παθῶν. ψευδὴς γὰρ ἡ δόξα συναποδέδεικται καὶ "
10 ἡ τοῦ ἀφορισμοῦ μοχθηρία, ὅτι ἀδήλῳ δόγματι ἕπεται ψευδεῖ. αὕτη μὲν ἡ ῥῆσις αὐτοῦ, κάλλιστον δ' ἦν εἴπερ αὐτοῦ "
χορὸν γενέσθαι θέατρόν τι πληρώσαντας, μὴ τοιοῦτον οἷον ὁ Θεσσαλὸς ὑποθέμενος, ἐστεφάνωσεν ἑαυτὸν ἐν τοῖς λη-
ρώδεσι βιβλίοις, ἀλλ' ὄντως μεστοῦ ἀνδρῶν πεπαιδευμένων ἐρέσθαι τὸν Ἰουλιανὸν, ὁποίας ὁρμώμενος ἀποδεικτι-
κῆς μεθόδου, τὸν εἰρημένον ὑπ' αὐτοῦ ἀληθῆ λόγον νομίζεις; γνώσεται γὰρ εἴ τις ἑρμηνεύσει αὐτὸν ἐν ᾧ προσήκει τοιός-
δε. τοῖς ἡγουμένοις ἐπὶ ταῖς κενώσεσιν ὠφελεῖσθαι τοὺς κάμνοντας, ἀναγκαῖον ἐστὶ συνεκτικὸν αἴτιον ὑποθέσθαι τῶν νό-
σων πλῆθος. εἰ δ' ἀληθής ἐστιν ὁ λόγος οὗτος, ἡδέως ἂν ὡς ἐπαίδευσα θεάτρου πεπαιδευμένων ἀνδρῶν, ἵνα καὶ
ἐκ τοῦ πλήθους αὐτῶν αἰσθηταί ποτε τῆς ἐμπληξίας ὁ ληρώδης Ἰουλιανός. ἐκ μὲν γὰρ αὐτῶν τῶν λεγομένων ἀδύνατον
αἰσθέσθαι τοιούτῳ γε ὄντι

20 * ἑαυτὸν ἐπιδείκνυσι διὰ τῶν γραμμάτων, ἀλλ' ἐν τῷ θεάτρῳ καλῶς ἐγχειρήσει ταῦτα, καὶ νῦν ἐρῶ. ἡ τῶν
θεσσαλείων ὄνων ἀγέλη φλεβοτομοῦσι παμπόλλους τῶν πυρεττόντων. εἰ μὲν βλάπτεσθαι νομίζουσιν ἐκ τῆς κενώσεως αὐ-
τοὺς, οὐκ ὀρθῶς φλεβοτομοῦσι. εἰ δ' ὠφελεῖσθαι, συνεκτικὸν αἴτιον ὑποτεθέντες πλῆθος, ὅπερ οὐ βούλονται. τάχ' οὖν ἄν
τις ἐξ αὐτῶν εἴποι, καὶ τίς ἀνάγκη συνεκτικὸν αἴτιον εἶναι τὸ πλῆθος ὠφελούσης τῆς κενώσεως; πρὸς ὃν ἀποκρίνεσθαί
μοι ῥᾷον, ὡς ἀνάγκη μὲν οὐδεμία. λέγω δ' οὖν ταῦτα τῶν ἐκ τῆς ἀγέλης τῆς ἐμῆς οὑτωσὶ, καὶ δείξω τὸν Ἰουλιανὸν, ἐκεῖ-
νόν τε φήσω δίκαιον εἶναι λόγον ὑπέχειν ὧν ἐλήρησεν. οὕτω μὲν ἐν τῷ θεάτρῳ προσηνέχθη τις αὐτῷ. νυνὶ δὲ οὐ γὰρ
ἔχομεν θέατρον εἰς τὰς αὐτὰς λαβὰς ὀλίγοι ἥκουσι πάντες, ἄν τ' ἀληθεῖς ὑπάρχωσι, ἄν τε καὶ προφανῶς ψευ-
δεῖς. Ἰουλιανός τε γὰρ ἀεὶ γράφει τὸ ἐπελθὸν αὐτῷ μηδέπω ποτὲ φροντίσας ἀληθείας. ἔγωγε παρ' ὅλον ἐμαυτοῦ τὸν
βίον οὐδὲν οὕτω σπουδάσας, ὡς ἐγνῶναι πρῶτον μὲν ἀποδεικτικὴν ἐπιστήμην, ἀσκηθῆναι δ' αὖθις αὐτῇ μετὰ πάσης
σπουδῆς, ἔοικα κάμνειν μάτην. ὅσοι μὲν γὰρ ἀποδείξει παρακολουθοῦσι, τάχα μὲν καὶ γινώσκουσιν ὅτι μηδέπω τοῦ Ἰουλια-
30 νοῦ ἐπιστάμενοι λήρων. ὅσοι δ' ἐκ τῆς ἀγέλης εἰσὶν αὐτοῦ, τὴν ἀρχὴν οὐδὲν μανθάνουσι τῶν λεγομένων. διὰ ταῦτα τοί-
νυν αὐτὰ καὶ πρόσθεν ἔλεγον, οὐ μικρόν μοι τοῦτον ἆθλον οἱ φίλοι προσέταξαν, ὧν ἕνεκεν ἐπιστημονικωτέρων ἅψομαι
λόγων. ἐχρῆν μὲν δή που μὴ φθέγγεσθαι μόνον ὀνόματα τῆς διαφορᾶς τῶν αἰτίων προσήκοντα τὸν Ἰουλιανὸν, ἀλλὰ καὶ φυ-
λάττειν αὐτῶν τὰ σημαινόμενα. νυνὶ δὲ καὶ γὰρ τοῦτο ἕν ἐστι τῆς ἐμπληξίας ἁπάντων τῶν μεθοδικῶν κοινὸν, ἄχρι μὲν
τῆς προσηγορίας ἥκει τῶν συνεκτικῶν αἰτίων, οὐ παρακολουθεῖ δ' ὅπῃ διαφέρει τῶν προηγουμένων, ἢ πάντα ἀναγί-
νωσκον ἢ τῶν νοσημάτων αὔξησις τῶν προηγουμένων ἔργον ἐστίν. ἃ γὰρ ὅλως ἦρξατο τῆς γενέσεως τοῦ νοσήματος, ἀνά-
γκη ταῦτα αὐξάνειν αὐτὰ, μέχριπερ ἐνεργῇ τι παρόμοιον, εἰ οὕτως ἔτυχε δριμὺ φάρμακον ὡς ἑλκοῦν δύνασθαι,
μιᾷ μὲν ὥρᾳ περὶ τοῦ δέρματος ἐπιτεθὲν, αὐτὴν μόνην ἑλκώσει τὴν καλουμένην ἐπιδερμίδα. πλείονι δὲ χρόνῳ πλησιά-
ζον, ἔργον ἀξιόλογον ἐργάζεται, πρῶτον μὲν τοῦ δέρματος, εἶτα καὶ τῶν ὑποκειμένων σαρκῶν, καὶ τάγε καλούμενα ση-
πτὰ, μέχρι μὲν τῶν ὑποκειμένων ὀστῶν ἐνίοτε προέρχεται διακαίοντα τὴν ἐπικειμένην αὐτοῖς ἅπασαν σάρκα. τοιαύ-
40 την οὖν φύσιν ἐχόντων τῶν προηγουμένων αἰτίων, οὐχ οἷόν τε τὸ γεγονὸς ἤδη πάθος ἰάσασθαι μενόντων. ὅπου γὰρ ἐδεί-
χθη μεῖζον γιγνόμενον, οὐκ ἂν δή που τελέως ὑγιασθείη πρὶν τὸ ποιοῦν ἀρθῆναι. τὰ τοίνυν προηγούμενα τῶν αἰτίων
οἷόνπερ καὶ τὸ πλῆθος, ὑποκείσθω γὰρ πρῶτον ἐν τῷδε τῷ λόγῳ προηγούμενον, εἰ μή τις ἐκκόψει πρότερον, ἀδύ-
νατον αὐτῷ τὸ ἤδη γεγονὸς πάθος ἰάσασθαι, καὶ διὰ τοῦτο Ἀσκληπιάδης, πλῆθος ἡγεῖται προκατάρχειν νόσων, ὑπό
τε τῆς κενώσεως αὐτῆς φησιν ὠφελεῖσθαι τοὺς κάμνοντας, οὐκ εἰς τὸ λύειν ὧν ἐποίει ἤδη παθῶν, ἀλλ' εἰς τὸ μηκέτι
αὔξεσθαι αὐτὰ ἀπαιτεῖ τοῖς ἰατροῖς ἐπιτελεῖσθαι τὴν ἴασιν. ἀλλὰ γὰρ ὑποκείσθω τὸ πλῆθος γίγνεσθαι ποτὲ νόσων
αἴτιον συνεκτικὸν, ἀναγκαῖον αὐτοῦ τῇ κενώσει παύεσθαι τὸ νόσημα. καὶ μὴν οὐδέ ποτέ ἐστιν ὥς φησιν Ἀσκληπιά-
δης συνεκτικόν. ἀποχωρήσαντας γὰρ ἐνταῦθα ληρώδους Ἰουλιανοῦ, βέλτιον Ἀσκληπιάδῃ διαλεχθῆναι, καὶ εἰ μηδὲν
ἄλλο νομίμως ὑπάρχοντι σοφιστῇ. λόγους γὰρ εἴωθεν ὁ ἀνὴρ οὗτος πιθανωτάτους ἐρωτᾶν, οὐκ ἀκόμψως πεπανουργη-
μένους, ὅπερ ἦν ἔργον οἶμαι σοφιστοῦ. τοιοῦτος δὲ δή τις ἐστὶ καὶ ὃν ἐφεξῆς ἔγραψεν Ἰουλιανὸς, οὐ μὰ τὸν Δία τῆς δυνάμε-
50 ως αἰσθανόμενος ἑαυτοῦ, πάντα γὰρ ἂν ἐγέγραφε τοὺς τοιούτους, ἀλλ' ἀπομνημονεύσας εἰρημένων ὑπὸ Ἀσκληπιάδου,
ὡς εἴ γε τῶν ἰδίων Ἰουλιανοῦ λόγων ἦν ὁμοίως, ἀνεφαίνετο τοῖς ἔμπροσθεν ληρώδης. ὁ τοίνυν Ἀσκληπιάδης φη-
σὶν, ὡς εἴπερ ἦν συνεκτικὸν αἴτιον τὸ πλῆθος τῶν παθῶν, ἐπὶ δαψιλέσι κενότησιν ἐνίοτε περὶ τὴν ἀρχὴν τῆς νόσου "
γενομέναις, εὐθὺς ἁπάντων ὀχληρῶν ὁ κάμνων † ἀπαλλάττεται. νυνὶ δὲ φαίνεται πολλάκις αὐξανομένας τὰς νόσους " ἀπηλλάττετο
ἤδη τοῦ πλήθους καθῃρημένου. οὗτος ὁ λόγος ἱκανῶς πιθανός ἐστι καὶ διὰ τοῦτο δεῖται λύσεως ἰδίας, οὐ μὴν ἅπτεται τῶν "
περὶ τὸν ἀφορισμὸν Ἱπποκράτους εἰρημένων. οὐ γὰρ ἐκ δόγματος ἐκεῖνα τὴν πίστιν ἔσχηκεν, ἀλλ' ἐκ λογισμοῦ κοινοῦ πάν-
των ἀνθρώπων, ᾧ καὶ τοὺς ἐπιεικεῖς ἔφην χρῆσθαι, διὸ καὶ λύομεν αὐτὸν τὸν Ἀσκληπιάδου λόγον, οὐχ ὡς προσή-
κοντα τοῖς κατὰ τὸν ἀφορισμὸν εἰρημένοις. ἀλλ' ἐπειδὴ βέλτιον εἶναι δοκεῖ τῶν Ἰουλιανοῦ λήρων ἀνεχομένους ἄχρι
δεῦρο γυμνάσασθαι, ποτὲ διαλεκτικωτέρῳ ἀνθρώπῳ προσπαλαίσαντας ὄντι σοφιστῇ, ὅταν οὖν ὀνομάζῃ πλῆ-

θος ὁ Ἀσκληπιάδης ἐρωτάτω αὐτὸν, ὁπότερον φησίν. ἆρά γε τὸ πρὸς τὴν δύναμιν, εἴτε τὸ πρὸς τὴν χώραν τῶν ἀγ-
γείων, ὃ δὴ καὶ περὶ τὸ ἔγχυμα καλεῖν εἰσὶν εἰθισμένοι; καὶ πότερον τὸ καθόλου τὸ σῶμα γιγνόμενον, ἢ καθ' ἕν μέ-
ρει τινὶ συνίσταται. τὸ μὲν οὖν ὡς πρὸς τὴν δύναμιν οὐδ' εἰπεῖν αὐτῷ δυνατὸν ἀνῃρηκότι τὰς δυνάμεις σχεδὸν
ἁπάσας αἷς διοικεῖται τὸ ζῶον. τὸ δ' ὡς πρὸς τὴν χώραν τῶν ἀγγείων. ἔστι μὲν δήπου καὶ τοῦτο διττὸν, ἢ τῷ περὶ φύσιν μέ-
τρῳ παραβαλλόμενον, ἢ ψιλῷ καὶ μόνῳ τῷ μὴ στέγεσθαι. δύναται δὲ ἑκάτερον αὐτῶν, ἤτοι καθ' ὅλον ὑπάρχειν τὸ ζῶον,
ἢ καθ' ἕν τι μόριον ἢ πλείω. καὶ δέδεικται πρὸς ἡμῶν ἔν τε τοῖς ὑπομνήμασιν, ἐν οἷς τὰς αἰτίας τῶν συμπτωμάτων
διερχόμεθα, κἀν τῷ τῶν παρὰ φύσιν ὄγκων, ὅτι ὁ σπασμὸς ἐνίοτε καὶ ὁ τρόμος, ἥ τε φλεγμονὴ διὰ παντὸς, ἐρυσί-
πελάς τε, καὶ τὸ καλούμενον ὑπὸ τῶν νεωτέρων ἰατρῶν οἴδημα, καὶ πρὸς τούτοις ἕτερά τε πάθη πληθωρικὴν ὑπό-
θεσιν ἔχοντα, καὶ εἴ τις κενώσει τὸ πλῆθος, αὐτίκα τὸ μόριον εἰς τὸ κατὰ φύσιν ἐπανέρχεται. εἴρηται δὲ καὶ περὶ τῶν
συνεκτικῶν αἰτίων ἑτέρωθι δεικνύντων ἡμῶν ὅτι τε τοὔνομα καὶ τὸ πρᾶγμα αὐτὸ, καθ' ὃ τοὔνομα τῆς στωϊκῆς αἱρέ-
σεως ἐστὶν, καὶ ὡς οὐκ ὀρθῶς ὑπόληψιν οὕτως ὀνομάζουσιν οἱ νεώτεροι τῶν ἰατρῶν ἅπαν τοῦτο τὸ γένος. ὅτι τε καὶ ἡμεῖς ἑπό-
μενοι πολλάκις αὐτοῖς ὅπως μὴ δόξωμεν ἐρίζειν ὑπὲρ τοῦ ὀνόματος, ἔνια μὲν τῶν αἰτίων οὕτω καλεῖσθαι συγχωροῦμεν,
οὐ μὰ Δία τὰ τῶν ἁπλῶν ὄντων ἐστὶν, ἀλλὰ τὰ ἐν τῷ γίγνεσθαι τὸ εἶναι κεκτημένων. ἐν τούτῳ μὲν ἡ λύσις τοῦ σοφίσματος.
ἅπαντα δὲ μεταφέρειν ἐνταῦθα τῆς Ἰουλιανοῦ φλυαρίας, ἔργον οὐχ ἡμέτερον, ἀλλ' ἐφ' ἕτερον ἴωμεν τῶν προβεβλημένων ἴωμεν
ὃ κοινὴ πρὸς ἅπαντας ἐστὶ, τὸ ἐν ὑγροῖς αἰτίων τὸ γένος ὑπάρχειν διττόν. ἐν πλήθει μὲν τὸ ἕτερον, ἐν διαφθορᾷ δὲ τὸ
ἕτερον, ἀλλ' ἀμφοῖν γε ῥᾴδιον ἔσεσθαί φασι τὴν ἴασιν, ἐν ἀκαρεῖ χρόνῳ δυναμένων ἡμῶν καὶ τοῦ πλεονάζοντος ἀπο-
χέεσθαι τὸ περιττὸν, καὶ τὸ διεφθαρμένον ὅλον ἐκκενῶσαι, ὥστε οὐδέ ποτε χρονίσειν νόσημα. τοῦτον οὖν τὸν λόγον οὕτως ὄν-
» τα σαφῆ τε ἅμα καὶ σύντομον, ἀσαφῶς καὶ μακρῶς ὁ Ἰουλιανὸς ἔγραψε περὶ τήνδε τὴν ῥῆσιν. αὐτίκα ἐν τῷ ἀφορισ-
» μῷ λῆμμα συνηρπάσθαι οὐκ ἀποδεδειγμένον, τὸ ὅτι ὑγροῦ πλῆθος νοσοποιεῖ ἡ μεταβολὴ, πρὸς τὸ οὐκ οἰκεῖον τῆς
» ἰδίας ποιότητος ὄνομα ἰατρῶν παῖδες ἔθεντο κατὰ τὸ ὅλου εἶδος διαφθορὰ, ὥστε τοῦ νοσοποιοῦ ἐκκρινομένου ὠφέ-
» λειαν ἔσεσθαι, φαντάζεται σφόδρα. τὰ μὲν πρόσθεν τὴν ἀπὸ τοῦ ἀμάχου φαινομένην κρίσιν ὑγροῦ τινὸς ἐν τῷ σώμα-
» τι πλῆθος, τῆς νόσου τὸ αἴτιον εἶναι νομίζειν, ἢ οὐ πλῆθος μὲν τροπὴν δέ. ἀδιανόητον γὰρ καὶ πρὸς τὴν ἀλήθειαν ἀσύμ-
» φωνον τόδε τυγχάνει. ὤμην γὰρ τὰ πάθη εὔλυτα πάντα, καὶ οὐκ ἂν ἦν τι χρόνιον, ἥ τε θεραπεία πᾶσα μονοειδὴς, οὐ-
» δ' ἥντινοῦν δυσχέρειαν ἐργώδη ἔχουσα. ἁπλοῦν γὰρ ἦν ἐκ παρακειμένου κενῶσαι τὸ νοσοποιοῦν, καὶ αὐτίκα ἐν ἀρ-
» χῇ, καὶ κατὰ τὴν πρώτην ὑπόστασιν λύειν τὸ πάθος ὥστε ἑνὸς δεῖσθαι μόνου κενωτικοῦ βοηθήματος, καὶ τοῦτο παρὰ πάν-
» τα καιρὸν ἐνεστῶτα πεσόντα ὁρίζειν, καὶ αἵματος μὲν ὄντος μόνην ἀρκεῖσθαι φλεβοτομίαν. φλέγματος δὲ φλεγμα-
» γωγῷ, χολῆς δὲ χολαγωγῷ. αὕτη μὲν ἡ τοῦ Ἰουλιανοῦ ῥῆσις. ἔστι δ' ὡς ἔφην ὁ κατὰ ταύτην λόγος τοιόσδε. εἴπερ
ἐν ὑγροῖς εἴη τὰ τῶν νόσων αἴτια, δυνατόν ἐστιν ἡμῖν ἐν τάχει κενοῦν αὐτὰ, μηδενὶ νοσήματι χρονίζειν ἐπιτρέπειν,
ἀλλὰ μὴν χρονίζει γε πολὺ, κἂν κατὰ τὴν ἀρχὴν αὐτῶν ἱκανῶς ἐκκενώσωμεν τὸ σῶμα. οὐκ ἄρα εἰσὶν ἐν ὑγροῖς τὰ
αἴτια. ἀλλ' ὅ γε λόγος οὗτος, εἰ μὲν περὶ τοῦ πρὸς τὴν χώραν τῶν ἀγγείων ἐν ὅλῳ τῷ σώματι συνισταμένου πλήθους ἐστὶ,
ἀληθὲς ὑπάρχει. βουληθέντες γὰρ εὐθέως ἐν ἀρχῇ τῆς νόσου κενῶσαι τὸ περιττὸν, ἐκκενοῦμεν ἅπασαν πληθωρικὴν διά-
θεσιν. εἰ δὲ καὶ περὶ τοῦ κατά τι μόριον ἐν ᾧ καὶ πλεῖον γιγνόμενον, ψευδής. ὑποδέδεικται γὰρ ἡμῖν ἐκεῖνο τὸ πλῆ-
θος οὐκ ἀεὶ κενοῦσθαι ταχέως δυνάμενον. οὕτω δὴ καὶ περὶ τῆς διαφθορᾶς ὁ λόγος ἐρωτώμενος, πρόχειρον ἔχει τὴν λύσιν, οὐ
γὰρ οἷόν τε ταχέως αὐτὴν ἐκκενῶσαι καθάπερ ἐξ ἀσκοῦ τινὸς, ἢ πίθου. κἂν ἐκ τούτων ὅλων ἐκκενώσαιμεν πᾶν ποτε
τὸ μοχθηρὸν ὑγρὸν, οὐκ εὐθέως ἀντεγχέομεν ἕτερον χρηστὸν, ἀλλὰ διανίψαντες καὶ πλύναντες ἀκριβῶς τὸ ἀγγεῖον. ἆρ'
οὖν οὕτω δυνατὸν ἐν ἀνθρώπου σώματι κενῶσαι μὲν τὸ διεφθαρμένον αἷμα, χρηστὸν δὲ ἀντεγχέειν παραχρῆμα τοῖς
ἐκείνου μορίοις ἄξιον τοῦτο. πῶς οὖν ἐν τάχει φασὶ δύνασθαι κενωθῆναι τὴν διαφθορὰν, οὕτως ὡς καὶ τἄλλα πάντα
λέγουσιν εὐχερῶς, οὐδενὶ προσέχοντες τὸν νοῦν, οὐδὲ μετὰ περισκέψεως ἀκριβεστέρας ὅλον ἀθροοῦντες τὸ πρᾶγμα.
καὶ μὴν καὶ χολῆς περιεχομένης ἐν τῷ σώματι πολλῆς, ἄνευ μὲν πυρετοῦ ῥᾴδιον ἐκκενῶσαι πολλάκις. εἰ δ' ἁλῶ-
ναι φθάσειεν ὁ ἄνθρωπος ὀξεῖ πυρετῷ, χαλεπώτατον. οὐ γὰρ ἔτι ἐγχωρεῖ χρῆσθαι καθαίροντι φαρμάκῳ ἀκινδύνως.
ὁμοίως δὲ καὶ περὶ φλέγματος ἔχει καὶ τῶν ἄλλων ὀρρωδῶν περιττωμάτων. εἴρηται δὲ καὶ περὶ τούτων ἁπάντων ἐν ἄλλαις
πραγματείαις, καὶ χρὴ τὸν βουλόμενον ἀκριβῶς τι γνῶναι περὶ αὐτῶν ἐκεῖθεν ἐκμανθάνειν. ὅτι μὲν οὖν ἡ φλεγμονὴ
πληθωρικόν τι νόσημά ἐστιν, οὐκ ἐν αὐτοῖς μόνοις τοῖς ἀγγείοις στεγομένου τοῦ πλήθους, ἀλλὰ καὶ τὰς ἐν τοῖς μυσὶ χώ-
ρας κενὰς ἁπάσας καταλαμβάνοντος, ἐξ ἐκείνου μάλιστα μαθήσῃ τοῦ γράμματος ἐν ᾧ περὶ τῶν παρὰ φύσιν ὄγκων
ὁ λόγος ἐστί μοι. ὅτι δ' οὐχ οἷόν τε φλεγμονὴν ἅπασαν ἰάσασθαι ταχέως, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμα-
σιν εἴρηται, κατ' ἐκεῖνα μάλιστα τὰ βιβλία, δι' ὧν ἡ μέθοδος δείκνυται τῆς περὶ τῶν παρὰ φύσιν ὄγκων ἰάσεως. ἐνίο-
τε γὰρ οὕτως ἰσχυρῶς καὶ δυσλύτως ἐμπλάττονται ταῖς σαρξὶ γλίσχροι καὶ παχεῖς χυμοὶ, ὥστε κίνδυνον εἶναι χρονι-
ζόντων αὐτῶν, ἀκολουθήσειν σκίρρον. ἀλλ' οἱ μηδὲν τούτων εἰδότες ἐξ ὧν ἀγνοοῦσι τὰ περὶ τέχνης ἐπίκαιρα κατηγο-
ρεῖν Ἱπποκράτους. καίτοι γε ἀντιστρέψας ἄν τις, εἰ μὲν ἤτοι ψυχθείη τῶν στερεῶν σωμάτων ἢ θερμανθείη, ῥᾳδίαν ἔσε-
σθαι φησὶ τὴν εἰς τὰ κατὰ φύσιν ἐπάνοδον αὐτῷ, καθάπερ γε καὶ εἰ πυκνωθείη ποτὲ, ἢ μανώτερον γεννηθείη. τό
τε γὰρ ψυχθὲν θερμῆναι, καὶ τὸ θερμανθὲν ψύξαι, καὶ τό, τε πυκνωθὲν ἀραιῶσαι, καὶ τὸ μανωθὲν πυκνῶσαι χαλε-
πὸν οὐδέν. ἐμπεπλασμένον δὲ χυμὸν ἢ γλίσχρον ἢ παχὺν, ἐν σαρκώδεσι μορίοις ἐκκενῶσαι χαλεπώτατον. ὅπου γε
δὴ καὶ τὸν ἐκ τούτων τῶν ἀγγείων τῶν ἀραιῶν ἐκκαθῆραι ῥύπον οὐκ εὐπετὲς, ἧττόν γε τῶν σαρκοειδῶν, ἕτοιμον, ὥστε πά-
νυ μοχθηρὸς ὁ λόγος αὐτὰς ἐν ὑγροῖς αἰτίοις ἐναντιωτέρας εἶναι φάσκων ἀεὶ τῶν ἐν τοῖς στερεοῖς. εἰ μὲν γὰρ ἁπλῶς πλῆ-
θος εἴη, καθ' ὅλην τοῦ ζῴου τὴν ἕξιν ἐν τοῖς ἀγγείοις περιεχόμενον, ὅπερ ἰδίως ὀνομάζουσι πλῆθος, ἔστι μόνον τε παρα-
χρῆμα κενῶσαι τοῦτο, καὶ τῶν συμπτωμάτων ὁ κάμνων ἀπαλλαγήσεται δι' αὐτοῦ. κακοχυμίας δέ τινος, ἢ διαφθορᾶς
ὑπαρχούσης, ἀδύνατόν ἐστι διὰ κενώσεως ἀθρόας ἰάσασθαι τὸν ἄνθρωπον, καὶ μέντοι καὶ φαίνεται ταῦθ' οὕτως γιγνό-
μενα. πολλοὶ μὲν γὰρ βαρυνόμενοί τε τὸ σῶμα, καὶ τάσεως αἰσθανόμενοι, παραχρῆμα τῶν συμπτωμάτων ἀπηλλάγη-

σαν ἐπὶ ταῖς φλεβοτομίαις. ἔνιοι δὲ μὴν ὅλον ὑπὸ διαφθορᾶς ἀχλύμενοι διετέλεσαν, μήτ᾽ ἀθρόως ἐκκενῶσαι τὸ
μοχθηρὸν αἷμα δυναμένων ἡμῶν, μήθ᾽ ἕτερον αὐτὶ ἐγχέαι χρηστόν. ἐκ μὲν γὰρ τῶν σίτων δή που καλῶς κατεργα-
σθέντων ἐν τῷ τοῦ ζώου σώματι γεννᾶσθαι τὸ χρηστὸν αἷμα πέφυκεν. ἐν αὐτῷ δὲ τῷ προσφέρειν τροφὰς ἐπιτηδείας,
κίνδυνός ἐστι τῷ προϋπάρχοντι μοχθηρῷ συνδιαφθαρῆναι τὸ χρηστόν, ὅθεν οὐδὲ πᾶσαν οἴονται διαφθορὰν ἰᾶσθαι,
ἀλλ᾽ ἐκείνην μόνην, ἐφ᾽ ἧς ἰσχυρὸν μὲν ἔτι τὸ σῶμα ἐστίν, ἡ δύναμις δ᾽ εὔρωστος. οὐ μὴν ἰδόντες ἐγγὺς τὸ αἷμα παντά-
πασιν, οὐδ᾽ ὅσον συνδιαφθεῖραι τὴν ἐπιρρέουσαν τροφήν. ἀλλ᾽ αὐτὸ μᾶλλον ὑπ᾽ ἐκείνης ἐπικρατηθῆναι. οὐ μὴν οὐδὲ
ὅταν τὸ πρὸς τὴν δύναμιν πλῆθος συστῇ, δυνατὸν ἰάσασθαι ταχέως αὐτό, συγκαταλυομένης ἐνίοτε τῇ κενώσει
τῆς δυνάμεως. εἴρηται δὲ ἡμῖν καὶ περὶ τῆς διαθέσεως τῆς τοιαύτης ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ. ὀλιγά-
κις οὖν ἐπὶ τῇ κενώσει τὸν ἄνθρωπον δείξει ὑγιαίνοντα παραχρῆμα. γενήσεται μέντοι ποτὲ τοῦτο καθάπερ καὶ φαίνεται,
καὶ δείκνυσιν ἐναργῶς καὶ πεῖρα τοῦ λόγου τὴν ἀλήθειαν. ἔνιοι γοῦν ἐπὶ ταῖς κενώσεσιν αὐτίκα πάντων ἀπαλλάττονται
τῶν ὀχληρῶν, ἀλλ᾽ οὐδ᾽ ἴσασιν τὰς διαθέσεις αὐτῶν οἱ ἰατροὶ πάντες, οὔτ᾽ εἰ γινώσκουσιν, εὐθέως διαγινώσκειν δύναν-
ται. οὗτοι τοίνυν οἱ μάλιστα ληροῦντες, ὧν εἰ χρὴ τἀληθὲς εἰπεῖν ὁ κορυφαῖός ἐστιν Ἰουλιανός, ἀνομίλητος μὲν ἀεὶ δια-
τελέσας τοῖς ἔργοις τῆς τέχνης. ἐξ ὧν δὲ αὐτὸς γιγνώσκει θρασυνόμενος, ἀλλ᾽ ἡμεῖς γε διὰ αὐτῶν τῶν ἔργων τῆς τέχνης
πολλάκις ἐδείξαμεν ἐπὶ τῇ κενώσει τοῦ πλήθους ἑκατέρου παραχρῆμα τοὺς ἀνθρώπους ὑγιασθέντας. ἑκάτερον δὲ λέγω,
τὸ δ᾽ ὡς πρὸς τὴν χώραν τῶν ἀγγείων, ὃ καὶ πληθώραν ὀνομάζουσι, τότε πρὸς τὴν δύναμιν ὅταν μὴ καταλύηται τῇ κενώ-
σει. ταῦτα μὲν οὖν ὅταν ἄρξηται, ταυτῶν ἐπισκέπτεσθαι τοὺς ἀρρώστους, ἅμα τοῖς ἐπισταμένοις ἰᾶσθαι μαθήσεται. τὰ δ᾽
ἑξῆς ἴδωμεν ἐν οἷς τὸν Ἀσκληπιάδου λόγον ὁ Ἰουλιανὸς μεταχειρίσεται, τοῦτον δὴ τὸν πολυθρύλητον, ὡς οὐχ ἕλκει τῶν οἰ-
κείων χυμῶν ἕκαστον τῶν καθαιρόντων φαρμάκων, ἀλλ᾽ αὐτὸν γεννᾷ. λέλεκται δέ μοι περὶ τούτου βραχέα μέν τινα
κἀπὶ τῆς τελευτῆς τοῦ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων, ὥσπερ κἀν τῷ πρώτῳ τῶν φυσικῶν δυνάμεων. ὕστερον
δὲ τῶν ἑταίρων ἀξιωσάντων καὶ δι᾽ ἑνὸς ὅλου γράμματος, ὃ περὶ τῶν καθαιρόντων φαρμάκων δυνάμεως ἐπιγέ-
γραπται. τὸν μὲν ὅλον λόγον ὁ βουλόμενος ἐξ ἐκείνων μανθανέτω. τοῖς δ᾽ ὑπὸ Θεσσαλοῦ εἰρημένοις, ἐνταῦθα ἀπαν-
τήσω προσγράψας αὐτὰ κατὰ λέξιν. ἀθλητὴν γὰρ λαμβάνοντες εὐεκτὴν ὃν βούλονται κατὰ φύσιν ἔχοντα, χρη-
στῆς οὕτω τῆς ὕλης ἐν τῷ σώματι ὑποκειμένης καὶ ἀτρέπτου καθαρτικὸν δίδομεν, καὶ δείκνυμεν τὰ ἀποκρινόμενα καὶ
σφόδρα διεφθορότα. εἶτ᾽ ἐπιλογιζόμεθα μηδενὸς ἐνίστασθαι δυναμένου πρὸς τὸ λεγόμενον ἐναντιωτικῶς, ὡς δὴ ἃ
νῦν ἐκκρίνεται δριμύτατά τε καὶ διεφθαρμένα. πρὸς μὲν τοῦ καθαρτικοῦ οὐχ ὑπόκειται τοιάδε τῷ ἀθλητῇ, εὐεκτὴς γοῦν
ἐτύγχανεν ὤν. λείπεται οὖν μηδὲν ἄλλο ἡμᾶς δύνασθαι λέγειν, ἢ ὅτι ὑπὸ τοῦ φαρμάκου ἀμφότερα γίνεται. πρῶτον
μὲν τὸ τὴν ὕλην μεταβάλλειν εἰς διαφθοράν, δεύτερον δὲ καὶ ἀποκρίνεσθαι, εἴτε δι᾽ ἐμέτων εἴη, εἴτε διὰ γαστρός. αὕτη
μὲν ἡ τοῦ Θεσσαλοῦ ῥῆσις. ἀκούσατε δὲ καὶ πρὸς ἡμῶν ἐν μέρει ὡς τὸ καθαίρεσθαι πάντας χυμοὺς τὸν εὐεκτὴν, οὐ μᾶλλον τι
τοῦ γεννᾶσθαι νῦν ἐστι δηλωτικόν, ἢ τοῦ περιέχεσθαι πρόσθεν. μάτην οὖν εἴρηκε, μηδ᾽ ἑτέραν γε τῶν αἱρέσεων, μήτ᾽ ἀνα-
τρέπων ἐξ ἀνάγκης, μήτε κατασκευάζων. εἰ δὲ τῶν ὑπαγόντων τι τὴν γαστέρα δίδοιεν, ἀλλ᾽ οὐ φαρμακῶδές γε
τοῦτ᾽ ἐστὶν αὐτοῖς, οὐδ᾽ ὥσπερ ὁ ἀναίσχυντος Θερσίτης δίδομεν λέγει, καὶ δείκνυμεν, μήτε δοὺς αὐτὸ ἢ δείξας πώ-
ποτε, μηδ᾽ ἄλλου δόντος ἢ δείξαντος θεασάμενος. οὐ μὴν ἡμεῖς γε τοιοῦτοι τολμῶντες λέγειν ἢ γράφειν ἃ μὴ πράτ-
τομεν, ἀλλὰ τοῖς ἔργοις αὐτοῖς πρότερον ἀποδεικνύντες τἀληθές, τηνικαῦτα τὴν ἀμφ᾽ αὐτὰ τέχνην ἐξηγούμε-
θα, ἅπερ ἐστὶν ἀκοῦσαι τὸν ἐκ τῆς ἀγέλης τοῦ Θεσσαλοῦ πόσους μὲν ὑδερικοὺς ὑδραγωγῷ φαρμάκῳ καθήρας, αὐτίκα
τὴν γαστέρα προσεσταλμένην ἀπέφηνα, πόσους ἰκτεριῶντας χολαγωγῷ παραχρῆμα τοῦ ἰκτέρου ἰασάμην. ἀλλ᾽ οὐδὲ
τούτων οὐδὲν οὐδ᾽ ἄλλο τοιοῦτον Ἰουλιανὸς ἐθεάσατο. διὰ τῶν ἀθλητῶν φησι δίδωμι καθαρτικόν, καὶ δείκνυμι. ἀνόλε-
θρον μὲν γὰρ δηλαδὴ τῷ τοσαύτης ἐμπληξίας μεστῷ, καθαίρειν μὲν τοὺς εὐχύμους ἀθλητάς, μὴ καθαίρειν δὲ μήθ᾽ ὑδεριῶν-
τας, μήτε μελαγχολῶντας, μήτε τὸν καλούμενον ἐλέφαντα νοσοῦντα, μήτε καρκίνῳ κάμνοντα, μήθ᾽ ὑπὸ φαγεδαί-
νης, ἢ ἐρυσιπέλατος ἐνοχλούμενον, ἢ τινὸς ἄλλου κακοχύμου νοσήματος. ἅλις ἤδη μοι καὶ τούτων αὐτοῦ τῶν λήρων. εἰ γὰρ
ἅπαντα λέγειν ὧν ἐστιν ἄξιος ἀκούειν Ἰουλιανὸς ἐπιχειρήσειέ τις, οὐ μιᾶς ἢ δυοῖν, ἀλλὰ παμπόλλων αὐτῷ χρεία βί-
βλων ἐστίν. ἀλλ᾽ ἀκούσωμεν οὖν αὐτοῦ τι τῶν ἐφεξῆς ὧδέ πως γράφοντος. ἄλλο δὴ φημὶ ἰσχυρότατον, ὃ μάλιστα ὁρῶντας σω-
φρονίζεσθαι ἐχρῆν, καὶ μὴ πάντα διὰ μελαίνης χολῆς ἄγειν. ὅτι δὴ χολῆς ὑπεῖναι δοξαζομένης φλεγμαγωγὸν δί-
δωμεν, καὶ χολὴ μὲν ἀποκρίνεται, φλέγμα δὲ οὐκ, ἢ φλέγματος ὑπονοουμένου φλεγμαγωγόν, καὶ φλέγμα μὲν οὐκ ἀπο-
κρίνεται, χολὴ δέ, ἐπ᾽ ἀμφοῖν ὑδραγωγὸν δίδομεν, καὶ τόδε οὔτε ὕδωρ φανήσεται τὸ φερόμενον, πάντων μάλιστα
παραδοξότατον, ὑδρωπικῶς σαφῶς ὕδατος παρακειμένου, ἀπόκρισις γένοιτ᾽ ἄν. χολῆς μὲν διὰ χολαγωγοῦ, φλέγμα-
τι δὲ διὰ φλεγμαγωγοῦ. αὕτη μὲν ἡ ῥῆσις. ἄξιον δὲ αὐτοῦ ἄγασθαι, πρῶτον μὲν τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον, ὡς
χρὴ μὴ πάντα τῆς μελαίνης χολῆς ἄγειν. μελαγχολῶντας γὰρ ἡμᾶς δηλονότι λέγει τοὺς ἐπαινοῦντας Ἱπποκράτην.
ἀλλ᾽ οὗτός γε ὁ χαριεντισμὸς ἑτέροις μᾶλλον ἔπρεπεν ὅσοι δογματίζουσιν ὑπὸ μελαίνης χολῆς ἐνοχλεῖσθαι τοὺς με-
λαγχολῶντας. Ἰουλιανὸς δὲ ὁμοιότατός ἐστι τῷ κατὰ τὸν Αἰσώπου λόγον ὄνῳ, ὃς θεασάμενος ἐν τῶν μελιταίων κυνίδιον
ἀριστοσίτῳ δεσπότῃ συγκατακείμενον, ἀλλόμενόν τε περὶ αὐτὸν καὶ σκιρτῶν, καὶ σεῖον τὴν οὐράν, καί τι καὶ φώνη-
μα τερπνὸν ὑποφθεγγόμενον, ἐφ᾽ οἷς ἥδοντό τε καὶ κατεφίλουν αὐτὸ πάντες οἱ σύνδειπνοι, μηδὲν μελήσας ἀλλ᾽ εὐ-
θὺς ἀναπηδήσας, ἐπὶ τὴν κλίνην ὀγκᾶται, καὶ κατ᾽ αὐτὸν εἰλεῖτο σείων τὴν οὐράν. ἀλλὰ τούτῳ παραπλησίως ὢν Ἰουλια-
νός, ἐπισκώπτει χαριεντιζόμενος εἰς μελαγχολίαν ἡμᾶς, ἣν αὐτὴν ὥς φησιν ὑπὸ μελαίνης γίγνεσθαι χολῆς. κατά-
λιπε τοίνυν ἡμᾶς ἐπὶ σοὶ λέγειν τὴν μέλαιναν, ὃς οὐδὲ τῶν ἰατρικῶν παιδαρίων ἀμείνων ὑπάρχων, τὴν τέχνην
ἐπιτιμᾷς Ἱπποκράτους. τίς ταύτης μείζων μελαγχολία; τίς ἀπαιδευσία φανερωτέρα; τίς τόλμη προπετεστέ-
ρα; καθ᾽ ἡμῶν Ἰουλιανὲ χαριεντίζῃ τοιαῦτα, καὶ συνάπτεις αὐτὰ λόγοις ἀμαθέσιν, ὡς ἂν μὴ παῖδα λαβεῖν αὐτῶν
τὴν ἀτοπίαν. Ἱπποκράτους γὰρ εἰρηκότος, οὔθ᾽ ἡλικίαν, οὔθ᾽ ὥραν ἔτους, οὔθ᾽ ὅλως οὐδένα καιρὸν εὑρεθῆναι δύνασθαι
καθ᾽ ὃν ἀπόλλυταί τις ἐκ τοῦ σώματος ἡμῶν χυμός, ὃν αὐτὸς ἀεί φησιν ὑπάρχειν, αἵματος δηλονότι καὶ φλέγμα-

YYYYY 4

τος, καὶ χολῶν δηλῶν. ἅπαντας μὲν γὰρ εἶναι διὰ παντός, αὐξάνεσθαι δ' ἄλλον ἐν ἄλλῃ κράσει καὶ φύσει σώματος, ἡλικίᾳ τε καὶ ὥρᾳ, καὶ χώρᾳ, καὶ νοσήματι, νομίζεις καταβάλλεσθαι τὸν λόγον, εἰ τῷ χολῶντι φλέγματός τις ἀγωγὸν δοθείη φάρμακον, τοῦτο μὲν κενούμενον φαίνοιτο, χολὴ δὲ οὐ κενοῦται. φέρε τοίνυν ἡμῖν τοῦτο φαίνεσθαι γιγνόμενον μηδὲ ἐκκενοῦν τὸ φάρμακον ἀεὶ τὸν οἰκεῖον ἑαυτῷ χυμόν. ἆρ' οὐκ ἐναργῶς ἐδόκει ψευδὲς εἶναι τὸ Ἱπποκράτους δόγμα. εἰ γὰρ ὁμοτίμως μὲν ἅπαντας ἕλκει τοὺς χυμοὺς ἕκαστον τῶν καθαιρόντων, ἀλλοιοῦ δ' εἰς μίαν ἰδέαν αὐτούς, ἣν πέφυκεν, οὐδὲν † διοίσει τοῦ φλεβοτομεῖν τὸ καθαίρειν. ἀλλ' εἴπερ τοῦθ' οὕτως ἔχει, ῥᾷστον ἤδη τῇ πείρᾳ κρῖναι τὸ δόγμα καὶ δυοῖν ἀνθρώπων ἀσκητῶν ὕδερον ἐχόντων ἴσον τὸ μέγεθος, ἐπί τε τῇ τοῦ σώματος ἕξει τε καὶ ἡλικίᾳ παραπλησίως διακειμένων, τῷ μὲν ἑτέρῳ δοῦναι τῶν ὑδραγωγῶν τι φάρμακον, τοῦ δ' ἑτέρου τεμεῖν τὴν φλέβα. κἄπειτα θεάσασθαι, τίς μὲν ἐξ αὐτῶν ὠφελεῖται, τίς δὲ βλάπτεται. δίκαιον μὲν οὖν ἴσον ἑκατέρῳ ποιήσασθαι τὸ πλῆθος τῆς κενώσεως τοσαύτας κοτύλας ἐκχέοντας τοῦ αἵματος, ὅσας τοῦ κενωθέντος ὡς ὄντι νομίζουσιν ὕδατος ὑπὸ τοῦ καθαρτικοῦ φαρμάκου, καὶ τοῦτο συγχωρήσωμεν αὐτοῖς, καὶ τοῦ μὲν ἑτέρου διὰ τῆς καθάρσεως κενώσομεν κοτύλας ὕδατος, εἰ τύχοι ιε΄. τοῦ δ' ἑτέρου διὰ τῆς φλεβοτομίας δύο μόνας, ἐπιδείξωμεν ὅστις μὲν αὐτῶν ἐσφάλη. τί γὰρ ἂν ἄλλο τις εἴποι περὶ τοῦ φλεβοτομηθέντος ὑδεριῶντος; ὅς τις δ' ὤνηται τὰ μέγιστα. τί λέγομεν ὦ οὗτος, ἆρα ἴσως ἢ παραπλησίως ὁ νῦν εἰρημένος ἔλεγχος ὅσῳ μικρὸν ἔμπροσθεν ἐγχειρήσας, καθαρτικὸν χολῆς φησὶ διδόσθω τινὶ τῶν ὑδεριώντων, κενώσει μὲν ὦ οὗτος καὶ τοῦτο χολήν, ἀλλ' ὀλίγην τε καὶ σὺν οὐδενὶ χρηστῷ, καθαρτικὸν ὑδατώδους ἰχῶρος διδόσθω τῷ χολῶντι, κενώσει μὲν ὑδατῶδες, ἀλλ' ὀλίγον τε καὶ μετὰ βλάβης. πάλιν οὖν διδόσθω, τὸ μὲν ὑδραγωγὸν τῷ τὸν ἀσκίτην νοσοῦντι, τὸ δὲ χολαγωγὸν τῷ τὸν ἴκτερον, καὶ πολὺ κενωθήσεται τῶν ἀνθρώπων ἑκάτερος καὶ σὺν ὠφελείᾳ μεγάλῃ. ταῦτα εἰ μὲν οὐδέπω ἀνέγνω γεγραμμένα παρά τινι τῶν ἰατρῶν ὁ Ἰουλιανός, θαυμάζω τῆς φιλοπονίας τἀνδρός. ἀναγνοὺς δ' εἰ ἐτόλμησε γράφειν ἅπερ ἔγραψεν, ἄξιον ἄγασθαι τὴν σύνεσιν αὐτοῦ. νομίζω γὰρ ἐγὼ νῦν ἀκούσασι τῶν εἰρημένων ἀρτῆσθαι αὐτῶν τὰ ὦτα. Ἰουλιανὸς δ' ἐν οἷς ἔγραψε περὶ αὐτῶν, ἡγεῖται μελαγχολᾶν ἡμᾶς. ἀρκεῖναι δὴ τοιγαροῦν ἀναμνησθεὶς τῶν φιλοσόφων οὓς ἐπῄνεσε, παρά τινος αὐτῶν ἔμαθε νόμον ἀποδείξεως τοιοῦτον οἷον φαίνεται κεχρημένος. εἰ γὰρ ἐπεφύκει φησὶ τὸ χολαγωγὸν φάρμακον ἐκκαθαίρειν τοῦ ζῴου τὴν χολήν, οὐκ αὐτὴν γεννᾶν, οὐκ ἂν ἐκενοῦντο χολὴν τοῖς φλεγματώδεσιν. θαυμαστή γε ἡ τοῦ ἀκολούθου γνῶσις. ὦ τῆς μεγάλης διαλεκτικῆς τοῦ σοφιστοῦ. τί συνετὸν οὕτω Χρύσιππος, ἢ Ἀριστοτέλης, ἢ Πλάτων εἶπεν; οὐ γε οἱ περὶ τούτων αὐτῶν ἐπεσκέψασθαι [illegible], τὸ μηδὲ ὅλως περιέχεσθαι κατὰ τὸ σῶμα χολήν. ταῦτα ἂν ἔφασαν ἐπειδὴ τὸ μηδ' ὅλως ὑπὸ τῶν χολαγωγῶν ἐκκενοῦσθαι. τὸ δ' ὀλίγον περιέχεσθαι, τὸ τὴν ἑλκομένην ὑπ' αὐτῶν ὀλίγην ὑπάρχειν, ὥσπερ γε εἰ πολὺ περιέχοιτο, πολλὴν εἶναι τὴν ἑλκομένην. ἀλλ' Ἰουλιανὸς ὁ τῆς καινῆς διαλεκτικῆς σοφιστής, ἀξιοῖ μηδ' ὅλως ἕπεσθαι χολὴν τοῖς χολαγωγοῖς, ὅταν ὀλίγη που ὑπάρχῃ κατὰ τὸ ζῷον. εἶθ' ἡμᾶς μὲν λέγει μελαγχολῶντας, τοὺς ὑδραγωγὸν διδόντας φάρμακον τοῖς ὑδεριῶσιν. ἑαυτὸν δὲ σωφρονεῖν, οὗ τοῖς δόγμασιν ἕπεται φλεβοτομεῖν αὐτούς. ὁμοιότατον δὲ τούτοις αὐτοῦ τοῖς λόγοις ἐστὶ καὶ τὸ διὰ τῶν ἐχομένων εἰρημένων ἐν τῇδε τῇ ῥήσει.

» τότε γίγνεσθαι ἐπὶ τὸ πλεῖστον ἐναλλὰξ ἐπίτασίς τε
» καὶ ἄνεσις, ὑγεία ἀδιόριστος ὁμοιούμενός τις ὡς πρὸς ἡμᾶς κατὰ πᾶν συνεχείας ἐν τῷ σπανίως ὀλιγάκις τε φαινομένῳ.

ἐν τούτοις Ἰουλιανὸς καταβάλλει τὴν δόξαν τῶν οἰομένων ἀεὶ σωματικὰς εἶναι τὰς κατασκευὰς τῶν παθῶν, ταῦτα ὡς μαρτυροῦντα γράφοντας ἐπιτάσεις καὶ τὰς ἀνέσεις τῶν νοσημάτων, οἰόμενος συμφωνεῖν μὲν τῇ δόξῃ τῶν μεθοδικῶν, ἐναντιοῦσθαι δὲ τῇ τῶν παλαιῶν. καίτοι τοῦτο τὸ ἐναντιώτατον εὕροις ἄν. αἱ μὲν γὰρ τοῖς στερεοῖς τοῦ ζῴου μόρεσι διαθέσεις, ἐστηριγμέναι τέ εἰσι, καὶ μόνιμοι, τὰ δὲ ὑγρὰ καὶ † μετὰ τὸ ῥεῖν εἰκὸς εἰς ἄλλο μόριον τοῦ ζῴου καὶ διαφορεῖσθαι λεπτυνόμενα, καὶ κατά τινας αἰσθητοὺς πόρους ἐκκρίνεσθαι, καὶ ποτὲ μὲν ὑπὸ τῆς διοικούσης τὰ ζῷα φύσεως πεπτόμενα χρηστότερα γίνεσθαι, ποτὲ δ' ὑπὸ πυρετώδους θερμασίας ἀλλοιούμενα, μοχθηρότερα. καὶ τὰ μὲν διαπνεῖσθαι ὑπὸ τῆς πυρετώδους θερμότητος, καὶ τὰ μὲν αὐτῶν βελτίω γίνεσθαι κεραννύμενα χρησταῖς τροφαῖς. τὰ δὲ συνδιαφθείρεσθαι ταῖς ἐπιρρεούσαις, ἤτοι γ' εὐθὺς ἔξωθεν οὔσαις μοχθηραῖς, ἢ μὴ καλῶς ἔτι ἐν τῇ γαστρὶ πεφθείσαις

τοὺς δ' ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένους, οὐδὲν δήπου θαυμαστὸν οὐδὲν ὡς ἂν ἐκεῖνα τύχῃ, κατά τε χώρας ἀθροιζόμενά τε καὶ σηπόμενα καὶ κενούμενα, τάς τε γενέσεις ἴσχειν καὶ τὰς παρακμάς. ἀλλ' ἐν μὲν τούτοις ἀνάσχοιτ' ἄν τις ἴσως αὐτῶν. ὃ δ' ἐφεξῆς ἔγραψεν Ἰουλιανός, οὐκ ἔτι κοινὸν ἁπάντων ὑπάρχον, ἀλλ' ἴδιον ἐξαίρετον ἑαυτῷ, τοῦτ' ἤδη σοι δίειμι. ὅλην δ' ἄμεινόν μοι δοκεῖ παραγράψαι τὴν ῥῆσιν, εἰ καὶ

» μακροτέρα πώς ἐστιν, ἔχουσαν ὧδε. ὅτι δ' ἀδιανόητον ἐστὶ πλῆθος, ἢ διαφθοράν, ὃ αὐτὶ πρὸς τοῦ νῦν τιθέναι ἀναφέ-
» ρειν τὸ ποιητικὸν τῆς νόσου. τί δ' ἄν τις συμμελέστατα διαγνοίη τοῦ πάθους δι' ὅλου τοῦ σώματος ἀπιόντος; ἀναγ-
» καῖον ὁμολογεῖν πάντα περιπλεῖν ἐν παντὶ μέρει τε καὶ μορίῳ. τῷ ἀποτελέσματι γοῦν συμπαρατείνεσθαι χρὴ
» τὸ συνέχον αἴτιον. χωρεῖ δὲ δι' ὅλου πάθη ὡς πυρετοί, ἄλλα τε μυρία ἐφ' ὧν ἐν τῷ ὅλῳ καὶ τὸ πλῆθος εἶναι δεῖ, καὶ τὸ
» τοῖς πλεῖον ὅταν πλεῖον καὶ τὸ νόσημα ᾖ, καὶ τὸ τοῖς πλεῖον καὶ συγκεχωρημένον ὧδέ πως φάναι. εἰ δέ γε
» διὰ ἀντιφῶν τὸ πλῆθος τοῦ ὑγροῦ.

καὶ μὴν Ἰουλιανὸς οὐ βούλεται τῶν καθόλου τὸ σῶμα νοσημάτων ἐν ἑνὶ τόπῳ τὴν συνεκτικὴν ὑπάρχειν αἰτίαν. ἀλλὰ καὶ τὴν ῥῆσιν ὑπόθηταί τις ἐπὶ τοῦ βουβῶνι γίγνεσθαι συνέχον αἴτιον ὄντα τοῦ πυρετοῦ, εἰς τοσαύτην ἀπορίαν ὁ λόγος ἀχθήσεται. λυομένου γοῦν τοῦ βουβῶνος, ὅτε διαμένειν αὐτήν, ὅτε παύεσθαι δυνατόν, ἐπειδὴ μενούσης μὲν ἀναγκαῖον ἐστὶ καὶ τὸν πυρετὸν διαλύεσθαι, λυομένης δὲ συνεκτικὸν ἑαυτῆς αἴτιον ἔχειν τὸν βουβῶνα. κἂν τούτῳ τὸν λόγον ἀνατρέπεσθαι τοῦ θαυμαστοῦ περὶ σάτου, φάσκοντος ἀδύνατον εἶναι τὸ καθ' ὅλον τὸ σῶμα πάθος αἴτιον ἐν ἑνὶ τόπῳ συστῆναι. καὶ μὴν οὐδ' ἄλλην τινὰ ἔννοιαν εἰπεῖν ἔχει τοῦ συνέχοντος αἰτίου παρὰ τὸ γίνεσθαι τι πρὸς αὐτοῦ, καὶ παύεσθαι σὺν αὐτῷ. πλὴν εἰ κἀνταῦθα πάλιν ἐξαίφνης ἑαυτὸν εἶναι φύσει στωϊκὸν ὡς ἐν ἄλλοις ἐποίησεν. ἀλλὰ τοῦτό γε πράξας, οὐ νόσου μόνον ἀλλὰ καὶ τῆς ὑγείας αὐτῆς αἴτιον ἀποφανεῖται τινά, καὶ θερμὸν καὶ ψυχρὸν ἀναγκασθήσεταί τι λέγειν εἶναι νόσημα, καὶ ξηρὸν καὶ ὑγρόν, ἅπερ οὐ βούλεται. μὴ τοίνυν ληρείτω μάταια. μηδ' ἐμπ * τρόπον, ἀλλὰ τἆλλα φανταζέσθω, ποτὲ μὲν ἐπαινῶν στωϊκούς, ποτὲ δ' ἀναιρῶν αὐτῶν τὰ δόγματα.

μόνον προγνώσεται τὰς γινομένας νόσους ἑκάστῃ τῶν καταστάσεων, καὶ κωλύσει γενέσθαι ταῖς τοῦ περιέχοντος ἡμᾶς ἀμέτροις καταστάσεσι τὴν ἐναντίαν ἐπιτεχνώμενος δίαιταν. εὔδηλον γὰρ ὡς εἴπερ εὐκρασία τῶν πρώτων ἐστὶν ἡ ὑγεία, διαφθαρήσεται μὲν ὑπὸ τῆς τοῦ περιέχοντος δυσκρασίας, φυλαχθήσεται δ' ὑπὸ τῆς κατὰ τὴν δίαιταν ἐναντιώσεως. κακῶς οὖν ὁ Κόϊντος ἐξηγεῖται καὶ ταῦτα τὰ βιβλία, καὶ τὰ τῶν ἀφορισμῶν, ἐν οἷς ὡδέ πως ἔγραψε. περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρους, πυρετοὺς ὀξέας καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι. τῇ πείρᾳ γὰρ μόνῃ τοῦτ' ἐγνῶσθαι φησὶν ὁ Κόϊντος ἄνευ τοῦ κατὰ τὴν αἰτίαν λογισμοῦ. πρῶτον μὲν αὐτὸ τοῦθ' ἁμαρτάνων, ὅτι τὰς αἰτίας ὧν εἶπε κατὰ τοὺς ἀφορισμοὺς τούτους ὁ Ἱπποκράτης, αὐτὸς αὖθις ἐν τῷ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων ἔγραψεν. ἔπειθ' ὅτι τὸ χρήσιμον μέρος τῆς διδασκαλίας ὑπερέβαινεν. ἀρεταὶ μὲν γάρ εἰσιν ἐξηγητῶν δύο αὗται, τό, τε τὴν γνώμην φυλάττειν τοῦ συγγράμματος, καὶ τὸ τὰ χρήσιμα διδάσκειν τοὺς ἀναγνωσομένους αὐτοῦ τὰ ὑπομνήματα. διέφθειρε δ' ἀμφοτέρας ὁ Κόϊντος, ἐν τῷ μὴ συνάπτειν τῇ καταστάσει τοῦ περιέχοντος ἡμᾶς ἀέρος τὰ πλεονάσαντα νοσήματα. συνάπτεσθαι μὲν αὐτὰ βουλομένου τοῦ Ἱπποκράτους αὐτοῦ, προγνῶναι δ' ἐσόμενα, καὶ κωλῦσαι συνιστάμενα, καὶ ἰᾶσθαι γενόμενα, μὴ δυναμένων ἡμῶν, ἄνευ τοῦ γνῶναι τὴν γενομένην ἐν τῷ σώματι ἡμῶν διάθεσιν ἐκ τῆς δυσκρασίας τοῦ περιέχοντος. οὕτως γὰρ καὶ τῶν ἄλλων ἁπασῶν καταστάσεων παραλελειμμένων, τὰς δυνάμεις αὐτοὶ ἐξευρίσκειν δυνησόμεθα. ὅστις οὖν βούλεται μεγάλως εἰς τὴν τέχνην ἐκ τῆς ἀναγνώσεως τῶν ἐπιδημιῶν ὠφεληθῆναι, προαναγνῶναι τοῦτο βέλτιόν ἐστι τὰ περὶ φύσεως ἀνθρώπου, καὶ τὸ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων. ἔτι τῶν ἀφορισμῶν ἐκείνους, ἐν οἷς περὶ τῶν ὡρῶν διέρχεται, καὶ τὰς δυνάμεις διδάσκει τῶν ψυχρῶν, καὶ θερμῶν, καὶ ξηρῶν, καὶ ὑγρῶν καταστάσεων. ἀναγκαῖον δέ ἐστι πρὸς τοῖς εἰρημένοις, αὐτὸ τὸ προγνωστικὸν ἀναγνωκέναι. οἷς γὰρ ἐδίδαξεν ἐν οἷς εἴρηκα βιβλίοις, ἀκολουθεῖ τὰ κατὰ τῶν ἐπιδημιῶν γεγραμμένα. πρῶτον μὲν ὅτι θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, συμμετρία τίς ἐστι τῶν πρώτων σωμάτων ἡ ὑγεία. δεύτερον δέ, ὅτι τὸ μὲν ἔαρ εὐκρατώτατόν ἐστιν, ὅταν γε τὴν οἰκείαν κρᾶσιν φυλάττῃ, καὶ διὰ τοῦτ' ἐν αὐτῷ πλεονάζει τὸ αἷμα, καθάπερ γε καὶ τὸ θέρος θερμότερον καὶ ξηρότερον τοῦ προσήκοντος, ὁ χειμὼν ὑγρότερος καὶ ψυχρότερος. ἀνώμαλον δὲ τῇ κράσει τὸ φθινόπωρον, ἐπικρατούμενον ὑπὸ τοῦ ξηροῦ τε καὶ ψυχροῦ. καὶ ὅτι πλεονάζει καθ' ἕκαστον αὐτῶν εἷς τις χυμὸς ὡς ὀλίγον ἔμπροσθεν εἶπον. ἐπὶ τούτοις τρίτον τε καὶ τέταρτον ἐν ἐκείνοις τοῖς βιβλίοις ἐδιδάχθη, κατὰ μὲν τὸ περὶ φύσεως ἀνθρώπου, τῶν ἐπιδημιῶν νοσημάτων αἴτιον εἶναι τὸ περιέχον. ἐν δὲ τῷ προγνωστικῷ τῶν σημείων, δι' ὧν αἱ προγνώσεις γίνονται, ἥ τις ἑκάστου δύναμίς ἐστι, κατά τε ποιότητα καὶ μέγεθος. ἀξιῶ δέ σε τὸν ἀναγνωσόμενον τὴν προκειμένην πραγματείαν, ὧν διῆλθον ἁπάντων πρόχειρον ἔχειν τὴν μνήμην, ἵνα τοῖς ὑφ' ἡμῶν λεχθησομένοις, ἀκολουθῇς ἑτοιμότερον. ἁπάντων δὲ μάλιστα τὸ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων ἀναγνωκέναι σε βούλομαι, ὅπως ἴδῃς ἐν οἷς Ἱπποκράτης αὐτὸς ἔγραψε, καὶ πιστώσομαι τὰ γένη τῶν νοσημάτων ὧν διῆλθον Ἱπποκράτους διῃρημένων οὕτως, αἴτιόν γε τὸν ἀέρα ἐπιδήμων νοσημάτων ἀποφαινομένου. κατὰ μὲν γὰρ τὸ, περὶ φύσεως ἀνθρώπου ταυτὶ γράφει. αἱ δὲ νοῦσοι γίγνονται, αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ ἐσαγόμενοι, ζῶμεν. τὴν δὲ διάγνωσιν ἑκατέρων, ὧδε χρὴ ποιέεσθαι. ὁκόταν μὲν ὑπὸ ἑνὸς νοσήματος πολλοὶ ἁλίσκωνται, κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τουτέῳ, ὅτι κοινότατόν ἐστι, καὶ μάλιστα αὐτέῳ πάντες χρεώμεθα. ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν. φανερὸν γὰρ δή, ὅτι τὰ διαιτήματα ἑκάστου ἡμέων οὐκ αἴτιά ἐστιν ὧν τότε ἅπτεται ἡ νοῦσος πάντων ἑξῆς, καὶ τῶν νεωτέρων, καὶ τῶν πρεσβυτέρων, καὶ γυναικῶν, καὶ ἀνδρῶν ὁμοίως, καὶ τῶν θωρησσομένων, καὶ τῶν ὑδροποτεόντων, καὶ τῶν μᾶζαν ἐσθιόντων, καὶ τῶν ἄρτον σιτεόντων, καὶ τῶν ὀλίγα ταλαιπωρεόντων, καὶ τῶν πολλὰ καμνόντων. οὐκ ἂν οὖν τὰ διαιτήματα αἴτια εἴη γε, ὁκόταν διαιτώμενοι πάντας τρόπους οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῆς αὐτέης νόσου. ὁκόταν δὲ αἱ νοῦσοι γίνονται παντοδαπαὶ ἐπὶ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι τὰ διαιτήματα, αἴτιά ἐστιν ἕκαστα ἑκάστοισιν. ἐν ταύτῃ τῇ ῥήσει, πάντων τῶν ἐπιδημιῶν ἐν φησὶ τὴν κατάστασιν, ἀλλ' οὐ τὴν δίαιταν αἰτίαν, δύναται δ' ἂν ποτε καὶ ὕδατος μοχθηροῦ πόσις ἐργάσασθαι πάγκοινον νόσον

μα. καὶ ἱστορεῖται καὶ τοῦτο γεγονὸς ἐπὶ στρατοπέδου, ὥσπερ γε καὶ διὰ τὴν τοῦ χωρίου φύσιν ἔνθα πάντες ἐν ἑνὶ χωρίῳ στρατοπεδευόμενοι, διετέλεσαν. ἐνίοτε δ᾽ ἐκ βαράθρων τῶν καλουμένων χαρωνείων, πνευμάτων πλεοναζόντων. ταῦτα μὲν οὖν περὶ βλάπτειν τὸν ἀέρα, καὶ τὰς νόσους ἐργάζεται, καὶ εἴη αὖ ἐν τῷ προγεγραμμένῳ λόγῳ περιεχόμενα. τὰ δ᾽ ἀπὸ τῶν ἐδεσμάτων καὶ πομάτων, σπάνιά τέ ἐστι καὶ γνωσθῆναι ῥᾷστα. ἐν μὲν οὖν τῷ περὶ φύσεως ἀνθρώπου βιβλίῳ, τὸ αἴτιον τοῦ κοινοῦ πολλοῖς νοσήμασιν ὠνόμασε κοινότατον. ἐν δὲ τῷ περὶ ἀέρων καὶ ὑδάτων, καὶ τόπων, τὰ οὕτω γινόμενα νοσήματα, πάγκοινα προσηγόρευσεν ὧδέ πως εἰπών. περὶ ἑκάστου δὲ χρόνου προϊόντος καὶ τοῦ ἐνιαυτοῦ, λέγοι ἂν ὁκόσα νοσήματα μέλλοι πάγκοινα τὴν πόλιν καθέξειν, ἢ θέρεος, ἢ χειμῶνος. καὶ πάλιν οὖ μετὰ πολλά. ταῦτα μὲν τὰ νοσήματα ἐπιχώρια αὐτέοισίν ἐστι, καὶ ἤν τι πάγκοινον κατάσχοι νόσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ οὗτοι μετέχουσιν. καὶ πάλιν μετ᾽ ὀλίγα. τοῖσι μὲν ἀνδράσι ταῦτα τὰ νοσήματα ἐπιχώριά ἐστι, καὶ χωρίς, ἤν τι κοινὸν κατάσχοι ἐκ μεταβολῆς. καὶ κατωτέρω πάλιν, τοῦτο μὲν τὸ νόσημα αὐτέοισι, σύντροφόν ἐστι καὶ θέρεος καὶ χειμῶνος. ἀλλὰ μηδὲ τοῦτό σε παρέλθῃ ἐν ταῖς προγεγραμμέναις ῥήσεσιν, εἰρημένον ἐν ἄλλοις τέ τισι τῶν Ἱπποκράτους. ὅσα πλεονάζει διὰ παντὸς ἔν τινι χώρᾳ, ἅπερ δὴ καὶ ἔνδημα προσαγορεύεται, τῶν κοινῶν πολλοῖς ὄντα καὶ αὐτά, καθάπερ καὶ ὁ λοιμός. ἔστι γὰρ καὶ οὗτος ἐκ τῶν κοινῶν νοσημάτων, ὡς αὐτὸς αὖ καὶ περὶ τοῦδε σαφῶς ἐδήλωσεν ἐν τῷ περὶ διαίτης ὀξέων ὧδέ πως εἰπών. ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ὦσιν αἱ νοῦσοι, καὶ μὴ παραπλήσιαι αὐτέοισιν, ὑπὸ τούτων τῶν νοσημάτων οἱ πλείους ἀπόλλυνται, ἢ ὑπὸ τῶν ἄλλων τῶν συμπάντων. δῆλον οὖν ὡς ἐκ τοῦ γένους τῶν ἐπιδημίων νοσημάτων, ὅσα κακοηθέστατα γίνονται, καὶ λοιμώδη καλεῖται. τὸ δὲ τῶν ἐπιδημίων, ἐκ τοῦ τῶν πανδήμων τε καὶ παγκοίνων γένους ἐστίν, ὃ ταῖς σποράσι νόσοις ἀντιδιαιρεῖται. ταῦτα μὲν οὕτως αὐτὸς ὠνόμασε. τοὺς λοιμοὺς δὲ πάντες ἄνθρωποι καλοῦσί τε καὶ γινώσκουσιν ὄντας ὀλέθρια νοσήματα, καὶ πέμπουσι δὲ πολλάκις εἰς θεούς, περὶ τῆς ἰάσεως αὐτῶν πυνθανόμενοι. οὐ μόνον δ᾽ ἐνταῦθα τὸ ἐπιδημήσειν γέγραφεν, ἀλλὰ καὶ κατὰ τὸ προγνωστικόν, ἐν ᾧ φησι. χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων τῶν ἀεὶ ἐπιδημεόντων, ταχέως ἐνθυμέεσθαι, καὶ μὴ λανθάνειν τῆς τε ὥρης τὴν κατάστασιν. ἐν αὐτοῖς δὲ τοῖς τῶν ἐπιδημιῶν, ποτὲ μέν ἐστιν ἀκοῦσαι λέγοντος αὐτοῦ. ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρος πολλαί. ποτὲ δὲ καὶ ἄλλαι πυρετῶν ἐπεδήμησαν ἰδέαι, καὶ γὰρ ἄλλοις τὸ νόσημα ἐπιδήμιον ἦν. γέγραπται δὲ τοῦτο τοὔνομα τὸ ἐπιδήμιον ἔν τισι μὲν τῶν ἀντιγράφων διὰ δ. συλλαβῶν, τῆς τελευτῆς ἐκ τοῦ μ. καὶ ο. καὶ ν. συνεστηκυίας. ἔν τισι δὲ διὰ ε. διά τε τοῦ μ. καὶ ι. κἄπειτα καθ᾽ ἑτέραν συλλαβὴν τὴν τελευτὴν τοῦ ο. καὶ ν. μεμνῆσθαι χρὴ τούτων εἰς τὰ μέλλοντα λέγεσθαι γιγνώσκων, ὡς ἔνια μὲν τῶν νοσημάτων κοινῇ πολλοὺς καταλαμβάνει, ἃ δὴ λέγεται κοινά. ἔνια δ᾽ ἕκαστον ἰδίᾳ τὰ σποραδικὰ προσαγορευόμενα. τῶν δὲ κοινῶν, τὰ μὲν ἔνδημά τέ εἰσι, τὰ δὲ ἐπίδημά τε καὶ ἐπιδήμια. διὰ τῶν δ. ἢ ε. συλλαβῶν ὡς εἴρηται γραφόμενα καὶ λεγόμενα. τούτων δὲ τὰ χαλεπώτατα, λοιμώδη καλεῖται, τὴν αἰτίαν ἐκ τῆς περὶ τὸν ἀέρα καταστάσεως ἔχοντα καὶ αὐτά, καθάπερ ὅλον τὸ γένος τῶν ἐπιδημίων νοσημάτων. γέγραφε δὲ καὶ λοιμώδεις τινὰς καταστάσεις, ὥσπερ καὶ τὰς ἐν τῷ γ. διότι καὶ περὶ γένει ὁ λοιμὸς ἐπιδήμιόν ἐστι νόσημα. ταῦτα μὲν οὖν ἄμεινόν ἐστι διωρίσθαι πρὸ τῆς μελλούσης ἔσεσθαι τῶν κατὰ μέρος ἐξηγήσεως. μετὰ ταῦτα δὲ εἰς ἐκείνην ἤδη τρέψομαι, τοσοῦτον ἔτι προειπών, ὅπερ καὶ ἐν πολλοῖς τῶν ὑπ᾽ ἐμοῦ γεγραμμένων βιβλίων εἰρῆσθαι φθάνει, προτρέποντός μου γυμνάζεσθαι τοὺς ἐκμαθεῖν θέλοντας τὴν ἰατρικὴν τέχνην, ἐν τοῖς κατὰ μέρος αἰσθητοῖς, ὡς διαγινώσκειν αὐτούς, ἃ καθόλου προμεμαθήκασι. ταῦτα δ᾽ αὐτὰ τὰ κατὰ μέρος ἀρχὴν τῆς καθόλου συστάσεως οἱ ἐμπειρικοί φασιν εἶναι, λέγοντες ἀληθῆ ἐκεῖνα τῶν θεωρημάτων, ὅσα τὴν σύστασιν ἐξ ἐμπειρίας ἔσχηκεν. ἡμῖν δ᾽ οὐχ οὕτως, ἀλλὰ καὶ διὰ λόγου δοκεῖ πολλὰ τῶν θεωρημάτων εὑρῆσθαι, κρίνεσθαι μέντοι καὶ τούτων τὴν ἀλήθειαν ὑπὸ τῆς πείρας βεβαιουμένην τε καὶ μαρτυρουμένην. οὕτως γοῦν καὶ τοῖς περὶ μεγέθους ἀποστήματος ἡλίου καὶ σελήνης, καὶ τοῖς ἀποδεδειγμένοις μὴ πιστεύοντες, ὅταν αἰσθητῶν τε πολλῶν ἄλλων ὅσα κατὰ γεωμετρικοὺς λόγους εὑρίσκεται, ὅταν ὑπὸ τῶν κατ᾽ ἄλλου μερῶν ἐκλείψεων μαρτυρεῖται, βεβαιότερον ἴσχομεν τὴν πίστιν. ὅπου τοίνυν τὰ διὰ γεωμετρίας ἀποδειχθέντα, πιστότερα γίνεται μαρτυρούμενα πρὸς τῶν κατὰ μέρος ἀποβαινόντων, καὶ πιστότερα γινόμενα βεβαιοτέραν ἔχει πολλῷ μᾶλλον, ἢ ὅσα ὑπὸ τὴν κατὰ μέρος πίστιν. ταῦτ᾽ οὖν ἡμεῖς ἐπιδειξόμεθα ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις γινόμενα.

† οὕτως γοῦν καὶ τοῖς περὶ μεγέθους καὶ ἀποστήματος ἡλίου καὶ σελήνης ἀποδεδειγμένοις πιστεύοντες, ὅταν ὑπὸ αἰσθητῶν τε πολλῶν ἄλλων ὅσα κατὰ γεωμετρικοὺς λόγους εὑρίσκεται, καὶ τῶν κατὰ μέρος ἐκλείψεων μαρτυρεῖται, βεβαιότερον ἴσχομεν τὴν πίστιν. ὅπου τοίνυν τὰ διὰ γεωμετρίας ἀποδειχθέντα, πιστότερα γίνεται μαρτυρούμενα πρὸς τῶν κατὰ μέρος ἀποβαινόντων, καὶ πιστότερα γινόμενα, βεβαιοτέραν ἔχει τὴν ἀλήθειαν. πολλῷ δὴ μᾶλλον ὅσα ἀπὸ τῆς ἰατρικῆς καθόλου ἐξηύρηται, βεβαιοῦσθαι δεῖ αὐξανόμενα ὑπὸ τὴν κατὰ μέρος πίστιν.

Ἐν Θάσῳ φθινοπώρου περὶ ἰσημερίην, καὶ ὑπὸ πληϊάδος, ὕδατα πολλὰ ξυνεχέα, μαλθακά, ὡς ἐν νοτίοισι.

Ὅτι μὲν καὶ ἡ τοῦ χωρίου γνῶσις εἰς τὴν τῶν ἐπιδημίων νοσημάτων διδασκαλίαν ὠφέλιμός ἐστιν, ὕστερον λέξω. νυνὶ δὲ τὴν λέξιν αὐτὴν πρότερον ἐξηγήσομαι, τοῦ συγγραφέως εἰπόντος περὶ ἰσημερίην καὶ ὑπὸ πλειάδος. δυοῖν γὰρ οὐσῶν ἰσημερινῶν, καὶ δυοῖν πλειάδων ἐπισημασιῶν, οὗτος ἐδήλωσεν ὁποίαν αὐτῶν λέγει, προσθεὶς τῷ λόγῳ τὸ φθινόπωρον. κατὰ μὲν γὰρ τὸ ἔαρ ἡ ἑτέρα γίνεται, καὶ ἡ ἀρχὴ αὐτοῦ κατὰ τὴν ἡμετέραν οἴκησίν ἐστιν αὕτη, καθάπερ καὶ τελευτὴ πᾶσα ὑπὸ τῶν πλειάδων ἐπιτολήν. κατὰ δὲ τὸ φθινόπωρον ἡ ὑπόλοιπος ἰσημερία γίνεται, καὶ ἡ τῶν πλειάδων δύσις. οὐδὲν δὲ διοίσει λέγειν, ἤτοι κατὰ τὸν πληθυντικὸν ὀνομαζόμενον ἀριθμὸν τὰς πλειάδας, ἢ κατὰ τὸν ἑνικὸν τὴν πλειάδα. γίνεται δ᾽ ἡ τῆς πλειάδος δύσις, ὡς μετὰ τεσσαράκοντα ἡμέρας τῆς φθινοπωρινῆς ἰσημερίας, εἰδότων ἡμῶν τὰς μὲν ἰσημερίας καὶ τροπὰς ἐν ἑνὶ καιρῷ γινομένας ἐν ἁπάσαις ταῖς οἰκήσεσιν. τὰς δ᾽ ἐπιτολάς, καὶ δύσεις τῶν ἀστέρων ὑπαλλασσομένας, ὡς καθ᾽ ἑκάστην οἴκησιν ἰδίαν εἶναι. μόνοις γὰρ τοῖς ὑπὸ τὸν αὐτὸν οἰκοῦσι πόλον, κοιναὶ τῶν ἄστρων, αἵ τ᾽ ἐπιτολαὶ καὶ δύσεις γίνονται. καλοῦσι μὲν οἱ Ἕλληνες ὡς τὰ πολλὰ τὸ συγκείμενον ἐκ πολλῶν ἀστέρων, ἄστρον, οἷον τὸν ταῦρον ὅλον, ἤ τι μέρος αὐτοῦ, τὰς ὑάδας, ἢ τὰς πλειάδας, ὅμως μήν ἐστιν ὅτε καὶ τῶν ἀστέρων ἕκαστον ὀνομάζουσιν ἄστρον, οὐ μὴν τόν γε συγκείμενον ἐκ πολλῶν ἀστέρα καλοῦσιν, ἀλλ᾽ ἄστρον ἀεὶ μόνως οὕτως. ἔνια δ᾽ ἕκαστον οὐκέτι ἀστέρα μόνον, ὡς εἶπον, ἀλλὰ καὶ ἄστρον, οἷον τὸν ἀρκτοῦρον, τὸν σείριον, τὸν ἑωσφόρον, τὸν ἑσπέριον.

ἀναγκαῖο-

ἀναγκαιότατον δὲ ἐστὶν εἰς ὅλην τὴν ἐνεστῶσαν πραγματείαν ἐπίστασθαι τὰς καθ' ἑκάστην χώραν, ἐν αἷς ἂν ἰατρεύειν μέλλωμεν, ἑκάστου τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσεις, ἐπειδὴ περιγράφουσιν αὗται τὰς ὥρας. αὐτίκα γέ τοι περὶ τὸν ἐν Ἑλλησπόντῳ παράλληλον, ἀρχὴ μὲν τοῦ ἦρος ἐστὶν, ἡ κατ' ἐκεῖνον τὸν καιρὸν ἰσημερία, τελευτὴ δὲ τῶν πλειάδων ἡ ἐπιτολή. αὕτη δὲ καὶ θέρους ἐστὶν ἀρχὴ, καθάπερ γε καὶ τελευτὴ μὲν τοῦ θέρους, ἀρχὴ δὲ τοῦ φθινοπώρου, ἡ ἐπιτολὴ τοῦ ἀρκτούρου, προλαμβάνουσα τὴν φθινοπωρινὴν ἰσημερίαν, ἡμέραις ὡς δώδεκα. καὶ μέν γε καὶ ἡ δύσις τῆς πλειάδος, ἀρχὴ μὲν τοῦ χειμῶνος ἐστὶ, τελευτὴ δὲ τοῦ φθινοπώρου. θαυμάζειν δ' οἶμαι δεῖ, καὶ ζητεῖν τὴν αἰτίαν τοῦ παραλελεῖφθαι κατὰ τὸν λόγον ἐπιτολὴν ἀστέρος τοῦ ἐπισημοτάτου, γινομένην ἐν θέρει τοῦ καλουμένου σειρίου. ὀνομάζουσι δ' αὐτὸν ἔνιοι καὶ κύνα, καταχρώμενοι τῇ τοῦ παντὸς ἄστρου προσηγορίᾳ. κύων μὲν γὰρ τὸ σύμπαν ἄστρον. ὁ δ' ἐπὶ τῆς γένυος αὐτοῦ σείριος, ὃν ὀρθῶς ἄν τις ὀνομάζει τὸν προκύνα, ἢ τὸν κύνα, καὶ ἀρχή γε τῆς καλουμένης ὀπώρας, ἡ ἐπιτολὴ τούτου τοῦ ἀστέρος ἐστί. καὶ ὅσοι τὸν ἐνιαυτὸν εἰς ζ΄. τέμνουσιν ὥρας, ἄχρι μὲν ἐπιτολῆς τοῦ κυνὸς ἐκτείνουσι τὸ θέρος, ἐντεῦθεν δὲ μέχρις ἀρκτούρου τὴν ὀπώραν. οἱ δ' αὐτοὶ καὶ τὸν χειμῶνα τριχῇ τέμνουσι, μέσον μὲν αὐτοῦ ποιοῦντες τὸν περὶ τὰς τροπὰς χρόνον. τοὺς δ' ἑκατέρωθεν τοῦδε, σπορητὸν μὲν πρόσθεν, φυταλίαν δὲ τὸν ἕτερον. αὐτοὶ γὰρ οὕτως ὀνομάζουσι. καὶ μέντοι κἂν τῷ περὶ ἑβδομάδων Ἱπποκράτους ἐπιγραφομένῳ βιβλίῳ, διῃρημένον ἐστὶν εὑρεῖν τὸν ἐνιαυτὸν εἰς ἑπτὰ, τοῦ μὲν φθινοπώρου καὶ τοῦ ἦρος, ἀτμήτων πεφυλαγμένων, τετμημένων δὲ, τοῦ μὲν χειμῶνος εἰς τρία μέρη, τοῦ δὲ θέρους εἰς δύο. χρησίμη μὲν οὖν ἐστι καὶ ἡ τοιαύτη διαίρεσις, ὡς προϊὼν ὁ λόγος δείξει. χρησίμη δὲ καὶ εἰς τέσσαρας ὥρας, ὡς ἐπὶ τῶν δέδεικται πρότερον ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους, ἐν οἷς τάς τε τῶν χυμῶν ἐπικρατείας διδάσκει, καὶ τὰς τῶν νοσημάτων ἰδέας, καὶ τὰς ἀμφοτέρας τούτων ἡγουμένως κράσεις τοῦ περιέχοντος, τέτταρας ἐχούσας διαφοράς. εἰ γὰρ καὶ ὅτι μάλιστα δίχα τις τέμνει τὸν μεταξὺ πλειάδων ἐπιτολῆς καὶ ἀρκτούρου χρόνον, ἀλλά τοι κοινόν ἐστιν αὐτὸ παντὶ, τῷ ξηροτέρῳ τοῦ συμμέτρου εἶναι, καθάπερ γε καὶ τῷ χειμῶνι, τῷ ψυχροτέρῳ τε καὶ ὑγροτέρῳ, κἂν τριχῇ τέμνηται. αἱ μὲν οὖν μεγάλαι διαφοραὶ τῆς κράσεως, ἃς καὶ γενικὰς ἄν τις εἴποι προσηκόντως, εἰς τέσσαρας διαιροῦσιν ὥρας τὸν ἐνιαυτὸν, ἤτοι γ' ἑτερογενεῖς, ἢ ἑτεροειδεῖς ἀλλήλων, ὡς ἂν ἐθέλῃ τις ὀνομάζειν. αἱ δὲ καθ' ἑκάστην τῶν διαφορῶν τούτων, εἰς τὸ μᾶλλόν τε καὶ ἧττον τομαὶ, τὸ θέρος μὲν εἰς δύο, τὸν χειμῶνα δ' εἰς τρεῖς μοίρας τέμνουσιν, ἡ δὲ τῶν ὡρῶν τούτων τομὴ, ἐκ τοῦ κατὰ ταύτας χρόνου. τεσσάρων γὰρ μηνῶν ὁ μεταξὺ πλειάδος τε καὶ ἀρκτούρου χρόνος ἐστί. πλειόνων δὴ καὶ τεσσάρων, ὁ μεταξὺ πλειάδος δύσεως, καὶ τῆς ἐαρινῆς ἰσημερίας. ὁ δὲ τοῦ ἦρος, οὐδ' ὅλων δύο μηνῶν, ὥστ' ἄτμητος εἰκότως ἐφυλάχθη. διὰ ταῦτα δὲ καὶ τὸ τοῦ φθινοπώρου μείζων μέν ἐστιν, ἢ παρὰ τὸ ἔαρ. ἐκτείνεται γὰρ εἰς δύο μῆνας, ἀπολειπόμενος δὲ τῷ μεγέθει πάμπολυ τοῦ κατὰ τὸ θέρος τε καὶ τὸν χειμῶνα χρόνου. ταῦτα οὖν εἰς ἅπαξ μὲν εἰρήσθω μοι νῦν. εἰς δὲ τὸν ἑξῆς ἅπαντα λόγον, μνημονευέσθω πρὸς τὸ μεταγράφεσθαι ῥᾳδίως εἰς τοὺς ἐν ἑκάστῳ τῶν ἐθνῶν μῆνας, ἄλλους παρ' ἄλλοις ὄντας, ὡς εἰ παντὸς ἔχον τοὺς αὐτοὺς, οὓς καὶ ἀρκτούρου καὶ πλειάδος, καὶ κυνὸς, ἰσημεριῶν τε καὶ τροπῶν ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἀλλ' ἤρκεσεν ἂν εἰπεῖν αὐτῷ κατὰ μακεδόνας, εἰ οὕτως ἔτυχεν, ὀνομάζοντι τοῦ δίου μηνὸς ἀρχομένου, τοιάνδε τινὰ γενέσθαι κατάστασιν ἐν τῇ τοῦ περιέχοντος κράσει. νυνὶ δ' ἐπειδὴ τὸ δῖον μακεδόσι μὲν μόνοις σαφὲς, ἀθηναίοις δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις οὐ σαφὲς, Ἱπποκράτης δ' ἐβούλετο τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν ὠφελεῖν, ἄμεινον ἦν αὐτῷ γράψαι μόνην τὴν ἰσημερίαν ἄνευ τοῦ μνημονεῦσαί τινος μηνός. ἡ μὲν γὰρ ἰσημερία, κοσμικόν ἐστι πρᾶγμα, οἱ δὲ μῆνες ἐπιχώριοι, καθ' ἕκαστον ἔθνος. ὅστις γοῦν ἀστρονομίας ἀπείρως ἔχει, μάλιστα μὲν ἴστω μὴ πειθόμενος Ἱπποκράτει, προτρέποντος πρὸς αὐτὴν, ἕνεκα τῆς τῶν εἰρημένων χρήσεως. ἐπεὶ δὲ φιλάνθρωπον εἶναι δοκεῖ, καὶ τοὺς τοιούτους ὠφελεῖν, ἐγὼ πειράσομαι τὴν ἐνδεχομένην ὑπογράψαι βοήθειαν, εἰ προσέχειν τὸν νοῦν, ἁπάντων ὧν Ἱπποκράτης λέγει καρπώσονται τὴν χρῆσιν. τεμνομένου δὴ τοῦ παντὸς ἔτους, ἐκ τεσσάρων καιρῶν κατ' ἰσημερίαν τε καὶ τροπὰς, ἅπαξ τις ἐρωτήσας ἀστρονομικὸν ἄνδρα, τὰ τέσσαρα μέρη ταῦτα ἐν τίσι γίνονται μησὶν, εἶτα εἰδὼς αὐτὰ, δυνήσεται καὶ περὶ τῶν ἄλλων ἐπισημασιῶν τῶν καθ' ἕκαστον ἄστρων ἀκούων ἕπεσθαι. οἷον εἰ οὕτως ἔτυχεν, ἐὰν προμάθῃ τὸ περὶ τὴν ἀρχὴν τοῦ δίου μηνὸς καὶ φθινοπώρου γίνεσθαι ἰσημερίαν, εἴσεται τὴν μὲν χειμερινὴν τροπὴν, ὡς μετὰ τρεῖς μῆνας οὖσαν, ἐν ἀρχῇ τοῦ καθ' ἑαυτὸν περιτίου μηνὸς, τοῦτο γὰρ σημαίνει κατὰ μακεδόνας, τὴν δὲ ἐαρινὴν ἰσημερίαν ἀρτεμισίου, καθάπερ γε καὶ τὴν θερινὴν τοῦ λώου. κατὰ γὰρ τὰς ἀρχὰς τῶν εἰρημένων μηνῶν αἵ τ' ἰσημερίαι, καὶ αἱ τροπαὶ γίνονται κατὰ μακεδόνας, ἀριθμούντων τε καὶ ὀνομαζόντων τοὺς μῆνας. ὁ τοίνυν ταῦτα μαθὼν, εἰ προσεπιμάθῃ, τὸν μὲν ἀρκτοῦρον ἐπιτέλλοντα πρὸ ἡμερῶν ὡς ιβ΄. τῆς φθινοπωρινῆς ἰσημερίας, πλειάδας δὲ δύο μῆνας ὡς μετὰ πεντήκοντα, γνώσεται πόσῃ τοῦ καθ' ἕκαστον αὐτὸν μηνὸς ἑκάτερον τῶν ἄστρων ἐπιτέλλει, παραφυλάξει τε βουλόμενος ἀκολουθεῖν Ἱπποκράτει τὴν μεταβολὴν τῆς περὶ τὸν ἀέρα κράσεως, ὁποία τις ἐγένετο. χρὴ δὲ δηλονότι τοὺς μῆνας, οὐ πρὸς σελήνην ἀριθμεῖσθαι, καθάπερ ἐν ταῖς πλείσταις νῦν τῶν ἑλληνίδων πόλεων, ἀλλὰ πρὸς ἥλιον, καὶ ἐν ἁπάσαις τε τῶν ἀρχαίων, καὶ ἐν πολλαῖς τῶν ἐθνῶν ἀριθμεῖται. καὶ παρὰ ῥωμαίων ὁ σύμπας ἐνιαυτὸς, εἰς ιβ΄. διαιρούμενος. ἑνὸς μὲν αὐτῶν ὀκτὼ καὶ εἴκοσιν ἡμερῶν ὄντος, ὃν δεύτερον λέγουσι μετὰ τὰς τροπὰς χειμερινάς. αὐτοῦ δὲ τοῦ πρώτου μετὰ τὰς τροπὰς, ὃν καὶ πρῶτον ὅλου τοῦ ἔτους ἀριθμοῦσιν, μίαν ἐπὶ ταῖς λ΄. προσειληφότος, ὥσπερ γε καὶ τοῦ γ΄. μετὰ τὰς τροπὰς, καὶ γὰρ καὶ οὗτος αὐτός ἐστι μιᾶς καὶ λ΄. ἡμερῶν. ὁ δὲ τέταρτος τριακονθήμερος, ὁ δὲ πέμπτος μίαν ἐπὶ ταῖς λ΄. προσείληφεν, ὁ δ' ἕκτος τριακοστὸς, μετὰ τὸν ἕκτον δύο μιᾶς καὶ τριάκοντα. ὁ δὲ μετὰ τούτους τριακονθ' ἡμερῶν. ὁ δ' ἐφεξῆς τῷδε, μιᾶς καὶ τριάκοντα δέκατος ὢν τὸν ἀριθμὸν ὅλου τοῦ ἔτους. καὶ ὁ μὲν ια΄. τριακονθ' ἡμερῶν, ὁ δὲ ιβ΄. μιᾶς ἐπὶ ταῖς λ΄. συναριθμουμένων δέ σοι τὰς καθ' ἕκαστον τῶν μηνῶν γινομένας ἡμέρας αἱ πᾶσαι γίνονται ε΄. καὶ ξ΄. καὶ τ΄. καὶ τεσσάρων δ' οὕτως ἀριθμηθέντων τῶν ἐτῶν, ἐν τῷ δ΄. τὸν τρίτον ἀπὸ τοῦ δ΄. ποιοῦσι δυοῖν καὶ λ΄. ἡμερῶν. ἵν' ἕκαστος τῶν ἐνιαυτῶν γένηται τξε΄. ἡμερῶν, καὶ προσέτι τετάρτης, ἡμέρας μιᾶς. τοῖς δὲ κατὰ παλαιστίνην ἀριθμοῦσιν, οἱ δώδεκα μῆνες, ἀριθμὸς ἡμερῶν γίνονται τνδ΄. ἐπειδὴ γὰρ ὁ ἀπὸ συνόδου τῆς πρὸς ἥλιον αὐτῆς χρόνος, ἄχρι πάσης

ἄλλης συνόδου, πρὸς τὰς θ. καὶ εἴκοσιν ἡμέρας, ἔτι καὶ ἄλλο μέρος ἥμισυ προσλαμβάνει, διὰ τοῦτο τοὺς δύο μῆνας ἡμερῶν γινομένους θ. καὶ ν. τέμνουσιν εἰς ἄνισα μέρη. τὸν μὲν ἕτερον αὐτῶν λ. ἡμερῶν ἐργαζόμενοι, τὸν δ' ἕτερον θ. καὶ κ. ἀναγκάζονται διὰ τοῦτο καὶ οὗτοι οἱ οὕτως ἄγοντες τοὺς μῆνας, ἐμβόλιμον τινὰ ποιεῖν ὅταν πρῶτον ἀθροισθῇ, τὸ τῶν ἔμπροσθεν ἐνιαυτῶν ἔλλειμμα, καὶ γένηται χρόνος ἑνὸς μηνός. καὶ γέγραπταί γε τῶν ἀστρονόμων, καὶ ἄλλοις τισὶ καὶ Ἱππάρχῳ, ὁπηνίκα χρὴ τοὺς ἐμβολίμους μῆνας ἐμβάλλεσθαι. διόπερ ὡς ἔφην οὕτως ἐπὶ τούτων ἀριθμούντων τοὺς μῆνας, οὐκ ἔστιν ὁρίσαι τὰς ἡμέρας, ἐν αἷς αἵ ἰσημερίαι τε καὶ τροπαί, καὶ τῶν ἐπιφανῶν ἄστρων αἱ ἐπιτολαὶ γίνονται. κατὰ δὲ τοὺς πρὸς ἥλιον ἄγοντας, ὁρίσαι δυνατὸν, ὥσπερ ἔφην, ὑπό τε ῥωμαίων καὶ μακεδόνων, ἀσιανῶν τε τῶν ἡμετέρων, καὶ πολλῶν ἄλλων ἐθνῶν. ὁπότ' οὖν εἴρηταί μοι ταῦτα κοινὰ τῶν ἐφεξῆς λόγων ἁπάντων, πάλιν ἐπὶ τὴν προκειμένην ἀνάξω ῥῆσιν, ἐν ᾗ τῆς γενομένης ἐν θάσῳ καταστάσεως ἀρχόμενος ἔφη. φθινοπώρου περὶ ἰσημερίην καὶ ὑπὸ πλειάδας, πολλὰ ὕδατα ἐγένετο. ὄντος γὰρ τοῦ φθινοπώρου περὶ ἰσημερίην, καὶ δυοῖν μηνῶν, οὐκ εὐθέως ἀπ' ἀρχῆς συνέβαλεν ἡ εἰρημένη κατάστασις, ἀλλὰ περὶ τὴν ἰσημερίαν ἤρξατο, καὶ παρέτεινεν ἄχρι πλειάδος δύσεως ἡμέραις ὡς πεντήκοντα, ἐν θάσῳ φθινοπώρου. κατὰ μὲν τὸν Κόϊντον, οὐδ' ἡ χώρα συντελεῖ τι πρὸς τὴν τῶν νοσημάτων πρόγνωσιν, οὐδ' ὅλως δυνατόν ἐστι τὰ γενησόμενα προγνῶναι, μόνον δὲ τὸ γεγενῆσθαι τινὰ νοσήματα, διεφθαρμένης τῆς κατὰ φύσιν ἐν ταῖς ὥραις κράσεως. ἐνίοτε δὲ καὶ τὴν ἰδέαν αὐτῶν, οὐκ ἐκ μεθόδου λογικῆς, ἀλλ' ἐκ πείρας μόνης φησὶν ἐγνῶσθαι. καὶ τάς γε τῶν δυσκρασιῶν ἐπιπλοκάς, ἃς συνδρομὰς ὀνομάζουσιν οἱ ἐμπειρικοὶ τῶν ἰατρῶν ἐξηγούμενοι τοὺς ἀφορισμοὺς, ἐκ πείρας ἔλεγον εὑρῆσθαι τῶνδέ τινων νοσημάτων αἰτίας γινομένας, οἷον ὅταν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, κατὰ τὸ θέρος ἔσονται πυρετοὶ ὀξεῖς, καὶ ὀφθαλμίαι, καὶ δυσεντερίαι. καὶ πάλιν. εἰ μὲν ὁ χειμὼν ἔπομβρος καὶ νότιος γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ χειμέριον, αἱ μὲν γυναῖκες ἧσιν οἱ τόκοι πρὸς τὸ ἔαρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσι. καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς κατέλεξε, τέσσαρας μόνας διαφορὰς καταστάσεων γράψας, καίτοι παμπόλλων οὐσῶν, ὅπερ ἐχρῆν ἐνθυμηθέντα τὸν Κόϊντον, ἐπισκέψασθαί τε καὶ ζητῆσαι, πρῶτον μὲν αὐτὸ δὴ τοῦτο παρὰ φύσιν ἐκτρεπομένων τῶν ὡρῶν, εἶθ' εὑρόντα πλείους, ζητῆσαι τὸν ἀριθμὸν ἁπασῶν, εἶτα σκέψασθαι διατί τῶν τεττάρων ἐμνημόνευσε μόνων ὁ Ἱπποκράτης, ἐφ' οἷς ἅπασιν εὑρεθεῖσι ζητῆσαι τινὰ μέθοδον, ᾗ χρώμενοι, τὰς τῶν ἄλλων ἁπασῶν καταστάσεων γνωρισόμεθα δυνάμεις. μόνος γὰρ αὖ οὗτος ἱκανῶς προγινώσκειν γινόμενα, καὶ τὰς μελλούσας ἐπιδημήσειν νόσους, ἀλλὰ καὶ προφυλάττεσθαι καθ' ὅσον οἷόν τε πρὸς τὸ μηδ' ὅλως αὐταῖς περιπεσεῖν διὰ τῆς εἰρημένης ὁδοῦ προελθὼν, ἱκανῶς ἔσται μόνος, ἢ εἰ τοῦτ' ἀδύνατον εἴη, διὰ τὸ μέγεθος τῆς αἰτίας, ὡς μετριωτάτους γοῦν ταύτας ἁλῶναι. ὅτι δὲ τὴν θεραπείαν τῶν νοσημάτων ὁ γυμνασθεὶς τὸν λογισμὸν, οἷς εἶπον ἅπασιν ἄμεινον εὑρίσκει, τῶν μηδὲν προσηκεμένων, οὐδὲ τοὺς ἐπιτυχόντας ἀγνοεῖν ἡγοῦμαι, μήτοι γε τοὺς νομίμως πεπαιδευμένους. ὅτι μὴν αὐτὸς ὁ Ἱπποκράτης οἶδε πλείους τῶν ἐν ἀφορισμοῖς γεγραμμένων τεσσάρων καταστάσεων, ἐξ αὐτῶν τῶνδε τῶν βιβλίων ἃ νῦν ἡμῖν ἐξηγεῖσθαι πρόκειται, γένοιτ' ἂν ἱκανῶς σαφές. ἐν μὲν γὰρ τῷ πρώτῳ τῶνδε, τὴν πρώτην ἔγραψε κατάστασιν, ὑπὲρ ἧς αὐτὸς εἶπεν ἐπὶ τῇ τελευτῇ. γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια, καὶ μετὰ αὐχμῶν. δευτέραν δὲ ἐν ᾗ πάλιν ἔφη. γενομένου δὲ τοῦ ἔτεος ὅλου ψυχροῦ, καὶ ὑγροῦ, καὶ βορείου. τρίτην δὲ ἀνώμαλόν τε καὶ ποικίλην, ἀρξαμένην μὲν ὀλίγον πρὸ ἀρκτούρου, ψυχρὰν καὶ ὑγράν. ἐφεξῆς δὲ γενομένην ἀπὸ τῆς φθινοπωρινῆς ἰσημερίας ἄχρι πλειάδων δύσεως, ἅπασι νότιον ἅμα ἀμετρίαις ὑγρότησιν. εἶθ' ἐφεξῆς ψυχρὰν καὶ ξηρὰν ἅμα πνεύμασι βορείοις μεγίστοις, ὅλῳ σχεδόν τι τῷ χειμῶνι. κἄπειτα ψυχρὰν καὶ ξηρὰν ἄχρι κυνὸς ἐπιτολῆς, ἐντεῦθεν ἀθρόως καύματα μεγάλα μέχρις ἀρκτούρου, καθ' ὃν ὕδατα νότια, μέχρι τῆς ἰσημερίας. ταύτης οὖν τῆς καταστάσεως ἀνωμάλου γενομένης, ὅμως ἐπεκράτει τὸ ψυχρὸν καὶ ξηρόν. ἐν δὲ τῷ τρίτῳ τῶν βιβλίων τούτων ἔγραψε κατάστασιν, ἣν εἰς ἓν πάλιν ἀναγαγὼν κεφάλαιον ἔφησεν. ἔτος νότιον, ἔπομβρον, ἄπνοια διὰ τέλους. ἄλλην δ' ἐν τῷ δευτέρῳ κατάστασιν ἐν ἀρχῇ γράφων εἶπεν. ἄνθρακες ἐν κρανῶνι θερινοί, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ δι' ὅλου, ἐγένοντο μᾶλλον νότῳ. ὥσπερ καὶ αὐτὴ θερμοτάτη ἐστὶ, καὶ μετρίως ὑγρὰ, ὡς κατὰ μίαν ὥραν γενομένη τὸ θέρος, ὥσπερ καὶ ἡ κατὰ τὸ τρίτον βιβλίον ἐν ὅλῳ τῷ ἔτει. γεγραμμέναι δ' εἰσὶ καὶ ἄλλαι καταστάσεις, ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ἃς οὐκ εἶπεν ἐν ἀφορισμοῖς, ἀλλ' ὡς συνεχέστερόν τε τῶν ἄλλων γινομένας τὰς τέσσαρας, ἀκούσας τε παράδειγμα γίγνεσθαι μετὰ τῆς ἐν τῷ περὶ ὑδάτων καὶ ἀέρων, καὶ τόπων αἰτιολογίας, ἠξίωσε τοῖς ἀφορισμοῖς γράψαι. ἀλλὰ καὶ εἰ μὴ παραλέλειπε τελέως τὴν αἰτιολογίαν, ἡμεῖς αὖ αὐτὴν εὕρωμεν ἐκ τῶν ἐν τοῖς ἀφορισμοῖς ὑπ' αὐτοῦ γεγραμμένων, ἱκανῶν ὄντων ἀνδρὶ λογικῷ πρὸς τὴν τῶν εἰρημένων εὕρεσιν. ἐπίστασθαι γάρ σε χρὴ τοῦτο δεδειγμένον μὲν ὑφ' ἡμῶν ἤδη πολλάκις ἐν πολλοῖς αὐτάρκως. εἰρησόμενον δὲ καὶ νῦν εἰς ὅσον ἀναγκαῖον ἐστὶν αὐτοῦ μνημονεῦσαι, ὡς τὰς κατὰ μέρος ἐν ἁπάσαις τέχναις συμπλοκὰς τῶν ἁπλῶν φαρμάκων, ἀδύνατον ἐστὶ δι' ἐμπειρίας γνωσθῆναι, διὰ τὸ πλῆθος. ἀλλ' ἐπὶ πάσαις αὐταῖς ὁδὸς μία τῆς εὑρήσεώς ἐστιν, ἡ διὰ τῶν οἰκείων στοιχείων, ὥσπερ καὶ ἐπὶ γραμματικῇ. τίνα τοίνυν οἰκεῖα στοιχεῖα τῶν καταστάσεων ἐστὶν, ἴδωμεν ἀπὸ τοῦ πράγματος τῆς οὐσίας ὁρμηθέντες, ὡς ἐν τοῖς περὶ ἀποδείξεως ἐδιδάχθημεν. ἀναλαβὼν οὖν ἀπ' ἀρχῆς, τὸν λόγον, ἤδη σοι δίειμι ἅπαντα κατὰ τὸ συνεχὲς, μηδὲν παραλιπών. αἱ ὧραι τοῦ ἔτους διαφέρουσιν, ὑγρότητι καὶ θερμότητι, καὶ ψυχρότητι καὶ ξηρότητι, τοῦ μὲν χειμῶνος ὑγρότητι καὶ ψυχρότητι τὰς ἄλλας ὑπερβάλλοντος, ὥσπερ γε τοῦ θέρους θερμότητι καὶ ξηρότητι, τοῦ δ' ἦρος ἀκριβῶς ἀμφοῖν ὄντος ἐν τῷ μεταξύ. κρατεῖ γὰρ οὐδέτερον ἐν αὐτῷ, κατ' οὐδετέραν ἀντίθεσιν, οὔτε τοῦ ξηροῦ τὸ ὑγρὸν, οὔτε τοῦ θερμοῦ τὸ ψυχρὸν, ἀλλ' οἷον ἰσομοιρία τις ἀμφοτέρων ἐστὶ τῶν ἀντιθέσεων, ὁμοιότης τε τῶν ὡρῶν ἁπασῶν ὅλης τῆς ἡμέρας, ὡς ἔγγιστα καὶ τῆς νυκτὸς, μηδεμιᾶς μεγάλης μεταλλαγῆς, ἢ ὑπεροχῆς ἐν αὐτοῖς γινομένης, ὁποῖα κατὰ φθινόπωρον ὁρᾶται, κρύους μὲν ἕωθεν ὄντος, ἀμφὶ δὲ τὸ μέσον τῆς ἡμέρας, θάλπους ἰσχυροῦ, μεταπίπτοντος αὖ πάλιν εἰς κρύος καὶ τοῦδε, δείλης ὀψίας. ἐπικρατεῖ δ' ὅμως αὐτῶν, τὸ μὲν ξηρὸν τοῦ ὑγροῦ, τὸ δὲ ψυχρὸν τοῦ θερμοῦ. τοιαύτη μὲν ἡ κρᾶσις ἐστὶ τῶν ὡρῶν τοῦ ἔτους, ὡς ἐπὶ τὸ

πολὺ

πολὺ μεταβολῆς γινομένης κατὰ βραχὺ μὲν, ὡς μηδ' αἰσθάνεσθαι τινὰ διὰ παντὸς τοῦ χρόνου, ἐπὶ μείζονα δὲ αἰσθητῶς, ὁ μὲν ἀθρόως γε οὐδ' ἀμέτρως ἐν ταῖς τῶν ὑγρῶν καὶ κατὰ φύσιν μεταβολαῖς. ἀρκτούρου γοῦν ἐπιτέλλοντος, ὡς τὸ πολὺ σὺν ἀνέμοις ψυχροῖς ὑετὸς γίνεται. κἀντεῦθεν ἤδη φθινόπωρον μὲν ἄρχεται, παύεται δὲ τὸ θέρος. εἶτ' ἐν τῷ μετὰ ταῦτα χρόνῳ κατὰ βραχὺ καὶ ἀνεπαισθήτως γινομένης τῆς ἐπὶ τὸ ψυχρότερον μεταβολῆς, ἡ τῆς πλειάδος δύσις αἰσθητὴν ἐργάζεται τὴν τροπήν. ἐντεῦθεν τε πᾶσιν ὁμοίως ἐπὶ τὴν ἐαρινὴν ἰσημερίαν ἀφικνεῖται, καί ποτε μὲν ὁμοία προσθήκη μέχρι πλειάδος ἐπιτολῆς γίνεται. πολλάκις δ' αἰσθητὴ μέν τις ἐν τῷ περὶ τὴν ἰσημερίαν χρόνῳ, σύμμετρος δέ. καὶ μέντοι καὶ μετὰ τὴν τῆς πλειάδος ἐπιτολὴν, αὐξάνεται τὸ θερμὸν καὶ τὸ ξηρὸν ἄχρι κυνὸς ἐπιτολῆς, συμμέτρως καὶ κατὰ βραχὺ, ἐλθόντος τε τούτου, γενήσεται νότιον μὲν ὀλίγον. ἐπ' αὐτοῖς δ' ὑετοὶ ἐπίσης τοῖς ἐτησίοις πνεύμασιν ἄχρι τῆς κατὰ τὸν ἀρκτοῦρον ἐπιτολῆς. καὶ τοίνυν ἥ γε πεῖρα καὶ ὁ λόγος ἡμᾶς ἐδίδαξεν, ὅταν οὕτως αἱ ὧραι τοῦ ἔτους προσέρχονταί τε καὶ εἰς ἄλληλα μεταβάλλωσι, μήτε λοιμόν τινα, μηθ' ὅλως ἐπιδήμια νοσήματα γινόμενα, μόνας δὲ τὰς ὀνομαζομένας ὑπ' αὐτοῦ σποράδας νόσους τὰς περὶ τὴν δίαιταν ἑπομένας. ἐπειδὴ καθ' ἑκάστην τῶν ὡρῶν ἴδιος μὲν ἐπικρατεῖ χυμὸς, ὡς αὐτὸς ἐδίδαξεν, τοῦ μὲν χειμῶνος τὸ φλέγμα, τοῦ δ' ἦρος τὸ αἷμα, τοῦ δὲ θέρους χολὴ, φθινοπώρου δ' ἡ ὀξεῖα. διὰ τοῦτο τοῖς κακῶς διαιτωμένοις, οὐ τὰ αὐτὰ πλεονάζουσι νοσήματα κατὰ πάσας τὰς ὥρας, ἀλλὰ ὡς αὐτὸς ἐδίδαξε. τοῦ μὲν ἦρος τὰ μελαγχολικὰ καὶ τὰ μανικὰ καὶ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ τἆλλα ὅσα τούτων ἐφεξῆς καταλέγει. τοῦ δὲ θέρους ἔτους, ὁμοίως καὶ τοῦ φθινοπώρου. χειμῶνος δ' ἄλλα, γινόμενα μὲν ἐκ τῶν κατὰ τὴν δίαιταν ἁμαρτημάτων, ὑπαλλασσόμενα δὲ ταῖς ἰδέαις, διά τε τὴν ὥραν τοῦ ἐνιαυτοῦ, καὶ τὴν ἡλικίαν τε καὶ φύσιν. ἐπειδὴ γὰρ καὶ κατὰ τὰς φύσεις, καὶ κατὰ τὰς ἡλικίας, αἵ τε κράσεις τῶν σωμάτων ἕτεραι γίνονται, καὶ αἱ τῶν χυμῶν ἐπικράτειαι διαφέρουσι, διὰ τοῦτο καὶ κατὰ ταύτας νῦν ὑπαλλάσσεται τῶν νοσημάτων ἡ ἰδέα. περὶ μὲν οὖν τῶν ἐν ταῖς †ἡλικίαις διαφορῶν ὧδέ πως ἔγραψεν. ἐν δὲ ταῖς ἡλικίαις συμβαίνει, τοῖσι μὲν σμικροῖς καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι, ἔμετοι. καὶ τἆλλα τὰ τούτων ἐφεξῆς γεγραμμένα κατὰ πᾶσαν ἡλικίαν. περὶ δὲ τῶν φύσεων ὧδέ πως. τῶν φύσεων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ καὶ κακῶς πεφύκασι. γίνεται τοίνυν καὶ ἴσον μὲν ἔχον λόγον τὸ σῶμα τοῦ κάμνοντος αἴτιον ποιητικὸν πρὸς τὸ περιέχον, ἐξ ἀμφοῖν δὲ συνελθόντων ἡ ἐπίκτητος ἐπιτελεῖται κρᾶσις, ἐφ' ἣ τῶν ἐπιδημησάντων νοσημάτων ἡ γένεσις. ἐὰν οὖν ἴδωμεν, οἷόν τι πέφυκεν εἰς τὸ σῶμα δρᾶν τῶν ἀνθρώπων ἡ τοῦ περιέχοντος θερμότης, ὁποῖον δὲ ἡ ψυχρότης τε καὶ ξηρότης καὶ ὑγρότης. ἴδωμεν δὲ καὶ τὴν ὕλην αὐτὴν τὴν πάσχουσαν, ὁποία τίς ἐστιν, οὐδὲν ἔτι χαλεπὸν εὑρεῖν καὶ προγνῶναι τὰ γενησόμενα νοσήματα, καὶ τούτων αὐτῶν ἔτι πρότερον ἐσόμεθα καλῶς εἰρημένον, τὸ, ἐν τοῖσι καθεστῶσι καιροῖσιν, ἢν αἱ ὧραι τὰ ὡραῖα ἀποδιδῶσιν, εὐσταθέες τε καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι. τίνες οὖν αἱ δυνάμεις εἰσὶ τῶν εἰρημένων ποιοτήτων ὑγρότητος καὶ ξηρότητος, θερμότητος καὶ ψυχρότητος, ἀκούσωμεν αὐτοῦ τοῦ Ἱπποκράτους ἐν ἀφορισμοῖς λέγοντος. τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. νοσήματα δ' ἐν ταῖς ἐπομβρίαις, ὡς τὰ πολλὰ γίνονται πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες, ἐπίληπτοι καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. ἐν δὲ τοῖς αὐχμοῖσι, φθινώδεες ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι. ταῦτα μὲν οὖν αὐτῷ λέλεκται περὶ τῶν εἰς πλείονα χρόνον ἐκτεταμένων καταστάσεων. ὥσπερ δὲ καὶ περὶ τὰς καθ' ὑγρότητα καὶ ξηρότητα διαφορὰς ἐν τούτοις ἐδίδασκεν, οὕτως περὶ τῆς κατὰ θερμότητα καὶ ψυχρότητα, δι' ὧν ἔγραψε περὶ τῶν Βορείων τε καὶ νοτίων καταστάσεων. ἐπὶ γὰρ τῆς ἡμετέρας οἰκήσεως, ὁ μὲν Βορρᾶς ψυχρὸς, ὁ δὲ νότος θερμός ἐστι, πλὴν εἴπου σπανίως. ἐν ἀρχῇ τοῦ ἦρος ψυχρὸς, ἢ κατ' ἄλλην τινὰ ὥραν ἐπὶ βραχὺ πνεύσειε τοιοῦτος, ἀλλὰ τότε τοῦ Βορρᾶ ψυχρότερος. ἀκούσωμεν οὖν ἑξῆς καὶ ὡς περὶ τούτων ἐν ἀφορισμοῖς ἔγραψεν ἀρξάμενος ὧδε. νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοὶ, ὅταν οὗτος δυναστεύῃ τοιαῦτα ἐν ταῖς ἀρρωστίαις πάσχουσιν. ἢν δὲ Βόρειον ᾖ, βῆχες φάρυγγος, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων, ὅταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀρρωστίῃσι προσδέχεσθαι. ταῦτα μὲν οὖν αὐτῷ λέλεκται περὶ τῶν ἰσχυρῶν νοτίων καὶ Βορείων καταστάσεων τῶν ἐπὶ πλέον ἐν χρόνῳ γινομένων. ἐνδείκνυται γὰρ διὰ τοῦ δυναστεύειν, ὀνόματα δ' οὐκ αὖ ἐπὶ τοῦ ἦρος, οὔτε βραχεῖ χρόνῳ πνεύσαντος, οὔτ' ἐπὶ πλείοσιν ἡμέραις ἀλλ' ἀσθενοῦς, εἰπὼν τοῦτο τοὔνομα. περὶ δὲ τῶν ἐφημέρων νοτίων τε καὶ Βορείων πνευμάτων, ἀκούσωμεν αὖθις ἃ λέγει. αἱ μὲν καθημεριναὶ καταστάσιες, αἱ μὲν Βόρειοι τά τε σώματα συνιστῶσι, καὶ εὔτονα, καὶ εὐδιώατα, καὶ εὔχροα, καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρακα ἄλγημα, ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσι. αἱ δὲ νότιοι διαλύουσι τὰ σώματα, καὶ ὑγραίνουσι, καὶ βαρυηκοΐας, καὶ ἰλίγγους ἐμποιέουσιν, ἐπὶ τοῖς ὀφθαλμοῖσιν, καὶ ἐν τῷ σώματι δυσκινησίαν, καὶ τὰς κοιλίας ὑγραίνουσιν. εἴρηται δ' ἐν ἀφορισμοῖς ὑπ' αὐτοῦ, καὶ ἄλλα γε τινὰ περί τε φύσεως ὡρῶν καὶ τῆς ἀθρόας εἰς ἄλληλα μεταβολῆς, ὧν ἕκαστον κατὰ τὸν προσήκοντα καιρὸν μνημονεύσομεν. ἐν τῷ παρόντι τοῦτο μόνον ἀρκεῖ, διδαχθέντας τὰς πρώτας στοιχειώδεις δυνάμεις τῶν καταστάσεων ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους εἰρῆσθαι, καθ' ἃς χρὴ περὶ πασῶν τῶν ὁπωσοῦν καταστάσεων τῶν γινομένων ὁδῷ καὶ τάξει προϊόντας ἡμᾶς ἐξευρίσκειν, ὁποῖά τε τινὰ γενήσεται νοσήματα, καὶ ὅπως αὐτὰ κωλυτέον ἐστὶν, ἢ συστάντα θεραπευτέον. οὗτος γὰρ μέγιστος καρπὸς τῆς ἐνεστώσης πραγματείας. ἐν δὲ τοῖς στοιχειώδεσι τούτων, ἐστὶ καὶ ἡ χώρα συνενδεικνυμένη καὶ αὐτή τι πρὸς τὴν τῶν νοσημάτων πρόγνωσιν, ὥσπερ ἥ τε φύσις ἑκάστου, καὶ ἡ ἡλικία, καὶ τὸ ἐπιτήδευμα, καὶ ἡ δίαιτα. δέδεικται δ' ὑπ' αὐτοῦ σαφῶς ἐν τῷ περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων, ὁποῖα τὰ καθ' ἑκάστην χώραν πλεονάζει νοσήματα. δυνήσῃ τοιγαροῦν ὅθεν ἡ τοῦ περιέχοντος ἡμᾶς κατάστασις ἀμέτρως ψυχρὰ καὶ ὑγρὰ γινομένη, κατὰ τὴν ἑαυτῆς φύσιν ἐργάζεσθαι μέλλει τὰ ὑπ' αὐτοῦ δεδειγμένα νοσήματα, καὶ τὴν παρὰ τῆς οἰκήσεως ἔνδειξιν λαβεῖν ὁμοίαν τῇ παρὰ τῆς † τὸν καὶ τῆς φύσεως, καὶ τῶν ἐπιτηδευμάτων, καὶ τῆς ὅλης διαίτης. τὰ μὲν γὰρ ὑγρὰ καὶ ψυχρὰ τῆς φύσεώς τε καὶ κατὰ τὰς ἔξωθεν περιστάσεις, ῥᾷον ἁλώσεται τοῖς ὑπὸ

†ὥραις

†ἡλικίας

τῆς ὑγρᾶς καὶ ψυχρᾶς καταστάσεως ἑπομένοις νοσήμασι, τὰ δ' ἐναντία δυσχερέστερον. ἐὰν οὖν οἴκησις ὑγρὰ καὶ ψυχρὰ κατὰ τὸν ἑαυτοῦ λόγον, καὶ τὴν κατάστασιν ἔχοι τοιαύτην, ἕτοιμον τῶν οἰκείων τῇ καταστάσει νοσημάτων ἡ γένεσις ἔσται, συντελούσης τε καὶ τῆς οἰκήσεως, ὥσπερ γε πᾶσα ἡ ἀμέτρως θερμή ποτε γένοιτο καὶ ὑγρὰ κατάστασις, οἵαν ἐν τῷ β. τῶν ἐπιδημιῶν ἔγραψεν ἐν ἀρχῇ λέγων, ἄνθραξ ἐν καύμασιν ὕδατι λάβρῳ διόλου, συντελὴς δέ τι πρὸς τὴν τῶν εἰρημένων σηπεδονωδῶν νοσημάτων γένεσιν ἡ χώρα, μάλιστα μὲν εἰ κατ' ἄμφω δύσκρατος εἴη θερμοτέρα καὶ ὑγροτέρα καθεστῶσα. συντελεῖ δὲ καὶ κατὰ τὸ ἕτερον τούτων εἰ ἀμέτρως ἦ κεκραμένη, καθάπερ ἡ κρανὼν ἐν κοίλῳ καὶ μεσημβρινῷ χωρίῳ κειμένη. ἣ διὰ τοῦτο μάλιστα σηπεδονώδεσι νοσήμασι, τοῖς ἄνθραξιν ἁλίσκεται, πρὸς τοῖς ἄλλοις ἀτόποις, ἔτι καὶ διὰ τὸ τὰ βόρεια τῶν πνευμάτων ἀπεστράφθαι, πνεύσεσι καὶ ταῖς καλουμέναις νηνεμίαις κατεχομένη. κρανὼν μὲν οὖν τοιαύτη, θάσος δὲ τοὔμπαλιν. ἐστράφθαι γὰρ πρὸς τὰ βόρεια καὶ ψυχρὰ πνεύματα, καταντικρὺ τῆς θρᾴκης κειμένη. γενομένης οὖν τῆς καταστάσεως ὅλης ἐπὶ τὰ νότια, καὶ μετ' αὐχμῶν, οὐκ ἦν δυσάλωτον τὸ χωρίον ὅσον ἐφ' ἑαυτῷ τῇ καταστάσει. εἰ γὰρ μεσημβρινὸν ἦν ἔτι καὶ κοῖλον, δυσχερῶς ἂν ἡ εἰρημένη κατάστασις ἐγεγόνει λοιμώδης αὐτῇ, ὕδατα πολλά, ξυνεχέα μαλθακῶς. τριττῶς ὕδατα γίνεται πολλά, ποτὲ μὲν διὰ τὸν ὑετὸν αὐτὸν ἀθρόον ἐκρηγνύμενον, ἐνίοτε δὲ τῷ μήκει τοῦ χρόνου καὶ ψεκάδες ὦσι μόναι καθ' ἑκάστην ἡμέραν γινόμεναι, καὶ ποτ' ἀμφοῖν ἅμα συνελθόντων. ἔχεις δὲ αὐτῶν πάντων παραδείγματα γεγραμμένα, κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία. τοῦ μὲν πρώτου τρόπου τὴν κατάστασιν, ἧς ἄρχεται τόνδε τὸν τρόπον, ἐν θάσῳ περὶ ἀρκτοῦρον ὕδατα πολλά. δηλοῖ γὰρ ταῦτα τὰ μεγάλα, πλῆθος ὕδατος ἀθρόου. τοῦ δὲ δευτέρου τρόπου παράδειγμα τὸ νῦν εἰρημένον ἐστίν, ὕδατα πολλά, ξυνεχέα μαλθακῶς. τὸ γὰρ πλῆθος αὐτῶν ἠθροίσθη, διὰ τὸ συνεχὲς ἐν χρόνῳ πλείονι γίνεσθαι, καὶ μὴ καθάπαξ λάβρως ἐν ἑνὶ καιρῷ. τοῦ δὲ τρίτου τρόπου παράδειγμα ἐστὶ τὸ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ἐν ἀρχῇ γεγραμμένον. ἄνθραξ ἐν καύμασιν ὕδατι λάβρῳ διόλου. τὸ μὲν γὰρ λάβρον, πρὸς τὸν προειρημένον τρόπον κοινόν ἐστι, τὸ δὲ διόλου πρὸς τὸν δεύτερον. περὶ μὲν οὖν ἐκείνων τῶν καταστάσεων αὖθις εὑρήσομεν κατὰ τὸν οἰκεῖον ἑκάτερον, ἣν προκείμενον ἦν ἐν τῷ λόγῳ μεταξὺ τῆς φθινοπωρινῆς ἰσημερίας, καὶ τῆς ἀρχῆς τοῦ χειμῶνος γενομένης, ὕδατος καθ' ὅλην αὐτὴν ἔχει μαλθακῶς, ὡς αὐτὸς ἔφη, ὅπερ ἀντίκειται τῷ ἀθρόως καὶ λάβρως, καὶ σφοδρῶς.

Χειμὼν νότιος.

Ὅτι φθινοπώρου πέρας οἶδε καὶ αὐτὸς, τὴν τῆς πλειάδος δύσιν, ἣν διὰ συντόμου φωνῆς ὀνομάζει καὶ πλειάδα, σαφῶς ἐδήλωσεν εἰπὼν, μετὰ τὸ προειπεῖν περὶ ἰσημερίην καὶ ὑπὸ πλειάδος, γράψας τε ἐφεξῆς, χειμὼν νότιος, ὡς οὐδενὸς ὄντος μεταξὺ χρόνου διηγήσεως ἰδίας δεομένου, συνάπτοντος δὲ χειμῶνος τῇ δύσει τῆς πλειάδος.

Μικρὰ πνεύματα βόρεια.

Μικρά φησι πνεύματα γενέσθαι τοῦ χειμῶνος. εἰ δέ γε κατὰ τὴν ἑαυτοῦ φύσιν ὁ χειμὼν ἐπεραίνετο, πάντως ἂν ἐγένετο μεγάλα. καὶ κατὰ διττὸν τρόπον ὑπῆρξεν ἂν αὐτοῖς τοῦτο, καθάπερ καὶ νῦν ἔοικε γεγονέναι σμικρά, κατά τε τὸ ἴδιον μέγεθος αὐτῶν, καὶ κατὰ τὸ μῆκος τοῦ χρόνου. καὶ γὰρ ὀλίγαις ἡμέραις ἐγένετο βόρεια καὶ οὐκ ἰσχυρά, τοῦ χειμῶνος εἰθισμένου μέγαν ἴσχειν βορρᾶν ἐν χρόνῳ πολλῷ.

Αὐχμοί.

Τὴν ξηροτέραν τοῦ προσήκοντος κατάστασιν, αὐχμὸν ὠνόμασεν οὐ πάνυ τι συνήθως. εἰώθαμεν γὰρ οὐ τὴν ἁπλῶς ξηροτέραν, ἀλλὰ τὴν ἄκρως ξηρὰν ὀνομάζειν οὕτως. ἀμήχανον δέ ἐστι, καὶ ἄπιστον εἰς τοσοῦτον γενέσθαι τὸν χειμῶνα ξηρὸν, ὡς αὐχμηρὰν ἀπεργάζεσθαι τὴν γῆν ὥσπερ ἐν θέρει. οὐ γὰρ ἐν ἦρι τοιαύτη γίνεται κατάστασις, ᾗ νῦν ὅμοιον γεγονέναι φησὶ τὸν χειμῶνα τὸ σύνολον.

Τὸ σύνολον εἰς γε χειμῶνα ὁκοῖον ἔαρ γίνεται.

Ξηρότερον μὲν τῶν ἑαυτοῦ φησι γεγονέναι τὸν χειμῶνα, οὐ μὴν ὡσαύτως τῷ θέρει ξηρὸν, ὥστε καὶ τὸν αὐχμὸν ὃν ὀλίγον ἔμπροσθεν ἔφαμεν οὐ πάνυ τι κυρίως εἰρῆσθαι. δεκτέον οὖν ἐστιν οὐχ ἁπλῶς ὑπ' αὐτῶν εἰρῆσθαι νῦν, ἀλλ' ἐν τῷ πρός τι, καθάπερ μύρμηκα μέγαν, ἢ ὄρος μικρόν. ὡς γὰρ ὁ χειμὼν ἐγένετο νῦν οὐχ ἁπλῶς αὐχμηρὸς, ὥσπερ οὐδὲ μέγας μύρμηξ ἁπλῶς μέγας, ἀλλ' ὡς μέγας μύρμηξ. οὕτως τε οὖν τοῦ ὄρους τοῦ σμικροῦ σμικρότερός ἐστιν, ὅ, τε χειμὼν ὁ αὐχμηρὸς, ὑγρότερος τοῦ θέρους. ὥσπερ καὶ τὸν νῦν γεγενημένον χειμῶνα παραβάλλων εἶπε, τὸ ξύνολον εἰς χειμῶνα ὁκοῖον ἔαρ γίνεται.

Ἦρ δὲ νότιον, ψυχινὸν, μικρὰ ὕσματα.

Ἔοικεν οὖν εἰρηκέναι τὸ ἔαρ νότιον, οὐχ ὡς οὐδ' ὅλως ἐν αὐτῷ γενομένων τῶν βορείων, ἀλλ' ὡς ὀλιγίστων ἐν ἀρχῇ, καὶ οὕτως ὀλίγον ὥστε τὴν ὅλην κατάστασιν τῆς ὥρας ἐκείνης νότιον εἰπεῖν.

Θέρος ὡς τὸ πολὺ ἐπινέφελον, ἀνυδρίαι, ἐτησίαι ὀλίγαι, σμικραὶ, διεσπασμένως ἔπνευσαν.

Εἴ τις ἅπαντα τὰ περὶ τοῦ θέρους εἰρημένα συνθείη, φαίη ἂν καὶ τοῦτο νότιόν τε καὶ αὐχμηρὸν ἅμα γεγονέναι.

Γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετὰ αὐχμῶν.

Οὐχ ὡς οὐδέποτε γενομένης ἐκδοχῆς ὑδάτων ἐν ὅλῳ τῷ ἔτει τὸ μετ' αὐχμῶν εἶπεν, ἀλλ' ὡς ὀλιγίστων παντάπασιν. πλὴν γὰρ τοῦ πρώτου χρόνου τοῦ μετὰ τὴν φθινοπωρινὴν ἰσημερίαν ἄχρι πλειάδος, πᾶς ὁ λοιπὸς ἐπικρατοῦσαν ἔσχηκεν ἱκανῶς τὴν ἀνυδρίαν. ἀγωγὴν δὲ δηλονότι τὴν κατάστασιν ὠνόμασε τοῦ περιέχοντος, εἴπερ οὖν

ἀληθὲς

ἀληθές ἐστιν ὡσαύτως τῷ περιέχοντι συνεξαλλοιοῦσθαι τὰ τῶν ζώων σώματα, κατὰ μὲν τοὺς ὄμβρους ὑγρότερα γενήσονται, κατὰ δὲ τοὺς αὐχμοὺς ξηρότερα. καὶ κατὰ μὲν τὰς θερμότητας ἐπικρατούσας ἡ κεφαλὴ ῥωστική, κατὰ δὲ τὰς ψυχρότητας, αὕτη μὲν ἔσται κουφοτάτη. τὰ δὲ κατὰ θώρακα καὶ πνεύμονα μόρια, πονέσει. τῇ τοίνυν εἰρημένῃ καταστάσει, περὶ ἧς πρόκειται σκοπεῖσθαι μεταξὺ τὴν φύσιν ἐχούσῃ, τῆς τε αἰθρίου καὶ καθαρᾶς ἀκριβῶς, καὶ τῆς μετ' ὄμβρων, ὁμοιούμενα τὰ σώματα μέσην ἕξει κατάστασιν κράσεως, ἣν ἐπίτρεψόν μοι καλέσαι νεφελώδη. τοιούτου γὰρ ὄντος τοῦ περιέχοντος, ὑποκειμένης δὲ καὶ τοῦ συναλλοιοῦσθαί τε καὶ συνεξομοιοῦσθαι τούτῳ τὰ σώματα, σαφηνείας ἕνεκεν οὐδὲν ἂν εἴη χεῖρον ὀνομάζεσθαι τὴν ἐν αὐτοῖς γινομένην κατάστασιν, οἷον νεφελώδη τινά. καθάπερ οὖν ὅταν ὁ χειμὼν φυλάττῃ τὴν οἰκείαν κρᾶσιν, ἀναγκαῖον ἐστὶν ὑγρὸν καὶ ψυχρὸν χυμὸν γεννηθῆναι τὸ φλέγμα. τοῦ θέρους δ' ἔμπαλιν, τὸ θερμὸν καὶ ξηρὸν, τὴν ὠχρὰν χολήν. οὕτως ὁπότε νεφελῶδες ἐστὶ τὸ περιέχον, ἐπικρατεῖ τις τῶν χυμῶν, ἐν μὲν ταῖς φλεγματικαῖς φύσεσι ὁμιχλῶδές τε καὶ νεφελῶδες, ὡς ἂν εἴποι τις φλέγμα. κατὰ δὲ τὰς πικροχόλους αὖ πάλιν ἡ ὁμιχλώδης τε καὶ νεφελώδης χολή. διὰ παντὸς μὲν γὰρ ἀπορρεῖ τι τοῦ σώματος ἡμῶν ἀτμῶδες, ἀλλ' ἐν μὲν ταῖς ξηραῖς καταστάσεσι πλεῖστον, ἐν δὲ ταῖς ὑγραῖς ὀλίγιστον. ἀθροιζόμενον οὖν ἐν δὴ τούτῳ, παραπλήσιον ὁμίχλῃ καὶ ἀχλύϊ τὸ σύμφυτον ἡμῶν ἐργάζεται πνεῦμα. ὅμοιον γάρ ἐστι ἐν τῷ περιέχοντι τὰ ζῶα πνεύματι ὁ ἀτμὸς, ὥστε κἀνταῦθα θαρσήσας ἄν τις, εἴποι ἐν τοιαύτῃ καταστάσει γίνεσθαι τὸ ἐν ἡμῖν πνεῦμα. καὶ μὴν ὅταν ὁμίχλη τις ἢ ἀχλὺς ἐν ἑνὶ χρόνῳ ᾖ, πάσχουσα δύο ταυτὶ παθήματα, τό, τ' ἀναφέρεσθαι καὶ τὸ πιλοῦσθαι, νεφέλη γίνεται λευκή. αὐτὸ μὲν γὰρ ὑγρότητος, Βορείου τοῦ ἀέρος ἀκριβῶς ὄντος, οὐκ ἄν ποτε γένοιτο νέφος. ἤτοι δὲ λαμπρὸν, ἢ μέλαν ἀποτελεῖται τοῦτο διὰ ἀραίωσιν ἢ πίλησιν. ἀραιούμενον οὖν τὸ νέφος, εἰς ἑαυτὸ καταδέχεται τὸ τοῦ ἡλίου φῶς, καὶ ἤδη τοῦτο φαίνεται λαμπρὸν, ὡς ἂν ἐκλαμπούσης αὐτῷ τῆς ἡλιακῆς αὐγῆς, ὥσπερ ἐν τοῖς διαφανέσι σώμασιν. πιληθέντος δὲ καὶ πυκνωθέντος τοῦ νέφους, οὐ διέρχεται μὲν αὐτὸ τὸ ἡλιακὸν φῶς, μέλαν δ' εἰκότως φαίνεται τὸ τοιοῦτον, ὥσπερ καὶ αὐτὸς ὁ ἀὴρ τῆς νυκτὸς, ἀπολιπόντος αὐτὸν τοῦ παρ' ἡλίου φωτός. καὶ φαίνεται σαφῶς ὁμίχλη πολλάκις μὲν ἐπὶ τὴν γῆν καταρρέουσα, καὶ καλεῖται τὸ τοιοῦτον δρόσος, ἐνίοτε δ' εἰς ὕψος αἰρομένη, καὶ περιφανῶς γινομένη νέφος, ἤτοι λευκὸν, ἢ μέλαν. λευκὸν μὲν, ὅταν ὡς εἰπεῖν εἰς ὅλον αὐτὸ δέξηται τὴν ἡλιακὴν αὐγὴν, μέλαν δὲ ἐπειδὰν μηδ' ὅλως ὑποδέχηται. τὰ δ' ἄλλα τὰ μεταξὺ τούτων χρώματα κατὰ τὸ ποσὸν τῆς κεραννυμένης αὐγῆς τὰ νέφη λαμβάνει. καί σοι τάχα δόξει διαφέρεσθαι πρὸς ἑαυτὸν ὁ λόγος, ἀναφέρεσθαί τε λέγων εἰς ὕψος τὴν ὑγρότητα καὶ πιλοῦσθαι. τὸ μὲν γὰρ ἀναφέρεσθαι, θερμότητος ἔργον ἐστὶν, τὸ δὲ πιλοῦσθαι ψυχρότητος. οὐ δυνατὸν δ' ἐστι ταυτὸν ἅμα θερμὸν εἶναι καὶ ψυχρόν. ἀλλ' ἐὰν ἐννοήσῃς αὐτὴν μὲν τὴν ἀναφερομένην ἀτμίδα θερμὴν εἶναι, καὶ διὰ τοῦτο πρὸς τὸ μετέωρον αἴρεσθαι, τὸν δ' ὑποδεχόμενον αὐτὴν ἀέρα ψυχρὸν, οὐκέτι ἀπορήσεις ὅπως ἀναφέρεταί τε ἅμα καὶ πιλεῖται. τὸ μὲν γὰρ ἀναφέρεσθαι, παρ' ἑαυτῆς ἕξει. τὸ δὲ συνάγεσθαι καὶ σφίγγεσθαι, διὰ τὸν ὑποδεχόμενον ἀέρα. καὶ ὅσῳ δ' ἂν ᾖ ψυχρότερος οὗτος, τοσούτῳ μᾶλλον πιλήσει τε καὶ συνάξει τὴν ἀναφερομένην ὁμίχλην. ὅταν οὖν ὁ ἀὴρ μήτε θερμαίνῃ ἐναργῶς, μήτε ψυκτικὴν ἔχει τοιαύτην, ἀναγκαῖον ἐστὶν ἐν αὐτῷ διαμένειν τὴν ὑψωθεῖσαν ὁμίχλην οἵαπερ ἦν ἐξ ἀρχῆς, καὶ γίγνεσθαι λευκὸν μὲν ἀκριβῶς ἐξ αὐτῆς νέφος, ἐπειδὰν ὑπὸ τῆς ἡλιακῆς αὐγῆς κινηθῇ, μεταξὺ δὲ λευκοῦ τε καὶ μέλανος, ὅταν μὴ τελέως αὐτὴν ὁ ἥλιος καταλάμπῃ. μὴ τοίνυν θαύμαζε, διατί τὰ σώματα τῶν ζώων ὁμοίαν ἴσχει ποτὲ τοιάνδε κατάστασιν τὴν ἐν αὐτοῖς διάθεσιν, ἀλλὰ πείθου λέγοντος Ἱπποκράτους, νότοι βαρυήκοοι, ἀχλυώδεις, καρηβαρικοί, νωθροί, διαλυτικοί. διηγεῖται γὰρ ἐν τῷ λόγῳ τῷδε τὰ παθήματα τοῦ σώματος, ἃ πάσχει μὲν ἐν τοῖς νοτίοις καταστάσεσιν, ὥστε ὥσπερ τὸ βαρυήκοοι, καὶ διαλυτικοί, καὶ νωθροὶ κατὰ τῶν ὑπὸ τοῦ νότου γινομένων ἐν τοῖς ἡμετέροις σώμασιν εἴρηται, προδήλως οὕτως ἡγεῖσθαι χρὴ καὶ τὸ ἀχλυῶδες λελέχθαι, τῆς ἐν ἡμῖν ἀθροιζομένης ἀχλύος δι' αὐτὸν δηλωτικὸν ὄν, οὐ τῆς τοῦ περιέχοντος.

Πρωῒ μὲν τοῦ ἦρος ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης, καὶ βορείου γενομένης, ὀλίγοισιν ἐγίνοντο καῦσοι, καὶ τουτέοισι πάνυ εὐσταθέες, καὶ ὀλίγοις ἡμορράγησαν, οὐδ' ἀπέθνησκον ἐκ τουτέων.

Ὅτι μὲν ὀλιγοχρόνιος ἡ βόρειος κατάστασις ἐγένετο πρωῒ τοῦ ἦρος, εὔδηλόν ἐστιν ἐκ τοῦ τὴν ὅλην κρᾶσιν προειρῆσθαι πρὸς αὐτοῦ νότιον, οὐκ ἂν οὕτως εἰπόντος, εἰ μὴ ἐπὶ πολλὰς ἡμέρας ἔπνευσεν ὁ Βορρᾶς. ὅμως δὲ καὶ πρὸς ὀλίγας ἡμέρας γενομένου Βορείου τοῦ περιέχοντος, καυσώδη τινὰ νοσήματα συνέπεσεν ὀλίγοις, ἐπιεικῆ πάνυ καὶ ταχέως καθιστάμενα. φησὶ γὰρ, καὶ τούτοισι πάνυ εὐσταθέες. γράφουσι δ' ἔνιοι οὐ πάνυ εὐσταθῆ, τινὲς δὲ εὐσταθέα, κατὰ τὴν ἰωνικὴν γλῶτταν, ἐν ἴσῳ τῷ μέτρῳ καὶ οὐδὲν ὀλέθριον ἔχοντα. καὶ μέντοι καὶ ὀλίγοις αἱμορραγῆσαι φησὶν, ὅπερ ἦν ἴδιον τῶν σφοδρῶν καύσων, ὥσπερ καὶ τὸ παραληρεῖν καὶ τὸ ἀποθνήσκειν, ἅπερ οὐδ' αὐτοῖς τοῖς τότε γενομένοις συνέπεσεν, ἀλλὰ μετριώτατοί τε καὶ ὀλιγίστοις ἐγένοντο, τοῦ σφοδροῦ καὶ ὡς ἂν εἴποι τις γνησίου καύσου τὴν γένεσιν ἐπὶ τῇ ξανθῇ χολῇ λαμβάνοντος, ἣν δὴ καὶ ὠχρὰν χολὴν ὀνομάζουσι. ταύτην δ' ὡς ἐδείκνυμεν ἐν τῇ προκειμένῃ καταστάσει, μόνον κατὰ τὸ προγεγονὸς θέρος ἔχον αἱ φύσει χολώδεις οὐ πολλήν, οὐκ ἐν τῷ μετὰ ταῦτα χρόνῳ, διὰ τὸ τὴν εἰρημένην κατάστασιν ὑγρὰν οὖσαν, ἔτι καὶ μᾶλλον ἀχλυώδη τε καὶ ὁμιχλώδη γενέσθαι. εἰκότως οὖν ὀλίγοις τε συνέπεσεν ὁ καῦσος, οἳ πάνυ χολώδεις ἦσαν, καὶ τούτοις οὐκ ἀκριβὴς, οὐδὲ σφοδρὸς, ἀλλ' ἐπιεικὴς καὶ λυθῆναι ῥᾳδίως. οἷς δ' οὖν συνέβη, διὰ τήνδε τὴν αἰτίαν ἐγένετο. προηγεῖται μὲν δὴ τὸ θέρος τοῦ φθινοπώρου κατὰ φύσιν ἔχον. ἄρχεται γὰρ ὁ Ἱπποκράτης τῆς τῶν καταστάσεων διηγήσεως, ὅταν πρῶτον εἰς τὸ παρὰ φύσιν ἐκτραπῇ τὸ περιέχον. ἀναγκαῖον δ' ἦν ἐν τῷ κατὰ φύσιν θέρει τοῖς πάνυ χολώδεσιν ἠθροῖσθαι πλέονα τὸν χυμὸν τοῦτον. ἐφεξῆς οὖν ἡ γενομένη κατάστασις ἐν ἅπαντι τῷ χειμῶνι μέχρι τοῦ ἦρος, οὔτ' ηὔξησέ τι τὸν χυμὸν τοῦτον. οὐ γὰρ ἦν θερμὴ σφοδρῶς καὶ ξηρὰ καθάπερ τὸ θέρος, †τοῦτ' ἐμία θερμή. τὸ γὰρ ἱκανῶς ψυχρὰ καθάπερ ὁ κατὰ φύσιν ἔχων χειμών, ἀλλ' οὐδὲ

τοῦτ' ἐμείωσέ τι

διεφόρησεν, οὐ γὰρ ἦν ἀκριβῶς ξηρά. λείπεται τοίνυν αὐτὸν διαφυλαχθῆναι προσλαβόντα τὴν οἷον ἀχλυώδη τε καὶ ὁμιχλώδη, διὰ τὴν τοῦ περιέχοντος ὀλίγην ὑγρότητά τε καὶ θερμότητα συντραφεῖσαν ἀτμίδα. πρωῒ δὲ τοῦ ἦρος ἐξαίφνης ἀήθως γενομένου τοῦ Βοῤῥᾶ, πρὸς τὸ βάθος τοῦ σώματος ὠθουμένων ὑπ᾽ αὐτοῦ τῶν χυμῶν, ὁ λεπτότατος πρῶτος ἐῤῥύη, καὶ οὕτως εἰργάσατο τὸν καῦσον. οὐ γὰρ ἐν οἷς ἔτυχε μορίοις ἀθροιζόμενος τοῦ σώματος ὁ χυμὸς οὗτος ἐργάζεται καῦσον, ἀλλὰ περί τε τὴν γαστέρα, καὶ ταύτης μάλιστα τὸ στόμα καὶ τοῦ ἥπατος τὰ σιμά, καὶ ὁμοίως οὐχ αἱμοῤῥαγεῖ. ἴδιον εἴπερ τι ἄλλο τῶν ἀκριβῶν καύσων ἐστὶ, τὸ δι᾽ αἱμοῤῥαγίας κρίνεσθαι, καλεῖ δ᾽ αἱμοῤῥαγίαν ὁ Ἱπποκράτης αὐτὸ τοῦ προσθεῖναι τὸ μέρος ἐξ οὗ κενοῦται τὸ αἷμα τὰς ἐκ τῶν μυκτήρων ἀποτελουμένας. οὐδὲν δὲ ἐστὶ θαυμαστὸν, ἀναστομοῦσθαί τε καὶ ἀναῤῥήγνυσθαι τὰς ἐνταῦθα φλέβας ὑπὸ τοῦ αἵματος ἐπὶ τὸ μετέωρον ἀναφερομένου διὰ τὴν θερμασίαν, ὑφ᾽ ἧς ἀναγκαῖον ἐστὶν αὐτὸ καὶ πνευματοῦσθαι, καὶ τότε τὰς φλέβας ἀναστομοῦσθαί τε καὶ ἀναῤῥήγνυσθαι διὰ τὸ τοῦ πνεύματος πλῆθος, ὃ καὶ τοὺς ἀσκούς τε καὶ τοὺς πίθους ῥήγνυσιν ἀθροιζόμενον ἐν τῷ γλεύκει ζέοντι. τοῦτ᾽ οὖν τὸ σύμπτωμα τοῖς τότε γενομένοις καύσοις οὐκ ἠκολούθησεν οὖσί γε μετρίοις ὡς προείρηται.

Ἐπάρματα δὲ παρὰ τὰ ὦτα πολλοῖσιν ἑτερόῤῥοπα ἦν, καὶ ἐξ ἀμφοτέρων τοῖσι πλείστοισιν, ἀπύροισιν ὀρθοστάδην. ἔστι δ᾽ οἷς καὶ σμικρὰ ἐπεθερμαίνοντο, κατέσβη πᾶσιν ἀσινέως, οὐδ᾽ ἐξεπύησεν οὐδενί, ὥσπερ τὰ ἐξ ἄλλων προφασίων. ἦν δ᾽ ὁ τρόπος αὐτέων, χαῦνα, μεγάλα, κεχυμένα, οὐ μετὰ φλεγμονῆς, ἀνώδυνα, πᾶσιν ἀσήμως ἠφανίσθη.

Τὰ εἰρημένα πάντα, διὰ τὴν πλεονεξίαν ἐγένετο τῆς ἀχλυώδους οὐσίας, ὑφ᾽ ἧς τὰ μὲν ἅμα τῷ φλέγματι πέφυκε γίνεσθαι, τὰ δὲ ἅμα τῇ ξανθῇ χολῇ, τὰ ἐρυσιπελατώδη. ὅταν δ᾽ ἅμα τῷ αἵματι, τὰ φλεγμονώδη. καθίσταται δὲ ἅπαντα ῥᾳδίως, διαφορουμένης τῆς τοιαύτης οὐσίας ἑτοίμως. ἔμπαλιν δ᾽ αὐτῆς ὅσα διὰ παχὺν καὶ γλίσχρον γίνεται χυμὸν, δυσδιαφόρητα δεινῶς ὑπάρχει. τὰ δ᾽ ἐν τῇ προκειμένῃ καταστάσει γεγενημένα χαῦνά τε ἦν, τουτέστι μαλακὰ, καὶ ὑπείκοντα τοῖς δακτύλοις, καὶ κατὰ τὴν ἐπίθεσιν αὐτῶν βοθρούμενα, καὶ οὐ μετὰ φλεγμονῆς, ὅπερ ἐστὶν οὐ μετὰ φλογώσεως, ἀνώδυνά τε διὰ τὸ μηδέτερον αὐτοῖς συνεῖναι τῶν τὰς ὀδύνας ἐργαζομένων. ἔστι δὲ ταῦτα, τάσις τῶν σωμάτων καὶ δυσκρασία σφοδρά. τάσις μὲν οὖν γίνεται διὰ τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς ἐμφραττομένους δυσλύτως τοῖς πάσχουσι μέρεσι. δυσκρασία δ᾽ ἰσχυρὰ, διὰ τὸ θερμοὺς ἄγαν, ἢ ψυχροὺς ὑπάρχειν αὐτοὺς, ὥστ᾽ εἰκότως ἀνώδυνα τὰ χαῦνα καὶ χωρὶς ἑλκώσεως ἐστὶν οἰδήματα. διότι δὲ τοιαῦτ᾽ ἦν καὶ ῥᾳδίως ἐλύετο, διὰ ταῦτ᾽ οὐκ ἐξεπύησεν, ὥσπερ τὰ ἐπ᾽ ἄλλαις προφάσεσιν. ὀνομάζει δὲ προφάσεις ὁ Ἱπποκράτης, ἐνίοτε μὲν ὡς ἔθος ἐστὶ τοῖς πολλοῖς, ἐπὶ τῶν ψευδῶς λεγομένων αἰτίων φέρων τοὔνομα, πολλάκις δὲ τὰς φανερὰς αἰτίας οὕτως καλεῖ, καί ποτε καὶ πάσας τὰς ἁπλῶς, ἀλλὰ νῦν γε τὰς ἐπὶ ἄλλαις προφάσεσιν ἐκπυήσεις εἴρηκεν, ὅσας ἐδίδαξεν αὐτὸς ἐν πυρετοῖς γινομένας, ἐν οἷς μὲν ἠθροισμένοι εἰσὶ χυμοὶ πολλοὶ παχεῖς καὶ ὠμοί. διὰ δὲ τὴν σφοδρότητα καὶ τὴν ὀξύτητα, καὶ τὸ πλῆθος τῆς θερμασίας τοῦ πυρετώδους, ἀναφέρονται πρὸς τὴν κεφαλὴν, εἶτ᾽ ἀποτιθεμένης αὐτοὺς τῆς φύσεως εἰς τοὺς ἐπὶ τοῖς ὠσὶν ἀδένας, αἱ καλούμεναι γίνονται παρωτίδες. οὐκ οὖν τοιαύτη τις ἦν περιουσία χυμῶν εἰς τὴν νῦν γενομένην κατάστασιν, καὶ φθάσαντα διεφορήθη τὰ συστάντα παρὰ τοῖς ὠσὶν οἰδήματα διὰ τὸ πνευματῶδες τῆς οὐσίας. εὔδηλον οὖν ὅτι τὰ μὲν καυσώδη μετὰ τὴν ἀρχὴν τοῦ ἦρος ἐγένετο τῶν Βορείων πνευσάντων. αἱ δ᾽ εἰρημέναι παρωτίδες, ἐν τῷ λοιπῷ χρόνῳ παντί. μετεωρίζονται δ᾽ ἧσσον εἰκότως, δι᾽ ἃς εἶπον αἰτίας, ὥστε καὶ ὀρθοστάδην ὑπ᾽ αὐτῶν ἐνοχλεῖσθαι τοὺς ἀνθρώπους, ὅπερ ἐστὶ φέρειν αὐτὰς ἀλύπως περιερχομένους, καὶ πράσσοντας τὰ συνήθη, καὶ μὴ καταναγκαζομένους κλινήρεις γίνεσθαι, καθάπερ ἐν τοῖς σφοδροτέροις νοσήμασι. τά τε γὰρ ἄλλα καὶ οὐδ᾽ ἐπύρεσσον ἀξιολόγως, ἀλλ᾽ εἰ καί πού τις ἐξ αὐτῶν ἐγένετο θερμότερος, ἐπὶ βραχὺ τοῦτ᾽ ἔπασχε, διὰ τὴν τοῦ πλεονάσαντος, ὡς εἴρηται, χυμοῦ φύσιν, ἀτμώδους τοῦ πλέονος ὄντος καὶ ψυχροῦ.

Ἐγένετο δὲ ταῦτα μειρακίοισι, νέοισιν, ἀκμάζουσι, καὶ τουτέων τοῖσι περὶ παλαίστρας καὶ γυμνάσια πλείστοισι, γυναιξὶν δ᾽ ὀλίγῃσιν ἐγένετο.

Κοινὸν τοῦτ᾽ αἴτιον, ἐπὶ πάντων τῶν ἀποσκημμάτων ἐπίστασθαι χρὴ λελεγμένον ὑπ᾽ αὐτοῦ δι᾽ ἄλλων, ὡς οἱ μὲν θερμότεροι τῶν χυμῶν, εἰς τὰ μετέωρα τοῦ σώματος ἀποσκήπτουσιν, οἱ δὲ ψυχρότεροι κάτω. ἐπεὶ τοίνυν ὁ πλεονάσας ἐν τῇ καταστάσει χυμὸς, ὑπόψυχρός τε καὶ ἀτμώδης ἦν, ἐν τῷ μέσῳ τὴν φύσιν καθεστὼς τῶν τ᾽ ἄνω ῥᾳδίως φερομένων, καὶ τῶν κάτω ῥεπόντων, διὰ τοῦτο μόνοις τοῖς θερμοτέροις τὴν κρᾶσιν, ἢ διὰ τὴν ἡλικίαν, ἢ διὰ τὸ ἐπιτήδευμα, τὴν ὁρμὴν ἔσχεν ἐπὶ τὴν κεφαλήν. ἴσμεν δ᾽ ὅτι τὰ μειράκια διὰ τὴν ἡλικίαν, οὐ διὰ τὸ ἐπιτήδευμα θερμὰ, καθάπερ γε καὶ οἱ ἀκμάζοντες. οἱ δὲ περὶ παλαίστρας καὶ γυμνάσια διατρίβοντες, ἐκ τῶν ἐπιτηδευμάτων. εἰκότως γοῦν ὀλίγαις γυναιξὶν ἐγένοντο, ταῖς δηλονότι νέαις τε καὶ φύσει θερμοτέραις, καὶ μὴ πάνυ τι βίον ἀργὸν ἐζηκυίαις.

Πολλοῖσι δὲ βῆχες ξηραὶ, βήσσουσι καὶ οὐδὲν ἀνάγουσι, καὶ φωναὶ βραγχώδεες οὐ μετὰ πολύ.

Τίνες μὲν αἱ ξηραὶ βῆχές εἰσιν, αὐτὸς ἐδήλωσεν εἰπὼν, οὐδὲν ἀνάγουσι. γίνονται δ᾽ αὗται, ποτὲ μὲν ἐπὶ τραχύτητος μόνης, τῶν κατὰ τὴν φάρυγγα καὶ λάρυγγα μορίων, οὐδεμιᾶς ἐν τῷ πνεύμονι περιουσίας ὑγρῶν οὔσης. οὗτοι μὲν οὖν οὐδὲν ἀναπτύουσι, τῷ μηδ᾽ ὅλως ἔχειν τι περιττὸν, ἀναγωγῆς τε καὶ κενώσεως δεόμενον. ἕτεραι δὲ βῆχες γίνονται ξηραὶ, διὰ δυσκρασίαν τῶν ἀναπνευστικῶν ὀργάνων, ἐφ᾽ ὧν οὐδ᾽ αὐτῶν ἐστί τι ἀναπτυσθῆναι δεόμενον. ἄλλαι δ᾽ αὖ γίνονται μὲν ὑγρῶν περιεχομένων αὐτοῖς ἐκκριθῆναι δεομένων, ἀλλ᾽ οὐκ ἐκκρίνεται ταῦτα διὰ διττὴν αἰτίαν, ἢ τῷ γλίσχρα τ᾽ εἶναι καὶ παχέα, καὶ δυσαπολύτως ἐμπεπλάσθαι τοῖς κατὰ τὸν πνεύμονα βρόγχοις, ὅπερ ἐπὶ τῶν ἀπύ-

τῶν ὀνομαζομένων γίνεται πλευριτίδων, ἢ τῷ τὸ καταφερόμενον ὑγρὸν ἀπὸ τῆς κεφαλῆς, λεπτὸν εἶναι κατὰ τὴν σύστασιν, οἷόν περ τὸ ὕδωρ. φθάνει γὰρ τὸ τοιοῦτον ἐν τῷ καταφέρεσθαι, διά τε τοῦ λάρυγγος καὶ τῆς τραχείας ἀρτηρίας ἐν τῷ πνεύμονι †χέεσθαι, πρὶν ὑπὸ τῶν περὶ τὰς βῆχας ἀναχθῆναι πνεύματος, ὅπερ καὶ τότε τοῖς Θασίοις ἔοικεν εἶναι, πεπληρωμένης μὲν ὑπὸ τῆς νοτίου καταστάσεως τῆς κεφαλῆς αὐτῶν, ἐπιπεμπούσης δὲ ῥεῦμα τοῖς κατὰ θώρακα πᾶσι χωρίοις. ὅτι δὲ τοιαύτη ἦν ἡ βήξ, μαρτυρεῖ καὶ τὸ συνεδρεῦον αὐτῇ σύμπτωμα. βραγχώδεις γάρ φησιν οὕτω βήσσοντες ἐγίνοντο, διαβρεχομένων δηλονότι τῶν ὀργάνων τῶν φωνητικῶν πρὸς τῆς καταφερομένης ὑγρότητος, ὡς ἐν τοῖς περὶ φωνῆς ἐπιδέδεικται.

Τοῖσι δὲ μετὰ χρόνον, φλεγμοναὶ μετ᾽ ὀδύνης εἰς ὄρχιν ἑτερόῤῥοπαι, τοῖσι δ᾽ εἰς ἀμφοτέρους.

Τοῦ κατενεχθέντος ἐκ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα, μέρος τι κατὰ τὴν κοινωνίαν τῶν ὀργάνων εἰς τοὺς ὄρχεις ἀφίκετο. λέλεκται δ᾽ αὐτῷ περὶ τῆς κοινωνίας τῶν γεννητικῶν μορίων πρὸς τὰ κατὰ θώρακα δι᾽ ἑτέρων γραμμάτων, ἀλλὰ τοῦτό γε τὸ κατασκῆψαν εἰς τοὺς ὄρχεις κακοηθέστερον ἦν ἤδη, οὐκέτ᾽ ὅμοιον τῷ ἐξ ἀρχῆς, ὡς ἂν ἐν χρόνῳ πλείονι διασεσηπὸς ἐν τοῖς κατὰ πνεύμονα χωρίοις. εἰκότως τοιγαροῦν αἱ περὶ τοὺς ὄρχεις φλεγμοναὶ μετ᾽ ὀδύνης ἐγίνοντο, καὶ οὐχ ὥσπερ αἱ παρωτίδες ἀνώδυνοι. τοῦ δ᾽ ἤτοι τὸν ἕτερον ὄρχιν, ἢ ἀμφοτέρους δέξασθαι τὴν περιουσίαν τῶν ὑγρῶν, αἴτιον ἦν τὸ ποσὸν ἐν αὐτοῖς. οἷς μὲν ὀλίγον ἀφίκετο, περὶ τὸν ἕτερον ὄρχιν ἐστηρίζετο. οἷς δὲ πλέον, κατ᾽ ἀμφοτέρους.

Πυρετοὶ τοῖσι μὲν, τοῖσι δ᾽ οὔ.

Τοὺς πλεονάσαντας χυμοὺς ἔφαμεν, οὔτε θερμοὺς ἰσχυρῶς, οὔτε ψυχροὺς ἄγαν εἶναι, μεταξὺ δ᾽ ἀμφοῖν τῇ φύσει καὶ μέσους τῇ κράσει, ὥστε παρά τε τὰς ἡλικίας, καὶ τὰς φυσικὰς κράσεις, καὶ τὰ ἐπιτηδεύματα τῶν νοσούντων, τοῖς μὲν ἐπὶ τὸ θερμότερον ἔῤῥεπε, καὶ κατὰ τοῦτ᾽ ἐπύρεξαν, ἔνιοι δὲ τὴν ἐξ ἀρχῆς ἐφύλαξαν κρᾶσιν, οὐχ ἱκανὴν οὖσαν ἐγεῖραι πυρετούς.

Ἐπιπόνως ταῦτα τοῖσι πλείστοισι.

Κατὰ πάντων ὧν εἶπεν, ἐπιπεφώνηκε τοῦτο. προείρηκε δὲ βῆχάς τε καὶ φωνὰς βραγχώδεις καὶ ἀποστάσεις εἰς ὄρχιν, καί τισιν αὐτῶν καὶ πυρετούς. ταῦτ᾽ οὖν φησι τὰ συμπτώματα τοῖς πλείστοις τῶν καμνόντων ἐπιπόνως συμβῆναι, τουτέστιν οὐκ εὐφόρως, οὐδ᾽ ὥστε ῥᾳδίως ἀνέχεσθαι περιιόντας ὀρθοστάδην, ἀλλὰ τοὺς πλείστους αὐτῶν γενέσθαι κλινήρεις, ὡς ἂν ἀεὶ καὶ μᾶλλον ἐν χρόνῳ προϊόντι τῶν ἠθροισμένων περιττωμάτων δριμυτέρων τε καὶ κακοηθεστέρων γινομένων. αἱ γάρ τοι νότιοι καταστάσεις χρονίζουσαι, σηπεδόνας ἐργάζονται, καὶ μάλισθ᾽ ὅταν ὦσιν ὑγραί. τῆς δὲ νῦν καταστάσεως οὐ γενομένης ὑγρᾶς, μέχρι πλείστου μὲν οὐδὲν ἀνιαρὸν ἔπασχον τὰ σώματα, τῷ χρόνῳ δ᾽ εἰς τὸ πάσχειν ἀφίκετο, καὶ τοιαῦτα συνέβη τισὶν αὐτῶν ὕστερον, οἷα κατ᾽ ἀρχὰς εὐθέως πᾶσιν ἦσαν, εἰ νότιος κατάστασις ὑγρὰ ἐγένετο.

Τὰ δ᾽ ἄλλα ὁκόσα κατ᾽ ἰητρεῖον, ἀνόσως διῆγον.

Διχῶς ἔστιν ἐν τοῖς ἀντιγράμμασιν εὑρεῖν τὴν κατ᾽ ἰητρεῖον φωνήν. ἐν τισὶ μὲν ὡς εἴρηται νῦν τῆς ἐσχάτης συλλαβῆς διὰ τοῦ ο. γραφομένης, ἐν τισὶ δὲ διὰ τοῦ η. σημαινούσης, τῆς μὲν προτέρας γραφῆς τὰ περὶ τὸ ἰητρεῖον πραττόμενα, τῆς δὲ δευτέρας γραφῆς, τὰ κατὰ τὴν ἰατρικὴν ὕλην, ὡς ἤτοι τῶν κατὰ τὸ ἰητρεῖον ἔργον ἐπὶ τοῖς κάμνουσι γινομένων, ἔξω καθεστηκέναι τοὺς Θασίους, ἢ τῶν καθ᾽ ὅλην τὴν ἰατρικὴν τὰ προειρημένα πασχόντων τῶν καμνόντων. καθ᾽ ἑκατέραν δὲ τήν τε γραφὴν καὶ τὴν διάνοιαν, φαίνεται τὸ μετρίως ἐνοχληθῆναι τοὺς ἀνθρώπους ἐν τῷ χρόνῳ τοῦ ἦρος, ὡς ἂν τῆς τὰς νόσους ἐργαζομένης αἰτίας, οὐδέπω τι κακόηθες ἐχούσης, ὃ προϊόντος ἔσχε τοῦ χρόνου.

Πρωῒ δὲ τοῦ θέρεος ἀρξαμένου, καὶ διὰ θέρεος, καὶ κατὰ τὸν χειμῶνα, πολλοὶ τῶν ἤδη πολὺν χρόνον ὑποφθειρομένων, φθινωδέες κατεκλίθησαν. ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι, πολλοῖσιν ἐβεβαίωσε τότε.

Οὓς ἔμπροσθεν εἶπον βήσσειν μὲν, ἀναγόμενον δὲ οὐδὲν ἐν τῷ ἦρι, τούτους ἐν τῷ θέρει φησὶ, καὶ τῷ μετὰ θέρος χρόνῳ φθινώδεις γενέσθαι, συμφωνοῦντι τοῦτο, ἀεὶ τοῖς ὁρωμένοις διηγούμενος. ὅσα γὰρ ἀπὸ κεφαλῆς ῥεύματα, βηχώδεις μὲν καὶ βραγχώδεις κατ᾽ ἀρχὰς ἐργάζεται τοὺς ἀνθρώπους, ἐν δὲ τῷ χρόνῳ προϊόντι μὴ καθιστάμενα, ταῦτα τὴν ἑτέραν διαφορὰν τῶν φθίσεων ἐργάζεται. δύο γὰρ αὐτῶν εἰσιν αἱ μέγισται διαφοραὶ, μία μὲν ἐκ τῶν ἀπὸ τῆς κεφαλῆς ῥευμάτων συνισταμένη. ἑτέρα δὲ, ἡ ἐκ τῶν κατ᾽ αὐτὸν τὸν πνεύμονα παθῶν ὁρμωμένη, τὸ πλεῖστον μὲν ἐπὶ ταῖς τοῦ αἵματος πτύσεσι, μάλισθ᾽ ὅταν ἀγγεῖον ῥαγῇ, πολλάκις δὲ καὶ ῥευματισθέντος τοῦ σπλάγχνου, διά τινα ἄλλην αἰτίαν ἐκ μορίων ἑτέρων, οὐκ ἐκ τῶν ἐκ τῆς κεφαλῆς. εἰ μὲν οὖν ἐπὶ τοῦ ἦρι νοτίῳ γινομένῳ, τὸ θέρος εἰς βόρειον μετέπεσε κατάστασιν, οὐκ ἂν ἐξηλέγχθησαν οἱ φθινωδῶς ὑποφθειρόμενοι, καὶ τελέως ἐγένοντο φθινώδεις. ἐπεὶ δ᾽ οὐ μόνον οὐ μετέπεσεν ἡ νότιος κατάστασις ἐπὶ τὸ βόρειον, ἀλλὰ καὶ τὸ πλεῖστον τοῦ θέρους ἐπινέφελον ἐγένετο, διὰ τοῦτο τὰ ἀπὸ τῆς κεφαλῆς ῥεύματα παρέμενον, οἵ τ᾽ ἐν τῷ ῥεύματι χυμοὶ πάντες, καὶ μάλιστα κατὰ τὸν πνεύμονα διεσάπησαν, ὥστε μηδὲν ἐλλείπειν εἰς ἀκριβοῦς φθίσεως γένεσιν.

Ἐστὶ δ᾽ οἷσιν ἤρξατο πρῶτον, τουτέοισιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες.

Φθινώδεις ὀνομάζουσιν οἱ παλαιοὶ τῶν ἰατρῶν, ὅσοι καὶ φθινώδη νόσον, ἣν καὶ φθόην τινὲς ὀνομάζουσιν, ἐπιτήδειοι παθεῖν. τούτοις δ᾽ ὑπάρχουσι φανερώτατον, ὅταν ὁ θώραξ στενὸς καὶ ἀβαθὴς εἰς τοὐπίσω, ὡς τὰς ὠμοπλάτας ἐξέχειν ὀπίσω δίκην πτερύγων, ἐντεῦθεν δὲ καὶ πτερυγώδεις ὀνομάζουσι τοὺς τοιούτους. ἀλλὰ καὶ ὅσοι τὴν κεφαλὴν εὐπληρωτοί τέ εἰσι, καὶ ῥεύματα πολλὰ τοῖς ἀναπνευστικοῖς μορίοις ἐπιπέμπουσαν ἔχουσιν, καὶ οὗτοι φθινώδεις ῥᾳδίως

γίνονται. συνελθόντων δ' εἰς ταυτὸν ἀμφοῖν, τῆς τε κατὰ τὸν θώρακα διαπλάσεως, καὶ τῆς κατὰ τὴν κεφαλὴν ἀσθενείας, ἀκριβῶς αἱ τοιαῦται φύσεις φθινώδεις εἰσὶ κατ' ἀμφοτέρας τῆς φύσεως τὰς αἰτίας. καὶ γὰρ οἱ ἀπὸ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα ῥευματιζόμενοι τῷ χρόνῳ φθινώδεις γίνονται, καὶ ἀναῤῥήγνυται πολλάκις αὐτοῖς ἀγγεῖον ἐν τῷ πνεύμονι, διά τε τὴν στενότητα τῶν σπλάγχνων, καὶ τὴν ἀσθένειαν. τοιοῦτοι μὲν τινὲς οἱ φθινώδεις. εἰρηκότος δὲ τοῦ Ἱπποκράτους, ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι, πολλοῖσιν ἐβεβαίωσε τότε, τουτέστι κατὰ τὸ θέρος. εἶτ' ἐπιφέροντος, ἔστι δ' οἷσιν ἤρξατο πρῶτον, τουτέοισιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες, ὅ μοι δοκεῖ τὸ εἰρημένον εὔλογον εἶναι. πολὺ γὰρ ἦν πιθανώτερον ἐν τῷ ἦρι τοὺς τοιούτους ἄρχεσθαι μᾶλλον, ἢ περὶ τὸ θέρος. οἱ γὰρ ἐπιτήδειοι πάθεσιν ἁλίσκεσθαι τισὶν ἑτοιμότερον τῶν ἀνεπιτηδείων αὐτοῖς περιπίπτουσιν. ἔοικεν οὖν ὥσπερ καὶ ἄλλα τινὰ κατὰ τῶν ἐπιδημιῶν τὰ βιβλία ταυτὶ, τὴν τάξιν ἐκλελυμένην ἔχειν, τοῦ γράψαντος αὐτὰ πρώτου σφαλέντος, εἶτα φυλαχθείσης τῆς ἁμαρτίας, οὕτως καὶ ταύτῃ τῇ ῥήσει συμβεβηκέναι, καὶ εἶναι τὸ συνεχὲς τῇ λέξει τοιόνδε. ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι πολλοῖσιν ἐβεβαίωσε τότε, οἷσιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. εἶτ' ἐφεξῆς, ἔστι δ' οἷσιν ἤρξατο πρῶτον τότε. καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς, ἀπέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τουτέων, καὶ τῶν κατακλιθέντων. οὐκ οἶδα δ' εἴ τις καὶ μέτριον χρόνον διεγένετο, τῶν φθινωδῶν δηλονότι. τοῦτο γὰρ ἀκοῦσαι χρὴ, κατὰ τὸν εἰρημένον τρόπον τῆς ῥήσεως ὅλης γεγραμμένης. καὶ γὰρ αὖ καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς εἰρημένα πάντα, φθινωδῶν ἐστι κοινά. μαθήσῃ δὲ προσέχων τὸν νοῦν ταῖς ῥήσεσιν, ὧν πρῶτον ἄρξομαι τῆς ἐφεξῆς γεγραμμένης.

Ἀπέθανον δ' ὀξυτέρως, ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα.

Τοὺς φθινώδεις φησὶ παρὰ τὸ εἰωθὸς ἀποθανεῖν ὀξύτερον. εἶθ' αὐτὸς ἐφεξῆς ἐρεῖ τὴν αἰτίαν, ἔνθα φησὶ, ἦν δὲ τοῖς πλείστοισιν αὐτῶν παθήματα τοιάδε. φρικώδεες πυρετοὶ, ξυνεχέες, ὀξέες. οὐ γὰρ εἰθισμένον τοῦτο συνυπάρχειν ταῖς φθίσεσι, ὃ φαίνεται τότε γεγενημένον. αἰτία δὲ τοῦ συνελθεῖν εἰς ταυτὸ ἄμφω, τήν τε φθίσιν καὶ τὸν τοιοῦτον πυρετὸν, ἡ τῆς γενομένης καταστάσεως πρὸς τὰ σώματα πάσχοντα σχέσις. ἐλέχθη γάρ μοι καὶ μικρὸν ἔμπροσθεν, ἐκείνους ἁλῶναι μάλιστα τοῖς ἀπὸ τῆς κεφαλῆς καταῤῥόοις, ὅσοι θερμότεροι τὴν κρᾶσιν ἦσαν. οὗτοι γὰρ καὶ μάλιστα †πλησθῶσιν αὐτὴν ἐν τῇ τοῦ νότου καταστάσει. τοῖς αὐτοῖς δὲ τούτοις, ἐπὶ πλεῖον ἐκπαθείσης τῆς νεφελώδους διαθέσεως, συνέβη σαπῆναι τοὺς ἐν τῷ σώματι χυμοὺς, κἀντεῦθεν συνέβη κακοήθεα τῶν πυρετῶν. οἷς δ' ἧττον ἦν ἡ κρᾶσις θερμὴ, τούτοις οὐχ ἡ τῶν χυμῶν σῆψις, οὐδ' ἡ τῆς κεφαλῆς πλήρωσις ἐγένετο, πλὴν ὀλίγοις τισὶν αὐτῶν ἐπὶ προήκοντι τῷ χρόνῳ. ὃ γὰρ ἐν ὀλίγῳ χρόνῳ πάσχουσιν, αἱ παθεῖν ἐπιτήδειοι φύσεις, τοῦτ' ἐν πλείονι ταῖς ἄλλαις συμβαίνει. καὶ οὐδὲν ἦν θαυμαστὸν ἐπὶ νοτίῳ τῇ πρόσθεν καταστάσει. τὸ θέρος οὐ νότιον μόνον, ἀλλὰ καὶ νεφελῶδες γενόμενον ἐργάσασθαί τινα σῆψιν χυμῶν, οὐ μόνον ἐν τοῖς θερμοτέροις, ἀλλὰ καὶ ἐν ψυχροτέροις σώμασιν.

Τ' ἐπληρώθησαν

Ὡς τά γε ἄλλα, καὶ μακρότερα, καὶ ἐν πυρετοῖσιν ἐόντα εὐφόρως ἤνεγκαν, καὶ οὐκ ἀπέθνησκον, περὶ ὧν γεγράψεται.

Ἄλλα φησὶ νοσήματα χωρὶς τῶν φθινωδικῶν, ὑπὲρ ὧν ὁ λόγος ἦν αὐτῷ, καί τοι μακρότερα γενόμενα, καὶ μετὰ πυρετὸν, ὅμως εὐφόρως ἠνέχθη, καὶ εἴρηται ἡ αἰτία μικρὸν ἔμπροσθεν ὑφ' ἡμῶν, ὅτι τούτοις ἧττον κακοήθης ὁ χυμὸς ἐκ τῆς σήψεως ἐγένετο.

Μοῦνον γὰρ καὶ μέγιστον τῶν τότε γενομένων νοσημάτων, τοὺς πολλοὺς τὸ φθινῶδες ἔκτεινε.

Εἴρηται τούτου μικρὸν ἔμπροσθεν ἡ αἰτία, τὴν κρᾶσιν τοῦ σώματος ἡμῶν αἰτιασαμένων, δι' ἣν τοῖς φθινώδεσιν ἑάλωσαν νοσήμασι, καὶ τοῖς κακοήθεσι πυρετοῖς ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ.

Ἦν δὲ τοῖς πλείστοις αὐτέων τὰ παθήματα τοιάδε, φρικώδεες πυρετοὶ, συνεχέες, ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες, ὁ δὲ τρόπος ἡμιτριταῖος, τὴν μίαν κουφοτέρην, τῇ δ' ἑτέρῃ ἐπιπαροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες.

Τοῖς πλείστοις τῶν φθινωδῶν ὑπὲρ ὧν ἐποιεῖτο λόγον παθήματα γενέσθαι φησὶν ἃ κατέλεξεν αὐτὸς ἐφεξῆς. καλοῦσι δὴ παθήματα πάντα οἱ Ἕλληνες, ὅσα παρὰ φύσιν ἐν τοῖς σώμασιν ἡμῶν γίνεται. μέμνηται δὲ πρῶτον μὲν αὐτῶν τοῦ φρικώδεος [φησὶν ἦσαν οἱ πυρετοὶ] σημαίνει δὲ τοῦτ' αὐτὸ, τὸ μέχρι πλείστου τῆς ἀναβάσεώς τε καὶ ἐπιδόσεως καλουμένης τοῦ παροξυσμοῦ, τὰς φρίκας γενέσθαι τοῖς νοσοῦσιν. οὐ γὰρ δὴ τούς γε κατὰ τὴν ἀρχὴν τῆς ἐπισημασίας φρικώδεις γενομένους οὕτως ὠνόμασεν, ἀλλ' ἐφ' ὧν ἐπὶ πλεῖστον ὅλου τοῦ παροξυσμοῦ, τὸ τῆς φρίκης ἐκτείνεται σύμπτωμα. καὶ γίνεται διττῶς, ἐνίοτε μὲν ἀναδιπλώσεις ποιούσης τῆς ἐπιτάσεως, ἐνίοτε δ' αὐτὸ τοῦτο μόνον, ἀνώμαλον ἀνάβασιν. ἡ διαφορὰ δέ ἐστιν ἐν τῷ ποσῷ τοῦ χρόνου. βραχέσι μὲν γὰρ πάνυ διαλείμμασι διορίζομένων ἀπ' ἀλλήλων τῶν φρικωδῶν κινήσεων, ἀνώμαλός τε καὶ φρικώδης κίνησις λέγεται. μειζόνων δὲ τῶν διαλειμμάτων ὄντων, ἀναδίπλωσις γίνεταί τε καὶ ὀνομάζεται τὸ τοιοῦτον σύμπτωμα, καὶ γίνεται μάλιστα αὕτη κατὰ τοὺς ἡμιτριταίους ὀνομαζομένους πυρετοὺς, διὸ καὶ τρεῖς ὡς τὸ πολὺ καὶ τέτταρες εἰσίν. δέδεικται δὲ τοῦτο ἡμῖν, ἐν τοῖς περὶ πυρετῶν λογισμοῖς, ὁ ἡμιτριταῖος ἐπ' ἀνωμάλῳ συνιστάμενος χυμῷ, τὸ μέν τι πικρόχολον δριμὺ, τὸ δέ τι φλεγματῶδες σηπόμενον ἔχοντι. τοιούτους οὖν τότε συνεδραμεῖν φησὶ τοὺς φρικώδεις πυρετοὺς διὰ τὴν γενομένην κατάστασιν, ὡς προείρηταί μοι. συνεχέες δ' αὐτοὺς ὠνόμασεν, ἐνδεικνύμενος τὸ μὴ λήγειν εἰς ἀπυρεξίαν, ὃ δὴ καὶ αὐτὸς ἐξηγούμενος ἐρεῖ, τὸ μὲν ὅλον οὐ διαλείποντες. διαλείποντας γὰρ ἐκείνους ὀνομάζουσιν ἰδίως πυρετοὺς, ὅσοι μετὰ τὴν ἀκμὴν ἀπυρεξίαν τινὰ φέρουσιν. ὅσοι δ' αἰσθητὴν μὲν ποιοῦνται παρακμὴν, ἀπυρεξίαν δὲ οὐδεμίαν ἔχουσιν, ὀξέας καὶ συνεχεῖς καλεῖ, τὴν μὲν ὅλην περίοδον ἔχοντας, ὀκτὼ καὶ τεσσαράκοντα ὡρῶν τὸ πλεῖστον, ὅσον ὥσπερ καὶ ὁ ἡμι-

ὁ ἡμιτριταῖος, ἀλλ' οὔτε εἰς ἀπυρεξίαν λήγοντας, ἐν τε τῇ ἑτέρᾳ τῶν ἡμερῶν τῇ ἑκατέρᾳ φέροντας πάλιν ἕτερον παροξυσμὸν, μικρότερον μὲν θατέρου τοῦ τῆς ἄλλης περιόδου, οὐδὲ τὰς ἀναδιπλώσεις ἔχοντα. δυσεκθερμαινομένων δὲ, καὶ μόλις ἐπὶ τὴν ἀκμὴν ἀνιόντα. ἴδιον δ' αὐτοῦ καὶ τὸ τὰς ἐφεξῆς τῇ πρώτῃ περιόδους, ὅτε ἀλλήλαις τῇ πρώτῃ ἴσας γίνεσθαι κατὰ τὴν ὀξύτητα. παροξύνεσθαι δὲ ἀεὶ καὶ σφοδρύνεσθαι μέχρι τῆς ὅλης τοῦ νοσήματος ἀκμῆς.

Ἱδρῶτες δ' αἰεὶ, οὐ δι' ὅλου, ψύξις ἀκρέων πολλὴ, καὶ μόγις ἀναθερμαινόμενα.

Ὅτι ταῦτα τὰ συμπτώματα κακοήθων ἐστὶ πυρετῶν, ἐν τῷ προγνωστικῷ μεμαθήκαμεν.

Κοιλίαι ταραχώδεες, χολώδεες, ὀλίγισιν, ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι, πυκνὰ ἀνίσαντο.

10 Ἀκρήτους ἐκκρίσεις εἴωθεν ὀνομάζειν τὰς ἀκριβῶς χολώδεις. ὅταν δὲ μεθ' ὑγρότητος ὑδατώδους μιχθῇ, καὶ ἐκκρινοῦνται, τὸν τοιοῦτον χυμὸν, οὐκέτι ἄκρητον ὀνομάζει. ἐμάθομεν δὲ καὶ αὐτὸ τοῦτο περὶ τῶν ἀκράτων ἐκκρίσεων, ὧν εἶπε κακοήθειαν ἐν τῷ προγνωστικῷ, καὶ περὶ τῶν λεπτῶν τὴν σύστασιν χυμῶν, ὅτι πάντες ἄπεπτοι καὶ δεόμενοι ῥωμαλέας φύσεως εἰς τὸ πεφθῆναι. δακνώδεις δ' εἰκότως ἦσαν, εἴπερ γε καὶ χολώδεις καὶ ἄκρατοι. τοῦτο δ' αὖ πάλιν ἔπεται τὸ δακνώδεσιν εἶναι τὸ συνεχῶς ἐξανίστασθαι, ὥστε καὶ κατὰ τοῦτο τὸ σύμπτωμα, κάμνειν τῶν νοσούντων τὴν δύναμιν.

Οὖρα λεπτὰ, καὶ ἄπεπτα, καὶ ἄχροα, καὶ ὀλίγα, ἢ πάχος ἔχοντα, καὶ σμικρὴν ὑπόστασιν, οὐ καλῶς καθιστάμενα, ἀλλ' ὠμῇ τινὶ καὶ ἀκαίρῳ ὑποστάσει.

Καὶ περὶ τῶν οὔρων ἐμάθομεν, ὅτι τὰ λεπτὰ καὶ ἄχροα, καὶ ὀλίγα, ἢ πάχος ἔχοντα, καὶ ὀλίγα μοχθηρὰ, καθάπερ καὶ
20 τὰ παχέα μὲν, ὑπόστασιν δὲ οὐδ' ὅλως, ἢ πάνυ σμικρὰν ἔχοντα, καὶ τοῦτ' αὐτοῖς συμβαίνει, διὰ τὸ μὴ καλῶς καθίστασθαι. τοῦτο δ' αὐτοῖς πάλιν ἐκείνοις γίνεται τοῖς πυρετοῖς, ἐν οἷς θερμασία πολλὴ, καὶ φλογώδης τῶν ὠμῶν χυμῶν καὶ παχέων ἐργάζεται τινὰ ζέσιν. εἰκότως οὖν ἐπ' αὐτῶν, ἢ οὐδ' ὅλως γίνεται, ἢ καὶ αὐτὴ, καθάπερ αὐτὸς εἶπεν, ὠμὴ καὶ ἄπεπτος. λέλεκται δ' αὐτῷ περὶ τῶν μοχθηρῶν ὑποστάσεων ἐν τῷ προγνωστικῷ.

Ἔβηττον δὲ σμικρὰ, πυκνὰ, πέπονα, κατ' ὀλίγον, μόγις ἀνάγοντες. οἷσι δὲ τὰ βιαιότατα ξυμπίπτοι, οὐδ' ἐπ' ὀλίγον πεπασμὸς ἦν, ἀλλὰ διετέλεον ὠμὰ πτύοντες.

Ταῖς μὲν κακοηθεστάταις φθίσεσι, καὶ οἷς ἐγγὺς ἦν θάνατος οὐδ' ἐπ' ὀλίγον πέττεται τὰ πτυόμενα. ταῖς δ' ἄλλαις, ὅσαι μετρίαι γε εἰς πλείονα χρόνον ἐκπίπτουσιν, δι' αὐτὸ τοῦτο πέττεται καλῶς ἡ περὶ τὸν πνεύμονος περιουσία τῶν χυμῶν, καὶ ἀναπτύεται ῥᾳδίως, ἀλλὰ τούτοις γε τοῖς γεγραμμένοις φθινώδεσι οὐδ' ἐν τούτων ὑπῆρχε. ἤτοι γὰρ
30 παντάπασιν ἄπεπτον ἔπτυον, ἢ πεπεμμένον μὲν μακρὸν δὲ, καὶ κατὰ βραχὺ μόγις ἀναφερόμενον. εἴρηκε δὲ καὶ περὶ τῆς τοιαύτης πτύσεως ἐν τῷ προγνωστικῷ.

Φάρυγγες δὲ τοῖσι πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος ἐπώδυνον εἶχον, ἔχοντες ἔρευθος μετὰ φλεγμονῆς, ῥεύματα σμικρὰ, λεπτὰ, δριμέα, ταχὺ τηκόμενοι καὶ κακούμενοι.

Τὰ συμπτώματα περὶ πάντων, ὅσα τοῖς τότε φθινώδεσιν ἐφαίνετο περὶ τὴν φάρυγγα, τὴν αἰτίαν αὐτὸς προστέθεικεν ἐν τῷ φάναι, ῥεύματα σμικρὰ, δριμέα. διὰ γὰρ τὴν τῶν ῥευμάτων κακοήθειαν ἀπὸ τῆς κεφαλῆς δηλονότι καταφερομένων, αἱ φάρυγγες ἐπώδυνοι μὲν ἦσαν. ὑπὸ δάκνεσθαι δὲ πρὸς αὐτῶν, ἔρευθος καὶ φλεγμονὴν ἔσχον, ὅτι καὶ αὐτὸ ῥεῦμα θερμὸν ἦν, οὐδὲν ἦν θαυμαστὸν ἐν θάσῳ τῶν ἄλλων φθινωδῶν εἰ οὕτως ἐχόντων, εἰς ἐσχάτην ἰσχνότητα παρεγίνοντο.

40 Ἀπόσιτοι πάντων γευμάτων διετέλεον.

[Ὅτι] τοὺς ἀνορέκτους ἀσίτους ὀνομάζουσιν οἱ ἕλληνες, τοὺς μὴ προσφερομένους σιτία, τοὺς δ' ἀπεστραμμένους προσίεσθαι, καλοῦσιν ἀποσίτους. πρόδηλον δ' ὅτι καὶ τουτὶ τὸ τῆς ἀνορεξίας σύμπτωμα τοῖς φθινώδεσιν ἐγένετο τὴν φάρυγγα, καὶ τὸν πνεύμονα κακοῦντος ῥεύματος μέρους τινὸς εἰς γαστέρα καταρρέοντος.

Ἄδιψοι.

Οὐ κατὰ τὴν κακοήθειαν τοῦ ῥεύματος, ἅπερ αὐτὸς ὠνόμασε δριμέα, τουτὶ τὸ σύμπτωμα τοῖς φθινώδεσι συνέπεσε. διό μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης ἐπισημαινόμενος αὐτῶν τὸ παράλογον, αὐτὸς προσγεγράφθαι, τὸ ἄδιψοι. κακοηθείας γὰρ ἐστὶ μέγιστον σημεῖον, ὅταν ἤτοι θερμοῦ καὶ διακαοῦς ὄντος τοῦ πυρετοῦ, μὴ διψῶσιν, ἢ ῥεύματος εἰς γαστέρα καταφερομένου δριμέος. καὶ δηλοῦται πρὸς τοῦ συμπτώματος ἡ αἰσθητικὴ τοῦ μορίου δύναμις ἀπολωλέναι, καὶ νενεκρῶσθαι, εἴγε τῆς κατὰ μέρος διαστάσεως οὐκ αἰσθάνεται.
50

Καὶ παράληροι πολλοὶ περὶ θάνατον. περὶ μὲν τὰ φθινώδεα ταῦτα.

Οὐδὲ τοῦτο τοῖς ἄλλοις φθίνουσιν εἴωθε συμπίπτειν, ἀλλὰ διὰ τὴν κακοήθειαν τῶν τότε γενομένων πυρετῶν ἠκολούθησε τοῖς ἐν τῇ προκειμένῃ καταστάσει νοσήμασι.

Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον, πυρετοὶ πολλοὶ, ξυνεχέες, οὐ βίαιοι. μακρὰ δὲ νοσέουσι, οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως † ἔχουσιν ἐγένετο.

† διάγουσιν

Εἴρηκε δὲ καὶ πρόσθεν ὡς τὸ φθινῶδες μόνον ὀλέθριον ἐγένετο, καὶ ἡμεῖς τὴν αἰτίαν προσπαρεθήκαμεν. ἀκόλουθα τοίνυν ἐστὶν ἐκείνοις, τά τε κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένα, καὶ τὰ τούτων ἐφεξῆς ἐν οἷς φησίν.

Κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως, καὶ οὐδὲν ἄξιον λόγου προσέβλαπτον. οὖρά τε τοῖσι πλείστοισιν εὔχροα μὲν καὶ καθαρὰ, λεπτὰ δὲ καὶ μετὰ χρόνον περὶ κρίσιν πεπαινόμενα.

Καὶ τἄλλα ἃ περὶ τῶν οὔρων εἶπε, ὥσπερ γὰρ τὰ πρόσθεν ὅσα περὶ τῶν φθινωδῶν κατέλεξεν ἦν κακοήθη, οὕτω καὶ τὰ νῦν λεγόμενα πάνυ ἐστὶ μέτρια.

Βηχώδεες οὐ λίην, οὐδὲ τὰ βησσόμενα δυσκόλως, οὐδὲ ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο.

Οἱ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ βιβλίον περὶ τοὺς φθινώδεις αὐτὸν ἐν τῇδε τῇ ῥήσει μεταβεβηκέναι φασίν. ἐγὼ δὲ ἡγοῦμαι ἔτι περὶ τῶν ἄλλων πυρετῶν ὧν διηγεῖται, κατὰ ταυτὸ λέγεσθαι. πῶς γὰρ ἂν εἰρηκὼς ἔμπροσθεν περὶ τῶν φθινωδῶν, ὡς ἀπόσιτοι παντὸς γεύματος διὰ τέλεος ἦσαν, ἐνταυθοῖ νῦν ἔλεγεν, οὐδ᾽ ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τί δή ποτ᾽ οὖν ἔγραψεν ἐν τῷδε τῷ λόγῳ· βηχώδεες οὐ λίην. τοῦτο γάρ ἐστι τὸ τὴν φαντασίαν παρασχὸν, τοῦ λέγεσθαι ταῦτα περὶ τῶν φθινωδῶν αὐτῶν. ἐγὼ δὲ νομίζω περὶ τῶν ἄλλων ἔτι πυρετῶν, τοῦ λόγου γιγνομένου προσγεγράφθαι. γίνονται γὰρ βηχώδεις συνεπιβαλλούσης τοῦ βηχὸς αὐτοῖς λόγῳ συμπτώματος, οὐ μὴν φθινώδεις γε πάντως εἰσὶν οὗτοι. θαυμαστὸν οὖν οὐδὲν ἅμα πυρέσσειν ἄρξασθαι τινὰς τῶν βησσόντων ἐπὶ τῇ προγεγραμμένῃ καταστάσει, καὶ πληρωθείσης αὐτοῖς τότε τῆς κεφαλῆς, συνελθόντος τοῦ πυρετοῦ τῇ καταστάσει βηχώδεις γενέσθαι, ἀλλ᾽ οὔτε λίαν αὐτοῖς ἐνόχλει τὸ σύμπτωμα, οὔτε τὰ βησσόμενα δυσχερείαν εἶχεν, οὐ γὰρ ἦσαν οὗτοι φθινώδεις.

Τὸ μὲν ὅλον ὑπενόσεον οἱ φθίνοντες, οὐ τὸν φθινώδεα τρόπον, πυρετοῖσι φρικώδεσι, σμικρὰ ἐφιδροῦντες, ἄλλοτε ἄλλοι ὡς παροξυνόμενοι πεπλανημένως, τὸ μὲν ὅλον οὐκ ἐκλείποντες. παροξυνόμενοι δὲ τριταιοφυέα τρόπον.

Αὕτη πᾶσα ἡ ῥῆσις ἐπαγομένη τῇ προειρημένῃ, τὴν φαντασίαν βεβαιοτέραν εἰργάσατο τοῖς πλείστοις τῶν ἐξηγητῶν ὑπὲρ τοῦ καὶ τὴν ἔμπροσθεν ῥῆσιν ὑπὲρ τῶν φθινωδῶν αὐτῶν λελέχθαι. ἀλλ᾽ ὅτι μὲν ἐκείνην ἀδύνατόν ἐστιν, ἐπ᾽ αὐτῶν εἰρῆσθαι, δέδεικταί μοι δι᾽ ὧν ἀπεδείκνυον, ἀποσίτους μὲν ὠνομάσθαι πρὸς αὐτοῦ τοὺς φθινώδεις, οὐκ ἀποσίτους δὲ τούτους. ἡ δ᾽ ἐφεξῆς ῥῆσις ἡ νῦν προκειμένη, κατὰ διττὸν ἂν τρόπον ἐξηγήσεως τύχῃ, καθ᾽ ἕνα μὲν ὧδέ πως ἡμῶν λεγόντων. ἀναλήψομαι δὲ τὴν προγεγραμμένην ῥῆσιν, εἶτα συνάψω τῇ νῦν, παρενθεὶς αὐτῇ μίαν συλλαβὴν ἕνεκα σαφηνείας, βηχώδεες οὐ λίην, οὐδὲ τὰ βησσόμενα δυσκόλως, οὐδ᾽ ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τὸ μὲν γὰρ ὅλον, ὑπενόσεον οἱ φθίνοντες οὐ τὸν φθινώδεα τρόπον. ἐνδέχεται δ᾽ αὐτὸν οὕτως εἰρηκέναι περὶ τῶν ἄλλως πυρεσσόντων γράφοντα κοινὸν σύμπτωμα τῶν νόσων ἐχόντων τὰ βηχώδη συμπτώματα, μὴ μέντοι καὶ αὐτῶν φθινόντων. ἐπαναλαβεῖν γὰρ αὖθις εἰκός ἐστι τὸν περὶ τῶν φθινωδῶν λόγον εἰς ἀνάμνησιν τοῦ διαφέρειν τοὺς ἀρρώστους τούσδε, περὶ ὧν νῦν διέρχεται τῶν ἔμπροσθεν τῶν φθινωδῶν. καὶ γάρ τοι καὶ τὰ συμπτώματα πάλιν εἶπεν τὰ αὐτὰ τοῖς ἔμπροσθεν εἰρημένοις. μία μὲν αὕτη παραμυθία τῆς κατὰ τήνδε τὴν ῥῆσιν ἐπαναλήψεως τοῦ περὶ τῶν φθινωδῶν λόγου. ἑτέρα δ᾽, ἣν ἴσμεν πολλάκις γιγνομένην ἐπὶ πολλῶν συγγραμμάτων. ἐνίοτε γὰρ ὑπὲρ ἑνὸς πράγματος διττῶς ἡμῶν γραψάντων, εἶτα τῆς μὲν ἑτέρας γραφῆς κατὰ τὸ ὕφος οὔσης, τῆς δ᾽ ἑτέρας ἐπὶ θάτερα τῶν μετώπων, ὅπως κρίνωμεν αὐτῶν τὴν ἑτέραν ἐπὶ σχολῆς δοκιμάσαντες, ὁ πρῶτος μεταγράφων τὸ βιβλίον, ἀμφότερα ἔγραψεν, εἶτα μὴ παρατυχόντων ἡμῶν τὸ γεγονὸς, μηδ᾽ ἐπανορθωσαμένων τὸ σφάλμα, διαδοθὲν εἰς πολλοὺς τὸ βιβλίον, ἀνεπανόρθωτον ἔμεινεν.

Ἐκρίνετο δὲ τουτέων οἷσι τὰ βραχύτατα γίγνοιτο περὶ εἰκοστὴν ἡμέρην, τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστὴν, πολλοῖσι δὲ περὶ τὴν ὀγδοηκοστήν. ἔστι δ᾽ οἷσιν οὐδ᾽ οὕτως, ἀλλὰ πεπλανημένως τε καὶ ἀκρίτως ἐξέλιπον. τουτέων δὲ τοῖσι πλείστοισι πολλὴν, οὐ διαλείποντες χρόνον, ὑπέστρεψαν οἱ πυρετοὶ πάλιν. ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσιν αὐτῇσι περιόδοισιν ἐκρίνοντο. πολλοὶ δὲ αὐτέων ἀνήγαγον, ὥστε ὑπὸ χειμῶνα νοσεῖν.

Τίνων δὲ τούτων κριθῆναι φησὶ τὸ νόσημα περὶ τὴν κ. ἡμέραν; ὅτι περὶ ὧν ἐποιεῖτο τὸν λόγον ὡς ἐγώ φημι, τῶν ἄλλων νοσησάντων, οὐχὶ τῶν φθινόντων. ὁμολογεῖ δὲ τούτῳ καὶ τὰ ἐφεξῆς ἅπαντα. καὶ γὰρ ἄχρι τῆς ὀγδοηκοστῆς ἡμέρας ἐκταθῆναι φησὶ τὸ νόσημα τισὶν αὐτῶν, ἄλλοις δὲ πεπλανημένως τε καὶ ἀκρίτως ἐκλείπειν, καὶ τούτων τοῖς πλείστοισιν ὑποστρέψαι πάλιν. τοὺς δ᾽ ἐκ τῶν ὑποστροφέων πυρετοὺς ἐν ταῖς αὐταῖς περιόδοις πάλιν κριθῆναι, καὶ πολλοῖς αὐτῶν, καὶ μέχρι τοῦ χειμῶνος ἐκταθῆναι τὸ νόσημα. ταῦτα δὲ πάντα τοῖς ἀνωτέρω εἰρημένοις ὁμολογεῖν σαφῶς ἐστιν, ἐν οἷς ἔλεγε, κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον, πυρετοὶ πολλοὶ ξυνεχέες οὐ βιαίως, μακρὰ δὲ νοσέουσιν, οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν, ἐγένετο. ταῦτα μὲν ὁμολογεῖ, τοῖς κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένοις ὑπ᾽ αὐτοῦ συμπτώμασιν. ὅσα δὲ περὶ τῶν φθινωδῶν εἶπεν, οὐχ ὁμολογεῖ. μάθοις δ᾽ ἂν εἰ ἀναμνησθείης βραχέος μορίου τῆς ὑπὲρ αὐτῶν διηγήσεως ἔνθα φησὶν, ἀπέθνησκον δ᾽ ὀξυτέρως, ἢ ὡς εἴθισται τὰ τοιαῦτα διάγειν. τοῦτο μὲν γὰρ αὐτῷ περὶ τῶν φθινωδῶν εἴρηται, καὶ φησὶν αὐτοὺς ὀξυτέρως ἀποθανεῖν. περὶ δὲ τῶν ἄλλως νοσησάντων, ἐφεξῆς ἔγραψε τούτοις ὧδέ πως τά τ᾽ ἄλλα, καὶ μακρότερα ἐν πυρετοῖσιν ἐόντα, εὐφόρως ἤνεγκαν, καὶ οὐκ ἀπέθνησκον, περὶ ὧν γέγραπται. ταῦτ᾽ οὖν ὁμολογεῖ τοῖς κατὰ τὴν προκειμένην ῥῆσιν τὴν τῶν πυρεξάντων διὰ τοῦ

φθινοπώρου

φθινοπώρου καὶ τοῦ χειμῶνος. ἀλλὰ καὶ διὰ τὸ προειπεῖν μὲν αὐτὸν περὶ ὧν γεγράψεται, μηδεμίαν δ' ἄλλην ἡμᾶς ἔχειν δεῖξαι γράψας, ὅτι μὴ τὴν νῦν προκειμένην ἐπ' αὐτοῖς γενομένην, ἀναγκαῖον οὖν περὶ τῶν ἄλλως νοσησάντων οὐ φθινωδῶς ἅπαντα τοῦτον αὐτῷ τὸν λόγον εἰρῆσθαι.

Ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ μόνοισι τοῖσι φθινώδεσι θανατώδεα ξυνέπεσεν. ἐπεὶ τοῖσί γε ἄλλοισι πυρετοῖσιν οὐκ ἐγένοντο.

Ἐσχάτη ῥῆσις οὖσιν αὕτη τῶν εἰρημένων αὐτῷ περὶ τῆς πρώτης καταστάσεως, οὐδὲν μὲν πλέον διδάσκουσα, ἀνακεφαλαίωσιν δέ τινα ἔχουσα τῶν προειρημένων, ὅπερ εἴωθεν ὁ ἀνὴρ πολλάκις ποιεῖν.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ, ΥΠΟΜΝΗΜΑ Β'.

Ἐν τῷ πρὸ τούτου βιβλίῳ λέλεκται περὶ τῶν τῶν ὡρῶν εἰς ἄλληλα μεταβολῆς. εἴρηται δὲ καὶ ἡ περὶ φύσιν ἑκάστης κράσεως, αἵ τε προθεσμίαι τῆς ἀρχῆς αὐτῶν καὶ τῆς τελευτῆς. ὡς αὖ οὖν ἐκείνων μεμνημένων ἡμῶν, ὅσα τῶν νῦν λεγομένων ἐξηγήσεως δεῖται προσθήσω, στοχαζόμενος οὔτε μόνον ἐσχάτων ἀμαθῶν, οὔτε μόνων τῶν ἱκανὴν ἐχόντων τὴν παρασκευήν. πρὸς ἅπαντας γὰρ ὁ τοιοῦτος λόγος ἕξει μετρίως. τῶν δ' ἄλλων ὁ μὲν τοῖς ἐσχάτως ἀμαθέσιν οἰκεῖος, ἀνιάσει τοὺς ἐν ἕξει διὰ τὸ μῆκος. ὁ δὲ τούτοις ἐπιτήδειος ἀσαφὴς ἔσται τοῖς ἀμαθέσιν. ἀλλ' οὐδὲ χρὴ τοῖς τοιούτοις ὑπομνήμασιν ἐντυγχάνειν ἀγαπῶντας, ἄλλως ἄλλο παρ' ἑκάστου ἀκούσαντες πλατύτερον πολλάκις ταυτά, καὶ ἄλλως πολλάκις ταῦτα δυνηθεῖεν, αὐτοῦ παρακοῆς ἐκμανθάνειν τι χρηστόν.

Ἐν Θάσῳ πρωῒ τοῦ φθινοπώρου χειμῶνες, οὐ κατὰ καιρόν, ἀλλ' ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισί γε πολλοῖσιν, ὑγροὶ καὶ προεκρηγνύμενοι.

Τὸ φθινόπωρον εἶπον ἄρχεσθαι τῇ τοῦ ἀρκτούρου ἐπιτολῇ, γινομένῃ πρὸ τῆς φθινοπωρινῆς ἰσημερίας, τηνικαῦτα οὖν ἔφη γενέσθαι χειμῶνας μεγάλους πρὸ τοῦ δέοντος. τοῦτο γὰρ αὐτῷ τὸ οὐ κατὰ καιρόν, καὶ τὸ προεκρηγνύμενοι σημαίνει. τὸ μὲν οὖν οὐ κατὰ καιρόν, τοῦ προφθάσαι μόνον δηλωτικὸν ὑπάρχει, τὸ δὲ προεκρηγνύμενοι, καὶ τὸ μεθ' ὑετῶν ἀθρόως αὐτοὺς γενέσθαι.

Ταῦτα δ' ἐγίνετο τοιαῦτα μέχρι πληϊάδος δύσεως καὶ ὑπὸ πληϊάδος.

Ὅτι τῆς πλειάδος ἡ δύσις ὁρίζει φθινόπωρον, εἴρηται πρόσθεν. ἀλλὰ καὶ ὅτι δύο μῆνές εἰσιν ἀπ' ἀρκτούρου μέχρι πλειάδος, ὅτι τε μία ἐπισημασία κατὰ τὸ περιέχον, ἐπ' ἀρκτούρου γίνεται, δύο δ' ἐπὶ πλειάδι, μία μὲν ὁπότε συνάπτει τῷ φθινοπώρῳ χειμών, ἐπεὶ τέλος οὖσα, ἑτέρα δὲ ὁπότε ἔαρ πρὸς θέρει. τοῦ δ' ἀρκτούρου τῆς ἐπιτολῆς μόνης οὐδὲ μνημονεύειν εἴωθεν Ἱπποκράτης, ἐπειδὴ κατ' αὐτὸν ἀρχὴ μὲν γίνεται τοῦ φθινοπώρου, τελευτὴ δὲ τοῦ θέρους. εἴρηται δ' ἔμπροσθεν ἤδη περί τε τῆς εἰς τὰς δ΄ ὥρας διαιρέσεως ὅλου τοῦ ἐνιαυτοῦ, καὶ περὶ τῆς εἰς ἑπτά, καὶ ὅτι θέρος μὲν ὁρίζουσιν ἐπιτολῇ πλειάδος καὶ ἀρκτούρου, καὶ ὡς ἔστιν αὕτη μόριόν τι τῆς εἰς ἑπτὰ διαιρέσεως ὅλου τοῦ ἐνιαυτοῦ, δίχα μὲν τοῦ θέρους τεμνομένου, τριχῇ δὲ τοῦ χειμῶνος. εἴρηται δὲ καὶ ὡς οὐδεμία διαφορὰ πλειάδος λέγειν ἑνικῶς, ἢ πληθυντικῶς πλειάδας.

Χειμὼν δὲ βόρειος.

Ἐφεξῆς τῇ πλειάδι, χειμῶνος μνημονεύει σαφῶς ἐνδεικνύμενος ὅρον εἶναι τοῦ φθινοπώρου τὴν πλειάδα. προσέχωμεν οὖν αὐτῷ διηγουμένῳ περὶ τοῦ τότε γενομένου χειμῶνος.

Ὕδατα πολλά, λαῦρα, μεγάλα, χιόνες, μετ' αἰθρίας τὰ πλεῖστα. ταῦτα δ' ἐγίνετο μὲν πάντα, οὐ λίην δ' ἀκαίρως τὰ τῶν ψύξεων, ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνέειν ἄρχεται, ὀπισθοχείμωνες μεγάλοι, βόρεια πολλά, χιὼν καὶ ὕδατα πολλὰ συνεχέως, καὶ οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος. ταῦτα δὲ ξυνέτεινε, καὶ οὐκ ἀνίει μέχρις ἰσημερίας, ἔαρ δὲ ψυχρόν, βόρειον, ὑδατῶδες, ἐπινέφελον, θέρος οὐ λίην καυματῶδες ἐγένετο, ἐτησίαι ξυνεχῶς ἐπέπνευσαν. ταχὺ δὲ περὶ ἀρκτοῦρον, ἐν βορείοισι πολλὰ πάνυ ὕδατα.

Πολλὰ λέγομεν ὕδατα γίνεσθαι κατά τινα καιρόν, διὰ τὸ τοῦ χρόνου μῆκος εἰ καὶ μὴ λάβρον ἐν αὐτῷ καταῤῥήσσοιτο. λέγομεν δὲ πολλά, κἂν ἐν ὀλίγῳ χρόνῳ ὑπέλθοι λάβρα. δύναται δὲ ταῦτα καὶ μεγάλα καλεῖσθαι. ἀλλ' ὅταν γ' ἐφεξῆς ἀλλήλων εἴποι τις ὕδατα λάβρα καὶ μεγάλα γεγονέναι, καθάπερ Ἱπποκράτης συνέγραψεν, ἀκουσώμεθα λάβρα μὲν τὰ ἐξαιφνίδια, σφοδρά τε καὶ ὀλιγοχρόνια. μεγάλα δὲ τὰ μήτ' ἐξαιφνίδια, μήτ' ὀλιγοχρόνια παντάπασιν, ὥσπερ γε μηδὲ πολυχρόνια. σαφηνείας δ' ἕνεκεν οὐδὲν κωλύσει, καὶ μακροτέρᾳ βραχεῖ χρήσασθαι διηγήσει. γιγνέσθω τοίνυν ἐξαίφνης ὑετὸς πάμπολυς ὥραις τρισὶν ἢ τέτρασιν, εἶτ' εὐθέως παυέσθω, λάβρον τοῦτον ὀνομάζομεν. ἄλλος δέ τις κατὰ βραχὺ μὲν ἀρξάσθω, κατὰ βραχὺ δ' αὐξηθήτω, καὶ τούτῳ ταθήτω δι' ὅλης ἡμέρας καὶ νυκτός, εἶτ' ἀκμάσας, πάλιν ἀφαιρείτω τοῦ πλήθους κατὰ βραχὺ δι' ὅλης τῆς ὑστέρας ἡμέρας, εἶτα παυσάσθω τὸν τοιοῦτον ὑετόν, οὐκ ἐροῦμεν λάβρον, ἀλλὰ μέγαν. ὁ τοίνυν χειμὼν ὃν διηγεῖται, ποτὲ μὲν λάβρους ἔσχεν ὑετούς, ποτὲ δὲ μεγάλους ἐκ διαλειμμάτων, καθαροῦ δηλονότι γινομένου πολλάκις ἐν τῷ μεταξὺ τοῦ περιέχοντος. τούτῳ οὖν ὁμολογεῖ καὶ τὸ γεγραμμένον ὑπ' αὐτοῦ, μετ' αἰθρίας τὰ πλεῖστα, καὶ χιόνας δέ φησι γεγενῆσθαι ἐν τῷ χειμῶνι, μὴ προσθεὶς αὐτὰς πολ-

λὰς ἢ ὀλίγας, ὡς αὖ οὐδ᾽ ἕτερον ἱκανῶς ἐσχηκυίας, ἀλλὰ παρὰ τὸ τῆς πόλεως ἔθος μᾶλλον γενομένας. διὸ καὶ προσέθηκεν αὐτοῖς, οὐ λίαν δ᾽ ἀκαίρως τὰ τῶν ψύξεων. καὶ τἄλλα δὲ τούτων ἐφεξῆς πάντα, τὸν χειμῶνα ψυχρὸν καὶ ὑγρὸν γεγονέναι δηλοῖ, κατὰ φύσιν μόνον αὐτὸν γινόμενον τοιοῦτον, μᾶλλον δὲ τοῦ προσήκοντος ὑγρὸν τηνικαῦτα συμβάντα. καὶ μέντοι καὶ τὸ ἔαρ ὑδατῶδες ψυχρόν τε καὶ βόρειον ἔφη γεγονέναι, πρὸς δὲ τούτῳ καὶ ἐπινέφελον, εἶτα τὸ θέρος μετρίως, ἐφ᾽ οἷς πᾶσιν ἐν βορείοις τισὶ περὶ ἀρκτοῦρον ὕδατα γενέσθαι πολλά. καὶ μετὰ ταῦτα τὸ κεφάλαιον ὅλης τῆς καταστάσεως ἐρεῖ κατὰ τὴν λέξιν. γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, οὐρανὸς λελαπώδης καὶ ἐπινέφελος, οὐρανὸν εἴρηκε κατὰ τὸ τῶν ἰδιωτῶν ἔθος, τὸν ὑπὲρ ἡμᾶς ἀέρα, μέχρι τῆς χώρας τῶν νεφελῶν. ὁ δ᾽ ὑπὸ τῶν ἀστρονόμων τε καὶ φιλοσόφων οὐρανὸς ὀνομαζόμενος, ἀπὸ τῶν κατὰ τὴν σελήνην ἄρχεται τόπων. λαίλαπας δὲ τοὺς ἐξαιφνιδίους καὶ σφοδροὺς ἀνέμους οἱ Ἕλληνες ὀνομάζουσι, καὶ μάλιστα ὅταν ὑετὸς ἅμα ἐν αὐτοῖς γίνηται λάβρος.

Γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα, πρωῒ δὲ τοῦ ἦρος πολλοὶ τινὲς, καὶ οἱ πλεῖστοι διῆγον ἐπιπόνως.

Δέδεικται διὰ τῶν ἔμπροσθεν ἡμῖν ὅτι εἴωθεν ὁ Ἱπποκράτης τῆς διηγήσεως τῶν γενομένων περὶ τὸν ἀέρα καταστάσεων ἄρχεσθαι κατ᾽ ἐκεῖνον τὸν χρόνον, ὅταν πρῶτον ἐκτραπῇ τῆς κατὰ φύσιν κράσεως, καὶ οὐκ ἀπὸ τοῦ λόγου οὐδὲ τοῦτο πράττειν, ὡς μέλλοντι συνάψειν τῇ τοῦ περιέχοντος ἀέρος δυσκρασίᾳ τὰς τῶν ἐπιδημησάντων νοσημάτων ἰδέας. ἐπὶ τοίνυν ἀπὸ φθινοπώρου τὴν ἀρχὴν ἐποιήσατο, δηλονότι τὸ πρὸ αὐτοῦ θέρος οὐδὲν, καὶ ἔπεται τὸ πρὸ αὐτοῦ. καὶ τοίνυν ὄντων ἐπὶ ταῖς ὥραις κατὰ φύσιν ἔχοντα τὰ σώματα παραλαβὸν τὸ φθινόπωρον ὑγρὸν καὶ ψυχρὸν γενόμενον, οὐδὲν εἰργάσατο φαῦλον, ἀλλ᾽ ἴσως ἔνια σώματα καὶ προσωφέλησεν, ὅσα θερμότερα καὶ ξηρότερα ταῖς κράσεσιν ὄντα κατὰ τὸ θέρος εἴωθεν εἰς ἀμετρίαν ἀφικνεῖσθαι. τούτων οὖν ὥσπερ ἴαμά τι τὸ φθινόπωρον ἐγένετο, ψυχρὰν καὶ ὑγρὰν ἔχον τὴν κατάστασιν. οὐ μὴν οὐδὲ κατὰ τὸν χειμῶνα νόσος ἐπιδήμιος ἐγεννήθη διηγήσεως ἀξία. τοῦτο γὰρ ἐπισημαίνει λέγων, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα. καὶ γὰρ ὁ χειμὼν ὑγρότερος μὲν ἐγένετο, ψυχρότερος δ᾽ οὐκ ἐπὶ πλέον ἢ κατὰ φύσιν αὐτῷ συμβέβηκεν εἶναι ψυχρῷ. διὸ δὴ καὶ διηγούμενος ὑπὲρ τῆς ἐν αὐτῷ καταστάσεως εἶπεν, οὐ λίαν δὲ ἀκαίρως τὰ τῶν ψύξεων. πρῶτον δὲ εὔλογον ἦν ἄρξασθαι νόσους ἐκ τῆς τοῦ περιέχοντος ἐπὶ πλέον ἐξαλλαγῆς, ἡνίκα φησὶν αὐτός· ἔαρ δὲ ψυχρὸν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. ἔαρ γὰρ εὔκρατον εἶναι χρὴ, οὐ ψυχρὸν, ὥσπερ οὐδ᾽ ἐπινέφελον, οὐδ᾽ ὑδατῶδες. ὅτι δ᾽ ἀπὸ τῆς ἰσημερίας ἄρχεται τὸ μετὰ τὸν χειμῶνα τὸ ἔαρ, ἐρρέθη ἡμῖν κατὰ τὸ πρόσθεν ὑπόμνημα, καὶ αὐτὸς δὲ σαφῶς ὁ Ἱπποκράτης ἐνεδείξατο κατὰ τὴν προκειμένην διήγησιν. εἰπὼν γὰρ ὅτι ὀπισθοχείμων, κἄπειτα προσθεὶς, ταῦτα δὲ συνέτεινε, καὶ οὐκ αὐτίκα μέχρι ἰσημερίας. ἐφεξῆς προσέγραψεν, ἔαρ δὲ ψυχρὸν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. ἴδωμεν οὖν ὁποῖα τῇ καταστάσει τοῦ περιέχοντος ἠκολούθησεν νοσήματα.

Ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεες, ὀδυνώδεες, ὑγραὶ, ἄπεπτοι, λημίαι σμικραὶ, καὶ δυσκόλως πολλοῖσιν ἐκρηγνύμεναι, τοῖσι πλείστοισιν ὑπέστρεφον, ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον.

Καὶ διατί μὲν ἐν ἦρι τῶν ἐπιδημίων νοσημάτων ἡ γένεσις ἤρξατο, προείρηται. διατί δ᾽ ὀφθαλμίαι μᾶλλον τῶν ἄλλων παθῶν ἐγένοντο, μάθοις ἂν εἰ τῆς ἐν αὐτῷ καταστάσεως ἀναμνησθείης. ψυχρότερον γὰρ ἔφη καὶ βόρειον καὶ ὑδατῶδες καὶ ἐπινέφελον γεγονέναι αὐτό. εἰ μὲν οὖν ὑπὸ τῶν ἀνέμων μόνον ἐπλήγησαν οἱ ὀφθαλμοὶ, χωρὶς ῥεύματος ἂν αἱ ὀφθαλμίαι συνέπεσον αὐτοῖς. ἐπεὶ δὲ μεθ᾽ ὑγρότητος πολλῆς ἐγένετο τὰ βόρεια πνεύματα, εἰκότως ῥοώδεις ἔφη τὰς ὀφθαλμίας γεγονέναι, τουτέστιν ὑγρὰς, ὡς ἀπὸ καταστάσεως ὑγρᾶς γεννηθείσας. ὀδυνώδεις δ᾽ ἑκατέρως ἦσαν καὶ μετὰ ῥεύματος συνιστάμεναι, καὶ χωρὶς τούτου, τῷ διαμένειν τὴν ψύξιν. ἱκανὴ γὰρ καὶ αὕτη τοὺς ὀφθαλμοὺς ὀδυνώδεις ἐργάσασθαι. νυνὶ δ᾽ εἰκὸς αὐξηθῆναι τὰς ὀδύνας, τῆς ψύξεως τῶν ὀφθαλμῶν ἅμα τῷ κατ᾽ αὐτοὺς ῥεύματι συνελθούσης. ἄπεπτοι δὲ γίνονται, καὶ χρόνῳ πολλῷ παρέμενον, διά τε τὴν ὑγρότητα, καὶ τὴν ψύξιν. τὸ γάρ τοι πέττεσθαι τοῖς ῥεύμασι, γίνεται κρατουμένοις ὑπὸ τῆς ἐμφύτου θερμασίας. κρατεῖται δὲ ῥᾷον, ὅταν ὀλίγον τε ᾖ τὸ ὑγρὸν, καὶ μὴ πάνυ ψυχρὸν, ὅταν δὲ καὶ πολὺ ψυχρὸν δυσκόλως πέττεται. καὶ μὲν δὴ καὶ ἡ κατὰ φύσιν ἐν τοῖς ζώοις θερμότης ἰσχυρὰ μὲν οὖσα, θᾶττον ἐκπέττει τὰς ἐν αὐτοῖς ὑγρότητας. εἰ δ᾽ ἀσθενὴς, μόγις ἐν χρόνῳ πλείονι περιγίνεται, καὶ κρατεῖν δύναται τῶν ὑγρῶν, διὸ καὶ εἴ τινων ἐθεραπεύθησαν, ὑπέστρεφον αὖθις. ἠσθενηκότας γὰρ ἐν ταῖς ὀφθαλμίαις τοὺς ὀφθαλμοὺς, τὸ περιέχον ψυχρὸν καὶ βόρειον ὑδατῶδες καὶ ἐπινέφελον γενόμενον, εἰκότως ἔβλαπτε. εἴωθε δὲ ταῖς τοιαύταις ὀφθαλμίαις λημία γίνεσθαι μικρὰ, μόγις ἐκπίπτοντα διὰ τὴν πύκνωσιν τῶν χιτώνων, ἣν ἐκ τοῦ περιέχοντος ψυχρότητος ἔσχον. ὅλῳ μὲν οὖν τῷ ἦρι, χείρους ἀναγκαῖον ἦν ἐν αὐτῷ γίνεσθαι τοὺς ὀφθαλμούς. ἐν δὲ τῷ θέρει τὴν γενομένην ἐν αὐτοῖς σκιῤῥώδη διάθεσιν, εἰς πέψιν ἀχθῆναι κατὰ βραχύ. τὰ γὰρ ἐν χρόνῳ κατασκευασθέντα νοσήματα, καὶ μάλιστα ὑπὸ ψυχρῶν τε καὶ ὑγρῶν, οὐκ ἐνδέχεται λυθῆναι ταχέως. εἰκότως οὖν ἔφη τελέως παύεσθαι τὰ περὶ τοὺς ὀφθαλμοὺς πάθη κατὰ τὸ φθινόπωρον.

Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον λειεντεριώδεες, καὶ δυσεντεριώδεες, καὶ τεινεσμοὶ, καὶ διάῤῥοιαι χολώδεσι, λεπτοῖσι πολλοῖσι, ὠμοῖσι, καὶ δακνώδεσι, ἔστι δ᾽ οἷσι καὶ ὑδατώδεσι. πολλοῖσι δὲ καὶ περίῤῥοιαι μετὰ πόνου χολώδεες, ξυσματώδεες, πυώδεες καὶ στραγγουριώδεες.

Οὐ ταῦτα μόνον ἐγίνετο νοσήματά τε καὶ συμπτώματα τοῖς Θασίοις, ἀλλὰ καὶ ἄλλα τινὰ περὶ ὧν ἐφεξῆς ἐρεῖ. ποικιλώτατα γὰρ ἐνόσησαν, ἑτερογενέσι περιπεσόντες νοσήμασι. τὸν κοινὸν δ᾽ οὖν λόγον ὃς καὶ πρὸς τὸ μὴ νοσεῖσθαι πάντας τοὺς ἐν τοιαύτῃ καταστάσει γενομένους ἐστὶ χρήσιμος, ἐρῶ πρότερον, εἶθ᾽ ἑξῆς ἐπὶ τὰ κατὰ μέρος ἀφίξομαι νοσήματα,

νοσήματα. σκοπεῖσθαι δεῖ ἐν πάσαις ταῖς καταστάσεσι τὴν ἡλικίαν καὶ τὴν φύσιν ἑκάστου τῶν ἀνθρώπων, ὅπως ἔχει σχέσεως πρὸς τὴν κατάστασιν. ἤτοι γὰρ εὐάλωτον, ἢ δυσάλωτον, ἢ μετρίως ἔχοντα πρὸς αὐτὴν, εὑρήσεις αὐτά. εἶθ᾽ ἑξῆς ἁρμόσεις τὰ τῶν ἐπιτηδεύματα, καὶ σύμπασαν τὴν ὑγιεινὴν δίαιταν ὑπεναντίον τῇ καταστάσει. τὸ μὲν οὖν εὐάλωτόν τε καὶ δυσάλωτον εἶναι τὸ σῶμα τοῖς ἔξωθεν αἰτίοις, εἴρηται πολλάκις ἡμῖν διά τε τὴν ὁμοιότητα καὶ τὴν ἀνομοιότητα τῆς κράσεως γίνεσθαι. τῆς γὰρ ὑγείας ἐκ συμμετρίας γινομένης τῶν τεττάρων στοιχείων, εἴτε ποιοτήτων, εἴτε δυνάμεων θέλεις ὀνομάζειν, ὑγρότητος καὶ ξηρότητος, καὶ θερμότητος καὶ ψυχρότητος, ἔνια τῶν σωμάτων καὶ φύσεων καὶ ἡλικιῶν ἐστι δύσκρατα. τούτοις οὖν αἱ μὲν ὅμοιαι καταστάσεις νοσώδεις εἰσὶν, αἱ δ᾽ ἐναντίαι συμφέρουσιν αὐτοῖς. τοῖς δ᾽ εὐκράτοις σώμασιν, αἱ μὲν εὔκρατοι καταστάσεις ὑγιειναὶ, βλαβεραὶ δ᾽ αἱ δύσκρατοι. ἀλλ᾽ ὥσπερ οὐδεμία τῶν δυσκράτων καταστάσεων ἀγαθὴ τοῖς εὐκράτοις ἐστὶν, οὕτως οὐδὲ μεγάλως βλαβερὰ, καθάπερ τοῖς δυσκράτοις. αἱ μὲν γὰρ ἰσχυρῶς ὑγραὶ καὶ ψυχραὶ καταστάσεις, ἐσχάτως βλάπτουσι τὰ δύσκρατα σώματα καθ᾽ ὑγρότητα καὶ ψυχρότητα. καθάπερ γε καὶ αἱ ὑγραὶ καὶ αἱ θερμαὶ καταστάσεις, τὰς ὑγρὰς καὶ θερμὰς τῶν κράσεων βλάπτουσι, καὶ κατὰ τὸν αὐτὸν λόγον αἱ θερμαὶ καὶ ξηραὶ τὰς ὁμοίας. ὅσα γὰρ ἐγγὺς ἤδη τοῦ νοσεῖν ἐστι σώματα, νόσον τοιάνδε διὰ τὴν οἰκείαν δυσκρασίαν ἐξελέγχεται. τὰ δ᾽ ἐναντίως κεκραμένα τῷ περιέχοντι, πρὸς τῷ μηδὲν ἀδικεῖσθαι, γίνεται βελτίω τῇ ἀμετρίᾳ κολαζόμενα. τὰ γὰρ ἐναντία, τῶν ἐναντίων ἐστὶν ἰάματα. ταῖς οὖν θερμαῖς καὶ ξηραῖς κράσεσιν, ἡ ὑγρὰ καὶ ψυχρὰ κατάστασις, ὠφέλειαν μᾶλλον ἢ βλάβην παρέχει διὰ τῆς εἰς τοὐναντίον ἀγωγῆς, μεσότητα κράσεως ἐργαζομένη. καὶ τοῦτ᾽ ἦν αἰτία, τοῦ μὴ νοσεῖν ἅπαντας ἐν ταῖς δυσκράτοις καταστάσεσιν. ἐὰν οὖν τις τοῦτο γινώσκῃ, τὴν ὑγείαν φυλάξει τοῖς σώμασι, τἀναντία διαιτήματα προσάγων. αὖ γοῦν ὑγρὸν καὶ ψυχρὸν τὸ περιέχον ἡμᾶς ἐστι, δεήσει θερμαίνειν τὰ σώματα, καὶ μάλιστα ὅσα ψυχρότερά τέ ἐστι καὶ ὑγρότερα. γυμνάσιά τε οὖν πλείω τοῖς τοιούτοις ὠφέλιμα † καὶ οἶνος ὀλίγος τῇ θερμοτέρᾳ φύσει, ὕδωρ ἑλκτικὸν, ἐδέσματά τε θερμαίνοντα. καὶ μέντοι καὶ τὸ καθ᾽ ἕκαστον αὐτῶν ποσὸν, ἔκ τε τῆς τοῦ σώματος κράσεως εἰσόμεθα, καὶ τῆς τοῦ περιέχοντος, ἐφ᾽ ὅσον ἑκάτερον ἐκτέτραπται, τῆς εὐκρασίας ἐπισκεπτόμενοι. κατὰ γοῦν τὸ μέγεθος τῆς ἐκτροπῆς, καὶ τὸ ποσὸν τῆς διαίτης, ὑπαλλακτέον. οἷον εἴ τι ἐστὶ σῶμα τῆς εὐκρασίας ἐπὶ πλεῖστον ἀποκεχωρηκὸς, πρὸς ὑγρότητά τε καὶ ψυχρότητα, τοῦτο κατὰ τὴν προκειμένην κατάστασιν ἐπὶ πλέον αὐτοὶ ξηραίνομέν τε καὶ θερμαίνομεν. εἰ δὲ μετρίως εἰς τοιοῦτον, ἄλογον ἂν εἴη ἐσχάτως αὐτῷ τοῦτο ποιεῖν, ἀναλόγως δ᾽ αὖ. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ τῶν ξηρῶν καὶ θερμῶν σωμάτων οὐ χρὴ τὰ διαιτήματα σφοδρῶς εἶναι θερμὰ καὶ ξηρὰ, παρ᾽ ἑαυτῶν γὰρ ἔχει τοῦτο. σκοπεῖσθαι δὲ μόνον ὁπόσον τὸ περιέχον ἐκτέτραπται τῆς προσηκούσης εὐκρασίας. εἰ μὲν γὰρ ὀλίγον, οὐδ᾽ ὅλως ὑπαλλάξωμεν τὴν μέσην δίαιταν ἐπὶ τῶν θερμῶν καὶ ξηρῶν σωμάτων. εἰ δ᾽ ἐπὶ πλέον, ἀρκέσει τὸ μετρίως ὑπαλλάξαι. ταῦτ᾽ οὖν ὅστις ἐστὶν ἐπιστάμενος, τὰς αἰτίας τῆς ἑκάστου τῶν νοσημάτων γενέσεως, ἐν ἑκάστῃ καταστάσει φυλάξει. κοινῶς δὲ τοῖς ἐμπειρικοῖς ὁμοίως γεγυμνασμένος, ἐπίστασθαι τῶν οὕτω γινομένων παθῶν τὰς αἰτίας, ἀναφέρων δ᾽ εἰς πεῖραν μόνην αὐτὰς, τῆς προσηκόντων βοηθημάτων τῆς εὑρέσεως ἠπόρει, καίτοι δι᾽ αὐτὸ τοῦτο χρησίμης οὔσης ἀναγνῶναι τῆς γενέσεως τῶν ἐπιδημιῶν νοσημάτων. ἐπισκεψώμεθα οὖν ἡμεῖς τὴν προκειμένην κατάστασιν, ἀναλαβόντες ἐξ ἀρχῆς. ἐγένετο δὲ καθάπερ ὁ Ἱπποκράτης ἐδήλωσεν ὑγρὰ καὶ ψυχρὰ, τὴν ἀρχὴν ἀπὸ φθινοπώρου ποιησαμένη. διὰ τοῦτ᾽ οὖν ἐν μὲν αὐτῷ τῷ φθινοπώρῳ καὶ τῷ μετ᾽ αὐτὸν χειμῶνι, μετρίως διῆγον οἱ θάσιοι. κατὰ δὲ τὸ ἔαρ ἐπειδὴ καὶ αὐτὸ ψυχρόν τε καὶ ὑγρὸν ἐγένετο, πρῶτοι πάντων ἐνόσησαν οἱ ὀφθαλμοὶ, διότι μὴ μόνον ὑγρὸν ἦν καὶ ψυχρὸν τὸ περιέχον, ἀλλὰ καὶ λελαπάδες ἐμπροσθεν ἐγεγόνει. πληττομένους οὖν ὑπὸ τῶν ψυχρῶν ἀνέμων τοὺς ὀφθαλμοὺς, εἰκὸς ἦν πρώτους τῶν ἄλλων μορίων νοσῆσαι τοῦ σώματος, κατὰ τὴν τοῦ δρῶντος αἰτίου φύσιν, ὥστ᾽ οὐκ ἄλλως αὐτοῖς ὑγρὰ καὶ ψυχρὰ ῥεύματα συνέπεσεν. ἐπειδὴ δ᾽ οὐκ ἤχθη εἰς ἐσχάτην ἡ κατάστασις ὑγρότητα, διὰ τοῦτο τῶν ἄλλων παθημάτων οὐδὲν ἠκολούθησεν, ὅσα πλεονεκτούσης ἐν τῷ περιέχοντι τοιαύτης κράσεως εἴωθε γίνεσθαι. λέγω δὲ ἀποπληξίας, καὶ σπασμοὺς, καὶ παλμοὺς, καὶ τετάνους, περιπνευμονίας τε καὶ πλευρίτιδας. ἀλλ᾽ ὕστερόν γε νοσήματα πληθωρικὰ μετὰ διαφθορᾶς ἐγένετο, σηπομένων ἤδη τῶν χυμῶν διὰ τὴν πολυχρόνιον ἔνδον μονήν. καὶ γὰρ τὰ ψυχρὰ τῶν αἰτίων πυκνοῦντα τὸ δέρμα, κωλύει διαφορεῖσθαι τοὺς χυμοὺς, ἥ θ᾽ ὑγρότης ἡ ἐκ τοῦ περιέχοντος, οὐ μόνον οὐδὲν ἀπάγει τοῦ σώματος, ἀλλὰ προσδίδωσιν. ἀμφοτέρων οὖν ὁμοῦ γινομένων ἐν τῇ προκειμένῃ καταστάσει, πλῆθος ἠθροίσθη κατὰ τὰ σώματα τῶν νοσησάντων οὐχ ὅμοιον ἅπασιν. οἷς μὲν γὰρ ἦν ἐν τῷ σώματι χολῶδές περίττωμά τι, οὐ διαφορηθὲν τοῦτο, χολῶδες τὸ πάθος ἐποίησεν. οἷς δὲ φλεγματικὸν, ἢ μελαγχολικὸν, ἢ αἱματικὸν, αὐτίκα καὶ τὸ πάθος ἦν ὅμοιον τῷ μὴ κενωθέντι. διαφθείρεσθαι δὲ πεφυκυίας ἐν τῷ σώματι, καὶ σήπεσθαι τῆς τοιαύτης περιουσίας, εὔλογον ἦν ἄλλους ἄλλοις ἁλῶναι νοσήμασιν, πρὸς τῷ καὶ τὰ μέρη τοῦ σώματος οὐχ ὁμοίως διακείμενα ἅπαντας ἔχειν, ἀλλὰ τῷ μὲν ἧπαρ ἀσθενέστερον εἶναι, τῷ δὲ σπλῆνα, τῷ δὲ γαστέρα, τῷ δὲ ἔντερον, τῷ δὲ ἄλλο τι. δεχομένων οὖν ἀεὶ τῶν ἀσθενεστέρων μορίων τὴν ἐκ τῶν ἰσχυροτέρων περιουσίαν, ἀκόλουθον ἦν καὶ παρὰ τὴν τῶν τόπων φύσιν, ἄλλον ἄλλο παθεῖν τῶν θασίων. αἱ μὲν οὖν δυσεντερίαι καὶ οἱ τεινεσμοὶ, καὶ αἱ διάρροιαι, καὶ λειεντερίαι, ῥυέντων εἰς ἔντερα τῶν περιττῶν ἐγένοντο. δυσουρίαι δ᾽ εἰς τὴν κύστιν τρεπομένων, ἔμετοι δ᾽ ἐπὶ τὸ στόμα τῆς γαστρὸς ἀφικνουμένων. ἀλλὰ ταῦτα μὲν ἔσωθεν τοῦ σώματος ὡρμήσεν διὰ τὴν ἐκ τοῦ περιέχοντος ψύξιν. ἐν δὲ τῷ θέρει ταῖς θερμοτέραις κράσεσι τῶν σωμάτων ἰσχυρότερα τὰ ἔνδον ἐχούσαις, εἰκὸς ἦν ἱδρῶτας γενέσθαι. καί τισι μὲν αὐτῶν αὐτοῦ πυρετῶν τοῦτο συμβῆναι, μηδέπω ψύξιν ἱκανὴν ἐσχηκυίας τῆς περιουσίας, ἐνίοις δὲ καὶ μετὰ τοῦ πυρέττειν, ἐν δὲ τῷ χρόνῳ προήκοντι, καὶ πυρετοὺς γενέσθαι ποικίλους, ἄλλον ἄλλης ἰδέας, ἐπειδὴ καὶ οἱ σηπόμενοι χυμοὶ διαφέροντες ἦσαν. οὐ γὰρ ἐγεννήθησαν ὑπὸ τοῦ περιέχοντος, ἀλλ᾽ ἠθροίσθησαν ἀπὸ τῆς καταστάσεως ψυχρᾶς οὐ θερμῆς γενομένης. ἵνα κατὰ τὸν ἑαυτῆς λόγον ἐκθερμαίνῃ τὸ σῶμα, καὶ ἡ μετὰ κυνὸς ἐπιτολὴ, ἀεὶ γίνεσθαι πεφύκασι πυρετοὶ διακαεῖς. ἀλλὰ νῦν γε οὐχ ὑπ᾽ αὐτῆς πρώτως ἐγένετο τῆς καταστάσεως, ἀλλὰ διὰ μέσης τῆς πυκνώσεως τοῦ δέρματος. ἡ μὲν οὖν σύνοψις τῶν ἐπιδημησάντων τότε παθημάτων, εἴρηταί μοι. πρὸς δὲ τὸ κατὰ μέρος ἤδη τρέψομαι, μετὰ τοῦ καὶ τὴν λέξιν, εἴ πού τι φαίνοιτο μὴ σαφὲς ἔχειν, ἐξηγεῖσθαι.

† καὶ οἶνος ὀλίγος θερμοτέροις φύσει ὢν, καὶ ὕδωρ προσλαβών

Οὐ νεφριτικαὶ, ἀλλὰ τούτοισιν ἄλλα ἀντ' ἄλλων.

Καὶ διὰ τῆς ἕδρας ἐκκρίσεις γίνονται μοχθηραὶ πολλάκις, ἀπαθῶν μὲν τῶν κατὰ τὴν γαστέρα μενόντων, ἐκκαθαιρομένου δὲ δι' αὐτῶν ὅλου τοῦ σώματος, ἢ κατὰ σύστασιν ὅσης κατ' αὐτὴν κατ' ἔκρουν τινὰ, κατ' αὐτὸν τὸν Ἱπποκράτην βουλόμενον † κατ' ἀπόθεσιν ἀλλὰ καὶ κατ' ἔκρουν ἀπόστασιν γίνεσθαι. οὕτως οὖν καὶ διὰ νεφρῶν καὶ κύστεως ἐστὶν ὅτε πᾶν ἐκκαθαίρεται τὸ σῶμα μηδὲν αὐτῶν τῶν ὀργάνων ἴδιον ἐχόντων πάθος, ὥσπερ ἐπὶ τῆς προκειμένης καταστάσεως ἐγίνετο, διότι καὶ προελθὼν αὐτὸς ἐρεῖ κατὰ λέξιν. μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γινομένων σημείων, καὶ πλείστους ἐρρύσατο τῶν ὄντων ἐπὶ τοῖς μεγίστοις κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο, καὶ εἰς ταῦτα ἀποστάσεις ἐγίνοντο. τοῦτ' οὖν ἐστὶ τὸ καὶ νῦν εἰρημένον, οὐ νεφριτικαὶ, ἀλλὰ τούτοισιν ἄλλα ἀντ' ἄλλων. καὶ γὰρ τῶν ἐν ὅλῳ τῷ σώματι περιττῶν ῥυέντων ἐπὶ νεφροὺς καὶ κύστιν, ἐκκρίσεις ἐπεγίνοντο, παραπλήσιαι ταῖς νεφριτικαῖς.

τὸ μόνον κατ'

Ἔμετοι φλεγματώδεες, χολώδεες, καὶ σιτίων ἀπέπτων ἀγωγαί.

Τῆς ἔσω ῥεπούσης περιουσίας τῶν χυμῶν, ὅσον ἐπὶ τὴν ἕδραν ἐρρύη, διαρροίας τε καὶ τεινεσμοὺς καὶ δυσεντερίας καὶ λειεντερίας εἰργάσατο. διὰ νεφρῶν δὲ καὶ κύστεως ἄλλο τὴν ἔκκρισιν ἔσχεν. οὕτως οὖν ἐρρύη τὸ περιττὸν εἰς τὴν ἄνω γαστέρα, καὶ δι' ἐμέτων ἐπιπολάζον, ἐξεβλήθη, τοῖς μὲν φλεγματώδεσι φύσει, φλεγματωδῶν ἐμέτων γινομένων, τοῖς δὲ χολώδεσι, χολωδῶν. εἴρηται γὰρ ὅτι διὰ τὴν κατάστασιν ἠθροίσθη τὰ περιττὰ, διάφορον δ' ἀλλήλων ταῦτα ταῖς ποιότησι κατὰ τὰς φύσεις τῶν σωμάτων. θαυμαστὸν δ' οὐδὲν εἰ καὶ σιτίων ἀπέπτων, ἀναγωγαὶ τούτοις ἐγένοντο, φλεγματωδῶν καὶ χολωδῶν χυμῶν εἰς τὴν γαστέρα συρρεόντων.

Ἱδρῶτες.

Ὅσαις φαμὲν διὰ τοῦ δέρματος ἀπόρροιαι πλείους ἐγίνοντο, κατ' ἐκεῖνον τὸν χρόνον ἴσχυσεν ἡ φύσις ἀπώσασθαι τὸ περιττὸν ἐνταῦθα, καὶ οὕτως τούτοις ἱδρῶτας γενέσθαι.

Πᾶσι πάντοθεν πολὺς πλάδος.

Τὴν περιττὴν ὑγρότητα πλάδον εἴωθεν ὀνομάζειν. ἐπεὶ τοίνυν ἄλλοις ἄλλως, τισὶ δὲ καὶ πολυειδῶς ἐξεκενοῦτο τὰ συνειλεγμένα χρόνῳ πολλῷ τῶν ὑγρῶν, διὰ τοῦτ' εἰκότως ἔφη, πᾶσι πάντοθεν πλάδος.

Ἐγίνοντο δὲ ταῦτα πολλοῖσιν ὀρθοστάδην ἀπύροις, πολλοῖσι δὲ πυρέττουσιν, περὶ ὧν γεγράψεται.

Ὅσοις μὲν ἔφθασε τὸ ἠθροισμένον πλῆθος, ἅτε χολῶδες ὑπάρχον ὅλως οὐ διαφθαρὲν εἰς σηπεδόνα πυρετώδη μεταβαλεῖν, ἐπύρεξαν οὗτοι παραχρῆμα. τινὲς δ' ὀρθοστάδην, ἢ οὐ πρότερον εἰς τοὺς πυρετοὺς κατηνέχθησαν.

Ἐν οἷσι δὲ ἐπεφαίνετο πάντα τὰ ὑπογεγραμμένα μετὰ πόνου φθινώδεες μὲν, ἤδη δὲ φθινοπώρου καὶ ὑπὸ χειμῶνα.

Περὶ δὲ τοῦ δευτέρου φθινοπώρου δηλονότι λέγει καὶ τοῦ δευτέρου χειμῶνος, ἐπεὶ περί γε τοῦ προτέρου προειρήκαμεν οὕτως, κατὰ χειμῶνα μὲν ὑγιεινῶς εἶχον τὰ πλεῖστα. περὶ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπιπόνως, εἶτα περὶ τῶν ἐν τῷ ἦρι γενομένων διελθὼν, ἐφεξῆς τοῦ θέρους ἐμνημόνευσε, καὶ μετὰ ταῦτα τοῦ δευτέρου φθινοπώρου, περὶ οὗ κατὰ τὴν τελευτὴν τῆς ὅλης καταστάσεως εἰρήκει. ταχὺ περὶ ἀρκτοῦρον ἐν βορείοισι, πολλὰ πάνυ ὕδατα. φθινώδεας δέ τινας εἴρηκεν, οὐ πάνυ σαφές ἐστιν, εἴωθε γὰρ τοὺς ὁπωσδήποτε ἰσχνουμένους τὸ σῶμα καὶ φθινοῦντας οὕτως ὀνομάζειν, οὐ μόνον τοὺς διὰ τὴν τοῦ πνεύμονος ἕλκωσιν ὅλον τὸ σῶμα τηκομένους. εἰκὸς δὲ καὶ νῦν ὑπ' αὐτοῦ λελέχθαι φθινώδεις, τοὺς ὁπωσδήποτε τὸ σῶμα λεπτυνομένους, μηδενός γε προειρημένου περὶ τῶν κατὰ τὸν πνεύμονα νοσημάτων. οὔτε γὰρ αἵματος ἀναγωγὴν ἔφη αὐτῶν γεγονέναι πρόσθεν, οὔτε περιπνευμονίαν, οὔτε ῥεῦμα κατασκῆψαι τῷ σπλάγχνῳ τούτῳ, πῶς ἂν εἰκότως δόξῃς φθινώδεις λέγειν γεγονέναι τοὺς τότε κάμνοντας, ἐπὶ τῇ κακώσει τοῦ πνεύμονος. οὐ μὴν ἀδύνατόν γε, καθάπερ ἐπὶ γαστέρα καὶ νεφροὺς ἧκέ τι τῆς καθ' ὅλον τὸ σῶμα περιουσίας, οὕτως καὶ τοῖς πνευμονικοῖς κατασκῆψαι.

Πυρετοὶ ξυνεχέες.

Τὸ ὑπὸ χειμῶνα μεταξὺ λεγόμενον, τῆς τε προγεγραμμένης λέξεως, καὶ ταύτης, οἱ μὲν ἐκείνῃ προσνέμουσιν, οἱ δὲ ταύτῃ. ἐμοὶ δὲ σύμπας ὁ λόγος φαίνεται τοιόσδε. καὶ κατὰ τὸ φθινόπωρον ἤδη τινὲς ἐγένοντο φθινώδεις, ὡσαύτως δὲ καὶ κατὰ τὸν χειμῶνα, καὶ μέντοι καὶ πυρετοὶ συνεχεῖς, καὶ κατὰ τὸ φθινόπωρον ἐγένοντο, καὶ κατὰ τὸν χειμῶνα. πρόδηλον δ' ὅτι τοῦ δευτέρου χειμῶνος, οὐκ ἔγραψε τὴν κατάστασιν ὡς φυλάξαντος τὴν οἰκείαν χειμῶνος κρᾶσιν. ἐμάθομεν οὖν ἐκ τοῦ δευτέρου λόγου, νοσήματα γίνεσθαι κατ' ἐνίας τῶν ὡρῶν οὐδὲν αὐτὰς πεπονθυίας, ἀλλὰ τὰ τῶν πρόσθεν ἁμαρτήματα διαδεξαμένας.

Καί τισιν αὐτέων ὀλίγοισι καυσώδεες.

Οὐ κατὰ τὸν ἴδιον λόγον τῆς καταστάσεως οἱ καυσώδεις ἐγίνοντο πυρετοὶ, κατά τι δὲ συμβεβηκὸς, καθάπερ πρόσθεν εἴπομεν τὰ συμβεβηκότα. ἐπισχεθείσης γὰρ τῆς καθ' ὅλον τὸ σῶμα διαπνοῆς, τὰ περιττεύειν ἑκάστῃ τῶν φύσεων εἰθισμένα, κωλυθέντα τῆς κενώσεως οἰκείας ἑαυτοῖς ἐγέννησαν νόσους, ὡς ὅσοι σφοδρῶς ἦσαν χολώδεις, τούτοις φύσει εἰθισμένως συνέβη τὸν καῦσον γενέσθαι, διὸ καὶ περὶ αὐτῶν ἐφεξῆς ἐρεῖ. οἱ μὲν οὖν καῦσοι, ἐλαχίστοισιν ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὐ γὰρ θερμὴ, καὶ διακαὴς καὶ αὐχμηρὰ κατάστασις ἐγένετο αὐτοῖς. πολλοὶ γὰρ ἂν ἐγένοντο, καὶ πολλοῖσι, καὶ μετὰ πόνων ἰσχυρῶν.

Ἡμερινοί, νυκτερινοί, ἡμιτριταῖοι, τριταῖοι ἀκριβεῖς, τεταρταῖοι, πλάνητες. ἕκαστοι δὲ τῶν ὑπογεγραμμένων πυρετῶν πολλοῖσιν ἐγίνοντο. οἱ μὲν καῦσοι ἐλαχίστοισί τε ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν.

Διατί πᾶν μὲν εἶδος ἐν τῇ προγεγραμμένῃ καταστάσει συνέβη γενέσθαι, πρόσθεν εἴρηται. τὸ δ' ἀκριβὲς μεταξὺ κείμενον, τοῦ τε τριταίου καὶ τεταρταίου προσνέμειν ἑκατέροις ἐγχωρεῖ.

Οὔτε γὰρ ἡμοῤῥάγησαν, εἰ μὴ πάνυ τισὶ μικρά, καὶ ὀλίγοισιν, οὔθ' οἱ παράληροι, τά τ' ἄλλα πάντα εὐφόρως.

Ἴδιον Ἱπποκράτους ἐστὶ, τὸ διδάσκειν ἐν τῷ ἔργῳ θεωρήματα χρήσιμα. τὰ γὰρ τῶν οἰκείων νοσημάτων συμπτώματα μὴ γενόμενα τότε, κατὰ τοῦτον εἴωθε τὸν τρόπον ἑρμηνεύειν ἐκ τοῦ μὴ γενέσθαι τότε, γενέσθαι πολλάκις αὐτὰ διδάσκων. ἐν μὲν οὖν τοῖς γνησίοις ὡς ἂν εἴποι τις καύσοις, διὰ τὸ πλῆθος τῆς θερμασίας ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων τῶν χυμῶν αἱμοῤῥαγίαι τε καὶ παράληροι γίνονται. νυνὶ δὲ, οὐ γὰρ ἦν γνήσιος ὁ καῦσος, εἰκότως οὐδὲ τὰ συμπτώματα εἶχε, τὰ καύσων ἴδια.

Ἐκρίνετο τουτέοισι πάνυ εὐτάκτως τοῖσι πλείστοισι, σὺν τῇσι διαλειπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσι.

Καὶ τοῦτο τῶν τότε γινομένων καύσων ἴδιον, οὐ κοινὸν πρὸς τοὺς ἄλλους οὓς γνησίους ὠνόμασεν. ἐκεῖνοι γὰρ ὥσπερ σφοδροὶ τοῖς πυρετοῖς, οὕτω καὶ τῇ δίψῃ, καὶ τῇ ἀγρυπνίᾳ, καὶ τῇ δυσφορίᾳ, καί που καὶ τῇ παραφορᾷ τῆς διανοίας ἐνοχλοῦσι. διὰ δὲ τὴν τοιαύτην ὀξύτητα, καὶ τὴν κρίσιν ἔχουσιν ἐν τάχει γινομένην. ἐν δὲ τῷ νῦν ἐπιδημήσαντι καύσῳ, καθάπερ τὸ τῆς ὀξύτητος ἦν μέτριον, καὶ τῶν ἐπιπόνων συμπτωμάτων οὐδὲν, οὕτως οὐδ' ἡ κρίσις ἐγίγνετο βέβαιος, ἀλλ' οἷον ἡμιῤῥοπός τις, ὡς ἐξ ὑποστροφῆς αὖθις κρίνεσθαι τὸ δεύτερον. ἐν γὰρ τῷ φάναι, σὺν τῇσι διαλειπούσῃσι, τὸ προκεκρίσθαι μὲν ἐνδεῶς, ἐξ ὑποστροφῆς δὲ κεκρίσθαι τὸ δεύτερον ἐνεδείξατο.

Οὐδ' ἀποθανόντα οὐδένα οἶδα τότε ἐν καύσῳ, οὐδὲ φρενιτικὰ τότε γενόμενα.

Οὐδεὶς μὲν ἀπέθανεν ἐν τῷ τότε καύσῳ ὅτι μέτριος ἐγένετο, καὶ λέλεκται πρόσθεν ἡ αἰτία τούτου. τὰ φρενιτικὰ δ' οὐκ ἐγένετο, διότι μὴ ἐπληροῦτο τούτοις ἡ κεφαλὴ τῆς καταστάσεως ὅλης ψυχρᾶς οὔσης. ἐδείχθη δ' ὅτι φρενίτιδες ὑπὸ θερμαινομένων τῶν κατὰ τὸν ἐγκέφαλον χωρίων γίνονται.

Οἱ δὲ τριταῖοι πλείους μὲν τῶν καύσων, καὶ ἐπιπονώτεροι. εὐτάκτως δὲ τούτοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψιος, τέσσαρας περιόδους. ἐν ἑπτὰ δὲ τελέως ἐκρίνοντο, οὐδ' ὑπέστρεψαν οὐδ' ἐνὶ τουτέων.

Ἔν τε τοῖς περὶ διαφορᾶς πυρετῶν ὑπομνήμασι, κἂν τοῖς περὶ κρίσεων ἐπιδέδεικται τά τ' ἄλλα, καὶ ὅτι διὰ πλεονεξίαν χολῆς ξανθῆς, οἵ τε καῦσοι καὶ οἱ τριταῖοι γίνονται, καὶ τοῦτ' ἔχοντες κοινὸν διαφέρουσι τοῖς τόποις, ἐν οἷς ὁ πλεονάζων ἀθροίζεται χυμός. ἐν μὲν γὰρ τοῖς καύσοις ἐπὶ τὰς φλέβας πλεονάζει καὶ μάλιστα τὰς καθ' ἧπαρ καὶ γαστέρα. τριταῖοι δὲ πυρετοὶ γίνονται, κατὰ τὰς ἐν ὅλῳ τῷ σώματι σάρκας ἐπικρατούσης τῆς ξανθῆς χολῆς. ἐπισχεθείσης οὖν τῆς διαπνοῆς, τοῖς φύσει χολώδεσιν, ὅσον ἐν τῷ σαρκώδει γένει τῆς χολῆς ἀθροιζόμενον ἐκενοῦτο πρότερον, τοῦτο κενωθὲν ἐν τῇ νῦν καταστάσει, τοὺς τριταίους ἐγέννησε πλείους τῶν καύσων. ἐκεῖνοι γὰρ οὐ πάνυ τι τὴν γένεσιν ἐξ ἐπισχέσεως ἴσχουσι χολωδῶν περιττωμάτων, ἀλλὰ τῆς ἐν τοῖς ἀγγείοις τε καὶ σπλάγχνοις θερμασίας ἀπεκταθείσης, ἐκφλογωθείσης τῆς καταστάσεως τῆς θερμῆς ἰσχυρῶς, ὡς γίνεται τοῖς γυμνασαμένοις ἐπὶ πλέον, ἢ φροντίσασιν ἰσχυρῶς, ἢ διατρίψασιν ἐπὶ πλέον ἐν ἡλίῳ, ἢ ἐδέσμασι καυσώδεσι χρησαμένοις δαψιλῶς, ἢ καὶ τὰ πλεῖστα τούτων, ἢ καὶ τὰ πάντα πράξασί τε καὶ παθοῦσιν. ἀλλ' οὐχ ἡ νῦν κατάστασις ἰσχυρῶς θερμὴ, διόπερ οὐδ' οἱ καῦσοι πολλοῖς ἐγίγνοντο, μᾶλλον ἢ τοῖς λίαν χολώδεσι, καὶ τούτοις μετριώτατοι. τοῖς δ' αὐτοῖς τούτοις, εἰκότως μᾶλλον καὶ οἱ τριταῖοι συνέβησαν, ἐκ τοῦ τὰς εἰθισμένας ἀποῤῥοίας τῶν χολωδῶν περιττωμάτων ἐπισχεθῆναι. κατὰ λόγον οὖν τούτοις ἐπιπονώτεροί τε τῶν καύσων ἐγίνοντο, διότι καὶ γνησιώτεροι, καὶ τὰς κρίσεις οἰκείας ἔχον.

Οἱ δὲ τεταρταῖοι πολλοῖσι μὲν ἐξ ἀρχῆς, ἐν τάξει τεταρταίου ἤρξαντο. ἔστι δ' οἷσιν οὐκ ὀλίγοισιν ἐξ ἄλλων πυρετῶν, καὶ νοσημάτων ἀποστάσιες εἰς τεταρταίους ἐγίνοντο. μακροὶ δὲ, ὡς εἰθισμένοι, τουτέοισι, καὶ ἔτι μακρότεροι ξυνέπιπτον.

Οὐδ' οὗτοι διὰ τὴν κατάστασιν ἐγένοντο πρώτως, ἀλλ' ἐκ τοῦ μὴ κενοῦσθαι ταῖς μελαγχολικαῖς φύσεσι τὴν περιουσίαν τῆς μελαίνης χολῆς, ἁλῶναι τοῖς τοιούτοις νοσήμασι συνέβη. χρονίσαι δ' αὐτοὺς ἐγένετο τῆς καταστάσεως οὔσης ὑγρᾶς καὶ ψυχρᾶς, ἐν ᾗ πάντα τὰ αἴτια, μέχρι πλείστου κατὰ τὸ σῶμα μένει, μήτε πεττόμενα, μήτε διαπνεόμενα. μέμνησο δὲ πάλιν ἐνταῦθα τῆς περὶ τοὔνομα χρήσεως, τοῦ Ἱπποκράτους εἰπόντος, ἀποστάσιες εἰς τεταρταίους γεγονέναι. φαίνεται οὐ μόνον κατ' ἔκροιαν ἀποστάσεις τινὰς ὀνομάζων, ἀλλὰ καὶ κατὰ μετάστασιν ἐξ ἑτέρου νοσήματος εἰς ἕτερον.

Ἀμφημερινοὶ δὲ, καὶ νυκτερινοὶ, καὶ πλάνητες πολλοὶ πολλοῖσι καὶ πολὺν χρόνον παρεπόμενοι ὀρθοστάδην τε καὶ κατακειμένοισιν.

Οὐ μόνον οὗτοι τῷ λόγῳ τοῦ πλήθους, ἀλλὰ καὶ τῇ τῆς καταστάσεως κράσει τὴν γένεσιν ἔχοντες, εἰκότως ἐγένοντο πολλοί τε καὶ πολλοῖσιν. ἡ γὰρ ὑγρά τε καὶ ψυχρὰ κατάστασις, ὥσπερ ὁ χειμὼν, φλεγματώδη γεννᾷ χυμὸν, ἐφ' ᾧ τὸν ἀμφημερινὸν ἐδείξαμεν γίνεσθαι πυρετόν. οἱ πλάνητες δὲ, ποικιλωτέρων χυμῶν ἐδείχθησαν ἔκγονοι. θαυμαστὸν

δ' οὐδὲν, εἰ πολλῷ χρόνῳ παρετείνοντο οἱ τοιοῦτοι πυρετοὶ, τῆς καταστάσεως ὑγρᾶς καὶ ψυχρᾶς ὑπαρχούσης, καὶ διὰ τοῦτο μήτε πέττεσθαι τοὺς χυμοὺς ἐπιτρεπούσης, ἢ ἄλλως ὡς χρονίοις τε καὶ δυσπέπτοις διὰ τὴν ψύξιν.

Τοῖσι πλείστοισι τουτέων ὑπὸ πληϊάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρεῖπον.

Πρόδηλον δ' ὅτι τὴν πληϊάδα, οὐ τὴν ἐν τῇ νῦν καταστάσεως οὔσης ἐμνημόνευσεν, ἀλλὰ τὴν μετὰ τὴν ἄλλην κατάστασιν ἐν τῷ δευτέρῳ ἔτει, καθότι καὶ πρόσθεν ἐλέγομεν, ἐπὶ τέλει γὰρ ἐκείνης τῆς καταστάσεως ἔγραψε. ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισι πολλὰ πάνυ ὕδατα. καὶ μετὰ τοῦτο δ' εἶπεν, ὡς ἐπὶ τὸ κατὰ φύσιν ἤδη τῆς τῶν ὡρῶν τάξεως ἀφιγμένης, καὶ τοῦ λοιποῦ παντὸς τοῦ μετὰ τὸν ἀρκτοῦρον, ὥσπερ γε καὶ τοῦ μετὰ τὸν χειμῶνα. εἰκότως οὖν ὅσα τῆς πρώτης καταστάσεως ἦν λείψανα, κατὰ τὸ φθινόπωρον ἐπέφθη, καὶ τοῦ χειμῶνος, οὐδεμίαν οὐκέτι νόσον ἐπιδεόμενοι οἱ κάμνοντες.

Πολλοῖσι δὲ σπασμοὶ, μᾶλλον δὲ παιδίοισιν ἐξ ἀρχῆς, καὶ ἐπύρεσσον, καὶ ἐπὶ πυρετοῖσιν ἐγίνοντο σπασμοὶ, χρόνια μὲν τοῖσι πλείστοισι τουτέων, ἀβλαβέα δὲ, εἰ μὴ ἐπὶ τοῖσι, καὶ ἐκ τῶν ἄλλων πάντων ὀλεθρίως ἔχουσιν.

Οἱ σπασμοὶ ἐγίνοντο τῆς καταστάσεως ψυχρᾶς καὶ ὑγρᾶς γενομένης. ἐπιτηδειότατα δὲ τὰ παιδία σπασμοῖς ἁλίσκεσθαι διὰ τὴν ἀσθένειαν τοῦ νευρώδους γένους. διὰ τοῦτο γὰρ καὶ ῥᾳδίως ἐπὶ σμικραῖς προφάσεσι γίνεται τὸ πάθος αὐτοῖς, καὶ ἧσσον κινδυνῶδές ἐστι. φησὶ δὲ τοὺς σπασμοὺς, ἐνίοις μὲν ἐξ ἀρχῆς εὐθὺς γίνεσθαι, τισὶ δὲ πυρετοῦ προγενομένου, παρὰ τὴν ἐπιτηδειότητα δηλονότι τὴν πρὸς ἑκάτερον ὑπάρχουσαν τοῖς ἁλισκομένοις τοῖς σπασμοῖς καὶ τῷ πυρετῷ. πρὸς ὃ γὰρ ἐπιτηδειότερον εἶχεν ἕκαστος, ἐκεῖνο πρότερον ἐγίγνετο, μετ' αὐτὸ δὲ ἠκολούθει τὸ δεύτερον. ἐχρόνιζον δ' εἰκότως οἱ σπασμοὶ, τοῦ δευτέρου φθινοπώρου πάλιν, περὶ οὗ κατὰ τὸ τέλος ἔγραψε τῆς ὅλης καταστάσεως, ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου γενομένου.

Οἱ δὲ δὴ ξυνεχέες μὲν τὸ ὅλον καὶ οὐδὲν ἐκλείποντες, παροξυνόμενοι δὲ πᾶσι τριταιοφυέα τρόπον, μίαν μὲν ὑποκουφίζοντες, καὶ μίαν ἐπιπαροξυνόμενοι, πάντων βιαιότατοι τῶν τότε γενομένων καὶ μακρότατοι, καὶ μετὰ πόνων μεγίστων γενόμενοι, πρηέως ἀρχόμενοι, καὶ τὸ ὅλον ἐπιδιδόντες ἀεὶ, καὶ παροξυνόμενοι ἐν κρισίμοισι, καὶ ἀναγοντες ἐπὶ τὸ κάκιον, σμικρὰ διακουφίζοντες, καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσεως βιαιοτέρως παροξυνόμενοι, ἐν κρισίμοισιν ὡς ἐπὶ τὸ πολὺ κακούμενοι. ῥίγεα δὲ πᾶσιν ἀτάκτως, καὶ πεπλανημένως ἐγίνοντο. ἐλάχιστα δὲ καὶ ἥκιστα τουτέοισιν, ἀλλ' ἐπὶ τῶν ἄλλων πυρετῶν μείζω.

Εἰ μὴ προσέγραψεν αὐτὸς ὅπως οἱ τότε γενόμενοι τεταγμένως πυρετοὶ τοὺς παροξυσμοὺς ἐποιοῦντο, μεγάλην ἂν ἡμῖν ἀπορίαν ὑπέλιπεν ζητοῦσιν εὑρεῖν, τίνας ὀνομάζει τριταιοφυεῖς. ἐπεὶ δ' αὐτὸς εἶπε, τὸν τρόπον τῶν τριταιοφυέων, οὐκέτι περὶ πράγματος ἐστὶν ἡ ζήτησις, ἀλλ' †ὥσπερ σημαινομένου τοῦ τριταιοφυοῦς ὀνόματος. ἐπισυνάπτεται δὲ τούτῳ, καὶ τὸ περὶ τοῦ τριταίου τε καὶ ἡμιτριταίου, καὶ τῆς ἑκατέρων διαφορᾶς ἀκριβοῦς τριταίου, καὶ οὐκ ἀκριβοῦς, ἀλλ' ὅτι βραχύ τινι παραυξηθέντος, ἢ πλέον, ἢ ἐπὶ πλεῖστον, ἄχρι τε πόσου τούτων ἕκαστος ἐκτείνεται, καί τις μὲν ὁ μέγας ἡμιτριταῖος ἐστὶν, τίς δ' ὁ μέσος, τίς δ' ὁ μικρός. Ἀγαθίνῳ γοῦν ὅλον βιβλίον γέγραπται πρῶτον περὶ ἡμιτριταίων, τὸ σημαινόμενον ὑπὸ τῆς προσηγορίας ταύτης ἐπεξηγουμένῳ. ἐὰν δὲ καὶ τὰ τοῖς μεθοδικοῖς γεγραμμένα περὶ αὐτοῦ διέρχωμαι νῦν, ἢ τὰ μετὰ ταῦτα ὑπ' Ἀρχιγένους οὐχ ἅπαξ, ἀλλὰ πλεονάκις ἐν πλείοσι πραγματείαις εἰρημένα, μετὰ τοῦ καὶ διακρίνειν ὅσα καλῶς, ἢ μὴ καλῶς εἰρήκασι, τρία μὲν νομίζω βιβλία πληρωθήσεσθαι. τό γε μὴν εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον εἴρηται μὲν ἤδη, κἀν τοῖς περὶ τῶν πυρετῶν διαφορᾶς. εἰς δὲ τὰ παρόντα βέλτιόν ἐστι συγγράψαι τὸ λεγόμενον εἶδος τοῦ πυρετοῦ τῇ καταστάσει. φησὶν οὖν αὐτὸς, τῇ μὲν ἑτέρᾳ τῶν ἡμερῶν παροξύνεσθαι, τῇ δὲ ἑτέρᾳ ὑποκουφίζεσθαι. μετὰ γὰρ τῆς ὑπὸ προθέσεως γράψαντος αὐτοῦ τὸ ῥῆμα, καὶ ἡμᾶς ἀκούειν προσήκον ἑτερόν τι σημαινόμενον ἐκ τῆς συνθέτου φωνῆς παρὰ τὴν ἁπλῆν. τὸ μὲν γὰρ κουφίζεσθαι, δύναιτ' ἄν τις ἀκούειν τὴν ἀξιόλογον ἔνδοσιν σημαίνειν τοῦ πυρετοῦ, τὸ δ' ὑποκουφίζεσθαι, μετριωτέραν. οὐ μὴν διωρισμένως τε καὶ σαφῶς ἐδήλωσεν, εἴτε παροξυνόντων τῇ ἑτέρᾳ τῶν ἡμερῶν οἱ οὕτω πυρέξαντες ἕτερον παροξυσμὸν ἐλάττονα τοῦ κατὰ τὴν προτεραίαν, εἴτε καὶ διαμένων ἐκεῖνος, ἐκουφίζετο κατὰ τὴν δευτέραν. δοκεῖ γέ μοι οὖν μᾶλλον ἐμφαίνειν ἡ λέξις ἵνα γίνεσθαι τὸν διὰ τρίτης παροξυσμὸν ὑποκουφίζοντα κατὰ τὴν ὑστεραίαν. λέγει δὲ καὶ ῥίγη γίνεσθαι τούτοισι πεπλανημένως, ὅπερ σημαίνει τὸ μὴ καθ' ἕκαστον παροξυσμὸν, ἀλλ' ἐνίοτε, καὶ ταῦτα σμικρά. οὕτως δὲ καὶ ἱδρῶτας ὀλίγους, ἀλλὰ καὶ ψύξιν ἀκρέων δυσεκθερμάντων, ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν, ὠμῶν καὶ φλεγματικῶν χυμῶν σηπομένων γίνεσθαι τὸν τοιοῦτον πυρετὸν, ἐπιμεμιγμένης αὐτοῖς ξανθῆς χολῆς. ὁ μὲν οὖν ἐπὶ μόνῃ τῇ τοιαύτῃ χολῇ συνιστάμενος, ὀνομάζεται τριταῖος. ὁ δὲ καὶ τὸν ὠμὸν χυμὸν ἰσοσθενῆ προσλαβὼν, ἀκριβὴς ἡμιτριταῖος γίνεται, πλεῖστον ἐν Ῥώμῃ γινόμενος, ὡς ἂν τῶν κατὰ τὴν πόλιν ἀνθρώπων οἰκειότατος ὤν. αὐτὸς μὲν οὖν φρικώδης τ' ἐστὶ, καὶ μετὰ τῶν καλουμένων ἀναδιπλώσεων γίνεται, παροξυνῶν οὐ μόνον τῇ προτέρᾳ τῶν ἡμερῶν, ἀλλὰ καὶ τῇ μετὰ ταύτην, ἐλάσσονά τε τοῦ προγεγενημένου παροξυσμὸν, ἧττόν τε φρικώδη, καὶ τὴν ἐπανάληψιν ἤτοι γ' ἧττον, ἢ οὐδ' ὅλως ἔχοντα. νυνὶ δὲ περὶ τοῦ διὰ τρίτης μὲν γινομένου, κουφίζοντος δὲ κατὰ ταύτας τὰς ἑτέρας ἡμέρας ὁ λόγος ἐστὶν, ὃς δόξειεν ἂν ἐγγυτέρω τε τοῦ ἐπιπαροξυνομένου τριταίου φύσεως, πλέον ἀποκεχωρηκὼς τοῦ ἡμιτριταίου. μεγάλη γὰρ ἀπόστασις, τό, τε μὴ παροξύνεσθαι τῇ ἑτέρᾳ τῶν ἡμερῶν, καὶ τὸ χωρὶς ἀναδιπλώσεως γίνεσθαι. καὶ τὸ γε μὴν σμικρὸν ῥῖγος ἐγγύς ἐστι τῇ φρίκῃ. καί τοι οὐδὲ τοῦτο συνέβαλλεν εἰσαεὶ τοῖς παροξυσμοῖς εἶπεν, ἀλλὰ πεπλανημένως. εἰ μή τι ἄρα τὸ πεπλανημένως, ἐπὶ μὲν τῶν ἄλλων πυρετῶν εἶπεν, ἐπὶ δὲ τῶν τριταιο

φυέων

φύειν οὐκ εἶπεν. ἐλάχιστα δὲ καὶ ἥκιστα ῥίγη γίνεσθαι τούτοισιν εἰπὼν, τὴν φρίκην μὲν ἐδήλωσεν, οὐκ ἀφεῖλε δὲ τελέως αὐτὰ τῶν παροξυσμῶν. ὅπως δ' ἂν ἔχει ἡ περὶ τούτων πρόδηλον, τοῦτό γε τοιοῦτον ἐστὶν, ὅτι οὗτος ὁ πυρετὸς, εἰκότως εἴρηται τριταιοφυής. οὔτε γὰρ ἡμιτριταῖος ἐστὶν, ὡς ἂν μήτε τῇ δευτέρᾳ παροξυνόμενος, ἀναδιπλώσεις τε μὴ ποιούμενος, οὔτε παρεκτεταμένος, ἄγε μηδ' ὅλως εἰς ἀπυρεξίαν τελευτᾷ. δίκαιον οὖν ἦν αὐτῷ τινα προσηγορίαν παρακειμένην ταῖς προειρημέναις προσθεῖναι. ἦν δ' ὁ λόγος εἰπεῖν, οὐκέτ' οὐδεμίαν παρὰ τὴν τοῦ τριταιοφυοῦς. τό γε μὴν ἐκ κρισίμοις ὡς ἐπὶ τὸ πολὺ κακοῦσθαι, τριταιοφυῶν ἴδιον, οὐ κοινὸν ἁπάντων ἐστίν. ἐμάθομεν δ' ἐν τοῖς περὶ κρισίμων, τοῖς κακοήθεσι νοσήμασι τοῦτο γινόμενον, σμικρὰ κουφιζόντων, καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσεως βιαιοτέρως παροξυνόμενοι, τῷ μεμνημένῳ τῶν εἰρημένων ἐν τοῖς περὶ κρίσεων τε καὶ κρισίμων, καὶ τοῖς περὶ διαφορᾶς πυρετῶν, οὐδὲν ἔτι δευτέρας ἀναμνήσεως δεῖται. δέδεικται γὰρ ἐν ἐκείνοις ὑπὲρ ἁπάντων τῶν τοιούτων,
10 ὁποῖον καὶ τὸ νῦν εἰρημένον ἐστὶ, τὸ διακουφιζόντων. οἱ γοῦν τοιοῦτοι πυρετοὶ, τὴν γένεσιν ἔχουσιν οὐκ ἐξ ἑνὸς, ἀλλὰ καὶ ἐκ πλειόνων χυμῶν, ὧν ὁ μὲν θερμότερος ἀνάπτει τὸν ὀξὺν πυρετὸν, ἐν τάχει τε παύεται. τούτου δὲ καταληφότος τὸ σῶμα, συμβαίνει διαφθείρεσθαί τε καὶ σήπεσθαι τοῖς ψυχροτέροις, εἶθ' οὕτως ἀνάπτεσθαι πάλιν ἐκ τῆς γινομένης ἐπισχέσεως, ὅπερ ἐστὶν οἷον ἀναπαύσεως καὶ μειώσεως τοῦ πυρετοῦ. χείρων δὲ τοῦ πρόσθεν ὁ τοιοῦτος γίνεται πυρετὸς, ὡς ἂν προκεκμηκυῖαν ἤδη τὴν δύναμιν ἐκ τῶν ὀχληρῶν εὑρών. δῆλον γὰρ ὅτι κἂν ἴσος ᾖ τῷ μεγέθει, †πολὺ γοῦν μεῖζον ἂν ὀχλεῖ ἢ, τῆς μὲν ἰσχυροτέρας δυνάμεως, μᾶλλον δὲ τῶν τὰς ἀσθενεστέρας.

†πολὺ γοῦν μείζονως ἂν ὀχλεῖ, τὰς μὲν ἰσχυροτέρας δυνάμεις, μᾶλλον δὲ τὰς ἀσθενεστέρας.

Ἱδρῶτες πολλοί.

Δηλονότι τοῖς ἄλλοις πυρετοῖς ἐφάνησαν ἱδρῶτες πολλοὶ, δυνατὸν δὲ καὶ τοῖς αὐτοῖς πυρετοῦ πάθεσιν, οἷον τοῖς σπασμοῖς ἱδρῶτας ἐπιφαίνεσθαι πολλοὺς, ἐκ τῆς ἠθροισμένης ἐν τῷ σώματι πολλῆς ὑγρότητος ψυχρᾶς διὰ τὴν κατάστασιν. ὑπὸ δὲ τοῦ σπασμοῦ βίας ἐκκρινομένης. ἀλλὰ καὶ οἷς γέ τισιν ἔφη γίνεσθαι, τούτοις οὖν αὐτοῖς
20 καὶ εἰκός ἐστιν, ἱδρῶτες πολλοί.

Τουτέοισιν ἐλάχιστα κουφίζοντες οὐδὲν, ἀλλ' ὑπεναντίως βλάβας φέροντες.

Τούτοις φησὶ τοῖς πυρετοῖς ὑπὲρ ὧν ὁ λόγος ἐστὶ τοῖς τριταιοφυέσιν, ἱδρῶτες συνήδρευον οὐδὲν ὠφελοῦντες. ἡ δ' αἰτία πρόδηλος, ἀποδεδωκότων ἡμῶν ἀπέπτοις νοσήμασιν, οὔτ' ὠφελεῖν τοὺς ἱδρῶτας, οὔτ' ἀγαθὸν εἶναι σημεῖον, ἢ γὰρ πλεονεξίαν ὑγρῶν, ἢ ἀρρωστίαν δυνάμεως ἐνδείκνυνται.

Ψύξις πολλὴ τουτέοισιν τῶν ἀκρέων, καὶ μόλις ἀναθερμαινόμενα.

Καὶ διὰ φλεγμονὴν μὲν ἀξιόλογον σπλάγχνων ἐν τοῖς παροξυσμοῖς δυσεκθέρμαντα γίνονται τὰ ἄκρα, καὶ διὰ πλῆθος δὲ ψυχρῶν χυμῶν, ὡς ἀπεδείξαμεν ὑπὲρ ἀμφοτέρων ἐν ταῖς προειρημέναις πραγματείαις.

†Οὐχ ὕπνοι τὸ σύνολον, μάλιστα δ' οὗτοι, καὶ πάλιν κωματώδεες.

†ἄγρυπνοι

30 Καὶ πάλιν ἀγρύπνους μὲν αὐτούς φησι γεγονέναι μᾶλλον ἐν μέρει, οὐ μὴν τὸ σύνολόν γε ἐστὶ τούτοις, οὐδ' ἐναντίως σφοδρά. φησὶ γὰρ αὐτοῖς ἐν μέρει καὶ τὸ κωματῶδες σύμπτωμα γεγονέναι. τοῦτο δ' ἐστὶν ὅταν καταφέρονται, μὴ δυνάμενοι τὰ τῶν ἐγρηγορότων πράττειν, ὡς ἀπεδείξαμεν.

Κοιλίαι δὲ πᾶσι ταραχώδεες, καὶ κακαί, πολὺ δὲ τουτέοισι, κάκισται.

Τῆς περιουσίας τῶν χυμῶν εἰς τὴν γαστέρα ῥεούσης, ὡς ἔμπροσθεν εἶπον, εἰκὸς ἦν ταραχώδεις γίνεσθαι αὐτάς. τούτοις οὖν τοῖς τριταιοφυέσιν ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ὡς ἂν κακοηθεστέροις τῶν ἄλλων νοσημάτων, ἀναγκαῖον ἦν καὶ κατὰ τὴν γαστέρα χείρους γίνεσθαι.

Οὖρα δὲ τοῖσι πλείστοισι, τουτέων ἢ λεπτὰ καὶ ὠμὰ καὶ ὠχρὰ, καὶ μετὰ χρόνον σμικρὰ πεπαινόμενα, κρισίμως, ἢ πάχος μὲν ἔχοντα. θολερὰ δὲ, οὐδὲ καθιστάμενα, οὐδὲ ὑφιστάμενα,
40 ἢ σμικρὰ καὶ ὠμὰ καὶ κακὰ, τὰ δὲ ὑφιστάμενα καὶ κάκιστα.

Ταῦτα πάντα τὰ καθόλου διὰ τοῦ προγνωστικοῦ γράμματος ἐδίδαξε. ταῦτα καὶ νῦν ὡς ἐπὶ παραδειγμάτων διὰ τῶν κατὰ μέρος πιστοῦται. προεξηγησάμενοι δὲ μετὰ τὸ προγνωστικὸν, οὐδὲν ἔτι δεόμεθα περὶ τῆς συμφωνίας τούτων πρὸς ἐκεῖνα λέγειν ἐναργῶς φαινομένης. ἐδείχθη γὰρ ἡμῖν ἐν ἐκείνοις, ὠμῶν καὶ ἀπέπτων χυμῶν σημεῖα τὰ τοιαῦτα.

Βῆχες δὲ παρείποντο. γράψαι δὲ οὐκ ἔχω βλάβην, οὐδ' ὠφέλειαν γενομένην διὰ βηχὸς τότε.

Τῆς πλεονεξίας τῶν χυμῶν ἐκκαθαιρομένης, εἰώθασιν αἱ βῆχες ἐπιφέρειν.

Χρόνια μὲν οὖν καὶ δυσχερέα, καὶ πάνυ ἀτάκτως καὶ πεπλανημένως, καὶ ἀκρίτως τὰ
50 πλεῖστα τουτέων διετέλει γινόμενα, καὶ τοῖσι πάνυ ὀλεθρίως ἔχουσι, καὶ τοῖσι μή. εἰ γάρ τινας αὐτέων διαλείποιεν μικρὰ, ταχὺ πάλιν ὑπέστρεφον. ἔστι δ' οἷσιν ἔκρινεν αὐτῶν ὀλίγοισιν, οἷσι τὰ βραχύτατα γίγνοιτο περὶ ὀγδοηκοστὴν ἐοῦσι, καὶ τούτων ἐνίοις ὑπέστρεψεν, ὥστε κατὰ χειμῶνα τοὺς πλείστους αὐτέων ἔτι νοσεῖν. τοῖσι δὲ πλείστοισιν ἀκρίτως ἐξέλειπον.

Εὔδηλον δ' ὅτι τοῦ δευτέρου χειμῶνος μέμνηται νῦν οὗτος, οὐ τοῦ προτέρου, κατὰ τὴν πρώτην αὐτῷ λελεγμένου τῆς ὅλης καταστάσεως. ἅπαντα γὰρ ταῦτα τὰ νοσήματα περὶ ὧν ὁ λόγος αὐτῷ νῦν ἐστιν, ἤκμασε μάλιστα καὶ μετὰ τὸ δεύτερον φθινόπωρον, εἶτα τινὰ μὲν αὐτῶν ἐπαύσατο χειμῶνος ἀρχομένου, τινὰ δὲ μέχρι πλείονος ἐπετάθη.

τὸ δ' ἄτακτον αὐτῶν καὶ ὑποστροφώδες, ἐπὶ τῇ ψυχρότητι δηλονότι, καὶ τῷ πλήθει τῶν ἐργαζομένων τὰ νοσήματα χυμῶν εἰκότως ἀπήντησε, διὸ καὶ συμπεσεῖν ὁμοίως αὐτὰ τοῖς προγιγνομένοις.

Ὁμοίως δὲ ταῦτα ξυνέπιπτε τοῖσι προγιγνομένοισι, καὶ τοῖσιν οὔ. πολλῆς δέ τινος γιγνομένης ἀκρισίης, καὶ ποικίλης ἐπὶ τῶν νοσημάτων, καὶ μεγίστου μὲν σημείου, καὶ κακίστου διὰ τέλεος παρεπομένου, τοῖσι πλείστοισιν ἀποσιτίους εἶναι πάντων γευμάτων. μάλιστα δὲ τουτέων, οἷσι καὶ τὰ ἄλλα ὀλεθρίως ἔχοι. διψώδεες δὲ οὐ λίην ἀκαίρως ἦσαν ἐπὶ τοῖσι πυρετοῖσι τουτοισιν.

Ὅτι τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθὸν μέγιστον, ἑτέρωθι πρὸς αὐτοῦ λέλεκται, καὶ καθόλου, καὶ νῦν καὶ διά τινος τῶν κατὰ μέρος παραδείγματος ἐπιστώθη. τὸ δὲ μὴ λίαν αὐτοὺς διψώδεις εἶναι, τὴν ποιότητα τῶν πλεοναζόντων χυμῶν εἰκότως ἠκολούθησε.

Γιγνομένων δὲ χρόνων μακρῶν, καὶ πόνων πολλῶν, καὶ κακῆς συντήξεως, ἐπὶ τουτέων ἀποστάσιες ἐγίγνοντο, ἢ μείζους, ὥστε ὑποφέρειν μὴ δύνασθαι, ἢ μείους ὥστε μηδὲν ὠφελέειν, ἀλλὰ ταχὺ παλινδρομέειν καὶ ξυνεπείγειν ἐπὶ τὸ κάκιον.

Ὅταν τὸ πλῆθος ᾖ πολὺ χυμῶν ἀπέπτων, αἱ ἀποστάσεις γίνονται. εἰ μὲν σμικραὶ εἶεν αἱ ἀποστάσεις, οὐδὲν ὠφελοῦσιν. εἰ δὲ μεγάλαι, φέρειν αὐτὰς ἡ δύναμις οὐ δύναται, ὅτι δὲ καὶ νῦν τὰς κατ' ἔκρουν κενώσεις, ἀποστάσεις ὀνομάζει, διὰ τῆς ἐπιφερομένης ῥήσεως σαφῶς ἐδήλωσε.

Ἦν δὲ τουτέοισι τὰ γινόμενα δυσεντεριώδεα, καὶ τεινεσμοὶ, καὶ λειεντερίαι, καὶ ῥοώδεες, ἔστι δ' οἷσι καὶ ὑδρωπώδεα, μετὰ τούτων καὶ ἄνευ τούτων ἅσσαι.

Ἃς διὰ τῆς προγεγραμμένης ῥήσεως ἐν τῷ καθόλου γεγονέναι φησὶν ἀποστάσεις, ταύτας νῦν διεξέρχεται κατὰ μέρος. προείρηται δ' ἡμῖν ἐν τοῖς πρόσθεν, εἰκότως γενέσθαι τὰ τοιαῦτα νοσήματα τῶν περιττωμάτων εἰς τὴν γαστέρα συῤῥεόντων, τὰς μὲν δυσεντερίας δηλονότι μετὰ τῶν αἱματωδῶν διαχωρημάτων, καθ' ὅν τινα δὴ τρόπον γενομένας. τοὺς δὲ τεινεσμοὺς, πάσης ὄντας σφοδρᾶς, ἐπὶ ταῖς κατὰ τὸ ἀπευθυσμένον ἑλκώσεως. τὰς δὲ λειεντερίας, ταχείας διεξόδους ἀμεταβλήτων σιτίων οὔσας. ῥοώδεις δὲ λέγει, τοὺς χωρὶς τούτων τῶν εἰρημένων παθημάτων διαχωροῦντας, ἀεί τε καὶ συνεχῶς ὑγρὰ διαχωρήματα. τοὺς δὲ καὶ εἰς ὑδέρους ὀξέως φησὶ κατασκῆψαι διὰ τὴν πλεονεξίαν τῶν ψυχρῶν καὶ ὑγρῶν χυμῶν, ἐνίοις μὲν μετὰ τῶν προειρημένων συμπτωμάτων, ἐνίοις δὲ ἄνευ τούτων.

Ὅτι δὲ παραγένοιτο τούτων βιαίως, ταχὺ συναιρέειν, ἢ πάλιν ἐπὶ τῷ μηδὲν ὠφελέειν.

Τὰ διὰ δυσπεψίαν καὶ πλῆθος τῶν ὠμῶν χυμῶν γινόμενα νοσήματα, πρὸς τῶν ἐκκρίσεων οὐδὲν ὠφελεῖται. ἔφη γοῦν τὰς μὲν πολλὰς βιαίους, ταχὺ καθαιρεῖν τὴν δύναμιν, τὰς δὲ μὴ τοιαύτας, οὐδὲν ὀνινάναι. ὅσα δὲ καὶ τούτων δηλῶν, οὐδὲν ὠφελήσουσιν, αἱ χωρὶς τοῦ πεφθῆναι, ἅτε καὶ τούτων ἔτι πολλῶν, οὐδὲν ὠφελήσει τι χωρὶς τοῦ πεφθῆναι.

Ἐξανθήματα μικρὰ, καὶ οὐκ ἀξίως τῆς ἐκκρίσεως τῶν νοσημάτων, καὶ ταχὺ πάλιν ἀφανιζόμενα, ἢ παρὰ τὰ ὦτα οἰδήματα †μελαινόμενα, καὶ οὐδὲν ἀποσημαίνοντα.

† μὴ λυόμενα

Κεφάλαιον ἁπάντων τῶν γινομένων παθημάτων, ἡ τῶν χυμῶν ἦν ἀπεψία. εἰ δὲ καί που βιαζομένη τινὰς αὐτῶν ἡ φύσις ἐκκρίνειν ἐπεχείρησεν, οὐδὲν ἤνυσεν, ἀλλ' ἡττηθεῖσα πρὸς αὐτῶν, ἢ ἐπέτρεψεν αὐτίκα παλινδρομῆσαι πρὸς τὸ βάθος, ἢ δι' ὀλιγότητα τῶν γινομένων ἐκκρίσεων εἰς ἀπόστασιν ὥρμησε.

Ἔστι δ' οἷσιν ἐς ἄρθρα, μάλιστα δὲ κατ' ἰσχίον, ὀλίγοισι κρισίμως ἀπολιπόντα, καὶ ταχὺ πάλιν ἐπικρατεόμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.

Ὅτι μὲν οὖν ἡ κατ' ἀπόθεσιν ἀπόστασις ἐν τοῖς χρονίοις μάλιστα νοσήμασι γίγνεται, καὶ ὅτι μάλιστα παρ' αὐτοῦ μεμαθηκότες ἐκ τοῦ καθόλου, καὶ νῦν ἐκ τοῦ κατὰ μέρος τούτου, μαρτυρούμενον ἔχομεν. διὰ δὲ τὸ πολλὴν εἶναι τὴν περιουσίαν τῶν ὠμῶν καὶ ψυχρῶν χυμῶν καὶ ἀπέπτων, εἰς τὸ μέγιστον τῶν ἄρθρων πολλοῖς ἀπέσκηψεν, ἀλλ' οὐκ ἐκκρίνοντο, διὰ τὸ δυσπεπτότερον τῶν χυμῶν. εἰ δέ τινι τοῦτο ἔδοξε λωφῆσαι, ταχὺ πάλιν ὑπέστρεφε. τοῦτο γάρ ἐστι τὸ δηλούμενον ἐκλιπόντα τὰ οἰδήματα, τῆς ἄνω φορᾶς γεγονυίας, ὑποστρέφοντα δὲ πάλιν, ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν ἀνέσκηψε. καὶ γὰρ καὶ τοῦτο δηλοῦται πρὸς αὐτοῦ διὰ τοῦ φάναι, καὶ ταχὺ πάλιν ἐπικρατούμενα, ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.

Ἔθνησκον δὲ ἐκ πάντων μὲν, πλεῖστοι δὲ ἐκ τουτέων παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη, καὶ πρεσβύτερα, ὀκταέτεα, καὶ δεκαέτεα, καὶ ὅσα πρὸ ἥβης ἦσαν. ἐγίνετο δὲ τούτοισι ταῦτα, οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων. τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τουτέων.

Τῆς καταστάσεως ἐπικρατοῦν ἐσχηκυίας μάλιστα τὸ ὑγρόν. ἐπὶ πλεῖστον γὰρ τοῦτο τῆς κατὰ φύσιν ἐξετράπετο, τῆς καθ' ὑγρότητα καὶ ψυχρότητα μοχθηρίας ἐπ' ὀλίγον ὄντος ψυχροὶ καὶ ξηροί. δέδεικται γὰρ ἡμῖν ἑτοιμότερον πάσχειν τὰ σώματα πρὸς ἐκείνων τῶν αἰτίων, ὅσα συγγενῆ ταῖς δυσκρασίαις αὐτῶν ἐστιν.

Ἓν δὲ χρηστὸν καὶ μέγιστον τῶν γινομένων σημείων, καὶ πλείστους ἐῤῥύσατο τῶν ὄντων

των ἐπὶ τοῖς μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο, καὶ οὗτοι πάντες καὶ ἀποστάσιες ἐγίγνοντο. ξυνέπιπτε δὲ καὶ ἐν τοῖσι πλείστοισι τὸ στραγγουριῶδες, τῇσιν ἡλικίῃσιν ταύτῃσι γίνεσθαι μάλιστα. ἐγίνετο δὲ καὶ τῶν ἄλλων πολλοῖσιν ὀρθοστάδην καὶ ἐπὶ τῶν νοσημάτων. ταχὺ δὲ καὶ μεγάλη τις ἡ μεταβολὴ τούτοισι πάντων ἐγίνετο. κοιλίαι τε γὰρ εἰ καὶ τύχοιεν ἐφυγραινόμεναι, κακοήθεα τρόπον ταχὺ ξυνίσταντο, γεύμασί τε πᾶσιν ἡδέως εἶχον, οἵ τε πυρετοὶ πρηέες μετὰ ταῦτα. χρόνια δὲ τουτέοισι τὰ περὶ τὴν στραγγουρίαν, καὶ ἐπίπονα ἦν.

Εἰρήκει καὶ πρόσθεν στραγγουριώδη, καὶ νεφριτικὰ τούτοις γενέσθαι συμπτώματα, καίπερ ἔχοντα τινὰ κοινωνίαν, ἀλλ' ἄλλα ἀντ' ἄλλων. καὶ ἡμεῖς ἔφαμεν ἐκκαθαιρομένου τοῦ σώματος ὅλου τὰ περιττώματα διὰ τῶν νεφρῶν τὴν στραγγουρίαν αὐτοῖς γίγνεσθαι μὲν καὶ ἄλλως, μάλιστα δὲ διὰ δριμύτητα τῶν συρρεόντων οὔρων, ἐφ' ἣ καὶ νῦν αἰτία συνέστη. μεμνῆσθαι δὲ χρὴ πάλιν ὅτι καὶ νῦν ἀποστάσεις ἐπὶ τὴν στραγγουρίαν ἔφη γεγονέναι, καίτοι κατ' ἔκρουν οὐ κατ' ἀπόθεσιν τῶν λυπούντων χυμῶν ἀποχωρησάντων ὅλου τοῦ σώματος. ὥσπερ γὰρ διὰ γαστρὸς πολλάκις ἐκκαθαίρεται τὸ σύμπαν σῶμα, οὕτω καὶ διὰ νεφρῶν καὶ κύστεως. χρόνια τούτοισιν τὰ περὶ τὴν στραγγουρίαν, καὶ ἐπιπόνως ἐκκαθαίροντες ὅλον τὸ σῶμα διὰ τῆς στραγγουρίας. ταῦτα δ' ἀναγκαῖον ἦν πάσχειν τὰ μόρια, δι' ὧν ἡ ἔκκρισις ἐγίγνετο τῶν δριμέων οὔρων, δηλονότι δακνόμενα, καὶ τῷ συνεχεῖ τῆς ἀποκρίσεως ἐνοχλούμενα, διόπερ καὶ ἐπιπόνως εἶχον ἐν αὐτῇ τῇ διόδῳ τῶν οὔρων. χρόνῳ δ' αὐτοῖς πλέονι τὰ τοιαῦτα συμπτώματα ἐγίνετο, διὰ τὸ πλῆθος τῶν ἐκκαθαιρομένων περιττωμάτων.

Οὖρα δὲ τουτέοισιν εἴη πολλὰ, παχέα, ποικίλα, καὶ ἐρυθρὰ, μιξόπυα μετ' ὀδύνης.

Ταῦτα πάντα τοῦ παντὸς σώματος ἀποτιθεμένου τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν ἐγίνετο, διὸ καὶ πάντες ἐσώθησαν. ποικίλης δ' οὔσης αὐτῆς, ὡς ἔμπροσθεν ἔφαμεν, ἄλλο γὰρ ἄλλῳ τὸ πλεονάζον ἦν, εἰκότως κἂν τοῖς οὔροις γενέσθαι ποικιλίαν, οὐχ ἅπασιν ὁμοίων γιγνομένων αὐτῶν, ἀλλὰ τοῖς μὲν τοίως, τοῖς δὲ τοίως.

Περιεγένοντο δὲ πάντες οὗτοι καὶ οὐδένα τούτων οἶδα ἀποθανόντα. ὅσα δ' ἀκινδύνως.

Διατί μὲν περιεγένοντο, προείρηται, ἐξελέχθησαν δὲ διὰ τῶν οὔρων. τὸ δ' ὅσα ἀκινδύνως ἐστὶν, ἔνιοι τῆς ἐχομένης λέξεως προτάττουσιν, ἔνθα καὶ τὴν ἐξήγησιν αὐτοῦ ποιησόμεθα μετὰ τὴν δευτέραν κατάστασιν.

Πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους, ἢ καλὰς, καὶ κρισίμους ἀποστάσιας σκοπέεσθαι.

Ἔνιοι δὲ τὸ πέρας τῆς προγεγραμμένης καταστάσεως, ἀρχὴν ἐποιήσαντο τῆς νῦν προκειμένης ἐξηγήσεως, ὥστε ἔχειν αὐτὴν οὕτως. ὅσα δ' ἀκινδύνως πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους, ἢ καλὰς καὶ κρισίμους ἀποστάσιας σκοπεῖσθαι, ἵνα ἡ διάνοια τοῦ λόγου τοιαύτη τις εἴη. ὅσα δ' ἀκινδύνως προέρχεται πάθη, σκεπτέον ἐπ' αὐτῶν ἐστὶ τοὺς πεπασμούς. ἐγχωρεῖ γε μὴν καὶ αὐτὴν καθ' ἑαυτὴν ἀναγινώσκειν τὴν προκειμένην ῥῆσιν. ἵν' ὁ λόγος ᾖ περὶ πάντων ἁπλῶς νοσημάτων αὐτῷ καθόλου λεγόμενος τῶν χωρὶς πεπασμοῦ. πέψις γάρ τις ἐστὶ τῶν παρὰ φύσιν, ὁ πεπασμὸς τοῦ νοσήματος. αὕτη δὲ ἡ πέψις εἰς τὴν τοῦ πέττοντος οὐσίαν, ἀγωγή τις ἐστὶ τοῦ πεττομένου. κατὰ φύσιν μὲν οὖν ἔχοντος τοῦ σώματος, ὅταν καὶ τὸ πεττόμενον οἰκείαν ἔχῃ φύσιν τῷ πέττοντι, μεταβολὴ καὶ ἀλλοίωσις ἁπάσης τῆς πεττομένης οὐσίας, ἢ τοῦ πλείστου μέρους αὐτῆς γίνεται, βραχυτάτου περιττεύοντος ἡμῖν ἡμιπέπτου. παρὰ φύσιν δὲ διακειμένων, ὥσπερ ἐστὶν ἀλλοτρίων ὑπαρχόντων τῇ τοῦ μεταβάλλοντός τε καὶ ἀλλοιοῦντος φύσει, τὸ μὲν ἐξομοιούμενον, ὀλίγον γίνεται, τὸ δ' ἡμίπεπτον περίττωμα πολύ. καθάπερ δ' ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων σωμάτων τὰ περιττώματα τὴν πέψιν ἐνδείκνυται, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν νοσούντων σωμάτων ἐνδείξεται. τὰ μὲν οὖν κατὰ τὴν γαστέρα τὰ περιττώματα κάτω διαχωρούμενα, τὴν ἀπεψίαν τε καὶ πέψιν ἐκ τῆς ἑαυτῶν ἰδέας ἐνδείκνυται. τὰ δὲ κατὰ θώρακα καὶ πνεύμονα, τὰ μετὰ βηχὸς ἀναγόμενα. τὰ δὲ κατὰ τὸν ἐγκέφαλον, τὰ διὰ τῆς ῥινὸς ἐκκρινόμενα. τὰ δὲ κατὰ τὰς φλέβας, τὰ μετὰ τῶν οὔρων ἀπερχόμενα. δέδεικται δὲ περὶ τούτων ἔν τε τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασι, καὶ ἐν τοῖς περὶ κρίσεων λόγοις, οὐχ ἥκιστα δὲ κἀν τοῖς περὶ τῶν ἐν νόσοις καιρῶν, ἐν οἷς γέγραπται τῶν πεττομένων νοσημάτων τὰ γνωρίσματα. καὶ νῦν οὖν ὁ Ἱπποκράτης αὐτὸ τοῦτό γε κελεύει πράττειν ἐπισκοποῦντας τοὺς πεπασμοὺς τῶν νοσημάτων ἐκ τῶν ἐκκρινομένων περιττωμάτων. ἔνιοι δὲ κατὰ τὸ πέρας τῆς ῥήσεως ἀντὶ τοῦ σκοπεῖσθαι, γράφουσι ποιέεσθαι, πρακτικόν τινα καὶ θεραπευτικόν, καὶ συμβουλευτικὸν εἶναι βουλόμενοι τὸν λόγον, οὐ διαγνωστικόν. εἰ μὲν γὰρ σκοπεῖσθαι τοὺς πεπασμοὺς κελεύει, διαγνωστικός τε καὶ προγνωστικὸς ὁ λόγος ἐστίν. εἰ δ' αὖ ποιεῖσθαι, θεραπευτικός ἐστιν. εὔδηλον δ' ὅτι πεπασμοὺς ἐργάζεται τὰ συμμέτρως θερμαίνοντα πάντα, τοῦτο μὲν ἐδέσματα, τοῦτο δὲ καταντλήματα, καὶ καταπλάσματα. καὶ τρίψις δὲ μετρία, καὶ λουτρὸν ἐκ τούτου τοῦ γένους εἰσίν. εἴρηται δ' αὐτῶν πάντων ἡ κατὰ μέρος χρῆσις ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. οὐ μόνον δὲ πεπασμοὺς τῶν νοσημάτων σκοπεῖσθαι προσήκει, ἢ ποιεῖν αὐτὸν, ἑκάτερον γὰρ ἀληθές, ἀλλὰ καὶ τὰς ἀποστάσεις τὰς κατ' ἔκρουν, ὅπερ καὶ μάλιστα χρὴ σπουδάζειν, ἤτοι τὰς κατ' ἀπόθεσιν εἰς ἀκυρώτερα μόρια. δεύτερος γὰρ οὗτος σκοπὸς ἀποτυγχανομένου τοῦ κατ' ἔκρουν. εἰ μὲν οὖν ἐπὶ γαστέρα ῥέποι τὰ περιττώματα, ταῦτα συνεργεῖν, προσήκει, κλύσμασί τε χρώμενον ἐπαγωγοῖς δυναμένοις ἐνταῦθα, καὶ τοῖς κατὰ τὴν δίαιταν πᾶσαν εἰς τοῦτο συντελοῦσιν. εἰ δ' ἐπὶ νεφροὺς, τοῖς οὐρητικοῖς. εἰ δὲ ἐπὶ κῶλον, ἐκεῖνο θερμαίνοντα διὰ τῶν δριμυτέρων φαρμάκων.

Πεπασμοὶ ταχύτητα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσι.

ἐπὶ τῆς προγεγραμμένης ῥήσεως ἔφην, ἐνίους μὲν σκοπεῖσθαι τοὺς πεπασμοὺς ἀξιοῦν, ἐνίους δὲ καὶ ποιεῖσθαι, καὶ γράφειν ἑκατέρους τὸ τέλος τῆς ῥήσεως διττῶς † δεικνυμένας. τοὺς μὲν ἑτέρους σκοπεῖσθαι τοῖς ἰατροῖς, τοὺς δὲ ἑτέρους ποιεῖσθαι. χρησίμως δ' ἔφην ἑκάτερον ἀσκεῖσθαι τοῖς ἰατροῖς, ὥστε καὶ σκοπεῖσθαι γεγραμμένον, εἰ πάντως ἀκολουθεῖν αὐτῷ καὶ τὸ ποιεῖσθαι. μιμητὴν γὰρ ἅμα καὶ ὑπηρέτην ὁ Ἱπποκράτης ἀξιοῖ τὸν ἰατρὸν εἶναι τῆς φύσεως. ὅτι μέντοι βέλτιόν ἐστι γράφειν ἐπὶ τῆς προτέρας ῥήσεως τὸ σκοπεῖσθαι, δῆλον ἐποίησεν κατ' αὐτὴν εἰπὼν, τοὺς πεπασμοὺς σημαίνειν ταχύτητα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινήν. οὐδὲ γὰρ αὖ ἔφησε σημαίνουσιν, ἀλλὰ ποιοῦσιν, εἰ συνεβούλευσε τοῖς ἰατροῖς αὐτοῖς ἐργάζεσθαι τοὺς πεπασμοὺς, ἀλλὰ τοῦτο μὲν ἐν οἷς θεραπεύει τὰ νοσήματα συμβουλεύει. νῦν δὲ κατὰ τὴν τῶν ἐπιδημιῶν πραγματείαν εἰς διαγνώσεις αὐτὸν καὶ προγνώσεις ἐπανατείνει, συνεμφαινομένης μὲν ἐν τῇ καθόλου, καὶ τῆς θεραπευτικῆς ὁδοῦ μὴ μέντοι λεγομένης. ὅτι δὲ συνεμφαίνεται, δῆλον. εἰ γὰρ ἀξιοῖ τὰ καλῶς ὑπὸ τῆς φύσεως γινόμενα μιμεῖσθαι τὸν ἰατρὸν, οἱ πεπασμοὶ δὲ ἔργον αὐτῆς ἐστιν, εὔδηλον, ὅτι καὶ τάχος κρίσιος καὶ ἀσφάλειαν καὶ ὑγείαν δηλώσουσι. καὶ ἡμεῖς δὲ συνεργοῦντες αὐτοῖς ἐργασώμεθα πεπασμούς.

Ὠμὰ δὲ καὶ ἄπεπτα, καὶ εἰς κακὰς ἀποστάσιας τρεπόμενα, ἢ ἀκρισίας, ἢ πόνους, ἢ χρόνους, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς.

Ὥσπερ οἱ πεπασμοὶ γίνονται τῆς φύσεως κρατούσης τῶν νοσωδῶν αἰτίων, οὕτω καὶ μὴ κρατούσης τὰ ἐναντία. τῷ μὲν οὖν ὑπὸ τῶν πεπασμῶν εἰρημένῳ, ταχύτητα κρίσεως, ἐναντίον ἐστὶ τὸ χρονίζειν τὰ νοσήματα. τῷ δ' ἐπ' ἐκείνοις ἀσφάλειαν, ἀντίκειται τό, τε τῆς ἀκρισίας, καὶ τὸ τοῦ θανάτου, καὶ τὸ τῶν αὐτῶν ὑποστροφαῖς. τῷ δ' ἐπ' ἐκείνοις ὑγιεινὴν, κοινῇ μὲν πάντα τὰ νῦν εἰρημένα, καὶ κατὰ μέρος δὲ οἱ πόνοι. τὰ γὰρ ὑγιαίνοντα σώματα, τὴν εἴτ' ἀπονίαν, εἴτ' ἀνωδυνίαν, εἴτ' ἀοχλησίαν ἐθέλοις ὀνομάζειν, ἴδιον ἀγαθὸν ἔχει. τὸ δὲ τῆς ἀκρισίας ὄνομα μέμνημαι δήπου λεγόμενον ὑπ' αὐτοῦ διττῶς, ὡς ἤτοι μηδ' ὅλως ἐσομένης κρίσεως, ἢ μοχθηρᾶς ἐσομένης, κατ' ἄμφω τε ταῦτα τὰ σημαινόμενα ταῖς ἀπεψίαις τῶν νοσημάτων, ἀκολουθοῦσιν αἱ ἀκρισίαι. μέμνησθε δὲ ὡς ἡ ὅλη πέψις τοῦ νοσήματος, ἐν τῇ τῶν χυμῶν ἀλλοιώσει γίνεται. διά τε γὰρ τῶν στερεῶν σωμάτων ἡ φύσις διατέταται δύναμις ἐκείνων οὖσα, καὶ τὸ πέττεσθαι τοῖς χυμοῖς, ὑπὸ τῶν στερεῶν ὑγιαινόντων γίνεται, ὡς ὅταν γε καὶ αὐτὰ ταῦτα νοσεῖ, καθ' ἕξιν μὲν ἤδη τὸ νόσημα τοῦτο, καὶ κίνδυνον ἔσχατον ἐστὶν οἷς ἐπάγει. θεραπευθῆναι δ' οὐ δύναται, πρὶν αὐτὰ τὰ στερεὰ σώματα τὴν οἰκείαν ἀνακτήσασθαι δύναμιν, ἥτις ἐν συμμετρίᾳ κεῖται θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ. διὸ καὶ τῆς ὑγείας αὐτῆς τῶν στερεῶν σωμάτων ἐν τῇ τούτων συμμετρίᾳ τὴν ὕπαρξιν ὑπάρχειν ὡς μηδὲν διαφέρειν, ἢ εὐκρασίαν ὁμοιομερῶν φαίης ἂν εἶναι τὴν ὑγείαν, ἢ συμμετρίαν τῶν στοιχείων ἐξ ὧν γεγόναμεν. ὅπως δὲ χρὴ τὰς αὐτῶν τῶν στερεῶν σωμάτων νόσους ἰᾶσθαι, λέλεκται διὰ τῶν τῆς θεραπευτικῆς μεθόδου βιβλίων. ἅπαντα δ' ἐν πᾶσιν οὐκ ἐγχωρεῖ λέγειν. ἀρκεῖ γὰρ μόνον ἐνταῦθα τῶν περιπιπτόντων θεραπευτικῶν λογισμῶν ἐπισημαίνεσθαι τὰ κεφάλαια, καθάπερ ἐν τοῖς θεραπευτικοῖς τῶν διαγνωστικῶν. τὸ μὲν γὰρ ἴδιον ἑκάστης πραγματείας, χρὴ τελέως διεξέρχεσθαι. τὸ δὲ παραπῖπτον, ἐπισημαίνεσθαι διὰ κεφαλαίων.

Ὅτι δὲ τουτέων ἔσαι μάλιστα, σκεπτέον ἐξ ἀρχῶν.

Ὧν ἀναμιμνήσκει τῆς προγνωστικῆς τέχνης, καὶ ὧν ἐδίδαξεν ἐν τῷ προγνωστικῷ συγγράμματι. τῶν γὰρ προειρημένων ἕκαστον ἐκ τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένων καὶ ἡμεῖς ἐξηγησάμεθα διὰ τῶν τριῶν ὑπομνημάτων. καὶ κατά γε τὸ τέλος δέδεικται τὰ τῶν ἐπιδημιῶν ἑπόμενα τοῦ προγνωστικοῦ. καὶ πρὸς τούτοις δὲ τοῦ γραφῆναι τὰ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήματα, διὰ τῶν περὶ κρίσεων, ὧν εἰρημένων προγνώσεις ὀλεθρίων καὶ ἐπιεικῶν νοσημάτων. αἵτινες δὲ προθεσμίαι τῶν κρίσεων εἰσὶν ἐφ' ἑκάστῳ, καὶ τίνες μὲν ἀγαθαὶ κρίσεις, τίνες δὲ σφαλεραὶ, βίαιοί τε καὶ οὐ βίαιοι, περί τε τῶν ἄλλων ἁπάντων, καὶ ὅσης ταύτης ἔχεται τῆς θεωρίας.

Λέγειν τὰ προγινόμενα, γινώσκειν τὰ παρεόντα, προλέγειν τὰ ἐσόμενα.

„ Κἀν τῷ προγνωστικῷ συγγράμματι κατ' ἀρχὰς εὐθὺς εἶπε. προγινώσκων γὰρ καὶ προλέγων τά τε παρεόντα,
„ καὶ τὰ προγενόμενα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὡς περὶ τοὺς τρεῖς χρόνους καταγιγνωμένης τῆς προγνώσεως. καὶ ὅπως χρὴ τοῦτο διαπράττεσθαι, διὰ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων εἴρηται.

Μελετᾷν ταῦτα.

Ἐνταῦθα νῦν τὸ μελετᾷν, ἀντὶ τοῦ ἀσκεῖν εἶπεν, ἐν ἄλλοις δὲ πολλάκις τὴν ἐπιμέλειαν ὀνομάζει μελέτην.

Ἀσκεῖν περὶ τὰ νοσήματα, ὠφελέειν ἢ μὴ βλάπτειν.

Ἐγὼ τοῦτο μικρὸν ᾤμην τότε καὶ οὐκ ἄξιον Ἱπποκράτους. ἅπασι γὰρ ἀνθρώποις ὑπάρχειν πρόδηλον ἐνόμιζον, χρὴ τὸν ἰατρὸν στοχάζεσθαι μὲν μάλιστα τῆς ὠφελείας τῶν καμνόντων. εἰ δὲ μὴ, ἀλλὰ τοῦ μὴ βλάπτειν αὐτούς. ἐπεὶ δὲ πολλοὺς τῶν ἐνδόξων ἰατρῶν ἐθεασάμην, ἐγκληθέντας δικαίως ἐφ' οἷς ἔπραξαν, ἢ φλεβοτομήσαντες, ἢ λούσαντες, ἢ φάρμακον διδόντες, ἢ οἶνον, ἢ ὕδωρ ψυχρὸν, ἐνενόησα τάχα μέν τι καὶ αὐτῷ τῷ Ἱπποκράτει συμβῆναι τοιοῦτον. ἐξ ἀνάγκης δ' οὖν πολλοῖς καὶ ἄλλοις τῶν κατ' αὐτὸν ἰατρῶν, ἐξ ἐκείνου τε περὶ παντὸς ἐποιησάμην, εἴ ποτέ τι τῷ κάμνοντι μέγα προσφέροιμι βοήθημα, προδιασκέπτεσθαι παρ' ἑαυτῷ μὴ μόνον ὅσον ὠφελήσω τοῦ σκοποῦ τυχών. οὐδὲν οὖν οὐδὲ πώποτ' ἔπραξα μὴ πειράσας ἑαυτὸν πρότερον, ἐὰν ἀποτύχω τοῦ σκοποῦ, μηδὲν βλάψαι τὸ νοσοῦντα. τινὲς δὲ τῶν ἰατρῶν ὁμοίως τοῖς τοὺς κύβους ἀναρρίπτουσιν εἰώθασιν ἐπὶ τῶν καμνόντων βοηθήματα προσφέρειν, ὧν ἡ ἀποτυχία μεγίστην ἐπιφέρει βλάβην τοῖς νοσοῦσι. τοῖς μὲν οὖν μανθάνουσι τὴν τέχνην, οἶδ' ὅτι δόξει καθάπερ μοι ποτὲ τὸ ὠφελέειν ἢ μὴ βλάπτειν, οὐκ ἄξιον περὶ Ἱπποκράτους γεγράφθαι πρώτου, τοῖς δ' ἰατρεύουσιν ἤδη, σαφῶς οἶδα τὴν δύναμιν αὐτοῦ φανησομένην. ἐὰν δὲ καὶ διὰ προπετῆ χρῆσιν ἐνίοτε βοηθήματος ἰσχυροῦ συμβῇ τὸν κάμνοντα διαφθαρῆναι μάλιστα νοήσουσιν, οὗ νῦν ὁ Ἱπποκράτης περιῄνησε τὴν δύναμιν.

Ἡ τέχνη

Ἡ τέχνη διὰ τριῶν, τὸ νόσημα, ὁ νοσέων, ὁ ἰητρὸς ὑπηρέτης τῆς τέχνης. ὑπεναντιοῦσθαι τῷ νοσήματι τὸν νοσέοντα μετὰ τοῦ ἰατροῦ χρή.

Τρία πάντ' εἶναί φησι περὶ ὧν καὶ δι' ὧν ἡ θεραπεία περαίνεται. πρῶτον μὲν τὸ νόσημα, εἶθ' ὁ ἰατρὸς, ἀνταγωνιζομένων ἀλλήλοις, καὶ ὡς ἄν τις εἴπῃ, διαμαχομένων τε καὶ πολεμούντων, τοῦ τε ἰατροῦ καὶ τοῦ νοσήματος. ὁ μὲν γὰρ ἰατρὸς ἀνελεῖν ἐπιχειρεῖ τὸ νόσημα, τῷ δὲ μὴ νικηθῆναι πρόκειται. τρίτος δ' ἐπ' αὐτοῖς ὁ κάμνων ἐστὶν, ἐὰν μὲν πείθηται τῷ ἰατρῷ, καὶ τὰ προστασσόμενα πράττῃ, συναγωνιστὴς γινόμενος αὐτῷ, καὶ πολεμῶν τῷ νοσήματι. ἐὰν δ' ἀποστὰς αὐτοῦ, τὰ κελευόμενα πρὸς τοῦ νοσήματος ποιῇ κατὰ δύο τρόπους, ἀδικεῖ τὸν ἰατρὸν, ἕνα μὲν ὅτι τὸ μόνον εἴασεν, ἕτερον δὲ ὅτι δεύτερον ἐποίησεν ὄντα πρότερον ἕνα. ἰσχυρότερος δ' ἀναγκαῖον εἶναι τοὺς δύο τοῦ ἑνός. δῆλον δὲ ὅτι τὰ κελευόμενα ὁ κάμνων πράττει καταλιπὼν τὸν ἰατρὸν, ὅταν ὁ μὲν ἰατρὸς αὐτὸν κελεύῃ ἀπέχεσθαι ψυχροῦ πόσεως, ὁ δὲ ὑπὸ τοῦ πυρετοῦ διακαιόμενος, ἀναπείθηται πρὸς αὐτοῦ ποιεῖν. οὕτως δ' εἰ καὶ λούοιτο καὶ προσφέροιτο οἶνον, καί τι τοιοῦτον ἕτερον ὧν ὁ ἰατρὸς ἀπαγορεύῃ μὴ ποιεῖν, αὐξήσει δηλονότι τὸ νόσημα, πράττων τὰ φίλον ἐκείνῳ. προδώσει δὲ τὸν ἰατρὸν, ἃ μὴ βούλεται ποιῶν. ἐν πολλοῖς μὲν οὖν τῶν ἀντιγράφων γέγραπται, ὁ ἰατρὸς ὑπηρέτης τῆς τέχνης, ἐν τισὶ δ' οὐ τῆς τέχνης, ἀλλὰ τῆς φύσεως γέγραπται. διαφέρει δ' οὐδὲν πρὸς τὴν ὅλην τοῦ λόγου διάνοιαν.

Τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα, καὶ βάρη σὺν πυρετοῖς, καὶ ἄνευ πυρετοῦ.

Τοῦτο προγράμματος ἔχει δύναμιν ἐπαγγελλομένου τοῦ Ἱπποκράτους, ὡς ἐν τοῖς ἐφεξῆς ἔθος τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα, καὶ βάρη, καὶ ἃς τινὰς ἔχει διαφορὰς ἐπαγγελλομένου ἐξῆς ἐρεῖν, καὶ τίνων προσέχομεν αὐτῷ τὸ τοιοῦτον διὰ τῶν εἰρημένων.

Φρενιτικοῖσι μὲν σπασμοί.

Σπασμοί φησι γίνονται τοῖς φρενιτικοῖς τῶν περὶ τὴν κεφαλὴν, καὶ τὸν τράχηλον ἀλγημάτων ἐπιγινομένων καὶ βαρῶν.

Ἀλλὰ καὶ ἰώδεα ἐμέουσι, καὶ ἔνιοι ταχυθάνατοι τουτέων.

Ἐλέχθη δὲ ἡμῖν τὰ τοιαῦτα πάντα διαχωρήματά τε καὶ ἐμέσματα, τῆς ξανθῆς χολῆς κατοπτωμένης γινόμενα, διὸ καὶ τούτοις ἐφεξῆς ἐρεῖ. ὅτι ταχυθάνατοι ἔνιοι γίνονται, τουτέστιν εὐθέως ἐπὶ τοῖς ἐμέσμασιν ἀποθνήσκουσιν, ὡς ἂν ἐν τοῖς κατὰ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας χωρίοις τῆς φρενίτιδος συνισταμένης ὑπὸ τῆς ξανθῆς χολῆς. θαυμαστὸν οὖν οὐδὲν ὑπερξηρανθέντων τῶν μορίων τούτων γίνεσθαι τοὺς σπασμούς. ἔνιοι μὲν οὖν ἅμα τῷ σπασθῆναί τε καὶ ἰώδη ἐμέσαι, παραχρῆμα ἀποθνήσκουσιν. ἔνιοι δὲ διὰ ῥώμην δυνάμεως ἐπέζησαν ἡμέραν, ἢ δύο ἢ τρεῖς, ἔστιν ὅτε πλείους.

Ἐν καύσοισι δὲ καὶ τοῖσιν ἄλλοισι πυρετοῖσιν, οἷσι μὲν τραχήλου πόνος καὶ κροτάφων βάρος, καὶ σκοτώδεα περὶ τὰς ὄψιας, ἢ καὶ ὑποχονδρίου ξύντασις οὐ μετ' ὀδύνης ἐγγίγνεται, τουτέοισιν αἱμορραγέει διὰ ῥινός.

Εἴρηταί μοι κατὰ τὴν ἐξήγησιν τοῦ προγνωστικοῦ περὶ τῶν οὕτω γινομένων αἱμορραγιῶν, ἐκείνην ἐξηγουμένῳ τὴν ῥῆσιν ἧς ἡ ἀρχὴ, ὅσοι δὲ καὶ ἐν τούτῳ τῷ τρόπῳ πυρετῷ, κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἀμβλυωσμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται, ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερὰ, ξυντείνεταί τι, μήτε μετ' ὀδύνης, μήτε σὺν φλεγμονῇ. αἷμα διὰ ῥινῶν ῥυῆναι, τούτοισι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου. καὶ ὅτι τελεώτερον ἐκεῖ περὶ τούτων ἔγραψεν εἰ παραβάλλοις ἀλλήλαις τὰς ῥήσεις, ἐναργῶς μαθήσῃ. τοῦτον οὖν μοι μόνον ἐνταῦθα προσθεῖναι δεήσει, διὰ τοὺς περὶ τὸν Καπίτωνα γράψαντας ἐν τῇ προκειμένῃ ῥήσει, καὶ ὑποχονδρίου ξύντασις μετ' ὀδύνης. οὐκ ὀρθῶς γὰρ ἀφεῖλον τὴν ἀπόφασιν τὴν, οὐ, διά τε τὸ ἀληθὲς αὐτὸ, καὶ ὅτι κατὰ τὸ προγνωστικὸν Ἱπποκράτους εἴρηται. ὅταν ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἀριστερὰ συντείνεταί τι, μήτε σὺν ὀδύνῃ, μήτε σὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν ῥυῆναι τούτοις, προσδόκιμόν ἐστι. τῆς γὰρ ἐπὶ τὴν κεφαλὴν ῥοπῆς τῶν χυμῶν, σημεῖόν ἐστιν ἡ τοῦ ὑποχονδρίου σύντασις, χωρὶς ὀδύνης γινομένη. ὡς εἴ γε μετ' ὀδύνης ἦν, τῇ τῶν σπλάγχνων ἀκολουθεῖ φλεγμονῇ. ὅταν δὲ τῆς περὶ τὴν κεφαλὴν θερμασίας ἑλκούσης ἄνω τὸ αἷμα, καὶ τοῦ ἥπατος ὠθοῦντος ἡ σύστασις γίγνηται, τὴν αἱμορραγίαν προσδέχεσθαι χρή.

Οἷσι δὲ βαρέα μὲν ὅλης τῆς κεφαλῆς, καρδιωγμοὶ δὲ καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσι χολώδεα καὶ φλεγματώδεα.

Ὅτι τὸν αὐτὸν τοῦ λόγον ἐν τῷ προγνωστικῷ διὰ τῆσδε τῆς ῥήσεως ἐδίδαξεν. ὅς τις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ κεφαλὴν ἀλγῇ, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν γίνεται, ἢ καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ, καὶ τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ, ταχύτερον ὁ ἔμετος παρέσται. ἢν δέ τι καὶ πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμέεται, τούτων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος, τῇ πρώτῃ ἡμέρᾳ τεταρταῖοι πιέζονται μᾶλλον ἢ πεμπταῖοι, ἐς δὲ τὴν ζ. ἀπαλλάσσονται. οἱ μέντοι πλεῖστοι αὐτῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, πιέζονται δὲ πεμπταῖοι μάλιστα, ἀπαλλάσσονται δ' ἐνναταῖοι, ἢ ἑνδεκαταῖοι. οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τὰ ἄλλα κατὰ λόγον αὐτοῖσι τῶν προτέρων γίγνηται, ἐς τὴν ιδ. ἀπαλλάσσονται. γίνεται δὲ ταῦτα, τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν, ἐν τοῖς τριταίοις μάλιστα. τοῖσι δὲ νεωτέροισι γίνονται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ τοῖς συνεχεστέροισι πυρετοῖς καὶ τοῖσι γνησίοισι τριταίοισιν, αὐτὴ περὶ τῶν αὐτῶν ὧν νῦν διδάσκει.

ῥῆσις ἐν τῷ προγνωστικῷ γέγραπται, καὶ αὐτὴν ἐξηγησάμεθα κατὰ τὸ γ. τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ἡμῖν γεγραμμένων, ὥστ᾽ οὐδὲν δεῖ πάλιν περὶ τῶν αὐτῶν ἐνταῦθα λέγειν, ὁρῶντας ἀκριβέστερον ἐν τῷ προγνωστικῷ γεγραμμένον ὅλον τὸν λόγον. εἰ δέ τι περιττότερον ἐν τούτῳ τῷ βιβλίῳ πρόσκειται, τοῦτο διὰ τῶν ἑξῆς ῥήσεων ἐξηγήσομαι, μεμνημένων ἡμῶν, ὅτι τὸ μὲν κυρίως ὀνομαζόμενον ἐξηγεῖσθαι, κατὰ τὰς ἀσαφεῖς γίνεται λέξεις. ἤδη δὲ διὰ τῶν ἐξηγητῶν ἔθος, καταχρώμενοι καὶ τὰς αἰτιολογίας τῶν ἀσαφῶς εἰρημένων, ἐξηγήσεις ὀνομάζομεν, ὅπερ καὶ νῦν ἡμεῖς ποιοῦμεν ἑπόμενοι τῇ κρατούσῃ συνηθείᾳ. τὴν γὰρ λέξιν αὐτὴν οὖσαν σαφῆ, καὶ μηδεμιᾶς ἐξηγήσεως δεομένην, προσφερόμενοι τῷ ὑπ᾽ αὐτῆς δηλουμένῳ, σαφῶς τὰς αἰτίας ἐπιχειροῦμεν λέγειν.

Ὡς τὸ πολὺ δὲ παιδίοισιν ἐν τοῖσι τοιούτοισιν οἱ σπασμοὶ μάλιστα.

Τὰ παιδία διὰ τὴν ἀσθένειαν τε ἅμα καὶ μαλακότητα τοῦ νευρώδους γένους, ἑτοιμότατα πρὸς τοὺς σπασμούς ἐστι.

Γυναιξὶ δὲ καὶ ταῦτα, καὶ ἀπὸ ὑστερέων πόνοι.

Καὶ τὰ προειρημένα ταῦτα γίνεται ταῖς γυναιξὶν ὡς καὶ τοῖς ἄῤῥεσι, καθόσον ἄνθρωποί τέ εἰσι καὶ ταὐτὰ ἔχουσι τοιαῦτα τοῖς ἄῤῥεσι μόρια. καθόσον δ᾽ αὐταῖς ἐξαίρετον ὑπάρχει μόριον ἡ μήτρα, κατὰ τοῦτο καὶ τοῖς ἐκείνου ἁλίσκεται νοσήμασι, καὶ μάλιστ᾽ ἐφ᾽ ὧν τῷ στομάχῳ συμπάσχει.

Πρεσβυτέροισι δὲ καὶ ὅσοισιν ἤδη τὸ θερμὸν κρατεῖται, καὶ παραπληκτικὰ, ἢ μανικὰ, ἢ στερήσιες ὀφθαλμῶν.

Ὁ λόγος ἦν αὐτῷ περὶ τῶν βαρυνομένων τε ἅμα τὴν κεφαλὴν καὶ καρδιωσσόντων, καὶ ἀσωμένων, οὓς ἐπανεμεῖν ἔφη χολώδη καὶ φλεγματώδη, καὶ μάλιστα εἰ παιδία εἴη, ἐν οἷς καὶ σπασμοὺς γίνεσθαι μᾶλλον, ἢ τοῖς τελείοις. ἀλλὰ καὶ γυναιξὶν ἔφη, καὶ ταῦτα, καὶ ἀπὸ ὑστερῶν πόνους συμβαίνειν. ἐφεξῆς οὖν φησὶ τοῖς πρεσβυτέροις, παραπληξίας τε γίνεσθαι καὶ μανίας καὶ στερήσεις ὀφθαλμῶν. προσέθηκε δὲ τῷ λόγῳ, τὸ οἷσιν ἤδη τὸ θερμὸν κρατεῖται, τὴν αἰτίαν ἐνδεικνύμενος δι᾽ ἣν ταῦτα γίνεται. παραπληγίας μὲν καλεῖ, τὰς δὲ ἀποπληξίας εἰς τι μόριον κατασκηψάσας παραλύσεις, μανίας δὲ τὰς ἄνευ πυρετοῦ παραφροσύνας. εἴωθε δὲ ταῦτα γίνεσθαι τοῖς πρεσβυτέροις διὰ τὴν ἀσθένειαν τῆς φύσεως, ἀδυνατούσης ἐκκρίνειν δι᾽ ἐμέτων ἢ αἱμοῤῥαγίας τὸ περὶ τὴν κεφαλὴν ἀθροιζόμενον πλῆθος, ἐφ᾽ ᾧ καὶ στερήσεις ὀφθαλμῶν ἐνίοτε γίγνονται κατασκήπτοντος τούτου.

Ἐν Θάσῳ πρὸ ἀρκτούρου ὀλίγον, καὶ ἐπ᾽ ἀρκτούρῳ, ὕδατα πολλὰ ἐν βορείοισι, μεγάλα. περὶ δ᾽ ἰσημερίην καὶ μέχρι πληιάδος, νότια ὕδατα, σμικρὰ ὀλίγα, χειμὼν βόρειος, αὐχμοὶ, ψύχεα πνεύματα, μεγάλαι χιόνες. περὶ δ᾽ ἰσημερίην, χειμῶνες μέγιστοι, ἔαρ βόρειον, αὐχμοὶ, ὕσματα ὀλίγα, ψύχεα. περὶ δὲ ἡλίου τροπὰς θερινὰς, ὕδατα ὀλίγα, μεγάλα ψύχεα, μέχρι κυνός. μετὰ δὲ κύνα μέχρις ἀρκτούρου, θέρος θερμὸν, καύματα μεγάλα, καὶ οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ συνεχέα, καὶ βίαια. ὕδωρ οὐκ ἐγένετο, ἐτησίαι ἔπνευσαν. περὶ δὲ ἀρκτοῦρον ὕσματα νότια μέχρι ἰσημερίης ἦρος. ἐν δὲ τῇ καταστάσει ταύτῃ κατὰ χειμῶνα μὲν ἤρξαντο, παραπληγίαι, καὶ πολλοῖσιν ἐγίγνοντο, καί τινες αὐτῶν ἔθνησκον διὰ ταχέων, καὶ γὰρ ἄλλως τὸ νόσημα ἐπιδήμιον ἦν. τὰ δ᾽ ἄλλα διετέλεον ἄνοσοι.

Ψυχρὰ καὶ ξηρὰ κατάστασις ἐστὶν ἣν διηγεῖται, καί τι καὶ ἀνώμαλον ἔχουσα. κατὰ πάντ᾽ οὖν ταῦτα φθινοπώρῳ παραπλήσια οὖσα, καὶ τὰ νοσήματα τοιαῦτα ἔχειν, οἷα μάλιστα πλεονάζειν εἴωθε φθινοπώρῳ. ὅτι μὲν οὖν ἀνώμαλος ἐγένετο, δῆλον ἐκ τῶνδε. περὶ γὰρ ἀρκτούρου εἰσβολὴν, μετὰ βορείων πνευμάτων, ὑετοὺς μεγάλους γενέσθαι φησίν. ἀκολουθῆσαι δὲ τὸ φθινόπωρον ὅλον ἐναντίον τῇδε τῇ καταστάσει, ἀντὶ μὲν βορείου, νότιον γενόμενον, ἀντὶ δὲ ἐπομβρίου, βραχέα ἔχον ὕδατα. πάλιν δὲ τὸν χειμῶνα βόρειόν τε καὶ ξηρὸν εἶναι, εἶτα καὶ τὸ ἔαρ ὅλον ἄχρι κυνὸς ἐπιπολῆς, ὥστε πρόδηλον μέν ἐστιν ἱκανῶς ἐπικρατῆσαι ἐν τῇ καταστάσει τὸ ξηρὸν καὶ τὸ ψυχρόν. ἐλέχθη δὲ καὶ ἀνώμαλα τὰ πρῶτα αὐτῆς μέχρι χειμῶνος, εἶτα μετὰ κύνα πάλιν ἐκ τῶν βορείων καὶ ψυχρῶν ἐξαίφνης γενέσθαι φησὶ καύματα μεγάλα καὶ βόρεια, καὶ μετὰ ταῦτα πάλιν ὕδατα νότια. δῆλον οὖν, ὅτι καὶ τὸ τέλος τῆς ὅλης καταστάσεως τὸ μετὰ κύνα, σφοδρῶς ἀνώμαλον ἐγένετο. ἐξηγεῖται τοιγαροῦν ἐφεξῆς τὰ γενόμενα νοσήματα, σαφῶς ἅπαντα μηδεμιᾶς λέξεως ἀσαφοῦς περιεχομένης, ὅτι μὴ σπανίως. ἀλλ᾽ ἐπεὶ καὶ τὰς αἰτίας τῶν γινομένων νοσημάτων προτιθέμεθα λέγειν, ἐκείνας δεήσει προστιθέναι ταῖς ῥήσεσιν αὐτοῦ, τὰς λέξεις δὲ αὐτὰς διὰ κεφαλαίων συντέμνειν, αἷς ἀκολουθήσουσιν οἱ προμεμνημένοι, τῶνδε κατὰ τὸ πρῶτον βιβλίον εἰρημένων, καὶ τῶν ἔμπροσθεν ἐν τούτῳ. παραπληγίας μὲν οὖν ἐν τῷ χειμῶνι γενέσθαι τῆς κεφαλῆς δηλονότι πληγείσης ὑπὸ τῶν ἐν αὐτῷ γενομένων ψυχρῶν πνευμάτων, καὶ μάλιστα ὅτι τὸ φθινόπωρον ὅλον νότιον γενόμενον, ἐθέρμηνέ τε, καὶ ἤρεισεν αὐτὴν ἅμα τῷ πληρῶσαι. ἡ γὰρ οὕτως προσδιακειμένη, πλεῖστα πάσχει κατὰ τὰ ψυχρὰ βόρεια πνεύματα. οὐ μὴν ἄλλο γέ τι νόσημα τὸν χειμῶνα παρελύπει, διότι ξηρὸς ἦν, εἴρηται δὲ καὶ κατὰ τοὺς ἀφορισμοὺς τοὺς αὐχμοὺς τῶν ἐπομβρίων ὑγιεινοτέρους εἶναι. κατὰ μέντοι τὰς παραπληγίας ἀπέθνησκον, αὐτοῦ τοῦ Ἱπποκράτους εἰπόντος. καὶ γὰρ ἄλλως τὸ νόσημα ἐπιδήμιον ἦν ἐν ἴσῳ τῶν ξενιζόντων, διὰ τὴν παρὰ τὸ σύνηθες γενομένην παραπληγίαν. ἡ γάρ τοι συνήθως γινομένη, κατασκήπτει μὲν εἰς μέρος παράλυσιν, οὐ μὴν ἀναιρεῖ γε τὸν ἄνθρωπον. ἀλλ᾽ ἡ κατὰ τὴν προκειμένην κατάστασιν ἐπιδημήσασα παραπληγία θανατώδης ἦν, ἅτε κατεψυγμένης ἱκανῶς τῆς κεφαλῆς.

Πρωῒ δὲ τοῦ ἦρος ἤρξαντο καῦσοι, καὶ διετέλεον ἀπ᾽ ἰσημερίης, ἄχρι πρὸς τὸ θέρος. ὅσοι

μὲν οὖν

Ἤδη μὲν ἦρος καὶ θέρεος ἀρχομένου αὐτίκα νοσεῖν ἤρξαντο, οἱ πλεῖστοι διεσώζοντο, ὀλίγοι δέ τινες ἔθνησκον.

Δῆλον ἐστὶν ὡς οὐκ αὐτῶν ἕκαστον τῶν ἀρξαμένων καύσων πρωῒ τοῦ ἦρος ἄχρι θέρους ἐκταθῆναι φησὶν, ἀλλὰ τὴν ἐπιδημίαν αὐτῶν τῆς γενέσεως ἐν ἅπαντι χρόνῳ συμβαίνειν, ποτὲ μὲν ἄλλῳ δηλονότι χρόνῳ, ποτὲ δ᾽ ἄλλῳ, τῶν βασίων ἁλισκομένων τῷ τοιούτῳ πυρετῷ. γέγραπται δ᾽ οὐχ ὡσαύτως ἐν ἅπασι τοῖς ἀντιγράφοις ἡ ῥῆσις, ἀλλ᾽ ἔγωγε τὴν ἀρίστην γραφὴν εἰλόμην κατὰ μὲν τὴν ἑξῆς ῥῆσιν, †ὅτι καὶ διὰ τοῦ θέρους ὅλου παρέμενεν ἡ γένεσις τῶν καύσων δηλῶσαι, καὶ ὡς ἐν ἅπαντι μὲν καιρῷ τούτῳ μέτριοι καὶ οὐ θανατώδεις ἦσαν, ἐν ἀρχῇ δὲ τοῦ φθινοπώρου πολλοὶ τῶν ἁλισκομένων αὐτοῖς ἀπώλλοντο. τὸ μὲν οὖν ἄχρι πολλοῦ τοὺς καύσους ἐπιεικεῖς γενέσθαι, λόγον ἔχειν εἰκότως φαίνεται. μέτριοι γὰρ ἐγίνοντο, καθάπερ οἱ ἐν τῇ πρὸ ταύτης καταστάσει, καὶ οὐκ ἀκριβεῖς, ὡς ἂν οὐδ᾽ ὑπὸ θερμῆς ἀκριβῶς καὶ ξηρᾶς καταστάσεως ἀποτελεσθέντες. οὔτε μὴν πάσαις ἐπισυμβάντες κράσεσιν, ἀλλὰ καὶ ταῖς τὸ χολῶδες ἠθροικυίαις φθανούσαις. τὸ δ᾽ ὅλως γίνεσθαι καύσους τηνικαῦτα, τὴν τῆς αἰτίας εὕρεσιν οὐκ ἔχει σαφῆ, διὰ τὸ μηδ᾽ ὅλως μνημονεύεσθαι τὸν Ἱπποκράτην τοῦ προηγησαμένου θέρους, ἀλλ᾽ ἀπὸ τῆς ἀρχῆς τοῦ φθινοπώρου τὴν ἀρχὴν τῆς ἐξηγήσεως ποιήσασθαι, καὶ πολὺ χαλεπωτέραν, ὅτι πιθανὸν ἦν τὸ θέρος ἐκεῖνο τὴν κατὰ φύσιν ἑαυτοῦ φυλάξαι κρᾶσιν, ἢ πάντως ἂν ἐξετράπετο κατά τι, διηγήσατο ἂν ὁ Ἱπποκράτης αὐτοῦ τὴν κατάστασιν. ἴσως οὖν θερμότερον ἐγένετο καὶ οὐ πάνυ πολλῷ τοῦ κατὰ φύσιν ἐξηλλαγμένον, ὅθεν οὐδὲ ἠξίωσεν αὐτὸ γράφειν ὡς ἤδη παρὰ φύσιν ἔχον. ἀλλ᾽ ὅμως ἐπειδὴ καὶ τὸ θέρος, εἰ κατὰ φύσιν ἔχον εἴη, τὸν πικρόχολον χυμὸν ἀνάγκη πλείονα γίνεσθαι, διὰ τοῦτο καὶ τότε πλείων ὢν οὗτος, οὐ μόνον τοῦ εἰωθότος, ἀλλ᾽ ἔτι καὶ μᾶλλον ἐν ἐκείνῳ τῷ θέρει γιγνόμενος, ὑπὸ τῶν μετὰ ταῦτα ἐπιγιγνομένων κρύους ἔνδον ἐφυλάχθη μὴ διαπνευσθεὶς, μηδὲ διαφορηθείς. ἐπὶ πλεῖον δ᾽ ἐμφωλεύσας τῷ χρόνῳ καὶ διασαπεὶς, τοὺς καύσους ἤνεγκεν.

Ἤδη τοῦ φθινοπώρου καὶ τῶν ὑσμάτων γινομένων, θανατώδεες ἦσαν, καὶ πλείους ἀπώλλοντο.

Ἀναμνησθῶμεν ὡς κατὰ τὸ τέλος τῆς ὅλης διηγήσεως, ἣν ἐποιήσατο περὶ τῆς καταστάσεως, ἔγραψεν, ὕδατα νότια μέχρι ἰσημερίης ἦρος. εἰρήκει δὲ καὶ περὶ τοῦ μετὰ κυνὸς ἐπιτολὴν χρόνου, μέχρις ἀρκτούρου κατὰ λέξιν οὕτως. θέρος θερμὸν, καύματα μεγάλα, καὶ οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ συνεχέα καὶ βίαια, ὕδωρ οὐκ ἐγένετο. πρόδηλος οὖν ὅτι χολοποιὸς ἡ τοιαύτη κατάστασις ἐγένετο, ὥστ᾽ εἰκότως ὑδάτων νοτίων διαδεξαμένων αὐτὴν οἱ καῦσοι πλείους τε καὶ θανατώδεες ἐγίγνοντο, τοῦ νότου πεφυκότος διαλύειν τε τὰ σώματα, καὶ χεῖν τοὺς χυμοὺς, καὶ μέντοι καὶ σήπειν ἅμα, ὅταν ἅμα πλείοσιν ὑετοῖς γένηται.

Ἦν δὲ τῶν καύσων τὰ παθήματα, οἷσι μὲν καλῶς καὶ δαψιλέως διὰ ῥινῶν ἡμορράγησαν, καὶ διὰ τούτων μάλιστα σώζεσθαι, καὶ οὐδένα οἶδα εἰ καλῶς αἱμορραγήσειεν ἐν τῇ καταστάσει ταύτῃ ἀποθανόντα. ἐν Φιλίσκῳ γὰρ καὶ Ἐπαμίνοντι καὶ Σιληνῷ τεταρταίῳ καὶ πεμπταίῳ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξε, καὶ ἀπέθανον.

Καὶ ἄλλως μὲν ἴδιόν ἐστι καύσων πυρετῶν, αἱμορραγίαις ταῖς ἐκ ῥινῶν ὡς τὰ πολλὰ κρίνεσθαι, καὶ τότε πλείους αἱμορραγῆσαι φησί. καὶ μέντοι καὶ τὰ ἐφεξῆς αὐτῷ γεγραμμένα πάντα τῶν κατὰ μέρος γεγραμμένων ἑκάστοις, ἐν ἔχει τοῦτο κεφάλαιον. ὅσοις μὲν αἱμορραγίαι τελέως ἐγίνοντο, σωθῆναι τούτους. οἷς δ᾽ ἐλλιπῶς ἢ οὐδ᾽ ὅλως ἦν στάξις αἵματος ἐκ ῥινῶν, μόνους διαφθαρῆναι τούτους. ἐν ἄλλοις δέ τισι φυσικῶν ἄλλων ἐκκρίσεων, ἤτοι τῶν διὰ γαστρὸς ἢ δι᾽ ἱδρώτων γενομένων, σωθῆναι.

Οἱ μὲν οὖν πλεῖστοι τῶν νοσούντων περὶ κρίσιν ἐρρίγουν, καὶ μάλιστα οἷσι μὴ αἱμορραγίαι, ἐπερρίγουν δ᾽ οἱ αὐτοὶ καὶ ἐξίδρουν.

Ἐν τοῖς περὶ ῥίγους λόγοις ἐδείχθη διὰ τὸν πικρόχολον, ὁρμὴν ἔχοντα φέρεσθαι διὰ τῶν αἰσθητικῶν καὶ σαρκωδῶν σωμάτων ἐπὶ τὴν ἔκκρισιν, ἕπεσθαι τὸ ῥῖγος. ἐδείχθη δὲ ὅτι καὶ τῇ κινήσει ταύτῃ κατὰ λόγον ἐστὶν ἀκολουθεῖν ἱδρῶτας, ἐνίοτε δὲ καὶ χολώδεις ἐμέτους κάτω καὶ διαχωρήσεις.

Ἐστὶ δ᾽ οἷσιν ἴκτεροι ἑκταίοισιν, ἀλλὰ τούτοις ἡ κατὰ κύστιν κάθαρσις, ἢ κοιλίης ἐκταραχθείσης ὠφελείσεεν, ἢ δαψιλὴς αἱμορραγία οἷον Ἡρακλείδης, ὃς κατέκειτο παρὰ Ἀριστοκλείδῃ, καίτοι τούτῳ καὶ ἐκ ῥινῶν ἡμορράγησε, καὶ ἡ κοιλία ἐπεταράχθη, καὶ κατὰ κύστιν ἐκαθήρατο. ἐκρίθη δὲ εἰκοσταῖος, οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτης, ᾧ οὐδὲν τούτων ἐγένετο, ἀπέθανεν.

Οἷς οὐκ ἠδυνήθη τὴν χολὴν ἡ φύσις ἐκκρῖναι, τούτοις ἀθροισθεῖσα κατὰ τὸ δέρμα, τοὺς ἰκτέρους εἰργάσατο, μοχθηρὸν δὲ τὸ πρὸ τῆς ἑβδόμης αὐτοὺς γενέσθαι, καθότι κἂν τοῖς ἀφορισμοῖς εἴρηται. καὶ τούτων δ᾽ αὐτῶν, ἐκεῖνοι μόνοι ἐσώθησαν, οἷς ἂν ἡ φύσις ἠδυνήθη δι᾽ ἑτέρου τρόπου τὴν περιουσίαν ἐκκρῖναι. τριῶν δὲ τούτων ἐμνημόνευσεν, ἐκκρίσεων, οὔρων, γαστρὸς ἐκταράξεως, καὶ αἱμορραγίας. ἐνίοις δὲ καὶ ταῦτα πάντα γίνεσθαι φησὶν, ὥσπερ τῷ Ἡρακλείδῃ, καὶ κριθῆναι τοῦτον εἰκοσταῖον.

Αἱμορραγίαι δὲ τοῖσι πλείστοισι, μάλιστα δὲ τοῖσι μειρακίοισι, καὶ ἀκμάζουσι, καὶ ἔθνησκον πλεῖστοι τούτων οἷσι μὴ αἱμορραγεῖ. πρεσβυτέροισι δ᾽ εἰς ἰκτέρους, ἢ κοιλίαι ταραχώδεες, ἢ δυσεντεριώδεες, οἷον Βίωνι τῷ παρὰ Σιληνῷ κατακειμένῳ. ἐπεδήμησαν

δὲ καὶ δυσεντερίαι κατὰ θέρος, καί τισι τῶν διανοσησάντων, οἷσι καὶ αἱμοῤῥαγίαι ἐγένοντο, ἐς δυσεντεριώδεα ἐτελεύτησαν, οἷον τῷ Ἐράτωνος παιδὶ καὶ Μύλλῳ πολλῆς αἱμοῤῥαγίης γενομένης ἐς δυσεντεριώδεα κατάστασιν περιεγένοντο.

Μειρακίοισι μὲν ὅτι κατὰ λόγον ἡμοῤῥάγει, πρόδηλον, ἐφεξῆς δ' αὐτῶν καὶ τοῖς ἀκμάζουσι. τοῖς δὲ τούτων πρεσβυτέροις ἀσθενεστέρας τε τῆς δυνάμεως οὔσης, καὶ τῆς ἐμφύτου θερμασίας ἐλάττονος εἰς ἰκτέρους μᾶλλον ἡ ἀπόθεσις ἐγίνετο τῆς πλεοναζούσης χολῆς. ἐγίνετο δ' ἐνίοις καὶ διὰ γαστρὸς ἔκκρισις ταραχώδης ἢ δυσεντεριώδης, οἷς ἐντεῦθεν ἐῤῥύη εἰς τὸ περιττὸν τῆς κοιλίας. ἐκ τούτων οὖν τῶν προειρημένων, καὶ μέντοι καὶ τῶν ἑξῆς εἰρησομένων, οὐκ ἄδηλον ἔσται ὅτι τὰς ἐν τοῖς καύσοις αἱμοῤῥαγίας γίνεσθαι, διὰ τὴν ἐπικρατοῦσαν ξανθὴν χολὴν, ἥτις μεμιγμένη τῷ αἵματι, διακαίουσά τε αὐτὸ, καὶ σὺν αὐτῷ πολλὴν θερμασίαν ἀναφέρουσα πρὸς τὴν κεφαλὴν, ὅταν ῥήξῃ τὰς ἐν τῇ ῥινὶ φλέβας, αἱμοῤῥαγίας ἐργάζεται.

Πολὺς μὲν οὖν καὶ μάλιστα ὁ χυμὸς οὗτος ἐπεπόλασεν. ἐπεὶ καὶ οἷσι περὶ κρίσιν οὐχ ἡμοῤῥάγησεν, ἀλλὰ παρὰ τὰ ὦτα ἐπαναστάντα ἠφανίσθη. τούτων δὲ ἀφανισθέντων παρὰ τὸν κενεῶνα, βάρος τὸν ἀριστερὸν καὶ ἐς ἄκρον ἰσχίον. ἀλγημάτων δὲ μετὰ κρίσιν γινομένων, καὶ οὔρων λεπτῶν διεξιόντων, αἱμοῤῥαγέειν σμικρὰ ἤρξαντο. περὶ δὲ τετάρτην καὶ εἰκοστὴν ἐγίνοντο ἐς αἱμοῤῥαγίην ἀποστάσιες Ἀντιφῶντι τῷ Κριτοβούλου. ἀπεπαύσατο καὶ ἐκρίθη τελέως περὶ τεσσαρακοστήν.

Διὰ κίνδυνον δηλονότι. καὶ δεῖ ἀγῶνος ὅσους μικροῦ τοῦ σωθῆναι τούτους ὑπῆρξε, μόγις ἀπὸ τῆς τετάρτης καὶ εἰκοστῆς, καὶ τῆς τεσσαρακοστῆς δι' αἱμοῤῥαγίας ὠφεληθεῖσι.

Γυναῖκες δὲ ἐνόσησαν μὲν πολλαὶ, ἐλάσσους δ' ἢ ἄνδρες, καὶ ἔθνησκον ἧσσον. ἐδυστόκεον δὲ πλεῖσται, καὶ μετὰ τοὺς τόκους ἐπενόσεον, καὶ ἔθνησκον αὗται μάλιστα, οἷον Τελεβούλου θυγάτηρ ἀπέθανεν ἑκταίη ἐκ τόκου. τῇσι μὲν οὖν πλείστῃσιν ἐν τοῖσι πυρετοῖσι γυναικεῖα ἐπεφαίνετο. ἔστι δὲ οἷσιν ἐκ ῥινῶν ἡμοῤῥάγησεν, καὶ παρθένοισι πολλῇσι τότε πρῶτον ἐγένετο. ἔστι δ' οἷσιν καὶ ἐκ ῥινῶν, καὶ τὰ γυναικεῖα τισὶν ἐπεφαίνετο, οἷον τῇ Δαιθαρσέως θυγατρὶ παρθένῳ ἐπεφαίνετο πρῶτον, καὶ ἐκ ῥινῶν λαῦρον ἐῤῥύη. καὶ οὐδεμίαν οἶδα ἀποθανοῦσαν, ᾗσι τούτων τι καλῶς γένοιτο, ᾗσι δὲ ξυνεκύρησεν ἐν γαστρὶ ἐχούσῃσι νοσῆσαι, πᾶσαι ἀπέφθειραν, ἃς καὶ ἐγὼ οἶδα.

Εἰκότως οὖν τὰς γυναῖκας ἧσσον τῶν ἀνδρῶν νοσῆσαι καὶ διακινδυνεῦσαι, ὡς δι' αἱμοῤῥαγίας τὰς κρίσεις ἐργαζομένας, ὡς ἂν ἐχούσαις σύμφυτον βοήθημα τὴν ἔμμηνον κένωσιν. ἐδυστόκησαν δὲ διὰ τὴν κατάστασιν ψυχρὰν οὖσαν, ἀλλὰ καὶ ἐν αἷς ἐφάνη τι νόσημα, καὶ αὗται διέφθειραν τὰ ἔμβρυα κατὰ τὸν αὐτὸν λόγον.

Οὖρα δὲ τοῖς πλείστοισιν εὔχροα μὲν, λεπτὰ δὲ καὶ ὑποστάσιας ὀλίγας ἔχοντα διαχωρήμασι λεπτοῖσι καὶ χολώδεσιν, πολλοῖσι δὲ τῶν ἄλλων κεκριμένων ἐς δυσεντερίας ἐτελεύτα, οἷον Ξενοφάνει καὶ Κριτίᾳ.

Καὶ ταῦτα μὲν οὖν λεπτὰ οὖρα, τουτέστιν ὑδατώδη φησὶ, καὶ μέντοι καὶ μετ' ὀλίγα πάλιν ἔγραψεν.

Οὖρα δ' ὑδατώδεα, πολλὰ, καθαρὰ, λεπτὰ μετὰ κρίσιν καὶ ὑποστάσιος πολλῆς γενομένης, καὶ τῶν ἄλλων καλῶς κεκριμένων. ἀναμνήσομαι οἷσιν ἐγένετο, Βίωνι ὃς κατέκειτο παρὰ Σιληνὸν, Κρατίῃ τῇ παρὰ Ξενοφάνους, Ἀρέτωνος παιδὶ, Μνησιστράτου γυναικί.

Διελθὼν τὰ ὀνόματα τῶν οὐρησάντων, τοιαῦτα ἐφεξῆς φησί.

Μετὰ δὲ ταῦτα δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντες, ἆρα ὅτι οὔρησαν ὑδατώδεα σκεπτέον.

Εἰκὸς γὰρ ἦν, καὶ διότι τοῖς οὔροις οὐκ ἐξεκαθαίρετο τὸ χολῶδες, ἐπὶ γαστέρα ῥυὲν, τὰς δυσεντερίας ἐργάσασθαι. εἰκὸς δὲ καὶ διὰ πολλὰς πλεονεξίας τοῦ χυμοῦ τούτου γεγονυίας, καὶ εἰ [μὴ] χολώδη τοῖς οὔροις ἐξεκενώθησαν, ἐκ τοῦ περιττεύοντος ἔτι κατὰ τὸ σῶμα, τὴν δυσεντερίαν αὐτοῖς γενέσθαι.

Περὶ δ' ἀρκτοῦρον ἐνδεκαταίοισι πολλοῖς ἔκρινε, καὶ τουτέοισιν οὐ κατὰ λόγον γινόμεναι ὑποστροφαὶ, ὑπέστρεφον. ἦσαν δὲ καὶ κωματώδεες περὶ χρόνον τοῦτον. πλείω δὲ παιδία, καὶ ἔθνησκον ἥκιστα οὗτοι πάντων.

Εὔδηλον ὅτι τῆς κατὰ τὸ δεύτερον ἔτος ἐπιπολῆς ἐκ τούτου μέμνηται, γεγραμμένης ἐπὶ τέλει τῆς διηγήσεως. αὕτη τοίνυν ἐγένετο νότιος, ὑετοὺς ἔχουσα μέχρι τῆς φθινοπωρινῆς ἰσημερίας. ἐν τούτῳ δὴ τῷ χρόνῳ φησὶν ἐνδεκαταίους πολλοὺς ἀσφαλῶς κριθῆναι γενομένους ἅμα κωματώδεις, διὰ τὴν νότιον δηλονότι κατάστασιν. διὰ δὲ τὴν αὐτὴν καὶ αἱ κρίσεις αὐτοῖς ἐγίνοντο βεβαιότεραι τῶν κατὰ τὸν ἄλλον χρόνον, ἡνίκα ἐπεκράτει τοῦ περιέχοντος ἡ ψυχρὰ

ἡ ψυχρὰ κρᾶσις, ἐν ᾗ χρονίας ἔφη γίνεσθαι τὰς κρίσεις. τῆς μέντοι μεταξὺ κυνὸς καὶ ἀρκτούρου, θερμὴν καὶ ξηρὰν ἔχοντος κατάστασιν, οὐκ ἐμνημόνευσεν, ἐν ᾗ μᾶλλον εἰκὸς ἦν ὀξέως κριθῆναι πολλούς, ὡς μηδὲ τὴν ἑβδόμην ὑπερβῆναι. μήτι οὖν τοῦτο μὲν ὡς οἰκεῖον τοῦ καιροῦ παρέλειπε, τὰ δ᾽ ἐπιδημήσαντα μόνα διέρχεται.

Περὶ δ᾽ ἰσημερίην καὶ μέχρι πληϊάδος καὶ ὑπὸ χειμῶνα, παρείποντο μὲν καὶ οἱ καῦσοι, ἀτὰρ καὶ φρενιτικοὶ τηνικαῦτα πλεῖστοι ἐγίνοντο καὶ ἔθνησκον τούτων πλεῖστοι.

Τοὺς καύσους καὶ τὰς φρενίτιδας, ὁ μὲν αὐτὸς ἐργάζεται χυμός, οὐ τὸν αὐτὸν δὲ τόπον ἔχων. ἐν μὲν γὰρ ταῖς εὐρυχωρίαις τῶν ἀγγείων περιεχομένης τῆς ξανθῆς χολῆς ἅμα τῷ αἵματι, συμβαίνει καθ᾽ ὃν αὖ τρόπον ἐκπυροῦσθαι τοὺς καύσους γίνεσθαι, καὶ μάλιστα ὅταν ἐν ταῖς κατὰ γαστέρα, καὶ ἧπαρ, ἢ κατὰ πνεύμονα φλεψίν, ἡ ζέσις γίνηται τῆς χολῆς. ὅταν δ᾽ εἰς τὰ στερεὰ μόρια τοῦ σώματος ἀφικνῆται, καὶ διὰ αὐτῶν φέροιτο, ῥῖγος ἐργάζεται. κατὰ δὲ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας στηριχθεῖσα, τὰς φρενίτιδας ἐργάζεται. πρὶν δὲ στηριχθῆναι, διαρρέουσα κατὰ τὰς ἐν αὐτοῖς φλέβας, οὐ φρενίτιδας, ἀλλὰ τὰς ἐν ταῖς ἀκμαῖς τῶν πυρετῶν ἐπιφέρει παραφροσύνας. ἡ τοίνυν ἔμπροσθεν ἐν ταῖς κάτω φλεψὶ τὸν καῦσον ἐργαζομένη χολή, κατὰ τὴν ἐπ᾽ ἀρκτούρου μέχρι τῆς ἰσημερίας νότιον κατάστασιν, εἰς τὴν κεφαλὴν ἀναληφθεῖσα, καὶ στηριχθεῖσα, κατὰ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας, ἐγέννησε τὰς φρενίτιδας.

Ἐγένοντο δὲ καὶ ἐπὶ τὸ θέρος ὀλίγοι.

Ὀλίγους φησὶ γεγονέναι φρενιτικούς. τὸ μὲν γὰρ ἄχρι κυνὸς αὐτοῦ μέρος, ψυχρὸν ἦν. τὸ δὲ μέχρι ἀρκτούρου θερμὸν καὶ ξηρόν, ὥστ᾽ οὐ δυνατὸν ἦν πληρῶσαι τότε μεταξὺ τὴν κεφαλήν. ὥσπερ οὐδ᾽ ὁ περὶ τὸν ἀρκτοῦρον ἄχρι τῆς ἰσημερίας γενόμενος νότος. οὔτε γὰρ ὑγρὸν ἦν, οὔτε πολυχρόνιον τὸ μεταξὺ κυνός τε καὶ ἀρκτούρου, ἐρρέθη ὅτι χολῆς πολλῆς ἐγχυθείσης ἐν τοῖς κατὰ τὸν ἐγκέφαλον χωρίοις, καὶ φρενίτιδες ἐγένοντο.

Τοῖσι μὲν οὖν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινεν, οἷσι τὰ ὀλέθρια συνέπιπτεν. αὐτίκα γὰρ ἀρχομένοισι πυρετὸς ὀξύς, σμικρὰ ἐπερρίγουν, ἄγρυπνοι, ἀδήμονες, διψώδεες, ἀσώδεες, σμικρὰ ἐφιδροῦντες περὶ μέτωπον καὶ κληῗδας, αὖθις οὐδεὶς διόλου, πολλὰ παρέλεγον, φόβοι, δυσθυμίαι, ἄκρεα ὑπόψυχρα, πόδες ἄκροι, μᾶλλον δὲ τὰ περὶ χειρός, οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι. τοῖς δὲ πλείστοισι τεταρταίοισιν οἱ πόνοι μέγιστοι καὶ ἱδρῶτες ἐπὶ πλεῖστον ὑπόψυχροι, καὶ ἄκρεα οὐκέτ᾽ ἀναθερμαινόμενα, ἀλλὰ πελιδνά, ὑπόψυχρα, οὐδ᾽ ἐδίψων, ἔτι τούτοισιν οὖρα μέλανα, λεπτά, ὀλίγα. καὶ κοιλίαι ὑφίσταντο οὐδ᾽ ἡμορράγησαν ἐκ ῥινῶν, οὐδὲ τοῖσιν οἷσι ταῦτα συμπίπτει, ἀλλὰ σμικρὰ ἔσταζον. οὐδ᾽ εἰς ὑποστροφὴν οὐδενὶ τούτων ἦλθεν, ἀλλ᾽ ἑκταῖοι ἀπέθνησκον σὺν ἱδρῶτι.

Ὥσπερ ἅπαντα τὰ κατὰ τοῦτο τὸ σύγγραμμα, τῶν καθόλου λεγομένων αὐτῷ δι᾽ ἑτέρων βιβλίων, παραδείγματα ἐστὶ, τὴν ἐξέτασιν ἐν τοῖς καθ᾽ ἕκαστα λαμβάνοντι δι᾽ αὐτοψίας, κατὰ τὸν αὐτὸν τρόπον καὶ ταῦτα τὰ νῦν λεγόμενα. τοῖς γὰρ ὀλεθρίοις καύσοις γίνεσθαι συμπτώματα φησὶ, κατ᾽ ἀρχὰς ἐπιρριγοῦντας, καὶ ἀγρυπνοῦντας, καὶ ἀσώδεις, ἐφιδροῦντας μικρὰ περὶ μέτωπον καὶ κλεῖδας. τὸ μὲν γὰρ ὀξὺν εἶναι τὸν πυρετὸν αὐτοῖς εἶναι, καὶ δίψος παρεῖναι, τῆς τοῦ πάθους φύσεως ἴδια. καὶ ταῦτα τῆς κακοηθείας ἴδια, τότε ῥιγοῦν εὐθέως ἐν ἀρχῇ. καὶ γὰρ κρίνειν εἴωθε τοὺς καυσώδεις πυρετοὺς τὸ ῥῖγος, ὃ μὴν αὐτίκα δ᾽ ἐπιφαίνεσθαι χρὴ τὰ κρίσιμα. τὸ δὲ τῆς ἀγρυπνίας καὶ τῆς ἀδημονίας σύμπτωμα, διὰ παντός ἐστι μοχθηρόν, οὐ κατὰ μόνην τὴν ἀρχήν, ὥσπερ γε καὶ τὸ ἐφιδροῦν. τὸ δὲ παραλέγειν, ὅπερ ἐστὶ παρὰ τὰ κατὰ φύσιν λέγειν, τουτέστι παραφρονεῖν, βεβλαμμένον δηλοῖ τὸν ἐγκέφαλον. οἵ γε μὴν φόβοι δριμείας ἱκανῶς καὶ κατωπτημένης τῆς ξανθῆς χολῆς εἰσι συμπτώματα. συγγενεῖς δὲ τοῖς φόβοις εἰσί, καὶ αἱ δυσθυμίαι. ἡ δὲ τῶν ἄκρων περίψυξις, ὀλεθριώτατον καύσοις ἐστὶ σύμπτωμά τε καὶ σημεῖον, ὥσπερ γε καὶ τὸ παρανοῆσαι, διὰ τὴν τοῦ πυρετοῦ θερμασίαν ἐκπυρουμένης τῆς κεφαλῆς. ἴδιον δ᾽ ἐστὶ καὶ οἰκεῖον ὀξέων πυρετῶν, καὶ τὸ διακαίεσθαι τοῖς ἄκροις τοῦ σώματος μέρεσιν. ἐὰν ποτ᾽ οὖν καταψύχηται ταῦτα, διακαιομένων τῶν περὶ τὰ σπλάγχνα χωρίων, ἐν μὲν τοῖς μέσοις τοῦ σώματος ἠθροῖσθαι δηλοῦται τὸ αἷμα. τὰ δ᾽ ἄκρα λειφαιμεῖν τε καὶ καταψύχεσθαι, καὶ νεκροῦσθαι τελέως, ἀπολιπούσης ἤδη τῆς φύσεως αὐτά. καὶ μὴν καὶ εἰ οἱ παροξυσμοὶ κατὰ τὰς ἀρτίας ἡμέρας γιγνόμενοι κατ᾽ ἀρχὴν εὐθέως, ἐνίοτε μὲν ἑκταίαν προδηλοῦσιν ἔσεσθαι κακίστην κρίσιν, ἐνίοτε δὲ εἰς μῆκος ἐκταθήσεσθαι τὸ νόσημα. καὶ ὅταν γε σφοδρῶς κινῆται, τῆς τετάρτης μοχθηρὸν παροξυσμὸν ἐχούσης, ἀποθνήσκουσιν ἑκταῖοι, καθάπερ καὶ οὗτοι περὶ ὧν ὁ λόγος ἐστί. τεταρταίοις οὖν αὐτοῖς φησὶ τούς τε πόνους μεγίστους γενέσθαι, τουτέστιν ἅπαντα τὰ ὀδυνώδη συμπτώματα, καὶ ἱδρῶτας ὑποψύχρους ἐπὶ πλεῖστον. τούτοις μὲν οὖν καὶ ὅτι καὶ ἡ ἕκτη τὸν θάνατον οἴσει μεθ᾽ ἱδρώτων, πρόδηλον. τὸ δὲ καὶ τὰ ἄκρα πελιδνὰ γίνεσθαι καὶ μηκέτ᾽ ἀναθερμαινόμενα, νεκρώσεώς τε σημεῖον ἐστὶ καὶ βέβαιον γνώρισμα τοῦ μὴ δύνασθαι τῆς ἕκτης ἡμέρας ἐξωτέρω τὴν δύναμιν ἐξαρκέσαι. ἐκ περιουσίας δέ τι καὶ ἄλλο σημεῖον αὐτοῖς ὀλέθριον προσεγένετο, τὸ μηκέτι διψῆν, καίτοι πρότερον ἐκαυσοῦντο. δυοῖν δὲ θάτερον τούτοιν ἀναγκαῖον ἐστὶν τὸ ἕτερον εἶναι, τὸ τοὺς διακαιομένους ἔμπροσθεν, ὑπὸ δίψης ὕστερον ἀδίψους γίνεσθαι, ἤτοι λύσις τοῦ νοσήματος ἢ νέκρωσις τῆς δυνάμεως, ὡς μηκέτ᾽ αἰσθάνεσθαι τῶν παρόντων κακῶν. ἀλλ᾽ οὐκ ἐγίνετο τούτοις λύσις, ὀλεθρίων ὄντων συμπτωμάτων, ὥστ᾽ ἀναισθησίας ἦν σημεῖον αὐτοῖς, τὸ μὴ διψῆν. ταῦτα μὲν οὖν ἅπαντα τὰ εἰρημένα συμπτώματα, κακοήθη τε πάντα ἐστὶ δεινῶς καὶ ὀλέθρια. σὺν αὐτοῖς

δ' οὐχ ἥκιστα, καὶ τὰ οὖρα μέλανά τε καὶ λεπτὰ ὀλίγα γινόμενα. μέλανα μὲν, ὡς ἂν ἤδη κατωπτημένου τοῦ χολώδους χυμοῦ. ὀλίγα δὲ διὰ τὸ ἐκπεφευγέναι τὴν ἰκμάδα πᾶσαν ἐκ τοῦ αἵματος, ὑπὸ τε τοῦ καυσώδους πυρετοῦ, κἀκ τῶν οὐρητικῶν ὀργάνων ἤδη νενεκρωμένων. διὰ δὲ τὰς αὐτὰς αἰτίας, καὶ κοιλίαι ἐφίστανται. καὶ μὲν δὴ καὶ τὰς ἐκ ῥινῶν στάξεις ὀλέθριον οὔσας, σημεῖον, ἐν ἄλλοις μὲν ἐν καύσοις δὲ μάλιστα, γενέσθαι φησὶν †αὐτός. ὅτι ὀλεθριώτατον

†αὐτοῖς

ὑπὲρ τοῖς καύσοις, δῆλον, εἴγε μάλιστα οἰκεῖον ἐστὶν αἱμοῤῥαγία.

Τοῖσι δὲ φρενιτικοῖσι ξυνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα ἅπαντα, ἐκρίνετο δὲ τούτοισιν ὡς τὸ πολὺ ἐνδεκαταίοισιν, ἔστι δ' οἷσιν εἰκοσταίοισι.

Τοῖς αὐτοῦ τοῦ καυσώδους φρενιτικοῖς γιγνομένοις, τὰ εἰρημένα οὐ συνέπεσεν. ἐπεὶ τοῖς γε μετὰ τοῦ καυσώδους περὶ τὴν ἕκτην ἡμέραν ὁ θάνατος ἐγένετο, διπλασιασθέντος αὐτοῦ τοῦ κακοῦ, φρενῖτις ἐγένετο. περὶ δὲ τὴν ἑνδεκάτην ἡμέραν ἀκολουθῆσαι φησὶ τὴν κρίσιν, ἐνίοις δὲ κατὰ τὴν εἰκοστήν.

Οἷσιν εὐθὺς οὐκ ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο περὶ τρίτην ἢ τετάρτην ἡμέραν, ἀλλὰ μετρίως ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ, περὶ τὴν ἑβδόμην εἰς ὀξύτητα τὸ νόσημα μετέπεσεν.

Οἷς μὲν περὶ τὴν γ'. ἢ τετάρτην ἡμέραν ἤρξατο, διεκόπη δὲ μεταξὺ, κρίσεως ἡμιῤῥόπου γενομένης. τὸ δὲ σφοδρῶς ὀξὺ τῆς φρενίτιδος, οὐκ ἔσχον οἱ νοσοῦντες. ἐθεασάμεθα γὰρ ἤδη καὶ τοιαύτας φρενίτιδας.

Πλῆθος μὲν οὖν τῶν νοσημάτων ἐγένετο. ἐκ δὲ τῶν καμνόντων ἀπέθνησκον μάλιστα μειράκια, νέοι, ἀκμάζοντες, λεῖοι, ὑπολευκόχρωτες, ἰθύτριχες, μελανότριχες καὶ μελανόφθαλμοι, ἡσυχῇ καὶ ἐπὶ τὸ ῥάθυμον βεβιωκότες, ὑψόφωνοι, ἰσχνόφωνοι, τρηχύφωνοι, τραυλοὶ, ὀργίλοι. καὶ γυναῖκες πλεῖσται ἐκ τούτου τοῦ εἴδεος ἀπέθνησκον.

Ὥσπερ ἔμπροσθεν ἔφην, αὐτὰ μὲν τὰ γινόμενα ἀσαφῆ αὐτὸν διηγεῖσθαι, προστίθεσθαι δ' ὑφ' ἡμῶν τὰς αἰτίας, οὕτω νῦν φημὶ καὶ αὐτὴν τὴν διάνοιαν τοῦ λόγου οὐκ εἶναι σαφῆ. πότερον γὰρ ἐπὶ φρενιτίδων μόνων ἀκούειν χρὴ τῶν εἰρημένων, ἢ ἐπὶ πάντων τῶν νοσημάτων ὧν προείρηκεν, ἄδηλον. καὶ γὰρ οὖν αὐτὴν τὴν ἀρχὴν τοῦ προκειμένου λόγου διαφερόντως γράφουσι, ἔνιοι μὲν ὧδέ πως. πλῆθος δὲ τῶν νοσημάτων ἐγένετο, περὶ τῶν φρενιτικῶν αὐτῶν μόνων οἷς ἐπήνεγκε ταῦτα βουλόμενοι τὸν λόγον εἶναι. τινὲς δὲ ὧδε. πλῆθος μὲν οὖν ἐγένετο τῶν νοσημάτων, περὶ πάντων αὖ καὶ οὗτοι τῶν εἰρημένων ἀξιοῦντες εἶναι τὸν λόγον. εἰ μὲν ἐπὶ πάντων ἀκούοιμεν αὐτοῦ τοῦ διορίσασθαι κατά τινα μὲν τότε μειράκια, καὶ νέοι, καὶ ἀκμάζοντες ἀπόλλυνται, κατά τινα δ' οἱ λεῖοι, καὶ ὑπολευκόχρωτες, κατά τινα δ' οἱ ἰθύτριχες, καὶ μελανότριχες, καὶ μελανόφθαλμοι. κατὰ ποῖα δὲ ἡσυχῇ καὶ ἐπὶ τὸ ῥάθυμον βεβιωκότες, ἢ πάλιν ἐν τισὶν οἱ ἰσχνόφωνοι, ἐν τισὶ γ' οἱ τραυλοί. ὥσπερ καὶ ὀργίλοι δὲ ἔν τισι, γυναῖκες δ' ἔν τισιν. εἰ μὴ πάντα ταῦτα διορισθείη, πλέον οὐδὲν ἡμῖν, οὔτε εἰς πρόγνωσιν, οὔτ' εἰς θεραπείαν ἐκ τῶν εἰρημένων ὑπάρξει. εἰ δὲ μὴ περὶ πάντων τῶν νοσημάτων, ἀλλὰ περὶ ὧν τὸν λόγον ἐποιεῖτο μόνων τῶν φρενιτικῶν, ἀκούοιμεν εἰρῆσθαι ταῦτα, χαλεπώτατόν ἐστι καὶ οὕτως εὑρεῖν τὰς αἰτίας, δι' ἃς ἀπόλλοιντο οἱ πλεῖστοι τῶν εἰρημένων. μετὰ καὶ αὐτὸ τὸ, τοὺς πλείστους ἀπόλλυσθαι, διττὸν εἶναι. τὸ μὲν ἕτερον, ἐπειδὴ πολλοὶ τῶν τοιούτων ἑάλωσαν τῷ φρενιτικῷ νοσήματι θανατώδη ἔχοντι τὴν τότε ἐπιδημίαν, διὰ τὸ εἰρῆσθαι πολλοὺς αὐτῶν διαφθαρῆναι, τὸ δ' ἕτερον εἶναι τῶν ἁλόντων τῇ φρενίτιδι τοὺς πλείστους ἀπολωλότας ἠκούσαμεν, ὥστε καὶ τὴν αἰτιολογίαν γίνεσθαι διττὴν, ὥστε καὶ πάντας οὓς εἶπεν ἐπιτηδείους ἁλῶναι τῷ φρενιτικῷ πάθει κατὰ τὴν ὑποκειμένην κατάστασιν, ἐπιδεικνύντων ἡμῶν τῶν φρενιτισάντων τοὺς τοιούτους μάλιστα ἀποθανεῖν. ἡ μὲν οὖν ἀσάφεια τοῦ λόγου, τοιαύτη ἐστὶ καὶ τοιαύτη. προηγεῖται δ' αὐτῆς εὑρεῖν τὴν κρᾶσιν ἑκάστου τῶν εἰρημένων. οὐ γὰρ οἷόν τε συνῆφθαι τῇ καταστάσει τὸν λόγον αὐτοῦ τούτου. φαίνεται δ' ἐν οἷς εἶπεν ὁ Ἱπποκράτης, ἡλικιῶν μὲν θερμοτάτων μνημονεύων. μειράκια γάρ φησι καὶ νέοι, καὶ ἀκμάζοντες, φύσεων δὲ δυσαπνεύστων. καὶ γὰρ οἱ λεῖοι καὶ οἱ ὑπολευκόχρωτες, ἰθύτριχές τε, οἱ μελανότριχες, καὶ οἱ μελανόφθαλμοι, καὶ οἱ εἰκῇ καὶ ἡσυχῇ καὶ ἐπὶ τὸ ῥάθυμον βεβιωκότες ἐδείχθησαν ἡμῖν ἔν ἄλλοις τέ τισιν ὑπομνήμασι, καὶ ἐν τοῖς περὶ κράσεων ἧττον διαπνεόμενοι, διότι καὶ ψυχρότεροι ταῖς κράσεσιν εἰσί. καὶ διὰ τὴν αὐτὴν αἰτίαν καὶ γυναῖκες, ἃς διὰ τὴν ἔμμηνον κάθαρσιν ἧσσον ἠδίκησεν ἡ κατάστασις ὡς ἔμπροσθεν εἶπον, αἱ δ' ἀποθανοῦσαι, ἐκ τούτου τοῦ εἴδους ἦσαν. λοιπὸν οὖν ἐστιν ἐπισκέψασθαι περὶ τῶν ἰσχνοφώνων καὶ τραχυφώνων καὶ τραυλῶν καὶ ὀργίλων, καὶ πρῶτον γεγραμμένων τῶν ἰσχνοφώνων. εἰ δὲ οὖν οὕτως εἶεν γεγραμμένων τοὺς ἰσχνοὺς τὴν φωνήν. ἰσχνόφωνοι γὰρ ἔτι, καὶ νῦν λέγονται τινὲς, ὥσπερ γε καὶ λεπτόφωνοι. ταὐτὸ οὖν ἑκατέρου ὀνόματος σημαίνοντος, διαφέρουσιν οὗτοι τῶν ἰσχνοφώνων, ὡς ἐν τοῖς περὶ φωνῆς εἴρηται, καὶ δέδεικται γίνεσθαι διὰ τὴν στενότητα τῆς τραχείας ἀρτηρίας τοῦ λάρυγγος. οἱ δ' ἰσχνόφωνοι, τὴν φωνὴν, διὰ τὴν φυσικὴν μοχθηρίαν τῶν κινούντων τὸν λάρυγγα μυῶν, ἑκάτεροι δὲ δι' ἀῤῥωστίαν τῆς ἐμφύτου θερμασίας ἀποτελοῦνται τοιοῦτοι, κατὰ τὴν πρώτην διάπλασιν. ὥσπερ δ' ἐν τοῖς τὸν λάρυγγα κινοῦσι μυσὶ φαυλότερον ἐξ ἀρχῆς οἱ ἰσχνόφωνοι διεπλάσθησαν, οὕτως τοῖς τῆς γλώττης οἱ τραυλοί. τραχύφωνοι γίνονται, διὰ τὴν τραχύτητα τῶν φωνητικῶν ὀργάνων. ὀνομάζω δ' ὄργανα φωνητικὰ, δι' ὧν ἐκπεμπόμενον τὸ πνεῦμα, φωνὴ γίνεται. ταῦτα δ' ἐστὶν ἡ τραχεῖα ἀρτηρία, καὶ ὁ λάρυγξ, καὶ ἡ φάρυγξ, οἷον πλῆκτρον τοῦ φερομένου δι' αὐτοῦ πνεύματος. ἐδείχθη γὰρ οὗτος ὄργανον φωνῆς, ὡς διαλέξεως γλῶττα. βραχὺ δὲ πρὸς γένεσιν καὶ ἡ φάρυγξ συντελεῖ, δασεῖαν αὐτὴν ἐργαζομένη. ταῦτ' οὖν τὰ ὄργανα λεῖα μὲν ὄντα, λείαν ἐδείχθη καὶ τὴν φωνὴν ἐργαζόμενα, τραχέα, δὲ τραχεῖαν. ἡ δὲ τραχύτης αὕτη ἐδείχθη διὰ ξηρότητα γινομένη. τὰ μὲν οὖν ἄλλα πάντα μετὰ τῆς ἡλικίας

ἄχρι δεῦρο λελεγμένα, ψυχρᾶς ἐστὶ κράσεως σημεῖα. μόνη δ' ἡ ξηρότης ἀμφοτέραις ταῖς κράσεσιν συνέρχεται, τῇ τε ψυχρᾷ καὶ τῇ θερμῇ. τοῖς μὲν οὖν ἅμα τῷ ξηρῷ τῆς κράσεως ψυχροῖς οὖσι, δυσδιαπνεύστοις εἶναι συμβήσεται, καθάπερ καὶ τοῖς προειρημένοις. ὅσοι δὲ θερμότεροι τούτων ὑπάρχουσιν, οὐκ εὐθὺς ὑπάρχει τοῦτο, διότι τοῖς μὲν ἐξελομένοις τοῦ λόγου, τοῖς δ' ἄλλοις φαμὲν, οἷς ἐφαρμόττει ὁ λόγος. τὴν δὲ προκειμένην ἀποθανεῖν πολλοὺς, ἐξ ὧν κατέλεξεν ἡλικιῶν τε καὶ φύσεων. ἔλεγον δὲ ἡλικίας εἶναι θερμὰς, ἐν αἷς ὁ πικρόχολος πλεονάζει χυμός. τὰς φύσεις δὲ δυσδιαφορήτους, ὥστ' ἄχρι μὲν τοῦδε τὴν ἀρχὴν ὧν εἰρήκαμεν, ἔτι λείπεται περὶ τῶν ὀξυθύμων εἰπεῖν, οὓς ἐναντιωτάτους φησὶ τοῖς θυμώδεσιν ὄντας. ἀνδρεῖοι μὲν γάρ εἰσιν οἱ θυμώδεις, καὶ καταφρονητικοὶ τῶν μικρῶν πραγμάτων. μικρόψυχοι δ' εἰσὶν οἱ ὀξύθυμοι, διότι τὸ γενναῖον τῆς τῶν ἀνδρῶν ψυχῆς οὐκ ἔχουσιν, ὥστε καὶ οἱ ὀξύθυμοι ψυχρότεροί τε ταῖς κράσεσι καὶ δυσδιαφόρητοι γενήσονται. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, καὶ γυναῖκες πλεῖσται ἐκ τούτου τοῦ εἴδεος ἀπέθνησκον, οὐ δῆλόν ἐστιν, εἴτε πρὸς τὸ τέλος ἀναφέρειν χρὴ μόνον, εἴτε πρὸς αὐτὰ τὰ προειρημένα, τελευταῖοι δ' αὐτῶν εἰσιν οἱ ὀξύθυμοι, καὶ αὐτῶν τῶν γυναικῶν τὰς συγγενεῖς τοῦ εἴδεος τούτου πλείστας ἀποθνήσκειν ἐπιγνώσκεται. δύναται γε μὴν ἀληθὴς ὁ λόγος εἶναι κατ' ἄμφω, καὶ πρὸς πάντα τὰ προειρημένα τὴν ἀναφορὰν ποιουμένου τοῦ Ἱπποκράτους, καὶ πρὸς μόνον τὸ τελευταῖον. εἰ δὲ τὸ πρὸς πάντα ἀναφέρειν ἀληθές ἐστιν, ἄμεινον οὕτως ἀκούειν. ἐν μὲν γὰρ τοῖς πᾶσι καὶ τὸ τελευταῖον εἰρημένον περιέχεται. κατὰ τοῦτο δ' οὐκέτι τὰ πάντα λέλεκται. τὰς μέντοι γυναῖκας τοῦ εἴδεος ἀποθανεῖν τούτου λέγειν αὐτὸν αὐτοῖς ἀνδράσι παραβάλλοντα. προείρηται γὰρ ἀνωτέρω, γυναῖκες δ' ἐνόσησαν μὲν πάμπολλαι, ἐλάσσους δ' ἢ ἄνδρες, καὶ ἔθνησκον ἧσσον. ἀλλ' ὁ νῦν λόγος αὐτῷ τοιοῦτός τις ἐστί. τῶν γυναικῶν ὅσαι τοῖς εἰρημένοις πάθεσιν ἑάλωσαν, ἀπέθνησκον μᾶλλον, ὅσαι τῆς προειρημένης ἰδέας ἦσαν.

Ἐν δὲ τῇ καταστάσει ταύτῃ, ἐπὶ σημείων μάλιστα τεσσάρων διεσώζοντο. οἷσι γὰρ ἢ διὰ ῥινῶν καλῶς ἡμοῤῥάγησαν, ἢ κατὰ κύστιν οὖρα πολλὰ, καὶ πολλὴν ὑπόστασιν καὶ καλὴν ἔχοντα ἔλθοι, ἢ κατὰ κοιλίην ταραχώδεα, χολώδεα, ἐπικαίρως, ἢ δυσεντερικοὶ γένοιντο. πολλοῖς δὲ ξυνέπιπτε μὴ ὑφ' ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείων, ἀλλὰ διεξιέναι διὰ πάντων τοῖς πλείστοισι, καὶ δοκέειν μὲν ἔχειν ὀχληροτέρως. διεσώζοντο δὲ πάντες οἷσι ταῦτα ξυμπίπτει. γυναιξὶ δὲ παρθένοισι συνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα σημεῖα πάντα. ᾗσι δὲ ἢ τούτων τι καλῶς γένοιτο, ἢ τὰ γυναικεῖα δαψιλέως ἐπιφανείη, διὰ τούτων ἐσώζοντο, καὶ ἔκρινε καὶ οὐδεμίαν οἶδα ἀπολομένην, ᾗσι τούτων τι καλῶς γένοιτο. Φίλωνος γὰρ τῇ θυγατρὶ ἐκ ῥινῶν λαῦρον ἐῤῥύη, ἑβδομαίη δὲ ἐοῦσα, ἐδείπνησεν ἀκαιροτέρως, ἀπέθανεν.

Καὶ οὗτος ὁ λόγος σαφὴς καὶ ὁ ἐφεξῆς, ἔνθα περὶ τῶν γυναικῶν διαλέγεται. κεφάλαιον γάρ ἐστιν ὃ διδάσκει, τοὺς μὲν δι' αἱμοῤῥαγίας, τοὺς δὲ δι' οὔρων, ἢ διαχωρημάτων, ἐνίους δὲ καὶ εἰς δυσεντερίαν ἀποσκηψάντων τῶν αἰτίων δυνηθῆναι σωθῆναι.

Οἷσιν ἐν πυρετοῖσιν ὀξέσι, μᾶλλον καυσώδεσιν ἀεκούσια δάκρυα ἀποῤῥεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμοῤῥαγίαν προσδέχεσθαι, ἢν καὶ τὰ ἄλλα ὀλεθρίως μὴ ἔχωσιν, ἐπεὶ τοῖσί γε φλαύρως ἔχουσιν, οὐχ αἱμοῤῥαγίην, ἀλλὰ θάνατον σημαίνει.

Ἕν τι καὶ τοῦτο τῶν αἱμοῤῥαγικῶν σημείων παραλελειμμένων αὐτῷ, διὰ τῶν ἔμπροσθεν εἴρηται νῦν. ἔστι δ' ἱκανῶς ὁ λόγος σαφὴς τοῖς μεμνημένοις ὧν ἔμπροσθεν εἶπε καὶ κατὰ τοῦτο βιβλίον, ὧν τε ἐν τῷ προγνωστικῷ. καί μοι λέλεκται ταῦτα πάντα μετὰ τῶν οἰκείων διορισμῶν, ἐν τοῖς κατὰ τὸ προγνωστικὸν ὑπομνήμασι, καὶ ἐν τοῖς περὶ κρίσεων.

Τὰ περὶ τὰ ὦτα ἐν πυρετοῖσιν ἐπαιρόμενα μετ' ὀδύνης, ἔστιν οἷσιν ἐκλείποντος τοῦ πυρετοῦ κρισίμως, οὔτε καθίσταται, οὔτ' ἐξεπύει, τούτοισι διάῤῥοια χολωδέων, ἢ δυσεντερίη, ἢ παχέων οὔρων ὑπόστασις γενομένη, ἔλυσε, οἷον Ἑρμίππῳ τῷ Κλαζομενίῳ.

Χρησιμώτατόν ἐστι μετὰ τῶν εἰρημένων ἀρτίως προμνησθέντων, πρὸς τὸ μὴ διὰ παντὸς ἡγεῖσθαι τὰς παρωτίδας ἀνεκπυήτους μενούσας, μοχθηρὸν εἶναι σημεῖον. ἐν γὰρ τῇ προκειμένῃ καταστάσει τοὺς μὲν πυρετούς φησι παύσασθαι κρισίμως ἐνίοις, ὅπερ ἐστὶν ἐν ἡμέρᾳ κρισίμῳ, καὶ μεθ' ἱδρῶτος, ἢ τινὸς ἄλλου τοῦ οὕτω κρινόντων, ἔτι διαμένειν τὰς παρωτίδας, εἶτα ἐν τῷ χρόνῳ προϊόντι καταστῆναι δι' ὧν εἶπεν οὔρων, καὶ διαχωρημάτων καὶ δυσεντερίας, ἐκκαθαρθέντων τῶν τὴν νόσον ἐργαζομένων αἰτίων.

Τὰ δὲ περὶ τὰς κρίσιας ἐξ ὧν καὶ διαγινώσκομεν, εἰ ὅμοια, ἢ ἀνόμοια.

Ὅσα περὶ κρίσεων ἢ κρισίμων ἡμερῶν αὐτῷ λέλεκται, ταῦτα κατὰ δύο πραγματείας ἠθροισμένα ἔχεις παρ' ἡμῶν, τήν τε περὶ τῶν κρισίμων καὶ κρίσεων. ἀλλὰ καὶ νῦν διὰ βραχέων εἰρήσεται τὸ κεφάλαιον τοῦ λόγου. τὰ περὶ κρίσιας φησὶ, κατά τι μὲν ὅμοια, κατά τι δὲ ἀνόμοια γενέσθαι. κἄπειτα παρατίθεται πολλοὺς ἐξ ὑποστροφῆς, καὶ αὐτοὺς ἐπὶ τὰς αὐτὰς προθεσμίας ἑπτακαιδεκαταίους κριθῆναι τὸ σύμπαν, εἶτ' ἄλλους εἰκοσαίους ἐξ ὑποστροφῶν, καὶ αὐτοὺς οὐχ ὁμοίως γενομένους. παραδείγματος δὲ χάριν μέμνηται πρῶτον ἀδελφῶν δύο ἐν τῇδε τῇ ῥήσει.

οἱ ὀξύθυμοι μικρόψυχοι

Οἷον οἱ δύο ἀδελφοὶ καὶ ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην, κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος ἀδελφεοί, τουτέων τῷ πρεσβυτέρῳ ἔκρινεν ἑκταίῳ, τῷ δὲ νεωτέρῳ, ἑβδομαίῳ, ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην, διέλιπεν ἡμέρας πέντε. ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ σύμπαν ἑπτακαιδεκαταίοις. ἔκρινε δὲ τοῖσι πλείστοισι πεμπταίοις, διέλιπεν ἑβδομαίοις. ἐκ δὲ τῶν ὑποστροφέων, ἔκρινε πεμπταίοισι. οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπε ἑβδομαίοισιν. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τριταίοισι. οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διαλιπόντας τὴν τρίτην ἔκρινεν ἑβδομαίοισι. οἷσι δ' †ἔλειπεν ἑκταίοισι, διαλιπόντας ἕκτην ἐλάμβανε τριταίους. οἷσι δὲ ἔλειπε πρώτῃ, ἐλάμβανε καὶ ἔκρινε †μίαν, οἷον Εὐαγόντι τῷ Δαϊφάρσους. οἷσι δὲ ἔκρινε ἑκταίοισι, διέλιπεν ἑβδομαίοισιν. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τεταρταίοισιν, οἷον τῇ Ἀγλαΐδου θυγατρί. οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων ἐν τῇ καταστάσει ταύτῃ τούτῳ τῷ τρόπῳ διενόσησαν, καὶ οὐδένα οἶδα τῶν περιγενομένων, ὅν τινα οὐχ ὑπέστρεψαν κατὰ λόγον αἱ ὑποστροφαὶ γενόμεναι, καὶ διεσώζοντο πάντας οὓς ἐγὼ οἶδα, οἷσιν αἱ ὑποστροφαὶ διὰ τοῦ εἴδεος τούτου γένοιατο. οὐδὲ τῶν διανοσησάντων διὰ τούτου τοῦ τρόπου, οὐδενὶ οἶδα ὑποστροφὴν γενομένην πάλιν. ἔθνησκον δὲ ἐν τοῖσι νουσήμασιν οἱ πλεῖστοι ἑκταῖοι οἷον Ἐπαμινώνδας καὶ Σιληνὸς καὶ Φιλίσκος ὁ Ἀνταγόρεω.

† ἔκρινεν
† πρώτῃ

Τὸ μὲν χρήσιμον τοῦ λόγου, πρόδηλον ἤδη τῶν εἰρημένων ἐστί, τὸ δ' ἄχρηστον ἄδηλον, ὥστ' οὐ ζητεῖν αὐτὸ προσῆκεν. ἀλλ' οἱ μὲν τὰ χρήσιμα ἀποδιδράσκοντες, ἑαυτοῖς πράγματα παρέχουσι, ζητοῦντες πῶς εἰπὼν ὁ Ἱπποκράτης, τῷ μὲν πρεσβυτέρῳ τὴν κρίσιν ἑκταίαν γενέσθαι, τῷ δὲ νεωτέρῳ ἑβδομαίαν. καὶ μετὰ ταῦτα πάλιν εἰπὼν, ἐπέστρεψεν ἀμφοτέροις ὁμοῦ τὴν αὐτὴν ὥρην, ἐπήνεγκε, διέλιπον ἡμέρας πέντε. οὐ γὰρ ἀμφοτέροις δυνατόν ἐστι τὰς πέντε διαλιπεῖν, ἀλλὰ τῷ ἑτέρῳ μόνῳ. καίτοι γε καὶ δυνατόν ἐστιν αὐτὸ τοῦθ' ὃ λέγουσιν ἀκοῦσαι περὶ μόνου τοῦ ἑνός, τοῦ δευτέρου κατὰ τὴν διήγησιν εἰρημένου, τοῦ κριθέντος ἑβδομαίου τὴν πρώτην κρίσιν. καὶ εἰ δὴ τοῦτο διέλιπεν ἡμέρας πέντε, πρόδηλον ὅτι τῷ κατὰ τὴν ἕκτην ἡμέραν κριθέντι [κατὰ τὴν δευτέραν ἡμέραν κριθέντος] διέλιπεν ἕξ. ἐγχωρεῖ δὲ κατ' ἀρχὴν εὐθὺς ὑπὸ τοῦ βιβλιογράφου τὴν λέξιν ἁμαρτηθεῖσαν, φυλαχθῆναι, καθάπερ καὶ ἄλλαι πολλαὶ τοῦτο πεπόνθασι, παρά τε τῷ Ἱπποκράτει, καὶ ἄλλοις οὐκ ὀλίγοις. ὃ δὲ λέγω σφάλμα τοῦ βιβλιογράφου γενέσθαι, τοιόνδε ἐστίν. ἐνεδέχετο γεγράφθαι μὲν ὧδέ πως τὴν λέξιν. διέλιπεν ἡμέρας, ἓξ μὲν τῷ ἑτέρῳ τῷ δ' ἑτέρῳ πέντε. τὸ γράψαι δὲ τὸν ἁμαρτάνοντα, διέλιπε πέντε, καὶ πιθανώτερον ἤδη μὲν τοῦ πρεσβυτέρου, τὰς ἓξ διαλιπεῖν, τοῦ δὲ νεωτέρου τὰς πέντε, τῆς δ' ὑποστροφῆς ἅμα ἀμφοτέροις γενομένης κατὰ τὴν δωδεκάτην ἡμέραν. ἐφεξῆς γοῦν φησί, ἔκρινε δὲ τοῖσι πλείστοισιν ἑκταίοισι, διέλιπε πεμπταίοισιν, ὥστ' εἰκάσαι τοὺς ἀδελφοὺς τῶν τοῖς πλείστοις γενομένων κρίσεων καὶ αὐτοὺς εἶναι παράδειγμα. μετὰ γε μὴν τὴν τούτων διήγησιν, καὶ ἄλλας κρίσεις ἔγραψε πολυειδεῖς ἁπάσας τῇ ἑπτακαιδεκάτῃ περιγραφομένας ἡμέρᾳ, τοιαύτην δ' οὐδεμίαν, οἵαν ἤδη τῶν δύο ἀδελφῶν ἐγώ φημι δεῖν ἀκούειν, ὥστ' ὑποστρέψαι κατὰ τὴν δωδεκάτην ἡμέραν αὐτοὺς ἀμφοτέρους, καὶ νεωτέρου διαλείποντος τὰς πέντε. πιθανὸν μὲν οὕτως ἐν αὐτοῖς ἐρρέθη, ἵνα τό, τε πρὸς τοῖς ἄλλοις ὅμοιον αὐτοῖς διασώζηται, τὸ ἐξ ὑποστροφῆς ἑπτακαιδεκαταίους κριθῆναι, καὶ τὸ ἴδιον, ὅτι περὶ τὴν δωδεκάτην ὑπέστρεψαν. καὶ καλὸν δ' ὡς ἔφην μὴ ζητεῖν ἔχοντα χρήσιμα. καὶ τοίνυν ἤδη καταλείπωμεν ἅπαντα τὰ περὶ τὰς κρίσεις ἐφεξῆς αὐτῷ λελεγμένα, κεφάλαια ἔχοντες, κατά τι μὲν ὁμοίας αὐτὰς γενέσθαι, κατά τι δ' ἀνομοίας. τῶν γάρ τοι πρώτων κρίσεων, ἤτοι κατὰ τὴν ἕκτην ἡμέραν ἀναιρουσῶν τοὺς νοσοῦντας, ἢ ἀπίστων γιγνομένων, ὡς ὑποστρέφειν αὖθις ἤδη τὴν ὑστάτην τε καὶ τελείαν κρίσιν, ἤδη τῆς ἑπτακαιδεκάτης ἡμέρας λαμβανουσῶν, ἐν τούτῳ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον ἐγίγνετο. μετὰ δὲ ταῦτα κρίσεων ἄλλων μνημονεύει ἐπὶ ὑποστροφῶν γιγνομένων εἰς τὴν εἰκοστὴν ἡμέραν, ὡς ἐν ταύτῃ τελέως κριθῆναι. κατέκειντο παρὰ τὸ θέατρον †γράφουσιν οὐ θέατρον ἵν' ἔχωσιν ἐξηγεῖσθαι χωρίον τι εἶναι παρὰ τὸ θέρεσθαι κεκλημένον οὕτως. διαφέρει δ' οὐδὲν εἰς τὴν προκειμένην θεωρίαν, ὅπως ἄν τις γράφει τὰ τοιαῦτα τῶν ὀνομάτων καὶ γάρ, εἴτε Πειραιῶς, εἴτε Δίωνος, ἢ Θέωνος ἦσαν ἀδελφοί. διήνεγκαν οὐδέν, ἀλλ' οἱ μὴ δυνάμενοι κατὰ τὴν ἰατρικὴν τέχνην ἐξηγεῖσθαι καλῶς ἐπὶ τὰς τοιαύτας ἐκτρέπονται περιεργείας.

† γράφουσι τινὲς οὐ θέατρον, ἀλλὰ θέρατρον

Οἷσι δὲ παρὰ τὰ ὦτα γένοιατο, ἔκρινεν μὲν εἰκοσταίοισι. κατέσβη δὲ πᾶσιν οἷς οὐκ ἐξεπύησεν, ἀλλ' ἤδη κύστιν ἐτράπετο Κρατιστωνάκτῃ τῷ παρὰ Ἡρακλίῳ, καὶ γναφέως θεραπαίνῃ ἐπεπύησεν. ἀπέθανεν Σκύμνου τοῦ γραφέως θεραπαίνη ἐξεπύησεν. οἷσι δὲ ἔκρινεν ἑβδόμῃ, διέλιπεν ἐννάτῃ, ὑπέστρεψεν, ἔκρινεν ἐκ τῆς ὑποστροφῆς. ἔκρινεν ἑβδόμῃ Φανοκρίτῳ, ὃς κατέκειτο παρὰ Γνάθωνι γραφεῖ.

Ὃ καὶ πρόσθεν εἶπον, ἄξιον εἶναι μνήμης, ἀναμνήσω καὶ νῦν, ὅτι παραδοξότερόν τε καὶ σπανιώτερον ἐκεῖνο. τὸ γὰρ χωρὶς τοῦ διαπυῆσαι τὰς παρωτίδας ὑπὸ μόνων τῶν κάτω γενομένων ἐκκρίσεων θεραπευθῆναι, μὴ πάνυ σύνηθες γενόμενον, ἐπέτεινεν ἐν τῷ νῦν λόγῳ γράψας Κρατιστωνάκτῃ, καὶ τὴν τοῦ γραφέως θεράπαιναν ἀποθανεῖν ἐκπυησαί-

πύησαν αὐτῶν τῶν περὶ τὰ ὦτα. μάχεσθαι γὰρ δόξει, τὸ, σπασμοὶ, ταχυτῆτα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ἀλλὰ καὶ νῦν γε τὰ μὲν κατὰ τὰς φλέβας αἴτια τῶν πυρετῶν, οὐκ ἔφθασε πεφθῆναι τῷ Κρατιστωνάκτῃ, καὶ τῇ θεραπαίνῃ τοῦ γραφέως, ἢ οὐκ ἂν ἀπέθανον. αἱ μέντοι παρωτίδες ἀπέφθησαν, ὅπερ ἔφην σπάνιον εἶναι, καὶ δεῖν αὐτοῦ μνημονεύειν, ὡς ἐνδεχόμενον μετρίαν γενέσθαι πέψιν ἐν μορίῳ τινὶ, καίτοι τῆς ὅλης νόσου μὴ πεφθείσης. τὰ δ' ἄλλα πάντα τὰ κατὰ τὸν τρόπον τοῦτον εἰρημένα περὶ τῶν κρίσεων, ἐξειργασάμεθα τελέως ἐν τοῖς περὶ κρίσεων καὶ κρισίμων ἡμερῶν γεγραμμένοις ἡμῖν ὑπομνήμασιν.

Ὑπὸ δὲ χειμῶνα περὶ ἡλίου τροπὰς χειμερινὰς καὶ μέχρι ἰσημερίης, παρέμενον μὲν καὶ οἱ καῦσοι καὶ τὰ φρενιτικὰ, καὶ ἔθνησκον πολλοί. αἱ μέντοι κρίσιες μετέπεσον, καὶ ἔκρινε τοῖσι πλείστοισιν ἐξ ἀρχῆς, πεμπταίοισι διέλιπε, τεταρταίοισιν ὑπέστρεφεν. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοισιν. τὸ δὲ σύμπαν, τεσσαρεσκαιδεκαταίοισι. ἔκρινε δὲ παιδίοισιν οὕτω τοῖσι πλείστοισιν, ἀτὰρ καὶ πρεσβυτέροισιν. ἔστι δ' οἷσιν ἔκρινεν ἐνδεκάτῃ, ὑπέστρεφε τεσσαρεσκαιδεκάτῃ, ἔκρινε τελέως ὀγδόῃ. εἰ δέ τινες ἐπερρίγουν περὶ τὰς ὀκτὼ, τουτέοισιν ἔκρινεν τεσσαρακοστῇ. ἐπερρίγουν δὲ οἱ πλεῖστοι περὶ κρίσιν τὴν ἐξ ἀρχῆς. οἱ δὲ ἐπιρριγώσαντες ἐξ ἀρχῆς περὶ κρίσιν, καὶ ἐν τῇσιν ὑποστροφῇσιν ἅμα κρίσει.

Χειμῶνος νῦν μνημονεύει κατὰ τὸ δεύτερον ἔτος, οὐχὶ κατὰ τὸ πρότερον ὃν ἐν τῇ καταστάσει διηγήσατο. καὶ λέλεκταί μοι πρόσθεν ἡ αἰτία, δι' ἣν αἱ φρενίτιδες ὕστερον ἐπλεόνασαν, οὐκ οὖσαι κατ' ἀρχὰς, ἀλλὰ καὶ τὰς τῶν κρίσεων προθεσμίας μεταπεσεῖν φησὶ, καὶ διηγεῖται αὖ καὶ τὴν τούτων ποικιλίαν, κοινὸν ἐχουσῶν πρὸς τὰς ἔμπροσθεν εἰρημένας τὸ μεθ' ὑποστροφῶν γίνεσθαι. παιδίοις μὲν οὖν καὶ τοῖς τούτων ἔτι πρεσβυτέροις, τεσσαρεσκαιδεκαταίας τὸ σύμπαν γενέσθαι φησὶ τὰς κρίσεις. καὶ γὰρ διαφορεῖται τάχιστ' αὐτοῖς τὰ τῶν νόσων αἴτια καὶ πέττεται. τοῖς δ' ἄλλοις οὐ μόνον εἰς τὴν εἰκοστὴν, ἀλλὰ καὶ εἰς τὴν τεσσαρακοστὴν ἀφικνεῖσθαι φησὶν ἐξ ὑποστροφῆς τὴν ὑστάτην κρίσιν, καὶ οὐδὲν θαυμαστὸν ἀξιολόγους γενέσθαι διαφορὰς τῶν κρίσεων ἐπὶ τῇ ποικιλίᾳ τῶν νοσημάτων.

Ἐρρίγεον δ' ἐλάχιστοι μὲν τοῦ ἦρος, θέρεος δὲ πλείους, φθινοπώρου δ' ἔτι πλείους, ὑπὸ δὲ χειμῶνος πολλῷ πλεῖστοι, αἱ δ' αἱμορραγίαι ὑπέληγον.

Ἦρος μέμνηται νῦν τοῦ κατὰ τὴν πρώτην κατάστασιν ὑπ' αὐτοῦ ῥηθέντος, οὐ κατὰ τὸ δεύτερον ἔτος. οὐ γὰρ ἐξέτεινεν ἐπὶ τοσοῦτόν γε τὴν διήγησιν τῶν γιγνομένων νοσημάτων, ἀλλὰ μέχρι καὶ τοῦ δευτέρου χειμῶνος ἀφίκετο. διὰ τί δὲ τοῦ χρόνου προϊόντος ἀεὶ καὶ μᾶλλον ὁ τῶν ἐπιρριγούντων ἀριθμὸς ηὐξάνετο, πρόσθεν ἤδη μοι δυνάμει λέλεκται κατ' ἐκεῖνον τὸν λόγον, ἡνίκα μὲν ἀνεμίμνησκον. ἐπιδέδεικται μοι τὸ ῥῖγος γινόμενον διὰ τῶν σαρκωδῶν σωμάτων διερχομένης τῆς ξανθῆς χολῆς, οὐκ ἐν ταῖς κοιλότησι τῶν ἀγγείων περιεχομένης. ἐν ἀρχῇ μὲν οὖν ἐν κινήσει οὖσα τοὺς καύσους ἐγέννησε. μεταλαμβανομένη δ' ὕστερον, εἰς τὰ σαρκώδη μόρια καὶ δι' αὐτῶν ἀτάκτως φερομένη, τὸ ῥῖγος εἰργάσατο. κατ' ὀλίγον δ' ἀποπαύεσθαι τὰς αἱμορραγίας, μηκέτ' ἐν ταῖς φλεψὶν οὔσης, ἀλλὰ διασκεδαννυμένης εἰς ὅλον τὸ σῶμα.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ, ΥΠΟΜΝΗΜΑ γ'.

Τὰ δὲ περὶ τὰ νοσήματα ἐξ ὧν διαγινώσκομεν μαθόντες ἐκ τῆς κοινῆς φύσεως ἁπάντων, καὶ τῆς ἰδίης ἑκάστου, ἐκ τοῦ νοσήματος, ἐκ τοῦ νοσέοντος, ἐκ τῶν προσφερομένων, ἐκ τοῦ προσφέροντος. ἐπὶ τὸ ῥᾷον γὰρ καὶ χαλεπώτερον ἐκ τούτων, ἐκ τῆς καταστάσιος ὅλης, καὶ κατὰ μέρεα τῶν οὐρανίων, καὶ χώρης ἑκάστης, καὶ τοῦ ἔθεος, ἐκ τῆς διαίτης, ἐκ τῶν ἐπιτηδευμάτων, ἐκ τῆς ἡλικίης ἑκάστου, λόγοισι, τρόποισι, σιγῇ, διανοήμασιν, ὕπνοισιν, οὐχ ὕπνοισιν, ἐνυπνίοις τισὶ καὶ ὅτε, τιλμοῖσι, κνησμοῖσι, δακρύοισιν, ἐκ τῶν παροξυσμῶν, διαχωρήμασιν, οὔροισι, πτύσμασιν, ἐμέτοισιν. καὶ ὅσαι ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων, καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμον. ἱδρὼς, ῥῖγος, ψύξις, βὴξ, πταρμοὶ, λυγμοὶ, πνεύματα, ἐρεύξιες, φῦσαι σιγώδεες, ψοφώδεες, χολώδεες αἱμορραγίαι, αἱμορροΐδες. ἐκ τούτων δὲ καὶ ὅσα διὰ τούτων σκεπτέον.

Ἔνιοι ταῦτα παραγεγράφθαι νομίζουσιν, ὁμοίαν ἔχοντα τὴν ἑρμηνείαν καὶ τὴν διάνοιαν τοῖς ἐν τῷ περὶ χυμῶν γε-

γραμμένοις, ἃ προεξήγημαι διὰ ἑτέρων ὑπομνημάτων· ἔστι δὲ δηλονότι προγνωστικὰ [καὶ] τὰ θεωρήματα δι-
δάσκοντος αὐτοῦ καθόλους σκοπούς, ἀφ' ὧν χρὴ τὰς προγνώσεις ποιεῖσθαι. κοινὴν μὲν οὖν φύσιν ὀνομάζει
τὴν ἁπάντων ἀνθρώπων, ἰδίαν δὲ τὴν καθ' ἕκαστον ἡμῶν. ὅτι μὲν οὖν ἀμφοτέρων δεῖ ποιεῖσθαι τὰς διαγνώσεις
καὶ προγνώσεις, ἀσφαλεστέρα δ' ἐστὶν ἐκ τῆς ἰδίας φύσεως γιγνομένη, μεμάθηκας ἐν τῷ προγνωστικῷ, κἀν τῷ
περὶ ἀγμῶν τε καὶ περὶ ἄρθρων, ἐπί τε τῶν ἐν τῇ κεφαλῇ τραυμάτων, ἃ καὶ αὐτὰ προεξηγησάμεθα. κελεύων οὖν
ἀεὶ παραβάλλειν τὸ πεπονθὸς μόριον τῷ κατὰ φύσιν περιέχοντι, προσέθηκε τῷ λόγῳ, ὅτι μὴ τὰ ἀλλότρια
καθορᾶν. οὕτως δὲ κἀπειδὰν φησί. σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖς ὀξέσι νοσήμασιν, πρῶτον μὲν τὸ πρόσωπον
τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δ' εἰ αὐτὸ ἑωυτῷ. οὕτω γὰρ ἂν εἴη ἄριστον. καὶ ἐς αὖ
γε τὸ ἴδιον ἑκάστου τῶν νοσούντων ἐπιστάμεθα χρῶμα καὶ μέγεθος, οὐδὲν τοῦ κοινοῦ δεόμεθα. διὰ δὲ τὸ μὴ προγι-
νώσκειν ἡμᾶς ἅπαντας ἀνθρώπους ὅπως ἔχον φύσεως, ἀλλ' ἐξαίφνης πολλάκις ἐπὶ τοὺς ἀγνώστους καλεῖσθαι, τὴν
ἀρχὴν τῆς τε διαγνώσεως τῶν παθῶν, καὶ τῆς ἐσομένης προγνώσεως ἀπὸ τῶν κοινῶν ποιούμεθα. οἷς γὰρ μήτε
ῥὶς ὀξεῖα, μήτ' ὀφθαλμοὶ κοῖλοι, μήτε κρόταφοι ξυμπεπτωκότες εἶεν, οὐδὲν ἐρωτῶμεν οὐδένα περὶ τοῦ νοσοῦν-
τος. εἰ δὲ ῥὶς μὲν ὀξεῖα, ὀφθαλμοὶ δὲ κοῖλοι, κρόταφοί τε ξυμπεπτωκότες φαίνονται, τηνικαῦτα ἐρωτῶμεν ὅ-
πως διέκειτο κατὰ φύσιν ἔχων. οὕτω δὲ κἀκ τοῦ νοσήματος αἱ προγνώσεις γίνονται τῶν μελλόντων ἔσεσθαι. δέ-
δεικται γάρ σοι διὰ πλειόνων ἔν τε τοῖς περὶ κρίσεων καὶ τοῖς εἰς ἀφορισμοὺς ὑπομνήμασι. τριταῖος μὲν
ἀκριβὴς, ταχυκρίσιμος εἶναι, τεταρταῖος δὲ χρόνιος, ἀμφότεροι δ' ἀκίνδυνοι. φρενῖτις δὲ καὶ λήθαργος, ἄμφω
κινδυνώδη καὶ ὀξέα. σκίῤῥος δὲ ἁπλῶς, ὀλέθριόν τε καὶ χρόνιον. ἐκ δὲ τοῦ νοσοῦντος αὐτοῦ, πρόγνωσις γίνε-
ται τῶν ἐσομένων κατὰ διττὸν τρόπον. ἔστι δ' αὐτῶν ὁ μὲν ἕτερος τοιοῦτος, ἐκ κοσμίου φησί, θρασεῖα ἀποκρί-
σις, κακόν, ἔμπαλιν δὲ θορυβώδης ἄνθρωπος νοσῶν, οὐ μόνον εἰ φθέγγεται θρασέως, ἀλλ' οὐδ' εἰ παραφρονήσει ἐν
διακαεῖ πυρετῷ κινδυνεύσειεν. ὁ δ' ἕτερος τρόπος τοιόσδ' ἐστίν, εἰ πάντα τὰ προσήκοντα ποιῶν ὁ κάμνων καὶ
κατακούων τοῦ ἰατροῦ οὐδὲν ὀνίναται, χαλεπῶς νοσεῖ. τοὐναντίον δ' ἅπαν, εἰ μηδὲν τῶν δεόντων πράττων νοσῶν,
μετρίως διάκειται. οὕτως δὲ κἀκ τῶν προσφερομένων ἡ πρόγνωσις ἔσται. μοχθηρῶν γὰρ ὄντων αὐτῶν, ἐπειδὰν
μὴ χεῖρον γίνοιτο, μετρίως νοσεῖ, προσηκόντως δ' ἁπάντων γιγνομένων, εἰ πρὸς τὸ μηδὲν ὀνίνασθαι σφοδρύνοι-
το, μοχθηρόν. ἐγὼ δ' ὅτι μὴ μόνον τοὺς τρόπους τῶν νοσημάτων, ἀλλὰ καὶ τὰς ἰδέας ἐνίοτε διέγνων ἐκ τῶν προσφε-
ρομένων, ἐθεάσασθε πολλάκις, ἀλλ' ὡς ἔφην ἐπὶ πλέον ἐν ἑτέροις ὑπὲρ ἁπάντων τούτων διῆλθον. ὅταν δὲ κἀκ τοῦ
προσφέροντος λέγει προγινώσκεσθαι ῥᾷον ἢ χαλεπώτερον, ἐν ταῖς νόσοις ἀκούειν χρή. πιόν δέ τι θεώμενοι πολ-
λάκις, ἤτοι διάθεσις χρονία, ἢ καὶ πυρετώδη νοσήματα χρόνια προστίθεμέν τι τῇ διαγνώσει, κἀκ τοῦ γνῶναι τίς
ὁ θεραπεύων ἦν ἰατρός. εἰ μὲν γὰρ ἀξιόλογος, ὀλίγας ἐλπίδας ἔχομεν τῆς ἰάσεως. δῆλον γὰρ ὅτι κακοήθης ἐστὶν
ἡ νόσος εἰ ἁπάντων ὀρθῶς γιγνομένων οὐδὲν ὀνοῦνται. φαύλου δ' ὄντος, εἰκὸς εἶναι νομίζομεν, εἰ καλῶς ἅπαντα
πραχθείη, σωθήσεσθαι τὸν ἄνθρωπον. ἀλλὰ κἀκ τῆς καταστάσεως ἔφη, τουτέστιν τῆς ἰδίας τοῦ περιέχοντος κρά-
σεως ἔσεσθαι τὰς προγνώσεις. τὸ δ' ὅλης καὶ κατὰ μέρεα τῶν οὐρανίων ἐστὶν, εἰ μεμνήμεθα τῶν ἐν ταῖς προγε-
γραμμέναις τρισὶ καταστάσεσιν εἰρημένων, ἐφ' ὧν αὐτὸς ὁ Ἱπποκράτης τὰ ἐν τῷ περιέχοντι γιγνόμενα κατὰ
θερμότητα καὶ ψυχρότητα διερχόμενος, ἐπὶ τῆς τελευτῆς αὐτῶν ἀπεφήνατο τὴν ἐπικρατήσασαν κρᾶσιν, οἷον
ὅταν εἴπῃ, γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ' αὐχμῶν, καί ποτε διὰ ὅλου τοῦ ἔτεος, ὅτε νότος ἐπνεύ-
σεν, ὅτι αὐχμὸς ἐγένετο. πάλιν δὲ ὅταν εἴπῃ, γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, κατὰ τὸ πλεῖ-
στον ἀποφαίνεται. τὸ γὰρ μηδεμίαν ἡμέραν ἐν ὅλῳ τῷ ἔτει μήτε θερμὴν γενέσθαι, μήτε ξηράν, μήτε νότιον, ἀδύνα-
τον ἦν. οὕτως δὲ καὶ τὰς τῶν νοσημάτων ἰδέας πολὺ μὲν ἐνδέχεται γενέσθαι τοίας, οὐ μὴν αὐτὰς τοῦ παρεμπεσεῖν
ἑτέρας. ἀμέλει συντελέσας τῆς πρώτης καταστάσεως τὴν διήγησιν, ἐπὶ τῇ ταύτης τελευτῇ τὴν λέξιν οὕτως ἔγρα-
ψεν. ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ μόνοις τοῖσι φθινώδεσι θανατώδεα συνέπε-
σεν. ἐπεὶ τοῖσί γ' ἄλλοις εὐφόρως πᾶσι, καὶ θανατώδεες ἐν τοῖς ἄλλοις πυρετοῖς οὐκ ἐγένετο, ὅτε ἓν εἶδος ἐπεδή-
μησε νοσημάτων, ὅτε μία κατάστασις ἐν ὅλῳ τῷ ἔτει διὰ παντὸς ἐγένετο. κατὰ δὲ τὸ ἐπικρατοῦν τῆς κράσεως,
ἤτοι ψυχρὰν καὶ ὑγρὰν, ἤ τινα τῶν ἄλλων κράσεων ἡμεῖς λέγομεν. ὁ δ' Ἱπποκράτης ἔγραψεν. ἦρος μὲν γὰρ ἄλλα
νοσήματα, θέρους δ' ἄλλα, καὶ φθινοπώρου μὲν ἄλλα, χειμῶνος δ' ἄλλα συνέβη γενέσθαι καθ' ἑκάστην ὧν ἔγραψε κα-
ταστάσεων. ἐπικρατεῖν δ' ὅμως ἐν ὅλῳ τῷ ἔτει, κατὰ μὲν τήνδε τὴν κατάστασιν τουτὶ τὸ νόσημα, καθ' ἑτέραν δὲ
τουτί. τοῦτ' οὖν ἐστὶ τὸ λεγόμενον, ἐκ τῆς καταστάσεως ὅλης, καὶ κατὰ μέρεα τῶν οὐρανίων. προσέθηκε δὲ τῷ λόγῳ, τῶν
οὐρανίων, ἐπειδὴ ψιλῶς λεχθὲν αὐτὸ τῆς προσθήκης τὸ τῆς καταστάσεως ὄνομα, καὶ τὴν τῆς χώρας ἰδέαν δηλοῦν
δύναται, καὶ παντὸς ἄλλου πράγματος. ἀμέλει καὶ συνάπτων ἐρεῖ, ἐκ τῆς καταστάσεως ὅλης τε καὶ κατὰ μέ-
ρεα τῶν οὐρανίων καὶ χώρας ἑκάστης καὶ τοῦ ἔθεος. ὅτι δὲ καὶ ἡ τῆς χώρας ἰδέα μεγάλα συντελεῖ πρὸς τὴν τῶν ἐσομένων
πρόγνωσιν, ἐπιδέδεικται πολλάκις. ἀρκεῖ δὲ νῦν ἀναπέμψαι πρὸς τὸ περὶ ἀέρων καὶ ὑδάτων καὶ τόπων βι-
βλίον, ἐν ᾧ διδάσκει τίνα καθ' ἑκάστην ὥραν πλεονάζει νοσήματα. τούτων γὰρ ἥτε γένεσις τοῖς ἐπιχωρίοις σύν-
τροφος, ὅτ' ἀπ' αὐτῶν κίνδυνος ἥττων, ὡς ἂν οἰκείων ὄντων. ἀλλὰ κἀκ τοῦ ἔθεος εἰς πρόγνωσιν ὠφελεῖσθαί σε διδά-
σκει. ἐν γοῦν τῷ προγνωστικῷ προστιθεὶς αὐτὸς τοὺς ἐκ τῆς συνηθείας διορισμοὺς, ἐνίοτε μὲν οὕτως φησίν. ἐπὶ γαστέ-
ρα δὲ κεῖσθαι ᾧ μὴ συνηθές ἐστι, καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην σημαίνει, ἢ ὀδύνην περὶ τὴν κοιλίην. ἐνίο-
τε δὲ οὕτως. ὀδόντας πρίειν ἐν πυρετοῖσιν ὁκόσοισι μὴ συνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες. ἀλλὰ κἀκ
τῆς διαίτης τοῦ κάμνοντος ἣν διετέθη, δυνατόν ἐστι στοχάσασθαι τεχνικῶς ὁποῖοί τέ εἰσι καὶ ὁπόσοι οἱ πλεονάζοντες χυ-
μοί. τούτων δὲ γνωσθέντων, ἥτε πρῶτον τοῦ σώματος διάθεσις εὐγνωστοτέρα, καὶ ἡ πρόγνωσις τῶν ἀποβησομένων ἑτοιμο-
τέρα γίνεται. ἀλλὰ κἀκ τῶν ἐπιτηδευμάτων ἀξιοῖ τὰς προγνώσεις ποιεῖσθαι. καλοῦσι δ' ἐπιτηδεύματα πάντα, ὅσα

πραττ-

πράττουσιν οἱ ἄνθρωποι διὰ χρείαν ἢ ἀνάγκην, εἴτε ναυτιλλόμενοι, εἴτε γεωργοῦντες, ἢ οἰκοδομοῦντές τε καὶ τεκταινόμενοι, κυνηγετοῦντες, ἢ φιλογυμναστοῦντες, ὡς λούεσθαι πολλάκις ἐν ὕδασι θερμοῖς ἢ ψυχροῖς. ἔνεστιν οὖν ἐφ' ὧν ἐπιτηδεύουσι τεκμήρασθαι περὶ τῆς κατὰ τὴν νόσον διαθέσεως. ὁ μὲν γὰρ ἐν ἀγρῷ διαιτώμενος ὥρᾳ θέρους, ἐν ἡλίῳ ὑπαίθριος, καὶ πόνοις καὶ λεπτῇ διαίτῃ, τὸν πικρόχολον χυμὸν μᾶλλον, ἢ τὸν φλεγματικόν, ὅσον ἐπὶ τούτῳ ἠθροικέναι δύναται. ὅστις δ' ἔμπαλιν τῷδε κατὰ πόλιν ἐν σκιᾷ λουόμενος δὶς τῆς ἡμέρας, ἀργῶς δ' ἐμπιπλάμενος διατελεῖ, τὸν φλεγματικὸν μᾶλλον, ἐπί τε δ' ἄλλων ἀνάλογον. ὅτι δὲ κἀκ τῆς ἡλικίας εἴς τε τὴν τῶν παρόντων διάγνωσιν καὶ τὴν τῶν ἐσομένων πρόγνωσιν, οὐ σμικρὰν ὠφέλειαν ἔσχομεν, ἔκ τε τῶν ἀφορισμῶν μαθήσῃ, καθ' οὓς περὶ τῶν ἡλικιῶν διελέγετο, προεξηγησάμεθα δ' ἤδη τὸ βιβλίον. ἀλλὰ κἀκ τῶν λόγων, ὧν ὁ κάμνων λέγει, δυνατόν ἐστι πρὸς τὴν τῶν παρόντων διάγνωσιν, καὶ πρὸς τὴν τῶν μελλόντων πρόγνωσιν ὠφελεῖσθαι. συνῆπται δ' ἡ σημείωσις αὕτη καὶ κοινωνεῖ τῇ κατὰ τὸ ἦθος. ἐὰν μὲν γὰρ κατὰ τὸ ἦθος ὃ πρόσθεν ἐτύγχανεν ἔχων ἐν τῷ ὑγιαίνειν ὁ κάμνων, οἱ λόγοι φαίνονται γιγνόμενοι, χαλεπὸν οὐδὲν ἔσεσθαι προσδοκήσομεν. εἰ δ' ἐναντίως τῶν ἐθῶν ὁ κάμνων λόγους λέγει, μοχθηρὸν τὸ σημεῖον. ὑπόνοια γάρ τις ἡμῖν ἐκ τούτου γίγνεται βεβλάφθαι τὴν διάνοιαν αὐτοῦ. τὸ δὲ τρόποισιν ἐφεξῆς εἰρημένων, εἴδωμεν τί σημαίνει. χρῶνται γὰρ οἱ παλαιοὶ τῇ φωνῇ ταύτῃ κατὰ δυοῖν σημαινομένων, ἐνίοτε μὲν ἐπὶ τὸ τῆς ψυχῆς ἦθος αὐτὸ φέροντες, ἐνίοτε δ' ἐπὶ τὰς διαφορὰς, ἢ τὰς ἰδέας τοῦ προκειμένου κατὰ τὸν λόγον πράγματος, οἷον εἰ περὶ διαίτης ὁ λόγος. τρόπους διαίτης εἰπὼν ὁ συγγραφεύς, τὰς διαφορὰς αὐτὰς, ἢ τὰς ἰδέας δηλοῖ, καθάπερ γε καὶ εἰ πυρετῶν εἴποι τρόπους εἶναι πολλὰς, τὰς διαφορὰς τούτων ἢ τὰ εἴδη σημαίνει. καὶ τοίνυν ἤτοι τὰ τῆς ψυχῆς ἤθη δηλοῖ, διὰ τοῦ φάναι, τρόποισιν, ἢ τὰς τῶν λόγων διαφορὰς, ἐπειδὴ περὶ λόγων προείρηκεν, ὡς εἰ καὶ οὕτως εἶπε, λόγοισι καὶ ταῖς τῶν αὐτῶν, ἢ διαφοραῖς. διαφορὰς γὰρ, ἢ ἰδέας, ἢ εἴδη κατὰ τὸ παρὸν, οὐ διοίσει λέγειν, ἁπάντων τούτων γιγνομένων ἐν τῇ τομῇ τῶν γενικῶς νοουμένων. ὥσπερ δ' οἱ λόγοι διδάσκουσί τι περὶ τῆς διαθέσεως τοῦ νοσοῦντος, οὕτω καὶ ἡ σιγὴ παρὰ φύσιν, ἢ κατὰ φύσιν οὖσα τῷ κάμνοντι. τῷ μὲν γὰρ φύσει σιωπηλῷ, κατὰ φύσιν ἐστί, τῷ δ' ἐναντίῳ, παρὰ φύσιν, ὥστε τούτῳ μὲν ἤτοι νωθρότης τίς ἐστι καταφορικὴ δι' ἣν σιωπᾷ παρὰ φύσιν, ἢ μελαγχολίας ἀρχή. τῷ δὲ σιωπηλῷ τὸ μὴ σιωπᾶν, ἀλλὰ πλείω φθέγγεσθαι τῶν εἰωθότων, παρακρουστικόν. ἑξῆς δ' εἰπὼν διανοήματα, οὐκ αἰσθητὸν, οὐδὲ φαινόμενον ἐδήλωσεν, ἀλλ' ἐκ τεκμηρίων εὑρισκόμενον πρᾶγμα. τεκμήριον δέ ἐστιν ὃ ἀποφθέγγονταί τε καὶ πράττουσιν οἱ κάμνοντες. παραγενόμενος γοῦν τις ἡμῶν ἕωθεν, ὡς ἔθος, ἐπὶ τὴν ἐπίσκεψιν αὐτοῦ, δι' ὅλης ἔφη τῆς νυκτὸς ἠγρυπνηκέναι, σκοπούμενος εἰ δόξειε τῷ Ἄτλαντι κάμνοντι μηκέτι βαστάζειν τὸν οὐρανὸν, ὅτε ποτ' ἂν συμβαίνῃ. τούτου εἰπόντος αὐτοῦ, συνήκαμεν ἀρχήν τινα μελαγχολίας εἶναι. παραπλησίως δὲ καὶ διὰ τῶν ἔργων ὧν πράττουσιν οἱ κάμνοντες ἐνδείκνυται τὸ τῆς ψυχῆς ἦθος. ἑξῆς δὲ τούτων ὁ συγγραφεύς φησιν, ὕπνοισιν οὐχ ὕπνοισι. περὶ ὧν οὐδὲν ἐνταῦθα θέλω λέγειν, ἔν τε τοῖς ἀφορισμοῖς κἀν τῷ προγνωστικῷ, καὶ τοὺς ὕπνους τε καὶ ἀγρυπνίας προεξηγημένος. ἀλλὰ καὶ περὶ τῶν ἐνυπνίων προεξηγήσομαι, τῶν τ' ἄλλων, καὶ ὅσα διάθεσιν τινὰ τοῦ σώματος ἐνδείκνυται, καθάπερ κἀν τῷ περὶ διαίτης ὑγιεινῶν γέγραπται. πυρκαϊὰς μὲν γάρ τις ὁρῶν ὄναρ, ὑπὸ τῆς ξανθῆς ὀχλεῖται χολῆς. ὄμβρους δὲ, ψυχρὰν ὑγρότητα πλεονάζειν ἐνδείκνυται. καθάπερ γε καὶ εἰ χιόνα, καὶ κρύσταλλον, καὶ χάλαζαν, φλέγμα ψυχρόν. ἐν χωρίῳ δὲ δοκῶν εἶναι δυσώδει, σηπεδόνα χυμῶν. λόφους δ' ἀλεκτρυόνων, ἤ τινα πυῤῥὰ, αἷμα πλεονάζειν. ζοφώδη δέ τινα ὁρᾶν, ἢ ἐν ζοφώδεσι τόποις ἵστασθαι, πνεύματα δηλοῖ, διὸ καὶ προσέθηκε τῷ ἐνυπνίοις, τισὶ, καὶ ὅτε. τὸ μὲν τισὶ, τὰς διαφορὰς αὐτῶν ἐνδεικνύμενον, καὶ μὴ προσθέντος αὐτοῦ, πρόδηλον ἦν. τὸ δ' ὅτε, τὸν καιρὸν ἐν ᾧ γίνεται τὰ ἐνύπνια, τουτέστιν εἴτε κατὰ τὴν εἰσβολὴν τῶν παροξυσμῶν, εἴτε κατὰ τὴν ἀκμὴν, εἴτ' ἐν ἄλλῳ τινὶ καιρῷ. καὶ εἰ μετὰ τροφὴν, καὶ τοιάνδε τινὰ τροφὴν εὐθέως, ἢ χωρὶς τροφῆς. γίνεται γάρ τις ἔνδειξις ἐκ τούτων. ὁ γοῦν χιονίζεσθαι δοκῶν, εἰ ἐν εἰσβολῇ παροξυσμοῦ μετὰ ῥίγους, ἢ φρίκης, ἢ καταψύξεως γιγνομένου τούτῳ φαντασθῇ, τῷ καιρῷ τὸ πλέον, οὐ τῇ διαθέσει τοῦ σώματος ἀναφέρειν χρή. κατὰ μέντοι τὴν παρακμὴν, τοιοῦτον ὄναρ θεασάμενος, βεβαιοτέραν ἡμῖν ἔνδειξιν ἐργάζεται τῆς τῶν ἐπικρατούντων χυμῶν ψυχρότητος. ἔτι δὲ μᾶλλον, ἐὰν †μὴ ἐδηδοκὼς ᾖ τῶν φλεγματικῶν ἐδεσμάτων, ὧν ἐν τῇ γαστρὶ περιεχομένων, ἐνδέχεται τινὶ τοιαύτην γενέσθαι φαντασίαν, καίτοι τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως οὐκ οὔσης ὁμοίας. τὸ δὲ τιλμοῖσιν, ὅπερ ἐφεξῆς εἴρηται, προεξήγημαι κἀν τοῖς περὶ χυμῶν ὑπομνήμασιν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν νῦν εἰρημένων, ἐπί τε τῶν κροκιδιζόντων καὶ καρφολογούντων εἰρῆσθαι δυνάμενα, καὶ τῶν ὁτιοῦν μέρος αὐτῶν τιλλόντων, ἐν ᾧ διάθεσις τίς ἐστιν ὀδυνώδης ἐν βάθει. πολλάκις δὲ καὶ ῥύπου περιεχομένου κατὰ τὸ μόριον, ἢ τινος ἄλλου δριμέος χυμοῦ τίλλουσι τὸ μέρος, ὥσπερ γε καὶ †λόγων παραφροσύνης ἐστὶν ὅτε. τὸ δὲ κνησμοῖσι μετὰ τῶν γεγραμμένων ἐνδείκνυται χυμοὺς ὀδαξέοντας εἶναι κατὰ τὸ δέρμα, δι' οὓς κνῶνται. περὶ δακρύων ἐμάθομεν ἤδη τῶν ἑκουσίων τε καὶ ἀκουσίων, ὁποῖόν τι σημαίνειν ἑκάτερον πέφυκεν. ὥσπερ γε καὶ περὶ τῆς ἰδέας τῶν παροξυσμῶν, ἀλλὰ καὶ περὶ διαχωρημάτων, καὶ οὔρων, καὶ πτυέλων, καὶ τῶν ἐμουμένων αὐταρκέστατα διὰ τοῦ προγνωστικοῦ δεδήλωται, μετὰ τοῦ καὶ κατὰ τοὺς ἀφορισμοὺς εἰρῆσθαι πολλάκις, καὶ κατὰ τὸ προῤῥητικόν. ἐφεξῆς δὲ λέγοντος αὐτοῦ καὶ ὅσαι ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων, καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμον. ἀναμιμνήσκεσθαι χρὴ κἀνταῦθα τῶν προδιδαχθέντων, ἐν οἷς προεξηγήμεθα. διαδοχαὶ γοῦν ὀλέθριοί τε καὶ κρίσιμοι γίνονται νοσημάτων, κατά τε τὴν τῶν νόσων αὐτῶν διαφορὰν, καὶ τοὺς πάσχοντας τόπους. ἡ μὲν γὰρ εἰς ἐπιεικέστερα νοσήματα, καὶ τόπους ἀκυρωτέρους διαδοχὴ, σωτήριος. ἡ δ' εἰς χαλεπώτερά τε νοσήματα, καὶ τόπους κυριωτέρους, ὀλέθριος. οὕτω δὲ καὶ ἀποστάσεις, αἱ μὲν κατ' ἔκρουν ἀμείνους, αἱ δὲ κατ' ἀπόθεσιν, ἧττον ὠφέλιμοι. τούτων δ' αὐτῶν αἱ μὲν πορρωτέρω τε τοῦ κάμνοντος τόπου, καὶ εἰς ἄκυρα μόρια πάσχοντος, ἀγαθαί. αἱ δ' ἐναντίαι τούτων, μοχθηραί. καὶ μὴν καὶ τὰ τούτων ἐφεξῆς εἰρημένα κατὰ τὸ σύγγραμμα πάν-

†μήτε

†λόγῳ

ἐπὶ πλεῖστον ἐξειργασάμεθα, δι᾽ ὧν προεξήγημαι βιβλίων. ἔν τε γὰρ ἀφορισμοῖς καὶ προγνωστικῷ, περί τε τοῦ ῥίγους καὶ τῶν ἱδρώτων, καὶ βηχὸς, καὶ πταρμοῦ, καὶ λυγμοῦ. ἐν δὲ ταῖς ἄλλαις πραγματείαις ἃς ἐποιησάμεθα, καὶ περὶ τούτων μὲν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων ὅσα χρήσιμα, πρός τε τὰς διαγνώσεις καὶ προγνώσεις ἐστίν. ἐφεξῆς δὲ πάλιν ψύξεως αὐτοῦ μνημονεύσαντος ἐπισκεπτέον, ἆρά γε τοῦ παντὸς σώματος ψύξις, ὡς διακαίεσθαι τὸ βάθος, ἢ τῶν ἀκρωτηρίων ἀκούειν προσήκει, ἢ περὶ πάντων τούτων λέγειν, αὐτὸν ἄμεινον ἐστὶν ὑπολαβεῖν. ἄλλο μὲν γάρ τι σημαίνει ψύξις ἐν ἀρχῇ παροξυσμοῦ, ἄλλο δ᾽ ἐν παρακμῇ γενομένη. καθάπερ γε καὶ εἰ διὰ παντὸς τοῦ παροξυσμοῦ παραμένοι καὶ αὐτὴ, σημεῖον ἐστὶν οὐκ ἀγαθὸν, ὥσπερ γε καὶ εἰ τοιαύτης οὔσης αὐτῆς ἀεὶ διακαίοιτο τὸ βάθος, ὑπὲρ ὧν ἁπάντων, οἷς ἐξηγησάμεθα, καὶ ἐπὶ τὴν περὶ κρίσεων πραγματείαν εἴρηται. πνεύματα δ᾽ ὅταν εἴπῃ, τὰς περὶ τῆς ἀναπνοῆς διαφορὰς ἀκουστέον. ἐπειδὴ δὲ τῶν † σφυγμῶν ἐφεξῆς ἐμνημόνευσε, καὶ αὗται τοῦ γένους εἰσὶ τῶν πνευμάτων †. εἴρηται δ᾽ ἐν τούτοις εἰς τὸ προγνωστικὸν, καὶ τῇ περὶ δυσπνοίας πραγματείᾳ, καὶ τῇ περὶ τῆς κατὰ ἀναπνοὴν πνευμάτων διαφορᾶς, ὥσπερ γε καὶ περὶ φυσῶν ἐν τῷ προγνωστικῷ. καὶ ἐρυγαὶ δὲ τοῦ γένους μὲν εἰσι τῶν πνευμάτων, καὶ κατὰ τοῦτο κοινωνοῦσι πως τι ἐπὶ τὴν ἀναπνοὴν, ἐν εἴδει δὲ φυσωδῶν πνευμάτων ὑπάρχουσαι πάλιν κατὰ τοῦτο οὐ κοινωνοῦσι ταῖς φύσαις, ὥστε καὶ αὗται δηλοῦσι φυσῶδες ἐν τῇ κοιλίᾳ τῇ ἄνω γεννᾶσθαι πνεῦμα. καὶ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, εὔδηλον. αἱμορραγίαι τε γὰρ καὶ αἱμορροΐδες, ὅπως αἱ μὲν ἐπ᾽ ὠφελείᾳ γίνεσθαι πεφύκασιν, αἱ δ᾽ ἐπὶ βλάβῃ μεμαθήκαμεν.

> † φυσῶν † εἴρηται δὲ περὶ τούτων ἐν τοῖς εἰς τὸ προγνωστικόν.

Πυρετοὶ οἱ μὲν συνεχέες, οἱ δὲ ἡμέρην ἔχουσι, νύκτα διαλείπουσιν, νύκτα ἔχουσιν, ἡμέρην διαλείπουσιν. ἡμιτριταῖοι τε καὶ τεταρταῖοι, πεμπταῖοι, ἑβδομαῖοι καὶ ἐνναταῖοι.

Καὶ τὸ τοῦ συνεχοῦς ὄνομα, καὶ τὸ τοῦ διαλείποντος οἱ παλαιοὶ διττῶς φαίνονται χρώμενοι. συνεχεῖς γοῦν ὀνομάζουσι πυρετοὺς, ἐνίοτε μὲν ἅπαντας, ὅσοι μὴ λήγουσιν εἰς ἀπυρεξίαν, ἐνίοτε δ᾽ οὐχ ἅπαντας τοὺς μὴ λήγοντας εἰς ἀπυρεξίαν, ἀλλ᾽ ἐκείνους μόνους ἐξαιρέτως, ὅσοι μηδεμίαν ἴσχουσι μεταβολὴν ἄχρι κρίσεως. οὕτω δὲ καὶ διαλείποντας, ἐνίοτε μὲν ἐκείνους μόνους ὀνομάζουσι τοὺς εἰς ἀπυρεξίαν παυομένους, ἐνίοτε δὲ τοὺς μὴ παυομένους εἰς ἀπυρεξίαν, ἀξιολόγους δὲ μεταβολὰς ποιουμένους τῶν κατὰ μέρος παροξυσμῶν, εἰς ἀρχήν τε καὶ ἀνάβασιν, ἀκμήν τε καὶ παρακμήν. ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν, τοὺς μηδεμίαν ἀξιόλογον ἴσχοντας μεταβολὴν, οὐ συνεχεῖς, ἀλλὰ συνόχους ὀνομάζουσι. συνεχεῖς δὲ μόνους ἐκείνους, ὅσοι μήτ᾽ εἰς ἀπυρεξίαν λήγουσι καὶ διαλιμπάνοντας τοῖς κατὰ μέρος παροξυσμοῖς. τούτους οἱ παλαιοί ποτε μὲν συνεχεῖς ὀνομάζουσι, ποτὲ δὲ διαλείποντας. εἰσὶ γὰρ ὄντως ἐν τῷ μέσῳ τῶν συνεχῶν, καὶ τῶν εἰς ἀπυρεξίαν παυομένων. εἰκότως οὖν ὅταν μὲν τοῖς συνόχοις παραβάλλωνται, διαλείποντες καλοῦνται. ὅταν δὲ τοῖς εἰς ἀπυρεξίαν λήγουσι, συνεχεῖς. ἐν δὲ τῇ προκειμένῃ ῥήσει, πυρετῶν διαφορὰν γράφων ὁ Ἱπποκράτης, ἐνίους μὲν αὐτῶν φησιν εἶναι συνεχεῖς. εἰσὶ γὰρ ὄντως πολλοὶ συνεχεῖς κατ᾽ ἀμφότερα τὰ σημαινόμενα τοῦ συνεχοῦς. ἐνίους δ᾽ ἤτοι τὴν νύκτα διαλιπεῖν, ἢ τὴν ἡμέραν, ὧν τοὺς μὲν εἰς ἀπυρεξίαν μὴ λήγοντας, ἔνιοι τῶν νεωτέρων ἰατρῶν μεθημερινοὺς, ἢ καθημερινοὺς ὀνομάζουσι, τοὺς δὲ λήγοντας ἀμφημερινοὺς, τῆς τοιαύτης λεπτολογίας τῶν ὀνομάτων οὐκ οὔσης παρὰ τοῖς παλαιοτέροις. τοῦ γὰρ διαλείπειν διχῶς νοουμένου τε καὶ λεγομένου, καθότι προείρηται, τοὺς καθ᾽ ἑκάστην ἡμέραν, ἢ νύκτα παροξυνομένους, διαλείποντας ἐροῦμεν, ἐάν τε εἰς ἀπυρεξίαν, ἐάν τε εἰς τὴν καλουμένην ἔνδοσιν ἥκωσιν. εἶθ᾽ ἑξῆς καταλέγει διαφορὰς πυρετῶν ἑτέρας τῶν προειρημένων, ἡμιτριταίων, τριταίων, τεταρταίων, πεμπταίων, ἑβδομαίων, καὶ ἐνναταίων μνημονεύων. τριταῖοι μὲν καὶ τεταρταῖοι, σαφῶς εἰς ἀπυρεξίαν λήγουσιν. τῶν δ᾽ ἡμιτριταίων, ἔνιοι μὲν ἀμφοτέραις ἄγουσι ταῖς διαγωγαῖς, ἔνιοι δὲ ἐπὶ τὴν ἑτέραν μόνην τῶν μὴ ληγόντων εἰς ἀπυρεξίαν. ἐὰν δ᾽ ἐννοήσαις ὅτι καθάπερ ἐπὶ τῶν καθ᾽ ἑκάστην ἡμέραν παροξυνομένων, ἐνίους μὲν εἰς ἀπυρεξίαν ἔφη λήγειν, ἐνίους δ᾽ εἰς ἔνδοσιν. οὕτω καὶ τῶν διὰ τρίτης, ἢ διὰ τετάρτης τίς ἐστι διαφορὰ, γνώσῃ σαφῶς οὐ περὶ πράγματος οὖσαν τὴν ζήτησιν, ἀλλὰ σημαινομένου πρὸς τῆς ἡμιτριταίου φωνῆς. τούς γε μὴν διὰ τετάρτης παροξυνομένους, ἴσμεν εἰς ἀπυρεξίαν λήγοντας, ὡς τὸ πολὺ, καὶ σπανιώτατα τις ὤφθη τῶν διὰ τετάρτης παροξυνομένων, μὴ λήγων εἰς ἀπυρεξίαν. οὐ μὴν ἐπί γε τῶν διὰ τρίτης ὁμοίως ἔχει, πάμπολλαι γάρ εἰσι διαφοραί. ἐν τούτοις μὲν οὖν ὡς ἔφην, οὐ περὶ πράγματος, ἀλλὰ περὶ σημαινομένου καὶ ὀνόματός ἐστιν ἡ ζήτησις, οὓς τῶν προειρημένων πυρετῶν ὀνομάζειν προσήκει τριταίους, ἡμιτριταίους, καὶ τριταιοφυεῖς. οὕτω δὲ καὶ ὅτε πεμπταίους ἢ ἑβδομαίους, ἢ ἐνναταίους λέγει τινὰς εἶναι πυρετοὺς, οὐ περὶ ὀνόματός ἐστι σημαινομένου ζήτησις, ἀλλὰ περὶ πράγματος. ἔνιοι μὲν γὰρ τῶν ἰατρῶν, οὐδέποτέ φασιν ἑωρακέναι τῆς τετάρτης ἡμέρας ἐξωτέρω, προϊοῦσαν οὐδεμίαν περίοδον. ἔνιοι δέ φασιν, ὥσπερ καὶ Ἱπποκράτης, ἐγὼ δὲ καὶ αὐτὸς ἐκ μειρακίου μέχρι δεῦρο παραφυλάττων ἑβδομαίαν, ἢ ἐνναταίαν, οὐδ᾽ ὅλως εἶδον, οὔτε σαφῶς, οὔτ᾽ ἀμφιβόλως. πεμπταίας δὲ περιόδους ἐθεασάμεθα ἀμφιβόλους, οὐ μὴν ἀκριβῶς τε καὶ σαφῶς, ὡς ἀμφημερινὰς καὶ τριταίας καὶ τεταρταίας. οὐ μὴν οὐδὲ λογικῆς ἀποδείξεως ἡγοῦμαι δεῖσθαι τὸ πρᾶγμα τὴν κρίσιν ἐκ πείρας λαμβάνον. εἰ μὲν γὰρ ἀκριβῶς ἑώρακέ τις πολλάκις, ἤτοι δι᾽ ἑβδόμης, ἢ ἐνάτης ἡμέρας τοὺς παροξυσμοὺς γινομένους. οὐ γὰρ δὴ δὶς ἢ τρὶς, εἴη ἂν οὗτος πεπεισμένος εἶναι τινὰς καὶ τοιαύτας περιόδους. εἰ δ᾽ οὐχ ἑώρακεν ἐκ νεότητος εἰς γῆρας ἐπιτετηρηκὼς ἀρρώστους οὕτω πυρέττοντας παμπόλλους, εὔδηλον αὐτῷ τοῦτο πάλιν, ὡς οὐ γίνονται περίοδοι τοιαῦται. πρὸς δ᾽ οὖν τὸν Ἱπποκράτην τάχα καὶ λογικὴν ἄν τις ἀπόδοσιν εἴπῃ, καθάπερ ὁ Διοκλῆς. ἐπὶ τίσι γὰρ ὁρᾷς τοῖσι σημείοισιν ἢ χυμοῖσι τὴν πεμπταίαν, ἢ ἑβδομαίαν, ἢ ἐνναταίαν γίνεσθαι περίοδον, οὐχ ἕξεις οὐ μὴν οὐδ᾽ ἔγραψέ τινα ἡμῖν ἄρρωστον οὕτω νοσήσαντα, καίτοι γ᾽ ἔχρην, ὥσπερ ἄλλων πολλῶν καθολικῶν θεωρημάτων παραδείγματα διὰ τῶν κατὰ μέρος ἐδίδαξεν, οὕτω κἀπὶ τούτων ποιῆσαι. γινώσκειν μέντοι χρὴ τὴν ἀρ-

χὴν

χὴν τῆς λέξεως ἐν πολλοῖς τῶν ἀντιγράφων κατὰ τὸ καλούμενον ἀσύνδετον εἶδος τῆς ἑρμηνείας γεγραμμένον ὡδί πως. πυρετοὶ συνεχέες ἡμέρην ἔχουσι, νύκτα διαλείπουσι, νύκτα ἔχουσιν, ἡμέραν διαλείπουσιν. εἶπον δ' ἀσύνδετον ὀνομάζεσθαι τὸ τοιοῦτον εἶδος, ἐδήλωσα καὶ τὴν ἐξήγησιν αὐτοῦ. χρὴ γὰρ ὡς ἐν καταλόγῳ τῶν εἰρημένων ἀκούειν ἡμᾶς, προστιθέντας τοὺς παραλελειμμένους ἐν ταῖς λέξεσι συνδέσμους.

Εἰσὶ δ' ὀξύταται μὲν καὶ μέγισται καὶ χαλεπώταται νοῦσοι καὶ θανατωδέσταται, ἐν τῷ ξυνεχεῖ πυρετῷ.

Ἡ μὲν ἀκριβεστάτη τούτων ἁπάντων διδασκαλία λέλεκται κατὰ τὰ περὶ διαφορᾶς πυρετῶν ὑπομνήματα. καὶ νῦν ὡς εἶπον ἤδη πολλάκις οὐκ ἀποδεικνύναι μοι πρόκειται τἀληθές, οὐδὲ διδάσκειν ἅπαντα τὰ κατὰ μέρος, ὡς μηδὲν παραλιπεῖν, ἀλλὰ τὴν λέξιν ἐξηγεῖσθαι τοῦ παλαιοῦ. τὰ δ' οὖν κεφάλαια τῆς ἐμπιπτούσης ἑκάστου θεωρίας, οὐ παρήσω. λέγει τοίνυν ὀξυτάτας, καὶ χαλεπωτάτας νόσους εἶναι κατὰ τὸν συνεχῆ πυρετόν. ὀξυτάτας μὲν λέγων, τὰς ἐν ὀλίγῳ χρόνῳ τὰς κρίσεις λαμβανούσας, μεγίστας δὲ τὰς ἰσχυροτάτας. χαλεπωτάτας δὲ τὰς κίνδυνον ἐπιφερούσας, ὅπερ ἐξηγούμενος αὐτὸς ἐπήνεγκε, θανατωδεστάτας εἰπὼν αὐτάς. ὅπως δ' ἂν ἀκούσῃς εἰρῆσθαι τὸν συνεχῆ πυρετόν, ἀληθής ἐστιν ὁ λόγος. ὀξύταται γὰρ νόσοι καὶ μέγισται καὶ χαλεπώταται, κατά τε τοὺς ἰδίως λεγομένους συνόχους γίνονται πυρετούς, καὶ κατὰ τοὺς ἄλλους οὐδὲν ἧττον, ὅσοι διὰ τῶν κατὰ μέρος περαίνονται παροξυσμῶν ἀρχάς, καὶ ἀναβάσεις, ἀκμὰς καὶ παρακμὰς ποιούμενοι σαφεῖς, οὐδέποτε λήγουσιν εἰς ἀπυρεξίαν, ὑπὲρ ὧν ἄμεινον ἀκούειν νῦν, ἐπειδὴ καὶ τοὺς συνόχους ἐν τούτοις περιέχεσθαι συμβέβηκεν, οὐ μὴν ἐν τοῖς συνόχοις γε τούτους. ἐὰν οὖν ἀκούσῃ τις περὶ μόνων τῶν συνόχων εἰρῆσθαι τὸν λόγον, ἐξαιρεῖσθαι δόξει τοὺς ἄλλους συνεχεῖς, ὡς οὐ κινδυνώδεις ὄντας, οὔτε σφοδρούς, οὔτ' ὀξεῖς.

Ἀσφαλέστατος δ' ἁπάντων καὶ ῥήιστος καὶ μακρότατος ὁ τεταρταῖος. οὗτος γὰρ οὐ μόνον αὐτὸς ἐφ' ἑωυτοῦ τοιοῦτός ἐστιν, ἀλλὰ καὶ νοσημάτων ἑτέρων μεγάλων ῥύεται.

Ῥήιστον εἶπε τὸν τεταρταῖον ἐν ἴσῳ τῷ εὔφορον. οἱ γάρ τοι συνεχεῖς τῶν πυρετῶν μηδὲ μίαν ἔχοντες τῶν ὀχληρῶν ἀνάπαυλαν ἄχρι κρίσεως, ἀλλὰ διηνεκῶς βαρύνοντες, εἰκότως δύσφοροι λέγονταί τε καί εἰσιν. ἐν δὲ τῷ τεταρταίῳ, καὶ μάλιστα ὅταν ᾖ μέτριος, ἔνεστι καὶ προϊέναι ταῖς μέσαις τῶν παροξυσμῶν ἡμέραις, καί τι καὶ πράττειν ἐνίοτε τῶν συνήθων. χρὴ δὲ γινώσκειν σε καὶ τὸ τῶν παλαιῶν ἔθος, ὅταν ἀκούσῃς αὐτῶν περὶ πυρετῶν διαλεγομένων. ἐὰν γοῦν ἥπατος, ἢ πλευρᾶς, ἢ ἄλλου τινὸς μορίου φλεγμονῇ πυρετὸς ἕπηται, πλευρῖτιν ἢ περιπνευμονίαν, ἢ ἡπατῖτιν ὀνομάζουσι τὴν νόσον, οὐ πυρετώδη. τὸν δ' ἄνευ φλεγμονῆς πυρέττοντα, πυρετόν φασι νοσεῖν, καὶ νῦν δ' ἄκουε περὶ ὧν διαλέγεται πυρετῶν, οὕτως εἰρῆσθαι τὸν λόγον, ἐπεί τοι πολλάκις ἴδομεν ἐπὶ σπληνὶ μεγάλως πυρέττοντας ἀνθρώπους τεταρταῖον, κἄπειτα ἐν χρόνῳ περιεγχύσεως ὑδερικῆς γενομένης, ἀποθανόντας. ἀλλ' αὐτός τε καθ' ἑαυτόν, ὁ τεταρταῖος ἀκίνδυνός ἐστιν, ὅς γε καὶ ἄλλων νοσημάτων ῥύεται. παυσαμένας γοῦν ἐπιληψίας ἴσμεν ἐπὶ τεταρταίῳ χρονίῳ ἐνοχλήσαντι, καὶ μεμαθήκας ἤδη περὶ τῆς γενέσεως αὐτοῦ, κατά τε τὰ περὶ διαφορᾶς πυρετῶν ὑπομνήματα, καὶ τὰ περὶ κρίσεων.

Ἐν δὲ τῷ ἡμιτριταίῳ καλεομένῳ ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα γίγνεσθαι, καί ἐστι τῶν λοιπῶν οὗτος θανατωδέστατος. ἀτὰρ φθινώδεες, καὶ ὅσα ἄλλα μακρὰ νοσήματα νοσέουσιν, ἐπὶ τούτῳ μάλιστα νοσέουσι.

Οὐ δύναμαι πεῖσαι τοὺς πολλοὺς τῶν ἰατρῶν διακρῖναι τὴν τῶν πραγμάτων αὐτῶν ἐπίσκεψιν, τῆς περὶ τῶν ὀνομάτων τε καὶ σημαινομένων, καὶ συγγινώσκειν αὐτοῖς δίκαιον. ὅπου γὰρ Ἀγαθῖνος, ἵνα τοὺς ἄλλους παραλείπω βιβλίον ὅλον ἔγραψε, τὸ πρῶτον περὶ ἡμιτριταίου, τὸ σημαινόμενον ἐκ τῆς προσηγορίας ζητῶν ἐν αὐτῷ, πῶς οὐκ ἄν τις καὶ τούτοις συγγνοίη; καίτοι γε ῥᾷστον ἦν, ἰδίαν μὲν τῶν ὁρωμένων ποιήσασθαι διδασκαλίαν ἐν τῇ περιοδίᾳ, ἰδίαν δὲ τῶν ἐπ' αὐτοῖς ὀνομάτων, ὥσπερ ἐγὼ νῦν ποιήσομαι. τῶν γὰρ διὰ τρίτης παροξυνομένων πυρετῶν, οἱ μὲν εἰς ἀπυρεξίαν λήγουσιν, οἱ δὲ οὔ. καὶ πάλιν ἑκατέρου τούτων ἡ διαφορὰ τριττή ἐστι. τῶν εἰς ἀπυρεξίαν ληγόντων, ἔνιοι μὲν ἐντὸς ὡρῶν δώδεκα τὸν παροξυσμὸν ἔχουσι περιγραφόμενον, ἔνιοι δ' ἐπὶ πλέον ἐκτεινόμενον. τῶν δὲ μὴ ληγόντων εἰς ἀπυρεξίαν, ἔνιοι μὲν φρικώδεις ὄντες, ὅταν ἀπὸ τῆς πρώτης εἰσβολῆς ἐπὶ τὴν καλουμένην ἀνάβασιν ἔρχωνται, καὶ δοκῶσιν ἤδη μετρίως προεληλυθέναι, πάλιν ἑτέραν φρίκην μετὰ συστολῆς ποιοῦνται, καὶ μετὰ ταύτην αὖθις ἑτέραν ἀνάβασιν, εἶτα ἐπ' ἐκείνης ἄλλην συστολήν τε καὶ φρίκην. δὶς γὰρ καὶ τρὶς οὗτοι ὑποστρέφουσι. κατὰ δὲ τὴν δευτέραν ἡμέραν ἕτερον ἴσχουσι παροξυσμὸν ἐλάττονα τοῦ προτέρου, χωρὶς τῶν προτέρων ἐπαναλήψεων, καὶ τοῦτ' ἐφεξῆς αὐτοῖς ἀεὶ κυκλεῖται, δυοῖν παροξυσμοῖν οἵων εἴρηκα γιγνομένοιν ἐν ἡμέραις δύο. καὶ μὴν καὶ ἄλλοι τινὲς διὰ τρίτην παροξυνόμενοι, χωρὶς τῶν εἰρημένων φρικωδῶν εἰσβολῶν τε καὶ ἐπαναλήψεων ἕνα παροξυσμὸν ἴσχουσι διὰ τρίτης, οὐ παροξυνόμενοι τῇ δευτέρᾳ. μίαν οὗτοι καὶ συνεχῆ, καὶ ὁμαλὴν τὴν ἐπὶ τὴν ἀκμὴν ἀπὸ τῆς εἰσβολῆς ἀνάβασιν ἔχουσιν. αὕτη μέν σοι τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν ἡ διαφορά, φαινομένη συνεχῶς ἐπὶ τῶν καμνόντων. ἐδείχθη δ' ὑφ' ἡμῶν ὁ μὲν φρικώδης πυρετὸς ὑπὸ χολώδους καὶ φλεγματώδους χυμοῦ συνιστάμενος. ὁ δὲ χωρὶς φρίκης ὑπὸ τοῦ χολώδους μέν, ἀλλὰ δυσκινητοτέρου τε καὶ δυσδιαπνευστοτέρου. φέρουσι δ' αὐτὸν καὶ φλεγμοναὶ κυρίων μορίων. τῶν δὲ μετὰ ῥίγους μὲν εἰσβαλλόντων, εἰς ἀπυρεξίαν δὲ ληγόντων ἅμα χολώδεσιν ἐμέτοις, ἢ διαχωρήσεσιν, ἢ ἱδρῶσιν, ἡ ξανθὴ χολὴ κινουμένη δι' ὅλου τοῦ σώματος αἰτία. τούτων μὲν οὖν οὕτως ἐχόντων, ὡς εἴρηται, τὸ μὲν ἤτοι τὴν αἰτίαν ἑκάστου ζητεῖν, ἢ τὴν θεραπείαν, ἰατρικόν τε καὶ χρήσιμόν ἐστι

πρᾶγμα. τὸ δὲ, τί καλέσει τις ἕκαστον τῶν εἰρημένων ὀρθῶς, οὐκέτι τῆς ἰατρικῆς ἴδιον, ἀναγκαῖον γε μὴν γινόμενον, ὅταν βούληταί τις ἑτέρους διδάσκειν, ἀναγινώσκειν. τὰς γὰρ ἐπὶ τῶν καμνόντων γινομένας ἡμῖν διαγνώσεις τε τῶν παθῶν καὶ προγνώσεις τῶν ἐσομένων καὶ θεραπείας, ὁρῶμεν οὐδὲν δεομένας τῆς ἐν τοῖς ὀνόμασιν ἀκριβείας. οὐδὲ γὰρ ἀπὸ τούτων οἱ ἰδιῶται κρίνουσι τοὺς ἰατροὺς, ἀλλ᾽ ὅταν ἐπὶ φλεβοτομίᾳ τὸν κάμνοντα ῥαστωνήσαντα θεάσωνται, ἢ τροφὴν ἐν καιρῷ λαμβάνοντα, καὶ γὰρ τοῦτο τὸ κρίνειν ἰδιώτης δύναται θεασάμενος. εἶτα οὐκ εὐθέως ἐπὶ τῇ τροφῇ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ γενομένου, ἀλλὰ μετὰ χρόνον πλείονα τὸν ἰατρὸν ἐπαινεῖ. κἂν εἰ ψυχροῦ δὲ τότε δόντα, καὶ λούσαντα, τὸν ἄρρωστον ἀπύρετον ἤδη πεποιηκότα, παραχρῆμα θαυμάζει, καθάπερ γε κἂν εἰ προείπῃ τι τῶν ἐσομένων. ἀπὸ τούτων μὲν οὖν ὁ ἰατρὸς ἀκριβῶς τε καὶ ἀληθῶς εὐδοκιμεῖ, σοφιστὴς δὲ κατατρίβει τὸν χρόνον ἑαυτοῦ τε καὶ τῶν μαθητῶν ὑπὲρ ὀνομάτων τε καὶ σημαινομένων ἐρίζων. ἐπεὶ δὲ τὸ προκείμενον ἡμῖν νῦν οὐκ ἔστιν, οὐκ αὐτὰ τὰ πράγματα διδάξαι τῆς τέχνης, ἐν ἑτέροις γὰρ τοῦτο ἐπράξαμεν αὐτάρκως, ἀλλὰ τὴν Ἱπποκράτους γνώμην ἐπισκέψασθαι διὰ συντόμων, τοῦτο δυνατὸν ὧδε ποιῆσαι. λέλεκται μὲν γὰρ αὐτῷ καὶ πρόσθεν. ἦν δ᾽ αὐτοῖσι τὰ παθήματα, φρικώδεες πυρετοὶ, συνεχέες, ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες. ὁ δὲ τρόπος ἡμιτριταῖος, μίαν κουφότεροι, τῇ δ᾽ ἑτέρῃ ἐπιπαροξυνόμενοι. καὶ νῦν δὲ πάλιν ἡ ῥῆσις αὐτή φησιν, ἐν δὲ τῷ ἡμιτριταίῳ συμπίπτει μὲν καὶ ὀξέα νοσήματα, καὶ ἔστι τῶν ἄλλων οὗτος θανατωδέστατος. ὅτι μὲν οὖν θανατώδης ἐστὶν ὁ ἡμιτριταῖος, ἄντικρυς εἴρηκεν αὐτὸς ὁ Ἱπποκράτης. ὅτι δὲ τῶν εἰς ἀπυρεξίαν ληγόντων, οὐδείς ἐστι θανατώδης, ἄντικρυς ἐν ἀφορισμοῖς ἐδήλωσεν εἰπών. πυρετοὶ ὁκόσοι μὴ διαλείποντες, διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι. πῶς οὖν ἐκ τῶν εἰς ἀπυρεξίαν ληγόντων εἶπε τὸν ἡμιτριταῖον, ἑπόμενος Ἱπποκράτει. καὶ μὴν οἱ λέγοντες, ἐάν τις ὥραις τέτρασι καὶ εἴκοσι ἀπύρετος γίγνηται, τὸν μέσον ἔχειν αὐτὸν ἡμιτριταῖον, ἐκ τῶν διαλειπόντων ποιοῦσι τὸν πυρετὸν τοιοῦτον. οὕτως δὲ καὶ τὸν μείζω καὶ τὸν μικρὸν ὡρῶν ἀριθμῷ διαφέρειν τοῦ μεγάλου φάσκοντες, εἰς ἀπυρεξίαν προάγειν ἀμφοτέρους βουλόμενοι, τῆς Ἱπποκράτους ἀποχωροῦσι γνώμης, ἐν τοῖς διαλείπουσι πυρετοῖς τὸν ἡμιτριταῖον ἄγοντες. ἀκίνδυνος γὰρ οὗτος ἔσται. καίτοι θανατώδης ὑπ᾽ αὐτοῦ λεγόμενος. ἄμεινον οὖν ἐστι τῶν μὲν ὀνομάτων, ὡς εἴρηται, καταφρονεῖν, ἀσκοῦντα θεραπείας τε καὶ διαγνώσεις καὶ προγνώσεις ἑκάστου τῶν πυρετῶν. ἐπεὶ δὲ σαφεστέρα τε καὶ συντομωτέρα διὰ τῶν ὀνομάτων ἡ διδασκαλία γίνεται, προδιηγησάμενοι λόγῳ τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν τὰς διαφορὰς, ὡς ἀρτίως ἐποίει καθ᾽ ἑκάστην αὐτῶν ἰδίαν προσηγορίαν, ὥσπερ εἴωθε πράττειν, ἑκάστοτε διελέσθαι τὰς διαφορὰς τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν, ἐφεξῆς τὸν ἐντὸς τῶν δώδεκα ὡρῶν παυόμενον, ἀκριβῆ τριταῖον ὀνομάζομεν ἕνεκα συντόμου διδασκαλίας. ὅστις δ᾽ ἂν ἔχῃ πολυχρονιώτερον τούτου τὸν παροξυσμὸν, ὅμως μὲν ἔτι μακροτέραν αὐτοῦ τὴν ἄνεσιν, ἐκεῖνον ἁπλῶς τριταῖον ὀνομάζομεν. ὅστις δ᾽ ἂν ἐπὶ πλεῖστον μὲν ἐκτεταμένον τὸν παροξυσμὸν, ὀλίγον δὲ τὸ διάλειμμα, τοῦτον πάλιν ὀνομάζομεν ἐκτεταμένον τριταῖον. ὅστις δ᾽ ἂν μὴ παυσάμενος εἰς ἀπυρεξίαν, φρικώδεις μὲν τῇ προτέρᾳ τῶν ἡμερῶν ἐπαναλήψεις ποιῆται, κατὰ δὲ τὴν δευτέραν ἁπλοῦν ἕνα παροξυσμὸν, τοῦτον ἡμιτριταῖον ὀνομάζομεν. εἰ δ᾽ ἁπλῶς διὰ τρίτης παροξύνοιτο τριταιοφυῆ, πάντ᾽ ἔχεις ἐν τούτῳ τῷ λόγῳ διωρισμένα, τά τ᾽ ἄχρηστα καὶ χρήσιμα. τούτων οὖν ἐστι διὰ παντὸς μεμνῆσθαι, καὶ πρόχειρον ἔχειν τὴν γνῶσιν αὐτῶν. οὕτως γὰρ καταγνώσεις τῆς τῶν νεωτέρων ἰατρῶν φλυαρίας, ἣν περὶ τῶν εἰρημένων ὀνομάτων ἐποιήσαντο, περὶ τῶν πραγμάτων οἰόμενοι διαλέγεσθαι. ἀλλ᾽ ὅτι μὲν οὐδένα τῶν νῦν εἰς ἀπυρεξίαν ἀφικνουμένων πυρετῶν ὁ Ἱπποκράτης ἡμιτριταῖον ὀνομάζει, δέδεικται. πότερον δ᾽ ἐκεῖνον μόνον ὃν ἐγὼ ἰδίως καλεῖν εἴωθα τὸν τὰς φρικώδεις ἐπαναλήψεις ποιούμενον, ἢ καὶ τὸν ἄνευ τούτων γινόμενον, ἄξιόν ἐστι σκέψεως. εἰ γὰρ καὶ τοῖς φθινώδεσι, καὶ ἄλλως χρονίως νοσοῦσιν ὁ πυρετὸς οὗτος εἴωθε συμπίπτειν, ἴσως εἰ καὶ χωρὶς φρίκης γίγνοιτο, καλέσομεν αὐτὸν ἡμιτριταῖον, ἐὰν τῇ δευτέρᾳ τῶν ἡμερῶν ἐπιπαροξύνηται. ἀλλ᾽ ὅπερ ἔφην ὑπὲρ ὀνόματος οὔσης τῆς ζητήσεως, οὐδὲν ἄτοπόν ἐστι, κἂν μὴ γνῶμεν ἀκριβῶς ἐπί τινος πυρετοῦ μάλιστα τὴν ἡμιτριταίαν ἐπιφέρει φωνὴν ὁ Ἱπποκράτης, ὁπόταν [γὰρ] αὐτοῦ τὴν περὶ τοὺς πυρετοὺς τέχνην ἐκμαθόντες, ἔχομεν ὧν δεόμεθα πρὸς τὰ τῆς τέχνης ἔργα χωρὶς τῶν ἐπ᾽ αὐτοῖς ὀνομάτων. τάχα δ᾽ ἂν εἶναι δόξειεν οἰκεῖον ἑξῆς σκέψασθαι, διατί προσέθηκεν ὁ Ἱπποκράτης τὸ καλεόμενον, καὶ οὐχ ἁπλῶς εἶπεν, ἐν δὲ τῷ ἡμιτριταίῳ, ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα. δοκεῖ δέ μοι μέμφεσθαι τὴν προσηγορίαν ὡς ἄκυρον. ἐπὶ γὰρ τῶν ἐνδεεστέρως ἐχόντων κατὰ τὰ τέλεια, τὴν τοῦ ἡμίσεος προσθήκην ποιούμεθα, φάσκοντες ἡμιθνῆτα καὶ ἡμίθνητον καὶ ἡμίθεον, καὶ ἡμίφωνον, ἡμίονόν τε καὶ τὸ ἡμίοπτον, ὅσα τἄλλα τοιαῦτα λέγοντες. ὁ δ᾽ ἡμιτριταῖος, οὐ μόνον οὐκ ἔστιν ἥμισυς τῷ πλήθει τῶν συμπτωμάτων, ἢ τῇ δυνάμει, καὶ τούτων τῇ ὅλης διαθέσεως, ἀλλὰ καὶ πολὺ χείρων τοῦ τριταίου, ὡς ἄμεινον εἶναι δοκεῖν ἐκεῖνον τούτου λέγειν ἥμισυν, οὐκ ἐκείνου τοῦτον. οὐκοῦν οὐκ οἶδα τί δόξαν αὐτοῖς οὕτως † ὠνόμαζον οἱ πρώτως θέμενοι τὴν προσηγορίαν, ἢ ἄλλως. ἐνδέχεται γὰρ αὐτοὺς διότι τοῦ τριταίου πυρετοῦ τὸ διὰ τρίτης τε παροξύνεσθαι, καὶ τὸ εἰς ἀπυρεξίαν λήγειν ἔχοντος, ὁ ἡμιτριταῖος ἓν μὲν ἔχει τούτων, ἓν δ᾽ οὐκ ἔχει, ταύτην θέσθαι τὴν προσηγορίαν. τὸ μὲν γὰρ διὰ τρίτης παροξύνεσθαι ἔχει, τὸ δ᾽ εἰς ἀπυρεξίαν λήγειν, οὐκ ἔχει. ἐνδέχεται γὰρ καὶ διότι καὶ μετὰ ῥίγους εἰσβάλλειν οὐκ ἔχει, καὶ πρὸς τούτοις γ᾽ ἔτι τὸ μετ᾽ ἐκκρίσεως παύεσθαι. καὶ μέντοι καὶ ὅτι τὴν δευτέραν ἡμέραν οὐκ ἔχει καθαράν. ἐνδέχεται δὲ καὶ ἄλλο τι τοιοῦτον εἰπεῖν, τοῖς τὴν μὲν ἄχρηστον σοφίαν ἀσκοῦσι, τὰ δ᾽ ὄντως χρήσιμα τῆς τέχνης παραλείπουσι.

† μᾶλλον ὠνόμαζον

Νυκτερινὸς, οὐ λίην θανατώδης, μακρὸς δὲ, ἡμερινὸς μακρότερος, ἔστι δ᾽ οἷσι ῥέπει καὶ ἐπὶ τὸ φθινῶδες.

Τῶν μὲν ἐν ἀρχῇ πυρετῶν τὸν κατάλογον ἔγραψεν ἁπλῶς, τούτων δ᾽ ἑξῆς τὰ ἤθη διδάσκει. προειρηκὼς οὖν ἐν τῷ καταλόγῳ

καταλόγῳ, πυρετοὶ, οἱ μὲν συνεχέες, οἱ δὲ ἡμέρην ἔχουσι, νύκτα διαλείπουσι, νύκτα ἔχουσιν, ἡμέρην διαλείπουσιν. εἶτα περὶ τῶν συνεχῶν διελθὼν, ὁποῖοί τινές εἰσι, καὶ προσθεὶς αὐτοῖς ἐφεξῆς τὴν περὶ τοῦ τεταρταίου τε καὶ ἡμιτεταίου διδασκαλίαν, ἐπὶ τοὺς τῇ μὲν ἡμέρᾳ παροξυνομένους, τῇ δὲ νυκτὶ διαλείποντας, ἢ τῇ μὲν νυκτὶ παροξυνομένους, τῇ δ' ἡμέρᾳ διαλείποντας ἀφίκετο, καλέσας αὐτῶν, τὸν μὲν ἕτερον νυκτερινὸν, τὸν δ' ἕτερον ἡμερινόν. νυκτερινὸν μὲν, τὸν ἐν νυκτὶ παροξυνόμενον, ἡμερινὸν δὲ, τὸν ἐν ἡμέρᾳ. δι' ὧν δ' ἐπαινεῖν ἔδοξε τὸν νυκτερινὸν, οὐδὲν ἧττον ἔψεξε διὰ τῶν αὐτῶν, οὐχ ἁπλῶς εἰπὼν νυκτερινὸς οὐ θανατώδης, ἀλλὰ τὸ οὐ λίην προσθείς. εἰ γὰρ οὐ λίην θανατώδης, εὔδηλον ὅτι θανατώδης μετρίως. τὸν δ' ἡμερινὸν οὐ μόνον μακρότερον εἶπεν εἶναι τοῦ νυκτερινοῦ, ἀλλὰ καὶ ἔτι πρὸς τὸ φθινῶδες ἐνίοτε ῥέπειν, ὥστε καὶ κατὰ τοῦτο μοχθηρότερον εἶναι. τοῦτο μὲν γὰρ ἐν ᾧ χρόνῳ διαφορεῖσθαι καὶ ἀραιοῦσθαι μᾶλλον εἴωθε, εἰ συστέλλεται, καὶ πυκνοῦται τὸ σῶμα, παροξυνόμενος εἰκότως κακοηθέστερος εἶναι δοκεῖ. τοῦτο δὲ καὶ τὸν καιρὸν τῆς προνοίας ἔχων ἀήθη. καθ' ὃν γὰρ χρόνον ἐχρῆν κοιμᾶσθαι, κατὰ τοῦτον ἀναγκαῖον οὐκ ἔστι τῆς ἰατρικῆς προνοίας τυγχάνειν τὸν κάμνοντα, καὶ διὰ τοῦτο καταφθείρονται τῷ χρόνῳ καὶ φθίνουσι δυοῖν θάτερον. εἰ μὲν δὴ κοιμῶνται τῆς ἡμέρας, ἐνδεῶς ἀπολαβόντες ὕπνου. εἰ δ' οὐ κοιμῶνται, νυκτερίδος βίον οὐκ ἀνθρώπων βιοῦντες.

Ἑβδομαῖος μακρὸς, οὐ θανατώδης. ἐνναταῖος ἔτι μακρότερος, οὐ θανατώδης.

Οὐδ' Ἱπποκράτει καλὸν ἀπιστεῖν, ἐμφαίνει γὰρ ὡς ἑωρακὼς, ταῦτ' ἔγραψε, ὅτε ψεύδεσθαι προσήκει λέγοντα, καὶ αὐτὸν ἑωρακέναι. παραφυλάττειν οὖν ἡμᾶς φιλοπόνως προσήκει καὶ τῇ πείρᾳ κρίνειν τὸ ἀληθὲς, ἀλλ' ὅπως μὴ πάθητε τοῖς πολλοῖς ὁμοίως, οἱ θεασάμενοι κατά τινα τύχην δι' ἑβδόμης ἡμέρας πυρέξαντα τὸ δεύτερόν τε καὶ τρίτον, ἀπὸ τῆς ἀρχῆς ὑπέλαβον ἑβδόμην εἶναι τινὰ περίοδον. ἐνδέχεται γάρ ποτε τοῦτο, καὶ κατὰ συντυχίαν ἀπαντῆσαι, καὶ μέντοι καὶ κατὰ τὸ τῆς διαίτης ὁμοειδές. ὅσοις γὰρ τῶν νοσούντων οὐκ ἀκριβῶς ἡ νοσώδης ἐπαύσατο διάθεσις, ἀλλ' ἔμεινεν αὐτοῖς τι σπέρμα, τούτοις ἀμελέστερον διαιτηθεῖσιν συμβαίνει, πολλάκις μὲν ἕκτῃ μετὰ τὴν πρώτην ἡμέραν πυρέξαι, πολλάκις δ' ἑβδόμῃ, πολλάκις δ' ὀγδόῃ, πολλάκις δ' ἄλλῃ τινὶ, καὶ τοῦ πυρετοῦ παυσαμένου, δόξασιν ἀκριβῶς ἀπηλλάχθαι, πάντα ὁμοίως διαιτηθεῖσιν, ἐπὶ τῷ καταλειφθέντι τῆς νόσου σπέρματι δι' ἴσων ἡμερῶν εἰς τὴν αὐτὴν ἀφικομένων διάθεσιν, ὡσαύτως πυρέξαι, καὶ δυνατὸν γίγνεσθαι τοῦτο πολλάκις, ὅταν ἴσον μὲν ᾖ τὸ καταλειπόμενον τῆς διαθέσεως, ὁμοίως δὲ καὶ οἱ κάμνοντες διαιτῶνται. τότ' οὖν ὄντως περίοδος ἐστὶ νοσώδης, ὅταν ἀκριβῶς διαιτηθέντων αὐτῶν, κατὰ τὴν αὐτὴν ἀφικνῆται προθεσμίαν ὁ πυρετὸς, ὥσπερ ἐπὶ τοῦ τεταρταίου φαίνεται γιγνόμενος.

Τριταῖος ἀκριβὴς, ταχυκρίσιμος, καὶ οὐ θανατώδης.

Εἴρηται μικρῷ πρόσθεν, ὡς τύπῳ φάναι, τὸν ὀλιγοχρόνιον ἔχοντα παροξυσμὸν, ἀκριβῆ τριταῖον εἶναι. τὰ δ' ὡς τὰ πολὺ τούτῳ συνυπάρχοντα πάντα εἴρηται, κατά τε τὰ περὶ διαφορᾶς πυρετῶν, καὶ τὰ περὶ κρίσεως ὑπομνήματα.

Ὁ δέ γε πεμπταῖος πάντων κάκιστος, καὶ γὰρ πρὸ φθίσιος, καὶ ἤδη φθίνουσιν ἐπιγινόμενος, κτείνει.

Οἱ φθινοῦντες, ἑκτικὸν πυρέττουσι πυρετὸν οὐδέποτε παυόμενον, οὗ τὴν φύσιν ἅπασαν, ὥσπερ καὶ τῶν ἄλλων, ἔμαθες ἐν τοῖς περὶ διαφορᾶς πυρετῶν. ἤδη δέ τισιν αὐτῷ ἔσθ' ὅτε ἐπιπεπλεγμένον τινὰ τῶν περιοδικῶν, ἤτοι τῶν διὰ τρίτης, ἢ καὶ τῶν καθ' ἑκάστην ἡμέραν παροξυνομένων, ὡς δὲ Ἱπποκράτης φησὶ, καὶ τὸν διὰ πέμπτης, ὑπὲρ οὗ καὶ αὐτοῦ νόμιζέ σοι τὰ αὐτὰ λελέχθαι πρὸς ἡμῶν, ἃ καὶ περὶ τῶν ἑβδομαίων τε καὶ ἐνναταίων ὀλίγον ἔμπροσθεν ἤκουσας.

Εἰσὶ δὲ τρόποι καὶ καταστάσιες, καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν ὁμοίως ξυνεχέων διαλειπόντων. αὐτίκα γὰρ ξυνεχὴς ἐστὶν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει μάλιστα, καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτερον. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἀπολεπτύνεται. ἔστι δ' οἷσιν ἄρχεται μαλακῶς καὶ ὑποβρύχιος. ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἡμέρην ἑκάστην. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἅλις ἐξέλαμψεν. ἔστι δ' οἷσιν ἀρχόμενος πρηέως, ἐπιδιδοῖ καὶ παροξύνεται, καὶ μέχρι τινὸς ἀκμάσας, πάλιν ὑφίησι μέχρι κρίσεως, καὶ περὶ κρίσιν. ξυμπίπτει δὲ ταῦτα καὶ γίνεται ἐπὶ παντὸς πυρετοῦ καὶ ἐπὶ παντὸς νοσήματος.

Τρόπους πυρετῶν, ἐνίοτε μὲν τὰ ἔθη καλοῦσιν, ἐνίοτε δὲ τὰς διαφορὰς καὶ τὰς οὐσίας. τὰ εἴδη δὲ νῦν αὐτῶν δῆλον ἐστὶν ἑκάστου τῶν προειρημένων πυρετῶν γράψαι. τὸν γοῦν συνεχῆ φησιν, ἄρχεσθαι μὲν ἐνίοις σφοδρότατον, κατὰ βραχὺ δὲ ἀπολεπτύνεσθαι μέχρι κρίσεως. ἐνίοτε δὲ μετρίως ἀρξάμενον αὐξάνεσθαι κατὰ βραχὺ μέχρι κρίσεως, ἐν ᾗ φησιν ἐκλάμπειν αὐτόν. οὗτοι μὲν οὖν ἐναντία ἀλλήλοις ἔχουσι τὴν κρίσιν. ἄλλον δὲ τρόπον ἐπ' αὐτοῖς τρίτον εἶναι φησὶ σύνθετον ἐξ ἀμφοῖν, ὅταν ἄρχεται μὲν πραέως, αὐξηθεὶς δὲ κατὰ βραχὺ, καὶ τὸ τέλεον ἀπολαβὼν μέγεθος, ὑφίησιν ἄχρι λύσεως παντελοῦς. τούτους οὖν τρεῖς τρόπους οἴονταί τινες αὐτὸν λέγειν ἐπὶ τῶν συνεχῶν πυρετῶν, οὐκ ἀκούοντες ὧν ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψε. συμπίπτει δὲ ταῦτα γίνεσθαι, ἐπὶ παντὸς πυρετοῦ καὶ νοσήματος, ὡς οὐκέτι τῶν συνεχῶν μόνον, ἀλλὰ καὶ πάντων τῶν ἄλλων πυρετῶν, ὅσοι τε συνεχεῖς καὶ πολυχρόνιοι, καὶ μέντοι καὶ παντὸς ἄλλου νοσήματος, ὀξέος τε δηλονότι, καὶ χρονίου οὖν αὐτοὺς τρόπους φησὶ γίνεσθαι τρεῖς. καὶ τὰ συμπτώματα δὲ, κατὰ τὸν αὐτὸν λόγον κρίνεται τὰ πάντα. φέρε γὰρ ἐπ' ἀλγήματος ἡμᾶς σκοπεῖσθαι τοῦτο, πολλάκις μὲν εἰσβάλ-

λον σφοδρότατον, ἀπομαραίνεται κατὰ βραχὺ, μέχρι παντελοῦς λύσεως. ἐνίοτε δ᾽ ἀρξάμενον πρᾶον, ἐπὶ τὸ σφοδρότατον αὐξηθὲν κατὰ βραχὺ, ταχεῖαν ἔχει τὴν λύσιν. αὖθις δέ ποτε μετὰ τὴν τελείαν ἀκμὴν, ἀνάλογον τῆς αὐξήσεως ἐν ἴσῳ χρόνῳ τὴν παρακμὴν ἔλαβεν.

Δεῖ δὲ τὰ διαιτήματα σκοπούμενον ἐκ τούτων, προσφέρειν.

Προγνωστικὸν εἶναι σε βούλεται τῆς κινήσεως τῶν νοσημάτων, ὅπως ἁρμόττουσαν αὐτοῖς τὴν δίαιταν προσφέρῃ. δεῖ γὰρ ὡς πρὸς τὴν ἐσομένην αὐτοῖς ἀκμὴν τοῦ νοσήματος ἀποβλέποντας ἡμᾶς, τὴν δίαιταν ποιεῖσθαι, περὶ δὲ τὸ περὶ διαίτης ὀξέων καὶ τοὺς ἀφορισμοὺς ὅπως χρὴ προγινώσκειν τοὺς προειρημένους τρόπους τῶν νοσημάτων, ἔκ τε τῶν εἰς τὸ προγνωστικὸν ὑπομνημάτων, καὶ ἐκ τῶν περὶ κρίσεων μαθήσῃ, διὰ κεφαλαίων αὐτὰ περὶ τοῦτο τὸ βιβλίον ἔγραψα, διὰ τῆς πρώτης ἐν τῷδε τῷ ὑπομνήματι γεγραμμένης ῥήσεως.

Πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα σημεῖα τούτοις ἐστὶν ἠδελφισμένα, περὶ ὧν τὰ μὲν που γέγραπται, τὰ δὲ γεγράψεται, πρὸς ἃ διαλογιζόμενον δοκιμάζειν καὶ σκοπεῖσθαι, τίνι τουτέων ὀξὺ καὶ θανατῶδες, ἢ περιεστηκὸς, καὶ τίνι προσακτέον, ἢ οὔ. καί ποτε, καὶ πόσον, καὶ τίνι τὸ προσφερόμενον ἔσται.

Καίτοι πολλὰ προειρηκὼς ἀφ᾽ ὧν χρὴ τὰς προγνώσεις ποιεῖσθαι, ὅμως φησὶν εἶναι καὶ ἄλλα, τὰ μὲν ἤδη γεγραμμένα κατὰ τὸ προγνωστικὸν δηλονότι, τὰ δὲ καὶ γραφησόμενα.

Τὰ δὲ παροξυνόμενα ἐν ἀρτίῃσι, κρίνεται ἐν ἀρτίῃσι. ὧν δ᾽ οἱ παροξυσμοὶ ἐν περισσῇσι, κρίνονται ἐν περισσῇσιν.

Εἴρηται πολλάκις ἡμῖν ἐν τοῖς παροξυσμοῖς γίνεσθαι τὰς κρίσεις, διά τε τὸ κινεῖσθαι σφοδρῶς ἐν αὐτοῖς τοὺς χυμοὺς, καὶ ὥσπερ ζέοντας ἐκρήγνυσθαι δι᾽ αἱμοῤῥαγίας, ἢ δι᾽ ἱδρώτων, ἢ ἐμέτων, ἢ διαχωρημάτων, καὶ αἱμοῤῥοΐδων, ἢ καταμηνίων ταῖς γυναιξὶ, διά τε τὸ κατ᾽ αὐτὸν τὸν καιρὸν τὴν φύσιν ἐπείγεσθαι πρὸς τὴν ἔκκρισιν αὐτῶν, ἅμα μὲν ὅτι βαρυνομένη καὶ κακοπαθοῦσα, παροξύνεται πρὸς τὴν ἔκκρισιν, ἅμα δὲ ὅτι κεχυμένων μᾶλλον αὐτῶν, ἥ τε διάκρισις ἑτοιμοτέρα τῶν μοχθηρῶν, ἥ τε κρίσις γίγνεται ῥᾷον.

Ἔστι δ᾽ ἡ πρώτη κρίσιμος τῶν περιόδων ἐν ταῖς ἀρτίῃσι κρινόντων, δ. ς. η. ι. ιδ. κη. λ. μη. ξ. π. καὶ ρ. ἐκ τῶν δὲ ἐν τῇσι περισσῇσι κρινόντων περιόδων, *. γ. ε. ζ. θ. ια. ιζ. κα. κζ. καὶ λα.

Οὐ κυρίως μοι δοκεῖ χρῆσθαι νῦν τῇ προσηγορίᾳ τῆς περιόδου. τὰς γὰρ ἡμέρας αὐτὰς ἐν αἷς αἱ κρίσεις γίνονται ταύτας, ἐφεξῆς ἔγραψεν, ἔν τε τῷ προγνωστικῷ τὰς κατὰ τετράδα γινομένας περιόδους ἀκριβῶς δίηλθεν, ὥστε ταῦτ᾽ ἔοικεν ἐπιζητεῖν τὴν θεωρίαν τῶν κρισίμων ἡμερῶν. πρώτην μὲν οὖν φησι κρίσιμον ἡμέραν εἶναι τῶν ἀρτίων τὴν τετάρτην, ἐφεξῆς δ᾽ αὐτῇ τὴν ς. εἶτα τοῖς πλείστοις μετὰ τῶν ἀντιγράφων τῇ η. τε καὶ ι. γέγραπται. κατά τινα δὲ τῇ ιδ. μετὰ τὴν ς. κ. καὶ μετὰ ταύτην ἐν τισὶ μὲν δ. καὶ κ. ἐν τισὶ δ᾽ αὐτῶν γέγραπται δ. καὶ χ. καὶ μετὰ ταύτην μ. μεθ᾽ ἣν ἡ ξ. καὶ π. καὶ ἑκατοστή. τῶν δ᾽ ἐν ταῖς περιτταῖς κρινομένων σωμάτων, πρώτην φησὶν εἶναι περίοδον. ἄμεινον δ᾽ ἦν ὡς ἔφαμεν εἰπεῖν οὖν περὶ ἀρχῆς, τρίτην, εἶτα πέμπτην, εἶθ᾽ ἑβδόμην, εἶτα ἐννάτην, εἶτα ἑνδεκάτην, εἶτα ἑπτακαιδεκάτην, εἶτα πρώτην καὶ εἰκοστὴν καὶ μετὰ ταύτην ζ. καὶ κ. ἐφ᾽ ἣ α. καὶ λ. ἐδείχθησαν δὲ ἡμῖν ἐν τῇ περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ πασῶν τῶν κρινουσῶν, ἰσχυρόταται μὲν αἱ κατὰ τὴν τετραδικήν τε καὶ ἑβδοματικὴν περίοδον γινόμεναι, μετριώτεραι δ᾽ αὐτῶν αἱ παρεμπίπτουσαι, περὶ ὧν τῆς εὐλόγου γενέσεως ἕνεκεν εἴπωμεν. αἱ μὲν οὖν περισσαὶ πᾶσαι, καλῶς εἴρηνται. τῶν δ᾽ ἀρτίων οὐκ ὀρθῶς εἰρήκασιν, κη. καὶ ι. οὐδαμῶς γάρ εἰσιν αὗται κρίσιμοι.

Εἰδέναι δὲ χρὴ ὅτι, ἢν †καλῶς κριθῇ ἔξω τῶν προγεγραμμένων, ἐσομένας ὑποστροφὰς σημαίνοιτο, καὶ γένοιτο ἂν ὀλέθρια.

†ἄλλως

Ὅτι μὴ καλῶς καὶ βεβαίως κρίνουσιν αἱ εἰρημέναι νῦν ἡμέραι, καὶ τὰ κριθέντα δὲ νοσήματα, πάντως μὲν οὐκ ἔστι βέβαια. γένοιτο δ᾽ ἄν ποτε καὶ ὀλέθρια, δέδεικται δι᾽ ἐκείνων τῶν ὑπομνημάτων.

Δεῖ δὲ προσέχειν τὸν νοῦν, καὶ εἰδέναι ἐν τοῖσι χρόνοισι τούτοις κρίσιας ἐσομένας ἐπὶ σωτηρίην, ἢ ὄλεθρον, ἢ ῥοπὰς ἐπὶ τὸ ἄμεινον, ἢ χεῖρον.

Ἐν ταύτῃ τῇ ῥήσει τὸ σημαινόμενον ἐκ τοῦ τῆς κρίσεως ὀνόματος ἐδίδαξεν, ὃ διὰ συντόμων ἄν τις εἴποι ὀξύῤῥοπον εἶναι μεταβολὴν νοσήματος, ὅτι δὲ τετραχῶς ἡ μεταβολὴ γίνεται, σαφῶς αὐτὸς εἶπεν. ἐπὶ γὰρ σωτηρίαν, ἢ ὄλεθρον, ἢ ῥοπὴν ἐπὶ τὸ ἄμεινον ἢ χεῖρον, ἀξιόλογον δηλονότι. παρέλειπε δ᾽ αὐτὸς εἰπεῖν τὸ ἀξιόλογον, ὡς ἐν τῷ κοινῷ σημαινομένῳ τοῦ τῆς κρίσεως ὀνόματος περιεχόμενον.

Πλανῆται δὲ πυρετοὶ καὶ τεταρταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, ἐν ᾗσι περιόδοισι κρίνονται σκεπτέον.

Οὐδὲ περὶ τούτων ἐπιζητεῖ κατὰ τὸ προγνωστικόν. καὶ γὰρ οἱ πλανῆται, τοὺς κατὰ μέρος παροξυσμοὺς ἀτάκτους ἔχουσιν, ἀλλὰ διά τε τῶν κατὰ τὰς κρισίμους ἡμέρας φαινομένων σημείων, ἡ κρίσις αὐτῶν προγινώσκεται.

περὶ

περὶ δὲ τῶν εἰς ἀπυρεξίαν ληγόντων περιόδων, οἷαίπερ αἱ τῶν τριταίων εἰσὶ καὶ τῶν τεταρταίων, ἐδείχθη τοῖς πολλοῖς τῶν ἰατρῶν θεώρημα ἀγνοούμενον, ὃ διὰ παντὸς ἐπεφράσθημεν ἐπὶ τῶν ἀρρώστων. οὐ γὰρ ταῖς ἀπὸ τῆς ἀρχῆς ἡμέραις προσέχειν χρὴ τὸν νοῦν, οὐδὲ ταύτας ἀριθμεῖν ἁπλῶς ἐφεξῆς, ἀλλὰ τοὺς παροξυσμούς, ὥσπερ ἐπὶ τριταίου ἀκριβοῦς αὐτὸς εἶπε κατὰ τοὺς ἀφορισμούς. τριταῖος ἀκριβὴς ἐν ἑπτὰ περιόδοισι κρίνεται τὸ μακρότατον, ὡς γὰρ οὗτος ἐν ἑπτὰ περιόδοις κρίνεται, κατὰ τὸν αὐτὸν λόγον, ἄλλος μὲν ἐν ἐννέα περιόδοις, ἄλλος δ᾽ ἐν ἕνδεκα, καὶ οὕτως ἐφεξῆς κατὰ τὸν ἀριθμὸν τῶν κρινουσῶν ἡμερῶν. καὶ περὶ τῶν τεταρταίων ὁ αὐτὸς λόγος. ἐν γοῦν τῷ προγνωστικῷ φησι, γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τούτου τοῦ κόσμου. ἐμοῦ δὲ καὶ ταύτην τὴν θεωρίαν προειπόντος ἐπ᾽ Εὐδήμου τοῦ φιλοσόφου, τρεῖς τεταρταίους ἔχοντος, ἕνα μὲν ἤδη αὐτῶν πρῶτον παύεσθαι τὸν ἐν ταῖσδε ταῖς ἡμέραις παροξυνόμενον, καὶ μετὰ τοσάσδε περιόδους. ἐπεὶ δ᾽ οὗτος ἐπαύσατο, δεύτερον ἄλλον ἐν τῇδε τῇ ἡμέρᾳ, κᾄπειτα καὶ τὸν τρίτον ὁμοίως προειπόντος, ἐκ μαντικῆς ἔφασαν λέγεσθαι ταῦτα, καὶ οὐκ ἐξ ἰατρικῆς θεωρίας, καίτοι τοὺς μάντεις οὐδέποτ᾽ ἀληθῶς ὁρῶντας ἐπ᾽ ἀρρώστου προειπόντας ἐν Ῥώμῃ. τῶν γὰρ ἐν ταῖς ἄλλαις πόλεσιν οὐ πεπείραμαι, σὺν θεῷ δ᾽ εἰπεῖν, ἡμεῖς οὐδέποτε ἀπετύχομεν ἐν οὐδεμιᾷ προρρήσει. καὶ σὺ τοίνυν ἐὰν ἀσκήσῃς σαυτὸν ἐν τοῖς εἰρημένοις περὶ κρίσεως, Ἱπποκράτους τε καὶ τῆς τέχνης ἄξιος ἔσῃ. ταῦτα μὲν εἰρήσθω μοι κατὰ τὸ πάρεργον, ἐπὶ δὲ τὴν προκειμένην ἐξήγησιν αὖθις ἴωμεν. ὥσπερ ἐν ἅπαντα τὸν περὶ τῶν κρισίμων ἡμερῶν λόγον ἀκριβῶς διωρίσατο κατὰ τὸ προγνωστικόν, οὕτω καὶ τὸν τῶν περιόδων. οὐδαμόθεν γοῦν ἐμνημόνευσε πεμπταίας, ἢ ἑβδομαίας, ἢ ἐνναταίας, οὐ μόνον κατὰ τὸ προγνωστικὸν εἰπών, ἀλλ᾽ οὐδὲ κατὰ τοὺς ἀφορισμούς. καίτοι κατὰ τὸ προγνωστικὸν εἰπών, γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τούτου τοῦ κόσμου. κατὰ δὲ τοὺς ἀφορισμοὺς τριταῖον ἀκριβῆ κρίνεσθαι περιόδοις ἐν ἑπτά, δυνατὸν ἦν αὐτῷ καὶ περὶ πεμπταίου καὶ ἑβδομαίου καὶ ἐνναταίου τὴν αὐτὴν ἀπόφασιν ποιήσασθαι, τὴν λέξιν ὧδέ πως γράψαντι. γίγνονται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις κατὰ τὸν αὐτὸν τρόπον, καὶ πεμπταίων, καὶ ἑβδομαίων, καὶ ἐνναταίων ἐκ τούτου κόσμου. πρὸ δὲ τῆς τῶν κατὰ μέρος ἀρρώστων ἐξηγήσεως ἄμεινον εἶναί μοι δοκεῖ, σαφηνείας τε καὶ συντομίας ἕνεκα, κοινόν τινα περὶ πάντων αὐτῶν λόγον εἰπεῖν. ἐδείχθη μοι καὶ κατ᾽ ἄλλας μὲν πραγματείας, ἀλλὰ κᾀν τῇ περὶ θεραπευτικῆς μεθόδου, ὡς διττὴ ἡ τῶν ζητουμένων εὕρεσίς ἐστι, μία μὲν ἡ διὰ τοῦ λόγου πρὸς τὴν γνῶσιν ἀφικνουμένη τοῦ καθόλου τε καὶ κοινοῦ παντὸς τῶν κατὰ μέρος εἴδους. ἄλλη δὲ διὰ τῶν κατὰ μέρος ἐπὶ τὸ κοινόν τε καὶ καθόλου παραγινομένη. καὶ τὰ μὲν συμπληροῦντα εἶναι καθόλου, τὰς δὲ πράξεις τῶν τεχνιτῶν ἐπὶ τῶν ἀτόμων εἰδῶν γίγνεσθαι. δεῖσθαι δὲ τῆς ἐπ᾽ αὐτῶν γυμνασίας καὶ καθόλου πρότερον εὑρόντα. καὶ μέντοι καὶ πρὸς βεβαίωσιν αὐτῶν τῶν εὑρημένων καθόλου, χρήσιμα γίγνεσθαι τὰ κατὰ μέρος. ἔστι δὲ καὶ πρὸς τὴν τῶν μανθανόντων γνῶσιν, οἷον παραδείγματα ταῦτα, τῶν ὑποτεταγμένων αὐτοῖς καθόλου θεωρημάτων. διὰ τοῦτο κᾀγὼ κατὰ τὰς πραγματείας ἁπάσας ἃς ἐποιησάμην, οὐ τὰ καθόλου μόνον, ἀλλὰ καὶ τὰ κατὰ μέρος δῆλον ἐκ τῶν Ἱπποκράτους βιβλίων, καὶ μάλιστα τῶν ἐπιδημιῶν παραγράψας ῥήσεις, ἐν αἷς διηγήσατο ἅπαντα ἀπ᾽ ἀρχῆς μέχρι τέλους τὰ συμβαίνοντα τοῖς ἀρρώστοις. ἐν μὲν οὖν ταῖς δυσπνοίαις, ἅπαντας τοὺς δυσπνοήσαντας ἐν ταῖς τῶν ἐπιδημιῶν συγγραφαῖς δῆλον. ἐν δὲ τοῖς τῶν κρισίμων ἡμερῶν τοὺς κριθέντας, ἐπί τε τῶν ἄλλων ὡσαύτως. ὅθεν οὐδ᾽ ἐξηγήσεως ἦν περιττοτέρας χρεία τοῖς βουλομένοις ἐπὶ τὰ τῆς τέχνης ἔργα σπεύδειν. ἀλλ᾽ ἐπειδὴ παρέγκεινται τινὲς ἀσαφεῖς λέξεις, δι᾽ ἐκείνας ἔδοξεν ἄμεινον εἶναι, καὶ τὰ τοιαῦτα ὑπομνήματα ποιήσασθαι δῆλα. εἰ μὲν οὖν ἁπάντων τῶν συμπτωμάτων ὅσα γεγονέναι φησὶν ἑκάστῳ τῶν νοσημάτων, εἴτουν τὴν ὅλην φύσιν, ἢ τὰς αἰτίας τῆς γενέσεως εἴποιμι, τὰς γεγονημένας μοι πραγματείας ἐνταῦθα μεταφέρειν ἀναγκασθήσομαι πάσας, κινδυνεύσω τε καθ᾽ ἕκαστον ἄρρωστον ἓν γράψαι βιβλίον. εἰ δὲ τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων ἐν τῷ καθόλου, τὰ παραδείγματα μόνα νῦν ὑποσημαινοίμην, ἀναπέμπων τὸ σύμπαν τῆς διδασκαλίας εἰς τὰς γεγραμμένας μοι πραγματείας, ἐλπίζω σύμμετρον ἔσεσθαι τὸν λόγον.

Φιλίσκος ᾤκει παρὰ τὸ τεῖχος καὶ κατεκλίθη. ἐν τῇ πρώτῃ πυρετὸς ὀξύς, ἵδρωσεν, ἐς νύκτα ἐπιπόνως. δευτέρῃ πάντα παρωξύνθη. ὀψὲ δ᾽ ἀπὸ κλυσματίου καλῶς διῆλθε, νύκτα δι᾽ ἡσυχίης. τρίτῃ πρωῒ καὶ μέχρι μέσου ἡμέρης, ἔδοξε γενέσθαι ἀπύρετος. πρὸς δείλην δὲ πυρετὸς ὀξὺς μεθ᾽ ἱδρῶτος, διψώδης, γλῶσσα ἐπεξηραίνετο, μέλαν οὔρησε, νύκτα δύσφορος, οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε. τετάρτῃ πάντα παρωξύνθη, οὖρα μέλανα, νύκτα εὐφορωτέρην, οὖρα εὐχροώτερα. πέμπτῃ περὶ μέσον ἡμέρης, μικρὸν ἀπὸ ῥινῶν ἔσταξεν ἄκρητον. οὖρα δὲ ποικίλα, ἔχοντα ἐναιωρήματα στρογγύλα, γονοειδέα, διεσπαρμένα, οὐχ ἱδρύετο. προστεθέντι δὲ βαλάνου, φυσώδεα σμικρὰ διῆλθε, νύκτα ἐπιπόνως, ὕπνοι σμικροί, λόγοι, λῆρος, ἄκρεα πάντοθεν ψυχρά, καὶ οὐκέτι ἀναθερμαινόμενα, οὔρησε δὲ μέλανα, ἐκοιμήθη σμικρά, πρὸς ἡμέρην ἄφωνος, ἵδρωσε ψυχρά, ἄκρεα πελιδνά, περὶ μέσον ἡμέρης, ἑκταῖος ἀπέθανεν. τούτῳ τὸ πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμένῳ, ἀραιόν, μέγα. σπλὴν ἐπήρθη, περιφερεῖ κυρτώματι, ἱδρῶτες ψυχροὶ διὰ τέλεος. οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν.

Ἐπὶ τούτου τοῦ ἀρρώστου, κατὰ τὴν τρίτην ἡμέραν ὁ μέλλων ἔσεσθαι θάνατος ἦν φανερὸς ἤδη τοῖς μεμνημένοις τῶν καθόλου θεωρημάτων. ἐν γὰρ τῇ πρώτῃ τῶν ἡμερῶν ὀξέος πυρετοῦ γενομένου, καὶ μετὰ ταῦτα ἱδρῶτος ἐπιφανέντος, οὐκ ἔλυσε τὸν πυρετόν, ἀλλὰ καὶ τὴν νύκτα χαλεπὴν ἤνεγκεν. ἡ δευτέρα πάλιν ἅπαντα παρώξυνεν, εὐθ

ἡ τρίτη μελανῶν οὔρων ἔχουσα ἐκκρισιν. ἦν μὲν οὖν καὶ τὸ κατὰ τὴν πρώτην ἡμέραν γενόμενον εὐθέως μοχθηρόν. τὰ γὰρ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. θανατώδη μὲν, ἄν τι τῶν ἐπ' αὐτοῖς θανατωδῶν γένηται συμπτωμάτων, ἢ σημείων. δύσκριτα δὲ, ἐὰν αὐτὸ τοῦτο δηλοῖ μόνον τὰ σημεῖα τῆς τῶν χυμῶν ἀπεψίας. ἀλλ' ἐπί γε τοῦ Φιλίσκου θανατῶδες ἐγένετο σημεῖον, ὑπὸ τῷ μὴ λῦσαι τὸν πυρετὸν ἱδρῶτι κατὰ τὴν τρίτην ἡμέραν, τὰ μέλανα τῶν οὔρων μετὰ τοῦ καὶ διψώδη γενέσθαι, καὶ τὴν γλῶσσαν ὑπεξηρανθῆναι, καὶ δυσφορῆσαι δι' ὅλης νυκτὸς, ἀγρυπνῆσαί τε καὶ παρακροῦσαι. καὶ τούτων οὕτως γενομένων, ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν πάντα τε παροξυνθῆναι φησὶ, καὶ οὖρα πάλιν γενέσθαι μέλανα. μέμνησο τοιγαροῦν, ὅτι τῆς τετάρτης ὁμοίως τῇ τρίτῃ χαλεπὰ συμπτώματα καὶ σημεῖα ἐχούσης ἐν ὀξεῖ νοσήματι, τὴν κρίσιν ἐχρῆν ἐσομένην προσδοκᾶν διὰ ταχέων, εἰ μὲν ἐν ἀρτίαις παροξύνοιτο, μᾶλλον ἐν ταῖς ἀρτίαις. εἰ δ' ἐν ταῖς περισσαῖς ἐν ἐκείναις, ἔνθα δ' ἡ κρίσις, ἐνταῦθα δηλονότι καὶ ὁ θάνατος, ἐπί γε τῶν ὀλεθρίων νοσημάτων. καὶ τοίνυν ἀπέθανεν ἑκταῖος ὁ Φιλίσκος, διότι καὶ οἱ παροξυσμοὶ κατὰ τὰς ἀρτίας ἦσαν αὐτῷ. τοῦτο γὰρ αὐτὸς ὁ Ἱπποκράτης ἐνεδείξατο κατὰ τὸ τέλος τῆς ὅλης ἐξηγήσεως γράψας ὧδε. τούτῳ πνεῦμα διὰ τέλους ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν, μέγα, σπλὴν ἐπήρθη, περιφερεῖ κυρτώματι, ἱδρῶτες ψυχροὶ διὰ τέλους, οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν. ἄλλος δ' ἄν τις ἄρρωστος ἴσος ὑπὸ τοῖς αὐτοῖς συμπτώμασί τε καὶ σημείοις, οὐ κατὰ τὴν ἕκτην, ἀλλὰ κατὰ τὴν ὀγδόην ἡμέραν ἀπέθανε, τῆς τε δυνάμεως ἰσχυροτέρας οὔσης, ἢ ὡς ἐτύγχανεν ὁ Φιλίσκος ἔχειν, τῶν τε συμπτωμάτων καὶ τῶν σημείων ἧττον ὀλεθρίων. ὑπὸ γὰρ τούτῳ κατά τε τὴν τρίτην ἡμέραν καὶ τὴν τετάρτην οὖρα μέλανα γενόμενα, σαφῶς ἐδήλωσε τὸ μέγεθος τῆς κακοηθείας τοῦ νοσήματος, ἱδρῶτές τε ψυχροὶ γενόμενοι, καὶ ἡ τοῦ αἵματος δὲ στάξις ἐν τῇ ε. τῶν ἡμερῶν, ἐπεκύρωσε τὸν προσδοκώμενον ὄλεθρον σύντομον. ἔτι δὲ μᾶλλον ὅτι προσέγραψε τῇ στάξει τὸ ἄκρητον, ὧδέ πως εἰπὼν, τῇ πέμπτῃ περὶ μέσον ἡμέρας μικρὸν ἔσταξεν ἀπὸ ῥινῶν ἄκρητον. ὅταν μὲν οὖν ἤτοι διαχώρησιν, ἢ ἔμετον ἄκρητον εἴποι, τὸ ἄμικτον λέγει, διαχωρήσεως ἢ ἐμεσμένης, ἤτοι τῆς ξανθῆς ἀμίκτου χολῆς, ἢ τῆς μελαίνης, ἢ τῆς ἰώδους. περὶ δὲ τῆς στάξεως ἐὰν ἀκούσωμεν ἄμικτον αἷμα, τὸ ἐρυθρόν. αὕτη γὰρ ἴδιος αὐτοῦ χροιά, ψεῦδος τι νοήσομεν. οὐδέποτε γὰρ ἐρυθροῦ στάξις ἀπὸ ῥινῶν ὀλεθρίῳ νοσήματι πέφηνεν, ἀλλ' ἀεὶ μέλανος. εἰκὸς οὖν ἐστιν αὐτὸ δὴ τοῦτο τὸ μέλαν ἄκρητον εἰπεῖν, βουληθέντος αὐτοῦ τὸ πάνυ τοιοῦτον. ἐν μὲν δὴ τῇ τρίτῃ τῶν ἡμερῶν ἐφαίνετο σαφῶς ἤδη τὸ τοῦ νοσήματος ὀλέθριον, οὐ μὴν ὁπότε τεθνήξεται δῆλον ἦν. ἐν δὲ τῇ τετάρτῃ τῶν ἡμερῶν τῶν μελαίνων οὔρων διαμεινάντων, καὶ τῶν παροξυσμῶν ἐν ταῖς ἀρτίαις γιγνομένων, εἰ μὲν τῇ ἡλικίᾳ καὶ τῇ ῥώμῃ τῶν δυνάμεων ἀντεῖχεν, εἰκὸς ἦν ἄχρι τῆς ὀγδόης ἐξαρκέσαι τὸν ἄρρωστον. εἰ δὲ μὴ, περὶ τὴν πέμπτην τεθνήξεσθαι. τῆς πέμπτης δ' ὑπὸ τοῖς εἰρημένοις, αἵματός τε στάξιν ἀκράτου ἐχούσης, καὶ δηλονότι τοὺς ψυχροὺς ἱδρῶτας, οὓς διὰ παντὸς τοῦ νοσήματος ἔφη γενέσθαι, προσεδόκησεν ἄν τις εὐλόγως μὴ δυνηθήσεσθαι τὸν περὶ τὴν ἕκτην ἡμέραν ἐσόμενον παροξυσμὸν, ὑπομεῖναι τὸν κάμνοντα. ταῦτά τε οὖν ἀκόλουθα φαίνεται τοῖς καθόλου περὶ κρισίμων ἡμερῶν καὶ οὔρων, καὶ ἱδρώτων εἰρημένοις, ἐπί τε τῶν κρισίμων συγγραμμάτων, καὶ πρὸς αὐτοῖς τοῦ περὶ δυσπνοίας τε καὶ παραφροσύνης. εἰρηκὼς γὰρ ἐν προγνωστικῷ, πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν, ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις. μέγα δ' ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην. εἶτα νῦν, ὅτι μὲν παρεφρόνησεν ὁ Φιλίσκος εἰρηκὼς, οὐδὲν δ' ἐν ὅλῃ τῇ διηγήσει περὶ δυσπνοίας γεγραφὼς, εἰκότως ὑπὸ τῇ τελευτῇ τοῦ λόγου προσέθηκεν, τούτῳ τὸ πνεῦμα διὰ τέλους ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν, μέγα. πρόδηλον δ' ὅτι ταὐτόν ἐστιν ἀραιόν τε φάναι καὶ διὰ πολλοῦ χρόνου. τὸ δ' ὥσπερ ἀνακαλουμένῳ, οἷον ἀναμιμνησκομένῳ, σημαίνει. δέδεικται γὰρ ἐν τοῖς περὶ δυσπνοίας, ἀραιὸν καὶ μέγα γίνεσθαι τὸ πνεῦμα διὰ τὴν βλάβην τῆς διανοίας, ὥσπερ ἐπιλανθανομένου τῶν ἐνεργειῶν τοῦ κάμνοντος, ὡς μήθ' ὅτε καταπαῦσαι προσῆκεν αὐταῖς ἐπίστασθαι, μήθ' ὅταν ἄρξασθαι.

Σιληνὸς ᾤκει ἐπὶ τοῦ Πλαταμῶνος πλησίον τῶν Εὐαλκίδεος, ἐκ κόπων καὶ πότων καὶ γυμνασίων ἀκαίρων πῦρ ἔλαβεν. ἤρξατο δὲ πονεῖν, καὶ ὀσφὺν, καὶ κεφαλῆς εἶχε βάρος, καὶ τραχήλου ἦν ξυντάσις. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ χολώδεα, ἄκρητα, ἔπαφρα, κατακορέα, πολλὰ διῆλθεν, οὖρα μέλανα, μέλαιναν ὑπόστασιν ἔχοντα, διψώδης, γλῶσσα ἐπίξηρος, νυκτὸς οὐδὲν ἐκοιμήθη. δευτέρῃ πυρετὸς ὀξὺς, διαχωρήματα πλείω, λεπτότερα, ἔπαφρα, οὖρα μέλανα, νύκτα δυσφόρως, μικρὰ παρέκρουσε. τρίτῃ πάντα παρωξύνθη, ὑποχονδρίου ξυντάσις ἐξ ἀμφοτέρων παραμήκης, πρὸς ὀμφαλὸν ὑπολάπαρος, διαχωρήματα λεπτὰ, ὑπομέλανα, οὖρα θολερὰ, μέλανα, νυκτὸς οὐδὲν ἐκοιμήθη, λόγοι πολλοὶ, γέλως, ᾠδὴ, κατέχειν οὐκ ἠδύνατο. τετάρτῃ διὰ τῶν αὐτῶν. πέμπτῃ διαχωρήματα ἄκρητα, χολώδεα, λεῖα, λίην λιπαρά, οὖρα λεπτὰ, διαφανέα, μικρὰ, κατενόει. ἕκτῃ περὶ κεφαλὴν μικρὰ ἐφίδρωσεν, ἄκρεα ψυχρὰ, πελιδνά, πολὺς βληστρισμὸς, ἀπὸ κοιλίης οὐδὲν διῆλθεν, οὖρα ἐπέστη, πυρετὸς ὀξύς. ἑβδόμῃ ἄφωνος, ἄκρεα οὐκέτι ἀνεθερμαίνετο, οὔρησεν οὐδέν. ὀγδόῃ ἵδρωσε δι' ὅλου ψυχρῷ, ἐξανθήματα μεθ' ἱδρῶτος ἐρυθρὰ, στρογγύλα, σμικρὰ, οἷον ἴονθοι, παρέμενεν, οὐκ ἀφίσταντο. ἀπὸ δὲ κοιλίας ἐρεθισμῷ σμικρῷ, κόπρανα λεπτὰ, οἷα ἄπεπτα, πολλὰ διῄει μετὰ πόνου. οὔρει μετ' ὀδύνης δακνώδεα, ἄκρεα σμικρὰ ἀναθερμαίνετο. ὕπνοι λεπτοὶ, κωματώδεες

ίδρου, ἄφωνος, οὖρα λεπτὰ, διαφανέα. ἐννάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ ποτὰ οὐκ ἐδέχετο, κωματώδης. οἱ δ' ὕπνοι λεπτοί. ἀπὸ δὲ κοιλίης ὅμοια, οὔρησεν ἀθρόον ὑπόπαχυ κείμενον, ὑπόστασις κριμνώδης, λευκὴ, ἄκρεα πάλιν ψυχρά. ἑνδεκάτῃ ἀπέθανεν. ἐξ ἀρχῆς τούτῳ διὰ τέλεος πνεῦμα μέγα ἀραιὸν, ὑποχονδρίου παλμὸς συνεχὴς, ἡλικίη ὡς περὶ ἔτεα εἴκοσι.

Ἐπὶ τούτου προσέθηκε τὴν ἡλικίαν, μὴ προσθεὶς ἐπὶ τοῦ πρώτου. ἐκεῖνος μὲν γὰρ εὐλόγως ἑκταῖος ἀπέθανεν ἐν ὀξεῖ νοσήματι κατὰ τὸ συνεχὲς, ὀλέθρια ἔχων ἀπὸ τῆς ἀρχῆς, τά τε σημεῖα καὶ τὰ συμπτώματα. οὗτος δὲ παραπλησίως ἐκείνῳ διακείμενος ἀπ' ἀρχῆς, ὅμως εἰς τὴν ια. ἡμέραν προῆλθε διὰ ῥώμην δυνάμεως, ἣν εἰκὸς μὲν ἦν, καὶ ἄλλως ὑπάρχειν αὐτῷ, καὶ διὰ τοῦ προσθεῖναι δὲ τὴν ἡλικίαν ἐνεδείξατο, μὴ προσθεὶς ἐπὶ τοῦ Φιλίσκου, ἐξ αὐτοῦ τοῦ μὴ προσθεῖναι, δηλώσας ὅτι πλειόνων ἐτῶν ἦν, ὥστε τὴν μὲν δύναμιν μὴ ἰσχυρὰν εἶναι. ἕτερος δ' αὖ ἄρρωστος ἐπὶ τοῖς αὐτοῖς ἀπ' ἀρχῆς σημείοις τε καὶ συμπτώμασιν, εἰ μὴ ἰσχυρῶς ἦν τὴν δύναμιν, ἑβδομαῖος ἀπέθανε, καὶ οὕτως γε πλησίον ἥκει τοῦ θανάτου κατ' ἐκείνην τὴν ἡμέραν. καὶ ἔγραψεν ἐπ' αὐτοῦ ἑβδόμῃ ἄφωνος, ἄκρεα οὐκέτ' ἀνεθερμαίνετο, οὔρησεν οὐδέν. εὔδηλον οὖν ἐκ τούτων, ὅτι πλησίον ἀφίκετο θανάτου. τῆς δυνάμεως δ' ἰσχυρᾶς οὔσης, ἴσχυσεν ἐξαρκέσαι πρὸς τὴν ἐφεξῆς ἡμέραν κρίσιμον οὖσαν ἑνδεκάτην. ἐπεί τοι καὶ τὴν τρίτην, ἢ τετάρτην ἡμέραν ἐν κακίστοις αὐτοῦ γενομένου σημείοις τε καὶ συμπτώμασιν, ἐπὶ τῆς ἑβδόμης ἔχρην ἀποθανεῖν, ὄντων γε τῶν παροξυσμῶν ἐν ταῖς περισσαῖς μᾶλλον, ὅπερ ἐδήλωσεν εἰπὼν, τρίτῃ παρωξύνθη πάντα, καὶ μετὰ ταῦτα πάλιν, τετάρτῃ διὰ τῶν αὐτῶν. δυνηθεὶς οὖν ὑπερβῆναι, ὡς ἔφην τὴν ζ. ἡμέραν διὰ ῥώμην δυνάμεως, ἐπὶ τῆς ὀγδόης ἡμέρας ἐξανθήματα μεθ' ἱδρῶτος ἔσχεν ἐρυθρὰ, στρογγύλα, σμικρὰ τῆς φύσεως αὐτοῦ διαμαχομένης ἐπὶ τῷ νοσήματι. καὶ πρὸς τὸ δέρμα τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν ὠθούσης, καὶ διὰ τοῦτό γε οὐκ ἐπὶ τῆς ἐννάτης ἡμέρας ἀπέθανεν, ἀλλ' ἐπὶ τῆς ἑνδεκάτης, ὡς εἴγε καὶ τὴν ὀγδόην μηδὲν ἐγεγόνει τοιοῦτον, ἀκόλουθον ἦν ἀποθανεῖν αὐτὸν ἐπὶ τῆς ἐννάτης, γεγονυίας γε τῆς ἑβδόμης οἵαν εἶπεν. ἐπεὶ δὲ καὶ παρεφρόνησεν οὗτος ὁ ἄρρωστος ἐν τῇ νόσῳ, διὰ τοῦτο προσέθηκεν ἐπὶ τελευτῇ τῆς διηγήσεως, πνεῦμα σχεῖν αὐτὸν ἀραιὸν καὶ μέγα, δι' ὅλου τοῦ νοσήματος. ἀλλὰ καὶ ὑποχονδρίου παλμὸν συνεχῆ γεγονέναι φησὶν αὐτῷ. θόρυβον δὲ καὶ τοῦτο, ἢ παραφροσύνην, ἐλέγετο δηλοῦν ἐν προγνωστικῷ. ἔοικεν ἐν τῷ διαφράγματι φλεγμονὴ γεγονέναι τις τῷ ἀνθρώπῳ, δι' ἣν κατὰ τὴν τρίτης ἡμέρας διήγησιν ἔγραψε, ὑποχονδρίου ξύντασις ἐξ ἀμφοτέρων παραμήκης πρὸς ὀμφαλὸν, ὑπολάπαρος. τὸ γὰρ ὑπολάπαρος ὑποκενός ἐστι, τουτέστιν ὄγκου χωρὶς, ὃς γίνεται τῶν καθ' ὑποχόνδρια μορίων φλεγμαινόντων, ὅταν μέντοι τῇ φλεγμονῇ τοῦ διαφράγματος κατὰ τὸ συνεχὲς ἀνέλκηται τὸ ὑποχόνδριον, συντείνεται χωρὶς ὄγκου. καὶ κατ' ἀρχὴν γε τῆς ὅλης διηγήσεως ἔφη, πονεῖν αὐτὸν ὀσφὺν, καὶ κεφαλῆς ἔχειν βάρος, καὶ τραχήλου σύντασιν, ἅπερ καὶ αὐτὰ πρὸς τὸ χεῖρον ὄντος τοῦ νοσήματος, παρακρουστικὰ σημεῖα γίνεται, καὶ εἴγε μετ' ἀγρυπνίας αὐτοῦ βάρος ἐγεγόνει ταῦτα, φρενιτικὸς ἂν ἀπετελέσθη. νυνὶ δὲ τὸ βάρος τῆς κεφαλῆς πλῆθος ἐνδεικνύμενον ἐν αὐτῇ περιέχεσθαι χυμῶν, οὐ πάνυ τι θερμῶν, ἢ χολωδῶν, ἢ πάντως ἄγρυπνος ἂν ἦν, ἐδήλωσε κωματώδη γενέσθαι τὸν κάμνοντα. λεχθήσεται δ' ἐπὶ πλέον περὶ τῶν τοιούτων διαθέσεων, ἐν αἷς ἅμα κωματώδεις εἰσὶ καὶ παραφρονοῦσιν, ὅταν ἐξηγησώμεθα τὴν πρώτην ῥῆσιν τοῦ προῤῥητικοῦ. προσθεῖναι δὲ χρὴ τῷ παρόντι λόγῳ καὶ ταῦτα, ὡς ἐστὶ βέλτιον, ἅπερ εἴρηται καὶ δι' ἄλλων ἡμῖν πολλάκις, ὅτι τῶν ἐπὶ προφανέσιν αἰτίαις ἀρξαμένων πυρέττειν, εἰ μηδεμίαν τῶν κατὰ τὸ σῶμα περιέχοιτο παρασκευὴν νοσήματος, ἐφήμερος ὁ πυρετὸς γίνεται. καίτοι γε τῷ Σιλήνῳ πάντως ἂν ἐγεγόνει τοιοῦτον ἐκ κόπων, καὶ πότων καὶ γυμνασίων ἀκαίρων πυρέξαντι, μὴ προϋπαρχούσης ἐν τῷ σώματι τῆς νοσώδους παρασκευῆς, ἣν διαγνώσῃ τοῖς γιγνομένοις εὐθέως περὶ τὴν πρώτην καὶ δευτέραν ἡμέραν συμπτώμασί τε καὶ σημείοις. πρῶτον μὲν οὖν ἔφη πῦρ ἔλαβεν, οὕτως δ' ὀνομάζειν εἰωθὼς τὸν πυρετὸν, ὅταν ᾖ σφοδρότατος. εἶτ' ἐφεξῆς, ἀπὸ δὲ κοιλίης, τῇ πρώτῃ χολώδεα, ἄκρητα, ἔπαφρα, κατακορέα, πολλὰ διῆλθε τούτῳ. εἶτ' ἐφεξῆς, οὖρα μέλανα, μέλαιναν ὑπόστασιν ἔχοντα, καὶ πάλιν ἐφεξῆς, γλῶσσα διψώδης, ἐπίξηρος, νυκτὸς οὐδὲν ἐκοιμήθη, πλῆθος οὐ σμικρὸν ὀλεθρίων τε συμπτωμάτων καὶ σημείων ἐγένετο τῷ Σιληνῷ, κατὰ τὴν πρώτην εὐθὺς ἡμέραν, ὡς νοῆσαι τινὰ δύνασθαι σαφῶς, τοὺς κόπους καὶ πότους καὶ γυμνάσια, προφάσεις γεγονέναι τοῦ νοσήματος. κυριώτατα γὰρ ἄν τις φαίη προφάσεις, τὰ φανερὰ τῶν αἰτίων. ὅταν δέ τινα καὶ ἄλλα, μέλλοντα νοσεῖν ἄνθρωπον, ἐξελέγξῃ προσγινόμενα, χρόνῳ μέντοι πλείονι προηγησάμενα, κυρίως αὐτὰ γένοιτο τηνικαῦτα, δυνατὸν εἶναι καὶ τὸν Σιληνὸν τοῦτον ἐν χρόνῳ πολλῷ διαιτηθέντα τὸν τρόπον τὸν εἰρημένον, ἐξ αὐτοῦ αὐτῷ ἐσκευάσθαι τὸ νόσημα. ἐὰν μὲν γὰρ πονῇ τις, πολλὰ ταλαιπωρούμενος ἐν ταῖς ἐνεργείαις ἄχρι κόπου, πίνῃ δὲ δαψιλῶς, καὶ ἀκαίρως τε γυμνάζοιτο, τοῦτο δέ ἐστιν, ἤτοι γ' ἐπὶ σιτίοις, ἢ βραδυπεψίας γενομένης, πρὶν καλῶς εἰς αἷμα μεταβληθῆναι τὴν τροφὴν, οὗτος ἐν αὐτῷ, τὸ μέντοι χολῶδες ἀθροίσει διὰ τὰς ταλαιπωρίας, τὸ δ' ὠμὸν καὶ ἄπεπτον διά τε τοὺς πότους, καὶ τὰ ἄκαιρα γυμνάσια. χαλεπώτατα δέ εἰσι ταῦτα μάλιστα τῶν νόσων, ἐν αἷς ἀμφοτέρων ἀξιόλογον ἀθροίζεται πλῆθος.

Ηροφῶντι, πυρετὸς ὀξὺς, ἀπὸ κοιλίης ὀλίγα, τεινεσμώδεα κατ' ἀρχάς. μετὰ δὲ ταῦτα λεπτὰ διῄει χολώδεα, ὑπόσυχνα, ὕπνοι οὐκ ἦσαν, οὖρα μέλανα, λεπτά. πέμπτῃ πρωῒ κώφωσις, παρωξύνθη πάντα, σπλὴν ἐπήρθη, ὑποχονδρίου ξύντασις, ἀπὸ κοιλίης ὀλίγα μέλανα διῆλθεν, παρεφρόνησεν. ἕκτῃ ἐλήρει, εἰς νύκτα ἱδρὼς, ψύξις, παράληρος παρέμενεν. ἑβδόμῃ περιέψυκτο, διψώδης, παρέκρουσε, εἰς νύκτα, κατενόει, κατεκοιμήθη. ὀγδόῃ ἐπύρεξε, σπλὴν ἐμειοῦτο, κατενόει πάντα, ἤλγησε κατὰ βουβῶνα τὸ πρῶ

τον, σπληνὸς κατ' ἴξιν, ἔπειτα οἱ πόνοι εἰς ἀμφοτέρας κνήμας, εἰς νύκτα δυσφόρως, οὖρα δυσχροώτερα, ὑπόστασιν εἶχε μικρήν. ἐνάτῃ ἵδρωσε, ἐκρίθη, διέλειπε. πέμπτῃ ὑπέστρεψεν, αὐτίκα δὲ σπλὴν ἐπήρθη, πυρετὸς ὀξύς, κώφωσις πάλιν. μετὰ δὲ τὴν ὑποστροφὴν, τρίτῃ σπλὴν ἐμείωτο, κώφωσις ἧσσον, σκέλεα ἐπώδυνα, νύκτα ἵδρωσεν, ἐκρίθη περὶ τὴν ιζ΄. οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ.

Οὗτος ἐκ παραλόγου διεσώθη. κατὰ γὰρ τὰς πρώτας ἡμέρας εἰκότως ἄν τις αὐτὸν ὑπενόησε τεθνήξεσθαι, καὶ γὰρ οὔρησεν μέλανα, καὶ διαχωρουμένων χολωδῶν συμπαυσαμένων, ἠκολούθησε κώφωσις, ὡς ἂν εἰς τὴν κεφαλὴν ἀνελθόντων αὐτῶν. ἀλλ' ἐπὶ τούτοις μὲν εἰκότως παρεφρόνησεν. ἐπὶ δὲ τοῖς μέλασιν οὔροις κακοῖς οὖσιν, οὐδὲν ἀντίῤῥοπον ἀγαθὸν ἐγένετο, πλὴν ὅτι σπλὴν ἐπήρθη πεμπταίῳ, δεξάμενος τι τῆς κακοχυμίας, εἶτα κατὰ τὴν ὀγδόην ἡμέραν ἐκ τοῦ σπληνὸς εἰς τὰ σκέλη μεθισταμένων αὐτῶν, ὁ μὲν ἐμείωτο, μετὰ δὲ τὴν ἐπὶ σκέλη φορὰν τῶν μεθισταμένων, ἤλγησε μὲν τὰ πρῶτα μετὰ βουβῶνα τὸν ἀριστερὸν, οὗτος γάρ ἐστι κατ' ἴξιν σπληνὸς, ἔπειτα εἰς τὰς κνήμας ἀμφοτέρας. ἐφ' οἷς δὴ συμπτώμασι διὰ τῆς νυκτὸς δυσφόρως ἔσχε, καὶ οὔρησεν δυσχροώτερα, καὶ λευκὴν ὑπόστασιν ἔχοντα μικράν. εἶτα κατὰ τὴν ἐφεξῆς ἡμέραν, ἥτις ἦν ἐνάτη μεθ' ἱδρῶτος ἐκρίθη. τοσοῦτον ἄρα ἥ τε κάτω μετάστασις ἴσχυσε τῶν λυπούντων, ἥ τε τῶν οὔρων πέψις. ἀλλὰ γὰρ οὐδ' οὕτως ἦν ἱκανὰ ταῦτα τελέως ἀπαλλάξαι τῆς νόσου τὸν κάμνοντα, ἱδρώσαντα κατὰ τὴν θ΄. ἡμέραν. ὑπελείφθη τοιγαροῦν αὐτῷ μόριόν τι τῆς κακοχυμίας, ὃ κατὰ τὴν ιδ΄. ἡμέραν ὑποστροφὴν ἤνεγκεν, ἐφ' ᾗ τὸ σύμπαν ἑπτακαιδεκαταῖος ἐκρίθη, φυλαττομένης καὶ κατὰ τοῦτον τὸν ἄῤῥωστον τῆς ἐπὶ τῶν κρισίμων ἡμερῶν [τῆς] τηρήσεως.

Ἐν Θάσῳ Φιλίνου γυναῖκα θυγατέρα τεκοῦσαν, καὶ κατὰ φύσιν καθάρσεως γινομένης, καὶ τὰ ἄλλα κούφως διάγουσαν, τεσσαρεσκαιδεκαταίην ἐοῦσαν, μετὰ τόκον πῦρ ἔλαβε μετὰ ῥίγεος, ἤλγει δὲ ἀρχομένη καρδίην, καὶ ὑποχόνδριον δεξιὸν, γυναικείων πόνοι, κάθαρσις ἐπαύσατο. προσθεμένῃ δὲ, ταῦτα μὲν ἐκουφίσθη. κεφαλῆς δὲ καὶ τραχήλου, καὶ ὀσφύος πόνοι παρέμενον. ὕπνοι οὐκ ἐνῆσαν, ἄκρεα ψυχρὰ, διψώδης, κοιλίη ξυνεκαύθη, μικρὰ διῄει, οὖρα λεπτὰ, ἄχροα κατ' ἀρχάς. ἑκταίῃ εἰς νύκτα παρέκρουσε πολλὰ, καὶ πάλιν κατενόει. ἑβδόμῃ διψώδης, διαχωρήματα χολώδεα, κατακορέα. ὀγδόῃ ἐπεῤῥίγωσε, πυρετὸς ὀξύς, σπασμοὶ μετὰ πόνου, πολλὰ παρέλεγεν, ἐξανίστατο. βάλανον προσθεμένῃ, πολλὰ διῆλθε μετὰ περιῤῥόου χολώδεος, ὕπνοι οὐκ ἐνῆσαν. ἐνάτῃ σπασμοὶ, δεκάτῃ σμικρὰ κατενόει, ἑνδεκάτῃ πάντα ἐκοιμήθη, ἀνεμνήσθη, ταχὺ δὲ πάλιν παρέκρουσε. οὔρει δὲ μετὰ σπασμῶν ἀθρόον πολὺ, ὀλιγάκις ἀναμιμνησκόντων, παχὺ, λευκὸν, οἷον γίνεται τῶν καθισταμένων ὅταν ἀναταραχθῇ κείμενον πολὺν χρόνον, οὐ καθίστατο, χρῶμα καὶ πάχος εἴκελον οἷον γίνεται ὑποζυγίων. τοιαῦτα οὔρει, οἷα ἐγὼ εἶδον. περὶ δὲ τεσσαρεσκαιδεκάτην ἐοῦσῃ, πόνοι δι' ὅλου τοῦ σώματος, λόγοι πολλοὶ, σμικρὰ κατενόει, διὰ ταχέων δὲ πάλιν παρέκρουσε. περὶ δὲ ἑπτακαιδεκάτην ἐοῦσα ἦν ἄφωνος, εἰκοστῇ ἀπέθανεν.

Δύο ἦν ἐκ ταύτης τῆς διηγήσεως, ὧν ἓν κοινὸν μὲν καὶ πρὸς τοὺς ἔμπροσθεν, καὶ μετὰ ταῦτα γεγραμμένους ἀῤῥώστους, τὸ, τὸν κρισίμων ἡμερῶν, ἕτερον δὲ τὸ ἴδιον. ἐπισχεθείσης γὰρ τῇ γυναικὶ ταύτῃ τῆς μετὰ τόκον καθάρσεως, ἥ τε νόσος ἐγένετο καὶ ὁ θάνατος. ἀπέθανε δὲ κατὰ τὴν κ΄. τῆς ιδ΄. καὶ ιζ΄. χειρόνων παρὰ τὰς ἄλλας γινομένων. τὸ δὲ προσθεμένῃ, μετὰ μὲν τοῦ βάλανος ὅταν τύχῃ γεγραμμένον, εὔδηλον ἔχει τὸ σημαινόμενον, ἄνευ δὲ τῆς προσθήκης, ἤτοι ὑπακοῦσαι χρὴ τὴν βάλανον, ὥς τινες βούλονται, ἢ πεσσὸν, παρηγορικὸν δηλονότι καὶ ἀφλέγμαντον. ἐκεῖνο γε μὴν ἐπὶ πασῶν γυναικῶν ὧν ἐπεσχέθη μετὰ τόκον ἡ κάθαρσις, ἐπίστασθαί τε καὶ μέμνησθαι προσήκει, ὥς τινες μὲν ἐσχάτως κινδυνεύσασιν ἀποθανεῖν. ὀλίγαι δὲ πάνυ μετρίως ἠνωχλήθησαν, ἐπεὶ ταῖς πλείσταις μὲν ἡ μήτρα φλεγμαίνει, τισὶ δὲ καὶ τὸ παρ' αὐτῷ τῷ τόκῳ ῥυὲν αἷμα κενωθὲν, διάφορόν ἐστι κατὰ τὴν ποιότητα, ταῖς μὲν πικρόχολον, ἢ μελαγχολικὸν, ταῖς δὲ ἰῶδες, ἢ φλεγματικὸν, ἢ μετρίως χρηστὸν, ἄμεμπτον δὲ τελέως οὐδέποτε. δεδαπάνηται γάρ ἐξ αὐτοῦ τὸ κάλλιστον εἰς τροφὴν τοῦ κυηθέντος. ἐνδείκνυται δ' αὐτοῦ τὴν φύσιν, καὶ τὰ γινόμενα συμπτώματα, κατὰ τὴν ἐπίσχεσιν τῆς λοχίου καθάρσεως, ὥσπερ καὶ νῦν ἐπὶ τῆς προκειμένης ἐν τῷ λόγῳ, τὸ μὲν ῥῖγος καὶ ὁ πυρετὸς ὀξύς, ἥ τε δίψα καὶ ὁ χολώδης ἐπίῤῥους, καὶ ἡ παραφροσύνη, καὶ ἡ ἀγρυπνία, χολώδους ἐστὶ πλεονάζοντος χυμοῦ γνωρίσματα. σπασμοὶ δὲ καὶ παλμοὶ, καὶ τὸ οἷον τῶν ὑποζυγίων ἐοικὸς οὖρον, ὠμοῦ καὶ παχέος αὐτὰ εἴδη εἰσίν. οὕτως κάκισται τῶν νόσων, ἐν αἷς ἀμφότεροι πλεονάζουσιν οἱ εἰρημένοι χυμοὶ, καὶ τὸν ἡμιτριταῖον ἐπί γε τούτοις ἐνδείκνυμεν ἐπιγίνεσθαι. τὸ μὲν οὖν ἐπισφαλῶς νοσῆσαι τὴν γυναῖκα, τοῦτ' ἦν αἴτιον, πότερον δὲ διαφεύξεται τὴν νόσον, ἢ τεθνήξεται, τά τε συμπτώματα, καὶ τὰ σημεῖα κατ' ἀρχὰς εὐθέως ἐξηγεῖσθαι δύναται. προσέχωμεν οὖν αὐτοῖς ἕνεκα γυμνασίας. τῇ πρώτῃ τῶν ἡμερῶν ἥτις ἦν ιδ΄. μετὰ τόκον, πῦρ φησιν ἔλαβε τὴν ἄνθρωπον μετὰ ῥίγους. ἴσμεν δ' ὅτι πῦρ ὀνομάζει τὸν πυρωδέστατον πυρετὸν, ἀλλ' ὅπω τοῦτόν γε, πάντως ὀλέθριον, ὥσπερ

ὥσπερ οὐδὲ τὸ καρδιαλγέειν, ὅπερ ἐστὶ τὸ στόμα τῆς κοιλίας ὀδυνᾶσθαι, ὡσαύτως δ' ὅτι τὰ γυναικεῖα μόρια, καθάπερ οὐδ' ὅτι τὸ δεξιὸν ὑποχόνδριον, ἀλλὰ καὶ ὕπνοι φησὶν οὐκ ἐνῆσαν. αὔξεται μὲν οὖν ἡ διάγνωσις ἐκ τούτων ἁπάντων τῆς τοῦ νοσήματος κακίας, οὐ μὴν ὅτι γε πάντως ἐπ' αὐτοῖς τεθνήξεται, δῆλον ἡμῖν, καθάπερ οὐδ' ὅτι διψώδης, οὐδ' ὅτι τὰ οὖρα λεπτὰ καὶ ἄχροα. χρόνου μὲν γὰρ εἰς πέψιν δεῖται τὰ τοιαῦτα τῶν οὔρων, οὐ μὴν ὀλέθριά γε πάντως ἐστίν. ἀλλὰ καὶ ἄκρεα φησὶ ψυχρά, τοῦτο μέντοι ἤδη τῶν ἐσχάτως ὀλεθρίων ἐστὶν ἐν ἀρχῇ νοσήματος, ἅμα σφοδροτάτῳ πυρετῷ γινόμενον. εἰ μὲν οὖν ἐπιστάμην ὅπως εἶχε ῥώμης ἡ γυνὴ καὶ περὶ τὸν χρόνον τῆς νόσου, δυνατὸν ἦν ἄν μοι λέγειν ἐπὶ τοῖς προειρημένοις συμπτώμασι, καὶ εἰ ἐκ παραδόξου τινὰ ἀμυδρὰν ἐλπίδα σωτηρίας εἶχεν. ἐπειδὴ δ' ἄδηλον τοῦτο, μεμνῆσθαι γ' ὑμᾶς χρὴ προστιθέναι τοῖς ὀλεθρίοις συμπτώμασι κατὰ τὰς ἐπισκέψεις τῶν νοσούντων, τὸν ἀπὸ τῆς δυνάμεως διορισμόν, οὕτως γὰρ ἀποφαίνεσθαι βεβαίως δυνήσεσθε. ταύτῃ γοῦν τῇ γυναικί, περὶ τὴν ιδ´. ἡμέραν, οἵ τε πόνοι δι' ὅλου τοῦ σώματος γενόμενοι, καὶ παραφροσύνη, τὸν ἐσόμενον θάνατον ἐδήλωσεν, ἤτοι κατὰ τὴν ιζ´. ἢ τὴν κ´. ἐκ τῆς τῶν κρισίμων ἡμερῶν φύσεως. καὶ τοίνυν ἀμφότερα ἐγένετο, κατὰ μὲν τὴν ιζ´. ἀφωνίας καταληφθείσης αὐτῆς, εἰκοσταίας δ' ἀποθανούσης.

Ἐπικράτεος γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχηγέτην, περὶ τόκον ἤδη ἐοῦσαν, ῥῖγος ἔλαβεν ἰσχυρῶς, οὐκ ἐθερμάνθη, ὡς ἔλεγον, καὶ τῇ ὑστεραίῃ τὰ αὐτά. τρίτῃ δ' ἔτεκε θυγατέρα, καὶ τὰ ἄλλα πάντα κατὰ λόγον ἦλθε. δευτέρῃ μετὰ τὸν τόκον, ἔλαβε πυρετὸς ὀξύς, καρδίης πόνος καὶ γυναικείων, ὕπνοι οὐκ ἐνῆσαν. προστεθεμένη δέ, ταῦτα μὲν ἐκουφίσθη, κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνος. ἀπὸ δὲ κοιλίης ὀλίγα, χολώδεα, λεπτὰ διήει, ἄκρητα, οὖρα λεπτά, ὑπομέλανα. ἀφ' ἧς δ' ἔλαβε πυρετὸς εἰς νύκτα, ἑκταίῃ παρέκρουσε. ἑβδόμῃ ἅπαντα παρωξύνθη, ἄγρυπνος, παρέκρουσε, διψώδης, διαχωρήματα πάντα χολώδεα, κατακορέα. ὀγδόῃ ἐπερρίγωσε, ἐκοιμήθη πλείω. θ´. διὰ τῶν αὐτῶν. δεκάτῃ σκέλεα ἐπιπόνως ἤλγει, καρδίης πάλιν ὀδύνη, καρηβαρίη, οὐ παρέκρουσεν. ἐκοιμᾶτο μᾶλλον, κοιλίη ἐπέστη. ια´. ἵδρωσεν, οὔρησεν εὐχροώτερα, συχνὴν ὑπόστασιν ἔχοντα, διῆγε κουφότερον. ιδ´. ἐπερρίγωσε, πυρετὸς ὀξύς. ιε´. ἤμεσε χολώδεα, †ψυχρά [†ξανθά], ὑπόσυχνα, ἵδρωσεν ἄπυρος. ἐς νύκτα δὲ πυρετὸς ὀξύς, οὖρα πάχος ἔχοντα, ὑπόστασις λευκή. ιϛ´. παρωξύνθη νύκτα, καὶ δυσφόρως, οὐχ ὕπνωσε, παρέκρουσε. ιη´. διψώδης, γλῶσσα ἐξεκαύθη, οὐχ ὕπνωσε, παρέκρουσε πολλά, σκέλεα ἐπωδύνως εἶχε. περὶ δὲ κ´. πρωῒ μικρὰ ἐπερρίγωσε, κωματώδης, δι' ἡσυχίης ὕπνωσε, ἤμεσε χολώδεα, ὀλίγα, μέλανα, ἐς νύκτα κώφωσις. περὶ δὲ εἰκοστὴν πρώτην, πλευροῦ ἀριστεροῦ βάρος διόλου μετ' ὀδύνης, σμικρὰ ἐπέβησσεν, οὖρα δὲ πάχος ἔχοντα, θολερά, ὑπέρυθρα, κείμενα οὐ καθίστατο, τὰ δ' ἄλλα κουφοτέρως, οὐκ ἄπυρος. αὕτη ἐξ ἀρχῆς φάρυγγα ἐπώδυνος, ἔρευθος, κίων ἀνεσπασμένος, ῥεῦμα δριμύ, δακνῶδες, ἁλμυρῶδες, διὰ τέλεος παρέμεινε. περὶ ζ´. καὶ κ´. ἄπυρος, οὔρησεν ὑπόστασιν, πλευρὸν ὑπήλγει. περὶ δὲ λδ´. πῦρ ἔλαβε, κοιλίη χολώδεσιν ἐπεταράχθη. μ´. ἤμεσεν ὀλίγα, χολώδεα, ἐκρίθη τελέως ἄπυρος π´.

Γνησίου οὔσης τὴν γυναῖκα τήνδε τῆς προθεσμίας τοῦ τόκου ῥιγῶσαι φησί, χωρὶς τοῦ πυρέξαι. πρόσκειται δὲ τῇ λέξει, τό, ὡς ἔλεγον, ἐπὶ τῷ παραδόξῳ τοῦ πράγματος. ᾤοντο γὰρ οἱ παλαιοὶ σχεδὸν ἅπαντες, ἐπιγίγνεσθαι τοῖς αὐτομάτοις ῥίγεσι πυρετὸν ἐξ ἀνάγκης. αὐτόματα δὲ δηλονότι καλεῖται, τὰ χωρὶς τῆς ἔξωθεν αἰτίας. ἐν γοῦν τῷ προοιμίῳ τοῦ καλῶς ἐπιγεγραμμένου, πρώτην περὶ νόσων, ὡς ἐξ ἀνάγκης ἑπομένου τῷ ῥίγει τοῦ πυρετοῦ γέγραπται. δέδεικται δ' ἡμῖν τὸ τοιοῦτον ῥῖγος, ᾧ πυρετὸς ἀκολουθεῖ, ψυχρῶν καὶ ὠμῶν χυμῶν ἔκγονον εἶναι, καὶ διὰ τοῦτο μᾶλλον νῦν ἢ πάλαι γίνεσθαι. τὸ γὰρ ταλαίπωρον τῆς ὅλης διαίτης ἅμα τοῖς ἐπὶ τροφῇ λουτροῖς, ἀθροίζειν εἴωθε τὸ τοιοῦτον πλῆθος. ἔοικε καὶ ἡ τοῦ Ἐπικράτους γυνὴ τοῦτο ἔχειν τὸ πλῆθος. ἐν γοῦν τῇ πρώτῃ τῶν ἡμερῶν, ῥιγῶσαι φησὶν αὐτήν, χωρὶς τοῦ θερμανθῆναι, τουτέστι χωρὶς τοῦ πυρέξαι, καὶ πάλιν ἐπὶ τῆς ὑστεραίας ὡσαύτως, εἶτα τῇ τρίτῃ τῶν ἡμερῶν, ἀποκυῆσαι, τάχα καὶ πρὸ τῆς ἀκριβοῦς προθεσμίας, συμβάντος τοῦ τόκου διὰ τὴν σφοδρότητα τοῦ ῥίγους. μετὰ γοῦν τὸν τόκον ἡμέρᾳ β´. τὴν καρδίαν, τουτέστι τὸ στόμα τῆς κοιλίας ἀλγῆσαι φησὶν αὐτήν, καὶ τὰ γυναικεῖα, προσυπακοῦσαι αὐτῷ χρὴ μόρια, καθάπερ καὶ τὴν πρὸ αὐτῆς, εἶτα φησὶ προστεθεμένην αὐτήν, κουφισθῆναι. προείρηται δ' ὅτι καὶ βάλανον καὶ πεσσόν, ἐπὶ τῷ προστεθεμένῳ δυνατόν ἐστι προσυπακούειν. εἶθ' ἑξῆς καταλέγει συμπτώματα νοσημάτων ὀξέων, κεφαλῆς μὲν καὶ τραχήλου, καὶ ὀσφύος πόνον, ἀγρυπνίαν δὲ καὶ διαχωρήσεις ἀκράτως χολώδεις, ὧν καὶ δῆλον ὡς οὐκ ὠμὸς μόνον, ἀλλὰ καὶ χολώδης ἐπλεόναζε χυμός, ὄντων δὲ τῶν οὔρων λεπτῶν, ἀναγκαῖον ἦν χρονίσαι τὴν νόσον. ἐπεὶ δὲ καὶ ὑπομέλανα φησὶ ταῦτα γενέσθαι, τοῦτο δή, τὸ σὺν ἀγῶνι, καὶ ταραχὴν δηλοῖ, καὶ μέχρι γε τῆς ἐνδεκάτης ἡμέρας ἄδηλον ἦν, εἰ σωθήσεται τὸ γύναιον, οὐδενὸς ἐν τῷ μεταξὺ γενομένου σημείου σαφοῦς, ἐφ' ᾧ τις, ἢ σωτηρίαν, ἢ θάνατον ἐλπίσει. κατὰ δὲ τὴν ια´. ἐπεφάνη τι σωτηρίας σημεῖον, ἔνθα φησὶν ἵδ-

οὔρησεν εὔχροώτερα, συχνὴν ὑπόστασιν ἔχοντα, δηλοῖ γε καθαρώτερον. ἐπ' αὐτῆς οὖν ὀψὲ τῆς πέψεως τῶν χυμῶν ἀρξαμένης, ἀναγκαῖον ἦν χρονίσαι τὸ νόσημα, καὶ διὰ τοῦτο τεσσαρεσκαιδεκαταῖον μὲν ἐκρίθη τὸ πρῶτον, ὡς ἀκινδύνως ἔχειν ἤδη. μεταξὺ δὲ ἄχρι τῆς τεσσαρακοστῆς ἐνόσηλεύετο, τελέως δὲ κατὰ τὴν π. ἀπηλλάγη. μέμνηται τοιγαροῦν, ὡς ἡ πεῖρα μαρτυρεῖ, † ὅτι τὴν τεσσαρακοστὴν καὶ ὀγδοηκοστὴν κρισίμοι εἰσί, ψευδοῦς ὄντος καὶ μὴ φαινομένου διὰ τῆς ἐμπειρίας τοῦ περὶ τελείας ἑβδομάδας συναριθμεῖσθαι τὰς κρισίμους ἡμέρας. οὕτω γὰρ αὖ ἡ μβ. καὶ γ. καὶ ξ. καὶ δ. καὶ π. τὰς κρίσεις ἔφερον, οὐ μ. καὶ ξ. καὶ π.

Κλεανακτίδην ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλείου, πῦρ ἔλαβε πεπλανημένως. ἤλγει δὲ κεφαλὴν ἐξ ἀρχῆς, καὶ πλευρὸν ἀριστερόν, καὶ τῶν ἄλλων πόνοι, κοπιώδεα τρόπον, οἱ πυρετοὶ παροξυνόμενοι, ἄλλοτε ἀλλοίως ἀτάκτως, ἵδρωτες ὅτε μέν, ὅτε δ' οὔ. τὰ μὲν πλεῖστα ἐπεσήμαινον, οἱ παροξυσμοὶ ἐν κρισίμοισι μάλιστα. περὶ δὲ τετάρτην καὶ χεῖρας ἄκρας ἐπόνησεν, ἤμεσε ξανθά, χολώδεα, ὑπόσυχνα, μετ' ὀλίγον δὲ ἰώδεα, πάντων ἐκουφίσθη. περὶ δὲ τριακοστὴν ἐόντι, ἤρξατο ἀπὸ ῥινῶν αἱμορραγεῖν ἐξ ἀμφοτέρων, καὶ ταῦτα πεπλανημένως κατ' ὀλίγον μέχρι κρίσεως, οὐκ ἀπόσιτος δέ, οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον, οὐδ' ἄγρυπνος, οὖρα λεπτά, οὐκ ἄχροα. περὶ δὲ μ. ἐὼν, οὔρησεν ὑπέρυθρα, ὑπόστασιν πολλὴν ἐρυθρὴν ἔχοντα, ἐκουφίσθη. μετὰ δὲ ταῦτα ποικίλως τὰ τῶν οὔρων, ὅτε μὲν ὑπόστασιν εἶχεν, ὅτε δ' οὔ. ἑξηκοστῇ οὔροις ὑπόστασις πολλὴ καὶ λευκὴ καὶ λείη, ξυνέδωκε πάντα, πυρετοὶ διέλιπον, οὖρα δὲ πάλιν, λεπτὰ μέν, εὔχροα δέ. ἑβδομηκοστῇ ἀπύρετος διέλιπεν ἡμέρας ι. ὀγδοηκοστῇ ἐρρίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν, ἵδρωσε πολλῷ, οὔρησεν ὑπόστασιν ἐρυθρήν, λείην, τελέως ἐκρίθη.

Κλεονάκτην φησὶ πῦρ ἔλαβε, τουτέστι πυρετὸς σφοδρὸς κατέσχεν, εἶτ' ἐπιφέρει, πεπλανημένως, ὅπερ ἐστὶν αὐτὸν τῆς περὶ περίοδον τάξεως, ὥς ποτε μέν, εἰ οὕτως ἔτυχε, διὰ τρίτης ἢ τετάρτης ἡμέρας πυρέξαι, ποτὲ δὲ διὰ πέμπτης, ἢ ἕκτης. παρακολουθῆσαι δ' αὐτῷ διὰ παντὸς ἀγαθὰ σημεῖα τά περὶ τὴν ὄρεξιν τῶν σιτίων καὶ ὕπνων, ἄδιψόν τε εἶναι, καὶ οὐρεῖν οὐκ ἄχροα. ταῦτα γὰρ αὐτὸς ὁ Ἱπποκράτης κατὰ λέξιν ἔγραψεν ὧδε, οὐκ ἀπόσιτος, οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον, οὐδὲ ἄγρυπνος ἅμα δὲ τὸ μὴ χολώδη καὶ θερμὸν εἶναι τὸν πλεονάζοντα χυμόν, ἐξ αὐτῶν ἐδηλοῦτο. διψώδεις γὰρ ὑπ' ἐκείνου καὶ ἄγρυπνοι γίνονται, καὶ μᾶλλον ἀπόσιτοι, τουτέστιν ἀνόρεκτοι. εἰ μὲν οὖν ὥσπερ εὔχροα τὰ οὖρα διὰ παντὸς ἦν, οὕτως καὶ τῆς συστάσεως εἶχε μετρίως, οὐκ ἂν εἰς χρόνου μῆκος ἡ νόσος προῆλθε. ἀλλ' ἴσως μὲν ἐκρίθη περὶ μ. ὥσπερ εἰ καὶ νεφέλην εἶχε χρηστήν, θᾶττον ἂν ἐπαύσατο. νυνὶ δ' ἐπεὶ λεπτὰ διὰ παντὸς ἦν τὰ οὖρα, χρόνου συχνοῦ πρὸς πέψιν ἐδεῖτο. περὶ δ' οὖν τὴν μ. ἡμέραν, οὐρῆσαι φησὶν αὐτὸν ὑπέρυθρα, ὑπόστασιν πολλὴν ἐρυθρὰν ἔχοντα. τὸ δὲ τοιοῦτον οὖρον ἐν τῷ προγνωστικῷ, πολυχρονιώτερον μὲν εἶναι φησὶ τοῦ τὴν λευκὴν ὑπόστασιν ἔχοντος, σωτήριον δὲ κάρτα. μετὰ δὲ τὴν μ. ἔγραψε ποικίλως τὰ τῶν οὔρων αὐτῷ γενέσθαι, ποτὲ μὲν ὑπόστασιν ἔχοντα, ποτὲ δ' οὔ, σύμφωνον τοῦτο τῶν πεπλανημένων παροξυσμῶν. ἐκεῖνοί τε γὰρ ἐπὶ ποικιλίᾳ τῶν τὰς νόσους ἐργαζομένων γίνονται χυμῶν, ἥ τε τῶν οὔρων ἀπεψία, καὶ πέψις ἐναλλὰξ φαινομένη, τινὰς μὲν αὐτῶν ἐδήλου πέττεσθαι, τινὰς δ' ἀπέπτους διαμένειν. περὶ γοῦν τὴν ξ. ἡμέραν, πολλὴν καὶ λείαν καὶ λευκὴν ὑπόστασιν γενέσθαι φησί, καὶ διὰ τοῦτ' ἐπιφέρει ξυνέδωκε πάντα, διέλιπον οἱ πυρετοί. ἀλλ' ἐφεξῆς γε τούτων ὧδε γράψας, οὖρα δὲ πάλιν, λεπτὰ μέν, εὔχροα δέ, καταλελεῖφθαί τινας ἀπέπτους ἐνδείκνυται χυμούς, ὧν περὶ βραχὺ πεφθέντων, ἡ ὀγδοηκοστὴ τελείαν τὴν κρίσιν ἤνεγκε, περὶ ἧς ἔγραψε κατὰ λέξιν οὕτως. ὀγδοηκοστῇ ἐρρίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν, ἵδρωσε πολλῷ, οὔρησεν ὑπόστασιν ἐρυθρήν, λείαν, τελέως ἐκρίθη. μέμνηται δὲ πάλιν ἐν τούτῳ τῆς ἰδέας ὑποστάσεως μέγιστον δυναμένης, ἐν ἄρρωσι μὲν τὴν λευκήν, παχεῖαν δὲ καὶ τοῖς ἀποθανοῦσι γεγονέναι φησί. ἐπὶ γοῦν Σιληνοῦ δευτέρου γεγραμμένου τῶν κατὰ τοῦτο τὸ βιβλίον, οὕτως εἶπεν. οὔρησεν ἀθρόον ὑπόπαχυ κείμενον, ὑπόστασις κριμνώδης, λευκή, καίτοι κατὰ τὴν ὑστεραίαν ἀπέθανεν ὁ Σιληνὸς οὗτος ἤδη τῆς ἑνδεκάτης ἡμέρας, τῇ ι. τὸ εἰρημένον οὖρον ἀποκρίνας. ἀλλὰ καὶ τῶν κρισίμων ἡμερῶν τῆς περιόδου μέμνηται, τῆς μὲν ἑξηκοστῆς προκρινάσης, οὐ τῆς ξγ. ἐπ' αὐτῇ δὲ τῆς π. οὐ τῆς ὀγδοηκοστῆς τετάρτης, ὡς τῶν τριῶν ἑβδομάδων οὐκ εἰς τὴν κα. ἡμέραν διερχομένων, ἀλλ' ἐν τῇ κ. περιγραφομένων.

Μέτωνα πῦρ ἔλαβεν, ὀσφύος βάρος ἐπώδυνον. δευτέρῃ ὕδωρ πίνοντι ὑπόσυχνον, ἀπὸ κοιλίας καλῶς διῆλθε. τρίτῃ κεφαλῆς βάρος, διαχωρήματα λεπτά, χολώδεα, ὑπέρυθρα. τετάρτῃ πάντα παρωξύνθη, ἐρρύη ἀπὸ δεξιοῦ μυκτῆρος αἷμα δὶς κατ' ὀλίγον, νύκτα δυσφόρως, διαχωρήματα ὅμοια τῇ τρίτῃ, οὖρα ὑπομέλανα εἶχεν, ἐναιώρημα ὑπομέλαν εἶχεν διεσπασμένον, οὐχ ἱδρύετο τῇ ε. ἐρρύη λάβρον ἐξ ἀριστεροῦ, ἄκρητον, ἵδρωσεν, ἐκρίθη. μετὰ δὲ κρίσιν ἄγρυπνος, παρέλεγεν, οὖρα λεπτά, ὑπομέλανα. λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆς, ἐκοιμήθη, κατενόει. τούτῳ οὐχ ὑπέστρεψεν, ἀλλ' ἡμορράγει πολλάκις καὶ μετὰ κρίσιν.

Οὗτος ὁ ἄρρωστος μαρτυρεῖ τῷ καθόλου λόγῳ τῷδε, αἱμορραγίαι λάβροι ἐκ ῥινῶν ῥέουσι τὰ πολλά. φαίνεται

„ γοῦν ὑπὸ μόνης αἱμορραγίας †ἐκρίθη τε σωθείς, καίτοι γ᾽ οὐκ ἀκίνδυνα ἔχων σημεῖα. κατὰ γοῦν τὴν δ. ἡμέραν †κριθῆναι
„ γενέσθαι φησὶν αὐτῷ οὖρα ὑπομέλανα. εἶτ᾽ ἐπιφέρει, ἔχον ἐναιώρημα ὑπομέλαν ὂν, διεσπασμένον, οὐχ ἱδρῶσε, καὶ σωθέντα
„ μέντοι περὶ τὴν ε. ἡμέραν αἱμορραγήσαντα αὐτὸν καὶ ἱδρώσαντα, καὶ κριθέντα ἐπὶ τούτοις. ὅμως ἐπὶ τούτοις οὖρα φη-
σὶ λεπτὰ, ὑπομέλανα, κἄπειτα ἠγρύπνει καὶ παρέλεγεν, ὅπερ ἐστὶ παρελάλει. μέγιστον τοῦτο σε βοήθημα ἐδίδαξε,
τὸ κατὰ κεφαλῆς λουτρὸν, εἰρηκὼς ἐν τῷ περὶ διαίτης ὀξέων φυλάσσεσθαι δεῖν τὸ λουτρὸν ἐπὶ τῶν αἱμορραγούντων,
εἰ μὴ ἔλαττον τοῦ καιροῦ ῥέει. νυνὶ δὲ ἔλαττον ἦν τοῦ προσήκοντος, ἐπεὶ μὲν ἄγρυπνος διέμενε καὶ παρέλεγεν. ἀλλὰ
„ καὶ ἃ δεῖ ἄγειν, ὅπῃ ἂν μάλιστα ῥέπῃ, διὰ τῶν συμφερόντων χωρίων ὀρθῶς ἐν τῷ καθόλου λελεγμένον ὑπὸ τοῦ νῦν γινο-
μένου μαρτυρεῖται. καὶ μέντοι καὶ τοῦδε μέμνησο, τοῦ, κατὰ τὴν τῆς τρίτης ἡμέρας διήγησιν εἰρῆσθαι, βάρος κεφαλῆς,
ὡς τοῦ πλήθους ἐπ᾽ αὐτὴν φαινομένου. μέμνησο δὲ καὶ ὅτι κατὰ τὴν δ. κρίσιμον οὖσαν αἱμορραγεῖν ἤρξατο. τῇ δὲ ε.
10 τελέως αἱμορραγήσας, καὶ ἱδρώσας ἐκρίθη. ταῦτα δ᾽ ἐπὶ πλέον ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ἐξῆς ἐξειργασμένα.
τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ τῆς ὅλης διηγήσεως γεγραμμένον ὑπ᾽ αὐτοῦ, οὐδὲ οὐχ ὑπέστρεψεν, ἀλλ᾽ ἡμορράγει πολλάκις
καὶ μετὰ κρίσιν, εἴρηται διότι χωρὶς πέψεως τῶν οὔρων ἐκρίθη. μεμαθήκαμεν δὲ παρ᾽ αὐτοῦ †τὸ βιβλίον, ὅτι πεπασ- †κατὰ τὸν
„ μοὶ, ταχυτῆτα κρίσεως ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα εἰς κακὰς ἀποστάσεις τρεπόμενα, ἢ
„ ἀκρισίας, ἢ πόνους, ἢ θανάτους, ἢ χρόνους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ἀλλ᾽ ὠμὰ μὲν ἦν ἔτι καὶ ἄπεπτα, οὐ μὴν εἰς κακὰς
ἀποστάσεις ἐτράπετο. τῶν γοῦν ἀποστάσεων αὐτὸς ἐδίδαξεν, ἀρίστας μὲν εἶναι τὰς κατ᾽ ἔκρουν. δευτέρας αὐτῶν τὰς
πορρωτάτω τῶν πεπονθότων μορίων, καὶ κάτω τοῦ σώματος.

Ἐρασῖνον ὃς ᾤκει παρὰ τῇ τοῦ Βοώτου χαράδρῃ, πῦρ ἔλαβε μετὰ δεῖπνον, νύκτα ταρα-
χώδης, ἡμέραν τὴν πρώτην διὰ ἡσυχίης, νύκτα ἐπιπόνως. δευτέρῃ πάντα παρωξύν-
20 θη. ἐς νύκτα, παρέκρουσε, τρίτῃ ἐπιπόνως, παρέκρουσεν πολλά. τετάρτη δυσφορωτάτη,
εἰς δὲ τὴν νύκτα οὐδὲν ἐκοιμήθη, ἐνύπνια καὶ λογισμοί. ἔπειτα χείρω, καὶ μεγάλα,
καὶ ἐπίκαιρα, φόβος, δυσφορίη. πέμπτῃ πρωῒ κατήρτητο, καὶ κατενόει πάντα. πολὺ
δὲ πρὸς μέσον ἡμέρης, ἐξεμάνη, κατέχειν οὐκ ἠδύνατο, ἄκρεα ψυχρὰ, ὑποπέλια, οὖρα
ἄπεπτα, ἀπέθανε περὶ ἡλίου δυσμάς. τούτῳ οἱ πυρετοὶ διὰ τέλεος σὺν ἱδρῶτι. ὑποχόν-
δρια μετέωρα, ξύντασις μετ᾽ ὀδύνης. οὖρα δὲ μέλανα, ἔχοντα ἐναιωρήματα στρογγύλα,
οὐχ ἵδρυτο, ἀπὸ κοιλίης δὲ κόπρανα διήει. δίψα διὰ τέλεος οὐ λίην, σπασμοὶ πολλοὶ
σὺν ἱδρῶτι. περὶ θάνατον δὲ διὰ τέλεος.

30 Τῷ Ἐρασίνῳ τούτῳ διὰ τέλεος, τουτέστι δι᾽ ὅλου τοῦ νοσήματος, ἱδρὼς ἦν ἄκριτος, ὑποχόνδρια μοχθηρῶς ἔχοντι
καὶ οὖρα μέλανα. τίς ἐλπὶς οὖν σωτηρίας αὐτῷ; ὥστε καὶ εὐλόγως δόξει τις μάτην γεγράφθαι τὰ κατὰ τὸν ἄνθρω-
πον τόνδε, διὰ τὸ πᾶσι πρόδηλον εἶναι τὸ ἐσόμενον ἐπ᾽ αὐτοῦ. ἀλλ᾽ ἴσως αὐτοῦ τοῦ κατὰ τὸν θάνατον τάχους πα-
ράδειγμα τὸν ἀρρωστοῦντα ἔγραψεν. ἐν γοῦν τῷ προγνωστικῷ προειπών. οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν ἡμέρῃ- „
σι τὸν ἀριθμὸν ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. κἄπειτα τοὺς πάντας εὐηθέστερον ὄντας ση- „
μεῖα εἰπὼν, τεταρταίους παύεσθαι ἢ πρόσθεν. ἐφεξῆς εἶπεν, οἵ τε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων γινό-
μενοι, τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. ὁ τοίνυν Ἐρασῖνος, καίτοι ταῦτ᾽ ἔχων δεινὰ, μέχρι τῆς ε. ἡμέρας προῆλθεν, ὅτι
περὶ τὴν πρώτην εἶχε μετρίως. ἔγραψε γοῦν ἐπ᾽ αὐτοῦ κατὰ λέξιν οὕτως, ἡμέρην τὴν α. διὰ ἡσυχίης. ἡ ε. τοίνυν ἀπὸ
τῆς ἀρχῆς καθ᾽ ἣν ἀπέθανε τετάρτη γίνεται, μὴ συναριθμουμένης τῆς πρώτης.

40 Κρίτωνι ἐν Θάσῳ ποδὸς ὀδύνη ἤρξατο ἰσχυρῶς, ἀπὸ δακτύλου τοῦ μεγάλου, ὀρθοστάδην
περιιόντι, κατεκλίθη αὐθημερὸν, φρικώδης, ἀσώδης, μικρὰ ὑποθερμαινόμενος,
εἰς νύκτα παρεφρόνησε. δευτέρῃ οἴδημα διὰ ὅλου τοῦ ποδὸς καὶ περὶ σφυρὸν, ὑπέρυθρον,
καὶ μετὰ ξυντάσιος φλυκταινίδια μέλανα, πυρετὸς ὀξὺς, ἐξεμάνη. ἀπὸ δὲ κοιλίης
ἄκρητα, χολώδεα, ὑπόσυχνα διῆλθεν. ἀπέθανεν ἀπὸ τῆς ἀρχῆς δευτεραῖος.

Οὗτος ὁ ἄρρωστος ἄξιός ἐστι μνημονεύεσθαι διὰ τὸ τάχιον τῆς ἀπωλείας. εἰ δὲ προσεγέγραπτο, καὶ ὁ τρόπος τοῦ θανάτου,
τότ᾽ ἂν ἡμᾶς ὁ λόγος ὠφέλησε τελέως. νυνὶ μὲν ἐξ ὧν ἔγραψεν, ὅτι πλῆθος ἦν πάμπολυ φαίνεται, καὶ ὡς ὥρμησεν
ἡ φύσις ἀπὸ τῶν κυρίων μερῶν αὐτὰ πρὸς τὸ σκέλος ἀπωθεῖσθαι, μὴ δυναμένου δὲ τοῦ μορίου δέξασθαι, τὸ πᾶν ὅσον ὑπε-
λείπετο, τὸ περιττὸν παλινδρομήσαν, εἰς τὴν κεφαλὴν ἀνήχθη. κακοήθους δ᾽ ὄντος αὐτοῦ, παραφροσύνη μανιώδης
50 ἐγένετο. τεκμήριον δὲ τῆς κακοηθείας τοῦ περιττοῦ, τὸ πάθημα, φλυκταινίδια μέλανα γενέσθαι περὶ τὸ σφυρόν. ἄξιον
οὖν ἐστι θαυμάσαι, διατί τὸν ἄνθρωπον τοῦτον οὐκ ἐφλεβοτόμησεν εὐθέως ἀρχόμενον τοῦ νοσεῖν. ἀλλ᾽ ἴσμεν, ὡς ἐπὶ τοὺς
πλείστους ὧν ἔγραψεν, ἀρρώστων εἰσήχθη, προηκούσης ἤδη τῆς νόσου.

Τὸν Κλαζομένιον ὃς κατέκειτο τὸ Φρυνιχίδεω φρέαρ, πῦρ ἔλαβε, ἤλγει δὲ κεφαλὴν,
καὶ τράχηλον, καὶ ὀσφὺν ἐξ ἀρχῆς. αὐτίκα δὲ κώφωσις, ὕπνοι οὐκ ἐνῆσαν, πυρετὸς ὀξὺς
ἔλαβε, ὑποχόνδριον ἐπῆρτο μετ᾽ ὄγκου, σύντασις ὀλίγη, γλῶσσα ξηρή, δ. εἰς νύκτα
παρεφρόνησεν. πέμπτῃ ἐπιπόνως πάντα παρωξύνθη. περὶ δὲ ια. σμικρὰ ξυνέδωκεν.

ἀπὸ δὲ κοιλίης ἀπ᾽ ἀρχῆς καὶ μέχρι ιδ΄. πολλὰ, λεπτὰ, ὑδατόχροα διῄει. εὐφόρως τὰ περὶ διαχώρησιν διῆγεν, ἔπειτα κοιλίη ἐπέστη, οὖρα διὰ τέλεος, λεπτὰ μὲν, εὔχροα δὲ καὶ πολὺ εἶχεν ἐναιώρημα διεσπασμένον, οὐχ ἵδρυτο. περὶ ις΄. οὔρησεν ὀλίγῳ παχύτερον, εἶχε σμικρὴν ὑπόστασιν, ἐκούφισεν ὀλίγῳ, κατενόει μᾶλλον. ιζ΄. πάλιν λεπτά. παρὰ δὲ τὰ ὦτα ἀμφότερα, ἐπήρθη ξὺν ὀδύνῃ, ὕπνοι οὐκ ἐνῆσαν, παρελήρει, σκέλεα ἐπωδύνως εἶχεν. κ΄. ἄπυρος ἐκρίθη, οὐχ ἵδρυτο, πάντα κατενόει. περὶ δὲ κζ΄. ἰσχίου ὀδύνη ἰσχυρῶς δεξιοῦ, διὰ ταχέων ἐπαύσατο. τὰ δὲ παρὰ τὰ ὦτα, οὔτε καθίστατο, οὔτ᾽ ἐξεπύει. ἤλγει δὲ περὶ α΄. καὶ λ΄. διάῤῥοια πολλοῖσιν ὑδατώδεσι μετὰ δυσεντεριωδέων. οὖρα παχέα οὔρησεν, κατέστη τὰ παρὰ τὰ ὦτα. περὶ δὲ τὴν μ΄. ὀφθαλμὸν δεξιὸν ἤλγεεν, ἀμβλύτερον ἑώρα, κατέστη.

Οὗτος ὁ ἄνθρωπος καὶ μαρτύριον, ἢ καὶ παράδειγμά ἐστιν, οὐκ ὀλίγων τῶν καθόλου θεωρημάτων. ἀρξώμεθα δὲ ἀπὸ τῶν οὔρων ἐφ᾽ ὧν ἔγραψε, κατὰ τὴν ια΄. ἡμέραν, οὖρα διὰ τέλεος λεπτὰ μὲν, εὔχροα δὲ καὶ πολὺ ἔχειν ἐναιώρημα, ὑποδιεσπασμένον, οὐχ ἵδρυτο. ὡς γὰρ ἐξ ἀρχῆς αὐτῶν τοιούτων γεγονότων καὶ παραμεινάντων γε μέχρι τῆς ις΄. ὁμοίως, οὕτως φαίνεται πεποιῆσθαι τὴν διήγησιν, ἐπὶ γὰρ τῆς ις΄. ἡμέρας ἐδήλωσε τὴν μεταβολὴν αὐτῶν, ὡς τότε πρῶτον γενομένην, οὕτως εἰπὼν, περὶ ις΄. ἡμέρας οὔρησεν ὀλίγῳ παχύτερον, εἶχε σμικρὴν ὑπόστασιν. εὔδηλον οὖν ὅτι λεπτὰ μὲν, εὔχροα δὲ οὖρα, διὰ μὲν τὴν εὐχροίαν ἐνδείκνυται σωθήσεσθαι, ὅτι δὲ λεπτὰ, χρόνου δεῖσθαι πρὸς τὴν πέψιν. ἦν δὲ οὐδὲ τῶν λυπούντων ἓν εἶδος. μετὰ γὰρ τὸ προειπεῖν ἐπὶ τῆς ις΄. ἡμέρας τὴν μεταβολὴν τῶν οὔρων, ἐφεξῆς φησι τῇ ιζ΄. πάλιν λεπτὰ, κατὰ δὲ τὴν αὐτὴν ἡμέραν φησὶ παρὰ τὰ ὦτα ἐπαρθῆναι αὐτῷ, καὶ εἴγε σὺν οὔροισιν παχέσιν ἐγεγόνει, κατὰ τὴν εἰκοστὴν ἂν ἔσχε τελέως καλῶς, οὔσης τῆς ιζ΄. ἐπιδήλου τῆς κ΄. ἐκρίθη μὲν οὖν ὑπ᾽ αὐτῆς τὸ τέλειον, οὐ μὴν ἔσχε τὸ βέβαιον ἡ κρίσις. ἀλλὰ καὶ τὰ παρὰ τὰ ὦτα οὔτε καθίστατο, οὔτ᾽ ἐξεπύει. ἤλγει μέντοι καὶ διαῤῥοίας ἀρξαμένης μετὰ δυσεντεριωδῶν, τουτέστι μετὰ ξυσματωδῶν διαχωρημάτων, ἅπερ ἦν τῆς δριμύτητος τῶν ἐκκρινομένων χυμῶν γνωρίσματα, καὶ σὺν αὐτοῖς οὔρων παχέων γενομένων κατέστη τὰ παρὰ τὰ ὦτα, καὶ τούτων οὖν προϊόντων ἡ τελεία τοῦ νοσήματος ἀπαλλαγὴ, κατὰ τὴν μ΄. ἡμέραν ἐγένετο. μέμνησο τοίνυν ἐπὶ τῶν τοιούτων κρίσεων, μὴ μόνον τῆς ὑστάτης κατὰ τὴν περίοδον τῶν κρισίμων ἡμερῶν γενομένης, ἀλλὰ καὶ τῆς ἐν τῷ μεταξύ. καὶ γὰρ αἱ κρίσεις ἐπὶ πάντων τῶν ἀῤῥώστων, οὐκ ἐπὶ τούτων μόνων ἐν ταῖς κρισίμοις ἡμέραις φαίνονται γεγονέναι, κατὰ τὰς κρισίμους ἡμέρας, τὰ κατ᾽ ὦτα ἐπιφανέντα. κατὰ μέν γε τὴν ιζ΄. αἱ παρωτίδες ὤφθησαν, ἐν τῇ κζ΄. ἰσχίου ὀδύνη δεξιοῦ ἐπεσήμαινεν, ὠθούσης μὲν κάτω τὴν περιουσίαν τῆς φύσεως, οὔπω δὲ τὴν διὰ τῆς γαστρὸς ἔκκρισιν ἐργάσασθαι δυναμένης, ἣν ἐπὶ τῆς ἑξῆς τετράδος ἐκίνησεν. ὅτι δὲ ἡ κ΄. κρίσιν ἔσχεν ἐλλιπῆ, προακηκόαμεν, ὥστε μαρτυροῦνται τῶν κρισίμων ἡμερῶν αἱ περίοδοι πρὸς τῶν ἐναργῶς φαινομένων ἐπὶ τῶν νοσούντων.

Τὴν Δρομεάδεω γυναῖκα, θυγατέρα τεκοῦσαν, καὶ τῶν ἄλλων γενομένων πάντων κατὰ λόγον, δευτεραίην ἐοῦσαν ῥῖγος ἔλαβε, πυρετὸς ὀξύς. ἤρξατο δὲ πονέειν τῇ πρώτῃ περὶ ὑποχόνδριον, ἀσώδης, φρικώδης, ἀλύουσα, καὶ τὰς ἐχομένας οὐχ ὕπνωσε, πνεῦμα ἀραιὸν, μέγα, ὑποχόνδριον αὐτίκα ἀνεσπασμένον. δευτέρῃ ἀφ᾽ ἧς ἐῤῥίγωσεν ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν, οὖρα παχέα, λευκὰ, θολερὰ οἷα γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ κείμενα χρόνον πολὺν, οὐ καθίστατο, νύκτα οὐκ ἐκοιμήθη. τρίτῃ περὶ μέσον ἡμέρης ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, οὖρα ὅμοια, ὑποχονδρίου πόνος, ἀσώδης, νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, ἵδρωσε δι᾽ ὅλου ψυχρῷ. ταχὺ δὲ πάλιν ἀνεθερμάνθη, δ΄. περὶ μὲν ὑποχόνδριον σμικρὸν ἐκουφίσθη. κεφαλῆς δὲ βάρος μετ᾽ ὀδύνης, ὑπεκαρώθη, σμικρὰ ἀπὸ ῥινῶν ἔσταξεν, γλῶσσα ἐπίξηρος, διψώδης, οὖρα σμικρὰ, λεπτὰ, ἐλαιώδεα, σμικρὰ ἐκοιμήθη. πέμπτῃ διψώδης, ἀσώδης, οὖρα ὅμοια, ἀπὸ κοιλίης οὐδὲν, περὶ μέσης ἡμέρης, πολλὰ παρέκρουσε, καὶ πάλιν ταχὺ σμικρὰ κατενόει, ἀνισταμένη, ἐπεκαρώθη, ψύξις μικρὰ, νυκτὸς ἐκοιμήθη, παρέκρουσε, ς΄. πρωῒ ἐπεῤῥίγωσε, διεθερμάνθη, ἵδρωσε δι᾽ ὅλου, ἄκρεα ψυχρὰ, παρέκρουσε, πνεῦμα μέγα, ἀραιὸν, μετ᾽ ὀλίγον, σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξαντο, ταχὺ ἀπέθανεν.

Αὕτη κατὰ μὲν τὴν α΄. ἡμέραν εὐθέως ἀπεφαίνετο νοσεῖν ὀξέως. ἐπὶ δὲ τῆς β΄. ἡμέρας οἷς εἴρηκε συμπτώμασι, τῶν ἐν τοῖς οὔροις σημείων προσγενομένων, εἰκότως αὖτις αὐτὴν προσεδόκησεν τεθνήξεσθαι διὰ ταχέων. μοχθηρὰ γὰρ ἱκανῶς, ἀνατεταραγμένα μὲν οὖρα, καθιστάμενα δὲ μηδ᾽ ὅλως, ἀλλὰ καὶ τῇ γ΄. τῶν ἡμερῶν τὰ οὖρα, καὶ τὰ συμπτώματα πάντα διέμεινε τὴν προσδοκίαν βεβαιοῦντα τοῦ θανάτου. τετάρτης δὲ στάξεως ἐκ ῥινῶν προσγενομένης, καὶ τῶν οὔρων ἐλαιωδῶν φανέντων, εὐλόγως ἀπέθανεν ἑκταία. πάλιν δὲ κἀπὶ ταύτης πνεῦμα μέγα, καὶ ἀραιὸν εἶπε γενέσθαι, παραφρονήσειν φησὶν αὐτήν.

Ἄνθρω-

Ἄνθρωπος θερμαινόμενος ἐδείπνησεν καὶ ἔπιε πλέον, ἤμεσε πάντα, νύκτα πυρετὸς ὀξὺς, ὑποχονδρίου δεξιοῦ πόνος, φλεγμονὴ, ὑπολάπαρος ἐκ τοῦ ἔσω μέρους, νύκτα δυσφόρως. οὖρα δὲ κατ᾽ ἀρχὰς ἐρυθρὰ, πάχος ἔχοντα, κείμενα οὐ καθίστατο, γλῶσσα ἐπίξηρος, οὐ λίην διψώδης. δ. πυρετὸς ὀξὺς, πόνοι πάντων. ε. οὔρησεν λεῖον, ἐλαιῶδες, πολὺ, πυρετὸς ὀξὺς. ϛ. δείλης πολλὰ παρέκρουσεν, οὐδὲ νύκτα ἐκοιμήθη. ζ. πάντα παρωξύνθη, οὖρα ὅμοια, λόγοι πολλοὶ, κατέχειν οὐκ ἐδύνατο. ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ ὑγρὰ, ταραχώδεα διῆλθε μετὰ ἑλμίνθων, νύκτα ἐπιπόνως, πρωῒ δ᾽ ἐρρί-
10 γωσε, πυρετὸς ὀξὺς, ἵδρωσε † πολλῷ. ἄπυρος ἔδοξε γενέσθαι, οὐ πολὺ ἐκοιμήθη, ἐξ † θερμῷ
ὕπνου ψύξις, πτυαλισμὸς, δείλης πολλὰ παρέκρουσε, μετ᾽ ὀλίγον δ᾽ ἤμεσεν μέλανα, ὀλίγα, χολώδεα. θ. ψύξις, παρελήρει πολλὰ, οὐχ ὕπνωσε. ι. σκέλεα ἐπωδύνως, πάντα παρωξύνθη, παρελήρει, ια. ἀπέθανεν.

Ἡ διήγησις αὕτη πρῶτον μὲν ἡμᾶς ἐδίδαξε δυνατὸν προσέχειν εὐθέως ἐξ ἀρχῆς εἰσβαλλόντων τῶν νοσημάτων, καὶ μὴ καταφρονοῦντας ἀφυλάκτως διαιτᾶσθαι, κἂν μικρὰ φαίνηται τὰ νοσήματα. νῦν γοῦν δειπνήσας ἀκαίρως ὁ ἄνθρωπος ἐν ἀρχῇ τοῦ πυρετοῦ μικροῦ δοκοῦντος ὑπάρχειν. ἐνεδείξατο γὰρ τοῦτο διὰ τοῦ θερμαινόμενος ὀνόματος, ἐβλάβη δηλονότι κἀξ αὐτοῦ τοῦ ἀκαίρως προσενέγκασθαι τροφῆς. ἀλλὰ καὶ ἔπιε φησὶ πλέον, οὐκ εἰδὼς ἀρχὴν οὖσαν μεγάλου νοσήματος, εἰκότως οὖν ἤμεσεν μὲν ταῦτα. ὁ πυρετὸς δὲ ὀξὺς ἅμα συμπτώμασιν οὐκ εὐκαταφρονή-
20 τοις ἐγένετο, ἀλλὰ καὶ ἀφορήτοις, καὶ οὖρα παχέα μὴ καθιστάμενα. κατὰ δὲ ε. ἐφάνη σαφῶς ὅτι τεθνήξεται, τῶν ἐλαιωδῶν οὔρων ἐκκριθέντων ἐπὶ τοῖς προειρημένοις συμπτώμασιν, ἃ καὶ κατὰ τὴν ζ. ἡμέραν ὁμοίως οὐρηθῆναι φησίν. ἀπέθανε δὲ καὶ οὗτος ἐν ἡμέρᾳ κρισίμῳ τῇ ια.

Γυναῖκα ἣ κατέκειτο ἐν ἀκτῇ Φιλίνου τρεῖς ἑωυτὴν ἔχουσα, πῦρ ἔλαβεν, αὐτίκα δ᾽ ἤρξατο πονέειν ὀσφύν. τρίτῃ πόνος τραχήλου καὶ κεφαλῆς κατὰ κληῖδα, χεῖρα δεξιὴν, διὰ ταχέων δὲ γλῶσσα ἠφώνει, δεξιὴ χεὶρ παρέθη μετὰ σπασμοῦ παραπληκτικὸν τρόπον, παρελήρει πάντα, νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, κοιλίη ἐπεταράχθη χολώδεσιν, ὀλίγοισιν, ἀκρήτοισιν, δ. γλῶσσα φωνῆς ἐλύθη, σπασμὸς τῶν αὐτῶν, πόνοι
30 πάντων παρέμενον, καθ᾽ ὑποχόνδριον ἔπαρμα σὺν ὀδύνῃ, οὐκ ἐκοιμᾶτο, παρέκρουσε πάντα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ οὐκ εὔχροα. πέμπτῃ πυρετὸς ὀξὺς, ὑποχονδρίου πόνος, παρέκρουσε πάντα, διαχωρήματα χολώδεα, ἐς νύκτα ἵδρωσε, ἄπυρος ϛ. κατενόει, πάντων ἐκουφίσθη, περὶ δὲ κληῖδα ἀριστερὸν πόνος παρέμενε, διψώδης, οὖρα λεπτὰ, οὐκ ἐκοιμήθη. ζ. τρόμος, ὑπεκαρώθη, μικρὰ παρέκρουσε, ἀλγήματα κατὰ κληῖδα, καὶ βραχίονα ἀριστερὸν παρέμενε. τὰ δ᾽ ἄλλα διεκουφίσθη, πάντα κατενόει, τρεῖς δὲ διέμενεν ἄπυρος. ἐνδεκάτῃ ὑπέστρεψεν, ἐπερρίγωσε, πῦρ ἔλαβε. περὶ δὲ ιδ. ἤμεσε χολώδεα, ξανθὰ, ὑπόσυχνα, ἵδρωσεν, ἄπυρος, ἐκρίθη οὐκ ἀνάλγητος ἐκ τῶν
40 αὐτῶν παθημάτων.

Ἐσώθη μὲν ἡ αὐτὴ, εἰ καὶ ἰσχυρὰ εἴρηκεν ἅπαντα νοσήματα, ἔτι σφαλερώτερα, καὶ θαυμάζω γ᾽ ὅπως οὐδὲν ἔγραψε περὶ τῆς ἡλικίας αὐτῆς. καὶ μὴν μεμνῆσθαι προσήκει τῶν εἰρημένων ἕνεκα τοῦ γινώσκειν ἐν τῷ σπανίῳ διασωζομένας τινὰς ἐγκύμονας, ἐκ τοιούτων νοσημάτων, ἄνευ διαφθορᾶς τῶν ἐμβρύων. ἔτι δὲ κἀκεῖνο μεμνῆσθαι προσήκει τοῦ τριῶν καὶ τεσσάρων μηνῶν δυσπαθέστατον τῶν ἄλλων εἶναι, καὶ τοῦτο γινώσκων αὐτὸς ἐν ἀφορισμοῖς εἶπε, τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρις ἑπτὰ μηνῶν, ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ τὰ πρεσβύτερα εὐλαβέεσθαι δεῖ. τοῖς μὲν οὖν παιδίοις, οἵ τε δεσμοὶ καθ᾽ οὓς τῇ μήτρᾳ συμπεφύκασιν ἀσθενεῖς εἰσι, καὶ τὸ σύμπαν σῶμα μαλακόν. τοῖς δὲ τῆς ἀποκυήσεως ἐγγὺς μεγάλοις οὖσι, πολλοῖς δέονται τροφῆς, ἧς ἀποροῦντα, πολλάκις ἐν τοῖς ὀξέσι νοσήμασιν διαφθείρεται. διὸ καὶ χαλεπώτατον ἐστὶ καλῶς διαιτηθῆναι νοσοῦσαν ὀξέως, εἰ με-
50 τὰ τοῦ ἐμβρύου ἦ. εἰ μὲν γὰρ ὡς τὰς ἀκύμονας ἐνδεῶς τρέφοις, διαφθείρεται τὸ κυούμενον. εἰ δ᾽ ἐκείνου στοχαζόμενος ἐκτενέστερον προσφέροις αὐτῇ, κίνδυνος ἀποβάλλεσθαι τῇ κυούσῃ, διὰ ταῦτα μὲν τὰ τρίμηνα, καὶ τετράμηνα μᾶλλον διασώζονται τῶν ἄλλων. τῇ δ᾽ οὖν νῦν προκειμένῃ κατὰ τὸν λόγον γυναικὶ, καὶ τῶν οὔρων λευκῶν, καὶ οὐκ ἀχρόων ὄντων, ὅμως ἐγένετο σωθῆναι διὰ ῥώμην φύσεως, ἥτις ἐν νυκτὶ δι᾽ ἱδρώτων ἔπαυσε τὸν πυρετὸν, οὐ μὴν βέβαιόν γε δυνατὸν ἦν γενέσθαι νόσημα κατὰ τὰς ἑξῆς ἡμέρας, ἄχρι τῆς ια. ἐν ᾗ πάλιν μετὰ ῥίγους ὑποστρέψασα, διὰ ἐμέτου καὶ ἱδρῶτος ἐκρίθη τελέως. ἐν γὰρ ταῖς ἀπὸ τῆς ε. ἄχρι τῆς ια. τὰ γενόμενα συμπτώματα τοῦ νευρώδους ἦν γένους, οὐ τοῦ φλεβώδους, ἢ ἀρτηριώδους. ἐν γοῦν τῇ ζ. φησὶ τρόμος, ὑπεκαρώθη, σμικρὰ παρέκρουσε. τὰ δέ γε κατὰ τὰς φλέβας, ἐπὶ τὸ βέλτιον ἦν πεπτόμενα μετὰ τὴν ἐν τῇ ε. κρίσιν. ἐπὶ γοῦν τῆς ϛ. ἔγραψεν οὖρα λεπτὰ, καὶ προσθεὶς, ὡς οὐκ εὔχροα, καὶ τούτων χρὴ μεμνῆσθαι χρήσιμον, καὶ τὸ τῆς ε. ἡμέρας, ὅπως ἀγωνιστικὰς κρίσεις ὑποφέρει. καὶ γὰρ ὀλίγον

ἔμπροσθεν, ἄλλον ἄῤῥωστον ἐκεῖνε διὰ αἱμοῤῥαγίας, καὶ νῦν δι᾽ ἱδρῶτος τὴν προκειμένην ἐν τῷ λόγῳ γυναῖκα, καίτοι τοῦ νοσήματος ἀμφοτέροις ἀπέπτου κατ᾽ ἐκείνην τὴν ἡμέραν ὄντος, διὸ μηδὲ τελέαν ἐποιήσατο τὴν κρίσιν.

Μελιδίην ἣ κατέκειτο παρὰ ἥρης ἱερὸν, ἤρξατο κεφαλῆς καὶ ῥάχιος, καὶ στήθεος πόνος ἰσχυρὸς, αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβε, γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο, πόνοι τούτων ἁπάντων ξυνεχέες. ϛ. κωματώδης, ἀσώδης, φρικώδης, ἐρύθημα ἐπὶ γνάθων, σμικρὰ παρέκρουσε. ζ. ἵδρωσε, πυρετὸς διέλειπεν, οἱ πόνοι παρέμενον ὑπέστρεψεν, ὕπνοι σμικροὶ, οὖρα διὰ τέλεος εὔχροα μὲν, λεπτὰ δὲ, διαχωρήματα χολώδεα, δακνώδεα, κάρτα ὀλίγα, μέλανα †δυσώδεα διῆλθε. οὔροισιν ὑπόστασις λευκὴ, λείη, ἵδρωσεν, ἐκρίθη τελέως ια.

†λευκώδεα

Καὶ περὶ ταύτης ἐν ἀρχῇ μὲν ἔγραψε τὴν ἰδέαν τῶν οὔρων, ἐπὶ δὲ τῷ τέλει τῆς διηγήσεως ἔφη. οὖρα διὰ τέλεος, εὔχροα μὲν, λεπτὰ δέ. τὰ μὲν γὰρ ἀκριβῶς λεπτὰ, τὴν κατὰ φύσιν ἔχειν εὐχροιαν οὐ δύναται. μετρίως μὲν γὰρ ὄντα ἐστὶν ὠχρὰ τὰ εὔχροα. λευκὰ δὲ, τὰ τελέως λεπτὰ, καθόλου δὲ ἐγχωρεῖ συνελθεῖν, εὐχροίαν οὔρων λεπτότητι, κατὰ τοσοῦτον χρὴ ἀκούειν λέγοντα αὐτὸν, οὖρα διὰ τέλεος, εὔχροα μὲν γενέσθαι, λεπτὰ δέ. φαίνεται δὲ καὶ αὕτη ἡ γυνὴ διὰ τὴν ἰσχὺν τῆς φύσεως σωθῆναι.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ, ΥΠΟΜΝΗΜΑ α.

Πυθίων ὃς ᾤκει παρὰ γῆς ἱερόν.

Προγεγράφθαι νοήσας αὐτὸ καθ᾽ ἑαυτὸ, Πυθίων ὃς ᾤκει παρὰ γῆς ἱερὸν, ἐπ᾽ ἄλλης ἀρχῆς τῶν γενομένων αὐτῷ τὴν διήγησιν ἀναγίνωσκε. βέλτιον γὰρ οὕτως ἡγεῖσθαι γεγράφθαι τὴν ῥῆσιν, ἢ τὸ σχῆμα σόλοικον ἐξ ἐπιτηδεύσεως εὐθέως ἐν ἀρχῇ πεποιῆσθαι τὸν Ἱπποκράτην, μηδὲν ἄλλο τοιοῦτον σχῆμα καθ᾽ ὅλον τὸ βιβλίον γράψαντα, μήτ᾽ ἐν τῇ τῶν ἀῤῥώστων, μήτ᾽ ἐν τῇ τοῦ λοιμοῦ διηγήσει. τινὲς μέντοι κατὰ δοτικὴν πτῶσιν ἔγραψαν, Πυθίωνι ὃς ᾤκει παρὰ γῆς ἱερὸν, ἐκφυγεῖν τὴν περὶ τοῦ σολοικισμοῦ ζήτησιν βουλόμενοι.

Ἤρξατο τρόμος ἀπὸ χειρῶν τῇ πρώτῃ, πυρετὸς ὀξὺς, λῆρος.

Τῇ πρώτῃ τῶν ἡμερῶν εὐθὺς ἅμα τῷ πυρέττειν ὀξέως δύο συμπτώματα γίνεσθαι φησὶ τῷ Πυθίωνι, τρόμον τῶν χειρῶν, παραφροσύνην τέ τινα βραχεῖαν. εἴωθε γὰρ αὐτὸς ἄλλοτε ἄλλοις ὀνόμασιν ἐνδείκνυσθαι τὸ ποσὸν τῆς παραφροσύνης, ληρῆσαι καὶ παραληρῆσαι, καὶ παραφρονῆσαι, καὶ παρενεχθῆναι λέγων, ἢ πάλιν παρακόψαι καὶ ἐκστῆναι, μανῆναί τε καὶ ἐκμανῆναι. εἴπερ οὖν ἐλήρησεν ὁ Πυθίων, εὔδηλον ὅτι μετρίως παρεφρόνησεν. ἐμάθομεν δὲ τοῦ μὲν τρόμου τὴν αἰτίαν ἀῤῥωστίαν εἶναι τῆς κατὰ τοὺς μῦς δυνάμεως. παραφροσύνην δὲ γίνεσθαι, βλαβέντος ἐγκεφάλου κατὰ φλεγμονὴν, ἢ πλεονεξίαν χολώδους χυμοῦ. τὸν δ᾽ ὀξὺν πυρετὸν ἕπεσθαι σηπεδόσι χυμῶν. εἰ μὲν οὖν καὶ τὰ προηγησάμενα τῆς νόσου καθάπερ ἐπ᾽ ἄλλων ἔγραψεν, οὕτω κἀπὶ τοῦ Πυθίωνος ἐγεγράφει, τάχα ἂν ἐξ ἐκείνων ἂν ἡμῖν ἔνδειξις τις ἐγένετο τῆς κατασκευῆς τοῦ νοσήματος. ἐπεὶ δ᾽ οὐ προσέθηκεν ἐξ ὧν προσέγραψεν μόνων, καὶ ἡμεῖς πειρασόμεθα τὴν εὕρεσιν αὐτῆς ποιήσασθαι, σὺν τῷ κἀξ αὐτοῦ τοῦ μηδὲν γράψαι περὶ τῶν προηγησαμένων τῆς νόσου, γίνεσθαι τὴν ἔνδειξιν τῆς ἐν τῷ σώματι διαθέσεως. εἴτε γὰρ ἐκ γυμνασίων ἀκαίρων, ἢ πότων, ἢ ἀφροδισίων ὡς εἴωθε γράφειν, εἴτ᾽ ἐξ ἄλλου τινὸς ἐξηλλαγμένου πολὺ τῆς συνήθους διαίτης, ἤρξατο πυρέττειν ὁ Πυθίων, οὐκ ἂν εἰπεῖν αὐτὸν παρέλειπεν. εὔδηλον οὖν ὅτι κατὰ †βραχὺν χρόνον λεληθότος ἡ κατασκευὴ τοῦ νοσήματος ἐγένετο. τῶν τοίνυν τρόμων τὴν μὲν ὡς ἂν εἴποι τις αἰτίαν ἐχόντων συνεκτικὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ἀῤῥωστούσης δ᾽ αὐτῆς, ἤτοι κατὰ τὸν ἴδιον λόγον, ἢ διὰ πλῆθος βαρυνομένης. ὁ μὲν τῇ βλάβῃ τῆς δυνάμεως ἑπόμενος τρόμος, οὐδέποτ᾽ ἐν ἀρχῇ νόσου γίνεται χωρὶς ἰσχυρᾶς νοσήσεως, ἢ λιμοῦ καὶ κόπων, ἀγρυπνιῶν τε καὶ φροντίδων, ἔτι τε πρὸς τούτοις ἀφροδισίων ἀμέτρων, ὧν εἴπερ ἐγένετό τι, πάντως ἂν ὁ Ἱπποκράτης ἐμνημόνευσεν αὐτοῦ, κατὰ τὴν γραφὴν ὡς εἴωθε. ἐπεὶ τοίνυν οὐδὲν ἔγραψεν τοιοῦτον διὰ πλῆθος ὑπολαβεῖν, εὔλογόν ἐστι βαρύνεσθαι τὴν δύναμιν. ἐπεὶ δ᾽ οἵ τε τρόμοι περὶ τὰς χεῖρας ἐγένοντο τὴν ἀρχὴν τῶν νεύρων ἐκ τοῦ κατὰ τὸν τράχηλον ἐχούσων νωτιαίου, ἔκ τε τοῦ ληρῆσαι τὸν ἄνθρωπον, ἔνδειξίς ἐστι τοῦ καὶ τὸν ἐγκέφαλον αὐτὸν ἤδη τινὰ δέχεσθαι μοχθηρὸν χυμόν. ἐχρῆν ἐννοήσαντα τὸν Ἱπποκράτην κινδυνωδῶς ἔχειν τὸν ἄνθρωπον ἐπὶ φλεβοτομίαν ἐλθεῖν, ἤτοι κατὰ τὴν πρώτην ἡμέραν, εἰ μηδὲν ἄπεπτον ἐν τῇ γαστρὶ περιείχετο σιτίον, ἢ πάντως γε κατὰ τὴν δευτέραν. ἔτι δὲ μᾶλλον ὅτι μετὰ τὴν τῆς πρώτης ἡμέρας διήγησιν αὐτὸς ἔγραψε.

†πολλῷ

Δευτέρῃ πάντα παρωξύνθη.

Φαίνεται γὰρ αὐξανόμενον ὡς οὐ σμικρὸν οὐδ᾽ ἐπὶ τῇ τυχούσῃ διαθέσει τὸ νόσημα γεγονὸς, ἀλλ᾽ αὐτό τε μέγα καὶ τὴν αἰτίαν οὐκ εὐκαταφρόνητον ἔχον. ἐπεὶ δ᾽ οὐκ ἐπὶ Πυθίωνος μόνου, ἀλλὰ καὶ πολλῶν ἄλλων ἀῤῥώστων φαινομένων δεῖσθαι φλεβοτομίας, ἐξ ὧν αὐτὸς ἔγραψε τεκμαιρομένοις ἡμῖν, οὐχ εὑρίσκεται προσγράφων αὐτὴν, ἀναγκαῖον ἐστὶ δυοῖν θάτερον ὑπονοεῖν, ἢ μὴ φλεβοτομηθῆναι τοὺς ἀνθρώπους ἐκείνους, ἢ παραλελεῖφθαι τὴν διήγησιν τοῦ βοηθήματος. τὸ μὲν οὖν μηδένα τῶν δεηθέντων αὐτοῦ φλεβοτομηθῆναι, τῶν ἀπιθάνων ἐστὶν, ὡς στέργοντος ἀνδρὸς τὸ βοήθημα τοῦτο, καθάπερ ἐν τοῖς γνησιωτάτοις ἐδήλωσε βιβλίοις, ἀφορισμοῖς τε καὶ τῷ περὶ διαίτης ὀξέων, καὶ τῷ περὶ ἄρθρων, ἐν αὐτῷ τε τούτῳ τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐπί τινος ἀῤῥώστου γράψας. ὀγδόῃ ἀγκῶνα ἔτεμον, ἐῤῥύη πολὺ ὡς ἔδει. ὅπου γὰρ ὀγδοαῖον αὐτὸν ἐφλεβοτόμησε, πολὺ δήπου μᾶλλον ἐν ταῖς προειρημέναις ἡμέραις εὔδηλός ἐστι

χρώμενος

χρώμενος τῷ βοηθήματι. τότε μὴ γράψαι καθ' ἕκαστον ἄῤῥωστον ἐφ' ὧν προσήχθη τὸ βοήθημα, τῶν ἐκ μικροτέρων αὐτοῦ μνημονεύοντα, μέχρι καὶ βαλανείου προσθέσεως ἀπίθανόν ἐστιν. εἰ τοίνυν ἄτοπον τῶν λόγων καθ' ἑκάτερον ὄντος, ἑλέσθαι χρὴ τὸ ἧττον ἄτοπον, ἡγοῦμαι παραλελεῖφθαι μὲν καὶ ἐπὶ πολλῶν τὸ βοήθημα, παραλελεῖφθαι δ' ὡς σαφὲς ἐν τῇ διηγήσει. καί με προσάγει τούτῳ μάλιστα τὸ προγεγραμμένον ἐπὶ τῶν φλεβοτομηθέντας ὀγδοαίους. φαίνεται γὰρ ὡς σπανίως μὲν τοῦτο γράψας, ὡς συνήθες δὲ τὸ περὶ τῆς ὀγδόης παραλιπών. εἰ γὰρ ἔν γε τοῖς γνησίοις συγγράμμασιν ἐπὶ τῶν μεγάλων νοσημάτων ἀεὶ χρῆται τῇ φλεβοτομίᾳ, συνεπιβλέπων αὐτῇ δύο ταῦτα μόνα, τήν θ' ἡλικίαν καὶ τὴν δύναμιν τοῦ κάμνοντος, ἔν τε τούτοις αὐτοῖς τῶν ἐπιδημιῶν ὀγδοαῖον τινὰ φλεβοτομηθῆναι φησί, οὐδὲν ἄλλο δυνατὸν ὑπονοεῖν ἐστιν ἢ ὅτι παρελείφθη μὲν ἐπὶ τῶν καμνόντων τὸ βοήθημα, παρελείφθη δ' ὡς σαφὲς ἐν τῇ διηγήσει. περὶ μὲν δὴ τῆς φλεβοτομίας ἐπεὶ κοινὸς ὁ λόγος ἁπάντων τῶν ἀῤῥώστων ἐστὶν ἅπαξ ἀρκέσει λελέχθαι, καθάπερ καὶ τἄλλα ὅσα κοινά. περὶ δὲ τῶν ἰδίων καθ' ἕκαστον ἡ ἐξήγησις ἔσται, τὴν ἀρχὴν ἀπὸ τοῦ Πυθίωνος ὡς ἔνεστι ποιησαμένοις ἡμῖν.

Τρίτῃ τὰ αὐτά. τετάρτῃ ἀπὸ κοιλίης ὀλίγα ἄκρητα, χολώδεα διῆλθε. πέμπτῃ πάντα παρωξύνθη, τρόμοι παρέμενον, ὕπνοι λεπτοί, κοιλίη ἔστη. ἕκτῃ πτύελα ποικίλα, ὑπέρυθρα. ἑβδόμῃ στόμα παρεσπάσθη. ὀγδόῃ πάντα παρωξύνθη, τρόμοι καὶ πάλιν παρέμενον. οὖρα δὲ κατ' ἀρχὰς μὲν καὶ μέχρι τῆς ὀγδόης λεπτά, ἄχροα, ἔχοντα ἐναιώρημα ἐπινέφελον. δεκάτῃ ἵδρωσε, πτύελα ὑποπέπονα, ὑπεκρίθη, οὖρα ὑπόλεπτα περὶ κρίσιν. μετὰ δὲ κρίσιν τεσσαρακοστῇ ἡμέρῃ ὕστερον, ἐμπύημα περὶ ἕδρην, καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις.

Τὰ μὲν ἄλλα τῆς ῥήσεως, συμπτωμάτων ἔχει διήγησιν καὶ τῇ λέξει καὶ τῇ διανοίᾳ σαφῆ. πολλάκις γὰρ εἴωθε γίνεσθαι τοῖς ὀξέως νοσοῦσι, καὶ μεμαθήκαμεν αὐτῶν τὰς δυνάμεις κατὰ τὸ προγνωστικόν, καὶ τὸ πρῶτον αὐτῶν τούτων τῶν ἐπιδημιῶν. εἴρηται δ' οὐκ ὀλίγα κἀν τῷ δευτέρῳ χρήσιμα πρὸς τὴν ἐπὶ τῶν ἀῤῥώστων ἐξήγησιν. ἐπεὶ δὲ τῆς κατὰ τὴν ἕκτην ἡμέραν διηγήσεως εἰπὼν πτύελα ποικίλα ὑπέρυθρα, μὴ προσθεὶς δὲ μήτε πλευριτικὸν τὸν Πυθίωνα, μήτε περιπνευμονικὸν γεγονέναι, ζήτησιν ἡμῖν ὑπελείπετο, πότερον καὶ ἄλλως δύναται γίνεσθαι τοιαῦτα πτύσματα τοῖς νοσοῦσιν ὀξέως, ἢ μόνοις τοῖς περιπνευμονικοῖς καὶ πλευριτικοῖς. φαίνεται καὶ ἄλλως ἡγοῦμαι γίνεσθαι τοιαῦτα, ῥυέντων μὲν εἰς τὸν πνεύμονα χυμῶν μοχθηρῶν, ἀλλ' ὀλίγων παντάπασιν, ὡς μὴ φλεγμῆναι τὸ σπλάγχνον. ὅτι μὲν γὰρ οὐκ ἦν οὔτε πλευριτικός, οὔτε περιπνευμονικός, εὔδηλόν ἐστιν ἐκ τοῦ μὴ μνημονεῦσαι τὸν Ἱπποκράτην, μήτ' ὀνόμασι τῶν παθῶν τούτων, ἀλλὰ μήδ' ἀπό τινος ἀχωρίστου συμπτώματος. εἰρήκει γὰρ ἂν ἢ πλευρᾶς ὀδύνην, ἢ δύσπνοιαν. οὐ μὴν οὐδ' ἀπὸ κεφαλῆς πεπονθυίας ὤφθη ποτὲ τοιαῦτα πτυσθέντα. μετὰ μέντοι βηχὸς καὶ δυσπνοίας καὶ πλευρᾶς ἀλγήματος, ὁρᾶται ποτὲ τοιαῦτα πτύσματα. καί τινας δύο καὶ χωρὶς πυρετοῦ τοιούτων πτυσθέντων χρώματα εἶδον, ὠχρῶν μετὰ βηχὸς ὄντων. ἀλλὰ τῷ μὲν ἑτέρῳ κατὰ βραχύ, πυρετίων μικρῶν γινομένων, εἰς χρόνον ἡ διάθεσις ἐκταθεῖσα, παραμεινάντων τῶν πυρετῶν, φθινώδη τὸν ἄνθρωπον ἀπέδειξε. τῷ δ' ἑτέρῳ χωρὶς πυρετοῦ τοιούτων πτυσθέντων ἡμέραις ἐφεξῆς ὀλίγαις, οὐδὲν ἄτοπον ἠκολούθησε. εἰκὸς οὖν ἐστι κατὰ τὰ πρῶτα μέρη τοῦ θώρακος καθ' ἃ συνάπτει τοῖς ἐσχάτοις τοῦ τραχήλου σπονδύλοις, γεγονέναι τινὰ περιουσίαν οὐ πολλήν, ἐφ' ᾗ μηδὲ δύσπνοιαν ἀπαντῆσαι, διὰ τὸ μὴ συντελεῖν τι σαφὲς εἰς τὴν τῆς ἀναπνοῆς ἐνέργειαν τὸ πρῶτον μεσοπλεύριον. ἐν αὐταῖς δὲ ταῖς ῥίζαις τῶν ἐπὶ τὰς χεῖρας ἀφικνουμένων νεύρων τῆς διαθέσεως γινομένης, βαρυνομένων τῶν νεύρων, τρομώδεις ἐργάσασθαι τὰς χεῖρας. ἐκ γὰρ τοῦ πρώτου μεσοπλευρίου καὶ τῶν ὑπερκειμένων δὲ σπονδύλων, τὰ τοὺς μῦς τῶν χειρῶν κινοῦντα φύεται νεῦρα. μαρτυρεῖ δὲ τούτοις, καὶ τὸ παραμεῖναι τοὺς τρόμους σὺν τοῖς πτύσμασι τοῖς ἐπιγινομένοις. ἡνίκα δ' ἐν ἐκείνοις ἐφάνη τι πέψεως σημεῖον, οὔτε τοὺς τρόμους ἔτι γίνεσθαι, καὶ παύσασθαι τὸ νόσημα, κρίσεως τῆς δι' ἱδρώτων ἐπιγινομένης. καίτοι γε ἀπέπτων ὄντων τῶν οὔρων, ὅμως ἡ πέψις ἐκείνη τῶν ἀναπτυομένων καὶ ἤνεγκε τὴν κρίσιν, ὡς ἑκάτερον τῶν σημείων ὃ πέφυκε δηλοῦν μὴ διαψεύσασθαι. διττῆς γὰρ διαθέσεως τῷ νοσοῦντι γινομένης, μιᾶς μὲν τῆς πυρετώδους, ἐπὶ τοῖς ἐν ταῖς φλεψὶ χυμοῖς, ἑτέρας δὲ τῆς εἰρημένης ἄρτι κατὰ τὸν θώρακα, τὴν μὲν προτέραν συνέβη μὴ παύσασθαι τελέως ἱδρῶσιν, ὡς ἂν ἔτ' ἄπεπτον οὖσαν, παύσασθαι δὲ τὴν ἑτέραν, τῷ μηδὲν δ' ὅλως ὑπολειφθῆναι τοῖς περὶ τὸν θώρακα. γράφει γοῦν αὐτὸς οὕτως. δεκάτῃ ἵδρωσε, πτύελα ὑποπέπονα, ἐκρίθη, οὖρα ὑπόλεπτα περὶ κρίσιν. ἐνδεικνύμενος ἃ κατὰ τὸ προγνωστικὸν ἔγραψε περὶ τῶν λεπτῶν οὔρων ὄντων διττῶν, πρῶτα μὲν τάδε. ἐς τ' ἂν πυῤῥόν τε ᾖ τὸ οὖρον καὶ λεπτόν, ἄπεπτον εἶναι τὸ νόσημα. δεύτερα δὲ τάδε. ὅσοισι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολλὸν χρόνον, ἢν καὶ τὰ ἄλλα ὡς περιεσομένοισιν ᾖ σημεῖα, τούτοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι εἰς τὰ κάτω τῶν φρενῶν χωρία. διὰ τοῦτο οὖν ἐπὶ τῇ τελευτῇ τῶν συμβάντων τῷ Πυθίωνι κατὰ λέξιν οὕτως ἔγραψε. μετὰ δὲ κρίσιν τεσσαρακοστῇ ἡμέρῃ ὕστερον ἐμπύημα περὶ ἕδρην, καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις. ἐπεὶ δὲ καὶ τρόμου χειρῶν καὶ λέγου κατὰ τὴν πρώτην εὐθέως ἡμέραν ἐμνημόνευσε καὶ κατὰ τὰς ἑξῆς ἔγραψε, πάντα παρωξύνθη. κατὰ δὲ τὴν ζ'. ἡμέραν προσέθηκε, στόμα παρεσπάσθη, διορίσασθαι χρή, πότερον αὐξανομένης τῆς περὶ τὸν ἐγκέφαλον κακώσεως, ἢ μεθισταμένης κάτω, τὸ στόμα κατεσπάσθη. φαίνεται δ' ἐκ τῶν ἐφεξῆς εἰρημένων, μετάστασις εἰς τὰ κάτω χωρία μᾶλλον, οὐ συμπάθεια πρὸς τὸν ἐγκέφαλον αὐτοῖς γεγονέναι, τάχα μὲν φλεβοτομηθέντος τἀνθρώπου καὶ διὰ τοῦτο μεγάλως ὠφεληθέντος. ἀλλὰ καὶ κατὰ τὰς πρώτας ἡμέρας οὐδ' ἐπὶ τῶν πτυσμάτων οὐδὲ μικρὸν ἐφαίνετο τῆς ἐν τῇ πλευρᾷ διαθέσεως, οὐ διὰ τὴν κακοήθειαν αὐτῆς. ἴσμεν γὰρ ὅτι χαλεπώταται περιπνευμονίαι τε καὶ πλευρίτιδές εἰσιν αἱ ἄπτυστοι, καθότι καὶ αὐτὸς Ἱπποκράτης ἐδίδαξεν. ἀλλὰ νῦν οὐ διὰ χαλεπότητα νομιστέον, ἐν ταῖς πρώταις ἡμέραις πτυσθῆναι μηδέν, ἀλλὰ διότι περὶ τὸ πρῶτον μεσοπλεύριον μόνον ἡ διάθεσις ἦν. εἰ δὲ καὶ χαλεπὴ καὶ κατὰ τοῦτο μόνον ἐγεγόνει, καὶ διὰ τοῦτο οὐδὲν ἐπτύετο, τῷ γοῦν τῆς φλεβοτομίας βοηθήματι δυνατόν ἐστι αὐτίκα παυσθέντων τῶν ἐνταῦθα πλεονε-

κενούντων χυμῶν, ἀρχὴν πέψεως γεγονέναι τῇ διαθέσει κατὰ τὴν ἕκτην ἡμέραν, ἐν ᾗ πρῶτον ἐμνημόνευσε τῶν πτυσμάτων. ὃ δὲ περὶ τῆς δεκάτης ἡμέρας ἀνεβαλλόμην ἐρεῖν, οὐκ ἔστι τοῦτο, ὅτι ἐν τοῖς τῶν ἐπιδημιῶν τούτοις βιβλίοις ἐκείνη τις βέβαιος δεκαταῖος, ὅτι αὐτὸς ἀπεφήνατο περὶ τὴν δεκάτην ἡμέραν εἶναι κρίσιμον, ὥσπερ τὴν ἑνδεκάτην εἴρηκεν οὐκ ὀλιγάκις. ἔχεις δὲ τὰς ῥήσεις αὐτοῦ πάσας ἠθροισμένας ἐν τοῖς περὶ τῶν κρισίμων ἡμερῶν ὑπομνήμασιν, ἔνθα καὶ τεσσαρακοστὴ δείκνυται κρίνουσα τὰς νόσους, οὐχ ἡ τεσσαρακοστὴ δευτέρα, καθάπερ ᾠήθησαν ἔνιοι τῶν ὁλοκλήροις ἑβδομάσι τὰς περιόδους γίνεσθαι τῶν κρισίμων ἡμερῶν ὑπολαβόντων. εἰ δὲ διὰ μόνον τοῦτό τις ἡγεῖται τὸ νόσημα μὴ τελέως κεκρίσθαι, διότι δεκαταῖος ἵδρωσεν, οὐχ ἑνδεκαταῖος ὁ Πυθίων, οὐκ ὀρθῶς γινώσκει. τὸ γὰρ ἐλλιπὲς τῆς κρίσεως, ἐκ τοῦ μηδέπω πεπέφθαι τὴν νόσον ἀναγκαῖον γίνεσθαι. πολλοὺς γοῦν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἔγραψε, καὶ ἡμεῖς ἐθεασάμεθα κριθέντας ἐν κρισίμοις ἡμέραις ἐλλιπῶς, διὰ μόνην τὴν τῶν οὔρων ἀπεψίαν. ἀμφοτέρων δ᾽ ἀλλήλοις συνελθόντων, τοῦ τε κατὰ μὲν δεκάτην ἡμέραν ἀσθενοῦς καὶ τῆς τῶν οὔρων ἀπεψίας, εἰκὸς ἴσως μηδὲ κεκρίσθαι τὸν ἄνθρωπον, ἢ μὴ ἐπὶ καλῷ τε καὶ κρισίμῳ. τάχα οὖν ἑνδεκάτη γεγραμμένον οὐ δεκάτη, κατ᾽ ἀρχὰς εὐθέως ἡμαρτήθη, καθάπερ καὶ ἄλλα πολλὰ φαίνεται τινὰ διὰ τοὺς πρώτως ταῦτα γράψαντας ἀμεληθέντα, διαμένει μέχρι παντός. ἀλλὰ περὶ μὲν τῆς δεκάτης ἡμέρας ἱκανὰ καὶ ταῦτα. σκέψασθαι δ᾽ ἄμεινον ἐστὶ, μὴ κατὰ τὸ πάρεργον, ὁποῖόν τι τὸ ἐπινέφελον ἐναιώρημα νομιστέον ὑπάρχειν. ἐν μὲν γὰρ τῷ προγνωστικῷ γέγραπται. νεφέλαι δ᾽ ἐμφερόμεναι ἐν τοῖσιν οὔροισιν, λευκαὶ μὲν ἀγαθαὶ, μέλαιναι δὲ φαῦλαι. ὅτι οὖν οὖρον ἐπινέφελον, ὅτι ἐναιώρημα κατὰ τὸ προγνωστικὸν εἴρηται. καίτοι γ᾽ ἀκριβῶς ἅπασαν ἐν ἐκείνῳ τῷ βιβλίῳ διδάξαντος αὐτοῦ τὴν ἀπὸ τῶν οὔρων πρόγνωσιν, ἐν τοῖς ὀξέσι νοσήμασιν. οὐ μὴν οὐδὲ τῶν ἐξηγησαμένων τὸ προκείμενον βιβλίον ἐξηγήσατό τις ὁποῖον εἶναι βούλεται τὸ ἐπινέφελον οὖρον ὁ Ἱπποκράτης. ἐγὼ τοίνυν ἃ ἐμοὶ δοκεῖ ζητήσαντι περὶ αὐτοῦ λέγειν οὐκ ὀκνήσω. τὸ τῆς νεφέλης ὄνομα κατὰ μεταφορὰν, ἀπὸ τοῦ περιέχοντος ἡμᾶς ἐπὶ τῶν οὔρων εἰώθασιν οἱ ἰατροὶ λέγειν, εἴθ᾽ Ἱπποκράτους πρώτου τὴν προσηγορίαν τήνδε κατά τινος ἰδέας ἐναιωρημάτων ἢ οὔρων, εἴτε καὶ ἄλλου τινὸς αὐτοῖς θεμένου. ὥσπερ οὖν ἐν τῷ περιέχοντι, ποτὲ μὲν ζοφώδης γίνεται κατάστασις, πεπυκνωμένου νεφέλαις μελαίναις αὐτοῦ. ποτὲ δὲ ἀκριβὴς καὶ ἀνέφελος φαίνεται, καὶ διεσπασμέναι τινὲς ὁρῶνται κατ᾽ αὐτὸ νεφέλαι, καὶ λέγεται τηνικαῦτα τὸ περιέχον ἐπινέφελον, ἐν ᾧ καιρῷ κατὰ τὴν χρόαν τῶν νεφελῶν, οὔτε μέλαιναν ἀκριβῶς, οὔτε λαμπρὰν ὁρῶμεν, ἀλλ᾽ ἐν τῷ μεταξὺ τούτων. οὕτω μοι δοκεῖ καὶ οὖρον καὶ ἐναιώρημα καλεῖν ἐπινέφελον ὁ Ἱπποκράτης, ὃ μήτε λευκόν ἐστι τὴν χρόαν, μήτ᾽ ἤδη μέλαν ἀκριβῶς, ἀλλ᾽ ἐν τῷ μεταξύ. καὶ τοίνυν ὑπὸ τοῦ Πυθίωνος ὑπολαβεῖν χρὴ τοιοῦτον ἐναιώρημα γεγονέναι. λευκὸν μὲν γὰρ εἴπερ ἦν, οὐκ ἂν ἐλλιπῆ τὴν κρίσιν εἰργάσατο, καθάπερ γ᾽ εἰ καὶ μέλαν, οὐκ ἂν ἀγαθήν. ἐπεὶ δ᾽ οὖν ἦν μέσον λευκοῦ τε καὶ μέλανος, ἀγαθὴ μὲν ἐγένετο κρίσις, ἀλλ᾽ ἐλλιπής. τὸ δὲ ὑπόλοιπον κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν, εἰς ἀπόστασιν ἥκει δηλονότι, ἣν αὐτὴν οὐχ ἡγοῦνται ὀρθὴν, μᾶλλον δὲ οὐδ᾽ αὐτὴν ἐξηγοῦνται ὀρθὴν κατὰ συμπάθειαν τῆς εἰς τὴν ἕδραν ἀποστάσεως οἰόμενοι γεγονέναι τῷ Πυθίωνι τὴν στραγγουρίαν. Ἱπποκράτους αὐτοῦ ποτὲ μὲν ἁπλῶς γράφοντος γενέσθαι τὴν στραγγουρίαν, ἐνίοτε δ᾽ οὐχ ἁπλῶς, ἀλλὰ προστιθέντος αὐτῇ τὸ τῆς ἀποστάσεως ὄνομα, καθάπερ κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐν τῇ δευτέρᾳ καταστάσει. γράφει γοῦν ὧδε. „μόνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γενομένων σημείων, καὶ πλείστους ἐρρύσατο τῶν ὄντων ἐν τοῖσι μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτρέπετο, καὶ εἰς τοῦτο ἀπόστασις ἐγένετο. προσαγορεύοντος γὰρ ἀποστάσεις αὐτοῦ, καὶ τὰς κατ᾽ ἔκκρισιν τῶν λυπούντων χυμῶν γενομένας, οὐ μόνον τὰς κατὰ ἀπόθεσιν, εἰκότως, ὥσπερ εἰς δυσεντερίαν ἐν ἑτέροις, οὕτως νῦν εἰς στραγγουρίαν ἀποστάσεις εἴρηκε γεγονέναι, καθαιρομένης τῆς ἐν ταῖς φλεψὶ κακοχυμίας δι᾽ ἀμφοτέρων τῶν ἐκκρίσεων. τοῦτο γοῦν ἐν αὐτῇ τῇ δευτέρᾳ καταστάσει τῶν οὔρων ὀλίγον ἔμπροσθεν, ἧς ἄρτι παρεθέμην ῥήσεως, αὐτὸς ἔγραψεν ὧδε. „στραγγουριώδεα οὐ νεφριτικὰ, ἀλλὰ τούτοισι ἀντ᾽ ἄλλων ἄλλα. τουτέστιν ἀντὶ τῆς ἐν ταῖς φλεψὶ κακοχυμίας, καὶ τῶν ταύτῃ πυρετῶν ἀκολουθούντων αἱ καθάρσεις ἐγένοντο, τῶν μοχθηρῶν χυμῶν ἐκκρινομένων διὰ τῆς κύστεως, ὥσπερ ἐνίοτε διὰ τῶν ἐντέρων. ἡ τοίνυν δῆξις ἡ ἀπὸ τῶν ἐκκρινομένων δριμέων ὄντων, εἰργάζετο τὴν στραγγουρίαν. ἐδείχθη γὰρ ἡ κύστις ἐπὶ τὴν ἀπόκρισιν ὁρμῶσα τῶν οὔρων ἐν ταῖς στραγγουρίαις, πρὶν ἀξιολόγως ὑπ᾽ αὐτῶν πληρωθῆναι, διὰ διττὴν αἰτίαν, ἤτοι τὸ μὴ φέρειν αὐτῶν τὴν ποιότητα, καὶ δακνωδῶν γενομένων, ἢ τὸ δι᾽ ἀρρωστίαν βαρύνεσθαι πρὶν ἀθροισθῆναι, κἂν ὀλίγον παντάπασιν ᾖ. τοιαύτην οὖν ἔφη τινὰ καὶ τῷ Πυθίωνι τὴν ἀπόστασιν ἤδη γενέσθαι, μὴ γράψας ἁπλῶς οὕτως ὅτι στραγγουριώδης ἐγένετο, ἀλλὰ προσθεὶς τὸ ἀπόστασιν ἔχειν. ἀλλὰ τὰ μὲν τοιαῦτα δυοῖν θάτερον, ἢ παρατρέχουσιν, ἢ κακῶς ἐξηγοῦνται πολλοὶ τῶν ἐξηγητῶν, χρονίζουσι δ᾽ οὐκ ἀναγκαίως, ὑπὲρ ὧν ἅπαξ ἐν τῷδε διαλεχθῆναι βούλομαι. ἐγὼ μὲν ᾤμην ἄμεινον εἶναι τὰ πολλῷ χρόνῳ ζητηθέντα μοι, καὶ μετὰ κρίσεως ἀσφαλῶς εὑρεθέντα μόνα γράφειν, ἄνευ τῶν εἰς τοὺς κακῶς ἐξηγησαμένους ἐλέγχων. ἐπεὶ δ᾽ ἔνιοι μὲν διὰ τὸ μηδ᾽ ὅλως πεπαιδεῦσθαι κατὰ μηδὲν τῶν ὄντων παιδίων, ἀναγινώσκοντες ἐνίοτε παρά τισι τῶν γραψάντων ἐξηγήσεις ξένας, αὐτῷ τούτῳ μόνῳ τῷ ξένῳ συναρπασθέντες ἐπαινοῦσι. διὰ τοῦτ᾽ ᾠήθην ἄμεινον εἶναι κἂν ἅπαξ αὐτῶν που μνημονεῦσαι τῶν οὕτως ἐξηγουμένων, εἰρηκότος γε καὶ αὐτοῦ τοῦ Ἱπποκράτους. „τὸ γὰρ ξενοπρεπὲς οὔπω ξυνιέντες, μᾶλλον ἐπαινέουσιν ἢ τὸ σύνηθες, ὃ „ἤδη οἴδασιν ὅτι χρηστὸν, καὶ τὸ ἀλλόκοτον μᾶλλον, ἢ εὔδηλον. ὅπως οὖν προειδότες οἱ τοῖς ἡμετέροις ὑπομνήμασιν ἐντυγχάνοντες, ὁποῖοί τινες οἱ τρόποι τῶν μοχθηρῶν ἐξηγήσεων εἰσὶν, γνωρίζειν αὐτοὺς δύνωνται, μακρότερον ἐνταῦθα περὶ πασῶν αὐτῶν ἔγνων γράψαι. καί μοι μηδεὶς ἀχθέσθω τῷ μήκει τοῦ λόγου, μέλλων ἕξειν αὐτὸν ἀεὶ βοηθὸν εἰς τὴν τῶν φαύλων ἐξηγήσεων διάγνωσιν. ἓν μὲν οὖν εἶδος ἐστὶν αὐτῶν, ὁποῖόν τι καὶ κατὰ τὸν προκείμενον ἄρρωστον ἐποιήσαντό τινες, ὧν ἐνίους παραγράψω τὴν ῥῆσιν αὐτοῖς ὀνόμασιν, ἵνα μή τις οἰηθῇ με καταψεύδεσθαι τἀνδρός. „τὸ μέντοι τῆς γῆς ἱερὸν μή ποτε ὑπὲρ τοῦ δεῖξαι τὴν αἰτίαν ἀφ᾽ ἧς τρόμος τῶν χειρῶν, καὶ τὸ νοσεῖν αὐτῷ ἐγένετο. ὡς τῇ διὰ τὴν ἐποχὴν τῶν ἐπιμηνίων γενομένην, ὡς εἰκὸς διὰ τὴν τοῦ μορίου ἀργίαν. καὶ πάλιν ἐν τῷ ἕκτῳ ἱστορεῖ, ἀνδρὸς ἀποδήμου γενομένου, ἀργησαμένην τῷ μορίῳ τὴν γυναῖκα, ἀναληφθέντων τῶν ἐπιμηνίων εἰς τὸ σῶμα φῦσαι πώγωνα. καί τι γὰρ ἄλλο, ἢ ἀνδρωθῆναι τὴν γυναῖκα; οὕτως οὖν καὶ Πυθίων ἀπεχόμενος συνουσίας, διὰ τὴν περὶ

μόνον

μόνον ἐπιμέλειαν τὴν ἱερὴν νόσον ὑπομένει. αὕτη μὲν ἐνίων τῶν ἐξηγητῶν ἡ εὕρεσις, ἑαυτὸν καταβάλλοντος ἐκ τοῦ πολλάκις μετ' ὀνόματι μνημονεῦσαι τινῶν οἰκήσεων τὸν Ἱπποκράτην. μὴ πασῶν δ' αὐτῶν, ἀλλ' ὀλιγίστων παντάπασιν ἐξήγησιν γράψαι. εἰ γὰρ οὐκ ἀργῶς αἱ οἰκήσεις τῶν νοσησάντων ἐγράφησαν, ἀλλὰ συνδείκνυταί τι τῶν εἰς τὴν τέχνην χρησίμων, οὐκ ὀρθῶς ἐποίησεν, ἐπ' ὀλίγων μὲν ἀρρώστων ἐξηγησάμενος αὐτῶν τὴν δύναμιν. ὑπὲρ δὲ τῶν ἄλλων, καίτοι παμπόλλων ὄντων παραλιπών, οἷον εὐθέως ἐπὶ τοῦ πρώτου γραφέντος κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν. Φιλίσκος γάρ φησιν ᾤκει παρὰ τὸ τεῖχος. εἶθ' ἑξῆς πάλιν, Ἐπικράτεος γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχηγέτην. καὶ πάλιν, Ἑρασῖνος ὃς ᾤκει παρὰ Βοώτου χαράδρην. εἶθ' ἑξῆς τὸν Κλαζομένιον, ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ. εἶτ' αὖθις ἐπί τινος γυναικός, τὴν Δρομεάδεω φησὶ γυναῖκα θυγατέρα τεκοῦσαν. εἶτ' ἐπ' ἄλλης πάλιν γυναικός, ἣ κατέκειτο ἐν ἀκτῇ. ἐν αὐτῷ τε τούτῳ τῷ τρίτῳ τῶν ἐπιδημιῶν, ἑτέρους πολλοὺς ἂν εὕροις γεγραμμένους ἀρρώστους μετὰ τῶν οἰκήσεων ἐν αἷς ᾤκουν, ἃς οὐδ' ὅλως ἐξηγοῦνται. Χαιρίων οὖν φησιν ὃς κατέκειτο παρὰ Δημαινέτου. μετ' αὐτὸν ἑξῆς τὴν Εὐρυάνακτος θυγατέρα παρθένον πῦρ ἔλαβεν. εἶθ' ἑξῆς, ἡ κυναγχικὴ παρὰ Ταβίωνι. καὶ μετ' αὐτὴν πάλιν, τὸ μειράκιον ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ. καὶ τί δεῖ πολλὰ παραγράφειν, ὅλου σχεδὸν τοῦ βιβλίου πεπληρωμένου τῆς τοιαύτης γραφῆς, ἀλλ' ἐπὶ τὸ προκείμενον ἰτέον. παμπόλλων γὰρ ἀρρώστων οὕτω γεγραμμένων περὶ πάντων πεποιῆσθαι τὴν ἀπὸ τῶν οἰκήσεων ἐξήγησιν, ἢ μηδ' ἐφ' ἑνός. ἀλλ' ἔνιοί γε τῶν ἐξηγουμένων τὰ βιβλία, κατεγνώκασιν εἰς τοσοῦτον τῶν ἀκροατῶν, ὥστ' ἐγώ ποτε ἐν Ἀλεξανδρείᾳ, καὶ τοιαύτης ἐξηγήσεως ἤκουσα περί τινος ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἀρρώστου γεγραμμένου κατὰ τὴν ῥῆσιν, ἧς ἡ ἀρχή. Σιληνὸς ᾤκει ἐπὶ τοῦ Πλαταμῶνος. ἐν γὰρ τῷ διηγεῖσθαι τὰ συμβάντα τούτῳ, καὶ τοιαύτην τινὰ ῥῆσιν ἔγραψεν ὁ Ἱπποκράτης. νυκτὸς οὐδὲν ἐκοιμήθη, λόγοι πολλοί. τούτοις οὖν ἐπεφώνησεν ὁ ἐξηγούμενος τὸ σύγγραμμα, Σιληνὸς γὰρ ἦν. οἱ μαθηταὶ δ' ἀναπηδήσαντες ἐκεκράγεσαν ὑπερθαυμάζοντες. ἔνιοι δὲ τῶν ἐξηγουμένων εἰς τοσοῦτον ἥκουσι περιεργείας, ὥστε ζητοῦσι πότερον ἐπὶ τοῦ Πλαταμῶνος ὁ Σιληνὸς ᾤκει. τινὲς μὲν διὰ τοῦ μ, πλαταμῶνος. ἔνιοι δὲ διὰ τοῦ ν, πλατανῶνος. ὡσαύτως δὲ ζητοῦσιν οἱ τοιοῦτοι τῶν ἐξηγητῶν, ὅταν Ἱπποκράτης εἴπῃ, κατέκειτο κατὰ τὸ θέατρον, ἆρά γε θέητρον ἄμεινον γράφειν, ἢ θέατρον. ἀλλὰ τῶν μὲν εἰς τὰ τοιαῦτα τὸν χρόνον ἀναλισκόντων, κατεγνώκασι. τοὺς δὲ διὰ τῶν ἔν τε τῷ προῤῥητικῷ καὶ ταῖς κωακαῖς προγνώσεσι γεγραμμένων, ἐξηγουμένους τὰ κατὰ τοὺς νοσοῦντας ἐν τοῖς βιβλίοις εἰρημένα, πολλοὶ θαυμάζουσιν. ἐδείχθη δ' ἐπὶ πλείστων ἡ μοχθηρία τῶν ἐν τῷ προῤῥητικῷ γεγραμμένων ἐν τοῖς ὑπομνήμασιν ἃ ἐποιησάμην εἰς αὐτό. φαίνεται γὰρ ὁ γράψας ἐκεῖνο τὸ βιβλίον, πολλάκις ἐξ ἑνὸς ἢ δυοῖν τῶν κατὰ μέρος ὀφθέντων αὐτῷ, καθολικὰς ἀποφάσεις ποιούμενος. ἐδείχθη γοῦν καὶ συνδρομὰς γράφων πολλὰς ἐξ ἀνομογενῶν σημείων ἠθροισμένας. ἐπεδείχθη δὲ καὶ ὡς ἡ τοιαύτη διδασκαλία, τοσοῦτον πλῆθος ἔχει συνδρομῶν, ὡς μηδ' ἀριθμηθῆναι δύνασθαι. καὶ πρὸς τούτοις γ' ἔτι καὶ τοῦτ' ἐδείχθη κατὰ τὴν ἐξήγησιν, ὧν ἔγραψεν ὁ τὸ προῤῥητικὸν συνθείς, ὡς οὐκ ἐνδέχεται διδασκαλίαν ἑτέραν ἀμείνονα γενέσθαι τῆς κατὰ τὸ προγνωστικὸν ὑφ' Ἱπποκράτους γεγονυίας, ἑνὸς ἑκάστου τὴν δύναμιν σημείου, αὐτοῦ διδάξαντος ἰδίᾳ. μηδὲ γὰρ ἄλλως δύνασθαι πολλῶν ἅμα συνελθόντων προγνωσθῆναί τι. τοῖς μὲν οὖν ἀνεγνωκόσιν ἀμφότερα τὰ βιβλία, τό, τε προγνωστικὸν καὶ τὸ προῤῥητικόν, οἶδ' ὅτι σαφῆ τὰ νῦν εἰρημένα πάντ' ἐστίν. εἰ δὲ καὶ τοῖς ἡμετέροις ὑπομνήμασιν εἰς αὐτὰ προσεντετυχηκώς τις εἴη, καὶ χωρὶς τῶν νῦν εἰρημένων ὑπ' ἐμοῦ γινώσκειν δύναται τὸ μοχθηρὸν τῆς τοιαύτης ἐξηγήσεως. τοὺς δ' οὐκ ἀνεγνωκότας, ἐπ' ἐκεῖνα μὲν ἀφικέσθαι πρότερον ἀξιῶ, μετὰ ταῦτα δὲ πάλιν ἐνταῦθα παραγενομένους, ἀκοῦσαί τε καὶ κρῖναι τὰ πρὸς ἐμοῦ εἰρημένα. λαβὼν γοῦν ἐναγχός τι τῶν εἰς τὸ προκείμενον βιβλίον ὑπὸ Λύκου τοῦ Μακεδόνος ὑπομνημάτων γεγονότων, εὗρον ἐν τῇ τοῦ Πυθίωνος ἐξηγήσει, τρεῖς ῥήσεις ἐκ τοῦ προῤῥητικοῦ γεγραμμένας, ὃς ἐπὶ μὲν τῆς πρώτης κατὰ λέξιν οὕτως ἔλεγεν. αἱ τρομώδεες, ἀσαφέες, ψηλαφώδεες παρακρούσιες, πάνυ φρενιτικαί, ὡς καὶ Διδυμάρχῳ ἐν Κῷ. ἐπὶ δὲ τῆς δευτέρας ὧδε. τὰ τρομώδεα γενόμενα ἐφ' ἱδρῶσι, φιλυπόστροφα. καὶ ἡ τρίτη δὲ κατὰ λέξιν τήνδε ἐγέγραπτο. τὰ δ' ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν οὖρα ἄχροα, μέλασιν ἐναιωρεύμενα, παρακρουστικά. αὗται μὲν αἱ ἐκ τοῦ προῤῥητικοῦ ῥήσεις ὑπὸ τοῦ Λύκου προσγεγράφησαν, ὡς εἰρηκότος οὕτω Κοΐντου κατὰ τὴν ἐξήγησιν τοῦ προκειμένου Πυθίωνος. ἐμοὶ ἐπειδήπερ ἠναγκάσθην τὰ κακῶς εἰρημένα διελέγχειν, καίτοι διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων πεφυλαγμένος αὐτὸ πρᾶξαι, βέλτιον εἶναι δοκεῖ τὴν τῶν τοιούτων ἐξηγήσεων μοχθηρίαν δηλῶσαι. πρώτην μὲν οὖν οὐδ' ἐφαρμόττει τοῖς νῦν εἰρημένοις ἐπὶ τοῦ Πυθίωνος, ἡ τοῦ προῤῥητικοῦ ῥῆσις. οὔτε γὰρ μετὰ σιγῆς ἐφρενίτισεν, οὔτε πάνυ φρενιτικὸς ἐγένετο. δέδεικται δ' ἡμῖν ἐξηγουμένοις τὸ προῤῥητικόν, ὁποῖαί τέ τινες εἰσὶν αἱ μετὰ σιγῆς παραφροσύναι, καὶ διατί πάνυ φρενιτικὰς εἶπεν αὐτάς, ὧν οὐδ' ἕτερον ἐπὶ τοῦ Πυθίωνος ἐγένετο. καὶ γὰρ οὔτ' ἄνευ σιγῆς ἐλήρει, καὶ μετρίως ἐφρενίτισεν. ἡ δὲ δευτέρα ῥῆσις καθ' ἣν λέγει, τὰ τρομώδεα γινόμενα ἐφ' ἱδρῶσι φιλυπόστροφα, τοὐναντίον δείκνυται τοῦ συμβάντος τῷ Πυθίωνι. μὴ γινομένων, ἀλλ' ἐξ ἀρχῆς μὲν συνεισβαλλόντων, ὕστερον δὲ κατὰ τὴν δεκάτην ἡμέραν ἱδρώσαντος αὐτοῦ, ὡς οὐκ ἐπὶ τοῖς ἱδρῶσιν οἱ τρόμοι φαίνονται γεγονότες, ἀλλ' ἐπὶ τοῖς τρόμοις οἱ ἱδρῶτες. ἡ λοιπὴ δὲ καὶ τρίτη ῥῆσις ἐν ᾗ φησι, τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν οὖρα, μέλασιν ἐναιωρεύμενα, παρακρουστικά. προσηκόντως ἂν ὑπὸ τοῦ Λύκου παρείληπτο, τοῦ Πυθίωνος ἀγρυπνήσαντος μὲν πρῶτον οὐκ ἄνευ ταραχῆς. οὐρήσαντος δ' οὖρον ἔχον ἐναιώρημα μέλαν, εἶθ' οὕτως παραφρονήσαντος ὕστερον. ἐπεὶ δ' οὔτ' οὔρησε τοιαῦτα, τὸ γὰρ ὑπονέφελον ἐναιώρημα, πάμπολυ διαφέρει τοῦ μέλανος, οὔτ' ἐπ' ἀγρυπνίαις ταραχώδεσιν ἐφρενίτισεν, ἀλλ' εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας ἐλήρησεν, οὐκ ὀρθῶς παρείληπται. τί γοῦν ἐκώλυεν αὐτὸν εἰπεῖν ἐναιώρημα μέλαν. εἶτα τὴν ἀγρυπνίαν μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ. μετὰ δὲ ταύτας ἐν τῇ πρώτῃ πάλιν, εἶτ' ἐφεξῆς τὴν παραφροσύνην. ἀλλὰ καὶ αὐτὸς ὁ Λύκος ἐξηγούμενος τὴν ὑπονέφελον φωνήν, οὐκ ἐτόλμησεν εἰπεῖν δηλοῦσθαι πρὸς αὐτῆς τὸ μέλαν. ἐκ περιττοῦ οὖν ταῦτα προσέθηκεν, εἰ χρὴ λέγειν ἐκ περιττοῦ, τὰ μὴ μόνον ἄχρηστα πρὸς τὸ προκείμενον, ἀλλὰ καὶ παντάπασι ψευδῆ. παρέλιπέ τε τὰ κυριώτατα τῶν ὑφ' Ἱπποκράτους εἰρημένων ἐπισκέπτεσθαι. τίς μὲν ἡ τῶν τρόμων ἐστὶ διάθεσις, ὅστις δ' ὁ πεπονθὼς τόπος ἐπὶ ταῖς τρομώδεσι χερσίν, ἢ πόθεν τὰ ποικίλα

πτύσματα τὰ πολλὰ τούτοις ἑπόμενα, περὶ ὧν ἐγὼ διῆλθον. ὅλως γὰρ οὐδὲν τούτων ἐπισκεψάμενος, ἑαυτῷ προὔβαλεν ὡς ζήτημα, τὸ μηδ᾽ ὅλως ὂν ζήτημα, ἔχει δὲ ἡ λέξις οὕτως. τῇ ἑβδόμῃ ἡμέρῃ τὸ στόμα παρεφρύαθη, καὶ δοκεῖ ἡ ἱστορία αὕτη μαχομένη εἶναι τῇ ἀποφάσει, τῇ οὕτως ἐν ἀφορισμοῖς ἐχούσῃ. ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἀσθενέος ἐόντος, ἤ ὅτι ἂν τούτων γένηται, ἐγγὺς ὁ θάνατος. αὕτη τοῦ Λύκου ῥῆσις ἑαυτῷ προβάλλοντος ὡς ζήτημα, τὸ μηδ᾽ ὅλως ἔχον ἀμφιβολίαν. ἐν μὲν γὰρ τοῖς ἀφορισμοῖς εἴρηκεν, ἤδη ἀσθενέος ἐόντος, ὁ Πυθίων δ᾽ οὐκ ὢν ἀσθενὴς, παρεφρύαθη τὸ στόμα. καὶ μέντοι καὶ λύων ὃ προὔβαλεν αὐτὸς ὁ Λύκος, οὐδὲν ἄλλο εἶπεν εἰς τὴν λύσιν αὐτοῦ τοῦ δὲ τοῦ νῦν λελεγμένου. τὸ μὲν οὖν πρόδηλον ὂν ὡς ζήτημα προὔβαλεν, οὐδὲν δὲ τῶν ἄλλων, ἃ χρήσιμα τῆς τέχνης ἐζήτησεν, ὅτε τίς ἡ διάθεσις ἦν τῷ Πυθίωνι, δι᾽ ἣν ἐγένετο τὰ προγεγραμμένα συμπτώματα, τίς τε τόπος, ἢ τίνες ἐπεπόνθεσαν. ἀλλ᾽ οὐδὲ περὶ τῆς φλεβοτομίας ὡς παραλελειμμένης ἐπεσημήνατο, χυμῶν τε καὶ κράσεων οὐ μόνον νῦν, ἀλλ᾽ οὐδὲ κατ᾽ ἄλλην τινὰ διήγησιν ἀρρώστων, ἢ καταστάσεως ἐμνημόνευσεν, ἃ μάλιστα ἐχρῆν ἐπισκέπτεσθαι τὸν ἐξηγούμενον Ἱπποκράτειον βιβλίον, ὥσπερ εἰ Ἀσκληπιάδειον ἐξηγεῖτο, πόρους καὶ ὄγκους, ἄναρμά τε στοιχεῖα, καὶ τὰς πρὸς τὸ λεπτομερὲς φορὰς, ἔστιν αὐτῷ ῥητέον. εἰς ταύτας γὰρ τὰς ἀρχὰς ἐκεῖνος ἀνάγει πάντα. θερμὸν δὲ καὶ ψυχρὸν καὶ ὑγρὸν, καὶ ξηρὸν Ἱπποκράτης αἰτιᾶται, καθάπερ τὸ περιέχον ἐν τοῖς τῶν ζώων σώμασιν. οὕτω δὲ καὶ τέτταρας χυμοὺς ἀλλήλων τῇ κράσει διαφέροντας αἰτίους φησὶ, τῆς θ᾽ ὑγείας καὶ τῶν νοσημάτων. τῆς μὲν ὑγείας, ὅταν συμμέτρως ἔχωσι πρὸς ἀλλήλους. τῶν νοσημάτων δ᾽ ὅταν πλεονάζωσιν ἢ ἐλλείπωσιν, ἢ μεταστῶσιν ἐξ οἰκείας χώρας εἰς ἀλλοτρίαν. εἰς ταύτας γοῦν τὰς ἀρχὰς, καὶ οἱ περὶ Λύκον καὶ Κόϊντον τοῦ Ἱπποκράτους ἐξηγησάμενοί τι βιβλίον ἐμπειρικοὶ πάντως ἄγειν ὀφείλονται, καθάπερ ἐν δράμασι φυλάττοντες ἔνιοι τὴν οἰκείαν ὑπόκρισιν τοῦ περικειμένου προσώπου. ὡς γὰρ Ἐρασίστρατον ἐξηγούμενός τις, ὀρθῶς ἂν ἀπέχοιτο τοῦ περὶ χυμῶν λέγειν ἢ κράσεων, οὕτως ὁ λέγειν ἐπιχειρῶν ὁτιοῦν εἰς Ἱπποκράτειον σύνταγμα, τὴν ἐκείνου φωνὴν ὀρθῶς ἂν ποιοίη σκοπὸν τῆς ἐξηγήσεως. ἴσως οὖν ἄμεινόν ἐστι Λύκῳ μὲν συγγινώσκειν ὡς νόθῳ τῆς Ἱπποκράτους αἱρέσεως, ἐν οἷς ἂν ἁμαρτάνων φαίνεται, πλὴν εἴ τις αὐτὸν ὅπερ μέμφοιτο τὸ γράφειν ἐξηγήσεις μὴ δυνάμενον ὑποκρίνεσθαι τὸ δρᾶμα. παραπλήσιον γὰρ ὥσπερ τὴν κωμῳδίαν ἐπιχειρεῖν ὑποκρίνασθαι, μὴ δυνάμενον. ἐπὶ δὲ τοὺς Ἱπποκρατείους ἑαυτοὺς ὀνομάσαντας ἐλθών τις, οὐκ ἂν εἰκότως αὐτοῖς συγγνοίη, παραπλήσια τοῖς ξένοις τε καὶ νόθοις τῆς αἱρέσεως ἐσφαλμένοις. ὅταν δὲ καὶ τὰ σφάλματα αὐτῶν οὐ μόνον ἀποχωρῇ τῆς Ἱπποκράτους γνώμης, ἀλλὰ καὶ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας, διπλασίως ἄν τις αὐτοῖς μέμψαιτο. κάλλιστον μὲν γάρ ἐστιν ἀμφοτέρων ἔχεσθαι τῶν σκοπῶν τὸν δὲ τὸν ἀκόλουθον ἐξηγητὴν, ἀκόλουθά τε λέγοντα τῷ συγγραφεῖ καὶ ἀληθῆ. θάτερον δὲ μόνον φυλάττοντι, μεμπτέον ὡς τοῦ ὅλου τὸ ἥμισυ διεφθαρκότι. τὸν δὲ μήτ᾽ ἀληθῆ λέγοντα, μήτ᾽ ἀκόλουθα τῷ γεγραφότι τὸ βιβλίον ἐξηγητὴν, ἐσχάτως ἄν τις ἁμαρτάνειν ὑποληπτέον. οἱ τοίνυν περὶ τὸν Σαβῖνον καὶ τὸν μαθητὴν αὐτοῦ Μητρόδωρον, ἀκριβέστεροι δόξαντες εἶναι τῶν ἔμπροσθεν Ἱπποκρατείων, ὅμως καὶ αὐτοὶ φαίνονται μοχθηρῶς ἐξηγούμενοι πολλάκις τοῦ Ἱπποκράτους. αὐτίκα γέ τοι κατὰ τὸν προκείμενον ἄρρωστον φασὶν αὐτοῖς ὀνόμασιν. ὡς γὰρ ὁ σπασμὸς γίνεται καὶ ἀπὸ κενώσεως καὶ ἀπὸ πληρώσεως, οὕτω καὶ ὁ τρόμος μικρὸς ὢν σπασμὸς, ἀπὸ τῶν ἐναντίων ἀποτελεῖται. περὶ μὲν οὖν τῆς αἰτίας ὑφ᾽ ἧς γίνεται τὰ τοιαῦτα παθήματα δογματικῶν ἀνδρῶν ἐστιν, οὐκ ἐμπειρικῶν ἐπισκέψασθαι. τὸ μέντοι γνωρίζειν αὐτὰ καὶ διακρίνειν ἀπ᾽ ἀλλήλων, ἀναγκαῖόν ἐστι καὶ τοῖς ἐμπειρικοῖς ἐγνῶσθαι. φαίνονται δ᾽ ἐν αὐτῷ τούτῳ πρώτῳ οἱ περὶ τὸν Σαβῖνον ἐσφαλμένοι, μικρὸν σπασμὸν εἰπόντες εἶναι τὸν τρόμον. ὅλῳ γὰρ τῷ γένει διενήνοχεν ἀλλήλων τὰ πάθη καλεῖν, ἢ συμπτώματα τὰς βλάβας τῶν ἐνεργειῶν. οὐ γὰρ διαθέσεις γέ τινες ἐν τοῖς στερεοῖς τοῦ ζώου μορίοις εἰσὶν, ὡς οἴδημα καὶ φλεγμονὴ καὶ σκίρρος, ἀλλ᾽ ὥσπερ αἱ ἐνέργειαι κατὰ τὸ γίνεσθαι λαμβάνουσι τὴν ὕπαρξιν, οὐ κατὰ τὸ μονίμως καθ᾽ ἕξιν ὑπάρχειν, οὕτω καὶ τὰ παθήματα αὐτῶν. ἁπάσης γὰρ κινήσεως ἐν τῷ γίνεσθαι τὸ εἶναι κεκτημένης, οὔσης γέ τινος ἐν τοῖς ζώοις προαιρετικῆς κινήσεως, ὥσπερ ἑτέρας ἀπροαιρέτου καὶ φυσικῆς, αἱ βλάβαι τῆς προαιρετικῆς ἐν ταῖς τῶν μυῶν γίνονται κινήσεσιν, ὑφ᾽ ὧν καὶ τὰς κατὰ φύσιν ἴσμεν ἀποτελουμένας. ἀλλὰ τὸ μὲν κατὰ φύσιν ἐν αὐταῖς, ἓν ἁπλοῦν ἐστι. τὸ δὲ παρὰ φύσιν, ἐν πρώτοις μὲν δύο γίνεται διαφοραῖς, ἤτοι χωρὶς προαιρέσεως, ἢ κατὰ προαίρεσιν. ἔστι μὲν οὖν κατὰ φύσιν. διαφέρει δ᾽ οὐδὲν, ἤτοι καθ᾽ ὁρμὴν εἰπεῖν, ἢ κατὰ προαίρεσιν εἴς γε τὸ παρόν. αὐτῶν δὲ τῶν ἄνευ προαιρέσεως γινομένων κινήσεων, ἐν τοῖς προαιρετικοῖς πεφυκόσι κινεῖσθαι, τὸ μέν τι σπασμὸς ὀνομάζεται, τὸ δὲ παλμὸς, τὸ δὲ ῥῖγος, ἀλλήλων διαφέροντα. καθόλου δὲ περὶ τούτων λέλεκται δι᾽ ἑνὸς ὅλου βιβλίου. τῆς δὲ κατὰ προαίρεσιν μὲν, οὐ κατὰ φύσιν δὲ κινήσεως γινομένης, ἓν εἶδός ἐστιν ὃ καλεῖται τρόμος, ὑπὲρ οὗ νῦν ἀναγκαῖόν ἐστιν εἰπεῖν, ἐπεὶ καὶ περὶ τῶν ἄλλων ἕνεκα τούτου λέλεκταί τι. γίνεται τοίνυν ὁ τρόμος, οὐ μόνον ἐπὶ μυσὶ νοσοῦσί τε καὶ νεύροις, ἀλλὰ καὶ κατὰ φύσιν ἔχουσιν, ὅταν ὑπὲρ τὴν δύναμιν τις ἐπιχειρήσει βάρος ὁτιοῦν, ἢ ταῖς χερσὶ βαστάζων, ἢ τοῖς ὤμοις ἀναθέμενος. ὁρῶνται γοῦν ἔνιοι τῶν ἰσχυροτάτων νεανίσκων ἐν τῷ βαστάζειν ὑπέρβαρύ τι, τρομώδεις τοῖς σκέλεσι γινόμενοι, καὶ μάλιστα ὅταν ἀναβαίνειν ἐπιχειρήσωσι κλίμακας. ὅπερ δ᾽ ἐκείνοις ἐπὶ μεγίστοις ἄχθεσι, τοῦτο γέρουσί τε καὶ τοῖς ἄλλως ἀσθενέσιν ἐπὶ τοῖς ἐλάττοσι γίνεται. βαρέα γὰρ ἤδη καὶ ταῦτα τοῖς ἀσθενέσι. καὶ τοίνυν καὶ πάθη τινὰ ψυχικὰ, τρομώδεις ἐργάζεται. λέλεκται γοῦν κἂν τῷ περὶ χυμῶν καὶ παρὰ κρημνὸν παριόντι τὰ σκέλεα τρέμειν, διὰ τὸν φόβον δηλονότι τὸν καταλύοντα τὴν δύναμιν. ὥσπερ εἰ καὶ ἄλλος τις ἔδεισεν ἐπερχόμενον ἰδὼν θηρίον, ἢ λῃστὰς, ἢ πολεμίους. εἰκότως οὖν ἡμῖν ἀποδέδεικται κατὰ τὸ περὶ τρόμου καὶ σπασμοῦ καὶ ῥίγους ὑπόμνημα, δι᾽ ἀρρωστίαν δυνάμεως ἀεὶ γίνεσθαι τρόμον. ἐπεὶ δ᾽ ἐνίοτε μὲν αὐτὴ καθ᾽ ἑαυτήν ἐστιν ἄρρωστος, ἐνίοτε δὲ διὰ πάθος ψυχικὸν, ἢ καὶ μηδ᾽ ὅλως πεπονθυῖα κατὰ τὸν ἴδιον λόγον, ὑπὸ βαρέος φορτίου τοῦτο πάσχει. τρεῖς αὐτὰς ἔφαμεν εἶναι διαφορὰς τῶν αἰτίων, δυσκρασίαν, τῶν προαιρετικῶν ὀργάνων, πάθος ψυχικὸν, βαρὺ ὂν φορτίον. ὅτε οὖν μήτε δείσαντι, μήτε βαστάζοντι φορτίον ὁ τρόμος γίνεται, δυοῖν θάτερον, ἢ δυσκρασία τῶν ὀργάνων ἐστὶν, ἤ τι βάρος ἐν αὐτῷ τῷ σώματι περὶ τοὺς μῦς ἢ τὰ νεῦρα. παράκειται δέ τις ἀπαίτησις τῷ λόγῳ, περὶ ἧς εἴρηται κατὰ τὸ περὶ τρόμου καὶ σπασμοῦ καὶ παλμοῦ καὶ ῥίγους ὑπόμνημα. φαίνονται γάρ τινες καὶ ταῖς χερσὶ καὶ τῇ κεφαλῇ τρομώδεις, αὐτοὶ τοῦ

προελέσθαι

προελέσθαι κινεῖν τὰ μόρια, καὶ δοκεῖ κατὰ τοῦτο ψευδῶς εἰρῆσθαι προελομένοις ἐνεργεῖν τι γίνεσθαι. ἀλλ' ἐὰν ἐννοήσῃς ὡς ἐπὶ προσκεφαλαίου καταθέμενός τις τὸν αὐχένα, παύεται τρέμων τὴν κεφαλήν, ἀποθέμενός τε τὰς χεῖρας, οὐκέτ' οὐδὲ ταύτας τρέμει, πιστεύσεις ὀρθῶς εἰρῆσθαι τοῖς ἀργοῦσι παντάπασιν ὁτιοῦν, οὐ γίνεσθαι τρόμον ἐν αὐτῷ. ἐὰν δ' ἐξαίρωσιν ἢ φυλάττωσιν ἐξηρμένον αὐτό, τηνικαῦτα γίνεσθαι τὸ σύμπτωμα. πρὸς τοῦτο γὰρ δέουσιν ἡσυχάζειν τοῖς μυσὶν οἱ οὕτως ἐνεργοῦντες, ὥστε τοὺς ἀντιτεταγμένους ἀλλήλοις ἅμα κινοῦσιν. οἷον ἐπὶ χειρός, ὅσοι τὴν ἐξαίρουσι, καὶ ὅσοι κατασπῶσι τὸ μόριον, ἐκτείνουσί τε καὶ κάμπτουσι, καὶ ῥωμαλεωτέρας τῆς δυνάμεώς ἐστι χρεία τοῖς ἐπηρμένην ἐγγώνιον τὴν χεῖρα φυλάττουσι, τῶν ἐκτεινόντων ἢ καμπτόντων αὐτήν. ὡς μὲν γὰρ ἐκτείνοντες ἔνιοι τῶν μυῶν ἐνεργοῦσι τῷ τοῦτο πεφυκότι δρᾶν, ἀργούντων τηνικαῦτα τῶν καμπτόντων αὐτήν. οἱ δὲ κάμπτοντες, ἐνεργοῦσι μὲν τοῖς κάμπτεσθαι πεφυκόσι, ἀργοῦσι δὲ τοῖς ἐκτείνειν δυναμένοις. ἐὰν δ' ἐπάρας τις ἐγγώνιον ὑψηλὴν ἔχῃ τὴν χεῖρα, μήτε κάμπτων, μήτ' ἐκτείνων, ἰσοσθενῶς ἀμφοτέροις τοῖς μυσὶν ἐνεργεῖ, καθάπερ ἐν τοῖς καλουμένοις τετανοῖς. ἔτι δ' ἐλάττονός ἐστιν ἰσχύος χρεία, τοῖς ἐπὶ ταὐτοῦ σχήματος, ἢ τὸ σκέλος, ἢ τὸν τράχηλον, ἢ τὴν χεῖρα φυλάττουσιν, αὐτοῦ τοῦ κατά τινος ἐρηρεῖσθαι στερεοῦ σώματος, ὀχοῦντός τε καὶ βαστάζοντος τὸ κῶλον. ἀλλ' ὅταν μὲν ὑπερέχῃ πολλῷ τοῦ βάρους τῶν βασταζομένων μορίων ἡ κινοῦσα δύναμις αὐτά, ῥᾳδίως μὲν ἐξαίρει, ῥᾳδίως δ' ἐξηρμένα φυλάττει. ὅταν δ' ὑπερέχηται πολλῷ, καθάπερ ἐπὶ τῶν παραλελυμένων, οὐδ' ὅλως ἐξαίρειν δύναται. ὅταν δ' ἰσοσθενής πως ὑπάρχῃ, νικᾶται παρὰ μέρος. νικῶσα μέν, ἐπὶ τοῦ αὐτοῦ σχήματος φυλάττει τὴν ἀνατεταμένην χεῖρα. νικωμένη δέ, ἀπορρεῖν ἐᾷ κάτω. νόησον δέ μοι τοῦτο γίνεσθαι συνεχῶς οὕτως, ὡς ἅμα μὲν τῷ κινῆσαι ταύτην ἀναφέρειν τὸ κῶλον, εὐθέως νικηθεῖσαν ὑπὸ τοῦ βάρους τῶν ἀναφερομένων, ἐπιτρέπειν αὐτὴν ἀναφέρεσθαι κάτω, ἅμα δ' αὖ πάλιν τῷ νικᾶν ἐκεῖνα, τὴν δύναμιν ἀντιλαμβανομένην αὐτῶν, αὖθις ἀναφέρειν ἐπιχειρεῖν. εἶτ' ἐλαχίστῃ ῥοπῇ τῆς ἀμοιβῆς ταύτης γινομένης, καὶ τοῦ μὲν ἐπὶ τῷ κάτω φερομένης, ἀντισπωμένης εὐθέως ἄνω, τοῦ δ' εἰς ὕψος τὸ κῶλον αὖ θελκομένης κάτω παραχρῆμα, μήτ' ἀκριβῶς ἄκλονόν τε καὶ ἀρρεπὲς φυλάττεσθαι τὸ κῶλον, ἀλλὰ μηδ' ἀξιολόγους ἔχειν ἐφ' ἑκάτερα τὰς κινήσεις, ἐν βραχέσι διαστήμασι καὶ χρόνων καὶ τόπων φυλαττομένας. ὁ μὲν δὴ τρόμος, τοιαύτη τίς ἐστι κίνησις, ὡς ἐν ὀλίγῳ περιλαβεῖν, ἃ διὰ μακροτέρων εἴρηται κατὰ τὸ προδεδηλωμένον. ὁ δ' ἐν τῷ νοσώδει ῥίγει γινόμενος κλόνος τῶν μορίων, ἄνευ τε προαιρέσεως ἀποτελεῖται, καὶ κατὰ μεγάλα διαστήματα τῶν ἐναντίων κινήσεων ἀλλήλων διαδεχομένων ἅμα ψύξεως αἰσθήσει. παραπλήσιον δ' ἐστί πως τούτῳ πάθει, ἄλλο μυῶν τε καὶ νεύρων, ὃ καλεῖται σπασμός, ὁμοίας μὲν κατὰ πάντα καὶ διὰ τῶν αὐτῶν ὀργάνων γινομένης ἐν αὐτοῖς τῆς κινήσεως, ἧσπερ κἂν τῷ καθ' ὁρμὴν αὐτὰ κινεῖσθαι γίνεται. διαφερούσης δὲ μόνῳ τῷ μὴ καθ' ὁρμὴν ὁπότε σπᾶται κινεῖσθαι. περὶ δὲ παλμοῦ ἐστί μοι περιττὸν λέγειν ἐνταῦθα, μή πως ἀναγκασθῶ καὶ περὶ σφυγμοῦ λέγειν, τινὰ κοινωνίαν ἔχειν φαινομένου πρὸς παλμόν. ἱκανῶς γὰρ ἤδη μοι, καὶ τὰ περὶ τοῦ τρόμου μεμήκυνται παρὰ τὴν ἐμὴν προαίρεσιν ἐν ἐξηγητικῷ βιβλίῳ. τῷ βουλομένῳ δ' ἀκριβῶς ὑπὲρ ἁπάντων τῶν εἰρημένων συμπτωμάτων ἐκμαθεῖν τῆς τε διαγνώσεως καὶ τῆς γενέσεως, ἔξεστιν ἀναγινώσκειν τὸ βιβλίον, ἐν ᾧ τελέως ὑπὲρ ἁπάντων αὐτῶν διῆλθον. ἐπεί τοι καὶ περὶ λάρυγγος καὶ περὶ βηχὸς καὶ πταρμοῦ, καί τινων ἑτέρων τοιούτων κινήσεων, ἐμοὶ μὲν ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις διορίσαι, τάς τε διαγνώσεις καὶ τὰς διαφορὰς τῶν κινήσεων, καὶ τὰς αἰτίας αὐτῶν ὑφ' ὧν γίνονται διελθόντι. τοῖς δὲ περὶ τὸν Σαβῖνον ἐν ἅπασι τοῖς τοιούτοις, ἢ μεῖζον ἢ μεῖον τι πέπρακται, ὥστε πάλιν ἑτέρῳ τρόπῳ τοὺς περὶ Κόϊντον καὶ Λύκον ὡς φρονιμωτέρους ἐκείνων ἀποδεκτέον ἐστίν, ὅτι μηδ' ἐπεχείρησαν εἰπεῖν τι περὶ τῶν τοιούτων, ἀλλ' ὡς ἐμπειρικὰς τὰς ἐξηγήσεις ἐποιήσαντο. καίτοι τῶν ἐμπειρικῶν ἔνιοι, καθάπερ ἔφην, ὡς ἐν δράματι τὸ παρακείμενον ὑποκρίνονται πρόσωπον, Ἱπποκράτειον μὲν ἐξηγούμενοι βιβλίον ὡς Ἱπποκράτειοι. τῶν δ' Ἐρασιστράτου τι καὶ Ἡροφίλου καὶ Ἀσκληπιάδου, καὶ τῶν ἄλλων ἐπ' ἐκείνων ἑκάστου τῆς αἱρέσεως ὄντες. ὅπερ οὖν ἀεὶ λέγων, καὶ νῦν εἰπών, ἐπ' ἄλλο τι μεταβήσομαι, τὴν ὑπὲρ ἑκάστου διδασκαλίαν ὧν ἐπίστασθαι χρὴ τὸν ἰατρὸν ἰδίᾳ ποιησάμενον, οὕτως ἐπὶ τὰς ἐξηγήσεις ἔρχεσθαι προσήκει τῶν Ἱπποκράτους βιβλίων, τὰ μὲν συμπεράσματα ἀποδεῖξαι καθ' ἕκαστον αὐτῶν ἀναμιμνήσκοντι, τῶν δ' ἀποδείξεων αὐτῶν μὴ καταμνημονεύοντι. τοῦτ' οὖν ἡμεῖς μὲν ἐποιήσαμεν, ἄλλος δ' οὐδεὶς τῶν γεγραφότων ἐξηγήσεις τῶν Ἱπποκράτους συγγραμμάτων, ἀλλ' ἥμαρτον ἐν τούτοις ἅπαντες. ἄλλη μὲν γάρ ἐστιν ἡ διδάσκουσα τὰ πράγματα διδασκαλία κατὰ διέξοδον ἀκριβῶς γινομένη. διαφέρουσα δ' αὐτῆς, ἡ κατὰ τὰς ἐξηγήσεις τῶν συγγραμμάτων, οὐ ταὐτὸν ἑκατέρα τὸ προκείμενον ἔχουσα. τῆς μὲν γὰρ κατὰ διέξοδον, σκοπός ἐστιν ἀληθείας εὕρεσις. ἐν δὲ ταῖς ἐξηγήσεσι πρόκειται γνῶναι τὴν δόξαν τοῦ παλαιοῦ. προμεμαθηκότα γοῦν ἀκριβῶς ἕκαστα, μετὰ ταῦτα χρὴ πρὸς τὰς ἐξηγήσεις ἔρχεσθαι τῶν παλαιῶν συγγραμμάτων. τὸ μὲν πρῶτον ἔχοντας εὑρεῖν τὴν γνώμην τοῦ παλαιοῦ, δεύτερον δ' ἐπ' αὐτῇ, πότερον ὀρθῶς ἢ οὐκ ὀρθῶς εἴρηται. καὶ τοῦτο ποιεῖν ἀναμιμνήσκοντα τῶν ἀποδεδειγμένων ἐν ταῖς πραγματείαις ὑπὲρ ἑκάστου τῶν κατὰ τὴν ἰατρικὴν θεωρημάτων. ὅσοι δὲ τῶν ἐξηγουμένων ἀπόδειξιν οἷς λέγουσιν ἐπιφέρειν οὐ δύνανται, περιλαλήσαντες τοὺς ἀκροατάς, ὑποστέλλουσι τῇ λέξει τοῦ συγγραφέως, ἀξιοῦντες ἃ λέγουσι, δι' ἐκείνων πιστεύεσθαι. καὶ διὰ τοῦτο μεταβαίνουσιν ἀπὸ ῥήσεων ἐπὶ ῥήσεις. οὐδ' ὂν οὐδὲ ταύτας τι συντελούσας τοῖς προκειμένοις. ὅτι δ' ἀδύνατόν ἐστι τὰς ἀποδείξεις τῶν ἐπιστημονικῶν λόγων ἐν ταῖς ἐξηγήσεσι γράφειν, κἀξ αὐτῶν τῶν νῦν εἰρημένων ἐστὶ δῆλον. οὐ μόνον γὰρ ἐπὶ Πυθίωνος, ἀλλὰ καὶ πολλῶν ἀρρώστων, Ἱπποκράτους μεμνημένου τῶν εἰρημένων συμπτωμάτων, εἰ μὲν ἐπὶ πάντων τις ἀναποδείκτως ἀποφαίνοιτο τὰ δόξαντα, διδασκαλίαν οὐδεμίαν ἐπιστημονικὴν ἐνθήσει ταῖς ψυχαῖς τῶν μαθητῶν. εἰ δ' ἐπί τινων μὲν ἀρρώστων ἐρεῖ τὰς ἀποδείξεις, ἐπί τινων δὲ σιγήσει, κατὰ μὲν τὸ πρῶτον τῶν ἐπιδημιῶν, εἰ οὕτως ἔτυχεν εἰπὼν αὐτὰς ἁπάσας. ἐν δὲ ταῖς ἄλλαις ἀναπέμψας εἰς ἐκείνας, τὸ πρὸς ἡμῶν εἰρημένον ἐργάσεται, καθ' ἓν μέν τι βιβλίον εἰπὼν τὸν τελεώτατον ἅμα ταῖς ἀποδείξεσι λόγον, ἐν δὲ τοῖς ἄλλοις τὰ συμπεράσματα αὐτοῦ γράψας. ἄτοπον δ' αὐτὸ τοῦτο καθ' ἑκάτερον ἔσται τρόπον. εἰς μὲν γὰρ τὸ πρῶτον τῶν ἐπιδημιῶν ἐὰν τοῦτό τις ἐξηγῆται, πρῶτον ἀναγκαῖον ἔσται περὶ τούτου ἡμῖν ὑπομνήματα γράψαι. δύο δ' ἢ ἓν εἰς ἕκαστον τῶν ἄλλων, ὥστε καὶ προγνωστικόν τις ἢ ἀφορισμοὺς ἀναγνῶναι

κλόνος τῶν μορίων ἐν τῷ νοσώδει ῥίγει

βούληται, πρότερον ἀναγκαῖον αὐτῷ γίνεσθαι τὰς πεντήκοντα βίβλους ἀναγινώσκειν ἐξηγητικὰς τοῦ πρώτου τῶν ἐπιδημιῶν. οὕτως γοῦν κἂν ἀπ' ἄλλου τινὸς ἄρξηταί τις ὑπομνήματα γράφειν, εἰς ἐκεῖνο μὲν γράψει τὰ πεντήκοντα. τῷ δ' ἀναγνῶναι τι τῶν ἄλλων βουληθέντι, πρότερον ἀναγκαῖον ἔσται τὰ πεντήκοντα ἐκεῖνα βιβλία προαναγνῶναι, καὶ μὴν μακρῷ βέλτιον ἕκαστον τῶν προβλημάτων ἢ θεωρημάτων, ἢ ὅπως αὖτις ἐθέλῃ καλεῖν, ἰδίᾳ γεγραμμένον ἔχοντα, πρὸς ἐκεῖνο παραγίνεσθαι μόνον, ὅταν βουληθῇ τις ἐπιστημονικῶς διδαχθῆναι περὶ τῶν ἐν αὐτῷ γεγραμμένων. διὰ τοῦτ' οὖν καὶ ἡμεῖς ὡς περὶ τρόμου καὶ σπασμοῦ καὶ παλμοῦ καὶ ῥίγους, οὕτως καὶ περὶ τῶν ἄλλων ἁπάντων ἰδίᾳ πραγματευσάμενοι, τοῖς συμπεράσμασι τῶν ἀποδειχθέντων χρώμεθα κατὰ τὰς ἐξηγήσεις. ἀλλ' οἵ γε περὶ τὸν Σαβῖνον, οὔτ' ἤδη ἀποδείξαντες ὅπῃ διαφέρει τὰ τέτταρα ταῦτα πάθη, τρόμος, καὶ παλμὸς, καὶ σπασμὸς καὶ ῥῖγος, οὔτ' ἐνταῦθά τινα λόγον, εἰ καὶ μὴ βεβαίως ἀληθῆ, μηδ' ἀποδεικτικὸν, ἀλλὰ πιθανὸν εἰπόντες, ἐν ἀρχῇ μὲν ἀπεφήναντο, μικρὸν εἶναι σπασμὸν, τὸν τρόμον. ὀλίγον δὲ προελθόντες, εἶδος σπασμοῦ τὸν τρόμον ἔφασαν ὑπάρχειν. ἀλλὰ γὰρ ἕνεκα τοῦ θᾶττον ἀπαλλαγῆναι τῶν παρὰ γνώμην ἐλέγχων εἰς τοὺς μοχθηρῶς ἐξηγησαμένους, ὑποκείσθω τὸν τρόμον εἶναι σπασμὸν, ἢ εἶδος σπασμοῦ. πῶς οὖν ἤδη τοῦ Πυθίωνος ἐγένετο, παρ' αὐτῶν μάθωμεν. ὁ στόμαχός φησιν ἐπεπόνθει ἀνθρώπῳ, κᾆξ ἐκείνου κατὰ συμπάθειαν αἱ χεῖρες ἔτρεμον. οὔτε δ' ὅτι πάθος ἦν τι περὶ τὸν στόμαχον αὐτῷ τις δεῖξαι δύναται, μηδενός γε συμπτώματος εἰρημένου κατὰ τὴν διήγησιν τῶν συμβάντων τῷ Πυθίωνι, δυναμένου τὴν ἔνδειξιν ἡμῖν ποιήσασθαι τοῦ περὶ τὸν στόμαχον πάθους, οὐθ' ὅτι κοινωνία τίς ἐστι τῷ στομάχῳ πρὸς τὰς χεῖρας ἔδειξαν. αὐτοὶ γοῦν λέγουσι τὰς κοινωνίας γίνεσθαι τριχῶς, ἢ διὰ γειτνίασιν, ἢ διὰ τὴν κατὰ γένος, ἢ ἔργου οἰκειότητος. κατὰ γένος μὲν, ὅταν τὸ νευρῶδες τῷ νευρώδει, καὶ τὸ φλεβῶδες τῷ φλεβώδει, καὶ τὸ ἀρτηριῶδες τῷ ἀρτηριώδει συμπάσχῃ. κατ' ἔργον δ' ὅταν οἱ τιτθοί τε καὶ ὁ θώραξ τοῖς γεννητικοῖς μορίοις. ἀλλ' οὐδὲ κατὰ μίαν τούτων τῶν κοινωνιῶν αἱ χεῖρες τῷ στομάχῳ δύνανται συμπάσχειν. οὔτε γὰρ ἔργον τι κοινὸν αὐτῶν ἐστιν, οὔτε κατὰ νεῦρα κοινωνία, δι' ἣν τὸ νευρῶδες ἐν ταῖς χερσὶ γένος εἰς συμπάθειαν ἀφίξεται στομάχῳ παθόντι. τῷ μὲν γὰρ στομάχῳ, παρὰ τῆς ἕκτης τῶν ἀπ' ἐγκεφάλου συζυγιῶν παραγίνεται νεῦρα. ταῖς δὲ χερσὶν, ἀπὸ τῆς κατὰ τὸν ἕκτον καὶ ἕβδομον καὶ ὄγδοον σπόνδυλον χώρας τοῦ νωτιαίου μυελοῦ. εὔλογον οὖν ὅσα παρὰ τῆς ἕκτης συζυγίας νενεύρωται μόρια, συμπάσχειν τῷ στομάχῳ, μὴ τὰς χεῖρας. περὶ μὲν δὴ τοῦ τρόμου τοιαῦτα ληροῦσιν, οἱ διὰ τὴν τῶν ἀφροδισίων ἀποχὴν ἀθροῖσαι πλῆθος ἡγούμενοι τὸν Πυθίωνα. καίτοι τὰ μὲν ἀφροδίσια, κἂν εἰ τῷ κενοῦν οὐκ ἐᾷ πληθώραν ὑποτρέφεσθαι, δέδεικται γὰρ αὐτοῖς τοῦτο, τὸν γοῦν στόμαχον ἱκανῶς ἐκλύει, τῆς ἀποχῆς τῶν ἀφροδισίων εὐρωστότατον ἀπεργαζομένης αὐτὸν, εἰ καὶ πλῆθος ἀθροίζοιτο. μοχθηρὸν δ' ἱκανῶς ἐστι καὶ τὸ νομίζειν, εἴ τις ἐγκρατῶς διαιτᾶται, πλῆθος ἀθροίζειν αὐτόν. οὐ γὰρ τοῦτο, ἀλλὰ τοῖς ἀργοῦσιν ἐργάζεται πλῆθος. εἰ δ' ἀπέχοιτό τις ἀφροδισίων, γυμναζόμενος οὕτως, ὥσπερ οἵ τ' ἀθληταὶ, καὶ οἱ σκάπτοντες καὶ θερίζοντες, ἤ τινα χειρωνακτικὴν τέχνην μετιόντες, οὐκ ἀθροίζουσι πλῆθος. ἀλλ' ἐκ τοῦ μηδὲν ὧν ἴσασι δύνασθαι σιγῆσαι, συμβαίνει τοῖς ὀψιμαθέσιν ἐναντιώματα λέγειν, ἀκαίρως φλυαροῦσι. τίς γὰρ ἦν ἀνάγκη γράφειν, Δημόκριτον μὲν εἰρηκέναι, μικρὰν ἐπιληψίαν εἶναι τὴν συνουσίαν, Ἐπίκουρον δὲ μηδέ ποτε μὲν ὠφελεῖν ἀφροδισίων χρῆσιν, ἀγαπητὸν δ' εἰ μὴ βλάψειεν. ἐπὶ γὰρ τῶν ἐξ ἀφροδισίων ἀμέτρων νοσησάντων, ἐχρῆν εἰρῆσθαι τοὺς λόγους, οὐκ ἐπὶ τῶν ἐναντίως αὐτοῖς διαιτηθέντων. ἀλλ' ὅμως καὶ ταῦτ' ἔγραψαν οἱ περὶ τὸν Σαβῖνον, οὐκ αἰσθανόμενοι τῆς ἐναντιολογίας. ἀτοπώτατον δὲ καὶ τὸ παραφρονῆσαι διὰ τὴν τῆς συνουσίας ἀποχὴν τὸν Πυθίωνα. φασὶ γὰρ ὅτι ἀθροισθὲν ἐν τῷ ἐγκεφάλῳ τὸ σπέρμα, τῷ πλήθει βαρῦνον αὐτὸν, ἐργάσασθαι τὸ τῆς παραφροσύνης σύμπτωμα. καθάπερ ὀστοῦν εἴωθε θλῖβον ἐπὶ τῶν καταγμάτων τῆς κεφαλῆς, ἢ θ' ἡμετέρα χεὶρ ἐργάζεσθαι παραφροσύνην, ἐν ᾧ πάλιν δείκνυται μηδ' ἀνατετρημένῳ τινὶ παραγεγονότες. ὅταν δὲ ἢ τοῖς δακτύλοις ἐπιθλίψῃ τις ἅμα ταῖς μήνιγξι τὸν ἐγκέφαλον, ἢ διὰ τῶν καλουμένων μηνιγγοφυλάκων, ἢ καὶ πρὸ τῆς ἀνατρήσεως ὀστοῦν ἐμπιεσθὲν, θλίβῃ τὰ μόρια ταῦτα, παραφροσύναι μὲν οὐ γίνονται, καταφοραὶ δὲ βαθεῖαι καὶ ἀναισθησίαι συμβαίνουσι, καρουμένων ἰσχυρῶς ἐνίοτε τῶν οὕτω πασχόντων, ὥσπερ ἐν ταῖς ἰσχυραῖς ἀποπληξίαις. ὅταν δὲ καὶ τὰ ποικίλα πτύσματα, διὰ τὴν ἐποχὴν τοῦ σπέρματος γεγονέναι, κάλλιστόν ἐστι μηδ' ἀντιλέγειν αὐτοῖς. ὑβρίζειν γὰρ ἑαυτόν ἐστιν ἐλέγχοντα μετὰ σπουδῆς, μηδεμιᾶς σπουδῆς ἄξια. λέλεκται δ' οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἄλλα πολλά γε ὁμοίως αὐτοῖς, ὧν ἓν καὶ τοῦτ' ἐστι, τὴν εἰς ἕδραν ἀπόστασιν φασὶ γενέσθαι τῷ Πυθίωνι, διὰ τὴν γειτνίασιν τοῦ χωρίου, καθ' ὃ τοῦ σπέρματος ἡ ἀπόκρισις γίνεται. διὰ δὲ τὴν εἰς ἕδραν ἀπόστασιν, ἀκολουθῆσαι τὴν στραγγουρίαν. καὶ μέντοι καὶ ἄλλα τινὰ λέγουσιν, ἐξ ὧν ἐγκράτειαν ἀφροδισίων ὑποπτεύσειεν ἄν τις, οὔτ' ὀλίγων, οὔτε μικρῶν νοσημάτων αἰτίαν γίνεσθαι. καὶ ταῦτα γράφουσιν αὐτοὶ, μνημονεύσαντες ἐν τῇ τῶν προκειμένων ἐξηγήσει Δημοκρίτου τε καὶ Ἐπικούρου, μηδέ πω μηδὲν ἀγαθὸν ἐξ ἀφροδισίων γίνεσθαι φασκόντων. τὸ δὲ δὴ πάντων σοφώτατον, ὥσπερ ὁ σπασμὸς φασὶν ὑπὸ πληρώσει καὶ κενώσει γίνεται, κατὰ τὸν αὐτὸν τρόπον ἕπεσθαι ταῖς λαγνείαις, καὶ ταῖς ἐγκρατείαις κοινὰ συμπτώματα, λογισμοῦ τε καὶ νεύρων πασχόντων. ἐξ αὐτῆς οὖν τῆς σοφίας αὐτῶν ὁρμηθέντες ἡμεῖς, καὶ πιστεύσαντες ἀληθῆ λέγειν, οὐδὲ τοῖς ἀθληταῖς ἐπιτρέψομεν ἀπέχεσθαι συνουσίας, μή πως ἐκ τούτου σπασθῶσι, ἢ παραφρονήσωσι. καὶ ταῦτα γε πάντα, καὶ πρὸς τούτοις ἔτι τἄλλα ὅσα κατὰ τὴν διήγησιν ἔγραψεν ὁ Ἱπποκράτης, γενέσθαι τῷ Πυθίωνι φασὶν, ὡς ἀκριβῶς πεπεισμένοι τὴν τῶν ἀφροδισίων ἀποχὴν αὐτῷ προηγήσασθαι τῆς νόσου, καίτοι κατ' ἀρχὴν εἰπόντες εἰκὸς εἶναι ταῦτα τῷ Πυθίωνι γεγονέναι διὰ τὴν ἀρχὴν τῆς συνουσίας. αὐτοὶ γὰρ ἀρχὴν αὐτὴν ὀνομάζουσιν, ἀλλ' ὕστερον ὑπολαβόμενοι τὸ μετρίως ἐν ἀρχῇ λελεγμένον ὑφ' ἑαυτῶν εἰκὸς, καὶ πάντως τοῦτον γεγενημένον, τὸν λόγον ποιοῦνται. καίτοι γ' εἰ παρὰ γῆς ἱερὸν ὁ Πυθίων ᾤκει, τίς ἀνάγκη τῆς ἀποχῆς αὐτῷ τῶν ἀφροδισίων, μήθ' ἱερεῖ, μήτε προπόλῳ τῆς θεᾶς ὄντι. πάντως γὰρ ἂν ἐπ' αὐτοῦ τοιοῦτόν τι μᾶλλον ὁ Ἱπποκράτης ἔγραψεν, ἢ ὅτι παρὰ γῆς ἱερὸν ᾤκει. ἀλλ' εἰ καὶ πρόπολος ἢ ἱερεὺς ὑπῆρχεν, οὐκ ἦν ἀναγκαῖον αὐτῷ διὰ παντὸς ἀπέχεσθαι τῶν ἀφροδισίων, ὥσπερ εἰ Ἀρτέμιδος ἢ Ἀθηνᾶς ἦν ἱερεὺς, ἀλλ' ὅπερ ἔφην ἀρτίως, ἐλέγχειν σπουδῇ τὰ μὴ σπουδῆς ἄξια, τῶν ἀτόπων ἐστί. καὶ τοίνυν ἤδη

παυσά-

παυσάμενος τῶν εἰς Πυθίωνα κακῶς εἰρημένων τοῖς ἐξηγηταῖς, ἐπὶ τὸν ἑξῆς ἄρρωστον Ἑρμοκράτην μεταβάς, κατὰ τὸ συνηθέστερον ἐμαυτῷ τὰς ἐξηγήσεις ποιήσομαι, μὴ πάνυ φροντίζων ὧν ἔνιοι γεγράφασιν οὐκ ὀρθῶς, εἰ μὴ μεγάλη τις ἀνάγκη γένοιτο. πρότερον δὲ περὶ τῶν χαρακτήρων ἐρῶ τι. περὶ τῶν προγεγραμμένων χαρακτήρων ἑκάστῳ τῶν ἀρρώστων, οὐκ οἶδ᾽ ὅπως ἐδυσύχησε καὶ τοῦτο τὸ βιβλίον ὥσπερ καὶ ἄλλα πολλὰ τῶν Ἱπποκράτους. τὰ μὲν ἄλλως διεσκευασμένα, τὰ δὲ τοῖς ὑπ᾽ αὐτοῦ γεγραμμένοις παρακείμενόν τι ἔχοντα, βέλτιον δ᾽ ἦν ἴσως φάναι, μὴ τὸ βιβλίον ἐν δυστυχίᾳ γεγονέναι, τοὺς δ᾽ ἀναγινώσκοντας ἡμᾶς αὐτό, χρόνον ἀπολλύντας εἰς ἄχρηστον πρᾶγμα. προσγέγραπται γοῦν ἐπὶ τῷ τέλει τῆς διηγήσεως τῶν συμβαινόντων τῷ Πυθίωνι. πρῶτον μὲν ὁ τοῦ m γράμματος χαρακτήρ, ἔχων ὀρθίαν μέσην γραμμήν ὡς ἔνιοι γράφουσι τῶν πεντακοσίων χαρακτῆρα. μετὰ ταῦτα δ᾽ ἐφεξῆς γέγραπται τοῦ π̄ γράμματος ὁ χαρακτήρ, οὐδὲν ἔχων ἐν μέσῳ. καὶ μετὰ τοῦτον τοῦ ου, καὶ μετ᾽ ἐκεῖνον τοῦ μ̄, ὕστατον δὲ τὸ ῡ. ζητεῖν οὖν ἠναγκάσθημεν ὅτι ποτὲ σημαίνουσιν χαρακτῆρες οὗτοι, μετὰ τοῦ μηδὲ γινώσκειν ἡμᾶς, εἴθ᾽ Ἱπποκράτους ἦν, ἤ τις ἄλλος ὁ γράψας τὰ τοιαῦτα καθ᾽ ἕκαστον τῶν ἀρρώστων. ἀλλὰ καὶ τοῦτ᾽ αὐτὸ ζητεῖν ἀναγκασθέντες ἐνοήσαμεν. εἰ μὲν ὥσπερ ἐν τούτῳ τῷ βιβλίῳ τοὺς τοιούτους χαρακτῆρας εὑρήκαμεν, οὕτω κἂν τοῖς ἄλλοις ἅπασι τῶν ἐπιδημιῶν ἐφαίνοντο προσγεγραμμένοι τῇ διηγήσει τῶν συμβάντων τοῖς ἀρρώστοις, ἴσως ἂν ἦν εὔλογον ὑφ᾽ Ἱπποκράτους αὐτοὺς προσγεγράφθαι φάναι. μήτε δ᾽ ἐν τοῖς ἄλλοις βιβλίοις αὐτῶν εὑρισκομένων, ἀλλὰ μηδ᾽ ἐν αὐτῷ τῷ τρίτῳ διὰ πάντων ὁμαλῶς τῶν ἀντιγράφων, ὑποψία τις εὔλογος εἰσῆλθεν οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ τοὺς πρὸ ἡμῶν, ὑπό τινος αὐτοὺς προσγεγράφθαι, τάχα μὲν ἐπιτρίβοντος τοῖς μαθηταῖς ἵν᾽ ἔχῃ σαφηνίζειν, ὥς τι μέγα τὸ καθ᾽ ἕκαστον αὐτῶν δηλούμενον. ἴσως δέ τινος αὐτῷ μόνῳ πεποιημένου τῆς καθ᾽ ἕκαστον ἄρρωστον ὠφελείας ὑπόμνημα. εὐθὺς γοῦν ἐν αὐτῷ τούτῳ τῷ προγεγραμμένῳ Πυθίωνι, τὸ μὲν τὸ διὰ μέσου γραμμὴν ἔχον m δοκεῖ σημαίνειν πίθανον. τὸ δ᾽ ἑξῆς αὐτῷ π̄ πλῆθος, ᾧ πάλιν τὸ ου γεγραμμένον, ἐφεξῆς οὖρον δοκεῖ σημαίνειν, ὡς ἐξ ἀμφοτέρων δηλοῦσθαι πλῆθος οὔρων. εἶτ᾽ ἐφεξῆς τὸ μὲν μ̄ τῆς τεσσαρακοστῆς ἡμέρας ἀναμιμνήσκειν ἡμᾶς. τὸ δὲ ῡ τῆς ὑγείας. ἐξ ἀμφοῖν δὲ τούτων δηλοῦσθαι, κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν ὑγιάσθηναι. τὴν δ᾽ ἐξ ἁπάντων τῶν χαρακτήρων ἀθροιζομένην διάνοιαν γίνεσθαι τοιαύτην, πιθανόν ἐστι διὰ τὸ πλῆθος τῶν ἐκκριθέντων οὔρων, αὐτὸ λυθῆναι τὸ νόσημα καὶ ὑγιῆ γενέσθαι τὸν ἄνθρωπον ἐν τῇ τεσσαρακοστῇ τῶν ἡμερῶν. ὅτι μὲν οὖν οὐκ ἐν ἅπασι τοῖς ἀντιγράφοις εὑρίσκεται τὰ προγεγραμμένα κατὰ τοῦτον τὸν τρόπον, εἴρηται καὶ πρόσθεν. ἀλλὰ νῦν φημὶ μηδ᾽ ἐν οἷς εὑρίσκεται, μηδ᾽ ἐν τούτοις ἅπασι τὸν πρῶτον ἄρρωστον ἔχειν, τινὰ τοιοῦτον χαρακτῆρα. τὸ δ᾽ οὖν ἔχον τῶν ἀντιγράφων αὐτοὺς τοὺς ἐπὶ τῷ τέλει τῆς διηγήσεως τῆς κατὰ τὸν Πυθίωνα, χαρακτῆρας ὧδέ πως ἔχει γεγραμμένους, m π̄ ου μ̄ ῡ. ὅτι δ᾽ εὔλογόν ἐστιν ἑκάτερον τῶν χαρακτήρων σημαίνειν ὃ δεδήλωκα ἄρτι μαρτυροῦσιν, οἱ τοῖς ἄλλοις ἀρρώστοις προσγεγραμμένοι. πανταχόθεν μὲν γὰρ πρόκειται τὸ π̄ τὴν διαμένουσαν γραμμὴν ἔχον. ἐπὶ δὲ τῇ τελευτῇ τοῖς μὲν σωθεῖσιν ῡ προγέγραπται, τὴν ὑγείαν σημαῖνον. τοῖς δ᾽ ἀποθανοῦσι τὸ θ̄, καὶ τοῦτο δηλονότι τὸν θάνατον ἐνδεικνύμενον. ἐν ἀρχῇ οὖν τῶν μὲν τοιούτων σημαίνειν φαινομένων τὰ λεγόμενα. τῶν δ᾽ ἐν τῷ μεταξὺ πιθανῶν ὄντων, ὡς ἐφαρμόζεσθαι δυναμένων τοῖς ἐπὶ τῶν ἀρρώστων ὑφ᾽ Ἱπποκράτους εἰρημένοις. ἡμῖν μὲν ὁ μάταιος ἆθλος ἐπὶ τοῦ Πυθίωνος ἤνυσται, καὶ κατὰ τοὺς ἄλλους ἀνυσθήσεται, τὸν χρόνον εἰκῇ κατατρίβουσιν. οἱ σοφισταὶ δὲ καὶ διὰ τὴν τοιαύτην ἐξήγησιν ὡς προφῆταί τινες ὑπὸ τῶν μαθητῶν θαυμάζονται.

Ἑρμοκράτης ὃς κατέκειτο παρὰ τὸ καινὸν τεῖχος, πῦρ ἔλαβεν. ἤρξατο δ᾽ ἀλγέειν κεφαλήν, ὀσφύν, ὑποχονδρίου ἔντασις λαπαρῶς, γλῶσσα δ᾽ ἀρχομένῳ ἐπεκαύθη, κώφωσις αὐτίκα, ὕπνοι οὐκ ἐνῆσαν, διψώδης οὐ λίην, οὖρα παχέα, ἐρυθρά, κείμενα οὐ καθίστατο. ἀπὸ δὲ κοιλίης συγκεκαυμένα οὐκ ὀλίγα διῄει. πέμπτῃ οὔρησε λεπτά, εἶχεν ἐναιώρημα, οὐχ ἵδρυτο, ἐς νύκτα παρέκρουσε. ἑκτῃ ἰκτεριώδης, πάντα παρωξύνθη, οὐ κατενόει.

Οὐδὲν ἐνταῦθα ληρεῖν ἀπέχοντό τινες τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἀλλὰ διὰ τοῦτο φασὶ γεγράφθαι παρὰ τὸ καινὸν τεῖχος, ὅτι νεοκονίατον ὄν, ἔβλαψε τὸν ἄνθρωπον. ἕτεροι δὲ τούτοις ἀντιλέγοντες, πειρῶνται δεικνύειν, οὐ διὰ τὴν τίτανον ἐμνημονευκέναι τοῦ καινοῦ τείχους αὐτόν, ἀλλὰ διότι παρὰ τὸ ἔθος ἀποφραχθέντων τῶν ἀνέμων καὶ τῆς εὐπνοίας τῶν οἰκημάτων ἐν οἷς Ἑρμοκράτης ᾤκει, διαφθαρείσης ἡ νόσος ἐγένετο τῷ ἀνθρώπῳ. περὶ μὲν οὖν τοῦ χωρίου, καὶ ταῦθ᾽ ἱκανά, μᾶλλον δ᾽ ἀληθὲς εἰπεῖν, ὅτι περιττά. περὶ δὲ τῶν συμβάντων αὐτῷ σκεπτέον ἐφεξῆς ἀναμιμνησκομένους τῶν ἐν ἑτέροις ἀποδεδειγμένων, ὧν καὶ τόδ᾽ ἐστί, ῥίγη γίνεται τὰ πρῶτα τῶν πυρετῶν εἶναι. τὸ μέν τι τῶν ἐφημέρων ὀνομαζομένων τόδε τι τῶν ἑκτικῶν. τὸ δὲ τρίτον οὓς ὀνομάζουσιν ὀξεῖς, ἐπὶ χυμοῖς σηπομένοις γινομένους, ὅτι μὲν ἐκ τοῦ τρίτου γένους τούτων ὁ πυρετὸς ἐγένετο τῷ Ἑρμοκράτῃ, δῆλον εὐθέως ἐκ τοῦ φάναι τὸν Ἱπποκράτην κατὰ τὴν ἀρχὴν τῆς διηγήσεως ἐπ᾽ αὐτοῦ, τό, πῦρ ἔλαβεν. ὥσπερ γε ἐφ᾽ ἑκατέρας διηγήσεως ἔγραψεν ἄνθρωπος θερμαινόμενος ἐδέπνησεν, ἐνδείξασθαι βουλόμενος διὰ τοῦ θερμαινόμενος ὀνόματος τὴν μετριότητα τοῦ γινομένου τῷ δειπνήσαντι πυρετοῦ, κατὰ τὸν αὐτὸν τρόπον νῦν ὠνόμασε πῦρ, τὸν ἰσχυρὸν πυρετόν. ἀλλὰ καὶ κεφαλὴν ἀλγέειν ἤρξατο, μετὰ κωφώσεως. εὔδηλον οὖν ἐκ τούτων ἐστίν, ἐπὶ τὴν κεφαλὴν ἀνενεχθαι πλῆθος χυμῶν. ἐδείχθη δ᾽ ὅτι τοῖς μὲν ψυχροτέροις καὶ φλεγματικωτέροις, ὕπνοι τε καρώδεις ἕπονται καὶ τὰ ληθαργικὰ πάθη, τοῖς δὲ θερμοτέροις, ἢ ὅλως δακνώδεσιν, ἀγρυπνίαι τε καὶ παραφροσύναι. γινομένης οὖν ἀγρυπνίας αὐτῷ μετά τε κωφώσεως καὶ κεφαλῆς ἀλγήματος καὶ ὀσφύος, ὑποπτεύειν εὔλογον ἦν τοὺς πληρώσαντας τὴν κεφαλὴν χυμοὺς δακνωδεστέρους εἶναι. συμβαίνει δ᾽ ἐπὶ τοῖς τοιούτοις ὅταν ἅμα πυρετῷ θερμῷ καὶ διακαεῖ βλάβωσι τὴν κεφαλήν, ἕπεσθαι παραφροσύνας, ὡς ἔμαθες. ὅταν δὲ καὶ παραμένῃ μέχρι δύο, ἢ τριῶν ἢ τεττάρων ἡμερῶν τὰ συμπτώματα, βεβαιότερον ἔτι προγνώσῃ τὴν παραφροσύνην, ὥσπερ ἀμέλει καὶ νῦν ἐπὶ τοῦ Ἑρμοκράτους

ἐγένετο. ἤδη γὰρ τὴν τῆς πέμπτης ἡμέρας διήγησιν ἔγραψε παραφρονῆσαι τὸν ἄνθρωπον. ὅτι δ' ὁ πυρετὸς οἷος εἴρηται ἦν, δηλοῖ καὶ τὸ γλώσσης σύμπτωμα. τί γάρ φησι; γλῶσσα δ' ἀρχομένῳ ἐπεκαύθη. σημαίνει δὲ τοὔνομα τοῦτο, ξηρὰν μὲν αὐτὴν γεγονέναι πάντως, ἐγχωρεῖ δὲ καὶ μέλαιναν. ἐπὶ δὲ τοιαύτῃ γλώττῃ, καὶ τοιούτῳ πυρετῷ, τὸ μὴ σφοδρῶς δίψην ἐνδείκνυται δυοῖν θάτερον, ἢ τὴν διάνοιαν βεβλάφθαι τοῦ κάμνοντος, ἢ τὴν ἐν τῇ γαστρὶ δύναμιν φυσικήν, ᾗ πολλαχόσε τῶν σιτίων ὀρεγόμεθα, νενεκρῶσθαι. προσκειμένης δὲ τῇ διηγήσει καὶ τοιᾶσδε λέξεως, ὑποχονδρίου ἔντασις λαπαρῶς, ὑποληπτέον ἐν ἥπατι γεγονέναι τὴν ἀρχὴν τῆς πυρετικῆς διαθέσεως. ἐκ μὲν γὰρ τοῦ ἤδη τὸν ἑνικὸν ὀνομαζόμενον ἀριθμὸν εἰπεῖν ὑποχονδρίου, δῆλον ὡς θατέρου μόνου, καὶ οὐκ ἀμφοτέρων αὐτῶν ἔντασις ἦν. ἐπεὶ δ' ἀναγκαῖον, ἢ τὸ δεξιὸν ἢ τὸ λαιὸν ὑποχόνδριον ἡμᾶς ἀκούειν, εὐλογώτερόν ἐστι τὸ δεξιὸν ἡγεῖσθαι τετάσθαι, διὰ τὴν ὑπεροχὴν ἣν ὑπερέχει θατέρου. τὰ γὰρ τοιαῦτα, χωρὶς προσθήκης τε καὶ διορισμῶν λέγουσι. καὶ μέντοι καὶ ὁ τρόπος αὐτὸς τοῦ πυρετοῦ καὶ τῆς γλώττης αὐτῆς ἡ ἐπίκαυσις, ἱκανὴ τὴν καθ' ἧπαρ ἐνδείξασθαι διάθεσιν. ἡ δὲ λαπαρῶς εἰρημένη, γεγονέναι ἤδη τὸ ὑποχόνδριον ἔντασις, δῆλον μὲν ὅτι τὸ οἷον κενὴ δηλοῖ. τὸ γοῦν κενόν, ἐκ τοῦ λαπαροῦ σημαίνεται, τῷ δ' ἀντίκειται τὸ μετ' ὄγκου, καθάπερ τὸ τεταμένον τῷ χαλαρῷ, ὡς εἰ καὶ οὕτως εἶπε. δεξιοῦ ὑποχονδρίου ἔντασις, ὄγκος δ' οὔ. ἢ τῷ μὴ γεγονέναι μεγάλην τὴν φλεγμονὴν τοῦ ἥπατος, ἢ τῷ ἤδη τὰ σιμὰ μόνον, οἷς περιλαμβάνει τὴν γαστέρα, τῶν κυρτῶν οὐδέπω συνεξηρμένων αὐτοῖς. ἀλλὰ καὶ τὸ τὴν κοιλίαν συγκεκαυμένα διαχωρεῖν, ἐνδεικτικόν ἐστι τῆς ἤδη τὸ σπλάγχνον ταύτης πυρώσεως. εἰ μὲν οὖν ἐπὶ τούτοις οὖρα θανατώδη συνέβη γενέσθαι, τάχ' ἂν ὁ ἄνθρωπος ἀπέθανεν. ἐπεὶ δ' ὡς τοῖς τοιούτοις ἦν μέτρια, δυνατὸν ἄν τις ἐλπίσειεν ἔσεσθαι χρονίσειν αὐτόν. ἀγαθὰ μὲν γὰρ οὖρα ἤδη τῇ εἰρημένῃ διαθέσει, οὐκ ἂν γένοιτο. τὰ δ' ἐρυθρά, χρόνῳ μὲν πολλῷ νοσῆσαι τὸν ἄνθρωπον ἐνδείκνυται πάντως, οὐκ ἔστι ἅπαντος δὲ τεθνήξεσθαι, καθότι κἂν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν, κἂν τοῖς περὶ κρίσεων ἐδείχθη, μεμψαμένοις τὸν γράψαντα τὸ βιβλίον ἐκεῖνο. τὰ γὰρ δι' ἕτερόν τι συμβαίνοντα τοῖς νοσοῦσιν εἰς ἕτερον ἀναφέρων ἁμαρτάνει. λέλεκται δ' ἡμῖν ἐπὶ πλέον ἐν ἐκείνοις τοῖς ὑπομνήμασι, καὶ τὰ τῆς φρενίτιδος ἴδια σημεῖα, καὶ ὡς ἐν τοῖς ὁμολογουμένοις Ἱπποκράτους εἶναι γνησίοις, ὧν ἐστι καὶ τὸ προγνωστικόν, ἑκάστου τῶν σημείων ἡ δύναμις ἀκριβῶς εἴρηται κατὰ μόνας αὐτῷ. περὶ μὲν οὖν ἐρυθρῶν ἢ ὑπερύθρων οὔρων, οὐδὲν εἶπεν, ὑπερύθρου δὲ μνημονεύσας οὔρου, καὶ τῶν ὑπερύθρων τὴν δύναμιν ἐνεδείξατο. γράφει δὲ περὶ τῶν ὑπερύθρων οὔρων ἐν τοῖς ὀνόμασιν ὧδε. » εἰ δ' ἐστὶ τὸ οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρος εἴη, πολυχρονιώτερον μὲν τούτου τοῦ πρώ- » του γίνεται, σωτήριον δὲ κάρτα. τοῦ τοίνυν ὑπερύθρου σωτηρίου μὲν ὄντος ἐν τοῖς μάλιστα, πολυχρονιωτέρου δὲ τοῦ προειρημένου, ἃ διὰ ταχέων εἴρηκε τὴν λύσιν ἔχειν, τὰ λίαν ἐρυθρὰ μακρότερον μὲν ἐνδείξεται χρόνον, οὔτε δὲ θάνατον ὅσον ἐφ' ἑαυτοῖς, οὔτε παραφροσύνην. εἴ γε διὰ ξανθὴν χολὴν ἐν ἐγκεφάλῳ πλεονάζουσαν αἱ παραφροσύναι γίνονται, καθάπερ γε καὶ κατοπτηθείσης αὐτῆς, ὡς εἰς μέλαιναν ἤδη μεταπίπτειν αἱ μανιώδεις. αἷμα δὲ πλεονάζειν ἀπεπτότερον καὶ ὀρρωδέστερον ἐνδείκνυται τὸ ἐρυθρὸν οὖρον, ἐν ταῖς φλεψὶ δηλονότι περιεχόμενον, ὅσαι καθ' ἧπάρ τέ εἰσι καὶ τὰ μέσα τοῦ σώματος, ὥσπερ καὶ ξανθὴν χολὴν τὰ πυρρὰ καὶ μέλανα. πόθεν οὖν ἐπῆλθεν ἄλλοις τισὶ καὶ » τοῖς περὶ Λύκον ἀποδέξασθαι τὸν γράψαντα ἐν προρρητικῷ. κώφωσις καὶ οὖρα ὑπέρυθρα, ἀκατάστατα, ἐναιωρηθέν- » τα παρακρουστικόν, τοῖς τοιούτοις ἰκτερῶσθαι καλόν. ἔοικε μὲν γοῦν ἐκ τῶν ἐνταῦθα γεγραμμένων ἐφ' Ἑρμοκράτους ὁ γράψας τὸ βιβλίον ἐκεῖνο καθολικόν τι συνθεῖναι θεώρημα. πάμπολυ δ' ἔσφαλται, καὶ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως καὶ τῆς Ἱπποκράτους γνώμης, καὶ τῶν ἐπὶ τοῖς ἀρρώστοις ὁρωμένων. ἡ μὲν γὰρ τοῦ πράγματος φύσις, ἐνδείκνυται τοὺς ξηροὺς τῇ κράσει καὶ δακνώδεις τῇ ποιότητι χυμούς, εἰς ἐγκέφαλον ἀνενεχθέντας, αἰτίους ἀγρυπνίας τε καὶ φρενίτιδος γίνεσθαι, καθότι κἂν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπομνήμασιν ἐδείκνυον. Ἱπποκράτης δὲ τοιούτους μὲν οἶδε χυμούς, τήν τε τῆς ξανθῆς καὶ μελαίνης, ὑγρὸν δὲ καὶ ψυχρὸν τὸν τοῦ φλέγματος, ἀδηκτότατον δὲ καὶ μάλιστα οἰκεῖον ἡμῖν, τὸ αἷμα. καὶ μέντοι καὶ ὡς ὀρρός ἐστι τῶν κατὰ τὰς φλέβας χυμῶν τὸ οὖρον, αὐτὸς ἡμᾶς ἐδίδαξεν, ὡς εὔλογόν ἐστιν ὅταν αἷμα πλέον ἡμίπεπτον ᾖ, καθαιρόμενον διὰ οὔρων, ἐρυθρὰ ταῦτ' ἐργάζεσθαι, καὶ διὰ τοῦτο χρόνιον μὲν ἔσεσθαι τὸ νόσημα, δεομένου γε τοῦ αἵματος εἰς πέψιν χρόνου πλείονος, εἴπερ ἐκ τῶν χρόνων οἱ πεπασμοί, μήτε δ' ὀλέθριον ποτὲ τοιούτου νοσήματος, ὅσον ἐπὶ τοῖσδε τοῖς οὔροις ἐσομένου, μήτε φρενιτικοῦ. ἀλλ' οὐ χρὴ μηκύνειν ἐνταῦθα, φθανόντων ἡμῶν τὴν ἀτοπίαν τῶν τοιούτων λόγων ἐν τοῖς εἰς τὸ προρρητικὸν ὑπομνήμασιν ἐπιδεδειχέναι. ἐπεὶ δὲ καὶ παχέα δηλοῖ γεγονέναι τὰ οὖρα καὶ μὴ καθιστάμενα, πάντως μὲν δή που τὰ τοιαῦτα, τῶν ἀνατεταραγμένων τε καὶ θολερῶν ἐστιν, ὡς οὗτος εἴωθεν ὀνομάζειν. ἔστι δ' ἀεὶ τὰ τοιαῦτα ταραχῆς ἀπέπτου δηλωτικά, πολὺ τὸ φυσῶδες ἐχούσης πνεῦμα, καθάπερ τὸ γλεῦκος. διὰ τοῦτό γε καὶ κεφαλαλγίαι συμπίπτουσι τοῖς τὰ τοιαῦτα οὐροῦσιν, ἐπὶ τὴν κεφαλὴν ἀναφερομένου πνεύματος ἅμα τοῖς θερμοτέροις χυμοῖς, ὑφ' ὧν εἰκός ἐστι καὶ τὴν ἀγρυπνίαν αὐξηθῆναι, καὶ κίνδυνον ἔσεσθαι παραφροσύνης, ἐὰν οἱ χυμοὶ δριμύτητά τινα ἔχωσι. ταῦτ' εὐθέως ἐν ἀρχῇ πάντα τὰ συμπτώματά τε καὶ σημεῖα γεγονέναι τῷ Ἑρμοκράτει διελθὼν ὁ Ἱπποκράτης, εἶτα μηδὲν γράψας περὶ τῶν ἑξῆς ἡμερῶν, ἄχρι τῆς πέμπτης ἐνδείκνυται διαμεμενηκέναι ταῦτα πάντα, καὶ τότε πρῶτον αὐτὸς ἄρξασθαι τῆς τῶν ἄλλων διηγήσεως, ὁπότε μεταβολή τις ἐν αὐτοῖς ἐγένετο. κατὰ τὴν πέμπτην γοῦν ἡμέραν φησίν, οὐρῆσαι πολλὰ λεπτά. καὶ τοίνυν μεταβῶμεν ἤδη πρὸς τὴν ἐκείνης διήγησιν. πέμπτῃ οὔρησε λεπτά, εἶχεν ἐναιώρημα, οὐχ ἵδρυτο, εἰς νύκτα παρέκρουσεν. ὁπότε πρῶτον, ἥ τε τῶν οὔρων ἐξ ἀρχῆς ἐγένετο μεταβολή, καὶ παρεφρόνησεν ὁ ἄνθρωπος, ἔγραψεν ὁ Ἱπποκράτης κατὰ τὴν πέμπτην ἡμέραν, ὑπερβὰς ὡς εἴρηται τὴν τῆς δευτέρας καὶ τρίτης καὶ τετάρτης διήγησιν, ὡς τῶν αὐτῶν ἐν αὐταῖς συμπτωμάτων μεινάντων. ἀναμνησθῶμεν οὖν περὶ τῶν λεπτῶν οὔρων, ὧν εἶπεν ἐν » προγνωστικῷ ἤδη τήνδε τὴν λέξιν. ὁκόσοι δ' αὖ οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέουσι πολὺν χρόνον, ἢν τἄλλα ὡς περιεσο- » μένοισιν ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία, ὥστε καθ' ἕτερον τρόπον ἄπε- » πτον εἶναι σημαίνεται τὸ νόσημα διὰ τῶν λεπτῶν οὔρων, ὥσπερ καὶ διὰ τῶν παχέων, ὁπότε μὴ καθίσταιτο. τὰ γὰρ ἀνατεταραγμένα μὲν ἀλλ' ἐν τῷ κεῖσθαι καθιστάμενα, πέψεως τινὸς ἀρχὴν ἐνδείκνυται, καὶ μάλιστα ὅταν ἐν τάχει καθίστηται.

πολ. τὰ δὲ μὴ καθιστάμενα πρὸς τῇ φυσώδει ταραχῇ, πάχος ἐστὶν σημαίνει χυμῶν ἀπέπτων. ἐκ μὲν δὴ τούτων ἤδη δῆλον ὅτι χρονίζειν τὸ νόσημα. καὶ μέντοι καὶ κινδυνῶδες ἐστὶν, διά τε τὴν κακίαν τοῦ πυρετοῦ, κἂν τὸ παρακροῦσαι τὸν ἄνθρωπον εἰς νύκτα. τὰ δ᾽ ἐφεξῆς, ἴδωμεν εἰ τούτοις ἀκόλουθον φαίνεται. ἰκτερώδης, πάντα παρωξύνθη, ὃ κατενόει. διορισμὸς ἐν τούτῳ σοι γινέσθω τῆς κατὰ τὸ ὑποχόνδριον ἐντάσεως ἐφ᾽ ἥπατι συμβάσης. γίνεται μὲν γάρ ποτε χολῆς ὠχρᾶς ἀνάχυσις ὅλον τὸ σῶμα, λόγῳ κρίσεως, ὡς κἀν τοῖς εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν εἴρηται, κατ᾽ ἐκεῖνο τοῦ βιβλίου τὸ χωρίον ἔνθα φησίν, ἴκτερος πρὸ ἑβδόμης, κακόν. ἀναμνήσθητι δὲ καὶ ὡς πρὶν πεφθῆναι τὸ νόσημα πολλάκις ἤκουσας, ὅτι ἄλλην τινὰ ἀπόστασιν γίνεσθαι χρηστῶς, ὅτι τὴν ἰκτερώδη. σημαίνει γὰρ ἡ τοιαύτη κωλύεσθαι τὴν χολὴν ἐκκαθαίρεσθαι τοῦ σπλάγχνου, καὶ κενοῦσθαι διὰ τῆς γαστρὸς, ἤτοι δι᾽ ἔμφραξιν, ἢ διὰ φλεγμονὴν αὐτοῦ. πεπεμμένου δὲ τοῦ νοσήματος, ἐνίοτε κριτικῶς εἰς τὰ κατὰ τὸ δέρμα μόρια τοῦ σώματος ἀποτίθεται τὸ περιττὸν ἡ φύσις, ἄλλων τέ τινων χυμῶν καὶ τῆς ξανθῆς χολῆς. οὐδὲν γὰρ ἐν τῷ παρόντι διαφέρει ξανθὴν ἢ ὠχρὰν ὀνομάζειν. ὅτι δὲ τῆς κατὰ τὸ ἧπαρ διαθέσεως αὐξανομένης, ἡ ἰκτερώδης διάθεσις ἐγένετο, δηλοῖ καὶ τό, πάντα παροξυνθῆναι περὶ τὴν ἕκτην ἡμέραν, ἅμα τῷ μὴ κατανοεῖν τὸν ἄνθρωπον, ὅπερ ἐστὶ καταφρονεῖν.

Ἑβδόμῃ δυσφόρως, οὖρα λεπτὰ, ὅμοια, ταῖς ἑπομέναις παραπλησίως. περὶ δὲ ια. ἐόντι, πάντα ἔδοξε κουφισθῆναι.

Ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν ἀρξάμενα χείρω γίνεσθαι τὰ οὖρα, παρέμενε φυλάττοντα τὴν κακίαν ἕως πολλῶν ἡμερῶν. οὐ γὰρ ἐπὶ τῆς ἑβδόμης, ἀλλὰ καὶ κατὰ τὰς ἑπομένας ἄχρι τῆς ἑνδεκάτης ἐν τοῖς αὐτοῖς γενέσθαι συμπτώμασί τε καὶ σημείοις τὸν Ἑρμοκράτην φησί. περὶ ἑνδεκάτην ἐόντι, ἔδοξε πάντα κουφισθῆναι. καλῶς εἶπεν ἔδοξεν. οὐ γὰρ οἷόν τ᾽ ἐστὶν ἐπὶ κινδυνώδεσι τοῖς σημείοις εὐθέως αὐτὸν ἐν ἀμείνονι καταστάσει γενέσθαι, τῆς αὐτῆς ἀπεψίας διαμενούσης τῶν χυμῶν, μετὰ τοῦ μηδὲ κρίσιμον ἐπιφανῆναί τι κατὰ τὴν ια. ἡμέραν, ὃ πολλάκις εἴωθεν ἐπιφαίνεσθαι τῆς φύσεως, ἤτοι δι᾽ αἵματος ἐκκρίσεως, ἢ γαστρὸς, ἢ ἐμέτων, ἢ ἱδρώτων, ἢ παρωτίδος, ἤ τινος ἀποσκήμματος ἐκ τοῦ κινδύνου ῥυσαμένης τὸν ἄνθρωπον. ἐπισκεψώμεθα γοῦν ἐφεξῆς τὰ κατὰ τὴν ια. ἡμέραν.

Κῶμα ἤρξατο, οὖρα παχέα ὑπέρυθρα, κάτω λεπτὰ, οὐ καθίστατο, ἡσυχῇ κατενόει.

Ἐν ὅλον γέγονε βιβλίον ἐξηγουμένοις τὸ σημαινόμενον ἐκ τῆς κῶμα φωνῆς, ἐν ᾧ δείκνυται τὴν εἰς ὕπνον καταφορὰν, οὕτως ὀνομάζων ὁ Ἱπποκράτης. εἰς ὕπνον δὲ λέγω καταφορὰν, ὅταν ἐγρηγορέναι μὲν ἀδυνατῶσιν οἱ κάμνοντες, οὐκ ἀναπεπταμένους ἔχοντες τοὺς ὀφθαλμοὺς, μύσαντες δ᾽ αὐτοὺς, ἤτοι βαθέσιν ὕπνοις, ἢ λεπτοῖς, ἢ ἀγρυπνίαις συνέχονται. διὸ καὶ διορισμοῦ δεῖται, καὶ πολλῆς συνέσεώς τε καὶ τριβῆς ἵνα γνῶναι ἐπί τινι διαθέσει κωματώδης ὁ νοσῶν ἐγένετο. πολλάκις μὲν γὰρ ὑγρότητι πολλῇ τοῦ πρώτου αἰσθητικοῦ μορίου, καθ᾽ ὃ καὶ τὸν ὕπνον ὀρθῶς Ἀριστοτέλης ἔδειξε γινόμενον, ἕπεται κῶμα, καθάπερ ἐνίοις τῶν μεθυσθέντων γίνεται. πολλάκις δὲ διὰ μόνην ψύξιν, ἔστι δ᾽ ὅτε καὶ δι᾽ ἄμφω ταῦτα συμπίπτει βαθὺς καὶ κωματώδης ὕπνος. ἀλλὰ καὶ δι᾽ ἀρρωστίαν δυνάμεως ἡ τοιαύτη γίνεται διάθεσις, οὕτως ἤδη νεκρουμένης αὐτῆς, ὡς ἐπηρμένα τὰ βλέφαρα φυλάττειν μὴ δύνασθαι, καὶ συμβαίνει τοὺς οὕτως ἔχοντας ἐπειδὰν μύσωσι τοὺς ὀφθαλμοὺς, ἢ μηδ᾽ ὅλως ἢ βραχύ τι, κοιμηθέντας ἀγρυπνεῖν, οὐδὲ τότε διαίρειν τὰ βλέφαρα δυναμένους, ἥν τινα διάθεσιν ἀπὸ τῆς γινομένης δι᾽ ὑγρότητα καὶ ψύξιν οἱ σφυγμοὶ μάλιστα διορίζουσιν, ἀμυδρότατοί τε καὶ βραδεῖς καὶ ἀραιοὶ καὶ σμικροὶ γινόμενοι. καὶ εἴπερ ταύτην τὴν θεωρίαν ὁ Ἱπποκράτης ἐξηγησάμενος παραπλησίως ταῖς ἄλλαις ἐγεγράφει τὸ τῶν σφυγμῶν εἶδος ἐπὶ τῶν καμνόντων, ἀκριβέστερον οὕτω καὶ ἡμεῖς τῶν συμβαινόντων αὐτοῖς διαθέσεων εἴχομεν τὴν γνῶσιν. ἐπεὶ δὲ παρέλιπεν αὐτὴν, ὥσπερ ἐνίοτε τὴν τῶν οὔρων, ἐξ ὧν ἔγραψεν, ἐκ τούτων χρὴ τεκμαίρεσθαι περὶ τῶν ἀρρώστων. φλεγματώδη μὲν οὖν χυμὸν ἐπὶ τὸν ἐγκέφαλον ἀφικέσθαι κατὰ τὴν ἑνδεκάτην ἡμέραν, οὐκ εὔλογον ἐν νοσήματι ξηρῷ καὶ θερμῷ κατὰ τὴν ἀρχὴν εὐθέως εἰσβάλλοντι. καὶ γὰρ ἡ τῆς γλώττης ἔγκαυσις, ἥ τ᾽ ἀγρυπνία καὶ ὁ πυρετὸς ἰσχυρὸς ὤν, ἥ τε κατὰ τὴν ἕκτην ἡμέραν ἰκτερώδης ἀνάχυσις, τά τε διαχωρήματα συγκεκαυμένα, πυρώδη τὴν ἐν ὅλῳ τῷ σώματι διάθεσιν εἶναι δηλοῖ, σὺν τῷ καὶ εἴ τι πάθος ἤθροιστο χυμοῦ ἐν ἥπατι μόνῳ καὶ κατὰ τὰς ἐνταῦθα φλέβας, οὐ καθ᾽ ὅλον τὸ σῶμα περιέχεσθαι τοῦτο, δηλωθὲν εὐθέως ἐν ἀρχῇ διὰ τοῦ τῶν οὔρων πάχους. ὑπολείπεται τοίνυν ἤτοι ψύξις σφοδρὰ κατὰ τὸν ἐγκέφαλον ἢ ἀρρωστία δυνάμεως αἰτία τοῦ κώματος τῷ Ἑρμοκράτῃ γεγονέναι κατὰ τὴν ἑνδεκάτην ἡμέραν. ὁπότερον δ᾽ ἂν ᾖ τούτων, ἐσχάτως ἐστὶν ὀλέθριον. ἀνίατοι γὰρ ἐδείχθησαν αἱ τοιαῦται ψύξεις, ὅταν ἀκολουθήσωσι θερμοῖς καὶ ξηροῖς νοσήμασιν. εἰκότως οὖν ἔγραψεν ὁ Ἱπποκράτης, ἔδοξε πάντα κουφισθῆναι. χαλεπωτάτου γὰρ σημείου τοῦ κατὰ τὸ κῶμα λαβόντος ἀρχὴν ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας, ἀδύνατον ἦν ἀναλαμβάνειν τὸ σῶμα τηνικαῦτα τὴν ὑγιεινὴν ἕξιν. οὐ μὴν οὐδὲ μέση τίς ἐστιν ἐν τοῖς τοιούτοις διάθεσις, ἀλλ᾽ ἐὰν ἐκπέσῃ τῆς ὑγιεινῆς καταστάσεως ἡ τοιαύτη τοῦ πυρετοῦ ἰδέα πρὸς τὴν ἐναντίαν ἀφικνεῖται τὴν ὀλεθρίαν, ἐν ᾗ σβέννυται τὸ ἔμφυτον θερμόν. τοῦ τοίνυν κώματος οὕτως ὀλεθρίου συμπτώματος ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας γενομένου, προσέχωμεν τοῖς οὔροις. εἰ μὲν γὰρ ὀλέθρια καὶ αὐτὰ φαίνοιτο, διὰ ταχέων δηλώσει τεθνήξεσθαι τὸν ἄνθρωπον. εἰ δὲ μέτρια, εἰς χρόνον ἐκταθήσεσθαι πλείονα. τὰ μὲν γὰρ ἄριστα τῶν οὔρων ἐν τῇ τοιαύτῃ διαθέσει ἀδύνατον γενέσθαι. τίνα δὲ λέγει περὶ αὐτῶν ἀκούσωμεν. οὖρα φησὶ παχύτερα. συνάπτουσι δ᾽ ἐνταῦθα τινὲς μετὰ τὸ κῶμα, τὸ ἔμπροσθεν εἰρημένον, ἤρξατο, τοῖς οὔροις προστιθέντες. ἐν γὰρ τῷ μεταξὺ τεταγμένον αὐτὸ, τοῦ τε κώματος καὶ τῶν οὔρων, ἔνεστιν ὁποτέρῳ τις βούλεται προσνέμειν, ὡς γενέσθαι τὴν ἀνάγνωσιν διττὴν, μίαν μὲν τοιαύτην, κῶμα ἤρξατο. μίαν δ᾽ ἄλλην τοιάνδε, ἤρξατο δ᾽ οὐρεῖν παχύτερα. καὶ γὰρ προστιθέασι τῷ οὖρα ῥήματι κατὰ τὴν ὁριστικὴν καλουμένην ἔγκλισιν εἰρημένῳ, τὸ ν γράμμα καὶ γράφουσιν οὐρεῖν μετὰ τοῦ ν κατὰ τὴν ἀπαρέμφατον καλουμένην, ἵνα τῷ ἤρξατο σύμφωνος ἡ γραφὴ γένηται. πιθανώτερον δ᾽ ἐστὶ τῷ κῶμα ῥήματι, τὸ ἤρξατο προσκεῖσθαι, νῦν αὐτοῦ πρῶτον ἀρξαμένου. τὰ δ᾽ οὖρα παχέα κατ᾽ ἀρχὰς εὐθὺς ἦν. ἐν γὰρ τῇ τῶν πρώτων ἡμερῶν διηγήσει γέγραπται κατὰ τήνδε τὴν λέξιν. οὖρα

παχέα ἐρυθρά, κείμενα οὐ καθίστατο, ὡς οὐκ ἐνδέχεται νῦν ἄρξασθαι λέγειν αὐτὸν τὰ οὖρα γενέσθαι παχέα μέχρι τῆς πέμπτης ἡμέρας ἀπ' ἀρχῆς τοιαῦτα γεγονότα. κατὰ γὰρ τὴν πέμπτην μεταπεσόντα, λεπτά φησιν αὐτὰ γεγονέναι, κἄπειτα καὶ περὶ τὴν ἑβδόμην, ὡς τοιούτων ὄντων αὐτῶν, ἐμνημόνευσε. κατὰ τὴν ἑνδεκάτην οὖν εἰκότως εἶπεν, οὖρα παχύτερα, παραβαλὼν αὐτὰ τοῖς ἀπὸ τῆς πέμπτης ἡμέρας ἕως ταύτης γενομένοις λεπτοῖς. ἀλλὰ καὶ ὑπέρυθρα φησὶν αὐτὰ γενέσθαι, καὶ κάτω μικρὰ ἔχειν ὑφιστάμενα. μέσα τοίνυν φαίνεται τὰ οὖρα γεγονέναι τῶν τ' ἀγαθῶν καὶ τῶν ὀλεθρίων. τὸ δ' ἐπὶ τελευτῇ λεγόμενον αὐτῷ, διττῶς ἀναγινώσκουσιν. ἔνιοι μὲν οὕτως, οὐ καθίσταντο ἡσυχῇ. προστιθέντες τὸ ἡσυχῇ, τοῖς μὴ καθισταμένοις οὔροις. ἔνιοι δ' οὕτως, καθίσταντο. καὶ πάλιν ἀφ' ἑτέρας ἀρχῆς ἡσυχῇ κατενόει, καὶ φαίνεται τοῦτο μᾶλλον ἔχειν διάνοιαν. τὸ γὰρ ἡσυχῇ, καὶ προειρημένου μὲν τοῦ καθίστασθαι τὰ οὖρα συνήθως οὕτω λέγουσιν οἱ ἕλληνες. ἐπὶ δὲ τῶν μὴ καθισταμένων οὐ πάνυ τι προστιθέασι τὰ τοιαῦτα τῶν ὀνομάτων. τὰ μὲν οὖν περὶ τὴν ἑνδεκάτην γενόμενα σημεῖα καὶ συμπτώματα ταῦτ' ἐστίν. ἴδωμεν δ' ἐφεξῆς, ἃ περὶ τῆς τεσσαρεσκαιδεκάτης ἔγραψε.

Τεσσαρεσκαιδεκάτῃ ἀπύρετος, οὐχ ἵδρωσεν, ἐκοιμήθη, κατενόει πάντα, οὖρα παραπλήσια.

Μετὰ τὴν λέξιν κεῖσθαι, τὸ οὐχ ἵδρωσεν, ὅμοιον τὸ οὐχ αἱμοῤῥάγησεν, οὐκ ἤμεσεν, οὐ προτίδας ἔσχεν. ἀλλ' ὥσπερ ἔμπροσθεν ἔφη, περὶ δὲ ἑνδεκάτην ἐόντι, πάντα ἔδοξε κουφισθῆναι, δυνάμενος μὲν εἰπεῖν ἁπλῶς ἐκουφίσθη πάντα. προσθεὶς δὲ τὸ, ἔδοξεν, ἕνεκα τοῦ τῶν ἐν ἑτέροις αὐτῷ γεγραμμένων, ἀναμιμνήσκειν ἐν τοῖς μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν. οὕτω καὶ νῦν οὐκ ὤκνησεν ἐκ περιττοῦ προσθεῖναι τὸ, οὐχ ἵδρωσεν, ἀναμνήσεως ἕνεκεν τοῦ κατὰ τὴν ῥαστώνην ἀπίστου. τὸ γὰρ ἐνδεχόμενον ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν ἡμερῶν εἴπερ ἐγένετο, ἔσωσεν ἂν τὸν ἄνθρωπον. ἐκ γοῦν τοῦ μὴ γενέσθαι, τῆς κακοηθείας τοῦ νοσήματος ἀνέμνησεν ἡμᾶς. ἀγνοοῦνται δὲ πολλοῖς τῶν ἰατρῶν αἱ τοιαῦται διαθέσεις, καὶ χαίρουσιν ἐπὶ τοῖς ἄμεινον ἔχειν δόξασιν, κἂν ἐπ' ὀλεθρίοις τοῖς ἔμπροσθεν σημείοις τε καὶ συμπτώμασι τοῦτο γενέσθαι συμβῇ, μὴ γινώσκοντες ὡς νεκρουμένης τῆς φύσεως καὶ σβεννυμένου τοῦ ἐμφύτου θερμοῦ, τὰς τοιαύτας διαθέσεις συμβαίνει γίνεσθαι, παραπλησίως τοῖς εἰς ὄγκον αἰρομένοις μορίοις ἐκ κακοήθους ῥεύματος, ὅταν ἡ φύσις ἀῤῥωστοῦσα, μηδ' ὅλως ἐπιχειρῇ τῇ πέψει τῶν τὸν ὄγκον ἐργασαμένων χυμῶν. περὶ γὰρ τὰς γενέσεις τοῦ πύου φησὶν, οἵ τε πόνοι, καὶ οἱ πυρετοὶ γίνονται μεταβαλλομένων ὑπὸ τῆς ἐμφύτου θερμασίας τῶν τὸν ὄγκον ἐργασαμένων χυμῶν. ὅταν οὖν αὕτη μηκέτ' ἐγχειρῇ τῇ πέψει δι' ἀῤῥωστίαν, οὔτε πονοῦσιν, οὔτε πυρέττουσιν, εἰ μὴ πάνυ μικρόν. ἐπὶ μὲν οὖν τοῖς ἐκπυήσασιν, ἐκκριθέντος τοῦ πύου, σῶον φυλάττεται τὸ μόριον εἰς ὃ τὸ ῥεῦμα κατέσκηψεν. ἐφ' ὧν δ' οὔτ' ἐκπύησις, οὔτ' ὀδύνη τις ἀξιόλογος, οὔτε πυρετὸς γίνεται, σήπεται τὸ μόριον, ὡς ἀναγκαῖον ἡμῖν γενέσθαι παντελῶς ἐκκόψαι ποτ' αὐτό. παραπλήσιόν τι συμβαίνει τούτῳ, κἀπὶ τῶν ἀσήμως τε καὶ ἀλόγως ἀπυρέτων γενομένων ἐπὶ θανατώδεσι σημείοις. ὅτι δὲ τοιαύτη διάθεσις ἦν τῷ Ἑρμοκράτει, καὶ τὰ τοῦ γενομένου κώματος ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας, ἐδήλου. τὸ γὰρ ἅμα πυρετῷ διακαεῖ, καὶ χυμὸν ἔχοντι δηλονότι δακνώδη καὶ δριμὺν, ἐξαίφνης σύμπτωμα ἕπεσθαι ὑγροῖς καὶ ψυχροῖς καὶ ἀδήκτοις ἑπόμενον χυμοῖς, ἐνδεικτικόν ἐστιν οὐ τοῦ πεπαῦσθαι τὴν ἔμπροσθεν διάθεσιν, οὐδενός γε κρισίμου γεγονότος, ἀλλὰ τοῦ νεκροῦσθαί τε καὶ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν. εἴρηται μὲν οὖν ἐπὶ πλέον περὶ τούτων ἐν ἑτέροις. ἀλλὰ καὶ νῦν ἐν κεφαλαίοις ἅπαξ ἀρκείτω λελέχθαι περὶ τῶν ἀλόγως ἐπὶ χαλεποῖς νοσήμασιν ἀπυρέτων γενομένων. ὅσῳ γὰρ ἂν ὀλεθριωτέρων προηγησαμένων σημείων ἄμεινον ἔχειν δόξωσι, τοσούτῳ τὴν νόσον ὀλεθριωτέραν ἔχουσιν. εἰ δ' ὡς οἱ περὶ τὸν Σαβῖνον εἰρήκασι λοχῶντος τοῦ νοσήματος, ὥσπερ θηρίου τινὸς, ἢ ἀνθρώπου πονηροῦ, διάνοιαν γὰρ ἔχοντος οὐδὲ ζώου τοῦ λοχᾶν, ἐξαίφνης ἐπιθῆται λάθρα, μὴ προσδοκῶσι τοῖς ἐνεδρευομένοις ὑπ' αὐτοῦ. ἀλλὰ τὰ μὲν οὕτως εἰρημένα, προσηκόντως ἄν τις ὀνομάσῃ περιλάλησιν. οὐδὲν γὰρ εἰπόντες ἐπιστημονικὸν, ἀλλὰ περιλαλήσαντες μόνον, οἴονται τὸ προκείμενον ἀποδεδειχέναι διὰ παραδείγματος, οὐδὲν οὐδὲ τοῖς παραβαλλομένοις ὅμοιον ἔχοντός τι. καταλιπόντες οὖν αὐτοὺς, αὐτοὶ συμπληρώσωμεν ἤδη τὰ προκείμενα. καί μοι πρόσεχε τὸν νοῦν ἀκριβῶς ἐνταῦθα, καὶ μὴ θαύμαζε πῶς ἐγὼ πολλάκις ὀλεθρίως εἰπὼν ἔχειν τινὰ, μεταξὺ καλῶς αὐτοῦ ἔχοντος, ἐξαίφνης ὡς καὶ λύσασθαι, καταγελώμενος οὐ μόνον ὑπὸ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἰατρῶν, ἐμμείνας τῇ προῤῥήσει μετὰ ταῦθ' ὑποστρέψαντος εἰς τὸ νόσημα τοῦ δόξαντος ἐσχηκέναι καλῶς, εἶτ' ἀποθανόντος, ἐκ μαντικῆς ἐνομίσθην οὐκ ἰατρικῆς θεωρίας προειρηκέναι. καὶ ταῦτα τῶν θαυμαστῶν τούτων ἰατρῶν, οὐδαμόθι γεγράφθαι λεγόντων αὐτά. πόθεν οὖν ὅτι κατὰ τὴν ἑνδεκάτην ἡμέραν ἢ τεθνήξεσθαί τινας, ἢ κριθήσεσθαι προεῖπον), ἔστι μοι κἀν τοῖς περὶ κρισίμων αὐτάρκως γεγραμμένα τὰ περὶ τῶν τοιούτων προῤῥήσεων, ἔστι δὲ κἀν τοῖς περὶ κρισίμων. καὶ πάντων αὐτῶν ἡγεμών ἐστιν ὁ θαυμάσιος Ἱπποκράτης. ἀλλὰ τὰ μὲν ἄλλα, διά τε τῶν εἰρημένων ἄρτι βιβλίων ἐξείργασμαι καί τινων ἑτέρων, ἐν δὲ τῷ παρόντι τοῖς ἀνεγνωκόσιν ἐκεῖνα, σαφῆ τὸν περὶ τῶν ἐνεστώτων ἀπεργάσωμαι λόγον. ἐπὶ μὲν γὰρ τῆς ἑνδεκάτης ἡμέρας ἔδοξεν ὁ Ἑρμοκράτης κεκουφίσθαι. τῇ δὲ τεσσαρεσκαιδεκάτῃ ἀπηλλάχθαι τελέως. ὡρισμένου δ' ἤδη, καὶ προεγνωσμένου τοῦ πάντως ὑποστρέψαι τε καὶ τεθνήξεσθαι τὴν ἑπτακαιδεκάτην ἡμέραν, ἀκόλουθον ἦν τοῖς κατὰ τὴν ἑνδεκάτην καὶ τεσσαρεσκαιδεκάτην γενομένοις ἐνεγκεῖν τὴν ὑποστροφὴν, ὡς ἂν κατὰ κρισίμους ἡμέρας τῆς τοῦ νοσήματος μεταβολῆς γενομένης. ἐμάθομεν γὰρ ἔν τε τῷ προγνωστικῷ καὶ τοῖς ἀφορισμοῖς τὰς κατὰ τετράδα περιόδους τῶν ἡμερῶν εἰς τὴν εἰκοστὴν, οὐ τὴν εἰκοστὴν πρώτην ἀφικνεῖσθαι, καὶ διὰ τοῦτο τὴν μὲν ια. τῆς ιδ. ἐπίδηλον εἶναι, τὴν δὲ ιζ. τῆς κ. ὑποστρέψαι μὲν οὖν τῷ Ἑρμοκράτει, εὐλογώτατον τὸ νόσημα κατὰ τὴν ιζ. ἡμέραν, ἀκολουθῆσαι δὲ κατὰ τὴν κ. ἑτέραν μεταβολήν. οὐ μὴν ἤδη γέ πω δῆλον ἡμῖν τοῖς ἀναγινώσκουσι τὰ γεγραμμένα πρὸς Ἱπποκράτους, ὁποία τις ἡ κατὰ τὴν εἰκοστὴν ἡμέραν ἔσοιτο μεταβολὴ, διὰ τὸ μήτε τὴν δύναμιν ὅπως εἶχε τοῦ κάμνοντος ἐπίστασθαι, μήτε τὸ βεβαιότατον αὐτῆς σημεῖον ὑπ' αὐτοῦ γεγράφθαι. σὺν μὲν γὰρ τῇ τούτων γνώσει, ῥᾷστον ἦν εἰπεῖν, εἴτε κατὰ τὴν εἰκοστὴν ἡμέραν ὁ κάμνων ἕξει τὴν τελευτὴν, εἴτε καὶ εἰς πλείονας ἐκταθήσεται τὸ νόσημα. μὴ γινωσκομένων δ' ἐκείνων,

ἄδηλον. ἀκούσωμεν οὖν ὧν περὶ τῆς ἑπτακαιδεκάτης, καὶ ὧν περὶ τῆς εἰκοστῆς εἶπεν αὐτός.

Περὶ δὲ ιζ. ἐόντι, ὑπέστρεψεν, ἐθερμάνθη τὰς ἐπομένας, πυρετὸς ὀξύς, οὖρα λεπτά.

Τὰ μὲν ἄλλα τῆς ὑποστροφῆς ἐστι συμπτώματα. τὰ δ᾽ οὖρα τὰ λεπτὰ, δηλοῖ τὴν νόσον ἄπεπτον ὑπάρχειν, ὥστ᾽ εἰ καὶ μὴ μεγάλως ἦν τὰ φανέντα σημεῖα ὀλέθρια, σωθήσεσθαι τὸν ἄνθρωπον εἶπεν ἄν τις ἐπὶ τῆς ἑπτακαιδεκάτης ἡμέρας, ὁρῶν τὴν ἀπεψίαν τῶν οὔρων, αὐτὸς γὰρ εἶπεν ἐν τοῖς τοιούτοις κίνδυνον εἶναι μὴ οὐ δυνήσεται τῷ χρόνῳ τοῦ νοσήματος ὁ κάμνων ἐξαρκέσαι.

Πάλιν δ᾽ εἰκοστῇ ἐκρίθη ἀπύρετος, οὐχ ἵδρωσεν.

Ἐν ᾗ κατὰ λόγον ἦν ἡμέρᾳ προεξωσθῆναι τὸν πυρετὸν, εἴπερ ὅλως ἡ φύσις ἐνεχείρησε τῇ πέψει τῶν χυμῶν, ἢ μόνον ὡς ἐδήλου τὰ οὖρα διαμένοντα λεπτὰ, κατὰ ταύτην ἐπαύσατο τελέως ὁ πυρετός. οὐδὲ γὰρ κατὰ τὴν ἑπτακαιδεκάτην ἐγεγόνει, τῷ λόγῳ τῆς ἐμφύτου θερμασίας, ἀλλὰ μόνῳ τῷ τῆς σήψεως, ἐκθερμανθέντων πυρετωδῶς τῶν χυμῶν. τὸ τοίνυν ζέσαν αὐτῶν διαπνευσθὲν, ἀπύρετον αὖ εἰργάσατο τὸν ἄνθρωπον. ἀλλὰ μενόντων τῶν ὀλεθρίων συμπτωμάτων ὡς ἐφεξῆς ἐρεῖ, σαφὲς ἦν ἀπολεῖσθαι τὸν Ἑρμοκράτην. ὥσπερ δ᾽ ἐπὶ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας ἔγραψεν οὐχ ἵδρωσεν, οὕτως καὶ κατὰ τὴν εἰκοστὴν αὐτὸ προσέθηκεν, ἀναμιμνήσκων τῆς ἀσήμως γενομένης ῥᾳστώνης, ὅτι δὲ διέμενε τὰ συμπτώματα, τοῦ νενεκρῶσθαι τὴν φύσιν τοῦ κάμνοντος, οὐκ ἄδηλόν ἐστιν, ἐξ ὧν ἐφεξῆς ἔγραψε τοῖς κατὰ τὴν εἰκοστὴν ἡμέραν εἰρημένοις, οἷς ἤδη πρόσεχε τὸν νοῦν.

Ἀπόσιτος παρὰ πάντα χρόνον, κατενόει, διαλέγεσθαι οὐκ ἠδύνατο, γλῶσσα ἐπίξηρος, οὐκ ἐδίψη, κατεκοιμᾶτο κωματωδῶς.

Ταῦτα τὰ εἰρημένα νενεκρωμένης οὔσης ἤδη τῆς ζωτικῆς δυνάμεως γνωρίσματα, οἷον εὐθέως ἡ ἀποσιτία τὴν ἀνορεξίαν δηλοῦσα, ποτὲ μὲν διὰ τὸ στόμα τῆς κοιλίας γίνεται, κεκακωμένον ὑπό τινος ἀλλοτρίας ποιότητος χυμῶν. ἔστι δ᾽ ὅτε διὰ τῆς δυνάμεως αὐτῆς νέκρωσιν, ἧς ὅταν ὑγιαίνει ἦν ἔργα τότε τῆς ἐνδείας αἰσθάνεσθαι, καὶ τὸ τῶν ἰασομένων αὐτὴν ὀρέγεσθαι. τῆς δ᾽ αὐτῆς ταύτης ἔργον, καὶ ἡ τῆς ὑγρᾶς οὐσίας ἔνδειά τε καὶ ἀναπλήρωσις, ὅπως οὖν εἶχε καὶ περὶ ταῦτα, σαφῶς ἐδήλωσεν ὁ Ἱπποκράτης εἰπὼν, οὐκ ἐδίψη. καὶ τῷ μὲν ἀπόσιτος ἅπαντα τὸν χρόνον, ἐφεξῆς ἔγραψε, κατενόει. τῷ δὲ γλῶσσα ἐπίξηρος, τὸ οὐκ ἐδίψη. τὸ μὲν κατενόει, πρὸς τὸν κοινὸν ἀμφοτέρων διορισμὸν παραλαβὼν, τὸ δ᾽ οὐκ ἐδίψη, πρὸς τὸν ἕτερον. ὁ μὲν οὖν κοινὸς διορισμὸς τοιόσδε φησίν. οὐκ ᾐσθάνετο τῆς ἐνδείας, οὔτε τῆς κατὰ τὸ ξηρὸν οὐσίας, οὔτε τῆς κατὰ τὸ ὑγρόν. οὐ διὰ τὸ μὴ παρακολουθεῖν, ἀλλὰ διὰ τὸ νενεκρῶσθαι τὴν δύναμιν αὐτοῦ. τῷ δ᾽ οὐκ ἐδίψη προσέθηκε, τὸ γλῶσσα ἐπίξηρος, εἰς διορισμὸν τοῦ μὴ δι᾽ ὑγρότητα τὸν ἄνθρωπον ἄδιψον γεγονέναι, καθάπερ ἔνιοι τῶν ὑγρὸν καὶ ψυχρὸν ἠθροικότων χυμόν. ἀλλὰ καίτοι διαθέσεως οὔσης διψωδεστάτης, ἡ δύναμις οὐκ ᾐσθάνετο νενεκρωμένη. μήτι δὲ καὶ τὸ διαλέγεσθαι μὴ δύνασθαι κατὰ τὴν ταύτης ἐγένετο κάκωσιν. εἴπερ οὖν τὰ συμπτώματα ταῦτα καὶ κατὰ τὴν εἰκοστὴν ἡμέραν ὑπῆρχεν αὐτῷ, καὶ σχεδὸν ἐν ὅλῃ τῇ νόσῳ, δῆλον ὅτι σβεννυμένης τῆς ἐμφύτου θερμασίας ὁ πυρετὸς ἐπαύσατο κατὰ τὴν εἰκοστὴν ἡμέραν. ὁμολογεῖ δὲ τούτοις καὶ τὸ, κατεκοιμᾶτο σμικρὰ κωματωδῶς. οὐ γὰρ ὡς οἱ κατὰ φύσιν ἔχοντες ἐκάθευδεν, ἀλλὰ δι᾽ ἀρρωστίαν τῆς δυνάμεως ἐκὼν ἔμυεν, ὡς μὴ δύνασθαι τοὺς ὀφθαλμοὺς ἀνεῳγότας ἔχειν, ἔκλινέ τε αὐτοὺς, καὶ σμικρὰ κατεκοιμᾶτο. προσέθηκε γοῦν τῷ κατεκοιμᾶτο, τὸ σμικρὰ, διότι καὶ τοῦτο γνώρισμα τοῦ κατὰ τὴν δύναμιν ἀρρωστίας ἦν, οὐ τοῦ κατὰ φύσιν ὕπνου. ἵνα λέγεσθαι τῷ κάμνοντι, κατὰ τὸν καιρὸν τοῦτον, ἢ δι᾽ ὑγρότητα τῆς αἰσθητικῆς ἀρχῆς ὑπνῶδες ἦν τὸ κῶμα. θαυμάσαι τοίνυν χρὴ οὐ διότι τέθνηκεν ὁ Ἑρμοκράτης, ἀλλὰ διότι μέχρι τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέρας ἐξήρκεσεν. εὔλογον γὰρ ἦν οὐ μετὰ πολὺ τῆς εἰκοστῆς ἀκολουθῆσαι τὸν θάνατον αὐτῷ. δῆλον οὖν ὅτι νέος τις ἦν εὔρωστός τε φύσει, καὶ διὰ τοῦτ᾽ ἀντεῖχεν, κατὰ βραχὺ μαραινόμενος. ἔνεστι γὰρ ἐξ ἁπάντων τῶν συμβάντων αὐτῷ τεκμήρασθαι τὸν καλούμενον ὑπὸ τῶν νεωτέρων ἰατρῶν μαρασμὸν περιφρυγῆ γεγονέναι. διέφθειρε δὲ αὐτὸν ἐπὶ τῆς εἰκοστῆς ἑβδόμης, ὁ διὰ τὴν τῶν χυμῶν σηπεδόνα γενόμενος πυρετὸς, ἐπὶ τῆς εἰκοστῆς τετάρτης, ὃν διὰ τῆς ἐχομένης ῥήσεως ἐδήλωσεν. ἄξιον δ᾽ ἐπισημειώσασθαι διατί κατὰ τὴν προκειμένην λέξιν ἔγραψε, κατενόει πάντα. φαίνεται γὰρ οὐ πάντα κατανοήσας, αὐτοῦ τοῦ Ἱπποκράτους ἐν τῇ τῆς πέμπτης ἡμέρας διηγήσει γράψαντος αὐτὸν παρακρούσασθαι. καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τῆς ἕκτης περὶ ὀλίγον, οὐ κατενόει. καὶ πάλιν ἐπὶ τῆς ἑπτακαιδεκάτης, παρέκρουσε. δυοῖν τοίνυν θάτερον, ἢ ὅτι μόναις ταύταις ταῖς ἡμέραις παρέκρουσε, τῷ δ᾽ ἄλλῳ χρόνῳ κατενόει, δηλῶσαι βουλόμενος, ἔγραψε κατενόει πάντα. ἢ ὅτι κατὰ τὴν εἰκοστὴν ἡμέραν ἧς ἐν τῇ προκειμένῃ ῥήσει τὴν διήγησιν ἔγραψε, κατενόει πάντα, τουτέστιν οὐδὲ μικρὸν παρεφέρετο. διατί δὲ τοῦτο προσέθηκεν, ὀλίγον ἔμπροσθεν εἶπον. ἀδίψων γὰρ καὶ ἀνορέκτων γινομένων τινῶν ἐν νόσοις, ἢ διὰ τὸ παραφρονεῖν ἀναισθήτως ἐχόντων ὧν πάσχουσιν, ἢ διὰ νέκρωσιν τῆς ἐν τῇ κοιλίᾳ δυνάμεως φυσικῆς. ἐπειδὰν οὕτω πάσχωσιν ἄνευ τοῦ παραφρονεῖν, ἀπολείπεται νενεκρῶσθαι τὴν φυσικὴν δύναμιν αὐτῶν.

Περὶ δὲ εἰκοστὴν καὶ τετάρτην ἐπεθερμάνθη, κοιλίη ὑγρὴ, λεπτοῖσι πολλοῖσι ῥέουσα, καὶ τὰς ἐπομένας πυρετὸς ὀξύς, γλῶσσα συνεκαύθη, ἑβδόμῃ καὶ εἰκοστῇ ἀπέθανε.

Τούτῳ τῷ ἀρρώστῳ ἡ τετάρτη καὶ εἰκοστὴ τῶν κατὰ περίοδον οὖσα κρισίμων ὡς ἐλέχθη καὶ ἡ ἑβδόμη καὶ εἰκοστὴ πολὺ μᾶλλον ἐπὶ ταύτης ἐξ ἀναλογίας ἤνεγκαν τινὰς νεωτερισμούς. ὥσπερ γὰρ ἐπὶ τῆς ἑπτακαιδεκάτης ἡμέρας ὑποστρέψας, κατὰ τὴν εἰκοστὴν ἔδοξεν ἔχειν ἄμεινον, οὐ μὴν οὕτως κατά γε τὴν ἀλήθειαν, ἀλλὰ φαντασίαν τοῖς πολλοῖς ποιήσας, σβεννυμένης τῆς ἐμφύτου θερμασίας, ἀπύρετος ἐγίνετο. κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῆς εἰκοστῆς τετάρτης ἀρξάμενος πυρέττειν ἐκ σηπεδόνος τῶν ὑπολοίπων χυμῶν, ἑξῆς καὶ διεχώρησε κάτω πολλὰ καὶ λεπτὰ καὶ κακοήθη, κατὰ τὴν εἰκοστὴν ἑβδόμην ἀπέθανεν, ὀξέος αὐτῷ γενομένου καὶ ξηροῦ τοῦ πυρετοῦ, δι᾽ ὧν καὶ ἡ γλῶσσα συνεκαύθη.

Τούτῳ κώφωσις διὰ τέλεος παρέμενεν, οὖρα ἢ παχέα καὶ ἐρυθρά, οὐ καθιστάμενα, ἢ λεπτὰ καὶ ἄχροα ἐναιωρήματα ἔχοντα, γεύεσθαι οὐκ ἠδύνατο.

Καὶ μετὰ τὴν τῆς εἰκοστῆς ἡμέρας διήγησιν, ἐφεξῆς ἐγεγράφει τὸ μὲν νῦν εἰρημένον, τὸ γεύεσθαι οὐκ ἠδύνατο, τουτὸ σημαῖνον τῇ ἀπόσιτος φωνῇ. οὖρα δ' ἀπὸ τῆς ἑπτακαιδεκάτης ἄχρι τῆς εἰκοστῆς ἔφη γεγονέναι λεπτά, προείρηκε δ' εἴ τι μεμνήμεθα, καὶ περὶ τῶν ἐρυθρὸν καὶ ἀκατάστατον ἐχόντων ἐναιώρημα. νῦν οὖν ἐπαναλαβὼν ἅμα περὶ πάντων ὧν ἀπεφήνατο, δυνάμει τοῦτο λέγει, ὡς οὐρησεν ἄλλοτ' ἀλλοῖα, χρυσὸν δ' ἀκριβῶς οὐδέποτ' οὐδέν. ἀλλὰ καὶ ὅτι διὰ παντὸς αὐτῷ τοῦ νοσήματος ἡ κώφωσις παρέμενεν, οὐκ εἰρημένον ἔμπροσθεν, εἰκότως νῦν προσέθηκεν. οὐκ οἶδα δ' ὅπως οὐκέτι οὐδὲν εἶπεν περὶ τῆς ἰκτερώδους ἀναχύσεως. ἀκόλουθον γὰρ ἦν καὶ ταύτης μνημονεῦσαι. τάχ' οὖν ὡς πρόδηλον ὅτι παρέμενεν, ἐσιώπησεν. οὔπω γὰρ οὐδ' ἱδρὼς ἐγένετο τῷ Ἑρμοκράτει, οὔτε διὰ γαστρὸς, ἢ οὔρων, ἢ ἐμέτων ἠκολούθησε κένωσις χολωδῶν, ἀδύνατον ἦν παύσασθαι τὸν ἴκτερον. ἐκ πάντων οὖν τῶν εἰρημένων φαίνεται, παθεῖν αὐτῷ τὸ ἧπαρ ἰσχυρῶς, ἀρχὴ τῆς φυτικῆς τε καὶ φυσικῆς ὀνομαζομένης ψυχῆς ὑπάρχον, ἧς ἐδείχθησαν εἶναι τέτταρες δυνάμεις, ἑλκτική τε καὶ καθεκτική, καὶ ἀλλοιωτική, καὶ ἀποκριτική, καθ' ἃς καὶ τρέφεσθαι καὶ αὐξάνεσθαι τοῖς σώμασιν ὑπάρχει, καὶ παθούσης ταύτης ἀνορεξίαι δειναὶ καταλαμβάνουσιν, ὡς τεθνάναι μᾶλλον ἐθέλειν, ἢ γεύσασθαί τινος.

Περὶ τῶν προκειμένων χαρακτήρων.

Τὰ μὲν παλαιότερα τῶν ἀντιγράφων, τὴν ἀρχὴν τῶν προκειμένων χαρακτήρων τοῖς ἀρρώστοις ἔχει ἀπὸ τοῦ περὶ Βίτωνος κυναγχικῆς, ἑβδόμης ἀπὸ τῆς ἀρχῆς γεγραμμένης. ἀμέλει καὶ οἱ ἐξηγησάμενοι τοὺς προσγεγραμμένους τῷ βιβλίῳ τούτῳ χαρακτῆρας, ἀπ' ἐκείνης ἤρξαντο πάντες, τοῖς πρώτοις ἀρρώστοις λέγοντες αὐτοὺς μὴ προσκεῖσθαι. κατ' ἔνια μέντοι τῶν νῦν εἰς χεῖρας ἡκόντων ἡμῖν, εὑρίσκονται καὶ τοῖς πρώτοις ἀρρώστοις προσκείμενοι χαρακτῆρες, ὥστε καὶ ἡ κατὰ Διοσκουρίδην ἔκδοσις προσκειμένους αὐτοὺς ἔχει. καὶ τούτῳ γε τῷ Ἑρμοκράτει, πρῶτον μὲν ὑπογέγραπται τὸ π̄. ἐν μέσῳ γραμμὴν ἔχον ἁπάντων τῶν χαρακτήρων, ὧν ἐπὶ πάντων ἀρρώστων ἔφαμεν εὑρίσκεσθαι προσγεγραμμένων. ἐφεξῆς δὲ τὸ ε̄. γέγραπται, καὶ μετ' αὐτὸ τὸ δ΄ κάτωθεν ὀρθὴν γραμμὴν ἀπεστιγμένην ἔχον, οἷόνπερ τὸ ῡ. προγραφέν. εἶτα μετ' αὐτὸ τὸ κ. καὶ ξ̄. καὶ μετὰ ταῦτα τὸ θ. κατὰ τόνδε τὸν τρόπον π̄ ε̄. δ̄. κ̄. ζ̄. θ̄. ὁ μὲν οὖν πρῶτος χαρακτὴρ ὡς καὶ πρόσθεν, σημαίνει τὸ πιθανόν, ὥσπερ γε καὶ τὸ ὕστατον γράμμα ποτὲ μὲν ῡ. ποτὲ δὲ θ̄. γεγραμμένον, ὑγείας μὲν τὸ ῡ. θανάτου δὲ τὸ θ̄. σημεῖόν ἐστι. τὸ δὲ πρὸ τούτου, τὸν ἀριθμὸν τῶν ἡμερῶν. ἐν αἷς ἤτοι ἀπέθανεν ὁ ἄνθρωπος, ἢ τελέως ὑγιάσθη σημαίνει. τὰ δὲ μεταξὺ τὸν τρόπον, καθ' ὃν ἤτοι σωθῆναι τὸν ἄνθρωπον, ἢ ἀπολέσθαι συνέβη. καὶ νῦν οὖν ὁ τὸ ε̄. μετὰ τοῦ κάτωθεν ἀπεστιγμένου, δέλτα γράψας ἐπισχεθέντων τῶν διαχωρημάτων, πιθανὸν εἶναι φησὶ κατὰ τὴν εἰκοστὴν ἑβδόμην ἡμέραν ἀποθανεῖν τὸν Ἑρμοκράτην. τινὲς δὲ τῶν ἐξηγητῶν, διὰ τὸ ῥυῆναι κατὰ τὴν εἰκοστὴν καὶ τετάρτην ἡμέραν τὴν γαστέρα, τὸν θάνατον αὐτῷ γεγονέναι φασί, παρατιθέμενοι τὸ ἐκ τοῦ προῤῥητικοῦ κατὰ λέξιν οὕτως ἔχον. »κώφωσις καὶ οὖρα »ἐξέρυθρα, ἀκατάστατα, ἐναιωρηθέντα, παρακρουστικόν. τοῖς τοιούτοις ἰκτερῶσθαι, κακὸν τούτους ἀφώνους αἰσθανομένους συμβαίνει γίνεσθαι. οἶμαι δὲ καὶ κοιλίαι καταῤῥήγνυνται, οἷον Ἑρμίππῳ καὶ ἀπέθανεν. αὕτη μὲν ἡ ἐκ τοῦ προῤῥητικοῦ λέξις, καὶ εἴρηται περὶ αὐτῆς ὁπότ' ἐξηγούμεθα τὸ βιβλίον ἐκεῖνο. νυνὶ δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει πάλιν ἀναμνήσεως ἕνεκεν, ὧντ' ἐν ἐκείνοις ἐξηγησάμεθα, καὶ ὧν ἐν τῷδε τῷ βιβλίῳ μέχρι δεῦρο. συνέβη γὰρ τὸν Ἑρμοκράτην, μήτε δι' ἐπίσχεσιν γαστρὸς μήτε δι' ἔκκρισιν ἀποθανεῖν. ἀλλὰ ταῦτα μὲν ἐπιφανῆναι συμπτώματα τῆς διαθέσεως, ὥσπερ καὶ ὁπότε πρόσθεν ἀπέκρινε συγκεκαυμένα ταῖς καὶ κατὰ τὸ ἧπαρ διαθέσεσι ἀμφοτέρων ἑπομένων, ὡς ἐδείξαμεν ἐν ἄλλοις τέ τισι, κἀν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπομνήμασι. φαίνεται δὲ καὶ ὁ θάνατος αὐτῷ γεγονέναι, μάλιστα μὲν διὰ τὸ ἧπαρ, ἤδη δὲ καὶ τὰ κατὰ τὴν κεφαλὴν, οὐκ ἔχειν κατὰ φύσιν. ἔτι δ' ἀλογώτερον ἐξηγοῦνται τὸν ἄῤῥωστον, οἱ φάσκοντες διὰ τοῦτο γεγράφθαι μόνον, ἵνα τὴν τῶν κρισίμων ἡμερῶν δύναμιν ἐξετάσωμεν. ὥσπερ οὐκ ἐπὶ πάντων μὲν τῶν νοσούντων κοινῶς τούτου παρατηρουμένου. τὰ δὲ καθ' ἕκαστον ἴδια, κατὰ τὰς συμβάσας αὐτοῖς διαθέσεις.

Ο κατακείμενος ἐν τῷ Δεάλκους κήπῳ.

Κἀνταῦθα πάλιν οἱ περὶ τὸν Σαβῖνον φασὶ τὸν κῆπον προσκεῖσθαι, συναίτιον τῆς νόσου γενόμενον τἀνθρώπῳ, καὶ γράφουσί γε κατὰ λέξιν οὕτως. διὰ τοῦτο γὰρ μή ποτε καὶ τὸν κῆπον παρέθετο, κἀντεῦθεν τὴν ἀφορμὴν τῷ πυρετῷ γεγονέναι ὑπεμφαίνων. οὐ γάρ ἐστι ποηφάγον ζῷον ὁ ἄνθρωπος, ὥστε τῇ ἀλλοκότῳ διαίτῃ, καὶ ὡς νεωτερισμόν τινα ὑπομένειν. ἐνταῦθα μὲν ἐκεῖνοι γεγράφασιν. ἐπεὶ δ' ἐν τούτῳ τῷ ὑπομνήματι παρὰ τὴν ἐμαυτοῦ προαίρεσιν εἰς ἔλεγχον ἐξηγήσεων ἀλλοκότων ἐπείσθην τοῖς ἑταίροις γράψαι τινά, καὶ νῦν ὀλίγα προσθήσω, τοιοῦτον εἶδος ἔχοντα. πρῶτον μὲν οὖν, ὅτι διὰ παντὸς οἰκεῖν ἔφη τὸν ἄνθρωπον, ἐν τῷ Δεάλκους κήπῳ, κατακεῖσθαι δὲ μόνον ἔγραψεν, ἐνδεχόμενον ἔμπροσθεν μὲν ὅθ' ὑγίαινεν, οἰκεῖν αὐτὸν ἑτέρωθι. νοσήσαντα δὲ καταγωγῆς ἐπιτηδειοτέρας δεηθέντα, τοιαύτην ἔχειν ἐν τῷ Δεάλκους κήπῳ. δεύτερον οὐκ ἀναγκαῖον ἐστι τὸν ἐν κήπῳ καταγωγὴν ἔχοντα λάχανα σιτεῖσθαι διὰ παντὸς ὡς ποηφάγον ζῷον. ὥσπερ οὐδ' εἰ πλησίον εἴη τῶν αἴγεια κρέα πιπρασκόντων ἢ προβάτεια, ταῦτ' ἐσθίειν ὁσημέραι, καθάπερ οἱ λέγοντες. οὐδὲ γὰρ εἰ γείτων εἴη τῶν τὰ κρέα πιπρασκόντων, ἀναγκαῖον αὐτῷ πλεῖστα προσφέρεσθαι ταῦτα, καθάπερ ἀθλητῇ. τρίτον ἐπὶ τούτοις, ὅτι πολλὴν ἀφθονίαν ἔχοντες λόγων εἰς τὸ διαβάλλειν τὸν ἐπὶ τοῖς κήποις ἀέρα, τοῦτο μὲν ὅλον τὸ μέρος ἐξέλιπον, ἐξετράποντο δ' ἐπὶ τὰ λάχανα, δυνάμενοι καὶ τῶν ὀχετῶν μνημονεύειν, ὡς τὰ πολλὰ τοὺς ἀποπάτους ἐκκαθαιρόντων εἰς τοὺς κήπους, ἅπασαν τε τὴν τοιαύτην δυσωδίαν, ἔτι τε τὴν ἀπὸ τῶν λαχάνων καὶ δένδρων καὶ θάμνων ἀναθυμίασιν, ὥσπερ ἀπό τε κράμβης καὶ καρύας καὶ πύξου. φανερῶς γὰρ ὁ περιέχων ἀὴρ μοχθηρὸς ἀπὸ τῆς τούτων ὁμιλίας γίνεται. ἀλλὰ γὰρ ἅλις ἤδη μοι καὶ τῶν περὶ τὰς τοιαύτας ἐξηγήσεις ἀντιλογιῶν. ἐπὶ δὲ τὰ χρήσιμα μεταβὰς, ἀκολουθήσω ταῖς Ἱπποκράτους λέξεσι.

Κεφα-

Κεφαλῆς βάρος, καὶ κρόταφον δεξιὸν ἐπωδύνως εἶχε χρόνον πολύν. ἀπὸ δὲ προφάσιος πῦρ ἔλαβε, κατεκλίθη.

Πῦρ μὲν ὁ Ἱπποκράτης τὸν πυρετὸν ὀνομάζει, καθότι δέδεικταί μοι πολλάκις ἤδη. καὶ μέντοι καὶ ὅτι κυριώτερον, ὥσπερ καὶ πᾶσιν ἀνθρώποις ἔθος ἐστὶ τὰ μικρὰ τῶν αἰτίων προφάσεις καλεῖν, οὕτω καὶ αὐτὸς ἐνίοτε προσαγορεύει, καὶ τοῦτο δέδεικται. ἵνα μὲν γὰρ αὐτὰ καθ' ἑαυτὰ νόσον οὐχ οἷά τέ ἐστιν ἐργάσασθαι, προϋπαρχούσῃ δὲ νοσώδει περιστάσει πλησιάσαντα, τῆς ὅλης νόσου τὴν αἰτίαν ἔχειν ἔδοξάν, καθάπερ ἐπὶ τοῦδε τοῦ νῦν προκειμένου ἀρρώστου. τὸ γὰρ πολλῷ βαρύνεσθαι τὴν κεφαλὴν, καὶ τὸν κρόταφον ἀλγεῖν, ἐνεδείκνυτο διάθεσιν τινὰ νοσώδη γενᾶσθαι τῷ ἀνθρώπῳ, καὶ δηλονότι καλῶς ἂν ἐπεποιήκει, πρὶν νοσῆσαι διά τινα βραχεῖαν ἔξωθεν αἰτίαν, ἐξελέγξασαν αὐτοῦ τὸ ἐπίκαιρον τῆς διαθέσεως, ἑαυτὸν ἐγχειρίσας ἰατρῷ προφυλάξασθαι δυνάμενῳ τὴν μέλλουσαν ἔσεσθαι νόσον.

Δευτέρῃ ἐξ ἀριστεροῦ ὀλίγον ἄκρατον ἐῤῥύη αἷμα.

Περὶ οὗ προεῖπον ὡς ὀδυνωμένου, ῥυῆναι φησὶν ὀλίγον ἄκρατα ἐξ ἀριστεροῦ. τὸ δ' ἄκρατον, ὅταν μὲν ἐπὶ ξανθῆς ἢ μελαίνης χολῆς, ἢ ἰώδους λέγηται, πρόδηλον ἔχει τὸ σημαινόμενον, ὡς πολλάκις ἤδη λέλεκται. τὴν γὰρ οἰκείαν χροιὰν καὶ σύστασιν, ὅτε ἕκαστος τῶν χυμῶν εἰλικρινῆ διαφυλάττῃ, τηνικαῦτα κεχρῆσθαι λέγομεν ἄκρατον αὐτόν. ἐπὶ δὲ τοῦ αἵματος, ἴσως ἐξ ὑπεναντίου χρὴ νοεῖν ὑπ' αὐτοῦ λέγεσθαι τὸ ἄκρατον, ἐν ἴσῳ τὸ κακόκρατον. εὔδηλον δ' ὅτι τὸ μὲν τοῦ κατὰ φύσιν αἵματος χρῶμα, τὸ ἐρυθρόν ἐστι. τὸ δ' ἄκρατον οὐ τοιοῦτον, ἀλλ' ἤτοι μελάντερον, ἢ πυῤῥότερον ἐπισήμως. καὶ τὸ πολὺ δὲ μᾶλλον εἰθίσμεθα λέγειν ἄκρατον αἷμα τὸ μέλαν, ὅπερ εὐθέως καὶ παχὺ κατὰ τὴν σύστασίν ἐστιν. ὅτι μὲν οὖν ἔδει τοῦ προκειμένου ἀῤῥώστου), εἴπερ ἦν ἰσχυρὸς τὴν δύναμιν, φλεβοτομηθῆναι, πρόδηλον. ὅτι δ' οὐκ ἔγραψε περὶ τοῦ βοηθήματος ὁ Ἱπποκράτης οὐδὲν, ἡ αὐτὴ ζήτησις ἔσται σοι τῇ κατὰ τὸν πρῶτον ἄῤῥωστον γεγραμμένῃ.

Ἀπὸ δὲ κοιλίης κόπρανα καλῶς διῆλθε.

Τοῦτο μόνον αὐτῷ φαίνεται μέτριον ἐν ἀρχῇ τῆς νόσου γεγονέναι. τὰ δ' ἄλλα πάντα μοχθηρὰ, τὰ κατὰ τὴν ἑξῆς λέξιν γεγραμμένα.

Οὖρα λεπτὰ, ποικίλα ἐναιωρήματα ἔχοντα κατὰ σμικρὰ, οἷον κρίμνα γονοειδέα. τρίτῃ πυρετὸς ὀξὺς, διαχωρήματα μέλανα, λεπτὰ, ἔπαφα, ὑπόστασις πελιὴ διαχωρήμασιν, ὑπεκαροῦτο, ἐδυσφόρει περὶ τὰς ἀναστάσιας, οὔροισιν ὑπόστασις πελιὴ, ὑπόγλισχρος.

Ὅτι πάντα τὰ εἰρημένα συμπτώματά τε καὶ σημεῖα μοχθηρὰ γέγονεν ἐν αὐτῷ, τοῖς μεμνημένοις τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων, εὔδηλόν ἐστιν. εἴρηται δ' οὐκ ὀλίγα κἀν τοῖς εἰς τὸ πρῶτον τῶν ἐπιδημιῶν ὑπομνήμασιν.

Τετάρτῃ ἤμεσε χολώδεα, ξανθὰ, ὀλίγα, διαλιπὼν ὀλίγον ἰώδεα, ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐῤῥύη, διαχωρήματα ὅμοια, οὖρα ὅμοια, ἐφίδρωσε περὶ κεφαλὴν καὶ κληῖδα, σπλὴν ἐπήρθη, μηροῦ ὀδύνη κατ' ἴξιν, ὑποχονδρίου δεξιοῦ ξύντασις ὑπολάπαρος, νυκτὸς οὐκ ἐκοιμήθη, παρέκρουσε σμικρά.

Καὶ ταῦτα πάντα τὰ εἰρημένα συμπτώματα μοχθηρὰ, πλὴν τοῦ εἰς σπλῆνά τε καὶ ἀριστερὸν μηρὸν ὑποφαινομένης ἀποστάσεως.

Πέμπτῃ διαχωρήματα πλείω, μέλανα, ἔπαφα, ὑπόστασις μέλανα διαχωρήμασι, νυκτὸς οὐχ ὕπνωσεν, παρέκρουσε.

Ἔτι ταῦτα πάντα μοχθηρά. προχωρῶμεν οὖν τοῖς ἐφεξῆς.

Ἕκτῃ διαχωρήματα μέλανα, λιπαρὰ, ἔπαφα, γλίσχρα, δυσώδεα, ὕπνωσεν, κατενόει μᾶλλον

Ἐπιεικῆ, τὰ δ' ἄλλα μοχθηρά.

Ἑβδόμῃ γλῶσσα ἐπίξηρος, διψώδης, οὐκ ἐκοιμήθη, παρέκρουσεν, οὖρα λεπτὰ, οὐκ εὔχροα. ὀγδόῃ διαχωρήματα μέλανα, ὀλίγα, συνεστηκότα, ὕπνωσε, κατενόει, διψώδης οὐ λίαν.

Μέχρι δεῦρο φαίνεται πάντ' αὐτῷ τὰ συμπτώματα σφαλερά.

Ἐννάτῃ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, ἵδρωσε, ψύξις, παρέκρουσε, δεξιῷ ἴλλαινε, γλῶσσα ἐπίξηρος, διψώδης, ἄγρυπνος. δεκάτῃ ταῦτα, ἐνδεκάτῃ κατενόει πάντα, ἄπυρος, ἵδρωσεν, οὖρα λεπτὰ περὶ κρίσιν.

Ἔοικεν ἰσχυρός τις ἄνθρωπος οὗτος γεγονέναι τὴν δύναμιν, ὡς μεγίστῳ νοσήματι διαπαλαίσασαν αὐτὴν ἀντισχεῖν. οὐδενὸς γοῦν ἀγαθοῦ μέχρι δεῦρο γεγονότος αὐτῷ, φαίνεται κατὰ τὴν ἐννάτην ἡμέραν ῥίγους κρισίμου γενομένου καὶ μετ' αὐτὸ καθάπερ εἴωθεν ὀξέος πυρετοῦ, καὶ μετὰ τὸν πυρετὸν ἱδρῶτος, οὐκ εὐθέως μὲν ἀπύρετος γεγονέναι διὰ τὸ μέγεθος τοῦ νοσήματος. ὅμως δ' οὖν ἐπιμεινάντων τῶν αὐτῶν. ἔφη γὰρ, δεκάτῃ τὰ αὐτὰ, κατὰ τὴν ἐνδεκάτην εὐθέως ἀπύρετος γενέσθαι. τὸ δ' ἐν τῇ κρίσει παρακροῦσαί τε καὶ ἐν τῷ δεξιῷ ὀφθαλμῷ ἰλλῶσαι, τῶν γινομένων ἐστὶν ἐν κρίσεσι. καὶ γὰρ οὐδ' ἀθρόα τις αὐτῷ ἔοικε συμβῆναι κατὰ τὴν ἐννάτην ἡμέραν ἡ κρίσις, ἀλλὰ μὲ

χεῖ τῆς ἐνδεκάτης ἐκταθῆναι, καθ' ἣν ἤδη φησὶ κατενόει πάντα. προσέθηκε δὲ τὰ οὖρα λεπτὰ περὶ κρίσιν, ἵνα μὴ πιστεύωμεν αὐτῇ, μηδὲ βεβαίαν εἶναι νομίσωμεν, ἀλλ' ὑποστρέφειν ἐν τάχει τὸ νόσημα προσδοκῶμεν. τά τε γὰρ ἄλλα καὶ διὰ τὸ μέγεθος αὐτοῦ τὴν τοιαύτην προσδοκίαν εὔλογον ἦν ἔχειν.

Δύο διέλιπεν ἄπυρος, ὑπέστρεψε, τεσσαρεσκαιδεκάτῃ αὐτίκα τὴν νύκτα οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε.

Συμπληρωθείσης τῆς ἡμιρρόπου τε καὶ ἀπίστου κρίσεως κατὰ τὴν ἑνδεκάτην ἡμέραν, δύο διαλιπεῖν αὐτόν φησι, τουτέστι, τήν τε δωδεκάτην καὶ τὴν τρισκαιδεκάτην, εἶτα πάλιν ὑποστρέψαι κατὰ τὴν τεσσαρεσκαιδεκάτην, καὶ πάλιν ἐν παραπλησίοις γενέσθαι συμπτώμασιν.

Πεντεκαιδεκάτην οὖρον θολερόν, οἷον ἐκ τῶν καθεστηκότων γίνεται, ὅταν ἀναταραχθῇ, πυρετὸς ὀξύς, πάντα παρέκρουσεν, οὐκ ἐκοιμήθη, γόνατα καὶ κνήμας ἐπωδύνως εἶχεν, ἀπὸ δὲ κοιλίης βαλάνων προστιθεμένων, μέλανα κόπρανα ἦλθεν.

Εἰς ὀξύτητα πάλιν ὑποστρέψας, ἀφίκετο διά τε τὸ μέγεθος τοῦ νοσήματος ὅπερ ἐξ ἀρχῆς εἶχε, καὶ διότι κατὰ τὴν ἑνδεκάτην ἡμέραν, ἡνίκα ἡ πρώτη κρίσις ἐγένετο, μηδέπω τὰ τῆς πέψεως ὑπῆρχε σημεῖα τοῖς οὔροις. τὰ μέντοι κατὰ γόνατα καὶ κνήμας ἀλγήματα, τῆς κάτω ῥοπῆς τῶν τὴν νόσον ἐργαζομένων χυμῶν ὄντα σημεῖα, τῶν ἀγαθῶν ἐστι δηλονότι. τὸ δὲ βαλάνων αὐτῷ προστεθειμένων, μέλανα διαχωρήματα κοπρώδη, μοχθηρὸν διὰ τὴν χρόαν.

Ἑξκαιδεκάτῃ οὖρα λεπτὰ ἔχοντα, ἐναιώρημα ἐπινέφελον, παρέκρουσε.

Καὶ ταῦτα τῆς καταλαβούσης αὐτὸν ἐκ δευτέρου πάλιν ὀξύτητος, σημεῖα τε καὶ συμπτώματά ἐστιν, ὧν πεμνήμεθα τῶν ἐν τῷ προγνωστικῷ δεδειγμένων, καὶ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν. ἐμὲ γὰρ οὐ δεῖ μυριάκις λέγειν τὰ αὐτά.

Ἑπτακαιδεκάτῃ πρωῒ ἄκρεα ψυχρά, περιεστέλλετο, πυρετὸς ὀξύς, ἵδρωσε δι' ὅλου, ἐκουφίσθη, κατενόει μᾶλλον, οὐκ ἄπυρος, διψώδης, ἤμεσεν χολώδεα, ξανθὰ ὀλίγα. ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε, μετ' ὀλίγον δὲ μέλανα ὀλίγα, λεπτά, οὖρα λεπτὰ οὐκ εὔχροα.

Φαίνεται πάλιν ἑπτακαιδεκάτῃ τῶν ἡμερῶν ἱδρῶτα τινὰ ποιησαμένη, μὴ δυνηθεῖσα λῦσαι τὸ νόσημα, διὰ τὴν τῶν χυμῶν ἀπεψίαν, ἐφ' οἷς φαίνεται νοσήσας ὁ ἄνθρωπος.

Ὀκτωκαιδεκάτῃ οὐ κατενόει, κωματώδης, ἐννεακαιδεκάτῃ διὰ τῶν αὐτῶν.

Οὐδὲν ὅλως ἀξιόλογον ἔοικεν ἡ ἑπτακαιδεκάτη τῶν ἡμερῶν βοηθῆσαι τῷ ἀνθρώπῳ, ὅμως γε μὴν φαίνεται διαμαχομένη πρὸς τὸν νόσον ἡ φυσικὴ δύναμις αὐτοῦ, καὶ τάχα που καὶ νικῶσα.

Εἰκοστῇ ὕπνωσε, κατενόει πάντα, ἵδρωσεν, ἄπυρος, οὐκ ἐδίψη. εἰκοστῇ πρώτῃ σμικρὰ παρέκρουσεν, ὑπεδίψη, ὑποχονδρίου πόνος, καὶ περὶ ὀμφαλὸν παλμὸς διὰ τέλεος. εἰκοστῇ τετάρτῃ οὔροισιν ὑπόστασις, κατενόει πάντα. εἰκοστῇ ἑβδόμῃ ἰσχίου δεξιοῦ ὀδύνη, οὖρα λεπτά, καὶ εἶχον ἀπόστασιν. τὰ δὲ ἄλλα εἶχεν ἐπιεικέστατα. περὶ δὲ εἰκοστὴν ἐνάτην ὀφθαλμοῦ δεξιοῦ ὀδύνη, οὖρα λεπτά. τεσσαρακοστῇ διεχώρησεν φλεγματώδεα, λευκά, ὑπόσυχνα, ἵδρωσε πολλῷ δι' ὅλου, τελέως ἐκρίθη.

Τρίτη μὲν αὕτη κρίσις ἐπιχειρησάσης, καὶ νῦν τῆς φύσεως λῦσαι τὸ νόσημα διὰ τῶν ἱδρώτων ἐκκρίσεως ἐν ἡμέρᾳ κρισίμῳ, καθάπερ κἂν ταῖς ἔμπροσθεν, ἦσαν γὰρ κἀκεῖναι κρίσιμοι. προσέθηκε δέ, τό, οὐ δι' ἄλλο τι ἢ τῶν οὐκ ὀρθῶς ἐν προρρητικῷ γεγραμμένων ἁμαρτάνειν. πάμπολυ δὲ καὶ τῆς Ἱπποκράτους γνώμης, καὶ τῆς ἐπὶ τῶν καμνόντων προγνώσεως, καὶ διὰ τοῦτο λογίατροι μέν εἰσιν. οὕτως γὰρ ὀνομάζουσιν οἱ πολλοὶ τῶν εἰδότων ἀχρημονοῦντας μὲν τῶν ἔργων. ἰατροὶ δ' οὐκ εἰσὶν οἱ πιστεύοντες τοῖς ἐν προρρητικοῖς καὶ κωακαῖς προγνώσεσι γεγραμμένοις ἀρρώστοις, εἰς ἑτέραν ἀναφέρουσι μαρτυρίαν τῶν δοκούντων αὐτοῖς, παρατιθέμενοι τὰ κακῶς εἰρημένα κατὰ τὸ προρρητικόν, ἢ τὰς κωακὰς προγνώσεις ἑαυτοῖς κατὰ τὸ προγνωστικόν, καὶ τοὺς ἀφορισμούς, καὶ τὰ κατὰ τῶν ἐπιδημιῶν εἰρημένα καθολικὰ θεωρήματα, καὶ ὅσα γε κατὰ τὸ προρρητικόν, καὶ τὰς κωακὰς προγνώσεις, ἀληθῆ γέγραπται, ταῦτα μετενηνεγμένα παρὰ τῶν τὰ βιβλία ταῦτα γραψάντων ἐξ ἀφορισμῶν καὶ προγνωστικῶν καὶ τῶν ἐπιδημιῶν εἰς αὐτά. καθότι δέδεικταί μοι κἂν τοῖς εἰς τὸ προρρητικὸν ὑπομνήμασιν. Λύκος δ' οὐκ οἶδ' ὅπως καὶ αὐτὸς ἀναπλησθεὶς τῆς τοιαύτης μοχθηρίας εἰς Κόϊντον αὐτὴν ἀναφέρει, καίτοι Κοΐντῳ μὲν αὐτὸς οὐδ' ἐνιαυτὸν ὅλον συνεγένετο. Σάτυρος δὲ καὶ Φικιανὸς μὲν πλεῖστον αὐτῷ συνδιατρίψαντες, οὐδεμίαν τοιαύτην ἐξήγησιν εἰς Κόϊντον ἀνέφερον. οὐκ ἀκριβῶς γὰρ ἐπίσταμαι τοῦτ' ἐγώ, ἀμφοτέροις διδασκάλοις χρησάμενος.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ, ΥΠΟΜΝΗΜΑ Β.

ΕΜΟΙ μὲν οὔτ' ἄλλό τι βιβλίον ἐγεγράφει χωρὶς τοῦ δεηθῆναι τινὰς ἑταίρους, καὶ μάλιστα τοὺς εἰς ἀποδημίαν μακροτέραν στελλομένους, ἀξιώσαντας ἔχειν ὑπόμνημα τῶν ὑπ' ἐμοῦ ῥηθέντων αὐτοῖς, ἢ δειχθέντων ἐν ταῖς τῶν ζώων ἀνατομαῖς, κἀπὶ τῶν νοσούντων. ἐπεὶ δ' ἐκπεσόντα τινὰ καὶ ἄλλοις ἔδοξεν ἄξια σπουδῆς εἶναι, προτρεψαμένοις με καὶ αὐτοῖς, ἅπαντα τῆς ἰατρικῆς τέχνης τὰ μέρη συμπληρῶσαι, κατὰ τὸν αὐτὸν τρόπον οἷς ἤδη τισὶν ἔδωκα, καὶ τοῦτ' ἔπραξα. γινώσκων δ' ἐμαυτὸν ἐν ἅπασιν αἷς ἐγεγράφειν ἐξηγησάμενον ἀεὶ τὴν Ἱπποκράτους γνώμην, ἅμα τῷ καὶ τὰς ἐπικαιροτάτας αὐτοῦ τῶν ῥήσεων παρατεθεῖσθαι, περιττὸν ἡγούμην εἶναι γράφειν ἐξηγήσεις ἐν ὑπομνήμασι καθ' ἑκάστην λέξιν, ἀπ' ἀρχῆς ἕως τέλους ἁπάντων αὐτοῦ τῶν βιβλίων. ἐπεὶ δὲ καὶ ταύτας ἐδεήθησαν ἔνιοι τῶν ἑταίρων ἔχειν, ἀπὸ τῶν γνησιωτάτων καὶ χρησιμωτάτων Ἱπποκράτους βιβλίων ἠρξάμην, τὸν αὐτὸν φυλάττων σκοπὸν τοῖς συγγράμμασιν, ὧν κἀν τοῖς ἔμπροσθεν ἐπεποιήμην. ἔστι δ' οὗτος ὅσα διηνεκῶς ἢ πλειστάκις ἐπὶ τῶν ἀῤῥώστων ὁρᾶται, ταῦτα μόνα γράφειν αὐτὰ τοῦ διελέγχειν τοὺς ἤτοι τὰ σπάνια γράψαντας, ἢ τὰ μηδ' ὅλως ὁρώμενα καὶ ψευδῆ παντάπασιν ὄντα. καί μοι τά τε εἰς τὸ περὶ ἀγμῶν καὶ περὶ ἄρθρων ὑπομνήματα, καὶ πρὸς τούτοις, εἴς τε τὸ περὶ ἑλκῶν, καὶ τὸ ἐν τῇ κεφαλῇ τρωμάτων, ἀφορισμούς τε καὶ προγνωστικὸν οὕτως ἐγένετο. μετὰ δὲ ταῦτα τοῖς ἑταίροις παρακαλέσασι, πεισθεὶς ἐξηγήσεις ἐν ὑπομνήμασιν ἔγραψα τοῦ περὶ διαίτης ὀξέων. πρότερον μὲν ἄχρι τοῦ τῶν βαλανείων χρήσεως μέρους τοῦ βιβλίου, ὃ καὶ γνησιώτατον εἶναι πεπίστευται. δεύτερον δὲ τοῦ μετ' αὐτό, καὶ γὰρ καὶ τοῦτο φαίνεται πολλὰ κατὰ τὴν Ἱπποκράτους γνώμην ἔχειν ἐν ἑαυτῷ θεωρήματα. μετὰ δὲ τοῦτο, τὴν περὶ χυμῶν ἐξήγησιν ἐποιησάμην διὰ ταχέων ἐν ἡμέραις ὀλίγαις, ἐπειγομένου πρὸς ἀποδημίαν τοῦ παρακαλέσαντος αὐτὸ γραφῆναι. δοξάντων δὲ καὶ τούτων ἔχειν καλῶς, ἐξέπεσε γὰρ εἰς πολλούς, ἐκ τούτου συνέβη μὴ μόνον τοὺς ἑταίρους, ἀλλὰ καὶ ἄλλους πολλοὺς τῶν φίλων ἰατρῶν, προτρέψαι πάντων τῶν Ἱπποκράτους βιβλίων ἐξηγήσεις ποιήσασθαι. καὶ τοίνυν ἐποιησάμην ἤδη τότε κατ' ἰατρεῖον, καὶ τοῦ πρώτου καὶ δευτέρου τῶν ἐπιδημιῶν, ἐφ' οἷς μέλλοντος ἄρξασθαί μου τῶν εἰς τὸ τρίτον ἐξηγήσεων, συνέβη παρακληθῆναι πάνυ λιπαρῶς ὑπό τινων εἰς τὸ προῤῥητικὸν ἤδη ποιῆσαι. ἐγένετο δ' ἡ παράκλησις αὕτη, λόγου ποτὲ ἐμπεσόντος ἡμῖν ἐν περιοδείᾳ περὶ τῶν ἐν τῷ προγνωστικῷ καὶ τοῖς ἀφορισμοῖς εἰρημένων. ἐδείκνυον μὲν γὰρ ἅπαντα ταῦτα μεγάλην ἔχειν ἐπὶ τῶν νοσούντων δύναμιν. ἐὰν δ' ὡς καθολικοῖς τις προσέχῃ, τοῖς ἐν τῷ προῤῥητικῷ γεγραμμένοις ἅπασι πάμπολυ σφαλησόμενον. τοιαῦτα δ' εἶναι καὶ τὰ πλεῖστα τῶν κατὰ τὰς κωακὰς προγνώσεις ἐδείκνυον, ἀναμεμιγμένα τισὶ μὲν τῶν ἐν ἀφορισμοῖς εἰρημένων, ἢ προγνωστικῷ, τισὶ δὲ τῶν ἐν τοῖς ἐπιδημίοις, ἃ καὶ μόνα τῶν ἐν ἐκείνοις τοῖς βιβλίοις γεγραμμένων ἐστὶν ἀληθῆ. τὰ δ' ἄλλα πάντα μοχθηρῶς ἔχει κατὰ τὸ προῤῥητικὸν καὶ τὰς κωακὰς προγνώσεις. παρέγκειται μὲν οὖν τινὰ κἀν τῷ δευτέρῳ καὶ ἕκτῳ τῶν ἐπιδημιῶν, ὥσπερ καὶ κατὰ τοὺς ἀφορισμοὺς ἐπὶ τῆς τελευτῆς. ἀλλὰ τά γ' ἄλλα πάντα καὶ κατὰ τὸ δεύτερον καὶ ἕκτον Ἱπποκράτους ἐστίν, οὐκ ὀλίγα μὲν ἐν ὑπομνήμασιν εὑρεθέντα, τινὰ δὲ καὶ τοῦ συνάγοντος αὐτὰ προσθέντος. ἦν δ' οὗτος ὁ τοῦ Ἱπποκράτους υἱὸς εὐδοκιμώτατος ὄνομα Θεσσαλός, ἀκριβῶς ἀκολουθήσας τῇ γνώμῃ τοῦ πατρός. ἐν δὲ τῷ πρώτῳ καὶ τρίτῳ τῶν ἐπιδημιῶν, ἢ οὐδὲν ἢ βραχέα παντελῶς ὑποπτεύσειεν ἄν τις ἐγγεγράφθαι. καθόλου δ' ἐν τοῖς βιβλίοις τούτοις θεωρήματα παντάπασιν ὀλίγα γέγραπται, διηγήσεως οὔσης ἐν αὐτοῖς ψιλῆς τῶν συμβάντων, ἤτοι κοινῇ πολλοῖς ἐν καταστάσεσιν ἐπιδημίοις, ἢ καθ' ἕκαστον ἰδίᾳ. συμπεπληρωμένων οὖν ἤδη τῶν εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνημάτων, ἐν τῷ μεταξὺ τρία συνέβη γραφῆναι, διὰ τοὺς παρακαλέσαντας, ὡς ἔφην, εἰς τὸ προῤῥητικὸν ὑπομνήματα, δι' ὧν ἐδείκνυον ἐν ἐκείνῳ τῷ βιβλίῳ τὰ πλεῖστα μοχθηρῶς εἰρῆσθαι. πολλὰ μὲν ὡς καθόλου, καίτοι σπάνια ὄντα, πολλὰ δ' ἀόριστα διορισμῶν δεόμενα. σαφηνείας δ' ἕνεκα ἀναμιμνήσω τινὸς ἐξ αὐτῶν τῶν μοχθηρῶς γεγραμμένων τισίν, ἔν τε τοῖς εἰς τὸ προῤῥητικὸν ὑπομνήμασιν, κἀν τοῖς εἰς τοὺς ἐν ταῖς ἐπιδημίαις ἀῤῥώστους. γεγραμμένης τοίνυν ἐν τῷ προῤῥητικῷ τοιαύτης τινὸς λέξεως, οἱ ἐξ ὑποχονδρίων πυρετοὶ κακοήθεες, ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἀναμιμνήσκουσιν ἡμᾶς τῶν ἐν τοῖς ἐπιδημίοις ἀῤῥώστων, ἐκείνους προχειριζόμενοι μόνους, ἐφ' ὧν ἀποθανόντων, ἤτοι σύντασιν ὑποχονδρίων ἔγραψεν ὁ Ἱπποκράτης γεγονέναι κατὰ τὸν τῆς νόσου καιρόν, ἢ ὀδύνην ἢ παλμόν, ἤ τι τοιοῦτον, σιωπῶντες τοὺς σωθέντας ἐξ αὐτῶν. Ἱπποκράτης δ' ὥσπερ τἆλλα ἐπὶ τῶν ὀξέων νοσημάτων χρήσιμα κατὰ τὸ προγνωστικὸν ἔγραψεν, οὕτω καὶ τὰ περὶ τῶν ὑποχονδρίων ἐν ἐκείνῳ τῷ μέρει τοῦ συγγράμματος, ὃ κατὰ τόνδε τὸν τρόπον ἄρχεται. » ὑποχόνδριον ἄριστόν ἐστιν, ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν καὶ ὁμαλόν, καὶ ἐπὶ δεξιὰ καὶ ἐπ' ἀριστερά. » αὕτη μὲν ἡ ἀρχὴ τῆς ὅλης ῥήσεως ἐστὶν οὔσης μακρᾶς, ἐν ᾗ διδάσκει περὶ τῶν ὑποχονδρίων ὁ Ἱπποκράτης. ὁ δ' ἀποφηνάμενος ἁπλῶς τοὺς ὑποχονδρίων πυρετοὺς κακοήθεας, ἄνευ τῶν προσηκόντων διορισμῶν, οὓς ἔγραψεν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, προφανῶς ψεύδεται. πολὺ γοῦν ἦν ἀληθέστερον εἰπεῖν οἱ ἐπ' ἐγκεφάλῳ πάσχοντι πυρετοί, κακοήθεες. οἱ ἐπὶ μήνιγξι πασχούσαις πυρετοὶ κακοήθεες. οἱ ἐπὶ πνεύμονι πάσχοντι πυρετοὶ κακοήθεες. ἔτι δὲ μᾶλλον τούτων οἱ ἐπὶ καρδίᾳ πασχούσῃ πυρετοὶ κακοήθεες, ἢ οἱ ἐξ ὑποχονδρίων πυρετοί, κυρίως μὲν ἀκουόντων τῆς προσηγορίας τῶν ὑποχονδρίων, ἐπιεικέστατοι πάντων εἰσὶ τῶν ὀξέων πυρετῶν, οὐ κυρίως δ' ἀλλὰ συμπεριλαμβανόντων τῇ προσηγορίᾳ καὶ τὴν γαστέρα καὶ τὸ ἧπαρ καὶ τὸν σπλῆνα, καὶ τὰς φρένας, ἔνιοι μὲν αὐτῶν κακοήθεις, ἔνιοι δ' ἐπιεικεῖς, ὡς ἐν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπομνήμασι διώρισται. τοῦτο μὲν ἓν τὸ παράδειγμα ἔστω, τῶν τ' ἐν τῷ προῤῥητικῷ γεγραμμένων ὀρθῶς, καὶ τῶν ἐξηγησαμένων, ὡς εἶπον ἄρτι, δι' ἀλλήλων τὰ βιβλία, κατὰ μὲν τὸ προῤῥητικὸν οὕτως ἐξηγουμένων. καλῶς εἶπεν, οἱ ἐξ ὑποχονδρίων πυρετοὶ κακοήθεες. ἐν γοῦν τοῖς τῶν ἐπιδημιῶν, ὅδε καὶ ὅδε φαίνονται τεθνεῶτες, ὑποχόνδρια πάσχοντες. ἐν δ' αὐτοῖς τοῖς τῶν ἐπιδημιῶν, ὅταν ἐπὶ τοὺς αὐτοὺς ἔλθωσιν, ὀρθῶς τόνδε τὸν ἄῤῥωστον φασὶν ἀποθανεῖν. εἴρηται γὰρ ἐν τῷ καθόλου κατὰ τὸ προῤῥητικόν, οἱ ἐξ ὑποχονδρίων πυρετοὶ κακοήθεες. εἰ δ' οὕτως ἐξηγεῖσθαι χρή, πρῶτον μέν ἐστιν ἀπόφασιν ἐναντίαν τῇ κατὰ τὸ προῤῥητικὸν εἰπεῖν, οἱ ἐξ ὑποχονδρίων πυρετοί, μέτριοι. δεύτερον δ' ἐπ' αὐτῇ, δεικνύναι τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν σωθέντας, ὑποχονδρίων

πεπονθότων. ἓν μὲν δὴ τοῦτ᾽ ἐστὶ παράδειγμα, ὡς ἔφην μοχθηρῶν ἐξηγήσεων. ἕτερον δὲ τὸ τῶν ἐπιπεπλεγμένων ἀλλήλαις διαθέσεων, ᾧ καὶ αὐτῷ πολλῷ φαίνεται κεχρημένος ὁ γράψας τὸ προῤῥητικόν, ὡς ἐν τοῖς εἰς αὐτὸ γεγονόσιν ὑπομνήμασιν ἐδείκνυον. ἐπιπεπλεγμένας δὲ λέγω διαθέσεις, ἐν αἷς πλείω τὰ πεπονθότα μόρια. δύναται γὰρ ὁ αὐτὸς ἄνθρωπος οὐ περὶ θώρακα πεπονθέναι μόνον, ἀλλὰ καὶ κατὰ τὸν πνεύμονα, καὶ τὴν κεφαλήν, ἐγχωρεῖ δ᾽ αὐτοῖς προσθεῖναι καὶ περὶ γαστέρα καὶ ἧπαρ. ἐὰν οὖν γράφῃ ποτὲ σύμπτωμα, φρενίτιδος ἐσομένης δηλωτικόν. ἑξῆς δ᾽ αὐτῷ προσθῇ καὶ ἄλλο περιπνευμονίας ἴδιον, καὶ φλεγμονῆς ἥπατος ἢ γαστρὸς, ἢ τινὸς τῶν ἄλλων, εἶτα χαλεπωτέραν εἶναι φάσκει τὴν μάθησιν ἐκείνοις τῶν ἀνθρώπων οἷς δύο ἢ πλείω μόρια πάσχει, μοχθηρὰν ποιήσεται διδασκαλίαν. ἔσται γὰρ ὁ τρόπος τῶν λόγων τοιόσδε. οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί; μυκτὴρ ἐν τούτοις ἀποστάζων, ὀλέθριον, ἄλλως τε καὶ τεταρταίοισιν ἀρχομένοισιν κοιλίης περίπλυσις ἐξέρυθρος. ἡπατικὸν ἤτοι σύμπτωμα δυνάμενον μὲν καὶ σὺν τοῖς προειρημένοις γενέσθαι, καθάπερ εἰ καὶ πλευρῖτις ἢ περιπνευμονία τοῖς κωματώδεσιν ἐκείνοις συνέπεσε, οὐ μέντοι τῆς αὐτῆς διαθέσεως σημεῖον ὑπάρχον. εἰ δέ τις ἐθέλοι τά τ᾽ ἐν τῷ προῤῥητικῷ κακῶς εἰρημένα, καὶ τοὺς δι᾽ ἀλλήλων ἐξηγουμένους, τά τ᾽ ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένα, καὶ τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν ἀῤῥώστους ἐλέγχειν, ἀναγνώτω τὰ εἰς τὸ προῤῥητικὸν ὑπομνήματα. ἐγὼ μὲν οὖν τοὺς ἐν τῷ πρώτῳ καὶ δευτέρῳ βιβλίῳ γεγραμμένους ἀῤῥώστους, ἐξηγησάμην ἔμπροσθεν αὐτῶν τῶν εἰς τοὺς μοχθηρῶς ἐξηγουμένους ἐλέγχων. ἐπεὶ δὲ πολλοὶ τῶν ἑταίρων ἠξίωσάν με ἐπ᾽ ὀλίγων ἀῤῥώστων ἐπισημήνασθαι περὶ τῶν οὐκ ὀρθῶς ἐξηγουμένων, ἠναγκάσθην εἰς τρεῖς ἀῤῥώστους μόνους ἐν ἐξηγητικὸν βιβλίον ποιήσασθαι τὸ περὶ τούτου. νῦν δ᾽ ἡγοῦμαι πάλιν ἄμεινον εἶναι κατὰ τὸν αὐτὸν τρόπον ἐξηγεῖσθαι τοὺς ὑπολοίπους, ὅνπερ καὶ ἔμπροσθεν ἤδη, τοὺς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐξηγησάμην. κινδυνεύω γὰρ εἰς ἕτερον ἐμπεσεῖν ἔγκλημα τῶν μισούντων μέγεθός τε καὶ μῆκος ὑπομνημάτων.

Ἐν Θάσῳ Φιλίστης κεφαλὴν ἐπόνει χρόνον πολλὸν, καί ποτε καὶ ὑποκαρωθεὶς, κατεκλίθη. ἐκ δὲ πότων πυρετῶν συνεχέων γινομένων, ὁ πόνος παρωξύνθη νυκτὸς, ἐπεθερμάνθη τὸ πρῶτον. πρώτῃ ἤμεσε χολώδεα ὀλίγα, ξανθὰ πρῶτα, μετὰ δὲ ἰώδεα πλείω, ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε, νύκτα δυσφόρως. δευτέρῃ κώφωσις, πυρετὸς ὀξὺς, ὑποχόνδριον δεξιὸν συνετάθη, ἔῤῥεπεν ἐς τὰ ἔσω, οὖρα λεπτὰ διαφανέα, εἶχεν ἐναιώρημα γονοειδὲς μικρὸν, ἐξεμάνη περὶ μέσον ἡμέρης. τρίτῃ δυσφόρως. τετάρτῃ σπασμοὶ, παρωξύνθη πάντα. πέμπτῃ πρωῒ ἀπέθανεν.

Ὡς μεμνημένοις ὧν εἴς τε τὸ προγνωστικὸν ἐξηγησάμην, καὶ τοὺς ἀφορισμοὺς, καὶ τὸ προῤῥητικὸν, ἔτι τε τὸ πρῶτον καὶ δεύτερον τῶν ἐπιδημιῶν, οὕτω ποιήσομαι τὸν λόγον, ὑπὲρ τοῦ μὴ μακρολογεῖν. ὀρθοστάδην οὗτος ὁ ἄνθρωπος ἐνόσει, κεφαλὴν ἀλγῶν ὥσπερ καὶ ὁ πρὸ αὐτοῦ γεγραμμένος. ἀλλ᾽ ἐπὶ τούτου μὲν οὐ σμικρὸν προσέθηκε σύμπτωμα τὸ καρωθῆναί ποτ᾽ αὐτόν, ἐπ᾽ ἐκείνου δὲ προσέθηκε καὶ τὴν ἀρχὴν τῆς νόσου. τούτῳ μὲν ἐξ ἁμαρτήματος μεγάλου φησὶ γεγονέναι. πεπονθυίας γὰρ ἰσχυρῶς κεφαλῆς, μέγιστόν ἐστι κακὸν οἴνου πόσις δαψιλής. ἐπ᾽ ἐκείνου δὲ ἐκ προφάσεως φησὶν ἄρξασθαι τὴν νόσον, ὥστ᾽ ἐπ᾽ ἐκείνου μὲν οὐδέπω τὸν ἐγκέφαλον ἡγεῖται πεπονθέναι, μόνης δὲ εἶναι ἐν τῇ κεφαλῇ πλεονεξίας τῶν χυμῶν εἶναι τὰ συμπτώματα. τῷ Φιλίστῃ δὲ τούτῳ καὶ αὐτὸν ἐν τῷ χρόνῳ τὸν ἐγκέφαλον ἐν διαθέσει γεγονέναι μοχθηρᾷ. προσγινομένης δὲ εἶναι ἐν τῷ ποτῷ βλάβης, οὕτως μέγα καὶ ἰσχυρὸν ἀπεργάσασθαι πάθος, ὡς ἀποκτεῖναι πεμπταῖον αὐτόν. ὅσα δὲ κατὰ τὰς ἡμέρας ταύτας ὁ Ἱπποκράτης ἔγραψε γενέσθαι συμπτώματα τῷ Φιλίστῃ, τὰ μὲν εἶναι κατὰ τὴν νόσον ὀξύτητός ἐστιν, ὡς εἰ καὶ μηδὲν ἐγκέφαλος ἐβέβλαπτο, τὰ δὲ αὐτοῦ τοῦ ἐγκεφάλου. εἶναι μὲν οὖν κατὰ τὴν νόσον ὀξύτητος, τά τε κατὰ τοὺς ἐμέτους ἐστὶ συμπτώματα, καὶ τῶν οὔρων ἡ ποιότης. αὐτοῦ δὲ τοῦ ἐγκεφάλου, ἥ τε κώφωσις καὶ ὁ σπασμὸς, καὶ τὸ ἐκμανῆναι. τὸ δ᾽ οὕτως εἰρημένον ὑπὸ τοῦ συγγραφέως, ὑποχόνδριον δεξιὸν συνετάθη, ἔῤῥεπεν εἰς τὸ εἴσω, γίνεται μὲν ὅταν ὑπὸ τοῦ διαφράγματος ἕλκηται τὰ κατ᾽ αὐτό. τὸ διάφραγμα δ᾽ αὐτὸ τείνεται, ποτὲ μὲν ἐν πλευρίτιδι διὰ τὸ μέγεθος τῆς φλεγμονῆς τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ποτὲ δὲ διὰ τὴν ἀρχὴν τῶν νεύρων ἀνασπῶσαν ἐφ᾽ ἑαυτὴν τὰ καθήκοντα πρὸς τὸ διάφραγμα νεῦρα, διὰ φλεγμονὴν ἰδίαν. ἀλλὰ νῦν γε τῶν εἰρημένων τριῶν, εὐλογώτερόν ἐστι διὰ τὴν τῶν νεύρων τάσιν ἀνασπώμενον αὐτὸ, ἀνεσπακέναι τὸ ὑποχόνδριον. ὡς τὰ πολλὰ μὲν οὖν καὶ ἄμφω τὰ ὑποχόνδρια ἐπὶ τὰς τοιαύτας διαθέσεις ἔσω γίνεται. συμβαίνει δ᾽ ἐνίοις καὶ τὸ ἕτερον μόνον, ὅταν καὶ τὸ τῆς ἀρχῆς τῶν νεύρων, τὸ μὲν ἕτερον μέρος ἰσχυρὸν ᾖ πεπονθὸς, τὸ δ᾽ ἕτερον ἢ μηδ᾽ ὅλως, ἢ μετρίως.

Χαιρίωνα, ὃς κατέκειτο παρὰ Δημαινέτῳ, ἐκ πότου πῦρ ἔλαβεν, αὐτίκα δὲ κεφαλῆς βάρος ἐπώδυνον, οὐκ ἐκοιμᾶτο, κοιλίη ταραχώδης ὑποχολώδεσι. τρίτῃ πυρετὸς ὀξὺς, κεφαλῆς τρόμος, μάλιστα δὲ χείλεος τοῦ κάτω, μετ᾽ ὀλίγον δὲ ῥῖγος, σπασμοὶ, πάντα παρέκρουσε, νύκτα δυσφόρως. τετάρτῃ δι᾽ ἡσυχίης, μικρὰ ἐκοιμήθη, παρέλεγεν. πέμπτῃ ἐπιπόνως, πάντα παρωξύνθη, λῆρος, νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη. ἕκτῃ διὰ τῶν αὐτῶν. ἑβδόμῃ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, ἵδρωσε δι᾽ ὅλου, ἐκρίθη. τούτῳ διὰ τέλεος ἀπὸ κοιλίης διαχωρήματα χολώδεα ὀλίγα, ἄκρητα, οὖρα λεπτὰ, εὔχροα, ἐναιώρημα ἐπινέφελον ἔχοντα. περὶ δ᾽ ὀγδόην οὔρησεν εὐχροώτερα, ἔχοντα ὑπόστασιν λευκὴν, ὀλίγην, κατενόει, ἄπυρος διέλιπεν. ἐνάτῃ ὑπέστρεψε, περὶ δὲ τεσσαρεσκαιδε-

κάτην

κάτην πυρετὸς ὀξύς. ἑξκαιδεκάτῃ ἤμεσε χολώδεα, ξανθὰ, ὑπόσυχνα. ἑπτακαιδεκάτῃ ἐπεῤῥίγωσε, πυρετὸς, ἄπυρος ἐκρίθη, οὖρα μεθ' ὑποστροφὴν καὶ κρίσιν, εὔχροα, ὑπόστασιν ἔχοντα, οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ. ὀκτωκαιδεκάτῃ ἐθερμαίνετο σμικρὰ, ὑπεδίψη, οὖρα λεπτὰ, ἐναιώρημα ἐπινέφελον, σμικρὰ παρέκρουσε. περὶ δὲ ἐννεακαιδεκάτην ἄπυρος, τράχηλον ἐπωδύνως εἶχεν, οὔροις ὑπόστασις, τελείως ἐκρίθη εἰκοστῇ.

Οὗτος ὁ ἄνθρωπος ἐκ πλήθους φαίνεται, καὶ μάλιστα χολωδῶν νοσήσας. ἐξετάζων δ' ἐπ' αὐτοῦ τά τε κατὰ τὰς κρισίμους ἡμέρας δεδειγμένα, καὶ τὰ περὶ τῶν οὔρων, εὑρήσεις συμφωνοῦντα κατὰ λόγον αὐτὸν ἤδη τῆς εἰκοστῆς ἡμέρας ἀπαλλαγέντα τελέως. ἔνια μέντοι τῶν ἀντιγράφων οὐκ ἔχει προσγεγραμμένον τῷ τέλει τῆς διηγήσεως, τὸ εἰκοστῇ, καίτοι τῶν δοκιμωτάτων οὕτως εἰδότων γεγραμμένην τὴν ῥῆσιν.

Τὴν Εὐρυάνακτος θυγατέρα παρθένον πῦρ ἔλαβεν, ἦν δ' ἄδιψος διὰ τέλεος, γεύματα οὐ προσεδέχετο. ἀπὸ δὲ κοιλίης σμικρὰ, διῄει οὖρα ὀλίγα, λεπτὰ, οὐκ εὔχροα. ἀρχομένου δὲ τοῦ πυρετοῦ, περὶ ἕδρην ἐπονεῖτο. ἑκταίη δὲ ἐοῦσα, ἄπυρος, οὐχ ἵδρωσεν, ἐκρίθη. τὸ δὲ περὶ τὴν ἕδρην, σμικρὰ ἐξεπύησεν, ἐῤῥάγη ἅμα κρίσει. μετὰ κρίσιν ἑβδομαίη ἐοῦσα, ἐῤῥίγωσε σμικρὰ, ἐπεθερμάνθη, ἵδρωσε. μετὰ δὲ κρίσιν ὀγδοαῖος ἐοῦσα, ἐῤῥίγωσεν οὐ πολλὰ, ὕστερον δὲ ἄκρεα ψυχρὰ ἀεί. περὶ δὲ δεκάτην, μετὰ τὸν ἱδρῶτα τὸν γενόμενον, παρέκρουσε, καὶ πάλιν ταχὺ κατενοεῖτο. ἔλεγον δὲ γευσαμένην βότρυος ταῦτα παθεῖν. διαλιποῦσα δὲ δωδεκάτην, πάλιν πολλὰ παρελήρει, κοιλίη ἐπεταράχθη χολώδεσιν ὀλίγοισιν, ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι, πυκνὰ ἀνίστατο. ἀφ' ἧς δὲ παρέκρουσε τὸ ὕστερον, ἀπέθανεν ἑβδόμη. αὕτη ἀρχομένου τοῦ νοσήματος ἤλγει φάρυγγα, καὶ διὰ τέλεος ἔρευθος εἶχε, καὶ γαργαρεὼν ἀνεσπασμένος, ῥεύματα πολλὰ σμικρὰ, λεπτὰ, δριμέα, ἔβησσεν πέπονα, οὐδὲν ἀνῆγεν, ἀπόσιτος πάντων παρὰ πάντα τὸν χρόνον, οὐδ' ἐπεθύμησεν οὐδενὸς, ἄδιψος, οὐδ' ἔπινεν, οὐδὲν ἄξιον λόγου, σιγῶσα, οὐδὲν διελέγετο, δυσθυμίη, ἀνελπίστως ἑωυτῆς εἶχεν. ἦν δέ τι συγγενικὸν φθινῶδες.

Μετὰ τὸ διηγήσασθαι τὰ γενόμενα, ταύτῃ νοσούσῃ μέχρι θανάτου, προσέθηκεν αὐτὸς ὅλης τῆς νόσου τὴν ὑπόθεσιν, ἐφ' ᾗ προσηκόντως ἀπέθανεν. ἀπὸ κεφαλῆς γὰρ αὐτῇ φησιν εἰς πνεύμονα γίνεσθαι κακὰ ῥεύματα, φάρυγγι καὶ γαργαρεῶνι λυμαινόμενα. προσέθηκε δὲ τῷ λόγῳ, καὶ τὸ ἦν δέ τι καὶ συγγενικὸν φθινῶδες, οὗ μεμνῆσθαι χρὴ καὶ μὴ πείθεσθαι τοῖς λέγουσι περισσῶς, οὐδὲν εἶναι πάθος συγγενικόν. ἀλλὰ τοῦτο μὲν αὐτὸ καθ' ἑαυτὸ μόνον, οὐκ ἂν οὕτω ταχέως ἀπέκτεινεν αὐτήν. ἡ δ' ἐπιπλακεῖσα τῷ παθήματι τούτῳ νέκρωσις τῆς φυσικῆς δυνάμεως, αἰτία τοῦ θᾶττον ἀποθανεῖν ἐγένετο. δεδήλωται δ' αὕτη διὰ τῆσδε τῆς λέξεως. ἦν δ' ἄδιψος διὰ τέλεος, γεύματα οὐ προσεδέχετο. προείρηται δέ μοι περὶ τῆς τούτων τῶν συμπτωμάτων κακοηθείας ἐν τῷ πρὸ τούτου γράμματι. καὶ αὐτὸς δ' ὁ Ἱπποκράτης ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως πάλιν ἐπισημαινόμενος, ὥσπερ εἴωθε τά τε τοῦ θανάτου, καὶ τῆς σωτηρίας αἴτια τοῖς ἀῤῥώστοις γινόμενα προσέγραψε. ἀπόσιτος πάντων παρὰ πάντα τὸν χρόνον, οὐδ' ἐπεθύμησεν οὐδενὸς, ἄδιψος, ἐχατρ τι μῖσος αὐτῇ γεγονέναι σιτίων ἐνδεικνύμενος, ὡς μηδ' εἰς ἐπιθυμίαν ἀφικνεῖσθαι τινὸς, οἵαν ἴσχουσιν ἔνιοι τῶν ἀνορεκτούντων ἐξ ἀναμνήσεως, ἐφ' οἷς ἔμπροσθεν ποτὲ διετέθησαν ἡδέως. ὁρῶμεν γοῦν ὁσημέραι τῶν ἀνορεκτούντων ἐν νόσοις τινὰς, ἅμα τῷ γεύσασθαι τινῶν ἀποστρεφομένους αὐτῶν, τινὰς δ' οὐδὲ γεύσασθαι τολμῶντας. ἀλλ' ὅμως καὶ τούτων οἱ πλεῖστοι τοῖς πυνθανομένοις αὐτῶν, εἴ τινος ἐπιθυμοῖεν, ἀποκρίνονται τινὰ βρώματα, κατὰ μνήμην τοῦ ἔμπροσθεν ἡσάντων αὐτοὺς τῶν ποιούντων. καὶ μέγιστον γέ τι σημεῖον ἔστω τῆς ὀρεκτικῆς τῶν σιτίων δυνάμεως ἐν νεκρώσει παντελεῖ γινομένης, ἐὰν παρασκευασθέντων ὧν ἐπιθυμεῖν φασιν ἅμα τῷ γεύσασθαι, μέμφωνταί τε καὶ μηκέτι προσφέρωνται. κάκιστα δ' ἐχόντων καὶ τούτων, ἔτι μοχθηρότερον αὐτῶν οἱ μηδ' ἐπιθυμήσαντες τινῶν διάκεινται, νέκρωσιν ἐσχάτην ἐνδεικνύμενοι τῆς φυσικῆς δυνάμεως, ᾗ σιτίων τε καὶ πομάτων ὀρεγόμεθα. διὰ ταῦτα τοίνυν ἀποθανούσης τῆς γυναικὸς, οὐδὲν ἔτι δεόμεθα τὴν διαφορὰν τῶν ἀντιγράφων ἐπισκοπεῖσθαι, καὶ ἀνακρίνειν ἐν τῇ τῶν ἡμερῶν ἐξετάσει. μηδὲ μίαν γοῦν αὐτῶν ἐχουσῶν τάξιν, ἐπειδὴ τὸ ἀπὸ τῆς κεφαλῆς ῥεῦμα, καὶ τὸ συγγενικὸν φθινῶδες αἴτιον ἐγένετο τοῦ θανάτου, διὰ τοῦτο καὶ τὴν τῶν ἀντιγράφων διαφωνίαν δύσκριτόν τε ἅμα καὶ περιττὴν ἡγησάμενος, ἀπέλιπον.

Ἡ κυναγχικὴ ἡ παρὰ † Βίτωνος ἣ πρῶτον, ἀπὸ γλώσσης ἤρξατο, ἀσαφὴς ἡ φωνὴ, γλῶσσα ἐρυθρὴ, ἐπεξηράνθη. τῇ πρώτῃ φρικώδης, ἐπεθερμάνθη, ῥῖγος, πυρετὸς ὀξὺς, οἴδημα ὑπέρυθρον, σκληρὸν, τραχήλου καὶ ἐπὶ στῆθος ἐξ ἀμφοτέρων, ἄκρεα ψυχρὰ, πελιὰ, πνεῦμα μετέωρον, ποτὸν διὰ ῥινῶν ἐχεῖτο, καταπίνειν οὐκ ἠδύνατο, διαχωρήματα καὶ οὖρα ἐπέστη. τετάρτῃ πάντα παρωξύνθη, πέμπτῃ ἀπέθανε κυναγχική.

† Ἀρείσωνος

Οὔτε ἐν ἅπασι τῶν ἀντιγράφων οὕτως εὑρίσκεται γεγραμμένον τὸ τέλος τῆς ῥήσεως, οὔθ' ὑπὸ τῶν ἐξηγησαμένων τὸ βιβλίον ἁπάντων φαίνεται γινωσκόμενον. ἀλλὰ καὶ τούτων ἔνιοι μὲν ἀντὶ τῆς πέμπτης, ἑβδόμῃ γράφουσιν, ἔνιοι

δ' ὀγδόῃ. Κάπιτων δ' οὐκ οἶδα τὴν δόξαν αὐτοῦ, καὶ τὸ τῆς ἡμέρας ἀφελὼν καὶ τὸ κυναγχικοῦ. καὶ περὶ τούτων δέ τι,
τὸ, τετάρτῃ πάντα παρωξύνθη, χωρὶς τοῦ τετάρτῃ γράφει, τὸ τέλος ὅλης τῆς ῥήσεως τοιοῦτον ποιήσας, διαχωρήματα
καὶ οὖρα ἐπέστη, πάντα παρωξύνθη, ἀπέθανε. περὶ μὲν οὖν τῆς βελτίονος γραφῆς, ὕστερον ἐπισκεψόμεθα. πρότερον
δὲ τῶν εἰρημένων ἐπ' αὐτῆς ἐξηγησόμεθα τὰ μὴ σαφῆ. τοῦτο γάρ ἐστι τὸ μάλιστα προκείμενόν μοι ἐν τοῖς ἐξηγητικοῖς
βιβλίοις, φαίνεται δὴ τὸ πνεῦμα μετέωρον οὐκ εἶναι σαφὲς, ἀμέλει Σαβῖνος ὑπὲρ αὐτοῦ κατὰ τήνδε τὴν λέξιν ἔγρα
ψε. μετέωρος δ' ἦν ἡ ἀναπνοὴ, τουτέστιν ἄκρᾳ τῇ ῥινὶ ἀνέπνει, διὰ φλεγμονὴν τῆς ἀρτηρίας, κωλυομένης τῆς εὐρυχω-
ρίας, καὶ μηκέτι δυναμένης τῆς ὁλκῆς τοῦ πνεύματος εἰς τὸν πνεύμονα γίνεσθαι. ἀσαφὴς δ' ἐστὶ καὶ ἡ αὐτοῦ τοῦ Σα
βίνου ῥῆσις, ὡς ἐξηγητοῦ πάλιν ἑτέρου δεῖσθαι. δοκεῖ δέ μοι βούλεσθαι δηλοῦν ἐκείνους ἀναπνεῖν ἄκρᾳ τῇ ῥινὶ τοὺς κι-
νοῦντας αὐτῆς ἐν ταῖς ἀναπνοαῖς τὰ πτερύγια. πολλοὺς γὰρ τῶν νοσούντων οὕτως εἴδομεν ἀναπνέοντας, ὡς ἐν μὲν
ταῖς εἰσπνοαῖς διαστέλλειν αὐτὰ, καὶ συμβαίνει γε τοῦτο τοῖς τε πνιγομένοις ὑπὸ κυνάγχης, ἢ περιπνευμονίας, 10
ἢ ἐμπυήματος, ἔτι τε τοῖς ἀρρώστοις τὴν δύναμιν. ὅπως μὲν οὖν ἐπὶ τῶν ἀρρώστων γίνεται, νῦν οὐκ ἀνάγκη λέγειν.
ὅπως δ' ἐπὶ τῶν διὰ τὴν στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων, νῦν ἐροῦμεν, εὐθὺς καὶ διατί μετέωρον ὠνόμασε,
ὁ Ἱπποκράτης τὸ τοιοῦτον πνεῦμα συνεξηγησάμενος. φαίνεται γὰρ τοῖς οὕτω διακειμένοις τὰ τοῦ θώρακος ὑψηλὰ
μέχρι τῶν ὠμοπλατῶν κινούμενα, καὶ τοῦτ' εὔλογον εἰρῆσθαι νῦν ὑπ' αὐτοῦ μετέωρον πνεῦμα γινόμενον, οὐ μόνον ἐν
τοῖς κυναγχικοῖς, ἀλλὰ κἀν τοῖς περιπνευμονικοῖς, καὶ τοῖς ἐμπυϊκοῖς ὀνομαζομένοις πάθεσι. γίνεται δὲ καὶ χω
ρὶς πυρετῶν ἐπὶ τῶν ἰδίως ὀνομαζομένων ὀρθοπνοϊκῶν τε καὶ ἀσθματικῶν. ἀλλὰ γὰρ τούτων συμβεβηκότων, ἑκάτε
ρον τῶν ὀνομάτων τῷ πάθει τούτῳ τέθειται, τὸ μὲν ἆσθμα, διὰ τὴν ἐοικυῖαν ἀναπνοὴν, ἣ καὶ τοῖς δραμοῦσιν ὀξέως
γίνεται. τὴν δ' ὀρθόπνοιαν ἐπειδὴ διὰ τὸ πνίγεσθαι κατακείμενοι, σχηματίζουσιν ἑαυτοὺς ὀρθίους. ἔνιοι δὲ καὶ ἀναγ-
κάζονται καὶ τελέως ἐξανίστασθαι. γέγραπται δὲ κἀν τῷ προγνωστικῷ κατὰ λέξιν οὕτως λεγομένην. αἱ δὲ κυνάγχαι
δεινόταται μέν εἰσι, καὶ τάχιστ' ἀναιροῦσαι, ὅσαι μήτ' ἐν τῇ φάρυγγι ἔκδηλον μηδὲν ποιέουσι, μήτ' ἐν τῷ αὐχένι. πλεῖ 20
στον δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν. ἡ αὐτὴ τοίνυν αἰτία, τήν τ' ὀρθόπνοιαν ἐργάζεται τοῖς πνιγώδεσι πά-
θεσι, καὶ τὸ προσηγορευόμενον ἀρτίως μετέωρον πνεῦμα. κατὰ φύσιν μὲν γὰρ ἔχοντες, ὅταν ἐν ἡσυχίᾳ πάντων
τῶν κατὰ προαίρεσιν ὦμεν ἐνεργειῶν, μόνοις τοῖς κατὰ τὸν θώρακος μέρεσι τοῖς περὶ τὰς φρένας ἀναπνέομεν, ὡς ἐν
τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων ἐδείχθη. πλείονος δ' εἰσπνοῆς δεόμενοι, καὶ τὰ συνεχῆ τοῖς κάτω συγκινοῦμεν.
ἐπειδὰν δὲ πλείστης δεόμεθα, καὶ τὰ κατὰ τὰς ὠμοπλάτας μόρια κινοῦμεν ἅπαντι τῷ θώρακι βιαίως ἐνεργοῦντες.
ἀλλὰ τοῦτο μὲν ἡμῖν ὑγιαίνουσι γίνεται, δραμοῦσιν ὀξέως, ἢ ὁπωσοῦν σφοδρῶς κινηθεῖσι, διὰ τὸ πλείονος εἰσπνοῆς
δεῖσθαι. κατὰ δὲ τὰς περιπνευμονίας, καὶ τὰ τῶν ἐμπύων ποιήματα ἤτοι πάθη, καὶ τὰς ἐπὶ τῶν πυρετῶν ὀρθο-
πνοίας, διὰ τὴν στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων, οὐ δυναμένων καταδέξασθαι τοσαύτην οὐσίαν ἀέρος, ὅσης
χρῄζει τὸ ζῶον. ἀπλήρωτος οὖν ἡ χρεία τῆς ἀναπνοῆς γινομένη, κίνδυνον ἐπάγει πνιγὸς, καὶ διὰ τοῦτο ἀναγκάζονται
συνεχῶς τε καὶ παντὶ τῷ θώρακι ποιεῖσθαι τὴν ἀναπνοήν. ἐπὶ δὲ τῆς συνάγχης, αἱ μὲν κατὰ τὸν πνεύμονα κοι- 30
λίαι τοῦ πνεύματος ἐν αἷς ἀναπνέομεν, ἄφρακτοί εἰσι καὶ καθαραί. φλεγμαινόντων δὲ τῶν ἐν τῷ λάρυγγι μυῶν,
στενοχωρία γίνεται, κατὰ τὴν εἴσοδον τὴν πρώτην τοῦ ἔξωθεν ἀέρος ὃν διὰ τῆς εἰσπνοῆς ἕλκομεν, ὥστε καὶ νῦν καθ' ἑτέ
ραν μὲν αἰτίαν. ὡσαύτως δ' ἀπλήρωτος ἡ χρεία γίνεται τῆς ἀναπνοῆς, ὡς ἐπ' ἀσθματικῶν, ἐμπύων τε καὶ περιπνευ
μονικῶν ἐγίνετο. διὰ τοῦτο ἐξορμῶσιν οἱ πνιγόμενοι διανίστασθαί τε καὶ παντὶ τῷ θώρακι βιαίως ἐπισπᾶσθαι τὸν
ἔξωθεν ἀέρα. κατὰ τοῦτο μὲν δὴ τοῖς κυναγχικοῖς τὸ μετέωρον ὠνομάσθαι πνεῦμα λογίσαιτ' ἄν τις. συγχωρεῖ δὲ
καὶ διὰ τὸ μετεωρίζειν ἑαυτοὺς ἐθέλειν οὕτως εἰρῆσθαι, ταυτὸν σημαίνοντος τοῦ μετεώρου πνεύματος τῇ κατὰ τὸ
προγνωστικὸν ὀρθοπνοίᾳ. γέγραπται δ' ἐν τῇ διηγήσει τῆς προκειμένης ἐν τῷ λόγῳ κυνάγχης, ὡς καὶ τὸ ποτὸν εἰς
τὰς ῥῖνας ἀνεκόπτετο. γίνεται δὲ τοῦτο τοῖς μὴ καταπίνειν αὐτὸ δυναμένοις, ἤτοι διὰ στενοχωρίαν τοῦ πόρου τοῦ κατὰ
τὸν στόμαχον, ἢ διὰ νέκρωσιν αὐτοῦ καὶ παράλυσιν, ὀλέθριον ἐσχάτως ἑκάτερον ὂν, ὥσπερ καὶ τὸ περὶ γεγραμμένον
οὕτως ὑπ' αὐτοῦ κατὰ τὴν τρίτην ἡμέραν, ἄκρεα ψυχρὰ, πελιά. προειρηκὼς γὰρ, τῇ τρίτῃ ῥῖγος, πυρετὸς ὀξὺς, ἐπή 40
νεγκεν, ἄκρεα ψυχρὰ, πελιά. νεκρώσεως δ' ἐστὶ καὶ σβέσεως τῆς ἐμφύτου θερμασίας σημεῖον, ἡ τῶν ἄκρων ψύξις τε
καὶ πελίωσις ἐν ὀξέσι πυρετοῖς γινομένη. οὕτως οὖν συνέβη τῇ νοσούσῃ καὶ ἡ τῶν διαχωρημάτων, καὶ ἡ τῶν οὔρων
ἐπίσχεσις, ὡς ἂν ἤδη νεκρουμένων ἁπασῶν τῶν ἐνεργειῶν, διὸ καὶ πιθανόν ἐστι, μήτε κατὰ τὴν ζ. ἡμέραν ἀποθα-
νεῖν τὸν ἄνθρωπον, μήτε κατὰ τὴν η. οὐδὲ γὰρ ἐξαρκέσαι δυνατὸν ἦν τοσοῦτον χρόνον τὴν δύναμιν, ἤδη κατὰ
τὴν γ. ἡμέραν, συμπτώματά τε καὶ σημεῖα ἔχουσαν, ἀπὸ ψυχομένης τῆς φύσεως, ὁ Ἱπποκράτης τε ἐν τοῖς οὕτως
ὀξέσι νοσήμασιν εἰωθὼς τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα γράφειν, οὐκ ἂν παρέλιπεν εἰπεῖν τι καὶ περὶ τῆς ε. ἡμέ-
ρας, καὶ τῆς ς. ἐπεὶ τοίνυν ἐπὶ συμπληρωθείσῃ τῇ τῆς τρίτης ἡμέρας διηγήσει, τῆς δ. μόνης ἐμνημόνευσε, πάντ'
ἐν αὐτῇ παροξυνθῆναι λέγων, ἔτι καὶ μᾶλλον ἐστὶ δῆλον, ὡς ἀδύνατον ἦν, ἄχρι τῆς ζ. ἢ η. ἡμέρας ζῆσαι τὴν
γυναῖκα. παραδόξους μὲν γὰρ μεταβολὰς ἐν τῷ σπανίῳ γινομένας διὰ ῥώμην φύσεως, ἡμεῖς τε πολλάκις ἐθεα-
σάμεθα, καὶ ὁ Ἱπποκράτης αὐτὸς ἐν τῇ διηγήσει τῶν ἀρρώστων ἔγραψε, μετὰ τοῦ συνεπισημαίνεσθαι τοῦτ' αὐτὸ, 50
καὶ δηλοῦν ἄμεινον ἐσχηκέναι τὸν ἄρρωστον, ἀλλὰ νῦν γε κατὰ τὴν τρίτην ἡμέραν σὺν ὀξεῖ πυρετῷ τῶν ἄκρεων
ψυχρῶν τε καὶ πελιῶν γινομένων, ἐπισχεθέντων τε καὶ τῶν οὐρουμένων, εἰ καὶ μὴ προσεγέγραπτο, τετάρτῃ πάν-
τα παρωξύνθη, πάντως ἂν ἐτεθνήκει περὶ τὴν ε. ἡμέραν. ἐπεὶ δὲ καὶ τοῦτο προσέγραψεν, ἔτι καὶ μᾶλλον ἄν τις
ἀποφαίνοιτο θαρρούντως οὕτως ἔχουσαν, μὴ εἰς τὴν ἕκτην ἡμέραν ἀφικέσθαι ζῶσαν. καὶ πολύ γε μᾶλλον εἰς τὴν ἑβδό
μην ἔτ' ἀδυνατώτερον, ἢ εἰς τὴν ὀγδόην. ἄξιον οὖν θαυμάσαι πῶς ὑπέγραψεν ὁ πρῶτος ὑπογράψας τοὺς χαρα
κτῆρας, οὕτως ὡς δηλοῦσθαι κατὰ τὴν ὀγδόην ἡμέραν τεθνηκυῖαν αὐτήν. καὶ τούτου μᾶλλον ἔτι πῶς καὶ Ζήνων καὶ
Ἡρόφιλος, οὐχ ὁ τυχὼν ἀνὴρ ἐξηγούμενος τοὺς προγεγραμμένους χαρακτῆρας ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, καὶ αὐτὸς
ἐν τῇ ὀγδόῃ τῶν ἡμερῶν ἀποθανεῖν φησι τὴν κυναγχικὴν, καὶ τοῦτο δηλοῦσθαι διὰ τῶν τοιούτων χαρακτήρων m. δ.
ε. κ.

ε.κ.θ. τούτων τῶν χαρακτήρων ὁ μὲν πρῶτος τὸ πιθανὸν δηλοῖ, διὰ τοῦ π. γράμματος γραφόμενος, μέσην ὀρθὴν
ἔχοντος γραμμήν, ἑκατέρας τῶν ἄλλων παραλλήλων, οἷον ἔνιοι γράφουσι τὸ σημαῖνον τὸν τῶν ἐννακοσίων ἀριθμόν, καὶ
διὰ παντός γε κατὰ πάντας τοὺς ἀῤῥώστους τοῦτο σημαίνει προγεγραμμένος ἁπάντων τῶν ἐφεξῆς χαρακτήρων.
ὁ δ' ἐπὶ τῆς τελευτῆς αὐτῶν, ἐνταῦθα μὲν τὸν θάνατον δηλοῖ τοῦ θ. γράμματος σημαινόμενον, ἐπ' ἄλλων δ' ἀῤῥώ-
στων τὴν ὑγείαν ὑπὸ τοῦ υ. γράμματος δηλούμενον. ὁ δὲ πρὸ τοῦ τελευταίου χαρακτῆρος γεγραμμένος, ἀεὶ σημαί-
νει τὸν ἀριθμὸν τῶν ἡμερῶν, ἐν ὅσαις ἐνόσησεν ὁ προκείμενος ἑκάστοτε κατὰ τὸν λόγον ἄῤῥωστος. οἱ δ' ἐν τῷ μετα-
ξὺ τούτου τε καὶ τοῦ πρώτου πάντων, τὴν αἰτίαν δηλοῦσι τοῦ σωθῆναι τὸν ἄνθρωπον ἢ ἀπολέσθαι. καθάπερ ἐπὶ
τῆς κυναγχικῆς ταύτης οἱ δύο χαρακτῆρές εἰσιν, ὁ μὲν ἑπόμενος τῷ πρώτῳ πάντων ἐν ᾧ τὸ διὰ μέσου γραμμὴν
ὀρθὴν ἔχον ἐγγέγραπται π. τούτῳ δ' ἐφεξῆς ἄλλος τε καὶ ἄλλος. ὁ μὲν οὖν ἑπόμενος τῷ πρώτῳ πάντων, ἐν ᾧ τὸ διὰ
10 μέσου τὸ δ. στοιχεῖόν ἐστι, ἔχον ἀπὸ μέσης τῆς κάτω γραμμῆς ἑαυτοῦ γραμμὴν ἑτέραν ὀρθὴν εἰς τὰ κάτω μέρη ἠγ-
μένην, ὥσπερ τὸ ι. γραφόμενον. ὁ δ' ἐφεξῆς ἐστιν ὁ τοῦ ε. γράμματος. ἐκ τούτων δ' ἐφεξῆς ὁ Ζήνων δηλοῦσθαί φησι
τῶν διαχωρούντων τὴν ἐπίσχεσιν, τοῦ μὲν ἀπεστιγμένου κάτω δ. καθ' ὁντινοῦν τρόπον διαχωρούμενα δηλοῦντος.
καὶ γὰρ ἱδρῶτος αὐτό φησι σημεῖον, οὐκ οὔρων μόνον, ἢ διαχωρημάτων εἶναι. τοῦ δὲ ε. τὴν ἐποχὴν ἢ ἐπίσχεσιν αὐτῶν,
ὁποτέρως ἂν ὀνομάζειν ἐθέλοις, ὡς εἶναι τὴν ὅλην διάνοιαν τῶν σημείων τοιάνδε, πιθανόν ἐστι τῶν διαχωρουμένων ἐπι-
σχεθέντων ὀγδοαίαν ἀποθανεῖν τὴν κυναγχικήν. θαυμάζω τοίνυν ὅπερ ἔφην, τῶν ἀκριβεστέρων ἀντιγράφων ἐχόν-
των τὴν ε. ἡμέραν, ὁμολογοῦντος τῇ γραφῇ τῇδε, καὶ αὐτοῦ τοῦ γράμματος, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυον, αὐ-
τόν τε τὸν Ζήνωνα τὴν ὀγδόην ἡμέραν ἐπίστασθαι γεγραμμένην, ἀντιλέγοντάς τε τινὰς αὐτῷ, περὶ μὲν τούτου μη-
δὲν εἰρηκέναι, περὶ δὲ τῶν χαρακτήρων ἐλέγχειν αὐτόν, ὡς μεταγράψαντα τὸ δεύτερον γράμμα, καὶ ποιήσαντα τὸ
ἀπεστιγμένον δ. μὴ οὕτως ἐχούσης τῆς κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν γραφῆς. ἀλλὰ μετὰ τὸν πρῶτον χαρακτῆρα
20 τὸ ρ. γεγραμμένον, καθάπερ ἐκεῖνοι φασί. παρέρχεται δ' ἐνταῦθα λοιπὸν ἤδη μακρός τις λόγος εὔθυμος. οἰήσεται
γάρ τις ὄντως ὑφ' Ἱπποκράτους προσκεῖσθαι τοὺς χαρακτῆρας τοῖς ἀῤῥώστοις, εἴπερ οἱ ἀντιλέγοντες τῷ Ζήνωνι τὸ ρ.
φασὶν οὐ τὸ κάτωθεν ἀπεστιγμένον δ. γεγράφθαι. ἀλλ' ἐὰν ἀναγνῷ τις τὰ τῶν ἀντειπόντων τῷ Ζήνωνι βιβλία, μηδ'
Ἱπποκράτους εἶναι λεγόντων τοὺς χαρακτῆρας, εὑρεθῆναί τε βιβλίον τι τῶν Πτολεμαίου τοῦ εὐεργέτου κληθέντος ἔχον
αὐτοὺς διασκευασμένους ὑπό τινος ἰατροῦ Παμφίλου, τὸ γένος ἐκ πόλεως ἰνδικῆς, Κλεοφαντείου δὲ τὴν αἵρεσιν. ἀκού-
σει δὲ καὶ τὴν αἰτίαν δι' ἣν ἐνέγραψε τῷ βιβλίῳ τοὺς χαρακτῆρας τούτους ὁ Μνήμων, [ὃς] δόξειεν αὐτῷ διαφέρεσθαι
πρὸς ἑαυτοὺς οἱ ἀντειπόντες τῷ Ζήνωνι, μήθ' Ἱπποκράτους εἶναι, μηδ' οὕτως γεγράφθαι τοὺς χαρακτῆρας, ὡς ἐκεῖνος
ἐξηγήσατο. ἐμοὶ μὲν οὖν δοκεῖ καὶ τὰ μέχρι νῦν εἰρημένα περιττά τ' εἶναι καὶ μηδὲν ὀνίναι τοὺς ἀναγνωσομένους εἰς τὰ
τῆς τέχνης ἔργα, πρὸς ἃ σπουδάζειν δεῖ τὸν ἀσκούμενον ἐν αὐτῇ. ἀλλ' ἐπειδὴ γραφομένων αὐτῶν ἔδοξε τοῖς φίλοις,
οἷς πεισθεὶς κατὰ τὸ πρῶτον βιβλίον, ἐλέγχους τινὰς ἔγραψα τῶν μοχθηρῶς ἐξηγησαμένων τὰ κατὰ τοὺς ἀῤῥώστους,
30 εἰπεῖν τι με καὶ περὶ τῶν χαρακτήρων τούτων ἅπαξ ἐν τῷδε τῷ βιβλίῳ, καὶ τοῦθ' ὑπέμεινα πρᾶξαι, γινώσκων
ὅπερ ἀεὶ λέγω τὰ ὑπὸ τῶν νεωτέρων ἰατρῶν ἐν ὑπομνήμασι γεγραμμένα, ἀπολλύντα μὲν ἡμῶν τὸν χρόνον, ἰα-
τρικὸν δ' οὐδὲν διδάσκοντα, δι' οὓς κἀγὼ τὰς μὲν ἰατρικὰς πραγματείας ἰδίᾳ καθ' ἑαυτὰς ἐποιησάμην, τὰς δὲ
πρὸς τοὺς σοφιστάς, ἐπειδὴ καὶ τούτων ὁρῶ δεομένους τοὺς νέους, οἳ διαστρέφονται πρὸς αὐτῶν, αὐτὰς καθ' ἑαυτὰς πά-
λιν καὶ ταύτας, ἵν' εἴ τις ἔχει χρόνον ἐκ περιουσίας ἐντυγχάνειν αὐταῖς, ὡς πρὸς πολεμίους εἴη παρεσκευασμένος
τοὺς σοφιστάς. οὕτως οὖν καὶ νῦν ἄχρηστον πρᾶγμα πρὸς τὸ καλῶς ἰᾶσθαι τὸ κατὰ τοὺς χαρακτῆρας τούτους ὑπάρχον,
ὅμως οὐκ ὀκνήσω διελθεῖν ἅπαν, ἐπειδὴ τοῖς φίλοις οὕτως ἔδοξεν. ᾐσχυνάμην δ' ἂν εἰς τοιαύτην φλυαρίαν ἐκτρε-
πόμενος, εἰ μὴ πρότερον ἐν πολλαῖς πραγματείαις ἅπαντα τῆς ἰατρικῆς τέχνης τὰ χρήσιμα διελθών, οὕτως
ἧκον ἐπὶ τὰς τῶν Ἱπποκρατείων βιβλίων ἐξηγήσεις, ἐν αἷς ἐπιμαθεῖν μὲν οὐδὲν ἔχουσιν οἱ μανθάνοντες τὴν τέχνην,
ἔξωθεν ὧν ἐν ταῖς ἰατρικαῖς πραγματείαις ἔγραψα κατὰ διέξοδον σαφῶς, ὡς καὶ τοὺς ἀμβλεῖς τὴν διάνοιαν
40 ἕπεσθαι τοῖς λεγομένοις. ἱστορίας δὲ γνῶσιν ἕξουσιν, ἀφ' ἧς οἱ πολλοὶ τῶν ἀνθρώπων θαυμάζουσιν, ἐνίοτε τῶν τὰς
τέχνας μεταχειριζομένων τινάς, οἰόμενοι τοὺς πολυΐστορας, καὶ πολυμνήμονας ἀνθρώπους εὐθύς, καὶ τὰ τῆς
τέχνης διαγινώσκειν θεωρήματα. καὶ νῦν οὖν ἐρῶ τὴν περὶ τῶν χαρακτήρων ἱστορίαν ἅπασαν, ἐπεὶ δὲ τοῦτο δοκεῖ
τοῖς τε φίλοις, καὶ τοῖς ἑταίροις ἅπαξ ἐνθάδε γενέσθαι βέλτιον εἶναι. λέλεκται μὲν οὖν ἃ μέλλω λέγειν ὑπὸ Ζεύ-
ξιδος ἐν τῷ πρώτῳ τῶν εἰς τὸ προκείμενον βιβλίον ὑπομνημάτων, καὶ ἦν ἴσως ἄμεινον, ὥσπερ εἴωθα ποιεῖν ἐν
τοῖς τοιούτοις, ἀναπέμψαι τοὺς βουλομένους τὴν ἱστορίαν ταύτην γνῶναι πρὸς ἐκεῖνο τὸ βιβλίον, ἀλλ' ἐπειδὴ τὰ
τοῦ Ζεύξιδος ὑπομνήματα μηκέτι σπουδαζόμενα σπανίζει, διὰ τοῦτ' ἠξίωσαν ἐμὲ διελθεῖν αὐτά, τὴν ἀρχὴν
ἀπὸ τοῦ Μνήμονος ποιησάμενον αὐτῆς. ἔνιοι μὲν γάρ φασιν αὐτὸν λαβόντα τὸ τρίτον τῶν ἐπιδημιῶν ἐκ τῆς ἐν
ἀλεξανδρείᾳ μεγάλης βιβλιοθήκης, ὡς ἀναγνωσόμενον, ἀποδοῦναι παρεγγράψας ἐν αὐτῷ καὶ μέλανι, καὶ γράμ-
μασι παραπλησίοις τοὺς χαρακτῆρας τούτους. ἔνιοι δὲ καὶ αὐτὸν ἐκ Παμφυλίας κεκομικέναι, καὶ φιλότιμον περὶ
50 βιβλία τόν τε βασιλέα τῆς Αἰγύπτου Πτολεμαῖον οὕτω γενέσθαι φασίν, ὡς καὶ τῶν καταπλεόντων ἁπάντων τὰ
βιβλία κελεῦσαι πρὸς αὐτὸν κομίζεσθαι, καὶ ταῦτα εἰς καινοὺς χάρτας γράφοντα, διδόναι μὲν τὰ γραφέντα τοῖς
δεσπόταις, ὧν καταπλευσάντων ἐκομίσθησαν αἱ βίβλοι πρὸς αὐτόν, εἰς δὲ τὰς βιβλιοθήκας ἀποτίθεσθαι τὰ κομι-
σθέντα, καὶ εἶναι τὰς ἐπιγραφὰς αὐτοῖς τῶν ἐκ πλοίων. ἓν δέ τι τοιοῦτον φασὶν εὑρεθῆναι, καὶ τὸ τρίτον τῶν ἐπιδη-
μιῶν ἐπιγεγραμμένον, τῶν ἐκ πλοίων κατὰ διορθωτὴν Μνήμονα σιδήτην. ἔνιοι δ' οὐ κατὰ διορθωτὴν ἐπιγεγράφθαι
φασίν, ἀλλ' ἁπλῶς τοὔνομα τοῦ Μνήμονος. ἐπειδὴ καὶ τῶν ἄλλων ἁπάντων τῶν καταπλευσάντων ἅμα βίβλοις,
ἐπέγραφον οἱ τοῦ βασιλέως ὑπηρέται τὸ ὄνομα τοῖς ἀποτιθεμένοις εἰς τὰς ἀποθήκας. οὐ γὰρ εὐθέως εἰς τὰς βι-
βλιοθήκας αὐτὰ φέρειν, ἀλλὰ πρότερον ἐν οἴκοις τισὶ κατατίθεσθαι σωρηδόν. ὅτι δ' οὕτως ἐσπούδαζε περὶ τὴν τῶν
παλαιῶν βιβλίων κτῆσιν ὁ Πτολεμαῖος ἐκεῖνος, οὐ μικρὸν εἶναι μαρτύριον φασίν, ὃ πρὸς Ἀθηναίους ἔπραξε. δοὺς γὰρ

αὐτοῖς ἐνέχυρα πεντεκαίδεκα τάλαντα ἀργυρίου, καὶ λαβὼν τὰ Σοφοκλέους καὶ Εὐριπίδου, καὶ Αἰσχύλου βιβλία χάριν τοῦ γράψαι μόνον ἐξ αὐτῶν, εἶτ' εὐθέως ἀποδοῦναι σῶα, κατασκευάσας πολυτελῶς ἐν χάρταις καλλίστοις, ἃ μὲν ἔλαβε παρὰ ἀθηναίων, κατέσχεν. ἃ δ' αὐτὸς κατεσκεύασεν, ἔπεμψεν αὐτοῖς παρακαλῶν ἔχειν, τε τὰ πεντεκαίδεκα τάλαντα, καὶ λαβεῖν ἀνθ' ὧν ἔδοσαν βιβλίων παλαιῶν τὰ καινά. τοῖς μὲν οὖν ἀθηναίοις, εἰ καὶ μὴ καινὰς ἐπεπόμφει βίβλους, ἀλλὰ κατεσχήκει τὰς παλαιάς, οὐδὲν ἦν ἄλλο ποιεῖν, εἰληφόσι γε τὸ ἀργύριον ἐπὶ συνθήκαις τοιαύταις, ὡς αὐτοὺς κατασχεῖν, εἰ κἀκεῖνος κατάσχοι τὰ βιβλία, καὶ διὰ τοῦτ' ἔλαβόν τε τὰ καινά, καὶ κατέσχον καὶ τὸ ἀργύριον. ὁ δ' οὖν Μνήμων, εἴτ' αὐτὸς ἐκόμισε τὸ βιβλίον, εἴτε λαβὼν ἐκ τῆς βιβλιοθήκης παρέγραψε, φαίνεται πράξας ἕνεκα χρηματισμοῦ τοῦτο. μόνον γὰρ ἐπίστασθαι λέγων ἑαυτὸν ἃ δηλοῦσιν οἱ χαρακτῆρες, μισθὸν τῆς ἐξηγήσεως αὐτῶν εἰσεπράττετο, καὶ εἴπερ τοῦθ' οὕτως ἔχει, πιθανώτερόν ἐστι τὸ κατὰ τὴν βιβλιοθήκην ἀποκείμενον ὑπ' αὐτοῦ διεσκευάσθαι. πολὺ γὰρ ἀξιοπιστότερον ἔμελλεν αὐτῷ τὸ τῆς ἐξηγήσεως ἔσεσθαι, τῆς βασιλικῆς βιβλιοθήκης ἐχούσης τοὺς χαρακτῆρας. ὕποπτος δ' αὖ ἦν εἰ αὐτὸς ἐκεκομίκει τὸ βιβλίον οἴκοθεν. οὐκ ὤκνουν δ' αὖ οὐδὲ τὰς ὑφ' Ἡρακλείδου τοῦ ταραντίνου τε καὶ τοῦ Ἐρυθραίου γεγραμμένας ἀποδείξεις τοῦ παρεγγεγράφθαι τοὺς χαρακτῆρας εἰπεῖν, εἰ μή γε τοῖς νοῦν ἔχουσι πρόδηλον ἐνόμιζον εἶναι τοῦτο, καὶ θᾶττον ἐσπευδον ἀπαλλαγῆναι τῆς τοιαύτης πολυλογίας. ἐπαινῶ μὲν τοίνυν περὶ τὸ χρήσιμον, οὗπερ ἕνεκα καὶ τὴν τῶν ἀρρώστων τούτων ἱστορίαν ἀναλεγόμεθα. γελοῖον γάρ ἐστι διὰ τοῦτ' ἀποθανεῖν νομίσαι τὴν ἄνθρωπον, ὅτι τῶν διαχωρημάτων ἐπίσχεσις ἐγένετο. οὐ γὰρ δὴ διὰ τὴν ἐπίσχεσιν ἀπέθανεν, ἀλλ' ὅτι συνέβαινεν αὐτῇ, διὰ τοῦτ' ἐπέχεσθαι τὰ διαχωρούμενα νεκρουμένων τῶν κατὰ φύσιν ἐνεργειῶν. οὐ γὰρ διότι ψυχρὰ καὶ πελιδνὰ τὰ ἄκρα κατὰ τὴν τρίτην ἡμέραν ἐγένετο, διὰ τοῦτ' ἀπέθανεν, ἀλλὰ διότι ἀπέθνησκεν ἐνεκροῦτο καὶ ταῦτα. καὶ αὐτὸς δ' ὁ Ἱπποκράτης ὥσπερ μαντευσάμενος, ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως προσέγραψεν, ἀπέθανε κυναγχική, καίτοι προειρηκὼς εὐθὺς ἐν ἀρχῇ, ἡ κυναγχικὴ παρὰ Βίτωνος. ἀλλ' ἡ κατὰ τὸ τέλος προσθήκη, τοιαύτην τινὰ ἔχει τὴν ἔνδειξιν ἀπέθανεν ἡ ἄνθρωπος αὕτη διὰ τὴν κυνάγχην. οὕτως γοῦν ἔγραψε κἀν τῷ προγνωστικῷ, περὶ τῶν ὀλεθρίων κυνάγχων. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι καὶ δευτεραίον καὶ τριταῖον. εἰκὸς οὖν καὶ τὴν προκειμένην ἐν τῷ λόγῳ γυναῖκα, διὰ τοῦτ' ἀποθανεῖν τριταίαν, ἡνίκα καὶ τὰ ἄκρα πελιδνά, καὶ ψυχρά, καὶ τῶν διαχωρημάτων ἐπίσχεσις ἐγένετο, ὡς εἰκάζειν χρὴ τὴν δύναμιν αὐτῆς ἰσχυρὰν οὖσαν ἐξαρκέσαι μέχρι τῆς πέμπτης ἡμέρας. τὸ δ' ἄχρι τῆς ὀγδόης ἀδύνατον. ἀλλὰ περὶ μὲν τούτων ἅλις, ἐννοήσας δέ τις, ὡς εἰ ὁ Ἱπποκράτης αὐτὸς ἐνεκεχείριστο τὴν θεραπείαν τῆς γυναικὸς ταύτης, εἴτε συνεπισκέπτετο θεραπεύοντι, πάντως ἂν εἰ καὶ μηδὲν ἄλλο, καταπλασμάτιον γοῦν ἐπέθηκεν, ἢ διακλυσμάτιον ἔδωκεν αὐτῇ. πεφωράσεται γοῦν παραλελεῖφθαι κατὰ τὴν διήγησιν, τά τ' ἄλλα βοηθήματα προσαχθέντα ἐν τῇ νόσῳ, καὶ τὴν φλεβοτομίαν. μόνον δὲ κλυστῆρα καὶ βαλανοῦ πρόσθεσιν οὐ προηγουμένως, ἀλλὰ κατὰ τὸ πάρεργον γεγράφθαι. διηγούμενος γὰρ τά τ' οὐρούμενα καὶ ἐμούμενα, καὶ τὰ διαχωρούμενα κατὰ γαστέρα, προσγράφων δὲ καὶ τὴν ἐπίσχεσιν αὐτῶν, ἐφ' ὧν οὐδ' ἐν ἀπέκρινεν αὐτομάτως ὁ κάμνων, περὶ τούτων ἐν παρέργῳ προσέγραψε μετὰ τῆς ποιότητος τῶν ἐκκριθέντων, τό τ' ἀπὸ βαλάνου καὶ ἀπὸ κλυσματίου.

Τί δηλοῖ τῶν χαρακτήρων ἕκαστος. Ἐγὼ μὲν ἀπηλλάχθαι τελέως ἐβουλόμην ἤδη τῆς περὶ τοὺς χαρακτῆρας ἀδολεσχίας. ἐπεὶ δὲ καὶ τῶν ἑταίρων συντελεσθῆναι τὸν λόγον ἅπαντα ποθοῦσιν, ἐμοί τε πολὺ μέρος τῆς φλυαρίας ἤδη ταύτης διήνυσται, προσθεῖναι τὸ κατάλοιπον οὐκ ὀκνήσω. προηγούμενον μὲν οὖν ὥσπερ εἴωθα τοὺς μηδὲν συντελοῦντας εἰς τὴν τέχνην λόγους ἰδίᾳ γράφειν, οὕτω καὶ τούτου βιβλίον ἐν ἀναθεῖναι κατὰ μόνας γεγραμμένον, ἵν' ἔχοιεν οἱ καὶ τοιαῦτα περιεργάζεσθαι βουλόμενοι, σχολάζειν ἀχρήστοις φλυαρίαις. ἐπεὶ δ' ὁρῶ προεληλυθὸς ἤδη τὸ δεύτερον ὑπόμνημα τοῦτο, καὶ μῆκος ἀξιόλογον εἰληφός, ὡς μὴ δύνασθαι μηκέτι κατ' αὐτὸ τοὺς θ' ὑπολοίπους ἀρρώστους ἐξηγήσασθαι, καὶ προσθεῖναι τὴν λοιμώδη κατάστασιν ἐφεξῆς γεγραμμένην αὐτῶν, οὐ μὴν οὐδὲ διασπάσαι βούλομαι τὴν τῆς καταστάσεως ἐξήγησιν, ὡς μέρος μὲν αὐτῆς κατὰ τοῦτο γεγράφθαι τὸ ὑπόμνημα, τὸ δ' ὑπόλοιπον ἐν τῷ μετ' αὐτό. διὰ τοῦτο καὶ τὸν περὶ τῶν χαρακτήρων λόγον ἐν τῷδε συμπληρώσω, περιελὼν καὶ τούτων τὸν πολὺν λῆρον. εἰ γὰρ ὅσα λέλεκται τοῖς γράψασι περὶ τῶν χαρακτήρων τούτων, εἰς ἐξέτασιν ἄγων καὶ διακρίνων τά τ' ὀρθῶς εἰρημένα, καὶ τὰ μὴ τοιούτως, οὐχ ἑνὸς εἰς τοῦτο δεήσομαι βιβλίου. ἡγεῖται μὲν οὖν ὡς ἔφην ἁπάντων τὸ τὴν διάμετρον γραμμὴν ἔχον π. σημαῖνον ἀεὶ τὸ πιθανόν. τελευταῖον δ' ἤτοι τὸ υ. γράμμα φαίνεται γεγραμμένον, ἢ τὸ θ. τὸ μὲν ὑγείαν, τὸ δὲ θάνατον σημαῖνον. ἔμπροσθεν δ' αὐτῶν ὁ τῶν ἡμερῶν ἀριθμός, ἐν αἷς ἐνόσησεν ἢ ἀπέθανον ὁ κάμνων. οἱ δ' ἐν τῷ μεταξὺ τούτων χαρακτῆρες ἅπαντες μέν εἰσι διὰ τῶν γραμμάτων, ἃ σημαίνει τὰ στοιχεῖα τῆς φωνῆς, πλὴν τοῦ κάτωθεν ἀπεστιγμένου δέλτα. τινὰ δὲ διάνοιαν ἕκαστος αὐτῶν ἔχει, δηλώσω. μεμνημένων οὖν ἡμῶν ὅτι τὰ πρὸ τοῦ τελευταίου τῶν χαρακτήρων ὑφ' οὗ θάνατον, ἢ ὑγείαν ἔφαμεν δηλοῦσθαι γεγραμμένα τὸν ἀριθμὸν τῶν ἡμερῶν σημαίνει, περὶ τῶν ἄλλων ὅσα μεταξὺ τούτων τε καὶ τῆς ἀρχῆς γέγραπται, ποιήσομαι τὸν λόγον, τὸ μὲν α. δηλοῖ, ἀποφθορὰν, ἀπώλειαν, τὸ δὲ γ. γονοειδὲς οὖρον. τὸ δ. ἀπεστιγμένον, οἷάπερ ἐστὶν ἢ κάτωθεν ἔχει τρόπῳ τοιῷδε γεγραμμένον δ̤, ἱδρῶτα καὶ διάρροιαν καὶ διαφόρησιν, καὶ συνελόντι φάναι κένωσιν, ἥν τινα οὖν σημαίνειν βούλονται. τὸ δὲ ε. ἐποχὴν, ἕδραν. τὸ δὲ ζ. ζήτημα. τὸ δὲ θ. θάνατον ὡς προείρηται. τὸ δὲ ι. ἱδρῶτα. τὸ δὲ κ. κρίσιν, ἢ κοιλιακὴν διάθεσιν. τὸ δὲ μ. μανίαν, ἢ μήτραν. τὸ δὲ ν. νεότητα καὶ νέκρωσιν. τὸ δὲ ξ. ξανθὴν χολὴν, καὶ ξένον, καὶ ξενικὸν, καὶ ξυσμὸν, καὶ ξηρότητα. τὸ δὲ ο. ὀδύνας, ἢ οὖρον. ἔνιοι δέ φασιν ὅταν ἐπικείμενον ἄνωθεν ἔχει τὸ υ, τότε σημαίνει τὸ οὖρον αὐτό, γραφόμενον ὡς εἰώθασιν τὸ οὕτως γράφειν. τὸ δὲ π. πλῆθος, ἢ πτύελον, ἢ πυρὸν, ἢ πυρετὸν, ἢ πονούμενος πάθος. τὸ δ' ἐν αὐτῷ μέσον ἔχον τὸ ι. καθότι προείρηται, τὸ πιθανὸν δηλοῖ. τὸ δὲ ρ. ῥύσιν ἢ ῥῖγος. τὸ δὲ φ. φρενῖτιν, ἢ φθίσιν. τὸ δὲ σ. σπασμὸν ἢ στομάχου κάκωσιν, ἢ στόμαχος. τὸ δὲ τ. τόκον. τὸ δὲ υ. ὑγείαν ἢ ὑποχόνδριον. τὸ δὲ χ. χολὴν ἢ χολῶδες. τὸ δὲ ψ. ψύξιν. τὸ δὲ ω. ὠμότητα.

Τὸ μειράκιον ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, πῦρ ἔλαβεν ἐκ κόπων, καὶ πόνων καὶ δρόμων παρὰ τὸ ἔθος. τῇ πρώτῃ κοιλίᾳ ταραχώδης, χολώδεσι πολλοῖσι λεπτοῖσι, οὖρα

λεπτά,

λεπτὰ, ὑπομέλανα, οὐχ ὕπνωσε, διψώδης. δευτέρῃ πάντα παρωξύνθη, διαχωρήματα πλείω, ἀκαιρότερα, οὐχ ὕπνωσε, τὰ τῆς γνώμης ταραχώδεα, σμικρὰ ἐφίδρωσε. τρίτῃ δυσφόρως, διψώδης, ἀσώδης, πολὺς βληστρισμὸς, ἀπορίη, παρέκρουσεν, ἄκρεα πελιὰ καὶ ψυχρὰ, ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων. τετάρτῃ οὐχ ὕπνωσεν, ἐπὶ τὸ χεῖρον. ἑβδόμῃ ἀπέθανεν, ἡλικίην περὶ ἔτεσιν κ.

Ἄρξασθαι μὲν τὴν νόσον αὐτῷ φησιν ἐκ κόπων ἐπ᾿ ἀήθεσι γυμνασίοις γενομένων. ἴσμεν γὰρ ὅτι πόνους ὀνομάζει τὰ γυμνάσια, καθάπερ καὶ ὅτι κόπους τὴν διάθεσιν τοῦ σώματος, ἐφ᾿ ἧς εἰ καὶ βραχύ τις κινοῖτο, τονώδης αἴσθησις, ἢ ἑλκώδης αὐτῆς γίνεται. προσθεὶς δὲ τοῖς πόνοις τοὺς δρόμους, ἐκ περιττοῦ δοκεῖ προσγεγραφέναι τοὺς πόνους, περιέχονται γὰρ, ὡς γένος ἐν εἴδει, τοῖς δρόμοις, διό τινες ἀντὶ τοῦ πόνων, πότων ἔγραψαν, ὑπαλλάξαντες τὸ πρῶτον ν τῆς δευτέρας συλλαβῆς εἰς τὸ τ. ἡ δ᾿ ἐφεξῆς πᾶσα διήγησις τῶν συμβάντων τῷ μειρακίῳ, παράδειγμά ἐστιν ὀξέος νοσήματος ἐν ἡλικίαις, καὶ μάλιστα τῶν νέων γινομένου. τὰ μὲν οὖν ἄλλα συμπτώματα, τῆς κατὰ τὴν νόσον ὀξύτητός ἐστιν, ἐξ ὧν δ᾿ αὐτῆς προγνῶ κίνδυνον ἢ θάνατον. ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν εἴρηται τὰ ὑπομέλανα οὖρα, κατὰ δὲ τὴν δευτέραν, τὸ σμικρὰ ἐφιδροῦν, κατὰ δὲ τὴν τρίτην, ὁ πολὺς βληστρισμός. ἐν ἁπάσαις δὲ ταῖς ἡμέραις, τὸ μηδ᾿ ὅλως ὑπνῶσαι, ταυτὶ μὲν οὖν κινδυνώδη. τὰ δ᾿ ἄκρεα πελιὰ, ψυχρὰ γενόμενα, τῇ τρίτῃ τῶν ἡμερῶν ἐν ὀξεῖ πυρετῷ θανατώδη, καὶ μᾶλλον ἔτι κατὰ τὴν ἡλικίαν ταύτην. γίνεται γὰρ ἤτοι διὰ μέγεθος ὑπερβάλλον τῆς ἐν τοῖς σπλάγχνοις φλεγμονῆς, ἢ σβεννυμένης τῆς ἐμφύτου θερμασίας. περὶ δὲ τῆς καθ᾿ ὑποχόνδρια ἐντάσεως ὑπολαπάρου φθάνομεν εἰρηκότες, ὅτι τὴν χωρὶς ὄγκου τάσιν ὁ Ἱπποκράτης δηλοῖ, διὰ τῆς εἰρημένης λέξεως. ἐνδείκνυται δ᾿ ἡ τοιαύτη τάσις τῶν μὲν ἔξω σωμάτων, ἅπερ οἱ κατ᾿ ἐπιγάστριον εἰσὶ μύες, οὐδὲν φλεγμαῖνον, ἤτοι δὲ τὰς φρένας, ἢ τὸ ἧπαρ, ἢ τὸν σπλῆνα. κινδυνώδη δὲ ταῦτα σὺν τοῖς ἄλλοις. τοῦ δὲ θανάτου σημεῖον, ἱκανὸν, ἡ πελίωσίς τε καὶ ψύξις τῶν ἄκρων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, ἐν ὀξεῖ πυρετῷ κατὰ τὴν εἰκοσαετῆ ἡλικίαν γενόμενα. διὰ τοῦτο δὲ καὶ μέχρι τῆς ἑβδόμης ἡμέρας ἐξήρκεσεν ὁ νεανίας. ἴσως καὶ ἄλλως ἰσχυρὸς ὢν φύσει τὴν δύναμιν, οὐ μόνον διὰ τὴν ἡλικίαν. ἃ μὲν οὖν αὐτις ἐκ τῆς περὶ τὸν ἄρρωστον τοῦτον ἱστορίας λάβοι, χρήσιμα ταῦτ᾿ ἐστί. τὸ δὲ ζητεῖν ἐν ποίᾳ πόλει καλεῖταί τι χωρίον ψευδὲς, καθάπερ ἀθλώνησιν ἡ τῶν κορκώπων οὕτως ὠνόμασται, ὅσα τἄλλα τοιαῦτα καθ᾿ ἕκαστον τῶν ἀρρώστων, ἔνιοι τῶν ἐξηγητῶν ἔγραψαν, οὐκ ἂν ὑπερέβαινον εἴ τι χρήσιμον ἐν αὐτοῖς ἑώρων εἰς τὰ τῆς τέχνης ἔργα. ὀξὺ, τοῦτο γέγραπται μεταξὺ τοῦ προγεγραμμένου καὶ τοῦ μέλλοντος γραφήσεσθαι, δυνάμενον ἑκατέρῳ προσνέμεσθαι, φαινομένων γ᾿ ἀμφοτέρων ὀξέως νενοσηκέναι. ἀλλ᾿ ἐπεὶ καὶ κατὰ τὴν προγεγραμμένην ἄρρωστον τὴν κυναγχικὴν ἐπὶ τῷ τέλει πρόσκειται, τὸ, καί τισιν ἄλλοις ἀρρώστοις ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως προσγέγραπταί τι τοιοῦτον, δι᾿ οὗ τὸ χρήσιμον ἐμφαίνεται τῆς ἱστορίας, εὐλογώτερόν ἐστι τῷ προτέρῳ τῶν ἀρρώστων προσγεγράφθαι τὸ ὀξύ. τάχα δ᾿ ὁ τοὺς χαρακτῆρας προσγράψας, καὶ τοῦτο προσέγραψε, καὶ μικρὸν ὕστερον ἐπὶ τοῦ δεκάτου κατὰ τὴν τάξιν ἀρρώστου, περὶ τῶν οὕτω προσγεγραμμένων εἰρήσεται τελέως.

Περὶ τῶν προσκειμένων χαρακτήρων τῷ προγεγραμμένῳ ἀρρώστῳ. Ἐπεὶ δὲ βέλτιον εἶναι τὴν λοιμώδη κατάστασιν εἰς τὸ τρίτον ὑπόμνημα φυλάξαι, προσθήσω τοῖς προειρημένοις ἔνια τῶν ἀμφισβητημένων τοῖς ἰατροῖς περὶ τῶν προσγεγραμμένων σημείων τῇ διηγήσει τοῦ δὲ τοῦ μειρακίου κατὰ τὴν ζ. ἡμέραν ἀποθανόντος. ὁ μὲν γὰρ Ζήνων ἔγραψε τούσδε τοὺς χαρακτῆρας. πρῶτον μὲν ἁπάντων τὸ π. τὴν διὰ μέσου γραμμὴν εὐθεῖαν ὀρθὴν ἔχον, ὃ τοῦ πιθανοῦ διὰ παντὸς εἶναι σημεῖον γέγραπται. δεύτερον δὲ ξ. καὶ τρίτον ἐπ᾿ αὐτῷ ζ. καὶ τέταρτον τὸ θ. ΠΙ. ξ. ζ. θ. τὸ μὲν οὖν ζ. τὴν ἑβδόμην ἡμέραν φασὶ δηλοῦν, τὸ δὲ θ. τὸν θάνατον. ἀλλὰ ταῦτα μὲν ἐπὶ πάντων κοινά. τὸ δὲ ξ. ξένον σημεῖον εἶναι βούλεται. ξένον δὲ τὸ γεγονέναι φησὶ τῷ μειρακίῳ ἐν ἀρχῇ τῆς διηγήσεως ἐκ κόπων καὶ δρόμων παρὰ τὸ ἔθος, εἰς τὴν νόσον ἐμπεσεῖν αὐτό. τὰ μὲν οὖν αὐτῷ εἰρημένα τῷ Ζήνωνι περὶ τοῦ πρώτου σημείου τοῦ τὸ πιθανὸν δηλοῦντος, ἐπειδὴ κοινὰ πάντων ἐστὶ τῶν ἀρρώστων ὀλίγον ὕστερον ἐὰν δόξω, προσθήσω, πρότερον δὲ τὰ περὶ τὸν προκείμενον ἄρρωστον ἰδίως ἐζητημένα σκεψόμεθα, διότι περὶ πράγματος ἰατρικοῦ δοκεῖ τὴν ἀμφισβήτησιν εἰρηκέναι. γράψαντος γὰρ ὡς καὶ πρόσθεν ἔφην, οὐ μικρὸν βιβλίον τοῦ Ζήνωνος περὶ τῶν χαρακτήρων, εἶθ᾿ ἕτερον αὐτοῦ μεῖζον, Ἀπολλωνίου τοῦ ἐμπειρικοῦ πρὸς αὐτὸν ἀντιγράψαντος, εἶθ᾿ ὕστερον πάλιν ἐκείνῳ τοῦ Ζήνωνος ἀντειπόντος, Ἀπολλώνιος ὁ Βιβλᾶς ἐπικληθεὶς, ἔγραψε μετὰ ταῦτα καὶ αὐτὸς ἤδη τεθνεῶτος τοῦ Ζήνωνος βιβλίον ὑπὲρ τῶν χαρακτήρων, οὐ μόνον διεσκευασμένους ἐλέγχων, ἀλλὰ καὶ τὸν καλούμενον παρεξέλεγχον ἐπ᾿ αὐτοῖς τὸν Ζήνωνα ποιησάμενος. ὡς γὰρ μηδ᾿ ἑρμηνεῦσαι δυνηθέντος αὐτοῦ καλῶς τὰ διασκευασμένα πρὸς τοῦ Μνήμονος, ἀλλ᾿ ἐν οἷς ἠπόρει πιθανολογίας ὑπαλλάττοντος τοὺς χαρακτῆρας εἰς εὐπορίαν ἐξηγήσεως, οὕτω πεποίηται τὴν ἀντιλογίαν. ὅτι τὸ περὶ τὴν βασιλικὴν βιβλιοθήκην εὑρεθὲν, ὅτι τὸ ἐκ τῶν πλοίων, ὅτι τὸ κατὰ τὴν ὑπὸ Βακχείου γενομένην ἔκδοσιν, ἔχειν φάσκων οὕτω τοὺς χαρακτῆρας, ὡς ὁ Ζήνων ἔγραψεν ἐπὶ τοῦ προκειμένου κατὰ τὸν λόγον μειρακίου. εἰς ταύτην δ᾿ οὐκ οἶδ᾿ ὅπως τὴν ἀδολεσχίαν ὁ Ταραντῖνος Ἡρακλείδης ὑπεσύρη, καίτοι πειρώμενος ἀεὶ πρὸς τὸ χρήσιμον ἀγαγεῖν τὰς ἐξηγήσεις. ἀλλὰ νῦν γε φαίνεται φιλονεικεῖν τῷ Ζήνωνι μᾶλλον, ἢ τοῦ χρησίμου στοχάζεσθαι. ποιεῖται γοῦν τὴν τῶν χαρακτήρων ἐξήγησιν, ὡς διατί ζ. πρὸ τοῦ τελευταίου θ. γέγραπται. τὸ δ᾿ ἕτερον ὃ τούτου προτέτακται, δηλοῦν φησι τὸ ζητητέον εἶναι διατί κατὰ τὴν ζ. ἡμέραν ἀπέθανε τῶν παροξυσμῶν αὐτῷ κατὰ τὰς ἀρτίους γεγονότων. εὔλογον γὰρ ἦν ὡς αὐτὸς ὁ Ἱπποκράτης λέγει, τὴν κρίσιν τοῦ νοσήματος ἐν ταῖς παροξυντικαῖς ἡμέραις γεγονέναι. ὧν γὰρ οἱ παροξυσμοί φησιν ἐν ἀρτίαις, τούτων καὶ αἱ κρίσεις ἐν ἀρτίαις. ὧν δ᾿ ἐν περιτταῖς καὶ τούτων πάλιν ἐν περιτταῖς ἡμέραις γίνεσθαι τὴν κρίσιν. ὑποπέπτωκε δὲ τῷ γενικῷ σημαινομένῳ τῆς κρίσεως καὶ ὁ θάνατος. οὕτως μὲν καὶ Ταραντῖνος ἀπεφήνατο περὶ τῶν χαρακτήρων. ἐπισκεψώμεθα δὲ, εἴ τις λέγει σαφῶς. ὅτι μὲν γὰρ ἀποθνήσκειν ὡς τὰ

πολλὰ κατὰ τὰς τῶν παροξυσμῶν ἡμέρας συμβαίνει, καὶ σπάνιον ἐστι τοὐναντίον, ὁμολογητέον τε ἐστὶ καὶ συγχωρητέον ἀληθεύειν τῷ Ταραντίνῳ, οὗ μὴν γε οὕτως ἐν ταῖς ἀρτίαις φαίνεται τοὺς παροξυσμοὺς ἐσχηκώς. ἐπὶ μὲν γοῦν τῆς πρώτης ἡμέρας ὁ Ἱπποκράτης ἔγραψε τὰ περὶ τὴν ἀρχὴν τοῦ νοσήματος γινόμενα. ταύτῃ δ᾽ ἐφεξῆς φησι, πάντα παρωξύνθη, διὰ τὴν ἀνάβασιν τοῦ νοσήματος, ὀξέως κινουμένου, κατὰ γοῦν τὴν τρίτην μᾶλλον αὐξηθῆναι δηλοῦν τὸ νόσημα. προειρηκὼς γοῦν ἐπὶ τῆς δευτέρας, τό, τε οὐχ ὕπνωσε, καὶ τὸ τὰ τῆς γνώμης ταραχώδεα, περὶ τὴν τῆς τρίτης διήγησιν ἔγραψε. πρῶτον μὲν τὸ δυσφόρως, ὃ κατὰ τὴν πρώτην ἡμέραν οὐκ ἐγεγράφει. τούτῳ δ᾽ ἐφεξῆς, τὸ διψώδης, εἶτα τὸ, ἀσσώδης, εἶτα τὸ πολὺς βληστρισμός, εἶτα τὸ ἀκρισία. καὶ τούτων ἐν ἤρκει καὶ ἐν τῇ τρίτῃ προσγινόμενον ἡμέρᾳ, χείρονα τῆς δευτέρας αὐτὴν ἐνδείξασθαι. τὸ μὲν γὰρ οὐχ ὑπνῶσαι περὶ μίαν νύκτα, καὶ τὸ τὰ τῆς γνώμης ἔχειν ταραχώδη, συνεχῶς φαίνεται γινόμενα περὶ τὰς ὀξείας νόσους, ἄνευ μεγάλου κινδύνου. τὰ δ᾽ ἐν τῇ τρίτῃ γεγραμμένα, γέγονε πάντα κινδυνώδη. πλὴν διὰ τοῦτ᾽ ὀνομάζει τὴν δευτέραν χείρονα τὴν τρίτην εἶναι, διότι κατὰ μὲν τὴν δευτέραν ἔγραψε τὰ τῆς γνώμης ταραχώδεα, περὶ δὲ τὴν τρίτην, ἄλλα τέ τινα συμπτώματα τὰ μικρὸν ἔμπροσθεν εἰρημένα διηγήσατο γεγονέναι, καὶ τὰ περὶ τὴν γνώμην οὐχ ἁπλῶς ταραχώδεα. μικρὸν γὰρ τὸ τοιοῦτον, ἀλλὰ παρακροῦσαι φησί. φαίνεται γὰρ δὴ καὶ κατ᾽ αὐτὸ τοῦτο τὸ σύμπτωμα, χείρων ἡ τρίτη τῆς δευτέρας γεγονέναι, οὐ μὴν οὐδ᾽ ὅτι προσέθηκεν ἐν αὐτῇ, ὑπολάπαρον ὑποχόνδριον, ἐν τάσιν οὐκ οὖσαν ἔμπροσθεν, ὑπονοήσειεν ἄν τις ἐκ τούτου, τὴν δευτέραν ἡμέραν αὐτῷ γεγονέναι μετριωτέραν. ὅ, τι γὰρ ἂν ἔμπροσθεν ἀπαθὲς ὂν σπλάγχνον, ἄρξηται πάσχειν ἔν τινι ἡμέρᾳ, ἐκείνην ἐνδείκνυται τῶν ἔμπροσθεν χείρονα. ἐν πᾶσι δὲ τοῖς εἰρημένοις, ὀλεθριώτατα φαίνεται κατὰ ταύτην γεγονέναι συμπτώματα, κατάψυξις καὶ πελίδνωσις τῶν ἄκρων, ὥσθ᾽ ὅπερ ὀλίγον ἔμπροσθεν ἔφην, θαυμάσαι χρὴ ὅπως οὐκ ἀπέθανε περὶ τὴν πέμπτην ἡμέραν τὸ μειράκιον. ἀλλὰ νὴ Δία φησί τις ἴσως βοηθῶν τῷ Ταραντίνῳ, τοῖς εἰρημένοις ἐφεξῆς γέγραπται. τετάρτη τῆς ἑβδόμης ἐπίδηλος, ὑπ᾽ αὐτοῦ Ἱπποκράτους εἴρηται, διότι τῶν ἐν αὐτῇ γινομένων ἀγαθῶν, ἢ κακῶν, ἡ ἔκβασις οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἐπὶ τῆς ζ. ἢ τῆς ϛ. ἡμέρας γίνεται. πῶς οὖν ὁ Ταραντῖνος φησὶν, εὐλογώτερον εἶναι τεθνάναι τὸ μειράκιον τοῦτο κατὰ τὴν ϛ. ἡμέραν, ἐπειδὴ τοὺς παροξυσμοὺς ἐν αὐταῖς ἀρτίαις ἔσχεν. ἐν γὰρ τῇ τρίτῃ τῶν εἰρημένων φαίνεται τὰ πλεῖστα αὐτῷ γεγονέναι συμπτώματα, κατὰ δὲ τὴν τετάρτην ηὐξῆσθαι, διαρκέσαι δὲ καὶ ἀντισχεῖν ἄχρι τῆς ζ. ἡμέρας. ἴσως μὲν καὶ ὅτι τὴν δύναμιν φύσει εἶχεν ἰσχυράν, οὐ μὴν ἀλλὰ διὰ τὴν ἡλικίαν, ὡς εἴγε μὴ τοῦτ᾽ ὑπῆρχεν αὐτῷ, κατὰ τὴν ε. ἂν ἐτεθνήκει. φαίνεται δή μοι φιλοτιμούμενος πρὸς τὸν Ζήνωνα μᾶλλον, ἢ ἀκριβῶς ἐξετάζων τὸ πρᾶγμα, ταῦθ᾽ ὁ Ταραντῖνος ἐσχηκέναι. ταὐτὸ δὲ τοῦτ᾽ ἔπαθε καὶ ὁ Ἀπολλώνιος, ἐξηγούμενος καὶ αὐτὸς φιλοπόνως τὸ ζ. γράμμα, τὸ δεύτερον ἐν τοῖς χαρακτῆρσι γεγραμμένον. ἠκολούθησαν δ᾽ αὐτῷ καὶ ἄλλοι πολλοί, καὶ μάλιστα ὅτι πρῶτον μὲν ἰατρικόν τι θεώρημα λέγει χρήσιμον ἐξηγεῖσθαι χωρὶς χαρακτήρων, εἶθ᾽ ὅτι καὶ ἀληθὲς αὐτοῖς ἔδοξεν εἶναι τὸ ῥηθέν. διὰ τοῦτο γοῦν ἀποθανεῖν φησι τὸ μειράκιον, ὅτι παρὰ τὸ ἔθος ἐν κόποις καὶ πόνοις, καὶ δρόμοις ἐγένετο. ἐγὼ δὲ τοὺς μὲν πόνους καὶ δρόμους, εἴπερ ἐκ τῆς προσηγορίας ταύτης δηλοῦται τὰ πλείω γυμνάσια, διατεινόμενος, εἴποιμι χωρὶς τῆς ἐν τῷ σώματι προϋπαρχούσης νοσώδους κατασκευῆς, μηδέποτ᾽ ἂν αἰτίους γενέσθαι θανάτου. περὶ δὲ τῶν κατ᾽ ἐνίους ποτῶν, ἔφην γοῦν οὕτως μεταγράφειν τινάς, οὐδὲν ἔχω σαφὲς εἰπεῖν, ἐπίγε τοῦ μειρακίου τούτου, διότι μήτε τὴν ποιότητα, μήτε τὴν ποσότητα τῶν γινομένων ποτῶν γινώσκω, καίτοι πολλῆς οὔσης ἐν αὐτοῖς διαφορᾶς. καὶ γὰρ ἐν τῷ χρόνῳ διαφέρουσιν οἱ ποτοί. τινὲς μὲν ἐν ἡμέραις δυσὶ καὶ τρισίν, ἔνιοι δ᾽ ἐν πολλαπλασίοις τούτων γινόμενοι, καὶ τὸ πινόμενον ἑκάστης ἡμέρας πλῆθος, οὐ μικρὰν ἔχει τὴν διαφοράν. ἔτι πρὸς τούτοις ἡ ποιότης τοῦ πόματος. ἔνιοι μὲν γὰρ ἀκρατέστερον, ἔνιοι δ᾽ ὑδαρέστερον, ἔνιοι δ᾽ εὔκρατον πίνουσι. καί τινες μὲν ψυχρόν, ἔνιοι δὲ θερμόν, καὶ τούτων γ᾽ ἑκάτερον, ἤτοι γ᾽ ἐξ ἔθους, ἢ παρὰ τὸ ἔθος ἔπιον ποτέ. προσέρχεται δὲ καὶ ἡ τῶν οἴνων αὐτῶν οὐ μικρὰ διαφορὰ κατά τε τὸ γένος καὶ τὸν χρόνον. οὐ γοῦν τὴν αὐτὴν ἐργάζεται διάθεσιν ὁ νέος οἶνος καὶ ὁ παλαιός, οὐδ᾽ ὁ παχὺς καὶ λεπτός, οὐδ᾽ ὁ λευκὸς καὶ μέλας, οὐδ᾽ ὁ εὐώδης καὶ δυσώδης, ὥσπερ οὐδ᾽ ὁ αὐστηρὸς καὶ γλυκύς, ὡς εἰκότως ἔφην οὐκ ἔχειν ἀποφήνασθαι βέβαιον οὐδὲν ὑπὲρ τῆς ἐξ οἴνου βλάβης γινομένης τῷ μειρακίῳ. τὸ γε μὴν ὡς τὸ πολὺ κοινὸν ἁπάντων οἴνων, ἀμφοτέρας πόσεως ἐστίν, ὅτι καὶ τῶν νεύρων ἅπτονται καὶ τῆς γνώμης. οὐ μὴν ἡ τούτων γε τὴν ἐπικράτησε βλάβη, περὶ τὴν τοῦ μειρακίου νόσον. οὔτε γοῦν σπασμώδες, οὔτε κωματῶδες, ἀλλ᾽ οὐδὲ φρενιτικὸν ἐγένετο, καὶ διὰ τοῦτ᾽ οἶμαι καὶ τὴν τῶν ποτῶν γραφὴν ἀλογωτέραν ὑπάρχειν. εὐλογώτερον γάρ ἐστιν ἀπεψίας προηγεῖσθαι τῷ μειρακίῳ, τάχα μὲν καὶ περὶ τὴν κοιλίαν. εἰ δὲ μή, ἀλλὰ κατά γε τὰς φλέβας πάντως, ἐφ᾽ αἷς οὐκ ὀλίγων ὠμῶν χυμῶν ἠθροίσθη πλῆθος, ὡς ἐνδείκνυται τὰ οὖρα καὶ τὰ διαχωρήματα, λεπτὰ μὲν οὐ μὴν χολώδη γινόμενα. φαίνεται μέντοι καὶ χολώδης τις αὐτῷ χυμὸς ἐν ὅλῃ τῇ τοῦ σώματος ἕξει περιέχεσθαι, διὰ τοὺς γινομένους πόνους, ἐφ᾽ οἷς εὔλογόν ἐστι, καὶ παραφροσύνην τινὰ γενέσθαι καὶ πυρετόν.

Παρὰ Τισαμενῷ γυνὴ κατέκειτο, ᾗ τὰ ἰλεώδεα δυσφόρως ὥρμησαν, ἔμετοι πολλοί, ποτὸν κατέχειν οὐκ ἠδύνατο. πόνοι περὶ τὰ ὑποχόνδρια, καὶ ἐν τοῖσι κάτω κατὰ κοιλίην πόνοι, στρόφοι συνεχέες, οὐ διψώδης, ἐπεθερμαίνετο, ἄκρεα ψυχρὰ διὰ τέλεος, ἀσσώδης, ἄγρυπνος, οὖρα ὀλίγα, λεπτά, διαχωρήματα ὠμά, λεπτά, ὠφελέειν οὐκέτι ἠδύναντο, ἀπέθανε.

Καλῶς ἔνιοι γράφουσιν ἐπὶ τῆς γυναικὸς ταύτης ὑλεώδεα διὰ τοῦ υ, δέον ἰλεώδεα διὰ τοῦ ι γράφειν. ἰλεὸς γὰρ ὀνομάζεται τὸ πάθος, οὗ τὰ συμπτώματα γενέσθαι γράφει τῇ γυναικί, πολλοὺς μὲν ἐμέτους, καὶ ποτὸν κατέχειν μὴ δύνασθαι. πόνους δ᾽ εἶναι περὶ τὰ ὑποχόνδρια, καὶ στρόφους μετὰ πόνων ἐν τοῖς περὶ τὴν κοιλίαν, ἅπερ ἅπαντα συντρέχει τοῖς ἰλεώδεσιν. ὃ δ᾽ ἐφεξῆς ἔγραψεν, οὐ τῶν συντρεχόντων ἐστὶν αὐτοῖς, ἀλλὰ τῶν ἐπιγινομένων κακοηθεστέρων τῷ πάθει, μάλιστα τῷ διὰ τέλους εἶναι ψυχρὰ τὰ ἄκρα. μοχθηρὸν δὲ καὶ τὸ ἀσῶδες. ἀλλὰ καὶ τὰ οὖρα προσέγραψε, καίτοι γ᾽ οὐκ οὔσης ἐν ταῖς φλεψί, καὶ τοῖς χυμοῖς τῆς διαθέσεως, ἀλλ᾽ ἐν τοῖς ἐντέροις. ὅταν γὰρ ἐν τούτοις ἄρξηται μεγά

τὴν φλεγμονὴν, τὰ προειρημένα συμπτώματα φιλεῖ γίνεσθαι, καλεῖται δὲ τὸ πάθος ἰλεός. μικρὰ μὲν οὖν ἐκ τῶν οὔρων ὅταν ᾖ χρηστὰ πρὸς τὸ σωθῆναι τοὺς οὕτως ἔχοντας ἐλπὶς, οὐ μικρὰ δ' εἰς ὄλεθρον ῥοπὴ μοχθηρῶν γινομένων. κινδυνευόντων γὰρ τῶν οὕτως νοσούντων διὰ τὴν φλεγμονὴν τῶν ἐντέρων, εἰ καὶ ἄλλη τις ἐν τῷ σώματι φαίνεται διάθεσις οὖν μοχθηρὰ, συνεπαύξεται τῷ κάμνοντι τὸ κακόν. οὕτως οὖν εἴωθεν ὁ Ἱπποκράτης, ὅταν περί τι τῶν ἀναπνευστικῶν ὀργάνων ᾖ διάθεσις, ἐπιβλέπειν τὰ οὖρα. κατὰ φύσιν μὲν γὰρ ἐχόντων αὐτῶν ἐκ μόνων τῶν ἀναπνευστικῶν ὁ κίνδυνος. εἰ δὲ καὶ ταῦτα μοχθηρὰ φανείη, κακῶς ἔχειν ἐνδείκνυται καὶ τότε τὸ τῆς τροφῆς ὄργανον καθάπερ καὶ νῦν. καίτοι τῶν κατὰ γαστέρα πεπονθότων, καὶ τῆς διαθέσεως αὐτῶν ἐκ τῶν διαχωρημάτων γνωριζομένης, ὅμως καὶ τῶν οὔρων ἐμνημόνευσεν, ὡς λεπτῶν ὄντων, ἅπερ ἀπεψίαν σημαίνει τῶν ἐν ταῖς φλεψὶ χυμῶν. ἀλλὰ περὶ μὲν τῶν οὔρων ἀεὶ μέμνησο, συνεπισκοπούμενος αὐτὰ κἂν τοῖς κατὰ γαστέρα, καὶ θώρακα, καὶ πνεύμονα, καὶ νεῦρα πάθεσιν, οἷς μὲν ἀγαθὰ φανείη, μεγάλην παρεχόντων τὴν ῥοπὴν εἰς σωτηρίαν. εἰ δὲ μοχθηρὰ, συνεπιχυσόντων, καὶ αὐτῶν τι πρὸς τοῦ κάμνοντος κίνδυνον. ὄντος δὲ παντὸς ἰλεοῦ κινδυνώδους, οἱ κατὰ τὰ μετέωρα τῶν ἐντέρων συνιστάμενοι, τῶν ἐν τοῖς πάχεσι χείρους εἰσὶν, εἰς συμπάθειαν ἄγοντες ἧπάρ τε καὶ σπλῆνα. διαγνώσῃ δ' αὐτοὺς, ἔκ τε τοῦ τῶν ἐμέτων συνεχείας τε καὶ σφοδρότητος, καὶ τοῦ μηδὲ τὸ ποτὸν δύνασθαι κατέχειν. ἔτι δὲ μᾶλλον, ἐκ τοῦ μὴ διαχωρεῖν τι κάτω. καὶ οἱ στρόφοι δὲ καὶ αἱ ὀδύναι συνενδείκνυνται, ὅταν ἐν τοῖς ὑψηλοῖς μορίοις γίνονται. εἰ δὲ καὶ κόπρον ἐμέσειν, ὁρᾶται γὰρ τοῦτο γινόμενον, ἐναργέστατον ἔσται σοι γνώρισμα τοῦ πεπονθέναι τὰ λεπτὰ τῶν ἐντέρων. ἔστι δ' ὀξύτατον τὸ πάθος, καὶ διὰ τοῦτο νῦν ἔγραψεν ὁ Ἱπποκράτης αὐτὸ, μετὰ τοῦ προσγράψαι, ὠφελεῖν οὐδὲν ἠδύνατο. μέμνησο δή μοι καὶ τούτου πρὸς τὸν περὶ τῆς φλεβοτομίας λόγον. οὐ γὰρ ἄλλο τι τῶν βοηθημάτων ἔγραψεν ἐπὶ τῶν ἐν τούτοις τοῖς βιβλίοις ἀρρώστων, οὐκ ἐκείνην. οὐ δή που τῶν καμνόντων ἀβοηθήτων ἐρριμμένων, ἀλλ' ὡς οὐ χρῄζων γράφειν τὰ βοηθήματα καθ' ἕκαστον. εἰ μή τί που τῶν σπανίως εἴη γεγονότων, ὡς ἐπὶ τοῦ φλεβοτομηθέντος ὀγδοαίου. τὴν γε μὴν ἡμέραν καθ' ἣν ἀπέθανεν ἡ ἄρρωστος αὕτη παρέλιπεν εἰπεῖν, ὡς αὖ αὐτῆς τεθνεώσης εὐθέως κατὰ τὴν δευτέραν ἡμέραν, ἢ τὸ πλεῖστον τὴν τρίτην διὰ τὴν ὀξύτητα τοῦ πάθους, ἣν ἐδήλωσεν αὐτὸς ἐν τῇ διηγήσει.

Γυναῖκα ἐξ ἀποφθορῆς νηπίου τὴν περὶ Παντιμίδην, τῇ πρώτῃ πῦρ ἔλαβε, ἡ γλῶσσα ἐπίξηρος, διψώδης, ἀσώδης, ἄγρυπνος, κοιλίαι ταραχώδεες πολλοῖσι λεπτοῖσιν, ὠμοῖσι. δευτέρῃ ἐπερρίγωσε, πυρετὸς ὀξὺς, ἀπὸ κοιλίης πολλὰ, οὐχ ὕπνωσε. τρίτῃ μείζους οἱ πόνοι, τετάρτῃ παρέκρουσε, ἑβδόμῃ ἀπέθανε, κοιλίη διὰ παντὸς ὑγρὴ, διαχωρήμασι πολλοῖσιν, λεπτοῖσιν, ὠμοῖσιν, οὖρα ὀλίγα, λεπτὰ, πυρετὸς καῦσος.

Εἰ διότι τῶν ἔξωθεν ἐκφθεῖραι τὴν γυναῖκα συνέβη ταύτην, αὐτὸς ἂν ὁ Ἱπποκράτης ἐπεσημήνατο. δῆλον οὖν ἐστιν ὡς διὰ τὸ νόσημα συνέβη τὴν ἀποφθορὰν γενέσθαι τῇ γυναικὶ, μοχθηροὺς ἠθροικυίᾳ χυμούς, πρόκειται δὲ τῷ ἐξ ἀποφθορᾶς τὸ νηπίου, δηλοῦντος ὡς οἶμαι τῇ προσθήκῃ ταύτῃ, μικρὸν εἶναι τὸ ἀμβλωθέν. ὀνομάζουσι γὰρ οἱ ἄνθρωποι νήπια παιδία, τὰ μετὰ τὴν ἀποκύησιν οὐ πολλοῦ χρόνου. κατὰ μεταφορὰν οὖν εἰκός ἐστι τὸν Ἱπποκράτην τὰ πάνυ μικρὰ τῶν κυουμένων παιδίων, οὕτως ὠνομακέναι. καὶ γὰρ καὶ μάλιστα διαφθείρεται ταῦτα, τὴν μὲν ὀξύτητα καὶ τὸ μέγεθος τοῦ πυρετοῦ δι' αὐτοῦ τε τοῦ φάναι, πῦρ ἔλαβεν, ἐδήλωσεν κἀκ τοῦ προσθεῖναι γλῶσσα ἐπίξηρος, διψώδης. τὸ δ' ἀσώδης, τῆς κακοηθείας τοῦ γινομένου πυρετοῦ σημεῖον ἐστι, πρόσεχε τὸν νοῦν ἐπιμελῶς τῇ τῶν διαχωρουμένων ἰδέᾳ. γράψαντος γὰρ αὐτοῦ κοιλίη ταραχώδης, λεπτοῖσιν πολλοῖσιν, ὠμοῖσι, καίτοι γ' αὐτὸς εἰπὼν ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως, καῦσον αὐτῇ γεγονέναι. ὀνομάσας δὲ καὶ τὸν πυρετὸν, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἀρξάμενον, παροξυνθέντα δ' ἐν τῇ δευτέρᾳ. προσθεὶς δ' ὅτι καὶ γλῶσσα ἐπίξηρος, καὶ οὐχ ὕπνωσε, καὶ διψώδης ἦν, ὅμως ὠμά φησιν εἶναι τὰ διαχωρούμενα. καῦσον δὲ πυρετὸν ἐπὶ χολώδεσι χυμοῖσι γινόμενον ἴσμεν. εἰκὸς οὖν τῇ γυναικὶ ταύτῃ, κατὰ μὲν ὅλον τὸν ὄγκον τοῦ σώματος ἠθροῖσθαι τὸν χολώδη χυμὸν, ἐν δὲ ταῖς πρώταις φλεψὶ ταῖς κατὰ τὸ μεσάραιόν τε καὶ τὰ σιμὰ τοῦ ἥπατος ὠμὰ περιέχεσθαι. καὶ μὴν καὶ τὰ οὖρα φησὶν αὐτῇ γεγονέναι λεπτὰ παραπλησίως τοῖς ὠμοῖς διαχωρήμασιν, οὐ μόνον ἐν ταῖς πρώταις φλεψὶν, ἀλλὰ καὶ κατὰ τὰ κυρτὰ τοῦ ἥπατος ὠμῶν πλεοναζόντων χυμῶν. ὁ δὲ καῦσος ἐπὶ τέλει τῆς ἀρρώστου ταύτης, ἐν πολλοῖς τῶν ἀντιγράφων προσγέγραπται καῦσος, ἔνια δ' οὐ τοῦτο μόνον ἔχει γεγραμμένον, ἀλλὰ καὶ τὸ α. προκείμενον, ὡς ἤτοι πρώτην νοεῖσθαι τὴν ἄρρωστον ταύτην ἐν καύσῳ γεγονέναι, ἢ πρῶτον εἶδος εἶναι τοῦτο τοῦ καύσου. τὸ δ' ἐφεξῆς αὐτῷ γεγραμμένον, δεύτερον ἐπὶ τῆς γυναικὸς, ἧς οὕτως ἄρχεται, ἑτέρην ἐξ ἀποφθορῆς. ἐγὼ δὲ κατὰ τὸν ὄγδοον ἄρρωστον, οὗ ἡ ἀρχή. τὸ μειράκιον ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τελεώτερον ἔφην ποιήσασθαι τὸν περὶ τῶν οὕτως προσγεγραμμένων λόγον, ὅταν ἐξηγῶμαι τὸν δέκατον ἄρρωστον, ἀποδείξω τε νῦν αὐτὸν, ἐκ δυοῖν τούτοιν ὑποπτεύων προσγεγράφθαι τὸν καῦσον ἀφ' ἑτέρου τινὸς οὐκ αὐτοῦ τοῦ συγγραφέως. ὅτι πρῶτον μὲν αὖ οὐχ ἐνὶ ἢ δύο τῶν ἀρρώστων ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως τὴν ἰδέαν τοῦ νόσου προσέγραψε, ἀλλὰ πᾶσιν ἢ τοῖς πλείστοις, εἴπερ ὅλως ἐβούλετο καὶ ταύτας ἡμᾶς διδάσκειν, ὡς ἔνιοι τῶν μετ' αὐτὸν ἐποίησαν. ὁ δὲ ὡς εἰδόσι διαγινώσκειν τὰ νοσήματα, τὴν διήγησιν ἐποιήσατο τῶν συμβάντων τοῖς ἀρρώστοις. φαίνονται δὲ καὶ οἱ ἄλλοι παλαιοὶ, μὴ στοχαζόμενοι κατὰ τὰ συγγράμματα, τῶν ἄρτι προσιόντων ταῖς βίβλοις, ἀλλὰ τῶν ἤδη κατ' αὐτὰς ἐχόντων ἕξιν. βεβαιοῖ δέ μου τὴν ὑπόληψιν ἐπὶ τῷ προειρημένῳ, δεύτερον τοῦτο, τὸ, κατὰ τρίτον τῶν ἐπιδημιῶν μόνον, προσγεγράφθαι. πᾶσιν οὖν τοῦτο τοῖς ἐξηγησαμένοις τὸ βιβλίον ἔδοξεν ὑφ' ἑτέρου τινὸς τοὺς δυσκολωτάτους τὸ νῦν ἐκείνους χαρακτῆρας προσγράψαντος, καὶ ταῦτ' εἰκὸς προσγεγράφθαι. κατὰ μὲν γὰρ τὴν κυναγχικὴν, εἰκότως ἄν τις συγχωρήσειεν, ὑφ' Ἱπποκράτους αὐτοῦ προσγεγράφθαι, τὸ ἀπέθανε κυναγχικὴ, διὰ τὴν κυνάγχην αὐτὴν βουλομένου τεθνάναι τὴν γυναῖκα. κατὰ δὲ τὴν ἐν τῷ νῦν τεθνάναι λεγομένην, οὐχ οὕτως ἀκοῦσαι δυνατόν. ἐπὰν γὰρ ἑβδόμῃ ἀπέθανεν, ἐπήνεγκε κοιλίη διὰ παντὸς ὑγρὴ, διαχωρήμασι πολλοῖσι λεπτοῖσι,

ὠμοῖσιν, οὖρα ὀλίγα λεπτά, καὶ μετὰ ταῦτ' ἐφεξῆς γέγραπται, καῦσος. ἐνίοις δὲ καὶ τὸ α. πρόσκειται, κατά τινα δ' αὐτ' αὐτοῦ γέγραπται πρῶτος, ἐν ἄλλοις δὲ πρώτη. παντοίως γὰρ ἐλυμήναντο τῷ βιβλίῳ τούτῳ διὰ τὰ προσγραφόμενα, πολλοὶ τῶν νεωτέρων ἰατρῶν. οὐ δῆλον οὖν ὅτι μὴ ὡς ἐπὶ τῆς κυναγχικῆς ἐπὶ τέλει προσέγραψε, τὸ, ἀπέθανε κυναγχική, κατὰ τὸν αὐτὸν τρόπον ἐγχωρεῖ, καὶ νῦν προσγεγράφθαι, τὸ, καῦσος. οὐ γὰρ εἶπεν ἀπέθανε καυσουμένη, καθάπερ ἐπὶ τῆς κυναγχικῆς, ἀπέθανε κυναγχική. ἀλλὰ τότε καῦσος ὄνομα κατὰ τὴν εὐθεῖαν πτῶσιν εὑρίσκεται γεγραμμένον, ἐν τῷ μεταξὺ δὲ τούτου τε καὶ τοῦ ἀπέθανε, τότε κοιλίη διὰ παντὸς ὑγρὴ καὶ τὰ τούτῳ συνεχῆ. ἐπεὶ τοίνυν οὐκ ἀπέθανε καυσουμένη, ἀλλ' οὐδὲ ἐφεξῆς ὅλως ἀλλήλων ταῦτα γέγραπται, δῆλον ὅτι προσγέγραπται παρά τινος, οὐχ ὑφ' Ἱπποκράτους αὐτοῦ γέγραπται. τάχα δέ τις καὶ προσέγραψεν, ἕνεκεν ἑαυτοῦ καθάπερ εἰώθαμεν ὑπόμνησιν ἐν τοῖς μετωπίοις τὰ τοιαῦτα προσγράφειν. εἶτά τις τῶν μεταγραφόντων βιβλίον, ὡς αὐτοῦ τοῦ συγγραφέως ὄν, εἰς τὸ ὕφος αὐτὸ μετέθηκεν.

Ἑτέρην ἐξ ἀποφθορῆς περὶ πεντάμηνον, Οἰκέτεω γυναῖκα, πῦρ ἔλαβεν. ἀρχομένη δὲ κωματώδης, καὶ πάλιν ἄγρυπνος, ὀσφύος ὀδύνη, κεφαλῆς βάρος. δευτέρῃ κοιλίη ἐπεταράχθη, ὀλίγοισι, λεπτοῖσι, ἀκρήτοισι τὸ πρῶτον. τρίτῃ πλείω καὶ χείρω, νυκτὸς οὐδὲν ἐκοιμήθη. τετάρτῃ παρέκρουσε, φόβοι, δυσθυμίαι, δεξιῷ ἴλλαινεν, ἵδρου περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ, ἄκρεα ψυχρά. πέμπτῃ πάντα παρωξύνθη. πολλὰ παρέλεγε, καὶ πάλιν ταχὺ κατενόει, δίψος, ἄγρυπνος, κοιλίη πολλοῖσιν ἀκαίροισι διὰ τέλεος, οὖρα ὀλίγα, λεπτά, ὑπομέλανα, ἄκρεα ψυχρά, ὑποπέλια. ἕκτῃ διὰ τῶν αὐτῶν, ἑβδόμῃ ἀπέθανε φρενιτικά.

Ἡ μὲν πρὸ ταύτης γεγραμμένη, νήπιον ἔτι τὸ ἔμβρυον ἀπέφθειρε, καλεῖ δὲ νήπιον, τὸ ἔμβρυον ἐχρῆν ἀκούειν ἑνός, ἢ δυοῖν μηνῶν, ἢ τὸ μακρότατον τριῶν. ἡ δὲ νῦν ἡ δὲ κατὰ τὸν ἐνεστῶτα λόγον, πεντάμηνον ἔμβρυον ἐξέτρωσεν, οὐδ' αὐτὴ διά τι τῶν ἔξωθεν αἰτίων, ἀλλ' ἐκ τῆς κατὰ τὸ σῶμα διαθέσεως. ἐνίοτε μὲν γὰρ πηδήσασαι σφοδρότερον, ἢ δείσασαί τι τῶν ὀφθέντων αὐταῖς φοβερῶν αἰφνίδιον ἐκτιτρώσκουσιν αἱ γυναῖκες. ἐνίοτε δὲ καὶ δι' ὀδύνην, ἢ ἀπεψίαν σφοδράν, ἢ φαρμακώδους τινὸς ἐδωδήν, ἢ ἄντικρυς φαρμάκου πόσιν, ἢ διὰ τὸ προσεῖναί τι τῶν ἀμβλωθριδίων, ἀλλὰ καὶ διὰ φλεβοτομίαν, καὶ δι' αἱμορραγίαν ἐκ τραύματος, ἢ ἐξ αἱμορροΐδος ἀμέτρου, ἐξέτρωσαν ἔνιαι. οἶδα δέ τινας κἀξ αὐτοῦ τραχήλου τῆς μήτρας αἱμορραγησάσας ἐγκύμονας ἐπὶ πλέον, εἶθ' ἑξῆς ἐκβαλούσας τὸ ἔμβρυον, ὧν ὅτι μηδὲν ἐγένετο ταῖς κατὰ τόνδε τὸν λόγον ἐφ' Ἱπποκράτους γεγραμμέναις γυναιξί, δῆλον, ἐξ αὐτοῦ τοῦ μὴ προσγεγράφθαι κατὰ τὴν διήγησιν αὐτῶν, καίτοι γ' εἰωθότος αὐτοῦ μὴ παραλείπειν τὰ τοιαῦτα. πυρέξαι τοίνυν αὐταῖς, οὐ διὰ τὴν τῶν ἐμβρύων ἐγένετο φθοράν, ἀλλ' ἔμπαλιν, ἀποφθείρεται κύημα διὰ τὸν πυρετόν. ἔοικε δὲ κατ' αὐτῆς τῆς γυναικὸς ὁρμηθεὶς ὁ γράψας τὸ προρρητικόν, οὕτως εἰπεῖν. οἱ κωματώδεες ἐν ἀρχῇσι μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί; δύναται δὲ καὶ αὐτὸς ἑτέραν, ἢ ἕτερον οὕτως ἔχοντα θεάσασθαι. τὴν δ' οὖν προκειμένην ἐν τῷ λόγῳ γυναῖκα κωματώδη τε καὶ πάλιν ἄγρυπνον ἔφη γενέσθαι, κεφαλῆς τε βάρος ἔχειν, καὶ τῆς ὀσφύος ὀδύνην, οὐ μὴν περὶ τραχήλου προσέθετό τι. φησὶ δὲ καὶ τὴν κοιλίαν ἐπιταραχθῆναι λεπτοῖς καὶ ἀκράτοις, οὐδὲν ἐνταῦθα προσθεὶς ἔτι περὶ τῆς χρόας αὐτῶν. ἐγχωρεῖ γὰρ ἄκρατα, ὠχρὰ καὶ ξανθά, καὶ πυρρά, καὶ ἐρυθρά, καὶ ἰώδη, καὶ μέλανα διαχωρεῖσθαι, γινωσκόντων ἄκρατα καλεῖν αὐτόν, ὅσα τὴν οἰκείαν χρόαν ἄμικτον ἔχει πρὸς ἕτερον χυμόν. ὡς δ' ἄν τις εἰκάσειε, χολώδη διεχώρησεν ἄκρατα, τουτέστιν ἤτοι ξανθὰ κατὰ τὴν χρόαν ἢ πυρρά. τὰ γὰρ ἰώδη καὶ μέλανα μετὰ τοῦ προσθεῖναι τὴν χρόαν ἔθος ἐστὶ καὶ τούτῳ καὶ τοῖς ἄλλοις ἰατροῖς. καὶ ἡμεῖς εἰώθαμεν ἄνευ προσθήκης χολώδη διαχωρῆσαι τινὰ λέγειν ἐπὶ τῇ χολῇ ξανθῇ τοιαύτῃ λέξει χρώμενοι. τὰ δὲ τῆς ἰώδους, ἢ μελαίνης, ἢ τινος ἑτέρας χολῆς οὐ λέγομεν ἁπλῶς χολώδη, τίθεμεν δ' αὐτοί, τὴν ἀπὸ τῆς χρόας διάκρισιν αὐτοῖς, καὶ ὥσπερ γ' ἐν ἅπασι τὸ ἔθος ὑπῆρξε διὰ τὸ συνεχῶς μὲν ἐμεῖσθαί τε καὶ διαχωρεῖσθαι τὴν ὠχράν τε καὶ ξανθὴν χολήν, οὐ μόνοις τοῖς νοσοῦσιν, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσι. σπανίως δὲ τὰς ἄλλας, καὶ μόνον ἐπὶ τῶν νοσώδη διάθεσιν ἐχόντων. ἐπὶ γοῦν τὴν τῆς τρίτης ἡμέρας διήγησιν εἰπών, νυκτὸς οὐδὲν ἐκοιμήθη, τοῦ καύματος δ' οὐκέτι μνημονεύσας, ἔνδειξιν παρέχων ἡμῖν τοῦ μέλλειν ὅσον οὔπω παραφρονήσειν. εἰκότως γοῦν ἐφεξῆς ἐρεῖ, τετάρτῃ παρέκρουσε, φόβος, δυσθυμία, πρὸς δὲ καὶ τῷ δεξιῷ ἴλλαινεν. ἔτι τε τό, ἵδρου περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ, φρενιτικήν τε ἤδη τὴν ἄνθρωπον ἐδήλωσεν εἶναι καὶ πρὸς τούτῳ μοχθηρῶς ἔχειν πάνυ. προστεθέντων δὲ τοῖς εἰρημένοις σημείοις τε καὶ συμπτώμασι, τῶν ψυχρῶν ἄκρεων, ἔτι μᾶλλον ἄν τις αὐτὴν προσεδόκησεν τεθνήξεσθαι. καὶ τοίνυν ἀπέθανεν ἀκόλουθον τοῖς εἰρημένοις συμπτώμασιν ἔχουσα τὰ κατὰ τὴν πέμπτην, καὶ τὴν ἕκτην. τὰ δ' ὡς μαρτυροῦντα τούτοις ἐν προρρητικῷ γεγραμμένα, φθάνω δείξας ἐν τοῖς εἰς ἐκεῖνο τὸ βιβλίον, ὅπως ἐστὶ μοχθηρά. μνημονεύσωμεν τοίνυν καὶ αὐτῶν ἀναμνήσεως ἕνεκα, καίτοι παρῃτημένοι τὰ τοιαῦτα γράφειν. εἰρημένου τοίνυν ἐν προρρητικῷ, ἐξ ὀσφύος ἀναδρομῆς, ὀφθαλμῶν ἴλλωσις. διὰ τοῦτο τῆς γυναικὸς ταύτης ἀναμιμνήσκουσιν, ἔν τε τῷ περὶ ταύτης λόγῳ τῆς ἐν τῷ προρρητικῷ λέξεως. ἔστι δ' ὡς ἐδείχθη τὰ τοιαῦτα πάντα μοχθηρὰ γινωσκόντων ἡμῶν ἐν τῷ καθόλου τὴν διαστροφὴν τῶν ὀφθαλμῶν οὐκ ἀγαθὸν εἶναι σημεῖον, ἐάν τ' ἐξ ὀσφύος ἀναδρομῆς, ἐάν θ' ὁπωσοῦν γένηται. μετὰ τοῦ κακόζηλον εἶναι τὴν ἑρμηνείαν, καὶ πόρρω τῆς Ἱπποκράτους λέξεως. οὐ γὰρ ἂν εἶπεν ἐξ ὀσφύος ἀναδρομῆς, ἀλλ' ὡς ἐν τῷ προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν. αἱ δὲ σὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν, καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθριον κάρτα. οὐ μὴν οὐδ' ἔχει τις ἐπὶ τῆς προκειμένης ἀρρώστου δεῖξαι γεγονυῖαν εἰς τὴν κεφαλὴν ἄνοδον τῶν κατὰ τὴν ὀσφὺν

πλείονα

πλεοναζόντων χυμῶν, ὥσπερ καὶ ταῦτα μάτην εἶπον τινὲς τῶν ἐξηγητῶν, οὕτω καὶ τήνδε τὴν ῥῆσιν κακῶς ἐκ τοῦ προῤῥητικοῦ ἐπιφέρουσι τοῖς νῦν εἰρημένοις εἰς ἐξήγησιν τῆς προκειμένης ἀῤῥώστου, καθ' ἥν φησι, κοιλίης περίπλυσις ἐξέρυθρος, κακὸν μὲν ἐν πᾶσιν, οὐχ ἥκιστα δὲ τοῖς προκειμένοις. οὐκ εἰρηκότος Ἱπποκράτους, ἐξέρυθρον τῇ γυναικὶ ταύτῃ γεγονέναι περίπλυσιν κοιλίης. ἔτι δὲ μᾶλλον ἀτόπως μνημονεύουσι καὶ τῆσδε τῆς ῥήσεως. ἐν πυρετοῖς καυσώδεσιν, ὑποπεριψύχουσι, καὶ διαχωρήμασιν ὑδατοχόλοισι, συχνοῖς, ὀφθαλμοῖσι λῆμαι σημεῖον κακὸν, ἄλλως τε καὶ ἢν κάτοχοι γένωνται. διαφέρειν δ' οὐδὲν φασὶν, ἢ κάτοχον εἰπεῖν, ἢ κῶμα, μὴ γινώσκοντας ὡς αὐτὸς ὁ Ἱπποκράτης διορίζει τὸ βαθὺ κῶμα, τοῦ μετ' ἀγρυπνίας. τὸ μὲν οὖν βαθὺ κῶμα κοινωνίαν ἔχει τινὰ, πρὸς τὴν καλουμένην κατοχὴν ὑπὸ τῶν περὶ τὸν Ἀρχιγένην τε καὶ Φίλιππον. οὐ μὴν ὅτι τὸ ἄγρυπνον ὃ ταύτῃ τῇ γυναικὶ γενέσθαι, φασὶν ἐν ἀρχῇ τοῦ νοσήματος, οὐ καθ' ὃν χρόνον ὁ ὀφθαλμὸς παρεσπάσθη. θαυμάσαι δ' ἔστι καὶ τοὺς τῶν ἀμφοτέρας τὰς ῥήσεις γραψάντων ἐν ἐξηγήσει τῆς προκειμένης ἀῤῥώστου, καθ' ἥν φησι, κοιλίης περίπλυσις ἐξέρυθρος, καὶ τὸ διαχωρήμασιν ὑδατοχόλοισιν. οὐδετέραν μὲν γὰρ αὐτῶν ἔγραψεν ἐπὶ τῆς γυναικὸς ταύτης ὁ Ἱπποκράτης, οἱ δὲ ὡς ἀμφοτέρας γράψαντος ἐξηγοῦνται, πρὸς τῷ μηδὲ δύνασθαι τὴν αὐτὴν διαχώρησιν ἐξέρυθρόν τε καὶ ὑδατόχολον εἶναι. παρατιθέντες δὲ καὶ ἄλλας πολλὰς ῥήσεις, δι' ἀλλήλων ἐξηγούμενοι τό, τε προῤῥητικὸν, καὶ τοὺς ἐν ταῖς ἐπιδημίαις ἀῤῥώστους. ἀλλὰ πάντ' ἐξελέγχειν ὅσα κακῶς ἔγραψαν οὐ καιρὸς, εἰρημένης γε σαφῶς τε ἅμα καὶ τελέως ἡμῖν ἐν τοῖς εἰς τὸ προῤῥητικὸν ὑπομνήμασι τῆς μοχθηρίας τῶν τοιούτων ἐξηγήσεων. φρενίτις, καὶ τοῦτο τῶν προσγεγραμμένων ἐστὶν, ὥσπερ ὁ καῦσος ἔμπροσθεν οὐκ ἐν ἅπασιν ὂν τοῖς ἀντιγράφοις. οὔτε γὰρ ἐπ' ἄλλου τινὸς ἀῤῥώστου τοιοῦτόν τι προσέγραψεν, οὔτε προὔκειτο νῦν αὐτῷ διαγνώσεις γράφειν νοσημάτων, ὡς ἐν τοῖς περὶ νούσων ἐπιγεγραμμένοις ἐστὶν εὑρεῖν.

Γυναῖκα ἣ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τεκοῦσαν γε τὸ πρῶτον ἐπιπόνως ἄῤῥεν, πῦρ ἔλαβεν, αὐτίκα ἀρχομένη διψώδης, ἀσώδης, καρδίαν ἀπήλγε, γλῶσσα ἐπίξηρος, κοιλίη ἐπεταράχθη, λεπτοῖσιν, ὀλίγοισιν, οὐχ ὕπνωσεν. δευτέρη μικρὰ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, μικρὰ περὶ κεφαλὴν ἵδρωσε ψυχρῷ. τρίτη ἐπιπόνως ἀπὸ κοιλίης ὠμὰ, πολλὰ, λεπτὰ διῄει. τετάρτη ἐπεῤῥίγωσε, πάντα παρωξύνθη, ἄγρυπνος. πέμπτη ἐπιπόνως. ἕκτη διὰ τῶν αὐτῶν, ἀπὸ κοιλίης ἦλθεν ὑγρὰ πολλά. ἑβδόμη ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, δίψα πολλὴ, βληστρισμός. περὶ δείλην ἵδρωσε δι' ὅλου ψυχρῷ, ψύξις ἀκρέων, καὶ οὐκέτ' ἀνεθερμαίνετο, καὶ πάλιν εἰς νύκτα ἐπεῤῥίγωσε, ἄκρεα οὐκ ἀνεθερμαίνετο, οὐχ ὕπνωσε, μικρὰ παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. ὀγδόη περὶ μέσον ἡμέρης ἀνεθερμάνθη, διψώδης, κωματώδης, ἀσώδης, ἤμεσε χολώδεα, μικρὰ, ξανθὰ, νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, οὔρησε πολὺ, ἀθρόον, οὐκ εἰδυῖα. ἐνάτη ξυνέδωκε πάντα, κωματώδης πρὸς δείλην, μικρὰ ἐπεῤῥίγωσε, ἤμεσε πικρὰ, χολώδεα. δεκάτη ῥῖγος, πυρετὸς, παρωξύνθη, οὐχ ὕπνωσεν οὐδὲν, πρωῒ οὔρησε πολὺ, ὑπόστασιν οὐκ ἔχον, ἄκρεα ἀνεθερμάνθη. ἑνδεκάτη ἤμεσεν ἰώδεα, χολώδεα, ἐπεῤῥίγωσεν οὐ μετὰ πολὺ, καὶ πάλιν ἄκρεα ψυχρά. εἰς δείλην ῥῖγος, ἱδρὼς, ἤμεσε πολλὰ, νύκτα ἐπιπόνως. δωδεκάτη ἤμεσε πολλὰ, μέλανα, δυσώδεα, λυγμὸς πολὺς, δίψος ἐπιπόνως. τρισκαιδεκάτη μέλανα, δυσώδεα, πολλὰ ἤμεσεν, ῥῖγος. περὶ δὲ μέσον ἡμέρης, ἄφωνος. τεσσαρεσκαιδεκάτη αἷμα διὰ ῥινῶν, ἀπέθανε. ταύτῃ διὰ τέλεος κοιλίη ὑγρὴ, φρικώδης, ἡλικίη περὶ ἔτεα ιζ.

Εἴτ' Ἀθήνησιν ἐν τῇ τῶν κερκώπων ἀγορᾷ κατέκειτο τοῦτο τὸ γύναιον, εἴτ' ἐν ἄλλῃ πόλει, ζητεῖν ἑτέροις παρέντες, σκεψώμεθα τὰ συμβάντα διὰ ὅλου τοῦ νοσήματος, ἐφ' οἷς ἀδύνατον ἦν αὐτὴν ζῆσαι. πάντα γὰρ ἀπ' ἀρχῆς ἦν θανάσιμα. καὶ μᾶλλον ἄν τις θαυμάσειε, πῶς ἐξήρκεσεν ἄχρι τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας. ἀλλά μοι δοκεῖ διὰ τοῦτο ἐπὶ τῷ τέλει τῶν κατ' αὐτὴν προσθεῖναι, τὸ ἡλικίη περὶ ἔτεα ιζ. δῆλον δ' ἐστι πρὸς τῷ τῆς ἡλικίας ἰσχυρῷ, καὶ αὐτὴν καθ' ἑαυτὴν οὐκ ἀσθενῆ τὴν φύσιν εἶναι, ἢ οὐκ ἂν ἐξήρκεσεν. ὅπου γὰρ οὔτ' ἄλλο τι τῶν γενομένων αὐτῇ χρηστὸν ἦν, εὐθέως τὰ κατὰ τὴν δευτέραν ἐπεῤῥιγώσασα μικρὰ, καὶ ὀξέως πυρέξασα, περὶ τὴν κεφαλὴν ἵδρωσεν ὀλίγον ψυχρὸν, εἶτα πάλιν ἐν τῇ τετάρτῃ πάντα παρωξύνθη, καὶ κατὰ τὴν ζ. αὖθις ἐπεῤῥίγωσεν, γλῶσσα τε ξηρὰ καὶ ὀξέως πυρέξασα, πρὸς τῷ ἴσχειν ἄκρεα ψυχρὰ, καὶ τὸ μηκέτ' ἀναθερμαίνεσθαι ταῦτα προσέλαβεν. πῶς οὐκ ἐχρῆν αὐτὴν ἀποθανεῖν μὲν πάντως, ἤτοι κατὰ τὴν ἐνάτην, ἢ κατὰ τὴν ἑνδεκάτην ἡμέραν; ἐπεμέτρησεν οὖν ἄχρι τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, διά τε τὴν ἡλικίαν καὶ τὴν ἰσχὺν τῆς φύσεως, ἥτις τὴν αὐτὴν ῥώμην ἐνεδείξατο κἂν τῷ τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ ποιῆσαι τὴν αἱμοῤῥαγίαν. ἀλλὰ γὰρ οὐκ ἔμελλε ἰάσασθαι τὴν νόσον οὖσαν μεγίστην ἡ κένωσις τοῦ αἵματος. ἐνεδείξατο δὲ τὸ μέγεθος αὐτῆς πρὸς τοῖς ἄλλοις συμπτώμασιν καὶ ἡ δυσωδία τῶν ἐμεθέντων μελάνων. ἀεὶ γὰρ ὀλέθρια τὰ δυσώδη, καθότι καὶ αὐτὸς ἐν προγνωστικῷ φησί. πᾶσαι τε αἱ ὑπόστασιες καὶ δυσώδεες ὀδμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖς ἐμαμένοισι. τὸ δ' ἐπὶ τῷ τέλει προσγεγραμμένον, καῦσος, ὁμοίαν ἀτοπίαν ἔχει τῷ κατὰ τὴν πρὸ ταύτης ἄῤῥωστον ἐπὶ τέλει γεγραμμένῳ, φρενίτις.

ΑΟΙΜΩΔΗ κατάστασιν ἐνταῦθα γράφοντος Ἱπποκράτους, ὅσα πρὸς τὴν ἐξήγησιν ὧν ἐρεῖν μέλλει χρήσιμα ἐστὶν, ἐν τοῖς ἔμπροσθεν ὑφ' ἡμῶν ἐξειργασμένα, διὰ κεφαλαίων ὑπομνήσας, οὕτως ἤδη τὰς ῥήσεις αὐτοῦ παραγνώσομαι. πρῶτον μὲν ὅτι κατάστασιν, οὐ μόνην τὴν παρὰ φύσιν ἐν τῷ περιέχοντι κρᾶσιν, ἀλλὰ καὶ πᾶσαν ἰδέαν ἅπαντος πράγματος οὕτως εἴωθεν ὀνομάζειν, ἀναμνησθῶμεν. εἶθ' ὅτι διὰ τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπὴν αὐτῶν, ἐν τοῖς σώμασιν ἡμῶν γίνεται τὰ νοσήματα. σὺν τούτοις δὲ ἀναμνησθῶμεν ὧν ἐν τοῖς ἀφορισμοῖς ἔγραψεν αὐτὸς, λέ-
» γων ὧδε. τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβρίων ὑγιεινότεροι, καὶ ἧσσον θανατώ-
» δεες. νοσήματα δ' ἐν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες. ἀναμνησθῶμεν δὲ καὶ ὧν εἰς τὴν ἀρχὴν τοῦ δευτέρου τῶν ἐπιδημιῶν ἐξηγούμενος ἔγραψα. μεμνημένος δέ τις ὧν εἶπον, ἀναγνοὺς ἐπιμελῶς αὐτὰ πρὸς τὴν τῶν νῦν προκειμένων ἐξήγησιν ἀφικνείσθω.

Ἔτος νότιον, ἔπομβρον, ἄπνοια διὰ τέλεος.

Ἐν μὲν τῷ πρώτῳ τῶν ἐπιδημιῶν καταστάσεις ἔγραψε τρεῖς, ἐνταυθοῖ δὲ μίαν ταύτην ἣν νῦν ἡμῖν ἐξηγεῖσθαι πρόκειται. εἰσὶ μέντοι κἂν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἰσί τινες ἄλλαι γεγραμμέναι. ἀλλ' οὐ δοκεῖ πρὸς ἔκδοσιν ἐκεῖνο καθάπερ τὸ πρῶτόν τε καὶ τὸ τρίτον αὐτῷ πεποιῆσθαι. οὐ μὴν οὐδὲ προγέγραπται τῆς διηγήσεως τῶν γινομένων, εὐθέως ἐν ἀρχῇ, τὸ κατάστασις ἐν ἐκείνοις τοῖς βιβλίοις, ἀλλ' ἄντικρυς διηγήσεως ἄρχεται τῶν ἰσορισμάτων αὐτῷ, κατά τε τὰ γινόμενα νοσήματα καὶ τὴν τοῦ περιέχοντος κρᾶσιν. ἐν Θάσῳ γοῦν φησι φθινοπώρου περὶ ἰσημερίην καὶ ὑπὸ πλειάδας ὕδατα πολλὰ, ξυνεχέα μαλθακῶς, ἐν νοτίοισιν. ἀνάλογον δὲ καὶ τῆς ἑξῆς δυοῖν καταστάσεων ἤρξατο. περὶ δὲ τὴν νῦν προκειμένην, αὐτὸ μὲν τὸ τῆς καταστάσεως ὄνομα σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις, οὐ μὴν ἐν τινί γε χώρᾳ ταῦτ' ἐγένετο, δηλοῦται. κοινοῦ γάρ τινος ἔθνεσι πολλοῖς γενομένου λοιμοῦ, τὴν διήγησιν ἐν τῷδε ποιεῖται, ἐν μέντοι τοῖς κατὰ Διοσκορίδην ἀντιγράφοις οὐ μόνον οὕτως ἁπλῶς γέγραπται κατάστασις, ἀλλὰ πρόσκειται, τὸ θερμὴ καὶ ὑγρὰ κατὰ τὸ μέσον τῆς σελίδος ὅλου τοῦ γεγραμμένου, καθάπερ ἐν τοῖς ἄλλοις ἀντιγράφοις, μόνου τοῦ κατάστασις. εὕροις δ' ἂν ἔνια μηδ' ἐν τῷ μέσῳ τὸ πρόγραμμα τοῦτο ἔχοντα, καθάπερ ἐν τισὶ μηδ' ὅλως, ἐξ ὧν ὑπονοήσειεν ἄν τις οὐκ αὐτὸν Ἱπποκράτην προγεγραφέναι, τὸ, κατάστασις, ἀλλ' ἴσως ἐκείνους, ὅσοι καὶ τοὺς χαρακτῆρας ἐπὶ τῷ τέλει τῶν κατὰ τοὺς ἀρρώστους διηγήσεων ἔγραψαν. ἀλλὰ ταῦτα μὲν ὅπως ἂν ἔχῃ, βλάβην ἢ ὠφέλειαν οὐδεμίαν εἰς πρόγνωσιν ἢ θεραπείαν φέρει. τρεπόμεθα δ' ἤδη τὴν ἐξήγησιν ἐκείνων, ἐν οἷς ὠφέλειά τις ἐστίν. ἔτος νότιον, ἔπομβρον, ἄπνοια διὰ τέλεος. ὁμοία τῇδε τῇ καταστάσει καὶ ἡ ἐν ἀρχῇ τοῦ δευτέρου τῶν ἐπιδημιῶν ἐστι κατὰ τὴν δὲ τὴν τάξιν εἰρημένη. ἄνθρακες ἐν Κρανῶνι θερινοί, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ δι' ὅλου, ἐγίνοντο μᾶλλον νότῳ. διαφέρουσι δ' ἀλλήλων αἱ καταστάσεις, ὅτι τε δι' ὅλου τοῦ ἔτους ἐνταῦθα φησὶ τοιαύτην γεγονέναι τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν, ἐν δὲ τῷ δευτέρῳ περὶ τὸ θέρος μόνον, ὅτι τε προσέγραψεν νῦν, ἄπνοια διὰ τέλεος, ὅπερ οὐ προσέγραψεν ἐκεῖ. λογίσαιτο δ' ἄν τις ἐκ τοῦ προσγράψαι κατ' ἐκεῖνο τὸ βιβλίον, ἐγίνοντο μᾶλλον νότῳ, τοιοῦτόν τι δηλοῦσθαι. καὶ γὰρ οὖν κἀνταῦθα νότιόν τε ἅμα καὶ ἄπνουν ἔφη γεγονέναι ὅλον τὸ ἔτος, ὡς δυνατὸν ἐστὶν ἄπνουν τε ἅμα καὶ βόρειον εἶναί τε καὶ λέγεσθαι τὸ ὅλον ἔτος, οὕτως ἡμῶν ἀκουόντων, διορισθήσεται γὰρ ὀλίγον ὕστερον τοῦτο. ἀναμνησθῶμεν δ' ὅτι πολλὰς ἐν τῷ περιέχοντι κράσεις ἑωράκαμεν, ἠρεμίαν τε καὶ νηνεμίαν ἐχούσας, οὐ μὴν ὁμοίως ἀλλήλαις, ἀλλὰ τὴν μὲν ἔνια μαλακήν τε καὶ ὑγρὰν, τὴν δὲ ξηράν τε, καί τι κρύους ἔχουσαν. αὕτη μὲν οὖν ἀκριβῶς αἴθριός ἐστιν. ἡ μαλακὴ δ' ὁμιχλώδης τε, ἔχει καὶ θολερὰν κατάστασιν καὶ νότιον, ἔσθ' ὅτε καὶ νεφελῶν οὖσαν πλήρη, τὴν δ' ἐναντίαν αὐτῇ, βόρειος. καὶ ὅτι μάλιστα μηδεμία φαίνοιτο περὶ τὸν ἀέρα κίνησις, ἀλλ' ἀκριβῶς εἴη, τὸ καλούμενον νήνεμον. τὸν αὐτὸν γὰρ τρόπον ἔοικεν ἔχειν τὰ περὶ τὸν ἀέρα τοῖς περὶ θάλατταν. ὡς οὖν ἐν ἐκείνῃ διὰ παντὸς μέν ἐστι ῥεῦμα περὶ τὸ βάθος μεῖζον ἢ μεῖον, οὐ φαίνεται δ' ἐνίοτε σαφῶς διὰ σμικρότητα, πλὴν εἰ στενὸν εἴη τὸ δεχόμενον αὐτὴν χωρίον, ὡς ἐν Χαλκίδι τε τῆς Εὐβοίας καὶ Μεσσήνῃ τῆς Σικελίας φαίνεται, κατὰ τὸν αὐτὸν λόγον ἐν τῷ περιέχοντι, παντελὴς μὲν ἀκινησία καὶ στάσις ἔοικεν οὐδέ ποτε γίνεσθαι, λανθάνει δ' ἐνίοτε διὰ σμικρότητα. καὶ νέφη δ' ὁρῶμεν ἐν ταῖς τοιαύταις ἀπνοίαις πολλάκις ἑστάναι μὲν δοκοῦντα, κινούμενα δὲ κατ' ἀλήθειαν. ὁρᾶται οὖν ὀλίγον ὕστερον ἐν ἑτέρᾳ χώρᾳ τοῦ περιέχοντος, ὅπερ οὐκ ἂν αὐτοῖς ἐγένετο μηδ' ὅλως κινουμένοις. τοιαύτην οὖν τινα καὶ νῦν ἡγεῖσθαι χρὴ κατάστασιν ἐν ὅλῳ τῷ ἔτει γεγονέναι. τούτῳ διαφέρουσι τῶν ἐν Κρανῶνι κατὰ τὸ δεύτερον βιβλίον εἰρημένοις, ὅσῳ καὶ χρονιωτέρα. τὸ γε μὴν ἐν ἀμφοτέραις ταῖς καταστάσεσι κοινὸν πάθος σηπεδών ἐστι, κοινὴν ἔχουσα καὶ τὴν αἰτίαν, ὑγρότητα σὺν ἀπνοίᾳ. φαίνεται δὲ ἐξ ὕλης μὲν ὑγρᾶς πᾶσα γίνεσθαι σηπεδὼν, αἰτίας δὲ δραστικῆς, ἀλλοτρίου τε καὶ παρὰ φύσιν θερμοῦ, συνεπαύξεσθαι δ' ὑπὸ τῆς ἀκινησίας. ὅτι μὲν οὖν οὐδὲν τῶν ἀκριβῶς ξηρῶν σήπεται, πάντες ἐναργῶς ὁρῶμεν. οὔτε γὰρ λίθος, οὔτε κέραμος, οὔτε χρυσὸς, οὔτ' ἄργυρος, οὔτε χαλκὸς, οὔτ' ἄλλό τι τοιοῦτον φαίνεται σηπόμενον. ὅτι δὲ καὶ τὰ φύσιν ἔχοντα σήπεσθαι διαμένοντα, μέχρι πλείστου φαίνεται κατὰ τὰς ψυχρὰς κράσεις, οὐδὲ τοῦτ' ἀγνοεῖ τις. ἔτι δὲ μᾶλλον ὅταν ῥιπίζηται τοιούτοις ἀνέμοις, ἀμέλει καὶ τὰ αἰσθητὰ συνεχῶς ἀναψύχουσιν οἱ ἄνθρωποι, καὶ μάλιστα ὅταν ὑγρὸν καὶ θερμὸν ᾖ τὸ περιέχον, ὡς τῆς ἀκινησίας σηπούσης αὐτήν. οὕτως δὲ καὶ ἡ τῶν ἀρτηριῶν κίνησις ἐν τοῖς ζώοις, ἄλλα τέ τινα χρηστὰ καὶ τὴν τοιαύτην ὠφέλειαν παρέχεται. λέγει δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐν τοῖς ἀφορισμοῖς, ὡς ἐν τοῖς ἔμπροσθεν ἔφην, ἐν ταῖς ἐπομβρίαις γίνεσθαι σηπεδόνας. ὅτι μὲν οὖν ἀναγκαῖον ἦν σαπῆναι τὰς ἐν τοῖς σώμασιν ὑγρότητας, ἐκ τούτων δῆλον. ἴδωμεν δ' ἐφεξῆς ἕκαστον τῶν κατὰ μέρος ἀκολουθήσαντες αὐτοῦ ταῖς ῥήσεσιν.

Αὐχμῶν δὲ γενομένων τοὺς ὑπόπροσθεν χρόνους ἐπ' ἐνιαυτὸν, ἐν νοτίοισι περὶ ἀρκτοῦρον ὕδατα πολλά.

Ἔμαθες

ἔμαθες ἤδη κατὰ τὰς ἐν τῷ πρώτῳ γεγραμμένας καταστάσεις, ὡς ἡ τοῦ περιέχοντος ὑπαλλάχθαι κρᾶσις, ἐκ τῆς ὑγιεινῆς τε καὶ κατὰ φύσιν αὐτῷ τάξεως. ἔμαθες δὲ καὶ ὁποῖα τίς ἐστιν ἡ κατάστασις ἥδε, καὶ ὡς τέτταρες μὲν αὐτῆς εἰς τὸ παρὰ φύσιν ἁπλαῖ, τέτταρες δ' ἄλλαι σύνθετοι γίνονται μεταβολαί. ἁπλαῖ μὲν αἱ κατὰ θερμασίαν μόνην καὶ ψύξιν, ὑγρότητά τε καὶ ξηρότητα. σύνθετοι δ' αἵτε κατὰ θερμότητα καὶ ὑγρότητα, καὶ ψυχρότητα καὶ ξηρότητα, ψυχρότητα καὶ ὑγρότητα, θερμότητα καὶ ξηρότητα. νῦν οὖν ἀναμνησθεὶς ὧν ἔμαθες, ἀκολούθει τῇ διηγήσει τῆς γενομένης καταστάσεως, εἰπόντος τοῦ Ἱπποκράτους, αὐχμῶν δὲ γενομένων τοὺς ὑπόπροσθεν χρόνους. εἶθ' ἑξῆς τούτου μνησθέντος, ἐν νοτίοισι περὶ ἀρκτοῦρον ὕδατα πολλά. φαίνεται μὲν γὰρ ἤδη τῷ πρόσθεν ἐνιαυτῷ, μὴ φυλαχθῆναι τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἀκριβὴς ἡ κατὰ φύσιν κρᾶσις, οὐ μὴν ἐν ἐκείνῳ γε τῷ χρόνῳ γενέσθαι τι νόσημα τῶν ἐπιδημιῶν ὀνομαζομένων. καὶ γὰρ καὶ κατὰ τοὺς ἀφορισμοὺς ἔμαθες αὐτοῦ γράψαντος ὧδε. τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. ἔτι δὲ μᾶλλον οὐδὲν ἐγένετο νόσημα τότε, διότι κατὰ τὸ ξηρὸν μόνον ἐπεκράτησεν ἡ ἐκτροπὴ τῆς κράσεως, οὐδεμίαν τῆς ἑτέρας ἀντιθέσεως μεταβολὴν λαβούσης, ὡς ἤτοι θερμὸν, ἢ ἄγαν ψυχρὸν ἀπεργασθῆναι τὸ περιέχον. ἀλλ' ἥ γ' ἐπὶ τοὐναντίον ἀθρόα μεταβολὴ, περὶ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου φαίνεται γεγονυῖα. προηγεῖται δ' αὕτη βραχὺ τῆς φθινοπωρινῆς ἰσημερίας. ὁποῖον δέ τι μετ' αὐτὴν ἐγένετο τὸ φθινόπωρον, εἶτα ὁ χειμὼν, καὶ μετ' ἐκεῖνον αἱ ἐφεξῆς ὧραι, ταῖς ῥήσεσιν ἀκολουθήσαντες αὐτοῦ μαθησόμεθα.

Φθινόπωρον σκιῶδες, ἐπινέφελον, ὑδάτων πλήθεα, χειμὼν νότιος, ὑγρὸς, μαλακός.

Σκιῶδες εἶπεν ἐν ἴσῳ τὸ ζοφῶδες, ὅπερ σημαίνει τὸ μὴ λαμπρὸν, μηδὲ καθαρὸν, μηδ' ἀκριβῶς αἴθριον. εἰώθασι γὰρ ἔτι καὶ νῦν οἱ κατὰ τὴν Ἀσίαν Ἕλληνες ὀνομάζειν σκιώδη τε καὶ σκιερὰ πάντα τὰ πρὸς τὸ μέλαν ἐκτρεπόμενα. τοῖς τοιούτοις δὲ καὶ τὸ ζοφῶδες ἐπιφέρουσιν ὄνομα, καὶ τὸ φαιὸν ἐγγὺς τοῦ μέλανος ὄν. εὔδηλον δ' ὅτι τοιοῦτος ὁ ἀὴρ οὐκ ἂν γένοιτο χωρὶς τοῦ νέφη πολλὰ, καὶ ταῦτ' ἔχειν μὴ λαμπρά. περιέχετο μὲν οὖν δυνάμει κατὰ τὸ σκιῶδες, καὶ τὸ ἐπινέφελον. ἀλλ' ἔμαθες οὐ μόνον Ἱπποκράτει τῷ τοιούτῳ τρόπῳ τῆς ἑρμηνείας †ἀλλὰ νότιος ὑγρὸς, μαλακός. ἔνιοι τὸν νότον οἴονται διὰ παντὸς ὑγρὸν εἶναι, τὸ δ' οὐχ οὕτως ἔχει. φαίνεται γὰρ ἐνίοτε ξηρὸς γινόμενος, ὃν καὶ προσαγορεύουσιν οἱ ἰδιῶται λευκόνοτον, καὶ ὁ ποιητὴς λέγει, Αὐτὰρ ἐγώ γε ζεφύροιο καὶ ἀργέσταο νότοιο. τὸν γὰρ καθαρὸν νότον ὂν χωρὶς ὄμβρων ἰσμὲν γινόμενον, οὕτως ὠνόμασεν. ἀλλὰ κἂν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὁ Ἱπποκράτης ἐπὶ τῆς πρώτης καταστάσεως ἔφη. γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ' αὐχμῶν. ὁ μὲν οὖν τοιοῦτος νότος, ἐνίοτε μὲν καὶ σφοδρὸς γίνεται, σαφῆ δ' οὖν ἀεὶ τὴν κίνησιν ἔχει. μαλθακὸς δ' ἄλλος ἐστὶ νότος, ὃς ἀναίσθητον ἔχει τὴν κίνησιν ἐν τῷ περιέχοντι, καὶ κατὰ τὰ νέφη. καὶ τοίνυν θερμὸς μὲν οὗτος ἐστὶ διὰ παντὸς, ὁ δὲ λευκόνοτος ἐνίοτε φαίνεται ψυχρός.

†χρῆναι οἰκεῖον εἶναι, ἀλλὰ καὶ πλάσης τῶν ἄλλων. ἐπιφέρει ἢ χειμὼν νότιος ὑγρὸς etc

Μετὰ δὲ ἡλίου τροπὰς ὕστερον πολλῷ πλησίον ἰσημερίης, ὀπισθοχειμῶνες, καὶ ἤδη περὶ ἰσημερίην βόρεια, χιονώδεα χρόνον οὐ πολύν.

Τῆς ἐναντίας καταστάσεως μέρος τι τοῦτο παρενέπεσεν, ὡς αὐτὸς εἶπεν οὐκ ἐπὶ πολὺν χρόνον.

Ἦρ πάλιν νότιον, ἄπνοον, ὕδατα πολλὰ διὰ τέλεος ἄχρι κυνός.

Ἐδήλωσέ σοι χειμῶνα τὸν ἁπλοῦν ἐν τῷ γράψαι νῦν, ἦρ πάλιν νότιον, ἄπνοον. τὸ γὰρ πάλιν, ἔνδειξιν ἔχει τὸ μεταξὺ παρεμπεσούσης ἐναντίας καταστάσεως, αὖθις ἐπὶ τὴν αὐτὴν κρᾶσιν ἐπανελθεῖν τὴν περὶ τὸν ἀέρα κατάστασιν.

Θέρος αἴθριον, θερμὸν, πνίγεα μεγάλα, ἐτησίαι σμικραὶ διεσπασμένως ἔπνευσαν.

Τὸ μαλθακὸν τοῦ χειμῶνος, καὶ τὸ ἄπνοον τοῦ ἦρος, ἐκ ταὐτοῦ γένους ἐστὶ τῷ θέρους πνιγώδει. φύσει γὰρ ὄντος ἀεὶ τῆς θερινῆς ὥρας θερμῆς, ὅταν ἄπνοια προσγένηται, πνιγὸς ἐξ ἀνάγκης ἕπεται. γίνεται δὲ τοῦτο, μήτε τῶν προδρόμων καλουμένων πνευσάντων, μήτε τῶν ἑπομένων αὐτοῖς οὓς καλοῦσιν ἐτησίας. διορίζει δ' αὐτοὺς καὶ ἡ τοῦ κυνὸς ἐπιτολή. καὶ αὐτὸς δ' ὁ Ἱπποκράτης προσέγραψεν, ἐτησίαι σμικραὶ διεσπασμένως ἔπνευσαν.

Πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισιν ὕδατα πολλά.

Τὸ πάλιν, ἐπὶ τὸ πλῆθος τῶν ὑδάτων, οὐκ ἐπὶ τὰ βόρεια τὴν ἀναφορὰν ἔχει. πλῆθος μὲν γὰρ ὑδάτων ἐγένετο κατὰ τὴν ἔμπροσθεν ἐπιτολὴν ἀρκτούρου, καὶ πολλάκις ἐν τῷ μετὰ ταῦτα χρόνῳ, βόρεια δ' ὀλιγάκις.

Γενομένου δὲ τοῦ ἔτεος νοτίου καὶ ὑγροῦ καὶ μαλθακοῦ, κατὰ μὲν τὸν χειμῶνα διῆγον ὑγιεινῶς, πλὴν τῶν φθινωδέων, περὶ ὧν γεγράψεται.

Διὰ δὲ τὸ βραχέα παντελῶς γεγενῆσθαι τοιαῦτα βόρεια, τὴν ὅλην κατάστασιν ἀπὸ τῶν κρατησάντων ἐν αὐτῇ προσηγόρευσεν ὑγρὰν καὶ νότιον. ὅτι δὲ τὴν ἄπνοον καὶ θερμὴν ὀνομάζει μαλθακὴν, ἔμπροσθεν ἔμαθες. ἀλλ' ἥ γε τοιαύτη κατάστασις οὐδὲν οὐδέπω μέγα τοὺς ἀνθρώπους ἔβλαψε, καίτοι γ' ἐξαιφνίδιος γενομένη, διὰ τὴν τοῦ προγεγονότος ἔτους αὐχμηροῦ κρᾶσιν. ἤρξαντο μέντοι τισὶ διαθέσεις φθινώδεις, ὅσοι δηλονότι παθεῖν ἦσαν ἐπιτήδειοι τὸ πάθος τοῦτο, καὶ γράψαι γε αὐτὸς τὰ κατ' αὐτοὺς ἐπαγγέλλεται ἐν τοῖς ἐφεξῆς.

Πρὸ δὲ τοῦ ἦρος ἅμα τοῖσι γενομένοισι ψύχεσιν ἐρυσιπέλατα πολλά, τοῖσι μὲν μετὰ προφάσιος, τοῖσι δ' οὔ. κακοήθεα πολλοὺς ἔκτεινεν.

Ὑπὸ χολώδους ῥεύματος ἔμαθες γίνεσθαι τὸ ἐρυσίπελας, οὐ μὴν ἀεί γε μοχθηροῦ καὶ σηπεδονώδους ὄντος αὐτοῦ. τοὐναντίον γὰρ ἅπαν ὅταν ἐπιεικὲς ἢ τὸ ῥεῦμα, τὴν κατὰ φύσιν ἐν ἡμῖν γενομένην ἔχον ὠχρὰν χολὴν, ἐρυσιπέλατα μὲν εἴωθεν ἐργάζεσθαι, βλάβην δ' οὐδεμίαν ἐπιφέρειν ἐξ αὐτῶν, ὅταν γ' ὀρθῶς τις αὐτὰ μεταχειρίζηται. οὐ μὴν νῦν γε τοιοῦτος ἦν ὁ γεννήσας χυμὸς τὸ ἐρυσίπελας, ἀλλὰ καὶ κακοήθης καὶ διαβρωτικὸς, καὶ σηπτικὸς ἐπὶ τῇ

πλεονεξίᾳ τῆς ὑγρᾶς ἀπνοίας, γεννηθεὶς ἐκείνοις μάλιστα τῶν ἀνθρώπων, ὅσοι φύσει τε χολωδέστεροι τῶν ἄλλων ἦσαν, ἥ τε δίαιτα χολώδης μᾶλλον αὐτοῖς ἤθροιζε χυμόν. αἱ γάρ τοι διαφοραὶ τῶν νοσημάτων ἐνίοτε μὲν τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσει γίνονται, διὰ τὴν ἑκάστου φύσιν τε καὶ δίαιταν, ἣν ὑγιαίνων διαιτᾶται. λέγω δὲ δίαιταν οὐ τὴν ἐν τοῖς ἐσθιομένοις τε καὶ πινομένοις μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ἄλλοις, οἷον ἀργίαις, γυμνασίοις, λουτροῖς, ἀφροδισίοις, ὕπνοις, ἀγρυπνίαις, ἅπασί τε τοῖς ὁπωσοῦν γινομένοις κατὰ τὰ τῶν ἀνθρώπων σώματα.

Πολλοὶ φάρυγγας ἐπόνεσαν, φωναὶ κακούμεναι.

Οἷς εὐπλήρωτος ἦν ἡ κεφαλὴ φύσει, τούτοις νῦν ἐμπλησθεῖσα πλεονασίας χυμῶν, ἤρξατο καταπέμπειν εἰς πνεύμονά τε καὶ γαστέρα ῥεύματα διὰ τῆς φάρυγγος. εἰκότως δὲ καὶ τὰς φωνὰς ἔφη κακοῦσθαι τοῖς τοιούτοις. ὁρᾶται γὰρ καὶ τοῦτο συνεχῶς γινόμενον ἐπὶ καταῤῥόοις, ὅταν ἱκανῶς διαβρέξωσι τὰ περὶ τὴν φάρυγγα, καὶ τὸν λάρυγγα χωρία.

Καῦσοι φρενιτικοί.

Καῦσοι μὲν ἐγένοντο, τῆς χολώδους πλεονασίας κατασκηψάσης εἰς ἧπάρ τε καὶ γαστέρα. φρενιτικοὶ δ' ἐπὶ κεφαλῆς ἀναφερομένης.

Στόματα ἀφθώδεα, αἰδοίοις φύματα, ὀφθαλμίαι, ἄνθρακες.

Τούτων ἕκαστον τῶν παθῶν γίνεται μὲν καὶ συνήθως ἄνευ κακοηθείας, ὡς ἐπὶ τῶν ἐρυσιπελάτων, ὀλίγον ἔμπροσθεν εἴρηται. γίνεται δὲ καὶ κακοήθως ὥσπερ νῦν, ἐπεὶ σηπεδονώδης ἦν ὁ πλεονάζων χυμός. ἐπὶ πάντων οὖν ὧν καταλέγει νοσημάτων, ἀεὶ τοῦτο μοι μέμνησο, καὶ μήτ' ἄφθας ἁπλῶς γεγονέναι τοῖς παίδεσσι, μήτ' ἄλλο τι πάθημα κατὰ τὸν συνήθη τρόπον, ἀλλὰ μετὰ τοῦ σήπεσθαι τὰ μόρια. μέμνησο δὲ καὶ τοῦ κοινοῦ λόγου τοῦδε, τὸν σηπεδονώδη χυμὸν ὑπὸ τῆς αὐτῆς καταστάσεως ἅπασι γεννηθέντα, καταλαμβάνειν οὐ τὰ αὐτὰ μόρια, διὰ τὸ μηδὲ φύσει πᾶσιν ὡσαύτως ἔχειν ἐν τῇ τοιαύτῃ διαθέσει τὸ πᾶν, ἀλλ' ἄλλων ἄλλο ἀσθενέστατον. αἱ μὲν οὖν ἄφθαι κατὰ τὸ στόμα γίνονται συνεχῶς τοῖς παιδίοις, ἑλκώσεις ἐπιπολῆς οὖσαι, διότι τε μαλακώτατα τὰ μόρια πάντ' ἐστὶν αὐτοῦ, καὶ οἷον βρυώδη, καὶ πρὸς τούτοις ἔτι τὸ στόμα παντάπασιν ἀήθες ὁμιλίας ἐδεσμάτων τε καὶ πομάτων. ὅταν οὖν τὸ γάλα τῆς τιτθῆς ἔχῃ τινὰ δριμύτητα, τὰς ἄφθας ἐργάζεται, παυομένας ῥᾳδίως, ἐὰν μετρίως στύφῃ τις τὸ στόμα τοῦ βρέφους. ὅταν δέ τις ἐπιῤῥυῇ μοχθηρὸς χυμὸς, ἀεὶ κακοήθεις ἄφθαι συνίστανται. τὸ δὲ τῶν ἀνθράκων πάθος, ἀεὶ κινδυνῶδές ἐστιν, ὡς ἂν ὑπὸ μοχθηρῶν γινόμενον χυμῶν, ὥστε καὶ νῦν εὔλογον ἦν, ὀλεθριώτατον αὐτὸ γενέσθαι, προσλαβὸν τῇ συμφύτῳ κακοηθείᾳ τὴν ἐκ τῆς καταστάσεως. εἴρηται δ' ἱκανῶς περὶ τῆς τοῦδε τοῦ πάθους γενέσεως, ἡνίκ' ἐξηγούμην τὴν ἀρχὴν τοῦ δευτέρου τῶν ἐπιδημιῶν. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

Κοιλίαι ταραχώδεες, ἀπόσιτοι.

Τοῦ καταῤῥυέντος ἐκ τῆς κεφαλῆς εἰς τὴν φάρυγγα μοχθηροῦ χυμοῦ, τὸ μὲν εἰς τὸν πνεύμονα χωρῆσαν, τὰς φθινώδεις εἰργάσατο διαθέσεις. τὸ δ' ἐς τὴν κοιλίην ἐνεχθὲν, ὑπιὸν κάτω μετὰ δήξεως, † ὅπερ ἐδήλωσεν, κοιλίαι ταραχώδεες. ἐν δὲ τῇ διόδῳ, τὴν ὀρεκτικὴν τῶν σιτίων δίοδον ἐκάκωσε τῆς γαστρὸς, κἀντεῦθεν αἱ ἀποσιτίαι.

† ἐκτάραξιν αὐτῆς ἐποιεῖτο

Διψώδεες οἱ μὲν, οἱ δ' οὔ.

Διὰ πλείους αἰτίας εἰκὸς ἦν οὐκ ἀδίψους ἅπαντας, οὔτε διψώδεις γενέσθαι. φαίνεται μὲν γὰρ ὑγρότης ἠθροισμένη σηπεδονώδης ἅπασι, οὐ μὴν ἴση γε τὸ πλῆθος, ἢ ὁμοίως μοχθηρά. τινὰς μὲν οὖν ἀδίψους εἶναι δυνατὸν, ὥσπερ καὶ τοὺς ἀποσίτους ἐπὶ τῇ βλάβῃ τῆς ὀρεκτικῆς τῶν πομάτων δυνάμεως. εὔδηλον δ' ὅτι κακίστην οὗτοι διάθεσιν ἔχον, μήτε κακοήθη αὐτοῖς συῤῥεῖν ὑγρότητα, ὡς μετρίως διψῆν. ἄλλους δὲ διψώδεις εἶναι, συῤῥεούσης εἰς τὴν γαστέρα τῆς κακοχυμίας, μηδέ πω τὸ στόμα αὐτῆς βεβλαφυίας ἄχρι τοσούτου, ὡς διεφθάρθαι τὴν ὀρεκτικὴν τῶν πομάτων δύναμιν.

Οὖρα ταραχώδεα, πολλὰ, κακά.

Τὰ μὲν οὖρα ταραχώδη γεγονέναι κατὰ τὸν αὐτὸν τρόπον ἄκουε, καθ' ὃν ὀλίγον ἔμπροσθεν ἤκουες αὐτοῦ, κοιλίαι ταραχώδεες εἰπόντος. ὅσοις γὰρ ἔῤῥεψεν ἐπὶ νεφροὺς ἡ κακοχυμία, τούτοις ἀναγκαῖον ἦν οὖρα ταραχώδεα γίνεσθαι, τουτέστι μετὰ δήξεως καὶ πόνων διεξιόντα. τὸ δ' ἐφεξῆς αὐτῷ γεγραμμένον, πολλὰ, κακὰ, δυνατὸν μὲν ἐστὶ καὶ περὶ τῶν οὔρων εἰρῆσθαι. δυνατὸν δὲ καὶ αὐτὸ καθ' ἑαυτὸ δι' ἑνὸς λόγου τοῦδε, πλῆθός τι συμπτωμάτων μοχθηρῶν ἐνδεικνυμένου γενέσθαι τοῖς τότε νοσοῦσι.

Κωματώδεες ἐπὶ πολὺ, καὶ πάλιν ἄγρυπνοι.

Τὸ μὲν ἄμικτον ἀγρυπνίᾳ κῶμα, δι' ὑγρότητα καὶ ψύξιν ἐμάθετε ἐγκεφάλου γίνεσθαι. τὴν δ' ἄμικτον ἀγρυπνίαν κώματι, διὰ ξηρότητα καὶ θερμότητα. νῦν οὖν αὐξηθέντων τῶν χυμῶν, ὑγρότητα μὲν ἐπὶ πολὺ ἐχόντων, οὐ μὴν δή γε δριμεῖαν ἅπασαν. ἡ μὲν ὑγρότης τὴν κωματώδη διάθεσιν, ἡ δ' ἐκ τοῦ σήπεσθαι δριμύτης, τὴν ἀγρυπνίαν εἰργάσατο, τῶν ἐναντίων συμπτωμάτων ἐπ' ἐναντίοις αἰτίοις εὐλόγως γινομένων.

Ἀκρισίαι πολλαί. τὰ δὲ δύσκριτα.

Διὰ τὴν κακοχυμίαν ἔνια μὲν τῶν νοσημάτων οὐδ' ὅλως ἐκρίνετο, τινὰ δὲ μοχθηρῶς.

Ὕδρωπες.

Καὶ τοῦτο τὸ πάθημα γίνεσθαι φασὶν ἐνίοις ἐκ τῆς πλεονασίας τῶν μοχθηρῶν ὑγρῶν. ἅπαν γὰρ αὐτὸ νόσημα δύναται γεννᾶν ἄλλο κατ' ἄλλο σῶμα, παρά τε τὰς φυσικὰς αὐτῶν διαφορὰς, καὶ τὴν τῆς διαίτης ἀνομοιότητα, καθάπερ ὀλίγον ἔμπροσθεν εἴρηται.

Φθινώδεες πολλοί.

Λέλεκ-

Λέλεκταί μοι καὶ πρόσθεν, ὡς τὸ καταῤῥυὲν ἐκ τῆς κεφαλῆς εἰς τὴν φάρυγγα, διὰ τοῦ λάρυγγος εἰς τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν πνεύμονα ἀφικόμενον, τὰς τοιαύτας διαθέσεις ἐργάζεται.

Τὰ μὲν ἐπιδημήσαντα νοσήματα ταῦτα.

Τῶν ἐπιδημιῶν νοσημάτων, ἔντι καὶ τὸ λοιμῶδες ἐστὶν, ὡς κἀν τῷ περὶ διαίτης ὀξέων ἐλέγετο. ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι. οὐ γὰρ δὴ νοσήματός γέ τινος ὄνομά ἐστιν ἐπίδημον, ἢ λοιμῶδες, ἀλλ' ὅτιπερ ἂν πολλοῖς ἐν ἑνὶ γίγνηται χωρίῳ, τοῦτο ἐπίδημον ὀνομάζεται. προσελθόντος δ' αὐτῷ τοῦ πολλοὺς ἀναιρεῖν, λοιμὸς γίνεται.

Ἑκάστου δὲ τῶν ὑπογεγραμμένων ἰδέων ἦσαν οἱ κάμνοντες καὶ θνήσκοντες πολλοί, ξυνέπιπτε δ' ἐφ' ἑκάστοισι τούτων ὧδε.

Ἐκ μὲν τοῦ φάναι καὶ ἔθνησκον πολλοὶ, λοιμώδη τὰ ἐπιδημήσαντα νοσήματα γεγονέναι δηλοῖ, πολυειδῶν δὲ αὐτῶν γενομένων ὑπὲρ ἑκάστου κατὰ μόνας εἰπεῖν ἐπαγγέλλεται διὰ τῶν ἐφεξῆς.

Πολλοῖς μὲν τὸ ἐρυσίπελας μετὰ προφάσιος ἐπὶ τοῖς τυχοῦσι καὶ πάνυ ἐπὶ μικροῖς τρωματίοισιν ἐφ' ὅλῳ τῷ σώματι, μάλιστα δὲ τοῖς περὶ ἑξήκοντα ἔτεα περὶ κεφαλὴν, εἰ καὶ σμικρὸν ἀμεληθείη. πολλοῖσι δὲ καὶ ἐν θεραπείαις ἐοῦσι, μεγάλαι φλεγμοναὶ ἐγίνοντο, καὶ τὸ ἐρυσίπελας πολὺ ταχὺ πάντοθεν ἐπενέμετο.

Οὗ πρώτου πάντως ἐμνημόνευσε πάθους, εἰκότως καὶ νῦν πρώτου γράφει τὰς κατὰ μέρος διαφοράς. ἐνίοις μὲν αὐτὸ γίνεσθαι λέγων ἐπὶ μικραῖς ἀφορμαῖς, ἃς προφάσεις ὠνόμασεν, ἐνίοις δ' ἐν θεραπείαις οὖσι μεγάλας τε φλεγμονὰς ἀκολουθῆσαι, ὡς νεμόμενον ἐπὶ πολὺ τὸ ἐρυσίπελας. τοῖς πλείοσι δὲ περὶ τὴν κεφαλὴν τοῦτο συμβῆναι, διὰ τὸ πληρωθῆναι μάλιστα ταύτην ἐν ταῖς νοτίοις τε καὶ θερμαῖς ἀπνοίαις. τὸ δὲ τοῖς ἑξήκοντα γεγονόσιν αὐτὸ γενέσθαι μᾶλλον, αἰτίαν ἔχει τήνδε. τὸ περιιστάμενον ἔξωθεν παρὰ φύσιν θερμὸν, αἴτιον ἐγένετο τοῦ σαπῆναι τοὺς ἐν τῷ σώματι χυμοὺς, ὡς τό γ' ἐν ἡμῖν θερμὸν, ὅταν ἀκριβῶς φυλάττῃ τὴν κατὰ φύσιν ἑαυτοῦ κρᾶσιν, αἷμα τῶν ἄλλων χυμῶν ἐργάζεται πλέον. ὅταν δ' ἐπὶ τὸ πυρωδέστερον ἐκτραπῇ, τὴν ὠχράν τε καὶ ξανθὴν χολήν. τὸ δ' ἔξωθεν θερμὸν, αἴτιόν ἐστι σηπεδόνος χυμῶν. ὕλη μὲν γάρ ἐστιν ἡ ὑγρότης, αἰτία δὲ δραστικὴ, τὸ παρὰ φύσιν θερμόν. οἱ τοίνυν γέροντες ὑγρότητας μὲν ἀθροίζοντες ἀεὶ περιττὰς, διὰ τὴν ἀσθένειαν τῆς φύσεως, προσλαβόντες δὲ καὶ τὴν ἐκ τοῦ περιέχοντος θερμότητα, διὰ τὴν γενομένην τότε κατάστασιν εὐαλωτότεροι τῶν νέων ἐγένοντο, τῇ σηπεδονώδει φθορᾷ τῶν χυμῶν.

Τοῖσι μὲν οὖν πλείστοισιν αὐτέων ἀποστάσιες ἐς ἐμπυήματα ξυνέπιπτον, σαρκῶν τε καὶ ὀστέων καὶ νεύρων ἐκπτώματα μεγάλα.

Τὴν κακοήθειαν τοῦ πλεονάσαντος χυμοῦ διὰ τοῦ μεγέθους τῆς σήψεως συνέστησε, καὶ τοῖς εἰρημένοις ἐφεξῆς συνάπτων ἐρεῖ.

Ἦν δὲ καὶ τὸ ῥεῦμα ξυνιστάμενον, οὐ πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη, καὶ ῥεῦμα πολὺ καὶ ποικίλον.

Αὐτὸς ἐδήλωσέ σοι σαφῶς, ὅπερ ἤδη πολλάκις ἡμεῖς ἔμπροσθεν εἴπομεν. ὡς οἱ ἐν τῷ σώματι χυμοὶ διὰ τὴν ὑγρότητά τε καὶ ἄπνοιαν τοῦ περιέχοντος ἐσάπησαν, καὶ διὰ τοῦτο πύον μὲν οὐκ ἐγεννᾶτο, διεσήπετο δ' ὑπὸ τῶν μοχθηρῶν χυμῶν ὑγρῶν τὰ στερεά. ποικίλον δ' εἶναι τὸ ῥεῦμα, διὰ τὴν τῶν σηπομένων διαφορὰν, εὔλογον. ὑπὸ γὰρ κοινῆς αἰτίας τῆς σηπεδόνος, ἕκαστον τῶν σηπομένων ἴδιον εἶδος ἴσχει τῆς διαφορᾶς.

Οἷσι μὲν οὖν περὶ τὴν κεφαλὴν τούτων τι ξυμπίπτει γίνεσθαι, μάδησίς τε ὅλης τῆς κεφαλῆς ἐγίνετο, καὶ τοῦ γενείου, καὶ ὀστέων ψιλώματα καὶ κοπώματα, καὶ πολλὰ ῥεύματα. ἐν πυρετοῖσι δὲ ταῦτα, καὶ ἄνευ πυρετῶν. ἦν δὲ ταῦτα φοβερώτερα, καὶ κακίω. οἷσι γὰρ εἰς ἐμπυήματα ὁ τῶν τοιούτων ἀφίκοιτο πλασμὸς, οἱ πλεῖστοι τούτων ἐσώζοντο. οἷσι δ' ἡ μὲν φλεγμονὴ καὶ τὸ ἐρυσίπελας ἀπέλθοι, τοιαύτην δ' ἀπόστασιν μηδεμίαν ποιήσαιτο, τούτων ἀπόλλυνται πολλοί. καὶ εἴπου ἄλλῃ τοῦ σώματος πλανηθῇ, ξυνέπιπτε ταῦτα. πολλοῖσι μὲν γὰρ βραχίων καὶ πῆχυς ὅλος περιεῤῥύη. οἷσι δὲ τὰ πλευρὰ ταῦτ' ἐκακοῦτο, ἢ τῶν ἔμπροσθέν τι, ἢ τῶν ὄπισθεν. οἷσι δ' ὅλος μηρὸς, ἢ τὰ περὶ κνήμην ἀπεψιλοῦτο, καὶ ποὺς ὅλος.

Ἡ σηπεδὼν τῶν ὑγρῶν ἔργον ἔχουσα κοινὸν, ἐκεῖνα τῶν σωμάτων φθείρειν, εἰς ἅπερ ἂν κατασκήψῃ, φοβερωτέραν εἶχε φαντασίαν ἐν τοῖς περὶ κεφαλὴν μορίοις, διὰ τὸ καὶ βραχὺ τοῦ παρὰ φύσιν ἐνταῦθα παραλλαχθὲν, πλέον γίνεσθαι τὸ αἶσχος, ἢ κατὰ τὰ ἄλλα μόρια, μεγάλην ἐκτροπὴν εἰς τὸ παρὰ φύσιν ἔχοντα. μηροῦ μὲν γὰρ ἢ βραχίονος ἢ κνήμης ἢ πήχεως ἀποῤῥυὲν δέρμα, μικροτέραν ἔχει φαντασίαν. εἰ δὲ τῆς κεφαλῆς συναποπέσοιεν αἱ τρίχες τῷ δέρματι, καὶ πολὺ μᾶλλον ἢ τοῦ γενείου σὺν αὐταῖς, ἡ μὲν φαντασία τοῦ πάθους γίνεται μεγάλη, ὁ κίνδυνος δ' ἥττων, ἢ εἰ περὶ αἰδοῖα συμβαίη τὸ τοιοῦτον πάθος, ἢ λάρυγγα καὶ θώρακα, καί τι τῶν κυρίων μορίων.

οὐ μόνον δὲ τὰ περὶ τὴν κεφαλὴν οὕτως γινόμενα, φοβερὰ μᾶλλον ἦν ἢ κακίω, ἀλλὰ καὶ καθ᾽ ὁτιοῦν ἄλλο μέρος οὕτως ἐκπίπτοντα. κακίω γὰρ ἦν, ἐφ᾽ ὧν ἀπέστησε τὸ πάθος ὁ τὸ ἐρυσίπελας ἐργαζόμενος χυμὸς, ἐπειδὴ πρὸς τὰ σπλάγχνα, καὶ ὁ πρὸς τὰ κύρια μέρη χωρῶν, ἅμα τοῖς ἄλλοις συμπτώμασι, καὶ πυρετοὺς ὀξεῖς ἐγγίνα. τινὲς μὲν τοι τῶν πολλῆς ἐχόντων τῆς τοιαύτης σηπεδόνα, καὶ χωρὶς πυρετῶν διεφθάρησαν τὰ μόρια, καί τινες αὐτῶν διὰ τοῦτ᾽ ἐσώθησαν, ἐκκενωθείσης τῆς κακοχυμίας διὰ τῶν μορίων ὧν αὕτη διέσηψεν. ἐπλανᾶτο γὰρ ὡς αὐτὸς ὠνόμασε δι᾽ ὅλου τοῦ σώματος τὸ ῥεῦμα, τουτέστιν ἀλόγως καὶ ἀτάκτως, καὶ ὡς ἔτυχεν ἐφέρετο, μηδὲ προγνῶναι τινὸς ἰατροῦ δυναμένου τεχνικῶς ὅποι κατασκήψειεν.

Ἦν δὲ πάντων χαλεπώτατον τοιοῦτον, ὅτε περὶ ἥβην καὶ αἰδοῖα γένοιτο.

Καὶ χωρὶς λοιμώδους καταστάσεως, ὅταν ἐν τούτοις τοῖς χωρίοις ἤτοι φλεγμονή τις, ἢ ἐρυσίπελας γένηται, ῥᾷστα σήπεται, καὶ συμπαθείας ἐργάζεται τῶν ὑποκειμένων μορίων. διὸ καὶ πολλάκις ἀναγκαζόμεθα μετὰ τὸ περικόψαι τὰ σεσηπότα, τὴν χώραν ἐκκαίειν. ὅθεν οὖν θαυμαστὸν τοιαύτης καταστάσεως γινομένης, ὡς καὶ βραχίονα, καὶ πῆχυν, καὶ μηρὸν, καὶ κνήμην, πλευράν τε καὶ κεφαλὴν διασήπειν, ἤδη πλεῖστον ἥκειν κακώσεως τὰ περὶ αἰδοῖα.

Τὰ μὲν περὶ ἕλκεα καὶ μετὰ προφάσιος τοιαῦτα.

Ἄχρι τοῦ νῦν ὁ λόγος αὐτῷ γέγονε περὶ τῶν ἐρυσιπελάτων, ὅσα δι᾽ ἕλκωσιν, ἤτι μικρὸν οὕτως ἄλλο τῶν ἔξωθεν αἰτίων συνέστη. ἐφεξῆς δὲ περὶ τῶν ἄνευ τοιαύτης αἰτίας γινομένων, ποιήσεται τὸν λόγον.

Πολλοῖσι δ᾽ ἐν πυρετοῖσι καὶ πρὸ πυρετοῦ καὶ ἐπὶ πυρετῷ ξυνέπιπτεν.

Οὐδὲ δι᾽ ἕλκος τούτοις, ἤτοι τῶν ἔξωθεν αἰτίων τῶν προφανῶν, ἀλλ᾽ ὡς εἰώθαμεν λέγειν αὐτόματος ἡ γένεσις ἀπήντησε τῶν ἐρυσιπελάτων, ἐνίοις μὲν ἅμα πυρετοῖς εἰσβάλλων, ἐνίοις δ᾽ ἀκολουθήσαντων πυρετῶν, ἢ προηγουμένων αὐτῶν.

Ἦν δὲ καὶ τούτων ὅσα μὲν ἀπόστασιν ποιήσαιτο διὰ τοῦ ἐμπυήματος, ἢ κατὰ κοιλίην ταραχή τις ἐπίκαιρος, ἢ χρηστῶν οὔρων διάδοσις γένοιτο, διὰ τούτων λελῦσθαι. οἷσι δὲ μηδὲν τούτων συμπίπτει, καὶ ἀσήμως δ᾽ ἀφανιζομένων, θανατώδεα γίνεσθαι.

Ἐρρέθη καὶ μικρὸν ἔμπροσθεν ἡ αἰτία, τοῦ σώζεσθαι μᾶλλον οἷσιν ἡ κακοχυμία διά τινος μορίου σαπέντος, ἅμα ἐκείνῳ συνέπεσε τοῦ σώματος. εὔδηλον δ᾽ ὅτι καὶ διὰ γαστρὸς καὶ οὔρων ἐκκαθαρθεῖσα, δυσχέρειαν μὲν εἰργάζετο κατὰ τὰς ἀποκρίσεις, ὠφέλει δὲ τὸ σύμπαν σῶμα.

Πολὺ μὲν οὖν τοῖσι πλείστοισι ξυνέπιπτε τὰ περὶ τὸ ἐρυσίπελας τοῦ ἦρος, παρείπετο δὲ καὶ διὰ θέρεος καὶ ὑπὸ φθινόπωρον.

Ἐγέννησε μὲν ὡς ἔφην τὴν κακοχυμίαν ἡ δυσδιάπνευστος κατάστασις, ὑγρὰ καὶ θερμὴ καὶ ἄπνους γινομένη. κατέχον δ᾽ αὐτὴν ἐν τῷ σώματι τὰ ψύχη, καθάπερ εἴρηται κἀν τῇ πρώτῃ καταστάσει τοῦ πρώτου τῶν ἐπιδημιῶν. εἰκότως οὖν ἤρξατο ποικίλα νοσήματα, τὰ μικρὸν ἔμπροσθεν εἰρημένα, νυνὶ δ᾽ ὁ λόγος αὐτῷ περὶ τῶν ἐρυσιπελάτων ἐστί. ταῦτα γὰρ πάντων πρῶτα γινόμενα, πρῶτα καὶ κατὰ τὴν διήγησιν ἔγραψε. τούτων οὖν φησὶ τῶν ἐρυσιπελάτων ἐν ἀρχῇ τοῦ ἦρος γινομένων, ἔνια παρέμεινε διὰ θέρους καὶ φθινοπώρου. δυνατὸν δ᾽ ὂν ἀκοῦσαι ἑκατέρως, τὸ παρείπετο δὲ καὶ διὰ θέρεος, καὶ ὑπὸ φθινόπωρον, ἐπὶ τῶν γινομένων ἐρυσιπελάτων, ἐπί τε τῶν αὐτόθεν γινομένων, τὴν ὕπαρξιν παραμεινάσαν ἐνίοις, ἄχρι τοῦ φθινοπώρου νοήσομεν, τῶν τε γινομένων τὴν γένεσιν, ὡς ἄλλων μὲν τινῶν ἐν ἦρι γινομένων καὶ παυσαμένων, ἄλλων δ᾽ ἐν θέρει γινομένων. ὡσαύτως δὲ καὶ κατὰ τὸ φθινόπωρον, ἄμεινον ἀκοῦσαι κατὰ τὸ δεύτερον τῶν σημαινόμενον. οὐ γὰρ εὔλογον ἐν ἀρχῇ τοῦ ἦρος συστὰν ἐρυσίπελας ἄχρι φθινοπώρου παραμεῖναι. πάντως γὰρ ἂν ἀνεῖλεν ἐν τῷ μεταξὺ τὸν ἄνθρωπον, εἰ πάνυ κακόηθες ἦν, ἢ δι᾽ αὐτῶν τῶν σηπομένων μορίων ἐκκαθαρθείσης τῆς σηπεδόνος, ἐπαύσατο.

Πολλὴ ταραχὴ πισὶ, καὶ τὰ περὶ φάρυγγα φύματα, καὶ φλεγμοναὶ γλώσσης, καὶ τὰ παρ᾽ ὀδόντας ἀποστήματα.

Τὰ παθήματα τῶν μορίων διεξέρχεται κατὰ τόνδε τὸν λόγον, ὧν ἔμπροσθεν οὐκ ἐμνημόνευσε.

Φωναί τε πολλοῖς ἐπεσήμαινον κατειλημμέναι καὶ κατιλλῶσαι. πρῶτον μὲν τοῖσι φθινώδεσιν ἀρχομένοισιν, ἀτὰρ καὶ τοῖσι καυσώδεσιν, καὶ τοῖσι φρενιτικοῖσιν.

Ἐγὼ μὲν καὶ τὸ γεγραμμένον ἔμπροσθεν ἐπὶ τοῦ δωδεκάτου κατὰ τὴν τάξιν ἀρρώστου καθ᾽ ὃν οὕτως ἔφη, δεξιῷ ἴλλαινεν, ὑπώπτευον ὡς παρεγγεγραμμένον. ὁ γάρ τοι τοῦ Ἡρακλείδου υἱὸς Ἱπποκράτης, οὗ καὶ τοὺς ἀφορισμοὺς καὶ τὸ προγνωστικὸν εἶναι φασὶ, φαίνεται συνηθεστάτοις τε καὶ διὰ τοῦτο σαφέσι τοῖς ὀνόμασιν κεχρημένος, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ῥητορικοῖς πολιτικά. τὸ δ᾽ ἰλλαίνειν, οὐ τοιοῦτον, καὶ πολύ γε μᾶλλον αὐτοῦ τὸ κατιλλαίνειν, ἢ κατιλλαίνουσαι, καὶ μάλιστά γε ἐπὶ τῶν φωνῶν οὐκ ἤδη τῶν βλεφάρων λεγόμενον. καὶ πρὸς τούτοις ἔτι διὰ τὸν χαρακτῆρα τῆς λέξεως ἐνεργητικὸν οὐ παθητικὸν ὄντα. βέλτιον γὰρ ἦν εἴπερ ὅλως ἤδη τῆς φωνῆς ἐβούλετο χρήσασθαι τοιαύτῃ προσηγορίᾳ, κατειλούμεναι γράφειν, οὐ κατειλοῦσαι, καὶ πολύ γε βέλτιον, τούτου δὲ τὸ κατιλλαινόμεναι. περὶ γὰρ τὸ ἰλλαίνειν ἡ μετοχὴ κατὰ τοῦτον εὑρήσεται τύπον. ὀνομάζω δὲ νῦν δηλονότι μετοχὴν, κατὰ τὸ τῶν γραμματικῶν ἔθος. ἀδιανόητον δέ ἐστιν ἐπὶ τῶν φωνῶν λεγόμενον τὸ κατειλοῦσαι, καθάπερ ἔνιοι τῶν ἐξηγητῶν †ἡμᾶς ἐθέλουσι†

ἐθέλω-

ἐθέλησαν, ὡς ἐγκειμένου τοῦ ἰλλαίνειν ὀνόματος εἰς τὸ διαστρέφειν. τὸ γὰρ κατείλωσαι, τὸ διαστρέψασαι. τὸ δὲ κατειλόμεναι, τὸ καταδιαστρεφόμεναι. πολλὰ τοίνυν ἁμαρτήματα φαίνεται κατὰ μίαν λέξιν γεγονότα βουλομένων ἡμῶν ἀκούειν τοῦ κατειλῶσαι, καθότι πολλοὺς τῶν ἐξηγητῶν ἔδοξεν ὡς ἀπὸ τοῦ ἰλλαίνειν γεγονότος τοῦ ὀνόματος. τὸ μὲν γὰρ ἐνεργητικὸν, ἰλλαίνουσαι, τὸ δὲ παθητικὸν, ἰλλαινόμεναι. καὶ μετὰ τῆς προθέσεως κατιλλαίνουσαι. τὸ δ᾽ εἰλῶσαι καὶ κατειλῶσαι, παρὰ τὸ ἰλλαίνειν οὐ φαίνεται γεγονὸς, ὥσπερ γε οὐδὲ τὸ εἰλόμεναι καὶ κατειλόμεναι. σπανίως δὲ πάνυ παρὰ τοῖς παλαιοῖς εὑρίσκεται τὰ τοιαῦτα ῥήματά τε καὶ ὀνόματα. λέγω δὲ τὸ ἰλλαίνειν, καὶ τὸ ἶλος, ἀφ᾽ οὗ καὶ ὁ Σώφρων δοκεῖ πεποιηκέναι τὸ συγκριτικὸν ὀνομαζόμενον παρὰ τῶν γραμματικῶν, ἰλλότερον τὰν κύονα. ἄμεινον δ᾽ οὖν ἐστιν εἰπεῖν, εἴπερ τις ἐθέλοι καὶ περὶ τῶν τοιούτων ἀδολεσχεῖν, οὐκ ἀπὸ τῆς ἰλλώσεως γεγονέναι τὸ κατείλωσαι νομίζειν, ἀλλ᾽ ἀφ᾽ ἑτέρου τινὸς, ᾧ καὶ Πλάτων φαίνεται καὶ Ἀντιφῶν κεχρημένος. ὁ μὲν Πλάτων ὧδέ πως εἰπὼν ἐν Τιμαίῳ. τοῦτο δὴ πᾶν τὸ δέρμα κύκλῳ κατέκαιε πυρὶ τὸ θεῖον, τρωθέντος δὲ καὶ τῆς ἰκμάδος ἔξω δι᾽ αὐτοῦ φερομένης, τὸ μὲν ὑγρὸν καὶ θερμὸν ὅσον εἰλικρινὲς, ἀπῄει. τὸ δὲ μικτὸν, ἐξ ὧν καὶ τὸ δέρμα ἦν, αἰρόμενον μὲν ὑπὸ τῆς φορᾶς ἔξω μακρὸν ἐγίνετο, λεπτὴν τάσιν ἔχον τῷ κατακεντήματι. διὰ δὲ βραδυτῆτα ἀπωθούμενον ὑπὸ τοῦ περιεστῶτος κρύους, πάλιν ἐντὸς ὑπὸ τὸ δέρμα εἰλόμενον, κατερριζοῦτο. φαίνεται γὰρ ἀντὶ τοῦ κατακλειόμενον ἢ ἀπωθούμενον εἰς τὸ βάθος ἐνειλούμενον ἐνταῦθα κεχρῆσθαι, τῷ εἰλόμενον ὀνόματι, καθ᾽ ὃ σημαινόμενον δοκεῖ καὶ ἡ λέξις ὑπ᾽ αὐτοῦ γεγράφθαι. γῆν δὲ τροφὸν μὲν ἡμετέραν εἰλομένην τε, περὶ τὸν διὰ παντὸς λόγον τεταγμένον. οὕτω δὲ καὶ παρ᾽ Ἀντιφῶντι κατὰ τὸ δεύτερον τῆς ἀληθείας ἔστιν εὑρεῖν γεγραμμένην τὴν προσηγορίαν ἐν τῇδε τῇ ῥήσει. ὅταν οὖν γένωνται ἐν τῷ ἀέρι ὄμβροι τε καὶ πνεύματα ὑπεναντία ἀλλήλοις, τότε συστρέφεται τὸ ὕδωρ καὶ πυκνοῦται κατὰ πολλά. ὅτι δ᾽ ἂν τῶν ξυμπιπτόντων κρατήσῃ, τοῦτ᾽ ἐπυκνώθη καὶ συνεστράφη ὑπό τε τοῦ πνεύματος εἰλόμενον καὶ ὑπὸ τῆς βίας. καὶ γὰρ καὶ οὗτος, τὸ κατακλειόμενον ἢ συνειλούμενον εἰς ἑαυτὸ, φαίνεται δηλῶν διὰ τῆς εἰλόμενον φωνῆς. ἆρ᾽ οὖν καὶ κατὰ τὸ προκείμενον ἡμῖν εἰς τὴν ἐξήγησιν βιβλίον ὁ περὶ τῶν φωνῶν γράψας κατειλῶσαι, τοιοῦτόν τι σημαινόμενον ἐνδείκνυται τὰς οἷον κατακλειομένας, ἢ ἐνειλουμένας ἐμφαίνων, ὡς νοεῖν ἡμᾶς, ἐπὶ τῶν ἐξιέναι μὴ δυναμένων φωνῶν λελέχθαι τὴν λέξιν, ὡς ἐπὶ τῶν ἰσχνοφώνων φαίνεται γινόμενον, ἢ καὶ τοῦτο πάνυ μοχθηρόν. ἐνίας γὰρ ἰσχομένας ἢ ἐπεχομένας ἢ βραδυνούσας, ἤτοι τοιοῦτον γεγραφέναι, δηλῶσαί γε βουλόμενον, οὕτως ἐμποδίζεσθαι τὴν φωνὴν τὸν ἄνθρωπον, ὡς μόλις φθέγγεσθαι. καὶ μὴν καὶ παρὰ τὸν δεσμὸν, τὴν οἷον δεδεμένην ἐστὶ νοεῖν εἰρῆσθαι φωνὴν ἐν τῇ προκειμένῃ ῥήσει, τοῦ ποιητοῦ γε δηλοῦντος εἰρηκέναι σαφῶς ἐπὶ τῶν δεσμῶν, ἴλασιν οὐκ ἐθέλοντα, βίῃ δήσαντες ἄγουσιν. δῆλον δ᾽ ὅτι κἀνταῦθα κατειλόμεναι, βέλτιον ἦν, οὐ κατειλῶσαι γεγράφθαι. τοῦτο μὲν δὴ κοινὸν ἁπάσης ἐξηγήσεως ἁμάρτημα. πᾶν γὰρ ὃ ἂν ὑπόθηταί τις ἐκ τῆς κατειλῶσθαι λέξεως δηλοῦσθαι, τὴν ἐνεργητικὴν διάθεσιν, οὐ παθητικὴν ἐνδείκνυται, καὶ περὶ τοῦτο μάλιστ᾽ ἂν τις ὑποπτεύσειε τὴν φωνὴν ὡς οὐκ οὖσαν Ἱπποκράτους. οὐ γὰρ οὕτως ἦν ἀμαθὴς ἑρμηνείας ἑλληνικῆς, ὡς ἁμαρτάνειν ἐν αὐτῇ, παισὶν ἄρτι μανθάνειν ἀρχομένοις ἁμαρτήματα παραπλήσια. φαίνεται μὲν γὰρ πάθος τι φωνῆς δηλοῦσθαι [σημαίνεται] τοῦ κατειλόμεναι γεγραμμένου. πρὸς τῷ καὶ εἰ κατειλόμεναι γράψαιμεν, οὐ κατὰ τὴν Ἱπποκράτους ἐστὶ συνήθειαν, ἀήθεσι καὶ σπανίοις ὀνόμασι χρῆσθαι. τοῖς δὲ τὸ διεστραμμένον δηλοῦσθαι νομίζουσιν, ὅτι καὶ τοῦτο μάχεται πρὸς τὸ προγνωστικὸν, αὐτοὺς ἑρμηνεῦσαι τὸ διάστροφον βουληθείς, οὕτως ἔγραψεν. ἦν δὲ καὶ καμπύλον γένοιτο βλέφαρον ἢ χεῖλος ἢ ῥίς. ἀλλ᾽ ἐπί γε τῶν φωνῶν, οὔτε τὸ καμπύλον, οὔτ᾽ ἄλλο τι τῶν εἰρημένων οἰκείως ἂν λέγοιτο. διὸ καί τινες τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἁπάντων τῶν εἰρημένων καταγνόντες ἀντὶ τοῦ φωναὶ, γλῶσσαι γράφουσιν, ἀξιοῦντες ἀκούειν κατειλώσας γλώσσας, τὰς οἷον καταδεδεμένας καὶ δυσκινήτους. ἐχρῆν δ᾽ αὐτοὺς ὥσπερ τὸ φωναὶ μετέγραψαν εἰς τὸ γλῶσσαι, οὕτως καὶ τὸ κατειλῶσαι μᾶλλον τοῦ φωναὶ μεταγράψαι, εἰς τὸ κατειλόμεναι. ἀλλὰ γὰρ ἅλις ἤδη μοι, καὶ τοῦ κατειλῶσαι μηδὲν ἡμᾶς μέγα, μηδ᾽ ἂν εὑρεθείη μέλλοντος ὠφελεῖν. ἀρκεῖ γὰρ εἰδέναι μόνον ἐν τούτῳ γενικῶς λεγόμενόν τε καὶ νοούμενον. ὡς γὰρ διὰ τὸ γενόμενον αὐτοῖς ἐκ τῆς κεφαλῆς ῥεῦμα, βλαβέντες τὰ φωνητικὰ μόρια, καὶ τὰς φωνὰς ἐκακώθησαν, ὅτι γοῦν ἐπὶ ταῖς ὑγραῖς καταστάσεσι καὶ θερμαῖς ἡ κεφαλὴ πληρωθεῖσα ῥεύματος, τοῖς κατὰ γαστέρα καὶ θώρακα μέρεσιν ἐπιπέμπει, χρήσιμον ἐπίστασθαι. πρῶτον μὲν αὐτοῦ τοῦ διακρίνειν ἕνεκα, πότερον ἄλλη τις αἰτία τὸ τοιοῦτον πάθος εἰργάσατο τοῖς κάμνουσιν, ἢ τῶν ἐπιδημίων ἐστὶ νοσημάτων, ἔπειτα δὲ καὶ τοῦτο φυλάττεσθαι, μηδὲν παθεῖν τοιοῦτον. τὰς γὰρ ἐκ τοῦ περιέχοντος βλάβας ὁ προειδὼς ὅπῃ τε καὶ ὅπως γίνονται, φυλάττεσθαι δυνήσεται τὴν ὅλην δίαιταν ἐξ ὑπεναντίου τῇ κρατούσῃ καταστάσει ποιούμενος, ἀλλ᾽ εἰ καὶ προλέγειν ἐθέλω τὰ γενησόμενα. καὶ γοῦν καὶ τοῦτο χρήσιμον ἡμῖν ἐστιν, ὡς ἐν τῷ προοιμίῳ τοῦ προγνωστικοῦ δέδεικται, καὶ κατὰ τοῦτ᾽ ἀσκητέον σοι τὰς γινομένας ἐν τῷ σώματι διαθέσεις, ἐπὶ ταῖς τοῦ περιέχοντος καταστάσεσιν ἁπάσαις ἐπίστασθαι. ἀρκεσθέντες οὖν ὡς ἔφην τῷ βεβλάφθαι τὰς φωνὰς, ὑπερβάντες δὲ τὸ κατειλῶσαι, τὸ συνεχὲς αὐτῷ θεασώμεθα. πρῶτον μὲν γάρ φησι τοῖς φθινώδεσιν ἀρχομένοισι, γενέσθαι τοιοῦτον σύμπτωμα, μετ᾽ αὐτοὺς δὲ καὶ τοῖς καυσώδεσι καὶ τοῖς φρενιτικοῖς. ἡγητέον οὖν τοῖς μὲν φθινώδεσι κατὰ τὸν τοῦ πάθους λόγον αὐτὸ γεγονέναι. πολλαῖς μὲν καὶ ἄλλαις αἰτίαις τε καὶ διαθέσεσιν ἐσομένης τῆς φθίσεως, οὐχ ἥττον δ᾽ ἐκείνων, καὶ διὰ τὸν ἐκ τῆς κεφαλῆς κατάρρουν, ᾧ μάλιστα ἡ κάκωσις ἕπεται τῆς φωνῆς. καύσοις δὲ καὶ φρενίτισι κατὰ μὲν τὸν ἴδιον λόγον, οὐχ ἕπεται τοιαύτη κάκωσις φωνῆς, οἵα τοῖς φθινώδεσιν ἀρχομένοις. ἐπεὶ δ᾽ ἐν τῇ καταστάσει ταύτῃ θερμῇ καὶ ὑγρᾷ καὶ ἄπνῳ δηνεκῶς γενομένῃ, συνέβη παθεῖν τὴν κεφαλὴν, ἠκολούθησε καὶ τοῖς φρενιτικοῖς καὶ τοῖς καυσώδεσι τοιοῦτον σύμπτωμα διὰ τὴν κοινὴν αἰτίαν, οὐ διὰ τὴν αὐτοῦ τοῦ πάθους ἰδίαν κατασκευήν. ξηραίνεται γοῦν μᾶλλον ἐν αὐτοῖς ἢ διαβρέχεται τὰ φωνητικὰ μόρια, καθάπερ ἐν τῇ νῦν καταστάσει. καὶ τοίνυν καὶ ἡ φωνὴ, κλαγγώδης μὲν καὶ ὀξεῖα διὰ τὴν ξηρότητα τῶν φωνητικῶν ὀργάνων γίνεται, βραγχώδης δὲ διὰ τὴν ὑγρότητα.

Ἤρξαντο μὲν οὖν καὶ οἱ καῦσοι καὶ τὰ φρενιτικὰ πρὸ τοῦ ἦρος, μετὰ τὰ γενόμενα ψύχεα, καὶ πλεῖστοι τηνικαῦτα ἐνενόσησαν. ὀξέα δὲ τούτοις καὶ θανατώδεα ξυνέπιπτε.

τὴν γεγενημένην ἔμπροσθεν ἐκ τῆς τοῦ περιέχοντος κράσεως σηπεδόνα τῶν χυμῶν, εὔλογον ἦν ὑπὸ τοῦ γενομένου κρύους περὶ τῇ τελευτῇ τοῦ χειμῶνος εἰς τὸ βάθος ὠθεῖσαν, ἐργάσασθαι νοσήματα παραπλήσια τοῖς ἐρυσιπέλασιν. ἀλλά τε οὖν τινὰ τούτου γενόμενα τοῦ κρύους διηγήσεται, καὶ ταῦτα τῇ τάξει πρῶτα μετὰ τὸ ἐρυσίπελας ἤδη γράφει. ταῦτα δ' ἦν καυσώδη τε καὶ φρενιτικά, κοινὴν μὲν ἔχοντα τὴν αἰτίαν, διαφέροντα δὲ τοῖς πάσχουσι τόποις. οἷς μὲν γὰρ εἰς τὰ περὶ τὸ ἧπαρ τε καὶ τὴν γαστέρα χωρία, καὶ μάλιστα αὐτῆς τὸ στόμα, κατέσκηψεν ἡ κακοχυμία, τούτοις τὰ καυσώδη νοσήματα συνέπεσεν, οἷς δ' ἐπὶ τὸν ἐγκέφαλον ἠνέχθη τὰ φρενιτικά.

Ἦν δ' ἡ κατάστασις τῶν γενομένων καύσων ἥδε. ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες, πυρετὸς ὀξύς, οὐδὲ διψώδεες λίην, οὐδὲ παράληροι.

Ὅσα τοῖς καύσοις ἐγένετο συμπτώματα διὰ τὴν κατάστασιν, οὐ κατὰ τὸν ἴδιον τοῦ πάθους λόγον ταῦτ' ἐπισημαίνεται, διὸ κακῶς ἀντὶ τοῦ κωματώδεις ἔγραψαν ἔνιοι καυματώδεις. ἴδιον γὰρ ἐστὶ τῶν καύσων, οἷς καὶ τὸ διψῆν ἀπαύστως, καὶ σχεδὸν οὐδ' ἂν ἄλλο τις ἐξαίρετον εἴποι γνώρισμα καύσων πυρετῶν, ἀλλ' ἐκ δυοῖν τούτων αὐτάρκως συμπληροῦσθαι φαίη δίψους ἀπαύστου, καὶ θερμασίας διακαούσης αἰσθανομένων τῶν καμνόντων. ἀλλ' ἡ τότε κατάστασις ὑγρότητος πολλοῖς πληρώσασα τὴν κεφαλήν, τὸ κωματῶδες ἢ πᾶσιν ἢ τοῖς πλείστοις τῶν ὁπωσοῦν νοσησάντων, ἤνεγκε σύμπτωμα κατὰ τὴν εἰσβολὴν τοῦ νοσήματος, ὕστερον δὲ τῆς κακοχυμίας εἰς τοσοῦτον δριμύτητος ἡκούσης, ὡς ἀγρυπνίας τε σφοδρὰς καὶ παραφροσύνας καὶ φρενίτιδας ἐργάζεσθαι. τὸ μὲν οὖν καῦμα σπανίως πάνυ γίνεται τοῖς καύσοις πυρετοῖς, τὸ δ' ἀσᾶσθαι πάνυ πολλάκις. ὃ μὴν ἀχώριστόν γ' ἐστὶν, ὡς τὰ προειρημένα δύο, τό τε ἄπαυστον τοῦ δίψους, καὶ τὸ τῆς θερμασίας διακαές. φρικώδεις γε μὴν πολλάκις οἱ καυσούμενοι γίνονται, διὸ καὶ τοῦτ' ἐπεσημήνατο. τὸ δ' ἐφεξῆς γεγραμμένον, πυρετὸς οὐκ ὀξύς. ἔνιοι μὲν ἁπλῶς γράφουσι χωρὶς τῆς ἀποφάσεως πυρετὸς ὀξύς, τινὲς δὲ μετὰ τῆς ἀποφάσεως οὑτωσὶ, πυρετὸς οὐκ ὀξύς, ἀπό τινος ἑκάτεροι λόγου πιθανοῦ τὴν διαφέρουσαν ἔχοντες γραφήν, οἱ μὲν χωρὶς τῆς ἀποφάσεως, ὅτι τῶν ἀχωρίστων ἐστὶ καυσώδους νοσήματος ὀξὺς πυρετὸς, ὥσπερ καὶ δίψος. οἱ δὲ καὶ δι' αὐτὸ τοῦτο γεγράφθαι λέγοντες ἅμα τῇ ἀποφάσει, διότι σπάνιόν τι καὶ παράδοξον αὐτοῖς συνέβη καθάπερ τὸ τοῦ κώματος, οὕτως καὶ τὸ τοῦ πυρετοῦ. καὶ γὰρ οὖν καὶ τούτοις ἐφεξῆς αὐτὸν γράψαι φασὶν, οὐδὲ διψώδεις λίην, καίτοι καὶ τοῦτο τὸ σύμπτωμα καύσων πυρετῶν ἐστὶν ἰδιαίτατον. εἰκὸς οὖν ὥσπερ οὐ λίην διψώδεις ἦσαν, οὕτως αὐτοὺς οὐ λίην ὀξὺ πυρέξαι. τάχα δὲ καὶ γεγραμμένον ὑφ' Ἱπποκράτους, τὸ πυρετὸς οὐ λίην ὀξὺς, ὑπὸ τοῦ πρώτου ἐκγραψαμένου σφαλέντος, ἔμεινεν ἡμαρτημένον. ἀναφύεται δ' οὐ μικρὸν ζήτημα περὶ πάντων τῶν παθογνωμονικῶν σημείων. εἰ γὰρ ἐγχωρεῖ ποτε μὴ παρόντων αὐτῶν, ὅμως φυλάττεσθαι τὸ τοῦ πάθους εἶδος, ἕτερα τῶν παθογνωμονικῶν ἡμῖν ἔσται πιστότερα πρὸς τὴν τῶν παθῶν διάγνωσιν, ἀλλ' εἴπερ τοῦθ' ὑποθοίμεθα, προσηκόντως τις ἀξιώσει μὲν ἐκεῖνα παθογνωμονικὰ καλεῖν. ἃ δ' ἔμπροσθεν ἐκαλεῖτο παθογνωμονικὰ, συνεδρεύοντα, ὧν τὰ μὲν ἀχώριστά ἐστι, καὶ ὡς ἄν τις φαίη τῆς τοῦ πάθους οὐσίας αὐτῆς συνθετικά. τὰ δὲ συνεδρεύοντα, τῶν ὡς τὸ πολὺ γινομένων αὐτοῖς ἐστιν. εἰ οὖν ὁ κάμνων μὴ διψώδης, μήτε λίαν ὀξέως πυρέττων εἴη, ἐκ τίνος ἔτι γνωρίσματος ἐροῦμεν εἶναι τὸ νόσημα καῦσον. εἰ γὰρ καὶ πάνυ πολλοῖς τῶν καυσουμένων ἀσώδεσιν εἶναι συμβέβηκεν, ἀλλ' οὐκ ἴδιόν γε τοῦ πάθους τοῦτο. πολλοὶ γὰρ καὶ ἄλλοι τῶν ὁπωσοῦν νοσησάντων, ἀσώδεις γίνονται. οὐδὲν γοῦν ὅπερ ἐνίοις ἔδοξε τὰς διαιτὰς ἀπορίας οἰηθεῖσιν ἀποδράσασθαι, καὶ ἡμῖν ἔσται ῥητέον, ἐκ τῶν διαχωρουμένων μάλιστα γνωρίζεσθαι τὸν καῦσον εἰπεῖν. οὔτε γὰρ ἄκρατα χολώδη μόνοις καύσοις ἐκκρίνουσιν αἱ γαστέρες, οὔτε σύντηξις μόνοις τούτοις, ἀλλ' ἔστι μὲν καὶ ταῦτα συμπτώματα κακοήθη τε καὶ διακαῶν πυρετῶν, ἐκκρίναντες δ' ὅμως αὐτὰ, πολλοὶ καὶ διψῶσι μετρίως, καὶ τὰς τοῦ πυρετοῦ θερμασίας ἀνέχονται. κατὰ δὲ τὴν προκειμένην κατάστασιν, οὐδὲ τοιαῦτ' ἐγένετο διαχωρήματα. κοιλίαι γάρ φησι ταραχώδεες τοῖσι πλείστοισι τούτων, διαχωρήμασιν ὠμοῖσι, λεπτοῖσιν. ἔοικεν οὖν Ἱπποκράτης τὸν καῦσον γνωρίζειν, τῷ διηνεκεῖ τοῦ δίψους τε καὶ τῆς διακαοῦς θερμασίας, ὥσπερ τὴν φρενῖτιν τῷ διηνεκεῖ τῆς παραφροσύνης. οὕτω γὰρ εἰ καὶ μὴ πάνυ διψώδεις εἶεν οἱ κάμνοντες, ἢ μὴ πάνυ σφόδρα διακαιόμενοι, δι' ὅλης δὲ τῆς νόσου τὰ λελεγμένα ἔχοιεν δύο συμπτώματα, καῦσος εἶναι τὸ νόσημα λεχθήσεται. καὶ γενήσεται μέν τις αὐτοῦ θερμότερος πυρετὸς, ὡς καὶ συντήκειν τὸ σῶμα, καὶ διαχωρήσεις ἐργάζεσθαι χολώδεις, καὶ συντηκτικάς. οὐ λεχθήσεται δὲ καῦσος, ἂν μὴ διαμένοντα δι' ὅλης ἔχῃ τῆς νόσου τὰ εἰρημένα δύο μικρὸν ἔμπροσθεν, ἄπαυστόν τε τὸ δίψος, ὁπόσον ἂν τύχωσι πίνοντες, ἀνιαρὰν τε καὶ καυσώδη καὶ ἀσώδη τὴν θερμασίαν. ὡς τὸ πολὺ μὲν οὖν καὶ δίψος σφοδρότατον αὐτοῖς ὑπάρχει, καὶ πυρετὸς διακαέστατος. ἐν δὲ τοῖς σπανίοις καθάπερ νῦν ὅ, τε πυρετὸς οὐκ ἀκριβῶς ὀξὺς ἐγένετο, καὶ διψώδεις οὐ λίαν οἱ κάμνοντες ἦσαν, ἅπερ ἐπεσημήνατο δι' αὐτὸ τοῦτο. καθάπερ καὶ τὸ μηδ' ὅλως αὐτοὺς γενέσθαι παραλήρους, ἐπειδὴ καὶ τοῦτο συμπίπτει τοῖς καύσοις. ὅτι δὲ μικρᾶς παραφροσύνης ἐστὶν ὄνομα τὸ παράληροι, πρόσθεν εἴρηται.

Ἀπὸ ῥινῶν μικρὰ ἔσταξε.

Τῶν ἐπιγινομένων τοῦτο τοῖς κακοήθεσι καύσοις, ὥσπερ αἱμορραγίαι τοῖς ἐπιεικέσιν. ἀλλὰ καὶ συλλήβδην εἰπεῖν, ἅπασα στάξις ἀπὸ ῥινῶν, μοχθηρόν ἐστι σημεῖον, ὡς ἐμάθομεν.

Οἱ παροξυσμοὶ τοῖσι πλείστοισιν ἐν ἀρτίῃσι.

Τῶν σπανίων καὶ τοῦτ' ἐστί. φαίνονται γὰρ οἵ τε καῦσοι καὶ πάνθ' ὁμοίως αὐτοῖς τὰ λίαν ὀξέα νοσήματα, τοὺς παροξυσμοὺς ἐν περιτταῖς ἔχοντα.

Περὶ δὲ τοὺς παροξυσμοὺς, λήθη καὶ ἄφεσις, καὶ ἀφωνίη.

Καὶ ἡ λήθη σαφής ἐστι, καὶ δέδεικται πολλάκις ἐκ τῶν ὀλεθρίων οὖσα. τὴν ἄφεσιν δὲ τὴν οἷον ἔκλυσίν τε καὶ πάρεσιν ἁπάντων τῶν μορίων τοῦ σώματος εἰκός ἐστι λέγειν αὐτὸν, ὅταν ὁμοίως τοῖς παραλελυμένοις ἐῤῥιμμένα φαίνηται. ὅτι δ' ὀλέθριον καὶ τοῦτ' ἐστὶ, μεμάθηκας. ὥσπερ καὶ περὶ τῶν ἄλλων ἁπάντων συμπτωμάτων ὅσα γέγραπται κατὰ τὸ βιβλίον, ὡς ἐξηγεῖσθαι μόνον ἐν αὐτῷ χρὴ τὰ δοκοῦντα μὴ σαφῶς εἰρῆσθαι, τῶν ἀποδεδειγμένων ἐν ἑτέροις, ἀναμιμνήσκοντα μόνον, οὐ τὴν διέξοδον διδασκαλίας αὐτῶν ποιούμενον.

Ακρεα τούτοισι μὲν ψυχρότερα ποδῶν καὶ χειρῶν. πολὺ δὲ περὶ τοὺς παροξυσμοὺς μάλιστα, πάλιν τε βραδέως καὶ οὐ καλῶς ἀνεθερμαίνοντο, καὶ πάλιν κατενόουν καὶ διελέγοντο.

Τὴν ποικιλίαν τῶν γινομένων συμπτωμάτων τοῖς τότε νοσήμασι διηγεῖται, μοχθηρῶν ἁπάντων ὄντων.

Κατεῖχε δὲ ἢ τὸ κῶμα συνεχῶς οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι.

Σαφὲς καὶ τοῦτ' ἐστὶ τῷ μεμνημένῳ τῶν γεγραμμένων, ἔν τε τῷ περὶ τοῦ κώματος γράμματι, καὶ τοῖς ἔμπροσθεν ὑπομνήμασι. ὅταν γὰρ ἐγρηγορέναι μὲν ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς οἱ κάμνοντες μὴ δύνωνται, μύσαντες δ' αὐτοὺς ἐλπίδι τοῦ κοιμηθῆναι διαμένωσιν ἐγρηγορότες, τὸ τοιοῦτον καλοῦμεν οὐχ ὑπνῶδες κῶμα. εἰ δὲ καὶ πόνος τις αὐτοῖς παρείη, προδήλως ἀγρυπνήσουσι μᾶλλον οἱ οὕτως ἔχοντες, ὡς μηδ' εἰς φαντασίαν ὕπνου τε ἀφικέσθαι λεπτοῦ. γίνεται γάρ τι καὶ τοιοῦτον τοῖς οὕτω κωματώδεσιν, ὡς ἐν μεθορίῳ καθίστασθαι, τῶν τ' ἀκριβῶς ἐγρηγορότων καὶ τῶν κοιμωμένων.

Κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι τούτων, διαχωρήμασιν ὠμοῖσι, πολλοῖσι λεπτοῖσι.

Εὔδηλον μὲν κἀκ τούτων ἐστὶν ὡς οὐ προσέχει τῇ τῶν διαχωρημάτων ἰδέᾳ κατὰ τὴν τῶν καυσωδῶν νοσημάτων διάγνωσιν. ὠμὰ γοῦν ἔφη καὶ λεπτὰ καὶ διαχωρούμενα τοῖς τότε καυσουμένοις γίνεσθαι, μήτε χολωδῶν ἀκράτων, μήτε συντήξεων μνημονεύσας, ἅ τινες οἴονται μέγιστα γνωρίσματα καύσων εἶναι πυρετῶν.

Οὖρα τὰ λεπτὰ, κρίσιμον οὐδὲ χρηστὸν οὐδέν.

Ἐν ταῖς περὶ τῶν οὔρων διηγήσεσιν, εἴωθε τὰ συμβεβηκότα γράψας, αὐτοῖς μηκέτι προστιθέναι, πότερον ἀγαθοῦ τινός ἐστιν ἢ κακοῦ σημεῖα, μεμνῆσθαι νομίζων ἡμᾶς ὧν ἐμάθομεν ἐν προγνωστικῷ καθόλου περὶ κακίας τε καὶ ἀρετῆς οὔρων. ἐνταῦθα οὖν μοι δοκεῖ προστεθεικέναι, καίτοι προειρηκὼς αὐτὰ λεπτὰ, διότι προσέγραψεν αὐτοῖς τὰ πολλά. μεμνημένος γὰρ ὅτι καὶ διὰ οὔρων πλῆθος αὐτὸς ἡμᾶς ἐδίδαξε γίνεσθαί ποτε κρίσιν, ἐπεσημήνατο νῦν ὅτι καὶ πολλῶν ὄντων αὐτῶν, ὅμως οὐδὲν ἦν κρίσιμον οὐδὲ χρηστόν. οὐ γὰρ ἐκκαθαίρουσα τὸ σῶμα καὶ κινοῦσα τὰ λυποῦντα, φαίνεται νῦν ἡ φύσις ἐργαζομένη τὸ πλῆθος τῶν οὔρων, ἀλλ' ὥσπερ ἔμαθες, ἱδρῶτας τε καὶ διαχωρήματα, ποτὲ μὲν ὡς συμπτώματα τῆς κατὰ τὸ σῶμα περιουσίας τῶν μοχθηρῶν χυμῶν ἐκκρίνεσθαι, ποτὲ δὲ ἐκκαθαιρούσης αὐτὰ τῆς φύσεως, οὕτω καὶ νῦν τὰ οὖρα, πλεοναζούσης ὑγρότητος ἀῤῥώστου ἐν τῷ σώματι σύμπτωμά τ' ἐστί. διὰ τοῦτ' οὖν αὐτοῖς προσέθηκε τὸ, κρίσιμον οὐδὲν οὐδὲ χρηστόν. ἐξεκρίνετο γὰρ, ἤτοι διὰ πλῆθος ἄμετρον, οὐ δυναμένων αὐτὰ τῶν περιεχόντων μορίων στέγειν, ἢ διὰ δῆξιν ἰσχυρὰν ἀνιωμένων τε καὶ διὰ τοῦτο πρὸς τὴν ἀπόκρισιν ἐξορμώντων. τοιαῦτα δὲ κατὰ τὴν αὐτὴν ταύτην κατάστασιν ἐγένετο, καὶ διὰ τῆς γαστρὸς ἐκκρινόμενα, καθότι προείρηται. καὶ δηλονότι καὶ οἱ ἱδρῶτες ἀνάλογον αὐτοῖς ἦσαν.

Οὐδ' ἄλλο κρίσιμον οὐδὲν τοῖσιν οὕτως ἔχουσιν ἐπεφαίνετο, οὔτε αἱμοῤῥαγίη καλῶς, οὔτέ τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις ἐγένετο κρίσιμος, ἔθνησκόν τε ἕκαστος ὡς τύχῃ, πεπλανημένως, τὰ πολλὰ περὶ τὰς κρίσιας. ἐκ πολλοῦ δέ τινες, ἀφ' ὧν οἱ ἱδρῶτες πολλοί.

Τῶν μὲν οὖν ὀλεθρίως ἐχόντων, ξυνέπιπτε ταῦτα, ἃ κατέλεξεν ἐνταῦθα σοι τὰ τῶν ὀλεθρίως ἐχόντων καυσωδῶν συμπτώματα. προακήκοας δὲ πολλάκις ἤδη, διότι τῶν εἰρημένων ἕκαστον ὀλέθριόν ἐστι.

Παραπλήσια καὶ τοῖσι φρενιτικοῖσι.

Συμπληρώσας τὸν περὶ τῶν καύσων λόγον, ἐπὶ τὰ συμβάντα τοῖς φρενιτικοῖς μεταβαίνει. προσχῶμεν οὖν κἀνταῦθα ταῖς ῥήσεσιν αὐτοῦ.

Αδιψοι δὲ πάνυ ἦσαν οὗτοι.

Περὶ τῶν φρενιτικῶν ὁ λόγος. ἀδίψους δ' αὐτοὺς γεγονέναι φησὶν οὐχ οὕτως, διὰ τὸ πολλὴν ὑγρότητα πλεονάζουσαν ἔχειν ἐν τῷ στόματι τῆς γαστρὸς, ὡς διὰ τὸ μὴ παρακολουθεῖν οἷς ἔπασχον, καὶ νενεκρῶσθαι τὴν ὀρεκτικὴν τοῦ στομάχου αὐτοῖς δύναμιν.

Οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ' ἄλλοισιν, ἀλλ' ἄλλῃ τινὶ καταφορῇ νωθρῇ, βαρέως ἀπώλλυντο.

Εἰ χωρὶς τοῦ προειπεῖν οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ἁπλῶς εἰρήκει τοὺς τότε φρενιτικοὺς ἀπόλλυσθαι κατὰ φορῇ νωθρῇ, πιθανὸν ἦν ἀκοῦσαι μεταπτώσεως εἰς λήθαργον αὐτοῖς γινομένης, οὕτω διαφθείρεσθαι. προειρημένου δὲ τοῦ, οὐδ' ἐξεμάνη οὐδεὶς, εὐλογώτερόν ἐστι μετὰ καταφορᾶς αὐτοὺς ἀπόλλυσθαι μένοντας φρενιτικοὺς, ὅπερ ἐστὶ παραφρονοῦντας. ἐν τούτῳ γὰρ μόνῳ διηνεκῶς ὑπάρχοντι μετὰ πυρετοῦ τὴν φρενῖτιν νοοῦμεν, οὐδενὶ διαφέρουσαν ἄλλῳ τῆς μανίας, πλὴν τοῦ πυρετοῦ. φρενῶν μὲν γὰρ ἄμφω βλάβαι. τὸ δὲ χωρὶς πυρετοῦ, τῶν μαινομένων ἴδιον, ὥσπερ τὸ σὺν πυρετῷ, τῶν φρενιτικῶν. θαυμαστὸν οὖν οὐδὲν ἠθροισμένων ἐν τῷ σώματι χυμῶν ὠμῶν, ὡς τά γε διαχωρούμενα τὴν ἔνδειξιν ἐποίησατο, κωματώδεις τε ἅμα καὶ παραφρονοῦντας

γενέσθαι. κωματώδεις μὲν, διά τε τὸ πλῆθος καὶ τὴν ψυχρότητα τῶν ὠμῶν χυμῶν, παραφρονοῦντας δὲ, διότι σηπόμενοι, δριμύτητά τε καὶ θερμασίαν ἐγέννων.

Ἦσαν δὲ καὶ ἄλλοι πυρετοὶ, περὶ ὧν γεγράψεται.

Ἀναμνησθῶμεν δ' ὅτι προειπὼν, τὴν κατάστασιν τῶν γενομένων καυσώδης, ἣν δὴ καὶ διηγησάμενος, ἐφεξῆς πάντ' αὐτοῖς τὰ συμβάντα, καὶ μετὰ ταῦτα πάλιν εἰπὼν, παραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσιν. εἶτα καὶ τὸν περὶ τούτων λόγον ἅπαντα πληρώσας ἑξῆς ἐπήνεγκεν. ἦσαν δὲ καὶ ἄλλοι πυρετοὶ περὶ ὧν γεγράψεται. δηλοῖ γὰρ ἐκ ταύτης τῆς λέξεως πυρετῶν εἴδη, τόν καῦσον εἶναι καὶ τὴν φρενῖτιν, καῦσον μὲν ὃς ἂν διηνεκὲς ἔχῃ δίψος μετὰ διηνεκοῦς πυρώσεως πολλῆς. φρενῖτιν δὲ ὡς ἂν συνεχὴς ὢν, ἅμα καὶ παραφροσύνη γίνεται διηνεκεῖ.

Στόματα πολλοῖσιν ἀφθώδεα, ἑλκώδεα, ῥεύματα περὶ αἰδοῖα πολλὰ, ἑλκώματα, φύματα, ἔξωθεν, ἔσωθεν τὰ περὶ βουβῶνας.

Εἰρήκει μὲν ἔμπροσθεν καὶ περὶ τούτων. ἀλλ' ἐν τῷ κατὰ μέρος ὑπὲρ ἑκάστου λέγει, μέχρι τοῦ φθινοπώρου τὰς τῶν ἐρυσιπελάτων γενέσεις εἰπὼν προελθεῖν, εὔδηλός ἐστι καὶ περὶ τῶν νῦν ἐφεξῆς αὐτοῖς γραφομένων, ἁπάντων ἐνδεικνύμενος ταυτό. κατὰ τοῦτ' οὖν αὖθις ἐμνημόνευσε τῶν αὐτῶν.

Ὀφθαλμίαι ὑγραὶ, μακραὶ, χρόνιαι μετὰ πόνων, ἐπιφύσιες βλεφάρων ἔξωθεν, ἔσωθεν, πολλῶν φθειρούσαι τὰς ὄψιας ἃς σύκα ἐπονομάζουσιν.

Ἡ τοῦ πλεονάσαντος χυμοῦ περιουσία, διττὸν ἔοικεν ἔχειν εἶδος ἐν τῇ κατὰ πάχος καὶ λεπτότητα διαφορᾷ, καθάπερ εἴωθεν ἀεὶ σχεδὸν ἐφ' ὑγραῖς, καὶ νηνέμοις γίνεσθαι καταστάσεσιν. εἰ μὴ γὰρ οἰκείοις τις τοῖς γυμνασίοις χρώμενος, ῥιπίζει τε ἅμα καὶ διακαθαίρει, καὶ κινεῖ τὸ σῶμα, πλῆθος ἀθροίζει χυμῶν καὶ παχέων καὶ λεπτῶν. παχέων μὲν διὰ τὴν ἀργίαν, λεπτῶν δὲ καὶ ὑδατωδῶν, διὰ τὸ μὴ κεκενῶσθαι. τῆς μὲν οὖν λεπτότητος αὐτῶν τεκμήρια, τά τε κατὰ τὴν γαστέρα διερχόμενα λεπτὰ, καὶ τὰ οὖρά γε τοιαῦτα γενόμενα. τοῦ δὲ πάχους, τό τε χρονίσαι πᾶν, καὶ τὸ συνεδρεῦον τοῖς πλείστοις κῶμα. καὶ τούτων οὖν εἰκότως οἷς ἐπ' ὀφθαλμοὺς ἔρρεψε τὸ πλῆθος, ὑγρὰς μὲν ὀφθαλμίας εἰργάσατο διὰ τὴν λεπτότητα. τὰς δὲ τῶν βλεφάρων ἐπιφύσεις, διὰ τὸ πάχος. τοῦ γὰρ ἐπιρρέοντος τοῖς ὀφθαλμοῖς χυμοῦ, τὸ μὲν ἐκκρινόμενον ὑγρὸν, ἐργάζεται τὰς ὀφθαλμίας, τουτέστι μετὰ ῥεύματος ὑγροῦ καὶ ὑδατώδους. τὸ δὲ παχύτερον ἐμπλαττόμενον τοῖς πάχουσι μορίοις, τὰς ὀχθώδεις ἐπαναστάσεις, ὅσον δ' ἐν τῷ βάθει τῶν ὀφθαλμῶν ἐγένετο, τοῦ παχέος χυμοῦ τὰς ὀδύνας εἰργάζετο.

Ἐφύετο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑλκέων πολλὰ, καὶ ἐν αἰδοίοισι.

Τὰ διὰ τὸ πάχος τῆς ὕλης ἐπιφυόμενα τοῖς βλεφάροις, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ κἀπὶ τῶν αἰδοίων ἔφη γενέσθαι. καὶ εἴπου τι μόριον ἄλλο συνέτυχεν ἑλκωθῆναι, τὸ πάχος τῶν χυμῶν ὡς εἴρηται, τὰς τοιαύτας ἐπιφύσεις ἐργαζόμενον. καλοῦσι δ' αὐτὰς οἱ πολλοὶ μύκητας.

Ἄνθρακες πολλοὶ κατὰ θέρος, καὶ ἄλλα ἃ σῆψις καλέεται.

Καὶ διὰ τὸ χρονίζειν μὲν ἐν τῷ σώματι τὴν κακοχυμίαν, ἡ σηπεδὼν ηὐξάνετο. τοῦ θέρους δ' ἐπιλαβόντος, οὐδ' αὐτοῦ τοὺς ἐτησίας ἔχοντος, ἔτι καὶ μᾶλλον εἰς ἄκρον ἀφίκετο, καὶ διὰ τοῦτο θερμὰ νοσήματα πλείω τε καὶ κακοηθέστερα τῶν ἔμπροσθεν ἐγένετο. δέδεικται γὰρ ὅτι καὶ ὁ ἄνθραξ, ἐκ θερμῆς μέντοι πυρότητος, παχείας δὲ κατὰ τὴν σύστασιν ὕλης ἔχει τὴν γένεσιν.

Ἐκθύματά τε μεγάλα.

Πρόδηλον μὲν ὅτι παρὰ τὸ ἐκθύειν, ὅπερ ἐστὶν ἐξορμᾶν, ἡ προσηγορία τοῖς ἐκθύμασι γέγονεν, ἐπὶ τῶν αὐτομάτως ἐξανθούντων κατὰ τὸ δέρμα. γένεσις δ' αὐτοῖς ἐκ τῆς περιττῶν δηλονότι χυμῶν, ἀλλὰ καὶ τῇ ποιότητι προσηκόντως ἕπεται, τῶν μὲν χυμῶν λεπτῶν ἑλκώσεις ἐργαζομένων μᾶλλον ἢ ὄγκους. τῶν δὲ παχέων εἰς ὄγκον ἐξαιρόντων τὸ δέρμα. πρόδηλον δ' ὅτι ταυτοῦ γένους ἐστὶ τοῖς προειρημένοις ἐπιφύεσθαι κατὰ τὰ βλέφαρα καὶ τὰ ἕλκη, καὶ τὰ νῦν ἐν τῷ δέρματι τὴν γένεσιν αὐτόματον ἔχοντα.

Ἕρπητες πολλοῖσι μεγάλοι.

Μεγάλους ἤτοι διὰ τὸ πολὺν ἐπιλαμβάνειν τόπον, ἢ διὰ τὸ μετ' ἀναβρώσεως κακοήθους γίνεσθαι κέκληκεν. ἑκάτερον δ' ἀκολουθεῖ τῇ κατὰ τοὺς χυμοὺς εἰρημένῃ διαθέσει.

Τὰ δὲ κατὰ κοιλίην, πολλοῖσι πολλὰ καὶ βλαβερὰ συνέβαινε. πρῶτον μὲν τεινεσμοὶ πολλοῖσιν ἐπιπόνως. πλείστοισι δὲ παιδίοισι, καὶ πᾶσιν ὅσα πρὸ ἥβης, καὶ ἀπώλλυτο τὰ πλεῖστα τούτων, λειεντερικοὶ πολλοί.

Καὶ διὰ τὴν ὑγρότητα τῆς ἡλικίας, καὶ διότι πλείω προσφερόμενα τὰ παιδία, διαφθείρει τὰς τροφὰς πολλάκις, εἰκότως ἡλίσκετο τεινεσμοῖς. ἔστι μὲν οὖν καὶ ἄλλως ὀδυνηρόν τε καὶ ὀχληρὸν τὸ πάθος. ὀδυνηρὸν μὲν διὰ τὴν τάσιν, ὀχληρὸν δὲ διὰ τὸ συνεχὲς τῆς ἐξαναστάσεως. ἐν δὲ τῇ νῦν καταστάσει πληθωρικῇ τε ἅμα καὶ κακοχυμίᾳ λεγομένῃ, πολλοὶ μᾶλλον λειεντερικοί. ἀρρωστούσης γὰρ τῆς καθεκτικῆς δυνάμεως, ἔμαθες γινομένας τὰς λειεντερίας. εἰκὸς δὲ οὖν ὥσπερ ἡ θρεπτικὴ δύναμις τῆς γαστρὸς ἐνεκρώθη, δι' ἣν ἀποσίτους ἐσχάτως αὐτοὺς γενέσθαι φασὶν ὀλίγον ὕστερον, οὕτως καὶ τὴν καθεκτικὴν βλαβῆναι.

Δυσεντεριώδεες, οὐδ' οὗτοι λίην ἐπιπόνως.

Ἀκόλουθον ἦν ἐπιφέρεσθαι τοῖς προειρημένοις ἴσως οὐκ ἐπιπόνως νοσήσασι. προείρηται δ' οὐδεὶς οὕτως, ἀλλὰ τοὐναντίον

μᾶλλον

μᾶλλον οὔτ᾽ ἔμπροσθεν ἅπαντες, οὔτε περὶ τῶν λειεντερικῶν εἰρημένοι τεινεσμώδεις ἐπιπόνως ἐνόσησαν. μήτ᾽ οὖν ἡ λέξις ἡμάρτηται, καθάπερ καὶ ἄλλα πολλὰ τῶν ἁμαρτημάτων ἐν πολλοῖς τῶν βιβλίων ἐφυλάχθη τοῦ πρώτου γραφέως ἁμαρτόντος; ἄμεινον γὰρ ἦν γεγράφθαι οὔτοι τι λίην ἐπιπόνως. ἔνιοι μέντοι φασὶν εἰρῆσθαι, τὸ, οὐδ᾽ οὔτοι λίην ἐπιπόνως, ἐν ἴσῳ τῷ, πολλοὶ δυσεντεριώδεις οὐκ ἐγένοντο, δηλοῦν βουλομένου τἀνδρὸς, ἐκ τοῦ ἐπιπόνως τὴν γένεσιν τοῦ νοσήματος οὗ τὸν τρόπον. ἔνιοι δ᾽ ὅτι τοῖς δυσεντερικοῖς ἀνωδύνως ἐνοχλουμένοις ἐφεξῆς εἴρηται, διὰ τοῦτο φασὶν, τὸ, οὐδ᾽ οὗτοι λίην ἐπιπόνως, ὑπ᾽ αὐτοῦ προστεθεῖσθαι, νοσούντων ἡμῶν τοὺς λειεντερικοὺς ἐξ ἀνάγκης ἀνωδύνους εἶναι.

Τὰ δὲ χολώδεα, καὶ λιπαρὰ, καὶ λεπτὰ, καὶ ὑδατώδεα, πολλοῖσι μὲν αὐτὸ τὸ νόσημα εἰς τοιοῦτον κατέσκηψεν, ἄνευ τε αὐτῶν πυρετῶν, καὶ ἐν πυρετοῖσι περὶ πόνων στρόφοι, καὶ ἀνειλίσιες κακοήθεες, τῶν πολλῶν ἐνόντων τε καὶ ἐπιχόντων διέξοδοι. τὰ δ᾽ ἐξιόντα, πόνους οὐ λύοντα, καὶ πάμπολλα μόρια τοῦ σώματος ἔπαθον.

Ἐν τῷ προκειμένῳ λόγῳ, καὶ πᾶν εἶδος ἐν αὐτῷ συνέστηκε νοσήματος, ἐπειδὴ φύσει διαφέρουσιν ἀλλήλων οἱ ἄνθρωποι καὶ ἡλικίαις καὶ διαίταις. ἄλλος οὖν ἄλλον ἔχων πλεονάζοντα χυμὸν, ὑπὸ τῆς καταστάσεως ηὔξησε τοῦτον ὡς ἐδείξαμεν, εἶτα τῆς σηπεδόνος ἐπιγενομένης κατὰ τὰς διαφορὰς τῶν ἠθροισμένων χυμῶν, ἡ σῆψις ὑπηλλάττετο. καὶ μέντοι καὶ φερομένης αὐτῆς εἰς τὸν ἑκάστῳ τῶν πασχόντων τόπον ἀσθενέστατον φύσει, πολλοῖς οὕτω συνέβη παθεῖν μορίοις, ὡς ἂν καὶ τῶν ἀνθρώπων ἱκανῶς πολλῶν γενομένων. εὔλογον οὖν ἦν τοῖς φύσει χολώδεσι καὶ κατὰ τὴν ἀκμαστικὴν ἡλικίαν οὖσιν, καὶ φροντισταῖς, καὶ ταλαιπωρουμένοις ἐν ἔργοις τε καὶ πράξεσι ταῦτα πλεονάσαι. τὰ δὲ λιπαρὰ, συντήξεως αὐτὸς ἐδίδαξεν εἶναι σημεῖα. τὰ δ᾽ ὑδατώδη, λεπτῆς καὶ ὀρρώδους ὑγρότητος. πολλοῖς δέ φησιν αὐτὸ τοῦτο γενέσθαι τὸ νόσημα, τουτέστι τὸ διαχωρεῖν τὰ τοιαῦτα. καὶ γὰρ καὶ χωρὶς πυρετῶν ἐνίοις τοῦτο γενέσθαι φησί. τὰς δὲ διεξόδους, τουτέστι τὰς κενώσεις αὐτοῖς συμβῆναι, πολλῶν ἐνόντων καὶ ἐπισχόντων, ὅπερ ἴσως σημαίνει, πολλῶν ἔτι καὶ κατὰ τὸ σῶμα τῶν ἐνόντων, οὐδὲν ἧττον τὰς διεξόδους γενέσθαι πολλάς. καὶ διὰ τοῦτο, μηδὲ τοὺς πόνους λύειν τὰ διεξιόντα. πῶς γὰρ οἷόν τε λύειν αὐτὰ, πολλῶν ἔτι τῶν ἐπεχομένων ὄντων.

Τοῖσί τε προσφερομένοισιν δυσκόλως ὑπακούοντα. καὶ γὰρ αἱ καθάρσιες τοὺς πλείστους προσέβλαπτον. τῶν δὲ οὕτως ἐχόντων, πολλοὶ μὲν ὀξέως ἀπώλλυντο, πολλοῖσι δὲ καὶ μακρότερα διῆγον.

Προσφερόμενα δύναται λέγειν, καὶ κοινῶς ἅπαντα τὰ βοηθήματα, καὶ ἰδίως τὰ ἐσθιόμενα, καὶ πινόμενα. τὰς δὲ καθάρσεις ὧν ἐμνημόνευσεν, ἐν ἑκατέροις τάξαι δυνατόν. ὅτι δ᾽ οὐκ ὠφελεῖ τὰ βοηθήματα τοὺς οὕτως ἔχοντας, εὔδηλον οὖν, εἰ καὶ μηδὲν αὐτὸς εἰρήκει. πολλῶν γὰρ ἀποθνησκόντων, ἀνωφελῆ δηλονότι πᾶσιν αὐτοῖς τὰ βοηθήματα.

Ὡς δ᾽ ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντες καὶ οἱ τὰ μακρὰ νοσέοντες καὶ τὰ ὀξέα ἐκ τῶν περὶ κοιλίην ἀπέθνησκον μάλιστα, πάντας γὰρ κοιλίη συναπήνεγκεν.

Καὶ ὁ καθ᾽ ἡμᾶς γενόμενος οὗτος ὁ μακρότατος λοιμὸς, ἐκ τῶν διὰ τῆς κοιλίας κενουμένων, σχεδὸν ἅπαντας ἀνεῖλεν. ἦν δὲ συντήξεις τὰ κενούμενα, καὶ τοῦτ᾽ ἔοικεν ἀχώριστον εἶναι σύμπτωμα τοῦ καλουμένου λοιμώδους ἰδίως πυρετοῦ, καταλαμβάνοντος τοὺς ἀνθρώπους καὶ χωρὶς λοιμοῦ.

Απόσιτοι δὲ πάντες μὲν ἐγένοντο, καὶ ἐπὶ πᾶσι τοῖσι προγεγραμμένοισιν, οἷς ἐγὼ οὐδὲ πώποτε ἐνέτυχον. πολλοὶ δὲ μάλιστα οὗτοι καὶ οἱ ἐκ τούτων, καὶ ἐκ τῶν ἄλλων δ᾽ οἱ ὀλεθρίως ἔχοντες.

Καὶ τοῦτο τὸ σύμπτωμα πάντας κατέλαβε τοὺς ἐν τῷ νῦν γενομένῳ λοιμῷ τῷ μακρῷ, καὶ δι᾽ αὐτό γε τοῖς πλείστοις ἀποθανεῖν συνέβη. ὅσοι γοῦν ἀνδρειότεροι βιαζόμενοι σφᾶς αὐτοὺς προσεφέροντο τὰ διδόμενα σιτία, σχεδὸν ἅπαντες ἐσώθησαν, οἱ πλεῖστοι δ᾽ ἀποθανεῖν εἵλοντο μᾶλλον, ἢ προσενέγκασθαί τι. ταῦτ᾽ οὖν ἔοικεν συμβῆναι καὶ τοῖς τότε νοσήσασι τὰ περὶ γαστέρα μάλιστα. καὶ γὰρ καὶ ταύτης ἔργον ἐστὶν, ὄρεξις σιτίων.

Διψώδεες οἱ μὲν, οἱ δ᾽ οὔ.

Περὶ τῶν ἄνευ πυρετῶν διὰ γαστρὸς ταραχὴν ὡς αὐτὸς ὠνόμασεν ἐνοχλουμένων, ὁ λόγος αὐτῷ νῦν εἴρηται. δῆλον δ᾽ ἐξ ὧν ἐπιφέρων, εἶπε, τῶν δ᾽ ἐν πυρετοῖσι καὶ τοῖς ἄλλοις οὐδεὶς ἀκαίρως. φανερὸν δ᾽ ἐξ ὧν εἰρήκαμεν ἀνωτέρω καὶ διατί μήτε διψώδεις ἅπαντες ἦσαν, μήτ᾽ ἄδιψοι. πάχος τε γὰρ χυμῶν καὶ λεπτότης [καὶ] ὑδατώδης ἠθροίσθη, ψυχρὰ μὲν ἄμφω περὶ τὴν ἑαυτῶν φύσιν, ἐπίκτητον δὲ θερμασίαν ἐκ σηπεδόνος λαμβάνοντα, καὶ τούτων, ἐφ᾽ ὧν μὲν ἤδη τὸ σηπεδονῶδες θερμὸν ἐπεκράτει, διψώδεις ἦσαν. ἐφ᾽ ὧν δ᾽ οὐδέπω, καὶ οὗτοι πάλιν εὐλόγως ἦσαν ἄδιψοι.

Τῶν δὲ ἐν πυρετοῖσι καὶ τοῖς ἄλλοισιν [ἠνέγκατο] οὐδεὶς ἀκαίρως, ἀλλ᾽ ἦν περὶ ποτὸν δίαιταν ὡς ἤθελες.

Εἰρηκὼς ἐν τῇ πρόσθεν ῥήσει περὶ τῶν περὶ κοιλίαν ἐνοχληθέντων ὅτι διψώδεις ἦσαν, οἱ μὲν οἱ δ᾽ οὔ. νῦν ἤδη καὶ περὶ τῶν ἅμα πυρετοῖς νοσούντων, ἔφη μηδένα διψώδη γενέσθαι πάνυ σφόδρα, μηδ᾽ ὥστε τοῖς ἰατροῖς ἀπειθεῖν. ἐγένετο δὲ τοῦτο, διὰ τὸ μὴ συρρεῖν αὐτοῖς εἰς τὴν γαστέρα τῶν σηπεδονωδῶν ἰχώρων τοσοῦτον, ὅσον ἐπὶ τῶν προειρημένων.

Οὖρα δὲ πολλὰ μὲν, τὰ δ᾽ ἐξιόντα ἦν, οὐκ ἐκ τῶν προσφερομένων ποτῶν, ἀλλὰ πολ-

λὸν ὑπερβάλλοντο. πολλὴ δέ τις καὶ τῶν οὔρων κακότης ἦν τῶν ἀπιόντων. οὔτε γὰρ πάχος οὔτε πεπασμὸς, οὔτε κάθαρσις χρηστή. ἀτὰρ πολλοῖσι γὰρ αἱ κατὰ κύστιν καθάρσιες χρησταὶ γινόμεναι ἀγαθὸν ἐσόμενον. τοῖσι δὲ πλείστοισιν σύντηξιν καὶ ταραχὴν καὶ πόνους, καὶ χρόνους καὶ ἀκρισίας.

Σαφῆ πάντ' ἐστὶ τὰ εἰρημένα καὶ δεῖται μνήμης, οὐκ ἐξηγήσεως. αὐτὸς γὰρ ἐνεδείξατο σαφῶς κατὰ τὸν ἔμπροσθεν λόγον ὃν ἐγὼ διῆλθον, ὡς ἐνίοτε λόγῳ συμπτώματος κενοῦται τὰ οὖρα, καθάπερ ἱδρῶτες τε καὶ ἔμετοι καὶ τὰ διὰ γαστρὸς ἀπιόντα.

Κωματώδεές τε μάλιστα μὲν οἱ φρενιτικοὶ καὶ οἱ καυσώδεες ἦσαν. ἀτὰρ καὶ ἐν τοῖσιν ἄλλοισιν νοσήμασι πᾶσι τοῖσι μεγίστοισιν, ὅτι μετὰ πυρετοῦ γίγνοιτο.

Πάχος τῆς ὕλης εἰργάζετο τὸ κῶμα καὶ μάλιστ' ἐκείνοις ἐφ' ὧν ἔπαθεν ἡ κεφαλή. πάσχει δὲ τοῖς μὲν φρενιτικοῖς κατὰ τὸν πρῶτον λόγον, καύσοις δὲ κατά τι συμβεβηκός. ἡ γὰρ θερμασία τοῦ πυρετοῦ, πρὸς τὴν κεφαλὴν ἀναφέρει τοὺς μοχθηροὺς χυμούς. ἐπλεόναζον δὲ νῦν οἱ ὠμοὶ καὶ ψυχροί.

Διὰ παντὸς δὲ τοῖσι πλείστοισιν, ἢ βαρὺ κῶμα παρείπετο, ἢ λεπτοὺς καὶ μικροὺς ὕπνους κοιμᾶσθαι.

Βαρὺ κῶμα, τὸ δυσδιέγερτον ἀκουστέον ἐστὶ, τότε μικροὺς καὶ λεπτοὺς ὕπνους ἔχον, ἐναντίον ἐστίν. ἐγίνετο δὲ τὸ μὲν πρῶτον οἷς ἐπεκράτει τὸ πάχος καὶ τὸ πλῆθος τῆς ψυχρᾶς ὕλης. τὸ δὲ δεύτερον, οἷς ἡ λεπτότης διασεσηπομένη.

Πολλὰ δὲ καὶ ἄλλα πυρετῶν ἐπεδήμησεν εἴδεα, τριταίων, τεταρταίων, νυκτερινῶν, συνεχῶν, μακρῶν, πεπλανημένων, ἀσωδέων, ἀκαταστάτων.

Διὰ τὴν ποικιλίαν τῶν λυπούντων χυμῶν, τά τ' ἄλλα νοσήματα, καὶ τὰ τῶν πυρετῶν εἴδη πλείω συνέπεσε. ἐμνημόνευσε δὲ τῶν μὲν διαλειπόντων ἁπάντων τριῶν ὄντων, ἀμφημερινῶν, τριταίων, καὶ τεταρταίων, τριταίων μὲν καὶ τεταρταίων, ὀνομαστὶ πρῶτον, ἀμφημερινοῦ δ' ἐν τῷ φάναι νυκτερινῶν. διττῆς γὰρ οὔσης αὐτοῦ διαφορᾶς, καθότι οἱ μὲν ἐν ἡμέρᾳ παροξύνουσιν, οἱ δ' ἐν νυκτὶ, καὶ διὰ τοῦτο καὶ τὰς προσηγορίας ἐντεῦθεν ἐπεκτήσαντο διαφόρους. ὁ Ἱπποκράτης δὲ τότε πλεονασάντων ἐμνημόνευσε νυκτερινῶν ὄντων. ἀναμνησθῶμεν οὖν ἔτι καὶ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν καὶ κατὰ τὸ δεύτερον, ἀρρώστων τε πολλῶν μνημονεύσας ἰδίᾳ, καὶ καταστάσεις ὅλας διηγησάμενος, οὐδαμόθι πεμπταῖον ἢ ἑβδομαῖον, ἢ ἄλλον τινὰ πολυήμερον ἔγραψε πυρετόν. ὥσπερ οὐδ' ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, οὔτ' ἐν τοῖς ἔμπροσθεν, οὔτ' ἐν τοῖς ἐφεξῆς, ἄχρι τέλους. ἐκ τούτων ὑπάρχεταί μοι περὶ τῶν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰρημένων ὑποπτεύειν, ὥσπερ παραγεγραμμένων, ἐν οἷς βούλεται καὶ ἄλλους τινὰς εἶναι πολυημεροτέρους τοῦ τεταρταίου πυρετοῦ. ἐν δὲ τῇ προειρημένῃ ῥήσει, τὸ τῆς οἰκείας προσηγορίας, ὥσπερ τὸ τῶν συνεχῶν. τὰ δ' εἴδη πάντα διελθὼν αὐτοῦ, μετὰ ταῦτα κοινῇ προσηγορίᾳ, τοὺς συνεχεῖς ἐδήλωσεν ὧν προειρήκει καύσους τε καὶ φρενίτιδας. ἐφεξῆς δὲ τήν τε τῶν μακρῶν καὶ τὴν τῶν πεπλανημένων ἔγραψε προσηγορίαν, ἔνθα μοι καὶ τοῦ κατ' ἀρχὰς εἰρημένου τῆς προκειμένης ῥήσεως μέμνησο τοῦ, πυρετῶν εἴδεα καλεῖν αὐτῶν ἅπαντα τὰ κατειλεγμένα.

Ἅπαντες δ' οὗτοι μετὰ πολλῆς ταραχῆς ἐγίνοντο. κοιλίαι τε γὰρ τοῖσι πλείστοισι ταραχώδεες, φρικώδεες, ἱδρῶτες οὐ κρίσιμοι, καὶ τὰ τῶν οὔρων ὡς ὑπογέγραπται. μακρὰ δὲ τοῖσι πλείστοισι τουτέων. οὐδὲ γὰρ αἱ γινόμεναι τουτέοισιν ἀποστάσιες ἔκρινον, ὥσπερ ἐν τοῖσιν ἄλλοισιν. δύσκριτα μὲν πᾶσι πάντα ἐγίνετο, καὶ ἀκρισίαι καὶ χρόνια, πολὺ δὲ μάλιστα τούτοισιν. ἔκρινε δὲ τουτέων ὀλίγοισι περὶ ὀγδοήκοντα, τοῖσι δὲ πλείστοισιν, ὡς ἔτυχεν, ἐξέλιπεν. ἔθνησκον δὲ τουτέων ὀλίγοι ὑπὸ ὕδρωπος ὀρθοστάδην. πολλοῖσι δὲ καὶ ἐν τοῖσιν ἄλλοισι νοσήμασιν οἰδήματα παρώχλει, πολὺ δὲ μάλιστα τοῖσι φθινώδεσιν.

Τοὺς προειρημένους ἅπαντας πυρετοὺς μετὰ πολλῆς φησὶ γενέσθαι ταραχῆς, εἶθ' ἑξῆς αὐτὸς ἐξηγεῖται τίς ἦν ἡ ταραχὴ, τὰ συμπτώματα γράφων αὐτῶν. καὶ τἄλλα δὲ τὰ ἐφεξῆς εἰρημένα πρόδηλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν.

Μέγιστον δὲ καὶ χαλεπώτατον, καὶ πλείστους ἔκτεινε τὸ φθινῶδες. πολλοὶ γάρ τινες ἀρξάμενοι κατὰ χειμῶνα, πολλοὶ μὲν κατεκλίθησαν, οἱ δ' αὐτῶν ὀρθοστάδην ὑπεφέροντο, πρωῒ δὲ τοῦ ἦρος ἔθνησκον οἱ πλεῖστοι τῶν κατακλιθέντων. τῶν δ' ἄλλων, ἐξέλιπον μὲν αἱ βῆχες οὐδενὶ, ὑφίεσαν δὲ κατὰ θέρος, ὑπὸ δὲ τὸ φθινόπωρον κατεκλίθησαν πάντες, καὶ πολλοὶ ἔθνησκον, μακρὰ δὲ τούτων οἱ πλεῖστοι διενόσεον. ἤρξαντο μὲν οὖν τοῖς πλείστοισι τούτων ἐξαίφνης ἐκ τούτων κακοῦσθαι. φρικώδεα δὲ πυκνὰ, πολλάκις πυρετοὶ ξυνεχέες, ὀξέες, ἱδρῶτες ἄκαιροι, ψυχροὶ, πολλοὶ διὰ τέλεος. πολλὴ δὲ ψύξις καὶ πάλιν μόλις ἀναθερμαινόμενοι, κοιλίαι ποικίλως ἐφιστάμεναι, καὶ πάλιν ταχὺ καθυγραινόμεναι, καὶ τῶν περὶ πνεύμονα πάντων

διὰδ'

διαδόσεις κάτω, πλῆθος οὔρων οὐ χρηστῶν, ξυντήξεσι κακαί. αἱ δὲ βῆχες συνῆσαν μὲν διὰ τέλεος πολλαί, καὶ πολλὰ ἀνάγουσαι πέπονα καὶ ὑγρά, μετὰ πόνων δὲ οὐ λίην. ἀλλ' εἰ καὶ ὑπεπόνεον, αὖθις πρηέως πᾶσιν ἡ κάθαρσις τῶν ἀπὸ πνεύμονος ἐγίνετο. φάρυγγες οὐ λίην δακνώδεες, οὐδ' ἁλμυρίδες, οὐδὲν ἠνώχλεον. τὰ μέντοι γλίσχρα καὶ λευκά, καὶ ὑγρὰ καὶ ἀφρώδεα, πολλὰ ἀπὸ κεφαλῆς ᾔσαν. πολὺ δὲ μέγιστον κακὸν παρείπετο καὶ τούτοισι καὶ τοῖσιν ἄλλοισιν, τὰ περὶ τὴν ἀποσιτίην καθάπερ ὑπογέγραπται. οὐδὲ γὰρ ποτῶν μετὰ τροφῆς ἡδέως εἶχον, ἀλλὰ πάνυ διῆγον ἀδίψως.

Προείρηταί μοι καὶ πρόσθεν ὅτι πληρωθείσης ἐν τῇ θερμῇ καὶ ὑγρᾷ καὶ ἀπνόῳ καταστάσει τῆς κεφαλῆς, ἡ φθινώδης ἐγίνετο διάθεσις ἐκ τοῦ καταφερομένου ῥεύματος εἰς τὸν πνεύμονα. μέρος δ' αὐτοῦ καὶ διὰ τοῦ στομάχου καταρρυὲν εἰς τὴν γαστέρα, τὰς κατ' αὐτὴν ἤρξατο ταραχάς. ἃ δ' ἐφεξῆς εἴρηται περὶ τῶν φθινωδῶν, δῆλα τοῖς μεμνημένοις τῶν προειρημένων ἐστίν. ὅμως δ' οὖν κἀγὼ περὶ ὧν ἂν ἐπισημήνασθαι δόξῃ κάλλιον εἶναι, πράξω τοῦτο. πρῶτον δ' ἐν αὐτοῖς ὅτι τοὺς πλείστους τῶν φθινωδῶν ἀποθανεῖν ἐν ἀρχῇ τοῦ ἦρος, ὑπὸ τῇ μεταβολῇ τοῦ ἀέρος. αὐτὸς γὰρ εἶπεν, ὀπισθοχειμῶνας γενέσθαι, καὶ ἤδη περὶ ἰσημερίην βόρεια χιονώδεα. χαλεπώταται δὲ αἱ τοιαῦται μεταβολαὶ τοῖς φθινώδεσι, καὶ διὰ τοῦτο καὶ τὸ φθινόπωρον ὀλέθριον. αὐτὸς γοῦν ἐν ἀφορισμοῖς ἔφη, τοῖσι φθίνουσι κακὸν εἶναι. καὶ ἄλλως μὲν τὰ βόρεια τῶν κατὰ θώρακα μορίων ἁπάντων εἰσὶ κακωτικά. φησὶ γοῦν αὐτὸς ἐν ἀφορισμοῖς βῆχάς τε καὶ φάρυγγας, ὀδύνας τε πλευρῶν καὶ στηθέων γίνεσθαι κατὰ τὰ βόρεια, πολὺ δὲ μᾶλλον οἷς ἤδη πέπονθε ταῦτα, καὶ ἡ κεφαλὴ πεπληρωμένη καταπέμπει τὸ ῥεῦμα, διὸ καὶ τοῦ θέρους ὑπεῖναι φησί, τουτέστιν ἐνδοῦναι καὶ μετριάσαι τὰς βῆχας. ἐγένοντο γὰρ ὡς αὐτὸς ἔγραψε, τὸ θέρος ὑγρὸν καὶ θερμόν. ὥσπερ αὖ πάλιν ἡ ἀρχὴ τοῦ μετ' αὐτὸ φθινοπώρου βλαβερωτάτη τοῖς φθινώδεσιν. αὐτὸς γὰρ ἔφη, πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοις ὕδατα πολλά. τοῦ δὲ εἰς πολὺν χρόνον ἐκπεσεῖν, οὐ τὰς φθίσεις μόνον ἀλλὰ καὶ τἆλλα νοσήματα τὸ πάχος τῆς ὕλης αἰτιατέον τῆς οὐδὲν ἐχούσης, ὅσον ἐφ' ἑαυτῇ δριμὺ καὶ θερμὸν, ἀλλ' ἐν τῷ χρόνῳ λαμβανούσης ἐκ τοῦ σήπεσθαι. σαφέστατα δ' αὐτὸς ἐδήλωσε τοῦτο διὰ τῆς δε τῆς λέξεως. φάρυγγες οὐ λίην δακνώδεες, οὐδ' ἁλμυρώδεες, οὐδὲν ἠνώχλει. τὰ μέντοι γλίσχρα καὶ λευκὰ καὶ ὑγρὰ καὶ ἀφρώδεα, ἀπὸ κεφαλῆς εἴη. τὰ γε μὴν ἄλλα πάντα τὰ κατὰ τὴν ῥῆσιν, δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν.

Βάρος σώματος, κωματώδεες.

Εἴρηται πολλάκις, ὡς νενεκρωμένης βασταζούσης καὶ κινούσης τὰ σώματα δυνάμεως, βαρέα φαίνεται τὰ πρόσθεν ὑπ' αὐτῆς ὡς κοῦφα βασταζόμενά τε καὶ κινούμενα.

Τοῖσι πλείστοισιν αὐτῶν οἰδήματα, καὶ ἐς ὕδρωπα περιΐσταντο.

Θαυμαστὸν οὐδὲν, εἰ διὰ τὴν τῶν ἀπέπτων ὑγρῶν περιουσίαν, εἰς τοῦτο τὸ πάθος ὑπηνέχθησαν τινές.

Φρικώδεες, παράληροι περὶ θάνατον.

Τῆς ἐκ τοῦ διασήπεσθαι κακοχυμίας αὐξανομένης, ἥ τε φρίκη καὶ ὁ λῆρος αὐτοῖς ἐγίγνετο, προσελθόντος τοῦ χρόνου καθ' ὃν ἤδη καὶ ἀπέθνησκον.

Εἶδος δὲ τῶν φθινωδέων ἦν τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φλεγματῶδες, τὸ ὑπέρυθρον, τὸ χαροπὸν, λευκοφλεγματίαι, πτερυγώδεες, καὶ γυναῖκες. οὕτω τὸ μελαγχολικόν τε καὶ ὕφαιμον. οἱ καῦσοι καὶ τὰ φρενιτικὰ καὶ τὰ δυσεντεριώδεα τούτων ἥπτετο. τεινεσμοὶ νέοισι φλεγματώδεσι, μακραὶ διάρροιαι, καὶ τὰ δριμέα διαχωρήματα, καὶ λιπαρὰ πικροχόλοισι.

Τὰς ἰδέας τοῦ σώματος τῶν ἁλόντων τοῖς φθινώδεσι νοσήμασι διηγεῖται. τὸ μὲν οὖν λεῖον, ὅπερ ἐστὶν ἄτριχον, ἐνδείκνυται ψυχροτέραν εἶναι τῆς συμμέτρου τὴν κρᾶσιν, οὐκ ἐπὶ παιδίων, δηλονότι τοῦ λόγου γιγνομένου. ταῦτα γὰρ ἀεὶ θερμὰ διὰ τὴν ἡλικίαν, ἀλλ' ἐπὶ τῶν τελείων ὡς ἐν τοῖς περὶ κράσεως ἐδείκνυμεν. οὕτως δὲ καὶ ἡ λευκὴ χρόα. καὶ θαυμάζω διατί προσέθηκε τὴν ὑπὸ, πρόθεσιν ὑπόλευκον εἰπών. ἐπὶ μὲν γὰρ τοῦ ἐρυθροῦ καλῶς εἴρηται τὸ ὑπέρυθρον. ἔμαθες γὰρ ὅτι τὸ ἐρυθρὸν χρῶμα, θερμὴν κρᾶσιν ἐνδείκνυται. τὸ δ' ὑπέρυθρον οὐχ ὁμοίως μὲν τῷ λευκῷ τὴν ψυχράν, οὐδέπω δ' οὐδ' αὐτὸ τὴν θερμήν. οἱ δὲ λευκοφλεγματίαι πρόδηλοι δήπου ψυχρᾶς κράσεως ὄντες, εἴ τι ἐπιμεμνήμεθα τῶν ἐν τοῖς περὶ κράσεως εἰρημένων. ἔστι δ' αὐταῖς μαλακὴ καὶ ὑποιδοῦσα πως ἡ σὰρξ ἐγγὺς τῇ τῶν ἑαλωκότων ὑδέρῳ τῷ λευκῷ φλεγματίᾳ καλουμένῳ. οὕτω μὲν οὖν ἅπαντες προδήλως εἰσὶ ψυχρᾶς κράσεως. οἱ φλεγματώδεις δ', ὡς ἔμαθες κακοχύμου. καὶ μὴν καὶ περὶ τῶν χαροπῶν καὶ ὅλως περὶ τῶν κατὰ τοὺς ὀφθαλμοὺς χρωμάτων, ἔμαθες ἐν τοῖς περὶ κράσεως, ὡς οὐχ ἁπλῶς ἔστι λαβεῖν ἐκ τούτου σημεῖον βέβαιον τεκμήριον κράσεως ὅλου τοῦ σώματος, ὅτι μὴ μόνων τῶν ὀφθαλμῶν, οὐδὲ τούτων ἐναργῶς ἐπὶ τῶν προειρημένων. πρῶτον μὲν γὰρ τοὺς χαροποὺς λεγομένους ὀφθαλμοὺς ὁποῖοί τινές εἰσιν, ἐννοῆσαι χρὴ τῶν ὑπὸ τοῦ ποιητοῦ γεγραμμένων ἀναμνησθέντας, ἔνθα φησίν. ἄρκτοι, ἀγριώτεροι σύες, χαροποί τε λέοντες. εἶτα θεασαμένους πολλοὺς λέοντας οὕτω παραθέσθαι τῇ μνήμῃ τὸ χρῶμα τῶν ὀφθαλμῶν, ὡς ἐπ' ἀνθρώπων ἰδόντα δύνασθαι ῥᾳδίως γνωρίσαι, κἄπειτα δὴ φαίνονται τισὶ καὶ τὴν κρᾶσιν, ὅσοι ἐπὶ τοῖς ὀφθαλμοῖς θερμὴν καὶ ξηρὰν εἶναι φασί. μάχεται δὲ τούτῳ κατὰ τὴν προκειμένην ῥῆσιν οὐκ ὀλίγα. πρῶτον μὲν γὰρ ἅμα τῇ ψυχροτέρᾳ κράσει, ἔταξε τὸ χαροπὸν, εἶθ' ἑξῆς ὠνόμασε τοὺς πικροχόλους ὡς ἑτέρους τούτων ὄντας, καίτοι φανερῶς ὄντας θερμῆς καὶ ξηρᾶς κράσεως εἰσί. ἀλλὰ καὶ μέντοι καὶ τὰ γεγραμμένα πάθη μεθ' ὧν εἶπεν εἴδων τοῦ σώματος ἐνδείκνυται καὶ αὐτά, τοὺς μὲν προειρημένους ἅπαντας εἶναι ψυχροτέρους, τοὺς δ' ἐρυθροὺς θερμοτέρους, τοὺς δὲ πικροχόλους ἱκανῶς θερμούς. φαίνεται γὰρ ἡ κατάστασις ἀθροίσασά τε πλῆθος ἐν τῷ σώματι καὶ πληρώσασα τὴν κεφαλήν. καὶ τοὺς μὲν κοινὸν ἁπάντων γενέ

θαι τῶν νοσημάτων. ἁλῶναι δὲ καθέκαστον ἰδίῳ νοσήματι κατὰ τὴν οἰκείαν φύσιν ἄλλον ἄλλῳ, διαῤῥοίαις τε καὶ δριμέσι διαχωρήμασι, καὶ λιπαροῖς τοὺς πικροχόλους. αὐτὸς γοῦν εἶπεν ἐν προγνωστικῷ, καὶ τὰς λιπαρότητάς τε τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι, συντήξεως γὰρ σημεῖον. οἱ μὲν οὖν πικρόχολοι συντηκτικοῖς πυρετοῖς εἰκότως ἑάλωσαν, ἠνοχλοῦντό τε τοῖς κατὰ τὴν γαστέρα διαχωρήμασιν. οἱ δ' ἐρυθροὶ καὶ πρὸς μελαγχολίαν ἐπιτήδειοι, παχὺ καὶ θερμὸν ἔχοντες αἷμα, τοῖς φρενιτικοῖς τε καὶ καυσώδεσιν εἰκότως ἑάλωσαν νοσήμασι, καὶ δυσεντερίαις ταῖς αἱματηραῖς ὡς εἰκὸς μάλιστα. μεμαθήκαμεν γοῦν ὅτι διτταί τινές εἰσιν. ἐξ ἑλκώσεως μὲν ἀναβρωθέντων τῶν ἐντέρων ἑτέρα διαφορά, πολλοῦ δ' αἵματος ἐκκενουμένου διὰ τῶν εἰς ἔντερα καθηκουσῶν φλεβῶν, ἡ λοιπή. ὅσαι δὲ τὴν φύσιν ἤτοι θερμότεραι μόνον ἢ ψυχρότεραί τε ἅμα καὶ ὑγρότεραι, ταύτας εἰκὸς ἦν ὡς ἂν μήτε πυρετοῖς εὐαλώτους οὔσας, μήτε χολώδεσι παθήμασι, μόναις τοῖς ἀπὸ κεφαλῆς ἁλῶναι ῥεύμασι, καὶ διὰ τοῦτο φθινωδῶς νοσῆσαι. γεγραφότος δὲ τοῦ Ἱπποκράτους, εἶδος δὲ τῶν φθινωδέων ἦν τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φλεγματῶδες, τὸ ὑπέρυθρον, ἀναμίξαντος δὲ τῷ λόγῳ καὶ τοὺς χαροποὺς, ἄξιον ἔδοξέ μοι ζητήσεως εἶναι τὸ λελεγμένον. εὔλογον ἦν οὐ χαροποὺς, ἀλλὰ γλαυκοὺς μᾶλλον εἰρῆσθαι, δοκοῦντας εἶναι τοὺς μὲν ψυχρᾶς, τοὺς δὲ ὑγρᾶς, τοὺς δ' ἅμα τε ψυχρᾶς τε καὶ ὑγρᾶς κράσεως, ὧν οὐδὲν ἐναντιοῦται τῷ προκειμένῳ λόγῳ. παραλαβόντες γοῦν τά τε βρέφη, καὶ σκύθας, καὶ κελτοὺς καὶ γερμανοὺς ὑγροτέρους μὲν ὄντας ὁμολογουμένως τῇ κράσει, ψυχροτέρους δ' οὐκέτι ὁμολογουμένως. ἐμοὶ μὲν οὖν διὰ ταῦτ' ἔδοξεν ἄξιον ζητήσεως τὸ περὶ τῆς τῶν χαροπῶν ὀφθαλμῶν χροιᾶς. τῶν δ' ἐξηγησαμένων τὸ βιβλίον, οἱ μὲν ἐμπειρικοὶ καὶ σὺν αὐτοῖς δὲ ὁ Λύκος ὥσπερ ἄλλα πολλὰ, καὶ τοῦτο χωρὶς τοῦ ζητῆσαι τὴν αἰτίαν παριᾶσι. οἱ δ' Ἱπποκράτειοί τινες μὲν θερμῆς κράσεως εἰπόντες εἶναι γνώρισμα τὸ χαροπὸν, οἱ δὲ ξηρᾶς. εἰσὶ δ' οἳ καὶ ἀμφοτέρων οὐδὲν ἔτι προστιθέασιν. ἤρκεσε γοῦν εἰπεῖν Σαβίνῳ τοῦτο μόνον. τὸ δὲ χαροπὸν πάνυ ξηρὸν ὂν, ἔχει ἐπίκλισιν πρὸς φθίσιν, οὔτε τὸν λογισμὸν εἰπόντι δι' ὃν τοῦτ' ἔγραψεν, οὔθ' ὅτι τἄλλα μεθ' ὧν γέγραπται τοῦτο, πάντ' ἐστὶ ψυχροτέρας τε καὶ ὑγροτέρας κράσεως γνωρίσματα. μήτι οὖν ἀντὶ τοῦ γλαυκοῦ τὸ χαροπὸν ἔγραψεν ὁ Ἱπποκράτης παρενεχθεὶς ἐν τῇ προσηγορίᾳ. τί γὰρ ἂν ἄλλό τις εἴποι; τοῦτο μὲν οὖν ἐν κοινῷ προκείσθω σκοπεῖν. ἐπὶ δὲ τὰ κατάλοιπα τῆς ῥήσεως ἴωμεν. ἐν μὲν γὰρ τοῖς φθινώδεσι νοσήμασιν ἅμα τοῖς προειρημένοις, καὶ τοὺς πτερυγώδεις ἔγραψεν, οὐ διὰ τὴν κρᾶσιν, ἀλλὰ διὰ τὴν μοχθηρὰν διάθεσιν τοῦ θώρακος ἐπιτηδείως ἔχοντας εἰς φθίσιν ἐμπεσεῖν. ἐπειδὴ δ' εἰκός ἐστι καὶ τὴν διάπλασιν αὐτοῦ τῇ συμφύτῳ θερμότητι. κατὰ δὲ τὴν τελευτὴν τοῦ περὶ τῶν φθινωδῶν λόγου προελθόντος τοῦ Ἱπποκράτους ἐπισκέψασθαι, καὶ γυναῖκες, οὕτως ἄξιον πότερον οὑτωσί πως, εἶπεν, ὡς εἰ καί τις ἔφη, καὶ τὰς γυναῖκας ἁλῶναι τοῖς φθινώδεσι πάθεσιν ὁμοίως τοῖς ἀνδράσιν, ὅσαι τῶν αὐτῶν ἦσαν εἰδῶν. ἢ καὶ χωρὶς τοῦ ταῦτ' ἔχειν τὰ γνωρίσματα, πλεονάσαι φησὶ τὸ πάθος ταῖς γυναιξὶν, ὡς ἂν ὑγροτέραις τε καὶ ψυχροτέραις οὔσαις, ὥσθ' ὅπερ ἐνίοις τῶν ἀνδρῶν διὰ τὴν ἰδίαν ἑκάστου κρᾶσιν ἐγένετο, τοῦτο πάνυ πολλαῖς τῶν γυναικῶν διὰ τὴν κοινήν. ἐμοὶ δ' οὖν ἑκάτερον δοκεῖ λόγον ἔχειν, πιθανὸν γάρ ἐστι πλείους τῶν ἀνδρῶν ἁλῶναι τὰς γυναῖκας τῷ φθινώδει πάθει διὰ τὴν κοινὴν αὐτῶν κρᾶσιν. ἐξαιρέτως τε παθεῖν αὐτὰς ὅσαι τοιαῦται τὸ εἶδος ἦσαν, οἵους κατέλεξε τοὺς ἄνδρας, ἐφεξῆς δ' εἰρηκότος αὐτοῦ τὸ μελαγχολικὸν καὶ ὕφαιμον εἶδος, ἁλῶναι μάλιστα καύσοις τε καὶ φρενίτισιν. ἀναμνησθῶμεν ὧν ἐμάθομεν, ὡς ἐν τοῖς αἷμα πολὺ καὶ θερμὸν γεννῶσιν ἕτοιμόν ἐστιν εἰς μελαγχολικὴν ἀφικέσθαι κακοχυμίαν. ἀκουστέον, οὐ τῶν ἤδη τὴν μέλαιναν ἠθροικότων πολλὴν, ἀλλὰ τῶν ἐπιτηδείως ἐχόντων πρὸς τὴν γένεσιν αὐτῆς. εἰκότως δὲ τούτους θερμοῖς ἁλῶναι συνέβη νοσήμασιν, ὡς ἂν καὶ φύσει θερμοτέρους ὄντας. ἔμπροσθεν δ' εἰρηκὼς τοῖς φθινώδεσιν ἁλῶναι νοσήμασι τοὺς φλεγματώδεις, νῦν προσθεὶς τὸ τῆς ἡλικίας αὐτοῖς, ἔφη, τεινεσμοὶ νέοισι φλεγματώδεσιν, ὡς οὐ μόνης τῆς φυσικῆς κράσεως γενομένης ἐπιτηδείου πρὸς τὸ ἐργάσασθαι τὸ τοῦ τεινεσμοῦ πάθος, ἀλλὰ καὶ τῆς ἡλικίας θερμῆς οὔσης, ἵνα διὰ δριμὺ καὶ σηπεδονῶδες φλέγμα τὸν τεινεσμὸν γεγονέναι νοήσωμεν. τῇ γὰρ πρὸς τὸ ἀπευθυσμένον ἔντερον διεξόδῳ, τὸ τοιοῦτον φλέγμα βλάβην ἑλκώδη τοῦ μέρους ἐργαζόμενον, ἐπὶ τὴν ἀπόκρισιν ἠρέθιζε συνεχῶς τοὺς κάμνοντας. τάσεις δὲ καὶ προθυμίας ἀποκρίσεως σφοδροτέρας τῶν δυσεντερικῶν οἱ τεινεσμώδεις ἴσχουσι διὰ τὸ δυσέκκριτον τοῦ φλέγματος. ἐμπλάττεται γὰρ τοῖς σώμασι παχὺ καὶ γλίσχρον ὂν, οὐχ ὥσπερ ξανθὴ χολὴ ταχέως διεξέρχεται. περὶ δὲ τῶν πικροχόλων φύσεων ἔμπροσθεν ἔλεγον, εὐλόγως αὐταῖς δριμέα μὲν εἶναι τὰ διαχωρούμενα διὰ τὴν ὠχράν τε καὶ ξανθὴν καὶ πικρὰν ὀνομαζομένην χολὴν, λιπαρὰν δὲ σύντηξιν, ἐφ' οἷς διαχωρήμασι μακρὰς διαῤῥοίας γενέσθαι, διὰ τὸ πλῆθος τῆς ἀθροισθείσης κακοχυμίας.

Ἦν δὲ πᾶσι τοῖς ὑπογεγραμμένοις χαλεπώτατον μὲν τὸ ἔαρ, καὶ πλείστους ἀπέκτεινε. τὸ δὲ θέρος ῥήϊστον, καὶ ἐλάχιστα ἀπώλλυντο. τοῦ δὲ φθινοπώρου, καὶ ὑπὸ πλειάδα πάλιν ἔθνησκον οἱ πολλοὶ τεταρταῖοι.

Τῆς ἠθροισμένης κακοχυμίας εἰς τὸ βάθος τοῦ σώματος ἀπωσθείσης, ὑπὸ τῆς τοῦ περιέχοντος ψυχρότητος, ἣν ἔν τε τοῖς ὑστάτοις τοῦ χειμῶνος καὶ τοῖς πρώτοις τοῦ ἦρος εἶχεν, εἰκότως μάλιστα μὲν τοῖς φθινώδεσιν, ὡς ἔμπροσθεν εἶπεν. ἤδη δὲ καὶ τοῖς ἄλλοις συνέβη κατὰ τὸ ἔαρ ἀπόλλυσθαι. τοῦ δὲ θέρους αἰθρίου γενομένου καὶ ξηροῦ, πάντας κουφισθῆναι. πάλιν δὲ περὶ ἀρκτοῦρον εἰς ὑγρότητα μεταβάλλοντος τοῦ περιέχοντος, εὐλόγως ἐν ὅλῳ τῷ φθινοπώρῳ μέχρι δύσεως πλειάδος ἀπέθνησκον πολλοὶ τεταρταῖοι, ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης καταστάσεως. ἔνια μὲν τῶν ἀντιγράφων προσγεγραμμένα τὸ τετάρτῃ, τινὰ δὲ τὸ τεταρταῖοι. τὰ δὲ τούτων ἔτι παλαιότερα τὸ Δ. γράμμα, ὃ μεῖζον τῶν ἄλλων γραμμάτων ἐστίν. ἔνια δ' οὐδ' ὅλως οὐδὲν ἔχει προσγεγραμμένον. ὅσοι μὲν οὖν μετὰ τοῦ ι. γράφουσι τὸ τετάρτῃ, συνεμφαίνοντες αὐτὸ κατὰ δοτικὴν πτῶσιν εἰρῆσθαι, τοιαύτην τινὰ ποιοῦνται τὴν ἐξήγησιν, ἀπέθνησκον πολλοὶ τῇ δ. τῶν ἡμερῶν. ὅσοι δὲ ἄνευ τοῦ ι. προσγράφουσιν αὐτῷ, βούλονται παραπλησίαν εἶναι ταῖς ἔμπροσθεν εἰρημέναις ἐν τῷ α. τῶν ἐπιδημιῶν βιβλίῳ καὶ δ. ὑπάρχειν τὴν κατάστασιν ταύτην, συναριθμουμένην αὐτῇ δηλονότι τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ τριῶν καταστάσεων. ἐν οἷς δ' ἀντιγράφοις ἀντὶ τοῦ τετάρτῃ, δ. μόνον προσγέγραπται,

ταὐτὸ

τοῦτο μὲν σημαίνεται τῷ τεταρτῳ. παραπλησίως δὲ τοῖς γραφεῖσιν ὑπὸ τοῦ Παμφίλου τοῦ Μνήμονος χαρακτῆρσι, καὶ αὐτὸ φαίνεται συμβολικῶς ἐπιγεγράφθαι. καὶ ταύτην γε μόνην τὴν γραφὴν ἴσασιν οἱ παλαιοὶ τῶν ἐξηγητῶν. ἔνιοι δὲ φυγεῖν τοῦτο βουλόμενοι, μεταγράψαντες ἐποίησαν τεταρταῖοι, τὴν λέξιν ὅλην οὕτως ἔχειν βουλόμενοι, καὶ ὑπὸ πλειάδα πάλιν ἔθνησκον πολλοὶ τεταρταῖοι. καὶ ὅ γε Καπίτων ταύτην μόνην ἐν τοῖς ἰδίοις ἀντιγράφοις ἐποιήσατο τὴν γραφήν. ἔοικε δὲ ψεῦδος τι δηλοῦν, αὐτὴ ἐπὶ τῶν νοσούντων, αὐτὴ ἐπὶ τῶν πυρετῶν ἀκούῃ τις. τὸ μὲν οὖν ἐπὶ τῶν νοσούντων αὐτίκα ἀπέθανον. οὐ γὰρ εἰκὸς ἦν ἐπὶ τῇ προκειμένῃ διαθέσει τοῦ χυμοῦ οὕτως ὀξέας γενέσθαι τὰς νόσους, ὡς τεταρταίους ἀποθνήσκειν τοὺς νοσοῦντας. τὸ δ᾽ ἐπὶ τῶν πυρετῶν, πιθανόν, ὅτι τε πολλῷ χρόνῳ κατωπτημένης τῆς παχείας ὕλης, εἰκὸς ἦν εἰς μελαγχολικὸν περίττωμα μετάπτωσιν γενέσθαι, καὶ ὅτι τοῦ ἔτους ἡ ὥρα φθινόπωρον ἦν. ἀλλ᾽ οὐκ αὖ ἀπέθνησκον πολλοὶ τεταρταίων πυρετῶν πλεονασάντων. καὶ γὰρ ἡμεῖς ἀκίνδυνον ἴσμεν ὅσον ἐφ᾽ ἑαυτῷ τὸν πυρετὸν τοῦτον ὡς ὁ Ἱπποκράτης ἀπεφήνατο περὶ αὐτοῦ.

10

Περὶ τῶν ἐν τέλει τοῦ βιβλίου γεγραμμένων.

Μετὰ τὴν λοιμώδη κατάστασιν ἀρρώστων ἐστὶν ἑκκαίδεκα διήγησις ἄχρι τοῦ τέλους τοῦ βιβλίου. κἄπειτα προσγέγραπται ἄνα περὶ ὧν ὀρθῶς μοι δοκεῖ γινώσκειν ὁ Διοσκορίδης, ἀξιῶν αὐτὰ μετὰ τὴν κατάστασιν εὐθέως γεγράφθαι. ἐν κατά γε τὴν ἰδίαν ἔκδοσιν ἐν τούτῳ τῷ χωρίῳ τοῦ συγγράμματος ἔταξεν αὐτά, καὶ ἡμεῖς οὖν ἐνταῦθα τὴν ἐξήγησιν αὐτῶν ποιησόμεθα, τοσοῦτον προειπόντες ὡς φαίνεταί μοι καὶ ταῦτα προσγεγράφθαι τις ἕτερος, οὐκ αὐτὸς ὁ Ἱπποκράτης γεγραφέναι. δοκεῖ δέ μοι κατὰ λόγον προσωφελῆσαι τὸ γενόμενον θέρος. τὰς γὰρ θερινὰς νόσους χειμὼν ἐπιστὰς λύει, καὶ τὰς χειμερινὰς θέρος ἐπιγινόμενον. θέρος δὲ οὐκ εὐσταθῶς ἐγένετο. καὶ γὰρ ἐξαίφνης θερμὸν καὶ νότιον καὶ ἄπνουν, ἀλλ᾽ ὅμως πρὸς τὴν ἄλλην κατάστασιν ἀνταλλάξαν ὠφελῆσαι. ἀναμνησθῶμεν δὲ ἃ περὶ τοῦ θέρους ἐν τῇ τῆς καταστάσεως διηγήσει γέγραπται κατὰ λέξιν ὧδε. θέρος αἴθριον, θερμόν, πνίγεα μεγάλα, ἐτήσια μικρὰ »
διεσπασμένως ἔπνευσαν. εἰκότως οὖν ἐμετρίασεν ἐν τῷ θέρει τὰ νοσήματα, κατὰ πλεονεξίαν τοῦ ὡς εἴρηται γεγονό-

20

των χυμῶν, συστάντα δ᾽ ἐν ἀρχῇ μάλιστα τοῦ ἦρος, ἐπεὶ ψυχρὸν γενόμενον ἀπέστρεψεν εἰς τὸ βάθος τοῦ σώματος τοὺς χυμούς. αὐχμηρὸν γὰρ καὶ θερμὸν τὸ θέρος ἐπιγενόμενον, εἵλκυσέ τε ἅμα πρὸς τὸ δέρμα τὴν κακοχυμίαν, καίτοι καὶ διεφόρησεν αὐτῆς οὐκ ὀλίγον. εἰ δὲ καὶ τοὺς ἐτησίους ἐχέχει πνέοντας, ἀκριβῶς αὖ ἡ νοσώδης ἐν τῷ σώματι τῶν τότε ἀνθρώπων διάθεσις ἐξεκέκοπτο. παραμένοντος δ᾽ αὐτῆς μέρους τινός, εἶτα περὶ ἀρκτοῦρον ἐν βορείοις πολλῶν ὑδάτων γενομένων, ἐπεχέθησαν τε πάλιν οἱ λίαν διαπνεόμενοι χυμοί, καὶ πρὸς τὸ βάθος τοῦ σώματος ἀπεώσθησαν. ἐκ τούτου δὲ νοσεῖν αὖθις ἤρξαντο καὶ ἀποθνήσκειν πολλοί. διὰ τοῦτ᾽ οὖν τὸ θέρος ὠφέλησε τοὺς τότε πάσχοντας, οὐχ ὅτι τὰς ἐν χειμῶνι νόσους ἀρξαμένας εἰκὸς ὑπὸ παύεσθαι θέρους. ἀληθὲς μὲν γὰρ ὥσπερ γε καὶ τὰς θερινὰς χειμῶνι γενομένας, ἐν θέρει λύεσθαι, τὰς δ᾽ ἐν θέρει γεννηθείσας, ἐν χειμῶνι. θερινὰς γὰρ καὶ χειμερινὰς νόσους ἀκούειν χρὴ τὰς ἐν τῷ κατὰ φύσιν ἔχοντι, θέρει καὶ χειμῶνι μᾶλλον τῶν ἄλλων γιγνομένας. οὕτως γὰρ εἶπεν αὐτὸς ἐν ἀφορισμοῖς. νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι καὶ γίγνεται καὶ παροξύνεται. μᾶλλον δὲ ἔνια κατ᾽ ἐνίας αὐτῶν καὶ γίνεται καὶ παροξύνεται. κἄπειτα ἐξῆς ἄνα μὲν ἦρι πλεονάζει νοσήματα, ἄνα δ᾽ ἐν θέρει καὶ φθινοπώρῳ καὶ χειμῶνι, δῆλον, ὅταν δηλονότι μὴ νεωτεροποιηθῇ τι κατὰ τὴν τοῦ περιέχοντος κρᾶσιν. ὡς ἐάν γε τοῦ ἦρος τὴν αὐτῆς ἡμέρης ὅτε μὲν θάλπος, ὅτε δὲ ψύχος ποιέῃ, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι φησίν. οὐ γὰρ αἱ προσηγορίαι τῶν ὡρῶν, ἀλλ᾽ αἱ κράσεις αἰτίαι τῆς ἰδέας τῶν νοσημάτων εἰσίν. ὅταν οὖν ὑπαλλαχθῶσιν αὐταί, καὶ τὰς νόσους αὐταῖς συμμεταβάλλειν ἀναγκαῖόν ἐστιν. ἡ δέ γε προκειμένη ῥῆσις, ἀξιοῖ τὰς ἐν χειμῶνι γεγονυίας νόσους ἐν θέρει παύεσθαι, κἂν μοχθηρὸν τῇ κράσει γένηται τὸ θέρος. οἷον ἐν κρανῶνι γενόμενον ποτέ, εὐθέως ἄνθρακας ἐγέννησεν. εἰ δέ γε καὶ νῦν ἐγεγόνει τοιοῦτο, πλέους αὖ διεφθάρκει τὸ πλῆθος τῶν μοχθηρῶν τε καὶ διασηπομένων χυμῶν, αὐξῆσαντι καὶ προδιασήψαν, ὥστε καὶ ψεῦδος ἂν φαίνεται, καὶ παρὰ τὴν Ἱπποκράτους γνώμην, τὸ τὰς ἐν χειμῶνι γενομένας νόσους ἐν θέρει παύεσθαι πάντως, τοῦ προσγράψαντος αὐτό, τινὰς Ἱπποκράτης ἡγεῖται τῶν ὡρῶν ἑκάστης οἰκείας νόσους νοσήσαντας. ὁ μὲν οὖν δὲ τὰ τούτων ἐφεξῆς γεγραμμένα τῶν ἀναγκαίων ἐστὶν ἐν τοῖς ὧδε λελέχθαι δι᾽ ἄλλων αὐτῷ καθόλου περιηγγελμένα, διὸ καὶ παραλείψω τελέως αὐτά. καὶ γὰρ σαφῆ πάντα ἐστί, καὶ δι᾽ ὧν προεξήγημαι βιβλίων, αὐτάρκως εἴρηται περὶ αὐτῶν.

30

40

Περὶ τῶν μετὰ τὴν κατάστασιν ἀρρώστων.

Ἑκκαίδεκα μετὰ τὴν κατάστασιν ἀρρώστους ἔγραψεν ὁ Ἱπποκράτης, ὡς μὲν ἔνιοι οἴονται τῶν ἐν αὐτῇ νοσησάντων, ἐπειδὴ καὶ αὐτὸς εἶπεν ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως τῶν κατ᾽ αὐτὴν γενομένων οὕτως. ἦν δὲ πᾶσι τοῖς ὑπογεγραμμένοις χαλεπώτατον μὲν τὸ ἔαρ. ἐγχωρεῖ δὲ καὶ ἐπὶ τῶν προγεγραμμένων εἰρῆσθαι τὸ ὑπογεγραμμένον, οὔσης γε τοιαύτης χρήσεως παρὰ τοῖς πολλοῖς. ἐν γὰρ τοῖς ιϛ. τούτοις ἀρρώστοις ἕτερον εἶδος ἐστὶ νόσων παρὰ τὰς εἰρημένας ὑπ᾽ αὐτοῦ κατὰ τὴν λοιμώδη κατάστασιν. ἐξηγήσεως δ᾽ οὐκέτι δεῖται μακρᾶς τὰ περὶ τῶν ἀρρώστων τούτων γεγραμμένα τοῖς μεμνημένοις ὧν προεξηγησάμεθα. σχεδὸν γὰρ ἁπάντων ἤδη τῶν συμπτωμάτων τε καὶ σημείων ὧν ἐμνημόνευσεν ὁ Ἱπποκράτης οὐδὲν ὑπολείπεται κατὰ τοὺς λεχθησομένους ἀρρώστους ὃ μὴ καὶ πρόσθεν εἴρηται. διὰ κεφαλαίων οὖν οἷον ἐπιδρομήν τινα ποιησόμεθα τῶν κατ᾽ αὐτοὺς γεγραμμένων, ἄν τι παραλείπηται τῶν ἔμπροσθεν εἰρημένων, ἐκεῖνο μόνον ἐξεργασάμενος.

50

Ἐν Θάσῳ τὸν Παρίωνος ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξύς, κατ᾽ ἀρχὰς συνεχής, καυσώδης, διψώδης, ἀρχόμενος κωματώδης, καὶ αὖθις ἄγρυπνος, κοιλίη ταραχώδης, ἐν ἀρχῇσιν οὖρα λεπτά. ἕκτῃ οὔρησεν ἐλαιώδεα, παρέκρουσεν. ἑβδόμῃ παρωξύνθη πάντα, οὐδὲν ἐκοιμήθη, ἀλλ᾽ οὖρα τε ὅμοια, καὶ τὰ τῆς γνώμης ταραχώδεα, ἀπὸ δὲ κοιλίης χολώδεα, λιπαρὰ διῆλθεν, εἶτα τῇ ὀγδόῃ σμικρὸν

ἀπὸ ῥινῶν ἔσταξεν, ἤμεσεν ἰώδεα, ὀλίγα, σμικρὰ ἐκοιμήθη. ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ πάντα ξυνέδωκεν. ἑνδεκάτῃ ἵδρωσεν οὐ δι' ὅλου. περιέψυξε μέν, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. δωδεκάτῃ πυρετὸς ὀξύς, διαχωρήματα χολώδεα, λεπτά, πολλά, οὔροισιν ἐναιώρημα, παρέκρουσεν. ἑπτακαιδεκάτῃ ἐπιπόνως, οὔτε γὰρ ὕπνοι, οὔτε πυρετὸς ἐπέτεινεν. ὀγδόῃ ἵδρωσεν δι' ὅλου, ἄγρυπνος, διαχωρήματα χολώδεα, ἀπόσιτος, κωματώδης. εἰκοστῇ τετάρτῃ ὑπέστρεψεν. τριακοστῇ τετάρτῃ ἄπυρος, κοιλίη οὐ ξυνίστατο, καὶ πάλιν ἀνεθερμάνθη. τεσσαρακοστῇ ἄπυρος, κοιλίη οὐ ξυνέστη χρόνον οὐ συχνόν, ἀπόσιτος, σμικρὰ πάλιν ἐπύρεξεν, καὶ διὰ παντὸς πεπλανημένως, ἄπυρος, τὰ μὲν τὰ δὲ οὔ. εἰ γάρ τοι διαλείποι καὶ διακουφίσαιεν, πάλιν ὑπέστρεφεν, σιτίοισί τε πολλοῖσιν καὶ φαύλοισι προσεχρῆτο. ὕπνοι κακοὶ περὶ τὰς ὑποστροφάς, παρέκρουσεν, οὖρα πάχος μὲν ἔχοντα, οὖρει τηνικαῦτα, ταραχώδεα δὲ καὶ πονηρά. καὶ τὰ τῆς κοιλίης ξυνιστάμενα, καὶ πάλιν διαλυόμενα, πυρέτια ξυνεχέα, διαχωρήματα πολλά, λεπτά. ἐν μὲν τῇ ἑκατοστῇ εἰκοστῇ ἡμέρῃ ἀπέθανεν. τούτῳ κοιλίη συνεχέως ἀπὸ τῆς πρώτης ὑγρὴ χολώδεσιν, ὑγροῖσι, πολλοῖσιν ἦν. ἢ ξυνισταμένη ἐν ζέουσι καὶ ἀπέπτοισιν, οὖρα διὰ τέλεος κακά, κωματώδης τὰ πλεῖστα μετὰ πόνων, ἄγρυπνος, ἀπόσιτος, συνεχέως καῦσος.

Περιέργως κἀνταῦθα πάλιν τῶν ἐξηγητῶν ἔνιοι τὴν πατρίδα τοῦ κατακειμένου φασὶν οὐκ ἀργῶς προσκεῖσθαι. καὶ γὰρ οὐκ Ἀσκληπιάδου λελέχθαι τοὺς ἐν Παρίῳ μάλιστα ὑπὸ φλεβοτομίας ὀνίνασθαι. ἄτοπον δ' οὐδὲ μηδὲν εἰρηκότα Ἱπποκράτην ἐνταῦθα περὶ φλεβοτομίας, διὰ τοῦθ' ἡγεῖσθαι προσγεγράφθαι τῷ κάμνοντι τὸ τῆς πατρίδος ὄνομα. πολὺ δ' ἀτοπώτερον οἱ οὕτως ἐξηγούμενοι ποιοῦσιν, ὅτι μηδ' ἐζήτησαν ποτέ, διατί φλεβοτομίας ἅπαξ ὁ Ἱπποκράτης ἐμνημόνευσεν ἐν τοσούτοις ἀρρώστοις, ὅπερ ἡμεῖς ἐσκεψάμεθα. τὰ μὲν οὖν τοιαῦτα παραλείψομεν, ἃ δ' ὠφέλειαν παρέξει τοῖς νέοις ἀκουσθέντα, ταῦτ' ἐροῦμεν. ὥσπερ ἀμέλει τὸ περὶ τοῦ ἐλαιώδους οὔρου γεγραμμένον κατὰ τὸν προκείμενον ἄρρωστον ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν. ἔνιοι μὲν γὰρ ἡγοῦνται τὸ λιπαρὸν οὕτως ὑπ' αὐτοῦ λελέχθαι, τηκομένης πιμελῆς γιγνόμενον ἐν πυρώδει καὶ διακαεῖ νοσήματι, τινὲς δὲ τὸ καὶ τῇ χροιᾷ καὶ τῇ συστάσει παραπλήσιον ἐλαίῳ. πολλάκις δὲ τοιοῦτον οὖρον ἐθεασάμην οὐρηθὲν ἐπ' οὐδενὶ κακῷ τοῦ κάμνοντος, ἀλλ' ἔσθ' ὅτε γε τοὐναντίον ἅπαν ἐπὶ πέψει τοῦ νοσήματος. οὐ μὴν οὐδ' ὤφθη ποτ' οὖρον ὅλον οὕτω λιπαρὸν ὡς ἔλαιον. ὃ γὰρ ἄρτι διῆλθον, οὖρον ἐοικὸς ἐλαίῳ κατὰ χροιὰν καὶ σύστασιν, ἥκιστα λιπαρὸν φαίνεται. καὶ αὐτὸς δὲ ὁ Ἱπποκράτης ἐν προγνωστικῷ φησι, καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας ἐπισκέπτεσθαι, συντήξεως γὰρ σημεῖον. ἄνωθεν μὲν οὖν ἐφισταμένας λιπαρότητας εἴδομεν πολλάκις, οὔτε δ' ὅλον οὐρηθὲν ποτὲ τοιοῦτον οὖρον, οὔτε κατὰ τὸ μέσον αὐτοῦ λιπαρότητας ἐμφερομένας. πολὺ δ' ἔτι μᾶλλον, οὐδ' ὑποχωρούσας κάτω. φύσιν γὰρ ἔχει τὸ λιπαρὸν ἅπαν ἐποχεῖσθαι τοῖς ἄλλοις ὑγροῖς. οὐ μὴν οὐδ' ἔγραψέ τι περὶ τοιούτων οὔρων ὁ Ἱπποκράτης ἐν προγνωστικῷ, καίτοι πάντα διελθὼν ἀκριβῶς τε καὶ σαφῶς τὰ συνεμπίπτοντα τοῖς ὀξέσι νοσήμασι. καὶ μέντοι καὶ κατὰ τὴν αὐτὴν ἡμέραν τὴν ς΄. ἔφη διαχωρήματα γενέσθαι τῷ προκειμένῳ κατὰ λόγον ἀρρώστῳ, χολώδεα λιπαρά. ταῦτα μὲν οὖν ἄντικρυς φαίνεται τηκομένης ὑπὸ τοῦ πυρετοῦ τῆς πιμελῆς γίνεσθαι, καὶ δόξει μαρτυρεῖν τοῖς λιπαρὰ νομίζουσιν εἶναι τὰ ἐλαιώδη οὖρα. δύναται δὲ καὶ πρὸς τοὐναντίον ἄγεσθαι. καὶ γὰρ τὰ οὖρα λιπαρὰ πάντως ἂν ὁ Ἱπποκράτης εἶπεν, εἴπερ ἦν, καὶ ταῦτα ἐλαίῳ παραπλήσια. διαφόροις δὲ τοῖς ὀνόμασι χρησάμενος, ἐπί τε τῶν οὔρων καὶ τῶν διαχωρημάτων, ἐπιδείκνυσθαι δόξει καὶ τὸ σημαινόμενον αὐτῶν ἴδιον ἑκατέρου πεποιῆσθαι. ἐμοὶ μὲν οὖν εὐλογώτερον εἶναι δοκεῖ τὰ παραπλήσια κατὰ χρόαν τε καὶ σύστασιν ἐλαίῳ λελέχθαι νῦν ἐλαιώδη. τὴν δ' ἐξήγησιν ἑκατέρως ποιήσομαι. εἰ γὰρ καὶ λιπαρότητά τινα εἶχε τὰ οὖρα, καθάπερ καὶ τὰ διαχωρήματα, μοχθηρὰ μὲν αὐτὰ νομιστέον, οὐ μὴν ὀλέθριά γε πάντως, ὅτι μὴ ταὐτόν ἐστι σάρκα τε καὶ πιμελὴν συντήκεσθαι. πυρωδεστάτης μὲν οὔσης θερμασίας τῆς τὰς σάρκας συντηκούσης, μετριωτέρας δὲ τῆς τὴν πιμελήν, ἀμέλει καὶ τὰς διὰ τῆς γαστρὸς ἐκκρινομένας συντήξεις, ἅπαντες οἱ ἰατροὶ διαφέρειν ἡγοῦνται τῶν λιπαρῶν διαχωρημάτων. κατά γε τὸν ἐφ' ἡμῶν γενόμενον μακρότατον λοιμόν, ἅπαντες σχεδόν τι συντήξεις ἐξέκριναν, ἔνιοι μὲν ἀκριβῶς πυρράς, ἔνιοι δὲ μετρίως, ἅπαντες δὲ δυσώδεις. ἀλλ' αἵ γε τοιαῦται διαχωρήσεις θανατώδεις εἰσί, καὶ χρόνον οὐκ ἀναμένουσιν. ὁ δὲ Πάριος οὗτος κ΄. ἐπὶ ταῖς ἑκατὸν ἡμέραις ἐνόσησε μετὰ τοῦ διαιτᾶσθαι κακῶς. αὐτὸς γὰρ ὁ Ἱπποκράτης ἔγραψεν ἐπ' αὐτοῦ, σιτίοισί τε πολλοῖσι καὶ φαύλοισι προσεχρῆτο, ὥστε καὶ λιπαρὸν οὐρῆσαι κατὰ τὴν ς΄. ἡμέραν καὶ τὰς ἐφεξῆς, οὐκ ἀναγκαῖον οὖν ἀποθανεῖν αὐτὸν ἐν τάχει. εἰ δ' οὐ λιπαρὸν ἦν τὸ οὖρον, ἀλλὰ κατά τε χρόαν καὶ πάχος ἐλαίῳ παραπλήσιον, ἔτι καὶ μᾶλλον οὐκ ἀποθανεῖν αὐτὸν ὅλως εὔλογον ὅσον ἐπὶ τοῖσδε τοῖς οὔροις. ὅ γε μὴν ἐπὶ τοῖς οὕτως οὐρουμένοις παραφυλάξαι χρησιμώτατον ἄν, ἤδη φράσω. καθάπερ γὰρ αὐτὸ τὸ ἔλαιον οὐκ ἀκριβῶς μίαν, οὔτε σύστασιν οὔτε χρόαν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον οὔτε τὸ ἐλαιῶδες οὖρον ὠχρὸν μὲν ἦν πάντως, ἀλλ' ἤτοι μᾶλλον ἢ ἧττον. ὅσον μὲν οὖν αὐτοῦ πρὸς τὸ λευκότερον ῥέπει χρῶμα τῆς ὠχρᾶς χρόας ἐκλελυμένης, ὠμότητα χυμῶν ἐνδείκνυται. τὸ δ' ἐπιτεταμένον ὠχρὸν ὡς ἐγγὺς εἶναι τῆς ξανθῆς χολώδη θερμασίαν. καὶ τοίνυν ὁ κίνδυνος ἐπὶ τοῖς τοιούτοις οὔροις, οὐ διὰ κακοήθειαν, ἀλλὰ διὰ σφοδρότητα γίνεται τοῦ πυρετοῦ, καί τινες αὐτῶν ὅταν ἐκ τῶν ἄλλων ἁπάντων ἔχωσι σωτηρίως, ἐν τάχει κρίνονται. θαυμαστὸν οὖν οὐδέν, εἰ ταῦτά τις οὐρήσας, εἰς χρόνου μῆκος ἐξέπεσεν, ὁποτέρως ἂν ἀκούσωμεν τοῦ

ἐλαιωδῶν, ἐστὶ μὲν γὰρ οὐκ ἀγαθὰ τὰ τοιαῦτα τῶν οὔρων, οὐ μὴν ὀλέθρια ὀξέως. ἐξ ὧν δ' ἐπὶ τῷ τέλει τῆς διηγήσεως ἔγραψε, κακοχυμία τε τὶς ἦν τῷ ταρίῳ χολώδης, ἥ τε κατὰ γαστέρα καὶ ἡ καθ' ἧπαρ ἐνεκρῶτο δύναμις. αὐτὸς γὰρ ἔγραψεν ἐπὶ τῇ τελευτῇ τῆς ὅλης διηγήσεως τῶν συμβαινόντων αὐτῷ, συνεχῶς μὲν ἀπὸ τῆς ἀρχῆς τὴν κοιλίαν ἐκταραχθῆναι, χολώδεσί τε καὶ ὑγροτέροις διαχωρήμασι. συνίστασθαι δ' ἐνίοτε ζέοντα καὶ ἄπεπτα διαχωροῦσαν. ἐκ τούτων μὲν οὖν ἔνδειξίς σοι τῆς κακοχυμίας τοῦ νοσήματος, ὥσπερ γε κἀκ τοῦ καυματώδη τε καὶ ἄγρυπνον αὐτὸν γενέσθαι μετὰ πλεῖστα τῆς νόσου. τοῦ δὲ νεκροῦσθαι τὴν φυσικὴν δύναμιν αὐτοῦ σημεῖον ἴδιον, ἡ τοῦ νοσήματος ἀνορεξία γινομένη. μεμάθηκα γὰρ ὡς ἀποσίτους καὶ μετὰ τὸ παλαιὸν ἔθος τῶν ἑλλήνων τοὺς ἀνορέκτους φησί. φαίνεται γε μὴν ἄῤῥωστον ἐσχηκυῖαι τὴν φύσιν, ἐγχειρήσασαν μὲν τῇ κρίσει, πολλάκις δὲ οὐδὲν ἀνύσασαν, ἀλλὰ ὑπὸ τοῦ νοσήματος νικηθεῖσαν, ἅμα καὶ τῷ κακῶς διαιτᾶσθαι τὸν ἄνθρωπον. οὐδὲν γὰρ οὐδὲ τοῦτο μικρὸν εἰς ὄλεθρον. ὁ δὲ τῶν κρισίμων ἡμερῶν λόγος ἀκριβῶς κἀνταῦθα φαίνεται πεφυλαγμένος, ἁπασῶν τῶν κρισίμων κινήσεων ἐπί τε τῶν ὑποστροφῶν ἐν ταύταις ταῖς ἡμέραις τῷ κάμνοντι γινομένων. ιαʹ. γὰρ ἐμνημόνευσε καὶ ιδʹ. καὶ μετὰ ταύτην ιζʹ. καὶ κʹ. ἐφ' ἣ δʹ. καὶ κʹ. καὶ λʹ. καὶ μʹ. ὑστάτης δὲ ἁπασῶν ςʹ. καὶ κʹ. ἐν ᾗ φησὶν ἀποθανεῖν τὸν ἄνθρωπον. ὅπερ δ' ἐν τοῖς πρόσθεν εἶπον ἐρῶ καὶ νῦν, εἴ τις ἐλέγχοι τὰ εἰρημένα κακῶς τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὡς μακρολόγως ψεχθήσεται. διὸ καθάπερ ἐπ' ἐκείνων ἕνεκα παραδείγματος μνημονεύειν τινῶν ἠναγκάσθην, οὕτω κἀνταῦθα ποιήσω. Σαβῖνος τοίνυν περὶ τῆς πατρίδος τοῦ κάμνοντος ἔτι εἶπεν, ἔμπροσθεν ὑπεσημηνάμην. ἃ δὲ περὶ ἐλαιωδοῦς οὔρου νῦν ἐρῶ. διαφέρει γὰρ οὐκ εἰς μικρὸν ἡ περὶ τούτου θεωρία, γράφει δὴ περὶ αὐτῶν κατὰ λέξιν ὧδε. τὸ οὖν ἐλαιῶδες τινὲς χολὴν λέγουσιν ἀλλ' οὐκ ἔστι χολή. ἐπεὶ οὐδ' αὖ πάνυ ἦν ὀλέθριον, πολλάκις γὰρ ἀπαλλάσσεται χολὴ καὶ οὐδὲν παραλυπεῖ. ἕτεροι δὲ λέγουσι νεύρων καὶ ὀστῶν καὶ χόνδρων εἶναι τηκεδόνα, ἅπαντα γὰρ ταῦτα τούτου εἶναι τοῦ χρώματος. πεπλανημένοι δ' εἰσὶν οὗτοι, οἱ τὸ χρῶμα τὸ ἐλαιῶδες ὅμοιον ὀστοῖς καὶ χόνδροις καὶ νεύροις φάσκοντες εἶναι. οὔτε γὰρ τοσαύτη γε παράτασις ἐγίνετο τῆς ζωῆς τῶν στερεῶν ἀναλυομένων, ἑκατοστῇ γὰρ καὶ κʹ. ἀπέθανε, οὔτε ἀπέθανεν τις τοιοῦτον οὐρήσας. καὶ μή ποτε διὰ τοῦτο ἀνέγραψεν ὁ ἄῤῥωστος, ἵνα δείξῃ διὰ τοῦτο ὅτι οὐ χρὴ προσδοκᾶν θάνατον ἐλαιώδους ἀπουρηθέντος, ἀλλὰ δυνατὸν τὴν ὀξύτητα καὶ χρόνον τινὰ διαρκέσαι, ἔπειτα τελευτῆσαι, ὥστε οὐδεὶς ἦν ἐλπὶς σωθήσεσθαι ὑποβεβηκότα τὴν ὀξύτητα. ταῦτα προειπὼν ὁ Σαβῖνος, ἐφεξῆς γράφει. τί οὖν ἐστι τὸ ἐλαιῶδες, ὥσπερ τῷ ἔξω πυρὶ τροφή ἐστι τὸ ἔλαιον, οὕτω καὶ τῇ ἡμετέρᾳ φύσει πυρὶ ὁμοιουμένῃ τὸ στέαρ, τῶν λαμβανομένων πεσσόμενον ἐστὶ τροφή. τὸ οὖν ἐλαιῶδες οὖρον, ἡ τροφή ἐστι τῆς φύσεως. καὶ δηλοῖ ἀσιτεῖν τὴν φύσιν, καὶ διὰ τοῦτ' ἄρ' ἀποθανεῖν, ὅτι μὴ τρέφεται ἡ φύσις. ἐχρόνισε δ' οὕτως εἰκότως τὸ † διά μοι ... ραν καὶ μὴ πᾶσαν φέρεσθαι τῆς φύσεως τροφήν. αὕτη μὲν οὖν ἡ τοῦ Σαβίνου ῥῆσις, ἀξιοῦντος ὥσπερ τὸ ἐκτὸς τοῦτο πῦρ ἀπὸ τοῦ ἐλαίου τρέφεται, οὕτω καὶ τὸ ἐν ἡμῖν θερμὸν, ὥστ' ἔλαιον ἐστί ποτε τοῖς βουλομένοις ἑαυτοὺς ἀναζεῦξαι, πρὸς τὸ καὶ τάχα χρόαν μὲν καὶ σύστασιν ἐοικέναι τὸ ἐλαιῶδες οὖρον τῷ ἐλαίῳ, μήτε δὲ κατὰ τὴν λιπαρότητα, μήτε κατὰ τὴν ὀσμὴν ἢ τὴν γεῦσιν. ἄξιον οὖν θαυμάσαι τῶν τὰ ἀλλότρια μὲν κακῶς ἐξελεγχόντων, ἀπερισκέπτως δὲ τὰ δόξαντα ἑαυτοῖς γραφόντων.

† διὰ τὸ μετ

Ἐν Θάσῳ τὴν κατακειμένην περὶ τὸ ψυχρὸν ὕδωρ ἐκ τόκου θυγατέρα τεκοῦσαν, καὶ καθάρσεως οὐ γινομένης, πυρετὸς ὀξὺς, φρικώδης φιταίην ἔλαβε. ἐκ χρόνου δὲ πολλοῦ πρὸ τοῦ τόκου πυρετώδης ἦν, κατακλινὴς, ἀπόσιτος. μετὰ δὲ τὸ γινόμενον ῥῖγος, ξυνεχέες, ὀξέες, φρικώδεες οἱ πυρετοί. ὀγδόῃ πολλὰ παρέκρουσεν, καὶ τὰς ἐχομένας. καὶ ταχὺ πάλιν κατενόει, κοιλίη ταραχώδης πολλοῖσι λεπτοῖσιν, ὑδατοχόλοις, ἄδιψος. ἑνδεκάτῃ κατενόει, κωματώδης δὲ ἦν, οὖρα πολλὰ, λεπτὰ, καὶ μέλανα, ἄγρυπνος. εἰκοστῇ περιέψυξε, καὶ ταχὺ πάλιν ἀνεθερμάνθη. μικρὰ παρέλεγεν, ἄγρυπνος, τὰ κάτω κοιλίης ἐπὶ τῶν αὐτῶν, οὖρα ὑδατώδεα, πολλὰ εἰκοστῇ ἑβδόμῃ ἄπυρος, κοιλίη ξυνέστη. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη ἰσχυρὴ, χρόνον πολὺν πυρετοὶ πάλιν παρεῖποντο, καὶ οὖρα ὑδατώδεα. τεσσαρακοστῇ τὰ μὲν περὶ τὸ ἰσχίον ἐπεκούφισεν. βῆχες δὲ ξυνεχέες, ὑγραὶ, πολλαὶ, κοιλίη ξυνέστη, ἀπόσιτος, οὖρα ἐπὶ τῶν αὐτῶν. οἱ δὲ πυρετοὶ τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, πεπλανημένως δὲ παροξυνόμενοι, τὰ μὲν τὰ δὲ οὔ. ἑξηκοστῇ αἱ μὲν βῆχες ἀσήμως ἐξέλιπον. οὔτε γὰρ τις πτυάλων πεπασμὸς ἐγίνετο, οὔτε ἄλλη τῶν εἰθισμένων ἀπόστασις. σιαγὼν δὲ ἡ ἐκ τῶν ἐπὶ δεξιὰ, κατεσπάσθη, κωματώδης, παρέλεγε πάλιν, καὶ ταχὺ κατενόει. πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν. ὁ σιαγὼν μὲν ἐπανῆκεν, ἡ κοιλίη δὲ χολώδεα σμικρὰ διέδωκεν, ἐπύρεσσεν ὀξυτέρως, φρικώδης, καὶ τὰς ἐχομένας ἄφωνος. καὶ πάλιν κατενόει καὶ διελέγετο, καὶ ὀγδοηκοστῇ ἀπέθανε. ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα, καὶ λεπτὰ, καὶ ὑδατώδη, καὶ καῦμα παρείπετο, ἄσιτος, ἄθυμος, ἄγρυπνος, ὀργαὶ, δυσφορίαι, τὰ περὶ τὴν γνώμην μελαγχολικά.

Ἄξιον ἐπισημήνασθαι, πῶς οὐδὲν εἶπον οἱ περὶ τὸν Σαβῖνον περὶ τοῦ, παρὰ τὸ ψυχρὸν ὕδωρ. ἐνὸν αὐτοῖς εἰπεῖν ὅτι

διὰ τοῦτο καταψυχθέντι τῷ γυναίῳ νοσῆσαι συνέβη. πολλῷ γὰρ ἦν τοῦτο πιθανώτερον τῶν εἰρημένων εἴς τε τὸν πάσχοντα, καὶ τὸν ἐν τῷ κήπῳ κατακείμενον παρὰ τῷ Ἀρτεμισίῳ, καὶ τὸν παρὰ τὸ τεῖχος κατοικοῦντα. φαίνεται δ' οὖν ἐπισχεθείσης τῆς κατὰ τὸν τόκον καθάρσεως γενέσθαι τῇ γυναικὶ καὶ ἡ νόσος. νοσώδης μὲν γάρ ἐστιν ἡ τῶν καταμηνίων ἐπίσχεσις. ἀλλ' οὐχ ὁμοίως βλαβερὰ τῇ μετὰ τὸν τόκον, ὅτι μὴ μόνον αὕτη πλῆθος, ἀλλὰ καὶ κακοχυμίαν ἱκανὴν ἐργάζεται. τὸ μὲν γὰρ χρηστότερον αἷμα τὸ ἔμβρυον ἕλκον εἰς ἑαυτὸ τροφῆς ἕνεκα, καταλείπον δὲ τὸ φαυλότερον, αἴτιον γίγνεται τῆς κακοχυμίας ταῖς κυούσαις, ἣν μετὰ τὸν τόκον ἡ φύσις ἐκκενοῖ. ἐπὶ τοῦτ' ἐννοήσαντες οἱ παλαιοὶ, λοχίων κένωσιν, τὴν γινομένην μετὰ τὸν τόκον ἔκκρισιν τοῦ αἵματος προσηγόρευσαν. ἔστι μὲν οὖν καὶ ἡ κατὰ μῆνα κένωσις οὐ μόνον κένωσις, ἀλλὰ καὶ κάθαρσις, οὐ μὴν οὔτ' ἴσον τὸ πλῆθος τῆς κακοχυμίας, οὔτ' ἐν ἴσῳ χρόνῳ ταῖς μηνιαίαις ἀθροίζεται περιόδοις, ὅσον ἐν τῷ τῆς κυήσεως χρόνῳ. ἐπὶ τὸ πλεῖστον δὲ μελαγχολικὸν αἷμα φαίνεται τὸ κενούμενον αὐταῖς ἐστι μετὰ τὸν τόκον, ὥστε καὶ τὰ οὖρα πάσαις ὁρᾶται κεχρωσμένα, καθάπερ ἀσβόλης τινὸς ἐμπεπλωκυίας αὐτῆς, ὅπερ ἀμέλει κἀπὶ ταύτης τῆς γυναικὸς ἔγραψεν ὁ Ἱπποκράτης ἐπὶ τῆς ια. ἡμέραις εἰπὼν, οὖρα πολλὰ, λεπτὰ, μέλανα. ἐπὶ οἶδά γε τινὰ διὰ τοιούτων οὔρων πολλῶν ἐκκενωθέντων ὠφεληθείσας, ἄλλοτε δὲ ταύτης οὐκ ἐξεκενώθη τὸ τοιοῦτον. μετέπεσε γὰρ αὖ αὐτοῖς εἰς τὸ ὑδατῶδες τὰ οὖρα πολλὰ, λεπτὰ, μέλανα. γέγραπται οὖν ἐν τῇ τῆς κ. ἡμέρας διηγήσει, οὖρα ὑδατώδεα, πολλὰ, κακά. εἶτα πάλιν ἐν τῇ μ. οὖρα περὶ τῆς αὐτῶν. οὐ μὴν οὐδὲ ἄλλη τις αὐτῇ κένωσις ἢ ἀπόστασις ἐγένετο, καὶ διὰ τοῦτο χρόνῳ πολλῷ νοσήσασα, μετὰ τὴν ὀγδοηκοστὴν ἡμέραν ἀπέθανεν. αὐτὸς γοῦν ὁ Ἱπποκράτης ἔγραψεν οὕτω, οὔτε γὰρ πτυέλων τις πεπασμὸς ἐγένετο, οὔτ' ἄλλη τις τῶν εἰθισμένων ἀπόστασις, καίτοι πειραθείσης τῆς φύσεως δυνάμεως τὸ περιττὸν ἀποθέσθαι περὶ τὸ ἰσχίον, ἀλλ' ἔοικε παλινδρομῆσαι. καὶ ταῦτα φησὶ γοῦν τεσσαρακοστῇ, τὰ μὲν περὶ τὸ ἰσχίον ἐκούφισε, βῆχες δὲ συνεχέες ὑγραί. πολλάκις δὲ ἀκηκόαμεν ἤδη περὶ τῆς κοινωνίας τοῦ θώρακος πρὸς τὰ γεννητικὰ μόρια. τὰ μὲν οὖν κεφάλαια τῶν συμβάντων αὐτῇ, ταῦτ' ἐστί. τῶν δὲ κατὰ μέρος ἐν τῇ προκειμένῃ ῥήσει γεγραμμένων, τὰ μὲν ὑδατόχροα διαχωρήματα, τινὲς μὲν διὰ τοῦ χ. καὶ λ. γράφουσιν. ἔνιοι δὲ διὰ τοῦ χ. καὶ ο. καὶ λ. καὶ λεπτὰ μὲν ὑπάρχειν αὐτὰ, καθάπερ καὶ τὸ ὕδωρ ἐστὶ λεπτὸν, ἐνδεικνυμένων ἀμφοτέρων τῶν ὀνομάτων. ὑπηλλαγμένα δὲ κατὰ τὴν χρόαν, τὰ μὲν ὑδατόχλοα τῆς χλόης ἐμφαίνειν αὐτὰ, τὰ δ' ὑδατόχολα τῆς χολῆς. ἐπὶ τρίτη δ' αὖ τις γραφὴ, διὰ τοῦ χ. ἐπὶ ρ. ἡ ὕδατος χρόα, μήτ' ἐν τοῖς παλαιοῖς, μήτε ὅλως ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις εὑρισκομένη, φανερῶς τε οὖσα μοχθηρά. τὰ γὰρ ὑδατώδη τῶν οὔρων ἐν αὐτῷ τῷ τοιαῦτα λεχθῆναι, καὶ τὴν σύστασιν ἐμφαίνει λεπτὴν καὶ τὴν χρόαν λευκήν. ἐχρήσατο δ' ἐν τῇ διηγήσει τῆς ἀρρώστου τῆσδε, κακοζήλῳ τινὶ λέξει ὁ Ἱπποκράτης. καίτοι ἅπαντα κατὰ τὸ βιβλίον ἑρμηνευκώς. γέγραπται δ' οὖν ἡ λέξις οὕτως. πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν, ὑπερβολὴν ἀνορεξίας καὶ τὸ πρὸς αὐτὰ μῖσος ἐνδεικνυμένης τῆς φωνῆς, ὃ, περ ὅτι τῶν μοχθηρῶν ἐστι σημεῖον εἴρηται πολλάκις. ἄξιον δὲ θαυμάσαι ἐπὶ πῶς οὐδὲν εἶπον οἱ περὶ τὸν Σαβῖνον εἰς τοὺς προκειμένους χαρακτῆρας ἑκάστου τῶν ἀρρώστων, ὑπὲρ ὧν ἐγὼ μὲν ἱκανῶς ἐν τῷ β. τῶν ὑπομνημάτων διελθὼν, οὐκέτι δέομαι μνημονεύειν αὐτῶν. ὅ γε μὴν ἐφ' ἑκάστου τῶν ἀρρώστων προχειριζόμενος, ἐξελέγχειν πειρᾶται τὴν μοχθηρίαν τῶν ἐξηγησαμένων αὐτούς.

Ἐν Θάσῳ Πυθίωνα ὃς κατέκειτο ὑπεράνω τοῦ Ἡρακλείου, ἐκ πόνων καὶ κόπων καὶ διαίτης γενομένης ἀμελέος ῥῖγος μέγα, καὶ πυρετὸς ὀξὺς ἔλαβε, γλῶσσα ἐπίξηρος, διψώδης, χολώδης, οὐχ ὕπνωσεν, οὖρα ὑπομέλανα, ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο. δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων. τὰ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον, ἄναυδος, ἄφωνος, βραχύπνοος ἦν ἐπὶ χρόνον πολύν, ἀνεθερμάνθη, δίψαι, νύκτα ἡσυχίης, ἵδρωσε περὶ τὴν κεφαλὴν σμικρά. τρίτῃ ἡμέρῃ δι' ἡσυχίης. ὀψὲ δὲ περὶ ἡλίου δυσμὰς ὑπεψύχθη σμικρὰ, ταραχὴ νυκτὸς ἐπιπόνως, οὐδὲν ὕπνωσεν. ἀπὸ δὲ κοιλίης ψυχρὰ, ξυνεστηκότα κόπρανα διῆλθε. τετάρτῃ πρωῒ δι' ἡσυχίης. περὶ δὲ μέσον ἡμέρης πάντα παρωξύνθη, ψύξις, ἄναυδος, ἄφωνος, ἐπὶ τὸ χεῖρον ἀνεθερμάνθη. μετὰ χρόνον οὔρησεν μέλανα, ἐναιώρημα ἔχοντα, νύκτα δι' ἡσυχίης ἐκοιμήθη. πέμπτῃ ἔδοξε κουφισθῆναι, μετὰ δὲ κοιλίην βάρος μετὰ πόνου, διψώδης, νύκτα ἐπιπόνως. ἕκτῃ πρωῒ μὲν δι' ἡσυχίης, δείλης δὲ οἱ πόνοι μείζους, παρωξύνθη. ἀπὸ δὲ κοιλίης ὀψὲ κλυσματίῳ καλῶς διῆλθε, νυκτὸς ἐκοιμήθη. ἑβδόμῃ ἡμέρῃ ἀσώδης, ὑπεδυσφόρει, οὔρησεν ἐλαιώδεα, νυκτὸς ταραχὴ πολλὴ, παρέλεγεν, οὐδὲν ἐκοιμᾶτο. ὀγδόῃ πρωῒ μὲν ἐκοιμήθη σμικρὰ, ταχὺ δὲ ψύξις καὶ ἀφωνίη, λεπτὸν πνεῦμα καὶ μινυθῶδες, ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσεν. ἤδη δὲ πρὸς ἡμέρην σμικρὰ ἐκουφίσθη, διαχωρήματα ἄκρητα, σμικρὰ, χολώδεα. ἐνάτῃ κωματώδης, ὅτε διεγείροιτο, οὐ λίην διψώδης. περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει, παρέλεγεν, νύκτα κακήν. δεκάτῃ πρωῒ ἄφωνος, πολλὴ ψύξις, πυρετὸς ὀξὺς, πολὺς ἱδρὼς, ἔθανεν. ἐν ἀρτίῃσιν οἱ πόνοι τούτῳ.

Καὶ τούτου πάνθ' εὑρήσεις ἀπ' ἀρχῆς, τά τε συμπτώματα καὶ τὰ σημεῖα θανατώδη γινόμενα, καὶ τοὺς παροξυσμοὺς ἐν ἀρτίαις, ὡς αὐτὰ ὁ Ἱπποκράτης ἐπεσημήνατο προσθεὶς τῇ τῆς ιβ. ἡμέρας διηγήσει, καθ' ἣν ἀποθανεῖν αὐτὸν

τὴν ἔφη, ἐν ἀρτίοισιν οἱ πόνοι τούτῳ. καὶ γὰρ ὁ θάνατος ὑποπέπτωκε τῷ γενικῷ σημαινομένῳ τῆς κρίσεως ὡς ἐδείχθη. πεφύλακται δὲ κἀπὶ τούτου τοῦ ἀῤῥώστου τὸ τὰς κρίσεις γενέσθαι τοὐπίπαν ἐν αἷς οἱ πόνοι μείζους. ἐν ἀρτίαις γὰρ αὐτῶν γενομένων ἠκολούθησε καὶ ὁ θάνατος ἐν ἀρτίᾳ. γέγραπται δ' ἐν τῇ διηγήσει τῶν συμβάντων αὐτῷ δύο ταῦτα δεόμενα ἐξηγήσεως. ἔστι δ' αὐτῶν τὸ μὲν ἕτερον ἐπὶ τῆς ἀναπνοῆς, βραχύπνους μὲν ἐν τῇ τῆς β'. ἡμέρας διηγήσει γέγραπται. λεπτὸν δὲ πνεῦμα καὶ μινυθῶδες ἔχειν ἐν τῇ η'. ἔμαθες δὲ ἐν τε τῷ περὶ α'. περὶ δυσπνοίας κἂν τῷ β'. τῶν εἰς τὸ προγνωστικὸν ὑπομνημάτων, ἔνθα τὴν ῥῆσιν ἐξηγούμην τήνδε. πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν, ὡς ἔστι τι σμικρὸν ἅμα καὶ ἀραιὸν πνεῦμα ψυχομένης καὶ νεκρουμένης ἤδη τῆς ζωτικῆς δυνάμεως γιγνόμενον, ὃ διά τινος τῶν χαριέστων συμπτωμάτων ἐδήλωσεν εἰπών. ψυχρὸν δ' ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίγνεται. τοῦτο γοῦν ἡγητέον αὐτὸν καὶ νῦν εἰρηκέναι, κατὰ μὲν τὴν β'. ἡμέραν βραχὺ, κατὰ δὲ τὴν η'. λεπτὸν καὶ μινυθῶδες. ἔστι μὲν γάρ τι καὶ ἄλλο πνεῦμα βραχύ τε ἅμα καὶ πυκνὸν, ὀδύνην σημαῖνον, ὡς ἐδείκνυμεν, ἤτοι γε ἐν τοῖς ἀναπνευστικοῖς μορίοις ἢ τοῖς παρεγκειμένοις αὐτοῖς. ἀλλ' ἐὰν ἀμφότερα παραβάλλῃς ἀλλήλοις, βραχύτερον πολὺ τὸν ἔξωθεν εἴσω ἑλκόμενον ἀέρα κατὰ τὸ ἕτερον εὑρήσεις, ὃν σμικρὸν ἅμα καὶ ἀραιὸν ἔφη γίγνεσθαι. τὸ γὰρ πρὸς τὸ βραχὺ πυκνὸν, ἀναπληροῖ τῇ συνεχείᾳ τὸ καθ' ἑκάστην εἰσπνοὴν ἐνδεὲς, ὡς οἱ συνεχῶς πίνοντες βραχύ. καὶ γὰρ τούτων βραχυπότους ἐρεῖς, ὅσοι καὶ βραχὺ καὶ διὰ πολλοῦ πίνουσιν. εἰ δέ τις βραχὺ μὲν ἀλλὰ συνεχῶς πίνει, τοῦτον ἁπλῶς οὐκ ἂν εἴποις βραχύποτον, ἀλλὰ μετὰ βραχὺ πίνοντα. κατὰ τὸν αὐτὸν οὖν τρόπον ὁ κυρίως ὀνομαζόμενος βραχύπνους, καθ' ἑκάστην εἰσπνοὴν, οὐ βραχὺ μόνον, ἀλλὰ καὶ διὰ πολλοῦ χρόνου τὸν ἔξωθεν ἀέρα διὰ τοῦ λάρυγγος ἐπισπᾶται. τάχ' οὖν ζητήσεις κατὰ τί προειρηκὼς ὁ Ἱπποκράτης ἐν τῇ α'. τῶν ἡμερῶν πυρετὸν ὀξὺν γεγονέναι, τῇ β'. βραχύπνουν ἔφη τὸν ἄνθρωπον εἶναι. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς σφοδροῖς πυρετοῖς πνεῦμα μέγα καὶ πυκνὸν γενόμενον. φήσομεν ὅτι ἐν μὲν τῇ α'. τῶν ἡμερῶν τὸ διὰ τοὺς σηπομένους χυμοὺς ἀναφθὲν πυρετῶδες θερμὸν, αὐτὸ μὲν διεφορήθη, κατελείφθη δὲ τὸ ἔμφυτον μόνον ἀσθενὲς ὑπάρχον ὡς ἤδη σβέννυσθαι, πρὶν αὖθις ἀναφθῆναι τὸ πυρετῶδες θερμὸν, οἷον ζεσάντων τῶν σηπομένων χυμῶν, ἡ β'. τῶν ἡμερῶν ἤνεγκε τὸ τῆς ψύξεως σημεῖον. ἀπόδειξις δὲ τούτου μεγίστη. τηνικαῦτα γὰρ βραχύπνουν αὐτὸν γεγονέναι φησὶ καὶ κατεψύχθαι. γράφει γοῦν ἐπὶ τῆς δευτέρας ἡμέρας ὧδε. δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων, τὰ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον, ἄναυδος, ἄφωνος, βραχύπνοος ἐπὶ χρόνον πολύν. ἐπὶ δὲ τῆς η'. πάλιν τάδε γράφει, η'. πρωῒ μὲν ἐκοιμήθη μικρὰ, ταχὺ δὲ ψύξις, ἀφωνίη, λεπτὸν πνεῦμα καὶ μινυθῶδες. ἔνθα μοι καὶ τούτῳ πρόσεχε τὸν νοῦν ὁπηνίκα κατεψύχθη μετὰ τῆς κακοπνοίας, καὶ τὴν ἀφωνίαν αὐτῷ γεγονέναι φησὶ, καὶ αὐτὴν εἰωθυῖαν πολλάκις ἐπὶ νεκρώσει τῆς φύσεως γίγνεσθαι. κατὰ τὴν δ'. ἡμέραν ἡνίκα γράφει, ψύξις, ἄναυδος, ἄφωνος, ἐπὶ τὸ χεῖρον, ἐμφαίνει διὰ τοῦ ἐπὶ τὸ χεῖρον προσθήκης, καὶ τὸ βραχύπνουν αὐτὸν γεγονέναι. καταλείπεται τοίνυν ἐπὶ τούτου ἡμῖν ἐξηγήσασθαι διὰ τί προειπὼν ἄναυδος, ἐπήνεγκεν ἄφωνος. ἔστι δὲ καὶ τούτου λόγος τοιοῦτος. τὴν αὐδὴν οὔτε πᾶν τὸ τῆς ἀκοῆς ἴδιον αἰσθητὸν οἱ παλαιοὶ φαίνονται καλοῦντες, οὔτ' ἐκεῖνο τὸ εἶδος αὐτοῦ μόνον, ὅσον ἐκπέμπεται κατὰ προαίρεσιν τοῦ ζώου διὰ τοῦ στόματος, ἐν ᾧ περιέχεται καὶ τὸ κλάειν, καὶ τὸ συρίττειν, οἰμώζειν τε καὶ βήττειν, καὶ ὅσα τἆλλα τοιαῦτα, μόνην δὲ τὴν ἀνθρώπου φωνὴν καθ' ἣν διαλεγόμεθα πρὸς ἀλλήλους, αὐδὴν ὀνομάζουσιν. οὕτω γοῦν καὶ ὁ ποιητὴς ἡνίκα ἐποίησε τοῖς ἰδίοις ἵπποις διαλεγόμενον τὸν Ἀχιλλέα, τηνικαῦτα φησὶ τὸν ἕτερον αὐτῶν ἀμείψασθαι λόγοις χρησάμενον ἀνθρωπίνῃ διαλέκτῳ. αὐδήεντα γάρ φησιν ἔθηκε θεὰ λευκώλενος Ἥρη. οὐχ ὡς ἄφωνον ὄντα πρότερον, οὐδ' ὡς οὐκ ἔχοντα τὴν κοινὴν τῶν ἵππων φωνὴν, ἀλλ' ὡς οὐκ ὀνομαζομένην αὐδὴν ἐκείνην. οὕτως οὖν καὶ θεὸν αὐδήεσσαν εἴρηκε τὴν ἀνθρωπίνῃ διαλέκτῳ χρωμένην, ὅτι καὶ αὐτὴν ἀνθρωποειδῆ φασιν εἶναι μὴ πάντων τῶν θεῶν τοιούτων ὑπαρχόντων. ἐναργῶς γοῦν ἥλιος καὶ σελήνη καὶ τὰ λοιπὰ τῶν ἄστρων ἀποκεχώρηκε πάμπολυ τῆς τῶν ἀνθρώπων ἰδέας. καὶ ὁ Ἱπποκράτης οὖν, ἄναυδον μὲν εἶπεν ἐπὶ τοῦ μὴ δυναμένου διαλέγεσθαι. τὸν δ' ἄφωνον, ἐπὶ τοῦ μηδ' οἰμῶξαι μηδὲ βοῆσαι δυναμένου. δῆλον δέ ἐστι τὸ τοιοῦτον μοχθηρότερον εἶναι τῆς ὡς ἂν εἴποι τις ἀναυδίας. οἷς οὖν ἡ γλῶττα μόνη παραλέλυται, φωνεῖν μὲν μέγιστον ἐνίοτε δύνανται, διαλέγεσθαι δ' οὐ δύνανται. εἰ δὲ μηδὲ ἐκφωνεῖν οἷοί τε εἶεν, ἐσχάτης νεκρώσεως ἐστὶ τὸ τοιοῦτον γνώρισμα τῶν οὕτως ἐχόντων, μήτ' οἰμωζόντων μήτε στεναζόντων, μήθ' ὅλως φθέγγεσθαι δυναμένων. Σαβῖνος δὲ καὶ ταῦτα τοῖς ἄλλοις, τὸν μὲν οὐδ' ὅλως ἔχοντα φωνὴν οὐδεμίαν, ἄναυδον εἰρῆσθαι νομίζει. τὸν δ' ἄφωνον, ἐν ἴσῳ τῷ ἀπόπληκτον ὑπὸ τοῦ Ἱπποκράτους γεγράφθαι φησὶν, ὥσπερ οὐ δυναμένου καλέσαι τὸν οὕτω διακείμενον ἀπόπληκτον. οὐ μὴν οὐδὲ τἆλλα τὰ κατὰ διάθεσιν εἰρημένα συνᾴδει τῷ γεγονέναι τὸν προκείμενον ἄῤῥωστον ἀπόπληκτον.

Ὁ φρενιτικὸς τῇ πρώτῃ κατακλιθεὶς, ἤμεσε ἰώδεα, πολλὰ, λεπτὰ, πυρετὸς φρικώδης, πολὺς ἱδρὼς, ξυνεχὴς δι' ὅλου, κεφαλῆς καὶ τραχήλου βάρος μετὰ ὀδύνης, οὖρα λεπτὰ, ἐναιωρήματα σμικρὰ, διεσπασμένα, οὐχ ἵδρυσεν. ἀπὸ δὲ κοιλίης διεξεχώρησεν ἀθρόα, πολλὰ παρέκρουσεν, οὐδὲν ὕπνωσεν. δευτέρᾳ πρωῒ ἄφωνος, πυρετὸς ὀξὺς, ἵδρωσεν, οὐ διέλιπεν, παλμοὶ δι' ὅλου τοῦ σώματος, νυκτὸς σπασμοί. τρίτῃ παρωξύνθη πάντα, τετάρτῃ ἀπέθανεν.

Οὗτος ὁ ἄῤῥωστος ὀξυτάτης φρενίτιδος ἐστὶ παράδειγμα κατὰ τὴν πρώτην ἡμέραν εὐθέως συνεισβαλλούσης τῷ πυρετῷ, καὶ πάντα γε ἐθεασάμην ἐντὸς τῆς ζ'. ἡμέρας, ἀποθανόντας τοὺς οὕτω φρενιτίσαντας. ὀλίγοι δὲ πάνυ καὶ σπάνιοι ταύτην ὑπερέβαλλον. ἄξιον δὲ θαυμάσαι τὴν τῶν τοιούτων νοσημάτων γένεσιν, ὅπως ἐξαίφνης ἐπιτίθεται τοῖς ἀμέμπτως ὑγιαίνουσιν. οὐ γὰρ δὴ ὥσπερ ἐξαιφνίδιος ἡ γένεσις αὐτῶν ἐστιν, οὕτω καὶ ἡ τῆς γενέσεως αἰτία.

καθάπερ εἰ καὶ φάρμακον ἔλαβε θανάσιμον ὁ ἄνθρωπος, ἤ τι τῶν χαλεπωτάτων θηρίων ἔδακεν αὐτόν, ἀλλὰ κατὰ βραχύ πως ηὔξησαν ἐν τῷ σώματι τὴν τὰ τοιαῦτα πάθη δυναμένην αἰτίαν ἐργάσασθαι, καθάπερ ἐπὶ τῶν λυσσοδήκτων συμβαίνει. πρόδηλον γὰρ ὅτι κἀκείνοις οὐκ ἀργῶν οὐδ' ἡσυχάζων ὁ τοῦ κυνὸς ἰὸς, οὐδὲν ἑαυτῷ γνώρισμα παρέχει πολλῶν ἐφεξῆς ἐνίοτε μηνῶν. ἐξαίφνης δ' αὐτοῖς συμβαίνει θεασαμένοις ὕδωρ φοβηθῆναι, κἀντεῦθεν ἤδη διὰ ταχέων ἀπόλλυσθαι. πολλῷ γὰρ αὐξανομένης χρόνῳ, τῆς τὴν λύτταν ἐργαζομένης αἰτίας, ὅταν ἅπαξ εἰς τοῦτ' ἀφίκηται ταχεῖαν ἐπιφερούσης τὸν θάνατον. σχεδὸν οὖν κἀπὶ τῆς νῦν εἰρημένης φρενίτιδος ἠθροίζετό τις ἐν τῷ σώματι μοχθηρὸς χυμὸς ἰῷ δηλητηρίῳ παραπλησίως, ἐνεργῶν μέν τι κατὰ βραχὺ ἐπὶ τοῖς σώμασιν, οἷς ὁμιλῶν ἐτύγχανεν. ἐπεὶ δ' ἐκεῖνα προαδιετίθετο πῶς, ὅ, τε χυμὸς αὐτὸς ἐπὶ πλεῖστον ηὐξήθη κακοηθείας, ἐξαιφνίδιον ἐφάνη θανατῶδες σύμπτωμα. καὶ γάρ τοι καὶ τῷ φρενιτικῷ, οὕτω μετὰ τὴν ἀρχὴν εὐθέως ἔμετος ἰωδῶν ἐγένετο, πυρετοῖς ἑπομένοις ὡς τὸ πολὺ διακαέσιν. ὥσπερ οὖν ἐπὶ τῶν θανασίμων φαρμάκων ἀποθνήσκουσιν ἔνιοι δευτεραῖοι καὶ τριταῖοι, τῆς ποιότητος αὐτῶν οὐ τοῦ πλήθους ἐργαζομένης τὸν θάνατον, οὕτω καὶ τὸν ἄρρωστον τοῦτον εὐθέως ἀποθανεῖν ἡγητέον τῇ τρίτῃ τῶν ἡμερῶν ὑπὸ τῆς ποιότητος τῶν ἰωδῶν χυμῶν, οὐχ ὑπὸ τῆς φρενίτιδος διαφθαρέντα, παρακολουθῆσαι δὲ αὐτῷ τὴν φρενῖτιν, ὥσπερ τι σύμπτωμα. τεταρταίους γὰρ οὖν καὶ πεμπταίους εἶδον ἀπολλυμένους ἐξ ἀρχῆς εὐθέως ἁλόντας ὀξείᾳ φρενίτιδι, τριταῖον δ' οὐκ εἶδον, ὥσπερ οὐδὲ μέχρι τῆς κ΄. ἐκταθέντα. φαίνεται τοίνυν ὁ Ἱπποκράτης τοῦτον μὲν ὡς ὀξύτατα διαφθαρέντα δηλώσας ἡμῖν. ἕτερον δ' ὀλίγον ὕστερον ὡς παραλογώτατον χρονίσαντα, περὶ οὗ κατὰ τὸν οἰκεῖον λόγον ἐπισημαινοῦμεν.

Ἐν Λαρίσσῃ φαλακρὸς μηρὸν δεξιὸν ἐπόνεσε ἐξαίφνης, τῶν δὲ προσφερομένων οὐδὲν ὠφέλει. τῇ πρώτῃ πυρετὸς ὀξὺς, καυσώδης ἀτρεμέως, οὐδὲ πόνοι παρείποντο. δευτέρᾳ τοῦ μηροῦ μὲν ὑφίεσαν οἱ πόνοι, ὁ δὲ πυρετὸς ἐπετείνετο, ὑπεδυσφόρει, οὐκ ἐκοιμᾶτο, ἄκρεα ψυχρὰ, οὔρων πλῆθος διήει οὐ χρηστῶν. τρίτῃ τοῦ μηροῦ μὲν ὁ πόνος ἐπαύσατο. παρακοπὴ δὲ τῆς γνώμης καὶ ταραχὴ, καὶ πολὺς βληστρισμός. τετάρτῃ περὶ μέσην ἡμέρην ἔθανεν ὀξυτάτως.

Τοῦτον τις τὸν ἄρρωστον ἀναγνοὺς, ἐὰν μὴ προσέχῃ τὸν νοῦν ἀκριβῶς τοῖς εἰρημένοις, δῆλος ἔσται πρὸς ἅπαν ἄλγημα προχωρῶν, οὔτε προπετῶς δειλὸς οὔτε θαρραλέος ἀλογίστως. ἀλλ' ὅταν γε ὁποιουνοῦν μέρος ἀλγῆσαι τύχῃ, πρῶτον μὲν ἐπισκέψαι μή τι τῶν ἔξωθεν αἰτίων ἐγένετο. καὶ γὰρ ἐν κινήσεσί γε τισὶ λεληθότως ἐβλάβησαν ἔνιοι καὶ καθ' ὕπνον οὐκ ἐπιτηδείως ἐσχηματισμένον τι μόριον ἔχοντες, ἔν τε περιαγωγαῖς τισὶ καὶ περὶ στροφαῖς ἐξαιφνιδίοις τὰ μόρια ἐρριγῶτα καὶ προκατεψυγμένα, σπάσμασί τε καὶ τύλμασιν ἁλισκόμενα, μεγίστας ὀδύνας φέρει, καθάπερ γε καὶ τὰ ῥήγματα πολλοῖς ἐπώδυνα γίνεται, καὶ μᾶλλον ὅσοι ξηροὶ τὴν κρᾶσιν εἰσί. καὶ τούτων ἔτι μᾶλλον, ἐὰν πρεσβεύοντες, ἢ γέροντες ὦσιν. ὅταν οὖν μηδὲν τοιοῦτον φαίνηται τῆς ὀδύνης αἴτιον, ἑξῆς ἐπισκέψαι τὴν προηγησαμένην δίαιταν, εἰ ἀργότερον παρὰ τὸ ἔθος οὖσιν, ἢ σιτίοις ἐχρήσατο πλείοσιν ὁ ἄνθρωπος πολυτρόφοις, εἰ συνήθων ἐκκρίσεων ἐπίσχεσις αὐτῷ γέγονεν. εἰ γάρ τι τοιούτων, ἢ καὶ παντάπασιν φαίνεται πλῆθος αἴτιον τῆς ὀδύνης ἡγησάμενον, ὅτι τάχιστα κένωσον τὸν ἄνθρωπον. οὕτω γὰρ ἐξέσται σοι μετὰ πάσης ἀσφαλείας τοῖς ἀποκρουομένοις τὰ ῥεύματα μετὰ τῶν ὀδυνωμένων χρήσασθαι μορίων. εἰ δὲ πρὸ τοῦ κενῶσαι τι τούτων προσάξεις, ἀποστρέψεις εἰς τὰ κυριώτατα μέρη τὸ πλῆθος. οὐ μὴν οὐδὲ θερμαίνειν τε καὶ παρηγορεῖν δεῖ θαρρεῖν τὰ πονοῦντα μόρια πρὶν κενῶσαι τὸ σῶμα. πολλάκις γὰρ εἰς ἅπαν οὐδὲ τὸ πεπονθὸς ἐκ τῶν τοιούτων βοηθημάτων ἕλκον τὸ πλῆθος, ὡς καθ' ἕτερον τρόπον ἐν κινδύνῳ γενέσθαι τὸν ἄνθρωπον, ἀμέτρως φλεγμήναντος τοῦ μέρους. εἴρηκε δὲ καὶ αὐτὸς ὡς ἔμαθες ἤδη περὶ τῶν τοιούτων ἀποστάσεων, ἃς ἤτοι μὴ δύναται δέξασθαι τὸ μέρος, ἢ δεξάμενον μὴ φέρειν. ἐὰν μέντοι ἐκ τῆς προηγησαμένης διαίτης ἐμφαίνηται μηδὲν εἶναι πλῆθος ἐν τῷ σώματι, τοῖς πρὸς τὰς ὀδύνας βοηθήμασιν ἀκίνδυνον χρῆσθαι, πυρίαις τέ τισι καὶ φαρμάκοις ὑγροῖς καὶ θερμοῖς τὴν δύναμιν, ὧν τὴν ὕλην ἐν τοῖς περὶ τῶν φαρμάκων ὑπομνήμασιν ἔμαθες. εἰ δὲ πρὸς ταῦτα μὴ παύηται, κενωτέον ἐστὶν ὅλον τὸ σῶμα. πολλάκις γὰρ ἤθροισαί τι πλῆθος ἐν αὐτῷ κατὰ βραχὺ σωρευθὲν, οὐ παρακολουθήσαντος ἑαυτῷ ἀνθρώπου, τῇ τε ποσότητι καὶ ποιότητι τῶν ἐδεσμάτων. ἐνίοτε δὲ καὶ πυκνότερον ἑαυτοῦ τὸ δέρμα γενόμενον ἔκ τινων αἰτίων λαθόντων, τῶν ἱδρώτων ἐπισχὸν τὰς διαπνοίας, αἴτιον ἐγένετο πληθωρικῆς διαθέσεως. διὰ τοῦτο οὖν ἐὰν ἡ ὀδύνη μὴ παύηται πρὸς τῶν βοηθημάτων, κενωτέον ἐστὶν ὅτι τάχιστα τὸν κάμνοντα. τὸ τοίνυν ἐπὶ τοῦ φαλακροῦ οὐκ ἔχω συμβαλεῖν, εἴθ' ἐφλεβοτόμησέ τις αὐτὸν, εἴτε μή. ὅσον γὰρ ἐπὶ τῷ φάναι τὸν Ἱπποκράτην, τῶν δὲ προσφερομένων οὐδὲν ὠφελεῖ, δύναται λέγειν ὁ μέν τις, ὡς ἐν τοῖς προσφερομένοις καὶ τῆς φλεβοτομίας ἐμνημόνευσεν. ὁ δέ τις, ὡς οὐκ εἴη τῶν προσφερομένων αὐτῷ βοηθημάτων. ὅσον δὲ ἐπὶ τῷ παρακόψαι τε καὶ διὰ τριῶν ἡμερῶν ἀποθανεῖν, ὅτι παρελείφθη τὰ βοηθήματα. προσγέγραπται δ' ἐπὶ τῇ τελευτῇ κατὰ τὰ διεσκευασμένα τῶν ἀντιγράφων καὶ τούτῳ τῷ ἀρρώστῳ, καὶ τῷ μετ' αὐτὸν, πρότερον μὲν τὸ ὀξὺ, μετ' αὐτὸ δὲ οἱ χαρακτῆρες, ὑπὲρ ὧν ὡς ἔφην, οἱ μὲν περὶ τὸν Σαβῖνον ὀρθῶς φρονοῦντες, οὐδὲν εἶπον. ὁ δὲ Ζεῦξις διελέγχει καθ' ἕκαστον ἄρρωστον τοὺς ἐξηγησαμένους μοχθηρῶς. ἀλλ' ἡμῖν ἔδοξε πάντα τὰ οὕτω προσγεγραμμένα, παραλιπεῖν ἐν τῷ νῦν ἐνεστῶτι λόγῳ. γενήσεται γὰρ ἐὰν δόξῃ βιβλίον ἴδιον ὅλον τοῖς καὶ τὰ τοιαῦτα πολυπραγμονοῦσιν ἡδέως, ἐν ᾧ περὶ τῶν ἐν ἅπασι τοῖς ἀρρώστοις προσγεγραμμένων χαρακτήρων ὁ λόγος ἔσται. νῦν δ' οὐ προσήκει τοῖς χρησίμοις ἀναμιγνύναι τὰ ἄχρηστα.

Ἐν Ἀβδήροισι Περικλέα πυρετὸς ἔλαβεν ὀξὺς, συνεχὴς μετὰ πόνου, δίψα πολλὴ, ἄση, ποτὸν κατέχειν οὐκ ἠδύνατο. ἦν δὲ ὑπόσπληνός τε καὶ καρηβαρικός. τῇ πρώτῃ

ἡμορράγησεν ἐξ ἀριστεροῦ. πολὺς μέντοι ὁ πυρετὸς ἐπέτεινεν, οὔρησε πολὺ, θολερὸν, λευκὸν, κείμενον οὐ καθίστατο. δευτέρα πάντα παρωξύνθη, τὰ μέντοι οὖρα παχέα μὲν ἦν, ἱδρυμένα δὲ μᾶλλον. καὶ τὰ περὶ τὴν ἄσην ἐκούφισεν, ἐκοιμήθη. τρίτῃ πυρετὸς ἐμαλάχθη, οὔρων πλῆθος, πέπονα, πολλὴν ὑπόστασιν ἔχοντα, νύκτα δι' ἡσυχίης. τετάρτῃ περὶ μέσον ἡμέρης ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ἐκρίθη, οὐδ' ὑπέστρεψεν, ὀξύ.

Οὗτος ὁ ἄρρωστος παράδειγμα ἐστὶ νοσήματος ὀξυτάτου, φοβεροῦ μὲν τοῖς μὴ τεχνίταις, ἐν τάχει δὲ κριθησομένου τοῖς ἐπιστήμοσιν. ὅπου γὰρ ὑπόσπληνος ὤν, εὐθὺς μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἡμορράγησεν ἐξ ἀριστεροῦ μυκτῆρος πολύ. τὰ δ' οὖρα παχέα μὲν ἦν καὶ ἀκατάστατα, λευκὰ δὲ κατὰ τὴν χρόαν. ἐν δὲ τῇ β. τῶν ἡμερῶν ἱδρυμένα, μᾶλλον ἐλπὶς ἦν ἀγαθὴ περὶ τὸν κάμνοντα, παυσαμένης δὲ καὶ τῆς ἄσης αὐτῷ, κατὰ τὴν β. τῶν ἡμερῶν καὶ ὕπνων γενομένων, ἔτι καὶ μᾶλλον ἐλπίσαι βεβαιότερον ἐν τάχει σωθήσεσθαι τὸν ἄνθρωπον. ἐπὶ δὲ τῆς γ. ἡμέρας, καλλίστων τε ἅμα καὶ πλείστων οὔρων γενομένων, ἐναργὲς ἦν ἤδη τὸ κατὰ τὴν τετάρτην ἡμέραν τοῦ νοσήματος ἀπαλλαγήσεσθαι τῆς νόσου τὸν ἄνθρωπον.

Ἐν Ἀβδήροισι τὴν παρθένον ἣ κατέκειτο ἐπὶ τῆς εἰσόδου, πυρετὸς ὀξὺς καὶ καυσώδης ἔλαβε. ἦν δὲ διψώδης καὶ ἄγρυπνος, κατέβη δὲ τὰ γυναικεῖα πρῶτον αὐτῇ. ἕκτῃ ἄση πολλὴ, ἔρευθος, φοινικώδης, ἀλύουσα. ἑβδόμῃ διὰ τῶν αὐτῶν, οὖρα λεπτὰ μὲν εὔχροα δὲ, τὰ περὶ τὴν κοιλίαν οὐκ ἐνώχλει. ὀγδόῃ κώφωσις, πυρετὸς ὀξὺς, ἄγρυπνος, ἀσώδης, φρικώδης, κατενόει, οὖρα ὅμοια. ἐνάτῃ διὰ τῶν αὐτῶν καὶ τὰς ἑπομένας, οὕτως ἡ κώφωσις παρέμεινε. τεσσαρεσκαιδεκάτῃ τὰ τῆς γνώμης ταραχώδεα, ὁ πυρετὸς ξυνέδωκεν. ἑπτακαιδεκάτῃ διὰ τῶν ῥινῶν ἐῤῥύη πολὺ, ἡ κώφωσις σμικρὰ ξυνέδωκεν, καὶ τὰς ἑπομένας ἄσῃ. κωφότης ἐνῆν, καὶ παράληρος. εἰκοστῇ ποδῶν ὀδύνη, κωφότης, παράληρος, ἀπέλιπεν, ἡμορράγησεν σμικρὰ διὰ ῥινῶν, ἵδρωσεν, ἄπυρος. εἰκοστῇ τετάρτῃ ὁ πυρετὸς ὑπέστρεψεν, κώφωσις πάλιν, ποδῶν ὀδύνη παρέμεινε, παρακοπή. εἰκοστῇ ἑβδόμῃ ἵδρωσεν πολλὰ, ἄπυρος, ἡ κώφωσις παρέλιπεν, ἡ τῶν ποδῶν ὑπέμεινεν ὀδύνη. τὰ δ' ἄλλα τελέως ἐκρίθη.

Αὕτη φαίνεται πληθωρικῶς νοσῆσαι, καὶ ὅσον γε ἐπὶ τοῖς ἀπ' ἀρχῆς αὐτῇ προσπεσοῦσι, κἂν ἔδοξέ τις ὥσπερ τεθνηξομένης. ἡ δὲ τῶν οὔρων εὐχροια, μέγιστον σημεῖον ἐπὶ τοῖς πληθωρικῶς νοσοῦσι. ἐπεὶ δ' οὐκ ἦν παχέα, χρονιωτέραν ἐδήλου τὴν νόσον ἔσεσθαι. φαίνονται δὲ ὥσπερ ἐπὶ πάντων τῶν ἀρρώστων, οὕτω κἀνταῦθα τῶν κρισίμων ἡμερῶν περίοδοι σώζεσθαι. καὶ μέντοι καὶ ἡ φύσις ἐν αὐτῇ φαίνεται, κρίσιμα σημεῖά τε καὶ συμπτώματα παραδεικνύουσα.

Ἐν Ἀβδήροισιν Ἀναξίωνα ὃς κατέκειτο παρὰ τὰς θρηικίας πύλας, πυρετὸς ὀξὺς ἔλαβε, πλευροῦ δεξιοῦ ὀδύνη ξυνεχὴς, ἔβησσε ξηρὰ, οὐδ' ἔπτυε τὰς πρώτας, διψώδης, ἄγρυπνος, οὖρα εὔχροα, πολλὰ, λεπτά. ἕκτῃ παράληρος, πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. ἑβδόμῃ ἐπιπόνως, ὁ γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδωσαν, αἵ τε βῆχες ξυνώχλουν, δύσπνοός τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔτεμον, ἐῤῥύη πολλὸν οἷον δεῖ, ξυνέδωκαν μὲν οἱ πόνοι, αἱ μέντοι βῆχες ξηραὶ παρείποντο. ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοὶ, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν, ἔτι βῆχες, καὶ τὰ ἀπὸ πλεύμονος ὑγρότερα. ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ, πέπονα πτύειν, ἐκουφίσθη, διψώδης ἦν, καὶ τῶν ἀπὸ πλεύμονος οὐ χρησταὶ αἱ καθάρσιες. εἰκοστῇ ἵδρωσεν ἄπυρος, μετὰ δὲ κρίσιν ἐκουφίσθη. εἰκοστῇ ἑβδόμῃ ὁ πυρετὸς ὑπέστρεφεν, ἔβησσε, ἀνῆγε πέπονα πολλὰ, οὔροισιν ὑπόστασις πολλὴ, λευκὴ, ἄδιψος ἐγένετο, ὕπνοι. τριακοστῇ τετάρτῃ ἵδρωσεν δι' ὅλου, ἄπυρος, ἐκρίθη πάντα.

Ἐπὶ τούτου μόνου τῶν ἀρρώστων ἐν τῷ α. τε καὶ τῷ γ. βιβλίῳ τῶν γεγραμμένων ἀρρώστων ἐμνημόνευσε φλεβοτομίας ὁ Ἱπποκράτης, οὐχ ὡς μόνου φλεβοτομηθέντος, ἀλλ' ὡς κατὰ τὴν ἡμέραν μόνου. καὶ τῶν ἰατρῶν ὥσπερ ἐκ νόμου τινὸς οὐκέτι μετὰ τὴν δ. ἡμέραν φλεβοτομούντων. ὅπου τοίνυν οὗτος ὀγδοαῖος ἐφλεβοτομήθη, πολὺ δήπου ἄλλους ἡγητέον δεομένους φλεβοτομίας περὶ β. καὶ γ. καὶ δ. κεχρῆσθαι τῷ βοηθήματι. παρέλιπε δὲ ὁ Ἱπποκράτης ὥσπερ τῶν ἄλλων ἁπάντων βοηθημάτων, ἐφ' ὧν ἀναγκασθεὶς ἐνίοτε γράφειν μηδὲν αὐτοὺς ὑπὸ τῶν προσφερομένων ὠφελεῖσθαι χάριν τοῦ τὴν κακοήθειαν ἐνδείξασθαι τοῦ νοσήματος. οὐ γὰρ θεραπευτικὴν αὐτῷ προὔκειτο ταύτην γράψαι πραγματείαν, ἀλλὰ προγνωστικήν. ἐπί τινων δ' οὐδ' ἀπ' ἀρχῆς φαίνεται παραγεγονὼς τοῖς ἀρρώστοις. ἐνίοτε γοῦν προσγράφει τοῦτο διὰ τέλους, ἐξ οὗ κἀγὼ οἶδα, τὸ δ' ἔτι καὶ τόδε συνέπεσε τελέως. τοῖς δὲ ἀγνοοῦσι,

καὶ ἡ τούτων τῶν ἀρρώστων ὠφέλεια. δέδεικταί μοι διὰ τοῦ α΄. περὶ κρίσεων, ἔνθα πῶς μὲν ἄν τις γνωρίσειε τὸ τελέως ἄπεπτον νόσημα. πῶς δὲ τὸ πεπέφθαι νυνὶ πρῶτον ἀρχόμενον, ὅπως δὲ τὸ προσῆκον ἐν τῇ πέψει, καὶ πῶς τὸ πλησίον ἤδη τῆς τελείας πέψεως ἐπιφράθην ἐπιδεῖξαι σαφῶς. ἐν οὖν Ἀναξίωνι οὕτως μέχρι μὲν τῶν ἑβδόμων ἦν, οὐδὲν δ' ἀπέπτυεν ὅλως ἀπεπτοτάτην εἶχε τὴν πλευρῖτιν. ια΄. δ' ἡμέρᾳ πτύειν ἀρξάμενος ἐδήλωσε πεπέφθαι τὴν νόσον, εἶτα ἐπὶ βραχὺ τῷ χρόνῳ προϊόντι, οὕτως ἔγραψεν ὁ Ἱπποκράτης κατὰ τὴν κζ΄. αὖθις πέπονα πολλὰ, οὔρησιν ὑπόστασις λευκὴ, καὶ διὰ τοῦτο τελέως ἐκρίθη τῇ λ΄. καὶ δ΄.

Ἐν Ἀβδήροις Ἡρόπυθος κεφαλὴν ἐπιπόνως εἶχεν ὀρθοστάδην. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατεκλίθη, ᾤκει πλησίον τῆς ἄνω ἀγωγῆς, πυρετὸς ἔλαβεν καυσώδης, ὀξὺς, ἔμετοι τὸ κατ' ἀρχὰς πολλῶν χολωδέων, διψώδης, πολλὴ δυσφορίη, οὖρα λεπτὰ, μέλανα, ἐναιώρημα μετέωρον, ὁτὲ μὲν ὁτὲ δ' οὔ. νύκτα ἐπιπόνως, πυρετὸς ἄλλοτε ἀλλοίως παροξυνόμενος, τὰ πλεῖστα ἀτάκτως. περὶ δὲ τεσσαρεσκαιδεκάτην κώφωσις, οἱ πυρετοὶ ἐπετείνοντο, οὖρα διὰ τῶν αὐτῶν. εἰκοστῇ πολλὰ παρέκρουσεν, καὶ τὰς ἑπομένας. τεσσαρακοστῇ διὰ ῥινῶν ἡμορράγησε πολὺ, καὶ κατενόει μᾶλλον. ἡ κώφωσις ἐνῆν μὲν, ἧσσον δέ, οἱ πυρετοὶ ξυνέδωκαν, ἡμορράγει τὰς ἑπομένας πυκνὰ, καὶ κατ' ὀλίγον. περὶ δὲ τὴν ἑξηκοστὴν, αἱ μὲν αἱμορραγίαι ἀπεπαύσαντο. ἰσχίου δὲ δεξιοῦ ὀδύνη ἰσχυρὴ, καὶ οἱ πυρετοὶ ἐνετείνοντο, οὐ πολλῷ δὲ χρόνῳ ὕστερον πόνοι τῶν κάτω πάντων. ξυνέπιπτε δὲ ἢ τοὺς πυρετοὺς εἶναι μείζους, καὶ τὴν κώφωσιν πολλὴν, ἢ ταῦτα μὲν ὑφιέναι καὶ κουφίζειν, τῶν δὲ κάτω περὶ ἰσχία μείζους εἶναι τοὺς πόνους. ἤδη δὲ περὶ τὴν ὀγδοηκοστὴν, ξυνέδωκε μὲν πάντα, ξυνέλιπεν δὲ οὐδέν. οὖρά τε γὰρ εὔχροα καὶ πλείους ὑποστάσιας ἔχοντα, κατέβαινεν, οἱ παράληροί τε μείους ἦσαν. περὶ δὲ ἑκατοστὴν ἡ κοιλίη πολλοῖσι χολώδεσιν ἐπεταράχθη, καὶ ἦν χρόνον οὐκ ὀλίγον πολλὰ τοιαῦτα. καὶ πάλιν δυσεντεριώδεα μετὰ πόνου. τῶν δὲ ἄλλων ῥαστώνη. τὸ δὲ ξύνολον οἱ πυρετοὶ ἐξέλιπον, καὶ ἡ κώφωσις ἐπαύσατο. ἐν ἑκατοστῇ τελέως ἐκρίθη καῦσος.

Οὗτος ὁ ἄνθρωπος ἄξιος μνήμης ἐξαρκέσας νοσήματι χαλεπῷ διὰ τὴν εὐρωστίαν τῆς δυνάμεως. ἀδύνατον γὰρ ἄλλως ἀντισχεῖν ἰσχυρῷ πάθει, καὶ πάντως ἦν ἐν τοῖς σφυγμοῖς αὐτοῦ ῥώμη τε ἅμα καὶ πάντα τἄλλα τὰ κατὰ τὴν φύσιν σωζόμενα. καί μοι λέλεκται καὶ ἄλλοτε παραλελεῖφθαι τὸ μόριον τοῦτο τῆς ἐπὶ τῶν πυρεττόντων προγνώσεως τῷ Ἱπποκράτει. φαίνεται δ' οὖν τῷ κάμνοντι καὶ τὰ περὶ τὴν ἀναπνοήν τε καὶ τὴν ὄρεξιν ἄμεμπτα γεγονέναι, μεγάλην ἔχοντα δύναμιν εἰς σωτηρίαν, ὡς αὐτὸς ἐδίδαξεν. ὁ πυρετὸς δ' ἐν ἀρχῇ μὲν ὀξὺς εἰσέβαλεν. ἐξελύθη δ' αὐτοῦ κατὰ τὸν ἑξῆς χρόνον ἡ ὀξύτης. ἔγραψε δ' ἐπ' αὐτοῦ, πυρετοὶ ἄλλοτε ἀλλοίως, παροξυνόμενοι τὰ πλεῖστα ἀτάκτως. ἓν δὲ μόνον ἐγένετο χαλεπὸν τῷ κάμνοντι σημεῖον, ἡ τῶν οὔρων λεπτότης τε καὶ μελανότης. διὸ καὶ πολλῷ χρόνῳ μόγις ἡ φύσις ἐκράτησε τοῦ νοσήματος, αἱμορραγίαν τε κινήσασα ἐπὶ τὴν μ΄. ἡμέραν ἐκ τῶν κρισίμων οὖσαν, ἰσχίου τε ὀδύνην, καὶ τῶν κάτω πάντων ἐργασαμένη μετὰ ταῦτα. δεῖται γὰρ τὰ μεγάλα τῶν νοσημάτων καὶ τῶν κρινόντων αὐτὰ γενναίων, ἀλλ' οὐδ' ὑπὸ τούτων ἐπαύσατο τελέως ἡ νόσος. περὶ δὲ τὴν π΄. ἡμέραν ἐφάνη σημεῖα πεττομένης αὐτῆς διὰ τῶν οὔρων, ἐφ' οἷς μετὰ βραχὺ μέχρι τῆς ρ΄. πεφθεῖσα, τὴν παντελῆ λύσιν ἐποιήσατο.

Ἐν Ἀβδήροισι Νικόδημον ἐξ ἀφροδισίων καὶ πότων πυρετὸς ἔλαβε. ἀρχόμενος δὲ ἦν ἀσώδης, καὶ καρδιαλγικὸς, διψώδης, γλῶσσα ἐπεκαύθη, οὖρα λεπτὰ, μέλανα. δευτέρᾳ ὁ πυρετὸς παρωξύνθη, φρικώδης, ἀσώδης, οὐκ ἐκοιμήθη, ἤμεσε χολώδεα, ξανθά, οὖρα ὅμοια, νύκτα δι' ἡσυχίης, ὕπνωσεν. τρίτῃ ὑφῆκε πάντα, ῥαστώνη δὲ ἦν περὶ ἡλίου δυσμὰς, πάλιν ὑπεδυσφόρει, νύκτα ἐπιπόνως. τετάρτῃ ῥῖγος, πυρετὸς πολὺς, πόνοι πάντων, οὖρα λεπτὰ, ἐναιώρημα, παρέκρουσε πολλά. ἑβδόμῃ ῥαστώνη, ὀγδόῃ τἆλλα ξυνέδωκε πάντα. δεκάτῃ καὶ τὰς ἑπομένας ἐνῆσαν μὲν οἱ πόνοι, ἧσσον δὲ πάντες. οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τουτέῳ διὰ τέλεος ἐν ἀρτίῃσιν ἦσαν μᾶλλον. εἰκοστῇ οὔρησε λευκὸν, πάχος εἶχε, κείμενον οὐ καθίστατο, ἵδρωσε πολλά, ἔδοξε ἄπυρος γενέσθαι. δείλης δὲ πάλιν ἐθερμάνθη, καὶ οἱ αὐτοὶ πόνοι, φρίκη, δίψα, σμικρὰ παρέκρουσεν. εἰκοστῇ τετάρτῃ οὔρησε πολὺ, λευκὸν, πολλὴν ὑπόστασιν ἔχον, ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἀπύρετος ἐκρίθη.

Καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐπεσημήνατο, οἱ παροξυσμοὶ καὶ οἱ πόνοι ἐν ἀρτίῃσι. διὰ τοῦτο γοῦν ἐκρίθη μετὰ τὴν κ΄. ἡμέραν ἱδρῶτι. τὰ δὲ ἐπὶ μέρος ὁ μεμνημένος ἁπάντων ὡς ἔμπροσθεν ἐξηγησάμην, ἔν τε τούτῳ τῷ βιβλίῳ, καὶ τοῖς πρὸ αὐτοῦ δυσὶ, καὶ πρὸ τούτων τῷ προγνωστικῷ τε καὶ προρρητικῷ, δυνατὸς ἂν εἴη πάντ' ἐξευρίσκειν αὐτός.

ἐν θά-

Ἐν Θάσῳ γυνὴ δυσάνιος, ἐκ λύπης μετὰ προφάσιος ὀρθοστάδην, ἐγένετο ἄγρυπνός τε καὶ ἄσιτος, καὶ διψώδης ἦν καὶ ἀσώδης, ᾤκει δὲ πλησίον τῶν Πυλάδου ἐπὶ τοῦ λείου. τῇ πρώτῃ ἀρχομένης νυκτὸς, φόβοι, λόγοι πολλοὶ, δυσθυμίη, πυρέτιον λεπτὸν, πρωῒ σπασμοὶ πολλοὶ, ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοὶ, παρέλεγεν, ἰσχυρομύθει, πολλοὶ πόνοι, μεγάλοι, ξυνεχέες. δευτέρᾳ διὰ τῶν αὐτῶν οὐδὲν ἐκοιμᾶτο, πυρετὸς ὀξύτερος. τρίτῃ οἱ μὲν σπασμοὶ ἀπέλιπον, κῶμα δὲ καὶ καταφορὴ, καὶ πάλιν ἔγερσις ἀνήισσεν, κατέχειν οὐκ ἠδύνατο, παρέλεγε πολλὰ, πυρετὸς ὀξύς. ἐς νύκτα δὲ ταύτην ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ὕπνωσε, πάντα κατενόει, ἐκρίθη περὶ τὴν γ. ἡμέρην, οὖρα μέλανα, λεπτὰ, ἐναιώρημα δὲ ἐπὶ πολὺ στρογγύλον, οὐχ ἱδρῦτο. περὶ δὲ κρίσιν γυναικεῖα πολλὰ κατέβη.

Τί ἡ δυσάνιος φωνὴ σημαίνει, Κριτίας ἐδήλωσε γράψας ὧδε, δυσάνιος ἐστὶν ὅς τις ἐπὶ τοῖς μικροῖς ἀνιᾶται, καὶ ἐπὶ τοῖς μεγάλοις μᾶλλον ἢ οἱ ἄλλοι ἄνθρωποι πλείω χρόνον ἢ ἀνιαρὸς ἢ σκυθρωπός, νῦν ὑφ' Ἱπποκράτους εἰρημένη δυσάνιος, παραμεινάσης αὐτῇ τῆς λύπης ἐπὶ πλείονα χρόνον, ὅπερ πάλιν μετ' ὀλίγον ἐπὶ τῆς ἐν Κυζίκῳ τὰς διδύμας θυγατέρας τεκούσης ἔφη, σιγῶσα δὲ καὶ σκυθρωπὴ καὶ οὐ πειθομένη, θαυμάζω γε μὴν, πῶς οὐ προσέγραψεν ἐπὶ τῆς γυναικὸς ταύτης, ἤτοι γε ἐπεσχῆσθαι τὰ καταμήνια παντάπασιν, ἢ μὴ τελέως γεγονέναι. φαίνεται γὰρ ὀξέως τε ἅμα καὶ πληθωρικῶς νοσῆσαι, καὶ τῇ γ. τῶν ἡμερῶν εἰς νύκτα δι' ἱδρώτων τε κριθῆναι καὶ καταμηνίων ἐκκρίσεως, ἀλλὰ καὶ μετὰ τὴν κρίσιν ἐκκενωθέντα πολλὰ, βεβαίαν εἰργάσατο τὴν γενομένην ἀπαλλαγὴν τοῦ νοσήματος. ἡ δὲ τῶν οὔρων χροιὰ, καίτοι μέλανα γενομένη, χαλεπὸν οὐδὲν εἰργάσατο, διότι καταμηνίων ἐπίσχεσις ἦν μελαγχολικωτέρων, ἐφ' οἷς εἰκότως ἡ γυνὴ δυσάνιος ἐγένετο καὶ φοβερὰ, καὶ παρέκρουσεν ἐν μέρει ποτὲ, καὶ κωματώδης γενομένη.

Ἐν Λαρίσσῃ τὴν παρθένον πυρετὸς ἔλαβε καυσώδης, ὀξὺς, ἄγρυπνος, διψώδης, γλῶσσα λιγνυώδης, ξηρὴ, οὖρα εὔχροα, λεπτὰ δέ. δευτέρᾳ ἐπιπόνως, οὐχ ὕπνωσε. τρίτῃ πολλὰ διῆλθεν ἀπὸ κοιλίης ὑδατόχροα, καὶ τὰς ἐπομένας † εἶη τοιαῦτα εὐφόρως. † δία τετάρτῃ οὔρησε λεπτὸν, ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο, παρέκρουσεν ἐς νύκτα. ἕκτῃ διὰ ῥινῶν λάβρον ἐρρύη πολὺ, φρίξασα, ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ἐκρίθη. ἐν δὲ τοῖσι πυρετοῖσι καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη πρῶτον τότε, παρθένος γὰρ ἦν. ἦν δὲ διὰ παντὸς ἀσώδης, φρικώδης, προσώπου, ὀμμάτων ὀδύνη, καρηβαρική. ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη οἱ πόνοι ἀρτίησιν.

Ὅτι μὲν ὥραν εἶχεν ἡ παρθένος καταμηνίων, δῆλον ἐστὶν ἐξ ὧν αὐτὸς ἔγραψεν εἰπὼν ὧδε, γυναικεῖα κατέβη τότε πρῶτον. φαίνεται καὶ ἡ νόσος αὐτῇ γεγονέναι πληθωρικὴ, καὶ κριθῆναι μὲν ἐπὶ τῆς ς. ἡμέρας, διότι καὶ τοὺς πόνους εἶχεν ἀρτίους ὡς αὐτὸς ἔγραψε. παράδοξον δὲ τὸ μηδ' ὑποστρέψαι, καίτοι τῆς ς. ἡμέρας μηδέ ποτε πιστῶς κρινούσης. ξένον οὖν τοῦτο καὶ πάνυ σπάνιον ἐπ' αὐτῆς γενόμενον ἐπεσημήνατο. γράψας ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη, ὡς δέον ὑποστρέψαι, ἀλλὰ καὶ τὴν αἰτίαν ἔγραψε τοῦ μὴ ὑποστρέψαι, προσθεὶς ἐν τοῖσι πυρετοῖσι καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη. τὸ γὰρ ἐπιμεῖναι τὴν κένωσιν αὐτῇ, ταῖς μετὰ τὴν κρίσιν ἡμέραις ἱκανὸν ἐγένετο βεβαίαν φυλάξαι τὴν προηγησαμένην κρίσιν. ἐν τῇ ς. ἡμέρᾳ δι' αἱμοῤῥαγίας τε καὶ ἱδρώτων, καὶ μάλιστα ὅτι μήτε φλεγμονή τις ἐγένετο κυρίου μορίου, μήτε κακόηθες ἦν τὸ πλῆθος. αὐτὸς γὰρ ἐπεσημήνατο, πληθωρικὴν εἶναι τὴν διάθεσιν ἐν τῷ φάναι διὰ παντὸς ἐσχηκέναι προσώπου μὲν ἔρευθος, ὀμμάτων δὲ ὀδύνην καὶ καρηβαρίαν. εὔδηλον οὖν ἦν ὅτι κενώσεως ἐδεῖτο μόνης. καὶ ταύτην ἡ φύσις ἤρξατο μὲν ἐργάζεσθαι τῇ γ. τῶν ἡμερῶν, συνεπλήρωσε δὲ κατὰ τὴν ς. ὅτι δὲ τῷ λόγῳ τῆς φύσεως οὐχ ὡς σύμπτωμα τῆς νόσου διὰ τῆς γαστρὸς ἡ κένωσις ἐγένετο, σαφῶς ἐδήλωσεν αὐτὸς γράψας. τῇ τρίτῃ δὲ πολλὰ διῆλθεν ἀπὸ κοιλίης ὑδατόχροα, καὶ τὰς ἐπομένας ἦν τοιαῦτα εὐφόρως. τοῦτο προσκείμενον ἐνδείκνυται τῶν λυπούντων γίγνεσθαι τὴν ἔκκρισιν. ἐπισημήνασθαι δὲ τῶν κατὰ τὴν διήγησιν αὐτῆς εἰρημένων ἄξιον ἐστὶ καὶ ταῦτα τὰ β. πρὸς τοῖς εἰρημένοις, ἓν μὲν τὸ κατὰ τὴν ἀρχὴν γεγραμμένον, γλῶσσα λιγνυώδης, ξηρὴ, δεύτερον δὲ τὸ δ. οὐρῆσαι λεπτὸν, ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο, παρέκρουσε. τὸ μὲν γὰρ αὐτῶν πρότερον εἰρημένον, χρήσιμον ἐστὶν εἰς τὸ μὴ παντελῶς ἡγεῖσθαι ὀλεθρίαν τὴν λιγνυώδη γλῶσσαν. ὀνομάζει δ' οὕτως τὴν ἐπικεχρωσμένην οἷον λιγνύϊ τινὶ, ξηρὰν οὖσαν ἐξ ἀναθυμιάσεως. τὸ δὲ β. ἐπειδὴ καὶ κατ' ἄλλους ἀῤῥώστους εἰπὼν ἐναιώρημα μετέωρον, εὐθέως ἐπήνεγκεν αὐτῷ, τὸ παρέκρουσεν, ἐμφαίνων τοῖς τοιούτοις ἐναιωρήμασιν ἕπεσθαι παραφροσύνην. καίτοι κατά γε τὸ προγνωστικὸν ἅπαντα τὰ περὶ τῶν οὔρων διελθὼν, οὐδεμίαν ἐξ αὐτῶν εἰς παραφροσύνην ἐποιήσατο πρόγνωσιν, ἔοικεν οὖν τὸ σημεῖον τοῦτο καθ' αὑτὸ μὲν, οὐδέποτε σημαίνειν παραφροσύνην, συνενδείκνυσθαι δέ ποτε κατὰ συμβεβηκὸς, ἐπειδὴ πνευματωδέστερον ἐὸν δηλοῖ τὸ ἐναιώρημα. κατὰ γὰρ τὸ παντελῶς ἄφυσον εἰς τὸ κάτω τῶν ἀγγείων φέρεται τὰ ἐναιωρήματα.

Ἀπολλώνιος ἐν Ἀβδήροις ὀρθοστάδην ὑπέφερε χρόνους πολλοὺς, ἦν δὲ μεγαλόσπλαγχνος, καὶ περὶ ἧπαρ ξυνήθης ὀδύνη, χρόνους πολλοὺς παρείπετο. καὶ δὴ τότε καὶ ἰκ-

τορώδης ἐγένετο, φυσώδης, χροιῆς περὶ ὑπολείκου, φαγὼν δὲ καὶ πιὼν ἀκαιροτέρως βόειον, ἐθερμάνθη μικρὰ τὸ πρῶτον, κατεκλίθη. γάλακτι δὲ χρησάμενος ἑφθοῖσι καὶ ὠμοῖσι, πολλοῖσιν αἰγείοισιν καὶ μηλείοισιν, καὶ διαίτῃ κακῇ, πάντων αἱ βλάβαι μεγάλαι. οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν, κοιλίη τε τῶν προσενεχθέντων οὐδὲν διέδωκεν ἄξιον λόγου, οὖρα τε λεπτὰ καὶ ὀλίγα διῄει, ὕπνοι οὐκ ἐνῆσαν, ἐμφύσημα κακὸν, πολὺ δίψος. κωματώδης, ὑποχονδρίου δεξιοῦ ἔπαρμα ξὺν ὀδύνῃ, ἄκρεα πάντοθεν ὑπόψυχρα, σμικρὰ παρέλεγεν, λήθη πάντων, ὅ, τι λέγοι, παρεφέρετο. περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ' ἧς ῥιγώσας ἀπεθερμάνθη, κατεκλίθη, καὶ ἐξεμάνη, βοὴ, ταραχὴ, λόγοι πολλοὶ, καὶ πάλιν ἵδρωσις, καὶ τὸ κῶμα τηνικαῦτα προσῆλθε. μετὰ δὲ ταῦτα κοιλίη ταραχώδης, πολλοῖσι χολώδεσιν, ἀκρήτοισιν, ὠμοῖσιν, οὖρα μέλανα, σμικρὰ, λεπτὰ, πολλὴ δυσφορίη, τὰ τῶν διαχωρημάτων ποικίλως. ἢ γὰρ μέλαινα καὶ σμικρὰ, καὶ ἰώδεα. ἢ λιπαρὰ καὶ ὠμὰ καὶ δακνώδη. κατὰ δὲ χρόνους ἐδόκεε καὶ γαλακτώδεα διδόναι. περὶ δὲ εἰκοστὴν τετάρτην, διὰ παρηγορίης. τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν, σμικρὰ δὲ κατενόησεν. ἐξ οὗ δὲ κατεκλίθη, οὐδενὸς ἐμνήσθη. πάλιν δὲ ταχὺ, παρενόει, ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. περὶ δὲ τριακοστὴν τετάρτην ἀπέθανε. τούτῳ διὰ τέλεος, ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ, μέλανα, κωματώδης, ἄγρυπνος, ἄκρεα ψυχρὰ, παράληρος, διὰ τέλεος φρενιτικός.

Κἀπὶ τούτου πάλιν ὁ Ἱπποκράτης ὡς ἐπ' ἄλλων πολλῶν, αὐτὸς ἐπὶ τῷ τέλει τῆς διηγήσεως ἐν κεφαλαίοις βραχέσιν ἐδήλωσε τὰ γενόμενα συμπτώματά τε καὶ σημεῖα, δι' ὧν ἄν τις προγνῷ τὸν ἐσόμενον θάνατον. ἔχει δὲ ἡ ῥῆσις ὧδε. τούτῳ διὰ τέλεος ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ, καὶ μέλανα, κωματώδης, ἄγρυπνος, ἄκρεα ψυχρὰ, παράληρος διὰ τέλεος. τῶν δὲ κατὰ μέρος οὐδὲν οὕτως ἀσαφὲς, εἴ τις τῶν προεξηγησαμένων ἡμῖν μνημονεύει.

Ἐν Κυζίκῳ γυναικὶ θυγατέρας διδύμους τεκούσῃ καὶ δυστοκησάσῃ, καὶ οὐ πάνυ καθαρθείσῃ τῇ α. πυρετὸς φρικώδης, ὀξὺς, κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης, ἄγρυπνος ἐξ ἀρχῆς. σιγῶσα δὲ καὶ σκυθρωπὴ καὶ οὐ πειθομένη, οὖρα λεπτὰ, διψώδης, ἀσώδης τὸ πολὺ, κοιλίη πεπλανημένως, ταραχώδης, καὶ πάλιν ξυνισταμένη. ἕκτῃ εἰς νύκτα πολλὰ παρέλεγεν, οὐδὲν ἐκοιμήθη. περὶ δὲ ἑνδεκάτην ἐοῦσα ἐξεμάνη, καὶ πάλιν κατενόει, οὖρα μέλανα, λεπτὰ, καὶ πάλιν διαλείποντα, ἐλαιώδεα, καὶ κοιλίη πολλοῖσι λεπτοῖσι, ταραχώδεσι. τεσσαρεσκαιδεκάτῃ σπασμοὶ πολλοὶ, ἄκρεα ψυχρὰ, οὐδὲν ἔτι κατενόει, οὖρα ἀπέστη, ἀπέθανε φρενῖτις.

Οὐ μόνον ὅτι μὴ καλῶς ἐκκαθάρθη τὴν λόχειον κάθαρσιν, ὑπελείφθη τῇ γυναικὶ ταύτῃ μελαγχολικώτερον αἷμα, διὸ κατὰ ἀρχὰς μὲν ἦν σιγῶσα καὶ σκυθρωπὴ, καὶ οὐ πειθομένη. μετὰ δὲ ταῦτα παρεφρόνησε σφοδρῶς, ὡς ἐκμανῆναι. ἀλλὰ καὶ διὰ τὴν δυστοκίαν φλεγμηνάσης τῆς μήτρας, ὁ πυρετὸς ηὐξήθη. δῆλον δ' ὅτι τῆς κακοχυμίας ἐπὶ τὴν κεφαλὴν ἀνενεχθείσης, ἥτε παραφροσύνη μανιώδης ἐγένετο, καὶ οἱ σπασμοὶ συνεκολάφθησαν. αἱ δὲ τῶν κρισίμων ἡμερῶν περίοδοι σώζονται κἀνταῦθα, καθάπερ ἐπὶ πάντων τῶν ἀρρώστων. εἰ δέ που τι φανείη σπανίως διαφθειρόμενον, ἐκεῖνο μόνον ἐπισημαίνομαι.

Ἐν Θάσῳ Δεάλκους γυναῖκα ἣ κατέκειτο ἐπὶ τοῦ λείου, πυρετὸς φρικώδης ἐκ λύπης ἔλαβε. ἐξ ἀρχῆς δὲ περιεστέλλετο καὶ διὰ τέλεος, αἰεὶ σιγῶσα, ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐθριγολόγα, δάκρυα, καὶ πάλιν γέλως, οὐκ ἐκοιμᾶτο, ἀπὸ κοιλίης ἐρεθισμὸς, οὐδὲν διῄει, σμικρὰ ὑπομιμνησκόντων ἔπινεν, οὖρα λεπτὰ, σμικρὰ, πυρετοὶ πρὸς χεῖρα λεπτοὶ, ἀκρέων ψύξις. ἐνάτῃ πολλὰ παρέλεγε, καὶ πάλιν ἱδρύνθη, σιγῶσα. τεσσαρεσκαιδεκάτῃ πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. ἑπτακαιδεκάτῃ ἀπὸ κοιλίης ἐρεθισμὸς, ταραχώδεα, ἔπειτα τὰ ποτὰ οὐ διῄει, οὐδὲν ξυνίστατο, ἀναισθήτως εἶχε πάντων, δέρματος περίτασις καρφαλέου. εἰκοστῇ λόγοι πολλοὶ, καὶ πάλιν ἱδρύνθη, ἄφωνος, βραχύπνοος. εἰκοστῇ πρώτῃ ἀπέθανεν. ἦν ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιὸν, μέγα, ἀναισθήτως πάντων εἶχεν, αἰεὶ περιεστέλλετο, ἢ λόγοι πολλοὶ, ἢ σιγῶσα, διὰ τέλεος φρενῖτις.

ἐξ ἀρχῆς

Ἐξ ἀρχῆς αὕτη φαίνεται φρενιτικὴ γενομένη. χαλεπώταται δ' εἰσίν, ὡς δὲ πρῶτον εἶπον, αἱ τοιαῦται φρενίτιδες, καὶ τάχιστα πάντας οἷς ἂν γένωνται, διαφθείρουσιν. ἀλλὰ νῦν γε ὀξέως αὕτη ἄχρι τῆς κα΄. ἡμέρας διήρκεσεν ἴσως, ὅτι μετρίως ἐπύρεξε. καὶ διὰ τοῦτο ἐπεσημειώσατο κατὰ ταύτην τὴν ἄῤῥωστον μόνην γράψας πυρετοὶ πρὸς χεῖρας λεπτοί. καὶ φαίνεταί γε τὸ τῆς παραφροσύνης εἶδος αὐτῇ μικτὸν ἐκ μελαγχολίας καὶ φρενίτιδος γεγονέναι. τὸ γάρ, οἱ λόγοι πολλοὶ ἢ σιγῶσα διὰ τέλεος, ἐνδεικτικόν ἐστι τῆς τοιαύτης μίξεως. οὐκ οἶδα δ' ὅπως οἱ ἐξηγηταὶ τοῦ Ἱπποκράτους, οὐδὲν ἔγραψαν περὶ τῆς λέξεως ἐν ᾗ φησι, πνεῦμα ἀραιόν, ὅπερ οὐχ ἕτερόν ἐστι τοῦ διὰ χρόνου, καὶ φαίνεται δὲ ἐφεξῆς ταῦτα εἰρηκώς. μήτι οὖν ἤτοι τῆς ἀραιότητος ἐπίτασιν δηλῶσαι βουληθείς, τὸ διὰ χρόνου προσέγραψεν, ὡς εἰ καὶ οὕτως εἰρήκει, διὰ πάνυ πολλοῦ χρόνου. καὶ γὰρ σύνηθές ἐστιν ἐνίοτε παραλίπειν τὸ πολλοῦ, καὶ μόνῳ χρῆσθαι τῷ διὰ χρόνου, ἢ μὴ συνεχῶς, ὥσπερ ἐπ' ἄλλων ἄλλα. μηδ' ὡς τὸ παχὺ τὴν ἄνθρωπον τοιοῦτον ἀναπεπνευκέναι δι' ὅλης τῆς νόσου δηλοῖ. ὑποφέρων γοῦν ἐρεῖ, καὶ πάλιν βραχύπνοος, ἐνδεικνύμενος κἀνταῦθα καθάπερ ἔμπροσθεν ἐκ καταψύξεως οὐ μόνον μικρόν, ἀλλὰ καὶ διὰ πολλοῦ τὴν ἄνθρωπον ἀναπνεῖν, ὅπερ ὄντως ἐστὶ βραχὺ πνεῦμα. τὸ γὰρ ἀραιὸν καὶ μέγα, καθόσον μὲν ἀραιόν ἐστιν, ἧττον ὑπάρχει τοῦ πυκνοῦ τε ἅμα καὶ μεγάλου, καθόσον δὲ μέγα, πλέον ἐστὶ ταύτῃ τοῦ μικροῦ καὶ ἀραιοῦ. κατ' ἄμφω τοίνυν μικρὸν ἔσται τὸ βραχὺ καὶ ἀραιόν, καὶ φαίνεται καὶ νῦν ὥσπερ καὶ σὺν καταψύξει τοιαύτη γεγονέναι τὸ γύναιον ἐν οἷα καὶ αὐτῇ ἀπνοίᾳ καταλαμβανόμεναι γίνονται. γράφει γοῦν ἐπ' αὐτῆς κ΄. λόγοι πολλοί, καὶ πάλιν ἰδίως ἐρεῖ βραχύπνοος. ἡ δ' ἀφωνίη τοὐπίπαν ἅμα βραχεῖ καὶ ἀραιῷ γίγνεται πνεύματι. ἀλλὰ τό γε διὰ χρόνου μετὰ τοῦ ἀραιοῦ γεγραμμένον, ἀντὶ τοῦ διὰ πάνυ πολλοῦ ἐκδέξασθαι χρή. τὸ γὰρ ἐν ὀλίγῳ τῆς νόσου χρόνῳ σημαίνειν οὐ δύναται, ἤδη τὴν τελευτὴν τῆς ῥήσεως προσγράψας. ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιόν, μέγα. τὸ γὰρ διὰ τέλεος εἴωθε λέγειν, ἀντὶ τοῦ δι' ὅλης τῆς νόσου μέχρι τῆς τελευτῆς. ὥσπερ δὲ τοῦτο τὸ διὰ τέλεος, οὕτω καὶ τόδε φησίν, ἀεὶ περιεστέλλετο, ἢ λόγοι πολλοί, ἢ σιγῶσα διὰ τέλεος. τὸ μὲν γὰρ λόγοι πολλοί, φρενιτικόν. τὸ δὲ σιγῶσα, μελαγχολικόν. τὸ δὲ περιεστέλλετο, κοινὸν ἀμφοῖν, εἰ μή πω ἄρα καὶ διὰ τὴν κατάψυξιν ἐνίοτε περιεστέλλετο.

Ἐν Μελιβοίῃ νεανίσκος ἐκ πότων καὶ ἀφροδισίων πολλῶν πολὺν χρόνον θερμανθείς, κατεκλίθη, φρικώδης δὲ καὶ ἀσώδης ἦν, ἄγρυπνος, καὶ ἄδιψος. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ πολλὰ κόπρα διῆλθε σὺν περιῤῥόῳ πολλῷ, καὶ τὰς ἐπομένας, ὑδατόχλοα, πολλὰ διῄει, οὖρα λεπτά, ὀλίγα, ἄχροα, πνεῦμα ἀραιόν, μέγα διὰ χρόνου, ὑποχονδρίου ἔντασις ὑπολάπαρος, παραμήκης ἐξ ἀμφοτέρων, καρδίης παλμὸς διὰ τέλεος, ξυνεχής, οὔρησεν ἐλαιῶδες, παρέκρουσεν ἀτρεμέως, κόσμιός τε καὶ ἥσυχος, δέρμα καρφαλέον καὶ περιτεταμένον, διαχωρήματα πολλά, λεπτά, ἢ χολώδεα, λιπαρά. ιδ΄. πάντα παρεκρούσθη, παρωξύνθη, πολλὰ παρέλεγεν. ὀγδόῃ ἐξεμάνη, βληστρισμός, οὐδὲν οὔρει, μικρὰ ποτὰ κατείχετο. τῇ κδ΄. ἀπέθανε, φρενῖτις. δοκεῖ δέ μοι προσωφελῆσαι κατὰ λόγον τὸ γενόμενον θέρος. τὰς γὰρ θερινὰς νόσους χειμὼν ἐπιγενόμενος λύει, καὶ τὰς χειμερινὰς θέρος ἐπιγενόμενον μεθίστησι, καίτοι αὐτό γε ἐπὶ ἑωυτοῦ τὸ γενόμενον θέρος οὐκ εὐσταθὲς ἐγένετο, ἀλλὰ θερμὸν καὶ νότιον καὶ ἄπνοον, ἀλλ' ὅμως πρὸς τὴν ἄλλην κατάστασιν μεταλλάξαν ὠφέλησεν. μέγα δὲ μέρος ἡγεῦμαι τῆς τέχνης εἶναι τὸ δύνασθαι σκοπεῖν περὶ τῶν γεγραμμένων ὀρθῶς. ὁ γὰρ γνοὺς καὶ χρώμενος τούτοις, οὐκ ἄν μοι δοκέῃ μέγα σφάλλεσθαι ἐν τῇ τέχνῃ. δεῖ δὲ καταμανθάνειν ἀκριβῶς τὴν κατάστασιν τῶν ὡρέων ἑκάστην, καὶ τὸ νόσημα ἀγαθὸν ὅ, τι κοινὸν ἐν τῇ καταστάσει ἢ ἐν τῇ νούσῳ, καὶ ὅ, τι κοινὸν ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ μακρόν. ὅ, τι νόσημα καὶ θανάσιμον, μακρόν, ὅ, τι καὶ περιεστηκός. ὀξύ, ὅ, τι θανάσιμον. ὀξύ, ὅ, τι περιεστηκός, τάξιν τῶν κρισίμων ἐκ τούτων σκοπεῖσθαι, καὶ προλέγειν ἐκ τούτων, εὐπορεῖται. εἰδότι περὶ τούτων, ἔστιν εἰδέναι οὓς, καὶ ὅτε, καὶ ὡς δεῖ διαιτᾶν.

Οἱ μὲν πολλοὶ πότοι, τά τε νεῦρα βλάπτουσι καὶ τὴν ἀρχὴν αὐτῶν τὸν ἐγκέφαλον. τὰ δ' ἀφροδίσια καὶ ταῦτα μὲν ἱκανῶς λυπεῖ, καὶ τὴν δύναμιν καταλύει τε καὶ ἄῤῥωστον ἐργάζεται. μοχθηρὸν οὖν ἀθροίσας πλῆθος ὁ νεανίσκος οὗτος, εἰκότως ἤρξατο μὲν ἀπὸ πυρετῶν μετρίων. ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ χείρων ἑαυτοῦ γενόμενος, ὕστερον εἰς φρενῖτιν ἀκριβῆ περιέστη. γίνεσθαι δ' αὐτὴν ἐδήλου, τότε μέγα καὶ ἀραιὸν πνεῦμα, καὶ τὸ κόσμιόν τε καὶ ἀεὶ σιωπηλὸν εἶναι τὸν νοσοῦντα, παρακροῦσαι μέτρια. τοῖς μὲν γὰρ κούφοις καὶ ταραχώδεσιν ἀνθρώποις ἐπὶ σμικραῖς προφάσεσιν αἱ παραφροσύναι γίνονται. τοῖς δ' ἐναντίοις, τὸ ἦθος ἐπὶ μεγάλαις αἰτίαις. διὰ τί δὲ τῷ ἀραιῷ πνεύματι τὸ διὰ τοῦ χρόνου προσέγραψε, κατὰ τὸν ἔμπροσθεν ἄῤῥωστον ἐπεσκεψόμεθα, καὶ περὶ τῶν καθ' ὑποχόνδρια, παλμῶν ἐν ἄλλοις τε κἂν τῷ προγνωστικῷ διῆλθον, ὥσπερ καὶ τῆς ὑπολαπάρου καθ' ὑποχόνδριον ἐντάσεως, ὅτι τὴν χωρὶς ὄγκου λέγει, καὶ γίγνεται τῶν μὲν μυῶν ἀπαθῶν ὄντων, ἐν διαθέσει δέ τινι διαμενόντων τῶν ἔνδον τοῦ περιτοναίου μορίων.

ΕΠΙΔΗΜΙΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΞΗΓΗΣΙΣ.

ΕΙΣ τὸ ἕκτον τῶν ἐπιδημιῶν Ἱπποκράτους συγγραμμάτων ἐλυμήναντο πολλοὶ τῶν ἐξηγητῶν, ἄλλοι ἄλλως ὡς ἕκαστος ἤλπισε πιθανῶς ἐξηγήσασθαι, τὴν κατὰ τὴν λέξιν ὑπαλλάττων, ὥστε ἠναγκάσθην ἐγὼ διὰ τοῦτο, τήν τε παλαιότητα τῶν ἀντιγράφων ἐπιζητῆσαι, τά τε ὑπομνήματα τῶν πρώτων ἐξηγησαμένων τὸ βιβλίον, ἐν οἷς καὶ Ζεῦξίς ἐστιν ὁ ταραντῖνος, καὶ ὁ ἐρυθραῖος Ἡρακλείδης, καὶ πρὸ αὐτῶν Βακχεῖός τε καὶ Γλαυκίας. εἰ μὲν οὖν μετὰ τὸ δηλῶσαι τὴν παλαιὰν γραφὴν ἔλεγον ἡμαρτῆσθαι τὴν λέξιν, εἰκὸς εἴη ἂν καὶ διὰ τοῦτο ἐπινοεῖν αὐτοὺς τὴν Ἱπποκράτους γραφὴν εἶναι τήνδε τινα, καὶ ἀπεδεξάμην αὐτοὺς, εἴγε μετὰ τὴν ἐπανόρθωσιν, ἑώρων διδάσκοντάς τι χρήσιμόν τε ἅμα καὶ τῆς γνώμης ἐχόμενον τοῦ παλαιοῦ. ἐπεὶ δὲ ἐνίοτε καὶ κατ' ἄμφω σφάλλονται, πολὺ βέλτιον ἔδοξέ μοι φυλάττοντι τὴν ἀρχαίαν γραφὴν, ἀεὶ μὲν πειρᾶσθαι ἐκείνην ἐξηγεῖσθαι, μὴ δυνηθέντι δέ ποτε τοῦτο πρᾶξαι, πιθανὴν τὴν ἐπανόρθωσιν αὐτῆς ποιεῖσθαι, καθάπερ ὁ Ἡρακλείδης ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐποιήσατο, κατὰ τὴν λέξιν ἐκείνην ἐν ᾗ γέγραπται. Πρὸς δὲ τὸ ἀφροδίσιον αἱ οὐραὶ ἔβλεπον. Ἐπειδήπερ τοῖς ἐξηγησαμένοις τὴν οὐραὶ γραφὴν ἀπιθάνως εἴρηται, τάχα φησὶ, θύραι μὲν ἦν γεγραμμένον διὰ τοῦ θ. τῆς μέσης δὲ γραμμῆς ἐν αὐτῇ διαφθαρείσης, ἔδοξεν ὁ βιβλιογράφος οὐραὶ γεγράφθαι. δυνατὸν γὰρ δὴ οὕτω, καὶ λεπτῆς ἰνὸς ἀπολωλυίας, συναπόλλυσθαι τὴν γραμμὴν ταύτην, καὶ μιᾶς αὐτὴν ἐκφυγείσης, καὶ κατ' ἀρχὰς εὐθὺς αὐτὴν ἀμυδρὰν γραφεῖσαν, ἐξίτηλον αὐτὴν ὑπὸ τοῦ χρόνου γενέσθαι. πάντων δὲ τῶν ὑπαλλαξάντων τὰς παλαιὰς γραφὰς τολμηροτάτους τοὺς περὶ Καπίτωνα καὶ Διοσκουρίδην, εὑρίσκω πράξαντας τοῦτο. πότερον μὲν οὖν ἄμεινον ἐστὶν ἁπάντων αὐτῶν, ἢ μόνων τῶν εὐλόγως μεταγραψάντων, ἢ μηδενὸς ὅλως μεμνῆσθαι, σκοπούμενος εὗρον, εἰ μὲν τῷ μήκει τῶν ὑπομνημάτων οὐδεὶς ἔμελλε ἀναγινωσκομένων αὐτὰ δυσχεραίνειν, ἁπάντων μεμνῆσθαι κάλλιον εἶναι. μεμφομένων δὲ πολλῶν, οὐ τούτοις μόνον, ἀλλὰ καὶ τοῖς συμμέτρως ἔχουσι, καὶ μόνα σπουδαζόντων τὰ χρήσιμα, μέσην ἵνα τούτων ἀμφοτέρων ποιήσασθαι τὴν ἐξήγησιν, καὶ τοῦτο εὐθέως ἐν τῇ ἀρχῇ προεῖπον, ὅπως ἀπαλλάττονται τῶνδε τῶν ὑπομνημάτων, οἱ μὴ χαίροντες τούτοις. ἐγὼ μὲν γὰρ, ὥσπερ καὶ τἆλλα πάντα, πολλοῖς τῶν δεηθέντων ἑταίρων χαριζόμενος ἐποίησα, καὶ τὰς ἐξηγήσεις ταύτας ἐκείνων ἕνεκα συνέθηκα. θεωρῶν δ' εἰς πολλοὺς ἐκπίπτοντα τὰ γραφόμενα, προοιμίων τοιούτων ἐδεήθην. ὥσπερ οὖν τοῦτο προεῖπον, οὕτω καὶ τόδε προειπεῖν ἀναγκαῖον ἐστὶν, ὡς τὸ τῆς ἑρμηνείας εἶδος ἐν τῷδε τῷ βιβλίῳ, πάμπολυ διαλλάττει τοῦ κατὰ τὸ πρῶτον καὶ τρίτον τῶν ἐπιδημιῶν, ἃ σχεδὸν ἅπαντες ἡγοῦνται γεγράφθαι πρὸς ἔκδοσιν ὑφ' Ἱπποκράτους μόνα. τῶν δ' ἄλλων πέντε, τὸ μὲν πέμπτον τε καὶ ἕβδομον ἐναργῶς εἶναι νόθα. τὸ δ' ἕκτον τοῦτο, καὶ πρὸ αὐτοῦ τὸ δεύτερον, ἐξ ὧν αὐτὸς Ἱπποκράτης ἑαυτῷ παρεσκευάσατο, φασὶν ὑπὸ Θεσσαλοῦ τοῦ υἱέος αὐτοῦ συντεθεῖναι. καί τινες μὲν ἡγοῦνται καὶ αὐτόν τι παραγράψαι τὸν Θεσσαλὸν, τινὲς δὲ ἄλλους τῶν μετ' αὐτόν. ἐν μὲν οὖν τῷ πρώτῳ, καὶ τῷ τρίτῳ τῶν ἐπιδημιῶν καταστάσεις τέ τινας γράφει τοῦ περιέχοντος, ἐφ' αἷς τὰ ἐπιδημήσαντα νοσήματα διηγοῦνται. ταύτῃ γὰρ ἐπ' αὐτῶν αὐτὸς φαίνεται τῇ λέξει χρώμενος, καὶ διὰ τοῦτο καὶ τὸ ἐπίγραμμα τοῖς βιβλίοις τοῦτο ἐποιήσατο, τῶν ἐπιδήμων νοσημάτων διδασκαλίας αὐτοῖς γινομένης, οὐ τῶν αὐτοῦ τοῦ Ἱπποκράτους ἐπιδημιῶν, ἃς ἐποιεῖτο κατὰ τὰς πόλεις. ἐνταυθοῖ δὲ τοῦτο μὲν ὀλίγον ἐστίν. τὸ δὲ πλεῖστον εἶδος τῆς διδασκαλίας, ἀφορισμοί τινες εἶναι φαίνονται, κατὰ περιγραφὴν ἕκαστος ἰδίαν γεγονότες, ὥστε δι' ἀκρίβειαν οἰκείας ἐπιγραφῆς, καὶ ταῦτα τὰ δύο βιβλία συγκεχύσθαί φασι τῇ τῶν ἐπιδημιῶν, ὀλίγιστον ἔχοντα τὸ τῆς ἐπιγραφῆς οἰκεῖον. ἐοικὸς δὲ αὐτοῖς ὂν ἐπὶ τῷ χαρακτῆρι τῆς λέξεως τὸ τέταρτον, ἀπολείπεται πάμπολυ τοῦ χρησίμου τῆς θεωρίας. ὅσοι δὲ Θεσσαλοῦ καταστάσεις ἐπέγραψαν τὸ προκείμενον βιβλίον τοῦτο, προδήλως ἥμαρτον. ἀρκεῖ γάρ μοι ταῦτα προειρῆσθαι, γεγραμμένων ἐνίοις τῶν ἐξηγητῶν, καὶ ἄλλων οὐκ ὀλίγων, ἃ διὰ τὸ μὴ βούλεσθαι μηκύνειν, ἀκόλουθον ἦν παραλιπεῖν.

Ὁκόσῃσιν ἐξ ἀποφθορῆς.

Ἅπαξ εἰπεῖν τινὰ κοινὸν λόγον ἐπὶ κοινῷ πράγματι διέγνωκα. τῶν δ' ἀναγινωσκομένων ἑκάστῳ κατὰ τὴν οἰκείαν διάλεκτον, ὅπως ἂν ἑαυτὸν πείσει γράφειν ἐξέστω. τινὲς μὲν γὰρ ὅσῃσι διὰ τριῶν συλλαβῶν, ἔνιοι δ' ὁκόσῃσι διὰ τεσσάρων ἔγραψαν. ἔνιοι δ' οὐ διὰ τοῦ κ. γράφουσιν ὁκόσῃσιν, ἀλλὰ διὰ τοῦ π. τὴν δευτέραν συλλαβὴν, καθάπερ ὁ Καπίτων, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πάντα τὰ τοιαῦτα. διαφέρει δ' οὐδὲν ὡς πρὸς τὰ τῆς τέχνης ἔργα γράφειν οὕτως ἢ ἐκείνως, ὥστ' ἄμεινον ἔδοξέ μοι μόνας ἐκείνας τῶν γραφῶν προχειρίζεσθαι κατὰ τὸν λόγον, ὅσαι τὸ δηλούμενον ὑπαλλάττουσι. τὰς δ' ἐν αὐτῇ μόνῃ τῇ λέξει διαφερομένας, οὐδὲν τοῦ καὶ τὰ πράγματα μετακινεῖν, ἐπιτρέπειν ὡς ἂν ἐθέλῃ γράφειν, καὶ λέγειν ἑκάστῳ. αὖθις οὖν ἀφ' ἑτέρας ἀρχῆς ἀναλαβὼν τὴν προγεγραμμένην ῥῆσιν, ἐπὶ τὴν ἐξήγησιν αὐτῆς τρέψομαι.

Ὁκόσῃσιν ἐξ ἀποφθορῆς, περὶ ὑστέρην καὶ οἰδημάτων ἐς καρηβαρίην φέρεται, καὶ κατὰ τὸ βρέγμα αἱ ὀδύναι, καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν ὀκτὼ ἢ δέκα μησὶν εἰς ἰσχίον τελευτᾷ.

Ὃ καλοῦσιν ἄμβλωσιν οἱ ἀττικοὶ, τοῦτο συνήθως Ἱπποκράτης ἀποφθορὰν ὀνομάζει, καὶ τὰ ῥήματα δὲ τὰ παρακείμενα τῇ προσηγορίᾳ τῇδε, καὶ τὰς ὑπὸ τῶν γραμματικῶν ὀνομαζομένας μετοχὰς, ἀνάλογον αὐτῇ γράφει. τὸ δ' ἀμβλώσκειν, ἴσως γάρ τις ἀγνοεῖ καὶ τοῦτ' αὐτὸ, κατὰ τῆς ἀτελοῦς τῶν ἐμβρύων ἐκπτώσεως ἐπιφέρουσιν, ὅπως ἂν ᾖ γεγονυῖα, καὶ τὰ φάρμακα δὲ τὰ τοῦτ' ἐργαζόμενα καλοῦσιν ἀμβλωτικά. τὸ μὲν οὖν σημαινόμενον ὑπὸ τῆς λέξεως, ἅπαξ εἰρῆσθαι νῦν ἀρκέσει. τῶν δὲ χρησίμων ἀρκτέον ἤδη, τοσοῦτον ἐπισημηναμένους, ὡς ταύτην τὴν ῥῆσιν

οἱ παλαιοὶ τῶν ἐξηγητῶν ἐν τῇδε τῇ λέξει γράφουσιν. Ὁκόσῃσιν ἀπὸ φθορῆς περὶ ὑστέρας καὶ οἰδημάτων εἰς καρη- »
βαρίας τρέπεται. Φθορὰν, οὐκ ἀποφθορὰν βουλόμενοι δηλονότι τὴν ἄμβλωσιν ὀνομάζειν. οἱ δὲ προστιθέντες τὴν »
ἀπὸ, πρόθεσιν, ἀποφθορὰν δηλονότι αὐτὴν ἐβουλήθησαν καλεῖσθαι. καὶ φαίνεται μὲν οὖν οὕτω πολλάκις ὀνομάζων
Ἱπποκράτης. εἰ μέντοι καὶ νῦν ἄδηλον, ὥσπερ δ' ἐν τούτῳ, κἂν διαφερόντως γράφωσι, τὴν αὐτὴν τοῦ λόγου φυ-
λάττουσι διάνοιαν, οὕτω κἂν τῷ περὶ ὑστέρας πληθυντικῶς, ἢ ὑστέρην ἑνικῶς, ἢ καρηβαρίην, ἢ καρηβαρίας πληθυν-
τικῶς, οὐχ ὑπαλλάττουσι τὴν τοῦ λόγου διάνοιαν. ὅθεν ἐγὼ Γαληνὸς παρῃτησάμην καὶ τοιαύτας ἐν τῇ λέξει διαφωνίας
κρίνειν ὅσαι τῶν δηλουμένων πραγμάτων οὐδὲν ὑπαλλάττουσι. τὸ γοῦν λεγόμενον ὑφ' Ἱπποκράτους τοιοῦτόν ἐστιν.
αἷς ἂν γυναιξὶν ἐπὶ διαφθορᾷ τῶν ἐμβρύων οἰδήματα ἐχούσαις ἐν τῇ μήτρᾳ, κατὰ συμπάθειαν ἀκολουθήσῃ καρη-
βαρία, ταύταις κατὰ τὸ βρέγμα γίνεσθαι τὴν ὀδύνην. ὡσαύτως δὲ καὶ ἄλλας καρηβαρίας, ὅσαι διὰ τὰ τῆς μήτρας
10 πάθη γίνονται, κατὰ τὸν αὐτὸν λόγον εὑρήσεις ἔχειν τὰς ὀδύνας εἰς τὸ βρέγμα. πρῶτον μὲν οὖν ἀναγκαῖον ἐστὶν
ἐπισκέψασθαι, τί ποτε σημαίνει τὸ τοῦ οἰδήματος ὄνομα. φαίνεται γὰρ ὁ Ἱπποκράτης ἀεὶ, καθότι δέδεικται πολ-
λάκις, ἅπαντας τοὺς παρὰ φύσιν ὄγκους οὕτως ὀνομάζειν. ἐάν τε ἀνώδυνοι, καὶ σκληροὶ τυγχάνωσιν ὄντες, οὓς ὀνο-
μάζουσιν ἰδίως σκίρρους, ἐάν τε ὀδύνην ἔχωσιν, οὓς ὀνομάζουσιν ἰδίως φλεγμονὰς, ἐάν τε ἀνώδυνοί εἰσι καὶ χαῦ-
νοι, καλοῦσι δὲ μόνους τούτους οἰδήματα. νυνὶ μέντοι φαίνεται τοιούτων οἰδημάτων μνημονεύειν, ὅσα τε χρονίσαι
δύναται, καὶ καρηβαρίαν ἐργάζεσθαι, τουτέστι τῆς κεφαλῆς. ὅτι μὲν οὖν ἐπὶ ταῖς διαφθοραῖς τῶν ἐμβρύων εἴωθε γίνεσθαι
τοῦτο, τὸ φαινόμενον αὐτὸ μαρτυρεῖ. τίς δ' ἐστὶν ἡ αἰτία τοῦ μᾶλλον τῶν ἄλλων τῆς κεφαλῆς μορίων, ὀδυνᾶσθαι τὸ
βρέγμα, πειραθέντες εὑρεῖν ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἀλλήλοις διηνέχθησαν. ἔνιοι μὲν τὸ κατ' ἴξιν,
ὅπερ ἐστὶ τὸ κατ' εὐθυωρίαν αἰτιασάμενοι. τοῖς μὲν γὰρ κατ' ὀσφύν τε καὶ ὅλως τὴν ῥάχιν, ἐν πάθει τινὶ γινομέ-
νοις μορίοις, ἐπὶ τὸν ὀπίσθιον ἐγκέφαλον ἀνήκειν φασὶ τὴν εὐθυωρίαν. τινὲς δὲ καὶ τῆς μήτρας αὐτῆς, τοῖς μὲν τὰ
20 ὄπισθεν πάσχουσι τὰ κατὰ τὸ ἰνίον φασὶ συμπάσχειν, τοῖς δὲ τὰ πρόσω τὰ κατὰ τὸ βρέγμα. τινὲς δὲ ἀποχωρή-
σαντες ἀπὸ τοῦ κατ' εὐθυωρίαν, ὃ δὴ καὶ κατ' ἴξιν ὁ Ἱπποκράτης ὀνομάζει, συμπάσχειν φασὶ τῇ μήτρᾳ τὸν ἐγκέφα-
λον, ὡς ἂν νευρώδει μορίῳ νεύρων ἀρχὴν ὄντα αὐτὸν, καὶ διὰ τοῦτο γίνεσθαι τὰς καρηβαρίας. ἅτε δὴ πλείστου κατὰ
τὸ βρέγμα κειμένου τοῦ ἐγκεφάλου, κατὰ τοῦτο διασημαίνειν μάλιστα τὴν ὀδύνην. ἔνιοι δὲ ἀσθενέστατον εἶναι τοῦτο
τὸ μέρος τῆς κεφαλῆς εἰπόντες, εἰκότως φασὶ μειζόνως τῶν ἄλλων αὐτὸ πάσχειν. ὅσοι μὲν γὰρ ἀπὸ τῶν μέσων τοῦ ἐγκε-
φάλου τῶν κατὰ τὸ βρέγμα ἐπὶ τὰς μήτρας νεῦρα πεφυκέναι λέγουσι, τούτων οὐδὲ μεμνῆσθαι καλὸν, ὥσπερ ἴσως
οὐδὲ τῶν φασκόντων διότι νευρώδης ἡ μήτρα, διὰ τοῦτο αὐτῇ συμπάσχει τῶν νεύρων ἡ ἀρχή. πῶς γὰρ οὐκ ἂν ἐγγὺς
μᾶλλον ὂν τὸ περιτόναιον, καὶ τὰ ἔντερα, καὶ ἡ γαστὴρ, καὶ τὸ διάφραγμα συνεπάθησεν αὐτῇ, νευρώδη γε ὄντα
καὶ αὐτά. τούτων δ' ἔτι χείρους οἱ λέγοντες τοῖς ὄρχεσι τὸν ἐγκέφαλον συμπάσχειν, ἐπειδὴ καὶ αὐτοὶ τὴν αὐτὴν
ἔχουσιν οὐσίαν ἐγκεφάλῳ, καὶ διὰ τοῦτο καὶ τῇ μήτρᾳ, καὶ γὰρ καὶ ταύτην ὄρχεις ἔχειν. ἐὰν δὲ καὶ τῶν ἔτι φαυλοτέρων
30 ἢ κατὰ τούτους μνημονεύω, τάχ' ἂν τις ἐγκαλέσῃ μοι, καὶ φήσει μηδ' ὧν ὀλίγον ἔμπροσθεν ἔγραψα, μεμνῆσθαί με.
κάλλιον οὖν ἦν παρατεμόντα τὰς φλυαρίας αὐτῶν ἅπαξ, μηδ' ὅλως ἔτι μνημονεύειν ὧν εἰρήκασι. τῶν δὲ λεγόν-
των νευρώδη τὴν μήτραν εἶναι, κατὰ μέν τι σημαινόμενον ἀληθῆ τὸν λόγον ἡγητέον εἶναι, καθ' ἕτερον δὲ ψευ-
δῆ. τρία γάρ ἐστι γένη σωμάτων ὁμοιομερῶν ἐν τοῖς ζώοις ἄναιμά τε, καὶ ἀκοίλια φαινόμενα. τὰ μὲν ἐξ ὀστῶν, τὰ
δ' ἐξ ἐγκεφάλου καὶ νωτιαίου, τὰ δὲ ἐκ μυῶν φυόμενα. ὀνομάζεται δὲ ὑπὸ μὲν Ἱπποκράτους τοὐπίπαν τὸ μὲν πρῶ-
τον αὐτῶν εἰρημένων σύνδεσμος, τὸ δὲ δεύτερον, νεῦρόν τε καὶ τόνος, τὸ δὲ τρίτον, τένων. ἔνιοι δὲ νεῦρα πάντα
καλέσαντες δι' ἣν εἶπον ὁμοιότητα, τὸ μὲν πρῶτον αὐτῶν γένος, συνδετικὸν εἶναί φασι. τὸ δὲ δεύτερον, αἰσθητικόν τε
καὶ προαιρετικόν. τὸ δὲ τρίτον, ἀπονεύρωσιν ὀνομάζουσιν. ἀλλ' οὐδ' ἐξ ἑνὸς τῶν τριῶν τούτων γενῶν, ἡ μήτρα μετέχει νεύ-
ρων πολλῶν. ἐπεὶ δ' ἔκτασίν τε καὶ συστολὴν ἄχρι πλείστου τὸ σῶμα αὐτῆς φαίνεται ποιούμενον, ὃ μήτε τοῖς σαρκώ-
δεσι, μήτε τοῖς πιμελώδεσι μορίοις ὑπάρχει, διὰ τοσοῦτον νευρώδη προσαγορεύομεν αὐτὴν, ἀπό τινος ὁμοιότητος.
40 κἀνταῦθα παράγωγον ὄνομα τῶν νεύρων ποιησάμενοι, καθάπερ ἀμέλει καὶ τὴν κύστιν οὕτω προσαγορεύειν εἰώ-
θασι, καὶ τἄλλα πάντα τὰ λευκὰ, καὶ ἄναιμα κατὰ τὴν οὐσίαν, ὅταν ἐκτείνεσθαί τε μέχρι πλεῖστον, καὶ πάλιν εἰς
ἑαυτὰ συνιζάνειν φαίνεται. διὰ τοῦτο γοῦν αὐτὸ, καὶ τὴν τοῦ καλουμένου καυλοῦ φύσιν ἐν τοῖς τῶν ἀρρένων αἰδοίοις,
νευρώδη φασὶν εἶναι, καὶ τῆς μήτρας τὸν τράχηλον. εἰσὶ δ' οἳ καὶ συριγγῶδές τε νεῦρον ὀνομάζουσι τὸν καυλὸν τοῦ
αἰδοίου, καὶ δι' ἐκεῖνον, καὶ ὅλον αὐτὸ νευρῶδες καλοῦσι. κἄπειτα ἐπιλαβόμενα τῆς ὁμοιότητος, οὐ κατὰ τὴν δύνα-
μιν τῶν ὄντως νεύρων, ἀλλὰ κατὰ τὴν σωματικὴν οὐσίαν αὐτῆς οὔσης ζητοῦσι, διατί συμπαθείας οὐ φέρει μεγάλας,
ταῖς τῶν νεύρων ἀρχαῖς ὁ καυλός. ἀρχὰς δὲ δηλονότι νεύρων ἐγκέφαλόν τε καὶ νωτιαῖον λέγω, καὶ κατὰ τὴν μή-
τραν τοίνυν ἐμφύεται μέν τινα νεῦρα πάντως, ἢ οὐκ ἂν ᾐσθάνετο. μικρὰ δ' ἐστὶ πάνυ ταῦτα παραβαλλόμενα τῷ
μεγέθει τοῦ μορίου, καὶ διὰ τοῦτο ζητήσεως οὐ μικρᾶς ἐστὶν ἄξιον, ἐάν τις θέλῃ φυσιολογεῖν τὰ τοιαῦτα. τί δή ποτε
ἔνιαι τῶν ὑστερικῶν ὀνομαζομένων γυναικῶν συνολκαῖς καὶ τάσεσι σπασμῶν παραπλησίαις ἁλίσκονται. ἀλλ' ἐπί τε
50 φλεγμαινούσης μήτρας, οὐ πάνυ τι φαίνεται τοῦτο γινόμενον, ὥσπερ οἱ πυρετοὶ πάνυ σφοδροὶ καὶ θερμοὶ, δι' οὓς
ἡ γλῶσσα γίνεται λιγνυώδης, ὡς αὐτὸς ἑξῆς ἐρεῖ κατὰ τοῦτο τὸ βιβλίον. ἐχρῆν οὖν καὶ ταῦτα ζητῆσαι πρότερον,
ὅσοι περὶ συμπαθείας τι τῆς κεφαλῆς, ἣν πρὸς τὴν μήτραν ἴσχει λέγειν ἐπιχειροῦσιν. ὅτι μὲν γὰρ θερμοὺς καὶ σφο-
δροὺς ἐπιφέρει πυρετοὺς, οἱ τοῖς ἔργοις ὁμιλήσαντες ἴσασιν, ὡς οἵ γ' ἐν Ἀλεξανδρείᾳ σοφιστεύσαντες, ὑφ' ὧν ἐπλη-
ρώθη μάλιστα μακρῶν καὶ ψευδῶν λόγων τὰ βιβλία, τοῖς δὲ ἀγέλαις ἥκουσι τοὐπίπαν ὁμιλοῦσι μειρακίοις, μήθ'
ἑωρακόσιν ἀρρώστους, μήτ' αὐτοὶ τετριμμένοι περὶ τοῦτο. πάνυ γὰρ ἠμέληται τοῖς ἐκεῖ πᾶσιν ἀνθρώποις, τὰ κα-
τὰ δίαιταν. ὅσοι τοίνυν ἑωράκασιν ἐπὶ μήτρᾳ φλεγμαινούσῃ νοσούσας γυναῖκας, ἴσασιν ὅπως θερμοὶ καὶ σφοδροὶ
πυρετοὶ καταλαμβάνοντες ὅλον τὸ σῶμα, διακαίονται τὴν κεφαλὴν ὁμοίως τοῖς, καὶ χωρὶς τοῦ παθεῖν τι τὴν
μήτραν τοιούτοις γινομένοις. ἀλλὰ κἂν μὴ πυρέττωσιν ἐπιδήλως, αἷς ἐπέχηται τὰ καταμήνια, κίνδυνός ἐστιν ἐν

τάχει πυρέξαι, καὶ ταύταις ἡ κεφαλὴ βαρεῖα, καὶ πλήρης ἀτμῶν τε καὶ θερμῶν χυμῶν γίνεται, καὶ διὰ τοῦτ' αὐτῶν ἔνιαι κωματώδεις εἰσίν, εἴτε πυρέξουσιν, εἴτε μή. ταῦτα μὲν οὕτω φαίνεται γινόμενα. τίς δ' ἐστὶν αἰτία, δι' ἣν ἐπὶ ταῖς τοιαύταις διαθέσεσι τῆς ὑστέρας ἡ κεφαλὴ πληροῦται, μετὰ ταῦτα ἐχρῆν ζητεῖν. εὐχόμενον μὲν εὑρεῖν, εἰ δὲ μή, ἀλλὰ τό γε φαινόμενον ἐκ τῆς ἐμπειρίας φυλάττοντά τε καὶ μεμνημένον. ἐπιχειρήσομεν οὖν ἡμεῖς εἰπεῖν τινὰς περὶ τῶν οὕτως φαινομένων αἰτίας, ἐντεῦθεν ἀρξάμενοι, τῶν κατὰ τὸ σῶμα ἁπάντων μορίων πλείστας τε καὶ μεγίστας φλέβας ἔχουσιν αἱ μῆτραι, καὶ ὅταν γε κακοπραγῶσιν ἐξ ἐπισχέσεως καταμηνίων, ἢ λοχείων, ἢ διά τινα φλεγμονὴν ὁπωσοῦν γινομένην, ἀναγκαῖον αὐτὰς αἵματος ἐμπίπλασθαι, κἂν ἐπ' αὐτῷ σηπομένῳ πυρετὸς ἀνάπτηται, ἀπὸ τῆς ἰδέας τῶν συνόχων ἀναγκαῖον αὐτὸν γενέσθαι. δέδεικται γὰρ ἐφ' αἵματι σηπομένῳ τοὺς τοιούτους ἀνάπτεσθαι πυρετούς, ἀτμῶν θερμῶν πλῆθος οὐκ ὀλίγον ἀναπέμποντος ἐπὶ τὴν κεφαλήν. ὅτι δὲ ὑφ' ἧς ἂν αἰτίας ἡ κεφαλὴ πληρωθῇ τοιούτων ἀτμῶν, αἱ καρηβαρίαι μάλιστα κατὰ τὸ βρέγμα φαίνονται λυποῦσαι τὸν ἄνθρωπον, οἷς τῶν ἔργων τῆς τέχνης φροντὶς ἐγένετο, φθάνουσι γινώσκοντες πρὶν παρ' ἡμῶν ἀκοῦσαι. ἀλλά τις ἡ αἰτία τοῦ συμβαίνοντος, ἴσως ἀκοῦσαι ποθήσεις. ἐρῶ τοίνυν γε σοὶ τήν γε μοι δοκοῦσαν εἶναι πιθανωτάτην, καὶ ταύτην οὐ μίαν ἀλλὰ πλείους. πρῶτον μὲν γάρ, ὅτι τοὺς εἰρημένους θερμοὺς ἀτμοὺς εὔλογόν ἐστι διὰ τῶν ἀρτηριῶν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεσθαι, καὶ ταύτας ἐστὶν ἰδεῖν κατ' εὐθὺ τοῦ βρέγματος ἀνερχομένας, ἐκ τοῦ τραχήλου τῆς καλουμένης χοαίνης ἑκατέρωθεν. ἔπειτα δ' ὅτι καὶ διαπνεῖσθαι καθ' ὅλον τὸν τῆς ὑγιείας χρόνον, εἴθισται τὰ λεπτὰ καὶ ἀτμώδη τῶν τοῦ ἐγκεφάλου περιττωμάτων, κατὰ τὸ βρέγμα μάλιστα. καὶ γὰρ κατὰ τοῦτο ἀραιόταταί εἰσιν αἱ ῥαφαί, καὶ τὸ κρανίον αὐτὸ λεπτότατόν τε καὶ σηραγγωδέστατον, ἔτι τε πρὸς τούτοις αἰσθητικὰ σώματα, κατὰ τὰς ῥαφὰς ἐστὶ πλείω. καὶ γὰρ ὑμένες τινὲς συνάπτουσι τὴν παχεῖαν μήνιγγα τῷ περικρανίῳ, καὶ πλῆθος ἀγγείων λεπτῶν διεξέρχεται. τῶν δ' ἴσων κατὰ τὸ μέγεθος παθημάτων μᾶλλον αἰσθάνονται τὰ αἰσθητικώτερα φύσει. τὰ δὲ μᾶλλον αἰσθανόμενα, μᾶλλον ὑπὸ τῶν ὀδυνηρῶν αἰτίων ἀνιᾶται. διὰ ταῦτα μὲν δὴ κατὰ τὸ βρέγμα εἰσὶν αἱ ὀδύναι. καταλείπεται δὴ τὴν αἰτίαν εὑρεῖν, δι' ἣν ἐν ὀκτὼ ἢ δέκα μησὶν εἰς ἰσχίον τελευτᾷ, τουτέστι κατασκήπτει τὸ νόσημα ταῖς οὕτως ἐχούσαις. ἐπεὶ δὲ ἀξιοῦσιν ἔνιοι οὐκ ἐν ὀκτὼ καὶ δέκα μησίν, ἀλλ' ἐν ὀγδόῳ, ἢ δεκάτῳ, καί φασιν ἐν πολλοῖς τῶν ἀντιγράφων εὑρίσκεσθαι, καὶ μάλιστα τῶν παλαιοτάτων τὸ στοιχεῖον τὸ η. καὶ πάλιν τὸ ι. στοιχεῖον, η. μὲν ἀντὶ τῶν ὀκτὼ γεγραμμένων, ι. δὲ ἀντὶ τῶν δέκα, προσεπισκεψώμεθα καὶ τὴν ἐν τούτοις διαφοράν. ἐὰν μὲν γὰρ ἐν ὀκτὼ ἢ δέκα μησὶ λέγωμεν εἰς ἰσχίον τελευτᾶν, ἀπὸ τῆς ἀμβλώσεως οὐκ ἀπὸ τῆς συλλήψεως ἀριθμήσομεν. ἐὰν δὲ ἐν ὀγδόῳ ἢ δεκάτῳ μηνί, τὸν ἀπὸ τῆς συλλήψεως οὕτω χρόνον δηλοῦσθαι φήσομεν. ἐμοὶ δ' οὐκ ἀδύνατον τοῦτο φαίνεται, καθ' ἑκατέραν τῶν λέξεων ἑκατέρως ἀκούειν, καὶ χρὴ τοῦ λεγομένου τὴν κρίσιν ἐπὶ τῇ πείρᾳ τίθεσθαι. καθάπερ ἐγὼ διὰ παντὸς ἐπὶ πάντων τε τῶν τοιούτων ἐποίησα, καὶ τοῦδε τοῦ νῦν εἰρημένου. καί μοι παραφυλάττοντί ποτε ἐν μ. ἡμέραις, ἐνίοτε δ' ἐν δύο μησίν, ἢ τέτταρσιν ἐφάνη τελευτῆσαν τὸ νόσημα. τισὶ δὲ καὶ μέχρι πλειόνων ἐξετάθη, καί τινων ὄντως εἰς ὄγδοον ἦλθον μῆνα, καὶ ἄλλαι τινὲς εἰς δέκατον. ἐθεασάμην δὲ καὶ τὴν εἰς ἰσχίον ἐκ μήτρας ἀπόστασιν, ἀλλ' οὐκ ἐπὶ πολλῶν, καίτοι πολλὰς ἐφ' ὑστέρᾳ κακοπραγούσῃ χρονίως πασχούσας εἶδον. ὀκνηρῶς οὖν ἔχω ζητεῖν τὴν αἰτίαν, οὐ μήπω τὴν ὕπαρξιν εὗρον ἀληθευομένην. ὁ γὰρ Ἀριστοτέλης ἀξιοῖ προεγνωσμένου βεβαίως τοῦ ὅτι, ζητεῖσθαι χρῆναι τὸ διότι. πρὶν δ' ὅτι γίνεται βεβαίως μαθεῖν, εἴ τις ζητοίη, τὸ διότι, φανερός ἐστιν ἀδολεσχεῖν τε καὶ ληρεῖν προῃρημένος, οὐ τ' ἀληθὲς εὑρεῖν ὀρεγόμενος. οἱ γοῦν ἐπιχειρήσαντες εἰπεῖν καὶ τοῦδε τὴν αἰτίαν, τοιαῦτα λέγουσιν. ὅσοι μὲν γὰρ ἀπὸ τοῦ τῆς ἀμβλώσεως χρόνου εἰς ὀκτὼ ἢ δέκα μῆνας ἀριθμεῖν ἀξιοῦσι, τὴν ὑστέραν φασὶν εἰθίσθαι κακοπαθεῖν, ἐν δυσὶ τούτοις χρόνοις, ὀγδόῳ καὶ δεκάτῳ μηνί. κατὰ μὲν γὰρ τὸν ὄγδοον μῆνα στρέφεσθαι τὸ ἔμβρυον, ἀποκυΐσκεσθαι δ' ἐν τῷ δεκάτῳ, καὶ νῦν οὖν ἐν ταῖς αὐταῖς προθεσμίαις, τὴν τῶν λυπούντων ἀπόκρισιν ποιεῖσθαι διὰ ἀποσκήμματα εἰς χωρίον πλησίον τε κείμενον, καὶ δέξασθαι τὰ πεμπόμενα δυνάμενον. ὅσοι δ' ἀπὸ τοῦ τῆς συλλήψεως χρόνου κελεύουσιν ἀριθμεῖν, εὐλογώτερον εἶναί φασιν, ὡς εἰ καὶ μηδεμία μεταξὺ φθορὰ περὶ τὸ ἔμβρυον ἐγεγόνει, νεωτέραν δ' αὖ τινα κίνησιν ἡ μήτρα περὶ αὐτὸ κατὰ τοὺς χρόνους τούτους ἔχειν, ἢ στρεφόμενον ἢ ἐκκρινόμενον, οὕτω καὶ νῦν ἰσχειν. ἑκάτεροι δ' ἁμαρτάνουσι τὰς κινήσεις τοῦ ἐμβρύου ταῖς ὑστέραις ἀνατιθέντες. εἴτε γὰρ στρέφεται κατὰ τὸν ὄγδοον μῆνα, πάντως δήπου τὴν κίνησιν ταύτην ἐξ ἑαυτοῦ ποιεῖται. τήν τ' ἀποκύησιν, ὅταν κινούμενον ἰσχυρότερον ἀπορρήξῃ τινὰ τῶν περιεχόντων ὑμένων, λαμβάνει. τοῦτο γὰρ κἂν τῷ περὶ παιδίων φύσεως εἴρηται κατὰ τήνδε τὴν λέξιν. „Ὅταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγίνηται, συμβαίνει τότε τῷ παιδίῳ κινουμένῳ, καὶ ἀσκαρίζοντι, καὶ χερσί, καὶ ποσὶ ῥῆξαι ἕνα τῶν ὑμένων τῶν ἐσωτάτω. ῥαγέντος ἑνὸς οἱ λοιποὶ ἀκινδυνωτέρην δύναμιν ἔχουσι, καὶ ῥήγνυται πρῶτος μὲν ὁ ἐκείνου ἐχόμενος, ἔπειτα ὁ ὕστατος. ὅταν οὖν μηκέτι ἐν τῇ μήτρᾳ περιέχηται τὸ παιδίον ἀμβλωθέν, οὐδὲ τὰς κινήσεις αὐτοῦ σώζεσθαι δυνατόν ἐστιν. ὁμοίως δὲ τούτοις εἰσὶν ἀπίθανοι, καὶ ὅσοι φασὶ τὸν ἕβδομον μῆνα, καὶ τὸν ἔνατον τὰς ἀποκυήσεις τῶν ἐμβρύων ἔχειν. τὸν δὲ ὄγδοον καὶ δέκατον, τὰς παρὰ φύσιν ἀποστάσεις ὑπεριζούσας ἐν ἑνὶ μηνί, τῶν κατὰ φύσιν, ὅπερ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν εἰρῆσθαί φασι, κατ' ἐκείνην τὴν λέξιν ἐν ᾗ φησι, τῇ ὑστεραίῃ, ὡσανεὶ τῷ ὑστέρῳ χρόνῳ ἢ μηνί. προεξηγησάμεθα δὲ τοῦτο κατ' ἐκεῖνο τὸ βιβλίον. ἐγὼ δὲ εἰ τὸ λεγόμενον αὐτὸ πρότερον ἑωράκειν οὕτως ἔχον, ἐζήτουν ἂν αὐτοῦ φιλοπονώτερον τὴν αἰτίαν. ἐπεὶ δ' ἐν πολλαῖς χρόνων προθεσμίαις ἐθεασάμην τὰ τῆς ὑστέρας πάθη κρινόμενα, καὶ συμφωνοῦντα γε ταῖς τῶν κρισίμων ἡμερῶν περιόδοις, ἃς αὐτὸς ἐδίδαξεν ἐν προγνωστικῷ. *καταλείπω τὴν ζήτησιν τῆς αἰτίας, ὅτι διὰ παντὸς ὁρῶν τὸ εἰρημένον οὕτως ἔχον, οὐθ' ὡς πολύ. τεθεαμένον δ' ἴσως κατὰ τύχην ἐπὶ δυοῖν ἢ τριῶν γυναικῶν τὸν ταῦτα γράψαντα συμβᾶν οὕτως, εἴθ' ὁ Ἱπποκράτης αὐτός ἐστιν, εἴτε Θεσσαλός, εἴτ' ἄλλος τις, ἀποφήνασθαι προπετέστερον ἡγοῦμαι καθολικὴν ἀπόφασιν ἐπὶ πράγματι, μήτε διὰ παντός, ὡς ἔφην, μήτε πολλάκις γινομένῳ. ταῦτα μὲν οὖν ἡμῖν τέλος ἐχέτω. μνημονεύσωμεν δὲ τῶν προειρημένων ἐν τῇ γραφῇ τὸν καὶ σύνδεσμον ἐν τῷ μεταξὺ τοῦ τε εἰς καρηβαρίην τρέπεται, καὶ τοῦ κατὰ τὸ βρέγμα ὀδύναι, καὶ ποιήσωμεν ὅλην τὴν γραφὴν τοιάνδε. „Ὅσῃσιν ἀπὸ φθορῆς περὶ ὑστέρην, καὶ οἰδημάτων εἰς καρηβαρίην τρέπεται,

τρέπεται, καὶ κατὰ τὸ βρέγμα ὀδύναι, καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν ὀκτὼ, ἢ δέκα μησὶν ἐς ἰσχίον τελευτᾷ. ἰατρικὸν γάρ τινα διορισμὸν εἰς πρόγνωσιν χρήσιμον, οὐκ αἰτιολογικὸν ἐπεισάγουσι τῷ πρόσθεν λόγῳ, τοιαύτην ἀξιοῦντες εἶναι τὴν διάνοιαν. ὅσαις γυναιξὶν οἰδημάτων ἐν ταῖς μήτραις ἐπ' ἀμβλώσει γινομένων, ἐς καρηβαρίαν τρέπεται, καὶ κατὰ τὸ βρέγμα αὐταῖς ὀδύναι γίνονται, ταύταις ἐν ὀκτὼ, ἢ δέκα μησὶν ἐς ἰσχίον μετάστασις ἐστὶ τῶν τὰς μήτρας λυπούντων, ὡς οὔτε πάντων τῶν κατὰ τὰς ὑστέρας οἰδημάτων κατὰ τὸ βρέγμα τὰς ὀδύνας ἐργαζομένων, οὔτε πάντων ἐς ἰσχίον κατασκηπτόντων, ἀλλ' ἐκείνων μόνον ὅσα περὶ τὸ βρέγμα ποιεῖται τὰς ὀδύνας. ἀλλ' οὐδὲ τοῦτο παραφυλάξας εὗρον οὕτω γινόμενον, οὐ μὴν οὐδ' αὐτοί τινα λόγον αὐτοῦ λέγουσι. διατί γὰρ ἐκεῖνα μόνα τῶν κατὰ τὰς μήτρας οἰδημάτων ἐς ἰσχίον ἀποσκήπτειν ἀξιοῦσιν ὅσα κατὰ τὸ βρέγμα τὰς ὀδύνας ἐποιήσατο, λέγειν οὐκ ἔχουσιν. οὐδ' ἡμεῖς οὖν αὐτοῖς πιστεύομεν, ὡς ἂν μήτε διὰ ἐμπειρίας εἰληφότων τοῦ λόγου τὴν πίστιν, μήτ' ἐκ τῆς τοῦ πράγματος φύσεως ἐνδεικτικῶς. εὔδηλον δ' ὅτι καὶ τὴν λέξιν ἐκείνην, καθ' ἣν, καὶ ἄλλαι ἀπὸ ὑστερέων ὁ Ἱπποκράτης ἔγραψεν, ἐξηγοῦνται διττῶς. ἔνιοι μὲν ἐπὶ τὰς ἐν τῇ μήτρᾳ διαθέσεις ἀναφερόντων τὸν λόγον, ὡς οὐδὲν ἧττον, ἁπασῶν αὐτῶν, τὰς προειρημένας τὰς καρηβαρίας τε καὶ κατὰ τὸ βρέγμα μάλιστα γινομένας ὀδύνας, ἑπομένας ἐχουσῶν. ἔνιοι δ' ἐπὶ τὰς τῆς κεφαλῆς διαθέσεις ἀναφέρουσι τὸν λόγον, ὡς εἰ καὶ οὕτως ἔγραψεν. ὅσαις ἀπὸ φθορῆς καὶ οἰδημάτων ἐς καρηβαρίαν τρέπεται, περὶ τὸ βρέγμα εἰσὶν ὀδύναι, καὶ ἄλλαι δὲ τῆς κεφαλῆς διαθέσεις αἱ ἀπὸ ὑστερῶν γινόμεναι περὶ τὸ βρέγμα μάλιστα διασημαίνουσιν. ἄλλας διαθέσεις ἀκούσωμεν, τὰς ἀναλόγους τῇ καρηβαρίᾳ. καλοῦσι δὲ τὰς μὲν τινας αὐτῶν κεφαλαίας, τὰς δὲ ἡμικρανίας, τὰς δὲ κεφαλαλγίας ἁπλῶς.

Οἱ φοξοὶ, οἱ μὲν κρατεραύχενες ἰσχυροὶ καὶ τἆλλα, καὶ τοῖσιν ὀστέοισιν. οἱ δὲ κεφαλαλγέες, καὶ ὠτόρρυτοι, τουτέοισι ὑπερῶαι κοῖλαι, καὶ ὀδόντες παρηλλαγμένοι.

Κἀνταῦθα πάλιν οὐδὲν διαφέρει, πότερα κρατεραύχενες ἐν πέντε συλλαβαῖς, ἢ κραταύχενες ἐν τέτρασι τις γράφει. τοὺς γὰρ κρατεροὺς ἔχοντας τοὺς αὐχένας, ὅπερ ἐστὶν ἰσχυροὺς, ἑκατέρα τῶν φωνῶν σημαίνει. τὸ μέντοι μακραύχενες ὅπερ ἔνιοι γράφουσι, τὴν παλαιὰν ὑπαλλάττοντες γραφὴν, οὐ ταυτὸν δηλοῖ. κρατερὸς μὲν γὰρ αὐχὴν ὁ ἰσχυρὸς ὀνομάζεται, διὰ σκληρότητα καὶ μέγεθος ὀστῶν τοιοῦτος γινόμενος τἀπίπαν. οὕτως δ' ἔχουσι καὶ οἱ περικείμενοι τοῖς ὀστέοις μύες τε καὶ τένοντες, καὶ σύνδεσμοι. μακροὶ δ' αὐχένες, οὐχ ὅπως ἐν ἀρετῆς μοίρᾳ γίνονται, ἀλλὰ καὶ μοχθηροὶ τοὐπίπαν εἰσὶ παραπλησίως τῷ στενῷ καὶ μακρῷ θώρακι. καὶ γὰρ καὶ τοῦτον εὐρὺν εἶναι προσήκειν, οὐ πλατὺν μόνον, ἢ μακρόν. εὐρὺς δ' ἐν τῇ κατὰ βάθος τε καὶ πλάτος διαστάσει καὶ θώραξ, καὶ αὐχὴν, καὶ πᾶν ὁτιοῦν ἄλλο γίνεται μόριον, ὅταν ἀνάλογον ἀλλήλοις αὐξηθῇ ταῦτα. πάντως δ' ἐπ' αὐτῶν ἐστὶ καὶ τὸ μῆκος ἤτοι μεῖζον, ἢ ἴσον γε τοῖς συμμέτρως ἔχουσιν. ὁ μὲν οὖν θώραξ τῶν ἐντυγχανόντων ἡμῖν ἀνθρώπων οὐ φαίνεται, πρὶν γυμνωθῆναι τὸ σῶμα. τὴν δὲ κεφαλὴν εὐθέως ὁρῶμέν τε καὶ γνωρίζομεν ὅ, τι περ ἂν ἔχῃ, κατά γε τὴν διάπλασιν, καὶ τὸ μέγεθος, σφάλμα. κατὰ μὲν τὸ μέγεθος ἤτοι σμικροτέρα τοῦ προσήκοντος, ἢ μεῖζον γεγονυῖα. κατὰ δὲ τὴν διάπλασιν ἢ ἀκριβῶς στρογγύλαι, τήν τε κατὰ μέτωπον ἐξοχὴν, καὶ τὴν κατὰ τὸ ἰνίον ἀπολωλεκυῖα τελέως, ἢ φοξὴ περιμηκεστέρας τοῦ δέοντος ἔχουσα τὰς ἐξοχὰς, ἤτοι γ' ἀμφοτέρας, ἢ τὴν ἑτέραν, ἢ μίαν ἔχουσα μόνην, ἀπολωλεκυῖα δὲ τὴν ἑτέραν. ἐπεὶ μὲν οὖν τῆς μείζονός τε καὶ φοξῆς ἐπισκέπτεσθαι προσήκει τότε ποσὸν τῆς ὑπεροχῆς, καὶ τὴν τοῦ αὐχένος ὑπεροχὴν, εἰς τὸ διαγνῶναι πότερον ἄμεινον αὐτοῖς ἢ χεῖρον, ἡ κεφαλὴ κατεσκεύασται. δέδεικται γὰρ ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασιν, οὐ μικρὰ χρεία γινομένη τοῖς ἰατροῖς ἐκ τε ταύτης γνώσεως, εἰς φυλακὴν τε τοῦ μέρους ὑγιείας, καὶ τὴν ἑσομένην ἐπανόρθωσιν, εἰ φθάσειέ ποτε μαθεῖν. ἐπὶ δὲ τῆς ἐναργῶς μικρᾶς, ἐγνωκέναι μὲν χρὴ τὴν σμικρότητα, προσεπισκέπτεσθαι δὲ ἐκ περιουσίας καὶ τὰ περὶ τὸν τράχηλον. ἐπειδὴ στελέχει παραπλησίως ἡ ῥάχις ὡς ἐκ ῥιζώσεως πέφυκε τῆς κεφαλῆς. ἔμαθες γὰρ ἐξ ἐγκεφάλου τῷ νωτιαίῳ μυελῷ, τήν τε τῆς γενέσεως ἀρχὴν εἶναι, καὶ τὴν τῶν δυνάμεων χορηγίαν. περιέχουσι δὲ τοῦτον οἱ σπόνδυλοι, λεπτὸν μὲν ὄντα, μικροὶ, παχὺν δὲ γενόμενον, εὐρεῖς. ὥσπερ οὖν ὁ μέγας μὲν θώραξ εὐρυχωρίαν τε μεγάλην ἔνδοθεν ἔχει, καθ' ἣν ἀθλιπτα καὶ μεγάλα δύο σπλάγχνα περιέχεται πνεύμων, καὶ καρδία. ὁ δὲ σμικρὸς ἀνάλογον αὐτῷ καὶ ταῦτα ἔχει σμικρά τε ἅμα καὶ στενοχωρούμενα. κατὰ τὸν αὐτὸν τρόπον ἡ κεφαλὴ, καὶ ἡ ῥάχις ἀνάλογον ἑαυταῖς ἔχουσιν ἐγκέφαλόν τε καὶ νωτιαῖον. ὅταν μὲν εἰς μέγεθος ἐπιδῶσιν αὐτούς τε μεγάλους, εὐρείας τε τὰς τοῦ πνεύματος χώρας ἐν αὐτοῖς ποιοῦσιν, αἱ δὲ σμικραὶ τἀναντία. φαίνεται δὲ καὶ τὰ τῆς διανοίας βεβλαμμένα τοῖς ἐναργῶς ἔχουσιν, ἤτοι πάνυ μεγάλας, ἢ πάνυ σμικρὰς τὰς κεφαλάς. ἀλλ' αἱ μὲν σμικραὶ, μοχθηραὶ διὰ παντός. αἱ δὲ μεγάλαι, γένοιντ' ἄν ποτε κατὰ τὸ σπάνιον ἐπὶ ῥώμῃ τε τῆς κατὰ ταῦτα δυνάμεως, καὶ πλήθει τῆς ὕλης, ἐξ ἧς διεπλάσθησαν, ὅπερ ὑπάρξαι φασὶ καὶ Περικλεῖ τῷ Ἀθηναίῳ συνετωτάτῳ γενομένῳ. σκώπτεται γοῦν ὑπὸ τῶν κωμικῶν ἐπὶ μεγέθει κεφαλῆς. ἔτι δὲ μᾶλλον ἐὰν καὶ τὸ κατὰ φύσιν σχῆμα φυλάττῃ, καὶ τὸν αὐχένα κρατερὸν ἔχῃ, καὶ τοὺς ὀφθαλμοὺς δεδορκότας δριμὺ, γνωστέον ἄριστα διακεῖσθαι τὴν τοιαύτην κεφαλήν. αἱ δὲ φοξαὶ, καὶ γὰρ καὶ τούτων ἔφην τινὰς οὐκ εἶναι μεμπτὰς, γίνονται μὲν ὑπαλλαττομένης κατά τι τῆς ἀρίστης διαπλάσεως, ἥτις ἔοικε περιμήκει σφαίρᾳ τεθλιμμένῃ, καθ' ἑκάτερον οὔσῃ. ἤτοι δὲ λείπουσαν ἔχουσι τὴν κατ' ἰνίον, ἢ μέτωπον ἐξοχὴν, ἢ πέρα τοῦ προσήκοντος ηὐξημένην. ὡς τὸ πολὺ μὲν οὖν ἔφην ὥσπερ τὴν μεγάλην, οὕτω καὶ ταύτας εὑρήσεις μεμπτάς. ἐν δὲ τῷ σπανίῳ γίνονται, καὶ τούτων τινὲς ἀγαθαὶ, τῆς διαπλαττούσης δυνάμεως τὴν ὕλην, ἐξ ἧς ἐγεννήθη κυούμενος ὁ ἄνθρωπος, ἰσχυρᾶς ὑπαρχούσης, ὡς μὴ νικηθῆναι τῷ πλήθει τοῦ ῥυέντος ἐπὶ τὸ χωρίον αἵματος, ἀλλ' ἐξαρκέσαι τε, καὶ ἀντισχεῖν αὐτὸ, καὶ διαπλάσαι καλῶς. ἐπεὶ τοίνυν ἤτοι διὰ τὴν ἔνδειαν ὁποτέρας τῶν ἐξοχῶν, ἢ διὰ τὴν ἐπαύξησιν αἱ φοξαὶ γίνονται κεφαλαὶ, πρότερον μέν σε χρὴ προσέχειν τὸν νοῦν, πότερον αὐξηθείσης, ἢ μειωθείσης τῆς ἐξοχῆς, ἡ φοξότης ἐγένετο. μεμπτὸν μὲν γὰρ ἀεὶ τὸ μειωθείσης, οὐ μεμπτὸν δ' ἀεὶ, τὸ προσαυ-

ξηθείσης. ἀλλὰ συνεπισκέπτεσθαί χρὴ τὰ τηλικαῦτα, πρῶτον μὲν τὴν εὐσχημοσύνην τῆς ἐπαυξήσεως. αἱ γὰρ ἀπρεπεῖς ἐπαυξήσεις εἰσὶ μοχθηραί. δεύτερον δὲ, πότερον ἡ κατ' ἰνίον ἐξοχὴ τῆς κεφαλῆς αὐτῆς γέγονε μείζων, ἢ τὸ κατὰ πρόσωπον μέρος ηὔξηται, βέλτιον εἶναι νομίζοντα αὐξηθῆναι τὴν κατ' ἰνίον. αὐτίκα γὰρ ἥ τε κυριωτάτη τῶν κοιλιῶν ἐστι τοῦ ἐγκεφάλου, καὶ ἡ τοῦ νωτιαίου μυελοῦ ῥίζωσις. εἶτα καθεξῆς σκοπεῖν τὸν αὐχένα, πότερον ἀσθενὴς ἢ κρατερός ἐστιν. ἐὰν γὰρ ἥ τε ἐξοχὴ μήτ' ἀσχήμων ᾖ, μήθ' ὑπερβαλλόντως μεγάλη, γενναῖός τε αὐτὴν ἐκδέχεται τράχηλος, ἀποδέχου τὴν φοξότητα τῆς τοιαύτης κεφαλῆς. ἰσχυροὺς γὰρ εὑρήσεις τούτους, τά τε ἄλλα κἂν τοῖς ὀστοῖς. ἐπισκέψαι δ' ἐνταῦθα τινὰ λέγει τὰ ἄλλα, πότερα τὰ κατὰ θώρακα καὶ ἧπαρ, ὡς εἶναι τὰς τρεῖς ἀρχὰς τοῖς τοιούτοις γενναίας, ἢ μόνον τὴν ἐπὶ τὸν ἐγκέφαλον, ἢ τἄλλα μόνα λέγει διὰ τὰ τὴν πρώτην ἀρχήν τε καὶ γένεσιν ἐκ τῆς κεφαλῆς ἔχοντα. ταῦτα δέ ἐστι νωτιαῖος, καὶ νεῦρα, καὶ σὺν αὐτοῖς ἡ τῶν ὀστῶν οὐσία, καὶ ἡ τῶν μυῶν, ἅπερ ἐξ ἀνάγκης συναυξάνεται, καὶ συγκρατύνεται τῇ κεφαλῇ, καὶ ταῦτα δὲ εὑρήσεις, ὡς τὸ πολὺ συναυξανόμενα. τοῦ γὰρ αἵματος ἐξ οὗ διεπλάσθησαν τὰ κατὰ τὴν κεφαλὴν ὄντος πολλοῦ τε καὶ εὐχροοῦ, καὶ τὴν ζωτικὴν δύναμιν ἣν ἐκ καρδίας ἐδείξαμεν ὁρμᾶσθαι, καὶ τὴν φυσικήν τε καὶ θρεπτικὴν ὀνομαζομένην, ἣν ἐξ ἥπατος ἔμαθεν ἐπιρρεῖν ταῖς φλεψὶν, εὔλογον ὑπάρχειν εὐθὺς ἐξ ἀρχῆς ἰσχυρᾶς. καὶ δὴ τῷ τοιούτῳ ζώῳ τὰ οἷον θεμέλια τοῦ παντὸς σώματος ἀναγκαῖον εἶναι γενναῖα. τῆς δ' ἐναντίως ἐχούσης κεφαλῆς, κατά τε τὸ μοχθηρὸν σχῆμα καὶ τὴν μικρότητα, προσεπισκέψασθαι τά τε καθ' ὑπερῴαν ἐν τῷ στόματι χωρία. καλεῖται δ' οὕτως τὸ μέρος ἐκεῖνο τῆς ὑψηλῆς χώρας αὐτοῦ, ὅσον ὑπὲρ τὰς ἐκ τῆς ῥινὸς εἰς αὐτὸ συντρήσεις ἐστὶ μετέωρον. εὑρήσεις γὰρ οὖν καὶ τοῦτο κοῖλον, ἐφ' ὧν ἡ φοξότης ὀξεῖα τε καὶ ἀσχήμων ἐγένετο. καὶ γὰρ οὖν καλοῦσιν οἱ ἄνθρωποι τούτους μάλιστα φοξούς. ἐπὶ πολλῶν δὲ καὶ ὀδόντες παρηλλαγμένοι φαίνονται, τουτέστιν οὐ κατ' εὐθὺ τοῖς ἄνωθεν οἱ κάτωθεν, οὔτ' οἱ τομεῖς τοῖς τομεῦσιν, οὔθ' οἱ κυνόδοντες τοῖς κυνόδουσι, οὔθ' αἱ μύλαι ταῖς μύλαις, ἀλλ' οἷον ἀντεσπασμένον τε ἅμα καὶ διεστραμμένον αὐτοῖς φαίνεται τὸ στόμα. τούτους οὖν εὑρήσεις κεφαλήν τε συνεχῶς ἀλγοῦντας, καὶ ῥευματιζομένους τὰ ὦτα, ποτὲ μὲν ἰχῶρι λεπτῷ καὶ ὑγρῷ, ποτὲ δὲ οἷον πυώδει τε καὶ δυσώδει, τῶν ἀσθενῶν μορίων εἰωθότων, καὶ πολὺ καὶ μοχθηρὸν περίττωμα γεννᾶν. ὁπότ' οὖν σαφὴς ἐγένετο ἡ ῥῆσις μικρόν τι προσθεὶς, ἐπ' ἄλλην μεταβήσομαι. τὸ δὲ μικρὸν τοῦτ' ἐστιν, ἀνάμνησις ἑνὸς τῶν εἰρημένων μοι κατὰ τὴν ἀρχὴν τοῦδε τοῦ λόγου. φαίνεται γοῦν ἤδη σαφῶς ὑπομνήματι μᾶλλον ἢ συγγράμματι, τὸ προκείμενον ἐοικέναι βιβλίον, ἑαυτῷ τινα γράφοντος εἰς ἀνάμνησιν τοῦ Ἱπποκράτους, ὡς ἕκαστον ἔτυχεν ἤτοι θεασάμενος, ἢ διὰ λογικῆς σκέψεως ἐξευρών. οὐδὲν γὰρ οὐδ' ἐγγὺς οἰκεῖον ἐστι τῇ πρώτῃ ῥήσει πρὸς τὴν δευτέραν, καθάπερ οὐδὲ τῇ τρίτῃ πάλιν πρὸς ταύτας.

Ὁκόσοισιν ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθε, τουτέοισι μέση ἵζει ἡ ῥίς. ὁκόσοισι δὲ ὅθεν οἱ ὀδόντες ἄκροι σιμοῦνται.

Τὸ διαφράττον ὀστοῦν τοὺς δύο πόρους τῆς ῥινὸς ἐστήρικται κατ' ἄλλου τινὸς ὀστοῦ λεπτοῦ, τὴν μὲν ἀρχὴν ἔχοντος ἄνωθεν ἐκ τοῦ μετωπιαίου, τελευτῶντος δ' ἐπὶ τὸ πέρας τοῦ μεσοφρύου ῥινὸς, ἔνθα τὰ πτερύγια. κατὰ τοῦτο μὲν οὖν τὸ μέρος ἐπίκειται τὸ διάφραγμα τῆς ῥινὸς, ἐκείνοις τοῖς χωρίοις εἰς ἃ τὰ πέρατα τῶν τομέων μετ' ὀδόντων ἀνήκει. τὸ δ' ἀνωτέρω τούτων, ὑπερῷα μὲν ὀνομάζεται, στηρίζεται δ' ἐπ' αὐτῆς τὸ μέσον τοῦ διαφράγματος τῆς ῥινός. ἔνθα αὖ οὖν ἀπόληταί τι τῶν στηριζόντων ὀστῶν κατὰ πίπτον, ἐνταῦθα τὸ διάφραγμα κοίλην ἐργάζεται κατ' ἐκεῖνο τὸ μέρος τὴν ῥῖνα, καὶ καλεῖται ταύτης τὸ σύμπτωμα σιμότης.

Αἱ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ ἐστὶν οἷσι μεταβολὰς ἴσχουσι καὶ ἄλλας, καὶ ἐς νεφρὸν ὀδύνη βαρεῖα ὅταν πληρῶνται σίτου.

Ταύτην τὴν γραφὴν ἁπάντων μὲν τῶν ἐξηγητῶν εἰδότων, ἁπάντων δὲ τῶν παλαιῶν ἀντιγράφων ἐχόντων, ἔνιοι τῶν νεωτέρων μεταγράφειν ἐπεχείρησαν, ἄλλος ἄλλως. οἱ μὲν ἐπιλήψιες γράφοντες, οἱ δὲ καταλήψιες, οἱ δὲ ἐπιλάμψιες. ἡ δ' ἐξήγησις αὐτῶν ἐπιληψίαν αὐτῷ βούλεται δηλοῦσθαι, παυομένην ὡς τὰ πολλὰ τοῖς ἐκ νηπίου ἔχουσιν αὐτὴν, ἐν τῇ τῆς παιδικῆς ἡλικίας εἰς τὴν ἡβικὴν μεταβολῇ. καὶ γὰρ φαίνεται γινόμενον οὕτως ἐὰν μή τις ἐν τῷ χρόνῳ τούτῳ πλημμελῶς διαιτώμενος, αἴτιος αὐτῷ γένηται τοῦ διαμεῖναι τὸ νόσημα. γίνεται μὲν οὖν ὡς τὸ πολὺ διὰ ψυχρὰν ἐγκεφάλου κρᾶσιν συνεζευγμένης ὑγρότητος αὐτῇ τὰ πολλά. σπάνιοι γὰρ αἱ ἐκ μορίου τινὸς ὁρμώμεναι. θεραπεύεται δ' ὅταν ἡβάσκωσιν, ἐὰν καὶ τἄλλα τις ὡς προσήκει πράττῃ, διὰ τὴν ἐπὶ τὸ ξηρότερόν τε καὶ θερμότερον μεταβολὴν τῆς κράσεως ὅλου τοῦ σώματος. ὅπως γὰρ ὁ ἀκμάζων θερμότερός ἐστι τοῦ παιδὸς, ἔμαθες ἐν τοῖς περὶ κράσεων, ἔνθεν καὶ ὅπως ὁ παῖς οὐκ ἀκμάζοντός ἐστι θερμότερος. ὁ μὲν ἀκμάζων ἁπλῶς θερμότερος, ὁ δὲ παῖς οὐχ ἁπλῶς, ἀλλ' ὅτι πλέον ἔχει τὸ ἔμφυτον θερμόν. ἐκλάμψεις οὖν τοῦ θερμοῦ βούλονται λέγειν αὐτὸν, οἱ καλέσαντες ἑαυτοὺς Ἱπποκρατείους, ἐκ μεταφορᾶς ἀπὸ τῆς ἐκτὸς φλογὸς, ἥτις ὅταν ἐπικρατήσει τῆς ὕλης, ὥστε ἑαυτῇ συνεξομοιῶσαι πᾶσαν, ἐξέλαμψέ τε καὶ φανερὰ πᾶσιν ἐγένετο, κατακεκρυμμένη πρόσθεν, ἡνίκα τὴν ὕλην ὑγρὰν οὖσαν ἐξήραινεν. ὁ δέ γε Ζεῦξις, ὡσαύτως δ' αὐτῷ καὶ τῶν ἐμπειρικῶν τινες, οὐχ οὕτως ἀκούουσι τὴν ἔκλαμψιν, ἀλλ' ἑτέρῳ τινὶ τρόπῳ. μαθήσῃ δὲ τῆς τοῦ Ζεύξιδος ῥήσεως παραγραφείσης ὧδε. νήπια λέγει ὁ Ἱπποκράτης τὰ μέχρι ἥβης. ταῦτα δὲ κατὰ τὸν τοῦ ἡβάσκειν χρόνον ἐκλάμπει, ἐμφατικῶς ἄγαν τῇ μεταφορᾷ χρησάμενος. καὶ γὰρ σαρκοῦται τὰ τηλικαῦτα μᾶλλον, καὶ εὐσθενέστερα γίνεται, καὶ τῷ χρώματι καὶ τῷ εἴδει χαριέστερα, καὶ τῇ δυνάμει καὶ λογισμῷ βελτίονα. ἀθρόως δὲ γίνεται τοιαῦτα ὥστε καὶ τῶν εὐειδῶν φύσει, τότε μᾶλλον ἐκλάμπει τὸ κάλλος. ὁ δ' αὐτὸς οὗτος Ζεῦξις νήπιά φησιν εἰρῆσθαι πάντα τὰ παιδία, καθότι καὶ Ἡρόφιλος ὠνόμασεν αὐτὰ οὕτως. καὶ γὰρ περὶ τούτου γράφει τόνδε τὸν τρόπον διὰ ταύτης τῆς λέξεως. φαίνεται νήπια λέγων ὁ Ἱπποκράτης τὰ ἕως ἥβης, καὶ οὐχὶ τὰ νεογνὰ μέχρι τῶν πέντε ἢ ἓξ ἐτῶν, ὡς νῦν οἱ πλεῖστοι λέγουσιν. ἤρκει δὲ καὶ ὁ Ἡρόφι-

λος τὰ τηλικαῦτα λέγων νήπια, δι᾽ ὧν φησι. τοῖς νηπίοις οὖν γίνεται ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναί, ὤτων ὑγρότητες. πρὸς τὸ ὀδοντοφυεῖν δὲ προσάγουσιν, οὔλων ὀδαξησμοί, πυρετοί, σπασμοί, διάρροιαι. καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας. καὶ τοῖσι παχυτάτοισι τῶν παιδίων, καὶ τοῖσι τὰς κοιλίας σκληρὰς ἔχουσι. πρεσβυτέροισι δὲ γινομένοισι, παρίσθμια, τοῦ κατὰ τὸν σπόνδυλον τὸν κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσεις, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοί, χοιράδες, καὶ τὰ ἄλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα. τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι τούτων τε τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες. τὰ πλεῖστα δὲ τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησί, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ᾽ ἂν διαμείνῃ τοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τοῖσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθεν.

λος τὰ τηλικαῦτα λέγων νήπια, δι᾽ ὧν φησι. τοῖς νηπίοις οὖν γίνεται ἄφθαι μεγάλα, καταμήνια, κῦμα, φαλακρότης. οὐ γὰρ τοῖς μέχρι τῆς προειρημένης ἡλικίας παραγινομένοις λέγει μὴ γίνεσθαι ταῦτα, τουτέστιν ἀπὸ τῆς πρώτης εὐθέως γενέσεως, ὅπερ τινὲς δεχόμενοι καταγελῶσιν αὐτοῦ, ὡς τὰ πᾶσι γιγνωσκόμενα διδάσκοντος, ὧν ἐστι καὶ ὁ Καλλίμαχος, ἀλλὰ τοῖς μέχρις ἥβης, ἐπειδή τινες ὑπέλαβον καὶ ἐν τούτοις ταῦτα γίνεσθαι. ταῦτα μὲν οὖν καὶ τὰ τοῦ Ζεύξιδος. ἐμοὶ δ᾽ ὅπως εἰρῆσθαι δοκεῖ τὰ νήπια, καὶ πρόσθεν μὲν εἶπον, ἀναλήψομαι δὲ καὶ νῦν ἔτι σαφέστερον τὸν λόγον. τὸ τῆς ἐπιληψίας πάθος ἤτοι κατὰ φυσικὴν γίνεται δυσκρασίαν, ὅταν ὑγρὸς ὁ ἐγκέφαλος ἱκανῶς ᾖ, καὶ τηνικαῦτά γε τὸ παιδίον ὀνομάζεται τὸ νόσημα, καθάπερ αὐτὸς ἐδήλωσεν ἐν τῷ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων ὧδέ πως γράψας. Τοῖς παιδίοις συμπίπτειν σπασμούς τε καὶ ἄσθματα, ἃ νομίζουσι τὸ παιδίον ποιέειν, καὶ ἱερὴν νοῦσον εἶναι. κατὰ ταύτην τὴν ῥῆσιν δῆλον ὅτι προσυπακοῦσαι δεῖ τὸ παιδίων πάθος, ὡς εἶναι τὴν λέξιν ταύτην, ἃ νομίζουσι τὸ παιδίων πάθος ποιεῖν, καὶ ἱερὴν νοῦσον εἶναι. γίνεται δὲ καὶ δι᾽ ἁμαρτήματα τοῖς παιδίοις τοῦτο τὸ πάθος, ἰατρικῆς θεραπείας δεόμενον. ὅταν δὲ δι᾽ ὑγρότητα γίνηται, νηπίοις οὖσιν εὐθὺς ἄρχεται, καὶ παύεται μηδὲν ἡμῶν πραγματευομένων ἐν τῇ τῆς ἡλικίας μεταβολῇ, ὡς εἴ γ᾽ ἂν ἄρξηται παιδίοις, μὴ κατὰ τὴν πρώτην εὐθὺς ἡλικίαν, βρέφεσιν οὖσιν, ἀλλ᾽ ἐν τῷ προϊέναι, δῆλον ὅτι ἐξ ἁμαρτημάτων τοῖς τῶν κατὰ τὴν δίαιταν, ἢ τινος ἔξωθεν αἰτίας ἑτέρας ἐσχηκὸς τὴν γένεσιν, ἐφ᾽ ὧν οὐ χρὴ τὴν μεταβολὴν τῆς ἡλικίας ἀναμένειν, ἀλλὰ τὴν γεγονυῖαν διάθεσιν ἐν αὐτοῖς νοσώδη θεραπεύειν. ἐκεῖνο γε μὴν ἄξιον οὐ σμικρᾶς ζητήσεώς ἐστιν, ἐὰν κατὰ τὴν παλαιὰν γραφὴν ἐκλάμψιας ἀκούσωμεν, ὡς ὁ Ἱπποκράτης, καὶ ὁ Ζεῦξις ἤκουσεν. ὁ γὰρ λόγος ἐστὶ τοιοῦτος. αἱ τῶν νηπίων ὅταν ἡβάσκωσιν ἐκλάμψιες τῆς θέρμης, καὶ ἄλλας μέν τινας ἐν αὐτοῖς ἴσχουσι μεταβολὰς, καὶ μέντοι καὶ τὴν τῶν νεφρῶν πῆξιν ἣν αὐτὸς ἐφεξῆς διηγεῖται. παραληφθήσεται γὰρ ἐν τῷ τοιούτῳ λόγῳ τὸ τῆς ἐπιληψίας ὄνομα, καὶ περὶ τοῦτο φαίνονταί τινες οὐκ ἀλόγως ἐπιλήψιας γράψαντες, ὥσπερ ἔνιοι καταλήψιας. ἐχρῆν δ᾽ αὐτοὺς ὡς οὐχ εὑρόντας οὕτω γεγραμμένον, ἀλλ᾽ ὡς ἄμεινον οὕτως γράφειν εἰπόντας, ἐπὶ τὴν εἰρημένην ἐξήγησιν ἀφικνεῖσθαι. προκειμένου δὲ τοῦ, καὶ, συνδέσμου, τοῦτον πάλιν ἀφαιροῦσιν ἔνιοι, δύο βουλόμενοι λόγους εἶναι κατ᾽ οὐδὲν ἀλλήλοις κοινωνοῦντας, ἕνα μὲν ἐκ τῆσδε τῆς ῥήσεως αὐτάρκως δηλούμενον. αἱ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ ἐστὶν οἷσι μεταβολὰς ἴσχουσι καὶ ἄλλας. ἕτερον δὲ τοιόνδε, ἐν νεφρῷ ὀδύνη βαρεῖα ὅταν πληρῶνται σιτίου. καὶ τὰ τούτων συνεχῆ περὶ νεφρίτιδος αὐτοῦ διδάσκοντος, ἀφ᾽ ἑτέρας ἀρχῆς, οὐχ ὡς τοῖς παιδίοις ὅταν ἡβάσκῃ εἰς τοῦτο τὸ νόσημα τῆς ἐπιληψίας μεθισταμένης. οὐ γὰρ φαίνεται περὶ τὴν ἡλικίαν ταύτην νεφρῖτις γινομένη, καθάπερ ὁ κατὰ τὴν κύστιν λίθος. οὗτος μὲν γὰρ παιδίοις μᾶλλον, νεφρῖτις δὲ τοῖς ἀκμάζουσι γίνεται. παραγράψωμεν οὖν ἐφεξῆς τὰ περὶ νεφρίτιδος οὕτω λεγόμενα.

Ἐς νεφρὸν ὀδύνη βαρεῖα, ὅταν πληρῶνται σιτίου, ἐμέουσί τε φλέγμα. ὅταν δὲ πλεονάζωσιν αἱ ὀδύναι, ἰώδεα, καὶ ῥᾶον μὲν γίνονται. λύονται δὲ ὅταν σίτων κενωθῶσιν, ψάμμιά τε πυῤῥὰ ὑφίσταται, αἱματώδεά τε οὐρέουσι, νάρκη μηροῦ τοῦ κατ᾽ ἴξιν, ἐλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνάζεσθαι, μὴ ἐμπίπλασθαι, τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖς καθῆραι, λεπτῦναι, καὶ ἁπαλῦναι.

Ὀδύνην βαρεῖαν, ἤτοι τὴν ὡς βαρέος τινὸς ἐγκειμένου περὶ τὸ χωρίον αἴσθησιν φέρουσαν, ἢ τὴν χαλεπὴν ἀκούειν οἰόν τ᾽ ἐστίν. ἀληθὲς γὰρ ἑκάτερόν ἐστι, κατὰ διαφέροντας χρόνους ἐν τοῖς νεφροῖς γινόμενον. ἐπειδὴ σφοδρότατα μὲν ὀδυνῶνται κατά τε τὰς γενέσεις, καὶ διεξόδους τῶν λίθων. ἐν δὲ τῷ λοιπῷ χρόνῳ τὰς ὀδύνας ὡς βαρέος τινὸς ἐγκειμένου κατὰ τὸν τόπον ἔχουσιν. ὅσοι μὲν οὖν ἡγοῦνται κατὰ τὴν κοιλίαν τῶν νεφρῶν συνίστασθαι τοὺς λίθους, ἐν τῇ διεξόδῳ μόνῃ τῇ κατὰ τοὺς οὐρητῆρας ὀδυνᾶσθαί φασι τοὺς πάσχοντας. ὅσοι δὲ ἐν αὐτῇ τῇ σαρκὶ τῶν νεφρῶν, οὐκ ἐν μόναις ταῖς διεξόδοις, ἀλλὰ καὶ καθ᾽ ὃν γίνονται χρόνον ἐνταῦθα, καὶ καθ᾽ ὃν εἰς τὴν κοιλίαν τῶν νεφρῶν διεξέρχονται. τοῦ δ᾽ ἐν ταῖς σαρξὶν αὐτῶν συνίστασθαι τοὺς λίθους, ἀνάλογον τοῖς ἐπὶ τῶν ἀρθριτικῶν πώροις, ἐπάγονται μάρτυρα τὴν ἐκ τοῦ περὶ φύσεως ἀνθρώπου καὶ διαίτης λέξιν, ἔχουσαν οὕτω. Ὁκόσοισι ψαμμώδεα ὑφίσταται, ἢ πῶροι ἐν τοῖσιν οὔροισι, τούτοισι τὴν ἀρχὴν φύματα ἐγένετο πρὸς τῇ φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν. ἔπειτα δὲ οὐ ταχέως ῥαγέντων τῶν φυμάτων πῶροι συνεστάθησαν ἐκ τοῦ πύου, οἵτινες ἔξω θλίβονται διὰ τῶν φλεβῶν σὺν τῷ οὔρῳ εἰς τὴν κύστιν. αὕτη μὲν οὖν ἡ Ἱπποκράτους ἐστὶ ῥῆσις, οὐκ ἀδύνατον δὲ ἑκατέρως γίνεσθαι τοὺς ἐν τοῖς νεφροῖς λίθους κατά τε τὸν ἄρτι εἰρημένον τρόπον, καὶ τὸν ὀλίγον ἔμπροσθεν, καθ᾽ ὃν ἐν ταῖς κοιλίαις αὐτῶν ἔφαμεν ἐξοπτώμενον ἐν τῷ χρόνῳ, καὶ ξηραινόμενον παχὺν καὶ γλίσχρον χυμὸν εἰς πωρώδη σύστασιν ἀφικνεῖσθαι. κατὰ τὸν αὐτὸν χρόνον, ἐάν τ᾽ ἔμφραξις ᾖ κατ᾽ αὐτοὺς, ἐάν τε μετρία φλεγμονὴ βάρους μᾶλλον οὐκ ὀδύνης αἴσθησις γίνεται, καθάπερ κἀν τῷ ἥπατι διὰ τὸ βραχυτάτων νεύρων, ὥσπερ τοὺς νεφροὺς, οὕτω καὶ τὸ ἧπαρ μετέχειν. τὰς δ᾽ ὀδύνας ἐν τοῖς νεφροῖς μάλιστα γίνεσθαί φησι, καθ᾽ ὃν χρόνον πληροῦνται σιτίου. δύο δὲ σημαινούσης τῆς σιτίου φωνῆς παρ᾽ αὐτῷ, καθ᾽ ἑκάτερον τῶν σημαινομένων ἀληθὴς ὁ λόγος ἐστίν. ἐάν τε ἀντὶ τῶν ἐσθιομένων ἀκούηται σιτίων ἐξ ὧν αἵματος ἀθροίζεται πλῆθος, ἄν τ᾽ ἀντὶ τῶν ἐν τοῖς ἐντέροις περιττωμάτων τῆς τροφῆς. ὀνομάζει γάρ ποτε καὶ ταῦτα σιτία, ὡς ἐν τοῖς περὶ διαίτης ὀξέων. Οἷσι γάρ φησιν ἐγκατακέκλεισται σιτία τοῖς ἐντέροις, ἢν μή τις ὑποκενώσας τὴν γαστέρα τὸ ῥόφημα δοίη, βλάψει μεγάλως. ἡ μὲν οὖν διὰ τὸ οὕτω λεγόμενον σιτίον ὀδύνη γινομένη κατὰ τοὺς νεφροὺς ἀντὶ τοῦ θλίβεσθαί τε, καὶ βαρύνεσθαι πρὸς τοῦ πλήθους τε καὶ βάρους τῶν περιττωμάτων, εὐθέως ἅμα τῷ διαχωρῆσαι κάτω ταῦτα καθίσταταί τε καὶ παύεται τελέως. ἡ δ᾽ ἐκ τοῦ κατὰ τὰς φλέβας ἀθροισθέντος πλήθους ὅταν εἰς τοὺς νεφροὺς κατασκήψῃ, κἂν φλεβοτομηθῶσιν, οὐκ εὐθέως λύεται, διά τε τὸ πυκνὸν τῆς τῶν νεφρῶν οὐσίας, καὶ ὅτι διὰ πολλῶν αὐτοῖς ἐπικειμένων σωμάτων, ἡ τῶν ἔξωθεν ἐπιτιθεμένων βοηθημάτων ἀφικνουμένη δύναμις ἐκλύεται. λύει

δὲ αὐτῆς τὰς ὀδύνας οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ διὰ τῆς ἄνω γαστρὸς ἔκκρισις, ἡ γίνεται κοινόν τι σύμπτωμα τοῖς κῶλον
πάσχουσι καὶ νεφρόν. καὶ γάρ τοι καὶ συνεχῶς οἱ νεφροὶ τῷ κώλῳ, καὶ τὸ κῶλον τοῖς νεφροῖς συνάπτονται αὐτά τε
περιτοναίου. κατ᾽ ἀρχὰς μὲν οὖν οἱ ἔμετοι φλεγματώδεις γίνονται. τοιοῦτος γὰρ ἐν τῇ γαστρὶ γεννᾶται χυμὸς, ὡς τὸ
πολὺ διὰ πλῆθος σίτου, καὶ μᾶλλον ἐὰν παχέα ταῦτα, καὶ φύσει φλεγματωδέστερα τύχῃ, ἐὰν καὶ αὐξάνηταί τε, καὶ
παραμένῃ τὰ πάθη, προσγίνεται τοῖς οὕτω πάσχουσι ἰώδης ἔμετος, ἐπί τε ταῖς ὀδύναις, καὶ ταῖς ἀγρυπνίαις δια-
φθειρομένου τοῦ αἵματος, καὶ μάλιστα ὅταν ἅμα τούτοις πυρέξωσι καὶ ἀσιτήσωσι. καὶ ῥᾷστος μὲν φησὶν ἐπὶ τοῖς ἐμέ-
τοις γίνονται, παύονται δὲ τῶν παροξυσμῶν. οὐ γὰρ δὴ τῆς γε διαθέσεως ὅταν σίτων κενωθῶσιν. ἑκατέρως δὲ καὶ
νῦν ἔνεστι δέξασθαι τὸ τῶν σίτων ὄνομα, καὶ μᾶλλον ἐπὶ τῶν κατὰ τὴν γαστέρα, καὶ τὰ ἔντερα. ψαμμία δὲ πυῤῥά
φησιν ὑφίσταται δηλονότι τοῖς οὔροις. καὶ γὰρ καὶ φαίνεται τοῦτο γινόμενον ἐὰν τὸ πυῤῥὸν ἀκούσῃς τοιοῦτον εἶναι τὴν
χρόαν ὁποία καὶ ἡ σανδαράχη καλουμένη, διὸ καί τινων μὲν τῶν ὁμιλησάντων ἐπιμελῶς τοῖς ἔργοις τῆς τέχνης ὀρο-
βοειδεῖς ὑποστάσεις γίνεσθαί φασιν αὐτοῖς, ἔνιοι δὲ σανδαραχώδεις, ἔστι δ᾽ ὅτε καὶ ὄντως πυῤῥάς. αἱ μὲν οὖν προ-
τέραι δύο, καὶ τοῖς ἡπατικοῖς συνεδρεύουσι πάθεσιν, ἡ τρίτη δὲ τοῖς κατὰ τοὺς νεφροὺς, ὥσπερ κἀπειδὰν οἷαίπερ
αἱ ψάμμοι τὴν χρόαν ὑποστάσεις γίνονται. ἀλλήλων μὲν γὰρ διαφέρει τὰ χρώματα τῶν ὑφισταμένων τοῖς οὔροις
τῷ μᾶλλον καὶ ἧττον. γίνονται δ᾽ ἐξ ὕλης παχείας μὲν καὶ γλίσχρας πάντως. ἤτοι δὲ τὸ παχὺ πλέον, ἢ τὸ γλίσχρον
ἐχούσης, ἰσάζον πάντως ἀλλήλοις. ἐὰν μὲν οὖν ἐκ φλέγματος γλίσχρου μόνου, καὶ παχέος ἡ σύστασις γένηται, τε-
φρώδης ἐστὶ χρόα, παραπλησία τῇ τοῖς ἄλλοις ὑπαρχούσῃ πώροις, οἳ κατά τε τὰ θερμὰ φύσει τῶν ὑδάτων ἐν
πολλοῖς χωρίοις ὁρῶνται τοῖς λίθοις ἐπιτρεφόμενοι, καὶ ἄλλως ἐν ἀγγείοις ἔνθα θερμαίνεται τὸ ὕδωρ. γένοιτο δ᾽ ἂν
ποτε κἀκ τῆς πυώδους ὑγρότητος, ἢ μικτῆς ἐκ πυώδους καὶ φλεγματώδους ἐν σώματι ζώου τοιοῦτος πῶρος, ὥσ-
περ καὶ τοῖς ἀρθριτικοῖς. ὁ γὰρ αὐτὸς τρόπος τῆς γενέσεως πάντως ἐστὶ τούτοις, καὶ τοῖς ἐν νεφροῖς συνισταμένοις
λίθοις. ἐὰν μέντοι μιχθῇ τισὶ ὀλίγον αἵματος φλέγματι παχεῖ τε καὶ γλίσχρῳ, κατὰ τὴν ἐπικράτειαν ἡ χρόα γί-
νεται τῶν ὑφισταμένων τοῖς οὔροις. ἐνίοτε μὲν οἷον ὠχρόλευκος, ἢ ἐρυθρόλευκος, ἢ ξανθόλευκος. ἔστι δ᾽ ὅτε δὲ πυῤ-
ῥὰ συντελοῦντος εἰς τὴν τῶν χρωμάτων διαφορὰς, καὶ αὐτοῦ τοῦ κατὰ τὸ αἷμα χρώματος. οὐ γὰρ ἀκριβῶς ἐρυθρόν ἐστι
ἀεὶ τοῖς ἀνθρώποις, ἀλλ᾽ ἐνίοτε μὲν ἐπὶ τὸ μελάντερον, ἐνίοτε δ᾽ ἐπὶ τὸ ξανθότερόν τε καὶ πυῤῥότερον ῥέπον. ἡ
τοίνυν ἁπάσας ἃς εἶπον ἄρτι διαφορὰς τῶν χρωμάτων πλὴν τῆς τεφρώδους, ἡγητέον ὑπὸ τῆς τοῦ πυῤῥὸν δηλοῦσθαι
φωνῆς, εἰπόντος αὐτοῦ ψαμμία πυῤῥὰ ὑφίστασθαι, ἢ τὸ προσκείμενον τὸ αἱματῶδες ἀπὸ κοινοῦ δεκτέον εἰρῆσθαι.
λέγω δὴ τό ποτε ὥσπερ γὰρ αἱματῶδες αὐτοῖς φαίνεται ποτὲ γινόμενον τὸ οὖρον, οὔτε διὰ παντὸς, οὔτ᾽ ἐπὶ πάν-
των τῶν νεφριτικῶν ὑπάρχον τοιοῦτον, παραπλησίως καὶ ψαμμία ποτὲ φαίνεται πυῤῥὰ τοῖς οὔροις ὑφιστάμενα.
δέδεικται μὲν γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἕλκων εἰς ἑαυτὸν ὁ νεφρὸς ὅσον ἐν ταῖς φλεψὶν ὀῤ-
ῥῶδές τε καὶ λεπτὸν ἀναμέμικται τῷ αἵματι. τῶν δὲ εἰς τὴν κοιλίαν αὐτοῦ διηθούντων τὸ τοιοῦτον πῶρον, ἐπὶ πλέον
ἀναστομωθέντων, συνδιηθεῖται τι καὶ τῶν παχυτέρων. ὅταν οὖν τοῦτο θερμαινόμενον ἐν τῇ κοιλίᾳ τοῦ νεφροῦ πωρώ-
δη λάβῃ σύστασιν, ἐὰν μὲν ἡ τῶν νεφρῶν ἀποκριτικὴ δύναμις διώσηται πᾶν αὐτὸ σὺν τοῖς οὔροις, αἱ ψαμμώδεις
ἐν αὐτοῖς ὑποστάσεις γίνονται. ἐὰν δὲ ἐμπεπιλημένον τε, καὶ δυσαπόλυτον ᾖ τῇ κοιλίᾳ τοῦ νεφροῦ, δεχόμενον ἑαυ-
τῷ τι παραπλήσιον ἕτερον ἐκ τῆς κοίλης φλεβὸς ἐπὶ πλέον αὐξάνεται. προσπλάττεται γὰρ ἀεὶ τὸ ἐπιῤῥέον τῷ προϋ-
πάρχοντι, καὶ οὕτως ὁ πῶρος ἀξιόλογος τῷ μεγέθει συνίσταται. τινὲς δὲ εἰρήκασι, διατί αἷμα οὐροῦσιν, ὅτι ἐπειδὰν
ὁ λίθος ὀξὺς ὢν ὅταν γονοειδής ἐστι, πλήττει τὰ παρακείμενα μόρια, καὶ αἷμα ποιεῖ ἐκκρίνεσθαι. ἐὰν δὲ ἀραιωθῇ μὲν
ἡ εἰς τὸν νεφρὸν ἐκ τῆς κοίλης φλεβὸς εἴσοδος, ὑγρὸν δ᾽ ᾖ τὸ αἷμα, καὶ μήτε πολὺ μήτε γλίσχρον αἱματῶδες οὕτω
τὸ οὖρον γίνεται. τὴν δ᾽ εἰς τὸ σκέλος διήκουσαν ὀδύνην ναρκώδη, διὰ τὴν τῶν ἐπικειμένων ἀγγείων τῇ ῥάχει τῆς κοί-
λης φλεβὸς, καὶ τῆς μεγάλης ἀρτηρίας, πρός τε τοὺς νεφροὺς, καὶ τὰ σκέλη κοινωνίας ἡγητέον γίνεσθαι. μέγισται
γὰρ ἐπ᾽ αὐτοὺς τοὺς νεφροὺς ἀποπεφύκασι, μεθ᾽ ἃς οὐ μεγάλαι τινὲς ἐν ὀσφύϊ, κἄπειθ᾽ ἑκάτερον τῶν ἀγγείων διχῇ σχι-
σθὲν, εἰς ἑκάτερον ἀφικνεῖται τῶν σκελῶν εἰς ὅλον αὐτὸ διανεμόμενον. ὅσοι δὲ διὰ τῶν οὐρητήρων, ἢ τινων ὑμένων,
ἢ νεύρων, ἢ καὶ τοῦ περιτοναίου λέγουσι κοινωνίαν εἶναι τοῖς νεφροῖς πρὸς τὰ σκέλη, παντάπασιν ἀπείρως ἔχουσιν
ἀνατομῶν. τὰ μὲν οὖν συμβαίνοντα τοῖς νεφριτικοῖς ἄχρι δεῦρο τοῦ λόγου διῆλθεν ὁ Ἱπποκράτης. ἐφεξῆς δὲ περὶ
» τῆς ἰάσεως αὐτῶν γράφει κατὰ τὴν ἐχομένην ῥῆσιν. Ἐλιννύειν οὐ συμφέρει, ἀλλὰ γυμνάσια, μὴ ἐμπίπλασθαι, τοὺς
» νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖσι καθαίρειν, λεπτῦναι καὶ ἁπαλῦναι. ὑποτύπωσιν ἑαυτῷ διὰ κεφα-
λαίων ἐν τῇδε τῇ ῥήσει πεποίηται τῆς τῶν νεφρῶν ἰάσεως. τὰ μὲν κοινὰ πάσης ἡλικίας τε καὶ σώματος ἕξεως γρά-
ψαι, τὰ δὲ ἴδια νέων τε, καὶ ἰσχυρῶν. ἔστι δὲ κοινὰ τὰ μὲν πρῶτα γεγραμμένα, τό τ᾽ ἐλιννύειν, ὅπερ ἡσυχίαν ἄγειν
δηλοῖ, καί φησιν αὐτοῖς ἀσύμφορον εἶναι καὶ τὰ γυμνάσια. ταῦτα γὰρ ἡγεῖται συμφέρειν, ὡς ἂν δηλονότι, καὶ
τὸ πλῆθος κενοῦντα, καὶ τὸ φλεγματῶδες τε καὶ παχὺ, καὶ ἄπεπτον ἅπαν εἰς πέψιν τε ἄγοντα, καὶ λεπτύνοντα,
καὶ ῥωννύντα τὰ μόρια τοῦ σώματος ἅπαντα. νοῆσαι δέ σε χρὴ νῦν αὐτὸν λέγειν, οὐ πάντως τὰ μεγάλα γυμνάσια,
οἷον ἱππασίας, ἢ ὁπλομαχίας, ἢ τὸ παλαίειν, ἢ παγκρατιάζειν, ἢ σκάπτειν, ἤ τι τοιοῦτον πράττειν ἕτερον. ἀλλ᾽ ἅπα-
σαν ἁπλῶς κίνησιν, ἥ τις ἂν ἱκανὴ διαπονῆσαι τὸ σῶμα κατὰ ἀναλογίαν τῆς θ᾽ ἡλικίας, καὶ τῆς ἕξεως, καὶ τῆς ῥώμης
τοῦ νεφριτικοῦ. ἀλλὰ καὶ τὸ μὴ ἐμπίπλασθαι κοινὸν ἁπάσης ἡλικίας, καὶ σώματος ἕξεως ἐστὶ παράγγελμα. τὰ δ᾽
ἐφεξῆς τοῖσδε τοῖς νέοις, ὡς αὐτὸς εἶπεν ἁρμόττοντα, γράφει λέγων ὧδε. τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν. ἐλλε-
βορίζειν μὲν ἐὰν πάνυ χρόνιον ᾖ τὸ πάθος, καὶ ὡς ἂν εἴποι τις μοχλείας δεόμενον, εἰς ταῦτα γὰρ ἐλλεβόρῳ χρώμε-
μεθα. φλεβοτομίαν δὲ ἐπὶ τῶν αἷμα πλέον, ἢ παχὺ κατὰ τὰς φλέβας ἠθροικότων. εἰ δὲ ἀμφοῖν αὐτὸς ἄνθρωπος
δέοιτο τῶν βοηθημάτων, εὔδηλόν ἐστιν ὡς ἀπὸ φλεβοτομίας ἀρκτέον ἐστί. ἔμαθες δ᾽ ὅτι τὰ μὲν ἄνω τοῦ ἥπατος μό-
ρια τῆς ἀπ᾽ ἀγκῶνος δεῖται φλεβοτομίας. τὰ δὲ κάτω ἀπὸ τῶν σκελῶν, ἐν ταῖς ἰγνύαις τεμνόντων ἡμῶν τὰς φλέ-
βας, ἢ πάντως γε παρὰ τὰ σφυρά. τὸ δ᾽ ἐφεξῆς εἰρημένον, οὐρητικοῖσι καθαίρειν, ἐπὶ πάντων ἐστὶ χρήσιμον, οὐχ

ἁπλῶς

ἁπλῶς δὲ εἶπεν, οὐρητικοῖς χρῆσθαι δεῖν, ἀλλὰ προσθεὶς τὸ καθαίρειν, ἐνεδείξατο τὸν τρόπον τῆς ἀπ' αὐτῶν γινομένης ὠφελείας ἐκκαθαιρόντων, οὐ μόνον τὰ κατὰ τοὺς νεφροὺς ἐμπεπλασμένα γλίσχρα καὶ παχέα, σὺν αὐτοῖς δὲ καὶ τὰ κατὰ τὰς φλέβας ἐμφερόμενα τῷ αἵματι παρὰ φύσιν. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, λεπτῦναι, χρήσιμόν ἐστιν ἅπασι τοῖς νεφριτικοῖς. οὕστινας τε παρασκευάζομεν εἰς ἐλλεβόρου λῆψιν, οὕστινας τε χωρὶς τούτου, καὶ διὰ φλεβοτομίας θεραπεύομεν, ἢ καὶ μετὰ τὴν τούτου προσαγωγήν. εἴρηται δὲ τὸ μὲν λεπτῦναι περὶ τῶν χυμῶν. τούτοις γὰρ προσήκει λεπτῦναι, τὸ δὲ ἁπαλῦναι περὶ τῶν στερεῶν. ἑκάτερον γὰρ χρήσιμον ἐπὶ τῶν τὸν ἐλλέβορον ληψομένων εἰς τὸ τῆς καθάρσεως ἀκίνδυνον. ἐὰν οὖν αὐτοῦ τοῦ προλεπτῦναι τοὺς χυμούς, ἢ τὰ σώματα μαλακῦναι δι' ὧν ὁ ἔμετος, καὶ πρὸς τὰς ἐντάσεις, καὶ τοὺς σπαραγμοὺς εὐάγωγα παρασκευάσαι, δῶμεν ἐλλέβορον, εἰς κίνδυνον ἄξομεν πνιγμοῦ διὰ τὸ πάχος τῶν χυμῶν. ἤτοι δὲ σπασθήσεται διὰ τὸ σκληρὸν ἐν τοῖς σπαραγμοῖς ὁ καθαιρόμενος, ἢ ἀγγεῖόν τι ῥήξει, καὶ χωρὶς δὲ τοῦ διδόναι τὸν ἐλλέβορον ἄριστόν ἐστι, τοὺς μὲν χυμοὺς λεπτοὺς εἶναι, μαλακὰ δὲ πρὸς τὴν διέξοδον αὐτῶν ἐπιτήδεια τὰ τῶν νεφρῶν σώματα. τὴν ἀρχὴν γὰρ οὐδὲ γεννηθήσεταί ποτε λίθος ἐν αὐτοῖς, ἐὰν ἀμφότερα τις αὐτὰ διαφυλάττῃ.

Γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν οὐκ ἐπὶ πολὺ παραμένει. ὅταν δὲ μὴ ταχὺ ἴῃ, ἐπισχεῖ.

Ὑδαταινούσας ἔνιοι μὲν ἤκουσαν τὰς ἐχούσας ἐπιτηδείως ἁλῶναι τῷ κατὰ τὸν ὕδερον πάθει. τινὲς δὲ τὰς φύσει λεπτόν, καὶ ὑδατῶδες ἐχούσας αἷμα. δυνατὸν δέ ἐστιν ἐπ' ἀμφοτέρων ἀκοῦσαι τοῦ λεγομένου, καὶ μᾶλλόν γε ἐφ' ὧν φύσει τὸ αἷμα λεπτόν ἐστι, μηδεμιᾶς νοσώδους διαθέσεως ἑτέρας ὑποτρεφομένης ἐν τῷ σώματι. ταύταις γὰρ ἡ ἔμμηνος κάθαρσις ἣν γυναικεῖα κέκληκεν, οὐκ ἐπὶ πολὺ παραμένει. διττὸν γάρ ἐστι καὶ αὐτὸ τοῦτο τὸ ἐπὶ πολὺ δυνάμενον ἀκούεσθαι. τὸ μὲν ἕτερον ἐπὶ τῶν ἡμερῶν ἐν αἷς αἱ τοιαῦται γυναῖκες καθαίρονται, τὸ δὲ ἕτερον ἐπὶ τῆς ἡλικίας αὐτῶν. ἐπὶ μὲν οὖν τῶν ἡμερῶν ἀκουόμενον, δηλώσει πλείοσιν ἐφεξῆς ἡμέραις καθαίρεσθαι ταύτας τῶν ἄλλων γυναικῶν. ἐπὶ δὲ τῆς ἡλικίας ἄχρι πλειόνων ἐτῶν. οὕτως γὰρ ἀθροίζεται ταύταις πολὺ καὶ λεπτὸν αἷμα, καθάπερ ταῖς ἐναντίως διακειμέναις ὀλίγον τε καὶ παχύ. λευκαὶ μὲν οὖν εἰσιν αἱ πρότεραι, καὶ μαλακαί. μέλαιναι δὲ καὶ σκληραί, καὶ λεπταὶ τὸ πλέον αἱ τὸ μελαγχολικώτερον αἷμα γεννῶσαι, καὶ πρόδηλον ὅτι ταῖς ἐξ ἀρχῆς κράσεσιν ἐναντίως ἔχουσιν. αἱ μὲν γὰρ ὑδαταίνουσαι νῦν ὑπ' αὐτοῦ λεγόμεναι, τῆς ὑγροτέρας τε καὶ ψυχροτέρας. αἱ δ' ἐναντίαι, τῆς ξηροτέρας τέ εἰσι, καὶ θερμοτέρας κράσεως. ἐὰν δὲ κατὰ πάθος ὑδαταίνωσιν, οὐ πάσαις καταμήνια πλείοσιν ἡμέραις φαίνεται. ἐνίοτε γὰρ αὐτὸ τὸ ἐπέχεσθαι τοῦ πάθους αὐταῖς αἴτιον γίνεται. πάλιν δὲ τὸ ἐπέχεσθαι δι' ἔμφραξίν τε τῶν κατὰ τὴν μήτραν στομάτων γίνεται, καὶ διὰ πάχος τοῦ αἵματος. ὅθεν ἔνιοι τῶν ἀξιούντων ἐπὶ τῶν κατὰ πάθος ὑδαταινουσῶν τὸν λόγον εἶναι, τῷ παραμένει ῥήματι κατὰ τὴν τελευταίαν συλλαβὴν προστεθέντος τὸ ν̄, γράφουσι, γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν οὐκ ἐπὶ πολὺ παραμένειν, ὑπακοῦσαι κελεύοντες ἡμᾶς τὸ προσῆκον, ὡσεὶ καὶ οὕτως εἰρήκει, γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν οὐκ ἐπὶ πολὺ χρὴ παραμένειν, ἵνα συμβουλευτικός τε καὶ θεραπευτικὸς ὁ λόγος ᾖ, τοῦ γινομένου μόνον ἐπ' αὐτοῦ περιέχων διήγησιν. ὁμολογεῖν δὲ τούτῳ φασὶ καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον, ὅταν δὲ μὴ ταχὺ ἴῃ ἐπισχεῖ. βούλεσθαι γὰρ αὐτόν, ὥσπερ ἐν πλείοσιν ἡμέραις, οὕτως καὶ δι' ὀλίγου χρόνου καθαίρεσθαι τὰς τοιαύτας γυναῖκας, ἐπειδὴ βραδυνόντων τῶν καταμηνίων οἰδήματα γίνεται, καίτοι τοῦτο κἀπὶ τῶν ὑδατῶδες ἐχουσῶν αἷμα φησὶ συμβαίνειν. καὶ γὰρ καὶ ταύταις αἱ σάρκες ὑδατωδέστεραι γίνονται, μὴ κατὰ προθεσμίαν ἀπαντώσης τῆς καθάρσεως.

Ἐν κρανῶνι αἱ παλαιαὶ ὀδύναι ψυχραί, αἱ δὲ νεαραὶ θερμαί. αἵματι δὲ αἱ πλεῖσται, καὶ τὰ ἀπὸ ἰσχίου ψυχρά.

Καὶ ταῦτα ἑαυτῷ φαίνεται γεγραφὼς ὁ Ἱπποκράτης ἀναμνήσεως ἕνεκεν ἐν κεφαλαίῳ βραχεῖ, διὸ καὶ ἀσαφέστερος ὁ λόγος ἐστίν. ἄδηλον γάρ, εἴτε ὀδύνας μόνον ἐν κρανῶνι γεγονέναι φησὶ καὶ ταύτας, ἤτοι κατὰ τὴν κοιλίαν, ἢ καὶ ἄλλο τι μέρος, εἴτε ὀδυνώδη πάθη. τὸ δ' οὖν τὰς μὲν παλαιὰς ὀδύνας ψυχρὰς γενέσθαι, τὰς δὲ νεαρὰς θερμάς, καίτοι δοκοῦν σαφῶς εἰρῆσθαι, περιέχει καὶ αὐτό τινα ἀσάφειαν. ἤτοι γὰρ παλαιὰς λέγει τὰς πάλαι γεγονυίας, ἢ τὰς χρονιζούσας, ὥσπερ γε καὶ τὰς νεαράς, ἤτοι τὰς νῦν συνισταμένας, ἢ τὰς ταχέως παυομένας, καὶ ψυχράς, ἤτοι τὰς ψύξεως αἴσθησιν φερούσας, ἢ τὰς ὑπὸ τῶν θερμαινόντων παρηγορουμένας. ὡσαύτως δὲ καὶ θερμάς, ἤτοι τὰς θερμότητος αἴσθησιν ἐχούσας, ἢ παρηγορουμένας ὑπὸ τῶν ψυχόντων. ἔνιοι δὲ ψυχρὰς μὲν εἰρῆσθαί φασι τὰς βραχείας, θερμὰς δὲ τὰς μεγάλας, οὐ συνήθως τοῖς ἕλλησιν ἀκούοντες τῶν σημαινομένων. ἐν τίνι δὲ τοῦ ἔτους ὥρᾳ ὁ Ἱπποκράτης ταῦτα ἔγραψεν, ἀγνοοῦντες ἡμεῖς, οὐδὲ περὶ τοῦ πότε συνέστησαν, ἢ πῶς ἢ μέχρι πόσου παρέμειναν αἱ ὀδύναι δυνάμεθα σαφῶς εὑρεῖν. τὸ δ' οὖν τὰς νεαρὰς μὲν αὐτῶν αἵματι γίνεσθαι τὸ πλέον ἐνίσως, τοῦ ὑφ' αἵματος θερμοῦ τε δηλονότι καὶ πολλοῦ. ἐπὶ δὲ τῶν παλαιῶν μὴ προσθεῖναι τὸν χυμόν, ἐνδεικνύμενόν ἐστι τοῦ τὰς παλαιὰς ὑφ' ἑτέρου τινὸς χυμοῦ γίνεσθαι ψυχροῦ. καὶ τὰ ἀπὸ ἰσχίου δὲ ψυχρὰ γεγονέναι φησὶν αὐτοῖς, ἤτοι πάθη λέγων, ἢ ἀλγήματα, ψυχροῦ δηλονότι καὶ ταῦτα ἐργαζομένου χυμοῦ. θαυμάσαι δ' ἐστὶ πολλοὺς τῶν ἐξηγητῶν, εἰς μὲν τὰς τοιαύτας ῥήσεις ἐν αἷς οὐδὲν ἐστὶ βεβαίως εὑρεῖν, ἀναπόδεικτα γράφοντας πολλά. καθ' ἃς δ' ἀποδεῖξαι τι δυνατόν ἐστι, καὶ χρησίμως εὑρεῖν, ἤτοι μηδὲν ὅλως γράφοντας, ἢ βραχέα καὶ ἀναπόδεικτα, καθάπερ προστάγματα.

Τὰ δὲ ῥίγεα ἰσχυρὰ ἰόντα οὐ πάνυ τι πρηΰνεται, ἀλλ' ἐγγὺς ἀκμῆς.

Οὕτως ἴσασιν γεγραμμένην τὴν ῥῆσιν οἱ παλαιότεροι τῶν ἐξηγητῶν. οἱ δὲ νεώτεροι πρὸς τὸ σαφέστερον ὑπαλλάξαντες αὐτὴν ὧδέ πως γράφουσι. τὰ ῥίγεα ἰσχυρὰ ἐόντα οὐ πάνυ τι πρηΰνεται, ἀλλ' ἐγγὺς ἀκμῆς. καὶ βούλονται τὴν λέξιν τήνδε διδάσκειν ἡμᾶς, ὅσα τοῖς νοσοῦσιν ἰσχυρὰ γίνονται ῥίγη, μὴ πάνυ τι ταῦτα πραΰνεσθαι κατ'

ἄλλον τινὰ καιρὸν τῆς νόσου, ἀλλὰ μόνον ὅταν ἐγγὺς ᾖ τῆς ἀκμῆς. κατὰ δὲ τὴν προτέραν γραφήν, τὰ δὲ ῥίγεα ἰσχυρὰ ἰόντα, τουτέστι ἀφικνούμενα πάθη, προσυπακοῦσαι γὰρ δεῖ τὸ πάθος, προσήκει αὐτὸν ἀκοῦσαι μὴ πραΰνεσθαι ταῦτα πρὸ τῆς ἀκμῆς. ἔνιοι μὲν οὖν ἀκμῆς αὐτὸν μεμνῆσθαί φασι τοῦ ὅλου καιροῦ τοῦ νοσήματος, ἔνιοι δὲ τῆς τῶν κατὰ μέρος παροξυσμῶν. ὡς τὸ ῥῖγος ὅταν ἰσχυρὸν ᾖ, μὴ παυόμενον πρὸ τοῦ πλησιάσαι τὸν τῆς ἀκμῆς καιρόν. φαίνεται μὲν οὖν τοῦτο γινόμενον ἐνίοις, καὶ καλοῦμεν αὐτὸ ῥῖγος δυσεκθέρμαντον, οὐκ ἰσχυρόν. ἐγχωρεῖ δὲ καὶ κατὰ τὴν δύναμιν ἰσχυρὸν αὐτὸ φάναι. κακοηθέστερον γάρ ἐστι πολὺ τοῦ σφοδροῦ μὲν ὑπερβάλλοντος, ἐν τάχει δὲ παυομένου. τὴν δ᾽ ὅλην τοῦ νοσήματος ἀκμὴν ἀκούοντί σοι, μάλιστα ἐπὶ τεταρταίων πυρετῶν ὁ λόγος ἐστὶ χρήσιμος. ἐάν τε γὰρ ἅμα ῥίγεσιν ἰσχυροῖς ἐμβάλλωσιν οἱ παροξυσμοί, μηδὲν ἐνδιδόντων αὐτῶν, ἀδύνατόν ἐστιν ἤδη τὴν ἀκμὴν ἀπειληφέναι τὸ νόσημα, καὶ δηλονότι πολὺ μᾶλλον, ὃ δὲ τὴν παρακμὴν ἐλπίζειν χρὴ τοῦ τοιούτου τεταρταίου γενήσεσθαι, πρὶν λωφῆσαι τὸ ῥῖγος, ὥσθ᾽ ὁ λόγος ἐστὶ προγνωστικὸς ἐπὶ τῶν εἰς ῥίγη σφοδρὰ πυρετῶν ἰόντων, ὧν οὐχ οἷόν τε λύσιν γενέσθαι πρὸ τοῦ πραϋνθῆναι τὸ ῥῖγος, καὶ τοῦτο γίνεσθαι πλησίον τῆς ἀκμῆς. συμβαίνει δὲ τὰ τοιαῦτα ῥίγη διὰ ψυχρὸν πάνυ φλέγμα τὸ ὑαλῶδες ὀνομαζόμενον, ἢ τὸν μελαγχολικὸν χυμόν. ἀλλ᾽ ἐπὶ μὲν τῷ ψυχρῷ φλέγματι τὸ δυσεκθέρμαντον, οὐ τὸ σφοδρὸν γίνεται ῥῖγος. ἐπὶ δὲ τῷ μελαγχολικῷ ποτὲ μὲν ἀμφότερα, ποτὲ δὲ θάτερον. ἀλλ᾽ ὁ μὲν τοιοῦτος χυμὸς διὰ τετάρτης φέρει τὸν παροξυσμόν. ὁ δ᾽ ὑαλώδης τὸν ἀμφημερινόν, οὐδὲν μὴν οἱ ἐξηγηταὶ τῶν τοιούτων διαιροῦσιν. ἀλλ᾽ ἐν οἷς οὐδὲν ὠφελοῦσι τοὺς μαθητάς, ἐπὶ πλεῖστον ἐκεῖνα διέρχονται. καὶ γὰρ οὖν καὶ κατὰ τὴν ἑξῆς ῥῆσιν ἰατρικωτάτην οὖσαν ἐλέγχονται, τῶν ἀξιολογωτάτων θεωρημάτων οὐδὲν ἐπιστάμενοι.

Πρὸ ῥίγεος αἱ ἐπισχέσιες τῶν οὔρων ἢν ἐκ χρηστῶν ἴωσι, καὶ κοιλίη διέλθῃ, καὶ ὕπνοι ἔωσιν, ἴσως δὲ καὶ ὁ τρόπος τοῦ πυρετοῦ, ἴσως δὲ καὶ τὰ ἐκ κόπων.

Οὐκ οἶδα ὅτι εἴπω καὶ τοὺς θεοὺς ὅταν ὠφελιμώτατον θεώρημα μυριάκις ἐπὶ τῶν νοσούντων φαινόμενον, ἀγνοῶσιν οἱ τὸ βιβλίον ἐξηγησάμενοι. τὸ μὲν οὖν τῶν ἄλλων ἧττον αὐτοῖς θαυμάσειε. τὸ δὲ Σαβίνου καὶ Ῥούφου τοῦ Ἐφεσίου τοῖς Ἱπποκράτους συγγράμμασιν ὡμιληκότων ἀνδρῶν οὐ παρέργως, ἄξιον ὄντως ἐστὶ θαύματος, εἰ μὴ πολλάκις ἐθεάσαντο ῥίγους κρισίμου προηγησαμένην ἐπίσχεσιν οὔρου. περὶ ἧς νῦν ὁ Ἱπποκράτης γράφει, προγινώσκειν ἡμᾶς διδάσκων ἐσόμενον ἐν νόσῳ κρίσιμον ῥῖγος. ἐὰν ἐν ὀξεῖ πυρετῷ τἆλλά σοι σημεῖα σωτήρια φαίνηται, καὶ κρίσιν ἐλπίζῃς ὑπόγυιον ἔσεσθαι, γινώσκειν σε χρὴ τῶν οὔρων ἐπισχεθέντων ἐξ ἀνάγκης ἔσεσθαι τὸ κρίσιμον ῥῖγος. ἐὰν δὲ καὶ ἡ νὺξ προηγήσηται δύσφορος, ἥτε ἡμέρα κρίσιμος ᾖ, βεβαιότερόν ἐστι προερεῖν ἔσεσθαι τὸ ῥῖγος. ἐὰν δὲ τὸ διὰ σφυγμοῦ σημεῖον ὡς ἔμαθες ἐνδείξηταί σοι τοῦτο, μὴ μόνον ἔσεσθαι τὸ ῥῖγος, ἀλλὰ καὶ σφοδρὸν ἔσεσθαι βεβαίως ἔλπιζε. τὸ τοίνυν ἐκ χρηστῶν ἤτοι τῶν οὔρων μόνων, ἢ καὶ τῶν ἄλλων ἅμα αὐτοῖς τῶν ἀγαθῶν σημείων ἀκούειν σε χρή. τηλικαύτη μὲν ἡ δύναμίς ἐστι τῶν ἐν τοῖς οὔροις σημείων ἐν τοῖς ὀξέσι πυρετοῖς, ὥστε καὶ μόνη πιστεύειν αὐτῇ. προσερχομένων δὲ καὶ τῶν ἄλλων, πρόγνωσις ἔσται σοι βεβαιοτάτη καὶ ἀμετάπτωτος, ὡς τὸ διηνεκὲς ἔχειν. αἱ μέντοι τῶν οὔρων ἐπισχέσεις γίνονται, καὶ τῆς κοιλίας ἐκκενούσης πολλά. δηλοῦται γὰρ ἐνταῦθα ῥέπειν ἡ ὀρρώδης ὑγρότης ἣν ἔμαθες ὅταν πλεονάζῃ, τρεῖς εἶναι κενώσεις, τὴν διὰ γαστρός, τὴν δι᾽ οὔρων, τὴν δι᾽ ἱδρώτων. ἐὰν μὲν οὖν ἡ κοιλία πλείω διαχωρήσῃ, τῇ τῶν οὔρων ἐπισχέσει θαρρεῖν οὐ προσήκει εἰς τὴν τοῦ ῥίγους πρόγνωσιν. ἐὰν δὲ καὶ αὕτη μηδ᾽ ὅλως προχωρήσῃ προεγνωκότι σοι τὸ νόσημα πλησίον εἶναι κρίσεως, ἀναγκαῖόν ἐστι ῥιγῶσαί τε καὶ ἱδρῶσαι τὸν κάμνοντα. τί ποτ᾽ οὖν σημαίνει τό, καὶ ὕπνοι ἔωσιν. εἰ μὲν γὰρ ὡς ἕν τι τῶν ἀγαθῶν σημείων εἴρηται, τὸ μέγιστον εἰς τὰ προόντα συμφωνήσει. τὸ δέ, ἢν ἐκ χρηστῶν ἴωσιν, ὥσπερ τι παράδειγμα λελεγμένον. εἰ δ᾽ ὡς καὶ τοῦτο τοῦ γενησομένου ῥίγους ὂν σημεῖον, οὐχ ἁπλῶς σε χρὴ γινώσκειν περὶ τοῦδε. πολλάκις μὲν γὰρ ἡ προηγησαμένη τῆς κρίσεως νύξ, τοῦ τε ῥίγους, καὶ τῆς ἐπ᾽ αὐτῷ κρίσεως γίνεται δύσφορος, ὁπότε βεβαιοτάτην ἕξεις σὺν τοῖς εἰρημένοις τὴν τοῦ γενησομένου ῥίγους πρόγνωσιν. ἐνίοτε δὲ ἐν τῷ σπανίῳ μεθ᾽ ὕπνων χρηστῶν εὔφορος γίνεται ἡ νύξ, καὶ φαίνεται τούτοις οὐχ ὁ τοῦ ῥίγους δηλωτικὸς σφυγμός, ἀλλ᾽ ὁ τῆς ἐκκρίσεως. ἔμαθες δὲ περὶ τούτων ἱκανῶς ἐν τῇ τῶν σφυγμῶν πραγματείᾳ. προσεπισκοπεῖσθαι δὲ καὶ τὸν τρόπον τοῦ πυρετοῦ κελεύει σε, τουτέστιν εἰ θερμός, καὶ χολώδης, καὶ καυσώδης, ἢ τῶν ἄλλων τις. ὅσα γὰρ ἐν τοῖς ὀξέσι πυρετοῖς, καὶ μάλιστα τοῖς καυσώδεσι γίνεται ῥίγη κριτικά, ταῦτα ἔμαθες ἐπὶ τῇ ξανθῇ χολῇ διὰ τῶν αἰσθητικῶν σωμάτων φερομένῃ, πρὸς τὸ ἐκτὸς ἀποτελεῖσθαι. διὰ τοῦτο καὶ οἱ ἐκ κόπων πυρετοὶ χολωδέστατοι τὴν κρᾶσιν ὄντες, εἰς τὴν πρόγνωσίν σοι καὶ αὐτοὶ συντελοῦσιν. αὕτη μὲν οὖν ἡ ἀπὸ τῶν προκαταρκτικῶν αἰτίων εἰς τὴν πρόγνωσιν ὠφέλεια. λελεγμένη μὲν ὡς ἐπὶ παραδείγματος ἑνός, δυναμένη δέ σοι χρήσιμος κατὰ τῶν ἄλλων αἰτίων τῶν προκαταρκτικῶν, ὅσα χολωδέστερον ἐργάζεται τὸ σῶμα. ταῦτα δέ ἐστιν ἐγκαύσεις τε, καὶ ἀγρυπνίαι, καὶ φροντίδες, καὶ λῦπαι, καὶ θυμοί, καὶ τροφῆς ἔνδεια, καὶ τῶν χολωδῶν ἐδεσμάτων πλεονεξία. πρώτη μέν σοι καὶ ἀσφαλεστάτη διάγνωσις εἰς τὸν τρόπον τῶν πυρετῶν ἀπὸ τῶν φαινομένων κατὰ τὸ σῶμα γενήσεται, καθάπερ ἔμαθες ἐν τοῖς περὶ διαφορᾶς τῶν πυρετῶν. ἐφεξῆς δὲ καὶ ἡ ἀπὸ τῶν προκαταρχόντων αἰτίων εἰς ἀσφαλεστέραν πίστιν ὧν εὗρες, οὐ σμικρὰ συντελέσει. θαυμαστὸν οὖν ὅπως τοῦτο τὸ θεώρημα χρησιμώτατον ὄν, ἔλαθε τοὺς ἐξηγητάς.

Ἀποστάσιες οὐ μάλα οἷσι ῥίγεα.

Σπανίως ἀποστάσεις γίνονται τοῖς μετὰ ῥίγους πυρέττουσιν, ὥσπερ ἐν τεταρταίοις πυρετοῖς, καὶ τριταίοις. αἱ γὰρ ἐν ταῖς παρακμαῖς τῶν τοιούτων παροξυσμῶν ἐκκρίσεις κενοῦσι τὸ πλῆθος, ὥστε πάνυ χρὴ πολλὴν εἶναι τὴν περιουσίαν τῶν λυπούντων χυμῶν, ἵν᾽ ἡ φύσις ἀποστάσεως δεηθῇ.

Αἱ τῶν σκελέων ἐκθηλυώσιες, οἷον ἢ πρὸ νόσου ὁδοιπορήσαντι, ἢ ἐκ νόσου αὐτίκα, διότι ἴσως τὸ ἐκ κόπων εἰς ἄρθρα ἀπέσῃ, δι᾽ ὃ αἱ τῶν σκελέων ἐκθηλυώσιες.

Οὐκ ἔστι γνῶναι σαφῶς πότερα τὰς ἀσθενείας μόνας ἐκθηλυώσεις εἴρηκεν, ἢ τὰς σὺν ἀτροφίᾳ τῶν σκελῶν ὅλων γινομένας. ὅσον μὲν γὰρ ἐπὶ προτέρῳ τῶν προειρημένων παραδειγμάτων ἐγχωρεῖ, καὶ τὰς σὺν ἀτροφίᾳ νοεῖν. ὅσον δὲ ἐπὶ τῷ δευτέρῳ καθ᾽ ὃ φησι, διότι ἴσως τὸ ἐκ κόπων εἰς ἄρθρα ἀπέσῃ, τὰς ἰσχνότητας οὐκ αὖ τις εὐλόγως ἀκούσειεν, ἀλλ᾽ ἁπλῶς τὰς ἀσθενείας, αἳ τινες δύνανται καὶ χωρὶς ἰσχνότητος, ἤτοι ἐκλύτους τὰς ἐνεργείας ἐργάσασθαι τῶν σκελῶν, ἢ καὶ τὰς ὑποστάσεις ὑποδέχεσθαι. τὸ δὲ ἐπὶ τῷ τέλει προσκείμενον, δι᾽ ὃ αἱ τῶν σκελῶν ἐκθηλυώσιες, εἴρηται καὶ ἐπὶ τὴν ἀρχὴν τῆς ῥήσεως. ὅθεν ἔνιοι τῶν ἐφεξῆς γεγραμμένων ἡγούμενον αὐτὸ ποιοῦσι. πρῶτον μὲν ἀφαιροῦντες τὸ διότι, συμμετακοσμοῦντες δὲ αὐτῷ τινὰ καὶ τῶν ἐκ τῆς ἑπομένης ῥήσεως. ὅπερ δὲ καὶ τὴν ἀρχὴν εἶπον ἀναμνήσω καὶ νῦν, ἔστι δὲ τοῦτο τὸ πολυειδῶς γεγράφθαι τὰς ἐν τούτῳ τῷ βιβλίῳ ῥήσεις, ὥσπερ καὶ τήνδε, μετὰ τοῦ δικάσασθαι τινὰς οὐκ ὀρθῶς, ἢ συνῆφθαι πάλιν οὐ προσηκόντως. ὧν εἰ μνημονεύσοιμι πάντων ἅμα τῷ διελέγχειν τοὺς ἁμαρτάνοντας, εἰς ἄπειρον ἐκταθήσεται μῆκος ὁ λόγος.

Φύματα ἔξω ἐξοιδέοντας καὶ τὰ ἀπόξεα, καὶ τὰ κορυφώδεα, καὶ τὰ ὁμαλῶς ξυμπεπαινόμενα, καὶ μὴ περίσκληρα, καὶ κατάῤῥοπα, καὶ τὰ μὴ δίκραια ἀμείνω, τὰ δ᾽ ἐναντία κακά, καὶ ὅσῳ πλεῖστως ἐναντία, κάκιστα.

Ἀπὸ τῶν ἐν τῇ γῇ φυομένων, οἱ ἄνθρωποι φύματα κεκλήκασι τοὺς παρὰ φύσιν ὄγκους ὅσοι τοὐπίπαν ἄνευ τῆς ἔξωθεν αἰτίας γίνονται. μάλιστα οὖν ὀνομάζουσιν οὕτω τὰ πρὸς τὸν ἐκτὸς τόπον ἐπαιρόμενα. τῷ δ᾽ οὐκ ἔχειν ἕτερον ὄνομα καὶ τὰ πλατέα, καὶ βραχεῖ τοῦ κατὰ φύσιν ὑψηλότερα, καὶ ταῦθ᾽ ὡσαύτως ἔνιοι προσαγορεύουσιν, ὅπερ καὶ Ἱπποκράτης ἐποίησεν, ἀγαθὰ μὲν εἶναι λέγων τὰ ἐξοιδοῦντα, τουτέστιν ἐφ᾽ ὧν ἀξιόλογος ἡ ἐξόγκωσις, ἢ ὅσα τὴν αὔξησιν οὐκ εἰς τὴν ἔσω χώραν, ἀλλ᾽ εἰς τὴν ἔξω ποιεῖται, καθάπερ ἐν προγνωστικῷ γράφων εἶπεν. Ὅσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστιν ὡς μάλιστα ἐκκλίνοντα, καὶ εἰς ὀξὺ ἀποκορυφοῦντα. ὅσα δέ φησιν ἔσω ῥήγνυται, ἄριστά ἐστιν ἃ τῶν ἔξω χωρίων μηδὲν ἐπικοινωνεῖ, κάλλιον μὲν γὰρ ἔξω ῥέπειν. εἰ δὲ ἔσω ῥέπει, βέλτιον πάλιν ἐν τούτοις ἐστὶν ἅπασιν αὐτῶν τὴν ῥοπὴν εἰς τὴν ἔσω χώραν πεποιῆσθαι. τῶν μὲν οὖν φυμάτων ἡ γένεσις ἐν ἐπιγαστρίῳ τέ ἐστιν, ἢ καὶ κατὰ θώρακα. τούτοις γὰρ ὑπόκεινται χῶραι κεναί, τὸν παρὰ φύσιν ὄγκον ἐκδεχόμεναι τῶν ἔσω ῥεψάντων φυμάτων. αὐτῶν δὲ τῶν ἐξογκουμένων ἔξω, τὰ ἀπόξεα καὶ κορυφώδη, κρείττονα τῶν πλατέων ἐστίν, ὡς ἂν ὑπὸ θερμοτέρων τε καὶ λεπτοτέρων τῇ συστάσει γινόμενα χυμῶν, καὶ διὰ τοῦτο ταχέως ἐκπυϊσκόμενα. τὰ γὰρ ὑπὸ παχέων, καὶ γλίσχρων γινόμενα ὡς ἂν ψυχρῶν ὄντων, πλατέα τε ἐστὶ καὶ δύσπεπτα, καὶ σήπεται μᾶλλον, οὐ πέττεται χρόνῳ πλείονι, σὺν τούτοις δὲ ἐπαινεῖ καὶ τὰ ὁμαλῶς ἐκπυϊσκόμενα. τὰ γὰρ ἐκ μέρους μέν τινος ἑαυτῶν ἐκπυήσαντα, τὸ λοιπὸν δὲ ἅπαν ἀνέκπυητον ἔχοντα, πρῶτον μὲν αὐτῷ τὰ χρονιώτερα τῶν ἄλλων ἐκπυησάντων εὐθέως εἶναι μοχθηρά, δεύτερον δὲ τῷ δυσχερεῖ τῆς θεραπείας. ἄλλων μὲν γὰρ δεῖται τὰ διαπυήσαντα τῶν ἰαμάτων, ἄλλων δὲ τὰ ἀνέκπυητα. καὶ τὰ μὴ περίσκληρα δέ, βελτίω τῶν περισκλήρων ἐστίν. ὀνομάζει δὲ περίσκληρα τὰ τὸ μέσον ἑαυτῶν ἔχοντα μαλακόν, καὶ διαπυϊσκόμενον. ὅσον δὲ ἐν κύκλῳ τούτου σκληρὸν καὶ δυσεκπύητον, ἢ ὅλως ἀνέκπυητον. ἐπαινεῖ δὲ καὶ τὰ κατάῤῥοπα φύματα. ταῦτα δέ ἐστιν ὅσα κατὰ τὴν κάτω χώραν τὴν κορυφὴν ἑαυτῶν ἴσχει τῆς ἐκπυήσεως. ἐνταῦθα γὰρ ἀναστομωθέντα, τὰς ἀποῤῥύσεις εὐπετεῖς λαμβάνει, εἰ μὴ λάθοι γε δέ τε τῶν ἀνωμάλων ὄντα. καὶ τούτοις γὰρ τὸ μέν τι χρηστὸν ὑπάρχει, τὸ δέ τι μοχθηρόν. ὅσα δὲ τὴν ἐκπύησιν ὁμαλὴν ἔχοντα, τὴν κορυφὴν ἐν τοῖς κάτω μέρεσι ποιεῖται, ταῦτα ἄριστα. καὶ τὰ μὴ δίκραια δέ, βελτίω τῶν δικραίων εἶναί φησιν. εὑρίσκεται γὰρ τῶν δικραίων τὸ μέσον οὐκ ἀπαθὲς μέν, ἀνέκπυητον δὲ καὶ σκληρόν. εὔδηλον δ᾽ ὅτι τῶν ἐναντίως ἀλλήλοις διακειμένων φυμάτων ὧν διῆλθον, ὅσα πλεῖστον ἀλλήλων διαφέρει ταῖς ἰδέαις, ταῦτα καὶ ταῖς δυνάμεσι, καὶ τοῖς ἤθεσι διαφέρει πάμπολυ. πλάτος γὰρ ἱκανὸν ἐχουσῶν τῶν εἰρημένων διαφορῶν, ἀναγκαῖον εἶναι μέν τι μέσον τῶν ἐναντίων. ἀποκεχωρηκέναι δὲ τοῦ μέσου, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον, οἷον ἐπὶ τῶν σκληρῶν καὶ μαλακῶν. ἐπὶ μιᾶς γὰρ ἀντιθέσεως ὡς ἐπὶ παραδείγματος ἀρκέσει τὸν λόγον ποιήσασθαι. τὸ μὲν σκληρὸν τοῦ μαλακοῦ φαυλότερόν ἐστιν. αὐτοῦ δὲ τοῦ σκληροῦ, τὸ μᾶλλον σκληρόν. εἰ δὲ εἴη σκληρότερον, εἴη χαλεπώτατον, οὕτω δὲ καὶ τὸ μὲν μετρίως μαλακόν, ἀγαθὸν μετρίως ἐστί. τὸ δὲ τελέως μαλακόν, ἀγαθὸν καὶ τοῦτο τελέως. ἅπερ οὖν ἐπὶ ταύτης τῆς ἀντιθέσεως ἤκουσας ἐπὶ τὰς εἰρημένας ἁπάσας γε μεταφέροις.

Τὸ θηριῶδες φθινοπώρου, καὶ αἱ καρδιαλγίαι, καὶ τὸ φρικῶδες, καὶ τὸ μελαγχολικόν.

Εἴτε τὰς ἀσκαρίδας, εἴτε τὰς ἕλμινθας λέγει τὸ θηριῶδες, εἴτε ἐλέφαντα, καὶ καρκίνον, εἴτε φθεῖρας ὥς τινες ἤκουσαν, εἴτε πᾶν τὸ κακόηθες. εἰκότως ἐν φθινοπώρῳ τὰ τοιαῦτα γίνεται πάντα, διά τε τὴν κακοχυμίαν τῆς ὥρας, καὶ τὴν τοῦ περιέχοντος ἀνώμαλον κρᾶσιν. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ καρδιαλγίαι, καὶ τὸ φρικῶδες, καὶ τὸ μελαγχολικὸν ἐπικρατεῖ κατὰ τὴν φθινοπωρινὴν ὥραν. ἅπαντα γὰρ ἕπεται ταῦτα τοῖς προειρημένοις αἰτίοις. εἴρηται δὲ ἡμῖν ἐπὶ πλέον ἐν τῇ τοῦ δευτέρου τῶν ἐπιδημιῶν ἐξηγήσει περὶ τῶν κατὰ τὸ φθινόπωρον ἁπάντων.

Πρὸς τὰς ἀρχὰς τοὺς παροξυσμοὺς ἐπισκέπτεσθαι, καὶ ἐν ἀπάσῃ τῇ νόσῳ, οἷον τὸ ἐν δείλῃ παροξύνεσθαι, καὶ ὁ ἐνιαυτὸς εἰς δείλην, καὶ αἱ ἀσκαρίδες.

Κἂν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν οὕτως ἐγέγραπτο, πρὸς τὰς ἀρχὰς τῶν νόσων σκεπτέον εἰ αὐτίκα ἀνθεῖ. χρῆται

γὰρ ἐνίοτε τῇ πρὸς τὰς ἀρχὰς φωνῇ ὁ Ἱπποκράτης, ὡσεὶ καὶ κατὰ τήνδε τὴν λέξιν εἶπε. πρὸς τὰς ἀρχὰς τῶν νόσων διαφορὴ τὸ σκοπεῖσθαι εἰ αὐτίκα ἀνθεῖ, καθάπερ κἂν τῷ φάναι, ὃ καὶ πρὸς τὸ θερμαίνειν, καὶ ψύχειν, καὶ ξηραίνειν, καὶ ὑγραίνειν, πολλὰ αὖτις εὕροι τοιαῦτα. οὐ γὰρ ὡς ἐναντιούμενος, οὐδ᾽ ὡς ἀντιλέγων, ἀλλ᾽ ὡς συνεργοῦντα πρὸς τὸ θερμαίνειν καὶ ψύχειν, καὶ ξηραίνειν, καὶ ὑγραίνειν χρῆται. πολλά φησιν αὖτις εὕροι τοιαῦτα. δέδεικται δὲ καὶ τοῦθ᾽ ἡμῖν, ἐν οἷς ἐξηγούμεθα τὸ δεύτερον τῶν ἐπιδημιῶν οὐχ οὕτως ἐθέλοι τις ἀκούειν τῆς λέξεως, ἀναγκαῖον ἐστὶ τὸ πρὸς τὰς ἀρχὰς ἀντὶ τοῦ κατὰ τὰς ἀρχὰς, ἢ περὶ τὰς ἀρχὰς ἀκούειν. οὐ μὴν ἐν ταῖς ἀρχαῖς γε μόναις τοῦτο παραινεῖ σκοπεῖν, ἀλλ᾽ ἐν ὅλαις ταῖς νόσοις. εἶτα παράδειγμα προσέθηκεν ὃ δυνατόν ἐστιν ἀναγνῶναι διττῶς. καθ᾽ ἕνα μὲν τρόπον, τὸ ἐν δείλῃ παροξύνεσθαι, καὶ ὁ ἐνιαυτὸς, εἶτ᾽ ἀφ᾽ ἑτέρας ἀρχῆς ἐν δείλῃ, καὶ αἱ ἀσκαρίδες. καθ᾽ ἕτερον δὲ τρόπον, οἷον τὸ ἐν δείλῃ παροξύνεσθαι, καὶ ὁ ἐνιαυτὸς εἰς δείλην. εἶτα ἀπ᾽ ἄλλης ἀρχῆς, καὶ ἀσκαρίδες. ἀναλόγως γάρ τινα ἔχειν ἡγεῖται τὴν ἡμέραν πρὸς ὅλον τὸν ἐνιαυτόν. ὡς γὰρ μὲν ἑωθινῷ καιρῷ τὸ ἔαρ ἐοικέναι, τῇ δὲ μεσημβρίᾳ τὸ θέρος, τῇ δὲ ἑσπέρᾳ τὸ φθινόπωρον, τῇ δὲ νυκτὶ τὸν χειμῶνα. λέλεκται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἐν οἷς ἐξηγούμεθα τὴν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ῥῆσιν, ἧς ἀρχὴ, αἱ ἀσκαρίδες δείλης.

Νηπίοισι βηχίον σὺν γαστρὸς ταραχῇ, καὶ πυρετῷ συνεχεῖ σημαίνει μετὰ κρίσιν διμηναίῳ τὸ σύμπαν εἰκοσαίῳ, καὶ οἰδήματα ἐς ἄρθρα.

Ἅπαντες ὁμοίως πιστεύοντες τοῖς γεγραμμένοις οἱ ἐξηγησάμενοι, μετὰ τοῦ μηδὲ νοεῖν, ὧν ἐπαινοῦσιν, ἔνια. καίτοι τινὰ μὲν εἰ καὶ κακοζηλότερον εἰπεῖν, οἷον νεῦρα τῆς τέχνης ἐστίν. τινὰ δὲ πάνυ σμικρὰν ἔχει τὴν ὠφέλειαν, ἔνια δὲ οὐδὲ σμικράν, ὥσπερ καὶ τὸ κατὰ τὴν προκειμένην ῥῆσιν. ἐγὼ γὰρ ὅσα μὲν ἀεὶ φαίνεται γινόμενα κατὰ τοὺς ἀρρώστους, ὡσαύτως ἀξιομνημόνευτα νομίζω, καὶ τούτων αὐτῶν μάλιστα, τὰ μεγάλην ἔχοντα τὴν χρείαν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἔλεγον, ἐπὶ τῆς κατὰ τὸ ῥῖγος προγνώσεως. ἐν σφοδροτάτῳ γὰρ ἐνίοτε πυρετῷ μετ᾽ ἀγρυπνίας, καὶ ἄσης, καὶ δίψους, καὶ δυσφορίας, ἔσθ᾽ ὅτε δὲ καὶ παραφροσύνης, ἁπάντων ταραττομένων, καὶ κλαιόντων τῶν οἰκείων τοῦ κάμνοντος, ἔνεστιν ἐπιστημονικῶς προειπόντα ῥῖγός τε καὶ ἱδρῶτα, καὶ λύσιν τοῦ νοσήματος, Ἀσκληπιὸν εἶναι δοκεῖν. ἐπὶ δὲ τοῦ νῦν λεγομένου, πρῶτον μὲν οὐ σαφές ἐστιν ὃ λέγει. δεύτερον δὲ κἂν ἁπάσας αὐτοῦ τὰς πιθανὰς ἐκδοχὰς ὑπόθηταί τις ἔχεσθαι τῆς τοῦ γράψαντος γνώμης, οὐδὲν ἐξ αὐτῶν ἐστι προειπεῖν. ὑποκείσθω γάρ τι νηπίον βηττον, ἅμα γαστρὸς ταραχῇ, καὶ πυρετῷ συνεχεῖ, κἄπειτα κρινόμενον ὁποσοῦν ἐν ᾗπερ ἂν ἡμέρᾳ βούλει τις. εἴτ᾽ οὖν ὀγδοηκοστῇ μετὰ τὴν ἀποκύησιν, εἴθ᾽ ἑξηκοστῇ, διττῶς γὰρ ἐξηγήσατο τὴν λέξιν τήνδε, διμηναίῳ τὸ σύμπαν εἰκοσαίῳ, τινὲς μὲν δὲ ἀπὸ γενετῆς διμηναῖον εἶναι βουλόμενοι, καθ᾽ ἣν ἡμέραν κρίνεται τὸ παιδίον, εἰκοσαῖον δ᾽ ἀφ᾽ ἧς ἡμέρας ἤρξατο νοσεῖν. τινὲς δὲ διμηναίῳ γινομένῳ τὴν νόσον ἀρξαμένην κριθῆναι μεθ᾽ ἡμέρας εἴκοσι, καὶ τούτων οὕτως ἐχόντων, ἡμᾶς προλέγειν, ὅτι τούτῳ γὰρ παιδίῳ καὶ ἀπόστασις τις εἰς ἄρθρα γενήσεται μετὰ τὴν κρίσιν, καὶ μὴν οὔτε διὰ παντὸς, οὔθ᾽ ὡς τὸ πολὺ συμβήσεται τοῦτο. χρὴ δὲ τὰς προρρήσεις, ἢ ἀμεταπτώτους εἶναι διὰ παντὸς, ἢ σπανιάκις σφάλλεσθαι. τὸ δ᾽ ὀλιγάκις μὲν ἐπιτυγχάνειν, πλεονάκις δ᾽ ἀποτυγχάνειν, οὐ τεχνικόν.

Ἢν μὲν κάτω τοῦ ὀμφαλοῦ καταστῇ τὰ ἄνω ἐν τοῖσι κάτω ἄρθροισιν, ἀγαθόν. ἢν δὲ ἄνω, οὐχ ὁμοίως λύει τὴν νοῦσον, ἢν μὴ ἐκπυήσῃ.

Ὅτι μὲν ἔτι περὶ τῶν παιδίων λέγει ταῦτα, δῆλόν ἐστι διὰ τῶν ἐφεξῆς εἰρημένων. ὁ γε μὴν λόγος οὗτος οὐ τῶν ἐπὶ μέρους ἐστὶν, ἀλλὰ τῶν καθόλου, καὶ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν, καὶ κατὰ τοὺς ἀφορισμοὺς, καὶ κατὰ τὸ προγνωστικὸν εἰρημένος ἃ προεξηγησάμεθα. βούλεται γὰρ τὰς μὲν ἐκ τῶν ἄνω χωρίων, εἰς τὰ κάτω τοῦ ὀμφαλοῦ γινομένας ἀποστάσεις ἀγαθὰς εἶναι, τὰς δὲ μὴ τοιαύτας, οὐκ ἀγαθάς. ἐκλύει δ᾽ αὐτῶν τι τῆς κακίας, ἐὰν ἐκπυήσῃ τὰ οἰδήματα. κέχρηται δὲ κἀνταῦθα τῇ προσηγορίᾳ τοῦ οἰδήματος, ἐπὶ τοῦ γενικοῦ σημαινομένου τῶν παρὰ φύσιν ὄγκων, ὡς καὶ πρόσθεν εἴρηται.

Τὰ δ᾽ ἐν ὤμοισιν ἐκπυέοντα, τοῖσι τηλικούτοισι γαλιάγκωνας ποιεῖ.

Ὅτι περὶ τῶν νηπίων ἔτι διαλέγεται, σαφὲς αὐτὸς ἐποίησεν εἰπὼν, τοῖσι τηλικούτοισιν, ἀξιῶν ἡμᾶς ἐπὶ τὴν ἀρχὴν ἀναφέρειν τοῦ λόγου καὶ τὰ νῦν εἰρημένα. κατά τινα δὲ τρόπον γαλιάγκωνες οἱ τοιοῦτοι γίνονται, μεμάθηκας ἔν τε τῷ περὶ ἄρθρων αὐτοῦ συγγράμματι, καὶ τοῖς ἡμετέροις ὑπομνήμασιν εἰς αὐτό.

Λύσει δ᾽ αὖ καὶ ἑλκυδρίων κάτω ἔκθυσις, ἢν μὴ στρογγύλα καὶ βαθέα ᾖ, τὰ τοιαῦτα ὀλέθρια, καὶ ἄλλως παιδίοισιν.

Παρὰ τὸ ἐκθύειν ὅπερ ἐστὶν ἐξορμᾶν, τὴν ἔκθυσιν εἴρηκεν ἐκτεινομένης τῆς μέσης συλλαβῆς, ὡσεὶ καὶ ἐξόρμησιν εἰρήκει. λύειν δ᾽ αὐτά φησι τὰς ἀποσκήμματος δεομένας διαθέσεις, ἢν μὴ στρογγύλα καὶ βαθέα ᾖ, τουτέστιν εἰ μὴ κακοήθη μάλιστα γένοιτο. καὶ γὰρ ἀνιαρὰ τοῖς βρέφεσιν, οὐ δυναμένοις φέρειν, οὔτε τὰς ὀδύνας, οὔτε τὴν θεραπείαν, καὶ ἄλλως δυσίατα τὰ τοιαῦτα.

Λύσει δ᾽ αὖ καὶ αἷμα ῥυὲν, μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται.

Ὅτι μὲν αἷμα ῥυὲν πᾶσι τοῖς τοιούτοις ὠφέλιμόν ἐστι, πολλάκις ἤδη μεμαθήκαμεν. ἐπὶ δὲ τῶν νηπίων ὑπὲρ ὧν διαλέγεται, τὴν ἀρχὴν οὐδὲ ἐπιφαίνεται τὸ αἷμα, πλὴν εἴ που σπανίως. διὸ καὶ προσέθηκεν αὐτὸς, μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται, τουτέστι τοῖς ἐπὶ πλέον ηὐξημένοις. τίνα δ᾽ ἔτι πάθη τὰ δι᾽ ὧν εἶπεν ἀποστάσεών τε, καὶ αἱμορραγιῶν, καὶ ἑλκυδρίων κρινόμενα τοῖς νηπίοις, οὐ πάνυ σαφῶς ἐδήλωσεν. ἡ γὰρ ἀρχὴ τῆς ῥήσεως ἦν, νηπίοισι

βηχίον σὺν γαστρὸς ταραχῇ καὶ πυρετῷ συνεχεῖ. δύναται δὲ καὶ τῶν κατὰ τὸ πλευρόν τε καὶ πνεύμονα, καὶ τῶν καθ' ἧπάρ τε καὶ γαστέρα, διὰ τῶν ἔπειτα συμπτωμάτων δηλοῦσθαι.

Δάκρυα ἐν τοῖσιν ὀξέσι τῶν φλαύρως ἐχόντων, ἑκόντων μὲν χρηστὸν, ἀκόντων δὲ παραῤῥέοντα, κακόν.

Περὶ τῶν τοιούτων δακρύων εἴρηται μὲν κἂν τῷ προγνωστικῷ, καὶ ἐν τοῖς ἀφορισμοῖς. ἀλλὰ τελεώτερον ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἔνθα φησὶν, ὁκόσοισιν ἐν πυρετοῖς ὀξέσι μᾶλλον δὲ καυσώδεσιν, ἄκουσι δάκρυα παραῤῥεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμοῤῥαγίην προσδέχεσθαι, ἢν μήτ' ἄλλο ὀλεθρίως ἔχωσιν. ἐπὶ τοῖσι δὲ φλαύρως ἔχουσιν, οὐχ αἱμοῤῥαγίην, ἀλλὰ θάνατον σημαίνει. καὶ ἡμεῖς ἐξηγησάμεθα τὴν ῥῆσιν ἐν τοῖς εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήμασιν.

Οἷσι περιτείνεται βλέφαρον, κακόν.

Ἡ αὐτὴ διάθεσις ἐργάζεται τὸ τοιοῦτον βλέφαρον, τῇ κατὰ τὸ προγνωστικὸν εἰρημένῃ. δέρμα τὸ περὶ τὸ μέτωπον σκληρὸν καὶ περιτεταμένον. ὅτι δὲ ἐπὶ τῶν ὀξέων νοσημάτων λέλεκται καὶ τοῦτο, καὶ τἄλλα τὰ ἐφεξῆς αὐτοῦ, κατὰ τὸ προγνωστικὸν, ὑπ' αὐτοῦ δεδήλωται, καὶ κατὰ τήνδε τὴν ῥῆσιν εἰπόντος. δάκρυον ἐν τοῖς ὀξέσι τῶν φλαύρως ἐχόντων, ἑκόντων μὲν χρηστὸν, ἀκόντων δὲ παραῤῥέον, κακόν.

Κακὸν δὲ καὶ τὸ ἐπιξηραινόμενον οἷον ἄχνη.

Φαίνεται γινόμενον καὶ τοῦτο ἐν τοῖς ὀξέσι νοσήμασιν ὅταν ἐσχάτως ᾖ ξηρὰ, σὺν ἀῤῥωστίᾳ δυνάμεως, μικρῶν πάνυ λημυδρίων ἐκπιπτόντων κατὰ τοὺς ὀφθαλμοὺς, εἶτ' αὖθις ἐπιξηραινομένων.

Καὶ τὸ ἀμαυρὸν κακόν.

Ἐν τοῖς ὀξέσι νοσήμασι τὸ ἀμαυροῦσθαι τὰς ὄψεις, ἀῤῥωστίαν καὶ νέκρωσιν σημαίνει τῆς ὀπτικῆς δυνάμεως.

Καὶ τὸ αὐχμηρὸν κακόν.

Ἦν μὲν καὶ τὸ οἷον ἄχνην ἔχον, αὐχμηρὸν, ἀλλὰ νῦν ὅτι καὶ χωρὶς ἄχνης ᾖ, μοχθηρόν ἐστιν ἐδήλωσε.

Καὶ οἱ ῥυτιδούμενοι ἔνδοθεν.

Ὅταν ὁ ἐπιπεφυκὼς ὑμὴν τοῖς κινοῦσι τὸν ὀφθαλμὸν μυσὶν, ὁ μέχρι τῆς στεφάνης ἐκτεινόμενος, ἔκλυτος καὶ χαλαρὸς γένηται, ῥυτιδοῦσθαι συμβαίνει τοὺς ὀφθαλμοὺς ἔσωθεν. εἰ γὰρ ἔξωθεν ῥυτιδωθεῖεν, εἴη ἂν οὕτω γε τοῦ δέρματος τὸ πάθος. ὅτι δὲ ἀσθενείας, καὶ καταψύξεως ἐστὶ σημεῖον, τὸ τοιοῦτον δηλοῖ, καὶ τὸ συμβαῖνον ἐπὶ τῶν πάνυ γερόντων. ὁρῶνται γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ ῥυτιδούμενοι.

Οἱ πεπηγότες, καὶ οἱ μόγις στρεφόμενοι, καὶ οἱ ἐνδεδινημένοι.

Περὶ τῶν ὀφθαλμῶν καὶ ταῦτα δῆλον. οἱ μὲν γὰρ πεπηγότες, ὅπερ ἐστὶν ἀκίνητοι, τελεωτάτην ἐνδείκνυνται νέκρωσιν τῆς κατὰ τοὺς μῦς δυνάμεως, ὑφ' ἧς ἐκινοῦντο πρόσθεν ὅτ' εἶχον κατὰ φύσιν. οἱ δὲ μόγις στρεφόμενοι, πλησίον ἥκουσι τῆς τοιαύτης διαθέσεως. οἱ δὲ ἐνδεδινημένοι, παραφροσύνην, ἢ τρόμον ἐνδείκνυνται τῶν τὸν ὀφθαλμὸν κινούντων μυῶν. γίνεται δὲ τὰ τοιαῦτα πάντα ἐν ὀξέσι νοσήμασι κινδυνώδεσι, διὰ τὴν τῆς ἀρχῆς κάκωσιν.

Καὶ ὅσα ἄλλα προείρηται.

Τινὰ ταῦτ' ἐστὶν ἃ λέγει προειρῆσθαι τῶν συμβαινόντων τοῖς ὀφθαλμοῖς, ἢ δηλονότι τὰ κατὰ τὸ προγνωστικὸν εἰρημένα κατὰ τήνδε τὴν ῥῆσιν. ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν, ἢ δακρύωσιν, ἢ διαστρέφωνται, ἢ ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πελιδνὰ, ἢ μέλαινα φλέβια ἐν ἑωυτοῖσιν, ἢ λῆμαι περὶ τὰς ὄψεις, ἢ ἐναιωρούμενοι φαίνονται, ἢ ἐξίσχοντες, ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι. περὶ ἐξηγησάμεθα δὲ ἐν ἐκείνῳ τῷ βιβλίῳ σὺν τοῖς ἄλλοις ἅπασι καὶ ταῦτα.

Πυρετοὶ οἱ μὲν δακνώδεες τῇ χειρὶ, οἱ δὲ πρηέες, οἱ δὲ οὐ δακνώδεις μὲν, ἐπαναδιδόντες δέ. οἱ δὲ ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρός. οἱ δὲ περικαέες μὲν εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροὶ, ξηροί. οἱ δὲ ἁλμυρώδεες, οἱ δὲ πεμφυγώδεες, ἰδεῖν δεινοί. οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες, οἱ δὲ ἐξέρυθροι, οἱ δὲ ἔξωχροι, οἱ δὲ πελιοί. καὶ τὰ ἄλλα τοιαῦτα.

Κἀνταῦθα πάλιν ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσέθηκε, καὶ τὰ ἄλλα τοιαῦτα, διὰ τὸ μόνας αὐτῷ τὰς ἀξιολόγους διαφορὰς τῶν πυρετῶν ὑποτετυπῶσθαι. πρώτας μὲν οὖν ἔγραψε τὰς κατ' αὐτὴν τὴν οἰκείαν τῶν πυρετῶν οὐσίαν, οὐσία δὲ αὐτῶν ἐστὶν οὐ καθ' Ἱπποκράτην μόνον, καὶ τοὺς ἀρίστους ἰατροὺς, ἀλλὰ καὶ κατὰ τὴν κοινὴν πάντων ἀνθρώπων ἔννοιαν, ἡ παρὰ φύσιν θερμασία, μάλιστα μὲν εἰς ὅλον ἐκτεταμένη τὸ ζῶον. εἰ δὲ μὴ, ἀλλὰ πάντως, ἤτοι γε ἐν τοῖς πλείστοις μορίοις, ἢ ἐν τοῖς κυριωτάτοις ὑπάρχουσα. καὶ πολλάκις γε τὸ μὲν ἅπαν δέρμα θερμασίαν οὐδεμίαν σαφῆ ἔχειν φαίνεται παρὰ φύσιν, οὔθ' ἡμῖν τοῖς ἔξωθεν ἁπτομένοις, οὔτε τοῖς κάμνουσιν. αἰσθάνονται δὲ αὐτῆς οἱ νοσοῦντες ἐν τῷ βάθει, καί φασι διακαίεσθαι τὰ σπλάγχνα, καὶ πρὸς τούτῳ γε ἔνιοι, καὶ ἀσώδεις εἰσὶ καὶ διψώδεις, καὶ ἄγρυπνοι. νῦν οὖν ὁ Ἱπποκράτης τὰς διαφορὰς τῶν πυρετῶν γράφει, ὅσαι διαγινώσκονται τοῖς ἰατροῖς. οὐκ ἐξ ὧν οἱ κάμνοντες λέγουσι, ἀλλ' ἐξ ὧν αὐτοὶ διά τε τῆς ἁφῆς, καὶ τῆς ὄψεως ἐναργῶς αἰσθάνονται. πρῶτον δέ εἰσι καὶ κυριώταται, καὶ κατὰ τὴν οἰκείαν οὐσίαν, ὡς ἔφην, τῶν πυρετῶν αἱ διὰ τῆς θερμασίας. οὐ γὰρ ἐν τῇ τῶν ἀρτηριῶν κινήσει ἡ τῶν πυρετῶν ἐστὶν οὐσία. τοῦτο γὰρ ὅπως ἡμάρτηται τοῖς περὶ τὸν Ἐρασίστρατόν τε καὶ

Χρύσιππον ἤδη μεμάθηκας. ἡ τοίνυν πυρετικὴ θερμασία τοῖς ἁπτομένοις τῶν πυρεττόντων σωμάτων ἤτοι δριμεῖα καὶ δακνώδης ἐστὶν, ἢ μετρίως ἀνιαρά. τὸ γὰρ ἡδὺ, καὶ οἰκεῖον ὁποῖον ὑπάρχει τῇ κατὰ φύσιν, οὐδέποτε ἔχει. καθάπερ οὖν καὶ ἄλλα πολλὰ κατὰ τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἀλλήλων διαφέροντα, τοῖς πέλας ἑρμηνεύομεν εὐφημότερον, οὐκ ἀληθέστερον. οὕτω καὶ περὶ τῆς βραχέως ἀνιαρᾶς θερμασίας ἐνίοτε φαμὲν, ὡς οὐδ' ὅλως ἀνιαρὸν ἔχει παραβαλλόντων αὐτὴν τῇ σφοδρὸν ἐχούσῃ τὸ λυπηρόν. ἐνίοτε μὲν οὖν ἡ θερμασία φαίνεται πλείστη τε ἅμα, καὶ δριμυτάτη. πολλάκις δὲ ὀλίγη μὲν, οὐκ ἀπολειπομένη δὲ τῆς δριμυτάτης, ἢ πάλιν δριμυτάτη μὲν, οὐ μὴν πολλή γε. καὶ τούτων ἕκαστον ὧν εἶπον ἐνίοτε φαίνεται μετ' ὀλίγον χρόνον, οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρός. ὥσπερ γε καὶ μειοῦσθαι, τὰ κατὰ τὴν πρώτην ἐπιβολὴν φανέντα κατὰ μέγεθός τε καὶ δριμύτητα, δόξει ποτὲ μέχρι χρόνου πλείονος ἐπιβεβλημένης τῷ κάμνοντι τῆς χειρός. καὶ τοίνυν ἐνίοτε μὲν αὐχμηρὰ, καὶ κατάξηρος φαίνεται ἡ θερμασία, καθάπερ εἰ λίθου τινὸς ἡψάμεθα θερμοῦ. πολλάκις δὲ φαντασία τῇ νοτιώδει καὶ ὑγρὰ πάνυ ἀτμώδης, ὥστε αἰσθάνεσθαι σαφῶς ἀναφερομένου τινὸς, ἐκ τοῦ τῶν καμνόντων σώματος ἀτμοῦ παμπόλλου, καὶ τούτων πάλιν αὐτῶν ὥσπερ καὶ τῶν προειρημένων, ἔνια μὲν εὐθὺς ἐξ ἀρχῆς φανέντα διαμένει, τινὰ δ' ἤτοι προσαυξανομένην ἢ διαλυομένην ἔχει τὴν ἐξ ἀρχῆς φανεῖσαν διαφοράν. ἔνια δὲ καὶ γινομένην ἑτέραν οὐδ' ὅλως ἐξ ἀρχῆς πεφυκυῖαν, καὶ διαφθειρομένην τελέως τῶν ἐξ ἀρχῆς ἑωραμένων. αἱ μὲν οὖν κατ' αὐτὴν τῶν πυρετῶν τὴν οὐσίαν διαφοραὶ, τοιαῦταί τινές εἰσι. περὶ δὲ τῶν ἄλλων ἐφεξῆς ὀψόμεθα, πότερον γὰρ ὀρθῶς ἔχει τὰς εἰρημένας ἐφαρμόσαι τῇ λέξει τοῦ Ἱπποκράτους. ἐν τῷ μὲν τοίνυν φάναι, πυρετοὶ μὲν οἱ δακνώδεις τῇ χειρὶ, οἱ δὲ πρηέες. ἐνδείκνυταί πως τὸν λόγον αὐτῷ γίνεσθαι περὶ τῶν διὰ παντὸς, ἤτοι δακνωδῶν, ἢ πρηέων φαινομένων. ἀμφοτέρων γοῦν λέγει, οἱ δὲ οὐ δακνώδεες μὲν, ἐπαναδιδόντες δὲ, δηλῶν ἐνταῦθα τοὺς ἐξ ἀρχῆς μὲν οὐ φανέντας δακνώδεις ἐπικειμένης τῇ χειρὶ μέχρι πλείονος, αἴσθησιν ἐργαζομένους δακνώδη. τούτοις δ' ἔμπαλιν ἔχουσιν ἐφ' ὧν φησιν. οἱ δὲ ὀξέες μὲν ἡσσώμενοι δὲ τῆς χειρός. ἐν ἀρχῇ γὰρ φανέντες ὀξεῖς, ἐκλύονται κατὰ βραχύ. τὸ δὲ ὀξέες περὶ τῆς ταχέως ἀπαντώσης τῇ χειρὶ θερμασίας, ἐνδεικνυμένης τε τὴν ἑαυτῆς κίνησιν ὠκεῖαν, ἀκούειν σε χρὴ, καθάπερ ὀξεῖς ἵππους ὀνομάζομεν δρομεῖς, ἐν ἴσῳ τῷ ταχεῖς. ὀξέα τε νοσήματα λέγομεν, ὅσα ταχέως διεξέρχεται τοὺς ἰδίους καιροὺς ἄχρι τῆς τελευτῆς, εἴτε χερσὶν, εἴτε χειρὶ λέγοις πρὸς τῷ τὰς εἰρημένας διαφορὰς γινώσκειν, οὐδὲν διοίσει. δῆλον μὲν γὰρ ἦν τῷ γε νοῦν ἔχοντι τὰς τοιαύτας διαφορὰς, οὐ τοῖς ὀφθαλμοῖς ἀλλὰ ταῖς χερσὶν αἰσθητὰς εἶναι. προστιθέασι δὲ ἅπαντες ἄνθρωποι καὶ τὰς τοιαύτας προσθήκας, ἐνίοτε φύσει πρὸς τοῦτ' ἀγόμενοι, συναυξάνοντες τὴν ἐνέργειαν τῶν λεγομένων, καὶ μάλιστα ἐπ' ἐκείνων τῶν πραγμάτων, ἐφ' ὧν ἐστιν διὰ τεκμηρίων τινῶν, καὶ σημείων εὑρεῖν τὸ ζητούμενον, οὐκ αἰσθητὴν ποιήσασθαι τὴν διάγνωσιν. οὕτως οὖν καὶ ὁ Ἱπποκράτης οὐ μόνον ἐν ἀρχῇ τοῦ λόγου τῶν χειρῶν ἐμνημόνευσεν, ἀλλὰ κἂν τῷ φάναι, οἱ δὲ ὀξέες μὲν ἡσσώμενοι δὲ τῆς χειρός. ἐφεξῆς δὲ τὴν κατὰ μέγεθος αὐτῶν διαφορὰν ἐνδεικνύμενος ἔφη, οἱ δὲ περικαέες εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροί. κατά τι μὲν οὖν ἡ τοιαύτη φαντασία γίνεται τοῖς ἁπτομένοις, ὡς ἤτοι πολλὴν εἶναι δοκεῖν, ἢ ὀλίγην τὴν θερμασίαν, αὖθις ὀψόμεθα. νυνὶ δ' ὅτι φαίνεται μόνον εἰπεῖν ἀρκέσει. καθάπερ γὰρ ἐκτὸς εἰ καὶ τοὺς ὀφθαλμούς τις ἐκκαλύψας ἅψαιτο φλογὸς, ἤτοι πολλῆς αἰσθάνεται τῆς κατ' αὐτὴν οὐσίας, ἢ ὀλίγης, οὐδεμιᾶς ἐν τῇ ποιότητι τῆς θερμασίας αἰσθανόμεθα διαφορᾶς, οὕτως ἔχει κἀπὶ τῶν πυρετῶν. ἐνίοτε γὰρ ἡ μὲν κατὰ τὴν ποιότητα διάγνωσις τῆς θερμασίας ἡ αὐτὴ φαίνεται τῇ καθ' ἕτερόν τι σῶμα. διαφέρειν δ' ἀλλήλων δοκοῦσι ποσότητι. τῶν δ' ἐφεξῆς εἰρημένων, τὸ μὲν ξηροὶ σαφὲς ἱκανῶς ἐστι, τὸ δ' ἁλμυρώδεες ἀσαφές. οὐ γὰρ ἁφῆς αἰσθητὸν, ἀλλὰ τῆς γεύσεως μόνης τὸ ἁλμυρόν ἐστι. ἔστι δὲ μᾶλλον ἀσαφὲς τὸ ἐφεξῆς εἰρημένον ἔνθα φησὶν, οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοί. εὑρίσκομεν δὲ ἐνταῦθα διάφορον τὴν γραφήν. ἐν μὲν τοῖς πλείστοις τῶν ἀντιγραφέων προκειμένου τοῦ ἰδεῖν τῷ πεμφιγώδεες. ἐν ὀλίγοις δὲ μετὰ τοῦ ἰδεῖν καὶ τὸ δεινοὶ προσγεγραμμένον. μόνον δὲ τῶν ἐξηγητῶν εὗρον οὕτως γεγραμμένον εἰδότα Σαβῖνον, ᾧ καὶ Μητρόδωρος ἠκολούθησεν. ἔοικε τ' ἀπ' αὐτῶν εἰσι μέχρι καὶ μὴν κατ' ὀλίγιστα τῶν ἀντιγράφων εὗρον ἁπλῶς γεγραμμένον. οἱ δὲ πεμφιγώδεες, οὔτε τὸ ἰδεῖν, οὔτε τὸ δεινοὶ προσγεγραμμένου. τοὺς μὲν οὖν ἁλμυρώδεας ἐπὶ τὴν ἁφὴν ἄγων τις, ἐρεῖ τοὺς δηλαξυσμόν τινα ποιοῦντας εἶναι τοῖς ἁπτομένοις, ὥσπερ ὑφ' ἅλμης τε, καὶ πάντων τῶν ἁλμυρῶν γίνεται σωμάτων, τοὺς δὲ πεμφιγώδεις, τοὺς πνευματώδεις. αἰσθανόμενα γὰρ πολλάκις ἀναφερομένης διὰ τοῦ τῶν πυρεττόντων δέρματος ἀερώδους τινὸς ἀποῤῥοῆς, ὡς εἴγε μὴ τούτους ἀλλὰ τοὺς μετὰ φλυκταινῶν λέγει, παραλελοιπὼς ἂν εἴη τῶν ἀναγκαίων τινὰ διαφορὰν, ἐκ τοῦ γένους τῶν προειρημένων, ὅσας ἔφην εἶναι κατ' αὐτὴν μάλιστα τὴν οὐσίαν τῶν πυρετῶν. ὡς γὰρ δακνῶδες ἰσχυρῶς, ἢ σφοδρὸν, ἢ ξηρὸν, ἢ αὐχμηρὸν εἶναι φαίνεται τὸ τῆς θερμασίας εἶδος ἐπὶ πολλῶν πυρετῶν, οὕτω καὶ πνευματῶδες, αἰσθανομένης τῆς χειρὸς ἀναφερομένου τινὸς ἐπ' αὐτὴν πνεύματος, ἐνίοτε μὲν ἀτμώδους, ἐνίοτε δὲ ξηροῦ. πλείω δὲ σημαίνοντος τοῦ τε πέμφιγος ὀνόματος, ἄλλοις ἄλλος τῶν ἐξηγητῶν προχειρισάμενος, ὡς ἓν μόνον ἐκεῖνο σημαῖνον, ὅπερ αὐτὸς βούλεται, πιθανὸς εἶναι δοκεῖ τοῖς ἀκούουσιν. ἤρκει μὲν οὖν ἴσως εἰρῆσθαι πεμφιγώδεες πυρετοὺς, τοὺς πνευματώδεις. ὅτι τε τοῦ γένους ἐστὶ τῶν ἄχρι δεῦρο γεγραμμένων διαφορῶν, ὅτι τε παραλελοιπέναι δόξει ταύτην, εἰ μή τις ἀκούσαι ἐν οὕτως. ἀλλὰ καὶ τὸ προσκεῖσθαι κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων τὸ ἰδεῖν τῷ πεμφιγώδεες, ἀναγκαῖον ἡμῖν γίνεται καὶ γραμματικῆς ἀδολεσχίας ἐφάψασθαι, χρησίμης ἐνίοτε καὶ αὐτῆς εἰς τὰ τοιαῦτα γινομένης. ἀκριβέστερον μὲν οὖν περὶ τῶν ζητουμένων παρ' Ἱπποκράτει λέξεων, ἑτέρωθι πεπραγματεύμεθα. νυνὶ δ' ἀρκέσει τοῖς γραμματικοῖς ἀκολουθήσαντα, κατὰ τὴν ἐκείνων διάταξιν εἰπεῖν τι περὶ τῶν κατὰ τὴν πέμφιγα σημαινομένων. δοκεῖ μὲν γὰρ αὐτῆς ἐπὶ τῆς πνοῆς Σοφοκλῆς ἐν Κόλχοις λέγειν. ἀπῇξε πέμφιξιν οὐ πέλας φόρου, καὶ αὐτὸς ἐν Σαλαμίνῃ Σατύροις, καὶ τάχ' ἂν κεραύνια πέμφιξι, βροντῆς, καὶ δυσοσμίας λάβοι. Αἰσχύλος δὲ ἐν Προμηθεῖ, δεσμώτῃ εὐθεῖαν ἑρπετὴν δὲ καὶ πρώτιστα μὲν Βορεάδας, ἥξεις πρὸς πνεύμασιν. εὐλαβοῦ βρόμον καταιγίζοντα μή σ' ἀναρπάσῃ δυσχειμέρῳ πέμφιγι συστρέψας ἄφνω. περὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι, Σοφοκλῆς ἐν Κόλχοις κατὰ τάδε

τὰ ἔπη. καὶ ἐθαύμαζε τῆς δὲ σκοπῶν πέμφιγα χρυσέαν ἰδών. οὕτω καὶ Αἰσχύλος, ἐξ αὐτίας ὅτε πέμφιξ ἡλίου προσδέρκεται, οὔτ᾽ ἀστέρων στόμα λητώας κόρης. ἐπὶ δὲ τῆς ῥαγίσιδος ὁ αὐτός φησιν ἐν προμηθεῖ. ἐξ δὲ λαβοῦ δὲ μή σε προσβάλλῃ στόμα πέμφιξ. πικρὰ γὰρ καὶ οὐ δία ζωῆς ἀτμοί. καὶ ἐν πρώθει, μηδὲ αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς. ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος, ἐν σαλαμινίοις σατύροις παρὰ Σοφοκλεῖ, πέμφιγι πᾶσαν ὀψιαγγέλων πυρὸς, καὶ παρ᾽ Ἰβύκῳ πυκινὰς πέμφιγας πιόμενοι. λέλεκται δ᾽ οὗτος ὁ λόγος αὐτῷ κατά τινα παραβολὴν, ἐπὶ χειμαζομένων εἰρημένην. διὸ καὶ τῶν προγνωστικῶν οἱ πλεῖστοι ἐπὶ τῶν κατὰ τοὺς ὄμβρους σταγόνων εἰρῆσθαί φασι τὰς πέμφιγας. ὁ δὲ Καλλίμαχος ὧδε, μὴ διὰ πεμφίγων ἐνάγουσιν ἔτι. ὁ δὲ Εὐφορίων οὕτως. εἶπε δ᾽ αὖθι πέμφιγες ἐπιτρύζουσι θανόντα. τὰ μὲν οὖν ἐκ τῆς πέμφιγος σημαινόμενα, καὶ δὴ λέλεκται. προείρηται δὲ καὶ περὶ τῶν δύο σημαινομένων ἐξ αὐτῶν, ἐπειδὴ πάντων τῶν ἐξηγητῶν οἱ ἄριστοι καὶ κατὰ ταῦτα ἐδέξαντο τῇ λέξει κεχρῆσθαι τὸν Ἱπποκράτην, νυνὶ δὲ τῶν εἰρημένων σημαινομένων ἐγχωρεῖ προσθεῖναι καὶ ἄλλο τρίτον, ἵνα πεμφιγώδεις ἀκούσωμεν εἰρῆσθαι, τοὺς οἷον πινθήρων ἐξαλλομένων ἀπαντώντων τῇ χειρὶ φαντασίαν, ἀποτελοῦντας. καὶ εἶεν ἂν οἱ τοιοῦτοι πυρετοὶ σύνθετοί τινες ἐκ δυοῖν ἁπλῶν τῶν ἤδη προειρημένων, τοῦ τε πνευματώδους, καὶ πυρώδους. ἐνδεικνυθήσεται δὲ τῇ ἐξηγήσει ταύτῃ μόνον ἐν γε εἰ προσκέοιτο τῷ πεμφιγώδεος, τὸ ἰδεῖν. εἰκότως οὖν ἀφῃρήκασιν αὐτό τινες. οἱ δὲ οὐκ ἀφελόντες, ἤτοι τοὺς μετὰ φλυκταινῶν ἤκουσαν, ἢ τοὺς τῆς ψυχῆς ἁπτομένους. ἐπεὶ δὲ οἱ μετὰ φλυκταινῶν ἀπὸ συμπτώματος ὀνομάζονται, πιθανῶς ἂν ἀκούσωμεν ἀπὸ συμβεβηκότος οὕτως αὐτὸν ὀνομάζειν τοὺς λοιμώδεις πυρετούς. ἔστι γὰρ ἀμέλει καὶ τοῦθ᾽ ἕν τι πυρετῶν εἶδος. ὅτι δ᾽ ἐν αὐτῷ φλυκταῖναι γίνονται, καὶ ὁ Θουκυδίδης μαρτυρεῖ γράφων οὕτως. καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα, οὔτε ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ᾽ ὑπέρυθρον, πελιδνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός. οἱ δὲ τοὺς τῆς ψυχῆς ἁπτομένους πυρετοὺς, εἰρῆσθαί φασι πεμφιγώδεις, πόρρω τῆς προκειμένης τῶν πυρετῶν διαφορᾶς ἀποχωρήσαντες. ὠνόμαζον γὰρ ἔνιοι τῶν παλαιῶν, καὶ φρενιτικόν τινα πυρετὸν, ὥσπερ ἀμέλει, καὶ ληθαργικὸν, καὶ πλευριτικὸν, καὶ περιπνευμονικόν. ἀλλ᾽ ὁ νῦν προκείμενος τῇ ῥήσει κατάλογος τῶν πυρετῶν, ἀπὸ τῆς κατὰ τὴν θερμασίαν διαφορᾶς ἐστι, ἐν ᾗ δύναται καὶ ὁ λοιμώδης περιέχεσθαι, σηπεδονώδη ἔχων τὸν θερμόν. ὁ φρενιτικὸς δὲ, οὐ δύναται, διά τε τὸ μὴ σύνηθες εἶναι καθάπερ ἄλλοις, οὕτω καὶ τῷ Ἱπποκράτει, πυρετοῦ ἰδέαν ὀνομάζειν τὴν φρενῖτιν, ὅτε ἀπὸ συμπτώματος, ὥσπερ ὁ τὰς φλυκταίνας γεννῶν, εἴη λέλεκται μὲν ἐν ταῖς εἰρημέναις διαφοραῖς, αὐτὸν περιέχεσθαι, καθάπερ καὶ τοὺς ἄλλους ὧν ἀρτίως ἐμνημόνευσεν. εὑρίσκεται γὰρ ὁ τῶν φρενιτικῶν πυρετὸς τὴν θερμασίαν ἔχων δακνώδη, διὰ παντὸς ὁμοτόνως ἐν παντὶ τῷ χρόνῳ τῆς ἐπιβαλλομένης ἁφῆς, ὡς εἰρῆσθαι πρῶτον ἁπάντων αὐτῶν. οὐκοῦν οὐδ᾽ ὅσοι τοὺς ἁλμυρώδεις πυρετοὺς εἰρῆσθαί φασιν, ἀπὸ τῆς αὐτῆς τοῖς κάμνουσιν ἐν τῷ στόματι γινομένης αἰσθήσεως, ἀποδεξόμεθα τὴν ἐξήγησιν αὐτῶν. φαίνεται γὰρ ὁ Ἱπποκράτης ἁπάσας ἐφεξῆς τὰς πρὸς χεῖρα διαγνώσεις εἰρηκέναι, κατὰ τὴν τῆς θερμασίας διαφορὰν, ἐν ᾗ τὸ γένος ὅλον ἐστὶ, καὶ ἡ οὐσία τῶν πυρετῶν. εἰ γὰρ καὶ τὸν λοιμώδη δεξαίμεθα λελέχθαι πεμφιγώδη, τὴν μὲν προσηγορίαν ἀπὸ συμβεβηκότος ἕξει. τὸ δ᾽ εἶδος αὐτὸ κατὰ τὴν οἰκείαν οὐσίαν τῶν πυρετῶν. κατὰ τὸν αὐτὸν δὲ λόγον, οὐδὲ οἱ τοὺς ἁλμυρώδεις εἰρῆσθαι φάντες, ὅσοι πάνθ᾽ ὅσων ἂν ὁ κάμνων γεύηται φαίνεσθαι ποιοῦσιν ἁλμυρὰ, τῶν προκειμένων ἐν τῇ νῦν διδασκαλίᾳ διαφορῶν τοῦ πυρετοῦ μνημονεύουσι, καὶ εἴπερ ἐν τῇ τῶν πυρετῶν διαφορᾷ καὶ τούτους ὁ Ἱπποκράτης ἐτίθετο, πάντως ἂν κἀκείνους ἅμ᾽ αὐτοῖς εἶπεν, ἐφ᾽ ὧν καὶ τὸ σίαλον αὐτὸ, καὶ πάνθ᾽ ὅσων ἂν γεύωνται, πικρὰ φαίνεται. ταύτας μὲν οὖν τὰς διαφορὰς, οὐκ ἐν ταῖς τῶν πυρετῶν, ἀλλ᾽ ἐν ταῖς τῶν χυμῶν διαγνώσεσιν ἄμεινον τίθεσθαι, τοὺς δὲ πυρετοὺς ἐν τῇ τῆς θερμασίας. ὥσπερ γὰρ οἱ χυμοὶ τῆς γεύσεως εἰσὶν αἰσθητὰ, κατὰ τὸν αὐτὸν λόγον οἱ πυρετοὶ τῆς ἁφῆς. ὅτι δὲ τὸ λεπτοὶ καλῶς προσέθηκαν οἱ περὶ τὸν Σαβῖνον οὕτως γράψαντες τὴν λέξιν. οἱ δὲ πεμφιγώδεες ἰδεῖν λεπτοὶ, καὶ πρόσθεν μὲν εἶπον, ἀλλὰ καὶ νῦν ἀναμνήσω. λεπτοὺς γὰρ ἰδεῖν αὐτοὺς εἰρῆσθαι, πρὸς ἡμῶν μὲν ἐὰν μετὰ φλυκταινῶν καὶ ἑλκώσεων γίνονται, κατ᾽ αὐτοὺς δὲ ὅταν παρακόπτωσι, καὶ φοβερὸν ἐμβλέπωσι. περὶ δὲ τούτων ἀμφοτέρων ἣν τινα χρὴ γνώμην ἔχειν, προειρήκαμεν. ὁμοίως δὲ ἥμαρτον, καὶ οἱ πνευματώδεις μὲν αὐτοὺς εἰρῆσθαι λέγοντες, οὐ πρὸς τὴν ἁφὴν τὴν διάγνωσιν ἀναφέροντες, ἀλλ᾽ ἐπὶ δυσπνοίας εἶδος, ἐν ᾗ μέγα καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. πιθανώτερον οὖν ἐστιν, ἢ πρὸς τὴν ἁφὴν πνευματώδη νομίζειν, ἢ τὸν λοιμώδη λελέχθαι πεμφιγώδη. προστεθέντος δὲ κατὰ ῥῆσιν τῷ πεμφιγώδεες, τοῦ λεπτοὶ, ὁ λοιμώδης μόνος ἐστὶ δηλούμενος, οὗ τὸ πρὸς ἄλλους διαφέρον ἐστὶ τὸ σηπεδονῶδες εἶναι τὸ θερμὸν, οἷόνπερ καὶ τῷ νῦν γινομένῳ πολυχρονιωτάτῳ λοιμῷ. διὰ τοῦτ᾽ οὖν οὐδὲ θερμοὶ, καὶ διακαεῖς ἐμφαίνονται τοῖς ἁπτομένοις οἱ λοιμώττοντες, καίτοι τά γ᾽ ἔνδον ἰσχυρῶς διακαιόμενοι, καθάπερ καὶ ὁ Θουκυδίδης ἔφη. καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα, οὔτ᾽ ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν ἦν, ἀλλ᾽ ὑπέρυθρον πελιδνὸν, φλυκταίναις σμικραῖς, καὶ ἕλκεσιν ἐξηνθηκός. τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μηδὲ τῶν πάνυ λεπτῶν ἱματίων, καὶ σινδονίων τὰς ἐπιβολὰς, μήτ᾽ ἄλλο τι ἢ γυμνοὶ ἀνέχεσθαι. εἴρηται γε μὴν ἡ πέμφιξ, κἀν ταῖς ἰδίαις γνώμαις ἃς εἰς Εὐρυφῶντα τὸν καὶ ἰατρὸν ἀναφέρουσι τὴν δὲ τὴν λέξιν. οὐρέει ὀλίγον ἑκάστοτε, καὶ καὶ, καὶ ἐφίσταται πέμφιξ, οἷον ἐλαίου χλωρῆς ὥσπερ ἀράχνιον. ἐοίκασι γοῦν οὗτοι πέμφιγα καλεῖν, οὐχ ὅλην τὴν φλυκταίναν, ἀλλὰ μόνον τὸ περιγραφὸν αὐτὴν ἔξωθεν ἀραχνίῳ παραπλήσιον. συντελέσας δ᾽ οὖν ὁ Ἱπποκράτης τὰς οἰκειοτάτας τε καὶ πρώτας διαφορὰς τῶν πυρετῶν. ἑξῆς ἐπὶ τὰς κατὰ χρόαν μεταβάς φησιν, οἱ δὲ ἐξέρυθροι, οἱ δὲ ἔξωχροι, οἱ δὲ πελιοί. ἐξερύθρους μὲν εἶπεν οὐχ ἁπλῶς ἐρυθροὺς, καὶ μετὰ τούτους ἑξῆς πάλιν ἐξώχρους, οὐκ ὠχροὺς, πελιοὺς δ᾽ ἁπλῶς, οὐδὲν αὐτοῖς ἐπιτάσεως τοῦ δηλουμένου προσθεὶς, ὡς εἰ καὶ πελιδνοτάτους τούτους εἰρήκει. τοῦτο μὲν γὰρ ἀεὶ μοχθηρὸν τὸ χρῶμα. τὸ δὲ τῶν ἐρυθρῶν τε καὶ ὠχρῶν σύνηθες. οἱ δὲ ἐξέρυθροι, τουτέστιν οἱ σφοδρῶς ἐρυθροὶ, σφοδροτέραν μὲν ἐμφαίνουσι τὴν θερμασίαν, τῇ δ᾽ ὕλῃ, αἷμα, καθάπερ οἱ ἔξωχροι τὴν ὠχρὰν χολήν. ἐπισκέπτου δὲ ἐπ᾽ αὐτῶν τὰ διαχωρούμενα, κἂν μὲν ἂν μετὰ χολῆς εὑρίσκῃς, ἐξ ἀναχύσεως αὐτῆς γινώσκε τὴν παρὰ φύσιν χροιὰν ἀπηλλάχθαι. ἐὰν δὲ αὐτὸν τὴν ἐν διαφορᾷ πυρετοῦ τίθεσο τὴν χροιάν. ὅτι μὲν οὖν οἱ πυρετοὶ, μαρασμὸν

ἐπιφέρουσιν ἐὰν μὴ φθάσωσί ποτε μετὰ ῥίγους καὶ ἱδρῶτος κριθῆναι. οἱ δὲ ἐξέρυθροι, τῶν συνόχων εἰσὶν ὑπὸ φλεβοτομίας ὠφελούμενοι, τὴν ἀρχὴν λειποψυχίας ἀγούσης, ὡς ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ μεμαθήκας, ἔνθα καὶ ἡ χρεία μεγάλη φαίνεται τῆς τῶν τοιούτων διαφορῶν γνώσεως, ἰδίαν ἑκάστης αὐτοῦ ἐχούσης θεραπείαν. οἱ δὲ πελιοὶ τῶν πυρετῶν, ἀπὸ τῆς χρόας καὶ οὗτοι δηλονότι τὴν ἐπωνυμίαν εἰληφότες, ἐλλείπειν σημαίνουσι τὸν αἱματικὸν χυμόν, καὶ δηλονότι σὺν αὐτῷ καὶ τὸ ἔμφυτον θερμόν, καὶ διὰ τοῦτ' εἰσὶν ὀλέθριοι. ὧν ἔνιοι καὶ τὰς διὰ κενώσεως ἐπιφερομένας συγκοπὰς ἐπιφέρουσι, περὶ ὧν ἔμαθες ἐν τῇ θεραπευτικῇ μεθόδῳ. τοὺς τοιούτους πυρετοὺς Εὐρύφων ὀνομάζει πελιὰς γράφων ὧδε. πελίας πυρετὸς ἴσχει καὶ βρεγμὸς ἄλλοτε καὶ ἄλλοτε, καὶ τὴν κεφαλὴν ἀλγεῖ, καὶ τὰ σπλάγχνα ὀδύνη ἴσχει, καὶ ἐμεῖ χολήν, καὶ ὅταν ὀδύνη ἔχει, ἐνορᾶν οὐ δύναται, ὅτι βαρύνεται, καὶ ἡ γαστὴρ ξηρὴ γίνεται, καὶ ὁ χρὼς πελιὸς ἅπας, καὶ τὰ χείλεα οἷά περ μόρα τρώξαντι, καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιά, καὶ ἐξορᾷ ὥσπερ ἀπαγχόμενος, ὅτε δὲ ἧσσον τοῦτο πάσχει, καὶ μεταβάλλει πολλάκις. ἀλλὰ κἂν τῷ περὶ νούσων Ἱπποκράτει γεγραμμένῳ, τῷ δοκοῦντι τοῖς περὶ τὸν Διοσκουρίδην ὑφ' Ἱπποκράτους γεγράφθαι τοῦ Θεσσαλοῦ υἱέος, εἴρηταί τις νόσος πελιή. τοῦ βιβλίου δέ ἐστιν ἡ ἀρχὴ ἥδε. οὐρέεται πολλὴν ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή. περὶ δὲ τῆς πελιῆς νόσου κατὰ λέξιν οὕτω γράφει. πελιὴν πυρετὸς ἴσχει ξηρός, καὶ φρίξ ἄλλοτε, καὶ ἄλλοτε καὶ τὴν κεφαλὴν ἀλγεῖ, καὶ τὰ σπλάγχνα ὀδύνη ἴσχει, καὶ ἐμεῖ χολήν, καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται ἐνορᾶν, ἀλλὰ βαρύνεται, καὶ ἡ γαστὴρ ξηρὰ γίνεται, καὶ ἡ χρόα πελιδνή, καὶ τὰ χείλεα, καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιδνά, καὶ ἐξορᾷ ὡς ἀγχόμενος ἐνίοτε, καὶ τὴν χρόαν μεταβάλλει, καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται. τινὲς δὲ πάλιν ἐνταῦθα μοχθηρῶς ἐξηγήσαντο πελιὸν πυρετόν, ἐφ' οὗ τὰ διαχωρήματα πελιὰ φαίνεται. τούτοις γὰρ ἀκόλουθόν ἐστι, καὶ μέλανα καλεῖν πυρετόν, ἐφ' οὗ μελαινῶν ἔκκρισις γίνεται. καταλείπεται οὖν ἔτι τὸ τέλος τῆς ῥήσεως ἐξηγήσασθαι, γεγραφότος αὐτοῦ, καὶ τὰ ἄλλα καὶ τὰ τοιαῦτα, τουτέστι τοῖς εἰρημένοις. εἰρήκει δ' ὑστέρας τὰς περὶ τὴν χρόαν διαφοράς, οὐ περὶ τὴν οὐσίαν αὐτὴν οὔσας τῶν πυρετῶν, ἐγγυτέρω γε μὴν τῶν ἄλλων τῶν ἀπό τινος συμβεβηκότος γινομένων, ὥσπερ ὅταν ἤτοι διαλείποντας, ἢ συνεχεῖς λέγωμεν εἶναι τοὺς πυρετούς. καὶ τῶν διαλειπόντων, τὸν μὲν τριταῖον, τὸν δὲ ἀμφημερινόν, τὸν δὲ τεταρταῖον, καὶ τῶν συνεχῶν, τὸν μὲν ἡμιτριταῖον, τὸν δὲ καυσώδη, τὸν δὲ κρυμμώδη, τὸν δὲ τυφώδη, τὸν δὲ λοιμώδη, τὸν δὲ ἐλώδη, τὸν δὲ ἠπίαλον. ὁ δὲ Πραξαγόρας καὶ φρενιτικούς, καὶ ληθαργικούς, καὶ πρός γε τούτοις ἰκτερικούς τινας ὀνομάζει πυρετοὺς ἐν ταῖς διαφοραῖς τῶν ὀξέων. οἱ δὲ νεώτεροι, καὶ σύνοχόν τινα καλοῦσι πυρετὸν οὐ μόνον συνεχῆ, καὶ διαφορὰς γε αὐτοῦ τίθενται τόν τε ὁμότονον, ἢ ἀκμαστικὸν ὀνομαζόμενον, καὶ τὸν ἐπακμαστικόν, καὶ τὸν παρακμαστικόν. καθ' ἑκατέραν δ' αὖ τομὴν κοινήν, καὶ πρὸς τὰς ἄλλας νόσους, ἐνίους μὲν ὀξεῖς πυρετοὺς ὀνομάζομεν. ἐνίους δὲ χρονίους, καὶ κατ' ἄλλην, συνήθεις τε καὶ κακοήθεις. καὶ μέντοι καί τινας μὲν τεταγμένους, ἢ ἀτάκτους, ἄλλους δ' αὖ πάλιν περιοδίζοντας, καὶ πεπλανημένους. ἔνιοι δὲ τῶν παλαιῶν καὶ τοὺς ἀπὸ διαφερόντων μορίων ἀναπτομένους, ἀπ' ἐκείνων ὠνόμαζον, πλευριτικόν τινα πυρετὸν λέγοντες, ἡπατικόν τε καὶ σπληνικόν. ἑτέρους δ' ἀπὸ συμπτώματος, κωματώδεις, καταφορικόν, ληθαργικόν, φρενιτικόν, ἰκτερικόν. ὑπὲρ ὧν ἁπάντων ἐν ταῖς περὶ αὐτῶν πραγματείαις ἔμαθες. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ τὰ τῆς ἐξηγήσεως αὐτάρκως πεπέρανται. πρὸς ἐν τῷ τὴν ἐμὴν γνώμην ἀποφήνασθαι, καὶ τῶν ἐνδόξων ἐξηγητῶν ἐμνημόνευσα, τοὺς ἄλλους ἅπαντας παραλιπὼν ὅσοι περὶ διαφορᾶς πυρετῶν ἀπεφήναντό τι χωρὶς ὑπομνημάτων ἐξηγητικῶν, ἐν οἷς ἐστι καὶ Ἀρχιγένης ὧν ἑτέρᾳ πραγματείᾳ μνημονεύσω.

Αἱ συντάσιες τοῦ σώματος, καὶ οἱ σκληρυσμοὶ τῶν ἄρθρων, καὶ αὐτὸς διαλελυμένος, καὶ αἱ κατακλάσιες τῶν ἄρθρων, κακόν.

Τῷ μὲν οὖν συντεταμένῳ, τὸ κεχαλασμένον ἐστὶν ἐναντίον, τῷ σκληρῷ, τὸ μαλακόν. αὐτὸς γοῦν ἐν τοῖς ἑξῆς ἐρεῖ, δέρματος σκληροῦ μάλθαξις, συντεταμένου χάλασις. εἴτε δέρμα συντεταμένον, εἴτε ἄρθρον, εἴτε σῶμα λέγοιτο, πρὸς τὸ κατὰ φύσιν ἔχον, αὐτὸ παραβάλλοντες, οὕτως εἰρῆσθαι νοοῦμεν. ὅπερ οὔτε συντεταμένον, οὔτε κεχαλασμένον, ἀλλὰ συμμέτρως ἔχον ἐστί. συντείνεται μὲν οὖν τὰ συντεινόμενα, ποτὲ μὲν διὰ οἰκείαν διάθεσιν. ἔστι δ' ὅτε πρός τινων ἑτέρων ἑλκόμενα. διὰ μὲν τὴν οἰκείαν διάθεσιν, ὅταν ἤτοι παγῇ διὰ ψύξιν ἰσχυράν, ἢ ξηρανθῇ, διά τι τῶν ξηραινόντων αἰτίων. ἔστι γὰρ ὡς ἔμαθες πλείω, τείνεται δὲ ὑπὸ τῶν συνεχῶν, ἐνίων ξηραινομένων, ἢ φλεγμαινόντων, ἢ πηγνυμένων. ἔμπαλιν δὲ χαλαρὰ γίνεταί τινα, παρὰ τὸ κατὰ φύσιν, ὑγρότητι πολλῇ διαβρεχόμενα, χωρὶς ψύξεως. σκληρύνεται δὲ τὰ σκληρυνόμενα, ξηραινόμενα διὰ ψύξιν, ἢ σκίρρον, ἢ ξηρότητα. φλεγμονὴ γὰρ, οὐ σκληρόν, ἀλλ' ἀντίτυπον ἐργάζεται τὸν ὄγκον, ὁμοίως τοῖς πεπληρωμένοις ἀσκοῖς ὑγρᾶς οὐσίας, ἢ ἀέρος. ὥσπερ δὲ τῷ σκληρῷ παραπλήσιον φαινόμενον τὸ ἀντίτυπον, ἀπὸ κοινοῦ συμβεβηκότος, ἐπειδὴ καὶ τὸ σκληρὸν ἀντίτυπόν ἐστι, πάμπολυ διαλλάττει κατὰ τὴν οἰκείαν φύσιν, οὕτως καὶ τῷ μαλακῷ σώματι, τὸ ἔκλυτον ὁμοιότητά τινα ἔχον, ὡς πρὸς τὴν αἰσθητὴν φαντασίαν, οὐ τὴν αὐτὴν ἔχει διάθεσιν. ἀρρωστούσης γὰρ τῆς τοὺς μῦς κινούσης δυνάμεως, ἔκλυτά τε καὶ πάρετα φαίνεται κείμενα τὰ τῶν ἀρρώστων σώματα. ταύτην μὲν οὖν τὴν διάθεσιν ἐδήλωσεν εἰπών, καὶ αὐτὸς διαλελυμένος. ἐφεξῆς δὲ σαφῶς ἔφη, καὶ αἱ κατακλάσιες τῶν ἄρθρων. ἔνιοι δὲ τὴν τρίτην συλλαβὴν, οὐ διὰ τοῦ α γράφουσι κατακλάσιες, ἀλλὰ διὰ τοῦ ι κατακλίσιες. ὅπως δὲ ἄμεινόν ἐστι γράφειν εὑρήσομεν, ἀναμνησθέντες τῶν εἰρημένων, ἐν τῷ προγνωστικῷ περὶ κατακλίσεως ἐν τῇδε τῇ ῥήσει. κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατροῦ ἐπὶ τὸ πλευρὸν τὸ δεξιόν, ἢ τὸ ἀριστερόν, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα. πρόσεχε δὲ ἐνταῦθα ὅπως τὰς χεῖρας, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντι. τὸ γὰρ ἤτοι μηδ' ὅλως, ἢ πλέον τοῦ προσήκοντος ἐπικεκάμφθαι, μοχθηρὸν ἑκάτερον. ὅτι μὴ κατὰ φύσιν, αὐτὸς γοῦν εἶπεν, οὕτως γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται, διὰ τοῦτο ἐφεξῆς ἐρεῖ. ὕπτιον δὲ κεῖσθαι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν. ἐδείχθη δέ σοι δυνάμεως ἀρρωστίαν, ἡ τοιαύτη κατάκλισις ἐνδείκνυσθαι, καὶ ταύτης ἔτι μᾶλλον ἡ ἐφεξῆς εἰρημένη, κατὰ τήνδε τὴν λέξιν, εἰ δὲ καὶ προπετὴς γίνοιτο, καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας,

πόδας δεινότερόν ἐστιν. ταύτας οὖν τὰς κατακλίσεις ἐν τῇ νῦν προκειμένῃ ῥήσει, διὰ τῆσδε τῆς λέξεως ἐδήλωσε, καὶ αὐτὸς διαλελυμένος. εἴ γε τὸ τὰς χεῖρας, καὶ τὰ σκέλη ὀλίγον ὑποκεκαμμένα ἔχειν, ἐπαινεῖται, τὸ πορρωτέρω τοῦδε, μείζονα κόλασιν ἐμφαίνει τῶν ἄρθρων, οὕτως γὰρ αὐτὴν ὠνόμασεν. ἐν δὲ τῷ προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν. θανατῶδες δὲ τὸ κεχηνότα καθεύδειν, καὶ τὰ σκέλεα ὕπτιον κειμένου συγκεκαμμένα εἶναι, καὶ διαπεπλεγμένα, ὅπερ σημαίνει τὸ διεστῶτα μέχρι πλείονος. εἴτε δὲ συγκεκαμμένα, εἴτε διαπεπλεγμένα γράφοι, καθ' ἑκάτερον ἐμφαίνεται κεκλᾶσθαι τὰ ἄρθρα. καὶ διὰ τοῦτο ἄμεινόν ἐστι γράφειν ἐνταῦθα, κατακλάσιες τῶν ἄρθρων διὰ τοῦ α. τὸ γὰρ διὰ τοῦ ι κατακλίσιες, οὐ πάνυ τι καλῶς ἐπὶ τῶν ἄρθρων λέγεται, τῷ παντὶ σώματι τὰς τοιαύτας προσηγορίας εἰθισμένου τοῦ Ἱπποκράτους, οὐ τοῖς ἄρθροις ἐπιφέρειν.

Ὄμματος θράσος παρακρουστικὸν, καὶ ῥίψις καὶ κατακλάσεις, κακόν.

Τὸ μὲν θράσος παρακρουστικόν ἐστι σημεῖον, καὶ μάλιστα ὅταν ἀναισθητῶς γίνηται, καθότι λέλεκται πολλάκις. ἡ δὲ ῥίψις τῶν ὀμμάτων, ἐναντίον σύμπτωμά ἐστι τῷ θρασεῖ βλέμματι. δηλοῖ γὰρ τοὺς μὴ δυναμένους ἐπὶ πλέον ἀναπεπταμένους ἔχειν τοὺς ὀφθαλμοὺς, ὑπὸ ἀρρωστίας τῆς διοικούσης τὰ βλέφαρα δυνάμεως. κατάκλασιν δὲ λέγει τῶν ὀφθαλμῶν, ὅταν διαστρέφηται τὰ βλέφαρα. καθάπερ ἐν τῷ προγνωστικῷ δηλώσεν εἰπών. ἢν καὶ καμπύλον γίνηται, ἢ πελιὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥίς, κακόν.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΕΚΤΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ, ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΕΥρύναι, στενυγρῶσαι, τὰ μὲν τὰ δὲ μή.

Θεραπειῶν εἰσι καὶ οὗτοι τρόποι, τοῖς ἐναντίοις ἁρμόττοντες παθήμασιν. εὐρῦναι μὲν γὰρ δεῖ τὰ πεπυκνωμένα, πυκνῶσαι δὲ τὰ παρὰ τὸ προσῆκον εὐρυσμένα. διὸ καὶ τὴν δευτέραν συλλαβὴν τοῦ στενυγρῶσαι ψιλοῦντες, οὐ δασύνοντες ἀναγνωστέον ἐστίν. οὐ γὰρ ἔγκειται τὸ ὑγρὸν ἐν τῇ λέξει καθάπερ ἄν τις οἰηθείη, μὴ γινώσκων ὑπὸ τῶν ἰώνων τὸ στενὸν ὀνομάζεσθαι στενυγρόν. ἀλλὰ τοῦτό γε μαρτύριόν ἐστιν αὔταρκες, τὸ παρὰ τῷ Σιμωνίδῃ γεγραμμένον, ἐν τοῖσδε τοῖς ἔπεσιν. Οὐκ ἄν τις οὕτω δασκίοις ἐν οὔρεσιν Ἀνὴρ λέοντ' ἐδείσεν, οὐδὲ πάρδαλιν, Μοῦνος στενυγρῇ συμπεσὼν ἐν ἀτραπῷ. ταυτὸν σημαίνει τῷ στενῷ. στενοῦνται δὲ καὶ εὐρύνονται παρὰ τὴν κατὰ φύσιν συμμετρίαν, ἐνίοτε μὲν ἀγγείων πνῶν, ἢ μορίων αἰσθητὰ στόμια, πολλάκις δὲ λόγῳ θεωρητὰ, κατά τε τὸ δέρμα κἂν τῷ βάθει. καὶ χρὴ τὰ μὲν πεπυκνωμένα διοίγειν καὶ ἀραιοῦν, μετρίως ἐκθερμαίνοντα. τὰ δὲ ἀναπεπταμένα συνάγειν, στύφοντά τε καὶ ψύχοντα. τέλειον δὲ ἔχεται τὸν περὶ τούτων λόγον, ὥσπερ καὶ τῶν ἄλλων θεραπευτικῶν λογισμῶν εἰρησόμενον ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ.

Χυμοὺς τοὺς μὲν ἐξῶσαι, τοὺς δὲ ξηρᾶναι, τοὺς δὲ ἐνθεῖναι. καὶ τῇ μὲν τῇ δὲ μή.

Κἂν τῷ περὶ χυμῶν ἔμαθέ τις περὶ τούτων τελεώτερον, ὥσπερ κἂν τοῖς ἡμετέροις θεραπευτικοῖς, ὡς ποτὲ μὲν αἰσθητῶς ἐκκενοῦν προσήκει τοὺς πλεονάζοντας χυμοὺς, ἢ ἐμέτοις, ἢ κλυστῆρσιν, ἢ διὰ καθαιρόντων φαρμάκων, ἢ δι' οὔρων, ἢ δι' ἱδρώτων, ἢ διὰ φλεβοτομίας, ἢ δι' αἱμορροΐδος, ἢ διὰ μήτρας, ἢ ἀποσχάζοντας. ἐνίοτε δὲ διαφορεῖν τοῖς ἔξωθεν ἐπιτιθεμένοις φαρμάκοις, ὧν ὠνόμασε τοῦτο μὲν ξηρᾶναι, τὸ πρότερον δὲ ἐξῶσαι. κοινὸν δὲ ἀμφοτέροις ὄντος τοῦ κενῶσαι. τὸ ἐναντίον τῷ τρίτῳ ἔγραψεν, ὀνομάσας ἐνθεῖναι, τουτέστι γεννῆσαι τοὺς λείποντας χυμούς. εὔδηλον δ' ὅτι διὰ τῶν ἐσθιομένων, καὶ πινομένων ἐντίθεμεν τούτους. ἐκλεγόμενοι τάς τε προσηκούσας ποιότητας αὐτῶν, καὶ τὰς ποσότητας, καὶ φροντίζοντες ὅπως πεφθῇ τε καὶ ἀναδοθῇ, καὶ προστεθῇ τοῖς σώμασι. τὸ δὲ καὶ τῇ μὲν τῇ δὲ μή. ἂν εἰ μὴ ἐλέλεκτο σαφὲς ἦν. ἐνίοτε μὲν γὰρ ἐφ' ἑνὸς ἀνθρώπου τινὰ μὲν εἰς ὄγκον ἠρμένα μόρια κενώσεως δεῖται, τινὰ δὲ ἀτροφοῦντα, προσθέσεως.

Λεπτῦναι, παχῦναι, τεῦχος, δέρμα, σάρκας, καὶ τἄλλα, καὶ τὰ μὲν, τὰ δὲ μή.

Τεῦχος μὲν ἀκουστέον ἐστὶν ὅλον τὸ σῶμα. καὶ γὰρ λεπτῦναι πεπαχυσμένον ἀμέτρως αὐτὸ καὶ παχῦναι λελεπτυσμένον, οὐκ ὀλιγάκις ἡμῖν πρόκειται. πολλάκις δ' οὐχ ὅλον, ἀλλ' ἤτοι σάρκας τινὰς, ἢ τὸ δέρμα μόνον. ἐνίοτε δὲ τοὺς χυμοὺς, οὓς ἐδήλωσε προσθεὶς, καὶ τὰ ἄλλα. τὸ δὲ καὶ τὰ μὲν, τὰ δὲ μὴ, κατὰ τὸν αὐτὸν εἴρηται λόγον, ὡς ἐπὶ τῆς πρὸ ταύτης ῥήσεως ἐξηγησάμην.

Λειῶναι, τρηχῦναι, σκληρῦναι, μαλθάξαι, τὰ μὲν τὰ δὲ μή.

Κοινὸν καὶ καθόλου σκοπὸν ἰαμάτων παρ' αὐτοῦ μεμαθηκὼς, ἐπεκτείνειν δυνήσῃ τοῖς λεγομένοις ἐν μέρει, πᾶσι θεραπευτικοῖς λογισμοῖς. εἰ γάρ ἐστι τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, λειῶναι μὲν δεήσει τὰ τετραχυσμένα παρὰ φύσιν, τραχῦναι δὲ τὰ λεῖα γεγονότα. τραχύνεται μὲν οὖν καὶ φάρυγξ πολλάκις αἰσθητῶς, καὶ ἀρτηρία τραχεῖα, καὶ στόμα, καὶ ὅλον τὸ δέρμα κατά τε τὰς ψωρώδεις, καὶ λεπρώδεις διαθέσεις, ἐξανθήμασί τέ τισι, τοῖς μὲν κεγχρώδεσιν, τοῖς δ' ἐλάττοσι τούτων, ἢ μείζοσι. τραχύνεται δὲ καὶ τὰ κατὰ γαστέρα πολλάκις ὅταν δι' αὐτῶν ἐκκρίνεται πλέων χολώδης χυμὸς ἄκρατος. ἔσθ' ὅτε δὲ καὶ ἐξ ἐδεσμάτων δριμέων τε καὶ δακνωδῶν γίνεται τοῦτο. καὶ δηλονότι διὰ τῶν ἰωμένων τὰς τραχύτητας φαρμάκων τὴν θεραπείαν ποιεῖσθαι χρὴ τῶν τοιούτων, ὅπερ ὠνόμασε λειῶναι. τοῖς δὲ εἰρημένοις ἐναντίως διακείμενα τὰ τραχυνθῆναι δεόμενα, κατὰ μὲν τὸ δέρμα, περί τε τὰς τῆς κεφαλῆς, καὶ τοῦ γενείου τρίχας γίνεται. περὶ μὲν τὰς τῆς κεφαλῆς, ἐν ἀλωπεκίαις καὶ ὀφιάσεσι, καὶ μαδαράσεσιν. ἐπὶ δὲ τοῦ γενείου τῶν βραδέως αὐτοῦ, καὶ μόγις φυόντων, ἐφ' ὧν καὶ αὐτῶν ἐπειράθημεν ἀπ' αὐτῶν πρὸς ἀλωπεκίας ἁρμοζόντων φαρμάκων. ἐν δὲ τοῖς ἄλλοις μέρεσι τοῦ σώματος, ἔν τε τῷ χειλῶν καλῶν ἕλκη, ἢ κόλπους ὅλους, ἐνιέντες φάρμακα ῥυπτικὰ

τραχύνομεν τὰ μόρια. καὶ τὴν γαστέρα γλίσχρου φλέγματος ἐμπεπλησμένην, ἐνίοτε τραχυντικοῖς φαρμάκοις διαῤῥύπτομεν. ἐν ταυτῷ δ' ἐστὶ τῷ γένει, καὶ τὰ τῶν αἱμοῤῥοΐδων καθάρσεων προκλητικοὶ πεσσοί. καὶ μέντοι τὰς ἐν τοῖς βλεφάροις συκώσεις προτραχύνοντες, ἵνα πρότερον οὕτως ἐπαλείφωμεν τὰ καθαιρετικὰ φάρμακα, πράττοντες τοῦτο χάριν τοῦ παραδέξασθαι τὴν δύναμιν αὐτῶν εἰς τὸ βάθος, τὰς ἡλκωμένας ὑπεροχάς. ἴστε γοῦν ἐμὲ χρώμενον ἐπ' αὐτῶν δέρμασί τε θαλαττίων κητῶν τραχέσι, καὶ σηπίας ὀστράκοις, καὶ κισσήρει, καὶ τούτων μὲν παρόντων, αὐτῷ γε τῷ κυαθίσκῳ τῆς μήλης στενὸν ἐχούσης, οὐκ εὐρὺ τὸ πέρας. ἀλλὰ καὶ τὰς ἀχῶρας, καὶ τὰ κηρία καλούμενα, καὶ τὰς μυρμηκίας, ὅσα τε ἄλλα τοιαῦτα φαρμάκοις ἐκτῆξαι βουλόμεθα, προτραχύνοντες, ἤτοι διὰ τῶν ἡμετέρων ὀνύχων μετρίως, ἢ διὰ ὀθόνης σκληρᾶς, ἢ διά τινος τῶν προειρημένων, οὕτως ἐπιτίθεμεν αὐτοῖς τὰ φάρμακα. σκληρῦναι, μαλθάξαι, καὶ τούτων ἡμῖν χρεία γίνεται. πολλάκις μὲν ἐφ' ὅλου τοῦ σώματος, ἐνίοτε δὲ ἐφ' ἑνὸς μορίου. τοὺς μὲν γὰρ ὑπο(ι)δρόν τε καὶ ὑδερικὴν ἔχοντας ὅλην τὴν ἕξιν τοῦ σώματος, σκληρύνομεν, διά τε σινδόνων περιανατρίβοντες καὶ σκληρᾷ τρίψει χρώμενοι, καὶ γυμνάζοντες ἐν κόνει. τοὺς δ' οὐ φέροντας ταῦτα, φαρμάκοις ξηραίνουσι περιπλάττοις, ἀλουσίᾳ τε, καὶ ταῖς εἰρημέναις τρίψεσι, πρὸς δύναμιν δηλονότι καὶ κατὰ βραχὺ χρώμενοι ταῖς παραυξήσεσιν αὐτῶν. ἓν δὲ μόριον ἐνίοτε διακείμενον οὕτως, ἀνάλογον οἷς εἴρηκα θεραπεύομεν. ἐπὶ δὲ τῶν κώλων μάλιστα φαίνεται συνεχῶς τοῦτο γινόμενον, ἀλλὰ καὶ τῶν ἑλκῶν πάντων ὅταν σαρκωθῇ, τὴν ἐπούλωσιν οὕτω ποιούμεθα. σκληρυνομένη γὰρ ἡ σὰρξ δερματοῦται, καὶ οὐλὴ γίνεται. πάλιν δὲ ἐκ τῶν ἐναντίων μαλθάσσεται τά γε τετυλωμένα, καὶ τῶν φλεγμονῶν αἱ σκιῤῥούμεναι, καθ' ὃν τρόπον καὶ ἡ τοῦ σκιῤῥουμένου σπληνὸς ἴασις γίνεται. καὶ τὸ παχυνόμενον δέρμα κατὰ τὸ πάθος ὃ καλοῦμεν ἐλέφαντα, καὶ τῶν οὐλῶν δὲ καὶ τὰς σκληροτέρας τοῦ προσήκοντος μᾶλλον μαλάσσομεν, ὥσπερ τὰς πάνυ μαλακὰς σκληρύνομεν.

Ἐπεγεῖραι, ναρκῶσαι.

Τὸ μὲν ἐπεγεῖραι, τὴν αἴσθησιν καὶ τὴν κίνησιν τῶν ἐκλελυμένας ἐχόντων αὐτὰς, εὔδηλόν ἐστιν οὐ σμικρὰν χρείαν παρέχον τοῖς ἰατροῖς. τὸ δὲ ναρκῶσαι, κατὰ μόνας τὰς σφοδρὰς ὀδύνας γίνεταί ποτε χρήσιμον, ἡνίκα τὰ διὰ ὀπίου, καὶ μανδραγόρου, καὶ ὑοσκυάμου, φάρμακα προσφέρομεν. αὐτὸς γὰρ εἶπε νάρκη δὲ μετρίη, ὀδύνης λυτική. ἐὰν γοῦν τις σφοδροτέροις, ἢ πλείοσι χρήσηται τοῖς ναρκωτικοῖς φαρμάκοις, καταψύχεταί τε καὶ νεκροῦται τὰ σώματα.

Καὶ τὰ ἄλλα ὁκόσα τοιαῦτα.

Τὰ κατὰ τὴν ὁμοίαν τοῖς προειρημένοις γινόμενα ἐναντίωσιν λέγει, θερμαινόντων, ἢ ψυχόντων, ἢ ὑγραινόντων, ἢ ξηραινόντων, ἢ ἐμβαλλόντων τὸ ἐκπεπτωκός, ἢ ἐκτεμνόντων τὸ παρὰ φύσιν ὅλῳ τῷ γένει τοῦ σώματος, ἢ ἀποτεμνόντων τῷ μεγέθει παρὰ φύσιν, ἢ τὸ διεστραμμένον ἐξευθυνόντων, ἢ ἐκφραττόντων τὸ ἐμπεφραγμένον, ἢ τἄλλα ὅσα κατὰ τὴν θεραπευτικὴν εἴρηται πραγματείαν, ἅπαντα κοινὸν ἔχοντα σκοπὸν, τὴν τῶν ἐναντίων τοῖς πάθεσι προσαγωγήν.

Παροχετεύειν.

Τρόπους θεραπειῶν ἐπὶ χυμοῖς ἐνταῦθα διδάσκειν ἄρχεται, γεγραμμένους τελειότερον ἐν τῷ περὶ τῶν χυμῶν, εἰρήσονται δὲ καὶ νῦν ἀναμνήσεως ἕνεκα. παροχέτευσιν μὲν ὀνομάζειν εἴωθεν ὁ Ἱπποκράτης, ὅταν χυμός τις δεόμενος κενώσεως, μὴ καθ' ὃ δεῖ χωρίον ὁρμήσῃ, φέρεσθαι. καὶ μέντοι μηδὲ πόῤῥω πάνυ τοῦ προσήκοντος, μηδ' εἰς τὸν ἐναντιώτατον τόπον. ἀλλ' οἷον εἰ δι' οὔρων ὁρμήσει ἐκκενοῦσθαι, κεκακωμένης κύστεως, ἢ νεφρῶν. παροχετεύειν γὰρ ἄμεινον ἐνταῦθα διὰ τῆς γαστρὸς, ὥσπερ εἰ καὶ διὰ γαστρὸς τὴν ὁρμὴν ἔχοι φέρεσθαι, κεκακωμένων ἐντέρων. ἔμπαλιν γὰρ ἐπὶ τούτων εἰς οὖρα προτρεψόμενοι ἔρχεσθαι τὸν χρῄζοντα κενώσεως χυμόν. ἐπὶ καὶ γυναικῶν ἐνίοτε διὰ μήτρας, ἢ κατὰ τοὐναντίον ἐστὶν, ὅτε τὸν διὰ μήτρας ῥοῦν γινόμενον ἐπ' οὖρα, καὶ γαστέρα παροχετεύσομεν. εἰ δὲ ἐπί τινος τῶν τοιούτων κενώσεων, ἐμέτους κινήσαιμεν, ἀντίσπασιν ὀνομάζει τοῦτο. καθάπερ εἰ καὶ τοὺς ἐμέτους ἀντισπάσομεν, ἐρεθίζοντες ἤτοι μήτραν ἢ κύστιν ἢ ἕδραν.

Παροχετεύειν, ὑπείξαντα ἀντισπᾶν αὐτίκα, ἀντιπίπτοντα ὑπεῖξαι.

Τῷ παροχετεύειν ἀκόλουθον ἦν, ἐπιγνῶναι (?) τὸ ἀντισπᾶν, ἐπειδὴ οὕτω διδάσκειν ὅπως ἄν τις ἄριστα ποιήσαιτο τὴν ἀντίσπασιν. ὁ δ' Ἱπποκράτης ὑπερβὰς, τὸ ἀντισπᾶν εἰπεῖν, εὐθέως ἧκεν ἐπὶ τὸ χρησιμώτατον ἐγνῶσθαι τοῖς μέλλουσι καλῶς ἀντισπᾶν τοὺς κακῶς, ἐπί τι μόριον ὁρμήσαντας χυμούς. οὐ γὰρ ἐπιμένειν χρή γε τοῖς ἀντισπῶσι βοηθήμασι διὰ παντὸς, ἀλλὰ παρεντιθέναι τινὰ καιρὸν ἀργὸν τῶν ἀντισπώντων, ἵνα τὸν φθάσαντα χυμὸν ἐσκεῖσθαι κατὰ τὸ πάσχον μόριον, ἐάσωμεν ἐκκενωθῆναι. διαμένας γὰρ ἐν αὐτῷ διττῶς ἀνιάσει. τὸ μέν τι τῷ πλήθει διατείνων, τὸ δέ τι τῇ ποιότητι λυπῶν. ἐὰν δὲ ἐάσαις ἐκκενωθῆναι τοὺς φθάσαντας ἐπὶ τὸ μόριον ἐνηνέχθαι χυμοὺς, ἐλευθερώσεις αὐτὸν τοῦ πόνου. ῥᾷον τ' ἀνύσεις τι τοῖς ἀντισπαστικοῖς βοηθήμασιν, οὐκέτ' ἐφ' ἑαυτὸ διὰ τὸν πόνον ἐρεθίζοντος τοὺς χυμοὺς τοῦ μορίου, πρὸς τὴν ῥοπὴν ἣν ἐξ ἀρχῆς οὐκ ὀρθῶς ἐπεποίητο.

Ἄλλον χυμὸν μὴ τὸν ἰόντα ἄγειν, τὸν δὲ ἰόντα συνεκχυμοῦν, ἐργάσασθαι τὸ ὅμοιον, οἷον ὀδύνῃ, ὀδύνην παύει. τὰ ἀνόμοια, εἰ ῥέπει ἄνω ἀρθέντα κάτωθεν λύειν, καὶ τὰ ἐναντία ταῦτα, οἷον κεφαλῆς κάθαρσις, φλεβοτομία, ὅτε οὐκ εἰκῇ ἀφαιρέεται.

Τὸ μὲν ἄλλον χυμὸν μὴ τὸν ἰόντα ἄγειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐμάθομεν ἔν τε ἀφορισμοῖς τε καὶ ἐν τῷ περὶ χυμῶν. ἐὰν μὲν γὰρ ὁ λυπῶν ἐκκενῆται συμμέτρου τῆς κενώσεως οὔσης, δέχεσθαι χρὴ μηδὲν αὐτὸν περιεργαζομένους. ὥσπερ εἰ καὶ μὴ συμμέτρως γένοιτο πράττειν αὐτόν τι, ποτὲ μὲν ἐπέχοντα τὸ πλῆθος, ποτὲ παροξύνοντα τὸ τῆς κενώσεως ἐλλιπὲς ὅπερ ὠνόμασεν αὐτὸς, τὸν ἰόντα συνεκχυμοῦν. ἐκχυμώσεις γὰρ εἴωθε τὰς ἐκ τῶν ἀγγείων ἐκχύσεις καὶ κενώσεις ὀνομάζειν.

τὸ δὲ

τὸ δὲ ἐργάσασθαι μεμάθηκας ἀντὶ τοῦ μεταλλάττειν, ἢ μιγνύναι λεγόμενον. ἄδηλον οὖν εἴτε τῷ προειρημένῳ συν-
τακτέον, εἴτε τῷ ἑξῆς εἰρημένῳ αὐτὸ προσθετέον. ἑκατέρως γὰρ οὐκ οἰκείως φαίνεται λέγεσθαι. διὸ καὶ τινὲς μὲν
ὡς ἑπόμενον αὐτὸ τοῖς προειρημένοις ἐκείνοις συνῆψαν, εἶτ᾽ ἀφ᾽ ἑτέρας ἀρχῆς, τὸ ὅμοιον. οἷον ὀδύνην ἡ ὀδύνη
παύει. τινὲς δὲ ἀρχὴν ἐποιήσαντο τῶν ἐφεξῆς τὸ, ἐργάσασθαι τὸ ὅμοιον. ἐπεὶ δὲ ὡς ἔφην ἑκατέρως λεγόμενον, οὐ-
δετέρως ἐστὶ πιθανὸν, ἤδη τὸ μεταγράφειν αὐτὸ ἐπεχείρησαν πολλοί. καθάπερ καὶ τὰ ἄλλα ὅσα καθ᾽ ἓν ὄνομα τὴν ἀσά-
φειαν ἔχει. καὶ τινὲς μὲν τὴν δευτέραν συλλαβὴν διὰ τοῦ γ καὶ ι γράφουσιν, ὀργίσασθαι, τινὲς δὲ τὴν πρώτην διὰ
τοῦ ε καὶ ρ, τὴν δὲ δευτέραν διὰ τοῦ γ καὶ α ἐργάζεσθαι τὸ ὅμοιον. εἶτ᾽ ἐφεξῆς φασιν ἐν παραδείγματος μοίρᾳ λε-
λέχθαι τὸ, οἷον ὀδύνη ὀδύνην παύει. γέγραπται μὲν οὖν τοῦτο κατὰ πολλὰ τῶν ἀντιγράφων. ὀρθῶς δὲ ἐν τοῖς κα-
τὰ Διοσκουρίδην οὐ γέγραπται. φαίνεται μὲν γὰρ ὡς ἐξηγήσει προσγραφὲν ὑπό τινος. αὖθις δὲ εἰς τοὔδαφος ὑπὸ
τοῦ βιβλιογράφου μετατεθῆναι, τὸ γε μὴν διὰ τοῦ γ καὶ ι γραφόμενον ὀργίσασθαι, πάνυ κακόζηλόν ἐστι καὶ πόῤῥω
τῆς Ἱπποκράτους ἑρμηνείας, ἐάν τε ἐφ᾽ ἡμῶν αὐτῶν, ἐάν τε ἐπὶ τῶν θεραπευομένων λέγηται μορίων, ἐάν τε ἐπὶ τῶν
χυμῶν. τὸ γὰρ οἷον εἰς ὀργὴν αὐτὰ προτρέψαι, καὶ ἐπεγεῖραι πρὸς τὴν ἔκκρισιν, ἡγοῦνται δηλοῦσθαι διὰ τοῦ ὀργί-
σασθαι ῥήματος. ἀλλὰ ταῦτα μὲν εὐκαταφρόνητα καὶ σμικρὰ, καθάπερ καὶ πάνθ᾽ ὅσα περὶ τῆς λέξεως ἐξηγεῖ-
ται, τῆς τῶν πραγμάτων ἀληθείας φυλαττομένης. ἐὰν δὲ κἀκεῖνα κινῆται, φροντιστέον ἡμῖν ἐστι τὰς τοιαύτας γρα-
φάς. ὥσπερ κἀνταῦθα σχεδὸν ἁπάντων τῶν ἐξηγητῶν προσιεμένων θεραπείας τινὰς, ἐνίοτε διὰ τῶν ὁμοίων
γίνεσθαι, καὶ μὴ διὰ παντὸς ὑπὸ τῶν ἐναντίων, ὅπερ αὐτὸς ὁ Ἱπποκράτης ὑπονοήσας τινὰς οἴεσθαι, δι᾽ ἑνὸς
παραδείγματος ἐνεδείξατο τὴν ἀπάτην αὐτῶν ἐν ἀφορισμοῖς γράψας. ἔστιν ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος,
νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ, κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται, θέρμη δὲ ταῦτα ῥύεται. ψυ-
χρὸν γὰρ πάθος ὄντα τὸν τέτανον, ὁμοίῳ βοηθήματι δόξει τις λύεσθαι, ψυχρὸν ὕδωρ καταχέων αὐτῷ. τὸ δ᾽ οὐχ οὕτως
ἔχει. θερμασίας γὰρ ἐπανάκλησιν ποιησάμενον ὠφελεῖ, ὡς εἴγε μὴ ποιήσαιτο ταύτην, ἐσχάτως βλάψει. ὥσπερ δὲ
τοῦτο δοκοῦν εἶναι βοήθημα ψυχρὸν, τῷ θερμαίνειν ὠφελεῖ ποτε πάθος ψυχρὸν τὸν τέτανον, οὕτως ἕτερα θερμαίνον-
τα κατὰ συμβεβηκὸς ψύχει, διαφοροῦντα τὴν πυρώδη θερμασίαν. καί μοι περὶ τούτων ἐν ὅλῃ τῇ τῆς θεραπευτι-
κῆς μεθόδου πραγματείᾳ γέγραπται, διὰ τῶν ἐναντίων βοηθημάτων τῷ πάθει τὴν θεραπείαν ἐπιδεικνύντι γίνε-
σθαι διὰ παντός. οἱ δὲ δι᾽ ὀδύνης μείζονος ἡγούμενοι θεραπεύεσθαι τὴν ἐλάσσονα, μέγιστόν τι παρορῶσιν. οὐ γὰρ ἡ ὀδύ-
νη τὴν θεραπείαν ἐργάζεται τῆς ὀδύνης, ἀλλὰ τὸ σὺν τῇ ὀδύνῃ βοήθημα τοῦ ποιοῦντος αὐτὴν πάθους. ἔμαθες γὰρ
ὡς οὐδενὸς συμπτώματος ἡ θεραπεία γίνεται πρώτως. ἀλλ᾽ ἀεὶ τῆς ἐργαζομένης αὐτὸ διαθέσεως. εἰ δέ τις οὕτω πο-
τε μὲν πρώτως, ἐνίοτε δὲ κατὰ συμβεβηκὸς φαίη τὰ ὅμοια τῶν ὁμοίων εἶναι θεραπευτικὰ, διὰ μέσων τῶν πρώτως ἐναν-
τίων, ἀληθῆ τε φησὶ, καὶ μεμάθηκας ἐπιστημονικῶς αὐτὸ διά τε τῆς θεραπευτικῆς πραγματείας, καὶ προσέτι διὰ τῶν
εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων. ὃ δὲ λέγουσί τινες ὡς καύσας τις ἰσχίον, ὡς ἐπὶ τῶν ἰσχιαδικῶν δι᾽ ὀδύνης ὀδύνην
ἰάσατο, πρόδηλον ἔχει τὴν ἀτοπίαν. οὐ γὰρ διὰ τὴν ὀδύνην ἐθεραπεύθη τὸ πάθος, ἀλλὰ διὰ τὴν καῦσιν ᾗ συμβέβηκε
κατὰ τύχην ὀδύνη. θλάσας γέ τοι τις ἢ τεμὼν, ἢ ὅπως ἑτέρως εἰς ὀδύνην ἀγαγὼν τὸ μόριον, οὐκ ἂν ἰάσαιτο. καίτοι
γ᾽ εἴπερ ἦν ἡ ὀδύνη τῆς ὠφελείας αἰτία, διὰ παντὸς ἂν ἐθεράπευσε ἰσχιάδας. οὕτω δὲ καὶ τὸν ὀδυνώμενον ὀδόντα
δι᾽ ὀδοντάγρας κομισάμενός τις ἀνώδυνον εἰργάσατο τὸν ἄνθρωπον, οὐ διὰ τὴν γινομένην ὀδύνην ἐξαιρουμένου τοῦ
ὀδόντος, ἀλλὰ διὰ τὴν ἐξαίρεσιν ᾗ συνυπῆρχεν ἡ ὀδύνη, ὡς εἴγε καὶ χωρὶς ὀδύνης ἦν ἐξελεῖν αὐτὸν, ὁμοίως ἂν ὁ κάμ-
νων ἀνώδυνος ἐγεγόνει. καθάπερ γε καὶ χωρὶς ἐξαιρέσεως ἐὰν θλίβων τις ἢ διακινῶν αὐτὸν ὀδυνήσῃ, τὸ μὲν ἄλ-
γημα σφοδρότερον ἐποίησεν, οὐδὲν δὲ ὠφέλησεν. ἑκατέρωσε τοίνυν εὔδηλόν ἐστιν ἀνωφελῆ τοῖς ὀδυνωμένοις
εἶναι τὴν ὀδύνην, ὅσον ἐφ᾽ αὑτῇ. διά τε γὰρ τῶν ἀνωδύνων βοηθημάτων, πολλὰ θεραπεύεται τῶν ὀδυνωμένων μο-
ρίων. ἐφ᾽ ἑτέρων τε πολλάκις ὀδύναι μεγάλαι, διὰ τῶν προσφερομένων ἔξωθεν γινόμεναι, παῦλαν οὐδεμίαν τοῖς
διά τι πάθος ὀδυνωμένοις ἐπιφέρουσιν. ἓν γὰρ μόνον ἐστὶ τὸ ἰώμενον ὅπερ ἂν ἐκκόπτῃ τὴν διάθεσιν ὁπωσοῦν, ἐάν
τε χωρὶς ὀδύνης, ἐάν τε σὺν ταύτῃ. κατὰ δὲ τὸν αὐτὸν λόγον, ὀδύνη παύειν ὀδύνην οὐ πέφυκεν, ἀλλὰ τοὐναν-
τίον ἅπαν παροξύνειν. τοῦτο μὲν οὖν τὸ παράδειγμα φανερῶς ἐστι κίβδηλον. ἐφ᾽ ἕτερον δέ τι μεταβάντες ὧν εἰρή-
κασι, καὶ τὴν κατ᾽ ἐκεῖνον μοχθηρίαν θεασάμεθα. φασὶν οὖν ἔμετον ἐμέτῳ θεραπεύεσθαι πολλάκις, καὶ κλυστῆρι δρι-
μεῖ διαχωρήματα δακνώδη. ἔστι δὲ κἀνταῦθα μία μὲν ἴασις ἐκκόψαι τὴν διάθεσιν ὑφ᾽ ἧς ἤτοι ναυτιώδεις εἰσὶν, ἢ
συνεχῶς ἐξίστανται δακνόμενοι. γίνεται δὲ τοῦτο διττῶς, ὡς ἐμάθετε. καθ᾽ ἕνα μὲν τρόπον ἐκκενωσάντων ἡμῶν
τοὺς χυμοὺς, ὅσοι τήν τε ναυτίαν, καὶ τὴν τῶν ἐντέρων δῆξιν εἰργάσαντο. καθ᾽ ἕτερον δὲ πεψάντων τε καὶ μετα-
βαλλόντων εἰς ποιότητα χρηστὴν, ἢ ἐπικερασάντων. ἐδείχθη δὲ κἀπὶ τούτων ἡ ἴασις ὑπὸ τῶν ἐναντίων γινομένη.
τότε γὰρ ὅλως ἐκκενῶσαι τὸν ἀλλότριόν τε καὶ παρὰ φύσιν χυμὸν, ἐναντίον ἐστὶ τῷ ἴσχειν, ἥτε κατὰ ποιότητα
μεταβολὴ διὰ τῆς ἐναντίας γίνεται ποιότητος. ἀλλ᾽ οὐ χρὴ ζητεῖν ἐνταῦθα, δεδειγμένου καθ᾽ ὅλην τὴν θεραπευτι-
κὴν μέθοδον ἀεὶ διὰ τῶν ἐναντίων γίνεσθαι τὴν θεραπείαν. ἐπεὶ δὲ πολλάκις ἀπό τε τῶν ἐμπειρικῶν, καὶ τῶν μεθοδι-
κῶν λόγων ἀναγόμενοι διαβάλλειν ἐπιχειροῦσιν αὐτὸ, παραπλησίους λέγοντες λόγους οἷς ἄρτι διῆλθον, ἴσως ἄμει-
νόν ἐστι μετὰ τὸ συμπληρῶσαι τὴν ἐξήγησιν τοῦ προκειμένου, ποιῆσαί τι βιβλίον ἐν ᾧ δειχθήσεται τὰ ἐναντία
τῶν ἐναντίων ἰάματα ὑπάρχοντα μόνα πρώτως τε καὶ καθ᾽ ἑαυτά. κατὰ συμβεβηκὸς γὰρ καὶ φαλακρὸς ἰατρὸς φαλα-
κρὸν ἄῤῥωστον, ὅμοιος ὅμοιον ἰᾶσθαι δύναται, καὶ φοξὸς φοξὸν, καὶ χωλὸς χωλόν. τὸ δὲ γενησόμενον βιβλίον ἐπιγραφή-
σεται περὶ τοῦ καλῶς ὑπὸ Ἱπποκράτους εἰρῆσθαι, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. νυνὶ δ᾽ ἀφικόμεθα
πάλιν ἐπὶ τὴν τῆς προκειμένης ῥήσεως ἐξήγησιν, ἐν ᾗ διὰ τοῦ ε καὶ ρ τὴν πρώτην συλλαβὴν ἔφην ἐν τοῖς παλαιοῖς
ἀντιγράφοις γεγράφθαι, μετὰ τοῦ καὶ τοὺς παλαιοτάτους ἐξηγητὰς ἐπίστασθαι ταύτην. ἐφύλαξαν δὲ αὐτὴν καὶ οἱ
περὶ τὸν Διοσκουρίδην, καίτοι πολλὰς τῶν ἀρχαίων γραφῶν ὑπαλλάττοντες. εἴη ἂν οὖν ὁ Ἱπποκράτης ὡς ἐν ὑπομνή-
μασι γεγραφὼς ἑαυτῷ, καθάπερ ἄλλας πολλὰς συμβολικῶς τε καὶ βραχέως, οὕτω καὶ τὸ ἐργάσασθαι τὸ ὅμοιον.

προειρηκὼς, ὡς ἐνίοτε βέλτιόν ἐστι συμπράττειν τοῖς κρινομένοις, ἐπὴν ἐγκρίνων ὁρμᾶσθαι τὸ ὅμοιον, τουτέστιν ἀναμῖξαι τῷ κενουμένῳ καλῶς χυμῷ τὸ ὅμοιον. ἐγχωρεῖ δὲ καὶ τὸ ἐπιφερόμενον, αὐτῷ τὰ ἀνόμοια κατὰ τὴν αὐτὴν διάνοιαν ἐξηγήσασθαι, καὶ γὰρ καὶ τοὺς ἀνομοίους χυμοὺς συνεκχυμοῦν προσήκει τοῖς καλῶς κενουμένοις. εἰ δὲ κἀπὶ τὸ μεταβάλλειν, καὶ ἀλλοιῶσαι, καὶ πέψαι βούλοιτό τις ἀκούειν τὸ ἐργάσασθαι, καὶ οὕτω ἂν ἔχοι νοῦν ἰατρικὸν ἡ λέξις. ἐὰν γὰρ ἐκκρίνηταί τις καλῶς χυμὸς συνεκχυμῶσαι τούτῳ, τουτέστιν ἐξομοιῶσαί τε καὶ συνεκκρῖναι προσήκει τοὺς δεομένους κενώσεως, ἐάν τε ὁμοιότητά τινα ἔχωσι πρὸς αὐτὸν, ἐάν τε ἀνομοιότητα, δυνατόν ἐστι καὶ διελόντα τὴν λέξιν ὡς τελευτὴν ποιήσασθαι τῆς προτέρας, ἐργάζεσθαι τὸ ὅμοιον. τῆς δὲ δευτέρας ἐπ' αὐτὴν πάλιν ἀρχὴν ποιήσασθαι τήνδε. τὰ ἀνόμοια εἰ ῥέποι ἄνω ἀρθέντα, κάτω λύειν, ὡς εἶναι τὴν διάνοιαν τοιάνδε. τὰ ἀνόμοια ὑγρὰ τοῖς μορίοις εἰς ἅπαν, ἄνω μὲν ἀρθέντα κάτω λύειν. εἰ δὲ κάτω ῥέψειεν, ἀντισπᾶν ἄνω, νοούντων ἡμῶν ἀνόμοια λελέχθαι τὰ τοῖς τόποις οὐκ οἰκεῖα. τὴν δ' αὐτὴν ἐξήγησιν ποιησόμεθα καὶ κατὰ τὴν ἑτέραν γραφὴν, ἐφ' ἧς ἡ πρώτη συλλαβὴ διὰ τοῦ ο, καὶ ρ, γέγραπται. τὸ γὰρ ὀργίζεσθαι τὸ ὅμοιον ἕτερον μὲν δηλοῦν, ἕκαστον ἡμῶν ἐργάσασθαι χρῆναι ἐκχυμουμένους χυμοὺς ὁμοίως τοῖς κενουμένοις. ὡσαύτως δὲ καὶ τοὺς ἀνομοίους ὁμοίους ποιητέον. δύναται δ' ἴσως ὥσπερ ᾠήθησαν ἔνιοι ὀργίσασθαι ἐκ μεταφορᾶς ἀπὸ τῶν ὀργώντων εἰρῆσθαι ζώων. καὶ γὰρ φαίνεται χρώμενος αὐτὸς οὕτως ὅταν εἴπῃ, φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν ἢν ὀργᾷ αὐθημερόν. ὧδε γὰρ τῶν ἑτοιμοτάτων εἰς ἔκκρισιν ἐπειγομένων τε πρὸς κένωσιν ὑγρῶν, ἐνταῦθά τε καὶ κατ' ἄλλους ἀφορισμοὺς φαίνεται χρώμενος τῇ ὀργᾷν φωνῇ. οὕτως οὖν καὶ νῦν εἰκός φασιν εἰρῆσθαι περὶ τῶν χυμῶν ὀργίζεσθαι τὸ πρὸς ἔκκρισιν ἑτοίμους αὐτοὺς παρασκευάσαι. πάλιν οὖν ἀφ' ἑτέρας ἀρχῆς εἴς τι χρήσιμον ἀγάγωμεν ὡς οἷόν τε τὸν λόγον. ἐπεὶ γὰρ ἔφη τὰ ἄνω ἀρθέντα κάτω λύειν, καὶ τὰ ἐναντία τὸ αὐτὸ, τὰ μὲν ἀρθέντα, τὰ οἷον ὁρμήσαντα δηλοῦν ἡγητέον, ἵνα περὶ τῆς πρώτης γενέσεως τοῦ πάθους ὁ λόγος αὐτῷ γίνηται, κελεύοντι πρὸς τοὺς ἐναντίους τόπους ἀντισπᾶν αὐτίκα. κάτωθεν μὲν ἐπὶ τῶν ἄνωθεν ἐχόντων τὴν γένεσιν, ἄνωθεν δὲ ἐπὶ τῶν κάτωθεν. ὅπως τῷ μὲν αὐτῷ λογισμῷ χρώμενοι τὴν βοήθειαν ποιώμεθα, πρὸς διαφέροντας δὲ ἄγωμεν τόπους. ἐὰν γοῦν αἰσθώμεθα κατασκῆπτον εἰς πόδας ἢ σκέλη ῥεῦμα, διὰ τῶν κατ' ἀγκῶνα φλεβῶν ἀφαιρήσωμεν αἵματος, ἢ καθαίρωμεν ἐμέτοις. οὐχ ὥσπερ ἔνιοι νομίζουσι μηδέποτε ἀντισπᾶν ἄνω, κἂν εἰς τὰ κάτω χωρία τὴν ὁρμὴν τῶν χυμῶν ποιησαμένων μέγα τι μέλλῃ γενέσθαι πάθος ἐν αὐτοῖς. ἔστι δὲ καὶ τὸ ἄνωθεν ἀρθέντα νοεῖν εἰρῆσθαι περὶ τῶν ὁρμησάντων χυμῶν ἄνω, ἵνα τὰ ἀρθέντα κυριώτερον ᾖ λελεγμένον. ἡ μέντοι διάνοια ἡ αὐτὴ καὶ νῦν μένει. τοὺς μὲν γὰρ αἰρομένους ἄνω χυμοὺς, τουτέστι μετεωριζομένους, ἀντισπᾶν χρὴ κάτω μὴ καλῶς ὁρμῶντας. τοὺς δ' ἔμπαλιν ἐναντίως, οἷον ἐπὶ κεφαλῆς κάθαρσίν τε διὰ ὑπηλάτου φαρμάκου παραλαμβάνοντας, καὶ φλεβοτομίας ἀπ' ἀγκῶνος. ἀμφότερα γὰρ ἐκκενοῦσι καὶ ἀντισπῶσι κάτω. πιθανὸν δέ ἐστι καὶ τἀναντία λελέχθαι πρὸς αὐτοῦ περὶ τοιαύτην τινὰ διάνοιαν. τὰ ἄνωθεν ἀρθέντα, ἢ γεννηθέντα πάθη, κάτω μὲν ἀντισπᾶν εὐθέως ἐν ἀρχῇ προσήκει. καὶ τἀναντία δὲ τούτων πράττειν ἐφεξῆς, ὅπερ ἐστὶ τοπικῶς κενοῦν, οἷον ἐπὶ κεφαλῆς, τῷ γοῦν ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα ὠφελέει, τοπικὸν οὖσα βοήθημα.

πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, σημαίνει ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις. μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει, ὀλέθριον κάρτα ἤδη γίνεται.

Ἰκτηρίων χασμέων, συνεχέων, μακρόπνους.

Καὶ ταύτην τὴν ῥῆσιν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐξηγησάμεθα.

Ἐν τοῖσιν ἀπότοισι καὶ μόγις βραχύπνους.

Ὥσπερ ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν τὰ πλεῖστα τῶν ἀντιγράφων ἔχει τὴν ῥῆσιν οὕτω γεγραμμένην, ἐν τοῖσιν ἀπότοισι, καὶ μόγις μακρόπνους, οὕτως ἐνταῦθα βραχύπνους. εἴρηται δὲ αὐτάρκως ἡμῖν ὑπὲρ ἑκατέρας τῆς γραφῆς ἐν τοῖς εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνήμασι.

Κατ' ἴξιν ἢ πλευρέων ὀδύνη, ἢ συντάσιες ὑποχονδρίων, καὶ σπληνὸς ἐπάρσιες, ἢ ἐκ ῥινῶν ῥήξιες, ἢ ὦτα κατ' ἴξιν, τούτων τὰ πλεῖστα ταῦτα καὶ εἰς ὀφθαλμούς.

Ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων ἡ λέξις οὕτως ἔχει καθότι νῦν γέγραπται. σπανίως δ' ἂν εὕροις καὶ τήνδε, κατ' ἴξιν καὶ πλευρέων ὀδύνη, ἢ τῶν ὑποχονδρίων τάσιες, ἢ σπληνὸς ἐπάρσιος, καὶ ἐκ ῥινῶν ῥήξιος, ἥντινα κἀγὼ προσίεμαι γραφὴν οὖσαν ἰατρικήν τε καὶ σαφῆ. καὶ μέντοι δηλούμενον κἀκ τῆς ἑτέρας λέξεως ταυτόν ἐστι, καὶ προεξηγησάμεθά τε περὶ τὸ δεύτερον τῶν ἐπιδημιῶν ταύτην τὴν ῥῆσιν. νυνὶ μέντοι περιττότερον πρόσκειται τὸ τῶν ὤτων, καὶ τῶν ὀφθαλμῶν, ὡς καὶ τούτων τῶν μορίων ὑποπεπτωκότων τῷ κατ' ἴξιν, ὥσπερ καὶ τὰ ἄλλα διττῶς. ἐνίοτε μὲν γὰρ ἐξ ἑαυτῶν εἰς ἕτερά τινα μόρια τὰς ἀποθέσεις ποιεῖται κατ' εὐθυωρίαν, ἐνίοτε δὲ ἑτέρων πασχόντων εἰς ὀφθαλμοὺς, ἢ εἰς οὖς ταῦτα ἀποσκήπτει.

Πότερον μὲν ἄρα πάντων, ἢ τὰ μὲν κάτωθεν ἄνω, οἷα τὰ περὶ γνάθους, ἢ καὶ ὀφθαλμὸν, ἢ καὶ οὖς. τὰ δὲ ἄνωθεν κάτω οὐ κατ' ἴξιν. καίτοι καὶ τὰ συναγχικὰ ἐρυθήματα, καὶ πλευρῶν ὀδυνήματα κατ' ἴξιν.

Ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν οὐκέθ' ἡ λέξις αὕτη πρόσκειται καθ' ἣν ἀπορεῖ. πότερον ἐκ μὲν τῶν κάτω τῶν ἀποστάσεων ἄνω γινομένους χρησίμως, ἀεὶ φυλάττεται τὰ κατ' εὐθυωρίαν. ἐκ δὲ τῶν ἄνωθεν κάτω διαφθείρονταί τε καὶ γίνονται τινὲς οὐ κατ' ἴξιν ἀποστάσιες. ἄδηλον οὖν ἐστιν ὁπότερα γέγραπται πρότερον τὰ περὶ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ἢ ταῦτα. οὐ γὰρ δή που ἐκ τοῦ δευτέρου μὲν ἐκεῖνο, τοῦτο δ' ἕκτον ἐπιγεγράφθαι, πρότερον τὰ κατ' ἐκεῖνο γεγράφθαι νομιστέον.

στέον. ἐν μὲν τοῖς πρὸς ἔκδοσιν ὑπ' αὐτοῦ γεγονόσιν, εὐλόγως τῆς τοιαύτης λέξεως ἐμφαινομένης, ἐν δὲ τοῖς ὑπομνήμασιν οὐκ ἔτι. τὰ γὰρ ἐν διφθέραις, ἢ χάρταις, ἢ δέλτοις ὑφ' Ἱπποκράτει γεγραμμένα, τὸν υἱὸν αὐτοῦ Θεσσαλὸν ἀθροίσαντα φασὶ τουτὶ τὰ δύο βιβλία συνθεῖναι, τό τε δεύτερον καὶ τὸ ἕκτον, ἔνιοι δὲ καὶ τὸ τέταρτόν φασι. πρὸς ἔκδοσιν δ' ὁμολογεῖται γεγονέναι τὸ πρῶτόν τε καὶ τρίτον. διὸ καὶ τινὰς οὕτω προτέροις τοῖς κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ὕστερα γέγραπται, τὰ περὶ τοῦ τὸ ἕκτον εἰκός ἐστι θεασάμενον, ὕστερον αὐτὸν ἀπόστασιν εἰς τὰ κάτω γινομένην ἐπ' ἀγαθῷ μὴ κατ' ἴξιν, οὕτως γράψαι τὰ κατὰ τήνδε τὴν ῥῆσιν. εἰ δ' ἀπορῶν μὲν ἐνταῦθα, κρίνας δὲ ὕστερον ὑπὲρ ὧν ἀπορεῖ, βεβαίως ἀπεφήνατο περὶ τὸ δεύτερον τῶν ἐπιδημιῶν ἐκείνοις μᾶλλόν ἐστι πιστευτέον. ἐν δ' οὖν τούτοις οἷς νῦν γράφει, καίτοι τὰ κυναγχικὰ ἐρυθήματα καὶ πλευρέων οἰδήματα, κατ' ἴξιν ἀκοῦσαι χρὴ περὶ μεταστάσεως, οὐ τῆς ἐκ τῆς πλευρᾶς εἰς τὰς κυναγχικὰς, ἀλλὰ τῆς ἐκ τῶν κυναγχικῶν εἰς τὰς πλευρὰς εἶναι τὸν λόγον. αὕτη γὰρ ἄνωθεν κάτω γίνεται, περὶ ἧς ἀπορῶν προειρήκει. τὰ δὲ ἄνωθεν κάτω, οὐ κατ' ἴξιν. ταύτης οὖν αὐθυπενέγκας ἑαυτῷ, μετὰ ταῦτα ἐπιφέρει τὰ περὶ τὴν ἑξῆς ῥῆσιν οὕτως ἔχοντα.

Ἢ καὶ τὰ κάτω τοῦ ἥπατος ἄνωθεν διαδιδόντα, οἷον ὅταν εἰς ὄρχιας καὶ κιρσούς.

Τοῖς κυναγχικοῖς τὰς τῶν πλευρῶν ὀδύνας κατ' ἴξιν γίνεσθαι προειπὼν, ἑξῆς ζητεῖ πότερα καὶ περὶ τῶν εἰς τὰ κάτω τοῦ σώματος ἀποστάσεων ἀεὶ φυλάττεται τὸ κατ' ἴξιν, ἢ οὐ, καθάπερ ἐν τῇ πρὸ ταύτης ῥήσει διηπόρησεν. ἀλλ' ἐκεῖ μὲν ἔφη τὰς εἰς τὰ κάτω, νυνὶ δὲ τὰς κάτω τοῦ ἥπατος, ὅρον ὡς ἔοικε τιθέμενος τὸ ἧπαρ τῶν ἄνω τε καὶ κάτω τοῦ σώματος ἁπάντων μορίων. ἐζεύχθαι γὰρ αὐτοῦ τὰ κυρτὰ τῷ διαφράγματι. καὶ διὰ τοῦθ' ὅσα τοῦ ἥπατός ἐστιν ἄνω, ταῦτα καὶ τοῦ διαφράγματος ἄνω τετύχηκεν ὄντα, τὰ περὶ τὴν καρδίαν δηλονότι καὶ πνεύμονα καὶ τὸν ταῦτα περιέχοντα θώρακα, καὶ πολὺ μᾶλλον ἔτι τὰ περὶ τὸν τράχηλόν τε καὶ κεφαλήν. τὰ δ' ἄλλα πάντα κάτω τοῦ σώματός ἐστι, πρὸς ἄλληλα μέντοι παραβαλλόμενα, καὶ αὐτῶν τῶν ἄνω τὰ μὲν μᾶλλόν ἐστιν ἄνω, τὰ δ' ἧττον. ἔθος δ' ἐστὶν ἡμῖν ἐν τοῖς οὕτω λεγομένοις πᾶσιν, ἐνίοτε τὸ μὲν ἧττον ἄνω, κάτω λέγειν, ὡς πρὸς τὸ ὑπερκείμενον αὐτοῦ παραβάλλουσι. τὸ δ' ἧττον κάτω, καὶ τοῦτ' ἄνω πρὸς τὰ κάτωθεν αὐτοῦ. καὶ διὰ τὴν ἀμέλειαν τῆς τοιαύτης ἑρμηνείας εἰς ἔθος οὐκ ὀλίγον ἐκτεταμένης, ὁμωνυμία τε τίς γίνεται καὶ ταραχὴ περὶ τοὺς λόγους, ἧς δὴ μεμνημένοι ὅταν ἀκούσωμεν λέγοντος αὐτοῦ τὰς εἰς τὰ κάτω τῶν ἀποστάσεων ἀμείνους εἶναι, σκοπεῖσθαι χρὴ κατά τινα τρόπον χρήσεως εἴρηκε κάτω, μετὰ τοῦ καὶ προσδιορίζεσθαι τὰ τῶν μορίων ἀξιώματα. διὰ τοῦτο γὰρ ὡς ἐπὶ τὸ πλεῖστον αἱ ἄνω τῶν ἀποστάσεών εἰσι χαλεπώτεραι, διότι κινδυνωδέστερα ταῦτά ἐστι τὰ πάσχοντα τὸ αὐτὸ πάθος τοῖς κάτωθεν. ἐάν τε γὰρ ἐγκέφαλος ἐάν τε λάρυγξ, ἢ στόμαχος, ἢ πνεύμων, ἢ θώραξ, ἢ καρδία φλεγμήνῃ, θανατῶδες γίνεται τὸ νόσημα. τῶν δὲ κάτω τοῦ ἥπατος φλεγμηνάντων, ὀλίγοι πάνυ διαφθείρονται, καὶ μάλιστα ἐὰν ὀρθῶς θεραπεύωνται. καὶ αὐτοῦ δὲ τοῦ ἥπατος τὰ κυρτὰ τῶν σιμῶν πολὺ κινδυνωδέστερα. καὶ τινὲς αὐτὰ τῶν ἄνω μερῶν τοῦ σώματος ὅλου τίθενται, καθάπερ καὶ τῆς γαστρὸς τὸ στόμα. ταῦτα μὲν οὖν ἡμῖν περὶ τὸ πάρεργον εἰρήσθω, καίτοι γ' οὐκ ὄντα πάρεργα. τὸ δ' ὑπόλοιπον τῆς εἰς τὴν προκειμένην ῥῆσιν ἐξηγήσεως ἐφεξῆς ποιησόμεθα. ζητεῖν γὰρ ἔοικεν ὁ Ἱπποκράτης, ἢ καὶ τὰ κάτω τοῦ ἥπατος ἐκ τῶν ἄνω διαδιδόντα, οἷον τὰ εἰς ὄρχεις καὶ κιρσοὺς ἄμεινόν ἐστι γίνεσθαι κατ' ἴξιν, ἢ κἂν μὴ κατ' ἴξιν γένηται, δύναται βοηθεῖν αὐτοῖς ὁμοίως. ἐπί τινων μὲν οὐδὲ δυνατὸς γνῶναι τὸ κατ' ἴξιν. οἷον ὅτι κιρσοὶ μανίαν ἰάσαντο, κατ' ἴξιν γενομένης τῆς ἀποστάσεως. οὐ γὰρ ἔστι διακρῖναι πότερον ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ ἐγκεφάλου τῆς διαθέσεως γενομένης ἐμάνησαν, ἢ ἐν τοῖς ἀριστεροῖς. ὥσπερ οὐδ' αὖ βηττόντων χρονίως αὐτοῦ πλευρᾶς ἀλγήματος ἀπόστασις εἰς ὄρχιν γένηται. καίτοι τάχα κἀπὶ τούτων διαφυλάττεται τὸ κατ' ἴξιν, εἰ καὶ μὴ γινώσκομεν ἡμεῖς βεβαίως ὁπότερον μέρος τοῦ πνεύμονος ἢ τοῦ ἐγκεφάλου πέπονθε. ἀλλὰ καὶ μελαγχολίαν αἱμορροῒς ἰάσαιτο πολλάκις, οὐδ' ἐνταῦθα γινωσκόντων ἡμῶν τὸ κατ' ἴξιν. ὅτι δὲ καὶ διὰ μήτρας αἵματος κένωσις δαψιλὴς πολλὰ τῶν νοσημάτων ἰᾶται, πρόδηλον. ἀλλ' οὐδ' ἐνταῦθα δυνατὸν γνῶναι πότερον διὰ τῶν τῆς δεξιᾶς μήτρας φλεβῶν ἡ ἔκκρισις, ἢ διὰ τῶν τῆς ἀριστερᾶς, ἢ δι' ἀμφοτέρων ἐγένετο. ταύτῃ μὲν οὖν δυσδιάγνωστον ἢ ἄγνωστον ἔχει τὸ κατ' ἴξιν. ἐφ' ὧν δ' ἐστὶ διαγνῶναι τὸ κατ' ἴξιν, κἀπὶ τούτων ὡς ἔοικεν ὁ Ἱπποκράτης σκεπτέον εἶναί φησιν, εἰ διὰ παντὸς αἱ τῶν εἰς τὰ κάτω μόρια γινομένων ἀποστάσεων ἀμείνους εἰσὶ τῆς κατ' ἴξιν.

Σκεπτέα ταῦτα ὅπη, καὶ ὅθεν, καὶ διὰ τί.

Ἄδηλον εἴτε μόνοις τοῖς ὑστάτοις, εἴτε πᾶσι τοῖς προειρημένοις ὑπὲρ τῆς κατ' ἴξιν τε καὶ οὐ κατ' ἴξιν ἀποστάσεων ἐπενήνεκται τοῦτο. τὸ δ' οὖν λεγόμενον αὐτὸ τοιόνδε ἐστίν. ἐπισκέπτεσθαί φησι χρῆναι τό τε χωρίον εἰς ὃ ἡ ἀπόστασις γίνεται. τοῦτο γὰρ ἐκ τοῦ ὅπη σημαίνεται, τὸ μόνον δ' οὔ. καὶ τοῦτο γὰρ ἐκ τοῦ ὅθεν δηλοῦται, καὶ πρὸς τούτοις ἔτι τὴν αἰτίαν δι' ἣν ἀπόστασις γίνεται. τοῦτο γὰρ αὖ πάλιν ἐκ τοῦ διὰ τί σημαίνεται. χρὴ γὰρ εἰδέναι πότερον ὑπὸ τῆς φύσεως ἐπὶ πέψει τοῦ νοσήματος, ἢ μεταρρυέντος ἀπέπτως τοῦ λυποῦντος ἐξ ἑτέρου μέρους εἰς ἕτερον ἡ ἀπόστασις ἐγένετο. δύναται δέ τις καὶ χωρίζειν ἀπὸ τῶν προειρημένων τὴν ῥῆσιν ταύτην, ἀρχὴν τῶν ἐφεξῆς εἰρημένων ποιεῖσθαι κατὰ τὸν προγεγραμμένον τρόπον. σκεπτέα ταῦτα ὅπη, καὶ ὅθεν, καὶ διὰ τί. φλέβες κροτάφων, οὐχ ἱδρυμέναι, οὐδὲ χλώρασμα λαμπρόν. εἶπον ὅτι καὶ οὕτως δύναταί τις διαιρεῖν τὴν ὅλην ῥῆσιν, ὥσπερ γε καὶ κατ' ἄλλον τινὰ τρόπον τόνδε. φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώρασμα λαμπρὸν, ἢν πνεῦμα ἐγκαταλείπηται, καὶ τὰ ἐφεξῆς. καὶ γὰρ εἰ μὴ τὸ χλώρασμα λαμπρὸν ἐνέκειτο τῷ λόγῳ, δυνατὸν ἦν πολυειδῶς διαιρεῖν ὡς ἂν ὑπομνήματος ὄντος, οὐ συγγράμματος. ἤκουσεν γὰρ ἤδη περὶ τούτου. προσκειμένου δὲ καὶ τοῦ, χλώρασμα λαμπρὸν, ἔτι καὶ μᾶλλον ἀσαφὴς γίνεται ὁ λόγος. εἴπομεν γὰρ ἤδη ὅτι καὶ τὰς ἄλλας ῥήσεις ἐν αἷς τὸ χλωρὸν ὄνομα γέγραπται, μὴ δύνασθαι γνωσθῆναι σαφῶς, ὁποῖον τὸ χρῶμα δηλοῦται δι' αὐτοῦ. καθάπερ οὐδ' εἰ χλόασμα εἴη γεγραμμένον ὥσπερ ἔνιοι γράφουσιν. ὁρῶμεν γὰρ καὶ νῦν ἔτι καθάπερ περὶ τὴν Κῶ αὐτὴν τὴν Ἱπποκράτους πατρίδα, καὶ πᾶσαν τὴν ἡμετέραν Ἀσίαν, χλωρὰ μὲν ὀνομαζόμενα καὶ λάχανα καὶ δένδρα, καὶ φυτὰ τὰ οἷον χλοερά. χλωράζειν τε τὰ κτήνη λέγομεν τὰ τὴν ἐαρινὴν βοτάνην ἐσθίοντα,

λέγουσι γεμῆναι καὶ τῶν ἀνθρώπων ἐνίους χλωρούς, οὐκ ἔχοντας ὁμοίαν τῇ χλόῃ τὴν χρόαν, ἀλλὰ μᾶλλον ὠχράν. ἄδηλον οὖν ἐστι, πότερον τὴν ὕπωχρον χρόαν ὁ Ἱπποκράτης ὀνομάζει χλωράν τε καὶ χλοεράν, ὅπερ ὁρᾶται πάνυ πολλοῖς συμβαῖνον, ἢ τὴν χλόῃ παραπλησίαν, ὃ πάνυ σπανίως φαίνεται γινόμενον. οὔσης οὖν ἀσαφοῦς καὶ αὐτῆς ταύτης λέξεως ἔτι μᾶλλον ἀσάφεια γίνεται προσκειμένου τοῦ, λαμπρόν. ἄπορον γὰρ εὑρεῖν ὅτι ποτὲ βούλεται δηλοῦν ἐκ τοῦ γράψαι χλώρασμα λαμπρόν. καὶ διὰ τοῦτ᾽ ἄρα πᾶσαν τὴν τοιαύτην ἀσάφειαν θελήσαντές τινες φυγεῖν τῶν ἐξηγητῶν, ἔγραψαν, οὐ χρῶμα λαμπρόν, ἀκούειν τέ φασι δεῖν ἐπὶ τῆς κατὰ φύσιν τοῦ κάμνοντος χρώματος τὸ λαμπρόν. οὕτω δὲ καὶ οἱ περὶ τὸν Σαβῖνον διηνέχθησαν.

Φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώρασμα λαμπρόν, ἢν πνεῦμα ἐγκαταλείπηται, ἢ βὴξ ξηρή, μὴ θηριώδης, εἰς ἄρθρα στηρίζειν, προσδέχεσθαι δεῖ κατ᾽ ἴξιν τῶν ἐντασίων τῶν περὶ τὴν κοιλίην.

Εἶπον καὶ χωρὶς τοῦ πρώτου μέρους τῆς ῥήσεως ἀναγινώσκειν ἐστὶ δυνατὸν αὐτὸ καθ᾽ ἑαυτό, ἢν πνεῦμα ἐγκαταλείπηται, καὶ τὰ ἐφεξῆς αὐτῷ γεγραμμένα. πνεῦμα δὲ δηλονότι νῦν ἀκουσόμενον τὸ πλέον τοῦ κατὰ φύσιν, ἵν᾽ ὁ λόγος ᾖ τοιοῦτος. ἐὰν ἐν νόσῳ ῥαστωνήσαντές τινες ἔχωσι, τάς τε τῶν κροτάφων φλέβας οὐχ ἱδρυμένας, ὅπερ ἐστὶν ἐπὶ πλέον διεστελλομένας, καὶ τὸ χρῶμα μὴ κατὰ φύσιν, ἥ τ᾽ ἀναπνοὴ πλείων ᾖ, καὶ τὰ ἄλλα τὰ ἐφεξῆς εἰρημένα, τούτοις εἰς ἄρθρα τὴν ἀπόστασιν ἔσεσθαι προσδοκᾶν χρή. τὰ δὲ ἐφεξῆς εἰρημένα τάδε ἐστί. πρῶτον μὲν ἡ ξηρὴ βήξ, δεύτερον δὲ τὸ μὴ θηριῶδες. ἡ μὲν οὖν ξηρὰ βήξ, λέγεται συνήθως ἐφ᾽ ἧς οὐδὲν ἀναπτύεται. ὥσπερ δ᾽ οὕτως ῥηθείη, ἐν μὲν συγγράμματι προφανῶς ἐνδείκνυται τὸν γράψαντα χαίρειν αἰνιγματώδει λέξει. τὸν δ᾽ αὐτῷ τινὰ ὑπογραφὴν ἐν ὑπομνήματι πεποιημένον, οὐκ ἄν τις μέμψαιτο. πολλὰ γὰρ οὕτως εἰώθαμεν ἡμῖν αὐτοῖς ὑποτυποῦσθαι συμβολικῶς. ἴσως οὖν καὶ νῦν ἑαυτῷ ταῦτ᾽ ἔγραψεν ὁ Ἱπποκράτης, ἐπὶ πλειόνων παθῶν ποιούμενος τὸν λόγον. ἐν τουτοῖ μὲν ἐπὶ τῆς ξηρᾶς βηχός, ἐν περιπνευμονίαις, καὶ πλευρίτισι, καὶ γὰρ καὶ τὸ πνεῦμα τούτοις ὁμολογεῖ. τὰ δ᾽ ἔμπροσθεν ἡνίκα περὶ τῶν κατὰ τὸ πρόσωπον ἔγραφεν ἐπὶ πυρετῶν θερμῶν, καὶ διακαῶν. ἐγχωρεῖ δὲ καὶ περὶ τῶν κατὰ τὸν θώρακα καὶ πνεύμονα λελέχθαι κἀκεῖνα. γενήσεται τοιγαροῦν σύμπας λόγος τοιόσδε. ἐὰν ἐπὶ πλέον ἅμα τοῖς εἰρημένοις αἱ βῆχες ὦσι ξηραί, προσδέχεσθαι τὴν ἀπόστασιν εἰς ἄρθρα. διορισμὸν δέ τινα ταῖς βηξὶ προσγράψας ἀσαφῆ, ζήτησιν ἑτέραν εἰργάσατο. τίνες εἰσὶν αἱ θηριώδεις βῆχες. ἔνιοι μὲν οὖν ἐπὶ ταῖς ἕλμινσιν ὅταν ἐπὶ τὸ στόμα τῆς κοιλίας ἀνενεχθεῖσαι δάκνωσι, τὰς βῆχας φασὶ γίνεσθαι ξηράς, ὅπερ εἰ ὄντως ἐφαίνετο συμβαῖνον, οὐκ ἂν ἦν ζήτημα. νυνὶ δὲ μυριάκις εἴδομεν ἄνευ βηχῶν ἕλμινθας ἐνοχλούσας τὰ περὶ τὸ στόμα τῆς γαστρός, καὶ διὰ τοῦθ᾽ οἱ πλείους τῶν ἐξηγητῶν ἐπ᾽ ἄλλας ἐξηγήσεις ἐτράποντο. τινὲς μὲν τὸ θηριῶδες τῶν φθισικῶν εἰρῆσθαι λέγοντες, ἐπειδὴ γρυποῦνται τοὺς ὄνυχας ὥσπερ τὰ θηρία, τινὲς δὲ ἐπὶ κακοήθους. ἐν γὰρ ταῖς κρισίμοις ἀποστάσεσιν ὥσπερ ἄπεπτον εἶναι χρὴ τὴν νόσον, οὕτω καὶ περιεστηκυῖαν. εἴτε γὰρ πεπεμμένη χωρὶς ἀποστάσεως ἐπαγγέλλεται τὴν λύσιν, εἴτε ὀλέθριος, οὐδὲ γενήσεσθαί τινα κρίσιμον ἀπόστασιν. ἐὰν δὲ ἐπὶ πλέον ἄπεπτόν τε διαμένῃ τὸ νόσημα καὶ μὴ κακόηθες ᾖ, προσδέχεσθαι χρὴ γενήσεσθαί τινα ἀπόστασιν. ὅτι δὲ ἄπεπτόν τε ἅμα καὶ περιεστηκὸς τὸ νόσημα, χρὴ διαμένειν ἄχρι πλείονος ἵν᾽ ἐλπίσωμεν ἀπόστασιν ἔσεσθαι, σαφῶς αὐτὸς ἐδήλωσεν ἐν προγνωστικῷ γράψας οὕτως. Ὅσοι δ᾽ ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολὺν χρόνον, ἤν τ᾽ ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τούτοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι εἰς τὰ κάτω τῶν φρενῶν χωρία. γενήσεται τοιγαροῦν ὁ σύμπας λόγος τοιοῦτος. ἐὰν ἄπεπτον διαμένῃ τῶν κατὰ θώρακα καὶ πνεύμονα νοσημάτων τι, καὶ μηδὲν ἔχῃ κακόηθες, ἀπόστασιν χρὴ προσδέχεσθαι. τοῦ δ᾽ ἄπεπτον εἶναι, σημεῖον ἡ ξηρὰ βήξ. ἐὰν γὰρ ἀναπτύωσί τι, πέψεώς ἐστι γνώρισμα. ὥσπερ δ᾽ αὖ τὸ ἀναπτυόμενον, εἰ μὲν ὑγρὸν καὶ λεπτὸν εἴη, μετρίας, εἰ δὲ παχύ, τελείας. εἴρηται δ᾽ ἐπὶ πλέον περὶ τῶν τοιούτων ἔν τε τοῖς εἰς τὸ περὶ διαίτης ὀξέων ὑπομνήμασι, κἀν τοῖς περὶ κρίσεων, οὐδὲν ἧττον κἀπὶ τῶν ἐν ταῖς νόσοις καιρῶν. ὃ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψεν, ἔνθα φησί, τῶν ἐντασίων τῶν κατὰ τὴν κοιλίαν, οἱ πλεῖστοι μὲν τοῖς προειρημένοις. ἔνιοι δὲ καὶ καθ᾽ ἑαυτὸ μόνον ἰδίαν ἔχειν φασὶ τὴν διάνοιαν. ἐὰν μὲν οὖν συνάψαντες αὐτὸ τοῖς προειρημένοις ἀναγνῶμεν, ὁ λόγος ἔσται τοιοῦτος. ὅταν ἐπὶ τοῖς προειρημένοις ἐλπίσῃς ἀπόστασιν ἔσεσθαι, τὰς περὶ κοιλίαν ἐντάσεις προσεπίβλεπε. δυνήσῃ γὰρ ἐκ τούτων εὑρεῖν, ἢ εἰς τὸ δεξιὸν μέρος τοῦ σώματος, ἢ εἰς τὸ λαιὸν ἡ ἀπόστασις ἔσται τοῦ νοσήματος. αἱ γὰρ ἐντάσεις αὗται κατ᾽ ἴξιν ἑαυτῶν ἀγγέλλουσιν ἔσεσθαι τὰς ἀποστάσεις. ἐὰν δέ πάλιν αὐτὸ καθ᾽ ἑαυτὸ τὶς ἀναγινώσκῃ τὸ κατ᾽ ἴξιν τῶν περὶ τὴν κοιλίαν ἐντάσεων, ὁ λόγος ἔσται τοιοῦτος. ὥσπερ ὅταν ἐπὶ τοῖς ἀναπνευστικοῖς ὀργάνοις πάσχουσιν, ἀπέπτως τε καὶ περιεστηκῶς ἀποστάσεις ὁρῶμεν γινομένας, οὕτως κἀπὶ τῶν περὶ τὴν κοιλίαν εὑρήσεις συμβαῖνον. ἔσονται δὲ καὶ αὗται κατ᾽ ἴξιν τῶν πεπονθότων μορίων.

Ἔχουσι δὲ οὗτοι οἱ πλεῖστοι καὶ ἐξέρυθρα, καὶ τῇ φύσει τοῦ λευκοχρωτέρου τρόπου, καὶ οὐχ αἱμορραγέουσι ῥῖνες, ἢ σμικρὰ αἱμορραγέουσι.

Τὰ πρόσωπα δηλονότι προσυπακουστέον ἔχειν αὐτοὺς ἐξέρυθρα κατὰ τὰς νόσους, εἶναί τε φύσει τοῦ λευκοχρωτέρου τρόπου. ἐν γὰρ τοῖς πολλοῖς τῶν μελλόντων ἀπόστασίν τινα ἕξειν ἐν νοσήμασι περιεστηκῶς χρονίζουσι, διαμένει τὸ πρόσωπον ἐρυθραῖνον, καὶ μάλισθ᾽ ὅταν ἡ ἀπόσκηψις ἔσεσθαι μέλλοι πρὸς τὰ ὦτα. τισὶ δὲ φαίνεται τῶν οὕτως ἐχόντων τὸ πρόσωπον ἐξέρυθρον, ἐδήλωσεν εἰπὼν εἶναι τοὺς τοιούτους ἀνθρώπους τοῦ λευκοτέρου τρόπου. τοῖς γὰρ μελαντέροις φύσει, κἂν πλεονάσῃ ποτὲ αἷμα, περὶ τὸ πρόσωπον οὐ διασημαίνει σαφῶς. ἐν δὲ τοῖς λευκοῖς σώμασι κἀπὶ τῶν ἐκτὸς ὅταν βραχύ τι παρεμπέσοι χρόας ἑτερογενοῦς, εὐθέως εὔδηλον γίνεται. ὥσπερ μὲν οὖν αὐτῷ προέγκειται. τὸ δὲ τοῦ λόγου συνεχές ἐστι τοιόνδε, τούτοις ἐξέρυθρον ἔχουσι τὸ πρόσωπον, ὅταν περιεστηκὼς χρονίζῃ τὸ νόσημα διὰ ἀποστάσεων, ἐλπιζέτω κρίσιν γενέσθαι. πλὴν εἰ φθάσειεν αἱμορραγία διὰ ῥινῶν γενομένη, κενῶσαι τὸ μέλλον κατασκῆψαι

ἐστὶ τῶν ἄρθρων περιττὸν αἷμα. ὅσοι δ' οὕτως ἔχοντες ὡς εἶπον, ἢ οὐδὲν ὅλως αἱμορραγοῦσιν, ἢ σμικρά, καὶ οὐκ ἀξία τῆς ὑπερβολῆς τοῦ νοσήματος, οὗτοι τὰς ἀποστάσεις ἴσχουσι.

Καὶ ἣν μὲν ῥυέντων ἐγκαταλείπηται, ἕτοιμον.

Ἢν χωρὶς τοῦ μέν, ἐγέγραπτο συνδέσμου, σαφὴς ἡ λέξις ἦν. εἰρηκὼς γὰρ ὅτι τοῖς ἐξέρυθρον ἔχουσι τὸ πρόσωπον αἱ ὑποστάσεις γίνονται, μὴ ῥυέντος αἵματος ἐκ ῥινός, ἢ σμικροῦ ῥυέντος, εἰκότως ἂν ἐπήνεγκεν ἐάν, λείπηταί τι ῥυέντος, ἕτοιμόν ἐστι τὸ νόσημα πρὸς ἀπόστασιν. ἐπεὶ δὲ ὁ μὲν σύνδεσμος πρόσκειται, προσυπακοῦσαι προσήκει, ἣν μὴ ἐγκαταλείπηται, οὐκ ἔσται ἡ ἀπόστασις. οὐ μόνον δὲ ἐν τοῖς ὑπομνήμασιν ἅπερ ἀναγράφουσιν ἑαυτοῖς οἱ ἄνθρωποι, τοιαύτας ἐστὶ λέξεις εὑρεῖν, ἀλλὰ καὶ ἐν συγγράμμασιν, ὡς τοῦ μὲν συνδέσμου περιῃρημένου, μηκέτι ἀνταποδοθῆναι μηδὲν αὐτῷ, καὶ τοῦτ' ἔγνων, μάλιστα οὐ περὶ τὸν Διοσκορίδην εἰδότας, ἐπειδὴ γραμματικώτεροι τῶν ἄλλων εἶναι προσποιοῦνται, φυλάξαι τὴν παλαιὰν γραφήν, ἣν οἵ τ' ἐξηγηταὶ πάντες ἴσασι, καὶ τὰ ἀντίγραφα πάντ' ἔχουσι. ἢ εἴπερ ἐδόκει περιττὸς ὁ μὲν σύνδεσμος εἶναι, περιελεῖν αὐτὸν τολμῆσαι μᾶλλον, οὐ μεταγράφειν εἰς τὸ μή. τὸ γάρ, καὶ ἣν μὴ ῥυέντων ἐγκαταλείπηται, ἕτοιμον, ἑαυτῷ μάχεται. τοῦ μὲν ἐγκαταλείπηται, τὰ μὴ τελέως ἀλλ' ἐκ μέρους κενούμενα δηλοῦντος. τοῦ δὲ καὶ ἣν μὴ ῥυέντων, τοὐναντίον ἐμφαίνεται, ὥσπερ καὶ τοῦ δαψιλῶς ῥυῆναι. καθάπερ οὖν ἐπὶ τούτου τὸ ἐγκαταλείπηται λέγειν οὐ προσῆκον, οὕτως οὐδ' ἐφ' οὗ μηδ' ὅλως ἐρρύη. εἰ γὰρ εἰ μὴ ἐπὶ τοῦ λυποῦντος χυμοῦ δεξάμεθα, τὸ ἐγκαταλείπεσθαι λελέχθαι, καθάπερ ἔνιοι βούλονται πρὸς τὸ νόσημα μεταθέντες τὸν λόγον, ὡς ἐν ταῖς ἐλλιπέσιν αἱμορραγίαις, ἐγκαταλείπεται νοῦν ἕξει. ῥυέντος γὰρ αἵματος οὐ μὴν αὐτάρκως, ἐλλιπεῖς αἱ κρίσεις γίνονται τῶν νόσων ἐφ' ὧν προσήκει λέγεσθαι τὸ ἐγκαταλείπεσθαι.

Δίψα ἐγκαταληφθεῖσα καὶ στόματος ἐπιξήρασις, καὶ ἀηδίη, καὶ ἀποσιτίη ἄχρι τοῦ λόγου.

Ὅταν τοῦ πυρετοῦ παυσαμένου μένῃ τινὰ τῶν συμπτωμάτων, ἐγκαταλείπεσθαί τι λέγεται τῆς νόσου λείψανον. ἐμνημόνευσεν οὖν ὁ Ἱπποκράτης ὡς ἐν παραδείγματι τῶν κυριώτατα ὑπολειπομένων δίψην, καὶ στόματος ξηρότητα, καὶ ἀηδίαν, καὶ ἀποσιτίαν, τουτέστιν ἀνορεξίαν, ὥστε ἐξήγησις αὕτη ἡ ῥῆσίς ἐστι τοῦ προειρημένου κατὰ τὴν ἔμπροσθεν ῥῆσιν ἔνθα φησί, καὶ ἣν μὲν ῥυέντων ἐγκαταλείπηται. διττῶς γὰρ ἀκούομεν τοῦ ἐγκαταλείπεσθαι. καθ' ἕνα μὲν τρόπον, ἐπὶ τοῦ νοσοποιοῦντος χυμοῦ, καθ' ἕτερον δὲ ἐπὶ τῆς νοσώδους διαθέσεως. ἐξηγεῖται οὖν τὰ γνωρίσματα τῆς ἐγκαταλειπομένης διαθέσεως νοσώδους.

Πυρετοὶ δὲ οὐκ ὀξεῖς οἱ τοιοῦτοι, ὑποστροφώδεες δέ.

Καὶ τοῦτ' ἕν ἐστι τῶν συντελούντων εἰς τὴν τῶν ἐσομένων ἀποσκημμάτων πρόγνωσιν. οἱ γὰρ ὀξεῖς πυρετοί, καὶ ταχέως κρίνονται, καὶ δι' ἐκκρίσεων ἴσχουσι τελέαν τὴν λύσιν. οἱ δ' οὐκ ὀξεῖς καλούμενοι, ὑποστροφώδεες, καὶ χρονίζουσι, καὶ λύσεις ἐλλιπεῖς ποιησάμενοι, μετὰ ταῦτα πάλιν ὑποστρέφουσι, καὶ δευτέραν ἔκκρισιν ἐξ ἀποσκήμματος, ἴσχουσι τελέαν τὴν λύσιν.

Τὰ ἐγκαταλειπόμενα μετὰ κρίσιας ὑποστροφώδεα.

Ἡ αὐτὴ ῥῆσις ἤδη κἀν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν γέγραπται, καὶ μετὰ ταύτην ἄλλαι μέχρι τῆς, ὅσοι τριταιοφυεῖς, ἃς ὑπερβησόμεθα διὰ τὸ προεξηγῆσθαι.

Ὅσοι τριταιοφυεῖς, τούτοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ.

Τίνας ποτὲ λέγει τριταιοφυεῖς, ἐξήγηται. διότι καὶ περὶ τῶν ἡμιτριταίων τε καὶ τῶν παρεκτεταμένων τριταίων. ἐν γὰρ μόνον ὁμολόγηται τοῖς νεωτέροις ἰατροῖς ἐν τῇ τῶν εἰρημένων ὀνομάτων ἐξηγήσει, τὸ κατὰ τῶν ἀκριβῶν τριταίων, ὡς ἐντὸς τῶν δώδεκα ὡρῶν αὐτὸν περιγράφεσθαι, τὰς δὲ ὑπολοίπους ὥρας, ἀπυρέτους εἶναι. τῆς γὰρ τῶν μεθοδικῶν ἀλλοκότου χρήσεως τοῦ τῶν ἡμιτριταίων ὀνόματος, οὐδὲ μεμνῆσθαι καλόν. εἴπερ δὲ ὁ ἀκριβὴς τριταῖος ἐλάττονα τῶν δώδεκα ὡρῶν ἔχει τὸν παροξυσμόν, ὁ πέντε καὶ δέκα ὥρας παροξυνόμενος ἅπαντα τὸν ὑπόλοιπον χρόνον ἔχων ἀπύρετον, ὀνομασθήσεται τριταῖος ἁπλῶς ἄνευ προσθήκης. εἰ δὲ βούλοιτό τις ἀκριβολογεῖσθαι, τριταῖος οὐκ ἀκριβής. καὶ εἴπερ αὐτὸς ὁ Ἱπποκράτης εἶπεν, πυρετοὶ ὁκόσοι μὴ διαλείποντες, διὰ τρίτης ἰσχυρότεροι γίνονται πάντες κακοί. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι. ἅπαντες οἱ διὰ τρίτης μὲν παροξυνόμενοι, παυόμενοι δὲ εἰς ἀπυρεξίαν, ἀκίνδυνοι γενήσονται. ἀλλ' εἴπερ ἀκινδύνους τούτους εἶναι φήσομεν ἑπόμενοι τῇ γνώμῃ τοῦ Ἱπποκράτους. οὐκ ἀκίνδυνον δὲ τὸν ἡμιτριταῖον αὐτὸς οἶδεν, οὐκ ἔσται τῶν διαλειπόντων ὁ πυρετὸς οὗτος. ἀλλ' οἱ μὲν οὐκ ἐλάττονας τῶν εἰκοσιτεσσάρων ὡρῶν ἔχοντες τοῦ διαλείμματος, ἅπαντες ἁπλῶς τριταῖοι λεχθήσονται. οἷς δὲ τὸ μὲν διάλειμμα τοῦ χρόνου τούτου βραχύτερον, οἱ δὲ παροξυσμοὶ μακρότεροι, οὗτοι παρεκτεταμένοι τριταῖοι. προσήκουσι δὲ τοὐπίπαν εἰς τὰ τρία διαστήματα τεττάρων τῶν πάντων ὄντων μετὰ τὴν διὰ τρίτης ἡμέρας περίοδον. δύο μὲν γὰρ ἡμέραι, δύο δὲ νύκτες ἐν τῷ μεταξὺ τῶν δύο παροξυσμῶν γίνονται πᾶσι τοῖς διὰ τρίτης παροξυνομένοις. σπανίως δ' εὕροις τὸν ὑπὲρ τὰ τρία διαστήματα παροξυνόμενον εἰς ἀπυρεξίαν ἀφικνούμενον, ὃν οἱ περὶ τὸν Ἀγαθῖνον εἰώθασι μέγαν ἡμιτριταῖον ὀνομάζειν. ὥσπερ γε μέσον μὲν ᾧ χρόνος ἴσος γίνεται παροξυσμοῦ τε καὶ διαλείμματος, ᾧ μείων ὁ τοῦ παροξυσμοῦ χρόνος. ᾧ δ' ἐντὸς τῶν εἰκοσιτεσσάρων ὡρῶν ὁ χρόνος περιγράφεται τοῦ παροξυσμοῦ, μικρὸν ἡμιτριταῖον ὀνομάζουσι τοῦτον, ὥστε οὔτε τριταῖον, οὔτε παρεκτεταμένον ὀνομάζει ποτὲ τριταῖον. εἰ γὰρ ὁ μὲν ἀκριβὴς τριταῖος οὐχ ὑπερβάλλει τὰς δώδεκα ὥρας, ὁ δ' ὑπὲρ ταύτας εὐθύς ἐστι μικρὸς ἡμιτριταῖος, οὐδεὶς ἔσται τριταῖος ἁπλῶς. ἔτι δὲ μᾶλλον οὐδ' ἐκτεταμένος τριταῖος, οὐχ ὑπαρχόντων δὲ τούτων, οὐδ' ἀκριβῆ τριταῖον ὀνομάζειν ἀναγκαῖον ἔσται. μηδενὸς γὰρ ἀκριβοῦς ὄντος, ἡ προσθήκη ματαία. πῶς οὖν ὁ Ἱπποκράτης ἀκριβῆ τριταῖον εἴωθε καλεῖν, ἐνὸν ἁπλῶς ὀνομάζειν τριταῖον, εἴπερ οὗτος μόνος ἐστὶ τριταῖος ὁ τῶν δώδεκα ὡρῶν ὀλιγοχρονιώτερον ἔχων τὸν παροξυσμόν. εὔδηλον οὖν ὅτι τοῦτον μὲν ἀκριβῆ καλεῖ, καὶ μᾶλλόν ἐστι τὸν καὶ τὰ ἄλλα ἔχοντα γνωρίσματα τὰ γεγραμμένα πρὸς ἡμῶν ἐν τοῖς περὶ κρίσεων

ὑπομνήμασιν. ἁπλῶς δὲ τριταῖον τὸν ὑπὲρ τὰς δώδεκα ὥρας ἐκτεταμένον ἔχοντα τὸν παροξυσμόν. ἐὰν δὲ τὰς εἴκοσι τέσσαρας ὑπερβάλλῃ, τριταῖον μακρὸν ἢ ἐκτεταμένον ὀνομάζομεν τοῦτον. ὅς γε δ' αὖ ὑπὲρ τὰ τρία διαστήματα τὸν παροξυσμὸν ἐκτείνῃ, τοῦτον ὀλιγάκις ἂν εὕροις εἰς τὴν καλουμένην εἰλικρίνειαν ἀφικνούμενον. οὐ μὴν οὐδ' ἡμιτριταῖον ἤδη καλέσομεν αὐτόν, ἐὰν μήτε τὰς ἐπαναλήψεις ποιῆται φρικώδεις, μήτε ἐν τῇ ἑτέρᾳ τῶν ἡμερῶν ἕτερον ἔχῃ παροξυσμὸν ἐπαναλήψεως χωρίς. τοῦτον μὲν οὖν ἡμιτριταῖον ὀνομάζομεν. ἐὰν δέ τις διὰ τρίτης παροξύνηται πυρετός, οὐδὲ βραχὺ διάλειμμα ποιούμενος ὡς δοκεῖν ἐν αὐτῷ πλησίον εἶναι τὸν κάμνοντα τῆς εἰλικρινῶς ἀπυρεξίας, τοῦτον ὀξὺν ὀνομάσομεν πυρετόν, αὐτὸ τοῦθ' ὅπερ ὑπάρχει περὶ αὐτοῦ λέγοντες, ὡς διὰ τρίτης παροξύνει. μόνος οὖν ἐπὶ τῶν διὰ τρίτης παροξυνομένων ὀνομασθήσεται τριταιοφυής, ὁ πλησίον ἀπυρεξίας ἀφικνούμενος. εἰ δέ τις καὶ τοὺς ἄλλους ἅπαντας ὀξεῖς πυρετούς, ὅσοι διὰ τρίτης παροξύνουσι τριταιοφυεῖς ὀνομάζειν θέλει, δόξει τάχα καὶ αὐτὸς οὐκ ἀλόγως ἐπὶ ταύτην ἀφῖχθαι τὴν δόξαν. οὐ μὴν τῶν γε εἰς ἀπυρεξίαν ληγόντων τινὰ πυρετῶν ἐφ' Ἱπποκράτους, ἡμιτριταῖον ὀνομάζεσθαι συγχωρήσομεν. ἀκίνδυνοι μὲν γάρ εἰσι, κινδυνώδης δὲ ἡμιτριταῖος. ἐν τῷ μεταξὺ δ' αὐτῶν εἰσὶν αὗται παραφυεῖς, οὕς φησι δύσφορον ἔχειν τὴν πρὸ τοῦ παροξυσμοῦ νύκτα. πάντως μὲν γὰρ ἐκείνοις ὑπάρχει τοῦτο. τοῖς δ' ἐκτεταμένοις τριταίοις οὐ πᾶσιν. ὅπως δὲ μὴ πράγματ' ἔχοιμι, πολλάκις ὑπὲρ τοῦ κατὰ τὸν ἡμιτριταῖον σημαινομένου καὶ γράφων, καὶ τοῖς πυνθανομένοις οὐκ ἀποκρινόμενος, ἐν ἰδίᾳ περὶ τούτου ἔγραψα βιβλίον, ἐν μέντοι τοῖς ἀφορισμοῖς χωρὶς τοῦ τριταιοφυῶν μνημονεῦσαί φησιν ἁπλῶς ὁ Ἱπποκράτης. Ὅσοις δὲ κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη, ὡς ἐπὶ τὸ πολύ. κρίσιν δ' ἤκουσαν, ὑφ' ἧς ὀξύῤῥοπος γίνεται μεταβολή τις ἀξιόλογος, οἱ δ' ἁπλῶς τὸν παροξυσμόν. εἴωθε δὲ ὄντως ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ γίνεσθαι σχεδὸν ἅπασι τοῖς διὰ τρίτης παροξυνομένοις πυρετοῖς, αὐτοῦ τῶν ἀκριβῶν τριταίων. εἰ δέ ποτε κἀπὶ τούτων γίνηται, κρίσιν ἔσεσθαι σημαίνει κατὰ τὴν ἐπιοῦσαν ἡμέραν, καὶ μάλιστ' εἰ καὶ τὰ ἄλλα σημεῖα τοῦ γενήσεσθαι τὴν κρίσιν ὁμολογεῖ.

Βῆχες ξηραὶ βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσι, καὶ οὐ κατὰ λόγον διψώδεες, οὐδὲ γλῶσσαι καταπεφυγμέναι, οὐ τῷ θηριώδει, ἀλλὰ τῷ πνεύματι, δῆλον δέ. ὅταν γὰρ διαλέγωνται, ἢ χάσκωσι, τότε βήσσουσιν. ὅταν δὲ μή, οὔ. τοῦτο δ' ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι μάλιστα γίνεται.

Καὶ κατὰ τοὺς ἀφορισμοὺς ἔγραψεν περὶ τῶν αὐτῶν ὧδέ πως. Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραί, βραχὺ ἐρεθίζουσιν ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσι. τὸ τοίνυν οὐ πάνυ τι διψώδεες, ἴσον δύναται τῷ οὐ κατὰ λόγον διψώδεες. ἐν γὰρ τοῖς καυσώδεσι πυρετοῖς αὐτοῦ ξηρᾶς βηχὸς ἰσχυρῶς γίνονται διψώδεις. ἐὰν δὲ προσγένηται ξηρὰ βήξ, ἄδιψοι μὲν οὐ δύνανται γενέσθαι. θραύεται δ' αὐτῶν τὸ σφοδρὸν τοῦ δίψους, ὡς διψῆν μὲν ἔτι, μὴ μέντοι κατὰ τὴν ἀναλογίαν τοῦ πυρετοῦ. τὸ δ' ἐρεθιζούσας βραχέα γίνεσθαι τὰς βῆχας, οὐκ ἀργῶς πρόσκειται. σφοδραὶ γὰρ γινόμεναι, διαθερμαίνουσι τὰ κατὰ θώρακα καὶ πνεύμονα μόρια. κἂν τούτῳ τόν γε πυρετὸν ἐπαύξουσι, καὶ τὴν βῆχα. μικραὶ δήπου εἰσὶν αἱ βῆχες ἐκ διαλειμμάτων τε μακροτέρων γινόμεναι, μέχρι τοσούτου κινοῦσι τὰ μόρια, μέχρι τοῦ παραγγέλλεσθαι τινὰ εἰς αὐτὰ ὑγρότητα. καὶ οὕτω συμβήσεται μήτε ἀναθάλπειν αὐτὰς ἰσχυρῶς, μήτε ἐξάπτειν τὸν πυρετόν, ὑγρότητά τε παρέχειν τοῖς μορίοις, πρὸς τὰ κινούμενα κατὰ τὰς βῆχας ἀφικνουμένην μετρίας, δι' ἣν οἱ κάμνοντες ἀδιψότεροι γενήσονται. γινομένων δὲ βηχῶν ξηρῶν, καὶ διά τινα κακοήθειαν τοῦ νοσήματος, ἣν ἐφεξῆς ὁποία τίς ἐστιν ἐρῶ, ταύτης ἀφορίζων τὰς ἐν τῷ νῦν λόγῳ βῆχας οὐ τῷ θηριώδει φησὶν αὐτάς, ἀλλὰ τῷ πνεύματι γίνεσθαι. τινὲς δ' οὐχ ἁπλῶς τὸ κακόηθες ἅπαν ἡγοῦνται λέγειν αὐτὸν θηριῶδες, ἀλλ' ἔνιοι μὲν τὴν φθίσιν. ἐπειδὴ γρυπουμένων τῶν ὀνύχων, θηρίοις κατά γε τοῦτο ἐοικότες φαίνονται. τινὲς δὲ θηρίωμα καλεῖσθαί φασιν ἰδίως τὸ ἐν τῷ πνεύμονι ἕλκος. ἔνιοι δ' ὅταν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ἀνέλθωσιν, ἕλμινθας ἐρεθίζειν αὐτάς φασι βῆχες, μήτε λόγῳ τοῦτο ἀποδεῖξαι δυνάμενοι, μήτε τῇ πείρᾳ. τὸ κακόηθες οὖν ἄμεινον ἀκούειν θηριῶδες, ἐάν τε ἀπὸ κεφαλῆς καταφερομένου ῥεύματος βήττωσιν, ἐάν τε ἐφ' ἕλκει τῶν κατά τι τῶν ἀναπνευστικῶν, ἢ τοῖς κατὰ ταῦτα γινομένοις ἀποστήμασιν, ἐάν τε ἐπὶ τοῖς καλουμένοις ἐμπυήμασιν. ἕτεραι δὲ τούτων εἰσὶν *αἱ ὧν κακόηθες αἱ διὰ δυσκρασίαν τῶν ἀναπνευστικῶν ὀργάνων, ἢ τραχύτητα τῆς φάρυγγος, ἢ τῆς τραχείας ἀρτηρίας ἀποτελούμεναι, ποτὲ μὲν ἐξ ἐδεσμάτων, ἢ πομάτων τραχυνόντων, ἐνίοτε δὲ κἀκ τοῦ περιέχοντος ἀέρος. ἐν γοῦν ἀφορισμοῖς αὐτὸς ἔγραψεν. Ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραί, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων.

Ὁ γὰρ εἰσπνεόμενος ἀὴρ ὅταν ἱκανῶς ᾖ ψυχρός, ἐνίοτε μὲν τὰ κατὰ τὴν φάρυγγά τε καὶ τὴν τραχεῖαν ἀρτηρίαν μόρια τραχύνει τε καὶ καταψύχει, ποτὲ δὲ καὶ τῷ πνεύμονι παντὶ καὶ τῷ θώρακι δυσκρασίαν ἐργάζεται. πολλάκις δ' ἀμφότερα τὰ εἰρημένα συμπίπτει, καὶ βήσσουσι μετρίως ἐπ' αὐτοῖς βῆχας ξηράς. σημεῖον δὲ τῶν οὕτως ἐχόντων ἐστὶ τὸ ἐρεθίζεσθαι κατὰ τὰς εἰσπνοάς. ὅταν ἀθρόως δ' ἐμπίπτῃ διαλεγομένοις τε καὶ χάσκουσι, καὶ διὰ τοῦ στόματος εἰσπνέωσιν. ὅταν δὲ διά τε τῆς ῥινὸς εἰσπνέωσι, καὶ θερμὸν τὸν ἔξωθεν ἀέρα κατὰ τὸν οἶκον αὐτῶν ἐργάσηταί τις, ἢ παντάπασιν ἐλάχιστα βήσσουσιν, ἢ οὐδ' ὅλως, διὸ καὶ πρὸ τῶν ῥινῶν ὀθόνιον ἔνιοι προστιθέντες οὕτως εἰσπνέουσι, πεπειραμένοι παροξύνεσθαι τὰς βῆχας, ὅταν ἀθρόως ὁ ψυχρὸς ὁ ἔξωθεν ἀὴρ ὁμιλῶν τοῖς προκατεψυγμένοις τε καὶ τετραχυσμένοις μορίοις. μάλιστα δέ φησιν ἐν τοῖς κοπιώδεσι πυρετοῖς τοῦτο γίνεσθαι. τίνας δὲ κοπιώδεις ὀνομάζει πυρετούς, ἄδηλον. ἆρά γε τοὺς διὰ τὰς σφοδρὰς κινήσεις γινομένους, ἢ καὶ αὐτομάτως συστᾶσι τὴν κοπιώδη φέροντας αἴσθησιν. τὰ γὰρ δὴ τοιαῦτα σχεδὸν οὐδὲ παραφυλάττει τις ἰατρός, οὔτε τῶν νῦν ὄντων, οὔτε τῶν ἔμπροσθεν γεγονότων, καίτοι παράδειγμα τὴν Ἱπποκράτους ἔχοντας ἀκρίβειαν, ἣν ἐχρῆν μιμεῖσθαι τοὺς ἀληθείας ἀντιποιουμένους αὐτῆς δι' ἑαυτήν, οὐ διὰ δόξαν, ἢ χρηματισμόν. ἐγὼ δ' οὖν γινώσκω ἄμεινον εἶναι τῇ πείρᾳ βασανίσαι τὸ λεγόμενον. τοῖς μὲν

ἀπὸ τῶν

ἀπὸ τῶν ἔξωθεν πόνων κοπιώδεσι πυρετοῖς, εἶδον ἐπιγινόμενα τοιαῦτα βηχία. τοῖς δ' ἄλλοις οὐ πάντως τι, καὶ αὐτοῖς δὲ τοῖς διὰ τοὺς ἔξωθεν πόνους οὐχ ἁπλῶς, ἀλλὰ τοῖσγε ἐν κρύει κάμνουσι, καὶ τοῖς ἐν θάλπει σφοδρῷ, καὶ μάλιστα δὴ ὁδοῦ κόνιν ἐχούσης ὥστε καὶ κατὰ συμβεβηκός τι μᾶλλον, οὐ διὰ τὴν κοπιώδη διάθεσιν ἐφαίνοντό μοι βήττειν. τῷ γὰρ τραχυνθῆναι τὰ περὶ τὴν φάρυγγα χωρία, διὰ κρύος ὡς ἔφην, ἢ κόνιν, ἢ τὴν ἐκ τοῦ περιέχοντος αὐτοῖς ἐγγινομένην ἄμετρον ξηρότητα. καὶ πρὸς τούτοις ἔτι διὰ τὴν δυσκρασίαν τῶν αὐτῶν ὀργάνων οὗτοι βήττουσιν, ἐμάθετε γὰρ ὅτι καὶ διὰ δυσκρασίαν γίνονται βῆχες.

Μηδὲν ὑπερορᾶν, μηδὲν εἰκῇ.

Τοῦτο μὲν καὶ αὐτὸ καθ' ἑαυτὸ λεγόμενόν τε καὶ γραφόμενον, οὐδὲν δεῖται πρὸς πίστιν ἢ νόησιν ἑτέρων, ἤτοι προειρημένων, ἢ ἐπιφερομένων. ἐνταυθοῖ μέν τοι καὶ πάντως προσηκόντως ἐπὶ τῷ προκειμένῳ τέτακται. τὰ γὰρ τοιαῦτα θεωρήματα σμικρὰ, καὶ λεπτὰ, καὶ οὐδὲν ἄξια φαίνεται τοῖς πολλοῖς, καὶ διὰ τοῦτο ὑπερορῶσιν αὐτῶν, ὥστε μήτε τῷ λόγῳ σκέπτεσθαι, μήτε τῇ πείρᾳ περὶ φύσεως τοιούτων πραγμάτων. ὥσπερ δὲ τοῦ μηδὲν δεῖν ὑπερορᾶν, παράδειγμά ἐστιν ὁ προειρημένος λόγος, οὕτω καὶ τοῦ μηδὲν προπετῶς, μηδὲ ἀπερισκέπτως συγκατατίθεσθαι, καθάπερ αὐτὸς ἐγὼ κατ' αὐτὴν τὴν περὶ ταύτης ῥῆσιν ἔπραξα, κἂν ταῖς ἄλλαις ἁπάσαις. οὐ γὰρ Ἱπποκράτης μόνον, ἀλλὰ κἂν τοῖς ἄλλοις παλαιοῖς, οὐχ ἁπλῶς οἷς ἂν εἴποι τις αὐτῶν πιστεύω. βασανίζω δὲ καὶ αὐτὸς τῇ τε πείρᾳ, καὶ τῷ λόγῳ, πότερον ἀληθές ἐστιν ἢ ψεῦδος ὃ γεγράφασιν. ὅσοι δ' ἂν πρὸς ἕνα ἑαυτοὺς ἤτοι δούλους, ἢ ἐθελοδούλους ἀπεφήναντο, εὐθέως ἅμα τῷ γεγραμμένον εὑρεῖν τι παρ' αὐτῷ πιστεύουσιν ἀπερισκέπτως τε καὶ εἰκῇ. καθάπερ καὶ ἐπὶ τοῦ μάλιστα, καὶ τοῖς κοπιώδεσι ξηρὰς γίνεσθαι βῆχας, οὔτε ὁποίοις κοπιώδεσιν εἶπεν ἐζήτησαν. ἆρά γε τοῖς ἀπὸ καμάτων τε καὶ τῆς ἔξωθεν ταλαιπωρίας, ἢ καὶ τοῖς χωρὶς τούτων ἴσχουσι τὴν αὐτὴν διάθεσιν, οὔτε πότερον ἁπλῶς, ἢ καὶ κατὰ συμβεβηκὸς ὁ κόπος αὐτοῖς ἐγγίνεται. ὅπερ δὲ ἐπὶ τούτων, τοῦτο κἀπὶ μυρίων ἄλλων ἴστε συμβαῖνον, αὐτοῖς τε τοῖς τὰ συγγράμματα γράψασι, καὶ τοῖς ἐξηγησαμένοις αὐτὰ, καὶ πολὺ μᾶλλον ἔτι τούτοις τοῖς ὁσημέραι περιτρέχουσιν ἐν ταῖς πόλεσιν ἰατροῖς, ἀλόγῳ τριβῇ μόνῃ χρωμένοις. καὶ γὰρ ὑπερορῶσι πολλῶν ὡς μικρῶν, οὐκ εἰδότες ὅτι πολλῶν ἐνίοτε σμικρῶν συνερχομένων ἓν ἐξ αὐτῶν κεφάλαιον ἀξιόλογον ἀθροίζεται. προπετῶς τε συγκατατίθενται τοῖς γεγραμμένοις ὑπό τινος ἀνδρὸς, οὗπερ ἂν αὐτὸς ἑαυτὸν ἕκαστος ἀποφήνῃ δοῦλον. εἰ δὲ μὴ τοῦτό τις ποιήσειεν, ἀλλὰ καθ' ἕτερόν γε τρόπον ἐνίοτε τῷ φανέντι πιθανῷ κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς φαντασίας συγκατατιθέμενος, αὖθις τῷ χρόνῳ πολλῷ σκέψασθαι, καθ' ἑαυτόν τε καὶ μετ' ἄλλων ἀπεφήνατο προπετῶς ὑπὲρ τοῦ σπανίως ὀφθέντος, ὡς πολλάκις, ἢ διηνεκῶς φαινομένου. καὶ τάς γε ἐν ταῖς αἱρέσεσι διαφωνίας ἐντεῦθεν εἰκὸς μάλιστα γεγονέναι, δοξοσόφων τε καὶ φιλαύτων ἀνθρώπων τὰ φανέντα πιθανὰ, χωρὶς τοῦ μετὰ πολλῶν πολλάκις ἀνασκέψασθαι πιστευσάντων ὑπάρχειν ἀληθῆ. καθάπερ δὲ νῦν ἐπὶ σημειωτικοῦ θεωρήματος ὡς ἐπὶ παραδείγματος ἐποιησάμην τὸν λόγον, οὕτω κἀπὶ τῶν θεραπευτικῶν, οὐχ ὑπερορᾶν τινος χρὴ τῶν δοκούντων εἶναι μικρῶν, οὔτ' εἰκῇ καὶ ἀβασανίστως πιστεύειν ταῖς εἰρημέναις αὐτῶν δυνάμεσιν, ὡς ἐν τῇ θεραπευτικῇ πραγματείᾳ μεμαθήκαμεν.

Ἐκ προσαγωγῆς τἀναντία προσάγειν, καὶ διαναπαύειν.

Θεραπευτικὴν συμβουλὴν καλεῖν ἔξεστί σοι, καὶ ὑγιεινὴν αὐτὴν ἐπιδεικνύναι, τότε μηδὲν ὑπερορᾶν, καὶ τὸ μηδὲν εἰκῇ, καθάπερ ἐπὶ παραδείγματός τινος τούτου τοῦ λόγου. τῶν γοῦν ἐθῶν ὡς μικροῦ παραδείγματος ὑπερορῶσιν ἔνιοι τῶν ἰατρῶν, μηδὲ μίαν ἀπ' αὐτῶν ἔνδειξιν εἰς διαφορὰν θεραπείας ἡγούμενοι γίνεσθαι. τινὲς δ' οὐχ ὑπερορῶσι μὲν, ἀπὸ δὲ μοχθηρῶν ἐθῶν ἐνίοτε ἐπὶ τὰ ἐναντία μετάγειν ἐπιχειροῦντες ἀθρόως, οὐ σμικρὰ σφάλλονται. χρὴ δὲ οὔτε ὑπερορᾶν τῶν, οὔτ' ἀθρόως μετάγειν, ἀλλὰ καὶ κατὰ βραχὺ, καὶ μετὰ τοῦ διαναπαύειν αὐτούς. διττῶς δέ ἐστι τοῦ διαναπαύειν ῥήματος ἀκοῦσαι. καθ' ἕνα μὲν τρόπον, ἵνα μὴ μόνον τοὐναντίον ἔθος κατὰ βραχὺ μετάγωμέν τινας, ἀλλὰ καὶ μεταξὺ διαναπαύωμεν ὅλην τὴν μεταβολὴν, οἷον ὅταν ἐξ ἀργίας ἄγωμεν εἰς τὰ γυμνάσια, πρῶτον μὲν ἀπὸ τῶν βραχυτάτων ἀρξόμεθα, καὶ κατὰ βραχὺ ταῦτα παραυξήσομεν, εἶτα παραβαλοῦμεν ποτὲ μίαν, ἢ καὶ δύο ἡμέρας ἀργάς. καθ' ἕτερον δὲ τρόπον ἐστὶν ἀκοῦσαι τοῦ διαναπαύειν, ὡς ἀντιδιῃρημένου τῷ προσάγειν. ἵν' ἐφ' ὧν μὲν οὐκ ὂν ἔμπροσθεν ἔθος ἐμποιῆσαι βουλόμεθα, προσάγομεν αὐτὸ κατ' ὀλίγον. ἐφ' ὧν δὲ τὸ πρότερον ὑπάρχον καταλῦσαι, κατὰ βραχὺ πάλιν ἐπὶ τούτων ἀναπαύωμεν.

Τῷ ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφέλησεν.

Οἱ παλαιότεροι τῶν ἐξηγητῶν ὠφέλησεν ἐπὶ παρεληλυθότος χρόνου γεγραμμένον ἐπίστανται. καὶ φασί γε τὸ μὲν ὠφελεῖ κατὰ τοὺς ἀφορισμοὺς γεγράφθαι καθολικὴν ἀπόφασιν ἐν τούτοις ποιησαμένου τοῦ παλαιοῦ. τὸ δ' ὠφέλησεν ἐνταῦθα πρὸς ὑπόμνησιν αὐτῷ γεγραφότος ἐπί τινος ἑνός. ἵνα ὅταν ἐπὶ πολλῶν πειραθῇ τοῦ βοηθήματος, ἀποφήνασθαι τολμήσῃ καθόλου περὶ αὐτοῦ. δῆλον δ' ὅτι καὶ τοπικόν ἐστι τὸ βοήθημα τοῦτο, καὶ ἀντισπαστικὸν ἐπὶ τἀναντία. τὴν δὲ ὀρθὴν ἐν μετώπῳ φλέβα, καὶ πρὸ τῆς ἀνατομῆς ἐναργῶς ἐστιν ἰδεῖν. ἡ δὲ ἀνατομὴ συῤῥεῖν ταῖς ἑκατέρωθεν αὐτὴν ἐπιδείκνυσιν. οὐκ ὀρθῶς οὖν ἔνιοι περὶ τῆς τομῆς ᾠήθησαν λελέχθαι τὸ, ὀρθήν. οὐ γὰρ διὰ τὸ σχῆμα τῆς τομῆς ἡ ὠφέλεια γίνεται τοῖς ὀδυνωμένοις, ἀλλὰ διὰ τὴν κένωσιν τοῦ αἵματος.

Αἱ διαδέξιες τῶν ὑποχονδρίων ἐξ οἵων εἰς οἷα, καὶ ἄλλαι, καὶ τῶν σπλάγχνων τῶν φλεγμονῶν οἷα δύναται, εἴτ' ἐξ ἥπατος σπλὴν, καὶ τἀναντία, καὶ ὅσα τοιαῦτα.

Οὐ μόνον ἐξ οἵων καὶ ἄλλαι γεγραμμένον εὑρίσκομεν, ἀλλὰ καὶ ἐξ οἵων οἷα ἀλλοιοῦσι. καὶ ἐξ οἵων οἷα ποιοῦσι. καὶ τὴν μὲν πρώτην γραφὴν, οἵ τε παλαιοὶ τῶν ἐξηγητῶν ἴσασι, καὶ Ῥοῦφος. τὴν δ' ἐξ οἵων οἷα ἀλλοιοῦσιν, οἱ περὶ Σαβῖνον, καὶ Διοσκουρίδην. τὴν δ' ἐξ οἵων οἷα ποιοῦσιν, οἱ περὶ τὸν Λύκον. ἔστι δὲ τῆς παλαιᾶς γραφῆς ἡ διάνοια καθολικόν τι διδάσκουσα, τῶν δ' ἄλλων ἐν μέρει. περὶ γὰρ τῶν καθ' ὑποχόνδριον διαδοχῶν ἀποφαίνονται μόνον οὐ περὶ πασῶν. ἀμφ

νον δὲ ἐν οἷς ἐγχωρεῖ, καὶ ἀληθές ἐστι τὸ καθόλου μᾶλλον ἡγεῖσθαι, διδάσκειν αὐτὸν οὐ τὸ κατὰ μέρος. ὁ μὲν οὖν καθόλου λόγος ἐστὶ τοιοῦτος. τὰς δὲ διαδοχὰς ἐπισκέπτεσθαι προσήκει, τάς τε καθ' ὑποχόνδριον, καὶ τὰς ἄλλας ἁπάσας, ὁποίων γίνονται παθῶν, ἢ μορίων, εἰς οἷα μέρη τε καὶ πάθη, καθάπερ ἐφ' ἥπατός τε καὶ σπληνός. αὐτὸς γὰρ ἐμνημόνευσε τούτων ἕνεκα παραδείγματος, εἰδότων ἡμῶν ἐπικινδύνους μὲν οὔσας τὰς εἰς ἧπαρ ἐκ σπληνός, ἀκινδύνους δὲ καὶ πρὸς ἀγαθοῦ μᾶλλον ὅσαι διαδοχαὶ νοσημάτων ἀφ' ἥπατος εἰς σπλῆνα γίνονται. πάντα δὲ τὰ περὶ τῶν ἀποστάσεων ἅστε ἡ φύσις εἴωθε μόνη ποιεῖσθαι καθ' ἑαυτήν, ἅς θ' ἡμεῖς ἢ μετ' ἐκείνης, ἢ μόνοι, κατά τε τὸ περὶ χυμῶν, καὶ τὸ δεύτερον τῶν ἐπιδημιῶν προεξήγημαι. καὶ ἄλλαι δέ τινές εἰσι γραφαὶ παρ' ἃς ἔγραψα, κατά τε τήνδε καὶ πολλὰς ἄλλας ῥήσεις. ἀλλ' ἐγὼ κατ' ἀρχὰς εὐθέως ὀλίγων ἔφην μνημονεύειν ἐξηγήσεών τε καὶ γραφῶν, ὅπως μὴ πολλὰ γίνονται τὰ τοῦ προκειμένου γράμματος ὑπομνήματα.

Ἀντισπᾶν ἢν μὴ ᾗ δεῖ ῥέπῃ, ἢν δὲ ὅπῃ δεῖ, τουτέοισι δεῖ στομοῦν οἷως ἕκαστα ῥέπῃ.

Ἔμαθον ἤδη καὶ περὶ τούτων ὡς ἀκτέα μέν ἐστιν ᾗ ῥέπει τῶν συμφερόντων χωρίων, ἀποτρεπτέα δὲ καὶ ἀντισπαστέα τὰ μὴ καλῶς ῥέποντα. τὸ δὲ στομοῦν εἴρηκε νῦν, οὐχ ὡς ἐπὶ τῶν ἀποσκημμάτων εἰώθαμεν λέγειν, ἀντὶ τοῦ διελεῖν σμίλῃ, γενικώτερον δὲ τοῦτο, καθὸ καὶ τὸ ἀναστομοῦν περιέχεται, καὶ φλέβας ἡμῶν ἀναστομούντων ἐν αἱμορροΐσι, καὶ τὰς διὰ ῥινῶν, ἢ μήτρας κενώσεις. καί τινας σύριγγας ἐκ χρόνου μὲν ἱκανοῦ συνήθεις, ἐστεγνωμένας δὲ κατά τινα καιρόν. καὶ δι' ὤτων δέ τινος ἐκκαθαιρομένου συνήθως τὰ κατὰ τὸν ἐγκέφαλον, ἐπισχεθείσης ἀθρόως τῆς κενώσεως ἰλίγγου σκοτώσεων ἐπιγενομένων ἐρεθίσαντες ἐπ' ὦτα διὰ τῶν ἀναστομωτικῶν φαρμάκων, εἴδομεν εὐθέως ὠφεληθέντα τὸν ἄνθρωπον.

Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα, οἷα Σίμων εἶχε χειμῶνος, ὃς ὅτε πρὸς πῦρ ἀλείψαιτο, ἢ θερμῷ λούσαιτο, ὀνίνατο, ἔμετοι οὐκ ὠφέλεον, οἴομαι εἴ τις ἐξεπυρία ὀνίνασθαι ἄν.

Ὡς ἐπὶ τῶν φυμάτων εἴπομεν ὅσα ὑπὸ θερμοῦ γίνονται χυμοῦ, ταχὺ κρίσιμά τε εἶναι καὶ ἥκιστα πλατέα. τὰ δὲ ὑπὸ ψυχροῦ, πλατέα καὶ χρόνια, κατὰ τὸν αὐτὸν λόγον ἐπίστασθαι χρὴ καὶ περὶ τῶν ἐξανθημάτων. οὐ γὰρ ὅλῳ τῷ γένει διαφέρει τῶν φυμάτων, ἀλλὰ τῇ ποιότητι τοῦ γεννῶντος αὐτὰ χυμοῦ. γεννῶνται δὲ καθαιρούσης τὸ βάθος τοῦ σώματος τῆς φύσεως, ὥσπερ ἐνίοτε δι' ἐκκρίσεως, οὕτω καὶ δι' ἀποθέσεως ἐπὶ τὸ δέρμα. τοὺς μὲν γὰρ λεπτοτέρους τε καὶ ὑδατωδεστέρους χυμοὺς διαφορεῖ λεπτύνουσα. τῶν δὲ παχυτέρων ἐμπλαττομένων τῷ δέρματι, καὶ μᾶλλον κατὰ τὴν ἐπιδερμίδα πυκνὴν οὖσαν, ἐξανθήματα γίνονται. καὶ τοῦτο συμβαίνει μᾶλλον ἐκείνοις, ὅσοις πυκνότερόν τε καὶ σκληρότερόν ἐστι τὸ δέρμα. δυσχερὴς γὰρ ἡ δι' αὐτοῦ γίνεται τῶν παχυτέρων τε καὶ γλισχροτέρων χυμῶν διέξοδος. οὕτως οὖν καὶ τῷ Σίμωνι τοῦ χειμῶνος ἐξανθήματα πλατέα γίνεσθαι, καθ' ὃν αὖ χρόνον ἀξιολόγως θερμανθῇ τὸ σῶμα λουτροῖς χρησαμένῳ, ἢ ἀλειψαμένῳ παρὰ πυρί. τῷ δ' ἄλλῳ χρόνῳ κατὰ τὸ βάθος ἔμενον οἱ τῶν τοιούτων ἐξανθημάτων αἴτιοι χυμοί. εἶτα φησὶ μηδὲν αὐτὸν ὑπὸ τῶν ἐμέτων ὀνίνασθαι. πότερον δ' αὐτὸς ὁ Ἱπποκράτης ἦν ὁ συμβουλεύσας χρῆσθαι τοῖς ἐμέτοις, ἢ ἄλλος τις, οὐκ ἐδήλωσεν, οὐ μήν ἐστιν ἀναγκαῖον ἡμῖν ἐπίστασθαι. μόνον γὰρ ἀρκεῖ τὸ γνῶναι τοὺς πρὸς τὸ δέρμα ῥέψαντας χυμούς, δι' ἐκείνου χρῆναι κενοῦν. ἐπειδὴ πόρρω πάλιν αὐτοῖς ἐστι, ἡ εἰς τὸ βάθος ἀντίσπασις ὡς διὰ γαστρός, ἢ ἐμέτων ἐκκενοῦσθαι. ἴσως οὖν οἰήσῃ με λέγειν μηδέποτε καθάρσει χρῆσθαι τῇ διὰ γαστρὸς ἐπὶ τῶν τοιούτων. ἐγὼ δ' οὐ φημὶ τοῦτο. μεμαθήκατε γὰρ ἐν τοῖς θεραπευτικοῖς, ὠφελίμους εἶναι τὰς καθάρσεις, ἐφ' ὧν ἡ περιουσία τῶν χυμῶν ἐστι παμπόλλη. πρὶν γὰρ οὕτω κενῶσαι, τὸ πλεονάζον αὐτῆς, ἢ διὰ φλεβοτομίας, ἢ διὰ καθάρσεως, ἐάν τις ἐκπυειῶν μόνον, ὅπερ ἐστὶ τοῖς θερμαίνουσι χρώμενος ἐπιχειρῇ διαφορεῖν, ἐπισπάσεται μᾶλλον ἢ κενώσει διὰ τοῦ δέρματος. ἀλλ' ἥγε τῶν ἐμπεπλασμένων τῷ δέρματι πάντως θεραπεία ἐστὶ διὰ τῶν ἐκπυειώντων τε καὶ θερμαινόντων φαρμάκων, καὶ μάλιστα ὅταν ᾖ πλατέα. δηλοῦται γὰρ ὁ γεννῶν αὐτὰ χυμὸς οὐ θερμός, οὐδὲ λεπτὸς ὑπάρχων, ἀλλ' ἱκανῶς παχύς, ἢ ψυχρός. ἐμάθετε δ' ἤδη καὶ περὶ τῶν φυμάτων ἔμπροσθεν, ὡς τὰ μὲν ἀποκορυφοῦνται εἰς ὀξύ, καὶ οἷον ὀργῶντα θερμῶν χυμῶν ἐστιν ἔγγονα, τὰ δ' ἐναντία ψυχροτέρων. τὸ δ' ὀργᾶν αὐτά, διά τε τῶν κνησμωδῶν, καὶ τῆς ὀδύνης ἔνεστι διαγινώσκειν. τὰ μὲν γὰρ μετρίως θερμά, κνησμὸν μόνον ἐργάζεται. τὰ δ' ἐπὶ πλέον ἥκοντα τοῦ θερμαίνειν, εὐθέως δάκνει καὶ ἀνιᾷ.

Ὁκόσα πεπαίνεσθαι δεῖ ἐγκατακεκλεῖσθαι δεῖ, τἀναντία δὲ ξηραίνειν, καὶ ἀνεῷχθαι.

Καὶ περὶ τούτου πολλάκις ἀκηκόατε, καὶ μάλιστα ἐν τοῖς περὶ τῶν ἐκπυϊσκόντων φαρμάκων, ὡς οὐ χρὴ διαφορητικὴν αὐτῶν εἶναι τὴν δύναμιν, ἀλλὰ τὴν ὀνομαζομένην ἐμπλαστικήν. ταῦτα γὰρ ἀποστέγει, καὶ συνέχει, καὶ ἀποκλείει τὸ ἔμφυτον θερμόν, οὐκ ἐῶντα διαπνεῖσθαι. πέττεται δὲ ὑπὸ τούτου τὰ περιττώματα. πάλιν δὲ κἀνταῦθα μὴ παρακούσητε, μηδ' οἰηθῆτε πάντα με λέγειν τὰ δύσπεπτα, καὶ ἔχοντα πῦον μηδ' ὅλως, οὕτω θεραπεύεσθαι. σήπεται γὰρ ἔνια τῶν τοιούτων ὑπὸ ἐμπλαστικῶν φαρμάκων, ἢ διὰ μοχθηρίαν τῶν ἐργαζομένων αὐτὰ χυμῶν, ἢ δι' ἀσθένειαν τοῦ πάσχοντος μορίου, τὴν ἔμφυτον θερμασίαν οὕτως ἔχοντος ὀλίγην τε καὶ ἄρρωστον, ὡς μηδ' ἐπιχειρεῖν τῇ πέψει τῶν κατασκηψάντων ἐπ' αὐτὸ χυμῶν. ἐπὶ τούτων μὲν οὖν ἀμυχαῖς τε βαθυτάταις ἀνοίγομεν τὸ δέρμα, καὶ πολλάκις γε καὶ διατέμνομεν ἄχρι βάθους κατὰ πολλὰ μέρη τοῦ πεπονθότος μορίου, φαρμάκοις τε χρώμεθα ξηραντικωτάτοις. ἐφεδρεύει γὰρ ταῖς τοιαύταις φλεγμοναῖς ἡ καλουμένη γάγγραινα, νενικημένης κατ' αὐτὰς ἤδη καὶ πλησίον ἡκούσης τοῦ τελέως ἀποσβεσθῆναι τῆς ἐμφύτου θερμασίας. ἐφ' ὧν οὖν φλεγμονῶν, ἢ ὅλως ὄγκων ὡντινωνοῦν, οὐκ ἐν κινδύνῳ σβέσεώς ἐστι, καὶ τελείας ἀπωλείας ἡ ἔμφυτος θερμασία, καὶ διὰ τοῦτο δύναται βοηθείας τυχοῦσα κρατῆσαι τῶν χυμῶν, ἐπὶ τούτων χρώμεθα τοῖς ἐμπλαστικοῖς φαρμάκοις ἅπερ ἐν αὐτῷ τούτῳ σαφῶς ἐδήλωσεν εἰπών. ὅσα πεπαίνεσθαι δεῖ, τὰ δ' ἐγγὺς ὄντα τοῦ γαγγραινοῦσθαι καὶ τὰ ἤδη σηπόμενα, τὴν ἀρχὴν οὐδὲ δεῖ-

ται

ται πεπαίνεσθαι. διὸ τὰ μὲν ὡς ἔφην κενώσεσί τε διὰ μυχῶν, καὶ τομῶν, καὶ φαρμάκοις ἰσχυροτάτοις θεραπεύομεν. τὰ δ' ἤδη σηπόμενα τέμνομέν τε καὶ καίομεν. καλῶς οὖν προσέθηκε, τὰ ἐναντία δὲ ξηραίνειν καὶ ἀνέῳχθαι, τουτέστι τὰ μὴ δεόμενα διαπυΐσκεσθαι. χρεία γάρ ἐστιν ἐπὶ τῶν διαπυησάντων, ἀνέῳχθαί τε τὰς ἐκροὰς ἁπάσας, καὶ ξηραίνεσθαι τὰ πεπονθότα μόρια. δῆλον οὖν ἐκ τούτων οὐκ ὀρθῶς ὑπ' ἐνίων γεγράφθαι ὅσα ξηραίνεσθαι κατακεῖσθαι δεῖ, τουτέστιν ἡσυχάζειν κατακείμενα. πρὸς γὰρ τῷ σμικρὸν εἶναι τοῦτο καὶ πρόδηλον ὡς μὴ δεῖσθαι πεφροντισμένος ὑπὲρ αὐτοῦ τὸν Ἱπποκράτην γράψαι, καὶ ἡ ἀντίθεσις ἐδήλωσε, μὴ πρὸς τὴν κατάκλεισιν, ἀλλὰ πρὸς τὸ κατακεκλεῖσθαι γεγονέναι. τοῖς γὰρ κατακεκλεισμένοις, καὶ ἀποστεγομένοις, ἐναντία τὰ διαφορούμενά τ' ἐστὶ, καὶ τὰ ξηραινόμενα. ταύτῃ τῇ ῥήσει τινὲς συνάπτουσι τὴν ἐφεξῆς, καὶ μάλιστα ὅσοι βούλονται γεγράφθαι μετὰ ταύτην, τὸ οἷον, ὥστε ὅλον τὸν λόγον εἶναι τοιοῦτον. ὅσα πεπαίνεσθαι δεῖ, ἐγκατακεκλεῖσθαι δεῖ. τἀναντία καὶ ξηραίνειν, καὶ ἀνέῳχθαι.

Οἷον ὀμμάτων ῥοωδέων, ἤν ἄλλως φαίνηται συμφέρειν, ἀντισπᾷν εἰς φάρυγγα.

Καίτοι γε οὐχ ὅμοιόν ἐστι τὸ κατὰ τήνδε τὴν λέξιν διδασκόμενον τῷ προειρημένῳ. τὸ γὰρ ξηραίνειν καὶ ἀνέῳχθαι, διαφέρει τοῦ ἀντισπᾶν. πῶς οὖν προειρηκὼς, τἀναντία δεῖ ξηραίνειν καὶ ἀνέῳχθαι, δύναιτ' ἂν ὡς παράδειγμα λέγειν ἐπὶ τῶν ῥοωδῶν ὀμμάτων ἀντισπᾶν εἰς φάρυγγα.

Καὶ ὅπη ἐρεύξις λυσιτελέει, καὶ ὅσα ἄλλα τοιαῦτα.

Ἔνι τῶν κατ' εἶδος ἀντισπαστικῶν βοηθημάτων, τουτέστι συμβουλεύοντος ἡμῖν αὐτοῦ τὰ χρόνια τῶν ὀφθαλμῶν ῥεύματα μετάγειν, ἀντισπώντος ἐπὶ φάρυγγα διὰ φαρμάκων δηλονότι δριμέων, οἷς διαχρίειν τε δεήσει τὸν οὐρανίσκον, ἀνακογχυλίζεσθαί τε κελεύειν, ἐάν γε μηδὲν ἐκ τούτου μέλλωμεν ἐργάζεσθαι χεῖρον. ἐφ' ὧν γὰρ εὐλαβούμεθα μή πως εἰς τὴν τραχεῖαν ἀρτηρίαν, καὶ τὸν πνεύμονα τραπῇ τὸ ῥεῦμα, φυλαξόμεθα τὴν τοιαύτην ἀντίσπασιν, ὥσπερ οὖν ἐπὶ τούτου συνεβούλευσεν, οὕτω κἀπὶ τῶν ἄλλων ἀξιοῖ σε προορᾶσθαι, μή τι τῶν μορίων εἰς ἃ τὴν ἀντίσπασιν ἐργάζῃ, κινδυνεύσῃ μεγάλως βλαβῆναι. τινὲς δ' ἐπὶ τῶν καλουμένων ῥοιάδα κατ' ὀφθαλμὸν ἐχόντων τὸν λόγον, τοῦτον αὐτῷ γεγονέναι φασὶν ὥσπερ καὶ ὁ Λύκος, ὃς ἀποτείνας μακρὸν λόγον, ἐκ τῶν ὀφθαλμῶν εἰς ὑπερῴαν φησὶ διήκειν πόρον, ἐκκενοῦντα ταύτῃ τὸ κατ' αὐτοὺς γεννώμενον περίττωμα. κεῖσθαι δὲ τὸν πόρον τοῦτον παρὰ τὸν μέσον κανθὸν, καὶ γίνεσθαι ῥοιάδα κατὰ τρόπους τρεῖς. ἤτοι τοῦ πόρου μύσαντός πως, ἢ φραχθέντος, ἢ τοῦ περιττώματος πολλοῦ συλλεγομένου κατὰ τὸν ὀφθαλμὸν, ὡς ὑπορχεῖσθαί τι, μὴ δεχομένου πᾶν αὐτὸ τοῦ πόρου διὰ φυσικὴν στενότητα. καὶ κατὰ τρόπον ἄλλον ὅταν οὐλὴ κατὰ τὸν κανθὸν γενομένη, τυφλώσῃ τὸν πόρον, ἣν καὶ μετὰ τὰς ἐκτομὰς τῶν ἀκανθίδων γίνεσθαί φησι, καὶ ἄλλως ἑλκωθέντος τοῦ τόπου. ταύτην μὲν οὖν ἀνίατον εἶναι, τὰς δ' ἄλλας ἰασίμας, ἀντισπώντων ἡμῶν εἰς φάρυγγα. τὸ δὲ καὶ ὅπη ἐρεύξις λυσιτελέει, προσκείμενον συμβολικῶς ἑαυτῷ γράψαντος τοῦ Ἱπποκράτους. ὅτι μὲν γὰρ ἔνθα λυσιτελής ἐστιν ἐρεύξις, ἐνταῦθα χρὴ κινεῖν ἐρυγὰς, εὔδηλον. ἐπὶ τίνων δ' ἐστὶ λυσιτελὴς, οὐκ εἶπε, ἀλλ' οὐδὲ κατὰ τοὺς ῥοιώδεις ὀφθαλμοὺς ὅμοιόν ἐστι τούτῳ, διὸ καὶ παρεγκείμενον ἀτάκτως, ἀσάφειαν εἰργάσατο. περὶ μὲν γὰρ τῶν ῥοιωδῶν ὀφθαλμῶν ἀντισπαστικὸν ἔγραψε βοήθημα. τὸ δ' ὅπη ἐρεύξις λυσιτελέει, δυοῖν θάτερον, ἤτοι γ' ἐπὶ τῶν ῥοιωδῶν ὀφθαλμῶν εἰρῆσθαι χρὴ, καὶ φαίνεται μηδὲν ἐρυγὴ συντελοῦσα πρὸς τὴν ἴασιν αὐτῶν, ἢ τινὸς ἀρχὴν ἑτέρου λόγου. διὸ καί τινες ἠναγκάσθησαν χωρίσαντες τῶν προειρημένων αὐτὸ, ἑτέραν ῥῆσιν ποιήσασθαι τοιάνδε. καὶ ὅκου ἐρεύξις λυσιτελέει, καὶ ὅσα ἄλλα τοιαῦτα τὰς ἐφόδους ἀνεσομένας. ἀλλ' οὐδὲ τοῦτο πάλιν οἰκείως ἐπιφέρεσθαι δόξει, οἷον ῥῖνες, καὶ τὰ ἄλλα ὧν δεῖ. καὶ τὰ ἐφεξῆς. ὅσοι τοίνυν αὐτὸ καθ' ἑαυτὸ μόνον ὑποτετυπῶσθαί φασιν ἑαυτῷ τὸν Ἱπποκράτην, τὸ ὅκου εὕρεσις λυσιτελέει, νομίζουσιν αὐτὸν ἀξιοῦν ἐρυγὰς ἐνίοτε συμβουλεύειν κινεῖν. καὶ ἁρμόττειν γε αὐτάς φασιν ἐπὶ τῶν ἐμπνευματουμένων τὴν γαστέρα, καὶ μάλιστα ἐφ' ὧν οὐ διέρχεται κάτω τὸ φυσῶδες πνεῦμα. καὶ μέντοι καὶ τὸν στόμαχον ἀτονοῦντά φασι ῥώννυσθαι διὰ τῶν ἐρυγμῶν ὡς δι' οἰκείου γυμνασίου, καὶ κινεῖν γε τὰς ἐρυγὰς συμβουλεύουσιν οὐ μόνον διὰ φαρμάκων, ἀλλὰ καὶ αὐτὸν ἐπιτηδεύοντα συνεχῶς ἐρυγγάνειν, κἂν ὀλίγου τινὸς αἰσθάνηται πνεύματος ἐν τῷ στομάχῳ. Σαβῖνος δὲ βομβυλίου στενοστόμου πίνοντα, κελεύει κινεῖν ἐρυγάς. ἔνιοι δὲ καὶ τὰς κενώσεις τοῦ φυσώδους πνεύματος ὁπόθεν ἂν γίνονται, καὶ ὁπωσοῦν ἐρεύξιν αὐτὸν ὠνομακέναι φασί. καθ' οὓς, καὶ βὴξ, καὶ πταρμὸς, καὶ λὺγξ, καὶ φῦσα δι' ἕδρας ἐκκρινομένη, καὶ αἱ καθ' ὅλον τοῦ σώματος διαπνοαὶ τοῦ πνεύματος ἐρεύξεις κληθήσονται. τινὲς δὲ καὶ πᾶσαν ἔκκρισιν ὀνομάζεσθαί φασιν ἐρεύξιν, οὐ μόνον ἐὰν πνεύματος, ἀλλὰ κἂν τινῶν ὑγρῶν ᾖ, τὴν τοῦ ποιητοῦ λέξιν ἐπαγόμενοι μαρτύριον ἔνθα φησίν. ἐρευγομένης ἁλὸς ἔξω, μοχθηρὰν ὁδὸν ἐξηγήσεως ταύτην τεμνόμενοι. τὰ γὰρ ὑπὸ τῶν ποιητῶν σπανίως εἰρημένα κατά τινα τρόπον ποιητικὸν, ἐὰν ὡς κυρίως λελεγμένα τις ἐξηγῆται, διαστρέφειν δυνήσεται καὶ τὰ σαφῶς εἰρημένα πάντα.

Τὰς ἐφόδους ἀνεσομένας, οἷον ῥῖνας, καὶ ἄλλα ὧν δεῖ, καὶ ὡς δεῖ, καὶ οἷα, καὶ ὅπη, καὶ ὅτε, καὶ ὅσα δεῖ, οἷον ἱδρῶτες, καὶ τἄλλα δὴ πάντα.

Τοῦτο καθ' ἑαυτὸ μὲν ἄξιόν ἐστι μνημονεύεσθαι. συμφέρει γὰρ ἀνεσομένας τοὺς ἐκκριτικοὺς πάντας πόρους τῶν περιττωμάτων, καὶ τῷ προειρημένῳ δὲ συνάπτεσθαι δύναται, διττὴν χρείαν παρεχόμενον. ἰδίαν μὲν ἐπὶ τῶν ῥοιωδῶν ὀμμάτων, κοινὴν δὲ πάντων ἐφ' οὗ ἀντισπᾶν ἢ παροχετεύειν προσῆκεν. ἐὰν γὰρ ἀντισπάσεως μὲν ᾖ χρεία, φοβούμεθα δ' αὐτὴν ποιήσασθαι, παροχετεύειν τὸ αἷμα προσήκει, καὶ κενὸν ὅλον ἐργάζεσθαι τὸ σῶμα. τὰ δ' ἐφεξῆς γεγραμμένα πολλάκις ἤδη παρ' αὐτοῦ μεμαθήκαμεν ἐπὶ πάσης κενώσεως ὄντα χρήσιμα. δεῖ γὰρ οὐχ ἁπλῶς ὅταν χρεία κενώσεως, ἐπ' αὐτὴν παραγίνεσθαι, ἀλλὰ προδιορισάμενον ὅπως ταύτην ποιήσασθαι χρὴ, καὶ ὁποῖα προσῆκεν εἶναι τὰ κενωθησόμενα, καὶ καθ' ὅτι χωρίον, ἐν τίνι τε καιρῷ, καὶ μέχρι πόσου. λεκτέον δὲ καὶ νῦν ἀναμνήσεως ἕνεκα περὶ ἑκάστου διὰ βραχέων. τὸ μὲν ὡς δεῖ, τοιόνδε τι σημαίνει, τὰς ἀφόδους ἀνεσομένας οὐ

μὴν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ὡς δεῖ. τοῦτο δὲ σημαίνει τὸν τρόπον δι' οὗ ποιησόμεθα τὰς κενώσεις, οἷον ἐπὶ τῶν κατὰ γαστέρα διὰ κλυστῆρος, διὰ βαλάνου, δι' ὑπηλάτου φαρμάκου, καὶ καθ' ἕκαστον αὐτῶν διαφόρων τινῶν. καὶ γὰρ οἱ κλυστῆρες πολυειδῶς συντίθενται, καὶ βάλανοι, καὶ τὰ καθαρτικά τε καὶ ὑπήλατα καλούμενα φάρμακα. τὸ μὲν οὖν ὡς δεῖ, τοιοῦτόν τι σημαίνει. τὸ δὲ, οἷα, τὸ ποιὸν τῶν κενουμένων δηλοῖ, τουτέστιν, ἆρά γε ὑδατώδη καὶ λεπτὰ [κενοῦν ἐστι βέλτιον, ἢ φλεγματώδη] χυμὸν, ἢ πικρόχολον, ἢ μελαγχολικὸν, ἢ τινὰ τούτων, ἢ καὶ πάντας. τὸ δὲ, ὅπῃ, τὸ μέρος τοῦ σώματος ἐνδείκνυται, δι' οὗ χρὴ κενοῦν. κἂν γὰρ ὅτι διὰ τῶν κάτω κενῶσαι προσήκειν γνῶμεν, ἀλλὰ δι' οὗ γε τῶν κάτω χωρίων, προσδιορίσασθαι δεῖ, διὸ καὶ τινὲς ἀντὶ τοῦ, ὅπῃ, τὸ οὗ δεῖ, γεγράφασιν, ἐνδεικνύμενοι τὸ δι' οὗ, πότερα διὰ κύστεως, ἢ διὰ γαστρὸς, ἢ δι' ὑστέρας. καὶ πάλιν ἄνω, πότερα διὰ ῥινῶν, ἢ διὰ στόματος. ἔστι δέ τις ἡ δι' ὅλου τοῦ σώματος κένωσις, ἥτε διὰ τῶν ἱδρώτων καὶ ἡ διὰ τῆς ἀδήλου καλουμένης διαπνοῆς. τὸ γε μὴν, ὅτε, σαφῶς τοῦ καιροῦ δηλωτικόν ἐστιν ἐν ᾧ χρὴ κενοῦν. ἆρά γε κατ' ἀρχὰς πρὶν πεφθῆναι τὴν νόσον, ὅταν ὡς αὐτὸς ἔλεγεν ὀργᾷ, ἡ πρὸς τὴν ἔκκρισιν ἐπείγεται τῶν ὑγρῶν ἡ διοικοῦσα τὰ ζῶα φύσις, ἢ μετὰ τὸ πεφθῆναι τοὺς λυποῦντας χυμούς. καὶ γὰρ καὶ τοῦτο αὐτὸς ἐδίδαξεν, ὥσπερ ἐν τῷ προτέρῳ ἐν ἀφορισμοῖς. τὸ δὲ ὅσα δεῖ, κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, ἐνδείκνυται τὴν ποσότητα τῶν κενουμένων ἧς αὐτῆς στοχάσασθαι δεῖ τὸν ἰατρόν. εἶτ' ἐν παραδείγματος μοίρᾳ πρόκειται τὸ, οἷον ἱδρῶτες. καίτοι γε ὠφέλιμος εἶναι δοκῶν τοῖς νοσοῦσιν ὁ ἱδρὼς, ὅμως καὶ αὐτὸς συμμετρίας χρῄζει. τὸ γοῦν ἄμετρον αὐτοῦ, διαλύει τὴν δύναμιν. ὅπου δ' ἐπὶ τῶν ἱδρώτων ἡ ὑπερβολὴ τοῦ πλήθους ἐστὶ βλαβερά, πολλῷ δή τοι μᾶλλον ἐπὶ τῶν ἐμουμένων ἢ διαχωρουμένων, ἢ δι' αἱμορροΐδων, ἢ διὰ μήτρας κενουμένων.

Ἐπὶ τοῖσι μεγάλοισι κακοῖσι πρόσωπον ἢν ᾖ χρηστὸν, σημεῖον χρηστόν. ἐπὶ δὲ τοῖσι σμικροῖσι τἀναντία σημαῖνον τῇ δυσημείῃ, κακόν.

Καὶ ταύτης τῆς ῥήσεως τὸ δεύτερον μέρος ἄλλος ἄλλως γράφει, τῶν ἐξηγησαμένων τὸ βιβλίον. εἰ δὲ προσθείη τις αὐτῇ τὸ, τῇ, ἄρθρον, οὐδὲν ἕξει ζήτημα τοιάδε γενομένη, ἐπὶ δὲ τοῖς μικροῖς τἀναντία σημαῖνον τῇ δυσημείῃ, κακόν, ἵνα καὶ ὁ σύμπας λόγος ᾖ τοιοῦτος. ἐπὶ τοῖς μεγάλοις κακοῖς, εἴτ' οὖν πάθεσιν, ἢ συμπτώμασιν, ἐὰν ᾖ τὸ πρόσωπον χρηστὸν, τουτέστιν ὅμοιον τῷ κατὰ φύσιν, ἀγαθόν ἐστι σημεῖον. ἐπὶ δὲ τοῖς μικροῖς, πάλιν οὖν κἀνταῦθα πάθεσιν, ἢ συμπτώμασιν, ἐὰν τἀναντία σημαῖνον γένηται τὸ πρόσωπον τῇ προειρημένῃ δυσημείῃ, κακόν τι δηλώσει. τινὲς μὲν οὖν ἄντικρυς ὡς ἐξ ἀρχῆς γενομένης τῆς λέξεως μετὰ τοῦ ἄρθρου τὴν ἐξήγησιν ἐποιήσαντο, μὴ δηλώσαντες ὅτι τὰ παλαιὰ τῶν ἀντιγράφων, οὐκ ἔχει τὸ, τῇ, γεγραμμένον τῷ δυσημείῃ, τάχα τοῦ πρώτου γράψαντος τὸ βιβλίον ἁμαρτάνοντος. ἔνιοι οὐ μόνον ἑτέρως ἔγραψαν, ἀλλὰ καὶ τὴν ἐξήγησιν οὐ προσήκουσαν ἐποιήσαντο. φυλαττόμενος δ' ἐγὼ καθάπερ ἐν ἀρχῇ προεῖπον εἰς μῆκος ἐκτείνειν τὰ ὑπομνήματα, παραλιπεῖν ἔγνωκα τὰ πολλὰ τῶν οὐκ ὀρθῶς εἰρημένων. ἱκανὸς γὰρ εἶναί μοι δοκεῖ σκοπὸς ἐξηγήσεως, ἐὰν ἀληθῆ τε διδάσκῃ τις ἐν αὐτῇ, καὶ κατὰ τὴν γνώμην τοῦ παλαιοῦ. καθάπερ καὶ νῦν ἔνεστι ποιησαμένους ἀπηλλάχθαι πολυλογίας. ἐὰν γὰρ μικρῶν ὄντων τῶν παθῶν τὸ πρόσωπον, ἐὰν ᾖ συμπεπτωκὸς ἀξίως τοῦ νοσήματος, χρηστὸν ἔσται σημεῖον. ἐπὶ δὲ τοῖς μικροῖς ἐξ ὑπεναντίου κακόν τι σημαίνειν, ἔξεστιν οὖν καὶ τούτοις εἴ τις ἀρέσκοιτο χρῆσθαι. ἐγὼ δ' ἐπὶ τὴν παλαιὰν γραφὴν, ἣ τοῖς ἄλλοις ἅπασιν ἐξηγηταῖς ὁμολογουμένην μεταβήσομαι.

Παρὰ τὸ μέγα οὗ ἡ γυνὴ ὄπισθεν τοῦ ἡρῴου ἰκτεριώδεος ἐπιγενομένου.

Εἴτε τῆς προγεγραμμένης ῥήσεως ἐστὶ τέλος τὸ παρὰ τὸ, μέγα οὗ, τοῦτο λεξίδιον, εἴτε τόπου τινὸς δηλωτικὸν, ἐάσω ζητεῖν τοῖς τὰ μὲν ἰατρικὰ παρατρέχουσιν, ὡς γραμματικοῖς δὲ μᾶλλον, ἢ ὡς ἰατροῖς ἐξηγεῖσθαι προαιρουμένοις. ἀρκεῖ γὰρ ἐπὶ μὲν τοῦ, παρὰ τὸ μέγα, τοσοῦτον εἰπεῖν, ὅσον οἱ παλαιοὶ τῶν ἐξηγητῶν εἶπον, ὡς ἤτοι θέατρον, ἢ ᾠδεῖον, ἢ γυμνάσιον ἡρῴων, ἢ οἴκημά τι δηλοῦται μέγα τῆς λέξεως, ἢ ὁπωσοῦν ἄλλο τι τοιοῦτον. μεταβάντα δ' ἐφεξῆς, εἴ τι πρὸς τὰ τῆς τέχνης ἔργα χρήσιμόν ἐστιν, ἐκεῖνο σκοπεῖν, ὅτι τοῦ ἡρῴου ὄπισθεν, ἢ ὅτι τοῦ Μενελάου, τινὲς οὕτω γράφουσιν, ὁ ἄρρωστος ἐκεῖνος κατέκειτο, χρήσιμον ἔχει τὶ, καθάπερ οὐδὲ τὸ τούτων ἐφεξῆς εἰρημένον ἰκτεριώδεος ἐπιγενομένου. εἰ καὶ ὅτι μάλιστα χρήσιμον ἦν αὐτῷ τῷ Ἱπποκράτει πρὸς ἀνάμνησιν, ἴσως μὲν τῶν προειρημένων, ἴσως δὲ καὶ αὐτὸ καθ' ἑαυτό. πάθους γὰρ ἢ χρώματος ἰκτεριώδους ἐπιγενομένου τῇ γυναικὶ ἐπιμέμνηται, κἀνταῦθα παρά τε τοῖς παλαιοῖς ἐξηγηταῖς, καὶ τοῖς ἀντιγράφοις ἡ ῥῆσις παραγέγραπται. κατ' ἄλλους δέ τινας ἐξηγητὰς πρόσκειται τῷ ἰκτεριώδεος ἐπιγενομένου, τὸ παρέμεινεν. ὥσπερ αὖ καθ' ἑτέρους μετὰ τῆς ἀποφάσεως τὸ, οὐ, παρέμεινεν. ἔνιοι δὲ καὶ τὸ, αὐτῇ, προστιθέασιν. ἀλλὰ τοῦτο μὲν ἐν τῇ λέξει τὴν διαφορὰν, οὐκ ἐν τῇ διανοίᾳ λαμβάνει. τὰ δὲ πρότερα, τὴν διάνοιαν ἐπὶ τοὐναντίον ὑπαλλάττει. τὸ γὰρ ἰκτεριῶδες πάθος, ἢ χρῶμα τῆς ἑτέρας γραφῆς παραμεῖναι δηλούσης, ἡ ἑτέρα φησὶ μὴ παραμεῖναι. καθ' ἑαυτὴν οὖν γεγραμμένης τῆς προκειμένης ῥήσεως, οὔτ' εἰ παρέμεινεν, οὔτ' εἰ μὴ παρέμεινεν ἔχει τι χρήσιμον ἡμῖν τοῖς οὐκ εἰδόσιν ὅπως ἐνόσησεν, ἢ τίνα διάθεσιν ἔσχεν. εἰ δὲ τοῖς προγεγραμμένοις συνάπτοιτο, περιττὸν ὅλως ἐστίν. ἀρκεῖ εἰρῆσθαι μόνον τὸ ἰκτεριώδεος ἐπιγενομένου, παραδείγματος τούτου τοῦ περὶ τὸ πρόσωπον φανέντος ὡς τῶν ἄλλων δοκούντων μικρῶν εἶναι μόνων, ἐδήλωσε τοὐναντίον, ἐπειδὴ μεγάλως ἐξετράπη τοῦ κατὰ φύσιν. καὶ γὰρ τὸ ἐπιφερόμενον τοῦτό με διδάξει διαμαρτυρεῖν, ἐφ' ὃ μεταβαίνειν ἤδη καιρὸς, ἐάσαντα τὰς ἄλλας ἐξηγήσεις τῆς προκειμένης ῥήσεως. ἴσως γὰρ καὶ τὰ νῦν εἰρημένα παρὰ τὴν ἐμαυτοῦ προαίρεσιν μηκῦναι. παραλιπεῖν ἐγνωκὼς ὅσα τοὺς ἀναγινώσκοντας αὐτὰ νέους οὐδὲν εἰς τὴν τέχνην ὀνίνησιν. οὐ γὰρ σοφιστικὴν παρασκευὴν πρόκειταί μοι παρασκευάζειν αὐτοὺς ἣν ἐμίσησα διὰ παντὸς, ἀλλ' ἐπὶ τὰ τῆς τέχνης ἔργα, κατά τε πρόγνωσιν καὶ θεραπείαν, ἃ κἀμοὶ διὰ παντὸς ἤσκηθη.

Ὁ παρὰ Τιμηνέῳ ἀδελφιδῇ οὗτος μελάγχρους.

Εἰ πρὸς τὰ τοῦ προσώπου λελεγμένα καὶ τοῦτ᾽ ἀναφέροι τις, ἕξει τι χρήσιμον ὡς ἐν παραδείγματος μοίρᾳ λελεγμένον. εἰκὸς γὰρ καὶ τοῦτον ἐπὶ μικροῖς τοῖς ἄλλοις ἐκτροπὴν τοῦ σώματος εἰς τὸ παρὰ φύσιν ἐσχηκότα μεγάλην, ἀποθανεῖν ἢ κινδυνεῦσαι διὰ τοῦτο μόνον. εἰ δὲ ὁ μελάγχλωρος εἴη γεγραμμένον ἀντὶ τοῦ μελάγχρους, ὡς ἐνίοις τῶν ἀντιγράφων εὑρομεν, ἔτι καὶ μᾶλλον δόξει κάκωσίν τινα μεγάλην ἐνδείκνυσθαι τοῦτο μόνον τὸ χρῶμα, καίτοι τῶν ἄλλων μικρῶν γενομένων τῷ κάμνοντι.

Ἐν Κορίνθῳ τὸ γονοειδὲς τὸ τοιοῦτον ὅτι κρίσιμον, καὶ τῶν ἤτρων τὰ τοιαῦτα. ὅτι αἱ οὐρήσιες ῥύονται, ὅτι οὔτε φύσης πολλῆς, οὔτε κόπρου πολλῆς γλίσχρης διελθούσης ἐλαπάσσετο. οὐ γὰρ δὴ μέγα ἦν τὸ ὑποχόνδριον. κράμβην ἑβδομαῖος ἔφαγεν, ἔτι δύσπνους ὤν, τὰ περὶ τὸ ἦτρον ἐλαπάσσετο, εὐθύπνους ἐγένετο, ἡ κοιλίη αὐτῷ διετίναξεν.

Οὐκ ἀρχὴν τῆς προκειμένης ῥήσεως, ἀλλὰ τελευτὴν τῆς προτέρας οἱ περὶ Σαβῖνον ἡγοῦνται τὸ, ἐν Κορίνθῳ. καθόλου μὲν γάρ φησι τὸν νῦν λόγον εἶναι, ἐν μέρει δ᾽ ἐκεῖνον. εἰωθότα δὲ τοῖς ἐν μέρει λόγοις τὸν Ἱπποκράτην προσγράφειν, ἤτοι τὰ τῶν χωρίων, ἢ τὰ τῶν παθόντων ὀνόματα. καίτοι οὗτος ὁ νῦν λεγόμενος λόγος, ὅτι τῶν ἐπὶ μέρους ἐστὶ, δῆλον ἐξ ὧν ἐπιφέρων αὐτὸς εἶπεν ὁ Ἱπποκράτης, ὅτι οὔτε πολλῆς φύσης, οὔτε κόπρου πολλῆς γλίσχρης διελθούσης ἐλαπάσσετο. πολλὰ δ᾽ ἐν τοῖς τῶν ἐπιδημιῶν γέγραπται μὲν ἐπί τινων ἑωραμένα κατὰ μέρος, ὑποπέπτωκεν δὲ καθολικοῖς θεωρήμασιν, ἤτοι διηνεκέσιν, ἢ ὡς τὸ πολὺ γενομένοις. οὕτως οὖν καὶ νῦν γονοειδὲς, εἴτε οὖρον, εἴτε διαχώρημα γενόμενον ἐν Κορίνθῳ κρίσιμον ἐφάνη, πότερον ἢ ὀλίγοις ἢ πολλοῖς, ἢ ἐνὶ τὸ τοιοῦτον συμβαίνει, κατὰ τὴν λέξιν αὐτοῦ τοῦ Ἱπποκράτους οὐ δηλοῦται. πιθανώτερον δ᾽ ἐστὶν ἐπὶ πολλῶν αὐτῷ πεφυκέναι κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐπιδημήσαντα ἡνίκα ἔγραφεν ὁ Ἱπποκράτης ταῦτα. ὅταν μὲν γὰρ ἐφ᾽ ἑνός τινος γενόμενόν τι γράφει, προστίθησιν, ἤτοι τὸν τόπον τῆς πόλεως ὧ τὸν ἄνθρωπον εἶδε κατακείμενον, ἢ τὴν ἡλικίαν, ἢ τοὔνομα. τῶν πόλεων δ᾽ εἴωθε μνημονεύειν ὀνομαστὶ κατ᾽ ἐκείνας τὰς διηγήσεις, ἐν αἷς πολλοὺς ἐθεάσαντο παθόντας ταῦτα. τοῦτο μὲν οὖν οὐ μεγάλην ἔχει διαφορὰν, ὡς πρὸς τὰ τῆς τέχνης ἔργα, καὶ συναπτέτω τις οἷς βούλεται, τὸ ἐν Κορίνθῳ. τὸ γονοειδὲς δὲ οὖρον, ἢ καὶ διαχώρημα γένοιτ᾽ ἂν ποτὲ κρίσιμον, ὅταν ὁ καλούμενος ὑπὸ Πραξαγόρου χυμὸς ὑαλώδης ἐκκρίνηται. τὸ δὲ καὶ τῶν ἤτρων τὰ τοιαῦτα, δεῖ μὲν ἐπὶ τὸ προειρημένον ἀναφέρεσθαι. τὰ γὰρ τοιαῦτα πρὸς ἕτερον ἀναφέρεσθαι λέγεται. προείρηται δὲ οὐδὲν περὶ τῶν ἤτρων. ἴσως οὖν ἢ ἐν τῷ γράφεσθαι τὸ πρῶτον ἀντίγραφον ἐκ τῶν ὑπομνημάτων τοῦ Ἱπποκράτους παρελήφθη τι τοιοῦτον γεγραμμένον, ἢ αὐτὸς ἑαυτῷ τοῦθ᾽ ὑπομνημονεύσατο πρὸς τὸν πρῶτον ἄρρωστον ἀναφερόμενον, ὑπὲρ οὗ προεῖπε τοῦτο μόνον, ὁ παρὰ Τιμηνέῳ ἀδελφιδῇ οὗτος μελάγχρους. ἔνιοι δὲ διὰ ταύτην τὴν ἀπορίαν ὧδέ πως διπλῆν δίηλθον τὴν ῥῆσιν, ὅτι κρίσιμον καὶ τῶν ἤτρων, ὡσεὶ καὶ οὕτως ἐγέγραπτο. τὸ γονοειδὲς οὖρον ὅτι κρίσιμον ἐστὶ καὶ τῶν κατὰ τὸ ἦτρον παθῶν ἐπίστασθαι χρὴ, καὶ πάλιν ἀπ᾽ ἄλλης ἀρχῆς. τὰ τοιαῦτα ὅτι αἱ οὐρήσιες ῥύονται ἵν᾽ ἀκούσωμεν τὰ τοιαῦτα τὰ κατὰ τὸ ἦτρον γινόμενα. καὶ τούτου γε μαρτύριον ἐφεξῆς ἔγραψεν, ὅτι οὔτε ἡ φύσης πολλῆς, οὔτε κόπρου πολλῆς γλίσχρης διελθούσης ἐλαπάσσετο, τουτέστιν οὐδενὸς ἄλλου γενομένου τὸν κατὰ τὸ ἦτρον ὄγκον λῦσαι δυναμένου, ἐπὶ μόνοις τοῖς γονοειδέσιν οὔροις ἐκρίθη τὸ νόσημα. τάχα γοῦν τοιοῦτόν τι τὸ ἦτρον ἦν ὁποῖον ὁ ἐν τῷ προγνωστικῷ δίηλθεν αὐτὸς ἐν τῇδε τῇ λέξει. τοὺς δ᾽ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν νεαρά τε ᾖ, καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξελθὼν σὺν κόπρῳ τε καὶ οὔρῳ, εἰ δὲ μὴ ὁ αὐτὸς διαπεραιωθεὶς, ὠφελεῖ δὲ καὶ ὑποκαταβὰς εἰς τὰ κάτω χωρία. ὃ γὰρ δὴ φλεγμονὴν, ἤ τι ταύτης ἔτι δυσλυτώτερον ἐν ἥπατι συνεστῶσαν, ἢ ἐν ἐντέροις, ἢ ἐν γαστρὶ, γονοειδὲς οὖρον ἔλυσεν ἂν μόνον γενόμενον. διὰ τοῦτ᾽ οὖν ἐπήνεγκεν αὐτός. οὐ γὰρ δὴ μέγα ἦν τὸ ὑποχόνδριον, ὡς εἴγε ἦν μέγα, μὴ ἂν λυθέντος αὐτοῦ, διὰ τῆς τοῦ γονοειδοῦς ἐκκρίσεως. ἐπεὶ δὲ τὸ ἐπιφερόμενον οὐ πάνυ τι φαίνεται συνᾴδειν τοῖς οὕτω προειρημένοις, διὰ τοῦτό τινες ἀπ᾽ ἄλλης ἀρχῆς ἀνέγνωσαν αὐτὸ, δασύνοντες κατὰ τὴν πρώτην συλλαβὴν τὴν οὗ, ὡς τοιούτου ἄρθρου ἀρσενικὸν πτώσεως γενικῆς, ὡσεὶ καὶ οὕτως εἶπεν. οὗ γὰρ δὴ ἀνθρώπου μέγα ἦν τὸ ὑποχόνδριον, κράμβην ἑβδομαῖος ἔφαγεν, ἔτι δύσπνους ἐών. ἐπεὶ δὲ τὸ ἦτρον ἐλαπάχθη, εὐθύπνους ἐγένετο, τουτέστιν εὔπνους τε καὶ κατὰ φύσιν ἀναπνέων. οὐ μὴν ἔγραψε πότερον ὑπαγαγοῦσα τὴν κοιλίαν ἡ κράμβη τὴν ὠφέλειαν ἐποίησεν, ἢ κατὰ τὸν τῆς ἀναλώσεως λόγον. ἔνιοι δὲ ὡς κληθέντος αὐτοῦ τὴν εὐθύπνους λέξιν ἐξηγήσαντο, σημαίνεσθαι λέγοντες ἐξ αὐτῆς τὸν ὀρθοπνοϊκὸν καλούμενον τῆς δυσπνοίας τρόπον. ἐν γὰρ ταῖς αἰνιγματώδεσι ῥήσεσιν ὅτι ἄν τις ἐθέλῃ, δύναται λέγειν, οὐδὲν ἡμῶν ἀξιόλογον ὠφελουμένων ἐν αὐταῖς. ἐν αἷς οὐδὲ τὴν Ἱπποκράτους γνώμην ἔνεστι μαθεῖν ἀκριβῶς, ἀλλὰ τὴν τῶν ἐξηγητῶν.

Περὶ τοῦ αἵματος τοῦ ἰχωροειδέος, ὅτι ἐν τοῖσι πλοώδεσι τὸ τοιοῦτον, ἢ ἐν τοῖσιν ἠγρυπνηκόσιν, καὶ εἴτε φαῦλον εἴτε χρηστόν.

Οὐχ ἁπλῶς τὸ λεπτὸν, καὶ ὑδατῶδες αἷμα καλεῖν αὐτὸν ἰχωροειδὲς ὑποληπτέον ἐστὶν, ἀλλὰ τὸ μετά τινος ἰώδους, καὶ κακοήθους δυνάμεως. ἐν γοῦν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν αὐτὸς ἔγραψε, καὶ ὑπὸ τῷ δέρματι ἰχῶρες ἐγίνοντο, ἐγκαταλαμβανόμενοι δὲ ἐθερμαίνοντο, καὶ κνησμὸν ἐνεποίουν, εἶτα φλυκταινίδες, ὥσπερ πυρίκαυστοι ἀνίσταντο, ὁ ὑπὸ τὸ δέρμα καίεσθαι ἐδόκεον. εὔδηλον οὖν ὅπως ὑπὸ τῶν ἰχώρων οὐ σμικρὰ συμπτώματα

γίνεσθαί φησι. καὶ ὁ Πλάτων δὲ ἐν τῷ Τιμαίῳ τοῦτόν τι σημαίνει, διὰ τῆς ἰχῶρος προσηγορίας ὧδέ πως λέγων. ἰχὼρ δὲ ὁ μὲν αἵματος ὀῤῥὸς, πρᾶος, ὁ δὲ μελαίνης χολῆς ὀξείας δὲ, ἄγριος. ἰχωροειδὲς οὖν αἷμα καλεῖται τὸ περιέχον ἐν ἑαυτῷ μοχθηρὰν ὑγρότητα λεπτὴν, οὐχ ὑδατώδη, καὶ ἄδηκτον, ἀλλὰ δακνώδη καὶ διαβρωτικήν. εἰπόντος δὲ τοῦ Πλάτωνος, ἰχὼρ δὲ ὁ μὲν αἵματος ὀῤῥὸς πρᾶος. ὁ δὲ μελαίνης χολῆς ὀξείας δὲ, ἄγριος. εὔδηλον ἐγένετο ἡμῖν, καθάπερ ἐπὶ τοῦ γάλακτος ὀῤῥώδης τίς ἐστιν ὑγρότης οἷον περίθημα, καὶ περίχυμα τοῦ παχυτέρου ἐν ἑαυτῷ, τὸν αὐτὸν τρόπον ἐπὶ πάντων εἶναι χυλῶν τε καὶ χυμῶν, ὀῤῥώδη τινὰ καὶ λεπτὴν ὑγρότητα. διοίσουσιν οὖν ἀλλήλων δηλονότι κατὰ τὰς φύσεις τῶν χυμῶν ὧν εἰσιν ὀῤῥοὶ, καὶ γενήσεται χαλεπώτατος μὲν ὁ τῆς μελαίνης χολῆς, ἧττον δὲ χαλεπὸς ὁ τῆς ξανθῆς, καὶ τούτου μᾶλλον ὁ τοῦ φλέγματος, ἐπιεικέστατος δὲ πάντων ὁ τοῦ αἵματος ὀῤῥός τε καὶ ἰχώρ. οὐδὲ γὰρ ἐν τῷ παρόντι διοίσει λέγειν οὕτως ἢ ἐκείνως. ἀλλ᾽ ἐπειδὴ διττῶς τὸ αἷμα λέγομεν, ἐνίοτε μὲν αὐτὸ διαιρούμενον πρὸς τοὺς ἄρτι λεγομένους χυμοὺς, ἐνίοτε δὲ κατ᾽ ἐπικράτειαν ὅλον τὸν ἐν τοῖς ἀγγείοις χυμὸν, ἰχωροειδὲς αἷμα νῦν ἀκουστέον ἐστὶ τὸ κατὰ τὸ δεύτερον σημαινόμενον, ὥσπερ καὶ λέγειν ἐστὶ καὶ συνήθεις ἅπασι τοῖς ἰατροῖς ἐν ταῖς φλεβοτομίαις. ἐνίοτε μὲν ὀῤῥῶδες, ἐνίοτε δὲ μελαγχολικὸν, ἢ φλεγματῶδες, ἢ χολῶδες, ἔστι δ᾽ ὅτε κατὰ φύσιν ἔχον ἐκκεκρίσθαι τὸ αἷμα. διὰ παντὸς μὲν ἐστι πτοώδεις, ὅπερ ἐστί τε ταραγμένους μετὰ φόβου ποιήσει τὸ ἰχωροειδὲς αἷμα, καὶ ἀγρύπνους γε προσέτι. ἐὰν δὲ καὶ μοχθηροῦ χυμοῦ τινὸς μὴ μόνον τοῦ αἵματος ὀῤῥὸς ἐν τοῖς αἱματικοῖς ἀγγείοις περιέχηται, καὶ παραφροσύνας, καὶ φρενίτιδας, καὶ μανίας ἐργάσεται. ἀλλὰ νῦν γε τοῦ αἱματώδους ἔοικεν ὀῤῥοῦ μνημονεύειν, ἀνάμνησιν ἑαυτῷ τινὰ γράφων τήνδε. δειλίαν μὲν ἐργάζεσθαι τὸν φλεγματικὸν ὀῤῥὸν εἰκός ἐστιν, οὐ μὴν ἀγρυπνίαν ἢ ταραχὴν, ἢ κίνησιν ψυχῆς πτοώδη. τὸ νωθρὸν αὐτῷ καὶ ψυχρὸν ὑπάρχει μόνον, οὐ τὸ δακνῶδες τε καὶ κακόηθες. εἰ μή ποτ᾽ ἄρα καὶ τοῦτο διαφθαρὲν, ὀξὺ ἢ ἁλμυρόν τε γένοιτο. ἀλλ᾽ ἐκεῖνό γε ζητήσεως ἄξιόν ἐστιν ὅπερ ἔφη, καὶ εἴτε φαῦλον εἴτε χρηστόν. εἰ μὲν γὰρ ἁπλῶς τις ἀποφαίνοιτο φαῦλον εἶναι τὸ ἰχωροειδὲς αἷμα, καλῶς δόξει λέγειν. τὸ γὰρ οὕτω λεγόμενον πᾶν, πρὸς τὸ κατὰ φύσιν παραβάλλεται. εἰ δέ τις τοῖς τῶν ἄλλων χυμῶν ἰχῶρσιν ἀντιπαραβάλλων τὸν τοῦ αἵματος ἰχῶρα μὴ πονηρὸν, ἢ ἀγαθὸν εἶναι λέγοι, καὶ οὕτως ἀληθεύειν ὀρθῶς νομισθείη. πολλάκις δὲ εἰώθασι καὶ οἱ νῦν ἄνθρωποι καὶ οἱ παλαιοὶ τὸ ἧττον μοχθηρὸν ὀνομάζειν ἀγαθὸν, ἢ χρηστὸν, ἢ ἐπαινετὸν, ἢ τι τοιοῦτον, καὶ μάλιστα ὅταν ἡ μεγάλη τις ὑπεροχὴ τοῦ πάνυ μοχθηροῦ, πρὸς τὸ μετρίως ἀποκεχωρηκὸς τοῦ κατὰ φύσιν, ὥστε καὶ τὸ ἰχωροειδὲς αἷμα ζητοῦντος τοῦ Ἱπποκράτους, εἴτε φαῦλον, εἴτε χρηστόν ἐστι, δυνάμεθα αὖ ἡμεῖς ἀποφήνασθαι, τῷ μὲν ἀρίστῳ παραβαλλόμενον αἵματι, φαῦλον ὑπάρχειν αὐτό. τοῖς δ᾽ ἄλλοις ἅπασιν οἷσι ἰχὼρ ἑτέρου τινὸς ἀναμέμικται χυμοῦ μοχθηροῦ, πολλῷ βέλτιόν τε καὶ ἀρετώτερον καὶ διὰ τοῦτο χρηστόν.

Οἷσι σπλὴν ἐστὶ καταῤῥοπος, πόδες καὶ χεῖρες, καὶ γούνατα θερμὰ, ῥῖς καὶ ὦτα ψυχρὰ ἀεί. ἄρα διὰ τοῦτο ὅτι λεπτὸν τὸ αἷμα, ἄρα καὶ φύσει τὸ τοιοῦτον οὗτοι ἔχουσιν.

Ὅτι μὲν καταῤῥοπος σπλὴν ὁ κάτω τὴν ῥοπὴν ἔχων λέγεται, καὶ δι᾽ αὐτῆς τῆς φωνῆς ἐστι μαθεῖν. εἴτε δ᾽ ἐπὶ τῶν κατ᾽ αὐτῶν ὄγκων ἐν τοῖς κάτω μέρεσι συνιστάμενον, εἴθ᾽ ὅταν εἰς αὐτὰ τὰ κάτω μόρια τοῦ σώματος ὠθεῖ τοὺς ἐν αὐτῷ μοχθηροὺς χυμοὺς, ὠνόμασε καταῤῥοπον σπλῆνα, τοῦτο οὐκέτ᾽ οἷόν τε πρὸς τῆς φωνῆς διαλαχθῆναι. δυνατὸν γε μὴν ἐστιν ὅσον ἐπὶ τῇ τῶν πραγμάτων φύσει, κατ᾽ ἄμφω τὰ εἰρημένα δέξασθαι καταῤῥοπον ὑπ᾽ αὐτοῦ λελέχθαι τὸν σπλῆνα. πόδες γάρ φησι καὶ χεῖρες, καὶ γόνατα θερμὰ, ῥῖς δὲ καὶ ὦτα ψυχρά. τὰ μὲν οὖν γόνατα καὶ τοὺς πόδας ἐν καταῤῥοπῳ σπληνὶ θερμὰ φαίνεσθαι, λόγον ἔχει, καθάπερ καὶ τὰς ῥῖνας καὶ τὰ ὦτα, ψυχρά. τὰς δὲ χεῖρας οὐκ ἔστιν εὔλογον θερμὰς ὑπάρχειν ἐν καταῤῥοπῳ νοσήματι. μᾶλλον μὲν γὰρ ἄν τις αὐτὰς τῶν ἄνω θείη μορίων. εἰ δὲ μὴ, ἀλλ᾽ οὐ τῶν κάτω. τοῦ δ᾽ οὖν ὦτα μὲν καὶ ῥῖνας εἶναι ψυχρὰ, τὰ κάτω δὲ θερμὰ, σκοπῶν τὴν αἰτίαν ὁ Ἱπποκράτης ἔφη. ἄρα γε διὰ τοῦτο ὅτι τε λεπτὸν ἔχουσι τὸ αἷμα, ἢ ὅταν σπλῆνες γίνωνται καταῤῥοποι. τινὲς δ᾽ οὐ τοῖς σπλησὶν ἀντιδιαιρεῖσθαί φασι τὸ, ἄρα καὶ φύσει τὸ τοιοῦτον οὗτοι ἔχουσιν, ἀλλὰ τῷ μετ᾽ αὐτὸν γεγραμμένῳ, καὶ ποιοῦσιν ὅλην τὴν λέξιν τοιαύτην. ἄρα καὶ φύσει τὸ τοιοῦτον οὗτοι ἔχουσιν, ἢ τοῖς ἐμπυήμασιν. ἐπισκεπτέον οὖν ἐφεξῆς ἀκριβέστερον ὑπὲρ αὐτοῦ. ἢ τοῖς ἐμπυήμασι τούτοις τοῖς προειρημένοις συνάπτουσιν οἱ οὕτω γράφοντες. ὅσοι δ᾽ ἀρχὴν αὐτὸ βούλονται τῶν ἐφεξῆς γεγραμμένων, τὸ, ἢ, ἀφαιροῦσι, καὶ τοιάνδε τινὰ ποιοῦσι τὴν λέξιν. τοῖς ἐμπυήμασιν ὅρος τοῖσι μέλλουσιν ἐκπυΐσκειν αἱ κοιλίαι ἐκταράσσονται. γνώρισμα τῶν μελλόντων ἐκπυΐσκειν τιθέμενοι τὴν ταραχὴν τῆς γαστρός. εἴη δ᾽ ἂν οὐ πάντων τῶν ἐκπυϊσκόντων, ἀλλὰ μόνων ὅσα ῥήγνυνται τῇ διὰ τῶν ἐντέρων ἐκκρίσει, τὸ σημεῖον τοῦτο γράφων ὁ Ἱπποκράτης. εἰ δ᾽ αὐτὸ τοῦ διορίσασθαι περὶ ποίων λέγει, τὴν ἑρμηνείαν ἐποιήσατο, θαυμαστὸν οὐδὲν, ἐὰν τοῦ κατ᾽ ἀρχὰς εἰρημένου μεμνήμεθα τοῦ γράφειν ἑαυτῷ ταῦτα παρασκευάς τινας εἰς συγγράμματα. μόνον γὰρ ἥκει πρὸς ἀνάμνησιν ὧν βούλεται δηλοῦν ἑαυτῷ προκείμενον ἐν γραφῇ τὸ, κοιλίαι ἐκταράσσονται. λέγοντος αὐτοῦ κοιλίας ἐπιταράσσεσθαι τοῖς τοιούτοις ἐμπυήμασιν, ὧν μελλόντων ῥήγνυσθαι προδιιδροῦταί τις ἰχὼρ λεπτὸς ἐκ τοῦ πύου, δι᾽ ὃν δακνόμενα τὰ ἔντερα, ταραχήν τινα τῆς γαστρὸς ἐργάζεται, τουτέστι δήξεις τε καὶ προθυμίας συνεχεῖς ἐπαποκρίσεις. ἔνιοι δὲ καὶ τοιάνδε τινὰ γραφὴν ἴσασι.

Τοῖσιν ἐμπυήμασιν ὀμφαλὸς ὅρος, οἷσι μέλλουσιν ἐκπυΐσκειν, κοιλίαι ταράσσονται.

Βουλόμενος δηλοῦσθαι συντόμως τὸ διὰ τοῦ προγνωστικοῦ σαφῶς εἰρημένον. ἥκιστα δὲ τὰ ὑπὸ κάτω τοῦ ὀμφαλοῦ εἰς διαπύησιν τρέπεται. οἷς μέντοι μέλλει διαῤῥήγνυσθαι τὸ ἐμπύημα, κοιλίαι προεπιταράσσονται. πολυειδῶς δὲ καὶ ἄλλως γράφουσι, καὶ διαιροῦσιν οὐ ταύτην μόνον τὴν ῥῆσιν, ἀλλὰ καὶ τῶν ἄλλων τὰς πλείστας, ἐξηγησάμενοι τοῦτο τὸ βιβλίον, ὡς ἀποῤῥεῦσαί τινα τῶν ἐπὶ τὰ τῆς τέχνης ἔργα σπευδόντων. φαίνονταί τινες ποιεῖν ὅπερ ὁ Τίμων εἶπεν, εἰκάζων, τί θέλεις ὀλίγον κρέας ὀστέα πολλά. τινὲς δὲ καὶ τὴν ἑξῆς ῥῆσιν ἧς ἀρχὴ, σπλὴν

σκληρὸς

σκληρὸς οὐ τὰ ἄνω, ταύτῃ συνάπτουσιν, ἵνα ᾖ περὶ τῶν κατὰ σπλῆνα διαφορῶν, ὁ λόγος ὁ γινόμενος αὐτῷ. μεταβάντες οὖν ἐπ᾽ ἐκείνην, ἴδωμεν τὰς διαφορὰς, ἔχουσιν γάρ τι χρήσιμον.

Σπλὴν σκληρὸς οὐ τὰ ἄνω, κάτω στρογγύλος, πλατὺς, παχὺς, μακρὸς, λεπτός.

Τῶν ἐν σπληνὶ παρὰ φύσιν ὄγκων ἐν ταύτῃ τῇ ῥήσει διαφορὰς ἔγραψεν, ὑποτυπούμενος ἑαυτῷ τάχα, διότι καταῤῥόπου σπληνὸς ἐμνημόνευσεν. ἡ γοῦν πρώτη διαφορὰ, μία τῶν τοιούτου σπληνός ἐστιν, ὁπόταν μὲν σκληρὸς ᾖ μὴ μέντοι τὰ ἄνω, πρόδηλον ὅτι τὸ κάτω σκληρός ἐστιν. ἡ δευτέρα δὲ ὧν εἶπεν ἐν τῇ προκειμένῃ ῥήσει διαφορὰ, τῶν καταῤῥόπων σπληνῶν αὐτῶν πάλιν ἐστὶν ἰδία. τούτων γὰρ τῶν καταῤῥόπων σπληνῶν κοινῶς ἐχόντων, τὰ μὲν ἄνω μέρη μὴ ἔχειν σκληρὰ, τὰ κάτω δ᾽ ἔχειν. ὁ μέν τις ἐστὶ στρογγύλος, ὁ δὲ πλατύς. ὁ δ᾽ ἐπὶ μῆκος ηὐξημένος, ἤτοι σὺν ὄγκῳ παρὰ φύσιν, ἢ χωρὶς τούτου μόνην ἐσχηκὼς τὴν κατὰ τὸ μῆκος ἐπίδοσιν. ἐδήλωσεν δὲ τὴν μὲν προτέραν ἐν τῷ φάναι, παχὺς, μακρός. τὴν δὲ δευτέραν, ἐν τῷ μακρὸς, λεπτός. δὶς γὰρ τοῦ μακρὸς ὑφ᾽ Ἱπποκράτει γεγραμμένου καθάπερ ἄν τις εἰκάσειε. τὸ ἕτερον ἀφεῖλον οἱ ἐγγραφόμενοι, καὶ τοιαύτην ἐποίησαν τὴν ῥῆσιν, οἵαν ἄρτι προύγραψα. κατὰ λόγον δ᾽ ἐστὶ πρώτης μὲν αὐτῶν μεμνῆσθαι διαφορᾶς καθ᾽ ἣν ἔφη, σπλὴν σκληρὸς οὐ τὰ ἄνω, τουτέστι τὰ κάτω σκληρὸς, ὥσπερ καὶ καταῤῥοπός ἐστιν. εἶτα πάλιν αὐτοῦ διαφορὰς τέσσαρας εἴρηκε. μίαν μὲν ἐν ᾗ στρογγύλος ἐστὶ, δευτέραν δὲ, ἐν ᾗ πλατύς. ἀμφοτέρων τούτων ἐχουσῶν κοινὴν, τὸ μὴ προσηυξῆσθαι κατὰ μῆκος τὸν σπλῆνα. δύο δ᾽ ἄλλας διαφορὰς, τὴν μὲν ἑτέραν καθ᾽ ἣν μακρὸς καὶ παχὺς γίνεται, τὴν δ᾽ ὑπόλοιπον καθ᾽ ἣν μακρὸς καὶ λεπτός. δὶς γὰρ ὡς ἔφην γεγραμμένου τοῦ, μακρὸς, εἰκός ἐστιν ὡς περιττὸν περιελεῖν τὸν ἀντιγραφόμενον ἐκ τῶν ἀρχαίων ὑπομνημάτων. ἡ μὲν οὖν παλαιὰ γραφὴ τοιαύτη τίς ἐστιν, ἐν ᾗ τὸ μακρὸς ἐγώ φημι δὶς ὑφ᾽ Ἱπποκράτει εἰρημένον, ἅπαξ γραφῆναι πρὸς τοῦ βιβλιογράφου. δυνατὸν δ᾽ ἴσως ἐστὶ καὶ ἅπαξ ὑπ᾽ αὐτοῦ τοῦ Ἱπποκράτους ᾖ γεγραμμένον ἐν τῷ μεταξὺ, τοῦ τε παχὺς καὶ λεπτὸς ἀπὸ κοινοῦ δέξασθαι, συνῆφθαι τῷ τε προειρημένῳ, καὶ τῷ μετ᾽ αὐτὸ λεγομένῳ. πολλὰ γὰρ καὶ ἄλλα τοιαῦτα τοῖς παλαιοῖς εὑρίσκεται. τοὺς δ᾽ ἐξηγητὰς ἐθαύμασα πολυειδῶς μεταγράψαντες τὴν ῥῆσιν, ἄλλον ἄλλως. εἴπερ γὰρ ὅλως ἀποχωρεῖν τις τολμᾷ παλαιᾶς γραφῆς, κατά τι πιθανὸν χρὴ τοῦτον πράττειν ὥσπερ ἔφην ἐγὼ νῦν εὔλογον εἶναι. ἐφ᾽ ὧν δὶς γεγραμμένου τοῦ μακρὸς, παραλελεῖφθαι τὸ ἕτερον. ὅτι δ᾽ οὕτως ἔχουσαν τὴν γραφὴν ἐπίστανται πάντες οἱ παλαιοὶ ἐξηγηταὶ, μαρτυρία καὶ περὶ τοῦ Ζεύξιδος ἂν εἴη ἀρίστη. οὗτος γὰρ ὡς κακῶς ἐξηγησαμένου τοῦ Γλαυκίου τὴν προκειμένην ῥῆσιν, οὐδὲν μὲν ἐγκαλεῖ περὶ τῆς γραφῆς, καίτοι γ᾽ ἀπόρου καὶ ταύτης τῆς λέξεως φαινομένης αὐτῷ. ὅτι δὲ προσέθηκεν ἀποφάσεις τοῖς εἰρημένοις, μέμφεται. φησὶ γὰρ ἀπορούμενον αὐτὸν, καὶ μὴ δυνάμενον ἐξηγήσασθαι τὴν προκειμένην ῥῆσιν ἅπασι τοῖς προειρημένοις ἀποφάσεις προστεθεικέναι, ὡς εἰ καὶ οὕτως ἔγραψεν ὁ Ἱπποκράτης. κάτω στρογγύλος, οὐ πλατὺς, οὐ μακρὸς, οὐ λεπτός. ἡγεῖτο γὰρ Γλαυκίας ἀδύνατον εἶναι τὸν σπλῆνα ταῦτα πάντα τὰ πάθη δέξασθαι μὴ δυνάμενα συνυπάρχειν, ὥσπερ ἀναγκαῖον ὂν ἐφ᾽ ἑνὸς ἀνθρώπου πάντων ἀκούειν αὐτῶν. ἀλλ᾽ οὐ διαφορὰς ἐφεξῆς αὐτῶν γράψαι τὸν Ἱπποκράτην πρὸς ἀνάμνησιν ὡς ἔμπροσθεν ἔγραψε, δυσπνοίας τε καὶ πυρετῶν, οὕτω νῦν τῶν ἐν τοῖς καταῤῥόποις σπλησὶ παρὰ φύσιν ὄγκων. εἰ δ᾽ ἔξεστι προστιθέναι τοῖς καταφατικοῖς εἰρημένοις ἀποφάσεις, ἅπαν οὕτω τις διαφθείρει δόγμα, καὶ γνώμην οὐδεμίαν φυλάξει τῶν παλαιῶν βεβαίαν.

Ἧσσον τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν.

Οὐδὲν ἄλλο ἔχομεν νοεῖν, ἢ ὅτι τὰ εἰρημένα τῷ σπληνὶ συμβαίνειν ἧττον γίνεται τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσι. αἰτίαν δὲ τούτου καὶ Ῥοῦφός φησι καὶ Σαβῖνος, διότι τὸ αἷμα καθαίρεται τῇ κορύζῃ. διὰ τοῦτο γὰρ οἴονται τὸ μηδὲν ἥκειν ἐπὶ τὸν σπλῆνα. βέλτιον δ᾽ εἰς καθολικὸν ἀνάγεσθαι λόγον, οὐκ εἰς κατὰ μέρος αὐτό. πάνυ γάρ ἐστι σπάνιον ἐν ὅλῳ τῷ σώματι δύο τινὰ μόρια παραπλησίως ἔχειν ἀσθενῆ. τοῖς πλείστοις γὰρ ἕν γε τοιοῦτον φαίνεται γινόμενον, εἰς ὃ κἂν πληθώρα, κἂν κακοχυμία τις ἐν τῷ σώματι γένηται, πάντα συῤῥεῖ τὰ περιττά. φθάσαντος δ᾽ ἑνὸς αὐτὰ δέξασθαι, τὰ λοιπὰ κατὰ φύσιν ἔχοντα διαμένει. οὐ μόνον οὖν τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν, ἀλλὰ καὶ τοῖς τῶν ἀναπνευστικῶν τι μορίων, ἢ τῶν κατὰ νεφροὺς καὶ ἧπαρ, ἢ κοιλίαν ἀσθενὲς ἔχουσι φύσει, μᾶλλον ἐκεῖνο πάσχων, εὕροις ἂν τὸν σπλῆνα. τούτου δὲ ὄντος κοινοῦ καὶ καθόλου, προσθείη ἄν τις ἴδιον τῶν νῦν λεγομένων ἐφ᾽ ὧν ἀθροίζεται φλεγματῶδες ὑγρὸν, ἢ λεπτὸν καὶ ὑδατῶδες οἷοί περ εἰσὶ καὶ οἱ ἀπὸ κεφαλῆς κορυζώδεις, τούτοις μὴ πάνυ τι τοὺς παρὰ φύσιν ὄγκους ἐν σπληνὶ συνίστασθαι, παχέσι καὶ μελαγχολικοῖς ἑπομένους χυμοῖς.

Ἡ περὶ τὸν νοσέοντα οἰκονομίη, καὶ αἱ ἐς τὴν νοῦσον ἐρωτήσιες, ἃ διηγεῖται, οἷα, ὡς ἀποδεκτέον οἱ λόγοι, τὰ πρὸς τὸν νοσέοντα, τὰ πρὸς τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

Ἐξεῦρεν οἰκεῖον ὄνομα τῶν μελλόντων ῥηθήσεσθαι λόγων, οἰκονομίην εἰπών. οὐ γὰρ ὡς ἐν τοῖς ἄλλοις σχεδὸν ἅπασι συγγράμμασιν, ἤτοι διαγνώσεις παθῶν, ἢ θεραπείας, ἢ προγνώσεις τῶν ἐσομένων ἔγραψεν, οὕτω καὶ νῦν. ἀλλ᾽ ὅπως ἄν τις ἐπιδεξίως οἷς ἐμάθομεν ἰατρικοῖς θεωρήμασι χρῷτο, διέρχεται κατὰ τὴν προκειμένην ῥῆσιν, οὐ κατὰ μέρος ἐν αὐτοῖς, ἀλλὰ τὰ καθόλου κεφάλαια μόνον γράφων. καὶ πρώτου γε μέμνηται κατὰ ταῦτα τῶν ἐρωτήσεων ἃς ὁ ἰατρὸς δηλονότι ποιεῖται πρὸς τὸν κάμνοντα, δευτέρου δὲ τῶν διηγήσεων αὐτοῦ. πολλὰ γὰρ εἰώθασιν οἱ κάμνοντες διηγεῖσθαι, δυνάμενα τὴν γνώμην ἐνδείξασθαι τοῦ λέγοντος. ὡς εἴ γε μὴ πρότερον εἰδείημεν αὐτὸν ἐξ αὐτῶν ὧν ἂν διηγήσηται, συνήσομεν ὁποῖός τίς ἐστιν οὕτως αὐτῷ προσφέρεσθαι. φρόνιμον μὲν γὰρ εἰ γνωρίσαις εἶναι τόνδε τινὰ τὸν ἄνθρωπον, ἔτι τε μὴ δειλὸν, ἀληθεύειν πειραθήσῃ, μηδὲν ὑποστελλόμενον τῶν κατὰ τὴν νόσον ἐσομένων. ἄφρονα δὲ καὶ δειλὸν, ὧν ἂν εὐθυμότερος γένοιτο πάντα ταῦτα ἐρεῖν μετὰ τοῦ μηδὲν μέγα ψεύδεσθαι. κἂν ἀναγκασθῇς δέ ποτε διὰ δειλίαν ἐσχάτης τοῦ κάμνοντος ἐπαγγείλασθαι σωτηρίαν αὐτῷ βεβαίαν. ἀλλ᾽ ἐξελθών γε τοῖς κηδομένοις αὐτοῦ, τἀληθῆ φράζε. πειρῶ δὲ καὶ αὐτοῖς τοῖς κάμνουσι κἂν ἄκρως ὦσι δειλοὶ, μὴ

καθάπερ οἱ προχείρως ψευδόμενοι τὴν σωτηρίαν ἐπαγγέλλεσθαι χωρὶς τοῦ προειδέναι σε τὴν ἀρχὴν ἔσεσθαι ταύτην, ἅπαντα πράξοντος αὐτοῦ καλῶς, καὶ πειθομένου τοῖς προστάγμασι τῶν ἰατρῶν. οὕτω γὰρ, ὅτι ἐκεῖνος ἀθυμήσει, καὶ σὺ πολλάκις ἀληθεύσεις. τὰ γὰρ πλεῖστα τῶν ἐπισφαλῶν νοσημάτων, ἀνατρέπουσι τοὺς κάμνοντας ἀπειθοῦντας τοῖς ἰατροῖς. ὡς ὀλίγα πάνυ τὰ πάντως ἀναιρεθήσεται, ἐὰν μήτε ὁ ἰατρὸς ἁμαρτάνοι, μήτε ὁ νοσῶν, μήτε οἱ ὑπηρέται, μήτ' ἄλλο τι τῶν ἔξωθεν ἐκ τύχης γένηται βλαβερόν. ὅσοι γὰρ ἐν σφαλεροῖς νοσήμασι πλέον ἢ προσῆκεν τοὺς κάμνοντας εὐθύμους ποιοῦσι, πολλαπλασίαν αὐτοῖς ἀθροίζουσι δυσθυμίαν ἐν ταῖς ἑξῆς ἡμέραις, ὅταν ἤτοι χεῖρον φαίνεται τὸ νόσημα γινόμενον, ἢ χρονίζοι παρὰ τὴν ἐπαγγελίαν τῶν ἰατρῶν. ἀλλὰ καὶ θαρρήσαντες ὡς ἀκινδύνως νοσοῦντες οἱ πλεῖστοι τῶν ἀνθρώπων, οὐ πάνυ κατήκοοι γίνονται τῶν ἰατρῶν. ἄμεινον δὲ οὖν ἐπίστασθαι τὸ τοῦ κάμνοντος ἦθος ἔμπροσθεν ὅτε ὑγίαινε πεπειραμένον. εἰ δὲ νῦν αὐτῷ πρῶτον ἐντυγχάνομεν, ἐξ ὧν διηγεῖται συνήσομεν ὁποῖός τίς ἐστιν. ἐφ' ὧν δὲ προγινώσκομεν, ἐξὸν μέν τι πρὸς τὴν νόσον ἐξευρίσκειν. εἰ γὰρ κόσμιος ὢν φύσει θρασέως ἀποκρίνεται, καὶ φρόνιμος ὢν ἄφρων φαίνοιτο κατὰ τὴν διήγησιν, ἔνδειξις ἡμῖν ἐντεῦθεν ἔσται τοῦ βεβλάφθαι τὴν διάνοιαν αὐτοῦ. καθάπερ εἰ καὶ νήφων, καὶ φροντιστὴς, ἢ ἀγρυπνητικὸς εἴη, καὶ φύσει χαίρων τῷ διηγεῖσθαι μακρὰ, νωθρὸς φαίνοιτο περὶ τὰς διηγήσεις, ἢ τὰς ἀποκρίσεις, κἀξ αὐτῆς δὲ τῆς φωνῆς ἔνεστί τι τεκμήρασθαι περὶ τῆς νόσου. τινὲς μὲν γὰρ μόγις φθέγγονται, τινὲς δὲ βραγχῶδες, ἢ ὀξὺ περὶ τὸν τῆς νόσου καιρόν. ἔνιοι δὲ ψελλίζουσί τε καὶ τραυλίζουσιν, ὧν ἕκαστον ὁποῖόν τι σημαίνει, μεμαθήκας ἐν ἑτέροις. ἐκ μὲν δὴ τῶν τοιούτων ὁ ἰατρὸς γνώσεταί τι περὶ τοῦ νοσοῦντος, ὁποῖος τὴν γνώμην, καὶ τὸ ἦθος, αὐτῆς δὲ τῆς νόσου τίς ἡ ἰδέα. πάλιν δ' αὐτὸς ἐπιδείξεται τῷ τε κάμνοντι, καὶ τοῖς ἀμφ' αὐτὸν, ὁποῖός τίς ἐστι τὴν τέχνην ἐξ αὐτῶν τῶν ἔργων. καὶ ῥῖνα μὲν γὰρ ὀξυμμένην, καὶ ὀφθαλμοὺς κοίλους, καὶ κροτάφους συμπεπτωκότας ἰδών τις ἐν ὀξεῖ νοσήματι, πυνθάνεται μήτις κένωσις αὐτῷ γέγονεν, ἢ ἀγρυπνία, καὶ λύπη, καὶ σιτίων ἔνδεια, καὶ κόπος ἰσχυρός. εἰ δ' ἀσύμπτωτον θεασάμενος, ἐρήσεται μήτις συνήθων ἐκκρίσεων ἐπίσχεσις, ἢ παρὰ τὸ ἔθος ἀργῶς, καὶ πλησμονῆς διηλύθη. διανοήσεται δὲ καὶ περὶ ψύξεως, ἐγκαύσεώς τε καὶ οἰνοπόσεως πολλῆς, ὅσα τε ἄλλα τοιαῦτα συμβαίνεσθαι κατὰ τρόπον, ὥστε ἐν αὐτῷ τούτῳ πρῶτον ἐπαινεθῆναι πρὸς τῶν παρόντων. ἐὰν γὰρ τὰ προγεγονότα, καὶ τὰ προγινωσκόμενα τῷ τε κάμνοντι, καὶ τοῖς ἀμφ' αὐτὸν ὁ ἰατρὸς συμβαίνεται, θαυμάζουσιν εὐθέως αὐτὸν, ὥσπερ εἰ καί τινα τῶν ἐναντίων τοῖς γεγονόσιν ἐρῶ τὰ καταγινώσκουσιν. ἀλλὰ καὶ τῶν συμβεβηκότων τοῖς κάμνουσιν ἔνια πρὶν ἀκοῦσαι παρ' αὐτῶν ἐν μέσῳ σχήματι λέξεως, ἐρωτήσεώς τε καὶ ἀποφάσεως, ἐὰν εἰπὼν ἐπιτύχῃ, θαυμάζεται. λέλεκται δ' ἅπαντα ταῦθ' ἡμῖν ἑτέρωθι, καὶ νῦν ὡς ἔφην Ἱπποκράτους αὐτὰ μόνα, τά τε πρῶτα κεφάλαια διερχομένου, καὶ ἡμεῖς κατά τινα πρώτην τομὴν αὐτὰ διήλθομεν. εἰ δὲ τὰ κατὰ μέρος ἅπαντα λέγοιμι, τά τε εἰς τὸ προγνωστικὸν ὑπομνήματα, καὶ τὰ περὶ κρίσεων ἐνταῦθα μεταφέρειν ἀναγκασθήσομαι. τούτων δ' ἔξωθέν ἐστιν εἰς τὴν οἰκονομίαν τε καὶ χρῆσιν ὠφελοῦντα, καὶ τῶν ὑφ' Ἡροδότου γραφέντων ἔνια κατὰ τὸ βιβλίον ὃ ἐπέγραψεν αὐτὸς, ἰατρόν. εἴρηται δὲ καὶ πρὸς ἡμῖν ἐν οἷς καὶ περὶ τοῦ προγινώσκειν διερχόμεθα. ἀναλαβόντες οὖν αὖθις ἐξ ἀρχῆς τὰ κεφάλαια τοῦ λόγου, μεταβῶμεν ἐπί τι τῶν ἐξ ἀρχῆς γεγραμμένων, ὥσπερ ἐν τῷ βίῳ τὸ κτᾶσθαι τὰ προσήκοντα πάντα. λέγω δὲ ἐσθῆτα, καὶ σκεύη, καὶ οἰκέτας, ὑποζύγιά τε καὶ ἄλλα θρέμματα, καὶ οἰκίας, καὶ σῖτον, καὶ χέδροπα, καὶ τραγήματα, καὶ οἶνον, καὶ ἔλαιον ὅσα τἄλλα τοιαῦτα διαφέρει, πάμπολυ τοῦ χρῆσθαι τούτοις προσηκόντως ὅπερ ὀνομάζουσιν οἰκονομίαν. οὕτω καὶ κατὰ τὴν ἰατρικὴν οὐ ταὐτόν ἐστι τὸ μαθεῖν τὴν τέχνην, τῷ χρήσασθαι προσηκόντως οἷς ἔμαθέ τις. ἐπιστάμενος ἐν καιρῷ μὲν αὐτὸς ἐρωτῆσαι καὶ εἰπεῖν, ἐν καιρῷ δ' ἀκοῦσαί τι τοῦ κάμνοντος, ἢ τῶν οἰκείων αὐτοῦ. διαλεχθῆναί τε αὐτοῖς ὅπως εἰς τὴν ὑπηρεσίαν ὡς χρησιμώτατοι γίνονται. προνοήσασθαί τε τῶν ἔξωθεν ἃ παρορᾶται τοῖς ἰατροῖς, καὶ τοῖς οἰκείοις τοῦ κάμνοντος, ὧν μάλιστα χρήσιμα τὰ περὶ τὰς κατακλίσεις ἐστὶν, ἢ τῶν οἰκειῶν ὅλην μοχθηρῶν οὐσῶν, ἢ τῶν οἴκων ἐν οἷς οἱ νοσοῦντες κατάκεινται διὰ ὀσμὴν μοχθηράν, ἢ ἀέρα θερμὸν, ἢ ψυχρὸν ἰσχυρῶς, ἢ εὐρῶτος πλήρη. καὶ περὶ τῆς ἐνοχλήσεως δὲ τῆς ἐκ τῶν γειτνιώντων, ἢ τῶν παριόντων κατὰ τὰς δημοσίας ὁδοὺς προνοήσασθαι χρὴ τὸν ἰατρὸν, διαλεχθῆναι δὲ περὶ τούτων ἁπάντων τοῖς οἰκείοις τε καὶ φίλοις νοσοῦντος. αὕτη γάρ ἐστι, καὶ τοιαύτη τις ἡ περὶ τοὺς κάμνοντας οἰκονομία.

Ὅτι ἐν θερμοτέρῳ στερεωτέρῳ ἐν τοῖσι δεξιοῖσι, καὶ μέλανες διὰ τοῦτο, καὶ ἔξω αἱ φλέβες, καὶ χολωδέστεροι μᾶλλον.

Οὐδὲν θαυμαστόν ἐστι κἀνταῦθα παραλελεῖφθαι τὸ συνέχον μάλιστα τὸν ὅλον λόγον. οὐ γὰρ σύγγραμμά ἐστι τὸ βιβλίον τοῦτο πρὸς ἔκδοσιν γεγονὸς, ἀλλὰ παρασκευαί τινες, ἢ ὑποτυπώσεις ὁποίας ἑαυτοῖς εἰώθαμεν ποιεῖσθαι, ὡς εἴ γε σύγγραμμα ἦν, οὕτως ἂν ἀρχόμενος ὡς ἐν τοῖς ἀφορισμοῖς ἔγραψε, προσέθηκε τὰ ἐφεξῆς, τὸν ὅλον λόγον ποιησάμενος τοιοῦτον. ἔμβρυα τὰ μὲν ἄρρενα ἐν τοῖσι δεξιοῖσι μέρεσι τῆς μήτρας, μᾶλλον εὑρίσκεται συνιστάμενα. τὰ δὲ θήλεα κατὰ τὸν ἕτερον κόλπον αὐτῆς τὸν ἀριστερόν. εἰκὸς γάρ ἐστιν ἐν τῷ θερμοτέρῳ μέρει τῆς μήτρας τὸ θερμότερον συνίστασθαι. θερμότερον δέ ἐστι τὸ ἄρρεν ὡς δηλοῖ, καὶ τὸ τῶν φλεβῶν μέγεθος ἐν αὐτῷ, καὶ ἡ χρόα. μελανώτεροι γάρ εἰσι τοὐπίπαν οἱ ἄνδρες τῶν γυναικῶν. οὕτω μὲν εἰ σύγγραμμα ἔγραφεν ὁ Ἱπποκράτης ὁμοίως τῷ περὶ ἀγμῶν καὶ ἄρθρων καὶ προγνωστικῷ, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ἐπεποίητο τὴν ἑρμηνείαν. ἐπεὶ δ', ὡς ἔφην ἑαυτῷ μόνῳ ταῦτα ὑπετυπώσατο, διὰ τοῦτο παραλέλειπται τὸ κεφάλαιον τοῦ λόγου, μὴ δηλώσαντος αὐτοῦ περὶ τῶν κατὰ τὴν κύησιν ἀρρένων λέγεσθαι ταῦτα. τὸ μέντοι ἄρρεν ἐν τῷ δεξιῷ μέρει τῆς μήτρας κυΐσκεσθαι, καὶ ἄλλοι τῶν παλαιοτάτων ἀνδρῶν εἰρήκασιν. ὁ μὲν γὰρ Παρμενίδης οὕτως ἔφη, δεξιτεροῖσι μὲν κούρους, λαιοῖσι δ' αὖ κούρας. ὁ δ' Ἐμπεδοκλῆς οὕτως. ἐν γὰρ θερμοτέρῳ τὸ κατ' ἄρρενα ἔπλετο γαίης. καὶ μέλανες διὰ τοῦτο καὶ ἀνδρωδέστεροι ἄνδρες, καὶ λαχνήεντες μᾶλλον. ὅτι δὲ ἀληθὲς ἡ περὶ τῆς κράσεως τοῦ ἄρρενος ὡς θερμοτέρου δόξα, τελέως ὁ λόγος ἐν τοῖς περὶ κράσεως ὑπομνήμασιν ἐξείργασται. νυνὶ δ' ὡς πολλάκις εἶπον, οὐκ ἀποδεικνύναι τὰ δόγματα πρόκειται τὰ Ἱπποκράτεια ὅτι μὴ πάρεργον, ἀλλὰ τὴν λέξιν ἐξηγεῖσθαι. καὶ ταύτην οὖν τινες τῶν νεωτέρων ἐξηγητῶν ἐτόλμησαν μεταγράφειν τὸ στερε-

τὸ στερεωτέρων καὶ ποιῆσαι στερεώτεροι. δοκεῖ γὰρ αὐτοῖς ἄλογον εἶναι τὸ δεξιὸν μέρος τῆς μήτρας, ὥσπερ θερμότερον οὕτω καὶ στερεώτερον λέγεσθαι. φαίνεται γὰρ ὁμοίως ἔχον ὅσον ἐπὶ στερεότητι, καὶ διὰ τοῦτο χρῆναι γράφειν φασίν, ὅτι θερμοτέροις στερεώτερον ἐν τοῖσι δεξιοῖσι, καὶ μέλανα διὰ τοῦτο. δηλούσης τῆς λέξεως ἐν τῷ θερμοτέρῳ τῆς μήτρας μέρει κυΐσκεσθαι στερεώτερον, ἐν ἴσῳ τῷ ἰσχυρότερον καὶ εὐρωστότερον, ἐπειδὴ καὶ θερμότερόν ἐστι φύσει. περὶ δὲ τῆς ἀληθείας τοῦ δόγματος, οὐ νῦν ὡς ἔφην εἶναι λέγειν καιρός. ἐπεὶ δ' ἔνιοι πρὸς τοὺς εἰπόντας ἅπαντα δεξιὰ μέρη τῶν ἀριστερῶν εἶναι θερμότερα, καὶ ἰσχυρότερα διὰ τὴν τοῦ ἥπατος θέσιν, ἀντιλέγοντες ἔφασαν. ἀλλ' ἔκ τε τῶν ἀριστερῶν ἡ καρδία κεῖται, καὶ φαίνεται μήθ' ὁ δεξιὸς ὀφθαλμὸς τοῦ ἀριστεροῦ μᾶλλον βλέπων, μήτε τὸ οὖς ἀκοῦον, ἢ τὸ σκέλος βαδίζον, ἀλλ' ἐπὶ τῆς χειρὸς μόνης τὸ τοιοῦτον δοκεῖ πιθανὸν εἶναι, διὰ τοῦτο ὀλίγα πρὸς αὐτοὺς εἰρήσεται. μεγίστη γὰρ ἀπόδειξις τοῦ τὰ πλεῖστα τῶν ἀρρένων ἐν τοῖς δεξιοῖς μέρεσι κυΐσκεσθαι, τὸ ἐκ τῆς ἀνατομῆς τῶν ζώων φαινόμενον. δύο γοῦν ἐχούσης κόλπους τῆς μήτρας συναπτομένους, κατὰ τὸν αὐχένα κοινὸν ἀμφοῖν ὄντα, τὰ μὲν ἄρρενα τὸ πλεῖστον ἐν τῷ δεξιῷ φαίνεσθαι κυϊσκόμενα, τὰ θήλεα δ' ἐν θατέρῳ. κάλλιον ἦν τούτου φαινομένου ζητῆσαι τὴν αἰτίαν, οὐκ ἀνατρέπειν πειρᾶσθαι τὸ ἀληθὲς ἀγνοίᾳ τῆς αἰτίας. ἀλλ' ὑμεῖς γε καὶ τὴν αἰτίαν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ἐμάθετε, θεασάμενοι πρὸς μὲν τὸ δεξιὸν μέρος τῆς μήτρας μετὰ τὸ καθαρθῆναι τὸ αἷμα κατὰ τοὺς νεφροὺς ἀφικνούμενον, εἰς δὲ τὸ ἀριστερὸν ἀκάθαρτόν ἐστι, καὶ ὀρρῶδες. ἐθεάσασθε δὲ καὶ τὴν καρδίαν ἐν τῷ μέσῳ τοῦ θώρακος κειμένην, οὐκ ἐν τοῖς ἀριστεροῖς. οἰηθῆναι δέ τινας ἐνταῦθα κεῖσθαι μᾶλλον αὐτὴν εἰκός ἐστιν, ἐκ τοῦ διασημαίνειν τὸν σφυγμὸν κατὰ τοῦτο τὸ μέρος, ὡς ἂν τῆς ἀριστερᾶς ἐν αὐτῇ κοιλίας σφυζούσης.

Συνεκλείθη, ξυνέστη ὀξύτερον, κινηθὲν ἐμωλύθη, καὶ βραδύτερον αὔξεται, καὶ ἐπὶ πλείω χρόνον.

Πολλάκις εἶπον ἐν τούτῳ τῷ βιβλίῳ μυρίας εἶναι γραφάς, διὰ τὴν ἀσάφειαν ἄλλων ἄλλως αὐτὰς ῥυθμιζόντων, ὡς ἂν ἑκάστῳ δόξῃ τὸ τῆς ἐξηγήσεως ἔσεσθαι πιθανόν. ἀλλ' ἐγὼ τὰς παλαιὰς γραφὰς προαιροῦμαι, κἂν ἀπίθανοι δοκῶσιν εἶναι, καὶ μείζονα τὴν ἀπορίαν ἔχοιεν. δι' αὐτὸ γὰρ πιστεύσοι ἄν τις αὐταῖς οὕτως εἰρῆσθαι. διότι καίτοι γ' ἀπορίας οὔσης περὶ τὴν ἐξήγησιν, ὅμως οἱ παλαιότατοι τῶν ἐξηγητῶν ἐν ταύταις ὁμολογοῦσιν. εἰ δέ γ' ἐτόλμων αὐτὰς μεταγράφειν, εἰς εὐπορωτέραν ἂν ὑπήλλαττον λέξιν ὥστε πιθανὴν γενέσθαι τὴν ἐξήγησιν. εἰ τοίνυν τῆς προκειμένης ῥήσεως οὕτως νῦν γεγραμμένης ἐν τοῖς παλαιοῖς ἀντιγράφοις, εἰδότων δὲ καὶ τῶν παλαιῶν ἐξηγητῶν οὕτως αὐτὴν ἔχουσαν, ἐξεῖλον οἱ πλεῖστοι τῶν νεωτέρων τὸ ἐμωλύθη. τινὲς δὲ καὶ τῷ κινηθὲν προσέθηκαν τὸ βραδύτερον, ὡς γενέσθαι τὴν λέξιν τοιαύτην, συνεκλείθη, συνέστη ὀξύτερον, κινηθὲν βραδύτερον αὔξεται. ἔνιοι δὲ τό, καὶ διὰ τοῦτο προέταξαν τῆς λέξεως ὡς γενέσθαι τοιάνδε. καὶ διὰ τοῦτο συνεκλείθη, συνέστη. τό γε μὴν τῆς διανοίας οὐ μέγα παραλλάττουσι κατὰ πάσας τὰς γραφάς. βούλονται γὰρ οἱ ἐξηγηταὶ συγκλεισθῆναι, καὶ συστῆναι διὰ τοῦτο θᾶττον τὸ ἄρρεν τοῦ θήλεος ὅτι θερμότερόν ἐστι, καὶ κινηθῆναι δὲ θᾶττον αὐτό, διὰ τοῦτό φασιν. καὶ μέντοι καὶ ὡμολόγηται σχεδὸν ἅπασι τοῖς ἰατροῖς, οὐ μόνον διαπλάττεσθαι θᾶττον, ἀλλὰ καὶ κινεῖσθαι τὸ ἄρρεν τοῦ θήλεος. εἴρηται δὲ περὶ τούτων σαφῶς κἀν τῷ περὶ φύσεως παιδίου, ὥσπερ γε καὶ παρὰ Διοκλεῖ κατὰ τὰ περὶ γυναικείων συγγράμματα. Ῥοῦφος δέ φησι Διογένη τὸν Ἀπολλωνιάτην μόνον ἐναντίως ἀποφήνασθαι κατὰ τὸ περὶ φύσεως δεύτερον. ἐγὼ δὲ οὐκ ἐνέτυχον τῷ βιβλίῳ. μαρτυρεῖται γε μὴν καὶ πρὸς αὐτῶν τῶν κυουσῶν καὶ θᾶττον ἀρχόμενα κινεῖσθαι, καὶ πλείονας καὶ σφοδροτέρας κινήσεις φαίνεσθαι κινούμενα τὰ ἄρρενα. λέγεται δ' ἐν τῇ προκειμένῃ ῥήσει, ὅτι μὲν θᾶττον ἐκινήθη τε καὶ συνέστη, τουτέστιν ἐπάγη τε καὶ ἐστερεώθη. μετὰ ταῦτα δ' αὔξεται βραδύτερον τοῦ θήλεος τὸ ἄρρεν. αὔξησιν δὲ πότερον ἣν κινούμενον ἴσχει μόνην, ἢ τὴν ἐφεξῆς λέγει νῦν, ἄδηλον. ἀληθὲς δέ ἐστιν ὅτι καὶ μετὰ τὴν ἀποκύησιν αὔξεται τότε θῆλυ θᾶττον, καὶ ἵσταται πρότερα τὰ τῆς αὐξήσεως αὐτῷ. τοῦ μὲν αὔξεσθαι θᾶττον, μαλακότης αἰτία τοῦ σώματος. ῥᾷον γὰρ ἐπιδίδωσι διατεινόμενα τὰ τοιαῦτα σώματα πρὸς τὰς τρεῖς διαστάσεις, μῆκος, βάθος καὶ πλάτος. ἵστασθαι δὲ καὶ παύεσθαι τὴν αὔξησιν αὐτοῖς προτέροις τῶν ἀρρένων, οὐκέτι διὰ τὴν μαλακότητα τοῦ σώματος, ἀλλὰ διὰ τὴν ἀσθένειαν ὑπάρχει. δύναμις γάρ ἐστιν ἐν τοῖς ζώοις φυσικὴ τὴν αὔξησιν αὐτῶν ἐργαζομένη, δι' ἣν ἀρρωστοτέρα μὲν ὅσα ἐπὶ πλέον αὔξεται, θᾶττον δὲ παύεται τῆς αὐξήσεως, ἀσθενοῦς ὑπαρχούσης. εἴπερ οὖν ὁ Ἱπποκράτης αὐτὸς ἔγραψε τό, ἐμωλύθη, τοιοῦτον ἄν τι φαίνοιτο σημαίνειν, οἷον κἀν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἔνθα φησίν, ἀριστερὸν παρ' οὖς οἴδημα, τῇ δ' ὑστεραίῃ καὶ δεξιόν. ἧσσον δὲ τοῦτο καὶ συνεκλείετο ταῦτα, καὶ ἐμωλύθη, καὶ οὐκ ἀπεπυήσατο. τὸ γὰρ τῆς ὀξείας κινήσεως καὶ μεταβολῆς παυσάμενον, καὶ ἀποψυχθὲν οὕτως ὠνόμασεν.

Ὅτι ἐστερεώθη καὶ χολωδέστερον, καὶ ἐναιμότερον τοῦτο θερμότερόν ἐστι τὸ χωρίον τῷ ζώῳ.

Διὰ τοῦτό φησι τὸ ἄρρεν στερεώτερόν τε καὶ χολωδέστερον, καὶ ἐναιμότερον γενέσθαι, διότι καὶ τὸ χωρίον ἐν ᾧ κυΐσκεται τοιοῦτον ὑπάρχει. λέγει δὲ δηλονότι τὸν δεξιὸν κόλπον τῆς μήτρας, καὶ ταύτην τὴν ῥῆσιν ἄλλος ἄλλως γράφει. πάντες μέντοι τὴν αὐτὴν διάνοιαν φυλάττουσι, διότι καὶ τὸ λίαν ἀκριβῶς ζητεῖν ὁποία τίς ἐστιν ἡ ὄντως Ἱπποκράτους λέξις περιττόν. ἄμεινον γὰρ οὐ τοῦτο σκοπεῖν, ἀλλ' εἰ τὸ λεγόμενον ἀληθές. ἡ δ' ἀλήθεια διὰ τῶν ἀνατομῶν ὡς ἔφην εὑρίσκεται, τῶν ἀρρένων τὸ πλεῖστον ἐν τῷ δεξιῷ κόλπῳ τῆς μήτρας κυϊσκομένων. εἴρηται δὲ καὶ ἡ αἰτία τοῦ θερμότερον εἶναι τοῦτο, καὶ αὐτὴ διὰ τῆς ἀνατομῆς ἐγνωσμένη.

Η δέρματος ἀραιότης, ἢ κοιλίης πυκνότης, ἢ δέρματος σύνδεσις, ἢ σαρκῶν αὔξησις, ἢ κοιλίης νάρκωσις, ἢ τῶν ὅλων σύγχυσις, ἢ τῶν ἀγγείων ἀκαθαρσία, ἢ ἐγκεφάλου ἀνάλωσις, διὸ καὶ φαλακρότης, ἢ τῶν ὀργάνων θλίψις.

Ἔνιοι μὲν ἡγοῦνται κατάλογον εἶναι τῶν γνώσεων τοῖς ἰατροῖς. φαίνεται δὲ μᾶλλον ἐν συζυγίᾳ λελέχθαι τινὰ τῶν ἐζευγμένων ἀλλήλοις πραγμάτων, καὶ πρώτη μὲν εἴρηται συζυγία, καθ' ἣν φησιν ἡ δέρματος ἀραιότης, ἢ κοιλίης πυκνότης. ἔνιοι γὰρ διὰ τὸ πυκνὴν ἔχουσι τὴν κοιλίαν, τουτέστιν ἐπεχομένην τε καὶ στεγνὴν, ὅτι διὰ τοῦ δέρματος ἐκκενοῦνται πολλά. καθάπερ αὖ πάλιν ἕτεροι δυσδιαφόρητοι κατὰ τὴν ἐπιφάνειαν ὄντες, οὐροῦσί τε πολλὰ, καὶ διαχωροῦσι κάτω. ἑτέρα δὲ πάλιν ἐφεξῆς γέγραπται συζυγία, ἡ δέρματος σύνδεσις, ἡ σαρκῶν αὔξησις, ἔνθα δηλοῦται τὴν συναγωγὴν καὶ σφίγξιν τοῦ δέρματος, αἰτίαν γίνεσθαι πολλάκις ἀμέτρου σαρκῶν αὐξήσεως. ἄλλη δὲ ταύτης ἐχομένη συζυγία, γέγραπται κατὰ τήνδε τὴν λέξιν, ἡ κοιλίης νάρκωσις, ἡ τῶν ὅλων σύγχυσις. νάρκωσιν δ' ἀκούσωμεν τὴν περὶ τὸ πέττειν τὰς τροφὰς ἀρρωστίαν τῆς γαστρὸς, ἁπάντων δὴ ταύτην τῶν κατὰ τὸ σῶμα παθῶν αἰτίαν γίνεσθαι. τὸ δ' ἐφεξῆς εἰρημένον, ἡ τῶν ἀγγείων ἀκαθαρσία, δύναται μὲν καὶ ταύτῃ τῇ συζυγίᾳ συνάπτεσθαι. τὸ γὰρ μὴ καλῶς πεφθὲν ἐν τῇ γαστρὶ, τῆς τῶν ἀγγείων ἀκαθαρσίας πολλάκις αἴτιον γίνεται. δύναται δὲ καὶ χωρὶς τοῦ συνάπτεσθαι τῇ ναρκώσει τῆς κοιλίας ἀκούεσθαι περὶ κατὰ τὰς φλέβας μοχθηρᾶς πέψεως. ἣν ὥσπερ ἡ περὶ τὴν γαστέρα πέψις οὐ καλῶς ἐπιτελουμένη, πολλὰ συγχεῖ καθ' ὅλον τὸ ζῶον, οὕτω καὶ ἡ κατὰ τὰς φλέβας ἀποτυγχανομένη, πρῶτον μὲν ἀκαθαρσίαν ἐν ταῖς φλεψὶ ποιεῖ, τουτέστι μοχθηρῶν χυμῶν πλεονεξίαν. εἶτα δὴ καὶ βλάβην μεγάλην, ὥστε τὸ μεταξὺ τῆς τε κοιλίας νάρκωσις καὶ τῆς τῶν ἀγγείων ἀκαθαρσία, κοινὸν ἀμφοῖν εἶναι, ὅπερ αὐτὸς ὠνόμασε τῶν ὅλων σύγχυσιν. τὸ δ' ἐφεξῆς εἰρημένον, ἡ ἐγκεφάλου ἀνάλωσις, διὸ καὶ φαλακρότης, ἐμοὶ μὲν δοκεῖ τοιόνδε τι δηλοῦν, ὅταν ὁ ἐγκέφαλος ἐλάττων ἑαυτοῦ γένηται κατὰ πολὺ, συμβαίνει δὲ τοῦτο τοῖς ξηρότερον αὐτὸν ἔχουσι φύσει, τότ' ἀφίσταται τῶν ὑπερκειμένων ὀστῶν ἃ καλοῦσιν οἱ ἀνατομικοὶ βρέγματα. ἔστι δὲ δύο ταῦτα, περιγραφόμενον, ἑκάτερον δὲ εὐθείαις γραμμαῖς τέτταρσι. μία μὲν τῇ κατὰ τὸ μῆκος ῥαφῇ κοινῇ οὔσῃ, ἀμφοτέροις τοῖς ὀστοῖς. ὄπισθεν δὲ ταῖς πλευραῖς τοῦ λαβδοειδοῦς, ἔμπροσθεν δὲ ταῖς τῆς στεφανιαίας, ἑκατέρωθι δὲ ταῖς λεπιδοειδέσι. τῶν δ' ἄλλων μερῶν τοῦ κρανίου, μάλιστα μὲν οὐδ' ἀφίσταται πλέον ὁ ἐγκέφαλος. εἰ δὲ καὶ ἀποσταίη ποτὲ, διά γοῦν τὰς ὑποκειμένας τοῖς ὀστοῖς τὰς σάρκας οὐκ ἀπόλλυται παντάπασιν ἡ τοῦ δέρματος ὑγρότης, ὥστ' οὐδὲ τρίχες. ἐμάθετε γὰρ ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν, μήτ' ἐκ τοῦ ἐνύγρου δέρματος φύεσθαι τρίχας, μήτ' ἐκ τοῦ ξηρανθέντος σφοδρῶς. ὑγρὸν μὲν οὖν ἐστι τὸ περὶ τὴν κεφαλὴν δέρμα παισὶ, καὶ γυναιξὶ, καὶ τοῖς εὐνούχοις. ξηρὸν δ' ἀμέτρως τοῖς φαλακροῖς. ὅτι δὲ ἐγκέφαλος ἐπὶ μὲν τῶν νέων ψαύει τοῦ κρανίου μαλακὸς ὢν καὶ ὑγρὸς, ἅπασάν τε τὴν ἔνδον εὐρυχωρίαν κατείληφε, τοῖς γηρῶσι δ' ἀφίσταται ξηραινόμενός τε καὶ συνιζάνων, ἐθεάσασθε πολλάκις ἐν ταῖς τῶν ζώων ἀνατομαῖς. νυνὶ δ' οὐκ ἀποδείξεις πρόκειται γράφειν τῶν Ἱπποκράτους δογμάτων ὅτι μὴ πάρεργον, ἀλλ' ἐξηγεῖσθαι τὴν ἀσαφῆ λέξιν. ἅμα καὶ τῷ διὰ κεφαλαίων ἐνίοτε τὰς αἰτίας προστιθέναι, κατὰ τὴν ἀκολουθίαν τῶν ἀποδεδειγμένων δογμάτων. ὅτι δ' ἀνάλωσιν ἐγκεφάλου τὴν τελείαν ἀπώλειαν, ὡς ἐκδαπανηθῆναι παντάπασιν αὐτὸν, οὐδ' ἐπινοῆσαι δυνατὸν ἐν ζῶντι ζώῳ γενέσθαι, παντὶ πρόδηλον. καὶ μὴν εἰ μὴ τοῦτον λείποιτ' ἂν ἀκούειν ἀνάλωσιν ἐγκεφάλου τὴν μείωσιν, ἣν διὰ ξηρότητα γίνεσθαι τοῖς φαλακρουμένοις ἔφην, ὥστε τὰ τοῦ βρέγματος ὀστᾶ χαυνότερα, καὶ ἁπαλώτερα τῶν ἄλλων ὄντα, καὶ ἄνωθεν ἐπικείμενα γίνεσθαι ξηρὰ διὰ τὴν ἔνδειαν τοῦ ἐγκεφάλου, μηκέτ' ἐξικνουμένου πρὸς αὐτὰ, μηδ' ἅπτεσθαι δυναμένου. συνιζάνει τε γὰρ καὶ καταπίπτει ταπεινούμενος ἐπὶ τὴν ἑαυτοῦ βάσιν. ἀκόλουθον δ' ἐστὶ τῶν ὀστῶν τούτων ξηρανθέντων ξηραίνεσθαι, καὶ τὸ περιτεταμένον αὐτοῖς δέρμα, καὶ φαίνεταί γε καὶ αὐτῇ τῇ αἰσθήσει πάνυ ξηρὰ ἐπὶ τῶν φαλακρῶν, ὡς μηδὲ δεῖσθαι ἀποδείξεως λογικῆς. ὅταν γε μὴν ἐπὶ πλέον τύχῃ ξηρανθεὶς ὁ ἐγκέφαλος, ὡς ἐπί τινων ἐν ἐσχάτῳ γήρᾳ συμβαίνει, καὶ τὰς τῶν νεύρων ἐκφύσεις ἀναγκαῖον ἀποξηραίνεσθαι τηνικαῦτα. διὰ τοῦτο μήθ' ὁρᾶν ὁμοίως ἐστὶ, μήτ' ἀκούειν, μήτ' ἄλλο τι τῶν κατὰ τὰς αἰσθήσεις, ἢ τὰς καθ' ὁρμὴν κινήσεις ἐρρωμένως ἐπιτελεῖν, ἀλλ' ἔκλυτα πάντα καὶ ἀμυδρὰ, καὶ ἄρρωστα γίγνεται τὰ κατὰ ταύτας ὄργανα δι' ὧν ἐπετέλουν τὸ πρότερον, ὅπερ εἰκὸς αὐτὸν ὠνομακέναι κατάτριψιν ὀργάνων ἐκ μεταφορᾶς τῶν τριβομένων ἱματίων, ἢ σκευῶν χρησάμενον τῇ προσηγορίᾳ. καὶ γὰρ καὶ ταῦτα φαίνεται ξηρότερα σφῶν αὐτῶν γινόμενα μετὰ τὰς πολυχρονίους χρήσεις ἡνίκα κατατετρῖφθαι λέγομεν αὐτά. τινὲς μέντοι τὸ κατὰ συζυγίαν ἀκούειν τῶν γεγραμμένων οὐκ ἐννοήσαντες, ὅλως ἕκαστον τε τῶν προειρημένων, ἰδίᾳ προχειριζόμενοι συμβουλεύειν, ἐν τῇ ῥήσει ταύτῃ τὸν Ἱπποκράτην φασὶ, τὰς δυνάμεις αὐτῶν ἐπισκοπεῖσθαι οἷον εὐθέως. ἡ τοῦ δέρματος ἀραιότης, πρώτη γὰρ αὕτη γέγραπται, γιγνώσκειν φασὶ προσήκειν τί δύναται, χάριν τοῦ καὶ ποιεῖν αὐτὴν ὁπότε χρείαν ἔχομεν, ἀναιρεῖν δ' ὁπότ' οὐκ εἴη χρεία. γέγραπται γοῦν φασι κἂν τῷ περὶ τροφῆς ἀραιότης σώματος εἰς διαπνοήν, οἷς πλεῖον ἀφαιρεῖται ὑγιεινότεροι, οἷς δ' ἔλαττον νοσερώτεροι. ἀλλὰ τούτοις γε μάχεται τὸ μεταξὺ γεγράφθαι, τὸ κοιλίης πυκνότης, τοῦ δέρματος σύνδεσις. εἴπερ ἦν κατάλογος πραγμάτων εἰς γνῶσιν χρησίμων ἰατρῷ, καὶ μέντοι καὶ τὸ τούτων ἐφεξῆς οὕτως εἰρημένον ἡ κοιλίης νάρκωσις ἡ τῶν ὅλων σύγχυσις ἐνδεικτικόν ἐστι τοῦ γράφειν αὐτὸν ὅσα συνυπάρχειν ἀλλήλοις πέφυκεν. οὐχ ἁπλῶς τινές εἰσι διαθέσεις ἐν τῷ σώματι συνιστάμεναι γινώσκεσθαι δεόμεναι. τὸ γὰρ ἡ τῶν ὅλων σύγχυσις, οὐ διαθέσεώς ἐστι δηλωτικὸν, ἀλλὰ τῶν ἐπὶ διαθέσει μοχθηρᾷ γινομένων κακῶν.

Καθαίρεσις

Καθαίρεσις δρόμοισι, πάλῃσιν, ἡσυχίῃσι, πολλῇσι περιπάτοισι ταχέσιν, οἷσιν ἑφθὴ μᾶζα, τὸ πλεῖστον ἄρτος ὀλίγος.

Τὸ μὲν τῆς κενώσεως ὄνομα κατὰ μόνων τῶν ὑγρῶν λέγεται. τὸ δὲ τῆς καθαιρέσεως, μᾶλλον μὲν ἐπὶ τῶν στερεῶν, ἐνίοτε δὲ κἀπὶ τῶν ὑγρῶν. καὶ μέντοι καὶ τὰ νῦν εἰρημένα κοινὰ τῆς τε τῶν ὑγρῶν, καὶ τῆς τῶν στερεῶν μειώσεως ἐστίν, ὅταν αὐτῶν καθαιρέσεως, ἢ κενώσεως αἵματος αὐτὰς ποιήσασθαι βουληθῶμεν ἐπὶ τῶν ὑγιαινόντων δηλονότι. νοσοῦντα γὰρ οὐδεὶς δρόμοις καὶ πάλαις θεραπεύει. κοινὸν γὰρ καὶ τούτων καὶ τῶν ἄλλων ἐστὶ τῶν ὁμοίων αὐτοῖς τὸ τῶν γυμνασίων γένος, ἐκτεταμένον ἐπί τε δίσκων καὶ ἀκοντίων βολάς, ἅλματά τε καὶ ἁλτῆρας, ὁπλομαχίας τε, καὶ πάντα τὰ κατὰ τὸν βίον ἔργα, καὶ μάλιστα ὅσα κατὰ γεωργίαν πονοῦσιν ἀροῦντές τε καὶ θερίζοντες, καὶ σκάπτοντες. ἅπαντα οὖν τὰ γυμνάσια καὶ τῶν σαρκῶν, καὶ πιμελῶν, καὶ χυμῶν πλήθους μειοῖ. χρῆσθαι δ' ἐφ' ἑνὸς σώματος αὐτοῖς ἀδύνατον, ἀλλὰ κατὰ τὰς ἕξεις, καὶ κατὰ τὰς ἡλικίας, καὶ τὴν δύναμιν, καὶ τὸ ἔθος ἐξευρίσκειν ἑκάστῳ προσῆκει τὸ ἐπιτήδειον γυμνάσιον, ὡς ἐν τοῖς ὑγιεινοῖς ἐμάθετε. νυνὶ γὰρ ἐκ τῆς τῶν Ἱπποκράτους συγγραμμάτων ἐξηγήσεως, οὐ τὰ τῆς ἰατρικῆς θεωρήματα μανθάνεται, προμεμαθηκότων ταῦτα κατὰ τάξιν ἐν ταῖς οἰκείαις πραγματείαις, ἐν αἷς ἁπάσαις τά τε δόγματα αὐτοῦ μετὰ ἀποδείξεως ἔγνωτε, καὶ τὰ τοῖς δόγμασιν ἀκόλουθα κατὰ μέρος ἅπαντα. βουληθέντων δὲ τῶν εἰρημένων παρ' αὐτοῦ τὴν ἱστορίαν προσκτήσασθαι, ταῦτα ἠξιώσατέ με τὰ ὑπομνήματα ὑμῖν ποιήσασθαι, καίτοι μὴ προκειμένων. αἱ γὰρ ἀσαφεῖς λέξεις ἐπιστημονικὴν ἐξήγησιν οὐ προσίενται. νῦν γοῦν εὐθέως ἐφεξῆς γεγραμμένου τοῦ, ἡσυχίῃσιν, οὐκ ἔστι γνῶναι σαφῶς ὃ βούλεται δηλῶσαι διὰ τῆς φωνῆς ταύτης ὁ Ἱπποκράτης. στοχάζεσθαι δὲ χρὴ καθάπερ ἐν ταῖς ἄλλαις ἀσαφέσι λέξεσιν, οὕτως κἀν ταύτῃ, τὸ μέν τι τῷδε φαίνεσθαι πιθανώτερον εἶναι, τὸ δὲ τῷδε. καὶ γὰρ καὶ πέφηνε, καὶ ἄλλος ἄλλως ἐξηγεῖται τὴν ἡσυχίαν. ἐγχωρεῖ γοῦν ἐπί τε τῶν μεταξὺ διαναπαύσεων ἐν τοῖς γυμνασίοις εἰρῆσθαι, καθάπερ ἐν ἀφορισμοῖς εἶπεν, ὁκόταν ἄρξηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον. ἐγχωρεῖ δὲ κἀπὶ ταῖς τοῦ ὅλαις ἡμέραις ἐσομένων ἡσυχιῶν, ἐν τοῖς μεταξὺ λελέχθαι. δύναται δὲ καὶ τελείαν ἡσυχίαν ἐπί τινων σωμάτων συμβουλεύειν. εἰ γὰρ οὕτως αὐτὸς εἶπε κίνησις κρατύνει, ἀργίη τήκει, δύναιτ' ἂν ποτὲ καὶ βίος ἀργὸς λεπτῦναι τὸ σῶμα. καὶ γὰρ τεθεάμεθά τισιν οὕτω συμβῆναι ἐκ μεταστάσεως εἰς ἀργίαν τῶν γυμνασίων. ἀλλὰ διορισμῶν ἀκριβῶν ἐστὶ χρεία, τίνες εἰσὶν οἱ τούτων δεόμενοι λεπτύνσεως ἕνεκεν, οὐ γὰρ δὴ κενώσεώς γε πλεοναζόντων ὑγρῶν. οὐδέποτε γὰρ ἀργία τοῦτο ποιεῖν πέφυκεν. εἰκότως οὖν ἔνιοι περὶ καθαιρέσεως σαρκῶν τὸν λόγον αὐτῷ νῦν εἶναί φασιν, οὐ κενώσεως ὑγρῶν ὡς ἐν πληθώραις τε καὶ ταῖς ὑδαρώδεσιν ἕξεσι γίνονται. δυνατὸν γε μὴν ἐπ' ἀμφοτέρων αὐτοῦ τὸν λόγον πεποιημένου κατάλογον εἶναι πάντων τῶν βοηθημάτων ὅσα τε κοινὰ τῶν καθαιρέσεων ἀμφοτέρων ἐστί, καὶ ὅσα τε καθ' ἑτέραν αὐτῶν ἴδια. δύναται δὲ μετὰ τὰ γυμνάσια τὴν ἡσυχίαν γεγράφθαι περὶ τῶν καθ' ἑκάστην ἡμέραν γυμνασίων, καὶ τὸν ἐπ' αὐτῆς ἡσυχίας ποιούμενος τὸν λόγον, ἵνα γυμνασάμενοι μὴ προσφέρωνται τὰ σιτία εὐθέως καθάπερ ἔθος ἐστὶ διασώζοντες ἐν τῷ σώματι τὴν ἐκ τῶν γυμνασίων θερμασίαν, ἀλλὰ τελέως ἀπεψυγμένοι. καὶ γὰρ τοῦτ' ἐν τοῖς ὑγιεινοῖς ἐμάθετε λελεγμένον ὀρθῶς ἄλλοις τε, καὶ τῷ Ἐρασιστράτῳ, ὥστε κἀκ τούτου δῆλον γίνεσθαι πολὺ τὸ στοχαστικὸν ἐν ταῖς ἐξηγήσεσιν εἶναι τῶν διὰ συντομίαν ἀσαφῶς ἡρμηνευμένων. ὅταν δὲ καὶ γράφειν τὴν λέξιν, ὡς ἂν ἐθέλῃ τις ἐξῇ, πολὺ δή που μᾶλλον ἄδηλον γίνεται τὸ τῆς γνώμης τοῦ παλαιοῦ. νῦν γοῦν ἐν τῇ προκειμένῃ ῥήσει γράφουσιν ἔνιοι, ἡσυχίῃσι πολλῇσιν, οὔτε τῶν παλαιῶν ἀντιγράφων, οὔτε τῶν πρῶτον ἐξηγησαμένων τὸ βιβλίον ἐπισταμένων τὴν γραφὴν ταύτην. εἰ δ' ἀναγκάζει τις ἡμᾶς αὐτὴν ἐξηγήσασθαι τὴν μετὰ τὰ γυμνάσια γινομένην ἡσυχίαν, φήσομεν ἀξιοῦν αὐτὸν ποιεῖσθαι πολλήν. ἀλλὰ ταύτην μὲν ἐατέον. τὴν δ' ὁμολογουμένην ἅπασι γραφὴν ἐξηγούμενοι συμβουλεύειν αὐτὸν ἐροῦμεν, πολλοῖς περιπάτοις καὶ ὀξέσι χρῆσθαι. παχύνουσι γὰρ οἱ βραδεῖς ὥσπερ καὶ τὰ βραδέα γυμνάσια. καὶ θαυμάζω γε πῶς ἐπ' ἐκείνων παρέλιπε τὸ ταχέσι. καὶ γὰρ δρόμοι ταχεῖς, καὶ γυμνάσια τοιαῦτα, καὶ σαρκῶν ὄγκον καθαιρεῖ, καὶ χυμῶν πλῆθος κενοῖ, καὶ σχεδὸν ἅπασιν ὁμολογεῖται τοῦτο καὶ γυμνασταῖς, καὶ ἰατροῖς. ὁ δ' οὖν Ἱπποκράτης ἐφεξῆς ἔγραψε περὶ τῆς ἐπιτηδείου τροφῆς τοῖς καθαιρέσεως δεομένοις, ὡς εἴωθεν ἐκ τοῦ παραδείγματος ἑνὸς ἑαυτῷ ὑπόμνησιν ποιησάμενος τοῦ καθόλου πᾶσιν ἁρμόττοντος. ἔστι δὲ τούτοις καθόλου τροφὰς διδόναι μὴ τροφίμας, ὁποῖόν ἐστι τὸ χοίρειον κρέας, ἀλλ' ὀλιγοτρόφους ὁποῖόν ἐστι τὸ τοῦ οἰός, ὅπερ ἐστὶ τοῦ προβάτου. καὶ ἡ μᾶζα δὲ τῶν ὀλιγοτρόφων ἐστί. διὰ τοῦτ' οὖν ταύτης μὲν τὸ πλεῖστον, ὀλίγον δὲ τοῦ ἄρτου λαμβάνειν κελεύει.

Καθαιρέσεως σημεῖον τὴν αὐτὴν ὥρην τῆς ἡμέρας φυλάσσειν, ἐξαπίνης γὰρ εἰρύεται.

Οὐκ ἄδηλόν ἐστι συνῆφθαι τὴν ῥῆσιν ταύτην τῇ προγεγραμμένῃ, καθ' ἣν ἐδίδασκεν ὅν τινα τρόπον χρὴ ποιεῖσθαι τὴν καθαίρεσιν. ὅπως οὖν γνῶμεν εἰ τοῦ ποσοῦ τοῦ κατ' αὐτὴν ἀκριβῶς ἐστοχασάμεθα, σημεῖον νῦν γράφει τοῦτο. γέγονε δὲ ὁ λόγος οὗτος ἀσαφής, ὡς πρὸς ἡμᾶς διὰ τό, καθάπερ ἔφην ἤδη πολλάκις, οὐ πρὸς ἔκδοσιν αὐτῷ γεγράφθαι τὴν βίβλον ταύτην, ἀλλ' εἰς ὑποτύπωσίν τε καὶ παρασκευὴν ἑαυτῷ. πρὸς ἔκδοσιν δὲ γράφων οὕτως εἶπεν ἂν πάντως, ἥν τινα λέγει τῆς ἡμέρας ὥραν τὴν αὐτὴν ἐν ᾗ τὸ τῆς καθαιρέσεως σημεῖον ἐπιτηρεῖν χρή. μὴ γράψαντος οὖν αὐτοῦ τι ἂν ἄλλο τις ἀκούειν ἔχοι πιθανώτερον, ἢ ὅτι τὴν αὐτὴν ὥραν τῆς ἡμέρας ἄγοντες ἤδη τὰ γυμνάσια τῶν τῆς καθαιρέσεως χρῄζοντα, παραφυλάξωμεν ὡς ἐκέλευε. μή τι γὰρ ἐξαπίνης εἰρύεται, τουτέστι συμπίπτειν μὲν τὸν ὄγκον τοῦ σώματος, καταπίπτοι δὲ καὶ ἀρρωστεῖν τὴν δύναμιν. ἄντικρυς μὲν γὰρ ἕλκεσθαι σημαίνει τὸ εἰρύεσθαι. δύναται δ' ἀπ' ἐκείνου κἀπὶ ταῦτα μεταφέρεσθαι διὰ τὴν τῶν πραγμάτων φύσιν ὑπὲρ ὧν ὁ λόγος ἐστίν. οἷς ὡς ἔφην πολλάκις ἐν ταῖς ἀσαφέσιν ἑρμηνείαις, ἃ φθάνομεν αὐτοὶ γινώσκειν ἐφαρμόττομεν. ἔνιοι δ' ἀντὶ τοῦ εἰρύεται γράφουσιν ὀρείπεται, σαφεστέραν τὴν δήλωσιν τοῦ πράγματος ἐκ τῆς λέξεως ταύτης ἐλπίσαντες ἔσεσθαι. ἀλλ' ἥ γε παλαιὰ γραφὴ τὴν εἰρύεται φωνὴν ἔχει.

Ἀφεῖναι τῶν πόνων, ἢ ῥυήσεται.

Κἀνταῦθα γράφουσί τινες ὑφεῖναι τῶν πόνων, ἢ ῥυήσεται. ἡ δ' οὖν τοῦ λόγου δύναμίς ἐστι τοιάδε. πᾶσα κένωσις ἐὰν μὴ κατὰ βραχὺ γίνηται, τήν τε δύναμιν καταλύει, καὶ τὴν τοῦ σώματος ἕξιν ἀθρόως διαφορεῖ. διὰ τοῦτ' οὖν ἔνιοι μὲν ἔγραψαν ὑφεῖναι τῶν πόνων, ἢ ῥυήσεται, τὴν ἀθρόαν κένωσιν ἐκ τοῦ ῥυήσεσθαί γε δηλοῦσθαι βουλόμενοι. τινὲς δὲ ἢ εἰρύεται γράφουσι προστιθέντων τὸ ἦτα, καὶ περισπώντων καὶ μετὰ ι ὑπογράφοντων ἵνα σημαίνηται τῶν πόνων ὑφεῖναι, ἢ ὑφίεσθαι, καθότι ἂν ἐρύηται ὁ ἄνθρωπος. αὐτὸ δὲ τὸ εἰρύεσθαι, κατά τε τὴν τοῦ σώματος συμπτώσεως, καὶ κατὰ τὴν ἐν τῇ δυνάμει καταπτώσεως εἰρηκέναι φασίν, ὡς γίνεσθαι τὸν λόγον τοιοῦτον. ὑφεῖναι τῶν πόνων, ὁπόταν ἤτε δύναμις καταπίπτῃ, καὶ τὸ σῶμα διαφορῆται. καὶ μέντοι καὶ οἱ τὸ ῥέψεται γράφοντες, ἐπὶ τὴν τῆς δυνάμεως κατάπτωσιν φέρουσι τὸν λόγον.

Ὁμοίως γὰρ ὅλον συμπίπτει.

Τῇ προγεγραμμένῃ ῥήσει ταύτην ἐφεξῆς εὗρον ἐν τοῖς παλαιοῖς ἀντιγράφοις πάλιν. ἴσασι δὲ αὐτὴν οὕτως ἔχουσαν, καὶ οἱ παλαιοὶ τῶν ἐξηγητῶν. καὶ μέντοι καὶ τῶν νεωτέρων οἱ περὶ Σαβῖνον, οὐ μὴν εἰρήκασί γέ τινα ἐξήγησιν εἰς αὐτήν, ὅλην γὰρ τὴν προκειμένην ῥῆσιν προσγράψαντες, εἶτ' ἐξηγησάμενοι τὰ κατὰ μέρος ἐν αὐτῇ, ταύτης τῆς λέξεως τὴν ἐξήγησιν οὐκ εἶπον, ὥσπερ οὐδὲ Ζεῦξις ἐκ τῶν παλαιῶν ἐξηγητῶν εἷς ὢν καὶ αὐτός. ἔνιοι δέ φασιν εἰρῆσθαι πρὸς Ἱπποκράτους. τὸ ὁμοίως γὰρ συμπίπτει, τοιοῦτόν τι δηλοῦν βουλομένου, ὥσπερ ἡ πλήρωσις βλάπτει, καὶ διὰ τοῦτο δεῖ καθαιρεῖν αὐτήν. οὕτω καὶ ἡ περαιτέρω τοῦ προσήκοντος κένωσίς ἐστι βλαβερὰ παραπλησίως τῇ πληρώσει. συμπίπτει γὰρ ὑπ' αὐτῆς τὸ σῶμα βλαβερῶς, ὡς ἐπὶ τῆς πληρώσεως εἰς ὄγκον αἴρεται. μεμψάμενοι δ' ἔνιοι τὴν ἐξήγησιν ταύτην ὡς ἀπίθανον, ἤτοι οὐδ' ὅλως ἔγραψαν τὸ μέρος τοῦτο τῆς ῥήσεως, ἢ μετέγραψαν εἰς τήνδε τὴν λέξιν. ἀθρόως γὰρ ἂν ῥυήσεται, παρακελεύεσθαι βουλόμενοι τὸν Ἱπποκράτην προσέχειν ἡμᾶς ἀκριβῶς τῇ καθαιρέσει τοῦ σώματος. ἀθρόως γὰρ αὐτοῖς γίνεσθαι, διαφορεῖσθαι καὶ ῥεῖν, ἐν τοῖς γυμνασίοις ὅταν ἐφεξῆς ἡμέραις πολλαῖς ἐπιμένῃ τις γυμνάζων μὲν αὐτοὺς ἀξιολόγως, διαιτῶν δὲ λεπτῶς.

Ὅταν δ' ἤδη συμπέσωσι, προσάγειν ὕεια ὀπτά.

Διὰ τῶν προειρημένων ἀξιοῖ φυλάττεσθαι τὴν ἄμετρον καθαίρεσιν. ἐπεὶ δ' ἐστὶν ὅτε συμβαίνει περιπίπτειν ἀκουσίως βούλεται, καὶ πρὸς ταῦτα χρὴ παρεσκευάσθαι τὸν ἰατρόν. ἐάν ποτε καθαίρεσις ἀθρόα γένηται, διδόναι τηνικαῦτα συμβουλεύει κρέα ὕεια ὀπτά. κρέα μὲν ὕεια, διότι πολύτροφα. τὰ δὲ ὀπτά, διότι στερεάν, καὶ συνηγμένην εἰς ὀλίγον ὄγκον οὐχ ὑγράν, οὐδὲ πλαδαρὰν ἐργάζεται τὴν σάρκα. τινὲς δὲ ἀντὶ τοῦ προσάγειν, προσφέρειν ὕεια ὀπτὰ γράφουσι, τὴν αὐτὴν μὲν φυλάττοντες ἔννοιαν, ὡς κυριωτέρῳ δὲ ῥήματι τῷ προσφέρειν, ἀντὶ τοῦ προσάγειν χρώμενοι.

Ὅταν δὲ πληρῶνται, σημεῖον αὖθις τὸ σῶμα ἀνθηρὸν γίνεται.

Καὶ τοῦτ' αὐτὸ διὰ βραχέων ὑπεγράψατο κοινὸν ἁπάσης ἀναθρέψεως ὑπάρχον σημεῖον. ἀνθηρὸν γὰρ γίνεται τὸ σῶμα, κατά τε τὰ γυμνάσια, καὶ ἄλλως τοῖς ἐξ αἱμάτων χρηστοῦ τὴν ἀνάθρεψιν ἴσχουσιν.

Ἐν γυμνασίοις σημεῖον ὁ ἱδρὼς στάγδην ἔξεισιν ὥσπερ ἐξ ὀχετῶν, ἢ σύμπτωσις ἐξ ἐπάρσιος.

Λείπει κἀνταῦθα τῇ λέξει, τὸ συμπτώσεως, ἢ καθαιρέσεως, ἤ τι τοιοῦτον. διὸ καί τινες οὐκ ὤκνησαν αὐτὸ προσθέντες, ὡς γεγραμμένον οὕτως ἐξ ἀρχῆς ἐξηγεῖσθαι, τοιάνδε τὴν λέξιν ποιήσαντες. ἐν γυμνασίοις σημεῖον συμπτώσεως ὁ ἱδρὼς ὁ ῥέων ὥσπερ ἐξ ὀχετῶν. ἐφεξῆς δ' ἄλλο σημεῖον γίνεσθαι τὴν ἀθρόαν σύμπτωσιν ἐξ ἐπάρσεως. χρὴ γὰρ κἀνταῦθα προσυπακοῦσαι τὸ ἀθρόον, εἰ καὶ μὴ γέγραπται νῦν, ἔμπροσθεν εἰρηκότος αὐτοῦ, ἐξαπίνης γὰρ αἴρεται. ὅτι δὲ ταῦτα διαφορουμένου τοῦ σώματος ἀμέτρως γίνεται πρόδηλον.

Ἡ γυνὴ ἣν τὸ πρῶτον ἐθεράπευσα ἐν Κρανῶνι, ὁ σπλὴν μέγας φύσει, πυρετὸς καυσώδης, ἐξέρυθρος, πνεῦμα, δεκάτῃ ἱδρὼς, τὰ πολλὰ ἄνω, ἀτάρ τοι καὶ κάτω. ἰδίᾳ οὐδὲν ἀξιόλογον.

Ἐκ ταύτης τῆς ῥήσεως ἔνεστιν ἡμῖν μαθεῖν. θαυμάσαιμι δ' ἂν εἰ καὶ αὐτὸς ὁ Ἱπποκράτης οὕτως ἔγραψεν αὐτὴν τοῦ προσγράψαι τὰ οὖρα, ὡς εἴγε προσεγέγραπτο πλέον ἂν ἐκ τούτου εἰς ἀνάμνησιν ἔχει τι. πρὸς ἡμᾶς δ' ἐξ ἐπιμέτρου, καὶ τοῦτ' ἐστὶν ἀσαφές τό τε κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως γεγραμμένον, ἣν τὸ πρῶτον ἐθεράπευσα. ζητήσεως γὰρ ἄξιόν ἐστι πότερον ἑαυτοῦ χάριν ὡς ὀνομάτων καὶ τόπων ἐν οἷς οἱ νοσοῦντες κατέκειντο μνημονεύειν εἴωθεν, οὕτω καὶ νῦν προσέγραψεν, ἣν τὸ πρῶτον ἐθεράπευσα διὰ τὸ μεμνῆσθαι τὸ ὄνομα τῆς γυναικός, ἢ δηλωτικόν ἐστι τοῦ νῦν ἐξ ὑποστροφῆς νοσῆσαι τὸν ἄνθρωπον, οὕτω δὲ καὶ τὸ πνεῦμα τὸ τῇ δεκάτῃ τῶν ἡμερῶν γεγονέναι γεγραμμένον, ἀσαφές ἐστιν, εἴτε δύσπνοιαν ἁπλῶς σημαίνει ἠνιγμένου, εἴτε μόνον τὸ δεδιωγμένον, καὶ μέγα πυκνὸν εἶδος τῆς δυσπνοίας. ἔνιοι δὲ καὶ τὸ κατὰ τὴν γαστέρα πνεῦμα πλέον ἠθροῖσθαι νομίζουσιν ἐκ τῆς λέξεως δηλοῦσθαι. ταῦτα μὲν οὖν κατὰ τὴν λέξιν ἔχει τὴν ἀσάφειαν, ἀλλὰ δὲ καὶ περὶ μόνην τὴν διάνοιαν. πότερον γὰρ ἐπὶ μόνῳ τῷ σπληνὶ πάσχοντι συνέβη τὴν γυναῖκα, καὶ πυρετὸν καυσώδη ἔχειν καὶ τὴν δύσπνοιαν, ἢ τὴν ἐμπνευμάτωσιν τῆς γαστρός. ἐξέρυθρόν τε τὴν χρόαν, ἢ καί τις ἄλλη πυρετώδης αὐτῇ διάθεσις ἐγένετο δι' ἣν ταῦτα συνέπεσεν, ἄδηλόν ἐστι. μέγιστον δ' ὡς ἔφην τὸ μὴ γινώσκειν ἡμᾶς ὁποῖα τὰ οὖρα μέχρι κρίσεως ἐγένετο, καὶ διατί κατὰ τὴν δεκάτην ἡμέραν ἐπεσήμηναν οἱ ἱδρῶτες. εἴωθε γὰρ αὐτὸς ἐν αἷς ἡμέραις οἱ παροξυσμοὶ σφοδρότεροι γίνονται προσγράφειν, ἵν' εἰδῶμεν, ὡς ἐκ πολλῆς τῆς τῶν κατὰ μέρος πείρας ἤθροισε τὴν ἐμπειρίαν, ἀφ' ἧς ἀπεφήνατο καθόλου περὶ πάντων νοσημάτων. ὧν οἱ παροξυσμοὶ ἐν περιτταῖς ἡμέραις γίνονται, οὕτω καὶ τὰς κρίσεις ἐν περιτταῖς ἡμέραις ἀποτελεῖσθαι.

ὁ δὲ

ὃ δὲ πάντων ἐστὶν ἀτοπώτατον ἐν τῇ προκειμένῃ ῥήσει, καὶ δὴ φράσω. πότερον ἀπέθανεν, ἢ ὑγίανεν ἡ γυνή, παραλελεῖφθαι. διὸ καὶ τὴν μεταξὺ ταύτης τε καὶ τῆς μετὰ ταύτην γεγραμμένης τὴν ἦσσον, ἔνιοι μὲν ταύτῃ προστιθέασιν, ἔνιοι δὲ ἐκείνης ἡγούμενον ποιοῦσιν. εἰ μὲν οὖν ἐγέγραπτο κατὰ τὴν ιδ΄. ἐπ' ἀγαθῷ ἐκεκρίσθαι τὴν γυναῖκα, λόγον ἂν εἶχε μὴ προσγράφειν ταύτῃ τῇ ῥήσει τὸ ἦσσον. εἰρηκὼς γὰρ ἐν τῇ δεκάτῃ ἡμερῶν ἱδρῶτας γεγονέναι τῇ γυναικὶ τὰ πολλὰ ἄνω, κἄπειτα ἑξῆς ἐπιφέρων, ἀτάρ τοι καὶ κάτω τεσσαρεσκαιδεκάτῃ, πῶς ἂν ἔτι προσέγραψε τὸ ἦσσον εἴπερ ὅλως ἐσώθη τὸ γύναιον. εὔλογον οὖν ἐστι μᾶλλον ἐκταθῆναι διὰ ὅλου τοῦ σώματος τοὺς ἱδρῶτας ἀγαθῆς τῆς κρίσεως γινομένης. ἐὰν τ' αὖ πάλιν ὑπόθηταί τις ἐπὶ κακῷ γεγονέναι τοὺς ἱδρῶτας ἀποθανούσης τῆς γυναικός, τὸ ἦσσον, εὐλόγως ἐπὶ τῇ τελευτῇ τάξει τῆς προκειμένης ῥήσεως ἵν' ᾖ τὸ λεγόμενον, ἵδρωσε μὲν καὶ τῇ δεκάτῃ τὰ ἄνω μᾶλλον, ἀτάρ τοι καὶ κάτω, ἵδρωσε δὲ καὶ τῇ τεσσαρεσκαιδεκάτῃ ἦσσον τὰ κάτω. ἐπὶ τὴν ἑξῆς οὖν ῥῆσιν ἤδη μεταβῶμεν. ἴσως γὰρ ἐν ἐκείνῃ τι σαφέστερον εὑρήσομεν ὁποτέρᾳ χρὴ συντάσσειν τὸ ἦσσον, εἴτε τῇ νῦν προκειμένῃ κατὰ τὴν τελευτήν, εἴτε τῇ μετ' αὐτὴν ἐπὶ τῆς ἀρχῆς.

Ἦσσον τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσι καὶ βραγχώδεσιν ἐπιπυρετήνασιν ὡς οἶμαι ὑποστροφαί.

Ὑπακοῦσαι χρὴ παυσαμένου τοῦ πυρετοῦ. πῶς γὰρ ἂν ἄλλως ἧττον αὐτοῖς εἶναι νομίσωμεν ὑποστροφάς, ἢν μὴ παύσαιτο πρότερον. εἰ δ' ἀφέλοιμεν τὸ ἦσσον ἀπὸ ταύτης τῆς ῥήσεως, ὡς ἐνίοις ἔδοξεν ὕστατον τοῖς προηγουμένοις αὐτὸ τάξασι, τὴν ἐναντίαν τῇδε διάνοιαν ὁ λόγος ἕξει τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσι, καὶ βραγχώδεσιν ἐπιπυρετήνασιν, ὑποστροφὰς γίνεσθαι νομιζόντων ἡμῶν. ὅπερ οὖν ἐν ἅπασι ποιοῦμεν, οὐ τῇ τοῦ λόγου πιθανότητι τὰ ζητούμενα διορίζοντες, ἀλλὰ τοῖς ἐναργῶς ἐπὶ τῶν ἀρρώστων ὁρωμένοις, ἐὰν καὶ νῦν ποιήσωμεν, εὑρήσομεν ὀρθῶς προτεταγμένον τῆς ῥήσεως τῆσδε τὸ ἦσσον. ὁ γὰρ πυρετὸς ἐπιγινόμενος κορύζαις καὶ βράγχοις, βεβαιοτέραν αὐτῶν ποιεῖται πέψιν. ὡς μηκέτ' αὖ ὑποστροφὴν γίνεσθαι ῥᾳδίως, μηδ' αὖ ἁμάρτωσι τι τῶν ἄλλως τὸν πυρετὸν αὐτοῦ τοιαύτης αἰτίας, ὑποστροφαῖς ἁλισκομένων ἐπὶ τοῖς ἁμαρτήμασι. διότι δὲ πρόσκειται τῷ λόγῳ τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν, οὐ γὰρ δὴ ἀπ' ἄλλου τινὸς γίνονται μορίου κορυζώδεις. ἐγχωρεῖ μὲν οὖν καὶ οὕτως εἰρῆσθαι τὸν λόγον, ὡς κατὰ τήνδε τὴν ῥῆσιν εἴρηται, σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν. ἐγχωρεῖ δὲ διότι τῶν βραγχωδῶν ἐν αὐτοῖς ἐμνημόνευσε προσθεῖναι τὸ ἀπὸ κεφαλῆς, ἐπειδὴ καὶ ἄλλως γίνονται βράγχοι. δυνατὸν δὲ καὶ τοῖς ἀπὸ κεφαλῆς εἰρῆσθαι, γράψαντος αὐτοῦ πρὸς ἀνάμνησιν ἑαυτῷ συντόμως ἕνεκα διορισμοῦ πρὸς τὰς ἀπό τινος ἔξωθεν αἰτίας μικρᾶς γινομένας κορύζας, ἵν' ἐνδείξηται περὶ τούτων εἶναι τὸν λόγον, ὅσοι διὰ φυσικὴν ἀσθένειαν τῆς κεφαλῆς, ἑτοίμως ἁλίσκονται τῷ παθήματι. τούτοις γὰρ ἄν τις εἰκότως ἀπὸ κεφαλῆς ὀνομάζει κορυζώδεις οὐκ ἀπὸ ψύξεως, ἢ ἐγκαύσεως, ἢ τινος ἁπλῶς ἔξωθεν αἰτίας. τὸ δ' οἶμαι κατά τινα τῶν ἀντιγράφων πρόσκειται, δηλοῦν ἐπαμφιβάλλειν αὐτὸν ὑπὲρ ὧν ἀπεφήνατο. λόγον δ' ἔχει καὶ χωρὶς τοῦ οἶμαι γράφειν, ἀληθοῦς γε ὄντος τοῦ λεγομένου. διὰ δὲ τῆς ἐφεξῆς γεγραμμένης ῥήσεως, ἀπόδειξιν ὧν ὀρθῶς ἀπεφήνατο προσέθηκεν. ἐπ' αὐτὴν οὖν ἤδη μεταβῶμεν.

Πάντων τὸ ἐκπυέον ἀνυπόστροφον. ἐν οὕτως γὰρ πεπασμὸς καὶ κρίσις ἅμα, καὶ ἀποστασία.

Οὐκ ἀσαφὴς ἡ ῥῆσις τοῖς μεμνημένοις ὑπὲρ ὧν ἤδη πολλάκις εἴρηκε πεπασμός. ἐμνημόνευσε δὲ καὶ νῦν αὐτῶν ἕνεκα τῶν προειρημένων ὡς ἔφην, ἵνα ὁ σύμπας λόγος γένηται τοιοῦτος, καὶ τοῖς κορυζώδεσι, καὶ βραγχώδεσιν ἀπὸ τῶν ἐκ τῆς κεφαλῆς καταρρόων, ὅταν ἐπιγινομένου τοῦ πυρετοῦ πεφθῇ, τὸ ψυχρὸν ἅμα καὶ ὑγρὸν ῥεῦμα, καὶ πεφθὲν ἐκκριθῇ, βεβαίαν ἐλπίζε τὴν κρίσιν τοῦ νοσήματος γεγονέναι, καὶ μηκέτι ὑποστροπιάσαι τὸν ἄνθρωπον.

Οἷσιν ὅταν ἀφροδισιάζωσι φυσᾶται ἡ γαστὴρ ὡς Δαμαγόρᾳ, οἷσι δ' ἐν τούτοισι ψόφος ὡς Ἀρκεσιλάῳ.

Ταύτην τὴν ῥῆσιν ἄλλος ἄλλως γράφει, καί τινες προστιθέασιν αὐτῇ, τὸ ὅταν ἄρχωνται. τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον, οἷσιν, ἀφαιροῦντες, καὶ ποιοῦντες τὴν λέξιν τοιαύτην. ὅταν ἄρχωνται ἀφροδισιάζειν φυσᾶται ἡ γαστήρ, βουλόμενοι τοῖς ἀρχομένοις ἀφροδισίων, τουτέστι τοὺς πρῶτον ἐπιχειροῦντας τῷ ἔργῳ τούτῳ πάσχειν, τὰ τῆς ῥήσεως ἐφεξῆς δηλούμενα. καίτοι τὴν γραφὴν ταύτην, οὔτε βιβλίον τι παλαιόν, οὔτ' ἐξηγητὴς οἶδεν. ἀλλ' ὅμως οἱ περὶ τὸν Σαβῖνον ἐπὶ τῶν ἀρχομένων ἀφροδισιάζειν τὸν λόγον αὐτῷ εἶναί φασιν. καίτοι μνημονεύσαντος αὐτονομασὶ τοῦ Ἱπποκράτους ἑνὸς ἀνθρώπου τοῦ Δαμαγόρου. τοῦτο δ' εἴωθε ποιεῖν ὅταν ὀλίγοις τισὶ γινόμενον πρᾶγμα διέρχεται. καὶ χωρὶς δὲ τοῦ γεγραφέναι τι περὶ τούτων Ἱπποκράτη, τὸ φαινόμενον ἐχρῆν ἐκ τῆς πείρας μαθεῖν. οὐ γὰρ συμβαίνει τοῖς ἀρχομένοις ἀφροδισίων ἐμφυσᾶσθαι τὴν κοιλίαν, ἢ ψόφον ἴσχειν ἐν αὐτῇ, ἀλλὰ μᾶλλον ἐνίοις ἐν τῷ σπανίῳ τῶν παρακμαζόντων τε, καὶ τὸ καλούμενον πάθημα φυσῶδές τε καὶ ὑποχονδριακόν, καὶ μελαγχολικὸν ἐχόντων, ἐμφυσᾶσθαι συμβαίνει μᾶλλον τὴν γαστέρα, ὅταν ἀφροδισίοις χρήσωνται. τοῖς δ' αὐτοῖς τούτοις ὑπάρχει καὶ τὸ συνεχὲς ὀρέγεσθαι μίξεως. ὅπερ οὖν πολλάκις ἤδη πρόσθεν εἶπον, ἐάν τε παραλείπω τὰς γραφὰς ἃς ἐποιήσαντο κατὰ τήνδε τὴν ῥῆσιν, ἐάν τ' εἴπω πάσας ἑκατέρας, μέμψονται πολλοὶ ταῖς ἑαυτῶν ἐπιθυμίαις, κρίνοντες τὸ σύμμετρον ἐν τοῖς λόγοις, οὐ τῇ τῶν πραγμάτων φύσει. καὶ μέντοι κἂν τινὰ μὲν εἴπω τῶν εἰρημένων τε καὶ γεγραμμένων τινὰ παραλείπω, καὶ οὕτως ἕψονταί τινες οἱ μεμψάμενοι. τινὰ μὲν τῶν εἰρημένων, ὡς ἐχρῆν παραλελεῖφθαι, καὶ ταῦτα ληρώδη γε ὄντα, τινὰ δὲ τῶν παραλελειμμένων, ὡς ἐχρῆν εἰρῆσθαι μὴ χείρω τῶν εἰρημένων ὄντα. κατὰ μὲν γὰρ τὰς ὁσημέραι γινομένας συνουσίας, ὁποίαν τινὰ βούλονται τὴν ἐξήγησιν ἀκούειν οἱ παρόντες αὐτῶν ἐκείνων πυθόμενοι, ἁρμόττεσθαι πειρῶνται ταῖς βουλήσεσιν αὐτῶν. ἐν βιβλίῳ δ' οὐκ ἔστι πρᾶξαι τοῦτο. διόπερ εἰλόμην ἐν μὲν ταῖς πλείσταις τῶν ῥήσεων, ἢ μηδ' ὅλως μνημονεύειν τῶν ὑπαλλαττόντων τὴν ἀρχαίαν γραφήν, ἢ παντάπασιν ἀλλοκότως ἐξηγησαμένων. ἐπὶ τινῶν δ' ἤτοι τὰ μὴ παντάπασιν ἀπιθάνως εἰρημένα με

μνῆσθαι χρὴ τοὺς ἀναγινώσκοντας τὰ ὑπομνήματα καθ' ἑκάστην τὴν ῥῆσιν ἀναμιμνήσκειν αὐτῶν ἐπαχθές. ὅπερ οὖν ἔλεγον οἱ μὲν περὶ τὸν Σαβῖνον ὡς πρώτην τοῖς τῶν ἀφροδισίων πειρωμένοις συμβαίνει τὰ κατὰ τὴν ῥῆσιν εἰρημένα πάσχειν, ὡς ἀληθὲς ὑποθέμενοι πειρῶνται λέγειν τὴν αἰτίαν αὐτοῦ. τινὲς δ' ἔμπαλιν τοῖσδε τὴν γραφὴν τῆς λέξεως ἐποιήσαντο τοιάνδε. εἰσὶν οἷσιν ὅταν ἀφροδισιάζωσι φυσᾶται ἡ γαστήρ. οἱ μὲν περὶ τὸν Σαβῖνον οὐκ ἀλόγως φασὶ τοῖς ἀφροδισιάζειν ἀρχομένοις τοῦτο συμβαίνειν. πρῶτον μὲν ὅτι μέγας ὁ ξενισμὸς γίνεται περὶ τὸ σῶμα. γράφουσι γὰρ οὕτως αὐτοί, δι' ὃν ξενισμὸν φύσιν, ἐπιληψίαν τε, καὶ νεφρίτιδας αὐτοῖς, ἑτέρά τε χρόνια γίνεσθαι. ἔπειτα δὲ καὶ ὅτι Δημόκριτος εἶπεν, ἄνθρωπος ἐξ ἀνθρώπου ἐν ταῖς συνουσίαις ἐκθόρνυσθαι. καὶ μέντοι καὶ διότι φασὶ πολλὴν ὀλιγαξυσμὸν διὰ τὴν ἀλήθειαν τοῦ θερμοῦ, καὶ τὴν λεπτότητα πάσχουσι, καὶ κοινοῦ γε ὡς λέγουσιν ὄντος τοῦ λόγου θηλειῶν τε καὶ ἀρρένων, ἐπὶ θηλειῶν φασι σαφῆ τὴν αἰτίαν εἶναι. τῇ γὰρ ὑστέρᾳ τὸ μὲν ἔντερον ὑποτετάσθαι, ἡ κύστις δ' ἐπίκειται. εἰκὸς οὖν ἐντεινομένην αὐτήν, καὶ σφριγῶσαν, ἐπέχειν τὴν ἀμφοτέρων ἀπόκρισιν. ἐναπολαμβανομένης οὖν τῆς φύσης συνεχῶς ἐμπνευματοῦσθαι, καὶ τοῦ οὔρου δὲ κατεχομένου τὸ ὑπογάστριον οἰδεῖν. ταῦτα μὲν οὖν οἱ περὶ τὸν Σαβῖνον λέγουσιν, ἀπιθάνους αἰτίας ἀποδιδόντες τῶν μὴ γινομένων. οὐ γὰρ συμβαίνει ταῦτα τοῖς ἀρχομένοις ἀφροδισίων μειρακίοις, ἀλλὰ τοῖς μελαγχολικοῖς, καὶ φυσώδεσιν ὀνομαζομένοις. οἳ καὶ μετὰ τὴν παρακμαστικὴν ἡλικίαν τὰ τοιαῦτα πάσχουσιν. ὅλως γὰρ τὸ φύσης ἐμπίπλασθαι δι' ἀσθένειαν γίνεται τῆς ἐμφύτου θερμασίας. ἐρρωμένης γὰρ ταύτης, τῶν τοιούτων οὐδὲν συμβαίνει. Ἀριστοτέλης δ' ἐν τοῖς προβλήμασι καὶ τὴν αἰτίαν ζητεῖ, δι' ἣν ἀφροδισιαστικοὺς συμβαίνει γίνεσθαι τοὺς μελαγχολικούς. ἀθροίζεσθαί τε πνεύματα φησὶν αὐτοῖς ἐν ὑποχονδρίοις φυσῶδες οὐκ ὀλίγον, διὸ πνευματώδη τε καὶ ὑποχονδριακὰ προσαγορεύεσθαι τὰ τοιαῦτα πάθη, καὶ Διοκλῆς τε καὶ Πλειστόνικος, ἕτεροί τε πολλοὶ τῶν ἰατρῶν οὕτως ὀνομάζεσθαι φασὶν αὐτά, οὐ χεῖρον δὲ καὶ λέξιν τινὰ τῶν τῷ Ἀριστοτέλει γεγραμμένων εἰπεῖν ἐχουσαν ὧδε. Διατί οἱ μελαγχολικοὶ εἰσὶν ἀφροδισιαστικοί, ἢ ὅτι πνευματώδεις. τὸ γὰρ σπέρμα πνεύματος ἔξοδός ἐστι. διότι οὖν πολὺ τὸ τοιοῦτον, ἀνάγκη πολλάκις ἐπιθυμεῖν καθαίρεσθαι, κουφίζονται γάρ. διὰ τοῦτ' οὖν καὶ Ῥοῦφος ἔλεγεν, ἀντὶ τοῦ ψόφος εἰλέγχω γράφειν φόβος, ἵνα ὁ λόγος ᾖ τῷ Ἱπποκράτει περὶ τῶν μελαγχολικῶν, οἷς ἐστιν ἰδιαίτατα ὁ φόβος, ἄλλῳ μὲν ἐν ἄλλο φοβερόν. ἐν γοῦν τι πάντως καθ' ἕκαστον αὐτῶν, ὅταν γε τὰ μέτρια δυσθυμῶσιν. εἰ δὲ μή, καὶ δύο, καὶ πλέω, καὶ πάνυ πολλά, καί τισιν αὐτῶν ἅπαντα. γενήσεται οὖν κατὰ μὲν τὸν Ῥοῦφον ἡ λέξις οὕτως ἔχουσα. οἷσιν ὅταν ἀφροδισιάζωσι φυσᾶται ἡ γαστὴρ ὡς Δαμαγόρᾳ, ὅθεν τούτοις ὁ φόβος. κατὰ δὲ τοὺς παλαιοὺς ἐξηγητὰς ὡς ἐν ἀρχῇ γέγραπται, τὴν γὰρ ἐκείνων γραφὴν ἀεὶ προστίθημι, κἂν ἡμαρτῆσθαι δοκῇ κατὰ τοὺς πρώτους ἀντιγραψαμένους. ἄμεινον γὰρ ὡς εἶπον ἤδη πολλάκις ὅπως εὑρέθη γεγραμμένον εἰπόντας, οὕτως ἤδη προσεπινοεῖν αὐτούς τι δηλοῦντας αὐτὸ τοῦτο. λέλεκται δὲ καὶ ἡ περὶ τὸν Σαβῖνον ἐξήγησις. Καπίτων δὲ οὕτως ἔγραψεν, οἷς ἐστιν ὅταν ἀφροδισιάζωσι φυσᾶται ἡ γαστὴρ ὡς Δαμαγόρᾳ, οἷσι δ' ἐν τούτοισι ψόφος. Διοσκορίδης δὲ οὕτως. οἷσι μὲν ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ ὡς Δαμαγόρᾳ, οἷσιν ἐν τούτοισι ψόφος. ἀφεῖλε γὰρ οὗτος τό, δ', οὐ μὴν οὐδὲ περὶ τὴν ἐξήγησιν τοῦ ψόφος ὀνόματος ὡμολόγησαν ἀλλήλοις οἱ ἐξηγηταί. τινὲς μὲν Βορβορυγμὸν δηλοῦσθαι λέγοντες, ἔνιοι ἐρυγήν. ἔνιοι δὲ τὰς κάτω διεξιούσας φύσας, ἔνιοι δ' ὅτι ἂν ᾖ τούτων ἁπλῶς. εἴ τις οὖν ἐν τοῖς ἐντέροις κίνησις αἰσθητὴ ταῖς ἀκοαῖς, εἰσὶ γὰρ καὶ ἄλλαι τινὲς ἔξωθεν τῶν Βορβορυγμῶν, ἐν τοῖς ἐντέροις κινήσεις τε καὶ ψόφοι, τινὲς μὲν ἤχοις ἐοικότες, τινὲς δὲ συριγμοῖς, ἢ τινι τοιούτῳ τρόπῳ ψόφου. Ἀρκεσίλαος δέ φησιν οὐ μόνον ἐφυσᾶτο ἡ γαστήρ, ἀλλὰ καὶ ᾠδεῖ, τουτέστιν οἴδημα εἶχεν. εἴρηκα δὲ ἤδη πολλάκις οἴδημα καλεῖν αὐτὸν ἅπαντα τὸν παρὰ φύσιν ὄγκον, εἴτε φλεγμονώδης, εἴτ' ἐρυσιπελατώδης, εἴτε σκιρρώδης εἴη, τῶν νεωτέρων μόνον τὸν χαῦνον ὄγκον οἴδημα καλούντων. ἀλλά γε ποῖόν τινα λέγει τὸν ὄγκον γενέσθαι τῷ Ἀρκεσιλάῳ, ζήτημά ἐστιν οὐ σμικρόν. ἐμοὶ μὲν οὖν δοκεῖ τὸν ἰδίως ὑπὸ τῶν νεωτέρων ὀνομαζόμενον εἰρηκέναι. οὐκ ἔστι δ' ἀπίθανον ἐρυσίπελας, ἢ φλεγμονήν, ἢ σκίρρον, ἤ τι τῶν τοιούτων γενέσθαι περὶ τὸν τῶν ἀφροδισίων καιρόν, ἢ σμικρὸν ὕστερον, αὖθίς τε μετ' οὐ πολὺ καθίστασθαι τοῦτο. τοῖς δ' ἐξηγηταῖς ὅλον τοῦτο παραλέλειπται τὸ σκέμμα. τοῦ μέντοι Ἀρκεσιλάου τούτου, καὶ καθ' ἕτερον τόπον τοῦ βιβλίου μέμνηται ὁ Ἱπποκράτης ἔνθα φησίν. ἐν τοῖσι προσόδοισιν οἷς ψοφοῦσιν ὡς Ἀρκεσίλαος. εὔδηλον οὖν ὅτι τοῖς τοιούτοις φύσης ἐστὶν ἡ γαστὴρ μεστή, καὶ ταύτην ὑπὸ τῆς γινομένης συντονίας ἐν τοῖς ἀφροδισίοις ἐκκρίνεσθαι συμβαίνει. Διοσκορίδης δὲ οὕτως ἔγραψε τὴν ῥῆσιν. Ἀρκεσιλάῳ δὲ κακὸν ᾤδει τὸ φυσῶδες, ἀντὶ τοῦ κακὸν ὦζε τὸ φυσῶδες, ὧδε γέγραφθαι βουλόμενος. οἱ δ' ἄλλοι πάντες ἀρχὴν τῆς δευτέρας ῥήσεως ἐποιήσαντο, τὸ φυσῶδες, ὡς ἐφεξῆς γέγραπται.

Τὸ φυσῶδες ξυναίτιον ἐν τοῖσι πιτυρώδεσι, καὶ γάρ εἰσι φυσώδεις.

Τίνας λέγει πιτυρώδεις ἄπορον εὑρεῖν, ἐάν τε τις μὴ καθάπερ Ἡροδότου καὶ Κτησίου μόνον, ὡς ἱστορίαν ἀναγινώσκῃ τὰ βιβλία τῶν παλαιῶν ἰατρῶν, ἀλλ' ἕνεκα τοῦ πλεῖόν τι ἔχειν εἰς τὰ τῆς τέχνης ἔργα. πολλοὶ δὲ τῶν ἐξηγητῶν ἀμελήσαντες τούτου, καὶ μάλισθ' ὅσοι τὸ σοφιστικὸν εἶδος ζηλώσαντες, ἐπὶ τὸ πρόχειρον ἀφικνοῦνται τῆς ἐξηγήσεως, ὃ κατὰ τὴν τῆς λέξεως ἔνδειξίν ἐστιν, οὐκέτι βασανίζοντες ἐπὶ τῶν νοσούντων τὴν τῶν λεγομένων ἀλήθειαν. οὕτω γοῦν καὶ νῦν πιτυρώδεις λελέχθαι δεξάμενοι τοὺς πίτυρα συνεχῶς ἐν τῇ κεφαλῇ γεννῶντας, ἀποδιδόναι τούτου τὴν αἰτίαν πειρῶνται, λέγοντες ὑπὸ περιττωμάτων ἐν τῇ κεφαλῇ ἀναφερομένων γίνεσθαι τὰ πίτυρα, φέρεσθαί τε αὐτά φασι πρὸς τὰ μετέωρα ὑπὸ πνεύματος θερμοῦ, καὶ διὰ τοῦτο φυσώδεις τοὺς τοιούτους. μοχθηρὸς δ' ὁ λόγος αὐτῶν ἐστι, πρῶτον μὲν ὅτι τὸ φαινόμενον οὐκ ἔχει μαρτυροῦν. μυρίους γὰρ οἴδαμεν ἥκιστα φυσώδεις οἷς ἐν τῇ κεφαλῇ συνεχῶς γίνεται πίτυρα. δεύτερον δὲ εἰ καὶ τὸ φαινόμενον αὐτοῖς ἐμαρτύρει, πάντων τῶν περιττώματα τρεφόντων θερμά, κοινὸς ὁ λόγος ἐγίνετο, καὶ τρίτον πρὸς τούτοις, ὅτι τῆς κεφαλῆς αὐτῆς ὡς τὰ πολλά, διὰ τὴν οἰκείαν κρᾶσιν ἐστὶ σύμπτωμα, τὸ γεννᾶν πίτυρα κατὰ φύσιν ἐχόντων τῶν χυμῶν. εἰκότως οὖν ἔνιοι τὴν παλαιὰν γραφὴν ὑπαλλάξαντες ἔγραψαν τὸ φυσῶδες συναίτιον τοῖσι πτερυγώδεσι. ἐμάθετε δ' ὅτι, πτερυγώδεις ἔθος ἐστὶ

τοῖς

τοῖς ἰατροῖς ὀνομάζειν, τοὺς ὁμοίως ὀρνίθων πτέρυξι τὰς ὠμοπλάτας ἔχοντας ἐκκειμένας τε καὶ περιηκούσας εἰς τοὐπίσω. τούτοις οὖν φασι συναίτιον εἶναι τὸ φυσῶδες ἐμπίπτειν εἰς τὸ πάθος ὥσπερ ἐμπίπτουσι, τουτέστιν εἰς τὴν ἀναγωγὴν τοῦ αἵματος, καὶ γὰρ εἶναι φυσώδεις αὐτούς. ὅτι μὲν οὖν εἰς τὸ ῥαγῆναί τι κατὰ τὸν πνεύμονα συναίτιόν ἐστι τὸ φυσῶδες, οὐκ ἄδηλον. εἰ δὲ καὶ φυσώδεις εἰσὶν οἱ στενοθώρακες, τοῦτο διὰ τῆς πείρας βασανιστέον ἡμῖν ἐπιμελῶς. ἐμοὶ μὲν γὰρ ἐφάνησαν ὀλίγου δεῖν ἅπαντες τοιοῦτοι, καὶ τάχα διὰ τὴν ἔνδειαν τῆς ζωτικῆς θερμασίας, ἣν ἐκ τῆς καρδίας ὁρμᾶσθαι μεμαθήκατε. μικρὰν οὖν ἐχόντων οἱ πτερυγώδεις τὴν καρδίαν, ἀκολούθως ταύτῃ, καὶ τὴν ἅπαντι τῷ σώματι θερμασίαν ἐξ αὐτῆς ἐπιρρέουσαν, ἔχουσιν ἀσθενῆ. διὰ γάρ τοι τὴν ἀσθένειαν ταύτης, ἐξ ἀρχῆς αὐτῆς, ἡ καρδία γέγονεν ὡς ἐμάθετε μικρά. τινὲς δ' οὐ πτερυγώδεσιν, ἀλλὰ πυρετώδεσιν γράφουσι, τὴν λέξιν ποιοῦντες τοιάνδε. τὸ φυσῶδες συναίτιον τοῖς πυρετώδεσι, καὶ γάρ εἰσι φυσώδεις. οὐκ ἀληθεύουσι δ' οὐδ' αὐτοὶ πάντας τοὺς πυρετώδεις φυσώδεις εἶναι νομίζοντες. ὁ γε μὴν Διοσκουρίδης ὡς ὀλίγον ἔμπροσθεν ἔφην, ἐπὶ τῇ τελευτῇ τῆς προγεγραμμένης ῥήσεως γράψας τὸ φυσῶδες, ὧδέ πως ἔγραψε τὴν νῦν προκειμένην ῥῆσιν. συναίτιον οἱ πτερυγώδεες, ὡς εἶναι τὸ συνεχὲς ὅλως αὐτῆς, τοιόνδε. Ἀρκεσιλάῳ δὲ κακὸν ὧδε τὸ φυσῶδες. εἶθ' ἑξῆς ἀπ' ἄλλης ἀρχῆς. συναίτιον οἱ πτερυγώδεες, καὶ γάρ εἰσι φυσώδεες. ἅλις δ' οὖν ἤδη καὶ τῶν φυσωδῶν, ἵνα μὴ τῷ λόγῳ νῦν ἀεὶ παραιτούμενος τὸ γράφειν πολλά, τῷ δ' ἔργῳ κατάφορος γίνωμαι μηκύνων περιττῶς

Τὸ ψυχρὸν πάνυ φλεβῶν ῥηκτικόν, καὶ βηχῶδες οἷον χιών, κρύσταλλος, καὶ συστρεπτικὸν οἷον τὰ φήρεα, καὶ αἱ γογγρῶναι, συναίτιον αἱ σκληρότητες.

Εἴρηται μὲν ἐπὶ πλέον, ἔν τε τῷ περὶ ὑγρῶν χρήσιος, κἀν τοῖς ἀφορισμοῖς, ὁποία τίς ἐστιν ἡ δύναμις τοῦ ψυχροῦ. λέλεκται δέ τινα καὶ νῦν αὐτοῦ τῶν ἔργων, ὡς ἐν ὑποτυπώσει χρήσιμα πρὸς τὴν τῆς καθόλου δυνάμεως εὕρεσιν. ὅθεν μὲν γὰρ ἐφ' ἑαυτῷ συνάγει, καὶ πυκνοῖ, καὶ πιλεῖ, καὶ σφίγγει τὸ ψυχρὸν ἅπανθ' ὅσοις ἂν πλησιάζῃ, καὶ διὰ τοῦτο τάς τε ἀδήλους αἰσθήσει διαπνοὰς τῶν σωμάτων, καὶ τὰς αἰσθητὰς ἐκροὰς κωλύει. οὕτω γοῦν κἀν ἀφορισμοῖς ἔγραψεν. ἐν τούτοισι δὲ τῷ ψυχρῷ χρῆσθαι, ὅταν αἱμορραγέειν μέλλῃ, μὴ ἐπ' αὐτά, ἀλλὰ περὶ αὐτά, ὅθεν ἐπιρρέει. καὶ ὅσα τούτων ἐφεξῆς εἴρηκεν. ἔργα τοῦ ψυχροῦ τῆς οἰκείας δυνάμεως ὅταν διὰ μέσου μηδενὸς ἐνεργῇ. πάλιν δ' ὅταν εἴπῃ, τὰ ψυχρὰ οἷον χιὼν, κρύσταλλος, στήθει πολέμια, βηχέων κινητικά, αἱμορροϊκά, καὶ καταρροϊκά, τὸ μὲν στήθους πολέμια, κατὰ τὴν τοῦ αὐτοῦ τοῦ ψυχροῦ δύναμιν εἶπεν. τὸ δὲ βηχέων κινητικά, αἱμορροϊκά, διὰ μέσων ἑτέρων. ἐπειδὴ γὰρ εἰς ἑαυτὰ συνάγεται, καὶ σφίγγεται τὰ σώματα τῶν περιεχόντων ἀγγείων τὸ αἷμα, διὰ τοῦτ' ἐνίοτε συμβαίνει ῥήγνυσθαι τοὺς χιτῶνας αὐτῶν, ἵν' ὅπερ ὑπὸ πολλοῦ τοῦ περιεχομένου γίνεται ἐν τοῖς χαλαροῖς ἀγγείοις, τοῦθ' ὑπὸ τοῦ μὴ πολλοῦ συμβαίνει τοῖς τεταμένοις. διὰ τοῦτ' οὖν οὐχ ἁπλῶς εἶπεν ἐν τῇ προκειμένῃ ῥήσει, τὸ ψυχρὸν εἶναι φλεβῶν, ἀλλὰ τὸ πάνυ ψυχρὸν ἔφη. τοῦτο γὰρ τοῦτο δύναται, κἀν τοῖς ἀφορισμοῖς ἔγραψεν ἐν τῷ φάναι, τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, ἐξηγησάμενος διὰ τῶν παραδειγμάτων, τίνα τ' ἐστὶ τὰ πάνυ ψυχρά. πάλιν δ' ἐν ἀφορισμοῖς εἰπών. ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, νῦν εἶπε τὸ ψυχρὸν συστρεπτικὸν ἐν ἴσῳ τῷ συμπηκτικόν. οὕτως οὖν ἐργάζεται καὶ τοὺς ἐν τοῖς νευρώδεσι μορίοις ὄγκους. καὶ κατά γε τὰ νεῦρα, τά τε γάγγλια καλούμενα, καί τινας ἄλλας τάσεις, τὰς μὲν προμηκεστέρας, τὰς δὲ στρογγυλωτέρας. καί μοι δοκεῖ τὰς προμηκεστέρας, ὠνομακέναι φήρεα, τὰς δὲ στρογγυλωτέρας γογγρώνας. φήρεα μὲν εἰπὼν, τὰ τὴν ἐμφέρειαν ἔχοντα φηρῶν. οὕτω γὰρ ὠνομάκασιν ἔνιοι τῶν ἰώνων σατύρους, οὓς γράφουσί τε καὶ πλάττουσι προμήκεις ἐξοχὰς ἔχοντας παρὰ τοῖς ὠσί, γογγρώνας δὲ τὰς περιφερεστέρας ἐξοχὰς μετὰ σκληρότητος, οἵαίπερ εἰσὶν αἱ γινόμεναι τισὶ τῶν δένδρων ἐπιφύσεις, ἃς καλοῦσι γόγγρους, ὡς καὶ Θεόφραστος ἐν τῷ πρώτῳ τῶν περὶ φυτῶν ἔγραψε κατὰ λέξιν οὕτως. ἔνια δὲ ἴσχει τοὺς καλουμένους ὑπό τινων γόγγρους, ἢ τὸ ἀνάλογον οἷον ἐλαία. λέγουσι δ' ἔνιοι καὶ νῦν ἔτι κατὰ Θετταλίαν, ἀκηκοέναι τινῶν γογγρώνας ὀνομαζόντων τὰς τοιαύτας σκληρότητας, ὅταν ἐν τραχήλῳ συστῶσιν, οὐ μὴν τάγε φήρεα λέγοντός τινος, οὔτ' αὐτὸς ἤκουσα, κατά τι τῶν ἐθνῶν, οὔτε τινὸς ἀκηκοότος ἐπυθόμην. καίτοι τινὲς τῶν ἐξηγητῶν φασι τὸν Ἱπποκράτην φήρεα καλεῖν, τὰ ἐν φηραῖς τῆς Πελοποννήσου πλεονάζοντα. τινὲς δὲ διὰ τοῦ ε τὴν πρώτην συλλαβὴν γραφόντων ἅμα τῷ φ δηλονότι, φέρεα φασὶν αὐτὸν ὀνομάζειν τὰ ἐν φεραῖς τῆς Θετταλίας πολλάκις γινόμενα. τοῦ μέντοι τὰς προμήκεις ἐξοχὰς ὀνομάζειν φήρεα, μαρτύριον εἶναι δοκεῖ καὶ τὸ γεγραμμένον, ἐν τῷ τῶν ἐπιδημιῶν ἑβδόμῳ κατὰ λέξιν οὕτως. ἐπεδήμησαν βῆχες, μάλιστα δὲ παιδίοις τὰ περὶ τὰ ὦτα πολλοῖσιν οἷα τοῖς σατύροις. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης ῥήσεως, συναίτιον καὶ αἱ σκληρότητες, τοιοῦτον σημαίνει, ταῖς τῶν εἰρημένων παθῶν γενέσεσιν ὑπὸ τοῦ ψυχροῦ, συναίτιόν ἐστι καὶ ἡ σκληρότης τοῦ σώματος ἐν ᾧ συνίσταται τὰ πάθη, τουτέστιν ὅταν ὁ ἄνθρωπος ᾖ φύσει σκληρὸν ἔχων τὸ δέρμα. διὰ γὰρ τὴν αὐτὴν αἰτίαν, τότε ψυχρὸν αἴτιόν ἐστι τῆς τῶν εἰρημένων παθῶν γενέσεως, τότε δέρμα τὸ σκληρόν. ὅτι γὰρ ὡς αὐτὸς ἔφη, τὸ ψυχρὸν δέρμα περισκληρύνει, διὰ τοῦτο τὰ τοιαῦτα πάθη γεννᾷ. διεξέρχεσθαι δὲ αὐτοῦ τῶν ὑπ' αὐτὸ συναθροιζομένων χυμῶν, μὴ δυναμένων. οἷς οὖν ἐστι φύσει σκληρὸν τὸ δέρμα, τούτοις συναίτιον καὶ αὐτὸ γίνεται, τοῦ μήτε διαφορεῖσθαι τοὺς παχεῖς καὶ γλίσχρους χυμούς, ἀθροιζομένους δ' ὑπ' αὐτό, τοὺς εἰρημένους σκληροὺς καὶ σκιρρώδεις ὄγκους ἐργάζεσθαι. ὅτι δὲ καὶ φλεβῶν ῥήξεις ἐν τοῖς φύσει σκληροτέροις ἔσται, διὰ τὴν τοῦ ψυχροῦ βίαν, οὐκ ἄδηλόν ἐστιν. εἰ γὰρ ὑπὸ τοῦ περιεχομένου κατὰ τὰς φλέβας αἵματος ἡ ῥῆξις γίνεται τῶν ἀγγείων, ἐν τοῖς τοιούτοις ἔσται μᾶλλον, ὅσα διὰ σκληρότητα δυσχερῶς, καὶ μόγις αὐξάνεται. τὰ γὰρ ἐπὶ πλέον ἐκτείνεσθαι πεφυκότα, κἂν πολὺ τὸ περιεχόμενον ἐν αὐτοῖς ᾖ, στέγει τοῦτο μὴ ῥηγνύμενα, καὶ βῆχες δ' ἂν εἰκότως ἐν τοῖς φύσει σκληροτέροις σώμασι γίνοιντο. λέλεκται γὰρ ὅτι τῶν μαλακῶν ῥᾷον ταῦτα τραχύνεται. γεγραφότων δέ τινων κατὰ τὴν ῥῆσιν ἀντὶ τοῦ βηχῶδες, φυσῶδες, εἰπεῖν τι καὶ περὶ τούτου προσήκει. φαίνεται γὰρ ὁσημέραι κατὰ τὴν γαστέρα πνεύματος φυσώδους ἐμπιμπλάμενα τοῖς ψυχθεῖσιν. ἀλλ' ἥγε παλαιὰ γραφὴ τῆς ῥήσεως, οὐ τὸ φυσῶδες, ἀλλὰ τὸ βηχῶδες ἔχει, καὶ κατὰ τοὺς ἀφορισμοὺς ὡς ἔφην

ἄρτι, τῶν ψυχροτάτων ὑλῶν ἐν παραδείγματι μνημονεύσας, οὐ προσέθηκεν αὐταῖς τὸ φυσῶδες. τὰ γὰρ ψυχρά φησιν οἷον χιὼν, κρύσταλλος, στήθει πολέμια, βηχῶν κινητικὰ, αἱμοῤῥοϊκὰ καὶ καταῤῥοϊκά. διδάσκει τε καὶ τὴν νῦν προκειμένην ἡμῖν ῥῆσιν, καὶ κατὰ τὸν εἰρημένον ἀφορισμὸν, οὐχ ἁπλῶς ὅσα γίνεται διὰ τὸ ψυχρὸν, ἀλλ' ὅσα διὰ τὸ λίαν ψυχρόν. ἐνταῦθα μὲν εἰπὼν, τὸ ψυχρὸν πάνυ, φλεβῶν ῥηκτικόν. ἐν δὲ τοῖς ἀφορισμοῖς τὸ οἷον χιὼν, κρύσταλλος. ὅτι δὲ μετέχειν τινὸς δεῖται θερμασίας τὰ φυσώμενα καθάπερ τε καὶ τὰ

Τὸ μετ' οὔρησιν σύναγμα παιδίοισι μᾶλλον, ἆρα ὅτι θερμότερα.

Ὅτι μὲν ὁ λόγος ὅδε περὶ τῶν λιθιώντων παιδίων ἐστὶν, ἅπαντες εἰρήκασιν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, οὐ μὴν τὸ διά τι προσέθηκε τὸ μετ' οὔρησιν, ἐνὸν ἁπλῶς γράψαι τὸ σύναγμα παιδίοισιν ἐπεσκέψαντο, καθάπερ οὐδὲ διά τι τὸν ἀπορητικὸν σύνδεσμον προσέθηκεν, οὐχ ἁπλῶς εἰπὼν τὸ σύναγμα παιδίοισιν ὅτι θερμότερα. τὸ γὰρ ἆρά γε θερμότερα, τοῦ μὴ τολμῶντος ἀποφήνασθαι βεβαίως ἐστὶν ἐνδεικτικόν. καίτοι γε ἐν τοῖς ἀφορισμοῖς ἁπλῶς ἔφη, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. τὸ μὲν οὖν ὄνομα τοῦ συγγράμματος ἐν μόνῳ τῷ ἑβδόμῳ τῶν ἐπιδημιῶν εὗρον, εἰπόντος τοῦ γράψαντος αὐτὸ, καὶ σύναγμα ἐφαίνετο ἐν τῷ χρονίῳ. διά τι δὲ τὸ μετ' οὔρησιν, ἢ διατί τὸ ἆρα προσέθηκεν, ἑξῆς ἐπισκεψόμεθα, καὶ πρῶτόν γε τὸ περὶ τῆς ἀπορίας εἰ καὶ δεύτερον γέγραπται. ἤτοι τοίνυν ἔτι μὲν ἀπορῶν ἔγραψε ταῦτα, τῷ χρόνῳ δὲ εὑρών τινα ἀπόδειξιν ἀπεφήνατο περὶ τῆς τῶν αὐξανομένων κράσεως, ἢ ὅπερ ἄμεινόν ἐστι δέδεικται πρὸς ἡμῶν ἔν τε τοῖς περὶ κράσεων ὑπομνήμασι, κἂν τοῖς εἰς τοὺς ἀφορισμοὺς, οὐχ ἁπλῶς ἐστι θερμότερος ὁ παῖς τοῦ ἀκμάζοντος, ἀλλὰ τῷ συμφύτῳ θερμῷ θερμότερος, ἐδείχθη δὲ τούτου θερμότερον ἁπλῶς τὸ μὴ σύμφυτον, ὃ πλέον κτῶσιν οἱ ἀκμάζοντες, ὥστ' εἰκὸς ἦν μᾶλλον ὑπὸ τούτου τοῦ θερμοῦ πήγνυσθαι τὸν ἐν τῇ κύστει λίθον, διὰ τοῦτο μὲν οὖν εἰκότως ἀπορεῖ. τὸ δ' ἀληθές ἐστι λίθους τοῖς παιδίοις ἐν τῇ κύστει διὰ τὸ πάχος τῶν οὔρων. ὅτι μὲν οὖν οὐρεῖται παχύτατα τοῖς παιδίοις οὖρα, καὶ τοῖς πρὸ ἡμῶν ἅπασιν ἰατροῖς ὡμολόγηται. διατί δὲ οὐρεῖται τοιαῦτα, καθ' αὑτὸ μὲν ἄξιον ἐπισκέψεώς ἐστιν, εἰς δὲ τὸ προκείμενον οὐδὲν συντελεῖ. τὸ γὰρ οὐρεῖσθαι παχέα, καὶ φαινόμενον σαφῶς, καὶ πράγμασιν ὡμολογημένον. τὸ γάρ τοι πάχος τοῦτο συνιστάμενόν τε καὶ ἀθροιζόμενον ὅταν ἅπαξ ποτὲ μὴ κατὰ τὸν προσήκοντα καιρὸν ἐκκριθὲν ἔνδον ἐπὶ πλέον μένῃ, συστάσεώς τε καὶ πήξεως ἀρχὴν λαμβάνει. γενομένης δὲ τοιαύτης ἀρχῆς ἑτοίμως λοιπὸν ὅσον ἂν παρ' αὖθις εἰς τὴν κύστιν ἀφικνεῖται παχὺ, προσπλάττεται τούτῳ καὶ γίνεται μείζων ὁ πωρώδης λίθος, ὥσπερ ἐκτός ἔν τε τοῖς αὐτοφυέσι θερμοῖς ὕδασιν ὁρᾶται συνιστάμενος, ἔν τε τοῖς ἀγγείοις ἐν οἷς ὕδωρ ὁσημέραι θερμαίνεται. τὸ τοίνυν πάχος τῶν οὔρων τὴν πρώτην τε καὶ μεγίστην αἰτίαν ἔχει τῆς τῶν λίθων γενέσεως. ἡ δὲ θερμότης ἀρκεῖ, καὶ σύμμετρος οὖσα πρὸς τὴν τῆς τοιαύτης ὕλης γένεσιν, ἀμέλει κἂν τοῖς θερμοῖς αὐτοφυέσιν ὕδασι καὶ χλιαρώτερα τῶν συμμέτρων φαίνονται συνιστάμενοι πῶροι. διὰ τοῦτ' οὖν μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης προσθεῖναι τὸ, ἆρα, διότι καὶ ἡ τοσαύτη θερμότης ἣν ἔχει παιδία φύσει, συνεργεῖ μὲν πρὸς τὴν πῆξιν, οὐ μὴν αὐτῆς γε τὸ πλεῖστον, ἀλλ' ἡ τῆς ὕλης ποιότης ἐξ ἧς ὁ λίθος γίνεται, τῆς συστάσεως αὐτῆς τὴν αἰτίαν ἔχει. διατί οὖν προσέθηκε, τὸ μετ' οὔρησιν, καὶ οὐχ ἁπλῶς εἶπε τὸ σύναγμα παιδίοισιν, ὅτι περὶ τῶν ἐν τῇ κύστει λίθων τὸν λόγον ποιεῖται νῦν, οὐ τῶν ἐν τοῖς νεφροῖς. γίνεται δὲ ἡ σύστασις τῶν μὲν ἐν τῇ κύστει, μετὰ τὴν οὔρησιν, τῶν δ' ἐν τοῖς νεφροῖς, πρὸ τῆς οὐρήσεως. ἴσμεν δὲ τὰ μὲν παιδία τοὺς ἐν τῇ κύστει λίθους γεννῶντα, τοὺς παρακμάζοντας δὲ τοὺς ἐν τοῖς νεφροῖς, ὅπερ οὖν ὀλίγον ἔμπροσθεν ἔφην. ὅτι μὲν οὕτως ἔχει, ταῦτα μαρτυρεῖ τὸ φαινόμενον αὐτό. τίς δέ ἐστιν ἡ αἰτία κατὰ σχολὴν ἔξεστι ζητεῖν, ἐπεὶ ἡ μὲν ἐξήγησις ἤδη πεπέρανται, τὴν δ' αἰτίαν ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν, οὕτω καὶ νῦν ἐκ περιουσίας ἐρῶ. πρότερόν γε μεμψάμενος τοῖς εἰποῦσι διὰ τοῦτο γίνεσθαι τοῖς παιδίοις τοὺς λίθους, ὅτι στενοπόρα διὰ μικρότητα τῶν ἀγγείων εἰσίν. ἐχρῆν γὰρ ὅσον ἐπὶ τοῦτο τοὺς ἐν τοῖς νεφροῖς λίθους μᾶλλον γίνεσθαι τοῖς παιδίοις. στεναὶ γὰρ αἱ κατ' ἐκείνους διέξοδοι, τῆς κύστεως δ' ὁ τράχηλος εὐρύς ἐστιν εἰς τοσοῦτον τοῖς παιδίοις, ὡς πάσης ὕλης πάχος ἑτοίμως αὐτοῦ διεξέρχεσθαι. μή ποτ' οὖν οὐδὲ ἐπὶ τῶν προσηκόντων κατὰ τὴν ἡλικίαν ἡ στενότης τῶν ἐν νεφροῖς πόρων, αἰτία τῆς τῶν λίθων γενέσεώς ἐστιν. ἀλλὰ τό, τε τῶν ἐνεργειῶν ἀσθενὲς, καὶ τὸ τῶν παχέων χυμῶν ἀκατέργαστον. ἐπὶ μὲν γὰρ τῶν παιδίων ἰσχυρῶν ἁπασῶν τῶν φυσικῶν ἐνεργειῶν οὐσῶν κέχυταί τε καὶ διαλέλυται τὸ πάχος τῶν χυμῶν. ἐπὶ δὲ τῶν προηκόντων κατὰ τὴν ἡλικίαν συνῆκται. φαίνεται δὲ κἀπὶ τῶν ἐκτὸς ὅσα παχέα φύσει διά τινων λεπτῶν διηθεῖν βουλόμεθα. τὰ μὲν ὑπὸ θερμασίαν χυθέντα διεξερχόμενα ῥᾳδίως, τὰ δ' ἄτηκτά τε καὶ ἄχυτα, μὴ διεξιόντα. παραδείγματα δὲ τῶν τοιούτων ὑλῶν πίττα, καὶ ῥητίνη, καὶ στέαρ, καὶ κηρὸς, καὶ μέλι. τῶν παίδων οὖν ἐχόντων τὸ πολὺ τὸ ἔμφυτον θερμὸν, καὶ τὰς ἐνεργείας ἰσχυρὰς, τὸ πάχος τῆς ὕλης κεχυμένον, εἰς τοὺς νεφροὺς ἀφικνεῖται, καὶ διὰ τοῦτο διαθεῖται ῥᾳδίως εἰς τὴν κύστιν, οὐ μικρὸν, οὐδὲ τῆς τῶν ἐνεργειῶν ῥώμης εἰς τὸ τάχος τῆς διεξόδου συντελούσης. ἅτε δὲ τῆς κύστεως οὔσης ψυχρᾶς, ὅτι τε νευρώδης ἐστὶ καὶ ὀλίγαιμος, ὅτι τε πλείστην εὐρυχωρίαν ἐντὸς ἑαυτῆς ἔχει, συνίσταται πάλιν ἐνταῦθα, καὶ πήγνυται τὸ διεξελθὸν εἰς αὐτὴν πάχος, ὡς ἔμπροσθεν εἶπον ἀρχὴν λαμβάνον τῆς τοιαύτης συστάσεως, ὅταν ἐπὶ πλέον ἐν τῇ κύστει χρονίζῃ. καὶ μὴν καὶ γλίσχρον εἰκὸς αὐτὸ μᾶλλον εἶναι τοῖς παιδίοις τῷ κατεργάσθαι μᾶλλον ὑπὸ τῆς ἐμφύτου θερμασίας. ὅσα γὰρ ὑπὸ τῆς θερμότητος ἀλλοιοῦται, πεττόμενα προσλαμβάνει τινὰ τῷ χρόνῳ γλισχρότητα κἂν ἐξ ἀρχῆς μηδεμίαν ἔχῃ, καὶ διὰ τοῦτο δὴ μᾶλλον ἑνοῦταί τε καὶ συνίσταται, καὶ πήγνυται. τῶν γὰρ ἴσον ἐχόντων πάχος ἐπιτηδειότερον εἰς ἕνωσίν τε καὶ σύστασιν, καὶ πῆξιν ἐστὶ τὸ γλισχρότερον. ἐπεὶ τοίνυν ἔνια τῶν οὐκ ἀναγκαίων εἰς τὴν προκειμένην ῥῆσιν αἰτιολογεῖται, προσθῶ ἔτι τὴν περὶ τοῦ πάχους τῶν οὔρων ἐν τοῖς παιδίοις αἰτίαν. ἔστι δὲ ἥδε, τό τ' ἀδδηφάγον αὐτῶν, καὶ τὸ μετὰ τροφὴν κινεῖσθαι παίζοντα, καὶ σκιρτῶντα, τοῖς δὲ θηλάζουσι καὶ ἡ ὕλη συντελεῖ. παχὺ γὰρ φύσει τὸ γάλα, καὶ πρὸς λίθου γένεσιν ἐπιτηδειότατον. ἀμέλει καὶ τῶν τελείων τοῖς πλεονάζουσιν ἐν τυρῶν ἐδωδῇ λίθους ἐν νεφροῖς γεννωμένους ἔγνωμεν πολλάκις.

Τὰ

Τὰ σχήματα τὰ ῥήιζοντα, οἷον ὁ τὰ κλήματα τῇ χειρὶ πλέκων, καὶ στρέφων ὑπὲρ ὀδυνάων κατακείμενος, λαβόμενος πασσάλου ἄκρου ὑπερπεπηγότος εἶχε καὶ ἐρήισεν.

Αὐτὸ μὲν τὸ λεγόμενον εὔδηλόν ἐστιν. αἰτίαν δὲ αὐτοῦ χαλεπὸν εἰπεῖν, ὅτι μήτε ὁ Ἱπποκράτης ἔγραψε, καίτοι δυνάμενος, ἤτοι γε ἐξαιφνίδιον αὐτῷ γενέσθαι τὴν ὀδύνην εἰπὼν, ἢ ἐπὶ βραχὺ λαβεῖν τὴν αὔξησιν, ἄρξασθαί τε ἐνεργοῦντι περὶ τὴν τῶν κλημάτων πλοκὴν, ἢ μετ' αὐτὴν εὐθέως, ἢ κατ' ἄλλον τινὰ χρόνον τῆς ἡμέρας, ἢ τῆς νυκτός. ἀλλ' οὐδέ τι μόριον ἦν, ὅπερ ἡ ὀδύνη, λέλεκται. τὴν χεῖρα δὲ ἡγοῦνται διὰ τὸ τοῦ πασσάλου λαμβανόμενον αὐτὸν ὠφεληθῆναι. εἰ μὲν οὖν ἐκοπώθη στρέφων αὐτὸς τὰ κλήματα, ἀπίθανον οὐκ ἂν εἴη διὰ σχήματος αὐτὸν τοιούτου ῥαῖσαι. τὸ γὰρ ἀνώδυνον τῆς χειρὸς σχῆμα, διά τε τὸ περὶ ἀγκῶνα καὶ τὸ κατ' ἰσχίον ὁποῖόν ἐστιν. εἰ δέ τις ἐν τῷ περιστρέφειν τὴν χεῖρα διαστροφὴ μυὸς ἐγένετο περὶ τὸν ἄνθρωπον, ἢ καὶ πνεῦμα φυσῶδες ἐναπελείφθη μεταξὺ δυοῖν μυῶν οὐκ ἔχον διέξοδον, εἰκὸς ἦν ἐν ἐπιτηδείῳ σχήματι καθ' ὃ κενωθῆναι συνέβη τὸ πνεῦμα ῥαῖσαι τὸν περιωδυνοῦντα.

Ὃν δὲ ὀρφτυπίης περὶ τὴν γέφυραν εἶδον ἔσω ῥιπτοῦντα τὰ σκέλεα, κνήμην ἑτέρην ἥκιστα ἐλελάμβανε, μηροὺς δὲ κάρτα, οὖρα καὶ γονὴ οὐκ ἴσχετο.

Ὀρφτύπους ὀνομάζουσιν οἱ Ἕλληνες τοὺς ὁπωσοῦν ἐκ τῶν ὀρῶν εἰς τὴν πόλιν καταφέροντας οἷον ξύλα, καὶ λίθους, ἤ τι τοιοῦτον. γεγραφότος δὲ τοῦ Ἱπποκράτους οὐχ ἁπλῶς οὕτω τὸν ὀρφτύπον ἐθεασάμην ῥιπτοῦντα τὰ σκέλη, προσθέντος δὲ τῷ λόγῳ τὴν ἐξ πρόθεσιν, καὶ γράψαντος τοῦ ἐξ ὀρφτυπίης, ἐμφαίνεταί πως ἐξ ἀρχῆς αὐτῆς τῆς κατὰ τὴν ὀρφτυπίαν ἐνεργείας, πληγῆναι τὸν ἐπὶ τὴν ὀσφὺν νωτιαῖον ὁ ἄνθρωπος, ἀφ' οὗ πέφυκε τὰ κινοῦντα τὰ σκέλη νεῦρα. καὶ γέτοι τὸ περὶ τὴν γέφυραν ἱκανὸν ἦν γεγράφθαι μόνον εἰς ἀνάμνησιν αὐτῷ τοῦ παθόντος, ὡς μηδὲν δεῖσθαι τῆς τέχνης. περιττὸν δὲ ἴσως ζητεῖν ἐκ τίνος αἰτίας ἔπαθεν ὁ ἄνθρωπος ἐκεῖνος τὰ σκέλη. καθάπερ γε καὶ τὸ τί δηλοῦται διὰ τοῦ φάναι σκέλεα ῥιπτοῦντα, πότερα ἀκίνητα ἀλγεῖν μὴ πάσχοντα, καὶ γὰρ τοῦτ' εἴρηται κατ' ἀπίθανως, ὅπερ ἐστὶ πιθανώτερον ἀκρατῶς ἔχοντα τῶν σκελῶν ἐν τῷ βαδίζειν, ὁμοίαν γίνεσθαι τὴν περιφορὰν αὐτῶν τοῖς ῥιπτοῦσι πρὸς τὴν ἔξω χώραν, οὐκ ἰσχυρῶς αὐτά. ἀλλ' οὐδ' ὅτι κνήμας μέντοι γε ἀμφοτέρας ἢ τὴν ἑτέραν ἥκιστα λελήφθη, μηροὺς δὲ κάρτα, φέρειν τινὰ τοῖς ἀκούουσιν ἡμῖν ὠφέλειαν, ὥσπερ οὐδὲ αὐτῷ τῷ Ἱπποκράτει πρὸς ἀνάμνησιν. οὐ γὰρ σπανίως ἀλλὰ πολλάκις φαίνεται τὰ τοιαῦτα γινόμενά τε γινωσκόμενα σαφῶς τοῖς ἰατροῖς ἅπασι. τί δὴ οὖν ἐστι δι' ὃ τοῦτ' ἔγραψεν, ἐγὼ πειράσομαι δηλῶσαι, τὴν ὅλην ῥῆσιν εἰπὼν πρότερον ἑτέρᾳ λέξει σαφεστέρᾳ τε καὶ συντομωτέρᾳ τῶν περιττῶν ἀφαιρεθέντων. παραλυόμενος τὶς τὰ σκέλη, τὰ μὲν κατὰ μηροὺς ἐλελήφθη μᾶλλον τῶν κατὰ τὰς κνήμας. οὖρα μέντοι καὶ γονὴ οὐκ ἐπεσχέθησαν αὐτῷ. τοῦτ' οὖν ἐστι χρήσιμον εἰς τὸ γινώσκειν ἡμᾶς, ἀλλ' ἴσως ἐρήσεταί τις τί φησιν ὃ γέγραπται κατὰ τὸ περὶ τῶν ἄρθρων βιβλίον. ἐπεί τοι πολὺ πλεόνων σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται, καὶ καταναρκοῦται τὸ σῶμα, καὶ οὖρα ἴσχεται αὐτέοισιν οἷς ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα μήτε εἴσω, μήτε ἔξω, σεισθῶσι δὲ ἰσχυρῶς ἐς τὴν εὐθυωρίαν τῆς ῥάχεως. ἐκ ταύτης ῥήσεως ὁρμηθέντες τινὲς ἀπεφήναντο διὰ τῶν νεύρων παράλυσιν ἐπὶ τοῖς νωτιαίου πάθεσι γίνεσθαι ταῦτα τὰ συμπτώματα, μὴ προσέχοντες, ὅτι τῶν σπονδύλων μετακινηθέντων ἐκ τῆς κατὰ φύσιν ἕδρας, καὶ διὰ τῆς συμπαθείας λόγῳ, φλεγμονὰς μὲν τὸ πρῶτον, ὕστερον δὲ καὶ σκιρρώδεις ὄγκους ἐργαζομένων περὶ τὴν κύστιν, καὶ τὸ καλούμενον ἀπευθυσμένον ἔντερον, αἱ φυσικαὶ τῶν ὀργάνων τούτων ἐνέργειαι βλάπτονται, δι' ἃς ἴσχεται τὰ πρότερον ὑπ' αὐτῶν ἐκκρινόμενα, τῶν μέντοι νεύρων βλαβέντων μόνων ἄνευ τοῦ συμπαθῆσαι τι τῶν εἰρημένων ὀργάνων, οὐ τὰς φυσικὰς ἐνεργείας, ἀλλὰ τὰς προαιρετικὰς συμβαίνει κακοῦσθαι. καὶ διὰ τοῦτο χωρὶς προαιρέσεως ἐκρεῖ τὸ οὖρον αὐτοῖς, καὶ ἡ κόπρος ὅταν γε συντελεσθῇ τῶν νεύρων ἡ παράλυσις, ὅσα φέρεται πρὸς τοὺς ἐπὶ τοῖς πέρασι τῆς κύστεως, καὶ ἀπευθυσμένου μῦς, ὑφ' ὧν κλείεταί τε καὶ σφίγγεται τὸ στόμιον ἑκατέρου τῶν ὀργάνων, ὅτι μὲν οὖν οὐκ ἐπεσχέθη τῷ ὀρφτύπῳ τὰ οὖρα, λέλεκται κατὰ τὴν ῥῆσιν. εἰ δ' ἀπροαιρέτως, ἢ κατὰ προαίρεσιν ἀπεκρίνετο, τοῦτ' οὐκέτι προσέθηκεν. εἰ μὲν οὖν σύγγραμμα πρὸς ἔκδοσιν ἦν τὸ βιβλίον, ἐκ τοῦ μὴ προσγεγράφθαι δῆλον ἦν ὡς οὐδὲ ἐγένετο. πάντως γὰρ ἂν ἐδήλωσεν αὐτὸ, μὴ γεγραμμένου δ' οὕτως ἀλλ' ὡς εἴρηται πολλάκις ἐν ὑπογραφῇσι πρὸς ἀνάμνησιν. οὐδὲ γὰρ οὐδὲ περὶ τῶν διαχωρημάτων ἔγραψέ τι. καίτοι καὶ ταῦτα ἀναγκαῖον ἐστιν, ἢ οὐδ' ὅλως ἐπεσχῆσθαι, ἀλλὰ τοῖς οὔροις ὡσαύτως ἀκουσίως ἐκρεῖν, ἢ κατὰ προαίρεσιν ἀποκρίνεσθαι. ἀλλ' εἰκὸς αὐτὸν εἰς ἀνάμνησιν ὧν εἶδεν ἀρκεσθῆναι τῷ περὶ τῶν οὔρων ῥηθέντι. τῆς γὰρ τῶν ἀποπατημάτων κενώσεως ὡσαύτως τοῖς οὔροις γινομένης, εἰ μὲν ἐναντία τι περὶ τὴν ἑτέραν αὐτῶν ἐγεγόνει, πάντως ἂν ἐπεσημήνατο. τῶν δ' αὐτῶν αὐτοῖς ἀκολουθησάντων, οὐκ ἦν ἀναγκαῖον ἀμφοτέρων μνημονεύειν, ἀλλ' οὐδὲ γονή φησιν ἴσχετο. φυσικὴ γὰρ ἐστι, καὶ ἡ ταύτης κένωσις ὥσπερ καὶ ἡ τῶν οὔρων τε καὶ σκυβάλων. διατί δὲ βουληθέντες μὲν ἀφροδισιάζειν ἐπ' αὐτὴν ἀφικνοῦνται, μὴ βουληθέντες δ' οὐκ ἔρχονται, μακροτέρου λόγου ἐστὶ ἐν τοῖς περὶ τῶν ἀπόρων κινήσεων λογισμοῖς εἴρηται.

Ὅσαι πτερυγώδεες φύσιες πλευρέων διὰ ἀδυναμίην τῆς ἀφορμῆς, καὶ ἐπὶ τοῖσι κατάρροισι τοῖσι κακοήθεσι κἢν ἔκκρισις εἴη, κἢν μὴ εἴη, κακόν.

Τινὰς μὲν ὀνομάζουσιν οἱ ἰατροὶ πτερυγώδεις ἔμπροσθεν εἴρηται. μεμαθήκατε δὲ καὶ ὅτι πρὸς φθίσιν ἐπιτήδειοι τυγχάνουσιν ὄντες οἱ τοιοῦτοι διὰ τοῦ τρίτου τῶν ἐπιδημιῶν, ἀφορμὴν δὲ λέγειν εἴωθεν ὁ Ἱπποκράτης, καὶ σχεδὸν ἅπαντες οἱ παλαιοὶ πᾶσαν ὕλην πράγματος ἀφ' ἧς ὁρμὴ γίνεται πρὸς τὰς ἐφεξῆς ἐνεργείας, εἴτε ἀργύριον

εἴτε τις ἄλλη κτῆσις, εἴτε δύναμις εἴη τις, εἴτε χωρίον, εἴτε πίστις, εἴτε πρᾶξις, εἴτε αἴτιον, εἴθ᾽ ὁτιοῦν ἁπλῶς ἄλλο. τινὲς δ᾽ οἴονται τοὺς πρωτοπαθοῦντας τόπους ἄλλων ἀφορμὰς ὀνομάζειν αὐτόν, ἀποδείκνυσθαί τε, καὶ τοῦτο φασὶν διὰ τῆσδε τῆς ῥήσεως. τὰς ἀφορμὰς ὁκόθεν ἤρξατο κάμνειν, σκεπτέον. εἰ δὲ καὶ τοῦτο τὸ σημαινόμενον, ὡς πρόσθεν εἶπον ὄντι καθόλου πολλῶν τοιούτων κατὰ μέρος. οἱ μὲν γὰρ ῥήτορες ὥσπερ γε καὶ οἱ ἱστορικοί, καὶ οἱ φιλόσοφοι ἀφορμὰς τῶν ἀνθρώπων ἐνεργείας εἰρήκασιν, ὡς αὖ καὶ περὶ τούτων διαλεγόμενοι. μετενήνεκται δ᾽ ὑφ᾽ Ἱπποκράτους τοὔνομα καθάπερ καὶ τὰ ἄλλα πολλὰ τῶν φυσικῶν ἐνεργειῶν τε καὶ παθῶν. ἐν οἷς ἅπασι κοινόν ἐστι τὸ ὁκόθεν ἤρξατο γενέσθαι. νῦν μὲν γὰρ ἐπὶ τῆς εἰρημένης ῥήσεως ὁ Ἱπποκράτης ὁκόθεν ἤρξατο κάμνειν ἔφη. δύναται δὲ ὡσαύτως λέγεσθαι, καὶ τὸ ὁκόθεν ἤρξατο πλουτίζεσθαι, πολεμεῖν, εἰρηνεύειν, μάχεσθαι, φιλεῖν ἀλλήλους, μισεῖν, τυραννεῖν, καὶ πᾶν ὁτιοῦν ἄλλο τοιούτων. καὶ νῦν οὖν τὴν πρώτην ἀρχὴν τοῦ περιρρυγώδη τινὰ γίνεσθαι, λέλεκται πρὸς Ἱπποκράτους. ἀφορμὴν δ᾽ οὐκ ἂν τις ἀποπρόπου φαίη. τίς οὖν ἐστιν αὕτη τῆς ἐμφύτου θερμασίας, ἢ τις ἐκ τῆς καρδίας ἔχει τὴν ἀρχὴν ἡ ἀρρωστία. μεμάθηκας ὥσπερ ἐγκεφάλῳ μὲν ὑπάρχοντι κεφαλὴ συναύξεται, σμικρῷ δ᾽ ὄντι συσσμικρύνεται, κατὰ τὸν αὐτὸν λόγον, καὶ τῇ καρδίᾳ συναύξεσθαί τε καὶ συμμειοῦσθαι τὸν θώρακα. τὴν καρδίαν δὲ αὐτὴν σμικρὰν γίνεσθαι πρὸς τῆς ἀρρωστίας τῆς ζωτικῆς δυνάμεως, ἧς οὐσίαν εἶναι τὸ ἔμφυτον θερμόν. ὅταν οὖν ὁ ἄρρωστος αὐτὴ φύσει τινὶ γένοιτο, τουτέστιν ἐξ ἀρχῆς ἐκ τῆς πρώτης διαπλάσεως, ἀναγκαῖόν ἐστι καὶ τὴν καρδίαν γενέσθαι μικράν, καὶ τὸν θώρακα. τοῦ δὲ τρεῖς ἀρχὰς εἶναι τὰς διοικούσας τὸ ζῷον, ἔμαθες τὰς ἀποδείξεις ἐν τῇ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων πραγματείᾳ. τοὺς δ᾽ οἰηθέντας ἀφορμὰς λέγεσθαι τοὺς πρωτοπαθοῦντας τόπους, πολλὴν τε περὶ τὴν ἐξήγησιν τῆς προκειμένης ῥήσεως εὑρήσεις ἁμαρτάνοντας, κἂν ἐμὲ προσυπακούειν ἡμᾶς ἀξιοῦν, οὐ λέξιν τινὰ μίαν ἀλλὰ λόγον ὅλον, ὡς εἰ καὶ οὕτως ἡ ῥῆσις εἴρητο. ὅσαι περιρρυγώδεες φύσιες πλευρέων διὰ ἀδυναμίαν τῆς ἀφορμῆς ἐν τοῖσι καταρρόοισι τοῖσι κακοήθεσι μάλιστα φθίσεσιν ἁλίσκονται, καὶ ἢν ἔκκρισις ᾖ, καὶ ἢ μὴ ᾖ, κακόν. πολλῶν εἰρημένων τοῖς ἐξηγηταῖς εἰς τήνδε τὴν ῥῆσιν αὐταρκές ἐστι τὸ δοκοῦν ἀληθέστατόν γ᾽ ἐμοὶ καὶ ὠφελιμώτατον εἶναι τοῖς μανθάνουσι τὴν ἰατρικὴν τέχνην ὑποτυπῶσαι μόνον, ὡς οἷόν τε διὰ βραχυτάτων. τοὺς τοίνυν ἀπὸ κεφαλῆς εἰς τὸν πνεύμονα γινομένους καταρρόους, τηνικαῦτα νομιστέον εἶναι κακοήθεις, ὅταν λεπτὰ καὶ βρωτικὰ ταῖς δυνάμεσιν ᾖ τὰ καταρρέοντα. ταῦτ᾽ οὖν ἔτι μένειν ἐν τῷ πνεύμονι προσήκει μέχρι περ ἂν πεφθέντα παχυνθῇ, καθάπερ τὰ ἄλλα ῥεύματα τὰ λεπτὰ μέν, οὐκ ἔχοντα δὲ τὸ διαβρωτικόν τε καὶ δύσπεπτον, ὅτι εὐθέως ἐκκρίνεσθαι. μένοντα γὰρ ἔνδον οὐ πέττεται ῥᾳδίως, καὶ φαίνεται γε τὸ σπλάγχνον ἑλκοῦν, ἐκκρινόμενα δὲ βῆχας ἐργάζεται συντόνους, ἐφ᾽ αἷς ἥ τε κεφαλὴ πληροῦται, αὐτή τε πάλιν καταπέμπει τῷ πνεύμονι κατάρρουν, εἰς κίνδυνόν τε τοῦ ῥαγῆναί τι τῶν κατ᾽ αὐτὸν ἀγγείων ἀφικνεῖται διὰ τὴν ἐπὶ βηχὶ συντονίαν. εἰώθασι γίνεσθαι τοῖς μὴ ῥᾳδίως ἀναπτύουσι τὰ ἐκ τοῦ πνεύμονος ὑγρά, λεπτά, καὶ ὑδατώδη κατὰ τὴν σύστασιν ὄντα. γίνεται μὲν γὰρ ἡ ἄνοδος αὐτοῖς ἀναφερομένοις ὑπὸ τοῦ κατὰ τὰς βῆχας ἐκπεμπομένου πνεύματος. ὅταν δ᾽ ᾖ λεπτὰ καὶ ὑδατώδη, περισχίζεταί τε ταῦτα, καὶ αὐτίκα καταφέρεται μὴ φθάνοντα διεξελθεῖν ὅλην τὴν τραχεῖαν ἀρτηρίαν. ἀληθὲς οὖν ἐστι τὸ βλάβην ἕπεσθαι, καὶ μένουσι κατὰ τὸν πνεύμονα τοῖς τοιούτοις ὑγροῖς καὶ κενουμένοις.

Ῥίγεα ἄρχεται γυναιξὶ μὲν μᾶλλον ἀπὸ ὀσφύος, καὶ διὰ νώτου, καὶ τότε ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν μᾶλλον ἢ ἔμπροσθεν, φίασσουσι τὰ ἔξω μᾶλλον, ἢ τὰ ἔνδον τοῦ σώματος, οἷον πηχέων, μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν, δηλοῖ δὲ ἡ θρίξ. ἀφ᾽ ὧν δὲ ἄλλων ῥιγοῦσιν, ἴσως ἑλκέων ἄρχεται ἐκ τῶν ἀγγείων.

Τὰ μὲν ἄλλα τῆς ῥήσεως ἐξηγήμεθα κατά τε τοὺς ἀφορισμούς, καὶ τὸ δεύτερον τῶν ἐπιδημιῶν. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ προσκείμενον, οὐκ ὀλίγα πράγματα παρέσχηκε τοῖς ἐξηγησαμένοις τὸ βιβλίον. ἄλλος γοῦν ἄλλως αὐτὰ γράφει, δηλοῦντος ἅπαντος ὡς οὐχ οἷόν τ᾽ ἐστὶ πιθανῶς ἐξηγήσασθαι τὴν ῥῆσιν, ἐάν γε τὴν ἀρχαίαν φυλάττῃ γραφήν. ἐκείνη μὲν οὖν ἐστι τοιάδε, ἐξ αὐτῆς δὲ τινος τό, ἴσως ἑλκέων, ὑπαλλάξαντος, ἔγραψαν, ὡς ἑλκέων, ἵν᾽ ᾖ παράδειγμα τοῦτ᾽ αὐτὸ τῶν ἄλλων. οὐ γὰρ ἀφ᾽ ἑλκῶν μόνον, ἀλλὰ καὶ ἀποστημάτων εἰς πύον μεταβαλλόντων ῥιγοῦσι. καὶ μέντοι καὶ καυθέντες τινές, καὶ τμηθέντες ἐρρίγωσαν, ἐπί τε τῇ καύσει καὶ τῇ τομῇ. τινὰς δ᾽ ἐθεασάμην διὰ δριμὺ φάρμακον ἐπιτεθὲν ἕλκει, ῥιγώσαντας. ἀλλὰ πάντα τὰ τοιαῦτα ῥίγη φαινόμενον ἔχει τὸ προκατάρχον αἴτιον. ἕτερα δ᾽ ἐστὶν ἐν τριταίοις καὶ τεταρταίοις πυρετοῖς, καὶ πολλάκις ἅμα κρίσει γινόμενα χωρὶς αἰτίας φανερᾶς, ἐφ᾽ ὧν φασιν εἰρῆσθαι τό, ῥίγεα ἄρχεται γυναιξὶ μὲν μᾶλλον, καὶ τὰ ἄλλα ἐφεξῆς. καίτοι γε τοῦτο πρῶτον αὐτὸ θαυμάσειεν ἄν τις ὅπως ἐν τοῖς ἀφορισμοῖς ἔνθα μάλιστα τὴν ἑαυτοῦ γνώμην ἐνδείκνυται, καὶ τὸν περὶ τοῦ ῥίγους λόγον ἔγραψεν, ἀπεφήνατο καθόλου χωρὶς διορισμοῦ τοῦ νῦν ἐν τῇ προκειμένῃ ῥήσει διδασκομένου. φαίνεται γὰρ εἰ ταύτῃ τις προσέχει τὸν νοῦν, οὐ πάντα μόνον τὰ ῥίγη καθ᾽ ἕνα τρόπον γίνεσθαι δοξάζων ἐν τῷ λέγειν. ἀφ᾽ ὧν δὲ ἄλλων ῥιγοῦσιν οἷον ἑλκέων, ἄρχεται ἐκ τῶν ἀγγείων. πρὸς τῷ καὶ αὐτὸ τούτων ἐκ τῶν ἀγγείων ἄρχεσθαι φάναι τὸ ῥῖγος, ὅτι ἔχειν ἀντιδιαίρεσιν τοῖς προειρημένοις. ἔνεστι γοῦν λέγειν, ὡς ἐκ τῶν ἀγγείων μὴ ἄρχεσθαι τὰ ῥίγη πάντα, τουτέστι τῆς ἐν αὐτοῖς κακοχυμίας, ἀλλὰ φρίττειν πρῶτα μὲν ὀσφύν, καὶ τὰ κατὰ νῶτον, ἔπειτα δὲ καὶ τὰ ἄλλα. διὰ τοῦτ᾽ οὖν ἔνιοι μὲν μεταγράψαντες τὴν παλαιὰν γραφήν, οὕτως ἐτύπωσαν τὴν λέξιν. ἀφ᾽ ὧν δὲ ἄλλων ῥιγοῦσιν ὡς ἑλκέων ἄρχεται ἐκ τῶν ἀγγείων, ἵν᾽ ὁ λόγος ᾖ τοιοῦτος. ὅσα μὲν αὐτοῦ τόπου πεπονθότος γίνεται ῥίγη, τὴν ἀρχὴν ἐξ ὀσφύος τε καὶ νώτου λαμβάνει. τὰ δ᾽ ἄλλα τῶν πεπονθότων ἀφορμᾶται μορίων, ἅπερ δὴ καὶ αὐτοῦ τοῦ ῥίγους ἐστὶν ἡ αἰτία. τινὲς δ᾽ ἀντὶ τῶν ἀγγείων, ἔγραψαν ἐναντίων, ἵν᾽ ἐφ᾽ ὧν ὁ πεπονθὼς τόπος αἴτιος γίνεται τοῦ ῥίγους, ἕλκων ἐφ᾽ ἑαυτὸν ὥς φασι κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐν ᾧ ῥιγοῦσι τὸ ἐκ παντὸς τοῦ σώματος αἷμα, φανεῖται τὸ ῥῖγος ἐκ τῶν ἐναντίων τοῖς πεπονθόσι μορίοις ἀρχόμενον. ἐναντία καλοῦντος αὐτοῦ, τοῖς μὲν ἄνω τὰ κάτω, τοῖς δ᾽ ἀριστεροῖς τὰ δεξιά.

δεξιά. δῆλον οὖν γέγονε τοῖς γε προσέχουσι τὸν νοῦν, ὡς ἐξ αὐτῶν ὧν μεταγράφουσιν, ἐπ᾽ ἐναντιωτάτας ἐκφάσεις ἄγουσι τὸν λόγον. ἔνιοι μὲν ἐκ τῶν πεπονθότων μορίων ἄρχεσθαι τὰ ῥίγη λέγοντες, ἔνιοι δ᾽ ἐκ τῶν ἐναντίων αὐτοῖς ἅπερ ὥς αὐτοί φασιν τὰ ποῤῥωτάτω. περὶ μὲν οὖν αἰτίας ὡς εἴρηται πολλάκις, ἔξεστι τῷ βουλομένῳ λέγειν ὡς ἂν θέλῃ. τὰ φαινόμενα δὲ, ἐναργῶς οὐκ ἔξεστιν. ἀνατραπήσονται γὰρ οὕτως αἱ τέχναι πᾶσαι, καὶ τῶν ἀνθρώπων ὁ βίος. φαίνεται δ᾽ ὡς ἐν ἀφορισμοῖς ἐδίδαξε τὰ ῥίγη πάντα τὴν ἀρχὴν ἐξ ὀσφύος τε καὶ νώτου λαμβάνοντα, ὅπερ ἐστὶ τὸ νῦν προκείμενον ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως. εἰ μὲν οὖν ὁ συνθεὶς τὸ βιβλίον, ὡς λέγουσι Θεσσαλὸς ὁ τοῦ Ἱπποκράτους υἱὸς ἐν τοῖς τοῦ πατρὸς ὑπομνήμασιν εὑρὼν ἐξεγράψατο, κακῶς ἐποίησεν ἐγγράψας αὐτὸ τῷ βιβλίῳ. τὰ γὰρ ὑπὸ τοῦ πατρὸς κεκειμένα χρόνῳ πολλῷ, καὶ διὰ τῶν ἀφορισμῶν εἰς ἀπόφασιν καθολικὴν ἠγμένα, βεβαιότερα νομίζειν αὐτὸν ἐχρῆν εἶναι τῶν ὁπότε ἐζήτει πρόσθεν οὐδέπω γινωσκομένων. εἰ δ᾽ αὐτὸς ἐξ αὑτοῦ προσέγραψε τοῦτο, πολὺ χεῖρον ἔπραξε, τὴν τοῦ πατρὸς ἀπόφασιν καθολικὴν διαστρέψας ἐπὶ τὸ φαῦλον. εἰ δ᾽ ἄλλος τις τῶν μετὰ Θεσσαλὸν ἔγραψε τὸ βιβλίον τοῦτο, κακῶς ἐκεῖνος ἐποίησεν. καὶ γὰρ ὡς εἴρηται πολλάκις ἡ πεῖρα κρείττων ἐστὶ τῶν ἐναργῶς φαινομένων, οὐχ ὁ λόγος ὃν ἂν ἕκαστος ἑαυτῷ πιθανῶς ἀναπλάσῃ. τοῦ γὰρ ὅτι δὴ γίνεται, τόδε τι συμφωνηθέντος ὁ λόγος ζητεῖ, καὶ διατείνεται. τοῦ δ᾽ ὅλως φαινομένου γίνεσθαι, ληρώδης ἐστὶν, ὡς γινομένου λέγειν αἰτίαν. εἴρηται δὲ καὶ ἄλλα τινὰ τοῖς ἐξηγηταῖς εἰς τὴν προκειμένην ῥῆσιν. ἀλλ᾽ ἔγω γε πολλάκις ἤδη παρῃτησάμην ἁπάντων μεμνῆσθαι, καὶ μάλιστα ὅταν αὐτῶν τὰ πιθανώτατα δόξαντα εἶναι, βασανιζόμενα φαίνηται ψευδῆ.

Κεφάλαιον ἐκ τῆς γενέσιος, καὶ ἀφορμῆς, καὶ πλείστων λόγων, ὅπερ κατὰ μικρὸν γινωσκομένων συνάγοντα, καὶ καταμανθάνοντα, εἰ ὅμοιαί εἰσιν ἀλλήλοισιν, καὶ εἰ μὴ ὅμοια ἀλλήλοισιν εἰσὶν, ὡς ἐκ τῶν ἀνομοιοτήτων ὁμοιότης γένηται μία, οὕτως ἂν εἴη ὁδός. οὕτω καὶ τῶν ὀρθῶς ἐχόντων, δοκιμασία, καὶ τῶν μὴ ἐχόντων, ἔλεγχος.

Οὐ τῷ προστάττειν ἃ νῦν εἶπεν, ἀλλὰ τῷ πράττειν ἐπὶ τῶν νοσούντων αὐτὰ, δύσκολον. ὅλως γοῦν τῆς τέχνης τὸ κεφάλαιον ἐν αὐτοῖς ἐστιν. ἐὰν γάρ τις ἀκριβῶς εἰδῇ, τήν τ᾽ ἐκ πρώτης γενέσεως φύσιν τοῦ νοσοῦντος, ἐκ τινός τε νῦν αἰτίας νοσεῖ, καὶ διὰ πολλῶν λόγων κατὰ μικρὸν γινωσκομένων ἐπισκοπούμενος, τάς τε φαινομένας ὁμοιότητας, καὶ τὰς δοκούσας ἀνομοιότητας εἶναι, καὶ τἄλλα τὰ διὰ τῆς ῥήσεως εἰρημένα καλῶς εὑρίσκει, θεραπεύειν οὗτος δυνήσεται κάλλιστα. σκεψώμεθα οὖν ἅπαντα τὰ κατὰ μέρος, ἀναμιμνήσκοντες μὲν ὅσα δι᾽ ἄλλων ἐπὶ πλέον ἐξειργασμεθα, προστιθέντες δ᾽ αὐτοῖς εἴ τι λείποι. τὸ μὲν οὖν ἐπίστασθαι τὴν ἐκ τῆς πρώτης γενέσεως ἑκάστου τῶν θεραπευομένων φύσιν, εἴρηται καὶ δέδεικται πολλάκις ὅπως ἄν τις κάλλιστα πράττῃ. δέδεικται δ᾽ οὐδὲν ἧττον ὃ χρὴ περί τε τῶν πεπονθότων τόπων, καὶ τῶν συμπαθούντων αὐτοῖς, ἐπίστασθαί τε καὶ διαγινώσκειν ἀκριβῶς ἐπὶ τῶν νοσούντων. ὥσπερ γε καὶ περὶ τῶν αἰτίων ὅσα γε προκατάρχοντα καλοῦσι, καὶ ὅσα προηγούμενα, καὶ ὅσα συνεκτικά. δέδεικται δὲ ὅπερ κατ᾽ αὐτὸ τοῦτο τὸ βιβλίον ἡνίκα ἔλεγον ἡ περὶ τὸν κάμνοντα οἰκονομία, τίνα χρησίμως ἄν τις ἐκ τῶν τοῦ καμνόντων λόγων ἀθροίσειεν εἰς τὰ τῆς τέχνης ἔργα. καὶ μέντοι ὅπερ ὡς ἐκ τῶν κατὰ μέρος ἐν αὐτῇ θεωρουμένων ἐπισκοπούμενον τὰς ἀνομοιότητας εἰς μίαν ἄγειν καθόλον τε καὶ κοινὴν ὁμοιότητα προσήκει. τὰ πλεῖστα δὲ τῶν ἐν τούτοις τοῖς βιβλίοις γεγραμμένων, ἐστὶ χρήσιμα. τὸ δ᾽ ἐφεξῆς εἰρημένον, αὖθις ἀνομοιότητας τούτοισι. τὴν ἀπὸ τῶν καθόλου, καὶ κοινῶν καὶ ὁμοίων εἰς τὰς διαφορὰς τομὴν ἐνδείκνυται. δέδεικται δ᾽ ἡμῖν καὶ τοῦτο κατὰ πάντα τὰ μέρη τῆς τέχνης. ἐν μὲν τῷ περὶ τῆς διαφορᾶς τῶν συμπτωμάτων ἐπὶ τῆς τοῦ γενικοῦ συμπτώματος. οὕτως δὲ κἂν τοῖς περὶ διαφορᾶς τῶν σφυγμῶν, τῆς τοῦ σφυγμῶν. ἀλλὰ καὶ κατὰ ταύτας τὰς διαφορὰς πάλιν ὁμοιότης ἐστὶ, ὅπερ τέμνεταί γε πάλιν ἑκάστη διαφορὰ, καθάπερ ἐδιδάξαμεν, εἰς ἄλλας μερικωτέρας διαφορὰς, ὅπερ αὗται πάλιν ἔχουσιν ὁμοιότητάς τινας. κατὰ τοῦτ᾽ οὖν εἰπὼν αὖθις, τὰς ἀνομοιότητας τούτοισιν, ἐπήνεγκε καὶ εἰ ὅμοια ἀλλήλοισιν, ἵν᾽ ἀκούσωμεν προσυπακουομένου τὸ κατά τι. βούλεται γὰρ ἡμᾶς γινώσκειν τὰς ὁμοιότητας αἵπερ εἰσὶ διαφοραὶ, κατά τι πάλιν ὅμοιαί εἰσιν ἀλλήλαις, ὡς ἐκ τῶν ὁμοιοτήτων ὁμοιότης γένηται μία. καὶ γὰρ αὐτὴ καθ᾽ ἑαυτὴν ἑκάστη διαφορὰ κοινὴν ἔχει ὁμοιότητα, ὅπερ πάσας ἡ γενικὴ περιλαμβάνει. καλῶς οὖν εἶπεν, αὕτη. ἡ γὰρ ὁδὸς ὀρθὴ, κατὰ πᾶσαν δηλονότι τέχνης σύστασιν ἐστὶν ὡς ἐμάθετε. κεκλήκασι δ᾽ οὐχ ὁδὸν, ἀλλὰ μέθοδον οἱ μεθ᾽ Ἱπποκράτην τὴν τοιαύτην ὁδὸν, ἐξ ἧς καὶ τῶν ὀρθῶς εὑρισκομένων τε καὶ γινομένων ἐν ταῖς τέχναις δοκιμασία, καὶ τῶν οὐκ ὀρθῶς ἐχόντων ὁ ἔλεγχος γίνεται.

Αἱμοῤῥαγίη ἐκ ῥινῶν, ἢ τοῖς ὑποχλωρομέλασιν, ἢ τοῖς ἐρυθροχλώροις, ἢ τοῖς ὑποχλώροις.

Οὐ πρόσκειται τῷ λόγῳ, πότερον γίνεται μᾶλλον ἐν τοῖς νόσοις ἐκ ῥινῶν αἱμοῤῥαγία τοῖς εἰρημένοις, ἢ μᾶλλον τῶν ἄλλων ὠφελῶν τούτους. ἀλλ᾽ οὐδέ τινας λέγει τοὺς ὑποχλωρομέλανας εὔδηλόν ἐστιν. ὡς γὰρ εἶπον ἤδη πολλάκις εἰώθασιν οἱ Ἕλληνες ἐπὶ τῶν φυτῶν τὸ χλωρὸν λέγειν ἀπὸ τῆς χλόης, καὶ τοῦ ταύτης χρώματος ὡς τὰ πολλὰ, καταχρώμενοι δὲ καὶ πᾶν τὸ εὐθενοῦν, καὶ τὴν οἰκείαν ἔχον εὐεξίαν οὕτως ὀνομάζουσιν. ἔστι δ᾽ ὅτε καὶ τοὺς ὠχροὺς προσαγορεύουσι χλωροὺς, καὶ νῦν οὕτω δοκεῖ τισὶ τῶν ἐξηγητῶν ὁ Ἱπποκράτης εἰρηκέναι χλωρομέλασιν, ὡς εἰ καὶ ὠχρομέλασιν εἶπεν. αὐτοὺς δὲ τούτους ἔνιοι μὲν ἐπιτηδειοτέρους εἶναι πρὸς αἱμοῤῥαγίαν φασὶ, διὰ τὴν ἐπιμιξίαν τῆς ὠχρᾶς χολῆς, ὡς ἀναστομῶσαι δυναμένης ἀγγεῖον διὰ τὴν δριμύτητα. τινὲς δὲ ὠφελεῖσθαι μᾶλλον, διὰ τὸ μοχθηροὺς ἔχειν χυμοὺς κενώσεως δεομένους. ὡσαύτως δὲ κἀπὶ τῶν ἐρυθροχλώρων διέστησαν, οἱ μὲν ἑτοιμοτέρους εἰρῆσθαι πρὸς αἱμοῤῥαγίαν αὐτοὺς φάσκοντες, οἱ δὲ ὠφελεῖσθαι μᾶλλον. ἐπ᾽ ἀμφοτέρων δὲ, κοινὸν μὲν τὸ πλεονάζειν τὴν ὠχρὰν χολὴν, οὐ κοινὸν δὲ τὸ μελαγχολικώτερον μὲν αὐτῇ μεμίχθαι χυμὸν ἐν τοῖς χλωρομέλασιν, αἱματικώτερον δ᾽ ἐν τοῖς ἐρυθροχλώροις. ἔνιοι δὲ ἐρυθροχρόους γράφουσι διὰ τοῦ ρ, τοὺς τὴν ἐρυθρὰν ἔχοντας χρόαν δηλοῦσθαι βουλόμενοι. τρίτων δὲ

εἰρημένων τῶν ὑποχλώρων, ἀκούουσι μὲν κἀνταῦθα τοὺς ὑπώχρους. ἐνδεικνυμένης δὲ τῆς φωνῆς τοὺς βραχέως ἔχοντας ὠχρότητας, τίνι ταύτην μεμίχθαι βούλονται, παραλείπουσιν. εἰ μὲν γὰρ μελανότητα, τούτους πρώτους αὐτῷ λελέχθαι φασίν. εἰ δ' ἐρυθρότητα, δευτέρους. μή ποτ' οὖν ὅταν λευκότητι μιχθῇ, καλεῖ τούτους ὑποχλώρους. ὁ δὲ λευκόχρωος οὐθ' ἕτοιμός ἐστιν εἰς αἱμοῤῥαγίαν, οὔτε τῶν προειρημένων ὠφελεῖται μᾶλλον.

Βραχέα ὑφέντα παχῦναι ξηρῷ.

Αὕτη μὲν ἡ παλαιὰ γραφή. οἱ δὲ περὶ τὸν Σαβῖνον οὐ βραχέα γράφουσιν, ἀλλὰ βραχίονα, καί φασιν ἀντισπάσεως ἕνεκεν ἐπὶ τῆς ἐκ ῥινῶν αἱμοῤῥαγίας ὀνινάναι τὴν ἀπὸ βραχίονος φλεβοτομίαν, οὐ μόνον ἰδίαν ἐξηγούμενοι γραφήν, ἀλλὰ καὶ πιθανῶς ἀξιοῦντες ἡμᾶς ἀκούειν τὸν βραχίονα ὑφέντα, λελέχθαι περὶ τῆς ἀπ' ἀγκῶνος φλεβοτομίας. ἐγὼ δὲ τὴν μὲν τοιαύτην φλεβοτομίαν ὠφελοῦσαν ἱκανῶς οἶδα τὴν ἐκ ῥινὸς αἱμοῤῥαγίαν ἀμέτρως γινομένην, ἀντισπᾷ γὰρ αὐτὴν καὶ κωλύει γίνεσθαι. οὐ μὴν τήν γε τοῦ Ἱπποκράτους ῥῆσιν ὁρῶ τοῦτο δηλοῦσαν, ἀλλὰ τὸ βραχέα ὑφέντα λέγειν ἔοικεν, ὡς οἱ πλεῖστοι τῶν ἐξηγητῶν ἤκουσαν ἐπὶ τοῦ συγχωρήσαντος βραχέα τῇ ῥύσει τοῦ αἵματος, οὕτως καὶ ἐπὶ τὸ παχύνειν αὐτὸν μεταβαίνειν. ἐπεὶ δ' οὐχ ἁπλῶς εἶπε παχῦναι οὐ μεθ' ὑγρότητος, ἀλλὰ μετὰ ξηρότητος τὸ αἷμα. τινὲς δὲ παχῦναι ξηρῷ κατὰ δοτικὴν πτῶσιν γράψαντες, ὑπακοῦσαί φασι χρῆναι τῷ φαρμάκῳ. τοῦτο γοῦν κἀκ τῶν ἐπιφερομένων δηλοῦσθαι τοῖς ἐξηγουμένοις συμβουλὴν εἶναι περὶ τῶν συνεχῶς αἱμοῤῥαγούντων, οὐκ ἐν νόσοις ἀλλὰ ἀνορθοῦ[illegible] ἐπὶ τῆς διαίτης ὁ λόγος ἀναφαίνεσθαι δοκεῖ. κελεύσαντος αὐτοῦ ἐκ τῶν παχυνόντων μετὰ ξηρότητος εὐχυμον τούτοις ἐργάζεσθαι, χόνδρον καὶ ἄμυλον εἶναι λέγουσι ταῦτα, καὶ γάλα, καὶ τυρὸν νέον, καὶ χοίρεια κρέα, καὶ μάλιστα τῶν γαλαθηνῶν ἀρνῶν, πρὸς τούτοις δὲ καὶ ἐρίφων. οἱ δὲ περὶ τῶν ἐν νόσοις αἱμοῤῥαγούντων εἰρῆσθαι βουλόμενοι τὸν λόγον, συμβουλεύειν αὐτόν φασι παχύνειν τὸ αἷμα χωρὶς τροφῆς. τοῦτο γὰρ σημαίνει τὸ ξηρῶς, ἐπειδὴ συμπέττειν βούλεται τὴν κακοχυμίαν. εἰς τὴν πέψιν δὲ συντελεῖ, καὶ τὴν τῶν πεπτικῶν φαρμάκων χρῆσιν, ἔστιν ὅτε τὰ στύφοντα. καὶ γὰρ καὶ ταῦτα παχύνουσι τὸ αἷμα καθάπερ καὶ ἡ πέψις. εἴρηται δ' ἐφεξῆς αὐτῷ τῶν τοιούτων φαρμάκων παράδειγμα. τινὲς δ' οὐ ξηρῶς εἰς τὸ σ τελευτώσης τῆς λέξεως, ἀλλ' εἰς τὸ ω γράφουσι ξηρῷ, φάσκοντες αὐτὸν κελεύειν παχύνειν τὸ διὰ τῆς ῥινὸς ἐκκενούμενον ἐν τῇ αἱμοῤῥαγίᾳ αἷμα ξηρῷ τῷ φαρμάκῳ.

Τοῖσι δ' ἑτέροισιν ἧσσον παχυσμόν.

Ἑτέρους φασὶ λέγειν αὐτὸν τοὺς χωρὶς κακοχυμίας αἱμοῤῥαγοῦντας συνεχῶς, οἷς οὔτ' ὠχρὰς, οὔτε μελαίνης χολῆς ἐπιμέμικται. τινὲς δὲ κἀνταῦθα γράφουσιν, οὐ παχυσμὸν ἀλλὰ παχῦναι, τὴν λέξιν σαφεστέραν ἐργάσασθαι βουλόμενοι. τὴν μέντοι διάνοιαν φυλάττουσιν τὴν αὐτήν, εἴ γε καὶ αὐτοὶ κελεύειν αὐτόν φασι τοὺς ἑτέρους, οἳ διὰ πλῆθος αἵματος κακοχύμου αἱμοῤῥαγοῦσιν, ἧττον παχύνειν, ἀκουομένου δηλονότι τοῦ παχύνειν αὐτοῦ πάλιν διττῶς. τινῶν μὲν κατὰ τὴν δίαιταν, τινῶν δὲ κατὰ τὰ προσφερόμενα τῇ ῥινὶ φάρμακα τὸν παχυσμὸν τοῦ αἵματος ἀξιούντων γίνεσθαι, τινῶν δὲ κατ' ἀμφότερα. βεβαίως δ' ὅτι γνῶσιν οὐδεμίαν τῶν τοιούτων ἔχει λέξεων, εἴρηταί μοι πολλάκις.

Ξηρῷ δὲ δεῖ λευκῷ, οἷον κηκὶς, στυπτηρίη.

Αὕτη μὲν ἡ παλαιὰ γραφή, δυσεξήγητον δὲ οὖσαν αὐτὴν ἔνιοι μετέγραψαν, οἱ μὲν ἐπ' ὀλίγον, οἱ δ' ἐπὶ πλέον ὑπαλλάττοντες. ἐπὶ πλέον μὲν οὖν ὑπήλλαξαν οὕτως γράψαντες, ξηρῷ δὲ λευκῷ ἀπὸ ῥινῶν, οἷον κηκὶς, στυπτηρίη. διάνοιαν δ' αὐτῆς εἶναι βούλονται τοιάνδε, τοὺς αἱμοῤῥαγοῦντας ἀμέτρως ἀπὸ ῥινῶν πρὸς τοῖς ἔμπροσθεν εἰρημένοις, ἔτι καὶ τοπικοῖς βοηθήμασι θεραπευτέον εἶναι. παράδειγμα δὲ τῶν τοπικῶν βοηθημάτων εἰρῆσθαί φασι ξηρὸν φάρμακον λευκὸν ἐντιθέμενον τῇ ῥινί. τῆς κηκῖδος δὲ οὐκ οὔσης λευκῆς, ἔνιοι προσέθησαν αὐτῇ, καὶ τὴν στυπτηρίαν, γράψαντες οἷον κηκὶς, στυπτηρίη. τὸ δὲ τῇ ἢ τῇ παρεῖλον εἰκότως, ὡς μικρὸν ὂν καὶ οὐκ ἄξιον Ἱπποκράτους, εἴγε δὴ σημαίνειν αὐτό φασιν ὁπότερος ἂν μυκτὴρ αἱμοῤῥαγῇ, τούτῳ τὸ ξηρὸν φάρμακον ἐντιθέναι. φυλαττομένης δὲ τῆς παλαιᾶς γραφῆς, αἰνιγματώδης ἡ λέξις γίνεται. τινὰ γὰρ ἀπὸ ῥινῶν ἀξιοῖ λευκὰ κενοῦν, ἢ καθαίρειν, ἢ συμπέττειν, ἢ αὐτόματα φερόμενα θεάσασθαι παντάπασιν ἄπορον εὑρεῖν, αὐτοῦ γε τοῦ Ἱπποκράτους μηδὲν προσθέντος περὶ λευκῶν. περὶ τούτου οὖν εἰκότως ἐν αὐτῷ τούτῳ πρῶτον οἱ ἐξηγηταὶ διηνέχθησαν, ὑπακούειν ἀξιοῦντες ἄλλος ἄλλο, καὶ ὅτι πᾶσιν αὐτοῖς τὸ οἷον ἡ κηκὶς ἐναντιοῦται. προσῆκον γὰρ ἦν εἰρῆσθαι, τὸ, οἷον κηκῖδι. τοῦτο μὲν οὖν κοινῇ πᾶσι μάχεται, καὶ φυγεῖν οὐχ οἷόν τε τὸ τῆς ἑρμηνείας ἀλλόκοτον, οὐδ' ἐπανορθῶσαί με γράφοντα. λέγουσι δ' ἔνιοι τὸν ὅλον λόγον αὐτῷ, καὶ νῦν ἔτι περὶ τῆς ἐκ ῥινῶν αἱμοῤῥαγίας εἶναι. χρῆσθαι δὲ συμβουλεύειν ἐπὶ τῶν τοιούτων στύφοντι φαρμάκῳ, κατὰ τὸν αἱμοῤῥαγοῦντα μυκτῆρα τὴν ἔνθεσιν ποιούμενον, ἄχρις ἂν ἔλθῃ λευκὰ, παυσαμένης τῆς αἱμοῤῥαγίας. πολλὰ δὲ καὶ ἄλλα μοχθηρῶς λέγουσιν εἰς τὴν ῥῆσιν ἡμαρτημένην ὡς ἐμοὶ φαίνεται, σχεδὸν δὲ καὶ παρεγκειμένην ὑπό τινος. θαυμάσαι δ' οὐκ ἔστιν ὥσπερ ἐν ἄλλοις πολλοῖς, οὕτω κἀνταῦθα τοὺς [περὶ] ἐτοίμως μεταγράφοντας οὐχ ὅτι ἂν αὐτοῖς δόξῃ τὰς Ἱπποκράτους λέξεις. ἁπάντων γὰρ τῶν ἐξηγητῶν ἐπισταμένων ἐν τῇ ῥήσει γεγραμμένον ἀπὸ ῥινῶν λευκὰ, μεταγράψαντες αὐτοὶ γράφουσιν, ἀπὸ ῥινῶν τῷ λευκῷ. πολλάκις δ' εἶπον ὡς ἐν ταῖς αἰνιγματώδεσι λέξεσι, τὸ μὲν πιθανῶς μεταγράφειν ἔξεστιν, εἰπόντα δὲ πρότερον αὐτὸ τοῦτο τηνικαῦτα προσήκει μεταλλάττειν τὴν γραφήν.

Ὅταν ἀφροδισιάζειν ἄρχωνται, ἢ τραγίζειν, αἱμοῤῥαγέουσιν.

Αἱμοῤῥαγέουσιν ἐκ ῥινῶν ἑτοίμως οὐ μόνον νοσοῦντες, ἀλλὰ καὶ οἱ ὑγιαίνοντες οἱ τὴν ἡλικίαν ἄγοντες ταύτην, ἐν ᾗ συμβαίνει τὸ καλούμενον τραγίζειν. ὅτε γε καὶ ἀφροδισιάζειν ἤδη δύνανται. καὶ πρότερον μὲν οὖν εἶχον αἷμα πολὺ παῖδες ὄντες, ἀλλ' εἰς τὴν αὔξησιν οὐκέτ' ὁμοίως πολύ. τὸ δ' αἷμα θερμότερον αὐτοῖς γίνεται. διὰ τοῦτ' οὖν αἱμοῤῥαγοῦσιν. μεμνῆσθαι δ' ὑμᾶς οἶμαι τὰς μὲν ἐξ ἄλλων μορίων γινομένας αἱμοῤῥαγίας μετὰ τῆς τοῦ τόπου προσηγορίας λεγομένας ἀεί, τὰς δ' ἐκ τῆς ῥινὸς ἔσθ' ὅτε καὶ χωρὶς τοῦ μορίου.

Ἐν τοῖσι δὲ προσόδοισιν ἐστὶν οἱ ἀποψοφέουσιν, ὡς Ἀρκεσίλαος. οἱ δὲ μέλλοντες φρικώδεες, ῥιγώδεες. οἱ δ' ἐπὴν προσέλθωσι, φυσῶνται κοιλίην, οἷον Δαμαγόρας.

Εἴρηκα πολλάκις ὡς εἰ μὲν τὰ πάνυ κακῶς εἰρημένα πολλοῖς τῶν ἐξηγητῶν ἐλέγχοιμι, δυσχεραίνουσιν ἅπαντες τῷ μήκει τῶν ὑπομνημάτων. εἰ δ' ἀνέλεγκτα παραλείποιμι τῶν μετριωτέρων μνημονευόντων, οἱ νοῦν ἔχοντες ἐξ ἑαυτῶν ὁρμώμενοι, καὶ τὰ παραλελειμμένα κεῖναι διώκοντες, καὶ νῦν οὖν οὕτω πράξω. τὸ μέντοι προσόδοισιν ἅπαντες χεδὸν ἤκουσαν περὶ τῆς πρὸς γυναῖκα μίξεως, ὥσπερ γε καὶ τὸ ἀποψοφέουσιν, περὶ τῆς φύσας πεποιῆσθαι, καὶ περὶ μὲν τούτου, καὶ μικρὸν ἔμπροσθεν εἴρηται. τὸ δ' ἐφεξῆς γεγραμμένον, οἱ δὲ μέλλοντες φρικώδεες, ῥιγώδεες, τοιόνδε τι δηλοῖ. τινὲς τῶν ἀφροδισιαζόντων ἀφροδισίοις ἐν τῷ διαθερμαίνεσθαι φρικώδεις γίνονται, καθ' ὃν λόγον ἤδη πολλάκις ἐμάθετε τοὺς κακοχύμους ἅπαντας, ὅταν ἀθροώτερον θερμαίνωνται, τοῦτο πάσχοντας. ἔνιοι δ' ἀντὶ τοῦ φρικώδεες, ῥιγώδεις γράφουσιν, ὃ δοκεῖ μοι πάνυ σπάνιον εἶναι καὶ μεγίστης κακοχυμίας σημεῖον, ὡς οὐδ' ἔγνων τινὰ ῥιγοῦντα περὶ τὴν ἀρχὴν τῆς μίξεως. ἀλλὰ καὶ τὸ ῥιγώδεες, ἔνιοι κακώδεες γράφουσιν. ἐξηγοῦνται δέ τινες περὶ τοῦ κακοῦσθαι τὸ σῶμα, λελέχθαι τοὺς κακώδεις, ἔνιοι δ' περὶ τοῦ κακὸν ὄζειν. περὶ δὲ τοῦ περὶ τὴν κοιλίαν τινὰς ἐμφυσᾶσθαι, πρόσθεν εἴρηται. Διοσκορίδης δὲ καὶ ταύτην τὴν ῥῆσιν, ὡς μυρίας ἄλλας μετέγραψεν εἰς ἣν αὐτὸς ἐβούλετο λέξιν, ὡς εἶναι τὴν ὅλην ῥῆσιν τοιάνδε. ἐν τοῖσι προσόδοισιν ἐστὶν οἷον ἀποψοφέοντες οἷον Ἀρκεσίλαος, ἵνα δυσώδεις εἶναι τὰς φύσας αὐτοῦ νοήσωμεν. ὅ γε μὲν Καπίτων καὶ αὐτὸς εἰς πολλὰ πάνυ μεταγράφων, τήνδε τὴν λέξιν τοιαύτην ἐποίησεν. ἐν τῇσι προσόδοισιν οἱ ἀποψοφέουσιν οἷον Ἀρκεσίλαος, οἱ δὲ μέλλοντες ῥιγοῦσι ῥιγώδεις.

Αἱ μεταβολαὶ φυλακτέαι.

Ἀσφαλέστερον ἐν ἄλλοις τέ τισι καὶ τοῖς ἀφορισμοῖς εἴρηκε τοῦτο προκειμένου τοῦ κατὰ πολὺ, καὶ ἐξαπίνης. οὔτε γὰρ αἱ κατὰ τὸ περιέχον ἡμᾶς, οὔθ' αἱ περὶ ἡμῶν αὐτῶν γινόμεναι κατὰ βραχὺ μεταβολαὶ τὸ σφαλερῶς ἔχουσι. μόναι δ' αἱ ἀθρόαι, σφαλεραὶ πρὸς ὑγείαν εἰσὶ, καὶ διὰ τοῦτο τοιαύτας χρὴ φυλάττεσθαι. φυλαξάμεθα δὲ τὰς μὲν κατὰ τὸ περιέχον, ἔνδον τε διατρίβοντες τὰ πλεῖστα, καὶ τῇ τῶν ἐναντίων προσαγωγῇ. ξηραίνοντες μὲν τὸ σῶμα περὶ τὰς ὑγρὰς μεταβολὰς, ὑγραίνοντες δὲ κατὰ τὰς εἰς ξηρότητα. κατὰ δὲ τὸν αὐτὸν λόγον θερμαίνοντές τε καὶ ψύχοντες ὁπότε τούτων ἑκατέρου καιρός. ἐν δὲ τῇ διαίτῃ τὰς μεταβολὰς ἐφ' ἡμῖν αὐτοῖς ἐστι φυλάττεσθαι, μήτ' ἐκ γυμνασίων ἀθρόως εἰς ἀργίαν, μήτ' ἐξ ἀργίας εἰς γυμνάσια μεθισταμένοις. ἀλλὰ μηδ' ἐξ ἀλουσίας περὶ λουτρὸν, μηδ' ἐκ λουτρῶν, εἰς ἀλουσίαν, μηδ' ἐξ ὑδροποσίας εἰς οἴνου πόσιν, ἢ ἐξ οἴνου πόσεως εἰς ὑδροποσίαν. ἐπί τε τῶν ἄλλων ἁπάντων ὡσαύτως. οὗτος μὲν οὖν ὁ λόγος ἀληθής ἐστιν ἅμα, καὶ πολλάκις ὑφ' Ἱπποκράτους εἰρημένος, οὐκ οἶδα δέ τι παθόντες ἔνιοί φασι χρὴ προσυπακοῦσαι, τῷ αἱ μεταβολαὶ φυλακτέαι τὸ τῶν ἡλικιῶν. ἐν ἀφορισμοῖς γὰρ αὐτὸς εἰπὼν, τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁπωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. καὶ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον, οὐκ ἐμνημόνευσεν ἡλικιῶν. οὔτε γὰρ τὸ πολὺ τῇ φύσει κατ' αὐτάς ἐστι κατὰ βραχὺ μεθισταμένας, οὔτε φυλακῆς τινος δέονται περιττοτέρας περὶ τὰ κοινὰ τῶν ὑγιεινῶν παραγγελμάτων, καθάπερ οὐδ' ὅταν αἱ ὧραι κατὰ βραχὺ τὴν μεταβολὴν ποιοῦνται. ταύτας μὲν οὖν ὁρῶμεν ἐνίοτε μεγάλας ἀθρόως τὰς ὑπαλλαγὰς εἰς τἀναντία ποιουμένας. ἡλικίαν δ' οὐδεμίαν ἀθρόως πεσοῦσαν ἴσμεν, ὥστε τὸν παῖδα κατὰ τὴν ὑστεραίαν ἄνδρα γενέσθαι μὴ κατὰ βραχὺ, διά τε τῆς τῶν ἐφήβων καὶ τῶν μειρακίων ἡλικίας ὁδοιπορήσαντα.

Ὀλιγοσιτίη, ἄκοπον, ἄδιψον.

Εἰρηκὼς καθόλου φυλάττεσθαι χρῆναι τὰς μεταβολὰς, ἔν τι τῶν εἰς φυσικὴν διαφερόντων, ἔγραψεν ἐφεξῆς εἰς ἀνάμνησιν ἑαυτῷ. κατὰ γὰρ τὰς ἀμφοτέρας μεταβολὰς, τάς τε τοῦ περιέχοντος, καὶ τὰς τῶν ὑμετέρων ἐπιτηδευμάτων τε καὶ τῆς ὅλης διαίτης, ὀλιγοσιτίην τε καὶ τὸ ἄδιψον, καὶ τὸ ἄκοπον ἐν ἅπασιν οἷς πράττομεν ἔχειν σκοπόν. οἱ δ' ἐξηγηταὶ τὴν ὀλιγοσιτίαν ἔφασαν, ἄδιψόν τε καὶ ἄκοπον εἶναι. ψεῦδος δέ ἐστιν ἐὰν ὡς καθόλου λέγηται, τοῖς μὲν φλεγματώδεις ἔχουσι χυμοὺς, ἢ χρηστὸν αἷμα, πολὺ ἄκοπόν ἐστι, καὶ ἄδιψον ἡ ὀλιγοσιτία. τοῖς δὲ χολώδεσιν ἢ ἐνδέεσιν, οὔτε ἄκοπον, οὔτε ἄδιψον, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἐδίδαξεν. ἔτι δὲ χεῖρον ὑπειλήφασιν οἱ γράψαντες, ἀσιτία ἄκοπον, ἄδιψον. ἀλλ' οὗτοι μὲν ἐσχάτως ἀμαθεῖς, ἀγνοοῦντες ἃ μήτε τῶν ἰδιωτῶν τις ἀγνοεῖ. τινὲς δὲ κατὰ τὸ τέλος τῆς ῥήσεως προστεθείκασι τῷ πεινῶντι, καί φασι τὴν ὀλιγοσιτίαν ἄκοπον, καὶ ἄδιψον εἶναι τῷ πεινῶντι. πεινῶντα δ' εἰρῆσθαί φασι τὸν τῆς ἐνδείας αἰσθανόμενον, καίτοι βέλτιον εἴη λέγειν τῷ μὲν ἐνδείας αἰσθανομένῳ, τὴν ὀλιγοσιτίαν οὐκ ἐν καιρῷ παραλαμβάνεσθαι. τῷ δ' οὐκ αἰσθανομένῳ χρήσιμον εἶναι, δῆλον γάρ ἐστιν ὅτι πληθωρικῶς διάκειται.

Πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, ἔντερα περιτείνεται, ἀνάθρεψις τἀναντία, χρωτὸς ῥίκνωσις συμπίπτοντος, ἔκτασις ἀναθρεφομένου. τὸ φρικῶδες, τὸ λεῖον, ἑκατέρου σημεῖον, τὸ ὑπόχολον, τὸ ὑπέρυθρον. οὕτω τὸ κατασπᾶσθαι μαζούς. ἰσχνοὺς δὲ ἀνεσπᾶσθαι, ἢ περισπᾶσθαι. καίτοι οὐκ ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος τοῦτο γίνεται.

Θαυμάζω τῶν ἐξηγητῶν τὰς μὲν αἰνιγματώδεις ῥήσεις ἃς οὐδεὶς ἀνθρώπων νοεῖ, μόνων ἐπαγγελλομένων νοεῖν, ὅσαι δὲ ἡμῖν ἅπασι σαφεῖς εἰσιν, ἐκείνων μόνων μὴ νοούντων. τὴν γοῦν προκειμένην οὐκ οὖσαν αἰνιγματώδη, διασπῶσι πολυειδῶς, ἄλλος ἄλλοθεν περιγράφων τὰς κατὰ ταύτας ἀποφάσεις, ἐξηγοῦνταί τε περὶ τὰ φαινόμενα ἅπασιν ἐναργῶς ἃ μάλιστα πάντων ἐχρῆν φυλάττειν αὐτούς. ἔστι μὲν γὰρ ὁ λόγος τῷ Ἱπποκράτει περὶ τῶν ἐν τοῖς σώμασιν ἡμῶν ὁρωμένων, κατά τε τοὺς λεπτυσμοὺς καὶ τὰς ἀναθρέψεις. οἱ δὲ οὐδέ τί ποτ' ἐστιν ὁ λεπτυσμὸς ἐοίκασιν ἐπίστασθαι. τοσοῦτο δέουσιν, ἢ τὰ φαινόμενα πάντα κατ' αὐτοὺς, ἢ τὰς αἰτίας αὐτῶν ἐγνωκέναι. γίνεσθαι γοῦν τὸν λεπτυσμὸν ἀποφαίνονται διὰ κένωσιν. ἔνιοι δ' ὡς οὐ διαφέρει, εἴτε κένωσιν, ἢ λεπτυσμὸν εἰπεῖν ὑπολαμβάνουσιν.

ἀλλὰ ταῦτα μὲν ὡς ἔφην οὐ μεγάλως τινὸς ἐπιστήμης ἐστὶ γνῶναι. πολλοὶ γοῦν αἵματος μὲν οὐκ ὀλίγον ἔχουσι πλῆθος, ἐσχάτως δ' εἰσὶ λεπτοί, καθάπερ ἄλλοι παχεῖς μὲν, ὀλίγαιμοι δέ. καὶ τήν γε ἐπεσχημένην ὀκτὼ μησὶν ἤδη τὰ καταμήνια λεπτοτάτην οὖσαν, ἀφελὼν αἵματος οὐκ ὀλίγον, εἰς τὴν οἰκείαν ἕξιν ἐπανήγαγον ἐν ἐλαχίστῳ χρόνῳ, καθάπερ καὶ ἄλλας οὐκ ὀλίγας. ἀλλὰ τὸ κατ' ἐκείνην, οὐ γὰρ ἦν ἀφανὴς, ἔνδοξον ἐγένετο. γεγονυίας μὲν αὐτῇ τῆς φλεβοτομίας, εὐλαβουμένων δὲ καὶ τῶν ἰατρῶν ἐπαγγείλασθαι βεβαίως τὴν ἐπὶ τῷ βοηθήματι γενησομένην ὠφέλειαν. ἔνιοι δὲ καὶ ἡμῖν ἀντιλέγειν ἐτόλμησαν, οὐ μόνον διὰ τὴν ἰσχνότητα τῆς γυναικὸς, ἀλλὰ καὶ διὰ τὴν ἀνορεξίαν, ὑπὸ τῆς φλεβοτομίας αὐτὴν βλαβήσεσθαι λέγοντες, καὶ τάγε τοιαῦτα κάλλιόν ἐστι μακρολογεῖν, τοῦ ζητεῖν ἀκριβῶς εὑρεῖν ὁπότερον τῶν προδίκων Ἱπποκράτης μνημονεύει. ἀλλ' ὡς εἶπον ἤδη πολλάκις οἱ νεώτεροι τῶν ἰατρῶν ἐπὶ τὸ σοφιστικώτερον εἶδος ἀπεχώρησαν. ἀμελήσαντες μὲν τοῦ παραφυλάττειν μὲν ἀκριβῶς τὰ γινόμενα περὶ τοὺς ἀρρώστους, ζητεῖν δὲ αὐτῶν τὰς διαθέσεις, καὶ τὰς αἰτίας ἐξ ὧν ἡ τῆς θεραπείας εὕρεσις γίνεται, κρινομένης καὶ αὐτῆς τῇ πείρᾳ. τῆς γυναικὸς ἧς ἐμνημόνευσα. τῇ μὲν πρώτῃ τῶν ἡμερῶν ἀφεῖλον τοῦ αἵματος, ὡς μίαν καὶ ἡμίσειαν λίτραν, αὖθις δὲ τῇ δευτέρᾳ μίαν, τῇ τρίτῃ δ' οὐ πολλῷ πλέον ἡμίσεως μιᾶς λίτρας, οὐγκίαι γὰρ ἦσαν ὀκτώ. σοφιστὴς μὲν οὖν ταῦτα ἀναγνοὺς, ζητεῖν ἄρξεται τίς τῶν ἑλλήνων ὀνόμασε λίτρας, ἢ τίς οὐγκίας. ἰατρὸς δ' ἐπιθυμήσει γνῶναι τίνα σημεῖα καὶ ἄλλα τὴν φλεβοτομίαν ἐνεδείκνυτο, περὶ τὴν ἐπίσχεσιν τῶν καταμηνίων, ἐκεῖνα τοίνυν ἐρῶ κἀγὼ, τοῖς σοφισταῖς οἰμώζειν εἰπὼν, ὡς αἱ φλέβες ὑπῆρχον αὐτῆς αἵματος μεσταὶ φαινόμεναι, πελιδναὶ τῇ χρόᾳ. διαιρεθέντος δὲ τοῦ ἀγγείου, παραπλήσιον ἦν ὑγρᾷ πίττῃ, καὶ τῷ πάχει. δι' αὐτό γε τοῦτο πολὺ μᾶλλον ἔδοξε κενωτέον εἶναι δαψιλῶς. ταῦτα μὲν ἐν παρέργῳ παρ' ἡμῶν εἴρηται τοῖς ἰατρεύειν ὀρθῶς βουλομένοις. ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἀφικόμενος, οὐκ ὀρθῶς φήσω τοὺς ἐξηγητὰς ἁπλῶς ἀξιοῦσθαι τὸν λεπτυσμὸν τοῦ σώματος ἐπὶ κενώσει γίνεσθαι. διορισμὸς γὰρ ἐχρῆν εἰπεῖν, ὡς ὁ μὲν λεπτυσμὸς ὅλου τοῦ ὄγκου καθαίρεσίς τίς ἐστι, καὶ σύμπτωσις, ἢ συνίζησις, ἢ ὅπως ἂν θέλωσιν αὐτὸν καλεῖν. ὁ δὲ παχυσμὸς ἔμπαλιν εἰς ὄγκον ἐπίδοσις. ἐνίοτε μὲν οὖν ἀρρωστούσης τι τῆς ἐν τῇ σαρκώδει γένει δυνάμεως, αἵματός τε μοχθηροῦ περιεχομένου κατά τε τὰς ἀρτηρίας καὶ τὰς φλέβας, ὁ λεπτυσμὸς γίνεται. πολλάκις δ' ἐπὶ τοῖς ἐναντίοις ὁ παχυσμὸς, ὡς ἐν μὲν τοῖς ἀγγείοις ὀλίγον εἶναι τὸ αἷμα δαπανώμενον εἰς τὴν θρέψιν τῶν σαρκῶν. εὐτροφεῖν δ' ἐκείνας, καὶ δι' αὐτὰς τὸν ὅλον ὄγκον τοῦ σώματος. ἴσασι δὲ καὶ τοῦτο καὶ οἱ ἀνδραποδοκάπηλοι πάντες ὡς περιτείνεται τὸ δέρμα τοῖς σαρκώδεσι μορίοις, καὶ φύσει τέ τινας σωμάτων γνωρίζουσι, μὴ δυναμένας εἰς ὄγκον ἐπιδοῦναι τῇ περιτάσει τοῦ δέρματος. ἀνατείναντες γὰρ αὐτὸ τοῖς δακτύλοις ἄκροις, σκοποῦσιν ἐπὶ πόσον ἀφίσταται τῆς ὑποκειμένης σαρκὸς, ἀναθρέψειν τε τοσοῦτον ἐλπίζουσιν ἕκαστον τῶν ἰσχνῶν σωμάτων, ὅσον ἂν ἐπιδῷ τὸ δέρμα. τὸ μὲν γὰρ χαλαρὸν ἐπὶ τοῖς λελεπτυσμένοις, τὸ δὲ τεταμένον ἐπὶ τοῖς παχυνθεῖσι φαίνεται γινόμενον. οἱ μὲν οὖν λεπτυσμοὶ διὰ πολλὰς αἰτίας συμβαίνουσι. καὶ γὰρ ἔνδεια τροφῆς, καὶ γυμνάσια πλείω, καὶ ἀγρυπνία, καὶ φροντίδες, ἀλγήματά τε, καὶ νόσοι συντηκτικαὶ, καὶ διαφορητικαὶ, καὶ κένωσις πολλὴ διὰ γαστρὸς, ἢ ἐμέτων, ἢ ἱδρώτων, ἢ αἱμορραγιῶν αἴτια γίνονται λεπτυσμῶν. τῆς δ' ἀναθρέψεως εἷς τρόπος ἡ συμμετρία πάντων ὧν ὑγιαίνοντες δεόμεθα. ταῦτα δ' ἐστὶν ὡς αὐτὸς ἐν τοῖς ἐφεξῆς ἐρεῖ, πόνοι, ποτὰ, ἀφροδίσια. πολλῶν οὖν ὄντων τῶν τρόπων καθ' οὓς λεπτύνεται τὸ σῶμα, κοινὸν ἁπάντων ἐστὶ, πρῶτον μὲν χαλᾶσθαι τὸ δέρμα, μετὰ ταῦτα δὲ περιτείνεσθαι μενόντος δηλονότι τοῦ λεπτυσμοῦ, καὶ διαδεχομένης αὐτὸν, ἀνάτρεψις γένοιτο, τοὐναντίον συμβήσεται, ταθήσεται γὰρ τὸ δέρμα. τὰς δ' αἰτίας τούτων ἤδη μὲν ἠκούσατε πολλάκις. ἐρήσεται δὲ καὶ νῦν ἐν κεφαλαίοις. ἀναμνησθέντων δὲ ἡμῶν ἃ πολλάκις ἐπί τε τῶν ἀσκῶν, καὶ τῶν κύστεων ἑωράκατε. πληρουμένης μὲν γὰρ τῆς ἔνδον χώρας, περιτείνεται τὸ δέρμα, κενουμένης δὲ χαλᾶται. τὸν αὐτὸν οὖν τρόπον, ἐπί τε τῶν ζώων εὐτροφούντων μὲν ὁρᾶται τεινόμενον τὸ δέρμα, χαλαρὸν δὲ ἐπὶ τῶν λεπτυνομένων γινόμενον. ὡς γὰρ τὸ ἐγχεόμενον ὑγρὸν εἰς τοὺς ἀσκοὺς ἐκτείνει τοὺς χιτῶνας αὐτῶν, οὕτως αἱ σάρκες πολλαὶ γινόμεναι, τὸ ἡμέτερον δέρμα περιτείνουσιν ἑαυταῖς, καὶ θεάσασθαι σαφῶς ἐστι τοὺς μὲν παχεῖς τεταμένον οὕτως ἔχοντας τὸ δέρμα πάντας, ὡς μὴ δύνασθαί τινα λαβόμενον αὐτοῦ μηδ' ἐπὶ βραχὺ, τῶν ὑποκειμένων ἀποσπάσαι σαρκῶν. τοὺς δ' ἰσχνοὺς οὕτως χαλαρὸν, ὡς ἐπὶ πλεῖστον ἀνατείνας τις αὐτὸ, διεκβάλλειν δύναται βελόνην αὐτοῦ τιτρῶσαί τι τῶν ὑποκειμένων. ἄχρι μὲν δὴ τοῦδε σχεδὸν ἅπαντες ὀρθῶς ἤκουσαν τῆς λέξεως. ἐταράχθησαν δὲ ἐκ τοῦ προκειμένου, τῷ πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, τοὐναντίον οὐκ ἂν ἐπ' αὐτῷ γενέσθαι φασί. διό τινες ἐπὶ τῆς ἀνατρέψεως εἰρῆσθαι, τὸ ἔπειτα περιτείνεται, νομίζουσι, μὴ συνορῶντες ἐναντιούμενον αὐτοῖς τὸ ἐπιφερόμενον ἔνθα φησὶν, ἀνάθρεψις τἀναντία. γενήσεται γὰρ ἐὰν ἐπικτᾶταί τις αὐτῶν τῇ περὶ τὴν ἐξήγησιν γνώμῃ τοιοῦτος ὁ νοῦς τῆς ῥήσεως, ἅπας λεπτυσμὸς χαλᾷ τὸ δέρμα. περιτείνεται δ' ἔμπαλιν ἀνατρεφομένων, ἀνάθρεψις δὲ τἀναντία πέφυκε ποιεῖν. ἀλλὰ πρῶτον μὲν οὐκ ἐναντία τὴν ἀνάθρεψιν εἰκὸς ἦν εἰπεῖν αὐτὸν, ἀλλ' ἐναντίον. ἓν γὰρ ἐπὶ τοῦ λεπτυσμοῦ λελεγμένου, καὶ τὴν ἀνάθρεψιν ἓν, ἐναντίον εὔλογόν ἐστιν εἰπεῖν. εἴπερ οὖν ὁ λεπτυσμὸς χαλᾷ τὸ δέρμα, περιτείνειν δεήσει τὴν ἀνάθρεψιν. ἔπειτα δ' ἐφεξῆς ταύτην εἰρηκὼς φαίνεται, ὄντος ἑτοιμοτέρου τε καὶ σαφεστέρου, καὶ συντομωτέρου τοῦ τοιούτου λόγου, πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, ἀνάθρεψις δὲ περιτείνει. τί ποτ' οὖν ἐστι τὸ δηλούμενον ὑπὸ τῆς λέξεως ἐν ᾗ φησιν ἔπειτα περιτείνεται, οὐδὲν ἄλλο παρὰ τὸ σαφῶς ὑπὸ πάντων νοούμενον, ὅτι χαλᾶται μὲν πρῶτον ἐν τοῖς λεπτυσμοῖς τὸ δέρμα, τείνεται δὲ διαμένοντος τοῦ λεπτυσμοῦ δηλονότι, καὶ μὴ μεταπεσόντος εἰς ἀνάθρεψιν. ἐπὶ δὲ τῆς ἀναθρέψεως ἔμπαλιν, ἐν ἀρχῇ μὲν περιτείνεται τὸ δέρμα, προϊόντι χρόνῳ δὲ χαλαρώτερον γίνεται. ταῦτα δὲ εἴπερ ἐπιμελῶς οὕτως προσεσχήκασι τὸν νοῦν τοῖς φαινομένοις ὡς Ἱπποκράτης, ἑώρων αὐτὰ γινόμενα. πρῶτον οὖν ἀναμνήσας ὑμᾶς ὧν ἐναργῶς ἐθεάσασθε, μετὰ δὲ ταῦτα καὶ τῶν φαινομένων τὰς αἰτίας ἐρῶ. γινέσθω τοίνυν ἀνάμνησις τῶν μαρανθέντων ἐν νόσοις, καὶ μάλιστα τὸν περιφρυγῆ καλούμενον μαρασμόν. ἐφ' ὧν ἀναμνήσθητε τοῦ δέρματος ὁμοίως βύρσῃ ξηρᾷ τεταμένου, καί τι θαυμαστὸν ἐπ' ἐκείνων ἐν χρόνῳ πλείονι ξηρανθέντων, φαίνεσθαι τὸ δέρμα τεταμένον, ὅπου γε καὶ περὶ τὰς πρώτας ἡμέρας ἐνίοτε συμβαίνει τοῦτο. λέγει γοῦν αὐτὸς ὁ Ἱπποκράτης ἐν προγνωστικῷ περὶ τῶν ἐν ἀρχῇ τῆς νόσου συμβαινόντων, διηγούμενος ἐν τοῖς ἄλλοις τοῖς κατὰ τὸ πρό-

σωπον

σωπον σημείοις καὶ τοῦτο. δέρμα τὸ περὶ τὸ μέτωπον σκληρὸν, καὶ περιτεταμένον. ὅτι δ᾽ ὑπὸ κενώσεως γίνεται τοῦτο, διδάσκων αὐτὸς ἐφεξῆς ἔγραψεν. ἐπανερέσθαι μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος, ἢ τὰ τῆς κοιλίας ἐξυγρασμένα ἢ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχει αὐτόν. ἀλλὰ τοῦτο μὲν ὡμολόγηται πᾶσι τοῖς μεθ᾽ Ἱπποκράτην, καθάπερ ἐξ ὅνος στόματος εἰποῦσιν, ὡς ἐν κενώσει πολλῇ, ποτὲ μὲν αἰσθητῶς γινομένῃ, ποτὲ δὲ οὐκ αἰσθητῶς, τοιοῦτον συμβαίνει γίνεσθαι τὸ πρόσωπον οἷον ἔγραψε κατὰ τήνδε τὴν ῥῆσιν, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ, καὶ συνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρὸν καὶ περιτεταμένον, ὥστε τοῦ φαινομένου σαφῶς, ἡμᾶς διδάσκοντος τὴν ἰσχυρὰν κένωσιν ἐναντίαν τῇ μετρίᾳ περὶ τὸ δέρμα διάθεσιν ἐργαζομένην. ὁ λόγος αὐτῶν πιθανὸς μὲν, οὐκ ἀληθὴς δὲ φαίνεται καθ᾽ ὅν φασι. μενόντων τῶν τὴν διάθεσιν ἐργαζομένων αἰτίων, οὐκ ἐνδέχεται μεταπεσεῖν αὐτὸ πρὸς τοὐναντίον. ἐναργῶς γὰρ ὁρᾶται μεταπίπτον ἐπὶ ταῖς ἀμέτροις κενώσεσιν, ἐάν τε αἰσθητῶς αὗται φαίνωνται προηγμένουσαι μέχρι χρόνου πλείονος, ἐάν τε κατὰ τὸ ἄδηλον ἤτοι συντηκομένων, ἢ διαφορουμένων τῶν νοσούντων. πρὶν μὲν οὖν ἐπ᾽ αὐτὴν τοῦ δέρματος τὴν οἰκείαν οὐσίαν ἐξικέσθαι τὴν κένωσιν, ὁμοίως τοῖς κενουμένοις ἀσκοῖς, καὶ σάκκοις, καὶ κύστεσι, χαλᾶται τὸ δέρμα. χρονιζούσης δὲ τῆς κενώσεως, ὁμοίως γίνεται ταῖς ξηραῖς κύστεσί τε καὶ διφθέραις, ἃς οὐκ ἔστιν ἐκτεῖναι διὰ τὴν σκληρότητα. τοιοῦτον δὲ φαίνεται καὶ τὸ τῶν ἀσκῶν, καὶ τὸ τῶν κύστεων δέρμα γινόμενον, ὅταν ἱκανῶς ξηρανθῇ. μέχρι δ᾽ ἂν ὑπάρχῃ ὑγρὸν, καὶ μαλακὸν εἰς τὴν ἐντὸς ἑαυτοῦ χώραν δέχηταί τι, καὶ πάλιν μεθίῃ. δεχόμενον μὲν ὅταν ἱκανῶς πληρωθείη τείνεται, κενούμενον δὲ χαλᾶται. καλῶς οὖν εἶπεν ὁ Ἱπποκράτης, πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, ἔπειτα περιτείνεται. καὶ γὰρ καὶ φαίνεται γινόμενον οὕτως, καὶ ἡ αἰτία λέλεκται. καλῶς δὲ προσέθηκε, καὶ τὴν ἀνάθρεψιν τἀναντία ποιεῖν. ἐν ἀρχῇ μὲν γὰρ ἀνατείνεται τὸ δέρμα, τῷ χρόνῳ δὲ χαλαρώτερον ἐργάζεται. σκληρότερον γὰρ ὂν φύσει, καὶ ξηρότερον τῶν ὑποκειμένων αὐτῷ σαρκῶν ὕστερον ἐκείνων, καὶ σκληρύνεται κατὰ τοὺς λεπτυσμοὺς, καὶ μαλακύνεται κατὰ τὰς ἀναθρέψεις. ὁπόταν οὖν σκληρὸν αὐτὸ καὶ ξηρὸν ἤδη γεγονὸς ἡ ἀνάθρεψις διαδέξηται, πρῶτον αὐξάνουσα τὰς σάρκας εἰκότως περιτείνει. προϊόντος δὲ τοῦ χρόνου τῆς τροφῆς ὑπολαμβανόμενον, ὑγρότερόν τε καὶ μαλακώτερον γίνεται, καὶ διὰ τοῦτο πάλιν χαλᾶται, καθάπερ αἱ ξηραὶ διφθέραι τε, καὶ βύρσαι τε βρεχθεῖσαι ὕδατι, λιπανθεῖσαι δὲ ἐλαίῳ καὶ στέατι. ταῦτα μὲν οὖν ἀληθῶς τε ἅμα καὶ σαφῶς εἰρημένα τῷ Ἱπποκράτει κακῶς ἐξηγήσαντο, διὰ τὴν τῶν πραγμάτων ἄγνοιαν ὑπὲρ ὧν ὁ λόγος ἐστὶν αὐτῷ. τὰ δ᾽ ἐφεξῆς οὐχ ὁμοίως ὄντα σαφῆ, τάχα δὲ καὶ παραγεγραμμένα σαφῆ τινες εἶναι νομίζουσι, καίτοι διαφωνοῦντες ἐν ταῖς ἐξηγήσεσιν αὐτῶν, οὐδὲν ἧττον, ἢ κατὰ τὰς πρόσθεν ὑπαλλάττουσί τε τὰς παλαιὰς γραφάς. ἵνα δ᾽ ἦ σαφέστερος ὁ λόγος, ἕκαστον μέρος τῆς ῥήσεως ἰδίᾳ προχειριοῦμαι. χρωτὸς ῥίκνωσις συμπίπτοντος, ἔκτασις ἀνατρεφομένου. ὅτι μὲν οὖν ἐν τοῖς λεπτυσμοῖς χαλᾶται τὸ δέρμα πρὶν αὐτό τι παθεῖν κατὰ τὴν οἰκείαν οὐσίαν, ἀνατρεφομένων δὲ τείνεται, καὶ ὅτι ξηραινόμενον τῷ χρόνῳ εἰς τἀναντία μεταπίπτει, δεδήλωται πρόσθεν. ἐν δὲ τῷδε τῷ λόγῳ συμπίπτοντος μὲν αὐτοῦ ῥίκνωσιν γίνεσθαί φησιν, ἀνατρεφομένου δ᾽ ἔκτασιν. ῥικνὸν μὲν ὀνομάζουσιν οἱ Ἕλληνες σῶμά τε καὶ δέρμα τὸ ῥυτιδούμενον ἅμα συστολῇ, καθάπερ ἐπὶ τῶν γερόντων ὁρᾶται, καὶ δηλονότι τὴν ἐν αὐτῷ διάθεσιν, ῥίκνωσιν. ῥίκνωσις δέ τις φαίνεται καὶ τοῖς νέοις σώμασι γινομένη λυμαινομένων τῶν φλεβῶν, καὶ μάλιστα ὅταν διαφορηθέντος τοῦ κατ᾽ αὐτὰς πλεονάζοντος αἵματος, ἐπιθῇ τις φάρμακον, αὐστηρᾶς καὶ στυφούσης μετέχον δυνάμεως. γίνεσθαι δὲ καὶ τὴν τοιαύτην ἐν τῷ δέρματι κατάστασίν φησι συμπίπτοντι, τουτέστιν ὅταν τοῖς ἐν ἑαυτῷ περιεχομένοις ἐλάττοσι γινομένοις ἐπιπίπτῃ συνιζάνον εἰς ἑαυτόν. τὴν δ᾽ ἐναντίαν κατάστασιν ὅταν εἰς μῆκός τε καὶ πλάτος ἐπιδιδῷ, προσαγορεύουσιν ἔκτασιν οἱ ἄνθρωποι. συμβαίνει μὲν οὖν ποτε κατὰ τὸ μῆκος μόνον, ἢ τὸ πλάτος αὐτοῦ τείνεσθαί τε καὶ συνιζάνειν. ἀλλὰ καὶ νῦν περὶ τῆς κατ᾽ ἄμφω τὰς διαστάσεις αὐτοῦ γινομένης συστολῆς τε καὶ τάσεως, ἀκούειν σε χρὴ τῆς λέξεως. ὁ γέμων τὴν προγεγραμμένην τήνδε νόσους ῥῆσιν, οὐ πάνυ τι ταύτης ἐδεῖτο, τὸ φρικῶδες, τὸ λεῖον ἑκατέρου σημεῖον, τὸ ὑπόχολον, τὸ ὑπέρυθρον. ἔνιοι γράφουσι τὸ ῥικνῶδες λεῖον τὸ ἑκατέρου σημεῖον. ἐπεὶ δ᾽ ἐν τῇ πρὸ ταύτης ῥήσει περὶ τῆς ῥικνώσεως ἔγραψεν, εὐλογώτερον εἶναι δόξει τὸ φρικῶδες εἰρῆσθαι νῦν. ἐνδεικνυμένου τοῦ Ἱπποκράτους τὴν γινομένην ἰδέαν ἐν τοῖς ῥικνουμένοις ἐοικυῖαν εἶναι τοῖς φρίττουσιν. ἡ δ᾽ ὁμοιότης κατὰ τὴν ἀνωμαλίαν, καὶ οἷον τραχύτητα τοῦ δέρματος γίνεται. ἐνίων μὲν αὐτοῦ μορίων κοιλοτέρων φαινομένων, ἐνίων δ᾽ ἐξεχόντων. ὅταν γὰρ κατὰ σμικρὰ πάνυ διαστήματα γένηται τοῦτο δι᾽ ὅλου τοῦ δέρματος, ὀνομάζεται τὸ σύμπτωμα φρίκη τε καὶ φρίξ. καί μοι νόει γαλήνης μὲν ἀκριβεῖ τὴν τοῦ λείου σώματος ἐοικέναι κατάστασιν. ἄρτι δ᾽ ἀρχομένης τῆς κατ᾽ αὐτὴν ἀνωμαλίας τὴν φρίκην, οὕτως γοῦν καὶ ὁ ποιητὴς ἔφη. οἵη δὲ ζεφύροιο ἐχεύατο πόντον ἔπι φρίξ, ὀρνυμένοιο νέον. τὸ μὲν οὖν λεῖον ὑπάρχει τοῖς ἀνατρεφομένοις σώμασι, τὸ δ᾽ οἷον φρικῶδες τοῖς ἐναντίοις σώμασιν. ἑκάτερον δὲ αὐτῶν ἑκατέρου σημεῖον ὑπάρχει, ὅτε δ᾽ ἑκάτερον ἀμφοτέρων, ὅτε συναμφότερον ἑκατέρου. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὸ ὑπόχολον καὶ τὸ ὑπέρυθρον, ἑκάτερον ἑκατέρου σημεῖόν ἐστι. τὸ μὲν ὑπόχολον τοῦ λεπτυνομένου, τὸ δὲ ὑπέρυθρον τοῦ ἀνατρεφομένου. χολωδέστερον μὲν γὰρ τὸ σῶμα τοῖς λεπτυνομένοις γίνεται, διὰ τὰς ποιούσας αἰτίας τὴν λεπτότητα, περὶ ὧν ἔμπροσθεν ἤκουσας, αἱματωδέστερον δὲ τοῖς ἀνατρεφομένοις. οὐδὲ γὰρ οὐδ᾽ εὐτροφῆσαι δύναται χωρὶς αἵματος χρηστοῦ. προσκειμένου δ᾽ ἐν τῇ τελευτῇ τῆς ῥήσεως τοῦ, οὕτως, ἔνιοι μὲν ἀρχὴν αὐτὸ ποιοῦσι τῆς ἑπομένης, ἔνιοι δὲ ταύτης πέρας. ἑκατέρως γὰρ ἐγχωρεῖ γενέσθαι τὴν ἐξήγησιν, ὥστε περὶ τούτου μὲν οὐ χρὴ φιλοπόνως ζητεῖν, ἐπὶ τὰ συνεχῆ δὲ μεταβῶμεν, ἀρχὴν τῆς ἑπομένης ῥήσεως ποιησάμενοι τὸ, οὕτως. ἐπειδὴ τοῖς πλείστοις τῶν ἐξηγητῶν ἔδοξεν ἐκεῖνο αὐτὸ τὸ πράττειν. οὕτως τὸ κατασπᾶσθαι μαζοὺς, ἰσχνοὺς δὲ ἀνασπᾶσθαι καὶ περιτετᾶσθαι, καί τι οὐκ ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος τούτου γίνεται. αὕτη μὲν ἡ παλαιὰ ῥῆσις. μετεποίησαν δὲ αὐτὴν οἱ μὲν μετ᾽ ὀλίγον, οἱ δὲ ἐπὶ πλέον, ὥσπερ καὶ Σαβῖνος ὧδέ πως γράψας, οὕτως τὸ κατασπᾶσθαι μακροὺς ἰσχνοὺς, τοὺς δ᾽ ἀνασπᾶσθαι. ἵνα τοὺς μὲν ἰσχνοὺς καὶ χαλᾶσθαι, καὶ μακροὺς φαίνεσθαι σημαίνηται, τοὺς δ᾽ εὐτροφοῦντας ἀνασπᾶσθαι. Ῥοῦφος δὲ καὶ τὴν παλαιὰν ἐφύλαξε γραφὴν, καὶ τὴν ἐξήγησιν τῶν παλαιοτέρων ἐξηγητῶν ἐναντίον τι διδάσκουσαν τῇ Σαβίνου. κατασπᾶσθαι μὲν γὰρ τοὺς εὐτροφοῦντας, ἀνασπᾶσθαι δὲ

τοὺς ἰσχνοὺς βούλεται, τούτοις δὲ φαίνεται καὶ τὸ ἐπιφαινόμενον μαρτυρεῖν εἰπόντος τοῦ Ἱπποκράτους, καίτοι οὐκ ἄν τις οἴοιτο, προδήλως γὰρ ἐν τῇ λεπτότητι χαλᾶσθαι, περιτείνεσθαι δὲ εὐτροφούντων τὸ δέρμα, ὑπὸ μὲν προτέρου τὸ κατασπᾶσθαι τοὺς μαζοὺς, τῷ δὲ δευτέρῳ τὸ ἀνασπᾶσθαι συνεπόμενον εὑρίσκεις, καὶ διὰ τοῦτό φασιν, καίτοι οὐκ ἄν τις οἴοιτο, τοῦτο δὴ ὡς ἕρμαιον ἔλαβον οἱ παλαιοὶ τῶν ἐξηγητῶν ὄντες ἐμπειρικοί, Γλαυκίας τε καὶ ὁ Ταραντῖνος Ἡρακλείδης. ἡγοῦνται γὰρ ἐκ τούτου καὶ τὸν Ἱπποκράτην δεικνύειν ὁμόψηφον ἑαυτοῖς, ὡς μὴ πιστεύειν ταῖς δογματικαῖς πιθανότησιν. ἀλλὰ μόνοις τοῖς διὰ ἐμπειρίας φαινομένοις, καίτοι καὶ τὸ φαινόμενον αὐτὸ χωρὶς διορισμοῦ ῥηθὲν ἑκατέρως ἐστὶ ψεῦδος, ἐάν τε κατασπᾶσθαί τε καὶ χαλᾶσθαι τοὺς τοιούτους εἴπωμεν ἐν τοῖς λεπτυσμοῖς, ἐάν τ' ἀνασπᾶσθαι. τοῦτ' οὖν ἐχρῆν αὐτοῖς πρῶτον ἀκριβῶς ἐξητάσθαι, τοῖς μὲν ἐμπειρικοῖς ἐπειδὴ τοῦ φαινομένου* τηρητικοί τε εἰσὶ καὶ μνημονευτικοί. τοῖς δὲ δογματικοῖς ἐπειδὴ τῶν ὄντων αὐτοὺς χρὴ τὰς αἰτίας, οὐ τῶν οὐκ ὄντων ἀποδιδόναι. τί δὴ οὖν ἐστι τὸ φαινόμενον, ἐγὼ φράσω. παραφυλάξας ἐπὶ πολλῶν πάνυ γυναικῶν, οὐκ ὀλίγων δὲ, καὶ πειθόμενος οὐ μόνον τῶν μαιευτριῶν, ἀλλὰ καὶ τῶν οὐδὲν ἐπισταμένων τοιοῦτον. μᾶλλον γὰρ αὗται τὰ φαινόμενα λέγουσιν ἀληθῶς τῶν διὰ δόγμα τυφλωττόντων ἀμφ' αὐτά. τὸ τοίνυν συμβαῖνόν ἐστι τοιοῦτον. γάλακτος μὲν ὅταν οἱ τιτθοὶ πληρωθῶσιν, αὐξάνονται κατὰ πᾶσαν διάστασιν. εἰς ὕψος γὰρ αἴρονται καὶ πλάτος, καὶ μακρότεροι φαίνονται. κενωθέντος δὲ τοῦ γάλακτος, αὖθις ἑαυτῶν ἐλάττους γίνονται, μειούμενοι κατὰ τὰς τρεῖς διαστάσεις. ἐὰν δὲ χωρὶς τοῦ γάλακτος ὑπαλλάττονται κατὰ τὸ λεπτύνεσθαί τε καὶ παχύνεσθαι μόνον, ὥσπερ τὰ ἄλλα μόρια παραπλησίως ἐκείνοις διατίθενται, χαλώμενοι μὲν πρῶτον ἐν τῷ λεπτύνεσθαι, τεινόμενοι δ' ἐν τῷ παχύνεσθαι. προϊόντος δὲ τοῦ χρόνου, τὴν ἐναντίαν λαμβάνουσι κατάστασιν. βραχύτεροι μὲν γινόμενοι ξηρανθέντος τοῦ δέρματος, μακρότεροι δ' ὑγρανθέντος, ἐν ταῖς ἀτροφίαις ὡς ἔμπροσθεν εἴρηται. οὕτω γοῦν καὶ ταῖς γηρώσαις χαλῶνται μὲν πρῶτον, ὕστερον δ' ἀνασπῶνται. ἐμοὶ μὲν δὴ καὶ τὰ φαινόμενα περὶ τοὺς τιτθοὺς εἴρηται, καὶ τὰς αἰτίας αὐτοῖς προσέθηκα. τῶν δ' ἐξηγητῶν οὐδεὶς τοῦτ' ἔπραξεν, ἀλλ' ὡς ἂν ἕκαστος ἐθελήσει γράψας, ἐξηγεῖται τὴν ἑαυτοῦ λέξιν. εἰκότως δὲ καὶ ἐξηγήσεις ἐναντίας ἐποίησάν τε καὶ τὰς γραφὰς ἐλλιπῶς ἡρμηνευμένας, καὶ ἀδιορίστως τῆς λέξεως, ὅπως ἄν τις εἴποι κατά τι μὲν ἀληθεύουσα, κατά τι δὲ ψεύδεται. τῶν τιτθῶν ἐν μὲν τῷ γάλακτος πληροῦσθαι μειζόνων γινομένων, ἐλαττόνων δ' ἐν τῷ κενοῦσθαι. χωρὶς δὲ τοῦ γάλακτος ἐν μὲν ταῖς λεπτότησι κατ' ἀρχὰς μὲν χαλωμένων, ὕστερον δ' ἀνασπωμένων. ἐν δὲ ταῖς παχύνσεσιν, ἐν ἀρχῇ μὲν ἀνασπωμένων, ὕστερον δ' ἠρέμα χαλωμένων, ὄντος καὶ κατὰ τοῦτο τὸ ἀνατρέφεσθαι διορισμοῦ, διὰ τὸ τινὰς μὲν ἀνατρέφεσθαι, πρὶν εἰς τοσαύτην ἀφικέσθαι λεπτότητα καθ' ἣν ξηραινόμενον τείνεται τὸ δέρμα. τινὰς δὲ πρὶν ξηρανθῆναι, πρὸς εὐτροφίας ἐπιδιδόναι.

Κλεῖς περιφανέες, φλέβες διαφανέες.

Αἱ τοιαῦται τῶν ῥήσεων οὐκ εὔδηλον ἔχουσι τὴν τοῦ γράψαντος διάνοιαν, ὡς ἂν μὴ προσκειμένου περὶ τὴν λέξιν αὐτῶν, ἐπὶ τίνων βούλεται φαίνεσθαι ταῦτα. πολλοὶ μὲν τῶν ἰσχνῶν φύσει τάς τε κλεῖς ἔχουσι σαφεῖς, καὶ τὰς φλέβας ἐκκειμένας τε καὶ μεστὰς αἵματος, ὥσπερ αὖ πάλιν ἕτεροι, οὔτε τὰς κλεῖς οὔτε τὰς φλέβας ἐκκειμένας, ὅτε δὲ φύσει τοιαύτη διαφορὰ τῶν σωμάτων ὁρᾶται, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν παρὰ τὴν ἐξ ἀρχῆς φύσιν, ἤτοι λεπτυνομένων ἢ παχυνομένων, καὶ πλῆθος ἢ ἔνδειαν ἐχόντων χυμῶν. εὔδηλον γὰρ ὅτι πεπληρωμέναι φλέβες ἐν τῷ ἰσχνῷ σώματι πλῆθος ἐνδείκνυνται, κατὰ ταύτας εἶναι τοῦ αἵματος ὡς τὰ πολλὰ μοχθηροῦ, καθάπερ ἐπὶ τῆς γυναικὸς ὀλίγον ἔμπροσθεν ἔλεγον, ἧς ἐπέσχητο τὰ καταμήνια. θαυμάσαι δ' ἐστὶ τοῦ Καπίτωνος μόνου γράψαντος τὴν ῥῆσιν ἐν τῇδε τῇ λέξει. ἡ ἄγαν πλήρωσις περιφανὴς, φλέβες διαφανεῖς. εἴπερ γὰρ οὕτως εὕροιτο γεγραμμένον, τίς ἦν ἀνάγκη μεταγράψαι πάντας αὐτὴν τοὺς ἐξηγητὰς ἐπὶ τὸ σαφέστερον. ἐν οἷς γὰρ ἀγροικοῦνται, μεταγράφουσιν εὐπορίας ἕνεκεν. ἀλλ' οὐδ' ἀντίγραφον εὗρον οὕτως ἔχον, οὐκ ὀλίγοις ἐντυχὼν, δι' αὐτὸ τοῦτο βούλεσθαι γνῶναι τάς τε παλαιὰς γραφὰς, καὶ τὰς ἅπασιν ὁμολογουμένας ἢ διαφωνουμένας. ἁπάντων τε οὖν τῶν ἐξηγητῶν, καὶ πάντων τῶν ἀντιγράφων τὴν αὐτὴν ἐχόντων γραφὴν, οὐκ ὀρθῶς ὁ Καπίτων μετέγραψεν. ἴσως δὲ κἀγὼ κακῶς αὐτοῦ τὴν ἀρχὴν ἐμνημόνευσα, προδήλως ἁπάσας τὰς τοιαύτας ἐν ταῖς γραφαῖς ῥᾳδιουργίας ὑπερβήσεσθαι κατὰ τὴν ἐξήγησιν. ἐπὶ τῶν ἑξῆς οὖν ῥήσεων αὐτὸ ποιήσω μῆκος φειδόμενος.

Πρόδικος τοὺς πυρεταίνοντας ἔκτεινε δρόμοισι, πάλῃσι, πυρίῃσι, κακόν. τὸ πυρετῶδες πολέμιον λιμῷ, περιόδοισι πολλῇσι, δρόμοισιν, ἀναρίψει, πόνον πόνῳ αὐτοῖσι.

Καὶ ταύτην τὴν ῥῆσιν ἄλλος ἄλλως γράφει. τινὲς μὲν ὑπαλλάττοντες τὴν λέξιν ὧδε, περιόδοισι, πάλῃσιν, ἔνιοι δ' ἐν ἀρχῇ πάλῃσι. τινὲς δ' ἐξαίροντες τὸ πάλῃσιν, ἔνιοι δ' ἐν ἀρχῇ προστιθέντες λιμῷ. περιόδους μὲν οὖν καλεῖ τοὺς βραδεῖς περιπάτους ἐπὶ πλείονα χρόνον ἐκτεινομένους, ὡς ἐν τῷ περὶ διαίτης ὀξέων αὐτὸς ἔφη. βραδείαν συχνὴν περίοδον πλανηθῆναι. καὶ Πλάτων μὲν μέμνηται τοῦ Προδίκου, ὡς πολλοῖς περιπάτοις χρωμένου. τίνος δὲ νῦν Προδίκου μνημονεύει, πότερον τοῦ Λεοντίνου, ἢ τοῦ Σηλυβριανοῦ περιττὸν ζητεῖν. ἐν ἄλλῳ γὰρ λόγῳ τὰ τοιαῦτα πάντως διέρχομαι. νυνὶ δ' οὔ πω καιρὸς ἱστορικῶν ζητημάτων, ὅπου καὶ τῶν γεγραμμένων τισὶν ἐξηγήσεων, οὐκ ὀλίγας παραλιπόντες ἀγαπῶμεν, ἐὰν ἐν ὀκτὼ βιβλίοις συμπληρώσωμεν τὴν ἐξήγησιν. διατί δὲ μέμφεται τὸν Πρόδικον, αὐτὸς ἐδήλωσεν εἰπὼν, τὸ πυρετῶδες πολέμιον εἶναι περιόδοισιν, ἢ λιμῷ. δῆλον δ' ὅτι καὶ τοῖς ἄλλοις ἃ κατέλεξε, καὶ γὰρ ταῖς πάλαις, καὶ τῇ πυρίᾳ, καὶ τῇ ἀνατρίψει τὸ πυρετῶδες ἐναντίον ἐστίν. οὕτω γὰρ ἀκουστέον τοῦ πολέμιον, ἐπειδὴ καὶ φίλιον ἐκ μεταφορᾶς εἰώθασι λέγειν τὸ οἰκεῖον. μεταξὺ δὲ τῶν λέξεων ἀμφοτέρων εἰρημένον τὸ κακὸν, ἔνιοι μὲν ἐπὶ τῇ τελευτῇ τῆς προτέρας ἔγραψαν, ἔνιοι δ' ἐν ἀρχῇ τῆς δευτέρας, ὡς ἐν γίνεσθαι τὸν λόγον τοιόνδε. τὸ πυρετῶδες πολέμιον περιόδοισιν, ὅτι δὲ βλάπτει τοὺς πυρέττοντας καὶ περίπατος, καὶ δρόμος, καὶ πυρία, καὶ πάλη, πάντοθεν τὴν ἐν τῷ σώματι θερμασίαν αὐξάνοντα, οὐδεὶς ἀγνοεῖ τῶν ὡμιληκότων τοῖς ἔργοις τῆς τέχνης. Πρόδικος δ' ἔοικεν οὐ μόνον λογικὴν εὕρεσιν βοηθημάτων ἀγνοεῖν, ἀλλὰ καὶ τήρησιν ἐμπειρικήν. ὁ μὲν γὰρ

λόγος

λόγος ἀπαγορεύει πόνῳ πόνον ἰᾶσθαι, τουτέστι τῇ βλάβῃ τὴν βλάβην, καὶ τῷ κακῷ τὸ κακόν. ἐναντία γὰρ οὐχ ὅμοια τῇ λυπούσῃ διαθέσει προσφέρειν χρὴ βοηθήματα. φαίνεται δ' ἐκεῖνος ὅμοια προσάγων, εἴγε καὶ πολυποτίης, καὶ πάλιν, καὶ ἀναρρίψει, καὶ πυρία καὶ λιμῷ. πυρίαν δὲ πᾶσαν ἀκουστέον τὴν ἔξωθεν ἡμῖν προσπίπτουσαν θερμασίαν, εἴτ' ἀπὸ πυρὸς, εἴτ' ἐν λουτροῖς γένοιτο. καὶ μὴν καὶ ὁ λιμὸς ἐναντίον ἐστὶ τοῖς εἰρημένοις, ὅπου γὰρ λιμὸς, οὐ δεῖ πονεῖν. οὐ μόνον δὲ τὴν ἀρχὴν τῆς ῥήσεως, ἀλλὰ καὶ μετὰ τὴν ἀρχὴν ἄχρι τελευτῆς ὡς αὖ ἐθέλουσι γράφουσιν. ἀλλ' ἐγὼ τὰς παλαιὰς ἐρῶ μαι, καὶ χαλεπωτέραν ἔχουσι τὴν ἐξήγησιν. ὃ δὲ ἔσχατόν ἐστι γεγραμμένον ἐν τῇ προκειμένῃ ῥήσει, τὸ αὔριον, τινὲς μὲν τῆς ἑπομένης ἀρχὴν ποιοῦσι, τινὲς δ' ὅλως ἀφαιροῦσι. καὶ γὰρ φαίνεται μηδὲν ἐξ αὐτοῦ πλέον τῶν εἰρημένων διδασκόμενον.

Φλεβῶν ἔρευθος, πελίωσις, χλωρότης, πλευρέων ὀδύναι λαπάραι.

Εἶπον ὅτι τὸ κατὰ τὴν τελευτὴν τῆς προκειμένης ῥήσεως τοῦτο, προσάπτεσθαι δύναται ταύτης, ἵν' ὁ λόγος ᾖ περὶ τούτων οἷς προσεῖπον. ἦσαν δὲ οἱ πυρέττοντες μὲν, οὐκ ὀρθῶς δὲ ὑπὸ Προδίκου πρὸς κινήσεις ὑγιαινουσιν οἰκείας ἀγόμενοι, συμβαίνει τούτοις ἴσχειν ἃ νῦν εἶπεν, οὐχ ἅπαντα δηλονότι καθ' ἕκαστον ἄνθρωπον. οὐ γὰρ οἷόν τε συνυπάρξαι τὸ ἔρευθος τῇ πελιώσει, καὶ τῇ χλωρότητι. καὶ γὰρ ἀναιρετικόν ἐστιν ἕκαστον τούτων τῶν λοιπῶν δύο, καὶ διαθέσεσιν οὐχ ὁμοίαις ἕπεται. τοῖς μὲν γὰρ τήν τε δύναμιν ἔχουσι μετρίως καὶ χρηστὸν τὸ αἷμα γυμνασθεῖσιν, ἢ πυριαθεῖσιν, ἐρυθαίνεται τὸ σῶμα. τοῖς δ' ἀρρωστοτέροις, ἢ κακοχυμοτέροις, πελιοῦται καὶ χλωρὸν γίνεται. προτάττουσιν ἔνιοι τῆς προκειμένης ῥήσεως τὸ, ὄγκοι, τινὲς δὲ ποιοῦντες τὴν λέξιν. ὄγκοι, φλεβῶν ἔρευθος, πελίωσις, χλωρότης. ὁ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἶπε, πλευρέων ὀδύναι λαπάραι. πιθανῶς τινὲς μετέγραψαν εἰς τὸ, λαπαρὰς ὀδύναι, γίνεσθαι βουλόμενοι τοῖς ἀκαίρως γυμνασθεῖσιν. οἱ γε μὴν ἐξηγηταὶ πάντες ἴσασι τὴν, πλευρέων ὀδύναι λαπάραι γραφὴν, ἀκούουσί τε λαπάρας τὰς ἄνευ φλεγμονῆς, καὶ τάσεως ὀδύνας.

Ἄδιψον συνέχειν στόμα, σιγᾶν, ἄνεμον σὺν τῷ ποτῷ ψυχρὸν εἰσάγειν.

Ἕν τι τῶν εἰς ἀνάμνησιν ἄγειν δυναμένων, τῆς ὅλης ἐπὶ τῶν πυρεττόντων ἀγωγῆς ἔγραψεν ὁ Ἱπποκράτης τοῦτο, δυνάμενον ἐνδείκνυσθαι καὶ αὐτὸ τὴν μοχθηρίαν τῆς Προδίκου προνοίας πυρεττόντων. οὐ γὰρ ἐξ ὧν διψᾶι ὡς οἱ ἐν θερμανθέντες εὔλογόν ἐστι πράττειν, ἀλλ' ἐξ ὧν ἄδιψοι γενήσονται. ταῦτα δ' ἐστὶ, πρώτη μὲν ἡ ταῖς κινήσεσιν ἀντικειμένη τοῦ κάμνοντος σώματος ἡσυχία. δεύτερα δὲ τἄλλα, δι' ὧν αὖ πραΰνοιτο μᾶλλον, οὐκ ἐξάπτοιτο τὰ κατὰ τὴν πυρετώδη διάθεσιν, ὧν ἕν ἐστι καὶ ἄδιψον τηρεῖν. δι' ὧν δ' ἄδιψος ἄν τις γένοιτο προσέθηκεν, ἐκπιὼν ἔχειν τὸ στόμα, καὶ σιγᾶν, ἄνεμόν τε ψυχρὸν σὺν τῷ ποτῷ εἰσάγειν, ὅπερ ἐστὶν ἐπισπᾶσθαι τῷ ποτῷ τὸν ψυχρὸν ἄνεμον. εἰ δὲ ποτῷ, πρόδηλον ὅτι καὶ χωρὶς τούτου κατὰ μόνην τὴν εἰσπνοήν, ὥστε καὶ τοῦ κατὰ τὴν ἀναπνοὴν ἀέρος προνοητέον ἐστὶν, ὅπως μὴ θερμὸς ᾖ μᾶλλον τοῦ προσήκοντος, καὶ μᾶλλον θέρους ὥρᾳ. τολμηρότερον δὲ κἀνταῦθα Καπίτων τε καὶ Διοσκορίδης ὑπαλλάξαντες, τὴν παλαιὰν γραφὴν ἔγραψαν οὕτως τὴν λέξιν. ἄνεμον ἐν τῷ ποτῷ ψυχρὸν μὴ εἰσάγειν. ἀλλ' ὁ μὲν Διοσκορίδης δευτέραν γραφὴν ὡς εἴωθε προσέθηκεν, ἐξ ὧν ἄνεμον ψυχρὸν εἰσάγειν. Καπίτων δὲ οὐδὲ τῶν δευτέρων ἠξίωσε τὴν ἐν ἅπασί τε τοῖς ἀντιγράφοις εὑρισκομένοις γραφὴν, ἅπασί τε τοῖς ἐξηγηταῖς ὡμολογημένην, ἀλλὰ προσθεὶς αὐτῇ τὴν, μὴ, συλλαβὴν, ἀντὶ τοῦ ψυχρὸν εἰσάγειν, ψυχρὸν μὴ εἰσάγειν ἔγραψεν, ὡς οὐδέ ποτε δέον ἀναπνεῖν ψυχρὸν ἀέρα τὸν πυρέττοντα.

Τὰς ἀφορμὰς ὁκόθεν ἤρξαντο κάμνειν σκεπτέον, εἴτε κεφαλῆς ὀδύνης, εἴτε ὠτὸς, εἴτε πλευροῦ. σημεῖον οἱ ὀδόντες, καὶ ἐφ' οἷσι βουβῶνες.

Ταύτην τὴν ῥῆσιν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐξήγηται κατὰ τὸ πρῶτον ὑπόμνημα.

Τὰ γινόμενα ἕλκεα, καὶ φύματα κρίνοντα πυρετοὺς, οἷσι ταῦτα μὴ παραγίνεται, ἀκρισίαι, οἷς ἐγκαταλείπεται, βεβαιόταται, καὶ τάχισται ὑποστροφαί.

Καὶ αὕτη ἡ ῥῆσις ἐφεξῆς τῇ πρὸ αὐτῆς κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν γεγραμμένη, τῆς προσηκούσης ἐξηγήσεως ἔτυχεν ἐν τῷ πρώτῳ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον τῶν ὑπομνημάτων.

Τὰ στρογγυλούμενα πτύελα παρακρουστικὰ, οἷα ἐν Πλινθῷ.

Τῶν πτυέλων τὸ μὲν οἷον ὑλικὸν αἴτιον, ἡ πάχος, καὶ γλισχρότης τῶν χυμῶν ἐν τοῖς τοῦ πνεύμονος βρογχίοις ἀθροιζομένων, τὸ δ' οἷον ποιητικὸν ἡ ἐν τῷ χωρίῳ θερμότης. καί τισι καὶ τῶν ἀπυρέτων ἐθεασάμην τοῦτο γινόμενον, ἐν πάνυ πολλῷ χρόνῳ δοκοῦσι μηδὲν ἔχειν κακόν, ὕστερον μέντοι πάντες οὗτοι φθινωδῶς συνετάκησαν. εἰ δὲ μετὰ πυρετοῦ ποτε γένοιτο, σὺν ἄλλοις σημείοις παρακρουστικοῖς συντελέσει τι καὶ αὐτὰ πρὸς τὴν τοῦ παρακρουστικοῦ πρόγνωσιν, ἄλλως δὲ οὐχί. μὴ τοίνυν αὐτῷ θαῤῥήσῃς μόνῳ ποτὲ ἐπὶ προῤῥήσει παρακοπῆς. τὸ γε μὴν ἴδιον παραφροσύνης σημεῖον πολλάκις ἠκούσατε. λέλεκται δὲ κἀν εἰς τὸ προῤῥητικὸν ὑπομνήμασιν, ὡς ἡ θερμότης προσγινομένη, ἐκείνοις δύναταί τι συντελεῖν εἰς παραφροσύνην, τῷ πληροῦν τὴν κεφαλήν. αὐτὴ δὲ καθ' ἑαυτὴν οὐδαμῶς ἐστιν ἱκανὴ σημεῖον γενέσθαι παραφροσύνης, καὶ μάλιστα φρενιτικῆς. ἔπειτα καὶ μετὰ τὰς ἀκμὰς τοῦ πυρετοῦ, ὑποπαραφέρονται πολλοὶ τῷ λόγῳ τῶν περὶ τὴν κεφαλὴν πληρώσεως. ἐν δὲ τῇ προκειμένῃ ῥήσει πρόκειται παρὰ τῶν ἀντιγράφων ἐπὶ τῇ τελευτῇ τὸ οἷον ἐν πλινθῷ, καθ' ἕτερον δὲ τὸ ὡς ὁ ἁπλῶς οἴῳ. καὶ ὅσοι τῶν ἐξηγητῶν προσήκαντο τὴν γραφὴν ὥσπερ καὶ ὁ Σαβῖνος, τόπον τινὸς ὄνομά φασιν εἶναι τὸ πλινθῷ. οὐ μὴν τίνος γε πόλεως ὁ τόπος οὗτός ἐστι προσέθεσαν τῷ λόγῳ.

Οἱ αἱμοῤῥοΐδας ἔχοντες οὔτε πλευρίτιδι, οὔτε περιπνευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν, ἴσως δὲ οὐδὲ λέπρῃσιν, ἴσως δὲ οὐδὲ ἄλλοισιν.

Ἐλλείπει δηλονότι τὸ ἁλίσκονται, καὶ χρὴ προϋπακούειν αὐτό. διὰ τί οὐχ ἁλίσκονται, δῆλον· ἐκκενουμένης γὰρ τῆς κακοχυμίας διὰ τῶν αἱμοῤῥοΐδων, καχεξίαι μὲν τινὲς ἕπονται ἐνίοτε καθ' ὅλον τὸ σῶμα, καὶ ἄχροιαι, καὶ

ὕδεροι, νόσημα δ' οὐδὲν τοιοῦτον. φαγεδαίνας δ' ὅτι λέγει τὰ διαβιβρωσκόμενα τῶν ἑλκῶν, ἃ δὴ καὶ φαγεδαινικὰ καλοῦσιν οἱ παλαιοὶ τῶν ἰατρῶν, εἴρηται δὲ κἀν τῷ πρώτῳ τῶν εἰς τὰ περὶ χυμῶν ὑπομνημάτων. καὶ γὰρ κατ' ἐκεῖνο διὰ τῆς αὐτῆς λέξεως ἡ ῥῆσις γέγραπται. τινὲς γε μὴν ἤκουσαν φαγεδαίνας τὰς τῶν πολλῶν βρωμάτων ἐδωδὰς, ἃς καὶ αὐτὰς ὑπὸ κακοχυμίας γίνεσθαι ἀμέτρας ὀρέξεις σιτίων, ὁμολογεῖται καὶ πρὸς ἡμῶν. οὐ μὴν τοιαύτης γε κακοχυμίας ἄκος εἶναι τὰς αἱμοῤῥοΐδας, ἀλλὰ τῆς μελαγχολικῆς μᾶλλον, ὀξύτης δὲ χυμῶν ψυχρὰ, τὴν τοιαύτην ἐργαζομένη τῶν σίτων ὄρεξιν, ἤδη τισὶ καὶ τῶν τὰς αἱμοῤῥοΐδας ἐχόντων ἐγένετο. καὶ τὸ τῶν τερμίνθων δ' ὄνομα μελαίνων τινῶν ἐκφυμάτων ἐν ταῖς κνήμαις μάλιστα γινομένων, ἐστὶ δηλωτικὸν ἀπὸ τῆς κατὰ σχῆμα, καὶ χρόαν, καὶ μέγεθος ὁμοιότητος τῷ καρπῷ τῶν τερμίνθων γεγονός. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ῥήσεως γεγραμμένον. ἴσως δὲ οὐδὲ ἄλλοισιν, ἔνιοι γράφουσιν, ἴσως δ' οὐδ' ἀλφοῖσιν. ἐπειδὴ καὶ οἱ ἀλφοὶ κακοχυμίας τινὸς εἰσὶν ἔκγονοι περὶ τῷ δέρματι συνισαμένης.

Ιησθέντες γε μὴν ἀκαίρως συχνοὶ, τοῖσι τοιούτοισι οὐ βραδέως ἥλωσαν, καὶ ὀλέθρια οὕτω.

Ακαίρως θεραπεύονται τὰς αἱμοῤῥοΐδας οἱ μήτε φλεβοτομούμενοι κατὰ περιόδους, μήτε δι' ὑπηλάτων, ἢ γυμνασίων κενούμενοι, μήτε καταλιπόντες ἐξ αὐτῶν κἂν μίαν, ἀλλὰ πάσας ἀθρόως ἐξαιροῦντες.

Καὶ ὅσαι ἄλλαι ἀποστάσιες οἷον σύριγγες, ἑτέρων ἄκος.

Πολλάκις ἤδη τὰς ἀποστάσεις εὕρομεν αὐτὸν οὐκ ἐπὶ μόνον τῶν κατὰ ἀπόθεσιν, ἀλλὰ κἀπὶ τῶν ἐκκρίσεων ὀνομάζοντα. τῶν οὖν τοιούτων παθημάτων ἔνια τισὶ καὶ σύριγγες εἰσὶν, ἐκκαθαίρονται δι' αὐτῶν τὰς περιουσίας τῶν χυμῶν. ὥσπερ οὖν ἐπὶ τῶν αἱμοῤῥοΐδων, οὕτω κἀπὶ τούτων οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχε τὴν θεραπείαν ποιητέον ἐστί.

Σκῆψις μὲν ἐφ' οἷσι γινόμενα ῥύεται, τούτων προγινόμενα κωλύει.

Τῆς παλαιᾶς γραφῆς οὔσης ταύτης, ἐπὶ τὸ σαφέστερον αὐτὴν μετεθήκασι πολλοὶ τῶν ἐξηγητῶν, ἀντὶ τοῦ γινόμενα καὶ προγινόμενα, γενόμενα γράψαντες, ἵν' ἐπὶ τὴν ἀπόσκηψιν ὁ λόγος ἀναφέρηται. πάντες δὲ ἤκουσαν τὴν σκῆψιν ἐπὶ τῆς ἀποσκήψεως εἰρῆσθαι. τάχα καὶ σφαλέντος τοῦ πρώτου γράψαντος βιβλιογράφου, ὡς ταῖς διανοίαις τὰ αὐτὰ κατὰ πάσας τὰς γραφάς ἐστι. βούλεται γὰρ ὁ Ιπποκράτης λέγειν τὰς ἀποσκήψεις, ἐφ' οἷς ἂν πάθεσι γινόμεναι λύειν αὐτὰ δύνανται, τούτων προγινομένας κωλύει γενέσθαι. δοκεῖ δέ μοι δύνασθαι καὶ οὕτως ἀκούειν τῆς ῥήσεως. εἰ γε κατὰ τήνδε τὴν λέξιν εἴρητο. σκέψις μὲν ἐστι πάντα ἐφ' οἷσι γινόμενα ῥύεται, τούτων προγινομένων, κωλύει. γραφόντων γὰρ τῶν παλαιῶν τόντε τοῦ η δίφθογγον, καὶ τὸν τοῦ ε δι' ἑνὸς χαρακτῆρος, ὃς νῦν μόνος σημαίνει τὸν ἕτερον φθόγγον τὸν η, πολλὰ γέγονεν ἁμαρτήματα τῶν ἐγγραφομένων, οὐ κατὰ τὴν γνώμην τῶν γραψάντων τὴν μετάθεσιν τῶν γραμμάτων ποιησαμένων, διὸ καὶ προσέχειν ἀκριβῶς χρὴ ταῖς τοιαύταις γραφαῖς ἐν αἷς δυνατόν ἐστι τὸν τοῦ η φθόγγον εἰς τὸν τοῦ ε μεταθέντας, ἢ τοὔμπαλιν γράψαντας ἐπανορθώσασθαι τὴν γραφήν. ὁμοίως δὲ κἀπὶ τοῦ ο καὶ ου ποιητέον, ἐπειδὴ καὶ τούτων ἀμφοτέρων οἱ φθόγγοι δι' ἑνὸς χαρακτῆρος ἐγράφοντο.

Αλλου τόπου τόποι δεξάμενοι, ἢ πόνῳ, ἢ βάρει, ἢ ἄλλῳ τινὶ ῥύονται, ἢ ἀλλοίοισιν αἱ κοινωνίαι.

Η αὐτὴ ῥῆσις ἤδε κἀν τῷ περὶ χυμῶν ἐπὶ τῷ τέλει τοῦ βιβλίου γέγραπται. καθάπερ καὶ αἱ πρὸ αὐτῆς ἄχρι τοῦ πρώτης ἐν ἧ φησὶν, οἱ αἱμοῤῥοΐδας ἔχοντες. ἐξηγήμεθα οὖν ἐκεῖ τελεώτερον αὐτὰς, εἰρήσεται δὲ καὶ νῦν τὸ κεφάλαιον. ἡ γάρ τοι διάνοια τῆς προκειμένης ῥήσεώς ἐστι τοιάδε. ἐξ ἄλλων τόπων εἰς ἄλλους διαδοχαὶ γίνονται νοσημάτων, κατὰ μετάστασιν τῶν ποιούντων αὐτὰ χυμῶν, ἤτοι διὰ πόνον τινὰ τοῦ μέρους εἰς ὃ μεθιστάμενοι κατασκήπτουσιν, ἢ διὰ τὸ σφῶν αὐτῶν βάρος, ἢ καὶ δι' ἄλλην τινὰ αἰτίαν οἷον φάρμακον ἐρεθίσαν δριμὺ, καὶ ῥῖψιν, ἢ τινὰ θερμασίαν ἔξωθεν προσγενομένην. ἀλλὰ καὶ διὰ κοινωνίαν τῆς φύσεως τῶν μορίων γίνονται μεταστάσεις. ὄρχις γοῦν οἰδήσας ἐκ βηχέων ὑπόμνημα κοινωνίας, στήθεσι, μαζοῖς, γονῆς, φωνῆς. ἔνιοι δὲ τὸ ἀλλοίοισιν αἱ κοινωνίαι, γράψαντες ἀλλοῖαι κοινωνίαι. τῆς ἑπομένης ῥήσεως ἀρχὴν αὐτὸ ποιοῦσι, φάσκοντες ἐπ' ἄλλο κοινωνίας εἶδος αὐτὸν μετεληλυθέναι τὸ κατὰ τὴν τῶν χυμῶν συγγένειαν. αὐτὸς γοῦν φασὶ λέγει, διὰ τὴν ῥοπὴν οὐκέτι αἷμα ἔρχεται, ἀλλὰ διὰ τὴν τοῦ χυμοῦ συγγένειαν, τοιαῦτα πτύουσιν. οὕτω δὲ καὶ ὁ Ροῦφος ἔγραψέ τε καὶ διεῖλε τὴν λέξιν οἷον προγραφὴν μὲν τινὰ νομίζων εἶναι τὸ, ἀλλοῖαι κοινωνίαι. τὴν δ' ὥσπερ ἐξήγησιν τῆς προσγραφῆς τὰ ἐπιφερόμενα. φησὶ γὰρ εἶναι κοινωνίαν τῷ αἵματι πρὸς τὸ πύον, οἷς οὐκέτι αἷμα πτύεται, τῆς ῥοπῆς ἐπὶ τἀναντία γενομένης αὐτῷ, τότε τὰ συγγενῆ τοῦ αἵματος γίνεσθαι πτύσματα πυώδη. διὸ καὶ τὴν λέξιν οὕτω γράφει, ἀλλὰ διὰ τοῦ χυμοῦ τὴν συγγένειαν, πύα πτύουσιν. οἱ δὲ περὶ τὸν Σαβῖνον φυλάξαντες τὴν παλαιὰν γραφὴν, ἰδίαν ἀρχὴν ἐποιήσαντο τοῦ λεγομένου τὸ διὰ τὴν ῥοπὴν, ἐφ' ἣν ἤδη μεταβήσομαι.

Διὰ τὴν ῥοπὴν οὐκέτι αἷμα ἔρχεται, ἀλλὰ κατὰ τοῦ χυμοῦ τὴν συγγένειαν τοιαῦτα πτύουσιν.

Εξήγημαι μὲν ἤδη τελέως τὴν ῥῆσιν ταύτην, ἐν τῷ τρίτῳ τῶν εἰς τὸ περὶ χυμῶν ὑπομνήματι. καὶ νῦν δ' ἐρῶ συντομώτερον αὐτὴν, ὅταν αἷμα διά τινος μέρους ἐκκενούμενον οἷον ἕδρας, ἢ ῥινὸς, ἢ μήτρας, ἢ κατὰ περιόδους ἐκ γαστρὸς, ἢ σύριγγος, ἢ ὁτιοῦν ἑτέρωσε ἐπ' ἄλλα μόρια ποιήσεται τὴν ῥοπὴν, οὐκέτ' ἐκκενοῦται ἔξω διὰ τοῦ πρόσθεν χωρίου. παράδειγμα δὲ ἔστω μορικόν ἐστιν ἐπὶ τοῦ τὴν ῥοπὴν εἰς θώρακα, καὶ πνεύμονα ποιησαμένου. πτύεται γὰρ ἐντεῦθεν ἄλλοις ἄλλο κατὰ τὴν τῶν χυμῶν συγγένειαν. ἀφρῶδες μὲν, ὅταν ἡ φλεγματικός. ὠχρὸν δ' ὅταν πικρόχολος. μέλαν δ' ὅταν μελαγχολικὸς, ὥσπερ γε ἐρυθρὸν, ὅταν τὸ αἷμα κατασκήπτον ἢ καθαρόν. εἰκότως οὖν ἔνιοι τὸ τ γράμμα προσθέντες, οὐ ῥοπὴν, ἀλλὰ τροπὴν ἔγραψαν, διὰ τὴν τροπὴν τοῦ αἵματος ἀξιοῦντες πτύεσθαι τὸ συγγενὲς τῇ τροπῇ. τρέπεται γὰρ ἐνίοτε μὲν ἐπὶ τὸ πικρόχολον, ἐνίοτε δ' ἐπὶ τὸ μελαγχολικόν.

Εστιν οἷσιν αἷμα ἀφαιρεῖσθαι ἐν καιρῷ ἐστὶ τοῖσι τοιούτοισιν. ἐπ' ἄλλοισι δὲ ὥσπερ οὐδὲ τούτοισιν οὐκ εἰκός.

Συμφέρει φησὶν αἵματος ἀφαιρεῖσθαι τινὰς τούτων οἷς δηλονότι πλεῖόν ἐστι τοῦ δέοντος, καὶ μηδέπω τροπὴν ἀξιόλογον

εἰς ἄλλον χυμὸν μεταπεποιημένον, οὐκ ἀφαιρεῖσθαι δὲ οἷς ἤδη τέτραπται. προηγουμένου τοῦ κατὰ τὴν δύναμιν σκοποῦ, καὶ παραλείπεταί ποτε κατὰ τοὺς λόγους ἐν οἷς τὰς ἀπὸ τῶν διαθέσεων μόνων ἐνδείξεις διερχόμεθα.

Κώλυσις ἐπὶ τοῖσιν αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολή.

Καὶ ταύτην μετὰ ῥῆσιν ἐφεξῆς ταῖς προγεγραμμέναις ἐν τοῖς τελευταίοις τῶν περὶ χυμῶν ἄλλος ἄλλως καὶ γράφει καὶ ἐξηγεῖται. πασῶν οὖν τῶν τε γραφῶν καὶ τῶν ἐξηγήσεων ἀπιθάνων οὐσῶν, ἡ μετριωτέρως ἔχειν μοι δόξασα τῶν ἄλλων ἐστί. ἡ μὲν γραφὴ κατὰ τὴν ἀντιλεγομένην δόξαν, λέξιν, ἡ δ' ἐξήγησις, ἵνα τοῖς αἱματώδη πτύουσιν ἡ φλεβοτομία κωλύηται διὰ τὴν ὥραν ἀντιπράττουσαν, ἢ διὰ τὸ πάθος ὂν πλευριτικόν, ἢ διὰ τὸν πλεονάζοντα χυμὸν ὄντα χολώδη. τὸ μὲν οὖν διὰ τὴν ὥραν, εὔδηλον. ἐν γὰρ ταῖς πάνυ θερμαῖς ὥραις, οἷάπερ ἐστὶν ὑπὸ κύνα φυλαττόμεθα φλεβοτομίαν, ὡσαύτως δὲ καὶ χολώδης ἱκανῶς ὁ ἄνθρωπος ᾖ. τὸ δ' ἐπὶ τῆς πλευρίτιδος, δοκεῖ μάχεσθαι μόνον. οὐ γὰρ ἀντιπράττει φλεβοτομία τὸ πάθος, ἀλλὰ δεῖται μὲν κωλυούσης τῆς δυνάμεως, ἢ τῆς ὥρας, ἢ τῆς ἡλικίας. ἔοικεν οὖν τοιοῦτόν τι τὸ λεγόμενον εἶναι, τοὺς αἱματώδη πτύοντας φλεβοτομητέον ἐστὶ πάντως ὅσον ἐπὶ τούτῳ, πλὴν εἰ μὴ διὰ πλευρῖτιν πτύουσι τοιαῦτα. τούτους γὰρ οὐ πάντως φλεβοτομήσομεν ὡς αἷμα πτύοντας, ἀλλὰ τοῖς ἰδίοις τῆς πλευρίτιδος ὑγιάσομεν διορισμοῖς, καθ' οὓς ἤτοι φλεβοτομητέον ἐστὶ τοὺς οὕτω πάσχοντας, ἢ μή. τοῦτο δέ μοι προσεπινοῆσαι συνέβη ἐξηγουμένῳ τὸ περὶ χυμῶν ἐν τῷ μεταξὺ θεασαμένῳ τινὰ ἄρρωστον, ὃς ὡς αἱμοπτοϊκὸς ἐκάλεσέ με πτύσας αἱματῶδες ἀπὸ πλευρᾶς. θεασάμενος οὖν ἐγὼ τὸ πτυσθὲν, ἠρόμην αὐτὸν εἴ τινα αἴσθησιν ὀδυνηρὰν ἔχει κατὰ τὴν πλευρὰν, ὁ δ' ὡμολόγησεν εἶναι μικράν. ἦν δ' οὕτως ἔχων καὶ τῆς ἕξεως καὶ τῆς δυνάμεως, ὡς εἰ μὲν ἔπτυκὼς ἦν αἷμα διὰ τὸ κατεπείγειν τὸ τῆς φλεβοτομίας βοήθημα τολμῆσαι παραλαβεῖν αὐτό. πλευρίτιδος δ' οὔσης ἐπιεικοῦς, οὐκ ἀναγκαῖον εἶναι, διόπερ οὐδὲ παρέλαβον αὐτὸ, καὶ σαφῶς ἐφάνη πλευριτικός τε ὁ ἄνθρωπος, ὑπακούσας τε τοῖς ἄλλοις τῆς πλευρίτιδος βοηθήμασιν ἄνευ τῆς φλεβοτομίας. καὶ γὰρ ἐπὶ μετριωτάτης τυγχάνουσιν ἐφ' ὧν αἱματῶδες πτύεται. ἔνιοι γε μὴν τῶν ἐξηγητῶν τὸ, κώλυσις ἐπὶ τῇ τελευτῇ τῆς προγεγραμμένης ῥήσεως τάξαντες ἀναγινώσκουσι τήνδε τὴν νῦν προκειμένην οὕτως, ἐπὶ τοῖσιν αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολῆ, καί φασι τὴν ὥραν εἰρῆσθαι κατὰ τὴν ἐν καιρῷ τῷ προσήκοντι γινομένων. βούλεσθαι γὰρ αὐτὸν δηλοῦν ἐν ταῖς πλευρίτισιν ὅταν ἐν ἀρχῇ πτύουσιν αἱματώδη. καὶ γὰρ καὶ συμβαίνει οὕτω τοὐπίπαν ἐν καιρῷ γίνεσθαι μετὰ ταῦτα τὴν εἰς τὴν χολῶδες μεταβολήν. τάξιν γοῦν εἶναι καλῶς προϊούσης τῆς πλευρίτιδος, ἐπὶ τὴν κρίσιν ἐφεξῆς τοῖς αἱματώδεσι τὰ χολώδη πτύεσθαι. λέλεκται δὲ καὶ ἄλλα τινὰ τοῖς ἐξηγησαμένοις τὴν λέξιν ταύτην οὐκ ἄξια μνήμης. ἐγὼ δ' αὖ εἰ παραινῶ καθάπερ ἴστε, τὸ μὴ χρονίζειν ἐν ταῖς αἰνιγματώδεσιν ἔχοντας, ἀλλὰ πολλὰ κατὰ τὴν τέχνην ἐν οἷς δυνάμεθα χρησίμως γυμνάζεσθαι.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΕΚΤΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ, ΙΠΠΟΚΡΑΤΟΥΣ ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Τὰ παρ' οὖς οἷσιν ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τούτων λαπασσομένων ὑποστροφὴ γίνεται. κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς γινομένης, αὖθις αἴρεται, καὶ παραμένει, ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ ἐν ὁμοίῃ περιόδῳ, ἐπὶ τούτοισιν ἐλπὶς εἰς ἄρθρα ἀφίστασθαι.

Τοὺς παρὰ τοῖς ὠσὶν ὄγκους παρὰ φύσιν ἐπὶ τῶν νοσούντων γινομένους εἴωθεν ὀνομάζειν ἐπάρματα. ἐνίοτε μὲν ὁλοκλήρῳ τῇ λέξει χρώμενος, ἐνίοτε δ' ἐλλιπεῖν, καθάπερ καὶ νῦν. ἦν γὰρ ἂν ὁλόκληρος εἰ οὕτως εἴρητο, τὰ παρ' οὖς ἐπάρματα γινόμενα τοῖς νοσοῦσιν. ὥσπερ ἀμέλει κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εὐθέως ἐν ἀρχῇ τῆς πρώτης καταστάσεως ἔγραψεν. ἐπάρματα δὲ παρὰ τὰ ὦτα πολλοῖσιν ἑτερόῤῥοπα, καὶ ἐξ ἀμφοτέρων τοῖς πλείστοισιν ἀπύροισιν ὀρθοστάδην. ἴσμεν δ' ὅτι καθάπερ ἐπάρματα κατὰ τήνδε τὴν λέξιν εἴρηκεν, οὕτως οἰδήματα καλεῖ πολλάκις αὐτά. πάντας γὰρ ἐδείξαμεν ὑπ' αὐτοῦ καλουμένους οὕτω τοὺς παρὰ φύσιν ὄγκους, οὐχ ὡς οἱ μετ' αὐτὸν μόνους τοὺς χαύνους τε καὶ ἀνωδύνους, οἷς τοὐπίπαν ὑπάρχει, καὶ χωρὶς φλογώσεως συνίστασθαι. μεμνήμεθα δ' ὅτι καὶ τὰς φλογώσεις ἁπάσας ὀνομάζει φλεγμονὰς, καὶ χωρὶς ὄγκου παρὰ φύσιν ὦσιν. οἱ γε μὴν μετ' αὐτὸν, καὶ τὸ τῆς φλεγμονῆς ὄνομα κατὰ τῶν παρὰ φύσιν ὄγκων ἐπιφέρουσιν. ἐπεὶ δ' αὖ μετὰ φλογώσεώς τε καὶ ἀντιτυπίας, καὶ σφυγμώδους ὀδύνης συστῶσιν. ὅταν οὖν φησὶν ἐπὶ νοσήματός τινος ἐν τῷ τῆς κρίσεως χρόνῳ γινόμενα τὰ παρ' οὖς πρὶν ἐκπυῆσαι λαπάσσηται, τουτέστι προστέλληται, καὶ ἀφανίζηται, προσδέχεσθαι χρὴ τοῖς πάσχουσιν οὕτω ὑποστροφὴν ἔσεσθαι. πολλάκις δ' ἤδη μεμαθήκατε τὸ ἔθος αὐτοῦ τὴν κατὰ τὸ λαπάσσεσθαι φωνὴν, ἐπὶ πάντα τὰ ὁπωσοῦν προστελλόμενα φέροντος, ἐπειδὴ κοινοτέρα γίνεται. συμβαίνειν οὖν φησὶν ὑποστροφὴν τοῦ νοσήματος οἷς ἂν αἱ παρωτίδες μὴ ἐκπυήσωσι, καί ποτε ἐπ' αὐτάς. οὐ γὰρ δὴ διὰ παντός γε πάλιν ὑποστρέφειν αὐξάνεσθαί τε καὶ κρίνεσθαι κατὰ λόγον τῶν ὑποστροφῶν, ὅπερ ἐστὶν ὁμοίως αὐταῖς καὶ κατὰ τὰς αὐτὰς περιόδους τῶν ἡμερῶν. ἐλπὶς δὲ αὐτοῖς καὶ εἰς ἄρθρα τινὰς γενήσεσθαι ἀποστάσεις. εἴρηται γὰρ πολλάκις ἐπὶ τῶν χρονιζόντων νοσημάτων τοῦτο συμβαίνειν. ἐξηγούμεθα δὲ τὴν ῥῆσιν τήνδε, κἀν τῷ τρίτῳ τῶν εἰς τὰ περὶ χυμῶν ὑπομνήματι, γεγραμμένην ἐπὶ τῷ τέλει τοῦ βιβλίου. ἐπεὶ δὲ προειπὼν τὰ παρ' οὖς, ἐπήνεγκε, τούτου λαπασσομένου, διὰ τοῦτο δοκεῖ μοι Διοσκουρίδης προσθεὶς τὴν, ἐκ, πρόθεσιν ἔγραψεν ἐκ τούτου λαπασσομένου, καί φησι χρῆναι προσυπακοῦσαι τοῦ χρόνου, ἢ ἀντὶ τοῦ μετὰ ταῦτα τὸ ἐκ τούτου λελέχθαι. εἰ δ' ὅλως ἐξῆν τις ὑπαλλάττειν τὰς παλαιὰς γραφὰς, ἐνῆν αὐτῷ τὸ τούτου μεταποιήσαντι ταῦτα ἀπηλλάχθαι πραγμάτων.

Οὖρον παχὺ, λευκὸν, οἷον τὸ τοῦ Ἀρχιγένεος, ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοις, ἔστιν ὅτε ἔρχεται καὶ ῥύεται τῆς ἀποστάσιος. ἢν δὲ πρὸς τούτῳ, καὶ αἱμοῤῥαγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς, καὶ πάνυ.

Εἰ μὲν τῷ τοῦ Ἀρχιγένεος εἴη γεγραμμένον, ὑπακούσομεν ἤτοι οἰκέτῃ, ἢ φίλῳ, ἢ οἰκείῳ. ἐὰν δὲ τῇ τοῦ Ἀρχιγένεος, ἤτοι δούλῃ, ἢ γυναικὶ, ἢ καθ' ὅν τινα τρόπον οἰκείᾳ. παραιτησάμενοι δὲ μεμνῆσθαι τῆς ἐν ταῖς γραφαῖς διαφωνίας ὁ-

σαν ἡ αὐτὴ φυλάττεται διάνοια. καὶ νῦν αὖθις ἀναμεμνήσθω τοῦτο πρὸς τὰ μέλλοντα. καὶ μέντοι καὶ ὅτι κοπιώδεις ὀνομάζει πυρετούς, οὐ πάντως ἐκείνους ὧν προηγήσατο συχνὴ κίνησις, ἀλλὰ πάντας ὅσοις αὐτῶν ἡ κοπιώδης αἴσθησις. αὐτὸς γοῦν ἐν ἀφορισμοῖς ἔγραψε, κόποι αὐτόματοι φράζουσι νούσους. καὶ νῦν γε μᾶλλον ἡγητέον αὐτῷ περὶ τῶν οὕτω κοπιωδῶν εἶναι τὸν λόγον ἐπὶ πλήθει παχέων τε καὶ φαύλων χυμῶν ὡς τὸ πολὺ γινομένων, διὸ καὶ διὰ ἱδρώτων ἐκκενωθέντων αὐτῶν ἡ νόσος παύεται. πιστοτέρα δ' ἡ λύσις γίνεται, τὴν δὲ ἀρχὴν τῆς κενώσεως ἐν ἡμέρᾳ κρισίμῳ λαβούσης. ὅσοι δ' οὔτε διὰ ἱδρώτων, οὔτε δι' αἱμοῤῥαγίας ἐκενώθησαν, εἰς ἀπόσκημμα τούτοις ἡ νόσος εἴωθε τελευτᾶν.

Ὧι τὸ ἔντερον ἐπὶ δεξιᾷ ἀρθριτικὸς ἐγένετο, ἦν ἡσυχώτερος. ἐπεὶ δὲ τοῦτο ἰητρεύθη, ἐπιπονώτερος.

Διττὴ κἀνταῦθά ἐστιν ἡ γραφὴ τὴν διάνοιαν ὑπαλλάττουσα. παλαιοτέρα μὲν ἡ μετὰ τοῦ ν κατὰ τὴν πρώτην συλλαβὴν τοῦ ἐντέρου ὀνόματος. ὕστερον δὲ προστιθεῖσα ἡ ἄνευ τοῦ ν, βουλομένων τῶν οὕτω γραψάντων ἐπὶ τῶν παρ' οὓς συνισταμένων εἰρῆσθαι τὸ ἕτερον, ὥσπερ γε πάλιν τῶν τὸ ἔντερον, ἤτοι γ' ἐπὶ τῶν ἀλγησάντων τὸ ἔντερον, ἢ κἀπὶ τῶν τεινομένων τὸ ἔντερον. ἔντερον δ' εἰρῆσθαι ἐνικῶς, ἔνιοι μὲν τὸ κῶλον ἐνόμισαν, ἔνιοι δὲ τὸ τυφλόν. ὃ δὴ καὶ ῥᾷον ὀλισθαίνει εἰς τὸν ὄσχεον ὡς ἂν ἀπολελυμένον. ὅτι μὲν οὖν ἀπολέλυται τοῦτο μόνον τὸ ἔντερον, ἁπάντων τῶν ἄλλων ὑπὸ τοῦ μεσεντερίου δεδεγμένων τε καὶ συνεχομένων, ἀληθεύουσιν. εἰ δὲ διὰ τοῦτο κατενεχθὲν εἰς τὸν ὄσχεον ὁ ἀρθριτικὸς ἐῤῥαστώνησεν, εἶτ' αὖθις αὐτοῦ θεραπευθέντος ἐν τοῖς αὐτοῖς ἐγένετο, μαντείας δεῖται. πιθανώτερον γοῦν ἐστιν ἐπὶ τοῦ τὸ κῶλον ἀλγήσαντος εἰρῆσθαι τὸν λόγον. εἰκὸς γὰρ ἦν κουφισθῆναι τῶν ἀρθριτικῶν ἀλγημάτων αὐτόν. ἐν μὲν λόγῳ καθ' ὃν αὐτὸς ἔφη πόνων ἅμα γινομένων, μὴ κατὰ τὸν αὐτὸν τόπον ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον. ἑτέρῳ δ' ὅτι τῶν εἰς ἄρθρα ῥεόντων χυμῶν, ἐπὶ τὸ κῶλον ἐγένετο μετάστασις. ἔνιοι δὲ τῶν ἐξηγητῶν τὸν ἀρθριτικὸν τοῦτον, ἰσχιαδικὸν εἶναί φασι, καὶ διὰ τοῦτο κατελθόντος τοῦ τυφλοῦ ἐντέρου ῥᾳστωνῆσαι, μηκέτι θλιβομένου τε καὶ βαρυνομένου τοῦ ἰσχίου, παρὰ τὸ τῶν ἑλλήνων ἔθος ὀνομάζειν βουλόμενοι τὸν ἰσχιαδικὸν ἀρθριτικόν. ἄχρι μὲν οὖν αἱ δεύτεραι ῥήσεις ἅπασαι κἀν τῷ περὶ χυμῶν ἐπὶ τῇ τελευτῇ τοῦ βιβλίου γεγραμμέναι εἰσί. μεταβήσομαι δ' ἤδη πρὸς τὰς ἐν μόνῳ τῷ προκειμένῳ πράγματι ἐγκειμένας.

Ἡ Ἀγήσιος κόρη μὲν ἐοῦσα πυκνοπνεύματος ἦν. γυνὴ δὲ γενομένη, ἐκ τόκου ἐπίπονος ἐοῦσα, οὐ πάνυ ἐπὶ πλέον, ἦρεν ἄχθος μέγα, αὐτίκα μὲν ἔδοξε ψοφῆσαί τι κατὰ τὸ στῆθος, τῇ δ' ὑστεραίᾳ ἄσθματα εἶχε, καὶ ἤλγεεν ἰσχίον τὸ δεξιόν. ὁκότε τοῦτο πονέοι, τότε καὶ τὸ ἆσθμα εἶχε, παυσαμένου δὲ, ἐπαύσατο, ἔπτυσεν ἀφώδεα. ἀρχομένη δ' ἀνθηρά. κατασταθὲν δὲ ἐμέσματι χολώδει ἐῴκει λεπτῷ, οἱ πόνοι δὲ μάλιστα ὁκότε πονοίη τῇ χειρί.

Πνεῦμα τὴν ἀναπνοὴν ὀνομάζοντος αὐτοῦ πολλάκις ἠκούσαμεν, ὥστε καὶ τὴν πυκνοπνεύματον ἡγητέον εἰρῆσθαι τὴν πυκνὰ ἀναπνέουσαν. οἷς δ' ἂν ἱκανῶς αὐξηθῇ τὸ τοιοῦτο τῆς δυσπνοίας εἶδος, ἆσθμα, καὶ ὀρθόπνοια τὸ πάθος ὀνομάζεται, χωρὶς πυρετοῦ δηλονότι γινόμενον, ἤτοι παχέων καὶ γλίσχρων χυμῶν καταλαμβανόντων τὰς ὁδοὺς τοῦ πνεύματος, ἢ τινὸς ἀπέπτου φύματος ἐν τῷ πνεύμονι συστάντος. οὔσα δὲ καὶ πρόσθεν αὐτὴ δύσπνους, ἐπίπονος ἐγένετο μετὰ τὸν τόκον. εἰ μὲν οὖν μηδὲν εἰρηκὼς περὶ τῆς δυσπνοίας, ἐπίπονον ἔφησεν αὐτὴν γεγονέναι, πιθανὸν ἂν ἦν ἀκοῦσαι τῷ παντὶ σώματι κοπώδη ἔχειν αἴσθησιν τὴν γυναῖκα ταύτην. ἐπεὶ δὲ πυκνοπνεύματον αὐτὴν εἶπεν εἶναι, προσηκόντως ἄν τις ἀκούσειεν ἐπὶ τοῦ θώρακος εἰρῆσθαι τὸν πόνον γεγονέναι. μετρίου δ' ὄντος αὐτοῦ, συνέβη τι καὶ ἄλλο σύμπτωμα τοιόνδε. βάρος τι διὰ τῶν χειρῶν ἀραμένη, περιάγχημα μὲν ᾔσθετο τινὸς ἐν τῷ στήθει ψόφου, ῥαγέντος ὡς εἰκὸς τοῦ φύματος. τῇ δ' ὑστεραίᾳ διαδοθέντος ἕως τῆς τραχείας ἀρτηρίας τοῦ περιεχομένου κατὰ τὸ φῦμα χυμοῦ, τήν τε τοῦ πνεύματος πυκνότητα ἐπιταθῆναι συνέβη, καὶ μηκέτι ἁπλῶς εἶναι πυκνόπνοιαν, ἀλλ' ἤδη τὸ καλούμενον ἆσθμα. κατὰ βραχὺ δ' ἀναπτυσθέντος τούτου, τελέως ἐπαύσατο τῇ γυναικὶ ταύτῃ τὰ τῆς δυσπνοίας. ἄχρι μὲν δὴ τούτου ζήτημ' οὐδέν ἐστιν, ἀλλ' εὐλόγως ἅπαντα γέγονε. διατί δὲ συνεπετάθη τε καὶ συνεῤῥᾳστώνησε τοῖς κατὰ θώρακα τὸ ἰσχίον, εἰκότως ἄν τις ζητήσειεν, οὐκ οὔσης τινὸς κοινωνίας ἰσχίῳ πρὸς θώρακα, καθάπερ ἐστὶ τοῖς γυναικείοις μορίοις. ἴσως οὖν ἀσθενέστερον ἔχουσα τὸ ἰσχίον ἤλγησε. κατὰ τὸν αὐτὸν χρόνον, ἀφικνουμένων τινῶν χυμῶν εἰς αὐτὸ περιττῶν. οὐ γὰρ ἀναφαίνεται τοῖς κοινωνίαν ἔχουσι φυσικὴν μορίοις ἡ συμπάθεια γινομένη, φθασάντων ἐνίοτε δέξασθαι τῶν ἀσθενῶν τὴν περιουσίαν τῶν λυπούντων χυμῶν φύσιν ἐνδεικνυμένη. τὰ μὲν γὰρ ἀφρώδη φλεγματικὸν εἶναι, δηλοῖ τὸν χυμόν. τὰ δὲ ἀνθηρὰ τὸ αἷμα πλεονάζειν, ὥσπερ γε τὰ ὠχρὰ τὴν ὠχράν, καὶ ξανθὴν ὀνομαζομένην χολήν. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ μέλανα τὴν μέλαιναν. λέλεκται δ' ἤδη πολλάκις ὡς ὅταν ἁπλῶς εἴπῃ χολώδη, τὴν ὠχράν τε καὶ ξανθὴν ὀνομαζομένην σημαίνει χολήν, ἢ πλέον τῶν ἄλλων χολῶν τὴν χρόαν προσγράφει. καὶ γὰρ ἰώδης ἐμεῖται χολή, καὶ ὑπέρυθρος, καὶ μέλαινα καὶ ὀρφνώδης. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως προσγεγραμμένον ὡς ἐπόνει μᾶλλον ἐν ταῖς τῆς χειρὸς ἐνεργείαις, πρὸς ἔνδειξιν τῆς συμπαθείας εἴρηται. ἀκηκόατε δ' ἤδη καὶ κατ' ἄλλον λόγον ὁπότε τὰ τοῦ θώρακος ἄνω πάσχοι, κατὰ τὸ πρῶτόν τε καὶ δεύτερον μεσοπλεύριον, εὐλόγως τὰς χεῖρας εἰς συμπάθειαν ἔρχεσθαι νεύρων εἰς αὐτὰς ἀφικνουμένων ἐκ τούτων τῶν μεσοπλευρίων. εἰκὸς δέ ἐστι καὶ ῥαγῆναι κατὰ τὸ δεξιὸν μέρος τοῦ θώρακος, ἡνίκα τὸ ἄχθος αἴρετο, καὶ διὰ τοῦτο κατ' εὐθυωρίαν ἰσχίον παθεῖν τὸ δεξιόν. καὶ εἴπερ τῷ γενομένῳ πάθει τῶν νεύρων ἐν τῷ βάρος ἆραι τὴν γυναῖκα, συνέπαθεν ὁ θώραξ τῇ χειρί, πιθανόν ἐστι κατ' ἐκεῖνα μάλιστα τὰ μέρη παθεῖν αὐτὸν ὅθεν ἡ τῶν νεύρων ἐστὶν ἔκφυσις ἐπὶ τὰς χεῖρας.

Ταύτην εἰργάσατο σκορόδου, χοίρου, οἶος, βοός. ἐν δὲ τοῖσι πνευμόνοισι, βοῦς, ὀξυθυμίης.

Διάφοροι καὶ κατὰ τήνδε τὴν ῥῆσιν αἱ γραφαὶ γεγόνασιν. ἐνίων μὲν γραψάντων ἐν ἀρχῇ κατὰ δοτικὴν πτῶσιν τὸ, ταύτῃ, καὶ ποιησάντων τὴν γραφὴν τοιάνδε, ταύτῃ εἴργεσθαι χοίρου, σκορόδου, οἶος, βοός, ἐνίων δὲ χωρὶς τοῦ ταύτην. ἀρξαμένων

ξαμένων δ' ἀπὸ τῆς ἐργάσασθαι. ὑπακούειν δ' ἀξιοῦσιν ἅπαντες τὸ ἔδοξεν ἡμῖν τοῖς ἰωμένοις αὐτὴν, ἢ συνεβουλεύσαμεν αὐτῇ συμφέρειν ὅπερ εἶπον, καὶ διὰ τοῦτο περὶ τῆς γραφῆς οὐ προσήκει ἀμφισβητεῖν. ἀλλ' ὅπερ ἄν τις ἐθέλῃ γράφειν ἐπιτρέπειν, ἐπειδὴ τὰ τῆς διανοίας φυλάττεται κοινά. ἐάσαντες οὖν τὴν ἐν λέξει λεπτολογίαν, ἐπὶ τὰ διδασκόμενα πράγματα μεταβαίνοντες τοιαῦτα τῇ προειρημένῃ γυναικὶ, καὶ τοῖς ἄλλοις δὲ δηλονότι τοῖς οὕτω διακειμένοις συμφέρει χοιρείων τε κρεῶν ἐδωδῆς, καὶ βοείων, καὶ προβατείων ἀπέχεσθαι. τούτων μὲν ὡς ἰσχυρῶν τε καὶ δυσπέπτων, σκορόδου δὲ ὡς δριμέος τε καὶ διαβρωτικοῦ. βοῦς δὲ ὡς οὐ μόνον τὰ προερρωγότα τῶν ἀγγείων ἐπιρρήττειν δυναμένης, ἀλλὰ καὶ τὰ μή πω πρότερον πεπονθότα τοῖς ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἀδικεῖν, τάσιν τέ τινα καὶ θορυβασίαν καὶ πνευμάτωσιν ἐν αὐτοῖς ἐργαζομένης. δῆλον δ' ὅτι ταῦτα μὲν ὡς παραδείγματα εἴρηται τῷ Ἱπποκράτει. συμβουλεύει δ' ἀπέχεσθαι πάντων μὲν τῶν δυσπέπτων, πάντων δὲ τῶν δριμέων, ἁπάντων δὲ τῶν κακοχύμων, καὶ προσέτι τῶν βιαίαν τινὰ τάσιν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐργαζομένων.

Ὧι ἐν τῇ κεφαλῇ ἐγένετο ἔπαρμα πρῶτον, ἡ συπηρείη ἡ κεκαυμένη ἐνήρμοσεν, εἶχεν αὐτὴν πρώτην ἀπόστασιν, ἴσως ὅτι ὀστέων ἔμελλεν ἀποστήσεσθαι, ἀπέστη ἑξηκοσταῖον, ὑπὲρ τοῦ ὠτὸς ἄνω πρὸς κορυφὴν τὸ πρᾶγμα ἦν.

Ἔνια τῶν οὕτως γεγραμμένων, ἴσως μὲν αὐτῷ τῷ γράψαντι πρὸς ἀνάμνησιν ἦν ὠφέλιμα. τοῖς δ' ἐντυγχάνουσιν ἡμῖν οὐ πάνυ σαφῆς οὐδὲ ἡ ἐξ αὐτῶν ὠφέλεια. διηγεῖται γάρ τινος ἐν τῇ κεφαλῇ νομώδες ἕλκος ὠφελεῖσθαι τὸ πρῶτον ὑπὸ τῆς κεκαυμένης συπηρίας. εἶτα μέντοι αὐτῷ καὶ κατ' ἄλλον τινὰ τόπον ἀπόστασιν, ἔνθα καὶ ὀστοῦν ὕστερον ἀπέστη. προσγέγραπται δὲ καὶ τὸ πεπονθὸς μέρος τῆς κεφαλῆς, ἀλλ' οὕτω ἀσαφές ἐστι τὸ πρᾶγμα, καὶ συμβουλὴν οὐδεμίαν ἔγραψεν, μόνα τὰ γινόμενα διηγησάμενος.

Τὰ κῶλα ἔχει οἷα κυνὸς, μείζω δὲ ἤρτηται ἐκ τῶν μεσοκώλων. ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ἐπὶ τὴν γαστέρα.

Εὔδηλον ὅτι καὶ ταῦτα ἔγραψεν εἰς ἀνάμνησιν ἑαυτῷ τῶν ἀνατομικῶν ὄντα θεωρημάτων. ὁ γὰρ ἄνθρωπος ὁμοίαν ἔχει κυνὶ τὴν τῶν κώλων φύσιν, ἀλλὰ καὶ μείζω φησὶν εἶναι αὐτὰ, καὶ ἠρτῆσθαι ἐκ τῶν μεσοκώλων ὡς εἰ καὶ μεσεντερείων εἰρήκει. γενικώτερον μὲν γὰρ ὄνομα τὸ τῶν μεσεντερίων ἐστίν. εἰδικώτερον δὲ τὸ τῶν μεσοκώλων. τρίτον δὲ ἄλλο περὶ τὴν νῆστιν ἐντέρων, ἢ τῶν ἄλλων λεπτῶν, οὐκ ἔστιν ὄνομα. μεσονήστιον γάρ τι τοιοῦτον, οὐδεὶς εἴρηκεν. ἔστι μὲν οὖν συνεχῆ τὰ μεσεντέρια, τά τε τῶν λεπτῶν καὶ τῶν παχέων. ὅμως δὲ περιγραφάς τινας ἰδίας †φαίνεσθαι, καὶ χωρίζεσθαι μάλιστα περὶ τὰς ἐν αὐτοῖς φλέβας. ἰδία μὲν γὰρ μία φλὲψ εἰς τὸ τῶν λεπτῶν ἐντέρων μεσεντέριον. ἰδία δὲ εἰς τὸ τῶν παχέων ἃ δὴ κῶλα προσαγορεύουσι κατασχίζεται, συγκατασχιζομένης ἑκατέρᾳ τῇ φλεβὶ δηλονότι, καὶ ἀρτηρίας. τὸ δ' ἄρτημα τοῦ μεσεντερίου, καθάπερ καὶ τὸ τοῦ μεσοκώλου. συνεχὲς γὰρ ὅλον ὂν ὡς ἔφην, εἰς ἔνια τινὰ τῶν περὶ τὴν ὀσφὺν ἀνήκει σπονδύλων μετὰ τὸ διάφραγμα κείμενον. ὑπόκειται δ' οὗτος τῇ γαστρί. τότε μὲν ἄρτημα τοῦτο πᾶν ὁμοιότατόν ἐστι νεύρῳ, καίτοι σύνδεσμος ὢν τὴν οὐσίαν. ὅσα γὰρ ἐξ ὀστῶν πέφυκεν ἄναιμα σώματα παραπλήσια τοῖς νεύροις ἐστὶ, νεῦρα συνδετικὰ προσαγορεύουσιν αὐτὰ πολλοὶ τῶν ἰατρῶν ἀντιδιαιρούμενοι τοῖς προαιρετικοῖς. εἴρηται δὲ καὶ νῦν ἐν τῇδε τῇ ῥήσει κατὰ τὴν τῶν νεύρων προσηγορίαν διὰ τὴν ὁμοιότητα.

†ἔχειν φαίνονται

Αἱ τοῖσι κάμνουσι χάριτες, οἷον τὸ καθαρῶς δρῆν, ἢ ποτὰ ἢ βρωτὰ, ἃ ὁρῇ, μαλθακῶς ὅσα ψαύει, ἄλλα μὴ μεγάλα βλάπτειν, ἢ μὴ εὐανάληπτα, οἷον τὸ ψυχρὸν, ὅκου τοῦτο δεῖ.

Τίνα χρὴ χαρίζεσθαι τὸν ἰατρὸν τοῖς κάμνουσι, καὶ τινὰ μὴ, κατὰ τοῦτο τὸ βιβλίον ἐπισκεψάμενοι τελέως ἀρκεσθησόμεθα. καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων εἰώθαμεν ποιεῖσθαι τι τελέως τῆς διδασκαλίας αὖθις ἅπαξ εἰπόντες, αὖθις ἐν ἑτέροις μηκέτι διέρχεσθαι τὸ σύμπαν, ἀλλὰ μόνον τὸ κεφάλαιον. εἴρηται μὲν οὖν κἀν τοῖς ἀφορισμοῖς εἰς τόδε τὸ σκέμμα γράψαντος αὐτοῦ. τὸ σμικρῷ χεῖρον, καὶ πόμα, καὶ σιτίον, ἥδιον δὲ τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ μᾶλλον μὲν προσφέρεσθαι. τὸ μὲν οὖν τῷ χείρω φαντασίας χαριζόμενός τις τοῖς κάμνουσιν εἰς ἡδονήν. οὐ μὴν τῇ γ' ἀληθείᾳ τοῦτο πράττων. ὅσα γὰρ ἥδιον προσφερόμενα τῶν ὀλίγον χείρονα τὴν φύσιν ἐχόντων, ἄμεινον ταῦτα πέπτομεν. ἔτι δὲ συμφορώτατον τοῖς νοσοῦσι καλῶς πεφθῆναι τὸ ληφθέν. ἐν δὲ τῷ νῦν προκειμένῳ λόγῳ χρήσεως ἑτέρου καὶ πράγματος ἐμνημόνευσεν, ἐν ᾧ κεχαρισμένον τε καὶ ἡδὺ τοῖς νοσοῦσιν, ὁ ἰατρὸς πράττει μηδὲν τῇ νόσῳ λυμαινόμενος, ὥσπερ ὅταν ἐπιτρέψῃ πρὸ τοῦ καιροῦ λούσασθαι, καὶ πιεῖν, καὶ φαγεῖν ὀπώρας τινὰς, ἢ ψυχρὸν ὕδωρ πιεῖν. ἐνίοτε μὲν γὰρ ὠφέλιμος καιρὸς ἑκάστου τῶν εἰρημένων ἐπὶ τῆς ὑστεραίας ἐστί. καταναγκάζουσι δὲ τοὺς ἰατροὺς οἱ κάμνοντες ὥστε προλαβεῖν ἡμέρᾳ μιᾷ, συγχωροῦσι τὰ πολλάκις ἔνιοι τοῖς νοσοῦσιν ἑτοίμως αὐτὰ, ταῖς ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντες, ἕνεκα τοῦ πλείονα λαβεῖν μισθόν. ἀλλὰ ταῦτα μὲν, οὐ κατὰ τὸν λόγον τῆς τέχνης γίνεσθαι. τὸ δ' ἐν ἀφορισμοῖς εἰρημένον, ὅσα τε νῦν διεξέρχεται χρησίμως τοῖς κάμνουσι, συγχωροῦσιν οἱ ἄριστοι τῶν ἰατρῶν. ἡ χρεία δὲ τῶν νῦν ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένων, εἰς τὴν εὐπείθειαν ἀναφέρεται τῶν καμνόντων. οὓς γὰρ ἂν ἡδέως ὁρῶσι, τούτοις μᾶλλον πείθονται. καὶ περὶ τοῦτο μήτηρ καὶ πατὴρ ἔπεισαν τέκνον ἀνόρεκτον καὶ αὐτὸ βιάσασθαι προσενέγκασθαι σιτίον, οὐδενὸς ἄλλου πεῖσαι δυνηθέντος. οὕτω καὶ τέκνον ἔπεισε πατέρα καὶ μητέρα, καὶ ἀδελφὸς ἀδελφὸν, καὶ φίλος φίλον. οὓς δ' ἂν ἀηδῶς ὁρῶσιν οἱ ἄνθρωποι, κἂν τὰ συμφέροντα συμβουλεύωσιν, οὐ πείθουσι. πρὸς τὴν τοιαύτην οὖν εὐπείθειαν αὐτὸς ὁ Ἱπποκράτης ἔλεγε, καὶ τὰς παρρησίας ὠφελεῖν ἡμᾶς, καὶ ὅλως τὸ θαυμάζεσθαι τὸν ἰατρὸν ὑπὸ τοῦ κάμνοντος. οὕτω γέ τοι καὶ παρ' ἡμῖν ἐν Περγάμῳ τοὺς θεραπευομένους ὑπὸ τοῦ θεοῦ πειθομένους, ὁρῶμεν αὐτῷ πεντεκαίδεκα πολλάκις ἡμέραις προστάξαντι μηδ' ὅλως πιεῖν, οἳ τῶν ἰατρῶν μηδενὶ προστάττοντι πείθονται. μεγάλην γὰρ ἔχει ῥοπὴν εἰς τὸ πάντα ποιῆσαι τὰ προσταττόμενα τὸ πεπεῖσθαι τὸν κάμνοντα, βεβαίως ἀκολουθήσειν ὠφέλειαν ἀξιόλογον αὐτῷ. τούτων ἔξωθεν ἐστὶ τὰ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένα, περὶ ὧν ἤδη λέγομεν ἕκαστον ἰδίᾳ προχειριζόμενοι κατὰ τὴν προγεγραμ

μένην λέξιν, οἷον τὸ καθαρίως δρᾶν, ποτὰ ἢ βρωτά. πολλὰ πολλάκις ὁ ἰατρὸς τῷ κάμνοντι προσφέρει ποτὰ καὶ βρωτὰ συντιθεὶς ἐναντίον αὐτοῦ. ἀξιοῖ δὲ ταῦτα καθαρῶς ἐργάζεσθαι. καὶ γέγραπταί γε κατ᾽ ἔνια τῶν ἀντιγράφων ἀντὶ τοῦ καθαρῶς, τὸ καθαρίως. ἔστι δὲ τοῦτο πρῶτον μὲν εἰ μηδένα ῥύπον ἔχει τὰ σκεύη, δι᾽ ὧν προσφέρεται τὰ ποτὰ καὶ βρωτά. δεύτερον δὲ, εἰ μηδὲ τῶν ἄλλων τι δι᾽ ὧν ὑπηρεσία γίνεται. πολλάκις γὰρ αὐτὸ μὲν ἐν ᾧ περιέχεται τὸ προσφερόμενον ἔδεσμα καὶ πόμα, καθαρόν ἐστιν. ἐν ᾧ δὲ ψυχρὸν ὕδωρ ἢ θερμὸν ὁ ὑπηρετούμενος ἔχει ῥυπαρὸν, ὥσπερ καὶ τῶν ἄλλων τι σκευῶν, ἐνίοτε τῶν πρὸς ὑπηρεσίαν ἀνηκόντων οὐ καθαρὸν φαίνεται. καὶ πρὸς τούτοις γε καὶ αὐτὸς ὁ ἰατρὸς, ὃν πρῶτόν τε καὶ μάλιστα τάς τε χεῖρας ἔχειν δεῖ καθαρωτάτας, καὶ τὸ πρόσωπον, καὶ τὰς τρίχας ἐπί τε τοῦ γενείου, καὶ τῆς κεφαλῆς. ἐφεξῆς δὲ καὶ τὰ ἄλλα μόρια τοῦ σώματος, ὥσπερ γε καὶ τὴν ἐσθῆτα λαμπρὰν, ἃ βλέπει φησὶν ὁ κάμνων. καὶ τοὺς αὐτὸν καὶ τοὺς ἐπισκοπουμένους, καὶ τὰ περὶ τὸν οἶκον ἐν ᾧ νοσεῖ. τούτων τε οὖν οὐδὲν αὐτὸν ἀηδῶς ὁρᾶν χρὴ, καὶ τῶν ὑπηρετουμένων ἐκείνους παρεῖναι διὰ παντὸς, οἷς μάλιστα ἥδεται. καὶ τῶν ἐπισκοπουμένων τοὺς μὲν φιλτάτους χρονίζειν παρ᾽ αὐτῷ. τοὺς δ᾽ ἄλλους δυοῖν θάτερον, ἢ μηδ᾽ ὅλως εἰσιέναι πρὸς αὐτὸν, ἢ μὴ μέχρι πλείονος ὁρᾶσθαι. ταῦτα δὲ πολυπραγμονήσας ὁ ἰατρὸς, αὐτὸς ἐργάσεταί τε καὶ διατάξει. τινὰ δὲ καὶ χωρὶς πολυπραγμοσύνης αὐτόματα γινώσκεται. πολλάκις γοῦν ἐπισκεπτόμενος τὸν κάμνοντα καὶ θεραπεύοντος τοῦ ἰατροῦ, δοῦλός τις ἐπεισελθὼν, ἤγγειλεν ἀφῖχθαι τόνδε τινὰ ἄνθρωπον ἐπισκέψασθαι βουλόμενον αὐτόν. εἶτα παραχρῆμα ποτὲ μὲν ἡσθεὶς, ἐφάνη πρὸς τὴν ἀκοὴν ὁ νοσῶν. ἔστι δ᾽ ὅτι μεγάλως ἀνιαθεὶς ὡς ἐνοχλεῖσθαι μέλλων ὑπὸ ἀνθρώπου μὴ φιλοῦντος αὐτὸν ἀληθῶς, ἀλλὰ προσποιουμένου. καὶ χρὴ τηνικαῦτα τὸν ἰατρὸν ὅταν εἰσέλθῃ τις, ὃν ὁ κάμνων οὐχ ἡδέως ὁρᾷ, μετὰ βραχὺ κελεύειν ἀξιοπίστως ἡσυχάσαι, συμφέρειν λέγοντα τῷ κάμνοντι, καὶ ἐπὶ ταύτῃ τῇ προφάσει ἐξελθεῖν ἀξιῶσαι, καὶ ἐξ αὐτοῦ πάντας. εὔδηλον γὰρ ὅτι συνεξελθόντες, ἐν τῷ παραυτίκα τοῖς μὴ φίλοις οἱ φίλοι, μετ᾽ ὀλίγον εἰσελθεῖν δυνήσονται. τὰ μὲν οὖν τοιαῦτα θεάματα τὴν γνώμην τοῦ κάμνοντος ἡδέως τε καὶ ἀηδῶς διατίθησιν, οὐ κατ᾽ αὐτὴν ἰδίως τὴν ὀπτικὴν αἴσθησιν, ἀλλὰ περὶ τὴν διάνοιαν. ἔνια δέ ἐστιν ἡδέα τῶν ὁρατῶν κατ᾽ αὐτὴν τὴν ὄψιν ὥσπερ γε καὶ τῶν ὀσφρητῶν, καὶ γευστῶν, καὶ ἀκουστῶν, καὶ ἁπτῶν. ὁμοίως ἅπασί γε ἐπὶ τοῖς αὐτοῖς ἡ ἴση τέρψις. ἄλλοι γὰρ ἄλλα, καὶ χρώματα, καὶ σχήματα, καὶ ἄνθη, καὶ φυτὰ, καὶ βλαστήματα, καὶ ζωγραφήματα θεῶνται, τὰ μὲν ὡς ἀηδῆ, τὰ δὲ ὡς ἡδέα. χρὴ τοίνυν παρὰ τῶν οἰκείων τοῦ κάμνοντος τὸν ἰατρὸν πυνθανόμενον, οἷς τισιν οἱ κάμνοντες ἥδονται, ταῦτα κελεύειν εἰσφέρεσθαι τοῖς οἴκοις ἐν οἷς κατάκεινται. μαλακῶς ὅσα ψαύει κατ᾽ αὐτὴν μόνην ψιλὴν τὴν ἁπτικὴν αἴσθησιν, ἡδέα ταῦτ᾽ ἐστί. ὥσπερ αὖ πάλιν ἄνθη τε καὶ φυτὰ, καὶ ποικίλα, καὶ τἄλλα ὅσα προείρηται τὴν ὄψιν μόνην τέρπει. προσθήσομεν οὖν ὅσα ταυτοῦ γένους ἐστὶ τοῖς εἰρημένοις, παραλέλειπται δὲ ὡς σαφῆ. δυοῖν γὰρ αἰσθήσεων ἐμνημόνευσεν ὄψεώς τε καὶ ἁφῆς. σὺ δὲ καὶ τὴν ὄσφρησιν προσθήσεις, δηλονότι καὶ τὴν γεῦσιν καὶ τὴν ἀκοὴν, καὶ κατά γε τὴν ἀκοὴν διαιρεῖν ὥσπερ ἐπὶ τῆς ὄψεως. ἔνια μὲν αὐτὴν τὴν αἴσθησιν μόνην τέρποντα καθάπερ αἱ ἡδεῖαι φωναί. τινὰ δὲ τὴν ἀκοὴν λυποῦντα καθάπερ αἱ ἀηδεῖς ἀγγελίαι. τοὐναντίον δὲ ἀλλ᾽ ἄττα τέρπει τε καὶ ἥδει. τοῦτό γε καὶ οἱ ἰδιῶται πάντες ἴσασιν, ὡς οὐδὲν ὧν ἀηδῶς ὁ κάμνων ἀκούσεται προσήκει λέγειν αὐτῷ. καθάπερ γε καὶ τὰ μέλλοντα μεγάλως ἥσειν αὐτὸν, ἀγγέλλειν πάντα, μετὰ τοῦ καὶ προσεπιψεύδεσθαί τι. ἐπὶ μέντοι τὴν ἐφεξῆς ῥῆσιν ἔνια καὶ τῶν ἐνταῦθα παραλελεῖφθαι δοκούντων ἐπαναλαμβάνων, προστίθησιν, ἄλλαι. πρόγραμμα τοῦτ᾽ ἐστιν ἄλλων χαρίτων μελλουσῶν λέγεσθαι. προειρηκότος γὰρ αἱ τοῖσι κάμνουσι χάριτες, εἶτ᾽ εἰπὼν, τὸ καθαρῶς δρᾶν ποτὰ ἢ βρωτά. καὶ τούτων ἐφεξῆς πάντων ὁρωμένων διελθὼν, εἶθ᾽ ἑξῆς ὑπὲρ τῶν πρὸς τὴν ἁφὴν ἡδέων. ἐπαγγέλλεται πρὸς ταῖς εἰρημέναις ἑτέρας ἐρεῖν χάριτας ὧν ἐφεξῆς ἀκούσῃ. τινὲς μέντοι τελέως ἐξεῖλον τῶν ἀντιγράφων τὸ πρόγραμμα τοῦτο, ἄλλαι, τινὲς δ᾽ οὐ θηλυκῶς μετὰ τοῦ ἰῶτα γράφουσιν ἀλλὰ χωρὶς τοῦ ι, ἐπὶ τὸ καλούμενον οὐδέτερον γένος ἄλλα μὴ μεγάλα βλάπτει, ἢ μὴ δυσανάληπτα. οἷον τὸ ψυχρὸν ὅκου τοῦτο δεῖ. καὶ τὰ μὴ μεγάλως βλάπτοντα δοτέον ἐστὶν ἐνίοτε τοῖς ἐπιθυμοῦσιν αὐτῶν σφόδρα, καὶ μέλλουσι μισεῖν τε τὸν ἰατρὸν ἐκ τοῦ μὴ λαβεῖν, ἀποστρέφεσθαί τε καὶ μηδὲν αὐτῷ προστάττοντι πείθεσθαι. διδόναι τοίνυν ἀναγκαῖόν ἐστιν ἐνίοτε τούτοις ἔνια τῶν ἐπιθυμουμένων, ἐὰν μὴ μεγάλως ὑπ᾽ αὐτῶν μέλλωσι βλάπτεσθαι. προλέγοντα μὲν ὅτι βλαβήσονται, καὶ δίδωσιν αὐτὰ χαρίζεσθαί τι βουλόμενος τῷ κάμνοντι. πρὸς δὲ τὸ μέλλον αὐτὸν ἀντιποιοῦντα παρ᾽ αὐτοῦ τὴν ἐν τοῖς ἄλλοις εὐπείθειαν. οἶδα γὰρ ἐνίους ἐκ τοῦ λαβεῖν πεισθέντας. οὕτω γοῦν κἀγὼ πολλάκις ἔδωκα ψυχρὸν ὕδωρ ἐν ἐκείνοις τοῖς νοσήμασιν ἐν οἷς μετὰ μίαν ἡμέραν ἦν αὐτοῦ χρεία. τοῦτο μόνον τῷ κάμνοντι χαρισάμενος ὡς μὴ περιμεῖναι τὸν ἄριστον καιρόν. ὡσαύτως δὲ καὶ περὶ βαλανείου, καὶ οἴνου, καὶ πάντων τῶν τοιούτων οἶδα πράξας. εἰ μέντοι μηδ᾽ ὅλως δέοιτο μηδὲ μετὰ μίαν ἡμέραν τὸ νόσημα μηδενὸς τούτων, οὐ χρὴ χαρίζεσθαι τῷ κάμνοντι. βραχεῖαν γὰρ βλάβην ἐπανορθώσασθαι δυνατόν ἐστι τὴν μετὰ ταῦτα τοῦ κάμνοντος εὐπείθειαν, τὴν δ᾽ οὕτως μεγάλην ὡς ἤτοι κίνδυνον ἔσχατον ἐπιφέρειν, ἢ χρόνου μῆκος, οὐκέθ᾽ οἷόν τε πρὸς τὸ δέον πάλιν ἐπαναγαγεῖν. γράφεται δὲ καὶ κατ᾽ ἄλλας λέξεις ἡ προκειμένη ῥῆσις μίαν μὲν τοιάνδε. ἀλλὰ καὶ μεγάλα βλάπτειν οἷον ψυχρὸν ὅκου δεῖ, τοῦ δὲ τοῦ βλάπτειν ῥήματος ἐπὶ τοῦ τέλους ἔχοντος τὸ ν. καὶ ταύτην γε τὴν γραφὴν οἱ παλαιοὶ τῶν ἐξηγητῶν ἴσασιν. ἑτέραν δὲ γραφὴν εὑρήσεις ἐν ἄλλοις ἀντιγράφοις χωρὶς τοῦ ν τοιαύτην. ἃ μὴ μεγάλα βλάπτει, ἢ μὴ δυσανάληπτα οἷον ψυχρὸν ὅκου τοῦτο δεῖ. βούλεται δ᾽ ἡ προκειμένη λέξις, ἢ μὴ δυσανάληπτα σημαίνειν τὰ μὴ ταχέως ὑπεῖξαι δυνάμενα τοῖς βοηθήμασιν, ὡς ἐπανορθῶσαι τὴν γεγονυῖαν ἤδη βλάβην. ἀλλὰ περὶ τούτου τοῦ πράγματος ὅσα περὶ τοῦ πρόσθεν εἶπον ἀναμνησθέντας, [χρὴ] μηδεμιᾶς ἑτέρας ἐστὶ δεηθῆναι νεωτέρας ἐξηγήσεως.

Εἴσοδοι, λόγοι, σχῆμα, ἐσθὴς τῷ νοσοῦντι, κουρὴ, ὄνυχες, ὀσμαί.

Τούτων τὰ μὲν ἄλλα πάντα προφανῶς ἐπὶ τὸν ἰατρὸν ἀναφέρεται. μεταξὺ δ᾽ αὐτῶν παρεγκείμενον τῷ νοσοῦντι, παρέχει τινὰ ζήτησιν, ὅθεν ἔνιοι παντάπασιν ἐξελόντες, αὐτὸ προσεποιήσαντο μηδ᾽ ὅλως εὑρηκέναι γε γεγραμμένον. ἀλλ᾽ οἵ γε παλαιοὶ τῶν ἐξηγητῶν ἴσασι καὶ ταύτην τὴν γραφήν. ἴσως δ᾽ αὖ τινὸς εὐπορήσαιμεν εἰς αὐτὴν πιθανοῦ, προσεπισκεψάμενοι τῶν εἰρημένων ἕκαστον ἰδίᾳ. καὶ πρώτας γε τὰς πρὸς τὸν κάμνοντα τοῦ ἰατροῦ εἰσόδους

ὅσα κεχαρισμένως αὐτοῖς γίνονται. τινὲς μὲν γὰρ ἐνοχλεῖσθαι νομίζουσιν ὑπὸ τῶν πολλάκις αὐτοὺς ὁρώντων, ἔνιοι δὲ πάνυ τούτῳ σφόδρα χαίρουσιν. ἰατροὶ δέ τινες εἰσὶν οἱ μέχρι τοσούτου μωραίνουσιν, ὡς καὶ τοῖς κοιμωμένοις ἐπεισιέναι μετὰ ψόφου πολλῶν, φωνῆς μείζονος, ὑφ' ὧν ἐνίοτε διεγερθέντες οἱ νοσοῦντες, ἀγανακτοῦσί τε πρὸς αὐτοὺς, καὶ βεβλάφθαι τὰ μέγιστά φασι. ἅπαντ' οὖν ταῦτα προορᾶσθαι χρὴ τὸν ἰατρὸν, ὡς μήτε παρὰ καιρὸν ὃν οὐ χρὴ παραγίνεσθαι, μήτε προπετῶς μετὰ ψόφων πολλῶν, καὶ φωνῆς μεγάλης, ἢ βαδίσματος ἀσχήμονος, ἢ βλέμματος, ἢ ὅλως οὑτινοσοῦν τοιούτου. λόγοι. τῶν μεγίστων ἐστὶ καὶ τὸ πρὸς τοὺς κάμνοντας ὑπὸ τῶν ἰατρῶν, ἤτοι προσηκόντως, ἢ οὐ προσηκόντως τι γινόμενοι. ἔνιοι μὲν γὰρ αὐτῶν ἐσχάτως εἰσὶν ἀβέλτεροι, τοιοῦτοί τινες ὄντες οἷον ὁ Ζεῦξίς φησιν ὑπὸ Βακχείου γεγράφθαι Καλλιάνακτα γεγονέναι τὸν Ἡροφίλειον, ἐν τοῖς ἀπομνημονεύμασιν Ἡροφίλου τε καὶ τῶν ἀπὸ τῆς οἰκείας αὐτοῦ. νοσοῦντος γάρ τινος εἶτ' εἰπόντος τῷ Καλλιάνακτι, τεθνήξομαι, φασὶν αὐτὸν ἐπιφωνῆσαι τόδε τὸ ἔπος,
10 εἰ μή σε Λητὼ καλλίπαις ἐγείνατο. ἑτέρῳ δὲ ταὐτὸ τοῦτ' εἰπόντι, φάναι, Κάτθανε καὶ Πάτροκλος ὅπερ σέο πολλὸν ἀμείνων. ἔνιοι δὲ τῶν νῦν ἰατρῶν, εἰ καὶ μετριώτεροι Καλλιάνακτός εἰσιν, ἀλλὰ τραχέως γε αὐτοῖς προσφέρονται τοῖς νοσοῦσιν ὡς μισηθῆναι. καθάπερ ἄλλοι τινὲς ἐξ ὑπεναντίου δουλοπρεπῶς κολακεύοντες, ἐξ αὐτοῦ τούτου κατεφρονήθησαν. ὥσπερ δὲ οὐ χρὴ μίσους ἄξιον φαίνεσθαι τῷ κάμνοντι τὸν ἰατρὸν, οὕτως οὐδ' εὐκαταφρόνητον, ἀλλ' ἐν τῷ φιλανθρώπῳ καὶ μετρίῳ καὶ ἡδεῖ τὸ σεμνὸν φυλάττειν. εἰ μὴ γὰρ ὥσπερ θεὸν ἑαυτὸν ὁ κάμνων θαυμάσειεν, οὐκ ἂν ὁ κάμνων εὐπειθὴς γένοιτο. βέλτιον οὖν ἐστι μήτε κολακεύειν εἰς τοσοῦτον ὥστε καταφρονεῖσθαι, μήτε ἄγροικόν τε καὶ τραχὺ ὁμοίως Καλλιάνακτι. γενήσεται δὲ τοῦτο φυλάττοντος μὲν ἔν τε τῷ βλέμματι, καὶ τῷ φθέγματι, καὶ τῷ παντὶ τοῦ σώματος σχήματι τὸ σεμνὸν τοῦ ἰατροῦ, ἐκδιδάσκοντος δὲ τὸν κάμνοντα πείθεσθαι τοῖς πραττομένοις ὑφ' ἑαυτοῦ. πολλοὶ δ' εἰσὶ λόγοι, καί σοι παραδείγματος ἕνεκεν οὐκ ὀκνήσω παραθέσθαι τινά. δυνήσεται γὰρ ὁ ἰατρὸς ἐπὶ προοιμίῳ πιθανῷ μετὰ ταῦτα πρὸς τὸν κάμνοντα διελθεῖν, ὅσα περὶ τῶν τοιούτων Ἱπποκράτης ἔγραψε. πρῶτον μὲν ἐν τοῖς ἀφορι-
20 σμοῖς εἰπών. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας ἔξωθεν. ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν. ἡ τέχνη διὰ τριῶν, τὸ νόσημα, ὁ νοσέων, ὁ ἰατρός. ὑπεναντιοῦσθαι τῷ νοσήματι τὸν νοσέοντα μετὰ τοῦ ἰατροῦ. καὶ ὡς τριῶν ὄντων ἰατροῦ καὶ νοσήματος, καὶ κάμνοντος, ἐὰν ὁ νοσῶν ἐάσῃ μόνον πολεμεῖν τῷ νοσήματι τὸν ἰατρὸν, ἢ καὶ πρὸς αὐτὸ μεταστὰς ἐναντιῶται τῷ ἰατρῷ, συμβήσεται νικηθῆναι τὸν ἰατρὸν ὑπὸ τοῦ νοσήματος. ἐὰν δὲ καταλιπὼν τὸ νόσημα σύμμαχος κατ' αὐτοῦ γένηται τῷ ἰατρῷ, μεγάλην ἐλπίδα τῆς νίκης ἔσεσθαι δυοῖν ἀνθρώπων πρὸς ἓν νόσημα μαχομένων, ὡς τότε ἐναντίον ἔμπαλιν οὐδεμιᾶς ἐλπίδος ἔσται περιεκτικὸν, ἐὰν ὁ κάμνων μετὰ τοῦ νοσήματος γενόμενος ἐναντιῶται τῷ ἰατρῷ, μονωθεὶς γὰρ οὗτος ὑπὸ τῶν δυοῖν νικηθείη ἄν. ἀρκεῖ σοι τὸ παράδειγμα τοῦτο νοῆσαι δυναμένῳ καὶ τὸ παραπλήσιον ἕτερα πολλὰ τοιαῦτα τῷ νοσοῦντι γίνεσθαι πρὸς τῶν ἰατρῶν. οὐ μόνον δὲ τῶν λεχθησομένων λόγων τοῖς κάμνουσιν ὑπὸ τῶν ἰατρῶν τοιαύτην εἶναι προσήκει τὴν διάνοιαν, ἀλλὰ καὶ τὸ μέγεθος τῆς φωνῆς, καὶ τὸν τόνον, καὶ τὴν ὅλην ἀπόκρισιν, ἀνάλογον εἶναι τῇ διανοίᾳ τῶν λόγων. εἰ δὲ καὶ πεπαιδευ-
30 μένῳ διαλέγοιτό τις ἀνδρὶ, καὶ μετὰ τοῦ μὴ σολοικίζειν τε καὶ βαρβαρίζειν. καὶ γὰρ ἐκ τῶν τοιούτων εὐκαταφρόνητοι τοῖς κάμνουσιν οἱ ἰατροὶ φαίνονται. σχῆμα. καὶ τὸ σχῆμα τοῦ σώματος ὅλου, κατά τε τὴν εἴσοδον, καὶ τὴν καθέδραν ὁ ἰατρὸς ἐχέτω, μήτε ταπεινὸν ὡς εὐκαταφρόνητον εἶναι, μήτε χαυνότητά τινα καὶ ἀλαζονείαν ἐνδεικνύμενον. ἔνιοι μὲν γὰρ ἀνατεταμένοι, καὶ πλατεῖς ἑστᾶσί τε καὶ καθέζονται. ἔνιοι δὲ διατεθρυμμένοι, τινὲς δὲ ἐγκεκυφότες, καὶ ταπεινοί. φεύγειν οὖν ἁπάσας δεῖ τὰς ὑπερβολὰς, καὶ πειρᾶσθαι μέσον αὐτῶν εἶναι. εἰ δέ ποτε κατὰ τὸ σαύλιον ὁ κάμνων φαίνοιτό σοι φιλοταπεινός τις, ἀπὸ τοῦ μέσου βραχὺ πρὸς τὸ ταπεινότερον ἄμεινόν ἐστι σχηματίζειν ἑαυτόν. εἰ δ' ἐναντίως ἔχοι, καὶ σὺ τἀναντία ποιήσεις ἐπὶ βραχὺ τοῦ μέσου τε καὶ παρὰ φύσιν, ἐφ' ἑκάτερα παραχωρῶν. ἐσθής. καὶ αὕτη κατὰ τὸν αὐτὸν λόγον ἔστω μέση, μήτε πολυτελὴς ὡς ἀλαζονείαν ἐμφαίνειν, μήτε ῥυπαρὰ, καὶ πάνυ ταπεινή. πλὴν εἴπερ ὁ κάμνων αὐτὸς εἴη τῶν ἀμετροτέρων ἢ τὰ πολυτελῆ φιλούντων, ἢ τοῖς ῥυπαροῖς ἡδομένων. ἐπὶ τούτων γὰρ ἀπὸ τῆς μεσότητος ἐπὶ τὸ τῷ κάμνοντι φίλτερον ἀποχωρήσεις. ὅσον ἂν ἑκάστης, ἔσεσθαί τι σύμμετρον
40 τῷ νοσοῦντι. διὰ μέσου τοῦτ' ἔφην ἐγκείμενον ἀπορίαν παρέχειν. εἰ δέ γε κατὰ τὴν ἀρχὴν τῆς ὅλης ῥήσεως, ἢ τὴν τελευτὴν εἴρητο, σαφὲς ἂν ἦν ὡς ἅπαντα ταῦτα τῷ νοσοῦντι κεχαρισμένως προσήκει πράττειν τὸν ἰατρὸν, εἰσόδους, λόγους, σχῆμα τοῦ παντὸς σώματος, ἐσθῆτα, κουρὰν τριχῶν, ὀνύχων συμμετρίαν, ὀσμήν. ἐπί τε γὰρ εἰσόδων ἄλλη πρὸς ἄλλον ἐστὶ τῶν νοσούντων ἡ συμμετρία, καθότι πρόσθεν εἶπεν. ἐν δὲ τοῖς λόγοις ὡσαύτως. οἱ μὲν γὰρ μυθολογοῦσι τοῖς ἰατροῖς ἥδονται, τινὲς δὲ ἀνιῶνται. καὶ τινὲς μὲν σεμνοῖς λόγοις, τινὲς δ' εὐτραπέλοις χαίρουσι. καὶ περὶ τῶν σχημάτων τε καὶ τῆς ἐσθῆτος ἀρτίως εἴρηται, τίνα τρόπον ἐστοχάσθαι χρὴ τῶν ἡδέων τῷ νοσοῦντι. κουρὴ τῶν τριχῶν. ἡ κουρὰ φύσει μὲν ἀρίστη γένοιτο ἂν, εἰ στοχάζοιτο τῆς κατὰ τὴν κεφαλὴν ὑγείας. ἄλλοις γὰρ ἄλλο προσήκει. τοῖς νοσοῦσι δὲ, τὸ τῆς κουρᾶς εἶδος οὐ ταὐτὸ ἅπασιν ἡδύ. στοχάζεσθαι τοίνυν σε χρὴ καὶ τούτου πρὸς τὸν ἰατρευόμενον ἀποβλέποντα, καθάπερ ἐπ' Ἀντωνίνου τοῦ Κομμόδου πατρὸς ἐποίουν οἱ συνόντες ἅπαντες ἐν χρῷ κειρόμενοι. Λούκιος δὲ μιμολόγους αὐτοὺς ἀπεκάλει καὶ διὰ τοῦτο πάλιν ἐκόμων οἱ μετ' ἐκείνου. ὄνυχες. πηλίκους εἶναι χρὴ τοὺς ὄνυχας τοῖς ἰατροῖς, αὐτὸς ἐδίδαξεν ἐν τῷ κατ' ἰητρεῖον,
50 συνάπτων αὐτῶν τὴν συμμετρίαν ἡδεῖαν εἶναι τοῖς ὁρῶσι. περὶ δὲ τῶν χώραν ἐχόντων ὀνύχων, ἤ τι τοιοῦτο, καθάπερ γε καὶ περὶ τῆς ἐν κεφαλῇ τῶν τριχῶν ἀλωπεκίας, ἢ ὀφιάσεως, οὐδὲ λόγου δεῖται. ταῦτα γὰρ ὡς ἤδη παρὰ φύσιν αἴσχιστόν ἐστιν ἔχειν ἰατρῷ. καθάπερ γε καὶ ἀρθρῖτιν ἰσχυρὰν, ἢ τι τοιοῦτον ἕτερον. ὀδμή. καὶ τῆς ὀδμῆς τοῦ σώματος ὅλου καὶ τοῦ στόματος, ἡ μέν τις οὖσα ἐνίοις φύσει μοχθηρὰ καθάπερ γε καὶ ἄλλοις τισὶν ἄμεμπτος. ἡ δ' ἐξ ἀμελείας ἐγγίνεται μηδὲν ἡγουμένων ἁμαρτάνειν τῶν ἰατρῶν, ἐὰν ἤτοι σκόροδον, ἢ κρομμύων ὄζοντες ἐπισκοπῶνται τοὺς νοσοῦντας. ἐπὶ δὲ Κοΐντου τοῦ κατὰ τὴν πατρίδα ἡμῶν ἰατρεύοντος ἐν Ῥώμῃ, καὶ τοιοῦτόν τι συνέβη. μετ' ἄριστον ἐπεσκέπτετό τινα τῶν πλουσίων τε καὶ πολὺ δυναμένων ἀνδρῶν, ὄζων οἴνου σφοδρῶς. πυρέττων οὖν ἱκανῶς ὁ κάμνων ἅμα κεφαλαλγίας, καὶ διὰ τοῦτο μὴ φέρων τὴν ἐκ τοῦ οἴνου προσπίπτουσαν ὀσμὴν, ἠξίου προσωτέρω χωρῆσαι τὸν Κόϊντον, αἰτιῶν αὐτὸν ἐξόζοντα σφοδρῶς οἴνου. ταῦτα μὲν οὖν ὁ κάμνων ἐφαίνετο μετρίως λέγειν. ὁ Κόϊντος δ' ἀβελτέρως αὐτῷ προσενεχθεὶς, ἐκέλευσεν ἀνέχεσθαι

τῆς ὀσμῆς. καὶ γὰρ ἑαυτὸν ἔφη τοῦ κάμνοντος ἀνέχεσθαι πυρετοῦ ὄζοντος. ἦν δ' οὐκ ἴσον ἢ πυρετὸν, ἢ οἶνον ὀσμᾶσθαι. ἕτερον δ' ἰατρὸν ἐπὶ τῆς ἡμετέρας ἀσίας οἶδα δυσώδεις ἔχοντα τὰς μύλας, ὡς διὰ τοῦτο μὴ φέρειν αὐτοῦ τὴν ὀδμὴν ἄνθρωπον νοσοῦντα μηδένα καθάριον. ἐχρῆν οὖν αὐτὸν ἑαυτοῦ πρῶτον ἰᾶσθαι τὸ σύμπτωμα, καὶ οὕτως ἐπιχειρεῖν ἑτέρους θεραπεύειν. ἐγχωρεῖ γὰρ εἰ καὶ σύμφυτον ὥσπερ καὶ τοῖς τράγοις ἐστὶν, ἀλλά τοι μετριώτερόν γ' αὐτὸ ποιήσαντα, τὸ μέτριον αὖθις τοῦτο πραΰνειν ἑκάστης ἡμέρας διαπάσμασιν ἀμβλωτικοῖς δυσωδίας. ἄλλος γοῦν τις ἔχων δυσῶδες φύσει τὸ σῶμα, προὐνοήσατο μετριώτερον αὐτὸ ποιήσασθαι διά τε καθάρσεως, καὶ φαρμάκων πόσεως ἐπιτηδείων εἰς τοῦτο. καὶ καθ' ἑκάστην ἡμέραν ὀλίγιστόν τι λαμβάνειν εἰς αὐτό ποτε μὲν ἀμώμου, ποτὲ δὲ μαλαβάθρου φύλλου, ποτὲ δὲ ἄλλου τινὸς τῶν εὐωδῶν, οὕτως ἐκ τῆς οἰκίας προήρχετο.

Ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχηται τὸν ἠέρα, τὸ δὲ μὴ ἔμπλεον εἶναι, καὶ ἐπίθεμα ἔχειν.

Ἐπὶ τίνων παθῶν, ἢ τίνος ἕνεκα χρείας ἀφεψεῖν προσήκει τὸ ὕδωρ, εἴτ' οὖν ἅπαν, εἴτε μόνον τὸ μοχθηρὸν, οὐκ εἴρηται κατὰ τὴν ῥῆσιν, ὥστ' οὐδ' ὠφέλειά τις ἐξ αὐτῆς ἡμῖν ὑπάρχειν. φαίνεται γὰρ ὥσπερ ἄλλα πολλὰ τοῦ ζητῆσαι χάριν, ἢ καὶ συγγράψαι πρὸς ἔκδοσιν ὁ Ἱπποκράτης ἐν τούτοις τοῖς βιβλίοις ὑποτυπούμενος οὕτω, καὶ τοῦτον γράψαι τὸν λόγον ἐλλιπῶς μὲν ἡμῖν, ἑαυτῷ δ' εἰς ἀνάμνησιν οὐκ ἐλλιπῶς. εἰ δὲ πρόβλημα θέντες ἡμεῖς ἡμῖν αὐτοῖς εὑρεῖν ὁποῖα τῶν ὑδάτων ἀφεψεῖν χρὴ πρότερον, εἶτα ψύξαντας πίνειν, εἴ γε δὴ ψυχρὰ πίνειν ἐθέλοιμεν αὐτά. καὶ κατὰ τοὐναντίον αὖ τίνα θερμὰ βουλόμενοι πίνειν, οὐχ ὁμοίως ἑψήσωμεν. ἀλλὰ τῷ μὲν ἐπίθεμα ποιήσαντες ἁρμόττον τῷ σκεύει καθ' ὃ θερμαίνεται, τῷ δὲ μηδὲν ἐπιθέντες, ἀλλ' ἐπιτρέψαντες διὰ γυμνοῦ, καὶ ἀστεγνώτου τοῦ ἀγγείου τὸ θερμαινόμενον ὕδωρ ὁμιλεῖν τῷ πέριξ ἀέρι. ζητήσωμεν δὲ ἀκολούθως καὶ τίνα παθήματα δεῖται θερμῶν, ἢ ψυχρῶν ὑδάτων. αὐτοὶ μὲν εἴ τι χρήσιμον εὑρίσκομεν, οὐ μὴν ἐκ τῆς προκειμένης ῥήσεως εἰς τὴν εὕρεσιν ὠφεληθησόμεθα. τὴν ἀρχὴν γὰρ ὅλως οὐδὲν ἀποσοβεῖ. διὸ καὶ τινὲς μὲν αὐτὴν συνάπτουσι τῇ προγεγραμμένῃ καθάπερ Ἀρτεμίδωρος ὁ ἐπικληθεὶς Καπίτων. οἱ πλεῖστοι δ' ἀποχωρίσαντες ἰδίᾳ σκοποῦνται μόνην. ἐὰν οὖν συνάπτηται τῇ προκειμένῃ, τοιόνδε τινὰ τὸν νοῦν ἕξει. αἱ τοῖσι κάμνουσι χάριτες οἷον τὸ καθαρείως δρᾶν, ἢ ποτὰ, ἢ βρωτά. καὶ τὰ ἄλλα ὅσα τούτοις ἐφεξῆς εἶπεν ὁ Ἱπποκράτης. εἶτ' ἐπὶ τῇ τελευτῇ, καὶ τὸ ὕδωρ δὲ δοτέον αὐτοῖς ἐνίοτε ψυχρόν. ὅταν ἤτοι μηδ' ὅλως ἐλπίσωμεν ἐκ τῆς πόσεως αὐτοῦ γενήσεσθαί τινα βλάβην, ἢ παντάπασιν ὀλίγην, εἶθ' ἑαυτῷ πρὸς ἀνάμνησιν, ὥς φασιν, ἐφεξῆς ἔγραψε τὸν τρόπον τῆς παρασκευῆς αὐτοῦ. τάχα μὲν οὐδέ ποτε βουλόμενος ἀπὸ πηγῆς ὕδωρ διδόναι πρὸ τοῦ θερμανθῆναι. τάχα δὲ διορισμόν τινα εὑρηκὼς, οἷς τε χρὴ διδόναι θερμανθέν τε καὶ ψυχθὲν, οἷς τε χωρὶς τοῦ θερμανθῆναι. τάχα δὲ τὸ μὲν ἀμεμπτον ὕδωρ ἄνευ τῆς ἑψήσεως. τὸ δὲ μοχθηρὸν ἑψήσας, ἐβούλετο δίδοσθαι, τάχα δὲ καὶ ψύξιν ὕδατος ἀπείπτου γράφει διττήν. ἑτέραν μὲν ἐκ τοῦ περιέχοντος ἀέρος γινομένην, ἐπεὶ γοῦν ἀλεξανδρειάν τε καὶ πᾶσαν αἴγυπτον ἐθεασάμην ἀποψύχοντας αὐτοὺς τὸ ὕδωρ ἐν ἀγγείοις τισὶν ὀστρακίνοις τρόπῳ τοιῷδε. δύνοντος ἡλίου προθερμήναντες αὐτὸ, τοῖς ἀγγείοις ἐνέβαλον, εἶτα μετέωρον ἐκρέμων ὅλον τοῦτο τὸ ἀγγεῖον ἐν θυρίσιν ἐστραμμέναις πρὸς ἄνεμον, ὡς δι' ὅλης νυκτὸς ψύχεσθαι, κἄπειτα πρὶν ἀνατεῖλαι τὸν ἥλιον ἐπὶ τῆς γῆς ἐτίθεσαν ὕδατι ψυχρῷ κατερραμμένης, ἐν κύκλῳ φύλλα ψυχρὰ περιετίθεσαν ὅλῳ τῷ ἀγγείῳ, ποτὲ μὲν ἀμπέλων, ἢ θριδακίνης, ἔστι δ' ὅτε καὶ ἄλλων τινῶν ὁμοίων ὡς διαμένειν ἐπὶ πλεῖστον, ἣν κατὰ τὸν νυκτερινὸν ἀέρα τὸ ὕδωρ ἐπεκτήσατο ψύξιν. ἔτι δὲ μᾶλλον ἐπὶ τὴν τοιαύτην ἤρχοντο παρασκευὴν οἱ ἄνθρωποι μὴ παρόντος αὐτοῖς ὕδατος ἀμέμπτου. λέγω δ' ἄμεμπτον τὸ μήτ' ἰλύος ἔχον τι μήτε φυσῶδες ἄποιόν τε τοῖς γευομένοις. ἔνια γὰρ ἀτόπους ἐπιμεμιγμένας ἔχει ποιότητας, ἁλῶν, ἢ λίτρου, ἢ θείου τε καὶ ἀσφάλτου, καὶ στυπτηρίας, ἑτέρων τε τοιούτων. ἐφ' ὧν ἁπάντων ἄμεινόν ἐστιν ὥσπερ ὄσπριά τε πολλὰ προέψοντες ἐπιτήδεια πρὸς ἐδωδὴν ἐργαζόμεθα, λάχανά τε καὶ καρποὺς, καὶ ζώων μόρια, κατὰ τὸν αὐτὸν λόγον καὶ τὸ ὕδωρ ἑψήσει πρῶτον ἀλλοιοῦντες ἐπὶ τὸ βέλτιον, οὕτω προσφέρεσθαι. καὶ καθ' ἑτέραν δὲ χρείαν ὕδωρ προθερμαίνοντες ψύχομεν. εἴ γε μήτε γεῦσιν ἔχοι, μήτ' ὀδμὴν μοχθηρὰν, ἀκριβῶς δ' εἴη καθαρόν. ὅταν αὐτοῦ πειραθῶμεν, ἤτοι γε πλέον ἐν τῇ γαστρὶ διαμένοντος, ἢ πλάττοντος αὐτὴν, ἢ ἐκφυσῶντος, ἢ βαρύνοντος. ἔστι γὰρ ἀμέλει καὶ τοιαῦτα πολλὰ περὶ ὧν μάλιστά μοι δοκεῖ γεγραφέναι τὴν διάκρισιν ἀπὸ τῶν ἀρίστων ὑδάτων ὁ Ἱπποκράτης, ἔνθα φησί. ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον, κουφότατον. οὐ γὰρ ἐπὶ τῶν βορβορωδῶν, ἢ δυσωδῶν, ἢ φαρμακῶδές τι κατὰ τὴν γεῦσιν ἐμφαινόντων, ἡ τοιαύτη διάγνωσίς ἐστι χρήσιμος, ἅ γε προδήλως ἐμφαίνεται πᾶσιν, ἀλλ' ἐφ' ὧν οὐδὲν μὲν τούτων ἐστὶν, ἑτέρα δέ τις, ἤτοι διὰ τὴν μιξίαν ἀέρος μοχθηροῦ κακία περὶ τὸ ὕδωρ ἐστὶν, ἤ τις ἄλλη σύμφυτος αὐτῷ τῷ ὕδατι διαλεληθυῖαν ἔχουσα τὴν αἰτίαν. ἐπὶ τούτων γὰρ ἡ εἰρημένη διάγνωσις ἄριστον κριτήριον, οὔτε γὰρ θερμαίνεται ταχέως, οὔτε ψύχεται τὰ τοιαῦτα τῶν ὑδάτων. ἕτερά τε παραπλήσια τῷδε διὰ τῶν ἑψομένων ἐν αὐτῷ λαχάνων ἢ ὀσπρίων, ἢ καρπῶν, ἢ κρεῶν, ἢ ῥιζῶν. τάχιστα μὲν γὰρ ἐν τοῖς ἀρίστοις ὕδασι, βραδύτατα δὲ ἐν τοῖς μοχθηροῖς ἕψεται. καὶ κεκλήκασί γε τὰ οὕτω μοχθηρὰ τῶν ἀρχαίων τινὲς ἀτεράμνα τε καὶ ἀτεράμονα, παραπλησίως αὐτοῖς ὀσπρίοις ὅσα δυσχερῶς ἕψεται. διὰ τοιαύτας μὲν οὖν χρείας ἐνίοτε προθερμαίνοντες ὕδωρ ψύχομεν. οὐ μὴν ἀλλὰ καὶ θερμὸν αὐτὸ πίνειν μέλλοντες ὅταν ᾖ βορβορῶδες, ἢ ἰλυῶδες, ἢ δυσῶδες, οὕτω προπαρασκευάζομεν. ὅταν γὰρ προθερμανθὲν ψυχθῇ, κατὰ μὲν τὴν αἴσθησιν ἀποτίθεται τὴν δυσωδίαν ἣν ἐκ σηπεδόνος τὸ σύμπαν ἐπικτᾶται, τότε γεῶδες ἅπαν ἐφιστάμενον ἴσχει ῥᾳδίως. ὃ πρὶν θερμανθῆναι κατὰ σμικρὰ μόρια μεμιγμένον, ἅπαντι τῷ ὕδατι πινόμενον, ἅμα αὐτῷ βλάβην οὐ σμικρὰν ἐργάζεται, καὶ μάλισθ' ἐφ' ὧν τὰ κατὰ νεφροὺς, ἢ κύστιν ἐπιτήδεια πρὸς λίθων γένεσίν ἐστι. καὶ τό γε ἐξαιθριάζειν οὐ μόνον τὸ ὕδωρ τὸ θερμανθὲν, ἀλλὰ καὶ ἄλλ' ἄττα δοκεῖ μοι τοὺς ἰατροὺς ἐπινοῆσαι, τῆς τοιαύτης διακρίσεως ἕνεκεν. ὅσα γὰρ ἐξ ἑτερογενῶν οὐσιῶν σύγκειται κατὰ σμικρὰ μόρια τὴν μίξιν ἐσχηκότα, ταῦτα ψυχόμενα μετὰ τὸ θερμανθῆναι ῥᾳδίως διακρίνεται. πρὶν δὲ ψυχθῆναι μετὰ τὴν ἕψησιν ἔτι κονιᾶται, καὶ διὰ τοῦτο ἀναμέμικται πάντ' αὐτοῦ τὰ μόρια. ψυχομένων δὲ, τὸ μὲν βαρὺ καὶ γεῶδες ἐν αὐτοῖς ὑφιζάνει, τὸ δὲ κοῦφον ἐπιπολῆς ἵσταται. εἰ μὲν συνάπτοιτο τοῖς προειρημένοις ἐν οἷς ἔγραψεν ὁ Ἱπποκράτης

κράτης τὰς τοῖς κάμνουσι χρείας, ὁ περὶ τῶν ὑδάτων ἑψήσεως λόγος, ἥτε χρεία σαφὴς ἐστὶν αὐτοῦ, τότε λεγόμενον αὐτὸ τάχ' ἂν εὕροιμεν ἀκριβῶς ὁποῖόν ἐστιν. εἰ δ' ἀποσχίσαντες ἀπὸ τῆς τῶν προειρημένων συνεχείας, τὴν ἄρτι προκειμένην ῥῆσιν ἰδίαν ποιοίμεθα, μεστὸς ἀπορίας λόγος ἔσται. πρότερον οὖν αὐτὴν ὡς συνημμένην ἐξηγησόμεθα, λέγοντες ὕδατος ἐν αὐτῷ δηλοῦσθαι παρασκευὴν ἀβλαβῆ τοῖς μέλλουσι πίνειν ψυχρὸν, ἣν κἀγὼ ποιοῦμαι πολλάκις ὅταν μέλλω τινὶ διδόναι τῶν νοσούντων ὕδωρ ψυχρὸν, ἀπορῶν πηγῆς ἄμεμπτον ἐχούσης. ἐν ῥώμῃ γὰρ ὥσπερ ἄλλα πολλὰ πλεονεκτήματα ἐν τῇ πόλει ἐστὶν, οὕτω καὶ τὸ τῶν πηγῶν κάλλος τε καὶ πλῆθος, οὐδεμιᾶς οὔτε δυσώδους, οὔτε φαρμακώδους, οὔτε θολερὸν, οὔτ' ἀτέραμνον ἐχούσης ὕδωρ, ὥσπερ οὐδ' ἐν περγάμῳ παρ' ἐμοί. κατ' ἄλλας δὲ πόλεις πολλὰς οὐκ ὀλίγα μοχθηρὰ τῶν ὑδάτων ἐστί. τὰ γοῦν ἐκ τῶν λιβυρτίνων ὀρῶν ὕδατα, διὰ τῶν λιθίνων ἀγωγῶν εἰς τὴν ῥωμαίων πόλιν ἀγόμενα, τῆς μὲν ἄλλης ἀπήλλακται κακίας. ἀτέραμνα δέ πως ἐστὶν ὡς μήτε θερμαίνεσθαι ταχέως, ὥσπερ αἱ κατὰ τὴν πόλιν πηγαὶ, μήτε ψύχεσθαι, μήτε ἕψεσθαι διὰ ταχέων ἐν αὐτοῖς ὥσπερ ἐν πηγαίοις, ἅπερ ἂν ἐμβάλῃ τις ὄσπριά τε καὶ λάχανα, καὶ κρέα. τούτων δ' ἄλλα κατ' ἄλλας χώρας πολὺ μᾶλλόν ἐστιν ἀτέραμνα, καὶ πρὸς αὐτῶν τῶν ἐπιχωρίων ὀνομαζόμενα σκληρὰ καὶ βαρέα, διὰ τὸ πλήττεσθαί τε τὴν γαστέρα, καὶ μετὰ τὴν πόσιν αἰσθάνεσθαι βάρους τοὺς πλείονας. εἰώθασι γὰρ ἀμέλει καὶ ἄλλα πολλὰ τῶν ποιούτων αἰτίων ὁπουοῦν ἀπὸ τοῦ γινομένου πάθους ὀνομάζειν. οὕτω γοῦν καὶ τοὐναντίον ὕδωρ τῷδε τὸ κάλλιστον ἐπαινοῦντες, ὀνομάζουσι κοῦφόν τε καὶ μαλακόν. ἀλλὰ ταῦτά γε πάντα τὰ λελεγμένα χρήσιμα μέν ἐστι γινώσκεσθαι. διδάσκεται δ' οὐδὲν αὐτῶν ἐκ τῆς προκειμένης ῥήσεως. οὔτ' οὖν ἀναποδείκτως, οὔτε μετ' ἀποδείξεως, οὔτε διὰ βραχέων ἀσαφέστερον, οὔτε διηρθρωμένως μακρότερον. ἄμεινον οὖν ἐστι κατά γε τὴν ἐμὴν γνώμην ὑπερβαίνειν ὅλας τοιαύτας λέξεις. ἐὰν μὲν ὅπως χρὴ παρασκευάζειν ὕδωρ εἰς πόσιν ψυχρὸν ὁ Ἱπποκράτης προὔθετο γράφειν, ὁ νοῦς αὐτῆς ἔσται τοιοῦτος. ἐὰν ἕψωμεν ὕδωρ ἕνεκεν τῆς προειρημένης χρείας, ἤτοι γ' οὐδὲν ἐπιθήσομεν τοῖς ἀγγείοις ἐν οἷς ἕψομεν, ἀλλ' ἐπιτρέψομεν ὁμιλεῖν τῷ πέριξ ἀέρι τὸ ἑψόμενον, ἢ τοὐναντίον ἀποκλείσομεν τὸν ἀέρα στεγνώσαντας πώματι τὸ ἀγγεῖον. αὐτὰ δὲ δὴ ταῦτα πάλιν, ἤτοι κατὰ τὴν ἕψησιν αὐτὴν, ἢ κατὰ τὴν ἐπ' αὐτῇ γενησομένην ψῦξιν εἰρῆσθαι δυνατόν ἀκούειν ἐστί. πιθανώτερον μὲν ἐπὶ τῆς ψύξεως, ἀπιθάνως δ' ἐπὶ τῆς ἑψήσεως. οὐ γὰρ ἔχομεν εἰπεῖν, ἥν τινα χρείαν ἡμῖν παρέξει κατὰ τὴν ἕψησιν ὁ περιέχων ἀὴρ ἢ κωλυόμενος ἐμπίπτειν τοῖς ἑψομένοις ὕδασιν. ἐπὶ δὲ τῆς μετὰ τὴν ἕψησιν ψύξεως ἔνθα μὲν ἀποροῦμεν, ἤτοι φρέατα ἐν ᾧ τὸ ἀγγεῖον ὑποθήσομεν, ἀναγκαῖόν ἐστιν ἐπίθεμά τε ποιῆσαι τῷ ἀγγείῳ, καὶ πάντοθεν ἀκριβῶς αὐτὸ στεγνῶσαι. ἔνθα δ' οὐδὲν τὸ ἀγγεῖον ἀπώμαστον ὡς δέχεται τὸν ψυχρὸν ἀέρα. τινὲς δὲ τῶν ἐξηγητῶν ὅσοι γε χωρὶς τοῦ συνάψαι τοῖς προειρημένοις ἀναγινώσκειν ἀξιοῦσι τὴν προκειμένην λέξιν, εἶναι μὲν αὐτῷ τὸν λόγον φασὶν περὶ τῶν μοχθηρῶν ὑδάτων, καὶ μάλιστα ὅσα διὰ γεώδη τινὰ οὐσίαν ἐμφερομένην τοιαῦτ' ἐστί. μέτρον δ' εἰρῆσθαι τῆς ἑψήσεως, ἄχρι τοσούτου αὐτὰ δεῖν ἕψειν, ὡς ἂν γένηται καθαρὰ, καὶ διαυγῆ δεξάμενα τὸν ἔξωθεν ἀέρα. διὰ γὰρ τὴν τούτου μίξιν, οὐ δι' ἑαυτὰ λαμπρὰ φαίνεσθαι τὰ κάλλιστα τῶν ὑδάτων, εἰς φυσιολογίαν ἑαυτοὺς ἐμβάλλοντες, ὑπὲρ ἧς οὐδ' ὀλίγα λόγον ἀποδοῦναι δύνανται. λαμπρὸν γὰρ φαίνεται τὸ καθαρὸν ὕδωρ οὐκ αὐγῆς τινὸς ἔξωθεν ἐμπιπτούσης εἰς αὐτὸ λαμπρᾶς, ἀλλὰ κατὰ τὴν ἀλλοίωσιν ἣν ἐκ τοῦ προσπίπτοντος ἔχει φωτὸς, ὥσπερ γε καὶ αὐτὸς ὁ ἀήρ. οὐδὲ γὰρ οὐδ' οὗτός ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν λαμπρὸς, ἢ πάντως ἂν ἦν καὶ νύκτωρ τοιοῦτος, ἀλλὰ τοῖς ἄνω πέρασιν αὐτοῦ προσπιπτούσης τῆς ἡλιακῆς αὐγῆς, ὅλος ἀλλοιοῦταί τε καὶ μεταβάλλεται συνεχὴς ὢν ἑαυτῷ. τὸ δὲ κενὰς εἶναί τινας χώρας, ἢ κατὰ τὸ ὕδωρ, ἢ κατὰ τὸν ἀέρα, τῇ μὲν Ἐπικούρου τε καὶ Ἀσκληπιάδου δόξῃ περὶ τῶν στοιχείων ἀκόλουθόν ἐστι, τῇ δ' Ἀριστοτέλους τε καὶ στοϊκῶν ἐναντίον οὐδ' ἀμόθι κενὸν οὐδὲν ἐν τῷ κόσμῳ πεπεισμένων ὑπάρχειν, ἀλλ' ἐκπεπληρῶσθαι πάντα σώμασιν. οὐδὲ γοῦν κατὰ τὴν κίνησιν αἱ μεταξὺ τῶν γεωδῶν σωμάτων χῶραι παντάπασιν αὐτοῖς εἶναι δοκοῦσι κεναί. περιέχεσθαι γοῦν ἐν αὐταῖς τὸν ἀέρα φασί. κατὰ μέντοι τὸ ὕδωρ οὐκ εἶναί τινα πορωποιΐαν τοιαύτην ὁποία κατὰ τὴν κίνησιν ἐστιν, ἀλλὰ συνεχὲς ἑαυτῷ παντοίως ὑπάρχειν αὐτό. βέλτιον οὖν εἰρῆσθαι νομίζειν φησὶ ὡς δέχεται τὸν ἀέρα περὶ τοῦ μὴ πωμασθέντος ἀγγείου. καὶ γὰρ τὸ γεγραμμένον ἐφεξῆς οὐ προσίεται τὴν εἰρημένην ἐξήγησιν ἔχον οὕτως. τὸ δὲ μὴ ἔμπλεον εἶναι, καὶ ἐπίθεμα ἔχειν, ἀντιδιῄρηταί τοι τῇ προκειμένῃ λέξει, καθ' ἣν φησιν ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχεται τὸν ἀέρα. τοῦ γοῦν ἐπιφερομένου τῷδε τῷ λόγῳ, τοῦ δεύτερου κατὰ τὴν ῥῆσιν ἀξιοῦντος ἐπίθεμα ἔχειν τὸ ἀγγεῖον, ὁ ἀντιδιῃρημένος αὐτῷ, τὸ μηδ' ὅλως ἔχει τὸ ἐπίθεμα κωλύσει, καὶ τοῦτο ἐσήμαινεν ὁ Ἱπποκράτης ἐν τῷ γράψαι τὸ μὲν ὡς δέχεται τὸν ἀέρα. τὸ γὰρ ἐπίθεμα ἔχον ἀγγεῖον, οὐ δέξεται τὸν ἀέρα. τὸ δ' οὐκ ἔχον, ἑτοίμως δέχεται δηλονότι. τοῦτο δὲ φαμὲν ἐπὶ τοῦ ἀέρος ψυχροῦ ψυχομένων ὑδάτων γίνεσθαι, καθάπερ ἐπὶ τῆς ἀλεξανδρείας εἰώθασι πράττειν. ἔνθα δὲ μὴ κρουνοῖς ὑποβάλλουσι τὸ ἀφεψηθὲν ὕδωρ, ἐνταῦθα βέλτιόν ἐστιν ἀπόκενον εἶναι τὸ ἀγγεῖον, ὅπως μεταξὺ τοῦ ἐπιθέματος, καὶ τοῦ κατὰ τὸ ἀγγεῖον ὕδατος ἀὴρ ψυχθεὶς αὐτὸς πρότερον, οὕτω τῇ ψαύσει ψύξῃ τὸ πλησιάζον ὕδωρ. ὥσπερ γὰρ ὕδωρ ἑτοιμότερον ἁπάντων τῶν γεωδῶν σωμάτων θερμαίνεταί τε καὶ ψύχεται, διότι λεπτομερέστερον αὐτῶν ἐστι, κατὰ τὸν αὐτὸν λόγον ὕδατος ἀήρ. καὶ θαυμάζοιμι ἂν εἴ τις οὐκ ἔχει τούτου πεῖραν ὁσημέραι γινομένου. τῶν γὰρ τὸν οἶνον ἐχόντων ἀγγεῖον ὅπερ ἂν ἐστιν, ἄνευ πώματος ὀξύνεται ῥᾳδίως, ὥσπερ γε πάλιν αὐτὸ πωμασθὲν, ἧττον τοῦτο πάσχει. ἔτι δ' ἧττον τὰ πεπληρωμένα. τὰ γὰρ ἀπόκενα διότι περιέχει ἐν αὐτοῖς ἀέρα, δι' ἐκείνου μέσου θᾶττον ὑπὸ τοῦ περιέχοντος ἔξωθεν ἀλλοιοῦται. πεπληρωμένα μέχρι τῆς ψαύσεως τῶν ἐπιθεμάτων, δι' ἐκείνων μὲν ἴσχει τὴν ἀλλοίωσιν ἀσθενῆ τε καὶ ἀμυδρὰν εἰς τοσοῦτον, εἰς ὅσον ἂν ἥκει τοῦ ἐπιθέματος πυκνότητος. εὑρήσεις γοῦν τὰ μὲν ὑπὸ πίττης ἢ γύψου στεγνωθέντα μονιμώτερα γινόμενα. τὰ δ' ὑπὸ μόνου δέρματος ἧττον, ὥσπερ καὶ τὰ τοῖς τυφλοῖς πωμασθέντα, καὶ διὰ τοῦτο περιϋποβάλλοντες, ἢ τριέτους ἢ δέρματος καταγύψουσί τε καὶ καταπιττοῦσι τὰ κεράμια. κατὰ τοῦτον οὖν τὸν λόγον ὅταν ἐργάζεσθαι βουληθῶμεν ὕδωρ ψυχρότατον, ἔχοντες μὲν χιόνα, περιθερμήναντες αὐτὸ περιτίθεμεν ἔξωθεν ἐκείνην. ἀποροῦντες δὲ χιόνος, ἐκ φρέατος ἢ κρουνῶν αὐτῷ πορίζομεν τὴν ψύξιν, προθερμαίνοντες μὲν ἵν' εὐαλλοιωτότερον γένηται. δέχεται γὰρ ἑτοιμότερον εἰς ὅλον ἑαυτὸ τὴν ἐκ τῶν ὁμιλούντων ἀλλοίωσιν ἕκαστον τῶν προθερμανθέντων ὑπὸ θερμότητος. ἀτὰρ δὲ ψυ

χρὸν αὐτοῦ ψαύειν ἐπιτυχνώμενοι διὰ τὴν εἰρημένην αἰτίαν. εἰ μὲν οὖν ἕνεκα τοῦ ψυχρὸν ἐργάσασθαι τὸ ἑψηθὲν ὕδωρ, ὑφ' Ἱπποκράτους εἴρηται ταῦτα, πιθανῆς εὐπορήσαμεν ἐξηγήσεως. εἰ δ' ἕνεκα τοῦ τὸ μοχθηρὸν ἐπανορθώσασθαι, σκεπτέον ἐφεξῆς ἀρξαμένους αὖθις ἀπὸ τῆς ἑψήσεως, ἥ τις ὅλον ὁμαλῶς χέουσα τὸ ὕδωρ, ἐπιτήδειον ἐργάζεται εἰς διάκρισιν. διαμενούσης μὲν οὖν ἐν αὐτῷ τῆς ἐκ τοῦ τεθερμάνθαι κινήσεως, ἀνάγκη μετεωρίζεσθαί τινα τῶν ἐμφερομένων αὐτῷ παχυμερῶν σωμάτων. ἀπολλυμένης δὲ τελέως αὐτῆς, τὰ μὲν γεώδη τῷ συμφύτῳ βάρει καταφερόμενα πρὸς τὸν πυθμένα, τοῦ περιέχοντος ἀγγείου περιαγγνήσεται. τὸ δ' ὕδωρ ἐποχήσεται τούτοις, ὅπερ ἀτρέμα ἀποχέοντες εἰς ἕτερον ἀγγεῖον, ἀβλαβῶς ἕξομεν χρῆσθαι. Ζεῦξις δὲ οὐκ οἶδ' ὅπως τὴν ἀρχὴν τοῦ δευτέρου μορίου τῆς ῥήσεως οὕτως ἐξηγήσατο. βούλεταί φησιν ὁ Ἱπποκράτης μὴ ἐμπλέειν τῇ γαστρὶ τὸ ὕδωρ. ὀξυνεῖ δὲ δηλονότι τὴν δευτέραν συλλαβὴν τοῦ ἔμπλεον ὀνόματος, οὐχ ὥσπερ οἱ ἄλλοι τὴν πρώτην ἀκούεσθαι βουλόμενοι, οὐ τὸ πλῆρες ἀγγεῖον ἐξ αὐτοῖς ὥσπερ ἐκείνοις ἔδοξεν, ἀλλὰ τὸ κατὰ τὴν κοιλίαν ἐμπλέον, ὅπερ ἐστὶ μετέωρον. ἀλλ' ἐπεὶ τυφλώττει τὸ φιλοῦν περὶ τὸ φιλούμενον, διὰ τοῦτο ἡ φιλαυτία πολλάκις ἐργάζεται τυφλοὺς ἡμᾶς περὶ τοῖς ἡμετέροις μόνοις, εἰ καὶ τὰ ἀλλότρια βλέπομεν ἀκριβέστατα.

Ὅτι δὲ αἱμοῤῥαγιῶν ὑδέρων τε.

Τῆς αὐτῆς δυνάμεώς ἐστιν ὁ λόγος τῷ κατὰ τήνδε τὴν ῥῆσιν εἰρημένῳ, ὅτι αἵματος ῥυέντος, ἐκλύονται. γίνεται γὰρ ἀμφότερα ψυχομένου τοῦ σώματος.

Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, καὶ εὐφόρως φέρουσιν.

Ἔνιοι μὲν ἄνευ τοῦ, καὶ, συνδέσμου γράφουσι τὴν ῥῆσιν ὡσαύτως τῇ κατὰ τοὺς ἀφορισμούς. οἱ πλεῖστοι δὲ μετὰ τοῦ καί, βουλόμενοι τὸ μὲν ὅτι συμφέρει προσυπακούειν ἡμᾶς, ὅπερ ἄντικρυς εἴρηται κατὰ τὴν ἐν τοῖς ἀφορισμοῖς ῥῆσιν ἔχουσαν οὕτως, ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, συμφέρει τε καὶ εὐφόρως φέρουσιν. ἐνδείκνυσθαι δ' ἐνταῦθα τὸν, καί, σύνδεσμον προσκείμενον, ὅτι πρὸς τῷ συμφέρειν εὐφόρως φέρειν αὐτοῖς ὑπάρχει τὴν ἐκ τῆς καθάρσεως κένωσιν. εἴτ' οὖν ἡμῶν δόντων τὸ φάρμακον, εἴτε καὶ τῆς φύσεως αὐτῆς ἐκκαθαιρούσης τὸ σῶμα, τῶν λυπούντων χυμῶν ἡ κένωσις γίνοιτο. καθάρσεις γὰρ εἰώθεν ὀνομάζειν οὐ μόνον τὰς ὑπὸ φαρμάκων γινομένας, ἀλλὰ καὶ τὰς ὑπὸ τῆς φύσεως. ὁ δὲ Θουκυδίδης, καὶ τὰς κατὰ σύμπτωμα τῷ λόγῳ τοῦ νοσήματος ὁρμὰς τῆς φύσεως γινομένας κενώσεις, ἐν νόσοις καθάρσεις ὠνόμασεν καὶ ἀποκαθάρσεις ὠνόμασεν, εἰπών. καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσίν, ἐπῄεσαν. εἴρηται δὲ ταῦτα ὑπ' αὐτοῦ περὶ τὴν λοιμικὴν διήγησιν ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν.

Ἐν Αἴνῳ ὀσπριοφαγέοντες ξυνεχέως, θήλεα, ἄῤῥενα, σκελέων ἀκρατέες ἐγένοντο, καὶ διατέλεον, ἀτὰρ καὶ ὀροβοφαγέοντες, γουναλγέες.

Ἐμφανῶς ἐγρηγορὼς, θερμότερος τὰ ἔξω, τὰ εἴσω δὲ ψυχρότερος, καθεύδων τἀναντία.

Τὸ μὲν ἐν ἀρχῇ τῆς ῥήσεως εἰρημένον ἐμφανῶς, ἴσον δύναται τῷ φανερῶς, καὶ ἐπιδήλως. τὰ δ' ἐφεξῆς τούτῳ συνῆπται τῷ ἐγρηγορότι πρόδηλως ἔχει, ἡγουμένου τοῦ Ἱπποκράτους τὰ ἔξω θερμότερα, τὰ δ' ἔνδον ψυχρότερα, τἀναντία δὲ συμβεβηκέναι τῷ καθεύδοντι. καὶ γὰρ καὶ φαίνεται διὰ τοῦτο μὲν ἐπιβλημάτων πλειόνων δεόμενοι. διὰ τοῦτο δὲ καὶ σκεπάσματος περὶ τῆς κεφαλῆς ὅταν ἡ τὸ περιέχον ψυχρὸν ὡς ἐν χειμῶνι, καίτοι διὰ τῆς ἡμέρας οὐ δεόμενοι τούτων. ἀλλὰ καὶ τὸ μεῖζον ἀναπνεῖν, ἐνδεικτικόν ἐστι τοῦ πλείονα θερμασίαν ἠθροῖσθαι κατὰ τὸ βάθος τοῦ σώματος. ὡσαύτως δὲ καὶ τὸ τὰς πέψεις τοῖς κοιμηθεῖσι γίνεσθαι μᾶλλον τῶν ἀγρυπνησάντων, οὐ μόνον τὰς κατὰ τὴν κοιλίαν τῶν ἐδηδεσμένων σιτία, ἀλλὰ καὶ τὰς ἐν ἥπατί τε καὶ ταῖς φλεψὶ τῶν χυμῶν, ἐνδεικτικόν ἐστι τοῦ θερμότερα τοῖς κοιμωμένοις ἀποτελεῖσθαι τὰ κατὰ βάθος τοῦ σώματος, ὁμολογουμένου γε ἡμῖν, καὶ προαποδεδειγμένου τοῦ τὸν ἔμφυτον θερμὸν αἰτιώτατον εἶναι πασῶν τῶν κατὰ τὸ σῶμα πέψεων. οὕτως γε κᾀν τοῖς ἀφορισμοῖς ἔγραψεν, ἐπί τε τῶν ἡλικιῶν καὶ τῶν ὡρῶν, καὶ τῶν ἐπιτηδευμάτων ἔνθα φησὶ, αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσιν, καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολύ. τροφῆς οὖν πλείονος δέονται, σημεῖον αἱ ἡλικίαι, καὶ οἱ ἀθληταί. ἐν τούτοις μὲν οὖν συντόμως ἔγραψε περὶ τῶν ἡλικιῶν. ἐν ἄλλῳ ἀφορισμῷ μακρότερόν τε καὶ διὰ τοῦτο σαφέστερον εἰπὼν ὧδε. τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν, πλείστης οὖν δεῖται τροφῆς. εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ ὀλίγον τὸ θερμόν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δεῖται. κατὰ μὲν οὖν τὰς ἡλικίας οὐ μεθισταμένης ἔσω τε καὶ ἔξω τῆς ἐμφύτου θερμασίας, ἀλλὰ μαραινομένης ἐπὶ προϊόντι τῷ χρόνῳ, ψυχροτάτη πασῶν ἡ τῶν γερόντων ἀποτελεῖται. κατὰ δὲ τὸν χειμῶνα μεθισταμένης εἰς τὸ βάθος, ἡ μὲν κοιλία καὶ τὰ σπλάγχνα θερμότερα. τὰ δ' ὑπὸ τῷ δέρματι ψυχρότερα γίνεται, καθ' ὅνπερ τρόπον, καὶ τῆς γῆς φαίνεται τὸ βάθος ἐν τῷ χειμῶνι θερμὸν ὑπάρχειν, ὡς καὶ τὰς πηγὰς γίνεσθαι διὰ τοῦτο θερμοτέρας, ὀρύττοντάς τε τινὰς ἄχρι βάθους αἰσθάνεσθαι σαφῶς τῆς θερμασίας, ὅταν ἀποχωρήσωσι πόῤῥω τῆς ἐπιφανείας.

Ἐνθέρμῳ φύσει ψύξις, ποτὸν ὕδωρ, ἐλινύειν.

Τὸ ἀξιούμενον ἐν τῇ ῥήσει πρόδηλον. ὅσοι γὰρ θερμότεροι τοῦ προσήκοντός εἰσι, τὸ κεφάλαιον αὐτῆς τῆς διαίτης εἰς ψύξιν ἀνάγεσθαι συμφέρει. τά τε οὖν ψυχρότερα τῇ κράσει δοτέον αὐτοῖς σιτία, καὶ πίνειν κελευστέον, ἤτοι γ' ὑδαρὲς, ἢ ὕδωρ αὐτό, καὶ μὴ πολλὰ γυμνάζεσθαι. μόναι γὰρ αὐτοῖς ἀρκέσουσιν αἱ κατὰ τὰς ἀναγκαίας πράξεις κινήσεις. εὔδηλον δ' ὅτι καὶ θυμοῦ, καὶ φροντίδων συντόνων, ἀπέχεσθαι χρὴ τὸν τοιοῦτον ἄνθρωπον. ἀλλὰ καὶ λουτροῖς χρῆσθαι ποτίμων ὑδάτων ἑκάστης ἡμέρας μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις εἰ βούλοιντο. καὶ μὴν καὶ τῶν σιτίων ἃ προσφέρονται τὴν δύναμιν εἶναι ψυχροτέραν, καὶ μάλιστα ἐν θέρει. μεμνῆσθαι δὲ χρὴ πρὸ πάντων ἐν τοῖς πρώτοις

λόγοις,

λόγοις, ὅτι τὰς ἐνθέρμους φύσεις ὀνομάζειν ἔθος ἐστὶν αὐτῷ ταύτας, καθ' ἃς ὅ τε σύμφυτον πλεονάζει θερμὸν, ἀλλὰ τὸ δριμὺ καὶ δακνῶδες, ὅπερ ἐπίκτητόν τε καὶ οὐ κατὰ φύσιν εἶναι νομίζει.

Ὕπνος ἐμψύχει ἐπιβεβλημένῳ.

Οἱ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἰδίᾳ ταύτην ἐξηγοῦνται τὴν ῥῆσιν. ἐμοὶ δ' ἄμεινον εἶναι δοκεῖ συνάπτειν αὐτὴν τῇ προγεγραμμένῃ, καὶ ποιεῖν ἕνα λόγον ἅπαντα τόνδε. ἐνθέρμῳ φύσει ψύξις, ποτὸν ὕδωρ, ἐλινύειν, ὕπνος ἐν ψύχει ἐπιβεβλημένῳ. τῆς ἐμψύχει λέξεως τὴν πρώτην συλλαβὴν διὰ τοῦ μ, γραφόντων τε καὶ λεγόντων ἡμῶν διὰ τοῦ ν. γενήσεται γὰρ οὕτως ἄρθρον ὡς εἰ καὶ ἐν τῷ ψύχει τις ἔφη. τοὺς γὰρ ἀμετρότερον ἔχοντας θερμὴν τὴν κρᾶσιν, ἄμεινόν ἐστιν ἐν χωρίῳ ψυχρῷ κοιμωμένους, ἕλκειν εἴσω διὰ τῆς εἰσπνοῆς τὸν ἀέρα, ψυχρὸν ὄντα δηλονότι, καὶ μάλισθ' ὅτι ἤδη τοὺς ὕπνους εἴσω τοῦ σώματος ὑποχωρεῖ τὸ θερμόν. ἀλλ' ἐὰν ὥσπερ ἐν τοῖς ὕπνοις ἀπολιπόντος τὴν ἐκτὸς ἐπιφάνειαν αὐτοῦ τὸ βάθος τοῦ σώματος γίνεται θερμότερον, οὕτω καὶ διὰ τὸ περιέχον ἐμψυχομένων τῶν ἤδη τὸ δέρμα θερμαίνεται τὰ διὰ τοῦ βάθους, οὐ τελέως ὁ ἄνθρωπος ἐμψυχθήσεται διὰ τῆς εἰσπνοῆς. ἄμεινον οὖν ἐστιν αὐτίκα πᾶσι μὲν εἰς τὸ δέρμα τὴν θερμασίαν ἐπιβλήμασι θερμαίνουσι. εἰσπνεῖν δὲ ψυχρὸν, ὡς ἑκατέρωθεν εἰς μετριότητα κράσεως ἄγεται τὸ θερμὸν σῶμα. κάλλιστον μὲν οὖν ἐστιν ὡς ἔφην, συνάπτειν τοῖς προειρημένοις ἤδη τήνδε τὴν λέξιν εἰρημένην. χωρίζοντες δὲ αὐτὴν οἱ πολλοὶ τῶν ἐξηγησαμένων τὸ βιβλίον, οὐ μόνον ταῖς ἐνθέρμοις φύσεσιν, ἀλλὰ πᾶσιν ἀνθρώποις οἴονται κοινῇ συμφέρειν. ὑπνοῦν μὲν ἐν ἀέρι ψυχροτέρῳ χάριν τοῦ τὴν ἀθροιζομένην ἐν τῷ βάθει θερμασίαν, ἐμψύχεσθαι. περιβεβλῆσθαι δ' ἕνεκα τοῦ μὴ πάσας ἀμέτρως εἴσω συννεύειν, περιερχομένης τῆς ἐκ τοῦ καταψύχεσθαι τὰ ἤδη τὸ δέρμα μόρια, διὰ τὸν ἔξωθεν ἀέρα θερμασίας τῇ ἤδη τοὺς ὕπνους ἀθροιζομένῃ. τοῦτο δ' ἀληθὲς ἐπὶ πολλῶν ἐστι φύσεων, οὐ μὴν ἐπὶ πασῶν γε. καθάπερ γὰρ ὅσοι τοῦ συμμέτρου θερμοτέραν ἔχουσι τὴν κρᾶσιν, ἄμεινον ἐμψύχειν αὐτοὺς, οὕτως ὅσοι ψυχροτέραν ἔχουσι τὴν κρᾶσιν ἐκθερμαίνειν. ἔνιοι δὲ οὐ μόνον ἀπὸ τῆς γεγραμμένης ῥήσεως ἐχώρισαν τὴν νῦν ἡμῖν προκειμένην, ἀλλὰ καὶ διελόντες αὐτὴν ταύτην ἰδίᾳ μὲν ἀνέγνωσαν, ὕπνος ἐμψύχει, τὴν πρώτην συλλαβὴν τῆς ἐμψύχει φωνῆς διὰ τοῦ μ γράψαντες, ὡς ἐν γενέσθαι ῥῆμα τὸ ἐμψύχει, παραπλησίως εἰρημένον τῷ καταψύχει, καὶ μὴ δύο μέρη τοῦ λόγου, πρόθεσιν μὲν τὸ πρότερον, ὄνομα δὲ τὸ δεύτερον. οὗτοι δὲ τὴν ἐφεξῆς ῥῆσιν ἀναγκαῖον, ἐνώσαντες τῷ τέλει τῆς προκειμένης, ἀναγινώσκουσιν ὧδέ πως. ἐπιβεβλημένῳ ὕπνος ἑδραῖος, ὀρθῶν νυσταγμός. ἐπιβεβλημένῳ φάσκοντες, ἀντὶ τοῦ κατακειμένῳ λελέχθαι. τοῦτο δὲ πρὸς τὸ βιαίως μετενήνεχθαι τὴν κατακειμένῳ φωνὴν εἰς τὴν ἐπιβεβλημένῳ, καὶ ἄλλως ἐστὶν εὐτελές τε καὶ ἄχρηστον, ἀκούειν ἡμᾶς ἀξιούντων αὐτῶν τὴν ὑπνώδη τοῦ σώματος διάθεσιν. ἐν μὲν τῷ κατακεῖσθαι τὸν ἑδραῖόν τε καὶ βέβαιον ὕπνον, ἑστῶσι δὲ νυσταγμὸν ἐργάζεσθαι.

Ὕπνος ἑδραῖος ὀρθῶν νυσταγμός.

Ἃ μὲν οἱ πλεῖστοι τῶν ἐξηγητῶν ἔγραψαν εἰς τήνδε τὴν λέξιν ἄμεινον σιωπᾶν. ἃ δὲ οἱ μᾶλλον αὐτῶν ἔχεσθαι τοῦ πιθανοῦ δόξαντες εἶπον, ἐστὶ τοιαῦτα. τὴν ἀγρυπνίαν ψύχειν φασὶ τὸ σῶμα, καὶ τούτου τεκμήριον τίθεσθαι τὴν ἑπομένην ἄχροιαν τοῖς ἀγρυπνήσασιν. ὅταν οὖν φασὶν ἔνθερμον κρᾶσιν ἐμψύξαι βουλώμεθα, πρὸς τοῖς ἄλλοις οἷς εἶπεν ἔμπροσθεν ὁ Ἱπποκράτης. ἔτι καὶ τοῦτο προσθετέον, ὡς ἤτοι προφροντίζοντές τι καὶ πράττοντες ἀγρυπνεῖν, ἢ εἰ μὴ τοῦτο ποιεῖν δύναιντο, κωλυτέον αὐτοὺς κατακλινομένους ὑπνοῦν. ἀναγκάζονται δυοῖν θάτερον πράττειν, ἢ καθῆσθαι, ἢ ἑστάναι. τὸν γὰρ τῶν καθημένων ὕπνον ἑδραῖον ὠνομάσθαι φασὶν ἀπὸ τῆς ἕδρας. ἴσον δὲ δύνασθαι τὸν τούτων ὕπνον, τῷ τῶν ἑστώτων νυσταγμῷ, καὶ διὰ τοῦτο εἶπεν αὐτὸς, ὕπνος ἑδραῖος, ὀρθῶν νυσταγμὸς, ὡς εἰ καὶ οὕτως εἴρηται ὁ σύμπας λόγος. τὰς ἐνθέρμους φύσεις κωλύειν, προσήκει πλείοσιν ὕπνοις χρῆσθαι. βέλτιον γὰρ αὐταῖς ἐγρηγορέναι τε καὶ πράττειν τι, μάλιστα μὲν αὐτοὺς ἐργεῖν, καὶ τοῦ καθίζειν. εἰ δὲ μὴ, τοῦτο μὲν συγχωρεῖν παραπλήσιον ὑπάρχον τῷ τῶν ἑστώτων νυσταγμῷ. κατακλίνεσθαι δὲ κωλύειν. τινὲς δὲ τὸν ἑδραῖον ὕπνον, ἀντὶ τοῦ βαθὺν εἰρῆσθαι νομίζοντες, ὁσοίπερ ἂν οὕτως ἔχωσιν ἑστῶτες ἤδη νυστάζειν. ἀλλά τινος ἕνεκα χρείας ἔγραψαν ταῦτα, μὴ προσθέντες, ἀτελῆ τὸν λόγον εἰργάσαντο. ταῦθ' ὑπ' αὐτοῦ συμβουλεύοντος ἡμῖν ὅσους ἑδραίως, ὅπερ ἐστὶ βαθέως κοιμηθῆναι βουλόμεθα, τούτους ἐπὶ τοσοῦτον ἐγρηγορότας φυλάττειν, ὡς μὴ στῆναι δύνασθαι χωρὶς τοῦ νυστάζειν. ἐὰν γὰρ εἰς τοῦτο ἀφίκωνται, βαθέως κοιμηθήσονται. πολλοὺς γὰρ ἐγὼ διὰ τὸ ταχέως ἐπὶ τὸν ὕπνον ἰέναι βιασάμενος ἀγρυπνῆσαι μέχρι πλείονος, ἀμέμπτως ὑπνῶσαι παρεσκεύασα. καθάπερ καὶ τῶν ἀνορεξίαν μεμφομένων, ἐνίους ἀναγκάσας ἀσιτῆσαι μέχρι πολλοῦ τῆς ἡμέρας ἐποίησα πεινῆσαι. πρὸ γὰρ τοῦ δεῖσθαι τὴν φύσιν ὕπνων, ἢ σιτίων ἐπ' αὐτὰ παραγινόμενοι, τοῖς εἰρημένοις συμπτώμασι περιπίπτουσι. χρὴ δὲ μὴ προβιάζεσθαι τὴν φύσιν ἀκαίρως, ἀλλ' ὡς ὑπηρετεῖν εὐκαίρως. ἐγὼ μὲν οὖν ἅ μοι δοκεῖ πιθανῶς τις εἰς τὴν τῆς προκειμένης λέξεως ἐξήγησιν εἰπεῖν, εἴρηκα. τοὺς δ' οἰομένους τὸν ὕπνον ἀεὶ ψύχειν, ἐπίκαιρόν τι τῆς τέχνης ἀγνοεῖν ἡγοῦμαι. διὰ παντὸς μὲν γὰρ ὕπνος ὑγραίνει, καθάπερ ἀγρυπνία ξηραίνει. καὶ τοῦθ' ἡμᾶς αὐτὸς ἐδίδαξεν, οὐ διὰ παντὸς δὲ θερμαίνει, ἢ ψύχειν πέφυκεν. ἀλλ' ὅταν μὲν ἀπυρέτων ὄντων, ἤτοι φλεγματώδεις, ἢ ὠμοὺς, ἢ ὁπωσοῦν ψυχροὺς χυμοὺς εὑρὼν ἐν τῷ σώματι κατεργάσηταί τε καὶ πέψῃ, χρηστὸν ἐξ αὐτῶν ἐργασάμενος αἷμα, θερμαίνει τὸν ἄνθρωπον αὐξήσει τῆς ἐμφύτου θερμασίας. ὅταν δ' ἤδη πυρέττοντας ἐπὶ σηπεδόνι τοιούτων χυμῶν ἐμψύχει, τὴν μὲν πυρετώδη θερμασίαν σβεννὺς, αὐξάνων δὲ τὴν οἰκείαν. ἡνίκα δὲ πυρετοῦ χωρὶς, ἢ καὶ σὺν πυρετῷ χολώδεις πλεονάζωσι χυμοὶ, διακρῖναι μὲν αὐτοὺς εἴτ' ἐκκρῖναι δυνηθεὶς, εἰς συμμετρίαν ὑγιεινῆς κράσεως ἐπανάγει τὸ σῶμα. μὴ δυνηθεὶς δὲ ταῦτα ἐργάσασθαι, τὴν αὐτὴν φυλάττει κρᾶσιν. εἰ δ' ἐπὶ φλεγμονῇ σπλάγχνου πυρέττων τις ἐν ἀρχῇ τοῦ παροξυσμοῦ καθυπνώσειεν, αὐξήσας τὴν φλεγμονὴν ὁ ἄκαιρος οὗτος ὕπνος, ἅμα αὐτῇ καὶ τὸν πυρετὸν αὐξήσει, κᾀκ τοῦδε θερμότερον ἐργάσεται τὸ σῶμα θερμῷ παρὰ φύσιν. ἐγχωρεῖ μέντοι καθ' ἕνα τρόπον ἐνίοτε θερμότερόν τε καὶ ψυχρότερον ἅμα γίνεσθαι τὸ σῶμα διὰ τὸν ὕπνον. ἐπειδὴ τῆς ἤδη τὸ σῶμα θερμασίας διττόν ἐστι τὸ γένος, ἓν μὲν οἰκεῖόν τε καὶ σύμφυτον, ἕτερον δὲ ἀλλότριόν τε καὶ παρὰ φύσιν, ὅταν οὖν αὐτῶν τὸ μὲν αὐξήσῃ τε καὶ ῥώσῃ, τὸ δὲ καθάρῃ τε καὶ μαράνῃ, πῶς οὐκ ἄν τις εὐλόγως φαίη καθ' ἕνα χρό

νον ἐξ ὕπνου θερμότερον ἅμα καὶ ψυχρότερον ἑαυτοῦ γεγονέναι τὸ σῶμα. ταῦτα δὲ οὐδὲ γινώσκουσι τὴν ἀρχὴν οἱ πολλοὶ τῶν ἐξηγησαμένων τὰ Ἱπποκράτους βιβλία. μάθοις δ᾽ ἂν οὕτως ἔχον ὃ λέγω καθ᾽ ὧν ἐγκαλεῖ Λύκος λόγων ἐν ἀφορισμοῖς αὐτῷ γράψαντι, τὰ αὐξανόμενα πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμόν. ἀλλ᾽ ὅτι γε δι᾽ ἄγνοιαν ὧν ὁ Ἱπποκράτης ὀρθῶς ἔγραψε περὶ τῆς κατὰ τὰς θερμασίας διαφορᾶς ἐπηρεάζειν αὐτὸν ἐτόλμησε, δι᾽ ἑνὸς ὅλου βιβλίου δέδεικται τὴν ἐπιγραφὴν ἔχοντος, ὅτι μηδὲν ἡμάρτηται κατὰ τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, πλείστης οὖν δεῖται τροφῆς.

Αἱ ἀσθενέες δίαιται ψυχραὶ, αἱ δὲ ἰσχυραὶ θερμαί.

Διαίτας ἀσθενεῖς, ἤτοι τὰς δι᾽ ἀσθενῶν ἐπιτηδευμάτων ἐδεσμάτων τε καὶ πομάτων, ἢ τὰς ἀσθενὲς ἐργαζομένας τὸ ζῶον εἴρηκεν. αἱ ψυχραὶ δὲ εἴτε κατὰ τὴν ἑαυτῶν κρᾶσιν, εἴτε κατὰ τὴν ἐν ἡμῖν διάθεσιν ἣν ἐργάζονται λέγοιντο, διοίσουσιν ἀλλήλων οὐδέν. ἀσθενῆ μὲν οὖν ἐπιτηδεύματα λέγοιτ᾽ ἂν τὰ διὰ βραχέων κινήσεων τοῦ σώματος γινόμενα, καθάπερ ἰσχυρὰ τὰ διὰ σφοδρῶν. ἐδέσματα ἀσθενῆ μὲν ὅσα μήτε ὀδμὴν ἰσχυρὰν ἔχει, μήτ᾽ ἐν τῇ γεύσει ποιότητα σφοδρὰν ὀξύτητος, ἢ γλυκύτητος, ἢ ἁλυκότητος, ἢ πικρότητος, ἢ στρυφνότητος, ἢ δριμύτητος, ἀλλ᾽ ἤτοι μετρίως εἴη γλυκάζοντα τὴν γεῦσιν, ἢ μετρίαν στύψιν ἐμφαίνοντα, καὶ θερμασίαν ὁμοίως ὀλίγην. ἰσχυρὰ δὲ τὰ τούτων ἐναντία. ἐὰν μὲν οὖν ἀσθενῆ πάντα τά τε ἐπιτηδεύματα καὶ τὰ διαιτήματα προσάγηται τῷ σώματι, ψυχθήσεται σφόδρα, καθάπερ γε κἂν ἰσχυρὰ, θερμανθήσεται γενναίως. ἐὰν δὲ τὰ μὲν τὰ δὲ μὴ, κατὰ τὴν ἀναλογίαν τῆς μίξεως, ἤτοι γ᾽ ἐγγυτέρω θατέρου τῶν ἄκρων, ἢ πορρωτέρω, παραγενήσεται.

Ὑδάτων ἀτεχνέων, τὸ μὲν ἀπὸ τοῦ αἰθέρος ἀποκειθὲν, ἢ βροντιαῖον, ὡραῖον. τὸ δὲ λαιλαπῶδες, κακόν.

Οἷς χρώμεθα κατὰ τὴν ἰατρικὴν, οὐ μόνον ἐπὶ τῶν νοσούντων ἀλλὰ καὶ τῶν ὑγιαινόντων σωμάτων, ὗλαι τῆς τέχνης εἰκότως ὀνομάζονται, καὶ γέγραπταί γε τισὶ τῶν ἰατρῶν βιβλία τὴν ἐπιγραφὴν ἔχοντα περὶ ὕλης. ἐνίοτε μὲν οὖν τοῖς αὐτοφυέσι σώμασι χρώμεθα, πρός γε τὰς ἰάσεις καὶ τὴν ὑγιεινὴν δίαιταν. ἐνίοτε δ᾽ αὐτοί τι πράττομεν ἐν τῇ παρασκευῇ τῆς ὕλης, τὰ μὲν ἕψοντες, τὰ δὲ καίοντες, ἔνια δὲ πλύνοντες, ἢ προαρτύοντες, ἢ προϋγραίνοντες, ἢ ψύχοντες, ἢ τί τοιοῦτον ποιοῦντες ἕτερον. οὕτως οὖν καὶ περὶ τὴν ὑδάτων παρασκευήν ἐστιν ὅτε πράττομέν τι τεχνικὸν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἔλεγεν αὐτὸς, ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχεται τὸν ἀέρα. καὶ γὰρ ἡ ἕψησις αὐτὴ καὶ ἡ μετὰ ταῦτα ψύξις, ἤτοι διὰ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἢ ἀνέμου τινὸς, ἢ οἴκου ψυχρὸν ἀέρα καθ᾽ ἑαυτὸν ἔχοντος. εἰσὶ γὰρ ἀμέλει τινὲς ἐοικότες σπηλαίοις ψυχροῖς, ἔστι δ᾽ ὅτε καὶ ὑγροῖς. εἴτε διὰ τῆς περιπλαττομένης χιόνος, ἢ ὑπὸ κρουνῶν θέσις, ἢ ἐν φρέατι διττῶς γινομένη, ποτὲ μὲν ἐν αὐτῷ τῷ ὕδατι κατατιθεμένων ἡμῶν τὸ ἀγγεῖον ἐν ᾧ τὸ τεθερμασμένον ὕδωρ, ἐνίοτε δὲ ὑπὲρ αὐτοῦ κρεμώντων, ὥσπερ γε καὶ διὰ κεράμων ἀραιῶν, ἔστιν ὅτε τὸ θολερὸν ὕδωρ διηθούντων, ὡς ἐν Ἀλεξανδρείᾳ τε καὶ κατ᾽ Αἴγυπτον ἠθεῖται διά τινων οὐχ ἁπλῶς κεραμευθέντων, ἀλλὰ τεχνικῶς κατασκευασθέντων εἰς ἀραιότητα, καθάπερ γε καὶ δι᾽ ὀθονίου μὴ παρόντος ἀγγείου τοιούτου. ταῦτα πάντα τεχνικὴν ἔχει τὴν παρασκευὴν, ὥσπερ γε καὶ ὅσα κατὰ τοὺς ἀγωγοὺς τῶν πηγαίων ὑδάτων πράττομεν, οὐκ ἐκ τοῦ τυχόντος λίθου παρασκευάζοντες αὐτοὺς, καὶ χρίοντες ἔνδοθεν ἐνίοτε. διαφορὰ γὰρ οὐ σμικρὰ κατά γε τὴν ἀλειφὴν αὐτήν ἐστιν, ἢ πίτταν, ἢ γύψον οὖσαν, ἢ χωρὶς ταύτης πλίνθον ὀπτὴν, ἢ λίθον ἔχοντα τινὰ ποιότητα μοχθηρὰν, ἢ ἀγαθὴν, ἢ μηδεμίαν ὅλως ἔχοντα σαφῆ. καὶ μέντοι καὶ φρέατα πολλάκις ὀρύττομεν ἐν διαφερούσῃ γῇ, καὶ δι᾽ ὀχετῶν, ἢ σωλήνων ἄγομεν ὕδωρ ἐκ πηγῆς, ἤτοι βέλτιον, ἢ χεῖρον ἐργάζεσθαι δυναμένων, ἢ καὶ μηδ᾽ ὅλως ἀλλοιούντων αὐτό. ταῦτα μὲν οὖν ἅπαντα τεχνικῶς γίνεται περὶ τὴν παρασκευὴν τοῦ ὕδατος. ὅταν δ᾽ ἀπὸ τῆς γῆς κατὰ τόπον οὔσης ἐν ᾧ διαιτώμεθα λαμβάνωμεν, ἢ ἐκ λίμνης, ἢ ποταμοῦ παραῤῥέοντος, ἢ τὸ καλούμενον ὄμβριον, οὐδὲν ἐνταῦθα προστίθεμεν ἐκ τῆς τέχνης. διὰ τοῦτ᾽ οὖν ὁ Ἱπποκράτης εἶπεν ὑδάτων ἀτεχνέων, ἀντιδιαιρούμενος αὐτὰ τοῖς τεχνικὴν ἔχουσι τὴν παρασκευὴν, ἃ κατὰ τὴν ἀναλογίαν τῶν ἀτέχνων ὀνομάζομεν τεχνικά. καθάπερ ὀλίγον ἔμπροσθεν οὐ περὶ πάντων ὑδάτων ὅσα τεχνικῶς παρασκευάζομεν ἔγραψεν, ὡς εἰ καὶ σύγγραμμα πρὸς ἔκδοσιν ἐποιήσατο. μόνου δ᾽ ἑνὸς ἐμνημόνευσε τρόπου παρασκευῆς, ἑαυτῷ γράφων ἐν ὑπομνήματι πρὸς ἀνάμνησιν. οὕτως καὶ νῦν οὐ περὶ πάντων ὑδάτων ἀτέχνων, ὅπερ ἐστὶν αὐτοφυῶν, ἀλλ᾽ ἑνὸς εἴδους μόνου διῆλθεν, ὃ καλοῦμεν ὡς ἔφην ὄμβριον. ἔγραψε δ᾽ αὐτοῦ διαφορὰς δύο. τὴν μὲν ἑτέραν ἣν καὶ προδήλως ψέγει, κακὸν εἶναι λέγων τὸ λαιλαπῶδες. ἑτέραν δ᾽ ἐφεξῆς ἄδηλον, εἴτε μόνον ἀψεκτὸν, εἴτε καί τινος ἑτέρου τύχῃ, ἐνόμιζε δὲ σκαιὸν αὐτό. τὸ γὰρ ἀπὸ τοῦ αἰέρος ἀποκειθὲν, ἢ βροντιαῖον, ὡραῖον εἶναί φησι. ὡραῖον δὲ ἐγχωρεῖ μὲν καὶ τὸ κατὰ τὴν προσήκουσαν ὥραν γινόμενον ὡς ἐπαινοῦντα λέγειν αὐτὸν, ἐγχωρεῖ δὲ καὶ μόνον οὕτως ὀνομάζειν, τὸ κατὰ τὸ μέσον θέρος ὀνομαζόμενον. ἐπειδὴ μάλιστα τὸν καιρὸν τοῦτον ὥραν ἔτους ὀνομάζουσιν οἱ Ἕλληνες. ἐπιφέρουσι μὲν γὰρ τὸ τῆς ὥρας ὄνομα, καὶ φθινοπώρῳ, καὶ χειμῶνι, καὶ ἦρι. κατ᾽ ἐξοχὴν δὲ ἐνίοτε καλοῦσιν ὥραν ἔτους ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ τοὺς ὡραίους ὀνομαζομένους καρποὺς ἐσθίεσθαι συμβαίνει. τοῦτ᾽ οὖν ἄδηλόν ἐστιν ὅσον ἐπὶ τῇ ῥήσει, πλὴν εἰ προσθείημεν αὐτῇ τι περὶ τῆς ἡμετέρας ἱστορίας, ἢ φυσικῆς τῶν πραγμάτων ἐνδείξεως. καὶ προσέτι διατί τὸ λαιλαπῶδες μὲν ἔψεξεν, οὐκ ἔψεξε δὲ τότ᾽ αἰθέριον, καὶ τὸ βροντιαῖον ἀλλήλων δὲ, καὶ πότερον εἰς πόσιν αὐτὸ παρασκευάζειν ἡμᾶς ἠξίωσεν, ἢ πρὸς τὰς ἰατρικὰς χρείας. εἴς τε γὰρ ὀφθαλμῶν φαρμάκων κατασκευὴν ὕδατι τοιούτῳ χρώμεθα, καὶ τὸ καλούμενον ὑδάτινον ἐξ αὐτοῦ σκευάζομεν. ὡραῖον μὲν ἀκούειν ἄμεινον, οὐ τὸ κατὰ τὸ ἔαρ ἐνδεχομένως ὡς ἤκουσαν τινές. οὔτε γὰρ ἐξαιρέτως τις ὥραν ἔτους ὠνόμασε τὸ ἔαρ, ἀλλ᾽ ἁπλῶς ὥραν, ὥσπερ καὶ τὰς ἄλλας. οὔτε φαίνεται τινὰ ἀρετὴν ἔχειν ἐξαίρετον ὁ τηνικαῦτα γενόμενος ὄμβρος. ἀλλὰ πολὺ βέλτιον ἡγεῖσθαι λέγειν αὐτὸν ὡραῖον, ὅπερ ἂν ὕηται κατὰ τὸν καιρὸν ἐκεῖνον ὃν ὀνομάζουσιν ὥραν ἔτους. ὁμολογοῦν γὰρ αὐτὸ φανεῖται καὶ τὸ ἀπὸ τοῦ αἰθέρος ἀποκειθὲν αὐτῷ λελέχθαι. καλεῖν γὰρ ἔθος τοῖς παλαιοῖς ὅταν μὲν ἀκριβῶς καθαρὸν ᾖ τὸ περιέχον ἡμᾶς αἰθέρα, τὸ δ᾽ ἀχλυῶδες, ἢ νεφῶδες ἀέρα. κατὰ τοῦτο γοῦν αὐτὸ

καὶ τὴν

καὶ τὸν ὑπὲρ τὰ νέφη τόπον προσαγορεύουσιν αἰθέρα, καὶ σαφῶς ἐδήλωσε καὶ ὁ ποιητὴς εἰπών. „Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ Μακροτάτη πεφυκυῖα, δι' ἠέρος αἰθέρ' ἵκανεν. Ἔμπαλιν δ' ὅταν εἴπῃ, „Ἠέρα δ' Ἥρη πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν, ἐνδείκνυσθαι φαίνεται τόνδε τοῖς ἔπεσι. καὶ πάλιν ὅταν εἴπῃ. „Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ', οὐδὲ σελήνη Οὐρανόθεν προὔφαινε, κατείχετο δ' ἐν νεφέεσσιν. Ὅταν οὖν ἐν τῷ θέρει λεπτυνόμενον ὕδωρ ὑπὸ τῆς κατὰ τὴν ὥραν θερμότητος, εἰς ἀτμοὺς ἀοράτους λυθῇ, καὶ διὰ τοῦτο ἀδήλως ἡμῖν ἀνενεχθῇ πρὸς τὸν ὑπὲρ γῆς ἀέρα, κἄπειτα συμβῇ διά τινα μεταβολὴν ἐπὶ τὸ ψυχρὸν, ἢ ἀνέμων ἀντιπνευσάντων ἀλλήλοις, καὶ πυκνωθέντος τοῦ περιέχοντος ἑνωμένους τοὺς λελεπτυσμένους ἀτμοὺς, αἰσθητὸν ὕδωρ γίνεσθαί τινι, καὶ τὸν ὄμβρον ἐροῦμεν ὡραῖον εἶναι, λελεπτυσμένου τε καὶ προκατειργασμένου τοῦ ὕδατος ὑπὸ τῆς κατὰ τὸν ἀέρα θερμότητος, εἶναί τε διὰ τοῦτο βέλτιον αὐτὸ, τῶν λαιλαπωδῶν ἀκατεργάστων τε καὶ ἀμεταβλήτων ὄντων, ὁποῖα κατά τινας πηγὰς ὕδατα γίνεται τὰ καλούμενα πρὸς τῶν ἀρχαίων ἀτεράμνωδη. διατί δὲ καὶ τὸ βρονταῖον ἀπολείπεται μᾶλλον ἢ τὸ λαιλαπῶδες, ἐφεξῆς ἴδωμεν. ἐμοὶ μὲν δοκεῖ διότι τὰς βροντὰς οἶδε γινομένας, ἤτοι διὰ πυρὸς ἐναπόληψιν ὅταν ἐκκρινόμενον οἷον ῥῆξιν τινὰ ποιήσει τοῦ περιέχοντος αὐτὸ νέφους, ἡνίκα καὶ κεραυνοὶ πίπτουσιν, ἢ παρατριβομένων ἀλλήλοις τῶν νεφῶν, ὧν οὐδέτερον ὑπάρχει τῷ λαιλαπώδει. πεπύκνωται γὰρ ὁ ἀὴρ ἐν τῇ τοιαύτῃ καταστάσει, συνεχοῦς τε καὶ μέλανος ἑνὸς ὡς νέφους ἅπαντα αὐτὸν κατειληφότος. εἰκότως οὖν οὐ γίνονται βρονταὶ κατὰ τὴν τοιαύτην διάθεσιν τοῦ περὶ τὴν γῆν ἀέρος. ἐν γὰρ τοῖς διεσπασμένοις, καὶ κατὰ τὴν περιγραφὴν ἰδίαν φερομένοις νέφεσιν, ὅτ' ἀλλήλοις ἐντύχῃ τὴν παράτριψιν εὔλογον γίνεσθαι. τοῦ δ' ὅλου συνεχοῦς τε καὶ ἡνωμένου, παράτριψις οὐκ ἂν γένοιτο. διὰ τοῦτο οὐδὲ κεραυνοὶ πίπτουσιν ἐν τῇ τοιαύτῃ καταστάσει, μήτ' ἀθρόως ἐν τοῖς νέφεσι περιλαμβανομένου θερμοῦ, μήτε περιτρίψεως ἰσχυρᾶς γινομένης. ὅταν γὰρ ἀλλήλοις ἀπαντῶντα τὰ νέφη, τὸ μεταξὺ πυρῶδες εἰς ἑαυτὰ συνελαύνοντα, καὶ σφίγγοντα πυκνώσει τελέως, ἐκθλίβεται τηνικαῦτα ποτὲ μὲν εἰς τὴν ἄνω χώραν ὁ κεραυνὸς, ἢ τὴν εἰς τὸ πλάγιον, ἐνίοτε δ' ἐπὶ τὴν γῆν. ταύτην μὲν τὴν φορὰν αὐτοῦ ὁρῶμεν μόνην, αἱ δ' ἄλλαι λανθάνουσιν ἡμᾶς. ἐμοὶ μὲν οὖν εἴρηται διὰ συντόμων εἰς τὴν ῥῆσιν ὅπως τε γίνονται βρονταὶ, καὶ διατί τὸ βρονταῖον ὕδωρ ἄμεινον ἔφησεν εἶναι τοῦ λαιλαπώδους. ἄκρως δὲ καθαρὸν, καὶ λελεπτυσμένον ἐστὶ τὸ κατειργασμένον ὡραῖον. ἐν δὲ τῷ μεταξὺ τούτου τε καὶ τοῦ λαιλαπώδους, τὸ βρονταῖον. ὅσον ἀπολείπεται τοῦ ὡραίου, τοσοῦτον πλεονεκτεῖ τοῦ λαιλαπώδους. ἐπιτιμᾶται οὖν ἤδη τοῖς ἅπαντα μεμφομένοις, οὐ προσῆκεν ἰατρῷ φέρειν τοσαύτης ἅπτεσθαι φυσιολογίας. εἰ δέ τι μηδένα λογισμὸν εἰπὼν, ἀπεφηνάμην ἁπλῶς βέλτιον μὲν εἶναι τὸ ὡραῖον τοῦ λαιλαπώδους, μέσον δ' ἀμφοῖν τὸ βρονταῖον, ἐκέλευον ἂν με προσθεῖναι τινὰ ἀπόδειξιν οἷς εἶπον. οὔτε γάρ με πιστεύειν αὐτοῖς ὡς νόμοις δίκαιον, οὔτε ἀνάγκην ἔχειν ὡς τυραννικοῖς προστάγμασι πείθεσθαι. εἰ τοίνυν ἐκφεύγειν ἀδύνατόν ἐστι τὴν γλῶτταν τῶν ἀπαιδεύτων τε ἅμα καὶ πονηρῶν ἀνθρώπων, ἄμεινον δ' ἐπὶ τοῖς βελτίοσιν ὑπ' αὐτῶν ψέγεσθαι, καλῶς ἂν εἴημεν εἰρηκότες τὴν περὶ γενέσεως βροντῶν φυσιολογίαν. τὸ μὲν γὰρ ἀναπόδεικτον, ἄπιστον εἶναι δοκεῖ πᾶσιν ἀνθρώποις. τὸ δὲ μηδὲ ἅπτεσθαι φυσιολογίαν ἰατρὸν, οὐ παντάπασιν ὀρθῶς λέγεσθαι φαίνεται, δείκνυσί τε τούτους ἀποφηναμένους αὐτοὺς ἡμῖν ὡς τυράννους, οἷς προστάττουσι πείθεσθαι κελεύοντες. ἄμεινον δ' ἦν ἄρα μὴ τυραννικῶς προστάττειν, ἀλλὰ διδάσκειν ἡμᾶς, ἤτοι γε ὡς χωρὶς ἀποδείξεως ὁ λόγος πιστότερός ἐστι τοῦ μετ' ἀποδείξεως, ἢ ὡς οὐκ ἀληθῶς εἴρηταί τι κατὰ τὴν αἰτίαν ἀπόδοσιν. οἱ δέ γε τούτων μὲν οὐδέτερον πράττουσιν, ἑκατέρους δὲ ψέγουσιν. εἰ μὲν δὴ μηδεμίαν ἀπόδειξιν εἴπωμεν ὡς ἀναπόδεικτα φλυαροῦντας. εἰ δὲ προσθείημεν τινὰ λόγον, ὡς οὐκ ἐὸν πρέπον ἰατρῷ φυσιολόγῳ ὡς ἀληθῶς ἅπτεσθαι.

Ὕδωρ βορρὸν, ἀγρυπνίη βορρόν.

Ἀφ' ὧν πεφύκασιν ἀγρυπνία τε καὶ ὕδωρ ἐργάζεσθαι, τὴν προσηγορίαν αὐτοῖς ἔθετο βορρὸν ὀνομάσας ἑκάτερον, ἐπειδὴ βορρὰς ἡμᾶς ἐργάζεται. καλοῦσι γὰρ καὶ νῦν ἔτι συνήθως οἱ κατὰ τὴν ἡμετέραν ἀσίαν ἅπαντες ἕλληνες ἀνθρώπους βορρὰς, τοὺς πολλὰ δυναμένους ἐσθίειν. ἐμάθετε δὲ τὰς περὶ τὴν τροφὴν ὀρέξεις ἐξ ὑδροποσίας αὐξανομένας, ᾧ λόγῳ καὶ ψυχρὸν ὕδωρ πινόντων, ἢ ἔδεσμα ψυχρὸν, ἢ στύφον. ὅσα μὲν γὰρ εἰς ὀλίγον συνάγει τὸ κατὰ τοὺς χιτῶνας τῆς κοιλίας αἷμα, τὰς ὀρέξεις αὐξάνοντά τε καὶ γεννῶντα, δέδεικται. τὰ δὲ θερμαίνοντα καὶ χέοντα, τὸ αἷμα καθαιροῦντα, καὶ παύοντα τὰς ὀρέξεις. κατὰ τοῦτ' οὖν καὶ ὕδωρ γίνεται βορρὸν, ἡ δὲ ἀγρυπνία τῷ διαφορεῖν. ἐμάθετε γὰρ ἤδη καὶ περὶ ταύτης, ὥσπερ γε καὶ περὶ ὕπνου. πέττει μὲν οὖν ὁ ὕπνος ὡς ἂν ἔσω ῥέποντος ἐν αὐτῷ τοῦ θερμοῦ. διαφορεῖ δ' ἡ ἀγρυπνία, συνυπάγοντος ἑαυτῷ τοῦ συμφύτου θερμοῦ κατὰ τὴν ἐπὶ τὸ ἐκτὸς κίνησιν, οὐκ ὀλίγα μόρια τῆς τοῦ σώματος οὐσίας. διὰ ταῦτα μὲν οὖν εἴρηται βορρὰ τόδε ὕδωρ, καὶ ἡ ἀγρυπνία. σὺ δὲ μὴ παρακούσῃς, καὶ νομίσῃς ταυτὸν εἶναι τὰ πολλὰ προσφέρειν τῷ πέττειν τε καὶ κατεργάζεσθαι πολλά. βελτίων γὰρ ὕδατος οἶνος, οὐ μόνον εἰς τὴν γαστρὸς πέψιν, ἀλλὰ καὶ πρὸς τὴν τῶν πεφθέντων ἀνάδοσιν, αἱμάτωσίν τε καὶ θρέψιν, ὄρεξίν τε καὶ διαπνοὴν, ἐπὶ τῶν ὑγιαινόντων σωμάτων. εὔδηλον δὲ ὡς ἐπὶ τούτων ὁ λόγος εἴρηται νῦν ὑφ' Ἱπποκράτους, οὐδενὸς ἀγνοοῦντος, ἡνίκα βλάπτει τοὺς πλείστους τῶν νοσούντων οἶνος. ἀλλὰ καὶ ἡ ἀγρυπνία κατὰ διττὸν τρόπον γινομένη, διττὴν ἔχει καὶ τὴν ἐπὶ ταῖς ἐδωδαῖς τελευτήν. εἰ μὲν γὰρ πράττοντές τι διὰ νυκτὸς, ὡς ἐν ταῖς παννυχίσιν ἐγρηγορότες διατελῶσι, κοποῦται μὲν τὸ σῶμα, βλάβη δ' οὐδεμία σαφὴς γίνεται δυνάμεως. ἐὰν δὲ κατακείμενοι, μέρη μέν τινα τῆς νυκτὸς ὑπνώσωμεν, ἀγρυπνήσωμεν δὲ τὰ λοιπὰ, καταλύεται μὲν ἡ δύναμις. οὔτε γὰρ ὀρεγόμεθα βέλτιον, οὔτε πέττομεν, οὔτε τὰς ἐφεξῆς τῇ πέψει φυσικὰς ἐνεργείας ἀμέμπτους ἔχομεν, ἅπαντες χείρους γινόμενοι τῶν καλῶς κοιμηθέντων.

Εὐθέρμῳ φύσει, θερμὴ ὥρη, ἐν ψύχει κοίτη παχυντική, ἐν θερμῷ λεπτυντική.

Τὸ μὲν ἐν ἀρχῇ τῆς ῥήσεως εἰρημένον εὐθέρμῳ, δῆλον ἐστὶν ἀπὸ τῆς εὔθερμος εὐθείας κλινόμενον. τὸ δ' ἐπὶ τῇ τελευτῇ, δύναιτ' ἄν τις ἀκούειν ὡς ἔκ τε προθέσεως τῆς ἐν, καὶ πτώσεως δοτικῆς τῆς θερμῷ συγκείμενον, ὥσπερ ἀμέλει καὶ ἤκουσαν ὀλίγου δεῖν ἅπαντες οἱ ἐξηγηταί. τινὲς μὲν εἰς δύο μέρη διελόντες τὴν ῥῆσιν, ὡς ἑκάτερον ἰδίας

ἐξηγήσεως δεόμενον, ἔνιοι δ' ὅλην ὡς μίαν ἐξηγησάμενοι. Διοσκορίδης δὲ καὶ μετέγραψεν ἐπὶ τὸ σαφέστερον αὐτὴν ὥσπερ εἴωθε ποιεῖν ἐπὶ τῶν ἀσαφῶν ῥήσεων, ἰδίᾳ μὲν ἔγραψε τὸ ἐν θέρμῳ φύσει θερμῇ ὥρῃ, προσθεὶς αὐτῇ τὸ λεπτύνειν, βουλόμενος ἡμᾶς ἀκούειν τὴν ἔνθερμον φύσιν, ὅπερ ἐστὶ πολύθερμον ἐν ὥρᾳ θερμῇ, τουτέστι θερινῇ λεπτύνεσθαι, διαφορουμένην ὑπὸ τῆς ὀνομαζομένης ἤδη συνήθως ἅπασι τοῖς νεωτέροις ἰατροῖς λόγῳ θεωρητῆς διαπνοῆς, ἣν καθ' ἑτέραν λέξιν τινὰ ἄλλοι τινὲς ἄδηλον αἰσθήσει διαπνοὴν ὀνομάζουσι, γινομένην μὲν ἅπασιν ἡμῖν ἐν ἅπαντι τῷ βίῳ, διαφέρουσαν δὲ κατά τε τὰς ἡλικίας, καὶ τὰς ὥρας ἐπιτηδεύματά τε, καὶ συνελόντι φάναι τὴν ὅλην δίαιταν ἣν διαιτώμεθα. ἀλλ' ἐν ἅπασί γε ταῖς διαφοραῖς κοινόν ἐστιν ἐπὶ μὲν ταῖς θερμοτέραις ὥραις τε καὶ χώραις, ἡλικίαις τε καὶ φύσεσι, καὶ διαίταις ἀποῤῥεῖν ἔξω τοῦ σώματος οὐκ ὀλίγην μοῖραν ἐκ τῆς οὐσίας ἡμῶν. ἐπὶ δὲ ταῖς ψυχροτέραις πυκνουμένου τοῦ δέρματος, ἴσχεσθαι μὲν τὸ πλεῖστον, ὀλίγον δ' ἐκκενοῦσθαι. κατὰ τοῦτ' οὖν ἀληθές ἐστι τὴν πολύθερμον φύσιν ἐν ὥρᾳ θερμῇ λεπτύνεσθαι. διπλασιαζομένης τῆς ἀποῤῥοῆς, ἣν ἐκ τῆς οἰκείας θερμότητος ἔχοντες σύμφυτον, ἐπικτῶνται τῆς περιγινομένης ἔξωθεν ἀπὸ τῆς θερμῆς ὥρας. ἀλλ' οὔτε τῶν ἄλλων ἀντιγράφων εὗρον ἔν τινι ταύτην τὴν γραφὴν, οὔτε τις τῶν ἐξηγητῶν οἶδεν αὐτὴν, πλὴν ὅτι Διοσκορίδης αὐτὸς ἐν τῷ μετώπῳ τοῦ βιβλίου προσέγραψεν, ἐν δύο μόνοις ἀντιγράφοις εὑρηκὼς ὧδέ πως ἔχουσαν τὴν λέξιν. ἐν θέρμῳ φύσει, θερμῇ ὥρῃ ἐν ψύχει κοίτῃ παχύνει, ἐν θέρμῳ λεπτύνει. οὐ μὴν ἡμεῖς γε ἐν δυοῖν, ἀλλ' ἐν πᾶσιν οἷς ἀνέγνωμεν οὕτως ἔχουσαν εὕρομεν τὴν λέξιν ἐξεπίτηδες ἁπάσας μὲν ἰδόντες τὰς περὶ τὰς δημοσίας βιβλιοθήκας, ἅπαντα δὲ τὰ παρὰ τοῖς φίλοις. ἐπὶ τὴν ἐξήγησιν αὐτῆς ἤδη τρεπώμεθα, παραλιπόντες ὅσα κακῶς εἴρηται τοῖς ἐξηγησαμένοις. ἐμοὶ μὲν γὰρ δοκεῖ τὸ μὲν πρότερον μέρος τῆς ῥήσεως οὕτως συμπληροῦσθαι δεῖν. ἐν θέρμῳ φύσει θερμῇ ὥρῃ, ἐν ψύχει κοίτῃ παχύνει. τὸ μὲν θερμῇ ὥρῃ κατὰ τὰς δοτικὰς πτώσεις ἀναγνόντων ἡμῶν, ὡς εἰ καὶ ἐν τῇ θερμῇ ὥρῃ λέλεκται. τὸ δὲ ἐν ψύχει καθάπερ καὶ οὕτως εἶπεν. ἐν ἀεὶ ψυχρῷ, συγκειμένης τῆς λέξεως ἐκ δυοῖν τοῦ λόγου στοιχείων, προθέσεως μὲν τοῦ ἐν, ὀνόματος δὲ τοῦ ψύχει. γενήσεται γὰρ ὁ σύμπας νοῦς τοιοῦτος. ὠφέλιμόν ἐστι τῇ πολυθέρμῳ φύσει κατὰ θερμὴν ὥραν ἐν ψυχρᾷ κοίτῃ κοιμᾶσθαι, παχυνθήσεται γὰρ οὕτως. εἰκότως δὲ ταῦτα ποιεῖν ἡμᾶς ἐπὶ τῶν πολυθέρμων φύσεων ἐκέλευσεν ὁ Ἱπποκράτης. ἑτοίμως γὰρ οὔσης τῆς θερμῆς φύσεως λεπτύνεσθαι διὰ τὸ πλῆθος τῆς ἀποῤῥοῆς, ἐὰν καὶ τῆς ὥρας αὐτῇ περιγινομένης θερμῆς ἡ κένωσις διπλασιασθῇ. προσέλθῃ δὲ τρίτη τις ἄλλη κένωσις ἐν θερμῷ χωρίῳ, καὶ στρωμνῇ θερμῇ κατακειμένου τοῦ ἀνθρώπου, συμβήσεται διαφορηθῆναι καὶ λεπτυνθῆναι τὸ σῶμα τριπλῆν ὑπομεῖναν κένωσιν. ἐὰν δὲ ἐπὶ ταῖς ἀνάγκαις σὺν τῇ τ' ἐκ τῆς φύσεως καὶ τῆς ὥρας ἃς οὐκ ἔστι φυγεῖν, ἡ γοῦν τρίτη πρὸς τοὐναντίον ἀχθῇ, οὐ διαφορεῖν ἀλλ' ἐπέχειν δυναμένη τὰς ἀποῤῥοὰς, οὐκ ἂν εἰς ἐσχάτην ἀφίκοιτο κενώσεως ὁ ἄνθρωπος, ἀλλὰ καὶ παχυνθείη μᾶλλον, ἤπερ λεπτυνθείη. τῆς γὰρ ψυχρᾶς κοίτης σημαινούσης οὐ μόνον ὑποστρώματα ψυχρὰ, καὶ περιβλήματα, ἅπερ ἐκ σινδόνων πυκνῶν, καὶ τριβακῶν ἱματίων τε τοιούτων γίνεται, προσέρχεταί τι μέγιστον ἕτερον ἐπανόρθωμα, τῆς τε περὶ τὴν ὥραν, καὶ τὴν φυσικὴν κρᾶσιν ἀμετρίας, διὰ τῆς εἰσπνοῆς ψυχρᾶς οὔσης ἐμψύχεσθαι τὸ σῶμα. τοῦτο μὲν οὖν ἤδη καὶ πρόσθεν ἡμῖν εἴρητο, πρόσκειται δὲ νῦν τὸ κατὰ τὴν στρωμνὴν ἵνα πανταχόθεν ἀναψύχηται τὸ σῶμα, καὶ τὸ τῆς διαπνοῆς ἄμετρον εἰς συμμετρίαν ὑγιεινὴν ἐπανάγηται. τὸ μὲν οὖν ἕτερον μέρος τῆς ῥήσεως τὸ πρότερον, οὕτως ἄν μοι δοκεῖ μάλιστά τις ἐξηγήσασθαι. τὸ δ' ὑπόλοιπον ἔνθα φησὶν, ἐν θερμῷ λεπτύνει, σαφὲς ἂν ἦν, εἰ τῷ θερμῷ τὸ ἀεὶ προσεγέγραπτο, τῆς ὅλης ῥήσεως ἐν τοιᾷδε λέξει σαφῶς ἂν ἑρμηνευθείσης. τῇ πολυθέρμῳ φύσει ἐν ὥρᾳ θερμῇ, κοίτη προσελθοῦσα ἐν ἀεὶ ψυχρῷ, παχύνει, ἐν θερμῷ δ' ἀεὶ γινομένη, λεπτύνει. περὶ μὲν οὖν τὰς εὐθείας πτώσεις οὕτως ἂν μάλιστα ῥηθείη σαφῶς, ὡς εἴρηται. νυνὶ δ' εἰ καὶ κατὰ δοτικὰς βουληθείημεν ἑρμηνεῦσαι, γένοιτ' ἂν ἡ λέξις τοιαύτη. τῇ πολυθέρμῳ φύσει ἐν ὥρᾳ θερμῇ, καὶ τῇ ἐν ἀεὶ ψυχρῷ κοίτῃ παχύνεσθαι συμβαίνει. τῇ δ' αὐτῇ ταύτῃ ἐν ἀεὶ θερμῷ λεπτύνεσθαι συμβήσεται.

Ἄσκησις ὑγιείης, ἀκορίη τροφῆς, ἀοκνίη πόνων.

τὸ μήτε ἐμπίπλασθαι μέχρι κόρου, μήτε ὀκνεῖν γυμνάζεσθαι, κεφάλαιον ὑγιεινῆς διαίτης εἶναι ὑπείληφεν.

Ἐν τῷ ἐγρηγορέναι δίψῃ ἐπιπολαίῳ, ὕπνος ἄκος. τῇ δὲ ἐξ ὕπνου ἐγρήγορσις ἐνίοις.

Ἐπιπόλαιον δίψαν ἀκουστέον ἐστὶ τὴν πάνυ σμικρὰν, ἥτις οὔτ' ἀπὸ παντὸς τοῦ σώματος, οὔτ' ἀπὸ μεγάλης διαθέσεως γίνεται τῶν κατὰ γαστέρα μορίων, ἀλλ' ὡς Ἐρασίστρατος ἔφη ξηραινομένων, ἢ ἐκθερμαινομένων τῶν τόπων δι' ὧν φέρεται τὸ ὑγρὸν ἐκ τοῦ στόματος εἰς τὴν κοιλίαν. ταύτης οὖν τῆς δίψης, ἴαμά ἐστιν ὁ ὕπνος ὑγραινομένου τοῦ βάθους, ὡς ἂν εἴσω ῥέποντος ἐν τοῖς ὕπνοις τοῦ αἵματος. ἔμπαλιν δὲ τοῖς ἐξ ὕπνου διεγερθεῖσιν, ὅταν ἐπιπόλαιος ἡ δίψα, παύεται ῥᾳδίως ἐγρηγορόσι. τὸ γὰρ τοιοῦτον δίψος γίνεται, θερμαινομένων ἐνίοτε τῶν μορίων ὧν ἔφην Ἐρασίστρατον ἐμνημονευκέναι. θερμαίνεται δὲ κατὰ τὴν τῶν σιτίων πέψιν ἐν τῇ γαστρί. γινομένης γὰρ αὐτῆς ὑπὸ τοῦ ἐμφύτου θερμοῦ παραπλησίως τοῖς ἑψομένοις, ὥσπερ ἐκείνοις ἀναφέρεταί τις ἀτμὸς θερμός. οὕτω συμβαίνει ποτὲ καὶ κατὰ τὴν κοιλίαν, καὶ μάλιστα τοῖς ἀκρατέστερον οἶνον πεπωκόσιν. ἀλλ' ἐὰν ἐγρηγορότων αὐτῶν, ἡ γαστὴρ κενωθεῖσα μηκέτ' ἀναπέμποι τοὺς ἀτμοὺς, ἥ τ' ἐν τοῖς τεθερμασμένοις μέρεσι θερμασία διαφορηθῇ, παύονται διψῶντες. ἔνιοι μέντοι διψώδεις ἐξ ὕπνου γίνονται, διὰ τὴν τῶν ἐδηδεσμένων, ἢ πεπομένων θερμότητα τῆς γαστρὸς ἐκθερμανθείσης, ἥτις οὐ καθίσταται χωρὶς τῆς ἔξωθεν ἐπικουρίας. οὕτως γοῦν οἱ πολλοὶ τῶν ἔθος ἐχόντων ψυχροποτεῖν, ἐνίοτε ποτὲ πιόντες ὕδωρ ψυχρὸν ἐν τοιούτῳ καιρῷ πρὸ τοῦ λούσασθαί τε καὶ τροφὴν προσενέγκασθαι. διὰ τοῦτ' οὖν ἐν τῇ δευτέρᾳ διαφορᾷ τοῦ δίψους προσέθηκε τὸ, ἐνίοις. οὐ γὰρ ἅπασιν ὡς ἐπιδέδεικται τοῖς ἐξ ὕπνου διψῶσιν ἡ αὐτὴ διάθεσις γίνεται. ταύτην δ' οἵ τε παλαιοὶ τῶν ἐξηγητῶν ἐπίστανται τὴν γραφὴν, ἔν τε τοῖς ἀκριβέσιν ἀντιγράφοις εὑρίσκεται.

Αὖθις ὅσοισι πλεῖστον τὸ θερμὸν μεγαλοφωνότατοι, καὶ γὰρ ψυχρὸς ἀὴρ πλεῖστος. δυοῖν δ' ἐόντων μεγάλων, μεγάλα καὶ τὰ ἔργα γίνεται.

Προεῖπον ἄρτι τῆς ῥήσεως ταύτης τὴν γραφὴν τὴν ἀρχαίαν οὐχ οὕτως, ἀλλ' ἐν οἷσι πλεῖστον τὸ θερμὸν, ἐκεῖνοι τῶν ἐξηγητῶν ὅσοι τὸ τέλος τῆς προτέρας ἀφείλοντο, τὸ ἐνίοις. λέγωμεν οὖν ἤδη περὶ τῆς κατὰ τὴν προκειμένην ῥῆσιν ἀληθείας. οἷς γὰρ πλεῖστόν ἐστι τὸ θερμὸν ἐν τῇ καρδίᾳ δηλονότι, ταύτην γὰρ ἐδείξαμεν οἷον ἑστίαν εἶναι τῆς ἐμφύτου θερμασίας, ἀναγκαῖόν ἐστι καὶ τὸν εἰσπνεόμενον ἀέρα πλεῖστον εἶναι, καὶ γὰρ καὶ τοῦτ' ἐδείχθη κατὰ τὸ περὶ χρείας ἀναπνοῆς. εἰ δ' ἔστι πλεῖον τὸ θερμὸν ταῖς τοιαύταις φύσεσιν, εἰσπνεῖταί τε καὶ πάλιν ἀντεκπνεῖται. διὰ τοῦτ' εἰ τὴν φωνὴν ἐροῦμεν γίνεσθαι μεγάλην ἀδιορίστως ἀποφηνάμενοι, σφαλησόμεθα. δέδεικται γὰρ ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασι ἀδύνατον εἶναι γενέσθαι τὴν φωνὴν μεγάλην, ἄνευ τοῦ πολὺν ἀέρα ταχέως ἐκπνεῖσθαι. γίνεται δὲ τούτων τῆς τραχείας ἀρτηρίας, καὶ τοῦ λάρυγγος εὐρέων ὑπαρχόντων. ἐὰν δὲ καὶ ὁ θώραξ ὅλος ᾖ μέγας, οὐ μόνον μεγαλοφώνους ἐργάζεσθαι τοὺς ἀνθρώπους, ἀλλὰ καὶ πλεῖστον φωνεῖν δυναμένους, ὥσπερ οἱ κήρυκες ὅταν τὸ καλούμενον πόδια λέγουσιν. ἐπεὶ τοίνυν ἥ τε καρδία εὐρύνεταί τε καὶ αὐξάνεται, κατὰ τὴν ἐν τῇ μήτρᾳ διάπλασιν εὐθέως ἐξ ἀρχῆς ἐφ' ὧν ἐστι τὸ ἔμφυτον θερμὸν πλεῖστον, ἀνάλογον δὲ ταύτῃ καὶ ὁ θώραξ ὡς τὸ πολὺ μέγας γίνεται, καὶ τούτῳ πάλιν ἐξ ἀνάγκης ἕπεται τοῦ πνεύμονος μέγεθος, ᾧ πάλιν ἀκολουθεῖ τὸ τῆς τραχείας ἀρτηρίας ὡς τὸ πολὺ, καὶ ταύτῃ τὸ τοῦ λάρυγγος. εἰκότως ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνει τοὺς πολυθέρμους φύσει μεγαλοφώνους ὑπάρχειν. εἰ γὰρ δὴ πάντῃ τε καὶ πάντως ἀνάλογον τῷ μεγέθει τῆς καρδίας ὁ θώραξ ηὐξάνετό τε καὶ οὐ παρεγένετο ποτὲ μοχθηρὰ διάπλασις, οὐκ ἂν ὡς τὸ πολὺ τοὺς πολυθέρμους ἔφην γίνεσθαι μεγαλοφώνους, ἀλλὰ διὰ παντός. οὐ μὴν οὐδ' ὥσπερ ἀνάλογον τῷ θώρακι τὸ μέγεθος ἀεὶ τοῦ πνεύμονος εὑρίσκεται, οὕτω καὶ τῷ τούτου μεγέθει τὰ τρία γένη τῶν κατ' αὐτὸν ἀγγείων ἀνάλογον αὐξάνεται. φαίνεται δὲ κἂν ταῖς ἀνατομαῖς τῶν ζώων οὐκ ἀκριβῶς ἡ ἀναλογία φυλαττομένη. ἀλλ' ἐν μὲν δὴ τούτοις τοῖς μορίοις ὀλίγον τι τὸ μὲν ὑπερβάλλον εὑρίσκεται, τὸ δὲ ἐλλεῖπον. ἀξιόλογον δ' ἐν τῇ καρδίᾳ πρὸς τὸν θώρακα, καὶ τοῦτ' ἐστὶ τὸ μάλιστα ποιοῦν τοῖς ἐπίσης θερμοῖς ἀνθρώποις ὀλιγάκις διαφορὰν ἀξιόλογον ἐν τῷ τῆς φωνῆς μεγέθει. ὁ μὲν οὖν Ἱπποκράτης ἐν τῷ πλήθει τοῦ ἀέρος ἀναφέρει μόνῳ, τὸ μέγεθος τῆς φωνῆς. ἔστι δ' οὔτε μόνον, οὔτε πρῶτον ἀξίωμα τοῦτο τῶν τὴν φωνὴν μεγάλην ἐργαζομένων αἰτίων, ὕλη γάρ ἐστι μεγάλης φωνῆς (ὡς ἐν τοῖς περὶ τούτων) ὑπομνήμασιν ἐδείχθη.

Οἱ θερμοκοίλιοι, ψυχρόσαρκοι καὶ λεπτοὶ, οὗτοι ἐπίφλεβοι, καὶ ὀξυθυμότεροι.

Ὅτι διττὸν οἶδε κατὰ τὸ σῶμα τῶν ζώων τὸ θερμὸν ὁ Ἱπποκράτης, ἕτερον μὲν ὅπερ αὐτὸς ἔμφυτον ὀνομάζει, τὴν οὐσίαν ἔχον ἐν αἵματί τε καὶ ἐν τοῖς ἐναίμοις σπλάγχνοις, ἕτερον δὲ δριμὺ καὶ δακνῶδες, καὶ πυρῶδες ἐν ᾧ γένει καὶ ὁ πυρετός ἐστιν, ἐν πολλοῖς ἤδη τῶν συγγραμμάτων αὐτοῦ δέδεικται. γέγραπται δέ μοι καὶ καθ' ἓν ὑπόμνημα τελέως περὶ τοῦδε καθ' ὃ τὴν ἐπιγραφὴν ἐποιησάμην, ὅτι μηδὲν ἡμάρτηται κατὰ τὸν ἀφορισμὸν, οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. ἀπολογοῦμαι δ' ἐν αὐτῷ ὑπὲρ τοῦ Ἱπποκράτους, λύων τὰ Λύκου πρὸς τὸν ἀφορισμὸν ἐγκλήματα, καὶ δεικνὺς διὰ τὴν τῶν ἀρίστων δογμάτων ἄγνοιαν ἐπηρεάζοντα τῷ Ἱπποκράτει τὸν Λύκον. ἀλλὰ ταύτης γε τῆς θερμασίας τὴν διαφορὰν, οὔτε Λύκος, οὔτε ἄλλος τις, ἢ Ἐρασιστράτειος, ἢ Ἡροφίλειος, ἢ ἐμπειρικῶς ἐγίνωσκε, καὶ διὰ τοῦτο κακῶς ἐξηγήσαντο πάμπολλα τῶν ὑφ' Ἱπποκράτους γεγραμμένων. οὐ μὴν τούς γε Ἱπποκρατείους ἄνδρας ἐχρῆν ἐπιλαμβάνεσθαι τῶν δογμάτων αὐτοῦ, τὰς ἐξηγήσεις ποιουμένους, ὡς μιᾶς οὔσης τῷ γένει τῆς ἐν τοῖς ζώοις θερμασίας. ἀλλ' ὅταν ἀκούσωσιν, ἢ Ἱπποκράτους, ἢ τινὸς ἄλλου θερμοκοιλίους ὀνομάζοντός τινας, ἐπισκέψασθαι βέλτιον ἦν ὅπως εἴρηται τοὔνομα. πότερον τὸ ἔμφυτον θερμὸν ἐν τῇ γαστρὶ δαψιλὲς ὑπάρχει, ἀποφηναμένου τοῦ τὴν λέξιν εἰπόντος, ἢ γράψαντος, ἢ τὸ ἕτερον ὃ πολλάκις μὲν ἐπίκτητον, ἐνίοτε δ' οὐ φύσει καί ποτε καὶ παρὰ φύσιν ὀνομάζομεν, ᾧ θερμῷ τοὺς θερμοτέρους συμβέβηκε δακνῶδές τε καὶ θερμὴν ἔχειν τὴν ἀναπνοὴν, καὶ διὰ τοῦτο πυρέττειν εὐθέως, ἐπειδὰν τύχῃ τὸ δέρμα στεγνωθὲν, ὡς οἵ γε τὸ ἕτερον θερμὸν ἔχοντες πλεῖστον, ἐπισχεθείσης τῆς διαπνοῆς, πληθωρικώτεροι μὲν γίνονται, πυρετῷ δ' οὐχ ἁλίσκονται. διὰ

καὶ τοίνυν καὶ ὅτι κατὰ τὴν γαστέρα τουτὶ τὸ ἔμφυτον θερμὸν πλεονάζον, ἀρίστας ἐργάζεσθαι τὰς πέψεις τῶν σιτίων, ὡς αὐτὸς ἐν ἀφορισμοῖς ἐδήλωσεν εἰπὼν, αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσιν, καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολὺ, τροφῆς οὖν πλείονος δεῖται. σημεῖον αἱ ἡλικίαι, καὶ οἱ ἀθληταί. καθάπερ οὖν τῶν τοιούτων κοιλιῶν ἐστι γνώρισμα τὸ πέττειν ἀμέμπτως τὰς τροφὰς, οὕτως τῶν ψυχροτέρων μὲν, τὸ εἰς ὀξύτητα τρέπειν, τῶν θερμοτέρων δ' εἰς κνισσώδη ποιότητα. τοῖς μὲν οὖν καλῶς πέττουσι τὰ σιτία, τό, θ' αἷμα χρηστόν ἐστι, καὶ σύμμετρος ἕπεται σάρκωσις. ἢ καὶ πλείων ἐνίοτε τοῦ δέοντος, ὅταν ἀργότερον αὐτοῖς διαιτωμένοις, καὶ λουομένοις, τὸ δ' ἧττον εἰς εὐσαρκίαν τῇ τοῦ σώματος ἕξει. ἐπειδὰν δὲ φθάσῃ πλῆθος ἀθροισθὲν, εἰς νόσους ἐμβάλλει ὅλον τὸ σῶμα. τοῖς δὲ διὰ τὴν δυσκρασίαν τῆς γαστρὸς ἀποπέττουσι τε καὶ διαφθείρουσιν εἰς καπνώδη καὶ κνισσώδη ποιότητα τὰ σιτία, μοχθηρὸν μὲν ἀθροίζεται κατὰ τὰς φλέβας αἷμα, μοχθηρὰ δὲ ἡ τοῦ σώματος ὅλου γίνεται θρέψις. ἐπὶ τούτων οὖν ἀκούειν σε χρὴ τοῦ προκειμένου λόγου. τῷ μὲν γὰρ ἥπατι, καὶ τῇ καρδίᾳ τὸ ἔμφυτον θερμὸν ἐξ ἀρχῆς ὑπάρχει πολὺ, ταῖς σαρξὶ δὲ ἐκ τοῦ αἵματος ἐπεισέρχεται. καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστι ψυχρὰς αὐτὰς εἶναι κατὰ τὰς τοιαύτας φύσεις τῶν σωμάτων, ὁποῖα καὶ νῦν ἔγραψεν ὁ Ἱπποκράτης, ὡς ἂν μὴ χορηγουμένας αἷμα δαψιλὲς, ἀλλ' ὀλίγον τε καὶ μοχθηρόν. ἀμφότερα γὰρ γίνεται τοῖς δυσκράτοις τὴν γαστέρα κατὰ τὴν πυρώδη θερμασίαν, ὑπέρχεσθαι μὲν τὰ σιτία διαφθειρόμενα, καὶ διὰ τοῦτο ὀλίγης ἐξ αὐτῶν ἀπολαβεῖν τὸ σῶμα τροφῆς. εἶναι δὲ καὶ αὐτὴν ταύτην οὐκ ἀγαθὴν, διὰ τὸ μὴ πεπέφθαι καλῶς. οὐ γὰρ οἷόν τε γεννηθῆναι χρηστὸν αἷμα κατὰ τὸ ἧπάρ τε καὶ τὰς φλέβας, ἀπεπτηθέντων τε καὶ διαφθαρέντων ἐν τῇ γαστρὶ τῶν σιτίων. εἰ μὲν οὖν ὀλίγον οὐ μὴν μοχθηρὸν ἦν τὸ κατὰ τὰς φλέβας αἷμα, συνέβαινεν ἂν ἑλκύσαι αὐτὸ τὰς σάρκας. αὐτὰς μὲν ἧττον τρέφον, ἐκχωροῦν δ' ἐκείνας, ὡς συνεστάλθαι τε καὶ φαίνεσθαι μόγις. ἐπεὶ δὲ οὐ μόνον ὀλίγον ἀλλὰ καὶ μοχθηρόν ἐστιν, οὐδὲ τόθ' ἑλκύουσι καθ' δέοντα. καθάπερ οὐδ' ἡμεῖς αὐτοὶ προσιέμεθα τὰ κεκνισσωμένα, καί τινας ἑτέρας μοχθηρὰς ἔχοντα ποιότητας ἐδέσματα, κἂν πάνυ σφόδρα τροφῆς ὀρεγόμεθα. καὶ γὰρ καὶ εἰ

ὀρέξεις αὐτὴ παύεται γευσαμένων ἡμῶν τοιούτου σιτίου. κατὰ τοῦτ᾽ οὖν αἱ σάρκες ἐκ τῶν φλεβῶν ὀλίγον ἕλκουσιν εἰς τρέψιν αὐτῶν τὸ ἀναγκαιότατον, ὡς ἐκ τοῦ βραχεῖ χρόνῳ πλέονι κατὰ τὰς φλέβας ἀθροίζεσθαι μοχθηρὸν αἷμα. καὶ διὰ τοῦτ᾽ ἐν ταῖς φλεβοτομίαις οὐκ ἂν ἴδοις ποτὲ τῶν τοιούτων ἀνθρώπων ἐρυθρὸν αἷμα ῥέον, ἀλλ᾽ ὡς ἂν εἴποι τις ἑτέραν ἔχων χρόαν εὑρίσκεται τοῦτο. εὐθὺς δὲ καὶ δυσῶδες, καὶ εἰ ἐκ πολλοῦ χρόνου μὴ εἴη κεκενωμένος ὁ ἄνθρωπος, μέλαν φαίνεται τὸ αἷμα τὸ κατὰ τὴν φλεβοτομίαν ἐκκενούμενον, ἄλλοτ᾽ ἄλλην ἔχον ἐν πάχει τε καὶ λεπτότητι σύστασιν, ἐνίοτε μὲν ὀρρῶδες, καὶ λεπτότερον, ἐνίοτε δὲ παχύτερον, ὥσπερ δὴ καὶ λίαν παχύ, καὶ μέλαν φαίνεταί ποτε παραπλήσιον ὑγρᾷ πίττῃ. ταῦτ᾽ οὖν ἅπαντα τὰ νῦν ὑπὸ κεφαλαίως εἰρημένα, κατ᾽ ἄλλα μέν τινα τῶν εἰρημένων ὑπομνημάτων, καὶ μάλιστα τῆς θεραπευτικῆς μεθόδου τελέως ἐξείργασαι, νυνὶ δὲ διὰ συντόμων εἴρηται παραλελειμμένα τοῖς ἐξηγηταῖς. εἰώθασι γὰρ πλεονάζειν μὲν ἐν τοῖς ἀχρήστοις, ἐκλείπειν δ᾽ ἐν τοῖς χρησιμωτάτοις. ἐγὼ γοῦν ἐπειδὴ πάνυ χρήσιμός ἐστιν ὁ προκείμενος λόγος, ἀναλαβὼν αὐτὸν ἀπὸ κεφαλαίων αὖθις ἐρῶ, συνάψας τῇ τῆς προκειμένης ῥήσεως ἐξηγήσει. θερμοκοιλίους μὲν ἡγητέον αὐτὸν λέγειν, οὐχ ὥσπερ τοὺς παῖδας εἶπε, καὶ τοὺς ἀθλητὰς πολὺ τὸ ἔμφυτον ἔχειν θερμόν, οὐδ᾽ ὡς ἐν χειμῶνι τὰς κοιλίας τῷ φυσικῷ θερμῷ θερμοτάτας ὑπάρχειν, ἀλλ᾽ ὡς τὸ δακνῶδές τε καὶ μοχθηρὸν θερμὸν οὐκ ὀλίγον ἔχοντας ἐν τῇ δυσκράτῳ γαστρί. τοὺς τοιούτους δὲ ψυχροσάρκους εἰκότως ὠνόμασεν ἀτροφοῦντας ἀπορίᾳ χρηστῆς τε ἅμα καὶ δαψιλοῦς τροφῆς, ἣν ἐκ τοῦ κατὰ φύσιν αἵματος ἔχουσιν ἐν τοῖς εὐκράτοις σώμασιν. ἕπεται δὲ τῇ τοῦ αἵματος ἐνδείᾳ, ψυχρὰς γίνεσθαι τὰς σάρκας, ἐπίκτητον δὴ τὴν θερμασίαν ἐξ αἵματος ἐχούσας οὐκ οἰκείαν οὐδ᾽ ἔμφυτον ὡς ἧπαρ τε καὶ καρδία. λεπτοὶ δὲ ἐξ ἀνάγκης οὗτοι γίνονται διὰ τὴν ἔνδειαν τῶν σαρκῶν, ὧν αἱ μειώσεις τε καὶ αὐξήσεις εἰς λεπτότητα καὶ παχύτητα τὸ σύμπαν σῶμα προάγουσι. λέγει δὲ τοὺς αὐτοὺς τούτους, ὑποφλέβους ὑπάρχειν ὥσπερ εἰ καὶ οὕτως εἶπε. τοῖς τοιούτοις ὑποφανεῖς αἱ φλέβες εἰσίν, τουτέστι ἐκκείμεναι, ὡς ἂν αὗταί γε πλήρεις αἵματος οὖσαι, καὶ γεγυμνωμέναι διὰ τὴν ἔνδειαν τῶν σκεπουσῶν αὐτὰς σαρκῶν. ἀλλὰ καὶ ὀξυθυμοτέρους αὐτοὺς εἶναί φησι, οὐχ ἁπλῶς ὀξυθύμους, ἢ ὑπερβολικῶς ὀξυθυμοτάτους, ὅπερ ἂν ἔπαθον, εἰ τὸ κατὰ τὴν καρδίαν θερμὸν ἦν πάμπολυ. τὸ δ᾽ ἐν τῇ γαστρὶ τῇ κακώσει τοῦ στόματος αὐτῆς ὀξυθυμοτέρους ἐργάζεται. δέδεικται γὰρ ὡς καὶ τοῦτο τὸ μόριον ἑαυτῷ συνδιατίθησι τὴν ψυχήν, ἀργοτέρους μὲν ἐργαζόμενον εἰς τὸ νοῆσαι, καὶ πρᾶξαι καθ᾽ ὃν ἂν χρόνον ἑαυτοῦ γένηται ψυχρότερον. ἑτοιμοτέρους δὲ καὶ ὀργιζομένους ἐπὶ μᾶλλον θερμανθέν, οὐ τῇ κατὰ φύσιν δηλονότι θερμασίᾳ, τῇ δ᾽ ἐπικτήτῳ τε καὶ παρὰ φύσιν, περὶ ἧς ὁ λόγος οὐδὲ σύμπας ἡμῖν δύναται. τοῖς δ᾽ Ἱπποκρατείους μὲν ἑαυτοὺς ὀνομάσασιν, ἀγνοοῦσι δὲ τὰ κυριώτατα δόγματα τῆς Ἱπποκράτους τέχνης, οἷς καὶ τὰ διὰ τῆς ἐμπειρίας φαινόμενα μαρτυρεῖ, μέμψασθαι δίκαιον, οὐχ ὡς ἡμεῖς εἰρήκαμεν, ἀλλ᾽ ἑτέρως ποιησαμένοις τὴν ἐξήγησιν. οἴονται γὰρ ἐπὶ τῶν θερμοτέρων κοιλιῶν τὰ τοῦ συμφύτου θερμοῦ ῥέπειν ἐς τὸ βάθος, ἀπολείπειν δὲ τὰ ἐκτὸς μέρη, καὶ διὰ τοῦτο ψυχροσάρκους ἐργάζεσθαι τοὺς ἀνθρώπους. ἀλλ᾽ αἱ τοιαῦται ῥοπαὶ κατὰ μὲν τὰς ὥρας, καὶ τὰς χώρας, καὶ ὅλως τὰς καταστάσεις τοῦ περιέχοντος, καὶ ἐγρηγόρσεις τε καὶ ὕπνους γίνονται, καθάπερ γε κἂν τοῖς ψυχικοῖς πάθεσι, λύπαις, καὶ φόβοις, ἡδοναῖς τε σωματικαῖς, καὶ χαραῖς ψυχικαῖς, οὔτε δὲ φυσικὴ κατασκευὴ σώματος, οὔθ᾽ ἡλικία ἐργάζεται τοιαύτην μετάστασιν ἐμφύτου θερμασίας, ἀλλ᾽ εἰσὶν ὡς κἂν τοῖς ὑγιεινοῖς ἐδείχθη μοχθηραὶ κατασκευαὶ σώματος. ἔνιαι μὲν ἐν ὅλῳ τῷ ζώῳ δυσκρασίαν ἔχουσαι. τινὲς δ᾽ ἐν τῇ τῶν μορίων ἀνωμάλῳ κατασκευῇ, καθάπερ καὶ ἡ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένη περὶ τῶν ἐν μοχθηρᾷ καταστάσει τὴν κοιλίαν ἐχόντων, οὐκ ἐν ἀρίστῃ, καθάπερ αἱ τὸ ἔμφυτον ἔχουσαι θερμὸν πολύ. καὶ διὰ τοῦτο εἰς εὐσαρκίαν συντελοῦσαι τὰ μέγιστα, καὶ παχύνουσι τὴν ἕξιν οὐ καθαιροῦσι, καὶ λεπτύνουσι ταῖς δυσκράτοις ὁμοίως.

Αὐχμῶν δὲ γῆς οἰωνῶν γένος εὐθυμεῖ.

Οἱ γὰρ ὄρνιθες ὡς ἂν ξηρότεροι τὴν κρᾶσιν ἡμῶν ὄντες, ἐν τοῖς αὐχμοῖς ὑγιαίνουσι μᾶλλον. ἴσμεν δὲ καὶ τροφαῖς αὐτοὺς ξηροτέραις ὀλίγῳ τε ποτῷ χρωμένους, οὐχ ὥσπερ οἱ σύες ὕδατι συνεχῶς λοῦσθαι ποθοῦντες, ἐμπίπλασθαί τε συνεχῶς οὐκ ὀλίγου ποτοῦ.

Τράγος ὁκότερος ἂν φανῇ ἔξω ὄρχις, ἢν μὲν δεξιός, ἄρσεν, εὐώνυμος δὲ θῆλυ.

Ἐν τῇ μεταβολῇ τῆς τῶν παίδων ἡλικίας εἰς τὴν τῶν μειρακίων, ὥσπερ ἥ τε τοῦ σπέρματος αὐτοῖς γένεσις ἄρχεται καὶ τριχῶν τῶν ἐπὶ τοῖς αἰδοίοις, οὕτω καὶ ἡ τῶν ὄρχεων αὔξησις ἀθρόα, καθάπερ γε ταῖς παρθένοις ἡ τῶν τιτθῶν ἅμα τῇ τῶν καταμηνίων φορᾷ. τηνικαῦτα τοίνυν καὶ ἡ τῆς φωνῆς γίνεται μεταβολὴ τοῖς ἄρρεσι μάλιστα, πρότερον γὰρ ὄντες ὀξύφωνοι, τελέως μὲν ἡβήσαντες, ἀποτελοῦνται βαρύφωνοι. κατὰ δὲ τὸν μεταξὺ χρόνον οἷον εἰ βραγχώδης αὐτοῖς ἡ φωνὴ γίνεται. διότι μὲν οὖν ἐπιφαίνεται ταῦτα πάντα κατὰ τὴν εἰρημένην ἡλικίαν, ὁ παρὼν οὐ χρῄζει λόγος ἀναζητεῖν. ὅτι δ᾽ ἐπιφαίνεται ταῦτα πάντα, καὶ ἡ ἐμπειρία δείκνυσιν, ὥσπερ γε καὶ ὅτι τῶν ὄρχεων εἰ μὲν ὁ δεξιὸς πρότερον εἰς ὄγκον ἀρθείη, τὰ τοιαῦτα μειράκια τελειωθέντα καὶ ἀνδρωθέντα, παῖδας ἄρρενας ἰσχύει μᾶλλον ἤπερ θηλείας. εἰ δ᾽ ὁ ἀριστερὸς ἔμπαλιν, οὕτω δὲ καὶ περὶ τῆς μήτρας φρονεῖ. κατὰ γοῦν τοὺς ἀφορισμοὺς ἔγραψεν. ἔμβρυα τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον. ἅπερ οὖν εἴρηταί μοι περὶ τοῦδε κατὰ τὴν τῶν ἀφορισμῶν ἐξήγησιν, ἐπὶ τὸν ἐνεστῶτα μετοίσεις λόγον, αἰτίας μιᾶς οὔσης κοινῆς, ἐπί τε τῶν ἀρρένων καὶ τῶν θηλειῶν, δι᾽ ἣν τὰ μὲν ἀριστερὰ μέρη τῶν θηλειῶν ἐστι γεννητικά, τῶν δ᾽ ἀρρένων τὰ δεξιά. λέλεκται δὲ περὶ τούτου κἂν τοῖς περὶ χρείας μορίων.

Ὀφθαλμοὶ ὡς ἂν ἰσχύωσιν οὕτω καὶ γυῖον, καὶ χροιὴ ἐπὶ τὸ κάκιον ἢ βέλτιον ἐπιδίδωσιν.

Εὔδηλον δὲ ὅτι προσυπακοῦσαι χρὴ τό, ὡς ἂν ἰσχύος τι ἔχωσιν, ὅπερ ἔνιοι καὶ προσέγραψαν. ἡ γοῦν διάνοια τῆς ῥήσεως ὡς ἐμοὶ δοκεῖ κάλλιστα τις ἐξηγήσασθαι, παραλιπὼν τὴν μοχθηρῶς εἰρημένην τοῖς πλείστοις. ἡ δ᾽ ἂν μάλιστα γένοιτο

γένοιτο, ἡγοῦμαι τὸν Ἱπποκράτη διδάσκειν ὅπως ἄν τις ἀπὸ τῶν ὀφθαλμῶν διαγινώσκῃ περὶ τῆς ἐν ὅλῳ τῷ σώματι διατρέσεως. ἐπεὶ δὲ μάλιστα οὗτοι τὴν βεβαιοτάτην ἐνδείκνυνται διάγνωσιν, ἤδη γοῦν τῶν λειποθυμησάντων, ἢ ἄλλως ἐκλυθέντων τὴν δύναμιν, οὔτε θεασάμενος χεῖρα τις, ἢ σκέλος, ἢ τοῦ προσώπου τἆλλα μόρια χωρὶς τῶν ὀφθαλμῶν ἐξευρεῖν τι δυνήσεται, περὶ τῆς ἤδη δύναμιν ἀῤῥωστίας τε καὶ ῥώμης, ὥσπερ εἰ τοὺς ὀφθαλμοὺς θεάσαιτο. προδήλως γὰρ ἐν αὐτοῖς εὐτονία τε καὶ ἀτονία φαίνεται. τινῶν μὲν οὖν ὀξυδερκούντων ἀναπεπταμένων τῶν βλεφάρων, ἐνίων δὲ μηδὲ διοῖξαι τελέως αὐτὰ δυναμένων, καὶ ἡ χρόα δι' αὐτῶν καὶ ὁ ὄγκος ἐνδείκνυταί τι περὶ τῆς δυνάμεως. ἀῤῥωστούσης μὲν γὰρ αὐτῆς, οἱ ὀφθαλμοὶ κοῖλοί τε καὶ αὐχμηροὶ καὶ κακόχροοι φαίνονται. ῥωσθείσης δ' εὐχροοῦσί τε, καὶ εἰς ὄγκους αἴρονται, καὶ στιλπνὴν ἔχουσιν ὑγρότητα. ταῦτα μὲν οὖν ἐναργῶς φαίνεται γινόμενα, καὶ χωρὶς τοῦ τὴν αἰτίαν ἐπίστασθαι δι' ἣν γίνεται. δήλη δὲ καὶ ἡ αἰτία τοῖς ἐπισταμένοις ὁποία ἐστὶν ἡ φύσις τῶν ὀφθαλμῶν, ὅπερ ἐν ἄλλοις τε καὶ τοῖς ὀπτικοῖς λόγοις ἀπεδείξαμεν, ὡς αὐγοειδὲς πνεῦμα ψυχικὸν ἐξ ἐγκεφάλου πλεῖστον εἰς ὀφθαλμοὺς παραγίνεται. τοῦτ' οὖν ὅταν ἄῤῥωστον ἢ ὀλίγον ᾖ, κατὰ τοὺς ὀφθαλμοὺς τὰ ἄρτι λελεγμένα συμπτώματα συμβαίνουσι, καὶ ἡ χροιὴ δέ φησι, τουτέστι τὸ χρῶμα μεταβάλλει πρὸς τὸ βέλτιον ἢ χεῖρον. ἄδηλον δὲ, εἴτε περὶ τῶν ὀφθαλμῶν ἔτι ποιεῖται τὸν λόγον, εἴτε περὶ τῆς καθ' ὅλον τὸ σῶμα χροιῆς, ἑκάτερον γὰρ αὐτῶν ἀληθές ἐστι, τῶν μὲν ὀφθαλμῶν ὥσπερ ἰσχὺν, καὶ ἀσθένειαν, οὕτω καὶ εὐχροιάν τε καὶ δυσχροιαν ὑπαλλαττομένων, ἀκολουθούσης δὲ τούτοις, καὶ τῆς καθ' ὅλον τὸ σῶμα διαθέσεως. ἐὰν μὲν γὰρ εὐχροῶσιν οἱ ὀφθαλμοὶ, τὸ γῦον ὑγιεινὸς ἔχειν δηλοῦσι, τουτέστι τὸ σῶμα ὅλον. κακόχροιαν δέ τινα ἐχόντων, καὶ εὐθὺς τὸ πᾶν βεβλάφθαι δηλοῦσι. θᾶττον δὲ τῶν ἄλλων μορίων ἐν ὀφθαλμοῖς ἡ μεταβολὴ φαίνεται τῶν χρωμάτων, διὰ τὸ καθαρόν τε καὶ λαμπρὸν αὐτῶν. οὐ μόνον δὲ τοῦτο δύναται σημαίνειν ἡ λέξις, ἀλλὰ τὴν ἐν ὅλῳ τῷ σώματι μεταβολὴν τῆς χρόας ἕπεσθαι τοῖς κατὰ τὸν ὀφθαλμὸν σημείοις. ἀπὸ μὲν οὖν τῶν ὀφθαλμῶν, οὕτως ἡ διάγνωσις ἐφ' ὅλον τὸ σῶμα μετάγεσθαι δύναται, καθ' ἑαυτὴν δὲ τὴν λέξιν ἐξηγεῖσθαι δυνατὸν ἄνευ τῶν ὀφθαλμῶν, ἐὰν συνάπτῃ τις αὐτῇ τὴν ἐπιφερομένην, ἑξῆς εἰ ἀπ' ἄλλης ἀρχῆς οὕτως αὐτὴν ἐξηγήσομαι.

Καὶ χροιὴ ἤδη τὸ κάκιον ἢ βέλτιον ἐπιδίδωσι. δίκαιον δὲ ὡς ἂν ἔχῃ ἡ τροφὴ, οὕτω καὶ τὸ ἔξω ἕπεσθαι.

Τὴν χρόαν ἀνάλογον τῇ τροφῇ, τουτέστι τῷ αἵματι πρὸς τὸ κάκιον ἢ βέλτιον ἐπιδιδόναι φησί. αἷμα δὲ λέγει νῦν, ὅλον τὸν ἐν τοῖς ἀγγείοις χυμὸν, ἐν ᾧ καὶ φλέγματός τε καὶ χολῶν, καὶ ἰχώρων περιέχεται. τοῦτο γὰρ ἄμεινόν τε καὶ χεῖρον γίνεται. τὸ δ' ἐν αὐτῷ περιεχόμενον ὃ κυρίως αἷμα λέγεται, καὶ ἐπὶ τὴν ἐπικρατείαν αὐτοῦ τὸ σύμπαν ὀνομάζεται, μοχθηρὸν εἰπεῖν ἀδύνατον, ὥσπερ οὐδ' ἄλλην τινὰ χρόαν ἔχον, ὅτι μὴ τὴν ἐρυθράν.

Σημεῖα θανατώδεα ἀνὰ δέρμα, θερμὸς ἀτμός. πρότερον δὲ ῥὶς ψυχρὸν πνεῦμα ἀφίησιν.

Ἐάν τε κατ' αἰτιατικὰς πτώσεις γεγραμμένον ᾖ θερμὸν ἀτμὸν, ἐάν τε κατ' εὐθείας θερμὸς ἀτμὸς, ἑκατέρως δὲ προσυπακούεται. βούλεται γὰρ ὁ νοῦς τῆς λέξεως εἶναι τοιοῦτος, ἐκ τῶν θανατωδῶν σημείων ἐστὶ, καὶ ταῦτα θερμὸν ἀτμὸν ἐκκενοῦσθαι διὰ τοῦ δέρματος ἤδη προηγησαμένου ψυχροῦ πνεύματος ἐπὶ τὴν ἐκπνοήν. εἰ δὲ καὶ κατ' εὐθείας πτώσεις θέλεις ἑρμηνεῦσαι τὴν αὐτὴν διάνοιαν, οὕτως ἂν εἴποις, μάλιστα σημεῖα θανατώδη διὰ τοῦ δέρματος θερμὸς ἀτμὸς ἐκκενούμενος ἤδη προηγησαμένου ψυχροῦ πνεύματος ἐπὶ τὴν ἐκπνοήν. ἀλλὰ τοῦτο μὲν αὐτὸ τὸ τῆς ψυχρᾶς ἐκπνοῆς ὅτι τῶν ὀλεθριωτάτων ἐστὶ, καὶ ἐπὶ τὸ προγνωστικὸν εἴρητο κατὰ τὴν δὲ τὴν λέξιν, ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. νυνὶ δὲ προσέθηκέ τι σύμπτωμα τοῖς οὕτως ἔχουσιν, οὐκ ἀεὶ γινόμενον. ἐχρῆν γὰρ ἀτμὸς θερμὸς ἀθρόως ἐκ τοῦ δέρματος, ἀλλ' ἅτε πᾶσιν ὡς ἔφην, οὔτ' ἐν παντὶ καιρῷ, καὶ ταῦτ' ἐχρῆν διδάσκειν τοὺς ἄλλους μὴ δεῖ φλυαροῦντας ἐξηγητάς. ἐπ' ἐκείνων γὰρ μόνων εὑρήσεις τοῦτο πιστὸν γινόμενον, ἐφ' ὧν προηγήσατο τοῦ θανάτου θερμότατος πυρετὸς, ἐκφρύξας τὸ τῆς καρδίας σῶμα, καὶ διὰ τοῦτο καταψύξας αὐτὴν ἐπὶ τῇ τελευτῇ. λυθέντος οὖν τοῦ ζωτικοῦ τόνου, νεκρουμένης τῆς καρδίας ἐπὶ μὲν τῶν ἄλλων ἱδρώτων γίνονται συγκοπτικοὶ, περιουσίας ὑγρῶν οὔσης κατὰ τὸ σῶμα. τοῖς δὲ ἀπὸ τοῦ διακαοῦς πυρετοῦ προεξηρασμένοις, ἀντὶ τῶν ἱδρώτων, ἀτμὸς θερμὸς ἀπτομένῳ φαίνεται διαπνεόμενος, οὐ μὴν οὐδ' οὗτος ἐν παντὶ καιρῷ τοῦ νοσήματος, ἀλλ' ὁπότε τῷ χρόνῳ προσήκοντι καταψύχεται τὸ δέρμα κενωθείσης τῆς ἀτμώδους οὐσίας, ἥ τις ὑπὸ τοῦ διακαοῦς πυρετοῦ λεπτυνομένων τῶν χυμῶν ἠθροίσθη ἐπὶ τὸν νοσοῦντα χρόνον. οὐ γὰρ δὴ κατ' ἐκεῖνόν γε τὸν καιρὸν ἐν ᾧ συμβαίνει νεκροῦσθαι τὴν καρδίαν οἷόν τε γεννηθῆναι, μὴ ὅτι θερμὸν ἀτμὸν, ἀλλὰ μηδὲ ψυχρὸν, ἢ χλιαρόν. ἅπασα μὲν οὖν καρδία πλησίον τοῦ θανάτου ψυχρὰν ἴσχει δυσκρασίαν, οὐ μὴν ἐν ἁπάσῃ γε νόσῳ θανατώδει τοιαύτη διὰ παντός ἐστι, ἀλλ' ὡς εἴρηται θερμοτάτη πολλάκις ἐν τοῖς παρακαυστικοῖς. ὅταν οὖν νοσῇ, ψυχρὰν δυσκρασίαν ἡ καρδία, τὸν θερμὸν ἀτμὸν οὐκ ἂν εὕροις ἐκκενούμενον, ὅταν ἐγγὺς τοῦ θανάτου γενόμενος ὁ κάμνων ἄρξηται ψυχρὸν ἐκπνεῖν, οὐδὲ προλελείπται τοῖς οὕτως ἔχουσι τὰ ὑγρὰ, μήτε πυρετοῦ διακαοῦς πυρέξασι, μήτε χυμοὺς ἔχουσι χολώδεις, θερμοὺς μὲν τῇ κράσει, λεπτοὺς δὲ τῇ συστάσει. ἐν γὰρ ταῖς ψυχραῖς δυσκρασίαις, οἱ φλεγματώδεις καὶ ὠμοὶ, καὶ παχεῖς, καὶ ὅλως ψυχροὶ χυμοὶ πλεονάζουσιν, οὐχ οἱ χολώδεις, καὶ θερμοὶ, καὶ λεπτοί.

Τὰ δὲ ζωτικὰ ἐναντία.

Μάχεται τοῦτο φανερῶς τοῖς εἰρῆσθαι νομίζουσι θανατῶδες σημεῖον ἐν τῇ ῥινὶ τὸν θερμότατον πυρετόν. ὡς γὰρ αὐτὰ τὰ προειδότα κατ' ἀρχὴν εἰρημένῳ, σημεῖα θανατώδεα, νῦν ἔγραψε, τὰ δὲ ζωτικὰ ἐναντία. καίτοι ἐπὶ τὴν ἐκείνων ἐξήγησιν οὐ συνῆπται τῷ θανατώδη σημεῖα. τὸ κατὰ ταῦτα γεγραμμένον, ἀνὰ ῥῖνα θερμότητα, καίτοι τὸ ἀνὰ ῥῖνα θερμότατον οὐκ ἔχει αὐτῷ προσκείμενον, εἴτε θανατῶδές ἐστι, εἴτε μή. οὐ γάρ ἐστι θανατῶδες εἰ μὴ προηγήσαιτο τὸ εἰρημένον ὑφ' Ἱπποκράτει, πρότερον δὲ ῥὶς ψυχρὸν πνεῦμα ἀφίησιν. ἐὰν γὰρ ἄνευ τούτου γένηται θερμότατος ἀτμὸς

περὶ τὸ δέρμα, δύναται λεπτομερῶν χυμῶν ἐν θερμῷ πυρετῷ σύμπτωμα γεγονέναι, μὴ πάντως θανάτου σημεῖον. ἀλλ' ἔστιν ὅτε καὶ πρὸς ἀγαθοῦ διαπνεομένων τῶν λελεπτυσμένων χυμῶν, οὓς ὅταν ὦσι παχυμερέστεροι, δι' αἰσθητῶν ἐκκρίσεων ἡ φύσις ἐκκενοῖ τοῦ σώματος, ἱδρῶτάς τε κινοῦσα, καὶ πλῆθος οὔρων, ἢ διαχωρημάτων, ἢ ἔμετον ἐπάγουσα. ἔσται τοιγαροῦν τὰ πάντα τῶν εἰρημένων θανατωδῶν σημείων ζωτικά, τὸ μήτε ψυχρὸν ἐκπνεῖν, μήτ' ἐκκενοῦσθαι διὰ τοῦ δέρματος ἀτμὸν θερμόν. εἰκότως δὲ καὶ οἱ περὶ τὸν Ζεῦξιν ἰδίᾳ τὰ σημεῖα θανατώδη προεξηγησάμενοι, παρεῖλον ὅλην τήνδε τὴν λέξιν ἐν ᾗ φησι, τὰ ζωτικὰ ἐναντία πρὸς ὑγείαν.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΜΠΤΟΝ ΤΜΗΜΑ ΤΟΥ ΕΚΤΟΥ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Νούσων φύσιες ἰητροί.

Εἴρηται δὲ πολλάκις ὡς τὰς τοιαύτας γραφὰς ἐν αἷς ὑπαλλάττεται τὸ λεγόμενον, ἀλλ' ἡ διάνοια μένει κατὰ πᾶν ἡ αὐτή, κρίνειν οὐ πρόκειταί μοι φυλαττομένῳ τὸ μῆκος τῶν ὑπομνημάτων. ἀλλὰ καὶ νῦν αὐτὸ τοῦτο χάριν ἀναμνήσεως εἶπον, ἐπεὶ καὶ κατὰ τὰς μελλούσας λέγεσθαι ῥήσεις, οὐδὲν ὁρῶ περὶ τῶν τοιούτων γραφῶν. ὁ τοίνυν τῆς λέξεως νοῦς, εἰ μὲν ἁπλῶς τις ἀκούοι τοῦ λεγομένου, σαφής ἐστι, δηλοῦντος τοῦ Ἱπποκράτους τὴν ἑαυτοῦ γνώμην, ὡς οὐκ εἴη τοῦ χοροῦ τῶν ἀτέχνως ἡγουμένων εἶναι τὴν φύσιν, ἀλλὰ τεχνικήν, καὶ προνοητικὴν τοῦ ζώου. δύναμιν δὲ προσήκει νῦν ἀκούειν ἐκ τοῦ τῆς φύσεως ὀνόματος ἐνοικοῦσαν αὐτοῖς τοῖς σώμασι τοῖς διοικουμένοις ὑπ' αὐτῆς, ἧς τὴν οὐσίαν ἥτις ἐστίν, οὐκ ἀναγκαῖον ἐν τῷ παρόντι ζητεῖν, ὥσπερ οὐδὲ τῆς ψυχῆς ἡμῶν, ἢ τοῦ κατ' αὐτὴν ἡγεμονικοῦ. δεῖται γὰρ οὐδενὸς αὐτῶν ὁ ἐνεστηκὼς λόγος, ἀλλὰ μόνον ὅτι καλῶς ὑπελάμβανεν ὁ Ἱπποκράτης τὴν φύσιν ἰατρὸν εἶναι τῶν νοσημάτων. ἴσως γάρ τις οἰήσεται τὴν ἰατρικὴν τέχνην ἀναιρεῖσθαι τῷ λόγῳ τούτῳ. διὰ τοῦτ' οὖν οὐχ ἁπλῶς ἀκούειν χρή, νούσων δὲ φύσιες ἰατροί. βαθύτερον γὰρ νόημα κατὰ τὴν λέξιν τήνδε περιέχεται διαρθρώσεως ἀκριβεστέρας δεόμενον, ἣν (οὐ) πρόσθεν ἐποιησάμην ἑτέρωθι. γινώσκοντας δέ μου τὴν προαίρεσιν, τοὺς ἑταίρους οἷς χαριζόμενος ἐπὶ τὴν ἐξήγησιν ἀφῖγμαι τοῦ προκειμένου γράμματος. ἀναμνήσω καὶ νῦν ὡς ἕκαστον τῶν δογμάτων τῶν ἀποδείξεως δεομένων, ἅπαξ που διελθὼν τελέως, οὐκ ἐν ἑτέρῳ βιβλίῳ γράφω, μακρόλογον περιττὴν ἀηδῶς γινομένην εἰ περὶ τῶν αὐτῶν λέγει τις τὰ αὐτά, καθάπερ ἔνιοι πεποιήκασι τῶν νεωτέρων ἰατρῶν, οὐ δὶς μόνον ἢ τρίς, ἀλλὰ καὶ τετράκις, ἢ πλεονάκις ἔτι περὶ τῶν αὐτῶν τὰ αὐτὰ γράψαντες ἐν πολλοῖς ὑπομνήμασί τε καὶ συγγράμμασιν. ἐγὼ δὲ ἅπαξ ἀποδείξας τι, χρῶμαι τοῦ λοιποῦ κατὰ τὰ ἄλλα βιβλία τὸ κεφάλαιον μόνον ἀναμιμνήσκων, ὡς ἀποδέδεικταί μοι κατὰ τόδε τὸ γράμμα, καὶ νῦν οὖν ἅπαξ ποιήσομαι τὸν περὶ τῆς φύσεως λόγον. ὅπως τέ φησι αὐτὴν ἰατρὸν εἶναι τῶν νοσημάτων ὁ Ἱπποκράτης, ὅτι τε τὴν ἰατρικὴν τέχνην οὐδαμῶς ἀναιρεῖσθαι συμβέβηκεν ὑπὸ τοῦ δόγματος τούτου. σὺ δὲ ὁ τοῖσδε τοῖς ὑπομνήμασιν ὁμιλῶν, ἤδη μοι πρόσεχε τὸν νοῦν ἀρχομένῳ τοῦ λόγου, τὰς νόσους ὑπὸ τροφῆς ἐν καιρῷ δοθείσης ποιᾶς, καὶ ποσῆς, κινήσεώς τε καὶ καταπλασμάτων καὶ κλυστήρων, καὶ φλεβοτομίας, ὅσα τἆλλα τοιαῦτα θεραπεύεσθαί τις λέγων, οὐκ ἂν ψεύσαιτο, καθάπερ οὐδ' ὁ φάσκων ὑπὸ τῶν ἰατρῶν θεραπεύεσθαι τὰς νόσους. οὐδ' ὁ τὴν ἰατρικὴν τέχνην θεραπευτικὴν εἶναι τῶν νοσούντων, ὥσπερ γε ὁ ταῦτα λέγων, οὐκ ἂν ὡς ψευδόμενος ἐλεγχθείη. κατὰ τὸν αὐτὸν τρόπον, οὐδ' ὁ τὴν φύσιν εἶναι σωτηρίας τοῦ ζώου πράττειν πάνθ' ἡγούμενος. ἕπεται δὲ τούτῳ καὶ τὸ τὰς νόσους ἐκείνην πρώτην ἰᾶσθαι, καὶ μάλισθ' ὅταν ἐναργῶς ὑγιάζῃ τὸν ἄνθρωπον, ἱδρῶτας χέασα πολλούς, ἢ δι' οὔρων, ἢ διὰ γαστρός, ἢ δι' ἐμέτων κενώσασα τοὺς λυποῦντας χυμούς. τί τοίνυν τούτων ἁπάντων ἀξιώματι πρῶτόν ἐστιν, ἢ τί δεύτερον, ἢ τί τρίτον, ὅσα ποιεῖν ὑγείαν ἔφαμεν, ἐπισκέψασθαι προσήκει. καὶ μάλισθ' ὅτι δὲ καὶ ἄλλα τινὰ προσέρχεται δι' ὧν αἱ νόσοι θεραπεύονται, περὶ ὧν ἁπάντων τῆς κατὰ τὴν ἀξίαν τάξεως, ἄμεινον ἐγνῶσθαι. δοκεῖ γὰρ ἡμῖν ἄμεινον μὲν λέγεσθαι, καὶ ἡ φύσις ἰᾶσθαι τὰς νόσους. ὀρθῶς δὲ καὶ ἡ ἰατρική, καὶ ὁ ἰατρός. ἀληθῶς δὲ καὶ ὁ ὑπηρέτης αὐτοῦ, καὶ ἡ φλεβοτομία, καὶ ἡ δι' αὐτὴν γινομένη ῥύσις τοῦ αἵματος. ἴσως δ' ἀξιώσει τις καὶ τὸν μάγειρόν τι συντελεῖν, καὶ τὸν ὑφάντην, καὶ τὸν οἰκοδόμον, καὶ τὸν χαλκέα, καί τινας ἄλλους τεχνίτας ὧν τοῖς ἔργοις εἰς ὑπηρεσίαν χρώμεθα τῶν παρασκευαζομένων τοῖς ἀνθρώποις ὑγείας ἕνεκα, ἀλλὰ τῶν τοιούτων ἔνια μὲν ὗλαι βοηθημάτων, οὐ βοηθήματα εἰσίν. ἔνια δ' ὄργανα τοῖς βοηθοῦσιν ἐπιτήδεια. βοηθήματα δὲ γίνεται διὰ τοὺς ἐν καιρῷ δέοντι, καὶ ὡς προσήκει χρωμένους αὐτοῖς. ὅταν μὲν γὰρ ὠφελῆσαι δοθεὶς αὐτοῖς οἶνος, ἡ δόσις αὐτοῦ βοήθημά ἐστι. κἂν δ' ἀκαίρως προσενεχθεὶς παραφροσύνην, ἢ φρενῖτιν ἐργάσηται, νοσῶδες αἴτιον οὐχ ὑγιεινόν, οὐδὲ βοήθημα γίνεται. τίς οὖν αἴτιός ἐστι τῆς γενέσεως τοῦ βοηθήματος, ὁ τὸν καιρὸν εὑρίσκων δηλονότι. τίνα δὲ τοῦτον οἱ Ἕλληνες ὀνομάζουσιν, ἢ καὶ τοῦτο πᾶσι δῆλον ὡς ἰατρὸς οὗτος καλεῖται, ὥστε ἰατρὸς οἴνου κυριώτερος εἰς ὑγείαν φυσικήν τε καὶ ποίησιν, ὑγιαίνουσι τε γάρ, ὠφέλιμος οἶνος γίνεται καιρῷ, καὶ μέτρῳ πινόμενος. ἰᾶται δὲ τὰς νόσους ὅτε χρή, προσφερόμενος. ἀλλ' ὅ γε ἰατρὸς οὐχ ὅτι ζῷόν ἐστιν, ἢ ὅτι πεζόν, ἢ ὅτι δίπουν, ἢ ὅτι λογικόν, ἢ πολιτικόν, ἐπίσταται καιρόν, καὶ μέτρον ἑκάστης τῶν ὑλῶν, ἀλλ' ὅτι τέχνην μεμάθηκεν ὑγιεινῶν τε καὶ νοσωδῶν γνωστικήν. εἰ γὰρ δι' ἐκεῖνον ταῦτ' ἐπίσταιτο, πάντες ἄνθρωποι τὴν αὐτὴν ἐπιστήμην εἶχον, ὥστε πρότερα κατὰ τὸ ἀξίωμα τῶν ἰατρῶν ἐστιν ἡ τέχνη δι' ἣν ἰατροὶ γίνονται. τῇ γοῦν ἐκείνης δυνάμει χρώμενοι τὰς νόσους θεραπεύομεν. ἀλλ' ὃν ἔχει λόγον ὕλη, καὶ τὰ ὄργανα πρὸς ἰατρόν τε καὶ τὴν τέχνην αὐτοῦ, τοῦτον αὖ πάλιν αὐτός τε καὶ ἡ τέχνη πρὸς τὴν ἐν τῷ θεραπευομένῳ φύσιν. ἐκείνη γάρ ἐστιν ἡ πάντα τὰ δέοντα πράττουσα κατὰ τὰ τῶν ζώων σώματα, καὶ τρέφουσα μὲν ἡνίκα θρέψεως δεῖται, παρασκευάζουσα δ' αὐτὴ τὸ αἷμα δι' οὗ θρέψει τὰ τροφῆς δεόμενα μόρια. τῷ δ' αἵματι πάλιν αὐτῷ πρὸς τὸ γεννηθῆναι παρασκευάζουσα τὴν ἐν τῇ γαστρὶ πεπτομένην τροφήν. εἰ δέ γε καταποθέντα τὰ σιτία, μήτε πεφθείη καλῶς, μήτ' ἀναδοθείη, μήθ' αἱματωθείη, μήτε τὴν τῶν τρεφομένων δύναμιν εὕροι, τὴν ἀρχὴν οὐδ' ἂν τροφὴ λέγοιτο γεγονέναι τοῦ σώματος ἡμῶν. ὥσπερ δ' εἰς τὸ τραφῆναι τὰ θρέψεως δεόμενα μόρια κυριω-

κυριωτάτη τῶν αἰτιῶν ἐστιν ἡ τρέφουσα δύναμις αὐτά, κατὰ τὸν αὐτὸν τρόπον ἡ μὲν ἐν τῇ γαστρί, πρὸς τὴν τῶν σιτίων πέψιν. ἡ δ' ἐν ἥπατί τε καὶ φλεψί, πρὸς τὴν τοῦ πεφθέντος αἱμάτωσιν. οὐ μὴν οὐδ' ἀναγκαῖον ἅπαντά με τὰ κατὰ μέρος ἔργα τῆς φύσεως διέρχεσθαι νῦν. ἀρκεῖ γὰρ ἀναμνῆσαι μόνον ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἐδείχθησαν αἱ καθόλου δυνάμεις αὐτῆς, αἷς ἅπαντα τὰ κατὰ τὸ ζῶον ἐργάζεται, τέτταρες οὖσαι. πρώτη μὲν ἡ τῶν οἰκείων ἑλκτική, δευτέρα δέ, ἡ τούτων αὐτῶν ἀλλοιωτική τε καὶ πεπτική, καὶ τρίτη ἡ καθεκτικὴ τῶν οἰκείων, καὶ τετάρτη τῶν οὐκ οἰκείων ἀποκριτική. ταύταις οὖν ταῖς δυνάμεσιν οὐ μόνον ὑγιαῖνον φυλάττει τὸ ζῶον, ἀλλὰ καὶ νοσῆσαν ὑγιάζει, κἀκ τῶνδε δῆλον ὅσον ἀξιώματι προέχει τῶν ποιητικῶν ὑγείας αἰτίων. ἅπαντα γὰρ τἆλλα παρασκευάζει τὴν οἰκείαν ὕλην αὐτῇ, καθάπερ ἐκτὸς ὁρῶμεν ἄλλην τέχνην ἄλλῃ ὑπουργοῦσαν. ὑφάντῃ μὲν γὰρ κερκίδας, καὶ ἱστούς, καὶ κτένας ὁ τέκτων παρασκευάζει. τούτῳ δὲ ξύλα μὲν ὁ ὑλοτόμος, ἀξίνην δὲ καὶ σκέπαρνον ὁ χαλκεύς, τῷ χαλκεῖ δ' αὐτῷ τὸν σίδηρον ὁ μεταλλεύς. καὶ σπάνιόν ἐστιν εὑρεῖν τέχνην ποιητικὴν οὐδεμιᾶς ἑτέρας δεομένην, ἢ ὄργανα παρασκευαζούσης, ἢ ὕλην ἐπιτήδειον εἰς τὸ δημιουργούμενον. οὕτως οὖν καὶ τῷ ἰατρῷ πολλαὶ τέχναι παρασκευάζουσι τὰς ἐπιτηδείους ὕλας, ὥσπερ αὐτὸς αὖ πάλιν τῇ φύσει μετά τινων ὑπηρετῶν. ἀνάλογον γάρ ἐστιν ὡς ἀρχιτέκτων πρὸς οἰκοδόμους, καὶ τέκτονας, καὶ τοὺς ἄλλους τεχνίτας, ὧν ἐστιν ἀρχικὸς ὁ ἰατρὸς πρὸς ὑπηρέτας. εἰσὶ δ' οὗτοι ῥιζοτόμοι, μυρεψοί, μάγειροι, καταπλάττοντες, ἐπιβρέχοντες, κλύζοντες, ἀποσχάζοντες, φλεβοτομοῦντες, σικυάζοντες. εἰ δ' ἡμεῖς καὶ ταῦτα μεμαθήκαμέν τε καὶ πράττομεν, ὅμοιόν τι ποιοῦμεν ἐρέσσειν ἐπισταμένῳ κυβερνήτῃ, καὶ ῥᾳδίως ἐπ' ἄκρου ἀναβῆναι δυναμένῳ τοῦ ἱστοῦ, ὅσα τ' ἄλλα τῶν ναυτῶν ἐστιν ἔργα γινώσκοντί τε καὶ πράττοντι. καὶ γὰρ στρατηγοὶ πολλοὶ πολλάκις καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ μάχεσθαι διὰ ξιφῶν τε καὶ δοράτων ἐπίστανταί τε καὶ πράττουσι, καὶ βασιλεῖς ὡσαύτως. ἀλλ' οὐχ ᾗ βασιλεύς, ἢ στρατηγὸς ἦν Ἀλέξανδρος ὁ μακεδών, ἢ Φίλιππος ὁ πατὴρ αὐτοῦ, ταῦτα τὰ τῶν στρατιωτῶν ἔπραττον, ἀλλὰ καθ' ἑτέρας τέχνας ὑπηρετικὰς τῇ στρατηγικῇ τε, καὶ βασιλικῇ. καὶ τοίνυν καὶ ἡμεῖς ᾗ μὲν ἰατροὶ γινώσκομεν ἑκάστου βοηθήματος ποιότητά τε καὶ ποσότητα, καὶ καιρόν, καὶ τρόπον χρήσεως, ᾗ δ' ὑπηρέται φλεβοτομοῦμεν, καὶ σικυάζομεν, καὶ τὰ ἄλλα διὰ τῶν χειρῶν ἐνεργοῦμεν. ἀξιώματι τοιγαροῦν ἡ μὲν ἰατρικὴ πρώτη τῶν ἰατρῶν ἐστιν, ὁ δ' ἰατρὸς τῆς ὑπηρετικῆς τέχνης, ἐκείνη δὲ τῶν ὑπηρετῶν. οἱ δ' ὑπηρέται τῶν παρασκευαζουσῶν αὐτοῖς, τά τε ὄργανα, καὶ τὰς ὕλας τῶν τεχνῶν. ἐκεῖναι δὲ ἐργαζομένων τὰ κατὰ ταύτας τεχνιτῶν, αὐτοὶ δὲ οἱ τεχνῖται τῶν παρασκευαζομένων ὑλῶν τε καὶ ὀργάνων. ἀνάπαλιν τοίνυν ἕνεκα μονιμωτέρας γνώσεώς τε, καὶ μνήμης τῷ καταλόγῳ τῶν τεχνῶν ἀκόλουθον. ἐσχάτους μὲν ὑγείας φυλακήν, καὶ ποίησιν εἶναι τοὺς τὰ κατασκευάζοντας ἡμῖν κλυστῆρας, καὶ φλεβότομα, καὶ σμίλας, καὶ ψαλίδας, καὶ κλυστῆρας, καὶ τἆλλα τῆς ἰατρικῆς τέχνης ὄργανα. σὺν αὐτοῖς δὲ καὶ τοὺς τὰς ὕλας παρασκευάζοντας, οὓς ὀνομάζουσι ῥιζοτόμους, καὶ βοτανικούς, καὶ τὰ ἐκ τῶν μετάλλων, ὅσα τἆλλα τοιαῦτα παρέχοντας. ἀνωτέρω δὲ τούτων τὰς τέχνας αὐτῶν, καὶ τούτων ἀνωτέρω τὴν τέχνην αὐτῶν, ἐφεξῆς τοὺς ἰατρούς, εἶτα τὴν ἰατρικὴν αὐτήν, ᾗ τις πάλιν ὑπηρετεῖ τῇ φύσει. καὶ τῶν γε τῆς φύσεως αὐτῆς δυνάμεων ἔνιαι μέν εἰσι πρῶται καθ' ἃς τὸ ζῶον ἐν τῇ ζωῇ διαμένει, τὸ τελεώτατον ἀξίωμα πρὸς τὴν ἀρίστην ζωὴν τοῦ σώματος ἔχουσαι. καλῶ δὲ ἀρίστην ζωὴν τὴν ἐν ὑγείᾳ δηλονότι, μοχθηρὰ γὰρ ἡ ἐν νόσοις. ἕτεραι δ' εἰσὶ τούτων ὑπηρετικαὶ δυνάμεις, εἶτ' ἐκείνων πάλιν ἄλλαι. καὶ τοίνυν ἐπειδὴ τὸν κατάλογον ἅπαντα τῶν πρὸς ὑγείαν τε καὶ ζωὴν ἀναγκαίων τεχνῶν τε καὶ δυνάμεων, ἐν τῷδε τῷ λόγῳ προὔθέμην εἰπεῖν, ἑτέρωθί γε μηδαμόθι διεληλυθώς, οὐκ ὀκνήσω καὶ τὰ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων ἀξιώματα προσθεῖναι. πρῶτον μὲν οὖν εἰσιν αἱ τὴν ὑγιεινὴν συμμετρίαν φυλάττουσαι τῷ ζώῳ, κατὰ ποσόν τε καὶ ποιόν. ἐπειδὴ γὰρ οὐκ ἔστι μόνιμος ἡ οὐσία τοῦ σώματος ἡμῶν, οὔτε κατὰ τὸ ποσόν, οὔτε κατὰ τὸ ποιόν, ἀλλ' ἡ μὲν ποσότης μειοῦται κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. ἡ δὲ ποιότης ὑπαλλάττεται, τρεπομένης ἀεὶ τῆς κράσεως οὐ μόνον ἐκ τοῦ περιέχοντος, ἀλλὰ κἀξ ἡμῶν ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπιδέδεικται. πρὸς μὲν τὴν τῆς ποσότητος ἐπανόρθωσιν, ἡ θρεπτικὴ δύναμις ἡμῖν ἐστι, πρὸς δὲ τῆς ποιότητος, ἥ τε ἀναπνοή, καὶ ἡ καθ' ὅλον τὸ σῶμα διαπνοή. δεομένων δὲ ὕλης οἰκείας τῶν τρέφεσθαι μελλόντων, ἑτέρα τίς ἐστιν ἡμῖν δύναμις, ἣν οὐ χεῖρον ὀνομάσαι συντόμου καὶ σαφοῦς ἕνεκα διδασκαλίας, αἱματοποιητικήν. ἢ πάλιν ἐπιτήδειος ἑτέρα δύναμίς ἐστιν, ἡ κατὰ τὴν γαστέρα πεπτική. κοιναὶ δὲ ἁπασῶν τῶν εἰρημένων δυνάμεων ἕτεραι τέτταρες εἰσὶν ὧν ἔμπροσθεν ἐμνημόνευσα, κληθεισῶν ὑπ' ἐμοῦ σαφηνείας ἕνεκεν, ἑλκτικῆς, καθεκτικῆς, ἀλλοιωτικῆς, καὶ ἀποκριτικῆς. τούτων οὖν ἡμᾶς ἀξιῶ μεμνῆσθαι, γινώσκοντας ἐνταῦθα μόνον εἰρῆσθαί μοι τὸν λόγον τόνδε, δεικνύντα τὴν φύσιν ἁπασῶν τεχνῶν πρώτην τε καὶ κυριωτάτην ἰάσεως.

Ἀνευρίσκει ἡ φύσις ἑαυτῇ τὰς ἐφόδους, οὐκ ἐκ διανοίας. τὰ μὲν οἷον τὸ σκαρδαμύσσειν, τὰ δὲ καὶ ἡ γλῶσσα ὑπουργέει, καὶ ὅσα ἄλλα τοιαῦτα. ἀπαίδευτος ἡ φύσις ἐοῦσα, καὶ οὐ μαθοῦσα, τὰ δέοντα ποιέει.

Ἐφόδους ὠνόμασε φύσεως, ὡς εἰ καὶ ὁδούς, ἢ ὁρμὰς ἐπὶ τὰς ἐνεργείας εἶπεν, οὐχ ὡς ἡμεῖς διανοούμενοί τε καὶ προαιρούμενοι πράττομεν οὕτως γινομένας. τὸ γοῦν σκαρδαμύσσειν, ὀνομάζεται δ' οὕτως τὸ κλείσαντα τὰ βλέφαρα, διὰ ταχέων αὖθις ἀνοῖξαι, παραχρῆμα τοῖς γεννηθεῖσιν εὐθέως ὑπάρχει ζώοις ἀδιδάκτως. δῆλον δ' ὅτι τὸ ἔργον τοῦτο μεγίστην ὠφέλειαν παρέχει τοῖς ὀφθαλμοῖς. ἔκαμνέ τε γὰρ ἀνεῳγμένα τὰ βλέφαρα παντὶ τῷ χρόνῳ τῆς ἐγρηγόρσεως, ἐνέπιπτέ τ' αὖ ἔξωθεν αὐτοῖς πολλὰ λυμαινόμενα τοῖς χιτῶσιν αὐτῶν. τοῦτο δ' ἔτι θαυμασιώτερόν ἐστιν ἔργον τῆς φύσεως ὃ παρορῶσιν, οὐχ οἱ πολλοὶ μόνον, ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ πλείονες, καίτοι καθ' ἑκάστην ἡμέραν γινόμενον. ἐὰν γοῦν παιδίῳ διετεῖ δείξας ἄρτον, ὀνομάσῃς αὐτὸν τοῦτο τοὔνομα τὸν ἄρτον ἅμα τῷ δεῖξαι, καὶ ποιήσῃς οὕτω δίς που καὶ τρίς, ὅτι τε τοῦ δεικνυμένου σώματος ἡ ἄρτος φωνὴ σημεῖόν ἐστιν ἐνόησε τὸ παιδίον, αὐτό τε μεμνησάμενον αὐτὴν φθέγγεται διδαχθὲν ὅπως χρὴ κινῆσαι τὴν γλῶτταν. ἀνάλογον δὲ τούτῳ, καὶ κατὰ τὰς ἄλλας κινήσεις ἃς ὀνομάζουσι προαιρετικάς, ὑπὸ πάντων γίνεται τῶν ζώων. ἐὰν γοῦν ἐθελήσῃ κάμψαι τι τῶν κώλων, αὐτίκα τοῦτο ποιεῖ, καίτοι μὴ γινώσκον ἐκεῖνον τὸν μῦν ὑφ' οὗ κάμπτεται. κατὰ τὸν αὐτὸν λόγον, ἐκτεῖναι βουληθὲν ἐκτείνει δι' ἑτέρου μυός.

ἀλλ' οὐδ' ὅστις ὁ μῦς οὗτός ἐστιν, ὃς τε κατά τινα τρόπον ἐνεργεῖν δύναται, δῆλόν ἐστι τῷ κινουμένῳ ζώῳ. πῶς γοῦν οἷόν τε γινώσκειν αὐτὰ ἃ μηδὲ τοῖς πολλοῖς τῶν ἰατρῶν ἐστι πρόδηλα; καίτοι τί λέγω πολλοῖς. ἐνίους γὰρ τῶν μυῶν οὐδὲ τῶν ἀνατομικωτάτων τις ἔγνω πρὸ ἡμῶν. ὥσπερ καὶ τὸν κάμπτοντα τὴν ἰγνύην ἐγκατακεκρυμμένον τῇ διαρθρώσει. ἀλλ' ὅμως ἅπαντες οἱ ἄνθρωποι κάμπτουσι τὴν κατὰ γόνυ διάρθρωσιν ἅμα τῷ βουληθῆναι. καὶ μὴν οὐ μόνον τοῖς ἀνθρώποις ὑπάρχει τὸ τοιοῦτον τῆς ἐνεργείας εἶδος, ἀλλὰ καὶ τοῖς ἄλλοις ζώοις ἅπασιν. οὕτως ἄρα τῆς φύσεως ἡ δύναμις ἰσχυροτέρα ἐστὶ πρὸς τὸ πράττειν ἁπάσης τέχνης βέλτιον, ἃ συμφέρει τοῖς ζώοις. καὶ τοίνυν Ἱπποκράτης τῆς μὲν τῶν βλεφάρων κινήσεως ἧς κινοῦμεν αὐτὰ, καὶ πρὸς ἄλλην τινὰ πρᾶξιν ἔχομεν τὸν νοῦν, ἐμνημόνευσεν ἐν τῷ φάναι, οἷον τὸ σκαρδαμύσσειν. τῆς δὲ κατὰ γλῶτταν ἐν τῷ φθέγγεσθαι, διὰ τοῦ φάναι, καὶ ἡ γλῶσσα δὲ ὑπουργεῖ. προελομένων γὰρ ἡμῶν ἥντινοῦν φθέγξασθαι φωνὴν, ἡ γλῶττα πρὸς τὴν διάρθρωσιν αὐτῆς ἑτοίμως ὑπηρετεῖ. τὰ γοῦν παιδία τὰ νῦν πρῶτον ἀκούσαντα τῶν δυσρήτων φωνῶν οἷον τοῦ στρὰξ, καὶ σφὶγξ, εὐθέως αὐτὰς φθέγγονται μεμιμημένα. μήθ' οὕς τινας μῦς τῆς γλώσσης δεῖ κινῆσαι γινώσκοντα, μήθ' ὅπως αὐτὴν ἀνατείνειν, ἢ κλᾶν, ἢ περιάγειν, ἢ στηρίζειν ἄνω πρὸς τὴν ὑπερῴαν, ἢ τοὺς προσθίους ὀδόντας, ἤ τι μόριον ἄλλο τοῦ στόματος. ὅταν δὲ εἴπῃ, καὶ ὅσα ἄλλα, τῶν προαιρετικῶν ἀναμιμνήσκει σε κινήσεων. ἐφ' ὧν ὡς ἔφην τὰ ζῶα πάντα, μὴ ὅτι τὰς κινήσεις τῶν μυῶν, ἀλλὰ μηδ' αὐτοὺς γινώσκοντα τοὺς μῦς, ὅμως ἅμα τῷ προελέσθαι κάμψαι τὸ μόριόν ἐστιν ἐκτεῖναι, παραχρῆμα τοῦτο ποιεῖ, καθάπερ γε κἂν εἰς τὸ πλάγιον ἀπάγειν ἐθελήσῃ, καὶ περιστρέψαι, κἂν ἑλίξαι, κἂν ὁπωσοῦν ἑτέρως κινῆσαι. διὸ καὶ τούτοις αὐτοῖς ἐπεφώνησεν, ἀπαίδευτος ἡ φύσις οὖσα οὐ μαθοῦσα τὰ δέοντα. καλοῦνται μὲν οὖν οἱ μαθόντες ὁτιοῦν μάθημα πεπαιδεῦσθαι κατ' ἐκεῖνο, τῇ φύσει δ' ὑπάρχει πεπαιδευμένα τὰ μέγιστα εἶναι χωρὶς τοῦ μαθεῖν, ὥσπερ ὁ Θουκυδίδης περὶ τοῦ Θεμιστοκλέους εἶπεν. οἰκείᾳ γὰρ συνέσει, καὶ οὔτε προμαθὼν εἰς αὐτὴν οὐδὲν, οὔτε ἐπιμαθὼν, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κάλλιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου, ἄριστος εἰκαστής.

Δάκρυα, ῥινῶν ὑγρότης, πταρμοὶ, ὠτὸς ῥύπος, στόματος σιάλου, ἀναγωγὴ, πνεύματος εἴσοδος, ἔξοδος, χάσμη, βὴξ, λυγμὸς, οὐ τοῦ αὐτοῦ παντάπασι τρόπου.

Εἰς τὴν ἐξήγησιν τῆσδε τῆς ῥήσεως ὅσα δοκεῖ μοι κάλλιστ' ἄν τις εἰπεῖν, ἐγὼ διεξελθὼν πρότερον οὕτω μεταβήσομαι πρὸς τοὺς ἐξηγησαμένους τὸ βιβλίον, ἅπαντας μὲν οἰομένους ἀφωρίσθαι τῆς προγεγραμμένης ῥήσεως τὴν νῦν ἡμῖν προκειμένην, ἐξηγουμένους τε τὰς λέξεις αὐτοῖς ἁπάσας ὡς εἰς πρόγνωσιν διαφερούσας. ἐμοὶ δὲ φαίνεται τὸ προκείμενον ἐξ ἀρχῆς ἔτι καὶ νῦν διὰ ταύτης ὅλης κατασκευάζειν ὁ Ἱπποκράτης. προὔκειτο δὲ αὐτῷ δεῖξαι τὴν φύσιν πάντα ἐπὶ σωτηρίᾳ τοῦ ἀνθρώπου πράττουσαν. ἀρξάμενος οὖν ἀπὸ τῶν ἔργων αὐτῆς, ὅσα κατὰ τὰ σώματα τῶν ζώων ὑγιαινόντων ἐργάζεται, καὶ διελθὼν αὐτὰ κατὰ τὴν πρὸ ταύτης ῥῆσιν, ἑξῆς ὅσα κατὰ τὰς νοσώδεις διαθέσεις, ἢ κοινὰς ὑγιαινόντων καὶ νοσούντων σωμάτων ἐπὶ σωτηρίᾳ τοῦ ζώου ποιεῖ, κατὰ τὸν ἐνεστῶτα λόγον ἐδήλωσεν, ὧν ἕκαστον ἐγὼ κατὰ μέρος προχειριζόμενος ἐπιδείξω, τινὰ μὲν ὡς ἔφην ὄντα ἴδια νοσωδῶν διαθέσεων, ἔνια δὲ κοινὰ νοσοῦσί τε ὑγιαίνουσι. καὶ νοσοῦσι γίνεται, ποτὲ μὲν ἑπόμενα τῷ τρόπῳ τῶν κατὰ τοὺς ὀφθαλμοὺς νοσώδους διαθέσεως, ὥσπερ ὅταν φλεγμαίνουσι, ποτὲ δὲ τῆς φύσεως ἀποκρινούσης τὸ πλεονάζον ὑγρὸν, ἢ γεννώσης τὸ λεῖπον ἐν τοῖς κατ' αὐτοὺς ἀδέσιν. οὕτω δὲ καὶ ἡ τῆς ῥινὸς ὑγρότης, ἐκκενουμένων δι' αὐτῆς τῶν κατὰ τὸν ἐγκέφαλον ἀθροιζομένων περιττωμάτων, γίνεται. καὶ οἱ πταρμοὶ δὲ, φύσεως μὲν ἔργον ὑπάρχουσιν ἀεὶ, γίνονται δὲ ἐπὶ νοσώδεσι διαθέσεσιν. ὀνομάζω δὲ νοσώδεις διαθέσεις, οὐ μόνον ὅταν ἤδη νοσῶσιν, ἀλλὰ κἀπειδὰν ἄρχηταί τις αὐτῶν συνίστασθαι. οἷον γὰρ ἐπ' ὀφθαλμῶν ἐστιν ἡ τάραξις ἰδίως ὀνομαζομένη, φλεγμονῆς ἀρχή τις οὖσα. τοιαῦται πολλαὶ νοσώδεις διαθέσεις ἀρχόμεναι συνίστασθαι, λύονται τῆς φύσεως ἐκκρινούσης τοὺς γεννῶντας αὐτὰς ἀτμούς τε καὶ χυμούς. εἴρηται δὲ περὶ πάντων τῶν τοιούτων ἐν ταῖς περὶ τῶν συμπτωμάτων αἰτίαις. ἔνια μὲν γὰρ αὐτῶν ἀεὶ ὑπὸ τῆς φύσεως γίνεται, κωλυτικὰ δ' ἐστὶ νοσωδῶν διαθέσεων, ἤτοι γεννωμένων, ἢ γενέσθαι μελλουσῶν. ὥσπερ ἔνια τῶν ἤδη γεγενημένων τε καὶ συμπεπληρωμένων θεραπευτικὰ, καὶ τοῦτ' ἐστὶ τὸ τοὺς ἐξηγητὰς ἀπατῆσαν, ὡς οὐκ εἴη νῦν ὁ λόγος Ἱπποκράτους περὶ τῶν τῆς φύσεως ἔργων, ἀλλ' ἔν γε τοῖς τρισὶν ὑπομνήμασιν ἐν οἷς διέρχομαι περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, ἅπας οὗτος ὁ λόγος ἐξείργασταί μοι, δεικνύντι τῆς φύσεως ἐνεργούσης γίνεσθαι τοιαῦτα πάντα συμπτώματα, περὶ ὧν νῦν ὁ λόγος ἐνέστηκε. καὶ γὰρ ὁ τῶν ὤτων ῥύπος ὑπ' ἐκείνης γίνεται καθαιρούσης ἐγκεφάλου τὰ περιττώματα, καὶ ἡ βὴξ ἕνεκα τοῦ καθαρὰς ἐργάζεσθαι τὰς ὁδοὺς τῆς ἀναπνοῆς, ἐδείχθη γινομένη, καθάπερ γε καὶ ὁ λυγμὸς, καὶ χάσμη, καὶ σκορδινισμὸς, ἐκκρίσεως ἕνεκεν περιττωμάτων. ἔνια δὲ τῶν εἰρημένων κατὰ τὴν προκειμένην ῥῆσιν, οὐδὲ συμπτώματα ὅλως ἐστὶν, ὡς γὰρ ἥ τε ἀναπνοὴ, καὶ ἡ καθ' ὅλον τὸ σῶμα διαπνοή. δεδήλωται δὲ ὑπ' αὐτοῦ περὶ μὲν τῆς ἀναπνοῆς, ἔνθα φησίν. πνεύματος εἴσοδος, ἔξοδος. περὶ δὲ τῆς διαπνοῆς ἐφεξῆς ἔνθα πάλιν ἔγραψε, τροφῆς καὶ πνοῆς. σιάλου δὲ γένεσις ἐν τῷ στόματι, τῶν προνοητικῶς ὑπὸ τῆς φύσεώς ἐστι γινομένων, ὥσπερ γε καὶ ἡ ἐκ θώρακός τε καὶ πνεύμονος ἀναγωγὴ τῶν πτυέλων. εἴρηται δὲ καὶ περὶ τούτων ἐν τῇ προκειμένῃ ῥήσει κατὰ τήνδε τὴν λέξιν, στόματος σιάλου ἀναγωγή. καὶ χρὴ τὸ μὲν, στόματος σιάλου, καθ' ἑαυτὸ προσενέγκασθαι, τὸ δ' ἀναγωγὴ μετ' αὐτὸ προσθέντας τοῦ πτυέλου. τάχα μὲν ἡμαρτημένου εὐθὺς ἐν ἀρχῇ τοῦ πρώτου τῶν ἀντιγράφων ὑπὸ τοῦ πρώτου βιβλιογράφου. τάχα δὲ αὐτοῦ τοῦ Ἱπποκράτους παραλιπόντος, ὡς ἂν ἑαυτῷ τινα ὑποτύπωσιν γράφοντος, οὐ πρὸς ἔκδοσιν σύγγραμμα. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης ῥήσεως γεγραμμένον, οὐ τοῦ αὐτοῦ παντάπασι τρόπου, τοιόνδ' ἐστί. πάντα τὰ εἰρημένα πᾶσι τοῖς εἰρημένοις οὐ τοῦ αὐτοῦ τρόπου ἐστὶν, ὡς γὰρ ἐδείξαμεν. ἔνια μὲν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων μόνων γίνεται, τινὰ δὲ ἐπὶ μόνων τῶν νοσωδῶν διαθέσεων, ὥσπερ δ' αὖ πάλιν ὑπ' ἀμφοτέρων ἔνια, καί τινα μὲν αὐτῶν μόνης τῆς φύσεώς ἐστιν ἔργα. γραφόντων δὲ τήνδε τὴν λέξιν τῶν ἐξηγητῶν πολυειδῶς, ὀλίγον ὕστερον αἱ γραφαὶ λεχθήσονται. νυνὶ δὲ πρότερον, ὅσον ἔθ' ὑπόλοιπόν ἐστιν ὅλης τῆς ῥήσεως ἐν ᾗ τὰ φύσεως ἔργα κατέλεξεν, ἐξηγήσομαι.

Οὔρου ἄφοδος καὶ φύσης, καὶ ταύτης τῆς ἑτέρης τροφῆς καὶ πνοῆς, καὶ τοῖσι θήλεσι, τούτοισι καὶ κατὰ τὸ ἄλλο σῶμα ἱδρῶτες, κνησμοί, σκορδινισμοί, καὶ ὅσα τοιαῦτα.

Γράφουσι μὲν καὶ ταύτην τὴν λέξιν ἄλλοι ἄλλως, ἀλλ' ἐγὼ καὶ νῦν τὴν τοῖς πλείστοις ὁμολογουμένην γραφὴν ὅλην τε τῇ κατὰ τὴν ῥῆσιν διανοίᾳ συμφωνοῦσαν, ἔν τε τοῖς ἀκριβεστέροις τῶν παλαιῶν ἀντιγράφων εὑρισκομένην εἰλόμην. ἔστι δ' ὁ νοῦς αὐτῆς τοιοῦτος, ὥσπερ ἐπὶ τῶν προειρημένων συμπτωμάτων ἔργα φύσεως αὐτοδιδάκτου δῆλον ἐπὶ σωτηρίᾳ τοῦ ζώου γινόμενα, κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν οὔρου, καὶ ἀφόδου, καὶ φύσης δι' ἕδρας ἐμνημόνευσε, καὶ τροφῆς, καὶ διαπνοῆς, καὶ τῶν τοῖς θήλεσι ζώοις ὑπαρχόντων μόνοις, εἶτ' ἐφεξῆς ἱδρώτων τε καὶ κνησμῶν, καὶ σκορδινισμῶν. ἥ τε γὰρ δι' οὔρων διάκρισις ἐὰν ἀναμνησθῇς ὅπως γίνεται, θαυμαστὴν ἐνδείξεταί σοι πρόνοιαν ἐς τὰ ζῶα. τῆς τε τῶν νεφρῶν κατασκευῆς ἕνεκα, καὶ τῆς τῶν οὐρητήρων ἐκφύσεως, ἣν ἐκ τῆς κοιλίας τῶν νεφρῶν ἴσχουσιν, ἔτι τε τῶν ἐπιθεμάτων ἃ τοῖς εἰς τὴν κύστιν ἐμφυομένοις στόμασιν αὐτῶν ἐπίκειται, τοῦ τε μυὸς ὃς ἀνάλογον ἔχει κατὰ τὴν ἕδραν σφιγκτῆρι περιβέβληται τῷ τραχήλῳ τῆς κύστεως. ἐπὶ τούτοις τε τῶν ἄλλων ὅσα μικρότερα μέν ἐστι τούτων καὶ ἧττον θαυμαστά, τοσαύτην δ' ἔχοντα χρείαν εἰς τοὔργον, ὥστε εἰ μὴ τὸν τρόπον τοῦτον ἅπαντα κατεσκεύαστο, μοχθηρῶς ἂν ἢ οὐδ' ὅλως ἐγίνετο τὰ περὶ τὴν τῶν οὔρων διάκρισίν τε καὶ κένωσιν. ὡσαύτως δὲ καὶ τὰ κατὰ τὴν ἄφοδον, ὅπερ ἐστὶν ἀπόκρισιν τῶν περιττῶν τῆς τροφῆς, παρεσκευασμένα τῇ φύσει κατὰ τὴν τῶν προειρημένων ὀργάνων κατασκευήν, ἐνδείκνυται τὴν εἰς τὰ ζῶα πρόνοιάν τε καὶ σοφίαν αὐτῆς, ἃ σύμπαντ' ἔχεις ἐν τοῖς περὶ χρείας μορίων εἰρημένα. νυνὶ δ' ἀρκεῖ τῶν κεφαλαίων ἀναμιμνήσκειν μόνον. ἔνιοι μὲν οὖν ἑκάτερον τῶν ἐν ἀρχῇ τῆς προκειμένης ῥήσεως γεγραμμένων ἀναγνόντες αὐτὸ καθ' ἑαυτὸ μόνον οὔρων, αὐτὸν ἐνταῦθα καὶ ἀποπατημάτων μνημονεύειν φασίν. ἔνιοι δὲ συνάψαντες ἀμφότερα, τὴν ἄφοδον τῶν οὔρων, ὅπερ ἐστὶ τὴν κένωσιν ἐκ τῆς λέξεως δηλοῦσθαί φασιν, ὡς εἰ καὶ οὔρου ἔκκρισιν εἶπεν. οὗτοι τοίνυν ἐν ἀρχῇ τῆς ῥήσεως ἔγραψαν κόπρου, καὶ οὔρου ἄφοδος, ὡς καὶ οὕτως εἴρηται, κόπρου καὶ οὔρου κένωσις. ὥσπερ δὲ τῆς τροφῆς περιττώματα θαυμαστὴν οἰκονομίαν ἔχει κατὰ τὴν διάκρισιν, οὕτω καὶ περὶ τὴν τῆς φύσης ἀπόκρισιν ἑκατέρας τῆς τε κατὰ τὸ ἀπευθυσμένον ἔντερον, καὶ τῆς διὰ τοῦ στομάχου γινομένης ἣν ἐρυγὴν ὀνομάζουσιν, ἥ τις φύσεως ἐμφαίνεταί τις πρόνοια πρὸς ἔκκρισιν ἑκατέρας τῆς φύσης ὁρμώντων τῶν ὀργάνων ἐν οἷς ἀθροίζονται. φαίνονται ἐκκρινόμεναι κἂν ὑπνοῦντες τύχωσιν οἱ ἔχοντες αὐτάς, κἂν ἐν καταφορᾷ, καὶ καταλήψει, καὶ ληθάργῳ, καὶ κάρῳ, καὶ παραφροσύνῃ, καὶ βαθεῖ κώματι. παραπλησίως δ' ἂν εὕροις τέχνην τῆς φύσεως, εἰ μάθοις ὅσα περί τε τὴν τῆς τροφῆς οἰκονομίαν, καὶ τοῦ πνεύματος ἐργάζεται, καὶ τούτων ἔτι μᾶλλον θαυμάσεις, εἰ γνοίης ὅσα τοῖς θήλεσιν ἕνεκα τῆς κυήσεως ἐτεχνήσατο. παραπλήσια δὲ αὐτοῖς ἐστι, καὶ τὰ καθ' ὅλον τὸ σῶμα περί τε τὴν τῶν ἱδρώτων ἔκκρισιν, καὶ κνησμούς, καὶ σκορδινισμούς. ὀνομάζουσι μὲν οὖν κνησμὸν τὴν διὰ τῶν ὀνύχων ἐπιβολήν τε καὶ κίνησιν, ἣν ἐπὶ τῶν δακνομένων μορίων ποιεῖται τὰ ζῶα φύσει, καὶ τούτου πᾶσιν ὑπάρχοντος αὐτοῖς. ἐθεάσασθε οὖν καὶ πρώην ἡνίκα τὴν αἶγα ζῶσαν ἀνατέμνομεν ἐγκύμονα οὖσαν, τὸ καταδεδεμένης αὐτῆς ἐξαιρεθὲν ἔμβρυον, ὅπως ἐπὶ τὴν γῆν κατατεθὲν πρῶτον ἐπὶ τῶν τεττάρων ποδῶν βαδίζειν ἐπεχείρησεν, οὐδενὸς αὐτὸ διδάξαντος, ἕνεκα βαδίσεως ὑποτεθεῖσθαι ταῦτα τὰ μόρια, καὶ μικρὸν ὕστερον ἀποσεισάμενον τὴν περικειμένην ἔξωθεν ἑαυτῷ περιττὴν κατὰ τοῦ δέρματος ὑγρότητα, καὶ μετ' ὀλίγον αὖθις ἑνὶ τῶν ποδῶν τὰς πλευρὰς κνησάμενον, ἐφ' ᾧ καὶ πάντες οἱ παρόντες ἀνέκραγον, πρῶτον μέν, ὅτι τὴν ἴασιν εὗρεν αὐτὸ τοῦ συμπτώματος ἄνευ τοῦ διδαχθῆναι. δεύτερον δὲ ὅτι διὰ τοῦδε τοῦ μορίου δύναται μόνου γενέσθαι, καὶ τρίτον ὅτι κατὰ τόνδε τὸν τρόπον. ὁ δὲ σκορδινισμὸς τοιοῦτον μέν ἐστι σύμπτωμα κατὰ πάντας οἶμαι τοὺς μῦς, οἷόν περ ἐπὶ τῆς χάσμης γίνεται μόνοις τοῖς περὶ τὴν κάτω γένυν. ἐλέχθη δ' ἐν τοῖς τῶν συμπτωμάτων αἰτίαις. ἔτι γε μέμνησθε καὶ τοῦτο κενώσεως ἕνεκα τῶν ἐν τοῖς μυσὶν ἀτμωδῶν περιττωμάτων ὑπὸ τῆς φύσεως γινόμενον. ὁρᾶται δὲ ἀδιδάκτως αὐτὸ καὶ τὰ βρέφη, καὶ τὰ ἄλλα ζῶα ποιοῦντα. ταῦτ' οὖν ἅπαντα καὶ ὅσα σὺν αὐτοῖς εἴπομεν, ὥσπερ καὶ τὸ ἀποσείσασθαι τὴν ὑγρότητα, μικρὸν ἔμπροσθεν ἐπὶ τοῦ κατὰ τὴν ἀνατομίαν ἐρίφου λέλεκται (δὲ) θαυμαστήν τινα τῆς φύσεως ἐνδείκνυται πρόνοιαν ἐς τὰ ζῶα, καθ' ἣν ὑγιαίνοντά τε φυλάττεται, καὶ νοσοῦντα θεραπεύεται.

Ἀνθρώπου ψυχὴ ἀεὶ φύεται ἄχρι θανάτου. ἢν δ' ἐκπυρωθῇ ἅμα τῇ νόσῳ, καὶ ἡ ψυχή, τὸ σῶμα †φορέεται.

†φορβεῖται

Μαντείας δεῖ μᾶλλον ἤ τινος μεθόδου καθ' ἣν εὑρήσει τις ὅτι ποτὲ σημαίνειν βουληθείς, ἔγραψε τὸ φύεται. δύναται μὲν γὰρ ἀκοῦσαι καὶ τὸ γεννᾶσθαι, καθάπερ ὁ Ἀσκληπιάδης ὕστερον ὑπέλαβε, δύναται δὲ καὶ τὸ αὐξάνεται. δύναται δ' ὥσπερ τινὲς ἤκουσαν ἀντὶ τοῦ διασώζεται τροφῇ, καὶ ἀναπνοῇ χρωμένων ἡμῶν. ὅσοι γὰρ οἴονται τὴν ψυχὴν εἶναι πνεῦμα, διασώζεσθαι λέγουσιν αὐτὴν ἔκ τε τῆς ἀναθυμιάσεως τοῦ αἵματος, καὶ τοῦ κατὰ τὴν εἰσπνοὴν ἑλκομένου διὰ τῆς τραχείας ἀρτηρίας εἴσω τοῦ σώματος, οὐκ ἄδηλον δ' ἐστί, καὶ ὡς οὐδὲν ὧν εἶπον ἀποφήνασθαι δυνατὸν ἡμῖν ἐστι διατεινομένοις, ὡς ἀληθὲς εἴη, μὴ πρότερον οὐσίαν ψυχῆς ἀκριβῶς ἐξευροῦσιν. εἰ μὲν οὖν ὥσπερ ἐν τῷ περὶ ἑβδομάδων ὁ γράψας τὸ βιβλίον ἐκεῖνο σαφῶς ἀπεφήνατο περὶ ψυχῆς οὐσίας, οὕτως καὶ κατ' ἄλλο τι τῶν ὁμολογουμένων γνησίων Ἱπποκράτους συγγραμμάτων ἦν εἰρημένον, εἶχον ἄν τι κἀγὼ λέγειν περὶ τοῦ φύεται ῥήματος. ἐπεὶ δ' οὐδαμόθι τῶν γνησίων βιβλίων Ἱπποκράτης ἀπεφήνατο σαφῶς, ὅτι ποτὲ σημαίνει τὸ φύεται ῥῆμα. πρὸς δὲ τὸ τοῦτ' ἀγνοεῖν, οὐδ' αὐτὸς ἐμαυτὸν πέπεικα ψυχῆς οὐσίαν ἐπίστασθαι βεβαίως. ὅτι μὲν γὰρ ὁ ἐγκέφαλος αἰσθήσεώς τε καὶ κινήσεως τῆς καθ' ὁρμὴν ἡγεμών ἐστι τοῖς τοῦ ζώου μορίοις ἅπασιν, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἀποδέδειγμαι. πέπεισμαι καὶ πρός γε τούτῳ τὸ κατὰ τὰς κοιλίας αὐτοῦ πνεῦμα

πρῶτόν τι τῶν ὀργάνων εἶναι τῶν ψυχικῶν, ὅπερ ἦν μοι περιττότερον ἀποφηναμένῳ ψυχῆς οὐσίαν εἰπεῖν. εἴτε δὲ ἡ ὅλη τοῦ ἐγκεφάλου φύσις ἐκ τῆς τῶν τεττάρων στοιχείων κράσεως εἰς τοιαύτην οὐσίαν ἦλθεν, ἢ ἰδιότητος, καθ' ἣν αἰσθήσεώς τε καὶ κινήσεως τῆς καθ' ὁρμὴν ἀρχηγὸς ἔσται τῷ ζώῳ, καὶ δηλονότι καὶ μνήμης τε καὶ νοήσεως, εἴτε τις ἄλλη δύναμις ἀσώματος ὑπὸ τοῦ δημιουργήσαντος ἡμᾶς ἐνθεῖταί τε τῷ ἐγκεφάλῳ, καὶ χωρίζεται πάλιν ἀποθνησκόντων, οὐδεμίαν ἔχω ἀπόδειξιν βεβαίαν. ἀλλὰ καὶ τοὺς ἀποφηναμένους τε τούτων ἡγοῦμαι πλεονεκτεῖν ἐμοῦ περιττείᾳ μᾶλλον ἢ σοφίᾳ. καὶ μέντοι καὶ περιττὸν εἶναι νομίζω τοῖς ἰατροῖς ἐπίστασθαι ψυχῆς οὐσίαν. ἀρκεῖ γὰρ γινώσκεσθαι τοῖς τὴν ἰατρικὴν τέχνην λογικῶς μεταχειριζομένοις, ὡς ἡ κατὰ φύσιν κρᾶσις αὐτοῦ τοῦ ἐγκεφάλου, καὶ τοῦ κατὰ τὰς κοιλίας αὐτοῦ πνεύματος ἄχρι περ ἂν διασώζηται, ζῆν δυνάμενον τὸ ζῶον. ἐὰν δὲ ἤτοι τὸ κατὰ τὰς κοιλίας πνεῦμα διαφθαρῇ παντάπασιν, ἢ τῆς κατὰ φύσιν κράσεως ἐπὶ πλεῖστον ἐκτραπῇ μετὰ τοῦ κατὰ τὸν ἐγκέφαλον ἀπολεσθῆναι. ταῦτα γὰρ γινώσκων ὁ ἰατρὸς, τῆς τ' εὐκρασίας αὐτῶν καὶ τῆς ὑπάρξεως, προνοήσεται ἀεὶ κατὰ τὰς εἰρημένας μεθόδους ὑφ' ἡμῶν, ἔν τε τοῖς ὑγιεινοῖς, καὶ τοῖς θεραπευτικοῖς ὑπομνήμασι, ἃς ἔδειξα πάσας Ἱπποκράτην πρῶτον εἰρηκότα. διὰ τοῦτ' οὖν οὐδὲ γνησίαν νομίζω τὴν προκειμένην ῥῆσιν εἶναι, παρεγγεγράφθαι δ' ὑπό τινος ὥσπερ καὶ ἄλλας οὐκ ὀλίγας. ἴσως δὲ καὶ τὸν υἱὸν αὐτοῦ Θεσσαλὸν ἀθροῖσαι φασὶ τὰς ὑπογραφὰς τοῦ πατρὸς, εὑρόντα γεγραμμένας ἐν χάρταις τε καὶ διφθέραις, καὶ δέλτοις, καὶ τοιαύτας τινὰς παρεντεθεικέναι ῥήσεις. τῶν μέντοι γραψάντων ὑπομνήματα τοῦ προκειμένου βιβλίου, τινὲς ἀντὶ τοῦ βελτίων γίνεται, τὸ φύεται φασὶν εἰρῆσθαι. γίνεσθαι δ' αὐτὴν ἐν τῷ χρόνῳ βελτίονα νομίζουσι τοῖς προνοουμένοις ἐπιστήμης τε καὶ σοφίας, ἀλλ' οὔτε ἰατρικὸς ὁ λόγος, οὔθ' ὁμολογῶν τοῖς ἐπιφερομένοις. ὅτι γὰρ περὶ τῆς οὐσίας αὐτῆς εἴρηται τὸ φύεται, δῆλον ἐκ τοῦ φάναι. ἢν δ' ἐκπυρωθῇ ἅμα τῇ νόσῳ, καὶ ἡ ψυχὴ τὸ σῶμα φέρεται. καὶ δόξειε δ' ἂν ἐνδείκνυσθαι τὸ ἐκπυρωθῇ ῥῆμα, τὴν οὐσίαν τῆς ψυχῆς ἡγεῖσθαι τὸν Ἱπποκράτην τὸ ἔμφυτον εἶναι θερμὸν, ὃ καὶ τῶν φυσικῶν ἔργων αἰτιᾶται πολλαχόθι. μέγιστον δ' ἐνταῦθα κινεῖται δόγμα διαπεφωνημένον, καὶ αὐτοῖς τοῖς φιλοσόφοις. ἔνιοι μὲν ἡγοῦνται μίαν οὐσίαν εἶναι ψυχῆς τε καὶ φύσεως. οἱ μὲν ἐν τῷ πνεύματι τιθέμενοι τὴν ὕπαρξιν αὐτῶν, οἱ δ' ἐν τῇ τοῦ σώματος ἰδιότητι. τινὲς δὲ οὐ μίαν, ἀλλ' ἰδίαν ἑκατέρας τὴν οὐσίαν εἶναί φασι, καὶ οὐ σμικρῷ δέ τινι διαφερούσας, ἀλλ' ὅλῳ τῷ γένει. ὅπου γε καὶ τὴν μὲν τῆς φύσεως φθαρτὴν εἶναι ἡγοῦνται, τὴν δὲ τῆς ψυχῆς, ἄφθαρτον. Ἀριστοτέλης μὲν οὖν καὶ Πλάτων ὑπὸ μίαν προσηγορίαν ἀμφοτέρας ἄγουσι τὰς δυνάμεις, οὐ μόνον ᾗ λογιζόμεθα καὶ μεμνήμεθα ψυχὴν καλοῦντες, ἀλλὰ καὶ τὴν ἐν τοῖς φυτοῖς ᾗ τρέφεταί τε καὶ αὔξεται, καὶ διασώζεται, μέχρι περ ἂν ἐν τῷ χρόνῳ ξηρανθῇ. τοῖς στωϊκοῖς δ' ἔθος ἐστὶ φύσιν μὲν ὀνομάζειν, ᾗ τὰ φυτὰ διοικεῖται, ψυχὴν δὲ ᾗ τὰ ζῶα, τὴν οὐσίαν ἀμφοτέρων μὲν τίθενται τὸ σύμφυτον πνεῦμα, καὶ διαφέρειν ἀλλήλων οἴονται ποιότητι. ξηρότερον μὲν γὰρ πνεῦμα τὸ τῆς ψυχῆς, ὑγρότερον δὲ τὸ τῆς φύσεως εἶναι. δεῖσθαι δ' ἄμφω πρὸς διαμονὴν οὐ τροφῆς μόνον, ἀλλὰ καὶ ἀέρος, καὶ οὗτοί γε τοῦ δόγματος τούτου νομίζουσιν ἡγεμόνα τὸν Ἱπποκράτην γεγονέναι, καθάπερ ἐν τῷ περὶ ἑβδομάδων εἴρηται, τὸ φύεσθαι λέγουσιν εἰρῆσθαι κατὰ τῆς γινομένης ἐν αὐτοῖς προσθέσεως ἐξ ἀμφοτέρων τῶν οὐσιῶν, τῆς τε τοῦ ἀέρος ἐναργῶς φαίνεται, καὶ τὴν ἑκατέρου χρείαν ἐπιστάμεθα. δέδεικται γὰρ ἡ μὲν ἀναπνοὴ τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας φυλάττειν. ἡ δὲ τῶν σιτίων προσφορὰ τὸ διαρρέον τῆς σωματικῆς οὐσίας ἀναπληροῦν, καὶ εἴπερ εἶδός τι τοῦ σώματός ἐστιν ἡ ψυχὴ, προσηκόντως ἂν λέγοιτο φύεσθαι μέχρι τοῦ θανάτου. εἰ δέ ἐστιν ἑτέρα τις αὐτῆς οὐσία τῆς φύσεως, ἣν Ἀριστοτέλης μὲν ὀνομάζει θρεπτικὴν, ἐπιθυμητικὴν δὲ Πλάτων, ἀληθὲς ἂν εἴη τὸ εἰρημένον, οὐκ ἀληθὲς δὲ ἐπὶ τῆς διανοητικῆς ψυχῆς. ὅτι μέντοι τὸ ἔμφυτον θερμὸν, ᾧ μάλιστα ἀναφέρει τὰ σωματικὰ τῶν ἔργων ὁ Ἱπποκράτης ἐκπυρωθὲν, οὐ μόνον οὐκ ἔστι δυνάμενον τὰς ἔμπροσθεν ἐνεργείας ἐπιτελεῖν, οὐδὲ τρέφειν ἡμᾶς, ὅπερ ἦν αὐτῷ κυριώτατον, ἀλλὰ διαφθείρει τε καὶ τήκει καθάπερ τὸ πῦρ, εὔδηλόν ἐστι τῷ λόγῳ σκοπουμένοις ἡμῖν, καὶ τὰς ὑπὸ τῶν διακαῶν πυρετῶν συντήξεις τοῦ σώματος ἐναργῶς ὁρῶσι. περιειλημμένης δὲ κατὰ τὸν εἰρημένον λόγον ἅπαντα τῆς τρίτης ψυχῆς, ἢ δυνάμεως, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν αὐτὴν, ἣν ὁ Πλάτων ἐκάλει θυμοειδῆ, καὶ περὶ ταύτης ἄμεινόν ἐστιν εἰπεῖν, ἕνεκα τοῦ μηδὲν ἔτι ὑπολείπεσθαι κατὰ τὸν περὶ ψυχῆς λόγον. θερμασία μέν τις ἔμφυτος ἐν ἥπατι περιέχεται καθ' ἣν αἷμα γεννᾶται. θερμασία δὲ ἑτέρα πλείων ἐστὶ, κατὰ τὴν καρδίαν εἰς θυμοῦ γένεσιν ἡμῖν δοθεῖσα. καὶ γὰρ χρεία τούτου τίς ἐστιν, ὡς ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπιδέδεικται. δεῖται μὲν αὕτη ἡ θερμασία τῆς τροφῆς, ἡ δ' ἑτέρα δὲ τῆς ἀναπνοῆς. οὕτω γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, τὴν διὰ τῶν ἀρτηριῶν γινομένην καθ' ὅλον τὸ σῶμα διττὴν ἐνέργειαν, ἐκπεμπουσῶν αἰθαλῶδες περίττωμα κατὰ τὴν συστολὴν, ἑλκουσῶν δὲ τὸν πέριξ ἀέρα κατὰ τὴν διαστολήν.

Νοῦσοι ξυντρόφοι ἐν γήραϊ λείπουσι, καὶ διὰ πεπασμὸν καὶ λύσιν, καὶ ἀραίωσιν.

Οὐ περὶ πασῶν ὁ λόγος αὐτῷ νῦν τῶν συντρόφων νόσων. ὀνομάζουσι δ' οὕτως τὰς ἐκ πολλοῦ χρόνου κατὰ τὸ σῶμα τῶν ἀνθρώπων διαμενούσας. οὔτε γὰρ φαίνεται τοῦτο γινόμενον, οὔτε αὐτὸς ἀγνοεῖ, σαφῶς ἐν ἀφορισμοῖς εἰπών. οἱ πρεσβῦται τῶν νέων, τὰ μὲν πλεῖστα νοσέουσιν ἧσσον. ὅσα δὲ αὐτοῖς χρόνια νοσήματα γίνεται, τὰ πολλὰ συναποθνήσκει. προσθεὶς δ' ἐν αὐτῷ τῷ λόγῳ τὸ, τὰ πολλὰ, καὶ μὴ καθόλου ποιησάμενος τὴν ἀπόφασιν, ὡς ὅσα χρόνια νοσήματα γίνεται (τὰ πολλὰ) συναποθνήσκει, δῆλός ἐστιν εἰδὼς ἔνια λυόμενα πρὸ τοῦ θανάτου. τίνα τοίνυν ἐστὶ ταῦτα, καθάπερ γε καί τινα τὰ μὴ λυόμενα πρὸ τοῦ θανάτου, διὰ τῶν ἀφορισμῶν αὐτὸς ἐνεδείξατο γράφων ὧδε. Βράγχοι καὶ κόρυζαι τοῖς σφόδρα πρεσβυτέροισιν οὐ πεπαίνονται. ψυχρῶν οὖν ἐνταῦθα μνημονεύσας, δῆλός ἐστιν ἔνια τῶν θερμῶν, συγχωρῶν λυθῆναι δύνασθαι κατὰ τὴν τῶν πρεσβυτέρων ἡλικίαν. εἴγε τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, ἐναντία γάρ ἐστι ταῦτα, καὶ τάς γε κεφαλαίας τὰς θερμὰς ἑτεροκρανίας τε καὶ νεφρίτιδας τὰς τοιαύτας, ἔτι τε ἀρθρίτιδας ὅσαι πάνυ θερμὴν ἔχουσι τὴν διάθεσιν. οὗτος μὲν οὖν ἐκ τῆς τοῦ γήρως κράσεως γινόμενος ὁ τρόπος τῆς λύσεως, ἐν τῷ μέρει τῶν πεπασμῶν ἐστι, δηλοῦντος τοῦ πεπασμοῦ πᾶσαν ἀγωγὴν εἰς τὴν σύμ

μετρον

κατρον κρᾶσιν, ὡς ἐπὶ τῶν πεπαινομένων ἐδείχθη καρπῶν. ἑτέρους δὲ δύο τρόπους πρόσεισιν ἔτι σπανιωτέρους τοῦ πεπασμοῦ, τόν τε κατὰ τὴν ἀραίωσιν, καὶ τὸν ἀμφιβόλως εἰρημένον, εἴτε κατὰ τὴν διάλυσιν, εἴτε κατὰ λύσιν ἀκοῦσαι χρή. γίνεται δὲ οὗτος ἐξ αὐτῆς τῆς σωματικῆς οὐσίας κοινῆς ἅπασιν οὔσης, μὴ ὅτι τοῖς ἐμψύχοις, ἀλλὰ καὶ τοῖς ἀψύχοις. ἀποῤῥεῖ μὲν γάρ τι πάντως αὐτῶν, ἀλλὰ πλεῖστον μὲν τῶν μαλακωτέρων, ἐλάττον δὲ τῶν ἧττον μαλακῶν. οὕτως γοῦν ἔνιοι τῶν παρὰ φύσιν ὄγκων λύονται, διαφορουμένης τῆς οὐσίας αὐτῶν κατὰ βραχὺ χρόνῳ πλείονι, καὶ γίνεται τοῦτο τοῖς καλῶς διαιτωμένοις, ὡς ὅσοι γε πληρωτικῇ διαίτῃ χρῶνται, τὴν ἐπίῤῥοιαν τοῖς πεπονθόσι μέρεσιν ἴσην τῇ διαφορουμένῃ ποιούμενοι, φυλάττουσι τὰ πάθη. τρίτον δὲ τρόπον εἴρηκε λύσεως, τὴν ἀραίωσιν τοῦ σώματος, ὑπὸ μὲν τῶν ἰατρῶν ἐκ προνοίας γινομένην, ὑπὸ δὲ τῆς γεροντικῆς ἡλικίας σπανίως, ὅταν ἀσθενε-

10 στέρας γινομένης τῆς δυνάμεως, ἰσχνοτέρας τε τῆς ἕξεως, ἀτροφωτέρου δὲ, καὶ τοῦ δέρματος ἀραιοῦνται οἱ πόροι. ἡμεῖς μὲν οὖν οὕτως ἐξηγούμεθα τὴν ῥῆσιν, ἀεὶ πειρώμενοι τοῖς ἐπὶ τῶν ἀῤῥώστων ὁρωμένοις ὁμολογούσας ἐπιδεικνύναι τὰς λέξεις αὐτοῦ, τῶν δ' ἐξηγητῶν οἱ πλεῖστοι πάντα μᾶλλον ἢ τοῦτο πράττουσιν. οἵ γε καὶ νῦν ὡς ἐπὶ πάντων τῶν νοσημάτων εἰρημένου τοῦ λόγου, τὰς αἰτίας ἀποδιδόναι πειρῶνται. τούτων δ' ἀτοπώτερα λέγουσιν οἱ τὰ τοιαῦτα πάθη φάσκοντες ἐν τῷ γήρᾳ λύεσθαι. τῆς ψυχῆς μὲν οὖν ὀργὰς, φιλαργυρείας, δεισιδαιμονίας, τοῦ δὲ σώματος, ἀβρωστικὰς διαθέσεις.

Ἴησις ἀντίνοον μὴ ὁμονοέειν τῷ πάθει.

Οὗτος ὁ λόγος ὁ αὐτός ἐστι τῇ δυνάμει, τῷ, τἀναντία τῶν ἐναντίων ἰάματα, περὶ οὗ πολλάκις ἤδη διείλεγμαι.

Τὸ ψυχρὸν καὶ ἐπικρέει, καὶ κτείνει ὁκόσα ἐκ θερμοῦ.

20 Εἰς ἀνάμνησιν ἑαυτῷ καὶ τοῦτ' ἔγραψε τῆς προειρημένης ἀποφάσεως καθόλου μέρος ὑπάρχον. τὸ γάρ τοι ψυχρὸν, ἐπικρεῖ μὲν τοῖς ψυχροῖς πάθεσι, κτείνει δὲ τοὺς θερμὰς νοσοῦντας. ἀφ' ἑνὸς γὰρ ὡς ἐπὶ παραδείγματος ἐπὶ πάντα τἀναντία μετάγειν χρὴ τὸν λόγον.

Ὀξυθυμίη ἀνασπᾷ, καὶ καρδίην καὶ πνεύμονα ἐς ἑωυτὰ, καὶ ἐς κεφαλὴν, καὶ τὰ θερμὰ, καὶ τὸ ὑγρόν. ἡ δὲ εὐθυμίη ἀφίησι καρδίην.

Αἰνιγματωδεστέρον ἡ λέξις σύγκειται, καὶ διὰ τοῦτο, καὶ γραφὰς αὐτῆς πλείονας ἐποιήσαντο, καὶ ταῖς γραφαῖς οἰκείας ἐξηγήσεις. ἀληθέστερον δ' ἂν εἴποι τις οὐ ταῖς γραφαῖς τὰς ἐξηγήσεις, ἀλλὰ ταῖς ἐπινοηθείσαις ἐξηγήσεσι, προσαναπεπλάκασιν τὰς γραφάς. εὐθὺς οὖν τὸ ἀνασπᾷ ῥῆσις τί ποτε σημαίνει κατὰ τὴν λέξιν, ἀνασπᾶσθαι τὴν καρδίαν, καὶ τὸν πνεύμονα λέγειν αὐτὸν ὑπὸ τῆς ὀξυθυμίης ἐξηγησόμεθα, προσκειμένου δὲ τοῦ ἐς ἑωυτὰ καὶ ἐς κεφαλὴν, διανοίας ἑτέρας ἔμφασις γίνεται τοιαύτης, ἡ καρδία καὶ ὁ πνεύμων ἀνασπᾷ, καὶ εἰς ἑαυτὰ, καὶ εἰς τὴν

30 κεφαλὴν καὶ τὰ θερμὰ, καὶ τὸ ὑγρόν, ὄντος καὶ τοῦ θερμὰ πλησίον ἀδιανοήτου. θερμὸν γὰρ ἐχρῆν, ἢ θερμὰ εἰρῆσθαι μᾶλλον. ἄμεινον οὖν ἐστιν ἴσως ἀμελοῦντα τῆς κατὰ μέρος ἐν τῇ ῥήσει λέξεως ὡς συγκεχυμένης, ἔκφρασιν αὐτῆς μᾶλλον, ἢ παράφρασιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ ποιήσασθαι. τοῦτο δ' ἀδύνατον γενέσθαι μὴ καὶ* ἐν γ' ἔτι τῶν ὀνομάτων ἐξηγησαμένων ἡμῶν, ὅπερ ἐστὶ τὸ ἀνασπᾶν. δυοῖν γὰρ θάτερον ἐν ταῖς ὀξυθυμίαις, ἤτοι τὸν πνεύμονα, καὶ τὴν καρδίαν εἰς τὴν κεφαλὴν ἀνασπᾶσθαι φάναι, ἢ τὴν καρδίαν, καὶ τὸν πνεύμονα, καὶ τὴν κεφαλὴν ἀνασπᾶν εἰς ἑαυτὰ τό, τε θερμὸν καὶ τὸ ὑγρόν. πιθανὸν γὰρ ἐκ τῶν κατὰ τὸ ἧπαρ χωρίων, ὅθεν ἡ χορηγία τοῦ αἵματός ἐστιν ἀνασπᾶσθαι τήν τε θερμασίαν, καὶ τὴν ὑγρότητα. φαίνεται οὖν ἐναργῶς ἐν ταῖς ὀξυθυμίαις, μείζονά τε καὶ σφοδρότερον ἡ καρδία ποιουμένη τὸν σφυγμὸν ἅμα ταῖς καθ' ὅλον τὸ ζῶον ἀρτηρίαις. εὔλογον δὲ καὶ τὰ πληρώσαντα τὴν διαστολὴν αὐτῆς, ἕλκεσθαι τηνικαῦτα πλείω, τοῦ δὲ πρὸς τὴν κεφαλὴν ἀναφέρεσθαι τότε ὑγρὸν, καὶ τὴν θερμασίαν πλείονα, σημεῖον ἐστὶ τὸ κατὰ τοὺς ὀφθαλμούς τε καὶ τὸ πρόσωπον ὅλον ἐρευθος. ἀλλὰ καὶ εἰ ἅψαιο, θερμό-

40 τερα ταῦτα φανεῖταί σοι γεγονότα. προδήλως τε καὶ οἱ ὀφθαλμοὶ λάμπουσί τε ἅμα, καὶ προπετέστεροι δηλοῦσι γεγονέναι, καὶ ἡ σύμπασα κεφαλὴ θερμοτέρα, κατὰ δὲ τὴν εὐθυμίαν φησὶ ἀφίησι τὴν καρδίαν, τουτέστι καταλείπει τὰ προειρημένα. χρήσιμος δὲ τῶν εἰρημένων ἡ γνῶσις εἰς τὸ ποτὲ μὲν φυλάττεσθαι τὴν ὀξυθυμίαν, ποτὲ δ' αὐτὴν ἐπιτηδεύειν. φυλάττεσθαι μὲν, ὅταν ἡ καρδία καὶ ἡ κεφαλὴ θερμότεραι τοῦ προσήκοντος ὑπάρχουσι κατὰ φυσικὴν δυσκρασίαν, ἤ τι πάθος θερμὸν ἐπίκτητον. ἐπιτηδεύειν δ' ἐν τοῖς πάθεσι ψυχικοῖς, καὶ τῇ φύσει ψυχροτέρᾳ κεφαλῇ. ὡσαύτως δὲ ἡ καθ' ὅλον τὸ σῶμα κρᾶσις. εἰ μὲν εἴη θερμοτέρα τοῦ δέοντος, ἤτοι κατὰ πάθος ἢ φύσει, βλαβήσεται μεγάλως ὑπὸ τῆς ὀξυθυμίης. ἡ δ' ἐναντία τῇδε μεγάλως ὀνήσεται. τοῦτο γάρ τοι καὶ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ἐδείκνυμεν ὑπ' αὐτοῦ δεδιδαγμένον ἡνίκ' ἔλεγεν, ἐπιτηδεύειν ὀξυθυμίην ἐμποιέειν, καὶ χροιῆς ἀναλήψιος ἕνεκα καὶ χυμώσιος.

50 Πόνος τοῖσιν ἄρθροισι, καὶ σαρξὶ, σῖτος, ὕπνος σπλάγχνοισι.

Ἐπειδὴ τὸ πόνος ὄνομα πολλάκις μὲν εἴωθεν ὁ Ἱπποκράτης ἀντὶ τοῦ γυμνασίου λέγειν, ἐνίοτε ἀντὶ τῆς ὀδύνης, ἢ ἁπλῶς ἠστινοσοῦν βλάβης, ὡς ἐν πολλοῖς ὑπομνήμασιν ἤδη μεμαθήκατε. διὰ τοῦτο τοίνυν ἄλλος ἐπ' ἄλλο τῶν τριῶν σημαινομένων ἧκε τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὁ μέν τις ἡγούμενος αὐτὸν λέγειν τὸ γυμνάσιον, τοῖς ἄλλοις τε, καὶ ταῖς σαρξὶν οἷόν περ σῖτον εἶναι, τουτέστι τροφὴν, καὶ ῥώμην, καὶ ὠφέλειαν. αὐξάνεσθαι γὰρ αὐτίκα, καὶ κρατύνεσθαι, καὶ ῥώννυσθαι διὰ τῶν γυμνασίων οὐδὲν ἧττον, ἢ διὰ τῶν τροφῶν. ὁ δέ τις ἄλγημα, καὶ ὀδύνην τοῖς ἄρθροις τε καὶ ταῖς σαρξὶ τὸν πολὺν σῖτον, ἤκουσεν εἰρῆσθαι. τὴν γὰρ πληθώραν οὐ μόνον δυσκίνητα ποιεῖν τά τε ἄρθρα, καὶ τὰς σάρκας ὅπερ ἐστὶ τοὺς μῦς. ἐν τούτοις γὰρ τὸ τῶν σαρκῶν γένος, ἀλλὰ καὶ ῥευματίζειν ὡς ὀδύνας ἐργάζεσθαι. ταύτῃ δ' ἕπεται τῇ γνώμῃ, καὶ τὸ περὶ τὸ τρίτον σημαινόμενον, ἡγουμένων τινῶν τὸν πολὺν σῖτον, ὅπερ ἐστὶ τὴν πληθώραν, βλάβην εἶναι τοῖς τε ἄρθροις, καὶ ταῖς σαρξὶν, οὐ μόνον δὲ σαρξὶ καὶ ἄρθροις, ἀλλὰ καὶ πᾶσι τοῖς μορίοις

τοῦ σώματος ἡ πληθώρα, καὶ βλάβην εἴωθε καὶ ὀδύνας ἐπιφέρειν. καὶ μέντοι καὶ τὸ δεύτερον μέρος τῆς ῥήσεως ἐν ᾧ φησιν, ὕπνος σπλάγχνοισι, τὴν μὲν διάνοιαν ἕξει τοιαύτην. ὥσπερ ὁ πόνος τοῖς ἄρθροις, καὶ ταῖς σαρξὶν, οὕτως ὁ σῖτος τοῖς σπλάγχνοις, ἤτοι γυμνάσιον ἔσται φέρον εὐεξίαν, ἢ ὀδύνην, ἢ βλάβην οἴσει. γυμνάζεσθαι μὲν ἐν τοῖς ὕπνοις τὰ σπλάγχνα καθόλου ἐνεργεῖ μάλιστα τηνικαῦτα, καὶ κατεργάζεται τὴν τροφὴν, ἀκούειν ἄν τις δύναιτο. βλάβην δέ τινα καὶ ὀδύνην ἐπιφέρειν οὐκ ἀληθὲς, ἀνωδυνίαν τε γὰρ καὶ ὠφέλειαν μᾶλλον ὁ ὕπνος, οὐ τοὐναντίον πέφυκεν ἐργάζεσθαι. πλὴν εἴ τις ἐν ἀρχαῖς παροξυσμῶν λέγοι ταῦτα ποιεῖν αὐτόν. ἀλλὰ νῦν γε χωρὶς διορισμοῦ τῆς ῥήσεως γεγραμμένης, οὐκ ἀληθὴς ὁ λόγος ἔσται. μή τοι τοίνυν ἄμεινόν ἐστιν οὕτως ἀναγινώσκειν, πόνος τοῖς ἄρθροις, καὶ ταῖς σαρξὶν, εἶτ' ἀφ' ἑτέρας ἀρχῆς, σῖτος ὕπνος σπλάγχνοισιν, ἵν' ὁ λόγος γένηται τοιόσδε, τὸ μὲν γυμνάσιον τοῖς ἄρθροις, καὶ ταῖς σαρξὶν ὠφέλειαν παρέχει, σῖτος δὲ καὶ ὕπνος τοῖς σπλάγχνοις. τοῦ γὰρ ἐμφύτου θερμοῦ συννεύοντος εἰς τὸ βάθος ὡς αὐτὴν ἐδίδαξεν, αἵ τε πέψεις τῶν σιτίων ἀμείνους γίνονται, καὶ τρέφεται τηνικαῦτα τὰ σπλάγχνα. κατὰ δὲ τὴν ἐγρήγορσιν ἀποτεινομένου πρὸς τὸ δέρμα τοῦ ἐμφύτου θερμοῦ, τὰ σπλάγχνα ψυχρότερα γίνονται σφῶν αὐτῶν. ἅπερ δὲ ἐκείνοις ὑπάρχει ἐν τοῖς ὕπνοις, ταῦτα τοῖς κώλοις τε καὶ πᾶσι τοῖς ἐκτὸς ἐν ταῖς ἐγρηγόρσεσιν.

Ψυχῆς περίπατος, φοντὶς ἀνθρώποις.

Τὸν περίπατον ἀντὶ τοῦ γυμνασίου πάντες ἤκουσαν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, ἵν' ὁ λόγος ᾖ τοιόσδε. τοῖς ἀνθρώποις αἱ φροντίδες γυμνάσιον, *προσηγορίας κεχρῆσθαι τῇ τοῦ περιπάτου δηλούσης τῆς φωνῆς ταύτης εἶδός τι γυμνασίου. κακοζήλου δὲ τῆς ἑρμηνείας οὔσης, εἰκότως αὐτὴν ὁ Διοσκορίδης φυλαττόμενος, οὐ περίπατον ἔγραψεν, ἀλλὰ προσθεὶς τὸ ν γράμμα περὶ παντὸς, ὥστε γενέσθαι τὴν λέξιν τοιάνδε. ψυχῆς περὶ παντὸς φροντὶς ἀνθρώποις, ἵν' ᾖ δηλούμενον ἐξ αὐτῆς περὶ παντὸς τοῖς ἀνθρώποις, ἀσκητέον εἶναι τὸν λογισμόν. αἱ γάρ τοι διανοήσεις, ὀνομάζονται φροντίδες, ὅθεν καὶ τὸν Σωκράτην φροντιστὴν ἐκάλουν, καὶ φροντίδας τὰ σοφὰ βουλεύματα τἀνδρὸς ὠνόμαζον, ὡς κἀν ταῖς Ἀριστοφάνους νεφέλαις εὑρεῖν ἔνθα κωμῳδεῖ, καὶ σκώπτει τὸν Σωκράτην ὡς ἀδολέσχην. εἰ δὲ τῇ δόξῃ φιλοσόφου, θεωρίας οὐκ ἰατρικῆς ὁ λόγος ἔχεσθαι, πρῶτον μὲν ἐνθυμείσθω κοινῶν ἁπασῶν εἶναι τῶν λογικῶν αὐτοτεχνῶν ἐν αἷς τὸν λογισμὸν χρὴ γυμνάζειν, ὡς ἄλλοις τε πολλοῖς εἴρηται τῶν ἰατρῶν, Ἐρασιστράτῳ τε οὐκ ὀλιγάκις. ἔπειτα δὲ καὶ πάθη τινὰ γίνεται, τὰ μὲν οἷον ναρκοῦντα τὸ λογιστικὸν, καὶ τὸ μνημονευτικὸν τῆς ψυχῆς, τὰ δὲ καρώδη καὶ καταφορικά. τούτοις οὖν ἡγητέον ὠφελίμους εἶναι τὰς φροντίδας, ὡς ἐν ἄλλοις ἐδίδαξε τὰς ὀξυθυμίας εἶναι χρησίμους εἰς εὐχυμίαν τε καὶ τῆς κατὰ φύσιν ἕξεως ἀνάκτησιν.

Ἐν τοῖς τρώμασι τὸ αἷμα συντρέχει, βοηθητέον ὡς τὸ κενὸν πληρωθῆναι.

Αἰνιγματώδης καὶ ἥδε ἡ ῥῆσίς ἐστιν. ὅτε γάρ τι τὸ συντρέχειν δηλοῖ, σαφές ἐστιν, ὅτε τὶ κενὸν πληρωθῆναι. διὰ τοῦτ' οὖν ἔνιοι μὲν τῶν ἐξηγητῶν εἰρῆσθαι τὸν λόγον φασὶ περὶ τῆς ἐπὶ τραύμασιν αἱμοῤῥαγίας, ἔνιοι δὲ περὶ τῆς ἐπιγινομένης φλεγμονῆς. ἑκάτεροι γὰρ ἀξιοῦσιν εἰς τὸ τετρωμένον μέρος ἐπιῤῥεῖν αἷμα, καὶ μέντοι καὶ τούτου γυμνοῦ γινομένου, κενοῦσθαι τὰς ἐν ὅλῳ τῷ σώματι φλέβας, ὧν προνοητέον εἶναι φασὶν, ὡς αὖ πληρωθῶσιν αὖθις. εἶναι δὲ τὴν πλήρωσιν αὐτῶν διττὴν, ἀναστελλομένου μὲν ὑπὸ τῶν ψυχόντων καὶ στυφόντων φαρμάκων, καὶ σχήματος δὲ ἐπιτηδείου τοῦ συῤῥέοντος αἵματος ἐπὶ τοῦ τετρωμένου τραυματίου. τινὲς δὲ οὐκ ἐπὶ τραυμάτων μόνον, ἀλλὰ κἀπὶ τῶν σφοδρῶς συντριβέντων ὀστῶν, καὶ μάλισθ' ἐφ' ὧν ἔξω τοῦ δέρματος ἀνέχει τι μέρος αὐτῶν, ὡσαύτως δὲ κἀπὶ τῶν τοιούτων ἐξαρθρημάτων ἁπασῶν τε, καὶ τὴν μεγάλην θλάσιν ἐν τῷ σώματι ποιουσῶν πληγῶν, τὸν λόγον εἰρῆσθαί φασι. τρώματα γὰρ ὀνομάζει Ἱπποκράτης τὰς μεγάλας βλάβας ἔκ τινος τῶν ἔξωθεν γινομένας, εἰ καὶ χωρὶς τραύματος. τῇ δὲ περὶ τοῦ συντρέχειν εἰς ταῦτα τὸ αἷμα, καὶ πληροῦν τὸ ἐκκενωθὲν, αὕτη καὶ τοῖς ταῦτα λέγουσιν ἐξήγησις. ὅτι μὲν οὖν ὁ Ἱπποκράτης εἴθισται τρώματα καλεῖν τὰς τοιαύτας βλάβας ἐν πολλοῖς ἤδη τῶν βιβλίων αὐτοῦ μεμαθήκαμεν. εἰ δὲ καὶ νῦν ἐκείνων μέμνηται, προπετὲς εἰπεῖν. ἔνιοι δ' ἐπὶ τῶν αἱμοῤῥαγούντων τρωμάτων πληροῦν, ἐνθέσει φαρμάκων τε τῶν ἐπιτηδείων, καὶ μοτῶν.

Ἢν οὖς ἀλγέῃ, ἔριον περὶ τὸν δάκτυλον ἑλίξας ἐγχεῖν ἄλιφα θερμὸν, ἔπειτα ὑποθεὶς ἔσω ἐν τῷ θέναρι τὸ ἔριον ὑπὸ τὸ οὖς ἐπιθεῖναι, ὡς δοκέῃ τί οἱ ἐξιέναι, ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν, ἀπάτη.

Ταύτην τὴν ῥῆσιν ὑπώπτευσάν τινες ὡς παρεγγεγραμμένην, οὐχ ἥκιστα διὰ τὸ προσκείμενον ἐπὶ τῷ τέλει λεξίδιον τὴν ἀπάτην. ὁ μὲν γὰρ περὶ αὐτῆς λόγος, τοιοῦτός τίς ἐστιν. ἐὰν οὖς ἀλγῇ τις, ἔριον περὶ τὸν δάκτυλον ἑλίξας δηλονότι τὸν λιχανόν. ἐγχωρεῖ δὲ καὶ περὶ τὸν ἀντίχειρα, βρέχων ἄλιφα, τουτέστιν ἤτοι ἐλαίῳ, ἢ πιμελῇ τετηκυίᾳ τὸ ἔριον ἐνστάζειν εἰς τὸ οὖς, ὡς καὶ νῦν εἰώθαμεν ποιεῖν διὰ τῆς ἠμφιεσμένης ἐρίῳ μηλωτίδος, οὐ μόνον ἄλιφα καθάπερ αὐτὸς ὠνόμασεν, ἀλλὰ καὶ πᾶν ἄλλο φάρμακον ὑγρὸν ἐγχεόντων. ἔσω δὲ δηλονότι τὸ φάρμακον ἐν ᾧ τέγγουσι θερμαινόμενον ἐπὶ πολυχνιαίας φλογὸς, ἢ ἐπὶ τοῦ καλουμένου κηρίονος. ἐγχεῖν δ' οὐχ ἅπαξ ἢ δὶς, ἀλλὰ πολλάκις ὡς ἀποῤῥεῖν τι, πρὸς τὴν ἐκτὸς χώραν τοῦ πόρου τοῦ ἀκουστικοῦ. τὸ δ' ἀποῤῥέον τοῦτο μὲν ἡμεῖς ἁπλῶς ἔριον ὑποτιθέντες, δεχόμεθα. κελεύει δ' ὁ Ἱπποκράτης ἐπὶ τῷ θέναρι τῆς χειρὸς ἡμῶν ἐπικεῖσθαι τοῦτο, τῆς ἀριστερᾶς χειρὸς δηλονότι τὸ ἀποῤῥέον ἐκ τοῦ ὠτὸς ὑγρὸν ὑποδεχόμενον, ᾧ καὶ δῆλον ὡς οὐχ ἅπαξ, ἢ δὶς, ἀλλὰ καὶ πλεονάκις ἐγχεῖν κελεύει. τούτοις δ' ἐφεξῆς, εἰ μὲν ἁπλῶς ἦν γεγραμμένον, ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν, εὐλόγως ἂν ἔφαμεν ἐξηγεῖσθαι τοὺς εἰπόντας ἕνεκα τούτου κατὰ τοῦ πυρὸς ἐπιβάλλειν, ἀξιοῦν αὐτὸν ὡς δοκιμάσαι διὰ τῆς ὀδμῆς ὁποῖόν ἐστιν. αὐτὸς γὰρ οὕτω καὶ τὸ μετὰ βηχὸς ἀναπτυόμενον ἐκ πνεύμονος ἐδοκίμασεν. ἐπεὶ δὲ πρόσκειται κατὰ τὸν λόγον, ὡς δοκέῃ τί οἱ ἐξιέναι, καὶ φαίνεται τὸ δοκεῖν συμφωνεῖν τῷ κατὰ τὸ τέλος εἰρημένῳ τῆς ῥήσεως ὅλης τῷ ἀπά-

τη,

τη, διὰ τοῦτο ἀποστάντες οἱ δοκιμώτεροι τῶν ἐξηγητῶν, ἐπὶ τῇ τοῦ κάμνοντος ἀπάτῃ πρὸς τὴν τοιαύτην ἐνέργειαν ἀφῖχθαι φασὶ τὸν Ἱπποκράτην. παρηγορεῖσθαι γὰρ ἐνίοτε καὶ τῶν τοιούτων τοὺς κάμνοντας, ἡγεῖσθαί τε θεραπείαν ἑαυτῶν ἐπιμελεστέραν γίνεσθαι, καὶ μέντοι καὶ μείζονα τῶν ὄντων τὰ πάθη φαίνεσθαι τοῖς κάμνουσι, χρήσιμον εἶναι φασὶν εἰς τὸ μὴ μέμφεσθαι τοῖς πονουμένοις, ὡς οὐ ταχέως ἰωμένοις αὐτά, καὶ πρὸς τὸ πείθεσθαι τῇ περὶ τὴν δίαιταν ἀκριβείᾳ. τινὲς δὲ προστιθέασιν, ὅτι καὶ μισθοὺς μείζονας, καὶ δῶρα θεραπευθέντες δώσουσι τοῖς ἰατροῖς οἱ μεγάλων παθῶν ἀπηλλάχθαι νομίζοντες. ὅπερ αὖ πάλιν ἐνίοις οὐ κατὰ τὴν Ἱπποκράτους προαίρεσιν εἶναι φαίνεται, καὶ διὰ τοῦτο τὴν ῥῆσιν ὅλην ὑποπτεύουσιν ὡς παρεγγεγραμμένην. οὐδὲ γὰρ οὐδὲ τοῦτό ἐστιν εἰπεῖν περὶ τῆς προκειμένης ῥήσεως, ὅπερ ἔνιοι πιθανῶς ἔδοξαν εὑρηκέναι τὴν παρηγορίαν τῆς ὀδύνης, ἀπάτην εἰρῆσθαι νομίζοντες, ὡς οὐ τοῦτον ὂν ἰάσασθαί τε τὴν νοσώδη διάθεσιν, ἐκκόπτοντες τὴν οἷον ῥίζαν αὐτῆς, ὀδύνην τε πραΰνειν παρηγορήσαντες. ἐνίοτε γοῦν αὐτὸ τοῦτο χείρονα τὴν ὅλην διάθεσιν ἐργάζεται, καθάπερ ἐπὶ τῶν κωλικῶν αἱ διὰ ὀπίου, καὶ ὑοσκυάμου, καὶ μανδραγόρας, καὶ στύρακος συντιθέμεναι ἀντίδοτοι. περιψύχουσαι γὰρ αὗται τὰ μόρια, καὶ πρὸς τὸ δεύτερον ἐκ τῶν αὐτῶν αἰτιῶν παθεῖν ἑτοιμότερα παρασκευάζουσιν, ἀλλ᾽ οὐδὲ διὰ τὸ πραΰνειν τὴν ὀδύνην ὡς ἔφην, οἷόν τε ἐστὶ δέξασθαι προσγεγράφθαι τὴν ἀπάτην. ἐναντιοῦται γὰρ τῷ, ὡς δοκεῖ τισὶ οἱ ἐξηγηταί, τοῦ γράψαντος οὕτως, ἐνδεικνυμένου τῶν καμνόντων ἀπάτης ἕνεκεν, ἐπὶ τὴν τοιαύτην χειρουργίαν ἀφικνεῖσθαι τοὺς ἰατρούς. ἄμεινον οὖν ὑπολαμβάνειν οὐδ᾽ ὅλως εἶναι τὴν ῥῆσιν Ἱπποκράτους.

Γλῶσσα οὖρον σημαίνει, γλῶσσαι χλωραὶ χολώδεες. τὸ δὲ χολῶδες ἀπὸ πίονος, ἐρυθραὶ δὲ ἀφ᾽ αἵματος, μέλαιναι δὲ ἀπὸ μελαίνης χολῆς. αὗαι δὲ ἀπὸ λιγνυώδεος ἐγκαύσιος, καὶ μητρώου μορίου, λευκαὶ δὲ ἀπὸ φλέγματος.

Τὴν γλῶτταν φησὶ σημαίνειν ὁποῖόν ἐστι τὸ οὖρον, ἤτοι τὸ κυρίως οὕτως ὀνομαζόμενον ὃ καθ᾽ ἑκάστην ἡμέραν ἀποκρίνομεν, ἢ τὸν τῶν χυμῶν ὀῤῥόν. ἑκάτερον δ᾽ αὖ ὁ λόγος ἐπὶ τὴν τοιαύτην ἥκει διάνοιαν. ἡ γάρ τοι γλῶττα τῆς ἐν τοῖς χυμοῖς διαθέσεώς ἐστι δηλωτική, καθάπερ καὶ τὰ οὖρα, καὶ τό, τε χρήσιμον ἐκ τῆς ῥήσεως ἔχοντες, ἐκ περιουσίου ζητοῦμεν ὅτι ποτὲ σημαίνει τὸ οὖρον. ἔστι δὲ τὸ χρήσιμον ὃ καθ᾽ ὅλην τὴν ῥῆσιν διδάσκει, τὰς μέν τινας γλώττας χολῆς πλεονεξίαν ἐνδείκνυσθαι, τὰς δ᾽ αἵματος, ἢ τινος ἄλλου τοιούτου, περὶ ὧν ἐφεξῆς ἁπάντων ἐπισκεπτέον. ἐν γὰρ τοῖς χρησίμοις εἰς τὰ τῆς τέχνης ἔργα διατρίβειν ἀξιῶ παρατρέχοντας, ὅσα σοφιστικῶς ἐζήτηται. χλωρὰς οὖν γλώττας εἴρηκεν, ὡς αὖ τῷ βίῳ συνήθως ὀνομάζουσιν ἄνθρωποι, χλωρούς τινας ἑωρακέναι φάσκοντες, οἷς αὖ ἐπὶ τὸ χολωδέστερον ἡ χρόα μεταβάλλει, τῆς ὠχρᾶς δηλονότι χολῆς. ταύτην γὰρ ἁπλῶς ὀνομάζουσιν, οὐχ ὥσπερ τὰς ἄλλας μετὰ προσθήκης, ἤτοι μέλαιναν, ἢ ἰώδη καλοῦντες, ἢ ἐρυθράν, ἢ ξανθήν, ἢ λεκυθώδη. ἐγγυτάτω μὲν οὖν ἐστι καὶ τοῦ αὐτοῦ σχεδόν τι γένους ἡ ξανθὴ χολὴ τῇ ὠχρᾷ. λέγουσι δὲ τοὔμπαλιν αὐτοὶ τοῦ προσθεῖναι τὴν ὠχράν, ἁπλῶς οὕτως χολὴν ἐμεμηκέναι τὸν ἄνθρωπον, ἐπὶ δὲ τῆς ξανθῆς σπανίως ἐστὶν εὑρεῖν ἁπλῶς τινα λέγοντα. προστιθέασι γὰρ εὐθέως αὐτῇ τὸ τοῦ χρώματος ὄνομα, ξανθὴν χολὴν ἐμεμηκέναι τόνδε τινα λέγοντες, ἢ ἄκρατον χολήν. ἰώδη δὲ καὶ μέλαιναν χολήν, οὔτ᾽ ἰατρός τις, οὔτ᾽ ἰδιώτης ὠνόμαζεν ἄνευ προσθήκης, ὥσπερ οὐδὲ ἰσατώδη, καὶ πρασοειδῆ, καὶ λεκυθώδη. καὶ γὰρ ταῦτα χολῶν ὀνόματα εἰσὶν ὑπό τινων ἰατρῶν εἰρημένα, παρωνύμως ταῖς χρόαις ἃς ἔχουσιν, οὕτως δὲ καὶ τὴν ἐρυθρὰν χολὴν ὀνομάζουσιν αἵματος οὖσαν ὀῤῥόν. ἡ δὲ λεκυθώδης τῆς ξανθῆς παχυνθείσης γίνεται χολῆς, καθάπερ ἡ ὠχρὰ προσλαβούσης ὑδατώδη τινὰ οὐσίαν. αἱ τοίνυν χλωραὶ γλῶτται νῦν εἴρηνται σαφῶς, ἀντὶ τῶν ὠχρῶν ὑπὸ τῆς ὠχρᾶς χολῆς βαπτόμεναι. μεγάλας τε γὰρ ἔχουσα φλέβας ἡ γλῶττα, καὶ κατὰ τὴν οὐσίαν οὖσα χαύνη τε καὶ σπογγοειδής, ἑτοιμοτέρα τῶν ἄλλων ἐστὶ μορίων, ὅσα σκληρὰ καὶ πυκνά, δέξασθαί τε τοὺς ὀῤῥώδεις χυμοὺς εἰς αὑτήν, βαφῆναί τε πρὸς αὐτῶν ὥσπερ τὰ ἔρια. παρέγκειται δὲ τῷ λόγῳ τὸ χολῶδες ἀπὸ πίονος, ἐνδεικνυμένου τἀνδρὸς τὴν γένεσιν τοῦ χολώδους πλείστην ἐκ τοῦ πίονος ἐν τῇ τροφῇ γίνεσθαι. πίονα δὲ ἀκουστέον οὐ μόνον τὸ λιπαρόν, ἀλλὰ καὶ τὸ γλυκύ, καὶ ὅλως τὸ ἐν τοῖς κατὰ φύσιν ἔχουσιν ἡδύ. μόνοι γὰρ οἱ παρὰ φύσιν διακείμενοι, πικροῖς καὶ στρυφνοῖς, καὶ ὀξώδεσιν ἐδέσμασι χαίρουσιν. οἱ δὲ κατὰ φύσιν ἔχοντες, καὶ ἀπορρίπτουσι, τά τε λιπαρὰ καὶ τὰ γλυκέα, καὶ τά γε μηδεμίαν ἔχοντα ἰσχυρὰν ποιότητα, μεθ᾽ ἡδονῆς προσφέρονται. πάντ᾽ οὖν τὰ τοιαῦτα τὸ πῖον ἐστὶν ἐν τροφῇ, καὶ διὰ τοῦτο καὶ πίονα ἄρουραν, καὶ λιπαρὰν χώραν εἰρήκασι πολλοὶ τῶν παλαιῶν, εὔφορον ἐνδεικνύμενοι διὰ τῶν προσηγοριῶν τούτων ὑπάρχειν αὐτὴν τῶν ὑγιαίνουσιν ἡμῖν ἀμέμπτως ἐσθιομένων καρπῶν. ὅτι δ᾽ ἔκ τε μέλιτος, καὶ ὅλως τῶν γλυκέων, ὅταν ἐπὶ πλέον θερμανθῶσιν, ὁ πικρόχολος γεννᾶται χυμός, ἐν τῷ περὶ τῆς ἁπλῶν φαρμάκων δυνάμεως ἐπιδέδεικται κατὰ τὸ τέταρτον ὑπόμνημα, μετὰ τοῦ καὶ φαίνεσθαι σαφῶς ὅταν ἐν τῇ γαστρὶ πλείονι χρόνῳ τὰ τοιαῦτα μένῃ, μήτ᾽ ἀναδοθῆναι φθάσαντα, μήτε πεφθῆναι τὴν ὠχρὰν ἐξ αὐτῶν γεννωμένην χολήν. ὅσοι γοῦν ἡμεῖς ἦμεν τηλικαῦτα, τὴν τοιαύτην ἤμεσαν. περὶ μὲν οὖν τῆς ὠχρᾶς γλώττης ἱκανὰ καὶ ταῦτα. τὰς δ᾽ ἐρυθράς, ἀφ᾽ αἵματος γίνεσθαί φησιν. οὐδὲ γὰρ οὐδ᾽ ἐπινοῆσαι δυνατόν ἀφ᾽ ἑτέρου χυμοῦ πλεονεκτοῦντος, ἐρυθρὰν γενέσθαι χρόαν ἔν τινι μορίῳ. τὸ γὰρ χρῶμα τῶν χυμῶν ἐστι τῶν ἐπικρατούντων δηλονότι, καὶ πλεονεκτούντων οὐ τῶν ἐλλειπόντων. οὕτως δὲ καὶ τὰς μελαίνας γλώττας ἀπὸ μελαίνης χολῆς γίνεσθαί φησι, ὁ γὰρ αὐτὸς λόγος κἀνταῦθα. τὰς δὲ αὔας ὅπερ ἐστὶ ξηράς, ἱκανῶς ἐκ πυρετοῦ διακαοῦς, ὃς οἷον πῦρ κατακαίων τὸ αἷμα, λιγνύι μᾶλλον ἤπερ ἀτμῷ, παραπλήσιον ἀναθυμίασιν ἐργάζεται, διὸ καὶ μέλαιναι πολλάκις αἱ τοιαῦται φαίνονται γλῶτται. γίνονται δὲ τοιαῦται γλῶτται καὶ ἀπὸ μητρώου μορίου τῆς ὑστέρας δηλονότι. καὶ γὰρ καὶ ταύτης φλεγμαινούσης, πυρετοὶ θερμότατοι συνεδρεύουσιν. ὥσπερ δὲ ὠχραὶ μὲν ἀπὸ τῆς ὠχρᾶς, μέλαιναι δ᾽ ἀπὸ τῆς μελαίνης. ἐρυθραὶ δ᾽ ἀπὸ τοῦ αἵματος, οὕτως ἀπὸ φλέγματος αἱ λευκαὶ γίνονται γλῶτται. τοῖς μὲν οὖν εἰρημένοις σημείοις ἀκολουθεῖ διὰ παντὸς τὰ δηλούμενα. τοῖς δὲ πράγμασιν, οὐκ ἐξ ἀνάγκης τὰ σημεῖα. φλεγμαινούσης γὰρ τῆς μήτρας, οὐ διὰ παντὸς οἱ πυρετοὶ διακαεῖς γίνονται, καθάπερ οὐδ᾽ αἵματος πλεονάζοντος ἐρυ

θραίνεται γλῶττα. καὶ μέντοι καὶ χολῆς μελαίνης ἐν πλεονεξίᾳ περιεχομένης, ἢ κατά τινας κάτω φλεβῶν, ἡ γλῶττα τὴν χρόαν οὐ μεταβάλλει, καθάπερ οὐδ᾽ ἐπὶ τῆς ὠχρᾶς, οὐδ᾽ ἐπὶ τοῦ φλέγματος. ἀλλ᾽ ὅταν ἤτοι κατὰ τὴν γαστέρα περιέχηταί τι τούτων, ἢ θερμασίας πολλῆς χεούσης τε καὶ πνευματούσης τοὺς χυμοὺς, ἡ φορὰ γίνεται πρὸς τὸ μετέωρον. καθόλου τοίνυν ἐστὶ ῥητέον ὡς ἕκαστον τῶν εἰρημένων περὶ τῆς γλώττης, σημεῖον ἐνδεικτικόν ἐστιν, ἤτοι πυρετοῦ περικαοῦς, ἅμα γὰρ καθ᾽ ἕκαστον αὐτῶν ὑφ᾽ Ἱπποκράτους γεγονέναι χυμοῦ πλεονάζειν, ἢ τοῦ περὶ τὴν γαστέρα περιέχεσθαι τὸν τοιοῦτον.

Οὖρον ὁμόχροον βρώματι καὶ πόματι, καὶ ὡς εἴωθεν ἐὸν ὅπου τοῦ ὑγροῦ σύντηξις.

Τὸ οὖρον ποτὲ μὲν ὁμόχροον τῷ πεπομένῳ φαίνεται, μὴ μεταβαλλομένων, μηδ᾽ αἱματουμένων καλῶς τῶν σιτίων, οἷς καὶ τὸ ποθὲν αὐτὸ συμμεταβάλλεται. ποτὲ δὲ συντήξεως τινὸς ἐν τῷ σώματι μορίου γινομένης, ὡς ὁ Σαβῖνος ἔγραψε. ταῦτα μὲν οὖν ἀμφότερα παρὰ φύσιν διοικουμένου τοῦ σώματος γίνεται. κατὰ φύσιν δ᾽ ἔχοντος ἅμα τῇ τῶν χυμῶν γενέσει, τὸ ποτὸν μεταβαλλόμενόν τε καὶ χροιζόμενον, ἐργάζεται τὰς διαφορὰς τῶν οὔρων, οὔτε κατὰ τὰς τῶν πεπομένων ποιότητας, οὔτε κατὰ τὰς τῶν συντακέντων ἐν τῷ σώματι μορίων, ἀλλὰ κατὰ τὰς ἰδέας τῶν γεννηθέντων χυμῶν, ὡς ἔμπροσθεν ἤδη δέδεικται. ὁπότε μὲν οὖν διασώζει τὸ οὖρον τοῦ πεπομένου τὴν χρόαν, εἰ μὲν ὕδωρ εἴη τὸ ποθὲν, ἤ τις οἶνος λευκὸς καὶ λεπτὸς, ὑδατῶδες φαίνεται καὶ λευκόν. εἰ δὲ παχὺς καὶ μέλας εἴη ὁ οἶνος, μελάντερόν τε καὶ παχύτερον, ὥσπερ γε καὶ ξανθότερον, εἰ παλαιὸς καὶ κιῤῥὸς ὁ οἶνος. τῶν δὲ συντακέντων μορίων ἐνδείκνυται τὴν χρόαν, ὅταν οἷον ὀροβοειδῆ τε καὶ κριμνοειδῆ συνεξέρχεται τινὰ αὐτοῖς. ἀφ᾽ ἥπατος γάρ ἐστι τὰ τοιαῦτα, καθάπερ γε τὰ σαρκοειδέστερα τῶν νεφρῶν, οὕτω δὲ καὶ τὰ πεταλώδη τῆς κύστεως. τὰ δὲ λιπαρὰ πιμελῆς, τὰ δὲ κριμνώδη μὲν, τῷ τε μεγέθει καὶ τῇ σκληρότητι. μὴ μέντοι λευκὰ σαρκὸς συντετηκυμένης γνωρίσματα, καθάπερ γε καὶ τὰ μέλανα τοῦ σπληνὸς μᾶλλον. οὐ μέντοι τάγε τοῖς τῶν ὑποζυγίων ἐοικότα, συντήξεως ἐστὶ σημεῖον, ὥσπερ ὁ Σαβῖνος ᾤετο. δέδεικται γὰρ ἐν τῷ εἰς τοὺς ἀφορισμοὺς ὑπομνήματι τὰ τοιαῦτα γινόμενα, τοῖς τὸν καλούμενον ὠμὸν χυμὸν ἠθροικόσι πλεῖστον, ὅταν ὑπὸ θέρμης χυθῇ. τηνικαῦτα γὰρ αὐτῷ συμβαίνει πνευματουμένῳ, πρὸς τὴν κεφαλὴν ἀναπέμπειν πνεῦμα φυσῶδες, ὅθεν αἱ κεφαλαλγίαι γίνονται.

Γλῶσσα ὁμόχροος τῇσι προστάσεσι, διόπερ ταύτῃσι γινώσκομεν τοὺς χυμούς.

Ἀσαφής ἐστιν ἐνταῦθα ἡ προστάσεσι φωνὴ, τινῶν μὲν οἰομένων προστάσεις χυμῶν εἰρῆσθαι ἐκ τῆς γαστρὸς ὁρμώντων, ἐνίων δὲ τοὺς ἐπιπηγνυμένους τῆς γλώττης, τινῶν καὶ τοὺς διαβρέχοντας αὐτήν. ἄμεινον δὲ τούτους ἅπαντας ἀκούειν, ἵνα ἐπὶ τῶν ὁπωσοῦν ψαυόντων τῆς γλώττης χυμῶν, ὁ λόγος ᾖ γινόμενος. ὁμόχροος γὰρ αὐτοῖς φαίνεται, κἂν ἐκ τῆς γαστρὸς ἄνω φέρωνται, κἂν διὰ τῶν φλεβῶν ἥκωσι τῶν τρεφουσῶν, κἂν ἐξ ἀτμῶν τινων ἀναφερομένων ἔξωθεν αὐτὴν, ἐπιπήγνυνταί τε καὶ περιπήγνυνται χωρὶς τοῦ διαβρέχειν τὸ βάθος, διὰ τοῦτο οὖν αὐτὸ καὶ τοὺς χυμοὺς διαγινώσκομεν. ἐὰν μὲν γὰρ χλωρὰ γένηται, τοὺς πικροχόλους, ἐὰν δὲ μέλαινα, τοὺς μελαγχολικούς. ἀνάλογον δὲ τοῖσδε τοὺς ἄλλους ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν εἶπον ἐξηγούμενος τὴν ῥῆσιν, ἐν ᾗ φησι, γλῶσσαι χλωραὶ, χολώδεες.

Ην ἁλμυραὶ σάρκες γεύομένῳ, περιαστῶσιος σημεῖον.

Οὐ μόνον ἡ χρόα τῆς γλώττης ἐνδείκνυται τοὺς πλεονάζοντας χυμοὺς, ἀλλὰ καὶ ἡ γευστικὴ κατ᾽ αὐτὴν δύναμις. οὕτω γοῦν ἐνίοις μὲν ἔχουσι πικρὸν χυμὸν ἐν τῇ γλώττῃ, πάντα φαντάζεται πικρὰ, κἂν ᾖ γλυκύτατα, καθάπερ τοῖς ἰκτεριῶσιν, ἐνίοις δ᾽ ἁλμυρὰ διὰ τὸν ἁλυκὸν ὀνομαζόμενον χυμόν. ἐναργὲς δὲ τούτου τεκμήριον ἐπ᾽ αὐτῶν τῶν ὑγιαινόντων ἐστί. ἐὰν γοῦν τις ἀψινθίου γευσάμενος, εὐθέως ἐπ᾽ αὐτῷ γεύηταί τινος ἄλλου, πικρὸν αὐτὸ φανεῖται, κἂν ἅλας μασησάμενος, ἄλλο τι μετ᾽ αὐτὸ αὐτίκα προσενέγκηται, καὶ τοῦτο φανεῖται τὸ γεῦσθεν ἁλμυρόν. οὕτως οὖν κἀν ταῖς νοσώδεσι διαθέσεσιν ὅταν μὴ καθαρὰ, καὶ ἀπέριττος ᾖ κατὰ τὴν φύσιν τοῦ περιττώματος, ὁ τῶν σιτίων τῶν ἐν αὐτῇ πλεοναζόντων χυμὸν, ἐὰν τὸ προσφερόμενον οὐ γεύσεταί τις ἔξω πάσης ἢ σφοδρᾶς ποιότητος. εἰ δὲ μὴ μικτή τις αἴσθησις ἔσται τῇ γλώττῃ δυοῖν χυμῶν, αὐτοῦ τε τοῦ κατ᾽ αὐτὴν πλεονάζοντος, καὶ τοῦ ἤδη τὸ προσφερόμενον ἐπικρατοῦντος. ἔνια μὲν γὰρ ἱκανῶς ἐστὶν ἁλμυρὰ, ἔνια δὲ πικρὰ, τινὰ δὲ δριμέα, καθάπερ ὀξέα μὲν ἄλλα, γλυκέα δ᾽ ἄλλα. μικτὴ τοιγαροῦν ὡς ἔφην εἰ τῶν τοιούτων τις γεύοιτο γενήσεται τῶν χυμῶν αὐτῶν ἡ διάγνωσις, ἔκ τε τοῦ κατὰ τὴν γλῶτταν ὑπάρχοντος ἤδη, καὶ τοῦ ψαύοντος ἔξωθεν αὐτῆς. διὰ τοῦτ᾽ οὖν ὁ Ἱπποκράτης ἕν τι τῶν τοιούτων ἔγραψεν εἰς ἀνάμνησιν ἑαυτῷ, καθάπερ εἴωθε ποιεῖν ἐν τούτοις τοῖς ὑπομνήμασι.

Ην τῶν μαζῶν αἱ θηλαὶ, καὶ τὸ ἐρυθρὸν χλωρὸν εἴη, νοσῶδες τὸ ἄγγος.

Οὐ κατὰ τὴν Ἱπποκράτους ἑρμηνείαν ἐστὶ ἄγγος ὀνομάσαι τὴν ὑστέραν, τὸ γοῦν λεγόμενον εὔδηλόν ἐστιν. ἐὰν γάρ τι τῶν εἰρημένων σημείων περὶ τοὺς τιτθοὺς γένηται, νοσώδη διάθεσιν εἶναι κατὰ τὴν ὑστέραν δηλοῖ. πολλάκις γὰρ ἤδη μεμαθήκατε περὶ τῆς κοινωνίας τῶν τιτθῶν πρὸς τὴν μήτραν.

Ανθρώποισιν ὁ ἐν τοῖς ὠσὶ ῥύπος, ὁ μὲν γλυκὺς θανάσιμος, ὁ δὲ πικρὸς οὔ.

Τάχ᾽ ἂν αὐτός τις ἕκαστος νοσῶν ὑπομείνειε γεύσασθαι τοῦ ἤδη τὸ οὖς ῥύπου. τῷ δ᾽ ἰατρῷ βδελυρὸν δ᾽ ἂν εἴη τὸ πρόσταγμα. πρόδηλον δ᾽ ὡς οὐκ ἐν ἄλλῳ καιρῷ δύναται γενέσθαι ὁ ῥύπος γλυκὺς, ἢ καθ᾽ ὃν ὁ ἐγκέφαλος νοσεῖ. κατὰ φύσιν γάρ ἐστιν αὐτῷ, τὸ πικρῷ φαίνεσθαι, διὸ καὶ τὸ γλυκὺ ἐγκεφάλου συντηκομένου φασὶ γίνεσθαι.

Τὴν μὲν ἀμείβειν σύμφορον ἐπὶ τοῖσι μακροῖσι νουσήμασιν.

Εἴτε πλέον, εἴτε πέσσων τις εἰς ἑτέραν ἀφίκοιτο γῆν, εἴτε κίνησις ἡ ἤδη τὴν ὁδοιπορίαν, ἢ τὸν πλοῦν, εἴθ᾽ ὑπαλλαγὴ τοῦ ἀέρος ὀνήσει, καὶ μάλιστα ὅταν εἰς ἐναντίαν ἔχοντα κρᾶσιν ἀέρα μεταστῇ. λέγω δ᾽ ἐναντίαν, οὐ μόνον γὰρ ἤδη τὴν οἰκείαν τοῦ κάμνοντος χώραν, ἀλλὰ καὶ τῇ κράσει τοῦ νοσήματος. εἰ μὲν γὰρ ὑγρὸν εἴη, ξηροτέρου τοῦ ἀέρος εἰς ὃν μεταβαίνει

ταβαίνει δεήσεται. εἰ δὲ ξηρὸν ὑγρότερον. κατὰ τὴν αὐτὴν δὲ καὶ ψυχρότερον μὲν εἰ θερμὸν, θερμότερον δὲ, εἰ ψυχρόν. ὑγρότερον κατὰ τὴν αὐτὴν δὲ, καὶ ψυχρότερον μὲν, εἰ θερμὸν εἴη καὶ ξηρὸν οὕτω δὲ καὶ κατὰ συζυγίαν. ἔτι δὲ μᾶλλον ὠφελήσει τὸν μετανιστάμενον. ἐὰν ἤδη τὰ μέτρα τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς τοῦ νοσήματος ἡ πρὸς τὸν ἀέρα τὸν ἐναντίον, γίνηται μεταβολή. τὸ μὲν γὰρ ἐπ᾽ ὀλίγον, ἐκ τῆς κατὰ φύσιν κράσεως εἰς ψυχροτέραν μεθιστάμενον ὀλίγου τοῦ συμμέτρου κατὰ τὴν κρᾶσιν ἀέρος θερμοτέρου. τὸ δ᾽ ἐπὶ πολὺ πολλῆς, καὶ τῆς εἰς τοὐναντίον ὑπερβολῆς δεῖται. καὶ περὶ χωρίων δὲ τὸν αὐτὸν εἰρῆσθαί σοι νόμιζε λόγον. ἀκριβῶς γὰρ ἀλλήλοις ἐστὶν ἐναντία τὰ τοῦ συμμέτρου τε, καὶ μέσου παραχωροῦντα τὸ ἴσον ἑκατέρωσε.

Τὰ ἀσθενέστερα σιτία, ὀλιγοχρονίαν βιοτὴν ἔχει.

Σιτίον ἀσθενὲς οὐκ ἄλλο τι δυνατόν ἐστιν ἀκούειν τοῦ βραχεῖαν τροφὴν διδόντος τῷ σώματι. τοιαῦτα δ᾽ ἐστὶ τά τε λάχανα, καὶ τῶν ἀκροχονδρίων τὰ πλεῖστα. τοῦτ᾽ οὖν φησιν ὀλιγοχρόνιον βιοτὴν ἔχει, τουτέστι τοὺς χρωμένους αὐτοῖς ὀλιγοχρονίους ἐργάζεσθαι πέφυκεν, ἢν αὐτὰ τὰ σιτία ταχέως ἐκ τοῦ σώματος κενοῦται. κακόζηλον δ᾽ ἐστὶ, τὴν ἐν τῷ σώματι μονὴν τῶν σιτίων ζωὴν ἀκούειν αὐτῶν.

Κεδμάτων τὰς ἐπὶ τοῖς ὠσὶν ὄπισθεν φλέβας χαλᾶν.

Κέδματα λέγει τὰ εἰς τὰ σκέλη κατασκήπτοντα ῥεύματα, καὶ μάλιστά γ᾽ αὐτῶν, τὰ εἰς τὴν πρώτην διάρθρωσιν ἥτις ἐστὶ κατ᾽ ἰσχίον, οὐ μὴν ἀληθῆ γε τὰ περὶ τῆς φλεβοτομίας εἶναι πειθόμενος, καθάπερ οὐδὲ αὐτῶν τῶν προσιεμένων αὐτὴν, οὐδεὶς ἀκριβῶς ἐπείσθη. δηλοῦσι γὰρ ἔργῳ τοῦτο μηδέποτε ἐπὶ τῶν ἀρρώστων χρώμενοι. κατὰ μέντοι τὴν ῥῆσιν αὐτὴν ἡ λέξις ἀκριβῶς ἑρμηνεύεται, γράψαντος αὐτοῦ τὰς ἐπὶ τοῖς ὠσὶ φλέβας. οὐ γὰρ τὰς ἐπὶ τοῖς ὠσὶν ἐχρῆν, ἀλλὰ τὰς περὶ τὰ ὦτα λελέχθαι. φλέβες γάρ τινες εἰσὶν ὄπισθεν τῶν ὤτων ἀξιόλογοι. κατ᾽ αὐτὰ δὲ τὰ ὦτα πάνυ σμικραὶ, καὶ δυσθεώρητοι, τὰ πολλὰ μηδὲ φαινόμεναι.

Λαγνείη τῶν ἀπὸ φλέγματος νόσων ὠφέλιμον.

Οὐ πᾶσιν, ἀλλὰ τοῖς ἰσχυροῖς τὴν δύναμιν ὠφέλιμός ἐστιν ἡ λαγνεία νοσοῦσιν ἀπὸ φλέγματος. οἱ γὰρ ἀσθενεῖς εἰς ἔσχατον ἀρρωστίαν ὑπ᾽ αὐτῆς ἀφικόμενοι, βλαβήσονται μεγάλως. οἱ δ᾽ ἰσχυρὰν ἔχοντες τὴν δύναμιν, οὔτε καταλυθήσονται, καὶ ὠφεληθήσονται, ξηραινούσης τῆς λαγνείας τὴν τοῦ φλέγματος περιουσίαν. μεμαθήκατε γὰρ ὅτι λαγνεία ξηραίνει καθάπερ ἀγρυπνία, κατὰ τὸ διαφορεῖν ἐπὶ πλέον τοὺς χυμούς. ἀλλὰ καὶ θερμαίνει τὸ σῶμα τοῖς ἐρρωμένοις ἔχουσι τὴν δύναμιν ἡ λαγνεία. τοῖς δ᾽ ἀσθενέσιν, ἐν μὲν τῷ παραχρῆμα θερμαίνει, ψύχει δὲ μετὰ ταῦτα γενναίως.

Θερμοκοιλίοισιν ἰσχυρὰ ποτὰ, καὶ βρωτὰ ταρακτικά.

Οὐχ ὡς ἔμπροσθεν ἰσχυρὰν δίαιταν ἔφαμεν εἶναι τὴν τῶν πολυτρόφων σιτίων, οὕτω καὶ νῦν ἀκουστέον ἐστὶν, ἰσχυρὰ ποτὰ καὶ βρωτὰ τὰ πολλὴν διδόντα τῷ σώματι τροφὴν, ἀλλὰ τὰ τῇ δυνάμει ἔχοντα, κρόμμυα δηλονότι, καὶ σκόροδα, καὶ σίλφιον, καὶ ὀπὸν, οἶνόν τε παλαιότατον, ὅσα τἄλλα τοιαῦτα τὴν φυσικὴν δυσκρασίαν αὐξάνοντα, τῇ δὲ ταύτης ἐναντίᾳ χρησιμώτατα. πολλάκις γὰρ ἤδη μεμαθήκαμεν, ὡς τὰς μὲν ἀμέμπτους φύσεις ὠφελεῖ τὰ ὅμοια, τὰς δὲ δυσκράτους ὥσπερ καὶ τὰς νόσους τὰ τῆς καθεστώσης αὐταῖς κράσεως ἐναντία. ἔνιοι δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον, τῆς ἐχομένης ῥήσεως τὴν ἀρχὴν, τέλος ἐποιήσαντο τῆς νῦν προκειμένης, ὡς γίνεσθαι τοιαύτην. θερμοκοιλίοισιν ἰσχυρὰ ποτὰ, καὶ βρωτὰ ταρακτικὰ μελαίνης χολῆς. ὅτι μὲν οὖν ταρακτικὰ τῶν κατὰ τὴν γαστέρα μάλιστά ἐστι τοῖς θερμοκοιλίοις, τὰ τοιαῦτα πρόδηλον, οὐ μὴν ὁμοίως γε τὰ καθ᾽ ὅλον τὸ σῶμα ταράττει πᾶσιν, ἀλλὰ καὶ τοῖς τὴν ἐν τούτοις κρᾶσιν, ἤτοι θερμὴν, ἢ ξηρὰν ἔχουσιν, ἢ κατ᾽ ἄμφω δύσκρατον, ὡς οὐ μόνον χολῆς μελαίνης ἐστὶ ταρακτικὰ τὰ τοιαῦτα τῶν ἐδεσμάτων, ἀλλὰ καὶ τῆς ξανθῆς. ἴσως δ᾽ ἐπεὶ μείζονα βλάβην, ἡ μέλαινα χολὴ ταραχθεῖσα φέρει, διὰ τοῦτ᾽ ἐπ᾽ αὐτῆς ἠξίωσαν ἀκούειν τοῦ λόγου κατ᾽ ἐξοχήν. οἱ πλεῖστοι δὲ περιγράψαντες αὐτὴν, κατ᾽ αὐτὴν τῇ προκειμένῃ ῥῆσιν ἀρχὴν τῆς ἑπομένης ἐποιήσαντο, τὸ, μελαίνης χολῆς, ὡς ὅμοιον αἱμορροΐδι. τὸ μὲν οὖν τὰς μελαγχολίας ὑπὸ τῶν αἱμορροΐδων ὠφελεῖσθαι, τῶν ἐναργῶς φαινομένων ἐστὶ, καὶ πολλοὺς κατ᾽ ἐπίστασιν αὐτῆς ἐθεασάμεθα μελαγχολήσαντας. ἐνίους δ᾽ οὐ μόνον ἅπαξ, ἢ δὶς, ἀλλὰ καὶ τρὶς, καὶ τετράκις εἰς μελαγχολίαν ἐμπεσόντας, ἅμα τῷ στῆναι τὴν αἱμορροΐδα. τινὰς δὲ καὶ καθ᾽ ἕκαστον ἔτος εἰς τὸ πάθος ἐπιφερομένους εἰ μὴ φθάσειεν, ἤτοι δι᾽ αἱμορροΐδος, ἢ διὰ τοῦ καθαρθῆναι μέλαιναν χολὴν ὠφεληθέντας. οἱ πλεῖστοι μὲν οὖν αὐτῶν αἷμα μέλαν ἐκκενοῦνται, διὰ τῆς αἱμορροΐδος, οὐ μὴν ἅπαντές γε. γίνεται οὖν οὐ κατὰ μίαν αἰτίαν αἱμορροῒς, ἀλλ᾽ ἐνίοτε μὲν οὖν αὐτῆς τῆς φύσεως ἐκκαθαιρούσης τὸν μελαγχολικὸν χυμὸν, ἐνίοτε δὲ πλῆθος ἐκκενούσης, ὡς καὶ τοῖς διὰ ῥινῶν αἱμορραγοῦσιν. ἔστι δ᾽ ὅτε φλεβὸς ἀναστομωθείσης τῇ βίᾳ τοῦ κατασκήψαντος εἰς αὐτὴν, ἄνευ τοῦ τὴν φύσιν ἐργάζεσθαι τοῦτο προνοητικῶς, διὸ καὶ τὸ κενούμενον ἐνίοτε μέλαν οὐκ ἔστι. καὶ μέντοι καὶ τῆς φύσεως ἕνεκα τοῦ τὸ μέλαν ἐκκενῶσαι τὴν ἀναστόμωσιν ἐργαζομένης. συμβαίνει δέ ποτε κενωθέντι τῷ μοχθηρῷ, τὸ χρηστὸν συνακολουθεῖν, ὅταν μὴ φθάσῃ μύσαι τὸ ἀγγεῖον, ἀλλ᾽ ἐπὶ πλέον ἀνεστομωμένον διαμένῃ. κατὰ τὴν προκειμένην οὖν ῥῆσιν (ὃ) τοῦτο λέγειν αὐτὸν ἡγητέον, ὅτι πᾶσα διὰ χολὴν μέλαιναν αἱμορροῒς ἐκκενοῖ, καὶ διὰ τοῦτο τοὺς μελαγχολικοὺς ὠφελεῖ μὲν γινομένη, βλάπτει δ᾽ ἐπισχεθεῖσα, καὶ ὡς ἀναστομωτέον αὐτήν ἐστιν εἰ μύσειεν.

Τὰς ἐπαυξέας νούσους μῖξις.

Πότερον ὠφελεῖ μῖξις αὐτὰς, ἢ βλάπτει, παραλέλειπται. πάντων δὲ τῶν ἐξηγητῶν οὐκ οἶδ᾽ ὅπως ὑποθεμένων αὐτὰς ὠφελεῖσθαι, καὶ μῖξιν ἀκουσάντων τὴν πρὸς γυναῖκα, χωρὶς Ἡρακλέους τοῦ Ἐρυθραίου. πάντων δὲ διαφερομένων, ἐν τῷ ἤδη τὰς ἐπαυξέας σημαινομένῳ, ὃ μοὶ δοκεῖ πιθανώτατον ὡς αἰνίγμασιν εἶναι, τοῦτο μόνον ἐρῶ. νόσους τὰς ἐπαυξεῖς τὰς αὐξανομένας ἐν τῷ χρόνῳ, καὶ χείρονας ἀεὶ γινομένας, εἰ μὴ φθάσειε λυθῆναι, οἷον ἀπὸ ποδάγρας,

ἀρθρίτιδας, νεφρίτιδας, ἐπιληψίας, μελαγχολίας ἁπάσας βλαπτομένας ὑπὸ ἀφροδισίων. Σαβῖνος δ᾽ ἐπαυξεῖς ἀκούει νόσους τὰς τοῖς παιδίοις γινομένας, καὶ συναυξανομένας ἄχρι τοῦ δύνασθαι, ὡς αὐτὸς ὀνομαστί φησι, μίγνυσθαι ἐπιληψίαν τε εἶναι, καὶ φρενίτιδας, καὶ τεταρταίους πυρετούς, καὶ κεφαλαλγίαν, οὐ μὴν φαίνεταί τε πᾶσι τὰ πάθη ταῦτα γινόμενα, πλὴν τῆς ἐπιληψίας, ἣν καὶ δι᾽ αὐτὸ τοῦτο πρὸς τῶν παλαιῶν ὠνομάσθαι συνέβη παιδίων πάθος. γίνεται δὲ καὶ ὁ κατὰ τὴν κύστιν λίθος παισίν, ἀλλ᾽ οὐχ οὕτως πολλοῖς ὡς ἐπιληψία. ταύτην μὲν οὖν ἐν τῇ μεταβολῇ τῆς τῶν παίδων ἡλικίας, ὡς τὰ πολλὰ συμβαίνει λύεσθαι, τοῖς μὴ μεγάλα πλημμελοῦσι περὶ τὴν δίαιταν. ὁ δ᾽ ἐν τῇ κύστει λίθος οὐχ ὑπὸ μεταβολῆς τῆς ἡλικίας, ἀλλ᾽ ὑπὸ χειρουργίας μόνης θεραπεύεται. γινώσκοντες οὖν ἡμεῖς, καὶ χωρὶς τῆς προκειμένης ῥήσεως, ὅτι τε τὴν ἐπιληψίαν, καὶ τὰ ἄλλα ὅσα φλεγματικὰ νοσήματα μεγάλως ὀνίνησιν, ἡ μεταβολὴ τῆς τῶν παίδων ἡλικίας εἰς τὴν τῶν μειρακίων, εἰ καὶ χωρὶς τῶν ἀφροδισίων χρήσεως γίνοιτο. πρὸς τούτῳ δ᾽ ἐπιστάμενοι, καὶ ὡς οὔτε νεφρῖτις, οὔτε πυρετὸς τεταρταῖος, οὔτε ἀρθρῖτις παύεται δι᾽ ἀφροδισίων, ὑπὸ μὲν τῆς προκειμένης ῥήσεως αἰνιγματώδους οὔσης, οὐδὲν διδασκόμεθα, καθάπερ οὐδ᾽ ὑπὸ ἄλλης οὐδεμιᾶς τῶν τοιούτων. καὶ γὰρ τὴν ὠφέλειαν ποτὲ τῷ ψύχειν ἐργάζεται, μόνους ἐκείνους ὀνίνησι τοὺς αἰθαλώδεις, ἢ καπνώδεις διαπνοὰς ἔχοντας, διὰ φυσικὴν δυσκρασίαν. οὗτοι γὰρ ὅταν ἐπισχεθῶσιν αὐτάς, βλάπτονται μεγάλως, οὗτοι καὶ πρὸς τῶν ἀφροδισίων ἐν καιρῷ καὶ μέτρῳ γινομένων, ὠφελοῦνται.

Ψύξις τὰ περὶ κοιλίην σκληρύνει.

Καὶ κατὰ ταύτην τὴν ῥῆσιν, τὸ μέν τι χρήσιμόν ἐστι ἅπασι τοῖς τὴν τέχνην μετιοῦσιν, ἄν τ᾽ οὖν ἐμπειρικοὶ τύχωσιν ὄντες, ἄν τε δογματικοί. τὸ δέ τι μόνοις τοῖς τὰς αἰτίας ἑκάστου τῶν γινομένων ἐπίστασθαι προῃρημένοις. ἐρῶ δὲ περὶ προτέρου τοῦ χρησίμου πᾶσιν. ἐν τοίνυν τῇδε τῇ λέξει, ψύξις τὰ περὶ κοιλίην σκληρύνει. κοινῇ μὲν ἔδοξαν πάντες οὓς κἀγὼ γινώσκω, περὶ τῶν διαχωρουμένων αὐτῷ τὸν λόγον εἶναι, τὸν αὐτὸν ὄντα δυνάμει τῷ κατὰ τοὺς ἀφορισμούς. ἣν δὲ βορέον ἦ, βῆχες, φάρυγγες, κοιλίαι σκληραί. πότερον δὲ τὴν ἐκ τῶν ἐκτὸς μερῶν τοῦ σώματος λέγει ψύξιν μόνον, ἥτις κἂν ταῖς βορείαις γίνεται καταστάσεσιν, ἢ τῶν ἔνδον ἐν οἷς ἐστι, καὶ τὰ κατὰ τὴν κοιλίαν, ἐπισκέψασθαι παρέλιπον οἱ ἐξηγηταί, καίτοι διαφορὰν ἐχούσας οὐ σμικράν. τὴν μὲν γὰρ τῶν ἔξω ψύξιν ἴσμεν, οἵ γε παραφυλάττοντες τὰ συμβαίνοντα τοῖς ἀνθρώποις, ἀεὶ σκληρύνουσαν τὴν γαστέρα. τὴν δὲ τῶν ἔνδον ἔμπαλιν ὑγραίνουσαν, ἥ γε καὶ τὰς καλουμένας κοιλιακὰς διαθέσεις ἐργάζεται. ἐνίοτε καθ᾽ ὃν καιρὸν αὐτά δὴ τὰ σώματα τῶν ἔνδον μορίων ἐνδέχεται γίνεσθαι σκληρότερα, διαχωρεῖσθαι δ᾽ ὑγρά, μήτε πεττομένων καλῶς τῶν σιτίων, μήτ᾽ ἀναδιδομένων. ταῦτα μὲν οὖν ἀναγκαῖα γινώσκεσθαι τοῖς ἰατροῖς ἅπασι, τὰς δ᾽ αἰτίας αὐτῶν μόνοις τοῖς ἀρίστοις. οὐ γὰρ ὅπερ οἱ ἐξηγησάμενοι τὴν ῥῆσιν ταύτην ἀληθές ἐστιν εἰπεῖν, ὡς τὸ ψυχρὸν συνάγον καὶ πηγνύον οἷς ἂν ὁμιλήσῃ, σκληρότερα κατὰ τοῦτο ποιεῖ αὐτά. τοῦτο γὰρ ἐπὶ μὲν αὐτῶν τῶν ψυχομένων σωμάτων ὅσα μὴ κατὰ βάθος ἐστί, ὀρθῶς ἂν λέγοιτο. τὰ δὲ κατὰ τὴν κοιλίαν, ἀδύνατον εἰς τοσαύτην ψύξιν ἐλθεῖν, ὥστε βρωτὰ καὶ ποτὰ παγέντα σκληρυνθῆναι, καθάπερ τὰ ἐκτὸς ἐν χειμῶνι. τεθνήξεται γὰρ θᾶττον ὁ ἄνθρωπος εἰ τοσαύτην ἕξει ψύξιν, ἀλλὰ μόνον ὅταν ὑπὸ τοῦ περιέχοντος ψύχεται τὰ ἔξωθεν μέλη τοῦ σώματος, ἀβλαβῶν ὄντων τῶν κατὰ τὴν γαστέρα, φαίνεται σκληρυνόμενα τὰ διαχωρήματα, θερμοτέρας γινομένης τῆς κοιλίας, ὥσπερ αὐτὸς ἔλεγεν, αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει. καὶ τούς γ᾽ ἐξηγητὰς εὕροις ἂν ἀεὶ λέγοντας ἀντιπερίστασθαι τὸ θερμὸν τῷ ψυχρῷ πρὸς τὸ βάθος τοῦ σώματος ὑποχωροῦν, ὁπόταν ψυχθῇ τὰ ἐκτός. οὕτως οὖν καὶ νῦν φημι, τῆς μὲν γαστρὸς θερμοτέρας γινομένης, τῆς δὲ ὑποχωρήσεως ἐπεχομένης, δι᾽ ἣν ὀλίγον ὕστερον αἰτίαν ἐρῶ, πέττεσθαί τε ἅμα κάλλιστα, καὶ ἀναδίδοσθαι τὸν ἐκ τῆς τροφῆς χυλὸν ἅπαντα. τούτου δὲ συμβαίνοντος, ἀκόλουθόν ἐστι ξηραίνεσθαι τὰ διαχωρήματα, τούτῳ δ᾽ ἕπεται τὸ σκληρύνεσθαι. δυοῖν γὰρ τούτων αἰτίων σκληρυνόντων, οἷς ἂν ὁμιλήσῃ σώμασιν, ὧν τὸ μὲν ψῦχον ἐστι, τὸ δὲ ξηραῖνον. ἡ μὲν ἐκ τῆς ψύξεως αἰτία, τοῖς περιεχομένοις κατὰ τὴν κοιλίαν οὐκ ἄν ποτε συμβαίη ζῶσιν ἡμῖν. ἡ δὲ διὰ τὴν πολυχρόνιον ἔνδον μονὴν ὅταν χωρὶς τοῦ τὴν πέψιν, ἢ τὴν ἀνάδοσιν βεβλάφθαι γίνηται, πάντως ἀκολουθήσει. λείποι δ᾽ ἂν οὖν ἔτι τὸ ἀναβληθὲν ἐπιδεῖξαι, διά τινα αἰτίαν ὅταν ψυχρὸς ὁ περιέχων ἡμᾶς ἀὴρ γίνηται, χρονίζει τὰ κατὰ τὴν κοιλίαν. ἔστι δὲ τὸ συμβαῖνον τοιοῦτον. φυσικὸν μὲν γὰρ ἔργον ἐστὶν ἡ τῶν σιτίων διὰ τῶν ἐντέρων φορά, καὶ δέδεικται κατὰ τῶν φυσικῶν δυνάμεων ὑπομνήματα γινομένη τῇ περιστολῇ τῶν ἐντέρων. ἐπίκεινται δὲ περὶ τὸ κάτω πέρας οἱ κλείοντες τὴν ἕδραν μύες, οἵτινες ἐν τῷ κρύει συνάγονταί τε καὶ σφίγγονται, τὴν ἐναντίαν λαμβανόντες διάθεσιν, ἢ ὅταν αἰονεῖ τις αὐτοὺς ὕδατι θερμῷ. χαλῶνται μὲν γὰρ τηνικαῦτα, καὶ δέχονται τὰ καταφερόμενα τῇ θλίψει τε καὶ περιστολῇ τῶν ἐντέρων, ἐπὶ τὴν ἕδραν περιττώματα, καὶ μάλισθ᾽ ὅταν προκαλεῖται τὸ θερμόν. ὡμολόγηται γὰρ καὶ τοῦτο προκλητικὸν ἀποκρίσεως εἶναι. τῶν δὲ κατὰ τὴν ἕδραν ψυχομένων, καὶ διὰ τοῦτο συναγομένων τε καὶ σφιγγομένων, τοὐναντίον ἀκολουθεῖ σύμπτωμα, τὸ τὴν περισταλτικὴν τῶν ἐντέρων ἐνέργειαν ἀπὸ τῶν κάτω μερῶν ἀρχομένην, ἄνω προωθεῖν τὰ περιεχόμενα, καθάπερ ἐναργῶς ὁρᾶται πολλάκις, ὅταν ἤτοι χολῆς, καὶ διαχωρημάτων δακνωδῶν ἀφικνουμένων ἐπὶ τὴν ἕδραν ἑκόντες αὐτὰ κατασχῶμεν, ἤτοι διά τινα πρᾶξιν ἐν ἐκείνῳ τῷ χρόνῳ διαπραττομένην, ἢ πόῤῥωθεν κοπρῶνος ὄντες. ἀνατρέχει γοῦν ἄνω ταχέως ὡς μηδὲ βιαζομένης αὖθις ὑπακούειν ἑτοίμως. ἡ μὲν οὖν αἰτία δι᾽ ἣν χρονίζει περὶ τὴν γαστέρα τὰ σιτία, καὶ τὰ ποτὰ ψυχροῦ τοῦ πέριξ ἀέρος γινομένου, καὶ δὴ λέλεκται. ταύτῃ δ᾽ ἐδείχθη ξηρότης αὐτῶν ἑπομένη, καθάπερ γε ἐναργῶς τῇ ξηρότητι σκληρότης. εἰ δὲ τὰ σώματα τῶν περὶ τὴν γαστέρα μορίων ψυχθείη, τήν τε πέψιν ἀνάγκη βλάπτεσθαι, καὶ δι᾽ αὐτὴν ὑγραίνεσθαι μᾶλλον, ἢ ξηραίνεσθαι τὰ διαχωρήματα. συμπεπληρωμένου δ᾽ ἡμῖν ἤδη τοῦ λόγου παντός, ἐπὶ τῇ προτέρᾳ γραφῇ μεταβῶμεν ἐφ᾽ ἑτέρας τὰς ὑπογεγραμμένας.

Μίξις τὰ περὶ τὴν γαστέρα σκληρύνει.

Ὅτι μὲν ἡ λαγνεία ξηραίνει τὸ σύμπαν σῶμα τῶν ὁμολογουμένων ἐστίν. οὐ μὴν ἀεί γε τὰ κατὰ τὴν κοιλίαν περιτ-

τώματα

σώματα φαίνεται ξηραίνειν. ἀλλ' ὅταν μεγάλως ὑπ' αὐτῶν βαρυνθῇ, διὰ τὴν κατάλυσιν τε τῆς δυνάμεως, καὶ ψύξιν τῶν μορίων ὑφ' ὧν ἡ τροφὴ πέττεται καὶ ἀναδίδοται τὰ περὶ τὴν κοιλίαν, μίξεις τὰ κατὰ τὴν κοιλίαν, ψύχει καὶ σκληρύνει. βούλεται μὲν γὰρ ὑπὸ τῆς μίξεως τὴν ψύξιν γίνεσθαι τῶν κατὰ τὴν κοιλίαν, ὑπὸ δὲ τῆς ψύξεως τὴν ξηρότητα, καίτοι μὴ γινομένην τῷ λόγῳ τῆς ψύξεως ἐδείξαμεν, ἀλλὰ τῷ τῆς σκληρότητος. ὃ δὲ ἐν τοῖς ἔμπροσθεν λόγοις οὐκ εἶπον, ἴσως ἄμεινόν ἐστι νῦν προσθεῖναι. τὴν γὰρ τῶν ἐκτὸς ψύξιν ἐπιδείξαντός μου σκληρύνειν τὰ διαχωρούμενα, τάχα τις οἰήσεται μόνην ταύτην αἰτίαν εἶναι τοῦ ξηραίνεσθαι τὰ κατὰ τὴν κοιλίαν. ἔστι δ' οὐχ αὕτη μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς περισταλτικῆς τῶν ἐντέρων δυνάμεως ἀρρωστία, καὶ προσέτι ῥώμη τῆς καθεκτικῆς, καὶ καθ' ἣν ἀναδίδοται τὰ τῆς γαστρὸς εἰς ἧπαρ, ἔτι τε πρὸς τούτοις ἡ δυσαισθησία τῶν ἐντέρων, καὶ τὸ τῆς τροφῆς ἄδηκτον. εἰ δέ τις οἰήσεται παραλελεῖφθαι τὰ στύφοντα βρώματά τε καὶ πόματα, κακῶς ὑπολήψεται. περιέχεται γὰρ ἐν τοῖς ῥώμην ἐργαζομένοις τῆς καθεκτικῆς δυνάμεως.

Ἐλλέβορον πιόντα θᾶσσον καθαίρειν ἢν ἐθέλῃς, λούειν, ἢ φαγεῖν.

Ὁ μὲν καθόλου τε καὶ κοινὸς λόγος ἁπάσης καθάρσεως, κατὰ τόνδε τὸν ἀφορισμὸν εἴρηται, » τὰ σώματα ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν. » ἐνταυθοῖ δ' ἐφ' ἑνὸς τῶν καθαιρόντων τοῦ σφοδροτάτου παρασκευῆς μιᾶς εἰς εὔροιαν ἐμνημόνευσε τῆς ἐκ τοῦ λουτροῦ, χέοντος μὲν τοὺς χυμούς, χαλῶντος δ' εἴπου τι συντέτατοι, καὶ κατεσκλήρυνται τὸ σῶμα. λούειν οὖν συμφέρει τοὺς ἐλλεβοριζομένους, ὅτε πρὸ πολλοῦ τοῦ λαβεῖν τὸν ἐλλέβορον, ὅτε μετὰ πολὺν χρόνον, ἀλλὰ μάλιστα μὲν πρὶν λαμβάνειν. ἐγχωρεῖ δὲ καὶ μετὰ τὸ λαβεῖν εὐθέως. εἰ δὲ τῆς καθάρσεως, ἤτοι γε ἀρχομένης, ἢ οὐδ' ὅπω μελλούσης ἄρχεσθαι λούοις τὸν ἄνθρωπον, ἀντισπάσεις τὴν ἔσω ῥοπὴν τῶν ὑπὸ τοῦ καθαίροντος φαρμάκου χυμῶν ἑλκομένων. ὥσπερ οὖν ἐφ' ὧν παχὺ τὸ αἷμα λούοντας ἡμᾶς ἐκέλευσε φλεβοτομεῖν, οὕτως ἐφ' ὧν μέλλομεν καθαίρειν χρῆσθαι λουτροῖς πρὸς τὸ θᾶττον ἅμα καὶ ἀλυπότερον καθαρθῆναι, αὐτὸς δ' ἐνταῦθα μόνου τοῦ θᾶττον ἐμνημόνευσεν. ἄμεινον δὲ δὴ οὐ μόνον ἐν αὐτῇ τῇ ἡμέρᾳ καθ' ἣν λαμβάνει ὁ ἄνθρωπος τὸ φάρμακον λούειν αὐτόν, ἀλλὰ κἂν ταῖς ἔμπροσθεν ἡνίκα παρεσκευάζετο πρὸς τὴν κάθαρσιν. αὐτὸς γὰρ ὁ Ἱπποκράτης, καὶ τοῦτο κατὰ τοὺς ἀφορισμοὺς ἐκέλευσεν ἡνίκα ἔγραψε, » πρὸς τοὺς ἐλλεβόρους τοῖς μὴ ῥαδίως καθαιρομένοις προϋγραίνειν χρὴ τὸ σῶμα πρότερον τροφῇ, καὶ ἀναπαύσει. » εἰ δὲ ἀναπαύσει τε καὶ τροφῇ καὶ ὅλως ὑγραίνειν, κελεύει δηλονότι καὶ λουτροῖς χρῆσθαι πλείοσιν ἐν ὕδασι ποτίμοις, ὑγραίνει γὰρ καὶ ταῦτα. καὶ νῦν δὲ προσέθηκε τῇ ῥήσει τὸ φαγεῖν, ἤτοι καθ' ὃν χρόνον τὸν ἐλλέβορον ὁ ἄνθρωπος, ἢ καὶ περὶ τὴν ἔμπροσθεν δίαιταν, ἧς καὶ ἄλλοτε κεφάλαιον ἔφαμεν εἶναι τὸ λεπτύνειν τοὺς χυμούς, καὶ τὰς ὁδοὺς τοῖς ἤδη τὴν κατὰ τὴν γαστέρα καταφερομένοις χυμοῖς εὐπετεῖς παρασκευάζειν. ἐν γὰρ τῷ εὔροα ποιεῖν, ὃ κατὰ τοὺς ἀφορισμοὺς ἐκέλευσε, περιέχεται ταῦτα.

Τὸ αἷμα ἐν ὕπνῳ εἴσω μᾶλλον φεύγει.

Καὶ κατὰ τὸν ἔμπροσθεν λόγον αὐτὸς ἔγραψε τήνδε τὴν λέξιν, ὁ ἐγρηγορὼς θερμότερος τὰ ἔξω, τὴν ἔσω δὲ ψυχρότερος, καθεύδων τἀναντία. καὶ νῦν οὖν νόμιζε τῆς προκειμένης εἶναι κοινὴν ἐκείνην τὴν ἐξήγησιν. ἃ γὰρ περὶ τοῦ θερμοῦ τῆς κινήσεως, καὶ τῆς μεταστάσεως ἤκουσας ἐγρηγορότων τε καὶ κοιμωμένων, ταῦτα νόμιζε καὶ περὶ τοῦ αἵματος ἀκηκοέναι. τὸ γὰρ ἔμφυτον θερμόν, ἐν τούτῳ τε καὶ τοῖς ἐκ τούτου τρεφομένοις ἐστὶ πλεῖστον.

Ῥῖγος ἀπὸ τῆς ἄνω κοιλίης, πῦρ δὲ μᾶλλον ἀπὸ τῆς κάτω.

Τῶν κατὰ τὴν κοιλίαν μορίων τὸ μὲν ἄνω, ῥίγους μᾶλλόν ἐστι, τὸ δὲ κάτω πυρετοῦ γεννητικόν, ἢ αἰσθητικόν, ἢ ἀρκτικόν, ὅπερ καὶ πιθανώτατόν ἐστι, καὶ δι' αὐτό γε τοῦτο προσκεῖσθαι νομίζω τὸ μᾶλλον, ὡς ἀλλήλοις περιλαμβανομένων μόνον τῶν εἰρημένων. ἀλλ' εἰ καὶ τοῦτο συγχωρήσαιμεν, ἐπέχεταί τις ἄλλη ζήτησις, οὐκ εἰδότων ἡμῶν πότερον, ὅταν ἐν φλεγμονῇ γένηται τὰ εἰρημένα μόρια, τοῦτ' αὐτοῖς ἕπεσθαί φησι, ἢ ὅταν εἰς αὐτὰ συρρεύσωσι χυμοί τινες ἐκ τοῦ σώματος δακνώδεις, ἢ ὅταν ἡ τροφὴ φθαρῇ. καί μοι δοκεῖ βέλτιον εἶναι τὸν λόγον αὐτῷ νομίζειν ἡμᾶς γεγονέναι περί τε τῆς ἐκ χυμῶν βλάβης, καὶ τῆς ἑπομένης αὐτῇ διαφθορᾶς τῶν σιτίων. ὅταν γὰρ ἤτοι ψυχρός, ἢ δακνώδης ἐν τῷ στόματι τῆς κοιλίας ἀθροισθῇ χυμός, ἐκ διαφθορᾶς σιτίων, ἢ μοχθηρᾶς ποιότητος, ἢ καὶ συρροῆς ἐκ τοῦ σώματος, ἀρχὴ ῥίγους ἐντεῦθεν γίνεται. δέδεικται γὰρ ἐν τῷ περὶ ῥίγους λόγῳ, διὰ ψυχρὸν αἴτιον, ἢ δακνῶδες τὸ ῥῖγος γινόμενον, ὅταν γε τὸ αἴτιον τοῦτο διὰ σωμάτων αἰσθητικῶν κινῆται, καὶ φέρηται σφοδρότερον, ὥσπερ δὲ τοῦτο φαίνεται συμβαῖνον, οὕτως ἐνίοτε πυρετὸς ἐπὶ διαφθορᾶς τροφῆς ὁρᾶται γινόμενος, ἐπειδὰν εἰς τὴν κάτω κοιλίην ἡ διεφθαρμένη κατενεχθῇ, μὴ προηγουμένου τηνικαῦτα ῥίγους, ὥσπερ ὁπότε τὰ κατὰ τὸ στόμα τῆς κοιλίας ἔδακνεν.

Ἐπισπασμός, πνεύμων, ξηρὸν καῦμα, ὑπέρινον ξηραίνει ὕπνος πολύς.

τὸν γὰρ κεκενωμένον ὅτι ὁ πολὺς ὕπνος ξηραίνει, καὶ τῇ πείρᾳ μὲν εἴσῃ δι' ἧς ἅπαντες λόγοι κρίνονται, καὶ πρὸ τῆς πείρας δὲ ποδηγηθεὶς αὖ εἰς τὴν τοῦ λεγομένου πίστιν ἐξ ὧν προμεμάθηκας. εἰ μὲν ἐν τοῖς ὕπνοις εἴσω συννεύει τὸ αἷμα, καὶ δηλονότι τὸ ἔμφυτον θερμόν, ἐν δὲ ταῖς ἐγρηγόρσεσιν ἐκτὸς ἀποτείνεται, πεφθήσεται μὲν ἐν τοῖς ὕπνοις τὰ κατὰ τὴν γαστέρα τε καὶ ἧπαρ, ὅλον δὲ τραφήσεται τὸ σῶμα κατὰ τὰς ἐγρηγόρσεις. εἰ τοίνυν τοῖς κεκενωμένοις ἔσω μὲν συννεύει τὸ θερμόν, οὐδὲν δὲ ἔχον ὃ πέψει, μαραίνεται. πρῶτον γάρ τοι τῶν ἄλλων ὑπὸ τῆς τροφῆς αὐτὸ τρέφεται, καθάπερ τὸ πῦρ ὑπὸ τῶν ξύλων. ἀσφαλῶς δὲ προσέθηκε, τὸ πολύς. ὁ γὰρ ὀλίγος ἰᾶται τὸν προγεγονότα κάματον, ἡνίκα ὁ ἄνθρωπος ἐκκενωθῇ διὰ τῆς γαστρός. εἶτ' εἰ καθ' ἧπαρ καὶ τὰς πρώτας φλέβας εἴη τι χυμῶν ἀπέπτων ὑπολειπόμενον, ἐκπέττει πᾶν αὐτό. τοῦτο μὲν οὖν τὸ δεύτερον μέρος τῆς ῥήσεως, οὐδὲν ἔχει ἰσχυρὸν κατὰ τὴν λέξιν ἁμάρτημα. τὸ δὲ πρότερον ὃ κατὰ τήνδε γέγραπται τὴν λέξιν, ἐπισπασμός, πνεύμων, ξηρὸν καῦμα, πάμπολυ τῶν Ἑλλήνων ἔθους ἀποκεχώρηκεν. ἐχρῆν γὰρ εἰρῆσθαι κατὰ τήνδε τὴν λέξιν αὐτό, ἐπι-

σπασμὸς γίνεται, διότι ξηρὸν καῦμα κατὰ τὴν τοῦ πνεύμονος κρᾶσιν ἐστὶν, ἐπὶ σπασμὸν ἀκουόντων ἡμῶν δηλονότι τὴν ἔσπνοιαν. ὁ δὲ Κόϊντος οὐδ' ὅτι ξηρὸς καὶ θερμός ἐστιν ὁ πνεύμων, διὰ τοῦτο ἔφη γίνεσθαι τὴν ταχεῖάν τε καὶ πυκνὴν ἀναπνοὴν, ἀλλὰ διὰ τὴν τοιαύτην ξηραίνεσθαί τε καὶ θερμαίνεσθαι τὸν πνεύμονα. τὸν γὰρ ἐπισπασμὸν οὐχ ἁπλῶς ἀναπνοὴν ἅπασαν, ἀλλὰ μόνην τὴν ταχεῖάν τε καὶ πυκνὴν ἐβούλετο δηλοῦν, ὅτι δὲ ὑπὸ τῆς πυκνῆς ὁ πνεύμων καταξηραίνεται, κἀν τῷ περὶ διαίτης ὀξέων ὑπ' αὐτοῦ λέλεκται.

Ψυχρότατον βρῶμα, φακοὶ, κέγχροι, κολοκύνθαι.

Κέγχροι καὶ κολοκύνθαι ψυχρὰ βρώματα σαφῶς εἰσιν, εἰ καὶ μὴ ψυχρότατα. φακὴν δὲ οὐκ ἂν ὁμολογήσαιμι ψυχρὸν εἶναι βρῶμα. φαίνεται γὰρ σαφῶς ὥσπερ αἱ κολοκύνθαι, καὶ σὺν αὐταῖς ἀτράφαξίς τε καὶ βλίτα, καὶ θριδακίνη, καὶ χονδρίλλη, καὶ τῶν σιτηρῶν ἐδεσμάτων ἡ κριθὴ καὶ κέγχροι ψύχοντα. κατὰ τὸν ἐναντίον δὲ τρόπον ἡ φακὴ μηδεμίαν ἐνδεικνυμένη ψύξιν, ἢ παραχρῆμα μετὰ τὸ βρωθῆναι περιεχομένη κατὰ τὴν ἄνω κοιλίαν, ἢ ὕστερον ἐν τοῖς λεπτοῖς ἐντέροις, ἢ παχέσι γενομένη. τάχα δ' ἐπειδὴ ψυκτικὸν ἔχειν τι τὸν στύφοντα χυμὸν, ἐδείξαμεν ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, τὴν φακὴν οἴεται ψύχειν, ἐπιλελησμένος ἐν τοῖς αὐτοῖς ὑπομνήμασιν εἰρημένον, ὡς ἕκαστον τῶν τοιούτων ἁπλοῦν μὲν φαίνεται, καὶ λέγεται παραβαλλόμενον τοῖς ὑφ' ἡμῶν ἐκ συνθέσεως κατασκευαζομένοις, οὐ μὴν ἀκριβῶς γε ἁπλοῦν ἐστιν. ἐδείχθη γοῦν καὶ ἡ φακὴ κατὰ τὸ πρῶτον γράμμα περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων, ἐξ ἐναντίων οὐσιῶν συγκειμένη, τῆς μὲν ἐπεχούσης τὰ κατὰ τὴν γαστέρα, τῆς δὲ εἰς ἀπόκρισιν αὐτὴν ἐπεγειρούσης. τούτων οὖν ἡ μὲν ἐπέχουσα, ψυχρὰ καὶ γεώδης ἐστὶν, ἡ δ' ἐπεγείρουσα, θερμή. καὶ διὰ τοῦτο ξηραντικὸν μὲν ἔδεσμα φακὴ, ψυχρὸν δ' οὐδαμῶς, ὥσπερ οὐδὲ θερμὸν, ἀλλ' ἐξ ἀμφοῖν μικτὸν, καὶ μέσον, εἰ καὶ βραχύ τι πρὸς τὸ θερμότερον ἀποκεχωρηκὸς ἀπὸ τοῦ μέσου. ὁπότ' οὖν οὐδὲ ψυχρὸν ἁπλῶς συγχωρήσειεν ἄν τις εἶναι τὴν φακὴν, ἧττόν γε ψυχρότατον ὑπερβολικῶς. καὶ μέντοι καὶ καταπλαττομένη τοῖς φλεγμαίνουσιν ἕλκεσι φακὴ, φαίνεται μὲν ἀναστέλλουσα καὶ ἀποκρουομένη τοὺς ἐπιῤῥέοντας χυμοὺς τῷ πεπονθότι μέρει τῷ στύφειν δηλονότι ποιοῦσα. φαίνεται δὲ καὶ πεπτικὸν ἔχειν τι, καὶ πυοποιὸν, ὅπερ ἥκιστα τοῖς ψυχροῖς ὑπάρχει. εἴτ' οὖν αὐτὸς ὁ Ἱπποκράτης οὕτως ἔγραψεν, εἴτε τις ἄλλος ἐστὶν ὁ παρεγγράψας τήνδε τὴν ῥῆσιν, οὐκ ὀρθῶς ἐγίνωσκε περὶ φακῶν δυνάμεως.

Ἕλκεα ἐκφύουσιν ἢν ἀκάθαρτος ἐὼν πονήσῃ.

Ἐμάθομεν γὰρ ἐν τοῖς πόνοις, τουτέστιν ἐν τοῖς γυμνασίοις τὴν θερμασίαν πλείονα γινομένην, ἐκ τοῦ βάθους ἄγειν ἐπὶ τὸ δέρμα, καὶ διαφορεῖν τοὺς χυμούς. ὅταν οὖν οὗτοι φθάνωσιν ἠθροῖσθαι κατὰ τὸ σῶμα μοχθηροὶ, διαβιβρώσκουσι τῇ δριμύτητι τὸ δέρμα, καὶ γεννῶσιν ἕλκη, καθάπερ ὅταν παχεῖς, καὶ κολλώδεις ὦσιν, ἐμφράττουσιν ἧπάρ τε καὶ νεφρούς. κατὰ δὲ τὸ δέρμα τὰ μετ' ὄγκου ἐργάζονται παθήματα.

Γυνὴ, αἴξ, ἐλατήριον, ἢ σίκυον ἄγριον βεβρωκυῖαι, παιδίοις κάθαρσις.

Οὐκ ἐλατήριον μόνον ὅπερ ἐστὶ σικύου ἀγρίου χυλὸς, ὥσπερ δὲ οὐδὲ σίκυον μόνον αἱ προσενεγκάμεναι, καθαρτικὸν ἴσχουσι τὸ γάλα τῶν θηλαζόντων παίδων, ἀλλὰ καὶ ἄλλο τι τῶν ὑπηλάτων ὀνομαζομένων φαρμάκων. εἴτε δὲ τὴν μὲν γυναῖκα τὸ ἐλατήριον, τὴν δὲ αἶγα τὸν σίκυον αὐτὸν, εἴτε δὲ ἀμφότερα βεβρωκυίας, καθαίρειν τὰ παιδία τῷ γάλακτί φησιν, οὐδὲν διαφέρει, καθάπερ οὐδ' εἰ βεβρωκυῖα γράψει τις ἢ φαγοῦσα. χρήσιμος δ' ὁ λόγος εἴς τε χρείαν ἰατρικὴν, καὶ δόγμα φυσικόν. ὅταν γὰρ βουληθῶμεν ὑποκαθᾶραι βρέφη, διδόντες τι τῶν τοιούτων φαγεῖν, ἤτοι τῇ θηλαζούσῃ μητρὶ τὸ παιδίον, ἢ αἰγὶ, δι' ἐκείνων αὐτὸ καθαίρομεν, εἴς τε δόγματος ἐπίκρισιν διαπεφωνημένου, χρήσιμον τοῦτο. τινὲς δ' ἡγοῦνται μηδεμίαν δύναμιν ἔχειν τῶν ἐν ταῖς τροφαῖς ἐξ ἀρχῆς οὐσῶν διαφυλάττεσθαι μετὰ τὸ πεφθῆναι, καὶ αἱματωθῆναι. τινὲς δὲ διαμένειν ἄχρι πολλοῦ τὰς ἰσχυρὰς δυνάμεις, ὥστε καὶ τοὺς ἱδρῶτας αὐτῶν ὄζειν, ὅπερ ἐκ τοῦ νῦν εἰρημένου μαρτυρεῖται. φαίνεται γὰρ ὧδε τῶν τοιούτων φυλαττομένη ἐδηδεσμένων ἡ δύναμις. ἀλλὰ καὶ παρ' ἡμῖν κατὰ τὸ ἔαρ ὅταν τῆς σκαμμωνίας τὰ βλαστήματα φάγωσιν αἶγες, καθαρτικὸν αὐταῖς γίνεται τὸ γάλα, κἂν τιθυμάλλου δὲ προσενέγκωνται, ταὐτὸ συμβαίνει. καὶ μέντοι καὶ περὶ τὴν Δωρίδα, καὶ Βοιωτίαν, καὶ Θετταλίαν ὅσα τ' αὐτῇ γειτνιᾷ χωρία τάσεσι τῶν μυῶν ἑάλωσαν, πολλοὶ φαγόντες ὄρτυγας, ἐπειδὴ τὸν ἐλλέβορον ἐσθίουσιν οὗτοι. ταὐτὸ δὲ τοῦτο καὶ κατὰ τὰς Ἀθήνας οἶδά τισι συμβᾶν ὀρτύγων δαψιλέστερον ἐδηδοκόσι.

Ἐνθέρμῳ βρωθὲν, ἔνδοθεν ψύξις, ἔξωθεν πόνος, ἡλίῳ, πυρὶ, ἐσθῆτι, ἐν ὥρῃ θερινῇ, τῷ δὲ ἐναντίῳ ὡς ἐναντίως.

Τῷ ἐνθέρμῳ φύσει ψύξιν φησὶ καὶ πότον ὕδωρ συμφέρειν, καὶ πρὸς τούτοις ἐλιννύειν, ὅπερ ἐστὶν ἀπέχεσθαι σφοδρῶν γυμνασίων. πῶς οὖν νῦν κελεύει γυμνάζεσθαι, ὥς τινες ἐξηγοῦνται; πῶς δ' ἐν ἡλίῳ, καὶ πυρὶ θερμαίνεσθαι; λουτρὰ μὲν γὰρ ἐδείχθη ψύχοντα τὰς τοιαύτας κράσεις, ἀπολύσει μὲν τοῦ καπνώδους καὶ λιγνυώδους, ὃ ταῖς θερμαῖς κράσεσι συμβαίνει γεννᾶν, ὑγρότητι δὲ ψυχούσῃ τὰ στερεὰ διαβρέχοντα. πῦρ δὲ καὶ ἥλιος θερμαίνει, καὶ τούτοις ὁμοίως ἐσθής τε καὶ ὥρα θερινή. λέγει δ' οὖν ἐν τοῖς ἀφορισμοῖς ὧδε. κατὰ μὲν τὰς ὥρας τοῦ ἦρος, καὶ ἄκρου τοῦ θέρεος οἱ παῖδες, καὶ οἱ τούτων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστα διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος, καὶ τοῦ φθινοπώρου μέχρι μέν τινος οἱ γέροντες. τὸ δὲ λοιπὸν καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσιν. εἴπερ οὖν ἡ θερμὴ ἡλικία τοῦ χειμῶνος, ἡ ψυχρὰ δὲ τοῦ θέρους ἀμείνων, οὐκ ὠφέλειαν ἐξ ἡλίου, καὶ πυρὸς, καὶ ὥρας θερινῆς τοῖς ἐνθέρμοις φύσει γίνεσθαι νομίζειν αὐτὸν, ἀλλὰ καὶ βλάβην. καὶ τοίνυν τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον τὸ ἐνθέρμῳ, δεόμενον ἔχειν ἑαυτῷ τι προσυπακουόμενον ἤτοι κράσει, ἢ φύσει, ἢ σώματι, ἢ ἀνθρώπῳ, ὃ διὰ τῆς ἀντιθέσεως ἐγνώσθη σώματι, καὶ ἀνθρώπῳ λελεγμένον μᾶλλον, ἢ κράσει καὶ φύσει. πάντως γὰρ ἂν εἶπε, τῇ δ' ἐναντίᾳ τἀναντία.

τἀναντία, τὸ τοῦ θήλεος γένους ἄρθρον, τὸ τῇ προτάξας τοῖς ἄῤῥεσιν. γένοιτ' ἂν οὖν ὁ σύμπας λόγος τοιοῦτος, τῷ πολυθέρμῳ σώματι, διὰ μὲν τῶν βρωμάτων καὶ τῶν πομάτων ἡ ἔνδοθεν ψύξις οἰκεία. βλαβερὰ δ' ἡ ἔξωθεν θερμασία διὰ ἡλίου, καὶ πυρὸς, καὶ ὥρας θερινῆς, καὶ ἱματίων, ἐν οἷς ἅπασιν ἡ ξηρὰ θερμασία δηλοῦται. τὴν γὰρ ὑγρὰν καὶ σύμμετρον ὁποία τῶν βαλανείων, ψύχειν ἐδείξαμεν τῇ δυνάμει. πρόδηλον δ' ὅτι τὰ συνήθη ταῦτα βαλανεῖα λέγομεν ἐν τοῖς τοιούτοις ἀεὶ λόγοις, ἔνθα μὴ προστίθεμεν ὑδάτων αὐτοφυῶν, ἢ θαλαττίων, ἢ θειωδῶν, ἢ στυπτηριωδῶν. ἐκεῖνα μὲν γὰρ ξηραίνει τε καὶ ψύχει, περὶ δ' ἐναντίῳ φύσει σώματι, τὰ ἐναντία προσυπακοῦσαι πάλιν ἐνταῦθα δεῖ, τῶν μὲν ὠφελούντων τὰ ὠφελήσαντα, τῶν δὲ βλαπτόντων τὰ βλάπτοντα, τὰ μὲν ὥστε αἱρεῖσθαι, τὰ δὲ ὥστε φυγεῖν. εἰ γὰρ τὰς πολυθέρμους φύσεις ἐδέσμασί τε καὶ πόμασιν ἐκέλευσε ψύχειν, τὰς ψυχροτέρας δηλονότι τοῖς ἐναντίοις ἀξιώσει θερμαίνειν. καὶ μέντοι καὶ εἰ τὰς θερμοτέρας φύσεις ἔλεγεν ὑφ' ἡλίου, καὶ πυρὸς, καὶ θέρους βλάπτεσθαι, τὰς ψυχροτέρας δηλονότι διὰ μὲν τούτων ὠφελήσεσθαι, διὰ δὲ τῶν ἐναντίων βλαβήσεσθαι δηλοῖ.

Βρώματα τὰ μὲν ταχέως κρατέεται, τὰ δὲ βραδέως

Μόνος ὧν οἶδα Καπίτων ἔγραψεν ἀντὶ τοῦ βραδέως, ἐναντίως, τὴν λέξιν ποιήσας τοιάνδε. βρώματα μὲν ταχέως κρατέεται, τὰ δ' ἐναντίως. ἡ γοῦν διάνοια καθ' ἑτέραν λέξιν ἡ αὐτή. τὰ γὰρ ἐσθιόμενα διαφέρειν ἀλλήλων φησὶ, τῷ τὰ μὲν ταχέως κρατεῖσθαι ὑπὸ τοῦ σώματος, τὰ δὲ βραδέως. ἀκουστέον δὲ κρατεῖσθαι τὸ μεταβάλλεσθαι, καὶ πέττεσθαι, καὶ προστίθεσθαι, καὶ ἐξομοιοῦσθαι τῷ σώματι. τῶν δὲ κατὰ μέρος ἐδεσμάτων τινὰ μέν ἐστι ταχέως πεττόμενα, καὶ αἱματούμενα, καὶ τρέφοντα, τινὰ δὲ βραδέως, ἃ ἐν τρισὶν ὑπομνήμασιν ἐν οἷς περὶ τῶν τῆς τροφῆς δυνάμεων διῆλθον ἀκριβῶς ἅπαντα.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΕΚΤΟΝ ΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ, ΤΜΗΜΑ ΕΚΤΟΝ.

Σάρκες, ὁλκοὶ ἐκ κοιλίης, καὶ ἔξωθεν, δηλοῖ ἡ αἴσθησις ὡς ἔκπνουν, καὶ εἴσπνουν.

Ἕλκειν εἰς ἑαυτάς φησι τὰς σάρκας, ἔκ τε κοιλίας καὶ ἔξωθεν. ἐκ μὲν τῆς κοιλίας δηλονότι τὸν ἐκ τῶν σιτίων τε καὶ ποτῶν χυλὸν, ὑφ' οὗ τρέφεται, ἔξωθεν δὲ οὐκέτι †ὁμοίως, ἄδηλον δ' εἴτε τροφὴν εἴτ' ἀέρα λέγει. δυνατὸν μὲν γὰρ τροφὴν ἕλκειν τὰς σάρκας, ὥσπερ ἐκ τῆς κοιλίας, οὕτω κἀκ τῶν ἔξω μερῶν εἰς τὸ βάθος ἀντεπισπᾶσθαι. δυνατὸν δὲ καὶ τὸν ἀέρα, διὰ δὲ τῶν καθηκουσῶν ἀρτηριῶν εἰς τὸ δέρμα φέρεσθαι πρὸς τὰς σάρκας, ἑλκόμενον ὑπ' αὐτῶν, ὃ καὶ μᾶλλον ἔχεται τῆς κατὰ τὴν ὅλην ῥῆσιν ἀκολουθίας, διαπεφωνημένου δὲ τοῦ περὶ τοῦ ὁλκῆς δόγματος, ἔνιοι μὲν γὰρ τῶν ἰατρῶν τε καὶ φιλοσόφων, οὐδ' ὅλως ὁλκὴν ἔφασαν εἶναι, τινὲς δ' εἶναι μέν φασιν, ἐν ταῖς σαρξὶ δ' οὐκ εἶναι. τὸ γράφειν δ' ἀποδείξεις ἁπάντων τῶν τοιούτων ἐν ἐξηγητικοῖς ὑπομνήμασιν ἀδύνατον ἔφην εἶναι. πολλάκις τε γὰρ ἀναγκασθήσεται λέγειν τὰ αὐτὰ, πλῆθός τε καὶ μῆκος ὑπομνημάτων ἔσεσθαι μηδ' ἀριθμηθῆναι ῥᾳδίως δυναμένων, ἀλλ' οὐδὲ τὸν τῆς ζωῆς χρόνον ἱκανὸν ἔσεσθαι πρὸς τὴν τῶν Ἱπποκράτους βιβλίων ἐξήγησιν, ἥτις ἑκάστου δόγματος ἀεὶ τὰς ἀποδείξεις γράφει καθ' ἑκάστην ῥῆσιν. ἔτι τε τοῖς ἀναγνωσομένοις ὀχληρὸν τὸ πρᾶγμα, καὶ τοῖς κατασκευάσαι βουλομένοις τὰ ὑπομνήματα σὺν χρόνῳ πολλῷ, καὶ δαπανήμασί τε γραφήσεσθαι. βέλτιον οὖν ἔδοξεν ἐξηγεῖσθαι μὲν ἐν τούτοις τοῖς ὑπομνήμασι τὴν διάνοιαν ἑκάστης ῥήσεως, ὅπερ ἴδιόν ἐστιν ἐξηγητοῦ. προστιθέναι δὲ καὶ τὰς αἰτίας, ἐνίοτε τοῖς εἰρημένοις ὑπ' αὐτοῦ κατὰ τὴν ἀκολουθίαν τῶν ἀποδεδειγμένων δογμάτων, αὐτὰ δὲ τὰ δόγματα μὴ κατασκευάζειν μὲν ἐνταῦθα. μόνον δ' ἀναμιμνήσκειν ἐν τισὶν ἤδη βιβλίοις τῶν ὑπ' ἐμοῦ γεγραμμένων. ἀποδέδεικται καθάπερ καὶ νῦν, ὅτι μὲν ἑλκόντων τὸν οἰκεῖον χυμὸν ἐφ' αὐτὰ τῶν τρεφομένων, ἡ πρὸς αὐτὰ γίνεται φορὰ τῆς τροφῆς, ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἀποδέδεικται. τὸ δ' ἔκπνουν τε καὶ εἴσπνουν ὅλον τὸ σῶμα, διά τε τοῦ περὶ χρείας ἀναπνοῆς ὑπομνήματος, καὶ τοῦ περὶ χρείας σφυγμῶν, ὧν ἐν μὲν τῷ προτέρῳ λεχθέντι τὴν χρείαν τῆς ἀναπνοῆς ἐδείξαμεν εἶναι φυλακὴν τῆς συμμετρίας τῆς κατὰ τὴν καρδίαν θερμοῦ. κατὰ δὲ τὸ περὶ χρείας σφυγμῶν, τὴν καθ' ὅλον τὸ σῶμα μετριότητα τῆς θερμασίας, ἐκ τοῦ τῶν ἀρτηριῶν ἔργου φυλάττεσθαι. ταῦτ' οὖν ἐστιν ἱκανὰ μόνα πρὸς τὴν τοῦ προτέρου μέρους τῆς ῥήσεως ἐξήγησιν. ἐπὶ δὲ τὸ δεύτερον αὐτῆς ἤδη μετέλθωμεν, ἐν ᾧ τὸ, δηλοῖ ἡ αἴσθησις, ὡς οὐ κατὰ συνήθειαν οὐδ' Ἱπποκράτους, οὔτε καθόλως ἑλληνικῶς ἑρμηνευόμενον. ἐπηνορθώσαντο δέ τινες, οἱ μὲν κατὰ δοτικὴν πτῶσιν, αἰσθήσει, γράψαντες, ἵν' ᾖ τὸ λεγόμενον ὑπ' αὐτοῦ τοιόνδε. δῆλόν ἐστι τῇ αἰσθήσει ὡς ἔκπνουν καὶ εἴσπνουν εἴη τὸ σῶμα τοῦ ζώου ὅλον. ἐπιζευχθῆναι δὲ τούτοις, τὸ σάρκες ὁλκοὶ ἐκ κοιλίας, καὶ ἔξωθεν ὑπὸ τῆς αἰσθήσεως μαρτυρούμενον, ὅπερ ταὐτόν ἐστι τῷ λέγειν, ὑπὸ τῶν ἐναργῶς φαινομένων ἡμῖν διὰ τῶν αἰσθήσεων. ἰδιωτῶν γέ μὴν ἐνίων ἤκουσα θαυμαζόντων τὸ συμβὰν αὐτοῖς, ἐπὶ τοῖς τῶν ποτίμων ὑδάτων λουτροῖς. ἔμπροσθεν γὰρ ἐξ ἡλίου θερμοῦ, καὶ ὁδοιπορίας ἥκοντες, αὐχμηρόν τε τὸ σῶμα, καὶ τὸ στόμα ξηρότατον ἔφασαν ἔχειν, ἀμηχανῶς τε δίψει συνέχεσθαι, μετὰ δὲ τὸ λουτρὸν ἄδιψοί τε γενέσθαι, καὶ τὸ στόμα σχεῖν ὑγρόν. ὁμοίως δὲ αὐτῷ καὶ τὸ σύμπαν σῶμα, μαλακόν τε καὶ ὑγρὸν ἀπεργασθῆναι, τὸν ἔμπροσθεν αὐχμὸν ἀποθέμενον. ἔνιοι δὲ καὶ σαφῶς ᾐσθῆναι τοῦ σώματος ἔφασκον, ἕλκοντος εἰς ἑαυτὸ κατὰ τὰς δεξαμενὰς ὕδωρ. τοιαῦτα μὲν οὖν τινὰ ἃ καὶ τοῖς ἰδιώταις φαίνεται μαρτύρια τοῦ δόγματος ἐξ αἰσθήσεως λαμβανόμενα. τινὰ δ' ἐκ λογικωτέρων ἀποδείξεων εὑρίσκεται τοῖς ἰατροῖς, ὧν ἐστι μία καὶ ἣν ἐφεξῆς αὐτὸς εἶπεν, ἣν γνώσεσθαι κατὰ τὴν ἐχομένην ῥῆσιν. εἰς γὰρ τὴν προκειμένην ἀρκέσει, καὶ ταῦτα δυναμένων ἡμῶν ἐκ τῶν ὀρθῶς εἰρημένων φωρᾶσαι τὰ κακῶς τοῖς ἐξηγηταῖς γεγραμμένα.

Ἐνθερμότερον φλέβιον αἵματος πλήθει ἀνίσχει τὸ καυσῶδες, καὶ εὐθὺς ἀποκρίνει.

Φλέβιον ἐνθερμότερον ἀκουστέον ἐστὶ τὴν ἀρτηρίαν, ὁμολογούντων ἁπάντων τῶν ἐξηγησαμένων τὰ Ἱπποκράτεια βιβλία, φλέβας οὐχ ὑπὸ τούτου μόνου, ἀλλὰ καὶ πολλῶν ἄλλων παλαιῶν ὀνομάζεσθαι καὶ τὰς ἀρτηρίας. τοῦτ' οὖν φησι τὸ φλέβιον τῷ τοῦ αἵματος πλήθει θερμαινόμενον, ἀνίσχει τὸ καυσῶδες καὶ ἀποκρίνει. καυσῶδες δὲ λέγων τὸ γεννώμενον ἐκ τῆς θερμασίας, ὅπερ οἷον λιγνύς τίς ἐστι τοῦ θερμαινομένου χυμοῦ σφοδρότερον. τοῦτο δ' ὡς ἂν θερμὸν τῇ κράσει, καὶ λεπτὸν ὑπάρχον τῇ συστάσει, ῥᾳδίως ἀποκρίνεται. ταύτην ἐγὼ νομίζω πιθανωτέραν εἶναι τὴν ἐξήγησιν, εἴπερ γε δεῖ τὸ ἀληθὲς ἅμα, καὶ τοῖς Ἱπποκράτους δόγμασιν ἀκόλουθον ἔχειν σκοπόν. ὅτι μὲν οὖν ἀληθές ἐστι τὸ νῦν εἰρημένον ὑπ' ἐμοῦ δόγμα, δέδεικται μὲν κἂν τῷ περὶ χρείας ἀναπνοῆς. δέδεικται δὲ καὶ διὰ τοῦ περὶ χρείας σφυγμῶν. ἐν μὲν γὰρ ταῖς εἰσπνοαῖς, ἃς διά τε τοῦ στόματος, καὶ παντὸς τοῦ δέρματος ἴσχει τὰ ζῶα, διττὴν ἀπεδείξαμεν ὠφέλειαν γίνεσθαι. τοῦ ἀεὶ ἐμψυχόμενον τὸ ἔμφυτον θερμὸν, ὅπως μὴ διαφορηθὲν ἀπόλλοιτο, καὶ μάλιστα ὅταν αὐξηθῇ ποτε καθ' ἥντινουν αἰτίαν. ἐπεγείρεσθαι δὲ καὶ ῥώννυσθαί ποτε βαρυνόμενον ὑπὸ πλήθους ὕλης ψυχρᾶς, ὃν τρόπον καὶ τὸ πῦρ ἐν τῷ ῥιπίζεσθαι. καὶ μέντοι καὶ αὐτὴν αὐτῷ τὴν δὲ τὴν διπλῆν κίνησιν, οἰκεῖόν τε καὶ σύμφυτον εἶναι γυμνάσιον εἰς εὐτονίαν ἄγον. αὕτη γὰρ χρεία τε καὶ φύσις γυμνασίων ἐστίν. ἐπεὶ τοίνυν ἔμπροσθεν εἰπὼν ὁ Ἱπποκράτης, σάρκες ὁλκοὶ, καὶ ἔξωθεν, εἶτ' αὖθις τούτῳ προσθεὶς ὡς ἔκπνοον καὶ ἔσπνοον ἐστὶ τὸ σῶμα. τῆς μὲν οὖν εἰσπνοῆς αὐτῆς τὴν γένεσιν, καὶ τὴν χρείαν ἐνεδείξατο διὰ τοῦ σάρκες ὁλκοί. περὶ δὲ τῆς ἐκπνοῆς οὐδὲν εἶπεν, εἰκότως ἐν τῇ νῦν προκειμένῃ ῥήσει περὶ αὐτῆς δηλοῖ, αὖθις τῶν ἀρτηριῶν ποιησάμενος τὸν λόγον ὄντα μὲν κοινὸν καὶ πρὸς τὴν καρδίαν, ἀμυδρότερον δὲ φαινόμενον. ὅτι δὲ κοινός ἐστι, δῆλον ἐνθένδε, διὰ τὴν ἔμφυτον θερμασίαν ἐδείξαμεν γεννᾶσθαι τὸ λιγνυῶδες περίττωμα κατὰ τὸ αἷμα, καὶ μάλιστα ὅταν ᾖ θερμότερον. ἀποκρίσεως οὖν αὐτῷ χρεία δηλονότι, καὶ ταύτην ἡ φύσις ἐτεχνήσατο, τοῖς μὲν ἐκ τῆς καρδίας ἐκκριθησομένοις διὰ τῆς ἐκπνοῆς, τοῖς δὲ καθ' ὅλον τὸ σῶμα διὰ τῆς τῶν ἀρτηριῶν συστολῆς. τὰ μὲν οὖν ἐκ τούτων τε καὶ τῶν φλεβῶν, ἐδείχθησαν γὰρ αὐταῖς συνανεστομωμέναι, διὰ τοῦ δέρματος εὐθέως ἐκκρίνεται τῇ συστολῇ τῶν ἀρτηριῶν ἐκθλιβόμενα. τὰ δ' ἐκ τῆς καρδίας ὁ πνεύμων ὑποδέχεται πρότερος οἷόν τι ταμιεῖον τι πνεύματος αὐτῇ προεσκευασμένος, ἑλκούσῃ μὲν ἐν τῇ διαστολῇ, ἐκπεμπούσῃ δὲ ἐν ταῖς συστολαῖς. αὕτη μὲν ἡ ἡμετέρα γνώμη περὶ τῆς προκειμένης ῥήσεως, καὶ δειχθήσεται μικρὸν ὕστερον ἡ ἑξῆς αὐτῇ γεγραμμένη φυλάττουσα τὴν ἀκολουθίαν, καὶ πρὸς ταύτην μὲν αὐτὴν, οὐχ ἥκιστα δὲ καὶ τὴν προτεταγμένην αὐτῆς. ὅσοι δὲ περὶ καύσου γενέσεως ὑπέλαβον αὐτὸν ἐνταῦθα ποιεῖσθαι τὸν λόγον, πρῶτον μὲν εἴασαν ἐλλιπῶς εἰρημένον τὸν περὶ τοῦ σάρκες ὁλκοὶ λόγον. οὐ γὰρ ἕλκουσι μόνον εἰς ἑαυτὰς τὸ οἰκεῖον, ἀλλὰ καὶ τὸ μὴ τοιοῦτον ἐκκρίνουσι. τοῦ μὲν οὖν ἕλκειν ἡ χρεία προδηλοτέρα, τοῦ δ' ἐκκρίνειν ἀδηλοτέρα, καὶ δεῖται τινὸς εἰς πίστιν λόγου. μεταβῶμεν οὖν αὖθις τὴν ἐχομένην ῥῆσιν ἤδη συντελοῦσάν τι καὶ αὐτὴν ὡς ἔφην ἀρτίως εἰς διάκρισιν, τῆς ἀμείνονος ἐξηγήσεως.

Καὶ οἷσι τὸ μὲν πῖον χολὴ ξανθὴ, τὸ δ' αἷμα μέλαινα.

Ἀναμνησθῆναι χρὴ περὶ τῶν δύο ἐξηγήσεων τῆς προεξηγουμένης ῥήσεως. ἡμεῖς γὰρ ἐλέγομεν αὐτὸν ἐπιδεικνύναι τὴν χρείαν διὰ τῆς ἀναπνοῆς ὀνομαζομένης οὕτω, τῆς δι' ὅλου τοῦ σώματος ἐκ τῶν ἀρτηριῶν εἰς τοὐκτὸς φορᾶς τοῦ πνεύματος, ὥσπερ τῆς διὰ τοῦ στόματος ἐκπνοῆς. ἔνιοι δὲ περὶ καύσου γενέσεως ἐνόμισαν εἶναι τὸν λόγον, οἷς οὐ πάνυ τι μαρτυρεῖν ἔφαμεν, τὸ ἀνίσχει τὸ καυσῶδες, καὶ εὐθὺς ἀποκρίνει. μήτε γὰρ εὐθέως ἀποκρίνεσθαι κατὰ τοὺς καύσους ἅπερ αὐτοί φασι δι' ἐμέτων, ἢ τῆς κάτω γαστρὸς ἐκκενοῦσθαι, μήτ' ἀναγκαῖον εἶναι προσκεῖσθαί τι τῶν τοῦ καύσου συμπτωμάτων τῷ περὶ τῆς γενέσεως αὐτοῦ λόγῳ, τὴν δ' ἡμετέραν ἐξήγησιν ἀμείνονα τῆσδε φαμὲν εἶναι. πρῶτον μὲν ἐκ τοῦ τῶν ἐγκλημάτων τὰ τῶν ἐκτὸς εἶναι, δεύτερον δὲ κἀκ τοῦ, τὸ δόγμα πᾶν φαίνεσθαι διδασκόμενον ἐν τῷ λόγῳ περὶ τῆς εἴσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, ἣν ἀπεδείξαμεν ἐν τισὶν ἡμετέροις ὑπομνήμασιν, οὐ μόνον ἐν ταῖς διὰ τοῦ στόματος ἀναπνοαῖς, ἀλλὰ καὶ ταῖς καθ' ὅλον τὸ σῶμα διαπνοαῖς γίνεσθαι. τινῶν μὲν ἕνεκα γενέσεως πνεύματος ψυχικοῦ, καθάπερ Ἀσκληπιάδης, ἐνίων δ' ὡς Ἐρασίστρατος, οὐ τούτου μόνου, ἀλλὰ καὶ ζωτικοῦ, τινῶν δ' ἕνεκα θρέψεως τῶν πνευμάτων τούτων τὰς εἰσπνοὰς γίνεσθαι λεγόντων. ἀπορουμένων δ' ἐν τῷ τὴν χρείαν ἀποδιδόναι τῆς ἐκπνοῆς, ὁ Ἱπποκράτης, ὡς ἐδείξαμεν ἐν τοῖς προειρημένοις ὑπομνήμασιν, ἀληθῆ χρείαν, οὐ μόνον τῆς διὰ τοῦ στόματος ἐκπνοῆς, ἀλλὰ καὶ τῆς καθ' ὅλον τὸ σῶμα δηλοῖ ἐν τῷ προκειμένῳ λόγῳ. τοὺς δ' ἐξηγησαμένους ἑτέρους μέμψασθαι δίκαιον ἐπιλανθανομένους τινὸς ἐξηγοῦνται βιβλίου. οὐ γὰρ αὖ εἰς ἄλλων ἀνδρῶν ὑπέστρεψεν τὸ δόγμα, τὴν ἀκολουθίαν ἀπολιπόντες ὧν Ἱπποκράτης ἠβουλήθη. σαφῶς γοῦν εἰπόντος αὐτοῦ τὰς σάρκας ὁλκοὺς ἐκ κοιλίας, καὶ ἔξωθεν, οὐ διαφορεῖ πάμπολυ τοῦ νομίζειν τῇ πρὸς τὸ λεγόμενον ἀκολουθίᾳ, τὴν ἐκ τῆς κοιλίας ἀνάδοσιν τῆς τροφῆς ἐν τῷ σώματι γίνεσθαι. πρῶτον μὲν ἐχρῆν ἐννοῆσαι μὴ μόνον ἑλκτικὴν τῶν οἰκείων εἶναι δύναμιν ἐν αὐταῖς, ἀλλὰ καὶ τῶν ἀλλοτρίων ἀποκριτικήν. ἐπείτα γὰρ τοῖς ὑποθεμένοις προνοητικὴν εἶναι τὴν φύσιν τῆς τοῦ ζώου διαμονῆς, ὧν εἷς ἦν καὶ Ἐρασίστρατος. δεύτερον δέ τι ποτέ ἐστι τὸ τῆς ἐκκρίσεως δεόμενον εἰπεῖν. οὐ γὰρ δήπου τὸ αἷμα φύσουσιν ἐξ οὗ τρέφεται τὸ σῶμα. τούτων οὖν ἐκεῖνοι μὲν οὐδέτερον ἔπραξαν, ὁ δὲ Ἱπποκράτης, ὡς ὑπὸ τῆς αἰσθήσει φαινομένων ἑκάτερον ἐναργῶς μαρτυρεῖται προειπὼν, ἐφεξῆς ἐπὶ τὴν χρείαν μετέβη τῆς καθ' ὅλον τὸ σῶμα διαπνοῆς. τὴν τῆς γενέσεως ἀναγκαίαν αἰτίαν εἰπὼν τῶν λιγνυωδῶν περιττωμάτων. ἡ γάρ τοι κατὰ τὸ σῶμα τῶν ζώων θερμασία, περιττώματα ποιεῖ τοιαῦτα συνεχοῦς κενώσεως δεόμενα. καὶ τοίνυν ἐν τῇ προκειμένῃ ῥήσει τὴν ὕλην τῆς τῶν περιττωμάτων γενέσεως ἐδείξαμεν. ὡς γὰρ ἡ πλείων θερμασία γεννᾶν αὐτὰ πέφυκεν, οὕτως καὶ ὗλαι τινές εἰσιν ἐπιτήδειοι πρὸς τὴν γένεσιν αὐτῶν, εὐλόγως οὖν ἐμνημόνευσε τῆς μελαίνης χολῆς. ἐμάθετε γὰρ τὴν γένεσιν αὐτῆς εἶναι διττὴν, ἔκ τε τοῦ πάχεος αἵματος, καὶ τῆς ξανθῆς ὑπεροπτηθείσης. εἰ δέ γε περὶ καύσου γενέσεως ὁ λόγος ἦν αὐτῷ, μάτην ἂν ἐμέμνητο μελαίνης χολῆς, ὥστε κἀκ τούτου δῆλον εἶναι τὴν ἡμετέραν ἐξήγησιν ἀληθεστέραν τε ἅμα καὶ ὁμολογεῖν τοῖς Ἱπποκράτους δόγμασιν, τὴν δ' ἐκείνων διαφέρεσθαι.

τὴν

τὴν δ' αὐτὴν ταύτην ῥῆσιν εἴρηκε κατ' ἄλλο μέρος τοῦ βιβλίου, καὶ ἡμεῖς αὐτοὶ προεξηγησάμεθα, καθ' ἣν καὶ τότε ἐλέγομεν, ὅτι τὸ πίον οὐ μόνον ἐπὶ τοῦ λιπαροῦ, καὶ πιμελώδους εἰρῆσθαι χρὴ νομίζειν, ἀλλὰ κἀπὶ τοῦ γλυκέος παντός, ὡς περιλαμβάνεσθαι τῷ λόγῳ, καὶ τὸ μέλι καὶ τὸ σίραιον, ὅπερ ἕψημα καλοῦσιν οἱ περὶ τὴν ἡμετέραν ἀσίαν ἕλληνες.

Ὁ ἐμψυχρότερος ἐν ψυχρῇ ὥρῃ καὶ χώρῃ, ἐνθερμότερος ἔσται.

Ὅτι μὲν οὖν ὁ περὶ πάθος ψυχρότερος, οὐδ' ὁ διὰ ἡλικίαν ἐν ψυχρᾷ χώρᾳ καὶ ὥρᾳ, δύναται γενέσθαι θερμότερος, συμπεφώνηται πᾶσι, καὶ διὰ τοῦτό γε οἱ περὶ τὸν Σαβῖνον ἐπὶ τῶν φύσει ψυχροτέρων, ἀληθῆ τὸν λόγον εἶναι φασίν. οὐ μὴν οὐδ' ἐπὶ τούτων ἁπλῶς ῥηθεὶς ἀληθής ἐστιν ἄνευ διορισμοῦ τοιοῦδε. τὸ περιϊστάμενον ἔξωθεν ψυχρόν, ὅτι μὲν πυκνοῖ καὶ ψύχει τὰ περὶ τὸ δέρμα τῶν ἐναργῶς φαινομένων ἐστίν, οὐ μὴν ὡσαύτως γε αὖ διατίθησι τὸ βάθος τοῦ σώματος, ἀλλ' ὥσπερ ἐν ἀφορισμοῖς διώρισται κατ' ἐκεῖνον τὸν λόγον ἔνθα φησί. ἔστι δ' ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ θέρεος μέσου ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται, οὕτω καὶ νῦν ἐστιν ἡμῖν διοριστέον. τὸ γάρ τοι καταχεόμενον τοῦ σώματος ἡμῶν ψυχρόν, ἤτοι διϊκνεῖται περὶ τὸ βάθος, ὡς καὶ τὰ περὶ τοῦτο μόρια παραπλησίως ψύξαι τοῖς ἐπιπολῆς, ἢ μόνα ψύχει τὰ κατὰ τὸ δέρμα. πρὸς μὲν οὖν τὸ βάθος ἐξικνούμενον, ἐμψύχει τὰ περὶ τοῦτο μόρια, καὶ βλάβην οὐ σμικρὰν ἐργάζεται καθ' ὅλον τὸ ζῶον. ἐκλυθείσης δ' αὐτοῦ τῆς δυνάμεως ἐν τοῖς ἐπιπολῆς [δὲ] τοῦ σώματος μέρεσιν, οὐ μόνον οὐκ αὖ ἔτι ψύξει τὰ κατὰ βάθος, ἀλλὰ καὶ θερμότερα πολλῷ τῆς ἔμπροσθεν αὐτοῖς ὑπαρχούσης κράσεως ἀποδείξει. ὅσοι δὲ περὶ ἀραιὸν ἐχόντων τὸ δέρμα, καὶ τὰς ὑπ' αὐτὸ σάρκας ἡγοῦνται τὸν λόγον αὐτῷ γεγονέναι νῦν, ἐπειδὴ τούτους φασὶν ἐκ τοῦ διαπνεῖσθαι τὴν θερμασίαν ἀποτελεῖσθαι ψυχροτέρους, καὶ διὰ τοῦτο θερμαίνεσθαι πυκνουμένης τῆς ἐπιφανείας, καὶ κατεχομένου τοῦ πρότερον ἐκκενουμένου θερμοῦ, λέγουσι μέν τι τῶν ἀληθῶν. οὐ μὴν ἐχρῆν αὐτοὺς ὑπολαμβάνειν εἰρῆσθαι τοὺς οὕτω διαπνεομένους, καὶ ψυχροτέρους. μάλιστα μὲν γὰρ ὡς ἔμαθες τοῖς ὑγροῖς καὶ θερμοῖς σώμασιν ὑπάρχει ταῦτα. δεύτερον δὲ τοῖς θερμοῖς, κἂν χωρὶς ὑγρότητος τοιαῦτα. τῶν ψυχρῶν δ' οὐδὲν εὐδιαφόρητόν ἐστιν, ἀλλ' ἧττον μὲν τοῦτο πέπονθε τὰ ὑγρά, μᾶλλον δὲ τὰ ξηρά, πλεονεκτεῖ δ' ἀμφοῖν τὰ φύσει θερμά. κατὰ τοῦτο οὖν μοι δοκοῦσιν ἁμαρτάνειν.

Ὀδυνέων τὴν ἐγγύτατα κοιλίην καθαίρειν, αἵματός τε κοιλίην ἀφαιρεῖν, καῦσις, τομή, θάλψις, ψύξις, πταρμός, φυτῶν χυμοί, ἐφ' ὧν τὴν δύναμιν ἔχουσι, καὶ κυκεών. κακόεργων, γάλα, σκόροδα, οἶνος ἀπεζεσμένος, ὄξος, ἅλες.

Βοηθημάτων κατάλογον ἐνταῦθα πεποίηται, καὶ σμικραῖς καὶ μεγάλαις ὀδύναις ἁρμοττόντων, ὥσπερ ἐν ἀφορισμοῖς ἔγραψε τῶν ἐν ὀφθαλμοῖς μόνον ἔνθα φησίν. ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρόν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει. προσέθηκε τινὰ νῦν βοηθήματα ταῖς ἐπὶ τῶν ὀφθαλμῶν ὀδύναις ἀνάρμοστα. τὸ μὲν οὖν ἁπάντων πρῶτον εἰρημένον ἐν τῷ προκειμένῳ λόγῳ κάθαρσις ἐστὶν ἣν ἐν Φιλονίκη, ὀβελίζουσι, μήτ' ἀνόητη βοηθήματα τελέως ἐξηγησάμεθα καθ' ὃν τινα τρόπον ἔγραψεν. περὶ δὲ τῶν ἐφεξῆς λεγομένων πρώτη καῦσις ἐστί, παραλαμβανομένη κατὰ τὰ μεγάλα πεπονθότα διὰ κακοχυμίαν πολλήν, ὡς ἐπὶ τῶν κακοηθεστάτων ἑλκῶν γίνεται. ποτὲ μὲν ἄντικρυς διαπύροις σιδήροις καιόντων ἡμῶν αὐτά, ποτὲ δὲ φαρμάκοις καυστικοῖς. ἐφεξῆς δὲ τῆς κατακαύσεως γέγραπται, τομὴ παύουσα καὶ αὐτὴ τὰς ὀδύνας, τῶν ἤδη πῦον ἐχόντων πολὺ μορίων ἐπὶ φλεγμοναῖς μεγάλαις προηγησαμέναις, εἶθ' ἑξῆς, θάλψις, ἐν λουτροῖς τε δηλονότι, καὶ πυριάσεσι γινομένη. προακηκόατε δ' ἤδη τὰς ὕλας τῶν πυριάσεων. ἐφ' ὧν τε προσήκει κεχρῆσθαι διαθέσεων ὀδύνην ἐπιφερουσῶν, οἷον ἐπὶ μὲν τῶν κατὰ θώρακα, δι' ὧν αὐτὸς εἶπεν ἐν τῷ περὶ διαίτης ὀξέων. ἐπὶ δὲ τῶν ὀφθαλμῶν, διὰ σπόγγου μαλθακοῦ μὴ φέροντος τοῦ μορίου τὰς διὰ τῶν μαρσίππων τε καὶ καταπλασμάτων θάλψεις, ἀλλὰ καὶ ἡ δι' ἐλαίου καταντλήσις, ἐπί τε τῶν μέσων τοῦ σώματος καὶ τῆς κεφαλῆς, ἴαμα πόνων ἐστὶ θάλψις οὖσα, καὶ ἡ δι' ὕδατος ἐπὶ τῶν κώλων, καὶ συνεχεστάτη, καὶ πλείστη χρῆσις ἐπὶ τῶν ὀδυνωμένων μορίων, ἡ διὰ τῆς θάλψεως γίνεται τοῖς ἰατροῖς. ἐπειδὴ καὶ τὰ τεταγμένα χαλᾷ, καὶ τὰ πεπληρωμένα κενοῖ, καὶ τὰ κατεψυγμένα θερμαίνει. τῇ ψύξει δὲ σπανιώτερον ἐπὶ τῶν ὀδυνωμένων χρώμεθα, πυκνούσῃ μὲν τὴν ἐκτὸς ἐπιφάνειαν αὐτῶν, καὶ διὰ τοῦτο τὰς διαπνοὰς εἰργούσῃ, τεινούσῃ δὲ μᾶλλον τὰ τεταμένα. μόνας οὖν τὰς θερμὰς δυσκρασίας ὅσαι χωρὶς πλήθους συνίστανται, ψύξις ἰᾶται, καθάπερ ἐπὶ τῶν ἐξ ἐγκαύσεως ὀδυνωμένων τὴν κεφαλήν, ἢ διακαιομένων ὑπὸ πυρετοῦ. καταντλοῦντες οὖν αὐτὴν ῥοδίνῳ ψυχρῷ, θεραπεύομεν τὸ σύμπτωμα, καὶ τῶν ἐρυσιπελάτων τὰ δι' ὑπερβάλλουσαν θερμασίαν ὀδυνῶντα καὶ ποδάγρας ὡσαύτως ἐφ' ὧν τὸ ῥεῦμα χολῶδές τε ἢ θερμόν. ἐφεξῆς δὲ τοῖς εἰρημένοις γέγραπται, φυτῶν χυμοί, ἐφ' ὧν τὴν δύναμιν ἔχουσιν. ἧς πάλιν λέξεως ἡ διάνοια μοι δοκεῖ τοιαύτη τις ὑπάρχειν, ὀδυνῶν ἰάματά τινα γενήσεται ποτέ, καὶ οἱ τῶν φυτῶν χυμοί. ταῦτα δ' ἐστὶ πάμπολλα, τὰ μὲν ὑγρὰ διαμένοντα, τὰ δὲ πηγνύμενα. πρῶτον μὲν τὸ ἔλαιον ἤδη παμπόλλην χρείαν ἡμῖν εἰς τὰς ὀδυνωμένων ἰάσεις τε καὶ παρηγορήσεις παρέχει θερμὸν προσφερόμενον, εἶθ' ἑξῆς ἄλλα πολλὰ τούτου πολὺ μᾶλλον θερμαίνοντα, δάφνινον, κέδρινον, κίκινον, σινάπινον, ῥαφάνινον, ὑγρὰ μὲν ταῦτα. πεπηγότα δὲ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον, αἵ τε ῥητίναι, καὶ μάλιστα αὐτῶν αἱ αὐτόῤῥυτοι καλούμεναι, θαψία τε καὶ εὐφόρβιον, οἵ τε ὀποὶ πάντες, ὁ κυρηναῖος, ὁ περσικός, ὁ μηδικός, ὁ ἀσσύριος, ὁ σαγαπηνός, ὁ ἐκ τῶν τιθυμάλλων, ὁ ἐκ τοῦ πάνακος ὁ ἰδίως ὀποπάναξ καλούμενος. ἐκ τοῦδε τοῦ γένους ἐστὶ καὶ ἡ χαλβάνη, καὶ ἄλλα πολλὰ περὶ ὧν ἔμαθες ἐν ταῖς τῶν ἁπλῶν φαρμάκων δυνάμεσιν. ἐάν τε γὰρ ὀπὸς ᾖ τινος, ἐάν τε χυλός, ἐν τῇ τῶν χυμῶν προσηγορίᾳ περιλαμβάνεται. τούτου τοίνυν τοῦ γένους ἔσται, καὶ ἡ ὑγρὰ πίττα, καὶ τὸ πίσσανον ὀνομαζόμενον. ἔτι δὲ καὶ τὸ περὶ τὴν κιλικίαν πανέλαιον, ἕτερά τε μυρία τὰ μὲν ἐκ βοτανῶν, τὰ δ' ἐκ θάμνων, τὰ δ' ἐκ δένδρων γινόμενα, καθ' ὧν ὄνομα κοινόν ἐστι τὸ φυτόν, ὃ νῦν Ἱπποκράτης ἐμνημόνευσε. φυτῶν χυμοί, προσέθηκε δ' αὐτοῖς, ἐφ' ὧν δύναμιν ἔχουσιν, ἀσαφῆ διὰ συντομίαν τὸν λόγον ἐργασάμενος. εἰκότως τοιγαροῦν οἱ ἐξηγηταὶ διηνέχθησαν ἄλλοι ἄλλως, οὐ μόνον ἐξηγησάμενοι τὴν λέξιν, ἀλλὰ καὶ μεταγράψαντες, ὅπως

οὖν μὴ γράφοιμι πολλὰ, καταλιπὼν αὐτὸς, ἃ δοκεῖ μοι πιθανώτατα εἶναι, ταῦτα ἐρῶ μόνα. τῶν τοίνυν φαρμάκων ὅσα πραΰνειν τὰς ὀδύνας πέφυκεν, ὥσπερ ἄλλο πρὸς ἄλλην διάθεσιν, οὕτω καὶ πρὸς μόριον ἄλλο δύναμιν ἔχει. μακροτέρου δ' ὄντος, ἢ καθ' ὑπόμνημα τοῦ λόγου, διὰ παραδειγμάτων ὀλίγων αὐτὸν ἐπιδραμεῖν ἔγνωκα. τὰ μὲν οὖν τὰς ὀδυνηρὰς διαθέσεις μὴ πάσας δεῖσθαι τῶν αὐτῶν φαρμάκων, ἔστω σοι παράδειγμα τόδε. δακνωδῶν ὑγρῶν ἐν μὲν τοῖς ἐντέροις περιεχομένων, τὰ περικλύζοντα πρότερον ἐνιέντες ὧν ἐστι καὶ μελίκρατον, καὶ πτισάνης χυλὸς ὅταν ἐκκριθείη ταῦτα, τὰ πραΰνοντα τὰς δήξεις ἐπενίεμεν, ὅσα τε ἐμπλάττεσθαι, καὶ περιπλάττεσθαι δύναται τῇ τῶν ἐντέρων [ἐπιπολῆς ἃ κωλύουσιν] προσπίπτειν τοὺς καταφερομένους ἄνωθεν εἰς αὐτὰ δάκνοντας χυμοὺς, ἐδέσματά τε δίδομεν αὐτοῖς εὔχυμά τε, καὶ ὅσα δύσφθαρτα. κατὰ δὲ τὴν ἄνω κοιλίαν, καὶ μάλιστ' αὐτῆς περὶ τὸ στόμα τοιούτων περιεχομένων χυμῶν, ἐμεῖν μὲν πρῶτον αὐτοὺς κελεύομεν. εἰ δὲ δυσεμεῖς εἶεν, ἔλαιον, ἢ ὑδρέλαιον, ἤ τι τοιοῦτον καταρροφῆσαι δίδομεν, ἐφ' ᾧ τῶν ἐμέτων γενομένων, ἔξωθεν μὲν ἐπιτίθεμεν τῶν στυφόντων τι, καὶ δυσωδῶν, ἔνδοθεν τροφὰς εὐχύμους τε ἅμα καὶ δυσφθάρτους, καί τι καὶ στύφον ἐχούσας. τοῖς δ' ὀφθαλμοῖς τοιούτων ἐν ὅλῳ τῷ σώματι προκαθαίρομεν. εἰ δ' αἵματος πλῆθος, ἐπὶ τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔξωθεν ἣν ὠμιαίαν καλοῦσιν ἥκομεν, εἶθ' ἑξῆς φαρμάκῳ χρώμεθα τῶν ἀπαλωτάτων τε τινὶ, καὶ ἀδηκτοτάτων, ἐφ' ᾧ νηστεύσαντα δι' ὅλης τῆς ἡμέρας εἰς ἑσπέραν ἐπὶ λουτρὸν ἄγομεν. εἰ δὲ μήτε καθάρσεως δέοιτο, μήτε φλεβοτομίας, τοῖς τ' εἰρημένοις φαρμάκοις, καὶ τῷ λουτρῷ μετ' αὐτὰ, καθάπερ ἴστε τὰς τοιαύτας ὀδύνας ἰώμεθα, μήτε ταῖς κατὰ γαστέρα δήξεσι τῶν κολλυρίων ἐνιέντες τι, μήτε τοῖς ὀφθαλμοῖς τράγου χυλὸν, ἢ στέαρ αἰγὸς, ἢ κηρωτὴν ἄδηκτον, ἤ τι τῶν ἄλλων ὅσα διὰ τῆς ἕδρας ἐνίεμεν. ἀρκείσθω ταῦτ' ὡς ἐπὶ παραδείγματος εἰρῆσθαι πρὸς ἔνδειξιν τοῦ τὴν αὐτὴν διάθεσιν, οὐ τῶν αὐτῶν δεῖσθαι βοηθημάτων, ὅταν ἐν διαφέρουσι γένηται αὐτοῖς. ἐπιδεῖξαι γὰρ πρόκειται κατά τινα διάνοιαν ὁ Ἱπποκράτης εἶπε, φυτῶν χυμοὶ ἐφ' ὧν δύναμιν ἔχουσι. τὸ γὰρ ἐφ' ὧν, ἤτοι μορίων, ἢ διαθέσεων, ἢ τρόπον χρήσεως ἀναγκαῖον ἐστὶν ἀκοῦσαι. λέγω δὲ τρόπους χρήσεως, ὅταν ἤτοι τὴν αἰτίαν αὐτοῦ τις ἐκκόπτῃ, δι' ἣν ὀδυνᾶται τὸ πεπονθὸς μόριον, ἤ τι τὸ γεννώμενον ἐξ αὐτῆς φυσῶδες πνεῦμα διαφορῇ. καὶ τοῦτ' αὐτὸ ποιεῖ διττῶς, ἢ λεπτύνων αὐτοῦ τὸ παχὺ, καὶ φυσῶδες, ἢ ἀραιῶν τὸ περιέχον αὐτὸ σῶμα. καὶ μέντοι καὶ παρὰ ταῦτα τρόπος ἕτερός ἐστιν ἀνωδυνίας ποικίλος, ἐκ τοῦ ναρκοῦσθαι τὴν αἴσθησιν γινόμενος, ἐφ' οὗ καὶ συνέσεώς ἐστιν οὐ τῆς τυχούσης μῖξαι τῷ ναρκωτικῷ τἄλλα, καὶ μὴ μόνῳ χρήσασθαι. τίς γὰρ οὐκ οἶδεν ὡς ἐν τῷ Φιλωνείῳ φαρμάκῳ, τὴν μὲν τῆς ὀδύνης παῦλαν ἡ τῆς αἰσθήσεως νάρκη ποιεῖ. τὰ δὲ ἐργαζόμενα ταύτην ἐστὶν, ὅ τε τοῦ μήκωνος ὀπὸς, καὶ τὸ τοῦ ὑοσκυάμου σπέρμα. ταῦτα δ' εἰ μόνα προσενεχθείη, παντάπασι μὲν ὀλίγα δοθέντα, τὴν ὀδύνην οὐ δυνήσεται παῦσαι, εἰ δ' ἐν ᾧ μέτρῳ ληφθέντα παῦσαι δύναται, τοῦτ' ἔχοιμι τὸ μέτρον, οὐ σμικρὰν βλάβην ἐργάζεται κατὰ τὸ πάσχον μόριον. ἵν' οὖν μήτε μεγάλως αὐτὸ βλάψῃ, καὶ ναρκώσῃ τὴν αἴσθησιν, ἡ τῶν ἄλλων φαρμάκων μῖξις, εὑρέθη τῷ Φίλωνι. τίς δέ ἐστιν ἡ μέθοδος ᾗ χρώμενος ἄν τις, ἐπὶ τὴν τοιαύτην ἥκει κατασκευὴν τῶν φαρμάκων, ἐν τοῖς περὶ συνθέσεως αὐτῶν εἴρηται. περὶ μὲν δὴ τούτων ἱκανὰ καὶ ταῦτα. θεασώμεθα δὲ περὶ τῶν ἐφεξῆς εἰρημένων ὧν ἡγεῖται πρῶτος γεγραμμένος ὁ κυκεών. ὅτι μὲν οὖν οἶνος ὀδύνας ὀφθαλμῶν ὅσαι δι' ἔμφραξιν γίνονται παύει, διὰ τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων ἐμάθετε. νῦν δὲ καὶ περὶ τῶν ἄλλων ὅσαι περὶ τὸν αὐτὸν λόγον γίνονται, ποτὲ μὲν διὰ πάχος αἵματος, ποτὲ διὰ ψύξιν ἀναμνήσθητε πολλάκις ἑωρακότες, ἐπί τε τῶν κατὰ κοιλίαν ὀδυνῶν, ἐπί τε τῆς καλουμένης ἡμικρανίας, οἶνον ἀκρατέστερον αὐτίκα μὲν ὠφελήσαντα σαφῶς. ὕπνου δὲ ἐπιγενομένου, τελέως παύσαντα, τεθέασθέ με διδόντα οἶνον οὐκ εὐθέως νήστει, ἀλλ' ἐπὶ τροφῆς. νῦν δὲ ὁ Ἱπποκράτης ἔμιξεν ἀμφότερα, καὶ τὴν τροφὴν, καὶ τὸ πόμα. τοιοῦτον γάρ τι πρᾶγμά ἐστιν ὁ κυκεὼν, ὡς καὶ παρ' Ὁμήρου μεμαθήκατε. μιγνύντων μὲν ἄλλα τῷ οἴνῳ, κοινὸν δ' ἐχόντων ἁπάντων αὐτόν. ἴσως δὲ καὶ τὸ μετ' ἀλφίτων μὲν εἶναι τὸν οἶνον. ἐξ ἀνάγκης δὲ καὶ τὸ ἄλλων ἐκ τοῦ κυκεὼν ὀνόματος ἀξιώσει τὶς δηλοῦσθαι τοὺς παλαιοὺς, οὕτως μᾶλλον ἐπιδεικνὺς κεχρῆσθαι τῇ προσηγορίᾳ. χρῆσθαι δέ ποτε καὶ τροφῇ χωρὶς οἴνου τῶν οὕτως ἀλγούντων τινὰ κελεύσας, ἕνεκα τοῦ βεβαιῶσαι μου τὴν ὑπόληψιν ἐθεασάμην, ὡς προσεδόκησα παροξυνθέντα θερμῶν ἀτμῶν πολλῶν ἀθρόως ἀναδραμόντων ἐπὶ τὸν πεπονθότα τόπον, ἐφ' οἷς ἀνώμαλός τε ἅμα δυσκρασία, καὶ πλήρωσις ἠκολούθησε τοῦ μέρους. ἐπιδέδεικται δὲ ἡμῖν ἡ μὲν πλήρωσις τῷ διατείνειν πάντῃ τὰ σώματα ὀδύνας ἐργαζομένη τοῖς ἀσθενέσιν, ἡ ἀνώμαλος δυσκρασία διὰ τὸ τινὰ μὲν ἔτι κατὰ φύσιν ἔχειν μόρια, τινὰ δὲ ὁμιλεῖν αὐτοῖς ἐψυγμένα. γίνεται γὰρ ἐν τούτοις ἐκ τῶν παρὰ φύσιν ἐχόντων, εἰς τὰ παρὰ φύσιν ἔχοντα διάδοσις τῆς ψύξεως ἀνιαρά. τὰ δὲ ὅλα ψυχθέντα, καὶ ὡς ἂν εἴποι τὶς ἑκτικὴν κτησάμενα τὴν τοιαύτην κρᾶσιν, οὐκ ὀδυνᾶται. τὴν γὰρ φύσιν φησὶ διαλλασσομένοισι, καὶ διεφθαρμένοισιν αἱ ὀδύναι γίνονται, οὐ διηλλαγμένοις οὐδὲ διεφθαρμένοις ἤδη. τὸν μὲν οἶνον αὐτός τε προσεδόκησα βλάψειν ἄνευ τῆς τροφῆς πινόμενον, ἥ τε πεῖρα μαρτυρήσασα, βεβαιοτέραν μοι τὴν πίστιν εἰργάσατο. κυκεὼν δ' οὐκ ἂν βλάψειεν ἔχων ἐν αὐτῷ τὴν τροφήν. ἐκ γὰρ τῆς ἀμφοῖν συμμέτρου μίξεως, ὁμαλὴ κατὰ βραχὺ θάλψις ἐν τοῖς πεπονθόσι μορίοις αὐξανομένη, χωρὶς ἀτμῶν πολλῶν ἐκθερμαίνει τε τὰ κατεψυγμένα, καὶ διαφορεῖ τὰ ἐμπεφραγμένα. διέρχεται γὰρ ὅσα πρότερον ἔν τισιν ἐσφίγγησαν διὰ πάχος, αὐτά τε λεπτυνόμενα καὶ χεόμενα, τῶν τε περιεχόντων αὐτὰ σωμάτων ἀραιοτέρων ἀποτελουμένων, ἅπερ ἐπὶ τῶν θερμαινόντων ὁμαλῶς γίνεσθαι φιλεῖ. καὶ οἱ πταρμοὶ δὲ, καὶ γὰρ τούτους ἐφεξῆς ἔγραψεν, ἐναργῶς φαίνονται κεφαλαλγίας ἰώμενοι, τὰς ἐπὶ πλήθει φυσώδει πνεύματος γινομένας. ταυτὶ μὲν οὖν ἅπαντα μέχρι τῶν πταρμῶν ἐπιδέδεικταί μοι τοῦ προτεθέντος ἐξ ἀρχῶν ἔχεσθαι, κακῶς ὑπὸ τῶν ἐξηγησαμένων εἰς πλείους λόγους τεμνόμενα. ἐπὶ δὲ τὴν ἑξῆς λέξιν μεταβῶμεν, ἀπέχεσθαι δοκοῦσαν ἔτι τε καὶ μᾶλλον ἁπασῶν τῶν ἔμπροσθεν ἤπερ ἀλλήλων ἐκεῖναι. δύναται δ' ὡς ἐγὼ φημὶ, καὶ αὐτὴ περὶ μὲν ὀδυνῶν εἰρῆσθαι καθάπερ ἐκεῖναι, διαφέρειν δ' αὐτῶν τῇ κακίᾳ. γίνονται γάρ τινες ὀδύναι κακοήθεις ὑπὸ τῶν κακούργων. εἴτ' οὖν φαρμάκων ἃ δηλητήρια καλοῦσιν, εἴτε θηρίων ἰοβόλων, εἴτε καὶ χυμῶν τινων, ἐκ διαίτης μοχθηρᾶς, ἢ λοιμώδους ἀέρος ἐν τῷ σώματι γεννηθέντων. ἐπὶ τούτων οὖν φημι λελέχθαι ταῦτα τὰ βοηθήματα, γάλα, σκόροδα, οἶνος ἀπεζεσμένος,

ὄξος, ἅλες. γάλα μὲν ἐπὶ τῶν κατὰ διάβρωσιν ἀδικούντων, ἐπικράσεως γὰρ δεῖται. σκόροδον δ' ἐπὶ τῶν κατὰ σφοδρὰν ψύξιν, οἶνος δ' ἐπὶ τῶν κατὰ μετρίαν. προσκειμένου δὲ αὐτῷ τοῦ ἀπεζεσμένου, δυνατὸν ἐστὶν ἀκούειν τὸν ἱκανῶς θερμόν. ἐγχωρεῖ δὲ καὶ τὸν οὕτως ἀφεψημένον, ὡς γενέσθαι τὸ καλούμενον σίραιον. ἐπικρατικὸν γάρ τοι καὶ τοῦτ' ἐστὶ καὶ δριμυτήτων διαβρωτικῶν. ὄξος δ' ἕνεκα τοῦ τέμνειν χυμοὺς κολλώδεις, ὡς ἐπὶ τῶν μυκήτων, ἢ καὶ ψύξεως ἕνεκεν, ὡς ἐπὶ θαψίας. τοὺς δ' ἅλας ὡς ἐκδαπανῆσαι δυναμένους ὅλην τὴν οὐσίαν τῶν κακούργων χυμῶν τε καὶ φαρμάκων. ἀλλ' ἐπεὶ μὴ μόνον ὠφέλειαι καὶ βλάβαι τοῖς σώμασιν ἡμῶν γίνονται κατὰ τὰς τῶν ὁμιλούντων ἁπλᾶς ποιότητας, ἀλλὰ καὶ καθ' ὅλην τὴν οὐσίαν. ἐμάθετε γὰρ καὶ τοῦτο διὰ ἑτέρων ὑπομνημάτων, προσηκόντως ἂν εἰρημένον εἴη, τὸ φυτὸν χυμοὶ ἐφ' ὧν τε δύναμιν ἔχουσιν. καὶ γὰρ καθ' ὅλην τὴν οὐσίαν ἰδιότητος, ἤτοι οἰκεῖαι τοῖς σώμασιν ἡμῶν, ἢ ἀλλότριαι κατὰ τέτταρας ὕλας εἰσὶ, καθαρτικὰ φάρμακα, καὶ τροφαὶ, καὶ τρίτα πρὸς αὐτοῖς ἃ νῦν Ἱπποκράτης ὀνόμασε κακοῦργα, καὶ τέτταρα τὰ τούτων ἰάματα. τεμνομένου δὲ τοῦ τρίτου γένους τῆς ὕλης, εἴς γε τὰ δηλητήρια καλούμενα φάρμακα, καὶ τοὺς ἰοὺς τῶν θηρίων, διττὴ καὶ τῶν ταῦτα θεραπευόντων ἐστὶν ἡ ὕλη. καλεῖται δὲ ἀλεξιφάρμακα μὲν ὅσα τοῖς δηλητηρίοις ἀνθίσταται, θηριακὰ δὲ ὅσα τὰς τῶν θηρίων ἰᾶται δήξεις. ἴσως δέ τις ἀξιώσει, καὶ τὴν τῶν καθαιρόντων φαρμάκων ὕλην ἐν τοῖς τῶν δηλητηρίων περιέχεσθαι. διαφθείρει γὰρ ἡμᾶς καὶ ταῦτα, πλείω τῶν συμμέτρων δοθέντα. τοῦτο δὲ συγχωρῆσαι μὲν ἀκόλουθον ἡμῖν ἔσται, τά τ' ἀλεξιφάρμακα, καὶ τὰ θηριακὰ ἐν τοῖς δηλητηρίοις συγκαταριθμεῖν, ἐπειδὴ καὶ ταῦτα ἀναιρεῖν πέφυκεν, εἰ μή τις αὐτῶν βραχὺ προσενέγκοιτο παντάπασιν. ἀλλὰ διὰ αὐτὸ τοῦτό μοι δοκοῦσιν ἰατροὶ θανάσιμα μὲν πολλὰ φάρμακα καλεῖν, ὧν ἀναγκαῖον ὄφελός τι κατὰ καιροὺς γίνεται. δηλητήρια δὲ τὰ μηδέποτε μηδὲν ὀνοῦντα μηδὲ νοσοῦντας ἀνθρώπους μηδ' ὑγιαίνοντας. οὔτε γοῦν ἀκόνιτον οὔθ' ὑδράργυρος, οὔτε λιθάργυρος, οὔτε λαγωὸς θαλάττιος εἴσω τοῦ σώματος λαμβανόμενος παρέχει τινὰ ἡμῖν ὠφέλειαν, ὥσπερ καὶ τἄλλα πολλὰ, περὶ ὧν ἐν τοῖς περὶ τῆς ἰδιότητος τῆς ὅλης οὐσίας ὠφελοῦσί τε καὶ βλάπτουσιν εἴρηται.

Ἄνθρωπος ἐκ κόπων, ἐξ ὁδοῦ ἀδυναμίη, βάρος, ἀνέπτυεν, ἔβηξε γὰρ ἐκ κορυφῆς, πυρετὸς ὀξὺς, πρὸς χεῖρα ὑποδακνώων, δευτεραίῳ δὲ καρηβαρείη, γλῶσσα ἐπεκαύθη, ῥὶς ὀνυχογραφηθεῖσα, οὐχ ἡμορράγησεν, ἀριστερὸς σπλὴν μέγας καὶ σκληρὸς, ὠδυνᾶτο.

Τὰ μὲν γινόμενα, τῷ κάμνοντι δ' αὖ, εἴτε δ' αὖ ἀπέθανεν εἴτ' ἐσώθη παρέλιπεν, ὧν χαίρειν ἅπαντα γράφεται τἄλλα. τί αὖ οὖν ἐγὼ παρὰ τοῦ νοσοῦντος οὕτως ἔσεσθαι προεῖπον, ἴσως ἀκοῦσαι ποθεῖ τις ὦ* τἀληθῆ ῥητέον ἐστὶ, ὡς εἴ μοι τις ἔδειξεν αὐτοῦ τὰ οὖρα, σαφῶς ἂν ἀπεφηνάμην ὁποῖόν τι φρονῶ περὶ τοῦ κάμνοντος. ὅσον μὲν γὰρ ἐπὶ τοῖς εἰρημένοις, ὀλεθρίως εἶχεν. εἰ δὲ ἦν καὶ τὰ οὖρα ἄριστα, σωθήσεσθαι μὲν, ὀξέως δὲ νοσῆσαι τὸν ἄνθρωπον ἀπεφηνάμην ἄν. εἰ δὲ ἦν καὶ τὰ οὖρα μοχθηρὰ, διὰ ταχέων τεθνήξεσθαι. μέσον δὲ αὐτῶν ὡς μήτ' ἐπαινεῖσθαι μήτε ψέγεσθαι, πλείονα χρόνον ζήσαντα τεθνήξεσθαι. τὰ μὲν οὖν ἄλλα συμπτώματα μεταξύ πως ἐστὶν ὀλέθρου καὶ σωτηρίας. ἡ δὲ ὀνυχογραφηθεῖσα ῥὶς, εἶτα μὴ μεθεῖσα τοῦ αἵματος, οὕτω γὰρ ἔγραψε Ζεῦξις, ῥὶς ὀνυχογραφηθεῖσα οὐκ ἀφῆκεν αἷμα, χαλεπώτατον σημεῖον. εἰ δ' εἴη γεγραμμένον, ὥσπερ οὖν ἐν τοῖς πλείστοις γέγραπται, ῥὶς ὀνυχογραφηθεῖσα οὐχ ἡμορράγησεν, ὀλέθριον μὲν καὶ οὕτως, ἧττον δὲ τοῦ μηδ' ὅλως αἷμα μεθεῖναι. πρόδηλον δ' ὅτι τῆς χειρουργίας καλῶς γινομένης, ὅμως οὐκ ἐρρύη τὸ αἷμα. τὴν ἀρχὴν γὰρ οὐκ ἂν ἔγραψε κατὰ τὴν διήγησιν, ὀνυχογραφηθῆναι μὲν τὴν ῥῖνα, μὴ γενέσθαι δὲ τὴν αἱμορραγίαν, εἰ περὶ τὴν χειρουργίαν τοῦτο συμβεβήκει. λέγουσι τοὺς παλαιοὺς οὐ μόνον τοῖς ἰδίοις ὄνυξι τὴν ῥῖνα διαιρεῖν, ἀλλὰ καὶ σιδήρῳ τινὶ πρὸς αὐτὸ τοῦτο παρεσκευασμένῳ, καὶ ἐοίκασι κατά γε τὸν ἐν τῷ λόγῳ τῷδε προκείμενον ἄρρωστον διὰ τὴν καρηβαρείαν, ἐπὶ τὴν διαίρεσιν αὐτῆς οἱ θεραπεύοντες τὸν ἄνθρωπον ἰατροὶ παραγενέσθαι. τὸ δ' ἐπὶ τοῦ σπληνὸς εἰρημένον. ἀριστερὸς σπλὴν μέγας, οἱ μὲν οὕτως προσκεῖσθαι νομίζουσιν, ὡς τῷ γάλα τὸ λευκὸν ὁ ποιητὴς προσέθηκε, καὶ τῷ συῶν τὸ χαμαιευνάδων, οὐκ ὄντος οὔτε γάλακτος τινὸς ὃ μὴ λευκόν ἐστι

χαμαιευνάδων εἰσὶν

γραφηθεῖσα οὐχ ἡμορράγησεν ἀριστερὴ ἐν ἴσῳ τῇ τῶν ἀριστερῶν μυκτήρων, καὶ κατ' ἴξιν ἐστὶν οὗτος τῷ σπληνὶ, καὶ πιθανὸν ἐπὶ τούτων ὁρμῆσαι τὸν χειρουργοῦντα. διαμαρτόντος δὲ τοῦ πρώτου βιβλιογράφου, συνέβη φυλαχθῆναι τὸ ἁμάρτημα. ἐγκειμένου δὲ τῇ ῥήσει καὶ τοῦ βῆσσειν αὐτὸν ἐκ κορυφῆς ἐγένετο, καὶ περὶ τούτου τοῖς ἐξηγησαμένοις τὸ βιβλίον ἀμφισβήτησις. ἐνίων μὲν ἐκ τῆς κεφαλῆς τὴν βῆχα γίνεσθαι λεγόντων, οὐχ ὡς εἴωθε πολλάκις ἐκ τοῦ θώρακός τε καὶ τοῦ πνεύμονος, καὶ τῆς τραχείας ἀρτηρίας ὅταν ταῦτα πρῶτον πάθη. τινῶν δὲ τὸ ἐκ κορυφῆς κυρίως λελέχθαι νομιζόντων, ἵνα μὴ μόνον ἐκ τῆς κεφαλῆς κατάρρους τις αἴτιος εἶναι τῆς βηχὸς, ἀλλὰ καὶ κεφαλῆς αὐτῆς ἐκείνου τοῦ μέρους ὃ κορυφὴν ὀνομάζομεν.

Οἱ ὑπὸ τεταρταίου ἁλισκόμενοι, ὑπὸ τῆς μεγάλης νόσου οὐχ ἁλίσκονται, ἢν δ' ἁλίσκωνται πρότερον, καὶ ἐπιγένηται τεταρταῖος, παύονται.

Τὴν ἐπιληψίαν οἱ παλαιοὶ καὶ μεγάλην νόσον ἐκάλουν, καὶ πάθος παιδίων, ὥσπερ αὐτὸς ὁ Ἱπποκράτης ἐν τῷ περὶ ὑδάτων καὶ ἀέρων, καὶ τόπων. ἐπειδὴ κατὰ τὴν τῶν παίδων ἡλικίαν πλεονάζει, τινὲς δὲ ἡρακλείαν αὐτὴν ἐκάλεσαν, οὐχ ὡς ἐπιλήπτου τοῦ Ἡρακλέους ὄντος, ἀλλ' ἐοίκασιν οὗτοι ὀνόμασιν αὐτὴν ὡσαύτως γε γνόντες ἐνδεικτικὴν μεγέθους ὄνομα ποιῆσαι τὴν ἡρακλείαν. ἱερὰν δὲ νόσον ἔνιοι κατὰ ψευδῆ δόξαν ὠνόμασαν, ὡς κἀν τῷ περὶ τῆς ἱερῆς νόσου συγγράμματι δεδήλωται. γίνεται μὲν οὖν καὶ ἀπ' ἄλλων μορίων πασχόντων ἐνίοτε τὸ πάθος τοῦτο. τοῖς πλείστοις δὲ, πρῶτος αὐτὸς ὁ ἐγκέφαλός ἐστιν ὁ πάσχων οὐχ ἑτέρῳ συμπάσχων. αἴτιον δὲ τοῦ νοσήματος παχὺς καὶ ψυχρὸς χυμὸς, ἀθροιζόμενος μὲν ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου, καταλαμβάνων δὲ καὶ τὰς ἐκφύσεις, καὶ μάλιστα τὴν πρώτην ἀρχὴν τοῦ νωτιαίου. τοῦτον οὖν τὸν χυμὸν, καὶ οἱ ἄλλοι μὲν ὀνίνασι πυρετοὶ, μάλιστα δὲ οἱ χρόνιοι, καὶ τούτων πάντων ὁ τεταρταῖος μάλιστα, καὶ αὐτοῦ τούτου πάλιν ὁ χρονιώτατός τε καὶ μετὰ ῥίγους

παροξυνόμενος. αὐτό τε γὰρ τὸ ῥῖγος μοχλεῖ.

τοῦ ἐγκεφάλου μὲν τὴν ἀρχὴν τούτων ἐμφράττοντος χυμοῦ. ἡ δὲ τοῦ πυρετοῦ ζέσις ἔμπροσθεν, καὶ διαφορεῖν αὐτὸν ἐστὶν ἱκανή, καὶ πρὸς τούτῳ τὴν κρᾶσιν ὅλην σφοδροῖς ῥίγεσι βάλλειν τε καὶ ἀλλοιοῦν ἐπὶ τὸ θερμότερον ὑγρὰν καὶ ψυχράν. ἐνίοτε δ' ἐπεὶ ταύτῃ γὰρ ὁ φλεγματώδης γεννᾶται χυμός. ἀλλὰ καὶ τοῖς τὸ σῶμα κατὰ δὲ ἐκκρίσεις ἕπονται διὰ μὲν τῶν ἱδρώτων, ὡς ἐπὶ τὸ πλεῖστον σπασμόν, ἢ ἐμέτων, ἢ γαστρὸς ἐπαγωγῆς, ὥστε καὶ διὰ τούτων ἐκκαθαίρεται, περὶ πρὸς μὲν οὖν ἀφορισμοὺς ἔφη, πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ καὶ ἐπὶ πυρετῷ. σπασμὸς δ' ἐστὶ καὶ ἡ ἐπιληψία παντὸς τοῦ σώματος. ἐν δὲ τούτῳ τῶν ἐπιδημιῶν οὕτως ἔγραψεν, ἀσφαλέστατος δὲ πάντων καὶ ῥήϊστος, ἀκρότατος ὁ τεταρταῖος. οὐ γὰρ μόνος αὐτὸς ἀφ' ἑαυτοῦ τοιοῦτός ἐστιν, ἀλλὰ καὶ νοσημάτων ἑτέρων μεγάλων ῥύεται. πρόδηλον δ' ὅτι τοῖς ὑπὸ τεταρταίου πυρετοῦ φθάνουσιν ἐνοχλεῖσθαι, γενέσθαι τὴν ἐπιληψίαν ἀδύνατον. ὅπου γὰρ καὶ οὖσαν ἤδη τεταρταῖος πυρετὸς εἴωθε παύειν, πολὺ δήπου μᾶλλον οὐκ ἂν ἐπιτρέπειν γενέσθαι τὴν μηδέπω πρότερον οὖσαν.

Ἀνθ' οἵων αἱ νοῦσοι.

Τοῦτο τοῖς προγεγραμμένοις ἐπεφώνησε δύναμιν ἔχον τοιαύτην, ἀνθ' οἵων νόσων οἷαι νόσοι γίνονται, καλὸν ἐπίστασθαι. προσυπακοῦσαι γὰρ δεῖ τοιοῦτον, ὥσπερ γὰρ ὁ τεταρταῖος ἐπιληψίαν ἰᾶται, καὶ πυρετὸς ὅστις οὖν σπασμόν, ἢ καὶ κατάρρουν, καὶ ἆσθμα, κατὰ τὸν αὐτὸν τρόπον, ὀφθαλμίαν μὲν διάρροια, λειεντερίαν δὲ ὀξυρεγμία, καὶ πλευρῖτις περιπνευμονίαν, λήθαργον φρενῖτις. ἔμπαλιν δὲ οὐκ ἐπ' ἀγαθῷ φρενῖτις μὲν εἰς λήθαργον. πλευρῖτις δὲ εἰς περιπνευμονίαν μεταπίπτει, καὶ μανίαν καὶ μελαγχολίαν αἱμορροῒς ὤφθη πολλάκις ἀρχομένην γε κωλύουσα, καὶ ἤδη γεγενημένην ἰωμένη, καὶ σπλῆνα σκιρρούμενον, ἀλλὰ καὶ οἱ κιρσοὶ τὰ αὐτὰ τοιαῦτα θεραπεύουσι, ποδάγρας τε καὶ ἀρθρίτιδας.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΓΜΩΝ

ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ.

Πρὸ τῆς κατὰ μέρος ἐξηγήσεως, ἄμεινον ἀκηκοέναι καθόλου περὶ πάσης ἐξηγήσεως, ὡς ἔστιν ἡ δύναμις αὐτῆς, ὅσα τῶν ἐν τοῖς συγγράμμασίν ἐστιν ἀσαφῆ, ταῦτ' ἐργάσασθαι σαφῆ. τὸ δ' ἀποδεῖξαι τι τῶν γεγραμμένων ὡς ἀληθές, ἢ ὡς ψεῦδος ἐλέγξαι, καὶ εἰ κατηγοροῦσί τινες σοφιστικῶς ἀπολογήσασθαι, κεχώρισται μὲν ἐξηγήσεως. εἴθισται δὲ γίγνεσθαι πρὸς ἁπάντων, ὡς εἰπεῖν τῶν γραφόντων ὑπομνήματα, καὶ νὴ Δία οὐδὲν κωλύει καὶ τούτου μετρίως ἅπτεσθαι τὸν ἐξηγητήν. τὸ δ' ἀγωνίζεσθαι τελέως ὑπὲρ τῶν τοῦ γράφοντος δογμάτων, ἐκπέπτωκε τὸν ὅρον τῆς ἐξηγήσεως. οὐ πρὸς τοῦτον οὖν τὸν σκοπόν, ἀλλὰ πρὸς τὸν εἰρημένον ἀποβλέπων ἐγώ, προσθήσω ταῖς ὄντως ἐξηγήσεσιν ἑκάστοτε βραχέα τῆς πίστεως ἕνεκα τῶν εἰρημένων, οὔσης μέντοι καὶ κατὰ ταύτην τὴν ἐξήγησιν διαφορᾶς διττῆς, ὅτι καὶ τὸ ἀσαφὲς αὐτὸ διττόν ἐστιν, ἄμεινον εἶναί μοι δοκεῖ καὶ περὶ τούτου προειπεῖν. εἰρήσεται δὲ καὶ αὐτὰ ταῦτα διὰ βραχέων, οἷον ἐπιτομή τις, ὧν ἰδίᾳ λέλεκται διὰ μακροτέρων ἐν τῷ περὶ ἐξηγήσεως ὑπομνήματι. δέδεικται δὲ ἐν ἐκείνῳ, τὸ μὲν ὄντως ἀσαφές, αὐτὸ δι' ἑαυτὸ τοιοῦτον ὑπάρχον. τὸ δὲ ἐν αὐτῷ πρότερον τὴν γένεσιν ἔχον, ἐπειδὴ τῶν ἀκουόντων τοῦ λόγου διαφοραὶ πάμπολλαι τυγχάνουσιν οὖσαι, κατά τε τὸ προπαιδεύεσθαι καὶ γεγυμνάσθαι περὶ λόγους, ἢ παντάπασί γε ἀγυμνάστους ὑπάρχειν, εἶναί τε φύσει, τοὺς μὲν ὀξεῖς τε καὶ συνετούς, τοὺς δὲ ἀμβλεῖς καὶ ἀσυνέτους. αὐτίκα γοῦν ἐν αὐτῷ τῷ προκειμένῳ βιβλίῳ τῷ περὶ τῶν καταγμάτων ἔνθα μέν φησιν ὁ Ἱπποκράτης. ῥητέον οὖν ὁκόσας αὖ ἐθέλει τῶν ἁμαρτάδων τῶν ἰητρῶν τὰς μὲν διδάξαι, τὰς δὲ ἀποδιδάξαι, τὴν ἀσάφειαν ἔχει αὐτὴ δι' ἑαυτὴν ἡ λέξις, οὐ προσδεχομένων ἡμῶν εἶναι τινὰς ἁμαρτίας ἃς διδάξαι χρή, τοιοῦτον ἐστὶ κἀκεῖνο, καὶ ἡ ἀνάκλασις τοῦ ἄρθρου κεκλάσθαι ἐν τουτέῳ τῷ σχήματι. τὸ γὰρ ἐκτεταμένης τῆς χειρὸς σχῆμα, κεκλασμένον φησὶν ἔχειν τὸ ἄρθρον τὸ κατ' ἀγκῶνα. δοκεῖ δὲ καὶ τοῦτ' ἄτοπον εἶναι κεκλάσθαι φάναι τὸ εὐθύ. τὸ μέντοι λελεγμένον οὕτως, εἰ τοῦ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεος βαθμίδι ἐν τουτέῳ τῷ σχήματι ἐρεῖδον, ἰθυωρίην ποιέει τοῖσιν ὀστέοισι τοῦ πήχεος καὶ τοῦ βραχίονος, ὡς εἰ ἓν εἴη τὸ πᾶν. εἰ μέντοι τις ἑώρακεν ὁποῖόν ἐστι τῶν ὀστῶν ἑκάτερον ὑπὲρ ὧν ὁ λόγος ἐστίν, οὐδεμίαν ἀσάφειαν ἔχει. τοῖς δ' ἀγνοοῦσι τῆς κατ' ἀγκῶνα διαρθρώσεως τὴν φύσιν, ἀσαφὴς εἰκότως ἡ λέξις φαίνεται. δοκεῖ δέ μοι βέλτιον εἶναι καὶ τὰ τοιαῦτα πάντα ἐξηγεῖσθαι, διὰ τὸ τοὺς πλείστους τῶν ἀναγινωσκόντων τὸ βιβλίον ἀμαθεῖς ἀνατομῆς εἶναι. τὰ μέντοι μηδὲν ἔχοντα τοιοῦτον, παρέρχεσθαι προσήκει, τοσοῦτον προειπόντα περὶ αὐτῶν ἐπὶ τοῖς ἀναγνωσομένοις τὸ βιβλίον. ἐάν τινα λέξιν ὧν ἐξηγησάμην ἀσαφῆ ἔχειν τι νομίσῃς, ἐπίσκεψαι μὲν πρῶτον, εἰ μὲν τὸ βιβλίον ἡμάρτηταί σου, παραβάλλων τε καὶ ἀντεξετάζων τοῖς ἀξιοπίστοις ἀντιγράφοις. εἶτ' αὖ ὀρθῶς ἔχειν φαίνεται, δεύτερόν τε καὶ τρίτον ἀνάγνωθι, τὴν αὐτὴν λέξιν προσέχων ἀκριβῶς αὐτῇ τὸν νοῦν. ἐγὼ γὰρ ὅταν μὲν τῶν παρόντι συναναγινώσκω τι βιβλίον, ἀκριβῶς στοχάζεσθαι δύναμαι τοῦ μέτρου τῆς ἐξηγήσεως, ἀποβλέπων ἑκάστοτε πρὸς τὴν τοῦ μανθάνοντος ἕξιν. ὅταν δὲ γράφω πᾶσιν, οὔτε τῶν ἄριστα παρεσκευασμένων, οὔτε τῶν χείριστα στοχάζομαι. τὸ μὲν γὰρ τοῖς πλείστοις ἀσαφὲς ἔσται, τὸ δὲ ἀνιᾶται χρονίζοντας ἐν τοῖς σαφέσιν. ἄριστον οὖν ἡγοῦμαι τῶν μέσην ἕξιν ἐχόντων στοχάζεσθαι. τούτου δὲ ἀποτυγχάνων, ἐπὶ τοὺς ἐκτικωτέρους ἀποπίπτειν μᾶλλον. οὐδὲ γὰρ ὅλως ὑπομνήμασιν ἐντυγχάνειν ἀξιῶ τοὺς κατωτέρους τῆς μέσης ἕξεως, οἷς ἀγαπητόν ἐστι παρὰ διδασκάλων ἀκούσασι πολλάκις τὰ αὐτά, κατ' ἄλλην καὶ ἄλλην ἕξιν ἑρμηνευόμενα συνιέναι τῶν λεγομένων.

Ἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων τε καὶ καταγμάτων, ὡς ἰθυτάτας τὰς κατατάσιας ποιέεσθαι.

Ἔνιοι τῶν λόγων εἰ μὴ καὶ πάρεργόν τι διδάσκοιεν, ἀλλὰ μόριά γε τῆς ἐξηγήσεως εἶναι πεπίστευται. τοιοῦτοι εἰσὶ καὶ οἱ τὰς διαφόρους ἐπισημαινόμενοι γραφὰς, ὁποῖόν τι καὶ νῦν ὑπάρχει περὶ τὴν προκειμένην λέξιν. ἐνίων μὲν γραφόντων, ἔχειν τὸν ἰητρὸν, ἐνίων δὲ, χωρὶς τοῦ κατάρχειν ἔχειν τὸν ἰητρόν. ἔστι γὰρ ἀμέλει καὶ τοῦτο σύνηθες τοῖς ἀττικοῖς ὧν τῇ διαλέκτῳ χρῆται κατά τι καὶ ὁ Ἱπποκράτης, ὡς ἀποφήνασθαί τινας αὐτὴν ἀρχαίαν ἀτθίδα. ἐμοὶ δὲ καθ᾽ ἕτερον ἰδίᾳ γράμμα μικρὸν ἃ φρονῶ περὶ τῆς Ἱπποκράτους διαλέκτου δεδήλωται, καὶ νῦν ἀρκεῖ προειπεῖν ἐν ἀρχῇ τῆς ἐξηγήσεως ὡς τὰ τοιαῦτα πάντα παραλείψω, μήτ᾽ ἀναγκαῖα μέρη τῆς προκειμένης πραγματείας ὄντα, μέγεθός τε τοῖς ὑπομνήμασιν ἄμετρον παρέξοντα, τῶν ἐκπτώσιων τε καὶ καταγμάτων, ὡς ἰθυτάτας τὰς κατατάσιας ποιέεσθαι, οὐκ ἐκπτώσεις μόνον καὶ ἐκπτώματα καλεῖ τὰς τῶν ὀστῶν ἐκ τῆς ἰδίας χώρας μεταστάσεις αὐτὸ τοῦτο κατὰ γλῶτταν γινομένας, ἀλλὰ τούτοις τοῖς ὀνόμασι τάς τε ἐξαρθρώσεις καὶ τὰ ἐξαρθρώματα περιτίθησι. περὶ δὲ τῶν καταγμάτων ἄξιον ἐπισημήνασθαι τοσοῦτον, ὡς πλειστάκις ὀνομάζων οὕτως αὐτὰς, σπανιάκις δὲ τοῦ γράψας ἄγμα, τὴν ἐπιγραφὴν ἐποιήσατο περὶ τὸ σπάνιον. ὅθεν ἔνιοι φασὶν οὐδὲ διῃρῆσθαι πρὸς Ἱπποκράτους αὐτοῦ τὰ συγγράμματα, γεγράφθαι δ᾽ ἐν ὅλον ἄμφω, προσκειμένου τῷ νῦν ἡμῖν προκειμένῳ βιβλίῳ τοῦ περὶ τῶν ἄρθρων ἐπιγεγραμμένου. διαιρεθῆναι δ᾽ ὕστερον ὑπό τινος εἰς δύο διὰ τὸ μέγεθος. ἡνίκα δὲ ἦν ἓν ἄμφω, κοινὸν καὶ τὸ ἐπίγραμμα αὐτοῖς εἶναι τὴν κατ᾽ ἰητρεῖον φωνήν. καὶ τούτου δ᾽ αὐτοῦ πειρῶνται φέρειν μαρτυρίαν κακῶς, ἅτε παλαιὸν ἄνδρα λέγοντες, τὸν πρῶτον τῶν Ἱπποκράτους τοῦ Γνωσιδίκου υἱέων ἐν τῷ αὐτοῦ συγγράμματι τὸ κατ᾽ ἰητρεῖον. οὐ γὰρ δὴ τὸ νῦν γε οὕτως ἐπιγεγραμμένον βιβλίδιον μικρὸν ὅπερ ὁ μέγας Ἱπποκράτης ἔγραψεν, ὃς ἔδοξεν ἐν αὐτοῖς Ἕλλησιν ἄριστος ἰατρός τε καὶ συγγραφεύς. ἀλλ᾽ ἐπειδὴ περὶ τῶν κατ᾽ ἰητρεῖον πραττομένων ἐν τούτοις δύο βιβλίοις ὁ λόγος αὐτῷ γίνεται, διὰ τοῦτ᾽ ἐπιγραφῆναι κατ᾽ ἰητρεῖον αὐτά φασι. διὰ τοῦτο δὲ τοῦτο καὶ τὴν τῆς διδασκαλίας τάξιν οὐκ ἀκριβῶς ἔχειν. ἔν τε γὰρ τούτῳ τῷ βιβλίῳ τῷ περὶ τῶν καταγμάτων ἐξαρθρημάτων τινῶν μνημονεύειν αὐτὸν, κἂν τῷ μετ᾽ αὐτὸ τῷ περὶ τῶν ἐξαρθρημάτων ἀναμεμίχθαί τινα περὶ καταγμάτων οὐκ ὀλίγον λόγον, οἷς δ᾽ οὐ διῃρῆσθαι πρός τινος, ἀλλ᾽ ἐξ ἀρχῆς δύο γεγράφθαι δοκεῖ τὰ βιβλία, περὶ τὸ πλεῖστον δυναμοῦν φησιν. οὕτω γὰρ νομίζουσιν αὐτὸν τὰς ἐπιγραφὰς αὐτῶν πεποιῆσθαι, κἀντεῦθεν ἀρξάμενοι μακρὸν ἀποτείνουσι λόγον ἀποδεικνύντες τὰ πλεῖστα τῶν βιβλίων αὐτοῦ κατὰ τοῦτον ἐπιγεγράφθαι τὸν τρόπον. ἐγὼ δ᾽ εἰ μὲν αὐτὸς Ἱπποκράτης ἔγραψεν, ὑφ᾽ ἓν ἢ οὐχ ὑφ᾽ ἓν, ἀμφότερα τὰ βιβλία λέγειν οὐκ ἔχω. δείξειν δ᾽ ἐπαγγέλλομαι τοῦ λόγου προϊόντος οἰκειότατα τῆς διδασκαλίας εἶναι, τοῖς τε ἐξαρθρήμασι, περὶ ὧν ἐπὶ τοῦτο τὸ βιβλίον ἔγραψε πρὸς τὰ κατάγματα, τοῖς τε κατάγμασιν, ἃ ἐπὶ τὸ περὶ ἄρθρων ἐδίδαξε, πρὸς τὰ κατ᾽ ἐκεῖνο τὸ σύγγραμμα περὶ ἐξαρθρημάτων εἰρημένα. διατί δὲ ἐν τῇδε τῇ λέξει τῇ νῦν προκειμένῃ τῶν ἐκπτώσιών τε καὶ καταγμάτων εἶπεν, ὑπαλλάξας τὴν τάξιν τοῦ λόγου, δέον εἰπεῖν καταγμάτων τε καὶ ἐκπτώσιων, ὡς αὖ περὶ τοῦ πρῶτον διδάσκων καταγμάτων, ἕνα λόγον ἔχω φάναι τοιόνδε. καὶ γὰρ καὶ παρ᾽ Ἱπποκράτει πολλάκις εὑρεῖν ἔστι, καὶ παρὰ πᾶσι τοῖς παλαιοῖς οἳ δεινότατοι λέγειν τὸ τοιοῦτον τῆς ἑρμηνείας εἶδος. ἴσως μὲν οὐ τῇ τάξει τῶν διδαχθησομένων, ἀλλὰ τῇ τῆς τάξεως ἁρμονίᾳ προσεχόντων τὸν νοῦν. μᾶλλον δὲ οὐδὲ φροντιζομένων ὅλως ἄκρας τάξεως ἐν τοῖς τοιούτοις λόγοις. ὡς ἰθυτάτας τὰς κατατάσιας ποιέεσθαι τῶν κώλων, ἐν οἷς ἐξαρθρήματα γέγονεν, ἢ κατάγματα τὰς κατατάσιας ἐν τοῖς ἰθυτάτοις σχήμασιν ἀξιοῖ ποιεῖσθαι. διατί μὲν χρὴ κατατείνειν αὐτὰ, μὴ προσθεὶς ἐνταῦθα. περὶ δὲ τοῦ σχήματος ἐν ᾧ προσήκει τοῦτο γίνεσθαι, μακρὸν ἀποτείνας λόγον. ἐξὸν δ᾽ οὖν αὐτῷ διδάξαντι τὸ ἀληθὲς ἐν τῷ πράγματι, σιωπῆσαι περὶ τῶν ἑτέρως δοξαζόντων. ἀλλὰ γὰρ οὐκ ἐπὶ τοῦδε τοῦ λόγου μόνον, ἀλλὰ καὶ ἐπὶ τοὺς ἄλλους ἅπαντας ἔγνωσθαι κάλλιον, ἐνίους μὲν αὐτῶν γίγνεσθαι διὰ τῶν κεφαλαίων μόνων, οἱ δὴ καὶ βραχύτατοι τῶν λόγων εἰσίν. ἐνίους δὲ τούτοις ἐναντιωτάτους ἐπὶ διέξοδον ἑρμηνεύεσθαι, κατὰ μηδενὸς ὅλως παραλειπομένου τοῦ δυναμένου λεχθῆναι χρησίμως. τοὺς δ᾽ ἄλλους ἅπαντας ἐν τῷ μεταξὺ τούτων τετάχθαι, τοὺς μὲν ἐν τῷ βραχυτάτῳ, τοὺς δὲ ἐν τῷ μακροτάτῳ προχωροῦντας, ὥσπερ αὖ πάλιν ἑτέρους περὶ τὸ μέσον ἐλλείπεσθαι βραχὺ παραχωροῦντας. ἐφ᾽ ἑκατέροις οὖν ἔργον ἐστὶ ἀναγιγνώσκειν ἕκαστον αὐτῶν, ὡς ἂν ἔχῃ αὐτὸς, ἤτοι προαιρέσεως ἢ σχολῆς, οὔτε τοῖς διὰ βραχυλογίαν ἀσαφέστερον γράψασιν, οὔτε τοῖς διὰ σαφήνειαν ἐπὶ πλέον ἐκτείνασι μεμφόμενον. οὐ γὰρ ἐκείνοις χρὴ νομοθετεῖν, καὶ ταῦτα μηδὲν ἀνύειν μέλλοντα. τὸ δ᾽ ἑαυτῷ πρόσφορον ἑκάστου λαμβάνειν εἰδότα τοὺς σκοποὺς τῆς διδασκαλίας, οὐ τοὺς αὐτοὺς ὄντας ἅπασι τοῖς βιβλίοις. αὐτίκα γέ τοι ὅτι μὲν τὰ δύο, τότε περὶ τῶν καταγμάτων, καὶ τὸ περὶ τῶν ἐξαρθρημάτων διεξοδικῶς ἑρμηνεύεται. τὸ μοχλικὸν δὲ τὴν αὐτὴν αὐτοῖς ἐπαγγελλόμενον διδασκαλίαν, ὅσον ἐπὶ τοῖς πράγμασι, διὰ τῶν κεφαλαίων μόνων. ἔστι δὲ ἡ μὲν ἐπὶ διέξοδον ἑρμηνεία πρὸς σαφήνειαν ἐπιτήδειος, ἡ δὲ διὰ τῶν κεφαλαίων εἰς μνήμην. οὗτος μὲν ὁ λόγος ἅπαξ εἰρημένος ἐμοὶ, ἀεὶ συμμνημονευέσθω, περὶ δὲ τῶν πραγμάτων ὧν διδάσκει τοὐντεῦθεν ἤδη διερχομένῳ μοι, πρόσεχε τὸν νοῦν ἀκριβῶς. αὐτὸς μὲν γὰρ ὕστερον ἀπερεῖ διά τινα χρὴ κατατείνειν πρότερον, εἴτε διαπλάττειν μέλλοις τὸ κατεαγὸς, εἴτ᾽ ἐμβάλλειν τὸ ἐξηρθρηκός. ἐμοὶ δὲ νῦν φαίνεται καιρὸς αὐτῷ σαφήνειαν ἔχοντι σκοπὸν τῆς ἐξηγήσεως, εἰς ἣν ὅτι μέγιστον ἡ τάξις τοῦ λόγου συντελεῖ πάντων ὁμολογούντων, οὐδὲν μὲν δεικνύειν αὐτὸς, ὥσπερ οὐδ᾽ ὅτι τοῖς ἐξηγουμένοις. ὅτι οὖν ὁ σκοπὸς οὐ τῆς τάξεως μόνον, ἀλλὰ καὶ τοῦ μέτρου τῶν ἐπὶ μέρος ἁπάντων λόγων ἡ σαφήνειά ἐστιν, οὐδὲ γὰρ οὐδὲ δι᾽ ἄλλο τι γράφομεν ἐξήγησιν. ἐπεὶ τοίνυν ἐδιδάξαμεν ἐν τοῖς περὶ μυῶν κινήσεως, ἰδιώτατον μὲν, ὡς πρὸς τὰ ἄλλα μόρια τοῦ σώματος, κοινότατον δὲ, ὡς πρὸς ἀλλήλους, αὐτοῖς εἶναι τὸ συνιζάνειν εἰς ἑαυτοὺς, ἀνάλογον σειραῖς τε καὶ χορδαῖς, καὶ σχοινίοις. ὥσπερ γὰρ ταῦτα διατείνομεν ἐπειδὰν τῶν περάτων ἑκατέρων λαβόμενοι, πρὸς τοὐναντίον ἕλκωμεν. ἐασάντων δὲ καὶ τεθέντων αὐτὰ, συστέλλεται. οὕτω καὶ οἱ μύες εἰς ὀστοῦν ἐμπεφυκότες ἑκατέρῳ τῷ πέρατι, τὰς μὲν συμφύσεις εἰς αὐτὰς ἀνάλογον ἔχουσι ταῖς διὰ τῶν χειρῶν γινομέναις λαβαῖς. ἀντισπώμενοι δ᾽ ὑπ᾽ αὐτῶν εἰς τοὐναντίον τὸ μέσον τῶν περάτων, ὅπερ ἐστὶν ὅλον αὐτὸ τὸ σῶμα τεταμένον ἴσχουσι, καὶ διὰ τοῦτο ὁπότε τις αὐτῶν ὅλας τὰς ἶνας ἐγκαρσίως διακόψει, διΐσταται τὰ μέρη πλεῖστον ἀπ᾽ ἀλλήλων ἑλκόμενα. τὸ μὲν ἄνω πρὸς τὴν τοῦ μυὸς ὅλην κεφαλὴν, τὸ δὲ κάτω, πρὸς τὴν τελευτὴν, ἔνθα καταφύεται τῷ δευτέρῳ ἐπὶ τὸ κῶλον ὀστῷ μετὰ τὴν διάρθρωσιν. ὅταν οὖν αὐτὸ τοῦ τετμῆσθαι τὸν μῦν ἐκπέσῃ τῆς ἰδίας ἕδρας τὸ διηρθρωμένον ὀστοῦν, ἢ κατ᾽ ἐκεῖνο

τὸ μόριον, εἰς ὃ τὴν ἔκπτωσιν ἐποιήσατο καταπεφυκυῖα τελευτὴ τοῦ μυός, ὡς αὖ εἰς αὐτὴν ὅλου συντρέχοντος αὐτοῦ, καὶ πρὸς τὴν ἰδίαν κεφαλὴν ἀνελκομένου, συναναςπᾶται συμφυὲς αὐτῷ τοῦ κώλου μόριον, ὅπερ ἐστὶν ἡ κεφαλὴ τοῦ περὶ τὴν διάρθρωσιν ὀστοῦ. τῆς δ' ἀνασπωμένης, συναναςπᾶται καὶ τὸ σύμπαν ὀστοῦν. ἐν τούτῳ δὴ τῷ παθήματι συμβαίνει τὴν κεφαλὴν τοῦ πεπονθότος κατὰ τὴν διάρθρωσιν ὀστοῦ τῆς ἀρχομένης θέσεως ὑψηλοτέραν γίγνεσθαι, ὥστε ἀδύνατον αὐτὴν ἐμβαλεῖν εἰς τὴν οἰκείαν ἕδραν, πρὶν κατατείναντα τὸ σύμπαν ὀστοῦν, μεταστῆσαι κάτω τοσοῦτον, ὅσον ὑψωθὲν παρὰ φύσιν. αὕτη μὲν οὖν ἡ αἰτία τοῦ κατατείνεσθαι δεῖσθαι πρότερον ὅσα τῶν ὀστῶν ἐξήρθρησεν. ὅτι δὲ καὶ τὰ συντριβέντα δεῖται κατατάσεως, ἐνθένδε αὖ μάλιστα μάθοις, ὥσπερ ἐπὶ τῶν ἐξαρθρησάντων ἐμβαλεῖν χρὴ τὸ ἐξηρθρηκός, οὕτως ἐπὶ τῶν καταγέντων διαπλάσαι τὸ πεπονθός, ὥστε ψαύειν ἀλλήλων τὰ πέρατα τῶν μερῶν τοῦ συντριβέντος. ἔστι μὲν γὰρ τὸ κάταγμα διαφθορὰ τῆς ἐν ὀστῷ συνεχείας, ὥσπερ τὸ ἕλκος τῆς ἐν σαρκί. πέρας δὲ ἑκατέρων τῆς ἰάσεως ἐστί, τὴν ἐξ ἀρχῆς ἕνωσιν ἀνακτήσασθαι. ἀδύνατον δὲ τοῦτο χωρὶς τοῦ κατ' εὐθὺ τεθῆναι τὰ μόρια τοῦ καταγέντος ὀστοῦ. καλεῖται δὲ διάπλασις ἡ πρᾶξις αὕτη. εἰ μὲν οὖν εἴη μικρὸν τὸ κάταγμα, φυλάττει τὴν θέσιν τὴν οἰκείαν ἑκάτερον τῶν τοῦ παθόντος ὀστοῦ μορίων. εἰ δ' ὅλον συντριβείη τὸ ὀστοῦν, ἀναγκαῖον ἐν τῷδε παραλλάττειν αὐτοῦ τὰ μόρια. τὰ μέν, εἰ οὕτως ἔτυχε πρόσω, τὰ δ' ὀπίσω μεθιστάμενα, καὶ τὰ μὲν εἰς δεξιά, τὰ δὲ εἰς ἀριστερά. διὸ ταῖς χερσὶν ἀμφοτέραις ἑκατέρωθεν περιλαμβανόντων τὸ κῶλον. τὸ μὲν εἰς τὸ πρόσω μεθιστάμενον διωθοῦμεν ὀπίσω, τὸ δ' εἰς τοὐπίσω, μετάγομεν πρόσω, καὶ τὰ μὲν εἰς τὰ ἀριστερὰ πρὸς τὰ δεξιὰ μεθιστῶμεν. ὅσα δ' εἰς τοῦτο μετέστη τὸ χωρίον, ἐπὶ θάτερον μετάγομεν, ὡς ἅπαντα ἀλλήλοις τὰ μόρια τοῦ συντριβέντος ὀστοῦ πρὸς τῶν χειρῶν τοῦ διαπλάττοντος ἐπὶ τἀναντία προσάγεσθαι. κίνδυνος οὖν ἐν τούτῳ παραθραυσθῆναι τινὰς ἐξοχὰς τοῦ καταγέντος. οὐ γὰρ δὴ ἀκριβῶς οὕτως ἑκάτερον τῶν περάτων γίγνεται λεῖον, ὡς ὑπὸ τῶν μαχαιρωτῶν πριόνων. οἱ μὲν γὰρ ὀδοντωτοὶ καλούμενοι, καὶ αὐτοὶ τραχύτητας ἐργάζονται. διὰ τοῦτ' οὖν ἀπαγόντων ἀλλήλων, τὰ μὲν ἄνω, τὰ δὲ κάτω μόρια τοῦ κατάγματος ἐπὶ τὴν διάπλασιν ἀφικνούμεθα, δεδιότες ἐν τῷ προσάγειν ἀλλήλοις τὰ παρηλλαχότα περιθραυσθῆναι τινὰς ἐξοχὰς αὐτῶν. ἔστι δὲ τοῦτο πάντως, ἐὰν ἐγχρίπτοιτο ἀλλήλοις. οὕτως γὰρ αὐτὸς ὁ Ἱπποκράτης ὠνόμασε τὰ μέρη τῶν διαπλαττομένων ὀστῶν, ὅταν εἰς τὴν οἰκείαν ἄγηται χώραν. ἵνα οὖν τὰ διεστῶτα προσάγηται, τὸ μὲν ἄνω χρὴ τῶν μερῶν ἕλκειν, τὸ δὲ κάτω, καὶ ποιοῦσιν ἤδη οὕτως πάντες οἱ ἰατροί, ποτὲ μὲν ταῖς χερσὶ μόναις τῶν ὑπηρετῶν ἐπιτρεπόντων, ἔστι δ' ὅτε καὶ βρόχους περιβαλλόντων, ὅταν εὐτονωτέρας ἀντιτάσεως χρήζωσιν. ὅτι μὲν οὖν ἀπὸ κατατάσεως ἄρχεσθαι προσήκει, τὴν θεραπείαν τῶν ἐξαρθρημάτων τε καὶ καταγμάτων ἐπιδέδεικται. ὅτι δ' οὐκ ἐν τυχόντι σχήματι ποιητέον αὐτὴν ἐστί, λεκτέον ἐφεξῆς, καὶ πρῶτόν γε ὅτι τεττάρων ἐνεργειῶν οὐσῶν ἐν τῇ τῶν καταγμάτων θεραπείᾳ, τάσεως, διαπλάσεως, ἐπιδέσεως, ἀποθέσεως, ἓν κοινὸν ἐν πάσαις δεῖ εἶναι σχῆμα. διαπλάττεται μὲν γὰρ ἐν τῷ κατατείνεσθαι, διαπλασθέντι δ' εὐθέως ἐπιδεῖσθαι δεῖται, φυλαττομένου τοῦ σχήματος ἐν ᾧ διεπλάσθη. τοῦτο δ' αὖ πάλιν αὐτὸ φυλάττεσθαι χρὴ κατὰ τὴν ἀπόθεσιν. μεταβληθέντα γάρ, ἔνια μὲν τῆς ἐπιδέσεως μέρη χαλαρὰς ἕξει τὰς περιβολὰς τῶν ὀθονίων, ἔνια δὲ θλιβούσας. αἱ μὲν οὖν χαλαραὶ συγχωροῦσαι κινεῖσθαι τοῖς ὀστοῖς, διαφθείρουσι τὴν διάπλασιν, αἱ θλίβουσαι δὲ πόνον ἐργαζόμεναι, φλεγμονὰς γεννῶσιν. ὅτι μὲν οὖν ἓν εἶναι δεῖ σχῆμα κοινὸν τῶν εἰρημένων τεττάρων ἐνεργειῶν, ἐπιδέδεικται. τοὐντεῦθεν δ' ἐπισκεψόμεθα τίσι προσέχοντας σκοποῖς εὑρεῖν χρὴ τοῦθ', ὅτι τεινόντων μὲν ἄριστον σχῆμα, τὸ χωρὶς μεγάλης τάσεως εἰς διάτασιν ἄγειν τὰ κεχωρισμένα τῶν ὀστῶν. ἐν ἀποθέσει δέ, τὸ ἀνωδυνώτατον. ἔσται δ' ἀμφότερα διὰ ἐκείνου τοῦ σχήματος, ὅπερ ἂν ἐπ' εὐθείας τείνῃ τὰς ἶνας τῶν μυῶν. ἐπ' εὐθείας δὲ τείνει τὰ καθ' ἕν τι μόριον τοῦ κώλου φυλάττοντα τὸν ὅλον μῦν. ἵνα γὰρ ἐκ μὲν τῶν ἔνδον ἔχῃ τὴν ἔκφυσιν, οὕτως δ' αὐτὴν ἐσχηματίσθαι, ὡς τὰ μέσα μὲν αὐτοῦ κάτωθεν ἔχειν τοῦ κώλου, τὸ πέρας δ' ἔξωθεν, ἢ τὰ μέσα μὲν ἄνωθεν, ἔξωθεν δὲ τὸ πέρας ἄγεσθαι, ἑλιττόμενος ἐν τῷδε περὶ τὸ κῶλον, ἐπὶ πλέον ἐκτείνεται. ἐὰν μὲν οὖν ἐν τούτῳ τῷ σχήματι κατατείνῃς αὐτόν, ὡς ἱκανῶς διαστῆσαι τὰ μέρη τοῦ καταγέντος ὀστοῦ, καὶ σφοδρῶς ὀδυνήσεται, καὶ κινδυνεύσει διασπασθῆναι. καὶ μέντοι καὶ διεσπάσθησαν ἤδη μύες ἐκκειμένης τάσεως, ᾧ δῆλον ὡς ἓν καὶ ταὐτόν ἐστιν ἀνωδυνώτατόν τε ἅμα, καὶ τοὺς μύας ἀδιαστρόφως φυλάττον σχῆμα, ὅπερ Ἱπποκράτης ἐδήλωσε σαφῶς, ἐρηρεῖσθαι περὶ τοῦ πήχεως ὅλην τὴν χεῖρα, μήτε ἐκτεταμένην ἄκρως, μήτε κεκαμμένην, ἀλλ' ἐν τῷ μέσῳ τούτων. ὅτι δ' ἄριστον τοῦτο τὸ σχῆμα, αὐτὸς ἐδίδαξε. πρῶτον μὲν γὰρ ἐπειδὴ τὸ τοῦ πήχεως ὀστοῦν μακρότερόν ἐστι τοῦ τῆς κερκίδος ἕδρας, καὶ στήριγμα βέβαιον αὐτοῖς ἔσται. οἱ δὲ μύες οἱ μὲν κατὰ τὸν ἔνδον κόνδυλον τοῦ βραχίονος ἐκφυόμενοι, τὰς κάτω τελευτὰς ἔξωθεν ἔχουσι τῆς ὅλης χειρός, οἱ δ' ἐκ τοῦ περὶ τὸ ἐκτὸς ἔσωθεν. οὗ δ' αὖ μυὸς ἥ τ' ἀρχὴ καὶ ἡ τελευτὴ κατὰ τῶν ἐντὸς μορίων ἐστὶ τῆς ὅλης χειρός, τούτου καὶ τὰ ἄλλα σύμπαντα μόρια. καὶ διὰ τοῦτο καὶ αὐτὸς ὅλος ὁ μῦς ὥσπερ γε καὶ ἡ τελευτή, καὶ ὅλος ὁ μῦς οὗτος ἔξωθέν ἐστιν ὅλου τοῦ κώλου. καὶ μὲν δὴ καὶ ἡ πεῖρα δείκνυσιν ἀνωδυνώτατον εἶναι τοῦτο τὸ σχῆμα. τῶν δὲ ἐφ' ἑκάτερον τοῦδε, τὸ μὲν ὕπτιον ἐπὶ πλεῖστόν τε διαστρέφει τοὺς μύας, ὀδυνηρότατόν τε φαινόμενον δείκνυται. τὸ δὲ πρανές, ἐλάττονα μὲν τὴν διαστροφήν, ἐλάττονα δὲ καὶ τὴν ὀδύνην ἐργάζεται. εἴρηται δὲ δυνάμει πάντα τὰ περὶ τοῦ σχήματος τῆς χειρός, ἃ διὰ μικρῶν Ἱπποκράτης ἐφεξῆς διδάξει, λέξει διεξοδικῇ καὶ σαφεῖ χρώμενος, ὡς ὀλίγα πάνυ κατ' αὐτὴν ἐξηγήσεως δεῖσθαι, καὶ μάλιστα τοῖς πεπαιδευμένοις τὴν ἐν παισὶ παιδείαν, ἢ παρὰ διδασκάλοις ἀνεγνωκόσιν τὸ βιβλίον, οἷσπερ δὴ καὶ γράφεται τὰ ὑπομνήματα.

Αὕτη γὰρ ἡ δικαιοτάτη φύσις.

Ὡς εἰ καὶ οἰκειοτάτη εἶπεν. ὅταν γὰρ ἑκάστῳ πράγματι τὸ οἰκεῖον φυλάττηται, δικαίως ἔχει τε καὶ διοικεῖται τοῦτο. τὸ δ' ἄλλο οἰκεῖον ἐν σώματι παρὰ τὸ κατὰ φύσιν, οὐδ' ἐπινοῆσαι ῥᾴδιον. ὅταν οὖν ἑκάστῳ μορίῳ, καὶ σχήματι καὶ χρώματι, καὶ μεγέθει ὑπάρχῃ τὸ οἰκεῖον, ἄριστα δείκνυται.

Ἢν δέ τι ἐγκλίνῃ, ἢ τῇ ἢ τῇ ἐπὶ τὸ πρηνὲς ῥέπειν, ἐλάσσων γὰρ ἡ ἁμαρτάς, ἢ ἐπὶ τὸ ὕπτιον.

Δυοῖν σχημάτων ἐμνημόνευσεν ὑπτίου τε καὶ πρηνοῦς, ἃ λέγεται μὲν κατὰ τοῦ σώματος ὅλου, λέγεται δὲ καὶ καθ' ἑνὸς αὐτοῦ μορίου τῆς χειρός. ὅλον μὲν οὖν τὸ σῶμα κεῖσθαι πρηνὲς λέγομεν, ὅταν ἡ μὲν γαστὴρ κάτωθεν, ἄνωθεν δὲ ᾖ τὸ νῶτον. ὕπτιον δὲ ἔμπαλιν, ὅταν ἄνωθεν μὲν ἡ γαστήρ, κάτωθεν δὲ τὸ νῶτον, ὧν καὶ νῦν αὐτὸς μνημονεύσας σχημάτων, ἐνεδείξατο τὸν λόγον αὐτῷ περὶ τῆς χειρὸς ἐσόμενον. οὐ γὰρ δὴ τὸ ὅλον σῶμα καταγῆναί τις ἢ ἐξαρθρηκέναι δύναται. διατί δὲ ἐπὶ τὸ πρηνὲς αὐτὴν ῥέπειν ἀμεινόν ἐστι, ὅταν γέ τις σφαλεὶς ἁμάρτῃ τοῦ εὐθέως, αὐτὸς ἐν τῇ ἑξῆς ἐδίδαξεν.

Οἱ μὲν οὖν μηδὲν προβουλεύσαντες οὐδὲν ἐξαμαρτάνουσιν ὡς ἐπὶ τὸ πολύ. αὐτὸς γὰρ ὁ ἐπιδεόμενος τὴν χεῖρα ἀπορέγει οὕτως, ὑπὸ τῆς δικαίης φύσεως ἀναγκαζόμενος.

Οἱ ἰατροί φησιν οἱ μηδὲν προδιασκεψάμενοι περὶ τοῦ κατὰ φύσιν ἐν τῇ χειρὶ σχήματος, ὡς τὸ πολὺ βέλτιον θεραπεύουσι τῶν μοχθηρῶν λογισμῶν χρωμένων. αὐτὸς γὰρ ὁ ἐπιδεῖσθαι μέλλων ἰδιώτης τὴν χεῖρα παρέχει τῷ ἰατρῷ κατὰ τὸ ἀνωδυνώτατον σχῆμα διδασκόμενος ὑπὸ τῆς φύσεως, ἣν καὶ νῦν δικαίαν ὠνόμασεν, ὡς ἂν τὸ προσῆκον, ὅπερ ἐστὶν οἰκεῖον εὑρίσκουσαν ἑκάστῳ μορίῳ κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν, καὶ τὴν μετὰ ταῦτα διοίκησιν ἐν ἁπάσῃ τῇ ζωῇ. αὐτὸς γὰρ ὁ ἐπιδησόμενος τὴν χεῖρα ἀπορέγει. τὸ ἀπορέγειν τινὲς μὲν ἤκουσαν ἐν ἴσῳ τῷ ὀρέγειν, τουτέστι παρέχει τῷ ἰατρῷ. τινὲς δὲ ἐπὶ τοῦ ἀποκωλύειν τὸν ἀβελτέστερον ἰατρόν, ἐπὶ τοὐναντίον ἀπάγουσιν. φύσει γὰρ ἅπαντες ἄνθρωποι τὸ ἀνωδυνώτατον αἱροῦνται σχῆμα καθ' ἕκαστον τῶν μορίων. αὐτὸ δὲ τοῦτο δείκνυσιν ὁ Ἱπποκράτης ἰθύτατον εἶναι. παρέχουσί τε οὖν ἑαυτοὺς οἱ κάμνοντες ἐν τούτῳ, μετασχηματιζόντων τε τῶν ἰατρῶν εἰς ἕτερον ἀγανακτήσουσιν, ἀντιτείνοντές τε καὶ οὐ συνεπόμενοι διὰ τὴν ὀδύνην, ὃ τοῦτο φασὶν ὑπὸ τοῦ Ἱπποκράτους δεδηλῶσθαι διὰ τοῦ ἀπορέγειν ῥήματος. ὁπότερον δ' ἂν ᾖ κεχρημένος, αὐτὸ τὸ πρᾶγμα ταὐτὸν ἑκατέρως διαμένει. τῶν γὰρ ἰατρῶν ὅσοι μοχθηρῶς σοφιζόμενοι κακῶς σχηματίζουσι τὴν χεῖρα, βελτίους εἰσὶν οἱ ἰδιῶται τὸ ἀνώδυνον αἱρούμενοι σχῆμα. ἀπορέγει γοῦν οὕτως ὑπὸ τῆς δικαίας φύσεως ἀναγκαζόμενος. ἔνιοι μὲν κοινὸν ἀμφοῖν εἶναι νομίζουσι. μένοντος δὲ τοῦ διδασκομένου πράγματος, ὅπως ἄν τις ἀκούῃ τὸ ζητεῖν ἐπὶ πλέον ὑπὲρ τῶν τοιούτων περιττόν. ἄχρηστά τε γὰρ ἅμα καὶ δυνατὰ τὸ σύμπαν ἐστὶν εὑρίσκεσθαι τὰ κατὰ τὰς ἀμφιβόλους λέξεις ἑρμηνεία, διὸ καὶ παρατρέχειν αὐτὰ χρὴ τὸν τοῦ χρόνου φειδόμενον, ὡς ἔχειν εἰς τὰ χρήσιμα μᾶλλον ἀναλίσκειν αὐτόν.

Οἱ δὲ ἰητροὶ σοφιζόμενοι, δῆθεν ἐστὶν οἳ ἁμαρτάνουσιν. ἀτὰρ δὴ μὲν οὖν οὐ πολλὴ χεῖρα καταγῆναι χειρίσαι, καὶ παντὸς δὲ ἰητροῦ, ὡς ἔπος εἰπεῖν.

Σοφιζομένους εἴρηκε τοὺς σοφὸν μέν τι δοκοῦντας εὑρίσκειν, ἁμαρτάνοντας δέ, καὶ διὰ τοῦτο μηδὲ τὰ τοῖς ἰδιώταις ἅπασι καλῶς γινωσκόμενα φυλάττοντας.

Ἀναγκάζομαι δὲ πλείω γράφειν περὶ αὐτέου, ὅτι οἶδα ἰητροὺς σοφοὺς δόξαντας εἶναι ἀπὸ σχημάτων χειρὸς ἐν ἐπιδέσει, ἀφ' ὧν ἀμαθέας αὐτέους ἔχρην δοκέειν εἶναι. ἀλλὰ γὰρ πολλὰ οὕτω ταύτης τῆς τέχνης κρίνεται. τὸ γὰρ ξενοπρεπὲς οὔπω ξυνιέντες εἰ χρηστόν, μᾶλλον ἐπαινέουσιν ἢ τὸ ξύνηθες, ὃ ἤδη οἴδασιν ὅτι χρηστόν, καὶ τὸ ἀλλόκοτον, ἢ τὸ εὔδηλον.

Αὐτὸς ἐνεδείξατό σοι διὰ τῶν ἐφεξῆς ἁπάντων, ἃ ἐστὶν ἀσαφῆ, διατί μακρὸν ἐποιήσατο τὸν περὶ τοῦ σχήματος τῆς χειρὸς λόγον, καίτοι γε ὄντα δυσάρεστον, ὄντα μακρὸν ὄντα κατὰ τὴν αὐτοῦ φύσιν. εὑρήσεις δὲ εὐθέως ἐκ τούτου καὶ τὴν αἰτίαν τοῦ μὴ ταύτῃ τεταγμένην αὐτῷ γεγονέναι τὴν διδασκαλίαν. ἀεὶ γὰρ ἕκαστος ἡμῶν περὶ τοῦ κατεπείγοντος ἁπάντων πρῶτον ποιεῖται τὸν λόγον. ἐπεὶ τοίνυν ἐγίνωσκε μὴ ὀρθῶς τοῖς κατ' αὐτὸν ἰατροῖς, ὡς χρὴ τὸν ἰατρὸν κατάτασιν ἡγεῖσθαι τῆς συμπάσης θεραπείας τῶν ἐξαρθρωμάτων τε καὶ καταγμάτων. ἠγνοεῖτο δὲ τὸ κατὰ φύσιν σχῆμα, διὰ τοῦτο περὶ πρώτου τοῦδε τὸν λόγον ἐποιήσατο, καὶ πολύ γε μᾶλλον ἔτι, διότι τὰ χείριστα τῶν σχημάτων ἔνιοι τῶν ἰατρῶν αἱρούμενοι πρὸ τοῦ βελτίστου, μοχθηροῖς λόγοις ἑαυτούς τε καὶ τοὺς ἄλλους ἔπειθον. εἰ μὲν ἁπλῶς ἠγνόουν, διδασκαλίας ἂν αὐτοῖς ἀληθοῦς ἔδει. ἐπεὶ δ' οὐ μόνον ἠγνόουν, ἀλλὰ καὶ προσειλήφεισαν οἴησιν γνώσεως, ἀναγκαῖον ἐγένετο τῷ Ἱπποκράτει πρότερον ἐκκόψαι ταύτην, καὶ καθαρὰν ἐργασαμένῳ τὴν ψυχήν, οὕτως ἀληθῶς εἰς αὐτὴν ἐντιθέναι τὴν τῶν ἀληθῶν ἐπιστήμην.

Ῥητέον οὖν ὁκόσας ἐθέλω τῶν ἁμαρτάδων τῶν ἰητρῶν, τὰς μὲν ἀποδιδάξαι, τὰς δὲ διδάξαι περὶ τῆς φύσεως τῆς χειρός.

Ἀποδιδάξαι μὲν θέλει τὰς μὴ νομιζομένας τοῖς ἰατροῖς ἁμαρτίας εἶναι, κατ' ἀλήθειαν δ' οὔσας, διδάξαι δὲ τὰς νομιζομένας μὲν εἶναι, μὴ οὔσας δέ.

Καὶ γὰρ ἄλλων ὀστέων τῶν κατὰ τὸ σῶμα δίδαγμα ὅδε ὁ λόγος ἐστίν.

Εἰκότως φησὶ κοινὸν εἶναι πολλῶν καὶ ἄλλων ὀστέων, τῆς ἰάσεως δηλονότι τὸν λόγον τοῦτον. οἱ γὰρ σκοποὶ πρὸς οὓς ἀποβλέποντας, εὑρίσκειν χρὴ τὸ κατὰ φύσιν ἐν ἑκάστῳ σχήματι, κοινὸν πάντων εἰσίν, ὡς εἴρηται πρόσθεν ὑφ' ἡμῶν, δύο ὄντες, ὅ, τε τῆς ἀνωδυνίας, καὶ ὁ τῆς εὐθύτητος. εὑρίσκεται δέ, ὁ μὲν τῆς ἀνωδυνίας ἐκ τῆς πείρας, ὁ δὲ τῆς εὐθύτητος ἐκ τῆς θέσεως τῶν μορίων, ἣν ἐξ ἀνατομῆς διδασκόμεθα.

Τὴν μὲν οὖν χεῖρα περὶ οὗ ὁ λόγος, ἐδόκεέ τις καταδῆσαι καταπρηνέα ποιήσας, ὁ δὲ ἠνάγκαζεν οὕτως ἔχειν, ὥσπερ οἱ τοξεύοντες, ἐπὴν τὸν ὦμον ἐμβάλλωσιν, καὶ οὕτως

ἔχουσαν ἐπέδει, νομίζων ἑωυτῷ εἶναι ταύτην τὴν κατὰ φύσιν, καὶ μαρτύριον ἐπήγετο τά τε ὀστέα ἅπαντα τὰ ἐν τῷ πήχει ὅτι ἰθυωρίην κατ' ἄλληλα εἶχε, τήν τε ὁμοχροίην, ὅτι αὐτὴ καθ' ἑωυτὴν τὴν ἰθυωρίην ἔχει. οὕτω καὶ ἐκ τοῦ ἔξωθεν μέρεος καὶ ἐκ τοῦ ἔσωθεν. οὕτω δὲ ἔφη καὶ τὰς σάρκας καὶ τὰ νεῦρα πεφυκέναι, καὶ τὴν τοξικὴν ἐπήγετο μαρτύριον, ταῦτα λέγων καὶ ταῦτα ποιέων σοφὸς ἐδόκεεν εἶναι. τῶν δὲ ἄλλων τεχνέων ἐπελελήθει, καὶ ὁκόσα ἰσχύϊ ἐργάζονται, καὶ ὁκόσα τεχνήμασιν, οὐκ εἰδὼς ὅτι ἄλλο ἐν ἄλλῳ τὸ κατὰ φύσιν σχῆμά ἐστιν, καὶ ἐν τῷ αὐτέῳ ἔργῳ ἕτερα τῆς δεξιῆς χειρὸς σχήματα κατὰ φύσιν ἐστίν, καὶ ἕτερα τῆς ἀριστερῆς, ἢν οὕτω τύχῃ. ἄλλο μὲν γὰρ σχῆμα ἐν ἀκοντισμῷ κατὰ φύσιν, ἄλλο δὲ ἐν σφενδονήσει, ἄλλο δὲ ἐν λιθοβολίῃσιν, ἄλλο ἐν πυγμῇ, ἄλλο ἐν τῷ ἐλινύειν. ὁκόσας δ' ἄν τις τέχνας εὕροι, ἐν ᾗσιν οὐ τὸ αὐτὸ σχῆμα τῶν χειρέων κατὰ φύσιν ἐστίν, καὶ ἐν ἑκάστῃ τῶν τεχνέων, ἀλλὰ πρὸς τὸ ἄρμενον ὃ ἂν ἔχῃ ἕκαστος, καὶ πρὸς τὸ ἔργον ὃ ἂν ἐπιτελέσασθαι θέλῃ σχηματίζονται αἱ χεῖρες. τοξικὴν δὲ ἀσκέοντι, εἰκὸς τοῦτο τὸ σχῆμα κράτιστον εἶναι τῆς ἑτέρης χειρός.

Χρὴ καὶ τῶν τοιούτων ἅπαξ που μνημονεῦσαι, ἵν' ἡμῖν οὕτως πραχθήσεται. τῶν δοξοσόφων δέ τις ἰατρῶν ἐπανορθούμενος, ὡς οἴεται, τὴν προκειμένην λέξιν, ὡς οὐκ ὀρθῶς ἔχουσαν ἔγραψεν ὧδε. τὴν οὖν χεῖρα περὶ ἧς ὁ λόγος, ἐνδεικνύμενος ἡμῖν δηλονότι τὴν ἑαυτοῦ παιδείαν ἣν ἐπαιδεύετο παρὰ γραμματικοῖς τε καὶ ῥήτορσιν, ὡς ἀγνοεῖν τὸ συνηθέστατον εἶδος τῆς ἑρμηνείας ἅπασι τοῖς παλαιοῖς, ἐλλειπτικῶς δηλονότι γιγνόμενον, ἔστι τὸ πλῆρες ὃ δεῖ προσυπακούειν ἡμᾶς τοιόνδε. τὴν οὖν χεῖρα περὶ οὗ ὁ λόγος, ἣν ἔδωκέ τις καταδῆσαι, πρηνέα ποιήσας, ὡς τὸ πολὺ μὲν ἐν τῷ προσήκοντι σχήματι τὴν χεῖρα παρέχουσι τοῖς ἰατροῖς οἱ ἰδιῶται. τινὲς δὲ αὐτῶν ὑπὸ περιεργείας τὸν μὲν φυσικὸν σκοπὸν ὑπερβαίνουσιν ὅστις ἐστὶ τὸ ἀνώδυνον, πρηνὲς τοῦτο εἶναι νομίζοντες βέλτιον· οὐ μὴν ὑπτίαν γέ τις ἰδιώτης ἰατρῷ παρέχει τὴν χεῖρα. πάνυ γὰρ ἀποκεχώρηκε τοῦ ἀνωδύνου τοῦτο τὸ σχῆμα. τῶν ἰατρῶν δ' ἔνιοι δι' ἀμαθίαν ἅμα καὶ δοξοσοφίαν προσίενταί ποτ' αὐτό, καὶ διὰ τοῦτο παραπλησίως τοῖς τοξεύουσι τὴν ὅλην χεῖρα σχηματίζονται, οἱ μὲν ἀκριβῶς ὑπτίαν, οἱ δὲ ὀλίγου δεῖν οὕτως ἔχουσαν. ἐπεὶ δ' οὖν ἁμαρτάνοντες οὐ κατὰ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἀποτεταμένην, οὐδ' ἦν λογισμὸς αὐτῶν ἦν ὁ Ἱπποκράτης ἔγραψε τοιῶσδε. ὁ τῶν σχηματισάντων ὅλην τὴν χεῖρα παραπλησίως τοῖς τοξεύουσι τὰ ὀστᾶ κατ' εὐθὺ γίγνεται, καὶ ὁμόχροια τῶν τῆς ὅλης χειρὸς μελῶν. ἀλλὰ ταῦτα μὲν πιθανώτατά ἐστιν, καὶ ἀπ' ἀλλήλων ἐρχόμενα, τὸ δὲ καὶ τὰς σάρκας, καὶ τὰ νεῦρα τοῖς ὀστοῖς ὡσαύτως ἐν τούτῳ τῷ σχήματι τὴν κατ' εὐθὺ θέσιν ἅπασι τοῖς ἑαυτῶν μορίοις φυλάττειν, οὐκέτ' ἀληθές. εἰ δέ γ' ἦν οὕτως ἀληθές, οὐκ ἀπίθανον ἂν ἦν μόνον, ἀλλὰ καὶ βεβαιότατον γνώρισμα τοῦ κατὰ φύσιν εἶναι τὸ τοιοῦτον σχῆμα. ταῦτα μὲν οὖν* ἀνέκταται. τὴν δὲ τοξικὴν ἐπάγεσθαι μαρτύριον, ἀνόητον ἐσχάτως ἐστί, καὶ βέλτιον ἦν μηδ' ὅλως αὐτὸ λελέχθαι πρὸς Ἱπποκράτους, ἢ μετὰ σπουδῆς ἐλελέχθη. τὰ γὰρ ἐσχάτως ἠλίθια, καταφρονεῖσθαι μᾶλλον ἢ ἐλέγχεσθαι προσήκει, τόν γε διὰ τῶν γραμμάτων ἔλεγχον, ὡς τόν γε κατὰ τὸν βίον ἐπ' αὐτῶν τῶν ἔργων οὐδ' ἐγὼ κωλύω γίγνεσθαι, καὶ μάλιστα ὅταν ὁ τὰ τοιαῦτα φλυαρῶν, πείσῃ τοὺς ἀκούοντας ἑαυτῷ τὴν θεραπείαν ἐπιτρέψαι τοῦ κάμνοντος. συμβαίνει γε μὴν ἀντιλέγειν ἡμῖν ἐνίοτε καὶ διὰ γραμμάτων ἠλιθίαις δόξαις, ὅταν πολλοὺς ἴδωμεν, ὡς ἀληθέσιν αὐταῖς πεπεισμένους, ὅπερ καὶ νῦν ὁ Ἱπποκράτης ἔπαθεν, ἐπιδεικνὺς οὐδὲν εἶναι κοινὸν ὑποδέσει τε καὶ τοξικῇ. τὰ δὲ περὶ τῶν ὀστῶν τε καὶ τῶν νεύρων, καὶ τῶν σαρκῶν τῆς εὐθύτητος, ὡς εἰ καὶ μηδὲν ἕνεκα δι' αὐτῶν ἐλέγξειν ἔμελλε κατὰ πρῶτον ἦν λόγον ἀναγκαῖα πρὸς τὴν τοῦ βελτίστου σχήματος εὕρεσιν, ὃ κεφάλαιόν ἐστιν ἐπιλογιστικῶς μὲν ἡ ἀνωδυνία, καὶ γὰρ τοῖς ἰδιώταις τοῦτο δῆλον. ἀναλογιστικῶς δὲ, καὶ κατ' αὐτὴν τοῦ πράγματος τὴν φύσιν, ἡ τῶν μορίων εὐθύτης, ὅπερ οὐκέτ' ἰδιώτῃ δῆλον, ἀλλὰ μόνοις τοῖς ἀνατομικοῖς. ὧν δ' ἐφεξῆς λέγει, τὰ πλεῖστα σαφῆ τέ ἐστι, καὶ οὐδ' ἔχοντα ζητήματα, διὸ παρέρχεσθαι μὲν ἐμοὶ προσήκει τὰ τοιαῦτα πάντα. τοῖς δὲ ἀναγινώσκουσι τὸ βιβλίον, ἐγχρονίζειν τε καὶ μὴ παρατρέχειν. ὁ δὲ ἠνάγκαζεν οὕτως ἔχειν, ὅκως περ οἱ τοξεύοντες ἐπὴν τὸν ὦμον ἐμβάλωσιν, ἀσαφές ἐστι καὶ ἄδηλον ὅπερ εἴρηται, διὰ τοῦτο τινὲς ὑπέλαβον μὲν αὐτὸν οὕτως εἰρηκέναι τὴν λέξιν. ἐπειδὴ τῆς χειρὸς ἀποτεινομένης, ἐμβαίνει τοῦ βραχίονος ἡ κεφαλὴ τῇ κοιλότητι τοῦ τῆς ὠμοπλάτης αὐχένος, οὐκ ἐμβεβηκυῖα πρότερον ὁπότ' ἐκάθειτο. παράκειται γὰρ μόνον καὶ ψαύει τηνικαῦτα, ἅπερ αὐτὸς εἶπεν ἐν τῇδε τῇ λέξει. ὁμιλεῖ δὲ ὁ βραχίων τοῦ κοίλου τῆς ὠμοπλάτης πλαγίως, ὁπότε παρὰ τὰς πλευρὰς ᾖ παρατεταμένη ἡ χείρ. ἔνιοι ἐκ μεταφορᾶς οὕτως εἰρῆσθαι φασὶν ἀπὸ τῆς ἐμβολῆς τῶν νηῶν ἃς ποιοῦνται καταδῦσαι βουλόμενοι τὰς ἐναντίας. ὅταν γὰρ ἀποσιμώσαντες τὴν πρῷραν, ἐπιτηδείαν ἐργάζωνται πρὸς τὸ σφοδρῶς ἐρράγεισαν δ' ἑτέραν, εἰ καὶ μάλιστα κατὰ τὸ πλάγιον, ὅλην αὐτὴν διαλῦσαί τε καὶ καταδῦσαι παρασκευάσασθαι φασὶν, ὡς εἰς ἐμβολὴν τηνικαῦτα, καὶ παρὰ τοῖς κωμικοῖς δὲ τὰ προτεινόμενα μόρια τοῦ σώματος, ὡς εἰς ἐμβολὴν παρασκευάσθαι λέγεται, καθότι καὶ ὁ Ἀριστοφάνης ἐδήλωσεν εἰπών· χωρεῖ ὑπογραμμὴν λορδὸς ὡς ἐμβολῇ. αἱ δὲ ἐφεξῆς τῇδε λέξεις, ἅπασαι σαφεῖς εἰσὶ τοῖς προσέχουσι τὸν νοῦν ἄχρι τῆς ὑπογεγραμμένης.

Τοῦ γὰρ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεος βαθμίδι, ἐν τουτέῳ τῷ σχήματι ἐρεῖδον, ἰθυωρίην ποιέει τοῖσιν ὀστέοισι τοῦ πήχεος, καὶ τοῦ βραχίονος, ὡς ἓν εἴη τὸ πᾶν.

Ὁ λόγος οὖν αὐτός ἐστι πρὸς τοὺς ὑποδοῦντας ἐκτεταμένην τὴν χεῖρα οὕτως πᾶσαν, ὡς ἤδη τῶν τοξευόντων ἡ ἀεὶ

στρὰ διάκειται. λέγει γὰρ ὅτι πρὸς μὲν ἐκείνην τὴν ἐνέργειαν εἰκότως ἐδέησεν ἐκτεταμένην αὐτὴν ἐν τῷ τὴν νευρὰν ὀπίσω πρὸς τῆς δεξιᾶς ἕλκεσθαι μὲν, τὸ δὲ τόξον ὅλον ὑπὸ τῆς αὐτῆς χώρας ὑπὸ τῆς ἀριστερᾶς κρατούμενον, ἀκλινές. ἐὰν γὰρ τῆς νευρᾶς ὑπὸ τῆς δεξιᾶς ἑλκομένης σφοδρῶς ὀπίσω, συναπενεχθῇ τὸ σύμπαν τόξον, ἡ τοῦ βέλους εἰς τοὔπισω φορὰ κωλυθήσεται δεομένη ἀπὸ στερεωτάτης καὶ μεταπεταμένης ἀφίεσθαι τῆς νευρᾶς. ὅσον μὲν οὖν αὐτῆς τῆς ἐσχάτης τάσεως ὑφῇ, τοσοῦτον καὶ τῆς ἀφέσεως ἡ βία μειωθήσεται. προωμολογημένου δὴ τούτου, τὴν αἰτίαν Ἱπποκράτης προσίθησιν οὖσαν τοιάνδε. τοῦ γὰρ βραχίονος τὸ γιγγλυμοειδὲς, ἐν τῇ τοῦ πήχεως βαθμίδι ἐν τούτῳ τῷ σχήματι ἐρεισθὲν, ἐπ' εὐθείας μὲν ἐργάζεται τὸ τοῦ βραχίονος ὀστοῦν καὶ τὸ τοῦ πήχεως, ἀκλινῆ δὲ φυλάττει τὴν ὅλην χεῖρα. τὸ γιγγλυμοειδὲς δὲ βραχίονος, ὀνομάζει τὸ κάτω πέρας ὃ διαρθροῦται πρὸς τὸν πῆχυν, ἐπειδὴ καὶ οἱ γίγγλυμοι τὰ μὲν ἔνια κοῖλα, τὰ δὲ ἐξέχοντα κεκτημένοι, τοῖς μὲν κοίλοις ὑποδέχονται τὰς ἐξοχὰς τῶν πλησιαζόντων, τοῖς δὲ ὑπερέχουσιν εἰς τὰς ἐκείνων ἐμβαίνουσι κοιλότητας. ὡσαύτως δὲ καὶ τὸ κάτω τοῦ βραχίονος εἰς κυρτὴν περιφέρειαν τελευτῶν, ἐξοχαῖς κοιλοτέρεσιν ἑκατέρωθεν ἐχομέναις ὁμοιότητα, ταῖς περὶ τὰς τροχιλίας ὀνομαζομέναις. αὕτη μὲν ταύτῃ τῇ τραχηλώδει περιφερείᾳ στηρίζεται, κατὰ τὰς ἐν τῷ πήχει κοιλότητας. ἐπὶ δὲ τοῖς πέρασιν αὐτῆς ἔχων βαθμίδας, τὴν μὲν ἐν τοῖς πρόσω μέρεσι, τὴν δὲ εἰς τοὔπισω δέχεται καθ' ἑτέρας αὐτῶν ἐξοχὰς τοῦ πήχεως ὁμοίας κορώναις. ὁ γὰρ πῆχυς ἐοικὼς τῷ σ στοιχείῳ, τὸ ἄνωθεν αὐτοῦ πέρας ἔχων καθ' ὃ τῷ βραχίονι διαρθροῦται, περιλαμβάνει τε τὴν τραχηλοειδῆ περιφέρειαν τοῦ βραχίονος ὀλίγου δεῖν ὅλην. ὅταν οὖν οὕτως ἔχῃ σχήματος ἡ χεὶρ, ὡς ὀρθὴν γωνίαν ἐργάζεσθαι τὸ τοῦ βραχίονος ὀστοῦν πρὸς τὸ τοῦ πήχεως, αὐτός τε πάλιν ὅταν ἡσυχάζοντος ἐκείνου περὶ τὴν κυρτότητα κινῆται, πρόσω μὲν φερόμενος, κάμπτει τὴν κατ' ἀγκῶνα διάρθρωσιν, ὀπίσω δὲ ἐκτείνει. περὶ μὲν τὴν ἐσχάτην καμπὴν ἡ πρόσω τοῦ πήχεως κορώνη, τῇ περὶ τὴν κοιλότητι τοῦ βραχίονος ἐμβαίνει. κατὰ δὲ τὴν ἔκτασιν ἡ ὄπισθεν αὖ πάλιν ἐγκαταβαίνει τῇ περὶ τὴν τεταγμένῃ βαθμίδι, μείζων οὖσα μείζονι, καὶ διὰ τοῦτ' ἐπὶ πλεῖστον ἐκτείνειν τε καὶ κάμπτειν ὅλην τὴν χεῖρα δυνάμεθα, μὴ δυνηθέντες οὕτω πράττειν, εἰ μηδεμίαν εἶχεν ὁ βραχίων κοιλότητα. τοιαύτην τοιγαροῦν φύσιν ἐχούσης τῆς κατ' ἀγκῶνα διαρθρώσεως, ἐγγώνιον μὲν λαβούσης σχῆμα τῆς ὅλης χειρὸς. οὕτως δ' Ἱπποκράτης ὀνομάζει τὴν ἐπ' ὀρθὴν γωνίαν σχέσιν τοῦ βραχίονος πρὸς τὸν πῆχυν, ἡ τραχηλώδης κυρτότης μέση στηρίζεται κατὰ μέσης τῆς σιγμοειδοῦς τοῦ πήχεως κοιλότητος. ἐν δὲ ταῖς ἐκτάσεσιν τῆς ὅλης χειρὸς ὀπίσω φερομένου τοῦ πήχεως, ἡ κατὰ τὴν κορώνην τῆς κινήσεως ἡγεῖται. ἵσταται δὲ τότε καὶ παύεται πρῶτον, ὅταν ἐξίκηται πρὸς τὴν ἐνταῦθα κοιλότητα τοῦ βραχίονος. συμβαίνει δ' ἐν τούτῳ τὴν μὲν διάρθρωσιν ἐκτείνεσθαι, τοῦ δὲ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεως ἐρηρεῖσθαι βαθμίδι. καλεῖ γὰρ οὕτως ὁ Ἱπποκράτης οὐ μόνον ταύτην, ἀλλὰ καὶ τὰς ἄλλας ἁπάσας κοιλότητας αἷς ἐμβαίνουσιν ἐξοχαί τινες ὀστῶν.

Καὶ ἡ ἀνάκλασις τοῦ ἄρθρου κέκλασται ἐν τουτέῳ τῷ σχήματι. εἰκὸς οὖν οὕτως ἀκαμπτότατόν τε καὶ τετανώτατον εἶναι τὸ χωρίον, καὶ μὴ ἡσσᾶσθαι, μηδὲ ξυνδιδόναι ἑλκομένης τῆς νευρῆς ὑπὸ τῆς δεξιῆς χειρός. καὶ οὕτως ἐπὶ πλεῖστον μὲν τὴν νευρὴν ἑλκύσει, ἀφύσει δὲ ἀπὸ στερεωτάτου, καὶ ἀθροωτάτου. ἀπὸ τῶν τοιουτέων γὰρ ἀφεσίων τῶν τοξευμάτων, ταχεῖαι καὶ αἱ ἰσχύες, καὶ τὰ μήκεα γίνεται. ἐπιδέσει δὲ καὶ τοξικῇ οὐδὲν κοινόν.

Τῶν τῆς χειρὸς σχημάτων τὸ μὲν ἐκτεταμένης αὐτῆς ἀποτελούμενον ἐναντίον ἐστὶ τῷ κεκαμμένης γιγνομένῳ. τὸ ὑπτίας, τῷ πρανοῦς. ταῦτα μὲν οὖν ἔσχατα, καὶ οἷον ὑπερβολῶν καὶ τέτταρα σχήματα, δύο δ' ἄλλα μέσα. τὸ μὲν ἐσχάτης ἐκτάσεώς τε καὶ κάμψεως, ὅπως ἔφην Ἱπποκράτης ἐγγώνιον ὀνομάζει. τὸ δ' ὑπτίου τε καὶ πρανοῦς, ἐν ᾧ τὸν πῆχυν ὑποτετάσθαι φησὶν τῇ κερκίδι. ὥσπερ οὖν τοῦτο προσαγορεύει δίκαιόν τε καὶ εὐθὺ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὸ καλούμενον ἐγγώνιον ἐν ᾧ τὸν βραχίονα πρὸς τὸν πῆχυν ἐπ' ὀρθὴν ἐργάζεται γωνίαν. ἀλλ' εἴπερ εὐθὺ τοῦτ' ἐστὶ, ἀκόλουθον καλεῖν οὐκ εὐθὺ τὸ τῆς χειρὸς ἐκτεταμένης γιγνόμενον. εἰ δ' οὐκ ἔστι τοιοῦτον σχῆμα, κεκλασμένον αὖ εἴη πρὸς τοὐκτὸς δηλονότι, καθάπερ γε καὶ εἰ ἀνακλασθείη πρὸς τοὔπισω τὸ τοῦ πήχεως ὀστοῦν εἰς τοσοῦτον ὡς ἤδη γωνίαν ἐργάζεσθαι πρὸς τὸ τοῦ βραχίονος, ὥσπερ ἤδη καὶ ὦπται τισὶ γιγνόμενον, οὓς ἀναγκαῖον ἔχειν ἱκανῶς βαθεῖαν τὴν ὀπίσω κοιλότητα τοῦ βραχίονος, εἰς ἣν ἐγκαταβαίνει τὸ τοῦ πήχεως ἡ περὶ τὴν κορώνην. καὶ εἴπερ ἦν ἡ κοιλότης αὕτη βαθυτάτη πᾶσιν ἡμῖν, ἐγκάμπτομεν αὖ εἰς τοὔπισω τὴν χεῖρα, καθάπερ ἔφην ἐν οἷς ἐπὶ βραχὺ τοῦτο συμβαίνει, οὐκ ἐχούσης αὐτοῖς τὸ ἀκριβὲς περὶ φύσιν μέτρον τῆς ὄπισθεν βαθμίδος, ἀλλ' ἐπὶ πλέον ἐκθλιμμένης.

Τοῦτο μὲν γὰρ εἰ ἐπιδήσας ἔχειν τὴν χεῖρα οὕτω ἔμελλεν, πόνους αὖ ἄλλους πολλοὺς προσετίθει μέζονας τοῦ τρώματος. τοῦτο δ' εἰ συγκάμψαι ἐκέλευεν, οὔτε τὰ ὀστέα, οὔτε τὰ νεῦρα, οὔτε αἱ σάρκες ἔτι ἐν τῷ αὐτέῳ ἐγίνοντο, ἀλλὰ ἄλλῃ μετεκοσμεῖτο, κρατέοντα τὴν ἐπίδεσιν, καὶ τί ὄφελος τοξικοῦ σχήματος. καὶ ταῦτα ἴσως οὐκ ἂν ἐξημάρτανε σοφιζόμενος, εἴα τὸν τετρωμένον αὐτὸν τὴν χεῖρα παρασχέσθαι.

Τὴν ἐκτεταμένην ὁ ἐπιδήσας χεῖρα, πάντως μὲν αὖ φησὶν ἢ οὕτως ἔχουσαν, ἐφύλαττεν ἢ συνεχώρησεν οὕτω κάμψαι. καθ' ἑτέρον δ' ἔβλαψεν τὸν κάμνοντα, φυλαττομένου μὲν τοῦ σχήματος τῷ διηνεκεῖ τῆς ὀδύνης. μεταβληθέντος δὲ τῷ διαφθείρεσθαι τὴν χεῖρα τῆς ἐπιδέσεως, ἧς σκοπὸς μὲν ἐστὶ φυλάττεσθαι τὴν διάπλασιν ὑπὸ τῶν περιβεβλημένων ὀθονίων ἀθλίπτως κρατουμένην. ἐν δὲ τῷ μεταβάλλειν τὸ σχῆμα, τοὐναντίον αὖ ἐγένετο, τὴν μὲν ἐπίδεσιν μηκέτι κρατεῖν τοῦ κατάγματος. ἄγεσθαι δ' αὐτὴν καὶ συμμεταφέρεσθαι μετασχηματιζομένοις, τοῖς τε νεύροις καὶ τοῖς μυσὶν, οὓς σάρκας ὠνόμασε, διδάσκων ἡμᾶς μὲν οὐσίαν αὐτῶν. αἱ γὰρ αἰσθηταὶ σάρκες αὗται κατ'

ἐπικράτειαν ὀνομασμένας τῶν ἁπλῶν σαρκῶν οἱ μύες εἰσὶν ἔχοντες ἐν ἑαυτοῖς ἶνας ἐκ τῶν νεύρων καὶ συνδέσμων σχίσεως. ὁ γάρ τοι μῦς ὅλως ὑπὸ τῆς φύσεως γεννᾶται ταῖς ἰσὶ ταύταις, ἐπιπηγνυμένης ἐν κύκλῳ τῆς ἁπλῆς σαρκὸς, καὶ αὕτη τοῦ μυὸς ἐστὶν ἡ ἴδιος οὐσία. φλέβας γὰρ καὶ ἀρτηρίας εἰς ἑαυτὸν ὑποδέχεται, τοῦ τρέφεσθαί τε καὶ ζῆν ἕνεκεν, ὥσπερ γὰρ καὶ τἆλλα πάντα μόρια. τὸ δὲ ἴδιον σῶμα τοῦ μυὸς, αἱ ἶνές εἰσι τὴν ἁπλῆν περιφυομένην σάρκα ἔχουσαι. πλείστη μὲν οὖν αὕτη περιφύεται κατὰ τὰ μέσα μέρη τῶν μυῶν, ἐλάττων δ' ἀεὶ καὶ μᾶλλον ἐγγὺς τῆς ἀρχῆς τε καὶ τελευτῆς, διὸ καὶ νευρωδέστεροι μὲν κατὰ τὰ τοιαῦτα, σαρκωδέστεροι δὲ ἐν τοῖς μέσοις αὐτῶν εἰσιν οἱ μύες.

Ἄλλος δ' αὖθις τῶν ἰατρῶν ὑπτίην τὴν χεῖρα δοὺς, οὕτω κατατείνειν ἐκέλευεν, καὶ οὕτως ἔχουσαν ἐπέδει, τοῦτο νομίζων τὸ κατὰ φύσιν εἶναι, τῷ τε χροῒ σημαινόμενος, καὶ τὰ ὀστέα νομίζων κατὰ φύσιν εἶναι οὕτως, ὅτι φαίνεται τὸ ἐξέχον ὀστέον τὸ παρὰ τὸν καρπὸν, ᾗ ὁ σμικρὸς δάκτυλος κατ' ἰθυωρίην εἶναι τοῦ ὀστέου. ἀφ' ὁκοίου τε τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν, ταῦτα τὰ μαρτύρια ἐπήγετο, ὅτι κατὰ φύσιν οὕτως ἔχει, καὶ ἐδόκεεν εὖ λέγειν. ἀλλὰ τοῦτο μὲν ἐὰν ὑπτίη ἡ χεὶρ κατατείνοιτο, ἰσχυρῶς πονοίη ἄν. γνοίη δ' ἄν τις τὴν ἑωυτοῦ χεῖρα κατατείνας, ὡς ἐπώδυνον τὸ σχῆμα. ἐπεὶ καὶ ἀνὴρ ἥσσων κρέσσονα διαλαβὼν οὕτως ἐν τῇσιν ἑωυτοῦ χερσὶν ὡς κλᾶται ὁ ἀγκὼν ὕπτιος, ἄγοι ἂν ὅπῃ ἐθέλοι. οὔτε γὰρ εἰ ξίφος ἐν ταύτῃ τῇ χειρὶ ἔχοι, ἔχοι ἂν ὅτι χρήσαιτο τῷ ξίφει, οὕτω βίαιον τοῦτο τὸ σχῆμά ἐστιν. τοῦτο δὲ εἰ ἐπιδήσας τις ἐν τούτῳ τῷ σχήματι ἐῴη, μέζων μὲν πόνος εἰ περιΐοι, μέγας δὲ καὶ εἰ κατακέοιτο. τοῦτο δὲ εἰ συγκάμψαι τὴν χεῖρα, ἀνάγκη συνάγειν τοὺς μύας, καὶ τὰ ὀστέα ἄλλο σχῆμα ἔχειν. ἠγνόει δὲ καὶ τάδε τὰ ἐν τῷ σχήματι χωρὶς τῆς ἄλλης λύμης. τὸ γὰρ ὀστέον τὸ παρὰ τὸν καρπὸν ἐξέχον, τὸ κατὰ τὸν σμικρὸν δάκτυλον, τοῦτο μὲν τοῦ πήχεός ἐστιν. τὸ δ' ἐν τῇ συγκάμψει ἐὸν, ἀπὸ τοῦ τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν, τοῦτο δὲ τοῦ βραχίονος ἡ κεφαλή ἐστιν.

ἀνάγκη πάσα, τούς τε μύας καὶ τὰ ὀστέα ἄλλο σχῆμα ἔχειν

Ἐάν τις ὑπτίαν σχηματίσῃ τὴν χεῖρα, δόξει τὴν ἔνδον κεφαλὴν τοῦ βραχίονος, ἣν καὶ κόνδυλον ὀνομάζουσιν, τὸ ἄνω πέρας εἶναι τοῦ πήχεος. ἐπειδὴ κατ' εὐθὺ πῶς εἶναι φαίνεται τῷ κάτω πέρατι τῷ κατὰ τὸν καρπὸν ἐξέχοντι κατὰ τὸν μικρὸν δάκτυλον, ὃ μὴν ἅπαντές γε τὸν πῆχυν ἀπὸ τοῦ κατὰ τὸν βραχίονα κονδύλου μετροῦσιν. ἀλλ' εἰσὶ γάρ τινες οἱ προσηκόντως ἀπὸ τοῦ ὀλεκράνου, ὅπερ καὶ ἀγκῶνα καλοῦσιν, ἄρχονται τῆς μετρήσεως. ὁ δ' Ἱπποκράτης εἰπὼν, ἀπὸ τουτέου οἱ ἄνθρωποι τὸν πῆχυν μετρέουσιν, ἐμφαίνειν ἔοικεν ἤτοι πάντας, ἢ τοὺς πλείους ἐντεῦθεν μετρεῖν. ἀλλὰ τοῦτο μὲν ὅπως ἂν ἔχῃ, ἐκεῖ περιττὸν ζητεῖν. ἐκείνως δὲ μεμνῆσθαι προσήκει τοῦ, τὸ κάτω πέρας τοῦ πήχεος τὸ πρὸς τῷ καρπῷ κατ' εὐθὺ γίγνεσθαι τῷ ἄνω πέρατι, κατὰ φύσιν σχηματισάντων τὴν χεῖρα, τὸ μὲν κοῖλον αὐτῆς ἐκ τῶν ἔνδον μερῶν ποιησάντων, τὸ κυρτὸν δὲ ἐκ τῶν ἔξωθεν. συνυπάρχει δ' ἐν τούτῳ τῷ σχήματι, καὶ τὸ τὸν μικρὸν δάκτυλον ὑποκεῖσθαι κάτωθεν, ἄνωθεν δὲ ἐπικεῖσθαι τὸν μέγα.

Ὁ δὲ ᾤετο τωὐτὸ ὀστέον εἶναι τοῦτό τε κἀκεῖνο, πολλοὶ δὲ καὶ ἄλλοι.

Οὐχ οὕτως εἴρηκε τὸ αὐτὸ εἶναι ὀστέον τοῦτό τε κἀκεῖνο, ὡς αὐτόν τινα λέγομεν ἑαυτῷ τὸν αὐτὸν ὑπάρχειν, οἷον τὸν Τελαμώνιον Αἴαντα τῷ Αἰακίδῃ, ἀλλ' ὅτι τοῦ αὐτοῦ ὀστέου πέρας ἑκάτερον ὑπολαμβάνει εἶναι, τουτέστι τοῦ πήχεος.

Ἔστι δὲ ἐκείνῳ τῷ ὀστέῳ τωὐτὸ ὁ ἀγκὼν καλεόμενος, ᾧ ποτὶ στηριζόμεθα.

Ὡς ἤδη τῆς προγεγραμμένης ῥήσεως ἔφην αὐτὸν εἰρηκέναι, τὸ αὐτὸ, καὶ νῦν οὕτως ἀκούειν σε προσήκει, ὅτι τοῦ αὐτοῦ ὀστέου μόρια, τότε πρὸς τῷ καρπῷ, καὶ τὴν ἔνδον ἐξοχὴν τῆς κατ' ἀγκῶνα διαρθρώσεως ἐνόμιζον εἶναι.

Οὕτως οὖν ὑπτίην ἔχοντι τὴν χεῖρα, τοῦτο μὲν τὸ ὀστέον διεστραμμένον φαίνεται. τοῦτο δὲ τὰ νεῦρα ἀπὸ τοῦ καρποῦ τείνοντα ἐκ τοῦ εἴσω μέρεος, καὶ ἀπὸ τῶν δακτύλων, ταῦτα ὑπτίην ἔχοντι τὴν χεῖρα, διεστραμμένα γίνεται. τείνει τε γὰρ ταῦτα τὰ νεῦρα πρὸς τὸ τοῦ βραχίονος ὀστέον ὅθεν ὁ πῆχυς μετρεῖται. αὗται τοσαῦται καὶ τοιαῦται αἱ ἁμαρτάδες καὶ ἄγνοιαι τῆς φύσιος τῆς χειρός. εἰ δ' ὡς ἐγὼ κελεύω χεῖρα καταγεῖσαν κατατείνοι τις, ἐπιστρέψει μὲν τὸ ὀστέον ἐς ἰθὺ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον τὸ ἐς τὸν ἀγκῶνα τεῖνον, ἰθυωρίην δὲ ἕξει τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ πρὸς τοῦ βραχίονος τὰ ἄκρα τείνοντα. ἀναλαμβανομένη δὲ ἡ χεὶρ, ἐν παραπλησίῳ σχήματι ἔσται, ἐν ὥπερ καὶ ἐπιδεομένη. ἄπονος μὲν ὁδοιπορέοντι, ἄπονος δὲ κατακειμένῳ καὶ ἀκάματος.

Ὅταν ὀστοῦ τινὸς, ἢ μυὸς, ἢ νεύρου τὴν μὲν ἀρχὴν ἐκ τῶν ἔνδον μερῶν εἶναι τοῦ κώλου συμβαίνει, τὴν τελευτὴν δὲ ἤτοι γε ἐκτὸς, ἢ ἐκ τῶν κάτω μερῶν, διέστραπται δηλονότι τὸ μόριον τοῦτο. καλῶς οὖν ἔφη διέστραπται πάντα ταῦτα τῆς ὅλης χειρὸς ὑπτίας σχηματισθείσης. αὐτίκα γέ τοι τὰ νεῦρα τὰ ἐπὶ τὴν ἐντὸς χώραν ἀφικνούμενα, τῆς ἄκρας χειρὸς ἐμβάλλει τῷ πήχει περὶ τὴν ὅλην κεφαλὴν τοῦ βραχίονος. ἐὰν οὖν ὑπτίαν ἐργαζόμεθα τὴν χεῖρα, συμβήσεται τὴν μὲν ἀρχὴν τῶν νεύρων τῶν κατὰ τὸν πῆχυν ἐκ τῶν ἔνδον εἶναι μερῶν, τὴν τελευτὴν δὲ ἐκ τῶν ἄνω με-

ρῶν, ὡσαύτως δὲ καὶ τῶν μυῶν καὶ αὐτοῦ τοῦ κατὰ τὸν πῆχυν ὀστοῦ. πάντων γὰρ τούτων ἐκ τῶν ἔνδον μερῶν εἰσιν αἱ ἀρχαὶ, καὶ κατὰ τὸν κόνδυλον τοῦ βραχίονος. ἱκανοὶ δ' ἦσαν καὶ οἱ μῦες μόνοι διαστραφέντες, ἱκανὴν ὀδύνην ἐργάσασθαι, διὰ ταύτην δὲ καὶ φλεγμονήν. εἰ δ' ὡς Ἱπποκράτης ἀξιοῖ τὴν χεῖρα τις σχηματίσειεν, οἱ ἐκ τῶν ἔνδον μερῶν τοῦ πήχεος ἀρχόμενοι μύες, ὅλοι κείσονται κατὰ τὰ ἔνδον. οἵ τ' ἐκ τῶν ἐκτὸς, ἐνταῦθα καὶ οὗτοι τετάξονται, καθάπερ γε καὶ οἱ ἄνωθεν ἐν τούτῳ τῷ μορίῳ φυλαχθήσονται δι' ὅλου τοῦ κώλου, ἐν δὲ τοῖς ὑποκάτω τοῦ πήχεος, οὐ δ' ἐστὶν ὅλως μῦς. εἰ δέ σοι μέλει τῶν περὶ τὸν πῆχυν ἁπάντων μυῶν ἐπίστασθαι τὴν θέσιν, ἐκ τοῦ πρώτου τῶν ἀνατομικῶν ἐγχειρήσεων μαθήσῃ, ἔχεις δ' αὐτοὺς κἂν τῇ τῶν μυῶν ἀνατομῇ γεγραμμένους, ἐν ᾧ βιβλίῳ συντομώτερον ἢ ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ἁπάντων τῶν ἐν τῷ σώματι μυῶν φύσις ἑρμηνεύεται.

Καθίννυσθαι δὲ χρὴ τὸν ἄνθρωπον οὕτως, ὅκως ἂν τὸ ἐξέχον τοῦ ὀστέου πρὸς τὴν λαμπροτάτην τῶν παρεουσέων αὐγέων, ὡς μὴ λάθῃ τὸν χειρίζοντα ἐν τῇ κατατάσει ἱκανῶς ἐξιθυνθέν. τοῦ γε μὴν ἐμπείρου, οὐδ' ἂν τὴν χεῖρα λάθοι ἐπαγομένην τὸ ἐξέχον ψαυόμενον.

Εἴτε κατακλίνειν εἴτε καθίζειν ἐκ τοῦ καθικνῦσθαι δηλοῦται, προσυπακούειν αὐτῷ χρὴ τὸ ἕτερον αὐτῶν. εἴτε γὰρ τὴν ῥώμην ἀποβλέπων τοῦ κάμνοντος, καὶ τὸ μέγεθος τοῦ κατάγματος, ἐνίοτε μὲν καθήμενον, ἐνίοτε δὲ κατακείμενον ἐπιδήσεις τὸν ἄνθρωπον. ὁπότερον δ' ἂν ἔχῃ σχῆμα πρὸς τὴν λαμπρότητα τῶν παρεουσῶν αὐγῶν, βλέπειν χρὴ τὸ πεπονθὸς μέρος ὅπως εὐκατάσκεπτον εἴη.

Περὶ πήχεος.

Τῶν δὲ ὀστέων τοῦ πήχεος ὧν μὴ ἀμφότερα κατέηγεν, ῥάων ἡ ἴησις, ἢν τὸ ἄνω ὀστέον τετρωμένον εἴη καίπερ παχύτερον ἐόν. ἅμα μὲν ὅτι τὸ ὑγιὲς ὑποτεταμένον γίνεται ἀντὶ θεμελίου, ἅμα δ' ὅτι εὐκρυπτότερον γίνεται, πλὴν εἰ τὸ ἐγγὺς τοῦ καρποῦ. παχείη γὰρ ἡ τῆς σαρκὸς ἐπίφυσις ἡ ἐπὶ τὸ ἄνω. τὸ δὲ κάτω ὀστέον ἄσαρκον ἐστὶ οὐκ εὐξυγκρυπτον, καὶ κατατάσιος ἰσχυροτέρης δεῖται.

Ὅτι δύο εἰσὶν ὀστᾶ τοῦ πήχεος ἐδήλωσε, εἰπὼν ὧν μὴ ἀμφότερα. ὅτε γὰρ ἐφ' ἑνὸς ὅτε ἐπὶ τριῶν, ἢ καὶ πλειόνων εἰώθασι λέγειν οἱ Ἕλληνες τὴν ἀμφότερα φωνήν. τῶν δὲ δύο τούτων ὀστῶν, τὸ μὲν ὑποτεταγμένον, ἰδίως ὀνομάζεται πῆχυς, ὃ δὴ καὶ μακρότερόν ἐστι, τὸ δὲ ἐπικείμενον κερκίς. σαφὴς δὲ οὐχ οὗτος μόνος ὁ λόγος, ἀλλὰ καὶ οἱ ἄλλοι πάντες ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶν ἐν τούτῳ τῷ βιβλίῳ, καὶ μόνα δεῖσθαι σαφηνείας λέγω ἃ νῦν ἐξηγοῦμαι, ὥστ' εἰ παρὰ ταῦτα σοι δόξειεν ἀσαφές τι εἶναι, σκέψαι δὴ μὴ τὸ ἀντίγραφον ἥμαρται. κατωρθωμένου δὲ αὐτοῦ, καὶ ἅπαξ ἀναγνοὺς τι μὴ νοήσεις, ἀλλὰ δεύτερόν γε ἢ τρίτον ἐπαναλαμβάνων αὐτὸ, πάντως μαθήσῃ τὸ λεγόμενον.

Ἢν δὲ τοῦτο μὴ ξυμβῇ, ἀλλὰ τὸ ἕτερον, φαυλοτέρη ἡ κατάτασις ἀρκέει. ἢν δ' ἀμφότερα κατεηγῇ, ἰσχυροτάτης κατατάσιος δεῖται. παιδίου μὲν γὰρ ἤδη εἶδον κατατεθέντα μᾶλλον, ἢ ὡς ἔδει. οἱ δὲ πλεῖστοι ἧσσον τείνονται, ἢ ὡς δεῖ.

Τὴν ἁπλουστέραν καὶ οὐ δεομένην μεγάλης πραγματείας, φαυλοτέραν εἶπεν. οὐ γὰρ μόνον τὸ μοχθηρὸν ἐκ τοῦ φαύλου δηλοῦται παρὰ τοῖς παλαιοῖς, ἀλλὰ καὶ τὸ ἁπλοῦν.

Χρὴ δ' ἐπὴν τείνωσι, τὰ θέναρα προσβάλλοντα διορθοῦν.

Τὰ ἐξέχοντα τῶν χειρῶν ὀνομάζουσι θένᾰρα, παρὰ τὸ θένειν, ὡς ἔνιοι βούλονται τῶν χαιρόντων ἐτυμολογίαις. τύπτεις γὰρ τοῖς ἐξέχουσι παιόμενα, ὅσα περ ἂν παίωμεν. ἔνιοι δὲ οὐ πάντα τὰ ἐξέχοντα τῆς χειρὸς οὕτως καλεῖσθαι φασὶν, ἀλλὰ μόνα τὰ ὑπὸ τοῖς μεγάλοις δακτύλοις.

Ἔπειτα χρίσαντα κηρωτῇ μὴ πάνυ πολλῇ, ὡς μὴ περιπλέῃ τὰ ἐπιδέσματα, οὕτως ἐπιδεῖν.

Δύο χρεῖαι τῆς ἐπιδέσεως εἰσίν. ἡ μὲν ἑτέρα τὰ καλῶς ὑφ' ἡμῶν ἀλλήλοις παρατεθέντα μέρη τοῦ καταχθέντος ὀστοῦ κρατεῖν ἀσφαλῶς. ἡ δ' ἑτέρα δεξαμένη τὰ ὀθόνια, τὸν χυμὸν ἢ τὸ φάρμακον, ὅπερ ἀναφλεγμαντώτατον εἶναι δοκιμάσωμεν, ἐπικείμενον αὐτὸν φυλάττειν ἀεὶ τοῖς πεπονθόσι μορίοις. ἔνιοι μὲν γοῦν τοῖς ἐμπλαστοῖς χρῶνται φαρμάκοις, ἐμπλάττοντες ὀθονίοις αὐτὰ, καὶ μετὰ τὴν ἐπίθεσιν ἔξωθεν ἐπιδοῦντες. ἔνιοι δὲ χυμῷ τινι τῶν ἐπιτηδείων εἰς τοῦτο καθάπερ οἴνῳ τε μόνῳ καὶ σὺν ἐλαίῳ, ἢ πολλάκις τινὶ τῶν ὑγρῶν φαρμάκων οἷάπερ ἐστὶν ἡ τοιαύτη κηρωτή. διττῶς σκευαζομένη ποτὲ μὲν, ἤτοι γ' ἐν ῥοδίνῳ τηκομένου τοῦ κηρωτοῦ, ἢ ἐν ἐλαίῳ, ποτὲ δὲ πίττης τι προσλαμβάνουσα ξηρᾶς, ἣν δὴ καὶ πισσηρὰν ὀνομάζουσι κηρωτήν. τὰ δ' ὑγρὰ φάρμακα, καὶ σύστασιν ἔχει καὶ πάχος, οἷόνπερ καὶ ἡ ὑγρὰ κηρωτή. γίγνεται δὲ, τηκομένων ἐν ἐλαίῳ τῶν ἀφλεγμάντων ἐμπλάστρων, ὑπὲρ ὧν εἴρηται μέν τι καὶ ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἐπὶ πλέον δ' ἔν τε τῇ θεραπευτικῆς μεθόδου πραγματείᾳ, ἢ τῇ περὶ συνθέσεως φαρμάκων δυνάμεως. ὁ δ' οὖν Ἱπποκράτης ὑγρᾷ μὲν κηρωτῇ κέχρηται. πολὺ μὲν γὰρ ἀφλεγμαντοτέρα τῆς σκληρᾶς, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει. τοῦ δὲ ποσοῦ, κατὰ τὴν χρῆσιν αὐτῆς ἐδήλωσε τὸν σκοπὸν, εἰπὼν μὴ πάνυ πολλάκις μὴ περιπλέῃ τὰ ἐπιδέσματα. τὸν δ' ἀντικείμενον ὅρον οὐκ ἐδήλωσεν ὡς ἡμῶν νοούντων. ἔστι δ' αὐτὸς, ὡς δ' οὐδ' οὕτως ὀλίγῃ κηρωτῇ χρῆσθαι προσήκειν, ὡς φθάσαι ξηρανθῆναι τὰ τῶν ἐπιδέσμων ὀθόνια, πρὶν ἐπιλύεσθαι διὰ τρίτης. ἄξιον δὲ ἐπισκέψεως ἐστὶ, διὰ τί κηρωτῇ κελεύει νῦν χρῆσθαι. καίτοι γε ἐν οἷς ἐξέχειν ὀστοῦν τοῦ δέρματος, οἴνῳ χρώμενος αὐστηρῷ μέλανι. δοκεῖ δέ μοι φρονεῖν μὲν, ὥσπερ γενναιοτέρου βοηθήματος εἰς τὰ τοιαῦτα τοῦ οἴνου. παραλείπειν δ' αὐτὸν ἐπὶ τῶν ἄλλων καταγμάτων, ἐν οἷς οὐκ ἐγυμνώθη τι τῶν συντριβέντων ὀστῶν, διὰ πολλῆς ἐπιμελείας δεῖσθαι τὴν χρῆσιν. εἰ μὴ γὰρ συνεχῶς ἐπιβρέχοιτο, μεγίστη γί-

νεται βλάβη ξηραινομένων τῶν ὀθονίων. ἐπιβρέχειν δὲ συνεχῶς καὶ μάλιστα νύκτωρ οὐκ ἐθέλουσιν οἱ πλεῖστοι τῶν ὑπηρετουμένων τοῖς κάμνουσιν. ἀλλ' ἐπεὶ πρὸς εἰς τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι εἰς ἀκριβείαν κράτισται, διὰ τοῦτ' ἐφ' ὧν ἐξέχει ὀστοῦν, οἴνῳ χρῆσθαι κελεύει, ἔνθα χρῆται τῷ οἴνῳ περὶ τῆς δυνάμεως αὐτοῦ. νυνὶ δ' ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐπειδὴ τὰ ἄλλα κατάγματα, καὶ χωρὶς οἴνου δύναται θεραπεύεσθαι μόνῃ τῇ κηρωτῇ χρωμένων ἡμῶν, οὐκ ἀναγκαῖόν ἐστιν ἐπ' αὐτῶν οἶνον προσφέροντας ἁμαρτεῖν ὁπότε μέγα διὰ τὴν τῶν ὑπηρετουμένων ἀμέλειαν. ἔνθα δὲ μέγας ὁ κίνδυνος, ἐνταῦθα καὶ αὐτοὶ μὲν ἑκόντες οἱ ὑπηρέται ταλαιπωρεῖσθαι προαιροῦνται, καὶ ἡμῖν δὲ παρακαλοῦσι, πείθονται. καὶ μέντοι καὶ συνεχέστερον ἐπιφαινόμεθα τοῖς τοιούτοις διὰ τὸ τοῦ κινδύνου μέγεθος, ἐνίοτε καὶ παραμένοντες ὅλης νυκτὸς, ὅταν μὴ σφόδρα θαῤῥῶμεν τοῖς ὑπηρέταις τὰ κελευόμενα πρᾶξαι πάντα καλῶς.

Ὅπως μὴ κατωτέρω ἄκρην τὴν χεῖρα ἕξει τοῦ ἀγκῶνος, ἀλλὰ σμικρῷ καὶ ἀνωτέρω, ὡς μὴ τὸ αἷμα ἐς ἄκρον ἐπιῤῥέῃ, ἀλλὰ ἀπολαμβάνηται.

Ὅτι μὲν οὖν οὕτως σχηματίζεσθαι προσήκει τὸν πῆχυν ὡς ὑποτετάσθαι μὲν τῇ κερκίδι, γωνίαν δὲ ὀρθὴν ἐργάζεσθαι πρὸς μὲν τὸ τοῦ βραχίονος ὀστοῦν, ἔμπροσθεν εἴρηται. δυναμένου δὲ τούτου γίγνεσθαι, καὶ κατωτέρω τῆς ἄκρας χειρὸς, ὡς πρὸς τὸν ἀγκῶνα, καὶ ἀνωτέρω, εἰκότως ὑπεδιωρίσατο καὶ περὶ τοῦδε, κελεύσας ἀνωτέρω βραχὺ τὴν ἄκραν τοῦ ἀγκῶνος χεῖρα ἔχειν. ἴσμεν γὰρ τὰ κατάῤῥοπα σχήματα ῥευμάτων αἴτια γιγνόμενα τοῖς πέρασι τῶν κώλων, καὶ διὰ τοῦθ' ὡς οἱ δι' ὅλης τῆς ἡμέρας περιπατήσαντες, οἱ δ' ἀλεώτερα πῶς ἔχοντες τὰ σκέλη πρὸ παντὸς ποιοῦνται, νύκτωρ αὐτὰ σχηματίζειν ὑψηλότερα τοῦ ὅλου σώματος. οὕτως οὖν κἀπὶ τῆς ὅλης χειρὸς ὁ Ἱπποκράτης κελεύει φυλάττεσθαι μὲν τὸ κατάῤῥοπον σχῆμα. μεταδιώκειν δὲ τὸ ἀνάῤῥοπον. καὶ μὴν πλέον δ' αὐτὴν ὑψηλοτέραν ἐκέλευσε τοῦ ἀγκῶνος ἴσχειν, εἰ μὴ καὶ τοῦτο τὸ σχῆμα τοῖς ἐν αὐτῷ χρονίζουσιν ὀδύνην παρέχειν ὅλῃ τε τῇ χειρὶ καὶ μάλιστα τοῖς προσθίοις τοῦ βραχίονος μυσίν. ὅτι μὲν οὖν ὀδυνῶδές ἐστιν, ἡ πεῖρά σε διδάξει. τὴν δ' αἰτίαν τῆς ὀδύνης, ἡ φύσις τῶν κινούντων μυῶν τὴν κατ' ἀγκῶνα διάρθρωσιν ὑποδείξεται. εἰσὶ γὰρ οἱ κατὰ τὸ πρόσω τε κἀκ τῶν ἔνδον μερῶν τοῦ βραχίονος, οὓς ὅταν κάμπτομεν, τὸν πῆχυν ἐπὶ τὴν ἰδίαν κεφαλὴν ἀνασπῶντες καὶ τείνοντες ἄνω, συνανασπῶμεν καὶ συνανατείνομεν ἑαυτοῖς ὅλον τὸν πῆχυν, εἰς ὅσον ἐμπεφύκασι τοῖς κάτω μέρεσιν ἑαυτῶν, ὡς μὴ τὸ αἷμα ἀπολαμβάνεται εἰς ἄκρην. τοῦτο ἀναφέρειν ἔχρην πρὸς τὸ μὴ κατὰ τοῦ ἀγκῶνος ἄκραν τὴν χεῖρα ἔχειν. διὰ μέσου δὲ ἀμφοῖν εἴρηται τό, ἀλλὰ μικρῷ ἀνωτέρω, ὡς εἶναι τὸν ὅλον λόγον τοιοῦτον. ὅπως δὲ μὴ κατωτέρω, ἄκραν τὴν χεῖρα ἕξει τοῦ ἀγκῶνος, ὡς μὴ τὸ αἷμα εἰς ἄκρον ἀπολαμβάνηται, ἀλλὰ σμικρῷ ἀνωτέρω.

Ἔπειτα ἐπιδεῖν τῷ ὀθονίῳ τὴν ἀρχὴν βαλλόμενος κατὰ τὸ κάτηγμα.

Τὸ τὴν ἀρχὴν βάλλεσθαί τε καὶ μὴ βάλλεσθαι κατὰ τὸ κάταγμα, διττῶς γίγνεται. ποτὲ μὲν κατὰ τὸ μῆκος τοῦ κώλου νοούντων ἡμῶν αὐτὸ, ποτὲ δὲ καὶ κατὰ τὸ πλάτος. ὅροι δὲ τοῦ κατὰ τὸ μῆκος βαλλομένην τὴν ἀρχὴν τοῦ ἐπιδέσμου, τὸ τὴν πρώτην αὐτοῦ περιβολὴν ἐν κύκλῳ γιγνομένην ὅλην σκεπάσαι τὸ κάταγμα. εἰ δ' ἤτοι τοσοῦτον ἀνωτέρω περιβάλλοις, ὡς μηδ' ὅλως ψαῦσαι τοῦ συντριβέντος, ἢ κατωτέρω πάλιν αὖ τοσοῦτον, ὡς μηδ' ὅλως ἅψασθαι, τοῦτ' ἂν ἀληθῶς εἴποι τις μὴ κατὰ τὸ κάταγμα τὴν ἀρχὴν τοῦ ἐπιδέσμου. οὕτως μοι νόει κατὰ τὸ κάταγμα βάλλεσθαί τε καὶ μὴ βάλλεσθαι τὴν ἀρχὴν τῶν ὀθονίων. κατὰ τὸ πλάτος δὲ, ἐπεὶ δ' αὖ αὐτὴν πρώτην ἐπίδεσιν ὁ ἐπίδεσμος ἤτοι γε τῇ τοῦ κατάγματος, ἢ ἐξωτέρω ποιήσεται. ἐνταῦθα μὲν οὖν ὁ Ἱπποκράτης ὡς πρὸς τὸ μῆκος τοῦ κώλου βλέπων, ἀπεφήνατο τὴν ἀρχὴν βάλλεσθαι κατὰ τὸ κάταγμα, τουτέστι μήτε ταπεινοτέραν, μήθ' ὑψηλοτέραν αὐτοῦ. δηλοῖ δὲ ἐξ ὧν ἐπιφέρων εἶπεν. ἐπὴν δὲ περιβάλλῃ κατ' αὐτὸ δὶς ἢ τρὶς, ἐπὶ τὸ ἄνω δεδέσθω ἐπιδῶν. ἐν δὲ τῷ κατ' ἰητρεῖον ἔνθα φησὶ, τὴν ἀρχὴν βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθα καὶ ἔνθα. πρὸς τὸ τοῦ κώλου πλάτος ἀναφέρων εἶπεν, ὡς δηλοῖ πάλιν κἀνταῦθα τὸ ἔνθα ἢ ἔνθα. ταύταις γὰρ ταῖς φωναῖς οἱ Ἕλληνες χρῶνται* εἰς δηλοῦντες. ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων ἡ λέξις οὕτως ἔχει, ἀρχὴν βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἐπὶ τὸ ἅμμα.

Ἐρείδων μὲν οὖν, μὴ πιέζων δὲ κάρτα.

Τὴν συμμετρίαν τῆς ἐπιβολῆς τῶν δεσμῶν ἐν τούτῳ τῷ λόγῳ διδάσκει. χρὴ γὰρ ἐρηρεῖσθαι μὲν αὐτοὺς εἰς τοσοῦτον ὡς φυλάττειν ἀκίνητα τὰ κεχωρισμένα πέρατα τῶν ὀστῶν, οὐ μὴν οὕτως γε περιέχεσθαι σφοδρῶς ὡς ὀδύνην παρέχειν τῷ κάμνοντι. πᾶσα γὰρ ὀδύνη χρονίζουσα, καὶ μάλιστα ἐκ θλίψεως, αἰτία φλεγμονῆς γίνεται. σκοποὶ μὲν οὗτοι τῆς τῶν ἐπιδέσμων πιέσεως. ἀκριβῶς δ' αὐτῶν στοχάζεσθαι κατ' ἀρχὰς μὲν οὐχ οἷόν τε, πολλάκις δ' ἐπιδήσας δυνατόν. προσέχων γὰρ τὸν νοῦν ἀκριβῶς τῷ ποσῷ τῆς τάσεως, ἣν ἐποιήσω περιβάλλων τὸν ἐπίδεσμον, εἶτ' ἐρωτήσας τὸν ἐπιδούμενον ὁποίας αἰσθάνεται τῆς περιβολῆς τῶν ὀθονίων, ἐκ δευτέρου περιβάλλων ἴσως πρότερον, ἐκλῦσαι δεῖ τὴν τάξιν ἢ ἐπαυξῆσαι. θλίβεσθαι μὲν γὰρ εἰπόντος, πρόδηλον ὡς ἐκλῦσαι προσήκειν. οὕτω δὲ εἰ ἂν χαλαρὸν εἰπόντος, ὡς μηδ' ὅτι περίκειται γινώσκειν, ἐπαυξῆσαι. καὶ μέντοι καὶ πρὶν ἐπ' αὐτοῦ τοῦ τὸ κάταγμα ἔχοντος, ἄρχεσθαι τῆς ἐπιδέσεως ἐνεστί σοι προγυμνάζεσθαι, παιδάριον ὑγιὲς ἐπιδήσαντι πολλάκις. ἀλλὰ τῷ πυνθάνεσθαι τὰς ἀρτίως εἰρημένας πεύσεις. ἑτοιμότερος γὰρ οὕτως ἔσῃ πρὸς τὰς ἐν τοῖς κατάγμασιν ἐπιδέσεις. ἔτι κἀκεῖνο προσγινώσκειν, ὅτι τῶν σωμάτων ὅσα μὲν ἰσχυρὰ καὶ σκληρότερα βιαιοτέρας ἀνέχεται τῆς πιέσεως. ὅσα δ' ἀσθενῆ καὶ μαλακὰ, τῆς ἀνειμένης τούτων χρῄζει.

Ἐπὴν δὲ περιβάλλῃ κατὰ τωυτὸ δὶς ἢ τρὶς, ἐπὶ τὸ ἄνω νεμέσθω ἐπιδέων, ἵνα αἱ ἐπιῤῥοαὶ τοῦ αἵματος ἀπολαμβάνωνται, καὶ τελευτησάτω κεῖθι.

Αὐτὸς εἶπε τὴν αἰτίαν δι' ἣν ἄνω πρῶτον κελεύει τὴν νομὴν τῶν ὀθονίων ποιεῖσθαι. βούλεται γὰρ τὰς ἐπιῤῥοὰς τοῦ αἵματος κωλύεσθαι τῶν ἄνω μερῶν τοῦ κώλου. κατὰ δὲ τὴν εἰρημένην ἐπίδεσιν, οὐ μόνον ἀπείργεται τὸ ἐπιῤῥέον, ἀλλὰ καὶ τὸ περιεχόμενον ἐν τοῖς περὶ τὸ κάταγμα μέρεσιν ἐκθλίβεται. ἡ μὲν οὖν ἐπιῤῥοὴ μίαν ὁδὸν ἔχει τὴν ἄνω-

θεν κά-

θεν κάτω. ἡ δὲ θλίψις ἀμφοτέρας, τήν τε ἄνωθεν κάτω, καὶ τὴν κάτωθεν ἄνω. καὶ γὰρ εἰς τὸ κάτω τοῦ κώλου δυνατὸν ἐκθλίψαί τι καὶ εἰς τὸ ἄνω. καὶ συμβουλεύοι γε ἀμφοῖν ἐστοχάσθαι, δύο κελεύων ἐπιδέσμοις χρῆσθαι. τὴν μὲν γὰρ ἀρχὴν ἔχουσιν ἀμφοτέροις ἀπὸ τοῦ πεπονθότος, ὡς κατὰ μῆκος σκοπούντων, ἐντεῦθεν δὲ τοῦ προτέρου μὲν ἄνω, τοῦ δευτέρου δὲ κάτω νεμομένου. βέλτιον γὰρ ἐκθλίβεσθαι τὸ αἷμα τοῦ πεπονθότος μορίου, πρός τε τὰ ὑπερκείμενα μέρη τοῦ κώλου καὶ τὸ σῶμα ἅπαν. ἐπειδὴ τὸ ἄκρον ἔλαττόν ἐστιν, ἢ ὥστε δέξασθαι χωρὶς βλάβης δαψιλῆ χυμόν, ὅπου μετὰ τὸν πρῶτον ἐπίδεσμον ἐκθλίβοντα τοῦ πεπονθότος μορίου τὸ αἷμα πρὸς τὴν ἀρχὴν τῆς χειρός, ἐὰν ὁ δεύτερος βιαιότερος σφίγξῃ, φλεγμονὴ γίνεται κατά τε τὸν καρπόν, καὶ τοὺς δακτύλους. διὰ ταῦτα τοιγαροῦν ἄνω πρῶτον ἐκπιέζειν χρή, μάλιστα μὲν εἰ οἷόν τε πᾶν τὸ λυπῆσον, εἰ δ᾽ ὑπολείποιτό τι σμικρόν, ἐκθλίβειν τοῦτο εἰς κάτω διὰ τοῦ δευτέρου τῶν ἐπιδέσμων. εἰ δὲ βεβαιότερος αὐτοῦ τὴν γνώμην ὅλην, παρακολουθήσας τῇ περὶ τῆς ἐπιδέσεως διδασκαλίᾳ.

Χρὴ δὲ μὴ μακρὰ εἶναι τὰ πρῶτα ὀθόνια.

Προσηκόντως εἶπε τοῦτο. τῶν γὰρ πρώτων ὀθονίων ἀρχομένων μὲν ἀπὸ τοῦ κατάγματος, ἄνω δὲ ἀναφερομένων κἀνταῦθα τελευτώντων, ἀναγκαῖον ἔλαττον γίγνεσθαι τὸ μῆκος, ἢ τὰ δεύτερα μέλλει λαμβάνειν, ἐφ᾽ ὧν κελεύει κάτω πρῶτον ἀπὸ τοῦ κατάγματος ἀφικνουμένους ἄνω πάλιν ἰέναι πρὸς τὸν αὐτὸν τόπον, ἔνθα τοῦ πρώτου τῶν ἐπιδέσμων τὸ τέλος ἐποιησάμεθα.

Τῶν δὲ δευτέρων ὀθονίων, τὴν μὲν ἀρχὴν βάλλεσθαι ἐπὶ τὸ κάτηγμα.

Κατὰ λόγον, ἐντεῦθεν γὰρ ἐκθλίψαι βούλεται τὸ πλέον τοῦ αἵματος.

Περιβαλὼν δὲ ἅπαξ ἐπὶ τὸ αὐτό.

Ἅπαξ κελεύει περιβάλλειν τοῦ δευτέρου τῶν ὀθονίων τὴν ἀρχήν, οὐ δὶς ἢ τρὶς ὡς τοῦ προτέρου. βούλεται γὰρ ἄνω μᾶλλον ἢ κάτω τὸ περιεχόμενον ἐν τοῖς περὶ τὸ κάταγμα μέρεσιν ἐκθλίβεσθαι κατὰ τὴν εἰρημένην αἰτίαν.

Ἔπειτα νεμέσθω ἐπὶ τὸ κάτω καὶ ἐπὶ ἧσσον πιέζων, ἐπὶ μεῖζον διαβιβάσκων.

Ἧττον σφίγγεσθαι τὸ κῶλον ὑπὸ τοῦ δευτέρου τῶν ἐπιδέσμων βούλεται δι᾽ ἃς εἶπον αἰτίας. οὐ μὴν οὐδὲ πυκνὰς τὰς περιβολὰς τῶν ὀθονίων ποιεῖσθαι συμβουλεύων τοῦ προτέρου τῶν ἐπιδέσμων αὐτάρκως ἐργασαμένου τὴν ἐκ τῆς πυκνότητος χρείαν.

Ὡς ἂν αὐτέῳ ἱκανὸν γένηται τὸ ὀθόνιον ἀναπαλινδρομῆσαι κεῖθι, ἵναπερ τὸ ἕτερον ἐτελεύτησεν.

Ὁ μὲν οὖν Ἱπποκράτης ἐπιδέσμοις δύο χρῆται πρὸ τῆς τῶν σπληνῶν ἐπιβολῆς. ἄλλοι δέ τινες ἐχρήσαντο τρισίν, ἑνὶ μὲν ἐκ τοῦ κατάγματος ἄνω νεμομένῳ, καθάπερ ὁ Ἱπποκράτης ἐκέλευσε, δευτέρῳ δὲ ἐκ τοῦ κατάγματος κάτω, καὶ τρίτῳ κάτωθεν ἄνω, κατ᾽ ἀμφοτέρων ὁμοῦ τῶν προτέρων ἑλισσομένων. καὶ μέντοι καὶ τῶν τριῶν ἐπιδέσμων ὁ δεύτερος αὐτοῖς ἐστι βραχύτερος ἑκατέρου τῶν λοιπῶν, ἐκεῖνοι δ᾽ ἀλλήλοις ἴσοι. διὰ τὸ τὸν μὲν πρῶτον, αὐτῷ τε τῷ κατάγματι περιβάλλεσθαι δὶς ἢ τρίς, ἑλίσσεσθαί τε περὶ τὸ κῶλον περιβολαῖς πυκνοτέραις. τὸν δὲ δεύτερον ἅπαξ μὲν τῷ κατάγματι περιβάλλεσθαι, τὰς δὲ περιβολὰς ἔχειν ἀραιοτέρας. τὸν δὲ τρίτον κατ᾽ ἀμφοῖν μὲν περιβάλλεσθαι. διὰ δὲ τὴν ἀραιότητα τῆς νομῆς οὐ γίγνεσθαι μακρότερον τοῦ πρώτου. ἀλλ᾽ ὅτι τοὺς εἰρημένους τρεῖς ἐπιδέσμους οἱ δύο περιέχουσιν ἐν ἑαυτοῖς, οὓς Ἱπποκράτης ἔγραψε, δῆλον ἐστὶ κἂν ἐγὼ μὴ λέγω. τοῦ δευτέρου τῶν ἐπιδέσμων εἰς δύο χρείας ὑπηρετοῦντος, ἃς ἐκεῖνοι διελόντες, ἑνὶ μὲν ἐχρῶντο πρὸς τὴν ἐκ τοῦ κατεαγότος ἐπὶ τὸ κάτω νομήν, ἑτέρῳ δὲ εἰς τὴν ἐντεῦθεν ἄνω πρὸς τὸ τοῦ πρώτου τῶν ἐπιδέσμων πέρας.

Ἐνταῦθα μὲν οὖν τὰ ὀθόνια ἐπ᾽ ἀριστερὰ ἢ ἐπὶ δεξιὰ ἐπιδεδέσθω, ἢ ἐπὶ ὁκότερα ἂν ξυμφέρῃ πρὸς τὸ σχῆμα τοῦ κατεάγματος, καὶ ἐφ᾽ ὁκότερα ἂν περιρρέπειν ξυμφέρῃ.

Ἐν τοῖς κατάγμασι τῶν ὀστῶν ἡ ῥοπὴ τῆς διαστροφῆς, ἐνίοτε μὲν ἐπὶ τὸ ἀριστερόν, ἐνίοτε δ᾽ ἐπὶ τὸ δεξιὸν γίγνεται τοῦ κώλου. χρὴ τοίνυν τῶν πρώτων δύο ἐπιδέσμων ἐξ ὑπεναντίου ποιεῖσθαι τὴν ἐπίδεσιν. ἀρχομένου μὲν ἐξ ἐκείνου τοῦ μέρους εἰς ὃ τὸ κῶλον ἐνέκλινε, περιρρέποντα δ᾽ ἐπὶ τοὐναντίον, οὕτως γὰρ ἰσόρροπον ἀπεργασθήσεται τὸ κατεαγὸς ὀστοῦν. τοῦτ᾽ οὖν ἐστι ὃ λέγει νῦν Ἱπποκράτης κελεύων ἡμᾶς τὴν νομὴν τῆς ἐπιδέσεως πρὸς τὸ σχῆμα τοῦ κατάγματος ποιεῖσθαι, ὅπερ ἐστὶν περιρρέπειν ἐπὶ τἀναντία τῆς ἐκτροπῆς αὐτῶν.

Μετὰ δὲ ταῦτα σπλῆνας κατατείνειν χρὴ κεχρισμένους κηρωτῇ ὀλίγῃ, καὶ γὰρ προσηνέστερον καὶ εὐθετώτερον.

Οἱ σπλῆνες ἔρειγμα τῶν πρώτων δυοῖν ἐπιδέσμων εἰσὶν οὓς ἰδίως ὑποδεσμίδας ὀνομάζει, ἐπιβάλλεται δ᾽ αὐτοῖς ἐναντίως. ἐκεῖνοι μὲν γὰρ ἐγκάρσιοι περὶ τὸ κῶλον ἑλίττονται, κατὰ μῆκος δὲ οἱ σπλῆνες ἐπιτείνονται, τὴν πρώτην τὴν ἐκ δυοῖν ὀθονίων ἐπίδεσιν ὅλην καταλαμβάνοντες. κεχρῆσθαι δ᾽ αὐτοὺς ὀλίγῃ κηρωτῇ κελεύει. περιρρυέντες γὰρ ἀστήρικτοι γιγνόμενοι διὰ τὸ πλῆθος αὐτῆς, ὥσπερ καὶ διὰ τὴν ὀλιγότητα τὴν ἀρχὴν οὐδὲ μὴ ἑνωθήσονται τοῖς ὑποδεσμοῖσιν. ἔστι γὰρ ὥσπερ τι πρὸς ἐκείνοις αὐτοῖς ἡ κηρωτή. φαίνεται δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων ὅσα κόλλῃ συνδεῖται τὸ μέτριον αὐτῆς ἄριστον. ἐπὶ δὲ τῶν σπληνῶν καὶ θλίψις γίνεται ξηρῶν τε ἐπιτεθειμένων τῶν ὀθονίων ὅπερ ἀντίκειται τὸ προσηνέστερον, ὥσπερ γε καὶ τῷ εὐθετωτέρῳ ἀντίκειται τῷ διὰ τὸ πλῆθος τῆς κηρωτῆς ἀνέδρασον. εἰκότως οὖν ἔφη, καὶ γὰρ προσηνέστερον καὶ εὐθετώτερον. ἐκ μὲν τοῦ μηδ᾽ ὅλως κεχρῆσθαι τῇ κηρωτῇ τῆς σπληνὸς ἀπολλυμένου τοῦ προσηνοῦς, ἐκ δὲ τοῦ πλέον ἢ χρὴ τοῦ εὐθέτου. τὸ γὰρ πλῆθος τῆς κηρωτῆς ὄλισθον αὐτῆς ἐργάζεται.

Ἔπειτα οὕτως ἐπιδεῖν τοῖσιν ὀθονίοισιν ὡς ἐναλλὰξ, ὅτε μὲν ἐπὶ δεξιὰ, ὅτε δὲ ἐπ' ἀριστερά. καὶ τὰ μὲν πλείω κάτωθεν ἀρχόμενος εἰς τὸ ἄνω ἄγειν. ἔστι δ' ὅτε καὶ ἄνωθεν εἰς τὸ κάτω.

Αἱ μὲν οὖν ὑποδεσμίδες οὐκ ἐναλλὰξ ἀλλήλαις ἔχουσι τὴν νομὴν, ἀλλ' ἐπὶ τοὐναντίον, ἀμφότεραι τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς ἐπανάγουσαι τὸ κῶλον. οἱ δὲ μετὰ τοὺς σπλῆνας ἐπίδεσμοι, σκοπὸν ἔχοντες ὅλον μὲν τὸ κῶλον ἀποδεῖν, ἅπασαν δὲ τὴν ἐπίδεσιν ὁποίαν παρέλαβον φυλάττειν, ἔμπαλιν ἀλλήλοις ποιοῦνται τὴν νομὴν, ὁ μὲν ἐπὶ τὸ δεξιὸν μέρος, ὁ δ' ἐπὶ θάτερον ἑλιττόμενος, ὡσαύτως δὲ κάτω μὲν ὁ ἕτερος, ἄνω δὲ ὁ ἕτερος. οὕτως γὰρ μάλιστα φυλάξουσι τὴν ἐπίδεσιν οἵαν παρέλαβον φυλάττειν ἔμπαλιν ἀλλήλοις. διόπερ αἱ μὲν ἐπὶ τὰ δεξιά τε καὶ ἀριστερὰ κατὰ πᾶν ἴσαι γιγνέσθωσαν. αἱ δ' ἄνω καὶ κάτω, μὴ πολὺ μὲν ἀλλήλων ὑπερεχέτωσαν. ὅμως δ' οὖν ἡ κάτωθεν ἄνω πλεονεκτείτω. ἀσφαλέστερον γὰρ τοῦτο διὰ τὴν ὀλίγον ὕστερον εἰρημένην αἰτίαν. ἡνίκα εἰς τὴν ἀρχὴν τοῦ κώλου τὸ αἷμα συνεβούλευεν ἐκθλίβειν ἀπὸ τοῦ κατάγματος.

Τὰ δὲ ὑπόξηρα ἀκέεσθαι τοῖσι σπλήνεσι κυκλοῦντας. τῷ δὲ πλήθει τῶν περιβολέων μὴ πάνυ ἀθρόον ξυνδιορθοῦντα, ἀλλὰ κατὰ μέρος.

Τὰ πέρατα τῶν κώλων στενώτερον ἔχει τὸ εὖρος, ἅπερ ὑπόξηρα καλεῖ. ταῦτ' οὖν αὐτὸν τὰ μόρια κελεύει περιβόλαια σπληνῶν ἐγκαρσίων πληροῦν, ἅμα ταῖς τῶν ἐπιδεσμίων ἐπιβολαῖς πλείοσιν ἐνταῦθα γιγνομέναις, οὐκ ἀθρόως ἐργαζόμενον τοῦτο. ποιήσεις γὰρ οὕτως ἀνώμαλον τὴν ἐπίδεσιν, ἀλλὰ κατὰ βραχὺ τὸ ἐνδέες ἀναπληροῦντα.

Προσπεριβάλλειν δὲ χρὴ χαλαρὰ καὶ περὶ τὸν καρπὸν τῆς χειρὸς, ἄλλοτε καὶ ἄλλοτε.

Συμφλεγμαίνει μὲν ἔσωθεν ἅπαντα τὰ πλησιάζοντα μέρη τοῖς πεπονθόσι. τὰ δὲ πέρατα τῶν κώλων μᾶλλον, ὅτι μικρὰ καὶ ἄσαρκα τελέως ἐστὶ, καὶ διὰ τοῦτο τὴν ἐπιρρέουσαν ἐκ τῶν περὶ τὸ κάταγμα χωρίων ὕλην, ἐπιπόνως ὑποδέχεται. παρηγορεῖν οὖν αὐτὰ βούλεται τῇ τῆς κηρωτῆς ἐπιθέσει, ἣν ὁπότε ψιλὴν αὐτὴν τοῦ σκεπάσαι τινὶ βέλτιον ἦν ἐπιβάλλειν αὐτοῖς, οὐθ' ἑτέροις ἐπιδέσμοις χρῆσθαι κατ' αὐτῶν, ἀστήρικτον ἔχουσι τὴν ἀρχὴν καὶ τελευτὴν, καὶ διὰ τοῦτο περιρρυησομένοις ἐν τάχει. συνεχρήσαντο οὖν τοῖς ὅλοις τοῦ κατάγματος ἐπιδέσμοις, οὓς χαλαροὺς εἰκότως ἐπιβάλλει, μὴ μέλλοντάς γε δυσχερείας παρέξειν, ἀλλὰ καὶ μίαν μόνην τὴν κώλυσιν τῆς φλεγμονῆς, κρατήματος γε μηδενὸς χρήζει τὸ κατεαγός.

Πλῆθος δὲ τῶν ὀθονίων, ἱκανὸν τὸ πρῶτον αἱ δύο μοῖραι.

Κατὰ τὴν πρώτην ἁπασῶν ἐπίδεσιν, πᾶσαν ἀξιοῖ τὸ πλῆθος τῶν ὀθονίων ἔλαττον ὑπάρχειν, ἧς οὐ δεησόμεθα προϊόντος τοῦ χρόνου. ἐδίδαξε γάρ σε ἡνίκα χρὴ πλείοσιν ὀθονίοις χρῆσθαι μικρὸν ὕστερον. ἐπεὶ δὲ τὸ πλῆθος τῶν ὀθονίων ἔκ τε τοῦ ἀριθμοῦ καὶ τοῦ μήκους τῶν ἐπιδέσμων τε καὶ σπληνῶν αὐξάνεται, ζητήσεις ὡς πότερα μείζους ἢ πλείους κελεύει σοι ποιεῖν τοὺς ἐπιδέσμους ἐπὶ προσήκοντι τῷ χρόνῳ, καὶ μέντοι καὶ πηλίκον εἶναι προσήκει ἕκαστον. τὸ μὲν οὖν πλάτος τε καὶ μῆκος αὐτοὺς ὥρισεν ἐν τῷ κατ' ἰητρεῖον εἰπὼν, τριῶν ἢ τεττάρων πηχέων μὲν μῆκος, δακτύλων δὲ πλάτος οὐδὲ νῦν εἰπεῖν παρέλιπε. δύο γὰρ ὑποδεσμίδας ἀξιοῖ ποιεῖσθαι, δι' ὅλης τῆς ἐπιδέσεως. τοὺς γε μὴν σπλῆνας ὅτι τριπήχεις ἢ τετραπήχεις εἶναι προσήκει, καὶ τοῦτ' αὐτὸ ἐδίδαξεν. ἀριθμὸν δ' αὐτοὺς εἰκὸς εἶναι τοσοῦτον, ὅσον δ' αὖ αὐτάρκως περιλαμβάνει τὸ κῶλον. οἱ δ' ἔξωθεν ἐπίδεσμοι κατὰ τῶν σπληνῶν ἐπιβαλλόμενοι, δύο μὲν εἰς τὰ πολλὰ γενήσονται, κάτωθεν μὲν ἄνω τὴν φορὰν ποιούμενος ὁ ἕτερος αὐτῶν. ἄνωθεν δὲ κάτω πάλιν ὁ ἕτερος ἐγχωρεῖ γε μὴν καὶ τρεῖς καὶ τέτταρας αὐτοὺς ποιεῖν, ἀλλ' ἡμεῖς ἀεὶ δυοῖν χρώμεθα. πρὸς τούτους οὖν τις ἀποβλέπειν τοὺς σκοποὺς, εὔδηλον ὅτι στοχάζεσθαι κατ' ἀρχὰς μὲν ταῖς δύο μοίραις τῶν ὀθονίων χρῆσαι. καθ' ὃν δ' αὖ χρόνον ἀφλέγμαντον ἦν τὸ πεπονθὸς μέρος ταῖς τρισίν. ἐν μὲν οὖν τῷ κατ' ἰητρεῖον, ὡς ἔφην, ὥρισε τὸ μῆκος τῶν ἐπιδέσμων, ἀξιοῦντος αὐτοῦ τριῶν ἢ τεττάρων εἶναι πηχέων, τῶν ἰδίων δηλονότι τοῦ ἐπιδέσμου. γελοῖον γὰρ δὲ εἰ τύχοι παιδίον δυοῖν ἢ τριῶν ἐτῶν, οὕτως μακροῖς ὀθονίοις ἐπιδησόμενος, ὡς ἀνδρὸς τελείου τεττάρων πηχέων εἶναι. τὸ δὲ μῆκος ἢ τὸν τέλειον οὕτως βραχέσιν ὡς τριῶν ἢ τεττάρων εἶναι τῶν τοῦ παιδίου. κατὰ μέντοι τοῦτο τὸ βιβλίον, οὐχ ὥρισε τὸ μῆκος τῶν ἐπιδέσμων, ὥσπερ οὐδὲ τὸ πλάτος, ἡμῖν ἀπολείπων στοχάζεσθαι. δῆλον γὰρ ὅτι πρὸς τὸ μέγεθος τοῦ κατάγματος ἁρμοττομένους ἡμᾶς εὑρίσκειν χρὴ τὸ μῆκος τῶν ἐπιδέσμων. ἀεὶ μὲν τῆς ἐπιδέσεως ὡς αὐτὸς ἐκέλευσε προσλαμβανούσης πολὺ τοῦ ὑγιοῦς, οὐκ ἀειδὲς ὂν, ἀλλὰ κατὰ τὸ μέγεθος ὡς ἔφη τοῦ κατάγματος. εἰ δὲ δὶς ἢ τρὶς αὐτῷ τῷ κατάγματι περιβάλλειν χρὴ, μετὰ δὲ ταῦτα πυκναῖς ταῖς περιβολαῖς χρώμενον αὐτὸν τελευτῆσαι πολὺ τοῦ ὑγιοῦς ἐπιβάλλοντα. τηλικοῦτον δηλονότι προσήκει τὸ πρῶτον ὀθόνιον ὑπάρχειν, ὡς ἐξαρκέσαι ταῖς πρώταις περιβολαῖς ταῖς εἰρημέναις. ὡσαύτως δὲ καὶ κατὰ τοὺς ἄλλους ἐπιδέσμους τὸ μῆκος αὔταρκες γιγνέσθω, ὡς ταῖς ὑπ' αὐτοῦ γεγραμμέναις λέξεσιν ἀρκέσαι. τὸ γε μὴν πλάτος τῶν ἐπιδέσμων ἐξ ὧν εἴρηκεν αὐτὸς, σκοπῶν εὑρήσεις. ἡρμόσθω μὲν γάρ φησι, πεπιέχθω δὲ μή. τὸ δ' ἡρμόσθαι τὸ οἷον ἐστηρίχθαι δηλοῖ. τοῦτο δὲ ἔσται μὴ πάνυ πλατέων παρασκευασθέντων τῶν ὀθονίων, ῥυσοῦται γὰρ ἐν ταῖς περιβολαῖς τὰ τοιαῦτα. ἐπεὶ ἄλλως γε τὸ πλατύτερον ὀθόνιον ὡς ἂν πλείονα τόπον περιλαμβάνον, ἀσφαλέστερον κρατεῖ τὰ κατεαγότα μόρια τῶν ὀστῶν, καὶ ὅσον ἐπὶ τοῦτο κάλλιστος ἂν ἦν ὁ πλατύτατος ὁ ἐπίδεσμος. ἀλλὰ γὰρ ἐπειδὴ ῥυσούμενος ὁ τοιοῦτος ἐν οἷς ἂν παραθῇ τοῦτο πάθει μορίοις, ἑαυτοῦ χαλαρώτερος γιγνόμενος, ἀπόλλυσι τὴν ἀσφαλῆ λαβὴν τῶν ὑποκειμένων σωμάτων, διὰ τοῦτο χρὴ μὴ πάνυ πλατὺ ὑπάρχειν αὐτόν. αὐξανέσθω δή σοι τὸ τοῦ ὑποδέσμου πλάτος ἄχρις ἂν ἐνδέχηται, ὡς μηδέπω γίγνεσθαι χαλαρὸν αὐτοῦ τὸ μέρος, διὸ καὶ τὰ τοιαῦτα πάντα κάλλιον ὁ τετριμμένος πράξει. στοχαστικοὶ γὰρ οἱ σκοποὶ καὶ οὐδεὶς τοιοῦτος οἷον ἐν τῷ γράφειν τε καὶ ἀναγινώσκειν. διατί δὲ πλείοσιν ὀθονίοις

ὕστερον

ὕστερον χρῆσθαι κελεύει, τηνικαῦτα ἀκούσῃ ὅταν ἐπὶ τὴν ῥῆσιν ἐν ᾗ ταῦτα γράφει παραγενώμεθα.

Σημεῖα δὲ τοῦ καλῶς ἰητρευομένου ταῦτα, καὶ ὀρθῶς ἐπιδεομένου, εἰ ἐρωτῴης αὐτὸν εἰ πεπίεκται, καὶ εἰ φαίη μὲν πεπιέχθαι, ἡσύχως δὲ καὶ μάλιστα εἰ κατὰ τὸ κάτηγμα φαίη. τοιαῦτα τοίνυν φάναι χρὴ πεπρηγμένα διὰ τέλεος τὸν ὀρθῶς ἐπιδεόμενον.

Ἐπεὶ δὲ στοχαστικοῖς οὐκ ἐπιστημονικοῖς σκοποῖς, οὐδὲ ἡμᾶς χρησομένους ἐν ταῖς τῶν ὀθονίων περιβολαῖς, διὰ τοῦτο σημείοις ἀσφαλέσι κρίνειν ἀξιοῖ τὸ κατορθούμενόν τε καὶ διημαρτημένον αὐτοῖς. ἐὰν μὲν ἱκανῶς θλίβηται πρὸς τὴν ἐπίδεσιν ὁ κάμνων, ἐν τάχει λύσαντες ἄμεινον ἐπιδήσομεν. ἐὰν δὲ χαλαρώτεραι τοῦ προσήκοντος αἱ περιβολαὶ τῶν ὀθονίων ὦσι, μὴ πάνυ πολὺν ἀναμένωμεν χρόνον. ἡ μὲν γὰρ ἰσχυρὰ θλίψις, ὀδύνην τε καὶ φλεγμονὴν καί ποτε καὶ νέκρωσιν ἐπιφέρει κατὰ τὸ τοῦ κώλου πέρας. ἡ χαλαρὰ δὲ ἐπιβολὴ τῶν ὀθονίων, ἀκίνδυνος μὲν εἰς ταῦτα, διαστρέφεσθαι δὲ ἐπιτρέπει τῷ κώλῳ ἤδη τὸ κάταγμα. κατεπείγει τοιγαροῦν ἡ σφοδρὰ θλίψις ὡς ἐν αὐτῇ τῇ ἡμέρᾳ κατεπιδεῖν ἀναγκάζειν, οὐ μήν γε ἡ χαλαρά, μίαν μὲν γὰρ ἀναμένει πάντως, δύναιτο δ' ἄν ποτε καὶ τὰς δύο. διὰ τοῦτο γοῦν ἐρωτᾶν ἀκριβῶς χρὴ τὸν ἐπιδεδεμένον, ὁποίας τινὸς αἰσθάνεται τῆς τῶν ὀθονίων ἐπιβολῆς, ἵνα ἐξ ὧν ἀποκρίνεται διαγινώσκωμεν τί περὶ τῆς κατὰ τὴν ἐπίδεσιν ἐπανορθώσεως. προσῆκον δέ φησι κατὰ τὸ κάταγμα δεῖν ἀποκρίνεσθαι τὸν ἐπιδεδεμένον αἰσθάνεσθαι μᾶλλον, ἤπερ κατὰ τὰ ἄλλα μέρη τοῦ κώλου τῆς ἐκ τῶν ὀθονίων ἐπιδέσεως. αἰσθητικώτερόν τε γὰρ τοῦτο τῶν θλιβόντων ἐστὶ, διότι τε πέπονθεν, ἡμεῖς τε μᾶλλον ἐπιέσαμεν ἐνταῦθα τὸν ἐπίδεσμον, ὡς ἂν βουλόμενοι τὸ πᾶν αἷμα ἐκθλίβειν, ἐφ' ἑκάτερα τοῦ κώλου πόρρω τοῦ κατάγματος, οὕτω γὰρ ἔμελλεν ἀφλέγμαντον τηρεῖσθαι τὸ πεπονθός.

Σημεῖα δὲ ταῦτα τῆς μετριότητος. τὴν μὲν ἡμέρην ἣν ἂν ἐπιδεθῇ καὶ τὴν νύκτα δοκείτω αὐτὸς ἑωυτῷ μὴ ἤδη ἧσσον πεπιέχθαι, ἀλλ' ἤδη μᾶλλον. τῇ δ' ὑστεραίῃ οἰδημάτιον ἐλθεῖν ἐς χεῖρα ἄκρην μαλθακόν. μετριότητος γὰρ σημεῖον τῆς πιέξιος τοῦτο.

Ἐπειδὴ τὸ κῦρος τῆς ἐπιδέσεως ἐν τῷ ποσῷ τῆς πιέσεως ἐστὶν, ὑφίσταται δὲ τὸ ποσὸν τοῦθ' ὑπαλλάττεσθαι, διὰ τὴν ἐν μαλακότητί τε καὶ σμικρότητι διαφορὰν τῶν μορίων, οὐχ ἥκιστα δὲ, καὶ διὰ τὸ τινὰ μὲν σώματα φύσει δυσαίσθητα, τινὰ δὲ εὐαίσθητα ὑπάρχειν, εἰκότως ἐκ πολλῶν σημείων πειρᾶται τὴν ἀσφάλειαν τῶν θεραπευομένων ποιεῖσθαι. διὰ τοῦτ' οὖν οὐκ ἤρκεσεν αὐτῷ μόνα τὰ ἐκ τῆς ἐρωτήσεως, ἀλλὰ καὶ τοῖς μορίοις αὐτοῖς ἀξιοῖ προσέχειν ἡμᾶς, καὶ μάλιστά γε τοῖς πέρασι αὐτῶν. οἰδημάτιον γὰρ ἔσεσθαί φησιν, ἐὰν συμμέτρως πιέσωμεν ἐν ἄκρᾳ τῇ χειρὶ κατὰ τὴν δευτέραν ἡμέραν μαλθακὸν, ὅπερ ἐστὶ τὸ εἶκον εἰ ἐπιέζομεν αὐτὸ τοὺς δακτύλους ἐπιβάλλοντες, ὡς εἴ γε τοῦτο τὸ οἰδημάτιον, ἢ μηδ' ὅλως εὕροιμεν, ἢ σκληρὸν, εἰδέναι χρὴ σαφῶς, ἐνδεέστερον μὲν πεπιέχθαι τὸ κάταγμα, μηδ' ὅλως εὑρεθέντος, ἐπὶ μᾶλλον δὲ τεθλίφθαι, σκληροῦ φανέντος. εὔδηλον γὰρ ὅτι τῶν ἐκθλιβομένων χυμῶν ὑπὸ τῆς ἐπιδέσεως ἐπὶ τὸ πέρας τοῦ κώλου, πολλῶν γιγνομένων, πληρωθήσεται τὸ ἄκρον αὐτοῦ, καὶ θλιβόμενον τοῖς δακτύλοις οὐχ ὑπείξει. καὶ τοῦτ' ἔσται σοι σημεῖον σφοδρᾶς πιέξεως, ὥσπερ γε καὶ εἰ μηδ' ὅλως οἰδήσειεν ἡ ἄκρα χείρ, ἔσται σοι καὶ τοῦτο τεκμήριον τοῦ μηδ' ὅλως ἐκτεθλίφθαι τι πρὸς τῆς ἐπιδέσεως. ἀνάλογον μὲν γὰρ ἀεὶ τῷ ποσῷ τῆς πιέξεως, τὸ ποσὸν τῶν ἐκθλιβομένων γίνεται χυμῶν. ἀναλόγως δὲ τούτῳ τὸ ποσὸν ὂν τοῦ οἰδήματος, ὡς εἰκότως ἀντίτυπον μὲν, καὶ μέγα τὸ κατ' ἄκρον τὸ κῶλον οἴδημα γίγνεται, σφοδρῶς θλιψάντων τὸ κατεαγὸς αὐτοῦ μέρος. εἶκον δὲ καὶ μικρὸν ἀτρέμα πιεσάντων, ὥσπερ εἰ καὶ μηδ' ὅλως πιέσαιμεν, οὐδ' ὅλως ἔσται τὸ οἴδημα. πρόδηλον οὖν ὡς μεγάλου μὲν ἀντιτύπου φανέντος οἰδήματος ἐν ἄκρᾳ τῇ χειρὶ κατὰ τὴν δευτέραν ἡμέραν, αὐτίκα λυτέον ἐστὶ καὶ καταντλητέον ὕδατι πολλῷ θερμῷ παραχέοντας δαψιλὲς ἔλαιον, ἐπιδετέον τε μετρίως πιέζοντας. εἰ δὲ μηδ' ὅλον εἴη γεγονὸς οἴδημα κατὰ τὴν δευτέραν ἡμέραν, ἐν τῇ τρίτῃ τῶν ἡμερῶν ἐπιλύσας, δήσεις εὐτονώτερον. εἰ δὲ μέτριον εἴη γεγονὸς οἰδημάτιον, ὁ μὲν οὖν Ἱπποκράτης καὶ τοῦτο διὰ τρίτης. ἐγὼ δὲ εἰς τὴν τετάρτην ἡμέραν ἀναβαλλόμενος, ἐνίοτε μὲν καὶ πέμπτην μάλιστα ἐν χειμῶνι, χεῖρον οὐδὲν εὗρον γιγνόμενον.

Τελευτώσης δὲ τῆς ἡμέρης, ἤδη ἧσσον δοκείτω πεπιέχθαι. τῇ δὲ τρίτῃ χαλαρά σοι δοκείτω εἶναι τὰ ἐπιδέσματα. ἢν μέν τι τούτων τῶν εἰρημένων ἐλλείπῃ, γινώσκειν χρὴ ὅτι χαλαρωτέρη ἐστὶν ἡ ἐπίδεσις τοῦ μετρίου. ἢν δέ τι τῶν εἰρημένων πλεονάζῃ, χρὴ γινώσκειν ὅτι μᾶλλον ἐπιέχθη τοῦ μετρίου, καὶ τουτέοισι σημαινόμενος τὸ ὕστερον ἐπιδέων, ἢ χαλᾶν μᾶλλον, ἢ πιέζειν.

Οὐ μὰ Δία καθάπερ οἴονταί τινες ἐκ τῆς τάσεως μακροτέρων γιγνομένων τῶν ὀθονίων, ἡ ἐπίδεσις ἐν τῷ χρόνῳ χαλαρωτέρα φαίνεται, ἀλλ' ὅτι προστέλλεται τὸ κῶλον ἰσχνούμενον, ὅταν ὀρθῶς ἐπιδέηται, καὶ τοῦτ' ἐναργῶς φαίνεται διὰ παντὸς ἐπὶ πάντων τῶν καταγμάτων, ὡς καὶ αὐτὸς ὁ Ἱπποκράτης δηλώσει.

Ἀπολύσαντα δὲ χρὴ τριταῖον ἐόντα, κατατεινάμενον καὶ διορθωσάμενον ἢν μετρίως τὸ πρῶτον †ἐτετυχήκεις ἐπιδήσας, ταύτην τὴν ἐπίδεσιν χρὴ ὀλίγῳ μᾶλλον ἢ ἐκείνην πιέσαι. βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς κατὰ τὸ κάτηγμα, ὥσπερ καὶ τὸ πρότερον. ἢν μὲν γὰρ τὸ πρότερον ἐπιδέῃς, ἐξαρεῖται ἐκ τούτου οἱ ἰχῶρες ἐς τὰς ἐσχατιὰς ἔνθα καὶ ἔνθα. ἢν δέ τι ἄλλο πρότερον πιέζῃς, ἐς τοῦτο ἐξαρεῖται ἐκ τοῦ πιεχθέντος, ἐς πολλὰ δ' εὔχρηστον τὸ ξυνιέναι. οὕτως οὖν ἄρχεσθαι μὲν ἀεὶ χρὴ τὴν ἐπίδεσιν καὶ τὴν πίεξιν ἐκ τοῦ-

†κατατύχης

τέου τοῦ χωρίου. τὰ δ᾽ ἄλλα κατὰ λόγον ὡς ἂν προσωτέρω ἀπὸ τοῦ κατήγματος ἀγάγῃς, τοσοῦτον ἧσσον τὴν πίεξιν ποιέεσθαι. χαλαρὰ δὲ παντάπασι μηδέποτε περιβάλλειν, ἀλλὰ προσπεπτωκότα. ἔπειτα δὲ πλείοσιν ὀθονίοισι χρὴ ἐπιδεῖν ἑκάστην τῶν ἐπιδεσίων. ἐρωτώμενος δὲ φάτω ὀλίγῳ μᾶλλον οἱ πεπιέχθαι, ἢ τὸ πρότερον, καὶ μάλιστα φάτω κατὰ τὸ κάτηγμα. καὶ τὰ ἄλλα δὲ κατὰ λόγον, καὶ ἀμφὶ τῷ οἰδήματι, καὶ ἀμφὶ τῷ πονέειν, καὶ ἀμφὶ τῷ ῥηΐζειν, κατὰ λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω†. ἐπὴν δὲ τριταῖος ἦ, χαλαρώτερα οἱ δοκείτω εἶναι τὰ ἐπιδέσματα, ἔπειτα ἀπολύσαντα χρὴ αὖθις ἐπιδῆσαι ὀλίγῳ μᾶλλον πιέζοντα, καὶ ἐν πᾶσι τοῖσιν ὀθονίοισιν οἷσιπερ ἤμελλεν ἐπιδεῖσθαι, καὶ ἔπειτα πάντα αὐτὸν ταῦτα καταλαβέτω, ἅπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων.

Marginal note: †γινέσθω ἢν ὀρθῶς ἐπιδέηται

Ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν εἰς ὅσον προσήκει πιέζειν, οὐ πιέσομεν, ὀδυνωμένου τοῦ κάμνοντος ἐπὶ τῇ πληγῇ. πάντων δὲ καλῶς γεγενημένων, ἐν τῇ τρίτῃ τῶν ἡμερῶν ἀνωδυνώτερον ἔχοντες τὸν ἄνθρωπον, αὐξήσωμεν τὴν τάσιν, οὐ μὴν οὐδὲ νῦν εἰς ὅσον ἡ διάθεσις ἀπαιτεῖ. τοῦτο γὰρ ἐὰν ὀρθῶς πάντα γένηται, κατὰ δὲ τὴν πέμπτην ἡμέραν ὑπάρξει, διὸ καὶ τοῖς ὀθονίοις πλείοσι χρῆσθαι τηνικαῦτα, καὶ τῇ τάσει τελεωτάτῃ, μεμνημένων ἡμῶν ὡς ἁπάντων τῇ προσηκούσῃ τάξει γιγνομένων, ὁ λόγος οὗτος αὐτὸ περαίνεται, ὡς εἴγε διὰ τὸ πλημμεληθὲν ἐν τῷ μεταξὺ, μηδέπω τελέως ἀφλέγμαντος ἡ χεὶρ εἴη τῇ πέμπτῃ τῶν ἡμερῶν, οὐδ᾽ ἡμεῖς χρησόμεθα τοῖς ὀθονίοις πᾶσιν. ἡ μὲν γὰρ ἀσφάλεια τῆς τῶν κατεαγότων ἐπιδέσεως, καὶ τὸ πλῆθος τῶν ὀθονίων ὡς αὐτὸς ἔφη γίγνεται. μάλιστα δ᾽ αὐτῇ χρώμεθα κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ προσεσταλμένον μὲν, ἱκανῶς φαίνεται τὸ περὶ τὸ κάταγμα χωρίον, αὐτὸ δὲ τὸ συντετριμμένον ὀστοῦν χαλαρὸν, καὶ εὐπαράγωγον εἰς κατόρθωσιν. ἐὰν οὖν ποτε συμβῇ μὴ γενέσθαι τοῦτο κατὰ τὴν πέμπτην ἡμέραν, ἀναμενοῦμεν ἑτέραν περίοδον λύσεως, εἰς τὴν ἑτέραν ἑβδόμην ἀφικνουμένην δηλονότι. διὰ τρίτης γὰρ ἀξιοῖ λύειν καὶ μετεπιδεῖν, ἄχρις ἂν εἰς νάρθηκας ἐμβάλλῃ τὸ κάταγμα, χάριν τοῦ καταντλεῖν ὕδατι θερμῷ, κενώσεως ἕνεκα τῶν ἐν τῷ κατεαγότι μορίῳ χυμῶν, ὅσοι λυπηροὶ καὶ ὀῤῥώδεις εἰσὶ διαπνεῖσθαι δεόμενοι. ἅμα δὲ καὶ παρηγορητικὸν ὀδύνης τοῦτο, καὶ κνήσεως ἰατικὸν, ὡς ὅταν γε μήτε κνήσεως αἰσθάνηται, μήτε ὀδυνῆται ὁ ἄνθρωπος, ἅπαντά τε τὰ λελεγμένα σημεῖα τοῦ περαίνεσθαι καλῶς τὰ περὶ τὸ κάταγμα φαίνηται, καὶ διὰ τετάρτης λύσης, οὐδὲν βλάψεις, καὶ μάλιστα χειμῶνος. ἔτι δὲ μᾶλλον ἀνθρώπους ἀγροίκους ἀλουτεῖν εἰθισμένους τὰ πολλά. τοὺς δὲ καθ᾽ ἑκάστην ἡμέραν εἰωθότας λούεσθαι, καὶ μᾶλλον εἰ δὶς τοῦτο ποιεῖν, οὐ χρὴ διὰ μακροῦ λύειν, ἔτι δὲ μᾶλλον εἰ καὶ μαλακόσαρκοι φύσει τύχοιεν εἶναι.

Ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς πρώτης ἐπιδέσιος, ἢν ὀρθῶς ἐπιδέηται, τὸ μὲν οἴδημα ἐν ἄκρῃ τῇ χειρὶ ἔσται, οὐδὲ τοῦτο λίην μέγα. τὸ δ᾽ ἐπιδεόμενον χωρίον ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν ὑπὸ τὸ λεπτότερον καὶ ἰσχνότερον εὑρεθήσεται. ἐν δὲ τῇ ἑβδόμῃ καὶ πάνυ λεπτὸν, καὶ τὰ ὀστέα τὰ κατεηγότα, ὑπὸ μᾶλλον κινεύμενα, καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. καὶ ἢν ᾖ ταῦτα τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας, ὀλίγῳ μᾶλλον πιέσαντας ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρί. ἐπὴν δ᾽ ἐπιδήσῃς τοῖσιν ὀθονίοισι τοὺς νάρθηκας, περιθεῖναι χρὴ καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσιν, ὡς χαλαρωτάτοισιν ὁκόσον ἠρεμέειν, ὥστε μηδὲν ξυμβάλλεσθαι ἐς τὴν πίεξιν τῆς χειρὸς τὴν τῶν ναρθήκων πρόσθεσιν. μετὰ δὲ ταῦτα ὅ τε πόνος, αἵ τε ῥᾳστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος ἐὼν φῇ χαλαρὸν εἶναι, τότε ἔπειτα χρὴ τοὺς νάρθηκας ὀρθοῦσθαι, μάλιστα μὲν κατὰ τὸ κάτηγμα, ἀτὰρ καὶ τἄλλα κατὰ λόγον, εἴπερ καὶ ἡ ἐπίδεσις ἐχαλάρα μᾶλλον ἢ ἐπίεζε. παχυτάτους δὲ χρὴ εἶναι τὸν νάρθηκα, ᾗ ἐξέστη τὸ κάτηγμα μὴ μὲν πολλῷ. ἐπιτηδεύειν δὲ χρὴ, μάλιστα μὲν κατ᾽ ἰθυωρίην τοῦ μεγάλου δακτύλου ὡς μὴ κείσεται ὁ νάρθηξ, ἀλλὰ τῇ ἢ τῇ, μηδὲ κατὰ τὴν τοῦ σμικροῦ δακτύλου ἰθυωρίην, ᾗ τὸ ὀστέον ὑπερέχει ἐν τῷ καρπῷ, ἀλλὰ τῇ ἢ τῇ. ἢν δὲ ἄρα πρὸς τὸ κάτηγμα ξυμφέρει κεῖσθαι κατὰ ταῦτα τινὰς τῶν ναρθήκων, βραχυτέρους αὐτοὺς χρὴ τῶν ἄλλων ποιέειν, ὡς μὴ ἐξικνέωνται πρὸς τὰ ὀστέα τὰ ὑπερέχοντα παρὰ τὸν καρπὸν, κίνδυνος γὰρ ἑλκώσιος, καὶ νεύρων ψιλώσιος. χρὴ δὲ διὰ τρίτης ὑπερείδειν τοῖσι νάρθηξι πάνυ ἡσυχῇ οὕτω τῇ γνώμῃ ἔχοντας, ὡς οἱ νάρθηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος προσκέωνται, ἀλλ᾽ οὐ τῆς πιέξιος εἵνεκεν ἐπιδέωνται. ἢν μὲν οὖν εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπιθύνεται ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσιν, καὶ μήτε κνησμοί τινες λυπέωσι, μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾶν χρὴ ἐπιδεδέσθαι ἐν τοῖσι νάρθηξιν, ἐς ὃ ἂν ὑπὲρ εἴκοσιν ἡμέρας γίνηται, ἐν τριήκοντα δὲ μά-

λιστα τῇσι ξυμπάσῃσι κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει τὸ ἐπίπαν.

Εἰ τοιοῦτον ἐδυνάμεθα ποιῆσαι τὸ κατεαγὸς ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, ὁποῖον εἰς τὰ πολλὰ περὶ τὴν ἑβδόμην γίνεται, τοὺς νάρθηκας ἀναγκαῖον περιεβάλλομεν. ἐπεὶ δὲ ὡς εἶπεν αὐτὸς ἐν τῇ ζ΄. πάνυ λεπτὸν φαίνεται, διὰ τοῦ ῥήματος ἐδήλωσε τὸ καὶ τῆς ὑγιεινῆς αὐτὸ καταστάσεως ὡς εἶχε, πρότερον ἰσχνότερον γίγνεσθαι, διὰ τοῦτο κατ' αὐτὴν τὴν ἡμέραν αὐτῷ περιτίθησι τοὺς νάρθηκας, ἐπιμελέστατα δηλονότι διαπλάσας νῦν τὸ κῶλον, ὡς αὖ καὶ τῶν ὀστῶν μετὰ χαλαρῶν. ἡ δὲ χρεία τῶν ναρθήκων ἐστὶν, ἥπερ δὴ καὶ τῶν σωλήνων ἔμπροσθεν εἴρηται, κρατεῖσθαι τὸ κατεαγὸς ὀστοῦν. ἐπεὶ δὲ συμφῦναι πρὸς ἑαυτὸ, καθάπερ ἡ σὰρξ, οὐ δύναται διὰ τὴν φυσικὴν ξηρότητα, οἷον δεσμός τις ὢν ὁ πῶρος αὐτῶν γίνεται, περιφυόμενος τοῖς χείλεσι τοῦ κατάγματος. ἡ γένεσις δ' αὐτῷ τὸ ἐξ αὐτοῦ τοῦ συντριβέντος ὀστοῦ τῆς τροφῆς περίττωμα. καὶ ὅταν γε μὴ καλῶς ὁ κάμνων ᾖ διαιτώμενος, ἢ καὶ πληθωρικὸς ὑπάρχων, πολὺ τοῦτο τὸ περίττωμα, οὗ προχεόμενον ὅλους διαβρέχει τοὺς ἐπιδέσμους, αἵματι παχεῖ παραπλήσιον. ὅσον οὖν αὐτοῦ περὶ τὴν ἔκχυσιν ὑπὸ τοῖς χείλεσι τῶν τοῦ κατεαγότος ὀστοῦ μερῶν ἐπιπαγῇ, τοῦτο τῷ χρόνῳ μεταβαλλόμενον ὑπ' αὐτοῦ τοῦ ψαύοντος ὀστοῦ παραπλήσιον αὐτῷ γίγνεται καὶ καλεῖται πῶρος. ἐὰν οὖν σείηται καὶ διακινῆται τὰ χείλη τοῦ κατάγματος, ἥ τε πῆξις αὐτοῦ κωλυθήσεται, καὶ διὰ τοῦτο καὶ ἡ τοῦ κατάγματος πώρωσίς γε καὶ γένεσις. ὁποῖον γάρ τι τοῖς ἑνουμένοις ξύλοις ἐστὶν ἡ κόλλα, τοιοῦτον τοῖς συντριβομένοις ὀστοῖς ὁ πῶρος. εἰκότως οὖν ἡσυχίας ἀκριβοῦς δεῖται τὰ διὰ πώρου κολλώμενα κατάγματα. σφαλεὶς γὰρ ὁ πηγνύμενος πῶρος, διαλύεται παραπλησίως τῇ τὰ ξύλα συναγούσῃ κόλλῃ, καὶ τῷ πηγνυμένῳ γάλακτι. ταύτην οὖν αὐτῷ τὴν ἡσυχίαν ἥ τ' ἀκριβεστέρα πίεξις ἐκ τῶν ἐπιδέσμων, καὶ ἡ τῶν ταῦτα κρατούντων ἔξωθεν γίγνεται. κρατεῖ δ' αὐτὰ τό, τε πλῆθος τῶν ὀθονίων, καὶ οἱ νάρθηκες. τὰ δὲ ἐφεξῆς ἅπαντά ἐστι σαφῆ τοῖς προσέχουσι τὸν νοῦν. κελεύει γὰρ εἴπου τι χαλαρὸν γίγνοιτο τῆς δέσεως ἐπισφίγγειν διὰ τρίτης τοὺς νάρθηκας, οὐ μέντοι λύειν ὅλην τὴν ἐπίδεσιν, εἰ μὴ κνησιῶν ὁ ἄνθρωπος τύχῃ σφοδρῶς, ἢ καί τινα ἕλκωσιν ὑποπτεύοιμεν. ἡ δ' αἰτία τοῦ κατ' ἀρχὰς μὲν μᾶλλον, ὕστερον δ' ἧττον κνησιᾶν, ἡ κένωσίς ἐστι τῶν πεπονθότων μορίων. κνησιῶσι γὰρ ὑπὸ τῶν ἐξερχομένων περιττωμάτων ἀτμωδῶν δακνόμενοι μετρίως, ὡς ὅταν γε σφοδρῶς δάκνωνται, μετ' ὀδύνης αὐτοῖς ἤδη τὸ κνησιᾶν ὑπάρχειν. ὅταν οὖν κενὸν μόριον, ἢ οὐδὲν γεννᾷ περίττωμα τοιοῦτον, ἢ παντάπασιν ἐλάχιστον.

Ἀτρεκὲς δὲ οὐδέν. μάλα γάρ τι καὶ φύσις φύσιος, καὶ ἡλικίη ἡλικίης διαφέρει.

Οὐχ ἁπλῶς εἰπὼν ἡλικίαν ἡλικίας διαφέρειν, ἀλλὰ προσθεὶς τὸν σύνδεσμον, ἐνδείκνυται καὶ ἄλλας αἰτίας εἶναι δι' ἃς οὐ πάντα τὰ τοῦ πήχεος κατάγματα τριάκονθ' ἡμέρας κρατύνεται, ἀλλὰ τὰ μὲν ἧττον. ἀλλ' ἔστιν ἥ τε τοῦ ἔτους ὥρα καὶ χώρα, καὶ φύσις τοῦ θεραπευομένου σώματος, ἥ τε τοῦ ἔτους κατάστασις, αὐτοῦ καὶ δίαιτα, καὶ ὁ τρόπος τῆς δέσεως. θᾶττον γὰρ κρατύνεται, τουτέστιν ἀσφαλῶς πωροῦται, διά τε τὴν ὕλην ἐξ ἧς ὁ πῶρος γίνεται συμμέτρως ἔχουσαν ἐν ποσότητί τε καὶ ποιότητι, καὶ διὰ τὴν ῥώμην τῆς πηγνυούσης αὐτὴν δυνάμεως. εἰς χρόνον δὲ ἐκπίπτει πλείονα, διά τε τὴν ἔνδειαν τῆς ὕλης. ὃ γὰρ ἐν ἐλάττονι χρόνῳ δι' εὐπορίας τῆς ὕλης αἱ δυνάμεις ἐργάζονται, τοῦτο ἐν πλείονι δι' ἀπορίαν. ἔστι δ' ὅτε καὶ διὰ πλῆθος ἄμετρον. ἀποκλύζεται γὰρ ὁ πηγνύμενος πῶρος ὑπὸ τῆς ἐπιρρεούσης ἔνδοθεν ὑγρότητος, ὅταν ᾖ πολλή τε ἅμα καὶ συνεχής. ἔστι δὲ τὸ μὲν πάχος τῆς ὕλης ἐπιτηδειότερον, εἰς τὸ παγῆναί τε καὶ γενέσθαι πῶρον. ἡ δ' ὑγρότης ὅταν ὑδατώδης ᾖ καὶ λεπτὴ περὶ τὴν σύστασιν, ἀνεπιτήδειος εἰς πώρου σύστασιν. ὅτι δὲ ἡ δύναμις ἡ μὲν ἰσχυρὰ θᾶττον ἐργάζεται τὸ ἑαυτῆς ἔργον, ἡ δὲ ἀσθενεστέρα βραδύτερον, οὐδὲ λόγου δεῖται. διὰ ταῦτα μὲν ἐν διαφόροις χρόνοις αἱ πωρώσεις γίγνονται τοῖς συντριβομένοις ὀστοῖς. αὐτὰ δὲ ταῦτα τὰ νῦν λεγόμενα διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας ὑπαλλάττεται. καὶ γὰρ πλείων καὶ ἐλάττων ὕλη, καὶ παχυτέρα καὶ λεπτοτέρα γίνεται, διά τε τὴν ἐξ ἀρχῆς ἑκάστου κρᾶσιν, καὶ διὰ τὴν ἐπίκτητον ἐν ᾧ θεραπεύεται χρόνῳ κατάστασιν, ἔτι τε δίαιταν ἣν διαιτῶνται, καὶ τρόπον τῆς ἐπιδέσεως, ἣν ἐπιδοῦνται. τὴν δ' ἡλικίαν, καὶ τὴν ὥραν καὶ τὴν χώραν, ἐξ ὧν ἁπάντων καὶ ἡ δύναμις ἤτοι γ' ἀσθενής, ἢ ἰσχυροτέρα γίνεται.

Ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρή, καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέσαντα ἢ τὸ πρόσθεν, ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν, ἢ τὸ πρότερον. καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν, ὑπὸ μὲν ἧσσον πιέζοντα, ἔτι δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν.

Ηὔξησεν ἀπ' ἀρχῆς καὶ πλῆθος τῶν ὀθονίων, καὶ τὴν πίεσιν ἄχρι τῆς τῶν ναρθήκων ἐπιδέσεως. ἐκείνους δὲ ἐπιθεὶς περὶ τὴν ζ΄. ἡμέραν, ἄλυτον ἐφύλαξε τὸ κῶλον ἄχρι τῆς κ΄. οἷον κρηπίδα βεβαίαν βάλλεσθαι βουλόμενος τῇ πωρώσει. γιγνομένης δ' αὐτῆς, οὐκέτ' ἐν ἡσυχίᾳ παντελῶς φυλάττει τὸ κάταγμα. προσήκει γὰρ ἀνατρέφειν τὸν πῶρον, ὅταν ἀσφαλῶς ῥιζωθῇ. τὸ δ' ἀνατρέφειν γίγνεται τῇ χορηγίᾳ τῆς ὕλης, ἣν ὥσπερ ἀπεστρέψαμεν ἐξ ἀρχῆς ἀπὸ τῶν πεπονθότων εἰς ἕτερα μόρια τοῦ σώματος, οὕτω νῦν χρὴ προσκαλεῖσθαι καταχέοντας ὕδωρ θερμόν. καὶ μέντοι καὶ ἐν αὐτῇ τῇ ἀρχῇ παντάπασιν αὐτὴν ἐκωλύομεν ὑπὸ τὸ πεπονθὸς ἔρχεσθαι τῷ πλήθει τῶν ὀθονίων, καὶ τῇ πιέσει, αὐτῷ νῦν οὐ προσήκει κωλύειν ἐπιρρεῖν, ἀφαιροῦντας περὶ βραχὺ τοῦ πλήθους τῶν ὀθονίων, ἅμα τῷ καὶ τὴν πίεσιν κωλύειν.

Ἐπὴν δὲ ὅταν τοῖσι νάρθηξιν δεθῇ, ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι, ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσει τοῦ χρόνου, ἢ ὀλίγῳ πρόσθεν, καὶ αὖθις μετεπιδῆσαι.

Τὰ μὲν ἔμπροσθεν αὐτῷ λέλεκται πάντων περὶ λόγον γιγνομένων. ἐπεὶ δὲ καὶ ὀδύνης τινὸς αἴσθησις γιγνομένη, καὶ τῆς ἑλκώσεως φόβος, ὑποψία, τοῦ μὴ καλῶς διαπεπλάσθαι τὸ κάταγμα, καὶ κίνησις σφοδρὸς κατά τινα συντυχίαν ἐν τῷ κώλῳ γιγνομένη, λύειν μὲν ἀναγκάζει πρὸ τῆς κ΄. ἡμέρας τὴν ἐπίδεσιν. αὐτὸ τοῦτο προδιωρίσατο, μήτις οἰηθεὶς διηνεκὲς εἶναι τὸ παραγγελμένον ὑπ' αὐτοῦ πρόσθεν, ἅπαντα μέχρι τῆς κ΄. ἡμέρας τὰ κατάγματα φυλάττειν τελέως ἀκίνητα. πρὸς γὰρ τὸ κατεπεῖγον ἀεὶ χρὴ τὸν ἰατρὸν ἵστασθαι, καὶ μὴ καθάπερ νόμον ἀπαράβατον φυλάττειν τὰ κελευσθέντα πράττεσθαι, κατὰ λόγον παραβαινόντων ἁπάντων.

Δίαιτα δὲ τουτέοισιν οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται, ἢ ὀστέα ἔξω ἐξίσχῃ, ἀρκέει

†μικρόν τι γοῦν καὶ ἐνδεέστερον

ὑποφαύλῃ, †ἐνδεεστέρῃ δὲ χρὴ διαιτᾶν ἄχρι ἡμερέων δέκα, ἅτε ἤδη καὶ ἐλιννύοντας.

Τὸ φαῦλον οἱ παλαιοὶ σχεδὸν ἅπαντες εἰώθασι πολλάκις ἀντὶ τοῦ τυχόντος καὶ ἁπλοῦ λέγειν, ᾧ τὸ ἀκριβὲς ἀντίκειται, καλούμενον ὑπὸ τῶν ἰώνων σκεθρόν. ὥσπερ οὖν τὴν ἀκριβῆ δίαιταν ὀνομάζει σκεθρὴν, οὕτω τὴν ἐναντίαν αὐτῇ φαύλην. καὶ κατὰ τοῦτο καὶ νῦν τὴν μετρίως ὑποφαύλην ἐκάλεσεν, ἥτις ἐστὶν ἡ μεταξὺ τῆς ἁπλῆς φαύλης καὶ τῆς ἀκριβοῦς. ἀκριβεῖ μὲν οὖν διαίτῃ διαιτᾷ, τοὺς ἐξ ἀρχῆς ἔχοντας μεθ' ἕλκους τὸ κάταγμα, καὶ μάλιστα εἰ προκύπτει τοῦ δέρματος ἔξω τοῦ συντριβέντος ὀστοῦ. ἁπλῇ δὲ, τουτέστι τῇ ἐπιτυχούσῃ τοὺς ἐν ἀκινδύνῳ καθεστῶτας. ὑποφαύλῃ δὲ καὶ μέσῃ, τοὺς κάταγμα ἔχοντας ἐν ταῖς πρώταις ἡμέραις διαιτᾷ. τὸν δ' ὅρον τῶν πρώτων ἡμερῶν ἐποιήσατο τὴν ι', οὐχ ὡς οὐδέποτ' ἂν πρωϊαίτερον ἢ ὀψιαίτερον εὐλόγως ἡμῶν παραλλαξάντων τὴν δίαιταν, ἀλλ' ὡς ἐπὶ πολὺ συμβαῖνον οὕτως. διὰ τοῦτο δὲ μέσῃ χρῆται διαίτῃ, διότι μήτε κίνδυνος μέγας ἐστὶν ὡς ἐπὶ τῶν γυμνωθέντων ὀστῶν, μήθ' οὕτως ἀκίνδυνος ἡ διάθεσις, ὡς ἐπὶ τῶν ἕλκος ἐχόντων ἁπλοῦν ἐν σαρκώδει μορίῳ χωρὶς ὀστοῦ πάθους. τοῖς μέσως οὖν ἔχουσι τῶν ἀκινδύνων τε καὶ κινδυνωδῶν, μέσην εἰκότως ὁρίζει καὶ δίαιταν, ἄλλως τε καὶ ὅτι μέχρι τῆς ι'. ἡμέρας, οἱ συντετριμμένοι τὴν χεῖρα τελέως ἀργοῦσιν, ὅπερ ἐλιννύειν οἱ ἴωνες ὀνομάζουσιν. εὔλογον δ' ἐστὶ τῶν κινουμένων τοὺς ἡσυχάζοντας ἀκριβέστερον διαιτᾶσθαι. μετὰ τὴν ι', οὖν τῶν πλείστων περιερχομένων, ἀνειλημμένης τῆς χειρὸς, εἰκότως ἄχρι τῆς ἡμέρας ἐκείνης μέσον εἶδος διαίτης συμβουλεύει παραλαμβάνειν. ἤδη δὲ καὶ ἐλιννύοντας, ὡς τὰ πολλὰ μετὰ ἐπὶ χρόνου τάσσουσι. τὸ ἤδη λέγουσι δ' αὐτὸ, κἂν ὅτις περὶ ἴνων πιστεύσειν, ὡς εἰκὸς οὕτως εἰπεῖν, ἀλλὰ καὶ διὰ τόδε πιστευτέον, τῷδε καὶ ποιητέον. τὸ δὲ καθ' ὃ καὶ νῦν ὃν, Ἱπποκράτης φαίνεται κεχρημένος, ἵν' ὁ λόγος ᾖ τοιοῦτος, διαίτῃ μετρίων χρηστέον ἄχρι τῆς δεκάτης ἡμέρας, διά τε τὰ ἄλλα, καὶ ἤδη διότι παντάπασιν ἡσυχάζει κατὰ τοῦτον τὸν χρόνον.

Καὶ ὄψοισιν ἁπαλοῖσιν χρῆσθαι ὁκόσα τῇ διεξόδῳ μετριότητα παρέχουσι.

Ἢ πτισάνῃ δηλονότι, ἢ τεύτλῳ, ἢ μαλάχῃ, ἢ ἀτραφάξει, εἴτε καὶ βλίτῳ, καὶ κολοκύνθῃ καὶ, τῶν ἰχθύων τοῖς ἁπαλοσάρκοις.

Οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι.

Ἐδίδαξεν αὐτὸς τῆς ἀκριβοῦς διαίτης εἶδος, καὶ τὸ τῆς ἁπλῶς ὑποφαύλης, ἣν νῦν ἄχρι τῆς δεκάτης ἡμέρας κελεύει ποιεῖσθαι. ἡ μὲν γὰρ μετ' οἴνου τε καὶ κρεοφαγίας, φαύλη τέ ἐστι καὶ τυχοῦσα, ἡ δ' ἐπὶ χυλῷ μόνης πτισάνης, ἢ μελικράτου, καὶ χρηστὴ καὶ ἀκριβής. ἡ μέση δ' ἀμφοῖν ἐστιν, ἣν ἐν τῇ πρὸ ταύτης λέξει δεδήλωκεν εἰπὼν, καὶ ὄψοισιν ἁπαλοῖσι χρῆσθαι ὅσα τῇ διεξόδῳ μετριότητα παρέχουσιν.

Ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ κατηγμάτων ἰήσιος.

Τουτέστιν, ἀνατρέφεσθαι τὸν ἔχοντα κάταγμα, μετὰ ταύτην συμβουλεύει. τὸ δὲ ἐκ προσαγωγῆς αὐτίκα, σημαῖνον τὸ κατὰ βραχύ. μέμφεται γὰρ τὸ κατὰ πολὺ καὶ ἐξαπίνης πληροῦν, ἢ κενοῦν, ἢ ὁτιοῦν ἄλλο ποιεῖν.

Ὥστε χειρίζειν χρὴ ὥστε ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. ὅτι δ' ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται, ἢ πεπλεόνασται.

Τὴν ἅπαν τὸ οἰκεῖον ἀποδιδοῦσαν τῷ κάμνοντι καὶ μηδὲν παραβαίνουσαν, ὠνόμασε δικαίαν. χείριξιν δὲ, ἤτοι τὴν χειρουργίαν εἶπεν, ἢ πᾶσαν ἁπλῶς τὴν οἷον μεταχείρησιν ἁπάντων πραγμάτων. οἱ γὰρ ἕλληνες οὐκ ἐκεῖνα μόνα μεταχειρίζεσθαι λέγουσιν ἃ ταῖς χερσὶ περιλαμβάνουσιν, ἀλλὰ καὶ πᾶν ὅπερ ἂν πράττωσιν.

Ἔτι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται οἱ ἰητροί, καίτοι πᾶσαν μελέτην, καὶ πᾶσαν ἐπίδεσιν οἷά τε διαφθείρειν ἐστὶ μὴ ὀρθῶς ποιούμενα.

Ἁπλοῦν τὸν τρόπον ὀνομάζει, κατάγματός τε καὶ ἐξαρθρήματος, ἐφ' οὗ μήθ' ἕλκος ἐγένετο, μήτ' ὀστοῦν ἐγυμνώθη, μήτ' αὐτὸ τὸ κατεαγὸς ὀστοῦν πολυειδῶς συνετρίβη, ὅνπερ δὴ τρόπον κατάγματος, οἱ νεώτεροι προσαγορεύουσιν ἀλφιτηδὸν, ὥσθ' ἕκαστον μὲν ὡς εἶπον οὐχ ἁπλοῦν εἶναι, μόνον δ' ἁπλοῦν ἐκεῖνο ἐφ' οὗ μηδὲν ἄλλο προσεγένετο τῷ κατάγματι σύμπτωμα. οὕτως δ' ὅτι χρῆται τῷ ὀνόματι, σαφῶς ἐνδείκνυται κατ' αὐτὸ τοῦτο τὸ βιβλίον, οὐ μετὰ ταῦτα πάνυ πολλὰ γράφων ἰδίως. εἰ δ' αὖ τὰ ὀστέα κατεαγεν ἁπλῷ τρόπῳ τοῦ κατάγματος τὸ ἁμάρτημα γίγνεται, μικρὸν μὲν τῇ φαντασίᾳ τῷ γε μὴ πάντ' ἀκριβῶς ἀθροοῦντι, μέγιστον δὴ τῇ δυνάμει. διαφθείρεται γοῦν ἡ ἔμπροσθεν ἐπιμέλεια πᾶσα παροφθέντος αὐτὸ, καὶ τοῦτο τί ποτ' ἐστὶν, ἐφεξῆς σε διδάξει, γράφεται δὲ καὶ ἑτέρως ἡ αὐτὴ λέξις ὧδέ πως, καίτοι πᾶσα μελέτη καὶ πᾶσα ἐπίδεσις οἷά τε διαφθείρεται, ἔστι μὴ ὀρθῶς ποιουμένη, ἵνα τὴν ἐπιμέλειαν αὐτῆς ὅταν κατά τι πλημμεληθεῖ φαίνεται μεμφομένην, ὡς ἱκανὴν διαφθεῖραι τὰ περὶ τὸ πεπονθὸς μέρος ὀρθῶς κεχειρισμένα.

Ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω κατεαγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχει† ἀναλελαμμένος. τυγχάνει δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέεται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος.

†ἀναλεγόμενος

Ἀξιοῖ σε προσεπιβλέπειν ἀκριβῶς ὁποία τις ἡ ἀνάληψις ἔσται τῆς ὅλης χειρὸς, ὅταν ἤδη περιέρχηται, καὶ μηκέτι κατακείμενος ὁ ἄνθρωπος ᾖ, τουτέστι μετὰ τὴν δεκάτην ἡμέραν. ἔμπροσθεν μὲν γὰρ ὡς τὸ πολὺ κατέκειτο, τῆς χειρὸς ἀποκειμένης σχηματισμὸν ἔμπροσθεν ἔμαθες, ὑψηλότερον δὲ ἔχουσα ἐν βραχὺ τὸ ἄκρον αὐτῆς. ὁπότε δὲ ἤδη περιέρχεται, καθάπερ εἴθισται γίγνεσθαι, τοῦ τραχήλου ἐνίων ἐξημμένως οὕτως πλατεῖαν ὡς ὅλον ἐπ' αὐτῇ

ὀχεῖσθαι

ὀχεῖσθαι τὸν πῆχυν, τὴν ταινίαν τινὰ περιβάλλειν, ἀλλ' ὁμαλῶς ἀποτείνειν ἅπαντι τῷ πήχει μηδὲν ἑαυτοῦ ὄντι μέρος ἀστήρικτον, ἀφ' οὗ τῷ συμφύτῳ μέρει ῥέπον τὸ τοῦ πήχεος ὀστοῦν κυρτωθήσεται πρὸς τὸ κάτω, καὶ διαστραφήσεται. πρὶν μὲν γὰρ παθεῖν συνεχὲς ὅλον ὑπῆρχε, διαφθαρείσης δ' αὐτοῦ τῆς ἑνώσεως ἡνίκα συνετρίβη, δύναται τότε τὸ μὲν ἕτερον τῶν μορίων αὐτῶν στηρίζεσθαι κατὰ τῆς ὑποτεταμένης ταινίας, τὸ δ' ἕτερον ἅτε μηκέτι συνεχὲς ὂν ἐκείνῳ, ῥέπον εἰς τὸ κάτω διαστρέφεσθαι. δύναται δὲ καὶ αὐτῶν μέρος ἐνίοτε, διὰ τὸ μοχθηρῶς ὑποτετάσθαι τὴν ταινίαν, τὸ μὲν ἕτερον πέρας ὑπ' αὐτῆς ὀχούμενον ὑψηλὸν διαμένειν, τὸ δὲ ἕτερον ὑπόρροπον κάτω διαστρέφεσθαι ταύτῃ. κατὰ τέτταρας οὖν τρόπους, ἡ ταινία μοχθηρῶς ὑποβληθήσεται τῷ πήχει. πρῶτον μὲν ἐπειδὰν ἐπ' αὐτῆς μόνης ὀχῆται τὸ κάταγος αὐτό, τὸ δὲ ἑκατέρωθεν αἰωρῆται. δεύτερον δὲ ὅταν ἐστηριγμένων ἀκριβῶς τῶν περάτων τοῦ πήχεος τῇ ταινίᾳ, τοῦτ' ἄνω πρὸς τῷ ἀγκῶνι καὶ τοῦ κάτω πρὸς τῷ καρπῷ, τὸ μέσον ἀστήρικτον ᾖ. τρίτον δὲ καὶ τέταρτον ποτὲ μὲν τῶν πρόσω τοῦ πήχεος μόνων ἀνεχομένων ὑπὸ τῆς ταινίας, ποτὲ δὲ τῶν ὀπίσω, μόνων τούτων τῶν τεττάρων τρόπων, τοὺς δύο μὲν ἔγραψεν, οἵπερ καὶ μάλιστα διαστρέφουσι τὸ κῶλον, τοὺς δύο δὲ παρέλιπεν καὶ τοῖς ῥηθεῖσι συνεπινοεῖσθαι δυναμένους. ὧν δ' οὖν εἶπεν ὁ ἕτερος, ἐν τῇ προκειμένῃ νῦν ἡμῖν διδάσκεται λέξει καθ' ἣν ἀξιοῖ, πρῶτον μὲν ἐπὶ τῶν, ἤτοι ἀμφότερα τὰ ὀστέα τοῦ πήχεος καταγέντων, ἢ τὸ κάτωθεν ὅπερ ἰδίως ὀνομάζεται πῆχυς, ἀκούειν ἡμᾶς τῶν λεγομένων. ἀλλὰ τοῦτο μὲν κοινὸν ἀμφοτέρων τῶν τρόπων, ὑπὲρ ὧν ποιήσεται τὸν λόγον. ἴδιον δ' ἑκατέρου, τοῦ μὲν προτέρου τοῦ νῦν διδασκομένου τὴν ὑποβεβλημένην τῷ πήχει ταινίαν στενοτέραν οὖσαν, ὡς ὑποτείνεσθαι μὴ δύνασθαι παντὶ τῷ κώλῳ, μόνον ὀχεῖν ἐφ' ἑαυτῷ τὸ κάταγμα. τοῦ δὲ δευτέρου πάλιν ὡς μόνον τὸ κάταγος ἀστήρικτον αἰωρεῖσθαι τῶν ἑκατέρωθεν ἀνειλημμένων. διαστρέφεσθαι δέ φησι κατὰ μὲν τὸν πρότερον τρόπον ἄνω τὴν χεῖρα, κατὰ δὲ τὸν δεύτερον τρόπον κάτω, διὰ τῆς ἐφεξῆς διδάξει ῥήσεως. ὅτι δὲ κατὰ τὸν πρότερον ἄνω διὰ τήνδε, βασταζομένου γὰρ ὑπὸ τῆς ταινίας τοῦ κατεαγότος μέρους τῆς χειρός, ἑκατέρωθεν δὲ τῶν ἄλλων ῥεπόντων κάτω, διὰ τὸ μηδεμίαν ἔχειν ἕδραν ἀσφαλῆ, συμβήσεται πωρωθῆναι τὸ πρὸς τῆς ταινίας ὀχούμενον ὑψηλότερον. ἐν ᾧ δ' ἂν σχήματι πωρωθῇ τὸ κῶλον, ἐκεῖνο φυλάττει τὸν λοιπὸν χρόνον παντός, ὥστε πολλάκις ἡμᾶς ἀναγκάζεσθαι πάλιν ἐπ' ἀρχὴν ἄγειν τὰ οὕτω διαστραφέντα, κατατείνοντας μὲν τὸ κῶλον, ἐργαζομένους δ' αὖθις αὐτοὺς τὸ ἐξ ἀρχῆς κάταγμα, περὶ οὗ καὶ πρόσθεν εἶπον, ὡς δ' οὐδ' ὅλως μὲν ἑνοῦται, συνδιαιτᾶται δ' ὑπὸ τοῦ περιφύντος αὐτοῦ πώρου. τοῦτον οὖν ἐν τῇ κατατάσει διασπάσαντες, αὖθις ἐν τῷ προσήκοντι σχήματι τὴν πώρωσιν ἐργασόμεθα τοῦ κατάγματος. ὅτι δ' οὐχ ἑνοῦται πάντως τὰ συντριβόμενα τῶν ὀστῶν, ἔνεστί σοι θεάσασθαι κἀπὶ τῶν ἄλλων ζώων. καὶ γὰρ ὑῶν ἡμέρων ἀγρίων τε καὶ βοῶν, αἰγῶν τε καὶ προβάτων, ἔτι τε ἀλεκτρυόνων καὶ ἀλεκτρυονίδων, ἐάν ποθ' εὕρῃς ἐπὶ συντρίμματι πεπωρωμένον ὀστοῦν, εὑρήσεις δὲ πολλὰ καθάπερ καὶ ἡμεῖς εὕρομεν, ἐάν σοι τούτου μελέτῃ, πῶρον ἀποξύσας, ὄψει παρακείμενα μὲν ἀλλήλοις τὰ χείλη τοῦ κατάγματος, οὐ μὴν ἡνωμένα τε καὶ συμπεφυκότα καθάπερ ἐπὶ τῶν τραυμάτων ἡ κολλωμένη σὰρξ ἑνοῦται. διατί δ' εἰ μὲν ἄμφω τὰ τοῦ πήχεος ὀστᾶ καταγῇ, ὅτε ἴδιος ὀνομαζόμενος πῆχυς, καὶ τὸ ἕτερον ὃ καλοῦσι κερκίδα, συμβαίνει μεγίστην γίνεσθαι τὴν διαστροφὴν τοῦ κώλου κατὰ τὸ κάταγμα τῆς ἀναλήψεως πλημμεληθείσης. εἰ δὲ τὸ ἕτερον μόνον, τὸ τοῦ πήχεος ἧττον. εἰ δὲ τὸ τῆς κερκίδος μόνον, οὐδ' ὅλως γίγνεσθαι διαστροφὴν ἐπὶ τῆς μοχθηρᾶς ἀναλήψεως, οὐχ ἁπλῶς εὑρήσεις ὧν αὐτὸς εἶπέ σοι μεμνημένῳ. τὸ γὰρ ὑποτεταμένον φασίν, ὅπερ ἐστὶν ὁ πῆχυς ἀντὶ θεμελίου γίνεται τῷ κατεαγότι, καὶ κωλύει τὴν διαστροφὴν αὐτοῦ. αὐτὸ μέντοι τὸ τῆς κερκίδος ὅταν ἀπαθὲς μένῃ, συναπευθύνει μέν πως ἑαυτῷ τὸν πῆχυν ὅταν ὀρθῶς ἐπιδεθῇ. τελέως δ' ἀδιάστροφον οὐ δύναται φυλάξαι, πλημμεληθείσης τῆς ἀναλήψεως, ἐπειδὴ κάτωθεν ὑποτεταγμένος ὁ πῆχυς, οὐδὲν ἔχει στηρίζον ἑαυτόν, ὅτι μὴ τὴν ἐπίδεσιν.

Ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως ἀκρήν τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχει, καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μετέωρος ᾖ, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένον ἔχων.

Τὸν δεύτερον τρόπον ἐνταῦθα διδάσκει τῶν ὑπ' ἐμοῦ τεττάρων ὀλίγῳ ἔμπροσθεν εἰρημένων ὑπεναντίως ἔχοντα τῷ πρώτῳ. ὑπ' ἐκείνου μὲν γὰρ ἐπὶ τῆς ταινίας μόνον ἐβαστάζετο τὸ κάταγμα. νυνὶ δὲ τῶν ἄλλων ἁπάντων βασταζομένων μορίων τοῦ πήχεος, οὐ βαστάζεται μόνον ἐκεῖνο καθ' ὃ τὸ κάταγμα γέγονεν. ὥσπερ οὖν ἐπὶ τῆς ἔμπροσθεν εἰρημένης ἀναλήψεως, ἐπειδὴ τὸ μὲν ὀχούμενον ὑπὸ τῆς ταινίας τοῦ κώλου μέρος ἔνθα τὸ κάταγμα ὑπάρχει ὑψηλότερον ᾖ, τὸ δ' ἄλλο πᾶν ἐφ' ἑκατέρου ταπεινότερον, εὐλόγως ἔφη διαστρέφεσθαι πρὸς τὸ ἄνω τὸν ὅλον πῆχυν. οὕτω τοίνυν ἐπειδὴ τὸ κάταγμα μόνον οὐκ ὀχεῖται, ταπεινωθήσεται τοῦτο τὸ μέρος τοῦ κώλου μόνον, ὑπόρροπον εἰς τὸ κάτω, καὶ ταύτῃ κυρτωθῆναι συμβήσεται τὸν πῆχυν, καὶ διὰ τοῦτο πόρρωθεν τὸ διεστραμμένον ἐς τὸ κάτω φέρεσθαι. ἡ μὲν οὖν ὅλη διάνοια τῆς προκειμένης ῥήσεως εἴρηταί μοι. γραφαὶ δ' εὑρίσκονται δύο κατὰ ταῦτα, ἐναντιώταται μὲν ὥς ἄν τῳ δόξειεν αὐταῖς ταῖς φωναῖς μόναις, προσέχοντι δὲ τὸν νοῦν, ὁμολογοῦσαι μὲν ἀλλήλαις κατὰ τὰ δηλούμενα πράγματα. μετέωρον τοίνυν πῆχυν, οἱ μὲν τὸν ἀστήρικτον ἀκούουσιν ἐπὶ μόνου τοῦ ἀέρος ὀχούμενον. οἱ δὲ τοὐναντίον ἅπαν ἐπὶ τῆς ταινίας ἐστηριγμένον, ὡς τοῦ μὴ τοιούτου ῥέποντός γε κάτω, καὶ δι' αὐτὸ τοῦτο ταπεινοτέρου γιγνομένου, ὅπερ ἐστὶν ἐναντίον τῷ μετεώρῳ. εἰκότως οὖν αἱ γραφαὶ μαχόμεναι μὲν ἀλλήλαις ἐγένοντο κατὰ τὴν λέξιν, ὁμολογοῦσαι δὲ κατὰ τὴν διάνοιαν. τῆς γὰρ μετεώρου φωνῆς ἐπ' ἐναντία σημαινόμενα, πρὸς τῶν ἐξηγητῶν ἀχθείσης εἰκότως, οἱ μὲν ἄνευ τῆς ἀποφάσεως ἔγραψαν, ὁ δ' ὅλος πῆχυς μετέωρος, οἱ δὲ σὺν τῇ ἀποφάσει, ὁ δ' ὅλος πῆχυς μὴ μετέωρος, ἢ κατὰ τὸ δηλοῦν καθ' ἑκάτερα τῆς μετεώρου φωνῆς σημαινόμενα, ἀπευθύνοντες τὴν γραφήν.

Χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ μαλθακῇ, τὸ πλεῖστον τοῦ πήχεος, καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι.

Ἐν ταύτῃ τῇ ῥήσει καὶ περὶ τῶν παραλελειμμένων δυοῖν ἀναλήψεων ἐνεδείξατο. λέγω δ' ἀναλήψεις δύο, κοι-

νον μὲν ἐχούσας τὸ κατ᾿ ἄκρον τὸν πῆχυν ὑποτετάσθαι τὰς ταινίας, ἴδιον δὲ ἑκατέρας τὸ ἐπὶ τὸν καρπὸν μόνον ἢ ἐπὶ τὸν ἀγκῶνα. προειρηκὼς γὰρ ἤδη τὸ ἐπὶ τὸ σύντριμμα μόνον ὑποβεβλημμένης ταινίας, ἔτι τὸ τὸ κατ᾿ ἄμφω τὰ πέρατα. καὶ μετὰ ταῦτα γράψας τὴν νῦν προκειμένην ῥῆσιν, ἐν ᾗ κελεύει τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν ὁμαλῶς ἐστηρίχθαι ἐπὶ τῆς ταινίας, δῆλός ἐστι καὶ τὰς ὑπολοίπους δύο μεμφόμενος ἀναλήψεις, οὐκ ἐχούσας ὃ κελεύει μάλιστα ἔχειν. οὐδετέρα γὰρ αὐτῶν τὸν καρπὸν ἅμα καὶ τὸ πλεῖστον τοῦ πήχεος ὁμαλῶς στηρίζει, οὐ μὴν ἥξει ἐν ταύταις ἰδίας διδασκαλίας. μάλιστα μὲν ὡς ἔφην, ὅτι συνεπινοοῦνται ταῖς εἰρημέναις, ἔπειτα δὲ καὶ διότι μικρὰ παντάπασι τίσιν ἡ ἀπ᾿ αὐτῶν γίγνεται βλάβη, τῆς ἐπιδέσεως ἀμέμπτως ἐχούσης. αἱ γάρτοι προειρημέναι δύο ἀναλήψεις διὰ τοῦτ᾿ ἦσαν ἱκανῶς μοχθηραί, διότι τὸ κάταγμα τοῖς ἑκατέρωθεν αὐτοῦ μέρεσιν ἐναντίως διέκειτο, ποτὲ μὲν ἄνω μόνον ὑπὸ τῆς ταινίας ἀνασπώμενον, οὐδενὸς ἄλλου μορίου κατ᾿ αὐτῆς ἐστηριγμένου, ποτὲ δὲ κάτω μόνον.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΓΜΩΝ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Περὶ βραχίονος.

Ην δὲ ὁ βραχίων καταγῇ.

Τινὲς μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὡς ἐπὶ τὸν ἔμπροσθεν λόγον, ὠνόμαζον πῆχυν ἐνίοτε μὲν ὅλον τὸ μόριον ὃ μεταξὺ τοῦ ἐπὶ καρπόν τε καὶ ἀγκῶνα διαρθρώσεώς ἐστι, ἐνίοτε δὲ τὸ κατ᾿ αὐτὸν δυοῖν ὀστοῖν τὸ μικρότερον, οὕτως αὐτὸν ὀνομάζειν βραχίονα φασὶ τὸ μεταξὺ ὂν τοῦ κατ᾿ ὦμόν τε καὶ ἀγκῶνα τὸ περιεχόμενον ὀστοῦν ἐν αὐτῷ. τινὲς δὲ τὰ μόρια μὲν οὕτως αὐτὸν ὀνομάζειν φασὶ τὰ μεταξὺ τῶν διαρθρώσεων, οὐ μὴν αὐτά γε τὰ ὀστέα. σύνηθες γὰρ εἶναι καὶ ἡμῖν οὕτως λέγειν ἐπλήγη τὴν κεφαλήν, ὁ δέ τις ἢ τόν γε νῶτον ἢ τὴν ῥῖνα, κἂν ἐν αὐτῷ μόνῳ τῷ δέρματι συστῇ τὸ γενόμενον ἐκ τῆς πληγῆς πάθημα, κἂν συνδιατεθῇ τι τῶν ἔνδον, οἷον ὑμὴν ἢ μυὸς ἢ νεῦρον, ἢ ἀρτηρίαν, ἢ φλέβα. καὶ τοίνυν ὅταν φῶμεν ἡλκῶσθαι τὸν βραχίονα, δηλοῦμεν τῇ λέξει τῇδε γεγονέναι πάθος ἐν βραχίονι τὸ καλούμενον ἕλκος. ἐπεὶ δὲ ἐν τῷ λόγῳ τοῦ ἕλκους ἡ σὰρξ περιέχεται, κἂν μὴ διὰ τῆς ἰδίας αὐτὴν προσηγορίας καλέσωμεν, ἀλλά γε διὰ τοῦ ἕλκους ἐνδειξόμεθα. τὴν γὰρ ἐν τῇ σαρκὶ διαίρεσιν ἕλκος ὀνομάζομεν, ὥστε ἐν τῷ φάναι Δίωνος, εἰ οὕτως ἔτυχεν, ἡλκῶσθαι τὸν βραχίονα, δηλοῦσθαι τὴν ἐν τῷ βραχίονι σάρκα. κατὰ τὸν αὐτὸν οὖν τρόπον ἐν τῷ φάναι καταγέντα τὸν βραχίονα, καὶ ἡλκῶσθαι φασὶ κατ᾿ ἐκεῖνο τὸ μόριον, ὡς τὸ ὂν πεπονθέναι τὸ πάθος ὃ προσαγορεύεται κάταγμα. τοῦτο μὲν οὖν ἐν ὀνόματί τι καὶ σημαινομένῳ τὴν ἀμφισβήτησιν ἔχειν, μήτ᾿ ὠφελοῦν μήτε βλάπτον ἡμᾶς εἰς τὴν τοῦ κατάγματος ἴασιν. ἃ δὲ ἐφεξῆς λέγει, διδασκαλία τῆς ἰάσεώς ἐστιν ἣν ποιεῖσθαι προσήκει συντριβέντος τοῦ βραχίονος, ὡς μὲν ἐμοὶ φαίνεται σαφὴς οὖσα πᾶσα, καθάπερ καὶ ἄλλα τὰ πρόσθεν ὅσα περὶ τοῦ πήχεος ἔγραψε. καὶ γὰρ κἀκείνων, πλὴν ὀλιγίστων λέξεων ἀσαφῶν, προστιθέντα δεῖ ἦν εἰς τὴν ἑκάστου τῶν κελευομένων ὑπ᾿ αὐτοῦ πράττεσθαι τὸ τῆς αἰτίας ἐμηκύναμεν τὸν λόγον. ἔξω μὲν ὄντα τοῦ κατὰ τὸ κύριον σημαινομένου τῆς ἐξηγήσεως, εἰθισμένου δ᾿ ὡς ἔφην τοῖς ἐξηγηταῖς. ἀλλὰ καὶ τούτους αὐτοὺς τοὺς λογισμοὺς ἐστόρωθι διὰ βραχέων αὐτοῦ εἰρηκότος, οὐδ᾿ ἐνταῦθα τὴν εὕρεσιν αὐτῶν ἡμεῖς προσεθήκαμεν, ἀλλὰ τὴν τάξιν ὑπηλλάξαμεν. τοῦ δὲ τοῦ νῦν προκειμένου παντὸς καὶ ὁ λόγος σαφής ἐστι καθ᾿ ἑαυτὸν ἐξεταζόμενος, καὶ τὴν αἰτίαν ἑκάστου τῶν λεγομένων ἔχει προειρημένην ἐν τοῖς περὶ τοῦ πήχεος λόγοις. ὑπὸ γὰρ τὰ καθόλου συμβουλευόμενα, κατ᾿ ἐκεῖνον ἐπάγεται καὶ ταῦτα. πρῶτον μὲν τὸ σχῆμα τῆς ὅλης χειρός, εἶθ᾿ ἡ κατάτασις, εἶθ᾿ ἡ διάπλασις, ἐφ᾿ ἣ θέσις ἐσχάτη, καὶ τούτοις ἤτοι γε εἴη διαφθορά τις, ἢ ἀνάληψις. τοῖς προεγνωσμένοις οὖν τούτοις, εἴ τι παραπίπτοι βραχὺ μὴ σαφές, ἐξηγησόμεθα διὰ τῶν ἑξῆς.

Ην μέν τις ἀποτανύσας τὴν χεῖρα ἐν τουτέῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ βραχίονος κατατεταμένος, ἐπιδεθήσεται. ἐπὴν δ᾿ ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει.

Τῷ κατὰ τὴν λέξιν εἰρημένῳ λόγῳ προσθεῖναι χρὴ τὰ λεγόμενα πρόσθεν, ὡς ἐπειδὰν ἄλλο σχῆμα λάβῃ μετὰ τὴν ἐπίδεσιν ὁ μῦς τοῦ βραχίονος. ἔνια μὲν αὐτοῦ θλιβήσεται μέρη βιαίως ὑπὸ τῶν ἐπιδέσμων, ἔνια δὲ χαλαροὺς καὶ περιῤῥέοντας αὐτοὺς ἕξει, καὶ συμβήσεται διὰ μὲν τὰ θλιβόμενα μόρια φλεγμονὴν γενέσθαι. διὰ δὲ τὸ χαλαρὸν τῆς ἐπιδέσεως διαστραφῆναι τὸ κῶλον, ὥστ᾿ οὐ χρὴ μεταβάλλειν τὸ σχῆμα τῆς χειρός, ἀλλ᾿ αὐτὸ ἀεὶ φυλάττειν ἐξ ἀρχῆς ἄχρι τέλους, ὡς καὶ πρόσθεν ἐῤῥέθη. εἰ δ᾿ αὖ πάλιν ἐμφυλάττοις ἐν ᾧ κατατείνας ἐπιδήσεις, οὐδὲν μὲν οὔτε χαλαρὸν ἔσται τῆς ἐπιδέσεως, οὔτε βιαίως θλίβον. αὐτὸ δὲ σχῆμα μοχθηρὸν ὑπάρχει, ὡς ἐδείχθη πρόσθεν, ὀδύνην τε παρέξει καὶ δι᾿ ἐκείνην φλεγμονήν.

Δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε. ξύλον πηχυαῖον, ἢ ὀλίγῳ βραχύτερον ὁκοῖοι οἱ στείλαιοι εἰσὶ τῶν σκαφίων, κρεμάσαι χρὴ ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα. καθίσαντα δὲ τὸν ἄνθρωπον ἀπὸ ὑψηλοῦ τινὸς τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ στείλαιος ἔχων ξυμμέτρως, ὥστε μόλις δύνασθαι καθικνεῖσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι, ἔπειτα θέντα τι ἄλλο ἔφεδρον, καὶ ὑποθέντα σκύτινον ὑποκεφάλαιον, ἢ ἓν ἢ πλείω, ὅκως ξυμμέτρως σχοίη ὕψιος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην. ἄριστον μὲν σκῦτος πλατὺ καὶ μαλθακόν, ἢ ταινίην πλατέην ἀμφιβάλλοντα τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι ὅτι μετρίως ἕξει κατα-

τείνειν

τείνῃ. εἰ δὲ μὴ, τῶν ἀνδρῶν ὅστις ἐῤῥωμένος ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω.

Ὅτι τῆς φύσει δικαιοσύνης ἐστὶ, τὸ οἰκεῖον νέμειν ἑκάστῳ, οὐ κατὰ νόμον, ἀλλὰ τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν, ἐν τε τοῖς περὶ φιλοσοφίαν ἐπιδέδεικται λόγοις. εἴρηται δὲ διὰ τῶν ἔμπροσθεν ἤδη, καὶ πρόσγε τούτῳ λέλεκται δίκαιον εἶναι σχῆμα τὸ φυλάττον ἑκάστου τῶν ἐν τῷ κώλῳ μορίων τὴν οἰκείαν θέσιν. ἐδείχθη δὲ τοιοῦτον τοῦτο καὶ ἀνωδυνώτατον εἶναι τῶν ἄλλων ἁπάντων, ὅπερ ἐστὶν ἐν τε τῇ χειρὶ τοῦ βραχίονος ἐν ὀρθῇ γωνίᾳ τὴν πρὸς τὸν πῆχυν ἐργαζόμενον σχέσιν. ἐν τούτῳ δὴ τῷ σχήματι κατασχήσαντα τὴν ὅλην χεῖρα, κελεύει τὸν μὲν ἄνθρωπον καθίσαι. παραθεῖναι δ' αὐτῷ ἔμπροσθεν ξύλον ἐγκάρσιον τηλικοῦτόν τε καὶ τοιοῦτον, ἡλίκον τε καὶ ὁποῖον τῶν σκαφίων εἰσὶν οἱ στηλαιοί. σκαφίας δὲ δηλονότι κέκληκε δι' ὧν σκάπτομεν τὴν γῆν, ἐν οἷς εἰσὶ καὶ αἱ καλούμεναι δίκελλαι, μόνας δ' αὐτὰς ὀνομάζουσιν οἱ Ἀττικοί. βούλεται δὲ τὸ παρατεταμένον ξύλον μὲν εἶναι ἀκίνητον, ὡς μήτε ἀνωτέρω μήτε κατωτέρω μεθίστασθαι περὶ τὴν χειρουργίαν. ἕξει δὲ τοῦτο σειραῖς αὐτοῦ δεθέντος ἐξ ἑκατέρου τῶν περάτων, ἃς σειρὰς ἐνῆφθαι χρὴ πρὸς ὑψηλόν τι χάριν τοῦ κρεμᾶσθαι τὸν στηλαιόν. ὑπερβάλλειν οὖν πρόσθεν αὐτοῦ τὸν θεραπευόμενον ἀξιοῖ τὴν χεῖρα, τοῦτο δ' ἔσται κατὰ τὴν μασχάλην ἐντεθέντος ἐγκαρσίου τοῦ στηλαιοῦ. τὸν δ' ἄνθρωπον αὐτὸν οὗ κατεαγεὶς ὁ βραχίων, κελεύει καθίζειν οὕτως ὑψηλὸν, ὡς μακροῦ δεῖν μετέωρον εἶναι. καθίζειν μὲν οὖν αὐτὸν προστάττει, βουλόμενος αὐτὸν ἐξαρκέσαι τῇ χειρουργίᾳ, καὶ μὴ κάμνειν ἑστῶτα. μὴ ταπεινὸν δὲ τοῦτο πράττειν, ἀλλ' ὡς ἄν τις μάλιστα καθήμενος ὑψηλότερος γένηται, καὶ διὰ τὸν ἰατρὸν μὲν ὅπως ὀρθῶς ἐνεργοίη, καὶ μὴ ἐπὶ πλεῖστον ἀναγκάζοιτο νεύειν κάτω. χειριζομένῳ δ' αὐτῷ βέλτιον οὕτω καθῆσθαι. πεφύκασι γὰρ ἐν ταῖς κατατάσεσι τῆς χειρὸς οἱ κάμνοντες ὀδυνώμενοι, καὶ συνακολουθοῦντες τοῖς κατατείνουσιν, ἐπανατίθεσθαί τε καὶ μηκέτι φυλάττειν ἀκριβῶς τὴν ἐξ ἀρχῆς ἕδραν. ἐν τούτῳ δὲ συμβαίνει τὴν κατάτασιν ἐκλύεσθαι. ὅπως οὖν μὴ γίγνοιτο τοῦτο, κατὰ τὸν ἔσχατον ὅρον τῆς ὑψηλῆς καθέσεως τὸν πεπονθότα σχηματίζειν μετέωρον, εἰ βραχὺ μετεωρισθείη, στήσεται. τοῦτο δὲ ποιήσας, οὔτ' αὐτὸς ἑαυτὸν, οὔτε ὑπ' ἄλλου λήσεται. μὴ λαθὼν δὲ ῥᾳδίως αὖθις ἐπὶ τὸ πρῶτον σχῆμα πρὸς τὸ τῶν ἄλλων ἀχθήσεται, καὶ αὐτὸς ἐφ' ἑαυτό. καὶ μὲν δὴ καὶ ὅτι τοῖς μὲν οὕτω καθημένοις ἐπὶ τὸ στῆναι βραχυτάτη μεταβολὴ, τοῖς ταπεινοῖς δὲ παμπόλλη, ὥστε καὶ τὴν ἐκ τοῦ μεταβάλλειν τὸ τῆς καθέδρας σχῆμα βλάβην ἐσομένην. ἐλαχίστην μὲν γίγνεσθαι τοῖς ὑψηλοῖς καθημένοις, μεγίστην δὲ τοῖς ταπεινοῖς. εὔδηλον οὖν ὅτι διὰ τοῦτο χρῆται καὶ τῷ πλαγίῳ ξύλῳ περὶ τὴν μασχάλην, ἵνα μὴ κατατεινομένης τῆς χειρὸς, ἀκολουθῶν ὁ ἄνθρωπος ἐκλύῃ τὴν τάσιν, ὅπερ ἡμεῖς εἰώθαμεν ἄνευ ξύλου πολλάκις ἐργάζεσθαι διὰ βρόχων περιβεβλημένων τῇ μασχάλῃ. χρὴ δὲ δηλονότι τῶν βρόχων τούτων τὰ πέρατα τείνεσθαι πρὸς τοὐπίσω, καθάπερ πάλιν ἑτέρων βρόχων περιθέσει διατεινομένων ἐφ' ἑκάτερον τὸ κατεαγὸς ὀστοῦν, ὅταν ἡ διὰ τῶν χειρῶν κατάτασις ἐνδεεστέρα τοῦ προσήκοντος ᾖ. ταύτης δέ ποτε μόγις ἐλπὶς εἰς ἄνυσιν τὸ δέον, ὥσπερ ἐπὶ τῶν παιδίων οὐδεμία χρεία βρόχων. ἔτι δὲ μᾶλλον ὑπὸ ὀργάνων ἐχόντων ἄξονας, οἷς περιβάλλοντες τὰ πέρατα τῶν βρόχων, ἰσχυροτέραν ἐργαζόμεθα τὴν ἀντίτασιν, καὶ μάλιστά γε τούτῳ τῷ τρόπῳ τῆς ἀντιτάσεως ἐπὶ τῶν ἐξαρθρημάτων χρώμεθα. τοῦ δὲ νῦν ἀξιουμένου γίγνεσθαι τρόπου κατατάσεως ὄντι, καὶ τουτέστιν, ἐστηρίχθαι βούλεται τὸν πῆχυν ἐπί τινος ὃ οὗτος ὠνόμασεν ἐφέδρας, τουτέστιν ἐπί τινος δίφρου, ἐφ' οὗ καθεζόμενος ἑδραίως ἐπικειμένων αὐτῷ σκυτίνων ἐπικεφαλαίων, εἶτ' ἐξάπτεσθαι περὶ τὸ κάτω πέρας τοῦ βραχίονος τὸ κατ' ἀγκῶνα τὸ βάρος ἐχόντων τι σωμάτων. αὐτὸς δ' εἶπεν τῶν σταθμίων τι, ταῦτα δέ ἐστιν οἷς χρώμεθα συνήθως ἐξ ὕλης χαλκοῦ καὶ σιδήρου καὶ μολύβδου γεγονός. καὶ μέντοι καὶ ὡς ἱμάντα χρὴ πλατὺν καὶ μαλθακὸν, ἢ ταινίαν εὔτονον δηλονότι περιβεβλῆσθαι τῷ κάτω πέρατι τοῦ βραχίονος, ἐξ οὗ τῶν [σταθμίων] ἡ ἐξάρτησις ἔσται.

Ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων. κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον, ῥηιδίως δὲ κατορθώσεται. ἀγαθὴ γὰρ ἡ κατάτασις, ἤν τις καλῶς παρασκευάσηται, ἔπειτα ἐπιδείτω, τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα, καὶ τἄλλα πάντα ὥσπερ πρότερον παρῃνέθη χειριζέτω, καὶ ἐρωτήματα ταὐτὰ ἐρωτάτω, καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν, ἢν μετρίως ἔχῃ ἢ οὔ. καὶ διὰ τρίτης ἐπιδείτω, καὶ ἐπὶ μᾶλλον πιεζέτω.

Ὡς ἑδραιότερον αἱρεῖται τοῦτο τὸ σχῆμα τῷ χειρουργοῦντι, καθάπερ ἐν τῷ κατ' ἰητρεῖον ἠξίωσε γράψας. ἑστάναι δὲ δεῖ ἐπ' ἀμφοτέρων, βεβαιότατα ἐξίσου τῶν ποδῶν ἅλις, δηλῶν γε τῷ ἑτέρῳ ἐπιβεβαιῶτα, μὴ τῷ περὶ τὴν δρῶσαν χεῖρα.

Καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξι δησάτω. καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ ὀστέον, μεσηγὺ τουτέου τοῦ χρόνου λυσάτω, καὶ εὐθετησάμενος μετεπιδησάτω.

Ὅπερ ἐπὶ τοῦ πήχεος εἴρηκα ἔμπροσθεν, ἀξιώσας προσυπακούειν σε τοῦτο, καὶ νῦν ἀξιῶ κατὰ λόγον πάντων ἀκριβαινόντων ἐν ταύτῃ τοῦ χρόνου τῇ προθεσμίᾳ τοὺς νάρθηκας ἐπιβάλλειν, ἀλλ' ἐπὶ μὲν τοῦ πήχεος ἑβδομαῖον ἁπλῶς ἐκέλευσε νάρθηξι δεσμεῖν. ἐπὶ δὲ τοῦ βραχίονος τῷ καλουμένῳ παραδιαζευκτικῷ συνδέσμῳ, τὴν ἑρμηνείαν ἐποιήσατο. φησὶ μὲν ὡς ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξι δησάτω. διὰ γὰρ τὸ μέγεθος τῶν περὶ τὸν βραχίονα μυῶν, ἐν πλείονι χρόνῳ τελέως ἰσχνὰ καὶ λυσὰ γίνεται τὰ περὶ τὸ κάταγμα μόρια. τοιούτων δὲ ὄντων αὐτῶν ἐδείχθη καιρὸς εἶναι τῆς τῶν ναρθήκων ἐπιθέσεως.

Κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλλῃ, λύειν χρὴ, καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισι, καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδεῖν. δίαιταν δὲ ἀκριβεστέρην τινὰ, ἢ τὸ πρότερον διαιτᾷν, καὶ πλείω χρόνον, τεκμαί-

ρεσθαι δὲ πρὸς τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ τὴν ῥώμην ὁρέων.

Τὸ διὰ παντὸς συνδεῖσθαι τὰ κεχωρισμένα μέρη τοῦ συντριβέντος ὀστοῦ κρατύνεσθαι, βέβληκεν, ὡς καὶ πρόσθεν, ἐπὶ τοῦ πήχεος. ὅσῳ δὲ μεῖζον ἐστὶ τὸ τοῦ βραχίονος ὀστοῦν, τοσούτῳ δηλονότι καὶ ὁ χρόνος αὐτῷ τῆς πωρώσεως μακρότερος γίγνεται. τὰ δ' ἄλλα πάντα διὰ τῶν ἐπὶ τοῦ πήχεος εἰρημένων ἐστὶ δῆλα, μηδεμιᾶς οὖν ἐξηγήσεως δεόμενα.

Προσξυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος, καὶ διαστρέφεσθαι φιλεῖ, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ καὶ τἄλλα πάντα ὀστέα ἐς ὅπερ πέφυκε διεστραμμένα, ἐς τοῦτο καὶ ἰητρευόμενα φιλεῖ διαστρέφεσθαι ἐπὴν κατεαγῇ. χρὴ τοίνυν ἐπὴν τοιοῦτό τι ὑποπτεύηται, ταινίῃ πλατείῃ προσεπιλαμβάνειν τὸν βραχίονα, κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνα τινὰ πολύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλο τι τούτῳ ἔοικεν. οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι μέντοι χρή, ὅπως μὴ ᾖ ἄγαν ἐς τὸ ἔσω μέρος.

Τὰ μετὰ τὴν ῥῆσιν ὅλην ἄχρι τῆς τελευτῆς τοῦ κατὰ τὸν βραχίονα λόγου, πάντ' ἐστὶ σαφῆ. καὶ γὰρ τὴν αἰτίαν αὐτὸς εἶπε τῆς ἐπὶ τοὐκτὸς διαστροφῆς, καὶ τὴν ἐπανόρθωσιν ἐκ τῆς ἐπὶ τἀναντία περιῤῥοπῆς. ἐδίδαξε καὶ τὸν πολύπτυχον σπλῆνα, καὶ μεταξὺ τῶν πλευρῶν τε καὶ τοῦ ἀγκῶνος ἐκέλευσε τιθέναι χάριν τοῦ τὸν βραχίονα μὴ ψαύειν τῶν πλευρῶν, ἀλλ' ἐν τῷ μεταξὺ χώρας οὔσης, κἂν εἰς ἐκείνην ὠθούμενος ὑπὸ τῆς τῷ στήθει προσαγούσης αὐτὸν ταινίας, ἀδιάστροφον γίγνεσθαι, τῆς φυσικῆς αὐτοτρόπως εἰς τὴν ἔξωθεν χώραν ἐκτροπῆς ἐπανορθουμένης ὑπὸ τῆς ἔσω ῥοπῆς.

Περὶ ποδὸς καὶ ἄκρας χειρός.

Ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ μικρῶν ὀστέων ξύγκειται, ὥσπερ χεὶρ ἄκρη.

Ἀναλογία τίς ἐστι τοῖς τῆς χειρὸς ὅλης μέρεσι πρὸς τὰ τοῦ σκέλους. ὁποῖον μὲν γὰρ ἐν τῇ χειρὶ βραχίων ἐστὶ, τοιοῦτον ἐν τῷ σκέλει μηρός. ὁποῖον δὲ ἐν ἐκείνῃ πῆχυς, ἐν σκέλει κνήμη. καὶ δὴ τὸ λοιπὸν μέρος ἡ ἄκρα χεὶρ ἀνάλογόν ἐστι ποδὶ, περὶ ὃν οὐδὲν ἴδιον ὄνομα τοιοῦτον ἔχομεν ἄκρας χειρὸς, ὁποῖον πούς ἐστιν χωρὶς τοῦ σκέλους. εἰκότως οὖν καὶ πόδα μὲν ἁπλῶς εἶπε, μὴ προσθεὶς ἄκρον. χεῖρα δὲ οὐκέτι ἁπλῶς ὠνόμασεν, ἀλλ' ἄκραν προσέθηκε. ταῦθ' ἡμῖν ὑπὲρ τῆς τῶν ὀνομάτων χρήσεως αὐτάρκως εἴρηται· περὶ δὲ τῶν πραγμάτων αὐτῶν, ἐφεξῆς λέγομεν. ἀκόλουθος μὲν ἦν οἷς ἔμπροσθεν διῆλθεν ὁ περὶ τῆς ἄκρας χειρὸς λόγος. ὁ δ' οὐ περὶ ταύτης μόνης, ἀλλὰ καὶ περὶ τοῦ ποδὸς ἅμα διδάσκει, καὶ πλείω λόγον ὑπὲρ ἐκείνου ποιεῖται, διότι πλείονος ἐπιμελείας δεῖται. φησὶν οὖν ἐκ πολλῶν καὶ μικρῶν ἄμφω συγκεῖσθαι τὰ μόρια, προσθέντες δ' ἡμεῖς εἴπωμεν ἂν καὶ σκληρῶν. ἀμύελά τε γάρ ἐστι καὶ ἥκιστα σηραγγώδη, λιθιδίοις ἐοικότα μικροῖς. ἔστι δὲ ὅλης τῆς χειρὸς ἀναλογία πρὸς ὅλῳ τῷ σκέλει, οὕτως καὶ τοῖς ἄκροις αὐτῶν. ὁποῖος μὲν γάρ ἐστιν ἐν χειρὶ καρπὸς, τοιοῦτος ἐν ποδὶ ταρσὸς, ὁποῖον δὲ μετακάρπιον ἐν χειρὶ, τοιοῦτον τὸ πεδίον ἐν ποδί. περὶ δὲ τῆς τῶν δακτύλων ἀναλογίας κἂν ἐγὼ μὴ λέγω, δῆλον. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶν ἐν τῷ ποδὶ τὰ κατὰ τὴν πτέρναν ὀστᾶ, διὸ καὶ τοῦ ποδὸς ὁ λόγος αὐτῷ γίγνεται μακρότερος, ἤπερ τῆς ἄκρας χειρός. οἷα μὲν γὰρ πρὸς ἐκείνην αὐτῷ κοινὰ πρῶτον διῆλθεν, ὅσα δὲ ἴδια, προσέθηκεν ἐκείνοις ἐφεξῆς. ὁ μὲν οὖν καρπὸς ἐξ ὀκτὼ πάντων ὀστῶν σύγκειται. τὸ δὲ μετακάρπιον, ἐκ τεττάρων. ἕκαστος δὲ τῶν δακτύλων ἐκ τριῶν, ὡς εἶναι τὰ πάντα τῆς ἄκρας χειρὸς ἑπτὰ καὶ εἴκοσι. τὰ γυμνὰ τοῦ ποδὸς, αὐτῶν μὲν τῶν δακτύλων εἰσὶ τεσσαρακαίδεκα. δύο γὰρ ὀστᾶ μέγας ὁ δάκτυλος αὐτοῦ ἔχει, τὸ δὲ πεδίον ἐκ πέντε σύγκειται. καὶ διὰ τοῦτ' ἀμφοτέρων τῶν μορίων ἐννεακαίδεκα ἐστὶν ὥσπερ ἐν ἄκρῃ χειρὶ μετακαρπίου τε καὶ δακτύλων. ἑνὶ μὲν γὰρ ἀπολείπεται τὸ μετακάρπιον ὀστῷ τοῦ πεδίου. ἑνὶ δ' οἱ δάκτυλοι τῆς χειρὸς ὀστῷ πλεονεκτοῦσι τῶν ἐν τῷ ποδί. καὶ διὰ τοῦτο συναμφότερα συναμφοτέροις ἴσον ἔχει τὸν ἀριθμὸν, λοιπὸν ἐν χειρὶ μὲν ὁ καρπὸς ἐξ ὀκτὼ τῶν πάντων ὀστῶν ἐστιν. ἐν ποδὶ δὲ ταρσὸς, ἅμα τῇ πτέρνῃ τε καὶ ἀστραγάλῳ τῶν πάντων ὀκτώ, τοῦ γὰρ τῆς πτέρνης ὀστοῦ μεγίστου ὄντος ἁπάντων τῶν ἐν ἄκροις, ἀμφοτέροις τοῖς κώλοις ὑπεστηριγμένου τε τῷ ἀστραγάλῳ καὶ τῇ κνήμῃ, καὶ σχεδὸν ὅλον τὸ σῶμα βαστάζοντος ὁπόταν ὀρθοὶ στῶμεν. ἐν δὲ τοῖς πρόσω μέρεσι συνηρθρωμένου πρὸς τὸ κυβοειδὲς, ὥσπερ γε καὶ τοῦ ἀστραγάλου κεφαλὴ πρὸς τὸ σκαφοειδὲς, οἷς ἀμφοτέροις ἄλλα τε περιδιήρθρωται τὰ κατὰ τὸν ταρσὸν τοῦ ποδὸς μάλιστα κείμενα. καὶ εἴπερ τις ἐθέλει καὶ τὸν ἀστράγαλον ἄκρον τῷ σκέλει προσνέμειν, ὁ αὐτὸς ἀριθμὸς ἔσται τῶν ὀστῶν ἐν ἑκατέρῳ πέρατι τῶν κώλων, ὥστε τρόπῳ διδασκαλίας, οὐκ αὐτῇ τῶν πραγμάτων τῇ φύσει διαφέρεσθαι τοὺς ζ. καὶ κ. εἶναι λέγοντας ὀστᾶ πρὸς τοὺς ς. καὶ κ. εἰπόντας. εἰ μὲν γὰρ προσνέμοις ἄκρῳ τῷ σκέλει τὸν ἀστράγαλον, ζ. καὶ κ. ἔσται. χωρὶς δὲ ἐκείνου τὰ πάντα τοῦ ποδὸς ς. καὶ κ. ὀστᾶ γίνεται. διὰ τοῦτ' οὖν ὀρθῶς προσεῖπεν, ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ μικρῶν σύγκειται ὀστῶν, ὥσπερ καὶ χεὶρ ἄκρη. τὸν μὲν λόγον ποιούμενος ὡς πρὸς εἰσαγομένους καὶ ἀνατετμηκότας. ἀναμιμνήσκων δὲ ὧν ἐμάθομεν εἰς τὰ παρόντα χρησίμων. οὐ γὰρ δὴ τοῦτο μόνον εἰδέναι προσήκει ὡς ἐκ πολλῶν καὶ σκληρῶν καὶ μικρῶν ὀστῶν ἑκάτερον ὧν εἴπομεν σύγκειται. προσαναμεμνῆσθαι δὲ χρὴ καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος ἑκάστου, καὶ τὴν πρὸς τὰ πλησιάζοντα σχέσιν, ὅπερ ὀνομάζεται θέσις, ἵν' ὅταν ἐκ τῆς ἰδίας χώρας κινηθῇ τι τῶν ἐν τούτοις τοῖς μέρεσιν ὀστῶν, ἑτοίμως αὐτῷ καταντῶμεν.

Κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρώσκηται ὑπὸ ὀξέος τινὸς ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα, ἐν ἑλκωσίων μέρει εἰρήσεται ὡς χρὴ ἰητρεύειν.

Χρῶτα καλοῦσιν οἱ Ἴωνες ὃ ἦν τοῦ σώματος ἡμῶν σαρκῶδες, ἐν ᾧ μάλιστα γένει τὸ δέρμα καὶ οἱ μύες εἰσὶν, ἐφεξῆς δὲ οἱ ὑμένες, καὶ σπλάγχνα. τὸ δὲ τῶν ὀστῶν γένος, οὐκ ὀνομάζουσι χρῶτα, καθάπερ οὐδὲ τοὺς χόνδρους, οὐδὲ τοὺς συνδέσμους. ,, οὕτως οὖν καὶ Ὅμηρος φαίνεται τῇ προσηγορίᾳ χρώμενος, ἐν οἷς φησιν, ἀεὶ τῷ γε νέει ἔσται χρὼς ἔμπεδος ἢ καὶ ἀρείων. καὶ ἔμ

πάλιν

πάλιν, ὡς αὖ μὴ κλαίουσα ἐπὶ χρῶτα καλὸν ἰάπτεις. ὁ τοίνυν προσεῖπεν ἐπὶ τῶν προειρημένων μορίων, ἅπερ ἐστὶ πούς τε καὶ ἄκρα χείρ, οὐ πάνυ τι κατάγνυσθαι φησὶ τὰ ὀστᾶ χωρὶς ἕλκους. τῷ γὰρ σὺν χρωτὶ τιτρωσκομένῳ, τὸ αὐτὸ σημαίνει τῷ, μεθ' ἕλκους, οὐδὲ διάφορον οἴεται περὶ τὸν ἐνεστῶτα λόγον ἕλκος εἰπεῖν ἢ τραύματος. ὀλίγιστον δὲ ἐστὶν ἐν ἄκροις τοῖς κώλοις τὸ γὰρ σαρκῶδες, ὥσπερ πλεῖστον ἐν βραχίονί τε καὶ μηρῷ. τοῦτ' οὖν τὸ ὅλον ἑτοίμως πάσχει, προσπεσόντος τινὸς ἔξωθεν ἄκρᾳ χειρὶ καὶ ποδὶ τοῦ δυναμένου κατάξαι τι τῶν ἐν αὐτοῖς ὀστῶν. αἰτίαι γὰρ οὖν γοῦν γενικώταται τέσσαρες ὀστῶν κατάγματος, ἢ θλάσαι τι δυνάμενον ἰσχυρῶς ἐμπεσόν. ἔστι δὲ δῆλον, ὅτι χρὴ τὸ τοιοῦτον σῶμα σκληρὸν μὲν κατὰ τὴν οὐσίαν, οὐ σμικρὸν δὲ κατὰ τὸν ὄγκον, ἢ διατεμνόμενον τὸ δέρμα μόνον, ἢ τι τῶν μετ' αὐτὸ τὸ μέχρι τῶν ὀστῶν, ἀλλὰ καὶ αὐτὰ τὰ ὀστᾶ. καὶ καλεῖ γ' ἕδραν αὐτὸς τὸ τοιοῦτον πάθημα τῶν ὀστῶν, ἐν τῷ περὶ τῶν ἐν τῇ κεφαλῇ τραυμάτων. καὶ μέντοι καὶ καταβαλλόμενοί τινες ἀφ' ὑψηλοῦ διέκλασαν, ἤτοι τῆς κνήμης ὀστοῦν, ἢ τὸ τοῦ μηροῦ, ξηροτέρων αὐτοῖς καὶ οὐ πάνυ πυκνῶν ὄντων. ἴδομεν δὲ καὶ κατὰ παλαίστραν κάταγμα γιγνόμενον κατὰ περίκλασιν. οὕτως γὰρ ἄν τις ἑρμηνεύσειε σαφῶς, ὥσπερ κἀπὶ τοῦ συντριβέντος τὴν κνήμην μετὰ τῆς περόνης, ἅμα τραύματι μεγάλῳ γυμνωθέντων τῶν ὀστῶν. συνέβη γὰρ ἐκεῖνο γενέσθαι τὸ κάταγμα τῆς κνήμης ἐγκαρσίας ὑποβεβλημένης τὸ τοῦ παλαίοντος κώλῳ, καταναγκαζομένων αὐτῆς κάτω τῶν περάτων ἀμφοτέρων, παραπλησίως συμβαίνοντος τῷ γιγνομένῳ ὥσπερ περὶ τὰ κλώμενα ξύλα κατὰ προαίρεσιν ὑφ' ἡμῶν αὐτῶν. ἐπιθέντες γὰρ αὐτὰ κατ' ἑκατέρου μηροῦ λοξά, κἀπὶ τῶν χειρῶν ἑκάτερον τὸ ἄκρον ἰσχυρῶς ἀναγκάζοντες κάτω, κατὰ τὸ μέσον αὐτῶν ὁρῶμεν ῥηγνύμενα. ὥσπερ οὖν οὔτε μέγα ξύλον, οὔτ' εὔτονον, ἀλλὰ καὶ σμικρὸν καὶ ἄρρωστον ἐν τούτῳ τῷ τρόπῳ κλῶμεν, οὕτως ἐπειδὰν ὀστοῦν ἀσθενὲς ᾖ φύσει, κατὰ τὰς εἰρημένας ἐνεργείας διακλᾶται μέσον τὸ τοιοῦτον. ἀλλ' ὁ τοιοῦτος τρόπος τῶν παλαισμάτων ἐν ἄκροις τοῖς κώλοις οὐκ ἔστιν, οὐδ' ὅταν ἀφ' ὑψηλοῦ πηδήσαντες, ἢ καταφερομένοις τηρήσωσιν ἐπὶ τῆς γῆς, ἢ βιαίως τὸν πόδα διασπῶντες. μᾶλλον γὰρ ἐν ταῖς τοιαύταις πληγαῖς οἱ σύνδεσμοι τῶν ὀστῶν ἤπερ αὐτὰ κατάγνυνται. τοῦτο δ' αὐτοῖς συμβαίνει καὶ διὰ τὴν σμικρότητα μέν, ἀλλὰ καὶ διὰ τὴν σκληρότητα μᾶλλον. οὐ μὴν οὐδὲ τοῖς ἔξωθεν αὐτοῖς ἐμπιπτόντων σφοδρῶς δύναται τι ῥᾳδίως συντρῖψαι, μὴ σκληρότερόν τε τῶν ὀστῶν ὑπάρχον, ἀξιόλογόν τε τῷ μεγέθει. τὸ δὲ τοιοῦτον, οὐδὲ τοῦ δέρματος φείδεται, καθάπερ οὐδ' ὅταν ὀξὺ τὸ τιτρῶσκον ᾖ. ἔστι γὰρ καὶ τοῦτο φθάνει περιδιατέμνον ἃ τοῖς ὀστοῖς ἐπίκειται, πρὶν ἐντυχεῖν αὐτοῖς, ὅπερ εὐλόγως ἔφη, μὴ πάνυ τι κατάγνυσθαι τὰ ὀστᾶ ταῦτα χωρὶς ἕλκους. ἀλλ' ἐπεὶ μέλλει περὶ τῶν μεθ' ἕλκους καταγμάτων ἰδίαν ποιεῖσθαι τὴν διδασκαλίαν, ἐν τοῖς ἐφεξῆς εἰς ἐκεῖνο τοῦ βιβλίου χωρίον ἀνέβαλε καὶ τὸν περὶ τούτων λόγον.

Ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης, ἢ τῶν δακτύλων ἄρθρον, ἢ ἄλλο τι τῶν ὀστέων τῶν ταρσοῦ καλεομένων, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται.

Οὐχ ὡς προειρηκὼς τι περὶ τῶν ἐν τῇ χειρὶ συνισταμένων ὀστῶν εἶπε τό, ὥσπερ καὶ τὰ ἐν τῇ χειρί, ἀλλ' εἰ καὶ οὕτως ἔτυχεν εἰπών. ἀναγκάζειν μὲν χρὴ εἰς τὴν ἑαυτοῦ χώραν ἕκαστον τῶν ἐν τῷ ποδί, κατὰ δὲ τὸν αὐτὸν τρόπον χρὴ καὶ τὰ ἐν τῇ χειρί. γέγραπται δὲ ἐν τισὶ μὲν ἀναγκάζειν, ἐν τισὶ δὲ καταναγκάζειν εἴρηται. σημαίνει δ' ἡ λέξις τοῦτον, ἐπεὶ μὲν τιθέντα ἐν τῇ οἰκείᾳ χώρᾳ τὸ κινηθὲν ὀστοῦν. κινεῖται δὲ ἀπερρηγνυμένων τῶν συναπτόντων αὐτὰ πρὸς τὰ πλησιάζοντα συνδέσμων, ἀλλ' οὐχ ὅτι πάντες οἱ περιέχοντες ἐγκύκλως σύνδεσμοι τὸ κινηθὲν ὀστοῦν ἀπερρήγνυνται. σπάνιον γὰρ ἀκριβῶς τὸ τοιοῦτον, καταλιπὸν ἅπασαν τὴν ἑαυτοῦ χώραν, τὸ βλαβὲν οὕτως ἀναπηδᾷν πρὸς τὸ δέρμα, καὶ μάλιστα οἷς ἐστὶ χαλαρόν, ὥστε γε σύντομον ἀνθίσταται τῇ ἑαυτοῦ φορᾷ τοῦ κινηθέντος ὀστοῦ. διὰ τοῦτο γοῦν οὐδὲ εἰς τὸ κάτω τοῦ ποδὸς εἴωθε τὰ πολλὰ τὸ κινηθὲν ὀστοῦν ἐξίσχειν, ὅτι σκληρόν ἐστι καὶ παχὺ τὸ ταύτης δέρμα τὸ καλούμενον ἴχνος, ἀλλὰ καὶ διότι τὰ πλήττοντα τοὐπίπαν ἐκ τῶν ἄνω μερῶν ἐμπίπτει τῷ ποδί. μόνως οὖν οὕτως εἰς τὸ κάτω μέρος ἐκστήσεται τὸ κινηθὲν ὀστοῦν, ὅταν ἀφ' ὑψηλοῦ τινὸς ὁ ἄνθρωπος ἐπὶ λίαν τραχεῖς ἐξοχὰς ἢ ὀξείας ἔχοντα πηδήσῃ. τὰ μὲν οὖν παντάπασιν ἀπολυθέντα τελέως, ὁπόταν τῆς ἑαυτοῦ χώρας, εἴτε κάτω τοῦ ποδὸς εἴτ' ἄνωθεν χωρήσῃ, χαλεπώτερόν ἐστιν εἰς τὴν οἰκείαν ἐμβαλεῖν χώραν. εἰ δέ γε καὶ σπανίως τυχηθείη τινὰ τὸ ἔργον, ἀλλὰ καὶ τὸ φυλάξαι γε τὴν χώραν ἀεὶ χαλαρόν. ἔνθα γὰρ ὀστοῦν πάλιν σφοδρότερον κινηθῇ, κλήσεται τοὺς κρατοῦντας αὐτὸ συνδέσμους. οὐκ ἔχοντα δὲ ἐκ μέρους μὲν ἐχόμενα, φυλαττομένων ἡμῶν τῶν συνδέσμων, ἐκ μέρους δ' ἀπολυμένα καθάπερ αὖ ἀπορραγῶσιν εἰ περικύπτειν εἴωθε. διατείνοντας οὖν ὅλον τὸν πόδα, καταναγκάζειν αὐτὸν προσήκει.

Καὶ ἐπιδεῖν δὲ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων. τὸν δὲ αὐτὸν τρόπον πιέζοντα, διὰ τρίτης δὲ ἐπιδέοντα. ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷάπερ καὶ ἐν τοῖσι κατήγμασι, καὶ περὶ τοῦ πεπιέχθαι, καὶ περὶ τοῦ χαλαρὰ εἶναι.

Ὁποίαν ἐπὶ τῶν καταγμάτων ἐκέλευσε θεραπείαν, τοιαύτην ἀξιοῖ σε ποιεῖσθαι καὶ νῦν ἐπὶ τῶν ἐν ἄκροις τοῖς κώλοις κινηθέντων ὀστῶν. καὶ γὰρ ἀπὸ διατάσεως ἄρξασθαι χρὴ χάριν τοῦ καλῶς διαπλάσαι τὰ κεκινημένα τῶν ὀστῶν, καὶ μετὰ τὴν διάπλασιν ἐπιδοῦντα, τῶν αὐτῶν ὑποστοχάζεσθαι σκοπῶν. ἀφλέγμαντόν τε μὲν γὰρ εἶναι βουλόμεθα τὸ μόριον, ἐσφίγχθαι τε καὶ διακρατεῖσθαι τὸ πεπλασμένον ὀστοῦν ὑπὸ τῶν ὀθονίων. ἐλέχθη δ' ἔμπροσθεν ταῦτα οὐ δυνάμενα γενέσθαι καλῶς, ἄνευ τοῦ τὸ μὲν ἐν τοῖς πεπονθόσι μορίοις αἷμα πρὸς τὴν ἀρχὴν τοῦ κώλου καὶ τὸ πέρας ἐκθλίβεσθαι, κωλύεσθαι δ' ἐπιρρεῖν ἄλλο. πρὸς ταῦτα δ' οὖν ἔτι μεμνῆσθαι σκοποῦντες, εὕρομεν ἅπασαν τὴν καταγματικὴν ἐπίδεσιν ἣν κελεύει ποιεῖσθαι, πλὴν τῶν ναρθήκων, ἐπειδὴ τοῦ μέρους ἡ φύσις οὐ προσίεται τὴν τούτων ἐπίθεσιν. ὁμαλὴν γὰρ εἶναι δεῖ τὴν ἐπιφάνειαν τῶν μερῶν οἷς μέλλομεν ἐπιβαλεῖν νάρθηκας, οὐ μὴν τοιοῦτος ἐστὶν ὁ ταρσὸς τοῦ ποδός.

Ὑγιὴς δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσι τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι, καὶ αὐτέῃ τῇ ἴξει. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον. ἀλλὰ γὰρ οὐ τολμέουσιν ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τελέως, ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει εἰκότως. ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες, ὁδοιπορέουσιν, † φλαύρως ξυναλθάσσεται τὰ ἄρθρα κινηθέντα. διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ. τὰ δὲ κοινωνέοντα τοῖσι τῆς κνήμης ὀστέοισιν, μέζω τε τῶν ἑτέρων ἐστὶν, καὶ κινηθέντων τούτων πολυχρονιωτέρα ἡ ἄλθαξις. ἴησις μὲν οὖν ἡ αὐτή.

† φαύλως

Λέγει τῆς ὅλης κνήμης, εἴγε καὶ τὸ κατὰ τὴν ἴξιν αὐτὸ σημαίνει τὸ κατ᾽ εὐθὺ πολλάκις ἐν πολλοῖς εἰρημένον, ἀλλὰ καὶ κατωτέρω τρὶς ἐφεξῆς κέχρηται τῷ ὀνόματι περὶ κνήμης διαλεγόμενος ἐν τῇ ῥήσει. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑπερέχει τὸ ὑπερθεν τοῦ σώματος, αὕτη τε ἔσωθεν πέφυκε τοῦ σκέλους, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν, ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτνιάζεται μᾶλλον ταύτῃ τῇ ἴξει, ἀλλ᾽ οὐχὶ τῇ ἔσωθεν. ἅμα δὲ ὅτι παχύτερον τὸ ἔσω τοῦ ἔξωθεν, ὥσπερ καὶ τὸ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον.

Ὀθονίοισι δὲ πλείοσι χρέεσθαι, καὶ σπλήνεσιν.

Εἰθίσθη ὡς κατὰ χώραν μένειν τὰ ἐμβληθέντα τῶν ὀστῶν, καὶ τοῖς ὀθονίοις καὶ τοῖς σπλήνεσι χρῆσθαι, καὶ μάλιστα ὅταν ναρθήκων ἐπίδεσιν οὐκ ἐφίεται τὸ χωρίον ἀνώμαλον ὑπάρχον.

Καὶ ἐπιδεῖν ἔνθεν καὶ ἔνθεν ἐπιδέειν, πιέζειν δὲ ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μάλιστα ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα ποιέεσθαι.

Ἔμπροσθεν ἐκέλευσεν ἡμᾶς ἐν ταῖς ῥοπαῖς τῶν κατεαγότων, ἵν᾽ εἰ μὲν ἐπὶ τῇ δεξιᾷ ῥέποιεν εἰς τὰ ἀριστερὰ, περιτρέπομεν. εἰ δ᾽ εἰς ἐκεῖνα, πρὸς τὰ δεξιὰ ἐπανάγομεν. ἐν δὲ τοῖς κατὰ τὸν πόδα τοὐναντίον ἰσόῤῥοπον ποιεῖσθαι χρὴ τὴν ἐπίδεσιν, ἐπειδὴ τὰ τῆς ἰδίας χώρας ἐξιστάμενα τῶν ὀστῶν, οὐκ εἰς τὰ πλάγια ποιεῖται τὴν ῥοπὴν, ἀλλ᾽ εἰς τὸν ἄνω τόπον, ἢ τὸν κάτω.

Ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων, ὕδατι πολλῷ θερμῷ χρέεσθαι. ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ᾽ ἄρθρα σίνεσιν. αἱ δὲ πιέξιες, καὶ αἱ χαλάσιες, ἐν τοῖσιν αὐτέοισιν χρόνοισι τὰ αὐτὰ σημεῖα δεικνυόντων ἅπερ καὶ τοῖσιν πρόσθεν, καὶ τὰς μετ᾽ ἐπιδέσιας, ὡσαύτως χρὴ ποιέεσθαι. ὑγιέες δὲ τελέως οὗτοι γίνονται ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα, ἢν τολμέωσι κατακεῖσθαι. ἢν δὲ μὴ, πάσχουσι ταῦτα ἃ καὶ πρότερον, καὶ ἔτι μᾶλλον.

Ἔνθα πραΰνειν μὲν ὀδύνην, χαλάσαι δὲ τὴν τάσιν βούλεται τῶν σωμάτων, ἐνταῦθα πλέονι χρῆσθαι καταντλήσει θερμοῦ ὕδατος, ἔστι δὲ μάλιστα ἐν τοῖς κατ᾽ ἄρθρα τοιαῦτα παθήματα. νευρωδέστερά τε γὰρ καὶ ὀστωδέστερα ταῦτα τὰ μόρια. θλίβεται οὖν ὑπὸ τοῦ φλεγμαίνοντος, καὶ μᾶλλον αἰσθάνεται τῆς ὀδύνης ὅτι νευρωδέστερα ἐστίν. σίνεσιν δὲ εἶπε τὰ οἷον βλέμματα, διότι καὶ τὸ βλάπτεσθαι σίνεσθαι καλεῖ.

Περὶ τῶν κατὰ πτέρναν.

Ὅσοι δὲ πηδήσαντες ἀφ᾽ ὑψηλοῦ τινὸς, ἐστηρίξαντο τῇ πτέρνῃ ἰσχυρῶς, τουτέοισι διΐστανται μὲν τὰ ὀστέα, φλέβια δ᾽ ἐκχυμοῦνται, ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον, οἴδημα δ᾽ ἐπιγίνεται καὶ πόνος πολύς. τὸ γὰρ ὀστέον τοῦτο οὐ σμικρόν ἐστι, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης.

Ἐκχυμῶσθαι τὰς φλέβας εἶπε, σημῆναι βουλόμενος ἐκχεῖσθαι τὸν ἐν ἑαυταῖς περιεχόμενον ἔξω χυμὸν ὅπερ ἐστὶ τὸ αἷμα. γίγνεται δὲ τοῦτο θλασθέντος αὐτοῦ τοῦ χιτῶνος. ὅσα γὰρ θλάπτεται σώματα, τὴν φυσικὴν ἕνωσιν ἀπόλλυται κατὰ πολλὰ μέρη καὶ μικρὰ διασπώμενα, καθ᾽ ἃ καὶ περιεκχεῖται τὸ αἷμα. τοῦτο οὖν τὸ ἐκχυθὲν αἷμα, δέχονται μὲν αἱ περιεχόμεναι χώραι τὴν φλέβα, δεξάμεναι δὲ οὐ φυλάσσουσιν οἷον ἐδέξαντο. μελαίνεται μὲν γὰρ ἐν τῷ χρόνῳ, καθάπερ εἰ κἀκτὸς ἐκχυθὲν ἐχρόνισε, καὶ γίνεται πάθος ὃ καλεῖται θρόμβωσις, ἐξ οὗ παθήματος ἐγγινομένου τῷ αἵματι, θρόμβος μὲν ἤδη τὸ αἷμα καλεῖται καὶ ἔστι. μέλαν δὲ γίγνεται τῇ χρόᾳ, καὶ σήπεται ἐντεῦθεν μοχθηρῶς. ἀλλὰ ταῦτα μὲν οὐχ οἷόν τε χαλεπώτατα συμπίπτει τοῖς ἐκχύμασιν, ἵν᾽ ὅταν ὑπὸ τῆς φύσεως κρατεῖται μεταβάλλῃ, καθάπερ καὶ ἄλλο κατὰ τὰς πεπτομένας φλεγμονὰς αἷμα καὶ γίγνεται πύον. ἵνα δὲ κρατήσῃ τοῦ αἵματος ἡ ἐν τοῖς μορίοις φύσις, ἐστοχᾶσθαι χρὴ δυοῖν τούτοιν, ἑτέρου μὲν ὡς μὴ φλεγμῆναι τὰ σώματα, καὶ ὅπως τοῦτο γίγνεται πρότερον ἐμάθομεν, ἑτέρου δὲ τοῦ διωρίσθαι τὸ παρεκκεχυμένον αἷμα. τούτου οὖν στοχαζόμενος ὁ Ἱπποκράτης κατὰ μέρος, ἐφεξῆς πάντα συμβουλεύει. διΐσταται δὲ ἔφη τὰ ὀστέα τοῦ οὕτω πηδήσαντος, ἀποῤῥηγνυμένων δηλονότι τῶν συμφυόντων αὐτὰ συνδέσμων, ὥσπερ ὀλίγον ἔμπροσθεν ὑπὲρ τῶν κατὰ τὸν ταρσὸν ἐλέγομεν. ἐρείδεται δὲ τῇ πτέρνῃ κατὰ τὸ ἄνω μέρος ὁ ἀστράγαλος. ἔμπροσθεν δὲ τὸ καλούμενον κυμοειδὲς, ὥσπερ γε καὶ τῷ ἀστραγάλῳ κατὰ τὰ πρόσω μέρη συνήρθρωται τὸ

σκα-

σκαφοειδὲς ὀνομαζόμενον ὀστοῦν, καὶ τούτοις ἀμφοτέροις, τῷ τε κυβοειδεῖ καὶ τῷ σκαφοειδεῖ τὰ τάρσου τέτταρα. δέδεικται δὲ ὑπὲρ τούτων ἁπάντων τῶν ὀστῶν, τῶν τε κατὰ πόδα καὶ ἄκραν χεῖρα κατὰ τὸ περὶ τῶν ὀστῶν ὑπόμνημα.

Κοινωνέει δὲ φλεψὶ καὶ νεύροισιν ἐπικαίροισιν, ὁ τένων ἢ ὁ ὄπισθεν τούτῳ προσήρτηται τῷ ὀστέῳ, τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ, καὶ σπλήνεσι, καὶ ὀθονίοισιν. ὕδατι δὲ θερμῷ πλείστῳ, τουτέοισιν χρῆσθαι καὶ ὀθονίοισι πλείοσιν, ἐπεὶ τουτέοισι δεῖ, καὶ ἄλλως ὡς βελτίστων καὶ προσηνεστάτων.

Τῷ τῆς πτέρνης φησὶν ὀστέῳ, κοινωνεῖ μὲν νεῦρα μεγάλα, τοῦτο γὰρ αὐτὸ νῦν δηλοῖ τὸ ἐπίκαιρα, καθάπερ δὲ καὶ φλέβες οὐ μικραί. συμπέφυκε δὲ ὀπίσθιος τένων ὁ ἐκ τῶν κατὰ τὴν γαστροκνημίαν μυῶν γενόμενος. εἴρηται δὲ καὶ περὶ τούτων αὐτάρκως ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι, καὶ τῇ τῶν μυῶν ἀνατομῇ. καὶ χρὴ ταῦτά γε ἀκριβῶς μεμαθηκέναι τὸν ἀκολουθεῖν βουλόμενον οἷς νῦν ὁ Ἱπποκράτης διδάσκει.

Καὶ ἢν μὲν τύχῃ ἁπαλὸν τὸ δέρμα φύσει ἔχων τὸ ἀμφὶ τῇ πτέρνῃ, ἐᾶν οὕτως. ἢν δὲ παχὺ καὶ σκληρὸν οἷα μετεξέτεροι ἴσχουσιν, κατατέμνειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν μὴ διατιτρώσκοντα.

Τῶν προειρημένων παθημάτων περὶ τὴν πτέρναν τε καὶ ἐπὶ τὰ συνεχῆ μόρια γενομένων, κίνδυνός ἐστιν ὀδύνας τε μεγάλας ἀκολουθῆσαι, καὶ φλεγμονὴν οὐ σμικράν. ὀστώδη τε γὰρ τὰ χωρία, καὶ οὐκ ἐκ τῶν ἐπιτυχόντων ὀστῶν, ἀλλ' ἐκ πάνυ μικρῶν συνηρθρωμένα, ὥστε ἐὰν καὶ βραχεῖά τινα γένηται φλεγμονῆς, μεγάλας ὀδύνας ἔσεσθαι διὰ τὴν θλῖψιν. ὁ δ' ἐμφυόμενος τῇ πτέρνῃ τένων, ἀξιόλογος ὢν τὸ μέγεθος, εἰ φλεγμήνειε κίνδυνον ἕξει σπασμῶν. καὶ μὴν καὶ νεῦρα κατὰ τὸ μόριον τοῦτο μεγάλα τέτακται, ψαύοντα τῶν ὀστῶν, ὡς καὶ τοῦτ' ἔμαθες ἐν τῇ νεύρων ἀνατομῇ. ταῦτ' οὖν τἄλλα τῆς θεραπείας ἁπάσης ἠκριβῶσθαι χρὴ, κατά τε τὴν τῆς διαίτης λεπτότητα, καὶ τὸ πλῆθος τοῦ καταντλουμένου θερμοῦ. καὶ μέντοι καὶ τὸ δέρμα τὸ κάτω, ὃ προσαγορεύουσιν ἴχνος ὑπὸ πολλοῦ χρή. σύμμετρον δὲ ἐφ' ὧν σκληρόν ἐστι, ὅρον τοῦ βάθους τῆς τομῆς ποιούμενον τὴν σκληρότητα. τυλοῦται γὰρ ἐπ' ἐνίων, ὡς μηδ' ὑπὸ βραχὺ προχεῖν αἵματος, ἢν μὴ μέχρι βάθους ἱκανοῦ καθιῇ τις τὴν σμίλην, αὐτὸ μὲν μὴ τοῦτο αὐτὸ προσήκει τέμνειν τὸ μέρος ὃ οὔτε προχεῖ τι τοῦ αἵματος. ἐκεῖνο δέ τι δέδεται καθὸ τεμνόμενον εὐθέως αἱμάσεται, καὶ γὰρ ὀδυνᾶται τεμνόμενον. ἐκεῖνο δὲ οὐχ ἁπλῶς τέμνειν, ἀλλ' ὁμαλῶς τὸ σκληρὸν τοῦ δέρματος. ἔχοις δ' ἂν τρεῖς σκοποὺς τοῦ τέμνειν ὁμαλῶς, κατὰ μὲν τὸ μῆκος τῆς τομῆς, ἕτερον δὲ τὸ βάθος, καὶ τρίτον καὶ τὸ μεταξὺ διάστημα. χρὴ γὰρ ἴσας τε τῷ μήκει καὶ πλάτει τὰς τομὰς ἀλλήλαις τέμνειν, ἴσον τε διεστηκυίας, ὥσπερ ἅπαν ὁμοίως τὸ ἴχνος ἀλύπως ἐπεκτείνηται κατὰ τὸν τῆς φλεγμονῆς καιρόν. ἴσμεν γὰρ ὅτι τε τὰ φλεγμαίνοντα πάντα τείνεται, καὶ ὡς αἱ τάσεις ὀδύνας τε γεννῶσι, καὶ φλεγμονὰς αὔξουσι, καὶ σπασμοὺς ἐπικαλοῦνται. ὡς οὖν ἡ πολλὴ κατάντλησις ὕδατος θερμοῦ, παραχεομένου δαψιλοῦς ἐλαίου, τὴν τάσιν ἐκλύουσα μεγάλως ὀνίνησιν, οὕτως καὶ τὰς τομὰς ἐπενόησε ποιεῖσθαι, τοσοῦτον καθιέντας εἰς τὸ βάθος, ὡς μηδέπω τιτρώσκειν τὸ ἔναιμον τοῦ δέρματος. ἐπινενόηται χρησίμως αὐτῷ τὰς ἀμυχὰς, ὅπου κἀπὶ τῶν ἄλλων μορίων, ὅταν γε μεγάλως φλεγμαίνῃ, σχάζειν ἀναγκαζόμεθα τὸ δέρμα. τοῦτο μὲν κενοῦντες τι τῆς περιουσίας τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος, τοῦτο δὲ καὶ διαπνοὰς ἐργαζόμενοι, καὶ προσέτι τὴν τάσιν ἐκλύοντες ἣν ἐκ τῆς φλεγμονῆς ἔσχεν. ἐπὶ δὲ τοῦ ποδὸς, ἐπειδὴ καὶ μᾶλλον ἐπὶ τὸ σχάζειν τὸ δέρμα παραγενησόμεθα, κἂν μηδέπω φλεγμαίνῃ, διότι σκληρότατον ὄν. ἐφ' ὅσον γε τοιοῦτον ἐστὶν, οὐ δυνήσεται προσεπεκτείνεσθαι ἐπὶ τὰς φλεγμονὰς, αὐτό τε οὖν οὐ δυνήσεται τεταμένον ἰσχυρῶς θλάσεται, καὶ τῇ περιτάσει τὰ ὑποκείμενα, καὶ μάλιστα τὸν συμπεφυκότα τένοντα πλάτος ἐκ μιᾶς ἀπονευρώσεως ἑνὸς τῶν κατὰ τὴν γαστροκνημίαν μυῶν ἔχει τὴν γένεσιν. ἐὰν περ οὖν οὗτος εἰς ὀδύνην τε καὶ φλεγμονὴν ἀφίκηται, κίνδυνος ὅλῳ τῷ μυῒ παθεῖν ταὐτά. τούτου δ' εἰ γένοιτο, καὶ σπασμὸν ἀκολουθῆσαι εἰκός, διὰ ταῦτ' οὖν ἅπαντα τέμνειν μὲν ὡς εἴρηται προσήκει τὸ ἴχνος, ἑξῆς δὲ λεπτύνειν ὡς ἔφην, τουτέστι λεπτὸν ἐργάζεσθαι. γένοιτο δ' ἂν τοῦτο τοῦ μὲν σκληρότητος αὐτοῦ μαλαττομένης, τοῦ δὲ πλήθους καθαιρουμένου. γενήσεται δ' ἄμφω ταῦτα καταντλούντων ἔλαιόν τε καὶ ὕδωρ θερμὸν οὐκ ὀλίγον. εἶτ' ἐπὶ τῇ καταντλήσει πρὸς τῶν ἐπιδέσμων ὑπαλειφόντων ἔλαιον μηδεμίαν ἔχον στύψιν.

Ἐπιδεῖν δὲ ἀγαθῶς, οὐ παντὸς ἀνδρός ἐστι τὰ τοιαῦτα. ἢν γάρ τις ἐπιδέῃ, ὥσπερ καὶ τἄλλα τὰ ἐπὶ τὰ σφυρὰ ἐπιδεῖται, ὅτε μὲν περὶ τὸν πόδα περιβαλλόμενος, ὅτε δὲ περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες αὗται χωρίζουσι μὲν τὴν πτέρνην ᾗ τὸ θλάσμα ἐγγένηται.

Τῷ μὲν ἀγαθῶς, ἀντὶ τοῦ καλῶς οὗτός τε καὶ οἱ ἄλλοι παλαιοὶ πολλάκις εἰρήκασιν. ἀξιοῖ δὲ καὶ τὰ περὶ τὴν πτέρναν ἐπιδεῖν τῷ καταγματικῷ τρόπῳ, μεμφόμενος τοὺς οὕτως ἐπιδοῦντας, ὡς ἐπιδεῖν εἰθίσμεθα πολλάκις ἕνεκα τοῦ κρατῆσαί τι τῶν ἐπ' ἐκείνων αὐτοῖς φαρμάκων, ἢ καταπλασμάτων, ἢ καί τινας ἐπιβροχάς. ἔστι δ' ὁ τρόπος τῆς ἐπιδέσεως ὃν μέμφεται τοιόσδε, τῆς ἀρχῆς τοῦ ἐπιδέσμου λοξῆς ἀνατεταμένης κατὰ τὸ σφυρὸν, ἡ νομὴ τῆς ἐπιδέσεως γίγνεται πρὸς τὸ κάτω τοῦ ποδὸς ἔμπροσθεν τοῦ προπετοῦς τῆς κνήμης πέρατος ὃ καλοῦσιν ἀστράγαλον. ἐντεῦθεν δὲ πάλιν ὑποστρεψάντων ἐγκαρσίως ὑπὸ τοῦ ποδὸς, ἴχνος ἐπίδεσμος ἀχθεὶς, καὶ διελθὼν ὅλον τὸν πόδα μέχρι τῆς ἀντικειμένης χώρας, αὖθις ἀνάγεται λοξὸς ἐκ τῶν κάτω τε καὶ πρόσω μερῶν τοῦ ἀστραγάλου, ψαύων αὐτοῦ καθάπερ καὶ πρόσθεν τε κατήγετο, τῇ αὐτῇ χρωμένων τῇ νομῇ συντυχεῖν ἀναγκαῖον ἐστι κατὰ τὸ πρόσω τοῦ πο-

δὸς ἑαυτῷ τὴν ἐπίδεσμον γενέσθαι τὸ σχῆμα παραπλήσιον τῷ χ γράμματι. κἀντεῦθεν κύκλῳ κατὰ τὸ σφυρὸν ἑλιχθέντα, παραγενέσθαι πάλιν ἐπ' ἐκεῖνον τὸν τρόπον ὅθεν ἤρξατο, καὶ οὕτως ἐκ δευτέρου τὰς αὐτὰς ἔχειν περιβολὰς αἷς διῆλθον, ὡς ἐπὶ τὴν ἀρχὴν αὖθις ἀνελθεῖν, εἶτ' ἐντεῦθεν εἴς τε τὸ τρίτον ἑλιχθέντα κατὰ τὴν αὐτὴν νομὴν ἐπὶ τὴν ἀρχὴν ἀφικέσθαι πάλιν, ἐντεῦθεν τε περὶ τὸ σφυρόν. ἔνιοι δ' ὅταν ἑλίξωσι τὴν ὑπὸ τὸ ἴχνος ἐγκαρσίαν, οὐκ εὐθέως ἀνάγουσι λοξὸν ἐπὶ τὸ σφυρὸν ἄνω τὸν ἐπίδεσμον, ἀλλὰ κυκλοτερῶς πρῶτον ἑλίττουσιν ἐπὶ τὸν ταρσὸν, ὥσπερ γε καὶ τὸ σφυρὸν ἔνιοι κυκλοτερῶς, ὡς διαλαμβάνεσθαι τὰς λοξὰς ὑπὸ τῶν κυκλοτερῶν. αἱ μὲν οὖν συνήθως γιγνόμεναι περιβολαὶ, τῶν ἐπιδέσμων ἐνταῦθα μὲν αὗταί εἰσιν. ἐν δὲ τοῖς προκειμένοις πάθεσι τοιαύτη, διότι μήτε προϋποβάλλεταί τι πρὸς τῶν ἐπιδέσμων ἕτερον οὐ τῆς κρατήσεως ἐν ἐκείνῃ ἐπίδεσις γίγνεται. μήτ' ἀπαθής ἐστιν ἡ πτέρνα, καθάπερ ἐπ' ἐκείνων, ἀλλ' αὕτη πρώτη πέπονθεν, ὥστε ὁ προειρημένος τρόπος τῆς ἐπιδέσεως ἐπὶ τὴν πτέρναν ἐκθλίβειν τὸ αἷμα, χωρίζει αὐτὴν τὴν ἐπίδεσιν. χρὴ δὲ τὸ ἐναντίον τούτου γίγνεσθαι τῆς ἐπιδέσεως ἐκ τῆς πτέρνης παραπλησιάζοντα χωρία τὸ αἷμα διωθουμένης, ὅπερ ὁ καταγματικὸς τρόπος τῆς περιβολῆς τῶν ὀθονίων ἐργάζεται μόνος, ὡς ἔμπροσθεν ἐμάθομεν. ἐκείνῳ τοιγαροῦν καὶ νῦν κέχρηνται.

Καὶ οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης.

Τὴν ὅλην τῆς οὐσίας ἑκάστου μορίου φθορὰν ὀνομάζουσιν οἱ παλαιοὶ σφάκελος, ἀλλὰ ἐν τῇ μὲν τῶν σαρκωδῶν μορίων, καὶ ἄλλοις ὀνόμασι χρῶνται. λέγει οὖν αὐτὸς καὶ σαπρὰν σάρκα, καὶ μυδῶσαν, καὶ σηπομένην, καὶ ἄλλα τοιαῦτα ὀνόματα. ἐπὶ δὲ τοῦ φθειρομένου δι' ὅλης αὐτῆς οὐσίας ὀστοῦ σφάκελον ἐπιφέρει. συμβαίνει δὲ τοῦτο τὸ πάθημα τοῖς ὀστοῖς, ὅταν ἡ περικειμένη σὰρξ αὐτοῖς μοχθηροὺς ἰχῶρας γεννῶσα, καὶ διαβρέξασα τούτοις αὐτὰ, διασήψῃ.

Καίτοι ἢν σφακελίσῃ τὸν αἰῶνα πάντα, ἱκανὸν ἀντισχεῖν τὸ νόσημα.

Φανερώτερον νῦν εἰρηκέναι τὸν ὅλον βίον τοῦ ἀνθρώπου, καὶ ἔστιν ὁ λόγος αὐτοῦ τοιοῦτος. ἄν ποτε ἡ πτέρνα σφακελίσῃ, ἀνίατον γίγνεται τὸ πάθημα, καὶ παραμένει τῷ βίῳ παντὶ ἡ ἐξ αὐτοῦ κάκωσις.

Καὶ γὰρ τἄλλα ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει, ἀλλ' ἐν κατακλίσει μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος, ἢ ἐν κνήμῃ τρώματος γινομένου, ἐπικαίρου καὶ χρονίου, καὶ κοινοῦ τῇ πτέρνῃ, ἢ ἐν μηρῷ, ἢ ἐπὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ χρονίου γενομένου, ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια, καὶ ὀχλώδεα, καὶ πολλάκις ἀναρρηγνύμενα, ἢν μὴ χρηστῇ μὲν μελέτῃ θεραπεύηται, πολλῇ δ' ἡσυχίῃ, ὥστ' ἐκ τοῦ τοιούτου τρόπου σφακελίζοντα κινδύνους μεγάλους τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ.

Οὐ μόνον φησὶν ἐκ τῶν προειρημένων διαθέσεων εἴωθε κακοῦσθαι τὸ τῆς πτέρνης ὀστοῦν, ἀλλὰ καὶ ταῖς χρονίαις ἐπικλίσεσιν, ἃς ὑπτιασμοὺς ὠνόμασεν, ἀμελῶς κειμένη μελαίνεται πολλάκις ἡ πτέρνα. τοιαύτη δὲ θέσις ἐστὶν ὅταν ἐπὶ σκληροῦ τε κέηται, καὶ μὴ συνεχῶς ἐπαίρηται, μηδ' ἀεὶ θερμαινομένη τε καὶ πιλουμένη πρὸς τῶν ὑποκειμένων, διότι αἰρεθεὶς μεταποιεῖν τροχίσκον ἐξ ἐρίου μαλακοῦ. καλοῦσι δὲ ἔνιοι τρόφιον αὐτὸν, ἀνάλογον τῷ μεγέθει τῆς πτέρνης ἔχοντα τὴν ἐντὸς ἑαυτοῦ κοιλότητα, καθ' οὗ κυκλίσκου στηρίζομεν οὕτως τὴν πτέρναν, ὡς αἰρεῖσθαι τὸ κάτωθεν αὐτοῦ μέρος, ὅπως ἄθλιπτός τε ἅμα, καὶ διαπνεόμενος, καὶ ἀθέρμαντος φυλάττοιτο.

Καὶ γὰρ πυρετοὶ ὑπεροξέες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι, καὶ ὀλιγήμεροι, κτείνοντές τε.

Ἐν τῷ σφακέλῳ τῆς πτέρνης ταῦτα γίγνεσθαι φησὶν, οὐ διότι τὸ ὀστοῦν αὐτῆς διαφθείρεται. τούτων γὰρ οὐδὲν τῶν ἄνω συνυπάρχει, κατὰ τὸν αὐτὸν λόγον ἰδίαν ἔχοντα περιγραφὴν, ἐπί τε τὰ περὶ ἐξ αὐτῆς σώματά τε ψαύοντα, καὶ τὰ συμπεφυκότα μεταλαμβάνειν τοῦ κατ' αὐτὴν πάθους. διὰ τοῦτο καὶ τῶν ἄνω τοῦ σώματος μερῶν αἱ κακώσεις γίγνονται. ὁ γοῦν τένων ὁ συμφυόμενος αὐτῇ φλεγμήνας, εὔδηλον ὅτι καὶ τοὺς κατὰ γαστροκνημίας μῦς ὅλους εἰς συμπάθειαν ἄξει, τὴν γένεσιν ἐξ αὐτῶν ἔχων. εἰ δ' ἐκεῖνοι πάθοιεν οἱ μύες, ἕτοιμον ἤδη καὶ τοῖς εἰς τούτους διασπειρομένοις παθεῖν, ὥσπερ γε καὶ ταῖς ἀρτηρίαις. ἀλλὰ διὰ μὲν τὰς ἀρτηρίας ἡ καρδία συμπαθοῦσα, διὰ δὲ τὴν τῶν νεύρων οὐσίας ὁ ἐγκέφαλος. οὔσης οὖν τῆς καρδίας αὐτῆς τοῦ ἐμφύτου θερμοῦ πηγῆς, τοῦ δ' ἐγκεφάλου καθ' ἑαυτὸν μὲν ἔχοντος τὸ λογίζεσθαι, διὰ δὲ τῶν μυῶν κινεῖν τὰ μόρια τὰς προαιρετικὰς ὀνομασμένας κινήσεις, ἀκόλουθόν ἐστι πυρετὸν μὲν γίγνεσθαι διὰ τὴν καρδίαν, παραφροσύνας δὲ διὰ τὸν ἐγκέφαλον, τρόμους τε καὶ σπασμοὺς διὰ τοὺς μῦς, λυγγὰς δὲ διὰ τὸν στόμαχον, ἐπειδὴ πλέον μετέχει νεύρων.

Γένοιτο δ' ἂν καὶ φλεβῶν αἱμοῤῥόων πελιώσιες, ναυσιώσιες καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος, γένοιτο δ' ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. ταῦτα μὲν οὖν εἴρηται, οἷα τὰ ἰσχυρότατα θλάσματα γίνεται, ταῦτα μέντοι πλεῖστα ἡσυχαίως ἀμφιλαφῶς, καὶ οὐδεμίη πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς γε δεῖ χειρίζειν. ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ θλάσμα, τά τε εἰρημένα ποιέειν χρή.

Αἱμοῤῥόους μὲν φλέβας ὀνομάζει τὰς μεγάλας, ἐπειδὴ διαιρουμένων αὐτῶν, αἱμοῤῥαγίαι γίγνονται μὴ συμβαίνουσαι κατὰ τὰς μικράς. ὀλίγον τε γὰρ ἐπὶ τούτων ἐκχεῖται τὸ αἷμα, καὶ ταχέως περιπήγνυται τοῖς χείλεσι τῆς διαιρέσεως οὐ βλαβήσεται. ναυσιώσεις ὠνόμασεν ἰδίως ἀπὸ τῶν ναυτιῶν τε, καὶ διὰ τοῦτ' ἐμοιώτων ποιήσας τοὔνομα. ναυσίαν γὰρ τὴν ναυτίαν ὠνομάζουσιν οἱ Ἴωνες, καὶ σχεδὸν ἃς ἔμπροσθεν ἐκχυμώσεις ἐκάλεσε, ταύτας νῦν ναυσιώ-

σεις

σεις εἶπεν, ὅταν αἱ φλέβες ἀποπνίγωσί τε καὶ οἷον ἐμῶσιν ἐξ αὐτῶν αἷμα, βαρυνόμεναι, διά τε τὴν σφῶν αὐτῶν ἀσθένειαν ἣν ἐκ τοῦ φλεγμαίνειν ἴσχουσι, καὶ διὰ τὸ πλῆθος τε καὶ τὴν κακίαν αὐτοῦ τοῦ αἵματος. πρόδηλον γὰρ ὡς ἐν τῇ τοιαύτῃ διαθέσει διαφθείρεται. γαγγραινώσεις δὲ φλεβῶν εἶπεν τὰς διὰ ὑπερβολὴν τῆς φλεγμονῆς αὐτῶν ἀκολουθούσας νεκρώσεις, τὰ δὲ πάντα φησὶ διὰ τὴν μοχθηρὰν ἐπίδεσιν, ἧς καὶ αὐτῆς ἐστι δύο κεφάλαια, τό τε χωρισθῆναι τὴν πτέρναν ὑπ' αὐτῆς γυμνὴν γιγνομένην, καὶ τὸ θλιβῆναι σφοδρῶς τὰ δεξάμενα τὰς ἐπιβολὰς τῶν ὀθονίων μόρια. μελέτης δὲ πρόδηλον ὅτι τῆς ἐπιμελείας λέγει κατὰ συνήθειαν τοῖς Ἴωσι, καὶ πολλάκις ἐπὶ τούτου σημαινομένου, καὶ αὐτὸς ἐχρήσατο τῇ προσηγορίᾳ.

Καὶ τὴν ἐπίδεσιν τὰς πλείστας ποιέεσθαι ἀμφὶ τὴν πτέρνην περιβάλλοντα, ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς ἀντιπεριβάλλοντα, ἄλλοτε πρὸς τὰ μέσα, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην. προσεπιδεῖν δὲ, καὶ τὰ πλησίον πάντα, καὶ ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται, καὶ ἰσχυρὴν μὲν μὴ ποιέεσθαι τὴν πίεξιν.

Τὴν ἐναντίαν ἐπίδεσιν ἐπαινεῖ τὴν τοῖς πολλοῖς συνήθη, ἧς ἔμπροσθεν ἐμέμψατο, καθ' ἣν ἐκ τῶν ἄλλων μορίων τοῦ ποδὸς ἐπὶ τὴν φλέβα ἐκτείνεται τὸ αἷμα. προσήκει γὰρ ἐξ ἐκείνης τὰ ἄλλα τὴν περιουσίαν τῶν χυμῶν πτέρνης ἐπιδουμένης, ὡς ἐπὶ τῶν καταγμάτων ἔμπροσθεν ἐπέδειξε, καὶ τὰς πλείστας ἐπιβολὰς τῶν ὀθονίων αὐτῆς λαβούσης, καὶ ἰσχυρὴν μὲν μὴ ποιεῖσθαι τὴν πίεξιν.

Εν πολλοῖσι δὲ τοῖς ὀθονίοισιν.

Εἴρηταί μοι καὶ πρόσθεν ὅτι τὴν ἀσφάλειαν τῆς ἐπιδέσεως, ἢ τῇ πιέσει κελεύει ποιεῖν, ἢ τῷ πλήθει τῶν ὀθονίων ἐργάζεσθαι τὴν ἀσφάλειαν οὕτως τῆς τάσεως ἰσχυρᾶς.

Αμεινον δὲ καὶ ἐλλέβορον πιπίσκειν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἀπολῦσαι δὲ τριταῖον, καὶ αὖθις μετεπιδῆσαι.

Οὐ μόνον ἕνεκα τοῦ κενῶσαι τὸ περίττωμα δίδωσιν ἐλλέβορον, ἀλλὰ καὶ τῆς ἀντισπάσεως χάριν. εὔδηλον γὰρ ὅτι τὸν λευκὸν δίδωσιν ὃς ἐμέτους κινεῖ, φθάνων εἰς τὴν ἄνω γαστέρα ἐξ ὅλου τοῦ σώματος ἐπισπᾶσθαι, πλὴν εἰς τὰς τῶν ἐντέρων ἕλικας αὐτὸν κατενεχθῆναι. ὅτι δὲ τὸν λευκὸν ἐλλέβορον δίδωσι, κἀξ ὧν ἐπιφέρει δῆλον. ἐφεξῆς μὲν γάρ φησιν, ἀλλ' εἰ μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ, ὥσπερ εἴρηται. τὸ μὲν δὴ κενοῦσθαι τὰ περιττὰ τῶν οὕτως ἐχόντων, ἀντισπᾶσθαι δὲ πρὸς τἀναντία μόρια τῶν πεπονθότων τοὺς χυμοὺς, ὅτι μεγάλως ὠφελεῖ, δῆλον. εἰ δὲ διὰ ἐλλεβόρου λευκοῦ τοῦτο ποιητέον, οὐκέτι δῆλον. εἴωθε γάρ ἐνίοτε πνίγειν ὅταν χυμοὺς παχεῖς, ἢ γλίσχρους ἐν αὐτῷ πολλοὺς τὸ σῶμα περιέχει, διὸ καὶ προδιαλύομεν αὐτοὺς τῇ λεπτυνούσῃ διαίτῃ χρώμενοι, περὶ ἧς ὅλον ἔχεις ἡμέτερον ὑπόμνημα. τὸ τοίνυν διδόναι τὸν ἐλλέβορον, ἄνευ τοῦ προδιαιτῆσαι σφαλερὸν, ἀδήλου γε ὄντος ἐπὶ πολλῶν ὁποίους ἔχει τὸ σῶμα χυμούς. ἴσως οὖν ἐπὶ τῶν τότε σωμάτων ἀκινδύνως ἐχρῆτο τῷ λευκῷ ἐλλεβόρῳ διὰ τὴν δίαιταν ὧν ἐθεράπευεν ἀνθρώπων, οὐκ ἀπολαυστικὴν καὶ ἀργὸν οὖσαν, ἀλλ' ἐν πόνοις μὲν πολλοῖς, ἐδέσμασι δὲ ὀλίγοις, ὡς μὴ ταχέως ἀθροίζεσθαι χυμῶν. ἴσμεν γὰρ ὅτι τοὺς τοιούτους ἀργίαι τε καὶ πλησμοναὶ γεννῶσιν. εἰ δὲ καὶ τὴν ἰσχὺν ἐννοήσεις, τῶν τε σωμάτων ἐκ τῆς εἰρημένης διαίτης γινομένην, ἔτι καὶ μᾶλλον αὐτῷ συγχωρήσεις ἐλλέβορον αὐτοῖς διδόναι, δυναμένων γε τῶν τότε ἀνθρώπων ἀντέχειν πρὸς τὰς τῶν ἐμέτων ταλαιπωρίας.

Σημεῖα δὲ τάδε, ἢν παλιγκοταίνει, ἢ οὔ. ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν, καὶ τὰ μελάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γίνεται, καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι.

Τὰ κακοήθη παθήματα παλίγκοτα καλεῖ, καὶ τὸ παλιγκοταίνειν τὸ οἷον πάλιν κακοηθεύεσθαι. σημεῖα δέ σε διδάσκει τῆς κακοηθείας τῶν προκειμένων ὑπὲρ ὧν ὁ λόγος, ἅ τινα σημεῖα τὸ κεφάλαιον ἔχει φλεγμονῆς γένεσιν, ἣν αὐτὸ παντὸς ἐφυλάττετο μὴ γενέσθαι. πάσης οὖν φλεγμονῆς ἐρυθρότερόν τε καὶ σκληρότερον ἐργαζομένης τὸ δέρμα, τούτων οὐδέτερον χρὴ γενέσθαι περὶ τὰ πεπονθότα μόρια. μαλακὰ δὲ εἶναι καὶ ὑπόχλωρα τὰ ἐκχυμώματα δεῖ. βούλεται γὰρ ἐκπυΐσκειν αὐτὰ χωρὶς φλεγμονῆς, ὥστε τοῦ μὲν μὴ φλεγμαίνειν ἐστὶ σημεῖον, εἰ μαλακότης μὲν ὑπάρχει τοῖς μέλεσιν, ἐρυθρότης δὲ οὐχ ὑπάρχει. τοῦ δὲ μὴ ἐκπυῆσαι τὸ, οὐδέτερον ἔχειν χρῶμα, μήτε τὸ ἐρυθρὸν, μήτε τὸ μέλαν. τὸ μὲν γὰρ ἐρυθρὸν φλεγμαίνειν αὐτά, τὸ δὲ ὅλως ἤδη μέλαν, μήτε κρατεῖσθαι, μήτε πέττεσθαι ὑπὸ τῆς φύσεως, ἀλλά γε θρόμβος τὸ αἷμα. τοῦτο γὰρ αὐτῷ συμβαίνει χρονιζομένῳ, κἂν ἐντὸς τοῦ σώματος ἐκχυθῇ, κἀνταῦθα μὲν οὐδέποτε ἐκπυΐσκεται. περὶ δὲ τὸ σῶμα κρατούσης μὲν τῆς φύσεως, εἰς πύον μεταβάλλει, μὴ κρατούσης δὲ σήπεται τὸν αὐτὸν τρόπον, ὥσπερ ἐκτὸς ἢ καὶ μᾶλλον, ὅτι θερμόν ἐστι τὸ χωρίον ἐν ᾧ περιέχεται.

Αλλ' ἢν μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ ὥσπερ εἴρηται, καὶ ὅσα μὴ ξυνεχῶς πυρεταίνηται, ἢν δὲ ξυνεχῶς πυρεταίνηται, μὴ φαρμακεύειν. ἀπέχειν δὲ σιτίων καὶ ῥοφημάτων, ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ, ἀλλὰ ὀξυγλυκεῖ.

Συνήθως αὐτῷ τὸ φαρμακεύειν οὐκ ἐπὶ πάσης προσφορᾶς φαρμάκου λέγειν, ἀλλ' ἐπὶ τῶν καθαιρόντων μόνης. ἐκέλευσε δὲ νῦν ἐλλέβορον αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ διδόναι πρὶν ἄρξασθαι φλεγμαίνειν δηλονότι τὰ μόρια, καὶ πυρέττειν τὸν ἄνθρωπον. εἰ δὲ πυρετῆναι φθάσειεν, εἰ μὲν ἐπιεικῶς ὅμως ἐπιδιδόναι τὸν ἐλλέβορον, ἡμεῖς δὲ οὐδὲ ἀπυρέτῳ τολμῶμεν διδόναι, εἰ σφοδρῶς οὐδὲ δίδωσιν, ἀλλὰ καὶ σφοδροτάτως διαιτᾷ μήτε σιτία, μήτε ῥοφήματα προσφέρων, ἐπὶ ποτοῦ τε μόνου διαιτῶν, οὐ κοινοῦ δηλονότι, τοῦτο γοῦν εὔδηλον, εἰ καὶ μηδὲν αὐτῷ ἐγγέγραφε. κωλύων

διδόναι τὸν οἶνον, ἀλλ' ἀντὶ τοῦ καλουμένου ὀξυγλυκέος ἢ καὶ μελικράτου. τούτοις γὰρ χρῆται ποτοῖς ἐν τῇ λεπτοτάτῃ διαίτῃ, καὶ τρίτῳ πρὸς αὐτοῖς ὀξυμέλιτι, ὃ διὰ μέλιτος καὶ ὄξους σκευάζεται. τὸ δ' ὀξύγλυκυ γλυκυτάτων κηρίων ἐστὶν ἀπόβρεγμά τε καὶ ἀφέψημα, καθάπερ ἔτι καὶ νῦν γίγνεται κατὰ τὴν Ἑλλάδα τρόπῳ τῷδε. κηρίον ἐκθλίψαντες, τὸ μέλι βάλλουσιν εἰς λέβητα καθαρὸν ὕδωρ ἔχοντα, κἄπειτα ἑψήσαντες ἄχρις ἂν ἱκανῶς αὐτοῖς δόξῃ τὰ κηρία τὴν ἐν αὐτοῖς ὑγρότητα πᾶσαν ἐναποθέσθαι, τῷ ὕδατι κατατίθενται, καὶ φυλάττουσι καὶ χρῶνται τοῦ θέρους, ὡς ἂν ἀδίψῳ πόματι, κεραννύντες ὕδατι ψυχρῷ. τούτῳ τοίνυν τῷ ὀξυγλυκεῖ χρῆσθαι καὶ ὁ Ἱπποκράτης κελεύει. χρῆσθαι δ' ἂν καὶ μελικράτῳ μὴ παρόντος αὐτοῦ, οὐ μὴν ὀξυμέλιτί γε συμφέρει χρῆσθαι πεπονθότων νευρωδῶν μορίων. ἅπτεται γὰρ αὐτῶν τὸ ὄξος, ὡς ἥ τε πεῖρα διδάσκει, καὶ αὐτὸς οὗτος ἐδήλωσεν. ἀλλ' ἐφ' ὧν ἐστιν ὀξυμέλιτος χρεία, ἐδίδαξέ σε κατὰ τὸ περὶ διαίτης ὀξέων, ὃ τινὲς μὲν ἐπιγράφουσι πρὸς τὰς Κνιδίας γνώμας οὐκ ὀρθῶς, ἔνιοι δὲ περὶ πτισάνης, οὐδ' οὗτοι καλῶς.

Ἢν δὲ μὴ μέλλῃ παλιγκοταίνειν τὰ ἐκχυμώματα, καὶ τὰ μελάσματα, καὶ τὰ περιέχοντα ὑπόχλωρα γίνεται, καὶ μὴ σκληρά.

Ἤδη ταῦτα δεδήλωται δυνάμει δι' ἐκείνης τῆς λέξεως ἐν ᾗ φησιν, ἢν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν, καὶ τὰ μελάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γίγνηται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. τοῖς γὰρ ὑπόσκληρά τε καὶ ὑπέρυθρα, ἀντικείμενα νῦν γράφει τὰ ὑπόχλωρα, καὶ μὴ σκληρά. γίγνεται μὲν τὰ μὲν ὑπόχλωρα κατὰ μακρὸν ὑποστρεφομένου καὶ γινομένου τοῦ πύου, τὰ δὲ μὴ σκληρά, διότι μὴ φλεγμαίνει μεγάλως τὰ μόρια. τοῦτο γὰρ ἦν τὸ αἴτιον, καὶ τοῦ μεταβάλλειν εἰς πύον τὸ παρεγκεχυμένον αἷμα.

Ἀγαθὸν τοῦτο τὸ μαρτύριον ἐν πᾶσιν ἐκχυμώμασιν τοῖσι μὴ μέλλουσιν παλιγκοταίνειν.

Ἀγαθὸν μὲν εἶπεν ἐν ἴσῳ τὸ ἀσφαλές, καὶ βέβαιον, καὶ ἀληθές, καὶ διηνεκές. μαρτύριον δ' ἀντὶ τοῦ σημεῖον, ἐπειδὴ μαρτυρεῖ καὶ πιστοῦται τὴν δόξαν ἡμῶν, ἣν ἐν τῷ προκειμένῳ γράμματι διδάσκει νῦν ὁ Ἱπποκράτης, φησὶ δ' οὐ μόνον ἐπὶ τῶν κατὰ τὴν πτέρναν ἐκχυμωμάτων ἀσφαλὲς τὸ εἰρημένον σημεῖον, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων εἰκότως. οὐ γὰρ ἐκ τῆς τῶν τῇδε μορίων ἐνδείξεως, ἀλλ' ἐξ αὐτοῦ τοῦ ἐκχυμώματος ἐγνώσθη. κίνδυνος μὲν οὖν οὐκ ἴσον ἡ κακοήθεια τῶν ἐκχυμωμάτων ἐπάξει. κατὰ γὰρ τὴν τῶν μορίων φύσιν ἐν οἷς γίγνεται διαφορά τις αὕτη προσέρχεται, τὴν γε μὴν γένεσιν οὐκ ἐκ τῶν μορίων, ἀλλ' ἐκ τοῦ μὴ διαπυΐσκεσθαι τὸ παρεγκεχυθὲν αἷμα λαμβάνει. οὐ διαπυΐσκεται δὲ φλεγμονῆς μεγάλης ἐπιγινομένης, ἤτοι διὰ τὴν μοχθηρίαν τῆς ἐπιδέσεως, ἢ διὰ τὴν τῶν χυμῶν κακοήθειάν τε καὶ πλῆθος, ἣν ὁ μὲν ἐπανόρθου τῇ διὰ τῆς φαρμακείας κενώσει. ἡμεῖς δὲ τῇ φλεβοτομίᾳ, καὶ θαυμάζω πῶς οὐκ ἀρκεῖται ταύτῃ μόνῃ, καίτοι γιγνώσκων τε, καὶ χρώμενος ἐπὶ τῶν τοιούτων αὐτῇ. λέγει οὖν ἐν τῷ περὶ ἄρθρων αὐτός, ὁπόταν τὰ περὶ τὰς πλευρὰς θλάσματα θεραπεύῃ σὺν τοῖς ἄλλοις οἷς ἀξιοῖ ποιεῖν καὶ τόδε, φλέβα τε τὴν κατ' ἀγκῶνα τέμνεσθαι.

Ὅσα δὲ ἐν σκληρείσμασι πελιοῦται, κίνδυνος μὴ μελανθῆναι.

Καὶ τὸ κατὰ τῆς γῆς ἐκχεόμενον αἷμα, ποτὲ μὲν ἄχρι πολλοῦ διαμένει, ποτὲ δὲ ξανθότερον γίγνεται, ποτὲ δὲ ἐπὶ τὸ μελάντερον τρέπεται, καί ποτε σαφῶς γίνεται μέλαν. εἰκὸς μὲν οὖν καὶ διὰ τὸ ὑπερέχον ἤτοι γ' ἀέριον, ἢ ζοφῶδες ὄν, ἢ ὑγρόν, ἢ ξηρόν, ἢ θερμόν, ἢ ψυχρόν, εἰς διαφόρους ἀφικνεῖσθαι χροιὰς αὐτό. τὴν δ' οὖν μεγίστην αἰτίαν τῆς τῶν χρωμάτων ἀπαλλαγῆς ἐξ αὐτῶν λαμβανόντων διαφερόντως, ὡς ἑκάστῳ τῶν ἀνθρώπων, ἢ τοῖς μὲν μελαγχολικώτερον ἐστί, τοῖς δὲ φλεγματωδέστερον ἢ ὑδατωδέστερον, ἢ τῆς ξανθῆς, ἢ ὠχρᾶς οὐκ ὀλίγον ἔχον χολῆς. οὕτως οὖν καὶ τοῖς τῶν ζώων σώμασιν ἐπειδὰν ἐκχυθῇ τῶν φλεβῶν, εἰς διαφόρους ἀφικνεῖται χροιάς, ὅταν γε μὴ κρατηθῇ καὶ μεταβάληται πρὸς τῶν περιεχόντων αὐτὸ σωμάτων εἰς πύον. εἰκὸς οὖν ἐνίοτε κατὰ τοῦτον τὸν καιρὸν πελιδνὸν φαίνεσθαι, διότι τὸ μὲν πελιδνὸν σῶμα μεταξὺ τοῦ τ' ἀκριβῶς μέλανός ἐστι, καί τινος τῶν εὐανθῶν, ὁποῖα μάλιστά ἐστιν ἐρυθρόν τε καὶ ξανθόν, ὅπερ καὶ αὐτὸ χρῶμα. λέγω δὲ τὸ πελιδνόν, ἐκ τῶν εὐανθῶν εἰς τὸ μέλαν ἀφικνουμένων συμπίπτειν εἴωθεν, ἢ ἐκ τοῦ μέλανος ἐπὶ τὸ λευκόν, ὅταν ἐκπυΐσκηται. πολλάκις γοῦν ἰδεῖν ἐστι, τά τε ὡς μεμελασμένα κατὰ τὴν εἰς πύον μεταβολὴν ἀρχόμενα πελιδνὰ φαινόμενα, κατὰ βραχύ τε τοῦ μέλανος μὲν ἀποχωροῦντα, πρὸς δὲ τὴν τοῦ πυρὸς χρόαν ἐρχόμενα λευκότερα γίγνεται. τεφρώδης γάρ ἐστιν ἡ τοῦ πύου χρόα. νῦν οὖν ὁ Ἱπποκράτης διδάσκει σε διορισμὸν ἐπὶ τοῖς ἐκχυμώμασιν ὀφθεῖσι πελιδνοῖς. ἐὰν μὲν γὰρ κατὰ σκληρότητα αὐτοῖς τοῦθ' ὑπάρχει, φλεγμαίνει τὰ μόρια, χωρὶς δὲ σκληρότητος ἀφλέγμαντον διαμένει. τὰ μὲν οὖν ἀφλέγμαντα τὴν φύσιν ἐῤῥῶσθαι δηλοῖ, καὶ τὸ τῶν φλεβῶν ἐκκεχυμένον αἷμα πεφθήσεσθαι, καὶ πύον ἔσεσθαι. τὰ δὲ φλεγμαίνοντα ἀῤῥωστίαν τῆς φύσεως διὰ τὴν ἀσθένειαν τῶν φλεγμαινόντων μορίων, καὶ διὰ τὸ πλῆθος τοῦ περιεχομένου κακοχύμου, μὴ πέττειν τὸ ἐκχύμωμα, μήτε ἐκπυΐσκειν. λείπεται οὖν αὐτὸ μελανθῆναί τε καὶ διαφθαρῆναι.

Τὸν δὲ πόδα ἐπιτηδεύειν χρὴ ὅκως ἀνωτέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. ὑγιὴς δ' ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν εἰ ἀτρεμέοι.

Εἰς μὲν τὸν ταπεινότερον πόδα τὸ ἐκ τοῦ σκέλους ἐπιῤῥέον αἷμα γεννήσει φλεγμονήν, εἰς δὲ τὸν ὑψηλότερον οὐδὲν μὴ ἐπιῤῥέῃ, καὶ διὰ τοῦτο πάντως αὐτὸν ὑψηλότερον θετέον, οὐ μὴν πολλῷ γε. προσέρχεται γὰρ ὀδύνη τῇ τοιαύτῃ θέσει χρονιζομένῃ, τὰ δ' ὀδυνώμενα φλεγμαίνει. ὅρος γοῦν τῆς ὑψώσεως τοῦ ποδός ἐστι τὸ ἀνώδυνον σχῆμα. τοῦτο δ' εὑρήσεις εἰ πειραθείης τηνικαῦτα γενόμενον ὅταν ὀλίγον ὑψωθῇ τὸν πόδα.

Ἡ δὲ κνήμη δύο ὀστέα ἐστί, τῇ μὲν συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου, τῇ δὲ οὐ πολλῷ λεπτότερον.

Ἡ λέξις δ' αὕτη μαρτυρεῖν δόξει τοῖς φάσκουσι καὶ πῆχυν, καὶ βραχίονα, καὶ κνήμην, καὶ μηρὸν ὑφ' Ἱπποκράτους ὀνομάζεσθαι, μὴ τὸ συγκείμενον ἅπαν ἔκ τε τῶν ὀστῶν καὶ τῶν ἀμφ' αὐτὰ σωμάτων, ἀλλὰ μόνα τὰ ὀστᾶ, οὐ μὴν ὅτι γε μόνον οὕτως λέγεται δηλοῦται διὰ τῆς λέξεως, ἀλλ' ὅτι καὶ οὕτως, ὥστ' ἐγχωρεῖ διττὸν ἀπ' αὐτοῦ λέγεσθαι τὰ τοιαῦτα πάντα, καθάπερ ὑπέλαβον εἶναι, οἳ ποτὲ μὲν ἐπὶ τῶν ὀστῶν μόνων τιθέντος αὐτοῦ τὴν προσηγορίαν, ποτὲ δὲ συμπεριλαμβάνοντος καὶ τὰ περικείμενα πάντα, ὥστε κνήμην ὀνομάζεσθαι τὸ μεταξὺ τῆς κατὰ γόνυ διαρθρώσεως. ὅτι δὲ δυοῖν ὀστῶν ἐνταῦθα, τὸ μὲν ἕτερον ἀμφοῖν ὀνομάζεται κνήμη, τὸ δ' ἕτερον περόνη. καὶ ὅτι πλατύτερον μέν ἐστιν ἡ κνήμη, λεπτότερον δὲ ἡ περόνη, καὶ ὅτι τὸ μέσον μὲν καὶ ἄσαρκον, ἐν ὅλῳ τῷ δὲ περὶ μορίῳ κατὰ μῆκος ἐκτεταμένον ἄνωθεν κάτω ἐπὶ τῶν ἰσχνῶν φαινόμενον, ὅπερ ἀντικνήμιον ὀνομάζουσι, τῆς κνήμης ἐστὶ μέρος, οὐ τῆς περόνης, ὅσα τ' ἄλλα τῶν ὀστῶν ἐπίστασθαι προσήκει, λέλεκται πάντα κατὰ τὸ περὶ τῶν ὀστῶν ἡμέτερον ὑπόμνημα τοῖς εἰσαγομένοις γραφέν.

Ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς, καὶ ἐπίφυσιν κοινὴν ἔχει.

Τοῦ κοινὴν ὀνόματος οὐχ οὕτως προσήκει ἀκούειν, ὡς συνεχῆ λέγοντος αὐτοῦ τὴν ἐπίφυσιν εἶναι, καὶ μίαν ἀκριβῶς, ἀλλ' ὡς ἐζευγμένων ἀμφοτέρων τῶν ἐπιφύσεων, καὶ συνεχομένων εἰς ἑνὸς τὴν φαντασίαν. οὐδὲν γὰρ ἀλλήλαις κοινωνοῦσιν αἱ ἐπιφύσεις, ὡς μίαν δοκεῖν εἶναι. τὰ γυμνὰ δ' αὐτῶν μόρια, τὰ τελευταῖα τὰ περιφερῆ κατὰ τὸ σχῆμα, καλεῖται μὲν οὐκ ὀρθῶς ὑπό τινων ἀστράγαλοι. συνεχὴς γὰρ τούτων τὸν ἀστράγαλον ἔχων ἔνδον, ὡς καὶ δι' αὐτοῦ οὕτω κατακρυπτόμενος, ἀφανής ἐστι, καὶ πρὸς τὴν ἁφὴν καὶ πρὸς τὴν ὄψιν.

Ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται.

Οὐ συνέχεται τὰ προειρημένα δύο ὀστᾶ τῆς κνήμης κατὰ τὴν εὐθύτητα τῆς κνήμης, ὅπερ ἐστὶ κατὰ τὸ μῆκος οὐ συνέχεται, τουτέστιν οὐχ ἅπτεται κατὰ τοῦτ' ἀλλήλων, οὔτε συνδεῖται.

Τὰ δὲ πρὸς τοῦ μηροῦ ξυνέχεται, καὶ ἐπίφυσιν ἔχει, καὶ ἡ ἐπίφυσις διάφυσιν.

Πολλαπλάσιόν ἐστι τῷ πάχει τὸ τῆς κνήμης πέρας ἐν τῇ κατὰ γόνυ διαρθρώσει τοῦ τῆς περόνης πέρατος, ὥστε καὶ ἡ ἐπίφυσις ὅλη σχεδὸν δόξει τῆς κνήμης εἶναι, ἐπὶ δὲ τὸ ἔξω πέρας αὐτῆς ὑπερείδεται ἡ περόνη. διάφυσιν δὲ ἔχει φησίν, τὴν ἐν τῷ μέσῳ γιγνομένην ὑπεροχὴν νευροχονδρώδη διάφυσιν εἰπών. διορίζει δ' αὕτη τοὺς ἐπιβαίνοντας τῇ κνήμῃ κονδύλους καταπαλαισμένους τῶν ὀστῶν, ἐπὶ τῶν νεκρῶν σωμάτων ἀποσήπεται πολλάκις, ὡς ἀπατηθῆναι τινὰς καὶ δόξαι ψεῦδος εἰρῆσθαι πρὸς Ἱπποκράτους ὑπὲρ αὐτῆς, ἀλόγως γε τῶν προσφάτων ἀπ' αὐτῶν φαίνεται.

Μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ τῷ κατὰ τὸν σμικρὸν δάκτυλον, ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ.

Μακρότερον ὅπερ ἐγὼ γράφων οὕτως ἀξιῶ. μακρότερον δ' ἐστὶ τὸ ἕτερον ὀστοῦν κατὰ σμικρὸν δάκτυλον, καὶ εἰ οὕτως ἔγραψεν αὐτὸς ὁ Ἱπποκράτης, οὕτως πέπεισο τὴν κατὰ τὸ γόνυ τῆς κνήμης ἐπίφυσιν κοινὴν ἀμφοτέρων εἶναι τῶν ὀστῶν, οὐ μόνης τῆς κνήμης ἁπλῶς ἔσται μακρότερον, καὶ οὐ κατὰ τὸ κάτω πέρας μόνον.

Ὀλισθαίνει δὲ, ἔστιν ὅτε τὰ πρὸς τοῦ ποδὸς, ὅτε μὲν ξὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα, ὅτε δὲ ἡ ἐπίφυσις ἐκινήθη, ὅτε δὲ τὸ ἕτερον ὀστέον.

Ἔνιοι τῶν ἰατρῶν οἴονται τὸ ἐξαρθρεῖν λέγεσθαι ἐπὶ τῶν ἐξισταμένων τελέως ὀστῶν. τὸ δὲ ὀλισθαίνειν, ἐπὶ τῶν παραρθρουμένων μέν, οὐ μὴν παντάπασί γε ἐκπιπτόντων τῆς φυσικῆς διαρθρώσεως, οὐδὲ τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον ἐν τῷ περὶ ἄρθρων ἔχον οὕτως. ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθάνον τὸν ἐς τὴν κατὰ μασχάλην. ὅλη γὰρ ἡ κεφαλὴ τοῦ βραχίονος ἀποχωρεῖ τῆς κοιλότητος ᾗ διήρθρωται, μὴ δυναμένης γενέσθαι βραχείας † ἀρθρήσεως, καθάπερ αὐτὸς ὁ Ἱπποκράτης ἔγραψε, καὶ τὴν αἰτίαν προσθεὶς, ἣν ὅταν ἐπ' ἐκεῖνο τὸ βιβλίον ἀφικώμεθα μαθησόμεθα. † ἐξαρθρήσεως

Ταῦτα δὲ ὀχλώδεα μὲν ἧσσον, ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρέων, εἰ τολμῷεν ἀτρεμέειν οἱ ἄνθρωποι. ἴησις δὲ παραπλησίη οἵηπερ ἐκείνῳ, τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐκ κατατάσιος ὥσπερ ἐκείνων. ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος, ὅσῳ ἰσχυρότερον τὸ σῶμα ταύτῃ, ἐς τὰ πλεῖστα μὲν γὰρ ἀρκέουσιν ἄνδρες δύο, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν τείνοντες. ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυροτέρην ῥηΐδιόν ἐστι ποιέειν τὴν κατάτασιν.

Οὐ μόνον τῶν ἐν τῷ καρπῷ τῆς χειρὸς ἧσσόν ἐστιν ὀχλώδη, ἀλλὰ καὶ τῶν ἐν τῷ ποδὶ πολὺ μᾶλλον. ἐπεὶ δὲ κοινὴν τὴν διδασκαλίαν ἐποιήσατο, τήν τε κατὰ τὸν πόδα, καὶ ἄκραν τὴν χεῖρα, διὰ τοῦτο ἤρκεσεν αὐτῷ μνημονεῦσαι τοῦ ἑτέρου τῶν μορίων, ὃ πρῶτόν ἐστι τῆς κνήμης καὶ τοῦ ποδὸς κατ' εὐθεῖαν. ὅσον γὰρ ἀπολείπεται τῶν κατὰ τὸν πόδα, καὶ μάλιστα τῶν κατὰ τὴν πτέρναν ἐστὶν ὀχλωδέστερα, μικρὸν ἔμπροσθεν αὐτὸς εἶπεν.

Ἢ γὰρ πλήμνην κατορύξαντα χρὴ, ἢ ἄλλο τι ὅ,τι τούτῳ ἔοικεν, μαλθακόν τι περὶ τὸν πόδα περιβάλλειν, ἔπειτα πλατέσι βοείοισιν ἱμᾶσι περιδήσαντα τὸν πόδα τὰς ἀρχὰς τῶν ἱμάντων, ἢ πρὸς ὕπερον, ἢ πρὸς ἕτερον ξύλον προσδήσαντας τὸ ξύλον πρὸς

†ἐπανακλᾷν τὴν πλήμνην ἄκρον ἐνθέντα † ἀνακλᾷν. τοὺς δὲ ἀντιτείνειν, ἄνωθεν τε τῶν ὤμων ἐχομένους καὶ τῆς ἰγνύης.

Ξύλον τὸ κατορυττόμενον ἀξιοῖ, δυνάμενον ὑποδέξασθαι ἕδρας μοχλοῦ δι᾽ οὗ τὴν κατάτασιν τοῦ κώλου μέλλει ποιεῖσθαι. γιγνώσκειν δὲ οἶμαί σε τὴν καλουμένην χοινικίδα τοῦ τροχοῦ, πλήμνην ὑπὸ τῶν ἰώνων λέγεσθαι, καὶ γὰρ παρὰ τῷ ποιητῇ τοὔνομα ἐστί. τὴν δ᾽ εὐπορίαν τῶν εἰς τὰς θεραπείας χρησίμων ἀσκεῖν ἀεὶ συμβουλεύων ὁ Ἱπποκράτης, ἐμνημόνευσε καὶ νῦν τῆς πλήμνης, ἐν ἅπασι τόποις ὑπ᾽ ἀνθρώπων οἰκουμένοις εὐπορῆσαι δυναμένων ἡμῶν αὐτῆς, ὥσπερ ἐν τῷ ὑπέρῳ πρὸς τὴν ἐνεστῶσαν κατάστασιν ἀντὶ μοχλοῦ χρῆται. καί τινα δὲ τρόπον αὐτοῖς προσήκει χρῆσθαι, σαφῶς αὐτὸς ἐδήλωσε διὰ τῆς ἰδίας λέξεως τοῖς προσέχουσι τὸν νοῦν αὐτῷ.

Ἐστι δὲ καὶ τὸ ἄνω τοῦ σώματος ἀνάγκη προσλαβεῖν.

Τὰς ἰσχυρὰς ἀντιτάσεις ἀνάγκας εἴρηκε, τὸ βίαιον αὐτῶν ἐνδείξασθαι βουλόμενος.

Τοῦτο μὲν ἢν βούλῃ, ξύλον στρογγύλον λεῖον κατορύξας βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον τοῦ ξύλου μεσηγὺ τῶν σκελέων ποιήσασθαι παρὰ τὸν περίνεον, ὡς κωλύῃ ἀκολουθέειν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν.

Ὀρθὸν τοίνυν τὸ ξύλον ἵστησιν ἀσφαλῶς ἐστηριγμένον ὅπως ὁ κατατεινόμενος, ὡς προείρηται, μὴ συνακολουθῇ τῇ κατατάσει, μέσον τῶν δύο σκελῶν ἡδρασμένου τοῦ ξύλου κατὰ τὸν περίνεον, οὕτω δὲ ὀνομάζεται τοῦ σώματος ἡμῶν ἐκεῖνο τὸ μέρος ὃ μεταξὺ τῆς ἕδρας ἐστὶ καὶ τῆς ἀρχῆς τοῦ αἰδοίου.

Ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν. τοὺς δέ τινα πλάγιον παρακαθήμενον ἀπωθέειν τὸν γλουτὸν, ὡς μὴ περιέλκηται τὸ σῶμα.

Κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων ἐφεξῆς τῆς προγεγραμμένης ῥήσεως αὕτη γέγραπται, δυναμένης τῆς ὅλης διανοίας σώζεσθαι χωρὶς αὐτῆς. βούλεται γὰρ μέσον τῶν δύο σκελῶν ὀρθὸν στηρίξας τὸ ξύλον, οὕτως κατατείνειν τὸ πεπονθὸς σκέλος, ἀντωθοῦντός τινος ἄνω τὸν γλουτὸν, ὡς μὴ περιέλκηται τὸ σῶμα ταύτῃ, καὶ γινόμενον ἑτερόρροπον, ἕπεσθαι συγχωρεῖ τὸ σκέλος τῷ κατατείνοντι. τοῦτο γὰρ εἰ γένοιτο, τὴν κατάτασιν ἐκλυθῆναι συμβήσεται.

Τοῦτο δὲ ἢν περὶ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπέπηγεν, αἱ δὲ χεῖρες παρατεταμέναι φυλάσσονται. προσεπιλαμβανέτω δέ τις κατὰ γόνυ, καὶ οὕτως ἀντιτείνοιτο.

Ἄλλην ἐπίνοιαν αὐτῶν διδάσκει σε καθ᾽ ἣν οὐκ ἀκολουθῶς τὸ λοιπὸν σῶμα τῷ κατατεινομένῳ μέρει τοῦ κώλου, τὸ παρ᾽ ἑκατέρᾳ τῇ μασχάλῃ καταπηγνύμενον ξύλον, ὃ ἀντιστηρίζον τε καὶ ἀντερεῖδον τῷ σώματι, κωλύει τὸν ἄνθρωπον ἕπεσθαι τῇ πρὸς τὰ κάτω μέρη γιγνομένῃ τάσει. χρὴ δὲ ὅμως καὶ νῦν αὐτὸ τὸ κατατεινόμενον σκέλος ἰδίᾳ πάλιν ἀντιτείνειν, ἄνω κατὰ γόνυ τὴν ἀνάτασιν ποιούμενον.

Τοῦτο δ᾽ ἢν παρὰ τὸ γόνυ βούληται, ἄλλους ἱμάντας περιδήσας, καὶ περὶ τὸν μηρὸν, πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξαρτήσας τε τοὺς ἱμάντας ἔκ τινος ξύλου, τὸ ξύλον στηρίζων ἐς τὴν πλήμνην.

Εἰ ἑλκόντων ἄνω τὸ σκέλος ἐπιτρέψει τὴν ἀντίτασιν, ἔστι σοι διὰ περιθέσεως ἱμάντων αὐτὸ ποιῆσαι, τὰς ἀρχὰς αὐτῶν ἄνω τοῦ σώματος ἀγαγόντα, κἄπειτ᾽ ἐντεῦθεν περιβάλλοντα μοχλῷ. χρὴ δὲ δηλονότι τοῦ μοχλοῦ τὸ πρὸς τῇ γῇ στηριζόμενον ἕδρας ὑποβεβλημένον ἔχειν τι κοῖλον οἷάπερ ἐστὶν ἡ πλήμνη τοῦ τροχοῦ, πρὸς ἣν ἀντερειδόμενος ὁ μοχλὸς, ἐργάσεται πρὸς τἀναντία τὴν τάσιν.

Τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν.

Εἴπερ ἐγέγραπτο πρὸς τἀναντία τι ἀσαφὲς ἂν ἦν, ὥσπερ κατὰ τὴν διάνοιαν τὸ λεγόμενον, οὕτω καὶ κατὰ τὴν λέξιν. ἐπεὶ δὲ τἀναντία γέγραπται, ἢ λείπειν νομιστέον ἐξ ἀρχῆς ὑπὸ τοῦ βιβλιογράφου παραλελειμμένην τὴν εἰς τὸ πρόσθεν, ἢ αὐτὸν Ἱπποκράτη κατὰ προαίρεσιν, ὡς ἴσθ᾽ ἀδυνάμως, ἢ κεχρῆσθαι τῇ φωνῇ τἀναντία, ἢ οἷον ἐπίρρημα εἰρηκέναι τἀναντία, ὡς εἰ καὶ ἐναντίως ἔλεγε.

Τοῦτο δ᾽ ἢν βούλῃ ἀντὶ τῶν πλημνέων, δοκίδα ὑποτείνας ὑπὸ τὴν κλίνην μετρίην, ἔπειτα πρὸς τῆς δοκίδος ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στηρίζων, καὶ ἀνακλῶν τὰ ξύλα, κατατείνειν τοὺς ἱμάντας.

Δύο πλῆμναι πρόσθεν αὐτῷ, καὶ δύο μοχλοὶ τὴν ἀντίτασιν ἐργάζονται, μίαν μὲν ὑποκάτω τοῦ κατατεινομένου σκέλους, ἑτέραν δὲ ὑπεράνω τῆς κεφαλῆς. ἐπεὶ δ᾽ ὥσπερ ἔφην ἀσκεῖν ἡμᾶς ἀξιοῖ τὴν εὐπορίαν τῶν ἰαμάτων, ἑτέραν ἐπίνοιαν ἑαυτοῦ διδάσκων, γυμνάζει σε πρὸς τὴν τῶν ὁμοίων εὕρεσιν. εἰ γὰρ αἱ πλῆμναι μὴ παρεῖεν, ὑποτείνας ξύλον μακρὸν κατὰ τὸ μῆκος τῆς κλίνης ἐφ᾽ ἧς ὁ θεραπευόμενος κατάκειται, τὰ μὲν ἄλλα ταῦτα τοῖς ἔμπροσθεν πράξεις περιβάλλων τοὺς ἱμάντας, ὁμοίως οἷς ἐδίδαξε τὸ, ποῖα τοῦ σώματος ἐξαρτήσεις τε καὶ διὰ τῶν ξύλων δίχων αὐτοὺς μοχλεύσεις, ἀντὶ δὲ τῶν πλημνῶν ἔτι χρήσῃ τοῖς τοῦ μακροῦ ξύλου πέρασιν, ἃς κεφαλὰς ὀνομάζουσι τὴν ἀντέρεισιν τῶν μοχλευόντων ξύλων πρὸς ἐκεῖνα ποιούμενος, ὑπερέχοντα τῆς κλίνης σύμμετρον ἑκατέρωθεν, ἔκ τε τῶν πρὸς τῇ κεφαλῇ, καὶ τῶν πρὸς τοῖς ποσὶ μορίων. δοκίδα δὲ τὸ ὑποτεινόμενον κατὰ τὸ μῆκος τῆς κλίνης ξύλον ὠνόμασεν, εἰ καὶ μικρὰν εἶπε δοκόν.

Ἢν δὲ

Ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν, ἐπ' ἐκείνων τὴν κατάτασιν ποιέεσθαι, πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων.

Τοὺς ἄξονας αὐτοὺς ὄνους εἴωθε καλεῖν, ὥσπερ καὶ τῷ λέγειν, ὄνῳ τε περιαγωγῇ. νυνὶ οὖν τοὺς μικροὺς ἄξονας, ὀνίσκους εἴρηκεν ὑποκοριστικῶς, ὥσπερ ἐν τῇ προγεγραμμένῃ ῥήσει τὴν μικρὰν δοκὸν δοκίδα. χρὴ γάρ σε μὴ μόνον ἠσκῆσθαι πρὸς τὴν τῶν εὑρεθέντων ἐπίνοιάν τε καὶ χρῆσιν, ἀλλὰ καὶ πρὸς τὴν τῶν παρ' ἰατροῖς κατεσκευασμένων ὀργάνων πρὸς τὰς τοιαύτας ἀντιτάσεις. ἄξονας οὖν θεὶς οὐ κατὰ τὸ μῆκος τοῦ σώματος, ἀλλ' ἐγκαρσίους, ὡς ἐκεῖνο θέσιν ἔχον ἔνθεν καὶ ἔνθεν τοῦ θεραπευομένου σώματος, ὅπερ αὐτὸ σημαίνει, κάτωθεν μὲν τῶν ποδῶν τὸν ἕτερον, ἄνωθεν δὲ τῆς κεφαλῆς τετάχθαι τὸν ἕτερον, ἔπειτα δὲ περιβάλλων τῶν ἱμάντων τὰς τελευτὰς τοῖς ἄξοσιν, ἐκ τῆς ἐκείνων περιαγωγῆς τὴν ἀντίτασιν ἐργάσῃ τοῦ θεραπευομένου σκέλους.

Ἄριστον δὲ ὅς τις ἐν πόλει μεγάλῃ ἰητρεύει, κεκτῆσθαι ἐσκευασμένον ξύλον, ἐν ᾧ πᾶσαι ἀνάγκαι ἔσονται, πάντων μὲν κατηγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύσιος. ἀρκέει δὲ τὸ ξύλον ἢν ᾖ τοιοῦτον οἷον οἱ τετράγωνοι στῦλοι, οἷοι δρύϊνοι γίνονται, μῆκος καὶ πλάτος καὶ πάχος.

Ὀργάνου τινὸς καὶ μηχανήματος, οὗ τινος αὖ ἐθέλει ἐμνημόνευσεν. ἐν δὲ τῷ λόγῳ περὶ οὗ τὴν κατασκευὴν αὐτοῦ διδάξει κατὰ τὸ περὶ τῶν ἄρθρων βιβλίον ἑπόμενον τῷδε, καὶ ἡμεῖς οὖν ἐν ἐκείνῳ τὴν ἐξήγησιν ὧν ἀσαφῶς εἶπε ποιησόμεθα, νυνὶ δὲ ἤδη τὰ συνεχῆ τοῦ λόγου μεταβῶμεν, καὶ προσθείς.

Ἐπὴν δὲ ἱκανῶς κατατανύσῃς.

Τὸ σκέλος δηλονότι, περὶ γὰρ τῶν τῆς κνήμης περὶ τὸν ἀστράγαλον ἐξαρθρημάτων ὁ λόγος ἦν αὐτῷ, κἂν τὸ μεταξὺ περὶ τῆς ἀντιτάσεως διδάξας, οὕτω πάλιν ἤδη τοῦ ἐξ ἀρχῆς λόγου ἐπανῆλθεν.

Ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβαλεῖν, ὑπεραιωρέεται γὰρ ἐπὶ ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης. κατορθώσαντα οὖν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, τοῖσι μὲν ἐπὶ τὸ ἐξεστηκὸς ἐρείδοντα, τοῖσι δὲ ἤδη θάτερα κατώτερον τοῦ σφυροῦ ἀντερείδοντα. ἐπὴν δὲ ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένα ἐπιδεῖν χρή. ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα αὐτίκα κατατείνειν ἐς τὴν αὖ ἐπίδεσιν.

Ἐκ τῶν τοιούτων αὐτοῦ λέξεων ὁρμώμενοι τινὲς, ἄρθρον καλεῖν αὐτόν φασκουσι τὰ πέρατα τῶν διηρθρωμένων πρὸς τὰς κοιλότητας ὀστῶν, ὥστε τὸ μὲν σύμπαν διάρθρωσιν καλεῖσθαι, καθ' ὃ συντάττεται πρὸς ἀλλήλοις τὰ πέρατα τῶν κινουμένων ὀστῶν ἐν ταῖς ἐκτάσεσί τε καὶ κάμψεσιν. αὐτῶν δὲ τῶν ὀστῶν, ἑκατέρου τοῦ μὲν ἐμβαίνοντος τὸ πέρας ἄρθρον, τοῦ δ' ὑποδεχομένου τὴν κοιλότητα, κοτύλην ἢ γλήνην ὀνομάζειν αὐτόν, ἀλλὰ ταῦτα μὲν ὀνόματα τὴν ἔκθλιψιν ἔχειν. μετὰ ταῦτα δέ σε διδάξει κοινὴν ἁπάσης ἐμβολῆς μέθοδον, ὡς κατ' ἀρχὰς ἡμεῖς εἰρήκαμεν ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ἔνθεν περὶ τῆς χρείας ἐδιδάξαμεν ἐν ἐκείνοις τοῖς λόγοις, ὡς οὐχ οἷόν τε ἐστὶν ἐμβάλλειν αὐτὰ προσηκόντως ἄνευ τῆς παραιωρέσεως. εὐθὺ δὲ καὶ τὸν ὅρον διδάξει μέχρι πόσου χρὴ κατατείνειν. ὅταν γὰρ ἤδη δόξεις ἱκανῶς ἔχειν, ὡς ὑπεραιωρεῖσθαι δύνασθαι πᾶσι τῆς ἀντιτάσεως.

Ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον ἐπὶ τὸ ἐξεστηκὸς, καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ τοῦτο ποιέεσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο, καὶ τὴν πίεξιν μάλιστα κατὰ τωυτό.

Τὰ κεφάλαια συντεμὼν, ἀνέμνησε τῆς κατηγμάτων ἐπιδέσεως, ἣν ἔμπροσθεν ἐδίδαξαμεν. καὶ μέντοι καὶ μεμνῆσθαι χρὴ τά τε κατ' ἄκραν τὴν χεῖρα, καὶ τὰ κατὰ τὸν πόδα, καὶ τὰ κατὰ τὴν πτέρναν, καὶ προσέτι ταῦτα κατὰ τὰ σφυρὰ ἐξαρθρήματα τῷ κατηγματικῷ τρόπῳ τῆς ἐπιδέσεως πείθεσθαι, διὸ κἂν τούτῳ τῷ βιβλίῳ περιέχεται πάντα. τὴν δὲ αἰτίαν τοῦ χρῆναι τὴν ἐπίδεσιν οὕτως ποιεῖσθαι, καὶ ἐξάρθρημα, καὶ κάταγμα τὸ γεγονὸς ᾖ, πρώην μεμαθήκαμεν.

Προσεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν ἤδη συχνόν.

Τοῦτ' ἐν τῷ κατ' ἰητρεῖον διὰ τῆσδε τῆς λέξεως ἐδήλωσεν. ἢν δὲ ἐπιδέοι, πολλὸν τοῦ ὑγιέος προσλαμβανέτω, καὶ ἡ αἰτία πρόσθεν εἴρηται. ἄμεινον γὰρ ἐκθλίβεσθαι τοῦ πεπονθότος μορίου τοὺς χυμοὺς, οὐκ εἰς τὰ παρακείμενα μόνον, ἀλλὰ μέχρι πολλοῦ τε προστεθεῖσθαι, καὶ μακροῦ κωλύεσθαι.

Μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πιέζεσθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει, ἢ τὸ ἐν τῇ χειρί.

Κατὰ τὰ μεγέθη τῶν ἄρθρων ποιεῖται τὸ μέτρον τῆς πιέσεως, καὶ τὸ πλῆθος τῶν ὀθονίων προσεπισκοπούμενος τὸ νευρῶδες αὐτῶν καὶ εὐαίσθητον, ἧττον γὰρ ἐκθλίβεσθαι βούλεται.

Ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθὲν, τὴν δὲ θέσιν δεῖ ποιήσασθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς.

Ὅτι μὲν ἐπὶ βραχὺ χρὴ μετεωρότερον εἶναι τὸν πόδα τοῦ ἄλλου σκέλους, ἐλέχθη καὶ πρόσθεν. ἐλέχθη δὲ καὶ ὅτι τοσοῦτον ὑψοῦσθαι προσῆκεν αὐτὸν, ὡς μηδὲ τῇ ἀντιτάσει κάμνειν τοὺς μύας. νυνὶ δὲ προσέθηκε περὶ τῆς κατὰ

τὴν ἀπόθεσιν ἀσφαλείας παράγγελμα, μηδὲ μόλις κελεύων αἰωρεῖσθαι τὸν πόδα, ἀλλὰ δὲ δεῖ μαλακῶν ἐρίων ὑπο-ταχθέντων αὐτῷ παρατιθεμένων. καὶ δὴ μὲν τὸ κατὰ τὸ πτέρνας ἔνθα τὸ ἴχνος ἐστὶ, στηρίζεσθαι τινὸς μαλακοῦ, ἢ ἤτοι χηνίου, ἢ καὶ ξύλου ὀρθοῦ, ᾧ καὶ προσδεδεμένος ἔσται μαλακαῖς ταινίαις.

Τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτως ποιέεσθαι, ὁκοίην τινὰ δύναμιν ἔχει, καὶ τὸ ὀλίσθημα, τὰ μὲν γὰρ σμικρὸν, τὰ δὲ μέγα ὀλισθαίνει.

Πρόδηλον οὖν ὅτι τὰ μὲν σμικρὸν ὀλισθήσαντα, μετριωτέρας δεῖται τῆς ἐπιμελείας, τὰ δὲ ἐπὶ πλέον ἐκστάντα, καὶ τῆς διαίτης ἀκριβεστέρας, καὶ τῶν ἄλλων οἷς ἰσχναίνεται τὸ σῶμα.

Τὸ ἐπίπαν δεῖ ἰσχναίνειν μᾶλλον, καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ σκέλεα τρώμασιν, ἢ ἐν τοῖσι κατὰ χεῖρας. καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτα ἐκείνων, καὶ δὴ καὶ ἀναγκαῖον ἐλιννύειν τὸ σῶμα, καὶ κατακεῖσθαι. μετεπιδῆσαι δὲ τὸ ἄρθρον, οὔτε τι κωλύει φιταῖον, οὔτε κατεπείγει, καὶ τὰ ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ προειρημένα. καὶ ἢν μὲν ἀτρέμα κατακέεσθαι ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ ὀστέα αὖθις καθίζηται. ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῆσθαι μὲν ἂν οὐ θαρσέως τῷ σκέλει, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ' ἂν πουλὺν χρόνον.

Αὐτὸς εἶπε τὴν αἰτίαν οὗ κελεύει. καὶ γὰρ μέζω φησὶ, καὶ παχύτερα ταῦτα ἐκείνων, καὶ τρίτον ἐπὶ τούτοις ἐστὶ τὸ κατακείμενον ὑγιάζεσθαι τὸν ἄνθρωπον, οὐχ ὥσπερ ἐπὶ τῶν κατὰ χεῖρα περιερχόμενον. ταῦτ' οὖν ἐν τῷ καθόλου περὶ πάντων ἡμῖν τῶν ἄρθρων εἰρῆσθαι νομίζομεν.

Ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει, τῷ χρόνῳ λεπτύνεται ἰσχίον, καὶ μηρὸς, καὶ κνήμη. καὶ ἢν μὲν εἴσω ὀλισθῇ, τὸ ἔξω μέρος λεπτύνεται, ἢν δὲ ἔξω, τὸ εἴσω.

Εἰ καὶ τῶν ὑγιῶν τι μορίων ἐν ἡσυχίᾳ πολυχρονίῳ φυλάττοις, ἢ βραχείαις κινήσεσι λεπτότερον ἑαυτοῦ γίγνεται. θερμαίνει τε γὰρ ἡ κίνησις τὰ σώματα, καὶ ῥώννυσι τὴν ἐν αὐτοῖς δύναμιν, ὑφ' ἧς εἰς εὐτροφίαν ἐπιδίδωσι τὰ μέρη. ὁπόταν δὲ μὴ καλῶς ἐμβληθῇ τῶν ὀλισθησάντων τι, χείρους αἱ κινήσεις ἐπιτελοῦνται, καὶ μᾶλλον δὲ κατὰ τὰ ἀντικείμενα μέρη τῶν ὀλισθημάτων. ἐπειδὴ κενὸς ὁ τόπος καταλείπεται τοῦ μέρους κινηθέντος ὀστοῦ, πρὸς τἀναντία. ῥᾷον οὖν ἐπ' ἐκείνου στηρίζεται τοῦ μέρους εἰς ὃ μετέστη τὸ ἄρθρον. ἕδρας μὲν γὰρ δεῖται τὰ ὑπερκείμενα μόρια. ταῦτα δὲ αὐτοῖς οὐ κεναὶ χῶραι παρέχουσιν, ἀλλ' αἱ πεπληρωμέναι. κατὰ γάρ τοι τῆς κενῆς χώρας, οὐδὲν στηρίζεσθαι δύναται. διὰ τοῦτ' οὖν καὶ τὸ σκέλος εἴωθε περιφέρειν ἔνθα τὴν ἔκπτωσιν ἔχει, καὶ τοῖς κατ' ἐκεῖνο τὸ μέρος ἐνεργεῖν μόνον. αὐτοὶ γὰρ οὖν καὶ τρέφονται καλῶς, οἱ δ' ἄρχονται ἐνδεῶς, οἵπερ εἰσὶν ἐκ τῶν ἀντικειμένων μερῶν.

Τὰ πλεῖστα δὲ ἐς τὸ εἴσω ὀλισθάνει. ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα καταγῇ ἄνευ ἑλκώσιος, καταστάσιος ἰσχυροτέρης δεῖται. τείνειν δὲ τουτέων τῶν τρόπων ἐνίοισι τῶν προειρημένων τισὶ, ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν. ἱκαναὶ δὲ καὶ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. τὰ πλεῖστα γὰρ ἀρκέουσιν, ἢν δύο ἄνδρες ἐρρωμένοι, ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν, καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης, καὶ τοῦ μηροῦ. καὶ ἢν κνήμης ὀστέα κατηγύης κατατείνῃς, καὶ ἢν μηροῦ.

Τὰ κάτω πρὸς τὴν τοῖς σφυροῖς διάθεσιν ἐξαρθρήματα, μᾶλλον ἔσω ὀλισθαίνει. αἰτία δὲ ἡ τῆς περόνης ἀπόφυσις ἔξωθεν ἀκριβέστερον περιλαμβάνουσα τὸν ἀστράγαλον, ἢ ἡ τῆς κνήμης ἔσωθεν.

Καὶ ἐπιδεῖν δὲ οὕτως ἐκτεταμένων ἀμφοτέρων ὁκότερον ἂν τουτέων ἐπιδέῃς, οὐ γὰρ ταὐτὰ ξυμφέρει σκέλει τε καὶ χειρί. πήχεος μὲν γὰρ καὶ βραχίονος ἐπὴν ἐπιδέωσιν ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χείρ. καὶ ἢν ἐκτεταμένα ἐπιδέῃς τὰ σχήματα τῶν σαρκῶν, ἑτεροιοῦται ἐν τῇ ξυγκάμψει τοῦ ἀγκῶνος. ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πουλὺν χρόνον, οὐ γὰρ πολλάκις ἐν τοιούτῳ εἴθισται, ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι. καὶ δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιϊέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσι, ξυγκεκάμφθαι κατὰ τὸν ἀγκῶνα δέονται. σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσιν, καὶ ἐν τῷ ἑστάναι εἴθισται, ὅτε μὲν ἐκτετάσθαι, ὅτε δὲ μικροῦ δεῖν ἐκτετάσθαι ἐς τὸ κάτω κατὰ φύσιν. καὶ δὴ καὶ πρὸς τὸ ὄχημα τὸ ἄλλο σῶμα, διὰ τοῦτο εὔφορον αὐτῷ ἐστὶν τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκη ἔχῃ. καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τουτέῳ ἐστὶν ἐν τῷ ἐκτετάσθαι. ἐπὴν δὲ δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται, ὥστε

ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι, καὶ ἀναστῆναι, ἀλλ' ἀτρεμέουσιν ἐν τουτέῳ τῷ σχήματι κείμενοι.

Ἐάν τε κνήμην, ἐάν τε μηρὸν ἐπιδέῃς, ἑκατέραν τῶν διαρθρώσεων ἐκτετᾶσθαι κελεύει, τὴν κατ' ἰσχίον καὶ τὴν κατὰ γόνυ. τὴν δ' αἰτίαν τοῦ σχήματος ἐφεξῆς ἐρεῖ σαφῶς ἀποδείξει χρώμενος, καὶ ἑτοίμως νοήσαις τὸν νοῦν. ἔστι δὲ τούτων τὰ κεφάλαια προσῆχθαι μὲν τὸ σκέλος ἑστώτων, καὶ βαδιζόντων ἐκτετᾶσθαι. πρὸς γὰρ τὸ βαδίζειν τὸ σῶμα γεγονὸς ὑπὸ τῆς φύσεως, εἰς τοῦτο τὸ σχῆμα παρεσκεύασται πρὸς αὐτῆς, καὶ διὰ τοῦτο καὶ κατακειμένων, ἐκτεταμένον ἐστὶν ὡς τὰ πολλά. τὰς χεῖρας δὲ καὶ κατὰ τὰς ὁδοιπορίας, καὶ ἄλλως ὡς τὸ πολὺ κεκλασμένας μετρίως ἔχομεν. οὐδεὶς γὰρ ἀποτεταμένας αὐτὰς περιέρχεται, διὰ τοῦτο κἂν ἐπιδεθῇ τις χεῖρα, δυνατόν ἐστιν αὐτῷ περιέρχεσθαι ταινίαν ὑποτείνοντι τῷ πήχει. σκέλους δὲ καταγέντος, ἀδύνατον ἐπιβαίνειν πρὶν ἀκριβῶς πωρωθῆναι.

Διὰ οὖν ταύτας τὰς προφάσιας χρὴ τοῦ σκέλεος, ὅτε ἡ κατάτασις, ὅτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει † αὐτῇ. ἢν μὲν οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐδὲν δεῖ μάτην πονέεσθαι, καὶ γὰρ † σολοικώτερον μηχανοποιέειν μηδὲν δέον. ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν, καὶ τῶν ἄλλων τινὰ τῶν ἀναγκαίων προσφέρειν ἥν τινα γε προσχωρέῃ. ὅταν δὲ δὴ ἱκανῶς καταταθῇ, ῥηΐδιον ἤδη κατορθῶσαι τὰ ὀστέα, καὶ ἐς τὴν φύσιν ἀγαγεῖν, τοῖσι θέναρσι τῶν χειρέων ἀπευθύνοντα, καὶ ἐξευκρινέοντα. ἐπὴν δὲ κατορθώσῃ, ἐπιδεῖν τοῖσιν ὀθονίοισιν κατατεταμένα, ἤν τ' ἐπὶ δεξιά, ἤν τ' ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ αὐτέοισιν τὰ πρῶτα ὀθόνια. βαλλέσθω δὲ τὴν ἀρχὴν κατὰ τὸ κάτηγμα, καὶ περιβαλλέσθω κατὰ τοῦτο τὰς πρώτας περιβολάς, κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται. τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα, καὶ πλέω πολὺ αὐτὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδέῃς, καταθεῖναι ἐφ' ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥς τε μὴ διαστρέφεσθαι ἢ τῇ ἢ τῇ, μήτε λορδὸν, μήτε κυφὸν εἶναι.

† ἢ αὐτῇ
† σκολιότης

Φανερωτάτας μὲν εἴρηκε τὰς αἰτίας προφάσεις, καίτοι γε ἀληθῶς ἃς προείρηκεν, οὐχ ὡς ἐν τῇ συνηθείᾳ προφάσεις εἰώθει λέγειν τὰς ψευδεῖς αἰτίας, καὶ μικρὸν δὲ κατωτέρω πάλιν οὕτω κέχρηται τῷ ὀνόματι κατὰ τήνδε τὴν ῥῆσιν. δι' οὖν ταύτας τὰς προφάσιας, τοῦ μὲν ἔξωθεν τοῦ ὀστοῦ καταγέντος ταχεῖαι αἱ ἐπιβάσιες. εἴρηκε δὲ τοῦτο περὶ περόνης, ἀληθὲς ἐπιδοὺς ταχεῖαν μὲν ἐπ' ἐκείνῃ καταγείσῃ τὴν τοῦ σκέλους γίνεσθαι κίνησιν. εἰ δὲ κνήμη συντριβῇ, μετὰ πλείονα χρόνον δύνασθαι χρῆσθαι τοὺς οὕτως παθόντας.

Μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λίνεον, ἢ ἐρίνεον, μὴ σκληρὸν, λαπαρὸν, μέσον κατὰ μῆκος ποιήσαντα ὑποθεῖναι, ἢ ἄλλο τι ὃ τούτῳ ἔοικεν.

Τὴν κνήμην ἀξιοῖ στηρίζειν ὃν εἶπε τρόπον προσκεφαλαίων μᾶλλον ἢ σωλῆνος, ἐφεξῆς γράφων ἃ μέμφεται τοὺς χρωμένους αὐτῷ πρὸς τὰ τοιαῦτα.

Περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα, ἀπορέω ὅ,τι ξυμβουλεύσω, ἢ ὑποτιθέναι χρὴ ἢ οὔ. ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται, οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, ὡς οἴονται. οὔτε γὰρ τῷ ἄλλῳ σώματι στρεφομένῳ, ἢ ἔνθα ἢ ἔνθα ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελῆται αὐτὸς ὁ ἄνθρωπος, οὔτε αὖ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι, ἢ τῇ ἢ τῇ. ἀλλὰ μὴν ἀτερπέστερον ξύλον ὑποτετᾶσθαι, ἢν μὴ ὅμως ἄν τις μαλθακόν τι ἐς αὐτὸ ἐντεθῇ. χρηστότατον δέ ἐστιν ἐν τῇσι μεθυποστρώσεσιν, καὶ ἐν τῇσιν ἐς ἄφοδον προχωρήσεσιν. ἔστιν οὖν σὺν σωλῆνι, καὶ ἄνευ σωλῆνος, καὶ καλῶς, καὶ αἰσχρῶς κατασκευάσασθαι. πιθανώτερον δὲ τοῖσι δημότῃσιν ἐστὶ, καὶ τὸν ἰητρὸν ἀναμαρτητότερον εἶναι ἢν σωλὴν ὑποκέηται, καίτοι ἀτεχνέστερόν γε ἐστίν. δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντῃ πάντως ἐς ἰθύ. ἐπείτοι γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ διαθέσει, ὅποι ἂν ῥέπῃ, καὶ ὁκόσα ἂν ῥέπῃ. ὑποκρινέσθω δὲ ὁ ὑποδεδεμένος ταῦτα, ἅπερ καὶ πρότερον εἴρηται. καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην εἶναι, καὶ τὸ οἴδημα οὕτως ἐξαείρεσθαι ἐς τὰ ἄκρεα, καὶ τὰς χαλάσιας οὕτως, καὶ τὰς μετεπιδέσιας διὰ τρίτης, καὶ εὑρισκέσθω ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιέεσθαι, καὶ πλέοσι τοῖσιν ὀθονίοισιν. περιλαμ-

βαίνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γούνατος τὸ ῥῶμα. κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ' ἑκάστῃ ἐπιδέσει χρὴ τὰ ὀστέα. ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα χωρέῃ, ἔτι μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἔτι δὲ αὖ παραγωγότερα τὰ ὀστέα, ἐνακούοντα δὲ τῆς κατατάσιος μᾶλλον. ἐπὴν δὲ ἑβδομαῖος, ἢ ἐνδεκαταῖος γένηται, τοὺς νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται.

Ἔστι καὶ νῦν οἶδά τινας ἰατροὺς ὑποτιθέντας τῷ σκέλει σωλῆνας, καὶ γλωσσόκομον, κνήμης τε καὶ μηροῦ πεπονθότος, ἐπὶ μὲν τοῦ μηροῦ παντὶ τῷ σκέλει. τῆς κνήμης δὲ πεπονθυίας, ἔνιοι μὲν καὶ τότε ὑποβάλλουσιν ὅλῳ τῷ σκέλει τὸ ξύλον, ἔνιοι δὲ τὴν κνήμην ὅλην στηρίζοντες ἐν τῷ γλωσσοκόμῳ. βλάπτουσι δέ τι καὶ οἱ μετ' αὐτῆς τὸν μηρὸν, ἀλλ' ἧττον ἐκείνων. τὰς φλέβας δὲ αὐτὸς ὁ Ἱπποκράτης ἐδήλωσε σαφῶς, ὥστ' αὐτὰς οὐδὲν ἐμὲ δεῖν ἔτι λέγειν, ἀλλ' εἴπου τι κατὰ τὴν λέξιν ἀσαφὲς ἔσεσθαί τισι νομίσω, τοῦτο ἐξαπλώσω, καὶ πρῶτόν γε πάντων ὅπῃ διαφέρει γλωσσόκομον σωλῆνι. εἴρηται μὲν οὖν παρὰ τοῖς Ἀττικοῖς γλωσσόκομον τὸ σκεῦος τοῦτο. ἴσως οὖν εἰς πολλὰ μὲν τῶν χρησίμων γραμμάτων ἐμβαίνουσιν οἱ ἄνθρωποι, πολλὰ δὲ τῶν ἀποθέτων γραμμάτων. ἔνιοι δὲ εἰς ὁδοιπορείας αὐτῷ χρῶνται, διοίσει δὲ οὐδὲν, εἴτε γλωσσοκόμιον, εἴτε γλωσσόκομον τις ὀνομάζει αὐτὸ, καθάπερ οὐδὲ διὰ τῶν δυοῖν ττ, ἢ διὰ τῶν δύο σσ. τὸ δὲ ὑποτιθέμενον τῷ σκέλει γλωσσόκομον οὐ δῆλον, ὅτι προμηκέστερόν τε καὶ στενώτερον εἶναι δεῖ τῶν συνήθων. δεῖ γὰρ αὐτὸ μὴ πολλῷ πλατύτερον εἶναι τοῦ κατὰ τὸ σκέλος εὔρους, ἢ πάχους, ἢ ὅπερ ἂν ὀνομάζειν ἐθέλῃς, ἵνα παραβληθέντων ἑκατέρωθεν ἐρίων ἐστηριγμένον ᾖ τὸ σκέλος, ὡς μηδὲ ἂν ὁ κάμνων βούληται μετακλίνειν αὐτὸ συγχωρεῖν τὴν στενοχωρίαν. ἀλλὰ τὴν μὲν ἐπὶ τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν μέρος περιστροφὴν τοῦ σκέλους δύναται ἡ τῶν ἐρίων παράθεσις ἀποκωλῦσαι, τὴν δὲ ἄνω καὶ κάτω καὶ εἰς ὕψος αὐτοῦ κίνησιν οὐ δύναται. διὸ καὶ ὁ Ἱπποκράτης οὐκ ἀρέσκεται τῇ χρήσει τοῖς τοιούτοις ξύλοις, πρὸς τοῖς ἄλλοις καὶ ἀπλώτου ὄντος. τὸ γὰρ ἀργέστερον οἷον ἀπλωέστερον ἢ ἀνδέστερον δῆλον, διὰ τὸ μηδὲν εἴκειν, ὥσπερ τὰ ὑπαυχένιά τε καὶ τὰ ὑπαγκώνια διακαλούμενα. ταῦτα γὰρ εἴκοντα μετρίως, οὐκ ἔστιν ἀνιαρὰ τῷ σκέλει. χρησίμου δ' ὄντος τοῦ τοιούτου μηχανήματος, ὅταν ἀφοδεῦσαι δεηθῶσιν οἱ κάμνοντες, ἢ μετακομισθῆναι ποτὲ ἐκ τῆς ἑτέρας μετακλίσεως ἐφ' ἑτέραν ἕνεκα τοῦ ἐργασθῆναι. διὰ τοῦτο μάλιστα τὴν χρῆσιν αὐτοῦ προσιέμεθα, καίτοι κἂν οἱ τινὲς ὑπ' αὐτῶν τὸ ὑπαυχένιον χρῶνται, καὶ κατ' ἀρχὰς εὐθέως ὑποβάλλουσιν αὐτῷ ταινίας ἐγκαρσίας, ὅταν ἐντιθῶσι τὸ σκέλος ἐναντιῶντες ἑκατέρωθεν εἰς σκέλους ὕψος, ἔπειτα ἐκ τῶν ἄνω τοῦ κώλου μερῶν συνδήσαντες ἀλλήλαις ἀσφαλῆ νομίζουσι τὴν θέσιν τοῦ σκέλους ποιεῖσθαι. τό τε γὰρ ὑπαυχένιον ἐν ταῖς μετακομιδαῖς τοῦ κάμνοντος ἀντὶ γλωσσοκόμου γίνεται τῷ σκέλει. καὶ μέντοι καὶ κατὰ τὸ κάτω πέρας αὐτοῦ προστιθέασιν ἔνιοι ξύλον ὀρθὸν, ὡς προσωθοῦσιν ἄκρον τὸν πόδα, προβάλλοντες ἔρια δηλονότι χάριν τοῦ μήτε ἄνω τὸ σκέλος ἕλκεσθαι τοῦ κάμνοντος, μήτ' ἀποτείνεσθαι κάτω. τὴν μὲν γὰρ ἀνάτασιν ὁ δεσμὸς κωλύει, τὴν δὲ ἐπὶ τὸ κάτω φορὰν τὸ προσηρεισμένον τῷ πέλματι ξύλον. ἀλλὰ καίτοι τούτων ἀσφαλῶς παρασκευαζομένων τοῖς ἰατροῖς, ὅμως ἡ περὶ τὰς διαρθρώσεις κίνησις οὐ κωλύεται δυναμένου τοῦ κάμνοντος, τό τε κατὰ σφυρὸν ἄρθρον, καὶ τὸ κατὰ γόνυ διακινεῖν ἐπὶ βραχύ. περὶ μὲν γὰρ τοῦ κατ' ἰσχίον, οὐδὲ λό[γου] δεῖ, μηδ' ὅλως αὐτοῦ, μήθ' ὑπὸ τοῦ γλωσσοκόμου, μήθ' ὑπὸ τῆς ἐπιδέσεως περιλαμβανομένου. ὁ γε μὴν σωλὴν, τὰ μὲν ἄλλα ἔχει τὰ αὐτὰ τῷ γλωσσοκόμῳ, ἀλλ' αὐτῷ δὲ τῷ σχήματι διαφέρει. περιφερὴς γὰρ ὢν ἔξωθεν, ἔνδοθέν ἐστι κοῖλος ὁμοίως τοῖς ἐπὶ τῶν κεράμων σωλῆσιν, ὅθεν αὐτῷ τοὔνομα. δοκεῖ δ' οὗτος ἐπιτηδειότατος εἶναι πρὸς τὴν προκειμένην χρείαν, ἐπειδὴ περιλαμβάνει τὸ σκέλος ὅλον ἐν κύκλῳ, μᾶλλον τοῦ γλωσσοκόμου. λείπονται γάρ τινες ἐν ἐκείνῳ χῶραι κεναὶ μετὰ τὴν ἔνθεσιν τοῦ σκέλους. καί τινες ἰατροὶ παρεσκευασμένους ἔχουσι πλείονας σωλῆνας ἕνεκα τοῦ χρῆσθαι καθ' ἕκαστον κῶλον ἁρμόττον τι, τοιοῦτον ξύλον εὑρίσκοντες, ἐξ οὗ ποιήσουσι αὐτοὺς εὐτόνους τε ἅμα καὶ λευκοὺς, καὶ μαλακοὺς, ἐγγλύψαντες δηλονότι τὸ ξύλον. καὶ παρ' ἡμῖν γέ τις ἰατρὸς ἐκ φιλύρου γεγονότας εἶχε πλείους τοιούτους σωλῆνας, ὥστε χρῆσθαι καθ' ἕκαστον σκέλος τῷ προσήκοντι κατὰ τὸ μέγεθος, μὴ δεσμοῖς οἵους ἔφην παραλαμβάνεσθαι πρός τινων ἐπὶ τῶν ὑπαυχενίων, ἀλλ' ἐπ' ἐκείνων μὲν οἱ δεσμοὶ χαλαροὶ γενόμενοι οὐ διαφθείρουσιν, ἀθλίπτως τε κρατοῦσι τὸ σκέλος ἐν τῷ μετακομίζεσθαι διὰ τὴν μαλακότητα τοῦ ξύλου. προσεξεύρηται γε μὴν ὑπὸ τῶν νεωτέρων ἰατρῶν γλωσσόκομον ὀργανικὸν εἰς ἀσφαλῆ κράτησιν, ὁπότερον ἂν ᾖ πεπονθὸς τῶν ὀστῶν, εἴτ' οὖν μηρὸς, ἢ κνήμη, κατασκευὴν καὶ χρῆσιν ἔχον τὴν ὑπογεγραμμένην, οὐκ ἀλόγως εὑρῆσθαί μοι δοκεῖ τοῖς νεωτέροις ἰατροῖς γλωσσόκομον ὄργανον ἐπιτήδειον εἰς τὰς πωρώσεις, ἐάν τε μηρὸς, ἐάν τε κνήμη συντρίβηται. πρόσκειται γὰρ αὐτῷ κατὰ τὸ πέρας ἄξων, ἐφ' ὃν αἱ τελευταὶ τῶν ἀντιτεινόντων τὸ κῶλον βρόχων ἀχθεῖσαι περιβάλλονται. τοὺς δὲ αὐτοὺς βρόχους περιτιθέναι χρὴ κατὰ τὰ πέρατα τοῦ θεραπευομένου τῶν ὀστῶν. ἔστωσαν δὲ ἐκ δυοῖν διανταίων, ὡς εἶναι σκέλη δ', τῶν βρόχων ἑκατέρου, δύο μὲν ἐκ τῶν δεξιῶν, δύο δὲ ἐκ τῶν ἀριστερῶν. ταῦτ' οὖν τὰ σκέλη, τὰ μὲν ἐκ τοῦ κάτω βρόχου διεκβάλλοντα διὰ τρημάτων τινῶν, ἐν τῷ κάτω πέρατι τοῦ γλωσσοκόμου γεγονότων, ἐπὶ τὸν ἄξονα φέρειν χρή. τὰ δὲ ἐκ τοῦ ἄνω βρόχου πρότερον ἀπάγοντα πρὸς τὴν ἄνω χώραν τοῦ γλωσσοκόμου, διεκβάλλειν καὶ αὐτὰ, τρημάτων τινῶν ἐν τοῖς πλαγίοις αὐτοῦ μέρεσι γεγονότων. ἐχέτω δὲ τὰ τρήματα τροχιλίας ἐν ἑαυτοῖς. ἑκατέρωθεν δὲ ἐκ τῶν ἔξω μερῶν, κατάγοντα χρὴ φέρειν ἐπὶ τὸν ἄξονα τὰ εἰρημένα πέρατα τῶν βρόχων. τούτων γὰρ οὕτως σκευασθέντων, μία περιστροφὴ τοῦ ἄξονος ὡσαύτως τείνει τοὺς δύο βρόχους. κάτω μὲν τὸν ἐν τῷ κάτω πέρατι τοῦ κατεαγότος ὀστοῦ περιβεβλημένον, ἄνω δὲ τὸν ἕτερον, ὥστε μετὰ τὴν ἀπόθεσιν ἔτι σοι λοιπὸν εἶναι καθ' ἑκάστην ἡμέραν ἐπανορθοῦσθαι τὴν ἀντίτασιν τῶν βρόχων, ἤτοι γε ἐπιτείνοντι τὴν τάσιν αὐτῶν, ἢ ἐκλύοντι. τὸν μὲν γὰρ ἐν τοῖς κάτω μέρεσι τοῦ κώλου βρόχον ὁ ἄξων δι' εὐθυπόρου τάσεως ἀντισπᾶται, τὸν δὲ ἄνω, διὰ τῆς μεταληπτικῆς ὀνομαζομένης.

Τῶν

Τῶν δὲ ναρθήκων τὰς ἐνέδρας χρὴ φυλάττεσθαι, κατά τε τῶν σφυρῶν τὴν ἴξιν, καὶ κατὰ τὸν τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢν ὀρθῶς ἰητρεύηται. ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαι τινὸς διορθώσιος, ἤ τινα ἕλκωσιν ὀρρωδέῃς, ἐν τῷ μεσηγὺ χρόνῳ χρὴ λύσαντα καὶ συνθετισάμενον μετεπιδῆσαι. ἢν δὲ τὸ ἕτερον ὀστέον κατεαγῇ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ, οὐδὲ βλακεύειν ἐν τῇ κατατάσει. μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι ὅσον ἐφικνέεται αἰεί ποτε πάντα τὰ κατήγματα, εἰ δὲ μὴ, ὡς τάχιστα. ὅτι γὰρ ἂν μὴ κατὰ τρόπον συνθετισμένων τῶν ὀστέων ἐπιδέων τις πιέζῃ, ἐπωδυνώτερον τὸ χωρίον γίνεται. ἡ δὲ ἄλλη ἰητρείη ἡ αὐτή. τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεομένου, ὀχλωδέστερον ἐν τῇ ἰητρείῃ ἐστὶν, καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστιν, καὶ ἐπιβαίνειν ἤδη τὸ σκέλος πολλῷ βραδύτερον δύνανται ἂν τουτέου κατεηγότος. ἢν δὲ τὸ ἔξω ὀστέον κατεηγῇ, πολὺ μὲν εὐφορώτερον φέρουσι, πολὺ δ' ἐγκρυπτότερον, καὶ ἢν μὴ καλῶς ξυντεθῇ. ἐπίσαρκον γάρ ἐστιν, ἤδη πόδας τε ταχέως ἵστανται, τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. ἅμα μὲν γὰρ αὐτῷ τῷ σκέλει, καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος τοῦ κατὰ τὸ σκέλος, τὸ πλεῖον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑπεροχέει τῷ ὕπερθεν τοῦ σώματος. αὕτη δὲ εἴσωθεν πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν. ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται ταύτῃ μᾶλλον τῇ ἴξει, ἀλλ' οὐχὶ τῇ †εἴσωθεν. ἅμα δὲ ὅτι παχύτερον τὸ εἴσω τοῦ ἔξωθεν, ὥσπερ καὶ τὸ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον.

†ἔξωθεν

Τὰ ἐξέχοντα μέρη τῶν ὀστῶν ὁποῖα τῆς κνήμης ἐστὶ, καὶ τῆς περόνης τὰ κάτω πέρατα, τὰς ἐπιθέσεις τῶν ναρθήκων οὐ φέρει, ταῦτ' οὖν ἀξιοῖ φυλάττεσθαι. ἐνέδρας δὲ εἶπεν ὡς εἰ καὶ ἕδρας εἰρήκει μετὰ τῆς ἐν προθέσεως, τὸ σημαινόμενον ἐκ τῆς λέξεως ἐναργέστερον ἐλπίσας ποιήσειν. ταυτὶ μὲν οὖν τὰ ὀστᾶ, διότι προπετῆ, καὶ γυμνὰ σαρκῶν ἐστιν ὑπὸ τῶν τῶν ναρθήκων ἕδρας θλίβεται, μᾶλλον δὲ οὐκ αὐτὰ θλίβεσθαι χρὴ λέγειν, ἀλλὰ τοὺς ἐπ' ἐκείνοις τε μῦς, καί τινας ἀπονευρώσεις καὶ τὸ δέρμα. ταῦτα γὰρ ἐν τῷ μεταξὺ γενόμενα δυοῖν σκληρῶν σωμάτων, ἔξωθεν μὲν τοῦ νάρθηκος, ἔσωθεν δὲ τοῦ ὀστοῦ θλίβεταί τε καὶ θλᾶται, καὶ πολλάκις οὕτως ἔπαθεν ὡς ἑλκωθῆναι. κατὰ δὲ τὴν πτέρναν ἐκ τῶν ὄπισθεν μερῶν, εἰς ἔμπροσθεν ἐμφύεται τένων, κατὰ τὴν γαστροκνημίαν ἐκφυόμενος μυῶν, ὅς τις ἐγκείμενος ἱκανῶς, καὶ μάλιστα ἐπὶ τῶν ἀσάρκων, οὐ φέρει τὸν ἐπικείμενον νάρθηκα, ἀλλ' οὗτος μὲν αἰσθητικώτατος ὢν, ὑπὸ τῆς ἐκθλίψεως φλεγμαίνει. τὰ δὲ ἐπικείμενα τοῖς ὀστοῖς τῶν σφυρῶν σώματα, διὰ τὴν σκληρότητα τῶν περιλαμβανόντων αὐτὰ, καθότι προείρηται, θλιβόμενα πάσχει μέχρι τοῦ ἐκθλίμματος κατεργάζεται. καλεῖ γὰρ ὁ Ἱπποκράτης οὕτως τὰς ἐκ τῶν θλιβόντων ἐπιπολῆς ἑλκώσεις τοῦ δέρματος.

Ἐν μέντοι τῷ ἄρθρῳ τῷ κάτω οὐχ ὁμοίη ἡ ὑπόστασις τοῦ ὀστέου τοῦ μακροτέρου, ἀνομοίως γὰρ ὁ ἀγκών τε καὶ ἡ ἰγνύη κάμπτεται. διὰ οὖν ταύτας τὰς προφάσιας, τοῦ μὲν ἔξωθεν ὀστέου κατεαγέντος, ταχεῖαι αἱ ἐπιβάσιες. τοῦ δὲ εἴσωθεν κατεαγέντος, βραδεῖαι αἱ ἐπιβάσιες.

Προειρηκὼς αὐτὸς ἀνωτέρω μακρότερον ὀστοῦν εἶναι τὸ τῆς περόνης, ὥσπερ καὶ ἐν χειρὶ τὸ τοῦ πήχεος. εἰρηκὼς δὲ ὅτι κατὰ τὴν εὐθυωρίαν ἐστὶν ἑκάτερον τοῦ μικροῦ δακτύλου, καὶ μέντοι καὶ ὅτι λεπτότερον τοῦ συνεζευγμένου, προσέθηκεν ἐφεξῆς ᾗ διαφέρουσιν ἀλλήλων. εἴρηται δὲ σαφῶς ὑφ' ἡμῶν ἐν τῷ περὶ τῶν ὀστῶν ὑπομνήματι, τά τε ἄλλα καὶ ἡ διάρθρωσις, ὅτι τε τίς ἐστιν ἀμφοτέρων αὐτῶν, καὶ ὅτι κατὰ τὴν χεῖρα κατὰ τὸν ἔξω κόνδυλον τοῦ βραχίονος ἡ κερκὶς διηρθρωμένη κινεῖται περὶ αὐτὸν, ἐπιστρεφομένη πρός τε τὴν ἔξω χώραν τῆς χειρὸς, καὶ τὴν ἔσω. κατὰ δὲ τὸ σκέλος ἡ κνήμη μόνη διαρθροῦται τῷ μηρῷ, τῆς περόνης οὐδεμίαν ἐχούσης κίνησιν. οὐδὲ γὰρ ὅλως ἐφ' ἑκάτερα στρέφεται τὸ ἄρθρον τοῦτο, καθάπερ τὸ κατ' ἀγκῶνα. κάμπτεται δὲ μόνον, οὐδὲ τοῦτο πάσχει ὁμοίως τῷ κατ' ἀγκῶνα. ἐκεῖ μὲν γὰρ τοῦ βραχίονος τὸ γιγγλυμοειδὲς διήρθρωται τῇ βαθμίδι τοῦ πήχεος. ἐν γόνατι δὲ, οἱ δύο δάκτυλοι τοῦ μηροῦ διτταῖς ἐπιβαίνουσι κοιλότησι τῆς κνήμης, ἡ μὲν ὄπισθεν ὁπότ' ἐκτείνοιτο τελέως, ἡ δὲ ἔμπροσθεν ὁπότε κάμπτοιτο. κατὰ δὲ τὸν μηρὸν οὐδέτερα τούτων ἐστὶν, οὐδὲ γὰρ ὅλως κορώνας ἔχει ἡ κνήμη. ἀνομοίως γὰρ ἀγκών τε καὶ ἰγνύη κάμπτεται, αὐτὸς ἀνωτέρω περὶ πήχεος διαλεγόμενος εἶπεν οὕτως. ἔστι δὲ ἐκεῖνο τὸ ὀστέον τοιοῦτον ἀγκὼν καλεόμενος ᾧ ποτὶ στηριζόμεθα. σαφῶς ἐνδεικνύμενος ὅτι τὸ τοῦ πήχεος ὀξὺ τοῦτο ὀνομάζει ἀγκῶνα. καλοῦσι δὲ αὐτὸν καὶ ὀλέκρανον, καὶ κύβιτον. ἀλλὰ νῦν γε φησὶν ἀνομοίως ἀγκών τε καὶ ἰγνύη κάμπτεται. δυνάμει πάλιν κἀνταῦθα λέγων, ὅτι ἀνομοίως ἥ τε κατ' ἀγκῶνα διάρθρωσις καὶ ἰγνύη κάμπτεται, ἀμέλει καὶ αὐτὸς ἐν τοῖς κατω-

τέρω φησί. τὰ δὲ κατ' ἀγκῶνα, καὶ ὀχλωδέστερα τοῖς ἰητροῖς, περὶ ἐξαρθρημάτων ὁ λόγος ἐστί. τοῦτο τοίνυν χρὴ μεμνῆσθαι περὶ πολλά, τὴν ἀκρίβειαν τῶν κυρίων ὀνομάτων οὐδὲ παρ' ἑνὶ τῶν παλαιῶν Ἑλλήνων εὑρεῖς ἂν φυλαττομένην, ἀλλὰ τὰ μὲν χρώμενοι, τὰ δὲ μεταφέροντες λέγουσι. καὶ μέντοι καὶ τὸ τῆς ἰγνύας ὄνομα, καὶ αὐτὸ τοιοῦτον ἐστὶν οἷόν περ καὶ τὸ τῆς μασχάλης, τὸν ὑποκάτω τοῦ ὤμου τόπον σημαίνει, τότε τῆς ἰγνύος τὸ ἀντικείμενον ἐκ τῆς ὀπίσω τῷ ὀνόματι. καὶ γὰρ οὖν καὶ αὐτὸ τὸ γόνυ τὸ πρόσω μέρος ἅπαν σημαίνει τῆς ἐνταῦθα διαρθρώσεως, ὥστε κἂν τῷ δέρματι τῷ κατὰ τοῦτο τὸ χωρίον ἕλκος γένηταί τινι, τὸν ἄνθρωπον τοιοῦτον φασὶν ἕλκος ἔχειν ἐν τῷ γόνατι, κἂν ὁ ὑπὸ τῷ δέρματι τένων ὁ περιτεταμένος τῷ ὀστῷ διαιρεθῇ, καὶ τότε τραῦμα φασὶν ἐν τῷ γόνατι γεγονέναι, καθάπερ γε καὶ αὐτὸ τὸ τῆς μύλης πάθον σῶμα. καλοῦσι δ' αὐτὴν οὐχ οὕτως μόνον, ἀλλὰ καὶ ἐπιγονατίδα. καὶ μέντοι καὶ τὰ πλάγια μέρη τοῦ σώματος ἑρμηνεύοντες, λέγουσι ποτὲ μὲν ἔξω, ποτὲ δὲ ἔσω τοῦ γόνατος γεγονέναι τὸ ἕλκος. ὅλον γὰρ τὸ χωρίον ἐν πλάτει γόνυ καλοῦσιν, ὥσπερ καὶ ἰγνύαν καὶ μασχάλην, καὶ ὦμον. οὕτως οὖν καὶ ἀγκῶνα καὶ σφυρά, καὶ καρπὸν ὅλον τὸ χωρίον ὀνομάζει. πολλάκις δ' αὐτὸ προτίθεσθαι τὸ κατ' ὦμον ἄρθρον, τὸ κατ' ἀγκῶνα, τὸ κατὰ γόνυ, τὸ κατ' ἰσχίον, τὸ κατὰ σφυρόν, πρόδηλον ὅτι πῶς ποικίλως χρῆται τοῖς ὀνόμασιν, ὥσπερ ἔφην καὶ τοὺς ἄλλους παλαιούς, καταφρονῶν τῆς ὕστερον ἀσκηθείσης περὶ αὐτῶν μικρολογίας, ἣν οἱ μεταχειρισάμενοι καλοῦσιν ἀκρίβειαν.

Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον κατεαγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περὶ παντός, ὅκως μὴ ἐνδεεστέρως σχήσει. πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο, οὐδὲ γὰρ εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατέειν ἡ ἐπίδεσις, ὥστε διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα ὅτι τάχιστα, ἂν ἀφῶσιν οἱ τείνοντες.

Ἐπειδὴ μέγιστοι μύες εἰσὶν οἱ περὶ τὸν μηρόν, εἰκότως εὐλαβεῖται μὴ κατατείνοντες τὸ κῶλον ἐλλίπωμεν τι συμμέτρως, καὶ γὰρ γίνεται πολλάκις οὕτως. ὅπως οὖν ἀδεέστερον ἀντιτείνωμεν, οὐδ' ἂν πλημμελήσηται, βλάψειν φησὶ τὴν τάσιν. ὃ γὰρ ἐπ' ἄλλων μορίων ὑποπτεύσειεν ἄν τις, ἐνταῦθα συμβαίη. τί δὲ τοῦτ' ἐστί, ἐπιδεθῆναι τὸ κατεαγὸς ὀστοῦν, διεστώτων αὐτοῦ τῶν κεχωρισμένων μερῶν, ἅπερ ἐχρῆν τούτων ἀλλήλων, ὡς ὁπότε κατὰ φύσιν ἔχει τοῦ τὸ κῶλον οὐδεμιᾶς μεταξὺ χώρας ἀπολειπομένης κενῆς, ἐν ᾗ τῶν ἰχώρων ἀθροιζομένων, κίνδυνος ἦν σφακελίσαι τὸ ὀστοῦν. εἰ γὰρ καὶ διεστῶτα ποτὲ διασταίη τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ, πλεονασθείσης τῆς ἀντιτάσεως, οὐκ ἂν διαμεῖναι μετὰ τὴν ἐπίδεσιν, ὡς ἐπ' ἄλλων μορίων ἐν οἷς ἡ περιβολὴ τῶν ἐπιδέσμων ἀκινήτους φυλάττει τοὺς μύας. ἀλλ' οὐκ ἂν τε τῷ μηρῷ φησι χρῆναι, δεδιέναι τοῦτο διὰ τὸ μέγεθος τῶν μυῶν. οὐ γὰρ κρατήσει αὐτῶν τὴν ἐπίδεσιν, ἀλλὰ κρατυνθήσεται. τοῦτο δὲ εἶπεν, ἐπεὶ τῇ μὲν ἐπιδέσει πρόκειται φυλάττειν οὕτως ἔχοντα τὸν μηρόν, ὡς ἐπιδεδεμένος εἶχε, τοῖς δὲ μυσὶν ἐπὶ τὴν ἰδίαν κεφαλὴν ἀνατρέχειν. ἐναντίων οὖν ἑκατέρων προκειμένων τῶν σκοπῶν, ἐὰν μὲν ἡ ἐπίδεσις κρατήσει, νικήσασα τὴν φυσικὴν κίνησιν τῶν μυῶν ἐν τῷ διεστάναι τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ. ἐὰν δ' ἡ τῶν μυῶν κίνησις ἰσχυροτέρα γένηται τῆς ἐπιδέσεως, ἀνασπασθήσονται αὐτοὶ πρὸς τὴν ἀρχήν. συνανασπάζουσι δὲ καὶ κάτω μέρη τοῦ κατάγματος ὀστοῦ, καὶ προσάξουσι τῷ ἄνω.

Παχεῖαι γὰρ καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι, κρατήσουσι τοῦ ἐπιδέσμου, ἀλλ' οὐ κρατηθήσονται. περὶ οὖν ὁ λόγος διατείνειν εὖ καὶ ἀδιαστρέπτως χρή, μηδὲν ἐπιλείποντα. μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι. χεὶρ μὲν γὰρ βραχυτέρη γινομένη, καὶ ξυγκρυφθείη ἄν, καὶ οὐ μέγα τὸ σφάλμα. σκέλος δὲ βραχύτερον γενόμενον, χωλὸν ἀποδείξει τὸν ἄνθρωπον. τὸ γὰρ ὑγιὲς ἐλέγχει μακρότερον ἐόν, ὥστε λυσιτελέει τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι, ἀμφότερα κατεαγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον. ἰσόρροπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μέντοι ἱκανῶς κατατανύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται, καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται, καὶ νεμόμενον ἐπὶ τὸ ἄνω τῇ ἐπιδέσει, καὶ ὑποκλινέσθω ταῦτα ὥσπερ καὶ πρόσθεν, καὶ πονεέτω κατ' αὐτά, καὶ ῥηιζέτω, καὶ μετεπιδείσθω ὡσαύτως, καὶ ναρθήκων πρόσθεσις ἡ αὐτή. κρατύνεται δὲ ὁ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσιν.

Οὓς ἡμεῖς μῦς εἴπομεν ἐν τῷ προγεγραμμένῳ λόγῳ, τούτους ὠνόμασε σάρκας συνήθει χρώμενος τῇ προσηγορίᾳ. διότι πᾶσα σὰρξ αἰσθητὴ μυός ἐστι μέρος, ἐν τοῖς μέσοις μάλιστα μέρεσιν αὐτῶν τοιαύτη φαινομένη. κατὰ γὰρ τὰ πέρατα νευρωδέστεροι πῶς οἱ μύες φαίνονται, τὸ σαρκῶδες ἔλαττον ἔχοντες.

Προσξυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι μηρὸς γαῦσός ἐστιν ἐς τὸ ἔξω μέρος, ἢ ἐς τὸ ἔσω, καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον, ἢ ἐς τοὔπισθεν. ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται ἐπὴν μὴ καλῶς ἰητρεύηται. καὶ δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν, ὥστε οὐδὲ ξυγκρύπτειν δύναται ἐν τῇ διαστροφῇ. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ οἷάπερ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ προείρηται.

Ὅτι μὲν τὸν κυρτὸν ἡ γαῦσος φωνὴ δηλοῖ, πρόδηλον ἐξ αὐτοῦ τοῦ πράγματος. ὁ γὰρ μηρὸς οὐκ ἀκριβῶς ἐστιν εὐθύς, ἀλλὰ

ἀλλὰ ἔστι τὸ ἔξω κυρτότερος, ὥσπερ καὶ κατ' ἐναντία μέρη κοιλότερος. εἴτε δ' ὀξύνειν χρὴ τοὔνομα τοῦ γαυσὸς, εἴτε περισπᾶν γαῦσος, ἄδηλον. οὐ γάρ ἐστιν ἐν ἔθει τῷ τῶν ἑλλήνων ἡ φωνή. κατὰ τὴν ἀναλογίαν ἔνιοι μὲν περισπᾶσθαι κελεύουσιν αὐτὸ, παραπλησίως τῷ καῦσος καὶ μαῦρος, καὶ γαῦρος. ἔνιοι δὲ ὀξυτονεῖσθαι, δηλονότι πάντα πάθη δηλοῦντα δισύλλαβα, τῇ ὀξείᾳ φαίνεται κεχρημένα τάσει. χωλὸς, χορδὸς, στρεβλὸς, κυρτὸς, βλαισὸς, ῥαιβός. οὐ μόνον δὲ τὰ δισύλλαβα, ἀλλὰ καὶ σχεδὸν ἅπαντα τὰ ἐπὶ πάθη λεγόμενα, ἀρθριτικὸς, πλευριτικὸς, ἡπατικός. ὁποτέρως δ' ἄν τις θέλῃ φθέγγεσθαι, συγχωρεῖ, κἂν ποτέ σοι καὶ τὴν ὀξεῖαν τάσιν εἰπόντι γαυσός. ἐπεὶ τοίνυν γάρ μόνον ἐπιτρέψειν ἐρεπόντων τῶν ἀναγινωσκόντων τὸ βιβλίον, αὖτ' εἴπῃ τις ἀξιῶν περισπᾶν, ὡς ἂν ἐκεῖνος ἐθελήσῃ, καὶ σὺ φθέγγου, καὶ πάλιν αὖ ἑτέρῳ συντυχὼν ὀξυτονεῖν ἐθέλοντι, καὶ αὐτὸς οὕτω πράττε, καταφρονῶν καὶ τόνων καὶ ὀνομάτων, ὡς οὔτε πρὸς φιλοσοφίαν συντελούντων. πολύ γε μᾶλλον οὔτε πρὸς γεωμετρίαν, ἢ ἀριθμητικὴν, ἢ μουσικὴν, ἢ ἀστρονομικὴν, ὥστε εἰ μηδεμία τέχνη δεῖται πρὸς τὸ ἑαυτῆς τέλος τῆς τῶν περιττῶν τούτων ὀνομάτων μακρολογίας, οὐ μόνον οὐ χρὴ προσίεσθαι τὸ ἐπιτήδευμα τῶν ἀνδρῶν, ἀλλὰ καὶ καταγελᾶν ὡς μάλιστα.

Προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον, καὶ τὰς ἰξύας, ὅκως ἂν οἱ βουβῶνές τε, καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πληχάδα καλεομένην προσεπιδέηται. καὶ γὰρ ἄλλως ξυμφέρει, καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα.

Τὸ μὲν ὑποδεχόμενον ὀστοῦν τὴν τοῦ μηροῦ κεφαλὴν ἰσχίον ὀνομάζεται, καθάπερ καὶ ἡ κοιλότης αὐτοῦ κοτύλη. κέχρηται δὲ τοῖς ὀνόμασιν ἀμφοτέροις ὁ ποιητὴς εἰπὼν, ἔνθά τε μηρὸς ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τε μιν καλέουσιν. ἰξύας τινὲς μὲν τὰ τῶν λαγόνων ἤκουσαν ὀστᾶ, τινὲς δὲ τὸ ὑπὲρ ἄνω αὐτῶν, ὅπερ ἰδίως ὀνομάζεται λαπάρα, καὶ γέγραπται παρὰ τῷ ποιητῇ τοῦτο τοὔνομα, κατ' ἐκεῖνο τὸ ἔπος ἔνθα φησὶ, οὖτα κατὰ λαπάρην. ἐγὼ δὲ τὸ μὲν τῆς λαπάρας ἔχοιμ' ἂν ἀφορίσασθαι κἀκ τοῦ πέρας αὐτῆς, κἀκ τῆς χρήσεως Ἱπποκράτους τε καὶ τοῦ ποιητοῦ, καὶ αὐτοῦ τοῦ νοσήματος, ὅτι τῶν μεταξύ τῶν τε τοῦ θώρακος ὀστῶν, καὶ τῶν ἰδίως καλουμένων λαγόνων ὀστῶν ἐστι, καὶ ῥηθήσεται περὶ αὐτοῦ κατὰ τὸν οἰκεῖον καιρόν. περὶ δὲ τῶν ἰξύων οὐκ ἔχω διατείνεσθαι. καὶ μέσον μὲν γὰρ ὁ ποιητὴς ἑνικῶς εἶπεν αὐτὸ, περὶ δὲ ζώνην βάλετ' αὐτὸν θυσανόεις ἀραρυῖαν. καὶ καθόσον ἔτι πιθανώτερον ἐν τῷ μεταξὺ τῶν τε κατὰ τὰς λαγόνας ὀστῶν, καὶ τῶν τοῦ θώρακος περιβάλλεσθαι τὴν ζώνην, αὐτὸ τοῦτο τοῦ σώματος ἰξύαν ἄν τις ὀνομάζεσθαι νομίζῃ, καθόσον δὲ πάλιν ὁ Ἱπποκράτης τῇ προκειμένῃ λέξει πληθυντικῶς εἶπεν ἰξύας εἰρῆσθαι, διὰ τοῦτο περὶ τῶν λαγόνων ὀστᾶ τὴν ἐπίδεσιν ἐπαναβαίνειν, εὐλόγως ἄν τις αὐτὰ ταῦτα νομίσειεν ἰξύας εἰρῆσθαι. τὸ δ' οὖν εἰς τὰ παρόντα χρήσιμον ἐστι, ὅταν ἐν τοῖς ἄνω μέρεσι τοῦ μηροῦ γίνηται τὸ κάταγμα, μὴ μόνον ἄχρι τοῦ βουβῶνος ἐπιδεῖν, ἀλλὰ καὶ προσαναβαίνειν ἐπιλαμβάνοντά τινα τῶν ὑψηλοτέρων χωρίων. ἔστι δὲ ταῦτα πρῶτον μὲν ἰσχίον, εἶθ' ἑξῆς τὸ τοῦ λαγόνος ὀστοῦν, εἶθ' ἡ μετ' αὐτὸ κενὴ χώρα τῶν ὀστῶν, ἣν λαπάραν ὀνομάζουσιν. ἣν μὲν οὖν εἴ τις βούληται καὶ μέχρι ταύτης ἀνιέναι, συγχωρητέον. ἐὰν δὲ προσεπιδήσας τὰ τῶν λαγόνων ὀστᾶ τοῦτο πράττῃ, ταῦτα δὲ ὑπερβάντα περιβάλλειν εὐθέως ταῖς λαπάραις τὸν ἐπίδεσμον οὐκ ἀξιῶ, περὶ παντός γε ποιουμένου τοῦ Ἱπποκράτους, μηδεμίαν ἐν ταῖς ἐπιδέσεσι ἀπολείπεσθαι χώραν, κἂν ἀνεπίδετον, ἀλλ' ἀξιοῦντος ἅπαντα τὰ μέλη κατειλῆφθαι συνεχῶς τοῖς ὀθονίοις, ἄχρι περ ἂν ἐπιλαμβάνειν δόξῃ τοῦ ὑγιοῦς. πληχάδα δὲ τινὲς μὲν διὰ τοῦ γ γράφουσι πληγάδα, τινὲς δὲ διὰ τοῦ χ πληχάδα. δηλοῖ δὲ τοὔνομα τὸ μεταξὺ τῶν δύο σκελῶν χωρίον, ἐντεῦθεν καὶ τὸ ἐκπεπλῆχθαι, καὶ διαπεπλῆχθαι παρ' αὐτῷ γέγραπται, καὶ παρὰ τῷ ποιητῇ, τοὶ δ' ἐπλήσσοντο πόδεσσι.

Απολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας, καὶ ἔνθεν καὶ ἔνθεν ἱκανῶς, καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμυθέεσθαι χρὴ, ὅκως μήτε κατὰ τὸ ὀστέον τῶν ἐξεχόντων παρὰ τὰ ἄρθρα φύσει πεφυκότων, μήτε κατὰ τὸ ἄρθρον νεῦρον ἔσται.

Πολλὰ τῶν κοινῶν καὶ γενικῶν ἐφ' ἑνὸς τῶν κατ' εἶδος ἑπομένων, εἴωθε διδάσκειν ὁ Ἱπποκράτης, ἐπισημαινόμενος ὅτι μὴ μόνου τοῦ εἴδους ἐστὶν, ἀλλὰ καὶ πάντων, ἢ πλειόνων, ἢ τινων. προστίθησι δὲ τῷ λόγῳ, ποτὲ μὲν τὸ ἀεὶ, καθάπερ καὶ νῦν. ἐνίοτε δὲ εἰς τὸ πολλὰ χρηστὸν τοῦτο συνιέναι, ἐνίοτε δὲ ὅτι πρὸς πάντα τοῦτο χρήσιμον. ἔσται γὰρ ὄντως ἀεὶ καὶ τὸ νῦν εἰρημένον ὑπ' αὐτοῦ χρήσιμον, οὐκ ἐπὶ μηροῦ μόνον, ἀλλ' ἐπὶ πάντων ἁπλῶς τῶν λαμβανόντων καταγμάτων τοὺς νάρθηκας. οὕτως γὰρ αὐτοὺς ἔχειν μῆκος προσήκειν, ὡς μὴ ψαύειν τοῦ γυμνοῦ, καὶ μάλιστα δὲ αὐτὸ φυλάττεσθαι φησὶ δεῖν ὅταν ἐξοχαῖς ὀστῶν πλησιάζῃ τὰ τῶν ναρθήκων πέρατα.

Τὰ δὲ οἰδήματα κατ' ἰγνύην, ἢ κατὰ πόδα, ἢ κατά τι ἄλλο ἐξαειρόμενα ὑπὸ τῆς πιέξιος ἐρίοισι πολλοῖσι ῥυπαροῖσιν εὖ κατειργασμένοις, οἴνῳ καὶ ἐλαίῳ ῥήνας, κηρωτῇ ὑποχρίων καταδεῖν, καὶ ἢν πιέζωσιν οἱ νάρθηκες, χαλᾶν θᾶσσον. ἰσχναίνειν δ' ἂν εἰ ἐπαινῶ εὖ τοὺς νάρθηκας ὀθονίοισιν ἰσχνοῖσιν ἐπιδέοις τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω ἐπὶ τὸ ἄνω νεμόμενος.

Τὰ ἐξαειρόμενα φησὶν οἰδήματα πρὸς τῆς πιέξεως, ὅπερ ἐστὶν ἐξαιρόμενα, διὰ τὴν ἐκ τῶν χυμῶν θλίψιν ἐκχυθέντων σφοδρῶς, θεραπευτέον ἐπιδέοντα ἔρια πολλὰ ῥυπαρὰ, καλῶς κατειργασμένα ῥαίνοντας ἐλαίῳ καὶ οἴνῳ. προϋποχρίειν δὲ ἀξιοῖ τὸ δέρμα καθ' ὃ ταῦτ' ὑποτεθήσεται κηρωτῇ, καὶ τὴν αὐτὴν ἐπίδεσιν ἀπὸ τῶν οἰδημάτων ἐπὶ τὰ ἄνω ποιεῖσθαι. περὶ μὲν τοῦ τρόπου τῆς ἐπιδέσεως αὐτὸς ἐδίδαξεν εἰπὼν, πόθεν μὲν ἄρξεταί τις ἐπιδεῖν ἐκ τοῦ αὐτοῦ παραπέμπεσθαί τε καὶ ἄγεσθαι. περὶ δὲ τῶν φαρμάκων οἷς χρῆται τῆς δυνάμεως, εἴρηται μὲν ἐπὶ πλέον

ἐν ταῖς περὶ αὐτῶν πραγματείαις. εἰρήσεται δὲ καὶ νῦν τὰ κεφάλαια τῶν ἐν ἐκείνοις δεδειγμένων. τὸ μὲν οὖν ἔλαιον ἀνωδύνου τε καὶ διαφορητικῆς ἐστι δυνάμεως, ὁ δὲ οἶνος ξηραντικῆς τε καὶ ἀποκρουστικῆς, πεπτικῆς, μαλακτικῆς, διαφορητικῆς δυνάμεως. εὔδηλον δὲ ὅτι καὶ τὰ ῥυπαρὰ ἔρια τὰ πρὸς ἐνίων οἰσυπηρὰ καλούμενα, καὶ ἡ κηρωτὴ μετὰ τοῦ παρηγορικοῦ, διαφορητικόν τέ τι καὶ ἀποκρουστικὸν ἔχει. προσηκόντως δὲ ἐκ τοιούτων φαρμάκων συνεστήσατο τὴν θεραπείαν. ἐπεὶ γὰρ τὸ οἴδημα μεῖζον τοῦ προσήκοντος γίνεται, ὑπὸ τῶν παρὰ τῆς ἐπιδέσεως ἐκθλιβέντων αὐτόθι. πρῶτος μὲν ἔσω οἱ σκοπὸς τῆς θεραπείας, ἐκκενωθῆναι τὸ παρὰ φύσιν ἐν τῷ οἰδισκομένῳ μορίῳ. διὰ τίνων δὲ πολὺ ὂν τοῦτο διαπραξόμεθα, τό, τ' ἀποκρούεσθαι, καὶ τὸ διαφορεῖν, καὶ τὸ παρηγορεῖν. τὸ μὲν ἀποκρούεσθαι καὶ διαφορεῖν, ὡς ἄντικρυς κενῶνται, τὸ δὲ παρηγορεῖν ὅπως μὴ διὰ τὴν ὀδύνην ῥευματίζοιτο τὸ πεπονθὸς μόριον. διὰ τοῦτο γοῦν τοῖς ἧττον ἀποκρουστικοῖς τε καὶ διαφορητικοῖς ἐπὶ τῶν φλεγμαινόντων χρώμεθα. τὰ γὰρ ἰσχυρῶς ἑκάτερα τούτων δρῶντα, παροξύνει τὰς ὀδύνας. τούτοις μὲν οὖν τοῖς λογισμοῖς χρώμενος ὁ Ἱπποκράτης, τά τε ἔρια ῥυπαρά, τουτέστιν οἴσυπον ἔχοντα, παραλαμβάνει μὲν κατὰ τὴν θεραπείαν, ἔλαιόν τε καὶ οἶνον καὶ κηρωτήν, αὐτὰ δὲ τὰ ἔρια καλῶς κατειργάσθαι κελεύει, τουτέστιν ἐξάνθαι χάριν τοῦ προσηνοῦς τε καὶ παρηγορικοῦ. τὰ μὲν γὰρ πεπλυμμένα, ῥᾳδίως μαλάττεται ξαινόμενα. τὰ δὲ οἰσυπηρὰ διὰ τὸν ῥύπον, οὐκ εὖ μεταχειρίζεται τοῖς ξαίνουσι, οὐδὲ εὐκατέργαστα γίνεται. διὸ πολλάκις ἀμελέστερον κατεργασθέντα ξηρὰ προσπίπτει τοῖς ὀδυνωμένοις μορίοις. εἰδὼς οὖν τοῦτο παρεωραμένον ἐνίοτε, προσέγραψεν εὐκατειργασμένοις. καὶ μέντοι καὶ πολλοῖς αὐτοῖς χρῆται χάριν τοῦ φυλάττειν τὴν ἐκ τοῦ οἴνου καὶ ἐλαίου νοτίδα. τὰ γὰρ ὀλίγα ῥᾳδίως ξηραίνεται, τοῦ πρώτου δὲ ἔχεται σκοποῦ, καὶ ὁ τῆς ἐπιδέσεως τρόπος, ὡς εἴρηται τῶν οἰδισκομένων μορίων ἀπάγων τὸ αἷμα πρὸς τὰ ὑπερκείμενα.

Οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν τὸ οἴδημα γένοιτο.

Κυρίως μὲν ἑρμηνευόντων τὸ οἰδηκὸς μόριον, ἰσχνὸν ἂν γενέσθαι λέγοιτο, καὶ οὐ τὸ οἴδημα. τοῦτο γὰρ ἀφανῆσαι παντάπασιν ἡμῖν πρόκειται. πολλὰ δὲ οὕτως λέγουσιν οἱ παλαιοί, καὶ μάλιστα οἱ λέγειν δεινότατοι, καταφρονοῦντες τῆς ὑπὲρ ἀσηκθείσης μακρολογίας ἐν τοῖς ὀνόμασιν, οὐχ ὡς οἱ μεταχειριζόμενοι προσαγορεύουσιν αὐτὴν ἀκριβολογίαν, οὓς εἰ μὲν σαφέστερον ἑρμηνεύοιεν τῶν παλαιῶν ἐκ τῆς τοιαύτης ἀκριβολογίας, εἴτε κυριολογίας ἐθέλοιεν ὀνομάζειν, ἐπαινεῖν προσῆκον. εἰ δὲ ἀσαφῶς καὶ ταπεινῶς, ἄμεινόν ἐστι τὴν τῶν παλαιῶν ἀμέλειαν αἱρεῖσθαι.

Καὶ ὑπερθείη ὑπὲρ τὰ ἀρχαῖα ἐπιδέσματα, ἀλλ' οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι φλυκταινώσιος, ἢ μελασμοῦ. γίνεται δὲ οὐδὲν τοιοῦτο, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα, ἢ κατακεκραμμένον ἔχῃ, ἢ κινῆται τῇ χειρί, ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα.

Μία μὲν αὕτη γραφή. τινῶν μὲν οἰδημάτων βουλομένων ἐπὶ τὴν ἐπίδεσιν ἀνιέναι τῶν ἐκθλιβομένων τῶν οἰδημάτων χυμῶν, ἐνίων δὲ εἰς τὰ κατὰ τὴν ἐπίδεσιν χωρία παραγίνεσθαι. κεῖναι δὲ οὐ χαλεπόν ἐστι τὴν διαφωνίαν αὐτῶν ὁρισθείσης τῆς ἐπιδέσεως. εἰ μὲν γὰρ ἐπανέντες τοὺς νάρθηκας, ἐπιδήσαιμεν ὡς εἴρηται τὸ οἰδηκός, ἀφίκοιτ' ἄν τι τοῦ αἵματος εἰς τὰ κατὰ τὴν ἐπίδεσιν χωρία. εἰ δὲ ἀφελόντες τοὺς νάρθηκας, καὶ λύσαντες ὅλην τὴν ἐπίδεσιν, εὐθὺς ἐξ ἀρχῆς ἐπιδήσαιμεν, ἅμα μὲν τῷ καταγματικῷ τρόπῳ χρώμενοι τῆς ἐπιδέσεως, ἅμα δὲ καὶ μὴ μιγνύντες αὐτῶν τῶν ἀπὸ τῶν οἰδημάτων ἀρχομένων, ὑπερεῖκαν οὕτως τὴν ἀρχαίαν ἐπίδεσιν, ὁ ἐκθλιβόμενος χυμὸς ἐπὶ τὰ τῆς ἐπιδέσεως ὑψηλὰ χωρία.

Σωλῆνα δέ, εἰ μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη, μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην ἄνευ τοῦ μηροῦ κινεῖσθαι. ἀστηρὸν γὰρ εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενον, καὶ ὃ ἥκιστα δεῖ τοῦτ' ἂν ἐποφθείη ποιέειν. ἥκιστα γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν. πᾶσαν γὰρ ἂν τυρβὴν παρέχοι τῇσιν ἐπιδέσεσιν, καὶ μηροῦ ἐπιδεδεμένου, καὶ κνήμης, ὅς τις κατὰ τὸ γόνυ κάμπτοι, ἀνάγκη ἂν εἴη τοὺς μύας ἄλλοτε καὶ ἄλλοτε ἄλλο σχῆμα ἴσχειν. ἀνάγκη δ' ἂν εἴη, καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐντετάσθαι. δοκεῖ ἂν οὖν ὁμοίως ὁ σωλὴν ὁ περιέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου ὠφελέειν ὑποτιθέμενος.

Ἐφεξῆς τῷ τῶν οἰδημάτων λόγῳ ἔγραψε περὶ τοῦ σωλῆνος σαφῶς. εἴρηται δὲ ἂν ἡμῖν ἔμπροσθεν, ὡς ἤτοι διαμπερῆ, τουτέστι δι' ὅλου τοῦ σκέλους ὑποτίθεσθαι τὸν σωλῆνα προσήκει, ἢ μηδ' ὅλως ὑποτίθεσθαι. λέλεκται δὲ καὶ περὶ τοῦ μηχανικοῦ γλωσσοκόμου τοῖς νεωτέροις ἰατροῖς ἐπινοηθέντος ὀρθῶς.

Καὶ ἄλλος κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦνται, εἶτα ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο, ἢ ἐς τὸ πλάγιον, εὐχαλαχετώτερον εἴη ἂν ξὺν τῷ σωλῆνι οὕτως. ἢν οὖν διαμπερὲς εἴη, ποιητέος ὁ σωλήν, ἢ οὐ ποιητέος.

Τὸ σὺν τῷ σωλῆνι, διττῶς ἤκουσαν ἔνιοι μὲν ἔξω τοῦ σωλῆνος περιβαλέσθαι τὴν ταινίαν ἀξιοῦντες, ὡς εἶναι τὸ λεγόμενον ταινίαν περιβάλλειν χαραρῶς προσήκει σὺν ἀμφοτέροις, τῇ τε ἰγνύῃ τοῦ κάμνοντος, καὶ τῷ ἔξω ἐν αὐτῷ σωλῆνι,

σωλῆνι, τουτέστιν ὥστε μὴ τηνικαῦτα αὐτὴν, ἀλλὰ σὺν τῷ σωλῆνι καταλῆφθαι. τινὲς δ' ἔξωθεν ἀξιοῦσι περὶ αὐτὴν τὴν ἰγνύαν περιβεβλῆσθαι τὴν ταινίαν, ὅπως σφίγγῃ καὶ αὐτὴ τὸ σκέλος ἅμα τῷ σωλῆνι, τουτέστι σὺν τῇ τοῦ σωλῆνος θέσει, μήτ' αὐτῆς μόνης ἱκανῆς οὔσης εἰς ἀσφάλειαν, μήτε τοῦ σωλῆνος, ἀλλ' ἀμφοῖν ἅμα συνιόντων.

Πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι, ὡς εὐθέτως ἔχοι, καὶ ἐν τοῖσι κατὰ κνήμην, καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ πούς, τῆς ἄλλης κνήμης ἡρματισμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι. ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη, ἢ τοῦ μετρίου ἠρτισμένη, ἡ δὲ ἄλλη κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τὸ ὀστέον τοῦτο κατὰ τὸ ἀντικνήμιον κοιλότερον φαίνεσθαι τοῦ μετρίου, προσέτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ᾖ, καὶ τὰ μὴ ἀτρεμέοντα ἐν τῷ αὐτέῳ σχήματι, καὶ αἱ πωρώσιες ἀσθενέστεραι.

Οὕτως ἐν τοῖς ἔμπροσθεν ἡνίκα περὶ τοῦ πήχεος παραλαμβανομένου τῇ ταινίᾳ τὸν λόγον ἐποιεῖτο, ἔφαμεν γεγονέναι γραφήν. ἐνίων μὲν αὐτοῦ τοῖς ἀποφάσεως* τὴν μὴ γραψάντων μετέωρος, ἐνίων δὲ σὺν ἐκείνῃ μὴ μετέωρος, οἱ μὲν ἐν ἴσῳ τῷ ἀστηρίκτῳ οὐδενὸς ἐρείσματος ὑποβεβλημένου, οἱ δ' ἔμπαλιν ἀντὶ τῆς ὀχουμένης ἐπί τινος ἕδρας ἀσφαλῶς. ἡρματισμένης δὲ παρὰ τὰ ἕρματα, τουτέστι τὰ ἐρείσματα πεποίηκε τοὔνομα. γινώσκομεν δή που καὶ τὰ ἕρματα, καὶ παρὰ τῷ ποιητῇ γεγραμμένα κατ' ἐκεῖνο τὸ ἔπος, ἔνθα φησίν, ὑποδέρεον ἕρματα νηῶν. εἴη ἂν οὖν τὸ ἡρματισμένης, ἀντὶ τοῦ ἠρτημένης.

Ταῦτα μὲν δὴ ὁκόσοισι τὰ μὲν ὀστέα κατέηγεν, ἐξέχει δὲ μὴ, μηδὲ ἄλλως ἕλκος ἐγγένηται.

Περὶ τῶν ἁπλῶν καταγμάτων ἄχρι δεῦρο διηγεῖται, καθ' ἃ μηδὲ ὑπερέχειν ὀστοῦν τοῦ δέρματος εἰς τὸ συμφανὲς, ὡς βλέπεσθαι γυμνὸν, ἀλλὰ μηδὲ τὴν ἀρχὴν ἕλκος ἐγγίνεται. πρόδηλον μὲν γὰρ ὅσα μὲν ἔχοντα καὶ γυμνούμενα τῶν ὀστῶν, οὐκ αὐτοῦ τοῦ διαιρεθῆναι τούς γε περικειμένους μύας, καὶ τὸ δέρμα, δύναται παθεῖν. χωρὶς μέντοι τοῦ γυμνωθῆναι τι τῶν κατεαγότων ὀστῶν ἕλκος γίνεσθαι δύναται. μεταβαίνει τοιγαροῦν ἤδη καὶ διαλέγεται περὶ τῶν μεθ' ἑλκώσεως καταγμάτων, ἤτοι μόνον γινομένων, ἢ καὶ μετὰ τοῦ γυμνωθῆναι τι τῶν ὀστῶν.

† ὅτι ὀστᾶ μὲν ἐξέχειν, καὶ γυμνοῦσθαι τῶν σαρκῶν

Οἷσι δὲ τὰ ὀστέα κατέηγεν ἁπλῶς τῷ τρόπῳ, καὶ μὴ πολυσχιδέα, αὐθήμερα ἐμβληθέντα, ἢ τῇ ὑστεραίῃ ἐς τὴν χώρην ἱζόμενα, καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παραχίδων ὀστέων ἀπιέναι, ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο, τὰ δὲ ὀστέα κατεηγότα οὐκ ἐξίσχει, οὐδ' ὁ τρόπος τῆς κατήξιος τοιοῦτος, οἷος παραχίδας ὀστέων ἐούσας ἐπιδόξους εἶναι, ἀναπλῶσαι τοὺς τοιούτους.

Τὰ μὲν ἕλκους κατάγματα διττῷ τρόπῳ θεραπείαν ὑπάγει, τῷ μὲν ἑτέρῳ καθ' ὃν ἤτοι γυμνόν τι μέρος ἐστὶ τοῦ κατεαγότος, ἢ πρὸς τοῦ κατεπείγοντος ἀποσχισθὲν τοῦ συντριβέντος ὀστοῦ, τῷ δ' ἑτέρῳ, καθ' ὃν οὐδέτερον μὲν τούτων ἐστὶν, ἕλκος δὲ μόνον ἅμα κατάγματι διαπεπλασμένῳ προσηκόντως. οὐδὲ γὰρ εἰ κατ' αὐτὴν τὴν πληγὴν μέρος τι τοῦ κατεαγότος ὀστοῦ γυμνωθὲν ἐξέχει τοῦ δέρματος, εἶτ' εὐθέως κατετάθη καὶ διεπλάσθη κατὰ τὸν προσήκοντα τρόπον, ἡγεῖται δ' ὑπαλλάττεσθαι τὴν θεραπείαν. ἀλλ' ἔστιν αὐτῷ τὸ μὲν ἕτερον τῆς θεραπείας εἶδος ὅταν ἕλκος ἅμα κατάγματι, θεραπευομένου τοῦ ἐξέχοντος τινὸς, οὕτω ἀποστήσασθαι προσδοκωμένου μορίου τοῦ καταγέντος ὀστοῦ. τὸ δ' ἕτερον ὅταν καλύπτηται μὲν ὑπὸ τοῦ δέρματος τὸ κατεαγὸς, ἐπίδοξόν τι μέρος αὐτοῦ τῷ χρόνῳ μειωθὲν ἀποκριθήσεσθαι πρὸς τῆς φύσεως, διὰ τῆς κατὰ τὸ ἕλκος χώρας. ὅταν μὲν οὖν ἡ προτέρα διαφορὰ γίνηται τοῦ παθήματος, ἀξιοῖ χρῆσθαι τῷ τρόπῳ τῆς ἐπιδέσεως ὃν ἐδίδαξεν ἐπὶ τῶν χωρὶς ἕλκους καταγμάτων. ὅταν δὲ ἡ δευτέρα μετατίθησι πῶς τὸν τρόπον τῆς θεραπείας, ὡς ἐφεξῆς μαθησόμεθα, βέλτιον γὰρ ἀκολουθεῖν αὐτῷ.

Οἱ μὲν μήτε μέγα ἀγαθὸν, μήτε μέγα κακὸν ποιέοντες, ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῷ τινι, ἢ πισσηρὴν ἐπιθέντες, ἢ ἔναιμον, ἢ ἄλλο τι ὧν εἰώθασιν ποιέειν. ἐπαινέω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ εἴρια ῥυπαρὰ ὁκόσοι ἐπιδέουσιν, ἢ ἄλλο τι τοιοῦτον. ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται, καὶ ἤδη ξυμφύηται, τότε τοῖς ὀθονίοισιν συχνοῖσι πειρῶνται ἐπιδέειν, καὶ νάρθηξιν κατορθοῦν. αὕτη μὲν ἡ ἴησις ἀγαθὸν τι ποιεῖ, κακὸν δὲ οὐ μέγα. τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τινι ὀγκηρότερον τὰ σώματα τοῦ καιροῦ ταύτῃ γίνεται.

Τῶν μεθ' ἑλκώσεως καταγμάτων διττὴν ἔφη αὐτῷ γεγονέναι τῆς θεραπείας διδασκαλίαν. ἄρχεται δὲ νῦν ἀπὸ τῆς πρώτης ὧν εἴπομεν, ἐλέγχων πρότερον ὅσοι κακῶς μεταχειρίζονται τὸν τρόπον τῆς ἑλκώσεως ἐκείνης ἐν ᾗ μετὰ τοῦ διαπεπλάσθαι προσηκόντως τὸ κάταγμα, καὶ ἕλκος ἐστὶν μηδεμιᾶς ὑποψίας οὔσης ἀποστήσεσθαι τινὰ παραχίδα. τοὺς οὖν οὕτω διακειμένους, φησὶν ἔνιοι τῶν ἰατρῶν θεραπεύουσιν, ἐξ ἀρχῆς μὲν ὡς εἰ καὶ μόνον ἕλκος ἐσχήκασιν. ἐπιδεῖν δὲ μετρίως ἔχει τοῦτο, τηνικαῦτα καταγματικῶς ἐπιδοῦντες. τὸ μὲν οὖν κεφάλαιον τῆς προκειμένης ῥήσεως τοῦτ' ἐστι. μακρότερον δὲ ἐγγίνεται τῆς θεραπείας ἡ διήγησις ᾗ χρῶνται τινὲς, ἅπαντα γράψαντος τὰ κατὰ μέρος.

ἐγὼ μὲν εἶπον οὕτως αὐτὸς θεραπεύειν, ὡς εἰ καὶ μόνον ἕλκος ἐγεγόνει χωρὶς κατάγματος, ὁ δὲ καὶ δι' ὧν θεραπεύουσιν ἔγραψε, μνημονεύσας πισσηρᾶς μὲν κηρωτῆς, ἐναίμου τε καὶ καθαρτικοῦ φαρμάκου καὶ σπληνῶν οἰνηρῶν. τὸ μὲν οὖν ἔναιμον φάρμακον εὔλογον ὃ λέγει, καὶ γὰρ νῦν ἔτι συνηθέστατόν ἐστι τοὔνομα τοῖς ἰατροῖς ἐπ' ἐκείνων λεγόμενον τῶν φαρμάκων, ὅσα τοῖς τραύμασιν ἐπιτιθέασιν εὐθὺς ἐξ ἀρχῆς ἅμα τῷ γενέσθαι, μηδέπω ξηρῶν ἀκριβῶς ὄντων αὐτῶν, ἀλλ' αἱμασσομένων ἔτι, τουτέστι δροσοειδῶς ἐκπίπτοντος αἵματος, ἔκ τε τοῦ τετρωμένου δέρματος, ἢ καὶ τῆς σαρκός. τὸ δὲ καθαρτικὸν φάρμακόν ἐστιν ὃ σὺν τῷ ξηραίνειν μετρίως, ὅπερ ἐδείχθη τὸ κεφάλαιον τῆς τῶν ἑλκῶν ἰάσεως, ἔτι καὶ ῥυπτικῆς τινος ἔχεται δυνάμεως καθαρὰ ποιεῖν ἕλκη. τοιαῦτα δέ εἰσι φάρμακα τὰ διὰ λεπίδος καὶ ἰοῦ σκευαζόμενα διττῶς συντιθέμενα, τινῶν μὲν ἑψόντων τὸν ἰόν, τινῶν δὲ ὠμὸν μιγνύντων, καὶ καλεῖται τὰ μὲν ὠμὸν ἔχοντα τὸν ἰόν, χλωρά, τὰ δὲ ἑφθόν, κιρρά. καὶ γὰρ καὶ φαίνεται τοιαῦτα τὴν ἰδέαν ἑκάτερα. ταυτὶ μὲν οὖν τὰ φάρμακα καθαρτικὴν ἔχει ἑλκῶν δύναμιν, ἐπειδὴ μετρίως πέφυκε ῥύπτειν. τοιαῦτα δ' ἐδιδάξαμεν ὄντα καθαίροντα ῥύπον ἑλκῶν, τὰ δὲ χωρὶς τοῦ ῥύπτειν ἔναιμα. ποικίλεται δὲ ἐν ταῖς κατὰ μέρος ὕλαις, ὥσπερ καὶ τὰ πρότερα, καθάπερ ἐκείνων παραδείγματα, ἰὸν εἶπον καὶ λεπίδα δυνατὸν ἦν εἰπεῖν μοι, καὶ ἄλλα τοιαῦτα κατὰ τὸν αὐτὸν τρόπον, καὶ νῦν ἀρκέσει φάναι χωρὶς τοῦ καθαίρειν, ἔναιμα καλεῖσθαι φάρμακα τὰ δι' ἀσφάλτου σκευαζόμενα. παραδείγματος γὰρ ἕνεκεν τῶν τοιούτων μνημονεύσω, πάσης αὐτῶν τῆς ὕλης ἐν τοῖς περὶ φαρμάκων εἰρημένης. περὶ δὲ τῆς πισσηρᾶς κηρωτῆς ὡμολόγηται σχεδὸν ἅπασιν ὡς ἀνώδυνόν τέ ἐστι καὶ πυοποιόν, ἁρμόττον ἐπειδὰν φθάσῃ φλεγμαίνειν ἤδη τὸ ἕλκος. ἄλλως γὰρ οὐκ ἄν τις αὐτῷ χρήσαιτο, μήτε καθαίρειν ῥύπον δυναμένῳ, μήτε κολλᾶν ἢ ἐπουλοῦν ἕλκος. οἱ δὲ οἰνηροὶ σπλῆνες, ἀποκρουστικῆς μὲν εἰσι δυνάμεως διὰ τὸν οἶνον. ἀντικρατήματος δὲ παραλαμβάνονται πρὸς τῶν οὕτω θεραπευόντων, βουλομένοις ὑποδεσμοῖσι χρῆσθαι διὰ τὸ ἕλκος. ὅσα μὲν οὖν ἐπίστασθαι προσήκει τὸν ὀρθῶς ἕλκος ἰασόμενον, εἴρηται μὲν κἀν τῷ γ. καὶ δ. γράμματι τῆς θεραπευτικῆς μεθόδου κατὰ τὴν προσήκουσαν ἑκάστου τάξιν. εἴρηται δὲ ὅσον ἥρμοττεν καὶ κατὰ τὴν ἐξήγησιν τοῦ περὶ ἑλκῶν συγγράμματος. εἰς δὲ τὸν ἐνεστῶτα λόγον ἀρκεῖ καὶ τὰ νῦν εἰρημένα. δεήσει γὰρ ἡμᾶς καὶ αὖθις εἰπεῖν περὶ θεραπείας τῶν προκειμένων παθῶν, ὅταν αὐτὸς ὁ Ἱπποκράτης αὐτὰ θεραπεύῃ. νῦν γὰρ ἑτέρων ἰατρῶν μέμνηται, καί φησιν αὐτὸς οὐδὲν ἀξιόλογον ἁμαρτάνειν, ὥσπερ ἐκείνους ὧν μνημονεύει. τί τοίνυν ἐστὶν ὃ ἁμαρτάνουσιν; ἅμα γὰρ τούτῳ γνωσθέντι, μαθησόμεθα τὸ καλῶς εἰρημένον παρ' αὐτῷ, μήτε μέγα τι ποιεῖν ἀγαθὸν αὐτοὺς μήτε κακόν. ὅτι τῆς μὲν ἑλκώσεως οὐ κακῶς προνοοῦνται, τοῦ κατάγματος δὲ ἀμελοῦσιν τόγε κατ' ἀρχάς, ὕστερον μὲν τὴν οἰκείαν ἐπίδεσιν αὐτῷ προσφερόντων ἣν ἔφην ἀπ' ἀρχῆς προσῆχθαι, διὰ τοῦτ' οὖν φησιν ὀγκηρότερα γίνεται τὰ ὀστᾶ. βέλτιον οὖν αὐτὰ προσέλκεσθαί τε καὶ πιλεῖσθαι διὰ παντὸς τοῦ χρόνου. παραλείπουσι δὲ κατὰ τὰς πρώτας ἡμέρας οὐκ ὀλίγας τὸν ἀριθμὸν οὔσας, εἴγε φησὶν ὅταν ἤδη τὰ ἕλκη συμφύεσθαι μέλλῃ, τηνικαῦτα τοὺς οὕτω θεραπεύοντας ἰατροὺς ἄρχεσθαι τῆς καταγματικῆς ἐπιδέσεως ἐπίδηλον, ὅτι διαπυήσεται, χρὴ πρότερον αὐτὰ κεκαθάρθαι πρὶν μέλλειν συμφύεσθαι, τοῦτο δ' οὐ κατὰ γ. ἢ δ. ἡμέρας ἀριθμόν ἐστι.

Γένοιτο δ' ἂν καὶ βραχύτερα ὧν ἀμφότερα τὰ ὀστέα κατέηγεν, ἢ πήχεος, ἢ κνήμης.

Ἴδιον ἐστὶ τῆς Ἱπποκράτους βραχυλογίας ἅμα σαφηνείας διὰ τῶν ἐπιφερομένων ἐπιδείκνυσθαι τὸ παραλελειμμένον ἐν τῷ προειρημένῳ λόγῳ, τοῦτ' οὖν ἐποίησε νῦν. εἰρηκὼς γὰρ ὀγκηρότερα γίνεσθαι τὰ ὀστέα τῶν θεραπευομένων διὰ τῆς πρώτης παραγωγῆς, οὐ προσέθηκε πότερον ἁπάντων, ἢ τινῶν, ἀλλ' ἐν τῇ νῦν ῥήσει σαφῶς ἐδήλωσεν, ὅτι μὴ πάντων ἀλλ' ἐκείνων μόνων ὅσων τὸ στερρὸν ὀστοῦν ἔπαθεν ὄγκον. μήτ' ἄρ' ἴσχει τὰ μέρη τοῦ κατάγματος, ὡς ἂν μὴ πιληθέντα καὶ σφιγγέντα διὰ παντὸς [τοῦ γένους] τοῦ χρόνου τῆς θεραπείας, οὐ μὴν βραχύτερόν γε γίνεται τὸ κῶλον, ὡς ἐνθάδε θατέρου τῶν ὀστῶν, ὅσον ἀπαθὲς ἔμεινε, διαφυλάττοντος αὐτῷ τὸ κατὰ φύσιν μέγεθος, ἀλλ' ἐφ' ὧν γε τὰ δύο καταγῇ, συνέβη δηλονότι συνανασπᾶσθαι τοῖς μυσίν, ὡς ἔμπροσθεν ἐδείχθη τὰ ὑψηλότερα μέρη τῶν παθόντων ὀστῶν, οὗπερ ἕνεκα καὶ τὴν κατάτασιν ἐποιεῖτο πρὸ τῆς διαπλάσεως. ἀλλ' ἐπεὶ χωρὶς τῆς προσηκούσης ἐπιδέσεως, οὐκ ἂν ἡ σύνθεσις τῶν ὀστῶν φυλαχθείη, διὰ τοῦτ' ἀκριβοῦς ἐπιδέσεως προνοήσαιτο μέχρι τῆς πωρώσεως. οἱ τοίνυν ἀμελοῦντες μὲν ταύτης, ἑλκώσεως πεφροντικότες, οὐ μόνον εἰς ὄγκον μείζονα τοῦ κατὰ φύσιν ἄγουσι τὸ κῶλον, ἀλλὰ καὶ μικρότερον ἀποφαίνουσιν.

Ἄλλοι δ' αὖ τινές εἰσιν οἳ ὀθονίοισιν τὰ τοιαῦτα ἰητρεύουσιν εὐθέως, καὶ ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδέουσιν τοῖς ὀθονίοισιν, κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσιν, καὶ ἐῶσιν ἀναψύχεσθαι, ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλκος τῶν καθαρτικῶν τι, καὶ σπλήνεσιν οἰνηροῖσιν, ἢ ἐρίοισιν ῥυπαροῖσι θεραπεύουσιν, αὕτη ἡ ἴησις κακή. καὶ εἰκὸς τοὺς ἰητρεύοντας τὰ μέγιστα ἀσυνετέειν, καὶ ἐν τοῖσιν ἄλλοισιν κατήγμασιν, καὶ ἐν τοῖσι τοιούτοισι. μέγιστον γάρ ἐστι τὸ γινώσκειν καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ' ὁποῖον μάλιστα πεπιέχθαι, καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχήν, καὶ πιέζῃ ᾗ μάλιστα χρή, καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς τις βάλληται, μηδὲ πιέζῃ ᾗ μάλιστα χρή, ἀλλὰ ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι πρόσθεν γεγραμμένοισιν ὁποῖα ἐφ' ἑκατέρων ἀποβαίνει. μαρτυρεῖ δὲ καὶ αὐτὴ ἡ ἰητρική. ἀνάγκη γὰρ τῷ οὕτως ἐπιδεομένῳ τὸ οἶδος ἐξαείρεσθαι ἐπ' αὐτὸ τὸ ἕλκος.

Τῶν μεγάλως βλαπτόντων ἐν τούτῳ τῷ λόγῳ μέμνηται, σαφῶς διδάσκων αὐτοὺς ἃ προσάπτουσιν ἅπαντα. καὶ

μέντοι

μέντοι καὶ τὰς ἁμαρτίας αὐτῶν ἐλέγχει σαφῶς, ὥστε μηδ᾽ αὖ ἐμοῦ δεῖσθαι τὸν ἐθέλοντα φιλοπόνως τοῖς λεγομένοις προσέχειν τὸν νοῦν.

Καὶ γὰρ εἰ ὑγιὴς χρὼς ἔνδοθεν καὶ ἔξωθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθῇ, μάλιστα κατὰ τὴν διάληψιν οἰδήσειεν ἂν, καὶ ἀχροιήσειεν, πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν πάθοι;

Ὅτι τὸ σαρκῶδες ἅπαν ὀνομάζει χρῶτα, λέλεκταί μοι καὶ πρόσθεν. ἀλλὰ νῦν γε πρόσεχέ μοι τὸν νοῦν, ὅπως αὖ ἣν ὁ λογικὸς εὑρίσκει τὸ προσῆκον, ὃ προλαμβάνει μακρὰν πεῖραν. οἴονται μὲν ἕλκος ἀνεπίδετον ἐῶντες, ἑκατέρωθεν δὲ αὐτοῦ περιβάλλοντες τοὺς δεσμοὺς, οὐκ ἐξ ὧν αὐτοὶ πράττουσιν, ἀλλὰ διὰ τὴν κακοήθειαν τοῦ παθήματος ἐπιγίνεσθαι φλεγμονὰς καὶ μοχθηρῶς διατίθεσθαι τὸ ἕλκος, τοῦ μὲν πρώτου τὴν τοιαύτην θεραπείαν ἐπινοήσαντος, ἑαυτὸν παρακρουσαμένου λόγῳ μοχθηρῷ. τῶν διαδεξαμένων δ᾽ αὐτὸ τὸ ἔθος, φυλαξάντων διὰ τὸ μὴ τολμᾶν ὑπαλλάξαι. τί δὲ εἰ τοῦ μέγα κακὸν ἐργάσασθαι, τοῦτο γὰρ ἐπιεικῶς συμβαίνει τοῖς ἀλόγῳ τριβῇ μεταχειριζομένοις τὰς τέχνας, ὥστε μόνος ὁ ἀπολογισμὸς θαῤῥῶν, ἐξ αὐτῆς τῆς τοῦ πράγματος φύσεως ὁρμώμενος, ὑπαλλάττειν ἐπιχειρεῖται δι᾽ ἔθους μακροῦ πραττόμενα κακῶς. τίς οὖν ὁ λόγος ἐστί; θαῤῥήσας ὁ Ἱπποκράτης ὑπήλλαξε τῆς θεραπείας αὐτῶν, οὐ μὰ δία, πιθανῶν οὐδὲ ξένων δεχομένων λημμάτων, ἀλλ᾽ ἐξ ἐπιστημονικῶν τε καὶ ἀναγκαίων. εἰ γὰρ ἐπὶ τῶν ὑγιαινόντων σωμάτων ὁ τοιοῦτος τρόπος τῆς ἐπιδέσεως εἰς τὴν μεταξὺ τῶν ἐπιδεσμένων χώραν ἐκθλίβων ἑκατέρωθεν τὸ αἷμα, φλεγμονὴν ἐργάζεται, πῶς οὐ πολὺ μᾶλλον ἐπὶ τῶν ἤδη πεπονθότων ἐργάσεται.

Ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπεπιεσμένον τὸ ἕλκος εἶναι, δακρυῶδες δὲ καὶ ἀνέκπυητον εἶναι, ὀστέα δὲ καὶ μὴ μέλλοντα ἀποστῆναι, ἀποστατικὰ γενέσθαι.

Τὰ καταλαμβάνοντα συμπτώματα διὰ τὴν μοχθηρὰν ἐπίδεσιν, ἔγραψεν ἐν τούτῳ τῷ λόγῳ γιγνόμενα πάντα διὰ τὸ μέγεθος τῆς φλεγμονῆς. ἐκτρέπονται μὲν γὰρ τοῦ ἕλκους τὰ χείλη διὰ ταύτην, ὥσπερ αὐτὰ τὰ κυρίως ὀνομαζόμενα χείλη τοῦ στόματος ὅταν φλεγμαίνῃ. κακόχρουν δὲ τὸ σύμπαν χωρίον εἰκότως φαίνεται, καὶ γὰρ καὶ τοῦτο σύμπτωμά ἐστι μεγάλης φλεγμονῆς. ἐξ αὐτοῦ δὲ τοῦ ἕλκους ἰχὼρ λεπτὸς καὶ ἄπεπτος ῥεῖ, καθάπερ ἐπὶ τοῖς ὀφθαλμοῖς ὅταν φλεγμαίνωσι τὸ δάκρυον, ἐντεῦθεν μὲν ὠνόμασται κατὰ μεταφορὰν τὸ οὕτω διακείμενον ἕλκος δακρυῶδες. ἀνέκπυον δὲ λέγεται πέψιν ἀκολουθῆσαι τοῖς τὴν φλεγμονὴν ἐργαζομένοις χυμοῖς, ἄχρις ἂν οὕτως ἐπιδέηται τὸ μόριον. ἀλλὰ καὶ τῶν ὀστῶν ἀνάγκη τι τῷ χρόνῳ βλαβῆναι, διαβρεχομένων ὑπὸ τῆς περιουσίας τῶν ἀπέπτων χυμῶν. οὐδὲν οὖν θαυμαστὸν ὑποστῆναι τι μέρος αὐτῶν, εἰ μὴ παύσαιτο, ὑπό τε τῆς μοχθηρᾶς ἐπιδέσεως οὕτω θεραπευόμενον. τὰ δ᾽ ἄλλα κατὰ μέρος ἐν ὅλῳ τῷ λόγῳ σαφῆ πάντ᾽ ἐστὶ τοῖς προσέχουσι τὸν νοῦν, ὡς ἔφην, καὶ μεμνημένοις τῶν προδιειλεγμένων. εἰς ἐκεῖνα γὰρ ἀναφέρεται πάντα, καὶ μαρτυρεῖ τοῖς καλῶς διδαχθεῖσιν, ὡς καὶ αὐτὸς Ἱπποκράτης ἐπισημαίνεται.

Σφυγμῶδές τε καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη, ἀναγκάζονται δὲ διὰ τὸ οἶδος ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνδοθεν καὶ ἔξωθεν ἐπιδεομένοισιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπότ᾽ ἂν σφιν παλιγκοτέῃ, καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δ᾽ ἧσσον, καὶ ἤν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν. οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνδοθεν καὶ ἔξωθεν, καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην, ἀλλ᾽ ἄλλην τινὰ ἀτυχίην. οὐ μέντοι γε ἂν ἔγραφον περὶ τούτου τοσαῦτα, εἰ μὴ εὖ μὲν ἤδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομαθεῖν. μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, εἴτε μάλιστα πιεστέα τὰ κατήγματα, εἴτε ἥκιστα. χρὴ δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσιν ἂν μὴ ἐπίδοξος ᾖ, ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην ἰητρεύειν, ὥσπερ ἂν οἷσιν ὀστέα μὲν κατεηγότα εἴη, ἕλκος δὲ μὴ ἔχοντα. τάς τε γὰρ κατατάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι, τήν τε ἐπίδεσιν παραπλησίην. ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα, σπλῆνα λεπτὸν διπλόον ἐπιδεθῆναι, τὰ δὲ πέριξ κηρωτῇ λεπτῇ χρίειν. τὰ δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερα τινὶ ἐσχισμένα ἔσω, εἰ μὴ ἕλκος εἶχεν. καὶ ᾧ ἂν πρώτῳ ἐπιδέηται, συχνῷ ἔσται τοῦ ἕλκεος πλατύτερον. τὰ γὰρ στενώτερα τοῦ ἕλκους ζώσαντα ἔχει τὸ ἕλκος. τὸ δ᾽ οὐ χρή, ἀλλ᾽ ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος.

Μικρὸν ἔμπροσθεν ἔφη, τῶν οὕτως ἐπιδεομένων ἐκθλίβεται τὸ οἶδος εἰς αὐτὰ τὰ ἕλκη. οἶδος δὲ δηλονότι τὸ οἴδημα λέγων, ὡς εἶναι τὸν λόγον τοιόνδε. διὰ τὴν κακὴν ἐπίδεσιν ἑκατέρωθεν τοῦ ἕλκους γιγνομένην ἐκθλιβόμενον τὸ αἷμα, τὸν παρὰ φύσιν ὄγκον ἐργάζεται. τοῦτο γὰρ οἶδός τε καὶ οἴδημα δι᾽ ἔθους ἐστὶν ὀνομάζειν αὐτῷ. προσλαβὼν δὲ σφυγμὸν ὁ τοιοῦτος ὄγκος καὶ θερμασίαν πυρώδη, τὴν ὀνομασθεῖσαν πρότερον ἰδίως ἀποτελεῖ φλεγμονήν. πάλαι γὰρ οὐχ οὕτως, ἀλλὰ τὴν φλόγωσιν ἅπασαν ὠνόμαζον φλεγμονὴν, ὡς πολλάκις ἡμῖν δέδεικται. ἀλλὰ ἀπό γε τῶν Ἐρασιστράτου χρόνων, εἴθισται τὸ τῆς φλεγμονῆς ὄνομα λέγεσθαι κατὰ τῶν ὄγκων ἐκείνων, ἐν οἷς οὐ μόνον ἐστὶ θερμα

σία φλογώδης, ἀλλὰ καὶ ἀντιτυπία, καὶ σφυγμός. ἐξ ἀνάγκης δ' αὖ ἔχουσιν οὕτω καὶ τὸ καλούμενον ἐρυθρὰς. ἐκ μὲν γὰρ τῆς πλείονος θερμασίας τὴν γένεσιν ἀναγκαῖον λαμβάνειν, ἡ δ' ἀντιτυπία καὶ ὁ σφυγμός, ἐκ τοῦ πεπληρῶσθαι. δυνάμενος οὖν εἰπεῖν ὁ Ἱπποκράτης πυρετῶδες γίνεσθαι τὸ ἕλκος, πυρῶδες εἶπεν, ἀπὸ τοῦ πυρὸς ἐργασάμενος παράκαυσιν εἰς ἀνάμνησιν ἐμοὶ δοκεῖν, ὅτι καὶ αὐτὸς ὁ πυρετὸς ἀπὸ τοῦ πυρὸς ὠνόμασαι, καὶ τουτέστιν αὐτῷ τῷ πυρετῷ εἶναι, τὸ θερμασίαν ἔχειν καπνώδη.

Καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν.

Σπανίως τοίνυν τὸ ἄνωθεν καὶ κάτωθεν ὀνομάζεται πρὸς τῶν παλαιῶν ἔνθεν καὶ ἔνθεν. ὡς τὰ πολλὰ γὰρ εἰώθασιν ἐπὶ τῶν κατὰ τὰ πλάγια μερῶν τοιαύτῃ χρῆσθαι λέξει. νῦν μέντοι τῷ παλαιῷ τρόπῳ τῆς ἑρμηνείας ὁ Ἱπποκράτης ἐχρήσατο.

Βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος, πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχε. ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει ὥσπερ καὶ πρόσθεν εἴρηται. τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλθακοῦ ἔστω. μᾶλλον δέ τε δεῖ ἐν τοῖσιν τοιούτοισιν, ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων μὴ ἐλάσσω ἔστω τῶν πρότερον εἰρημένων, ἀλλὰ τινὶ καὶ πλείω. ἢν δὲ ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ἡρμόσθαι μὲν, πεπιέσθαι δὲ μή. φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμόσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ὥστε τὸ μᾶλλον δοκέειν ἡρμόσθαι. τοὺς αὐτοὺς δὲ ὥστε τὸ μᾶλλον δοκέειν χαλᾶν, ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται. μετεπιδεῖν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ σύμπαν ἧσσον τινὶ πιέζειν ταῦτα ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γένηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος. ἰσχνὸν δὲ καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον, καὶ αἵ τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλων ἰητρευομένων ἑλκέων. ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμελαίνθη, καὶ ἐθανατώθη, θᾶσσον περιρρήγνυται, καὶ ἐκπίπτει ὧδε ταύτῃ τῇ ἰητρείῃ, ἢ ἐν τῇσιν ἄλλῃσιν ἐς ὠτειλάς τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευόμενον. πάντων δὲ τούτων αἴτιον, ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίνεται, ἰσχνὰ δὲ τὰ περιέχοντα.

Ἴξιν ἀεὶ τὴν εὐθυωρίαν ὀνομάζει, ποτὲ μὲν τὴν κατὰ τὸ μῆκος τοῦ σώματος, ἔστι δ' ὅτε τὴν κατὰ τὸ πλάτος, ὥσπερ νῦν ἀξιῶν τοῦ πρώτου τῶν ἐπιδέσμων τὴν ἀρχὴν, ἢ τῶν ἐκ δεξιῶν, ἢ τῶν ἀριστερῶν μερῶν τοῦ ἕλκους θέντας περιλέπειν ὅλον αὐτὸ καταληφθῆναι, καὶ μηδὲν ἀπολειφθῆναι μέρος γυμνόν.

Τὰ μὲν οὖν ἄλλα πάντα, παραπλησίως χρὴ ἰητρεύειν, ὥστε αὐτὴν ἑλκώσιων ὀστέα κατεηγνύμενα, τοὺς δὲ νάρθηκας οὐ χρὴ προσιθέναι. διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ τούτοισιν πλέω εἶναι ἢ τοῖσιν ἑτέροισιν, ὅτε ἧσσον πιέζεται, ὅτι τε οἱ νάρθηκες βραδύτερον προστίθενται.

Τοὺς νάρθηκας περιβάλλειν φυλάττεται τοῖς ἡλκωμένοις κατάγμασι, δεδιὼς δηλονότι τὴν ἐξ αὐτῶν θλῖψιν. δι' αὐτὸ δὲ τοῦτο καὶ τοῖς ὀθονίοις ταῦτα μὴ πιέζειν ἐκέλευσε, καὶ δι' ἄμφω σε ταῦτα πλέοσιν αὐτοῖς χρῆσθαι. μέμνησο τοιγαροῦν ὡς αὐτὸς εἶπεν, ὀθονίοισι πλέοσι χρῆσθαι, διότι τε ἧττον πιέζεται, καὶ οἱ νάρθηκες βραδύτερον προστίθενται.

Ην μέντοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προστιθέναι, ἀλλ' ὥστε καὶ χαλαρῶς προστιθέναι, προθυμεύμενος ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισιν. τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον χρὴ ποιέεσθαι, οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται, καὶ οἷσιν ὀστέα ἐξίσχει, καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι, ὧδε τοῖσιν ἰσχυροτάτοισι τρώμασιν ἀκριβεστέρην, καὶ πολυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν.

Τὴν κατὰ τὸ μῆκος ἴξιν ἀκούειν προσήκει νῦν, κατὰ ταύτην γὰρ οἱ νάρθηκες ἐπιβάλλονται. ἔμπροσθεν μὲν ὡς κωλύων νάρθηξι χρῆσθαι, τὸν λόγον ἐποιεῖτο, νῦν δὲ ὡς συγχωρῶν ἐνίοτε φησίν. ἢν μέντοι τοὺς νάρθηκας προστιθῇς, ὅπερ ἐγὼ ποιεῖν ὧδε τῶν τοιούτων εἴωθε. καὶ αὖ τῷ σκέλει πλάττειν οὐκ ἔχω διὰ τείνασθαι, μηδεμία αὐτοῦ διορισμὸν προστιθέντος. ὃ δ' ἐγὼ ποιῶ καὶ δὴ φράσω, τῶν μετὰ κατάγματος ἑλκώσεων ἐνίοτε κατὰ τὸ μῆκος τοῦ κώλου γιγνομένων, ἐγχωρεῖ τοὺς νάρθηκας ἑκατέρωθεν τοῦ ἕλκους ἐπιβάλλειν. ὅταν δὲ ἐγκάρσιον γένηται τὸ ἕλκος, κωλύει τὴν ἐπίθεσιν τῶν ναρθήκων, καὶ μάλιστα εἰ μεῖζον ᾖ.

Η αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων, καὶ οἷσιν ὀστέα μὲν κατέηγεν, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ᾖ. ἢν δὲ ἐν τῇ ἰητρείῃ ἕλκος γένηται, ἢ τοῖσιν ὀθονίοισιν μᾶλλον πιεχθέντος, ἢ ὑπὸ νάρθηκος ἐνέδρης, ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος. γινώσκεται μὲν οὖν τὰ τοιαῦτα, ἢν ἕλκος ὑπῇ τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσιν, καὶ τὸ οἴδημα τὸ ἐν τοῖσιν ἄκροισιν σκληρὸν

γίνεται

γίνεται τῶν τοιουτέων, καὶ εἰ τὸν δάκτυλον ἐπαγάγοις ἐξαείρεται, ἀτὰρ ταχὺ αὖθις ὑποφέρει ταχέως. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, λύσαντα χρή, ἢν μὲν ἡ κνησμὸς ἐπὶ τὰς ὑποδεσμίδας, ἢ περὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι.

Ὁ λόγος αὐτῷ νῦν ἐστὶ περὶ τῶν ἐπιγιγνομένων ἑλκῶν τοῖς κατάγμασιν ἐν τῷ χρόνῳ ἐκ τῆς τῶν ναρθήκων ἐπιδέσεως. ἐδήλωσεν οὖν τάς τε τῶν γενέσεων αὐτῶν αἰτίας, καὶ τὰ σημεῖα δι' ὧν ἄν τις γνωρίσαι γεγονὸς ἕλκος. εἶτα συμβουλεύει μὴ περιμένειν τὸν εἰθισμένον τρόπον τῆς ἐπιδέσεως, ἀλλὰ θᾶττον ἀφελόντα τοὺς ἐπιδέσμους, τὴν προσήκουσαν ποιεῖσθαι θεραπείαν ἣν αὐτὸς σαφῶς ἔγραψεν.

Ἢν δὲ τούτων μὲν μηδὲν ᾖ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκεται μέλαν ἐὸν πουλύ, ἢ ἀκάθαρτον, καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων, τῶν δὲ νεύρων προσεκπεσουμένων, τουτέους οὐδὲν δεῖ ἀναψύχειν παντάπασιν, οὐδέ τι φοβεῖσθαι τὰς ἐκπυήσιας ταύτας, ἀλλ' †ἰητρεύειν. τὰ δ' ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο.

† ἰκτρεύειν αὐτάς

Ἀναψύχειν ἔοικεν ἐπὶ τοῦ γυμνοῦσθαι φέρειν, ὅπερ σημαίνει τὴν καταγματικὴν ἐπίδεσιν ἀφελόντας, ὡς ἕλκος μὲν θεραπεύειν. οὐ γὰρ δὴ τό γε μηδὲν περιτιθέναι, καὶ παντάπασιν ἐᾶν γυμνόν, ἀναψύχειν ὠνόμασε προσγεγραμμένον, οὐδὲ τὸ ἀναψύχειν τὸ παντάπασιν δείκνυταί τι διὰ μέσην ὁδὸν ἐπιμελείας. εἴη δ' ἂν μέση τοιάδε τις, εἰ τὸ ἕλκος ὡς εἴρηκεν ἔχοι τι τῶν προειρημένων σημείων κινηθέντων, αὐτίκα τελευτῆσαι βούλεται τὴν καταγματικὴν ἐπίδεσιν, ἐπιμέλειαν τε ποιησάμενος τῶν κατὰ τὸ ἕλκος, ἡμέρᾳ μιᾷ καὶ δευτέρᾳ, πάλιν ἐπιδῆσαι μὲν τὸ κῶλον, ὡς αὐτὸς ἐκέλευσε, διὰ τῆς ἐχομένης λέξεως.

Τοῖσι δὲ ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν τοῖς ἀκραίοις πάνυ χαλαροῖσιν, καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσει αἰεὶ ἐς τὸ ἄνω, καὶ περιέχεσθαι δὲ μὴ δαμῇ. ἡρμόσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος, τὰ δὲ ἄλλα περὶ ἧσσον. τὰ δὲ ὀθόνια τὰ πρῶτα, ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά. τὸ δὲ πλῆθος τῶν ὀθονίων, ἔστω ὅσον περ ἐστὶν ἐν τῇσι νάρθηξιν εἰ ἐπιδέοιτο, ἢ ὀλίγῳ ἔλασσον.

Ἐν τούτῳ τῷ λόγῳ δῆλος ἐστὶν ἐπίδεσιν ἀξιῶν ἀρξαμένην ἀπὸ τοῦ οἰδήματος, ὅπερ ἂν ἐν ἄκροις τοῖς κώλοις γένηται προσεπινέμεσθαι κατὰ τὸ συνεχὲς ἀπ' ἐκείνου, καὶ ἀνέρχεσθαι μέχρι τοῦ κατάγματος ἔνθα ἡ ἕλκωσις ἐστίν, ὡς συνῆφθαι τὴν θεραπευτικὴν τῶν οἰδημάτων ἐπίδεσιν τῇ καταγματικῇ, καὶ μίαν τάσιν γενέσθαι διὰ μικρῶν ἐπιδέσεων συντελουμένων. ἀξιοῖ δ' αὐτῶν ἡρμόσθαι κατὰ τὸ ἕλκος, ὅπερ ἐστὶ χαλαρά, † σφίγγειν δ' οὐδέπω. τὰ τ' ἄλλα μέρη τὰ κατὰ τὸ κάταγμα κελεύει, καθάπερ ἐπὶ τῶν χωρὶς τοῦ κατάγματος ἑλκῶν, οὕτως ἐστὶ νῦν ἧσσον περιέχεσθαι. φυλάττει γὰρ ἀεὶ τὸ μᾶλλον ἐκεῖνο περιέχεσθαι τὸ μέρος περὶ πάσης τῆς ἐπιδέσεως, ὅθεν ἐκθλίβεσθαι βούλεται τὸ αἷμα. τὰς δ' ἐπὶ τῶν ἄκρων αὐτῶν τῶν οἰδισκομένων ἐπιβολὰς τῶν ὀθονίων χαλαρωτέρας εἶναι κελεύει, τοσοῦτον αὐτῶν μόνον φροντίζων ὡς εἰς μίαν ἕνωσιν τῆς ἐπιδέσεως ἀγαγεῖν. οὐ μὴν τὸ σύμπαν τῆς ὅλης θεραπείας κεφάλαιον αὐτοῖς ἀνατίθησιν. οὐ γὰρ τοιαῦτα ἐστὶν ἃ θεραπεύειν νῦν τοὺς μελασμοὺς ἐστὶ νεκρώσεις ἀγνοῶν. εἶπον εἰρήκει γὰρ ὑπὲρ αὐτοῦ κατὰ λέξιν οὕτως. καὶ τὸ οἴδημα τὸ ἐν τοῖς ἄκροις σκληρότερον γίγνεται τῶν τοιούτων, καὶ εἰ τὸν δάκτυλον ἐπάγοις, τὸ ἔρευθος ἐξαείρεται, καὶ αὖθις ὑποτρέχει ταχέως κατὰ τὸ μέγεθος. ταῦτ' οὖν συμπτώματα μέν ἐστιν οἰδημάτων, ὅθεν εἰκότως τὰ μέλη παντάπασιν αὐτῶν ὥσπερ τῶν μαλθακῶν, οὔτε τὸ κῦρος ὅλης θεραπείας ἐπ' αὐτὰ μετατίθησιν.

† περιειλίσσειν

Ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἱκανὸν σπλήνιον τῇ λευκῇ κηρωτῇ κεχρισμένον, ἤν τε γὰρ σὰρξ ἤν τε νεῦρον μελανθῇ, προσεκπεσεῖται. τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσιν, ὥσπερ τὰ πυρίκαυτα, μετεπιδεῖν δὲ διὰ τρίτης, νάρθηκας δὲ μὴ προστιθέναι, ἀτρεμέειν δὲ περὶ μᾶλλον ἢ τὸ πρόσθεν, καὶ ὀλιγοσιτέειν. εἰδέναι δὲ χρή, εἴτε σὰρξ, εἴτε νεῦρον τὸ ἐκπεσούμενον ἐστίν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλέον, πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται, πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται, ἢ εἴ τις ἀπολύσας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμακίων ἐπὶ τὸ ἕλκος. καίτοι καὶ ἢν ἐκπέσῃ† τὸ ἐκπυησόμενον, θᾶσσον τε σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον, καὶ θᾶσσον οὐλοῦται. πάντα μήν ἐστιν ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι. προσσυμβάλλεται δὲ καὶ τὰ σχήματα [ἡ μ]οῖα χρὴ εἶναι, καὶ ἡ ἄλλη δίαιτα, καὶ τῶν ὀθονίων ἡ ἐπιτηδειότης.

† τῇ

Διατί μὲν γὰρ οὐ χρὴ δριμέσι θεραπεύειν φαρμάκοις τοῖς τοιούτοις ἕλκεσιν, αὐτὸς εἶπεν εἰκάσας πυρικαύτοις αὐτά, ἐπειδὴ γεγόνεν ἐξ ἐπικράσεως τῶν δριμέων καὶ θερμῶν χυμῶν. εὐθέως δὲ ὁ συνενδείκνυται, καὶ πισσηρὴ κηρωτὴ ὡς ἐστὶ δριμυτέρα τῆς λευκῆς. ἡ γάρτοι πίσσα ὅσον ἐστὶ θερμοτέρα κηροῦ, κατὰ τοσοῦτον καὶ δριμυτέρα.

Ἢν δ' ἄρα ἐξαπατηθῇς ἐν τοῖσι νεοτρώτοισι μὴ οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι, τὰ δ' ἐπίδεσμα ἢ ἀναπλῶσαι, οὐ χρὴ ὀρρωδέειν τοῦ φόρτου τῆς ἐκφύσιος. οὐδὲν γὰρ ἂν μέγα φλαῦρον γένοιτο, ἢν μοῦνον οἷός τε ἔῃς τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ ἀσινέας ποιέεσθαι.

Οὐ χρὴ φησὶ δεδιέναι τὸν καταγματικὸν τρόπον τῆς ἰατρείας, κἂν ἀποστάσεως ὀστῶν φανῇ σημεῖα. τίνα δ' ἐστὶ ταῦτα, διὰ τῆς ἑξῆς ῥήσεως μαθήσῃ.

Σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰητρείης, πύον γὰρ συχνὸν ῥεῖ ἐκ τοῦ ἕλκεος, καὶ ὀργᾶν φαίνεται.

Ὅταν πλέον ᾖ τὸ ἀπόρρεον πύον, ἢ κατὰ τὸ τοῦ ἕλκους μέγεθος, ὑποπτεύειν χρὴ πεπονθέναι τὸ ὑποκείμενον ὀστοῦν. ἐὰν οὖν καὶ ὀργᾶν φαίνεται, τουτέστιν ἐπειγόμενον πρὸς τὴν ἀπόκρισιν τὸ πεπονθὸς μόριον, ἔχεις αὖ ἤδη βεβαίαν τὴν γνῶσιν. πόθεν οὖν ὅτι πρὸς τὴν ἀπόκρισιν ἐπείγεται; πρῶτον μὲν ἐξ αὐτῶν τῶν χειλῶν τοῦ ἕλκους οὐκ ἐθελόντων συνιέναι πρὸς ἄλληλα, διισταμένων τε καὶ ἐκτρεπομένων, εἶτα καὶ ἐκ τῆς τοῦ κάμνοντος αἰσθήσεως, ἐν τῷ βάθει κινήσεώς τινος ἀμυδρᾶς αὐτῷ φαινομένης. ὅταν ἐστ' αὖ ἀπαγαγὼν τῶν ἄλλων ἁπάντων τὰς αἰσθήσεις καὶ τὴν διάνοιαν, ἐκείνῳ μόνῳ τῷ μορίῳ προσέχῃ τὸν νοῦν, ἐν ᾧ τὰ προειρημένα συμπτώματα.

Πυκνότερον οὖν μετεπιδέεσθαι διὰ τὴν πλάδην, ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται. καὶ ἢν μὴ κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος, καὶ τὸ ἕλκος, καὶ τὰ περιέχοντα ἰσχνά.

Οὕτως οὖν εἴωθεν ὀνομάζειν τὰς περιττὰς ὑγρότητας, εἴτε λεπτῶν κατὰ τὴν σύστασιν ὑγρῶν, εἴτε καὶ παχυτέρων εἴη, ὥσπερ νῦν ἐστι τὸ πύον ὑπὲρ οὗ προείρηκεν ὅτι συχνὸν εἴωθε ῥεῖν ὅταν ἀφίστασθαι μέλλῃ μόριον ὀστοῦ.

Ὅσα μὲν οὖν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες οὐδεμιῆς μεγάλης μεταβολῆς δέονται, ἀλλ' ἢ χαλαρωτέρως ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ πύον, ἀλλ' εὐαπόρρυτον ᾖ, καὶ πυκνοτέρως μετεπιδεῖν ἐς ἂν ἀποστῇ τὸ ὀστέον, καὶ νάρθηκας μὴ προστιθέναι.

Ἐν τισὶ μὲν τῶν ἀντιγράφων χωρὶς τοῦ μεγάλης, ἁπλῶς γέγραπται, οὐδεμιᾶς μεταβολῆς, καὶ δοκεῖ τοῦτο εὐλογώτερον εἶναι. τριττῶς γὰρ ἐξαλλαττόντων τε καὶ μεταβαλλόντων τὸν καταγματικὸν νόμον τῆς ἐπιδέσεως, οὐκ ἂν εἶπεν ἁπλῶς οὕτως, οὐδεμιᾶς μεταβολῆς, ὅπου καὶ μετὰ τῆς προσθήκης ἴσως τις ἐγκαλέσει, καὶ φήσει ψεύδεσθαι τὸν ἄνδρα χαλαρωτέρως τε κελεύοντα νῦν ἐπιδεῖν τὰ ὀθόνια, καὶ πυκνῶς λύοντα μετεπιδεῖν, καὶ νάρθηκας μὴ προστιθέναι. καὶ τέταρτον τὸ καθόλου δηλονότι προειρημένον ὑπ' αὐτοῦ, τὸ πλῆθος αὔξειν τῶν ὀθονίων, ὅταν ἐκλύσῃς αὐτῶν τὴν τάσιν, ἢ νάρθηκας μὴ προσφέρειν. ἀλλ' ὅ γε τρόπος τῆς ἐπιδέσεως ὁ καταγματικὸς ὅστις φυλάττεται, πρὸς ὃν ἀναφέρων τὸν λόγον, εἶπεν μὴ δεῖσθαι μεγάλης μεταβολῆς τὴν ἀγωγήν. ὑποδεσμίδι τε γὰρ χρήσῃ, καὶ ἄρξῃ μὲν ἀπὸ τοῦ πεπονθότος, ἐπειδὴ ἐπιδήσας δὶς αὐτῷ περιβάλλων, ἄνω τελευτήσεις τοιαῦτα, μεταξὺ χρησάμενος τῇ νομῇ τῶν ὀθονίων ὁποίαν ἐδίδαξέ σε, καὶ τὴν β. ἐπιδεσμίδα πάλιν ἐπιβάλλειν μὲν τῷ αὐτῷ τινὶ, τὴν νομὴν δὲ ἐπὶ τὸ κάτω ποιήσεις καὶ παλινδρομήσεις ἄνω, τὰς ἐπιβολὰς τῶν ὀθονίων χαλαρωτέρας ποιούμενος. ἐπιθήσεις δὲ τὰς σπλῆνας ἔξωθεν ὡς ἔμαθες, ἐπιδέσμους τε κατ' αὐτῶν ὡς ἐδιδάχθης ἅπαντα τῆς καταγματικῆς ἐπιδέσεως. ἐὰν μέντοι μεγάλων ὀστῶν παραχίδια ἀποστήσεσθαι, προσδεῖ τοῦ καταγματικὸν νόμον τῆς ἐπιδέσεως, οὐκέτι προάγει καθ' ὅτι δηλώσει διὰ τῆς ἐχομένης ῥήσεως, εἰκότως οὖν νῦν ἔφη μηδεμιᾶς μεταβολῆς μεγάλης δεῖσθαι. εἰ δὲ καὶ χωρὶς τοῦ μεγάλης εἴη γεγραμμένον, ἀκουσόμεθα λέγοντος αὐτοῦ, μὴ μεταβαλεῖν τὸν καταγματικὸν τρόπον τῆς ἐπιδέσεως. κατὰ μηδὲν γὰρ, καί γε ὑποδεσμίσι χρῆται ταῖς ὑπ' ἐκείνου, καὶ τὴν ἀρχὴν τῆς ἐπιδέσεως τὴν αὐτὴν ποιεῖται, καὶ τὰς πρώτας ἐπιβολὰς, καὶ τὴν ἐφεξῆς ἐπινομὴν, καὶ μετὰ ταῦτα τοὺς σπλῆνας ὡσαύτως ἐπιβάλλει, καὶ τούτους αὐτοὺς ὁμοίως ἐπιδεῖν, τὸν αὐτὸν δηλονότι τρόπον φυλάττει.

Ὁκόσοισι δὲ μέζονος ὀστέου ἀπόστασις ἐπίδοξος γενήσεται, ἤν τε ἐξ ἀρχῆς προγνῷς, ἤν τε καὶ ἔπειτα μεταγνῷς, οὐκέτι τῆς αὐτῆς ἰητρείης δεῖται. ἀλλὰ τὰς μὲν κατατάσιας, καὶ τὰς διορθώσιας οὕτω ποιέεσθαι, ὥσπερ εἴρηται. σπλῆνας δὲ χρὴ διπλοῦς, πλάτος μὲν ἡμισπιθαμιαίους μὴ ἐλάσσους. ὁκοῖον δὲ ἄν τι καὶ τρῶμα ᾖ, πρὸς τοῦτο τεκμαίρεσθαι. μῆκος δὲ βραχυτέρους μὲν ὀλίγῳ, ἢ ὥστε δὶς περιικνέεσθαι περὶ τὸ σῶμα τὸ τετρωμένον, μακροτέρους δὲ συχνῷ, ἢ ὥστε ἅπαξ περιικνέεσθαι. πλῆθος δὲ ὁκόσους ἂν ξυμφέρῃ ποιησάμενον, τούτους ἐν οἴνῳ μέλανι αὐστηρῷ βρέχοντα, χρὴ ἐκ μέσου ἀρχόμενον, ὡς ἀπὸ δύο ἀρχῶν ὑπόδεσμις ἐπιδεῖται, περιελίσσειν, κἄπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι.

Περὶ τῆς ἐπιβολῆς ἐπιδέσμου κἀν τῷ κατ' ἰητρεῖον εἶπεν, ἁπλοῦν, εὔκυκλον, σκέπαρνον. ἔστι δὲ σκέπαρνον αὐτὴ περιβολὴ βραχυνομένη ἀπὸ τῆς εὐθείας καὶ κινουμένη πρὸς τὸ πλάγιον, ὅπου δὲ ὅσα λοξὴ, λέγουσα δὲ κατὰ τῶν τεκτόνων σκέπαρνα, διότι βραχὺ τῆς εὐθείας ἐγγίγνεται πρὸς ὑποκαμπὴν, οὕτως ὠνόμασαι. τοὺς σπλῆνας οὖν κατὰ τοῦτο τὸ σχῆμα ἀξιοῖ τῆς περιβολῆς τὸ κατεαγὸς κῶλον περιλαμβάνειν, οὕτως περιτεθειμένους ὡς ὑπὸ δυοῖν ἀρχῶν ἐπίδεσμος ἐπιδεῖται, τουτέστι τῆς μεσότητος τῶν σπληνῶν πρώτως ἐπιβαλλομένης τῷ κώλῳ, εἶτα τῶν οἷον σκελῶν τοῦ σπληνὸς οὐ κυκλοτερῶς περιλαμβανόντων τὸ θεραπευόμενον μόριον, ἀλλὰ ἐγκλινομένων ὀλίγον, ὡς ἀλλήλων συμβαλεῖν κατὰ τὸ ἀντικείμενον μόριον, ἢ ὅθεν ἤρξατο, καὶ γενέσθαι τὴν συμβολὴν αὐτῶν τῷ χ γράμματι παραπλησίαν, ὅπερ εἰ κυκλοτερῶς ἐπιβληθήσεται οὐκ ἂν ἐγένετο. συμβαίνει γὰρ τούτῳ περιλαμβανομένου, ἀπαντᾶν ἀλλήλοις ἀντικρύς. τὸ δὲ μῆκος τῶν σπληνῶν, ἐδήλωσεν ἐκ τοῦ φάναι, βραχυτέρους οὐκ ὀλίγῳ δεῖ ὑπάρχειν, ἢ ὥστε τὸ δὶς ἀλλήλων ἀπαντῆσαι, μακροτέρους δὲ πολλῷ, ἢ ὥστε ἅπαξ. βούλεται γὰρ πολλάκις ὑπ' αὐτῶν κρατεῖσθαι τὸ

κῶλον

κῶλον ἅπαξ ἑκάστου περιλαμβανόντων αὐτό. γίνοιτο δ' ἂν οὐκ ἀσφαλὴς ἡ κράτησις, εἰ καθ' ὃν ἀπήντησεν ὁ σπλὴν αὐτῷ τόπον ἐπαύσατο, μὴ προσεκτάσας ἔτι καὶ προσεπιλαμβάνων τι μέρος τοῦ κώλου. σχεδὸν γὰρ τὸ ἥμισυ βούλεται περιλαμβάνειν αὐτὸ τοὺς σπλῆνας ἐκ τοῦ φάναι μὴ ὀλίγῳ μὲν ἧσσον εἶναι δεῖν αὐτούς, ἢ ὥστε δύνασθαι περιληφθῆναι τὸ κῶλον, συχνῷ δὲ μείζους, ἢ ὡς τὸ ἅπαξ. γένοιτο δ' ἂν τοῦτο μέσον αὐτῶν, παυσαμένων τῶν κατὰ τὸ κῶλον κύκλου ὡσεὶ ἔπειτα ἔμελλον ἔσεσθαι ποδιαῖοι τὸ μῆκος, ἅπαξ περιληψόμενοι, διπλασίους αὐτοὺς γινομένους δεῖ συμπεριλαμβάνειν. ἐὰν οὖν ἐν τῷ μέσῳ παύσωνται, τοσοῦτον ἔτι προσθέντες τῶν ἅπαξ ὅσον ἀπελείφθησαν τοῦ δι' ἑνὸς καὶ ἡμίσεος αὐτοὺς ἔσεσθαι ποδός. ἀκριβῶς οὖν κατασκεψάμενος τὸ πάχος τοῦ κώλου, στοχάζεσθαι τηνικαῦτα τηλικούτους ποιῆσαι τῷ μήκει τοὺς σπλῆνας, ὡς μιᾶς καὶ ἡμισείας γίνεσθαι περιβολῆς. †τὰ δὲ θαρρῶν σὺ τῷ στομάχῳ θατέρῳ ὁκόσῳ τῷ ὑγιεῖ προσπαραβάλλων αὐτούς, ἀκριβῶς ἂν εὕροις τὸ μῆκος, οὐ δῆλον
10 δηλονότι συνεχεῖς ἀλλήλοις ἐπιβαλεῖν χρὴ τοὺς σπλῆνας, ὡς μηδεμίαν αὐτῶν μεταξὺ λείπεσθαι κενὴν χώραν. οἴνῳ αὐτοὺς κελεύει βεβρέχθαι. κατὰ μὲν τὴν χροιὰν μέλανι, κατὰ δὲ τὴν γεῦσιν, αὐστηρῷ δηλονότι, καὶ κατὰ τὴν σύστασιν, ὁποῖός ἐστι παχύς, ὠφελιμώτατος γὰρ ἁπάντων οἴνων εἰς τὰς τοιαύτας διαθέσεις ὁ μέλας καὶ αὐστηρός. τὸ μὲν κοινὸν ἀγαθὸν ἔχων οὗ χάριν εἰς ἐπιβολὰς ἑλκῶν παραλαμβάνεται, τῶν δ' ἄλλων οἴνων τῶν στυφόντων ἀδηκτότερος ὤν, ὅπερ οὐ τὸ τυχὸν ἀγαθόν ἐστιν ἐν ταῖς τοιαύταις θεραπείαις. ἐπειδὴ διὰ τὴν ὀδύνην ἐδιδάχθησαν αἱ φλεγμοναὶ γινόμεναι, διὸ κἂν μὴ λίαν αὐστηρὸς ἀλλὰ μετρίως ᾖ, τοιοῦτος ἀμείνων ἐστίν. ὀδύνην γὰρ ὁ λίαν αὐστηρὸς φέρει, συνάγων τε καὶ πιλῶν τὴν σάρκα πέρα τοῦ προσήκοντος. ὅθεν οὐδ' ὁ λεπτομερὴς κατ' οὐσίαν, οἷόσπερ ἐστὶν ὁ λευκός, ἢ ξανθός, ἢ κιρρὸς ἐπιτήδειος. ἐνδυόμενος γὰρ εἰς ὅλον τὸ βάθος τῆς ἡλκωμένης σαρκός, αἴσθησιν ὀδυνηρὰν πλέον φέρει διὰ τὴν γινομένην ἐν ἑαυτῇ σφίγξιν τε καὶ πίλησιν. ὁ δὲ παχυμερής, ὁποῖος ὁ μέλας, οὐ καταδυόμενος εἰς τὸ βάθος τῆς σαρκός, ἀλλὰ μόνῃ τῇ τῆς ποιότητος διαδόσει, ψύχων τε καὶ συνάγων αὐτήν, ἀποκρούεται
20 μὲν τοὺς ἤδη περιεχομένους χυμούς, ἀναστέλλει δὲ τοὺς ἐπιρρέοντας. ὁ μὲν οὖν λόγος οὕτω μαρτυρεῖ τῷ μέλανι καὶ αὐστηρῷ. τῇ πείρᾳ δ' εἰ βουληθείης βασανίσαι τὴν δύναμιν αὐτοῦ, κατὰ τῶν μεγίστων τε καὶ χαλεπωτέρων τραυμάτων χρησάμενος, εὑρήσεις ἀληθεύοντά με. λέλεκται δὲ καὶ πρόσθεν, ὡς ἀεὶ χρὴ τέγγεσθαι τὸ ἕλκος ὑπ' αὐτοῦ. ξηρανθέντων γὰρ ἐπ' ὀλίγον καὶ θερμανθέντων, ὑποβεβλημένων ὀθονίων τῷ ἕλκει, φλεγμονὴν ἀναγκαῖον ἀκολουθῆσαι, καὶ μάλιστα ἐν θέρει, καθ' ὃν καιρὸν ἀεὶ παρ' ἡμῖν ἐν Περγάμῳ τῶν ἀρχιερέων τὰς καλουμένας μονομαχίας ἐπιτελούντων, τοὺς κάκιστα τρωθέντας ἐθεράπευσα, πτύγματα μὲν ὀθονίων ἐπιθεὶς τοῖς τραύμασιν οἴνῳ τοιούτῳ βεβρεγμένα, κατ' αὐτῶν δ' ἔξωθεν σπόγγους καθεὶς μαλθακούς, εἶτα δι' ὅλης σχεδὸν ἡμέρας τε καὶ νυκτὸς ἐπιβρέχων. προϋποβάλλων δὲ τῷ τετρωμένῳ κώλῳ δέρμα κοιλαῖον ἀτρέμα κατὰ τὴν ποδῶν χώραν, ὡς δι' αὐτοῦ φέρεσθαι τὸν ἐκ τῆς βροχῆς οἶνον. κενοῦσθαι δὲ καθάπερ δι' ὀχετῶν, δεχομένης αὐτοῦ τὴν ἔκροιαν λεκάνης κενῆς, ὥστ' ἀναλαμβανόμενον αὖθις τὸν ἀθροιζόμενον οἶνον ἐν αὐτῇ καταντλῆσαι δεύτερον. ἐπὶ γὰρ τοῖς ἄλλοις ἀγαθοῖς, οἷς ὁ τοιοῦτος οἶνος ἔχει, καὶ τὸ τῆς
30 ὀσμῆς ἀμυδρὸν ὑπάρχει μέγιστον αὐτῷ τῶν ἀγαθῶν. τῶν γὰρ ἄλλων ὅσοι τοιαύτην ἔχουσι σφόδρα πληττόντων τὴν κεφαλήν, ὁ μέλας αὐστηρὸς οἶνος οὐδὲ κατὰ τοῦτο βλάπτει. εἰ συμβέβηκε δ' αὐτῷ τὸ τῆς ὀδμῆς ἀσθενὲς ἐπὶ τῇ τῆς κράσεως ψυχρότητι. δέδεικται γοῦν ἐν τοῖς περὶ φαρμάκων ὁ αὐστηρὸς οἶνος ἐκ γεώδους οὐσίας ψυχρᾶς συνιστάμενος, ὥστ' ἐπειδήπερ ὁ τοιοῦτος οἶνος ἐπιμιξίας γεώδους ψυχρᾶς γέγονεν αὐστηρός, ἥκιστα θερμοὺς ἀτμοὺς ἀναπέμπει πρὸς τὸ μετέωρον. εἶπον δὲ κατὰ τὴν ἀρχὴν εὐθέως τῶνδε ὑπομνημάτων, ὡς διὰ τὸ πολλοὺς τῶν καταμιγνυμένων ὅσα τοιαύτας ἀκροάσεις ἀπορεῖν, οἵαν ἐπὶ τῶν μονομάχων ἐποιούμην ἐγὼ τὴν ὑγρὰν κηρωτήν, ἣν περιλαμβανόμενον ἐπὶ τῶν ἁπλῶν καταγμάτων, ἀσθενεστέραν μὲν οὖσαν πολὺ τοῦ οἴνου, δυναμένην δ' αὐτάρκως ὧν χρῄζομεν ἀπεργάζεσθαι.

Ταῦτα κατά τε αὐτὸ τὸ ἕλκος ποιέειν, ἔτι καὶ ἐπὶ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ ἕλκεος, καὶ περιέχθω μὲν μή, ἀλλ' ὅσον ἐρμασμοῦ ἕνεκεν τοῦ ἕλκεος προσκείσθω.

Πάλιν ἐνταῦθα τὸ ἔνθεν καὶ ἔνθεν οὐ κατὰ τὸ πλάτος εἶπεν, ἀλλὰ κατὰ τὸ μῆκος τοῦ κώλου, φυλάττων τὸ καθόλου
40 παράγγελμα, τὴν ἐπίδεσιν ἐπιλαμβάνων ἀεὶ τοῦ ὑγιοῦς οὐκ ὀλίγον, καὶ μάλιστα ἐπὶ τῶν μεγάλων διαθέσεων.

Ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἐπιτιθέναι χρὴ πισσηρήν, ἢ τι τῶν ἐναίμων, ἢ τι τῶν ἄλλων φαρμάκων ὅτι ξύμφορόν ἐστιν ἐπιτέγγειν.

Τὸ κῦρος τῆς θεραπείας ἡ ἐπίτεγξις ἔχει, κατά γε τὰς πρώτας ἡμέρας ἡνίκα ἐκθλίβεσθαι χρὴ τῶν ἡλκωμένων μορίων ὅσον ἤδη φθάνει κατ' αὐτὰ περὶ τῆς ὑγρότητος ἠθροῖσθαι, κωλῦσαι δὲ τὸ ἄνωθεν ἐπιρρέον. ἀπὸ δὲ τῆς τρίτης ἡμέρας ἡ πισσηρὰ κηρωτὴ χρησιμωτέρα πέττουσα τὰ κατὰ τὸ ἕλκος. ἀλλ' ὁ Ἱπποκράτης εὐθέως ἐξ ἀρχῆς ἐπ' αὐτῇ παραλαμβάνει τὴν ἐκ τοῦ οἰκείου δύναμιν οὐκ ἐθέλων ἀκραιφνῆ προσαπτέσθαι τοῖς ἡλκωμένοις μορίοις, ἀλλὰ κατὰ διάθεσιν, ὅπως μή τις αὐτοῖς ἀνία γένηται διὰ τὴν στῦψιν. οὐκ ἂν ἁπλῶς ἀπὸ ξίφους γεγονὸς θεραπεύει νῦν τραῦμα, συντεθλασμένης δέ πως ἐξ ἀνάγκης, ἢ μᾶλλον ἢ ἧττον ὅλης τῆς περὶ τὸ ἕλκος σαρκός. αἱ γὰρ κάταγμα
50 ποιοῦσαι περιστάσεις, καὶ τῆς σαρκός τι συνθλῶσιν. εἰκότως οὖν προσεπιβάλλειν τι τοῖς ἕλκεσιν ἔναιμον φάρμακον, ἰατικόν τε καὶ παρηγορικὸν τῶν τεθλασμένων, ὃ τοιοῦτον εἶναι βούλεται κατὰ τὴν δύναμιν, ὡς οἰκειοῦσθαι καὶ προσίεσθαι τὴν ἔξωθεν ἐπιβροχήν. ἀκουστέον γοῦν ἐνταῦθα σύντροφον τὸ οἰκεῖον.

Καὶ ἢν μὲν ἡ ὥρη θερινὴ ᾖ, ἐπιτέγγειν τῷ οἴνῳ τοὺς σπλῆνας πυκνά, ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἴρια πολλὰ ῥυπαρὰ νενοτισμένα οἴνῳ καὶ ἐλαίῳ ἐπικείσθω.

Ἐπειδὴ ταῖς τοιαύταις διαθέσεσιν ἡ σφοδρὰ ψύξις ἐνίοτε κίνδυνον ἐπιφέρει σπασμοῦ, ψυχρῷ δ' οἴνῳ κατά τε τὴν ἕξιν καὶ τὴν δύναμιν χρῆσθαι, διὰ τοῦτ' εὐλαβηθεὶς ἀπαντῆσαι τι χαλεπὸν ἐν χειμῶνι, τῷ τῆς θεραπείας ἔθει μιχθείσης τῆς κατὰ τὴν ὥραν ψύξεως, ἐρίων τε προσθέσει πολλῶν, καὶ μίξει βραχέος ἐλαίου καθαιρεῖ τὸ σφοδρὸν τῆς

†τὰ δὲ μὴ, θαρρῶν σὺ τῷ στομάχῳ θατέρῳ ὁκόσῳ

ψύξεως. εἶναι δ᾽ ἀξιοῖ ῥυπαρὰ τὰ ἔρια διὰ τὸν οἴσυπον, ἔχοντά τι καὶ θερμότητος καὶ ψύξεως.

Ἰξάλην δ᾽ αἰγὸς χρὴ ὑποτετάσθαι, καὶ εὐαπόῤῥυτα ποιέειν, φυλάσσοντα τοὺς ὑποῤῥόους.

Εἴτ᾽ αἰγὸς δέρμα προσαγορεύεται ἰξάλη, εἴτε κατ᾽ ἄλλου τινὸς ὑποφέρεσθαι δύναται τοὔνομα, περιττὸν ἐν τῇ δὲ τῇ διδασκαλίᾳ ζητεῖν. οὐ γὰρ ἐξήγησις λέξεων, ἀλλὰ θεραπεία πρόσκειται παθῶν, εἰς ἣν ἀρκεῖ γιγνώσκειν ὅτι μανὸν, οὐ πυκνὸν ὑποτετάσθαι χρὴ δέρμα. οὐ μόνον ὅσον ἐκ τῆς ἐπιβροχῆς συῤῥεῖ δυνάμενον ἐξοχετεύειν, ἀλλὰ καὶ τοὺς ἀποπλυνομένους ἰχῶρας, ἐσχηματισμένον ἐν τοῖς πρὸς ποδῶν μέρεσιν ὡς ἔμπροσθεν εἴπομεν.

Μεμνημένον, ὅτι οἱ τόποι οὗτοι ἐν τοῖσιν αὐτοῖσι σχήμασι πολλὸν χρόνον κείμενοι, ἐκθλίμματα δυσαλθέα ποιέουσιν.

Θερμαινόμενα τὰ περὶ τὸ ἱερὸν ὀστοῦν, ὃ δὴ καὶ πλατὺ καλοῦσιν, ἐξερεύνατέ τε καὶ ναρκῶν, καὶ ὑπ᾽ αὐτῷ τῷ δέρματι δυσιάτους ἑλκώσεις ἐργάζεται. μετὰ γὰρ τὸ δέρμα χονδρώδη πέρατα τῶν ὀστῶν ἐστι, καὶ γυμνωθέντα δυσχερῶς ἐπουλοῦται.

Ὅσους δὲ μὴ οἷόν τε ἐπιδέεσθαι ἰήσασθαι διά τινα τούτων τῶν εἰρημένων τρόπων, ἢ τῶν εἰρησομένων, τούτους περὶ πλείονος χρὴ ποιέεσθαι, ὅπως εὐθέτως σχήσωσι τὸ κατ᾽ ἰκνὺν τοῦ σώματος κατ᾽ ἰθυωρίην προσέχοντα τὸν νόον, καὶ τῷ ἀνωτέρω δὲ μᾶλλον ἢ κατωτέρω.

Ἀκριβῶς κατ᾽ εὐθυωρίαν ἀξιοῖ κεῖσθαι τὸ σκέλος, ἀλλὰ βραχεῖ τινὶ τὸ πέρας ὑψηλότερον εἶναι. λέλεκται δέ μοι καὶ πρόσθεν ἤδη περὶ τούτου, ὅτι τὸ μὲν κατάῤῥοπον σχῆμα συγχωρεῖ πλέον ἐπιῤῥεῖν τῷ σκέλει, τὸ δ᾽ ἀνάῤῥοπον, ὀδύνην ἐργάζεται. διὰ ταῦτα τοιγαροῦν τὸ μὲν κατάῤῥοπον ἀεὶ φεύγειν προσήκει, τοῦ δ᾽ ἀναῤῥόπου μεταχειρίζεσθαι τοσοῦτον, ὅσον οὐδέ πως τὸ σκέλος ὀδυνήσει.

Εἰ δέ τις μέλλοι καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι ἄξιον, καὶ μηχανοποιήσασθαι ὅπως κατάτασιν δικαίην καὶ μὴ βιαίην σχοίη τὸ κατ᾽ ἰκνὺς τοῦ σώματος, μάλιστα δὲ ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. εἰσὶ μὲν οὖν τινὲς οἳ ἐπὶ πᾶσι τοῖσι τῆς κνήμης κατήγμασι, καὶ τοῖσιν ἐπιδεομένοισι, τὸν πόδα ἄκρον προσδέουσι πρὸς τὴν κλίνην, ἢ πρὸς ἄλλο τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. οὗτοι μὲν οὖν πάντα κακὰ ποιέουσιν, ἀγαθὸν δὲ οὐδέν. οὔτε γὰρ τοῦ κατατείνεσθαι ἄκος ἐστὶ τὸ προσδεδέσθαι τὸν πόδα, οὐδέν τε ἧσσον τὸ ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα. καὶ οὕτως οὐκ ἂν ἔτι τείνοιτο, οὔτ᾽ αὖ ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελέει, ἀλλὰ καὶ βλάπτει. στρεφομένου γὰρ τοῦ ἄλλου σώματος, ἢ τῇ ἢ τῇ, οὐδὲν κωλύσει ὁ δεσμὸς τὸν πόδα καὶ τὰ ὀστέα τῷ ποδὶ προσηρτημένα ἐπακολουθέειν τῷ ἄλλῳ σώματι. εἰ δὲ μὴ προσεδέδετο, ἧσσον ἂν διεστρέφετο. ἧσσον γὰρ ἂν ἐγκατελείπετο ἐν τῇ κινήσει τοῦ ἄλλου σώματος.

Ὅτι τὴν διὰ τῶν ὀργάνων τάσιν, ἣν προείρηκεν ἐπὶ μακρῶν τούτων, ὁμαλῶς ἅπαν τὸ κῶλον τείνουσαν, καὶ μηδὲν μόριον ἐπιτρέπουσαν, ἧττον ἢ μᾶλλον τετάσθαι καὶ νῦν λέγει, δεδήλωταί μοι καὶ πρόσθεν. ἃ δ᾽ εἰς τὸ περὶ τῶν προσδέντων ἄκρων τὸ κῶλον γέγραπται τῷ Ἱπποκράτει, πρόδηλα. παρελθὼν οὖν ταῦτα, τὸν περὶ τῶν σφαιρῶν ἤδη προχειριοῦμαι λόγον.

Εἰ δέ τις σφαίρας δύο ῥάψαιτο ἐκ σκύτεος αἰγυπτίου, τοιαύτας οἵας φοροῦσιν οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσι πολλὸν χρόνον πεπεδημένοι, αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν χιτῶνας, τοὺς μὲν πρὸς τοῦ τρώματος βαθυτέρους, τοὺς δὲ πρὸς τῶν ἄρθρων βραχυτέρους. εἶεν δὲ ὀγκηραὶ μὲν καὶ μαλθακαὶ, ἁρμόζουσαι δὲ, ἡ μὲν ἄνωθεν τῶν σφυρῶν, ἡ δὲ κάτωθεν τοῦ γόνατος. ἐκ δὲ πλαγίης ἑκατέρης δισσὰ ἑκατέρωθεν ἔχοι προσηρτημένα, ἢ ἁπλοῦ ἱμάντος, ἢ διπλόου βραχύτερα ὥσπερ ἀγκύλας, τὰ μέν τι τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τι τοῦ γούνατος, καὶ ἡ ἄνωθεν σφαῖρα ἕτερα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτὴν, κἄπειτα κρανείνας ῥάβδους λαβὼν ἴσας μέγεθος ἀλλήλῃσιν ἐχούσας, πάχος μὲν ὡς δακτυλιαίας, μῆκος δὲ ὡς κεκαμμέναι ἐναρμόζωσιν ἐς τὰ ἀπαιωρήματα.

Ὁ περὶ τῶν ἐπινοηθεισῶν ὑπὸ τῶν σφαιρῶν λόγος. ἐμοὶ μὲν οὖν δοκεῖ οὕτως σαφὴς ὑπάρχειν, ὡς μηδ᾽ ἐπιχειρεῖν αὐτὸν ἑτέρως ἑρμηνεύειν. ἐπειδὴ πολλάκις ἔφασάν τινες ἀγνοεῖν τὰ λεγόμενα κατὰ τὸν τρόπον ὑφ᾽ Ἱπποκράτους, οὐκ οἶδ᾽ ὅτι πράξω. τοῖς γὰρ μὴ λέγουσι μὴ νοεῖν αὐτὰς τὰς σφαίρας, ἐπιδείξας ἀναγινωσκομένου τοῦ βιβλίου, σαφῆ τὸν λόγον ἐποιησάμην. προσαρμόττων ἑκάστην αὐτοῦ λέξιν ἐκείνῳ τῷ μέρει τῆς σφαίρας, δεικνυμένῳ περὶ οὗ τὴν διδασκαλίαν ἐποιεῖτο. κατὰ δὲ τὸ βιβλίον οὐκ ἐνεστι δεικνύναι τὰς σφαίρας, ὥστ᾽ οὐκ οἶδα τίς ἔσται μηχανὴ τοῦ σαφῆ ποιεῖσθαι τὸν λόγον. εἰ γάρ τις οὐ μανθάνει τῆς Ἱπποκράτους ἑρμηνείας οὔσης σαφοῦς, οὐδὲ τῆς ἐμῆς συνήσει. πολλάκις οὖν αὐτὴν ἀναγνώτω, προσέχων τὸν νοῦν ἀκριβῶς, καὶ εἰ μὴ πρόσθεν, ἀλλ᾽ οὕτω γε πράττων, οἶδ᾽ ὅτι νοήσει πάντως. ἐγὼ δ᾽ οὖν καὶ αὐτῆς ὅσον οἷόν τε ἔτι συντελέσαι πρὸς τὴν νόησιν, οὐκ ἐκλείψω. σφαίρας τοίνυν οὐ τοιαύτας ἐχρῆν νοεῖν, οἵας οἱ παῖδες παίζουσιν, αὗται μὲν γὰρ σφαιροειδεῖς εἰσιν ὄντως, ἃς δ᾽ Ἱπποκράτης ἀξιοῖ κατασκευασθῆναι, περι-

ναι, παραπλησίας ταῖς πέδαις ὑπάρχουσιν ὡς αὐτὸς ἐδήλωσεν. ἐν δὲ συννοεῖν τὸ παράδειγμα, παραπλησίας αὐτὰς νόει τοῖς ὄφεσιν ἢ τοῖς ἀλλᾶσιν, ὥσπερ οὖν οἱ μάγειροι τὴν ἔνδον εὐρυχωρίαν τῶν ἐντέρων πληροῦντες, ἢ σεμιδάλεως, ἢ κρεῶν συγκεκομμένων, ἢ τινὸς ἑτέρου τοιούτου ἀλλᾶντας ἐργάζονται, τὸν αὐτὸν τρόπον καὶ σὺ ποιήσας σκύτους ῥάπτων ὅμοιον ἐντέρῳ κενῷ, πλήρωσον αὐτὸ μαλακῆς οὐσίας. ἀξιοῖ δὲ τὸ σκύτος αἰγύπτιον εἶναι, τουτέστιν εὔτονόν τε καὶ μαλθακόν, ὥστε κἂν ἐν Ἰταλίᾳ καὶ ἐν Θρᾴκῃ, κἂν ἑτέρωθί που τῆς οἰκουμένης εὐπορῇς πιστοῦ σκύτους, οὐ ζήτει τὸ αἰγύπτιον. ἔστω δὲ τὸ μῆκος τηλικοῦτον τὸ ἐσραμμένον σκύτος ὡς περιβάλλεσθαι κυκλοτερῶς τοῖς σφυροῖς, ὁμοίως τοῖς πέδαις. ἕτερον δὲ ὑποκάτω τοῦ γόνατος οὐχ ὁμοίως περιβεβλήσθω. δυοῖν γάρ ἐστι τούτων χρεία καθ' ἕκαστον τῶν θεραπευομένων κῶλον, διὸ καὶ παρεσκευάσθαι σοι χρὴ πλείονα ζεύγη διαφέροντα τοῖς μεγέθεσιν, ὡς τὸ μὲν μείζονι περιβάλλεσθαι, τὸ δ' ἐλάττονι. εἰ δέ τι σύμμετρον ἑκάστῳ, προσήκει γὰρ τοὺς χιτῶνας τούτους ἃς σφαίρας ὠνόμασεν ἀκριβῶς εἶναι κυκλοτερεῖς, οὐδ' ἴσας ὁμαλῶς κατά γε πλάτος καὶ ὕψος, ἀλλὰ καθ' ὃ μὲν περιβάλλονται τῷ χρωτί, πλατύνεσθαί πως ἀτρέμα, τὸ δ' εἰς ὕψος αὐτῶν ἀνατεταμμένον εἶναι, ἄμεινον περιφερές. οὐδὲ ἀκριβῶς τοιοῦτον, ἀλλ' ἐκ μὲν τῶν ἔνδον μερῶν πρὸς ἄλλο ὕψος ἀνατεταμένον. αὖθις δ' ἀπὸ τούτων κυκλοτερὴς αὐτῶν ἡ κατάβασις ἄχρι τοῦ χρωτὸς γιγνέσθω διὰ τῶν ἔξω μερῶν, ὅπερ ἐν μὲν τῇ κάτω σφαίρᾳ τὸ ταπεινὸν αὐτῶν ἐστι πλησιάζον τῷ ποδί, ἐπὶ δὲ τῆς ἄνω τὸ ὑψηλὸν ὃ τῷ γόνατι γειτνιᾷ. τοιούτων δ' οὐσῶν τῶν σφαιρῶν ὡς εἴρηται, καὶ περιτεθειμένων ἐξαρτημάτων τινῶν, καθάπερ ὅταν βούληται καθ' ἑκατέραν εἶναι διττά, τὰ μὲν ἐν τῇ κάτω σφαίρᾳ τὸ κοῖλον σαυτῷ μέρος ἄνω βλέπον ἔχοντα ὡς πρὸς γόνυ, τὰ δὲ ἐν τῇ ἄνω ἐπὶ τοὐναντίον εἰς τὸ κάτω μέρος ἐστραμμένην ἔχοντα τὴν κοιλότητα. ἐπιρράφθω δὲ ἑκατέρα τῶν σφαιρῶν αὐτὰ ταῦτα ἐπὶ τὰ πλάγιον μέρη, τουτέστι τοῦ ῥυθέντος ὑψηλοτάτου μέρους, ἔνθεν, ἔνθεν τὸ δ' ἔνθεν. ἐνθεῖναι γὰρ βούλεται τούτοις τὰ πέρατα ῥάβδων τεττάρων ἐν αὐτῷ τῷ χρόνῳ εὐθέως ἀτρέμα κάμπτων αὐτὰ χάριν τοῦ μετὰ τὴν ἔνθεσιν, εἰς τὴν ἐπὶ φύσιν εὐθύτητα πάλιν ἐπανορθουμένων ὤθεισαι τῶν σφαιρῶν, τὴν μὲν ταπεινὴν εἰς τὸ κάτω μέρος τοῦ κώλου, τὴν δὲ ὑψηλὴν ἄνω. γενομένου γὰρ τούτου, συμβήσεται τὰ μέρη τοῦ κατάγματος, ἅμα μὲν ἀκριβῆ φυλάττειν τὴν διάπλασιν, εἶτα δὲ ἀντιτείνεσθαι, τὸ μὲν ἄνω, τὸ δὲ κάτω. κρανείας δὲ κελεύει τὰς ῥάβδους εἶναι, διὰ τὴν εὐτονίαν τοῦ ξύλου. πρόδηλον γὰρ ὡς εἰς τὴν προκειμένην χρείαν ἄμεινόν ἐστι πιστὸν εἶναι ξύλον. ὅτι δὲ τὸ μηχανικὸν καλούμενον γλωσσόκομον, ἄριστον εἰς τὰς τοιαύτας ἀντιτάσεις ἐστίν, ἔμπροσθεν εἴρηταί μοι ἐπὶ τὸ πρῶτον ὑπόμνημα, καθ' ὃ καὶ περὶ τῆς κατασκευῆς αὐτοῦ διῆλθον.

Ἐπιμελεόμενος ὅκως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς τὸν χρῶτα, ἀλλ' ἐς τὰ ἄκρα τῶν σφαιρέων ἐγκέλσῃ. εἶναι δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων, καὶ πλέω, καὶ τινὶ μακροτέρας τὰς ἑτέρας τῶν ἑτέρων, καὶ τινὶ καὶ βραχυτέρας, καὶ μικροτέρας ὡς καὶ μᾶλλον διατείνειν ἢν βούληται. ἔστωσαν δὲ αἱ ῥάβδοι ἑκάτεραι ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν.

Τὸ μὲν ἐγκέλσει, τὸ οἷον ἐνερεῖσαι δηλοῖ. βούλεται γοῦν τὰς ῥάβδους ὅσαι μεταξὺ τῶν σφαιρῶν τιθέμεναι, τὴν μὲν ἑτέραν ἄνω, τὴν δὲ ἑτέραν ὠθοῦσι κάτω, μὴ ψαύειν τοῦ χρωτός, ἀλλ' ὑψηλὰς ἀπ' αὐτοῦ τοῖς ἐναιωρήμασιν τῶν σφαιρῶν ἐνσκηρίζεσθαι. κρανείνας δὲ ἐκέλευσεν αὐτὸς εἶναι διὰ τὴν εὐτονίαν, ἵνα δηλονότι ἐπὶ τὴν ἔνθεσιν βιαίως καμφθεῖσαι, μετὰ ταῦτα πάλιν ἑαυτὰς ἐπανάγωσιν εἰς τὴν ἀρχαίαν εὐθύτητα. οὐκ ἄδηλον δὲ οὐδ' ὅτι τοσοῦτον ἄνω καὶ κάτω τὰς σφαίρας ἀπωθοῦσιν ὅσον ἂν εἰς μῆκος ἀπίσωσιν ἐκτεινόμεναι.

Ταῦτα τοίνυν εἰ καλῶς μηχανοποιηθείη, τήν τε κατάτασιν δικαίην παρέχοι καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην, καὶ τῷ τρώματι, πόνος οὐδεὶς ἂν εἴη. τὰ γὰρ ἀποπιέσματα, εἴ τι καὶ ἀποπιέζοιτο, τὰ μὲν ἂν ἐς τὸν πόδα ἀπάγοιτο, τὰ δὲ ἐς τὸν μηρόν, αἵ τε ῥάβδοι εὐθετώτεραι, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν τῶν σφυρῶν, ὥστε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης, τό, τε τρῶμα εὐκατάσκεπτον καὶ εὐβάστακτον.

Δικαίην ἔφην ὑπ' αὐτοῦ λέγεσθαι τὴν ἴσην. δόξει δ' ὑποπεπτωκέναι τῷ αὐτῷ σημαινομένῳ καὶ ἡ ὁμαλότης καὶ ἰσότης ἐφεξῆς. ἀλλ' αὕτη μὲν ἐν τοῖς μέρεσιν ἑνὸς πράγματος ἔχει τὴν γένεσιν. ἡ δικαία δ' ἐν δυσὶ τὸ ἐλάχιστον συνίσταται, διὸ καὶ νῦν δικαίαν μὲν κατάτασιν ἀκουστέον εἰρῆσθαι, παρ' αὐτοῦ κατά τε τὴν ἀντίτασιν ἣν αἱ δύο σφαῖραι ποιοῦνται, καὶ κατὰ τὰς ἐμβεβλημένας αὐταῖς κρανείνας ῥάβδους. ὁμαλὴν δὲ τὴν καθ' ἑκάστην αὐτῶν, οἷον τὴν κατὰ τὰ σφυρὰ μόνην αὐτὴν καθ' ἑαυτὴν ἐξεταζομένην, εἶτα τὴν πλησίον τοῦ γόνατος, εἶτα τὴν ἀπὸ τῆς κατὰ τὸ δεξιὸν μέρος ῥάβδου, καὶ μετὰ ταύτην ὑπὸ τῆς πρὸς τὸ ἀριστερόν.

Οὐδὲ γὰρ ἐμποδὼν εἴ τις ἐθέλοι τὰς δύο τῶν ῥάβδων τὰς ἀνωτέρω αὐτὰς πρὸς ἀλλήλας ζεῦξαι, καὶ ἤν τις κούφως βούλοιτο ἐπιβάλλειν, ὥστε τὸ ἐπιβαλλόμενον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. εἰ μὲν οὖν αἵ τε σφαῖραι προσηνέες, καὶ καλαί, καὶ μαλθακαί, καὶ καιναὶ ῥαφεῖεν, καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα. εἰ δέ τι τουτέων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. χρὴ δὲ καὶ τὰς ἄλλας μηχανάς, ἢ καλῶς μηχανᾶσθαι, ἢ μὴ μηχανᾶσθαι. αἰσχρὸν γὰρ καὶ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιέεσθαι.

Τέσαρες ἦσαν αἱ ῥάβδοι. δύο καθ' ἑκάτερον μέρος τῆς κνήμης, ἄνω μὲν ὑψηλοτέρα, ταπεινοτέρα δὲ ἡ ἑτέρα. τὰς μὲν οὖν ὑψηλοτέρας δύο δυνατὸν εἶναι φησὶν ἀλλήλαις συνδῆσαι χάριν τοῦ μένειν εὐθείας, καὶ μὴ κατὰ τὴν βιαίαν κάμψιν ἣν ἐκάμφθησαν ἀντιθέμεναι, διαστραφῆναι πρὸς τὰ πλησίον μέρη.

Τοῦτο δὲ οἱ πλεῖστοι τῶν ἰητρῶν τὰ κατήγματα, καὶ τὰ ξὺν ἕλκεσιν, καὶ τὰ ἄνευ ἑλκέων τὰς πρώτας τῶν ἡμερέων ἰητρεύουσιν ἐρίοισιν ξυπαροῖσιν, καὶ οὐδέν τι ἄτεχνον δοκείη τοῦτο εἶναι. ὅσοι μὲν οὖν ἀναγκάζονται ὑπὸ τῶν αὐτίκα νεωρώτων ἐόντων, μὴ ἔχοντες ὀθόνια ἐρίοισι παρασκευάσασθαι, τουτέοισι πλείστη συγγνώμη. οὐ γὰρ ἄν τις ἔχοι ἄνευ ὀθονίων ἄλλο τι πολλῷ βέλτιον ἐρίων ἐπιδῆσαι ὧδε τὰ τοιαῦτα. εἶναι δὲ χρὴ πάμπολλα καὶ πάνυ καλῶς εἰργασμένα, καὶ μὴ τρηχέα. τῶν γὰρ ὀλίγων καὶ φλαύρων, ὀλίγη καὶ ἡ δύναμις. ὅσοι δὲ ἐπὶ μίαν ἢ δύο ἡμέρας, εἶτα ἐπιδέοντες δικαιοῦσι, τρίτῃ δὲ καὶ τετάρτῃ ὀθονίοισιν ἐπιδέοντες, πιέζουσι καὶ κατατείνουσιν, τότε μάλιστα οὗτοι πολλύτι ἰητρικῆς καὶ κάρτα ἐπικαιρὸν ἀξυνετέουσιν. ἥκιστα γὰρ χρὴ τῇ τρίτῃ καὶ τετάρτῃ ξυνοχλίζειν πάντα τὰ τρώματα, ὡς ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, καὶ μηλώσιας δὲ πάσας φυλάττεσθαι χρὴ, ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν, καὶ ὁκόσοισιν ἄλλοισι τρώμασιν ἠρέθισαι. τὸ ἐπίπαν γὰρ ἡ τρίτη καὶ ἡ τετάρτη ἡμέρη ὧδε τοῖσι πλείστοισιν τῶν τρωμάτων τίκτει τὰς παλιγκοτήσιας, καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ, καὶ ὅσα ἂν ἐς πυρετοὺς ἴῃ, καὶ μάλα πολλοῦ ἄξιον τοῦτο μάθημα, εἴπερ τι καὶ ἄλλο. τινὶ γὰρ οὐκ ἐπικοινωνέει τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ περὶ τὰ ἕλκεα μόνον, ἀλλὰ καὶ περὶ ἄλλα πολλὰ νοσήματα.

Μοχθηρὸν ἔθος ἰατρῶν ἐπανορθώσασθαι βούλεται, νομιζόντων ἄμεινον εἶναι μὴ κατατείνειν εὐθέως τὸ κατεαγὸς κῶλον, ἀλλὰ παρηγορήσαντας πρότερον ἡμέραις δύο καὶ τρισὶ, τόθ' ἥκειν ἐπὶ τὴν κατάτασιν, ὕστερον ἡμέρᾳ τρίτῃ καὶ τετάρτῃ μετὰ τὴν ἀρχὴν, ὁ δὲ Ἱπποκράτης αὐτῷ τὸ ἐναντιώτατον ἐνδείκνυσιν ἁρμόττειν, ἐν ἀρχῇ μὲν κατατείνειν τὸ κῶλον, ἐν δὲ τῇ τρίτῃ καὶ τετάρτῃ παρηγορεῖν. ἐὰν οὖν προσέχῃς τὸν νοῦν τοῖς κατὰ μέρος εἰς τοῦτο γεγραμμένοις ὑπ' αὐτοῦ, σαφῆ ταῦτ' ἔσται, καὶ γὰρ ἑρμηνεύεται σαφῶς.

Εἰ μή τις φήσειε καὶ τἄλλα νοσήματ' ἕλκεα εἶναι, ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν.

Ἐπιείκειαν φησὶν ἔχειν τὸν λόγον ἐν ἴσῳ πιθανότητα. τοῦτο δὲ εἶπεν, ἐπειδὴ τινὲς τῶν λόγων ἀντικρύς εἰσιν ἀπίθανοι. τίς οὖν ἡ πιθανότης τοῦ λόγου καθ' ὃν εἴποι τὶς ἂν εἶναι καὶ τὰ ἄλλα νοσήματα ἕλκη. τὰ μὲν ἐπώδυνα καὶ πάνυ πιθανὸν ἐν τῷ τῶν ἑλκῶν τίθεσθαι γένει. δέδεικται γὰρ ἡμῖν ὀδύνη γινομένη, διά τε τὴν τῆς συνεχείας λύσιν ἐν τῷ τέμνεσθαι καὶ τείνεσθαι καὶ θλίβεσθαι, καὶ προσέτι περὶ δυσκρασίαν, ὅτι μὲν οὖν ἡ τῆς συνεχείας λύσις ἕλκος ἐστὶ, παντί που δῆλον. ὅτι δὲ καὶ ἡ περὶ δυσκρασίαν ἀθρόα μεταβολὴ λύσιν τινὰ ποιεῖται συνεχείας, ἐν τοῖς περὶ φαρμάκων ἐπιδέδεικται. τὸ μὲν γὰρ θερμὸν, ὅτι διεξέρχεται καὶ οἷον διαβιβρώσκει τὸ συνεχὲς, δῆλον. ὅτι δὲ τὸ σφοδρῶς ψυχρὸν ὅταν ἀθρόως συνάγει τὸ διακεχυμένον, ἐργάζεταί τινα τῆς συνεχείας αὐτῆς λύσιν, ἐν ἐκείνῃ μοι δέδεικται τῇ πραγματείᾳ, ὥστε περὶ τούτων μὲν [οὐ] μόνον ἂν εἴη πιθανὸς ὁ λόγος, ἀλλὰ καὶ ἀληθὴς, ἅπασαν ὀδύνην ἐν τῷ τῶν ἑλκῶν γένει τιθέμενος. ὅτι δὲ καὶ πάντα τὰ νοσήματα, δύναιτ' ἄν τις ἕλκη λέγειν, οὐκέτ' ἂν ὁμοίως τῷ πρόσθεν ἀληθὲς, οὐ μὴν ἀπήλλακται πιθανότητα. ἐπειδὴ γὰρ τὰ πλεῖστα νοσήματα μετ' ὀδύνης συνίσταται, μετάβασις ἀπ' αὐτῶν ἐπὶ πάντα γενήσεται τῷ λόγῳ, φερομένου τινὸς ἐν ὅλῳ τῷ σώματι πάντως, ἤτοι δυσκρασίαν τινὰ, ἢ θλῖψιν ἢ τάσιν, ἢ σαφῆ γίγνεσθαι συνεχείας διαίρεσιν, εἶτα προσαναγκάζοντος, ἅπασαν δυσκρασίαν ἐργάζεταί τινα λύσιν τῆς συνεχείας. καὶ εἰ μὴ πρὸς αἴσθησιν ἐναργῶς, ἀλλὰ πρός γε τὴν ἀλήθειαν αὐτὴν λόγῳ θεωρητῶς. ἐν δὲ τοῖς γινομένοις τε καὶ θλωμένοις καὶ θλιβομένοις, ἔτι δὴ καὶ μᾶλλον. ἐγγὺς γὰρ ἥκει ταῦτα τῆς διασπάσεως. τοῦτο δ' ἐστι τὸ πάθημα συνεχείας λύσις.

Πολλαχῆ δὲ ἠδελφίσται ταῦτ' ἕτερα τοῖσιν ἑτέροισιν.

Ὅπερ οἰόμεθα μὲν λέγειν, ὡμοίωται καὶ κοινωνεῖ, καὶ συγγένειαν ἔχει, τοῦτο καλεῖν εἴωθεν ὁ Ἱπποκράτης ἠδελφίσθαι, τὴν πολλὴν τῶν πραγμάτων οἰκειότητα καὶ συγγένειαν ἐνδεικνύμενος τῷ ὀνόματι. πολλῶν γὰρ ὄντων ἀλλήλοις συγγενῶν, οὐδὲν οὐδὲν μᾶλλον οἰκειότερον ἂν ὀνομάζοι τὸ συγγενὲς, ὡς ἰσοδυναμοῦσαν οὖσαν τῇ οἷον ἀδελφότητος, τὴν σφόδρα οἰκειότητα προσαγορεύειν εἴωθεν ἐν τῷ ἠδελφίσθαι ῥήματι.

Ὁκόσοι μέντοι δικαιοῦσιν ἐρίοισιν χρῆσθαι ἔστ' ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν, ἔπειτα κατατείνοντές τε καὶ κατορθοῦν, καὶ ὀθονίοισιν ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀσύνετοι ὁμοίως φανοῖεν. καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρελήλυθεν, καὶ τὰ ὀστέα χαλαρὰ καὶ εὔθετα μετὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. πολλῷ μέντοι ἡσσᾶται καὶ αὕτη ἡ μελέτη τῆς ἐξ ἀρχῆς τοῖσιν ὀθονίοισιν ἐπιδέσιος. κεῖνος μὲν γὰρ ὁ τρόπος ἑβδομαίους ἐόντας ἀποδείκνυσιν, καὶ παρασκευάζει νάρθηξιν τελέως ἐπιδεῖν, οὗτος δὲ ὁ τρόπος πολὺ ὑστεροῖ.

Τοὺς περὶ τρίτην ἢ τετάρτην ἡμέραν ἀρχομένους τῆς περὶ καταγματικῆς ἀγωγῆς ἐν τῷ πρόσθεν λόγῳ μεμψάμενος, ὧδε τοὺς μετὰ τὴν ἑβδόμην ἡμέραν ἐπ' αὐτὴν ἀφικνουμένους ἥκει νῦν, τῷ λόγῳ μικρότερα δεικνὺς ἁμαρτάνειν αὐτοὺς, ὡς ἂν ἀφλεγμαντοτέροις τοῖς μέρεσι προσάγοντας τὴν ἀντίτασιν. οἱ δέ γε περὶ τρίτην ἢ τετάρτην τοῦτο πράττοντες, ἣν ὁ καὶ μάλιστα φλεγμαίνῃ, δεῖται παρηγορίας, οὐ μικρὸν ἁμάρτημα δείκνυσιν ἁμαρτάνειν αὐτούς.

Βλάβας δέ τινας καὶ ἄλλας ἔχει, ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν.

Τὸ μῆκος τοῦ χρόνου μεμψάμενος ἐπὶ τῶν μετὰ τὴν ἑβδόμην ἡμέραν ἀρχομένων τῆς καταγματικῆς ἀγωγῆς, ἔτι πρὸς τούτῳ φησὶ καὶ ἄλλας εἶναι βλάβας ἃς παραλείπει, ὅπως μὴ μακρολογοίη. προσθεῖναι δὲ ἡμᾶς ἄμεινον αὐτὰς ἐξ αὐτῶν ὧν ἔμπροσθεν ἐδείξαμεν ὡρμωμένους. μετρίου μὲν ὄντος τοῦ κατάγματος, ὀκνηρότερα γίνεται τὰ μόρια διὰ τὴν τοιαύτην ἐπίδεσιν, ὡς καὶ πρόσθεν ἐδιδάξαμεν. εἰ δὲ καὶ σφοδρότερόν τε καὶ κακοηθέστερον ποτὲ τὸ κῶλον συντριβείη, κίνδυνος ἔτι τηνικαῦτα καὶ αὐτῶν τι τῶν ὀστῶν σφακελίσαι, τῆς καταγματικῆς ἀγωγῆς ἀναβληθείσης, εἰς τὸν μετὰ τὴν ἑβδόμην ἡμέραν καιρόν. ἀπ' ἀρχῆς γὰρ ταύτην βούλεται παραλαμβάνεσθαι, διότι τῶν πεπονθότων μορίων ἑκατέρως τὴν περιουσίαν ἐκθλίβει τοῦ αἵματος, ἐξ ἧς χρονιζούσης, αὐτόθι σήπεσθαι καὶ τοῖς ὀστοῖς ἐνίοτε συμβαίνει, διαβεβρωμένοις ἐπὶ πλέον ὑπὸ τῶν μοχθηρῶν ἰχώρων.

Ὁκόσοισι δὲ τὰ ὀστέα κατεηγότα καὶ ἐξίσχοντα μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ἥδε ἡ κατάστασις.

Καταστῆσαι συνήθως λέγουσιν οἱ περὶ τὴν Ἀσίαν Ἕλληνες, ἀντὶ τοῦ πρὸς τὴν οἰκείαν χώραν ἀγαγεῖν. ἀπὸ τούτου δέ μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης πεποιηκέναι καὶ νῦν τὸ τῆς καταστάσεως ὄνομα, μετὰ τοῦ σ δηλονότι γραφομένης τῆς συλλαβῆς ταύτης, ὡς ταυτὸν σημαίνειν δι' αὐτοῦ τῇ καθιδρύσει, ἥτις ἐνδείκνυται τὸ κατὰ χώραν ἱδρῦσαί τι. κακῶς οὖν ἔνιοι γράφουσι κατάτασις ἄνευ τοῦ σ. οὐ γὰρ διὰ τῆς κατατάσεως, ἀλλὰ καὶ διὰ τῆς μοχλείας ἱδρύει εἰς τὴν οἰκείαν χώραν τὰ γυμνωθέντα τῶν ὀστῶν.

Σιδήρια χρὴ ποιέεσθαι, ἐς τοῦτον τὸν τρόπον ὅντινα οἱ μοχλοὶ ἔχουσιν, οἷς οἱ λατύποι χρέονται, τὸ μέν τι πλατύτερον, τὸ δέ τι στενότερον. εἶναι δὲ χρὴ καὶ τρία καὶ ἔτι πλείω, ὡς τοῖς μάλιστα ἁρμόζουσιν τις χρήσαιτο, ἔπειτα τουτέοισι χρὴ ἅμα τῇ κατατάσει μοχλεύειν ὑποβάλλοντα. πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου ἐρείδοντα, πρὸς δὲ τὸ ἀνώτερον, τῷ ἀνωτέρῳ τοῦ σιδηρίου, ἁπλῷ δὲ λόγῳ, ὥσπερ εἰ λίθον τις ἢ ξύλον μοχλεύοι ἰσχυρῶς. ἔστω δὲ σθεναρὰ τὰ σιδήρια ὡς οἷόν τε, ὡς μὴ κάμπτηται. αὕτη μεγάλη τιμωρίη, ἤν τε τὰ σιδήρια ἐπιτήδεια, ἢ καὶ μοχλεύηταί τις ὡς χρή.

Πρόδηλον ὅτι κατὰ τὸ σχῆμα παραπλήσια κατασκευάζει σιδήρια τοῖς τῶν λατύπων, οὐ κατὰ τὸ μέγεθος. οἷς γὰρ ἐπὶ τῶν ὀστῶν χρώμεθα σιδηρίοις, εἰς τὸ μοχλεύοντες αὐτὰ κατατάξαι, τηλικαῦτα ἐστὶ τὸ μέγεθος ἡλίκα καὶ πρὸς τὴν τῶν ὀδόντων μοχλείαν ὑφ' ὑμῶν παρεσκευάσαι. πλείω δὲ εἶναι χρὴ τὰ περὶ τὴν τῶν ὀστῶν μοχλείαν παρεσκευασμένα, διαφέροντα ἀλλήλων μεγέθει τε καὶ λεπτότητι, καὶ μικρότητι τῇ κατὰ τὸ πέρας αὐτῶν, ἔνθα μάλιστα τὸ ἔργον αὐτῶν ἐστι. ὅπως δὲ προσήκει χρῆσθαι τοῖσδε τοῖς σιδηρίοις αὐτὸς ὁ Ἱπποκράτης διδάξει σαφῶς. εἰ δέ τις οὐ παρακολουθεῖ τῇ λέξει τἀνδρὸς, οὐκ ἐξηγήσεως, οὐδ' ἑρμηνείας ἑτέρας, ἀλλ' αὐτοψίας δεῖται. ἔνια γάρ ἐστι πράγματα τοιαῦτα τὴν φύσιν, ὥστε μὴ δύνασθαι πιστεῦσαι ἢ νοῆσαι ἄνευ τοῦ θεάσασθαί τιν' αὐτῶν

Ὁκόσα γὰρ ἀνθρώποις ἄρμενα μεμηχάνηται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγὴ, καὶ μόχλευσις, καὶ σφήνωσις. ἄνευ δὲ τούτων, ἢ ἑνός δή τινος, ἢ πάντων οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ ἄνθρωποι ἐπιτελέουσιν, οὔκουν ἀτιμαστέη αὕτη ἡ μόχλευσις. εἰ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα, ἢ οὐκ ἄλλως. ἢν δὲ ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον μὴ ἐπιτήδειον ἔχῃ ἐνέδρην τῷ μοχλῷ, ἀλλὰ παροξὺ ὂν παραφέρῃ, περιγλύψαντα χρὴ τοῦ ὀστέου ἐνέδρην τῷ μοχλῷ ἀσφαλέα ποιῆσαι. μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθημερὸν, ἢ δευτεραῖα, τριταῖα δὲ μὴ, τεταρταῖα δὲ ὡς ἥκιστα, καὶ πεμπταῖα. καὶ γὰρ μὴ ἐμβάλλοντι, ὀχλήσαντι δὲ ἐν ταύτῃσιν τῇσιν ἡμέρῃσιν, φλεγμονὴν ἂν ποιήσειε, καὶ ἐμβάλλοντι οὐδὲν ἧσσον.

Ὄνους καὶ ὀνίσκους τοὺς ἄξονας ὀνομάζει. τούτων οὖν τὴν περιαγωγὴν ἕν τι τῶν βεβαιοτάτων φησὶν εἶναι, ὥσπερ καὶ τὴν μοχλείαν καὶ τὴν σφήνωσιν. ὀνομάζει δὲ σφήνωσιν τὴν διὰ τῶν σφηνῶν διάστασίν τε καὶ διαίρεσιν τῶν ξύλων.

Σπασμὸν μέντοι ἐμβάλλοντι, πολὺ ἂν μᾶλλον ποιήσειεν ἢ ἀπορήσαντι ἐμβαλεῖν. ταῦτα εὖ χρὴ εἰδέναι. καὶ γὰρ εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης. λυσιτελεῖ δὲ ὀπίσω ἐμβάλλειν τὸ ὀστέον εἰ οἷόν τε εἴη ἀόχλως.

Διατί σπασμοὶ γίνονται κατὰ πάσας τὰς τοιαύτας διαθέσεις ἐμβαλλομένων τῶν ὀστῶν, εἶπον ἐφεξῆς πάντα, ὥσπερ καὶ ἄλλων πολλῶν τῶν καίρων εἰς τὴν τέχνην ἅπαξ εἰπὼν ἀρκεῖται, μεταφέρειν ἡμᾶς ἀξιῶν τὸν λόγον ἐπὶ πάντα τὰ ἄλλα ὅσα τῆς αὐτῆς ἐστι φύσεως. εἰ δὲ τοίνυν παραγράψω σοι τὴν ῥῆσιν αὐτοῦ δι' ἧς τὸ καθόλου τοῦτο κοινὸν πολλῶν τῶν κατὰ μέρος διδάσκει.

Οὐ γὰρ ἐπὶ τοῖσιν χαλαρωτέροισι τοῦ καιροῦ σπασμοὶ καὶ τέτανοι ἐπιγίνονται, ἀλλ' ἐπὶ τοῖς ἐντεταμένοισι μᾶλλον, περὶ οὗ νῦν ὁ λόγος. οὐ χρὴ οὖν ἐνοχλέειν ἐν τῇσι προειρημένῃσιν ἡμέρῃσιν ταύτῃσιν, ἀλλὰ μελετᾶν ὅκως ἥκιστα φλεγμαίνῃ τὸ ἕλκος, καὶ μάλιστα ἐκπυήσῃ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἢ ὀλίγῳ πλείους, ἢν ἀπύρετος

ᾖ, καὶ μὴ φλεγμαίνῃ τὸ ἕλκος, τό, τε ἧσσον κωλύῃ ἢ ὠφελῆσαι ἐμβάλλειν ἢν ἐλπίζῃς κρατήσειν. ἢν δὲ μή, οὐδὲν δεῖ μάτην ὀχλέειν καὶ ὀχλέεσθαι. ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφαται ἤδη οἱ τρόποι τοῦ ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ἤν τε μή. χρὴ δὲ καὶ ἢν μὴ ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ὡς ἔφην, τῷ τρόπῳ τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιουτέοισι τὴν ἐπίδεσιν ποιέεσθαι, ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον, ὡς ἐπὶ τὸ πολύ, ὡς ἐπὶ δύο ἀρχαίων ὑπόδεσμις ὑποδεῖται.

Ἐμάθομεν ἐν τοῖς περὶ κινήσεως μυῶν ἐπὶ τὴν ἰδίαν ἀρχὴν ἑκάστου μυὸς κινουμένου, τὴν ἐνέργειαν αὐτῶν γίγνεσθαι. ὅταν οὖν ἀκόντων ἡμῶν λάβωσι διὰ μέγεθος φλεγμονῆς, οἱ σπασμοὶ γίνονται. διὰ τί οὖν ἐμβληθέντων τῶν παραλλαττόντων ὀστῶν ἀλλήλοις, κατά τε τὰ συντρίμματα, καὶ τὰς ἐξαρθρήσεις οἱ μύες γίνονται. μᾶλλον γὰρ ἐν τούτῳ ἐστὶν ἡ λύσις τοῦ προβλήματος, ὅτι μικρότερον ἑαυτοῦ γίνεται τὸ κῶλον, ἔν τε τοῖς ἐξαρθρήμασι καὶ κατάγμασιν. ἐπεὶ δ' ἂν ἑκάστη τι τῶν ὀστῶν διατρήσασα τὸ δέρμα, μετὰ δὲ τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον τῶν γυμνωθέντων ἀπολαμβάνει τὸ πρόσθεν μῆκος, ὥσπερ καὶ οἱ φλεγμαίνοντες μύες ἀναγκάζονται συνεκτείνεσθαι τῷ παντὶ κώλῳ. διπλῆν οὖν λαμβάνεται τάσιν, ἥν τε ἐκ τοῦ φλεγμαίνειν εἶχον, ἥν τε νῦν ἔτι προσεπιλαμβάνουσιν εἰς μῆκος ἐπεκτανθέντες.

Τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα σεσηρός, καὶ ἐκπεπληγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν.

Κατὰ μεταφορὰν ἀμφοτέροις κέχρηται τοῖς ὀνόμασιν, τὸ μὲν σεσηρὸς ἀπὸ τῶν χειλῶν τοῦ στόματος ὅλως προσαγορεύσας, τὸ δ' ἐκπεπληγμένον, ἀπὸ τῶν πολὺ διεστώτων σκελῶν. ἡ γὰρ ἐκείνων διάστασις ὀνομάζεται πλῆκτα, ὥσπερ καὶ σεσηρέναι λέγομεν τοὺς διιστάντας ἀπ' ἀλλήλων χωρὶς τοῦ γένυος ὅσον κινῆσαι. οὕτω μὲν γὰρ ἀνοῖξαι γίνεται τὸ στόμα, διαστῆσαι δὲ τὰ χείλη τῶν ὀδόντων συμβεβημένων, ὀνομάζουσι σεσηρέναι. φυλάττεσθαι δέ γε κελεύει κατὰ τὴν ἐπίδεσιν ἐκπεπταμένα ποιῆσαι τὰ χείλη τοῦ ἕλκους. συνάγεσθαι γὰρ βούλεται πρὸς ἄλληλα τὴν οἰκείαν θέσιν ἀπολαμβανόντων τῶν μορίων τοῦ δέρματος, ἐπειδὴ καὶ θλίβοιτ' ἄν, ἥκιστα τοιούτων οὕτω, καὶ σκέποιτ' ἂν μάλιστα τὸ ὑποκείμενον ἕλκος ἐν τοῖς μυσίν. εἰδέναι γάρ σε χρὴ τῷ δέρματι χαίροντα τὰ ὑπ' αὐτοῦ πάντα, καὶ μηδὲν ὑποκείμενον ἀβλαβῶς γυμνοῦσθαι, καὶ τί θαυμαστὸν οἰκείαν τε καὶ σύμφυτον ἔχοντα τὴν ἐκ τοῦ δέρματος σκέπην αὐτά, χαίρειν μὲν ἀεὶ τῷ συμφύτῳ σκεπάσματι, χαλεπῶς δὲ ὑπὸ τῶν ἄλλων ἁπάντων διατίθεσθαι. διὸ καί με θεάσασθαι μήτ' ἀποτέμνοντα μέρη τοῦ δέρματος, ἀλλ' ἐπάγοντα τὸ ἀποσυρμὸν αὐτοῖς, ἔξωθέν τε καὶ κατ' αὐτοῦ τιθέντα, τὰ μὲν ἃ πολλάκις ἐθεάσασθαι τὰ οὕτως ἀποσυρρέοντα δέρματα, καὶ τό γε θαυμασιώτερον ἐστὶν ὅτε μελανθέντα κατὰ τὴν πληγὴν εὐθέως. ἔτι δὲ δήπου τούτου θαυμασιώτερον, ὅτι μὴ νεανίσκοις μόνοις, ἀλλὰ καὶ γέρουσιν οὐκ ὀλίγοις πολλὰ τῶν οὕτως ἀποσυρρέντων δερμάτων, ἐν τῷ παραυτίκα μελανθέντων προσάγοντες ἐκολλήσαμεν. εἰ δὲ γυμνὴν ἐάσαις τὴν ἀποδεδαρμένην σάρκα, καὶ δυσχερὴς οὖν ἡ οὔλωσις αὐτῆς γίνεται, μετά τε τοῦ καὶ δάκνεσθαι πάντως καὶ ῥυπαίνεσθαι. τὰ μὲν γὰρ ἀφλέγμαντα καὶ παρηγορικὰ φάρμακα, καθάπερ ἐστὶ τό τε πάνυγρον ὀνομαζόμενον, ἥ τε τετραφάρμακος δύναμις, ἀφλέγμαντον μὲν φυλάττει τὸ πεπονθὸς μέρος, ῥυπαρὸν δὲ ἐργάζεται τὸ ἕλκος. τὰ δ' αὖ καθαίροντα τὸ ἕλκος, ἅτε ῥυπτικὴν ἔχοντα δύναμιν, αἴσθησιν αὐτοῦ φέρει δακνώδη. τὸ γε μὴν ὑπὸ τοῦ δέρματος ἐσκεπάσθαι τὸ ἀπόσυρμα, τούτων οὐδὲν πάσχει. τούτῳ δ' ὅμοιόν ἐστι καὶ τὸ κατὰ τὰς φλυκταίνας γιγνομένας ὑπὸ πολλῶν προφάσεων εἰς ὄγκον δὲ αἰρομένας, ἐνίοτε δὲ μεγάλην ὀδύνην ἐπιφέρειν. ἴστε δή μοι κἀκείνας ὡσαύτως θεραπεύοντα γὰρ αὐτῶν, ὀξείᾳ βελόνῃ τὴν φλύκταιναν εἰς ἀπόρρυσιν, εἶτ' ἐκθλίψας ἀτρέμα τὸ ὑγρόν, ἀπολείπω προσκείμενον τὸ δέρμα, καὶ συμβαίνει πάλιν αὐτοῦ πληροῦσθαι. μύσαντος τοῦ τρήματος ἐκ δευτέρου, καὶ φλύκταινα πληρωθεῖσα πάλιν κατὰ τὸν αὐτὸν τρόπον, εἶτ' ἐκθλιβέντος τοῦ ὑγροῦ προστέλλεται τῷ χρωτὶ τὸ δέρμα, καὶ φυλάττεται μέχρις ἂν ἀπουλωθῆναι τὸ ὑπ' αὐτοῦ τοῦ χρωτὸς ἡλκωμένον. ταῦτ' εἰρηταί μοι σαφῆ γνωρίσματα τοῦ δεῖσθαι πᾶν ἕλκος ἐσκεπάσθαι τῷ συμφύτῳ δέρματι. τὸ δὲ νῦν προκείμενον ἕλκος, οὐδὲ τὸ τυχόν ἐστιν, ἀλλὰ διὰ παντὸς τοῦ βάθους διηρημένης τοῖς ὀστοῖς τῆς σαρκὸς ἁπάσης. οὐ γὰρ ἂν ἐξέχειν ἐκεῖνα διὰ τοῦ δέρματος, εἰ μὴ διέτεμε πρῶτον ὅλην τὴν σάρκα. ταύτην οὖν βέλτιον ἐστὶν ἐσκεπάσθαι τῷ περὶξ δέρματι. γυμνὴ γὰρ οὖσα ταῖς οὐσίαις αὐταῖς τῶν ἐπιτιθεμένων φαρμάκων ὁμιλοῦσα, ῥυπαίνεται μὲν ὑπὸ τῶν ἐλαιωδῶν καὶ παρηγορικῶν, δάκνεται δ' ὑπὸ τῶν καθαιρόντων τὸν ῥύπον ὄντων ῥυπτικῶν, εἰ δὲ διὰ τοῦ δέρματος αἱ τῶν ἐπιτιθεμένων φαρμάκων δυνάμεις, εἰς τὴν πεπονθυῖαν σάρκα κατέρχονται χωρὶς τῶν οὐσιῶν, ὀνήσουσι μὲν αὐτήν, οὐδὲν δ' ὧν εἴρηται συμπτωμάτων ἐπάξουσιν. εἰκότως οὖν ὁ Ἱπποκράτης περὶ παντὸς ποιεῖται συνάγεσθαι τὰ χείλη τῶν τοιούτων ἑλκῶν, πραχθείη δ' ἂν τοῦτο καλῶς, τὴν ἰδέαν αὐτοῦ ἀκριβῆ κατασκεψάμενον. εἰ μὲν γὰρ ἔν τι τῶν χειλῶν ἐκτετραμμένον εἴη πρὸς τὸ πλάγιον ἐκεῖθεν ἀρξάμενον, ἐχρῆν τῆς ἐπιδέσεως ἐπὶ τἀναντία περιάγειν αὐτό. εἰ δ' ἀμφότερα πεπόνθασι τοῦτο, τὴν ἀπὸ δυοῖν ἀρχῶν ἐπίδεσιν ποιήσασθαι, προσάγοντα ἀλλήλοις τὰ χείλη.

Τοῖσι μὲν γὰρ ἐπὶ δεξιὰ ἐπιδεῖν ξυμφόρως ἔχει, τοῖσι δὲ ἐπ' ἀριστερά, τοῖσι δὲ ἀπὸ δύο ἀρχέων. ὁκόσα δὲ κατηπορήθη ὀστέα ἐμπεσεῖν, ταῦτα αὐτὰ εἰδέναι χρὴ ὅτι ἀποστήσεται, καὶ ὅσα τελέως ἐψιλώθη τῶν σαρκῶν, ψιλοῦται δὲ ἐνίων μὲν τὸ ἄνω μέρος, μετεξετέρων δὲ κύκλωθεν, ἀμφιθνήσκουσιν αἱ σάρκες.

Συντρόφως εἴρηκεν ἀντὶ τοῦ οἰκείως, οὐδὲν ὠφελούσῃ μεταφορᾷ χρησάμενος, ὅθεν αὐτὸ καὶ παρεσημειωσάμην. ἐπὶ δὲ τὴν μεταφορὰν καὶ οἱ ἄλλοι πάντες οἱ δεινοὶ λέγειν εἰς ἐνεργεστέραν δήλωσιν τοῦ κατὰ τὴν διήγησιν πράγματος χρῶνται.

Καὶ τῶν μὲν ἀπὸ τοῦ ἀρχαίου τρώματος σεσάπρισται ἔνια τῶν ὀστέων, τῶν δ' οὔ. καὶ τῶν μὲν μᾶλλον, τῶν δ' ἧσσον, καὶ τὰ μὲν σμικρά, τὰ δὲ μεγάλα. διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ

ἐστιν ἐν ὀνόματι εἰπεῖν ὁκότε τὰ ὀστέα ἀποστήσεται. τὰ μὲν γὰρ διὰ μικρότητα, τὰ δὲ διὰ τὸ ἐπ' ἄκρου ἔχεσθαι, θᾶσσον ἀφίσταται, τὰ δὲ διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπιδοῦσθαι, καταξηρανθέντα καὶ σαπρὰ γενόμενα. πρὸς δὲ τούτοις, διαφέρει τε καὶ ἴησις ἰήσιος. ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τουτέων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες, τάχισται δὲ καὶ κάλλισται αἱ σαρκοφυΐαι. καὶ γὰρ αἱ ἀποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν, αὗται μετεωρίζουσι τὰ ὀστέα ὡς ἐπὶ τὸ πουλύ. ὅλος μὲν ὁ κύκλος τοῦ ὀστέου, ἢν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποστῇ, καλῶς ἀποστήσεται. ἔνια γὰρ εἰς ἑξήκοντα ἡμέρας ἀφικνεῖται. τὰ μὲν γὰρ ἀραιότερα τῶν ὀστέων, θᾶσσον ἀφίσταται, τὰ δὲ στερεώτερα, βραδύτερον. τὰ δὲ ἄλλα τὰ μείω, πολλὸν ἐνδοτέρω, ἄλλα δ' ἄλλως.

Τὸ ἐσάπρισαι [ὅτι] κατὰ τὴν σαπρὸν γέγονεν, καλῶς εἴρηται. τὰ δὲ διεφθαρμένα ὅτι καλοῦσι σαπρὰ, τινὶ οὐκ ὀρθῶς εἴρηται, πάντα γὰρ τὰ παλαιὰ καὶ χρόνια προσαγορεύειν αὐτὰ σαπρά.

Ἀποπρίειν δ' ὀστέον ὑπερέχον ἐπὶ τῶνδε τῶν προφασίων χρή, ἢν μὴ δύνηται ἐμβάλλειν, μικροῦ δέ τινος αὐτῷ δοκέει δεῖν παρελθεῖν, καὶ οἷόν τε ᾖ παραιρεθῆναι, ἤν τε ἀστηρὸν ᾖ καὶ θραύῃ τι τῶν σαρκίων, καὶ δυσαισθησίην παρέχει. ψιλὸν δὲ τυγχάνει ἐὸν, καὶ τὸ τοιοῦτον ἀφαιρέειν χρή. τὰ δ' ἄλλα οὐδὲν μέγα διαφέρει, οὔτε ἀποπρίσαι, οὔτε μὴ ἀποπρίσαι. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ὀστέα ὅσα τελέως στερέεται τῶν σαρκῶν καὶ ἐπιξηραίνεται, ὅτι πάντα τελέως ἀποστήσεται. ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀποπρίειν. τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν τεταγμένων σημείων τὰ τελέως ἀποστησόμενα. ἰητρεύειν δὲ τοὺς τοιούτους σπλήνεσι καὶ τῇ οἰνηρῇ ἰήσει, ὥσπερ καὶ πρόσθεν γέγραπται τῶν ἀποστησομένων ὀστέων. φυλάσσεσθαι δὲ χρὴ μὴ καταψυχροῖσι τέγγειν τὸν πρῶτον χρόνον. ῥιγέων γὰρ πυρετωδέων, κίνδυνος δὲ καὶ σπασμῶν, προκαλέεται γὰρ ἀεὶ σπασμὸν τὰ ψυχρὰ, ποτὲ δὲ καὶ ἕλκη. εἰδέναι δὲ χρὴ ὅτι περ ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γενέσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα καὶ παρηλλαγμένα ἰητρεύεται, καὶ οἷς ὅλως καὶ ὁ κύκλος τοῦ ὀστέου ἀπέστη.

Ὅτι καὶ νῦν εἴρηκε προφάσεις οὐ τὰς ψευδεῖς αἰτίας, ἀλλὰ τὰς ἀληθεῖς, εὔδηλον. αὐτὸς δὲ ὁ περὶ τῶν σεσαπρισμένων ὀστῶν λόγος ἅπας ἐστὶ σαφὴς, κελεύοντος ἀποπρίειν αὐτῶν τά γε κατὰ τὰς ἐμβολὰς ἐμποδίζοντα, καὶ ὡς νύττοντα τὰς ψαυούσας σάρκας, καὶ ὡς αὐτὸς εἶπεν, δυσαισθησίην παρέχει, τουτέστι δυσχερῆ καὶ ἀγρίαν τὴν αὐτῶν θέσιν. ἐδιδάξατο δὲ τῷ λόγῳ καὶ τὰ ὑπογυμνωθέντα τῶν σαρκῶν ὀστᾶ, καὶ μὴ παραχρῆμα κατατεθέντα πάντως, ἀποπεσεῖσθαι καὶ τὰ ξηρανθέντα.

Ὅσων δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξέχει, οὗτοι οὐ μάλα περιγίνονται. τὰ γὰρ ὀστέα μεγάλα καὶ πολυμύελα, καὶ πολλὰ καὶ ἐπίκαιρα τὰ συντιτρωσκόμενα νεῦρα, καὶ μύες καὶ φλέβες, καὶ ἢν μὲν ἐμβάλλοις σπασμοὶ φιλέουσιν ἐπιγίνεσθαι. μὴ ἐμβληθεῖσι δὲ, πυρετοὶ ὀξέες, καὶ ἐπίχολοι καὶ λιγγυώδεες, καὶ ἐπιμελαίνονται. περιγίνονται δὲ οὐχ ἧσσον οἷσι μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι. ἔτι δὲ μᾶλλον περιγίνονται οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξέχει, ἢ οἷσι τὸ ἄνω. περιγίνονται δ' ἂν καὶ οἷσιν ἐμβληθείη, σπανίως γε μήν. μελέται γὰρ μελετέων μέγα διαφέρουσι, καὶ φύσιες φυσίων τῶν σωμάτων εἰς εὐφορίην. διαφέρει δὲ μέγα, καὶ ἢν ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ τὰ ὀστέα ἐξέχῃ. πολλαὶ γὰρ καὶ ἐπίκαιροι κατατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρει ὧν ἔνιαι τιτρωσκόμεναι σφάγιαί εἰσιν, εἰσὶ δὲ καὶ ἐν τῷ ἔξω μέρει, ἧσσον δέ. ἐν τοῖσιν οὖν τοιούτοισι τρώμασι, τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, οἷοί τινές εἰσιν, καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. εἰ δὲ ἀναγκάζοιο μὲν ἐμβαλεῖν, ἐλπίζοις δὲ ἐμβάλλειν, καὶ μὴ πολλὴ ἡ παράλλαξις ᾖ τοῦ ὀστέου, καὶ μὴ ξυνδεδραμήκοιεν οἱ μύες, φιλέουσι γὰρ ξυνθεῖν, ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος εὖ ἂν † ξυλλαμβάνοιτο.

† ἐμβάλλοιτο

Οὐχ οὕτω διὰ τὸ τοῦ ὀστέου μέγεθος ὁ κίνδυνος ἐπ' αὐτοῖς γίγνεται γυμνωθεῖσιν, ὡς διὰ τὸ τῶν μυῶν τε καὶ νεύρων, καὶ ἀρτηριῶν τε καὶ φλεβῶν, καὶ πρὸς τούτοις ὅτι πλησιέστερον εἰσὶ τῆς ἀρχῆς τῶν μυῶν τε καὶ νεύρων. εἴρηται δὲ ἐν τῷ περὶ αὐτῶν λόγῳ, ὅτι φιλοῦσιν οἱ μύες εἰς ἑαυτοὺς συντρέχειν παραλλαττόντων τῶν ὀστέων. οὕτως ὡς πολλάκις ἡμεῖς ἤδη κατὰ τὸν λόγον ἐχρησάμεθα. τὰ δ' ἄλλα δῆλα τοῖς προσέχουσι τὸν νοῦν. *

Ἐμβάλλοντα δὲ ἐλλέβορον μαλθακὸν πιπίσαι χρὴ αὐθημερὸν, ἢν αὐθημερὸν ἐμβληθῇ. εἰ δὲ μὴ, οὐδ᾽ ἐγχειρέειν χρή. τὸ δὲ ἕλκος ἰητρεύειν χρὴ οἵηπερ κεφαλῆς ὀστέα κατεηγότος, καὶ ψυχρὸν μηδὲν προσφέρειν, σιτίων δὲ στερῆσαι τελέως.

Ἄπορον εἰπεῖν ὅτι ποτὲ αὐτῶν σημαίνει τὸ μαλθακόν. ὅτι μὲν γὰρ ἢ τὸ ποιὸν, ἢ τὸ ποσὸν ἐνδείκνυται τῆς πόσεως αὐτοῦ, δῆλον, ὅτι δεῖται τοῦ κατὰ πλῆθος ὀλίγου τὸ μαλθακὸν, οἰκείως ἄν τις εἰρῆσθαι νομίσειεν, ὅτε τινὰ τρόπον ἐνδείκνυται σκευάσας αὐτοῦ ποιῆσαι ῥᾴδιον, ἔπειτα καὶ ῥαφανίδας ἐνίοτε διὰ ὀξυμέλιτος ἐδώκαμεν ἐμπεξαντες αὐταῖς δι᾽ ὅλης ἡμέρας καὶ νυκτὸς ἐλλεβόρου μόνου κλώνια, καὶ εἴη ἂν ἀσθενὴς ἀπ᾽ ἐλλεβόρου κάθαρσις ἡ τοιαύτη. τὸ δ᾽ ἀληθὲς εὑρεῖν, οὐχ οἷόν τε διὰ τὸ μὴ γεγράφθαι πρὸς αὐτοῦ πῶς δίδωσι τὸν ἐλλέβορον. ἴσμεν γὰρ ὅτι πλείους οἱ τρόποι τῆς δόσεως αὐτοῦ εἰσι γεγραμμένοι πολλοῖς τῶν ἰατρῶν, παλαιῶν τε καὶ νέων καὶ μέσων κατὰ τὴν ἡλικίαν.

Καὶ ἢν μὲν πικρόχολος φύσει ᾖ, ὀξύγλυκυ εὐῶδες ὀλίγον ἐπὶ ὕδωρ ἐπιστάζοντα τουτέῳ διαιτᾶν. ἢν δὲ μὴ πικρόχολος ᾖ, ὕδατος πόματι χρῆσθαι. καὶ ἢν μὲν πυρεταίνῃ ξυνεχῶς, τεσσαρεσκαίδεκα ἡμέραις τὸ ἐλάχιστον οὕτω διαιτᾶν. ἢν δὲ ἀπύρετος ᾖ, ἑπτὰ ἡμέρῃσιν.

Ταύτην τὴν λέξιν ἐναντίως Ἀρτεμίδωρος ὁ ἐπικληθεὶς Καπίτων ἔγραψε, μὴ βουλόμενος ἐπὶ μὲν τῶν πικροχόλων, ὀξύγλυκυ δίδοσθαι ποτὲ ποτὸν, ἐπὶ δὲ τῶν μὴ πικροχόλων, ὕδωρ. ἐποίησεν οὖν τὴν λέξιν τοιαύτην, καὶ ἢν μὴ πικρόχολος φύσει, ἢ ὀξύγλυκυ εὐῶδες, ὀλίγον ἐπὶ ὕδωρ ἐπιστάζοντα, τουτέῳ διαιτᾶν, ἢν δὲ πικρόχολος ᾖ, ὕδατος πόματι χρῆσθαι. καὶ ἄλλοι τινὲς ἅμα τῷ Ἀρτεμιδώρῳ τὴν γραφὴν ταύτην ἀντὶ τῆς προτέρας εἵλοντο, καίτοι κατὰ τὸ περὶ διαίτης ὀξέων αὐτὸς ὁ Ἀρτεμίδωρος οὕτως γράφει ἐκεῖνον τὸν λόγον, ἐν ᾧ περὶ ὕδατος πόσεως ὁ Ἱπποκράτης διηγεῖται, ἄλλως τε οὐδὲ δίψαν παύει, ἀλλ᾽ ἐπιπικραίνει. χολῶδες γὰρ φύσει χολώδει, καὶ ὑποχονδρίῳ κακόν. κάκιστον δ᾽ ἑωυτοῦ καὶ χολωδέστατον καὶ φυλαδυναμιώτατον, ὅταν εἰς κενεότητα εἰσέλθῃ. ταύτην τὴν ῥῆσιν ἐνίων γραψάντων ὧδε. χολῶδες γὰρ φύσει καὶ ὑποχονδρίῳ κακόν, αὐτὸς ὁ Ἀρτεμίδωρος εἵλετο τὴν προτέραν γραφὴν ἐν ᾗ πρόσκειται τὸ χολώδει γράψας οὕτως. χολῶδες γὰρ φύσει χολώδει, οὐχ ἁπλῶς τῇ τυχούσῃ, καὶ πᾶσι βουλόμενος αὐτὸ τὸ ὕδωρ χολῶδες εἶναι, ἀλλὰ μόνῃ τῇ χολώδει φύσει. ὅπως οὖν νῦν αὐτὸς τοῖς πικροχόλοις δίδωσιν, εἰ μὴ ἄρα τοὺς πικροχόλους ἄλλους τινὰς οἴεται εἶναι παρὰ τοὺς χολώδεις. ἀλλ᾽ ὅτι τοὺς τὴν πικρὰν χολὴν πλείονα γεννῶντας οὕτως ὀνομάζει πικροχόλους, οὐδεὶς ἀγνοεῖ, τὴν μὲν ἑτέραν χολὴν τὴν μέλαιναν ὀξεῖαν μὲν ἰδεῖν, πικρὰν δὲ, τὴν ὠχρὰν δὲ καὶ ξανθὴν φαινομένην. εὔδηλον οὖν ἐν τῇ προκειμένῃ ῥήσει, διὰ μὲν αὐτὰ τὰ κατέχοντα παθήματα τὸν κάμνοντα φυλάττεσθαι τὴν οἴνου πόσιν. εἰ δέ τις εἴη φύσει πικρόχολος, ἐπειδὴ μεγάλως οὗτος ὑπὸ τῆς ὑδατοποσίας βλάπτεται, καθὸ λέλεκται καὶ διὰ τοῦ περὶ διαίτης ὀξέων, ἐκείνῳ μόνῳ συγχωρεῖ ὀλίγον παντελῶς ὀξύγλυκυ διδόναι. τοῦτο δὲ σκευαζόμενον, ὃ δὴ καὶ ἀπόμελι καλοῦσιν. ὅπως δὲ μὴ ἅψεται τῶν νευρωδῶν μερῶν αἱρεῖται τὸ γλυκὺ, ὄντος δηλονότι βλαβερωτέρου τοῦ ὀξυτέρου, καὶ μάλιστα ὅταν ἐκ μέλιτος καὶ ὄξους κατασκευασθῇ, καὶ μὴ καθάπερ εἶπον ἐπὶ τῶν κηρίων. ἐν Ἑλλάδι μὲν γὰρ οὕτως, καὶ μάλιστα περὶ τὴν Ἴλην. ἐν δὲ τοῖς ἄλλοις ἔθνεσιν ἐπὶ κηρίων σκευάζομεν ἡμεῖς αὐτὸ, μιγνύντες ὄξος μέλιτι, καὶ συνέψοντες ὡς ἑνωθῆναί τε τὰς ποιότητας αὐτῶν, θραυσθῆναι δὲ τὴν τοῦ ὄξους δύναμιν.

Ἔπειτα ἐκ προσαγωγῆς κατὰ λόγον φαύλην διαιτᾶν ἄγειν. καὶ οἷσιν ἂν μὴ βληθῇ τὰ ὀστέα, καὶ τὴν φαρμακείην χρὴ τοιαύτην ποιέεσθαι, καὶ τῶν ἑλκέων τὴν μελέτην, καὶ τὴν δίαιταν. ὡσαύτως καὶ τὸ ἀπαιωρεύμενον τοῦ σώματος μὴ κατατείνειν, ἀλλὰ καὶ προσάγειν μᾶλλον, ὥστε χαλαρώτερον εἶναι τὸ κατὰ τὸ ἕλκος. τῶν δὲ ὀστέων ἀπόστασις χρονίη, ὥσπερ καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ χρὴ τὰ τοιαῦτα διαφυγεῖν. ἀλλ᾽ ἤν τις καλῶς ἔχῃ τὴν ἀποφυγὴν, αἵ τε γὰρ ἐλπίδες ὀλίγαι, καὶ οἱ κίνδυνοι πολλοί. καὶ μὴ ἐμβάλλων ἄτεχνος ἂν δοκέοι εἶναι, καὶ ἐμβάλλων ἂν, ἐγγυτέρω αὐτὸν θανάτου ἀγάγοι ἢ σωτηρίης.

Ὅτι φαύλην δίαιταν ὀνομάζει τὴν ἐναντίαν τῇ ἀκριβεῖ, καὶ πρόσθεν εἴρηταί μοι.

Τὰ δὲ ὀλισθήματα τὰ κατὰ γούνατα, καὶ τὰ διακινήματα τῶν ὀστέων, εὐηθέστερα πουλὺ τῶν κατ᾽ ἀγκῶνα κινημάτων καὶ ὀλισθημάτων.

Ὀλισθήματα μὲν ὀνομάζει τὰς τελείας παραλλαγὰς τῶν ὀστῶν, διακινήματα δὲ τὰς βραχείας. εὐηθέστερον δὲ εἶπεν οὐ κατὰ τὸ κύριον τοῦ εὐήθους σημαινόμενον, ἐν ᾧ δηλοῦται τὸ εὖ ἔχον τὸ ἦθος. εἰ γὰρ ἠλίθιος εὐήθης ὁμοίως λέγεται, τῇ τε γλυκείᾳ καὶ τῷ κάλλει, γλυκεῖαν μὲν τὴν ὕλην ὀνομαζόντων ἀνθρώπων ὅταν εὐηθῶσι τοῖς θεοῖς εὐφημίας ἕνεκα, καλιὰν δὲ τὸν πίθηκον. ἐπειδὴ καὶ τοῦτο τὴν προσηγορίαν φυλάττοντες, λέγουσιν ὥσπερ Καλλίμαχος ἔφη, πρὸ μιῆς ὥρας θηρίον οὐ λέγεται.

Τό, τε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερον ὡς ἐπὶ μεγέθει, ἢ τὸ τοῦ βραχίονος.

Ἡ κατὰ γόνυ διάρθρωσις, ἐκ δυοῖν ὀστῶν ἀλλήλοις διαρθρωμένων γίγνεται μηροῦ τε καὶ κνήμης. ἀλλ᾽ ὥσπερ ἐν ταῖς ἄλλαις ἁπάσαις διαρθρώσεσιν εἶναι μέν τινα χρὴ κοιλότητα τὴν ὑποδεχομένην τοῦ διαρθρωμένου τὸ πέρας ὀστοῦ. εἶναι δὲ καὶ τὸ πέρας αὐτὸ τοῦτο περιφερὲς, οὕτως ἑτοίμως τε καὶ ἀλύπως ἐμβαίνειν τῇ διαρθρώσει. κατὰ τὸν αὐτὸν λόγον κἀπὶ τῆς κατὰ γόνυ διαρθρώσεως, ἐμβαινόμενόν ἐστι τὸ τοῦ μηροῦ πέρας, ὑποδεχόμενον δὲ τὸ τῆς κνήμης. ὑποκειμένη γὰρ αὐτῷ τῷ μηρῷ, τὰς δύο κεφαλὰς αὐτοῦ δέχεται κοιλότησιν, ἐπιτηδείας μέν τινος αὐτῶν νευροχόνδρου

διὰ φύσεως

διαφύσεως οὔσης. εἰκότως οὖν ὁ Ἱπποκράτης τῶν διηρθρωμένων ἀλλήλων ὀστῶν ἄρθρον ὀνομάζων, οὐ τὸ δεχόμενον τὴν πλησιάζουσαν ἐξοχήν, ἀλλὰ τὸ στηριζόμενον ἐν τῇ κοιλότητι καὶ νῦν εἶπεν. τό, τε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερόν ἐστιν, ἐπειδὴ τούτου ἐναρθρουμένου ἤδη τῇ κνήμῃ τὸ ἄρθρον, τουτέστι τὸ κάτω πέρας τοῦ μηροῦ εὐσταλέστατον ὑπάρχει, ἥπερ αὐτὸ δηλοῖ τὸ ἔλαττον κατὰ τὸν ὄγκον. οὐ μὴν ἁπλῶς γε ἔλαττόν ἐστιν τοῦ τοῦ κατ᾽ ἀγκῶνα πέρατος τοῦ βραχίονος, ἀλλὰ κατὰ ἀναλογίαν ἐξεταζόντων. εἴπερ γὰρ ἀνάλογον ἦν τῷ μεγέθει τοῦ μηροῦ τὸ κάτω πέρας αὐτοῦ, πολλῷ μᾶλλον μεῖζον ἂν ἦν, νυνὶ δ᾽ οὐχ οὕτως ἔχει. πολλῷ γὰρ μείζων ὁ μηρὸς τοῦ βραχίονος, ὀλίγῳ δὲ τὸ κατὰ γόνυ πέρας αὐτοῦ, τοῦ κατ᾽ ἀγκῶνα βραχίονος πέρατος ὑπερέχει.

Καὶ δικαίην φύσιν μοῦνον ἔχον, καὶ ταύτην περιφερέα, τὸ δὲ τοῦ βραχίονος ἄρθρον μέγα τε, καὶ βαθμίδας πλείονας ἔχον.

Τὸ κατὰ γόνυ φησὶν ἄρθρον τοῦ μηροῦ, δικαίαν φύσιν μόνον ἔχει. δῆλον δὲ ὡς πολλάκις εἴρηται, τὸ δίκαιον ὄνομα παρ᾽ αὐτῷ τὴν ἴσην. σκεψώμεθα οὖν ἀκριβῶς διατί μόνον τοῦτο τὸ ἄρθρον φησὶν ἴσην ἔχει φύσιν, εὑρεῖν ἡμᾶς ὡς μηδαμόθι πλεονεκτεῖν ἐν αὐτῷ τὰ μόρια, διὰ τὸ πάντη ὅμοια ἀλλήλοις γεγονότα τὰ μόρια, διὰ τὸ πάντη καὶ διάρθρωσιν μίαν ἔχειν. ἐπεὶ γὰρ εἰς δύο περιφερεῖς κεφαλὰς ὁ μηρὸς ἐνταῦθα τελευτᾷ, κατά τε τὸ μέγεθος ἴσως, κατά τε τὸ σχῆμα διαρθροῦνται, ταῖς ἀμφοτέραις κοιλότησι τῆς κνήμης ἴσαις ἐμφυομένας, ἔτι πρὸς τούτῳ κατ᾽ εὐθὺ τῶν ὅλων ἐστὶν ἑκάτερον τῶν περάτων, τό, τε τοῦ μηροῦ, καὶ τὸ τῆς κνήμης. διὰ τοῦτο προσηκόντως ἄν τις φαίη δικαίαν φύσιν ἔχειν τὸ ἄρθρον τοῦτο. τὸ γὰρ ἄνω μέρος τοῦ μηροῦ τὸ πρὸς ἰσχίον διαρθρούμενον, οὔτε κατ᾽ εὐθὺ μηροῦ τὴν κεφαλὴν ἔχει. δοκεῖ γὰρ ἀποχωρεῖν πρὸς τὴν ἔσω χώραν, οὔτε κατ᾽ ἀναλογίαν τοῦ μεγέθους. παχύτερος γάρ ἐστι ὁ μηρὸς πολλῷ τοῦ πέρατος. ἡ γοῦν τοῦ βραχιόνός ἐστι κεφαλὴ τῆς τοῦ μηροῦ, καὶ τοῦτ᾽ ἐλάττονος αὐτοῦ κατὰ τὸν ὄγκον ὄντος, ἀλλ᾽ οὐδ᾽ αὕτη κατ᾽ εὐθὺ τοῦ βραχίονος πέφυκεν. εἰ δὲ καὶ τὰς ἄλλας ἐπισκέποις διαρθρώσεις, εὕροις ἂν οὐδεμίαν ἔχουσαν ἁπάσας τὰς ἐπὶ τῆς κατὰ γόνυ διαρθρώσεως εἰρημένας ἰσότητας. αὐτίκα γέ τοι τὸ κάτω πέρας τῆς κνήμης ἔνθα τὰ τῆς περόνης διαρθροῦται τῷ ἀστραγάλῳ, οὔτε τὰς ἐπιφύσεις, οὔτε τὰς κοιλότητας ἀνάλογον ἔχει τοῖς ὀστοῖς. ἐχρῆν γὰρ εἴπερ οὕτως εἶπεν, ὥσπερ ἡ κνήμη πάμπολυ παχυτέρα τῆς περόνης ἐστίν, οὕτως καὶ τὴν ἐπίφυσιν αὐτῆς εἶναι μείζονα, κατά τε τὴν ἔνδον ἐν τῇ διαρθρώσει κοιλότητα, καὶ τὴν ἔξωθεν αὐτῆς κυρτότητα. νυνὶ δ᾽ οὐχ οὕτως ἔχει. καὶ μέντοι καὶ αὐτὸς ὁ ἀστράγαλος οὐχ ἁπλοῦν ἔχει τὸ σχῆμα κατὰ τὴν διάρθρωσιν, ἀλλὰ ποικίλον τε καὶ διαλλάττον ἐν τοῖς μέρεσιν αὐτῶν πάμπολυ. παραπλήσια δ᾽ αὖ τούτοις εὕροις ἐπὶ τῆς κατὰ τὸν καρπὸν διαρθρώσεως, πήχεός τε καὶ κερκίδος, ἅπερ εἰ πάντα διέρχομαι, εἰς μακρὸν μῆκος ἐκπεσεῖν ἀναγκασθήσομαι, καὶ πολὺ μᾶλλον εἰπὼν ἄλλων ἁπασῶν διαρθρώσεων ἑρμηνεύειν μετὰ τὴν φύσιν, οἷον τῆς κατὰ τὴν γένυν, ἢ κατὰ τοὺς σπονδύλους, ἢ κατὰ τὸ πλατὺ καλούμενον ὀστοῦν. ἀλλὰ δοκεῖ μοι βέλτιον εἶναι μικρὸν ἐν κεφαλαίῳ λόγον εἰπόντα, μεταβαίνειν ἐφ᾽ ἕτερον. ἔστι δ᾽ ὁ λόγος τοιόσδε. περὶ τῆς ὀστῶν ἁπάντων φύσεως ἐν ὑπόμνημά μοι γεγράφθαι, τὸ μέγεθος ἑκάστου, καὶ τὸ σχῆμα, καὶ τὴν διάρθρωσιν ἑρμηνεύοντι. τοῦτο μεταχειρισάμενος, εὑρήσεις ἀληθῶς περὶ πάντων τῶν ἄρθρων ἀποφηνάμενον ἐν τῷ προκειμένῳ λόγῳ, μόνου τοῦ κατὰ γόνυ τὴν ἀκριβῆ καὶ δικαίαν ἔχοντος διάρθρωσιν. τὸ δὲ τοῦ βραχίονος ἄρθρον μέγα τε καὶ βαθμίδας ἔχον πλείονας, προκείμενον αὐτῷ παραβάλλειν ἀλλήλαις τὴν κατὰ γόνυ διάρθρωσιν, τῇ κατὰ ἀγκῶνα, καὶ δείξαντα κατὰ γόνυ παθήματα τῶν ὀστῶν ἐπιεικέστερα τῶν κατ᾽ ἀγκῶνα. τοῦτο ἐπιχειρήσας δεικνύειν ἔφη, τότε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερον ὡς ἐπὶ μεγέθει, καὶ προσέτι τῷ λόγῳ, καὶ τὴν δικαίαν φύσιν ἔχον, αὐτάρκης ἂν ἐγεγόνει. καίτοι παραβάλλει μόνην τὴν κατ᾽ ἀγκῶνα διάρθρωσιν, ἐπὶ τῷ μουνον προστέθεικεν εἰπών. καὶ τὴν δικαίαν φύσιν μοῦνον ἔχον, ἠναγκάσθη ἀναμνῆσαι περὶ τῆς ὅλων ἄρθρων φύσεως οὐδεμιᾶς ἁπλῆς οὔσης, ἀλλὰ καὶ τοῖς σχήμασι καὶ τοῖς μεγέθεσιν, ἀνίσου τε καὶ ἀνομοίου κατὰ μέρη. νῦν οὖν ἐπὶ τὴν κατ᾽ ἀγκῶνα διάρθρωσιν ἐλθόντος αὐτοῦ, καὶ δεικνύντος ἀνόμοιά τε καὶ ἄνισα τὰ κατ᾽ αὐτὴν μέρη, καὶ ἡμεῖς ἀκολουθήσαντες αὐτῇ τῇ λέξει, σαφηνοῦ μὲν ἕκαστον τῶν λεγομένων. μέγα μὲν οὖν ἔφη τὸ κατ᾽ ἀγκῶνα πέρας εἶναι, ἤπερ τὸ τοῦ βραχίονος εἰκότως. πλατύνεται γὰρ ἐνταῦθα, πλείους λαμβάνων κεφαλὰς ἀνίσους, ἃς ὀνομάζουσι κονδύλους, ἡ δ᾽ ὑποδεχομένη κοιλότης αὐτῶν κατὰ ἕνα δέχεται καθάπερ ἐπὶ γόνατος. ἀλλὰ τὴν μέσην ἐν αὐταῖς κυρτότητα, τὴν περιφορῇ τροχηλίαν παρὰ φύσιν οὖσαν ἐπὶ τοῦ μεγάλου κονδύλου τοῦ βραχίονος. ὁ μὲν ἔνδον οὐδὲν ὀστοῦν ἔχει πρὸς αὐτόν, ὅτε συναρθρούμενον, ὁ δὲ ἔξω κατὰ τὴν κερκίδα, διαρθροῦται. περιέχουσι αὐτὴν κατὰ τοῦτο κοιλότητα, ἣν ἐπὶ τῷ πέρατι τὸ τῆς κερκίδος ὀστοῦν ἔχει. μέχρις μὲν οὖν τῶνδε φαίνεται πῆχυς μὲν καὶ κερκὶς ὑποδεχόμενα τὸν βραχίονα. καθ᾽ ἕτερον δ᾽ αὖ τρόπον ὁ βραχίων ὑποδέχεται τὰς κορώνας τοῦ πήχεος, ἔχων δύο κοιλότητας ἐπιτηδείας ἑκατέρωθεν, βραχυτέραν μὲν τὴν πρόσω, βαθυτέραν δὲ τὴν ὀπίσω, διότι καὶ αἱ τοῦ πήχεος ἀποφύσεις, ἃς κορώνας τε θηλυκῶς, καὶ κορώνα καλοῦσιν οὐδετέρως, ἄνισοι τὸ μέγεθός εἰσι, καὶ μείζων ἡ ὄπισθεν, ὥστε ποικίλη τε καὶ ἄνισός ἐστι, καὶ ἀνόμοιος τοῖς μέρεσι ἡ κατὰ ἀγκῶνα διάρθρωσις. καὶ κατὰ τοῦτο καλῶς εἶπεν ὁ Ἱπποκράτης ἐπὶ τοῖς κατὰ γόνυ δικαίαν φύσιν ἔχειν τὸ ἄρθρον, οὐ μὴν ἐπὶ δὲ τοῖς κατ᾽ ἀγκῶνα. διατί δὲ βαθμίδας ἔχει πλείονας, εἰ καὶ τούτους παραβαλὼν εἶπε, τῇ κατὰ γόνυ. δύο γὰρ ἐκεῖναι μόναι βαθμίδες εἰσὶν τῆς κνήμης, ὡς καὶ δύο κόνδυλοι τοῦ μηροῦ. κατ᾽ ἀγκῶνα δὲ μία μέν ἐστιν μεγάλη κοιλότης τοῦ πήχεος, ἣν ὁρίζουσιν αἱ δύο κορῶναι, βραχυτέρα μὲν πρόσθεν, ἡ δὲ ἐκ τῶν ἔμπροσθεν μορίων προμηκεστέρα. τοῦ δὲ βραχίονος αὐτοῦ, δύο μέν εἰσιν αἱ δύο ἐξεσκαμμέναι κοιλότητες, ὥσπερ βόθυνοί τινες, ἐμβαίνειν ἔφη τὰς κορώνας τοῦ πήχεος. μία δὲ ἄλλη καθάπερ ἐξεκλυμένη κατὰ τὸ μέσον αὐτοῦ τροχηλίᾳ παραπλησίως.

Πρὸς δὲ τούτοις, τὰ μὲν περὶ κνήμης ὀστέα παραπλήσια μῆκός ἐστι καὶ σμικρόν τι, οὐκ ἄξιον λόγου τὸ ἔξω ὀστέον ὑπερέχει οὐδενὸς μεγάλου κώλυμα ἐόν, ἀφ᾽ οὗ πέφυκεν ὁ ἔξω τένων ὁ παρὰ τὴν ἰγνύην.

Μικρῷ τινὶ μεῖζον εἶναι φησὶ τὸ ἔξωθεν ὀστοῦν ὃ καλοῦσι περόνην, ὅπερ ἤδη καὶ πρόσθεν εἶπεν, ἡνίκα τῶν ἁπλῶν

τῆς κνήμης καταγμάτων ἔγραψε θεραπείαν. ἡμεῖς δὲ καὶ τότε καὶ νῦν λέγομεν, ὡς κατὰ μὲν πρὸς τὸ κάτω μέρος ἡ περόνη τῆς κνήμης ὑπερέχει, κατὰ δὲ τὸ πρὸς τῷ γόνατι, φαίης ἂν μᾶλλον ὑπερέχειν τὴν κνήμην. οὐδὲ γὰρ διαρθροῦται πρὸς τὴν περόνην ὁ μηρὸς, ἀλλ' ὡς εἴπομεν ἀρτίως ἡ ἔξωθεν αὐτοῦ κεφαλὴ τῇ κατὰ τοῦτο κοιλότητι τῆς κνήμης ἐπιβαίνει. διὰ τί δὲ φησὶν οὐδενὸς μεγάλου κωλύματος τῇ περόνῃ συνεῖναι, τοῖς ἀνεγνωκόσι περὶ χρείας μορίων ἐστὶ δῆλον, ἐν οἷς ἐδείχθησαν αἱ διαρθρώσεις ἅπασαι δύο σκοποὺς ἔχουσαι τῆς κατασκευῆς, τῶν μὲν ἐνεργειῶν, τὸ ἀκώλυτον, τῶν δὲ ἐκπτώσεων, ὡς Ἱπποκράτης ὠνόμασεν ἄρτι, κώλυμα. τὸ μὲν οὖν ἀκώλυτον, εἰς τὴν ἐνέργειαν, αἵ τε κοιλότητες ἐπιπολῆς οὖσαι, καὶ οἱ σύνδεσμοι χαλαροὶ γιγνόμενοι παρέχουσι. τὴν δὲ εἰς τὰς ἐξαρθρώσεις ἀσφάλειαν, αἵ τε κοιλότητες βαθεῖαι καὶ μεγάλαι ἔχουσαι τὰς ὀφρῦς, οἵ τε σύνδεσμοι σύντονοι μὲν τὴν οὐσίαν. τὸ δὲ μῆκος βραχεῖς, οἵ τε ἔξωθεν περικείμενοι τῇ διαρθρώσει τένοντες ἰσχυροί τε καὶ σύντονοι. εἰ τοίνυν τῇ περόνῃ τῇ κατὰ γόνυ διαρθρώσει πρὸς ἀσφάλειαν οὐδὲν συντελεῖ, πλὴν σμικροῦ τινὸς ὅπερ δι' αὐτῆς ἔγραψε λέξεως ἐνεδείξατο λέγων, ἀφ' οὗ πέφυκεν ὁ ἐξέχων τένων ὁ παρὰ τὴν ἰγνύην. οὗ τῆς ἀκριβοῦς γνώσεως ἕνεκεν χρή σε περιμένειν τὴν ἀνατομὴν ἐπὶ πάντων τῶν ἰχνῶν ἐναργῶς φαινομένων καὶ πρὸ τῆς ἀνατομῆς. τένοντας δὲ διότι καλεῖ τὰς ἀπονευρώσεις τῶν μυῶν, εἴρηταί μοι πολλάκις. οὗτος ὁ τένων ὁ κατὰ τὰ ἔξω τοῦ γόνατος ἔξωθεν σφίγγων τὴν διάρθρωσιν, βοηθεῖ τι τῆς κατὰ τοῦτο τὸ μέρος ἀσφαλείας, κώλυμα γιγνόμενον ἐνταῦθα ὀλισθαίνειν τὸν μηρόν.

Τὰ δὲ τοῦ πήχεος ὀστέα ἄνισά ἐστιν, καὶ τὸ βραχύτερον παχύτερον συχνῷ. τὸ δὲ λεπτότερον, πολλῷ ὑπερβάλλει καὶ ὑπερέχει τὸ ἄρθρον.

Ἄνισα τὰ τοῦ πήχεος εἶπεν ὀστᾶ, οὐχὶ καὶ τῆς κνήμης ἐὰν παραβάλλειν νῦν οὐκ ἐχούσης ἄνισα, καὶ παρ' ἐκείνης ἔφη τὸ ἔξωθεν εἶναι μακρότερον. ἀλλ' ὅτι βραχύτερον μὲν ὑπερέχον τὸ ἔξωθεν ὀστοῦν τῆς κνήμης, καὶ ἐλαχίστῳ, πολὺ δὲ ὁ πῆχυς. ἐὰν γὰρ ἀκριβῶς προσέχῃς τὸν νοῦν ἐν τοῖς ἄνω πέρασιν, ἡ περόνη φαίνεταί σοι βραχύ τι λειπομένη τῆς κνήμης, ὥστε καὶ σαφῶς ἐστὶν ἐν τῷ κάτω μὲν πέρατι μακροτέραν. διὰ γοῦν τὴν ἄνωθεν ἔνδειαν ὀλίγον εἶναι κατὰ τῆς ὑπεροχῆς. ὁ δὲ πῆχυς ὅλῳ τῷ ἀγκῶνι τῆς κερκίδος ὑπερέχει, καὶ διὰ τοῦτο ἔφη, τὸ ἄρθρον ὑπερέχειν, ἤτοι τὴν διάρθρωσιν ὅλην οὕτως ὀνομάζων, ἢ τὸ πέρας τοῦ βραχίονος ὃ διαρθροῦται πρὸς τὴν σιγματοειδῆ τοῦ πήχεος κοιλότητα.

Ἐξήρτηται μέντοι καὶ τούτων τῶν νεύρων κατὰ τὴν κοινὴν ξύμφυσιν τῶν ὀστέων, πλεῖον δὲ μέρος ἔχει τὸ ἄρθρον.

Τοὺς συνδέσμους νῦν ὠνόμασε νεῦρα, καὶ ἐπὶ παντὶ καλῶν οὕτως αὐτούς. ὅτι δὲ τῇ περὶ διαρθρώσει συνδέσμους τοὺς πλατεῖς καὶ ὑμενώδεις οὕτως ὠνόμασε νῦν, ἔσται μὲν δῆλον κἀξ ὧν ἐπιφέρων εἴρηκα, τὴν ἐξῆς φησίν. ἀλλὰ καὶ χωρὶς ἐκείνων πρόδηλον, οὐδὲν τῶν κυρίως ὀνομαζομένων νεύρων εἰς ὀστοῦν ἀναφέρεσθαι. τῶν γὰρ συνδέσμων ἴδιον τοῦτο καὶ δι' αὐτοὺς, καὶ τῶν τενόντων ὅτι κεκραμένην ἔχουσι τὴν οὐσίαν ἐκ συνδέσμων καὶ νεύρων. εἴρηται δὲ τελέως περὶ τῶν τοιούτων ἁπάντων ἐν τοῖς περὶ μυῶν κινήσεως, ἀλλὰ νῦν τὸ προκείμενον ἐν τῇ δηλουμένῃ ῥήσει λεκτέον. ἐξηρτῆσθαι φησὶ τὸ ὑπερέχον τοῦ πήχεος, τουτέστι τὸν ἀγκῶνα τῶν περιλαμβανομένων τὴν διάρθρωσιν συνδέσμων κατ' ἐκεῖνα τὰ μέρη τῶν ὀστῶν, ἔνθα τὴν κοινὴν ἔχει σύμφυσιν ὁ πῆχυς, καὶ ἡ κερκὶς δηλονότι. εἶπε δὲ τοῦτο διότι τὸ ἀπὸ τοῦδε πᾶν ὅσον ὀπίσω προχωρεῖ τὸ γυμνὸν τῆς σαρκώδους οὐσίας, οὐκέτ' οὐδεμίαν ἔχει σύμφυσιν πρὸς τοὺς τῆς διαρθρώσεως συνδέσμους. ἐμφύεται γὰρ αὐτῷ κατ' αὐτοὺς πλατυνόμενος ὁ τένων, τοῦ τὴν κατὰ τὸν ἀγκῶνα διάρθρωσιν ἐκτείνοντος μυός.

Πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσεως τῶν νεύρων ἐν τῷ βραχίονι τὸ λεπτὸν ὀστέον ἤπερ τὸ παχύ. ἡ μὲν οὖν φύσις τοιουτότροπος, τῶν ἄρθρων τούτων καὶ τῶν ὀστέων τοῦ ἀγκῶνος.

Ταύτην ἔφην τὴν ῥῆσιν ἐνδείκνυσθαι νεῦρα καλεῖσθαι πρὸς αὐτοῦ τοὺς ὅλης τῆς διαρθρώσεως συνδέσμους, ἐκπεφυκότας μὲν ἐκ τοῦ κάτω πέρατος τοῦ βραχίονος, ἐμπεφυκότας δὲ τοῖς ἐνταῦθα πέρασι πήχεός τε καὶ κερκίδος. ἐν πάσῃ γάρ ἐστι τοῦτο διαρθρώσει. οὕτω δὲ κοινοὺς εἶναι τῶν διηρθρωμένων ὀστῶν συνδέσμους πλατεῖς ἐν κύκλῳ περικειμένους, ὡς δοκεῖν ὑμένας εἶναι παχεῖς. οὗτοι τοίνυν ἐμφύονται μὲν καὶ τῇ τῆς κερκίδος κεφαλῇ, πολλῷ δὲ μέρει τοῦ πήχεος. διὰ τοῦτ' ἔφη πλέον δὲ μέρος ἔχει τῆς ἐξαρτήσεως τῶν νεύρων ἐν τῷ βραχίονι τὸ λεπτὸν ὀστέον ἤπερ τὸ παχὺ, τουτέστιν ὁ πῆχυς. εἴπερ ἡ κερκὶς ἐξήρτηται μὲν ἀμφοῖν τῶν ἐκφυομένων τοῦ βραχίονος συνδέσμων, ἃ νεῦρα κεκληκέναι νῦν ἔφην αὐτόν. πλέον δὲ μέρος ἔχει τῆς ἐξαρτήσεως ὁ πῆχυς.

Καὶ διὰ τὸν τρόπον τῆς φύσιος τὰ κατὰ γόνυ ὀστέα, πολλάκις μὲν ὀλισθαίνει, ῥηϊδίως δὲ ἐμπίπτει.

Τῶν γὰρ κατ' ἑκάτερον τὴν διάρθρωσιν ἐργαζομένων ὀστῶν, ἐσφιγμένη μὲν ἡ σύνθεσίς ἐστι κατ' ἀγκῶνα. χαλαρωτέρα δὲ κατὰ γόνυ, πρὸς τῷ καὶ πολλὰς ὑπεροχὰς καὶ κοιλότητας ἀλλήλαις διαρθρούμενα, σφίγγει μὲν πανταχόθεν τὴν κατ' ἀγκῶνα διάρθρωσιν. ἐν δὲ τῇ κατὰ γόνυ καὶ τῶν κονδύλων τοῦ μηροῦ, ταῖς κοιλότησι τῆς κνήμης ἐπιβαινόντων, ἀβαθέσι τε καὶ ὑπτίαις οὔσαις, εἰκότως ἡ διάρθρωσις ὀλισθανοτέρα, ὥστε καὶ αὖθις ἐμπίπτει τάχιστα.

Φλεγμονὴ δὲ οὐ μεγάλη προσγίνεται, οὐδὲ δεσμὸς τοῦ ἄρθρου.

Διὰ τὸ βίαιον τῆς ἐξαρθρώσεώς τε καὶ τῆς ἐμβολῆς, αἱ φλεγμοναὶ γίγνονται κατὰ λόγον ἐπὶ τοῦ γόνατος αἱ διαστῶσαι, καὶ ῥᾳδίως ἀμφοτέρων γιγνομένων, οὐχ ἕπεται φλεγμονή. διὰ δὲ τὸ μὴ γίγνεσθαι ταύτην, ὁ δεσμὸς ἐπιγίγνεται, τουτέστι τοῦ ἄρθρου μετὰ τὸ θεραπευθῆναι δυσκίνητα, μήτε ἐκτεινομένου αὐτοῦ ῥᾳδίως, μήτε καμπτομένου. συμβαίνει γὰρ οὕτως ὁ δεσμὸς ὑπὸ καμφθέντος τεινόμενος, φλεγμονῆς μεγάλης οὐ σμικρώδης ἐκ τῶν περὶ τὴν διάρ-

τὴν διάρθρωσιν νεύρων ἢ συμπτωμάτων, διὸ λείψανόν τι δυσκίνητον γίγνεται τὸ ἄρθρον, ὡς δοκεῖν δεδέσθαι. τῶν γὰρ ἐν αὐτῷ γε καὶ περὶ αὐτὸν τενόντων καὶ συνδέσμων μὴ δυναμένων ἐπεκτείνεσθαι, μηδ' εἰς πάντα τὸν ἔμπροσθεν ἐρήμως ἕπεσθαι τοῖς κινοῦσι τὴν διάρθρωσιν μυσίν, ἀλλὰ διὰ τὸ σκληρὸν ἀντισπῶντι δεσμῷ παραπλήσιον γίγνεται τὸ πάθος. ἐν δὲ τῇ κατὰ τὸν ἀγκῶνα διαρθρώσει, καὶ τὰ λεπτὰ τέτταρα τῶν κορωνῶν τοῦ πήχεος ἐνίοτε περιθραυόμενα, κατά τε τὰς ἐκπτώσεις καὶ τὰς ἐμβολάς. πολλὴ δὲ ἡ σύστασις γιγνομένη, χαλεπώτερόν τι καὶ ἀνιαρώτερον ἐργάζεται τὸν σύνδεσμον τοῦ ἄρθρου.

Ὀλισθαίνει δὲ τὰ πλεῖστα ἐς τὸ εἴσω μέρος, ἔστι δ' ὅτε καὶ ἐς τὸ ἔξω, ποτὲ δὲ καὶ ἐς τὴν ἰγνύην. τούτων ἁπάντων αἱ μεταβολαὶ οὐ χαλεπαί, ἀλλὰ τὰ μὲν ἔξω καὶ ἔσω ὀλισθαίνοντα, καθῆσθαι μὲν χρὴ τὸν ἄνθρωπον ἐπὶ χαμαιζήλου τινός, τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν, μὴ μέντοι πολλῷ.

Καθ' ἃ μέρη μᾶλλον ἡ διάρθρωσις ἐσφίγκται, κατὰ ταῦθ' ἧττον ὀλισθαίνει. τελεώτατα μὲν οὖν ἐσφίγκται τὰ πρόσω μέρη, καθ' ἃ καὶ ἡ μύλη. καλοῦσι δὲ αὐτὴν εἰκότως ἔνιοι τῶν ἰατρῶν ἐπιγονατίδα καθόλου τοῦ γόνατος ἐπικειμένην. αὐτὴν δὲ ταύτην ἐπιπεφυκώς τις ἔξωθεν τένων πλατὺς σφίγγει, τὴν ἀρχὴν ἐκφύσεως ἔχων ἐκ τῶν προσθίων τοῦ μηροῦ δεσμῶν, ὑπερβαίνων τε τὴν μύλην ὅλην ἐπιφυόμενος τῇ κνήμης ἀρχῇ. τὸ μὲν πρόσω μέρος τῆς κατὰ γόνυ διαρθρώσεως, διά τε τὴν μύλην τόν τε εἰρημένον τένοντα καταφυόμενον, ὡς εἶπον εἰς τὴν ἀρχὴν τῆς κνήμης ἀκριβῶς ἐσφίγκται. κατὰ δὲ εἰς τὸ ὀπίσω μέρος τῆς διαρθρώσεως ἡ κεφαλὴ τοῦ κάμπτοντος τὴν κνήμην μυός, τοῦ μηροῦ δ' ἐν ἀκριβῶς στρογγύλον τὸ ταύτης μέρος σφίγγει τῆς διαρθρώσεως. ὅπερ ὁ μῦς αὐτὸς μὲν σμικρός ἐστι, καὶ διὰ τοῦτ' ἔλαθε τοὺς ἀνατομικοὺς ἐγκατακρυπτόμενος τῇ διαρθρώσει. παχυτάτην δὲ ἔχει τὴν κεφαλὴν συνδέσμων ὄντων ἰσχυροτάτων. ὑπόλοιποι δέ εἰσι δύο χῶραι τῆς περὶ γόνυ διαρθρώσεως, ἥ τ' ἔξω καὶ ἡ ἔνδον, οὐδὲν ἔχουσαι τοιοῦτον εἰς φυλακήν, οἷον ἥ τε πρόσω καὶ ἡ ὀπίσω. διὰ τοῦτ' οὖν ὀλισθαίνειν πέφυκεν ὁ μηρὸς εἰς ταύτας, καὶ μᾶλλον εἰς τὴν ἔνδον, ὅτι μᾶλλον ἀσφιγκτος αὕτη.

Κατάτασις δὲ ὡς ἐπὶ τὸ πολὺ μετρίη ἀρκέει, τῇ μὲν καταστείνειν τὴν κνήμην, τῇ δὲ ἀντιτείνειν τὸν μηρόν.

Τὴν κατάτασιν εἰπὼν σαφῶς τὴν ἐμβολήν, οὐ προσέγραψεν ὡς σαφῆ γιγνωσκόντων ἡμῶν ὡς καθόλου τὸν ἐπὶ πάσης ἐμβολῆς, ὡς ἐπὶ τἀναντία μέρη τῆς ἐκπτώσεως ἀποθεῖσθαι προσήκει τὸ ἐκπεπτωκὸς ἄρθρον. ἔνθα δὲ βαλλόντων, ἐξοχή τις οὐ προμήκης ὀστοῦ εἰς ὑπεραιώρησιν, τό, τε ἐμβληθησόμενον ὅσου οὖν κατατάξαι προσήκει. τὴν διδασκαλίαν οὐ παραλείπει γράφειν αὐτὸς ὡς ἐπὶ τῆς κατ' ἀγκῶνα διαρθρώσεως ἐποίησεν, ἀλλ' οὐδὲν γε περὶ τὸ γόνυ καὶ τὴν ἰγνύαν ἐκπτώσεως οὐδ' ὅλως ἐμνημόνευσεν, ἕνα λόγον τῆς ἔξω τε καὶ ἔσω τὴν ἐμβολὴν ἐχούσης. κατὰ γὰρ τὴν ἀντίτασιν ὡσαύτως γιγνομένην, ἀπῶσαι δεῖ τὸ ἐκπεπτωκὸς ἄρθρον εἰς τὴν πρόσω χώραν.

Ἐξήγησις λείπει.

Τὰ δὲ κατὰ τὸν ἀγκῶνα ὀχλωδέστερά ἐστι τῶν κατὰ τὸ γόνυ, καὶ δυσεμβολώτερα καὶ διὰ τὴν φλεγμονήν, ἢν μή τις αὐτίκα ἐμβάλλοι. ὀλισθαίνει μὲν γὰρ ἧσσον ἢ ἐκεῖνα, δυσεμβολώτερα δὲ καὶ δυσαλθεστέρα, καὶ ἐπιφλεγμαίνει μᾶλλον καὶ ἐπιπωροῦται. ἔστι δὲ καὶ τούτων τὰ μὲν πλεῖστα σμικραὶ ἐγκλίσιες, ἄλλοτε ἐπὶ τὸ πρὸς τῶν πλευρέων μέρος, ἄλλοτε ἐπὶ τὸ ἔξω. οὐ πᾶν δὲ τὸ ἄρθρον μεταβεβηκός, ἀλλὰ μένον κατὰ τὸ κοῖλον ὀστέον τοῦ ὀστέου τοῦ βραχίονος, ᾗ τὸ τοῦ πήχεος ὀστέον τὸ ὑπερέχον ἔχει. τὰ μὲν οὖν τοιαῦτα, κἢν τῇ ἢ τῇ ὀλισθῇ, ῥηΐδιον ἐμβάλλειν, καὶ ἀπόχρη ἡ κατάτασις ἡ ἐπὶ τὸ ἰθὺ γινομένη κατ' ἰθυωρίην τοῦ βραχίονος, τὸν μὲν κατὰ τὸν καρπὸν τῆς χειρὸς τείνειν, τὸν δὲ κατὰ τὴν μασχάλην περιβάλλοντα. τὸν δὲ τῇ ἑτέρῃ πρὸς τὸ ἐξέχον ἄρθρον τὸ θέναρ προσβάλλοντα ὠθέειν, τῇ δ' ἑτέρῃ ἀντωθέειν προσβάλλοντα ἐγγὺς τοῦ ἄρθρου. ἐπακούει δὲ οὐ βραδέως ἐμβαλλόμενα τὰ τοιαῦτα ὀλισθήματα, ἢν πρὶν φλεγμῆναι ἐμβάλλῃ τις. ὀλισθαίνει δέ, ὡς ἐπὶ τὸ πουλὺ μᾶλλον ἐς τὸ ἔσω μέρος, ὀλισθαίνει δὲ καὶ ἐς τὸ ἔξω. εὔδηλα δὲ τῷ σχήματι, καὶ πολλάκις ἐμπίπτει τὰ τοιαῦτα, καὶ ἄνευ ἰσχυρῆς κατατάσιος. χρὴ δὲ τῶν ἔσω ὀλισθαινόντων, τὸ μὲν ἄρθρον ἀπωθέειν ἐς τὴν φύσιν, τὸν δὲ πῆχυν ἐς τὸ καταπρηνὲς μᾶλλον ῥέποντα περιάγειν. τὰ μὲν πλεῖστα ἀγκῶνος τοιαῦτα ὀλισθήματα. ἢν δὲ ὑπερβῇ τὸ ἄρθρον, ἢ ἔνθα ἢ ἔνθα ὑπὲρ τὸ ὀστέον τοῦ πήχεος τὸ ἐξέχον ἐπὶ τὸ κοῖλον τοῦ βραχίονος. γίνεται μὲν οὖν ὀλιγάκις τοῦτο. ἢν δὲ γένηται, οὐκέτι ὁμοίως ἡ κατάτασις ἐπὶ τὴν ἰθυωρίην γινομένη, ἐπιτηδείη τῶν τοιούτων ὀλισθημάτων. κωλύει γὰρ ἐν τῇ τοιαύτῃ κατατάσει τὸ ἀπὸ τοῦ πήχεος ὑπερέχον ὀστέον τὴν ὑπέρβασιν τοῦ βραχίονος. χρὴ τοίνυν τοῖσιν οὕτως ἐκβεβλη-

κόσι τὴν κατάτασιν ποιέεσθαι τοιαύτην, οἵηπερ πρόσθεν γέγραπται, ἐπήν τις ὀστέα βραχίονος κατεηγότα ἐπιδέῃ, ἀπὸ μὲν τῆς μασχάλης ἐς τὸ ἄνω τείνεσθαι, ἀπὸ δὲ τοῦ ἀγκῶνος αὐτοῦ ἐς τὸ κάτω ἀναγκάζειν. οὕτω γὰρ ἂν μάλιστα ὁ βραχίων ὑπερεωρηθείη ὑπὲρ τῆς ἑωυτοῦ βαθμίδος. ἢν δὲ ὑπερεωρηθῇ, ῥηϊδίη ἡ κατάτασις τοῖσι θέναρσι τῶν χειρῶν. τὸ μὲν ἐξεστεὸς τοῦ βραχίονος ἐμβάλλοντα ὠθέειν, τὸ δὲ ἐς τὸ τοῦ πήχεος ὀστέον τὸ παρὰ τὸ ἄρθρον ἐμβάλλοντα ἀντωθέειν, τὸν αὐτὸν τρόπον ἄμφω. ἥκιστα μέντοι ἡ τοιαύτη κατάτασις τοῦ τοιούτου ὀλισθήματος δικαιοτάτη. ἐμβληθείη δὲ, καὶ ἀπὸ τῆς ἐς ἰθὺ κατατάσιος, ἥκιστα δὲ ἢ οὕτω. ἢν δὲ ἐς τοὔμπροσθεν ὀλισθῇ ὁ βραχίων, ἐλαχιστάκις μὲν τοῦτο γίνεται, ἀλλά τί ἂν ἐξαπίνης ἐκπάλησις οὐκ ἐκβάλλοι. πολλὰ γὰρ καὶ παρὰ τὴν ἐοικυῖαν φύσιν ἐμπίπτει, κἢν μέγα τι ᾖ τὸ κωλύον. ταύτῃ δὲ τῇ ἐκπαλήσει μέγα τι τὸ ὑπερβαινόμενον τὸ ὑπὲρ τὸ παχύτερον τῶν ὀστέων καὶ τῶν νεύρων συχνὴ κατάτασις, ὅμως δὲ δή τισιν ἐξεπάλησεν. σημεῖον δὲ τοῖς οὕτως ἐκπαλήσασιν. οὐδὲν γὰρ σχῆμα τοῦ ἀγκῶνος κάμψαι δύνανται, εὔδηλον δὲ καὶ τὸ ἄρθρον ψαυόμενον. ἢν μὲν οὖν μὴ αὐτίκα ἐμβληθῇ, ἰσχυραὶ καὶ βίαιοι φλεγμοναὶ, καὶ πυρετώδεες γίνονται. ἢν δὲ δὴ αὐτίκα τις παρατύχῃ, εὐέμβολον. χρὴ δὲ ὀθόνιον σκληρὸν† εἱλιγμένον, ἀρκέσει μὴ μέγα ἐνθέντα πλάγιον ἐς τὴν καμπὴν τοῦ ἀγκῶνος, ἐξαπίνης ξυγκάμψαι τὸν ἀγκῶνα, καὶ προσαγαγεῖν ὡς μάλιστα τὴν χεῖρα πρὸς τὸν ὦμον. ἱκανὴ μὲν οὖν αὕτη ἡ ἐμβολὴ τοῖσιν οὕτω ἐκπαλήσασιν. ἀτὰρ καὶ ἡ ἐς τὸ ἰθὺ κατάτασις, δύναται εὐθετίζειν τοῦτον τὸν τρόπον τῆς ἐμβολῆς. τοῖσι μέντοι θέναρσι τῆς χειρὸς, χρὴ τὸν μὲν ἐμβάλλοντα ἐς τὸ τοῦ βραχίονος ἐξέχον τὸ παρὰ τὴν καμπὴν ὀπίσω ἀπωθέειν. τὸν δέ τινα κάτωθεν ἐς τὸ τοῦ ἀγκῶνος ὀξὺ ἐμβάλλοντα ἀντωθέειν ἐς τὴν ἰθυωρίην τοῦ πήχεος ῥέποντα. δύναται δὲ ἐν τουτέῳ τῷ τρόπῳ τοῦ ὀλισθήσιος κἀκείνη ἡ κατάτασις ἡ πρόσθεν γεγραμμένη, ὡς χρὴ κατατείνειν τὰ ὀστέα τοῦ βραχίονος κατεηγότα, ἐπὴν μέλλωσιν ἐπιδεῖσθαι. ἐπὴν δὲ κατατάθῇ, οὕτω χρὴ τοῖσι θέναρσι τὰς προσβολὰς ποιέεσθαι, ὥσπερ καὶ πρόσθεν γέγραπται. ἢν δὲ εἰς τοὐπίσω βραχίων ἐκπέσῃ, ὀλιγάκις δὲ τοῦτο γίνεται, ἐπωδυνώτατον δὲ τοῦτο πάντων καὶ πυρετωδέστατον ξυνεχέων πυρετῶν καὶ ἀκρητοχόλων θανατωδέων, καὶ ὀλιγημερέων, οἱ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. ἢν μὲν οὖν αὐτίκα παρατύχοις, βιάσασθαι χρὴ ἐκτανύσαντα τὸν ἀγκῶνα, καὶ αὐτόματον ἐμπίπτει. ἢν δέ γε φθάσῃ πυρετήνας, οὐκέτι χρὴ ἐμβάλλειν, κατατείνειν γὰρ ἂν ἡ ὀδύνη ἀναγκαζομένου. ὡς δὲ ἐν κεφαλαίῳ εἰρῆσθαι, οὐδ' ἄλλο χρὴ ἄρθρον πυρεταίνοντι ἐμβάλλειν, ἥκιστα δὲ ἀγκῶνα. ἔστι δὲ καὶ ἄλλα σίνεα κατ' ἀγκῶνα καὶ ὀχλώδεα, τοῦτο μὲν γὰρ τὸ παχύτερον ὀστέον ἔστιν ὅτε ἐκινήθη ἀπὸ τοῦ ἑτέρου, καὶ οὔτε ξυγκάμπτειν, οὔτε κατατανύειν ὁμοίως δύναται. δῆλον δὲ γίνεται ψαυόμενον κατὰ τὴν σύγκαμψιν τοῦ ἀγκῶνος παρὰ τὴν διαχίδα τῆς φλεβὸς, τὴν ἄνωθεν τοῦ μυὸς τείνουσαν. οἷσι δὲ τὸ τοιοῦτον, οὐκέτι ῥηΐδιον ἐς τὴν ἑωυτοῦ φύσιν ἀγαγεῖν, οὐδὲ γὰρ ἄλλην οὐδὲ μίην ῥηΐδιον ξυμφυάδα κοινὴν δύο ὀστέων κινηθεῖσαν ἐς τὴν ἀρχαίην φύσιν ἱδρυνθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν τὴν διάστασιν, ὡς δ' ἐπιδέειν χρὴ ἐν ἄρθρῳ, ἐν τῇ κατὰ σφυρὸν ἐπιδέσει εἴρηται. ἔστι δ' οἷσι κατήγνυται τοῦ πήχεος τὸ ὀστέον τὸ ὑποτεταγμένον τῷ βραχίονι. ὅτε μὲν τὸ χονδρῶδες αὐτοῦ ἀφ' οὗ πέφυκεν ὁ τένων ὄπισθεν τοῦ βραχίονος, καὶ ἐπὴν τοῦτο κινηθῇ πυρετῶδες, καὶ κακόηθες γίνεται, τὸ μέντοι ἄρθρον μένει ἐν τῇ ἑωυτοῦ χώρῃ, ἴσως γὰρ ἡ βάσις αὐτέου ταύτῃ ὑπερέχει. ὅταν δὲ ἀπαγῇ ταύτῃ, ᾗ ὑπερέχει ἡ κεφαλὴ τοῦ βραχίονος, πλανωδέστερον τὸ ἄρθρον γίνεται, ἢν παντάπασιν ἀποκαυλισθῇ. ἀσινέστερα δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι πάντα τὰ κατηγνύμενα τῶν ὀστέων ἐστὶ, ἢ οἷσι τὰ μὲν ὀστέα οὐ κατάγνυται, φλέβες δὲ καὶ νεῦρα ἐπίκαιρα ἀμφικλᾶται ἐν τούτοισι τοῖσι χωρίοισιν. ἐγγυτέρω γὰρ θανάτου πελάζει ταῦτα ἢ

ἐκεῖνα

† τουτέστι ἐσφαιρωμένον

ἐκεῖνα, ἢν ἐκπυρωθῇ ξυνεχεῖ πυρετῷ, ὀλίγα γε μὴν τὰ τοιαῦτα κατήγματα γίνεται.
ἔστι δ' ὅτε αὐτὴ ἡ κεφαλὴ τοῦ βραχίονος κατὰ τὴν ἐπίφυσιν κατάγνυται. οὕτω δὲ δο-
κέω κακοσινώτερον εἶναι πολλῷ, πολλῷ γάρ τινι ξυνθετώτερον τῶν κατ' ἀγκῶνα σινέων
ἐστίν. ὡς μὲν οὖν ἕκαστα τῶν ὀλισθημάτων ἁρμόσει ἐμβάλλειν, καὶ μάλιστα ἐν φύσει γέγρα-
πται, καὶ ὅτι παραχρῆμα ἐμβάλλειν μάλιστα ἄρθρον ξυμφέρει, διὰ τὸ τάχος τῆς φλεγμο-
νῆς τῶν νεύρων. καὶ γὰρ ἢν ἐκπεσόντα αὐτίκα ἐμπέσῃ, ὁμοίως φιλεῖ τὰ νεῦρα ξύντα-
σιν ποιέεσθαι, καὶ κωλύειν ἐπὶ πόσον χρόνον τήν τε ἔκτασιν ὅσην περ φιλέει ποιέε-
σθαι, τήν τε ξύγκαμψιν. ἐν φύσει δὲ πάντα παραπλησίως ταῦτα ξυμφέρει, καὶ ὁκόσα
ἄγνυται, καὶ ὁκόσα διίσταται, καὶ ὁκόσα ὀλισθαίνει. πάντα γὰρ χρὴ ὀθονίοισι πολλοῖσι, καὶ
σπλήνεσιν, καὶ κηρωτῇ ἐν φύσει, ὥσπερ καὶ τἆλλα κατήγματα. τὸ δὲ σχῆμα τοῦ ἀγ-
κῶνος, ἐν τούτοισι δεῖ παντάπασι τοιοῦτον ποιέεσθαι, οἷόν περ οἷσιν βραχίων ἐπε-
δεῖτο καταγείς, καὶ πῆχυς. κοινότατον μὲν γὰρ πᾶσι τοῖσιν ὀλισθήμασιν, καὶ τοῖσι
κινήμασιν, καὶ τοῖσι κατήγμασιν τοῦτο τὸ σχῆμα ἐστίν. κοινότατον δὲ πρὸς τὴν ἔπει-
τα διάτασιν, καὶ τὸ ἐκτανύειν ἕκαστα, καὶ ξυγκάμπτειν. ἐντεῦθεν γὰρ ὁδοὶ εἰσὶν ἀμφό-
τερα παραπλήσιοι, εὐοχώτατον δὲ καὶ εὐαναλήπτως αὐτῷ τῷ κάμνοντι τοῦτο τὸ σχῆ-
μα, ἔτι δὲ πρὸς τούτοις εἰ ἄρα κρατηθείη ὑπὸ τοῦ πωρώματος. εἰ μὲν ἐκτεταμένη ἡ χεὶρ
κρατηθείη, κρέσσων ἂν εἴη μὴ προσεοῦσα. πολλῷ μὲν γὰρ κώλυμα εἴη, ὠφελείη δὲ ὀλί-
γον. εἰ δ' αὖ ξυγκεκαμμένη, μᾶλλον εὔχρηστος ἂν εἴη. πολλῷ δὲ εὐχρηστοτέρη, εἰ τὸ διὰ
μέσου σχῆμα ἔχουσα πωρωθείη κρέσσων. τὰ μὲν περὶ τοῦ σχήματος τοιαῦτα. ἐπιδεῖν
δὲ χρὴ τήν τε ἀρχὴν τοῦ πρώτου ὀθονίου βαλλόμενον κατὰ τὸ βλαφθέν, ἤν τε καταγῇ,
ἤν τε ἐκστῇ, ἤν τε διαστῇ, καὶ τὰς περιβολὰς τὰς πρώτας κατὰ τοῦτο ποιέεσθαι, καὶ ἐρη-
ρείσθω μάλιστα ταύτῃ, ἔνθεν δὲ καὶ ἔνθεν ἐπὶ ἧσσον. τὴν δὲ ἐπίδεσιν κοινὴν ποιέεσθαι
χρή, τοῦ τε πήχεος, καὶ τοῦ βραχίονος, καὶ ἐπὶ πουλὺ πλέον ἑκάτερον, ἢ ὡς οἱ πλεῖστοι πο-
νέουσιν, ὅκως ἐξαείρηται ὡς μάλιστα ἀπὸ τοῦ σίνεος τὸ οἴδημα ἔνθεν καὶ ἔνθεν. προσ-
περιβαλλέσθω δὲ καὶ τὸ ὀξὺ τοῦ πήχεος ἢν τὸ σίνος κατὰ τοῦτο ᾖ, ἤν τε μή, ἵνα τὸ οἴδη-
μα ἐνταῦθα περὶ αὐτὸ ξυλλέγηται. περιφεύγειν δὲ χρὴ ἐν τῇ ἐπιδέσει, ὅκως μὴ κατὰ
τὴν καμπὴν πολλῷ τοῦ ὀθονίου ἠθροισμένοις ἔσται ἐκ τῶν δυνατῶν. πεπιέχθαι δὲ
κατὰ τὸ σίνος ὡς μάλιστα, καὶ τὰ ἄλλα καταλαβέτω αὐτοὺς περὶ τοῦ πιέξιος, καὶ
τοῦ χαλάσιος. ταῦτα καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἕκαστα ὥσπερ τῶν ὀστέων τῶν κα-
τεηγότων ἐν τῇ ἰητρείῃ πρόσθεν γέγραπται, καὶ αἱ μετεπιδέσιες διὰ τρίτης ἔστω-
σαν. χαλαρῷ δὲ δοκεέτω τῇ τρίτῃ ὥσπερ καὶ τότε, καὶ νάρθηκας προσπεριβάλλειν
ἐν τῷ ἱκνευμένῳ χρόνῳ, οὐδὲν γὰρ ἀπὸ τρόπου, καὶ τοῖσι τὰ ὀστέα κατεηγόσι, καὶ τοῖ-
σι μή, ἢν μὴ πυρεταίνῃ, ὡς χαλαρωτάτους δέ, τοὺς μὲν ἀπὸ τοῦ βραχίονος κατατεταγ-
μένους, τοὺς δὲ ἀπὸ τοῦ πήχεος κειμένους. ἔστωσαν δὲ μὴ παχέες οἱ νάρθηκες. ἀναγ-
καῖον δὲ καὶ ἀνίσους αὐτοὺς εἶναι ἀλλήλοισιν, παραλλάσσειν δὲ παρ' ἀλλήλους ἢ ἂν
ξυμφέρῃ τεκμαιρόμενον πρὸς τὴν ξύγκαμψιν. ἀτὰρ καὶ τῶν σπληνῶν τὴν πρόσθε-
σιν τοιαύτην χρὴ ποιέεσθαι, ὥσπερ καὶ τῶν ναρθήκων εἴρηται. ὀγκηροτέρους
δὲ ὀλίγῳ κατὰ τὸ σίνος προστιθέναι, τοὺς δὲ χρόνους τοὺς ἀπὸ τῆς
φλεγμονῆς τεκμαίρεσθαι χρή, καὶ ἀπὸ τῶν πρό-
σθεν γεγραμμένων.

OOOOO

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Ὅτι μὲν τὸ βιβλίον ἕπεται τῷ περὶ ἀγμῶν, εἴρηται μὲν ἤδη καὶ διὰ τῶν εἰς ἐκεῖνο γεγραμμένων ὑπομνημάτων, εἰρήσεται δὲ καὶ νῦν ἐπὶ βραχύ, πρῶτον μὲν ἀπὸ τῶν ἀρχῶν ἑκατέρου τῶν βιβλίων, δῆλον. ἐν ἐκείνῳ μὲν γὰρ οὕτως ἄρχεται, ἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων καὶ κατηγμάτων, ὡς ἰθυτάτας τὰς κατατάσιας ποιέεσθαι, μηνύων σαφῶς, ὅτι περὶ καταγμάτων αὐτῷ καὶ ἐξαρθρημάτων ὁ λόγος ἔσοιτο, κατὰ δὲ τοῦτο πάλιν εὐθὺς ἐν ἀρχῇ, τὸν δὲ, σύνδεσμον ἔγραψεν, ἐπὶ προειρημένῳ μέν τινι πάντως λεγόμενον, ἀρχομένου δὲ οὐδέποτε λόγου. καίτοι τινὲς εἰς τοῦτον ἥκουσι σοφίας, ὥστε τοῦ Ξενοφῶντος οἰκονομικῶν μνημονεύειν, οἰόμενοι μαρτυρεῖν αὐτοῖς ἔθος εἶναι τοῖς παλαιοῖς ἐν ἀρχῇ λόγου χρῆσθαι τῷ, δὲ, συνδέσμῳ, διὰ τοῦτο φασὶν ἄρξασθαι τὸν Ξενοφῶντα τοῦ συγγράμματος οὕτως. ἤκουσα δέ ποτε αὐτοῦ φησι, καὶ περὶ οἰκονομίας τοιάδε μοι διαλεγομένου, μὴ γιγνώσκοντες ὅτι τὸ βιβλίον τοῦτο τῶν Σωκρατικῶν ἀπομνημονευμάτων ἐστὶ τὸ ἔσχατον. ἀλλ' ἐπειδή γε τούτοις αὐτὴ τῶν πραγμάτων ἡ διδασκαλία τὴν ἀκολουθίαν ἐνδείκνυται τοῦ περὶ τῶν ἄρθρων συγγράμματος πρὸς τὸ περὶ τῶν ἀγμῶν. ἐπαγγειλάμενος γὰρ ἐν ἐκείνῳ περὶ τῶν ἐμπτώσεών τε καὶ καταγμάτων ἐρεῖν, ὅσα μὴ διῆλθεν ἐν αὐτῷ, κατὰ τοῦτο προσέθηκεν, ὡς μηδὲν λείπειν τῇ πραγματείᾳ διὰ τοῦτο. διὸ καί τινας ἔφην οὐχ ὑπ' αὐτοῦ λέγειν Ἱπποκράτους εἰς δύο βιβλία τετμῆσθαι τὴν ὅλην πραγματείαν, ἀλλ' ὑπ' ἐκείνου μὲν ἐν γράφεσθαι βιβλίον, ἐπιγραφὲν ὑπ' αὐτοῦ κατ' ἰητρεῖον. ὕστερον δὲ ὑπέρ ἄλλου τινὸς εἰς δύο τμηθῆναι διὰ τὸ μέγεθος, ὅτι δὲ οὐδὲν οὔτ' ἐξαρθρήματος εἶδος, οὔτε κατάγματος ὑπελείπετο, πλὴν τὰ περὶ κεφαλὴν γινόμενα, τῷ ἄλλο ἐπ' ἐκείνοις σύγγραμμα ποιήσασθαι, δῆλον δὴ ἀναμνησθέντι σοι τῶν τ' ἐν τῷ περὶ ἀγμῶν ὑπ' αὐτοῦ διδαχθέντων, ὧν τε ἐν τούτῳ τῷ βιβλίῳ μέλλει διελθεῖν. ἐν μὲν οὖν τῷ περὶ ἀγμῶν, ἔγραψε περὶ πήχεος, καὶ βραχίονος, καὶ κνήμης, καὶ μηροῦ κατεαγότων, εἶθ' ἑξῆς περὶ τῶν ἐν ποδὶ, καὶ ἄκρᾳ χειρὶ, κἄπειτα περὶ τῶν μεθ' ἕλκους, καὶ ὅσα γυμνοῦνται τῶν ὀστῶν, εἶτα περὶ τῶν κατὰ γόνυ, καὶ κατ' ἀγκῶνα παθῶν. ὑπελείπετο οὖν ἔτι τῶν μὲν ἄρθρων τὸ κατ' ὦμον, κατὰ τ' ἰσχίον, καὶ γόνυ, καὶ ῥάχιν. τῶν καταγμάτων δὲ, τὰ κατὰ τὰς πλευρὰς, καὶ γένυν, καὶ ῥῖνα, καὶ ὦτα, περὶ ὧν ἐν τούτῳ τῷ βιβλίῳ διῆλθεν. ἀλλὰ καὶ περὶ διαστάσεως ὀστῶν, καὶ περὶ θλασμάτων τῶν περὶ τὰ ἄρθρα κατ' ἀμφότερα τὰ βιβλία διαλεγόμενος, ἔτι παρέλιπεν ἐν τῷ περὶ ἀγμῶν, ἐνταῦθα προσέθηκεν, ὥστε μηδὲν ὅλως ἐνταῦθα λείπεσθαι ἔτι, μήτε κατάγματος εἶδος, μήτε ἐξαρθρήματος, μήτε διαστάσεως ὀστῶν. εἴρηται δὲ καὶ περὶ τῶν θλασμάτων ὅσα γίνεται περί τε τοὺς μύας, καὶ τὰς φλέβας, καὶ τὰ νεῦρα. καὶ τἄλλα μὲν οὖν ὡς ἔφην ἱκανὰ τὴν ἀκολουθίαν ἐπιδεῖξαι τοῦδε τοῦ βιβλίου πρὸς τὸ περὶ ἀγμῶν. ἀλλὰ καὶ τὸ μηχάνημα συμβουλεύσας ἐν ἐκείνῳ τῷ βιβλίῳ παρασκευάσασθαι ἐν μεγάλῃ πόλει μέλλουσιν ἰατρεύειν, ἐνταῦθα τὴν κατασκευὴν αὐτοῦ σύμπασαν ἔγραψεν, ἅμα τῷ καὶ ἀναμιμνήσκειν αὐτὸν ἡμᾶς, ὅτι καὶ πρόσθεν ὑπὲρ αὐτοῦ λόγον ἐποιήσατο. καλοῦσι δὲ τὸ μηχάνημα τοῦτο βάθρον Ἱπποκράτειον οἱ μετ' αὐτὸν ἰατροί. ὅτι μὲν οὖν ἕπεται τὸ βιβλίον τοῦτο τῷ περὶ τῶν ἀγμῶν, ἀρκείτω ταῦτα. πρὸς δὲ τὴν ἐξήγησιν ἴωμεν αὐτοῦ, τοσοῦτον προειπόντες ἔτι, ὃ καὶ ἐπὶ τῆς τοῦ περὶ ἀγμῶν ἐξηγήσεως προείπομεν, ὡς ἔστιν ἡ ἑρμηνεία τοῦ Ἱπποκράτους ἱκανῶς σαφὴς, ἐλαχίστης ἐξηγήσεως δεομένη, τῷ τὰ πρῶτα μαθήματα μεμαθηκότι, καὶ εἰθισμένῳ λέξεως ἀκούειν ἀνδρὸς παλαιοῦ. καὶ εἴ τις οὕτως παρεσκευασμένος ἐπ' ἀνθρωπείων ὀστῶν θεάσαιτο τὰς κατὰ τὰς διαρθρώσεις συνθέσεις, ἢ πάντως γε ἐπὶ πιθηκείων, ἔτι μᾶλλον αὐτῷ σαφῆ φανεῖται τὰ κατὰ τοῦτο τὸ βιβλίον. εἰ δὲ καὶ μυῶν ἀνατομῆς ἐμπείρως ἔχοι, καὶ ἄλλως εἴη φύσει συνετὸς, οἶδ' ὅτι καὶ τούτῳ πολλὰ τῶν ἐν τοῖσδε τοῖς ὑπομνήμασι γεγραμμένων φανεῖται περιττὰ, φθάνοντι νοεῖν τὴν λέξιν τοῦ παλαιοῦ, καὶ πρὸ τῶν ἐμῶν ἐξηγήσεων. ἀλλ' ἐπεὶ μὴ μόνον τοῖς τοιούτοις ὑπομνήματα γράφομεν, ἄμεινον εἶναί μοι δοκεῖ τῶν ἄλλων στοχαζομένῳ, εἰ καὶ βραχεῖά τις ἀσάφεια φαίνοιτο, μὴ παρέρχεσθαι ταύτην.

Ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαῖνον τὸν ἐς τὴν μασχάλην.

Ὅτι τῶν διαρθρουμένων ὀστῶν ἀλλήλοις ἄρθρον ὀνομάζειν εἴωθεν, οὐ τὴν ὑποδεχομένην κοιλότητα τὸ τοῦ πλησιάζοντος ὀστοῦ πέρας, ἀλλ' αὐτὸ τὸ πέρας, εἴρηται μὲν κατὰ τὸν ἔμπροσθεν ἤδη λόγον. ἀναμεμνήσθω δὲ καὶ νῦν, ὅτι κεφαλὴν ἀξιόλογον ὁ βραχίων ἔχων, οὐ πάνυ βαθεῖαν κοιλότητα, διαρθροῦται τῷ πέρατι τοῦ τῆς ὠμοπλάτης αὐχένος ἐπικείμενος, καὶ ὅτι τὰ τοιαῦτα πράγματα ποτὲ μὲν οὕτως εἴωθεν ἑρμηνεύειν, ὡς νῦν εἴρηκεν, ὤμου δὲ ἄρθρον. ἐνίοτε δὲ οὐχ οὕτως, ἀλλ' ὡς εἰ τὸ κατ' ὦμον ἄρθρον εἰρήκει, καθάπερ ἐν τῷ περὶ ἀγμῶν τότε κατὰ γόνυ πολλάκις εἶπε. ἕνα δὲ τρόπον, ὅπερ ἐστὶ διαφορὰν μίαν, εἰδέναι φησὶ τοῦ κατὰ τοῦτο τὸ ἄρθρον ὀλισθήματος. εἰ δ' ὀρθῶς λέλεκται τοῦτ' αὐτῷ, κατὰ τὸν ἐφεξῆς λόγον ἐπισκεψόμεθα.

Ἄνω δὲ οὐδέποτε εἶδον, οὐδὲ ἐς τὸ ἔξω.

Τῆς κατὰ τὸν ὦμον διαρθρώσεως ἡ κοιλότης ἡ ἐπὶ τῷ πέρατι τοῦ τῆς ὠμοπλάτης αὐχένος ἔφην ὑπάρχειν, εἰς τὸ πρόσω τέτραπται μέρος, ὥσθ' ὅταν ἀνατείνῃ τις τὸν βραχίονα, καταλαμβάνειν αὐτοῦ τὴν κεφαλὴν ἅπαν ἀκριβῶς τὸ κοῖλον. ἁπάσης δὲ διαρθρώσεως ἐξ τῶν πέριξ χωρῶν οὐσῶν, τῆς ἄνω καὶ κάτω, καὶ πρόσω καὶ ὀπίσω, καὶ ἔξω καὶ ἔνδον. ἡ μὲν ἀκριβῶς ἄνω τοῦ κατ' ὦμον ἄρθρου, τὸ σαρκῶδες ἐπιβεβλημένον ἔχει τοῦ δελτοειδοῦς ὑπό τινων ὀνομαζομένου μυὸς, ἡ δ' ὡς πρὸς τὸν τράχηλον ἐκκλινομένη, τὴν ῥάχιν τῆς ὠμοπλάτης ἣ τῇ κλειδὶ ζευγνυμένης τὸ καλούμενον ἀκρώμιον γεννᾶται. κατὰ δὲ τὴν ἔξω χώραν ἐστὶν ἡ ἀπόφυσις τῆς ὠμοπλάτης, ἣν διὰ τὸ σχῆμα τινὲς μὲν ἀγκυροειδῆ προσαγορεύουσιν, ἔνιοι δὲ κορακοειδῆ. αὕτη μὲν οὖν κωλύει τὴν εἰς τοῦτο τὸ μέρος ἔκπτωσιν τοῦ ἄρθρου. τὴν δ' ὀπίσω τίς ἂν ἡμῶν ἐννοῆσαι δύναιτο τῆς ὠμοπλάτης ἐνταῦθα κειμένης. λοιποὶ τοίνυν ἀφρούρητοι τόποι

τέσσαρες

τέσσαρες εἰσὶν, εἰς οὓς ἐνδοῦσαι δύναται τὸ ἄρθρον ἐκπίπτειν, ὧν ἁπάντων ἐμνημόνευσε, τοῦ μὲν κάτω κατ᾽ αὐτοῦ τοῦ βιβλίου τὴν ἀρχὴν εἰπὼν, ὅμως δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαῖνον τὸν εἰς τὴν μασχάλην. τῶν λοιπῶν δὲ τριῶν, ὀνομάσει, πρώτου μὲν τοῦ ἄνω, δευτέρου δὲ τοῦ ἔξω, τρίτου δὲ τοῦ πρόσω. προσέχομεν οὖν τὸν νοῦν τίνα λέγει περὶ τῶν δύο τρόπων ὧν ἐν ταύτῃ τῇ ῥήσει προεχειρίσατο.

Οὐ μέντοι διισχυριείω γε, εἰ ὀλισθαίνοι ἂν ἢ οὔ, καίπερ ἔχων περὶ αὐτοῦ, ὅ, τι λέγω. ἀτὰρ οὐδὲ ἐς τὸ ἔμπροσθεν οὐδέπω ὄπωπα, οὐδὲ τοῦτο ὅ τι ἔδοξέ μοι ὠλισθηκέναι. τοῖσι μέντοι ἰατροῖσι δοκέει κάρτα ἐς τοὔμπροσθεν ὀλισθαίνειν, καὶ μάλιστα ἐξαπατῶνται ἐν τούτοισιν, ὧν ἂν φθίσις καταλάβῃ τὰς σάρκας, τὰς περὶ τὸ ἄρθρον τε καὶ τὸν βραχίονα. φαίνεται γὰρ ἐν τοῖσι τοιούτοισι παντάπασιν ἡ κεφαλὴ τοῦ βραχίονος, ἐξέχουσα ἐς τοὔμπροσθεν. ἐγὼ δέ ποτε τὸ τοιοῦτον οὐ σφᾶς ἐκπεπτωκέναι ἤκουσα φλαύρως, ὑπό τε τῶν ἰατρῶν, ὑπό τε τῶν δημοτέων διὰ τοῦτο τὸ πρῆγμα. ἐδόκεον γὰρ αὐτοῖσιν ἠγνοηκέναι μοῦνος, οἱ δ᾽ ἄλλοι πάντες ἐγνωκέναι, καὶ οὐκ ἠδυνάμην αὐτοὺς ἀναγνῶσαι, εἰ μὴ μόλις ὅτι τόδ᾽ ἐστὶ τοιόνδε.

Δύο τρόπους ὀλισθήματος εἰρηκὼς, τόν τε ἄνω καὶ τὸν ἔξω, καὶ ἀποφηνάμενός γε περὶ ἀμφοτέρων, ὡς οὐδέτερον αὐτῶν ἑωρακὼς εἴη, μετὰ ταῦτα προσέγραψεν τὴν νῦν ἡμῖν προκειμένην λέξιν, ὡς περὶ ἀμφοῖν διαλεγόμενος. ἀλλά τό γε προσκείμενον αὐτῇ κατὰ τὸ τέλος ἔνθα φησὶ, καίτοι ἔχων περὶ αὐτοῦ ὅ, τι λέγω, δοκεῖ φανερῶς ἐπὶ θατέρου τῶν προειρημένων εἰρῆσθαι. περὶ γὰρ ἀμφοτέρων εἴπερ ἐβουλήθη λέγειν, οὐκ ἂν εἶπε ἑνικῶς αὐτοῦ, μήτ᾽ οὖν περὶ μόνης τῆς ἔξω διαφορᾶς ποιεῖται τὸν λόγον. ἐκείνῃ γὰρ ἐπενήνεκται, τὸ, καίτοι ἔχων περὶ αὐτοῦ ὅτι λέγω, δύναται γε μὴν ὡς τινὲς ἤκουσαν ἐν σχήματι λέξεως εἰρῆσθαι παλαιῷ περὶ τῶν τρόπων ἀμφοτέρων, ὡς εἰ καὶ οὕτως ἐγέγραπτο, καίτοι ἔχων περὶ τούτου τοῦ πράγματος ὅτι λέγω. ἔνιοι δὲ ἐγχωρεῖν φασὶν ἡμαρτῆσθαι τὴν λέξιν, οὐκ ὀρθῶς γράψαντος τοῦ πρώτου βιβλιογράφου, κἄπειτα μηδενὸς αὐτὴν ἐπανορθῶσαι τολμήσαντος, ἄχρι δεῦρο διαφυλαχθῆναι τὴν ἁμαρτίαν. ἐγὼ δὲ καθ᾽ ἔνια τῶν ἀντιγράφων εὗρον οὕτως γεγραμμένον, καίτοι ἔχων περὶ αὐτῶν ὅτι λέγω, μεταγράψαι δηλονότι τολμήσαντός τινος, τὴν ἐναντίως τοῖς ἄλλοις εὑρισκομένην γραφήν. ἀλλ᾽ εἴτε περὶ ἀμφοτέρων τῶν τρόπων, εἴτε περὶ θατέρου μόνου φησὶν οὐκ ἔχειν ἰσχυρίσασθαι, καλὸν δὴ ἡμᾶς ἐστι περὶ ἀμφοτέρων ἐπισκέψασθαι, τοσοῦτον ἔτι περὶ τῆς λέξεως αὐτοῦ προειπόντας, ὡς τὸ ἰσχυριείω, δηλοῖ τὸ ἰσχυριστικῶς ἔχω, παραπλησίως τῷ ὀψείω δηλοῦντι, καὶ αὐτῷ τὸ ὀπτικῶς ἔχω, παρ᾽ ὃ καὶ Ὅμηρος ἐποίησε τὴν ὀψείοντος φωνήν, σημαίνων κἀκεῖνος δι᾽ αὐτῆς τοὺς ὀπτικῶς ἔχοντας ἔνθα φησί. τῷ ῥοίγ᾽ ὀψείοντες αὐτοῖς καὶ πολεμίοις. διατί γοῦν ἔφη, καίτοι δυνάμενός τι λέγειν οὐκ ἐθέλω εἰπεῖν, ἐπισκεψώμεθα, πρότερον ἐπινοήσαντες αὐτοὶ, τινά ποτ᾽ ἐστὶν ἃ λέγειν ἐδύνατο. δῆλον γὰρ ὡς ἐκ τῆς τῶν μερῶν φύσεως ἤγουν εὕρεσις αὐτῶν τῶν λεχθησομένων ἐγγένοιτο ἄν, εἴπερ ὅλως ἠξίωσεν εἰπεῖν τι. τὴν κατασκευὴν δὲ αὐτῶν ἀκριβῶς ἔχειν ὑφ᾽ ἡμῶν δεδειγμένην, ἔν τε τῷ περὶ ὀστῶν βιβλίῳ, καὶ τῇ τῶν μυῶν ἀνατομῇ, καὶ δηλονότι κἂν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν. ἡ γὰρ ἀρτηριῶν, καὶ φλεβῶν, καὶ νεύρων φύσις, οὐδὲν εἰς τὰ παρόντα χρήσιμος, ἐπειδὴ τὰ κατὰ τὰς ἐκπτώσεις τῶν ἄρθρων ἅπαντα συμπτώματα γίνεταί τε καὶ κωλύεται, διά τε τὰ τῶν ὀστῶν ἄρθρα, καὶ τοὺς περιέχοντας αὐτὰ μύας, οὐδὲν εἰς αὐτὰ συντελούντων ἢ κωλυόντων, οὔτε τῶν ἀρτηριῶν, οὔτε τῶν νεύρων, ἢ τῶν φλεβῶν. αὐτίκα γέτοι τὸ κατ᾽ ὦμον ἄρθρον πάντων τῶν ἄλλων ἑτοιμότερον ἐκπίπτει, διότι τε μονοειδές ἐστι, καὶ ἁπλοῦν, οὐχ ὥσπερ τὸ κατὰ γόνυ διπλοῦν, ἢ τὸ κατ᾽ ἀγκῶνα ποικίλον τε καὶ οὔ ποτε ἁπλοῦν, ὅτι τε τοῦ βραχίονος ἡ κεφαλὴ μεγάλη τ᾽ οὖσα, καὶ χωρὶς προμήκους αὐχένος, ἀβαθεῖ κοιλότητι διαρθροῦται, τοῦ τε μηροῦ τὴν κεφαλὴν ἔχοντος μακρὰν, καὶ τὸν αὐχένα προμήκη. τὴν δ᾽ ὑποδεχομένην αὐτὸν κοτύλην βαθεῖαν ὀφρύσιν ἀξιολόγοις ἐστεφανωμένην, μετὰ τοῦ καὶ σύνδεσμον ἰσχυρότατον κατ᾽ ἄκραν αὐτοῦ τὴν κεφαλὴν, τῷ βαθυτάτῳ χωρίῳ τῆς κοτύλης τὴν σύμφυσιν ἔχειν. εἰκότως οὖν ὀλιγάκις ὁ μηρὸς ἐκπίπτει, πλειστάκις δὲ ὁ βραχίων, ὡς ἂν μήτε τὸν σύνδεσμον ἔχων, μήτ᾽ ἐγκαταβαίνων βαθείᾳ κοιλότητι. τὴν μὲν οὖν ἀρχὴν τῆς ἐκπτώσεως εἰς ἐκεῖνο γίνεσθαι τὸ μέρος ἀναγκαῖόν ἐστιν, εἰς ὅπερ ἂν ἡ τοῦ σχήματος ἄγει βία. μένειν δ᾽ οὐκέτ᾽ ἐξ ἀνάγκης δύναται ἐν ἐκείνῳ, διά τε τὴν φυσικὴν εἰς τὸ κάτω ῥοπὴν, καὶ τὴν εὐρυχωρίαν ἐνίοτε τοῦ χωρίου γινομένην, ἤτοι δι᾽ ἐξοχὰς ὀστῶν, ἢ συντονίαν μυῶν. ἡ μὲν οὖν ἄνω χώρα τῆς κατ᾽ ὦμον διαρθρώσεως ὑπερκείμενον ἔχει τὸ ἀκρώμιον, ὥστε εἰ καὶ μεταστσαίη ποτὲ τὸ ἄρθρον εἰς αὐτὴν, οὐ παραδεχομένων αὐτὸ τῶν ἐνταῦθα τεταγμένων ὀστῶν, αὐτίκα τῷ βάρει ῥέψαν ἐξενεχθήσεται κάτω. ἡ δ᾽ ἔξω χώρα καὶ μύας ἔχει μεγάλους, ἀλλὰ τὴν εἰς τὸ κάτω ῥοπὴν ἑτοίμην. ἐνδέχεται δέ ποτε καὶ βίαιον σχῆμα διαστῆσαι ἀπ᾽ ἀλλήλων δυνάμενον εἰς τὴν μεταξὺ χώραν αὐτῶν ἀπώσασθαι τὸ ἄρθρον, ἐν ᾗ σφηνωθὲν ὑπ᾽ αὐτῶν τῶν μυῶν κατασχεθῆναι. διὰ τοῦτ᾽ οὖν καὶ ὁ Ἱπποκράτης φησὶ, μὴ διισχυρίσασθαι βιαίως, εἴτ᾽ ἐκπεσεῖν οἷόν τε τὸ κατ᾽ ὦμον ἄρθρον, εἴτε καὶ μή. ὅσῳ μὲν γὰρ ἐπὶ τὸ κάτω ῥέπειν, οὐδ᾽ ἂν ἐν τῇ πρόσω χώρᾳ διαμεῖναι δύναται. διὰ ταύτην δὲ, ὡς εἴρηται, τῶν μυῶν οὐκ ἀδύνατον φαίνεται σφηνωθὲν ἐνταῦθα μένειν. λέγειν μὲν οὖν εἶχε τοιαῦτα περὶ τῆς εἰς ἄλλο τι χωρίον, ὅτι μὴ τὴν μασχάλην, ἐκπτώσεως. ἐπεὶ δ᾽ οὐδέποτε ἑώρακεν, οὐκ ἠξίωσε γράφειν αἰτίας ἐξ ἐπινοίας, λογικῶν ἀξιοπιστότερον ἡγούμενος ἀεὶ τὸ φαινόμενον ἐναργῶς. οὕτως οὖν καὶ τὰς ἐν ταῖς θεραπείαις ἐπινοίας ἑαυτοῦ τῇ πείρᾳ βεβαιοῖ, πρὶν ἡμᾶς διδάσκειν, οὐχ ὡς ἔνιοι τῶν μετ᾽ αὐτὸν ἰατρῶν ἔγραψαν, ἐν θεραπευτικοῖς συγγράμμασι κελεύοντες ἡμᾶς ποιεῖν ἃ μηδέποτε αὐτοὶ πρόσθεν ἔπραξαν. ἀλλ᾽ ὅγε Ἱπποκράτης ἐν αὐτῷ τούτῳ τῷ βιβλίῳ περὶ τῶν κατὰ ῥάχιν διαλεγόμενος, εἶθ᾽ ἑαυτοῦ τὴν ἐπίνοιαν, εἰπὼν ὑπὸ τῆς πείρας ἀδύνατον ἐλεγχθεῖσαν, ἔφη. καλὰ δὲ καὶ τὰ τοιαῦτα μαθήματα ἐστὶν ἃ πειρηθέντα, ἀπορηθέντα ἐφάνη, καὶ δι᾽ ἅσσα ἠπορήθη.

Εἴ τις τοῦ βραχίονος ψιλώσειε μὲν τῶν σαρκῶν τὴν ἐπωμίδα, ψιλώσειε δὲ ᾗ ὁ μῦς ἀνατείνει, ψιλώσειε δὲ τὸν τένοντα, τὸν κατὰ τὴν μασχάλην, καὶ τὴν κληΐδα πρὸς τὸ στῆθος ἔχοντα, φαίνοιτο ἂμ ἡ κεφαλὴ τοῦ βραχίονος ἐς τοὔμπροσθεν ἐξέχουσα ἰσχυρῶς, καίπερ οὐκ ἐκπεπτωκυῖα. πέφυκε γὰρ ἐς τοὔμπροσθεν, προπετὴς ἡ κεφαλὴ τοῦ βραχίονος, τὸ δ᾽ ἄλλο ὀστέον τοῦ βραχίονος ἐς τὸ ἔξω καμπύλον.

Βραχίων μὲν ὀνομάζεται τὸ μεταξὺ τῶν δύο διαρθρώσεων, ὅλης τῆς χειρὸς μόριον. ἄκουε δέ μοι δύο διαρθρώσεις τήν τε κατ᾽ ἀγκῶνα, καὶ τὴν κατ᾽ ὦμον. ἐπωμὶς δὲ τὸ ἐπάνω τοῦ ὤμου μόριον ἀνατεινόμενον ὡς ἐπὶ τὸν τράχηλον. ὦμος γὰρ ὀνομάζεται τὸ περὶ τὴν διάρθρωσιν ἅπαν ὅσον φανερὸν, ὥς τό γε μὴ φαινόμενον. ἐκ μὲν τῶν ὀπίσω μερῶν, ὅ ἐστι τὸ τῆς ὠμοπλάτης ὀστοῦν, ἐκ δὲ τῶν κάτω, τὸ ἐπὶ τὴν ἀνάτασιν ὅλης τῆς χειρὸς φανερὸν γιγνόμενον ὃ προσαγορεύεται μασχάλη. περὶ ἁπάντων οὖν ὁ Ἱπποκράτης ἐφ᾽ ὧν ἐτροφήκασιν αἱ κατὰ τὸν ὦμον σάρκες, ἐξέχουσαν φαίνεσθαι τὴν κεφαλὴν τοῦ βραχίονος, ὡς δοκεῖν ἐνίοις ἐκπεπτωκέναι, διδάσκειν τὴν φύσιν αὐτῆς ὅλην ἐξ ἀνατομῆς ἀξιῶν. εἴ τις βούλοιτο θεάσασθαι σαφῶς αὐτὴν, ψιλῶσαι μὲν τῶν σαρκῶν τὴν ἐπωμίδα, τουτέστι περιελεῖν σμίλῃ μέχρι τοῦ γυμνωθῆναι τὰ κατὰ τὴν διάρθρωσιν ὀστᾶ, ψιλῶσαι δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην. τρεῖς γάρ τοι μύες εἰσὶν ἐνταῦθα. πρῶτος μὲν ὁ ἀπὸ τῆς ὠμοπλάτης τε καὶ τῆς κλειδὸς ὁρμώμενος, ὃν καὶ δελτοειδῆ ὀνομάζουσι, τούτου τοῦ μυὸς τὸ μὲν σαρκῶδες ἅπασαν καλύπτει τὴν διάρθρωσιν, ὁ δὲ τένων εἰς τὸ τοῦ βραχίονος ὀστοῦν ἐμφύεται κατὰ μῆκος, ὥσπερ φύεται τένων ἄλλος ἀξιολόγου μυὸς ἀπὸ τοῦ στέρνου ἀρχομένου, παραφερομένου δὲ τῷ προειρημένῳ κατὰ τὴν τῆς ὠμιαίας φλεβὸς θέσιν, οὗ καὶ αὐτοῦ μέμνηται λέγων, ψιλώσειε δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην. ἐν μέντοι φάναι, ψιλώσειε δὲ ᾗ ὁ μῦς ἀνατείνει, δηλοῦται μὲν καὶ αὐτὸν τὸν δελτοειδῆ λέγειν, οὗ τὸ σαρκῶδες ἅπαν καλύπτει τὸ ἄρθρον. ἐγχωρεῖ δ᾽ αὐτὸν, καὶ τοῦ προσθίου κατὰ τὸν αὐχένα μεμνῆσθαι μυὸς, ἔχοντος ἐν δύο κεφαλαῖς συνδέσμους νευρώδεις, τὸν μὲν ἕτερον ἐκ τῆς ἀγκυροειδοῦς ἀποφύσεως ἐκφυόμενον, τὸν δὲ ἕτερον ἐκ τῆς ὑψηλῆς ὀφρύος τοῦ τῆς ὠμοπλάτης αὐχένος.

Ὁμιλέει δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος ἔῃ. ὅταν μέντοι ἐς τοὔμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χεὶρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος κατ᾽ ἴξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ γίνεται, καὶ οὐκέτι ἐξέχειν ἐς τοὔμπροσθεν φαίνεται. περὶ οὗ νῦν ὁ λόγος, οὐδέποτε εἶδον, οὐδὲ ἐς τοὔμπροσθεν ἐκπεσὸν, οὐ μὴν ἰσχυριείω γε οὐδὲ περὶ τούτου, εἰ μὴ ἐκπέσῃ ἂμ οὕτως, ἢ οὔ. ὅταν οὖν ἐκπέσῃ ὁ βραχίων ἐς τὴν μασχάλην, ἅτε πολλοῖσιν ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν. †εὐπαίδευτον δέ ἐστι τὸ εἰδέναι πάντας τοὺς τρόπους οἷσιν οἱ ἰητροὶ ἐμβάλλουσι, καὶ ὡς ἄν τις αὐτοῖσι τοῖσι τρόποισι τούτοισι κάλλιστα χρῷτο. χρέεσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς, κράτιστος δὲ ὕστατος γεγραψόμενος.

† οὐκ ἀπαίδευτον

Ὁμιλεῖν ἔλεγον οἱ παλαιοὶ τοὐπίπαν, οὐκ ἐπὶ τοῦ διαλέγεσθαι καθάπερ νῦν οἱ πολλοὶ, τὸ συνεῖναι δὲ ἀλλήλοις, καὶ οἷον ὁμοῦ εἰλεῖσθαι ταύτῃ προσηγόρευον τῇ φωνῇ, καὶ Ὅμηρος ἐπὶ τῶν ἐπὶ τὴν ἀσπίδα γεγραμμένων ὑπὸ τοῦ Ἡφαίστου φησίν, ὡμίλεον δ᾽ ὥστε ζωοὶ βροτοὶ ἠδ᾽ ἐμάχοντο. τὸν οὖν βραχίονα τῷ κοίλῳ τῆς ὠμοπλάτης ὁμιλεῖν ἔφη πλάγιον, ὅταν παρὰ τὰς πλευρὰς ἡ χεὶρ ᾖ παρατεταμένη, διὰ τοῦ ὁμιλεῖν ῥήματος δηλῶν, τό, τε ὁμοῦ εἶναι καὶ ψαύειν αὐτῆς. ὅταν μέντοι φησὶν, ἡ σύμπασα χεὶρ ἐκταθῇ, τότε ἐπὶ τὴν εὐθυωρίαν ὁ βραχίων γίνεται τῷ κοίλῳ τῆς ὠμοπλάτης, καὶ οὐκέτ᾽ ἐξέχειν εἰς τὸ πρόσω διὰ τὸ ὄρθιον αὐτοῦ φαίνεται.

Ὅσοισι μὲν οὖν πυκνὰ ἐκπίπτει ὁ ὦμος, ἱκανοὶ ὡς ἐπὶ τὸ πλεῖστον αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν.

Εἴρηταί μοι κἀν τοῖς εἰς τὸ περὶ ἀγμῶν ὑπομνήμασι, διὰ δύο αἰτίας ἐκπίπτειν ἄρθρον πυκνῶς, καὶ ἐπὶ σμικραῖς προφάσεσιν, ἤτοι διὰ τὸ τῆς κοιλότητος ἀβαθές τε ἅμα κἀν ταῖς ὀφρύσιν ὕπτιον, ἢ διὰ τὴν ὑγρότητα τῶν περικειμένων τῇ διαρθρώσει σωμάτων, δι᾽ ἣν χαλαρά τ᾽ ἐστὶ, καὶ ῥᾳδίως ἐκτεινόμενα. λέλεκται δὲ ὡς διὰ τὰς αὐτὰς αἰτίας αἱ ἐμβολαὶ τῶν τοιούτων ἄρθρων εἰσὶ ῥᾳδίαι, καὶ διὰ τοῦτο χωρὶς ἰατρῶν ὑπ᾽ αὐτῶν τῶν πασχόντων γίνονται.

Ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην, ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον, τὸν δὲ ἀγκῶνα παράγουσιν ἐπὶ τὸ στῆθος.

Ὁ πρῶτος τρόπος οὗτος τῆς ἐμβολῆς ἐστιν, ὑποβάλλοντος εἴτ᾽ αὐτοῦ τοῦ κάμνοντος, εἴτ᾽ ἰατροῦ τινος ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος τοὺς κονδύλους τῆς χειρὸς, οὐχ ἁπλῶς, ἀλλ᾽ ἐκ τῶν ἔνδον μερῶν, ὡς ἀποστῆσαι κάτω πρῶτον, εἶθ᾽ οὕτως εἰς τὴν ἄνω χώραν ἀπώσασθαι, καὶ κατ᾽ εὐθὺ ποιῆσαι τῆς ὑποδεξομένης αὐτὴν κοιλότητος. ἐνταῦθα γὰρ οἶμαι καὶ οἱ περικείμενοι τῇ διαρθρώσει μύες ὑπηρετοῦσί τε καὶ συμπράττουσιν αὐτῇ. εἴρηται γὰρ ὑπ᾽ αὐτοῦ κατὰ τὸ περὶ ἀγμῶν, ὥσπερ οὖν καὶ ἡμῖν ἐν τοῖς περὶ μυῶν κινήσεως, οἰκείαν τε καὶ σύμφυτον εἶναι τοῖς μυσὶ τὴν εἰς ἑαυτοὺς συνίζησιν. ἐκτείνονται γὰρ οὐχ ὑφ᾽ ἑαυτῶν, ἀλλ᾽ ὑπὸ τῶν ἀντιτεταμένων μυῶν, ἡσυχαζόντων καὶ ἀργούντων αὐτοί. ἡ τοιαύτη κίνησις τῶν μυῶν, καὶ τὴν ἐνεχθεῖσαν ἐς μασχάλην κεφαλὴν τοῦ βραχίονος, οὐκ ἐᾷ κατὰ χώραν μένειν, ἀλλ᾽ ἀνασπᾷ μέχρι τῶν πλευρῶν τοῦ θώρακος, ὑποπίπτειν τε καὶ ὑποκεῖσθαι τῷ τῆς ὠμοπλάτης αὐχένι,

αὐχένι, διὸ καὶ ἡ ἐμβολὴ σύνθετός ἐστιν ἐκ τριῶν ἐνεργειῶν. πρώτης μὲν, καθ' ἣν ἡμῖν εἰς τὸ πρόσω τὸ ἄρθρον ἄγεται, δευτέρας δὲ, καθ' ἣν ἄνω, καὶ τρίτης, καθ' ἣν ὀπίσω. αὕτη γὰρ ἀναγκαία τῷ ἐμβάλλοντι δι' ὅπερ αὖ ἐπεχώρει τρόπου τὴν ἐμβολὴν ποιήσασθαι. ἔνθα μὲν οὖν ὑγρὰ φύσει, καὶ χαλαρὰ τὰ περικείμενα σώματα τῇ διαρθρώσει, μετὰ βραχείας κατατάσεως τῆς χειρὸς ἡ κεφαλὴ τοῦ βραχίονος εἰς τὸ πρόσω μέρος ἀνάγεται. συντόνων δὲ ὄντων, ἰσχυροτέρας δεῖται. διὰ τοῦτ' οὖν εὕρηνται πλείους τρόποι τῆς ἐμβολῆς, ἐπεὶ τόγε κεφάλαιον ἁπασῶν ἕν ἐστι τὸ προειρημένον, εἰς τρεῖς οὓς εἶπον σκοποὺς ἀναγόμενον, αὐτοὺς δὲ τοὺς τρεῖς σκοποὺς εὕρομεν ἐκ τοῦ κοινοτάτου καὶ γενικωτάτου πάντων ὑφ' Ἱπποκράτους μὲν εἰρημένου, πρὸς ἡμῶν δὲ ἀποδεδειγμένου κατὰ τὰ τῆς θεραπευτικῆς μεθόδου βιβλία. λεχθήσεται δὲ καὶ νῦν ὅσον οἷόν τε διὰ βραχυτάτων, ὀλίγου μὲν τῶν κατὰ φύσιν ἐπανορθώσεως δεῖται. φυλάττειν μὲν γὰρ ἡμῖν, οὐκ ἀνασκευάζειν αὐτὰ πρόκειται. τὰ δὲ παρὰ φύσιν ἔχοντα, πρόκειται μὲν εἰς τὸ κατὰ φύσιν ἐπανάγειν, ἀναγκαῖον δέ ἐστι τὰ μέλλοντα εἰς τὴν ἀρχαίαν ἐπανέρχεσθαι κατάστασιν, ὅθεν ἐξετράπετο, τὴν αὐτὴν ὁδὸν ἀνάπαλιν ἐλθεῖν, ὅπερ οὐδὲν διαφέρει τοῦ φάναι τὴν ἐναντίαν ὁδὸν ἀνύσαι. τοῖς οὖν ἐξ Ἀθηνῶν εἰς Ἐλευσῖνα πορευθεῖσιν, οὐκ ἂν ἔχεις ἐναντίαν ὁδὸν ἑτέραν εἰπεῖν, ἢ τὴν ἐξ Ἐλευσῖνος Ἀθήναζε. καίτοι γε τὸ πρῶτον αὐτῆς μέρος τῆς ὁδοῦ πορευομένοις ἐξ Ἀθηνῶν, ὕστατον ἀναστρεφόντων. σκέπτου τοίνυν ἐφ' ἑκάστης ἐξαρθρήσεως ὁπόθεν μὲν ἤρξατο τῆς μεταστάσεως τὸ ἄρθρον, ὅπως δὲ προῆλθεν, ὅποι δὲ τὴν τελευτὴν ἐποιήσατο. δεήσει γάρ σε τὴν μὲν τελευτὴν τῆς μεταστάσεως ἀρχὴν τῆς ἐπανόδου ποιήσασθαι, προελθεῖν δὲ ἐντεῦθεν, ἀνάπαλιν τὴν ἀρχὴν τῆς ἐκπτώσεως. αὐτίκα γοῦν ἐπὶ τῆς προκειμένης ἐξαρθρήσεως, ὅταν ἀπὸ τῆς οἰκείας ἕδρας εἰς τὴν πρόσω χώραν ἡ κεφαλὴ τοῦ βραχίονος ὑποχωροῦσα κάτω μὲν ἐνεχθῇ τῷ βάρει ῥέψασα, μετὰ ταῦτα δὲ ὀπίσω πρὸς τὰς πλευρὰς ὑπὸ τῶν μυῶν εἰς αὐτὰς συνελκόντων ἀνασπασθῇ, τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον, ἄρξασθαι μὲν ἀπὸ τῆς ὀπίσω χώρας ἀναγκαῖόν ἐστιν. ἐντεῦθεν δὲ πρόσω μὲν πρῶτον, εἶτ' ἄνω περιάγεσθαι, κἄπειτα ἤδη κατ' εὐθὺ τῆς κοιλότητος ἧ, δυοῖν θάτερον, ἢ τοῖς μυσὶν ἐπιτρέψαι τὸ πᾶν, ἢ καὶ αὐτὸν συνεπωθεῖν. ὅταν γε μὴν ἐπιτρέψῃς τοῖς μυσὶ, μὴ καταλείπῃς τὴν κάτω χώραν ἀφρούρητον. ὀχεῖσθαι γὰρ ἐνταῦθα ἐπί τινος χρὴ τὸν βραχίονα, μή πως ἠτονηκότων τῶν μυῶν ἀνασπᾶν αὐτὸν, ἐνεχθῆναι κάτω φθάσῃ, πρὶν ὑπ' ἐκείνων εἰς τὴν οἰκείαν ἐνεχθῇ χώραν. ὅσων οὖν τούτων τῶν τριῶν ὁδοιπορειῶν, ἄριστον μὲν ἐστιν ἑκάστην ποιεῖσθαι κατ' εὐθεῖαν γραμμὴν, πρώτην μὲν τὴν πρόσω, δευτέραν δὲ τὴν ἄνω, καὶ τρίτην τὴν ὀπίσω. πολλάκις δὲ οὐχ οὕτως, ἀλλὰ καὶ περικυλινδουμένης τῆς κεφαλῆς τοῦ βραχίονος τῷ τῆς ὠμοπλάτης αὐχένι, τὴν ἐμβολὴν ἐργαζόμεθα, καὶ ὅγε πρῶτος τρόπος ὁ διὰ τῶν δακτύλων ὑπό τε τοῦ πάσχοντος αὐτοῦ, καὶ τῶν ἰατρῶν γιγνόμενος, ἐκ τούτου τοῦ εἴδους ἐστίν. ὀνομάζει δὲ αὐτὴν αὐτὸς ὁ Ἱπποκράτης περισφάλασιν, ἐπιτυγχανόμενον ἄνευ βλάβης ἐν τῇ κατ' ὦμον διαρθρώσει, μηδεμίαν ἐξοχὴν ἐχούσῃ προμήκη, μήτε κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος. ἀκριβῶς γάρ ἐστι περιφερὴς, μήτε κατὰ τὰς ὀφρῦς τῆς ὑποδεχομένης αὐτὸν κοιλότητος. οἷς μὲν οὖν ἐκπίπτει πυκνῶς, ἀνάγκη τήν τε διάρθρωσιν εἶναι χαλαρὰν, καὶ τὴν κοιλότητα βραχείας ἔχειν τὰς ὀφρῦς. καὶ διὰ τοῦτο ῥᾳδίως αὐτοὶ ἑαυτοῖς ἐμβάλλουσι τὸ ἄρθρον οἱ οὕτω κατεσκευασμένοι, τοὺς κονδύλους τῶν δακτύλων τῆς ἀπαθοῦς χειρὸς ὑποθέντες εἰς τὴν μασχάλην, ὡς μεταξὺ δηλονότι τὴν ἔνθεσιν αὐτῶν γίνεσθαι τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τῶν πλευρῶν, καὶ γίνονται αὐτῇ μοχλοῦ τηνικαῦτα τῆς χειρὸς οἱ δάκτυλοι, τελευτώντων μὲν εἰς ὀξὺ πέρας τῶν κονδύλων, ὥσπερ ἡ κώνου κορυφή. αὐτῇ δὲ ταύτῃ τῇ κορυφῇ παρεισερχομένων ῥᾳδίως, ὡς εἰπεῖν, εἰς τὴν μεταξὺ χώραν, τῆς τε κεφαλῆς τοῦ βραχίονος, καὶ τῶν πλευρῶν. ἣν δ' ἅπαξ ὑπ' αὐτῆς εἰσδεχθῶσι ῥᾳδίας τῆς ἐμβολῆς γινομένης, διὰ τὴν ὑγρότητα τῶν περὶ τὴν διάρθρωσιν σωμάτων. οἱ μέντοι δάκτυλοι παραδεχθέντες εὐθέως ἐν αὐτῷ τούτῳ τὸ ἄρθρον, εἰς τὸ πρόσω μέρος ἀφιστᾶσι τῶν πλευρῶν. ὁ δ' ἀγκὼν παρὰ τὸ στῆθος ἀπαγόμενος, ὑψοῖ τὸν βραχίονα. συνεπωθούντων δὲ ἐν τῷδε τῶν δακτύλων, καὶ κυλινδουμένων κατὰ τῶν κάτω τε καὶ πρόσω μερῶν τῆς διαρθρώσεως, ἡ κεφαλὴ τοῦ βραχίονος ἐπὶ τὴν ὀφρὺν ἀναβαίνει τῆς ὑποδεχομένης αὐτὴν κοιλότητος. εἰ δ' ἅπαξ ἐν τούτῳ γένοιτο, διὰ βραχείας ῥοπῆς εἰς αὐτὴν ἐμπίπτει τὴν κοιλότητα. τοῦτο δ' ἦν τὸ πέρας τῆς ἐμβολῆς.

Τὸν αὐτὸν δὲ τρόπον τοῦτον, καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην, ἐσωτέρω τοῦ ἄρθρου ἐκπεπτωκότος, ὑποτείνας τοὺς δακτύλους, ἀπαναγκάζοι ἀπὸ τῶν πλευρέων, ἐμβάλλων τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρώμιον ἀντερείσιος εἵνεκα. τοῖσι δὲ γούνασι παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν, ἀντωθέῃ πρὸς τὰς πλευράς. ξυμφέρει δὲ καρτερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα, εἰ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτως ποιοίη. ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος.

Οἱ ἰατροὶ τὰ μὲν κοινά τινα ταῖς τῶν ἰδιωτῶν ἐνεργείαις ἐνεργοῦσιν ἐμβάλλοντες αὐτοῖς τὸ ἐξαρθρῆσαν, καὶ τοῦτο διαπράττουσι κατά γε τὴν νῦν ἑρμηνευομένην ἐμβολὴν, τὰ δέ τινα τοῖς κοινοῖς αὐτοὶ προστιθέασιν ἴδια. κοινὰ μὲν οὖν αὐτοῖς ἐστι πρὸς τοὺς ἰδιώτας, ἥ τε διὰ τῶν δακτύλων μοχλεία, καὶ ἡ τοῦ βραχίονος ὕψωσις. ἴδια δὲ πρὸς τούτοις, ἥ τε τῆς κεφαλῆς εἰς τὸ τοῦ κάμνοντος ἀκρώμιον ἀντέρεισις, ἥ τε διὰ τῶν γονάτων ἀντώθεσις, ἐρειδομένων εἰς τὸ κάτω τοῦ βραχίονος. γίνεται δὲ ἡ ἀντέρεισις ἕνεκα τοῦ μὴ συνακολουθεῖν τὸν ἄνθρωπον, ἀγομένῳ πρόσω τῷ βραχίονι διὰ τῆς τῶν χειρῶν μοχλείας, καὶ πρῶτα γε χρὴ γίνεσθαι ταῦτα. τρίτον δ' αὐτοῖς ἕπεσθαι τὴν διὰ τῶν γονάτων ἀντώθεσιν, ἐν ἐκείνῳ τῷ καιρῷ τῆς ὅλης χειρουργίας ἐπιτηδείως γινομένης, ἡνίκα τελέως ἡ κεφαλὴ τοῦ βραχίονος ἀποχωρήσασα τῶν πλευρῶν, οὐκ εὐθὺς ὑποπίπτει τῷ τῆς ὠμοπλάτης αὐχένι. τηνικαῦτα γὰρ οὐδ' ἀνάγειν εἰς τὸ πρόσω χρὴ τὸ ἄρθρον, ἀλλ' ὠθεῖν ἄνω. συμβήσεται δὲ τοῦτο καλῶς, εἰ τὸ κάτω πέρας τοῦ βραχίονος ἐπὶ τὰς πλευρὰς ἀποθείη τις. εἰς ἴσον γὰρ τοῦτ' ἔσω τε καὶ κάτω χωρεῖ, τὸ ἀντικείμενον αὐτῷ πρὸς ἐναντίους τόπους ἐνεχθήσεται. εἰς τὴν ἄνω δὲ καὶ πρόσω χώραν τοῦ βραχίονος ἡ κεφαλὴ γιγνομένη, ῥᾳδίαν ἔχει τὴν ἔμπτωσιν. εἰ δὲ

μὴ βούλοιτό τις αὐτωθεῖν τοῖς γόνασι πρὸς τὸ κάτω μέρος τοῦ βραχίονος, ἑτέρῳ κελευσάτω παρὰ τὸ στῆθος ἀνάγειν αὐτὸν, ὅπερ ὁ ἰδιώτης ἔμπροσθεν ἐλέχθη ποιεῖν ὑπὸ τοῦ συνεχῶς ὀλισθαίνειν αὐτῷ τὸ ἄρθρον, ὡς χρὴ ποιεῖν δεδιδαγμένος. ἀλλ᾽ ᾧ γε νῦν πρῶτον ὤλισθεν, οὐχ οἷόν τε τοῦτο πράττειν ἐστὶ, πλὴν εἰ γενναῖος τις εἴη, καὶ ἀκατάπληκτος ἐν τοῖς δεινοῖς. ὁ γὰρ τοιοῦτος αὐτὸς, ὑψώσει τὸν αὐχένα κελευσθεὶς ὑπὸ τοῦ θεραπεύοντος.

Ἔστι δὲ ἐμβολὴ ὤμου, καὶ ἐς τοὐπίσω ὑποβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾷν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐνερείδειν.

Οὗτος ὁ τρόπος τῆς ἐμβολῆς κατὰ περίσφαλσιν γίνεται μᾶλλον τῶν πρόσθεν. ἔστι δὲ ἐξ ἀνάγκης μὲν, καὶ αὐτὸς ἐκ τῶν τριῶν ἐνεργειῶν σύνθετος, οὐ μὴν ἰδίοις πέρασιν ἑκάστης αὐτῶν περιγραφομένης, οὐδὲ ἐν τῇ μεταβάσει γωνίας ποιούσης, ἀλλὰ κατὰ τὰς κυκλοτερεῖς, ὡς εἰ καὶ τετραγώνου τις ἀποθραύσειε τὰς γωνίας. ὁποῖον γάρ τι συμβαῖνον ἐστὶν ἐν τοῖς κατὰ περικύλισίν τε καὶ κατὰ περίσφαλσιν, σαφῶς νοήσεις ὡς ἐπὶ εἰκόνος τοῦδε τοῦ διαγράμματος. τῆς φορᾶς τῆς κεφαλῆς τοῦ βραχίονος, ἣν ἄρθρον ὤμου προσαγορεύει γιγνομένης, κατὰ μὲν τὴν πρώτην ἐνέργειαν ἀπὸ τῶν πλευρῶν εἰς τὸ πρόσω, κατὰ δὲ τῆς γ δ. γραμμῆς, ἐντεῦθεν δὲ ἄνω ἐπὶ τὴν δ β. κἄπειτ᾽ ἐντεῦθεν ἐμβαλλομένης τῇ κοιλότητι κατὰ τὸ α. τεταγμένῃ. τοιαύτης μὲν οὖν γινομένης αὐτοῦ τῆς φορᾶς, οὐχ ἕπεται περίσφαλσις. ὅταν δὲ τῶν κατὰ τὸ δ. καὶ β. γωνιῶν, οἷον ἀποθραυσθεισῶν, ἡ φορὰ μηκέτι κατὰ τῶν τριῶν εὐθειῶν, ἀλλὰ κατὰ μιᾶς γίγνηται γραμμῆς κυρτῆς τῷ σχήματι, τότε συμβαίνει κυλίζεσθαι, καὶ τὸν βραχίονα πρὸς τὴν ὀφρὺν ἀνέρχεσθαι τῆς διαρθρώσεως. ὅταν δ᾽ ἐπὶ ταύτης γένηται, βραχείας ῥοπῆς προσελθούσης, εἰς τὴν ἐντὸς χώραν περισφάλλεται. τοῦτο μὲν οὖν κοινὸν ἁπάντων τῶν κατὰ περίσφαλσιν ἐμβαλλομένων. ἣν δὲ νῦν ἐμβολὴν ἐξηγεῖται, ταύτῃ προσήκει κατὰ μὲν τὴν εἰς τοὐπίσω τε καὶ τὴν ῥάχιν ἀναγωγὴν τοῦ πήχεος, ἀκολουθοῦντος αὐτῷ ἐξ ἀνάγκης τοῦ βραχίονος, ἡ κεφαλὴ πρόσω τε καὶ ἄνω μεθισταμένη περικυλισθήσεται. πρώτῳ μὲν τῷ κάτω μέρει τῆς διαρθρώσεως, ἐφεξῆς δὲ τῷ πρόσω μέχρις ἂν ἐπὶ τὴν ὀφρὺν ἀναβῇ τῆς κοιλότητος, ὅθεν δὴ πρὸς τὴν ἐντὸς χώραν ἐνεχθεῖσα στηριχθήσεται κατ᾽ αὐτῆς. ἔστι γὰρ δὴ τοῦτο πέρας τῆς ἐμβολῆς, ὥσπερ δὲ ἐπὶ τῆς πρὸ ταύτης ἐμβολῆς ἕνεκα τοῦ μὴ συνακολουθεῖν ἐπὶ τὰ πρόσω τὸν ἄνθρωπον, ὠθεῖν ὀπίσω τὸ ἀκρώμιον ἐκέλευσε διὰ τῆς αὐτοῦ κεφαλῆς τὸν ἰατρόν. οὕτω νῦν ὑπὲρ τοῦ μὴ συνακολουθεῖν ὀπίσω, τοὐναντίον ἀξιοῖ ποιεῖν, ἐπιβάλλοντα τὴν χεῖρα κατὰ τὴν ὀπίσω χώραν ὅλης τῆς διαρθρώσεως, αὐτωθεῖν εἰς τὸ πρόσω τὸν ἄνθρωπον.

Αὕτη ἡ ἐμβολὴ, καὶ ἡ πρόσθεν εἰρημένη, οὐ κατὰ φύσιν ἐοῦσαι, ὅμως ἀμφιβάλλουσαι τὸ ἄρθρον, ἀναγκάζουσιν ἐμπίπτειν.

Οὐ κατὰ φύσιν αὐτὰς εἶπε, διὰ τὸ μὴ κατ᾽ εὐθείας γραμμὰς γίνεσθαι τὴν κίνησιν τοῦ ἄρθρου, κατὰ περικύλισιν δὲ μᾶλλον ὡς εἴρηται. κίνδυνος δὲ ἐν τῷδε γίνεται τῆς περιθραύσεως τῶν ἐξοχῶν. τὸ δὲ ἀναγκάζουσι προσέθηκε, τὸ βίαιον αὐτῶν ἐνδεικνύμενος.

Οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν, ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι.

Διατί ταύτην τὴν ἐμβολὴν ἐγγύς τι τοῦ κατὰ φύσιν ἔχειν ἔφη, μαθήσῃ σαφῶς ὅλης αὐτῆς ἀκούσας πρότερον. ἔσται δὲ τοῦτο ταῖς ῥήσεσιν ἀκολουθήσαντι αὐτοῦ.

Χρὴ δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλίναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ᾽ ὁπότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ, ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ, τῆς χειρὸς τῆς σιναρῆς, κατατείνειν αὐτὴν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθέειν, τῇ μὲν δεξιῇ ἐς τὴν δεξιὴν, τῇ δὲ ἀριστερῇ ἐς τὴν ἀριστερήν. δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι ἐναρμόττον. ἐπιτηδειόταται δὲ αἱ πάνυ σμικραὶ σφαῖραι καὶ σκληραὶ, οἷαι πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται. ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος. κατατεινομένης γὰρ τῆς χειρὸς, κοιλαίνεται ἡ μασχάλη. οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες, ἐναντίοι εἰσί. χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης, ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανὸν, ὅταν ἡ σφαῖρα ἐντεθῇ ἐς τὴν μασχάλην περὶ τὴν σφαίρην, περιβεβλημένου ἱμάντος, καὶ κατέχοντος, λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος, ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον τῷ ποδὶ προσβάντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον. ἡ δὲ σφαίρη ὡς ἐσωτάτω, καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω, καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος.

Εἴ τις δὴ τῶν οὕτως εἰρημένων συνίησιν, οὗτος οὐ δεῖται τῆς διὰ τῶν λόγων ἐξηγήσεως, ἀλλὰ τῆς ἐπ᾽ αὐτῶν ἐνεργειῶν δείξεως. διὸ καὶ πολλάκις ὡς καὶ πρόσθεν ἔφην, ἀξιῶ τὸ βιβλίον ἀναγινώσκειν αὐτοῦ τοῦ Ἱπποκράτους ἐπιμε

λῶς

λοὺς προσέχοντας τῇ λέξει, καὶ παρεωραμένους νοεῖσθαι τὸ λεγόμενον. ἐγὼ τοίνυν ὡς ἤδη σοι τῶν ὑπ᾽ αὐτοῦ λεγομένων ἐν περινοίᾳ γεγονότι, τὴν αἰτίαν προσθήσω δι᾽ ἣν ἐγγύς τι τοῦ κατὰ φύσιν ἔφη τὴν τοιαύτην ἐμβολὴν εἶναι, τὰς ἔμπροσθεν ψαυσάμενος ὡς οὐ κατὰ φύσιν ἐπιτελουμένας. πρῶτον μὲν οὖν ὅτι κατατείνει τὸν βραχίονα μηδεμιᾶς τῶν ἔμπροσθεν ἐχούσης τοῦτο, ὥστε προσηκόντως ἄν τις ἐπαινέσειε τὴν τοιαύτην ἐμβολήν. ἐῤῥέθη γὰρ ἡμῖν κἀν τῇ περὶ τῶν ἀγμῶν πραγματείᾳ, ἥ τε χρεία τῆς κατατάσεως, ὅτι τε προηγεῖσθαι χρὴ πάσης ἐμβολῆς, καὶ διαπλάσεως αὐτήν. δεύτερον δὲ ἐπὶ τῷδε τῷ ἔργῳ, τὸ διὰ τῆς πτέρνης ὀπίσω τὸν ἄνθρωπον ὠθεῖσθαι. χάριν τοῦ μὴ συνακολουθεῖν ἑλκομένην τῇ χειρί. διὰ μὲν οὖν τῶν δυοῖν τούτων ἐνεργειῶν ἡ ἀντίτασις γίνεται. διὰ μὲν τοῦ περιβαλλομένου κατὰ τὴν μασχάλην ἱμάντος, εἰς τοὐπίσω τοῦ κάμνοντος ἑλκομένου, διὰ δὲ τοῦ ποδὸς αὐτῷ θουμένου πρόσω, καὶ σαφῶς γε πάνυ τῶν ἀντιτάσεων ἑκατέραν εἷς ἄνθρωπος ἐργάζεται. ταῦτα μὲν οὖν κατὰ φύσιν ἐν τῷ τρόπῳ τῷδε τῆς ἐμβολῆς γίνεται. ἡ μέντοι μοχλεία λείπεται τοῦ προσήκοντος, ὅτε τῆς μικρᾶς σφαίρας δυναμένης εἰς τὸ μεταξὺ, τῶν τε πλευρῶν καὶ τῆς τοῦ βραχίονος κεφαλῆς εἰσελθεῖν, ὅτε πολὺ μᾶλλον τῆς πτέρνης, ὅπου δ᾽ οὐδὲν εἰς ταύτην τὴν χώραν παρέρχεται, πῶς ἂν ἡ μοχλεία γίνεται, μὴ γινομένης δὲ ταύτης, οὐδὲ τὴν ἐμβολὴν ἔσεσθαι κατὰ φύσιν.

Ἔστι δὲ καὶ ἄλλη ἐμβολὴ, ὡς κατωμίζουσιν οὐκ ὀρθόν. μέζω μέντοι εἶναι χρὴ τὸν κατωμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα, ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ὑπὸ τὴν μασχάλην ὀξεῖαν.

Πρῶτος μὲν οὖν αὐτῷ τρόπος ἐμβολῆς εἴρηται ὁ διὰ τῶν δακτύλων γινόμενος, ἤτοι τοῦ κάμνοντος, ἢ τοῦ ἰατροῦ. δεύτερος δὲ ὁ διὰ τῆς πτέρνης, ἐφ᾽ οἷς τρίτος ὁ διὰ τοῦ κατωμισμοῦ. καλοῦσι γὰρ οὕτως αὐτὸν, ἐπειδὴ καὶ αὐτὸς ἔφη, ὡς κατωμίζουσιν οὐκ ὀρθόν. ὅπως δὲ γίνεται τοῦτο, σαφῶς αὐτὸς ἐδίδαξε κελεύσας τὸν κατωμίζειν μέλλοντα διαλλάσσειν ταῖς ἑαυτοῦ χερσὶ τὴν ἐξηνεχθεῖσαν χεῖρα, καὶ οὕτως ἀρξάμενον τὸν ἴδιον ὦμον εἰς τὴν κάμνοντος ὑποθεῖναι μασχάλην, ὡς ἕδραν αὐτῷ γενέσθαι τῆς ἐξοχῆς τὴν ἐν ἐκείνῳ κοιλότητα.

Κἄπειτα ὑποστρέψαι ὡς ἂν ἐνίζηται ἕδρα, οὕτω στοχασάμενος ὅκως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιεέτω, ἢ ἐπὶ τὸν ἕτερον. τοῦ δὲ κρεμαμένου τὸν βραχίονα, πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς τάχιστα. ἐν τούτῳ δὲ τῷ σχήματι προσανασειέτω, ὁκόταν μετεωρήσῃ τὸν ἄνθρωπον ὡς ἀντιῤῥέποι τὸ ἄλλο σῶμα αὐτῷ, ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ἔῃ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω τούτου ὄπισθεν τὶς κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων ὀργάνων δέονται ἐπιφέρεσθαι. χρήσαιτο δ᾽ ἄν τις καὶ ἄλλοθι.

Τὴν ὑποστροφήν φησιν δηλῶν τοῦ κατωμίζοντος ὦμον, ὡς ὅταν ἐπελθόντες δίφρῳ περιστρεφώμεθα καθίζοντες ἐπ᾽ αὐτόν. ὅταν δὲ τοῦ κατωμίζοντος ἐκκρεμασθήσεται, δῆλον ὅτι κατὰ τὸν νῶτον αὐτοῦ, καὶ οὗτος ἀντίτασιν ἐργάζεται τῆς κατατεινομένης εἰς τὸ πρόσω χειρός. εἰ δὲ εἴη κοῦφος ὁ κατωμιζόμενος προσεκκρεμασθῆναι παιδία κοῦφον κελεύει χάριν τοῦ μεῖζον ἐργάσασθαι τὸ βάρος τῆς ἀντιτάσεως. ἀνασείεσθαι δὲ τὸν τοῦ κάμνοντος ὦμον ὑπὸ τοῦ κατωμίζοντος ἀξιοῖ, χάριν τοῦ κατ᾽ εὐθὺ γενέσθαι τὸν βραχίονα τῆς ἰδίας ἕδρας. εἴρηται γὰρ ἡμῖν πολλάκις ὡς ὅταν ἐν τούτῳ καταστῇ τὸ ἐμβαλλόμενον ἄρθρον, ἑτοίμην ἴσχει τὴν ἐμπτωσιν, εἰ καὶ μὴ συνεπωθοῦμεν ἡμεῖς αὐτὸ, τῶν μυῶν ἐργαζομένων τὸν δέον.

Ἀτὰρ καὶ οἱ περὶ τὰ ὕπερα ἀναγκάζοντες, ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον κατειλῆχθαι ταινίῃ τινὶ μαλθακῇ, ἧσσον γὰρ ἂν ὑπολισθαίνοι, ὑπηναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστὼς ὁ ἄνθρωπος, κρέμαιτο μικροῦ δέῃ ἀμφὶ τῷ ξύλῳ. κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος περὶ τὸν ὕπερον ἔστω. τὸ δὲ ἐπὶ θάτερα τοῦ σώματος, καταναγκαζέτω τὶς ὑπερβάλλων κατὰ τὸν αὐχένα παρὰ τὴν κληῖδα τὰς χεῖρας.

Καὶ οὗτοι μὲν καθόσον ἀντιτάσει χρῶνται, κατὰ φύσιν ἐμβάλλουσι, καθόσον δὲ ὡσαύτως, ἐφεξῆς παρασφάλλεται τὸ κυρτὸν τοῦ ἄρθρου ὑποβάλλοντες, ἐν τούτῳ τὸ κατὰ φύσιν ἁμαρτάνουσι. τὰ δὲ κατὰ μέρος τῆς λέξεως ἁπλᾶ.

Αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶν, καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσωνται αὐτήν.

Μετρίως αὐτὴν λέγει κατὰ φύσιν εἶναι. τοῦτο γὰρ σημαίνει τὸ ἐπιεικῶς, ὥσπερ καὶ ὁ ἐπιεικὴς ἄνθρωπος ὁ μέτριος δηλοῦται πρὸς τῶν ἑλλήνων. ἔνιοι δὲ ἐνόμισαν τὸ ἐπιεικῶς, ἀντὶ μάλιστα λέγεσθαι, καὶ διὰ τοῦτο οἶμαι καὶ κα

τὰ τὴν ἀρχὴν τῆς ῥήσεως ἀφεῖλον τὸ ἐγγύς τι γράψαντες. οὕτως γὰρ καὶ οἱ περιαναγκάζοντες κατὰ φύσιν ἐμβάλλουσιν. ἐχρῆν δὲ αὐτὸς εἰ καὶ μὴ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους τοῦτ' εἴρητο κατὰ τὴν ἐφεξῆς ῥῆσιν, ἃ μέμφεται τῆς τοιαύτης ἐμβολῆς αὐτὸς γινώσκειν, μέμφεται δὲ λέγων, περὶ τὸ ὑπερροπὲς ὁ ὦμος ἦν καὶ καταπεπείγῃ, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος. δι' ὅπερ φησὶν, ἡ διὰ τοῦ κλιμακίου βελτίων ἐστίν. οὔκουν εἰς ἄκρον ἀρετῆς κατὰ τὸ ὑπερροπὲς ἥκει, ὡς τοῦτο ἐπιεικῶς τὸ μάλιστα συμβαίνει. τὴν γὰρ διὰ τοῦ κλιμακίου μᾶλλον αὐτῆς ἐπαινέσας τις, μᾶλλον ἐκείνης ἐπαινεῖν τὴν διὰ ἐμβολῆς.

Ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη, καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα, τὸ μὲν τῇ, τὸ δὲ τῇ ἀντισηκωθείη μετεωρισθέν. περὶ γὰρ τὸ ὑπερροπὲς ὁ ὦμος, εἰ καὶ κατεπεπείγῃ, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος, ἢ τῇ ἢ τῇ.

Πέμπτος οὗτος αὐτῷ τρόπος ἐμβολῆς ἐστι. διατί δὲ βελτίων ἐστὶ τοῦ προειρημένου τοῦ τετάρτου περὶ τὸ ὑπερροπὲς, αὐτὸς ἐξηγεῖται σαφέστατα.

Χρὴ μέντοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδέδεσθαί τι ἄνωθεν στρογγύλον ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσαναγκάσῃ τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι.

Ἐξ αὐτοῦ τοῦ κατὰ τὸν κλιμακτῆρα ξύλον τοιοῦτον ἐξέχον, εὐθὺς ἀπ' ἀρχῆς γίνεται κατὰ τὸ μηχανικὸν κλιμάκιον, ᾧ καὶ ἡμεῖς συνήθως χρώμεθα. παραπλήσιον δέ ἐστι τῷ κατὰ τὴν ἐφεξῆς ὑπ' αὐτοῦ μέλλοντι γράφεσθαι ξύλῳ κατὰ τὴν ἄμβην ἔχοντι τὸ πέρας, ἐφ' ὃ καὶ πάλιν προσαγορεύουσιν αὐτὸ ἄμβην οἱ μετ' αὐτὸν ἰατροὶ πάντες. ἐπιτεθεῖναι δὲ τοῦτο καὶ τοῖς στασίμοις ὀργάνοις οἷόν ἐστι τό τε τοῦ Ἀνδρέου, καὶ τὸ τοῦ τέκτονος, ὧν οὐδενὸς ἀναγκαῖόν ἐστι λέγειν νῦν τὴν κατασκευήν. εἴρηται γὰρ μυρίοις τῶν νεωτέρων ὀργανικῶν ἐν οἷς γεγράφασι περὶ τῶν ὀργάνων. ἡμῖν δὲ νῦν πρόκειται Ἱπποκράτους ἐξηγεῖσθαι χρωμένου πρὸς ἅπαντα, τὰ σφοδροτέρας ἀντιτάσεως καὶ μοχλείας δεόμενα τῷ καλουμένῳ βάθρῳ.

Κρατίστη μέντοι πασέων ἐμβολέων ἡ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πεντεδάκτυλον, ἢ τετραδάκτυλον τὸ ἐπίπαν, πάχος δὲ ὡς διδάκτυλον, ἢ καὶ λεπτότερον, μῆκος δὲ δίπηχυ, ἢ ὀλίγῳ ἔλασσον. ἔσω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενώτατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω, μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ ὑστάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευρὰς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσσειεν τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος, ὀθονίῳ δὲ, ἢ ταινίῃ μαλθακῇ, κατακεκολλήσθω ἄκρην τὸ ξύλον ὅκως προσηνέστερον ἔῃ, ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου, ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω, μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείνοντα, προσκαταδῆσαι κατά τε τὸν βραχίονα, κατά τε τὸν πῆχυν, κατά τε τὸν καρπὸν τῆς χειρὸς, ὡς ἂν ἀτρεμέῃ ὅτι μάλιστα. περὶ παντὸς δὲ χρὴ ποιέεσθαι, ὅκως τὸ ἄκρον τοῦ ξύλου, ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος.

Τὸν ἕκτον τρόπον τῆς ἐμβολῆς ὃν ἐπῄνεσε μάλιστα νῦν, διδάσκειν ἄρχεται τὴν κατασκευὴν τοῦ ξύλου γράφων σαφῶς, ᾧ κατὰ τὸ πέρας ἐπικειμένης ὀφρύος ἄμβων παραπλησίας, ὅλον αὐτὸ προσαγορεύουσιν ἄμβην οἱ ἰατροί. τοιαύτη δέ ἐστιν ἡ ὀφρὺς, οἵη κατὰ τῶν λοπάδων πέρας τὸ ἄνω γίνεται πρὸς τὴν ἐντὸς ἐστραμμένην κοιλότητα. καί τις τῶν κωμικῶν ἐπεῖπεν ἐπισκώπτων, τινὰ δὲ τῶν λοπάδων τοὺς ἄμβωνας περιέχειν. ἀῤῥενικῶς μὲν οὖν ἄμβωνας οἱ Ἀττικοὶ, θηλυκῶς δὲ οἱ Ἴωνες τὰ τοιαῦτα σχήματα καλοῦσιν ἄμβας. ἐπιτηδειότατον δὲ ἔτι τοῦτο παραδῦναι μεταξὺ τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τῶν πλευρῶν. καὶ μέντοι καὶ μοχλεύουσιν χρησιμώτατον, ἀσφαλῶς περιλαμβάνον τὴν κυρτότητα τῆς κεφαλῆς τοῦ βραχίονος, τὰ δὲ κατὰ μέρος ἅπαντα τῆς ῥήσεως αὐτοῦ σαφῆ.

Ἔπειτα χρὴ μεσηγὺ δύο ξύλων σφωτῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερκρεμάσαι τὴν χεῖρα ξὺν τῷ ξύλῳ ὑπὲρ τοῦ σφωτῆρος, ὅκως ἡ μὲν χεὶρ ἔνθεν θάτερα ἔῃ, ἔνθεν θάτερα δὲ τὸ σῶμα. κατὰ δὲ τὴν μασχάλην ὁ σφωτήρ. κἄπειτα ἔνθεν μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν σφωτῆρα, ἔνθεν θάτερα δὲ τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ σφωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι ἐπ' ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παραπολὺ κράτιστος ἐμβολῆς ὤμου. δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν καὶ μόνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος, δικαιόταται

δὲ

δὲ αἱ ἀντιῤῥοπαί, ἀσφαλέστεραι δ' ἐστὶ τῷ ὀστῷ τοῦ βραχίονος. τὰ δὲ νεαρὰ ἐμπίπτει θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο, πρὶν ἢ κατατετάσθαι δοκέειν.

Στύλους μὲν δῆλον ὅτι λέγει τοὺς κίονας. στρωτῆρα δὲ ξύλον, μεταξὺ ἥκον ἀπὸ τοῦ ἑτέρου κίονος ἐπὶ τὸν ἕτερον.

Ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθη ἐπὶ τὴν κοτύλην. ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ἔῃ ἐν τῷ χωρίῳ ἵνα ἐξεκλίθη, οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκέει, καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα τοῦ βραχίονος. τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν, μένειν μέντοι οὐκ ἄν μοι δοκέῃ κατὰ χώρην, ἀλλ' ὀλισθαίνειν ἂν ὡς τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν, τοῦτον τὸν τρόπον σκευάσαντα.

Τὴν τετριμμένην τε καὶ τετυλωμένην χώραν ὠνόμασε τρίβον, ἥ τις ὑπ' αὐτῆς τῆς κεφαλῆς τοῦ βραχίονος γίνεται, πολυχρονίως ἐστηριγμένης ἐκείνῳ τῷ μέρει τῆς περικειμένης τῇ διαρθρώσει σαρκὸς, ἐν ᾧ περ ἂν αὐτὴ ἐξ ἀρχῆς τύχῃ στηριχθεῖσα. κοτύλην δὲ ὠνόμασε τὴν ἐν τῇ διαρθρώσει κοιλότητα, κατὰ τὸ πέρας ὡς εἴρηται τοῦ τῆς ὠμοπλάτης αὐχένος ἐπικειμένην ὡς τὸ πολύ. τὰς δὲ βαθείας κοιλότητας, καὶ μεγάλαις ὀφρύσιν ἐῤῥιζωμένας, αὐτός τε καὶ ἄλλοι τῶν ἰατρῶν ὀνομάζουσι κοτύλας. ἀλλὰ νῦν γε κατὰ γνώμην οὕτως προσηγόρευσεν εἰς ἣν ἐμπίπτουσιν αἱ περικείμεναι σάρκες, ὅταν ἐξάρθρημα γένηται, καταλαμβάνουσαι τὴν χώραν τὴν πρότερον, ἣν ἡ κεφαλὴ τοῦ βραχίονος κατειλήφει. τοιγαροῦν συμβαίνει ἐκ τοῦ ἀποκλεῖσαι, τήν τε οἰκείαν χώραν τῆς κεφαλῆς τοῦ βραχίονος, ἔκ τε τοῦ τὰς ὑποδεξαμένας τυλωθείσας ἀντὶ κοτύλης αὐτῶν γενέσθαι, κἂν ἐμβληθῇ ποτε μὴ δύνασθαι μένειν. ἀποθεμένων μὲν αὐτῇ σαρκῶν ἕνεκα τῶν περικειμένων τῇ κοτύλῃ, παρὰ φύσιν γὰρ αὕτη, ὑποδεξαμένων τοίνυν ὀστῶν ἐκ τοῦ τυλωθῆναι παραπλησίαν διαρθρώσει κοιλότητα λαμβανουσῶν.

Πάνυ μὴν ἱκανῶς ἔχει καὶ περὶ μέγα ἕδος θεσσαλικὸν, ἀναγκάζειν ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα. σκευάσασθαι μέντοι χρὴ τὸ ξύλον ὥσπερ εἴρηται. ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ, κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβαλλέειν ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα, τὸν βραχίονα ξὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέειν ἀναγκάζειν καὶ ὑπὲρ δικλίδος θύρης, χρέεσθαι δὲ τούτοισιν ἃ ἂν τύχῃ παρεόντα.

Θρόνου τι τοιοῦτον ἦν σχῆμα κατὰ θετταλίαν μάλιστα πλεονάζον πάλαι, κατ' εὐθείας γραμμὰς ἀνατεταμένον εἰς ὕψος ὀρθὸν ἔχον, τὸ οἷον ἐπίκλιντρον τοῦ θρόνου, περὶ οὗ τὴν ἀντίτασιν ἀξιοῖ ποιεῖσθαι, καθάπερ ἔμπροσθεν ὑπὸ τοῦ στρωτῆρος ἐδίδαξεν. ὅπως δὲ χρὴ καθίζειν τὸν χειριζόμενον ἐπὶ τοῦ δίφρου, σαφῶς αὐτὸς ἐδήλωσε. τὸ δὲ αὐτὸ ποιεῖ καὶ ἐπὶ δικλίδος θύρας ἀναγκάζειν. εἰσὶ δέ τινες τοιαῦται θύραι κατὰ μέσον ἑαυτῶν ἔχουσαι δῆκον ξύλον ἰσχυρὸν, οἷον ὀλίγον ἔμπροσθεν ὁ στρωτὴρ, μεταξὺ τῶν δύο κιόνων ὑπάρχειν ἐλέγετο. τοῦ δὲ τοῦ ξύλου κάτωθεν μὲν ἑτέρα τίς ἐστιν ἀνοιγομένη θύρα, ἄνωθεν δὲ ἄλλη, καὶ διὰ τοῦτο δὴ καὶ τὴν θύραν δικλίδα εἴρηκεν, οἷον διπλῆν τινα περιέχουσαν ἐν ἑαυτῇ δύο θύρας μακράς. ὑπερβάλλειν οὖν κελεύει τὸν ἐξηρθρηκότα ὦμον ὑπὲρ τὸ μεταξὺ δύο θυρῶν ξύλον ἕνεκα τῆς ἀντιτάσεως.

Περὶ τῶν οὐχ ἑωραμένων Ἱπποκράτει ἐκπτώσεων.

Ὁ μὲν Ἱπποκράτης εἰς μασχάλην μόνον ἑωρακέναι φησὶν ὀλισθαίνοντα βραχίονα. τῶν δὲ μετ' αὐτὸν ἰατρῶν ἔνιοι καὶ ἄλλας ἐκπτώσεις ἔγραψαν ὡς οἷόν τε καὶ αὐτὰς, καὶ ἡμεῖς δὲ αὐτοὶ πεντάκις εἴδομεν ἄχρι δεῦρο. κατὰ μὲν τὴν ἀσίαν ἅπαξ, ἐν ῥώμῃ δὲ τετράκις. ὁσάκις δὲ οἶμαι καὶ συνέβη τινὶ γενέσθαι πάθημα τοιοῦτον ἐν τῇ πόλει, διὰ τὸ πάντας ἰατροὺς ἐοικέναι ἐμοὶ τὰ παράδοξα δεικνύναι συμβολῆς ἕνεκα. ἐγένοντο μὲν τέτταρες ἐκπτώσεις ἅπασαι μὲν ἐν τῇ πρόσω χώρᾳ, διαφέρουσαι δὲ ἀλλήλων πλησιέστερον ἢ πορρώτερον εἶναι τῆς διαρθρώσεως κατὰ τὸ μῆκος τοῦ κώλου καὶ πλάτος. ἐθαύμαζον δή πως τὸν μὲν οὐδ' ὅλως. τῶν δὲ μετ' αὐτὸν ἑωρακέναι λεγόντων, ὁ μέν τις ἅπαξ, ὁ δὲ δὶς, οὐδεὶς δ' οὕτω πολλάκις ὡς ἡμεῖς ἄχρι δεῦρο. τάχ' ἂν καὶ αὖθις ὀφθῇ μοι τι τοιοῦτον. νομίζω γὰρ οὐ κατὰ τύχην, ἀλλὰ δι' αἰτίας εὐλόγους, οὕτως ἀπηντηκέναι τὸ πρᾶγμα περὶ οὗ ἐξῆς ἐρῶ. κατὰ μέν γε τὴν ἡμετέραν ἀσίαν τὸ πρῶτον ἐθεασάμην ἔκπτωσιν τοιαύτην, ἔθ' ὑπὸ τοῖς ἐκεῖ διδασκάλοις παιδευόμενος ἐν σμύρνῃ. ἔστι δὲ ἡ πόλις αὕτη πολλαπλασία τὸ μέγεθος, ἧς Ἱπποκράτης μέμνηται συνεχῶς, ὡς ἐπὶ τὸ πλεῖστον ἐν αὐτῇ διατρίψας, μετὰ τὸ τριακοστὸν καὶ δεύτερον ἔτος ἐν ῥώμῃ διέτριψα, πόλει τοσοῦτον ἀνθρώπων πλῆθος ἐχούσῃ, ὥστε τολμῆσαι Πολέμωνα τὸν ῥήτορα τῆς οἰκουμένης ἐπιτομὴν αὐτὴν εἰπόντα. καὶ τοίνυν ὅτι τέτταρες ἐν αὐτῇ γεγόνασι μέχρι νῦν ἐξαρθρήσεις τοιαῦται, σαφῶς. διὰ δὲ τὸ πάντας ὡς ἔφην, ἐμοὶ τοὺς ἰατροὺς κοινοῦσθαι περὶ τῶν παραδόξως ὀφθέντων, οὐ μόνον ἐν ῥώμῃ λαθεῖν οὐκ ἐδύνατο συμβαῖνον τι τοιοῦτον, ἀλλ' οὐδὲ κατὰ τὸν λιμένα καὶ τὴν πλησίον αὐτοῦ πόλιν ἣν ὀστίαν ὀνομάζουσι, διὰ τὸ καὶ τοὺς ἐν ἐκείνοις τοῖς χωρίοις ἰατρεύοντας ἅπαντας εἶναι φίλους, οὖσι καὶ αὐτοῖς πολυανθρώποις. αἱ δὲ πόλεις ὧν Ἱπποκράτης ἐμνημόνευσεν, ὡς ἐν αὐταῖς ἐπὶ πλέον διατρίψας, ἑνὸς ἀμφόδου τῶν ἐν ῥώμῃ πλείονας οὐκ εἶχον οἰκήτορας. οὐδὲν οὖν θαυμαστὸν ἐν πόλει πλῆθος ἀνθρώπων ἐχούσῃ, πλείους ὁμοίως παθόντας. ἔτι δὲ κἀκεῖνο διδαχθεὶς ἀπὸ τῆς πείρας εἰς τὴν τῆς αἰτίας εὕρεσιν ἐποδηγήθην, ἔνιοι

μὲν γὰρ ἐν παλαίστραις τοιούτῳ τρόπῳ πεσόντων, ἐνίους δὲ ἔοικεν ὑπὸ τῶν ἰατρῶν γενέσθαι. δύο γάρ τινες τῶν ὀφθέντων μοι, τὴν μὲν ἔκπτωσιν ἔλεγον εἰς μασχάλην γεγονέναι, μοχλευόντων δὲ ἀμαθῶς τῶν ἰατρῶν, σφηνωθῆναι τὸ ἄρθρον, οὐχ ὡς ἑωρᾶτο κατὰ συμβολὰς τῶν μυῶν, ὥστε τῷ κατὰ τὴν τῶν ῥωμαίων πόλιν πλήθει, εἰ προσθείης τὰς εἰρημένας αἰτίας δύο ζητήσεις, οὐ διατί τοσοῦτος γε εἶδον, ἀλλὰ διατί γε οὐχὶ πλείους εἶδον, οἷς οὕτως ἐξήρθρησεν. ἐπεὶ γάρ τοι τῶν Ἱπποκράτους χρόνων οἱ ἰατρεύοντες ἐμεμαθήκεσαν νομίμως, καὶ μάλιστα περὶ τὰς τοιαύτας χειρουργίας τέχνην, οἱ δὲ νῦν μὴ μαθόντες ὅλως, ἢ παντάπασιν ὀλίγῳ χρόνῳ μαθόντες, εἶτα τῶν παλαισμάτων τῇ ἐμπειρίᾳ θαυμαστὸν ὅσον ἐπιδέδωκε τῶν διδασκόντων αὐτὰ πολυειδῶς, ἐκστρεφόντων καὶ λοξιζόντων τὰ κῶλα. ζητήσεις οὖν ἔφην οὐ διατί τοσούτους εἶπον, ἀλλὰ διατί πλείους οὐκ εἶδον ἐν τοσαύταις μυριάσιν ἀνθρώπων ὑπὸ πολλῶν μὲν παιδοτριβῶν, παμπόλλων δὲ ἰατρῶν ἀμαθῶν εἰς τοιαύτας ἐξαρθρήσεις ἀγομένων. ἡ δ' οὖν ἐμβολὴ καίτοι τῶν ἐξαρθρημάτων τοῖς αὐτοῖς τάσσεται τρόποις, ἀντιτάσει τε καὶ μοχλείᾳ καὶ ἀποθέσει. προσήκει δὲ οὐκ ἐπεὶ μασχάλης ἐκπτώσεως οὕτω καὶ νῦν δὴ μοχλεύειν. ἐπ' ἐκείνης δὴ γὰρ ἔδει πρόσω πρῶτον, εἶτ' ἄνω τὸ ἄρθρον ἄγειν, ἄχρις αὖ ἐπ' εὐθείας γένηται τῇ κοιλότητι. νῦν δὲ ἐπειδὴ πάντως μὲν ἐν τοῖς πρόσω μορίοις τῆς διαρθρώσεως ἐστίν, ἤτοι δ' ἐγκέκλεισται πρὸς τὴν ἔνδον ἢ τὴν ἔξω χώραν ἐσφηνωμένον, ἐν τοῖς μυσὶν ὠθεῖν αὐτὸ χρὴ πρὸς τὴν ἐναντίαν χώραν ἐμβαλόντα τῶν μυῶν ἀνασπασθὲν εἰς τὴν μασχάλην ἐνεχθῆναι. μάλιστα μὲν οὖν ὅτε ἡ ἀντίτασις ἐᾷ γενέσθαι τοῦτο, καὶ κατὰ ταύτην δὲ τὴν ἀντίτασιν οὐδὲ χεῖρον ἐστὶν ἠσφαλίσθαι τὸ κατὰ τὴν μασχάλην χωρίον, ὡς ἐπράξαμεν ἐν σμύρνῃ περὶ τὸ γενόμενον οὕτως ἐξάρθρημα. κατὰ παλαίστραν μὲν γάρ τινι συνέβη διαπλωθείσης τῆς χειρὸς ὑπὸ τοῦ παλαίοντος, ὅστις μάλιστα τρόπος εἰς τὸ πρόσω δύναται μεταστῆσαι τὸ ἄρθρον. ὕπτιον δὲ κατακλίναντες τὸν πεπονθότα, τὴν ἀντίτασιν ἐποιησάμεθα τῇ διὰ τῆς σπάρνης παραπλησίαν, ὄπισθεν μὲν καθίσαντές τινα, περιβάλλοντες δὲ τὴν μασχάλην πλατὺν ἱμάντος περὶ ὑποβεβλημένου τινὸς εἰς τὸ κοῖλον ἐκπληρώματος. αὐτοὶ δέ, ὡς ἔφην, ἔξω τῶν περιεχόντων τὸ ἄρθρον μυῶν ἀπώσαντες, εἶτ' ἀνέντες τὴν κατάτασιν ἐπιτρέψαμεν ἀνασπασθῆναι πρὸς τῶν μυῶν εἰς ἑαυτοὺς συντρεχόντων ἐμβληθήσεται τῇ κοιλότητι. τοῦτο μὲν οὖν εὐκόλως ἐνέπεσε, καὶ γὰρ παραχρῆμα κατ' αὐτὴν τὴν παλαίστραν ἐπιχειρήσαμεν τῇ θεραπείᾳ. καὶ ἤρκεσέ γε ἡ τῆς πεπονθυίας χειρὸς ἡ κατάτασις ὑφ' ἡμῶν αὐτῶν γενομένη, καθάπερ ἐπὶ τοῦ διὰ τῆς σπάρνης τρόπου, ἄλλοτε δὴ καὶ διὰ βρόχου τὴν κατάτασιν ἐποιησάμεθα. χρὴ δὲ ἰσότονον εἶναι τὸν βρόχον, οἷος ἐστὶν ὅτε διπλοῦς καρχήσιος, ὅτ' ἐκ δυοῖν διαντέων, ἄλλοτε δὲ κεχρονισμένου τοῦ ἐξαρθρήματος ἐδεήθημεν τοῦ Ἱπποκρατείου βάθρου, περὶ οὗ ποιήσει τὴν διδασκαλίαν αὐτὸς ἐπὶ τελευτῇ τοῦ συγγράμματος, νυνὶ δὲ ἀρκέσει τῶν κατωλισθημάτων. ἑξῆς οὖν αὐτῷ περὶ τῆς διαφορᾶς αὐτῶν τῶν σωμάτων, ἐν οἷς ἧττον καὶ μᾶλλον ἐκπίπτει τὰ ἄρθρα, διδάσκοντι συνακολουθήσωμεν.

Εἰδέναι μὲν οὖν χρή, ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν, ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. διενέγκοι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ ἧσσον. πλεῖστον δὲ διαφέρει καὶ τῶν νεύρων ὁ σύνδεσμος, τοῖσι μὲν ἐπιδόσιας ἔχων, τοῖσι δὲ ξυντεταμένος ἐών.

Συντελέσας τὸν περὶ τῶν ἐμβολῶν λόγον, ἤρξατο νῦν διδάσκειν αἰτίας. τισὶν ἐκπίπτει μὲν οὖν ῥᾳδίως, ἐμβάλλεταί γε χωρὶς τῆς μεγάλης πραγματείας ὁτιοῦν ἄρθρον. ἐν οἷς δὲ ἐκπίπτει ὀλιγάκις, ἐμβάλλεταί γε χαλεπῶς. εἴρηται δὲ ὑφ' ἡμῶν ἔμπροσθεν ἤδη, τήν τε τῶν ὀστῶν διάρθρωσιν αἰτιωμένων, τήν τε τῶν προκειμένων αὐτοῖς μυῶν, ἤτοι συντονίαν, ἢ χαλαρότητα.

Καὶ γὰρ ἡ ὑγρότης τοῖσιν ἀνθρώποισι γίνεται ἡ ἐκ τῶν ἄρθρων, διὰ τῶν νεύρων τὴν ἀπάρτισιν, ἣν χαλαρά τε ἔῃ φύσει, καὶ τὰς ἐπιτάσιας εὐφόρως φέρει. συχνοὺς γὰρ ἄν τις ἴδοι οἳ οὕτως ὑγροί εἰσιν, ὥστε ὁπόταν ἐθέλωσιν, τότε αὐτοῖσι τὰ ἄρθρα ἐξίστανται ἀνωδύνως, καὶ καθίστανται ἀνωδύνως.

Ἐνηλλαγμένως μοι δοκεῖ τὴν ἑρμηνείαν ποιεῖσθαι. διὰ γὰρ τὴν ὑγρότητα τῆς φύσεως τοῦ ἀνθρώπου γιγνομένων τῶν νευρωδῶν σωμάτων χαλαρῶν, οὐ διότι ταῦτα ἐστὶ χαλαρά, διὰ τοῦτο ὑγραινομένων τῶν περὶ τὰ ἄρθρα. ἡ λέξις αὐτοῦ τὸ ἐναντίον εἴρηκε, δοκεῖ μοι βουληθεὶς τὴν ἑτοιμοτάτην ἐπὶ πλέον ἔκτασιν τῶν νευρωδῶν ποιεῖσθαι σωμάτων ἐκ τῆς τῶν ἀνθρώπων ὑγρότητος, οὐ κρατεῖσαι τούτων κατὰ τὴν ἑρμηνείαν, ἀλλὰ χρησάμενος οὐ κυρίως λίαν συνδέσμῳ, πρὸς τὴν τῆς αἰτίας νόησιν ἄγει τοὺς ἀναγινώσκοντας.

Διαφέρει μέντοι καὶ ἕξις τοῦ σώματος. τοῖσι μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοισιν ἐκπίπτει τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον. σημήϊον δὲ ὅτι ταῦτα οὕτως ἔχοι τόδε. τοῖσι γὰρ βουσί, τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ σφῶν αὐτῶν λεπτότατοι ἔωσι. γίνονται δὲ καὶ βόες λεπτότατοι, τοῦ χειμῶνος τελευτῶντος, τότε οὖν καὶ ἐξαρθρέουσι μάλιστα. εἰ δή τι καὶ τοιοῦτο δεῖ ἐν ἰητρικῇ γράψαι, δεῖ δέ.

Αἱ μὲν φύσεις καὶ διαφοραὶ τῶν ἄρθρων, ἐφ' αἷς ἢ τὸ ῥᾳδίως, ἢ μόγις, αἵτε ἐξαρθρήσεις καὶ ἐμβολαὶ γίνονται, δύο εἰσίν, ἃς ἐγὼ πολλάκις εἶπον, ἔν τε τῇ πρὸ ταύτης ἔγραψε ῥήσει. προσέρχεται δὲ αὐταῖς ἐνίοτε καὶ τρίτη περὶ

ἧς νῦν διδάσκει κατὰ πάχος τε καὶ λεπτότητα τοῦ σώματος γιγνομένην, ἣν ὀνομάζουσι σχέσιν. ὅσοι γὰρ αὖ εὐρεθῶσι σαρκωδέστεροι γεννηθεῖσιν ἑαυτῶν οἱ ἄνθρωποι, τοσούτῳ δυσκολώτεροι αἵ τε ἐμπτώσεις τῶν ἄρθρων αὐτοῖς, αἵ τε ἐμβολαὶ συντελοῦνται, διὰ τὸ σφίγγεσθαι πανταχόθεν αὐτὰ τῷ πλήθει τῶν σαρκῶν. ἔμπαλιν δὲ τοῖς λεπτυνθεῖσι, χαλαρὸν μὲν τὸ δέρμα γίνεται τῶν περικειμένων ταῖς ἀρθρώσεσι σαρκῶν, ὀλίγοισί τε εἴκει ταῖς διαρθρώσεσιν. ἐὰν μέντοι τις ἰσχνὸς ᾖ φύσει, κάκιον ὀλίγον ἔχει τοῦ παχυτέρου. δέδεικται γὰρ ἐν τοῖς περὶ κράσεων ὁ μὲν ἰσχνότερος φύσει ξηρότερος ὢν τὴν κρᾶσιν, ὁ δὲ παχύτερος ὑγρότερος, ὥστε τῶν μὲν ἰσχνῶν σύντονος οὖσα τῶν μυῶν ἡ οὐσία σφίγγει τὴν διάρθρωσιν. τῶν δὲ παχυτέρων, καθόσον μὲν πλείους αἱ σάρκες εἰσὶν, ἀποκλείουσί γε τὴν πέριξ τῶν ἄρθρων χώραν, καθόσον δὲ μαλακαὶ, ῥᾳδίως ἀνατρέπονται, παραδέχονται τὰς κεφαλὰς ἐξῆς τῶν διισταμένων φαλακρῶν ὀστῶν, ὥστε ἀνίστασθαι τὰ κατὰ τὰς ἐκπτώσεις ἑκατέροις. εἰ μέντοι τις εὔσαρκος φύσει κατά τινα καιρὸν ἰσχνότερος ἑαυτοῦ γίνεται, ῥᾷον αὖ ἐκπίπτει τε τούτῳ, καὶ αὖθις ἐμπίπτει ἐπὶ τὸν καιρὸν ἐκεῖνον ἢ πρόσθεν, ὥσπερ καὶ εἰ σαρκωθείη τις, ὢν φύσει λεπτὸς, ἐκπίπτει τ' αὖ αὐτῷ μόγις, ἐμβάλοιτό τε χαλεπῶς. τούτου τε λόγου τὰ κατὰ τοὺς βοῦς φαινόμενα γράφει μαρτυρεῖα, σαφῶς ἑρμηνεύων ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι, πλὴν εἰ λέξις τις εἴη μία που καὶ δύο τοιαῦται περὶ ὧν ἐπισημαινοῦμαι κἀγώ.

Καλῶς γὰρ Ὅμηρος καταμεμάθηκεν, ὅτι πάντων τῶν προβάτων βόες, ὅτι μάλιστα πονέουσι ταύτην τὴν ὥρην, καὶ βοῶν οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν ἐκπίπτει μάλιστα, οὗτοι γὰρ μάλιστα λεπτύνονται. τὰ τῶν γὰρ ἄλλα βοσκήματα δύναται βραχεῖαν τὴν ποίην βόσκεσθαι, βοῦς δὲ οὐ μάλα, πρὶν βαθεῖα γένηται. τοῖσι μὲν γὰρ ἄλλοισιν ἐστὶ λεπτὴ ἡ προβολὴ τοῦ χείλεος, λεπτὴ δὲ ἡ ἄνω γνάθος. βοὶ δὲ παχεῖα μὲν ἡ προβολὴ τοῦ χείλεος, παχεῖα δὲ ἡ ἀμβλεῖα ἡ ἄνω γνάθος, διὰ ταῦτα ὑποβάλλειν εἰς τὰς βραχείας ποίας οὐ δύνανται.

Πρόβατα νῦν εἶπεν ἅπαντα τὰ βοσκήματα, καθάπερ ἐν τῷ περὶ ἱερῆς νόσου γέγραπται κατὰ λέξιν οὕτως. οὐκ »
ἔστιν ἄλλο πρόβατον οὐδὲν ἢ βόες καὶ αἶγες. καὶ τὸ παρὰ τῷ ποιητῇ τοιοῦτον ἐστὶν, ἔνθα φησὶ, πολλά τε οἱ πρόβατα »
ἐστί. βούλεται γὰρ ἀγέλας βοσκημάτων δηλοῦν. ἐχρήσαντο καὶ ἄλλοι οὕτως τῶν παλαιῶν τῇ φωνῇ.

Τά τε αὖ μώνυχα τῶν ζώων, ἅτε ἀμφόδοντα ἐόντα. δύναται μὲν γὰρ σαρκάζειν, δύναται δὲ ὑπὸ τὴν βραχεῖαν ποίην ὑποβάλλειν τοὺς ὀδόντας, καὶ ἥδεται τῇ οὕτως ἐχούσῃ ποίῃ μᾶλλον, ἢ τῇ βαθείῃ. καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων, καὶ στερεωτέρη ἡ βραχεῖα ποίη τῆς βαθείης, ὅτι καὶ πρὶν ἐκκαρπεῖν τὴν βαθεῖαν. διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη. ὡς δ' ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν. ὅτι ἀσμενωτάτη τοῖσι αὖ τοῖσιν ἡ βαθεῖα ποίη φαίνεται. ἀτὰρ καὶ ἄλλως ὁ βοῦς χαλαρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων, διὰ τοῦτο καὶ εἰλίπους ἐστὶ μᾶλλον τῶν ἄλλων ζώων, καὶ μάλιστα ὅταν λεπτὸν καὶ γηραλέον ἔῃ, διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοῒ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτοῦ, ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστι. περὶ οὗ νῦν ὁ λόγος, τοῖσιν ἀσάρκοισι μᾶλλον ἐκπίπτει, ὡς θᾶσσον ἐμπίπτειν, ἢ τοῖσιν εὖ σεσαρκωμένοισι, καὶ ἧσσον ἐπιφλεγμαίνουσι τοῖσιν ὑγροῖσιν καὶ τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σκελιφροῖσι, καὶ σεσαρκωμένοισι.

Τὸ σαρκάζειν, ἔνιοι μὲν δηλοῦν φασὶ συνάγειν ἀλλήλοις τὰ χείλη σφοδρῶς οὕτως, ὡς δύνασθαι καὶ ἀποσπᾶσθαι τι βοτάνης μόριον ὑπ' αὐτῶν. ἔνιοι δὲ τὸ, τοῖς ὀδοῦσι τὸ κάτω μετὰ τοῦ ἄνω χείλους ἐργάζεσθαι ταυτὸ, ἐπειδὴ καὶ οἱ σαρκάζοντες τινὲς δάκνουσι τοῖς ὀδοῦσι τὸ χεῖλος. ἀλλ' ἐκεῖνοι μὲν τοῖς ἄνωθεν ὀδοῦσι τὸ κάτω χεῖλος δάκνουσι. τὰ δὲ μηρυκίζοντα τὸν κάτω στοῖχον μόνον ἔχοντα τῶν ὀδόντων, χρῆσθαι πρὸς τοὺς δάκνοντας. διότι μὲν ὠνόμασται φασὶ σαρκάζειν, ἐπειδὴ καὶ σαρκοφαγοῦντα τοῖς ζώοις ἑκατέροις χρῆται. καὶ τούτοις ἔοικε τὰ συμφραζόμενα τῇ λέξει μαρτυρεῖν, οὐ τὰ μηρυκίζοντα τῶν ζώων, εἰρηκότος αὐτοῦ σαρκάζειν. ἀλλὰ τὰ τοὺς δύο τῶν ὀδόντων ἔχοντα στοίχους, ἃ καλοῦσι ἀμφόδοντα. ταῦτα μὲν δύναται καὶ τὰς βραχείας νέμεσθαι πόας, τουτέστι βοτάνας, οἷον ἵπποι, καὶ ὄνοι καὶ ἡμίονοι. τῶν δὲ τὸν ἕνα στοῖχον ἐχόντων, ἐκεῖνα μόνα δύνανται οἷς λεπτή τοῦ χείλους ἐστὶν προβολὴ, καὶ διὰ τοῦτο μόνοι τῶν βοτάνας ἐσθιόντων ζώων οἱ βόες ἀποποροῦσι τροφῆς ἐν χειμῶνι, διότι μήτε σαρκάζειν δύνανται τὴν βραχεῖαν πόαν, τουτέστι τοῖς ὀδοῦσι ἀποτέμνειν αὐτὴν, μηδὲ τοῖς χείλεσι παραλαμβάνειν δύνασθαι τὴν βραχεῖαν πόαν, ὁμοίως ἔξει καὶ προβάτοις. ταῦτα μὲν οὖν τὰ τρία γένη τῶν ζώων ἔχει χηλάς. μώνυχα δέ ἐστι τὰ ἀμφόδοντα, συνηρημένου τοῦ ὀνόματος, ὥς φασιν τὰς ἐτυμολογίας κομῶντες, ἐκ τοῦ μονώνυχας, ἐπειδὴ περιέχουσιν ὄνων ὄνυχας. τοιοῦτον γὰρ ἐν τοῖς ὁπλοῖς ἔχουσι ζώοις, οἷς ἐστι τὸ κατ' ἄκρους τοὺς πόδας, οἷον ἀνθρώποις οἱ ὄνυχες, καὶ ἧσσον ἐπιφλεγμαίνει τούτοις, ὅτι καὶ ῥᾷον ἐκπίπτει. τούτῳ γὰρ ἕπεται καὶ τὸ ἐμβάλλεσθαι. τούτοις δ' αὖ πάλιν τὸ μικρὰν, ἢ μηδ' ὅλως ἕπεσθαι φλεγμονήν. ἐν γὰρ ταῖς βιαίοις ἐκπτώσεσιν, ὥσπερ καὶ ταῖς ἐμβολαῖς ὀδύναι γίνονται τοῖς μυσὶν, αἷς ἕπονται φλεγμοναί.

Καὶ ἧσσόν γε δέδεται ἐς τὸν ἔπειτα χρόνον. ἀτὰρ καὶ ἡ μύξα πλείων ὑπείη τοῦ μετρίου μὴ ξὺν φλεγμονῇ, καὶ οὕτως ἂν ὀλισθηρὸν εἴη. μυξωδέστερα γὰρ τοὐπίπαν τὰ ἄρθρα τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σεσαρκωμένοισιν ἐστίν.

Ἄπαντα δύναται λέγειν δῆλον ὄντα χρόνον, τόν τε μετὰ τὴν ἐμβολὴν εὐθέως ἐν ᾧ θεραπεύονται τὰ φλεγμαίνοντα μόρια, καὶ τὸν τῆς διαδεχομένης αὐτὸν ἐξῆς ὀχλήτου καταστάσεως. ὁ μὲν γὰρ μετὰ τὴν ἐμβολὴν εὐθέως, ὅταν μετὰ φλεγμονῆς ᾖ, διὰ αὐτὴν ἐκείνην ἔχει ἐσφιγμένον τὸ ἄρθρον, ὡς καὶ αὐτὸς εἴρηκεν. ὁ δὲ μετὰ τὴν θεραπείαν, ὅτι σύντονός ἐστιν ἤδη τῶν τοιούτων ἀνθρώπων ἡ τῶν μυῶν οὐσία, καὶ ὅτι διὰ τὰς προγινομένας φλεγμονὰς μεγάλας οὔσας ὑπολείπεταί τις ἐν τοῖς μυσὶ σκληρότης ὡς ὑπὸ δεσμοῦ σφίγγεται τὸ ἄρθρον.

Καὶ γὰρ αὗται αἱ σάρκες τῶν μὴ ἀπὸ τέχνης ὀρθῶς λελιμαγχημένων, αἱ τῶν λεπτῶν μυξωδέστεραί εἰσιν, ἢ αἱ τῶν παχέων. ὁκόσοισι μέντοι ξὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δήσασα ἔχει τὸ ἄρθρον. διὰ τοῦτο οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα, ἐκπίπτοντα ἂν εἰ μή τι, ἢ πλέον, ἢ ἔλασσον φλεγμονῆς ὑπεγένετο. οἷσι μὲν οὖν ὅταν ἐμπέσῃ τὸ ἄρθρον, καὶ μὴ ἐπιφλεγμήνῃ τὰ περιέχοντα, χρῆσθαί τε ἀνωδύνως αὐτίκα τῷ ὤμῳ δύνανται. οὗτοι μὲν οὐδὲν νομίζουσι δεῖν ἑωυτῶν ἐπιμελεῖσθαι. ἰητροῦ μὲν ἐστι καταμαντεύσασθαι τῶν τοιούτων. τοῖσι τοιούτοισιν ἐκπίπτει, καὶ αὖθις μᾶλλον, καὶ οἷσιν ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα, τοῦτο κατὰ πάντα τῷ ἀνθρώπῳ οὕτως ἔχει, καὶ μάλιστα κατ' ὦμον, καὶ κατὰ γόνυ. μάλιστα γὰρ οὖν καὶ ὀλισθαίνει ταῦτα. οἷσι δ' ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα, οὐ δύνανται χρέεσθαι τῷ ὤμῳ. κωλύει γὰρ ἡ ὀδύνη, καὶ ἡ ξύντασις τῆς φλεγμονῆς. τοὺς οὖν τοιούτους ἰᾶσθαι χρὴ κηρωτῇ καὶ σπλήνεσι, καὶ ὀθονίοισι πολλοῖσιν ὑποδέοντα. ὑποτιθέναι δὲ ἐς τὴν μασχάλην εἴριον μαλθακὸν, καθαρὸν ξυνειλίσσοντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ᾖ, ἀνακωχέῃ δὲ τὸ ἄρθρον. τὸν δὲ βραχίονα ἐς τὸ ἄνω ῥέποντα, ἴσχειν χρὴ τὰ πλεῖστα, οὕτω γὰρ ἂν οἴη ἑκάστῳ εἴη χωρίου ἐς ᾧ ὄλισθεν ἡ κεφαλὴ τοῦ ὤμου. χρὴ δὲ ὅταν ἐπιδήσῃς τὸν ὦμον, ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα.

Ὅσοι διὰ λιμὸν, ἢ διὰ πολυεργίαν, ἢ πένθος, ἢ λύπην, ἢ ἀνορεξίαν ἐνδεῶς προσφερόμενοι, τροφὴν ἐλεπτύνθησαν, οὐκ εὐθέως αἱ σάρκες αὐτοῖς γίνονται ξηραὶ, καθάπερ τοῖς ὑπὸ τέχνης ὀρθῶς λελιμαγχημένοις. ἀλλ' ὑγροτέρας τοὐπίπαν ἐν ἁπάσαις εἴρηκε περιστάσεσιν ἀποτελεῖσθαι, συντήξεων τινῶν ἐν αὐταῖς γιγνομένων διὰ τὴν ἔνδειαν. οἷς δὲ καὶ λυπεῖσθαι πρόσεστι, καὶ μᾶλλον οὗτοι συντήκονται δὴ, καὶ μελεδῶνας οἱ ποιηταὶ τὰς λύπας καλοῦσιν ἐν ἴσῳ τὰ μέλη ἐδούσας καὶ κατεσθιούσας. συντήκεται δὲ ἐν αὐταῖς ἥ τε πιμελὴ πᾶσα, καὶ ὅση μαλακὴ, καὶ ὧν νεοπαγής ἐστι σάρξ. ὅταν δὲ ἰατρὸς ἑκὼν ἰσχνότερον ἐργάζηταί τι σῶμα μετ' εὑρημένοις τε τοῦ πράττειν, καὶ μετὰ τοῦ τρίβεσθαι ὅτε χρή. εἴ τις γένοιτο σύντηξις, ἐκκενοῖ αὐτὴν, εἴτε διὰ τῶν ἱδρώτων αἰσθητῶς, ἢ λόγῳ θεωρητῶς κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. εἰκὸς δὲ δήπου καὶ τῶν ἐδεσμάτων τε καὶ πομάτων οὐκ ἀμελῶς ἔχειν αὐτὸν, ἀλλὰ καὶ διὰ τούτων ἐπιχειρεῖν εὐλύτους ἐργάζεσθαι τὰς ἐκκρίσεις ἁπάσας, οὐ μόνον ὅσαι διὰ τῆς γαστρὸς, ἀλλὰ καὶ διὰ τῶν οὔρων γιγνομένας. οὕτω γὰρ ἂν μάλιστα πανταχόθεν, εἴ τις εἴη κατὰ τὸ σῶμα διὰ τὴν σύντηξιν ὑγρότης, περὶ τὴν κένωσιν ἔξω τοῦ σώματος ποιοῖτο. μένουσα γὰρ ἔνδον, ὑπομυξώδεις τῷ χρόνῳ τὰς σάρκας ἐργάζεται. κατὰ τὴν ἄδηλον διαπνοὴν αὐτοῦ τῶν ἄλλων μᾶλλον γιγνομένην. ὅσον μὲν γὰρ ἀκριβῶς λεπτόν ἐστιν, καὶ ὀρρῶδες ἐν τοῖς συντήγμασιν, ἀπέρχεταί τε καὶ διαφορεῖται. τὸ δὲ ὑποπαχύτερον ὑπομένει μόνον, ὅπερ ἐν τῷ χρόνῳ γλισχρότητά τινα προσλαμβάνον, ὅμοιον μύξῃ γίγνεται.

Χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχέως καὶ λιπαρῶς. πολλῶν δὲ ἔμπειρον δεῖ εἶναι τὸν ἰητρὸν, ἀτὰρ δὴ καὶ ἀνατρίψιος. ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος οὐ τὸ αὐτὸ ἀποβαίνει. καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις χαλαρώτερον τοῦ καιροῦ ἐὸν, καὶ λύσειεν ἄρθρον, σκληρότερον τοῦ καιροῦ ἐὸν, ἀλλὰ διοριεῖται ἡμῖν περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ. τὸν γοῦν τοιοῦτον ὦμον μαλθακοῖσι χρὴ χερσὶν ἀνατρίβειν, συμφέρει γὰρ καὶ ἄλλως πρηέως.

Εἰς τὸ μηδὲν ὑπολειφθῆναι λείψανον τῆς φλεγμονῆς σκιρρῶδες, ἐπιτήδειός ἐστιν ἡσύχως τε καὶ λιπαρῶς ἡ τρίψις γιγνομένη. χρὴ δ' αὐτὴν ποιεῖσθαι πολυειδῶς, περιφέρεσθαι τὰς χεῖρας ἄνωθέν τε κάτω, καὶ κάτωθεν ἄνω, κἄπειτα δόξας οὐ κάτωθεν ἄνω μόνον, ἀλλὰ καὶ ἄνωθεν κάτω. καὶ μὲν δὴ καὶ τὰς ἐν κύκλῳ τε καὶ οἷον ἐγκαρσίας ἀπό τε τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ, καὶ αὖθις ἐπ' ἐκείνων ἐπὶ τὰ δεξιὰ, χάριν τοῦ τὰς ἶνας ἁπάσας μαλάττεσθαι τῶν μυῶν. τὸ γὰρ τῆς ἀνατρίψεως ὄνομα, τοῖς παλαιοῖς ἀντὶ τοῦ τῆς τρίψεως ἐλέγετο. μὴ τοίνυν ὑπονοήσεις

πῶς

πῶς ἔδοξαν τινὲς ἀξιοῦν αὐτὸν ἐκ τῶν κάτω μερῶν ἄνω ποιεῖσθαι τὴν φορὰν τῶν χειρῶν ὁπότε τὸν ὦμον ἀνατρίβοιμεν, ἀλλὰ τὸ ἀνατρίβειν αὐτὸ συμβαίνει, ὅλου τοῦ γένους τῶν τρίψεων ὂν δηλωτικόν, οὐ μιᾶς διαφορᾶς τῆς κάτωθεν ἄνω. δῆλον δὲ τοῦτο ποιεῖ λέγων αὐτὸς, ἀλλὰ διηγεῖται περὶ ἀνατρίψεως ἐν ἄλλῳ λόγῳ. οὐ γὰρ δήπου τὸν περὶ μιᾶς διαφορᾶς λόγον γράφειν ἐπαγγέλλεται, τὰς ἄλλας λιπών. καὶ μέντοι κἀν τῷ κατ' ἰητρεῖον ἁπάσας ἐδήλωσεν αὐτὰς, ὀνομάζων κἀκεῖ τὸ γένος ὅλον, ἀνάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι, καὶ τὰ τούτοις ἐφεξῆς. ὑπὲρ ὧν ἔν τε τοῖς εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήμασι λέλεκται, καὶ μέντοι κατὰ τὴν ὑγιεινὴν πραγματείαν εἴρηται τελεώτατα.

Τὸ δὲ ἄρθρον διακινέειν μὴ βίῃ, ἀλλὰ τοσοῦτον ὅσον ἀνωδύνως κινήσεται. καθίσταται δὲ πάντα, τὰ μὲν ἐν πλείονι χρόνῳ, τὰ δ' ἐν ἐλάσσονι.

Οὐδὲν ἐστι χρησιμώτερον τῆς τοιαύτης κινήσεως ἐν παρακμαζούσαις φλεγμοναῖς. λύει γὰρ αὐτῶν τὸ λείψανον ἅπαν ἐξ οὗ πέφυκεν ἀμεληθέντος, ἀγκυλοῦσθαί τε καὶ δεσμεῖσθαι τὰ ἄρθρα. καλοῦσι γὰρ ἑκατέρως τὸ πάθημα.

Γινώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων, τούτοισι χρὴ τοῖσι σημείοισι.

Κἀν τῷ περὶ τῶν ἀγμῶν ἤδη τοὺς ἁμαρτάνοντας ἥκει τῷ λόγῳ πρότερον, καὶ νῦν οὕτω πράξας, ἐπειδὴ συνάψας τὸν πρὸς ἐκείνους ἔλεγχον, καὶ περὶ τῆς ἐμβολῆς εἶπεν, οὐ μόνον ἑπομένοις τοῖς εἰρημένοις, ἀλλὰ καὶ μαρτυροῦσιν ἐπ' ἐκείνην ἀφίκετο πρότερον, εἶθ' ἑξῆς νῦν διδάσκει τὰ γνωρίσματα τοῦ κατ' ὦμον ὀλισθήματος. ἤδη μὲν τῶν ἔργων τῆς τέχνης, ἐξ ἀνάγκης προηγούμενα, κατὰ δὲ τὴν διδασκαλίαν, οὐκ ἐξ ἀνάγκης. ἔστω δὲ τὸ γνώρισμα τῶν ἑπομένων ἢ προηγουμένων ἐξ ἀνάγκης τὸ μὴ δύνασθαι καλῶς ἤτοι πραχθῆναι τὸ ἑπόμενον ἔργον, ἢ νοηθῆναι τὸ μάθημα, πρὶν γνωρισθῆναι τὸ ἡγούμενον. ἡ τοίνυν ἐμβολὴ τῶν ἐξαρθρησάντων, πρὸ μὲν τοῦ νοηθῆναι τὴν μετάστασιν τοῦ ἐκπεσόντος εἴς τι χωρίον ἐγγύς, διδαχθῆναι σαφῶς οὐ δύναται, πρὶν μέντοι τὰ σημεῖα μαθεῖν αὐτῆς, ἐγχωρεῖ διδαχθῆναι. μόνον γοῦν τοῦτο μεμαθηκότος ἐν ἀρχῇ τοῦ λόγου τὸ γίγνεσθαι τὴν ἔκπτωσιν εἰς μασχάλην, αὐτοί γ' ἐπινοῆσαι τὴν ἐμβολὴν ἐδυνάμεθα, καὶ διδάσκοντος ἑτέρου μαθεῖν, οὐ μὴν αὐτό γε τοῦ γνῶναι σαφῶς, ὅτι εἰς μασχάλην ἔκπτωσις γίγνεται, πρὸ τοῦ γνῶναι τὴν φύσιν ἅπασαν τῆς διαρθρώσεως. εἰ μὲν οὖν τις εἰπὼν ἐμβολὴν, ἐφεξῆς διδάσκει ποίας διαφορᾶς ὀλισθήματος εἴρηκεν ἐμβολὴν, ἐναλλάττει τάξιν ἀναγκαίαν, ὥσπερ εἰ καὶ ὅλον τις ἤδη τὴν διαφορὰν τῆς ἐκπτώσεως ἀφικόμενος, ἐν τῇ διδασκαλίᾳ πρότερον αὐτῆς ἐπὶ τὴν φύσιν ἔρχεται τῆς διαρθρώσεως. εἰ γὰρ ὅλως ἐνόησέ τις ὅπως εἰς μασχάλην ἔκπτωσις γίγνεται, περιττὸν αὐτῷ διδάσκεσθαι τὴν φύσιν τῆς διαρθρώσεως. εἰ δὲ πρώτην μὲν ἀκουστέον, ὡς μάθοι ταύτην ὁποία τίς ἐστιν, ἐφεξῆς δὲ τὴν ἔκπτωσιν, οὐδὲν ἐνδεῖ τοῦτο πρὸς τὴν τῆς ἐμβολῆς διδασκαλίαν, ἀμέλει καὶ νῦν ἡμῖν οὐδὲν ἐγγίνεται εἰς τὴν τῶν ἐμβολῶν νόησιν ἡ τῶν σημείων ἄγνοια, καὶ τοῦτο ἐν πάσῃ διδασκαλίᾳ θεραπείας ἐστί. δύναται γάρ τις ἥπατος φλεγμονῆς διδάσκεσθαι θεραπείαν, ἢ κοιλίας, ἢ νεφρῶν, ἢ κώλου πρὸ τῆς διαγνώσεως τῶν ἐν αὐτοῖς παθῶν, οὐ μὴν θεραπεῦσαι δύναται πρὸ τῆς διαγνώσεως, ὥσπερ οὐ κατὰ μέθοδον, ἢ εὑρεῖν τὴν θεραπείαν, ἢ διδαχθῆναι πρὸς ἑτέρου, πρὶν ἀκριβῶς γνῶναι τοῦ θεραπευομένου μορίου τὴν φύσιν.

Τοῦτο μὲν, ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα, παραδείγματι χρέεσθαι δεῖ τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς, καὶ τὸ μὴ ὑγιὲς πρὸς τὸ ὑγιὲς, μὴ τ' ἀλλότρια ἄρθρα καθορῶντα.

Τὸ ἀκριβῶς ἴσον ἑκατέρωθεν, ἐκ δεξιῶν γε καὶ ἀριστερῶν δίκαιον ὠνόμασεν, ἐπειδὴ τῶν κώλων ἰδέαι διάφοροι τοῖς ἀνθρώποις εἰσὶν, ἀξιοῖ παραβάλλεσθαι τὸ τοῦ πεπονθότος αὐτοῦ κῶλον ὁμόζυγον, ἐξ ἐκείνου τε τεκμαίρεσθαι πόσον ἐξήλλακται τοῦ κατὰ φύσιν.

Ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασιν, ἀλλὰ τὰ αὐτὰ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς τῷ κάμνοντι.

Τοὺς ἐκκείμενα καὶ προὔχοντα κεκτημένους τὰ ἄρθρα, κέκληκεν ἐξαρθρους ἐν αὐτῷ τῷ κατὰ φύσιν ἔχειν.

Καὶ τοῦτο εἰρήσεται μὲν ὀρθῶς. παραξυνίεσιν δὲ ἔχει πάνυ πολλὴν διὰ τὰ τοιαῦτα, καὶ οὐκ ἀρκέει μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην, ἀλλὰ καὶ ὁμιλίῃ ὁμιλέειν.

Οὐχ ἁπλῶς ἅπασαν ἄγνοιαν ὀνομάζει παρασύνεσιν, ἀλλὰ τὴν παρακειμένην τε καὶ τὴν πλησιάζουσαν τῇ γνώσει. διδάξει δ' αὐτὸς διὰ τῶν ἐφεξῆς ὅπως ἐξαπατᾶσθαι συμβαίνει τοῖς ἐνίοτε παραβάλλουσι τὸ ἐφεξῆς τὸ ὑγιὲς τῷ πεπονθότι, ἢ καὶ ἀπὸ ἄλλης προφάσεως οὐκ ἐξεστεῶτων αὐτῶν τῶν ἄρθρων, ὅμως οὐ δύνανται εἰς τὰ ὅμοια.

Πολλοὶ γὰρ ὑπὸ ὀδύνης ἢ ὑπὸ ἀλλοίης προφάσιος οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται ἐς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷά περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προσξυνιέναι δὲ δεῖ οὖν καὶ ἐννοεῖν, καὶ τὸ τοιόνδε σχῆμα χρὴ, ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη, πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος. τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον, καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ἐξέχον φαίνεται, ἅτε ὑποδεδυκότος τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου.

Μίαν μὲν τήνδε παρασύνεσιν, ὡς αὐτὸς ὠνόμασεν ἐδίδαξεν ἐν τῷ νῦν λόγῳ περὶ τὰ σχήματα γιγνομένην,

ἐνίοτε γὰρ οὐ δύναντα τινὰ σχήματα περιτιθέναι τοῖς πεπονθόσι κώλοις, οἱ κάμνοντες δὲ οὐ διὰ ἐκπτῶσιν ἄρθρου τοῦτο πάσχουσι, ἀλλὰ διὰ ὀδύνην ἢ σύστασιν μυός. ἐφεξῆς δὲ ἑτέραν ἄγνοιαν διδάσκει.

Παραξυνίεσιν μὲν καὶ ἐν τούτῳ ἔχει τινά, ἀλλ' ὕστερον περὶ αὐτοῦ γεγράψεται, ἄξιον γὰρ γραφῆς ἐστι.

Τὸ κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεσθαι τὸ χωρίον ἔχειν τινὰ διαμαρτίαν φησίν, ἣν ὕστερον ἐρεῖν ἐπαγγέλλεται. γίνεται γάρ ἐνίοτε τοῦτο διασπασθείσης τῆς κλειδὸς ἀπὸ τῆς ὠμοπλάτης.

Τοῦ δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων, ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μὲν, ἐπιπόνως δέ.

Τοῦτο σημεῖον ἔχει παρακείμενον σφάλμα, καὶ εἰ ἔτι ὁ κατὰ τὴν μασχάλην ἀγκὼν ὑποπιπτούσης ἐνταῦθα τοῖς ἀπηρτημένοις τῆς κεφαλῆς τοῦ βραχίονος, διὰ ἣν οὐδὲ προσάγειν δύναται ταῖς πλευραῖς τὴν χεῖρα χωρὶς ὀδύνης μεγάλης.

Τοῦτο δὲ ἄνω τὴν χεῖρα ἆραι παρὰ τὸ οὖς, ἐκτεταμένου τοῦ ἀγκῶνος οὐ μάλα δύναται, ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημεῖα ταῦτά ἐστιν ὤμου ἐκπεπτωκότος, αἵ τε ἐμβολαὶ αἱ γεγραμμέναι, αἵ τε ἰητρεῖαι αὗται.

Τοῦτο τὸ σημεῖον, ὃ μικρὸν ἔμπροσθεν ἔφην παρασύνεσιν ἔχειν, δῆλον δὲ ἐξ ὧν ἐπήνεγκεν εἰπών, πολλοὶ γὰρ ὑπὸ ὀδύνης εἶεν, καὶ ὑπὸ ἄλλοιης προφάσιος οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται εἰς τὰ ὅμοια σχήματα καθιστάναι, εἰς οἷα περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. εἰ ἐνήνεγκεν τὰς χεῖρας πρὸς τὰς πλευράς, ὡς εἴρηκεν, ἑτοίμως τις δύναται, βέβαιον γνώρισμα ἐστὶ τοῦ κατὰ φύσιν ἔχον τὸ ἄρθρον. ἐὰν δὲ ἐμποδίζηται κατά τι, δυνατόν ἐστι διὰ ὀδύνην, ἢ σύντασιν μυῶν τοῦτο γίγνεσθαι.

Ἐπάξιον δὲ τὸ μάθημα ὡς χρὴ ἰητρεύειν, τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους. πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν ξυμφορήν, τἆλλα πάντα ἀξιόχρεοι ὄντες. πολλοὶ δὲ ἐν πολεμικοῖσιν ἀχρήιοι ἐγένοντο, καὶ διεφθάρησαν διὰ ταύτην τὴν ξυμφορήν, ἅμα τε ἐπάξιον καὶ διὰ τοῦτο, ὅτι οὐδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μὲν μηδὲ ἐγχειρέοντας, τοὺς δὲ τἀναντία τοῦ ξυμφέροντος φρονέοντάς τε καὶ ποιέοντας. συχνοὶ γὰρ ἤδη ἰητροὶ ἔκαυσαν ὤμους ἐκπίπτοντας, κατά τε τὴν ἐπωμίδα, κατά τε τὸ ἔμπροσθεν, ᾗ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξογκέει, κατά τε τὸ ὄπισθεν ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες, εἰ μὲν εἰς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων, ἢ ἐς τοὔμπροσθεν, ἢ ἐς τοὔπισθεν, ὀρθῶς ἂν ἔκαιον. νῦν δὲ δὴ ὅτε ἐς τὸ κάτω ἐκπίπτει, ἐκβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον ἢ κωλύουσιν. ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης τὴν κεφαλὴν τοῦ βραχίονος. χρὴ δὲ ὧδε καίειν ταῦτα ἀπολαβόντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην, τὸ δέρμα ἀφελκύσαι κατ' αὐτὴν τὴν ἴξιν μάλιστα, καθ' ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκπίπτει.

Καὶ ἐν τούτῳ τῷ λόγῳ τὰ πλεῖστα ἐστὶ σαφῆ, ὧν οὐ μνημονεύομεν, πλὴν ἐν οἷς ἀσάφειά τις περιέχηται.

Ἔπειτα δὲ οὕτως ἀφελκυσμένον τὸ δέρμα διακαῦσαι ἐς τὸ πέρην.

Ἀξιοῖ μηδὲν ἄκαυστον καταλιπεῖν τοῦ ἀνατεινομένου δέρματος, ἀλλὰ διεκβάλλειν τὸ διάπυρον σιδήριον ἐκ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ μέρη τῆς μασχάλης, καὶ ἐξ ἐκείνων ἐπὶ τὰ δεξιά.

Σιδηρίοισι δὲ χρὴ τὰ τοιαῦτα καίειν μὴ παχέσι, μηδὲ λίην φαλακροῖσιν, ἀλλὰ προμήκεσι. ταχυπορώτερα γὰρ καὶ τῇ χειρὶ ἐπερείδειν.

Φαλακρὰ κέκληκε τὰ περιφέρειαν ἔχοντα κατὰ τὸ πέρας, οἷον οἱ κατὰ τὰς μασχάλας ἔχουσι πυρῆνες, ἤτοι τὰ διαπύρινα καλούμενα, καὶ αἱ σπαθομῆλαι. προμήκη δὲ τὰ τούτοις ἐναντίως διακείμενα προσηγόρευσεν, ὧν οὐκ ἔστι περιφερὲς τὸ πέρας, ἀλλ' ὀξύτερόν περ ἐμπλήρεμα, παραπλήσιόν πως τοῖς εἰς τὰς περικεντήσεις ἐπιτηδείοις ὀργάνοις.

Χρὴ δὲ διαφανέσι καίειν, ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν, τὰ γὰρ παχέα βραδέως περαιούμενα, πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρῶν ποιέεται, καὶ κίνδυνος ἂν εἴη ξυρραγῆναι τὰς ὠτειλάς, καὶ κάκιον μὲν οὐδὲν ἂν εἴη, αἴσχιον δὲ καὶ ἀτεχνότερον. ὅταν δὲ διακαύσῃς ἐς τὸ πέρην, τῶν μὲν πλείστων, ἱκανῶς ἂν ἔχοι τῷ κάτω μέρει τὰς ἐσχάρας ταύτας μόνας θεῖναι.

Ἐκπεπυρῶσθαι βούλεται τὰ κατὰ τὴν μασχάλην σιδήρια. τὰ γὰρ ἱκανῶς διάπυρα, διαφανῆ κέκληκεν.

Ἢν δὲ μὴ κίνδυνος φαίνηται εἶναι ξυρραγῆναι τὰς ὠτειλάς, ἀλλὰ πολὺ τὸ διὰ μέσου ᾖ, ὑπάλειπτρον χρὴ λεπτὸν διεῖραι διὰ τῶν† κατηγμάτων, ἔτι ἀνελκομένου τοῦ δέρματος. οὐ γὰρ ἂν ἄλλως δύναιο διεῖραι, ἐπὴν δὲ διείρῃς, ἀφεῖναι τὸ δέρμα, ἔπειτα

†καυμάτων

μεσηγὺ

μεσηγὺ τῶν ἐσχαρῶν, ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρείῳ καὶ διακαῦσαι, ἄχρις ἂν τῷ ὑπαλείπτρῳ ἐγκύρσῃ. ὁκόσον δέ τι χρὴ τὸ δέρμα τὸ ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι, ἀδένες ὑπέασιν ὑπὸ τῇ μασχάλῃ. πολλαχῇ δὲ καὶ ἄλλῃ τοῦ σώματος.

Ὠτειλὰς κέκληκε τὰ ἕλκη, παραπλησίως τῷ ποιητῇ περὶ τοῦ προσφάτου τραύματος εἰπόντι, ὄφρα οἱ αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς χαυνοῦν, ὡς εἶπεν ἀνατείνας τὸ δέρμα, διακαύσεις ἐγκάρσιον ἐκ δεξιῶν εἰς ἀριστερὰ διαρείας τὸ σιδήριον ἑτέραν ἐπὶ ταύτῃ δευτέραν καῦσιν ἀξιοῖ σε ποιήσασθαι, καθέντα τὸ διάπυρον σίδηρον, οὐκέτι ἐγκάρσιον ἐκ τοῦ θατέρου μέρους ἐπὶ θάτερον, ἀλλ' οἷον εἰς τὸ βάθος ἄντικρυς ἔσω. χρὴ δὲ δῆλον ὅτι τὸ μεταξὺ τῶν προτέρων καυμάτων ἀξιόλογον γίνεσθαι, μικροῦ γὰρ ὄντος αὐτοῦ κίνδυνος συρραγῆναι τὰς ἑλκώσεις, καὶ γενέσθαι μεγάλην μίαν, ὑφ' ἧς οὐδὲν μὲν ἀποβήσεται χεῖρον εἴγε καιόμεν, ἕνεκα τοῦ ξηρᾶναί τε καὶ σφίγξαι μέρος. οὐ μὴν ἀναγκαῖον ἐστὶν ὅλην μεγάλην ἐργασάμενον αἴσχιον ἀποδεῖξαι τὸ χωρίον, ἐν ᾧ ἐπὶ σμικραῖς τρήσεσι τὴν ἴσην ὠφέλειαν ἐστὶ ποιήσασθαι.

Ἀλλὰ ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελίης γεγράψεται, ὅτι τέ εἰσι καὶ οἷα ἐν οἵοισι σημαίνουσί τε καὶ δύνανται. τοὺς μὲν οὖν ἀδένας οὐ χρὴ προσεπιλαμβάνειν, οὐδ' ὅσα ἐσωτέρω τῶν ἀδένων, μέγας γὰρ ὁ κίνδυνος.

Τὴν ὁλόκληρον φύσιν τῶν ἀδένων φύσεως οὐλομελίην εἴρηκεν, ἣν ἑτέρωθι διδάσκειν ἐπηγγείλατο, οὐ μὴν διασώζεταί γε τοιοῦτον βιβλίον Ἱπποκράτους περὶ ἀδένων οὐλομελίης, ἀλλά τις τῶν νεωτέρων Ἱπποκρατείων ἔγραψε μικρὸν βιβλίδιον, ἐπιγράψας Ἱπποκράτους περὶ ἀδένων οὐλομελίης, ὃ καὶ τῇ λέξει καὶ τῇ διανοίᾳ λείπεται πάμπολυ τῶν γνησίων Ἱπποκράτους συγγραμμάτων, οὐ μὴν οὐδὲ ἐμνημόνευσέ τις περὶ αὐτοῦ τῶν ἔμπροσθεν ἰατρῶν, ἀλλ' οὐδὲ οἱ τοὺς πίνακας ποιήσαντες ἴσασι τὸ βιβλίον.

Τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύουσι. ὅσον δὲ ἐξωτέρω τῶν ἀδένων, ἐπὶ πλεῖστον ἀπολαμβάνειν, ἀσινέα γάρ. γινώσκειν δὲ χρή, ὅτι εἰ μὲν ἰσχυρῶς τὸν βραχίονα ἀνατείνοις, οὐ δυνήσῃ τοῦ δέρματος ἀπολαβεῖν οὐδὲν τοῦ ὑπὸ τῇ μασχάλῃ, ὅ,τι καὶ ἄξιον λόγου κατατεῖναι.

Ὑποκεῖσθαι τῷ ὑπὸ τῇ μασχάλῃ φησὶ τόνους ἐπικαίρους οὕτως ὀνομάζων τὰ νεῦρα. γελοίως οὖν ἔνιοι τῶν νεωτέρων ἰατρῶν οἴονται τόνους ταυτὸς ἐκεῖνα τὰ νεῦρα μόνον προσαγορεύειν νῦν, ὅσα κατὰ τὴν συζυγίαν ἐξ ἐγκεφάλου πέφυκεν, ἐπειδὴ κατὰ τὸ βιβλίον τῶν ἐπιδημιῶν ἔφη. "δύο δὲ τόνοι ἀπ' ἐγκεφάλου παρὰ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου, καὶ τὰ τούτων ἐφεξῆς." τὰ γὰρ ἐπὶ χεῖρας φερόμενα, πρὸς ἁπάντων ὁμολογεῖται τῶν ἀνατομικῶν, ἐκ τοῦ κατὰ τὸν τράχηλον φύεσθαι νωτιαίου, καθ' ἃ μέρη πλησιάζει τῷ θώρακι, καὶ ὡς φαίνεται ταῦτα προσαγορεύων τόνους, ἔν τε τῇ νῦν εἰρημένῃ ῥήσει, καὶ μετ' αὐτὴν πάλιν ἐφεξῆς δίς. καὶ κατωτέρω δὲ πάλιν ἐν τοῖς περὶ τῆς ῥάχεως λόγοις τόνους ὀνομάζει τὰ νεῦρα.

Σιμοῦνται γὰρ ἐν τῇ ἀνατάσει, οὐδ' αὖ τόνους οὐδεμιῇ μηχανῇ δεῖ τιτρώσκειν. οὗτοι γὰρ πρόχειροι γίνονται, καὶ κατατεταμένοι ἐν τούτῳ τῷ σχήματι. εἰ δὲ μικρὸν ἐπάρῃς τὸν βραχίονα, πολὺ μὲν τοῦ δέρματος ἀπολήψῃ. οἱ δὲ τόνοι ὧν δεῖ προμηθέεσθαι, εἴσω καὶ πρόσω τοῦ χειρίσματος γίνονται.

Καταδαπανᾶσθαί φησι τὸ κατὰ τὴν μασχάλην δέρμα διὰ τῆς ἀνατάσεως ὅλης τῆς χειρός, ἐπειδὴ χαλαρὸν ἔμπροσθεν ὄν, ὡς περιττὸν εἶναι δοκεῖ ἐν τούτῳ τῷ σχήματι περιγίνεται τοῖς ὑποκειμένοις, ὥστε τὸ περιττεύειν πρότερον φανταζόμενον ἀπόλλυσθαί τε καὶ οἷον ἐκδαπανᾶσθαι κατὰ τὴν ἀνάτασιν τῆς χειρός.

Ἀρ' οὖν οὐκ ἐν πάσῃ τῇ τέχνῃ περὶ παντὸς χρὴ ποιέεσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ' ἑκάστοισι.

Τὰ κατὰ δύναμιν ἴσα, τουτέστιν ἐν οἷς φυλάττεται τὸ κατὰ τὴν ἀξίαν τε καὶ οἰκεῖον ἑκάστῳ πράγματι. νυνὶ γοῦν ἐστὶ τὸ μὲν προκείμενον πρᾶγμα καῦσις τοῦ κατὰ τὴν μασχάλην δέρματος, ἣν χρὴ ποιήσασθαι βραχίονα σχηματίζοντα προσηκόντως. εἰ μὲν οὖν εἰς τοὐναντίον εἴη καθήμενος, ὡς ψαύειν τῶν πλευρῶν, εἴη παντάπασιν ὀλίγον ἐξηρμένος, οὐδὲ θεάσασθαι τὸ βάθος τῆς μασχάλης οἷόν τε, μήτι γε τοῖς δακτύλοις ἀνατεῖναι τὸ δέρμα, καὶ διακαῦσαι, μέχρι πλεῖστον τε ἐπαρθέντος τοῦ βραχίονος, οὐδὲν ὅτι καὶ ἄξιον λόγου δέρματος ἀνατεῖναι τοῖς δακτύλοις ἐγχωρεῖ. περιτείνεται γὰρ ἐν τῷδε τῷ σχήματι τοῖς ὑποκειμένοις σώμασιν, ἅμα δὲ καὶ τὰ νεῦρα πρόχειρα γίγνεται. τοιοῦτον ἐξαίρειν χρὴ τὸν βραχίονα καὶ ἀπάγειν τῆς μασχάλης, οἷον ὁρᾶται τὸ χωρίον ἡμῖν παρέξειν, καὶ τοὺς δακτύλους εὐμαρῶς ὑποβάλλειν, ἀντιτείνειν τε τὸ δέρμα καὶ διακαίειν, δύνασθαι οἷόν τε γένηται ταῦτα πράττειν, κατὰ τοῦτο τὸ σχῆμα τὴν χειρουργίαν προσίεσθαι προσήκει, προσωτέρω δὲ μηκέτι ἀνατείνειν. οὐδὲ γὰρ ἄλλου τινὸς ἕνεκεν ἐξαίρομεν τὸν βραχίονα, πλὴν τοῦ δύνασθαι τὸ περὶ τὴν μασχάλην δέρμα τοῖς δακτύλοις ἀνατείνειν τοσοῦτον, ὡς διακαῦσαι, καθότι προεῖπεν αὐτός, ὡς εἴγε δυνατὸν ἦν ἐνεργεῖν ἡμᾶς ταῦτα καθημένους, τοῦ βραχίονος σχήματος ἐστὶ χρεία χαλαρώτερον ἐργαζομένου τὸ δέρμα. καὶ γὰρ πλεῖστον οὕτως ἀνατεθήσεται, καὶ τὰ τῆς χειρουργίας ἀκίνδυνα παντοίως ἔσται.

Ταῦτα μὲν κατὰ τὴν μασχάλην, καὶ ἱκαναὶ αὗται αἱ καταλήψιες, ἢν ὀρθῶς τεθῶσιν αἱ ἐσχάραι.

* Εἴρηνται, αἱ καταλήψιες κατὰ τὸ δέρμα.

Ἐντοσθεν δὲ τῆς μασχάλης, διὰ σμικρὰ μόνα δεῖ χωρία ἵνα ἄν τις ἐσχάρας θείη, τιμωρεούσας τῷ παθήματι.

Τὸ ἔντοσθεν εἴρηκε νῦν τὴν τόπου διαφορὰν σημαῖνον, ἀλλ᾽ ὥσπερ καὶ παρὰ Δημοσθένει, καὶ τοῖς ἄλλοις ῥήτορσιν ἔξωθέν τι τοῦ πράγματος εἰρῆσθαι λέγεται δηλούντων τὸ πρᾶγμα. τὸ τοίνυν ὑπὸ τοῦ Ἱπποκράτους λεγόμενον ἐστὶ τοιοῦτον, καὶ χωρὶς δὲ τῆς εἰρημένης εἰς τὴν μασχάλην καύσεως ἄλλαι δύο καύσεις εἰσὶ βοηθοῦσαι τῷ πάθει. τὸ γὰρ τιμωρεούσας τῷ παθήματι, πρόδηλον ὅτι βοηθούσας δηλοῖ, καθάπερ καὶ Εὐριπίδης ἐποίησε τὸν Ὀρέστην λέγοντα. ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν τῷ πατρί. διαφέρει γὰρ τὸ τιμωρῶν, τοῦ τιμωρούμενος, ὃ μετὰ τῆς καλουμένης αἰτιατικῆς πτώσεως σημαίνει τὸ κολάζον, οὕτως γοῦν καὶ ἑαυτὸν τιμωρούμενος, ἐπιγέγραπται τὸ Μενάνδρου δρᾶμα.

Μίαν μὲν ἐν τῷ ἔμπροσθεν μεσηγὺ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην.

Ἐν τούτῳ τῷ χωρίῳ καὶ ἡμῖν ἑωρᾶται τὸ ἄρθρον ἐστηριγμένον, ὅπερ ἐστὶ μόριον ἁπάσης τῆς ἔμπροσθεν χώρας. οὔσης γὰρ ὅλης αὐτῆς πλατείας, ἐν μέντοι μέρος ἐστὶν ἀκριβῶς μέσον. ἄλλα δὲ ἑκατέρωθεν δύο, τὸ μὲν ἐκ τῶν ἔνδοθεν μερῶν, οὗ νῦν ἐμνημόνευσε. τὸ δὲ ἐκ τῶν ἐκτὸς, οὗ μετὰ ταῦτα μνημονεύει, καὶ θαυμάσαι γε ἐστὶν αὐτὸν, ὅτι μηδ᾽ ὅλως ἑωρακὼς εἰς ἄλλο χωρίον ἐκπίπτον τὸ ἄρθρον, ἢ κατὰ τὴν μασχάλην οὐκ ἤρκεσε τῇ κατ᾽ αὐτὴν καύσει μόνῃ. προστιθεὶς δὲ δύο ἑτέρας ἐκείνων, ἀκριβῶς ἐστοχάσατο τῶν χωρίων, ἐν οἷς καὶ ἡμεῖς εἴδομεν ἐστηριγμένην τὴν κεφαλὴν τοῦ βραχίονος. ἐν οἷς τῆς ὠμιαίας φλεβὸς χώρα καθ᾽ ἣν οἱ δύο μύες συμβάλλουσιν, ὅ τε ἀπὸ τοῦ στέρνου μέγας καὶ ὁ δελτοειδὴς ὀνομαζόμενος, ἑώραται τετράκις ἡμῖν ὑποδεξαμένη τὴν ἔκπτωσιν. ἡ δὲ ἔξωθεν τῆς μέσης χώρας, ἅπαξ, ὑπὲρ ἧς ἐφεξῆς ἐρεῖ.

Καὶ ταύτῃ τὸ μὲν δέρμα τελέως διακαίειν χρὴ, βαθύτερον δὲ οὐ χρή. φλέψ τε γὰρ παχείη, πλησίη καὶ νεῦρα, ὧν οὐδέτερα θερμαντέα.

Τὴν προσαγορευομένην ὠμιαίαν φλέβα λέγει νῦν παχεῖαν, ἐν ἴσῳ τῷ εὐρεῖαν ἢ μεγάλην. ἐπίκειται δὲ αὐτῇ συμβολῇ τῶν προειρημένων δύο μυῶν ἔχουσα παρακείμενον νεῦρον, ἀφ᾽ οὗ πᾶν τὸ πέριξ τῆς φλεβὸς δέρμα ἀπονεμήσεις λαμβάνει. τὸ μὲν οὖν φυλάττεσθαι, ψαύειν τε τοῦ νεύρου, καὶ τῆς φλεβὸς, ἐν τῇ τοῦ δέρματος καύσει σαφῶς ἐδίδαξεν, οὐ μὴν ἐδήλωσέ γε πότερον ἐν τοῖς πρώτοις μέρεσι τῆς φλεβὸς, ἢ ἐν τοῖς ἔνδον, ἢ κατ᾽ αὐτὴν ἀκριβῶς κελεύει καίειν, ἐγχωρεῖ γὰρ τοῦτο ποιῆσαι. πρῶτον μὲν ἀνατείναντα τὸ δέρμα καθ᾽ ὃν εἴρηται τρόπον ἐπὶ τῆς μασχάλης, εἶτ᾽ ἐγκάρσιον διακαύσαντα, κἄπειτα τὸ ὑπάλειπτρον διεκβαλόντα. καὶ κατὰ κύκλον τὴν δευτέραν ἐπέρεισιν τοῦ καυτηρίου ποιησάμενον, ὥσπερ γὰρ ἐν τῇ μασχάλῃ, καίτοι γε ὑποκειμένων νεύρων μεγίστων, καὶ σὺν αὐτοῖς ἀρτηρίας καὶ φλεβὸς εὐρυτάτης, ὅμως ἐκέλευσε καίειν τὸ δέρμα, τὴν ἀσφάλειαν τοῖς ὑποκειμένοις παρασκευάζων ἐκ τῆς τοῦ ὑπαλείπτρου διαρθρώσεως. οὕτως κἀπὶ τῆς νῦν προκειμένης καύσεως, οὐδὲν θαυμαστὸν ἐπ᾽ αὐτοῦ τοῦ κατὰ τῆς φλεβὸς ἐπικειμένου δέρματος ἀξιοῦν αὐτὸν τίθεσθαι τὰς ἐσχάρας. ἐκεῖνα μὲν οὖν τὰ νεῦρα τόνους ἐπικαιροτάτους εἶπεν, εἰθισμένος χρῆσθαι τούτῳ τῷ ὀνόματι κατὰ τῶν μεγάλην δύναμιν ἐχόντων, ὥσπερ ἔχουσιν ἐκεῖνοι, κατά γε τὸ πλησίον εἶναι τοῦ νωτιαίου, καὶ αὐτοὺς παχυτάτους τὴν οὐσίαν ὑπάρχειν. παρὰ δὲ τοῦ τῆς ὠμιαίας φλεβὸς νεῦρον ἁπλῶς εἶπεν, οὐκέτι προσθεὶς τὸ ἐπίκαιρον, καὶ γὰρ πορρωτάτω, καὶ τοῦ νωτιαίου, καὶ μικρὸν τῷ μεγέθει.

Ὄπισθεν δ᾽ αὖ ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι ἀνωτέρω μὲν, συχνῷ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην. κατωτέρω δὲ ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ τὸ μὲν δέρμα τελέως χρὴ διακαίειν, βαθεῖαν δὲ μηδὲ κάρτα ταύτην ποιέειν. πολέμιον γὰρ τὸ πῦρ νεύροισιν.

Ἐπὶ τὴν ὑπόλοιπον χώραν τῶν ὑποδεχομένων, τὸ κατ᾽ ὦμον ἄρθρον ἐκπίπτον ἀφίκετο τῷ λόγῳ. αὕτη δέ ἐστιν ἐν τοῖς ἔξω μέρεσι τῆς πρόσω χώρας, εἰς ἣν καὶ αὐτὴν ἑώραταί μοι ἅπαξ ἐκπεσὼν ὁ βραχίων. οὐκ ὀρθῶς δὲ ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων ἡ λέξις οὕτως γέγραπται, ὀπισθίην τε αὖ ἄλλην ἐσχάρην. οὐ γὰρ ὄπισθεν ὁ τόπος οὗτός ἐστι τῆς διαρθρώσεως, ἀλλ᾽ ἔξωθεν. εἰ γοῦν τις ἀκριβῶς ἐθέλοι διορίσαι τοὺς περικειμένους τόπους τῇ κατ᾽ ὦμον διαρθρώσει πλάτος ἔχοντας, δῆλον ὅτι νοῶν μὲν ἅπαντας ἐν μὲν τοῖς πρόσω, μέσην μὲν εἶναι τινὰ γραμμὴν ἀπλατῆ, νοουμένην ἀκριβῶς μέσην, ἄνωθεν ἐπὶ μῆκος τοῦ βραχίονος τεταμένην, τὸ πλάτει δὲ ἑκατέρωθεν ὁριζομένην τὸ πρόσω. κατὰ μὲν τὴν ἔνδον χώραν ὑπὸ τῆς ὠμιαίας φλεβὸς, ἔξωθεν δὲ μέχρι τοσούτου πάλιν ἄλλου δή τινος διαστήματος, ὧν ἡ φλὲψ αὕτη τῆς νοουμένης μέσης αὐτῆς τῆς ἀπλατοῦς ἀφέστηκεν. οὗτοι μὲν οὖν ὅροι τῆς πρόσω χώρας, ἐφ᾽ ἑκάτερα δὲ τῶν δύο ἕτεροι, ἀφ᾽ οἷς οἱ κατὰ τὴν μασχάλην τένοντες. ὁ μὲν τὴν ἔνδον ὁρίζων χώραν, ὁ δὲ τὴν ἔξω. τὴν μὲν ἔνδον χώραν τῆς διαρθρώσεως νοεῖσθαί σοι τὴν μετὰ τῆς φλεβὸς, καὶ τὴν μεταξὺ τῆς μασχάλης περιγράφοντος ἔξωθεν τένοντος. ἔτι τε τῆς γραμμῆς ἐκείνης ὧν ἠξίουν ἀπέχειν διαστημάτων, μεταξὺ διάστημά τι τῆς ὠμιαίας φλεβὸς, καὶ τῆς τῆς ἀκριβῶς προσθίας μέσης γραμμῆς, ὥστε κατ᾽ αὐτὴν διαίρεσιν ὅσον ὑψηλότερον ἐστὶ τοῦ ἐπὶ τὴν μασχάλην ἔξωθεν τένοντος,

γνόντες, οὐκ αὖ ὀπίσω τῆς διαρθρώσεως ἐστὶ τὸ σιμὸν τῆς ὠμοπλάτης, ὥσπερ γε τὸ κατ' ὦμον ἡ μασχάλη. τὸ δ' ἄνω, μεταξὺ τοῦ τε ἀκρωμίου καὶ τῆς κεφαλῆς τοῦ βραχίονος.

Ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης τῆς ἰητρείης τὰ ἕλκεα μηδέποτε ἰσχυρῶς ἀνατείνοντα τὸν βραχίονα, ἀλλὰ μετρίως ὅσον τῶν ἑλκέων ἐπιμελείης εἵνεκα, ἧσσον μὲν γὰρ ἂν διαψύχοιτο. ξυμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν, ὡς καὶ ἐπιεικῶς ἰητρεύεσθαι. ἧσσον δ' ἂν ἐκπλήσσοιτο, ἧσσον δ' ἂν αἱμορραγοίη, ἧσσον δ' ἂν σπασμὸς ἐπιγίνοιτο.

Τὰς αἰτίας αὐτὸς εἶπε δι' ἃς κελεύει τὸν βραχίονα μηδέ ποτε ἀνατεῖναι ἰσχυρῶς. πρώτην μὲν ὅτι πάντα τὰ καύματα συμφέρει σκέπειν, ὡς ἰατρεύεσθαι καὶ μὴ καταψύχεσθαι. καὶ ἄλλως μὲν γὰρ ὡς αὐτὸς ἔλεγεν, ἕλκεσι τὸ ψυχρὸν δακνῶδες, δέρμα περιΐστησι σκληρύνει, ὀδύνην ἀνεκποίητον ποιεῖ. πολὺ δὲ μᾶλλον ὅσα θερμὸν αἴτιον εἰργάσατο, καθάπερ νῦν τὸ πῦρ, ἧσσον δ' αὖ φησιν ἐκπλήσσοιτο, τουτέστιν ἐπὶ πλέον διΐστασθαι τοῖς χείλεσιν ἕλκος. ἐν τούτῳ γὰρ ψύχηται μᾶλλον, καὶ χρονιώτερον συνουλοῦται. καὶ αὐτὰς τὰς οὐλὰς ἴσχει μείζονας. τὸ δ' ἐφεξῆς εἰρημένον ἧσσον δ' αὖ αἱμορραγοίη, προσέθηκεν εἰς τὸν καθόλου λόγον ὑπαχθεὶς ἁπάντων ἑλκῶν, οὐ τῶν νῦν προκειμένων ἴδιον. εἰ γὰρ ὡς ἐκέλευσεν οὕτως τις τὸ δέρμα διακαύσειεν, οὐδεὶς ἀκολουθήσει φόβος αἱμορραγίας. ἴσως δ' αὖ ἐκ τοῦ ψυχθῆναι τὰ νεῦρα γυμνωθέντος τοῦ δέρματος, ὁ τοῦ σπασμοῦ κίνδυνος ἀκολουθήσειε μόνος, καὶ αὐτοῦ κατὰ τὴν τελευτὴν ἐμνημόνευσε τῆς ὅλης ῥήσεως.

Ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα, ἐς ὠτειλάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσδεδέσθαι, καὶ νύκτα καὶ ἡμέρην.

Τὰς ὠτειλὰς ἐνταῦθα κυρίως εἶπεν ἐπὶ τῶν οὐλῶν, οὐχ ὡς ἔμπροσθεν ἐπὶ τῶν ἑλκῶν, ἀξιοῖ δέ ποτε μάλιστα φροντίζειν τοῦ μηδέ ποτε ἀφίστασθαι τῆς πλευρῶν τὸν βραχίονα, πλὴν ἐπὶ βραχὺ μόνον ἐν ἐκείνῳ τῷ καιρῷ, καθ' ὃν αὖ θεραπεύηται τὰ ἕλκη. μάλιστα γὰρ ἁλίσκεσθαι φαίνεται τὰ καθαρὰ τῶν ἑλκῶν, οἷς κατὰ τὴν πρὸ ταύτης ῥῆσιν εἶπεν ἅπασι συμπτώμασι, καὶ μάλιστα τοῖς ἀπὸ τῶν ἔξωθεν αἰτιῶν. ἐπειδὴ πρόσθεν ἡμῖν ἧκεν ἔτι ῥυπαρὰ καὶ φλεγμαίνοντα, ὅ τε τὸν ῥύπον αὐτῶν εἶχεν οἷον πρόβλημά τι ὃ σκέπασμά τι, καὶ τῇ περιουσίᾳ τῶν παρὰ φύσιν ὑγρῶν, ἀλλὰ ἡ θερμασία τῆς φλεγμονῆς ἀντεῖχε τοῖς ἔξωθεν μὴ γινομένοις ψυχροῖς. ἡνίκα δ' αὖ φλεγμαίνει, τότε καθαρὰ καὶ οἷον ἀπόβριπτα γέγονεν, αἰσθάνεται μᾶλλον ἢ πρόσθεν ὧν πάσχει. διὰ ταῦτα πάντα ῥᾳδίως μὲν ὑπὸ τῶν ἔξωθεν αἰτιῶν, καὶ μάλιστα τῶν ψυχρῶν ὀδυνᾶται τε καὶ ψύχεται. τῷ δ' ἀκριβεῖ τῆς αἰσθήσεως τήν τε ὀδύνην ἴσχει σφοδροτέραν, καὶ τὰς ἐπικειμένας αὐτῇ δυσχερείας ἐπικτᾶται.

Ἀτὰρ καὶ ὅταν ὑγιέα γένηται τὰ ἕλκεα, ὁμοίως ἐπὶ πολὺν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς, οὕτω γὰρ ἂν μάλιστα ἐπουλωθείη, καὶ ἀπολειφθείη ἡ εὐρυχωρίη καθ' ἣν μάλιστα ὀλισθαίνει ὁ βραχίων.

Καὶ ταῦτα τὸν σκοπὸν ὃν συνεβούλευσεν αὐτὸς ἐδήλωσεν εἰπών, οὕτως γὰρ αὖ μάλιστα ἐπουλωθείη καὶ ἀπολειφθείη εὐρυχωρίη, καθ' ἣν ὀλισθαίνει ὁ βραχίων, δυνάμει τοῦτο λέγων. ὅσῳ περ γὰρ ἡ οὐλὴ βραχυτέρα γένηται, τοσούτῳ μᾶλλον ἐς ὀλίγον συναχθήσεται τὸ περὶ τὴν μασχάλην δέρμα. μέγιστον δέ ἐστι τοῦτο πρὸς τὸ μὴ ῥᾳδίως ὀλισθαίνειν ἐνταῦθα τὸν βραχίονα

Ὁσοισι δ' ἂν ὦμος καταπορηθῇ, ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐξήσει ἐῶσιν, οὐκ ἐθέλει συναύξεσθαι τὸ ὀστέον τοῦ βραχίονος ὁμοίως τῷ ὑγιεῖ, ἀλλὰ αὔξεται μὲν ἐπί τι, βραχύτερον δὲ τοῦ ἑτέρου γίνεται.

Τὰ συμπτώματα διέρχεται νῦν ὅσα τοῖς ἐξάρθρον ἔχουσι τὸν ὦμον ἐξ ἀνάγκης ἐπιγίνεται. πρῶτον μὲν οὖν ἐστι καὶ κοινότατον, ᾧ καὶ τἄλλα ἕπεται πάντα, τὸ ἀτροφώτερον τοῦτο γίγνεσθαι, τούτῳ δ' αὐτῷ πάλιν ἕπεται. τελειωθέντος μὲν οὖν ἤδη τοῦ κώλου, λεπτότης, ἔτι δὲ αὐξανομένου, καὶ ἡ σμικρότης. αὕτη δ' ἀτροφία, διά τε τὴν διαστροφὴν γίγνεται τῶν κατὰ τὸ κῶλον ἀγγείων τε καὶ μυῶν. αἰτία δὲ ἡ ἀκινησία ὅλου τοῦ ἄρθρου. καὶ γάρ τι τῶν ὑγιῶν κώλων ἐπὶ χρόνῳ πολλῷ παντάπασιν ἀκίνητον μεῖναν, σαφῶς ἀτροφώτερον φαίνεται.

Καὶ οἱ καλεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες, διὰ δισσὰς ξυμφορὰς ταύτας γίνονται. ἤν γέ τι τοιοῦτον αὐτοὺς ἐξάρθρημα καταλάβῃ ἐν γαστρὶ ἐόντας, διά τε ἄλλην ξυμφορήν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται.

Εἴτε ἀπὸ τῆς πρὸς τὰς γαλᾶς ὁμοιότητος ἐκλήθησαν οἱ γαλιάγκωνες, εἴτ' ἀπ' ἄλλου τινός, ἐπιτρέπειν χρὴ τοῖς περὶ αὐτὰ σπουδάζουσιν ἐπιμελῶς ζητεῖν. ἰατρῷ δὲ χρήσιμον ἐπίστασθαι τὸ γεννᾶσθαι τινὰς ἐξάρθρους ἀμφότερα τὰ κατ' ὦμον ἄρθρα, τό, τε ἀριστερὸν καὶ τὸ δεξιόν, ὅτι τε μικροὺς ἐξ ἀνάγκης ἔχουσιν οὗτοι τοὺς βραχίονας. εἰδέναι δεῖ τινὰ καὶ ἄλλην συμφορὰν ἐργαζομένην τοῦτο τὸ πάθημα, περὶ ἧς αὖθις ἐρεῖν ἐπαγγέλλεται. χαλεπὸν δὲ εὑρεῖν ἑτέραν ἣν αὐτὸς ἐφεξῆς λέγει συμβαίνειν τοῖς νηπίοις. ἔχει δὲ ἡ λέξις οὕτως.

Ἀτὰρ καὶ οἷσιν ἂν νηπίοισιν ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται. καὶ ἤν τε τμηθῶσιν, ἤν τε καυθῶσιν, ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ ὅτι ταῦτα οὕτως ἔχει. χρέεσθαι μέντοι τῇ χειρὶ δυνατώτατοί εἰσιν οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν

οὐδὲ ἐκεῖνοί γε ἀνατεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανύσαντες τὸν ἀγκῶνα δύνανται, ἀλλὰ πολὺ ἐνδεεστέρως ἢ τὴν ὑγιέα χεῖρα.

Δύναται δὲ τοῦτο καὶ κυουμένοις ἐπισυμβαίνειν. συμφορὰν δ' ἄλλην ἔτι κυουμένοις ἐξαρθρήματος αἰτίαν γίνεσθαι, χαλεπὸν εὑρεῖν, ἀμφοτέρας δὲ ταύτας οὐκ ἀδύνατον συμβῆναι. καὶ γὰρ ἐκπυῆσαι δυνατόν ἐστι καὶ ἐκραγῆναι, καὶ ἀπολωβηθῆναι τῷ κυουμένῳ τῷ βρέφει πρὸς τῆς φύσεως, καὶ τοῦτο μᾶλλον ἔτι κατὰ ἔμπτωσιν ἐνδέχεται τοῦ κατ' ὦμον ἄρθρου, διά τε τὴν ὑγρότητα τῆς φύσεως τοῦ παιδίου, καὶ τὴν κατὰ διάρθρωσιν κοτύλης τὸ δυσυπέρβατον.

Οἷσι δ' ἂν ἤδη ἀνδράσιν ἐοῦσιν ἐκπέσῃ ὁ ὦμος, καὶ μὴ ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκωτέρη γίνεται, καὶ ἡ ἕξις λεπτὴ ἡ κατὰ τοῦτο, ὅταν μέντοι ὀδυνώμενοι παύσονται. ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπάροντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων ἐς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται ἅπαντα ὁμοίως ἐργάζεσθαι. ὁκόσα δὲ δεῖ ἐργάζεσθαι, περιφέροντας τὸν βραχίονα παρὰ τὰς πλευράς, ἢ ἐς τοὔπισω, ἢ ἐς τοὔμπροσθεν, ταῦτα δὲ δύνανται ἐργάζεσθαι, καὶ γὰρ ἂν ἀρίδα ἑλκύσειαν, καὶ πρίονα, καὶ πελεκίσαιεν ἄν, καὶ σκάψαιεν, ἂμ μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα, καὶ τἆλλα ὅσα τῶν τοιούτων σχημάτων ἐργάζονται.

Ἡ ἐπωμὶς τοῖς οὕτω πεπονθόσι, κἂν τὸ πρᾶγμα φαίνηται λεπτοτέρα καὶ ἀσαρκωτέρα, τῆς κεφαλῆς τοῦ βραχίονος ἀπολειπούσης τὸν ὦμον, ἀλλὰ καὶ εἰς ὕστερον ἔτι μᾶλλον φαίνεται τοιαύτη, διότι γίγνεται τοῦ χρόνου προϊόντος ἀτροφώτερα τὰ μόρια. τοῦ δελτοειδοῦς μυὸς ἀσθενοῦς γενομένου, διότι κάτω γίνεται, βίαιος ἀκολουθῶν εἰς μασχάλην τῇ κεφαλῇ τοῦ βραχίονος. ὅτι δὲ διὰ τὸ μὴ κινεῖσθαι, μηδὲ ἐνεργεῖν τὴν οἰκείαν ἐνέργειαν ἣν ἔχειν ἀνατείνων τὸν βραχίονα, ψυχρότερος καὶ ἀσθενέστερος ἀποτελούμενος, καὶ ἀτροφώτερος διὰ τοῦτο γίνεται. κίνησις μὲν γὰρ κρατύνει, ἀργίη δὲ τήκει.

Ὁκόσοισι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀπεσπασμένον. ἔστι δὲ τοῦτο ὁ σύνδεσμος τῆς κληΐδος καὶ τῆς ὠμοπλάτης. ἑτεροίη γὰρ φύσις ἀνθρώπου ταύτῃ ἢ τῶν ἄλλων ζώων. οἱ δὲ ἰητροὶ μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι, ἅτε γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος, ἡ ἐπωμὶς φαίνεται χαμαιζήλη καὶ κοίλη, ὥστε καὶ προμηθεῖσθαι τῶν ὤμων τῶν ἐκπεπτωκότων. πολλοὺς οὖν οἶδα ἰητρούς, τἆλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οὕτως οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται, πρὶν ἢ ἀπογνῶναι, ἢ ἀπορῆσαι δοκέοντας, αὐτοὶ σφᾶς αὐτοὺς ἐμβαλέειν τὸν ὦμον. τούτοισιν ἰητρείη μέν, ἥπερ καὶ τοῖσιν ἄλλοισιν τοῖσι τοιούτοισιν, κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια, καὶ ἐπίδεσις τοιαύτη. καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρή, καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους, καὶ πιέζειν ταῦτα μάλιστα, καὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσηρτημένον ἐς τὸ ἄνω μέρος ἔχειν. οὕτω γὰρ ἂν μάλιστα πλησιάζοιτο ἀπεσπασμένον. τὰ δὲ μὴν εὖ εἰδέναι χρή, καὶ προλέγειν ὡς ἀσφαλέα, εἰ ἄλλως ἐθέλοις, ὅτι βλάβη μὲν οὐδεμίη, οὔτε μικρή, οὔτε μεγάλη τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος, αἶσχιον δὲ τὸ χωρίον. οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ πέφυκεν, ἀλλ' ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον, οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται, ὅτι ἂν κοινωνέον ἑτέρῳ ὀστέῳ, καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσι γίνεται, ἢν χρηστῶς ἐπιδέηται.

Σύζευξιν ἐνδείκνυται τὸ ἀκρώμιον εἶναι, λέγει δὲ καὶ ὀστοῦν ὑπάρχειν αὐτὸ καὶ συνδεῖν ἄμφω τὰ εἰρημένα. δῆλον οὖν ὅτι χονδρῶδες ὀστοῦν ἐστι τὸ ἀκρώμιον ἐπικείμενον τῇ συζεύξει τῆς κλειδὸς καὶ τῆς ὠμοπλάτης, ὑμένας ἐκπεφυκότας ἔχον οἷς συνδεῖται τὰ πέρατα τῶν ὀστῶν. ἀποσπασθέντι δὲ αὐτῷ, καὶ ἡ κλεὶς εἴωθε συνέπεσθαι, καὶ διὰ τοῦτο ἐπανόρθωσις γίγνεται, καταναγκαζομένης εἰς τὸ κάτω τῆς κλειδός, ὡς ἀποτελεῖσθαι τινὰς κυκλοτερεῖς καμπὰς αὐτῆς. ἐνταῦθα δὴ καὶ τοῖς νεωτέροις ἡ καταναγκασις αὕτη μᾶλλον ὡς ἐπιτυγχάνει. ὅσῳ γὰρ ἡ ἡλικία προέρχεται, ξηρότερα τὰ σώματα ἡμῶν ἀποτελεῖται. καθάπερ οὖν τὰ ξηρὰ ξύλα πρὸς τὰς καμπὰς οὐκ ἔστιν ἐπιτήδεια, τὰ δὲ ὑγρὰ καὶ χλωρὰ ῥᾳδίως πάσχει τοῦτο, κατὰ τὸν αὐτὸν τρόπον καὶ τῶν ἔτι αὐξανομένων ὀστᾶ δύναται κάμπτεσθαι καταναγκαζόμενα, καὶ πολὺ μᾶλλον, ὅταν ᾖ χαῦνα καὶ σηραγγώδη, καθάπερ κλεὶς ἐστί. καὶ ἐγώ γ' ἐπειράθην αὐτὸς ἐπ' ἐμαυτοῦ καμπτομένης αἰσθανόμενος τῆς κλειδός, ἔσφυζε γὰρ διὰ βάθους ὁπότε σφοδρῶς κατεσπάσθη τῷ βιαίῳ τῆς ἐπιδέσεως. ὑπέμεινα δὲ τοῦτο μέχρι μ̄ ἡμερῶν, ἐν αἷς οὕτω προσήχθη τῇ κεφαλῇ τοῦ βραχίονος ἡ κλείς, ὥστε τοὺς μὲν νῦν ὁρῶντας ἀπιστεῖν εἰ ἀπεσπάσθη ποτέ, τοὺς δὲ ἰδόντας ὁπότε ἀπεσπάσθη, τριῶν δακτύλων διάστημα τὸ μεταξὺ γενόμενον, ὑπερθαυμάζειν τὸ πρᾶγμα. συνέβη μέντοι τὸν βραχίονα τελέως ἀτροφῆσαι κατ' ἐκεῖνον τὸν χρόνον, ὡς ἰσχνὸν παντελῶς γενέσθαι, συνατροφῆσαι δ' αὐτῷ καὶ τὸν πῆχυν. ἀλλὰ ταῦτα μὲν ἐπανορθωσάμενος, ἐν βοηθήματι τῷ τῆς ἐπιδέσεως ἀνέθρεψα σύμπαν τὸ κῶλον, οὐκ ἐν πολλῷ χρόνῳ μετὰ τὸ λυθῆναι τοὺς ἐπιδέσμους. ἔστι

δὲ μειρακίου καὶ μᾶλλον ἐπὶ παιδίων, ἑτοιμότερον ἡ ἐπίδεσις καταναγκάζοι τὸ ὀστοῦν. ἐμοὶ μὲν γὰρ ἔτος ἄγοντι ε΄. καὶ λ΄. οὕτω παθεῖν ἐν παλαίστρᾳ συνέβη. οὐ μὴν ἄλλον γέ τινα τῶν ἤδη τελείων ἐδυνήθη ὁμοίως ἰάσασθαι, διὰ τὸ μὴ φέρειν αὐτοὺς τὸ βίαιον τῆς ἐπιδέσεως. ἐγὼ δ' οὖν καὶ αὐτὸς ᾐσθανόμην ψυχροῦ τοῦ χωρίου πάντως, ὡς ἀναγκάζεσθαι δι' ὅλης ἡμέρας καὶ νυκτὸς ἔλαιον καταντλεῖν θερμὸν, ὑποβεβλημένου δέρματος ὅλῳ τῷ σώματι. γυμνὸς γὰρ ἐπ' αὐτοῦ κατεκείμην, ὡς ἂν καὶ τῶν ὑπὸ κύνα καυμάτων ὄντων. ὑποκειμένης οὖν κατὰ τὸ πρὸς τῶν ποδῶν μέρος λεκάνης κοινῆς, ἐσχημάτισαν ἐπὶ ταύτην πρὸς ἔκρουν ἐπιτηδείως τὸ δέρμα, πάλιν τε τὸ ἀθροισθὲν ἐν τῇ λεκάνῃ μεταβαλόντι εἰς λέβητα ἐπὶ πυρὸς ἐπικείμενον ἐθέρμαινον, ἐντεῦθεν λαβόντες ἀπήντλουν τῷ πεπονθότι χωρίῳ παντί. καὶ εἰ βραχύ ποτε διέλιπον, εὐθέως ᾐσθανόμην τάσεως τῶν περὶ τὸν τράχηλον μυῶν, ὡς εἶναι δῆλον ὅτι σπασμὸς ἀκολουθήσει ῥᾳθυμησάντων περὶ τὴν κατάντλησιν. ἐμοὶ μὲν καὶ ἄλλο τι συνέβη περὶ τὰς κακοπαθείας τῶν μυῶν, αἴτιον οὐ σμικρὸν, ὃ καὶ αὐτὸ καλῶς ἔχει δηλῶσαι χάριν τοῦ νομίσαι τινὰ διὰ μόνην τὴν κατανάγκασιν τῆς κλειδὸς, εὐπαθεῖς γενέσθαι τοὺς μύας. ἀποσπασθέντος γὰρ τοῦ ἀκρωμίου κατὰ παλαίστραν, ὁ παιδοτρίβης ἰδὼν ταπεινὴν τὴν ἐπωμίδα, καὶ εἰς μασχάλην ὠλισθηκέναι τὸν βραχίονα, κατέτεινέ τε καὶ μοχλεύειν ἐπεχείρει, καὶ τεχνικῶς ἐνήργει ταῦτα. μὴ προχωροῦντος δὲ τοῦ ἔργου, καὶ μάτην τοῦ χρόνου τριβομένου, νομίσας αὐτὸν ἐν τῇ μοχλείᾳ τι σφάλλεσθαι, τοὺς μὲν ἄλλους μετ' ἐκείνου τείνειν τε τὸν βραχίονα καὶ ἀντιτείνειν ἄνω τὸν ὦμον ἐκέλευον, αὐτὸς ἀποβαλὼν τῆς ἀπαθοῦς χειρὸς τοὺς δακτύλους, ὡς ἐσωτάτω τοῦ δοκοῦντος ὠλισθηκέναι τὸν βραχίονα, ἵνα μεταξὺ τῶν πλευρῶν καὶ τῆς κεφαλῆς αὐτοῦ παρενθεὶς, ἀναμοχλεύσειεν αὐτὸν, μικρὸν ὕστερον, μηδὲν εὑρὼν ἐν τῇ μασχάλῃ παρὰ φύσιν, ἐκέλευσα ἐπισχεῖν τὴν τάσιν τοὺς ἅμα τῷ παιδοτρίβῃ τείνοντάς τε καὶ ἀντιτείνοντας. οὐ γὰρ ἐκπεπτωκέναι τὸ ἄρθρον οἶδ' ὅτι, ὡς μετὰ τὴν ὀδύνην μαλθακιζομένου μου περιέτρεπόν τε παρέχειν αὐτὸν ἑαυτοῖς οὐκ ἐμαυτοῦ, οὐκ ἐπαύοντό τε τείνοντες. ὅστις ἂν διέσπασε τὸν μῦν ὡς ἤδη καὶ ἄλλοις τισὶ συνέπεσεν, εἰ μὴ κατὰ τύχην ἐπιφανὴς ἕτερος, ὃν ἰδὼν, μηδέ ποτ' ἂν διὰ μαλακίαν εἶρξα αὐτοὺς τῆς τάσεως, ἀπέλυσε μὲν ἐκείνους. ἐμοὶ δ' ἐπύθετο τί ποτ' ἂν εἴη τὸ γεγονὸς, ὅτι τε κελεύει με πράττειν. εἶπον οὖν αὐτῷ τὸ μὲν γεγονὸς, ἀποσπασθῆναι τοῦ ἀκρωμίου, χρῄζειν δὲ ἐλαίου, καὶ ὀθονίου καὶ ἐρίων, εἰς τὸ βαλανεῖον αὐτὸς ἐπορεύθην, καὶ πολὺ περιχεόμενος ἔλαιον, ἐνδιέτριψα τῇ δεξαμενῇ μέχρι δυνατὸν ἦν, νομίζων ὅπως κομισθείη τὰ πρὸς τὴν θεραπείαν, ὥστε μοι καὶ διὰ ταύτην τὴν κακοπάθειαν οἱ μύες ἐδέοντο τῆς συνεχοῦς καταντλήσεως. οἱ πολλοὶ δὲ καὶ μὴ γενομένης αὐτῆς τῆς ἐπιδέσεως οὐ φέρουσιν, ἀλλ' αἱροῦνται τὴν εἰς τὸν ἔπειτα χρόνον ἐκ τοῦ πάθους ἔχειν δυσχέρειαν, ὑπὲρ τοῦ μὴ πονεῖσθαι μέχρι τεσσαρακονθημέρου. οὐ γὰρ ἡγοῦμαι θᾶττον δύνασθαι τῶν τοσούτων ἀκριβῶς καμφθῆναι τὸ τῆς κλειδὸς ὀστοῦν. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

Κληῒς δὲ κατεαγεῖσα, ἢν μὲν ἀφρικέως ἀποκαυλισθῇ, εὐϊητοτέρη ἐστὶ, ἢν δὲ παραμηκέως, δυσιητοτέρη. τἀναντία δὲ τούτοις ἐστὶν, ἢ ὡς ἄν τις οἴοιτο. τὴν μὲν γὰρ ἀφρικέως ἀποκαυλισθεῖσαν, προσαναγκάσειεν ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν, καὶ εἰ πάνυ προμηθηθείη τὸ ἀνωτέρω, κατωτέρω ἂν ποιήσειε, σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπιδέσει ἁρμοζούσῃ. εἰ δὲ μὴ τελέως ἱδρυνθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. ὧν δ' ἂν παραμήκης τὸ ὀστέον κατεαγῇ, ἱκέλη ἡ ξυμφορὴ γίνεται τοῖσιν ὀστέοισι τοῖσιν ἀπεσπασμένοισι, περὶ ὧν πρόσθεν γέγραπται. οὔτε γὰρ ἱδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ἀκρὶς τοῦ ὀστέου ὀξεῖα γίνεται κάρτα. τὸ μὲν οὖν σύμπαν εἰδέναι χρὴ, ὅτι βλάβη οὐδεμίη τῷ ὤμῳ οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κάτηξιν τῆς κληῗδος, ἢν μὴ ἐπισφακελίσῃ. ὀλιγάκις δὲ τοῦτο γίνεται.

Λέγει τὴν δι' ὅλου ἀποκαυλισθεῖσαν, ὡς κατὰ μηδὲν προσέχεσθαι. τὸ δ' ἀντικείμενον τούτῳ, τὸ οὐκ ἀτρεκέως ἐστὶ, ὃ καθ' ἕνα τρόπον γινόμενον ἐδήλωσεν εἰπών. ἢν δὲ παραμηκέως, δυσιητοτέρη, μετ' αὐτοῦ καὶ συνενδέξασθαι, τὴν μὲν ἀκριβῶς ἀποκαυλιζομένην, ἐγκαρσίαν πάσχειν τομήν, τὴν δ' οὐκ ἀκριβῶς, κατὰ μῆκος. ὅταν μὲν οὖν ὁλοκλήρως ἀποκαυλισθῇ, παραλλάττειν εἴωθεν τοὐπίπαν ἀλλήλων τὰ μόρια, καὶ τὸ μὲν ἄνω χωρεῖν, τὸ δὲ κάτω, τὸ μὲν ἔσω, τὸ δὲ ἔξω. καὶ ἐπὶ τούτου φαίνεται μέγα τε τὸ κάταγμα καὶ δυσίατον εἶναι. ἐπὶ δὲ τὸν ἕτερον τρόπον ἡνίκα παραμήκης ἐστὶν ἡ διάθεσις τοῦ κατάγματος, ἡ μὲν φαντασία μικροτέρα, χαλεπωτέρα δὲ ἡ ἴασις. οὐ γὰρ ἐνδέχεται τὴν ἐν κύκλῳ περιβολὴν ὥσπερ τὰ κῶλα μόνην δυναμένην προσεῖναι καὶ παραγαγεῖν τὸ παρὰ μῆκος ἐσχισμένον τῆς κλειδός. ἐὰν οὖν ὧν εἴρηκα νῦν εἴης μεμνημένος, οὐδὲν ἐνέγκειν φαίνεται τῶν ἐφεξῆς ὑπ' αὐτοῦ λεγομένων ἀσαφές.

Αἶσχος γε μὴν προσγίνεται περὶ τὴν κάτηξιν τῆς κληῗδος, καὶ τουτέοισι τὸ πρῶτον αἴσχιστον, ἔπειτα μὴν ὡδὶ ἧσσον γίνεται.

Βέλτιον ἦν εἰπεῖν ἐπὶ ἧσσον γίνεται. κατ' ἀρχὰς μὲν τῷ ξένῳ τοῦ πράγματος αἰσχρὸν αὐτοῖς εἶναι δοκεῖ τὸ γεγονός. ἐν δὲ τῷ χρόνῳ συνεθιζομένοις ὥσπερ ἐπὶ τοῖς ἄλλοις ἅπασι, οὕτως κἀπὶ τῷδε καταφρονεῖται τὸ αἶσχος.

Συμφύεται δὲ ταχέως κληῒς, καὶ τἄλλα πάντα ὅσα χαῦνα ὀστέα. ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιέεται τὰ τοιαῦτα. ὅταν μὲν οὖν νεωστὶ καταγῇ, οἱ τετρωμένοι σπουδάζουσιν οἰόμενοι μέζον τὸ κακὸν εἶναι ἢ ὅσον ἐστὶν, οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ὀρθῶς ἰῆσθαι. προϊόντος δὲ τοῦ χρόνου οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι, οὔτε κωλυόμενοι, οὔτε ὁδοιπορίης, οὔτε ἐδωδῆς καταμελέουσιν, οἵ τε αὖ ἰητροὶ ἅτε οὐ δυνάμενοι περὶ τὰ χωρία ἀπο-

δέκνυνται, ἀποδιδράσκουσι, καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν φωμένων, ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις συνταχύνεται. ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσιν ἰητρεύειν. καὶ τάδε δεῖ προσιητρεύειν, καὶ τάδε δεῖ προσξυνιέναι, καὶ μάλιστα ἐν τούτῳ τῷ χειρίσματι, ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι, καὶ τοῖσι ἐπιδέσμοισι πλείστοισι, καὶ μάλιστα κατὰ τοῦτο χρὴ πιέζειν. εἰσὶ δὲ δή τινες οἳ ἐπεσοφίσαντο ἤδη μολίβδιον βαρὺ προσεπικαταδέειν, ὡς καταναγκάζειν τὸ ὑπερέχον. ξυνιᾶσι μὲν οὖν ἴσως, οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες. ἀτὰρ δὴ οὐδὲ οὗτος ὁ τρόπος κληῗδος κατήξιος ἐστίν, οὐ γὰρ δυνατὸν τὸ ὑπερέχον καταναγκάζεσθαι οὐδέν, ὅ, τι καὶ ἄξιον λόγου. ἄλλοι δ᾽ αὖ τινές εἰσιν οἵ τινες καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες παράφοροί εἰσι, καὶ οὐ κατὰ φύσιν καταναγκάζουσι τὰ ὑπερέχοντα. ἐπιδέουσι μὲν οὖν αὐτοὺς σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι, ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ τινὶ ᾗ εὐζωστότατος αὐτὸς ἑωυτοῦ ἐστιν, ὅταν ἐπιθῶσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος, ἐξογκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου προσέδησαν πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἔμπροσθεν, καὶ οὕτως ἐπιδέουσιν, ὡς τὴν ἴξιν τῆς κληῗδος ἐπιτανύοντες εἰς τοὔπισθεν ἄγοντες, κἄπειτα περιβαλόντες περὶ τὸ ζῶσμα, εἰς τοὔμπροσθεν ἄγουσι, καὶ αὖθις ἐς τοὔπισθεν. οἱ δέ τινες οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ περὶ τὸ περίνεόν τε καὶ παρ᾽ αὐτὴν τὴν ἕδρην, καὶ παρὰ τὴν ἄκανθαν μικλώοντες τὸ ὀθόνιον, οὕτω πιέζουσι τὸ κάταγμα. ταῦτα γοῦν ἀπείρῳ μὲν ἀκοῦσαι, φαίνεται ἐγγὺς τοῦ κατὰ φύσιν εἶναι, χρεομένῳ δὲ ἄχρηστα. οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ᾽ εἰ κατακαίοιτό τις, καίτοι ἐγγυτάτω ἂν οὕτως, ἀλλ᾽ ὅμως εἰ κατακείμενος, ἢ τὸ σκέλος συγκάμψειεν, ἢ αὐτὸς καμφθείη, πάντα ἂν τὰ ἐπιδέσματα κινέοιτο, ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις.

Τὴν αἰτίαν εἰπὼν αὐτὸς τοῦ ταχέως τὰ τοιαῦτα συμφύεσθαι. τοῦ μέντοι τὴν πώρωσιν γίγνεσθαι ταχεῖαν, οὐκέτ᾽ εἶπεν τὴν αἰτίαν, ὡς ἂν ἐξ αὐτῶν τῶν ὀστῶν τῆς φύσεως, ὑπὲρ ὧν ὁ λόγος ἐστὶν νοηθῆναι δυναμένην. τὰ γὰρ χαῦνα, πλείονος ἐν αὐτοῖς ὑγρότητος μετέχει. λέλεκται δὲ ἡμῖν ἐν τοῖς ἔμπροσθεν, ὡς ἐκχεομένης αὐτῆς, εἶτα πηγνυμένης ὑπὸ τῆς κατὰ τὸ πεπονθὸς ὀστοῦν δυνάμεως, ὁ πῶρος ἐπιτρέφεται τοῖς χείλεσι τοῦ κατεαγότος ὀστοῦ. κἀπειδὰν ἱκανῶς τοῦτο γένηται, συνδεῖταί τε καὶ σφίγγεται τὰ χείλη τοῦ κατάγματος, οὐ διὰ τοῦ βάθους ἐρριμμένου τοῦ πεπονθότος ὀστοῦ καθάπερ ἐρριμμέναι σάρκες, ἀλλ᾽ ὡς εἴρηται κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, οἷον δεσμὸν τινὰ ἀχθομένου. τὰ δ᾽ ἑξῆς ἅπαντα δῆλα τοῖς προσέχουσι τὸν νοῦν.

Ἤ τε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενοχωρίῃ γίνεται. τά τε αὖ περὶ τὴν ζώνην περιβαλλόμενα, οὐχ οὕτως ἰσχυρῶς ἔζωσαι, ὡς οὐκ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην ἐπανιέναι, καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλᾶν τὰ ἐπιδέσματα, ἄγχιστα δ᾽ ἄν τις δοκέῃ ποιέειν, καίπερ οὐ μεγάλα ποιέων, εἰ τοῖσι μέν τισι τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι. τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων, τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι. οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μόνιμά τε εἴη καὶ ἀλλήλοισι τιμωρέοι. τὰ μὲν οὖν πλεῖστα εἴρηται, ὅσα καταλαμβάνει τοὺς τὴν κληῗδα καταγνυμένους. προσξυνιέναι δὲ καὶ τόδε χρή, ὅτι κληῒς ὡς ἐπὶ τὸ πολὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος πεφυκὸς ὀστέον ἐς τὸ ἄνω μέρος ὑπερέχειν, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον, ἐν τῷ κάτω μέρει εἶναι. αἴτια δὲ τούτων τάδε, ὅτι τὸ μὲν στῆθος οὔτε κατωτέρω ἂν πολύ, οὔτε ἀνωτέρω χωρήσειεν.

Οὐκ ἔστι σύνθετον ὄνομα τὸ ἐν ὑγρῷ χωρίῳ, ἔκ τε τοῦ ὑγροῦ καὶ τοῦ στενοῦ καὶ τῆς χώρας γεγονὸς ὥς τινες νομίζουσιν, ἀλλ᾽ ἀπὸ τοῦ στενόχωρος, ὅπερ οὐδ᾽ αὐτὸ πλέον σημαίνει τοῦ στενοῦ κατὰ παραγωγὴν ἵνα γεγενημένης στενοχωρίης, μηδὲν πλέον δηλούσης τῆς στενότητος. εὔδηλον δὲ τοῦτο κἀξ ὧν Σιμωνίδης εἶπε ὧδε πως ἐχόντων. ὅπω τις οὕτω δ᾽ ἀσκίοις ἐν ὄρεσιν ἀνὴρ λέγονται δίς ἐν οὐδὲν παραλαλεῖν, μοῦνος τ᾽ ἐν ὑγρῷ συντυχὼν ἐν ἀτραπῷ. ψιλοῦται δὲ δηλονότι κατὰ τὴν δευτέραν συλλαβήν.

Μικρὸς γὰρ ὁ κιγκλισμὸς τοῦ ἄρθρου τοῦ ἐν τῷ στήθει.

Τὴν βραχεῖαν κίνησιν ὠνόμασε κιγκλισμόν, εἰ δ᾽ ἀπὸ τοῦ ζώου τοῦ κίγκλου γέγονε τοὔνομα, διότι κινεῖ συνεχῶς ἐκεῖνο τὰ πυγαῖα πτέρνα, ἢ ἀπό τινος ἄλλου τῆς προκειμένης πραγματείας, οὐκ ἔστιν οἰκεῖον, ἀλλὰ μᾶλλον δεῖται αἰτίαν εἰπεῖν,

εἰπεῖν, δι' ἣν ἡ πρὸς τὸ στέρνον τῆς κλειδὸς διάρθρωσις, οὐ τῶν μικροτάτων οὖσα καθάπερ ἕτεραί τινες, ὅμως οὐκ ἔχει κίνησιν ἀξιόλογον. αὐτὸς οὖν ὁ Ἱπποκράτης ἥν τινα λέγει ταύτης τὴν αἰτίαν εἶναι, διὰ τῆς λέξεως ἀκούσωμεν. στῆθος δὲ ἔοικεν οὐ τὸ σύμπαν λέγειν χωρίον ὅσον ἐν τοῖς πρόσω τοῦ θώρακός ἐστιν, ἀλλὰ τὸ μέσον ὀστοῦν ἐν ᾧ διαρθροῦνται πλευραί, ὃ καλοῦσιν ἰδίως οἱ μετ' αὐτὸν ἰατροὶ στέρνον, ὅπερ ἀληθῶς εἶπε.

Αὐτὸ γὰρ ἑωυτῷ συνεχές ἐστι τὸ στῆθος, καὶ τῇ ῥάχει.

Τὸ μὲν οὖν ἑαυτῷ συνεχὲς εἶναι τὸ στέρνον, ἐναργῶς φαίνεται. τὸ δὲ τῇ ῥάχει, νοηθήσεται σαφῶς, ἐὰν σκελετῷ ζώου τὰς πλευρὰς ποτὲ ἴδῃς ἐναργῶς ἐρηρεισμένας, ὀπίσω μὲν ἐπὶ τῆς ῥάχεως, ἔμπροσθεν δὲ πρὸς τὸ στέρνον.

Ἄγχιστα μὲν ἡ κληῒς πρὸς τὸ τοῦ ὤμου ἄρθρον πλαδώδης ἐστί. ἠνάγκασται γὰρ πυκνοκίνητος εἶναι διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. αἴ ὥστε ὅταν φωθῇ, φεύγει ἐς τὸ ἄνω μέρος τὸ πρὸς τῷ στήθει προσεχόμενον, καὶ οὐ μάλα ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει. καὶ γὰρ πέφυκε κοῦφον, καὶ ἡ εὐρυχωρίη αὐτῷ ἄνω πλείων ἢ κάτω. ὁ δὲ ὦμος καὶ ὁ βραχίων, καὶ τὰ προσηρτημένα τούτοισι, εὐαπόλυτά εἰσιν ἀπὸ τῶν πλευρέων καὶ τοῦ στήθεος, καὶ διὰ τοῦτο δύναται καὶ ἀνωτέρω πολὺ ἀνάγεσθαι καὶ κατωτέρω. ὅταν γοῦν καταγῇ ἡ κληῒς, τὸ πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτέρω ἐπιρρέπει. ἐς τοῦτο γὰρ ἐπιφορώτερον αὐτὸ ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι κάτω ῥεῦσαι μᾶλλον, ἢ ἐς τὸ ἄνω. ὁπότε οὖν ταῦτα τοιαῦτά ἐστιν, ἀξυνετέουσιν ὅσοι τὸ ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάσαι οἴονται εἶναι, ἀλλὰ δῆλον ὅτι τὸ κάτω πρὸς τῷ ἄνω προσακτέον ἐστί. τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν ἀπὸ τῆς φύσιος. δῆλον οὖν ὅτι ἄλλως μὲν οὐδαμῶς ἐστιν ἀναγκάσαι τοῦτο. αἵ τε γὰρ ἐπιδέσιες, οὐδέν τι μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν. εἰ δέ τις τὸν βραχίονα πρὸς τῇσι πλευρῇσιν ὡς μάλιστα ἐόντα ἀναγκάζοι ἄνω, ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνεται εἶναι, δῆλον ὅτι οὕτως ἂν ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τοῦ στήθεος πεφυκὸς ὅθεν ἀπεσπάσθη.

Τροπικοῖς ὀνόμασι καὶ γλωσσηματικοῖς εἴωθεν ὁ Ἱπποκράτης ἐνίοτε χρῆσθαι, καίτοι πολιτικὴν ἑρμηνεύων ἑρμηνείαν, ὅμοιόν τι τούτῳ πεπονθὼς ὁ Ξενοφῶν. καὶ γὰρ ἐκεῖνος εἴπερ τις καὶ ἄλλος ἑρμηνεύων πολιτικῶς, ὅμως παρεμβάλλει πολλάκις ὀνόματα γλωσσηματικά, καὶ τροπικά. σπανιώτερον μὲν οὖν παρ' ἐκείνῳ τὸ τοιοῦτον, συνεχέστερον δὲ παρὰ τῷ Ἱπποκράτει. καθάπερ ἐπὶ τῇ προγεγραμμένῃ ῥήσει τὸν κιγκλισμὸν εἶπε, ἐνταῦθά τε τὸ πλαδώδης ἐστίν. ἐνδείκνυται γὰρ διὰ τῆς φωνῆς τὸ οἷον ἀστήρικτον, ᾧ καὶ τὸ ζῷον φαινόμενον μαρτυρεῖ καθ' ὅ φησιν ἠνάγκαστο, καθὸ πυκνοκινήτως αὐτῆς ἐδήλωσεν εἰπὼν, διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. αὕτη δὲ πάλιν ἡ ἀκρωμίη διὰ τὸ κατ' ὦμον ἄρθρον ἐστὶ πυκνοκίνητος, ἅτε γενής, ἅτε ὑπάρχων αὐτῆς καὶ μεγίστας ἔχων κινήσεις. τὸ δὲ κατ' ἀρχὴν εἰρημένον τῆς ῥήσεως, τὸ ἄγχιστα μὲν, τὴν ἀμφιβολίαν ἣν ἔχει πρότερον ἐπὶ τοῦ χωρίου προσῆκεν ἀκούειν ἢ τοῦ πράγματος αὐτοῦ. δηλοῦται μὲν γὰρ ἐγγυτάτω, ἀλλ' ἤτοι πλησίον τοῦ ἄρθρου πυκνοκινητοῦ ἐνδείξεται τὴν κλεῖν εἰρημένον, ὅπερ ἐμοὶ δοκεῖ μᾶλλον ἄν τις ἀκούειν ὀρθῶς, ἢ ἐνίοις ἔδοξε συνάπτειν τὸ ἄγχιστα, δηλοῦσι τὸ πυκνοκίνητος εἶναι τὸ λεγόμενον, τὸ οὕτω ἐγγυτάτω τὸ πυκνοκινήτου, ἡ κλεὶς ἐστὶ πλησίον τοῦ κατ' ὦμον ἄρθρου.

Εἰ οὖν τις τῇ μὲν ἐπιδέσει χρῷτο τῇ νομίμῃ τοῦ ταχέως συναλθεσθῆναι εἵνεκα, ἡγήσαιτο δὲ τἆλλα πάντα μάτην εἶναι παρὰ τὸ σχῆμα τὸ εἰρημένον, ὀρθῶς τε ἂν ξυνίη, ἰητρεύοιτ' ἂν τάχιστα καὶ κάλλιστα. κατακέεσθαι μέντοι τὸν ἄνθρωπον μέγα τὸ διάφορόν ἐστι, καὶ ἡμέραι ἱκαναὶ τεσσαρεσκαίδεκα εἰ ἀτρεμέοι, εἴκοσι δὲ πάμπολλαι.

Νομίμην ἐπίδεσιν λέγει τὴν ὑπὸ πάντων εἰθισμένην, καὶ ὥσπερ ἄγραφον ἤδη νόμον οὖσαν. οὕτως γὰρ κἂν τῷ βίῳ τινὰ τῶν ἐθῶν ὅσα πρὸς ἁπάντων ἐπιτηδεύεται, τοῖς νόμοις ἐστὶ παραπλήσια. τὴν μὲν οὖν καταγματικὴν ἐπίδεσιν, οὐ πάντη ἐποίουν τοῦ προσήκοντος, καὶ διὰ τοῦτο πλείονα περὶ αὐτῆς ἔγραψεν ἐν πρώτῳ βιβλίῳ περὶ τῶν ἀγμῶν. ἐνταυθοῖ δὲ οὐδεμία παθήματος ἐπίδεσις οὐδ' ἐγνὸς τοιαύτη. δέδεικται γάρ μοι καὶ διὰ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων, ἀλλὰ καὶ νῦν ἀναμνησθῆναι πάντα μὲν ὅσα τῷ τρόπῳ τῆς καταγματικῆς ἐπιδέσεως ὑποπίπτει παθήματα, κατ' ἐκεῖνο τὸ βιβλίον ὑπ' αὐτοῦ γεγράφθαι. πάντα δ' αὖ πάλιν ὅσα τῇ λοιπῇ περὶ τούτου. γίνεται γὰρ ἡ καταγματικὴ περιβαλλόντων ἡμῶν ἐν κύκλῳ τὰ ὀθόνια τῷ κατεαγότι μορίῳ. τὸ δεύτερον εἶδος τῆς ἐπιδέσεως, ἐπ' ἄλλα μόρια τὴν νομὴν ποιουμένων, καὶ κατά τε τὸ πλεῖστον ἐπὶ τὰ ἀντικείμενα τῷ πεπονθότι, καθάπερ κἀν ἰητρείῳ εἶπε. ὁμολογεῖ δὲ ὅμως μὲν ἡ περὶ τὴν ἑτέραν μασχάλην περιβολή.

Εἰ μέντοι τινὶ ἐς τἀναντία ἡ κληῒς καταγείη, ὃ οὐ μάλιστα γίνεται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον ὑποδεδυκέναι, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑπερέχειν καὶ ἐποχέεσθαι ἐπὶ τοῦ ἑτέρου, οὐδεμιῆς μεγάλης ἰητρείης ταῦτα γ' ἂν δέοιτο. αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ ὁ βραχίων, ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα, καὶ φαύλη ἄν τις ἐπίδεσις ἀρκέοι, καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γένοιντ' ἄν.

Ἔμπροσθεν μὲν ἔλεγεν, ὡς τὸ πολὺ τὸ ἀπὸ τοῦ στέρνου μέρος τῆς κλειδὸς, ὁπόταν ὅλη δι' ὅλης ἑαυτῆς ἀποκαυλι

δεῖ, πρὸς τὴν ἄνω χώραν μεθίσταται, ταπεινότερον δὲ γίγνεται τὸ ἀπὸ τῆς ἀκρωμίης. νυνὶ δὲ περὶ τοῦ ἐναντιωτέρου τρόπου γράφει, καθ' ὃν ὑψηλότερον μὲν γίνεται ἀπὸ τῆς ἀκρωμίης. ταπεινότερον δὲ τὸ πρὸς τῷ στέρνῳ ὃ καί φησιν εὐιατώτερον ὑπάρχειν. αὐτοῦ καθιεμένου, συγκαθίσταται καὶ τὸ τῆς κλειδὸς μέρος ὅσον συνεχές ἐστι τῆς ἀκρωμίου. καὶ οὕτως ἐξ ἴσου τε γιγνόμενον, θατέρου τῆς ἐπιδέσεως καὶ τῆς θεραπείας τυγχάνειν.

Εἰ δὲ μὴ καταγείη μὲν οὕτως, προολισθαίνοι δὲ ἐς τὸ πλάγιον, ἢ τῇ ἢ τῇ, ἐς τὴν φύσιν μὲν ἀπαγαγεῖν ἂν δέοι ἀναγαγόντα τὸν ὦμον σὺν τῷ βραχίονι, ὥσπερ καὶ πρόσθεν εἴρηται. ὅταν δὲ ἵζηται εἰς τὴν ἀρχαίην φύσιν, ταχείη ἂν ἡ ἄλλη ἴησις εἴη. τὰ μὲν οὖν πλεῖστα τῶν παρηλλαγμένων, κατορθοῖ αὐτὸς ὁ βραχίων ἀναγκαζόμενος πρὸς τὰ ἄνω.

Ἀκούειν σε χρὴ νῦν εἰρῆσθαι πρὸς αὐτοῦ περὶ τὴν ἔνδον, ἢ ἔξω μετάστασιν τῶν ὀστῶν. ἄκουε δέ μου λέγοντος, ἔνδον μὲν ἐς τὸ βάθος τοῦ σώματος, ἔξω δὲ ὡς τὸ πρὸς τὸ δέρμα.

Οἷσι δὲ τὸ ἄνωθεν προολισθαίνοντα ἐς τὸ πλάγιον ἦλθεν, ἢ ἐς τὸ κατωτέρω, συμπορσύνοι ἂν τὴν κατόρθωσιν, εἰ ὁ μὲν ἀνὴρ ὕπτιος κέοιτο. ἐπὶ δὲ τὸ μεσηγὺ τῶν ὠμοπλατέων ὑψηλότερόν τι ὀλίγον ὑποκέοιτο ὡς περιρρηδὲς ᾖ τὸ στῆθος, ὡς μάλιστα. καὶ τὸν βραχίονα εἰ ἀνάγοι τις παρὰ τὰς πλευρὰς παρατεταμένον. ὁ δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς τὴν κεφαλὴν τοῦ βραχίονος ἐμβαλὼν τὸ θέναρ τῆς χειρὸς ἀπωθέοι, τῇ δὲ ἑτέρῃ τὰ ὀστέα τὰ κατεαγότα συνθετίζοι, οὕτως ἂν μάλιστα ἐς τὴν φύσιν ἄγοι. ἀτὰρ ὅπερ ἤδη εἴρηται εὖ μάλα τὸ ἄνωθεν ὀστέον, ἐς τὸ κάτω φιλέει ὑποδύεσθαι. τοῖσι μὲν οὖν πλείστοισιν ὅταν ἐπιδέωσι τὸ σχῆμα ἀρήγει, παρ' αὐτὰς τὰς πλευρὰς τὸν ἀγκῶνα ἔχοντα, οὕτως ἐς τὸ ἄνω τὸν ὦμον ἀναγκάζεσθαι. ἔστι δ' οἷσι μὲν τὸν ὦμον ἀναγκάζειν δεῖ ἐς τὸ ἄνω ὡς εἴρηται.

Ὅταν οὖν τὸ συνεχὲς τοῦ στέρνου μέρος τῆς κλειδὸς, ἢ εἰς τὸ πλάγιον, ἢ εἰς τὸ κάτω προολισθῇ, τηνικαῦτα φησὶ συμπαρασκευάζεσθαι εἰς τὴν κατόρθωσιν, εἴ τις τὸν ἄνθρωπον ὕπτιον κατακλίνας ὑποθείη μεταξὺ τῶν ὠμοπλατῶν, κατ' αὐτὴν τὴν ῥάχιν δηλονότι πρὸς κεφάλαιον, ἢ ὑπαυχένιον, ἤ τι τοιοῦτον ὡς περικεκλασμένον ἐπὶ τοῦτο γίνεσθαι τὸν θώρακα σύμπαντα. τὸ γὰρ περιρρηδὲς ᾖ, οὕτως εἴρηται καὶ παρὰ τῷ ποιητῇ. περιρρηδὴς δὲ τραπέζῃ κάππεσε. ἐπὶ τοῦτον οὖν τὸν τρόπον σχηματισθέντος τοῦ ἀνθρώπου, τὸν ἰατρὸν ἀξιοῖ τῇ μὲν ἑτέρᾳ χειρὶ τὴν κεφαλὴν τοῦ βραχίονος διανάγειν παρὰ τὰς πλευρὰς παρατεταμένον ἀπωθεῖν ἐκτός. οὕτως γὰρ ἂν διασταίη μάλιστα τὰ κατεαγότα μόρια τῆς κλειδὸς, εἰς τοῦτο καὶ τοῦ περιρρηδοῦς σχήματος συντελοῦντος οὐ μικρόν. διαπλάττειν δὲ τῇ ἑτέρᾳ χειρὶ καὶ συναπάγειν πρὸς ἄλληλα τὰ διεστῶτα τῆς χειρὸς μόρια, τὸν βραχίονα πρὸς τὰς πλευρὰς παρατεταμένον ἀνάγοντα, ἐπὶ τὴν ἑξῆς ῥῆσιν ἔνιοί φησιν ἄμεινον εἶναι.

Τὸν δὲ ἀγκῶνα πρὸς τὸ στῆθος παράγειν, ἄκρην δὲ τὴν χεῖρα παρὰ τὸ ἀκρώμιον τοῦ ὑγιέος ὤμου ἴσχειν. ἢν μὲν οὖν κατακέεσθαι τολμᾷ, ἀντιστήριγμά τι προσθεῖναι χρὴ, ὡς ἂν ὁ ὦμος ἀνωτάτω ᾖ. ἢν δὲ περιίῃ, σφενδόνην χρὴ ἐκ ταινίης περὶ τὸ ὀξὺ τοῦ ἀγκῶνος ποιήσαντα, ἀναλαμβάνειν περὶ τὸν αὐχένα.

Τὸ δὲ τοιοῦτον σχῆμα πρὸς τὴν ἐκτὸς χώραν ἀπάγει δηλονότι τὴν κεφαλὴν τοῦ βραχίονος, ὡς συναπάγεται καὶ τὸ τῆς κλειδὸς μέρος, τὸ συνημμένον τῷ ἀκρωμίῳ, ἀλλ' οὐκ εἶναι χρείαν φησὶ τοιούτου σχήματος ὡς τὸ πολύ. γίγνεσθαι γὰρ αὐτάρκως τὴν ἐπανόρθωσιν, καὶ διὰ τοῦ προτέρου καθ' ὃ περὶ τὰς πλευρὰς ὁ βραχίων παρατεταμένος ἐπάγεται, τοῦ ἀγκῶνος αὐτόθι μένοντος, οὐχ ὥσπερ νῦν ἐπὶ τὸ στῆθος παραγομένου. τότ' οὖν παράγειν ἐπὶ τὸ στῆθος οὐχ ὡς ἀχρήστου τοῦ προτέρου φευκτέον ἡμῖν ἐστι, ἀλλ' ὡς καὶ διακινουμένου τὰ πολλὰ τῆς προκειμένης ἐνεργείας κατορθοῦσθαι δυναμένης. εἰ δ' ἐν τῷ πράττειν αὐτὴν μὴ ὑπακούοι τὸ ἔργον, οὕτως ἐπὶ τὸ δεύτερον σχῆμα μεταβησόμεθα.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Περὶ ἀγκῶνος. Ἐξήγησις λείπει.

Ἀγκῶνος δὲ ἄρθρον παραλλάξαν μὲν, ἢ παραρθρῆσαν πρὸς πλευρὴν, ἢ ἔξω μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος ἐς ὀξὺ κατατείναντα, τὸ ἐξέχον ἀπωθεῖν ὀπίσω καὶ ἐς τὸ πλάγιον. τὰ δὲ τελείως ἐμβάντα, ἢ ἔνθα ἢ ἔνθα. κατάστασις μὲν, ἐν ᾗ ὁ βραχίων κατεαγεὶς ἐπιδέεται. οὕτω γὰρ αὖ τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει, ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς πλευρὰς μέρος. τὰς δὲ κατορθώσιας ἀπάγοντα ὅτι πλεῖστον ὡς μὴ ψαύοι τῆς κορώνης, ἡ κεφαλὴ μετέωρον περιάγειν καὶ περικάμπτειν, καὶ μὴ ἐς εὐθὺ βιάζεσθαι, ἅμα δὲ ὠθεῖν τἀναντία ἐφ' ἑκάτερα, καὶ παρωθεῖν ἐς χώραν. συνωφελοίη δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τουτέοις, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον, ἐν τῷ δὲ, ἐς τὸ πρηνές. ἴησις δὲ [ἐπὶ] σχήματος μὲν, ὀλίγον ἀνωτέρω ἄκρην τὴν χεῖρα τοῦ ἀγκῶνος ἔχειν, βραχίονα δὲ κατὰ πλευράς. οὕτω δὲ καὶ ἀνάληψις, καὶ θέσις, καὶ εὔφορον, καὶ φύσις, καὶ χρῆσις ἐν κοινῷ. ἢν ἄρα μὴ κακῶς πωρωθῇ, πωροῦται δὲ ταχέως. ἴησις δὲ ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν καὶ τὸ ὀξὺ προσεπιδεῖν. παλιγκοτώτατον δὲ ὁ ἀγκὼν πυρετοῖσιν ὀδύνῃσι, ἀσώδει, ἀκρητοχόλῳ. ἀγκῶνος δὲ μάλιστα τοὔπισω διὰ τὸ ναρκῶδες, δεύτερον δὲ τοὔμπροσθεν. ἴησις δὲ ἡ αὐτή. ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκτείναντα κατατεῖναι. σημεῖον δὲ οὐ γὰρ δύναται ἐκτείνειν, τοῦ δὲ ἔμπροσθεν οὐ δύναται ξυγκάμπτειν. τουτέῳ δὲ ἐνθέντα τι συνειλεγμένον σκληρὸν, περὶ τοῦτο ξυγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης. διαστάσιος δὲ ὀστέων, σημεῖον ἐπὶ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι. ταῦτα δὲ ταχέως διαπο-

διαπορεῦνται. ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω τοῦ σίνεος ὀστέα, πλεῖστον τὰ ἐγγύτατα τοῦ πήχεος, δεύτερα χειρὸς, τρίτα δακτύλων, βραχίων δὲ καὶ ὦμος, ἐγκρατέστερα διὰ τὴν τροφήν, ἡ δὲ ἑτέρη χεὶρ διὰ τὰ ἔργα ἔτι πλέω ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, ἔσωθεν, εἰ δὲ μὴ, ἐς τοὐναντίον ᾗ ἐξέπεσεν. ἀγκὼν δὲ ἢν ἔσω ἢ ἔξω ἐκβαίῃ, κατάστασις μὲν ἐν σχήματι κοινῷ τῷ πήχει πρὸς βραχίονα. τὴν μὲν γὰρ μασχάλην ἀναλαμβάνοντα ταινίῃ ἀνακρεμάσαι, ἀγκῶνι δὲ ἄκρῳ ὑποτιθέντα τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι, ἢ χερσὶ καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου, αἱ παραγωγαὶ τοῖς θέναρσιν, ὡς τὰ ἐν χερσὶ ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι, καὶ ἀνάληψις καὶ θέσις. τὰ δὲ ὄπισθεν ἐξαίφνης ἐκτείναντα, διορθοῦν τοῖσι θέναρσιν, ἅμα δὲ δεῖ ἐν τῇ διορθώσει καὶ ἐν τοῖσιν ἑτέροισιν, ἢν δὲ ἔμπροσθεν ἀμφιβαλεὶς ὀθόνιον συνειλημμένον, ὄγκον, συγκάμπτοντα ἅμα διορθοῦν. ἢν δὲ ἑτεροκλινὲς ᾖ ἐν τῇ διορθώσει, ἀμφότερα ἅμα χρὴ ποιέειν. τῆς δὲ μελέτης τῆς θεραπείης, κοινὸν δὲ τὸ σχῆμα καὶ ἡ ἐπίδεσις, δυνατὸν δὲ καὶ ἐκ τῆς διατάσιος κοινῆς συμπίπτειν ἅπαντα. τῶν δὲ ἐμβολέων, αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων, ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει.

Περὶ χειρός.

Χειρὸς δὲ ἄρθρον ὀλισθαίνει ἢ ἔσω ἢ ἔξω, ἔσω δὲ τὰ πλεῖστα. σημεῖα δὲ εὔσημα. ἢν μὲν ἔσω, συγκάμπτειν τοὺς δακτύλους οὐ δύναται, ἢν δὲ ἔξω, ἐκτείνειν. ἐμβολὴ δὲ ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων, τοὺς μὲν τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον, ἢ θέναρι, ἢ πτέρνῃ ἅμα ἀπωθέειν, καὶ ὠθέειν πρόσω κάτω. κάτωθεν δὲ ἐπὶ τὸ ἕτερον ὀστέον ὄγκον μαλθακὸν ὑποθεὶς, ἢν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. ἴησις δὲ ὀθονίοισιν. ὅλη δὲ ἡ χεὶρ ὀλισθαίνει, ἢ ἔσω ἢ ἔξω, ἢ ἔνθα ἢ ἔνθα, μάλιστα δὲ ἔσω. ἔστιν δ' ὅτε καὶ ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη, τούτοισι κατάτασις ἰσχυρὴ ποιητέη, καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἕτερον ἀντωθέειν δύο εἴδεα ἅμα ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον, ἢ χερσὶν ἐπὶ τραπέζης, ἢ πτέρνῃ παλιγκότῳ. τὰ δὲ καὶ ἀσχήμονα, τῷ μὲν χρόνῳ κρατύνεται. ἴησις, ὀθονίοισι σὺν τῇ χειρὶ καὶ τῷ πήχει, καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι. ἐν νάρθηξι δὲ δεθέντα ταῦτα, πυκνότερον λύειν ἢ τὰ κατάγματα, καὶ καταχύσει πλείονι χρέεσθαι. ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται, καὶ μινύθησις σαρκῶν μάλιστα τἀναντία ᾗ τὸ ἔκπτωμα. ἠυξημένῳ δὲ τὰ ὀστέα μένει, δακτύλου δὲ ἄρθρον ὀλισθὲν μὲν εὔσημον. ἐμβολὴ δὲ κατατείνοντα ἐς ἰθὺ, τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἐναντίον ἀντωθέειν. ἴησις δὲ ταινίοισιν, ὀθονίοισι. μὴ ἐκπεσὸν δὲ, ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ, ἢ ἐν αὐξήσει, ἐξαρθρήσαντα τὰ ὀστέα, βραχύνεται κάτω τοῦ ὀλισθήματος, καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα, ἢ ὡς τὸ ἔκπτωμα. ἠυξημένῳ δὲ τὰ ὀστέα μένει.

Περὶ γνάθου.

Γνάθος δὲ ὀλίγοισιν ἤδη τελέως ἐξήρθρησεν.

Γνάθον ὀνομάζουσιν οἱ ἀνατομικοὶ τὸ ὑποκάτω τοῦ μήλου καλούμενον. τὸ μῆλον δ' αὐτοῖς ἐξέχον ἐν τοῖς προσώποις διακρατοῦσιν ἀτρέμα περιφορές. ὁ τοίνυν Ἱπποκράτης οὕτως εἴρηκεν. ὥσπερ δὲ ἄρθρον ἐν ἴσῳ τοῦ κατ' ὦμον ἄρθρου, ἵνα καὶ νυνὶ λέγων τὸ κατὰ τὴν γνάθον ἄρθρον, ἢ τὴν κάτω γένυν ὠνόμασε γνάθον. οὕτως δὲ καὶ ὁ ποιητὴς εἴρηκε. Κόπτων ἀμφοτέρῃσι, χαμαὶ δ' ἐκ πάντας ὀδόντας Γναθμῶν ἐξελάσαιμι συὸς ὡς ληϊβοτείρης. καὶ γὰρ κἀκεῖνος φαίνεται γνάθους ὀνομάζων τὰς γένυας. αὐτός τε πάλιν ὁ Ἱπποκράτης ἐν τοῖς ἐφεξῆς γνάθους αὐτὰς καλεῖ. περὶ μὲν οὖν τῆς προσηγορίας ἱκανὰ καὶ ταῦτα. διὰ τί δέ φησιν ὀλίγοις ἐξαρθρεῖσθαι τὴν γένυν, αὐτὸς σε διδάξει διὰ τῶν ἐπιφερομένων, οἷς δὴ πρόσεχε τὸν νοῦν.

Ὀστέων τε γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς, ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ προσπεφυκότι, ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου. τῆς μὲν ἀνωτέρω ἐὸν, τῆς δὲ κατωτέρω τῶν κεφαλαίων. τά τε ἄκρεα τῆς κάτω γνάθου, τὸ μὲν διὰ τὸ μῆκος οὐκ εὐπαρείσδυτον, τὸ δ' αὖ τὸ κορωνόν τε καὶ ὑπερέχον, ὑπὲρ τοῦ ζυγώματος.

Εἴρηταί μοι καὶ πρόσθεν, ἔν τε τῇ περὶ τοῦ ἀγκῶνος ἐξηγήσει καὶ τῷ πρώτῳ τῶν ὑπομνημάτων. καὶ εἴ τις οὐ νοεῖ σαφῶς τὰ οὕτως ὑφ' Ἱπποκράτους λεγόμενα, δείκνυσι καὶ τοὺς περὶ τῶν διδάσκοντας ὀστᾶ, μάλιστα μὲν ἀνθρώπων. εἰ δὲ μὴ, πιθήκων. ἄμεινον δὲ μὴ νῦν, ὁπότ' ἀναγιγνώσκει τὰ βιβλία, ταύτην ἕξιν γίγνεσθαι τῶν ὀστῶν, ἀλλ' ἔμπροσθεν ἐπὶ σχολῆς γεγονέναι. λέλεκται δὲ καὶ ὡς ὑφ' ἡμῶν γέγραπται βιβλίον τοῖς εἰσαγομένοις περὶ ὀστῶν, ὅτι τε τῷ μέλλοντι συνιέναι δῆλον, τί ἐν τούτοις τοῖς γράμμασιν ὁ Ἱπποκράτης λέγει, προγεγυμνάσθαι βέλτιον ἐστὶν ἐν ἐκείνῳ. καὶ τοίνυν ἔμπροσθεν ἔγραψα, καὶ νῦν ποιήσω μέσην τινὰ τοῖς θ' ἑωρακόσι καὶ μὴ ἑωρακόσι διδασκαλίαν. οὕτως γὰρ οἵ θ' ἑωρακότες οὐκ ἀνιάσονται τῷ μήκει τοῦ λόγου, οἵ τ' οὐδ' ὅλως ἑωρακότες, οἷον ὑπογραφήν τινα ἕξουσι τῆς ἀκριβοῦς μαθήσεως, ἣν οὐχ οἷόν τε χωρὶς τῆς ἐπὶ τῶν ὀστῶν αὐτοψίας γενέσθαι. νόει δή μοι καὶ τὸ μὲν κινούμενον ἐν τοῖς ὀδοῦσι στόμα, τὴν κάτω γένυν εἶναι, τὸ δ' ἀκίνητον, τὴν ἄνω. περιέχεσθαι δὲ πρὸ τῶν ὀστῶν τοὺς ἀλλήλους ὀδόντας, κατά τε τὸ μέγεθος καὶ τὸ πλῆθος. ἐκπεφυκὸς δὲ τὸ τῆς ἄνω γνάθου, λεπτόν ἐστι καὶ συνεχὲς τῷ περιέχοντι τὸ μικρὸν, καθ' ὃ ὀστῷ τούτῳ δ' ἄγαν τ' αὖ ἕτερον ἐκ τοῦ τῶν ἀκουστικῶν πόρων ἐν αὐτῷ περιέχοντος ὀστοῦ. καθ' ὃ δὲ συμβάλλει ταῦτα ἀλλήλοις, γίγνεσθαι συνάρθρωσιν ὁμοίαν ῥαφῇ. τὸ τοίνυν ὅσον οὖν λεπτὸν ὃ συνάπτει τὴν ἄνω γένυν τῇ κεφαλῇ, καλεῖται ζύγωμα πρὸς τῶν ἀνατομικῶν. ἐπειδὴ καὶ αὐτὸς ὁ Ἱπποκράτης φάσκων ὑποζυγῶσαι, δηλοῖ συνάγειν ἀλλήλοις τὰ δύο ὀστᾶ, καθάπερ ζυγὸν ὑποκείμενον αὐτοῖς. ὑπὸ δὲ τούτῳ τῷ ζυγώματι κοιλότης ἐστὶν ἀξιόλογος, ἣν κατείληφεν ἡ ἑτέρα τῶν ἀποφύσεων τῆς κάτω γένυος, ἥν τε κορώνην θηλυκῶς ὀνομάζουσι καὶ κόρωνον οὐδετέρως. οὔσης καὶ ἑτέρας ἀποφύσεως κατὰ τὴν διακνοίην, καθ' ἣν διαρθροῦται τῷ τῆς κεφαλῆς ὀστῷ πλησίον τοῦ ὠτός. ἀλλ' αὕτη μὲν ἡ ἀπόφυσις, βραχεῖα τὴν ἐστὶ τὸ μῆκος, ἡ δ' ἑτέρα, πολὺ μακροτέρα. διορίζει δὲ ἀμφοτέρων μέσον τεταμένον τὸ ζύγωμα. τῆς μὲν μακροτέρας, ταπεινότερον κείμενον, ὑψηλότερον δὲ τῆς ταπεινοτέρας. ἀμφοτέρας δὲ τὰς ἀποφύσεις τῆς

κάτω γένυος ὠνόμασεν ὁ Ἱπποκράτης κεφαλάς, ἐν τῷ φάναι τὸ ζύγωμα τὰς κεφαλὰς ἀποκλείειν, ὅπερ ἐστὶ διείργειν καὶ χωρίζειν ἀλλήλων, τὰς μὲν κατωτέρω, τὰς δὲ ἀνωτέρω. πρόδηλον οὖν ὡς δυνατόν ἐστιν ἐκπεσεῖν τῆς οἰκείας διαρθρώσεως τὴν κάτω γένυν αὐτὴν τοῦ κατωτέρω χωρῆσαι τοῦ ζυγώματος τὴν κορώνην, ὃ μὴν οὐδ' ἁπλῶς τοῦτο γινόμενον ἐξάρθρον αὐτὴν ἐργάσεται. ἀνοιγομένου γὰρ τοῦ στόματος, εἰς τὴν ἰδίαν ἐπανήξει χώραν. εἰ τοίνυν ἐξάρθρος ἔσεσθαι μέλλοι, κωλυθῆναι χρὴ τὴν ἐπάνοδον αὐτῆς εἰς τὸ πλάγιον ἐκτραπείσης. ὀρθῶς οὖν ἐφεξῆς ἔφη, χωρὶς τοῦ μέγιστον χαίνοντος εἰς τὰ πλάγια ἐκτρέψαι τὴν γένυν, ἀδύνατον αὐτὴν ἐκπεσεῖν. ὅτε γὰρ αὐτὴ ἀποχωρῆσαι δύναται κατωτέρω τοῦ ζυγώματος ἡ κορώνη, πλὴν ἐπὶ πλεῖστον ἀποστῆναι τὴν κάτω γένυν, ἢ τὴν ἄνω. τοῦτο δ' ἐν τῷ μέγιστον χαίνειν γίνεται, ὅτ' αὖ διὰ τῆς εἰς τὸ πλάγιον ἐκτροπῆς ἡ πρὸς τὴν οἰκείαν χώραν ἐπάνοδος κωλύεται. διά τε οὖν ταῦτα δυσκόλως ἐκπίπτει, καὶ διὰ τὴν ἀνεχόντων μυῶν ῥώμην, ὑπὲρ ὧν περὶ τὴν ἐξῆς λέξιν ἤκουσε αὐτοῦ λέγοντος.

Ἅμα τε ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεες τένοντες πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες, οἱ κροταφῖται καὶ μασσητῆρες καλεόμενοι.

Ἃς ἔμπροσθεν ὠνόμασε κεφαλὰς τῆς κάτω γένυος, ἄκρεα νῦν προσηγόρευσε, ἐπ' ἀμφοτέρων λέγων νευρώδεις τένοντας πεφυκέναι. καλεῖν δ' εἴωθεν τένοντας ἐκεῖνα τὰ πέρατα τῶν μυῶν, ἃ προσαγορεύουσιν ἀπονευρώσεις οἱ ἀνατομικοί, νευρωδέστερα μὲν ἀεὶ τῶν μέσων ὄντα, διαφέροντα δ' ἀλλήλων ἐν τῷ ποτὲ μὲν πλείονα τὴν σαρκώδη φύσιν ἔχειν τῆς νευρώδους, ποτὲ δ' ἐλάττονα. ὁπότε μὲν οὖν ἡ τῆς σαρκὸς οὐσία πλείων ᾖ, σαρκώδη τὴν ἀπονεύρωσιν καλοῦσι τοῦ μυός. ὁπόταν δὲ ἐλάττων ᾖ, νευρώδη προσαγορεύουσιν. νῦν οὖν ἐπειδὴ τῆς σαρκώδους οὐσίας ἡ νευρώδης ἐστὶ πλείων, εἰκότως ἔφη νευρώδεις τένοντας ἐκπεφυκέναι τῶν κεφαλῶν. ἀπὸ γὰρ τῶν ὑψηλῶν τῆς κάτω γένυος ἐξηρτῆσθαι φασὶ μύας, τοὺς κροταφίτας καὶ μασσητῆρας καλουμένους. ἄδηλον δέ, πότερον τοὺς αὐτοὺς μύας τοῖς τοιούτοις προσηγόρευσεν ὀνόμασιν, ἢ ἄλλους μὲν εἶναι βούλεται τοὺς κροταφίτας, ἄλλους δὲ τοὺς μασσητῆρας. οἱ μὲν γὰρ μετ' αὐτὸν ἀνατομικοί, κροταφίτας μὲν ὀνομάζουσι, τοὺς ἐκ τῶν περὶ κροτάφους ὀστῶν τῆς κεφαλῆς ἐκφυομένους, οὓς αὖ διανοίγειν τε καὶ συνάγειν τὸ στόμα σαφῶς ὁρῶμεν ἐντεινομένους. τοὺς δὲ ὑποκεκλεισμένους τοῖς πλατέσι τῆς κάτω γνάθου, καὶ τούτοις δὲ ἑκατέρωθεν ἕνα μασσητῆρα, ἐπειδὴ περιάγουσιν ἐν τῷ μασσᾶσθαι τὴν γένυν, οὐ δυναμένων τοῦτο ποιεῖν τῶν ἄνωθεν καταφερομένων. ἀνασπῶσι γὰρ ἐκεῖνοι μόνην αὐτήν, οὐ μὴν εἰς τὰ πλάγια περιάγουσιν. διὸ καὶ ἐν τῷ συνάγειν τὸ στόμα τούτων χρῄζομεν, ὡς αὖ κἀπειδὰν ἐνδάκνοντές τι τοῖς προσθίοις ὀδοῦσιν, ἀποθραύουσιν ἢν βουληθῶμεν ἀποθλάσαι τι διὰ τῶν κυνοδόντων ὀνομαζομένων. ὅταν δὲ ταῖς μύλαις ἐπιβάλλοντες τὰ σιτία, καταθραύειν τε καὶ λεαίνειν αὐτὰ προελώμεθα, μάσησις μὲν καλεῖται τὸ τοιοῦτον ἔργον. ὑπὸ δὲ τῶν ὑποβεβλημένων τοῖς πλατέσιν ἐπιτελεῖται, περιαγόντων αὐτῶν εἰς τὰ πλάγια τὴν γένυν. εὔλογον οὖν ἐστι τούτους μὲν μασσητῆρας ὀνομάζειν, κροταφίτας δὲ τοὺς ἐκφυομένους τῶν περὶ τοὺς κροτάφους ὀστῶν, οἳ καὶ περιλαμβάνουσι νευρώδεις τένοντας, τὴν κορώνην τῆς γένυος ἐν κύκλῳ πᾶσαν περιφερόμενοι. καὶ μὴν καὶ ἄλλη τίς ἐστι συζυγία μυῶν ἐγκατακειμένη τῷ στόματι, τὴν μὲν ἄνω ἔκφυσιν ἔκ τε τῶν πτερυγοειδῶν ὀστῶν ἔχουσα, καὶ συμπάσης τῆς παρακειμένης αὐτῇ κοιλότητος. ἐμφυομένη δὲ τῇ κάτω γένυι, κατ' ἐκεῖνο μάλιστα τὸ μέρος, ὅθεν ἡ πρὸς τὴν διάρθρωσιν ἀπόφυσις ἀναφέρεται. τούτων τῶν μυῶν οἱ περὶ τοὺς μασσητῆρας δείκνυνται μῦς, οὓς περὶ τῶν πλατέων ἔφην ἔξωθεν ὑποτετάσθαι τῆς κάτω γένυος, ὡς τῶν ἔνδοθεν αὐτῶν τὸ πλατὺ κατειλήφασιν οἱ προειρημένοι δύο μῦς ἑκατέρωθεν εἷς. ὅταν οὖν ὁ Ἱπποκράτης εἴπῃ, ἅμα τε ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεις τένοντες πεφύκασιν ἐξ ὧν ἐξήρτηνται οἱ μύες, οἱ κροταφῖται καὶ μασσητῆρες καλεόμενοι. πρόδηλος μὲν οὖν ἐστι τῶν ἔξωθεν ὑποβεβλημένων μυῶν τῇ γένυϊ μηδ' ὅλως μνημονεύων. ἐπὶ δὲ τὰς δύο συζυγίας ἄγων ἡμᾶς τῶν μυῶν, οἵ τε σαφῆ τὴν ἔκφυσιν ἔχουσιν ἐκ τῶν περάτων τοῦ μυός, καὶ ὅσοι παρὰ τὴν κοιλότητα τὴν παρὰ τοῖς πτερυγοειδέσιν ὀστοῖς. οὗτοι μὲν γὰρ τὴν ἑτέραν ἀνάπτουσι τὴν εἰρημένην διαρθροῦσθαι τῇ κεφαλῇ. τὸ δ' ἕτερον ζεῦγος ὑπὲρ τὰς κορώνας ἔφην ἐμφέρεσθαι, ταῦτα πάλιν αὐτὰ τῆς γένυος τὰ πέρατα πρὸς τὴν κεφαλὴν ἀνατείνουσι.

Διὰ τοῦτο δὲ καλέονται, καὶ διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται.

Μασσητῆρας εἰπὼν καλεῖσθαι τοὺς προειρημένους μύας, αἰτίας ἀποδίδωσι τῆς προσηγορίας αὐτῶν. ὅτι γὰρ ἐντεῦθεν ἐξήρτηνται, τουτέστιν ἐκ τῶν ἀκρέων τῆς γένυος, διὰ τοῦτο κινοῦνται μασσωμένων, καὶ καλοῦνται μασσητῆρες.

Ἐν γὰρ τῇ ἐδωδῇ, καὶ ἐν τῇ διαλέκτῳ, καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ στόματος.

Ἡ κάτω γένυς ἐστὶν ἡ κινουμένη μόνη, ἀπαγόντων μὲν αὐτὴν ἀπὸ τῆς ἀνωτάτης κατὰ τὸν τράχηλον δυοῖν προσθίων μυῶν, προσαγόντων δὲ τῶν μασσητήρων. εἰκότως οὖν ἐναργῆ τὴν κίνησιν ἔχει, ἐξηρτημένην μεγίστην ἔχον τοῦ ὀστοῦ τὴν κίνησιν, ὠνομάσθησάν τε διὰ τὴν κίνησιν ταύτην μασσητῆρες ἀπὸ τοῦ σφοδροτάτου τῶν ἔργων τῆς κάτω γένυος. ἀσθενὴς γὰρ ἐν τῷ διαλέγεσθαι κίνησις.

Ἡ μὲν ἄνω γνάθος ἀτρεμέει, συνήρτηται γὰρ τῇ κεφαλῇ, καὶ οὐ διήρθρωται, ἡ δὲ κάτω γνάθος κινέεται, ἀπήρθρωται γὰρ ἀπὸ τῆς ἄνω γνάθου, καὶ ἀπὸ τῆς κεφαλῆς.

Τινὲς μὲν συνήρθρωται γράφουσιν, ἔνιοι δὲ συνήρτηται, ὅτι καὶ τὴν συνάρθρωσιν ὀστῶν συμβολὴν φυσικὴν εἶναι βούλεται, ποτὲ μὲν ἀμυδρὰν ἐχόντων τὴν κίνησιν, ἔστι ὅτε δ' οὐδ' ὅλως φαινομένην, ὥσπερ γε τὴν διάρθρωσιν, ὡς τὴν φυσικὴν σύνταξιν, ἐναργῆ τὴν κίνησιν ἐχόντων. ἐν δὲ τῇ προκειμένῃ ῥήσει τὴν ἀπάρθρωσιν ἐπιδείκνυται. τοῦτο μὲν συμβαίνει τῇ διαρθρώσει, εἴπερ γε καὶ τὸ ἀπηρθρῶσθαι.

Διότι μὲν οὖν ἐν σπασμοῖσι καὶ τετάνοισι, τοῦτο πρῶτον τὸ ἄρθρον ἐπισημαίνει συντεῖνον, διότι πληγαὶ καίριοι, καὶ καρώσαι αἱ κροταφίτιδες γίνονται, ἐν ἄλλῳ λόγῳ εἰρήσεται.

Δι' ὀλίγων ῥημάτων εἰπεῖν δυνάμενος, ἐπειδὴ πλησίον ἐστὶ τῆς ἀρχῆς τῶν νεύρων τὰ κατὰ τοῦτο τὸ ἄρθρον, εἰς γε σπασμοὺς αὐτὸ τοῦτο πρῶτον ἄρθρον ἄρχεται, καὶ τὰς πληγὰς καρώδεις ἴσχει, οὐκ οἶδ' ὅπως ἀνεβάλλετο. τάχ' οὖν

ἐβούλετο

ἐβούλετο σὺν ἀποδείξει τὸν λόγον ποιήσασθαι τὸν εἰς ταὐτὸν ἐκφυομένων ἐξ ἐγκεφάλου νεύρων μνημονεύσας, ἐπεὶ οὐκ ἦν ἀναγκαῖον ἐν τῇ προκειμένῃ διδασκαλίᾳ γίγνεσθαι, καὶ διὰ τοῦτ' ἀνεβάλλετο τὸν τέλειον λόγον εἰς τὸ περὶ ἀγμῶν γράψαι.

Περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν, τάδε τὰ αἴτια.

Ποῖα τάδε; προειρημένα δηλονότι δύο ἔχοντα κεφάλαια, τήν τε τῶν ὀστῶν φύσιν, οἵαν δεδήλωκα, ἅμα τῇ ῥώμῃ τῶν μυῶν.

Αἴτιον δὲ καὶ τόδε, ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται ἀνάγκαι βρωμάτων, ὥστε τὸν ἄνθρωπον χανέειν μεῖζον ἢ ὅσον δύναται. ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου χήματος, ἢ ἀπὸ τοῦ μεγάλα χανέοντα, παραγαγεῖν τὴν γένυν ἐπὶ θάτερα.

Τοῦ σπανίως ἐκπίπτειν δὴ τὴν γένυν ἐπὶ ταῖς προειρημέναις δύο αἰτίαις, τρίτην προστίθησιν, ὅτι χωρὶς μὲν τοῦ

 μέγιστον διοῖξαι τὸ στόμα, τὴν ἐκπτῶσιν ἀδύνατον γενέσθαι. διοίσειν δέ τι πλεῖστον αὐτῆς οὐ δεόμεθα πολλάκις, ἐπειδὴ δύο χρεῖαι τῆς τοιαύτης ἐνεργείας εἰσίν, ἤτοι μέγιστον ὄγκον ἐθελήσει τῷ στόματι τοῦ σώματος παραλαβεῖν, ἢ χασμώμενον ἄχρι πλείστου διαλαβεῖν, ὧν τὸ μὲν πρότερον σπάνιόν ἐστι, τὸ δὲ δεύτερον μόνον τοῖς ἄφροσι συμβῆναι δύναται. καὶ γὰρ καὶ τεθέαμαι ποτὲ γενόμενον αὐτὸ πλουσίῳ Γλαυκίνῳ, ᾧ διοίξαντι μέχρι πλείστου τὸ στόμα, κἄπειτα παραγαγόντι πρὸς τὸ πλάγιον. εἰώθει δὲ συνεχῶς οὕτω σχηματίζεσθαι, καὶ ὥσπερ καλὸν ἔργον ἑκὼν ἀεὶ μεῖζον ἐπειρᾶτο τοῦ πρότερον χαίνειν.

Προσσυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν. ὁκόσα γὰρ νεῦρα καὶ ὁκόσοι μύες παρὰ ἄρθρα εἰσίν, ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν ξυνδέδενται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα καὶ ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. περὶ οὗ οὖν ὁ λόγος.

 Ὅσον ἐπὶ τοῖς προειρημένοις αἰτίοις, ἢ οὐδ' ὅλως ἐχρῆν, ἢ πάνυ σπανίως ἐκπίπτειν τὴν γένυν, οὐ μὴν φαίνεται γε μὴν οὕτως ἔχειν. ἐκπίπτει γὰρ σπανίως, οὐ μὴν ὥστε παμπόλλων τε τῶν ἡμῶν ὁρᾶσθαι, καθάπερ τὰ σπανιώτατα. διὰ γὰρ τὸ πολυκίνητον τῆς διαρθρώσεως οἱ κατ' αὐτὴν μύες καὶ τὰ νεῦρα τέτατοι, καὶ τάσεις ἑτοιμοτέρας ἔχουσι τῶν ὀλιγάκις εἰς χρείαν κινήσεως ἀφικνουμένων, ὥσπερ φησὶ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα, τουτέστι τὰ κάλλιστα μεμαλαγμένα πλείστην ἐπίδοσιν ἔχει. καὶ γὰρ ὁ ποιητὴς ἐπὶ τοῦ μαλάξαι, τὸ δεψῆσαι λέγει. "κηρὸν δὲ ψύχας μελιηδέα"

Ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, χᾶται μέντοι πολλάκις ἐν χάσμασιν, ὥσπερ καὶ ἄλλαι μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσι.

Τὸ χᾶται τί ποτ' αὐτὸ σημαίνει, γνωσόμεθα τοῖς συμφραζομένοις προσέχοντες τὸν νοῦν. φησὶν οὖν ὡς αἱ ἄλλαι

 μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιοῦσιν, ὥστε τὸ χᾶσθαι μυῶν καὶ νεύρων ἐστὶ πάθος, οὐκ ἀρθρήματος. ὁποῖον δέ τι τὸ πάθος τοῦτ' ἐστι, δῆλον μὲν κἀκ τοῦ φάναι παραλλαγαί. βούλεται μὲν γὰρ αὐτὸς ἐκ τῆς κατὰ φύσιν θέσεως εἰς ἑτέραν μεθίστασθαι, βούλεται δὲ καὶ ἀθρόως τοῦτο γίγνεσθαι. καὶ γὰρ καὶ μετ' ὀλίγον ἐνδείξεται τοῦτο σημαίνειν τὸ χάσαι λέγων οὕτω, ἔπειτα ἐξαπίνης χάσαι τοῖσι σχήμασι ὁμοῦ προσέχοντα τὸν νοῦν, τουτέστι μεταβάλλειν ἀθρόως τὸ πρὸς τὸ σχῆμα. καὶ μέντοι καὶ νῦν ἔτι λέγουσιν ἔν τε τῇ Κῷ, καὶ σχεδὸν ἅπασι τοῖς ἑλληνίσι πόλεσι χασμεῖαν, ὡς ἐπιβαίνοντες ἐξαίφνης καταπίπτειν, ποιοῦσι τὸν κανόνα ᾧ παρεστήκασιν ἅπαντες οἱ μέλλοντες τρέχειν. καὶ κατὰ παλαίστραν δὲ τὸ χάσαι, σημαίνει τὴν χεῖρα ταχέως ἄγειν πρὸς αὐτὴν ἐκ τῆς ἔμπροσθεν θέσεως. ὅταν οὖν εἴπῃς χάσαι τὴν γένυν, ἐπὶ τὸ τῶν μυῶν πάθος ἀναφέρειν χρή, παραλλασσόντων ἐν τοῖς αἰφνιδίοις, τἆλλα τε τῶν σωμάτων ὡς μὴ φυλάττεσθαι τὴν ἀρχαίαν θέσιν τῶν μυῶν, ἀλλὰ διαστρέφεσθαι τι, καὶ τείνεσθαι κατά τι.

 Δῆλον δὲ τοῖσιν μάλιστα ἐστὶν ὅταν ἐκπεπτώκῃ. προΐσχει γὰρ ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν, καὶ παρῆκται τἀναντία τοῦ ὀλισθήματος, καὶ τὸ ὀστέον τὸ κόρωνον ὀγκηρότερον γίνεται παρὰ τὴν ἄνω γνάθον, καὶ χαλεπῶς ξυμβάλλουσι τὰς κάτω γνάθους.

Εἴρηται δέ μοι καὶ πρόσθεν ὡς τὸ καλούμενον ζύγωμα προβέβληται τῆς ἄνω χώρας, ἐν ᾗ τὸ κόρωνόν ἐστι τῆς γένυος. ὅτι τε μὴ περιενεχθέντος αὐτοῦ πρὸς θάτερα μέρη πρὸς τὴν οἰκείαν χώραν, ἡ γένυς ἀνασπασθήσεται. ἀναγκαῖον οὖν ἐστιν ὅταν ἡ γένυς ποτὲ ἐκπέσῃ, τὴν κορώνην αὐτῆς ἔξω φέρεσθαι τοῦ ζυγώματος. ἄλλην γὰρ οὐδεμίαν ἔχει χώραν εἰς ἣν ἐνεχθήσεται, ὡς εἰκότως ἐξέχουσα, φαίνεται κατὰ τὴν κάτω γένυν ἔνθα τὸ ζύγωμά ἐστιν. αὐτὸ δὲ δὴ τοῦτο τὸ ζύγωμα καθ' ὅτι μάλιστα τέτακται, μαθήσῃ σαφῶς ἐπὶ τῶν ἰσχνῶν ἀνθρώπων, κατασκεψάμενος τόν τε κροταφίτην μῦν καὶ τὸ μῆλον. ἐν γὰρ τῷ μεταξὺ τὸ προφανές ἐστι τὸ ζύγωμα, μεμνημένος αὐτοῦ τὴν χώραν τῆς θέ-

 σεως ὅταν ἴδῃς τινὰ μὴ δυνάμενον κλεῖσαι τὸ στόμα, προσεληλυθυίας εἰς τὸ πρόσω τῆς γένυος, ἅμα τὸ παρῆχθαι ζήτησον ἀκριβῶς διαγνῶναι τοῖς ὀφθαλμοῖς τε καὶ τοῖς δακτύλοις τὸ κόρωνον ἐξέχον, παρά τε τὸ μῆλον καὶ τὸ ζύγωμα. κἀπειδὰν εὕρῃς οὕτως ἔχον, ἀκριβὴς ἔστω σοι διάγνωσις τοῦ τὴν γένυν ὠλισθηκέναι.

Τούτοισι δὲ ἐμβολὴ πρόδηλος, ἥ τις γίνοιτ' ἂν ἁρμόζουσα. χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου. τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον, καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου, ὅσον μετρίως δύναται. πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινά, τῇ καὶ τῇ παράγοντα τῇ χειρί, καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον ἔχειν, καὶ συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα.

τοῖς θεασαμένοις ἐξ ἀνατομῆς ἀκριβῶς τὴν σύνθεσιν ὧν διηγήσατο μορίων, ἡ ἐμβολὴ πρόδηλός ἐστι, πρὸς οὓς καὶ αὐτὸς ἀποβλέπων οὕτως εἶπε. τὰ δ᾽ ἐξαίφνης εἰρημένα περὶ τῆς ἐμβολῆς, σαφῆ πάντα, πλὴν εἴ που τις μία λέξις ἢ δύο παρεμπίπτει, περὶ ὧν ἐπισημαινοῦμαι.

Ἐπειτα ἐξαπίνης χάσαι φησὶ σχήμασιν ὁμοῦ προσέχοντα τὸν νόον. δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς εἰς τὴν φύσιν, δεῖ δὲ ἐς τοὔπισω ἀπωθῆσαι τὴν γνάθον τὴν κάτω, δεῖ δὲ ἑπομένους τούτοισι συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο ἀπ᾽ ἄλλων σχημάτων. ἰητρείη δὲ βραχεῖα ἀρκέει, σπλῆνα προσθέντα κεκηρωμένον, χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν. ἀσφαλέστερον δὲ χειρίζειν ἐστὶν ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑπείκῃ.

Μετὰ τὸ προδιακινῆσαι καὶ μαλάξαι τὰ νεῦρα καὶ τοὺς μῦς, ἕλκοντα κάτω τὴν γένυν, ἀπάγοντά τε καθόσον ἐνδέχεται τῆς ἄνω, προσήκει πρᾶξαι τοίνυν τὸ ὑπ᾽ αὐτοῦ κελευόμενον, ὅπερ εἶπε ἐξαπίνης χάσαι, τουτέστιν ἐξαίφνης καὶ ἀθρόως παράγειν εἰς τὸ κατ᾽ εὐθὺ τῆς κατὰ φύσιν χώρας τὸ ἄρθρον, ἐν τούτῳ γε κατασήσαντα, παραχρῆμα πάλιν ὠθεῖν εἰς τοὔπισω, κελεύσαντα τῷ πάσχοντι συνάγειν τὸ στόμα. πρότερον μὲν οὖν αὐτὸν ἠξίου χάσκειν χαλαρὰν παρέχοντα τὴν γένυν, ὅπερ ἐστὶ μηδένα τῶν μυῶν τείνοντα. τοῦτο γὰρ συμφορώτατον, εἴς τε τὸ διακινῆσαι τὰ νεῦρα καὶ τοὺς μῦς, ἐξαίφνης τε παραγαγεῖν ἐπὶ τὸ κατὰ φύσιν τὴν παρεστραμμένην γένυν, ἀπώσασθαί τε πρὸς τοὔπισω. νυνὶ δ᾽ ὅταν ἤδη κατ᾽ εὐθὺ τῶν οἰκείων χώρων ἑκατέρων τῶν ἄκρων τῆς γένυος γένηται, σύμφυσιν τοὺς κροταφίτας ἐνεργήσαντας, ἐπισπᾶσθαι πρὸς ἑαυτοὺς ὅλην αὐτήν. ἐνεργήσουσι δὲ προθυμηθέντος τοῦ κάμνοντος, συνάγειν τε καὶ κλεῖσαι τὸ στόμα.

Προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τοῦ τετρωμένου.

Ἐν τῷ διακινεῖσθαι τὴν γένυν, ἀπάγειν τε μετρίως εἰς τὸ κάτω, τὴν κεφαλὴν κελεύει κατέχεσθαι, χάριν τοῦ μὴ συνακολουθεῖν αὐτὴν τῇ κάτω γένυϊ. τοῦτο δὲ κοινὸν ἐπὶ πασῶν ἀντιθέσεών ἐστι τὸ παράγγελμα, τοῦ τετρωμένου δηλονότι γεν ἐν ἴσῳ τῷ παρηγγελμένου βεβλαμμένου. πάσας γὰρ τὰς βλάβας οἱ Ἴωνες ὀνομάζουσι κοινοπλύματα.

Ἢν δ᾽ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ αὐτή. συμβάλλειν δέ τι ἧσσον οὗτοι τὸ στόμα δύνανται, καὶ γὰρ προπετέστεραι αἱ γένυες τούτοισιν, ἀστραβέες δέ. τὸ δὲ ἀστραβὲς, μάλιστ᾽ ἂν γνοίης τοῖσιν ὀρίοισι τῶν ὀδόντων, τῶν τε ἄνω καὶ τῶν κάτω κατ᾽ ἴξιν.

Ἐν ταύτῃ τῇ ῥήσει δοκεῖ γνάθους ὀνομάζειν, οὐ τὴν γένυν ὅλως, ἀλλ᾽ ἑκάτερον τῶν μερῶν καθ᾽ ἃ πλατύνεται αὐτή, δοκεῖ δὲ καὶ τὰ κάτω πέρατα καθ᾽ ἃ γυμνὸν καὶ ἄσαρκον γίγνεται τὸ ὀστοῦν ὀνομάζειν γένυας, ἐκ τοῦ φάναι, καὶ γὰρ προπετέστεραι γένυες τούτοισιν. ἀλλὰ μετ᾽ ὀλίγον τε πάλιν ὅλην τὴν κάτω γένυν ὠνόμασε γνάθον ἔνθα φησίν, ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν ξύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ, μόνιμον. ἡ δ᾽ αὐτὴ καὶ ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστίν, ἐν δὲ τῇ ἄνω πολλαί, ὥστε συγκέχυται παρ᾽ αὐτῷ τὰ σημαινόμενα, τοῦ τε τῆς γνάθου καὶ τοῦ τῆς γένυος ὀνόματος. ὃ μέντοι λέγει κατὰ τὴν προκειμένην ῥῆσιν, ἐστὶ τοιοῦτον. ἐὰν κατ᾽ ἀμφοτέρας τὰς διαρθρώσεις ἡ ἔκπτωσις γένηται, μᾶλλον μὲν εἰς τὸ πρόσω χωρεῖ νῦν ἡ κάτω γένυς, ἤπερ ὅτε κατὰ θάτερον μέρος ἐκπέπτωκε, καὶ πλέον ἀφεστηκυῖα φαίνεται τῆς ἄνω γένυος, οὐ μὴν παρασπᾶται γε, οὐδὲ διαστρέφεται φυλάσσουσα τὸ κατὰ φύσιν ἀδιάστροφον. διαγνώσῃ δὲ τῇ τῶν ὀδόντων εὐθυωρίᾳ, τουτέστιν ὅταν οἱ κάμνοντες ἄνω κέωνται κατ᾽ εὐθύ, τοὺς μὲν τομεῦσι, κυνόδοντας δὲ κυνοδοῦσιν, τὰς μύλας δὲ, ταῖς μύλαις.

Τούτοισι ξυμφέρει ἐμβαλέειν ὡς τάχιστα, ἐμβολῆς δὲ τρόπος πρόσθεν εἴρηται.

Τάχιστα μὲν ἐμβάλλειν συμφέρει, πρὶν διὰ τὴν τάσιν τῶν μυῶν εἰς συμπάθειαν ἀφικέσθαι τὸν ἐγκέφαλον. ὁ δὲ τρόπος τῆς ἐμβολῆς, ὃν ἐπὶ τοῦ κατὰ τὸ ἕτερον μέρος ἐξαρθρώσεως εἶπε, οὐ κατὰ πᾶν ὁ αὐτός μοι δοκεῖ νῦν γίνεσθαι προσήκειν. τότε μὲν γὰρ εἰς τὸ πλάγιον μέρος ἡ γένυς ἀτρέμα παρῆκται, νυνὶ δὲ ἰσόῤῥοπός ἐστιν, ὡς αὔταρκες διακινήσαντα, καὶ πρὸς τὸ κάτω τὸ ὀστοῦν ἑλκύσαντα χάριν τοῦ τὸ πέρας τῆς κορώνης κατωτέρω γενέσθαι τοῦ ζυγώματος, οὕτως ἤδη πρὸς τὴν ἔσω χώραν ὠθεῖν ἑκατέρωθεν ὅλην τὴν γένυν, ἅμα τῷ κελεῦσαι τῷ κάμνοντι κλείειν τὸ στόμα.

Ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετῶν ξυνεχέων καὶ νωθρῆς καρώσιος.

Οὐκ ἀκίνδυνος μὲν οὖν οὐδὲ ἡ καθ᾽ ἕτερον μέρος ἐξάρθρωσις. ἡ δὲ κατ᾽ ἄμφω διάπλασις ἐστὶ χαλεπωτέρα, πάντας τοὺς κατέχοντας τὴν κάτω γένυν ἐντείνουσα μῦς. ἐντείνονται δὲ ὡς εἴρηται, τέτταρες. δύο μὲν οἱ ἐκ τῶν κροτάφων ἀρχόμενοι, δύο δὲ οἱ ἐκ τῶν παρὰ τὰ πτερυγοειδῆ κοιλοτήτων. ἐχόντων δ᾽ αὐτῶν ἀπὸ τοῦ ἐγκεφάλου τὰ νεῦρα, καὶ μόνον οὐ ψαυόντων αὐτοῦ τοῦ ἐγκεφάλου, διὰ ταχέων εἰκός ἐστι γίγνεσθαι τὴν συμπάθειαν. οὗτοι μὲν οὖν τέτταρες μύες ἐν ἐκπτώσεσι μάλιστα πονοῦσι κυριώτατοι πάντων ὄντες, ὡς ἂν ἀπὸ τῆς τρίτης συζυγίας ἐξ ἐγκεφάλου τὰ νεῦρα λαμβάνοντες, ἥτις οὐ πόῤῥω τέτακται τῆς ἀρχῆς αὐτοῦ. συμβαίνει γε μὴν καὶ τοὺς ἔξωθεν ἐπικειμένους τῇ γένυϊ, καθ᾽ ἕτερον μέρος διεκφυόντας, ἐν ταῖς τοιαύταις ἐκπτώσεσι τείνεσθαι παρὰ φύσιν. οὐχ ὁμοίως μὲν ὄντας κυρίους τοῖς προειρημένοις τέτταρσι, πορρωτέρω γὰρ ἀφεστήκασι τοῦ ἐγκεφάλου, καὶ ἡ τοῦ νεύρου ἀρχὴ διὰ μακροτέρου τούτοις ἐστίν. οὐδ᾽ ἀνὰ τῆς συζυγίας τοῖς τέτταρσιν ἔχουσι τὰ νεῦρα, συντελοῦντας γε μὴν οὐκ ὀλίγον οὐδ᾽ αὐτούς, ὥσπερ καὶ οἱ ἄλλοι μύες οἱ καθ᾽ ὅλον τὸ σῶμα, καίτοι τούτων ὄντες ἀκυρότεροι, διὰ ταῦτ᾽ οὖν πάντα περὶ ψυχῆς γίγνεται ὁ κίνδυνος ἐπὶ τὸ τετᾶσθαι παρὰ φύσιν, ὀδυνωμένων τε καὶ διὰ τοῦτο φλεγμαινόντων τῶν μυῶν, εἰς ὁμοίαν καὶ αὐτοῖς ἀγόντων διάθεσιν τὸν ἐγκέφαλον, οὐ παθόντος οἱ ὀξεῖς ἕπονται πυρετοί, μετὰ τοῦ βλάπτεσθαι τὰς τῆς ψυχῆς ἐνεργείας

ἁπάσας

ἁπάσας. ὁ γὰρ τοι καιρὸς τὸ πάθος μήτ' αἰσθάνεσθαι, μήτε κινεῖσθαι τὸν ἄνθρωπον, ἢ παρακολουθεῖν ἑαυτῷ πεπονθότι, ἀλλὰ τόν γε λογισμὸν καὶ τὴν μνήμην καὶ τὴν αἴσθησιν ἅμα καὶ τὴν καθ' ὁρμὴν κίνησιν διέφθαρται.

Καρώδεες γὰρ οἱ μύες οὗτοι, καὶ ἀλλοιούμενοι, καὶ ἐντεινόμενοι παρὰ φύσιν.

Ἱκανὸν ἑκάτερον τῶν εἰρημένων ἐργάσασθαι καρὸν, ἥτ' ἀλλοίωσις καὶ ἡ τάσις τῶν μυῶν, εἰς ἐμπάθειαν τῆς σαρκὸς ἀγομένης κατ' ἄμφω. ἡ μὲν οὖν τάσις αὕτη γίνεται τῶν ἰνῶν, αἵτε πρότερον ἦσαν χαλαραὶ, νῦν ἁπασῶν κατ' εὐθεῖαν γραμμὴν ἀποτεινομένων. ἡ δ' ἀλλοίωσις, ὅταν ἤτοι θερμανθῶσιν, ἢ ψυχθῶσιν ἀμέτρως, ἢ ὑγρανθῶσιν, ἢ θλασθῶσιν, ἢ φλεγμήνωσιν, ἢ ἐρυσιπελατώδεις γένωνται, ἢ σήπωνται. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις κατ' αὐτὴν τὴν οὐσίαν ἀλλοιοῦνται. τεινόμενοι δὲ μόνον ὀδυνῶνται κατὰ τὰς ἶνας, οὐδὲν τὴν οὐσίαν αὐτῶν ἑτεροιοῦσθαι.

Φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν τούτοισι χολώδεα, ἄκρητα ὀλίγα, καὶ ἢν ἐμέωσιν, ἄκρητα ἐμέουσιν.

Τὸ μὲν ἐν τοῖς ὀξυτάτοις πυρετοῖς ἄκρητα χολώδεα γεννᾶσθαι κατὰ τὸ σῶμα, θαυμαστὸν οὐδέν. εἴ γε δὴ καὶ πιμελὴ καὶ σὰρξ ἁπαλὴ καὶ νεοπαγὴς ὑπὸ τῶν τοιούτων πυρετῶν τήκεται, καὶ κατοπτᾶται τὸ αἷμα. τὸ δὲ καὶ συῤῥεῖν εἰς τὴν γαστέρα καὶ ἔντερα, τὰς τοιαύτας συντήξεις ἴδιον τῶν ὀδυνωμένων ἐστὶ νευρωδεσι μόνων, ὅτι τε σὺν τούτοις κεῖται [καὶ] πάσχει τὸ τῆς γαστρὸς στόμα νευρωδέστατον ὂν, εὕρηται δ' ὀρθῶς ὑπ' αὐτοῦ τὰ σύνεγγυς, καὶ τὰ κοινὰ, πρῶτα καὶ μάλιστα κακοῦσθαι, καὶ ὅτι παθεῖν ταῖς ὀδύναις οὐκ ἀνέχει, καίτοι μικραὶ τυγχάνουσιν οὖσαι. λειποψυχίαι γὰρ γίνονται κακοπαθοῦντι τῷ στόματι τῆς γαστρός. ἐν δὲ ταῖς λειποψυχίαις συῤῥεῖ τὰ λεπτὰ περιττώματα πάντα εἰς τὴν γαστέρα. καὶ μέντοι καὶ χωρὶς τοῦ πεπονθέναι γοῦν κατὰ τὰς ἰσχυρὰς ὀδύνας τε καὶ λύπας φαίνεται τὰ τοιαῦτα περιττώματα, συῤῥέοντα πρὸς τὴν γαστέρα καὶ τὰ ἔντερα. τῶν μὲν οὖν εἰς τὴν γαστέρα παραγιγνομένων ἡ κένωσις, δι' ἐμέτων γίγνεται. τῶν δ' εἰς τὰ ἔντερα, διὰ τῆς ὑποχωρήσεως.

Οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα.

Ἔστι καὶ παρὰ τοῖς ἄλλοις παλαιοῖς ἐνίοτε, μάλιστα, φωνῆς τὸ σημαινόμενον τοιοῦτον εὑρεῖν, οἷον καὶ νῦν φαίνεται παρὰ τῷ Ἱπποκράτει τὸ ἔγγιστα πολλαχοῦ ἐμφαῖνον τοῦ λεγομένου περὶ τὸν ἀριθμὸν πράγματος, ὡς εἰ καὶ οὕτως εἰρήκει. καὶ θνήσκουσιν οἱ οὕτως ἔχοντες ἐπὶ τὸ πολὺ περὶ τὴν δεκάτην ἡμέραν, ὡς εἰ καὶ ἐνναταῖοι, καὶ ἐνδεκαταῖοι γοῦν πάθωσιν, ἀληθῶς εἰρῆσθαι τὸν λόγον. ὅτι δ' οὕτω χρῶνται τῷ, μάλιστα, δῆλόν ἐστι καὶ ἐκ τῶνδε τῶν παραδειγμάτων. Θουκυδίδης μὲν ἐν τῷ πρώτῳ φησί. ταῦτα δὲ ξύμπαντα ὅσα ἔπραξαν οἱ Ἕλληνες, πρός τε ἀλλήλους καὶ τοὺς βαρβάρους, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα. καὶ ἐν τῷ αὐτῷ. ἀπέχει δὲ ξ΄ σταδίους μάλιστα. Ἀνδοκίδης δὲ ἐν τῷ περὶ μυστηρίων. ἄλλων δ' ἀνθρώπους τὸν μὲν ἀριθμὸν, μάλιστα τριακοσίους. πολλὴ δέ ἐστιν ἡ χρῆσις τῆς λέξεως περὶ γοῦν τὸ σημαινόμενον ἅπασι τοῖς Ἕλλησιν.

Ἢν δὲ καταγῇ ἡ κάτω γνάθος, ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασιν, ἀλλὰ ξυνέχεται τὸ ὀστέον, ἐγκεκλιμένον δὲ ἔῃ, κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον, παρά γε τὴν γλῶσσαν πλαγίην ὑπείραντα τοὺς δακτύλους, τὸ δὲ ἔξωθεν ἀντερείδειν ὡς ἂν ξυμφέρῃ, κἢν διεστραμμένοι ἔωσιν οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα κεκινημένοι, ὁκόταν τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους, μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλέονας, μάλιστα δὲ δὴ χρυσίῳ, ἐς ἂν κρατυνθῇ τὸ ὀστέον. εἰ δὲ μὴ, ἐν λίνῳ, ἔπειτα ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισιν, καὶ ὀθονίοισιν ὀλίγοισιν μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσιν.

Ὅταν τοῦ καταγέντος ὀστοῦ μηδὲν ἀπαθὲς ὑπολείπηται, διαλυθέντων ἀπ' ἀλλήλων τῶν μορίων, ὡς κατὰ μηδὲν γοῦν συνέχεσθαι τὸ εἶδος τοῦ κατάγματος, οἱ νεώτεροι τῶν ἰατρῶν ὀνομάζουσι καυλιδόν. ἐπειδὴ καὶ ὁ Ἱπποκράτης εἶπε, ἐὰν μὴ ἀποκαυλισθῇ παντάπασι. τὰ δ' ἄλλα καὶ ταύτης τῆς ῥήσεως καὶ τῶν ἐφεξῆς σαφῆ, πλὴν εἴ που τι βραχὺ παρεμπίπτει καὶ τοῦτ' ἐπισημαινόμεθα.

Εὖ γὰρ εἰδέναι χρὴ, ὅτι ἐπίδεσις ὀθονίων γνάθῳ καταγείσῃ, μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο. μεγάλα δὲ ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο.

Τὸ μὲν μέγα βλάπτειν τὴν μοχθηρὰν ἐπίδεσιν, κοινὸν ἁπάντων καταγμάτων ἐστίν. τὸ δὲ μηδὲν ὠφελεῖν μέγα τὴν ἀγαθὴν ἐπίδεσιν, ἐν τοῖς τῆς γένυος κατάγμασιν. οὐκ ἄρα πάντων κοινὸν ἐστὶ τῶν ὀστῶν, ἀλλὰ μόνων ἐκείνων ὅσα τὴν κύκλῳ περιβολὴν οὐ δέχεται τῶν ὀθονίων, εἴ τις φυλάττει τὸ πεπονθὸς ὀστοῦν, ὅπως ἂν αὐτὸ διαπεπλασμένον ὑπὸ τοῦ ἰατροῦ παραλάβῃ. πρόσεστι δ' ἐξαίρετον τῇ γνάθῳ καὶ τὸ τῆς ἐπιδέσεως ἄστηρον, ὡς ἂν εἰθισμένῃ γυμνῇ καὶ ἀσκεπάστῳ διὰ παντὸς εἶναι.

Πυκνὰ δὲ παρὰ τὴν γλῶσσαν ἐσμάσσεσθαι χρὴ, καὶ πουλὺν χρόνον ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου τὸ ἐγκλιθέν. ἄριστον δὲ εἰ ἀεὶ δύναιτο, ἀλλ' οὐχ οἷόν τε. ἢν δὲ ἀποκαυλισθῇ παντάπασι τὸ ὀστέον, ὀλιγάκις δὲ γοῦν γίνεται, κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτως καθάπερ εἴρηται. ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας χρὴ ζευγνύναι, ὡς ἔμπροσθεν εἴρηται. μέγα γὰρ ἂν συλλαμβάνοι ἐς τὴν ἀτρεμίην. προσέτι καὶ εἴ τις ὀρθῶς ζεύξει ὥσπερ χρὴ τὰς ῥαφὰς ῥάψας. ἀλλὰ γὰρ οὐ ῥηΐδιον ἐν γραφῇ χειρουργίην πᾶσαν ἀτρεκέως ἡγέεσθαι, ἀλλ' ὑποτυπέεσθαι χρὴ ἀπὸ τῶν γεγραμμένων.

Τὸ μὲν μάττεσθαι, ζητεῖν σημαίνει. τὸ δὲ ἐσμάττεσθαι, τὸ ἐν βάθει τι ζητεῖν ὥσπερ καὶ νῦν. ἀξιοῖ γὰρ ὁ Ἱπποκράτης ἐμβάλλοντι τῷ στόματι τὸν δάκτυλον, ἐπισκοπεῖσθαι μὴ παραλλάσσῃ τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ, καὶ οὕτως ἐπανορθοῦσθαι τῷ δακτύλῳ πρὸς ὅτιπερ ἂν δόξῃ συμφέρειν, ἀντωθοῦντα εἰς ὃ ῥέπει πρὸς τὴν ἐκτὸς χώραν. ὅτι δ᾽ οὐκ αὐτὸν τὸν ἰατρὸν ἀεὶ χρὴ τοῦτο ποιεῖν, ἀλλὰ τὸν κάμνοντα διδάξει πράττειν οὕτως, εὔδηλον εἶναι νομίζω.

Ἔπειτα χρὴ δέρματος καρχηδονίου, ἢν μὲν νεώτερος ᾖ ὁ τρωθείς, ἀρκέει τῷ λοιπῷ χρέεσθαι. ἢν δὲ τελειότερος ᾖ, αὐτῷ τῷ δέρματι τέμνοντα χρὴ εὖρος ὡς τριδάκτυλον, ἢ ὅκως ἂν ἁρμόζῃ, ὑπαλείψαντα κόμμι τὴν γνάθον. εὐμενέστερον γὰρ κόλλῃ προσκολλῆσαι τὴν δέρριν ἄκρον πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου, ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος, ἢ ὀλίγῳ πλέον. τοῦτο μὲν ἐς τὸ κάτω μέρος. ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἰξὺν τοῦ γενείου ὁ ἱμάς, ὡς ἀμφιβεβήκῃ ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου. ἕτερον δὲ ἱμάντα τοιοῦτον, ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου, ἀπολιπόντα κατὰ τοσοῦτον ἀπὸ τοῦ τρώματος, ὅσονπερ ὁ ἕτερος ἀπέλιπεν. ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ τὸ οὖς περίβασιν.

Μαλακὸν εἶναι βούλεται τὸ δέρμα, καθάπερ ἦν ἴσως τότε ἐν Καρχηδόνι. τούτων γὰρ ἐμνημόνευσεν ὀνομαστὶ παραδείγματος ἕνεκεν, ὥσπερ καὶ πρόσθεν ἐν τῷ περὶ ἀγμῶν αἰγυπτίου δέρματος. εὔδηλον δ᾽ ὅτι τοῦ δέρματος τοῦ τοῦ ἐξωτάτου σκληρότερόν τε καὶ πυκνότερον ὀνομάζει λοιπόν. ὅπως δ᾽ αὐτῷ χρῆται τῆς ἀντιτάσεως ἕνεκα τῶν κατεαγότων μορίων τῆς γένυος, αὐτὸς δηλώσει παρακολουθούντων ἡμῶν τῷ σκοπῷ τοῦ γιγνομένου. βούλεται γὰρ τὸ μὲν ἕτερον μέρος τοῦ κατεαγότος ὀστοῦ πρὸς τὸ γένειον, τὸ κατώτερον τείνεσθαι ἄνω πρὸς τὴν κεφαλήν.

Ἀπόξεες δ᾽ ἔστωσαν οἱ ἱμάντες ἀμφὶ τὴν ξυναφήν, ἔνθα συνάπτεσθαί τε καὶ συνδεῖσθαι εἰς τὰ πέρατα τῶν ἱμάντων.

Ἐνταῦθα κελεύει στενότερόν πως ὑπάρχειν αὐτά, μειουμένου κατὰ βραχὺ τοῦ πλάτους, ὅπως ἡ δέσις ἀσφαλεστέρα γένηται. τὰ γὰρ πλατύτερα πέρατα, κἂν ἐπιμελῶς τις δήσῃ, τὸ μόνιμον οὐκ ἔχει.

Ἐν δὲ τῇ κολλήσει ἡ σὰρξ τοῦ σκύτεος πρὸς τοῦ χρωτὸς ἔσω, ἐχεκολλότερον γὰρ οὕτως.

Τὸ σκῦτος ἐκ δέρματος ζώου γίνεται διττὴν ἔχοντος φύσιν. ὅσον μὲν γὰρ ἔξωθεν ἐστὶ τοῦ δέρματος ὁμιλοῦν τῷ πέριξ ἀέρι, πυκνότερόν τε γίγνεται καὶ νευρωδέστερον. ὅσον δ᾽ ἐντὸς τοῦδε, μαλακώτερόν τε καὶ ἀραιότερον. αὐτοῦ δὲ τούτου, τὸ μὲν ἐγγύτερον τοῦ ἔξω πέρατος, ἧττόν ἐστι. τὸ δὲ ἔνδον, ὃ ψαύει τῶν ὑποκειμένων τῷ δέρματι, μᾶλλόν τε ἀραιόν ἐστι καὶ σαρκῶδες, ὅπερ δὴ καὶ σάρκας τοῦ σκύτους ὠνόμασε, καὶ συμβουλεύει κατὰ τοῦτο γίγνεσθαι τὴν κόλλησιν, ἅτε γὰρ μαλακώτερον καὶ ἀραιότερον, ἐπιτηδειότερόν ἐστιν εἰς τοιαύτην χρείαν.

Ἔπειτα κατατείναντα χρὴ ἐπὶ τοῦτον τὸν ἱμάντα, μᾶλλον δέ τι τὸν περὶ τὸ γένειον, ὡς ὅτι μάλιστα μὴ ἀποσμιλαίνει ἡ γνάθος, ξυνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφήν, κἄπειτα περὶ τὸ μέτωπον ὀθονίῳ καταδῆσαι.

Ἀνενεχθέντων δηλονότι πρὸς τὴν κεφαλὴν τοῦ κάμνοντος, ἀμφοτέρων τῶν περάτων τοῦ ἱμάντος ἡ δέσις αὐτῶν πρὸς τὴν κορυφὴν αὐτῆς. μᾶλλον δὲ βούλεται τετάσθαι τὸν κάτω, χάριν τοῦ τὴν γένυν, ὡς αὐτὸς εἶπε, μὴ ἀποσμιλαίνειν, ὅπερ ἐστὶν εἰς ὀξὺ περιάγεσθαι.

Καὶ κατάβλημα χρὴ εἶναι, ὥσπερ νομίζεται, ὡς ἀτρεμέῃ τὰ δεσμά, τὴν δὲ κατάκλισιν ποιέεσθαι ἐπὶ τὴν ὑγιέα γνάθον, μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα ἄχρι ἡμερέων δέκα, ἔπειτα ἀναφέρειν μὴ βραδέως. ἢν γὰρ οὖν τῇσι πρώτῃσιν ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσιν ἡμέρῃσιν γνάθος κρατύνεται. τελέως γὰρ ἐπιπωροῦται, ὥσπερ καὶ τἆλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ. ἀλλὰ γὰρ περὶ σφακελισμῶν τῶν συμπάντων ὀστέων, ἄλλος μακρὸς λόγος λείπεται. αὕτη ἡ διάστασις ἡ ἀπὸ τῶν κολλημάτων εὐμενὴς καὶ εὐταμίευτος, καὶ ἐς πολλὰ καὶ πολλαχοῦ διορθώματα εὔχρηστος. τῶν δὲ ἰητρῶν οἱ μὴ σὺν νόῳ εὔχειρες καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοί εἰσι, καὶ ἐν γνάθων κατήξεσιν. ἐπιδέουσι γὰρ τὴν γνάθον κατεαγεῖσαν ποικίλως, καὶ καλῶς καὶ κακῶς.

Τὸ κατὰ πάντων ἔξωθεν ἐπιβαλλόμενον, οὕτως ὠνόμασε, εἴτε τῶν καλουμένων παραρμάτων, εἴτε τῶν ὁμοίων εἴη τι. καλεῖ δ᾽ αὐτός, ὥσπερ νῦν ἔτι συνήθως ὀνομάζεται, παράρματα παραιρούμενα ὑπὸ τῶν ἀμφιεσμάτων, ὑπὸ τῶν ῥαπτόντων αὐτά. μάλιστα γὰρ ἐπιτήδεια διὰ μαλακότητα ταῦτά ἐστιν εἰς τὴν προκειμένην χρείαν. δύναιτο δ᾽ ἄν τις ἀπορῶν αὐτῶν, ἐπὶ τῶν ὁμοίων ἀφικνεῖσθαι.

Πᾶσα γὰρ ἐπίδεσις γνάθου οὕτω κατεαγείσης, ἐκκλίνει τὰ ὀστέα τὰ διὰ τὸ κάταγμα ῥέποντα μᾶλλον, ἢ διὰ τὴν φύσιν ἄγει.

Τῆς οὕτω φησὶ καταγείσης γένυος, τουτέστι τοῦ καυληδόν, ἡ ἐπίδεσις ἐκκλίνει μᾶλλον εἰς τὸ κάταγμα, ἢ διευθύνει τὰ ὀστᾶ, διὰ τὸ μὴ δύνασθαι περιελιχθῆναι τὰ ὀθόνια κύκλῳ τὰ περὶ τὸ πεπονθός, ἀλλ᾽ ἔξωθεν μόνον ἐπικαλεῖσθαι.

Ἢν δὲ

Ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν σύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ, μούνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστὶν, ἐν δὲ τῇ ἄνω πολλαὶ, ἀλλ' οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον. ἐν ἄλλοισι γὰρ εἴδεσι νουσημάτων περὶ τούτων λεκτέον. ἢν οὖν διαστῇ ἡ κατὰ τὸ γένειον σύμφυσις, κατορθῶσαι μὲν παντὸς ἀνδρός ἐστι. τὸ μὲν γὰρ ἐξεστεὸς ἔσω θέειν χρὴ ἐς τὸ εἴσω μέρος, προσβάλλοντα τοὺς δακτύλους. τὸ δὲ εἴσω ῥέπον, ἀνάγειν ἐς τὸ ἔξω μέρος, ἐνερείδοντα τοὺς δακτύλους. ἐς διάστασιν μέντοι διατεινάμενοι, ταῦτα χρὴ ποιέειν.

Ἐκ δυοῖν μὲν ἡ κάτω γένυς ὀστῶν σύγκειται, κατ' ἄκρον τὸ γένειον ἀκριβῶς ξυμπεφυκότων, ἐκ πολλῶν δὲ ἡ ἄνω κατὰ συνάρθρωσιν κειμένων. ἀλλ' ἡ τοιαύτη τῶν ὀνομάτων λεπτουργία παρὰ τοῖς παλαιοῖς οὐκ ἦν. διὸ καὶ Ἱπποκράτης τὴν ἄνω γένυν, ξυντιθέντων τῶν ὀστῶν τὰς ἁρμονίας ὑπὸ τῆς ξυμφύσεως ἔταξε γένος, ἐν ἑνὶ γνωρίσματι προσέχων τὸν νοῦν ἐπ' αὐτῶν, μηδεμίαν αἰσθητὴν κίνησιν ἐν ταῖς τοιαύταις τῶν ὀστῶν συνθέσεσι.

Ῥᾶον γὰρ οὕτως ἐς τὴν φύσιν ἥξει, ἢ εἰ ἐγχρίπτων τις ἐς ἄλληλα τὰ ὀστέα, παραναγκάζειν πειρᾶται. τοῦτο παρὰ πάντα τὰ ὑπομνήματα χρὴ εἰδέναι. ὁπόταν δὲ κατορθώσῃ, ζεῦξαι μὲν χρὴ τοὺς ὀδόντας τοὺς ἔνθεν καὶ ἔνθεν πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν εἴρηται. ἰῆσθαι δὲ χρὴ κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι, καὶ ὀθονίοισιν.

Ἔθος ἐστὶν Ἱπποκράτους ὅσα κοινὰ παραγγέλματα τοῦ κατὰ μέρος ἐστὶν, ἅπαξ αὐτὰ περὶ ἑνὸς εἰπόντα δηλῶσαι τοῦ πράγματος τὴν δύναμιν, ὅτι κοινὴ πάντων τῶν ὁμοίων, ὥσπερ καὶ νῦν ἀξίως τὰ προδιατείνοντα τὴν κάτω γένυν, οὕτω διαπλάττειν ἐπιλύεται. ῥᾶον γὰρ εἰς τὴν φύσιν ἥξει, ἢ εἴ τις ἐγχρίπτων εἰς ἄλληλα τὰ ὀστέα παραναγκάζειν πειρᾶται. αὐτὸ τὸ νῦν εἰρημένον ὅτι κοινὰ ἁπάντων ἐστὶ τῶν διαπλαττομένων ὀστῶν ἐπεσημήνατο διὰ τῆς προκειμένης ῥήσεως.

Ἐπίδεσιν δὲ βραχεῖαν ἢ ποικίλην μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γάρ τι τοῦ ἰσοῤῥόπου ἐστὶν, ὡς δὴ μὴ ἰσόῤῥοπον ἐόν.

Ἀκριβῶς μὲν ἰσόῤῥοπον ἐστὶ μόριον, ὅταν ὁμοιότατον ᾖ κατὰ τὸ σχῆμα κυλίνδρῳ, καλῶ δὲ κύλινδρον, οὐχ ᾧ παίζουσιν οἱ παῖδες, ἀλλὰ καὶ τὸ τοῖς κίοσιν ὑπάρχον σχῆμα. τοῦτο δ' ἀκριβῶς μὲν οὐδενὶ τῶν ὀστῶν ἐστι, μᾶλλον μέντοι τῶν ἄλλων ἐν μηρῷ καὶ βραχίονι. τῆς δ' ἄνω γένυος ὅτι μὲν οὐκ ἔστι τοιοῦτον σχῆμα, πρόδηλον, ὥσπερ οὐδὲ ἰσόῤῥοπον αὐτὴν εἶναι φασίν. ἐγγὺς μέν τι τοῦ ἰσοῤῥόπου διὰ τοῦτ' αὐτὴν εἶπε, ὅτι τὸ ἀριστερὸν μέρος τῷ δεξιῷ κατὰ πᾶν ἐξωμοίωται καὶ ἴσον ἐστὶ, καὶ διὰ τοῦτο τὸ συγκείμενον ἐξ ἀμφοῖν ἰσόῤῥοπον γίνεται, μηδεμίαν ἔχον ῥοπὴν ἐπὶ θάτερα μέρη. δέχεται δὲ ποικίλας ἐπιδέσεις ἡ γένυς, ὡς κἂν τῇ τῶν ἐπιδεσμῶν γυμνασίᾳ πρώτῃ πάντων οὔσῃ, μεμαθήκατε.

Τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιέεσθαι χρὴ, ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ δεξιά. ἐπὶ δεξιὰ δὲ νομίζεται εἶναι, ἢν ἡ δεξιὰ χεὶρ ἡγέηται τῆς ἐπιδέσιος. ἢν δὲ ἡ ἑτέρη γνάθος ἐξεστήκῃ, ὡς ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν, κἂν μὲν ὀρθῶς τις κατορθώσηται καὶ ἐπιδέσῃ ὡς χρὴ, ταχεῖα μὲν ἡ ἄλθεξις, οἱ δὲ ὀδόντες ἀσινέες γίνονται. ἢν δὲ μὴ, χρονιωτέρη μὲν ἡ ἄλθεξις, διαστροφὴν δὲ ἴσχουσα, οἱ ὀδόντες δὲ καὶ σιναροὶ, καὶ ἀχρήϊοι γίνονται.

Ἐλέχθη καὶ πρόσθεν ἐπὶ τῶν ἑλκῶν, ὅσα χεῖλος ἐξηρημένον ἔχει, τὴν μὲν ἀρχὴν βάλλεσθαι τῆς ὀθόνης ὄπισθεν τοῦ τοιούτου χείλους, ἑλίττειν δ' οὕτω κατ' αὐτὸν τὸν ἐπίδεσμον, ὡς προσάγεσθαι θάτερα χείλη τοῦ ἕλκους. ἔστι γὰρ τοῦτο κοινὸν ἁπάντων τῶν ἐπανάγεσθαι δεομένων εἰς τὴν ἀρχαίαν φύσιν. οὕτως οὖν καὶ νῦν τὸ κοινὸν τοῦτο φυλακτέον ἐστὶ, προστέλλον τε καὶ καταναγκάζον τὸ ἐφεστηκὸς μέρος. ἔσται δὲ τοῦτο τῶν ὀθονίων αὐτὸ προσαγόντων ἐκεῖνο. προσαχθήσεται δὲ, εἰ μὲν τὸ δεξιὸν εἴη μέρος τὸ ἐξεστηκὸς, ἐντεῦθεν μὲν ἀγομένων, ἐπὶ δὲ τὸ ἀριστερὸν ἀγόντων ἐπίδεσμον. εἰ δὲ τὸ ἀριστερὸν εἴη τὸ πεπονθὸς, ἐκεῖθεν μὲν ἀρχομένων, ἐπὶ τὸ δεξιὸν δὲ ἀφικνουμένων. ὁ τοίνυν Ἱπποκράτης, ὅταν ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενός τις, ἐπὶ θάτερον ποιεῖται τὴν νομὴν τῶν ὀθονίων, ἐπὶ δεξιὰ καλεῖ τὴν τοιαύτην ἐπίδεσιν, οὐ τῇ φορᾷ τοῦ ἐπιδέσμου προσέχων τὸν νοῦν, ἀλλὰ τῇ τῆς χειρὸς ἡγεμονίᾳ, ἐὰν γὰρ νοήσῃς καταντικρὺς τοῦ μὲν ἐπιδουμένου τὸν ἰατρόν. ἡ μὲν ἀπὸ τῆς δεξιᾶς γνάθου φορὰ τῶν ὀθονίων ἐπὶ τὴν ἀριστερὰν ἡγουμένη, ἡ τῆς δεξιᾶς ἔσται χειρὸς, ἡ δ' ἐναντία τῆς ἀριστερᾶς. Περὶ ῥινός.

Ἢν δὲ ἡ ῥὶς καταγῇ, τρόπος μὲν οὐχ εἷς ἐστι κατάξιος.

Αὐτὸς δὲ ἐφεξῆς ἐρεῖ τοὺς τρόπους. ἤτοι γὰρ μέρος αὐτῆς κατάγνυται τῆς συνεχείας φυλαττομένης, ὡς μήτε κάτω χωρῆσαι, μήτ' ἐφ' ἑκάτερα παραστραφῆναι, ἢ καὶ τούτων τι προσγίγνεται. καὶ ἤτοι κατὰ τὸ χονδρῶδες αὐτῆς τὸ πρόσω τούτων τι συμβαίνειν εἴωθεν, ἢ κατὰ τὸ λοιπὸν τὸ ὀστῶδες.

Ἀτὰρ πολλὰ μὲν δὴ καὶ ἄλλα λωβέονται, οἱ χαίροντες τῇσι καλῇσιν ἐπιδέσεσιν ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα καὶ μάλιστα.

Εἰρωνευόμενος εἴρηκεν, οὐ τὰς ὄντως καλὰς σημαίνων ὧν σκοπός ἐστιν εἰς τὸ κατὰ φύσιν ἄγειν τὸ πεπονθὸς, ἀλλὰ τὰς εὐμόρφους καὶ τερπούσας τοὺς ὁρῶντας. ὁποῖαι δ' εἰσὶν αὗται, διὰ τῆς ἑπομένης ῥήσεως μαθήσῃ.

Ἐπιδεσίων γάρ ἐστιν αὕτη ἡ ποικιλωτάτη, καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα, διαῤῥώγας δὲ καὶ διαλήψιας, ποικιλωτάτας τοῦ χρωτὸς ῥομβοειδέας. ὡς οὖν εἴρηται οἱ τὴν

ἀνόητον ἐγχείρησιν ἐπιτηδεύοντες ἄσμενοι, ῥινὸς καταγείσης, ἐπιτυγχάνουσιν ὡς ἐπιδήσωσι. μίαν μὲν οὖν ἡμέρην ἢ δύο ἀγάλλεται μὲν ὁ ἰητρὸς, χαίρει δὲ καὶ ὁ ἐπιδεδεμένος, ἔπειτα ταχέως κορίσκεται, ἀσηρὸν γὰρ τὸ φόρημα. ἀρκέει δὲ τῷ ἰητρῷ ἐπειδὴ ἐπέδειξεν, ὅτι ἐπίσταται ποικίλως ῥῖνα ἐπιδέειν. ποιέει δὲ ἡ ἐπίδεσις ἡ τοιαύτη πάντα τἀναντία τοῦ δέοντος. δῆλον μὲν γὰρ, ὁκόσοι σιμοῦνται διὰ τὴν κάτηξιν δηλονότι, εἰ ἄνωθέν τις μᾶλλον πιέζοι, σιμώτεροι ἂν εἶεν. τοῦτο δὲ ὅσοισι παραστρέφεται, ἢ ἔνθα ἢ ἔνθα, ἢ ῥὶς, ἢ κατὰ τὸν χόνδρον, ἢ ἀνωτέρω, δῆλον ὅτι οὐδὲν αὐτοὺς ἡ ἄνωθεν ἐπίδεσις ὠφελήσει, ἀλλὰ καὶ βλάψει μᾶλλον.

Σκέπαρνον μὲν ἐπίδεσμον ὅτι καλεῖ τὸν ἐγκεκλισμένον ὀλίγον ἐκ τῆς ἐγκαρσίας ἐπιβολῆς, ἔμπροσθεν εἴρηται. διαῤῥῶγας δὲ λέγει τὰ μεταξὺ διαστήματα τῶν ὀθονίων. ῥομβοειδῆ δὲ σχήματα, τὰ ἰσόπλευρα μὲν, οὐκ ὀρθογώνια δὲ, καὶ γὰρ καὶ ὁρίζεται τὸν ῥόμβον οὕτως ὁ Εὐκλείδης. ἔμαθες δὲ ὡς ἐν τοῖς ἐπιδέσμοις πάντων σχεδὸν πρῶτον ὀνομάζουσι ῥόμβον, ἀπὸ τοῦ τὰ τοιαῦτα μάλιστα ἐργάζεσθαι σχήματα.

Οὐχ οὕτω γὰρ συναρμόσει σπλήνεσι τὸ ἐπιθάτερον τῆς ῥινὸς, καίτοι οὐδὲ τοῦτο ποιέουσιν οἱ ἐπιδέοντες.

Οὐδὲν ὠφελεῖσθαι φησὶν ἐξ ἐπιδέσεως τὴν εἰς τὸ πλάγιον ἐν τῷ καταγῆναι διαστραφεῖσαν ῥῖνα. ὃ γάρτοι δόξει ἄν τινι βοηθεῖν αὐτῇ, μηδ' αὐτὸ δύνασθαί τι. δόξειε δ' ἂν βοηθεῖν, στηρίσαι κατὰ τὸ πλάγιον αὐτὴν ὀθονίοις ἐς ὅπερ ἐπεκλίθη, ἀλλ' οὐδὲ ταῦτα φησὶν ἀκριβῶς δύνασθαι πρᾶξαι τόδε.

Ἄγχιστα δὲ ἡ ἐπίδεσίς μοι δοκέει ἀντιποιέειν, εἰ κατὰ μέσην τὴν ῥῖνα ἐπὶ τὸ ὀξὺ ἀμφιφλασθείη ἡ σὰρξ ἐπὶ τὸ ὀστέον, εἰ καὶ τὸ ὀστέον μικρόν τι σίνος εἴη καὶ μὴ μέγα. τοῖσι γὰρ τοιούτοισιν ἐπιπώρωμα ἴσχει ἡ ῥὶς, καὶ ὀκριοειδεστέρη τινὶ γίνεται. ἀλλ' ὅμως οὐδὲ τούτοισι δή που πολλοῦ ὄχλου δέεται ἡ ἐπίδεσις, εἰ δή τι καὶ δεῖ ἐπιδέειν.

Ἐν εὐθυτάτῳ δόξειεν ἂν ὠφελεῖν ἡ κοινὴ τῆς ῥινὸς ἐπίδεσις, ὅταν ἐν τῷ μέσῳ αὐτῆς, ἤτοι περίθλασις γένηται τοῦ δέρματος, ἢ καὶ πάθῃ τι τὸ ὀστοῦν, ἐπ' ὀλίγον ἐξοχὴ γάρ τις ἕπεται κατὰ τὴν πώρωσιν αὐτοῦ. ἡ τοίνυν ἐπίδεσις ἐν τοῖς τοιούτοις παθήμασιν εἴργουσα καὶ προστέλλουσα τὸ πεπονθὸς, ὠφέλειαν τινὰ δόξει δύνασθαι παρέχειν, ἐν τισι δ' οὐδὲν τούτοις ἀναγκαῖον ἐπιδεῖν. τὰ γὰρ θλάσματα, πειρᾶσθαι χρὴ μάλιστα μὲν ἀφλέγμαντα διαφυλάττειν. εἰ δὲ καὶ φλεγμαίνοιεν, ἀφλέγμαντα ποιεῖν ὡς τάχιστα. ὅ γε ἐπιτρεφόμενος πῶρος ὀλίγος, οὐδὲν δὴ τούτων ἐπιδέσεων δεῖται.

Ἀρκέει δὲ ἤδη μὲν τὸ θλάσμα σπλήνιον ἐπιτείναντα κεκηρωμένον, ἔπειτα ὡς ἀπὸ δύο ἀρχέων ἐπιδέεται, οὕτως ὀθονίῳ ἐς ἅπαξ περιβαλέειν.

Τὸ μέσον τοῦ ὀθονίου κατὰ τοῦ μέσου τῆς ῥινὸς ἐπιβαλόντα, μὴ βιαίως ἀπάγειν χρὴ τῶν διαλαβὼν ἑκάστην ὀπίσω τῆς κεφαλῆς, ἐντεῦθεν τε ἐπὶ μέτωπον ἀνάγοντα δῆσαι.

Ἀρίστη μέντοι ἰητρείη τῷ ἀλήτῳ τῷ σιτανίῳ, τῷ πλυτῷ, γλίσχρῳ, πεφυρημένῳ, ὀλίγῳ, καταπλάσσειν τὰ τοιαῦτα.

Σιτανίους πυροὺς οἱ δόξαντες ἄριστα τὴν Ἱπποκράτους ἐξηγήσασθαι λέξιν, εἰρῆσθαι φασὶ πρὸς αὐτοῦ τοὺς οὕτως ἐσπαρμένους, ὅπερ οἱ Ἀττικοὶ τήτες ὀνομάζουσι, διὰ τοῦ τ, τὰς συλλαβὰς ἀμφοτέρας λέγοντες, ἐξ οὗ σημαίνεσθαι φασὶ τοὺς ἐν τῷ ἔτει τούτῳ, τουτέστι κατὰ τὸ ἔαρ ἐσπαρμένους, διμηνιαίους τε καὶ τεσσαρακονθημέρους ὀνομαζομένους. ἐγὼ δὲ πυρῶν εἶδος σιτανίους καλουμένους οἶδα, κατά τε τὴν κώαν αὐτὴν, καὶ σύμπαν τὸ κατὰ τὴν ἀσίαν ἑλληνικόν. ὀλίγον ἔχουσιν οὗτοι τὸ πυρὸν, ἱκανῶς δὲ γλίσχρον τὸ σταῖς, οὗ μάλιστα νῦν ὁ Ἱπποκράτης δεῖται, καθότι καὶ αὐτὸς ἐφεξῆς ἐρεῖ. καὶ ὅταν μὴ ἔχῃ τοῦτον, ἤτοι μάνναν ἢ κόμμι κελεύει μιγνύναι αὐτῷ. σπείρονται μὲν οὗτοι πυροὶ κατὰ τὸ ἔαρ εἰσβάλλον, ὡς αὐτοῖς διμηνιαίοις, καὶ καλὰ καὶ κατὰ τὴν ὥραν τοῦ πλείονος ὀνομαζομένοις. γίγνεται δ' αὐτῶν μάλιστα γλίσχρον τὸ σταῖς ὅταν πτισθέντων ἀφαιρεθῇ τὸ πιτυρῶδες ἐπάνω. γίγνεται μὲν καὶ διὰ τῶν λεπτῶν κοσκίνων, γίγνεται δὲ καὶ τῷ προπεπλύσθαι τοὺς πυρούς. ὥσπερ γὰρ αἱ πτισσόμεναι κριθαὶ τὸ λέπος ἀφιᾶσι μᾶλλον ὅταν προβραχῶσιν, οὕτως καὶ οἱ πυροί. πῶς οὖν εἶπε ταὐτόν; οὐ γὰρ ταὐτόν ἐστι βεβρέχθαι τε καὶ πεπλύσθαι. βρέχονται μὲν γὰρ ἐν τοῖς μύλωσιν ἅπασιν οἱ πυροὶ, πρὶν ἀλεῖσθαι. πλύνονται δὲ οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν ταῖς πλείσταις πόλεσι τῆς ἀσίας, ἂν καίτοι ὄντι γιγνόμενοι ἔχουσι πλοκὰ μεγάλα πεπλυμμένα, διὰ λεπτῶν σχοινίων μικρὰ διαστήματα ἐχουσῶν, ὡς χοῦν μὲν καὶ ψάμμον διέρχεσθαι, τὸν πυρὸν δ' ἐπιμένειν εἰς ταὐτό. ἐμβάλλοντες οὖν μύλωσιν ἄλλον πυρὸν, πρῶτον μὲν προδιαττῶσιν, ἔπειτα δὲ καθιᾶσιν εἰς ὕδωρ ὅλον τὸν πλόκαμον, ὥσπερ πλύνεσθαί τε ἅμα καὶ βρέχειν συμμέτρως τοὺς πυρούς. ἀναφερομένου δὲ ἐκ τοῦ ὕδατος τοῦ πλοκάμου, τὸ μὲν πλεῖστον ἀποῤῥεῖ τῆς ὑγρότητος, ἀπομένει δὲ πρὸς τοῖς πυροῖς τοσοῦτον, ὅσον ἀλουμένοις ἐπιτήδειον ἐστίν. εἰ γὰρ μὴ βραχείη τὸ περικείμενον ἔξωθεν αὐτοῖς λέμμα, τὸ τοιοῦτον δέρμα σύμφυτον εἰς λεπτὰ καταθραύεται κατὰ τὰς μύλας, καὶ οὕτως ἐν τῷ διαττᾶσθαι συνδιεξέρχεταί τι τοῦ καταθραυσθέντος τῷ ἀλεύρῳ. τοῦ δὲ προβραχέντος πυροῦ, τὸ πυρῶδες ἁδρομερὲς μένον, οὐ συνδιαττᾶται, καὶ κατὰ τοῦτο καθαρώτερον γίγνεται τὸ ἄλευρον ἐκ τοῦ βεβρέχθαι τοὺς πυρούς. ἐνδεῶθεν δὲ φησὶ πλυτῷ καὶ γλίσχρῳ, τῷ σητανίῳ πυρῷ τὸ μετὰ τοῦ δέρματος, ὅπερ οἷον σὰρξ ἐστὶν αὐτοῦ, τὸ κατεργασθὲν ὡς εἶπον

τὸ πυροῦ ἄλευρον, ἱκανῶς γίγνεται γλίσχρον. ἡγοῦμαι τοίνυν αὐτὸν ὠνομακέναι πλυτὸν ἄλευρον ὅταν ἐκ τῶν οὕτως κεκαθαρμένων τε καὶ προβεβρεγμένων γένηται πυρῶν. εἰ γὰρ μὴ οὕτω τις ἀκούσειεν, ἀπολείπεται πλυτὸν ἄλευρον ἀκούειν ἡμᾶς. ὅταν οὖν ὕδατι βρέξαντες αὐτὸ καὶ κινήσαντες πολυειδῶς, εἶτα ἐάσαντες καταστῆναι τὸ ὑποχεόμενον, ἄνωθεν ὕδωρ ἀπολαμβάνοντες ἑψήσωμεν, ὅπερ ἐπὶ τοῦ χόνδρου ποιοῦμεν. ἀλλὰ μάχεται τοῦτο τὸ κελεύειν αὐτὸν φυρᾶν τὸ ἄλευρον, τὸ ἕψον γὰρ εἰρήκει. καὶ οὐ φύραται δὲ τὸ οὕτως ὑγρὸν, ἀλλ᾽ ἕψεται μόνον. ἔτι δ᾽ αὖ μᾶλλον ὃ λέγει διὰ τῆς πεφυρημένης λέξεως κατανοήσωμεν.

Χρὴ δὲ ἢν μὲν ἀγαθὸν ᾖ, τῶν πυρῶν τὸ ἄλητον καὶ εὐόλκιμον, τούτῳ χρέεσθαι πάντα τὰ τοιαῦτα. ἢν δὲ μὴ πάνυ ὁλκιμον ᾖ, ἐς ὀλίγην μάνναν ὕδατι ὡς λειοτάτην δεύοντα, τούτῳ φυρᾶν τὸ ἄλητον, ἢ κόμμι πάνυ ὀλίγον ὡσαύτως μίσγειν. ὁκόσοισι μὲν οὖν ῥὶς ἐς τὸ σιμὸν ῥέπουσα κατάγη, ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μέρεος κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τε οὖν καὶ ἐντιθέναι τι διόρθωμα εἰς τοὺς μυκτῆρας, ἢν δὲ μὴ, ἀνορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα, τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται.

Ἀγαθοὺς πυροὺς, τοὺς ἀρίστους δηλονότι λέγει. ταύτην γὰρ οἱ παλαιοὶ τὴν προσηγορίαν ἐπιφέρειν εἰθισμένοι κατὰ παντὸς τοῦ πρώτου ὄντος ἐν τῷ οἰκείῳ γένει. λέγουσι δὲ καὶ νῦν ἅπαντες οἱ περὶ τὴν σιτοποιίαν, ἀρίστους εἶναι πυροὺς τοὺς πυκνοὺς τὴν οὐσίαν. οἱ γὰρ χαῦνοι, πολὺ τὸ πιτυρῶδες ἔχουσιν, καὶ τὸ σταῖς αὐτῶν οὐ γίνεται γλίσχρον ὡς καὶ μυδῶν. ὁλκιμον δὲ ὠνόμασεν τὸ γλίσχρον ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ τεινόντων ἡμῶν αὐτὸ πρὸς τἀναντία μέρη, συνεχὲς μὲν τὸ διασπώμενον, τὸ μὴ γλίσχρου φθάνοντος διασπᾶσθαι κατὰ τὰς τοιαύτας ἐνεργείας. εἰ δὲ διασπᾶται, πῶς ἄν τις ἕπεσθαι φαίνηται τεινούσαις χερσὶ αὐτό; εἰ δ᾽ οὐχ ἕπεται, πῶς ἂν ὁλκιμον ἔτι λεχθείη; τὸ γε μὴν ἀδιάσπαστον καὶ συνεχὲς γενόμενον, εἰκότως ἄν τις ὁλκιμον ὀνομάζει, καθάπερ καὶ τὸν ἰξόν. ἐπὶ πλεῖστον γὰρ οὗτος ἕλκεται πρὸς τἀναντία μέρη διαλαμβανόμενος ὑπὸ τῶν ἡμετέρων χειρῶν, ὥστε καὶ ἐκ τούτων δῆλος ἐστὶν ὁ Ἱπποκράτης γλίσχρον ἀξιῶν εἶναι τὸ σταῖς. ὅπου γε καὶ ὅταν μὴ τοιοῦτον ᾖ, μάνναν αὐτῷ προσβάλλειν, ἢ κόμμι κελεύει. μάννα δὲ καλεῖται τὸ ὑπόσεισμα τοῦ λιβανωτοῦ. μὴ παρούσης δὲ μάννης, αὐτὸν λειώσεις δηλονότι τὸν λιβανωτὸν, καὶ τούτου πάλιν αὐτοῦ τὸ λιπαρώτερον ἐκλεξάμενος. ἐγὼ δέ ποτε μήτε λιβανωτοῦ, μήτε κόμμεως εὐπορῶν, ἐχρησάμην ὑγρᾷ ῥητίνῃ, παρέτυχε γάρ πως αὕτη. χρήσαιο δ᾽ αὖ ποτε καὶ μέλιτι μηδὲ ταύτης παρούσης, ἀλλ᾽ ἄμεινον ἐστὶ τὴν μάνναν ἐγχεῖσθαι καὶ τὸ κόμμι. θερμαίνει γάρ πως τό γε μέλι καὶ ἡ ῥητίνη. τὰ δὲ τοιαῦτα, παρὰ τὰς ἀρχὰς ἐστὶν ἄχρηστα. προϊόντος μὲν τοῦ χρόνου, καὶ μειοῦντος τοῦ λείψανου τῆς φλεγμονῆς, ταῦτα γίγνεται τῶν ἄλλων χρησιμώτερα. καθάπερ οὖν ἐμνημόνευσεν ἔμπροσθεν, σκύτους αἰγυπτίου μὲν πρῶτον, αὖθις δὲ καρχηδονίου, παράδειγμα τῷ λόγῳ ποιούμενος, οὕτω καὶ νῦν τοὺς σιτανίους ὠνόμασε πυροὺς ὡς καὶ οὕτως εἶπεν. ἀλεύρῳ χρῆσθαι γλίσχρας αὐτὰς ἐργαζομένῳ, οἷόνπερ ἐργάζονται οἱ σιτάνιοι πυροί. τάχα δὲ πάντας ὀνομάζει σιτανίους, οἷς συμβέβηκε πυκνοῖς τε εἶναι καὶ γλίσχρον ἔχειν τὸ ἄλευρον, ὡς ἀπὸ τοῦ συμβεβηκότος μᾶλλον αὐτοῖς εἶναι τὴν προσηγορίαν, οὐκ ἀπό τινος ἰδέας ἐξαιρέτου.

Ἢν δὲ μὴ παχὺ ὑπαλειπτέον μὴ ἐς τὸ ἔμπροσθεν τῆς ῥινὸς ἀπάγοντα τοῖσι δακτύλοισιν, ἀλλ᾽ ᾗ ἵδρυται, ἔξωθεν δὲ τῆς ῥινὸς ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι, συναναγκάζειν τε ἅμα καὶ ἀναφέρειν ἐς τὸ ἄνω, καὶ ἢν μὲν πάνυ ἐς τὸ ἔμπροσθεν τὸ κάτηγμα ἔῃ, οἷόν τέ τι καὶ εἴσω τῶν μυκτήρων ἐντιθέναι, ὥσπερ ἤδη εἴρηται. ἄχνουν τὴν ἀφ᾽ ἡμιτυβίου, ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ εἱλίσσοντα, μᾶλλον δὲ ἐν καρχηδονίῳ δέρματι ἐῤῥάψαντα, σχηματίσαντα τὸ ἁρμόσσον σχῆμα τῷ χωρίῳ ἵνα ἐγκείσεται. ἢν μέντοι προσωτέρω ᾖ τὸ κάτηγμα, οὐδὲν οἷόν τε εἴσω ἐντιθέναι. καὶ γὰρ εἰ ἐν τῷ ἔμπροσθεν ἀσηρὸν τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν τῷ ἐσωτέρω. τὸ μὲν οὖν πρῶτον καὶ ἔσωθεν ἀναπλάσσεσθαι καὶ ἔξωθεν ἀφειδήσαντα, χρὴ ἀνάγειν ἐς τὴν ἀρχαίην φύσιν καὶ διαρθρώσασθαι. κάρτα γὰρ οἱ ἤ τε ῥὶς καταγεῖσα ἀναπλάσσεται, μάλιστα μὲν αὐθήμερος. ἢν δὲ μὴ ὀλίγῳ ὕστερον, ἀλλὰ καταβλακεύουσιν οἱ ἰητροὶ καὶ ἁπαλωτέρως τὸ πρῶτον ἅπτονται ἢ ὡς χρή. παραβάλλοντα γὰρ τοὺς δακτύλους, χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὴν φύσιν τῆς ῥινὸς ὡς κατωτάτω κάτωθεν συναναγκάζειν, καὶ οὕτω μάλιστα ἀνορθοῦνται σὺν τῇ ἔσωθεν διορθώσει διορθούμενα. ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς ἄλλος τοιοῦτος ἐστὶν, εἰ ἐθέλοι μελετᾶν καὶ τολμᾶν, ὡς οἱ αὐτοῦ δάκτυλοι οἱ λιχανοί, οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσιν. παραβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκατέρους παρὰ πᾶσαν τὴν ῥῖνα ἐρείδοντα ἡσύχως οὕτως ἔχειν, μάλιστα μὲν εἰ οἷόν τε εἴη αἰεὶ, ἔστ᾽ ἂν κρατυνθῇ. εἰ δὲ μὴ, ὡς πλεῖστον χρόνον, ὡς εἴρηται. εἰ δὲ μὴ, ἢ παιδία, ἢ γυναῖκά τινα. μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι οὕτως, ὡς ἂν κάλλιστα ἰατρευθείη ἡ ῥὶς, ὅτε μὴ ἐς τὸ σκολιὸν, ἀλλ᾽ ἐς τὸ κάτω ἱδρυμένη εἴη ἰσόῤῥοπος. ἐγὼ μὲν οὖν οὐδεμίαν πω ῥῖνα εἶδον, ἥτις οὕτω κατεαγεῖσα,

οὐχ οἵη τε διαρθρωθῆναι αὐτίκα πρὶν πωρωθῆναι συναναγκαζομένη ἐγένετο, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. ἀλλ᾽ οἱ ἄνθρωποι αἰσχροὶ μὲν εἰσὶ πολλοῦ ἀποτιμῶσι, μελετῶσι δὲ ἅμα μὲν οὐκ ἐπιστάμενοι, ἅμα δὲ οὐ τολμέουσιν, ἢν μὴ ὀδυνῶνται, ἢ θάνατον δεδοίκασι, καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις τῆς ῥινός. ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ἐπισφακελίσῃ. ὁκόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον καταγνυται, ἡ μὲν ἴησις αὕτη. τὴν δὲ διόρθωσιν δηλονότι χρὴ ποιέεσθαι, οὐχ ἰσόρροπον ἀμφοτέρωθεν, ἀλλὰ τότε ἐγκεκλιμένον ὠθέειν ἐς τὴν φύσιν ἔκτοσθεν ἀναγκάζοντα, καὶ ἐσματτευόμενον ἐς τοὺς μυκτῆρας καὶ τὰ εἴσω ῥέψαντα διορθοῦν ἀόκνως, ἔστ᾽ ἂν κατορθώσῃ, εὖ εἰδότα ὅτι ἢν μὴ αὐτίκα κατορθώσηται, οὐχ οἷόν τε μὴ οὐ διεστράφθαι τὴν ῥῖνα. ὅταν δὲ ἀγάγῃς ἐς τὴν φύσιν, προσβαλόντα χρὴ ἐς τὸ χωρίον, ἢ τοὺς δακτύλους, ἢ τὸν ἕνα δάκτυλον ἢ δύο ἔξωθεν ἀνακωχεύειν, ἢ αὐτὸν, ἢ ἄλλον τινὰ, ἔστ᾽ ἂν κρατυνθῇ τὸ τρῶμα. ἀτὰρ καὶ ἐς τὸν μυκτῆρα τὸν μικρὸν δάκτυλον ἀπωθέοντα ἄλλοτε καὶ ἄλλοτε, διορθοῦν χρὴ τὰ ἐγκεκλιμένα. ὅτι δ᾽ ἂν φλεγμονῆς ὑπογίνεται τούτοισι, χρὴ τῷ σταιτὶ χρέεσθαι. τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ ὁμοίως, καὶ τοῦ σταιτὸς ἐπικειμένου. ἢν δέ που κατὰ τὸν χόνδρον ἐς τὰ πλάγια καταγῇ, ἀνάγκη τὴν ῥῖνα ἄκρην μετεστράφθαι. χρὴ οὖν τοῖσι τοιούτοισιν ἐς τὸν μυκτῆρα ἄκρον διόρθωμά τι τῶν εἰρημένων, ἢ ὅτι τούτοισιν ἔοικεν ἐντιθέναι. πολλὰ δ᾽ ἄν τις εὕροι τὰ ἐπιτήδεια, ὅσα μήτε ὀσμὴν ἴσχει, μήτε ἄλλως προσηνέα ἐστίν. ἐγὼ δέ ποτε πνεύμονος προβάτου ἀπότμημα ἐνέθηκα, τοῦτο γάρ πως παρέτυχεν. οἱ γὰρ σπόγγοι ἐντιθέμενοι, ὑγράσματα δέχονται.

Εἰ μὴ δυνατόν φησιν εἴη ἐντιθέναι τῇ ῥινὶ τοὺς δακτύλους, ὑπαλείπτρῳ χρηστέον. ὀνομάζει δ᾽ οὕτως ὡς ἤδη πρόσθεν εἶπε ἅπαν ὅ,τι ἂν ὑπαλείφειν, οἷάπερ εἰσὶ μῆλαί τε καὶ σπαθομῆλαι, καὶ τὰ διπύρηνα, κατὰ τὸ πέρας αὐτῶν ἔχοντα ταῦτα πάντα κεφαλὰς περιφερεῖς. ὥσπερ δὲ ἐν τῷ καίειν τὴν μασχάλην ἐδεόμεθα λεπτοτάτων ὑπαλείπτρων, οὕτω νῦν παχέων ἐστὶ χρεία, ὁπότε γε καὶ τοῖς δακτύλοις, ὅταν ἐγχωρῇ, χρώμεθα, καὶ ἐντὸς εἰς τοὺς μυκτῆρας οὗτοι περ ἂν αὐτῶν ἁρμόττωσιν, καὶ ὅσοι διαπλάττωσι τὸ κατεαγὸς μέρος τῆς ῥινός. ὅπερ δὲ προσήκει χρῆσθαι τῷ ὑπαλείπτρῳ, σαφῶς αὐτὸς ἐδίδαξεν, ἀνάγειν αὐτὸ κελεύσας οὐ κατὰ τὸ πρόσθεν μέρος τῆς ῥινὸς, ἀλλὰ καθ᾽ ὃ μάλιστα καταπέπτωκεν εἰς τὴν κοιλότητα τὸ κατεαγὸς αὐτῆς. ἐκεῖνο γάρ ἐστι τὸ καὶ τῆς μοχλείας δεόμενον, ἵνα ὑψωθὲν εἰς τὴν κατὰ φύσιν ἀφίκηται χώραν. οὐδὲ γὰρ οὐδ᾽ ἄλλό τι τὸ διαπλάττειν ἐστὶν ὁποιουοῦν μέρος, ἔξω τοῦ τὴν οἰκείαν ἑκάστῳ τῶν μορίων αὐτοῦ διδόναι χώραν. τὰ δ᾽ ἐφεξῆς τῆσδε τῆς ῥήσεως ἄχρι πολλοῦ, πάντ᾽ ἐστὶ σαφῆ.

Ἔπειτα χρὴ καρχηδόνιον λωπὸν, πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον, ἢ ὅκως ἂν ξυμφέρῃ, προσκολλῆσαι ἐς τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐγκεκλιμένον, κἄπειτα κατατεῖναι τὸν ἱμάντα ὅκως ἂν ξυμφέρῃ. μᾶλλον δὲ ὀλίγου τείνειν χρὴ, ὥστε ὀρθὴν καὶ ἀπαρτῆ τὴν ῥῖνα εἶναι, ἔπειτα, μακρὸς γὰρ ἔστω ὁ ἱμὰς, κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα αὐτὸν, ἀναγαγεῖν περὶ τὴν κεφαλήν. καὶ ἔξεστι μὲν κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἱμάντος, ἔξεστι δὲ μακροτέρους ἄγειν, ἔπειτα περιελίσσοντα περὶ τὴν κεφαλὴν καταδεῖν. τοῦτο ἅμα μὲν δικαίην τὴν διόρθωσιν ἔχει, ἅμα δὲ εὐταμίευτον, καὶ μᾶλλον ἢν ἐθέλῃς, καὶ ἧσσον τὴν ἀντιρροπίην ποιῆσαι τῆς ῥινός. καὶ γὰρ ὁκόσοισι ἐς τὸ πλάγιον ἡ ῥὶς καταγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ, ὡς προείρηται. προσδέεται δὲ τοῖσι πλείστοισι καὶ τοῦ ἱμάντος πρὸς ἄκρην τὴν ῥῖνα προσκολλῆσαι τῆς ἀντιρροπίης εἵνεκα. ὅσοισι δὲ σὺν τῇ κατήξει καὶ ἕλκεα προσγίνεται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο. ἀλλ᾽ ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι πισσηρὴν, ἢ τῶν ἐναίμων τι, εὐαλθέα γὰρ τὰ τοιαῦτα. ὁμοίως κἢν ὀστέα μέλλῃ ἀπιέναι, τήν τε διόρθωσιν τὴν πρώτην, ἀόκνως χρὴ ποιέεσθαι μηδὲν ἐλλείποντα, καὶ τὰς διορθώσιας τοῖσι δακτύλοισιν ἐν τῷ ἔπειτα χρόνῳ. χαλαρωτέροισι μὲν γὰρ χρεόμενον, χρεόμενον δὲ, εὐπλαστότατον γάρ τι παντὸς τοῦ σώματος ἡ ῥίς ἐστι. τῶν δὲ ἱμάντων τῇ κολλήσει καὶ τῇ ἀντιρροπίῃ παντάπασιν οὐδὲν κωλύει χρῆσθαι, οὔτ᾽ ἢν ἑλκώσῃ, οὔτ᾽ ἢν ἐπιφλεγμαίνῃ, ἀλύπητοι γάρ εἰσιν.

Διὰ τὴν ἀπαρτῆ φωνὴν, σημαίνεται ἅπασα ἡ διὰ τῶν προσκολλημάτων ἀντίτασίς τε καὶ οἷον εὔθυνσις τῆς διεστραμμένης ῥινός [ὃ δὲ νῦν κελεύει ποιεῖν,] ἀσθενὲς ἐφαίνε μοι πειρωμένῳ. εἰ μὲν γὰρ ἰσχυρότερόν τε εἴη ὃ ἀποκολλᾶται, καὶ ἀφίσταται μετρίως τείνοντος, οὐδὲν ἀξιόλογον περαίνεται.

Περὶ ὠτός.

Ἢν δὲ οὖς κατεαγῇ, ἐπιδέσιες πᾶσαι πολέμιαι. οὐ γὰρ οὕτω τις χαλαρὸν περιβάλλοι. ἢν δὲ μᾶλλον πιέζῃ, πλέον κακὸν ἐργάσεται, ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδέσει πιεχθὲν, ὀδυνηρὸν καὶ σφυγματῶδες, καὶ πυρετῶδες γίνεται.

Τῆς συνεχείας ἡ λύσις ἕλκος μὲν ἐν σαρκώδει μορίῳ, κάταγμα δὲ ἐν ὀστῷ καλεῖται. τὸ δὲ ἐν χόνδρῳ γιγνόμενον οὐκ ἔχον ἰδίαν προσηγορίαν, καταχρησάμενος ὁ Ἱπποκράτης τῷ τοῦ κατάγματος ὀνόματι προσηγόρευσεν.

Ἀτὰρ καὶ τὰ ἐπιπλάσματα ἥκιστα μὲν τὰ βαρύτατα ἐπίπαν, ἀτὰρ καὶ τὰ πλεῖστα φλαῦρα καὶ ἀποστατικὰ, καὶ μύξαν τε ὑποποιέει πλείω, κἄπειτα ἐκπυήσιας ἀσηρὰς, τούτων δὲ οὖς ἥκιστα κατεαγὲν προσδέεται.

Οἷς ἀπεδείξαμεν ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ, τὰ κατὰ μέρος ὁμολογεῖται πάντα. καὶ γὰρ καὶ νῦν ὑπὸ τῶν ἐπιπλασμάτων βλάπτεσθαι φησὶ τὸ οὖς ὁ Ἱπποκράτης, ὥσπερ καὶ φαίνεται διὰ τῆς ἐμπειρίας. ἱκανῶς γὰρ βούλεται ξηραίνεσθαι δὴ, ὅτι ξηρότατον ἐστὶ τὴν φύσιν ἔχον, ἐξ οὗ κἀκ δέρματος συγκείμενον. ἐδείχθη δὲ ἕκαστον μόριον εἰς ὅσον ἂν ξηρότερον, εἰς τοσοῦτον τῆς ξηραντικωτέρας ἀγωγῆς δεόμενον.

Ἄγχιστα μὲν εἴπερ χρὴ τὸ γλίσχρον ἄλητον, χρὴ δὲ μηδὲ τοῦτο βάρος ἔχειν, ψαύειν δὲ ὡς ἥκιστα ξυμφέρει. ἀγαθὸν γὰρ ἐνίοτε φάρμακον, καὶ τὸ μὴ φέρειν φάρμακον, καὶ πρὸς οὖς, καὶ πρὸς ἄλλα πολλά. χρὴ δὲ καὶ τὴν ἐπικοίμασιν φυλάττεσθαι, τὸ δὲ σῶμα ἰσχναίνειν, καὶ μᾶλλον ἢν κίνδυνος ἔῃ, ἔμπυον τὸ οὖς γενέσθαι. ἄμεινον δὲ καὶ μαλθάξαι τὴν κοιλίην.

Ἐγγυτάτω φησὶν εἶναι τοῦ μὴ βλάπτειν ἐπιπλαττόμενον, τὸ γλίσχρον ἄλευρον. ἔστι γὰρ δῆλον ὅτι τοῦτο τῶν ἄλλων ξηραντικώτερον, εἴρηται δὲ ὀλίγον ἔμπροσθεν ἡμῖν, ὁποῖον λέγει τὸ γλίσχρον ἄλητον ἡνίκα τὸν περὶ τῆς κατεπλαττομένης ῥινὸς ἐποιεῖτο λόγον. ὁμοιότατον δὲ τούτῳ ποιοῦσι κατάπλασμα τῇ πείρᾳ διδαχθέντες οἱ κατὰ παλαίστραν ἔχοντες ἐκ τοῦ χόνδρου, βρέχοντες αὐτὸν ὄξει μέχρι διοιδήσει, καὶ οὕτως λεαίνοντες.

Ἢν δὲ καὶ ὀδυνώμενος ἔῃ, ἐμέειν ἀπὸ συρμεσμοῦ.

Συρμεσμοὺς δὲ ἐκάλουν οἱ παλαιοὶ τὰς μετρίας κενώσεις, εἴτε διὰ τῆς ἕδρας, εἴτε καὶ δι' ἐμέτων γίγνοιντο, τοιούτων τινὰ κελεύει καὶ νῦν ποιεῖσθαι. πολλαὶ δ' ὗλαι τοῦτο περιεργάζονται, καὶ γὰρ μέλι πλέον ληφθὲν αὐτὸ, καὶ μελίκρατον ἀκρατέστερον, καὶ πτισάνης χυλὸς ἐξ ὕδατος ἑψημένος μόνον, καὶ αὐτὸς καθ' ἑαυτὸν καὶ μετὰ μέλιτος. καὶ τούτων μᾶλλον ὁ ἀπὸ ῥαφανίδων ἔμετος, καὶ ὁ ἀπὸ ναρκίσσου βολβοῦ. μείζων δὴ τούτων, ὁ μὲν ἤδη γλίσχρος, ὅταν εἰς ῥαφανίδας ἐλλεβόρου λευκοῦ κάρφη πήξαντες, ἐν τῇ ὑστεραίᾳ τὰς ῥαφανίδας δῶμεν φαγεῖν, εἴτε μόνας, εἴτε καὶ δι' ὀξυμέλιτος.

Ἢν δὲ ἐς πύησιν ἔλθῃ, ταχέως μὲν οὐ χρὴ στομοῦν. πολλὰ γὰρ καὶ τῶν δοκεόντων ἐκπυέεσθαι ἀναπίνεταί ποτε, κἢν μηδέ πω τις καταπλάσσῃ.

Φυλάσσεται τὸ οὖς, εἴτε μὴν διὰ τὸν ὑποκείμενον τῷ δέρματι χόνδρον. ἂν γὰρ μὴ ταχέως τμηθὲν, συναχθῇ τε καὶ κολληθῇ, κίνδυνος ἐστὶ λιπανθῆναι τὸν χόνδρον. ἀναπίνεται δὲ, τουτέστιν ἐκδαπανᾶται καὶ διαφορεῖται τὸ συνιστάμενον αὐτόθεν πῦον, ἐνίοτε διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων ἁπλῶν καὶ κούφων φαρμάκων ὅσα ξηραίνειν ἀδήκτως πέφυκεν, οἷον ἐστὶ καὶ ἡ τοῦ κοχλίου μύξα μετὰ λιβανωτοῦ, καὶ εἰ δέοι ξηραίνεσθαι σφοδρότερον, ἤτοι μετ' ἀλόης, ἢ μετὰ σμύρνης, ἢ μετ' ἀμφοῖν. οὕτως δὲ καὶ μέλι καταχριόμενον ἁπτικὸν, ἐπιπασσομένων λείων, τῶν εἰρημένων ἕκαστον ξηραντικόν ἐστι τὸ φάρμακον. ἄδηκτον δὲ λέγω, τόν τε λιβανωτὸν καὶ τὴν ἀλόην, καὶ τὴν σμύρναν.

Ἢν δὲ ἀναγκασθῇ στομῶσαι, τάχιστα μὲν ὑγιὲς γίνεται, ἤν τις πέρην διακαύσῃ. εἰδέναι μέντοι χρὴ σαφῶς, ὅτι κυλλὸν ἔσται τὸ οὖς, καὶ μεῖον τοῦ ἑτέρου ἢν πέρην διακαυθῇ.

Κυλλὸν μὲν καὶ μικρότερον ἐξ ἀνάγκης γίγνεται διαφθαρέντος ἐν τῇ καύσει μέρους οὐκ ὀλίγου, τοῦ τε χόνδρου καὶ τοῦ περιέχοντος αὐτὸν δέρματος. ὀρέγεσθαι δὲ ἤδη τοῦτο συμβουλεύει, ποτὲ δεδιὼς τὸ δυσαλθὲς τοῦ χόνδρου. γυμνωθεὶς γὰρ συνουλεῖ, καὶ μάλιστα βραχείαις τισὶν ἡμέραις χρονίσει, μετὰ τὸ τμηθῆναι μὴ συνελθόντος καὶ κολληθέντος τοῦ δέρματος εὐθέως.

Ἢν δὲ μὴ πέρην καίηται, τάμνειν χρὴ τὸ μετέωρον, μὴ πάνυ σμικρὴν τομήν.

Ἕνεκα τοῦ μηδὲν ἐμμεῖναι τοῦ πύου, καὶ βλάπτειν τὸν χόνδρον, ἀξιόλογον κελεύει ποιεῖσθαι τὴν τομήν.

Διὰ παχυτέρου μὲν καὶ τὸ πύον εὑρίσκεται, ἢ ὡς ἄν τις δοκέοι.

Κατὰ τὴν διάγνωσιν τοῦ περιεχομένου γίγνεται πύου τις ἀπάτη τοῖς ἀνατεμνομένοις, ὡς δοκεῖν ἤδη πολύ τι εἶναι αὐτὸ καὶ λεπτῦναι τὸ δέρμα. κατὰ δέ τινα τρόπον εἰς τὴν τοιαύτην ἀπάτην ἀφικνοῦνται, διὰ τῶν ἑξῆς αὐτὸς ὁ Ἱπποκράτης δηλώσει.

Ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, καὶ πάντα τἆλλα τὰ μυξώδεα καὶ μυξοποιὰ, ἅτε γλί-

σχεθέντα ὑποθιγγανόμενα, διολισθαίνει ταχέως ὑπὸ τοὺς δακτύλους καὶ ἔνθα καὶ ἔνθα, διὰ τοῦτο διὰ ταχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροί, ἢ ὡς οἴονται.

†ἐπανήκει Κατὰ τὰς διαγνώσεις τῶν ἐκπυϊσκομένων μερῶν †ἐπανήκει συμμέτρως πρὸς τὴν ἁφὴν, τὸ πάχος σώματος διαιρεθὲν εὑρίσκεται πῦον ἔχον. ἐπειδὰν οὖν εὕρωσιν οἱ ἰατροὶ τὴν αὐτὴν ποσότητα τῆς ἕξεως ἐπὶ παντὸς ἄλλου μέρους, ὁμοίως ἐκπεπυηκέναι νομίζοντες τοῖς ἔμπροσθεν ἑωραμένοις, ἐπὶ τὸ τέμνειν ἀφικόμενοι, διαμαρτάνουσιν ἐνίοτε διπλῆν ἁμαρτίαν, ὡς τὸ μηδ' ὅλως εὑρεῖν πῦον ἐπὶ τούτων, διὰ τὸ παχύτερα πολλῷ παρὰ τὴν προσδοκίαν εἶναι τοιαῦτα. ἔοικε γὰρ πολλάκις ἰατρῷ ὑγρὸν ἔχοντα ἐν αὐτοῖς μυξώδη, ὡς οὕτω διαπυήσαντα. καὶ γίγνεται τοῦτο διότι τὰ τοιαῦτα τῶν ὑγρῶν, ὡς αὐτὸς εἶπεν, ὀλισθαίνει ταχέως ἐν τῷ ψαύειν αὐτῶν. εἴωθε δὲ συνίστασθαι περί τε χόνδρους καὶ τένοντας, καὶ νεῦρα, καὶ συνδέσμους, ὡς αὐτὸς ἐφεξῆς λέγει.

Ἐπεὶ καὶ τῶν γαγγλιωδέων ἔνια ὅσα ἂν πλαδαρὰ ᾖ, καὶ μυξώδεα σάρκα ἔχει, πολλοὶ τομοῦσιν, οἰόμενοι ῥεύματα ἀνευρήσειν ἐς τὰ τοιαῦτα. ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἐξαπατᾶται, τῷ δὲ πρήγματι τῷ τοιούτῳ οὐδεμία βλάβη τμηθέντι. ὅσα δὲ ὑδατώδεα χωρία ἐστὶν, ἢ μύξης πεπληρωμένα, καὶ ἐν οἵοισι χωρίοισιν ἕκαστα θάνατον φέρει τμηθέντα, ἢ κατὰ ἄλλοίας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται.

Τὰ γὰρ χονδρώδη καὶ ταῦτα τὰ γάγγλια, καὶ σύντροφα τινά εἰσι περὶ νεῦρα, τὴν γένεσιν ἐξ ὑγροῦ γλίσχρου καὶ μυξώδους ἐσχηκότα. τοιαύτη γὰρ ἡ οἰκεία τῶν νεύρων τροφή.

Ὅταν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων, πάσης τε μοτώσιος ἀπέχεσθαι χρή. ἰητρεύειν δὲ, ἢ ἐναίμοις, ἢ ἄλλῳ τῳ, ὅ, τι μήτε βάρος, μήτε πόνον παρασχήσει.

Ἐπεὶ ξηρόν ἐστι μόριον τὸ οὖς, καὶ διὰ τοῦτο τῶν ξηραινόντων δεῖται φαρμάκων, χρὴ μέντοι ὑπὲρ τοῦ προσήκοντος αὐτὸ ξηραίνειν, ὅταν ἐπὶ τὸ τέμνειν εὐθέως τὰ φάρμακα προσφέρονται, τόνον γὰρ ἐργάζεται μηδὲν ἔχοντα παρηγορικὸν, οὐ μὴν οὐδὲ βαρύνεσθαι χρὴ τὸ οὖς ὑπὸ τῶν ἐπιτιθεμένων ὄγκων. καὶ γὰρ καὶ τὰ ὦτα ὀδυνῶνται, καὶ ἅμα ἄσυρον. ἄριστον οὖν ἐστι χρῆσθαι φαρμάκοις μετὰ τὸ τμηθῆναι μετρίως ξηραίνουσιν, ὁποῖα τὰ ἔναιμα καλούμενα. τὰ γὰρ καταπλάσματα ἐγκλείει τε καὶ θηλύνει μὴ ζαίνοντα τὰς περιττὰς ὑγρότητας αὐτῶν, καὶ μάλιστα γλίσχρας, καὶ παχείας οὔσας.

Ἢν γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι, καὶ ὑποστάσιας ἴσχει πυρώδεας, ἢ χαλώδεας, σχληρόν.

Προσθεῖναι δὲ χρὴ τῇ λέξει τὸ ὑγρὸν, ὅπερ καὶ παρεγγράφουσί τινες, ὡς εἶναι τὴν ὅλην γραφὴν τοιαύτην. ὅτε γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας ὑγρῶν ἴσχει. καλεῖ δ' ὑποστάσεις τὰς ἐν δίοις μονὰς τῶν ὑγρῶν ἃ προσῆκεν ἐκκρίνεσθαι, τοῦτε πύου δηλονότι, καὶ τοῦ μυξώδους χυμοῦ. ὀχλώδη οὖν φησι γίγνεσθαι, τουτέστιν ὀδυνηρὰ, ὅπερ ὁρᾶται τοῦ χόνδρου κακουμένου.

Γίγνεται δὲ καὶ τοῦτο διὰ ἐκείνας τὰς ἰήσιας. πάντων δὲ τῶν παλιγκοτησάντων, ἡ πρώτη διαίτησις αὐταρκέστατον.

Ποίας ἰήσεις μέμφεται; ἢ δηλονότι περὶ ὧν ἐνεδείξατο μικρὸν ἔμπροσθεν, ἀπέχεσθαι κελεύων καταπλασμάτων, καὶ μοτώσεως, καὶ τῶν βαρυνόντων, καὶ ὀδυνώντων.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

Περὶ σφονδύλων τῶν κατὰ ῥάχιν.

Σφόνδυλοι δὲ οἱ κατὰ ῥάχιν.

Οὐχ ὡς καὶ καθ' ἕτερον μέρος ἐν τῷ σώματι σφονδύλων ὄντων πρόσκειται, τὸ κατὰ ῥάχιν. ἡ γὰρ ἁπάντων τῶν σφονδύλων σύνθεσις ὀνομάζεται ῥάχις, ἀλλ' εἰ καὶ οὕτως ἔτυχεν εἰπὼν, σφόνδυλοι δὲ οἷς ὑπάρχει καὶ κατὰ ῥάχιν εἶναι. τινὲς μέντοι τῶν νεωτέρων ἰατρῶν ἀξιοῦσιν, οὐχ ἅπασαν τῶν σφονδύλων τὴν σύνταξιν ὀνομάζειν ῥάχιν, ἀλλὰ μόνον τῶν κατὰ τὸν θώρακα καὶ τὴν ὀσφῦν, καθ' οὓς ὁ Ἱπποκράτης νῦν δόξει διαλέγεσθαι, περὶ τῶν κατὰ τὴν ὀσφῦν τε καὶ τὸν νῶτον μόνον, οὐ τῶν κατὰ τὸν τράχηλον. εἴρηται δὲ ἀκριβῶς ἡμῖν ἅπασα τῶν σφονδύλων ἡ σύνθεσις ἐν τῇ περὶ τῶν ὀστῶν εἰσαγωγῇ, καθ' ἣν ἠξίωσα ἀπογυμνάσασθαι τὸν ἀκολουθήσαντα τοῖσδε τοῖς ὑπομνήμασι, τεθεαμένος ἀκριβῶς ἕκαστον τῶν ὀστῶν ὁποῖόν ἐστιν, ἐπ' αὐτῶν μὲν μάλιστα τῶν ἀνθρώπων σκελετῶν, εἰ μὴ πάντως τῶν πιθηκείων.

Ὁκόσοισι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κῦφος.

Ὀπισθοκύφωσις ὀνομάζεται ἡ ἐς τοὐπίσω διαστροφὴ τῆς ῥάχεως, ὥσπερ ἡ μὲν εἰς τὸ πρόσω λόρδωσις, ἡ δὲ εἰς τὰ πλάγια σκολίωσις. οἴονται δέ τινες γίγνεσθαι τὴν εἰς τοὐπίσω διαστροφὴν, ἣν δὴ καὶ κύρτωσιν ὀνομάζουσι, φυμάτων ἀπέπτων συνισταμένων ἐπὶ τῆς ῥάχεως, μεγάλων τε καὶ σκληρῶν καὶ χρονίων, ὑφ' ὧν βαρυνομένους ὠθεῖσθαι πρὸς τὴν ὀπίσω χώραν τοὺς σφονδύλους, οὐκ ἐννοοῦντες, ὅτι οὔτε κατακειμένων ὑπτίων ἐγχωρεῖ τὰ φύματα τοὺς ὑποκειμένους ἑαυτοῖς βαρύνειν σφονδύλους, οὔτε ὀρθῶς ἑστηκότων, οὔτε καθημένων. ἀλλ' οὐδ' εἴ ποτε κατὰ τῶν

πλευρῶν

πλευρῶν κλινόμεθα. πρὸς δὲ ἄλλοις ἐστὶν ἄτοπον εἰς τοσοῦτον βάρος, ἢ σκληρότητα ἥκειν τὰ φύματα νοεῖν, ὡς καὶ τῶν ὀστῶν βαρύτερα καὶ σκληρότερα γίγνεσθαι. ὅτι μὲν οὖν ὑπὸ φυμάτων ἀπέπτων εἰς τὸ ἔμπροσθεν ἀποτελοῦνται διαστροφαὶ τῆς ῥάχεως, αὐτὸς ὁ Ἱπποκράτης ὀλίγον ὕστερον ἐρεῖ. προσέχειν δὲ χρὴ τοὺς ἐξηγησαμένους τὸ βιβλίον οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὅτι κατὰ τὴν προκειμένην ῥῆσιν εἶπεν ἐς τὸ κῦφον ἕλκονται, δυνάμενος εἰπεῖν ὠθοῦνται, καθάπερ οὕτως ἕλκονται. δόξει γε μὴν ἄτοπον εἶναι τοὺς σφονδύλους ὀπίσω μεθισταμένους, ὑπὸ νοσημάτων ἕλκεσθαι λέγειν εἰς τὸ πρόσω. τοῦτο γὰρ οἰκειότερον ἦν ἐπὶ τῆς λορδώσεως εἰρῆσθαι. τί ποτ' οὖν ἐστιν ἀληθὲς ἅμα, καὶ πρὸς Ἱπποκράτην ἔτι πειράσομαι δηλῶσαι. αὐτὰ μὲν τὰ τῶν σφονδύλων ὀστᾶ κατὰ τὸν ἴδιον λόγον, οὔτ' ἀνατρέπεται πρὸς τῶν φυμάτων, οὔθ' ἕλκεται, τῶν δὲ συνδούντων αὐτοὺς σωμάτων ἐστὶ τὸ πάθημα πρῶτον. ὅταν οὖν συνηθισμένον γένηται τοῖς σφονδύλοις φῦμα μετεωριζόμενον καὶ αὐξανόμενον πρὸς τὴν ἔνδον ἢ πρόσω χώραν, ἑκατέρως γὰρ ὀνομάζουσιν, ἀναγκαῖόν ἐστιν ἕπεσθαι τοῖς φύμασι τοὺς συνδέσμους, οἷς πάλιν αὐτοὺς τοὺς σφονδύλους ἀκολουθεῖν. ἐὰν μὲν οὖν κατὰ μίαν χώραν γένηται τὸ φῦμα ταύτης ἑλκομένης ἔνδον, ἡ λόρδωσις συμβαίνει τῆς ῥάχεως σφονδύλοις. ἐὰν δὲ κατὰ δύο, μεταξύ τινος ἀπαθοῦς περιλαμβανομένης χώρας, ἡ κύφωσις. ἑκατέρου γὰρ τῶν φυμάτων ἕλκοντος, πρὸς ἑαυτὸ τὸν συνεχῆ σφόνδυλον οἱ μέσοι κυρτοῦνται πρὸς τοὐπίσω. θεάσασθαι δὲ ἐναργῶς ἐγχωρεῖ τοῦτο συμβαῖνον ἐπὶ πάντων, ὅσα κάμπτεσθαι δύνανται μετρίως, οἷά περ εἰσὶ καὶ διάχλωραι ῥάβδοι, καὶ τῶν καλάμων οἷς γράφομεν οἱ πλείω. τούτων τὸ μὲν ἕτερον τοῖς τῆς δεξιᾶς χειρὸς περιλαβὼν δακτύλοις, τὸ δ' ἕτερον τοῖς τῆς ἀριστερᾶς ἐπίσπασαι πρὸς ἑαυτὸν εἰς τὴν ἐναντίαν χώραν, ἐπισπώμενόν τε καὶ κυρτούμενον ὄψει τὸ μέσον. οὐ μὴν οὐδὲ σκολιώσεις ἑτέραν ἔχουσιν αἰτίαν γενέσεως, ἀλλὰ καὶ ταύτας γίνεσθαι συμβαίνει σκληροῦ καὶ δυσπέπτου φύματος ἔν τινι τῶν πλαγίων μερῶν συνισταμένου. τρία γὰρ ταῦτα πάθη κατὰ τὴν ῥάχιν ἐν ταῖς τῶν σφονδύλων γίγνεται μεταστάσεσι, κύφωσις, λόρδωσις, καὶ σκολίωσις. ὀπίσω μὲν ἀποχωρούντων ἡ κύφωσις, εἰς τὰ πρόσω δὲ ἰόντων, ἡ λόρδωσις. ἐπὶ δὲ τὸ πλάγιον ἐκτρεπομένων, ἡ σκολίωσις. ἔξωθεν δὲ τούτων ἡ σεῖσις καλουμένη, τέταρτον πάθος ἐστὶ τῶν ἐν τῇ ῥάχει σφονδύλων, ὅταν διακινηθῶσι μὲν αἱ ἁρμονίαι, κατὰ χώραν δὲ οἱ σφόνδυλοι μένωσιν.

Τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι, πλὴν ἢ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος κυφοῦται.

Καὶ τἆλλα μέν φησι τὰ κατὰ ῥάχιν ἐστὶ δύσλυτα. μάλιστα δ' αὐτῶν ὅσα φρενῶν τῆς προσφύσιος κυφοῦται ἀνώτερον, τουτέστιν ἐν τῷ κατὰ τὸν θώρακα σφονδύλῳ. ὅτι δ' οὕτως χρῆται τῇ φωνῇ, καὶ κατ' ἀρχὰς εὐθέως τοῦδε τοῦ βιβλίου δῆλόν ἐστιν, ἔνθα φησί. καὶ γὰρ καὶ τὸ ἐπίπαν ἀμείνων καὶ στερεωτέρη ἡ βραχεῖα πολὺ τῆς βαθείης, ὅτι καὶ περὶ ἐκκαρπεῖν τὴν βαθεῖαν. διατί δὲ μάλιστα δύσλυτα γίνεται τὰ κατὰ τὸν θώρακα φύματα, διὰ τῆς ἐπιφερομένης μαθήσῃ ῥήσεως.

Τῶν δὲ κατωτέρω μεθεξέτερα λύουσι κιρσοὶ γενόμενοι ἐν τοῖσι σκέλεσι, μᾶλλον δὲ ἐπεγγινόμενοι κιρσοὶ ἐν τῇ κατ' ἰγνύην φλεβί. οἷσι δ' ἄν τι κύφωμα ᾖ, λύουσι, ἐγγίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνα.

Ἔνια φησὶ τῶν κατωτέρω τοῦ θώρακος παθῶν, τουτέστι τὰ κατ' ὀσφὺν ὑπὸ κιρσῶν, ἢ δυσεντερίας λύεσθαι, μεταλαμβανομένων δηλονότι τῶν ἐργαζομένων αὐτὰ χυμῶν, εἰς πρώτην μὲν αὐτὴν τὴν ἐπὶ τῇ ῥάχει μεγίστην φλέβα. μετ' ἐκείνην δὲ εἰς τὰς ἀποφύσεις αὐτῆς, τὰς ἐπὶ τὰ σκέλη. τοιαύτη δὲ οὐδεμία φλέψ ἐστι κατὰ θώρακα ἡ τοὺς μοχθηροὺς χυμοὺς ὑποδέξασθαι δυναμένη. μία μέν ἐστιν ἡ τὰς ὀκτὼ πλευρὰς ἑκατέρωθεν φέρουσα, δύο δ' ἄλλαι μικραί, τὰς ὑψηλάς τε παρὰ τὰς ἐξ ἑκατέρου μέρους μία. πασῶν δ' αὐτῶν εἰς τὸν θώρακα καταχιζομένων τε καὶ ἀναλισκομένων, εἰ δὲ μεταβληθείη τις χυμὸς εἰς αὐτάς, ἐκ τῶν φυμάτων ἐκκενωθῆναί που δύναται, καὶ τὸ δ' ἐπίπαλαι φαίνει αὐτὸ δύσκολον. οἱ γὰρ τὰ σκληρὰ καὶ δύσπεπτα γεννῶντες, χυμοὶ γλίσχροί εἰσι καὶ παχεῖς, ὥστ' οὐ ῥᾳδίως εἰς τὰς στενὰς μεταλαμβάνονται φλέβας. ἡ δὲ κατ' ὀσφὺν φλὲψ εὐρυτάτη τ' ἐστί, καὶ πάσαις ταῖς κάτω φλεψὶν αὕτη χορηγεῖ τὸ αἷμα. τοὺς οὖν παχεῖς τούτους καὶ γλίσχρους χυμούς, ὅταν ποτὲ μεταλάβῃ τῆς ἐν τοῖς πεπονθόσι μορίοις δυνάμεως ῥωσθείσης, ὡς ἀπώσασθαι τὸ περιττόν, ἐναποτίθεται ταῖς ἐνταῦθα καθηκούσαις φλεψίν, ὑφ' ὧν ἀνευρύνονται μὲν καὶ κιρσοῦνται. παχέων μὲν ἱκανῶς ὄντων, εὐθέως ἐν τῇ κατὰ βουβῶνα. μετριωτέρων δὲ ὑπαρχόντων, ἐν τῇ κατὰ τὴν ἰγνύαν. ἔνθα γὰρ αὖ πρῶτον ὑπὸ πάχους τε καὶ γλισχρότητος ἐμφραχθέντες ἱστῶσιν, ἐνταῦθα διϊστᾶσί τε καὶ διευρύνουσι τὴν φλέβα. καὶ γὰρ τοῖς ἀπὸ τοιαύτης αἰτίας ἔχουσιν ἐν τοῖς σκέλεσι κιρσούς, ἀνάλογον τῷ πάχει τοῦ χυμοῦ τὰς ἀνευρυνομένας φλέβας ἰδεῖν ἐστιν. ἐπὶ μὲν τοῖς παχυτάτοις τὰς εὐρυτάτας, οἷαί περ εἰσὶν αἱ περὶ βουβῶνα. ἐπὶ δὲ τοῖς ἧττον ἐκείνων παχέσι, τὰς ἧττον εὐρείας, ὁποῖαι κατ' ἰγνύας εἰσί. ποτὲ μὲν γὰρ ἐν ταῖς μείζοσι τροφαῖς ἐμφραττόμενοι τὸ πάθος ἐργάζονται, ποτὲ δὲ εἰς τὰς κατωτέρας χωροῦσιν ὅσαι στενότεραι. παχὺ δὲ πάντως ἐν τοῖς κιρσοῖς ἐστι τὸ αἷμα, μελαγχολικὸν δ' ἐστὶ πλειστάκις τὸ πάθος. ἔστι δ' ὅτε ἑτέρων ὠμῶν καὶ παχέων χυμῶν.

Ἤδη δέ τισιν ἔλυσε καὶ ἡ δυσεντερίη πολυχρόνιος γινομένη.

Ὅταν εἰς ἔντερα μετάληψις γένηται τῶν παρὰ φύσιν χυμῶν, ἐπὶ τῇ δυσεντερίᾳ τῶν ἐντέρων ξυομένων τῇ δριμύτητι τῶν εἰς αὐτὰ συρρεόντων χυμῶν, ἐκπυϊσκομένων δηλονότι τῶν φυμάτων. οὐδὲ γὰρ ἄλλως οὐδὲ συρραγεῖεν πότ' εἰς ἔντερα διὰ τὸ πάχος αὐτῶν. αἱ δ' ἐκπυήσεις λεπτύνουσί τε τοὺς παχεῖς χυμούς, καὶ τὴν ἐν τοῖς πάσχουσι μορίοις φύσιν ἐπεγείρουσιν εἰς ἀπόκρισιν ἀνιαρῶν ἤδη τῶν περιεχομένων χυμῶν.

Καὶ οἷσι μὲν κυφοῦται ῥάχις παισὶν ἐοῦσιν, πρὶν ἢ τὸ σῶμα τελειωθῆναι ἐς αὔξησιν, τούτοισι δὲ οὐδὲ συναύξεσθαι ἐθέλει κατὰ τὴν ῥάχιν τὸ σῶμα, ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελειοῦνται, ταῦτα δὲ ἐνδεέστερα γίνονται.

Οὐδὲν θαυμαστόν ἐστιν ἀναύξη γενέσθαι τὴν ῥάχιν ἐν τοῖς τοιούτοις νοσήμασιν, ὥσπερ κἀπὶ τῶν ἐξαρθρημάτων ἔμπροσθεν ἠκούσαμεν αὐτοῦ λέγοντος, ὧν ἡ ἐμπύωσις ἠπορήθη. διά γε γὰρ τὴν διαστροφὴν τῶν ἀγγείων καὶ τὴν δυσκινησίαν, καὶ τὸν τῆς φύσεως κάματον, ὃν κάμνει κατὰ τὰ τοιαῦτα πάθη, χεῖρον ἢ πρόσθεν ἀνάγκη τρέφεσθαι τὰ πεπονθότα μόρια. διὰ τοῦτο δὲ ἐν μὲν τοῖς ηὐξημένοις ἤδη καὶ τελείοις σώμασιν ἰσχνότερα ποιεῖν εἴωθε τὰ μόρια, τοῖς δ᾽ ἔτι αὐξανομένοις ἡ αὔξησις ἐμποδίζεται τῶν κατὰ ῥάχιν. ὅσα δ᾽ ἀμφότερα τῶν πεπονθότων ἐστὶν, οἷον αἵ τε χεῖρες καὶ τὰ σκέλη παντάπασιν ἀβλαβῆ διαμένει. συμπάσχει γὰρ οὐχ ὅλον τὸ σῶμα τοῖς οὕτω πεπονθόσιν, ἀλλ᾽ ὅσα πλησίον ἐστὶ μόνα.

Καὶ ὅσοισι ἂν ἡ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὖρος αὔξεσθαι, ἀλλ᾽ ἐς τοὔμπροσθεν, τό, τε στῆθος ὀξὺ γίνεται, ἀλλ᾽ οὐ πλατὺ, αὐτοί τε δύσπνοοι γίνονται, καὶ κερχνώδεες. ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι.

Ἐπὶ τῶν ἔτι ἐν αὐξήσει λόγον ποιεῖται, περὶ ὧν προείρηκεν ὅτι οὐχὶ συναύξεται τὰ κατὰ τὴν ῥάχιν αὐτοῖς. ὅταν οὖν ἐν τοῖς κατὰ τὸν θώρακα σφονδύλοις τὸ κύφωμα γένηται, μάλιστα τούτοις ἀναυξητέα ἀποτελεῖται κατὰ τὸ μῆκος. ἔκ τε οὖν τούτων, καὶ ὅτι κατὰ τὸ κῦφον εἰς τοὐπίσω μετάστασις ἐγένετο τῶν σφονδύλων, ἀναγκαῖόν ἐστι στενὸν καὶ ὀξὺν αὐτοῖς γίνεσθαι τὸν θώρακα, καὶ κατὰ τοῦτο καὶ τὰς ἐντὸς κοιλίας τὰς ὑποδεχομένας τὸ πνεῦμα μικροτέρας, ὥστε καὶ τοῦ πνεύματος ὅταν ἀναπνέουσιν ἐλάττονος ἀπολαύειν τὸ σῶμα. λέλεκται δὲ κἀν τοῖς περὶ δυσπνοίας ὡς ἀναγκαῖόν ἐστιν ἔνθα τῆς χρείας ἐλάττων ἡ ἀναπνοὴ γίνεται, τὴν ἐφεξῆς αὐτῇ τὴν δευτέραν μετ᾽ ἐλάττονα χρόνον, ἢ εἴπερ εἶχε κατὰ φύσιν ἡ προτέρα ποιήσασθαι τὴν ἀρχήν. τὸ δὲ μετ᾽ ἐλάττονα, πυκνὸν ἐργάζεται τὸ πνεῦμα, καὶ διὰ τοῦτο τὸ τῆς δυσπνοίας εἶδος συνίσταται τὸ κατὰ μικρότητα καὶ πυκνότητα. κερχνώδεις δὲ γίγνονται, διὰ τὴν τῶν κατὰ τὸν φάρυγγα καὶ τραχεῖαν ἀρτηρίαν μορίων στενότητα. ξυναύξει δὲ ταύτην τὴν στενότητα, καὶ διὰ τοῦτο περὶ οὗ κατὰ τὴν ἑξῆς ῥῆσιν διδάσκει.

Καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σφόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς εἴη αὐτοῖσιν ἡ κεφαλή. στενοχωρίην δὲ οὖν πολλὴν τῷ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ εἴσω ῥέπον. καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ, ἔστ᾽ ἂν ἀναπιεχθῇ. διὰ οὖν τὸ τοιοῦτον σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ ὑγιέες.

Εἰς τἀναντία ἐχόντων τῶν κατὰ τὸν θώρακα σφονδύλων, εἰς τὴν ὀπίσω χώραν μεθισταμένων ἐν τοῖς κυφώμασιν, ἀναγκαῖόν ἐστιν ὅλον τὸν τράχηλον εἰς τὸ πρόσω ῥέπειν, ὥστε καὶ τὴν κεφαλήν, ἐπίκειται γὰρ τούτῳ. κατ᾽ εὐθὺ τοίνυν συμβήσεται τοῖς κύφοις ἐν τοιούτῳ σχήματι βαδίζειν, ἐν ᾧ οἱ πάντες ὅταν ἐπινεύσωμεν ὅλον τὸν τράχηλον ἅμα τῇ ῥάχει, καὶ κάμψαντες ἄμφω καὶ κυρτώσαντες εἰς τοὐπίσω, κάτω βλέπομεν εἰς τὴν γῆν. ὅπως οὖν μὴ πάσχωσιν οἱ κυρτοὶ τοῦτο, τὸν τράχηλον ἀναγκάζονται πρὸς τοὐπίσω, τοῖς αὐτῶν σφονδύλοις ὀλίγον εἰς τοῦτο συντελοῦσιν, ὡς ἂν ἐλαχίστην ἔχουσιν τὴν κίνησιν, ἔνθα μάλιστα ταύτην ἀξιόλογον εὑρίσκουσιν, ἐνταῦθα πλεῖστον ἀνανεύουσιν. εὑρίσκεται δὲ κατὰ τὴν τῶν πρώτων δυοῖν σφονδύλων διάρθρωσιν, ἣν πρὸς ἀλλήλους καὶ τὴν κεφαλὴν ἔχουσιν. ὅπερ οὖν τοῖς ἀπαθέσιν ἄγουσιν εἰς ὀπίσω τὴν κεφαλὴν γίνεται, σχῆμα κατὰ τὴν διάρθρωσιν αὐτῆς τοῦτο τοῖς κύφοις ὀρθουμένοις. καὶ δὴ καὶ ὥσπερ οἱ κατὰ φύσιν ἔχοντες ἐξεχέβρογχοι γίνονται κατὰ τὰς εἰς τοὐπίσω τῆς κεφαλῆς ἀνανεύσεις, οὕτως οἱ κυφοὶ κατὰ τὰς ὀρθίας στάσεις. ἐξεχεβρόγχους δηλονότι καλεῖ τοὺς ἐξέχοντας εἰς τοὐπίσω, ἐς τὸ πρόσω τὴν δίκην ἔχοντας. οὕτως δ᾽ εἰκὸς ὀνομάζειν αὐτὸν, ἤτοι τὴν τραχεῖαν ἀρτηρίαν ὅλην, ἢ μόνον τὸν φάρυγγα, καὶ τουτέστιν τὸ μάλιστα κερχνώδη τὴν ἀναπνοὴν ἐργαζόμενον, ἀμέλει καὶ τοῖς κοιμωμένοις ἐν τοιούτῳ σχήματι μάλιστα ὑπάρχει τὸ ῥέγχειν. διὰ τοῦτ᾽ ἔφη, καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσις δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ, ἔστ᾽ ἂν ἀναπιεχθῇ τοῦτο τὸ ὀστέον, ἀναφορικῶς εἰπὼν ἤδη τὸ προειρημένον ἐν ἀρχῇ τῆς ῥήσεως, ἔνθα φησὶ, καὶ γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγα σφόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ἐξ οὗ τεκμήραιτ᾽ ἄν τις, μέγα σφόνδυλον ὀνομάζειν αὐτὸν τὸν δεύτερον, ὃς χωρῆσαι μάλιστα δύναται πρόσω, καὶ πάλιν ἐντεῦθεν ἀναπιεχθῆναι. πρόδηλον δ᾽ ὅτι καὶ τὴν αὐτὴν χώραν τὴν πρόσω καὶ ἔσω κέκληκεν. πρόσω μὲν ὡς βαίνοντα ἐκ τῶν ὀπίσω μερῶν εἰς αὐτὴν σφόνδυλον, ἔσω δ᾽ ὅτι κατὰ τὸ βάθος ἐστὶ τοῦ σώματος, ἐάν τε πρὸς τὴν ἔσωθεν ἐπιφάνειάν τις, ἐάν τε πρὸς τὴν ὀπίσω σκοπῇ.

Φυμάτιά τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονά εἰσιν, οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος, καὶ ἡ ξύντασις τοῖσι πλείστοισι, διὰ τοιαύτας συστροφὰς γίνεται ἧσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς.

Οἷς ἐν τοῖς ἄνω τῶν φρενῶν ἐστὶ τὸ κύφωμα, τούτοις κατὰ τὸν πνεύμονα τὰ φυμάτια φησὶν, ὡς τὸ πολὺ γίγνεσθαι. δῆλον οὖν ὅτι καὶ οἷς ἐν ὀσφύϊ τὸ κύφωμα ἦν, καὶ τούτοις ἐνταῦθα τὰ φύματα συνίσταται. ὡς τὸ πολὺ δ᾽ εἶπεν, ἐπειδὴ καὶ κατὰ τὴν διάπτωσιν καὶ πληγὴν κυφοῦται ῥάχις, ὥσπερ οὖν καὶ λορδοῦται, καὶ σκολιοῦται. διὰ δὲ τὸ

φαίνε

φαίναι. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος, καὶ ἡ σύστασις τοῖσι πλείστοισι διὰ ταύτας συστροφὰς γίγνεται, τὴν αὐτὴν γνώμην ἐνδείκνυται κατ᾽ ἀρχὰς ὁπότε λέγει. σφόνδυλοι δὲ οἱ κατὰ ῥάχιν οἷσι μὲν ὑπὸ νοσημάτων ἕλκονται εἰς τὸ κῦφος, τὸ δ᾽ ἐν τῇ νῦν ῥήσει λελεγμένον, ἧσιν δ᾽ αὖ κοινωνήσωσιν οἱ τόνοι οἱ ξυνεγγύς, ἔνθα τὰ νεῦρα τὴν ἀναφορὰν ἔχει κατὰ τὸν νῶτόν τε καὶ τοὺς σφονδύλους. ἐγὼ δὲ πρόσθεν ἠτιασάμην τοὺς ξυνδέσμους τῶν σφονδύλων ἑλκομένους ἑαυτοῖς συνεπισπᾶσθαι, καὶ αὐτοὺς τοὺς σφονδύλους. οὐ γὰρ ἡγοῦμαι τὰ ἀπὸ νωτιαίου πεφυκότα νεῦρα τὰ ἑλκόμενα πρὸς τοῦ φύματος ἑαυτοῖς δύνασθαι συνεπισπᾶσθαι τοὺς σφονδύλους. καὶ γὰρ ἀσθενέστερον πολὺ τῆς τοιαύτης δυνάμεώς ἐστι, διά τε σμικρότητα καὶ μαλακότητα, διὸ καὶ οὐδὲ ἐκπέφυκεν ἐκ τῶν ὀστῶν, ὥσπερ οἱ σύνδεσμοι. ῥωμαλεώτεροι γὰρ ὄντες οὗτοι, καὶ συνεχεῖς τοῖς τόνοις. εἰ δ᾽ αὖ κοινωνήσωσι τοῖς φύμασι, δύναιντ᾽ ἂν ἐπισπᾶσθαι τοὺς σφονδύλους.

Ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισι νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφελικά, καὶ κατὰ κύστιν. ἀτὰρ καὶ ἀποστάσιες ἐς ἐμπύημά τι, καὶ κατὰ κενεῶνας, καὶ κατὰ βουβῶνας χρόνιαι, καὶ δυσαλθέες, καὶ τουτέων οὐδέτερον λύει τὰ κυφώματα.

Κατὰ συμπάθειαν δηλονότι τὰ εἰρημένα νοσήματα γίγνεται. συμπάσχει δὲ τὰ ὁμογενῆ καὶ τὰ πλησίον, ἅπερ ἐλέγετο κἂν τῷ σύνεγγυς, καὶ τὰ κοινά, καὶ μάλιστα κακοῦντα. δυσεντερία μὲν οὖν καὶ κιρσοὶ κατὰ μετάστασιν τῶν ἐργαζομένων τὰ φύματα χυμῶν γεννώμενα, θεραπεύει τὴν κύφωσιν. ὅσα δὲ κατὰ συμπάθειαν γίγνεται νοσήματα, τούτων οὐδέν ἐστι λυτικὸν τῶν ἐξ ἀρχῆς παθῶν.

Ἰσχία δὲ τοῖσι τοιούτοισιν ἀσαρκότερα γίνεται, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν.

Οἷς κατ᾽ ὀσφύν ἐστι τὸ κύφωμα, τούτοις ἰσχία μᾶλλον ἐστὶν ἄσαρκα τῶν περὶ θώρακα κυφῶν. ἐκ τούτου δὲ δῆλον, ὡς καὶ τοῖς κατὰ θώρακα κυφοῖς ἄσαρκα μετρίως γίγνεται τὰ κατ᾽ ἰσχίον, ὡς ἂν κοινωνοῦντα τῇ ῥάχει.

Ἡ μέντοι σύμπασα ῥάχις μακροτέρη τούτοισιν, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν.

Τοῖς μηδέπω τελείοις κατὰ τὴν ἡλικίαν πρὸς τῷ κοινῷ τῆς ἀτροφίας, ἔτι καὶ ἀναύξητα τὰ πεπονθότα μόρια γίνεται, καθότι καὶ πρόσθεν ἐρρέθη. νυνὶ δὲ προστίθησιν ἄλλην διαφοράν, οὐκ ἀπὸ τῆς ἡλικίας, ἀλλ᾽ ἀπὸ τῶν πεπονθότων μορίων. ὅσῳ γὰρ ἐν ἀρχῇ μᾶλλον ἑαυτῆς ἡ ῥάχις πάθῃ, τοσούτῳ μᾶλλον ἀναυξεστέρα γίγνεται, διότι τῆς γενέσεως αὐτῆς, καὶ τῆς αὐξήσεως ἄνωθεν ἐστίν.

Ἥβη δὲ καὶ γένειον βραχύτερα καὶ ἀτελέστερα, καὶ ἀγονώτεροι οὗτοι τῶν ἄνωθεν κυφῶν.

Τῷ κοινῷ λόγῳ τῆς συμπαθείας, προσέρχεται διαφορὰ κατὰ τὴν τῶν τόπων φύσιν. ὁ μὲν οὖν κοινὸς λόγος ἐστὶ τὰ πλησιάζοντα τοῖς πεπονθόσι συμπάσχειν. ἴδιος δὲ ἔνθα μὲν ἀναπνευστικὰ μόρια δυσπνουστέρους γίγνεσθαι τοὺς πάσχοντας καὶ βραγχώδεις. ἔνθα δὲ τὰ κατωτέρω τῶν φρενῶν, γίνεται βραδυτέρα ἡ ἥβη. ἕπεται δὲ τούτῳ καὶ ἡ κατὰ τὰ γένεια βλάβη.

Οἷσι δ᾽ ἂν ηὐξημένοισι τὸ σῶμα γένηται κύφωσις, τούτοισιν ἀπαρτικρὺ μὲν τῆς νούσου τῆς τότε παρεούσης κρίσιν ποιέει ἡ κύφωσις. ἀνὰ χρόνον μέντοι ἐπισημαίνει τι τῶν αὐτέων, ὥσπερ καὶ τοῖσι ἑτέροισι, ἢ πλέον, ἢ ἔλασσον. ἧσσον δὲ κακοήθως ὡς τὸ ἐπίπαν μὲν τοιαῦτά ἐστιν.

Τὸ ἀπαντικρὺ νῦν εἴρηκεν ἐν ἴσῳ τῷ ἐκ τοῦ φανεροῦ, ὅπερ ἄλλοι τινὲς τῶν παλαιῶν ἄντικρυς εἰρήκασιν. ἐν μὲν τῷ φανερῷ καὶ ὡς εἴποι τις, αἰσθητοῦ κρίσιν ἡ κύφωσις, ὅπερ ἐστὶ λύσιν λαμβάνει, καὶ δόξειεν ἂν τὸ πάθος ἀνῃρῆσθαι παντάπασιν. ὑπολείπεται μέντοι τι λείψανον βραχὺ παροξυνόμενον, ἐπί τε τοῖς περὶ τὴν δίαιταν ἁμαρτήμασι, καὶ ἐν τῇ τῶν ἔξωθεν ἀπάτῃ βλαβερόν.

Πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιεινῶς τὴν κύφωσιν ἄχρι γήρως, μάλιστα δὲ οὗτοι, οἷσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες προτράπηται τὸ σῶμα. ὀλίγοι μὲν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν, οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσιν.

Διὰ ῥώμην φύσεως καὶ τοῦ πάθους τὴν ἐπιείκειαν, ἤδη δὲ καὶ τὴν ὅλην δίαιταν, ἣν ὁ πάσχων διαιτᾶται, μέχρι γήρως ἔνιοι τὴν κύφωσιν ὑγιηρῶς ἤνεγκαν.

Ἔστι δ᾽ οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σφόνδυλοι, ἢ τῇ ἢ τῇ. πάντα μὲν, ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τὰς ἔσωθεν ῥάχιος.

Εἴπερ ἔμπροσθεν ἤδη περὶ τῆς σκολιώσεως, ὡς γίνεται περὶ τὸ πλάγιον μέρος τοῦ σφονδύλου συστάντος φύματος, πῶς καὶ ἐφέλκονται ἐπὶ αὐτὸ τοὺς συνδέσμους. τοῦτο λέγει δὲ καὶ ὁ Ἱπποκράτης, ὅτι διὰ τοὺς τόνους.

Προσξυμβάλλεται δὲ ἐνίοισι σὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ᾽ ὁποῖα ἂν ἐθισθέωσι κεκλίσθαι.

Τὸ μέντοι τῷ συῤῥεῖν μᾶλλον ὡς ἐπὶ τὸ ταπεινότερον. τὸ δέ τι καὶ τῷ θλίβεσθαι μᾶλλον, ἐφ᾽ ᾧ κατάκειταί τις, εἰς τὴν τοῦ κυφώματος γένεσιν ἡ συντέλεια γίνεται. πρώτη αἰτία καὶ κυριωτάτη τῶν φυμάτων, καὶ τῶν ἄλλων νοσημάτων ἡ φυσικὴ τοῦ μέρους ἀσθένεια. δέδεικται γὰρ εἰς τὰ τοιαῦτα μόρια συῤῥεῖν τὰ περιττά.

Καὶ οἷσι μὲν κυφοῦται ῥάχις παισὶν ἐοῦσι, πρὶν ἢ τὸ σῶμα τελειωθῆναι ἐς αὔξησιν, τούτοισι μὲν οὐδὲ συναυξέεσθαι ἐθέλει κατὰ τὴν ῥάχιν τὸ σῶμα, ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελειοῦνται, ταῦτα δὲ ἐνδεέστερα γίνονται.

Οὐδὲν θαυμαστόν ἐστιν ἀναύξη γίνεσθαι τὴν ῥάχιν ἐν τοῖς τοιούτοις νοσήμασιν, ὥσπερ κἀπὶ τῶν ἐξαρθρημάτων ἔμπροσθεν ἠκούσαμεν αὐτοῦ λέγοντος, ὧν ἡ ἐμπήρωσις ἠπορήθη. διά γε γὰρ τὴν διαστροφὴν τῶν ἀγγείων καὶ τὴν δυσκινησίαν, καὶ τὸν τῆς φύσεως κάματον, ὃν κάμνει κατὰ τὰ τοιαῦτα πάθη, χεῖρον ἢ πρόσθεν ἀνάγκη τρέφεσθαι τὰ πεπονθότα μόρια. τοῦτο δὲ ἐν μὲν τοῖς ηὐξημένοις ἤδη καὶ τελείοις σώμασιν ἰσχνότερα ποιεῖν εἴωθε τὰ μόρια, τοῖς δ' ἔτι αὐξανομένοις ἡ αὔξησις ἐμποδίζεται τῶν κατὰ ῥάχιν. ὅσα δ' ἀμφότερα τῶν πεπονθότων ἐστίν, οἷον αἵ τε χεῖρες καὶ τὰ σκέλη παντάπασιν ἀβλαβῆ διαμένει. συμπάσχει γὰρ οὐχ ὅλον τὸ σῶμα τοῖς οὕτω πεπονθόσιν, ἀλλ' ὅσα πλησίον ἐστὶ μόνα.

Καὶ ὅσοισι δ' ἂν ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὖρος αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν, τό τε στῆθος ὀξὺ γίνεται, ἀλλ' οὐ πλατύ, αὐτοί τε δύσπνοοι γίνονται, καὶ κερχνώδεες. ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι.

Ἐπὶ τῶν ἔτι ἐν αὐξήσει λόγον ποιεῖται, περὶ ὧν προείρηκεν ὅτι οὐχὶ συναύξεται τὰ κατὰ τὴν ῥάχιν αὐτοῖς. ὅταν οὖν ἐν τοῖς κατὰ τὸν θώρακα σφονδύλοις τὸ κύφωμα γένηται, μάλιστα τούτοις ἀναυξητέα ἀποτελεῖται κατὰ τὸ μῆκος. ἔκ τε οὖν τούτων, καὶ ὅτι κατὰ τὸ κῦφος εἰς τοὐπίσω μετάστασις ἐγένετο τῶν σφονδύλων, ἀναγκαῖόν ἐστι στενὸν καὶ ὀξὺν αὐτοῖς γίνεσθαι τὸν θώρακα, καὶ κατὰ τοῦτο καὶ τὰς ἐντὸς κοιλίας τὰς ὑποδεχομένας τὸ πνεῦμα μικροτέρας, ὥστε καὶ τοῦ πνεύματος ὅταν ἀναπνέουσιν ἐλάττονος ἀπολαύειν τὸ σῶμα. λέλεκται δὲ κἀν τοῖς περὶ δυσπνοίας ὡς ἀναγκαῖόν ἐστιν ἔνθα τῆς χρείας ἐλάττων εἰσπνοὴ γίνεται, τὴν ἐφεξῆς αὐτῇ τὴν δευτέραν μετ' ἐλάττονα χρόνον, ἢ εἴπερ εἶχε κατὰ φύσιν ἡ προτέρα ποιῆσαι τὴν ἀρχήν. τὸ δὲ μετ' ἐλάττονα, πυκνὸν ἐργάζεται τὸ πνεῦμα, καὶ τοῦτο τὸ τῆς δυσπνοίας εἶδος συνίσταται τὸ κατὰ μικρότητα καὶ πυκνότητα. κερχνώδεις δὲ γίνονται, διὰ τὴν τῶν κατὰ τὸν φάρυγγα καὶ τραχεῖαν ἀρτηρίαν μορίων στενότητα. συναύξει δὲ ταύτην τὴν στενότητα, καὶ τοῦτο περὶ οὗ κατὰ τὴν ἑξῆς ῥῆσιν διδάσκει.

Καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σφόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς εἴη αὐτοῖσιν ἡ κεφαλή. στενοχωρίην μὲν οὖν πολλὴν τῷ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ εἴσω ῥέπον. καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ ἐς τ' ἂν ἀναπιεχθῇ. διὰ οὖν τὸ τοιοῦτον σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ ὑγιέες.

Εἰς τοὐναντία ἐχόντων τῶν κατὰ τὸν θώρακα σφονδύλων, εἰς τὴν ὀπίσω χώραν μεταστάντων ἐν τοῖς κυφώμασιν, ἀναγκαῖόν ἐστιν ὅλον τὸν τράχηλον εἰς τὸ πρόσω ῥέπειν, ὥστε καὶ τὴν κεφαλήν, ἐπίκειται γὰρ τούτῳ. κατ' εὐθὺ τοίνυν συμβήσεται τοῖς κυφοῖς ἐν τοιούτῳ σχήματι βαδίζειν, ἐν ᾧ οἱ παῖδες ὅταν ἐπινεύσωμεν ὅλον τὸν τράχηλον ἅμα τῇ ῥάχει, καὶ κάμψαντες ἄμφω καὶ κυρτώσαντες εἰς τοὐπίσω, κάτω βλέπομεν εἰς τὴν γῆν. ὅπως οὖν μὴ πάσχωσιν οἱ κυρτοὶ τοῦτο, τὸν τράχηλον ἀναγκάζονται πρὸς τοὐπίσω, τοῖς αὐτῶν σφονδύλοις ὀλίγον εἰς τοῦτο συντελοῦσιν, ὡς ἂν ἐλαχίστην ἔχουσιν τὴν κίνησιν, ἔνθα μάλιστα ταύτην ἀξιόλογον εὑρίσκουσιν, ἐνταῦθα πλεῖστον ἀνανεύουσιν. εὑρίσκεται δὲ κατὰ τὴν τῶν πρώτων δυοῖν σφονδύλων διάρθρωσιν, ἣν πρὸς ἀλλήλους καὶ τὴν κεφαλὴν ἔχουσιν. ὅπερ οὖν τοῖς ἀπαθέσιν ἄγουσιν εἰς ὀπίσω τὴν κεφαλὴν γίνεται, σχῆμα κατὰ τὴν διάρθρωσιν αὐτῆς τοῦτο τοῖς κυφοῖς ὀρθουμένοις. καὶ δὴ καὶ ὥσπερ οἱ κατὰ φύσιν ἔχοντες ἐξεχέβρογχοι γίνονται κατὰ τὰς εἰς τοὐπίσω τῆς κεφαλῆς ἀνανεύσεις, οὕτως οἱ κυφοὶ κατὰ τὰς ὀρθίας στάσεις. ἐξεχεβρόγχους δηλονότι καλεῖ τοὺς ἐξέχοντας εἰς τοὐπίσω, εἰς τὸ πρόσω τὴν δίκην ἔχοντας. οὕτως δ' εἰκὸς ὀνομάζειν αὐτόν, ἤτοι τὴν τραχεῖαν ἀρτηρίαν ὅλην, ἢ μόνον τὸν φάρυγγα, καὶ τουτέστιν τὸ μάλιστα κερχνώδη τὴν ἀναπνοὴν ἐργαζόμενον, ἀμέλει καὶ τοῖς κοιμωμένοις ἐν τοιούτῳ σχήματι μάλιστ' ὑπάρχει τὸ ῥέγχειν. διὰ τοῦτ' ἔφη, καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ, ἐς ὃ ἂν ἀναπιεχθῇ τοῦτο τὸ ὀστέον, ἀναφορικῶς εἰπὼν ἤδη τὸ προειρημένον ἐν ἀρχῇ τῆς ῥήσεως, ἔνθα φησί, καὶ γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγα σφόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ἐξ οὗ τεκμήραιτ' ἄν τις, μέγα σφόνδυλον ὀνομάζειν αὐτὸν τὸν δεύτερον, ὃς χωρῆσαι μάλιστα δύναται πρόσω, καὶ πάλιν ἐντεῦθεν ἀναπιεχθῆναι. πρόδηλον δ' ὅτι καὶ τὴν αὐτὴν χώραν τὴν πρόσω καὶ ἔσω κέκληκεν. πρόσω μὲν ὡς βαίνοντα ἐκ τῶν ὀπίσω μερῶν εἰς αὐτὴν σφόνδυλον, ἔσω δ' ὅτι κατὰ τὸ βάθος ἐστὶ τοῦ σώματος, ἐάν τε πρὸς τὴν ἔσωθεν ἐπιφάνειάν τις, ἐάν τε πρὸς τὴν ὀπίσω σκοπῇ.

Φυμάτιά τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονά εἰσιν, οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος, καὶ ἡ ξύντασις τοῖσι πλείστοισι, διὰ τοιαύτας συστροφὰς γίνεται, ἧσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς.

Οἷς ἐν τοῖς ἄνω τῶν φρενῶν ἐστὶ τὸ κύφωμα, τούτοις κατὰ τὸν πνεύμονα τὰ φυμάτια φησίν, ὡς τὸ πολὺ γίνεσθαι. δῆλον οὖν ὅτι καὶ οἷς ἐν ὀσφύϊ τὸ κύφωμα ἦν, καὶ τούτοις ἐνταῦθα τὰ φύματα συνίσταται. ὡς τὸ πολὺ δ' εἶπεν, ἐπειδὴ καὶ κατὰ τὴν διάπτωσιν καὶ πληγὴν κυφοῦται ῥάχις, ὥσπερ οὖν καὶ λορδοῦται, καὶ σκολιοῦται. διὰ δὲ τὰ

φαίας

φαίαι. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος, καὶ ἡ σύστασις τοῖσι πλείστοισι διὰ ταύτας συστροφὰς γίγνεται, τὴν αὐτὴν γνώμην ἐνδείκνυται κατ᾽ ἀρχὰς ὁπότε λέγει. σφόνδυλοι δὲ οἱ κατὰ ῥάχιν οἷσι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κῦφος. τὸ δ᾽ ἐν τῇ νῦν ῥήσει λελεγμένον, ἤσιν δ᾽ αὖ κοινωνήσωσιν οἱ τόνοι οἱ ξύνεγγυς, ὅτι τὰ νεῦρα τὴν ἀναφορὰν ἔχει κατά τὸν νῶτον τε καὶ τοὺς σφονδύλους. ἐγὼ δὲ πρόσθεν ἠπιστάμην τοὺς ξυνδέσμους τῶν σφονδύλων ἑλκομένους ἑαυτοῖς συνεπισπᾶσθαι, καὶ αὐτοὺς τοὺς σφονδύλους. οὐ γὰρ ἡγοῦμαι τὰ ἀπὸ νωτιαίου πεφυκότα νεῦρα τὰ ἑλκόμενα πρὸς τοῦ φύματος ἑαυτοῖς δύνασθαι συνεπισπᾶσθαι τοὺς σφονδύλους. καὶ γὰρ ἀσθενέστερον πολὺ τῆς τοιαύτης δυνάμεώς ἐστι, διά τε σμικρότητα καὶ μαλακότητα, διὸ καὶ οὐδὲ ἐκπέφυκεν ἐκ τῶν ὀστῶν, ὥσπερ οἱ σύνδεσμοι. ῥωμαλεώτεροι γὰρ ὄντες οὗτοι, καὶ συνεχεῖς τοῖς τόνοις. εἰ δ᾽ αὖ κοινωνήσωσι τοῖς φύμασι, δύνανται ἂν ἐπισπᾶσθαι τοὺς σφονδύλους.

Ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισι νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφριτικά, καὶ κατὰ κύστιν. ἀτὰρ καὶ ἀποστάσιες ἐς ἐμπύημά τι, καὶ κατὰ κενεῶνας, καὶ κατὰ βουβῶνας χρόνιαι, καὶ δυσαλθέες, καὶ τουτέων οὐδ᾽ ἑτέρη λύει τὰ κυφώματα.

Κατὰ συμπάθειαν δηλονότι τὰ εἰρημένα νοσήματα γίγνεται. συμπάσχει δὲ τὰ ὁμογενῆ καὶ τὰ πλησίον, ἅπερ ἐλέγετο κεῖν τῷ σύνεγγυς, καὶ τὰ κοινά, καὶ μάλιστα κακοῦντα. δυσεντερία μὲν οὖν καὶ κίρσοι κατὰ μετάστασιν τῶν ἐργαζομένων τὰ φύματα χυμῶν γιγνόμενα, θεραπεύει τὴν κύφωσιν. ὅσα δὲ κατὰ συμπάθειαν γίγνεται νοσήματα, τούτων οὐδέν ἐστι λυτικὸν τῶν ἐξ ἀρχῆς παθῶν.

Ἰσχία δὲ τοῖσι τοιούτοισιν ἀσαρκότερα γίνεται, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν.

Οἷς κατ᾽ ὀσφύν ἐστι τὸ κύφωμα, τούτοις ἰσχία μᾶλλον ἐστὶν ἄσαρκα τῶν κατὰ θώρακα κυφῶν. ἐκ τούτου δὲ δῆλον, ὡς καὶ τοῖς κατὰ θώρακα κυφοῖς ἄσαρκα μετρίως γίγνεται τὰ κατ᾽ ἰσχίον, ὡς αὖ κοινωνοῦντα τῇ ῥάχει.

Ἡ μέντοι σύμπασα ῥάχις μακροτέρη τούτοισιν, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν.

Τοῖς μηδέπω τελείοις κατὰ τὴν ἡλικίαν πρὸς τῷ κοινῷ τῆς ἀτροφίας, ἔτι καὶ ἀναύξητα τὰ πεπονθότα μόρια γίνεται, καθότι καὶ πρόσθεν ἐρρέθη. νυνὶ δὲ προστίθησιν ἄλλην διαφοράν, οὐκ ἀπὸ τῆς ἡλικίας, ἀλλ᾽ ἀπὸ τῶν πεπονθότων μορίων. ὅσῳ γὰρ ἐν ἀρχῇ μᾶλλον ἑαυτῆς ἡ ῥάχις πάθῃ, τοσούτῳ μᾶλλον ἀναυξεστέρα γίγνεται, διότι τῆς γενέσεως αὕτη, καὶ τῆς αὐξήσεως ἄνωθεν ἐστίν.

Ἥβη δὲ καὶ γένειον βραχύτερα καὶ ἀτελέστερα, καὶ ἀγονώτεροι οὗτοι τῶν ἄνωθεν κυφῶν.

Τῷ κοινῷ λόγῳ τῆς συμπαθείας, προσέρχεται διαφορὰ κατὰ τὴν τῶν τόπων φύσιν. ὁ μὲν οὖν κοινὸς λόγος ἐστὶ τὰ πλησιάζοντα τοῖς πεπονθόσι συμπάσχειν. ἴδιος δὲ ἔνθα μὲν ἀναπνευστικὰ μόρια δυσπνοωτέρους γίγνεσθαι τοὺς πάσχοντας καὶ κερχνώδεις. ἔνθα δὲ τὰ κατωτέρω τῶν φρενῶν, γίνεται βραδυτέρα ἡ ἥβη. ἕπεται δὲ τούτῳ καὶ ἡ κατὰ τὰ γεννητικὰ βλάβη.

Οἷσι δ᾽ ἂν ηὐξημένοισι τὸ σῶμα γένηται κύφωσις, τούτοισιν ἀπαντικρὺ μὲν τῆς νόσου τῆς τότε παρεούσης κρίσιν ποιέει ἡ κύφωσις. ἀνὰ χρόνον μέντοι ἐπισημαίνει τι τῶν αὐτέων, ὥσπερ καὶ τοῖσιν ἑτέροισιν, ἢ πλέον, ἢ ἔλασσον. ἧσσον δὲ κακοήθως ὡς τὸ ἐπίπαν μὲν τοιαῦτά ἐστιν.

Τὸ ἀπαντικρὺ νῦν εἴρηκεν ἐν ἴσῳ τῷ ἐκ τοῦ φανεροῦ, ὅπερ ἄλλοι τινὲς τῶν παλαιῶν ἄντικρυς εἰρήκασιν. ἐν μὲν τοῦ φανεροῦ καὶ ὡς εἴποι τις, αἰσθητοῦ κρίσιν ἡ κύφωσις, ὅπερ ἐστὶ λύσιν λαμβάνει, καὶ δόξειεν αὖ τὸ πάθος ἀνῃρῆσθαι παντάπασιν. ὑπολείπεται μέντοι τι λείψανον βραχὺ παροξυνόμενον, ἐπί τε τοῖς περὶ τὴν δίαιταν ἁμαρτήμασι, καὶ ἐν τῇ τῶν ἔξωθεν ἀπάτῃ βλαβερόν.

Πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιεινῶς τὴν κύφωσιν ἄχρι γήρως, μάλιστα δὲ οὗτοι, οἷσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες περιτράπηται τὸ σῶμα. ὀλίγοι μὲν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν, οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσιν.

Διὰ ῥώμην φύσεως καὶ τοῦ πάθους τὴν ἐπιείκειαν, ἤδη δὲ καὶ τὴν ὅλην δίαιταν, ἣν ὁ πάσχων διαιτᾶται, μέχρι γήρως ἔνιοι τὴν κύφωσιν ὑγιηρῶς ἤνεγκαν.

Ἔστι δ᾽ οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σφόνδυλοι, ἢ τῇ ἢ τῇ. πάντα μὲν, ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τὰς ἔσωθεν ῥάχιος.

Εἴπερ ἔμπροσθεν ἤδη περὶ τῆς σκολιώσεως, ὡς γίνεται κατὰ τὸ πλάγιον μέρος τοῦ σφονδύλου συστάντος φύματος, πῶς καὶ ἐφέλκοντος ἐπ᾽ αὐτὸ τοὺς συνδέσμους. τοῦτο λέγει δὲ καὶ ὁ Ἱπποκράτης, ὅτι διὰ τοὺς τόνους.

Προσξυμβάλλεται δὲ ἐνίοισι σὺν τῇ νόσῳ καὶ τὰ σχήματα, ἐφ᾽ ὁποῖα ἂν ἐθισθέωσι κεκλίσθαι.

Τὸ μέντοι τῷ συρρεῖν μᾶλλον ὡς ὅτι τὸ ταπεινότερον. τὸ δέ τι καὶ τῷ θλίβεσθαι μᾶλλον, ἐφ᾽ ᾧ κατάκειταί τις, εἰς τὴν τοῦ κυφώματος γένεσιν ἡ συντέλεια γίνεται. πρώτη αἰτία καὶ κυριωτάτη τῶν φυμάτων, καὶ τῶν ἄλλων νοσημάτων ἡ φυσικὴ τοῦ μέρους εὐπάθεια. δέδεικται γὰρ εἰς τὰ τοιαῦτα μόρια συρρεῖν τὰ περιττά.

Ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι κατὰ πλεύμονα νοσήμασιν εἰρήσεται· ἐκεῖ γάρ εἰσιν αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι.

Πολλὰ καὶ ἄλλα κατὰ τὸ βιβλίον τοῦτο γράψαι ἐπηγγείλατο, μὴ σωζόμενα νῦν, ἃ τάχα μὲν οὐδ' ὅλως ἔγραψεν, ἢ οὐκ ἐσώθη καθάπερ καὶ ἄλλα πολλὰ τῶν παλαιῶν βιβλίων οὐκέτι σώζεται, περὶ ὧν τῆς ἀπωλείας πολλοῖς γέγραπται. περὶ δ' οὖν τῶν κατὰ πνεύμονα χρονίων, εἴρηται μὲν πολλὰ κἂν τῷ μείζονι περὶ παθῶν, οὗ καὶ ἡ ἀρχή, ἢν ἡ τοῦ πνεύμονος ἀρτηρία ἑλκωθῇ. εἴρηται δὲ κἂν τῷ πρώτῳ περὶ νούσων οὐκ ὀρθῶς ἐπιγεγραμμένῳ, οὗ ἡ ἀρχή, ὃς ἂν περὶ ἰήσεως ἐθέλῃ ἐρωτᾶν ὀρθῶς, καὶ ἐπερωτώμενος ἀποκρίνεσθαι. ἀλλ' οὐδ' ἐν ἑτέρῳ τούτων ἃ νῦν ἐπηγγείλατο τελέως διώρισται.

Ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη, ὥστε ἐξιθυνθῆναι.

Ἄχρι νῦν ἔγραψε περὶ τῆς ἄνευ τῆς ἔξωθεν αἰτίας διαστρεφομένης ῥάχεως. ὅσα δὲ ἀπὸ τῆσδε τῆς ῥήσεως ἐφεξῆς γέγραπται, πάντα περὶ τῶν ἐκ καταπτώσεως, ἢ τινος πληγῆς βλαπτομένων τοὺς σφονδύλους εἴρηται, καὶ ἔστι τὰ πλεῖστα σαφῆ, πλὴν εἴ που δέοι παραλελειμμένην αἰτίαν προσθεῖναι, καθάπερ καὶ νῦν τὰ ὀλίγα κατὰ τὴν ῥάχιν παραρθρημάτων ἐπανορθοῦται. καίτοι τοῦτο νῦν δυνάμενος, τὴν αἰτίαν ἐν τοῖς ἐφεξῆς αὐτὸς ἐνδείκνυται, γιγγλυμοειδῶς ἐπεὶ οὖν τοὺς σφονδύλους συγκεῖσθαι, ὅταν εἷς τις ἐξ αὐτῶν καθ' ὁντινοῦν τρόπον ἐκπίπτῃ εἰς τὴν τῆς διαρθρώσεως, χαλεπώτατόν ἐστιν ἐμβιβάσαι. πολλῶν μὲν ἀποφύσεων οὐσῶν, πολλῶν δὲ κοιλοτήτων ἐν ἑκάστῳ. ταῦτα γὰρ καὶ δι' αὐτῆς τῆς ὄψεως ἐπὶ τῶν ὀστῶν ἐμάθετε.

Τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατασείσιες οὐδένα ἀπεξίθυναν, ὧν γε ἐγὼ οἶδα. χρέονται δὲ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὗτοι οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον. τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν, ἢ ῥιπτούμενον, ἢ ὅσα τοῖσι τοιούτοισιν ἔοικε, καὶ ταῦτα κληΐζουσιν ἀεί, καὶ οὐκέτι αὐτοῖσι μέλει, ὁκοῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακόν, εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες, σκαιοί εἰσιν, οὓς ἐγώ γε ἔγνων. τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον. καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα, καὶ τοῦτο καὶ ἄλλο πᾶν ὅ,τι μηχάνημα κατὰ φύσιν ἐπενοήθη. οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας κατασείσειε, κἂν ἐξιθυνθῆναι ἔνια. αὐτὸς μέντοι κατῃσχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω, διὰ τοῦτο ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τοιοῦτοι τρόποι.

Ἐπειδὴ προηγεῖσθαι χρὴ πάσης ἐμβολῆς ἄρθρων ἀντιτάσεις, ὡς ἐδείξαμεν, ἐστὶν ἀναγκαῖον κἀπὶ τῶν ὀστῶν, οὕτω κἀπὶ τῶν κατὰ ῥάχιν ὡσαύτως πράττειν. ὅπως μὲν οὖν ἀντιτείνειν ὠφελίμως χρή, μετὰ τόδε διδάξει. νυνὶ δὲ διαλέγεται περὶ τῶν κακῶς γιγνομένων κατατάσεων, ἔθος ὂν αὐτῷ ποιεῖν οὕτως, ὡς ἤδη δέδεικται διὰ τῶν ἔμπροσθεν. δεῖ γὰρ ἐλέγχειν πρότερον ὅσα κακῶς ποιοῦσιν ἔνιοι τῶν ἰατρῶν, εἶθ' οὕτως διδάσκειν τὰ βελτίω. καταπαύων οὖν πολλῶν διὰ κλίμακος τὰ κατὰ ῥάχιν παραρθρήματα, μάλιστα μέν φησι μηδ' ἀνύειν ἐπὶ τὴν ἐπίνοιαν ταύτην. εἰ δ' ἄρα βούλοιτό τις χρῆσθαι, διδάσκει τρόπους οἷς χρῷτο ἄν τις κάλλιστα. πρόκειται γὰρ ἐν τῇ κατατάσει, τὴν μὲν ἄνω τάσιν τῆς ῥάχεως ἐργάσασθαι διὰ τῶν δεσμῶν, οὓς περιβάλλομεν πλησίον τοῦ πεπονθότος μέρους, τὴν δὲ κάτω, διὰ τοῦ βάρους τοῦ σώματος. πρὸς τοῦτον οὖν ἀποβλέπων τὸν σκοπόν, ἀκολουθήσεις τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἐφεξῆς. ἔστι γὰρ τὰ πλεῖστα σαφῆ.

Ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γίνεται, ἧσσον εἰκὸς ὠφελέειν τὰς κατατάσιας ταύτας τὰς ἐπὶ κεφαλήν. μικρὸν γὰρ τὸ βάρος ἡ κεφαλή, καὶ τὰ ἀκρώμια καταρρέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ τοὺς πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι. μείζων γὰρ οὕτως ἡ καταρροπίη ἐπὶ τὰ τοιαῦτα. ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισιν εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. εἰ οὖν τις ἐθέλοι κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν κλίμακα χρὴ σκυτίνοισιν ὑποκεφαλαίοισιν πλαγίοισιν, ἢ ἐρινεοῖσι καταστρῶσαι εὖ προσδεδεμένοισιν ὀλίγῳ πλέον, καὶ ἐπὶ μῆκος καὶ ἔνθεν καὶ ἔνθεν, ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατέχοι.

Ἐπειδὴ πάσχει ἡ ῥάχις, ἤτοι πλησίον τῆς ἄνωθεν ἀρχῆς, ἢ τῇ κάτω τελευτῇ, ἢ κατά τι τῶν μεταξύ, περὶ πρώτης λόγον ποιεῖται βλάβης τῆς ἐγγὺς τοῦ τραχήλου γιγνομένης. ἐπὶ ταύτης οὖν εἴ τις ἐπὶ κλίμακος τὸν πεπονθότα κρεμάσειεν ἐκ τῶν ποδῶν, ὡς εἰώθεσαν ἔνιοι τῶν κατ' αὐτὸν ἰατρῶν ποιεῖν, οὐκ ἂν εἰς τὸ κάτω γένοιτο τάσις ἀξιόλογος, ὡς ἂν μικροῦ βάρους ὄντος τοῦ κατὰ τὸν αὐχένα καὶ τὴν κεφαλήν. εἰ δὲ κάτω τὸ πάθος εἴη πλησίον τοῦ ἱεροῦ ὀστοῦ, μάλιστα ἐλπίσειέ τις ἀνεῖσθαι τὴν κατάτασιν, ἐξ οὗ γραφή τις ἂν ἴσως κάλλιστα.

Ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρή, κἄπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ διαβεβῶτα, ἐν δεσμῷ

εὐόχῳ

εὐόχῳ μὲν μαλθακῷ δέ. προσδῆσαι δὲ κατωτέρω ἑκατέρου τῶν γουνάτων, καὶ ἀνωτέρω, προσδῆσαι δὲ καὶ κατὰ τὰ ἰσχία. κατὰ δὲ τοὺς κενεῶνας, καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιβαλλέειν οὕτως, ὅκως μὴ κωλύωσι τὴν κατάσεισιν. τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείναντα προσκαταβαλεῖν πρὸς αὐτὸ τὸ σῶμα, καὶ μὴ πρὸς τὴν κλίμακα.

Σαφῶς διερχόμενος ἅπαντα. εὔοχον καλεῖ δεσμὸν τὸν εὐοχοῦντα, τουτέστιν ἀσφαλῶς τε ἅμα καὶ ἀθλίπτως.

Ὅταν δὲ κατασκευάσῃς οὕτως, ἀνελκύειν τὴν κλίμακα, καὶ πρὸς τύρσιν τινὰ ὑψηλὴν, ἢ πρὸς αἔτωμα οἴκου.

Τύρσιν μὲν τὸν πύργον ἀκούειν χρὴ, οἴκου δὲ αἔτωμα, τὸ ὑψηλότατον μέρος. οὕτω γὰρ ὀνομάζουσι τὰς εἰς ὕψος ἀνατάσεις τῆς ὀροφῆς τριγωνοειδεῖς. εἰ μὲν γὰρ ἡλιαστήριον ποιήσει τις, ἀντὶ κεράμου ποιήσει τὴν ὀροφὴν ἐν ἐπιπέδῳ, οὐκ ἀλέα ἔχουσαν ἐργάσεται. κέραμον δὲ ἐπιτιθεὶς, εὐαπόρρυτον αὐτῇ τὸ ὕδωρ τὸ ὄμβριον εἶναι βούλεται. κατὰ τοῦτ' οὖν ὑψηλὸν ἐργασάμενος τὸ μέσον τῆς ὀροφῆς, κατὰ τὸ μῆκος ἐκ τῶν ὄπισθεν πρὸς τὸ πρόσω τεταγμένον, οὕτως γὰρ ἐντεῦθεν ἐφ' ἑκατέραν τῶν πλαγίων τοίχων κατάγει τὴν ὀροφὴν ταπεινὸς μόνην, ὥσπερ τινὰς δὲ τὰς πτέρυγας καθιεμένας. οὕτως γὰρ ἐοίκασιν εἰκάσαντες οἱ παλαιοὶ καλέσαι τοῦτο τῆς οἰκίας τὸ μέρος, ἀετὸν δὲ καὶ οἶδε, καθάπερ καὶ ὁ Πίνδαρος φησὶν ἐν τοῖς πλέιασιν. χρυσαὶ αἱ δ' ὀξύμπεραι αἱ τοῦ ἀέτου κηληδόνες. καὶ Εὐριπίδης ἐν Ὑψιπύλῃ φησίν. ἰδοὺ πρὸς αἰθέρα ἐξαμιλλῆσαι κόρας γραπτοὺς οἴσι προσβλέπων τύπους. ὅτι δὲ καὶ ἡ τύρσις πύργον σημαίνει, μάρτυς ἀξιόπιστος καὶ ὁ Διοκλῆς ὁ καρύστιος, ταύτην τὴν νῦν εἰρημένην λέξιν παραφράζων ἐν τῷ περὶ ἐπιδέσμων βιβλίῳ, κατὰ τόνδε τὸν τρόπον ἔγραψεν. ἀνέλκειν δὲ τὴν κλίμακα πρὸς πύργον ὑψηλὸν, ἢ οἰκίας ἀετόν.

Τὸ δὲ χωρίον ἵνα οὗ κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνατείνοντας εὖ πεπαιδευμένους χρὴ εἶναι, ὅκως ὁμαλῶς, καὶ καλῶς, καὶ ἰσοῤῥόπως, καὶ ἐξαπιναίως ἀφήσωσι, καὶ μήτε ἡ κλίμαξ ἑτερόῤῥοπος εἰς γῆν ἀφίξεται, μήτε αὐτοὶ προπετέες ἔσονται.

Πρὸς ὑψηλόν τι τὴν ἀρχὴν τῆς κλίμακος ἀναλαβὼν ἔχουσαν ἐνδεδεμένον, ὡς εἴρηκε, τὸν ἄνθρωπον, ἀφίησιν ἀθρόον ἐπ' ἐδάφους, ἵνα προσπεσούσης τῆς διαχυθείσης σφοδρῶς, ἡ ῥάχις εἰς τὴν κατὰ φύσιν χώραν ἐμβιβάσῃ τὸν παρηθρηκότα σφόνδυλον. εὔλογον οὖν ἐν τούτῳ τῷ ἔργῳ σκληρὸν εἶναι, καὶ ἀντίτυπόν τι ἔδαφος. εἰ γὰρ οὕτως εἴη μαλακὸν, ὡς εἰκὸς ἐκλύει τὴν διάσεισιν τῆς ῥάχεως, οὐδὲν ἂν γένοιτο πλέον.

Ἀπὸ μέντοι τύρσιος ἀφιεὶς, ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος, ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ χαλώμενα εἶναι ὅπλα, ἢ ἀπὸ ὄνου. ἀηδὲς μὴν καὶ μακρηγορεῖν περὶ τούτων. ὅμως δὲ ἐκ τουτέων ἂν τῶν κατασκευῶν, μάλιστα ἄν τις κατασεισθείη. εἰ μέντοι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ κατασείειν πάντως, ἐπὶ πόδας λυσιτελεῖ, ὥσπερ ἤδη εἴρηται. πλείων γὰρ οὕτω γίνεται ἡ καταῤῥοπίη ἐπὶ ταῦτα.

Ἐπειδὴ τὴν κλίμακα πρὸς ὑψηλόν τι χωρίον ἀνατεθεῖσαν, ἀφεῖσθαι χρὴ κατὰ τῆς γῆς, ἐξαίφνης τε καὶ ὁμαλῶς καὶ ἰσοῤῥόπως, ἄμεινον εἶναι φησὶ τοὺς δεσμοὺς αὐτῆς περὶ τροχιλίας ἑλίττεσθαι. καὶ γὰρ εὔδρομον τὴν κίνησιν οὕτως ἐργασόμεθα, καὶ ὁμαλὴν, καὶ ἰσόῤῥοπον. ἔμπροσθεν τύρσεως, καὶ ἀετώματος οἴκου μνημονεύσας μόνον, νῦν καὶ ἱστὸν προσέθηκε διπλοῦν, ὃ δῆλον ὅτι τὸ μέγιστόν τε καὶ ὄρθιον ξύλον, ὡς κατὰ τὸ ἄνω πέρας ἐπιτίθεται, ἄλλο δὲ ξύλον θέσιν ἐγκαρσίαν ἔχον ὡς πρὸς τὸν ἱστὸν, ἐξ οὗ ξύλου τὸ ἱστίον ἐξήπτεται. διαφορεῖ γὰρ ἱστίον εἰπεῖν ἐν ταῖς τρισὶ συλλαβαῖς, ἢ ἱστὸν ἐν δυοῖν. ἱστὸς μὲν γὰρ ὡς εἶπον ὀνομάζεται τὸ κατὰ τῆς νηὸς ἐμπεπηγὸς ὀρθὸς ξύλον, ἱστίον δὲ ἡ φυσωμένη πρὸς τῶν ἀνέμων ὀθόνη. τοὺς δὲ κατὰ τὴν ἄνω τελευτὴν τοῦ ἱστοῦ κοίλους ὀνομάζουσι καρχησίους. ὅστ' ἂν οὖν ἱστῷ μέλλῃ χρῆσθαι πρὸς τὸ κρεμάσαι τὴν κλίμακα, διὰ τροχιλίας τε καὶ καρχησίων ἐργάζεσθαι τοῦτο. χεῖρον δ' οὐδὲν εἶναι φησὶ, καὶ ὀνίσκους εἰς τὰ τοιαῦτα χρῆσθαι. καλεῖ δ' οὕτως δηλονότι τοὺς ἄξονας.

Ἑρμῆσαι μὲν χρὴ κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς, κατὰ δὲ τὸν αὐχένα, ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα, καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα, τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι, μὴ πρὸς τὴν κλίμακα. τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι χρὴ, πλὴν ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα, ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι.

Λέλεκταί μοι καὶ πρόσθεν ἕρματα τὰ ἐρείσματα, καὶ ἑρμάσαι τὸ ἐρεῖσαι, καὶ τοῦτ' εἶναι, καὶ τὸ παρὰ τῷ ποιητῇ γεγραμμένον ὑπὸ δ' ἤρεον ἕρματα νηῶν.

Ὅκως δὲ μὴ κωλύωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν, σκοπέειν τάδε. σκέλεα πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθω, πρὸς ἄλληλα δὲ ὡς κατὰ τὴν ῥάχιν, ἰθύῤῥοπα ἔῃ,

ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι, ἐν κλίμακι κατασεισθῆναι. αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχνῃ, καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον, καὶ πολλὴν ὄψιν, καὶ πολὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι.

Ἐὰν μὲν μηδ' ὅλως ὁ κατασειόμενος ἑρμασθῇ τὸ σῶμα, πρὸς τὴν κλίμακα δεθεὶς μόνον ἐκ τῶν ἄνω μερῶν, ἐκκυλισθήσεται ῥᾳδίως εἰς τὰ πλάγια μέρη. καταδεθεὶς δὲ αὖ πάλιν ἰσχυρῶς, ὡς ἀκίνητος εἶναι πρὸς τῆς κατασείσεως οὐδὲν ὀνήσεται. χρῆται γὰρ ἀμφοτέρων στοχαζόμενος οὕτω δεσμεῖν αὐτόν, ὡς μήτε ἀκίνητον εἶναι κατασειόμενον ὑπὸ τῆς τῶν δεσμῶν ἀσφαλείας σφιγγόμενον, ἀλλὰ μήτε χαλαρὸν οὕτως ἐπικεῖσθαι, ὡς κυλισθήσεται εἰς τὰ πλάγια. κατεγνωκὼς δὲ τῆς τοιαύτης ἀντιτάσεως ὁ Ἱπποκράτης, ὅμως ἔγραψεν ὡς ἂν κάλλιστα σκευάσειεν αὐτήν, ἐπειδὴ τοὺς χρωμένους ἑώρα μηδ' ὅλως κάλλιστα ποιεῖν τὸ ἔργον ἐπισταμένους, ἀλλὰ καὶ ὡς εἶπεν, οὐδὲν γάρ μοι ἀμεμπτότερον εἴ τις καλῶς σκευάσας κατασείσειε, κἂν ἐξῆς συμβῆναι ἔνια.

Χρὴ δὲ πρῶτον μὲν γινώσκειν τὴν φύσιν τοῦ ῥάχιος οἵη τίς ἐστιν. ἐς πολλὰ γὰρ νοσήματα προσδέοι ἂν αὐτῆς.

Ἐπισημαίνεσθαι βούλομαι κἂν ἅπαξ τοῦ καὶ ἀναμνῆσαι τῶν εἰρημένων τέ μοι κατὰ τὸ πρῶτον εὐθέως βιβλίον περὶ τῆς Ἱπποκράτους ἀνατομῆς, ἐν ᾧ γνώσῃ τὴν ἀναισχυντίαν τῶν ἐμπειρικῶν ἰατρῶν τολμησάντων Ἱπποκράτην καλεῖν ἐμπειρικόν. ἐμπειρικώτατος μὲν γὰρ ἦν ἁπάντων τῶν κατὰ ἰατρικὴν τέχνην, καὶ μάλιστα τῇ πείρᾳ προσέχων τὸν νοῦν, καὶ πάντα ταύτῃ δοκιμάζων, ἵνα δ' ὅλως ἀφίκηται πολλαῖς ἐπινοίαις χρώμενος λογικαῖς, ἀνατομήν τε μάλιστα σπουδάζων, ὡς ὠφελοῦσαν ἱκανῶς τὴν τέχνην, ὅπερ καὶ νῦν ἐδήλωσε σαφῶς, τὴν φύσιν τῆς ῥάχεως ἀξιῶν γινώσκειν, ἣν ἄχρηστον φασὶν οἱ ἐμπειρικοί, καθάπερ καὶ τῶν ἄλλων ἁπάντων μορίων.

Τοῦτο μὲν γὰρ τὸ πρὸς τὴν κοιλίην ῥέπον, οἱ σφόνδυλοι ἐντὸς ἄρτιοί εἰσιν ἀλλήλοισι.

Τῶν σφονδύλων τὸ μὲν ὀπίσω μέρος ἀπόφυσιν ὀξεῖαν ἔχει χονδρώδη ἐπὶ τὸ πέρας, ἣν ὀνομάζουσιν ἄκανθαν, τὸ δ' ἀντικείμενον τούτῳ τὸ πρόσω τε καὶ ἐντός, ἑκάτερον μὲν γὰρ ὀνομάζεται, χόνδρῳ μὲν ἐπαλείφεται καὶ αὐτό. περιφερὲς δέ ἐστι καὶ λεῖον, οὐδεμίαν ὀξεῖαν ἀπόφυσιν ἔχον, οὐδ' ὅλως ἐξοχήν τινα βραχυτάτην, ὥσπερ ὀπίσω τε καὶ τῶν πλαγίων ἔχει. ὁποῖαι μὲν οὖν εἰσιν ἑκάστου τῶν σφονδύλων αἱ ἀποφύσεις, ἐπί τε τῶν σκελετῶν.
εἶπεν εἰρημένον νῦν περὶ τῶν σφονδύλων οὓς ἐπὶ τὰ ἔνδον μέρη κέκληκεν ἀρτίους, τουτέστιν ἀπηρτισμένους αὐτῶν τε καθ' ἑαυτὸν ἕκαστον, ἔν τε τῇ πρὸς ἀλλήλους ὁμιλίᾳ, διότι γὰρ οὔτε ἐξοχή τις αὐτοῖς ἐστιν ἐνταῦθα, καὶ κατὰ πᾶν ἀλλήλοις ἐφαρμόττουσιν, ἀρτίους αὐτοὺς ὠνόμασεν εἶναι πρὸς ἀλλήλους, οἷον ἀπηρτισμένους ὁμιλοῦντας.

Καὶ δέδενται πρὸς ἀλλήλους δεσμῷ μυξώδει, καὶ νευρώδει ἀπὸ χόνδρων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον.

Ἀκριβῶς πάνυ διηγήσατο τὴν φύσιν τῆς συμβολῆς τῶν σφονδύλων. οὐ γὰρ διὰ παντὸς καθάπερ ᾠήθησάν τινες ἑνοῦνται καὶ συμφύονται κατὰ τὴν ἔνδον χώραν, οὕτω γὰρ ἂν ταῖς ἐπὶ πλέον ἀνακλάσεσι πρὸς τοὐπίσω τῆς ῥάχεως, ἤτοι τελέως ἀντέλεγον, ἢ διεσπῶντο. νυνὶ δὲ οὐ γὰρ συμπεφύκασιν, ἀλλ' ὡς ἔχει, δεσμῷ δέδενται μυξώδει καὶ νευρώδει, διὰ τοῦτο κίνησιν τινὰ βραχεῖαν ἔχουσι καὶ ἐπὶ τοῦτο τὸ μέρος, οὐκ ἂν ἔχοντες εἰ συναποπεφύκεσαν, οὔτε δεσμὸς αὐτῶν ἐξήκει μέχρι τοῦ νωτιαίου. περίκειται γὰρ ἐν κύκλῳ τούτῳ μετὰ τὴν παχεῖαν μήνιγγα. πρώτης μὲν οὖν αὐτῶν περιειληφυίας τῆς δέσεως ὥσπερ καὶ τὸν ἐγκέφαλον, ἐφ' ὃν δὲ παχείας εἶπεν ἔξωθεν τοῦ προειρημένου δεσμοῦ. περιττότερον γὰρ τοῦτο τῷ νωτιαίῳ παρὰ τὸν ἐγκέφαλον ὑπάρχειν σκέπασμα προβλήματος, ὅπως μὴ πονήσῃ προσκόπτων τοῖς ὀστοῖς τῶν σφονδύλων, ἐν τῇ κινήσει τῶν ὀστῶν τῆς ῥάχεως. αὐτοῖς δὲ τοῖς σφονδύλοις ὁ σύνδεσμος μυξώδης ἐγένετο, τουτέστι γλίσχρος, καὶ οἷον φλεγματώδης, ἕνεκα τοῦ καὶ τὴν κίνησιν ἑτοιμοτέραν εἶναι τοῖς σφονδύλοις, καὶ αὐτὸν τὸν σύνδεσμον ἀπαθέστερον. ἀπορρήγνυνται γὰρ ἐν ταῖς κινήσεσι τὰ ξηρὰ καὶ τὰ ἄνικμα. διὰ τοῦτο καὶ τοὺς ἱμάντας ἀλείφουσιν οἱ ἐπὶ τῶν ὀχημάτων τε καὶ αὐτῶν τῶν ὑποζυγίων χρῶνται. καίτοι τὸν αὐτὸν τοῦτον τὸν μυξώδη χυμὸν, ἐν ἅπασι τοῖς ἄρθροις εὑρεῖν ἐστι, διὰ τὴν αὐτὴν αἰτίαν.

Ἄλλοι δέ τινές εἰσι τόνοι νευρώδεες, διαντέοι, πρόσφυτοι, παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν.

Διαντέους μὲν ἀκούειν χρὴ τοὺς ἄνωθεν κάτω διήκοντας ἐπὶ πολὺ μακρούς. οὐ μὴν ἔχω γε γράφειν διατί νευρώδεις εἶπε τοὺς παρατεταμένους τόνους τῶν σφονδύλων. οὐ γὰρ νευρώδεις [εἰσὶν] ἐχρῆν εἰπεῖν, ἀλλὰ νεῦρα, πλὴν τοὺς ἰσχυροὺς νευρώδεις ὠνόμασε. παρατέτανται δὲ νεῦρα σαφῶς μὲν ἑκάστῳ σφονδύλῳ καθ' ὅλον τὸν θώρακα, περὶ ὧν ἄνωθεν γενέσεως ἐν ταῖς ἀνατομαῖς ἐθεάσασθε δεικνύντος μου, κατὰ μὲν τὸν τράχηλόν τε καὶ τὴν ὀσφὺν ἐπίκεινται μύες τοῖς σφονδύλοις καθ' ὧν φέρονται τὰ νεῦρα.

Αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι, ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε καὶ οἷαι, καὶ ὅθεν ὡρμημέναι, καὶ ἐν οἵοισιν οἷα δύνανται.

Καὶ περὶ τούτων ἐμάθετε ἐπὶ τὰς ἀνατομάς, ἀλλὰ καὶ δι' ὑπομνημάτων ἔχετε φλεβῶν μὲν καὶ ἀρτηριῶν ἀνατομὴν γεγραμμένην, ὥσπερ γε καὶ νεύρων. ἀκριβέστερον δὲ κατὰ τὴν τῶν ἀνατομικῶν ἐγχειρήσεων πραγματείαν. οὔκουν χρὴ μηκύνειν ἔτι περὶ αὐτῶν γράφοντα ἐνταυθοῖ, μηδ' αὐτοῦ τοῦ Ἱπποκράτους ἐθελήσαντος ἅπασαν αὐτῶν τὴν φύσιν διελθεῖν ἐπὶ τοῦτο τὸ βιβλίον, ἀλλ' ἀναβαλλομένου καθάπερ καὶ ἄλλα πολλά. σώζεται δὲ οὐ κατὰ τὰ προκείμενα νῦν ἐν τῷ λόγῳ χρεία φλεβῶν καὶ ἀρτηριῶν συγγραφή. ἐπὶ δὲ τῶν παρατεταμένων τοῖς σφονδύλοις μερῶν,

ὑπο-

ὑπομνηματικῶς ἢ συγγραφικῶς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὑπ' αὐτοῦ λέλεκται, παραπλησίως τοῖς ἄλλοις ὅσα κατ' ἐκεῖνο τὸ βιβλίον ἐδείξαμεν ὑπομνήματά τινα τοῦ Ἱπποκράτους, οὐ συγγράμματα. μόνον γὰρ τὸ πρῶτον καὶ τρίτον τῶν ἐπιδημιῶν, ὡς πρὸς ἔκδοσιν πρὸς αὐτοῦ γέγραπται.

Αὐτὸς δὲ ὁ νωτιαῖος οἷσιν ἐλλύτρωται ἐλλύτροισι, καὶ ὅθεν ὡρμημένοισι, καὶ ὅπη κραίνουσι, καὶ οἷσι κοινωνέουσι, καὶ οἷα δυναμένοισιν.

Τὰ σκεπάσματά τε καὶ περιβλήματα τινῶν ἔλυτρα καλοῦσιν οἱ παλαιοί, διὰ τοῦτ' οὖν καὶ νῦν ὁ Ἱπποκράτης ἔλυτρα τοῦ νωτιαίου κέκληκε τὰ πρὸ βραχέος εἰρημένα μοι. δύο μὲν οὖν ἔνδοθεν ἦν ἅπαντα, ἔξωθεν δὲ τὰ κοινὰ τῶν σφονδύλων δεσμά. ὁρμῶνται δὲ αἱ μὲν μήνιγγες ἀπὸ τῶν τὸν ἐγκέφαλον περιεχουσῶν. ὁ δὲ ἔξωθεν αὐτὰς περιλαμβάνων τρίτος χιτὼν ἀπὸ τοῦ τῆς κεφαλῆς ὀστοῦ, καθ' ὃ διαρθροῦται πρὸς τὸν πρῶτον σφόνδυλον. τελευτῶσι δέ τοι οὗτοι δεσμοί, καθάπερ καὶ αὐτὸς ὁ νωτιαῖος, ἄχρι τοῦ ἐπὶ τὴν ῥάχιν πέρατος. ὠνόμασε δὲ αὐτὸς ὁ Ἱπποκράτης τὸ τελευτῶσιν ὁμοίως τῷ ποιητῇ Ἀριστοφάνει, εἴπερ δὴ καρνέως καὶ τετελεσμένον ἔσται. οἷα δὲ δύνανται, λέλεκται μὲν ἀκριβῶς ἤδη αὐτὰ ἐπὶ τὰς ἀνατομικὰς πραγματείας ἅμα ταῖς οἰκείαις, ἐξ ἐκείνων ἐστὶ μάλιστα καὶ ἡ περὶ χρείας μορίων. ἀρκεῖ δὲ νῦν εἰπεῖν τὰς μὲν περικειμένας τῷ νωτιαίῳ μήνιγγας τὴν αὐτὴν παρέχειν χρείαν, ἥνπερ καὶ τῷ ἐγκεφάλῳ, ἡ δ' ἐν ἐκείνῳ φρουρὰ μέν τις αὐτοῦ πρὸς τὸ μηδὲν πάσχειν ὑπὸ τῶν περικειμένων ὀστῶν ἡ παχεῖα. σύνδεσμος δὲ τούτων καὶ ἄλλο σύμφυτόν τι δέρμα, καὶ σκέπασμα τοῦ ἐγκεφάλου ἡ λεπτή, περὶ ὧν τοῦ τρίτου χιτῶνος ἐν τῷ νωτιαίῳ μικρὸν ἔμπροσθεν εἴρηται.

Ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γεγιγγλύμωνται πρὸς ἀλλήλους οἱ σφόνδυλοι.

Τὴν φύσιν τῆς ῥάχεως διηγεῖσθαι προθέμενος, εἶτ' ἀρξάμενος ἀπὸ τῶν ἔνδον μερῶν αὐτῆς ἐν οἷς ἀφήπτονται μὲν οἱ σφόνδυλοι, τὸ πρὸς τὴν κοιλίαν ῥέπον ἐν τοῖς ἀρτίοις οὖσιν ἀλλήλοισιν. εἰκότως νῦν εἶπεν, ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γεγιγγλύμωνται. τὸ γὰρ ἐπέκεινα τῶν προειρημένων μερῶν ἐπὶ τὴν ὀπίσω χώραν ἔσται ἔνθα φησίν, αὐτὰ γεγιγγλύμωνται. συνδεῖσθαι δὲ ὀπίσω φησὶν σύνδεσμον εἰρημένον περὶ τῆς συνδέσεως τῶν σφονδύλων, οὐ μόνον τὸν κατὰ τὴν ἄκανθαν ὅσπερ ἐστὶν ἀκριβῶς ὀπίσω τὸ μέγεθος τῆς ἐνταῦθα χώρας κατειληφὼς αὐτόν, οὗ πάλιν ἑκατέρωθεν εἰσὶν αἱ διαρθρώσεις τῶν σφονδύλων. εἰ μὲν ὡς πρὸς τὴν ἄκανθαν ἐξετάζοι τις, ἐπὶ τὰ πλάγια μέρη τῆς ῥάχεως. εἰ δ' ὡς πρὸς τὴν ὀπίσω παραβάλλουσαν χώραν, ἣν διηγήσαντο καθ' ἣν οἱ σφόνδυλοι δέδενται πρὸς ἀλλήλους ὀπίσω γινόμενοι. γεγιγγλυμῶσθαι δ' εἶπε τοὺς σφονδύλους πρὸς ἀλλήλους, ἐπειδὴ τέτταρας ἀποφύσεις ἔχοντες εἰς διαρθροῦνται. ταῖς δύο μὲν γὰρ ὑποδέχονται τὰς ἐξοχὰς τοῦ πλησιάζοντος σφονδύλου, ταῖς δύο δὲ ἐπιβαίνουσι ἐπὶ θάτερα, παραπλήσια δέ πως ἐστί, καὶ ἡ τῶν γιγγλυσμῶν παρασκευή.

Τόνοι δὲ κοινοὶ παρὰ πάντας, καὶ ἐν τοῖσιν ἔξω μέρεσι, καὶ ἐν τοῖσιν εἴσω παρατέτανται.

Τὰ ἀντικείμενα μέρη τῶν σφονδύλων τῇ συνδέσει, ὀπίσω τε καὶ ἔξω καλεῖν ἐγχωρεῖ, καθάπερ γε καὶ αὐτὰ τὰ κατὰ τὴν σύνδεσιν, ἔνδον τε καὶ πρόσω. ἀλλὰ τόνους γε κατὰ τὴν ὀπίσω χώραν οὐκ ἂν εὕροις παρατεταμένους, εἴγε τόνοι ὀνομάζονται τὰ προαιρετικὰ νεῦρα. κατὰ γὰρ τὰς συμβολὰς τῶν σφονδύλων ἐστὶ τὸ τρῆμα, δι' οὗ τῶν ἀπὸ νωτιαίου νεύρων ἕκαστον αὐτίκα σχίζεται, καὶ τῶν μερῶν αὐτοῦ τὸ μὲν εἰς τὴν πρόσω χώραν ἀφικνεῖται, τὸ δὲ εἰς τὴν ὀπίσω διανεμόμενος εἰς τοὺς ἐπικειμένους ἐνταῦθα μῦς οὓς ῥαχίτας ὀνομάζουσιν.

Ἀπόφυσίς τέ ἐστιν ὀστέου ἐς τὸ ἔξω μέρος ἀπὸ πάντων τῶν σφονδύλων, μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων, ἀπό τε τῶν ἐλασσόνων. ἐπὶ δὲ τῇσιν ἀποφύσεσιν ταύτῃσι χονδρείων ἐπιφύσιες, καὶ ἀπ' ἐκείνων νεύρων ἀποβλάστησις ἠδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισι.

Εἰς μέσην εἰς τὴν ὀπίσω χώραν τῆς ῥάχεως ἀπόφυσις ἑκάστου τῶν σφονδύλων ἀνατείνεται συμβεῖσα τὴν ὅλην ἄκανθαν. ἐπὶ τῷ πέρατι δὲ καὶ τῆς ἀποφύσεως χόνδρος ἐπίκειται νεύρων ἀποβλαστήσεις ἔχων συνδετικάς. ἠδελφισμένη φησὶ τοῖς τόνοις, ὅπερ ἤτοι τῶν ὁμοιουμένων εἰς ταυτὸ ἰόντων καὶ ἀναμιγνυμένων ἑκάτερον γοῦν αὐτῶν ἀληθές ἐστιν.

Πλευραὶ δὲ προσπεφύκασιν ἐς τὸ εἴσω μέρος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον, ἢ ἐς τὸ ἔξω, καθ' ἕνα δὲ ἕκαστον τῶν σφονδύλων προσήρθρωται.

Τὰ τοῦ θώρακος ὀστᾶ διήκοντα ἐπὶ θέσιν ἐγκαρσίαν, ἀτρέμα λοξῶς κατὰ τῆς ῥάχεως ἐπὶ τὸ στέρνον ὠνόμαζον πλευράς, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν ἅπαντες ἰατροί. ταύτας οὖν φησι προσηρθρῶσθαι τοῖς σφονδύλοις, οὐδὲν διαφέρον εἰ καὶ διηρθρῶσθαι φαίης, ὅπερ ἐστὶ συνηθέστερον ὄνομα τοῖς ἰατροῖς τοῖς νεωτέροις, οὕτως ὀνομαζόντων αὐτῶν τὰς συμβολὰς τῶν ὀστῶν, ὡς ἐκείνοις αἰσθητικήν τινα ἀξιόλογον ἔχουσι. κεφαλάς τε τῶν πλευρῶν εἴρηκε τὰ πέρατα, δι' ὧν τοῖς σφονδύλοις διαρθροῦνται κατὰ τὰς ῥίζας τῶν πλαγίων ἐν ἑαυτοῖς ἀποφύσεων. ἀκριβῶς δὲ εἶπεν ἔσω ῥέπειν αὐτὰς μᾶλλον, ἴστε γὰρ οὕτως ἔχειν. ἀλλὰ καὶ ὅτι διαφυής πως ἐστὶν αὐτῶν ἡ διάρθρωσις ἐθεασάμεθα, παραλελοιπότος τοῦ Ἱπποκράτους, ἢ τὸ παρελθεῖν οὐκ ἀκριβῶς θεασαμένου τὴν ὅλην φύσιν τῆς διαρθρώσεως, ἢ τῷ μὴ νομισθῆναι τὴν τοιαύτην λεπτολογίαν οἰκείαν εἶναι τῇ προκειμένῃ πραγματείᾳ.

Καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσὶ ῥαιβοειδέα τρόπον.

Ἁπάντων τῶν ζώων ἄνθρωπος καμπυλωτάτας ἔχει πλευράς, ὅτι καὶ τὸ στέρνον ἁπάντων πλατύτατον. τῶν μὲν γὰρ ἄλλων ζώων, τὸ μὲν μᾶλλον ἐστί, τὸ δ' ἧττον ὀξύστερνον. πλατυστερνότατος δ' ἄνθρωπος, εἶθ' ἑξῆς πίθηκος, ἁπάντων μὲν τῶν ἄλλων ζώων μᾶλλον, ἧττον δ' ἀνθρώπου. ἔστι δὲ κοινὸν ἅπασι μὲν ζώοις ὅσα θώρακα ἔχει, τὸ τὰς πλευράς, ἐκ μὲν τῶν ἔξω μερῶν ἔνθα καὶ ψαύομεν αὐτῶν κυρτάς, ἐκ δὲ τῶν ἀντικειμένων τῶν ἔνδον εἶναι κοίλας. εἰς γὰρ τὴν γένεσιν τῆς τοῦ θώρακος εὐρυχωρίας, ἀναγκαῖον ἦν τοῖς ἀνθρώποις, ἐπειδὴ ἐπὶ τὸ στέρνον εὐθύνεσθαι τὰς πλευ-

ρὰς ἐστὶ, τὸ μετὰ τὸν τράχηλον ἱκανῶς ἐκάμφθη, δεομένων δὲ αὐτῶν περὶ τοὺς τῆς ῥάχεως ἀφικέσθαι σφονδύλους. τὸ μὲν γὰρ ἑρμηνευόμενον ὑπ' αὐτοῦ πρᾶγμα, σαφὲς ἡμῖν γέγονεν, ἔκ τε τοῦ καμπυλωτάτας εἰπεῖν εἶναι τὰς πλευρὰς, κἀκ τούτου γιγνώσκεσθαι ἀφ' οὗ ὅμοιαι κατὰ τὸ σχῆμά εἰσιν. ἀπολείπεται δὲ ἡ ζήτησις οὐκ ἐν τῇ πραγματείᾳ, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν, ἀλλ' ἐν ὀνόματι, χρησαμένου τοῦ Ἱπποκράτους τῇ ῥοιβδοειδέα φωνῇ σαφηνείας μὲν ἕνεκεν, ἤ τις παράδειγμα λέλεκται πρὸς αὐτόν. μείζονα δ' ἀσάφειαν ἐργαζομένην αὐτοῦ τοῦ γιγνωσκομένου πράγματος, ἢ τῆς σαφηνείας ἕνεκα παράδειγμά τι ὤφθη. τότε μὲν οὖν ἴσως ἦν ἡ φωνὴ συνήθης, ἢ οὐκ ἂν εἰρήκει ῥοιβδοειδέα τρόπον. ἐν δὲ τῷ μετὰ ταῦτα χρόνῳ αὐτῆς ἐκβληθείσης, εἰς ἀσάφειαν ἥκει. τὸ μὲν γὰρ διὰ τοῦ κ λεγόμενον ῥοικοειδέα, καὶ παρὰ Θεοκρίτῳ γεγραμμένον ἔνθα φησὶ, ῥοικὸν δέ κεν ἀγριελαίας δεξιτερᾷ κορύναν. καὶ παρ' Ἀρχιλόχῳ. ἀλλὰ μικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν, ῥοικὸς ἀσφαλέως βεβηκὼς ποσὶ καρδίης πλέως. καὶ περὶ Νικάνδρῳ. ἄλλοι δ' ῥοικοῖσιν ἰσήρεες αὖ τὰ παγούροις γυῖα βαρύνοντα. τὸ μέντοι διὰ τοῦ β ῥόβον οὐκ οἶδα, καίτοι τινὰ τῶν ἀντιγράφων διὰ τοῦ β γέγραπται, ἀλλ' ἐν τοῖς ἀξιοπιστοτέροις εὑρίσκεται τὸ κ.

Τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν σφονδύλων, ἀποπληρέουσιν ἑκατέρωθεν οἱ μύες, ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι ἄχρι τῶν φρενῶν τῆς προσφύσιος.

Οὐ πάνυ τι συμφωνεῖ τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς τῇ διανοίᾳ τῆς λέξεως. τὸ μὲν γὰρ φαινόμενον, ὧδ' ἔχει. κατὰ τὰς κεφαλὰς τῶν πλευρῶν αἱ εἰσαρθροῦνται εἰς τοὺς σφονδύλους μύες εἰσὶν, ὄπισθεν μὲν οἱ ῥαχῖται καλούμενοι, ἐπὶ τὸ μῆκος τῆς ῥάχεως ἐκτεταμένοι μέχρι τῆς τῶν σκελῶν ἀρχῆς. ἔμπροσθεν δὲ, κατὰ μῆκος οὐ δι' ὅλου τοῦ θώρακος ἐπικέκλινται μύες. ἐγκάρσιοι δὲ κεῖνται μεταξὺ τῶν πλευρῶν, οὓς μεσοπλευρίους ὀνομάζουσιν, ἔπειτα βαίνουσι πρὸς ὀλίγας τῶν πλευρῶν οἱ ὑποβεβλημένοι τῷ στομάχῳ μύες, ὑφ' ὧν εἰς τὸ πρόσω μέρος ὅλος ὁ τράχηλος ἑλκόμενος ἐπινεύει βραχὺ, καὶ χωρὶς τῆς προκειμένης πρὸς κεφαλῆς διαρθρώσεως. ἐκείνη μὲν γὰρ αὐτὴ καθ' ἑαυτὴν μεγίστην ἔχει κίνησιν, ἐπινευόντων τε καὶ ἀνανευόντων, ἐὰν τοῖς μετὰ τοὺς πρώτους σφονδύλους αὐτὴν παραβάλλῃ, βραχυτάτην δ' ἔχουσι τὴν πρὸς ἀλλήλους κίνησιν. ἀλλὰ κἀκ τῶν κατ' ὀσφὺν χωρίων ἐπαναβαίνουσι τῷ θώρακι ἐπὶ τὰς ἐσχάτας πλευρὰς αἱ κορυφαὶ τῆς ψόας. ὅσαι δ' ἐν τῷ μεταξὺ τοῦ θώρακός εἰσιν, οὐκ ἔχει μυῶν ἐπιβολὴν ἐν ταῖς πλαγίαις ἀποφύσεσι τῶν σφονδύλων, ἃς ἔφην διαρθροῦσθαι τὰς πλευράς. εἰσὶ δὲ καὶ ἄλλοι δύο μύες στενοὶ καὶ μικροὶ τοῖς ῥαχίταις περιτεταμένοι δι' ὅλου τοῦ θώρακος ἔξωθεν, ἐν τοῖς πρόσω μέρεσιν αὐτῶν ἃ τοῖς ὀπίσω περὶ τὴν ἄκανθαν. αὕτη μὲν ἡ ἐκ τῆς ἀνατομῆς εὑρισκομένη θέσις τῶν περὶ τοὺς σφονδύλους μυῶν. ἴδωμεν ἐφεξῆς τίνων ὁ Ἱπποκράτης δύναται μνημονεύειν. ὅτι μὲν οὖν τῶν μεσοπλευρίων οὐ δύναται, δῆλον ἐκ τοῦ λέγειν τοὺς μύας ἀπὸ τοῦ αὐχένος ἄρχεσθαι. λείπεται τοίνυν τῶν ῥαχιτῶν τούτων παρατεταμένων μνημονεύειν αὐτόν. ἀλλ' οὐδὲ τέρως καλῶς ἂν λέγοιτο τὸ μεταξὺ τῶν ὀστῶν, καὶ τῶν πλευρῶν τῶν ἀποπεφυκότων ἀπὸ τῶν σφονδύλων τοὺς μῦς ἀναπληροῦν. οἱ μὲν γὰρ ῥαχῖται ταῖς διαρθρώσεσι τῶν εἰρημένων ὀστῶν ἐν ὅλῳ τῷ θώρακι πάσαις ὄπισθεν προβέβληνται, μηδὲν ἀπολείποντες ἀσκέπαστον, ἀλλὰ τάς τε ῥίζας πάσας τῶν πλευρῶν τε ἅμα καὶ τῶν εἰς τὰ πλάγια τοῖς σφονδύλοις ἀποφύσεων εἰσὶ μετὰ τὰς διαρθρώσεις. καὶ μὲν δὴ καὶ τὸ ἐπὶ τὴν τελευτὴν εἰρημένον τῆς ῥήσεως, τὸ ἄχρι τῆς προσφύσιος, εἰ μὴ ἐπὶ τῶν στενῶν λέγει τῶν μυῶν, τὴν τοῦ διαφράγματος πρόσφυσιν ἡμᾶς ἀναγκαῖον νοεῖν. εἰ δ' ἐπὶ τῶν ῥαχιτῶν, τὴν τῶν σκελῶν, εἰ μὴ περὶ πρόσφυσιν εἴρηκε τὴν τούτων διάρθρωσιν. ἐγὼ μὲν οὖν διὰ ταύτην τὴν λέξιν ἀπορῶ προσαρμόσαι τῷ φαινομένῳ, καί μοι δοκεῖ κατ' ἀρχὴν εὐθέως ὑπὸ τοῦ πρώτου γράψαντος ἡμαρτῆσθαι, ὥστε καὶ ἄλλων πολλῶν. ἐχόντων δ' ὡς εἴρηται, τῶν φαινομένων, ζήτησις τῆς ἁρμοττούσης ἐξηγήσεως εἰς τὸ κοινὸν προκείσθω. τὸ δ' οὖν ὡς ἐν διορισμοῖς δόξαν ἔχειν τινὰ πιθανότητα τοιόνδ' ἐστί. πλευρὰς μὲν ἀκουσόμεθα τὰς τῶν σφονδύλων αὐτῶν κεφαλὰς, ἀποπεφυκότα δὲ τῶν σφονδύλων ὀστᾶ, τὰ τὴν ἄκανθαν ἐργαζόμενα, τοὺς δὲ τὴν μεταξὺ χώραν ἑκατέρων ἀναπληροῦντας μῦς τοὺς ῥαχίτας, πρόσφυσιν δὲ τὴν τῶν φρενῶν. ὅτι μὴν διδάσκαλος ἡμῶν Πέλοψ τὰς μὲν πλαγίας ἀποφύσεις, τῶν σφονδύλων ἁπάντων πλευρὰς ἔφασκεν εἰρῆσθαι νῦν ὑπ' αὐτοῦ, πρόσφυσιν δὲ τὴν τῶν φρενῶν.

Αὕτη δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστι.

Σκολίωσις μὲν ἡ εἰς τὸ πλάγιον αὐτῆς ὀνομάζεται διαστροφή. νυνὶ δὲ οὐ τὴν εἰς τὸ πλάγιον, ἀλλὰ τὴν εἰς τοὐπίσω τε καὶ πρόσω βούλεται δηλοῦν. εὐθεῖα γὰρ οὖσα κατὰ τὸ μῆκος ἐκκλίνεται βραχὺ, πρός τε τὴν ὀπίσω καὶ τὴν πρόσω χώραν, ὡς αὐτὸς ἐφεξῆς διδάσκει.

Ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ μεγάλου σφονδύλου παρ' ὃν προσήρτηνται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή. κύστις τε γὰρ καὶ γοναὶ, καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τουτέῳ ἔκπαθαι.

Τὴν τῶν σκελῶν πρόσφυσιν ἔνεστιν ἀκούειν πολυειδῶς. κυριώτατον μὲν ἴσως τὴν ἀπὸ τῆς κατ' ἰσχίον διαρθρώσεως, ἥ τις γίγνεται τοῦ μηροῦ τῆς κεφαλῆς συνδουμένης τῷ κατ' ἰσχίον ὀστῷ, διά τε τῶν πλατέων συνδέσμων, καὶ τοῦ στρογγύλου, καθ' ὃν τῷ βαθυτάτῳ τῆς κοτύλης συμφύεται, καὶ διὰ τῶν μυῶν κινούντων τὴν τοῦ μηροῦ διάρθρωσιν, εἰκότως ἂν λέγοιτο τοῖς ὑποκειμένοις συμφύεσθαι τὸ σκέλος, καὶ μετὰ ταῦτα διὰ νεύρων, εἶτ' ἔπειτα δι' ἀρτηριῶν τε καὶ φλεβῶν. ἔοικε δὲ νῦν ὁ Ἱπποκράτης τὴν διὰ τῶν νεύρων προσάρτησιν δηλοῦν. εἰ δὲ τῶν κατὰ ὀσφὺν ἔσχατον σφόνδυλον ὁ διαρθροῦται, τῷ πλατεῖ γε καὶ ἱερῷ καλουμένῳ ὀστῷ, τῶν ἐπὶ τὰ σκέλη φερομένων νεύρων ἐστὶν ἡ ἔκφυσις. ἀλλὰ καὶ τὸ ἵνα χρὴ τὸ ὑπὸ τοῦ τόπου κατ' αὐτὴν εἶναι τὴν ῥάχιν, ὑπὸ τοῦ κατὰ τὴν ἀνατομὴν φαινομένου μαρτυρεῖται, καὶ τὸ κύστιν, καὶ γονὰς, καὶ ἀρχοῦ τοῦ χαλαρὸν ἐν τούτῳ κεῖσθαι, διόπερ καὶ κυρτὸν ἔξωθεν ἐγένετο. γονὰς δὲ εἴρηκε τὰ γεννητικὰ μόρια, μήτραν μὲν ἐπὶ τῶν θηλειῶν, ἐπὶ δὲ τῶν ἀνδρῶν τὰ σπερματικά τινα καλούμενα, χαλαρὸν δ' ἀρχοῦ

δι᾽ ἀρχῆς κέκληκε τὸ μετὰ σφιγκτῆρα. καὶ γάρ ἐστιν ἐπικείμενα τῷ ἱερῷ ὀστῷ τοῦτο καὶ ὄντως ἐστὶ χαλαρόν, οὐκ ἔχων τοὺς σφίγγοντας μῦς τὸ πέρας τοῦ ἀπευθυσμένου.

Ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος, ἰθυλόρδη.

Οὐδὲν ἐνταῦθα τοιοῦτον περιέχεται τι κατὰ τῆς ῥάχεως, οἷον ἐν τοῖς περὶ μήτραν ἢ ἐν κύστει, ὅθεν οὐδὲ σιμοῦσθαι τὸ ἔνδον ἔχρῃζε, καὶ διὰ τοῦτο οὐδὲ κυφοῦσθαι τὸ ἔξω, ἀλλὰ καὶ βραχὺ ῥέπειν ἑώρα κατὰ τοῦθ᾽ ἡ ῥάχις. ἐπὶ δὲ τὴν ἀρτηρίαν ἔδει τὴν μεγάλην καὶ τὴν φλέβα ἡ κατ᾽ αὐτῆς ἐστηρίχθη.

Καὶ παραφύσιας ἔχει μυῶν, τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν ἔσωθεν, ἃς δὴ καλέουσι ψόας.

Ἐκ ταύτης τῆς ῥήσεως μάλιστά τις τεκμήραιτο μὴ συναριθμεῖν αὐτὸν τῇ ῥάχει τοὺς κατὰ τράχηλον σφονδύλους. ὡς γὰρ ἐκ τοῦ πλατέος ὀστοῦ, καὶ τῶν κατὰ θώρακα σφονδύλων συγκειμένης ὅλης τῆς ῥάχεως, οὕτως παραφύσιας ἔχει μυῶν τοῦτο μόνον τὸ ἔσωθεν. εἰ γὰρ δὴ καὶ τοὺς κατὰ τράχηλον αὐτοῖς συνηρίθμει, ψευδὴς ἂν ἦν ἐναργῶς. οὐ γὰρ μόνον τούτου τοῦ χωρίου παραφύσιας μυῶν ἔχοντος, καὶ τοῦ τραχήλου μεγάλους μῦς ἐκ τῶν ἔνδον μερῶν. οὐδὲ γὰρ ἠγνόησέ τις αὐτοὺς ἀξιολόγους ὄντας, ὅπως καὶ εἰ μακρότεροι μύες ἦσαν, οὐκ ἂν αὐτοὺς ἠγνόησεν. εἰ μέντοι μόριόν τι τῶν ψοῶν ὑπὲρ τὴν τῶν φρενῶν ἀναγίνεται πρόσφυσιν, οὐκ ἐπισημήνασθαι τοῖς προκειμένοις, οὐχ ἡγούμενος ἁρμόττειν τὴν τοιαύτην ἀκριβολογίαν.

Ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σφονδύλου, τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκυφή, ἔτι δὲ μᾶλλον δοκέει ἢ ἔστιν. ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους.

Ὀλίγον τι κατὰ τὸν θώρακα φαίνονται σιμούμενοι τὰ ἔνδον τῶν ὀστῶν οἱ σφόνδυλοι. τὸ δ᾽ ὀπίσω μέρος αὐτῶν ἱκανῶς κυφὸν φαίνεται, διὰ τὴν τῆς ἀκάνθης ἀπόφυσιν. ὃν δὲ λέγει μέγαν σφόνδυλον ὑπὲρ τῶν ἐπωμίδων ἑστῶτα, καὶ δι᾽ ὑπομνήματος ἔρχεται πρὸς ἀνάμνησιν ἐν ᾧ περὶ τῶν ὀστῶν ἔγραψα. προσαρμόζειν δ᾽ ἡμᾶς προσήκει τοῖς λεγομένοις ἐκεῖνα, μὴ δεομένοις ὑπ᾽ ἐμοῦ, πλὴν εἴ που λέξις ἐμπίπτοι χρῄζουσά τινος ἐξηγήσεως, ἧς ἕνεκεν καὶ τὰ τοιαῦτα ὑπομνήματα γράφεται, καθάπερ τε καὶ τὸ ἐπὶ τῇ προκειμένῃ νῦν ῥήσει.

Αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστιν. ὁκόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς σφονδύλους, ἔξωσις μὲν μεγάλη ἀπορραγεῖσα ἀπὸ τῆς συμφύσιος, ἢ ἑνὸς σφονδύλου, ἢ καὶ πλειόνων, οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ᾽ ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γίνεσθαι, οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη διὰ τῆς κοιλίης. οὕτω δ᾽ ἂν ἀπόλοιτο, ἢ εἴ τις ἀφ᾽ ὑψηλοῦ τοῦ χωρίου πεσὼν, ἐρείσειε τοῖσιν ἰσχίοισιν, ἢ τοῖσιν ὤμοισιν. ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηΐδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ εἴσω, εἰ μὴ ὑπέρβαρυ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξωθεν, ἕκαστον τοιοῦτόν ἐστιν ὥστε πρόσθεν ἂν αὐτὸ καταγείη, πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι, τούς τε συνδέσμους βιασάμενον.

Εἰς τὸ πρόσω ῥέπον δηλονότι, καὶ γὰρ φαίνεται τοῦτο. δύο δέ εἰσιν οἱ πρῶτοι σφόνδυλοι καθ᾽ οὓς τὸ ἄρθρον γίνεται τοῦ αὐχένος, καθ᾽ ὃ λοιπὸν τρεῖς εἰσιν ὧν οὐκ ἐμνημόνευσεν ὅπως ἔχουσι θέσεως ἐν τῷ μεταξὺ τοῦ δευτέρου καὶ τοῦ ἕκτου, τρίτος καὶ τέταρτος, καὶ πέμπτος. οἳ δὴ μάλιστα φαίνονται θέσιν εὐθεῖαν ἔχοντες, ὄντες καὶ ἄλλοι μικρότατοι τῶν δύο σφονδύλων, καὶ μάλιστα ὁ τρίτος. ὁ γάρ τοι τέταρτος, ἢ μείζων ἐστὶν αὐτοῦ, καθάπερ καὶ τούτοις πάλιν ὁ πέμπτος. ὁ δὲ ἕκτος οὐ τούτων μόνον, ἀλλὰ καὶ τοῦ ἑβδόμου μείζων. οἱ δ᾽ ἀπὸ τοῦδε πάντες ἄχρι καὶ τοῦ πέρατος τῆς ῥάχεως, ἀλλήλων ἀνάλογον μείζους εἰσὶν ἐπ᾽ ἀνθρώπου ἐξεταζομένου τοῦ λόγου, καὶ μετ᾽ αὐτὸν ἐπὶ πιθήκοις, ὅσοι τὸ πρόσωπον ἀνθρωποειδέστερον ἔχουσι, καὶ μᾶλλον τῶν ἄλλων ὄρθιοι βαδίζουσιν, οὗτοι τά τ᾽ ἄλλα καὶ τὴν τῶν ὀστῶν [θέσιν] ἂν ἐοίκασιν ἀνθρώποις. ἔχουσι δέ τι κοινὸν ἐν τῇ ῥάχει πρὸς τὰ ἄλλα ζῷα τὰ τετράποδα, τοῖς ἀνθρώποις οὐχ ὑπάρχον. ἔστι γὰρ αὐτοῖς ὀσφὺς μακροτέρα τῆς ἐπ᾽ ἀνθρώπου, ἀνάλογον δηλονότι τοῦ μεγέθους τοῦ ἄλλου ἐξεταζόντων ἡμῶν, ἀνθρώποις μόνον ε᾽ κατὰ τὴν ὀσφύν εἰσι σφόνδυλοι, τοῖς πιθήκοις, ὥσπερ καὶ τοῖς ἄλλοις τετράποσιν [gap] εἰσίν. ἐπισημήνασθαι δὲ προσήκει κατὰ τὸν ἐνεστῶτα λόγον, ὅτι προθέμενος εἰπεῖν περὶ τοῦ τῆς ῥάχεως σχήματος, ἀρξάμενός τε τοῦ λόγου κατὰ τήνδε τὴν λέξιν. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκολιός ἐστιν. ἐπὶ τελευτῇ τοῦ λόγου προσέθηκεν, αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστι. δόξει γὰρ οὖν πάλιν ἐν τούτῳ καὶ τὸν τράχηλον προσνέμειν τῇ ῥάχει.

Καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα, ὅτε ἂν νωτιαῖος πονοίη ἄν, εἰ ἐξ ὀλίγου χωρίου τὴν περίκαμψιν ἔχοι τοιαύτην ἔξαλσιν ἐξαλλομένου σφονδύλου, ὅ, τε ἐκπηδήσας σφόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ μὴ καὶ ἀπορρήξειε. πιεχθεὶς δ᾽ ἂν καὶ ἀπολελαμμένος, πολλῶν ἂν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν, ὥστε οὐκ ἂν μέλλοι τῷ ἰητρῷ, ὅπως χρὴ τὸν σφόνδυλον κατορθῶσαι. πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων,

ὥστε δὴ οὐδ' ἐμβαλεῖν οἷόν τε, οὔτε κατασεῖσαι, οὔτ' ἄλλῳ τρόπῳ τινὶ, πρόδηλον τὸ τοιοῦτον, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον.

Τῶν σπονδύλων ἄρθρα φησὶν ἃ πρὸς ἀλλήλους ἀπολλυμένων ἐπὶ τὰς πλαγίας ἀποφύσεις. ἐνηλλαγμένα δ' ἐστὶν ὅτι δύο μὲν ὑψηλοτέρας ἀποφύσεις ἔχων αὐτῶν, ἕκαστος διαρθροῦται πρὸς τὸν ὑπερκείμενον. ἄλλας δὲ ταπεινοτέρας αὖ πάλιν, αἷς πρὸς τὸν ὑποκείμενον διαρθροῦται, ἐπὶ μὲν τὰς ἑτέρας αὐτῶν ὑποδέχεται τὰς ἐξοχὰς τοῦ πλησιάζοντος, κατὰ δὲ τὰς ἑτέρας ἐπιβαίνει θατέρου. γέγραπται δὲ περὶ τούτων ἀκριβῶς ἐν τῷ περὶ τῶν ὀστέων.

Ἔπειτα ἐσμασσάμενος ἐς τὴν κοιλίην, ἐκ τοῦ εἴσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι, καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ οὐ πάνυ. διατί οὖν ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν εἴσωθεν ἔπεσον σφόνδυλοι τελέως ὑπερβάντες τὰ ἄρθρα, καίτοι γε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσι, καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ' αὐτόματα ὑγιέα γενέσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοὶ, καὶ κερδαίνουσιν ὅτι ἀγνοέουσι, πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ, διὰ τόδε· οἴονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν ἐπὶ τὴν ῥάχιν ταύτην τοὺς σφονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες ὅτι τὰ ὀστέα ταῦτά ἐστι τὰ ἀπὸ τῶν σφονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. οἱ δὲ σφόνδυλοι, πολὺ προσωτέρω ἄπεισι. στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει, ὡς ἐπὶ μεγέθει ἀπὸ τοῦ ὄπισθεν ἐς τὸ ἔμπροσθεν, ποτὶ καὶ ἐπὶ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἕν, ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται, ἢ τὸ ἔνθεν καὶ ἔνθεν, διὰ τοῦτο ἐξαπατῶνται, οἰόμενοι τοὺς σφονδύλους εἴσω οἴχεσθαι. προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς καὶ τὰ σχήματα τῶν τετρωμένων. ἢν μὲν γὰρ πειρῶνται καμπύλλεσθαι, ὀδυνῶνται, περιτενέος γινομένου ταύτῃ τοῦ δέρματος ᾗ τέτρωται, καὶ ἅμα τὰ ὀστέα τὰ κατεηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνουσι, ῥάους εἰσί. χαλαρώτερον γὰρ τὸ δέρμα ἐπὶ τὸ τρῶμα γίνεται, καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει. ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν ἐπὶ τοῦτο, ὑπείκουσι λορδοῦντες, καὶ τὸ χωρίον κενεὸν καὶ μαλθακὸν ψαυόμενον ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως καὶ ἀσινέως αὐτόματοι οἱ τοιοῦτοι γίνονται. ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα ἐπιπωροῦται ὅσα χαῦνά ἐστι.

Ἐσμασσάμενος, τουτέστιν ἐνθεὶς εἰς τὸ βάθος τὴν χεῖρα χάριν τοῦ διαζητῆσαί τι τῶν ἐν αὐτῷ.

Σκολιαίνεται γοῦν ῥάχις, καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους. καὶ γὰρ ἐν τῇ φύσει καὶ ἐν τῇ χρήσει οὕτως ἔχει. ἀτὰρ καὶ ὑπὸ γήραος, καὶ ὑπὸ ὀδυνημάτων, ἐπεὶ ξυνδετική ἐστιν. αἱ δὲ δὴ κυφώσιες, αἱ ἐν τοῖσι πτώμασιν, ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ, ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι, ἕνα μέν τινα ὑψηλότατον τῶν σφονδύλων, τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον. οὔκουν ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶν, ἀλλὰ μικρὸν ἢν ἕκαστος συνδιδοῖ, ἀθρόως πολύ. διὰ οὖν τοῦτο καὶ ὁ νωτιαῖος μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφὰς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γωνιώδης.

Τὴν μὲν εἰς τοὔπισω διαστροφὴν τῆς ῥάχεως, κύφωσιν ὀνομάζει, τὴν δὲ εἰς τὸ πρόσω λόρδωσιν, τὴν δὲ εἰς τὰ πλάγια, σκολίωσιν. ἀλλὰ τούτῳ γε τῷ ὀνόματι τῆς σκολιώσεως, καθ' ἕτερον χρῆται τρόπον κατὰ ἅπασαν διαστροφὴν ῥάχεως, ἐνδεικνυμένου δὴ αὐτοῦ, ὡς σημαίνοντός τι γενικώτερον τῶν ἄλλων. οὕτως γὰρ καὶ νῦν εἶπεν σκολιαίνεσθαι ῥάχιν, ἐν ἴσῳ τῷ διαστρέφεσθαι καθ' ὁντινοῦν τρόπον, καὶ ἔμπροσθεν δέ που ἔλεγεν. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστι, αὐτῆς δηλώσας διαστροφὴν, ἔς τε τοὔπισω καὶ πρόσω.

Χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκαζομένου τοιήνδε κατασκευάσασθαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ, ἐντομὴν παραμήκεα ἔχον κατορύξαι, ἔξεστι δὲ καὶ ἀντὶ τοῦ ξύλου ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐντομεῖν, ἢ πήχει ἀνωτέρω τοῦ ἐδάφεος, ἢ ὅκως ἂν μετρίως ἔχῃ, ἔπειτα οἷον στύλον δρυΐνον, τετράγωνον, πλάγιον παραβάλλειν, ἀπολείποντα ἀπὸ τοῦ τείχου ὅσον παρελθεῖν τινα ἢν δέῃ, καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσαι, ἢ χιτῶνας, ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα, τὸν δὲ ἄνθρωπον πυριῆσαι.

σαι. ἢν δὲ δέχηται, πολλῷ καὶ θερμῷ λούσας, κἄπειτα πρηνέα κατακλίναι κατατε-
ταμένον, καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατείναντα κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα.
ἱμάντι δὲ μαλθακῷ ἱκανῷ, πλατεῖ τε καὶ μακρῷ ἐκ δύο διαντέων ξυμβεβλημένῳ
μέσῳ, κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρὴ, ὡς ἐγγυτάτω τῶν μασχαλέων, ἔπειτα
τὸ περισσεῦον τῶν ἱμάντων κατὰ τὴν μασχάλην ἑκατέρην περὶ τοὺς ὤμους περιβεβλή-
σθω, ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι κατὰ
μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ πρὸς ὅ, τι προσβάλλοντα τὸ ὑπεροειδὲς ἀντιστηρίζοντα
κατατείνειν. τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν γουνάτων δήσαντα, καὶ
ἄνωθεν τῶν πτερνέων, τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτό τι ξύλον προσδῆσαι, ἄλλῳ
δὲ ἱμάντι πλατεῖ τε μαλθακῷ καὶ δυνατῷ ταινιοειδεῖ, πλάτος ἔχοντι καὶ μῆκος
ἱκανὸν, ἰσχυρῶς περὶ τὰς ἰξύας κύκλῳ περιδεδέσθαι ὡς ἐγγύτατα τῶν ἰσχίων, ἔπειτα τὸ
περισσεῦον τοῦ ταινιοειδέος ἅμα ἀμφοτέρας τὰς ἀρχὰς τῶν ἱμάντων, πρὸς τὸ ξύ-
λον προσδῆσαι † τῶν ποδῶν, κἄπειτα κατατείνειν ἐν τούτῳ τῷ σχήματι, καὶ ἔνθεν τε †πρὸς
κἄνθεν ἅμα μὲν ἰσορρόπως, ἅμα δὲ ἐς ἰθύ. οὐδὲν γὰρ ἂν μέγα κακὸν ἡ τοιαύτη κατάτα-
σις ποιήσῃ, εἰ χρηστῶς σκευασθείη, εἰ μὴ ἄρα ἐξεπίτηδες τις βούλοιτο τείνεσθαι. τὸν δὲ
ἰητρὸν χρὴ, ἢ ἄλλον ὅς τις ἰσχυρὸς, καὶ μὴ ἀμαθὴς, ἐπιθέντα τὸ θέναρ τῆς χειρὸς, ὑπὸ τὸ
ὕβωμα, καὶ τὴν ἑτέρην χεῖρα προσεπιθέντα ἐπὶ τὴν ἑτέρην, καταναγκάζειν προσ-
ξυνιέντα. ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι, ἤν τε πρὸς τῆς κεφα-
λῆς, ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη. ἀσινὲς δὲ καὶ ἐπικαθίζε-
σθαί τινα πρὸς τὸ κύφωμα τοῦ ἅμα κατατεινομένου ἐνσεῖσαι μετεωρισθέντα. ἀτὰρ καὶ
ἐπιβῆναι τῷ ποδὶ, καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα, ἡσύχως τε ἐπενσεῖσαι οὐδὲν κω-
λύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μετρίως, ἐπιτήδειος ἄν τις εἴη τῶν ἐπὶ παλαίστραν εἰθισμένων.
δυνατωτάτη μέντοι τῶν ἀναγκέων ἐστὶν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη. τὸ δὲ ξύλον
τὸ κατορωρυγμένον ἢ ἐντετμημένον κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁκόσῳ ἂν δο-
κέῃ μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη, ἢ καὶ ἄλλου τινὸς ξύλου, ἔπειτα ἐπὶ
τὸ ὕβωμα ἐπιτεθείη, ἢ φύχιόν τι πολύπτυχον, ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον,
ὡς ἐλάχιστα μὲν ὑποκεῖσθαι ξυμφέρει, μόνον προμηθεόμενον, ὡς μὴ ἡ σανὶς ὑπὸ σκληρό-
τητος ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. κατὰ ἴξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ
ἐς τὸν τοῖχον τὸ ὕβωμα. ὡς ἂν ἡ σανὶς ᾗ μάλιστα ἐξέστηκεν, ταύτῃ μάλιστα πιέζῃ ἐπιτε-
θεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἤν τε
ἕνα δέῃ, ἤν τε δύο. τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται, τοὺς
μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι, ἢ παρακατορύξαντα
παρὰ τὸ ξύλον, ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐντεκτηναμένους, ἤν τε
ὀρθὰς ἐθέλῃς ἑκατέρωθεν μικρὸν ὑπερεχούσας, ἤν τε κατὰ κορυφὴν τοῦ ξύλου ἔνθεν
καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι, εὐταμίευτοί εἰσιν, καὶ ἐς τὸ ἰσχυρότατον, καὶ ἐς τὸ ἧσσον,
τε ἰσχὺν ἔχουσι τοιαύτην, ὥς τε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ, ἐς
τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶς δύνασθαι, καὶ γὰρ ἂν κατατείνων κα-
τὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν, οὕτω καὶ ἄλλην ἀνάγκην οὐδεμίην προστιθεὶς ὅμως
κατατείνειεν ἄν τις, ἀλλὰ μὴν καὶ ἢν μὴ κατατείνων. αὐτῇ δὲ μοῦνον τῇ σανίδι οὕτως εἰ
ποιέει τις, καὶ οὕτως ἱκανῶς καταναγκάσαι. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες εἰσὶν ᾗσιν ἔξεστιν,
καὶ ἀσθενεστέρῃσι, καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὸν ταμιεύοντα, καὶ μὲν δὴ καὶ κατὰ φύσιν
γε ἀναγκάζουσι. τὰ μὲν γὰρ ἐξεστεῶτα, ἐς τὴν χώρην ἀναγκάζει καὶ ἡ ἴπωσις ἰέναι.
τὰ δὲ ξυνελθόντα κατὰ φύσιν, κατατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν ἐγὼ ἔχω
τουτέων ἀνάγκας καλλίους, οὐδὲ δικαιοτέρας.

τὰ ἐφεξῆς ἅπαντα σαφῶς ἑρμηνεύοντι, δι' ὧν νῦν καὶ ἔστιν ὅτε παρακολουθεῖ τις λεγομένοις, οὐκ ἐξηγήσεως ἀλλὰ λέξεως οὐδὲν αὐτοῦ χρεία. καὶ μέντοι καὶ τὰ ὑπομνήματα τοῖς ἑωρακόσιν ἤδη τὰς τοιαύτας ἐνεργείας γράφεται. λέλεκται δέ μοι καὶ πρόσθεν ὅτι τὰ οὕτω σαφῶς ὑπ' αὐτοῦ γεγραμμένα, μὴ νοήσας τις κατὰ τὴν πρώτην ἐπιβολὴν, καὶ δὶς καὶ τρὶς καὶ πλεονάκις ἀναγνώτω προσέχων τὸν νοῦν. εἰ γὰρ τοῦτο ποιήσει, πάντως ταῦτ' ἐννοήσει σαφῶς ἑρμηνευόμενα.

Ἡ γὰρ κατ' αὐτὴν τὴν ἄκανθαν ἰθυωρία τῆς κατατάσιος, κάτωθέν τε καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον, οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην, ἄνωθεν δὲ κατὰ τὸν αὐχένα καὶ κατὰ τὴν κεφαλὴν, ἐπιλαβὴν μὲν ἔχει, ἀλλ' ἰδεῖν γε ἀπρεπής. ταύτῃ τοι γενομένη ἡ κατάτασις, καὶ ἄλλας βλάβας ἂν προσπαρέχει πλεονασθεῖσα. ἐπειρήθην δὲ δή ποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνας, ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα, κἄπειτα αὐλὸν ἐκ χαλκείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα φυσᾷν, ἀλλά μοι οὐκ εὐπορεῖτο. ὅτε γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον, ἡσσᾶτο ὁ ἀσκὸς καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐπαναγκάζεσθαι. καὶ ἄλλως ἕτοιμον περιολισθαίνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενον τό, τε τοῦ ἀνθρώπου ὕβωμα, καὶ τὸ τοῦ ἀσκοῦ πληρουμένου κύρτωμα. ὅτε δ' αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄνθρωπον, ὁ μὲν ἀσκὸς ὑπὸ τῆς φύσης ἐκυρτοῦτο, ὁ δὲ ἄνθρωπος πάντῃ μᾶλλον ἐλορδαίνετο ἢ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο. καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστι, ἃ πειρηθέντα, ἀπορηθέντα ἐφάνη, καὶ δι' ἅπερ ἠπορήθη. ὁκόσοισι δὲ ἐς τὸ εἴσω σκολιαίνονται οἱ σφόνδυλοι ὑπὸ πτώματος, ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐδεὶς τῶν σφονδύλων μέγα ἐξίσταται κάρτα ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα, ἢ εἷς, ἢ πλείονες, θάνατον φέρουσιν, ὥσπερ δὴ καὶ πρόσθεν εἴρηται, κυκλώδης δὲ αὕτη καὶ οὐ γωνιώδης γίνεται ἡ παραλλαγή.

Αὐτὸς ἂν ἐπιλαβὴν εἴρηκε τὴν οἷον ἀντιλαβὴν καὶ ἀντίλυσιν, ὥστε στηριχθῆναι τοὺς περιβαλλομένους βρόχους, πρός τε τῶν ἐξεχόντων ἕνεκα τοῦ ἀγρεῖν. περὶ μὲν τὸ ἱερὸν ὀστέον οὐδὲν ἔχει τοιοῦτον ἄνωθεν τ' ἦν τό, τέ τι ἔχει, καὶ τὴν κεφαλὴν ἅμα φαίνοιτ' ἂν ὁ ἄνθρωπος πνιγόμενος, εἴ τις ἐνταῦθα περιλάβοι, καὶ περὶ τοῦτ' ἂν ἀπρεπὴς ἡ κατάστασις φαίνοιτο. καὶ μέντοι καὶ βλάβας ἂν παράσχοι εἰ ὀλίσθοι τὸν βρόχον τις ἐπὶ τὸν λάρυγγα.

Οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἴσχεται, ἢ τοῖς ἔξω κυφοῖσι, καὶ πόδες καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον, καὶ θανατηφόρα ταῦτα μᾶλλον ὧν ἔφην. καὶ ἢν περιγίνωνται δὲ, ῥυώδεες τὰ οὖρα μᾶλλον οὗτοι, καὶ τῶν σκελέων ἀκρατέστεροι καὶ ναρκωδέστεροι. ἢν δὲ καὶ ἐν τῷ ἄνω μέρει, μᾶλλον τὸ λόρδωμα γίνηται, παντὸς τοῦ σώματος ἀκρατέες καὶ νεναρκωμένοι γίνονται. μηχανὴν δὲ οὐκ ἔχω οὐδεμίην ἔγωγε ὅκως χρὴ τὸν τοιοῦτον ἐς τὸ αὐτὸ καταστῆσαι. καὶ εἰ μή τινα ἡ κατὰ τῆς κλίμακος κατάσεισις ὠφελέειν οἵη τε εἴη, ἢ καὶ ἄλλη τις τοιαύτη ἴησις, ἢ κατάσεισις, οἵηπερ ὀλίγῳ πρόσθεν εἴρηται. κατανάγκασιν δὲ σὺν τῇ κατασείσει οὐδεμίην ἔχω, ἥτις ἂν γίνοιτο, ὥσπερ τῷ κυφώματι τὴν κατανάγκασιν ἡ σανὶς ἐποιέετο. πῶς γὰρ ἄν τις ἐκ τοῦ ἔμπροσθεν διὰ τῆς κοιλίης ἀναγκάσαι δύναιτο; οὐ γὰρ οἷόν τε, ἀλλὰ μὴν οὔτε βῆχες, οὔτε πταρμοὶ οὐδεμίην δύναμιν ἔχουσιν ὥστε τῇ τάσει συντιμωρέειν, οὐ μὴν οὐδ' ἔνεσις φύσης ἐνιεμένης ἐς τὴν κοιλίην, οὐδὲν ἂν δυνηθῇ. καὶ μὴν αἱ μεγάλαι σικύαι προσβαλλόμεναι ἀνασπάσιος εἵνεκα δῆθεν τῶν εἴσω ῥεπόντων σφονδύλων, μεγάλη ἁμαρτὰς γνώμης ἐστίν. ἀπωθέουσι γὰρ μᾶλλον ἢ ἀνασπῶσι, καὶ οὐδ' αὐτὸ τοῦτο γινώσκουσιν οἱ προσβάλλοντες. ὅσῳ γὰρ ἄν τις μείζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόπους δὲ ἄλλους κατασεισίων, ἢ οἷοι τε πρόσθεν εἰρέαται, ἔχοιμι ἂν εἰπεῖν, ἁρμόσαι οὓς ἄν τις δοκέῃ τῷ παθήματι μᾶλλον, ἀλλ' οὐ κάρτα πιστεύω αὐτοῖς, διὰ τοῦτο οὐ γράφω. ἀθρόον δὴ ξυνιέναι χρὴ περὶ τούτων ὧν ἐν κεφαλαίῳ εἴρηται. ὅτι τὰ μὲν εἰς τὸ λορδὸν ῥέψαντα, ὀλέθρια εἰσὶ καὶ σινόμωρα, τὰ δὲ ἐς τὸ κύφον ἀσινέα, θανάτου καὶ οὔρων σχεσίων καὶ ἀποναρκωσίων τὸ ἐπίπαν.

Περὶ τῆς ἔσω μεταστάσεως τῶν σφονδύλων γράφει ταῦτα, χαλεπωτέραν αὐτὴν τῆς ἔξω λέγων εἶναι, καὶ ἡ αἰτία πρόδηλος. καὶ γὰρ ἔσω ῥέπει τὰ νεῦρα πάντα τὰ ἀπὸ τοῦ νωτιαίου πεφυκότα. θλίβεται οὖν ἐν ταῖς τοιαύταις

μεταστάσεσι

μετάστασι μᾶλλον, ἤπερ ἐν τοῖς ἔξω. σὺν τούτοις δὲ καὶ τὰ ἐπικείμενα μόρια τῇ ῥάχει θλίβεται πάντα, καὶ κατὰ τοῦτο καὶ τῆς κύστεως τὸ ἄνω μέρος θλίβεταί ποτε. καὶ μέντοι καὶ κατὰ συμπάθειαν εἰς φλεγμονὴν ἀφίξεται πάντα, καὶ διὰ τοῦτ' ὅτε ἡ κύστις οὖρον ἐκκρίνει, ὅτε τὰ ἔντερα ἀπόπατον. τῆς γὰρ ἐκκριτικῆς δυνάμεως, ἥτις ἐστὶ μία τῶν φυσικῶν, πάθος ἐστὶν ἴσχεσθαι τὸ οὖρον καὶ τὸν ἀπόπατον. τὸ δὲ ναρκώδη γίνεσθαι τὰ μόρια, τῆς τῶν νεύρων βλάβης ἐστίν. ἐκ μὲν οὖν τῆς κατὰ τὰ ἔντερα, καὶ τὴν κύστιν βλάβης ἄχρι περ ἂν παύσεται φλεγμαίνοντα, κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον, καὶ δι' ἄκρα καὶ ἀκώρω ἔντερα διαμένει, καὶ διὰ τοῦτο καὶ ὁ σφίγγων τὴν κύστιν μῦς οὐκ ἐᾷ ἀκριβῶς ἐνεργῶν ἐπιτρέπειν τοῖς οὔροις. εἰκὸς καὶ δήπου καὶ τὸν ἐπὶ τῆς ἕδρας μῦν τὸν σφιγκτῆρα καλούμενον τὴν αὐτὴν ἀτονίαν ἔχειν.

Οὐ γὰρ ἐκτείνει τοὺς ὀχετοὺς τοὺς ἐπὶ τὴν κοιλίην, οὐδὲ κωλύει διουρέειν ἡ εἰς τὸ ἔξω κύφωσις. ἡ δὲ λόρδωσις ταῦτα ἀμφότερα ποιέει, καὶ ἔτι τἆλλα πολλὰ προσγίνεται.

Κατὰ τὴν προγεγραμμένην ῥῆσιν εἰρηκὼς, οὖρα μὲν οὖν τοῖσιν εἴσω, καὶ ἀπόπατος μᾶλλον ἴσχεται, ἢ τοῖσιν ἔξω κυφοῖσι, νῦν τὴν αἰτίαν προσέθηκεν εἰπών. ὁ γὰρ ἐντείνει τοὺς ὀχετοὺς τοὺς κατὰ τὴν κοιλίαν, δηλονότι τὰς ἐκροὰς εἰπὼν, τήν τε ἐπὶ κύστιν, καὶ τὴν ἐπὶ τὴν ἕδραν. ἐντείνεσθαι δὲ τὰ μόρια δι' ὧν αὗται γίνονται, κατά τε τὴν θλῖψιν, ἣν ἐκ τῆς τῶν σφονδύλων εἴσω μεταστάσεως ἴσχουσιν, εἰκός ἐστι καὶ πρὸς τῇ κατὰ τὰ νεῦρα συμπαθείας.

Ἔπειτα πολὺ πλείονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται καὶ καταναρκοῦνται τὸ σῶμα, καὶ οὖρα τούτοισιν ἴσχεται, οἷσιν ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα, μήτε ἔξω μήτε ἔσω, σφαθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυωρίην τῆς ῥάχιος. οἷσι δὲ ἂν ἐκστῇ μὲν τὸ ὕβωμα, ἧσσον τοιαῦτα πάσχουσιν.

Ἐνταῦθα τὸ ὕβωμα φωνὴν ὡς γενικόν τι σημαῖνον ἀνέγραψεν ἐπὶ πάσης, εἰπὼν τῆς τῶν σφονδύλων εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς, ὅλος δὲ λόγος εὔδηλος. ἐπὶ γὰρ τὴν τετάρτην διαφορὰν τῶν κατὰ τὴν ῥάχιν παθῶν ἀφικνεῖται τῷ λόγῳ. καλοῦσι δὲ αὐτὴν σεῖσιν, ὅταν αἱ ἁρμονίαι σύμπασαι διακινηθῶσι τῶν σφονδύλων τῆς ῥάχεως, καὶ κινδυνεύσει διασπασθῆναί τε καὶ θλασθῆναι, διασφαλείσης σφοδρῶς αὐτῆς, καί φησι τοῦτο πολὺ χεῖρον εἶναι τῶν αὐτοῦ τοῦ διασφαλῆναι γιγνομένων διαστροφῶν τῆς ῥάχεως. εἶθ' ἑξῆς ὅτι καὶ ταῖς πλευραῖς καταγνυμέναις τοιοῦτόν γέ τι συμβαίνει διηγεῖται.

Περὶ πλευρῶν κατήξιος.

Πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις θεάσαιτο, ὧν τὰ μὲν ἰσχυρὰ ἀσινέα ἐστὶ, καθ' ἑωυτὰ τὴν κρίσιν ὅλην λαμβάνοντα τοῦ νοσήματος, τὰ δὲ ἀσθενέστερα σινόμωρα, καὶ ἀπογόνους νοσημάτων χρονίους ποιέοντα, καὶ κοινωνέοντα καὶ τῷ ἄλλῳ σώματι ἐπὶ πλέον.

Προειρηκὼς περὶ τοῦ κατὰ ῥάχιν πάθους ὃ προσαγορεύουσι σεῖσιν, αὐτοῦ τοῦ μετασταθῆναι σφόνδυλόν τινα γενόμενον, ἐν τῇ ἐφεξῆς γραφῇ πολλὰ λέγει τῶν κατ' ἰητρικὴν ἐπιεικέστερα κατ' ἀλήθειαν εἶναι, κἂν φαίνηται χαλεπώτερα. συμβαίνει δ' ἐκεῖνα τῶν παθῶν ἐφ' ὧν συμπάθειαί εἰσι μείζους, ὡς ὅσα γε μηδεμίαν ἐπιφέρει μορίων κυρίων συμπάθειαν, ἀλλὰ καθ' ἑαυτὰ ποιεῖται τὴν κρίσιν, ἧττόν ἐστι χαλεπὰ, καὶ ἰσχυρότερα ταῖς κατασκευαῖς. ἐφεξῆς οὖν ὡς ἐν παραδείγματος μέρει μνημονεύει τῶν κατὰ τὰς πλευρὰς παθῶν ὑποδεικνύων, ἔνια μὲν αὐτῶν εἶναι τὴν φαντασίαν μόνον, ἔνια δὲ τῇ δυνάμει χαλεπά.

Ἐπεὶ καὶ πλευρέων κάτηξις τοιοῦτόν τι πέπονθεν. οἷσι μὲν γὰρ ἂν καταγῇ πλευρὴ μία ἢ πλέονες, ὡς τοῖσι πλείστοισι κατάγνυνται, μὴ διασχόντα τὰ ὀστέα ἐς τὸ εἴσω μέρος, μηδὲ ψιλωθέντα, ὀλίγοι μὲν ἤδη ἐπυρέτηναν. ἀτὰρ οὐδὲ αἷμα πολλοὶ ἤδη ἔπτυσαν, οὐδὲ ἔμπυοι πολλοὶ γίνονται, οὐδὲ ἔμμοτοι, οὐδὲ ἐπισφακελίσιες τῶν ὀστέων, δίαιτά τε φαύλη ἀρκέει.

Ὅτι τὸ σύμμετρον τοῦ λόγου σαφήνειαν συντελεῖ, μαθεῖν ἐστιν οὐχ ἥκιστα καὶ ἐκ τῆς προκειμένης ῥήσεως μακρᾶς οὔσης. ἐγὼ τὸ πρῶτον μέρος ἄρτι προεχειρισάμην, ἐκ τίνος γὰρ ἐπὶ πλεῖον ὁ Ἱπποκράτης ἀσάφειάν τινα εἰργάσατο, διὰ βραχέων δ' ἂν οὕτως ἑρμηνεύοιτο. τὰ κατάγματα τῶν πλευρῶν, ὅταν ἁπλᾶ καὶ μόνα γένηται, τὴν μὲν φαντασίαν χαλεπωτέραν τῆς προβλάσεως ἔχει, τῇ δυνάμει δὲ ἐπιεικεστέραν, θεραπεύεται γὰρ αὐτοῦ κινδύνου τάχιστα. χωρὶς δὲ κατάγματος, ὅταν περὶ τὰς πλευρὰς σάρκες θλασθῶσιν, εἰς μέγιστον ἐνίοτε κίνδυνον ἥκουσιν οἱ οὕτως παθόντες, τὸ μὲν κεφάλαιον τοῦ λόγου τοῦτο. τὰ δὲ κατὰ μέρος ἐφεξῆς ἴδωμεν, εἰ ἐν τῷ πρώτῳ μέρει τῆς ῥήσεως ὅπερ ἐγὼ διὰ βραχέων εἶπον, ὅταν ἁπλᾶ καὶ μόνα γένηται τὰ κατάγματα τῶν πλευρῶν, ὁ δὲ Ἱπποκράτης εἴρηκεν, ὅπερ ἐξηγούμενος ἔγραψε, μὴ διασχόντα τὰ ὀστᾶ εἰς τὸ ἔσω μέρος, εἰπὼν τὴν εὐρυχωρίαν τοῦ θώρακος, εἰς ἣν ἀδύνατόν ἐστι διασχεῖν ὀστῷ τῷ κατ' αὐτὸν, αὐτοῦ τοῦ γυμνωθῆναι μετὰ αὐτὸ τὸ ὀστοῦν ἁπάσης τῆς περικειμένης σαρκὸς, διατμηθῆναι δὲ τὸν ὑπεζωκότα καλούμενον ὑμένα. διὰ τοῦτο μὲν οὖν ἐδήλωσε τὸ ἁπλοῦν τοῦ κατάγματος. διά τε τῶν ἐφεξῆς τὸ ἐπιεικὲς, ὀλίγους μὲν εἰπὼν ἐπιπυρέττειν. πτύσαι δὲ αἷμά τινα σπανίως, ὥσπερ γε καὶ ἔμπυον, καὶ ἔμμοτον γενέσθαι, σφακελίσαι τε τὸ τῆς πλευρᾶς ὀστοῦν, διὸ καὶ τὴν δίαιταν αὐτοῖς ἐξαρκέσειν φαύλην. ἐμάθομεν δὲ ὅτι φαύλην ἀεὶ λέγει τὴν ἐναντίαν τῇ ἀκριβεῖ τὴν ἐπιτυχοῦσαν. ἐν μὲν οὖν τῷ προκειμένῳ μορίῳ τῆς ὅλης αὐτοῦ ῥήσεως, ὅλη διάνοια τοιαύτη τίς ἐστιν. ἴδωμεν δὲ ἐφεξῆς τὰ λοιπά.

Ἢν γὰρ μὴ πυρετὸς ξυνεχὴς ἐπιλαμβάνῃ αὐτοὺς, καὶ κενεαγγέειν ἀκίνους τοῖς τοιούτοισιν, ἢ μὴ κενεαγγέειν, καὶ ἐπωδυνέστερον καὶ πυρετωδέστερον, καὶ βηχωδέστερον. τὸ γὰρ πλήρωμα τὸ μέτριον τῆς κοιλίης, διόρθωμα τῶν πλευρέων γίνεται. ἡ δὲ κένωσις κρεμασμὸν μὲν τῇσι πλευρῇσι ποιέει, ὁ δὲ κρεμασμὸς, ὀδύνην.

Ὁ τῆς κοιλίης ὄγκος στήριγμά τι γίνεται ταῖς πλευραῖς, διὸ καὶ ὅσοι μείζονας ἔχουσι τὰς γαστέρας, ἧττον ὀδυνῶνται κατεαγείσης τῆς πλευρᾶς. ὅσοις δὲ ἰσχναί τέ εἰσι, καὶ προσεσταλμέναι μᾶλλον, ἀλγοῦσιν, ἀστηρίκτων καὶ μετεώρων αἰσθανόμενοι τῶν πλευρῶν. ἐὰν μὲν οὖν συνεχὴς ἐπιλάβῃ πυρετὸς, αὐτὸς ἐστὶ κενεαγγεῖν, ὅπερ δηλοῖ νῦν αὐτῷ τὸ ἀσιτεῖν, ἐπειδήπερ ἡ ἐκ τῆς ἐδωδῆς βλάβη γίγνεται μείζων τῆς ἐκ τοῦ κρεμασμοῦ. εἰ δέ τι μηδ᾽ ὅλως πυρέξει, ἄμεινον ἐσθίειν τοσαῦτα τὸ πλῆθος, ὡς εἰς ὄγκον ἀρθῆναι τὴν γαστέρα τοσοῦτον ὅσον ἡλίκος ὡς μὴ αὐτὴν τοῦ θλίβειν τὸ πεπονθὸς, ἕδρα τε καὶ στήριγμα γενήσεται ταῖς πλευραῖς.

Ἔξωθεν δὲ φαύλη ἐπίδεσις τοῖσι τοιούτοισιν ἀρκέει, κηρωτῇ καὶ σπλήνεσι, καὶ ὀθονίοισιν ἡσύχως ὑπερείδοντα, ὁμαλὴν τὴν ἐπίδεσιν ποιέεσθαι, ἢ καὶ ἐριώδεές τι προσεπιθέντα. κρατύνεται δὲ πλευρὴ ἐν εἴκοσιν ἡμέρῃσι. ταχεῖαι γὰρ αἱ ἐπιπωρώσιες τούτων τῶν ὀστέων.

Φαύλην ἐπίδεσιν εἶπεν, ὥσπερ καὶ δίαιταν τὴν ἐπιτυχοῦσαν, ἥτις ἐστὶν ἐναντία τῇ ἐπιμελῶς γενομένῃ.

Ἀμφιθλασθείσης δὲ τῆς σαρκὸς, ἀμφὶ τῇσι πλευρῇσιν, ἢ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ ὑπὸ ἀντερείσιος, ἢ ἄλλου τινὸς τοιουτοτρόπου, πολλοὶ ἤδη πολὺ αἷμα ἔπτυσαν.

Μέμνηται καὶ τούτου τοῦ λόγου διὰ τοὺς οἰομένους ἐν ταῖς πλευρίτισιν ἐξ ἀνάγκης ἀναγκαῖον, τινὰ τῶν λοβῶν τοῦ πνεύμονος πάσχειν, καὶ συναπτόμενόν γε τοῦτον φασὶ τῇ φλεγμαινούσῃ πλευρᾷ, διιδύναι τι τοῦ κατὰ τὴν φλεγμονὴν ἰχῶρος. ἐν τῷ πνεύμονι γὰρ οὐδὲν πνεύμονος πεπονθότος, ἀλλὰ τῆς διαθέσεως τῇ πλευρᾷ γενομένης, πτύειν φησὶν ἐνίους αἷμα. πῶς μὲν οὖν γίγνεται τοῦτο, ζητεῖν ἔξεστιν ἐπὶ σχολῆς, ἡμῖν τε βασανιζομένοις τὸ ζήτημα κατά γε τὸ περὶ αἵματος ἀναγωγῆς Ἐρασιστράτου βιβλίον. ἐξαρκεῖν δὲ δεῖ νῦν αὐτὸ τοῦτο μόνον ἐγνωκέναι, τὸ χωρὶς τοῦ παθεῖν τι τὸν πνεύμονα πτύειν ἐνίους αἷμα, διὰ τὸ κατὰ τὰς πλευρὰς πάθος. ἐθεασάμεθα δὲ κἀπὶ τῶν ἄλλων πολλάκις ἀτρώτου τοῦ περικειμένου τῷ κατάγματι δέρματος ὄντος, ἐκχεόμενον αἱματώδη χυμὸν, διὰ τοῦ τοσοῦτον πληρῶσαι τοὺς ἐπιδέσμους. καίτοι πολλῷ πυκνότερον ἐστὶ τὸ παρὰ τοῖς κώλοις δέρμα τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὥστε οὐδὲν θαυμαστόν ἐστιν διὰ ἐκείνου ξυνιέναι πρὸς τὴν ἐκτὸς χώραν ἐκ τῆς πεπονθυίας πλευρᾶς. εἶτ᾽ ἐντεῦθεν εἰς τὰ βρόγχια τοῦ πνεύμονος ἀναληφθῆναι κατὰ τὰς ἐκπνοὰς, ὥσπερ ὁρῶμεν ἐπὶ τῶν συντρωθέντων τὸν ὑμένα τοῦτον. ὅ, τι γὰρ ἂν ἐκχέῃς εἰς τὸν θώρακα διὰ τοῦ τραύματος, ἀναβήσεται τοῦτο τὸ παράχυμα διὰ τοῦ στόματος, καὶ διὰ τοῦτο Ἐρασίστρατος οὐκ ἐννοήσας, εἰς ἀτόπους ἐνέπεσε λόγους ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ὧν τὴν κακίαν ἐμάθετε, διερχομένου μου πολλάκις ἀκούσαντες ἐπ᾽ αὐτοῦ τοῦ συγγράμματος.

Οἱ γὰρ ὀχετοὶ οἱ κατὰ τὸ λαπαρὸν τῆς πλευρῆς ἑκάστης παρατεταμένοι, καὶ οἱ τόνοι ἀπὸ τῶν ἐπικαιροτάτων τῶν ἐν τῷ σώματι τὰς ἀφορμὰς ἔχουσι. πολλοὶ γοῦν ἤδη βηχώδεες, καὶ φυματίαι, καὶ ἔμπυοι ἐγένοντο, καὶ ἔμμοτοι, καὶ ἡ πλευρὴ ἐπεσφακέλισεν αὐτοῖσιν. ἀτὰρ καὶ οἷσι μηδὲν τοιοῦτον προσεγένετο, ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν, ὅμως δὲ βραδύτερον, ὀδυνώμενοι παύονται οὗτοι, ἢ οἷσιν ἂν ἡ πλευρὴ κατεαγῇ, καὶ ὑποστροφὰς μᾶλλον ἴσχει ὀδυνημάτων τὸ χωρίον ἐν τοῖσι τοιούτοισι τρώμασι. μάλα μὲν οὖν μεθεξέτεροι καταμελέουσι τῶν τοιούτων σινέων, μᾶλλον ἢν πλευρὴ κατεαγῇ αὐτοῖσιν.

Ὀχετοὺς μὲν εἶπεν, τὰς ἀρτηρίας δηλονότι καὶ τὰς φλέβας. λαπαρὸν δὲ τῆς πλευρᾶς ἑκάστης τὸ μεταξὺ τῶν ὀστῶν, καθ᾽ ἃ καὶ οἱ μεσοπλεύριοι μύες εἰσὶ, τόνους δὲ, δηλονότι τὰ νεῦρα. πεφυκέναι δέ φησιν ἀπὸ τῶν ἐπικαιροτάτων πάντα ταῦτα. διότι μὲν τῶν φλεβῶν τούτων ἡ ἀρχὴ πλησίον ἐστὶ τῆς καρδίας, ὥσπερ καὶ τῶν ἀρτηριῶν. τῶν δὲ νεύρων ἀπὸ τῶν κατὰ τὸν θώρακα νωτιαίων, κοινωνίας τινὸς οὔσης αὐτοῖς, καὶ πρὸς ἄλλην συζυγίαν νεύρων ἐξ ἐγκεφάλου καθηκόντων. τὰ δ᾽ ἐφεξῆς ὑπ᾽ αὐτοῦ γεγραμμένα, δῆλα τοῖς μεμνημένοις ἁπάντων τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων ὑπομνήμασιν.

Ἀτὰρ καὶ ἰητρὸς σκεθροτέρης οἱ τοιοῦτοι δέονται εἰ σωφρονοῖεν, τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλθαι ἀφλεγμαίνειν τῷ σώματι ὡς μάλιστα, ἀφροδισίων τε ἀπέχεσθαι.

Τὴν ἀκριβεστέραν ἀεὶ λέγει σκεθροτέραν, ἀντικειμένην τῇ φαύλῃ.

Βρωμάτων τε λιπαρῶν, καὶ κερχνωδέων, καὶ ἰσχυρῶν πάντων.

Ὅσα βρώματα τραχύνοντα τὸν φάρυγγα, βραχεῖαν βῆχα κινεῖ, κερχνώδη ταῦτα καλεῖ. τοῦτο δὲ ἕπεται τοῖς λιπαροῖς καὶ ὀξέσιν, καὶ δριμέσιν. ἰσχυρὰ δὲ λέγει σιτία τὰ δυσπεπτα. γέγραπται δ᾽ ἐν τοῖς ἀκριβέσι τοῖς ἀντιγράφοις τουτὶ τὸ τῶν κερχνωδέων διὰ τοῦ ν κατὰ τὴν δευτέραν συλλαβὴν, ἀπὸ γὰρ τῆς κέρχνου γέγονεν, οὕτως δὲ ὀνο

μάζουσι τὴν κέγχρον οἱ Ἴωνες, ὅταν αἴσθησις ἐν τῇ φάρυγγι τραχύτητος γίγνηται μικρῶν ὥσπερ κέγχρον. τὸ δ' ἐν τοῖς πρόσθεν, εἰ καὶ ἔλεγον τοὺς κατὰ τὸν πνεύμονα φύματα, καὶ χρόνια καὶ δυσπεπτα ἔχοντας, κεγχρώδεις γίγνεσθαι χωρὶς τοῦ ν γέγραπται. γεγονὸς ἀπὸ τοῦ κέγχρειν, ὅπερ αὐτὸ πάλιν γέγονεν ἀπὸ τοῦ ψόφου τοῦ συμβαίνοντος, ὅταν ἤτοι στενοχωρία ἤ τις περὶ τὰς ἀναπνευστικὰς ὁδούς, ἢ ὑγρότης πλείων, ὡς πολὺ δὲ συνιόντων ἀμφοῖν γίγνεται. καλοῦσι δ' ἔνιοι μὲν τοιαύτην ἀναπνοὴν δασεῖαν. διότι δὲ τῶν βῆχα κινούντων ἐδεσμάτων ἀπέχεσθαι κελεύει, πρόδηλόν ἐστιν, ἡσυχάζειν δεομένων ἁπάντων τῶν πεπονθότων μορίων, διὰ τοῦτο γοῦν καὶ σιγᾶν αὐτὸν πάλιν κελεύει. πρόδηλον δὲ καὶ περὶ τῶν ἄλλων ὅσα παραινεῖ φυλάττεσθαι, κίνησιν σφοδρὰν ἐπιφέροντα τῷ παντὶ σώματι. σὺν γὰρ τῷ ὅλῳ, καὶ τὸ μόριον κινεῖται.

Φλέβα τε κατ' ἀγκῶνα τέμνεσθαι, σιγᾶν τε ὡς μάλιστα. ἐπιδέεσθαι δὲ εἰς τὸ χωρίον τὸ θλασθὲν σπλήνεσι μὴ πολυπτύχεσι, συχνοῖσι δὲ, καὶ πολὺ πλατυτέροισι πάντῃ τοῦ θλάσματος, κηρωτῇ τε ὑποχρίειν, ὀθονίοισί τε πλατέσι, σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσι ἐπιδέειν, ἐρείδειν τε μετρίως, ὥστε μὴ κάρτα πεπιέχθαι φαίνεσθαι τὸν ἐπιδεδεμένον, μηδ' αὖ χαλαρόν. ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ θλάσμα, καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα.

Μέμνηται δὴ τούτου πρὸς τοὺς ἀξιοῦντας ἐπὶ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ μόνῃ φλεβοτομίαν ἡμᾶς παραλαμβάνειν. τούτων δέ ἐστι καὶ Μηνόδοτος ὁ ἐμπειρικός. ἐδείχθη δ' ἐν τῷ περὶ φλεβοτομίας γράμματι, κἂν τῷ περὶ πλήθους ὁ λόγος οὗτος ψευδὴς, ἐξ ἄλλων τέ τινων ἐλεγχθεὶς κἀκ τοῦ διὰ τοιαύτας πληγὰς γινομένας ἐν τισὶ μορίοισι τοῦ σώματος, ἐπὶ φλεβοτομίαν ἥκειν ἡμᾶς, εἰ καὶ μὴ πληθωρικοὶ τύχοιεν οἱ πεπληγότες ὄντες, ὅτι τε μὴ φλεβοτομηθέντων αὐτῶν αἱ φλεγμοναὶ μέγισται γίγνονται, καὶ δηλονότι ταύταις ἑπομένοις συμπτώματα ἀκολουθεῖ.

Τὴν δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδέειν τε, ἵνα μὴ περιρρεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρέας ἔῃ, ἀλλ' ἰσόρροπον, ἐπιδέειν δὲ, ἢ καθ' ἑκάστην ἡμέρην, ἢ παρ' ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ ὅσον κενώσιος εἵνεκεν τοῦ σιτου, καὶ ἐπὴν μὲν δέκα ἡμέρας ἰσχναίνειν, ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἁπαλῦναι.

Χαλαρὸν ἐπὶ τῶν πλευρῶν ἐστι τοῖς πλείστοις τὸ δέρμα, καὶ μάλιστ' ἂν παχεῖς τύχωσιν ὄντες, ἢ κατ' αὐτὴν ὃν ἐπλήγησαν καιρόν. καί φησι τούτους οὖν [φημὶ ἐγὼ] δεῖσθαι μάλιστα τῶν ἄλλων ἀπὸ δυοῖν ἀρχῶν ἐπιδεῖσθαι. περιτρέπεται γὰρ αὐτῶν τὸ δέρμα κατὰ τὴν τῆς ἐκ μιᾶς ἀρχῆς ἐπίδεσιν. ἐκ περιουσίας δὲ καὶ τοὺς παχεῖς τούτους ἐπιδέων, οὐδὲν βλάψεις, καὶ μάλιστα ὅταν ἡ θλάσμα πλησίον τῆς μασχάλης, ἐν ταύτῃ γὰρ ἀεὶ χαλαρόν ἐστι.

Τῇ δὲ ἐπιδέσει ἐς ἂν μὲν ἰσχναίνῃς, ἐρηρεισμένῃ μᾶλλον χρέεσθαι. ὁκόταν δὲ ἐς τὸν ἁπαλυσμὸν ἄγῃς, ἐπιχαλαρωτέρῃ. καὶ ἢν μὲν αἷμα ἀποπτύσῃ κατ' ἀρχάς, τεσσαρακονθήμερον τὴν μελέτην, καὶ τὴν ἐπίδεσιν ποιέεσθαι χρή. ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκέει εἴκοσιν ἡμέρῃσιν ἡ μελέτη, ὡς ἐπὶ τὸ πολύ. τῇ ἰσχύϊ δὲ τοῦ τρώματος, τοὺς χρόνους προσεκμαίρεσθαι χρή.

Τοῦτο κοινὸν ἁπάντων καταγμάτων ἐστὶ, καὶ λέλεκταί μοι πρόσθεν ἡνίκα τὸ περὶ ἀγμῶν ἐξηγούμην, καὶ ἄλλα πολλὰ τῶν νῦν λεγομένων ὑπ' αὐτοῦ. ἐκείνων οὖν ὑμᾶς χρὴ μεμνῆσθαι μᾶλλον, οὐκ ἐμὲ λέγειν ἀξιοῦν πολλάκις ταῦτα.

Ὅσοι δ' ἂν ἀμελήσωσι τῶν τοιουτέων ἀμφιθλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτοῖσι φλαῦρον μεῖζον γένηται, ὅμως τόγε χωρίον ἀμφιθλασθὲν, μυξωδεστέρην τὴν σάρκα ἴσχει ἢ πρόσθεν εἶχεν. ὅκου δέ τι τοιοῦτον ἐγκαταλείπεται, καὶ μὴ εὖ ἐξιποῦται τῇ γε ἀλθέξει. φαυλότερον μὲν ἢν παρ' αὐτὸ τὸ ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες, οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου, τό, τε ὀστέον νοσηλότερον γίνεται, σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιουτέων προφασίων ἐγένοντο.

Μυξῶδες ὑγρὸν εἰώθεν ὀνομάζειν, τὸ γλίσχρον τε καὶ λευκόν. ἀθροίζεται δὲ τοῦτο παρὰ τοῖς ἐναίμοις μέρεσιν ὀστοῖς καὶ χόνδροις, ὅταν ἀδυνατήσῃ καλῶς κατεργάσασθαι τὴν τροφὴν ἐν αὐτοῖς ἡ φύσις. ἀπολείπεται γὰρ οἷον ἡμίπεπτόν τι, καθάπερ ἐν ὀφθαλμοῖς ὑμένες ἀπολείπωσιν, ὅταν ἀρρωστῶσι τὴν ὀνομαζομένην λήμην. ἀσθενεστέρα δὲ ἡ δύναμις, ἤτοι δι' οἰκείαν γίγνεται δυσκρασίαν, ἢ διὰ τὸ πλῆθος τῆς ἐπιρρυείσης ὑγρότητος, ὡς ἐν τοῖς παρὰ φύσιν ὄγκοις συμβαίνει. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

Ἀτὰρ καὶ ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ' αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ὅμως γοῦν ὑποστροφαὶ γίνονται, καὶ ὀδύναι ἄλλοτε καὶ ἄλλοτε. ἤν τι τῷ σώματι τύχῃ πονήσας, διὰ τοῦτο τῇ ἐπιδέσει δέεσθαι χρὴ, ἅμα μὲν ἀγαθῇ, ἅμα δὲ πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν καὶ

ἀναποθῇ τοῦτο τὸ ἐκχύμωμα τὸ ἐν τῇ θλάσει γινόμενον. αὐξηθῇ δὲ σαρκὶ ὑγιεῖ τὸ χωρίον, αὔξεται δὲ τοῦ ὀστέου ἡ σάρξ.

Μυξώδης ἡ σάρξ, οὐ κατὰ τὸν ἑαυτῆς γίγνεται λόγον, καὶ ὅσα τῶν μορίων ἐστὶν ἔναιμα. τὸ γὰρ ἴδιον περίττωμα ἑαυτῆς τοιοῦτον ἐστίν, οἷον ἔν τε ταῖς ῥευματικαῖς διαθέσεσι φαίνεται, καὶ τοῖς ἠπατικοῖς διαχωρήμασι. διὸ καὶ συνεχῶς μὲν τοῖς ὀστοῖς, καὶ τοῖς χόνδροις, καὶ ὑμέσι πάσχουσι, τὸ μυξῶδες ὑγρὸν ἀθροίζεται. σπανίζεται δὲ ἐν ταῖς σαρξίν, ἡ γὰρ πρὸς τὰ τοιαῦτα μόρια κοινωνία, ἢ διὰ τὸν ἐπιρρέοντα χυμὸν ἱκανῶς, ὅταν φλεγματῶδες μυξῶδες ἐν αὐτῇ ὑγρὸν συνίσταται. πρόδηλον δ' ὅτι δυσκινητότατος ἐστὶν ὁ τοιοῦτος χυμός, οὔτε τῶν αἰονήσεων, οὔτε τῶν καταπλασμάτων, οὔτε τῶν φαρμάκων ἐπισπᾶσθαί τε καὶ διαφορεῖν αὐτὸν δυναμένων. οὐδὲν γὰρ οὐδ' ἄλλων, πρὶν ἀκριβῶς λεπτῦναί τε καὶ εἰς ἀτμὸν διαλῦσαι δύναται κενοῦν. ἐπεὶ τοίνυν ὁ γλίσχρος χυμὸς † εἰς ἀτμοὺς διαλύεται, διὰ τοῦτο ἐστὶ δυσκίνητος. ὅπου δ' ἂν ἐγκαταληφθῇ τι τοιοῦτον τὸ περιττόν, ἐνοχλεῖται μόριον ἐπὶ βραχείαις προφάσεσι, διὰ τὴν ἀδυναμίαν ἑτοίμως δεχόμενον, ὅτι ἂν ἐν τῷ ἄλλῳ σώματι περιττόν, ἤτοι κατὰ τὸ ποιόν, ἢ κατὰ τὸ ποσὸν ἀθροισθῇ.

† οὐκ εὐχερῶς εἰς ἀτμοὺς

Οἷσι δ' ἂν ἀμεληθεῖσι χρονιωθῇ, καὶ ὀδυνῶδες τὸ χωρίον γένηται, καὶ ἡ σὰρξ ὑπόμυξος ἔῃ, τούτοισι καῦσις ἴησις ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ἄχρι τοῦ ὀστέου καίειν χρή, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν πλευρέων ἔῃ, ἐπιπολῆς μὲν οὐδ' οὕτως χρὴ καίειν, φυλάσσεσθαι μέντοι μὴ διακαύσῃς πέρην. ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ θλάσμα, καὶ ἔτι νεαρὸν ἔῃ, καὶ μή πω σφακελίσῃ τὸ ὀστέον, ἢν μὲν κατ' ὀλίγον ἔῃ, οὕτω καίειν χρὴ ὥσπερ εἴρηται. ἢν μέντοι παραμήκης ἔῃ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλείονας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς, ἅμα τῇ ἐμμότων ἰητρείῃ, εἰρήσεται.

Τὸν γλίσχρον χυμὸν ὅταν ἀδυνατήσωμεν ἐκδαπανῆσαι φαρμάκοις, ὑπόλοιπος ἴασις ἐστὶν ἡ διὰ τῶν καύσεων. ὅπως δ' αὐτὴν χρὴ ποιεῖσθαι, σαφῶς ἐδίδαξεν.

Περὶ μηροῦ ἐκπεσόντος ἰσχίου.

Ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ, ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πλειστάκις, ἐς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις, ἐς δὲ τὸ ὄπισθεν καὶ ἔμπροσθεν ἐκπίπτει μὲν, ὀλιγάκις δέ.

Ὁ τεθεαμένος ἰσχίου κοτύλην, οὐ δεῖται τὴν αἰτίαν ἀκοῦσαι παρ' ἐμοῦ, δι' ἣν εἴσω μὲν ἐκπίπτει πλειστάκις ὁ μηρός, ἐφεξῆς δὲ τῶν ἔξω. τὸ γὰρ τῆς κοτύλης βάθος, οὐκ ἔστιν ἴσον ἅπασι τοῖς μέρεσιν. ἔνθα δ' οὖν ὁ ὑμὴν ταπεινότερος, ἐνταῦθα ῥᾷον ἐξίσταται τὸ ἄρθρον.

Οἷσι μὲν οὖν ἂν ἐκβῇ ἐς τὸ εἴσω, μακρότερον τὸ σκέλος φαίνεται, παραβαλλόμενον πρὸς τὸ ἕτερον, διὰ δισσὰς προφάσιας εἰκότως. ἐπὶ μὲν γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον, τὸ ἄνω φερόμενον πρὸς τὸν κτένα, ἐπὶ τούτου ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου, ἐπὶ τῆς κοτύλης ὀχέεται, ἔξωθέν τε αὖ ὁ γλουτὸς κοῖλος φαίνεται, ἅτε εἴσω ῥευσάσης τῆς κεφαλῆς τοῦ μηροῦ.

Σχεδὸν ἅπαντας σαφῶς αὐτὸς οὕτως ἔγραψε τὰ κατὰ λόγον, ἀρχὴν αὐτὴν παραθέμενος, ὡς μηδένα δύνασθαι σαφέστερον εἰπεῖν. ἀλλὰ καὶ τὰς αἰτίας ὧν λέγει προστίθησιν αὐτός, ὥσθ' ὅπερ ἤδη πολλάκις εἶπον, ἐρῶ καὶ νῦν, εἴ τις προσέχοι τοῖς λεγομένοις, ἀκολουθήσειν αὐτοῖς, εἰ καὶ μὴ ἅπαξ ἀναγνούς, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον πάντως.

Τό, τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν, καὶ ἡ κνήμη καὶ ὁ πούς ὡσαύτως. ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδός, οἱ ἰητροὶ δι' ἀπειρίην, τὸν ὑγιέα πόδα πρὸς τοῦτον προσίσχουσιν, ἀλλ' οὐ τοῦτον πρὸς τὸν ὑγιέα, διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος.

Καὶ τοῦθ' ὅτι κοινόν ἐστιν ἁπάντων τῶν μεθισταμένων ὀστῶν, ἐπιδέδεικται πρόσθεν, εἰς τὸν ἀντικείμενον τόπον τῷ μεταστάντι πέρατι, ῥέποντος ἀεὶ θατέρου. καὶ νῦν οὖν μεταστάσης τῆς κεφαλῆς τοῦ μηροῦ, τὸ κατὰ γόνυ πέρας, εἰκότως εἰς τὴν ἐκτὸς χώραν ῥέπει.

Πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παρασυνέσιν ἔχει.

Ὅτι παρασύνεσιν οὐχ ἁπλῶς τὴν ἀπάτην, ἀλλὰ τὴν παρακειμένην τῷ ἀληθεῖ, καὶ διὰ τοῦτο πιθανήν, ὀνομάζειν εἴωθε, λέλεκταί μοι πρόσθεν. ἔστι δ' ἡ νῦν ἀπάτη λεγομένη, καθ' ἣν ἐν τῷ παραβάλλειν τὸ πεπονθὸς τῷ ὑγιεῖ παρὰ τὸ κατὰ φύσιν ἁμαρτάνουσι σχῆμα. δέον γὰρ ἀποτείνοντα κατ' εὐθὺ τοῦ ὑγιοῦς σκέλος, αὐτῷ παραβάλλειν τὸ πεπονθός, ἐναντίως πράττουσι τῷ πεπονθότι προσάγοντες τὸ ὑγιές.

Οὐδὲ μὴν οὐδὲ ξυγκάμπτειν δύναται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ κατὰ τὸν περίναιον ὑπερογκέουσα, εὔδηλός ἐστι. τὰ μὲν οὖν σημεῖα ταῦτά ἐστιν οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ ὁ μηρός.

Συγκάμπτουσι μὲν γάρ, ἀλλὰ μετ' ὀδύνης τε καὶ οὐ τελέως. αἴτιοι δὲ οἱ ἀντιτεταμένοι τοῖς κάμπτουσι τὸν μηρὸν μύες οἱ ὄπισθεν, οὐκ ἀκολουθοῦντες ἀλύπως ἄχρι τελέας κάμψεως, ἐπειδὴ πλείονος τοῦ κατὰ φύσιν ἕκαστοι ὑπομένουσι κατὰ τὰς ἐσχάτας καμπάς, ὅταν οὕτως ὁ μηρὸς ἐξαρθρήσῃ.

Οἷσι δὲ ἂν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ καταπορηθῇ καὶ ἀμεληθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ τοῖσι βουσὶ γίνεται, καὶ ὄχλησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι.

Μακροτέρου τοῦ πεπονθότος σκέλους κατὰ τὴν ἐξάρθρησιν γινομένου, ὁδοιπορίαν ἀναγκαῖόν ἐστι τοὺς οὕτω παθόντας ὁμοίως τοῖς βουσὶ ποιεῖσθαι, διότι κἀκεῖνοι χαλαρὸν ἔχουσι τὸ κατ' ἰσχίον ἄρθρον, ὡς αὐτὸς εἶπεν ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου. τάχα δ' οὐ μόνον ἐχρῆν τὸ χαλαρὸν τῆς διαρθρώσεως, ἀλλὰ καὶ τὴν ἀτονίαν αἰτιάσασθαι τῶν κινούντων αὐτὸ μυῶν. οὐ γὰρ εἰ ἦσαν εὔρωστοι ῥᾳδίως ἀνέκαμπτον τὴν διάρθρωσιν τῆς φθασάσης καμφθῆναι, τὸ περιφέρειν ἔξω τὸ σκέλος οὐκ ἦν ἀναγκαῖον. ἡ γάρ τοι βάδισις γίνεται τῶν σκελῶν ἑκατέρου παρὰ μέρος ἐστηριγμένου τε καὶ κινουμένου. ἡνίκα μὲν γὰρ τὸ ἀριστερὸν ἐστήρικται, τηνικαῦτα τὸ δεξιὸν ἐκ τῶν ὀπίσω μερῶν εἰς τὸ πρόσω φέρομεν. ἡνίκα δὲ τοῦτο πρόσωθεν ἐστηρίσαμεν, ἐπὶ τὸ ἕτερον μεταβαίνοντες ἐκεῖνο πάλιν ὄπισθεν πρόσω φέρομεν, εἶτ' αὖθις ἐν τῷ πρόσω τοῦτο στηρίξαντες, ἐπὶ τὴν τοῦ δεξιοῦ μεταβαίνοντες κίνησιν, ὀρθίου μὲν θατέρου τῶν σκελῶν ἐστηριγμένου κατὰ τῆς γῆς, ἀναφερομένου δὲ εἰς τὸ ὕψος τοῦ κινουμένου, μήτε κατὰ γόνυ, μήτε κατ' ἰσχίον πεφύκασι κάμπτεσθαι τὰ σκέλη. πάντως ἂν ἠναγκαζόμεθα, καθάπερ τι ξύλον ἑκάτερον αὐτῶν μεταφέρειν, ἀναφέροντες εἰς ὕψος ἄχρι τινός, καὶ κυκλοτερῶς περιφέροντες. ἐπεὶ δὲ κάμπτεσθαι δύναται κατ' ἀμφοτέρας τὰς διαρθρώσεις, ὑπεναντίως μὲν ἀλλήλοις, χρησίμως δὲ τῷ παντὶ σκέλει, διὰ τοῦτο βαδίζομεν ἄνευ τοῦ καταφέρειν αὐτὰ κυκλοτερῶς, ἢ ἀνατείνειν ὡς ξύλα. ἡ μὲν γὰρ κατὰ βουβῶνα διάρθρωσις, εἰς τὴν πρόσω χώραν ὑψοῖ τὸν μηρόν, ἡ κατὰ γόνυ δὲ εἰς τὴν ὀπίσω τὴν κνήμην, ὥστ' εἰ καὶ μακρότερον εἴη τοῦ κατὰ τὴν γῆν ἐστηριγμένου σκέλους τὸ μεταφερόμενον, οὐδὲν ἂν ἐδεήθησαν ἑλίττειν αὐτὸ κατὰ τὴν ἔξω χώραν, εἰ τοὺς μῦς εἶχον ἱκανῶς διὰ ταχέων ἑκατέραν τῶν διαρθρώσεων κάμπτειν. ἐπειδὴ δ' οἱ δι' ἀρρωστίαν οὐ δύνανται ἑτοίμως κάμπτειν, καὶ ὀδύνην οὐ βούλονται, καταλείπεται περιφέρειν αὐτὸ κυκλοτερῶς. οὐδὲν γὰρ οὐδ' ἀνατείνειν ἄκαμπτον, ὡς ξύλον οἷόν τ' ἐστὶ τοῖς ἀρρωστοῦσιν ἢ ὀδυνωμένοις μυσίν. ὅτι δὲ διὰ ταῦτα μᾶλλον ἢ προσγιγνόμενον μῆκος ὁδοιποροῦσι περιφοράδην, ἐκ τοῦ λεγομένου παραδείγματος ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους ἐναργῶς γνώσῃ. φησὶ γὰρ ἐφεξῆς, ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ ἐν κνήμῃ, κάρτα μὴ δύνανται ἐπιβαίνειν τῷ σκέλει πάντες, καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσι. τούτοις γὰρ ἄνευ τοῦ μεμηκύνθαι τὸ σκέλος ὁδοιπορεῖν οὕτως συμβαίνει διὰ τὴν γιγνομένην ὀδύνην, εἰ κάμπτοιεν τὰς διαρθρώσεις, μάλιστα μὲν τὰς κατὰ βουβῶνα καὶ γόνυ, καὶ τρίτην δ' ἐπ' αὐταῖς τὴν κατὰ τὸ σφυρόν, ἐπεὶ σιμοῦσθαι κατὰ τὴν διάρθρωσιν ταύτην ἄκρον τὸ σκέλος, ἀναγκαῖόν ἐστιν ἐν τῷ κατὰ φύσιν ὁδοιπορεῖν, ἀναφέρειν τε εἰς ὕψος ὅλον τὸν πόδα. προσκόπτον μὲν γὰρ εἰ τοῦτο γένοιτο, καὶ μάλιστα ἐν τοῖς ἀνωμάλοις ἐδάφεσι.

Καὶ ἀναγκάζονται κατὰ τὸν κενεῶνα, ἢ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκός, κυλλοὶ καὶ σκολιοὶ εἶναι.

Οὐχ ὅταν στηρίσαντες τὸ ὑγιές, κινῶσι καὶ μεταφέρωσι περιφοράδην τὸ ἐξηρθρηκός, ἀναγκάζονται σχηματίζειν οὕτως ἑαυτούς, ἀλλ' ὅταν ἐπὶ τοῦ πεπονθότος στηριζόμενοι μεταφέρειν τὸ ὑγιές. οὐ γὰρ ὑπερείδεται τῷ ὑπερκειμένῳ σώματι τὸ πεπονθὸς ὄρθιον, ὡς ὅθεν εἶχε κατὰ φύσιν ἐν εὐθείᾳ γραμμῇ, καθ' ὃ τὸ πρὸς τὸ ἔδαφος, ἀλλὰ λοξὸν ἐκ τοῦ βουβῶνος εἰς τὴν ἐκτὸς ἀπονεύει χώραν. ἐπ' ἐκείνην οὖν τὸ κατ' εὐθὺ τῷ πεπονθότι σκέλει μέρος τοῦ σώματος ἀποκλείουσιν, εἰς κίνδυνον ἀφικνούμενοι τοῦ περιτραπῆναι πρὸς τὴν ἐναντίαν χώραν, καὶ οὕτως συμβαίνει κατὰ τὸν κενεῶνα λαμβάνειν αὐτῶν τὸ σῶμα. κενεῶνα δὲ δηλονότι, καὶ τὸ μεταξὺ τοῦ τῆς λαγόνος ὀστοῦ, καὶ τῆς νόθου πλευρᾶς καλεῖ χωρίον, ὅπερ δὴ καὶ κενὸν ὀστῶν ἐστιν. δυνάμενον δὲ οὐδ' οὕτως τὸ πεπονθὸς σκέλος ὀχεῖν τὸ σῶμα, διά τε τὴν ἀσθένειαν καὶ τὸ σχῆμα βοηθείας δεῖται. ταύτην οὖν ἐπ' αὐτοῦ τοῦ πράγματος οἱ πάσχοντες διδασκόμενοι, πορίζουσιν αὐτὸ στηρίζοντες τῇ χειρὶ τὸ πεπονθὸς σκέλος. ἔνθα δὲ μάλιστα δεῖται κατ' ἐκεῖνον τὸν μηρόν, ἔξωθεν ἐρειδομένου τοῦ στηρίζοντος. καὶ τοῦτ' οὖν πάλιν αὐτοὺς ἀναγκάζον ἐπινεύειν εἰς τὴν τοῦ βεβλαμμένου σκέλους χώραν, αὐξάνει τὴν κατὰ τὸν κενεῶνα σκολίωσιν. εἰ γὰρ καὶ χωρὶς τοῦ ἔξω ῥέπειν τὸ σκέλος οὕτως τις αὐτὸν σχηματίσειεν, ὑφίσαρφος ὁ κενεὼν αὐτός.

Κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνοι, ἀπωθοίη ἂν τὸ σῶμα τὸ ἄλλο ἐς τὸ σιναρὸν σκέλος τὴν ὄχησιν ποιέεσθαι, τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν, πῶς γάρ; ἀναγκάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. οὕτω γὰρ ὀχέει μάλιστα τὸ σκέλος τὸ ὑγιές, καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος, καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος.

Ἐναλλάξας τὴν ἑρμηνείαν, ἀσάφειαν τινὰ βραχεῖαν εἰργάσατο κατὰ φύσιν. ἢ γὰρ οὕτω μᾶλλον εἰπεῖν ὡς ἐγὼ νῦν ἐρῶ, κατά γε τὸ ὑγιὲς ὁ γλουτὸς ἀναγκάζεται περιφορὴς εἶναι εἰς τὸ ἔξω, διὰ τὸ βαίνειν ἔσω τούτῳ τῷ σκέλει. εἰ γὰρ ἔξω βαίνει, ἀπωθοίη αὖ τὸ σῶμα. τὸ δ᾽ ἄλλο ἐπὶ σιναροῦ σκέλους τῇ ὀχήσει ποιεῖσθαι, ὅπερ ἐστὶν ἀδύνατον. οὕτως γὰρ ὀχεῖ μάλιστα τὸ σκέλος τὸ ὑγιὲς, ὡς προείρηται, τουτέστιν ὅταν ἔσω βαίνῃ τῷ ὑγιοῦς σκέλους ποδί. δυνήσεται γὰρ τὸ πᾶν ἐπ᾽ αὐτῷ στηρίζεσθαι δυσαποτρέπτως.

Κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα, καὶ κατὰ τὰ ἄρθρα μικροὶ φαίνονται, καὶ τῷ ξύλῳ ἀναγκάζονται ἀντερείδεσθαι πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος, δέονται γὰρ ἀντικοντώσιος ταύτῃ. ἐπὶ τοῦτο γὰρ οἱ γλουτοὶ ῥέπουσι, καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ τοῦτο.

Ἐπειδὴ τὸ πεπονθὸς σκέλος ἀδυνατεῖ βαστάζειν τὸ ὑπερκείμενον ἑαυτοῦ μόριον τοῦ σώματος, διὰ τοῦτο καὶ τὸ σκέλος μὲν ὅλον τὸ ὑγιὲς ὑπερείδουσιν ἐσωτάτω, καὶ αὐτοὶ δὲ ῥέπουσιν ἐπ᾽ αὐτῷ παντὶ τῷ σώματι. συμβαίνει γοῦν αὐτοὺς ἑτεροκλινεῖς γινομένους, περιτραπῆναι κινδυνεύειν ἐπὶ τἀναντία τοῦ πεπονθότος. ὥσπερ οὖν ὑπό τε ἐπ᾽ ἐκείνου στηριζόμενοι μεταφορὰν εἰς τὸ πρόσω, τὸ ὑγιὲς ἐστήριζον τοῦ πεπονθότος τῇ χειρὶ κινδυνεύοντος, ἐπ᾽ αὐτῷ περιτραπῆναι δεινῶς τὸ ὑγιὲς σκέλος ἐπὶ τὴν γῆν, καὶ διὰ τὸ ἐκείνων ἀφικνοῦνται βοηθείας.

Αναγκάζονται δὲ καὶ ἐπικύπτειν. τὴν γὰρ χεῖρα τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον.

Κἀνταῦθα πάλιν παρὰ τὴν ἀσάφειαν, ἣν εἰργάσατο μὴ προειπὼν ὅτι μεταβαίνει τῷ λόγῳ πρὸς ἕτερον καιρὸν βαδίσεως. ἄχρι μὲν γοῦν τὸν λόγον ἐποιεῖτο περὶ μέρους βαδίσεως, ἐν ᾗ τοῦ κατὰ φύσιν ἔχοντος σκέλους στηριζομένου κατὰ τῆς εἰς τὸ πρόσω μεταφορούσης τὸ πεπονθός. ὁ δὲ νῦν λόγος ἐστὶν ἐπὶ θατέρου μέρους τῆς βαδίσεως, στηριζόμενοι τῷ πεπονθότι μεταφέρουσι τὸ ὑγιές. εἴρηται δ᾽ ὀλίγον τὸ ὑγιὲς ἔμπροσθεν ἤδη περὶ τοῦδε τοῦ μέρους τῆς βαδίσεως.

Εν τούτοισι γοῦν τοῖσι σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν εἴσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμπέσῃ, οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου ὅπως ἂν ῥήϊστα ἐσχηματισμένον εἴη, ἀλλ᾽ αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥήϊστα αἱρέεσθαι. ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ, οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλει πάντες, καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσιν, ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλει.

Δυοῖν σχήμασιν ὄντοιν ἐν χρωμένων ἐν ταῖς ὁδοιπορίαις τῶν οὕτω πεπονθότων, εἰκότως εἶπεν ἐν τούτοισι ἐπ᾽ αὐτό, καὶ τῇ χειρὶ τὸν μηρὸν στηρίζοντες. ἕτερον δ᾽ ὅταν ἐπὶ τοῦ κατὰ φύσιν ἔχοντος ὅλοι πάλιν ἐπὶ τοῦτ᾽ ἐγκλινόμενοι, διὸ καὶ τοῦ κοντοῦ δέονται. διὸ οὖν ῥέπειν οὖν ἐπὶ τἀναντία συμβαίνει τὸ σῶμα, ποτὲ μὲν ἐπὶ τὸ δεξιὸν ἐγκλινόμενοι μέρος, ὅταν τῷ δεξιῷ ποδὶ στηρίζονται, ποτὲ δ᾽ ἐπὶ θάτερον, ὅταν θατέρῳ. καὶ ὅταν πρὸς τοῖς ἄλλοις ἔτυχεν ἀσχήμονι χρῆσθαι τῇ βαδίσει μᾶλλον τῶν ἐξαρθρησάντων ἑτέρων ἰσχίων, ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ.

Καὶ διστὰ κερδαίνουσι. δισσῶν γὰρ δέονται, τό, τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως, ἐπὶ τοῦ ἔξω ἀποβαινομένου ὥσπερ ἐπὶ τοῦ εἴσω. οὐδὲ γὰρ κατ᾽ ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑπερβαινομένου. κατ᾽ ἰθυωρίην γὰρ αὐτῷ γίνεται τὸ ἄχθος, ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ, καὶ τῇ μεταλλαγῇ τῶν σκελέων. ἐν τούτῳ τῷ σχήματι τάχιστα ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος, ἢν τῷ μὲν σιναρῷ ἐξωτέρω βαίνοι, τῷ δὲ ὑγιεῖ ἐσωτέρω, περὶ οὗ νῦν ὁ λόγος, ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ τὸ σῶμα ἐς τὰ ῥήϊστα τῶν σχημάτων.

Ἐν τῷ περιφέρειν μὲν ἔξω, τὸ πεπονθὸς σκέλος. ἐρείδειν δὲ ἐνδοτάτω τοῦ ὑγιέος, τὸ διττὸν κέρδος αὐτοῖς γίγνεται, μήτε βαρύνεσθαι ποτὲ τὸ πεπονθὸς, ὑπερειδόμενον ὅλον τῷ σώματι, μήθ᾽ ὑπηρεσίαν αὐτοῦ πολυχρόνιον γίγνεσθαι, βραχύτατον διάστημα κινουμένου τοῦ ὑγιοῦς. κἂν γὰρ θελήσῃς ἀκριβῶς προσέχειν ἑκατέρου τοῦ χρόνου τῆς ἑκατέρου τῶν σκελῶν ὑπηρεσίας, οὐ διπλάσιον μόνον, ἀλλὰ καὶ τριπλάσιον εὑρήσεις γιγνόμενον. ὀλίγιστον μὲν γὰρ διάστημα, καὶ ταχείᾳ τῇ φορᾷ μόνῃ κινουμένου τοῦ ὑγιοῦς, πολὺ δὲ καὶ βραδείᾳ τοῦ πεπονθότος. εὔδηλον γοῦν ὁπόσῳ μείζων ἐστὶν ἡ κυκλοτερὴς ὁδοιπορία τῆς εὐθείας, εἰ καὶ τοῖς αὐτοῖς πέρασιν ἀμφότεραι χρῶνται.

Οσοισι μὲν οὖν μήπω τελειουμένοισιν ἐς αὔξησιν, ἐκπεσὸν μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρὸς, καὶ ἡ κνήμη, καὶ ὁ πούς, οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τὰ τοῦ μηροῦ.

Ἔλαττον γίγνεται φησὶν ὅλον τὸ σκέλος, οἷς ἐξάρθρος οὔπω ὅλως ὁ μηρὸς αὐξανόμενος, ἔτι τε κοινὸν αὐτὸ τῶν ἄρθρων ἐστὶν, ὥσπερ καὶ πρόσθεν εἶπον. ἀλλὰ νῦν γε τοῦ κοινοῦ τὴν αἰτίαν ἔγραψεν, ὡς εἴωθεν ἅπαξ που μεμνῆσθαι τοῦ κοινοῦ καθ᾽ ἕν τι τῶν ἐν μέρει. διὰ τοῦτο γάρ φησιν ἀναυξὲς καὶ ἄτροφον αὐτοῖς γίγνεσθαι τὸ σκέλος, ἅμα μὲν διὰ τὴν στέρησιν τῆς χώρας τοῦ ἄρθρου, ἅμα δὲ, ὅτι ἀδύνατον χρῆσθαι ἐστίν. ἐγὼ δ᾽ ἐν τοῖς ἔμπροσθεν ἔφην τῶν μορίων, καὶ τὴν αἰτίαν ἀργίαν εἶναι. γίγνεται δὲ ἄμφω διὰ τὴν ἐξάρθρησιν, ὥστ᾽ οὐκ οἶδ᾽ ὅπως Ἱπποκράτης εἰπὼν

εἶναι

εἶναι τὴν ἐξάρθρησιν, ἐφεξῆς ἐπήνεγκε τὴν ἀργίαν. ἡ γὰρ ἐξάρθρησις, οὐ πρώτως ἀτροφίαν ἐργάζεσθαι πέφυκεν, ἀλλὰ διὰ μέσης διαστροφῆς τῶν ὀργάνων καὶ τῆς ἀργίας.

Ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον, καὶ ἐκτεθηλυσμένον, καὶ λεπτότερον γίνεται, ἅμα μὲν διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρέεσθαι ἐστὶν, ὅτι οὐ κατὰ φύσιν κέεται.

Τῆς ὅλης τῶν μηρῶν οὐσίας, μόρια εἰσὶν αἱ σάρκες, ὡς ἐθεάσασθε πολλάκις ἐν τῇ τῶν μυῶν ἀνατομῇ, δεικνύοντός μου τὰ τῆς αἰσθήσεως αὐτῶν αἰσθητὰ στοιχεῖα δύο ὄντα, τάς τε νευρώδεις ἶνας, καὶ τὰς ἔξωθεν αὐταῖς περιπηγνυμένας σάρκας. ὅταν οὖν τις ἐκ γυμνασίων καὶ τρίψεων ἰσχυρότερος ἑαυτοῦ γένοιτο, τὴν μὲν τῶν ἰνῶν οὐσίαν εὐτροφωτέραν ἔχει, τὴν δὲ τῶν σαρκῶν ἐλάττονα μὲν, ἰσχυροτέραν δέ. τοῖς δὲ ἀγυμνάστοις καλουμένοις, πολλὰ τοὐναντίον συμβαίνει τῶν ἰνῶν ἰσχνῶν οὐσῶν, πολλὴν μὲν, ἀλλὰ μαλακὴν δι᾽ ὑγρότητος γίγνεσθαι. προσέοικε γὰρ ἡ τοιαύτη σὰρξ τοῖς ἐπιπηγνυμένοις τυροῖς, ὥσπερ ἡ τῶν γυμναστικῶν τοῖς ἀκριβῶς ἤδη πεπηγόσι, διὸ καὶ φαίνονται μὲν τούτοισιν οἱ μύες σκληροὶ καὶ νευρώδεις, καὶ περιγραφὰς ἔχοντες. τοῖς δ᾽ ἀγυμνάστοις μαλακοὶ καὶ σαρκώδεις, ἤτοι δ᾽ οὐδ᾽ ὅλως, ἀλλ᾽ ἀμυδρῶς φαινόμενοι ἐμφαίνοντες τὰς ὑπογραφάς, διὰ τοῦτ᾽ οὖν εἰπὼν ὁ Ἱπποκράτης, τὸ σκέλος τούτοις ἄσαρκον γίγνεσθαι. γινώσκων δὲ καὶ τοῖς ἐκ γυμνασίων πλειόνων τοιοῦτον γινόμενον, ἐπήνεγκε τὸ καὶ ἄσαρκον καὶ ἄμυον, ἐν ἴσῳ τὸ τὰς περιγραφὰς οὐκ ἔχον αἰσθητὰς μυῶν. οὐ γὰρ δὴ παντάπασι καὶ διαφθείρεταί τις αὐτῶν μῦς, ἀλλὰ ὥσπερ ἄφλεβον σῶμα λέγομεν, τὸ μὴ φαινομένας ἔχον τὰς φλέβας, οὕτως καὶ ἄμυον ἐν ᾧ παντάπασιν ἀφανεῖς εἰσιν αἱ περιγραφαὶ τῶν μυῶν. ἔτι δὲ σαφέστερον ἐνδείξασθαι βουλόμενος, ὁποία τις ἡ τοῦ σκέλους αὐτοῖς ἰδέα γίγνεται, προσέθηκε τὸ ἐκτεθηλυσμένον, ὅπερ ἐστὶν ὑγρὸν καὶ μαλακόν, καὶ μὴ σφιγγὸν καὶ διαρρέον, ὁποῖον αἱ γυναῖκες ἔχουσιν. ἅπαντα γὰρ ταῦτα προσηκόντως ἄν τις εἴποι κατὰ τῆς τῶν γυναικῶν σαρκός, ἀφ᾽ ἧς κατὰ μεταφορὰν ἐποιήσατο ἐκτεθηλυσμένον ὄνομα. τὸ δὲ λεπτότερον ἐπὶ τῆς τελευτῆς τοῦ λόγου προσέθηκεν, ἐνδεικνύμενος ἁπάντων τῶν κατ᾽ αὐτὸ μορίων τὴν μείωσιν, ὅπερ ἐν ἀρχῇ τῆς ῥήσεως εἶπε γίγνεσθαι. τὸ μὲν ἄσαρκον ἐπὶ τῆς κατὰ σάρκα ἐνδείας μόνης λέγεται, τὸ γίνεσθαι δὲ τὸ σκέλος, ἐπὶ πάντων τῶν μορίων ἐλαττόνων γιγνομένων.

Χρῆσις γὰρ μετεξετέρη ῥύεται τῆς ἄγαν ἐκθηλύνσιος, ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξήσιος. κακοῦνται μὲν οὖν μάλιστα, οἷσιν ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον. δεύτερον δέ, οἷσιν ἂν ὡς νηπιωτάτοισιν ἐοῦσιν, ἥκιστα δὲ τοῖσι τετελειωμένοισιν. τοῖσι μὲν οὖν τετελειωμένοισιν, εἴρηται οἵη τις ὁδοιπορίη γίνεται, οἷσι δ᾽ ἂν νηπίοισιν ἐοῦσιν, ἡ ξυμφορὴ αὕτη φαίνεται.

Ἔνεστιν ἡ μὲν παρ᾽ Ἡρόδοτον μάλιστα μαθεῖν, οὐδὲν πλέον σημαῖνον παρὰ τοῖς Ἴωσι τὸ μετεξετέρην, τῆς παρ᾽ ἡμῖν, ἑτέρην. πολλάκις γὰρ αὐτῷ κέχρηται, καθάπερ καὶ τὸ μετεξέτερον. δῆλον οὖν καὶ διὰ τοῦτο πάλιν ὅπερ ἡμῖν διὰ τοῦ τινὲς μὲν εἰ καὶ νῦν οὖν οὐ καὶ μετεξετέρου τοιοῦτον τὸ δῆλον. προειρηκὼς γὰρ ὅτι διὰ τὴν ἀργίαν αὐτοῖς τὸ σκέλος γίγνεται, καὶ τάχα τινὰ παρακοῦσαι νομίσας, ὡς ἅπασαν χρῆσιν τῶν μορίων οὐ προ   εἶναι φησὶ πᾶσαν, ἀλλά τινα ἐργάσασθαι λέγει τὴν σύμμετρον δηλονότι, καθάπερ καὶ τἆλλα πάντα καθ᾽ ὅλην τὴν ὑγιεινὴν δίαιταν, ὡς ἐν ἄλλοις τέ τισιν ὑπ᾽ αὐτοῦ λέλεκται τοῦτο, καὶ δι᾽ ἑνὸς κεφαλαίου ἐν τῷ τῶν ἐπιδημιῶν ἕκτῳ ἔνθα φησί, πόνοι σιτία ποτὰ ὕπνοι, ἀφροδίσια πάντα μέτρια. * » »

Οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλακεύουσι δὲ ἔνιοι τὴν ἐπὶ τὸ ὀρθὸν ὁδοιπορίην, καὶ οἷσιν ἂν τετελειωμένοισιν αὕτη ἡ ξυμφορὰ γένηται. ὁκόσοι δ᾽ ἂν νήπιοι ἐόντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι, ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν ὑγιεῖ σκέλει χρέονται ἐπὶ ὀρθόν, †ἐπὶ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρουσι. μετεξέτεροι δέ, καὶ ὑπ᾽ ἀμφοτέρας τὰς χεῖρας, τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσι. †ὑπὸ

Τοῖς μὲν ἤδη κεκρατυσμένοις τὰ κῶλα, τοιαύτης συμφορᾶς γιγνομένης, γίγνεται χρῆσθαι τῷ σκέλει χωλεύοντι. τοῖς δὲ μικροῖς πάνυ παιδίοις, ἀλλ᾽ εἰ καὶ κατὰ φύσιν ἔχοι, καὶ χρῆσθαι πῶς καλῶς δύναιτο τοῖς σκέλεσι, ῥαθυμία τις ἐγγίγνεται περὶ τὴν τοῦ κώλου ἐνέργειαν, καὶ διὰ τοῦτο καταβλακεύουσιν ὀρθοῦσθαι, τουτέστιν ἀμελοῦσι καὶ καταρραθυμοῦσι. καί τι θαυμαστόν, εἰ καὶ αὐτὰ καταφρονεῖ τοῦ διαναστάντος κωλύειν ὀρθά, καὶ τῶν ἤδη τελειουμένων ἐνίοτε μὴ τολμώντων ὀρθῶς χωλεύειν, ἀλλ᾽ ὡς εἴρηκεν αὐτὸς εἰλουμένων ἐπὶ τὸ ὑγιὲς σκέλος. ἐνεδείξατο δὲ σαφῶς αὐτῶν καὶ τὸν τρόπον τῆς κινήσεως, ὁποῖός τις γίγνεται, διὰ τοῦ εἰλέονται ῥήματος.

Καὶ τοσούτῳ ῥήϊους εἰσίν, ὅσῳ ἂν αὐτοῖσιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ᾖ.

Ῥηΐους εἴρηκε τοὺς ἑτοιμότερον βαδίζοντας, ὅπερ αὐτοῖς συμβαίνει, βραχέος ὄντος τοῦ μήκει τοῦ σιναροῦ σκέλους. οὐ γὰρ δέονται μεταφέρειν ἑλίσσοντες αὐτό, καθάπερ οἷς τελείοις οὖσιν ἔξαρθρον ἔμελλε, μακρότερον ἐπὶ τοῦτο διὰ τὴν ἔκπτωσιν γινόμενον εἰς ἀνάγκην αὐτοὺς ἄγειν, τῆς ὑπ᾽ αὐτοῦ λεγομένης ὄπισθεν ὁδοιπορίας περιφοράδην γινομένης.

Τὸ δὲ ὑγιὲς, ἰσχύει αὐτέοισιν οὐδὲν ἧσσον, ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν.

Εἰκότως τοῦτ' εἶπε, χρῶνται γὰρ εἰκότως τῷ ὑγιεῖ παραπλησίως, ἢ εἰ καὶ ἀμφότερα ὑγιεινὰ ἦν. ἅτε οὖν τὴν αὐτὴν ἔχοντες αὐτὰ χρῆσιν, ἣν καὶ περὶ φύσιν ἀμφοῖν διακειμένων εἶχον, ὁμοίως εὐτροφοῦσι καὶ ῥωμαλέως χρῶνται.

Θηλύνονται δὲ πᾶσι τοῖσι τοιούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δ' ἔτι θηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος, ἢ αἱ ἐκ τοῦ εἴσω ὡς ἐπὶ τὸ πολύ. μυθολογοῦσι δέ τινες, ὅτι αἱ ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν αὐτίκα νήπιον ἐὸν, ἐξαρθρέουσιν, αἱ μὲν κατὰ γούνατα, αἱ δὲ κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο, καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρρεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτίης ἔργα, ἢ χαλκείης, ἢ ἄλλο τι ἑδραῖον ἔργον. εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα. ὅτι δὲ γίνοιτο ἂν τοιαῦτα οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα.

Πᾶσι μᾶλλον θηλύνονται φησὶν αἱ ἔξω τοῦ ἄρθρου σάρκες ἢ ἔσω, εἰ εἰς τὴν ἐντὸς χώραν μεταστῇ, διὸ καὶ μᾶλλον ἀργεῖ τ' αὐτὸ τὸ μέρος. εἰ γὰρ καὶ παρὰ φύσιν, ἀλλ' ὅμως γίγνονταί τινες κινήσεις εἰς τὴν κεφαλὴν τοῦ μηροῦ κατὰ τὰ ἔνδον ἐστηριγμένα μέρη.

Κατὰ μὲν οὖν τὰ ἰσχία, μέζον τὸ διάφορόν ἐστιν ἐς τὸ εἴσω ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι. κατὰ γούνατα δὲ, διαφέρει μέν τι, ἔλασσον δέ τι διαφέρει. ῥόπος δὲ ἑκατέρου τοῦ χωλώματος ἴδιός ἐστι. γνυοῦνται γὰρ μᾶλλον, οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ. ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷσιν ἂν ἐς τὸ εἴσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ καὶ εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίνονται, ἑστάναι δὲ δύνανται. ἢν δὲ ἐς τὸ εἴσω μέρος ἐξαρθρήσῃ, βλαισοὶ μὲν γίνονται, ἧσσον δὲ ἑστάναι δύνανται.

Τὸ κυλλὸν ὄνομα τινὲς μὲν ἅπασαν διαστροφὴν κώλου φασὶν δηλοῦν, γενικόν τι σημαινόμενον ὑποτιθέντες αὐτῷ. τινὲς δὲ τὴν τοιαύτην μόνην διαστροφὴν δηλοῦσθαι φασὶν, ἐν ᾗ πρὸς τὴν ἔσω χώραν ἡ ῥοπὴ γίνεται τοῦ κώλου. τούτου γὰρ συμβάντος, ἀναγκαῖον ἐστὶ τὸ ἄκρον αὐτοῦ, τουτέστι πρὸς πόδα, πρὸς τὴν ἔσω χώραν, ὅπερ εἰς τὸ τῆς στάσεως ἑδραῖον, οὐ μικρὰ συντελεῖ, ὥστε καὶ αὐτῶν τῶν κατὰ φύσιν ἐχόντων τῶν ῥαιβῶν, ἢ ῥοικῶν ὀνομαζομένων, ἀσφαλέστερον δὲ καὶ δυσανατρεπτότερον ἵστασθαι τῶν ἀκριβῶς ἐχόντων τὰ σκέλη ὀρθά. δηλοῦται δὲ τοῦτο κἀξ ὧν Ἀρχίλοχος εἶπεν, οὐ φιλέω μέγαν στρατηγὸν, οὐδὲ διαπεπηγμένον, ἀλλ' ὅς μοι φυσὶ μακρὸς εἴη, καὶ περὶ κνήμας ἰδεῖν ῥοικὸς, ἀσφαλέως βεβηκὼς ποσὶ, καρδίας πλέως, οὐ μὴν εἴς τε τὰ προκείμενα νῦν ἡμῖν ἡ ἀκρίβεια συντελεῖ, τῆς εὑρέσεως τοῦ σημαινομένου πρὸς τῆς κυλλὸν φωνῆς. ἐκ τοῦ λόγου πάντως γίνεται δῆλον, ὡς Ἱπποκράτης οὐκ ἄδηλός ἐστιν. ὅταν γοῦν εἰς τὴν ἐκτὸς χώραν μεταστῇ τὸ ἄρθρον, ἵστασθαι φησὶ δύνασθαι τούτους μᾶλλον, ἢ εἰ ὀπίσω μεταστάιη. κατὰ θάτερον γοῦν ὁ ποὺς γίνεται τῷ παντὶ σώματι, τοῖς ἔξω μετεστηκὸς ἔχουσι τὸ κατ' ἰσχίον ἄρθρον. ἀποκεχώρηκε δὲ τῆς εὐθυωρίας ἐκτὸς, οἷς ἐβλήθη τὸ σκέλος. ἴσμεν δὲ καὶ αὐτῶν τῶν ἀνθρώπων ὅσοι φύσει βλαισότεροι χεῖρον ἱσταμένους ἅπαντας, καὶ μήτε θεῖν ὠκέως δυναμένους, εὐανατρέπτους τε γινομένους, καὶ καταπίπτοντας ἑτοίμως ἐπὶ σμικραῖς προφάσεσι. ταύτην οὖν τὴν διαφορὰν τῶν πραγμάτων μεγίστην μὲν δύναμιν ἔχει ἐν τῷ ἰσχίῳ, δευτέραν δ' ἐν τῷ γόνατι, καὶ τρίτην ἐν τῷ σφυρῷ. κατὰ γὰρ τὸ μέγεθος δηλονότι τῆς διαρθρώσεως, καὶ τὸ τῆς βλάβης ἕπεται μέγεθος. ἐκ τούτων οὖν δῆλον ὡς ἄμεινον ἵστανται, καὶ βαδίζουσιν οἷς εἰς τὴν ἔξω χώραν ὤλισθεν ἡ κεφαλὴ τοῦ μηροῦ, περὶ ἧς ὀλίγον ὕστερον ἐρεῖ.

Ἡ γε μὴν ξυναύξησις τῶν ὀστέων τοιήδε γίνεται. οἷσι μὲν οὖν κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται. ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός εἰσι. τὰ δὲ τῆς κνήμης ὀστέα αὔξεται μὲν, οὐ πολὺ δὲ ἐνδεεστέρως. αἱ μέντοι σάρκες μινύθουσιν. οἷσι δ' ἂν κατὰ μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν. τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μὲν, ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα σῶον ἐστίν. εἰ δέ οἱ χρέεσθαι ἠδύναντο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθη τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον ἐξάρθρησις γένηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέντοι τῆς κνήμης ὀστέα, οὐχ ὁμοίως τούτοισιν ἀναυξέα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. διὰ τοῦτο δὲ, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ † κατὰ τὴν κνήμην, ἐν τῇ ἑωυτοῦ φύσει μένει, καὶ τὸ τῆς κνήμης τὸ παρὰ τὸν πόδα. σάρκες μέντοι μινύθουσι παντὸς τοῦ σκέλεος τούτοισιν. εἰ μέντοι χρέεσθαι τῷ σκέλει ἐδύναντο,

† παρὰ

ἔτι

ἔτι αὖ μᾶλλον τὰ ὀστέα ξυμμυξαίνεται, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, καὶ ἧσσον ἄσαρκα ἔη. ἀσαρκότερα δὲ πολλῷ ἢ ὑγιέα ἐστί. σημεῖον δὲ ὅτι τοιαῦτα ἐστίν. ὁκόσοισι γὰρ τοῦ βραχίονος ἐκπεσόντος, γαλιάγκωνες ἐγένοντο ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσει πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσι, τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος. διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ σώματός ἐστιν, ὥστε διὰ τοῦτο βραχύτερος γέγονεν. ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐνακούει τῆς ξυμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ πρὸ τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει, ἥ τε αὖ χεὶρ ἔτι τηλοτέρω ἄπεστιν, ἢ ὁ πῆχυς ἀπὸ τῆς ξυμφορῆς. διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων, τά τε μὴ συναυξόμενα, οὐ συναύξεται, τό, τε ξυναυξόμενον, ξυναύξεται. ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελήσει. ὅσα γὰρ χειρῶν ἔργα ἐστὶ, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τῆς ἀσινέος. οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα, καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα. ὅταν δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς, ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσιν αἱ σάρκες, διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρὸς, ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλει.

Σαφὴς οὗτός ἐστιν ἅπαξ ὁ ἐφεξῆς λόγος αὐτῷ, κεφάλαια μὲν ἔχων τῆς διδασκαλίας δὴ ταῦτα. τῶν ἐξεστηκότων τῆς οἰκείας ἕδρας ἄρθρων, τὰ μὲν ἐγγύτερον μᾶλλον ἀναύξη καὶ ἄτροφα γίγνεσθαι, τὰ δ' ἀπωτέρω ἧττον. ἐπὶ δὲ τῶν ἐξαρθρήσεων τοῦ μηροῦ πολὺ μᾶλλον ἤπερ ἐπὶ τῶν ἔξω, καὶ ἀναυξὲς καὶ ἄτροφον ἀποτελεῖται τὸ κῶλον, διότι καὶ χεῖρον οὖν οὗτοι κινοῦνται, καὶ μᾶλλον κωλύουσι. λέγει δὲ καὶ περὶ τῶν γαλιαγκώνων, οὕτω δ' αὐτὸν ὀνομάζειν τοὺς βραχὺν ἔχοντας τὸν βραχίονα ἔφην διὰ τὴν εἰς μασχάλην ἔκπτωσιν, ὅταν ἔτι αὐξανομένων τῶν σωμάτων τοῦτο πάθωσι. τούτους οὖν φησι τοὺς γαλιάγκωνας ἧττον βλάπτεσθαι τὴν ὅλην χεῖρα, βλαπτόμενον τὸ σκέλος ἅπαν, ὅταν ἐκπαλαίσωσι τὸ κατ' ἰσχίον ἄρθρον, ὅτι πολλὰ τῶν κατὰ τὸν βίον ἔργων ἱκανῶς διαπονοῦσιν, οὐ δυναμένων ὁμοίως τούτοις χρῆσθαι τῷ σκέλει, οἷς ἐξεπάλαισεν ἔσω τὸ κατ' ἰσχίον ἄρθρον.

Μαρτύριον δέ τι γὰρ ἔσται ἐν τοῖσιν ὀλίγον ὕστερον εἰρησομένοισιν, ὅτι ταῦτα τοιαῦτα ἐστίν.

Τίνα λέγει τοιαῦτα τὰ ἔμπροσθεν, καίτοι τὸ μαρτύριον ἐρεῖν ἐπαγγέλλεται, ὅτι καὶ τῶν παρὰ φύσιν ἐχόντων αὐτῶν τὰ μὲν ἧττον κινούμενα, μᾶλλον ἀναύξη καὶ ἄτροφα γίγνεται. ἐπηγγείλατο μὲν ὁ αὐτὸς δείξειν ὁ Ἱπποκράτης ἐπὶ τῶν ὀλίγον ὕστερον εἰρησομένων. ἐγὼ δ' ὅταν ἐπὶ τῶν λέξεων γένωμαι τούτων προελθεῖν, τηνικαῦτα ἀναμνήσω τοῦ λόγου.

Ὁκόσοισι δ' αὖ ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπ' ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν, ὡς ὅτε εἴσω ἐξέπεπτεν, ἀλλὰ παρ' ὀστέον παρεγκεκλιμένην τὴν φύσιν ἔχον. ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πληχάδα καλεομένην κοιλότερος καὶ ἀσαρκότερος γίνεται, ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίας. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα τῇ τοῦ μηροῦ κεφαλῇ. τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον, εἴσω ῥέπον φαίνεται, καὶ ἡ κνήμη καὶ ὁ πούς.

Περὶ τῆς δευτέρας διαφορᾶς τῶν εἰς τὸ ἰσχίον ἐξαρθρήσεων, ὁ λόγος αὐτῷ νῦν ἐστι τὰ φαινόμενα νοσήματα διηγουμένῳ, καὶ τὰς αἰτίας αὐτῶν προστιθέντι, καθάπερ ἐπὶ τῶν πασῶν ἐποίησεν, ἐμπειρικῆς διδασκαλίας οὔτε ἀπολιπὼν τι. σαφὴς δὲ καὶ οὗτος ὁ λόγος ἐστὶ σύμπας.

Ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημεῖα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσιν.

Καὶ τοῦτο γίνεται τῶν ὄπισθεν μυῶν ἀντιβαινόντων τῇ κάμψει, διὰ τὸ μὴ δύνασθαι μέχρι πλείστου τὴν ἔκτασιν ὑπομένειν ἐν τῷ τοιούτῳ σχήματι.

Οἷσι μὲν οὖν τετελειωμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος. ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς, τῷ δὲ στήθει τοῦ ποδὸς βαίνουσιν ἐπὶ τὴν γῆν. ὀλίγον δὲ ἐς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχέειν δὲ δύναται τὸ σῶμα, τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον, ἢ οἷσιν ἂν ἐς τὸ ἔσω μέρος ἐκπεπτώκῃ, ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυκὼς, ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται, ἅμα δὲ ἄκρος ὁ πούς, οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐγκεκλεῖσθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα, καὶ τείνει καὶ ἐσωτέρω.

Στῆθος ποδὸς εἴρηκε τὸ καλούμενον ὑπὸ τῶν ἀνατομικῶν πεδίον, ἔστι δὲ τοῦτο πρὸ τῆς τῶν δακτύλων ἀρχῆς. ἐπὶ γὰρ τῶν κατὰ φύσιν ἐσχηματισμένων ποδῶν, τὸ μέσον κοῖλον ἐστὶν, ὀπίσω μὲν ὁριζόμενον ὑπὸ τῆς πτέρνης πέρατι, κατὰ δὲ τὰ πρόσω, τῇ ἀρχῇ τοῦ πεδίου, ὥστε ἐπὶ μέντοι τῆς γῆς στηρίζεσθαι τὸν πόδα, διά τε τῆς πτέρνης, καὶ τοῦ πεδίου, καὶ τῶν ποδῶν, καὶ τὴν ἐν τῷ πέρατι τῶν δακτύλων ὑποκάτω σαρκὸς μετέωρον εἶναι. τὸ δ' ἄλλο πᾶν τοῦ ποδὸς, ὅσον ἐν τῷ μεταξὺ τῶν εἰρημένων μορίων ἐστὶ, πλὴν κατὰ τὸ ἔξω τοῦ ποδός ἐστιν, ἐνταῦθα γὰρ ὅλος ἐπὶ γῆς στηρίζεται. μοχθηρῶς δ' ἐνίοις διαπέπλασται τὰ κατὰ τοὺς πόδας οὓς ὀνομάζουσι λειόποδας, οὐκ ἔχοντας τὸ μέσον αὐτῶν ἔνδοθεν ὑψηλόν. ἀλλὰ τούτους μὲν οὐκ ἄλλως διαπεπλασμένους ὥσπερ καὶ τοὺς βλαισοὺς, οὐκ ἐν τῷ νῦν λόγῳ κατέλιπεν. παρακολούθησον δὲ τοῖς ἐφεξῆς εἰρημένοις, ἐξετάζων τὸν λόγον ἐπὶ τῶν κατὰ φύσιν ἐσχηματισμένων. οὗτοι γὰρ ἐπειδὰν μὲν μετρίως προβαίνουσιν, ἐρείδουσι κατὰ τῆς γῆς ὅλην τε τὴν πτέρναν, καὶ τὸ πεδίον, καὶ τὰ σαρκώδη τῶν σκελῶν. εἰ μέντοι μέγιστον διαβαίνειν ἐπιχειρήσειεν, ἐρείδουσι μὲν ἐν ἀρχῇ τὴν πτέρναν. ὕστερον δ' ὅταν ἤδη μεταφέρωσιν πρὸς τὸ ἕτερον σκέλος τηνικαῦτα, τῷ ὑπὸ πεδίῳ στηρίζονται, καὶ τελευτῶντες. ὅταν ὁμοίως ἐπὶ πλεῖστον προβαίνοντες θατέρῳ, κατὰ γῆς ἄρχονται τὴν πτέρναν ἐρείδειν, τότε καὶ τοῦ πρότερον ἐστηριγμένου ποδὸς, ἐπαίρουσι μὲν τὴν πτέρναν, ἐρείδουσι δὲ κατὰ τῆς γῆς ἄκρους τοὺς δακτύλους. αὕτη μὲν ἡ τῶν κατὰ φύσιν ἐχόντων ὁδοιπορία. τῶν δ' ἐκ πάθους τινὸς, ἤτοι μακρότερον ἐχόντων τὸ σκέλος, αἰτία μὲν ἑκατέρων δήλη, τῶν μὲν προτέρων ὑγρότης πολλὴ τοῦ νευρώδους γέγονεν, ἢ ἐξαρθρήματος εἶδος ὅσον καὶ νῦν πρόκειται. τρόπος δὲ βαδίσεως τῶν μὲν προτέρων, οἷος ὀλίγον ἔμπροσθεν εἴρηται, τῶν δὲ δευτέρων, ὁποῖος νῦν διηγεῖται. πρῶτον μὲν διδάξας ὅτι τὴν κεφαλὴν τοῦ μηροῦ σαρκῶδες ὑποδέχεται χωρίον, οὐχ ὥσπερ ἐπὶ τῆς ἑτέρας ἐκπτώσεως ὀστοῦν. ἥκει τοιγαροῦν αὕτη τὸ σαρκῶδες τοῦτο, καὶ τῶν μυῶν ἐπὶ τὴν ἰδίαν ἑκάστου κεφαλὴν ἀνασπωμένου, συνανασπᾶσθαι συμβαίνει τὸν ὅλον μηρόν. εἰκότως οὖν ἐλαττόν σοι φαίνεται θατέρου τὸ σκέλος, καὶ τῆς γῆς οὐκέθ' ὁμοίως δύναται ψαύειν, ὡς ὅτ' εἶχε κατὰ φύσιν. ὅταν οὖν ἀναγκάζονται βαδίζειν οἱ οὕτω παθόντες, ἐναντίως σχηματίζουσι τὸν πόδα τοῖς ἔμπροσθεν εἰρημένοις, ὧν μακρότερον ἐφαίνετο τοῦ κατὰ φύσιν ἔχοντος σκέλος τὸ πεπονθός. ἐκεῖνοι μὲν γὰρ τῇ κατὰ τὸν ἀστράγαλον διαρθρώσει τὸν πόδα σιμοῦντες, εἰς ὕψος ἀνέτεινον τοὺς δακτύλους, οὗτοι δ' ἔμπαλιν ἐπινεύουσί τε καὶ κατακάμπτουσιν ἐπὶ τὴν γῆν τὸν πόδα, καὶ διὰ τῶν δακτύλων ἄκρως αὐτῆς ἐπιψαῦσαι ποθοῦντες, διὰ τοῦτο δὲ καὶ ταπεινοῦσιν ἑαυτοὺς κατὰ τὸ πεπονθὸς ἰσχίον, ὅπως ἐρείδονται κατὰ τῆς γῆς, οὐ μόνον ἄκρους τοὺς δακτύλους, ἀλλὰ καὶ ἐπὶ πλέον αὐτῶν, ὅπερ ἔφην ὀνομάζεσθαι πεδίον ὑπὸ τῶν ἀνατομικῶν. Ἱπποκράτης δὲ αὐτὸ στῆθος ἐκάλεσεν, εἰ καὶ τὴν πτέρναν ἐπὶ τῆς γῆς ἠθέλησεν ἐδράσαι, πάνυ χρὴ ταπεινοὺς αὐτοὺς γενέσθαι κατὰ τὸ πεπονθὸς ἰσχίον, ὡς κινδυνεῦσαι καταπεσεῖν ἑτεροκλινεῖς ἀπεργασθέντας. οὗτοι τοίνυν οὐδ' ἐπιχειροῦσι διὰ τοῦτ' αὐτὸ χρῆσθαι τῇ πτέρνῃ.

Ὅταν μὲν οὖν τρῖβον λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκὶ εἰς ἣν ἐξεκλείσθη, ἡ δὲ σὰρξ γλισχρανθῇ, ἀνώδυνον τῷ χρόνῳ γίνεται. ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου ἢν ἄλλως βούλωνται, δύνανται δὲ ὀχέειν τὸ σῶμα ἐπὶ τὸ σιναρὸν σκέλος. διὰ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκθηλύνονται αἱ σάρκες, ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρηται. ἐκθηλύνονται δὲ ἢ πλεῖον ἢ ἔλασσον. μᾶλλον δ' ἔτι ἐκθηλύνονται κατὰ τὸ εἴσω μέρος, ἢ κατὰ τὸ ἔξω ὡς ἐπὶ τὸ πολύ. τὸ μέντοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος, οἱ δέ τινες καὶ δύνανται. οἷσι δὲ ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι, βίῃ ἐκπεσὸν ἤδη μὴ διεμπέσῃ, ἢ καὶ ὑπὸ νόσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, καὶ ἐκπαλήσῃ, πολλὰ γὰρ τοιαῦτα γίνεται. καὶ ἐνίων μὲν τῶν τοιούτων ἢν ἐπισφακελίσῃ ὁ μηρὸς, ἐκπυήματα χρόνια καὶ ἔμμοτα γίνεται, καὶ ὀστέων ψιλώσιες ἐνίοισιν. ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει, καὶ οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται, καὶ οὐκ ἐθέλει ξυναύξεσθαι ὥσπερ τὸ ὑγιές, τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται, ἢ τὰ τῆς ἑτέρης. ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας, αἱ

καὶ

καὶ πρόσθεν εἴρηται, ὁδοιπορέειν τε δύνανται οἱ τοιοῦτοι. οἱ μὲν τινὲς αὐτῶν τοῦτον τὸν τρόπον, ὥσπερ τοῖς τετελειωμένοισιν ἐξέπεσε καὶ μὴ ἐνέπεσεν, οἱ δὲ καὶ βαίνουσι παντὶ τῷ ποδί.

Κατὰ μεταφορὰν εἴρηκε τρίβον ἀπὸ τῶν τετριμμένων χωρίων ὑπὸ τῶν ὁδοιπορούντων. ἔστι δὲ ὁ λόγος αὐτοῦ οὗτος, ἡ κεφαλὴ τοῦ μηροῦ τῆς οἰκείας χώρας μεταστᾶσα ἐν τοῖς ἔξω μέρεσι τῆς διαρθρώσεως, ἐν σαρκὶ στηρίζεται. κατ' ἀρχὰς μὲν οὖν οἱ οὕτω παθόντες, ὀδυνῶνται τὴν θλιβομένην ὑπ' αὐτοῦ σάρκα, τῷ χρόνῳ δὲ τυλοῦται, καθάπερ αἱ τῶν σκαπτόντων χεῖρες. ὅταν δὲ τοῦτο γένηται, παραπλήσιον τῇ διαρθρώσει κατασκευάζεται χρωμένου τῇ γεγενημένῃ τρίβῳ, καθάπερ ἔμπροσθεν ἐχρῆτο τῇ κοτύλῃ τοῦ ἰσχίου. τά τε γὰρ ἄλλα καὶ ὑγρότης τις αὐτῇ γίγνεται, κατ' ἀρχὰς μὲν διὰ τὴν φλεγμονὴν, ἀθροιζομένη πλείων. ἐν δὲ τῷ χρόνῳ τοῦ λεπτοτέρου τε καὶ ὑδατώδους ἐν αὐτῇ διαφορηθέντος ὑπὸ τῶν συμπιπτόντων ἐπιτιθεμένων ἔξωθεν φαρμάκων, καταλειπομένου τε τοῦ γλίσχρου τε καὶ μυξώδους, ὃ πρὸς τὴν κίνησιν τῇ κεφαλῇ τοῦ μηροῦ συμφορώτατόν ἐστι. καὶ διὰ ταύτην οὖν τὴν ὑγρότητα, καθάπερ ἄρθρῳ, χρῶνται τῇ τρίβῳ, μᾶλλον δὲ ἐπικλίνονται κατὰ τὸ ἔξω μέρος, ἢ κατὰ τὸ ἔσω. εἴρηται δὲ καὶ πρόσθεν ὡς καὶ τἀναντία μέρη τῶν ὑποδεξαμένων τὸ ἐκπεπτωκὸς ἄρθρον, ἀτροφώτερά τε καὶ μαλακώτερα γίνεται κατὰ τὸ μᾶλλον ἀλγεῖν. ἐν οἷς δ' αὖ μᾶλλον στηριχθῇ τὸ ἐκπεπτωκὸς καὶ παρὰ φύσιν, ὅμως γοῦν γίνονταί τινες κινήσεις ὅθεν ἀπεχώρησεν. πρῶτον μὲν οὖν γίγνονται, κατὰ συμβεβηκὸς δέ τινες βραχεῖαι ἕπονται τοῖς πρώτοις κινουμένοις, θηλυνομένων τῶν μορίων ἐν τοῖς νῦν, τουτέστι τὸ μαρτύριον ὃ ἐν τοῖς ἐφεξῆς λόγοις ἐρεῖν ἐπηγγείλατο, περὶ τῶν μᾶλλον ἢ ἧττον ἀτροφούντων τε καὶ καταλεπτυνομένων μορίων.

Διαῤῥέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν, ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. ταῦτα δὲ τοιαῦτα γίνεται, ἢν ἐπιμελῶς μὲν παιδαγωγηθῶσιν ἐν τοῖσι σχήμασι, καὶ ὀρθῶς ἐν οἷσι δεῖ, πρὶν κρατυνθῆναι εἰς τὴν ὁδοιπορίην, ἐπιμελέως δὲ καὶ ὀρθῶς, ἐπὴν κρατυνθῶσιν. πλείστης δὲ ἐπιμελείης δέονται οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν, αὕτη ἡ ξυμφορὴ γένηται. ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήιον παντάπασιν καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται, αἵ τε σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ ὑγιέος. πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν, ἢ οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην. οἷον εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλει, ὡς καὶ πρόσθεν ὀλίγον ἀμφὶ τῶν γαλιαγκώνων εἴρηται. εἰσὶ δέ τινες, ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα, τοῖσι δὲ καὶ ὑπὸ νόσου ἀμφοτέρων τῶν σκελέων ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν τὰ μὲν ὀστέα ταυτὰ παθήματα πάσχει. αἱ μέντοι σάρκες ἥκιστα ἐκθηλύνονται, ἄσαρκα δὲ καὶ τὰ σκέλεα γίνονται, πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐλλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται.

Ὁποῖόν τι σημαίνει τὸ διαῤῥέπουσιν, εἴρηται μέν μοι καὶ πρόσθεν. εἰρήσεται δ' οὐδὲν ἧττον ἔτι καὶ νῦν, ὅτι γὰρ ἐξηρθρηκότων ὁ μηρὸς εἰς τὴν ἔσω χώραν ἀνασπώμενος ὑπὸ τῶν ταύτῃ μυῶν, ὡς ὀλίγον ἔμπροσθεν ἐλέχθη, τὸ συνεχὲς σκέλος αὐτῷ ὅλον ὑψηλότερον ἐργάζεται, καὶ διὰ τοῦτο μόγις ἁπτόμενος γῆς ἐῤῥήθη, διὰ ταύτην τὴν αἰτίαν ἀναγκάζονται τῷ στήθει μόνῳ τοῦ ποδὸς χρῆσθαι κατὰ τῆς γῆς ἐπιβαίνοντες, ἅμα τῷ καὶ συνεπινεύειν ὅλῳ τῷ σώματι πρὸς τὸ πεπονθὸς σκέλος, ὅταν ἐπ' αὐτοῦ στηρίζονται. ἀναγκαῖον οὖν ἐστιν ἐπειδὰν θατέρου τοῦ ὑγιοῦς ἐργάζεσθαι δεηθῶσιν ἐν τῷ μεταφέρειν ἔσω τὸ πεπονθὸς, ἐπ' ἐκεῖνο πάλιν αὐτοὺς ῥέπειν ὀρθουμένου τοῦ μηροῦ, ὥστε κατὰ τὴν ὁδοιπορίαν ἀμείβειν ἀεὶ καὶ μεταβάλλειν εἰς ἄλληλα τὰ δύο σχήματα. καθ' ὃν μὲν χρόνον ἔτι κατὰ φύσιν ἔχοντες σκέλη, στηρίζοντές τε καὶ ὀρθοῦντες τὸ σῶμα, μετεωρίζονταί τε ἅμα καὶ ὁδοιποροῦσι. καθ' ὃν δ' αὖ πάλιν ἐπὶ τοῦ πεπονθότος καμπτόμενοι ἐν τῷ κατ' ἐκεῖνο τὸ μέρος. ὑψηλὸν οὖν εἰς τὸ μεταβάλλειν τὸ σῶμα, ποτὲ μὲν ἐξ ὀρθοῦ καὶ ἀκλινοῦς ἐπὶ τὸ πεπονθός τε καὶ κεκαμμένον, αὖθις δὲ ἀπὸ τοῦ πεπονθότος καὶ κεκαμμένου πρὸς ὑψηλόν τε καὶ ὀρθὸν, ὠνόμασε διαῤῥέπειν, ἐνὶ ῥήματι τὴν εἰρημένην μεταβολὴν τῶν σχημάτων ἐνδειξάμενος.

Ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα, ἐξέχουσι δὲ οὗτοι ἰσχυρῶς φαίνονται, διὰ τὴν ἔκστασιν τῶν ἄρθρων.

Οἷσιν ἀμφότερα τὰ ἄρθρα παθόντων σκελῶν ἑκατέρων, τὴν εἰς τοὐκτὸς ἐξάρθρησιν ἡ μεταβολὴ, τῶν γινομένων σχημάτων ὅλου τοῦ σώματος ὁδοιποροῦσιν αὐτοῖς, ὅμοια γίνεται καθ' ἕτερον τὸ σκέλος ὅταν ἐπ' αὐτῷ στηρίζονται, ταπεινουμένων τε καὶ κοιλαινομένων κατὰ τὸν κενεῶνα θατέρου μόνου ἐξαρθρήσαντος. ἡνίκα μὲν οὖν τοῦ πεπονθότος ἐστηρίζοντο, τὸν εἰρημένον νῦν τρόπον ἐσχημάτιζον αὐτό. ὁπότε δὲ ἐπὶ θατέρου τὸν ἐναντίον ἀνατεταμένον μὲν ἔχοντες σῶμα ὑψηλὸν, εὐθεῖαν δὲ τὴν λαγόνα, πρόδηλον οὖν ὡς τεταμένον ὁμοίως ἐσχημάτιζον. νυνὶ δ' ὁμοίως

κατ' ἕτερα τὰ μέρη, τό, τε δεξιὸν, καὶ τὸ ἀριστερόν. διαφέρουσι δὲ καὶ νῦν οὐδὲν ἧττον τῇ μεταβολῇ τῶν στηριζόντων ποδῶν, ὅπερ ὠνόμασε σαλεύειν ἐν τῇ ὁδοιπορίῃ, δύναμιν δὲ τὴν αὐτὴν ἔχει τὸ σαλεύουσι τῷ διαφέρουσιν, ἀλλ' ἐπὶ τῷ κοινῷ τὸ διαφέρειν. ἐνταῦθα δὲ ὁμοίως ἀμφοτέροις τοῖς τοῦ σώματος μέρεσι συμβαίνει σχηματίζεσθαι στηριζομένου τοῦ σκέλους ἑκατέρου παρὰ μέρος ἐπὶ τῆς γῆς, ἔμπροσθεν δὲ οὐ τοῦθ' ὑπῆρχεν αὐτοῖς, ὡς δέδεικται.

Ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μηδὲ κῦφοι ἀνωτέρω τῶν ἰσχίων γένωνται, ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει. ἢν οὖν μὴ τοιοῦτόν τι γένηται ἱκανῶς ὑγιηροὶ τἄλλα διαφέρονται.

Κατὰ συμπάθειαν δῆλον ὅτι οὕτως τῶν ἐξαρθρήσεων τῶν σκελῶν ἔνιοι κυφοῦνται, φλεγμονῆς μὲν τὸ πρῶτον ἐν τοῖς συνδέσμοις τῶν σφονδύλων γενομένης, ὕστερον δὲ καὶ σκιῤῥώδους τινὸς ἀπολειφθέντος λειψάνου. φαίνεται γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς τοῦτο γιγνόμενον ἐν ἰγνύϊ τε καὶ τῇ κατ' ἀγκῶνα διαρθρώσει, κἀπὶ τῶν δακτύλων οὐκ ὀλίγον ὅπερ ὀνομάζουσιν ἀγκύλην, καὶ πρόδηλόν ἐστιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ ἀγκύλη γινομένη διὰ τὸν σκίῤῥον, οὐχ ἑπομένου τοῦ τείνοντος τοῖς ἐκτείνουσι τὸ μόριον μυσίν, ὥσπερ οὐδ' ὅταν τις τῶν ἐκτεινόντων σκιῤῥωθῇ τοῖς κάμπτουσιν ἑπομένου, τὸ καλούμενον ὀρθόκωλον σχῆμα περὶ τὴν οὕτω πεπονθυῖαν ἀποτελεῖται διάρθρωσιν. δύναται μὲν οὖν καὶ διὰ τοιοῦτόν τινα σκίῤῥον ἡ ῥάχις διαστραφῆναι, δύναται δὲ καὶ τῷ λόγῳ τῆς συμπαθείας φύματος ἀπέπτου καὶ κακοῦ γενέσθαι στέγνωσιν ἐπ' αὐτῆς. ὅπως δὲ ἕπεται ταῖς τοιαύταις διαθέσεσιν ἡ διαστροφὴ τῆς ῥάχεως, ἔμπροσθεν εἴρηται, κατὰ τὸν ἴδιον ὑπὲρ αὐτῆς λόγον.

Ἀναυξέστεροι μέντοι τὸ πᾶν σῶμα οὗτοι γίνονται, πλὴν τῆς κεφαλῆς.

Ἢν ἔξω τὸ κατ' ἰσχίον ἄρθρον ἐκπέσῃ, βέλτιον μὲν βαδίζουσιν οἱ τοιοῦτοι τῶν ἔσω τὴν μετάστασιν τοῦ ἄρθρου ἐχόντων, ὅταν ἐκφύγωσι τοὺς ἐκ τῆς φλεγμονῆς τε καὶ συμπαθείας τῶν ἐπικαίρων μορίων κινδύνους, αὐτὰ ταῦτα μᾶλλον ἐκείνων πάσχουσιν. ἡ μὲν γὰρ εἰς τὴν ἔσω χώραν μετάστασις τοῦ ἄρθρου, κἂν τούτου οὖν ἐπίβασιν ἔχει, μήτε θλιβόμενον διὰ τὴν σκληρότητα, μήτε καὶ τούτου αὐτῷ συμβαίνεσθαι δυναμένου. τὸ δ' ἔξω τοῦ μηροῦ χωρίον, ὅτι ὑπὸ μεγίστων μυῶν κατειλημμένον, εἰς ὀδύνην ἰσχυρὰν ἀφικνοῦνται. καὶ γὰρ θλίβονται πρὸς τοῦ μεταστάντος εἰς αὐτοὺς ὀστοῦ, καὶ θλῶνται καὶ περιτείνονται ὑπὸ παρὰ φύσιν ὄγκῳ τῷ τοῦ μηροῦ κεφαλῆς, αἰσθάνονται τούτων ἁπάντων ὡς πάσχουσι, καὶ διὰ τοῦτο ὀδυνῶνται. διά τε οὖν τὴν θλάσιν καὶ τὴν θλῖψιν τὴν γινομένην, φλεγμοναῖς ἐν τοῖς ὑποδεξαμένοις τὸ ἄρθρον μυσὶν εἰς συμπάθειαν ἔρχονται τὰ ὑποκείμενα μόρια, τά τε ἄλλα καὶ τὰ κατὰ τὴν ῥάχιν. ἢν δ' ἅπαξ οὖν νοσήσῃ ταῦτα, καθάπερ ὁ μηρὸς, οὕτως καὶ ταῦτα γίνεται, τοῖς τε ἐν αὐξήσει σώμασι παθοῦσι τὸ τοιοῦτον πάθος, ἀναυξέστερά τε καὶ μικρότερα, καὶ πάντα φαυλότερα. μεμνῆσθαι γάρ σε χρὴ καὶ τοιούτου διὰ παντὸς ἤδη πολλάκις εἰρημένου, καὶ τοιούτου μαρτυροῦντος τοῖς ὀλίγον ἔμπροσθεν, ὡς τοῖς μὲν αὐξήσει πάσχουσιν, οὕτως ἐνδεέστερον αὔξεται τὰ μόρια, τοῖς δὲ τελειωμένοις, ἀτροφώτερα γίνεται καὶ μαλακώτερα. τῆς ῥάχεως δὲ ἀναυξεστέρας γενομένης, ἀκόλουθόν ἐστι καὶ τὸ σύμπαν σῶμα τοῖς οὕτω πάσχουσιν ἔλαττον γίνεσθαι. κάτω μὲν γὰρ τὰ σκέλη συμπάσχει, τὸ δὲ ἄνω τῶν σκελῶν, ἄχρι τῆς κεφαλῆς ἡ ῥάχις ἐστίν. ὅταν οὖν αὕτη τε μικροτέρα γένηται, καὶ σύμπαν τὸ σκέλος, εἰκότως ἐπὶ τῶν τοιούτων ὁρᾶ πλὴν τῆς κεφαλῆς, ἀναυξεστέρους τοὺς ἀνθρώπους γεγονέναι τὸ πᾶν σῶμα.

Ὅσοισι δ' αὖ ἐς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσοι, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν, οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην, ἀλλ' ἥκιστα τῶν ἐκπαλαιῶν, οὗτοι μᾶλλον ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα, καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον.

Ὀλίγοις μὲν ἐξαρθρεῖ τὸν νῦν προκείμενον τρόπον ἡ κεφαλὴ τοῦ μηροῦ, δι' ἣν εἴπομεν ἔμπροσθεν αἰτίαν, ὅτι τὸ βάθος τῆς κοτύλης ἄνισόν ἐστιν. ἔνθα μὲν οὖν βραχύτερον μᾶλλον ἐκπίπτει, καὶ διὰ τοῦτ' ἔσω μᾶλλον. ἔνθα δὲ ὑψηλότερον, ὀλίγοις, ἐνταῦθα δὲ ἐξανίσταται τοῦτο σπανίως ὀπίσω. συμβαίνει δὲ ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐξαρθρήσεως, κατὰ μὲν τὸν βουβῶνα μηδ' ὅλως ἐκτείνεσθαι τὸ σκέλος, κατὰ δὲ τὸ γόνυ μὴ τελέως. αἰτία δ' ἑκατέρου τῶν μυῶν ἡ θέσις, ἣν ἅπασαν ἀκριβῶς τὴν φύσιν, ἔν τε τῇ τῶν μυῶν ἀνατομῇ, κἂν τῷ δευτέρῳ τῶν ἀνατομικῶν ἐγχειρήσεων ἔχετε γεγραμμένην, ὑπομνήσεως δ' ἕνεκα ὧν ἐθεάσασθε πολλάκις ἀνατεμνομένου πιθήκου, διότι τὰ πολλὰ τὸ ζῶον τοῦτο παραπλησίως ἀνθρώπῳ παρεσκεύασται. πρῶτον οὖν ἀναμνήσθητε μυῶν ἐκ τῆς ψόας εἰς τὸν μικρὸν ἥκοντα τροχαντῆρα, δεύτερον δὲ ἐκ τοῦ τῆς ἥβης ὀστοῦ συνεχῆ. τὸ δὲ κατὰ φύσιν εἰς τὸν αὐτὸν τροχαντῆρα ποιούμενον, οὕτω μεταστήσει ὀπίσω τῆς κεφαλῆς τείνονται βιαίως, ἐκεῖσε περιελιττόμενοι, καὶ περικλώμενοι τῇ κοτύλῃ, καὶ εἰ ἐπιχειρήσειεν ὁ οὕτω πεπονθὼς ἄνθρωπος ἐκτείνειν τοῦτο τὸ ἄρθρον, δεήσει τὸν μηρὸν ὅλον ἑλκυσθῆναι πρὸς τοὔπισω, μειζόνως πονήσουσιν οἱ προειρημένοι δύο μύες, ἐπὶ πλεῖστον ἑλκόμενοί τε καὶ τεινόμενοι, καὶ ὅτι μείζονες εἴπερ ἦσαν, ἀνώδυνοι πλείονα τάσιν ἀνέχουσιν. εἰ δ' ἠδύνατο πρᾶξαι τοῦτο διὰ τὴν κεφαλὴν τοῦ μηροῦ τῆς κοτύλης ἐκπεσοῦσαν, ἐκ τῶν ὀπίσω μερῶν τοῦ περιέχοντος αὐτὴν ὀστοῦ τετάχθαι. εἴπερ οὖν ἔμελλε τὸ κατὰ γόνυ πέρας τοῦ μηροῦ καμψάντων τελέως τὸν βουβῶνα μετέωρον ἱκανῶς ἔσεσθαι, τὴν κεφαλὴν τοῦ ἰσχίου πρὸς τὴν ἔσω χώραν ἀναγκαῖον ἦν, ὅπερ οὐκ ἐνδέχεται γενέσθαι χωρὶς τοῦ διασπασθῆναι τὸν ὑποδεξάμενον αὐτὴν μῦν, ὃν ἔξεστιν ἐν τῇ διαρθρώσει, ἣν εἶχε κατὰ φύσιν, οὐδ' ἕτερον ὑπάρχειν τῇ κατὰ βουβῶνα διαρθρώσει τῶν ἔμπροσθεν ὑπαρχόντων, πρὶν ἐκπαλαῖσαι τὸ ἄρθρον, οὔτε γὰρ ἐκτείνεσθαι τελέως, οὔτε κάμπτεσθαι δύναται. τί δή ποτ' οὖν ὁ Ἱπποκράτης τὸ ἕτερον αὐτῶν

τῶν

τῶν εἶπε μόνον, ὅτι μετὰ τὴν ἔκπτωσιν εὐθέως φαίνεται κεκομμένος ὁ μηρός, ὡς αὖ πρὸς τῷ γόνατι τοὐναντίον αὐτὸ τὸ σῶμα ἀναχωροῦντος εἰς τὸ πρόσω μέρος, ὅθεν ἡ κεφαλὴ μετέστη εἰς τοὐπίσω. ὅθεν δ' ἐν τῇ κατὰ τὸν βουβῶνα φαίνεται καμφθὲν τὸ σκέλος, οὕτω καὶ περὶ τὴν ἰγνύαν ἐντείνονται οἱ ὀπίσθιοι μύες ἅπαντες ἐν ταῖς ἄνωθεν ἀρχαῖς, ὀπίσω μεταχωρήσαντος κατὰ ταῦτα τοῦ μηροῦ. τεινομένων δὴ τούτων αὐτοῖς τῶν μορίων, συνεντείνεται καὶ τὸ λοιπὸν σῶμα ἅπαν, ἄχρι τῶν εἰς τὴν κνήμην καθηκόντων τενόντων. ἡ δὲ τούτων ἔντασις κάμπτει τὴν ἰγνύαν, ὥστε οἱ οὕτως ἐκπαλαίσαντες, εὐλόγως ἀμφοτέρας τὰς διαρθρώσεις ὁρῶνται κεκαμμένας ἔχοντες. ἐπεὶ τοίνυν ἐκτείνοντες ἐαυτάς, ἀδυνατοῦσιν αὖ καὶ μάλιστα τὴν περὶ βουβῶνα. διὰ δὴ τοῦθ' Ἱπποκράτης τοῦτο μόνον εἶπε, τὸ μὴ δύνασθαι τὰς διαρθρώσεις ταύτας ἐκτείνειν. ἀλλ' ἐπὶ τῆς κατ' ἰσχίον ἁπλῶς εἶπεν, ἐπὶ δὲ τοῦ περὶ γόνυ προσέθηκε τὸ κάρτα, τουτέστι τὸ λίαν, ὡς ἐκτείνεσθαι τῆς δυνάμεως, οὐ μὴν λίαν τε τοῦτο πασχούσης. ἐπεὶ δύναται τὸ τελέως μηδὲν ἀπολείπεσθαι τοῦ κατὰ φύσιν, αὐτὸ γὰρ τὸ σύμπτωμα γίνεται διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καταπίπτεται μετὰ τὴν ἐξάρθρησιν αὐτίκα τὸ περὶ τὴν ἰγνύαν ἄρθρον. ἐπὶ πασῶν γάρ σε χρὴ τοῦτο γινώσκειν τῶν διαστροφῶν κοινόν, ὡς ἐντεινομένων μορίων, αἱ πρὸς ἐκεῖνο ῥοπαὶ γίγνονται, συνακολουθούντων αὐτοῖς τῶν συνεχῶν. οὐδὲν γὰρ τῶν μεθισταμένων οὕτως ἰδίῳ πάθει, καὶ τὴν οἰκείαν ἀπολείπει χώραν, ἀλλ' ἀπὸ τοῦ συνεχοῦς ἑλκόμενον, ἕλκει δὲ τὸ συνεχές, ἐνὶ δὲ λόγῳ κοινῷ γινόμενον, οὐχ ὑπὸ μιᾶς δὲ προφάσεως τοῦτο πάσχει. καὶ γὰρ ὑγρανθέντι πόῤῥω τοῦ προσήκοντος αὐτῷ καὶ ξηρανθέντι, φλεγμαίνοντί τε καὶ σκιῤῥωθέντι, καὶ τῆς οἰκείας χώρας μεταστάντι, κοινὸν ὑπάρχει τὸ γίνεσθαι πάθημα. διὸ περὶ πάντων τῶν τοιούτων ἐπὶ πλέον ἑξῆς ὁ Ἱπποκράτης ἐδίδαξε. καὶ ἡμεῖς ἀκολουθήσαντες αὐτοῦ ταῖς ῥήσεσιν, ἁπάσας τὰς λέξεις ἐξηγησόμεθα.

Προσξυνιέναι δὲ οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιον ἐστὶν, καὶ τοὺς πλείστους λήθει, ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύσωσι, καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα, οὕτω δ' ἂν δύναιντο. οὔτοι τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγκάμψωσι, καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον.

Ἣν ἔφη εἶναι κοινότητά τινα τῶν ἀποστρεφομένων τινὰς κινήσεις μορίων, οὐ δι' ἴδιον πάθος, ἀλλά τινα τῶν κοινωνούντων σωμάτων γινομένην, ἐντεῦθεν ἤρξατο διδάσκειν ἐπὶ τῶν κατὰ φύσιν μυῶν οὐδὲν ἐκφύεσθαι τοῦ μηροῦ, καίτοι πολλῶν ὄντων. ἔνιοι μὲν ἐκ τοῦ τῆς λαγόνος ὀστοῦ κατέρχονται, τινὲς δὲ ἐξ ἰσχίου πεφύκασιν, εἷς δὲ μόνος τοῦ ἐκ τῆς ἥβης ὀστοῦ. διὰ τοῦτ' ἀναγκαῖον ἐστὶ συγκινεῖσθαι τὰς διαρθρώσεις ἀλλήλαις, ὥσπερ ἀρτίως ἐπὶ τῆς κατὰ τὸν πόδα, καὶ τὴν ἰγνύαν ἐδείχθη συμφαινομένης ἅμα καὶ τῆς κατὰ τὸν βουβῶνα κοινωνίας αὐτῶν. ὥσπερ γὰρ ἐδείχθησαν οἱ κινοῦντες τὸ ὄπισθεν αὐτῶν ἥκοντες, ὡς ἔφην, ἐκπεφυκέναι τῶν κάτω περάτων τοῦ μηροῦ, περὶ τὰς ῥίζας τῶν κονδύλων, οὕτως καὶ νῦν ἄνω τοῦ ποδὸς εἰς τὴν κνήμην καθήκοντας ἐκ τῶν εἰρημένων ἀρχῶν ἀναγκαῖον ἐστὶ τείνεσθαι, τοὺς δὲ ὄπισθεν, ἐκτεινομένης τῆς ἰγνύος, τοὺς δὲ πρόσω, καμπτομένης. ὅταν οὖν ἐπὶ πλέον πεφύκασι, τείνονται, ἀντιτεταγμένοι αὐτοῖς, ἀντισπῶσί τε καὶ οὐχ ἕπονται. λέγω δὲ ἀντιτεταγμένους τοὺς ἐκτείνοντας τοῖς κάμπτουσι, τουτέστι τοὺς προσθίους τοῖς ὄπισθεν ἐπὶ λύσιν μυοῖν, ὡς ἐπὶ παραδείγματος ἕνεκα σαφηνείας τὸν λόγον ποιησάμενος, ἀρκεσθήσομαι. τοῖς γὰρ ἑωρακόσιν ἐν ταῖς ἀνατομαῖς ἅπαντας τοὺς περὶ σκέλη μῦας, ἐκ τῶν εἰρημένων ἐστὶ, καὶ περὶ τῶν ἄλλων ταῦτα λογίζεσθαι. τοῖς δ' οὐδ' ὅλως ἑωρακόσιν, οὐδ' ὁ περὶ τὰ δύο λόγος ἔσται σαφής. οὗτοι οὖν ἐκ τοῦ τῆς λαγόνος ὀστοῦ πεφυκότες, ὑπερβαίνουσιν καταφερόμενοι, πρώτην δὲ τὴν περὶ τὸν βουβῶνα τοῦ μηροῦ διάρθρωσιν, εἶτα διελθόντες ὅλον τὸν μηρὸν, ἐφεξῆς δευτέραν τὴν περὶ γόνυ. φέρεται δὲ ὁ μὲν ἕτερος αὐτῶν ὁ στενὸς παρὰ τὸν ἔνδον κόνδυλον τοῦ μηροῦ ταπεινότερον αὐτοῦ, κἄπειτα ἀνανεύσας πάλιν ἐπὶ τὸ καλούμενον ἀντικνήμιον, εἰς τὴν ἐντὸς χώραν αὐτοῦ καταφύεται. ὁ δ' ἕτερος ὁ μέγας ἰσχυρότατον ἐπιφύεται τένοντα πλατὺν, ἀναμιγνύμενον ἑτέρῳ τένοντι, τὴν γένεσιν ἐκ τοῦ μεγίστου μυὸς ἔχοντι τῶν προσθίων, ὃς ἀπὸ τοῦ γλουτοῦ καταφέρεται. πρῶτον μὲν ἐπιφύεται τῇ μύλῃ, μετὰ ταῦτα ἐμφύεται τῇ κνήμῃ. ἐὰν μὲν οὖν κάμπτηται κατὰ βουβῶνα τὸ σκέλος, ἧττον γίνεται τὸ μῆκος ἐνταῦθα τῶν μυῶν, ἐὰν δὲ ἐκτείνηται, μεῖζον. ἐπὶ δὲ τοῦ γόνατός τε καὶ τῆς ἰγνύος ἐκτεινομένης μὲν τῆς διαρθρώσεως, ὁ μὲν τὴν μύλην ἐπιβαίνων, βραχύτερος, ὁ δὲ ἐκ τῶν ἔνδον μερῶν φερόμενος, μακρότερος γίγνεται, ὥστε ὁ μὲν πρόσθιος ἄκραν ἔκτασιν ἀναγκασθήσεται λαμβάνειν, ἐὰν κατὰ βουβῶνα τὸ σκέλος ἐκτείναντες ἐπιχειρῶμεν κάμπτειν τὴν ἰγνύαν. ὁ δ' ὀπίσθιος, ἐὰν ἐκτείνηται τὴν ἰγνύαν, κάμπτομεν τὸν βουβῶνα. καταφερόμενος γὰρ ἐξ ὑψηλοῦ χωρίου, διὰ τῶν πρόσω τοῦ μηροῦ κάμπτεται, ἐντεῦθεν ἐπιστρεφόμενος λοξὸς, ἀνανεύεται πρὸς τὸ καλούμενον ἀντικνήμιον. εἰκότως οὖν αὐτὸς μακρότερα ἐργάζεται τὰ πρῶτα μέρη καὶ τοῦ μηροῦ, καὶ τῆς κνήμης ὑψούμενα, μακρότερος γινόμενος. ἐδείχθη γὰρ ἐν τοῖς περὶ μυῶν κινήσεως ἡ ἐσχάτη συστολή τε καὶ ἔκτασις ὀδυνώδης, ὧν τὴν μὲν συστολὴν ἐνεργοῦντες αὐτοῖς, τὴν δ' ἔκτασιν ὑπὸ τῶν ἀντιτεταγμένων ἑλκόμενοι πάσχουσιν. ἐὰν οὖν ποτε τοῖς εἰς τὴν αὐτῶν σύνοδον ἐνεργοῦσι μυσὶ, οἱ ἀντιτεταγμένοι μὴ ὀδυνῶνται συνεκτείνεται, κατὰ φύσιν μὲν ἐν ταῖς εἰρημέναις ἄρτι κοινωνίαις τῶν διαρθρώσεων, παρὰ φύσιν δ' ἐν ταῖς ἐφεξῆς εἰρησομέναις, τηνικαῦτα συμβαίνει πολλοὺς τῶν ἰατρῶν ἀπατᾶσθαι, καὶ νομίζειν πεπονθέναι τοὺς μῦας ἐκείνους, ὧν ὁρῶσι τὴν ἐνέργειαν ἐμποδιζομένην. ἔτι δὲ ἐναργέστερον τοῦτο γνωσθήσεται διὰ τῶν ἐφεξῆς εἰρησομένων.

Πολλὰ δὲ καὶ ἄλλα περὶ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ νεύρων ξυντάσιας, καὶ περὶ μυῶν σχήματα, καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γινώσκεσθαι, ἢ ὥστις οἴεται,

καὶ κατὰ τὴν τῶν ἐντέρων φύσιν, καὶ τὴν περὶ ξυμπάσης κοιλίης, καὶ περὶ τὰς τῶν ὑστερέων πλανίας καὶ ξυντάσιας. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται, ἠδελφισμένος τοῖσι νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστὶν, οὔτε ἐκτανύεσθαι δύναται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὤλισθε τὴν τοῦ πυγαίου.

Εἴρηταί μοι καὶ πρόσθεν ὡς τὰς κοινωνίας καὶ οἷον συγγενείας τῶν μορίων ἀδελφίξιας εἴωθεν ὀνομάζειν, ὡσεὶ καὶ ἀδελφότητας εἶπεν. ἔστι δὲ αὐτῶν τὸ κεφάλαιον, ἑτέρου μορίου πεπονθότος ἐν ἄλλῳ φαίνεσθαι τὴν βλάβην, ἤτοι τῆς ἐνεργείας, ἢ τῆς θέσεως, ἢ τοῦ σχήματος, ἢ τοῦ μεγέθους. κοινὴ δ' ἐπὶ πάντων αἰτία τάσις εἰς τὸν ἀντικείμενον τόπον, οἷον ἐκ θέσεως, ἵν' ἀπὸ τῶν προφανεστάτων ἄρξωμαι, πολλοὺς τῶν ἐπιτηδευόντων τὴν τέχνην, χωρὶς τοῦ νομίμως αὐτὴν ἐκμαθεῖν, ἐθεασάμην ἐξαίφνης συνταθέντος τινὸς μορίου, καὶ τῷ τε μεγέθει βραχύ τι φαινομένου, καὶ τὴν ἀρχαίαν θέσιν οὐκ ἀκριβῶς φυλάττοντος, αὐτῷ τούτῳ τῷ μορίῳ προσφέροντας τὰ βοηθήματα, καίτοι μηδεμίαν ἔχοντι διάθεσιν ἰάσεως δεομένην. παραλυθέντων γοῦν τῶν κατὰ τὴν ἑτέραν γνάθον μυῶν, συμβαίνει τὴν μὲν ἀντικειμένην αὐτῇ βραχυτέραν φαίνεσθαι, καὶ οἷον συνεσπασμένην, τὴν πεπονθυῖαν δι' αὐτὴν ἐκτείνεσθαι συνεπομένην ἐκείνῃ. διὰ γὰρ τὸ τοὺς μύας ἅπαντας οἰκείαν ἔχειν μίαν ἐνέργειαν ἐπὶ τὰς ἰδίας κεφαλὰς ἀνατεινομένους, ὅταν οἱ κατὰ τὴν ἀριστερὰν γνάθον ἀπολέσωσι τὴν ἐνέργειαν, οἱ κατὰ τὴν δεξιὰν ἐρρωμένοι τε καὶ κατὰ φύσιν ἔχοντες, ἐνεργήσαντες ἕλκουσιν ὅλην ἐφ' ἑαυτοὺς τὴν δεξιὰν γνάθον καὶ τὰ χείλη, καὶ οὕτω φαίνεται τὸ μὲν ἀριστερὸν χεῖλος ἐκτεταμένον τε καὶ μακρότερον αὐτοῦ γεγονός, τὸ δεξιὸν δ' ἔλαττόν τε καὶ συντεταμένον. ἐνταῦθα μὲν οὖν ἔλαττον γίνεται τὸ ἀπαθές, ἀντισπώντων ἐφ' ἑαυτὸ θάτερον μέρος τῆς γνάθου τὸ παραλυθέν, ἑτέρωθι δ' ὑπὸ τοῦ πεπονθότος ἕλκεταί τε καὶ σπᾶται τὸ ἀπαθές, ὥσπερ ὅταν ἢ τένων, ἢ μῦς σκιρρωθείς, ὅλως ἀδυνατεῖ συνεκτείνεσθαι τοῖς ἀντιτεταγμένοις ἐνεργοῦσι. πολλὰ δὲ τοιαῦτα φαίνεται γιγνόμενα κατά γε τοὺς δακτύλους τῆς χειρός, καὶ κατὰ ἀγκῶνα καὶ ἰγνύαν, ἀγκυλουμένων μὲν αὐτῶν, ἐπὶ τοῖς τῶν ἔνδον μυῶν ἢ τενόντων πάθεσιν. ὀρθοκύλλων δὲ γινομένων, ἐπὶ τοῖς τῶν ἐκτός, οὕτω γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὅταν ἐκτεταμένον τι μὴ δυνάμενον κάμπτεσθαι. ὅμοιον δὲ τούτῳ συμβαίνειν εἴωθεν ἐπὶ ταῖς μεγάλαις τε καὶ σκληραῖς οὐλαῖς. καὶ γὰρ καὶ αὗται κατὰ μὲν τὴν ἔνδον χώραν γενόμεναι, κυλλοῦσι τὸ μέρος, κατὰ δὲ τὴν ἔξω τὸ καλούμενον, ὡς ἔφην, ὀρθόκυλλον ἐργάζονται, καὶ διὰ ξηρότητος, καὶ διὰ πλήθους δὲ ὑγρῶν ὑπερρύσεως, ἢ φυσώδους πνεύματος, ταυτὸ συμβαίνειν εἴωθε. συναγομένων γὰρ εἰς ἑαυτὰ τῶν οὕτω πεπονθότων μορίων, ἀκόλουθόν ἐστι τοὺς ἀντιτεταγμένους μύας ἀδυνάτους ἐνεργεῖν, ἀντισπώντων τὰ μόρια τῶν συντεταμένων. οὕτως δὲ καὶ οἱ σπασμοὶ γίγνονται, τῶν τε μυῶν αὐτῶν ἑλκομένων ἐπὶ τὴν ἰδίαν ἀρχὴν αὐτῶν πρώτων, καὶ μάλιστα καὶ δι' αὐτοὺς τῶν μορίων εἰς ἃ καθήκουσιν. οὕτω καὶ ἡ μήτρα ποτὲ μὲν ἄνω χωρεῖ, ποτὲ δὲ εἰς τὰ πλάγια μέρη καθίσταται. οὐκ αὐτὴ κατ' ἰδίαν ἐνέργειαν ἀποχωροῦσα τῆς οἰκείας χώρας, ἀλλ' ὑφ' ἑτέρων ἑλκομένη, τὰ δ' ἕλκοντα πολλά. καὶ γὰρ ἀρτήματα, καὶ νεῦρα, καὶ ἀρτηρίαι, καὶ φλέβες αἱ εἰς αὐτὴν καθήκουσαι, τοῦτο ποιεῖν πεφύκασιν, ὅταν εἰς ὄγκον ἀρθεῖσαι τοῦ μήκους ἀφαιρῶσι τοσοῦτον, ὅσον εἰς εὖρος ἐπέδωκε. κοινὸν γὰρ τοῦτο πάντων ἐστὶ τῶν ἐκτάσεις τε καὶ συστολὰς ἐχόντων σωμάτων, οὐ τῶν ζώντων μόνον, ἀλλὰ καὶ τῶν ἀψύχων, οἷον ἀσκῶν τε καὶ θυλάκων καὶ πλοκάμων. ἥτε οὖν μήτρα κατὰ τοιαύτην αἰτίαν ἀνασπᾶταί τε καὶ κατασπᾶται, καὶ τῶν ἐντέρων ἔνια καὶ μύες πολλοί, καὶ δι' αὐτοὺς τά τε κῶλα, καὶ αἱ γένυες. ἀνάλογον δέ τι τούτῳ κἀπὶ τῶν περὶ ῥάχεως παθῶν ἔμπροσθεν ἐδείκνυτο, κυφώσεώς τε καὶ λορδώσεως, καὶ σκολιώσεως.

Ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται, ὅταν δὲ ἐξαρθρήσῃ, καταφερής τε πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. ξυγκάμπτειν μέντοι δύνανται, ὅταν μὴ ὀδύνη κωλύῃ.

Φύσις ὀστοῦ λέγει κατὰ τὸ ἰσχίον ἐν ᾧ καὶ ἡ κοτύλη. πρόδηλον γὰρ ὅτι τὴν ὀπίσω τοῦ μηροῦ τῆς κεφαλῆς μετάστασιν, ἐπὶ τῆς ὀπίσω χώρας ὀχεῖσθαι τῆς κοτύλης ἀναγκαῖόν ἐστιν, ὡς εἶναι μεταξὺ τῆς κοιλότητος, καὶ τῆς τοῦ μηροῦ κεφαλῆς, τὸ περιλαμβάνον ἐκ τῶν ὀπίσω μερῶν ὀστοῦ τὴν κοτύλην. ἔστι δὲ τοῦτο τὸ μέρος αὐτοῦ τοῦ ἰσχίου, καὶ νῦν ποιούμενος τὸν λόγον κατ' ἀφαίρεσιν αὐτὸ πρὸς τὸ ἔξω μέρος τοῦ πυγαίου. πρόδηλον οὖν ἐστι τοῖς ἑωρακόσιν ἀνατεμνόμενα ταυτὶ τὰ χωρία, τὴν κεφαλὴν τοῦ μηροῦ μεθ' ὅλου τοῦ αὐχένος ἐμπεπτωκέναι βιαίως δεῖ κατὰ τὴν πυγὴν μυῒ τῷ μεγάλῳ, τῷ τὴν ἔκτασιν ἐργαζομένῳ τῆς κατὰ τοῦτο διαρθρώσεως. ἀποφύεται δέ τις τοῦ μυὸς τοῦδε τένων ὑμενώδης, ἑνούμενος τῷ μικρὸν ἔμπροσθεν εἰρημένῳ τένοντι, τὴν γένεσιν ἔχοντι ἐκ τῶν προσθίων τοῦ μηροῦ δυοῖν μυοῖν, ὃν καὶ τὴν μύλην ἔφην ὑπερβαίνοντα καταφύεσθαι τῇ κεφαλῇ τῆς κνήμης. οὗτος οὖν ὁ μῦς ὁ τὴν τοῦ μηροῦ κεφαλὴν ἐκπεσοῦσαν δεχόμενος, ὀδυνᾶται μάλιστα πάντων ὑπ' αὐτῆς θλιβόμενός τε καὶ διατεινόμενος, ὥστε καὶ φλεγμαίνειν ἀναγκαῖον εἶναι αὐτόν, ἕλκειν τε πρὸς ἑαυτὸν ἄνω τὸν ὀλίγον ἔμπροσθεν εἰρημένον ὑμενώδη τένοντα. τούτου δὲ συμβαίνοντος, ἀκόλουθον εἶναι ὀδυνᾶσθαι τὸν κάμνοντα, καμπτομένης τῆς ἰγνύος. εἰς ὅσον γὰρ αὕτη κάμπτεται, περιτείνεσθαί τε καὶ περιθλᾶσθαι τῇ μύλῃ τὸν τένοντα. τεινόμενος δ' οὗτος, ἀναπέμπει τὴν τάσιν ἐπὶ τὸν μῦν αὐτὸν ὅθεν ἀπέφυ, τὸν μέγαν ἐκεῖνον, ἐν ᾧ τὴν κεφαλὴν ἔφη ἐστηρίχθαι τοῦ μηροῦ. τοῦ χρόνου μὲν τούτου προϊόντος, ὅταν ἥ τε φλεγμονὴ παύσηται τούτου τοῦ μυός, ὑγρότητά τέ τινα ἴσχει γλίσχρον, καὶ τύλον ἐν ἑαυτῷ κτήσηται τὸ ψαῦον τοῦ ἄρθρου μέρος μυός, ἀνώδυνος ἡ κατ' ἰγνύαν γίνεται κάμψις. συντελεῖ δὲ εἰς τοῦτο καὶ τὰ ἄλλα τὰ πρόσθεν εἰρημένα περὶ τῶν κατὰ τὸ σκέλος μυῶν.

Καὶ ἡ κνήμη τε καὶ ὁ πούς ὀρθὰ ἐπιεικέως φαίνονται, καὶ οὔτε τῇ, οὔτε τῇ πολὺ ἐγκεκλιμένα.

Ὅτι μήτε τελέως καὶ πάνυ σφοδρῶς, μήτε παντελῶς ἐκ τῆς ἁπλῆς δηλοῦται φωνῆς, ἀλλὰ τὸ μετρίως ἐνδηλόν ἐστι κατ᾽ αὐτῆς τῆς λέξεως. αὐτὸς γὰρ ἐφεξῆς ὁ Ἱπποκράτης εἶπε, καὶ οὔτε τῇ πολὺ ἐγκεκλιμένα, σαφῶς ἐνδεικνύμενος διὰ τοῦ προσγράψαι τὸ πολὺ, τοῦτο μὲν αὐτὸ τὸ πολὺ, μὴ παρεῖναι τῷ σκέλει, τὸ δ᾽ ἐπ᾽ ὀλίγον ἐκτετράφθαι τε καὶ διεστράφθαι, παρεῖναι. διὰ τοῦτ᾽ οὖν ἔφη, καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ὀρθὰ ἁπλῶς φαίνεσθαι, ὡς εἰ καὶ μετρίως ὀρθὰ φαίνεσθαι τὰ μόρια ταῦτ᾽ εἰρήκει.

Κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρα εἶναι ποτὶ καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου εἰς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος. κατὰ δὲ τὸ αὐτὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ, δοκέει τι ἐξογκέειν καὶ μᾶλλον. τὰ μὲν οὖν σημεῖα ταῦτα, ᾧ ἂν εἰς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός. ὅτῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται, καὶ ἡ ὀδύνη παύσηται, καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων, διὰ δισσὰς προφάσιας, ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται διὰ τὰ προειρημένα, καὶ τῇ μὲν πτέρνῃ, καὶ πάνυ πολλοῦ δέεται ψαύειν τῆς γῆς. ἢν γὰρ πειρᾶται καὶ ἐπ᾽ ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, εἰς τὸ ὀπίσω ἂν πέσοι. ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη τῶν ἰσχίων ἐπὶ πολὺ εἰς τοὐπίσω ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος, καὶ τῆς ῥάχιος εἰς τὰ ἰσχία ῥεπούσης. μόλις δὲ τῷ στήθει τοῦ ποδὸς καθικνέεται, καὶ οὐδὲ οὕτως ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν κατὰ τοὺς βουβῶνας, καὶ τῷ ἑτέρῳ σκέλει κατὰ τὴν ἰγνύην ἐπιξυγκάμψῃ. ἐπειδὴ τούτοισιν ἀναγκάζεται ὥστε τῇ χειρὶ, τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι εἰς τὸ ἄνω τοῦ μηροῦ ἐφ᾽ ἑκάστῃ ξυμβάσει. ἀναγκάζει οὖν τι τοῦτο αὐτὸ ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας. ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων, ἐν τῇ ὁδοιπορίῃ οὐ δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκατερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρὸς, ἅτε οὐχ ὑφεστῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ᾽ εἰς τὸ ὄπισθεν ἐξεστεῶτος κατὰ τὸ ἰσχίον. ἄνευ μέντοι τοῦ ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθῶσιν. διὰ τοῦτο ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ᾽ οὐκ εἰς τὸ ἔξω ἐγκεκλιμένη, διὰ τοῦτο οὖν οὐδὲν δέονται τοῦ ἀντικοντώσιος. ὅσοι μέντοι βούλονται ἀντὶ τοῦ τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ᾽ αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον ποιητέον. κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοισιν, ὥσπερ καὶ πρόσθεν εἴρηται. τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος οὐκ ὠφελέεται. ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλεϊ ἐπὶ τὴν γῆν. συνυπουργέειν γὰρ ἐκείνῳ, ἐξιχνίον τε ἐπαναγκάζεται εἶναι καὶ κατὰ τὴν ἰγνύην ξυγκάμπτειν. ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων, σκίπωνι ἀντερείδηται. οὕτω δὲ καρτερὸν γίνεται τὸ ὑγιὲς σκέλος. ἔν τε γὰρ τῇ φύσει διαιτᾶται, καὶ τὰ γυμνάσια προσκρατύνει αὐτό. φαίη μὲν οὖν ἄν τις ἔξω ἰατρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν. τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι, οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ᾽ ἀλλήλων. δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανάεσθαι ὅκως μὴ ἀνήκεστα ἔσται, ξυνιέντα ὅπῃ ἂν μάλιστα κωλυτέα εἰς τὸ ἀνήκεστον ἐλθεῖν. δεῖ δὲ καὶ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάλιστα λυμαίνηται. τὰ δὲ προῤῥήματα, λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγινώσκειν ὅπῃ ἕκαστον, καὶ οἵως, καὶ ὁπότε τελευτήσει, ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται, ἤν τε εἰς τὸ ἀνήκεστον. ὁκόσοισι δ᾽ ἂν ἐκ γενεῆς, ἢ ἄλλως ἐν αὐξήσει

ἐοῦσιν, οὕτως ὀλισθῇ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλισθῇ, ἤν τε ὑπὸ νόσου. πολλὰ γὰρ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν. οἷαι δέ τινές εἰσιν αἱ νοῦσοι, ἐν ᾗσιν ἐξαρθρέεται τὰ τοιαῦτα, ὕστερον γεγράψεται. ἢν γοῦν ἐκστὰν μὴ ἐμπέσοι, τοῦ μὲν μηροῦ τὸ ὀστέον βραχὺ γίνεται. κακοῦται δὲ παντὸς τὸ σκέλος καὶ ἀναυξέστερον γίνεται καὶ ἄσαρκότερον πολλῷ, διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ.

Εἴρηται καὶ πρόσθεν ὅτι τῇ φωνῇ χρῆται ὁ Ἱπποκράτης, ὅταν αὐξῆσαι ποτὲ βουληθῇ τὸ λεγόμενον. ἔστι γὰρ ὁ λόγος τοιόσδε, κατὰ βουβῶνα δοκεῖ τι ἡ σὰρξ λαπαρωτέρα θεωμένοις, καὶ πολὺ μᾶλλον εἰ ψαύσειέ τις τοῦ χωρίου. τὰ δ' ἐφεξῆς πάντα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων ἐστὶ δῆλα.

Κακοῦται μὲν τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. τὰ μὲν νεῦρα ἐντεταμένα γίνεται διὰ τὰ πρόσθεν εἰρημένα, διὸ οὐ δύναται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν οἷσιν ἂν οὕτως ἰσχίον ἐκπέσῃ. ὡς γὰρ ἐν κεφαλαίῳ εἰπεῖν πάντα τὰ ἐν τῷ σώματι ὁκόσα ἐπὶ χρήσει γέγονε, χρεομένοισι μὲν μετρίως καὶ γυμναζομένοισιν ἐν τῇσι ταλαιπωρίῃσιν ἐν ᾗσιν ἕκαστα εἴθισται, οὕτω μὲν ὑγιεινὰ καὶ αὔξιμα, καὶ εὔγηρα γίνεται. μὴ χρεομένοισι δὲ ἀλλ' ἐλινύουσι, νοσηρότερα γίνεται, καὶ ἀναυξέα καὶ ταχύγηρα. ἐν δὲ τούτοισιν οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθεν καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται. κακοῦται οὖν διὰ ταύτας τὰς προφάσιας μᾶλλόν τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἢ ἐν τοῖσιν ἄλλοισιν. ὅλον μὲν τὸ σκέλος ἀναυξὲς γίνεται, καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσει, καὶ τῇ ἀπὸ τῶν σαρκῶν. οἱ οὖν τοιοῦτοι ὁκόταν ἀνδρωθῶσι, μετέωρον καὶ συγκεκλιμένον τὸ σκέλος ἴσχουσιν, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι, οἱ μὲν ἑνὶ, οἱ δὲ δυσίν.

Δῆλον ὅτι μὲν ἰσχίον εἴρηκεν ἐκπίπτειν, ἀντὶ τοῦ κατ' ἰσχίον ἄρθρου. εἴρηται μὲν ἡμῖν πολλάκις, ὡς οἱ παλαιοὶ πάντες οὔπω τὴν ὕστερον ἀσκηθεῖσαν ᾔδεσαν ἀκριβολογίαν τε καὶ λεπτολογίαν ἐν τοῖς ὀνόμασιν, ἀλλ' ἱκανὸν ἦν αὐτοῖς ἑρμηνεύειν, ἑνὸς μόνου στοχαζομένοις, τὸ παρακολουθεῖν τοῖς λεγομένοις τοὺς ἀκούοντας. ὃ δ' οὖν λέγει τοιόνδ' ἐστὶν, οἷς ἂν εἰς τὴν ὀπίσω χώραν ὁ μηρὸς ἐκπέσῃ, κακοῦσθαι φησὶν οὐ μόνον ἐκεῖνο τὸ ἐκπεσὸν ἄρθρον, ἀλλὰ πρὸς αὐτὸ καὶ τὸ κατὰ τὴν ἰγνύην. διὰ τοῦτο οὖν προσέθηκε τὸν, καὶ, σύνδεσμον, οὐχ ἁπλῶς εἰπὼν, κακοῦται γὰρ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον, ἥν τινα δὲ κάκωσιν κακοῦται, σαφῶς αὐτὸς ἐδήλωσεν εἰπὼν, τὰ μὲν νεῦρα ἐντεταμένα γίνεται. νεῦρα δ' εἴτε κυρίως τὰ λεγόμενα τὰ ἐκ νωτιαίου πεφυκότα νῦν ἐβουλήθη δηλοῦν, εἴτε τὰς ἀπονευρώσεις τῶν μυῶν, ὅσαι καθήκουσιν εἰς τὴν κνήμην, οὐδὲν εἰς τὰ παρόντα διαφέρει. μαρτύρια γὰρ ἡμῖν ἑκάτερα καλῶς ἐξηγουμένοις τὰ εἰρημένα, κατὰ τὸν ἔμπροσθεν ὑπ' αὐτοῦ λόγον. ἐν οἷς ἔφασκε κατὰ τὴν ἰγνύαν ἄρθρον ἀδυνατεῖν ἐκτείνειν οἷς οὕτως ἐξήρθρησε μηρὸς, ἔτι τε κοινόν τινα προστίθει λόγον, ὡς πολλαὶ βλάβαι περί τινα μόρια γίνονται, καὶ σχημάτων, καὶ μεγεθῶν, καὶ θέσεων, καὶ κινήσεων, οὐδὲν αὐτῶν ἐκείνων τῶν μορίων ἴδιον πάθος πεπονθότων, ἀλλὰ δι' ἕτερα τινὰ τῶν κοινωνούντων αὐτοῖς. καὶ μάλιστά γε τὰς τάσεις αἰτίαν εἶναι φασὶ τῶν τοιούτων συμπαθειῶν, ὑπὲρ ὧν ἐδήλουν διελθὼν ὡς τριχῶς αἴτια γίνεται. καθ' ἕνα μὲν λόγον, ὅταν παραλυθῇ τις μῦς, ὁ μὲν ὑγιὴς ὡς συνεσπασμένος φαίνεται, καθ' ἕτερον δ' ὅταν ὁ ἀντικείμενος πάθῃ, κατ' ἄλλον δὲ τρίτον, ὅτε ἑλκυσθῇ τὸ ὑγιὲς ὑπό τινος τῶν συνεχῶν, ὡς ἐπὶ τῆς ἑτέρας μεταστάσεως. νῦν οὖν τῶν ὄπισθεν νεύρων, καὶ μυῶν, καὶ τενόντων τεταμένων ἰγνύα καμφθεῖσα, τοῖς ἐκτείνουσιν οὐχ ἕπεται μυσί. περὶ μὲν οὖν τῶν τενόντων τε καὶ μυῶν τῆς τάσεως ἔμπροσθεν εἰπὼν, ἐν δὲ τῷδε λόγῳ περὶ τῶν νεύρων τῶν ἀπὸ τοῦ νωτιαίου πεφυκότων ἐπὶ τὰ σκέλη. τρεῖς δέ εἰσιν αὐτῶν ἀρχαὶ, μία μὲν ἐν τοῖς πρόσω κατὰ τὸ μέγα τρῆμα τοῦ τῆς ἥβης ὀστοῦ. μία δ' ἄλλη κατὰ βουβῶνα, τοῦ τε συμφερομένου τῇ μεγάλῃ φλεβὶ νεύρου, καὶ τοῦ ταύτης ἔξωθεν ἐν τοῖς πρόσω τοῦ μηροῦ. μικραὶ μὲν αὗται. μεγίστη δ' ἀρχὴ νεύρων εἰς ὅλον ἀφικνεῖται τὸ σκέλος, ἐπὶ τὴν ὀπίσω χώραν πρόσω τὸν ἐξερχομένη, μεταξὺ τοῦ τε πλατέος ὀστοῦ καὶ τοῦ καλουμένου κόκκυγος. αὕτη τοίνυν ἡ ἀρχὴ μεταστάντος ὀπίσω τοῦ ἄρθρου θλίβεται καὶ τείνεται, καὶ διὰ τοῦτ' ἔφην ἐν τῇ προκειμένῃ ῥήσει δύνασθαι τὸν Ἱπποκράτην, καὶ τὰ κυρίως καλούμενα νεῦρα τείνεσθαι λέγειν.

Οἷσι δ' ἂν ἐς τοὔμπροσθεν ἡ κεφαλὴ μηροῦ ἐκπέσῃ, ὀλίγοισι δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελείως, ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα. πονέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν. μῆκος δὲ τοῦ σκέλεος παραπλήσιον φαίνεται, κατὰ μὲν τὴν πτέρνην καὶ πάνυ.

Ὅτι μὲν τὸ βάθος τῆς κοτύλης οὐκ ἴσον ἐν ἅπασι τοῖς μορίοις, αἴτιον μέν ἐστι τοῦ κατά τινα μὲν ὀλιγάκις ἐκπίπτειν. ἐν ἄλλοις δὲ τόποις πλειστάκις, ἔμπροσθεν εἴρηται, νυνὶ δὲ περὶ τῆς εἰς τὸ πρόσω γιγνομένης ὀλισθήσεως τοῦ μηροῦ διαλεγόμενος, ἐναντία φησὶ πάσχειν τοὺς οὕτω διακειμένους, τοῖς ὀπίσω τὴν ἐξάρθρησιν ἐσχηκόσι. ἐκεῖνοι μὲν γὰρ ἐκτανύειν τὸ σκέλος οὐκ ἠδύναντο, κάμπτειν δ' οὗτοι κατὰ μὲν τὸν βουβῶνα. διότι κατ' αὐτὴν τὴν κάμπτειν ἡ κεφαλὴ τοῦ μηροῦ νῦν ἐστιν ἅμα τῷ αὐχένι. κατὰ δὲ τὸ γόνυ διὰ τὸν ἀπὸ τοῦ τῆς λαγόνος ὀστοῦ καταφερόμενον μῦν πρόσθιον, ὃν ἡ κεφαλὴ τοῦ μηροῦ θλίβεται, καὶ διατείνεται κυρτοῦσα περὶ αὐτήν. ἐκτείνεσθαι τοιγαροῦν ἐπὶ πλεῖον οὐκ ἄρα δυναμένη, ἀντιβαίνει τοῖς κάμπτειν ἐπιχειροῦσι τὴν ἰγνύαν. μῆκος δὲ τοῦ σκέλεος παραπλησίως

πλησίως φαίνεται. ἀλλὰ μὲν τῆς εἰς τὴν ἔσω χώραν ἐκπτώσεως αὐτὸς εἶπε κατὰ λέξιν οὕτως. ἐπί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πέφυκεν ὀστοῦν τὸ ἀναφερόμενον πρὸς τὸν κτένα, ἐπὶ τοῦτο ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου ἀλλὰ τῆς κοτύλης ὀχέεται κατὰ τὸν ἔμπροσθεν χρόνον, οὐχ ὅλως ἐπ' αὐτῆς ὀχούμενος, ἀλλὰ τῷ πλείστῳ κατὰ τοῦ βάθους αὐτῆς ὀχούμενος. ἐν δὲ τῷ νῦν λόγῳ φησί. κατὰ μὲν τὸν βουβῶνα ἐξογκέοντες, καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, ὥστε ἀποκεχώρηκε νῦν ἐκείνης τῆς ἐξαρθρήσεως ὁ μηρὸς, εἰς τε τὸ πρόσω καὶ τὸ κατωτέρω βραχὺ, καὶ διὰ τοῦτ' ἴσον φαίνεται τὸ πεπονθὸς σκέλος τῷ ὑγιεῖ, καὶ τοῦτο μάλιστα αὐτοῖς ὑπάρχει κατὰ τὴν πτέρναν. ἄκρος γὰρ ὁ πὼς, ἧσσον ἐπινεύειν δύναται πρὸς τὴν γῆν. εἴρηται δ' ἡμῖν τούτου πρόσθεν ἡ αἰτία, καὶ νῦν δ' ἐφεξῆς εἰρήσεται διὰ κεφαλαίων.

Ἄκρος δὲ ὁ πὼς ἧσσόν τι προκύπτειν ἐθέλοι ἐς τοὔμπροσθεν. ὅλον δὲ τὸ σκέλος ἔχει τὴν ἰθυωρίην κατὰ τὴν φύσιν, καὶ οὔτε τῇ οὔτε τῇ ῥέπει.

Τὸ μὲν ἐθέλειν αὐτὸ, σημαίνει τὸ δύνασθαι, καθάπερ που καὶ παρὰ τῷ ποιητῇ, οὐδ' ἔθελε προῤῥέειν, ἀντὶ τοῦ μὴ δύνασθαι λέλεκται. ποδὸς δὲ ἄκρον εἴρηκε τὸ ἀπὸ τοῦ πεδίου μέχρι τῶν κατὰ τοὺς δακτύλους, ὀνύχων τε μέρος τοῦ ποδός. συμβαίνει δ' ὡς καὶ πρόσθεν ἐῤῥέθη, μὴ δύνασθαι καλῶς εἰς τοὐπίσω τὸ κατὰ τὸν ἀστράγαλον ἄρθρον ἐκτεταμένης τῆς ἰγνύος. ταῦτ' οὖν καὶ νῦν ἑρμηνεῦσαι θέλων εἶπε, ἄκρος δὲ ὁ ποὺς ἧσσόν τι προκύπτειν ἐθέλει ἐς τοὔμπροσθεν, ἐνδεικνύμενος ὅτι τοὺς δακτύλους οἵπερ εἰσὶν ἄκρος πὼς, οὐχ οἷόν τε εὐκόλως κατατείνειν τε καὶ κατανεύειν, καὶ καταφέρειν εἰς τοὔδαφος.

Ὀδυνῶνται δὲ αὐτίκα οὗτοι μάλιστα, καὶ οὖρον ἴσχεται τὸ πρῶτον μᾶλλόν τι ἢ τοῖσιν ἄλλοισιν ἐξαρθρήμασι.

Αὐτὸς εἶπε τὴν αἰτίαν δι' ἣν ταῦτα γίνεται.

Ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοισι τῶν τόνων τῶν ἐπικαίρων. καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκέοντες, καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον στολιδωδέστερον, καὶ ἀσαρκότατον. ταῦτα μὲν οὖν σημεῖα ἐστὶ τὰ εἰρημένα, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός.

Ὀνομάσαι δ' οὕτως τὰ συγκαταφερόμενα διὰ τοῦ βουβῶνος νεῦρα, τῇ τ' ἀρτηρίᾳ καὶ τῇ φλεβί. κέκληκε δὲ ἐπίκαιρα ταῦτα τὰ νεῦρα, καθότι καὶ πρόσθεν ἐμάθομεν, ὅσοι μεγάλην οὕτως ἔχει δύναμιν αὐτὴν ὀνομάζειν. ἔχει δὲ ταῦτα μεγάλην δύναμιν ἐγγυτάτω τοῦ τε νωτιαίου κείμενα, καὶ κατ' ἐκεῖνα τὰ μέρη τὴν ἔκφυσιν αὐτῶν λαμβάνοντα, καθ' ἃ καὶ εἰς τὴν κύστιν ἀποφύεται νεῦρα, διὸ καὶ ἡ συμπάθεια τῆς κύστεως ἀκολουθεῖ τοῖς τοιούτοις ἐξαρθρήμασι, φλεγμαινούσης τε καὶ ἀδυνατούσης ἐκκρίνειν τὸ οὖρον. ἴσως δ' ἄν ποτε καὶ διὰ μέγεθος φλεγμονῆς ἐν τῷ τραχήλῳ τῆς κύστεως γινόμενον, ἔνθα καὶ ὁ μῦς ἐστὶν ὁ σφίγγων αὐτὸν, ἐπισχεθῇ τὰ οὖρα, τὴν κατὰ τὸν πόρον χώραν, τῶν φλεγμαινόντων μορίων καταλαμβανόντων τε καὶ ἀποφραττόντων.

Ὁκόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισι τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι ὁκόταν αὐτοῖσιν ἡ ὀδύνη παύσηται, καὶ τὸ ἄρθρον ἐθισθείη, ἐν τῷ χωρίῳ τούτῳ στροφᾶσθαι ἵνα ἐξέπεσεν. οὗτοι δύνανται σχεδὸν εὐθὺς ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου, καὶ πάνυ μέντοι εὐθέες. ἀντὶ δὲ τὸ σιναρὸν, ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὐκαμπέες ἐόντες, οὔτε κατὰ τὴν ἰγνύην. διὰ γοῦν τοῦ βουβῶνος τὴν ἀκαμπίην εὐθυτέρῳ ὅλῳ τῷ σκέλει ἐν τῇ ὁδοιπορίῃ χρέονται, ἢ ὅτε ὑγίαινον.

Τὸ μὲν αὐτίκα, τουτέστι παραχρῆμα κατὰ τὸν τῆς ἐκπτώσεως καιρὸν ὀδυνᾶσθαί τε αὐτοὺς εἶπε, καὶ οὔρων ἐπίσχεσιν γίγνεσθαι. τοῦ μέντοι χρόνου προϊόντος ὅταν ταῦτα παύσηται, βαδίζειν δύνασθαι. διατί δὲ ταῦτα πέπαυται, καίτοι κατὰ τὴν αὐτὴν χώραν μενούσης τῆς κεφαλῆς τοῦ μηροῦ, καὶ θλιβούσης τε καὶ τεινούσης ὁμοίως τὰ νεῦρα, διδάξει σε διὰ τοῦ προσθεῖναι τῇ λέξει, τὸ ἐθισθείη ἐν τῷ χωρίῳ στροφᾶσθαι ἵνα ἐξέπεσεν. εἰς γὰρ τὸν ἐθισμὸν ἀναφέρειν φαίνεται τοῦ γινομένου τὴν αἰτίαν, ἐπειδὴ τά τε θλιβόμενα πρός τινων ἐν τῷ χρόνῳ τυλουμένων ῥᾷον αὐτῶν ἀνέχεται, καὶ τὰ τεινόμενα κατὰ τὸν αὐτὸν χρόνον, ὅταν ἐθισθῇ τοῦτο πάσχειν, ἀνιώμενα παύεται. διατί δ' ὀρθοὶ δύνανται βαδίζειν ἄνευ ξύλου, κατὰ τὴν ἐχομένην ῥῆσιν αὐτὸς ἐδίδαξεν. κεφάλαιον δ' ἐστὶ τοῦ λόγου τό, τε κατὰ τὴν εὐθυωρίαν φυλάττεσθαι τὸ σκέλος, καὶ τὸ μηδέτερον κάμπτεσθαι τῶν ἄρθρων, μήτε τὸ κατὰ βουβῶνα, μήτε τὸ κατὰ γόνυ.

Καὶ σύρουσι δὲ ἐνίοτε πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηϊδίως ξυγκάμπτοντες τὰ ἄνω ἄρθρα, καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδί. οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν, ἢ τῷ ἔμπροσθεν.

Τὰ ἄνω ἄρθρα λέγει, τό τε κατ' ἰγνύαν καὶ τὸ κατὰ βουβῶνα. τέτταρα δ' ἐστὶν ἄρθρα τὰ πρὸς τὸ βαδίζειν ὑπηρετοῦντα, τὸ κατὰ βουβῶνα, τὸ κατ' ἰγνύαν, τὸ κατ' ἀστράγαλον, τὸ κατὰ τοὺς δακτύλους. ὡς ἐν γὰρ ἀριθμῷ τούτῳ, κἂν ᾖ πολλὰ διὰ τὸ τῆς χρείας τε καὶ τῆς ἐνεργείας κοινόν. τοῦτο μὲν οὖν τὸ ἄρθρον ὀλίγον τι συντελεῖ, τὸ μέντοι κατὰ τῆς γῆς στηριζόμενον διὰ τοῦ ποδὸς ἐκ τοῦ μάλιστα ἡμῖν ὑπάρχει, βραχύ τι συντελούντων αὐτῶν κατὰ τοὺς δα-

κτύλους ἄρθρων. ἡ γε μὴν ὅλη τῶν σκελῶν ἐνέργεια κατά τε τὸ βαδίζειν, καὶ πολὺ μᾶλλον κατὰ τὸ θεῖν ἐκ τῆς κατὰ τὸν βουβῶνα, καὶ τὸ γόνυ διαρθρώσεως γίνεται. καμπτομένων γὰρ αὐτῶν, ὑψηλὸν ἀπὸ τῆς γῆς τὸ κῶλον οὐ μακρῶς καταφέρεται. νῦν οὖν εἰκότως οὐδετέρου καμπτομένου, σύρειν αὐτοὺς ἐπὶ τῆς γῆς ἔφη τὸν πόδα. τὸ δ' ἐνίοτε προσέθηκε, διά τε τὴν ἐν τοῖς ἐδάφεσι διαφορὰν, καὶ τὸ ποσὸν τῆς βλάβης. οἱ μὲν γὰρ ἐν ὁμαλῷ τε καὶ καταντεῖ χωρίῳ βαδίζοντες, εἰ βραχὺ γοῦν κάμπτοιεν ἐν τοῖς ὑψηλοῖς ἄρθροις τὸ σκέλος, οὐδ' ὅλως σύρουσι τὸν πόδα. οἱ δ' ἀνωμάλῳ τε καὶ ἀναντεῖ κάμπτειν ἱκανοὶ, τοσοῦτον ἀποδέουσι τοῦ μὴ σύρειν, ὥστε καὶ προσκόπτουσι τοῖς ἐξέχουσι κατὰ τοὔδαφος, καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδὶ, ὅλῳ τῷ ποδὶ βαίνουσιν, οἱ καὶ τῇ πτέρνῃ καὶ τῷ πεδίῳ, καὶ τοῖς ἄκροις δακτύλοις στηριζόμενοι κατὰ τῆς γῆς. οὐ γὰρ περὶ τούτων οἷς ὀπίσω μετέστη τὸ ἄρθρον, ὡς αὖ μικρότερον ἐχόντων τὸ σκέλος, οὐκ ἐχρῶντο τῇ πτέρνῃ βαδίζοντες, ἀλλ' ἤρκει μόνον αὐτοῖς εἰς τοῦτο τοῦ ποδὸς τὸ στῆθος, ὅπερ ἔφην ὑπὸ τῶν ἀνατομικῶν ὀνομάζεσθαι πεδίον. ἀλλ' οἷς γε εἰς τὸ πρόσω τὸ κατ' ἰσχίον ἄρθρον ἐξέπεσεν, ὡς αὖ τὴν πτέρναν ἐπὶ τῆς γῆς ἑδράζοντες, διὰ τὸ μὴ δύνασθαι τῷ κατὰ τοὺς δακτύλους μέρει τοῦ ποδὸς ἐπιβαίνειν, ᾧ ὕστερον χρῶνται τῷ πρόσω κατ' ἐκεῖνον τὸν καιρὸν ἡνίκα ἤδη μέλλωσι στηριχθέντος ἐπὶ τοῦ πεπονθότος σκέλους, ἐπιχειρεῖν τὸ ἕτερον μεταφέρειν.

Εἰ δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται ἦσαν. καὶ γὰρ οἱ ὑγιαίνοντες ὅσῳ ἂν μέζον προβαίνοντες ὁδοιπορέωσι, τοσούτῳ μᾶλλον πτερνοβάται εἰσὶν, τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον.

Ὅτι μὲν οἱ μέγα προβαίνοντες, τὴν πτέρναν ἐπὶ τῆς γῆς στηρίζουσιν, εἴρηταί μοι πρόσθεν, ἐναργῶς τε φαίνεται. οὐδὲν δὲ ἧττον φαίνεται, καὶ τὸ μὴ προβαίνειν μέγα πάντως, ὅσοι μὴ δύνανται κάμπτειν τὰ ἄνω ἄρθρα δι' ἥντινοῦν αἰτίαν. πάσχουσι δὲ τοῦτο τὴν ταλαιπωρίαν οὐ φέροντες, ἣν ἐν τῷ μεταφέρειν ἀποτεταμένον τὸ σκέλος ἔχουσιν. ὡς ἄλλο δ' οὐδὲν ἐστὶ τὸ κωλῦον αὐτοὺς μέγιστον προβαίνειν, ἐστηριγμένου τηνικαῦτα τοῦ ὑγιοῦς σκέλους, καὶ προελόμενοί γε πρᾶξαι, τοῦτο δύνανται ποιεῖν αὐτὸ μετὰ καμάτου, ὥστε ἄμεινον ἦν ἴσως οὕτως ἑρμηνεύεσθαι τὸν λόγον, οἷς ἐξέπεσε τὸ κατ' ἰσχίον ἄρθρον πρόσω, τούτοις κατὰ τὰς ὁδοιπορίας ὑπάρχειν μηδὲν ἧττον τοῦ πεδίου τε καὶ τῶν δακτύλων τῇ πτέρνῃ χρῆσθαι. εἰ δ' ὑπομένον μέγα διαβαίνειν τῷ πεπονθότι σκέλει, κἂν πάνυ πτερνοβάται ἦσαν, ἀλλὰ νῦν οὐ τολμῶσι πράττειν οὕτως, διότι ταλαιπωροῦνται μόγις καταφέροντες, ἄκαμπτόν γε τὸ σκέλος.

Ὁκόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε, καὶ ἔτι μᾶλλον τῇ πτέρνῃ προσεγχρίπτουσιν, ἢ τὸ ἔμπροσθεν.

Τὸ ἐγχρίπτειν εἴωθε λέγειν ἐπὶ τῶν ἐρειδόντων εἰς ἄλληλα, καὶ τοῦτο γοῦν τὸ σημαινόμενον, ὅτε συνεβούλευε διαπλάττειν τὰ κατάγματα διϊστάντα πρότερον ἀπ' ἀλλήλων τῇ τάσει τὰ κατεαγότα, οὕτως ἔφη ῥᾷον γίγνεσθαι τὴν ἐπανόρθωσιν αὐτῶν, ἢ εἴ τις ἐγχρίπτοντα πρὸς ἄλληλα συνάγοι τὰ ὀστέα. σαφῶς οὖν καὶ κατὰ τὴν νῦν προκειμένην ῥῆσιν ἐδήλωσεν, ὃ μικρὸν ἔμπροσθεν εἶπεν. οὐδὲν γοῦν ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν ἢ τὸ ἔμπροσθεν, ὅτι σαφέστερον ἂν εἴρητο καὶ κάλλιον, εἴ τις αὐτὸ κατὰ τήνδε τὴν λέξιν ἡρμήνευσεν, οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν, ἢ τὸ ἔμπροσθεν, ἀλλ' ἔτι μᾶλλον, ὁ μὴν ἐκεῖνός γε προσέθηκε τὸ ἔτι καὶ μᾶλλον.

Τὸ γὰρ ἔμπροσθεν τοῦ ποδὸς, ὅταν ἐκτεταμένον ἔῃ τὸ ἄλλο σκέλος, οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπυλέεσθαι, ὥσπερ ὅταν ξυγκεκαμμένον ἔῃ τὸ σκέλος, οὔτ' αὖ σιμοῦσθαι δύναται ὁ ποὺς ξυγκεκλιμένου τοῦ σκέλεος, ἕως ὅταν ἐκτεταμένον ἔῃ τὸ σκέλος. ὑγιαίνουσά τε γὰρ ἡ φύσις οὕτω πέφυκεν, ὥσπερ εἴρηται. ὅταν δὲ ἐκπεσὸν μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσιν ὡς εἴρηται, διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας. ἀσαρκότερον μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίνεται, κατά τε τὸν πυγαῖον, κατά τε τὴν γαστροκνημίην, καὶ κατὰ τὴν ὄπισθεν ἶξιν. οἷσι δ' ἂν νηπίοισιν ἔτι ἐοῦσι, τὸ ἄρθρον οὕτως ὀλισθάνον μὴ ἐμπέσῃ, ἢ καὶ ἐκ γενεῆς οὕτω γένηται, καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι μινύθει, ἢ τὰ τῆς κνήμης καὶ τὰ τοῦ ποδός.

Τὸ κατὰ τὸ πεδίον τε καὶ τοὺς δακτύλους μέρος τοῦ ποδὸς, ὅπερ ἔμπροσθεν εἶπον αὐτὸ πρὸς τὴν γῆν ἐπινεύειν, ἀδύνατόν ἐστι τῆς ἰγνύας ἐκτεταμένης. ὠνόμασε δὲ τὸ σχῆμα τοῦτο τοῦ ποδὸς καμπυλέεσθαι, διὰ τὸ μήτ' ἔκτασιν εἰθίσθαι λέγεσθαι, μήτε κάμψιν ἐπὶ τοῦ κατ' ἀστράγαλον ἄρθρου, καθάπερ ἐπὶ τῆς ἰγνύας τε καὶ τοῦ βουβῶνος. ὅταν μὲν οὖν οἱ πρόσθιοι μύες ἀνατείνωσι τὸν ταρσὸν εἰθισμένον, πῶς ἐστι λέγειν σιμοῦσθαι τὸν πόδα; τῶν δ' ὄπισθεν εἰς ἑαυτοὺς ἑλκόντων τὴν πτέρναν, καὶ τὸν ταρσὸν οὐδὲν ὄνομα σύνηθές ἐστι τῷ τοιούτῳ σχήματι. διόπερ ὁ Ἱπποκράτης ἔφην αὐτὸ καμπυλεῖσθαι προσηγόρευσεν, οἰκείαν τῷ δηλουμένῳ πράγματι φωνὴν ἐξευρών. ὅτε γὰρ σιμοῦσθαι δύναται ὁ ποὺς, συγκεκαμμένου τοῦ σκέλεος, ὡς ὅταν ἐκτεταμένον ᾖ τὸ σκέλος, ἀνατείνεσθαί τε διὰ τῶν ἔμπροσθεν μυῶν ὁ ποὺς οὐ δύναται. τοῦτο γάρ ἐστι τὸ σιμοῦσθαι κεκαμμένου τοῦ σκέλους, ὥσπερ ἐκτεταμένου, καθάπερ οὐδὲ καμπυλεῖσθαι χωρὶς τοῦ καμφθῆναι. ἐπ' ὀλίγον μὲν γὰρ καὶ μετὰ βίας ἑκάτερον τῶν εἰρημένων πάσχει, καὶ καθ' ἑκάτερον τῶν σχημάτων, ἐπὶ πολὺ δὲ καὶ χωρὶς βίας οὐ δύναται, ἔτι ὡς οἶδ' ἔφην, οἱ τῆς γαστροκνημίας μύες ἐκπεφυκότες, οὐκ ἐκ τῆς κνήμης ὑφ' ὧν ἡ πτέρνα, καὶ ὁ ποὺς ὅλος ἕλκεται πρὸς τὴν ὀπίσω χώραν, ὅπερ ἔνιοι μὲν ὀνομάζουσι κάμψιν ποδὸς, ἔνιοι δ' ἔκτασιν. ὥσπερ γε καὶ τὴν ἀντικειμένην κίνησιν ἣν διὰ τῶν προσθίων ἔχει, ἔνιοι μὲν ἔκτασιν, ἔνιοι

δὲ

δὲ κάμπην ὀνομάζουσιν. ἀλλ' ἐπὶ μὲν ταύτης ἔθιδες τὸν πόδα λέγειν, ἐπὶ δὲ τῆς ἐναντίας, οὐδέν ἐστιν ἅπασι σύμφωνον ὄνομα. βλάπτεται δ' οὐδὲν ἡ τῶν πραγμάτων γνῶσις ἐκ τῆς τῶν ὀνομάτων διαφωνίας. ἐγὼ γάρ, νομίζω, σαφῶς ἑκάτερον ἐδήλωσα διὰ τοῦ λόγου χωρὶς τῶν διαπεφωνημένων ὀνομάτων.

Ἥκιστα μὲν ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ὁ μηρὸς μειοῦται. μινύθουσι μέντοι αἱ σάρκες πάντη, μάλιστα δὲ κατὰ τὴν ὄπισθεν ἶξιν, ὥσπερ ἤδη καὶ πρόσθεν εἴρηται. ὅσοι μὲν οὖν ἂν τιθηνηθῶσιν ὀρθῶς, οὗτοι μὲν δύνανται προσχρέεσθαι τῷ σκέλει αὐξανόμενοι, βραχυτέρῳ μέν τινι τοῦ ἑτέρου ἐόντι, ὅμως δὲ ἐρειδόμενοι ξύλῳ ἐπὶ ταῦτα ᾗ τὸ σιναρὸν σκέλος. οὐ γὰρ κάρτα δύνανται ἄνευ τῆς πτέρνης, τῷ στήθει τοῦ ποδὸς χρέεσθαι, ἐπικαθιέντες ὥσπερ ἐν ἑτέροις χωλεύμασιν ἔνιοι δύνανται. αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰρημένον, διὰ οὖν τοῦτο προσδέονται ξύλου. ὅσοι δ' ἂν καταμεληθῶσι καὶ μηδὲν χρέωνται ἐπὶ τὴν γῆν τῷ σκέλει, ἀλλὰ μετέωρον ἔχουσι, τούτοισι μινύθουσι μὲν τὰ ὀστέα ἐς αὔξησιν μᾶλλον ἢ τοῖσι χρεομένοισι, μινύθουσι δὲ καὶ αἱ σάρκες πολὺ μᾶλλον ἢ τοῖσι χρεομένοισι. κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ ἰθὺ πηροῦται τούτοισι τὸ σκέλος μᾶλλόν τι, ἢ οἷσιν ἄλλως ἐκπεπτώκῃ.

Ἔνιοι τῶν ἐξηγουμένων τὰς τοιαύτας λέξεις οὕτως ἐοίκασιν ἀπείρως ἔχειν αὐτῶν, ὥστε τὸ μὲν ἥκιστα σημαίνειν νομίζουσιν οὐδ' ὅλως. τὸ δ' οὐχ ἥκιστα μάλιστα. δ' αὖ οὗτοι νομίσαιεν ὑφ' Ἱπποκράτους εἰρῆσθαι τοῖς οὕτω παθοῦσι μηδ' ὅλως μειοῦσθαι τὸν μηρόν, ἀλλὰ φαίνεταί γε μειούμενος. οὐ μὴν ὥσπερ ἐπὶ ταῖς ἄλλαις ἐκπτώσεσιν, ὅτι μετριωτέρας ἐκείνων ἔχει τὰς μειώσεως αἰτίας. ἐλέχθησαν δὲ αὗται δύο, διαστροφή τε τῶν ὀργάνων καὶ βλάβη τῶν ἐνεργειῶν, δι' ἣν ὀλίγα χρῶνται τῷ σκέλει. ἀλλ' ἐν τούτῳ τῷ παθήματι πρὸς τὸ μὴ διεστράφθαι μεγάλως, οὐδ' ἡ περὶ ἐνεργείας βλάβη σφόδρα τὸ σκέλος γίγνεται.

Ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρέεσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθαίνοντα, ἀνίσως αὐτὰ ἑωυτοῖσιν ἐκπίπτει καὶ ὀλισθαίνει, ἄλλοτε μὲν πολὺ πλείονα, ἄλλοτε δὲ πολὺ ἐλάσσονα. καὶ οἷσι μὲν ἂν πολὺ πλεῖον ὀλισθῇ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστί. καὶ ἢν μὴ ἐμβιβασθῇ, μείζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα, καὶ ὀστέων, καὶ σαρκῶν, καὶ σχημάτων. ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλισθῇ, ῥηΐδιον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν † ὀστέων γίνεται. ἢν δὲ καταπορηθῇ ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι αἱ πωρώσιες γίνονται τούτοισιν, ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἴρηται. τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὁτὲ μὲν μεῖον, ὁτὲ δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώτατα ὀλισθαίνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρη. ἅτε γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι, ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσι. κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι, αἱ δεχόμεναι τὰς κεφαλάς, ἁρμόζουσαι δὲ τῇσι κεφαλῇσι, διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου. ὀλισθαίνοι γὰρ ἂν διὰ τὴν περιφερείην ἢ ἐς τὸ ἔξω, ἢ ἐς τὸ εἴσω. περὶ οὗ νῦν ὁ λόγος ἐστίν, ἐκπίπτουσι τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν. ὅμως δὲ καὶ ταῦτα, ὁτὲ μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσεως, ὁτὲ δὲ ἔλασσον, μᾶλλον δέ τι μηρὸς τοῦ βραχίονος πέπονθεν.

† ἑτέρων

Οὐ ταύτης μόνης τῆς ῥήσεως, ἀλλὰ καὶ τῶν ἐφεξῆς ἁπασῶν ἕν ἐστι κεφάλαιον κοινόν, ἀλλήλων διαφέρειν τὰς ἐξαρθρήσεις, οὐ σμικρὰν διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. ἔνιαι μὲν γὰρ ἐπὶ πολὺ τοῦ κατὰ φύσιν, ἔνιαι δ' ἐπ' ὀλίγον ἀφίστανται, μᾶλλον καὶ ἧττον ἑκάτεραι τοῦτο πάσχουσαι. περὶ μὲν οὖν τῶν ἄλλων ἄρθρων εὔδηλόν ἐστιν, οἷον τοῦ τε κατ' ἀγκῶνα, καὶ καρπὸν καὶ κνήμην, καὶ πόδα καὶ δακτύλους. ἐπὶ δὲ τοῦ κατ' ὦμον καὶ ἰσχίον ἐπιδεικνύει, μὴ δυνάμενον γενέσθαι τὸ καλούμενον παράρθρημα διὰ τὸ κεφαλὰς τῶν ἄρθρων σφαιροειδεῖς οὔσας, ἐμβαίνειν κοιλότησιν, ὀφρῦς ἐχούσαις κυκλοτερεῖς, ἐφ' ὧν ἀδύνατόν ἐστι λαμβάνειν τὰς κεφαλάς. ἐξ ἀνάγκης γὰρ εὐθέως, ἔπισιν τὰς κοιλότητας ἐμπίπτουσιν, ἐκτὸς αὐτῶν ὀλισθαίνουσιν. ἀλλ' ὅμως φησὶ κἀπὶ τούτων ἐνίοτε μὲν ἀξιόλογον, ἐνίοτε δ' ὀλίγιστον ἀφίστασθαι τὰς κεφαλὰς τοῦ κατὰ φύσιν. εὔδηλον δ' ὅτι τοῦ τε βραχυτάτου καὶ τοῦ πλείστου τὸ μεταξὺ διαφορὰς ἔχει κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, οὐκ ὀλίγας.

Ἐπεὶ ἔνια καὶ τῶν ἐκ γενεῆς γινομένων ὀλισθημάτων ἢν μικρὸν ὀλισθῇ, οἷά τε ἐς τὴν φύσιν ἄγεσθαι, καὶ μάλιστα περὶ τὰ τοῦ ποδὸς ἄρθρα.

Ἐκ γενεῆς, ἔνιοι μὲν οὖν ἐπὶ τῶν συγγινομένων εἰρῆσθαι φασίν, ἔνιοι δ' ἐπὶ τῶν οὐ μετὰ πολὺν χρόνον τοῦ γεννηθῆναι. τούτοις μὲν οὖν μαρτυρεῖ τὰ εἰρημένα ἐφεξῆς. καὶ προφανῶς ἁμαρτάνουσιν οἱ περὶ μόνων τῶν γεννηθέντων ἀκούοντες. ἄμεινον γὰρ ἐπ' ἀμφοτέρων ἡγεῖσθαι λελέχθαι τὸν λόγον. ὅτι δὲ τοῖς ἑτέροις μαρτυρεῖ τὰ ἐφεξῆς εἰρημένα, μικρὸν ὕστερον ἐπιδείξομεν ὅταν ἐκείνην ἐξηγώμεθα τὴν ῥῆσιν.

Ὁκόσοι ἐκ γενεῆς κυλλοὶ γίνονται.

Τὴν ἐπὶ τὰ ἔξω διαστροφὴν τοῦ σκέλους, αὐτὸς ἔμπροσθεν ὠνόμασε κύλλωσιν, ἐφ' ἧς ἔφη συμβαίνειν ῥέπειν ἔσω τὸν πόδα. ἄρθρα δὲ ποδὸς εἶπεν, ἐπειδὴ πλείω τὸν ἀριθμόν εἰσι, γιγνόμενα μὲν ἅπαντα κατὰ τὰς κατὰ τὸν ἀστράγαλον διαρθρώσεις. οὐ μὴν ἑνὸς ὀστοῦ τὴν διάρθρωσιν ἔχοντος πρὸς αὐτόν. ἡ μὲν γὰρ περόνη κατὰ τὸ ἔξω μέρος, ἡ δὲ κνήμη κατὰ τὸ ἔνδον, ἑκατέρα μεγάλαις ἀποφύσεσιν αὐτὸν περιλαμβάνει. τὸ δὲ πρόσω μέρος αὐτοῦ περιφερὲς ὂν οἷον κεφαλήν τινα ἔχει πεφυκυῖαν ἐπ' αὐχένι, περιλαμβανομένην ὑπὸ κοιλότητος ὀστοῦ τοῦ καλουμένου σκαφοειδοῦς. καὶ κατὰ ταύτην γε μάλιστα τὴν διάρθρωσιν, ἀνατείνεσθαί τε σιμουμένῳ τῷ ποδί, καὶ πρὸς τὴν ὀπίσω χώραν ἀπάγεσθαι συμβαίνει. καὶ μὴν κἀκ τῶν κάτω μὲν ὁ ἀστράγαλος πρὸς τὴν πτέρναν διαρθροῦται, καθ' ὃν εἴρηται τρόπον ἐν τῷ περὶ ὀστῶν ὑπομνήματι, καὶ γεγυμνάσθαι συνεβούλευσα τὸν μέλλοντα ταῖσδε ταῖς ἐξηγήσεσιν ὁμιλεῖν. ἀλλ' αἵ γε κυλλώσεις τοῦ ποδὸς μάλιστα γίνονται, πρὸς τὴν ἔξω χώραν ἀφικνουμένης τῆς κνήμης, ὡς αἰωρεῖσθαί τε καὶ ἀστήρικτον κρέμασθαι τὴν κάτω τῆς περόνης ἐπίφυσιν, ἣ περιλαμβάνει τὸν ἀστράγαλον ἔξωθεν.

Τὰ πλεῖστα τούτων ἰήσιμά ἐστιν, ἢν μὴ πάνυ ἡ ἔκκλισις εἴη, ἢ καὶ προαυξέων γεγονότων ἤδη παιδίων ξυμβῇ. ἄριστον μὲν οὖν ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα, πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων, τῶν ἐν τῷ ποδὶ γενέσθαι, πρίν τε πάνυ μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι.

Προαυξέων λέγει τῶν ἐπὶ πλέον ηὐξημένων, οὐχ ὁμοίως οὔσης εὐαναπλάστου τῆς τῶν ὀστῶν οὐσίας, καθάπερ τῶν βρεφῶν διὰ μαλακότητα. πρόδηλον ἐκ τοῦ γε περὶ τῶν ἤδη γεγονότων αὐτὸν διαλέγεσθαι. εἰ δὲ καὶ περὶ τῶν ἔτι κυουμένων, οὐχ ὁμοίως δῆλον, ἀλλὰ πολλάκις τε διὰ τῶν ἔμπροσθεν ἐμνημόνευσε καὶ τοῖς κυουμένοις ἐξαρθρήματα γίγνεσθαι.

Τρόπος δὲ οὐ κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες. τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι' ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα.

Ὡς τὸ πολὺ μὲν ἐπὶ τῶν καθ' ἕκαστον διαφερόντων, ὑπὲρ ὅπερ ἂν ἕκαστός τε τύχῃ διαλεγόμενος, εἴωθε ἐπιφέρειν τρόπος ὄνομα. δύναται γε μὴν νῦν καὶ περὶ τῆς γενέσεως τῶν κυλλωμάτων λέγειν ὅτι κατὰ πολλοὺς γίνεται τρόπους. καὶ γὰρ τὸ ἐπιφερόμενον ἀμφοτέροις μαρτυρεῖ, λέγοντος αὐτοῦ τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι' ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα. ἐκ μὲν γὰρ τοῦ φάναι μὴ ἐξηρθρηκότα τελέως, ἕνα τινὰ τρόπον ἐδήλωσε τοῦ πάθους. ἐκ δὲ τοῦ δι' ἔθος σχήματος, ἁπαλά τε ὄντα καὶ οἷον κηροειδῆ τὰ τῶν βρεφῶν ὀστᾶ, διαστρέφεσθαι μοχθηρῶς ὑπὸ τῶν τροφῶν σχηματιζόμενα. κατατιθεμένων ἐν τοῖς λίκνοις περιεστραμμένα πως ἢ καὶ περιειλιγμένα πλείοσιν ἐπιβλήμασιν, ἢ θλώμενα πρός τινων, ὑφ' ὧν ἁπάντων αἱ διαστροφαὶ γίνονται.

Προσέχειν δὲ τῇ ἰητρείῃ, τοῖσι δὲ χρὴ ἀπωθέειν μὲν καὶ κατορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον, τὸ ἔξωθεν ἐς τὸ εἴσω μέρος, ἀντωθέειν δὲ ἐς τὸ ἔξω μέρος τὸ τῆς περόνης τὸ κατ' αὐτὴν τὴν ἴξιν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστέα τὰ ἐξίσχοντα, κατὰ μέσον δὲ καὶ πλάγιον τὸν πόδα. τοὺς δ' αὖ δακτύλους ἀθρόους ξὺν τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ εἴσω μέρος ἐγκλίνειν, καὶ περιαναγκάζειν οὕτως.

Αὐτὸς ἐν τῷ περὶ ἀγμῶν εἶπεν. ἡ δὲ κνήμη δύο ὀστέα ἐστί, τῇ μὲν συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου, τῇ δὲ οὐ πολλῷ λεπτότερον, ἀλλὰ τοῖς τε μετ' αὐτὸν ἔθιμον τὸ ἔξωθεν ὀνομάζειν περόνην. ταύτην οὖν ὠθεῖν ἔσω κελεύει, καὶ τὰ προέχοντα τὴν πτέρναν ἀντωθεῖν ἐκτὸς, καὶ μάλιστα αὐτῆς τὸ κατὰ τὴν ἴξιν, ὅπερ δηλοῖ τὴν εὐθυωρίαν ὡς πρὸς τὴν κνήμην, δηλονότι τὴν ἐν τῷ κατὰ φύσιν ἐπικειμένην αὐτῇ. πολλάκις δ' ἔμπροσθεν ἤδη περὶ τοῦ τρόπου τῆς ἐμβολῆς εἶπεν ἁπάντων ὄντων κοινοῦ. χρὴ γὰρ τὸ μὲν ἐξέχοντος τοῦ κατὰ φύσιν εἰς τὴν ἀρχαίαν χώραν ἐπαγαγεῖν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστᾶ. τὰ δ' ἐφεξῆς εἰρημένα περὶ τῆς διαπλάσεως αὐτοῦ, ἱκανῶς ἐστι σαφῆ τοῖς μεμνημένοις, ὧν τ' ἔμπροσθεν εἰς τοῦτο τὸ βιβλίον εἴπομεν ἐξηγούμενοι, καὶ ὧν ἔτι τούτου πρότερον εἰς τὸ περὶ μὲν ἀγμῶν. εἰ δ' ἔτι περιπίπτει δοκοῦν ἀσαφέστερον εἰρῆσθαι, περὶ μόνου τούτου ποιήσομαι τὸν λόγον.

Ἐπιδεῖν δὲ κηρωτῇ ἐρρητινωμένῃ εὖ, καὶ σπλήνεσι, καὶ ὀθονίοισι μαλθακοῖσι μὴ ὀλίγοισι, μηδὲ ἄγαν πιέζοντα.

Τοῖς

τοῖς διαπλασσομένοις μέρεσιν ἐπιτήδειός ἐστιν τὴν ῥητίνην ἔχουσα κηρωτή, διότι συνέχεται μᾶλλον τῷ δέρματι καὶ τὰ ὀθόνια, καὶ ξηραίνεται μᾶλλον τὰ σώματα. ἐκ μὲν οὖν τοῦ συνέχεσθαι, τὸ φυλάττεσθαι τὴν διάπλασιν ἀμετακίνητον ὑπάρξει τοῖς θεραπευομένοις μορίοις. ἐκ δὲ τοῦ ξηραίνεσθαι, τὸ πήγνυσθαί τε καὶ κρατύνεσθαι. τοῦτο δ᾽ αὐτὸ μόνιμον αὐτοῖς φυλάξει τὴν διάπλασιν. ὀθονίοις δὲ χρῆσθαι κελεύει, μαλθακοῖς μὲν διὰ τὴν μαλθακότητα τῶν σωμάτων, ἣν ἐκ τῆς ἡλικίης ἔχει τὰ βρέφη. περιβεβλημένοις δὲ ἀτρέμα, φυλαττόμενος τὴν ἐκ τῆς βιαίας περιβολῆς θλίψιν αὐτῶν, καὶ μάλιστα ὅταν ἐπὶ μαλακῶν γίνονται σωμάτων. ὅτι δὲ ἧττον πιέζεσθαι κελεύει, διὰ τοῦτο πλέοσι χρῆσθαι τοῖς ὀθονίοις ἀξιοῖ. τὴν γὰρ ἀσφάλειαν τῆς ἐπιδέσεως ἔφασκεν, ἢ πίεσιν, ἢ πλῆθος τῶν ὀθονίων γίγνεσθαι.

Οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶν ἡ κατόρθωσις ἦν τοῦ ποδὸς, ὅκως ὁ ποὺς ὀλίγον μᾶλλον ἐς τὸ βλαισὸν ῥέπον φαίνηται.

Καὶ τοῦτο κοινὸν ἁπάσης ἐπανορθώσεως ἄρθρων τε καὶ καταγμάτων ἐστὶ παράγγελμα, πολλάκις ὑπ᾽ αὐτοῦ παρηνημένον. οὐ βούλεται γὰρ ἐν ταῖς ἐπανορθώσεσι τὰ διαπλαττόμενα πρὸς τὸ κατὰ φύσιν ἀκριβῶς ἀχθέντα καταλιπεῖν αὐτόθι. κελεύει μὲν περιβάλλειν ὀλίγον, ὅτι ὡς ἐκ τούτου τὴν πολυχρόνιον αὐτῶν ῥοπὴν ἐπὶ τὴν διαστροφὴν ἀντισπῶντες, ἐν τῷ μέσῳ καταστήσωμεν, ὅπερ ἦν τὸ κατὰ φύσιν ἀκριβῶς. εἰ γὰρ ἐν τούτῳ διαπλάττοντες καταλείποιμεν, ἐπὶ τὴν πολυχρόνιον διαστροφὴν ὑπορρέει τὰ μόρια. δῆλον δ᾽ ὅτι καὶ τοῦτο παράγγελμα ἐν τῷ γενικωτάτῳ πάντων ὑποπέπτωκε θεραπευτικῷ σκοπῷ, καθ᾽ ὃν ἔφασκε τὰ ἐναντία καὶ ἐναντίων ἰάματα εἶναι, μήτε τὰ κατεψυγμένα, θερμαινόντων ἡμῶν τῇ μετρίᾳ θερμασίᾳ, μήτε τὰ θερμαινόμενα μετρίως ψυχόντων, ἀλλ᾽ εἰς τοσοῦτον ἐπέκεινα τῆς μεσότητος εἰς τἀναντία προχωρούντων, ὅσον ἀπεχώρησεν αὐτῆς τὸ πάθος ἐπὶ θάτερον. καὶ νῦν οὖν ἐπεὶ μὲν πάθος ἦν ἡ κύλλωσις ἐναντία βλαισώσει διὰ πάντων τῷ λόγῳ, τὸ κυλλὸν ὁ Ἱπποκράτης πρὸς τὸ βλαισὸν ἀξιοῖ ῥέπειν, ἐπέκεινα δηλονότι τοῦ ἀκριβῶς ὄν.

Ἴχνος δέ τι ποιέεσθαι, ἢ δέρματος μὴ ἄγαν σκληροῦ ἢ μολυβδίνου.

Καὶ τοῦθ᾽ ἕνεκα τοῦ μονίμου τῆς ἐπιδέσεως ἐπιτεχνᾶται. διὰ τοῦτο δ᾽ οὖν καὶ προσκαταδεῖν αὐτὸ κελεύει τῇ ἐπιδέσει πάντων ὕστατον, ὅπως ἐκείνην τε συνέχῃ πᾶσαν, αὐτόν τε μὴ θλίβῃ τὸν χρῶτα. τοῦτο δὲ ἐδήλωσε τῇ προκειμένῃ ῥήσει γράψας ἐφεξῆς τήνδε.

Προσεπιδεῖν δὲ μὴ πρὸς τὸν χρῶτα τιθέντα, ἀλλ᾽ ὅταν ἤδη τοῖσιν ὑστάτοισιν ὀθονίοισι μέλλῃς ἐπιδέειν. ὅταν δὲ ἤδη ἐπιδεδεμένος ἔῃ, ἑνός τινος τῶν ὀθονίων χρὴ, οἷσιν ἐπιδέεται, τὴν ἀρχὴν προσράψαι πρὸς τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ μικροῦ δακτύλου, ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅκως ἂν δοκέῃ μετρίως ἔχειν, περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ᾖ κατατεταγμένον οὕτως. ἁπλῷ δὲ λόγῳ, ὥσπερ κηροπλαστέοντα χρὴ ἐς τὴν φύσιν τὴν δικαίην ἄγειν, καὶ τὰ ἐκκεκλιμένα, καὶ τὰ συντεταμένα παρὰ τὴν φύσιν, καὶ τῇσι χερσὶν οὕτω διορθοῦντα, καὶ τῇ ἐπιδέσει ὡσαύτως. προσάγειν δὲ οὐ βιαίως, ἀλλὰ παρηγορικῶς.

Ἐκ τοῦ κατὰ τὸν μικρὸν δάκτυλον χωρίου, τουτέστι τῶν ἐκτὸς τοῦ ποδὸς, τὴν ἄρτησιν ποιεῖται πρὸς τὴν γαστροκνημίαν, ἐπειδὴ κεκυλλωμένον πόδα θεραπεύει, βεβλαισωμένον δ᾽ εἴπερ ἐθεράπευε, πάλιν αὖ ἐποίησε τὴν ἀνάρτησιν. ἐπὶ τἀναντία γὰρ χρὴ περιρρέπειν τὸν πόδα τῇ διαστροφῇ, ὡς τὰ μὲν εἰς τὴν ἔξω χώραν διεστραμμένα, εἰς τὴν ἐντὸς ἐπιστρέψαι. τὰ δ᾽ ἔσω τὴν μετάστασιν πεποιημένα, καὶ ταῦτα πρὸς τὸν ἐναντίον ἀπάγειν τόπον.

Προσράπτειν δὲ τὰ ὀθόνια ὅκως ἂν ξυμφέρῃ τὰς ἀναλήψιας ποιέεσθαι. ἄλλα γὰρ ἄλλης τῶν χωλωμάτων δέεται ἀναλήψιος.

Ὅπερ ἀρτίως ἐγὼ προειρήκειν, αὐτὸς ἐν τῷδε τῷ λόγῳ δήλωσεν, ἄλλα ἄλλης τῶν χωλωμάτων δεῖσθαι λέγων ἀναλήψεως. τὰ μὲν κεκυλλωμένα, δῆλον ὅτι τῆς ἔσω μὲν προσαγούσης τὸ τῆς κνήμης πέρας, ἔξω δὲ τὸν πόδα. τὰ δὲ βεβλαισωμένα, τῆς ἔξω μὲν τὴν κνήμην, ἔσω δὲ, τὸν πόδα. καὶ τὰ μὲν ἐπ᾽ ὀλίγον ἑκάτερον τούτων πεπονθότα, μετρίως ἀντισπᾶν ἐπὶ τὴν ἐναντίαν χώραν ποιούμενον τὴν ἀνάληψιν. τὰ δὲ ἐπὶ πλέον ἀποκεχωρηκότα, σφοδρότερον ἀντιτείνοντα, διὰ τοῦτο καὶ κοινὸν ἐπὶ πασῶν τῶν διαστροφῶν ὄνομα νῦν εἶπε τὸ χώλωμα.

Ὑποδημάτιον δὲ ποιέεσθαι μολύβδινον, ἔξωθεν τῆς ἐπιδέσιος ἐπιδεδεμένον, οἷον αἱ Χίαι κρηπῖδες ῥυθμὸν εἶχον, ἀλλ᾽ οὐδὲν αὐτοῦ δεῖ, ἤν τις ὀρθῶς μὲν τῇσι χερσὶ διορθώσῃ, ὀρθῶς δὲ τοῖσιν ὀθονίοισιν ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιοῖτο. ἡ μὲν οὖν ἴησις αὕτη, καὶ οὔτε τομῆς, οὔτε καύσιος οὐδὲν δεῖ, οὔτ᾽ ἄλλης ποικιλίης. θᾶσσον γὰρ ἐνακούει τὰ τοιαῦτα τῆς ἰητρείης, ἢ ὡς ἄν τις οἴοιτο. προσνικᾶν μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν τοῖσι δικαίοισι σχήμασιν.

Ὁποῖον μὲν ῥυθμὸν εἶχον αἱ Χίαι κρηπῖδες, οὐχ οἷόν τε γνῶναι σαφὲς, οὐδὲ γὰρ κατ᾽ αὐτὸν ἔτι τὸν Ἱπποκράτην ἐσώζετο. διὰ τοῦτο γοῦν εἶπεν οἷον αἱ Χίαι κρηπῖδες ῥυθμὸν εἶχον, δυνάμενος εἰπεῖν, ἔχουσιν. εὔδηλον δ᾽ ὅτι τὸ συνέχον μὲν ἀκριβῶς τὸν πόδα, μὴ θλῖβον δὲ τὸν χρῶτα τοῖς διαπλασσομένοις παιδίοις, ἐπιτηδειότατόν ἐστιν ὑπόδημα, ὥστε πρὸς τούτους ἀποβλέποντι τοὺς σκοποὺς, καὶ νῦν ἂν δύναιντο ποιεῖν ὑπόδημα χρήσιμον ἄνευ τοῦ ζητεῖν

ὁποῖαι τινὲς ἦσαν αἱ χῖαι κρηπῖδες.

Ὅταν δὲ ἐς ὑποδήματος λόγον εἴη, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπατίδες καλεόμεναι.

Εἰς ὑποδήματος ἥξει λόγον τὸ θεραπευόμενον παιδίον, ὅταν τε τὸ κατορθούμενον μόριον ὑγιὲς ᾖ, καὶ τηλικοῦτον, ὅταν ἐν τῷ τέως αὐξηθὲν γένηται, καὶ μηκέτι μαλακὴν αὐτῶν τῶν ὀστῶν τὴν οὐσίαν ἔχειν. οὐδὲ γὰρ οὔτ' ἐπιτρέψαι χρὴ πρότερον αὐτὸ βαδίζειν, ἵνα μὴ πάλιν ἐπὶ τὴν ἔμπροσθεν διαστροφὴν ἐπανέλθῃ τὸ μόριον. ὅταν δ' ἀβλαβῶς δύναται βαδίζειν, ἀρβύλας ὑποδεῖν αὐτῷ προσήκει. κοῖλον δ' ἐστὶ ὑπόδημα τοῦτο καὶ περιεσφιγμένον ἀκριβῶς ὅλῳ τῷ ποδί, μέχρι τῶν σφυρῶν. εὔδηλον δ' ὅτι τοιοῦτον ἐστὶ κἀξ ὧν ἐπήνεγκεν αὐτὸς ὁ Ἱπποκράτης εἰπών, αὐτὰς πηλοβατίδας ὀνομάζεσθαι. τοῦτο γὰρ γέγονε τὸ ὄνομα, εἰ μὲν διὰ τοῦ π γράφοιτο πηλοπατίδας, διὰ τὸ πατεῖσθαι τὸν πηλὸν ὑπ' αὐτῶν, εἰ δὲ διὰ τοῦ β πηλοβατίδας, ἐπειδὰν βαίνειν ἀσφαλῶς ἐν πηλῷ δυνατόν ἐστι τοῖς ὑποδεδημένοις τοῦτον ὑπόδημα.

Τοῦτο γὰρ ὑποδημάτων ἥκιστα κρατέεται ὑπὸ τοῦ ποδὸς, ἀλλὰ κρατέει μᾶλλον.

Ἄλλως ἄλλος ἄνθρωπος εἴθισταί τε καὶ πέφυκε βαδίζειν. ὁ μέν τις ὀρθῶς ἀκριβῶς ἔχων, ὁ δ' εἴσω μᾶλλον ἢ ἔξω ῥέποντα τὸν πόδα, καὶ τινὲς μὲν αὐτῷ τῷ στήθει, τινὲς δὲ τῇ πτέρνῃ βαίνουσι μᾶλλον, τινὲς δὲ ὁμαλῶς ὅλον στηρίζουσι. καὶ τοίνυν καὶ φαίνονται συνεξομοιοῦντες ἀεὶ τῷ τρόπῳ τῆς βαδίσεως οἱ ἄνθρωποι τὰ τοιαῦτα τῶν ὑποδημάτων, ὅσα μήτε βαθέα, μήτ' ἀκριβῶς ἐστὶ περιεσφιγμένα τῷ ποδί, καί σοι θεασαμένῳ τὶ τῶν τοιούτων ὑποδημάτων, ἐνεστιν ἐξ αὐτῶν λογίζεσθαι πῶς χρώμενος αὐτοῖς βαδίζει. τὸ μὲν γὰρ ὀρθὸν καὶ μηδαμῶς ῥέπον, ἀλλ' οἷον ὁ σκυτοτόμος ἐποίησε αὐτὸ τοιοῦτον διαμένον, ὀρθὸν σημαίνει τίθεσθαι τὸν πόδα τοῦ χρωμένου. τὸ δ' ἔσω νενευκὸς ἢ ἔξωθεν, τὸν χρώμενον ἐνταῦθα ῥέπειν τὸν πόδα κατὰ τὴν ὁδοιπορίαν ἐνδείκνυται, καθάπερ γε καὶ τὸ πρόσω μᾶλλον ἢ ὀπίσω νενευκὸς, ἢ κατὰ τὴν πτέρναν, ἢ τὸ τοῦ ποδὸς στῆθος, ἐκτετριμμένους ἔχοντος ἥλους, ἢ ἐκ τῶν ἔξω μερῶν, ἢ ἐκ τῶν ἔνδον, ἐπὶ κοινὰ δηλοῖ ῥέπειν ἐν τῇ βαδίσει τὸν πόδα. τὸ τοίνυν τοιοῦτον ὑπόδημα κρατεῖσθαι φησὶν ὑπὸ τοῦ ποδὸς ὁ Ἱπποκράτης, ὅπερ ἐστὶ νικᾶσθαι. τὸ δ' ἐναντίον αὐτοῦ τὸ διαμένον ἀρρεπὲς, ἔμπαλιν τούτῳ κρατεῖν αὐτοῦ τὸν πόδα, ἀναγκάζον ὀρθόν τε καὶ ἀρρεπῆ τίθεσθαι ἐπὶ τῆς γῆς. κεφάλαιον δὲ τῆς τούτου κατασκευῆς ἐστιν, ἐσφίγχθαι τε περὶ ὅλον ἀκριβῶς τὸν πόδα, καὶ βάθος ἔχειν δαψιλές. ἐσφίγχθαι δ' ἀδύνατον, μὴ πολυσχιδὲς γενόμενον, ὥστε καὶ οἱ κυνηγέται δι' αὐτὸ τοῦτο τοιούτοις ὑποδήμασι χρῶνται, ποτὲ αὖ καὶ τρέχειν ἀναγκαζόμενοι δι' ἀνωμάλων χωρίων. ἐν οἷς ἐὰν μὴ συνηρμοσμένον ᾖ ἀκριβῶς τῷ χρωτὶ τὸ ὑπόδημα, στρέμματά τε καὶ σπάσματα γίγνεται κατά τε τὰ σφυρὰ καὶ τοὺς πόδας.

Ἐπιτήδειος δὲ καὶ ὁ κρητικὸς τρόπος τῶν ὑποδημάτων.

Ἔτι καὶ νῦν οὗτος ἀσκεῖται κατὰ τὴν ἡμετέραν ἀσίαν, καὶ ἐπὶ τῆς κρήτης, οὐχ ἥκιστα μέχρι κνήμης μέσος ἀνήκων. ἔστι δ' ἱκανῶς ὑπ' αὐτοῦ πολυσχιδὲς τὶ δέρμα καθ' ἑκάτερον τὸ μέρος, ἀριστερόν τε καὶ δεξιὸν ἴσον, ἐντεταμμένον τε καὶ ἰδίᾳ συντετριμμένον ἐπὶ τοῖς πέρασιν, ὡς ἱμάντι διεκβαλλομένων τῶν τρημάτων συνάγεσθαι κατ' ἄλληλα τὰ τεταγμένα τοῦ δέρματος τμήματα. πρόδηλον οὖν ὅτι συνέχει τε καὶ σφίγγει τὸν πόδα μετὰ τῆς ἐπὶ φύσιν διαρθρώσεως ὅλης ἀκριβῶς τὸ τοιοῦτον ὑπόδημα. χρῶνται δὲ αὐτῷ μάλιστα παρ' ἡμῖν οἱ κυνηγέται θηρεύοντες, ἐπειδήπερ ἐν τραχέσι καὶ ἀνωμάλοις χωρίοις ἀναγκάζονται πολλάκις οὐ τρέχειν μόνον, ἀλλὰ καὶ πηδᾶν. ἡ δ' αὐτὴ καὶ τοὺς κρῆτας αἰτία τοιούτοις ὑποδήμασι χρῆσθαι ἔπεισε, διά τε τὰ μεγέθη τῶν ὀρῶν τῶν ἐν τῇ νήσῳ καὶ τὰς τραχύτητας.

Περὶ τῶν γυμνουμένων ὀστῶν μετ' ἐξαρθρήματος.

Ὁκόσοισι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα, καὶ ἕλκος ποιήσαντα, τελείως ἐξίσχῃ τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε εἴσω ῥέψαντα, εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ' ἐᾶν τὸν βουλόμενον τῶν ἰητρῶν ἐμβαλεῖν. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ἀποθανεῖται ἐὰν ἐμβληθέντα ἐμμείνῃ, καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος τούτοισι γενήσεται. ὀλίγοι γὰρ αὐτῶν τὰς ἑπτὰ ἡμέρας ὑπερβάλλοιεν, σπασμὸς γὰρ ὁ κτείνων ἐστίν.

Ἐμβάλλειν μὲν ὀστᾶ λέγει τὰ τῆς περόνης, καὶ τὰ ὁμωνύμως παντὶ τῷ μορίῳ ὀνομαζομένης κνήμης. ἐξίσχει δὲ ταῦτα καὶ γυμνοῦται τοῦ χρωτὸς ἐν ἑκατέρᾳ τῇ διαρθρώσει τῆς κνήμης, ἥν τε πρὸς τὸν πόδα καὶ τὸν μηρὸν ποιεῖται. περὶ πρώτης οὖν διαλέγεται τῆς πρὸς τὸν πόδα διαρθρώσεως, ἀξιῶν ὅταν ἐνταῦθα τὰ τῆς κνήμης ὀστοῦν ἐξαρθρήσῃ γυμνωθὲν, ἀφίστασθαι τῆς ἐμβολῆς, διὰ τὸν ἐπιγιγνόμενον σπασμόν. εἴρηται δὲ ἤδη περὶ τούτου κἀν τῷ περὶ τῶν ἀγμῶν, ὅτι συμβαίνει κατὰ τὰς τοιαύτας διαθέσεις, τὸ μέντοι διασπᾶσθαι τῶν μυῶν, τὸ δὲ συνέρχεσθαι καὶ σώζειν τὴν ἕνωσιν. ἀνασπασθέντων οὖν αὐτῶν ἐπὶ τὴν ἀρχὴν, ἔλαττον γίγνεται τὸ κῶλον ὅλον, ἀκολουθεῖ τε καὶ συνανασπώμενον τοῖς μυσίν. ἐὰν δή τις κατατείνας ἐμβάλῃ τὸ ἐξέχον ὀστοῦν, ἅμα μὲν ἡ κατάτασις αὐτὴ βλάβην οὐ σμικρὰν ἐργάσεται τοῖς μυσίν, ἅμα δὲ καὶ τὸ μῆκος τοῦ κώλου συναποτεῖνον αὐτοὺς ὀδυνήσει σφοδρῶς, καὶ ἐπὶ τούτων μεγάλων μὲν ὄντων τῶν μυῶν, ἐξ ἀνάγκης ἀκολουθήσει σπασμός. εἰ δὲ μικροὶ τύχοιεν ὄντες, οἷοι ἐπὶ τοὺς δακτύλους εἰσὶν, οὐδ' οὕτως μὲν ἀκίνδυνον ἔσται. σὺν ἀκριβείᾳ δὲ πολλῇ τῆς ὅλης θεραπείας, οἱ πολλοὶ τῶν τοιούτων διασώζονται. τὸ μὲν οὖν εἰς τὴν θεραπείαν χρήσιμον, εἴρηταί μοι. λογικὸν δέ τι ζήτημα ἐστὶ ἐπὶ τὸν τρόπον τοῦτον, οὐδὲν οὔτ' ὠφελοῦν, οὔτε βλάπτον τὴν θεραπείαν, ἐπισκεπτομένων ἡμῶν διατί προσέθηκε τοῖς τῆς κνήμης ὀστοῖς, τὰ ἐξαρθρήσαντα. τῶν γὰρ ἐμβαινόντων ταῖς κοιλότησιν, οὐ περιλαμβανόντων ταῖς ἐξοχαῖς, πάθος εἶναι φησὶ τὸ ἐξάρθρημα. καὶ γὰρ καὶ καλεῖ αὐτὸς ἄρθρα ταῦτα, καθότι δέδεικται πολλάκις ἔμπροσθεν. οὐκ οὖν δέδεικται φασὶ τὴν κνήμην ἐξαρθρεῖν

ρεῖν λέγειν, ἀλλὰ τὸν ἀστράγαλον. ῥητέον οὖν πρὸς τὰ τοιαῦτα ζητοῦντας, ὃ καὶ ἔμπροσθεν ἤδη μοι λέλεκται, τὸ σημαῖναι τὸ λεγόμενον πρᾶγμα μόνον φροντίζειν τὸν Ἱπποκράτην, καθάπερ καὶ ὁ Πλάτων ἡμᾶς τε ποιεῖν ἀξιοῖ, τοῦτο καὶ πρῶτον αὐτὸς πράττει. δέδεικται δ᾽ ἡμῖν ἑτέρωθι ὅτι οἱ παλαιοὶ πάντες οὐκ ἄλλον ἢ τοῦτον εἶχον τὸν σκοπόν. μόνος γὰρ φαίνεται Πρόδικος ἐζηλωκέναι αὐτὴν ἐν τοῖς ὀνόμασι μικρολογίαν, ὡς εἰώθασι προσαγορεύειν οἱ τὰ Προδίκου ζηλώσαντες. ὅτι δὲ οὐδὲν ἡ σαφήνεια τῆς διηγήσεως βλάπτεται, δῆλον ἐστὶν ἐξ αὐτῆς τῆς ῥήσεως, εἰπόντος τοῦ Ἱπποκράτους, οἷσι δ᾽ αὖ κνήμης ὀστέα ἐξαρθρήσαντα τελέως ἐξίσχει τὰ παρὰ τὸν πόδα ἄρθρα. καὶ γὰρ ἐὰν ὀλίγον ἄρης τὸ ἐξαρθρήσαντα, δῆλον ἐστὶ τὸ λεγόμενον, ὥστε τοῦτο τοὔνομα προσέθηκεν ὁ Ἱπποκράτης, μηδὲν ὅλως τὴν τοιαύτην μικρολογίαν, ἣν οἱ ζητοῦντες ἐπὶ τὸ πολὺ πάντες ἀδύνατοι λέγειν εἰσίν. οἱ δέ γε δύναμιν ἔχοντες ἑρμηνευτικὴν, εἰς τὴν ἐνέργειαν τῆς ἑρμηνείας ἀποβλέποντες, οὐδὲ παρακολουθοῦσι τοῖς κατὰ μέρος ὀνόμασιν, ἀλλ᾽ ἐπιρρέουσιν αὐτοῖς χρῶνται κατὰ τὴν τῶν Ἑλλήνων συνήθειαν. ὁ γοῦν Ἱπποκράτης, ἔοικε νῦν ἐννοήσας ὅτι ἐξίσχει τῆς διαρθρώσεως τὰ τῆς κνήμης ὀστᾶ διαπείραντα τὸ δέρμα, τὴν ἑρμηνείαν οὕτως ποιήσασθαι. τὸ γὰρ ἐξέχον καὶ προκύπτον ἐπὶ πολὺ, τῆς διαρθρώσεως ἐξηρθρηκέναι λέγων ἄν τις ἐναργέστερον ἑρμηνεύσειε, καὶ τῇ τοῦ πράγματος φαντασίᾳ προσάγοι τὸν ἀκούοντα.

Ἀτὰρ καὶ γαγγραινοῦσθαι ἱκνέεται κνήμην καὶ τὸν πόδα, ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα.

Καὶ τὸ τῆς γαγγραίνης πάθημα παραγίνεσθαί φησιν αὐτοῖς, ἐμβληθέντων τῶν ἐξεχόντων ὀστῶν, παρὰ τὸ μέγεθος δηλονότι τῆς φλεγμονῆς. ὅταν γοῦν ὑπὲρ τὰ πάθη τὰ φλεγμαίνοντα, τό τ᾽ ἐρυθρὸν τῆς φλεγμονῆς ἀπόλλυται, πελιδνῶν γιγνομένων τῶν σωμάτων, ἥ τε ὀδύνη μεμφῶσθαι δοκεῖ, διότι καὶ ἡ αἴσθησις ἐναρκώθη, καὶ ὅταν γε τελέως ἀναίσθητα γένωνται τὰ οὕτως πάσχοντα σώματα, τὸ πάθος οὐκέτι γάγγραιναν, ἀλλὰ σφάκελον ὀνομάζουσι. μεταξὺ γὰρ τούτου τοῦ σφακέλου καὶ τῆς μεγάλης φλεγμονῆς ἐστιν ἡ γάγγραινα, τοσοῦτον χεῖρον τῆς τηλικαύτης φλεγμονῆς, ὅσον μετριώτερον τοῦ σφακέλου. φθορὰ γάρ οὗτός ἐστι τῆς ὅλης οὐσίας τοῦ σφακελίσαντος μέλους, ὥστε οὐδ᾽ ἂν ἰάσαιτό τις αὐτὸν ἤδη συνιστάμενον, ἀλλ᾽ ἔτ᾽ ἀρχόμενον, ὅπερ οὐδὲ σφάκελος ἐστὶν ὄντως, ἀλλὰ γάγγραινα μεγάλη πλησίον ἥκουσα σφακέλου. καταχρώμεθα δ᾽ οὖν ἐνίοτε τοῖς τῶν παρακειμένων παθῶν ὀνόμασι, ἐπὶ τῶν ἀφικνουμένων μὲν εἰς αὐτά, μηδέπω δὲ ἐχόντων τὴν ἐκείνων ἰδέαν τε καὶ φύσιν. οὕτως οὖν καὶ τὴν μεγίστην φλεγμονὴν, ὅταν μήτε τὴν χρόιαν διασώζῃ τὴν ἑαυτῆς, μήτε τὴν ὀδύνην ἐνίοτε γάγγραιναν ὀνομάζομεν, μηδέπω μὲν οὖσαν ἀκριβῶς γάγγραιναν, εἰ δ᾽ ἀμεληθείη, μικρὸν ὕστερον ἐσομένην.

Καί τοι ἄν μοι δοκέει ὅτ᾽ ἐλλέβορος ὠφελήσειν αὐθημερόν τε δοθεὶς, καὶ αὖθις πινόμενος. ἄγχιστα δὲ εἴπερ τι τοιοῦτον, οὐ μέντοι οὐδὲ τοῦτο δοκέω. ἢν δὲ μὴ ἐμβληθῇ, μηδὲ ἀπ᾽ ἀρχῆς μηδὲ εἰς πειρηθῇ ἐμβάλλειν, περιγίνονται οἱ πλεῖστοι αὐτῶν.

Περὶ τῆς τοῦ ἐλλεβόρου χρήσεως ἐπὶ τῶν τοιούτων παθῶν εἴρηταί μοι, διὰ τῶν εἰς τὸ περὶ ἀγμῶν ὑπομνημάτων.

Χρὴ δὲ ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει.

Ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα, τὸ ἀσφαλῶς ἐστὶν ἐστηρίχθαι. τοῦτο δὲ στοχαζόμενόν σε κελεύει, τὸ ἀνωδυνώτατον αἱρεῖσθαι σχῆμα τῷ κάμνοντι. τὸ γὰρ ὡς αὐτὸς ἐθέλει ὁ κάμνων τοῦτον ἔχει τὸν σκοπόν.

Μενόντων δὲ μὴ ἀπαιωρεύμενα, μηδὲ κεκινημένα ἔσω.

Τὸ μὲν μὴ κεκινημένα, δυνάμει προείρητο κἀν τῷ ἡρμόσθαι. τοῦτο γάρ ἐστιν αὐτὸ τὸ ἡρμόσθαι τὸ ἐστηρίχθαι οὕτως κατὰ πᾶν μέλος τὸ κῶλον, ὡς μηδαμόθι δύνασθαι κινεῖσθαι. τὸ δὲ μὴ ἀπαιωρεύμενα, καλῶς προσέθηκεν. εἰρηκὼς γὰρ ὅτι περ ἂν εὐφορώτατον ᾖ τῷ κάμνοντι σχῆμα, τοῦθ᾽ ἡμᾶς αἱρεῖσθαι, τῶν σχημάτων δ᾽ ἔνι τὸ κατάρροπον ἐπιστάμενος, ἀξιοῖ τοῦτο φυλάττεσθαι, διότι ῥευματίζεσθαι τὰ πεπονθότα, φλεγμονῆς αἴτιον γίγνεται. μεμνήμεθα δήπου κατὰ τὴν ἔμπροσθεν διδασκαλίαν εἰρημένου ὑπ᾽ αὐτοῦ κατὰ τὸ σκέλος σχήματος, ὡς ἄκρον τὸν πόδα βραχύ τινι τῆς ἀκριβεστάτης εὐθύτητος ὑψηλότερον εἶναι προσήκει. νῦν οὖν ἔοικε συγχωρεῖν τοῖς κάμνουσι χρῆσθαι τῷ κατ᾽ εὐθεῖαν. ὄντων γὰρ τριῶν τῶν πάντων, τοῦ τε καταρρόπου τε, καὶ τοῦ ἰσορρόπου, καὶ τρίτου ἀναρρόπου, συγχωρεῖν ὡς ἂν ὁ κάμνων ἐθέλει σχηματίζεσθαι τὸ σκέλος, ἄνευ τοῦ καταρρόπου προσίθησιν. ἔμπροσθεν δ᾽ ἐκέλευε μόνῳ χρῆσθαι τῷ ἀνθρώπῳ τῷ κατ᾽ εὐθυωρίαν. εὔδηλον οὖν ἐστιν ὅτι μάλιστα φροντίζει ἐπὶ τὰς τοιαύτας διαθέσεις ἀνωδυνίας, φόβῳ σπασμοῦ. τοῦτον γὰρ ἐν τοῖς νευρώδεσι μορίοις αἱ ὀδύναι μάλιστα ἐργάζονται, ὥστ᾽ εἴ γε μήτε ψύχοιτο τὰ οὕτως πεπονθότα, μήτ᾽ ὀδυνῷτο, σπασμὸν αὐτοῖς ἐγγενέσθαι ἀδύνατόν ἐστιν.

Καὶ ἰητρεύειν δὲ πισσηρῇ καὶ σπλήνεσιν οἰνηροῖσιν, ὀλίγοισι, μὴ ἄγαν ψυχροῖσιν. ψῦχος γὰρ ἐν τοῖσι τοιούτοισι σπασμὸν ἐπικαλέεται.

Καὶ περὶ τῶν τοιούτων ἤδη μοι λέλεκται. θεραπεύσεως μὲν τῆς πισσηρᾶς κηρωτῆς τὰ ἕλκη, τοῦ δ᾽ οἴνου, καὶ μάλιστα ὡς αὐτὸς ἐδίδαξε μέλανός τε ὄντος καὶ αὐστηροῦ, διαφυλάττοντος ἀφλέγμαντα τὰ πεπονθότα μόρια. περὶ δὲ τοῦ φεύγειν χρῆναι τὸ ψῦχος ὡς σπασμῶδες, ἴσως μὲν ἐπὶ τῶν σαρκωδῶν μορίων ἔδει τινὸς ἐξηγήσεως, ἐπὶ δὲ τῶν νεύρων αὐτίκρυς δῆλον, ἀμφότερον γὰρ αὐτοῖς ὑπάρχει, καὶ τὸ ψύχεσθαι ῥᾳδίως, ἅτε φύσει ψυχροῖς οὖσι καὶ ἀναίμοις, καὶ τὸ παθοῦσιν εἰς σπασμὸν ἥκειν. οὐδὲ γὰρ οὐδ᾽ ἄλλό τι δύναται σπασθῆναι μέρος, ἄνευ τοῦ συμπαθῆσαι τὰ νεῦρα. καὶ μὴν δὴ καὶ ὅτι νευρώδεις τε τῶν ἄλλων μορίων εἰσὶν αἱ διαρθρώσεις, πρόδηλον. οἱ γάρ τοι μύες ἐν αὐτοῖς εἰς τένοντα τελευτῶσιν, ἀποτιθέμενοι τὰς σάρκας ἃς ἐν τοῖς ἄλλοις ἑαυτῶν μέρεσιν εἶχον,

ὥστε μᾶλλον ζητητέον ἐστί, διὰ τί χρῆται ψυχρῷ μετρίως τῷ οἴνῳ, χρῆναι γὰρ οὐδὲ μετρίως ψυχρὸν προσφέρειν, ἀλλὰ θερμόν. ἔστι δὲ καὶ ὁ περὶ τούτου λόγος τοιόσδε. τῶν ἡλκωμένων μορίων ὁ μέντοι σκοπὸς τῆς ἰατρικῆς ἐστιν ἐν τῷ μὴ φλεγμῆναι. τοῦτο δὲ ἔσται, μηδεμιᾶς ὑγρότητος ἐπιρρεύσης μορίῳ τῷ πεπονθότι, οὐκ ἐπιρρυήσεται δὲ ψυχόντων ἡμῶν αὐτό. τὰ γὰρ θερμαίνοντα καὶ ὑγραίνοντα, εἰ τῷ σώματι προσφέρηται, παραχρῆμα μὲν ἐρυθρότερον ἐργάζεται τοῦτο. μικρὸν ὕστερον δὲ καὶ εἰς ὄγκον ἐξαίρει, καίτοι καὶ ἄλλην παραπλησίαν φλεγμονῇ, καὶ περὶ αὐτὸ διάθεσιν ἐργάζεται. τὰ δὲ ψύχοντα τοὐναντίον ἅπαντα, οὐ μόνον οὐδεμίαν ἐπικαλεῖται τοῖς ψυχομένοις μορίοις ἐκ τῶν ἄνωθεν ὑγρότητα περιττήν, ἀλλὰ καὶ τὰς περιεχομένας ἐν αὐτοῖς ἐκθλίβει τε καὶ ὠθεῖ πρὸς τὰ πλησιάζοντα μόρια. διττὰ δ' ἐστὶ τὰ ψύχοντα. τὰ μὲν τῇ πρὸς τὴν ἁφὴν ποιότητι προσφάτῳ, τὰ δὲ τῇ συμφύτῳ δυνάμει. τὰ δὲ [τὰ] στύφοντά ἐστι ψυχρά, καθάπερ ἐδείξαμεν ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, καὶ τὸ λοιπὸν γένος τῶν ψυχόντων ἀπὸ τούτων διώρισται, μήκωνος ὀπός, καὶ μανδραγόρου χυλός, καὶ κώνειον, ὅσα τ' ἄλλα τὴν ψύξιν ἔχει σὺν ὑγρότητι. αὐστηρὰ γὰρ ταῦτα γεώδη τε ψύξιν ἔχειν ἐδείκνυτο. λέλεκται δὲ οὐκ ὀλίγα περὶ τῆς τῶν τοιούτων φαρμάκων χρήσεως κἂν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὥσπερ γε κἂν τοῖς περὶ τῶν ἑλκῶν Ἱπποκράτους ὑπομνήμασι. πρὸς δὲ τὸν ἐνεστῶτα λόγον ἀρκεῖ γιγνώσκειν τοσοῦτον, ὡς ἡ μὲν τῶν ὑγρῶν καὶ ψυχρῶν φαρμάκων δύναμις, εἰς τε βάθος ὅλον ἐνδύεται τῶν σωμάτων οἷς ἂν πλησιάζῃ, καὶ διὰ ταχέων αὐτὰ καταψύχει πλέον ἢ δεῖται, ναρκοῦντα τὴν διοικοῦσαν τὰ σώματα δύναμιν. ὅσα δὲ γεώδη τὴν ψύξιν ἔχει, ταῦτ' ἐπιτηδειότατα, δι' ὧν εἴρηκα πραγμάτων, ἐδείχθη πρὸς ἀπόκρουσιν ἐπιρρεόντων χυμῶν. ἐπεὶ τοῦτο τοιγαροῦν αὐτὰ προσφέρομεν, ἐπεὶ καὶ τὸ θερμὸν ἐπισπᾶται πρὸς ἑαυτὸ τοὺς χυμούς. διὰ τοῦτο καὶ τῇ προσφάτῳ ποιότητι ψυχρὰ προσφέρομεν, μὴ ὅτι θερμαινόντων αὐτά. νῦν οὖν ὁ Ἱπποκράτης, ὅσον μὲν ἐπὶ τῇ διαθέσει τῶν ἡλκωμένων μορίων ἐχρῆτο ἂν αὐτοῖς τοῖς ψυχροῖς, ὥσπερ κἀπὶ τῶν ἄλλων τραυμάτων. ὅσον δ' ἐπὶ τῷ φοβεῖσθαι τὸν διὰ τὴν ψύξιν εἰωθότα γίγνεσθαι σπασμόν, οὐ τολμᾷ τελέως ἐψυγμένοις χρῆσθαι, καὶ διὰ τοῦτο προσέθηκε τῷ περὶ αὐτῶν λόγῳ, τό, μὴ ἄγαν ψυχροῖσιν.

Ἐπιτήδεια δὲ καὶ φύλλα τεύτλων, ἢ βηχίου, ἢ ἄλλου τινὸς τῶν τοιούτων ἐν οἴνῳ μέλανι αὐστηρῷ ἡμίεφθα ἐπιτεθέντα ἐπιδεῖν, ἐπί τε τὸ ἕλκος, ἐπί τε τὰ περιέχοντα.

Ποῖά τίς ἐστιν καὶ τὸ βήχιον, ἐπιτηδεία πρὸς τὰ παρόντα διὰ τὸ ξηραίνειν μετρίως, οὗ χρῄζειν ἐδείχθη τὰ ἕλκη πάντα. περὶ δὲ τοῦ μέλανος οἴνου καὶ αὐστηροῦ, λέλεκταί μοι κἂν τοῖς περὶ ἀγμῶν ὑπομνήμασιν, ὅτι τὸ μὲν ἀποκρούεσθαι τοῖς ἄλλοις οἴνοις ὁμοίως ἔχει. παχυμερέστερος δὲ ὑπάρχων αὐτῶν, οὐ δάκνει τὰ ἡλκωμένα μόρια, καὶ κατὰ τοῦτ' ἐστὶν αἱρετώτερος ἐκείνων.

Κηρωτῇ δὲ χλιαρῇ ἐπιχρίειν αὐτὸ τὸ ἕλκος.

Οὐχ ὡς ἕλκει συμφέρουσαν ἐπιδέδεικταί μοι αἱρεῖσθαι νῦν τὴν κηρωτήν, τὸ περὶ τῶν ἑλκῶν ἐξηγούμενος, φεύγων τὰ τοιαῦτα φάρμακα, κωλύοντα τὴν κόλλησιν αὐτῶν, ἀλλ' ὅτι νῦν, οὐχ ἁπλῶς ὡς ἕλκος, ἰᾶται τὸ ἕλκος, ὅτι μήτε κολλᾶν αὐτῷ πρόκειται, καθάπερ ἄλλα τὰ νεότρωτα. τὸν πρῶτον δ' ἔχει σκοπὸν ἐν τῇ θεραπείᾳ μὴ σπασθῆναι τὸν ἄνθρωπον, δι' ὃν οὐδ' ἐμβάλλειν αἱρεῖται τὸ ἄρθρον, ἀλλὰ μᾶλλον ἐᾶσαι χωλόν, αἰσχρῶς ἀποδειχθῆναι τὸ ἕλκος, οὔτ' οὖν ἁπλῶς προσφέρει τὰ μαλθακώδη φάρμακα. καλεῖ γὰρ οὕτως αὐτὸς ἐν τῷ περὶ ἑλκῶν αὐτά, καίτοι παρηγορικὰ τῶν φλεγμαινόντων ὄντα. κατ' ἀρχὴν γὰρ οὕτως γεγονυίας φλεγμονῆς, αὐτοῦ τοῦ μὴ γενέσθαι πρὸ τὴν ἀρχὴν αὐτήν, φροντίζει, καὶ διὰ τοῦτο χρῆται τοῖς ἀποκρουστικοῖς. οὔτ' αὖ μόνοις τούτοις χρῆται, καθάπερ ἐπὶ τῶν ἄλλων, διὰ τὸ σπασμοῦ δεδιώς, ἀλλ' ἔστιν αὐτῷ μικτὸς ὁ τρόπος τῆς θεραπείας ἐπιπεπλεγμένων ἀλλήλοις τῶν ἐναντίων ταῖς δυνάμεσι φαρμάκων ἐν μέτρῳ προσήκοντι. φανεῖται δέ γε καὶ διὰ τῶν ἐφεξῆς γεγραμμένων τούτου στοχαζόμενος, οἷς ἤδη πρόσεχε τὸν νοῦν.

Ἢν δὲ ἡ ὥρη χειμερινὴ ᾖ, καὶ ἔρια ῥυπαρὰ ἐν οἴνῳ καὶ ἐλαίῳ καταῤῥαίνοντα, χλιαροῖσι ἄνωθεν ἐπιτέγγειν.

Οὔτε χλιαροῖς ἐχρῆτο τοῖς φαρμάκοις, οὔθ' ὅλως ἐμίγνυεν ἔλαιον, εἴπερ ὡς ἡλκωμένον ἁπλῶς ἐθεράπευε τὸ μόριον, ἀλλ' ὅπερ ἔμπροσθεν ἔφην, ἐπειδὴ φοβεῖται τὸν σπασμόν, ἔλαιόν τε μίγνυσι καὶ χλιαρὰ προσφέρει ταῦτα, μήθ' ὡς πρὸς σπασμὸν ἱστάμενος μόνον, ἀποκεχώρηκεν ἂν οὕτως τῆς κατὰ τὸ ἕλκος ἰάσεως, ἀλλὰ μηδὲ πρὸς ἐκεῖνο μόνον ἀποβλέπων. ἐν γὰρ τοῖς ἐπιπεπλεγμένοις πάθεσιν, ἐπιπλέκεσθαι δεῖ καὶ τὴν θεραπείαν, διὰ τοῦτο δὲ καὶ τὰ ἔρια προσφέρειν κελεύει ῥυπαρά, τουτέστιν οἰσυπηρά. καλοῦσι γὰρ οὕτως αὐτὰ διὰ τὸν οἴσυπον, ἐπειδὴ καὶ τοῦτο τὸ φάρμακον οὐχ ἁπλῆς ἐστι δυνάμεως, ὡς ἐδείκνυμεν ἐν τοῖς περὶ φαρμάκων, ἀλλὰ μικτῆς ἐξ ἐναντίων ποιοτήτων τε καὶ δυνάμεων, τῆς τε στυφούσης καὶ τῆς θερμαινούσης χλιαρῶς. ἐπιτέγγειν δέ, τουτέστιν ἐπιβρέχειν κελεύει τὰς τοιαύτας διαθέσεις, οὐκ ἐν χειμῶνι μόνον, ἀλλὰ καὶ τῷ θέρει δηλονότι. κοινὸν γὰρ τοῦτο κατὰ πάσης τῆς θεραπείας, ἧς εἶπεν. ἐπὶ τῇ τελευτῇ προσέθηκεν οὐχ ὡς ἐν τῷ χειμῶνι μόνον δεομένων τῶν τοιούτων διαθέσεων ὑγρότητος ἐπιεικοῦς, ἀλλὰ καὶ τῷ θέρει μᾶλλον ἢ ἐκείνῳ. διότι καὶ μᾶλλον γ' ἐν αὐτῷ ξηραίνεται τὰ περιβαλλόμενα τοῖς οὕτως ἔχουσιν ἔρια, καταντλεῖν μὲν οὖν ἀεὶ συνεχῶς ἅπαντα τὰ τοιαῦτα κελεύει. τὸ καταντλούμενον δ' εἶναι χρὴ τοιοῦτον, οἷον ἐκέλευσε κατὰ τὴν πρώτην εὐθέως θεραπείαν προσφέρειν, ἢ οἶνον μόνον ὅταν ᾖ θέρους, ἢ μετ' ἐλαίου κατὰ χειμῶνα δηλονότι, καὶ μέντοι καὶ τὸ ποσὸν τῆς θερμότητος ἐκ τοῦ τοῦ περιέχοντος ἡμᾶς ἀέρος εὑρήσεις κράσεως. ἡνίκα μὲν γὰρ ἱκανῶς ἐστι ψυχρός, αὐξήσεις τὴν θερμότητα τῶν ἐπαντλουμένων ὑγρῶν, ἡνίκα δὲ θερμός, ἐκλύσεις. οὐ γὰρ ὅλως ἥκεν ἐπὶ τὸ χρῆσθαι θερμῷ, διὰ τοῦτο καὶ τὴν ποσότητα τῆς θερμασίας ὑπαλλάξεις, συνεπιτείνων τε καὶ συνεκλύων τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσει. μεμνῆσθαι δ' ἐπὶ τῶν τοιούτων ἁπάντων χρὴ τῶν εἰρημένων

νων ὑπ᾽ αὐτοῦ καθόλου, καὶ μὴ πάντα ἐπὶ πᾶσιν ἀκούειν ἐθέλειν. τίνα δὲ ταῦτα ἐστίν; ἃ καὶ διὰ τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων ἠξίωσα μεμνῆσθαι καὶ δι᾽ ἄλλων πολλῶν. καὶ ἐπειδὰν ἕν τι ῥηθῇ, καὶ τῶν ἄλλων ἁπάντων ὅσα τὴν αὐτὴν ἔχει δύναμιν, ἀναμιμνήσκεσθαι προσήκει, καὶ νομίζειν ἐπὶ πάντων ἀκηκοέναι τὸν λόγον, ὡς ἂν καὶ πάντων ὄντα κοινόν. οὕτως γοῦν καὶ νῦν αὐτὸς μὲν ὥρας χειμερινῆς ἐμνημόνευσε, σὺ δὲ καὶ χώρας, καὶ ἡλικίας, καὶ ἐθῶν τε, καὶ φυσικῆς κράσεως σωμάτων ἀναμνησθήσῃ. χώρας μὲν ψυχρᾶς, ἡλικίας δὲ πρεσβυτικῆς, ἐθῶν δὲ τῶν καταψυχόντων τὸ σῶμα, καὶ φυσικῆς κράσεως τῆς ψυχροτέρας. ἅπαντα γὰρ ἐνδείκνυται ταῦτα τὴν αὐτὴν ἔνδειξιν τῇ πρὸς Ἱπποκράτους ὥρᾳ γεγραμμένῃ. ἀλλὰ καὶ ὥσπερ ἐν χειμῶνι πρὸς τὸ θερμότερον ὑπαλλάττει τὴν θεραπείαν, οὕτως ἐν θέρει κατὰ τοὐναντίον ἐπὶ τὸ ψυχρότερον ὑπαλλάξεις. ἀνάλογον δὲ τῷ θέρει κατὰ τὰς θερμὰς ἡλικίας τε καὶ χώρας, ἔθη τε καὶ κράσεις σωμάτων. πάντων μὲν οὖν θερμαίνειν ἐνδεικνυμένων, αὐξήσεις ἐπὶ τὸ θερμὸν ἅπασαν τὴν θεραπείαν, ἁπάντων δὲ ψύχειν, ἐπὶ τὸ ψυχρόν. εἰ δὲ τὰ μὲν ἐπὶ τὸ θερμαίνειν γε, τὰ δὲ ἐπὶ τὸ ψύχειν προτρέπει, πρός τε τὸν ἀριθμὸν αὐτῶν ἀποβλέπων καὶ τὴν δύναμιν, οὕτως ἂν μάλιστα στοχάσαιο τοῦ προσήκοντος μετρίως, κατὰ τὸ θερμαίνειν τε καὶ ψύχειν.

Καταδεῖν δὲ μηδὲν μηδενὶ, μηδὲ περιπλάσσειν. εὖ γὰρ εἰδέναι χρὴ, ὅτι πίεξις καὶ ἀχθοφορίη πολλῶν κακὸν τοῖσι τοιούτοισιν ἐστίν.

Οὐ μόνον ἀφεῖλε τὴν διὰ τῶν ὑποδεσμίδων ἐπίθεσιν ἐπὶ τούτων, ἧς διὰ παντὸς ἐχρῆτο, κατά τε τὰ κατάγματα, καὶ τὰς ἐξαρθρήσεις, ἀλλὰ καὶ τὰς ἔξωθεν ἐπὶ τοῖς ἐρίοις γινομένας περιβολὰς τῶν ἐπιδέσμων, καὶ τὴν αἰτίαν εἶπεν αὐτὸς, ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖς τοιούτοις ἐστίν. ἀρκεῖ τοιγαροῦν αὐτοῖς μόνα τὰ ἔρια, μήτε πίεσιν ἐργάσασθαι, μήτ᾽ ἀχθοφορίαν, δυνάμενα διὰ μαλακότητά τε καὶ κουφότητα. ταῦτα δὲ πάλιν οὐχ ὡς ἕλκος ἰώμενος δέδωκεν, ἀλλὰ καὶ τὸν ἐκ τῶν γεγυμνωμένων τε καὶ τεθλασμένων τενόντων καὶ νεύρων φυλαττόμενος σπασμόν.

Ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν ἐναίμων μετεξέτερα, ὁκόσοισιν αὐτῶν ξυμφέρει. ἔρια δὲ ἐπιτιθέντα οἴνῳ ἐπιτέγγοντα πολὺν χρόνον ἐᾷν. τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων, καὶ ὅσα ξηντίνην προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοισίν ἐστι. χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκέων γίνεται τούτων, πολὺν γὰρ χρόνον πλαδαρὴ γίνεται, τινὰς δὲ τούτων ἀγαθὸν ἐπιδέειν. εἰδέναι μὲν δὲ που σάφα χρὴ, ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς γενέσθαι. καὶ γὰρ ὁ ποὺς ἐπὶ τὸ ἄνω ἀνέσπασται τῶν τοιούτων, καὶ τὰ ὀστέα τὰ ὀλισθήσαντα, ἔξω ὑπερέχοντα φαίνεται. οὔτε γὰρ ψιλοῦται τῶν τοιούτων ὀστέων οὐδὲν, ὡς ἐπὶ τὸ πολὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλὰ περιωτειλοῦται λεπτῇσιν ὠτειλῇσι καὶ ἀσθενέσι, καὶ ταῦτα ἢν ἀτρεμίζωσι πουλὺν χρόνον. ἢν δὲ μὴ, ἑλκύδριον ἐγκαταλειφθῆναι κίνδυνος, ἀναλθὲς, ὅμως δὲ περὶ οὗ λόγος. οὕτω μὲν οἱ ἰητρευόμενοι σώζονται, ἐμβληθέντος δὲ τοῦ ἄρθρου καὶ ἐμμείναντος, ἀποθνήσκουσιν.

Ἔναιμα καλεῖ φάρμακα κἂν τούτοις τοῖς βιβλίοις, καὶ τῷ περὶ ἑλκῶν, ὅσα παραχρῆμα τοῖς τραύμασι προσφέρεται. τούτων οὖν φησιν, ὅσα διὰ πλείονος χρόνου λυόμενα, δύναται μεταξὺ τῶν λύσεων ἐπιτέγγεσθαι, ταῦτα λυσιτελέστερα ἐστὶ μάλιστα. βούλεται γὰρ ὥσπερ τἄλλα πάντα τῆς θεραπείας αὐτῶν πρὸς τὸ παρηγορικώτατον εἶδος ἔχειν τὴν ἀναφορὰν, οὕτως καὶ τὸ μὴ ἐπιδεῖν τὸν κάμνοντα, καὶ τὸ μὴ συνεχῶς ἐπιλύειν. διὰ πλείονος δὲ χρόνου λύεσθαι δύναται τῶν ἐναίμων φαρμάκων τὰ ξηραντικώτερα, φυλαττομένων ἡμῶν ἐν αὐτοῖς τὸ διὰ σφοδρότητα ξυνταλικόν. παραδείγματος δ᾽ ἕνεκεν ὧν ἴσε δυοῖν φαρμάκων μνημονεύσω γεγραμμένων ἐν ἅπασι βίβλοις, ὅσαι συνθέσεως τῶν φαρμάκων ἔχουσι συμμετρίας, ὁποῖαι αἱ τοῦ Ἀνδρομάχου δύο, καὶ ἡ τοῦ Ἥρα μία, καὶ ἄλλων εἰσὶ πάμπολλαι, δι᾽ ἀσφάλτου μὲν ἄλλα φάρμακα συντίθενται. καλεῖται δὲ τὸ μὲν ἕτερον αὐτῶν βάρβαρος, τὸ δ᾽ ἕτερον, κυζικηνὴ, πλέον ἢ τὰ ἔναιμα ξηραίνουσα, βλάπτει μᾶλλον ἢ ὠφελεῖ, συντείνουσα τὰ μέλη καὶ ὀδυνῶσα, τὸ δ᾽ ἕτερον φάρμακον ἐπιτήδειον, ὅταν γε καὶ αὐτὸ συμμέτρως ᾖ κεκραμένον. ἔνια γὰρ καὶ τούτων ἀμετρώτερόν τε καὶ ξηραίνει, καὶ σκληρὰ κατὰ τὴν σύστασιν ἐστίν. ἀλλὰ περὶ μὲν τῆς τῶν τοιούτων φαρμάκων διαφορᾶς, ἐν τοῖς περὶ τῆς συνθέσεως αὐτῶν ἐπὶ πλέον λέγεται. τῶν δ᾽ ὑφ᾽ Ἱπποκράτους ἐφεξῆς εἰρημένων, τὰ πλεῖστα ἐστὶ σαφῆ τοῖς μεμνημένοις, ὧν ἔμπροσθεν εἶπον ἐξηγούμενος, αὐτό τε τοῦτο τὸ περὶ ἄρθρων βιβλίον καὶ πρὸς αὐτὸ τὸ περὶ ἀγμῶν. τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων, καὶ ὅσα ῥητίνην προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοις ἐστί. χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκῶν τούτων γίνεται, πολὺν γὰρ χρόνον πλαδαρή. τίνα μὲν ὀλιγημερώτατα λέγει τῶν ἐναίμων, οὐ χαλεπῶς ἐξευρήσεις εἴ γε μέμνησαι τῶν ἐν τῇ πρὸ ταύτης ῥήσει κατὰ τὴν ἐξήγησιν εἰρημένων. δῆλον γὰρ ὅτι τὰ δι᾽ ὀλίγων ἡμερῶν λυόμενα κέκληκεν οὕτως. δι᾽ ὀλίγων δ᾽ ἡμερῶν δεῖται λύεσθαι τῶν προειρημένων ἀσθενέστερα. συγχωρεῖ γὰρ ἀθροίζεσθαι περὶ τοῖς ἕλκεσιν ἰχῶρα πλείονα, διὰ τὸ μὴ ξηραίνειν αὐτάρκως. ἔνιοι δ᾽ αὐτῶν τῶν παλαιῶν ῥητίνην προσκατελάμβανον ἔξωθεν, οὐκ οἶδα τίνι λογισμῷ χρώμενοι. πολλὰ γὰρ εἰπεῖν ἐγχωρεῖ. φυλαττομένου δ᾽ Ἱπποκράτους ἅπαντα τὰ τοιαῦτα φάρμακα, περιττὸν τὸ μηκύνειν. ἐν γὰρ ταῖς περὶ τῶν φαρμάκων πραγματείαις ὅσα χρὴ περὶ τούτων ἐπίστασθαι, δέδειται πάντα. νυνὶ δὲ περί τε τῶν προκειμένων αὐτάρκως, λέλεκται καὶ τὰ τούτων ἐφεξῆς εἰρημένα ἅπαντα, ὑπερβήσομαι τοῖς μεμνημένοις τῶν προεξηγουμένων ταῦτα σαφῆ.

Ὁ αὐτὸς δὲ λόγος οὗτος ἢν καὶ τὰ τοῦ πήχεος ὀστέα τὰ παρὰ τὸν καρπὸν τῆς χειρὸς ἕλκος ποιήσαντα ἐξίσχῃ, ἤν τε ἐς τὸ εἴσω μέρος τῆς χειρὸς, ἤν τε ἐς τὸ ἔξω. σάφα γὰρ ἐπίστασθαι χρὴ, ὅτι ἀποθανεῖται ἐν ὀλίγῃσιν ἡμέρῃσι τοιούτῳ θανάτῳ, οἵῳ περ πρόσθεν εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμείνῃ. οἷσι δ' ἂν μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβαλέεσθαι, οὗτοι πολὺ πλείονες περιγίνονται. ἰητρείη δὲ τοιαύτη τοῖσι τοιούτοισιν ἐπιτηδείη, οἵη περ εἴρηται. τὸ δὲ σχῆμα αἰσχρὸν τοῦ χωλώματος ἀνάγκη εἶναι, καὶ τοὺς δακτύλους τῆς χειρὸς ἀσθενέας καὶ ἀχρηίους.

Ὥσπερ ὅλον τὸ μεταξὺ γόνατος καὶ ἀστραγάλου κνήμην ὀνομάζει, συγκείμενον ἐκ δυοῖν ὀστῶν, οὕτως καὶ τὸ μεταξὺ βραχίονος καὶ καρποῦ πῆχυν, οὐδὲ τοῦθ' ἐν ἁπλῶς ὑπάρχον, ἀλλ' ἐκ δυοῖν σύνθετον. ὀνομάζεται δὲ τὸ μὲν ἕτερον αὐτῶν κερκὶς, τὸ δὲ ἕτερον ἰδίως πῆχυς, ὥσπερ γε κἀπὶ τῆς κνήμης. τὸ δὲ κατ' ἀγκῶνα, τῷ κατὰ γόνυ. χαλεπώτερα δὲ ἀεὶ τὰ πάθη τῶν μειζόνων ἐστὶ μορίων, ἐάν τε καταγῇ τι τῶν ἐν αὐτοῖς, ἐάν τε ἐξαρθρήσῃ. τοῦτ' οὖν ἐάν τις ᾖ μεμνημένος ὀλίγης τῆς ἐξηγήσεως, εἰς τὰ μέλλοντα ῥηθήσεσθαι δεηθήσεται.

Ἢν μὲν γὰρ ἐς τὸ εἴσω μέρος ὀλισθῇ τὰ ὀστέα, κάμπτειν οὐ δύναται τοὺς δακτύλους. ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκτανύειν οὐ δύναται.

Τῷ μὲν ὀλισθῇ ῥήματι διὰ τί χρῆται, δεδήλωται κατὰ τὸν ἔμπροσθεν λόγον, ἡνίκα τὰ τῆς κνήμης ὀστᾶ παρὰ τὸν πόδα μεθ' ἕλκους ἐξαρθρεῖν ἔφη. νυνὶ δὲ τὴν αἰτίαν εἰπεῖν βούλομαι, δι' ἣν ὅταν εἰς τὴν ἔξω χώραν ὁ πῆχυς ἐκστῇ μεθ' ἕλκους, οὐ δύνανται κάμπτειν. ἐν δὲ τῷ τοιούτῳ πάθει συμβαίνει τὰ τοῦ πήχεος ὀστᾶ, ὑπὲρ μὲν τὴν ἔνδον χώραν ὑπερκεῖσθαι τοῖς τοῦ καρποῦ, διὰ τῶν εἰς αὐτὸ καθηκόντων ἔξωθεν τενόντων ἐς τὸν ἄνω τόπον, ὡς ἐπὶ τὸν βραχίονα. τούτου δὲ συμβαίνοντος, ἀναγκαῖον ἐστὶ τοὺς δακτύλους ἀνατείνεσθαι πρὸς τὴν ἐκτὸς χώραν, ὅπερ ἐστὶν αὐτοῖς ἐκτετάσθαι. διὰ τοῦτ' οὖν οὐδὲ καμφθῆναι δύνανται τελέως, ἀντιβαινόντων τοῖς κάμπτουσιν αὐτοὺς μυσὶ τῶν ἔξωθεν τῶν μυῶν καὶ τῶν τενόντων. εἴρηται γὰρ πολλάκις ὡς εἰ μὴ συνακολουθεῖεν οἱ ἀντιτεταγμένοι τοῖς ἐνεργεῖν ἐπιχειροῦσι μυσὶν, ἀδύνατόν ἐστιν αὐτοῖς συμπληρῶσαι τὴν ἐνέργειαν. ὁ δ' αὐτὸς λόγος ἐστὶ καὶ περὶ τοῦ μὴ δύνασθαι τοὺς δακτύλους ἐκτανύειν, ὅταν εἰς τὴν ἔξω χώραν ἀνάχῃ τὰ τοῦ πήχεος ὀστᾶ. ταθέντων γὰρ σφοδρῶς τῶν ἔνδον μυῶν καὶ τενόντων, καὶ διὰ τοῦτο ἐπακολουθεῖν τῶν ἔξω μὴ δυναμένων ἀπόλλυσθαι καὶ τὴν ἐκείνων ἐνέργειαν ἀναγκαῖον ἐστί. καὶ μέντοι καὶ ἡ τῶν ὀστῶν σύνθεσις ἱκανῶς ἐμποδίζει τὴν καμπὴν, ὅταν ὁ πῆχυς ἐκ τῶν ἔνδον μερῶν ὑπερβαίνῃ τῷ καρπῷ. τὴν ἔκτασιν, ὅταν ἐκ τῶν ἔξωθεν.

Ὅσοισι δ' ἂν κνήμης ὀστέον ἕλκος ποιησάμενον, παρὰ τὸ γόνυ ἔξω ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔξω μέρος, ἤν τε ἐς τὸ εἴσω, τούτοισιν ἢν μέν τις ἐμβάλῃ, ἔτι ἑτοιμότερος ὁ θάνατος ἐστὶν, ἤπερ τοῖσιν ἑτέροισι, καίπερ κἀκείνοισιν ἑτοίμος ἐών. ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύῃς, ἐλπίδες μὲν σωτηρίης οὕτω μόνως εἰσίν. κινδυνωδέστερα δὲ ταῦτα τῶν ὀστέων γίνεται, ὅσῳ ἂν ἀνωτέρω, καὶ ὅσῳ ἂν ἰσχυρότερα ἔῃ, καὶ ἀπὸ ἰσχυροτέρων ὀλισθάνῃ. ἢν δὲ τὸ ὀστέον τὸ τοῦ μηροῦ τὸ πρὸς τοῦ γόνατος ἕλκος ποιησάμενον ἐξολισθῇ, ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν ἔτι βιαιότερον, θᾶσσον τὸν θάνατον ποιήσει τῶν πρόσθεν εἰρημένων. μὴ ἐμβληθὲν δὲ, πολὺ ἀκινδυνωδέστερον ἢ τὰ πρόσθεν, ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης.

Μαρτύριον οὐ σμικρόν ἐστι καὶ τοῦτο, καὶ τὸ κατὰ τὴν ἑξῆς ῥῆσιν ὑπ' αὐτοῦ γεγραμμένον, ὧν ὀλίγον ἔμπροσθεν εἶπον ἐπὶ τῶν ἐξισχόντων ὀστῶν, ἐπί τε τῆς κατὰ τὰ σφυρὰ, καὶ τῆς τὸν καρπὸν διαρθρώσεως. οὔτε γὰρ ὁ ἀστράγαλος καὶ ἡ κνήμη κατὰ τὴν πρὸς τὸν πόδα διάρθρωσιν ἐξίσχει τοῦ δέρματος, οὐδ' ὁ καρπὸς ἐν τῇ πρὸς τὸν πῆχυν, ἀλλ' ἡ κνήμη μὲν αὐτὴ τοῦ σκέλους, ὁ πῆχυς δὲ ἐπὶ τῆς χειρός. εἰκότως οὖν ἐξαρθρεῖν ταῦτα καὶ ὀλισθαίνειν εἶπεν, ὡς αὐτὰ ἔξω τῆς διαρθρώσεως γιγνόμενα. νῦν γοῦν τὴν κνήμην ἐν τῇ πρὸς τῶν σφυρῶν διαρθρώσει, φησὶ ἐξίσχειν ἐνίοτε, ποτὲ μὲν ἔξω τῆς διαρθρώσεως, ποτὲ δ' εἴσω, καίτοι κατὰ τὴν ἑξῆς ῥῆσιν οὐ τὴν κνήμην, ἀλλὰ τὸν μηρὸν ἐξίσχειν λέγων εἰκότως, ἐν μὲν τῇ κατὰ γόνυ διαρθρώσει, ποτὲ μὲν ἡ κνήμη φαίνεται, ποτὲ δὲ ὁ μηρὸς ἐξίσχειν, ἐν δὲ τῇ κατὰ τὸν πόδα διὰ παντὸς ἡ κνήμη, ὥσπερ γε κἀν τῇ κατὰ τὸν καρπὸν ὁ πῆχυς. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων.

Ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων, καὶ περὶ τῶν τοῦ πήχεος καὶ βραχίονος. ἃ γὰρ ἂν τούτων ἐξαρθρήσαντα ἐξίσχῃ, ἕλκος ποιησάμενα πάντα, ἢν ἐμβληθῇ, θάνατον φέρει, μὴ ἐμβληθέντα δὲ, ἐλπίδα σωτηρίης. χώλωσις δὲ τοῖσι περιγενομένοισι. θανατωδέστερα δὲ τοῖσιν ἐμβαλλομένοισιν ἐστὶ, τὰ ἀνωτέρω τῶν ἄρθρων. ἀτὰρ καὶ τοῖσιν ἐμβαλλομένοισι, κινδυνωδέστερα αὐτὰ ταῦτα. εἰ δέ τινι τὰ ἀνωτέρω ἄρθρα

ἐξαρθρή-

ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξίσχοι, ταῦτα δέ τι καὶ ἐμβαλλόμενα, ταχυθανατώτατα ἐστὶ, καὶ μὴ ἐμβαλλόμενα, κινδυνωδέστερα. ἡ ἴησις δὲ ἤδη εἴρηται οἵη τις ἐμοὶ δοκέει ἐπιτηδειοτάτη εἶναι. ὁκόσοισι δὲ ἄρθρα δακτύλων, ἢ ποδὸς, ἢ χειρὸς ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξέσχεν, μὴ κατεηγότος τοῦ ὀστέου, ἀλλὰ κατ' αὐτὴν τὴν ξύμφυσιν ἀποσπασθέντος, τούτοισιν εἰ ἐμβληθέντα ἐμμένει, ἔνι μέντοι κίνδυνος σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται. ὅμως δέ τι ἄξιον ἐμβάλλειν, προειπόντα ὅτι φυλακῆς πολλῆς καὶ μελέτης δέεται. ἐμβάλλειν μέντοι ῥήϊστον καὶ δυνατώτατον καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν εἴρηται ἐν τοῖσι κατεαγνυμένοισι καὶ ἐξίσχουσιν ὀστέοισιν, ἔπειτα ἀτρεμέειν ὡς μάλιστα χρὴ, καὶ κατακεῖσθαι, καὶ ὀλιγοσιτέειν. ἄμεινον δὲ καὶ φαρμακεῦσαι ἄνω κούφῳ τινὶ φαρμάκῳ.

Εἰκότως εἶπεν ἄρθρων ἐνταῦθα κατὰ πλῆθος, ὥσπερ ἐπὶ τῶν περὶ τὸ γόνυ. πρὶν μέντοι τὸν περὶ τὸν καρπόν τε καὶ τὸ σφυρὸν διερχόμενος, οὐκ εἶπεν ἄρθρα πληθυντικῶς. ὅτι δὲ ἄρθρα πλείω περὶ τοὺς τὸ χωρίον εἰσὶν, ὑπὲρ οὗ νῦν ὁ λόγος αὐτῷ πρόκειται, διὰ τοῦ τρίτου τῶν εἰς τὸ περὶ ἀγμῶν ὑπομνημάτων ἐδήλωσε, τὸν αὐτὸν λόγον εἶναι φησὶ τὸν νῦν ἐνεστῶτα τῷ προειρημένῳ περὶ τῆς κατὰ γόνυ διαρθρώσεως. ὥσπερ γὰρ ἐκεῖ ποτὲ μὲν ἡ κνήμη, ποτὲ δὲ ὁ μηρὸς ἐξίσχειν ἐλέχθη, κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν, ἐνίοτε μὲν ὁ πῆχυς, ἐνίοτε δὲ ὁ βραχίων εἰς τὴν τοιαύτην ἔρχεται διάθεσιν. ἃ δ' ἐφεξῆς λέγει τούτοις, ἅπαντα ἐστὶν εὔδηλα.

Τὸ δὲ ἕλκος ἰητρεύειν, ἢ ἐναίμοισι τοῖσιν ἐπιτέγκτοισιν, ἢ πολυοφθαλμοῖσιν, ἢ οἷσιν ἐν κεφαλῇ ὀστέα κατεηγότα ἰητρεύεται, κατάψυχρον δὲ κάρτα μηδὲν προσφέρειν. ἥκιστα μὲν οὖν τὰ πρῶτα ἄρθρα κινδυνώδεά ἐστι, τὰ δὲ ἔτι ἄνω κινδυνωδέστερα. ἐμβάλλειν δὲ χρὴ αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, τριταίῳ δὲ ἢ τεταρταίῳ, ἥκιστα. τεταρταῖα γὰρ ἐόντα, ἐπισημαίνει τοῖσι παλιγκοτίῃσι μάλιστα. οἷσιν ἂν οὖν μὴ αὐτίκα γένηται ἐμβάλλειν, ὑπερβαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας. ὅτι γὰρ ἂν εἴσω δέκα ἡμερέων ἐμβάλλῃ, σπᾶν καταληπτέον. ἢν δ' ἄρα ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται, ἐμβάλλειν τὸ ἄρθρον δεῖ ταχὺ, καὶ θερμῷ τέγγειν ὡς πλειστάκις.

Τίνα μέν ἐστιν ἔναιμα ἐπίτεγκτα, πρόσθεν εἴρηται. τῆς βοτάνης δὲ τῆς πολυοφθάλμου καλουμένης, ἥ τις καὶ βοὸς ὀφθαλμὸς ὀνομάζεται, τῷ φύλλῳ χρῆσθαι κελεύει παραπλησίως, ὡς ἔμπροσθεν ἐχρῆτο τῷ τοῦ βηχίου, τὴν αὐτὴν ἔχοντι καὶ τούτῳ δύναμιν. μέμνηται δὲ ταύτης τῆς βοτάνης καὶ Διοκλῆς ἐν τῷ περὶ λαχάνων. τὸ μέντοι κεφάλαιον ὅλης τῆς θεραπείας φησὶ χρῆναι ποιεῖσθαι τοιοῦτον, οἷον κἀπὶ τῶν τῆς κεφαλῆς καταγμάτων ἐδήλωσεν. ἐν ἐκείνῳ τῷ βιβλίῳ καὶ ἡμῖν ἐδείχθη ξηραντικώτερος ὁ τρόπος εἶναι τῆς θεραπείας ἐκείνης, ἧς κατὰ τὸ περὶ ἑλκῶν βιβλίον ἐποιήσατο, καὶ μάλιστα τῆς κατὰ ἄρθρα.

Κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν τὸ σῶμα χρή. προσδέχεσθαι μέντοι περὶ τοὺς δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι. τὰ γὰρ πλεῖστα οὕτω γίνεται, ἢν καὶ ὁτιοῦν φλεγμονῆς ὑπογένηται, ὡς εἰ μὴ δι' ἀμαθίην τῶν δημοτέων ἐν αἰτίῃ ἔμελλεν ὁ ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐδ' ἐμβάλλειν ἔδει. τὰ μὲν οὖν περὶ τὰ ἄρθρα ὀστέα ἐξίσχοντα, ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστιν ὡς εἴρηται.

Οὐ ταυτόν ἐστιν ἐκτετάσθαί τε λέγειν καὶ ἐκτείνεσθαι, καθάπερ οὐδὲ κεκάμφθαι καὶ κάμπτεσθαι. ἐκτετάσθαι μὲν γάρ τις εἰπὼν τὸ κῶλον, ἓν αὐτοῦ σχῆμα μόνον δηλοῖ τὸ κατ' εὐθυωρίαν, οὐκ ἔχον τε τὸ μᾶλλον καὶ τὸ ἧττον. κεκάμφθαι δὲ εἰπὼν, πάντα τὰ μετὰ τὴν ἔκτασιν σχήματα σημαίνει μᾶλλον καὶ ἧττον ἀλλήλων διαφέροντα, μέχρι τῆς ἐσχάτης κάμψεως. τὸ δέ γε ἐκτείνεσθαι καὶ κάμπτεσθαι, τῆς κινήσεως αὐτῶν ἐστι δηλωτικὸν, ἐν τοῖς μετασχηματιζομένοις κώλοις γιγνόμενον. τὸ μὲν ἐκτείνεσθαι κατὰ τὸ μεταξὺ τῆς τε ἐσχάτης κάμψεως καὶ τῆς ἀκριβοῦς ἐκτάσεως. τὸ κάμπτεσθαι δ' ἔμπαλιν ἄχρι τῆς ἄκρας ἐκτάσεως, ἄχρι τῆς τελευταίας κάμψεως. νῦν οὖν ὁ Ἱπποκράτης εἰπὼν κεκάμφθαι μᾶλλον ἢ ἄχρι τῆς τελευταίας κάμψεως, τὸ κατ' εὐθυωρίαν, ὃ μόνον παραιτεῖται. διὰ δὲ τοῦ κεκάμφθαι πάντα τὰ μεταξὺ, ταύτας τε καὶ τῆς ἐσχάτης κάμψεως, ἐν οἷς ἀεὶ τὸ προσφορώτερον αἱρεῖσθαι προσήκει, ποτὲ μὲν ἐλάχιστον ἀποχωροῦντα τῆς ἄκρας ἐκτάσεως πῶς, ἔστιν ὅτε καὶ πλέον. ὁπόταν δὲ χρὴ τούτων ἑκάτερον πράττειν, ἐκ τῶν προειρημένων δυνήσῃ στοχάζεσθαι.

Περὶ τῶν ἀποκοπτομένων ὀστέων.

Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ περὶ τοὺς δακτύλους ἀποκόπτεται τελέως, ταῦτα ἀσινέα τὰ πλεῖστα ἐστὶν, ἢν μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμήσας βλαβείη.

Περὶ τῶν ἀποκοπτομένων ὀστῶν ἐντεῦθεν ἄρχεται διδάσκειν σαφῶς ἅπαντα διεξιὼν, ὡς μὴ δεῖσθαι τῆς παρ' ἡμῶν ἐξηγήσεως, ἀλλ' ἀρκεῖ τοσοῦτόν μοι προειπεῖν, ὡς ἀκολουθήσεις σχεδὸν ἅπασιν οἷς λέγει, σκοπὸν ἔχων ὅν τινα κἀπὶ

τῶν ἐξισχόντων ἄρθρων, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἰατροῖς ἐκβυρσώματα. καὶ γὰρ τὸ μέγεθος τῶν ἄρθρων, καὶ τὸ τοῦ
* κινδύνου μέγεθος, ὥσπερ ἐπ᾽ ἐκείνων νυνὶ, οὕτω ἐπὶ τῶν ἀποκοπτομένων ὀστῶν εἴωθε γίνεσθαι. προσθήσω δὲ κἀγὼ τῶν
ἀσαφές τι δοκούντων ἔχειν ἐξήγησιν.

Καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ᾽ ἄλλην τινὰ ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστὶ, καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων, καὶ ὅσα κατὰ τοὺς δακτύλους ὀστέα κατεαγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐστὶν ἐμβαλλόμενα. ἀποκόψιες δὲ τελέαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα, καὶ ἐν ποδὶ καὶ ἐν χειρὶ, καὶ ἐν κνήμῃ τοῖσι παρὰ τὰ σφυρὰ, καὶ ἐν πήχει τοῖσι κατὰ τοὺς καρποὺς, τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν ἀσινέα γίνεται. ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀναφέψῃ, ἢ τεταρταίοισιν ἐοῦσι, πυρετὸς ξυνεχὴς ἐπιγένηται. ἀποσφακελίσιες μέντοι σαρκῶν, καὶ ἐν τρώμασιν αἱμοῤῥόοισι γενομένοισιν, ἢ ἀπὸ σφίγξεσιν ἰσχυραῖς, καὶ ἐν ὀστέων κατήγμασι γενομένοισι, πιεχθεῖσι μᾶλλον τοῦ καιροῦ, καὶ ἐν ἄλλοισι δεσμοῖσι βιαίοισι ἀπολειφθέντα, ἀποπίπτει πολλοῖσι, καὶ οἱ πολλοὶ περιγίνονται τῶν τοιούτων, καὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει, καὶ τῶν σαρκῶν καὶ τοῦ ὀστέου, καὶ οἷσι βραχίονος. ἧσσον δὲ πήχεός τε καὶ κνήμης ἀποπεσούσης, καὶ ἔτι εὐφόρως περιγίνονται. οἷσι μὲν οὖν κατεαγέντων ὀστέων ἀποσφακελίσιες αὐτίκα ἐγένοντο, καὶ μελασμοὶ, τούτοισι μὲν ταχεῖαι περιῤῥήξιες γίνονται τοῦ σώματος, καὶ τὰ ὑποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῶν ὀστέων προενδεδωκότων. οἷσι δὲ ὑγιέων ἐόντων τῶν ὀστέων οἱ μελασμοὶ γίνονται, αἱ μὲν σάρκες ταχέως θνήσκουσι καὶ τούτοισι. τὰ δὲ ὀστέα βραδέως ἀφίστανται, ᾗ ἂν τὰ ὅρια τοῦ μελασμοῦ γένηται, καὶ ἡ ψίλωσις τοῦ ὀστέου.

Λέλεκται δὲ πολλάκις ἤδη φαύλην ὀνομάζειν ἰατρείαν τὴν ἀντικειμένην τῇ ἀκριβεῖ.

Χρὴ δὲ ὅσα ἂν κατωτέρω τοῦ σώματος τῶν ὁρίων τοῦ μελασμοῦ ἔῃ, ταῦτα ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀνάλγεα ᾖ, ἀφαιρέειν κατὰ τὸ ἄρθρον, προμυθεόμενον ὅκως μὴ τρώσῃς. ἢν γὰρ ὀδυνηθῇ, ἀποταμνόμενος, καὶ μήπω κυρήσῃ τὸ σῶμα τεθνεὸς ταύτῃ ᾗ ἀποτέμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λειποθυμῆσαι. αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώλεσαν. μηροῦ μὲν οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου, ὀγδοηκοσταῖον εἶδον ἀποστάν. ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίη, ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω. οὐ γὰρ ἅμα, ἀλλ᾽ ἐπὶ τὸ προμηθέστερον ἔδοξέ μοι τι ποιέειν. κνήμης δὲ ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην τὴν κνήμην ἐόντα, ἑξηκοσταῖα μοι ἀπέπεσεν, ὅσα ἐψιλώθη αὐτῶν. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης, ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀποπίπτειν. διενέγκοι δ᾽ ἄν τι καὶ πίεξις πιέξιος, καὶ ἐς τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστερον, καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον ἀπομελανθέντα ἀποθανεῖν τὰ νεῦρα, καὶ τὰς σάρκας, καὶ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας. ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀπολειφθέντα θνήσκει, ἔνια τῶν τοιουτέων οὐκ ἀφικνέεται ἐς ὀστέων ψιλώματα, ἀλλ᾽ ἐπιπολαιότερα ἐκπίπτει, ἔνια δὲ οὐδὲ ἐς νεύρων ψιλώματα ἀφικνεῖται, ἀλλ᾽ ἐπιπολαιότερα ἐκπίπτει. διά γ᾽ οὖν ταύτας τὰς προφάσιας οὐκ ἔστιν ἓν ὄνομα ἀριθμοῦ τῷ χρόνῳ θέσθαι ἐν ὁκόσῳ ἕκαστα τούτων κρίνεται.

Προειρηκὼς ὅτι μελαινομένων καὶ φθειρομένων τῶν περικειμένων τοῖς ὀστοῖς σαρκῶν, ἀναγκαῖόν ἐστι καὶ τοῖς γυμνωθεῖσιν αὐτῶν ὀστοῖς τῷ χρόνῳ ταυτὴν συμβῆναι, καὶ διὰ τοῦτο κελεύσας ἀποκόπτειν αὐτὰ, νῦν συμβουλεύει τὴν ἀφαίρεσιν ποιεῖσθαι, μὴ ψαύοντα τῶν ὑγιῶν, ὅπως μὴ διὰ τὴν ὀδύνην ὁ κάμνων λειποθυμήσας ἰσχυρῶς, δυσανακόμιστος γένηται. κατ᾽ ἄρθρον δὲ μᾶλλον εἰ οἷόν τε ποιεῖσθαι, κελεύει τὴν ἀφαίρεσιν ἕνεκα τοῦ τάχους. ἐν μέσοις γὰρ τοῖς κώλοις, χρόνος τρίβεται τῶν ὀστέων ἐκκοπτομένων, ἐπὶ δὲ τῶν ἄρθρων ἄνευ τοῦ ψαῦσαι τῶν ὀστῶν, ἀποκόπτεται τὸ πεπονθὸς μέρος τοῦ κώλου.

Προσδέχεσθαι δὲ μάλα χρὴ τοιαῦτα ἰήματα. ἐπιδέειν γὰρ φοβερώτερά ἐστιν ἢ τινὶ ἰητρεύειν, καὶ ἰητρείη πραείη ἀρκέει πᾶσι τοιούτοισι. αὐτὰ γὰρ ἑωυτὰ κρίνει μόνον, τῆς τε διαίτης ἐπιμελέεσθαι χρὴ, ὡς κατὰ δύναμιν ἀπύρετος ἔῃ.

Οὐ μόνον τῶν καμνόντων ἀεὶ φαίνεται κηδόμενος ὁ Ἱπποκράτης, ἀλλὰ καὶ τῶν ἰατρῶν ὡς ἀνέγκλητοι μὲν ἀεὶ παρὰ τοῖς κάμνουσιν ὦσιν, εὐδοκιμῶσι δὲ τὰ πλεῖστα. διὰ τοῦτ' οὖν ἐπισημαίνεταί τε καὶ διορίζεται τὰ κατὰ φαντασίαν μεγάλα πάθη τῶν κατὰ δύναμιν. ἐπὶ μὲν οὖν τῶν κατὰ δύναμιν ἰσχυρῶν, οὐ μὴν φαινομένων γε τοιούτων, ἀποδιδράσκειν κελεύει. προΐεσθαι δὲ τὰ κατὰ φαντασίαν μεγάλα, καθάπερ καὶ ταυτὶ τὰ νῦν περὶ ὧν ὁ λόγος. ὅταν γὰρ ἀκριβῶς τι νεκρωθῇ μέρος, οὐκέτι συμπάθειαν ἰσχυρὰν ἄγει τὰ πλησιάζοντα. τοῦτ' οὖν ἐὰν ἀποκόψῃς, τὸν ἐν τῇ χειρουργίᾳ τῆς λειποθυμίας φυλαξάμενος κίνδυνον, οὐκέτι οὐδὲν ἀκολουθήσει δυσχερές.

Καὶ ἐν σχήμασι δικαίοισιν εὐθετίζειν τὸ σῶμα. δίκαια δὲ καὶ ταῦτα, μηδὲ μετεωροποιέειν, μηδὲ ἐς τὸ κάτω ῥέπειν, ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω ποτὶ, καὶ ἐς ἂν τελείως περιρραγῇ, αἱμορραγιέων γὰρ ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος. διὰ τοῦτο γοῦν οὐ χρὴ καταῤῥέποντα ποιέειν τὰ φαύματα, ἀλλὰ τἀναντία.

Πολλάκις ἤδη μοι λέλεκται τὸ δίκαιον ἐπὶ τοῦ κατὰ δύναμιν ἴσου λέγειν ὁ Ἱπποκράτης. ἔστι δὲ τοῦτο ταὐτὸ τῷ κατὰ τὴν ἀξίαν ἑκάστου. τοιοῦτο δέ τι καὶ τὴν δικαιοσύνην ἴσμεν οὖσαν. ὅσον μὲν οὖν ἐπὶ τοῖς μυσὶ δίκαιον σχῆμά ἐστιν ἐν ᾧ μηδετέρως τείνονται, μήθ' οἱ κάμπτοντες, μήθ' οἱ ἐκτείνοντες τὸ κῶλον. ὅσον δ' ἐπὶ τὸ κάταντες ἢ ἄναντες ἀποθέσθαι τὸ μόριον, ἴσον μὲν αὖ τῷ δόξει τὸ μέσον ἀναῤῥόπου τε καὶ καταῤῥόπου, τουτέστι τὸ κατ' εὐθεῖαν γραμμὴν ἐκτεταμένον ἀκριβῶς εἶναι δίκαιον. καὶ ὅταν γε μηδεὶς ᾖ κίνδυνος αἱμορραγίας, ἐὰν εὐφορώτερον ᾖ τοῦτο τῷ κάμνοντι, προαιρετέον αὐτό. καὶ λέλεκταί γε περὶ τούτου μικρὸν ἔμπροσθεν, ἡνίκα περὶ τῶν ἐκθυρωμένων ὁ λόγος ἦν. νυνὶ δ' ἐπὶ τῶν ἀποκοπτομένων ὀστῶν, ὥσπερ ἐπὶ τῇ χειρουργίᾳ κίνδυνος, ὡς ἂν ἀλγήσαντα σφοδρῶς τὸν κάμνοντα, λειποθυμῆσαι. οὕτως μετὰ τὴν χειρουργίαν ἕτερος εἰς κίνδυνός ἐστιν ὁ τῆς αἱμορραγίας, ὅταν ἀποπέσῃ τὰ σεσηπότα μόρια τοῦ σώματος εἰωθὼς γίνεσθαι. πρόδηλον δ' ὅτι τὸ καταῤῥόπον σχῆμα πρὸς αἱμορραγίας ἐστὶν ἑτοιμότατον, καὶ ὅσον ἐπὶ τὸ φυγεῖν ἀκριβῶς τε ἅμα καὶ ἀσφαλῶς τὸν ἐκ τῆς αἱμορραγίας κίνδυνον, ἐχρῆν ἀνάῤῥοπον ἀποσχηματίζειν τὸ ἀποκεκομμένον κῶλον, ἀλλ' ἐπεὶ τοῦτ' ἐπώδυνον τὸ σχῆμα, διὰ τοῦτ' ἀνάῤῥοπον αὐτὸ μετρίως σχηματίζομεν. εὔδηλον δ' ὅτι καὶ κατ' αὐτὴν τὴν ῥῆσιν αὐξῆσαι βουλόμενος τὸν λόγον, ἐχρήσατο τῇ, ποτὶ, φωνῇ, ὡς εἰ καὶ οὕτως εἶπε, μηδὲν μετέωρον ποιεῖν, μηδὲ εἰς τὸ κάτω ῥέπον, ἀλλὰ μᾶλλον ἄνω, καὶ μάλιστα ὅταν τελέως περιῤῥαγῇ τὰ σεσηπότα. τῶν γὰρ αἱμορραγιῶν ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος.

Ἐπεὶ ὅταν γε ὁ χρόνος ἐγγένηται πλείων, καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκέτι ταῦτα τὰ σχήματα ἐπιτήδεια ἐστὶν, ἀλλ' ἡ εὐθεῖα θέσις, καὶ ἐνίοτε ἐπὶ τὸ καταῤῥόπον ῥέποντα. ἀνὰ χρόνον γὰρ ἐνίοισι τούτων ἀποστάσιες ὀστέου γίνονται, καὶ ὑποδεσμίδων δέονται.

Ὥσπερ ὁπόταν τὰς αἱμορραγίας ἐφυλάττετο τὴν εὐθεῖαν θέσιν τοῦ κώλου, καίτοι μέσην τε καὶ δικαίαν οὖσαν ἐπὶ τὸ ἀνάῤῥοπον ἦγεν, εἰς τοσοῦτον ἄχρι τοῦ χωρὶς ὀδύνης τοῦ κάμνοντος ἀνατεθῆναι τὸ κῶλον. οὕτως νῦν ἐνίοτε μετρίως καταῤῥόπον ἀξιοῖ σχηματίζεσθαι τὸ κῶλον, ἕνεκα τῆς ἐκκρίσεως τῶν ἰχώρων. ὅπου γὰρ οὔτ' αἱμορραγίας ἐστὶ κίνδυνος, οὔτε συμπαθείας, οὔτε φλεγμονῆς, ἤδη ὄντα καθαρὰ τὰ ἕλκη, μόνης ἐπουλώσεως χρῄζει, περὶ παντός ἐστι ποιητέον, ὡς μήτε πῦον ὑφίστασθαι τότε, μήτε ἰχώρ τις λεπτὸς, ἀλλ' ἀποῤῥεῖν πάντα. κολπωθέντος μέντοι τινὸς αὐτόθι μέρους, εἴωθε γὰρ ἐνίοτε καὶ τοῦτο γίγνεσθαι, τῶν ἰχώρων ἀναβιβρωσκόντων ἐκεῖνα τὰ μόρια, ἃ κατ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ διὰ τὸν φόβον τῆς αἱμορραγίας ἀνάῤῥοπον ἡγούμεθα σχῆμα, χρείας ἕξομεν ὑποδεσμίδων αἷς προστελοῦμεν τὸν κόλπον. ἡ δ' ἐπίδεσις ἐν τῷ τοιούτῳ καιρῷ κατὰ τὸν ἐναντίον γίνεται τρόπον, ἁπάσαις ταῖς ἔμπροσθεν εἰρημέναις. ἐπ' ἐκείνων μὲν γὰρ ἐκ τῶν κάτω μορίων ἀρχόμενοι τελευτῶμεν ἄνω. κατὰ δὲ τὰς νῦν προκειμένας διαθέσεις ἐφ' ὧν ἐκκρίνεσθαι βουλόμεθα τὸ πῦον ἄνωθεν, ἀρχομένους ἐπὶ τὰ κάτω χρὴ νέμεσθαι, παυομένους ἀνωτέρω βραχὺ τοῦ κατὰ τὸν κόλπον στόματος, ἵν' ἐκ μὲν τοῦ πυθμένος αὐτοῦ πᾶν ἐκθλίβηται διὰ τῆς εἰρημένης ἐπιδέσεως, ἀνεῳγμένου δὲ τοῦ στόματος, εὐθέως ἐκρέῃ.

Προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον ὑπὸ δυσεντερίης πιέζεσθαι, καὶ γὰρ ἐπὶ τοῖς μελαινομένοισι τοῖσι πλείστοισιν ἐπιγίνεται δυσεντερίη, καὶ ἐπὶ τῇσιν αἱμοῤῥαγίῃσιν ἐξ ἑλκέων. ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ κεκριμένων ἤδη, καὶ τῶν μελασμῶν καὶ τῆς αἱμοῤῥαγίης.

Τὴν τῆς δυσεντερίας προσηγορίαν ἔοικεν ὁ Ἱπποκράτης, οὐ κατὰ τῆς τῶν ἐντέρων ἑλκώσεως ἐπιφέρειν, ὡς οἱ πολλοὶ τῶν ἰατρῶν, ἀλλὰ κατὰ τῆς αἱματώδους ἐκκρίσεως διὰ τῶν ἐντέρων γινομένης, ὥστε καὶ ὅταν ἀῤῥωστίᾳ τοῦ ἥπατος αἱματώδη διαχωρῆται, καὶ τότε ὀνομάζεσθαι δυσεντερίαν τὸ πάθος, ὅπερ καὶ φαίνεται γιγνόμενόν τε καὶ λεγόμενον ὑπὸ τῶν ἰατρῶν, καὶ πολλοὺς ἴσε τῶν οὕτω πεπονθότων ἀπολλυμένους ἀγνοίᾳ τῶν θεραπευόντων. ἐπεὶ δ' ἐνίοτε διὰ τὴν τῶν ἐξιόντων δριμύτητα συνεκκρίνεταί τις ἅμα τοῖς διαχωρήμασι κατ' ἀρχὰς, ἀμελῇ δὲ τοῦ χρόνου προϊόντος ἤδη καὶ τῶν ἐντέρων αὐτῶν ξύσματα, διὰ τοῦ θεραπεύειν ὡς ἕλκωσιν ἐντέρων μόνην, οἱ πολλοὶ τῶν ἰατρῶν ἀμελοῦντες τοῦ ἥπατος, αἴτιοι θανάτου τοῖς κάμνουσιν ἐγγίνονται. νόσημα μὲν οὖν ἐστιν ἥτε τοῦ ἥπατος ἀῤῥωστία, καὶ ἡ τῶν ἐντέρων ἕλκωσις. κοινὸν δὲ σύμπτωμά ἐστιν ἡ διὰ τῆς ἕδρας ἔκκρισις αἱματώδης, ὃ κατὰ τὰς εἰρημένας αἰτίας γινομένη. καὶ γὰρ διὰ πλῆθος αἵματος ἀναστομουμένων εἰς ἔντερα φλεβῶν, αἱματώδη διαχωροῦσιν, ὡς εἶναι τὸ πάθημα παραπλήσιον αἱμοῤῥοΐσι, μόνῳ διαφέρον τῷ κατὰ μὲν τὴν ἕδραν ἐκείνας γίγνεσθαι, κατὰ δὲ τὰς τῶν ἐντέρων ἕλικας ἀναστομοῦσθαι τὰς φλέβας ἐπὶ τούτων, ἢ καὶ κατὰ τὸ ἀπευθυσμένον μὲν αὐτὸ, πόῤῥω μέντοι τῆς ἕδρας ἄνω κατὰ τῆς

ἀρχὴν αὐτοῦ, καὶ πολλοὺς ἔδομεν τοῦτο πάσχοντας ὧν ἀπεκόπη τι κῶλον, ἀλλὰ καὶ ὅσοι κατέλυσαν ἀθρόως ἰσχυρὰ γυμνάσια, κατὰ τὸν ἔμπροσθεν χρόνον εἰθισμένα, τινὲς μὲν ἀθλήσαντες, ἔνιοι δὲ σκάπτοντες, ἢ τοιοῦτόν τι φιλοπόνως ἐργαζόμενοι. ἐὰν γὰρ μὴ συγκαταλύσωσι τοῖς γυμνασίοις καὶ τὸ πλῆθος τῆς ἐδωδῆς, ἣν ὅτε ἐπόνουν ἐποιοῦντο, τινὲς μὲν ἐν τάχει πληθωρικοῖς ἁλίσκονται νοσήμασιν, ἔνιοι δὲ εὐτυχέστερον πράξαντες τῷ ὑφ' Ἱπποκράτους εἰρημένῳ συμπτώματι δυσεντερίας, οὕτω γὰρ ὠνόμασεν, ὡς ἔφην, τὴν διαχώρησιν τοῦ αἵματος. ἐνίους δὲ ἤδη οἶδα τῇ διὰ ῥινῶν αἱμορραγίᾳ σωζομένους, ἄλλους δὲ ἁλισκομένους χολέρᾳ, καὶ γίνεται πᾶσιν αἷμα ἐκ περιόδου τὸ πάμπαν, ἴσως ὡς ἔγγιστα τῷ χρόνῳ τὰ τοιαῦτα συμπτώματα. κακωθέντες γοῦν ἐπὶ ταῖς ἀθρόαις κενώσεσι καὶ καταψυχθέντες, οὐ προσέχουσι τῇ μετὰ ταῦτα διαίτῃ. πάλιν δ' ἀφυλάκτως διαιτώμενοι, πάλιν πλῆθος ἀθροίζουσιν ἴσον τῷ πρόσθεν ἐν ἴσῳ χρόνῳ. κοινὴν οὖν αἰτίαν ἁπάντων τῶν οὕτω πασχόντων εὑρήσομεν εἶναι πληθώραν, ἐκκενουμένην διὰ φλεβῶν ἀναστομώσεως, ἢ κατὰ ῥῖνας, ἢ καθ' ἕδραν, ἢ κατ' ἔντερα γινομένης. αὐτὴν δὲ τὴν πληθώραν ἀθροίζεσθαι τοῖς ἐσθίουσι μὲν, ὡς ἔμπροσθεν ἥδιον δαψιλῶς, μὴ δαπανῶσι δὲ τὸ ἐκ τῆς τροφῆς ἀθροιζόμενον αἷμα. τούτῳ τῷ λόγῳ κοινῷ πάντων ὄντι τῶν οὕτω πασχόντων, ὑποπέπτωκε καὶ τὰ ὑφ' Ἱπποκράτους εἰρημένα. οἷς γὰρ ἀπεκόπη τι κῶλον, ἡ πρότερον εἰς αὐτὸ παραγινομένη τροφὴ κατὰ τὰς φλέβας ἀθροιζομένη, πλῆθος αἵματος ἐργάζεται. συμβουλεύειν δὲ χρὴ τοῖς τοιούτοις ἅπασιν ἐλάττω τε ἐσθίειν ἢ πρόσθεν, ὀλιγότροφά τε ταῦτα εἶναι, καὶ συνεχῶς ὑπάγειν γαστέρα, γυμνάζεσθαί τε καθ' ὅσον ἂν δύναιντο, καὶ τρίβεσθαι πλείω, καὶ μὴ λούεσθαι μετὰ τροφὴν, ἀλλὰ πρὸ τροφῆς πολλάκις. εἰ δὲ καὶ διαφορητικοῖς ὕδασιν ἔχοιεν χρῆσθαι, κάλλιστα οὕτω πράττοιεν. ταῦτα μὲν οὖν εἴρηταί μοι κατὰ τὸ πάρεργον, οὐκ ὄντα πάρεργα. διατί δὲ ἐπὶ τῶν αἱμορραγησάντων ἰσχυρῶς ἐνίοις ὕστερον γίγνεται μετά τινα χρόνον ἡ τοιαύτη δυσεντερία, προσθεῖναι χρὴ τῷ λόγῳ. συμβαίνει δὴ καὶ τούτοις τοιοῦτον, ἐπὶ ταῖς σφοδραῖς αἱμορραγίαις καταψύχεται τὸ σῶμα, καὶ διὰ τοῦτ' ἧττον ἢ πρόσθεν ἐκκενοῦται διὰ τοῦ δέρματος. ὑπομένον δὲ ἐν τῷ σώματι τὸ μὴ κενούμενον, αὔξει τὸ πλῆθος τοῦ αἵματος, ἐφ' ᾧ καθότι δέδεικται πρόσθεν, αἵ τε χολέραι, καὶ αἱ διὰ ῥινῶν αἱμορραγίαι καὶ αἱματώδεις δυσεντερίαι γίγνονται, καὶ γὰρ οὕτως αὐτὰς ὀνομάζω, ἕνεκα σαφοῦς διδασκαλίας. ἕπονται δ' ὡς ἔφην αἵματος πλήθει διὰ ῥώμην μᾶλλον, οὐκ ἀρρωστίαν, ἐπὶ τὴν ἔκκρισιν αὐτοῦ τῆς φύσεως ὁρμώσης ἔμπαλιν, ἢ ἐπὶ τῶν ἡπατικῶν ἔχει διαθέσεων. ἐν ἐκείναις γοῦν ἀρρωστίᾳ τοῦ ἥπατος αἱματῶδες δι' ἐντέρων ὑπέρχεται. ἐὰν μὲν ἤτοι δι' αἱμορροΐδων, ἢ διὰ τῶν εἰς ἔντερα καθηκουσῶν φλεβῶν, ἢ διὰ τῶν εἰς τὰς ῥῖνας ἡ φύσις ἰσχύσῃ τὸ περιττὸν ἐκκρῖναι, σὺν εὐτυχίᾳ τοῦ πληθωριῶντος ἡ κένωσις ἐγένετο. μὴ δεξαμένων δὲ τῶν ἐνταῦθα χωρίων τὸ πλῆθος, ἀλλ' ἐπὶ θώρακα καὶ πνεύμονα ῥυέντος αὐτοῦ, χαλεπὸν ἤδη τὸ πάθημα. δυοῖν γὰρ θάτερον περιπνευμονίαις τε ἐπὶ πλεῖστον, ἢ ἀναγωγαῖς αἵματος οἱ τοιοῦτοι περιπίπτουσι.

Καὶ ὁρμᾶται μὲν λαύρως καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμερος γίνεται οὔτε θανατώδης, οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι, οὔτε ἀλλῶς ξυμφέρει κενεαγγέειν.

Οὐχ ὡς ἱστορίαν γράφων τῶν συμβαινόντων τοῖς οὕτω κάμνουσιν, ὥσπερ ὁ Θουκυδίδης, ἡνίκα διηγεῖται τὸν λοιμὸν, ἀλλ' ἕνεκα διορισμοῦ τῶν ἐφ' ἑτέραις αἰτίαις γινομένων δυσεντεριῶν, ταῦτα προσέθηκεν ὁ Ἱπποκράτης, ὥστ' εἰ μὴ καὶ τῆς προκειμένης πραγματείας ἴδιος οὐκ ἔστιν ὁ λόγος, οὐδὲν χεῖρον αὐτὸν ἐξεργάσασθαι παμπόλλων ἰατρῶν ἀδυνατούντων διακρῖναι τὰς διαθέσεις, ἐφ' αἷς ἐκκρίσεις αἵματος γίγνονται. νομίζουσι γοῦν ἔνιοι πάσας αὐτὰς ἑλκώσεσιν ἐντέρων ἕπεσθαι, μεγάλως σφαλλόμενοι. ἡ μὲν οὖν ἀπὸ τῶν αἱμορροΐδων ἔκκρισις, οὐδ' αὐτοὺς τοὺς κάμνοντας λανθάνει. τῶν δ' ἄνωθεν ἐπὶ τὴν ἕδραν ἀφικνουμένων αἱματωδῶν, ἔνια μὲν εὐθὺς ἐξ ἀρχῆς ἥκει, τινὰ δὲ προηγήσατο τι τοιοῦτον, εἰ ἐξαίφνης διαχωρήσειεν αἷμα πολὺ, γιγνώσκειν ἀναστόμωσιν ἀγγείου γεγονέναι, τῆς φύσεως τὸ βαρῦνον αὐτὴν ἀποκρινούσης. ἐκ τούτου τοῦ γένους ἐστὶ καὶ ἡ νῦν ὑφ' Ἱπποκράτους εἰρημένη δυσεντερία, λάβρως ὁρμᾶται καὶ ταχέως παύεται, μετὰ τοῦ μηδ' ἀνορέκτους τοὺς κάμνοντας ἰσχυρῶς γίνεσθαι, καθάπερ ὅταν ἥπατος ἀρρωστοῦντος, ἐκκρίσεις ἕπονται τοιαῦται. σπανιώτερον μὲν οὖν ἡπατικὴ διάθεσις ἀπὸ τοιαύτης ἄρχεται κενώσεως. ὡς τὸ πολὺ γὰρ οἷον κρεῶν πλύμμα, ἰχῶρες αἵματος λεπτὸν ἐκκρίνονται κατ' ἀρχὰς αὐτοῖς. ἄρχεται μὲν οὖν ἐνίοτε καὶ σὺν ἀθρόᾳ κενώσει τοῦ αἵματος, ὅταν ποτὲ συνέλθῃ πληθωρικὴ διάθεσις ἀρρωστίᾳ τοῦ σπλάγχνου. μετὰ δὲ τὴν ἀρχὴν ὁποτέρως ἂν γενομένην, ἅμα τῷ καὶ ἀνορεκτεῖν ἐσχάτως αὐτοὺς ἐκκρίνεται, ποτὲ μὲν αἷμα καθαρὸν, οὐ πολὺ, ποτὲ δὲ καὶ μετὰ χολῆς ξανθῆς, ἅμα ταῖς τῶν ἐντέρων ἀποξυομέναις πιμελαῖς, εἶτά που καὶ μετὰ ταῦτα καὶ οἷον τρὺξ αἵματος, ἡνίκα δὴ κακῶς ἔχει τὸ σπλάγχνον, παχύς. ἐπὶ δὲ ταῖς τοιαύταις ἐκκρίσεσι, καὶ μάλισθ' ὅταν ἔχωσί τι καὶ χολῆς αὐτῶν τῶν ἐντέρων συνεκκρίνεται τὰ μόρια τὰ καλούμενα ξύσματα, ὑπὸ πολλῆς αὐτῶν ἀποξυούσης τῆς δριμύτητος τῶν ἐντέρων διαχωρουμένων. ἐπὶ μὲν οὖν τῶν τοιούτων, λεπτοτάτης διαίτης ἐστὶ χρεία. τοῖς δὲ τὸ πλεονάζον ἐκκρίνουσιν αἷμα, βέλτιον ἐστὶ διδόναι τροφὴν σύμμετρον ἐρρωμένου τοῦ ἥπατος, καὶ κρατεῖν αὐτῆς δυναμένου.

Ἐμβολὴ μηροῦ πρὸς ἰσχίον.

Μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὠλισθήκῃ.

Κατεγνώκασιν Ἱπποκράτους ἐπ' ἐμβαλεῖν τὸ κατ' ἰσχίον ἄρθρον, ὡς ἂν ἐκπίπτον αὐτίκα, πρῶτος μὲν Κτησίας ὁ Κνίδιος συγγενὴς αὐτοῦ, καὶ γὰρ αὐτὸς ἦν Ἀσκληπιάδης τὸ γένος, ἐφεξῆς δὲ Κτησίου καὶ ἄλλοι τινές. διττῆς οὖν οὔσης κρίσεως ἁπάντων τῶν τοιούτων πραγμάτων, τῆς μὲν ἑτέρας, ὅταν αὐτόπτης τις γένηται τοῦ ζητουμένου, τῆς δ' ἑτέρας, ὅταν ἐκ τῆς φύσεως αὐτοῦ μὴ περιμένων μακρὰν πεῖραν ἐνδεικτικῶς ἀποφαίνηταί τι, καὶ ἡμεῖς ἀμφοτέρας ποιησόμεθα. τὸ μὲν οὖν τῆς φύσεως τοῦ πράγματος ἐστὶ τοιόνδε. κατὰ τὴν διάρθρωσιν ταύτην ἰσχυρότατος ἐστὶ σύνδεσμος, στρογγύλος, ἐγκατακεκρυμμένος αὐτῇ, συνάπτων τὴν κορυφὴν τῆς κεφαλῆς τοῦ μηροῦ, τῷ βαθυτάτῳ τε καὶ κοιλοτάτῳ μέρει τῆς κοτύλης, ὥστε καὶ μὴ τεθέαταί τις τὸν κίνδυνον, ἀλλ' ἐκ ταύτης γε τῆς διηγήσεως ἀκόλουθον αὐτὸ

νῆσαι βραχὺ εἶναι κατὰ μῆκος αὐτὸν, ὅπου ὁ μηρὸς ἐνστρέφεται ἀεὶ, καθάπερ ὁ Ἱπποκράτης εἶπεν ἰσχ[illegible] φεται μηδέποτ' ἐκτὸς ὑπερβαίνων τὴν ὀφρὺν τῆς κοτύλης, ἀναγκαῖον ἐλάχιστον εἶναι τὸ μῆκος τὸν συνδ[illegible] σμον οὖν αὐτὸς ἐστὶν ὁ κωλύων ἐκπίπτειν τὸν μηρὸν, ἄχρις περ ἂν ἔχῃ κατὰ φύσιν. ἐγχωρεῖ δ' αὐτὸν οὐκ [illegible] γέντα μόνον, ἀλλὰ καὶ δι' ὑγρότητα πολλὴν ἀθροισθεῖσαν ἐν τῇ κοιλότητι παρὰ φύσιν ἔκτασιν [illegible] ὡς ἐπιτρέψαι ποτὲ ἐκπεσεῖν τῆς κατὰ φύσιν ἕδρας τὸν μηρόν. εἰ μὲν οὖν ἀπορραγέντος τοῦ συνδέσμου τὸν μηρὸν ἐκπεσεῖν συμβαίνει, κἂν ἐμβληθῇ, παραχρῆμα εἶναι κατὰ χώραν οὐ δυνήσεται. κατὰ ταύτας γὰρ οὔσης τῆς κοτύλης καὶ μεγάλου βάρους αὐτῆς ἐγκεκραμένου τοῦ παντὸς σκέλους, ἑτοίμως αὖθις ὁ μηρὸς ἐκστήσεται τῆς ἰδίας χώρας, ἤ τις ἐν τῷ βαδίζειν ἐγχειρήσαι βραχὺ θᾶττον ἢ ὑπερβῆναί τι τῶν ἐν ποσὶν, ὡς εἴ γέ τις ὀλίγην αὐτοῦ ποιοῖτο κίνησιν ἐφ' ὁμαλοῦ ἐδάφους, ἀεί ποτε δύναιτ' ἂν οὕτω μόνως φυλάξαι τὴν κατὰ φύσιν θέσιν, ἀλλ' ἔοικεν ἀδύνατον εἶναι. καὶ γὰρ εἰ μηδὲν ἄλλο δυνάμενός γε, πάντως ἐπαίρειν ἀναγκασθήσεται ὡς ἐν ταῖς εἰς πύελον ἐμβάσεσιν. οὕτως μὲν οὖν ἡ φύσις τοῦ πράγματος ἡμᾶς διδάσκει, μὴ δύνασθαι μεῖναι κατὰ χώραν τὸν μηρὸν ἐμβληθέντα τοῦ συνδέσμου διασπασθέντος. ὃ γὰρ ἂν κἀκεῖνο προσθείς ἄν τις, ἀληθεύοι. τῇ μὲν περὶ γόνυ διαρθρώσει σύνδεσμοί τινες εἰσὶν ἔξωθεν νευρώδεις. τῷ μηρῷ δὲ μόνῳ εἷς οὗτος, οὐδενὸς ἔξωθεν ἄλλου τοιούτου σφίγγοντος τὴν διάρθρωσιν, ὅτι τῶν μυῶν. οὐδὲ γὰρ οὐδὲ παρὰ τούτων ὀλίγη τίς ἐστι βοήθεια πρὸς τὸ μὴ ῥᾳδίως ἐκπίπτειν τὰ ἄρθρα, καὶ μάλιστα ὅταν ὦσιν εὐτραφεῖς τε καὶ σύντονοι, καθάπερ ὅτε τοῖς γυμναστικοῖς καὶ τοῖς σφοδρότατα ἰσχύουσι, κατὰ τὰ παλαίσματα, πληγάς τε καὶ πτώσεις καὶ τάσεις καὶ περιστροφὰς τῶν ἄρθρων οὐκ ἐκπίπτει τὰ κῶλα, διὰ τὸ πανταχόθεν ἰσχυροῖς καὶ μεγάλοις σφίγγεσθαι μυσίν. εἶπε δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης κατ' ἀρχὰς τοῦδε τοῦ βιβλίου, καὶ τοῖς βουσὶ μάλιστα ἐκπίπτει τὸ κατ' ἰσχίον ἄρθρον, ὅταν ὦσι γέροντές τε καὶ λεπτοὶ, διαρραγέντος τοῦ περὶ τὸν μηρὸν συνδέσμου, μηδὲν οὐχ οἷόν τε τῷ ἄρθρῳ κατὰ χώραν, κἂν ἐμβληθῇ, καὶ μάλιστα ἐπὶ τῶν ἰσχνῶν. ἐφεξῆς οὖν ἴδωμεν εἰ δι' ὑγρότητα δαψιλῆ χαλασθεὶς ὁ σύνδεσμος, ἐπιτρέψοιεν ἐκπεσεῖν τῷ μηρῷ, κἄπειτα ἐμβληθέντι, τί συμβαίνειν εἰκός. ἐμοὶ μὲν δοκεῖ κἀνταῦθα πρόδηλον εἶναι, μενούσης μὲν αὐτῆς τῆς ὑγρότητος αὖθις ὡς αὐτὸς ἐκπεσεῖν, ξηρανθείσης δὲ τὴν περὶ φύσιν, ἀσφάλειαν ἀπολήψεσθαι. ὅτι δὲ δι' ὑγρότητα συμβαίνει τὸν μηρὸν ἔξαρθρον γίγνεσθαι, καὶ παρ' αὐτοῦ τοῦ Ἱπποκράτους μαθήσῃ γράφοντος ἐν ἀφορισμοῖς ὧδε. ὅσοις ὑπὸ ἰσχιάδος ἐνοχλουμένοις ἐξίσταται τὸ ἰσχίον καὶ πάλιν ἐμπίπτει, τούτοισι μύξα ἐπιγίγνεται. μύξης οὖν ἀθροιζομένης ἐν τῇ διαρθρώσει, τουτέστιν ὑγρῷ γλίσχρῳ διαβρεχόμενος, ὁ σύνδεσμος χαλᾶται. διαφέρει δ' οὐδὲν εἴτε σύνδεσμον ὀνομάζειν αὐτὸν, εἴτε νεῦρον συνδετικόν. ὅσοι γὰρ τῶν συνδέσμων εἰσὶ στρογγύλοι κατὰ νεύρων ἰδέαν, ἔθος ἐστὶ τοῖς ἀνατομικοῖς νεῦρα συνδετικὰ προσαγορεύειν αὐτούς. καὶ ἡμεῖς ἰασάμεθα δὶς ἤδη τοιαύτην ἐκπτωσιν μηροῦ, καὶ οὐκέτι ἐξέπεσε τοῦ λοιποῦ χρόνου. προσήκει δὲ μέχρι πολλοῦ ξηραίνουσι φαρμάκοις περιλαμβάνειν τὴν διάρθρωσιν, ἄχρις ἂν αὐτάρκως ξηρανθῆναι τὸ συνδετικὸν νεῦρον, ὡς μηκέτι συνεπεκτείνεσθαι τῷ μηρῷ τὴν ὀφρὺν τῆς κοτύλης ὑπερβαίνοντι. κατέχειν δὲ ἔνδον αὐτὸν ἐν τῇ κατὰ φύσιν θέσει. ὅτι δ' ἐνίοτε μένει βληθεὶς, μάρτυς ἀξιοπιστότατος, ὁ Ταραντῖνος Ἡρακλείδης ἀνὴρ οὔθ' ἕνεκα δόγματος κατασκευῆς ψευσάμενος, ὡς ἂν οἱ πολλοὶ τῶν δογματικῶν ἐποίησαν, οὔτ' ἀγύμναστος περὶ τὴν τέχνην, ἀλλ' εἴπερ τις καὶ ἄλλος ἱκανῶς τρίβων τῶν ἔργων τῆς ἰατρικῆς. ἀκούσωμεν δ' αὐτοῦ τῆς ῥήσεως, ἣν ἔγραψεν ἐν τῷ τετάρτῳ τῶν ἐκτὸς θεραπευτικῶν, αὐτοῖς ὀνόμασιν οὕτως ἐχούσης.

» ὅσοι δὲ οἴονται μὴ μένειν μηρὸν ἐμβληθέντα, διὰ τὸ μὴ διασπᾶσθαι τὸ συνέχον νεῦρον πρὸς τὴν κοτύλην τοῦ ἰσχίου, τὸν μηρὸν, ἀγνοοῦσιν, ἐν τῷ καθόλου τρόπῳ τὴν ἀπόφασιν ποιούμενοι. ὁ γὰρ ἂν Ἱπποκράτης καὶ Διοκλῆς ἀνέγραψαν ἐμβολὰς, ἔτι δὲ Φιλότιμος, Εὐήνωρ, Νηλεὺς, Μόλπις, Νυμφόδωρος, ἄλλοι δέ τινες. ἡμεῖς δ' ἐπὶ δύο παιδίων ἐκρατήσαμεν τῆς προθέσεως. πολλάκις τοί γε καὶ μᾶλλον ἐπὶ τῶν τελείων ὀλισθαίνει πάλιν τὸ ἄρθρον. οὐκ ἐκ λόγου δὲ δεῖ τὸ πρᾶγμα κρίνειν, ἀλλ' ἐπειδὴ ποτὲ καὶ μένει, διαλαμβάνειν μὴ διὰ παντὸς ἀποσπασμὸν γίνεσθαι τοῦ νεύρου, ἀλλὰ καὶ ἀποχαλᾶσθαι καὶ συστρέφεσθαι πάλιν, ἐπειδὰν τοῦ ζητεῖν ἐστὶ χρήσιμον, ἀλλ' οὐ παντελῶς κοινόν. ἐπὶ τῷ τέλει τῆς ῥήσεως ὁ Ταραντῖνος τοῦτο προσέγραψε, φυλάττων τὴν ἑαυτοῦ προαίρεσιν ἐμπειρικὴν οὖσαν. ἔστι δ' αὐτῶν ἡ προαίρεσις ὅσα φανερῶς ὤπται καὶ τὸ χρήσιμον ἤδη πρὸς τὴν τέχνην ἔχομεν ἐξ αὐτῶν εἰπεῖν, ἄχρηστον ἐπὶ τούτων εἶναι τὴν τῆς αἰτίας ζήτησιν. ἀλλὰ καὶ μετὰ τὸν Ἡρακλείδην ἄλλοι πολλοὶ τῶν νεωτέρων γεγράφασιν ἐμβληθέντα μηρὸν ὑπ' αὐτῶν, ἄχρι παντὸς μεμενηκέναι.

Ἀγαθὰ μὲν ἤδε καὶ δυναίη, καὶ κατὰ φύσιν ἡ ἐμβολὴ, καὶ δή τι καὶ ἀγωνιστικὸν ἔχουσα ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον, τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι, τοὺς δὲ πόδας ἔχειν χρὴ, ὅσον τέσσαρας δακτύλους ἀπ' ἀλλήλων, ἢ καὶ ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι, πλατεῖ ἱμάντι καὶ μαλθακῷ ἀνατείνοντι ἐς τὴν μεσόδμην.

Τὸ χαριέντως τι πανουργεῖν, εἰώθασιν οἱ Ἀττικοὶ κομψεύεσθαι λέγειν, ὅπερ καὶ νῦν σημαίνει παρὰ τῷ Ἱπποκράτει τὸ κομψευόμενος. καὶ γὰρ καὶ πρόσθεν εἶπεν ἐπὶ τῶν τῆς κλίμακος κατακλίσεων, ὡς ἐγχαυνοῦν τὸν πολὺν ὄχλον ἐπιτηδεύοντές τινες ἐπ' αὐτὴν ἥκουσιν, ἀλλ' ὅμως κἀκείνην ἔγραψεν, ἐπεὶ καὶ καλῶς αὐτῇ χρωμένους ἑώρα τοὺς καθ' ἑαυτὸν ἰατρούς. οὕτως οὖν καὶ νῦν, ὡς ἄν τις κάλλιστα διὰ κλίμακος κατατείνας ἐμβάλλοι μηρὸν, ἐβουλήθη διδάξαι. ἴσως δ' ἂν ποτὲ καὶ χρησαίμεθα αὐτῇ μὴ παρόντος τοῦ βάθρου, περὶ οὗ μετὰ ταῦτα ἐρεῖ. κελεύει τοιγαροῦν ἐπὶ κλίμακος τὸν θεραπευόμενον δήσαντας ἱμᾶσιν, κρεμάσαι τὴν κλίμακα πρὸς μεσόδμην ἀνατείναντας. οὕτως δὲ ὀνομάζεται τὸ μέγα ξύλον ἀπὸ τοῦ ἑτέρου τοίχου πρὸς τὸν ἕτερον διῆκον, ἔν τε τοῖς τῶν πανδοχείων οἴκοις τοῖς μεγάλοις

ἐν οἷς ἱστᾶσι τὰ κτήνη, ἢ κατ' ἀγρὸν, ὁμοίως ἐν τοῖς γεωργικοῖς οἴκοις. βούλεται δὲ τοὺς μὲν πόδας ἄνω πρὸς τῇ μεσόδμῃ ἐστράφθαι, τοῦ κατατεινομένου δὲ τὴν κεφαλὴν οὐ πολὺ τῆς γῆς ἀπέχειν, ἄλλως τε δυνηθῆναι τὸν ἐμβάλλοντα τὸ ἄρθρον ὀρθὸν παρεστῶτα, ταῖς ἑαυτοῦ χερσὶ χρῆσθαι πρὸς τὴν ἐμβολὴν ὡς ἐφεξῆς διδάσκει.

Τὸ δὲ σκέλος τὸ σιναρὸν τετάσθαι χρὴ, ὡς δύο δακτύλοισι μᾶλλον τοῦ ἑτέρου. ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω, ὡς δύο πήχεας, ἢ ὀλίγῳ πλέον, ἢ ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος ἔστω μαλθακῷ τινί. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτε ἐλάχιστον χρόνον κρεμάσηται. ὅταν δὲ κρεμασθῇ ἄνδρα, χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν.

Τοὺς μὲν δεσμοὺς ὅπως προσήκει περιβαλεῖν, οἷς ἔπι μέρεσι τοῦ σώματος, ἐδήλωσε σαφῶς. ἰσχυροτέρους μὲν κελεύει καὶ μαλθακοὺς ἀνατείνοντας εἶναι τοὺς περὶ τὸ πεπονθὸς σκέλος εἰκότως. ὅλη γὰρ ἡ κατάτασις ἕνεκα τῆς ἐκείνου θεραπείας γίγνεται, κατὰ τὸν κοινὸν ἁπάντων τῶν ἐμβαλλομένων λόγον. ἐπειδὴ γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ τῆς κοτύλης ἐκπεσοῦσα πρὸς τὴν ἐκτὸς χώραν ἥκει, ὑπὸ τῶν ἐνταῦθα μυῶν ἀνασπασθεῖσα. προσήκει δήπου πρότερον εἰς τὸ κάτω μέρος αὐτὴν ἀγαγεῖν ἅμα τῷ μηρῷ δηλονότι, κἄπειθ' οὕτως ἀπῶσαι πρὸς τὴν ἐκτὸς χώραν, εἶτα ἐπειδὰν κατ' εὐθὺ γένηται τῆς κοτύλης, ἤτοι τοῖς μυσὶν ἐπιτρέψαι μόνοις τοὐντεῦθεν, ἢ καὶ συνεπωθεῖν αὐτόν. εἴρηται δὲ ἤδη πολλάκις ὡς οἱ μύες ἅπαντες ἐπὶ τὰς ἑαυτῶν κεφαλὰς ἀνασπᾶσθαι πεφύκασι. συνανασπῶσιν οὖν δηλονότι καὶ τὸν μηρὸν ἑαυτοῖς, ἀνασπώμενος δ' ἐμβήσεται τῇ κοτύλῃ τοῦ ἰσχίου κατὰ τὴν κεφαλὴν αὐτοῦ.

Εἶτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ τῆς ἐξεστηκυίης, ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν διηρημένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα, μετέωρον αἰωρηθῆναι ὡς ἰσορροπώτατον. αὕτη δὲ ἡ ἐμβολὴ παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον τῷ ἑωυτοῦ βάρει, κατάτασιν ποιέεται, ὅ, τε ἐκκρεμασθεὶς, ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύειν καὶ ἀναγκάζειν εἰς τὴν ἀρχαίην φύσιν ὀλισθαίνειν. χρὴ δὲ παγκάλως μὲν τοῖσι δεσμοῖσιν ἐσκευάσθαι, φρονέοντα δὲ ὡς ἰσχυρότατον τὸν ἐξαιωρεύμενον εἶναι. ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διάφορόν ἐστι τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι καὶ δυσέμβλητα, καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖς περὶ ὤμου.

Πλιχάδα μὲν ὀνομάζειν εἴωθεν ἅπαν τὸ μεταξὺ τῶν βουβώνων ἑκατέρου σκέλους. ἐν ταύτῃ δὲ τῇ πλιχάδι, τὸ μέσον προσαγορεύει περίναιον, ὅπερ ἀπὸ τῆς ἐκφύσεως αἰδοίου καθήκει πρὸς τὴν ἕδραν. ἐν αὐτῷ δὲ καὶ τῆς κύστεως ὁ τράχηλος τέτακται. μεταξὺ δὲ τούτου γε κατὰ τὸ μῆκος ἐν τῇ πλιχάδι μέσῃ καὶ τῆς τοῦ μηροῦ κεφαλῆς, ἀξιοῖ θέντα τὸν πῆχυν ἐπισυζεύξαντά τε τὴν ἑτέραν χεῖρα, καθότι σαφῶς αὐτὸς ἔγραψεν ἐκκρεμασθῆναι τὸν εἰς τὸ κάτω μέλλοντα τὴν κεφαλὴν ἐπισπάσασθαι τοῦ μηροῦ. γενήσεται δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μοχλεία πρὸς τὴν εἰς τὸ ἔξω μετάστασιν τοῦ ἄρθρου, χάριν τοῦ κατ' εὐθὺ γενέσθαι τῆς κοτύλης τοῦ ἰσχίου τὴν κεφαλὴν τοῦ μηροῦ.

Ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ' οὐδεμιῆς παρασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος ὅσον τῇσι χερσὶ κατιθῦναι, βραχείης δὲ, κιγκλίσιος.

Ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἀρρενικῶς εἶπε κιγκλισμὸν, οὕτω νῦν κίγκλισιν θηλυκῶς, τὴν ἐπὶ βραχὺ γιγνομένην διακίνησιν. αὐτὸς γὰρ τὸ διακινῆσαι ῥῆμα, κατὰ τῆς βραχείας κινήσεως ἧσπερ μέμνηκε γράφων ἐμβολὴν ἐξηρθρηκυίας γένυος.

Πολλοῖσι δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον, ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πολὺ πλείω, οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ, τὰ κράτιστα περὶ ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ, χρέεσθαι δὲ οἷσιν ἂν δοκέῃ ἑκάστοτε. εἴρηνται μὲν οὖν τρόποι κατατασίων, καὶ ἐν τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρέεσθαι τούτων ὅστις ἂν παρατύχῃ. δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ θάτερα μὲν τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ τοῦ σώματος. ἢν γὰρ εὖ κατατεθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ, ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλῦσαι ἔτι ῥηΐδιον ἵζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε καὶ κατόρθωσις. ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει, διὰ τοῦτο ὄχλον

πλείω

πλείω παρέχει ἡ ἐμβολή.

Ἐν τῷ κάμπτειν τὸ σκέλος κατὰ βουβῶνα, μετέωρος ὅλος ὁ μηρὸς γίνεται. κατὰ τὴν τοιαύτην γοῦν ἐνέργειαν ἡ ἐκπεπτωκυῖα κεφαλὴ τοῦ μηροῦ διακινηθεῖσα, τὰ κατὰ περίσφαλσιν εἴωθεν ἐκπίπτειν ἐστὶν ὅτε. τὸ δὲ κατὰ περίσφαλσιν ἐστὶν ὅτε, ὁποῖόν τι δηλοῖ καὶ ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου, καὶ τοῦ κατ' ἰσχίον ἐκπιπτόντων τε καὶ ἐμβαλλομένων γίνεται, διὰ τῶν ἔμπροσθεν αὐτὸς ἐδίδαξε, ἡνίκα διδάσκει ἐπὶ τούτων τῶν διαρθρώσεων μὴ δύνασθαι γενέσθαι παράρθρημα, καθάπερ ἐπ' ἀγκῶνος, καὶ καρποῦ, καὶ γόνατος, καὶ σφυροῦ. διὰ γὰρ τὰς σφαιροειδεῖς μὲν εἶναι τὰς κεφαλὰς τῶν μηρῶν ὀστῶν, κυκλοτερῆ δὲ τὴν ὀφρὺν τῶν πρὸς αὐτὰς διαρθρουμένων κοιλοτήτων, οὐκ ἐνδέχεται μέρος μέν τι τῶν κεφαλῶν ἐν ταῖς κοιλότησιν εἶναι. μέρος δὲ οὐκ εἶναι, καθάπερ οὐδ' ἐπὶ τῆς ὀφρύος ὀχεῖσθαι τῆς κοτύλης, ἀλλ' εὐθέως ἀποκυλιομένας αὐτάς, ἢ εἴσω χωρεῖν, ἢ ἔξω τῆς διαρθρώσεως. ἐπεὶ τοίνυν ἐλαχίστη ῥοπὴ τὴν ἐφ' ἑκάτερα φορὰν τῆς κεφαλῆς οἰακίζει, περίσφαλσιν ὠνόμασε τὸ γιγνόμενον.

Χρὴ οὖν οὐ μόνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅκως μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδεσις ἔῃ μᾶλλον, ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν, τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος, ἐσκευάσθαι. ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν, μὴ μόνον ἐκ τῆς περὶ τὸ στῆθος καὶ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ καὶ ἱμάντι μακρῷ, διπτύχῳ, ἰσχυρῷ, προσηνεῖ, παρὰ τὸν περίναιον βεβλημένῳ, παρατεταμένῳ ἐπὶ μὲν τὰ ὄπισθεν παρὰ τὴν ῥάχιν, ἐπὶ δὲ τὰ ἔμπροσθεν, παρὰ τὴν κληΐδα προσηρτημένῳ, τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι, τοῖσι μὲν ἔνθα διατεινομένοισι, τοῖσι δὲ ἔνθα. ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περίναιον μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ μηροῦ παρατεταμένος ἔσται, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς ἐπὶ τοῦ περιναίου. ἐν δὲ τῇ κατατάσει, κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμήν, ἐς τὸ ἔξω ὠθεέτω. ἢν δὲ μετεωρίζηται ἑλκόμενος, διαφὰς τὴν χεῖρα, καὶ ἐπισυνάξας τῇ ἑτέρῃ χειρί, ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω. ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ εἴσω μέρος κατορθούτω.

Ἐκ τῶν ποδῶν κρεμαμένου τοῦ ἀνθρώπου καὶ τὴν κεφαλὴν ἔχοντος κάτω, πᾶσι τοῖς ἄρθροις διατείνεσθαι συμβαίνει, βουλόμεθα δὲ ἡμεῖς ἓν μόνον ἄρθρον τὸ κατὰ τοὺς βουβῶνας τοῦτο πάσχειν. εἰκότως οὖν τοῦ γόνατος ἐπιβάλλειν κελεύει δεσμὰ τῶν μηρῶν, τὴν τάσιν ἄνω ποιούμενα. μόνοις γὰρ τοῖς κατὰ τὴν κνήμην, ἐὰν ἐπιτρέψωμεν ἀνέλκειν τὸ σκέλος, οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον τῆς κατ' ἰσχίον διαρθρώσεως ἔκτασιν εἶναι συμβήσεται, τὴν κατὰ γόνυ τοῖς τείνουσι δεσμοῖς οὖσαν ἐγγυτέρω.

Εἴρηται δὲ καὶ πρόσθεν ὅτι ἐπάξιον ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἑξάπηχυ, ἢ ὀλίγῳ μεῖζον, εὖρος δὲ ὡς δίπηχυ, πάχος δὲ ἀρκεῖ σπιθαμιαῖον.

Ἐν τῷ περὶ ἀγμῶν εἴρηκε περὶ τοῦδε τοῦ μηχανήματος, ὥστε κἀντεῦθεν ἐφέλκονται μαρτύριον ὧν λέγουσιν ἔνιοι, περὶ τοῦ γεγράφθαι μὲν ὑφ' Ἱπποκράτους ἓν βιβλίον ἐξ ἀρχῆς ἐπιγεγραμμένον κατ' ἰητρεῖον, ὕστερον δὲ εἰς δύο τμηθῆναι διὰ τὸ μέγεθος, ἐπιγραφῆναί τε ἕτερον μὲν πρότερον αὐτοῦ μέρος, περὶ ἀγμῶν, τὸ δὲ δεύτερον, περὶ ἄρθρων. ὁποῖον δέ τι βούλεται τὸ μηχάνημα τοῦτ' εἶναι, δῆλον ἐστὶ τοῖς τεθεαμένοις τὸ καλούμενον Ἱπποκράτειον βάθρον. οὕτω γὰρ ἐκ πολλοῦ συνήθες ὀνομάζειν αὐτὸ τοῖς ἰατροῖς ἐστιν. ἔχουσι δὲ καὶ μιμήματα ταύτου μικρὰ οἱ πολλοί, καὶ λείποντα τῷ πλείω πάνυ πολύ, καὶ μόνον ἐστὶν αὐτάρκη εἰς ἐμβολὰς ἄρθρων. εἰ δ' ἄρα τις θέλει καὶ ἄλλοις χρῆσθαι, πρὸς μὲν τὰς ὁδοιπορίας, τὸ πολύσπαστον καλούμενον ἐπιτήδειον, Ἀρχιμήδους δ' αὐτοῦ φασὶν εὕρημα εἶναι. πρὸς δὲ τὰς ἐν πόλει χρείας στάσιμον μέν, ἄξιον λόγου τὸ τοῦ τέκτονος καλούμενόν ἐστιν, ἢ τὸ τοῦ Ἀνδρέου. ἐφεδραῖον δέ τοι τὸ Ἱπποκράτους βάθρον, ὅ τινες τῶν νεωτέρων ἰατρῶν, ἐπειδὴ κατεσκεύασαν ποικιλώτερον, ὥσπερ καὶ τὴν μηχανικὴν ἄμβην. ἐφεξῆς οὖν αὐτῷ γράφοντι τὴν κατασκευὴν τοῦ ὀργάνου, πρόσεχε τὸν νοῦν, ἐφαρμόζοντα ἃ λέγει τοῖς τεθεαμένοις ἐφ' ὃ τεθέασθε βάθρον. μόνη γὰρ ἡ λέξις σαφηνίζει τὰ τοιαῦτα, καθάπερ εἴρηται καὶ πρόσθεν. ἐπὶ μὲν οὖν τῶν ἀναγιγνωσκόντων παρ' ἐμοὶ τὸ βιβλίον ἑτοίμως ποιοῦμαι παρακειμένου τοῦ ὀργάνου, πολλάκις μὲν αὐτοῦ τοῦ μεγάλου, πολλάκις δὲ καὶ τῶν μιμημάτων αὐτοῦ τινός, ἃ διὰ ταύτην μόνην τὴν χρείαν κατασκευάζομεν, ἵνα ἔχωμεν δεικνύναι τοῖς ἀναγινώσκουσιν. οὐ γὰρ δὴ δι' αὐτῶν ἐστὶν ἐμβαλεῖν ἄρθρον, ἀλλὰ νῦν γε τοῦτο μὲν ἀδύνατόν ἐστι πρᾶξαι. τὸ δ' ἐξηγήσασθαί τι τῶν κατὰ τὴν λέξιν ἀσαφῶν, δυνατόν, ὅπερ ἔν τε τοῖς ἔμπροσθεν ἐποίησα, καὶ νῦν ἐν τοῖς ἐφεξῆς πράξω.

Ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν χρή, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις εἴη.

Τὸ μὲν ἔνθεν καὶ ἔνθεν, ἐξ ἀριστερῶν καὶ ἐκ δεξιῶν λέγει. δῆλον δὲ ἐκ τοῦ προσθεῖναι κατὰ μῆκος. ἀλλὰ καὶ τὸ παραμήκεα, τουτέστι. τῆς γὰρ ἄνωθεν τῆς κεφαλῆς, καὶ κάτωθεν τῶν ποδῶν τομὴν ἐγκαρσίαν οὐ εἴρηκε μᾶλλον, οὐ παραμήκη. ἡ δὲ σύμπασα φράσις ἑρμηνευομένη, τοιόνδ' ἐστιν, οὐδὲν γὰρ χεῖρον αὐτὴν παραφράσαι σαφηνείας ἕνεκεν. ἔπειτα

κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν ἐντομὴν εἶναι χρὴ παραμήκη τοῦ ξύλου, βάθος ἔχουσαν σύμμετρον, ὡς πρὸς μοχλείαν, ὅπως μὴ ὑψηλοτέρα τοῦ προσήκοντος ἡ μηχάνησις εἴη. τὸ γὰρ τοῦ καιροῦ λέγουσιν οἱ Ἕλληνες ἐνίοτε καὶ τοῦ προσήκοντος, ὅπερ καὶ δέον ὀνομάζουσιν. ἔσω φησὶν ἀραιοῦν ἡ τομὴ τηλικαύτη τοῦ βάθους ὡς ἐν αὐτῇ στηρίζεσθαι μοχλὸν ἁρμόττοντα τῇ μελλούσῃ γενήσεσθαι μοχλείᾳ.

Ἔπειτα φλιὰς βραχείας, ἰσχυράς, ἐνηρμοσμένας, ὀνίσκους ἔχειν ἑκατέρωθεν.

Ὀνίσκους μὲν τοὺς ἄξονας ὀνομάζει, φλιὰς δὲ τὰ διαλαμβάνοντα τοὺς ἄξονας στηρίγματα. ταῦτα δὲ βούλεται ἐπὶ τὸ μέγα ξύλον ἑκατέρωθεν ἐνηρμόσθαι. τὸ μὲν γάρ, ἐκ τῶν ἄνωθεν μερῶν τοῦ βάθρου, τὸ δὲ ἐκ τῶν κάτω. πρὸς γὰρ τοὺς ἄξονας τούτους τὰ πέρατα τῶν περιβαλλομένων τῷ κάμνοντι βρόχων, ἐναφάπτει ἐπὶ τὸν καιρὸν τῆς ἀντιτάσεως.

Ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου. οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὡς καπέτους μακρὰς πέντε ἢ ἕξ, διαλειπούσας ἀπ' ἀλλήλων τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι, καὶ βάθος οὕτως.

Καπέτους μὲν οὐκ ὀλίγοι τῶν παλαιῶν εἰρήκασι τὰς τάφρους. ὁ δ' Ἱπποκράτης νῦν ἐκ μεταφορᾶς κέχρηται τῇ προσηγορίᾳ, τὰς ἐντετμημένας τῷ βάθρῳ κοιλότητας ἑρμηνεῦσαι βουλόμενος, ἕνεκα τοῦ στηρίζεσθαι κατ' αὐτὰς τοὺς μοχλούς, ἅς τινας κοιλότητας ἀξιοῖ μάλιστα μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου, τουτέστι, τῷ κάτω διαγλύψαι. κωλύειν δὲ οὐδὲν ἐκ περιουσίας φησίν, εἰ καὶ ἐπὶ τὸ ἄνω μέρος εἶεν. οὐ μόνον γὰρ τὸ κατ' ἰσχίον ἄρθρον ἐμβάλλουσιν ἡμῖν ἐστι χρήσιμον τὸ νῦν ἑρμηνευόμενον ὄργανον, ἀλλὰ καὶ τὰ κατὰ τοὺς σφονδύλους πάντα καὶ τὸν ὦμον. εἶναι δὲ χρὴ πλείους ταύτας, ἐπειδὴ καὶ ταῖς ἡλικίαις, καὶ τοῖς μεγέθεσιν ὅλῃ τῇ σχέσει τοῦ σώματος, ἀλλήλων διαφέρουσιν οἱ θεραπευόμενοι. τὸ μέγεθος δ' αὐτῶν ὁπηλίκον εἶναι κελεύει, καὶ τὴν διάστασιν, ἣν ἀλλήλων ἀπέχουσιν, αὐτὸς ἔγραψε σαφῶς.

Ἔχειν δὲ ἐπὶ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρή, βαθυτέρην δὲ τετράγωνον ὡς τριῶν δακτύλων, καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν ξύλον, ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον, ἐμπηγνύναι δὲ ἐπήν ποτε δοκέῃ ξυμφέρειν, μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστεός, κωλύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα τοῖσι πρὸς ποδῶν ἑλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ τὸ ξύλον τοῦτο, ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος, ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν, αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον, ἢ τῇ ἢ τῇ ἐκμοχλεύειν, ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντετμέαται, ὡς καθ' ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύοι, ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων, ἢ ἐπὶ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει, ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρῃ ἐκμοχλεύεσθαι, ἤν τε ἐς τὸ εἴσω.

Ἐντετμῆσθαι βούλεταί τινα τοῦ βάθρου κοιλότητα πρὸς ὑποδοχὴν τῆς σανιδίου τοῦ μέλλοντος ἵστασθαι κατ' αὐτὸ ξύλου, μεταξὺ τοῦ περινέου καὶ τῆς ἐκπεπτωκυίας κεφαλῆς τοῦ μηροῦ. σαφῶς δὲ αὐτὸς ἐδήλωσε τίνος ἕνεκα ἵστησιν ἐν τῷ κατατείνειν τὸ ξύλον τοῦτο, καθάπερ καὶ τἄλλα πάντα τὰ ἐφεξῆς ἃ λέγει. διὰ δὲ τοὺς νωθροτέρους τὴν διάνοιαν οὐκ ὀκνήσω παράφρασιν τῆς αὐτὴν εἰπεῖν. τὸ τοίνυν ξύλον τοῦτο μεταξὺ τοῦ περινέου καὶ τῆς ἐκπεπτωκυίας τοῦ μηροῦ κεφαλῆς ὀρθὸν ἱστάμενον, ἀντιστήριγμα γίνεται τῇ κάτω τάσει. λέλεκται γὰρ ἤδη πολλάκις ἔμπροσθεν, εἰ μή τις ἀντιτείνει πρὸς τὴν ἐναντίαν χώραν τοῦ κατατεινομένου κώλου, συνακολουθῶν ὁ κάμνων ἐκλύσει τὴν τάσιν. ἐργάζεται μὲν τοῦτο καὶ ἡ διὰ τῶν ἄνω βρόχων ἀντίτασις. ἀσφαλείας δὲ ἕνεκα, καὶ τούτῳ τῷ ξύλῳ χρῆται, καὶ μέντοι καὶ μοχλεύει ποτ' αὐτὸ ποιήσας τηνικαῦτα χαλαρόν.

Καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν ξυμφέρει εἶναι, ἤν τε πλάτος ἔχοντα, ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει. εὔχρηστος δὲ ἐστιν ἤδη πάντων τῶν ἄρθρων ἐμβολῆς τῶν κατὰ τὰ σκέλεα. αὕτη ἡ μόχλευσις σὺν κατατάσει, περὶ οὗ νῦν ὁ λόγος ἐστί, στρογγύλος, ἁρμόζει ὁ μοχλὸς εἶναι ἀπὸ τουτέων τῶν μηχανέων, καὶ ἀναγκαῖον οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι, ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. εὕροι δ' ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς.

Αὐτὸς ἐφεξῆς ἐρεῖ στρογγύλῳ μὲν χρῆσθαι μοχλῷ μοχλεύοντας ἔξω τὸν μηρόν, ὅπερ αὐτῷ νῦν πρόκειται τῇ ἔσωθεν μετάστασιν ἐμβάλλοντι κεφαλήν. τὴν δὲ τοῦ ἔξωθεν μεθεστηκυίας, τῷ πλατεῖ χρῆται μοχλῷ. νῦν μὲν γὰρ βούλεται πορευθῆναι μεταξὺ τοῦ περινέου, καὶ τῆς ἐκπεπτωκυίας κεφαλῆς, αὐτὸν ἄνωθέν πως μᾶλλον πεπειραμένης τῆς κεφαλῆς τιθέναι. κατὰ δὲ τὴν ἔξω μετάστασιν εὐρυχωρίας οὔσης ἱκανῆς, ἀσφαλεστέραν ἕξει περίβασιν ὁ πλατὺς μοχλός, ὡς καὶ μετ' ὀλίγον αὖθις εἰρήσεται κατὰ τὸν ἴδιον αὐτοῦ λόγον.

Εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχει κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δύο ποδιαίας, ὕψος δὲ ὅκως δοκέει ξυμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν ὡς κλιμακτήρ, ἔπειτα διέρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων,

τὸ δὲ

τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι συναρμόσσον. ἀτὰρ τι πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον ᾗ ἐκπέπτωκε, ἐπιτήδειον χρὴ ἁρμόζειν. τὸν γὰρ κλιμακτῆρα ὑψηλότερον χρὴ ποιέειν τοῦ μετρίου, καὶ ἱμάτιον πολύπτυχον ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα.

Ὅτι μὲν μόνα τὰ τῶν ἀξόνων στηρίγματα φλιὰς ὀνομάζει, δῆλον ἐκ τῆσδε τῆς ῥήσεως ἐποίησε. τῇ γὰρ κατὰ τὸ μῆκος ὅλου τοῦ βάθρου μέσῃ χώρᾳ τέτατταί τι ξύλον ἐγκάρσιον οἷον κλιμακτῆρα διατείνας, ἀπὸ δεξιῶν ἐπὶ ἀριστερὰ δῆλον, ὑπὲρ αὐτὸ κατατείνειν τὸ ἐξαρθρον σκέλος, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ ξύλου αὐτῷ προσηχθαι κατὰ μῆκος ἄνωθεν κάτω δῆλον, ὥστε μετ᾽ ἐκείνου τοῦ ξύλου τὸ σκέλος ὑπὲρ τὸν κλιμακτῆρα καταναγκάζεσθαι. πρόδηλον δ᾽ ὅτι τὸ ὑγιὲς σκέλος, ὑποκάτω τοῦ κλιμακτῆρος ἔχειν προσήκει τὸν θεραπευόμενον, ἐν τῇ μεταξὺ χώρᾳ τῶν φλιῶν, οὕτως γὰρ ὠνόμασε τὰ στηρίγματα τοῦ κλιμακτῆρος, ἐν ἑκατέρωθεν ἐναρμόσας αὐτῷ τοῦ βάθρου. δῆλον οὖν ὡς κατὰ μεταφορὰν ἀπὸ τῶν κατὰ τὰς θύρας φλιῶν ὠνόμασε, καὶ τὰς κατὰ τὸ βάθρον ὡσαύτως.

Ἔπειτα χρὴ ξύλον ἔχοντα πλάτος μέτριον καὶ μῆκος, ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον, ὑπὸ τὸ σκέλος εἶναι ἱκνεύμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε. προσκαταδέεσθαι δὲ χρὴ πρὸς τὸ σκέλος ὁκοσαχῶς ἂν μετρίως ἔχῃ.

Ὅτι τὸ ξύλον προσκαταδεῖ τὸ σκέλος ὅλον, εἴρηταί μοι καὶ πρόσθεν, ἀλλὰ νῦν γε τοῦ ξύλου τὴν ἄνωθεν ἀρχὴν ὑψηλοτέραν ἀξιοῖ ποιεῖσθαι τῆς κεφαλῆς τοῦ μηροῦ, προσθεὶς τῷ λόγῳ, τὸ οἷόν τε. πάνυ γάρ ἐστι χαλεπὸν ὃ λέγει ποιῆσαι, πλὴν εἰ τὸ μὲν εἰς τὸν βουβῶνα τοῦ μακροῦ ξύλου στηριζόμενον, ἐργάσαιτό τις ταπεινότερον, ὑψηλότερον δὲ τὸ ἔξω πέρας, ὁμαλόν τε καὶ ἰσοϋψὲς ἂν εἴη, πάνυ χαλεπόν ἐστι, ἅμα μὲν στηρίζειν αὐτοῦ τὴν ἀρχὴν ἐν τῷ βουβῶνι, ἅμα δὲ ὑπερέχουσαν ποιεῖν τῆς κεφαλῆς τοῦ μηροῦ κατὰ τὴν νῦν προκειμένην ἔκπτωσιν ὑψηλοτέραν οὖσαν τοῦ βουβῶνος.

Κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπερείδει, εἴτε τουτέων τινὶ τῶν κατατασίων, ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ. τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεξαίροιτο τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρχαίην φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραί, καὶ πᾶσαι κρείσσους τῆς ξυμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζοι. ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, πουλύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείοσιν ἐμπίπτει.

Ἀνατασθέντος τοῦ μηροῦ περὶ τὸν κλιμακτῆρα, ταπεινότερον γίγνεται τὸ ἐκπεπτωκὸς ἄρθρον. ἐπιτήδειον δὲ τοῦτο πρὸς τὴν ἐμβολήν ἐστιν, ἐπειδὴ ταπεινότερος νῦν ἡ ὀφρὺς τῆς κοτύλης γέγονε τῆς κεφαλῆς τοῦ μηροῦ, καὶ νῦν ἡ ἐν χωρεῖς μὲν τῆς κοτύλης τὴν ὀφρὺν ὑπερβῆναι τὸ ἐκπεπτωκὸς ἄρθρον, οὐχ οἷόν τέ ἐστιν αὐτὸ πάλιν ἐμπεσεῖν, ἀπεχώρησε δὲ ἀνωτέρω τῆς ὀφρύος. ἄριστον ἂν εἴη ταπεινὸν αὐτὸ ποιήσαντα κατατείνειν. ἐξαρτῆσαι δὲ δηλονότι δεῖ τοὺς κατατείνοντας αὐτῷ βρόχους, ἤτοι ξύλου τινὸς ὑπερείδοντος ἀντιστηριζομένου τῷ κάτω πέρατι πρὸς ἑδραῖόν τι κατὰ τοὔδαφος κείμενον. εἰ δὲ μὴ διὰ τοῦ τοιούτου ξύλου βούλοιο τὴν κατανάγκασιν ποιεῖσθαι, τῷ πρὸς τῶν ποδῶν ἄξονι τοῦ βάθρου περιβαλεῖν τὰ πέρατα τῶν κατατεινόντων ἱμαντίων. τοῦτο γὰρ ἐδήλωσεν ἐν τῷ φάναι, εἴτε τούτων τινί, εἴτε τῶν κατατασίων, λέγων τούτων δηλονότι τῶν προειρημένων πρὸς διαστολὴν τοῦ ὑπερείδοντος ξύλου. τὰ δ᾽ ἐφεξῆς τῆς ῥήσεως τῆσδε δῆλα.

Ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ εἴρηται τοιουτοτρόπως. τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ, μοχλεύειν χρὴ ἅμα τῇ κατατάσει, ἐκ τοῦ ἔξω μέρεος ἐς τὸ εἴσω ἀναγκάζοντα, κατά τε αὐτὸν ἤδη τὸν γλουτὸν τιθέμενον τὸν μοχλόν, καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον, κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις, τῇσι χερσὶν ὡς μὴ ὑπείκῃ τὸ σῶμα, ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑποβάλλων, καὶ ἐρείσας ἐκ τῶν καπέτων, τὴν ἁρμόζουσαν ἀντικατεχέτω. τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ περὶ τὸ γόνυ εἴσωθεν ἔξω, παραγέτω ἡσύχως. ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος τοῦ ἄρθρου. ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου, ἀπωθέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. τὴν μέντοι ξὺν τῷ ὑποκειμένῳ ξύλῳ μόχλευσιν μηχανήσαιτ᾽ ἄν τις, ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσαρτέον. ἀτάρ τι καὶ δεῖ πλείω λέγειν; ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον, οὕτως ἐκπεπτωκός.

Ἐὰν κατατείνῃ τις ἰσχυρῶς τὸ σκέλος, οὐδὲ διὰ τῆς τοῦ ξύλου μοχλείας ἐστὶ χρεία. καὶ γὰρ αἱ χεῖρες ἡμῶν ἱκαναὶ περιλαβοῦσαι, κατὰ τὸν γλουτὸν ἔξωθεν ὅλον τὸ πέρας τοῦ μηροῦ πρὸς τὴν ἔσω χώραν ἀπῶσαι, μέχρις ἂν κατ' εὐθὺ γένηται τῆς κοτύλης. εὔδηλον δὲ ὅτι στρογγύλος μοχλὸς ἀνεπιτήδειός ἐστιν εἰς τὴν τοιαύτην μοχλείαν, ὅπου γε καὶ ὁ πλατὺς ἐνδεής ἐστιν, εἰ μὴ τοιοῦτος εἴη καθ' ὃ περιλαμβάνει τὸν γλουτὸν, ὁποίαν ἐκέλευσε ποιεῖν ἡμᾶς τὴν καλουμένην ἄμβην. αὐτὸς γοῦν εἴρηκε κατὰ λέξιν, ὡς κατ' αὐτόν γε τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν, καὶ ὀλίγον ἀνωτέρω οὕτως ἐπιχειρεῖν χρὴ τῇ μοχλείᾳ. τοῦτο δὲ τὸ ὀλίγον ἀνωτέρω, σιμωτέρου δεῖται τοῦ περιλαμβάνοντος οὐκ εὐθέως ἀκριβῶς. τὰ δ' ἐφεξῆς πάντα δῆλα, καὶ τῆσδε τῆς ῥήσεως.

Ἢν δὲ ἐς τοὔπισθεν μέρος ἐκπεπτώκῃ ὁ μηρὸς, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας, οὕτω δεῖ ποιέεσθαι καθάπερ εἴρηται. ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμάτιον πολύπτυχον ὡς μαλακώτατον ἔῃ, πρηνέα κατακλίναντα τὸν ἄνθρωπον, οὕτω κατατείνειν, ἅμα δὲ τῇ κατατάσει χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον, ὡς τὰ ὑβώματα κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σανίδα, καὶ μᾶλλον ἐς τὸ κάτω μέρος, ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων. καὶ ἡ ἐντομὴ ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερὴς, πρὸς τὸ τῶν ποδῶν μέρος, αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι, καὶ ἅμα ἰσχυροτάτη. ἀρκέσει δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα, ἢ τῇσι χερσὶν ἐρεισάμενον, ἢ ἐπιβάντα ἐξαπίνης ὁμοίως ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμία ἐμβολὴ τῶν προειρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος.

Καὶ τὰ περὶ τοῦ τρόπου τούτου τῆς ἐκπτώσεως εἰρημένα πάντ' ἐστὶ σαφῆ τοῖς μεμνημένοις τῶν προειρημένων. ἀξιοῖ γὰρ οὐχ ὡς τοὺς προτέρους, οὕτω καὶ τοῦτον ὕπτιον κατακλίνειν, ἀλλ' ἐπὶ τὴν γαστέρα. τοῦτο γὰρ δηλονότι τὸ πρηνές ἐστι σχῆμα. κατατείναντα δὲ ἰσχυρῶς, ἐκ τῶν ὀπίσω μερῶν εἰς τὸ πρόσω χρὴ τὸ ἄρθρον ὠθεῖν. ἐν δὲ τῇ νῦν κατακλίσει, τὸ μὲν ὀπίσω μέρος ἄνωθεν γίνεται, τὸ πρόσω δὲ ὑποκάτω τούτου. διὸ προσήκει τὸν ἐμβάλλοντα καταναγκάζειν εἰς τὸ κάτω τὴν κεφαλὴν τοῦ μηροῦ, καὶ τοῦθ' ἱκανώτατον μὲν ἡ διὰ τῆς σανίδος ἔμπτωσις ἐργάζεται. δύναιτο δ' ἄν τις αὐτὸ καλῶς πρᾶξαι κατ' αὐτὴν τὴν ἐξοχὴν ἐπικαθίσας μετὰ τοῦ προσεμβληθῆναι βιαίως. ἀλλ' ἐὰν τὸ τῆς ἰδίας πυγῆς ἐξέχον, ἐρείσῃ κατὰ τῆς ἐξηρθρηκυίας κεφαλῆς, οὐδὲν ὀνήσει τὸν κάμνοντα. δεῖται τοίνυν τοῦτο τὸ ἔργον ἀνδρὸς ἐπιμελοῦς τε καὶ συνετοῦ.

Ἢν δὲ ἐς τὸ ἔμπροσθεν ὀλισθῇ, τῶν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος. ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν, καὶ ὡς εὐπαιδευτότατον ἐρείσαντα τὸ θέναρ τῆς χειρὸς ἑτέρης παρὰ τὸν βουβῶνα, καὶ τῇ ἑτέρῃ χειρὶ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαβόντα, ἅμα μὲν ἐς τὸ κάτω ὠθέειν τὸ ὀλίσθημα, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς μάλιστα κατὰ φύσιν τούτῳ τῷ ὀλισθήματι ἐστίν. ἀτὰρ καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύοι τῷ πήχεϊ τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίναιον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιέεται.

Ἐπὶ τὴν τετάρτην διαφορὰν τῆς ἐκπτώσεως τοῦ κατ' ἰσχίον ἄρθρου μεταβὰς, σαφέστατα πάντα τὰ περὶ αὐτοῦ εἶπε, καὶ μάλιστα τῶν μεμνημένων τῶν ἔμπροσθεν, ὥστε οὐδὲν ἡμᾶς τὸ ἐνταῦθα δεῖ παραφλυαρεῖν.

Εὐδοκιμέει δὲ καὶ ὁ πειραθεὶς ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβαλέεσθαι. καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ φαυλότητος, καὶ τὰ ἔξω ἐγκεκλιμένα, καὶ τὰ ὄπισθεν ἀσκῷ ἐπειρῶντο ἐμβαλεῖν, οὐ γινώσκοντες ὅτι ἐξέβαλλον αὐτὸ μᾶλλον ἢ ἐνέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας, δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα, ἀσκῷ ἐμβάλλειν ἐπεχειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ, ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρέσσω ἐστί. χρὴ δὲ τὸν μὲν ἀσκὸν κατατιθέναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν δύναιτο ἀνωτάτω πρὸς τὸν περίναιον ἀνάγοντα. ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον, ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι, ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν, ἔπειτα ἐς ἕνα τῶν ποδῶν, τὸν λελυμένον ἐνθέντα αὐλὸν ἐκ χαλκείου φυσᾶν, καὶ ἐσαναγκάζειν ἐς τὸν ἀσκὸν, τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστί. σκευάζονται δὲ κάκιον οἱ πλεῖστοι, ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μούνους τὰ γούνατα, καὶ οὐ προσκατατείνουσι, χρὴ δὲ καὶ προσκα-

τατείνειν

τατείνειν, ὅμως δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου πράγματος ἐπιτυχόντες. διαφόρως δὲ οὐ πάνυ ἔχει διαναγκάζεσθαι οὕτως. ὅ,τε γὰρ ἀσκὸς ἐμφυσώμενος, οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ μάλιστα ἐκμοχλεῦσαι, ἀλλὰ κατὰ τὸν ἑωυτῶν, αὐτὸς μέσος καὶ τῶν μηρῶν ἴσως, ἢ κατὰ τὸ μέσον, ἢ ἔπι κατωτέρω. οἵ τε αὖ μηροὶ γαυσοὶ πεφύκασιν, ἄνωθεν γὰρ σαρκώδεές τε καὶ ξύμμηροι, ἐς δὲ τὸ κάτω ὑπόξηροι, ὥστε καὶ ἡ τῶν μηρῶν φύσις ἐπαναγκάζοι τὸν ἀσκὸν ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου. εἴ τε οὖν τι σμικρὸν ἐνθήσει, τὸν ἀσκὸν μικρὴ ἡ ἰσχὺς ἐοῦσα, ἀδύνατόν ἐστιν ἀναγκάζειν τὸ ἄρθρον. εἰ δὲ δεῖ ἀσκῷ χρέεσθαι ἐπὶ πολὺ, οἱ μηροὶ ξυνδετέοι πρὸς ἀλλήλους, καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος ὁ ἀσκὸς φυσητέος. τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν.

Καὶ τὸν διὰ τοῦ ἀσκοῦ τρόπον τῆς ἐμβολῆς οὐκ ἐπαινῶν, ὅμως ὡς ἄν τις ἄριστα καὶ τούτῳ χρήσαιτο διδάσκει, σαφῶς ἅπαντα διερχόμενος.

Χρὴ δὲ περὶ πλείστου μὲν ποιέεσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσῃς τὸ νοσέον. εἰ δὲ πολλοῖσι τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν, τὸν ἀοχλότατον χρὴ αἱρέεσθαι. καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον, ὅστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης, περὶ οὗ νῦν ὁ λόγος ἐστίν. τοιοίδε τ' ἂν τινὲς κατοικίδιοι κατατάσιες εἶεν τοῦ σώματος, ὥστε ἐκ τῶν παρεόντων τὸ εὔπορον εὑρίσκειν.

Οὗτος ὕστατος αὐτῷ λόγος ἐστὶ παρακελευομένῳ τὴν εὐπορίαν ἀσκεῖν τῶν ἐπιτηδείων πρὸς τὴν θεραπείαν, ὥστε κἂν μήτε τὸ βάθρον παρῇ, μήτε ἄλλο τι τῶν προειρημένων, ἐπινοεῖν αὐτὸν ὅμοιόν τι. περὶ ὧν ἐφεξῆς σαφέστατα διῆλθεν, ὡς μηδὲν αὐτῶν δεῖσθαι μηδὲ βραχυτάτης ἐξηγήσεως. ἅπαντα γάρ ἐστι σαφέστατα τοῖς γε μεμνημένοις τῶν προειρημένων, ὃ δέ μοι δοκεῖ ἀσαφέστερον εἶναι τοῦτο προσγράψω.

Τοῦτο μὲν, ἢν τὰ δεσμὰ τὰ ἱμάντινα μὴ παρέῃ, τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλ' ἢ σιδήρεα, ἢ ὅπλα, ἢ σχοινία, ταινίῃσι χρὴ, ἢ ἐρρήγμασι ῥυχίων ἐρινεῶν περιελίσσειν ταύτῃ μάλιστα. εἰ μέλλοι τὰ δεσμὰ καθέξειν καὶ ἔτι ἐπὶ πλέον, ἔπειτα οὕτω δεῖν τοῖσι δεσμοῖσι.

Τὰ κατὰ τὴν ναῦν σχοινία καλοῦσιν ὅπλα, δηλοῖ δὲ τοῦτο, καὶ ὁ ποιητὴς εἰπών. κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης. δῆλον οὖν ὅτι νῦν ὁ Ἱπποκράτης εἴρηκεν ὅπλα μὲν ἰδίως τὰ ἐν τῇ νηῒ σχοινία. τὰ δὲ ἔξω τῆς νηὸς ἐν ταῖς πόλεσι, καὶ κατ' ἀγρὸν διὰ τῆς κοινῆς προσηγορίας ἐδήλωσε τὰ σχοινία.

Ἐξήγησις λείπει.

Τοῦτον δὲ ἐπὶ κλίνης χρὴ, ἥτις ἰσχυροτάτη καὶ μεγίστη τῶν παρεουσέων κατατετάσθαι καλῶς τὸν ἄνθρωπον. τῆς δὲ κλίνης τοὺς πόδας παρεμβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον, διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα. καὶ ἢν μὲν λεπτὸν ἔῃ τὸ ξύλον, προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης, ἢν δὲ παχὺ ἔῃ, μηδέν. ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν καὶ τῶν πρὸς τῆς κεφαλῆς, καὶ τῶν πρὸς τοῦ ποδὸς προσδῆσαι ἑκατέρας πρὸς ὕπερον, ἢ πρὸς ἄλλο τι τοιοῦτον ξύλον. ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα, ἢ καὶ ὀλίγον ἀνωτέρω. ξυμμέτρως δὲ ἐκτετάσθω πρὸς τὰ ὕπερα ὡς ὀρθὰ ἑστεῶτα. τὸ μὲν παρὰ τὸν οὐδὸν ἐρείδηται, τὸ δὲ παρὰ τὸ ξύλον τὸ παραβεβλημένον, κἄπειτα οὕτω τὰ ὕπερα ἀνακλῶντα χρὴ τὴν κατάτασιν ποιέειν. ἀρκέει δὲ κλίμαξ ἔχουσα τοὺς κλιμακτῆρας ὑποτεταμένη ὑπὸ τὴν κλίνην. ἀντὶ τοῦ οὐδοῦ τε καὶ τοῦ ξύλου τοῦ παρατεταμένου, ὡς τὰ ὕπερα πρὸς τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν προσερηρεισμένα, οὕτω τὴν κατάτασιν ποιέεσθαι τῶν δεσμῶν. ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον. ἢν ἐς τὸ εἴσω ὀλισθῇ, καὶ ἐς τὸ ἔμπροσθεν, κλίμακα χρὴ καταρύξαντα, ἐπικαθῆσαι τὸν ἄνθρωπον, ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσδῆσαι ὅκου ἂν ἁρμόσῃ, ἐκ δὲ τοῦ σιναροῦ ἐς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι, ἢ ἐς φορμίδα λίθους ἐμβάλλοντας. ἕτερος τρόπος ἐμβολῆς. ἢν ἐς τὸ εἴσω ὀλισθῇ, στρωτῆρα χρὴ διαδῆσαι, μεταξὺ δύο στύλων, ὕψος ἔχοντα συμμέτρως. προσεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος ὁ νοσέων, ὁκόσον τὸ πυγαῖον, περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον, ἐπικαθῆ-

σαι τὸν ἄνθρωπον, ἤδη τὸ προσεχὲς τοῦ στρωτῆρος, εἶτα προσβαλεῖν τὸ στῆθος πρὸς
τὸν στῦλον πλατεῖ τινι, ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις ὡς μὴ περισφάλληται.
ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει, ὡς καὶ πρόσθεν εἴρηται. πρῶτον μὲν
οὖν δεῖ εἰδέναι, ὅτι πάντων τῶν ὀστέων αἱ ξυμβολαί εἰσιν, ὡς ἐπιπολὺ ἡ κεφαλὴ καὶ ἡ
κοτύλη. ἐφ' ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος, ἔνιαι δὲ τῶν χωρίων γληνοειδέες
εἰσίν. ἀεὶ δὲ ἐμβάλλειν δεῖ πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν εὐθὺς
παραχρῆμα ἔτι θερμῶν ἐόντων. εἰ δὲ μὴ, ὡς τάχιστα. καὶ γὰρ τῷ ἐμβάλλοντι ῥηΐτερον καὶ
θᾶσσον ἐστὶν ἐμβαλεῖν, καὶ τῷ ἀσθενέοντι πολὺ ἀπονωτέρη ἡ ἐμβολὴ, ἢ πρὶν διοιδῆσαι 10
ἐστι. δεῖ δὲ ἀεὶ πάντα τὰ ἄρθρα ὁκόταν μέλλῃς ἐμβάλλειν, προαναμαλάξαι καὶ δια-
κιγκλίσαι, ῥᾷον γὰρ ἐθέλει ἐμβάλλεσθαι. παρὰ δὲ πάσας τὰς τῶν ἄρθρων ἐμβολὰς
ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα, καὶ χαλεπώτατα
ἐμβάλλεσθαι, ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα, καὶ ῥηΐδια. δακτύλων δὲ ἢν ἐκπέσῃ ἄρθρον,
ἤν τε τὸ πρῶτον τῆς χειρὸς, ἤν τε τὸ δεύτερον, ἤν τε τὸ τρίτον, ὁ αὐτὸς καὶ ἴσος τρόπος
τῆς ἐμβολῆς. χαλεπώτερα μὲν ἀεὶ τὰ μέγιστα τῶν ἄρθρων ἐμβάλλειν. ἐκπίπτει δὲ κα-
τὰ τέσσαρας τρόπους, ἢ ἄνω ἢ κάτω, ἢ εἰς τὸ πλάγιον ἑκατέρωθεν, μάλιστα μὲν εἰς τὸ
ἄνω, ἥκιστα δὲ εἰς τὰ πλάγια, ἐν τῷ σφόδρα κινέεσθαι. ἑκατέρωθεν δὲ τῆς χώρης οὗ ἐκβέ- 20
βηκεν, ὥσπερ ἀμβὴ ἐστίν. ἢν μὲν οὖν εἰς τὸ ἄνω ἐκπέσῃ, ἢ ἐς τὸ κάτω, διὰ τὸ λειοτέρην εἶναι
ταύτην τὴν χώρην, ἢ ἐκ τῶν πλαγίων. καὶ ἅμα μικρῆς ἐούσης τῆς ὑπερβάσιος, ἢν με-
ταστῇ τὸ ἄρθρον, ῥηΐδιον ἐστὶν ἐμβάλλειν. τρόπος δὲ τῆς ἐμβολῆς ὅδε. περιελίξας τὸν δά-
κτυλον ἄκρον, ἢ ἤδη δέσματί τινι, ἢ ἄλλῳ τρόπῳ τοιούτῳ τινὶ, ὅπως ὁκόταν κατατείνῃς
ἄκρου λαβόμενος, μὴ ἀπολισθαίνῃ. ὅταν δὲ περιελίξῃς, τὸν μέν τινα διαλαβέσθαι ἄνωθεν
τοῦ καρποῦ τῆς χειρὸς, τὸν δὲ τοῦ κατειλημμένου, ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφο-
τέρους εὖ μάλα, καὶ ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἄρθρον ἐς τὴν χώρην. ἢν δὲ ἐς τὰ πλά- 30
για ἐκπέσῃ, τῆς μὲν κατατάσιος ὁ αὐτὸς τρόπος. ὅταν δὲ ἤδη δοκέῃ σοι ὑπερβεβηκέναι τὴν
γραμμὴν, ἅμα χρὴ κατατείναντας ἀπῶσαι ἐς τὴν χώρην εὐθύς. ἕτερον δέ τινα ἐκ τοῦ
ἑτέρου μέρους τοῦ δακτύλου, φυλάσσειν καὶ ἀντωθέειν, ὅπως μὴ πάλιν ἐκεῖθεν ἀπολισθῇ.
ἐμβάλλουσι δὲ ἐπιτηδείως καὶ αἱ σαῦραι αἱ ἐκ τῶν φοινίκων πλεκόμεναι, ἢν κατατείνῃς
ἔνθεν καὶ ἔνθεν τὸν δάκτυλον λαβόμενος, τῇ μὲν ἑτέρῃ τῆς σαύρης, τῇ δὲ ἑτέρῃ τοῦ καρ-
ποῦ τῆς χειρός. ὁκόταν δὲ ἐμβάλλῃς, ἐπιδεῖν δεῖ ὀθονίοισιν ὡς τάχιστα λεπτοτάτοισι, κε-
κηρωμένοισι κηρωτῇ, μήτε λίην μαλακῇ, μήτε λίην σκληρῇ, ἀλλὰ μετρίως ἐχούσῃ. ἡ μὲν
γὰρ σκληρὴ ἀφέστηκεν ἀπὸ τοῦ δακτύλου, ἡ δὲ ἁπαλὴ καὶ ὑγρὴ, διατήκεται καὶ ἀπόλλυται, 40
θερμαινομένου τοῦ δακτύλου. λύειν δὲ ἄρθρον δακτύλου, τριταῖον ἢ τεταρταῖον. τὸ
δὲ ὅλον, ἢν μὲν φλεγμήνῃ, πυκνότερον λύειν, ἢ δὲ μὴ, ἀραιότερον. κατὰ πάντων
δὲ τῶν ἄρθρων ταῦτα λέγω. καθίσταται δὲ τοῦ δακτύλου τὸ ἄρθρον τεσσαρεσκαιδεκα-
ταῖον. ὁ αὐτὸς δέ ἐστι θεραπείης τρόπος, δακτύλων, χειρός τε καὶ ποδός. παρὰ πάσας
δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς δεῖ ἰσχναίνειν, καὶ λιμαγχονέειν, καὶ ἄχρι ἑβδόμης. καὶ
εἰ μὲν φλεγμαίνοι, πυκνότερον λύειν. ἢν δὲ μὴ, ἀραιότερον. ἡσυχίην δὲ δεῖ ἔχειν ἀεὶ
τὸ πλέον ἄρθρον, καὶ ὡς κάλλιστα ἐσχηματισμένον κέεσθαι. γόνυ δὲ εὐανθέστερον ἀγκῶ-
νος, διὰ τὴν εὐστάλειαν καὶ τὴν εὐφυΐην, διὸ καὶ ἐκπίπτει ῥᾷον. ἐκπίπτει δὲ πλειστά- 50
κις εἴσω, ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἐκ τοῦ συγκεκάμφθαι, ἢ ἐκλακτίσαι
ὀξέως, ἢ συνελίξας ταινίης ὄγκον ἐν τῇ ἰγνύϊ, καὶ θεὶς ἀμφὶ τούτων ἐξαίφνης, εἰς ὄκλασιν
ἀμφιηναι τὸ σῶμα. δύναται δὲ καὶ κατατεινόμενον μετρίως, ὥσπερ ἀγκὼν ἐμπίπτειν
τὰ ὄπισθεν. τὰ δὲ ἔνθα καὶ ἔνθα, ἐκ τοῦ συγκεκάμφθαι, ἢ ἐκλακτίσαι. ἀτὰρ ἐκ κατατά-
σιος μετρίης, ἡ διόρθωσις ἅπασι κοινή. ἢν δὲ μὴ ἐκπέσῃ, τοῖσι μὲν ὄπισθεν ξυγκάμπτειν
οὐ δύ-

οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖσιν ἄλλοισι. πάνυ μινύθει δὲ μηροῦ καὶ κνήμης τοὔμπροσθεν. ἢν δὲ ἐς τὸ ἔσω, βλαισότεροι, μινύθει δὲ τὰ ἔξω. ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ δὲ τὸ παχύτερον ὀστέον ὀχέει, μινύθει δὲ τὰ εἴσω. ἐκ γενεῆς δὲ καὶ ἐν αὐξήσει κατὰ λόγον τὸν πρόσθεν. τὰ δὲ κατὰ τὰ σφυρὰ, κατατάσιος ἰσχυρῆς δέεται, ἢ τῇσι χερσὶν, ἢ ἄλλοισι τοιούτοισι, κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεούσης. κοινὸν δὲ τοῦτο ἅπασι. τὰ δὲ ἐν ποδὶ, ὡς καὶ τὰ ἐν τῇ χειρὶ ὑγιέες. τὰ δὲ τῆς κνήμης, ξυγκοινωνέοντα καὶ ἐκπεσόντα ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταῦτα ἃ καὶ ἐν χειρί. ὁκόσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐγχυμωθῆναι, καὶ νεῦρα ἀμφιθλασθῆναι, ὁκόταν γένηται οἷα τὰ δεινά, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρέχειν. ἐρειώδη μὲν γὰρ τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα, ἔπειτα καὶ οἷσιν ἂν μάλιστα κατεηγεῖσιν, ἢ ὑπὸ τρώματος, ἢ ἐν κνήμῃ, ἢ ἐν μηρῷ, ἢ νεύρων ἀπολυθέντων, ἃ κοινωνεῖ τούτων, ἢ ἐκ κατακλίσιος ἀμελέος ἐμελάνθη πτέρνη, καὶ τούτοισι τὰ παλιγκοτέοντα δὲ ἐκ τῶν τοιούτων ἐστὶν, ὅτε καὶ πρὸς τῷ σφακελισμῷ γίνονται πυρετοὶ ὀξέες, λυγμώδεες, γνώμης ἁπτόμενοι, ταχυθάνατοι, καὶ ἐν φλεβῶν αἱμοῤῥοιέων πελιώσεσιν. σημεῖα δὲ τῶν παλιγκοτησάντων, ἢν τὰ ἐκχυμώματα, καὶ τὰ μελάσματα, καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα, καὶ ὑπέρυθρα, ἤν τε ξὺν σκληρύσμασι πελιδνωθῇ, κίνδυνος μελανθῆναι. ἢν δὲ ὑποπέλια, ἢ καὶ πέλια μάλα, καὶ ἐκκεχυμωμένα, ἢ ὑπόχλωρα καὶ μαλακά, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισιν ἀγαθὰ ἡ ἴησις. ἢν μὲν ἀπύρετος ᾖ, ἐλλέβορον, ἢν δὲ μὴ, μὴ, ἀλλὰ ποτὸν ὀξύγλυκυ εἰ δέοι. ἐπίδεσις δὲ ἄρθρων. ἐπὶ δὲ πάντα μᾶλλον τοῖσι φλάσμασιν, ὀθονίοισι πλέοσι καὶ μαλθακωτέροισι, πίεξις ἧσσον. προσπεριβάλλειν δὲ τὰ πλεῖστα τῇ πτέρνῃ τὸ σχῆμα, ὅπερ ἡ ἐπίδεσις ὡς μὴ ἐς τὴν πτέρνην ἀποπιέζηται, νάρθηξι δὲ μὴ χρέεσθαι. ἧσι δ' ἂν ὁ ποὺς ἢ αὐτὸς, ἢ ξὺν τῇ ἐπιφύσει, ἐκπίπτει δὲ μᾶλλον ἐς τὸ εἴσω. ἢν δὲ μὴ ἐκπέσῃ, λεπτύνεται ἀνὰ χρόνον, τό, τε ἰσχίον καὶ ὁ μηρὸς, καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ δὲ αὐτὴ ὥσπερ καρποῦ, κατάστασις δὲ ἰσχυρή. ἴησις δὲ νόμος ἄρθρων παλιγκοτέει. ἧσσον δὲ καρποῦ, ἢν ἡσυχάσωσι, δίαιτα μείων ἐλιννύουσι. τὰ δὲ ἐκ γενεῆς, ἢ ἐν αὐξήσει, κατὰ λόγον τὸν πρότερον.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΚΑΤ' ΙΗΤΡΕΙΟΝ

ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ.

ΙΑΤΡΙΚΟΝ ἐπέγραψεν αὐτὸ, κατ' ἰητρεῖον. ἄμεινον δὲ ἦν περὶ τῶν κατ' ἰητρεῖον ἐπιγεγράφθαι, καθάπερ ἔνιοι τὸ Διοκλέους ἐπιγράφουσι, καὶ Φιλοτίμου, καὶ Μαντίου. γεγραφότων γὰρ καὶ τούτων τῶν ἀνδρῶν εἰς τὴν αὐτὴν ὑπόθεσιν ἐν ἑκάστῳ βιβλίῳ, ἐν μὲν τοῖς πλείστοις ἡ ἐπιγραφὴ χωρὶς τῆς προθέσεως ἐστὶν, καὶ τοῦ ἄρθρου, κατ' ἰητρεῖον ἁπλῶς ἐπιγεγραμμένων αὐτῶν. ἐν ὀλίγοις δὲ σύν τε τῇ προθέσει καὶ τῷ ἄρθρῳ, περὶ τῶν κατ' ἰητρεῖον. ἀλλὰ τὰ μὲν τούτων βιβλία πλείονα θεωρήματα διδάσκει. τὸ δὲ Ἱπποκράτους μετὰ τὸν κατάλογον ἐξ ὧν ἡ χειρουργία συμπληροῦται, τὸν περὶ τῆς ὑποδέσεως λόγον διέρχεται, ὅπερ πρῶτον ἀξιοῦντος ἀσκεῖσθαι τἀνδρός. καὶ μέντοι καὶ δύναται ἡ ἄσκησις αὐτοῦ γίγνεσθαι, μάλιστα μὲν ἐπὶ ξύλων ἐγγεγλυμμένων εἰς ἀνθρώπων ἰδέαν, εἰ δὲ μὴ, κατά γε τὰ τῶν παιδίων σώματα. ταῦτα μὲν οὖν αὐτὸ τὸ βιβλίον ἠνάγκασεν ἡμᾶς πρὸ τῶν κατὰ μέρος ἐξηγήσεων εἰπεῖν, ἃ οὐκέτι τὸ βιβλίον, ἀλλ' οἱ μεταγράφοντες, ἢ ἑτοίμως εἰς ὅπερ ἂν αὐτοὶ βουληθῶσι διεδέξαντο περὶ τῶν πρεσβυτέρων γραφὰς, ἤδη σοι δείκνυμι. τινὲς μὲν γὰρ καὶ πάνυ παλαιῶν βιβλίων ἂν εὑρεῖν ἐσπούδασαν πρὸ τριακοσίων ἐτῶν γεγραμμένα, τὰ μὲν ἔχοντες, τὰ δὲ ἐν διαφορείοις φλύραις, ὥσπερ τὰ παρ' ἡμῖν ἐν Περγάμῳ. τὰ δ' οὖν πάντα παρὰ τοῖς πρώτοις ἐξηγησαμένοις κατανοῆσαι προὔθεμην, ὅπως ἐκ τῶν πλείστων τε καὶ ἀξιοπιστοτάτων εὕροιμεν τὰς γνησίας γραφὰς, καί μοι τὸ πρᾶγμα κρεῖττον τῆς ἐμῆς ἐλπίδος εὑρέθη. συμφωνοῦντα γὰρ ἅπαντα, ὀλίγου δεῖν εὗρον ἀλλήλοις τά τε συγγράμματα, καὶ τὰ τῶν ἐξηγητῶν ὑπομνήματα, θαυμάζειν συνεπῆλθέ μοι τὴν τόλμαν τῶν χθὲς καὶ πρῴην τὰ ὑπομνήματα γραφόντων, ἢ πάντων τῶν Ἱπποκράτους βιβλίων ἰδίαν ἔκδοσιν πεποιημένων, ἐξ ὧν εἰσὶν καὶ οἱ περὶ Διοσκορίδην καὶ Ἀρτεμίδωρον τὸν ἐπικληθέντα Καπίτωνα, πολλὰ περὶ τὰς ἀρχαίας γραφὰς καινοτομήσαντες. καί μοι μακρὸς ὁ λόγος ἔδοξεν εἶναι τῶν ὑπομνημάτων εἰ πασῶν τῶν γραφῶν μνημονεύοιμεν, βέλτιον εἶναι ὑπέλαβον τὰς παλαιὰς μόνον γράψαι, προστιθεὶς ὀλίγας τινὰς αὐταῖς, ὅσαι βραχὺ μετακινοῦνται. καὶ τούτων καὶ αὐτῶν ἐκείνας μᾶλλον ὅσαι περὶ τοῖς ἔμπροσθεν ἐξη-

γηρασμένοις τὸ βιβλίον ὡμολόγηνται. τέτταρες δέ εἰσιν αὐτῶν, δύο μὲν εἰς ἅπαντα βιβλία Ἱπποκράτους γράφοντες ὑπομνήματα, Ζεῦξις τε καὶ Ἡρακλείδης, οὐκ εἰς πάντα δὲ Βακχεῖος καὶ Ἀσκληπιάδης διοσολόγιστα. καὶ τούτων μὲν,

ἀναλαβόντων δὲ χαίρειν σαφεστέρας ἀρχῆς, διὰ βραχέων ἐροῦμεν, ὡς εἰ καὶ μηδὲν προειρήκαμεν. τὸ κατ' ἰητρεῖον ἐπιγραφόμενον Ἱπποκράτους βιβλίον, ἐν ἀρχῇ μὲν ἔχει κοινὸν ἁπάσης ἀρχῆς προοίμιον, ὡς ὀλίγον ὕστερον δείξω, καὶ διὰ τοῦτο τινὲς εἰκότως ἠξίωσαν αὐτὸ πρῶτον ἁπάντων ἀναγινώσκεσθαι παραπλησίαν, ἐπαγγελλόμενοι διδασκαλίαν ἣν ὕστερον ἐποιήσαντο τινὲς ἐν ταῖς ὑπ' αὐτῶν ἐπιγραφομέναις εἰσαγωγαῖς, ἐφεξῆς δὲ τῷ κοινῷ προοιμίῳ περὶ τῶν κατὰ τὸ ἰατρεῖον ἐνεργεῖσθαι δυναμένων, διδάσκει τὰ χρησιμώτατα τοῖς ἀρχομένοις μανθάνειν τὴν ἰατρικὴν τέχνην. ὅτι δ' οὕτω ταῦτα ἔχει, φανεῖταί σοι προσέχοντα τὸν νοῦν ἀκριβῶς ταῖς ἐξηγήσεσι τῶν ῥήσεων αὐτῶν.

Ἢ ὅμοια ἢ ἀνόμοια ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥᾴστων, ἀπὸ τῶν πάντη πάντως γιγνωσκομένων.

Εἴτε τὸ ὑγιαίνειν, εἴτε τὴν ὑγίειαν, εἴτε ἄλλο τι τοιοῦτον τῆς ἰατρικῆς τέχνης τέλος εἶναί τις φαίη, τοῦτο μὲν αὐτὸ δι' ἑαυτοῦ προσδιάζει τοῖς μετιοῦσι τὴν τέχνην, καὶ δῆλον ὅτι θεωρία τίς ἐστιν ἣν μαθεῖν χρὴ τὸν μέλλοντα ἐπανορθοῦσθαι τὴν κατὰ φύσιν ἡμῶν, εἴτε διάθεσιν, εἴτε διοίκησιν, εἴτε κατασκευὴν, εἴτι ἄλλο καλεῖν ἐθέλοι τις. οὐ δι' ἑαυτὰ δὲ τὰ ἄλλα πάντα τὰ κατὰ τὴν τέχνην ἢ μανθάνομεν, ἢ διδάσκομεν, ἢ ὅλως ἀκούομεν, ἀλλ' ὅτι τῷ τέλει χρήσιμον ἕκαστον αὐτῶν γίγνεται, οἷον εὐθέως τὸ διαγνωστικὸν μέρος τῆς τέχνης, ὃ καλοῦσιν οἱ νεώτεροι σημειωτικὸν, ἀναγκαῖον ἐστὶν ἠσκεῖσθαι πρότερον τοῦ θεραπευτικοῦ, τοῖς μέλλουσι καλῶς ἰατρεύειν, ἕνεκα τοῦ τὰς διαφορὰς τῶν νοσημάτων ἐπὶ τῶν καμνόντων ἀκριβῶς γνωρίζειν, ἐπειδὰν ἔχωσι τὸ παραπλήσιον. οὐ διοίσει δ' ἐν τῷ μέλλοντι περαίνεσθαι λόγῳ τὴν αὐτικὰ μὲν τὴν κατὰ φύσιν διοικήσει τοῦ σώματος ἡμῶν, διάθεσιν ὀνομάζειν ἀμφοτέραις ταῖς προσηγορίαις, ὥσπερ γε καὶ δι' ἔθους ἐστὶ πᾶσι τοῖς Ἕλλησι, καί ποτε μὲν νόσημα καλοῦσιν ὅλον τοῦτο τὸ γένος, ἔστι δ' ὅτε πάθος. ὁ τοίνυν γενικώτατος αὐτοῦ σκοπὸς νῦν διδάσκεται, καθάπερ τοῦ θεραπευτικοῦ μέρους τῆς τέχνης. ὡς γὰρ ἐπ' ἐκείνου τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, ἅτε κοινὸς ἁπάσης θεραπείας ὑπάρχει σκοπὸς, οὕτως ἐνταῦθα τοῦ διαγνωστικοῦ μέρους τῆς τέχνης ὁ κοινότατος σκοπός ἐστι διαγιγνώσκειν δύνασθαι, κατά τι μὲν ὅμοια τὰ περὶ τὸ σῶμα τοῦ κάμνοντος ἐστὶ τῶν ὑγιαινόντων ὡς μάλιστα, καθάπερ αὐτὸς Ἱπποκράτης ἐν προγνωστικῷ δεδήλωκεν, εἰ αὐτὸς ἑωυτῷ τις ὅμοιός ἐστι. κατά τι κράτιστον σκοπεῖσθαι τὸ αὐτὸ, τοῦτο κἂν τῷ περὶ ἄρθρων ἐδίδαξεν, ἔνθα παραβάλλειν ἀξιοῖ τῷ κατὰ φύσιν ἔχοντι μέρει τοῦ σώματος τὸ πεπονθός. οὐ γὰρ ἁπλῶς εἶπεν, οὐδὲ ἐκεῖ τὴν παραβολὴν εἶναι χρὴ, ἀλλὰ τοῦ πάσχοντος ἀνθρώπου τὰ δεξιὰ τοῖς ἀριστεροῖς παραβάλλειν ἐκέλευσε, μήτ' ἀλλότρια ἄρθρα καθορέοντα, τουτέστι μὴ τὰ τῶν ἄλλων ἀνθρώπων. αὐτὸ δὴ τοῦτο καὶ νῦν ἀξιοῖ σε προσέχειν εἰπὼν, ἢ ὅμοια, ἢ ἀνόμοια ἐξ ἀρχῆς, ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥᾳστέρων, ὡς εἰ καὶ οὕτως εἶπε. τὰ τῶν καμνόντων σώματα προσήκει διαγιγνώσκειν εὐθὺς ἐξ ἀρχῆς, κατά τι μὲν ὅμοια τοῖς τῶν ὑγιαινόντων ἐστὶ, κατά τι δὲ ἀνόμοια. τοῦτο γὰρ ποιοῦντες ἀπὸ τῶν μεγίστων μὲν τῇ δυνάμει, ῥᾴστων δὲ γνωσθῆναι τὰς σημειώσεις τῶν παθῶν ποιησόμεθα. χρὴ γὰρ γιγνώσκειν ἡμᾶς ὡς οὐκ ἄλλα μὲν ἐστὶ μέγιστα, ῥᾷστα δὲ ἄλλα. τοῖς γὰρ αὐτοῖς σημείοις ὑπάρχει, μεγίστοις μὲν εἶναι τῇ δυνάμει, εἰς διάγνωσιν δὲ ῥᾴστοις, ὡς τοῖς ἐν τῷ προγνωστικῷ κατὰ τὴν ἀρχὴν εὐθὺς γεγραμμένοις ἐν τῇδε τῇ ῥήσει, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες, ὅσα τε τούτων ἐφεξῆς εἴρηται. ταῦτα γὰρ ὅτι τὴν μεγίστην ἔχει δύναμιν εἰς πρόγνωσιν, οὐδεὶς ἀγνοεῖ τῶν κατὰ τὰ μέτρια τοῖς ἔργοις τῆς τέχνης ὡμιληκότων. ὅτι τε τὴν διάγνωσιν ἔχει ῥᾳστην, ἴσασι τοῦτο καὶ οἱ τῆς τέχνης ἰδιῶται πάντες. οὐδὲν γὰρ ἄλλο πρότερον μέρος τοῦ σώματος εὐθὺς εἰσελθών τις ἐπὶ τὸν ἄρρωστον ὁρᾷ τοῦ προσώπου. ἑαυτῷ μὲν οὖν ὁ κάμνων παραβαλλόμενος, ὡς ἐκέλευσεν, ἀσφαλεστέραν τε ἅμα τὴν διάγνωσιν ἴσχει, καὶ οὕτως ἀπὸ τῶν μεγίστων τε ἅμα καὶ ῥᾴστων ἀρχόμενος, ἤδη τὸ τῆς τέχνης ἐξετάζοιτο. τάχα δ' ἄν ποτε καὶ σφαλείη τις ἐπὶ τῶν φύσει μὲν ἐχόντων ὀξεῖαν τὴν ῥῖνα, τοὺς δ' ὀφθαλμοὺς κοίλους, καὶ τοὺς κροτάφους συμπεπτωκότας, ἀλλ' ἐὰν εὕρωμεν ὅμοιον τῷ τῶν πολλῶν ἀνθρώπων τὸ τοῦ κάμνοντος σῶμα, σαφὴς ἡ διάγνωσις ἔσται τοῦ μηδεμίαν νόσον ἐπὶ τούτῳ μοχθηρὰν ἐνυπάρχειν, ἢ διάθεσιν. ἐὰν δὲ τὸ γεγραμμένον ὑφ' Ἱπποκράτους ἐπισκεψόμεθα, τἆλλα τὰ κατὰ τὸ πᾶν σῶμα σημεῖα καὶ φαίνηται σωτήρια, τοιοῦτον τῇ φύσει τὸ πρόσωπον τοῦ κάμνοντος ἐλπίσαντες, ἀκριβεστέρας διαγνώσεως εἰρησόμεθα τῶν ἐπισταμένων αὐτὸν ἔμπροσθεν. ὁμολογησάντων δὲ, βεβαιοτέραν τὴν πρόγνωσιν ἕξομεν, οὐ μὴν ὁμοίως γε ἐπιστημονικὴν, ὡς εἰ καὶ γιγνώσκοντες αὐτοὶ τύχωμεν τὸν κάμνοντα, καὶ μᾶλλόν γέ τοι συμφύσαντες αὐτῷ. τὸ γὰρ ἑωρακέναι πολλάκις ὑγιαίνοντα, τὸν νῦν παρὰ φύσιν ἔχοντα, διαγνωστικωτέρους ἡμᾶς ἐργάζεται τοῦ ποσοῦ τῆς διαφορᾶς τῶν κατ' αὐτὸ σημείων. ἔστω γὰρ ἀκοῦσαι τε ἡμᾶς καὶ τεκμηραμένους τὸν κάμνοντα, τὴν ῥῖνα μὲν ὀξεῖαν ἔχειν, τοὺς δὲ ὀφθαλμοὺς κοίλους, ὁ συνήθης οὕτω γινώσκει μόνος. εἰ δέ γε καὶ τοῦτο χρεία τοῖς ἰατροῖς, οὐ γὰρ μόνον ὅτι παρὰ φύσιν ἔχει τὸ σῶμα χρήσιμον ἐστὶν ἡμῖν γινώσκειν, ἀλλὰ καὶ τὸ πόσῳ μὲν ἡ ῥὶς ὀξυτέρα τῆς κατὰ φύσιν ἐστίν, πόσῳ δὲ οἱ ὀφθαλμοὶ κοιλότεροι, καὶ οἱ κρόταφοι συμπεπτωκότες, ἕκαστόν τε τῶν ἄλλων, ὡς εἶπεν, οὐχ ἁπλῶς δεινόν ἐστι τὸ ἐναντιώτατον τοῦ ὁμοίου δεινότατον. ἐναντιώτατον δηλονότι τὸ πλεῖστον ἐκ τοῦ κατὰ φύσιν κεχωρηκὸς, ὡς οὖν τοῦτο δεινότατον εἶπεν, οὐχ ἁπλῶς δεινόν ἐστι τὸ ἐναντιώτατον. εἰς ὅσον ἄν ἧττόν τε καὶ μᾶλλον δείκνυται. τὰ μὲν οὖν ὑπὸ τοῦ προσώπου φαινόμενα σημεῖα, καὶ ῥᾷστα γνωσθήσεται, καὶ μεγίστην ἔχοντα δύναμιν ἐστὶν, ἅτε κατὰ τὴν ἀρχὴν εἶπεν εὐθέως, ἅτε περὶ τοὺς ὀφθαλμοὺς ἐξῆς ἔγραψεν. ἃ δὲ οὐκ ὀλίγα τῶν κατὰ τὸ προγνωστικὸν εἰρημένων ὑπ' αὐτοῦ, τὰ μὲν οὐ μέγιστα, τὰ δὲ οὐ ῥᾷστα, τὰ δὲ συναμφότερον ἔχοντα, μήτε μέγιστα εἶναι, μήτε ῥᾷστα φανεῖταί σοι σκοποῦντι, περὶ ὧν ἐπὶ πλέον μὲν ἐν τῇ κατ' ἐκεῖνο τὸ βιβλίον ἐξηγήσει λέλεκται. ῥηθήσεται δὲ νῦν ὀλίγα παραδείγματος ἕνεκα. τὸ γὰρ ὕπτιον κεῖσθαι καὶ τὰς χεῖρας ἔχειν, καὶ τὰ σκέλη παραπλησίως κείμενα τοῖς παρέτοις, οὐ κατὰ διάθεσιν μοχθηρὰν, ἀλλὰ διὰ μαλακίαν ἐγγίγνεται τοῦ κάμνοντος, ἢ τρυφὴν ὑπερβάλλουσαν, ὥστε εἰ μὴ τὸ ἦθος ἐδείημεν αὐτοῦ, σφαλησόμεθα. γιγνώσκειν δὲ ὧν ἐπισκεπτόμεθα πάντων τὰ ἤθη τῶν ἀδυνάτων ἐστὶ, καὶ διὰ τοῦτο ἐπ' ὀλίγον μόλις αὐτὰ διερωτητέον, εὑρίσκομεν

σκομεν, ἐνίοτε μὲν οὐ μέγα δηλοῦντα, καθάπερ ἐπὶ τῆς κατακλίσεως, ἐνίοτε δὲ μέγιστα, ὡς ἐπὶ τῶν κοσμίων, ἤτοι τὸ βλέμμα θρασύτερον καὶ τὴν φωνὴν ἐχόντων. κατὰ τὰ αὐτὰ δὲ κἀπὶ τῆς ψοφώσης φωνῆς, ἢ γὰρ ὀδύνην, ἢ παραφροσύνην σημαίνει, τοῖς αἰδουμένοις πρότερον ἀκουόντων τινῶν. εἰ δὲ οὐδὲν φροντίζοιεν τῶν παρόντων, οὐδενὸς ἔσται σημεῖον, ὥστε κἀνταῦθα τὸ ἦθος ἐπίστασθαι χρὴ τοῦ κάμνοντος, ὥσπερ τὸ μὲν ἔθος τῶν ἐπὶ τὴν γαστέρα κοιμωμένων. τὴν δὲ φύσιν, ὅσοι πρίσσι κοιμώμενοι τοὺς ὀδόντας, ἢ τοῖς ὀφθαλμοῖς οὐκ ἀκριβῶς μύουσιν. τὰ γοῦν τοιαῦτα μετὰ τοῦ προεγνωκέναι τὸ ἦθος, ἢ τὴν φύσιν τοῦ κάμνοντος, ἢ παρά τινος τῶν ἐπισταμένων αὐτοὺς πυθέσθαι, τὴν διάγνωσιν ἴσχει. καὶ ποτὲ μὲν ἀγαθά, ποτὲ δὲ φαῦλα σημεῖα, τὰ μὲν μέλαν οὖρον, ἢ πτύσμα μέλαν, ἢ χολὴν μέλαιναν νοσημάτων ἀρχομένων φανῆναι, καὶ δύναμιν ἔχει μεγίστην, καὶ διάγνωσιν ῥᾳστην, ὥσπερ γε πάλιν ἐξ ὑπεναντίου. τοῖς δὲ μεγίστην δύναμιν εἰς σωτηρίαν, ἐν τοῖς ὀξέσι νοσήμασιν εὔπνοια, καὶ οὖρον ὑπόστασιν ἔχον λευκὴν καὶ λείαν, καὶ ὁμαλήν. ταῦτα μὲν οὖν ἐπεὶ τῶν περὶ διάγνωσιν αὐτάρκως εἴρηται, παραδείγματα ἐσόμενα, τῶν τε μεγάλην ἐχόντων δύναμιν, καὶ ῥᾷστων γνωσθῆναι, καὶ τῶν γιγνωσκομένων ἡμῖν πάντη γε καὶ πάντως, ἐάν τε διὰ πείρας εἴη, ἐάν τε διὰ λόγου σκοπούμενα. οὐ μὴν οὔτε δύναμιν ἐχόντων τηλικαύτην, οὔτε διάγνωσιν ἑτοίμην, ἀλλὰ μετὰ τοῦ προγινώσκειν συμβαίνεσθαι τὰ τῶν νοσούντων ἔθη τε καὶ ἤθη καὶ φύσεις, ἐφεξῆς ἐπὶ τῆς κατὰ χειρουργίαν ὁ λόγος ἔσται μοι προχειρισαμένῳ τι παράδειγμα σαφηνείας ἕνεκεν, ὃ κατὰ τὴν ἀρχὴν εὐθέως γέγραπται τοῦ περὶ ἄρθρων βιβλίου, διδάσκοντος αὐτοῦ περὶ τῶν βραχίονος ἐξαρθρημάτων. ἐπὶ τούτου γὰρ τὸ μέγιστον καὶ ῥᾷστόν ἐστιν εἰς διάγνωσιν, εἰ στρογγύλος καὶ μικρὸς ἐν τῇ μασχάλῃ φαίνεται. οὐ γὰρ ἐνδέχεται γενέσθαι χωρὶς τοῦ τὴν κεφαλὴν τοῦ βραχίονος ἐκπεσοῦσαν, τῆς διαρθρώσεως εἰς τὸ τῆς μασχάλης ἐνεχθῆναι χωρίον. ἡ δὲ κατὰ τὴν ἐπωμίδα κοιλότης, κοινόν ἐστι σημεῖον, ἐκπτώσεως μὲν βραχίονος, ἀποσπάσματος δὲ καὶ ἀκρωμίου εἰς ὅσον ὕψος ἀνήκει, κἄπειτα παραβαλεῖν αὐτὸ τὸ πεπονθός, εἶθ᾽ ὅταν φαίνηται τὴν ἑαυτοῦ φύσιν μὴ ἔχον, ἐκπεπτωκέναι λογίζεσθαι τὸν βραχίονα. τοῦτ᾽ οὖν τὸ σημεῖον οὔ τινι τῶν κατὰ τὴν μασχάλην δύναμιν εὐθὺς ἑτοίμην τὴν διάγνωσιν ἔχει, ἔτι δὲ μᾶλλον ἀπολείπεται τῇ δυνάμει τὸ κατὰ τὰς κινήσεις. ἀνατείνειν γὰρ οὐ δύναται τὸν βραχίονα, καὶ βλαβέντων, καὶ παθόντων, καὶ φλεγμαινόντων τῶν ἐνταῦθα μυῶν, ὥσπερ γε καὶ ὅταν ἴνες τινὲς αὐτῶν ἀποσπασθεῖσαι διὰ βάθους. ἐγὼ δὲ οἶδά ποτε καὶ τοιοῦτόν τι συμβάν, ἀποσπάσματος ἐν ἀκρωμίῳ προϋπάρχοντος, εἶτα ὕστερον ἐξαρθρήσαντος τοῦ ἐπὶ τὴν ἑτέραν χεῖρα βραχίονος, ἐν παλαίστρᾳ δὲ πρότερον ἐγένετο. θεασάμενος ἰατρός, ὁμοίως ἀμφοτέρας τῶν χειρῶν τὰς ἐπωμίδας ἀπεφήνατο προπετῶς, πληγήν μέν τινα γεγονέναι κατὰ τὸ χωρίον ἔφη, καὶ τὸν ἄνθρωπον εἰκότως ὀδυνᾶσθαι, τὸ δὲ ἄρθρον ἀπαθὲς εἶναι. συνεβούλευσεν οὖν εἰς τὸ βαλανεῖον ἀπελθόντα τὴν ταχίστην, ἐλαίῳ πολλῷ χρώμενον διατρῖψαι τῷ ἐπὶ τὴν πύελον ὕδατι. καὶ ἐπειδὰν ἐξέλθῃ, σκεπάσας τὸ πεπληγὸς μόριον ἐρίοις διαβρόχοις ἐξ ἐλαίου μετὰ βραχέος κηροῦ, κατακλίνεσθαί τε καὶ ἡσυχίαν ἄγειν. γενομένων τούτων, ὁ μὲν ἄνθρωπος ὠδύνητο δι᾽ ὅλης νυκτός, ἕωθεν ἐκάλεσεν ἐκεῖνόν τε τὸν ἰατρὸν αὐτόν. καί τινας ἄλλους διὰ τῶν ἀλόγῳ τριβῇ τὴν τέχνην μεταχειριζόντων, ὁ κατὰ τὴν προτεραίαν σφαλείς, ὑπὸ προπετείας ἀπερισκέπτως ἀποφηνάμενος, ὡς κατὰ φύσιν ἔχειν τὸ ἄρθρον. ἀφικνούμενος οὖν ἐπὶ τὸν κάμνοντα, καὶ θεασάμενος αὐτοῦ δύο φαυλοτέρους ἰατρούς, ἠγανάκτησε μὲν ὡς ἀτιζόμενος, οὐκ ἐμφήνας δὲ αὐτὸ πρότερον τῷ κελεύσαντι προπετέστερον ἔτι, διὰ τὸ καὶ θυμοῦσθαι κατὰ φύσιν ἔχειν, ἀπεφήνατο τὴν διάρθρωσιν ὁμοίας εὑρίσκων ἀμφοτέρας τὰς ἐπωμίδας, ὡς ἂν καὶ φλεγμονή τις προπεφυκυῖα τοῦ πληγέντος ὤμου. καταντλησάμενοι οὖν ὕδατι πολλῷ θερμῷ τὸν κάμνοντα, παραχεόμενοι συνεχῶς ἐλαίου δαψιλῶς, ἐκέλευσεν ἐρίοις αὖθις ἐνειληχθέντα παραπλησίως ἡσυχάζειν. ὡς δὲ τούτων γινομένων, οὐδὲν ὤνητο, τῇ τρίτῃ τῶν ἡμερῶν ἐκλήθην κἀγώ, καὶ θεασάμενος τὸν ἀνώδυνον ὦμον κοιλοτέραν ἔχοντα τὴν ἐπωμίδα τοῦ πεπονθότος, ὡς ἂν αὐξομένης τῆς φλεγμονῆς, ἐσκόπουν ἐπιμελῶς τοῦ δοκοῦντα κατὰ φύσιν ἔχειν ὦμον. ἐφαίνετο γάρ μοι τὸ κατ᾽ αὐτὸν ἀκρώμιον ἄνω κεχωρηκέναι. κινηθεὶς οὖν ἐκ τούτου τε, καὶ τοῦ μηδὲν ἐκ τῆς προσηκούσης θεραπείας ὠφελεῖσθαι τὸν ἄνθρωπον, εἰς τὴν τοῦ φλεγμαίνοντος ὤμου μασχάλην ἐνθεὶς τοὺς δακτύλους, εὗρον ἐν αὐτῇ σχεδὸν τὴν κεφαλὴν τοῦ βραχίονος. ἀλλ᾽ ὅμως ἀσφαλεστέρας ἕνεκα διαγνώσεως, ἐπεσκεψάμην καὶ τὴν τοῦ ἑτέρου ὤμου μασχάλην. ὡς δὲ οὐδεὶς ὄγκος ἦν ἐν αὐτῇ τοιοῦτος, ἐξηρθρηκέναι μὲν τὸν βραχίονα ἔφην, τοὺς ἰατροὺς δὲ ἀγνοῆσαι, διὰ τὸ μὴ γνῶναι κατὰ τὴν ἑτέραν χεῖρα τὸ ἀκρώμιον ἀποσπασάμενον, εἶπειτα παραβάλλειν ὡς κατὰ φύσιν ἔχοντα τὸν ὦμον πεπληγμένον. μαθεῖν δὲ ἡμῖν ἐστιν ἔφην πυνθανομένοις τοῦ πάσχοντος, εἰ ἐπλήγη ποτὲ τὸ ἀκρώμιον τῆς ἑτέρας χειρός, ὁ δὲ ἐν ἀρχῇ μὲν οὐκ εἶχε λέγειν. ἀναμνησθεὶς δὲ ὕστερον, ὡμολόγησεν ἐξ ὀχήματος ποτὲ αὐτὸν ἐκπεσόντα, πεπλῆχθαί τε καὶ ῥᾳδίως ἄπονον γεγονέναι τρισὶν ἢ τέτρασιν ἡμέραις, ἔριον μετ᾽ ἐλαίου ἐπὶ τῆς πληγῆς ἐπιθέντα. τίνος οὖν ἕνεκα ταῦτα εἴρηταί μοι; τοῦ δεῖξαι πόσον ἀξιώματι διενηνόχεν ἀλλήλων τὰ σημεῖα, δι᾽ ὧν ἡ γνῶσις γίγνεται τῶν κατὰ χεῖρα παθῶν. τὸ μὲν γὰρ μὴ δύνασθαι τὴν πεπονθυῖαν ἀνατεῖναι χεῖρα, κοινὰ καὶ ἄλλων πλειόνων εἰσίν. καὶ γὰρ οἱ τείνοντες ἐνταῦθα μυῶν, καὶ αὐτοὶ πολλάκις οἱ μύες σκιρρούμενοι καὶ φλεγμαίνοντες, ἔτι δὲ βλαβέντες, ἢ βύθιον ῥῆγμα ἔχοντες, ἢ καί τινων ἰνῶν ἀπορραγεισῶν ἐν αὐτοῖς, ἀδύνατοι γίγνονται πρὸς τὸ μετέωρον ἀναφέρειν τὴν χεῖρα. δι᾽ αὐτὰ δὲ ταῦτα καὶ ὀδυνῶνται κατὰ τὰς κινήσεις, οὐ μόνον ταύτας, ἀλλὰ καὶ τὰς ἄλλας τῆς χειρός. ἡ δὲ κατὰ τὴν ἐπωμίδα κοιλότης, κοινὴ καὶ αὐτὴ πρὸς ἐπίσπασμα. ὁ δὲ ἐν μασχάλῃ παρὰ φύσιν ὄγκος σκληρὸς καὶ περιφερής, ἱκανὸν σημεῖον ἐκπεπτωκότος βραχίονος, ὥστε μόνῳ γε αὐτῷ πιστεύσας οὐκ ἂν ἁμάρτοι. καὶ μέντοι καὶ ῥᾴστην ἔχει τὴν διάγνωσιν ἐνταῦθα, καὶ χρὴ μόνον εἰς τὴν μασχάλην τοὺς δακτύλους ψαῦσαι τῆς ἐξοχῆς, καὶ φανεῖται σαφῶς ἡ κεφαλὴ τοῦ βραχίονος ἐνταῦθα. τὰ δὲ τῶν μυῶν πάθη, διὰ τὸ μήτ᾽ ἀνατείνειν δύνασθαι τὸν βραχίονα, μήτε ἀνωδύνως κινεῖν, γεγυμνασμένου τε δεῖται λογισμοῦ, καὶ πολλῆς περισκέψεως χρῄζει, συνεξέρχεται γοῦν καὶ τούτων ἡ γνῶσις τοῖς μεγίστην τε δύναμιν ἔχουσι, καὶ ῥᾷστοις γνωσθῆναι, ἐάν τ᾽ ἐμπειρικῶς, ἐάν τε λογικῶς μεταχειρίζεταί τις τέχνην. ὅ, τε γὰρ ἐμπειρικὸς ἐπισκοπούμενος τὰς ὑπ᾽ αὐτῶν καλουμένας συνδρομάς, αἵ τινές εἰσι συμπτωμάτων ἀθροίσματα, ὅταν πολλάκις θεάσηται τὰ αὐτὰ καθ᾽ ἕνα καιρόν, ὁμοίως πάντα μνημονεύει, κἄπειτα δὴ ἐκ τῆς τηρήσεως ταύτης πολλῶν συνδρομῶν ἐμπειρίαν ἔχει, τηνικαῦτα δ᾽ αἰσθάνεται. τίνα μὲν ἐν πολλαῖς συν-

δρομαῖς ἐθεάσατο συμπτώματα, τίνα δὲ ἐν μιᾷ μόνῃ, καὶ οὕτως εἰς ἔννοιαν ἔρχεται τῶν κοινῶν τε καὶ ἰδίων, ᾧ πάλιν ἕπεται γνῶσις τῆς περὶ δύναμιν διαφορᾶς τῶν σημείων. ὃ μὲν γὰρ ἐν πολλαῖς ὤφθη συνδρομαῖς, ἢ πάλιν πολὺ λείπεται τῶν ἐν μιᾷ μόνῃ φανέντων, τὰ δὲ ἐν ὀλίγαις, ἔλαττον τούτων τὰ περὶ δύο μόνας. ὅμως οὖν ὥσπερ καὶ τῶν ἰδίων ἐγένετο τηρητικός τε καὶ μνημονευτικὸς ὁ ἐμπειρικὸς ἰατρὸς, οὕτω καὶ τῶν κοινῶν. καὶ γὰρ ταῦτα πάντῃ τε καὶ πάντως ἅμα τοῖς ἰδίοις ἐτήρησεν, ὅσα μὲν ἐκείνοις γινόμενα, πολὺ δὲ μᾶλλόν τε καὶ θᾶττον ὁ τῷ λόγῳ τῶν σημείων ἑκάστου πάθους εὕρεσιν ποιησάμενος, ἐν ᾧ τά τε ἴδια καὶ τὰ κοινὰ, μὴ ὅτι χρόνον πολὺν ἀναμείνας ὥσπερ ὁ ἐμπειρικὸς, ἀλλὰ μηδεμίαν ἡμέραν ἢ ὥραν. νοήσας γὰρ ἐκπεπτωκότα τῆς ἰδίας βραχίονα χώρας, καὶ πρὸς τὴν μασχάλην ἐνηνεγμένον, πρῶτον μὲν ὡς ἐνταῦθα παρὰ φύσιν ὄγκος φανεῖται συνεπινοεῖ. δεύτερον δὲ ὅτι κοῖλος ὁ κατὰ τὴν ἐπωμίδα τόπος ἔσται, τῆς πρότερον ἐν αὐτῷ κεφαλῆς τοῦ βραχίονος ἐστερημένος, εἰς τὸ περὶ τὴν μασχάλην χωρίον μεθεστηκυίας. πρὸς τούτοις δὲ καὶ ὡς ὁ τῆς ὠμοπλάτης αὐχὴν, ὃς ἐπικείμενος τῷ βραχίονι ἀνατείνεται περὶ τὴν χεῖρα κώλυον, καὶ ὡς ὀδυνῶνται σφοδρῶς οἱ μύες ἰσχυρῶς τεινόμενοι, κινεῖν οὕτως τὸν βραχίονα προαιρούμενοι. ὡσαύτως δὲ καὶ ὅτι παρὰ τὰς πλευρὰς ἐπιχειροῦσι, τὸ πεπονθὸς κῶλον ἀδυνατεῖν συμβήσεται, ὥστε καὶ οὕτως οἴσεται πάντῃ τε καὶ πάντως, οὐ μόνον τὰς μεγίστας ἔχοντα δυνάμεις, ἀλλὰ καὶ τὰ ἄλλα. διὰ μιᾶς γὰρ ὁδοῦ πάντα εὑρίσκεται, διὰ τὰς ἑτέρας ἀγνωσίας τοῖς μὴ ῥᾴστοις εὑρίσκομεν, ἀλλὰ κατ' ἔνδειξιν. ἡ γὰρ ἐν τῇ μασχάλῃ κεφαλὴ τοῦ βραχίονος, ἑτοιμοτάτην ἔχει τὴν δύναμιν, ἡ δὲ τῶν μυῶν διάθεσις, ἐπισκέψεως πλέονος δεομένη. ἀλλ' ὅμως καὶ αὕτη κατ' ἀμφότερα λειπομένη, τῷ τε τῆς διαγνώσεως ῥᾴστῳ, καὶ τῇ δυνάμει τοῦ περὶ τὴν μασχάλην ὄγκου, διὰ τῆς αὐτῆς θεωρίας τοῖς τεχνικοῖς ἰατροῖς εἰς γνῶσιν ἔρχεται. εἰκότως οὖν Ἱπποκράτης ἐκέλευσε τὰς διαγνώσεις τῶν παθῶν ἃς καὶ σημειώσεις ὀνομάζουσιν οἱ νεώτεροι, κατὰ τὴν τοῦ ὁμοίου καὶ ἀνομοίου θεωρίαν ποιεῖσθαι πρὸ τῶν ἄλλων τῆς τέχνης ἔργων, τουτέστι τῶν περὶ πρόγνωσίν τε καὶ θεραπείαν. εἰκότως δὲ καὶ διὰ τῶν μεγίστων τε τῇ δυνάμει, καὶ ῥᾴστων τῇ διαγνώσει, καὶ πρὸς τούτοις ἔτι τρίτον τὸ, πάντῃ μὲν καὶ πάντως τούτοις γιγνωσκομένων, ἀπολειπομένων δὲ ἀξιώματί τε καὶ τῷ τῆς διαγνώσεως ἑτοίμῳ. προειρηκὼς οὖν διὰ τούτων ἀφ' ὧν χρὴ τὰς διαγνώσεις τῶν παθῶν ποιεῖσθαι, τουτέστιν ὅτι διὰ τῶν ὁμοίων τε καὶ ἀνομοίων τοῖς κατὰ φύσιν ἔχουσιν ὁποῖά γε ταῦτα ὑπάρχει, μεταβαίνει περὶ τὴν ἑξῆς ῥῆσιν ἤδη τὴν διδασκαλίαν αὐτῶν ὀνόμασι λέγων.

Ἃ καὶ ἰδεῖν καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἐστί.

Τὸ διαγνωστικὸν τῶν παθῶν μέρος τῆς τέχνης πάντων πρῶτον ἀσκεῖν ἀξιώσας, ἐκ τῶν ὁμοίως τε καὶ ἀνομοίως ἐχόντων περὶ τὸ σῶμα τοῖς κάμνουσι, ὡς πρὸς τοὺς ὑγιαίνοντας, καὶ ὡς τὰ μέν ἐστι καὶ μέγιστα καὶ ῥᾷστα. τὰ δὲ σὺν αὐτοῖς ἐξ ἀνάγκης γιγνώσκεται, νῦν ἤδη τίνα ταῦτά ἐστι, καθάπερ ἔφην, διδάσκει λέγων, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἐστί. ἰδεῖν μὲν δηλονότι τὰ ὁρατὰ, θιγεῖν δὲ, τῶν ἁπτῶν, ἀκοῦσαι δὲ, τῶν ἀκουστῶν. τὸ μὲν οὖν περὶ τὸ πρόσωπον, ἐν ἀρχῇ τοῦ προγνωστικοῦ γεγραμμένον ἐστὶν ἰδεῖν. ῥῖνα μὲν ὀξεῖαν, ὀφθαλμοὺς κοίλους, καὶ κροτάφους συμπεπτωκότας. θιγεῖν δὲ τῶν ὤτων ψυχρῶν, ἰδεῖν δὲ ἅμα καὶ θιγεῖν, τοῦ κατὰ πρόσωπον δέρματος, σκληροῦ γὰρ καὶ καρφαλέου, καὶ περιτεταμένου. ἀκοῦσαι δὲ τῶν ἐν τοῖς ἐφεξῆς τοῦ βιβλίου εἰρημένων πταρμοῦ, καὶ βηχὸς, καὶ φύσης, καὶ ψόφου, ἢ φθεγγομένου τε καὶ παρὰ φύσιν τοῦ κάμνοντος, ἤτοι κατὰ παραφροσύνην, ἢ κλαγγώδη, ἢ βραγχώδη, ἢ τοιοῦτόν τι πάθος ἐχούσῃ τῇ φωνῇ. ἐν δὲ τοῖς κατὰ χειρουργίαν, ἰδεῖν μέν ἐστι τὰ μελαινόμενα, τὰ ἐρυθραινόμενα, τὰ καθ' ὁντινοῦν τρόπον ἐξαλλάττοντα τὴν κατὰ φύσιν χροιὰν, ἢ φυλάττοντα, καὶ πρὸς τούτοις ἔτι καθάπερ ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου, κοιλότητα μὲν ἐπωμίδος, ἀκρωμίου δὲ ἀνάτασιν ἰδεῖν ἐστί. θιγεῖν δὲ τῆς ἐν μασχάλῃ κεφαλῆς, ἀκοῦσαι δὲ τῶν γιγνομένων ψόφων ἐν τῷ κάμνοντος σώματι, καθάπερ ἤδη θώρακος συντετρημμένου, πνεύματος ἐκφυσωμένου πρὸς τὸ τραῦμα.

Ἃ καὶ τῇ ὄψει, καὶ τῇ ἁφῇ, καὶ τῇ ἀκοῇ, καὶ τῇ ῥινὶ, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἐστὶν αἰσθέσθαι.

Τῶν αἰσθήσεων ἁπασῶν τὴν γνώμην ἐφεξῆς ἔταξεν, ὅπερ ἐστὶ τὴν διάνοιαν, ἥν τε καὶ νοῦν, καὶ φρένα κοινῶς οἱ ἄνθρωποι καλοῦσιν. ἐπειδὴ καὶ τῶν κατὰ φωνήν ἐστί τις λόγος, ἀφορίζοντες οὖν τοῦτον τὸν προφερόμενον λόγον οἱ φιλόσοφοι, καλοῦσιν ἐνδιάθετον, ᾧ λόγῳ τά τε ἀκόλουθα, καὶ τὰ μαχόμενα γιγνωσκομένοις ἐμπεριέχεται, καὶ διαίρεσις, καὶ σύνθεσις, καὶ ἀνάλυσις, καὶ ἀπόδειξις, ὅσα τἆλλα τοιαῦτα. διατί δὲ τῶν ῥινῶν, καὶ τῆς γλώττης αἰσθήσεων ἰδίᾳ πρότερον οὐ μνημονεύσας ἐν τῷ φάναι, ἃ καὶ ἰδεῖν καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἐστί, ἑξῆς τῶν πέντε μετὰ τῆς γνώμης ἐμνημόνευσεν, εἰκότως ἐζήτηται. καὶ δὴ καὶ λέλεκται πολλοῖς, τὰ μὲν ἀπίθανα, καὶ ἀνάξια μνήμης, τὰ δὲ πιθανὰ, καὶ μνήμης ἄξια, τὴν ἀρχὴν ποιησάμενος ἐνθένδε. τὸν Ἱπποκράτην φασὶ κελεύειν ἡμᾶς τὰς διαγνώσεις ποιεῖσθαι τῶν παθῶν ἐξ ὁμοιότητός τε καὶ ἀνομοιότητος τῶν αἰσθητῶν. αἰσθητὰ δὲ κυρίως λέγεται τὰ μὴ δεόμενα δυνάμεως ἑτέρας εἰς διάγνωσιν, ἀλλ' ἀρκούμενα μόνῃ τῇ διὰ τῆς αἰσθήσεως γνώσει, οὐ κυρίως δὲ ὅμως λέγεσθαι, καὶ αὐτὰ κατὰ τὴν αὐτὴν προσηγορίαν αἰσθητὰ, τὰ διὰ πλειόνων αἰσθήσεων ἅμα μνήμῃ τε καὶ τῷ καλουμένῳ συνθετῷ τε ἅμα καὶ κεφαλαιωτῷ λόγῳ τὴν διάγνωσιν ἔχοντα. τὸ μὲν οὖν χρῶμα τῶν κυρίων λεγομένων αἰσθητῶν εἶναι, καθάπερ τὸν χυλὸν, καὶ τὸν ἀτμὸν, καὶ τὴν φωνὴν, ὡσαύτως δὲ σκληρότητα καὶ μαλακότητα, καὶ θερμότητά τε καὶ ψυχρότητα, καὶ συνελόντι φάναι τὰς ἁπλᾶς ἁπάσας ποιότητας, οὔτε μῆλον, οὔτε ῥοιὸν, οὔτε ἄπιον, οὔτε ἄλλην οὐσίαν φησὶν ὅλην αἰσθήσει γνωστὴν ὑπάρχειν. ἀλλ' ὡς ὁ Πλάτων ἔλεγε, δόξῃ μετ' αἰσθήσεως ἀλόγου, δόξα δὲ τὰ πάντα εἶναι, καὶ διὰ τοῦτό γε τὸ σφάλλεσθαι πολλάκις ἐν ταῖς διαγνώσεσιν αὐτῶν ἐνίους, ὅταν ἤτοι σχῆμα μόνον ἢ ἄμφω ταῦτα θεάσηται παραπλήσια τῷ πρόσθεν ὠφελοῦντι. καὶ γὰρ μῆλα, καὶ ῥοιὰς, καὶ ἄπια, καὶ σταφυλὰς, καὶ κάρυα, καὶ ἄλλα πολλὰ φαίνεσθαι σιτίων πεπλασμένων ἐκ κηροῦ, πρὶν ὀσμήσασθαί τε καὶ γεύσασθαι, καὶ ἅψασθαι τοῖς ἀληθινοῖς ἀπαράλλακτα. πάσαις δ' αὖ τινα ταῖς αἰσθήσεσιν ὑποβάλλοντα, τὴν χρῆσιν αὐτῶν μὴ δύνασθαι σφαλῆναι. τὸ δὲ πάσαις ὑποβάλλειν οὐκ αὐτὸ μνήμης, καὶ συναριθμήσεως ἔργον, οὔτε αἰσθήσεως, οὔτε μνήμης, ἀλλὰ τῆς γνώμης εἶναι, τουτέστι τῆς διανοίας. ὀνομάζουσι δὲ τὴν συναρίθμησιν οὐχ οὕτως μόνον, ἀλλὰ καὶ συγκεφαλαίωσιν. ὅτε μὲν οὖν εἶπεν Ἱπποκράτης, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἐστί, ὡς ἐν παραδείγματος μοίρᾳ μνημονεύσας φασὶ τῶν αἰσθητῶν αὐτῶν. ὁπότε

δὲ

δὲ ἐγχωρείας τῶν ἁπασῶν τε καὶ κυρίως αἰσθητῶν, ἐπὶ τὰς ὅλας οὐσίας μετέβη, προσηκόντως αὐτῶν ἐνταῦθα, τῶν τε αἰσθήσεων ἁπασῶν, καὶ σὺν αὐταῖς γνώμης μνημονεύσαι, ὡς εἶναι τὸν ὅλον λόγον τοιοῦτον. ἄρχεσθαι προσήκει τὸν ἰατρὸν τῆς τῶν παθῶν διαγνώσεως ἀπὸ τῆς τῶν ὁμοίων τε καὶ ἀνομοίων θεωρίας. ἐνίοτε μὲν ἐπὶ μόνων τῶν ἁπλῶν ποιοτήτων ποιούμενον τὴν παραβολὴν, ἐνίοτε δὲ ὅλων τῶν σωμάτων. ἔστι μὲν γὰρ ἤδη ἡ ἐξήγησις οὐκ ἄλογος, ἔστι δὲ καὶ ἑτέρα τις τοιάδε. τὸν Ἱπποκράτην φασὶν ὁπότε μὲν εἶπεν, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἔστιν, ἐπὶ τοῦ ἰατροῦ πεποιῆσθαι τὸν λόγον. ὁπότε δὲ ἐφεξῆς τῶνδέ φησιν, ἃ καὶ ὄψει, καὶ τῇ ἀκοῇ, καὶ τῇ ἁφῇ, καὶ τῇ ῥινὶ, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι, ἐπὶ τοῦ κάμνοντος αὐτοῦ γεγονέναι τὸν λόγον, ἵνα μὴ μόνον ἐξ ὧν αὐτὸς ὁ ἰατρὸς ὁρᾷ, καὶ ἅπτεται, καὶ ἀκούει, καὶ ὀσφραίνεται, καὶ γεύεται, καὶ τῇ γνώμῃ διάκειται, κατανοῶν ἢ παρανοῶν. τὸ γὰρ ἐκ τῆς γνώμης τοῦ κάμνοντος ὠφελεῖσθαί τι τὸν ἰατρὸν, ἐκ τοῦ παρανοεῖν αὐτὸν ἢ κατανοεῖν γινώσκεται. τινὲς δὲ τὰ μὲν ἃ καὶ τῇ ὄψει, καὶ τῇ ἁφῇ, καὶ τῇ ἀκοῇ, καὶ τῇ ῥινὶ, καὶ τῇ γλώσσῃ, λελέχθαι φασὶν ἐπὶ τοῦ κάμνοντος αὐτοῦ. τὸ δὲ καὶ τῇ γνώμῃ, περὶ τοῦ ἰατροῦ. τὴν γὰρ τούτου γνώμην ἐξ ὧν ὁ κάμνων ὁρᾷ, καὶ ἀκούει, καὶ ἅπτεται, καὶ ὀσμᾶται, καὶ γεύεται, συλλογίζεσθαί τι τὸν ἰατρὸν ἐκ τῆς αὐτοῦ γεύσεως τεκμήρασθαι περὶ τοῦ κάμνοντος, ὥσπερ ἐκ τῆς νόσου. ἐὰν μὲν γὰρ ἅπαντα αὐτῷ φαίνεται γευομένῳ πικρὰ, καθάπερ τοῖς ἰκτεριῶσι, χολῆς ἐμπεπλῆσθαι τὴν γλῶτταν. ἐὰν δὲ ἁλυκὰ, φλέγματος ἁλυκοῦ, ἐὰν δὲ ὀξέα, αὐτοῦ ὀξέος. οὕτως δὲ καὶ τοῦ ἰδίου ἱδρῶτος ἐνίοτε παραῤῥυέντος εἰς τὸ στόμα, τῆς ποιότητος αἰσθέσθαι φασὶ τὸν κάμνοντα. τοῖς οὕτω τὸν τρόπον ἐξηγουμένοις ἐναντιοῦσθαι δοκεῖ τὸ παραλελεῖφθαι τὴν ὄσφρησιν τοῦ ἰατροῦ, καίτοι χρωμένου αὐτοῦ πρὸς πολλά. καὶ γὰρ ἐπὶ διαχωρημάτων, καὶ οὔρων, καὶ πτυέλων, ἑλκῶν τε καὶ αὐτῆς τῆς τοῦ κάμνοντος ἀναπνοῆς, χρῆται τῇ τῆς ὀσφρήσεως αἰσθήσει πρὸς τὴν σημείωσιν. ἐγχωρεῖ δὲ ταύτην παραλελεῖφθαι φάναι ὑπὸ τοῦ βιβλιογράφου, καθάπερ καὶ ἄλλα πολλὰ ἐν πολλοῖς βιβλίοις Ἱπποκράτους τε καὶ τῶν ἄλλων εὑρισκομένοις, τὰ μὲν ἡμαρτημένα φανερῶς, τὰ δὲ παραλελειμμένα. καὶ μίαν καὶ τοιαύτην ἐξήγησιν ἔγραψαν τινὲς, τὸ αὐτὸ σημαίνεσθαί φασιν ἐκ τοῦ φάναι, καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἔστι, τῷ καὶ τῇ ὄψει, καὶ τῇ ἀκοῇ, καὶ τῇ ἁφῇ ἔστιν αἰσθάνεσθαι. ἰδεῖν μὲν γὰρ ἔστι, καὶ θιγεῖν, καὶ ἀκούειν [μὴ] καταληπτικῶς, αἰσθάνεσθαι δὲ οὐκέτι †καταληπτικῶς. ἔστι δὲ ἡ τοιαύτη τῆς αἰσθήσεως ἐξήγησις τοῦ Σημίου τοῦ στωικοῦ, διὸ καὶ τοῦ Κοΐντου μαθητὴς Λυκιανὸς αὐτὴν προσήκατο τὴν στωικὴν ἀσπαζόμενος φιλοσοφίαν. ἀλλ' ὃ λέγουσιν ἐστὶ τοιοῦτον. τὸ μὲν ἕτερον μέρος τῆς ῥήσεως, περὶ τοῦ γένους μόνου διδάσκει τῶν πραγμάτων ἐξ ὧν αἱ σημειώσεις ἡμῶν γίνονται. τὸ δὲ δεύτερον περὶ τοῦ κατ' αὐτὸ διηκριβωμένου τε καὶ πιστοῦ, ὡς εἰ καὶ οὕτως ἐγέγραπτο. προσήκει ποιεῖσθαι τὰς διαγνώσεις ἀπὸ τῶν ὁμοίων τε καὶ ἀνομοίων τοῖς κατὰ φύσιν ἐν τῷ τοῦ κάμνοντος σώματι φαινομένων. ταῦτα δὲ καὶ τὰ αἰσθητὰ, καὶ τούτων αὐτῶν [οὐχ] ὅσα περιεῖδεν, ἢ παρήκουσεν, ἢ ὅλως παρῆλθε κατά τινα τῶν αἰσθήσεων. καλῶς ἀκαταληπτικῶς τῶν αἰσθήσεων ἑκάστῃ, καὶ τῇ γνώμῃ. συγκεχρῆσθαι γάρ φησι τῇ τοῦ αἰσθέσθαι φωνῇ τὸν Ἱπποκράτην ἐπὶ τῆς γνώμης. καὶ τοίνυν ἐν τῷ πρώτῳ μέρει τῆς ῥήσεως, ἑνὸς ἢ καὶ δυοῖν ἔτυχε μνημονεύσας. ὅλον γὰρ τὸ γένος αὐτῶν ἐκ παραδείγματος ἐνεδείξατο. κατὰ δὲ τὸ δεύτερον μέρος τῆς ῥήσεως, ἁπασῶν ἐμνημόνευσε μετὰ τῆς γνώμης ἀσφαλῆ, καὶ βεβαίαν τὴν ἀπόφασιν ποιούμενος. ἐπεὶ δὲ πάσαις ὑπάρχει κοινὸν τὸ καταληπτικῶς τῶν ὑποκειμένων ἀντιλαμβάνεσθαι τὰς ἰδέας. ἐπεὶ δὲ ὅπερ ὑπεσχόμην ἔπραξα, διῆλθόν τε ὅσα πιθανῶς εἴρηται τισὶν, εἰς τὸ μὴ δοκεῖν τὸν Ἱπποκράτην πολλάκις εἰρηκέναι περὶ τῶν αὐτῶν. ἐμοὶ μὲν ἤδη καιρὸς, ἐπὶ τὰ συνεχῆ μετέρχεσθαι, σοὶ δὲ τὴν δόξαν τῶν εἰρημένων ἀρίστην σκεψαμένῳ ἐρηγεῖν. μέμνηται δὲ καὶ περὶ τοῦ τῆς γνώμης ὀνόματος εἰπὼν, ὡς ἐπὶ τῶν παλαιῶν ἐν ἴσῳ ἐστὶ τῷ διανοίας, εἴτε καὶ ἐννοήσεως ἐλέγετο. πολλῶν οὖν ὄντων εἰς τοῦτο μαρτυριῶν, ὀλίγα παραθήσομαι. Κριτίας μὲν ἐν τῷ πρώτῳ ἀφορισμῷ τάδε γράφει. μήτε αὐτῷ ἄλλῳ σώματι αἰσθάνεται, μηδὲ ἃ τῇ γνώμῃ γινώσκει. καὶ πάλιν. γινώσκουσιν οἱ ἄνθρωποι εἰθισμένοι ὑγιαίνειν τῇ γνώμῃ. καὶ ἐν ὁμιλιῶν προτέρῳ. εἰ δ' αὐτὸς ἀσκήσειας ὅπως γνώμῃ ἔσῃ ἱκανὸς, ἥκιστα ἂν οὕτως ὑπ' αὐτοῦ ἂν ἀδικηθείης. καὶ πολλάκις ἐν τῷ αὐτῷ, καὶ ἐν τῷ δευτέρῳ τῶν ὁμιλιῶν, ἀντιδιαιρῶν ταῖς αἰσθήσεσι, τὴν γνώμην πολλάκις εἴρηκεν, ὥσπερ καὶ ὁ Ἀντιφῶν ἐν τῷ πρώτῳ τῆς ἀληθείας ἐν τῷ λόγῳ τῷ τάδε γνοὺς, εἰς ἕν τε οὐδὲν αὐτῷ οὔτε ὧν ὄψει ὁρᾷ μακρότητα, οὔτε ὧν γνώμῃ γινώσκει, ὁ μακρότατα γιγνώσκων. καὶ πᾶσι γὰρ ἀνθρώποις ἡ γνώμη τοῦ σώματος ἡγεῖται καὶ εἰς ὑγείαν, καὶ νόσον, καὶ εἰς τὰ ἄλλα πάντα. καὶ ὡς ὁ Πλάτων πρὸς πρῶτον ἐνάλυσαι κατὰ τὸ ε. τῆς πολιτείας. οὐκοῦν * τούτου μὲν τὴν διάνοιαν, ὡς γινώσκοντος γνώμην ἂν ὀρθῶς φαμὲν εἶναι, τοῦ δὲ δόξαντος δόξαν, καὶ Λυσίας περὶ πολιούχου. ἐκεῖνος γὰρ ὅσα τῇ ἑαυτοῦ γνώμῃ χρώμενος ὑπὲρ τοῦ ἡμετέρου πλήθους ἔπραξε, πανταχοῦ φανήσεται πολλῶν μὲν καὶ ἀγαθῶν αἴτιος τῇ πόλει γενόμενος, πλεῖστα δὲ καὶ μάλιστα τοὺς πολεμίους ἐργασάμενος. καὶ Αἰσχίνης δὲ κατὰ τοὺς δὲ ὁ Σωκρατικὸς ἐν τῷ Μιλτιάδῃ κατὰ τὸ αὐτὸ σημαινόμενον κέχρηται τῷ ὀνόματι, καὶ Ὑπερίδης ἐν τῷ κατ' αὐτὸ Διοκλέους, καὶ ἄλλοι ῥήτορές τε καὶ ἰατροὶ καὶ ποιηταί. περιττὸν δὲ πάντων μνημονεύειν.

Ἃ καὶ οἷς γιγνωσκόμενα, πᾶσιν ἔστι γνῶναι.

Ζητεῖται κἀνταῦθα προσηκόντως τινές ποτέ εἰσιν ἄλλαι δυνάμεις, παρά τε τὴν αἴσθησιν καὶ τὴν γνώμην ὑπὸ τῆς φύσεως ἡμῖν δεδομέναι διαγνωστικαὶ ἐκτὸς τῶν ὑποκειμένων, ὡς γὰρ οὐκ εἰρηκὼς ἁπάσας. οὕτως ἐπήνεγκεν, γιγνωσκόμενα πᾶσιν ἔστι γνῶναι. διατί νῦν αὐτὸν οὕτως εἰπεῖν νομίζω, καὶ δὴ φράσω. προειπών τι πρότερον ἀναγκαῖον εἰς τὰ μέλλοντα λεχθήσεσθαι, πολλοῖς ἤδη καὶ τῶν παλαιῶν εἰρημένων, οἷς ἀρέσκει μηδεμίαν εἶναι δόξαν, ἣν οἱ τὰς αἱρέσεις συνιστάμενοι φιλόσοφοι δοκοῦσιν εὑρηκέναι. πάντα τὰ δ' εἰρημένα τῷ προϊόντι χρόνῳ πολλάκις ἅμα τῇ τῶν ἄλλων γνώμῃ διεφθάρη. μὴ μέντοι δοκεῖ τὴν πυῤῥώνειον αἵρεσιν, ἢ ἀκαδημιακὴν, ἢ στωικὴν, ἢ περιπατητικὴν, ἢ τινα ἄλλην ὕστερον Ἱπποκράτει γεγονυῖαν, τῇ τῶν πραγμάτων αὐτῶν ἐξαπτόμενος δόξῃ. αὐτοὶ οὖν οἱ τοῦ Πύῤῥωνος εἰς παλαιοτάτους ἄνδρας ἀνάγουσι τὴν ἑαυτῶν προαίρεσιν. εἰκὸς οὖν καθ' Ἱπποκράτην, μᾶλλον δὲ οὐκ εἰκὸς, ἀλλ' ἀναγκαῖον ἀμφισβητεῖν ἀλλήλοις τοὺς τότε περὶ τῶν φυσικῶν κριτηρίων, τοὺς μὲν μηδὲν εἶναι λέγοντας τοιοῦτον, καθάπερ ὕστερον οἱ πυῤῥώνειοι, τοὺς δὲ τὴν αἴσθησιν μόνην. ἐνίους δὲ ταύτην μὲν ἀτιμάσαι νομίζειν, καὶ ἀληθὲς εἶναι τὸ περιφερόμενον διὰ τοῦτο, νοῦς ὁρῇ, καὶ νοῦς ἀκούει, τὰ δ' ἄλλα κωφὰ καὶ τυφλά. τινὰς δ' ἀμφότερα φυ-

† ἀκαταληπτικῶς

σει κριτήρια τεθεῖσθαι. τῶν μὲν αἰσθητῶν, τὴν αἴσθησιν, τῶν δὲ νοητῶν, τὸν νοῦν. τινὰς δὲ πρὸς ταύταις καὶ ἄλλας ψυχῆς ἡμῶν δυνάμεις εἶναι νομίζειν. ὅπως οὖν αὐτῶν ἐκφύγῃ τὴν ἐπήρειαν ὁ Ἱπποκράτης, αὐτὸς μὲν ἐμνημόνευσε δυοῖν κατὰ γένος δυνάμεων, αἰσθήσεώς τε καὶ διανοίας, ἃς ἴστε κἀμὲ διὰ παντὸς ἐπιδεικνύντα μόνα ἡμᾶς ἔχειν κριτήρια τῆς γνώσεως. ἕνεκα δὲ τῶν ἑτέρων τῷ λόγῳ προσέθηκε, ἃ οἷς γιγνωσκόμενα πᾶσι δυνατόν ἐστιν γνῶναι. τινὲς μὲν οἴονται τὸν μὲν νοῦν ἄλλης εἶναι φύσεως, τὴν διάνοιαν ἄλλης, τὸν δὲ διάθετον ὀνομαζόμενον λόγον ἄλλης, καὶ τούτων δὲ πλείους ἄγουσι δυνάμεις. ἐμοὶ δὲ ἐν τοῖς περὶ κοινοῦ λόγου βιβλίοις δέδεικται τρεῖς εἶναι τὰς πάσας ἐν ἡμῖν δυνάμεις, αἷς χρώμεθα πρός τε τὰς τῶν τεχνῶν συστάσεις, καὶ τῶν βιβλίων αἴσθησίν τε καὶ νοῦν, καὶ μνήμην. ἀλλὰ τὴν μὲν μνήμην ἀποτίθεσθαί τε καὶ φυλάττειν ἐν αὐτῇ τὰ γνωσθέντα διὰ αἰσθήσεως καὶ νοῦ, ταμεῖόν τι τῶν εἰρημένων αὐτοῖς οὖσαν, οὐκ αὐτὴν εὑρίσκουσαν ἑκάστου πράγματος φύσιν. εἰς δὲ τὴν τῶν ζητουμένων εὕρεσίν τε καὶ κρίσιν, αἴσθησίν τε καὶ νοῦν ἡμῖν ὑπάρχειν φύσει. ἀλλ᾽ ὅταν γε μὴν περὶ τούτων αὐτῶν ὁ λόγος ᾖ, συγχωρεῖ τις ἄλλην μὲν δύναμιν εἶναι τῆς νοήσεως. ὑπολαμβάνουσι δὲ τοῦ λόγου, καὶ νοῦν πάλιν ἄλλην, εἰ βούλονται, τοῦ νοῦ καὶ τῆς διανοίας ἀρκοῦσαν τούτῳ πρὸς αὐτοὺς ὡς ἐναργῶς ἅπαντες ἄνθρωποι διαγιγνώσκουσι, καὶ μῆλον, καὶ μέσπιλον, καὶ σταφυλήν, καὶ ἄλλα σώματα ὀπωρῶν, εἴτε διὰ μιᾶς δυνάμεως ψυχικῆς, εἴτε διὰ δυοῖν, ἢ τριῶν, ἢ πλειόνων ἡ διάγνωσις αὐτῶν γίγνηται. πεπεισμένοι δέ εἰσιν ὡσαύτως ἅπαντες οἱ ἄνθρωποι, καὶ κίνησιν εἶναί τε καὶ αἴτιον, καὶ σημεῖον, αὐτά τε ταῦτα τὰ προειρημένα, καὶ νοῦν καὶ μνήμην καὶ προαίρεσιν, ἃ πρὸς ἄλλοις πολλοῖς ἀνατρέπειν ἐπεχείρησεν Ἀσκληπιάδης ὡς οὐκ ὄντα. τούτων οὖν μοι προειρημένων, ἤδη νομίζω σαφὲς γέγονεν, οὗ τινος ἕνεκα ἐπὶ τελευτῇ τῆς διδασκαλίας ὁ Ἱπποκράτης αὐτάρκως γεγυμνασμένης προσέγραψεν, ἃ οἷς γιγνώσκομεν, ἅπασιν ἔστιν γνῶναι. ἄρχεσθαι μὲν προσήκει τὸν ἰατρὸν τῶν ἔργων τῆς τέχνης ἀπὸ τῆς διαγνώσεως τῶν παθῶν, παραβαλόντα τὰ κατὰ τὸν νοσοῦντα νοσήματα φαινόμενα, τοῖς τῶν ὑγιαινόντων, καὶ θεωροῦντα τινὰ μὲν ὅμοια, τινὰ δὲ ἀνόμοια, τὴν γνῶσιν γε κατ᾽ αὐτῶν καὶ τῶν ἄλλων ἁπάντων ὑπερβαίνειν αἰσθήσει τε καὶ γνώμῃ, καὶ ἔτι δόξει ὡς ἄλλο πρὸς τούτοις κοινὸν ἁπάντων εἶναι φύσει κριτήριον, ὁμοίως κἀκείνοις τὴν τῶν εἰρημένων κρίσιν, ὡς τὸ γιγνώσκειν ἔχομεν ἅπαν- * τες ἄνθρωποι, ὧν μὲν καὶ ἡμεῖς εἰς τὰ τῆς τέχνης ἔργα, τὴν μὲν οἷον ὑλικὴν ἔχοντες τὰ αἰσθητά, ἐν οἷς φησι, ἃ καὶ θιγεῖν καὶ ἀκοῦσαί ἐστι. τὴν δὲ τούτων κριτικὴν διττὴν αἴσθησίν τε καὶ γνώμην, ἃς διὰ τῆς ἐχομένης ῥήσεως ἐδήλωσεν εἰπών, ἃ καὶ τῇ ἀκοῇ, καὶ τῇ ῥινί, καὶ τῇ γλώττῃ ἐστὶ αἰσθέσθαι, ὑπηρετούσαις ἀμφοτέραις ἐναργῶς μὲν τὴν μνήμην. εἰ δέ τινα καὶ ἄλλην ἐπεισάγοιτό τις δύναμιν, οὐκ ἐκείνην ἡμῶν ἀρνησαμένων, ἐὰν οὕτως φαίνηται χρήσιμος ὑποχειρισμῷ ὑπάρχουσα. διὰ γὰρ τοῦ φάναι, οἷς γινωσκόμενα πᾶσιν ἐστὶ γνῶναι, περιέλαβε μὲν καὶ τὴν γνώμην, ἢ ἐξουσίαν δέδωκε τοῖς ἡγουμένοις εἶναι τινὰ καὶ ἄλλην κριτικὴν δύναμιν, καὶ ἐπιδεικνύειν ἡμῖν αὐτήν. τὰ μὲν ἄχρι δεῦρο κατὰ τὸ βιβλίον Ἱπποκράτους γεγραμμένα, κοινὰ τῆς ὅλης ἰατρικῆς ἐστι, καὶ διὰ τοῦτό γε ἔφην αὐτὰ προοίμιον μέν τι πάσης τέχνης εἶναι. τούτων δ᾽ ἐφεξῆς ἐπὶ χειρουργίαν ἀποκεχώρηκε, καὶ ταύτης ἃ κατὰ τὸ ἰατρεῖον, ἢ μανθάνειν, ἢ πράττειν ἐξ ἀρχῆς οἱ κατὰ τὴν τέχνην ἀσκούμενοι δύνανται, καὶ μὴ νομίσῃ μέ τις παρὰ τὸ ἐμὸν ἦθος μεμηκυγκέναι τὴν ἐξήγησιν. ὅσοι γὰρ κοινοὶ λόγοι τῆς ὅλης τέχνης εἰσί, τούτοις προσήκει μακρότερον, ἢ κατὰ τοὺς ἐν μέρει λέγεσθαι, καὶ μάλιστα ὅταν αὐτοὺς ἔν τινι πραγματείᾳ δίελθῃ, μηκέτι μέλλων αὖθις ἐρεῖν αὐτούς, καθάπερ κἀγὼ προείρημαι κατὰ τὴν τῶν Ἱπποκράτους βιβλίων ἐξήγησιν, ἅπαντα μὲν διακρίνειν αἰσθήσει τε καὶ γνώμῃ. τῶν δ᾽ εἰρημένων ἄρτι λόγων μηκέτι μνημονεύειν, οὐ μὴν οὐδὲ νῦν ἀξίως αὐτοῦ τοῦ πράγματος ἐμήκυνα τὸν λόγον. ἐνὸν γάρ μοι διελθεῖν τε ἅμα καὶ κρῖναι τὴν γεγενημένην διαφωνίαν περὶ τοῦ τῶν ψυχικῶν δυνάμεων ἀριθμοῦ, βέλτιον ἐνόμισα πρὸς τὴν τοῦ κοινοῦ λόγου πραγματείαν ἀναπέμψαι τὸν βουλόμενον ἀκριβέστερον περὶ τούτων γνῶναι. διερχομένης δὲ τῆς ἄλλης ζητήσεως ἐν τῷ λέγειν, ἀπὸ τῆς περὶ ὁμοίου καὶ ἀνομοίου θεωρίας ἄρχεσθαι, διὰ τὸ μὴ πάνυ τι διηρθρωμένων νοεῖσθαι πᾶσιν, ὅτι ἔτι διαφορᾷ τοῦ ὁμοίου τὸ ταυτὸν, ἑκὼν καὶ ταύτην παρέλιπον ἐν ἑτέροις ἐξειργασμένην. ἐμπίπτει γὰρ εἰς τὴν περὶ αὐτῆς σκέψιν, ἄλλα τέ τινα καὶ τὸ πρότερον, καὶ ταύτην παρέλιπον, ἐπὶ τοῖς αὐτοῖς ἢ ὁμοίοις, αἱ τηρήσεις μὲν τοῖς ἐμπειρικοῖς γίγνονται. τινὲς μὲν γὰρ καὶ αὐτῶν τῶν ἐμπειρικῶν ἐπὶ τοῖς ὁμοίοις ἔφασαν, οἱ δὲ ἀκριβέστεροι τὴν ἀκολουθίαν διασώζοντες ὅλης ἑαυτῶν τῆς ἀγωγῆς, ἐπὶ τοῖς αὐτοῖς φησι τὰς τηρήσεις ἁπάσας γίγνεσθαι, τάς τε παθογνωμικὰς ὀνομαζομένας, καὶ τὰς προγνωστικάς, καὶ τὰς θεραπευτικάς, Δίωνα φρενιτίζοντα Θέωνι φρενιτίζοντι, καθόσον ἀμφότεροι φρενιτίζουσι, τὸν αὐτὸν εἶναι. τινὲς δ᾽ οὐδ᾽ ἁπλῶς λέγεσθαι φασὶ τὸ ὅμοιον, ἀλλὰ καὶ νοεῖσθαι, καὶ λέγεσθαι διττῶς. ἓν μὲν γὰρ ὅμοιον ἀπαράλλακτον νοεῖσθαι, καθάπερ τοὺς Διοσκούρους, ἕτερον δὲ οὐ τοιοῦτον, ἀλλ᾽ ἐν ᾧ τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστιν. οὐ μὴν παρὰ τοῖς παλαιοτάτοις ἰατροῖς τε καὶ φιλοσόφοις, ὧν ἔτι συγγράμματα διασώζεται, τοιαύτη χρῆσις εὑρίσκεται, συγκεχυμένως καὶ ἀδιαρθρώτως χρωμένων αὐτῶν τῇ τῶν ὁμοίων προσηγορίᾳ. ποτὲ μὲν ἐπὶ τῶν αὐτῶν εἶδος ἐχόντων ἀπαράλλακτον, ὡς τὸν ἀριστερὸν ὀφθαλμὸν τῷ δεξιῷ θεωρουμένοις ἀμφοῖν ἐφ᾽ ἑνὸς ἀνθρώπου, ποτὲ δ᾽ αὖ καὶ ἐπὶ διαφερόντων ἀνθρώπων, ὁ μὲν γλαυκός, ὁ δὲ χαροπός, ἢ μέλας, ἢ καθόλου ὀφθαλμοί, καὶ τούτους ὁμοίους λέγουσιν εἶναι, μᾶλλον δὲ αὐτοῖς ἔστι καὶ συνηθέστερον τὸν γλαυκὸν, τῷ γλαυκῷ, τὸν χαροπὸν, τῷ χαροπῷ λέγειν ὅμοιον, καθάπερ γε καὶ τὴν ῥῖνα, τὴν μὲν γρυπήν, τῇ γρυπῇ, τῇ δὲ σιμῇ, τὴν σιμήν, τῇ δὲ εὐθείᾳ, τὴν εὐθεῖαν ὁμοίαν εἶναι.

Τὰ δ᾽ ἐς χειρουργίην κατ᾽ ἰητρεῖον.

Αἱ τοιαῦται βραχυλογίαι προδήλως ὑφ᾽ ἑκόντων γίγνονται, ἀσαφῶς ἑρμηνεῦσαί τι βουληθέντων. ὅπου γὰρ ἐνίοτε μὲν ὀνόματος ἑνὸς ἢ ῥήματος, ἢ δυοῖν, ἢ τὸ πλεῖστον τριῶν προσθέσει τὸν λόγον ἐργάσασθαί ἐστι σαφῆ, πῶς οὐκ ἄν τις ἀσάφειαν ἐπιτηδεύεσθαι φαίη τοὺς οὕτω συγκειμένους λόγους; ἐγὼ γοῦν ὁρῶ τὸν τύπον τῆς λέξεως, ᾧ τις ἂν χρησάμενος, ἡγήσαιτο σαφῆ τὸν λόγον. ἔσται δὲ τοιόσδε τις. ἡ μὲν ἰατρικὴ πᾶσα κοινὸν τὸν σκοπὸν εἰς τὰς διαγνώσεις τῶν παθῶν ὁμοιότητά τε καὶ ἀνομοιότητα πρὸς τοὺς ὑγιαίνοντας, ἐκ τῶν ἐναργῶς αἰσθήσει τε καὶ νοήσει φαινομένων,

μένων, τήν τε εὕρεσιν ἴσχουσι καὶ τὴν κρίσιν. ἐγὼ δὲ ταύτης ἐρῶ τὰ κατὰ χειρουργίαν μόνον, ἃ ἐν ἰατρικῇ δύναται δείκνυσθαί τε τοῖς μανθάνουσι, καὶ περὶ τοὺς πάσχοντας ἐνεργεῖσθαι. οὕτως ἄν τις μὲν εἴποι σαφῶς ἑρμηνεῦσαι βουλόμενος. γράφουσι δ' ἔνιοι τοῦ κατ' ἰητρεῖον ὀνόματος, τὴν ἐσχάτην συλλαβὴν διὰ τοῦ η, καὶ εἰ βούλει ἐπὶ τὴν ἰατρικὴν, οὐ κατὰ τὸ χωρίον ὃ καλοῦμεν ἰατρεῖον, ὡς εἰ καὶ οὕτως εἰρήκει. τὰ δ' οὖν χειρουργίαν τὴν κατ' ἰατρικὴν τέχνην ἐστὶ τάδε. φαίνεται δὲ ἑξῆς ὁ τοῦ βιβλίου συγγραφεὺς, εἴτ' αὐτὸς ὁ Ἱπποκράτης ἐστὶν, εἴθ' υἱὸς αὐτοῦ Θεσσαλὸς, οὔτε πασῶν τῶν κατ' ἰατρικὴν χειρουργιῶν μνημονεύειν, οὔτε τῶν κατὰ τὸ ἰατρεῖον, ἀλλὰ καὶ τούτων αὐτῶν ὅσαι τοῖς εἰσαγομένοις εἰσὶ χρήσιμοι. καὶ μέντοι καὶ ἡ ἐπιγραφὴ τοῦ συγγράμματος ἐντεῦθεν ἐγένετο, ἣ παραπλησίως αὐτῷ ὕστερον ἐποιήσατο Διοκλῆς, καὶ Φιλότιμος, καὶ Μαντίας. εἶχε δ' ἂν τελεώτερον, ἣν περὶ τῶν κατ' ἰητρεῖον ἐπεγέγραπτο. θαυμάζω δὲ Ἀσκληπιάδου τὴν μὲν κατ' ἰητρεῖον γραφὴν, σημεῖον δὲ αὐτὴν οἰομένου περὶ τῶν αὐτῶν κατὰ τὸ ἰητρεῖον. τὸ γὰρ κατ' ἰητρείην ἐστὶ τοῦτο σημαντικὸν, οὐ τὸ κατ' ἰητρεῖον, ἵνα τις ἰατρεῖον, τῶν νόσων ἰατρείην ἀκούσῃ. τὰ μὲν δὴ τοιαῦτα περὶ τῶν ὀνομάτων ἔχει τὴν σκέψιν, ὧν ὀλίγοι φροντιστοὶ σπουδάζουσι τὴν τῶν πραγμάτων ἀλήθειαν. ἡ δὲ αὐτῶν τῶν προκειμένων διδασκαλία κατὰ τὴν ἑξῆς λέξιν ἄρχεται.

Ὁ ἀσθενέων, ὁ δρῶν, οἱ ὑπηρέται, τὰ ὄργανα, τὸ φῶς, ὅκου, ὅκως, ὅσα, ὅκως, ὅκου τε, τὸ σῶμα, τὰ ἄρμενα, ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος.

Διὰ ταύτης τῆς ῥήσεως ἅπαντα διῆλθεν, ὑφ' ὧν, καὶ δι' ὧν, καὶ περὶ ὧν, τὸ χειρουργικὸν μέρος τῆς τέχνης κατατείνεται. διεξίει δὲ ἐφεξῆς ὁποῖόν τε τῶν εἰρημένων ἕκαστον εἶναι προσήκει, καὶ καθ' ὅν τινα τρόπον, ἢ χρόνον εἰς χρῆσιν ἄγεσθαι. ἔστι δ' αὐτῶν τὰ μὲν πλεῖστα σαφῆ, καθάπερ ὁ ἀσθενέων, καὶ ὁ δρῶν, καὶ οἱ ὑπηρέται, καὶ τὰ ὄργανα, καὶ τὸ φῶς. καὶ μέντοι καὶ αὐτὸς ὁ συγγραφεὺς ἑξῆς ὑπὲρ αὐτῶν διῆλθεν, ὅπως μὲν ἑαυτὸν χρὴ παρέχειν τῷ ἰατρῷ τὸν ἀσθενοῦντα διδάξας. ὅπως δὲ δεῖ τὸν ἰατρὸν ἐνεργεῖν ἀμφ' αὐτὸν, ὅπως δὲ τοὺς παρόντας τούτῳ ὑπηρετεῖν δεῖ. ὡσαύτως δὲ καὶ περὶ τῶν ὀργάνων ἔτι τοῦ φωτὸς, αὐτοὺς ὅσα προσήκει γιγνώσκειν ἡμᾶς, ἐφεξῆς ἔγραψε. μετὰ δὲ ταῦτα περὶ ἐπιδέσεως μακρὰν ἐποιήσατο διδασκαλίαν, οὐκ ἐπὶ τὸ τῆς λέξεως εἶδος μηκύνας, ἐν ὅλῳ γὰρ τῷ βιβλίῳ φυλάττει τὴν βραχυλογίαν, ἀλλὰ τῷ βουληθῆναι μηδὲν παραλιπεῖν τῶν χρησίμων. ὥστε τοίνυν ἐκτὸς ἀσθενοῦντος, καὶ δρῶντος, καὶ ὑπηρετῶν, καὶ ὀργάνων, καὶ φωτὸς εἴρηται, ἐπὶ τὴν προκειμένην ῥῆσιν ἐπισκέψασθαι χρὴ, καὶ πρῶτόν τε τὸ πρῶτον ἐν αὐτοῖς εἰρημένον, τὸ ὅκου διὰ τοῦ μὲν κ τῆς δευτέρας συλλαβῆς ὑπὸ τῶν ἰώνων λεγομένης, πρὸς ἡμῶν δὲ διὰ τοῦ π. καὶ σημαίνοντος τὸν τόπον ἐν ᾧ κείμενος τυγχάνει. διὸ καὶ ἐπὶ πάντων αὐτό τις εἰρῆσθαι τῶν προειρημένων, οὐκ ἂν ἀπὸ τρόπου φαίη, ὅ, τε γὰρ ἀσθενῶν, ἐπιτηδείου τόπου δεῖται. κέκληται δὲ τὰ ἀσθενοῦντα δηλονότι περὶ ὧν ἡ χειρουργία γίγνεται. τούτου δ' οὐχ ἧττον ὁ ἰατρὸς, ὥσπερ γε τὰ ἄρθρα τοῦ προσήκοντος τόπου χρῄζει, καὶ τοῦ φωτὸς δὲ τὸ δυνατὸν, ὡς αὐτῶν ἐφ' ἡμῖν ἐστιν, ἐν τῷ δε τῷ τόπῳ ποιήσει. τὸ δὲ ἐφεξῆς γεγραμμένον τὸ ὅκως, ἡμεῖς μὲν διὰ τοῦ π λέγομεν ὅπως. σημαίνει δ' οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἴωσι τὴν οἷον ποιότητα τῶν διδασκομένων πραγμάτων. οὐ γὰρ μόνον ὅπου χρὴ κατακείμενον, ἢ καθήμενον χειρουργεῖσθαι τὸν πεπονθότα τόπον ἐπίστασθαι τοῖς μανθάνουσι τὴν τέχνην, ἀλλὰ καὶ τὸ πῶς ἔχει σχήματος. οὕτως δὲ καὶ τὸν ἐνεργοῦντα, καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ. καὶ τῶν ὀργάνων ἡ θέσις οὐ μόνον ἐπιτήδειον ἔχειν δεῖται τόπον, ἀλλὰ καὶ παρεσκευάσθαι κατὰ τάξιν, οὕτως ἂν εὐληπτότατον ἕκαστον εἴη καὶ αὐτῷ τῷ ἰατρῷ, καὶ τοῖς ὑπηρέταις αὐτοῦ. φαίνεται δ' ἐντεῦθεν παραλελοιπὼς τὰ ἄρμενα συνεπινοεῖσθαι τίθεσθαι τοῖς ὀργάνοις δυνάμενα. ὅπως δὲ πάλιν αὐτῶν ἐφεξῆς ἀτάκτως ἐμνημόνευσεν, μετ' ὀλίγον ὀψόμεθα. νυνὶ δὲ τὰ συνεχῆ τοῖς εἰρημένοις ἐξαπλωτέον, ἔνθα φησὶν, ὅσα, ὅκως, ἀναφέρεται δηλονότι τούτων ἕκαστον ἐπὶ τὰ προειρημένα ἃ παρασκευασθησόμεθα πρὸς τὴν χειρουργίαν, προσήκει γιγνώσκεσθαι τοῖς μανθάνουσιν ὁπόσα τέ ἐστι, καὶ οἷς τέ τισιν αὐτῶν, ὅπως χρηστέον, ἵνα τὸ μὴ ὀλίγον ἔμπροσθεν εἰρημένον, ὅκως, ἐφεξῆς τῷ ὅκου τὴν ἐν τῇ θέσει ποιότητα δηλοῖ. τὸ δὲ νῦν λεγόμενον τὴν ἐν τῇ χρήσει, τέτακται γοῦν ἐκεῖνο μὲν ἐπὶ ῥήματι τοπικῷ τῷ ὅκου. τουτὶ δὲ ἄρθρῳ τῷ διά τινων ἀρμένων ἢ ὀργάνων ἐνεργείας δηλῶσαι βουλομένῳ. τὸ δὲ ἐφεξῆς εἰρημένον ὅκου τε, προδήλως τὸν καιρὸν δηλοῖ, καθ' ὃν ἑκάστῳ προσήκει χρῆσθαι. τὰ δὲ μετὰ ταῦτα κατὰ τήνδε τὴν λέξιν οὕτως ἔχοντα, τὸ σῶμα, τὰ ἄρμενα, ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος, εἰκότως ἐζήτηται τίνα διάνοιαν ἔχει. καὶ γὰρ τὸ σῶμα τοῦ πάσχοντος ἔμπροσθεν εἴρηται δυνάμει κατ' ἐκεῖνο τὸ μέρος τῆς ῥήσεως ἐν ᾧ τοῦ ἀσθενοῦντος ἐμνημόνευσεν, καὶ ὁ χρόνος ἐν τῷ ὅκου τε, καὶ ὁ τρόπος ἐν τῷ ὅκως, καὶ ὁ τόπος ἐν τῷ ὅκου. διατί οὖν φαίνεται ταῦτα λέγων, μετὰ τοῦ καὶ παρόντος ἐμβεβλῆσθαι παρὰ τάξιν αὐτοῖς τὰ ἄρμενα, βελτίονα τάξιν ἔχοντα μετὰ τῶν ὀργάνων τετάχθαι, δυναμένων ἡμῶν, εἰ καὶ μηδ' ὅλως ἐγέγραπτο, συνεπινοεῖν τοῖς ὀργάνοις. ἀλλὰ περὶ μὲν τούτων ἔνεστι λέγειν, ὡς τὰς σμίλας, καὶ τὰ τρύπανα, καὶ τὰ ἄγκιστρα, καὶ τὰς ξυστῆρας, καὶ τοὺς μηνιγγοφύλακας, ὅσα τε ἄλλα τοιαῦτα προσήκειν νῦν ἀκοῦσαι λέγειν αὐτὸν ἄρμενα. δυναμένων δὲ ἡμῶν αὐτὰ συνυπακοῦσαι τοῖς ὀργάνοις, ὡς ὁμογενῆ κατὰ τὴν οἰκείαν σκευὴν πρὸς τὴν θεραπείαν χρήσιμα, καλεῖν αὐτὰ ἄρμενα, καθότι περ ἐν τῷ περὶ διαίτης ὀξέων εἶπεν, ἔνθα περὶ λουτροῦ διῆλθεν. ὀλίγοισι γὰρ οἰκείοισι παρεσκευάσθαι τὰ ἄρμενα, καὶ οἱ θεραπεύοντες. σκάφας οὖν ἡγητέον λέγειν αὐτὸν, καὶ πρόχους, καὶ λεκάνας, καὶ πυέλους, καὶ ὅσα τἄλλα τοῖς θεραπευομένοις ἐπιτήδεια. περὶ τῶν ἅμα τοῖς ἀρμένοις εἰρημένων ἐμμένει τὸ ἄτοπον. ἴσως οὖν εἴρηκε νῦν σῶμα μὲν τὸ πεπονθὸς μόριον, χρόνον δὲ τὸν ἐζευγμένον αὐτῷ. προσήκει γὰρ ἐν ταῖς χειρουργίαις ἐπίστασθαι, ποσταῖον ἐστὶ τὸ θεραπευόμενον πάθος. αὐτὸς οὖν ἐκέλευε μήτε κατατείνειν κῶλα, μήτ' ἐμβάλλειν ἄρθρα τριταῖα καὶ τεταρταῖα. δύναται δὲ καὶ τῆς χειρουργίας χρόνος εἰρῆσθαι νῦν. ἔνια μὲν γὰρ χρὴ πειρᾶσθαι τάχιστα χειρουργεῖν, ὅταν ἤδη διὰ τὸ ψυχθῆναι μὴ κίνδυνος ἕπηται μέγιστος, ὡς ἐπὶ τῶν ἀπερραμμένων κω. φέρονται γὰρ ταχέως εἰς τὸ μέγεθος τῆς ὀδύνης οἱ χειρουργούμενοι. τινὰ δ' ἐν χρόνῳ πλείονι, καθάπερ τὰ ὑποχύματα. δεῖ γὰρ μετὰ τὸ καταχθῆναι κρατῆσαι τὸ παρακέντητριον, ὡς προσήκει μέχρι πολλοῦ ἐπὶ τὸ χωρίον ᾧ βουλόμεθα μένειν στηριχθέντα βεβαίως αὐτό. καίτοι νῦν ὁ τρόπος ἐπὶ τοῦ πάθους γενέσεως εἰρῆσθαι

δυνατοῦ κατά τινα τρόπον, ἤτοι τὸ κάταγμα γέγονεν, ἢ τὸ ἐξάρθρημα γιγνώσκειν ἀξιοῦντος αὐτοῦ τὸν ἰατρόν, ὥσπερ κἀν τῷ περὶ τῶν ἐν τῇ κεφαλῇ τραυμάτων, αὐτὸς διῆλθε τοὺς τρόπους καθ' οὓς αἱ πληγαὶ γίνονται ἐπὶ τὴν δὲ
» τὴν ῥῆσιν, τιτρώσκεται δὲ ὀστέον τὸ ἐν τῇ κεφαλῇ κατὰ τόσους τρόπους. καὶ ἐφεξῆς πάλιν. τῶν δὲ τρόπων ἑκάστου
» πλείονες ἰδέαι γίνονται τοῦ κατάγματος ἐν τῇ τρώσει. καὶ μετὰ ταῦτα πάλιν. θλασθείη δ' ἂν τὸ ὀστέον μόνον ἐν τῇ
» αὐτοῦ φύσει, καὶ ῥωγμὴ τῇ θλάσει οὐκ ἂν προσγένοιτο ἐν τῷ ὀστέῳ οὐδεμία. δεύτερος οὗτος τρόπος. ἔτι ἐφεξῆς ἄλλον
» εἰπὼν ἐπιφέρει, οὗτος γ̄. καὶ πάλιν, ἐφεξῆς ε̄. οὗτος τρόπος ἀσφαλέστατος φαίνεται. τὸ καὶ τόπου δεῖ πάλιν αὐτὸν μνημονεύειν ἔμπροσθεν εἰρηκότος, τὸ ὅκου δηλωτικὸν ἐπίρρημα τόπου. δι' ὧν καί τινες ἑτέραν ἐξήγησιν ἐποιήσαντο τῆς ῥήσεως, ἅμα καὶ τῷ τὴν ἑτέραν εἶναι τῷ ὄγκῳ. γράφουσι γὰρ αὖ τῆς αὐτοῦ τὸ ὄγκου προειρημένον. ἀλλ' ὅμως τὴν γραφὴν ταύτην οὔτε ἐξηγησάμενοι τὸ βιβλίον ἴσασι, καὶ οἱ πλεῖστοι τῶν ἐμπειρικῶν ἔχει. καὶ μέντοι καὶ ἀναλήψομαι νῦν αὖθις αὐτὴν ἕνεκα σαφηνείας ἔχουσαν οὕτως, ὁ ἀσθενέων, ὁ δρῶν, οἱ ὑπηρέται, τὰ ὄργανα, τὸ φῶς, ὅκου, ὅκως, ὅσα, ὅκως, ὁκότε, τὰ σώματα, τὰ ἄρμενα. φησὶν οὖν ἐν τῷ λέγειν, ὅκου, τὰ σώματα, ἄρμενα. τὸ μὲν αὐτῶν πεποίηται τοῦ κατὰ τὸν ἔμπροσθεν λόγον, ἁπλῶς ἀκούσας ὅκου. τὸ γὰρ ὅκου, τῷ τε σώματι τοῦ κάμνοντος, καὶ τοῖς ἀρμένοις συμβεβηκέναι δυνάμενον, νῦν ἀρμένων λέγεσθαι τῶν ἔμπροσθεν ὀργάνων εἰρημένων. ὅτι δ' ἐν τῷ προσήκοντι τόπῳ χρὴ τό γε σῶμα τοῦ κάμνοντος, καὶ τὰ ἄρμενα κεῖσθαι νῦν ἐπιδιορίζοντα. ἐν ταύτῃ δὲ τῇ γραφῇ μετὰ τῆς εἰρημένης ἐξηγήσεως, ὁ τόπος ἐπὶ τῇ τελευτῇ τῆς ὅλης ῥήσεως εἰρῆσθαι δόξει ἐπὶ τοῦ πεπονθότος μορίου τοῦ σώματος. ὀνομάζειν γὰρ εἰώθασιν ὥσπερ μόρια τοῦ σώματος, οὕτως καὶ τόπους οἱ ἰατροί, καὶ γέγραπταί τισιν ὅλα βιβλία περὶ τόπων πεπονθότων. ἄχρι μὲν τοῦδε τὰ κεφάλαια μόνον εἴρηται τῶν διεχθησομένων πραγμάτων. αὐτὴ δὲ ἡ διδασκαλία, ἐπὶ τὴν ἐφεξῆς ῥῆσιν ἄρχεται, διὸ καὶ προσέχειν ἐκείνοις σε θέλων ἀξιῶ. τὸ γὰρ οὐκ ὀρθῶς ἐν αὐτοῖς νοηθὲν, εἰς τὰ τῆς τέχνης ἔργα βλάπτει. τῶν ἄχρι μὲν δεῦρο προειρημένων, εἰ μὴ καὶ καλῶς τι νοήσειεν, οὐ μεγάλη βλάβη.

Ο δρῶν, ἢ καθήμενος, ἢ ἑστεὼς, ξυμμέτρως πρὸς ἑωυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν.

Ῥῆσιν ἔφην αὐτῷ κατάλογον γεγονέναι τῶν πραγμάτων, ὑφ' ὧν καὶ δι' ὧν, καὶ μεθ' ὧν τὰς χειρουργίας ἀναγκαῖον ἐστὶ γίγνεσθαι. τὰ μὲν οὖν ὑφ' ὧν ὅ, τε ἰατρός ἐστι, καὶ οἱ ὑπηρέται, τὰ δὲ δι' ὧν, τά γε ὄργανα, τὰ δὲ μεθ' ὧν, τό, τε φῶς, καὶ ὁ τόπος. περὶ ἃ δὲ, τό τε σύμπαν σῶμα τοῦ χειριζομένου, καὶ τὸ πεπονθὸς μόριον. ἐν δὲ τῇ προκειμένῃ ῥήσει, καὶ ταῖς ἐφεξῆς ἕκαστον τούτων ὁποῖον εἶναι χρὴ διδάσκει, μὴ φυλάττων τὴν τάξιν ἐν ᾗ τὸν κατάλογον ἐποιήσατο. πάντως γὰρ ἂν ἤδη τοῦ ἀσθενοῦντος ἤρξατο, σύνηθες δὲ τοῖς παλαιοῖς ἅπασι τοῦτο, καὶ μυρία παρὰ πάντων αὐτῶν βουληθεὶς ἐκλέξει παραδείγματα. πρὸς δὲ τὸ παρὸν ἀρκέσει παρὰ τοῦ ποιητοῦ τό, τε κατὰ τὸ β. τῆς Ἰλιάδος εἰρημένον ἐν τῷ καταλόγῳ.

Τίς τ' ἂρ τῶν, ὄχ' ἄριστος ἔην, σύ μοι ἔννεπε μοῦσα,
αὐτῶν ἠδ' ἵππων, οἳ ἅμα Ἀτρείδῃσιν ἕποντο.

Πρώτους γὰρ εἰπὼν τοὺς ἄνδρας, εἶτ' ἐφεξῆς τοὺς ἵππους, οὐ περὶ πρώτων τῶν ἀνδρῶν ἀπέδωκε τὸν λόγον, ἀλλά γε φησίν.

Ἵπποι μὲν μέγ' ἄρισται ἔσαν φηρητιάδαο,
τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὡς
ὄτριχας, οἰέτεας σταφύλῃ ἐπὶ νῶτον ἐΐσας,
τὰς ἐν πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων,
ἄμφω θηλείας, φόβον ἄρηος φορεούσας.
ἀνδρῶν δ' αὖ μέγ' ἄριστος ἔην τελαμώνιος Αἴας,
ὄφρ' Ἀχιλεὺς μήνιεν, ὁ γὰρ πολὺ φέρτατος ἦεν.

Ἑτέρωθι δὲ πάλιν εἰπὼν, ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν. ἐπανήνεγκε πρὸς τὸ δεύτερον ἀπαντήσας πρότερον, ὀλλύντων τε καὶ ὀλλυμένων. ἐν δὲ τῷ η̄. τῆς Ἰλιάδος ὥσπερ ἐξεπίτηδες ἐνδείξασθαι βουλόμενος, ὡς οὐ χρὴ πεφροντικέναι τῆς τοιαύτης λέξεως, πάντα καταλέξας ἐφεξῆς πράγματα. πρὸς μὲν γὰρ τὸ δεύτερον, ἀπήντησε πρῶτον, εἶθ' ἑξῆς πρὸς τὸ πέμπτον, εἶτα πρὸς τὸ τέταρτον, εἶτα πρὸς τὸ τρίτον. ἔστι δὲ τὰ ἔπη, ὧν ἀρχὴ, οἱ δὲ οἱ στίχοι. ἔνθα δὲ Βοιωτοί τε καὶ Ἴωνες ἑλκεχίτωνες, Λοκροὶ καὶ Φθίοι, καὶ φαιδιμόεντες Ἐπειοί. περὶ μὲν δὴ τῆς ἐν τῷ λόγῳ τάξεως, ἀρκεῖ ταῦτα τὰ ἅπαξ εἰρῆσθαι νῦν, ὡς μηκέτ' ἐν ἄλλῳ περὶ αὐτῶν ἀκοῦσαι ποθεῖν. τὰ δὲ περὶ τοῦ δρῶντος, ὅπερ ἐστὶ χειρουργοῦντος ἰατροῦ, δῆλα πᾶσιν ἐστὶ τοῖς βουλομένοις προσέχειν αὐτῷ. φησὶ γὰρ ἤτοι καθήμενον, ἢ ἑστῶτα τὴν χειρουργίαν ποιεῖσθαι τὸν ἐνεργοῦντα, συμμέτρως ἔχοντα πρός τε τὸν χειριζόμενον, καὶ τὴν αὐγὴν, ὃν ἔχομεν σκοπὸν φυλάττειν, πρὸς ἕκαστον ὧν εἶπε συμμετρίαν ἐφεξῆς διδάσκει ἀπαντήσας πρῶτον, ὅπερ ἐστὶν ἡ αὐγή.

Αὐγῆς μὲν οὖν δύο εἴδεα, τὸ μὲν κοινὸν, τὸ δὲ τεχνητόν. τὸ μὲν οὖν κοινὸν, οὐκ ἐφ' ἡμῖν, τὸ δὲ τεχνητὸν, καὶ ἐφ' ἡμῖν.

Καὶ περὶ τοῦ τῶν εἰδῶν ὀνόματος ἅπαξ ἀκούσας νῦν, εἰσαεὶ μέμνησο. τοῖς γὰρ παλαιοῖς ἔθος ἐστὶ καὶ διαφορὰς, καὶ εἴδη καὶ τρόπους ὀνομάζειν τὰ ἐπὶ τὴν τομὴν τῶν γενικωτέρων πραγμάτων ὑποπίπτοντα. καὶ νῦν οὖν οὕτως εἶπεν ὁ Ἱπποκράτης αὐγῆς εἶναι δύο εἴδη, ὡς εἰ καὶ διαφορὰς καὶ τρόπους εἰρήκει δύο. τὸ μὲν οὖν κοινόν ἐστιν ᾧ πάντες ἄνθρωποι χρώμεθα, μάλιστα μὲν ἐν ὑπαίθρῳ, δεύτερον δὲ ἐν οἴκοις μεγάλοις, θύρας μεγάλας φωτὸς πλήρεις ἔχουσιν, οἷοι καὶ νῦν ἐπὶ πολλὰς τῶν πόλεων δέδονται ἰαμένοις τοῖς ἰατροῖς, οὓς ἐπωνύμως αὐτῶν ἰατρεῖα προσαγορεύουσι. τὸ δὲ τεχνητὸν φῶς, μάλιστα μὲν καὶ τοῦτο γίγνεται, λύχνους ἀψάντων, ἢ δᾷδας, ἢ λαμπάδας, ἢ τι τοιοῦτον. κατὰ δὲ δεύτερον λόγον ἀνοιξάντων θυρίδας, ἢ ὅλας, ἢ ἐκ μέρους, ἢ τὰς μὲν κλεισάντων, τὰς δὲ ἀνοιξάντων, καὶ περὶ θυρῶν ὁ αὐτὸς λόγος.

Ὧν ἑκατέρου δυνατοὶ χρῆσθαι, ἢ πρὸς αὐγὴν, ἢ ὑπ' αὐγήν.

ἑκατέρω

Ἑκατέρου τῶν τῆς αὐγῆς εἰδῶν, τοῦ τε κοινοῦ καὶ τοῦ τεχνητοῦ, δύο φασὶν εἶναι χρήσεις, ἢ πρὸς αὐγὴν, ἢ ὑπ' αὐγήν. πρὸς αὐγὴν μὲν καλῶν, ὅταν πρὸς ταύτην ἐστραμμένον ᾖ τὸ χειριζόμενον, ἢ κατανοούμενον. ὑπ' αὐγὴν δὲ, τὸ βραχὺ παρακεκλιμένον, ὥσπερ ἐπὶ τῶν ὑποχυμάτων, καὶ ὅλως τῶν κατ' ὀφθαλμοὺς διαθέσεων. οὔτε γὰρ διαγνῶναι δυνατόν ἐστιν ἀκριβῶς τὰ κατ' αὐτοὺς πάθη πρὸς τὴν αὐγὴν ἐστραμμένου τοῦ πάσχοντος, οὔτ' ἰάσασθαι, διὰ τοῦτ' οὖν τὸ μὲν πρὸς αὐγὴν φευκτέον ἐστίν. τὸ δὲ ὑπ' αὐγὴν, ἤτοι ἀπεστραμμένον τῇ αὐγῇ, ἢ λοξὸν ἐσχηματισμένον εἶναι χρὴ τὸ χειρουργούμενόν τι τῶν περὶ τοὺς ὀφθαλμούς. αὐτὸς δ' ἀκούε μου τοὺς ὄντως ὀφθαλμοὺς λέγοντος, οὐ τὰ βλέφαρα. κατὰ ταῦτα γὰρ ἐνεργεῖν ἐγχωρεῖ, καὶ πρὸς τὴν αὐγὴν ἐστραμμένου τοῦ ἀνθρώπου, καθάπερ ἐπὶ τῆς τῶν ὑδατίδων ἄρσεως, ἢ διὰ βροχισμοῦ τριχῶν, ἢ ἀναῤῥαφῆς, ἢ ὅλως ἐφ' ὧν ὁ ἰατρὸς οὐ δεῖται τῶν βλεφάρων ἀνεῳγμένων. ἐὰν μὲν οὖν ὁ ὀφθαλμῶν τύχῃ σφοδρῶς ἡλκωμένος, ὁ θεραπευόμενος τὸ καλούμενον ἔχων σταφύλωμα, τελέως ἀπεστράφθαι προσήκει τὴν αὐγὴν αὐτὸν ἐν παντὶ χρόνῳ, πλὴν ἐν ᾧ φάρμακον ἐπιτίθησι τοῖς ὀφθαλμοῖς ὁ ἰατρός. ἐν ἐκείνοις γὰρ αὐτὸς ἄνευ αὐγῆς οὐκ ὄψεται τὸ πεπονθός, ὥσπερ οὐδὲ εἰ πτερύγιον ἐκτέμνειν ἐθελήσειεν, ἢ ὑπόχυμα κατάγειν, ἤ τι τοιοῦτον χειρουργεῖν, ἀλλὰ λοξὸν ὡς πρὸς τὴν αὐγὴν προσήκει τηνικαῦτα σχηματίζειν τὸν χειρουργούμενον, ὅπως μήθ' ὑπὸ τῆς αὐγῆς ἡ κόρη πλήττοιτο, μήθ' ὁ ἰατρὸς ἀποστεροῖτο τῆς τέχνης, ἤγουν τῆς θέας ὧν θεραπεύει μορίων. ὀνομασθήσεται δὲ σαφῶς ὁ μὲν ἀπεστραμμένος τὴν αὐγὴν, οὔτε πρὸς αὐγὴν, οὔθ' ὑπ' αὐγὴν, ἀλλ' ἀπὸ τῆς αὐγῆς μᾶλλον ὁ λοξὸς πρὸς αὐγήν. Ἱπποκράτει δ' ἔδοξε βέλτιον ἑρμηνεία τῇ δι' αὐγῆς, ἢ ὑπ' αὐγῆς εἶναι φωνῆς.

Ὑπ' αὐγὴν μὲν οὖν ὀλίγη τε ἡ χρῆσις, καὶ καταφανής τε ἡ μετριότης.

Ἐδείχθη πρόσθεν, οὐδὲν γὰρ τῶν ἄλλων μορίων, πλὴν ὀφθαλμῶν δεῖται τῆς τοιαύτης χειρουργίας. ἐπεὶ δὲ, ὡς ἔφην, ἀπεστράφθαι τελέως τὴν αὐγὴν ἀδύνατόν ἐστιν ἐν ταῖς χειρουργίαις, ἐν τῷ μεταξὺ βούλεται τοῦ τ' ἀπεστράφθαι, καὶ τοῦ πρὸς αὐγὴν ἐστράφθαι σχηματίζειν τὸν ἄνθρωπον, οὐ μὴν ἴσον ἐπὶ πάντων τῶν παθῶν ἀπεστράφθαι προσήκει τὸν ἰατρὸν τῆς αὐγῆς, ἐφόσον αὐτὸ τὸ πάθος ἀναγκάζει. οἱ μὲν γὰρ ἡλκωμένοι, καὶ ὑπόπυοι, καὶ σταφυλώματα ἔχοντες, ἢ καὶ φλεγμονὴν μεγάλην, ἢ ῥεῦμα δριμὺ, καὶ πρὸς τῆς ὀλίγης αὐγῆς πλήττονται σφοδρῶς, ὡς ὀδυνᾶσθαί τε καὶ ῥευματίζεσθαι παραχρῆμα, τούτων δ' ἧττον ὑπὸ τῆς αὐγῆς ἐνοχλεῖται παρακεντούμενός τις, ἢ πτερύγιον, ἢ ἐγκανθίδα χειριζόμενος. ἡ τοίνυν τῆς ἀποστροφῆς μετριότης, ἣν ἀπὸ τῆς αὐγῆς ἀπεστράφθαι προσήκει τὸν χειριζόμενον, εὑρεθήσεταί σοι δύο τούτοις προσέχοντι σκοποῖς, τῷ τε σαφῶς ὁρᾶν τὸν ἰατρὸν, ὃ πράττει περὶ τὸν ὀφθαλμὸν ἐν τῇ χειρουργίᾳ, τῷ τε μὴ σφοδρῶς ἀνιᾶσθαι τὸν χειριζόμενον, ἐπεὶ ἑκάτερος σκοπὸς ἐναντίον ὑπαγορεύει σχῆμα, πρὸς τὸν ἐπικρατοῦντα ποιῶν τὴν αἵρεσιν. εἰ δέ σοι δόξειεν μηδ' ἕτερος ἐπικρατεῖν, τὸ μέσον αἱροῦ σχῆμα, τῶν τε ἀκριβῶς ἐστραμμένων πρὸς τὴν αὐγὴν, καὶ τῶν ἀπεστραμμένων αὐτήν. ἐγώ σοι τὴν ὁδὸν ἀφηγησάμην, ᾗ χρώμενος εὑρήσεις τὸ μέτριον τῆς ἀποστροφῆς. Ἱπποκράτης δ' εἶπεν, ἡγούμενος ἅπασαν καταφανῆ τὴν μετριότητα γενέσθαι ῥᾳδίως, εἰ βουληθεῖεν εὑρεῖν. οὐ γὰρ ἀπαιδεύτους ἀνθρώπους, ὡς ἡμεῖς νῦν, ἀλλ' ἱκανῶς γεγυμνασμένους ἐν τοῖς μαθήμασιν ἐδίδαξεν, ὡς τὰ τοιαῦτα, καὶ αὐτοὺς ἐπινοεῖν ἑτοίμως ἐξ ἀκολουθίας τοῖς τῶν προειρημένων.

Τὰ δὲ πρὸς αὐγὴν, ἐκ τῶν παρεουσέων, ἐκ τῶν ξυμφερουσέων αὐγέων, πρὸς τὴν λαμπροτάτην τρέπειν τὸ χειριζόμενον.

Ὅσον μὲν ἐπὶ τὸ δεῖν ἐναργέστατα βλέπειν τὸν ἰατρὸν, ὅσα πράττει περὶ τὴν χειρουργίαν ἐν τῷ τοῦ κάμνοντος σώματι, τὴν λαμπροτάτην αὐγὴν αἱρεῖσθαι χρὴ κατὰ πάντα τὰ μόρια, πλὴν ὀφθαλμῶν. ἡ λαμπροτάτη δέ ἐστι τῶν αὐτῶν, ἐν ὑπαίθρῳ χωρίῳ τοῦ ἡλίου καταλάμποντος, αὐτὴν μηδενὸς ἐπισκοποῦντος. ἀλλ' ἐνίοτε μὲν οὐδέν ἐστι τοιοῦτον ἐν τῇ τοῦ χειριζομένου καταγωγῇ. πολλάκις δέ ἐστι μὲν, ἀλλ' οὐ συμφέρει εἰσάγειν εἰς αὐτὸ, χειμῶνος μὲν διὰ κρύος, ἐν θέρει δὲ διὰ θάλπος, ἑκατέρου γὰρ αὐτῶν ἐστι ἰδία βλάβη. καὶ πρὸς τούτοις ἔτι φυλάττεσθαι χρὴ τοὺς ἀνέμους, ὥστε διὰ τούτους οὐ μόνον αὐτὸν τὸν καλὸν ἀέρα φεύγομεν πολλάκις, ἀλλὰ καὶ τὰς πλησίον θύρας, καὶ θυρίδας ἄνεμον εἰσπνέοντα σφοδρῶς ἄγειν τὸν ἐνεργούμενον. ἐπ' ἐκείνων δὲ μάλιστα φεύγομεν ἄνεμον, ἐφ' ὧν εὐλαβούμεθα παθεῖν τι τὸ νευρῶδες γένος, ὥσπερ γε πάλιν ἥλιον ἐπὶ τῶν σηπομένων, ὡς πρὸς αἱμοῤῥαγίαν ἐπιτηδείως ἐχόντων. καλῶς οὖν προσέθηκε τῶν παρεουσέων, τῶν συμφερουσέων. οὐ γὰρ ἁπλῶς ἐκ τῶν παρουσῶν αὐτῶν αἱρεῖσθαι χρὴ τὴν λαμπρότητα, ἀλλὰ καὶ προσεπιβλέπειν, εἰ καὶ τῶν συμφερουσῶν αὐτῶν ἐστιν ἡ λαμπροτάτη.

Πλὴν ὁκόσα ἢ λαθεῖν δεῖ, ἢ ὁρῇν αἰσχρόν.

Οὐ σαφῆ τῇ λέξει τὴν ἑαυτοῦ διάνοιαν ἑρμήνευσεν ὁ τεχνικὸς, ἀλλ' ὥστε δόξαι μὴ δεῖν πρὸς αὐγὴν τρέπειν τὰ χειριζόμενα μόρια τῶν καμνόντων, ὅσα λαθεῖν προσήκει ἢ ὁρᾶν αἰσχρὸν, ὃ δὲ οὐ τοῦτο βούλεται. ἐφεξῆς οὖν φησιν.

Οὕτωσι δὲ τὸ μὲν χειριζόμενον ἐναντίον τῇ αὐγῇ. τὸν δὲ χειρίζοντα, ἐναντίον τῷ χειριζομένῳ, πλὴν ὥστε μὴ ἐπισκοτάζειν.

Ἐχρῆν γὰρ ὡδί πως ἑρμηνεύεσθαι τὴν ὅλην διάνοιαν ὑπ' αὐτοῦ. τὰ δὲ πρὸς αὐγὴν ἐκ τῶν παρεουσῶν, ἐκ τῶν συμφερουσῶν αὐγέων, πρὸς τὴν λαμπρότητα τρέπειν τὸ χειριζόμενον, οὐ μὴν ἀλλὰ καθαράν γε καὶ ἀνεπισκότητον φυλάττειν χρὴ τὴν αὐγὴν, ἀλλ' ἐν οἷς λαθεῖν ἂν ἢ ὁρᾶν αἰσχρὸν, ἑαυτὸν οὕτως σχηματίζειν, ὡς τοὺς μὲν ὅλως πάντας ἀφαιρεῖσθαι τῆς θέας τῶν χειριζομένων μορίων. ἑαυτῷ δὲ κατὰ μηδὲν ἐπισκοτεῖν. ἡ μὲν δὴ διάνοια τῆς ὅλης ῥήσεως ἐστὶ τοιαύτη. τάχα δέ τις ἀκοῦσαι ποθεῖ σαφῶς τὴν ἀπόθεσιν ἣν βούλεται λαθεῖν ὁ ἰατρὸς τοὺς παρεστῶτας. ἴσως μὲν οὖν ἐνίων χειρουργιῶν τὸ ἀκριβὲς, οὐδὲ διδάξαι βουλήσεταί ποτε τῶν παρόντων τινὰς, οὐκ ἀξίους ὄντας αὐτὸ μαθεῖν. οὐ μὴν ἀλλὰ τούς γε τῶν χειριζομένων οἰκείους, ἐνίοτε βουλομένους μὴ τέμνειν ὅσα περ τέμνειν σώματα δεόμενα δηλονότι τῆς τοιαύτης χειρουργίας. ἀνιῶνται γὰρ ἅμα καὶ ἀγανακτοῦσι πρὸς τὸν ἰατρὸν ὡς δήμιον. ἀλλὰ καὶ ὄρχιν σεσηπότα πολλάκις ἀναγκαῖον ἐγένετο τελέως ἐκκόψαι, καὶ νεῦρον διατεμεῖν ὅλον ἐγκάρσιον, ἕνεκα τοῦ μὴ

απαθῆναι τὸν ἄνθρωπον. ἔνιοι δὲ τῶν ἰδιωτῶν οὐδὲ τοὐτοῦ πάθος ὑπομένουσι θεάσασθαι, τινὲς δ' ἐπιτρέπουσιν ὅλως ἀνοῖξαι σῶμα τοὐτοῦ χωρίου, ἐφ' ὧν ὁ ἰατρὸς οὐ καταμανθάνων τὸν πεπονθότα τόπον ἔτεμνεν ἀφθόνως, καὶ πᾶν ἐξέκεινε τὸ πῦον, ἀλλὰ διὰ δειλίαν τῶν καμνόντων ἐνίοτε τοῦθ' ἡμῖν πράττεται. εἰσὶ γάρ τινες οὕτω δειλοὶ πρὸς τὰς χειρουργίας, ὡς λιποψυχεῖν πρὶν τμηθῆναι, διὰ τὴν τῆς ὀδύνης προσδοκίαν, ἐπὶ τούτων ἀξιοπίστως χρὴ περὶ μὲν τῆς χειρουργίας λέγειν, αὖθις σκέψασθαι, κατὰ δὲ τὸ παρὸν ἐᾶν. νῦν δὲ καταντλεῖν ὕδατι ἢ πυελῶν σπόγγοις, ὡς παρασκευάζοντα τὸ μόριον εἰς ἐπίθεσιν καταπλάσματος ἢ φαρμάκου, κᾆν τούτῳ μὴ προσδοκῶντα τὸν δειλὸν ἄνθρωπον τέμνειν. ἐν μὲν δὴ τοῖς τοιούτοις ὁ μὲν ἰατρὸς ἐπισκοτήσει θεάσασθαι τοῖς παροῦσιν, ἕνεκα τοῦ λαθεῖν, ἐν ἄλλοις δὲ διὰ τὴν αἰδῶ τῶν τεμνομένων, ἐπειδὰν περὶ πολλοῦ ποιῆται, μὴ βλέπεσθαι τοῖς πολλοῖς ἣν ἔχει διάθεσιν, ἤτοι κατὰ ἕδραν, ἢ ἐν τοῖς αἰδοίοις. ταῦτα γάρ ἐστιν ἃ βούλονται οἱ πάσχοντες λανθάνειν. ἐν εἴδει δὲ τῶν γυναικῶν, καὶ κατὰ τὰς πυγὰς καὶ τὸ στῆθος. τισὶ δὲ καὶ ἐπὶ τὴν γαστέρα, καὶ πολὺ δὴ μᾶλλον ἔτι κατὰ τὸ καλούμενον ἐφήβαιον. ἐγκαλῶν δέ τις ἐνταῦθα αὐτὸν Ἱπποκράτην, γελοίως αὐτὸν ἔφη τοῦτο γεγραφέναι. τοῖς γὰρ αἰρουμένοις μὴ ὀφθῆναι τὰ τοιαῦτα μόρια χειριζόμενα, πάρεστιν ἐκβαλλομένους τοῦ οἴκου τοὺς ἔνδον ὄντας ἅπαντας, ἐπιτρέψαι μόνῳ τῷ ἰατρῷ τὸ ἔργον, ἢ καί τινος ἑνός, ἢ δυοῖν τῶν οἰκειοτάτων παρόντων. ἀλλὰ ταῦτα λέγων, οὐ πεπείραται πολλῶν αἰδουμένων, ὥσπερ ὀφθῆναι τοῖς παροῦσι τὰς διαθέσεις αὐτῶν, οὕτω καὶ κωλῦσαι τινὰς θέας ἐνίους, καὶ χωρίζεσθαι σκευάσαι. πολλάκις δὲ κᾂν κελεύωσι χωρίζεσθαι τινὰς φιλονεικοῦντες, ἢ περιεργαζόμενοι, καὶ πολυπραγμονοῦντες, ἐπίστασθαι τὰ τοῦ κάμνοντος, ἔνιοι τῶν οἰκείων, ἢ φίλων ἀναιδῶς παραμένουσιν. ἐν τοῖς τοιούτοις οὖν καιροῖς χαρίζεσθαι χρὴ τῷ κάμνοντι τὸν ἰατρόν, ἄλυπον χάριν ὑποσχέσθαι τε κατὰ μόνας αὐτόν, καὶ μηδενὸς ἀκούσαντος, οὕτω ποιήσασθαι τὴν χειρουργίαν, ὡς λαθεῖν τοὺς πολλούς. δύναται γάρ, ὡς ἔφην, ἐν τῷ καταντλεῖν ὕδωρ, ἢ διὰ σπόγγων πυελῶν, ὡς μηδέπω μέλλων ἐνεργεῖν, ἐξαίφνης ἀνύσαι τὸ ἔργον. ἀλλ' ἔτι πραττόντων τῶν πολυπραγμονούντων θεάσασθαι. τὰ μὲν δὴ τοιαῦτα τῶν ἀμφισβητημάτων, ἔξωθέν ἐστιν τῶν τῆς ἰατρικῆς θεωρημάτων. ἡμεῖς δὲ ἐξ ἀηδίας, ἢ καὶ διὰ τὴν ἀντιλογίαν τῶν ἐπηρεαζόντων ἀναγκαζόμεθα μνημονεύειν αὐτῶν, ἐπὶ δὲ τὰ συνεχῆ τοῖς προειρημένοις ἤδη μετιέναι καιρός.

Οὕτω γὰρ ἂν ὁ μὲν δρῶν ὁρῴη, τὸ δὲ χειριζόμενον οὐχ ὁρῷτο.

Τὸ κἀνταῦθα τὸ τέλειον τῆς λέξεως ἐστὶ τοιοῦτον. οὕτως γὰρ ὁ μὲν δρῶν, ὁρᾷ τὸ χειριζόμενον μόριον, ὑπὸ δὲ τῶν ἄλλων οὐκ ἂν ὁρᾶτο τοῦτο τὸ μέρος. οὐ γὰρ δὴ πρὸς τοῦ ἰατρῶν ἄμφω πέπονθε τὸ χειριζόμενον, ὁρᾶσθαί τε καὶ οὐχ ὁρᾶσθαι.

Πρὸς ἑωυτὸν δὲ καθημένῳ μὲν πόδες ἐς τὴν ἄνω ἴξιν κατ' ἰθὺ γούνασι, διάστασιν δὲ ὀλίγον συμβεβῶτες, γούνατα δὲ ἀνωτέρω βουβώνων σμικρὸν διάστασιν ἀγκῶσιν θέσει καὶ παραθέσει.

Τὴν πρὸς τὴν αὐγὴν συμμετρίαν τοῦ χειρίζοντος διελθών, πρὸς τὴν ἑαυτῶν συμμετρίαν ἥκει. εἰρηκὼς γὰρ ἔμπροσθεν ὁ δρῶν καθήμενος, ἢ ἑστὼς ξυμμέτρως πρὸς ἑωυτόν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν, εἶτα πρὸς τὸ τελευταῖον ἀπαντήσας πρῶτον. ἅμα δ' αὐτῷ καὶ τὴν πρὸς τὸ χειριζόμενον συμμετρίαν ἐξ ἀνάγκης μνημονεύσας, ἐπὶ τὴν αὐτοῦ πρὸς ἑαυτὸν ἀφίκετο συμμετρίαν τοῦ χειρίζοντος. αὐτὸν δὲ πρὸς ἑαυτὸν συμμέτρως ἔχειν θέσεως. οὐδὲν τῶν ἁπλῶν οὖν καὶ οἷον τὸ κατάρθρον διῃρημένον, ὡς ἄλλοτε ἄλλα ἴσχειν θέσιν ἐν ποικίλοις σχήμασιν, οὕτως ἂν δύναιτο ποτὲ μὲν ἔχειν συμμέτρως. ἐὰν γοῦν τις ἐπὶ πλεῖστον ἀλλήλων ἀπαγάγῃ καθήμενος ἢ ἑστώς, ἀμέτρως ἂν ἔχοι τοῖς μορίοις τούτοις πρὸς ἄλληλα, καθάπερ εἰ καὶ συνάγοι τελέως αὐτά, καὶ ψαύειν ποιήσειεν, ἢ καταθείη τὸ ἕτερον ἑτέρου, ἢ μᾶλλον ἀποτείνοι ἐπὶ μῆκος ὅλον τὸ σκέλος, ἢ μὴ κατ' εὐθὺ θείη τὸν πόδα τοῦ γόνατος, ἀλλ' εἰς τοὔπισω πολὺ τῆς εὐθύτητος ἀποκεχωρηκώς. εὐλόγως οὖν ὁ Ἱπποκράτης τὴν αὐτοῦ πρὸς ἑαυτὸν ἑκάστου συμμετρίαν ἐν τῷ καθεῖσθαι τὴν τῶν μορίων ὡρίσατο πρὸς ἄλληλα σχέσιν. τοὺς μὲν πόδας κατ' εὐθὺ τῶν γονάτων ἀξιώσας κατέχειν, ἐπειδὴ τὸ κατ' εὐθὺ δῆλόν ἐστιν, τὸ μὲν ἐπὶ τὸ μῆκος ἐκτεινόντων τὸ κῶλον, τὸ δὲ εἰς ὕψος ἀνατεινόντων, ὥσπερ ὅταν ὀρθοί. τὸ μὲν εἰκότως προσέθηκεν εἰς τὴν κάτω ἴξιν, ὀνομάζει δὲ συνήθως ἴξιν ἀεὶ τὴν εὐθύτητος θέσιν. ἄρα τοιγαροῦν τοὺς πόδας ὀλίγον ἀπ' ἀλλήλων ἀξιοῖ, τὸ δὲ ὡς πρὸς βουβῶνα τοῦ γόνατος ὕψος ὀλίγον ὑπερέχειν, σκοπὸν ἔχων ἐν τοῖς πᾶσι, τήν τε εὐσχημοσύνην, καὶ τὴν εἰς τὰς ἐνεργείας ἑτοιμότητα, καὶ τὴν ἀσφάλειαν τῆς ἕδρας, ὡς δυσπεριστρεπτον τοῦ καθεζομένου οὕτως, διὸ καὶ τὰ γόνατα, καὶ ὅλους δηλονότι τοὺς μηροὺς ἄχρι τῶν βουβώνων διάστασιν ἔχειν ἀξιοῖ τοσαύτην ἀπ' ἀλλήλων, ὡς εὐσχημόνως τε ἅμα καὶ ἀσφαλῶς, καὶ πρὸς τὰς ἐνεργείας ἀκωλύτως. ἐνίοτε μὲν ἐρείδεσθαι τοὺς ἀγκῶνας τῶν χειρῶν ἐπὶ τοῦ πήχεος τι μέρος ἐπὶ τῶν μηρῶν, ἐνίοτε δὲ ἑκατέρωθεν αὐτῶν παρατεταγμένας ἐνεργεῖν. τὸ μὲν γὰρ θέσει τῆς ἐπ' αὐτῶν ἕδρας δηλωτικόν, τὸ δὲ παραθέσει τῶν πλαγίων.

Ἱμάτιον εὐσταλέως, εὐκρινέως, ἴσως, ὁμοίως, ἀγκῶσιν, ὤμοισι.

Τὸ μὲν εὐσταλέως, ἀντὶ τοῦ προσεσταλμένως εἴρηκεν, ὡς μήτε περιτετραμμένον αὐτό, μήτε χαλαρὸν περικεῖσθαι τῷ σώματι τοῦ ἰατροῦ. τὸ δὲ εὐκρινέως, ὑπ' αὐτοῦ τοῦ ἱματίου λέλεκται. κελεύει γὰρ καὶ τοῦτο μηδὲν αὐτοῦ μέρος συνδεδιπλῶσθαι. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, ἴσως, ὁμοίως, ἀγκῶσιν, ὤμοισιν, ἀμφίβολόν ἐστιν. ἤτοι γὰρ ἴσως καὶ ὁμοίως ἐν ἀμφοτέραις ταῖς χερσὶ περιβεβλῆσθαι τοῖς ἀγκῶσι, καὶ τοῖς ὤμοισιν ἀξιοῖ τὸ ἱμάτιον, ὡς περιβάλλεσθαι τὰς δύο χεῖρας ἀλλήλαις ὅπερ οἱ πολλοὶ συγκρίνεσθαι καλοῦσιν, ἢ τοὺς ἀγκῶνας, ἢ τοὺς ὤμους ἀλλήλοις περιβάλλειν, κατ' ἀμφοτέρας τὰς χεῖρας κελεύων ἴσως, καὶ ὁμοίως τοῖς ἀγκῶσι καὶ τοῖς ὤμοις, καθ' ἑκάτερον αὐτῶν περιβεβλῆσθαι τὴν χεῖρα. ὅτι μὲν οὖν οὐκ ἀνωτέρω τῶν ἀγκώνων βούλεται τὴν περιβολὴν γίγνεσθαι τοῦ ἱματίου, πρόδηλον. ἀσκεπάστους γὰρ εἶναι τούτους αἰσχρόν, οὐκ ἰατρῷ μόνον οὕτω σεμνὴν ἐργαζομένῳ τέχνην, ἀλλὰ καὶ τοῖς κατὰ τὴν ἀγορὰν ἐν θορύβῳ πολλῷ δίκας λέγουσιν, οὓς καὶ αὐτοὺς αἰδουμένους ἰδεῖν ἐστιν ἀνωτέρω τῶν ἀγκώνων ἔχειν

τὸ ἱμάτιον, ὡς εἰς παγκράτιον παρεσκευασμένους. ἔστι δὲ καὶ ἄλλως ἐκκρῖναι τὸ τοιοῦτον τῆς περιβολῆς εἶδος ψυκτικόν, οὐ μόνον τῶν περὶ ἀγκῶνα μορίων, ἀλλὰ καὶ τῆς ὅλης χειρός, οὐ μὴν ἐδήλωσε τὸ ποσόν, εἰ ὑπὲρ τὸν δεξιὸν ἀγκῶνα τοῦ πήχεος ἐπιλαμβάνειν αὐτὸ προσῆκεν, ἢ δηλονότι παρέλιπεν ὡς σαφὲς ὄν, καὶ πρὸς ἁπάντων ἡμῶν εὑρεθῆναι δυνάμενον, οὐ γὰρ χαλεπόν ἐστι στοχάσασθαι καθ' ἑκάστην ἐνέργειαν, ὁπόσον δεῖ τοῦ ἱματίου τοὺς ἀγκῶνας ὑπερβαίνοντας ἐκτετάσθαι κατὰ τοῦ πήχεος, σκοπὸν κἀνταῦθα πεποιημένους, τόν τε τῆς εὐσχημοσύνης, καὶ τὸν τῆς πρὸς τὴν προκειμένην χειρουργίαν χρείας, ὥσπερ δι' ὀλίγον ἔμπροσθεν ἐφ' ὧν ἐχρῆν λαβεῖν, ἐναντίος ἔφη εἶναι σκοπός, ἵνα μὲν μὴ βλέπηται τὸ φαινόμενον σκιᾶς ἄνευ ἀέρος. ἵνα δὲ ὁ χειρίζων αὐτὸ βλέπῃ, λαμπροῦ φωτός. ὁπότε δ' αὖ αὐτῶν ἐπικρατεῖ, τὸν σκοπὸν ἐκείνῳ προσχωρεῖν. εἰ δέ σοι δοκεῖεν εἶναι, τὸ μέσον ἀκριβῶς ἀμφοτέρων αἱρεῖσθαι, κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν ἐστι, καὶ διὰ παντὸς ἐπὶ πάντων ποιητέον, ἔνθα πρὸς ἐναντία πράγματα ποδηγοῦσιν οἱ σκοποί, τῷ μέσῳ μὲν ἀμφοῖν αἱρουμένους πάντων. ὁπότερος δ' αὖ ἐπικρατεῖ, πρὸς ἐκεῖνον ἐκκλίνοντας. τὸ μὲν οὖν περὶ τὴν χειρουργίαν, ὅσον ἐπ' αὐτῇ ἐδεῖτο τῆς ὅλης χειρὸς γυμνῆς, τὰ δὲ τῆς εὐσχημοσύνης, ὅλης αὐτῆς ἐσκεπασμένης. διὰ τοῦτ' οὖν ἀεὶ μὲν τὸ μέσον ἀμφοῖν αἱρεῖσθαι προσήκει, προσχωρεῖν δὲ τῷ μᾶλλον ἐπείγοντι.

Πρὸς δὲ τὸ χειριζόμενον, τοῦ μὲν πρόσω καὶ ἐγγὺς, καὶ ἄνω καὶ κάτω, καὶ ἔνθα ἢ ἔνθα, ἢ μέσον. τοῦ μὲν πρόσω καὶ ἐγγὺς, ὅρον ἀγκῶνες. ἐς μὲν τὸ πρόσθεν γούνατα μὴ ἀμείβειν, ἐς δὲ τὸ ὄπισθεν, πλευράς. τοῦ δὲ ἄνω, μὴ ἀνωτέρω μαζῶν ἄκρας χεῖρας ἔχειν, τοῦ δὲ κάτω, μὴ κατωτέρω, ἢ ὡς τὸ στῆθος ἐπὶ γούνασιν ἔχειν ἄκρας χεῖρας ἐγγωνίους πρὸς βραχίονας. τὰ μὲν περὶ μέσον οὕτως, τὰ δὲ ἔνθα ἢ ἔνθα, μὴ ἔξω τῆς ἕδρης. κατὰ λόγον δὲ τῆς ἐπιστροφῆς προβαλλόμενον τὸ σῶμα, καὶ τοῦ σώματος τὸ ἐργαζόμενον.

Ἐπειδὰν τὸν ἰατρὸν ἐκέλευσε συμμέτρως ἔχειν πρὸς ἑαυτόν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν, ἤτοι καθήμενον, ἢ ἑστῶτα, καὶ πρῶτον ἐνεχείρησε λέγειν τὴν τοῦ καθημένου συμμετρίαν πρὸς ἕκαστον τῶν τριῶν, ἀρξάμενος ἀπὸ τῆς αὐγῆς, εἶτα μεταβὰς ἐπὶ τὴν πρὸς ἑαυτὸν αὐτοῦ συμμετρίαν, καὶ ταύτην διελθὼν, ἐπὶ τὸ λοιπὸν ἔτι τρίτον ἥκει, διδάσκων τὴν πρὸς τὸ χειριζόμενον αὐτῷ συμμετρίαν. ὅτι γὰρ ἐγγὺς πάνυ προσήκει καθῆσθαι τοῦ χειριζομένου τὸν ἰατρόν, ὡς ὑπὸ στενοχωρίας ἐμποδίζεσθαι τὰς τῶν χειρῶν ἐνεργείας, οὔτε διεστηκέναι τοσοῦτον, ὡς μόγις ἐφικνεῖσθαι τοῦ χειριζομένου. τίθησι γοῦν κἀνταῦθα τινὰς ὅρους, ὧν οὔτ' εἰς τὸ πρόσω χωρεῖν, οὔτ' εἰς τοὐπίσω προσήκει τὸν χειρίζοντα. μεμνήμεθα δὲ ὅτι περὶ τοῦ καθημένου πρῶτον ὁ λόγος ἐστὶν αὐτῷ. τοῦτον οὖν ἀξιοῖ διεστηκέναι τοῦ κάμνοντος, ὡς μήτε προσωτέρω ποτὲ τῶν γονάτων ἔχειν τοὺς ἀγκῶνας, μήτε ὀπίσω τῶν πλευρῶν. ἐπὶ μὲν δὴ τῆς περὶ τοὐπίσω τε καὶ πρόσω διαστάσεως, τούτους ἔθετο τοὺς ὅρους. ὀνομάζεται δὲ περὶ τὸ μῆκος ἡ διάστασις αὕτη, λοιπῶν δ' οὐσῶν διαστάσεων, μιᾶς μὲν τῆς κατὰ τὸ πλάτος, ἑτέρας δὲ τῆς κατὰ τὸ βάθος καὶ ὕψος, ἑκατέρως γὰρ ὀνομάζεται. τῆς μὲν γὰρ κατὰ τὸ ὕψος ὅρια τίθησι, μήτε ἀνωτέρω τῶν μαστῶν ἄκρας χεῖρας ἔχειν τὸν ἐνεργοῦντα, μήτε κατωτέρω, ἢ ὡς τὸ στῆθος ἐπικείμενον ἔχοντα τοῖς γόνασι τὰς χεῖρας ἐγγωνίους ἐσχηματικέναι πρὸς τὸν βραχίονα. καλεῖ δὲ ἐγγωνίους ὅταν ὀρθὴν γωνίαν πῆχυς ἐργάζηται πρὸς τὸν βραχίονα. μέσον γάρ ἐστι τοῦτο τὸ σχῆμα, καμπῆς τε τῆς κατ' ἀγκῶνα τελέως, μεθ' ἣν οὐκέτι κάμψαι δυνατόν ἐστι, ἐκστάσεώς τε σχήματος, μεθ' ἣν ἀμήχανον ἔσται ἐπεκτεῖναι τὴν χεῖρα. τῆς δὲ περὶ πλάτος εἰς τὰ πλάγια μέρη γιγνομένης διαστάσεως ὅρον, ἑκατέρως ἔθετο, τὸ κατὰ τὸ δεξιόν, καὶ τὸ τέλεον, ὡς ἄχρηστον ποιεῖσθαι τὰς ἐπιστροφάς, ὡς μὴ κατακινεῖσθαι τὰς ἕδρας, τουτέστι τὰ μόρια τοῦ σώματος οἷς ἑδραζόμεθά τε καὶ στηριζόμεθα περὶ τῶν ὑποκειμένων. εἴρηται μὲν οὖν ἐφεξῆς ἀλλήλων οἱ ὅροι περὶ διαφέροντας χρόνους. ἐν ᾧ γὰρ χρόνῳ περὶ τὸν περὶ μῆκος ἐδίδασκε διάστασιν, ἐν τούτῳ περὶ τῆς περὶ πλάτος καὶ ὕψος οὐχ οἷόν τε ἦν διδάσκειν, ὥσπερ οὐδὲ ὁπότε περὶ ἑκατέρας τῶν λοιπῶν δυοῖν. αὐτὸν δὲ τὸν ἰατρόν, οἶμαι ταῦτα συμβουλεύει, διὰ παντὸς τοῦ χρόνου ἀποβλέπειν χρὴ τῇ διανοίᾳ πρὸς τὰ λελεγμένα πάντα. καὶ ἐν πάντων ἐστὶν ἅμα χρεία κατὰ πᾶσαν ἐνέργειαν. οὔσης οὖν τινος μέσης καταστάσεως ἐν τῷ καθῆσθαι τὸν ἰατρόν, ὅταν μὴ βλέπων μηδὲν ἐνεργῇ, ταύτην εὐσχημονεστέραν τε καὶ σεμνοτέραν εἶναι προσῆκεν, ὡς εἰ καὶ γραφεύς τις ἢ πλάστης ἔμελλεν αὐτοῦ ποιήσειν εἰκόνα. πρὸς δὲ τὴν χειρουργίαν ἀφικνουμένου, χρὴ κινεῖσθαι τὰς χεῖρας, ἐνίοτε μὲν ἅμα πρόσω τε καὶ ἄνω, κἄπειτα δ' ἐπ' ἀριστερὰ μετὰ τοῦ πρόσω τε καὶ ἄνω. πάλιν ἐκ τούτων τῶν σχημάτων, ἤτοι γε ὀπίσω τὰς χεῖρας ἀμφοτέρας, ἢ μόνην μίαν φέρειν. οὕτω δὲ καὶ ἢ κάτω ποτέ, ἢ πάλιν ἄνω καὶ κάτω τε καὶ ὀπίσω. πολυειδῶς γὰρ τὰ σχήματα ὑπαλλάσσεται, συμπλεκομένων ἀλλήλαις τῶν διαστάσεων, ἐν ἁπάσαις ταύταις ἐστὶ κοινὸν τὸ φυλάττειν τὴν ἕδραν, ἣν διαφθείρουσιν ἔνιοι, τοὺς ὅρους τῶν διαστάσεων ὑπερβάλλοντες. ἐάν τε γὰρ οὕτως ὑψηλὸν ᾖ κείμενον τὸ χειριζόμενον μόριον, ὡς ὑπὲρ τοὺς αὐτοὺς τιτθοὺς ἀναφέρειν τὰς χεῖρας τὸν ἰατρόν, ἀναγκασθήσεται ποτὲ κουφίσαι μετεωρότερον αὐτὸν ἀπὸ τῆς ἕδρας, ὡς ἀνιστάμενος, ὡς μηδὲ ἑστάναι μηδέπω, μηδὲ καθῆσθαι, ἀλλ' ἐν ἀστηρίκτῳ τε καὶ μέσῳ τούτων σχήματι καθεστάναι, αὖθ' ἐπὶ πλεῖστον ἐπὶ τὸ δεξιόν, ἢ ἐπὶ τὸ ἀριστερὸν μέρος ἀποκεχωρηκὼς, ἐπ' ἐκείνοις αὐτὸς ἐκ τῆς ἕδρας κινηθήσεται, ὡς ὀλισθήσεσθαι ἐξ αὐτῆς κινδυνεῦσαι. τί δεῖ λέγειν, ὡς ἐπὶ τοῦ πρόσω μέρους ἀμφοτέρας ὅμοια πείσεται; καὶ μόνον γέ τις τοῦ εἰς τὰ κάτω πρὸς τὸ σκοπεῖν αὐτοῦ τὴν ἐνέργειαν ἐν ᾧ πρέπει σχήματι καθήσεται.

Ἑστεῶτα δὲ δεῖ, καὶ ἐπ' ἀμφοτέρων βεβῶτα ἐξ ἴσου τῶν ποδῶν ἄλις. δρῆν δὲ τῷ ἑτέρῳ ἐπιβεβῶτα, μὴ τὸ κατὰ τὴν δρῶσαν χεῖρα ὕψος γουνάτι πρὸς βουβῶνα ὡς ἐν ἕδρῃ. καὶ τὰ ἄλλα ὅρια τὰ αὐτά.

Τὸν περὶ τοῦ καθημένου συμπληρώσας λόγον, ἐπὶ τὸν ἑστῶτα μετέβη πάντως αὐτὸν κελεύων φυλάττειν, ὃ μικρὸν ἔμπροσθεν ἐπὶ τῶν καθημένων ἐκέλευσεν, ὅτι τὸ τῆς βάσεως τῶν ποδῶν ἄνισον. ὑψηλότερον γὰρ εἶναι βούλεται

τὸν ἕτερον αὐτῷ, ὡς μὴ κατ' εὐθύ τι ἐνεργούμενον εἶναι τὴν τοιαύτην στάσιν, ἣν ὅτι καὶ αὐτὴν φυλάξει διὰ πάσης ἐνεργείας, ἐὰν μήτε ὑψηλὸν ἱκανῶς τὸ χειριζόμενον μόριον, μήτε πορρωτέρω κατὰ τὸ μῆκος ἢ πλάτος, εὔδηλον τῷ μεμνημένῳ τῶν προειρημένων. τὸ μὲν γὰρ οὕτως ὑψηλὸν ὡς τὸν ἰατρὸν, ἀναγκάζεσθαι μετεώρας τῶν ἑαυτοῦ τιτθῶν ἔχειν τὰς χεῖρας, ἀποσαλεύσει τῆς ἕδρας αὐτὸν ἀνατεινόμενον ἀμέτρως. τὸ δὲ ἐπὶ πλεῖστον ἀφεστηκὸς, πάλιν αὖ καὶ τὸ προβαίνειν ἀναγκάζον, ἀπολείπειν βιάσεται τὴν ἐξ ἀρχῆς ἕδραν. ἐπεὶ δὲ ἐπί τινος ἐστηρίχθαι τὸν ἕτερον τῶν ποδῶν βούλεται, κἀνταῦθα τὸ ποσὸν τοῦ ὕψους ἐδήλωσεν, ἀξιώσας τὴν αὐτὴν σχέσιν τῷ γόνατι πρὸς βουβῶνας, ἣν κἀπὶ τῶν καθημένων εἶπε, εἴρηκε δ' ἐπ' ἐκείνων. γούνατα δὲ ἀνωτέρω βουβώνων μικρὸν, ὡς ἀσφαλεστάτης τε ἅμα καὶ εὐσχημονεστάτης πρὸς τὰς ἐνεργείας, καὶ ἑτοιμοτάτης οὔσης τῆς τοιαύτης ἕδρας. ἀλλὰ νῦν γε τῷ ἑτέρῳ γόνατι τῷ ὑψηλῷ μόνῳ πρὸς τοὺς βουβῶνας εἶναι τὴν αὐτὴν σχέσιν ἀξιοῖ, πληθυντικῶς βουβῶνας ἀμφοτέρων τῶν σκελῶν ἴσον ἔχειν ὕψος.

Ὁ δὲ χειριζόμενος τῷ χειρίζοντι τῷ ἄλλῳ τοῦ σώματος μέρει ὑπηρετείτω, ἢ ἑστεὼς, ἢ καθήμενος, ἢ κείμενος ὅκως ἂν ῥήϊστα ὧδε ὡς σχῆμα ἔχων διατελέει, φυλάσσων ὑπόρρυσιν, ὑπόστασιν, ἔκριψιν, καταντίην, ὡς ὃ δεῖ σώζηται, τὸ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου, ἐν παρέξει, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξει.

Διαφορωτάτας ἐξηγήσεις ἐποιήσαντο τῆς ῥήσεως οἱ ἐξηγησάμενοι τὸ βιβλίον εὐλόγως. ἥ τε γὰρ τῶν τεττάρων ὀνομάτων ἀσάφεια, τοῦ τε ὑπορρύσεως λέγω, καὶ τοῦ τῆς ὑποστάσεως, καὶ τοῦ τῆς ἐκτρίψεως, καὶ προσέτι τοῦ τῆς καταντίας, τό τε βουληθῆναι τὸν Ἱπποκράτην πολλὰ πράγματα δι' ὀλίγων λέξεων δηλῶσαι, τὴν αἰτίαν αὐτοῖς παρέσχε τῆς τῶν λεγομένων αἰτίας. ὅτε οὖν ἀσαφοῦς οὔσης τῆς τοῦ γράψαντος αὐτὰ διανοίας, εἰκάζοντές τε καὶ στοχαζόμενοι μᾶλλον, οὐ σαφῶς ἰδόντες, εἰς ποικίλην διαφωνίαν ἐξέπεσον. ἐγὼ δὲ ὅπερ ἐν ἅπασι τοῖς τοιούτοις εἴωθα ποιεῖν, οὕτω καὶ νῦν πειράσομαι. τὰ μὲν ἀπίθανα αὐτοῖς εἰρημένα παρήσας, διώξω τὰ δόξαντά μοι πιθανῶς ὑπονενοῆσθαι, μετὰ τοῦ προστεθῆναί τι καὶ τῆς ἐμῆς γνώμης. ἄρξομαι δὲ ἀπὸ τῆς τῶν ἀσαφῶν ὀνομάτων ἐξηγήσεως, ἐπειδὴ πρῶτόν ἐστι τὸ ἁπλοῦν τοῦ συνθέτου, καὶ πολλάκις τε τῶν ἁπλῶν οὐδενὸς ὄντος ἀσαφοῦς, ἡ σύνθεσις αὐτῶν τὴν ἀσάφειαν ἐργάζεται, ὅπερ δὲ ἀμέλει καὶ κατὰ τὴν προκειμένην γέγονε ῥῆσιν. ἔνιοι μὲν γὰρ ὑπόρρυσιν ἤκουσαν ἐπὶ τῶν ὑγρῶν, καὶ τούτων αὐτῶν διττῶς, οἱ μὲν ἐκ τοῦ σώματος κενουμένων, οἱ δὲ ἐπὶ τῶν ἐπιβρεχομένων ἔξωθεν. ἀλλὰ καὶ αὐτῶν τῶν κατὰ τὴν χειρουργίαν ἐκρεόντων ἔφασαν αὐτὸν μνημονεύειν, ἔνιοι δὲ τῶν μετὰ τὴν χειρουργίαν. ἡ αὐτὴ δὲ καὶ περὶ τοῦ τῆς ὑποστάσεως ὀνόματος γέγονε διαφωνία, τῷ ἐκρεῖν τὰ ὑγρὰ τὸ ὑφίστασθαι κατὰ τοὐναντίον λεγόμενον, εἰκότως ἐν μέρει διαφωνίαν ἔσχεν. ἕτερος δέ τις χορὸς ἐξηγητῶν, οὐκ ἐπὶ τῶν ὑγρῶν, ἀλλ' ἐπὶ τῶν στερεῶν τοῦ ζώου μορίων ἤκουσε, τοῦτό τε τῆς ὑποστάσεως, καὶ τοῦ τῆς ὑπορρύσεως ὄνομα. ὑπόστασιν μὲν τὸν μετεωρισμὸν, ἤτοι τῶν τεμνομένων μελῶν, ἢ καὶ παντὸς τοῦ σώματος εἰρῆσθαι νομίζοντες. ὑπόρρυσιν δὲ τὴν εἰς τὰ κάτω ῥοπὴν, ὡς εἰ καὶ κατάρρυσιν εἰρήκει. τὸ οὖν καταρρεῖ, ἐπὶ τοῦδε τοῦ σημαινομένου λέλεκται κατὰ τὸ προγνωστικὸν ἔνθα φησίν. »ἢν δὲ καὶ προπετὴς γίγνηται, καὶ καταρρέει ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι. τοῖς οὕτως ἐξηγησαμένοις μαρτυρεῖ, καὶ τὸ τῆς ἐκτρίψεως καὶ καταντίας ὄνομα τῶν προειρημένων ἑξῆς γεγραμμένα. τὴν μὲν γὰρ εἰς τὸ πλάγιον ἐκτροπὴν, ἔκτρεψιν εἴρηκεν, ἐάν τε ἐφ' ὅλου τοῦ σώματος, ἐάν τε ἐπὶ τοῦ χειριζομένου μορίου γίγνεται. τὴν δὲ καταντίαν ἐπὶ τῶν κώλων ἰδίως λέγεσθαί φασιν, ὥσπερ ἐπὶ παντὸς σώματος τὴν ὑπόρρυσιν. ὅταν γὰρ ὅλον τὸ σῶμα φυλάττων τις ἐν ταὐτῷ χωρίῳ, καὶ μὴ μετακινῶν, ἤτοι τὸ σκέλος, ἢ τὴν χεῖρα κάτω ῥέπον ἐργάσηται, καταρρέπον ὀνομάζεσθαι φασὶ τὴν τοιαύτην θέσιν, ἀληθῆ λέγοντα αὐτὰ καθ' ἑαυτά, κἂν μὴ διαρκῶς φυλάττωσι τὴν καθ' ὅλην τήρησιν ὁμολογίαν. ἑτέρα γάρ τις πάλιν αὐτῶν ἁπάντων ἐγένετο διττὴ στάσις. ἐνίων μὲν ἡγουμένων ἀξιοῦν τὸν Ἱπποκράτην διασώζειν τοὺς χειριζομένους κατὰ τέσσαρας προσηγορίας σημαινόμενα, τὴν ὑπόστασιν, καὶ τὴν ὑπόρρυσιν, καὶ τὴν ἔκτρεψιν, καὶ τὴν καταντίαν, ἐνίων δὲ οὐ φυλάττειν. διαφέρει δὲ οὐδὲν εἰς τὴν ὅλην τῆς ῥήσεως περίνοιαν, τὸ τρεῖς γεγονέναι γραφὰς τοῦ τῆς ἐκτρίψεως ὀνόματος. ἔνιοι μὲν γὰρ ἔκτρεψιν γράφουσι διὰ τοῦ τ καὶ ρ καὶ ε, κατὰ τὴν δευτέραν συλλαβὴν, τινὲς δὲ καὶ τὸ σ προστιθέασιν, ἐν ἀρχῇ γράφοντες ἔκστρεψιν, ἔνιοι δὲ καὶ ἔκτριψιν, διὰ τοῦ τ καὶ ρ καὶ ι. παρεστήσαμεν γὰρ ἵνα τέως γράφειν. αἱ δ' οὖν εἰρημέναι προσηγορίαι σαφεῖς εἰσιν. ἀπὸ γὰρ τοῦ ἐκτρέπεσθαι ῥήματος, ἔκτρεψις, ἀπὸ δὲ τοῦ ἐκτρίβεσθαι, ἔκτριψις γέγονεν, ἀξιοῦντος τῶν γραφῶν φυλάττεσθαι ταῦτα τὸν κάμνοντα. φαίνονται δὲ ὅμως πάντες οἱ ἐξηγησάμενοι τὴν ῥῆσιν, ἐκ μέρους μὲν ἑωρακέναι τὴν γνώμην τἀνδρὸς, ὅλην δὲ ἀκριβῶς μηδὲ δυνηθῆναι περιλαβεῖν. ἐὰν γὰρ προσέχῃ τις τῷ τέλει ταύτης καθ' ἅ φησιν, ἐν παρέξει, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξει, φανοῦνται μὲν ἅπαντες λέγοντες ἀληθῶς, ἄλλως ἄλλων χρησίμων ὑπὸ τοῦ κάμνοντος ἐσομένων ἐν τοῖς τρισὶ καιροῖς, παρέξει, χειρισμῷ, ἔπειτα ἕξει, πάντας δὲ αὐτοὺς συνθεῖναι μὴ δυνηθέντες. ἔσται δὲ φανερὸν ὅπερ τῶν διορισθέντων σαφῶς τῶν τριῶν καιρῶν. πρῶτος μὲν οὖν αὐτῶν ἐστιν ἡνίκα παρέχουσιν οἱ πεπονθότες ἑαυτοὺς τοῖς ἰατροῖς εἰς ἀκριβῆ διάγνωσιν τῶν παθῶν, ὃν ὠνόμασε πάρεξιν. ἐφεξῆς δὲ αὐτῶν δεύτερος, ὁπότε πράττει τι κατὰ τὸ πεπονθὸς μέρος ὁ ἰατρὸς, ὃν ἐκάλεσε χειρισμὸν, εἶτ' ἐξῆς τρίτος ὃν προσηγόρευσε, τῆς ἔπειτα ἕξεως. ἐν ταὐτῷ γὰρ σχήματι πρόκειται τηνικαῦτα φυλάττειν τῷ κάμνοντι τὸ πεπονθὸς μόριον. ἀπὸ τοῦ τοίνυν ἔχειν ἐν αὐτῷ, τὴν προσηγορίαν τῆς ἕξεως ἐποίησεν. ἐν ἅπασι δὲ τοῖς τρισὶ καιροῖς τὸ μέν τι κοινόν ἐστι, τὸ δὲ καθ' ἕκαστον ἴδιον, κοινὸν μὲν, τὸ φυλάττειν ἀκίνητον τὸ πεπονθὸς μέρος ὃν ἐφεστήσεται, πλὴν μετὰ κινήσεως αὐτό πως ὁ ἰατρὸς ἐπιχειρήσει. ἴδιον δὲ καθ' ἕκαστον ἀγαθὸν ἐκ τούτου πρὸς τὴν τελείαν ἴασιν γίγνεται. κατὰ μὲν τὴν πάρεξιν ἀκριβῶς διαγνῶναι τὸν ἰατρὸν, ὃ μέλλει θεραπεύειν, κατὰ δὲ τὸν χειρισμὸν, ἐπὶ μὲν τῶν καταγμάτων ἀντιτεῖναι, καὶ διαπλάσαι προσηκόντως καὶ ἐπιδῆσαι, ἐπὶ δὲ τῶν ἐξαρθρημάτων, ἀντιτεῖναι

τεῖναί τε καὶ ἐμβαλεῖν, καὶ περιλαβεῖν ἐπιδέσει, προσηκόντως τὸν πεπονθότα τόπον. κατὰ δὲ τὰς τομὰς ἐκκενωθῆναι τὸ πῦον, ἤ τινι χώρᾳ περικοπῆναί τε τὸ σεσηπὸς, ἢ διὰ πυρὸς ἐκκαυθῆναι. τούτοις οὖν καὶ ἡ τῶν ὑγρῶν πρόῤῥυσίς τε καὶ ὑπόστασις ὠφέλιμος, εἰ μὲν ὅπως γίγνοιτο. ἐχρῆν γὰρ ἐκκρίνεσθαι τὸ παρὰ φύσιν ὑγρόν. εἰ δὲ ὅπως μὴ γίγνοιτο. μένειν γὰρ ἔνδον οὐ προσήκει τὸ μοχθηρόν. ἐνίοτε δὲ καὶ ὑπόστασις γίγνεται χρήσιμος, καθάπερ ἐφ᾽ ὧν ἀθρόως ἐκκενωθῆναι πῦον ἐξ ὑποστάσεως μεγάλης, ἢ τὸ τῶν ὑδερικῶν ὑγρὸν βουλόμεθα. πολὺ δὲ δεῖ μᾶλλον ἀπὸ τῶν ὑποκειμένων ἐν τῇ χειρουργίᾳ τῶν κώλων, ὑπόστασίν τε καὶ ὑπόῤῥυσιν, ὡς εἴρηται, φυλάττεσθαι προσήκει. ὡσαύτως δὲ κἀπὶ τῶν στερεῶν τοῦ ζώου μορίων τὰ λελεγμένα ταῦτα φυλάττεσθαι χρὴ πρὸς τοῦ κάμνοντος, ὡς αὐτὰ γενέσθαι κατὰ τοὺς τρεῖς καιροὺς, πάρεξιν, χείρησιν, ἔπειτα ἕξιν. τὸ μὲν γὰρ ἐξαίρειν αὐτὸν, ἀπ᾽ αὐτῶν τῷ χειρουργοῦντι τὰς τομὰς ἐν οὐ προσήκοντι μέρει τὸν ἰατρὸν ἀναγκάζει ποιεῖν, οὐδὲ ποσὸν αὐτὴν ὁπότ᾽, οὐδὲ τι φυλάττειν φυλάττοντα, διὰ τὸ περιῶσαι αὐτῇ τῇ σμίλῃ τὸν κάμνοντα. τὸ δὲ ἀποφεύγειν, ἐλλιπῆ τὴν ἐνέργειαν ἐργάζεται, ποτὲ μὲν μέσον αὐτὸν μόνον τῆς χειρουργίας τοῦ ἰατροῦ ποιοῦντος, ποτὲ δὲ ἐξ ἡμίσεος ἐγκαταλείποντος τὸ ἔργον, καὶ θᾶττον ἔτι τοῦδε. γίγνεται δὲ ταῦτα καταδεδεμένων, ἐνίοτε δὲ τῶν χειριζομένων. οἷον ὅταν μὲν ἐπὶ γαστρὶ χειρίζονται, καὶ κατὰ τὴν ῥάχιν ἑαυτοὺς ὑψουμένων, πρὸς τὸ πλάγιον ἐκτρεπομένων, ὅπερ ἐδήλωσε τὸ παρὰ τῆς ἐκτρίψεως. ἐνίοτε δὲ τούτων μὲν οὐδὲν πραττόντων, τεινόντων δὲ σφοδρῶς τοὺς μύας. ἤ τινα μεταβολὴν δοκεῖ μοι δηλῶσαι διὰ τοῦ, ὡς ὃ δεῖ πρὸς χρείας, ἐν τῷ φάναι, ὡς ὃ δεῖ σώζεται, καὶ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου. πηλίκον δὲ κακὸν ἐστὶν ὀφθαλμοῦ παρακεντουμένου τὸν κάμνοντα, μὴ φυλάξαι τὸ σχῆμα καὶ εἶδος, ἢ μετακινούμενον, ἢ ἐντεινόμενον οὕτως σφοδρῶς ὡς αἵματος πληρωθῆναι τὸ πρόσωπον, εὔδηλον παντί. παραπλήσιον δὲ κἀπειδὰν ἐκκόπτοντος ἰατροῦ τῆς κεφαλῆς ὀστοῦν, ἢ ὕψος βραχύ τι ταύτης χειριζόμενος, ἢ ταπεινώσας, ἢ πρὸς τὸ πλάγιον ἐκτρέψας, διαφθείρειν τὴν ἀκρίβειαν τῆς χειρουργίας. οὕτω δὲ καὶ ἐκτείνειν σφοδρῶς ἑαυτόν. ἐν μὲν γὰρ τῇ μεταβολῇ τῶν σχημάτων ἡ θέσις ἐπαλλάττεται τοῦ χειριζομένου μέρους. αἱ δὲ τάσεις ἐπὶ μὲν τῶν ἄλλων μορίων εἰς αἱμοῤῥαγίαν συντελοῦσιν. ἐπὶ δὲ τῶν μυῶν, οὐ μόνον εἰς τοῦτο βλάπτουσιν, ἀλλὰ καὶ τὸ μόριον ἐνίοτε μὲν ὑψηλότερον, ἐνίοτε δὲ ταπεινότερον ἐργάζονται, ἔνθα μὲν ὀστοῦν ὑποτέταται, μετεωριζομένου τοῦ μυὸς, ἔνθα καὶ ἕλκους χώρα προστελλομένου τε καὶ διατεινομένου, καθάπερ ἐπὶ τῶν κατὰ μεσοπλεύριόν τε καὶ γαστέρα χωρίων.

Ονυχας μήτε ὑπερέχειν, μήτε ἐλλείπειν, δακτύλων κορυφὰς ἐς χρῆσιν ἀσκέειν. δακτύλοισι μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν, ὅλῃ δὲ καταπρηνεῖ, ἀμφοτέρῃσι δὲ ἐναντίῃσι.

Επειδὰν εἴπῃ τὸ περὶ τοῦ χειριζομένου κατὰ τὴν κοινωνίαν, εἶτα ἑξῆς πάλιν ἐπανῆλθεν ἐν τῇδε τῇ ῥήσει πρὸς τὸν περὶ τοῦ χειρίζοντος λόγον, πηλίκους μὲν εἶναι προσήκει τοὺς ὄνυχας αὐτοῦ διηγούμενος, ὁποίους δὲ τοὺς δακτύλους, ὅπως δὲ ἀνάγειν αὐτούς. ὡς μὲν οὖν εἰς τὰς τῶν δακτύλων ἄκρων ἐνεργείας, αἵπερ δὴ καὶ εἰσὶν ἴδιαι τῶν δακτύλων, τὸ μὴ ὑπερέχειν αὐτῶν τοὺς ὄνυχας, μήτε ἐλλείπειν, ἄριστόν ἐστι, ἐν τῷ πρώτῳ περὶ χρείας μορίων ἐπὶ πλεῖστον ἐξειργασάμεθα, καθ᾽ ὃ πᾶσαν ἄκρας τῆς χειρὸς ἐξηγησάμην τὴν φύσιν. ἐν δὲ τῷ παρόντι, τὰς λέξεις μόνας ἀρκέσει σαφῶς ἐργάσασθαι. διττῆς οὖν οὔσης γραφῆς, ἑκατέραν ἐξηγήσομαι. τὴν μὲν ἑτέραν αὐτῶν οὕτως ἔχουσαν, ὄνυχας μήτε ὑπερέχειν, μήτε ἐλλείπειν δακτύλων κορυφάς. εὐληπτότατα γὰρ οὕτως ἔσται τὰ τοῖς δακτύλοις ἄκροις θηρώμενα μικρὰ σώματα, πρὸς ἃ καὶ δεόμεθα τῆς διὰ ἄκρων αὐτῶν ἐνεργείας, εἶτ᾽ ἀπ᾽ ἑτέρας ἀρχῆς ἐς χρῆσιν ἀσκέειν, δακτύλοισι μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν. ἵνα κατὰ μὲν τὴν προτέραν λέξιν ἡ διδασκαλία περὶ τοῦ μεγέθους τῶν ὀνύχων δακτύλων γίγνεται, κατὰ δὲ τὴν δευτέραν, περὶ τῆς χρήσεως τῶν δακτύλων. ἑτέρα δὲ γραφὴ τοιάδε ἐστί. ὄνυχας μήτε ὑπερέχειν μήτε ἐλλείπειν. εἶτα ἀφ᾽ ἑτέρας ἀρχῆς δακτύλων κορυφῇσι χρῆσις, κατὰ δοτικὴν πτῶσιν γεγραμμένου τοῦ κορυφῇσιν ὀνόματος, ὡς εἶναι τὴν ὅλην διάνοιαν τοιάνδε. τοὺς ὄνυχας οὔτε ὑπερέχειν, οὔτε ἐλλείπειν χρὴ τὸ μῆκος τῶν δακτύλων, ἀλλ᾽ ἀκριβῶς ἐξισοῦσθαι. ταῖς γὰρ κορυφαῖς αὐτῶν χρῆσις ἐστί. δόξει δὲ τοῦτο ψεῦδος, ἐὰν ὡς προσήκει αὐτὰς ἀκούῃ. τινὰ μὲν ἔργα ταῖς ὅλαις χερσὶ δρωμέναις περιτυχεῖ, περιλαβόντες ἀμφοτέραις αὐταῖς, πῆχυν, ἢ μηρὸν, ἢ κνήμην, ἤ τι τοιοῦτον ἕτερον ἀντιτείνομεν τε καὶ κατατείνομεν. ἐν οἷς ἔργοις ὡς μορίοις τῆς χειρὸς, ἐνεργοῦσιν οἱ δάκτυλοι παραπλησίως τοῖς θέναρσι, καὶ τοῖς ἄλλοις αὐτοῖς μέρεσι. παρακεντοῦντες δὲ καὶ ἀναῤῥάπτοντες, ἢ καταῤῥάπτοντες, ἢ πτερύγιον ἐξ ὀφθαλμοῦ κομιζόμενοι τοῖς δακτύλοις, ὡς δακτύλοις, οὐχ ὡς μορίοις τῆς χειρὸς χρώμεθα. παραπλησίως δὲ κἀπειδὰν ἤτοι διὰ σμίλης, ἤ τινος ἑτέρου τοιούτου τὴν ἐνέργειαν ποιούμεθα. κατὰ πάσας οὖν τὰς ἐνεργείας τῶν δακτύλων, ἄκροις αὐτοῖς χρώμεθα, καὶ διὰ τοῦτο ἔφην ὀρθῶς εἰρῆσθαι δακτύλων κορυφῇσι χρῆσις. εἶτ᾽ ἀφ᾽ ἑτέρας ἀρχῆς ἄρχειν, δακτύλοις μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ τε καὶ πρὸς μέγαν, μιᾷ λέξει δηλοῦται τὰς πλείστας τῶν μυῶν ἐνεργείας γίγνεσθαι πρὸς τὸν μέγαν, ὅνπερ ἀντίχειρα καλοῦσιν, ἀντιταττομένου τοῦ λιχανοῦ, ὥστε λαμβάνεσθαι τὸ λαμβανόμενον ἐπ᾽ ἀμφοτέρων ἄκρων δηλαδή. τηνικαῦτα γάρ ἐστι χρεία μόνων τῶν εἰρημένων δακτύλων ἐνεργούντων, ἀλλὰ κἂν εἰ διὰ τῶν τριῶν λαμβάνηται δακτύλων, οἷον ὑποληφθέντων τῇ σμίλῃ καὶ παρακεντούντων, τὸ πλεῖστον μὲν τῆς ἐνεργείας ὑπὸ τοῖν δυοῖν τῶν εἰρημένων γίγνεται. συνεπιβοηθεῖ δέ τι καὶ ὁ μέσος. ὅλῃ μέντοι πρηνεῖ χρώμεθα κατὰ τὰς ἐν ἰατρικῇ χειρουργίας, τῷ κοίλῳ περιλαμβάνοντες αὐτῆς τὸ σῶμα, περὶ ὃ τὴν ἐνέργειαν ποιούμεθα. δακτύλους μὲν οὖν πεπονθότας κατατείνεσθαι καὶ διαπλάσαι, καὶ ἡ μία χεὶρ ἱκανή. βραχίονα δὲ, ἢ πῆχυν, ἢ μηρὸν, ἢ κνήμην, οὐχ ἱκανή, ἀλλ᾽ ἀμφοῖν εἰς τὰ τοιαῦτα μόρια χρῄζομεν ἀντιταττομένων ἀλλήλαις, ὡς περιλαμβάνεσθαι τὸ κῶλον ἐν κύκλῳ, καὶ σικύαν δὲ προστιθέντες, ὅλῃ τῇ χειρὶ πρηνεῖ χρώμεθα, καὶ διὰ μικροῦ καυτῆρος ἐκθλίβοντες, καὶ σπογγιὰν ἐπιβάλλοντες, ἄλλα τε πολλὰ τῶν κατὰ τὴν ἰατρικὴν ἔργα, περὶ ὧν ἴσως καὶ τὰ λελεγμένα περιττὰ διὰ σαφήνειαν. αὐτὸς γάρ τις ἕκαστος ἀναμιμνήσκεσθαι δύναται δακτύλων, καὶ τῶν χειρῶν τὰς ἐνεργείας ἁπάσας. τὰς μὲν ὑπ᾽ ἀμφοτέρων γιγνομένας, τὰς δὲ ὑπὸ τῶν δακτύλων μόνων, ἢ μόνης τῆς χειρός.

Δάκτυλον ἐκφύειν μέγαν τὸν ἐν μέσῳ τῶν δακτύλων, καὶ ἀπεναντίον τὸν μέγαν τῷ λιχανῷ.

Οὐ γὰρ δυνατὸν ἄλλως ἀντιτετάχθαι κατὰ τὰς ἐνεργείας τῷ λιχανῷ τὸν μέγαν δάκτυλον, εἰ μὴ τὸ μεταξὺ αὐτοῦ εἴη μέγα. τοῦτο δὲ κἀπὶ τῶν ἄλλων δακτύλων ἄριστον, ἵν' ὅταν ἐν κύκλῳ δέῃ περιλαβεῖν τι σῶμα μέγα, πανταχόθεν αὐτὸ περιλαμβάνωσιν ἐπὶ πλεῖστον διϊστάμενοι.

Νοῦσος δὲ δι' ἣν καὶ βλάπτονται, οἷσιν ἐν γενεῇσι, ἐν τροφαῖς εἴθισται ὁ μέγας ὑπὸ τῶν ἄλλων δακτύλων κατέχεσθαι δῆλον.

Ἐπειδὴ αὕτη ἡ διάνοια μία ἐστὶ κατὰ ἀμφοτέρας τὰς γραφάς, ἀπὸ τῆς σαφεστέρας ἄρξομαι. τίσι μὲν οὖν ἤρεσεν εἰς ἔθος ἐπ' ἐνίων ἐπαινουμένων γραφῶν ἀγνοεῖν τὸν λόγον, εἰθισάντων αὐτῶν τοῖς ἄλλοις δακτύλοις κατέχειν τὸν μέγαν, καὶ διὰ τοῦτο τοῦτον μὲν ἀργοῦντα, σμικρὸν, καὶ ἀναυξημένον, αὐτό τε πρὸς τὸν λιχανὸν αὐτοῦ διάστημα, καὶ ταῦτ' εἰς νόσον ἄκρας τῆς χειρὸς τελευτᾷ, ὡς εἰ καὶ εἰς βλάβην εἴρηκε. τινὲς ὑπὸ νόσου φασὶν αὐτὸν λέγειν γίγνεσθαι, τοῦτο καὶ τὴν νόσον αὐτὴν ἐξαρθρήσαντος τοῦ μεγάλου δακτύλου συμβαίνειν, ἢ ἕλκους τινὸς ἐν τῇ μεταξὺ χώρᾳ γενομένου, τοῦ τε λιχανοῦ δακτύλου καὶ τοῦ μεγάλου, καὶ τοῦ ἕλκους ἐν τῇ θεραπείᾳ σκληρὰν οὐλὴν ποιήσαντος. καὶ σκιρρωθεὶς δὲ ὁ μεταξὺ μῦς ἢ ἐκτακεὶς κατά τινα διάθεσιν, ὡς ἄτροφός τε καὶ ἀναυξὴς γενέσθαι, καὶ σηπεδὼν ἐνίοτε μεγάλη τὴν μεταξὺ τῶν δακτύλων σάρκα ἀφανίσασα, κἄπειτα σκληρὰν ἐργασαμένη τὴν οὐλὴν, μικρὸν ἀποτελεῖ τοῦ λιχανοῦ δακτύλου πρὸς τὸν μέγαν διάστημα, καὶ ὥσπερ συνδέσμους ἀλλήλους ἐργάζεται, καὶ μάλιστα ὅταν, ὡς ἔφην, ἡ οὐλὴ σκληρὰ γένηται. καὶ μὲν δὴ καὶ καταραθυμεῖσθαι τὰ τοιαῦτα πάντα παθήματα τοῖς παιδίοις εἰκός ἐστι, τοὺς τελείους ὑπὸ τῶν ἰατρῶν διδασκομένους μαλάττειν τε καὶ κινεῖν τὸν μέγαν δάκτυλον εὐτροφίαν παρασκευάζειν τῇ μεταξὺ χώρᾳ, πρὸς τῷ καὶ τοῖς μὲν τελείοις ἅπαν ηὐξῆσθαι τὸ σῶμα, καὶ εἴπερ ἄρα βλάπτεται, μόνον εἰς ἀτροφίαν τὸ πάθος. ἐπὶ δὲ τῶν βρεφῶν ἐν αὔξῃ τῇ πρώτῃ, καταλαμβανομένων ὑπό τε τοῦ πάθους αὐτοῦ, καὶ πρὸς τῷ πάθει τῆς ἀκινησίας τῶν δακτύλων, μήτ' αὔξεσθαι τὰ πεπονθότα μόρια, καὶ διὰ τὸ μεταξὺ τῶν δακτύλων πάνυ γίγνεσθαι μικρόν. ἐνίοις μὲν οὖν τοῦτο συμβαίνει φασίν, ἐνίοις δὲ καὶ οὐλὴν σκληρὰν, καὶ κατά τινα διάθεσιν σκληρὰν τῶν μεταξὺ χωρίων. διὸ καθάπερ ὑποδέσμῳ τινὸς κατέχεται, τουτέστιν ἀφίστασθαι κωλύεται τὸν μέγαν ἀπὸ τῶν ἄλλων. ἀκούουσι γὰρ ἔνιοι οὕτως τοῦ κατέχεσθαι ῥήματος, εἰ καὶ ὅτι δοκεῖ μάλιστα μάχεσθαι. κατὰ γὰρ τὴν τούτων ἐξήγησιν, οὐχ ὑπὸ τῶν ἄλλων ἐχρῆν, ἀλλ' ἀπὸ τῶν ἄλλων λελέχθαι. αἱ γὰρ ἐν τῷ μεταξὺ ἠγνοηκυῖαι διαθέσεις, τὴν μεταξὺ χώραν σμικρὰν καὶ συνδεδεμένην ἐργάζονται. περὶ μὲν δὴ τούτων ὡς ἄν σοι δόξῃ κρίνας αἱροῦ τὸ πιθανώτατον. ἐν γὰρ ταῖς οὕτως ἀσαφέσι λέξεσι, μαντείας μᾶλλον ἢ σοφίας εἰς τὴν ἐξήγησιν χρῄζομεν. ἐγὼ δὲ ἐπὶ τὴν ἀρχαίαν γραφὴν ἀνάξω. τάχα μὲν ἡμαρτημένην καὶ Ἀσκληπιάδης ὑπενόησε, καὶ τήν γε ἀναμάρτητον γραφὴν ἐστοχάσατο τοιάνδε τινὰ εἶναι. νοῦσος δὲ δι' ἣν καὶ βλάπτονται τοῖς ἐν γενεῇσιν ἢ ἐν τροφῇ εἴθισται, καὶ τὰ ἑξῆς. τάχα δὲ καὶ πρὸ αὐτοῦ τὴν Ἱπποκράτους οὕτω γραφεῖσαν. ὁ γοῦν Ταραντῖνος Ἡρακλείδης ἀξιοῖ τὸ διακοῦσαι τὰς διαθέσεις, ὡς εἶναι τὸ πλῆρες ὅλης τῆς ῥήσεως τοιοῦτον. νοῦσος δὲ δι' ἣν καὶ βλάπτουσα διάθεσις, οἷς ἐν γενεῇσι καὶ τροφῇ, καὶ τὰ ἑξῆς.

Τὰ ἔργα πάντα ἀσκέειν ἑκατέρῃσι δρῶντα, καὶ ἀμφοτέρῃσιν ἅμα. ὅμοιαι γὰρ εἰσὶν ἀμφοτέρῃσι στοχαζόμενον ἀγαθῶς, καλῶς, ταχέως, ἀπόνως, εὐρύθμως, εὐπόρως.

Πάντα κελεύει δι' ἀμφοτέρων ἀσκεῖσθαι τῶν χειρῶν. συμφορώτατον γὰρ τοῦτο, πρὸς τὸ ταχέως τε καὶ καλῶς ἐργάζεσθαι. οἷος γοῦν ἂν ᾖ ὁ ἰατρὸς, τῇ δεξιᾷ χειρὶ τὸν δεξιὸν ὀφθαλμὸν τοῦ κάμνοντος ἐπιχειρῶν παρακεντεῖν, ἢ πτερύγιον ἀποτέμνειν, ἢ τι τῶν τοιούτων ἄλλο. διὸ καὶ προσέθηκεν στοχαζόμενον ἀγαθῶς, καλῶς, ταχέως, ἀπόνως, εὐρύθμως, εὐπόρως, ὡς ἐξ ἧς προεῖπε ἀσκήσεως τούτων ἡμῖν περιγενομένων. ὅπως δὲ ἕκαστον αὐτῶν ἔσται, μετ' ὀλίγον διδάσκει. νῦν δὲ οὖν τὸ πρὸν ἀναμεμνῆσθαι τοσοῦτον, ὡς ἡ τούτων διδασκαλία κεφάλαιον ἔχει τὸ ὅπως, ὅπερ ἐστὶν ἕν τι τῶν ἐν τῇ πρώτῃ διαιρέσει περιεχομένων, ἀναμνησθῶμεν δὲ καὶ ὅτι τὰς χεῖρας ὁμοίας εἶπε, καίτοι ἀπαραλλάκτους οὔσας τῷ εἴδει.

Ὄργανα δὲ καὶ ὅτε, καὶ οἵως εἰρήσεται. ὅκου δεῖ μὴ ἐμποδὼν τὸ ἔργον, μηδὲ ἐμποδὼν τῇ ἀναιρέσει, παρὰ τὸ ἐργαζόμενον δὲ τοῦ σώματός ἐστι. ἄλλως δὲ ἢν διδῷ ἑτοίμως ὀλίγῳ πρότερον ἔσω, ποιείτω δὲ ὅταν κελεύῃς.

Ὅτι μὴ μόνον ἄμβας καὶ βάθρα καὶ τὰ ἄλλα ὅσα μηχανικωτέραν ἔχει κατασκευὴν, ἀλλὰ τὰ προσηγορικῶς ἄρμενα καλούμενα, τῇ προσηγορίᾳ τῶν ὀργάνων περιλαμβάνει, σαφῶς ἐδήλωσεν ἐνταῦθα μετὰ τοῦ τῆς ἀναιρέσεως ὀνόματος, καὶ τὸ φάναι, ἄλλως δὲ ἢν διδῷ. καὶ γὰρ ἀναιρούμεθα κατὰ τὰς χειρουργίας τοιαῦτα καὶ παρ' ἑτέρων δεχόμεθα.

Οἱ δὲ περὶ τὸν ἀσθενέοντα τὸ μὲν χειριζόμενον παρεχόντων ὡς ἂν δοκῇ, τὸ δὲ ἄλλο σῶμα κατεχόντων, ὡς ἂν ἀτρεμέῃ σιγῶντες, ἀκούοντες τοῦ ἐφεστῶτος.

Σαφὴς ἡ ῥῆσις ἐστὶ, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι.

Ἐπιδέσιος δύο εἴδεα, εἰργασμένον καὶ ἐργαζόμενον. ἐργαζόμενον μὲν ταχέως, ἀπόνως, εὐπόρως, εὐρύθμως. ταχέως μὲν ἀνύειν τὰ ἔργα, ἀπόνως δὲ ῥηϊδίως δρῆν. εὐπορίη δὲ ἐς πᾶν ἑτοίμη, εὐρυθμίη δὲ, ὁρῆσθαι ἡδέως. ἀφ' ὧν δὲ ταῦτα ἀσκημάτων, εἴρηται.

Τὰ μέντοι κοινὰ ταῖς ἐπιδέσεσιν ἀμφοτέραις ἐστὶ, τὰ δὲ καθ' ἑτέραν αὐτῶν ἴδια. τὰ μὲν εὐπόρως καὶ ταχέως τῆς γιγνομένης ἐπιδέσεως ἴδια, τὰ δὲ ἀγαθῶς, καὶ καλῶς, τῆς ἤδη γεγονυίας. ὀνομάζει δ' αὐτὸς τὸ μὲν τῆς γιγνομένης ἐπιδέσεως, ἐργαζόμενον εἶδος, τὸ δὲ τῆς ἤδη γεγονυίας, εἰργασμένον. τὸ δὲ ἀπόνως, καὶ εὐρύθμως, ἄμφω ἐστὶ κοινά. τὸ μὲν ἀπόνως κατὰ ἄμφω, τῷ τε ὀνόματι καὶ τῷ σημαινομένῳ. τὸ δὲ εὐρύθμως, τῷ μὲν ὀνόματι κατ' ἄμφω, τῷ σημαινομένῳ δὲ οὐχ ὡσαύτως. ἐπὶ μὲν γὰρ τῆς ἔτι γιγνομένης ἐπιδέσεως, ἡ εὐρυθμία κατὰ τὴν τῶν χειρῶν γίγνεται κίνησιν. ἐπὶ δὲ τῆς γεγονυίας ἤδη, κατὰ τὴν οὖσαν περιβολὴν τῶν ὀθονίων. ἐγχωρεῖ δὲ τὴν γενομένην ἐπὶ περιβολὴν τῶν ἐπιδέσμων εὔρυθμον γίγνεσθαι, φάναι κατὰ τὸ ἐργαζόμενον εἶδος τῆς ἐπιδέσεως. μήτι δὲ καὶ τὸ ἀπόνως ἐπὶ πλέον ἐστὶν ἐν τῇ γιγνομένῃ τῆς ἤδη γεγονυίας. ἡ μὲν γὰρ ἤδη γεγενημένη, κατὰ τὴν τῶν ἐπιδέσμων μόνην θλίψιν ὀδύνην φέρει. ἡ δὲ γιγνομένη καὶ κατὰ ταύτην μὲν, ἀλλὰ καὶ τὸ κρατεῖσθαι τὸ κῶλον οὐ προσηκόντως. εἰ μὴ θλίβεται γὰρ ἐνίοτε, κατὰ ταύτην μὲν αὐτῆς τῆς περιβολῆς τῶν ἐπιδέσμων ἀναμαρτήτως ἐπιτελουμένης. ἐγχωρεῖ δὲ φάναι καὶ κατὰ τὴν τῶν ψαυόντων ὁμιλίαν, ἤτοι ψαύουσαν ἢ μὴ, κοινὴν ἀμφοῖν εἶναι. κατὰ μὲν τὴν γιγνομένην ἐπίδεσιν, ὑπὸ τῶν κρατούντων τὸ θεραπευόμενον μέρος, ἤτοι θλιβόντων, ἢ μή. κατὰ δὲ τὴν ἤδη γεγονυῖαν, ἐκ τῆς ἀναλήψεως μὲν, ὡς ἐπὶ χειρὸς τὴν ταινίαν, ἀποθέσεως δὲ ὡς ἐπὶ σκέλους τὰ περιβεβλημένα καθ' ἃ ἐστὶν εἰκὴ. οὐ μικρὸν δὲ τῇ τῆς γιγνομένης ἐπιδέσεως ἀπονίᾳ συντελεῖ τὸ τάχος τῆς ἐνεργείας, ὃ πάλιν αὐτὸ διὰ τῆς εὐπορίας μάλιστα συμπληροῦται, καὶ δὴ ταῦτά ἐστι τὰ κυριώτατα τῆς γιγνομένης ἐπιδέσεως ἀγαθὰ, τό, τε τῆς κρατήσεως ἄθλιπτον, καὶ τὸ τῆς εὐπορίας ἕτοιμον. ἡ γὰρ ἐν τῷ σχήματι πλημμέλεια, κοινὴ καὶ τῶν ἐπιδεδεμένων μορίων ἐστί. καὶ νῦν ὁ λόγος ἐνέστηκεν αὐτῷ περὶ τῆς ἐν τῷ προσήκοντι σχήματι γιγνομένης ἐπιδέσεως. ἴδιαι ἀρεταὶ καὶ κακίαι τῶν σχημάτων εἰσὶν, ὥσπερ καὶ τῶν ἐπιδέσμων, ὑπὲρ ὧν νῦν μόνον ποιεῖται τὸν λόγον ἄνευ τοῦ σχήματος. ὅταν οὖν εὐπόρως ἡ ἐπίδεσις γένηται, ταχέως ἀνύει τὸ ἔργον. αὐτὸς γὰρ ἐδήλωσε τὴν εὐπορίαν, ὅτι ποτὲ δύναται σημαίνειν ἐν τῷ φάναι, εὐπορίη δὲ ἐς πᾶν ἑτοίμη. καὶ γίνεται τοῦτο προεγνωσμένου τοῦ νῦν ἐπιδοῦντος, ὡς μηδεμίαν ἀμφιβολίαν αὐτῷ καὶ σκέψιν ὑποπίπτειν, ἐνεργοῦντος πρότερον ὡς δεῖ, πῶς, ἢ ὡς μὴ δεῖ, πῶς ἄν εἴη τὸ ἐπίδεσμον. ἡ γοῦν ἐλευθερία ταυτὸν οὖσα τῷ ἑτοιμοτάτῃ, ῥᾳστην ἀποτελεῖ τὴν ἐνέργειαν. αὐτὸς δὲ εἶπε τὴν ἀπονίαν ἐκ τοῦ ῥᾳδίως δρᾶν γίγνεσθαι. πρόδηλον δὲ ὅτι καὶ τάχος ἕπεται ταῖς εὐπόροις τε καὶ ταχείαις ἐνεργείαις. ἡ μὲν οὖν ἀπονία τῶν λυσιτελεστάτων ἐστὶ τῷ χειριζομένῳ, καὶ δι' αὐτὴν τὸ τάχος εὐπορίᾳ ῥᾷστον, εἰ καὶ ταῖς ἐνεργείαις εὐπορίζουσα. τὸ δὲ τῆς εὐρυθμίας ἡδονὴν τοῖς ὁρῶσιν ἐργαζόμενον, ὡς ἐφεξῆς αὐτὸς εἶπε, ὡς ἐκ περιουσίας κεῖται τῷ χειρίζοντι, ἐπαῦξον αὐτῷ τὴν παρὰ τοῖς ἰδιώταις δόξαν. ἧς ὁ μὲν φιλόδοξος ἀνὴρ ἥττον ἐστὶν ὡς ἐραστὴς παιδίσκων, ὁ δὲ φιλάνθρωπος οὐχ ἧττον μὲν, ἀντιποιεῖται δὲ ἐπαινεῖσθαι, φροντίζων τοῦ μᾶλλον πιστεύεσθαι παρὰ τοῖς κάμνουσι. καὶ γὰρ καὶ πειθομένους αὐτῷ μᾶλλον ἕξει, λυσιτελὲς δὲ μάλιστα, φυτεύειν αὐτοῖς. ἕνεκα τοίνυν ταύτης τῆς παρὰ τοῖς πολλοῖς εὐδοξίας, οὐ μόνον ἰατρὸς, ἀλλὰ καὶ φιλόσοφος ἀντιποιεῖται. μᾶλλον γὰρ ὠφελεῖ τοὺς ἀνθρώπους τιμώμενός τε καὶ θαυμαζόμενος ὑπ' αὐτῶν, ὡς ἂν καὶ μᾶλλον μιμουμένων ἃ πράττει, καὶ πειθομένων οἷς κελεύει, καθάπερ τινὸς θεοῦ προστάγμασιν. ἀφ' ὧν δὲ ταῦτα ἀσκημάτων εἴρηται, τὸ ταχέως, καὶ ἀπόνως, καὶ ῥᾳδίως, καὶ εὐπόρως, ἀφ' ὧν ἀσκημάτων περιγίγνεται τοῖς ἰατροῖς, εἰρῆσθαί φησι. καὶ γὰρ εἴρηται μάλιστα μὲν ἐν τῷ τοῖς ἔργοις ἀσκεῖν ἑκατέρῃσι δρῶντα, καὶ ἀμφοτέρῃσιν ἅμα. ὅμοιαι γὰρ εἰσὶν ἀμφότεραι. ἤδη δὲ κἂν τῷ ἀσκεῖν, δακτύλοις μὲν ἄκροις τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν, ὅλῃ δὲ καταπρηνεῖ, ἀμφοτέρῃσι δὲ ἐναντίῃσι.

Εἰργασμένον δὲ ἀγαθῶς, καλῶς. καλῶς μὲν ἁπλῶς, εὐκρινέως, ἢ ὅμοια, ἢ ἴσα. ἴσως καὶ ὁμοίως, ἢ ἄνισα καὶ ἀνόμοια, ἀνίσως καὶ ἀνομοίως. τὰ δὲ εἴδεα, ἁπλοῦν, †ἔγκυκλου, σκέπαρνου, σιμὸν, ὀφθαλμὸς, ῥόμβος, καὶ ἡμίτομον. ἁρμόζον τὸ εἶδος τῷ εἴδει, καὶ τῷ πάθει τοῦ ἐπιδεομένου. †εὔκυκλα

Δύο τῆς ἐπιδέσεως εἰπὼν εἴδη, καὶ καλέσας αὐτῶν τὸ μὲν ἔτι γιγνόμενον, ἐργαζόμενον, τὸ δὲ ἤδη γεγενημένον, εἰργασμένον. ἐν τῇ πρὸ ταύτης ῥήσει τὸ ἐργαζόμενον ὅπως ἂν ἄριστα γίγνοιτο, δεδήλωκεν. ἐν δὲ ταύτῃ τῇ νῦν προκειμένῃ, τὸ εἰργασμένον. ἐν ᾧ τὸ μὲν καλῶς φησιν αὐτὸς γίγνεσθαι, καὶ διά τε τοῦ ἁπλῶς καὶ εὐκρινέως, τοῦ μὲν ἁπλῶς, μήτε περιηγμένον αὐτῷ τι τῶν ὀθονίων, μήτ' ἐνδεδιπλωμένων, μήτε ῥυτίδας ἔχον, ἀλλ' ὁμαλῶς ἅπαντα μόρια τεταγμένον. τοῦ δ' εὐκρινέως, ὅταν αἱ δεύτεραι καὶ τρίται κατὰ τὰς αὐτὰς νομαὶ προσηκόντως γίνονται. καί μοι δοκεῖ κἀνταῦθα τῶν εἰρημένων ὑπ' αὐτοῦ δυοῖν, ἐξ ὧν συμπληροῦται τὸ καλῶς ἐπιδεδέσθαι, τὸ μὲν ἕτερον τὸ ἁπλῶς ἀνεξήγητον ὡς σαφὲς εἰρηκέναι, τὸ δ' εὐκρινῶς, ἐξηγούμενος εἰρηκέναι τὰ ἐφεξῆς πάντα. καὶ τοίνυν ἤδη πρόσεχε τὸν νοῦν αὐτοῖς, μεμνημένος ὡς ἀρτίως ἐγὼ τὸ εὐκρινῶς ἔφην εἶναι, προσηκόντως. προσήκει μὲν δευτέραν περιβολὴν τοῦ ἐπιδέσμου, ποτὲ μὲν ἀκριβῶς ἴσην, καὶ τῇ πρώτῃ μηδαμόθεν παραλλάττουσαν, ἐνίοτε δὲ οὐκ ἴσην. γένοιτο δ' ἂν ἴσα τῶν κατὰ τὸ πλάτος αὐτοῦ μερῶν, περάτων ἐς ταὐτὰ τελευτώντων, ὡς μήτε ὑπερβάλλειν, μήτ' ἐνδεῖν τὸ ἕτερον, ἀλλ' ἀμφοῖν γενέσθαι τὰ πέρας, ὡς εἰ καὶ μία τις ἡ ἑνὸς ἐπιδέσμου διπλοῦ θέσις. ὡσαύτως δὲ ἤδη αὐτῇ καὶ τὴν τρίτην γίγνεσθαι, καὶ εἰ τετάρτης δέοι καὶ ταύτην. ἐπὶ οὖν τῶν καλουμένων ῥόμβου τε καὶ ἡμιρομβίου, τὴν ἀκρίβειαν ταύτην φυλάττεσθαι χρή. τὴν μέντοι καταγματικὴν ἐπίδεσιν ὅταν ἐπὶ πήχεος, ἢ βραχίονος ἢ μηροῦ γίγνηται, τὸν εὐκρινέστερον τρόπον ἴσχειν συμβαίνει. νέμεσθαι γὰρ ἐπ' αὐτῆς κελεύει τὸν μὲν πρῶτον ἐπίδεσμον ἄνω, τὸν δὲ δεύτερον, πρότερον μὲν κάτω, μετὰ ταῦτα δὲ αὖθις ἄνω, μέχρις ἐς ταὐτὸν ἀφίκηται πέρας τῷ δευτέρῳ. τοῦτο δὲ οὐ δύναται

γίνεσθαι χωρὶς τοῦ παραλλάττειν ἄλληλα τὰ πέρατα τοῦ πλάτους τῶν ὀθονίων. ἐν τούτῳ δὴ πάλιν αὐτὸ χρήσεται, φυλαττομένης διὰ πάσης τῆς ἐπιδέσεως ἴσης τῆς ἐγκλίσεως, ἣν ἀπὸ τῆς εὐκύκλου περιβολῆς ἐποιησάμεθα. καλεῖται δὲ εὔκυκλος ἡ πάντα κύκλον ἀπαρεγκλίτως περιλαμβάνουσα τὸ πεπονθὸς μέρος. ἐπὶ ταύτης μὲν οὖν τὰ τῆς δευτέρας καὶ τρίτης τῶν ὀθονίων τοῦ πλάτους πέρατα κατ' ἀλλήλων ἐπικεῖσθαι, μήτε ὑπερέχοντος τινὸς, μήτ' ἐνδέοντος. τῆς δὲ ἐγκεκλιμένης, ἀναγκαῖον μὲν δή που τὴν νομὴν, ἢ πρὸς τὰ κάτω μέρη τοῦ πεπονθότος μέρους, ἢ ἄνω γίγνεσθαι. φυλάττοι δὲ κᾂν τούτῳ τῆς ἐγκλίσεως ὁμοίας διὰ παντὸς, εὐκρινὴς οὕτως ἡ ἐπίδεσις ἔσται. εἴπερ ἤδη προσέχεις τὸν νοῦν τοῖς εἰρημένοις, ἤδη σοι δῆλον ἐστὶν ἕνα μὲν τρόπον εἶναι τῆς εὐκύκλου περιβολῆς τῶν ὀθονίων, οὐκ ἔχοντα τὸ μᾶλλον καὶ ἧττον, οὐχ ἕνα δὲ τῆς ἐγκεκλιμένης. ἧττον τε γὰρ καὶ μᾶλλον ἑτέραν ἑτέρας ἐγκεκλῖσθαι δυνατόν. ὅμως δ' οὖν ἐνταῦθα τὴν μὲν ὀλίγον ἐγκεκλιμένην σκέπαρνον ὀνομάζει, τὴν δὲ πολλὴν, σιμὴν, ἐκ μεταφορᾶς τοῖς ὀνόμασι χρώμενος. σκέπαρνον μὲν οἱ τέκτονες ὀνομάζουσιν ὄργανόν τι κατὰ τὸ πέρας αὐτοῦ καθ' ὃ τέμνει τὰ ξύλα, βραχεῖαν ἐπιστροφὴν ἔχον ὀφρυώδη καθάπερ ἡ ἄμβη. σιμὰ δὲ καλοῦσιν οἱ Ἕλληνες χωρία καθ' ἃ συνάπτει λόφῳ πεδίον, ἐν αὐτῇ συμβολῇ γεννᾶται τὸ σιμὸν, ἑκατέρου καθ' ἑαυτὸ τῶν συμβαινόντων οὐκ ὄντος σιμοῦ. τὸ μὲν γὰρ πεδίον εὐθὺ ὁμαλές ἐστι, ὁ δὲ λόφος ἀνάντης καὶ ὑψηλὸς, καὶ ἔνθα ἀλλήλοις συμβάλλουσι τὸ σιμὸν γίγνεται σχῆμα. ὡσαύτως τὸ κᾂν ὁδὸς κάταντες ἀντισυνάπτει, κατὰ τὴν συμβολὴν αὐτῶν γίγνεται. οὕτω καὶ τῆς ῥινὸς τὸ σιμὸν, ἐν ᾧ καὶ μέσον τῶν ἑκατέρωθεν ὑψουμένων τὴν γένεσιν ἴσχει, καὶ ἤδη σύμπασα ἡ ῥὶς ἀπὸ τούτου τοῦ μέρους ὀνομάζεται σιμή. πολλὰς γὰρ ἴσμεν ὅλοις τοῖς σώμασι προσηγορίας ἀπὸ τῶν μορίων τινὶ συμβεβηκότων γιγνομένας, ὥσπερ καὶ αὐτὸν τὸν σιμὸν ἄνθρωπον. οὐ γὰρ οὕτω σιμὸς ὡς παχὺς, ἢ ἰσχνὸς, ἢ λευκὸς, ἢ μέλας, ἀλλ' ὡς ἢ γλαυκὸς, ἢ χαροπὸς, ἢ κυρτὸς λέγεται. ἐπὶ μὲν οὖν τῆς ῥινὸς καὶ τῶν ὀδόντων ἡ σιμότης κυρίως ὀνομάζεται. ἐπὶ δὲ τῆς ἐπιδέσεως ὑπὸ Ἱπποκράτους, ὥσπερ καὶ ἡ ἄμβη ἐστὶ τὸ σκέπαρνον, εἶδος τῆς περιβολῆς τῶν ὀθονίων. ὅταν γοῦν κελεύῃ τοὺς σπλῆνας σκεπαρνηδὸν περιβαλεῖν τῷ κώλῳ, διορίζει τῆς εὐκύκλου περιβολῆς τὸ ἐγκεκλιμένον οὕτως, ὡς τὸ τεκτονικὸν σκέπαρνον. οὐ γὰρ βούλεται λοξὴν ἱκανῶς γίγνεσθαι τὴν περιβολὴν τῶν σπληνῶν ἀφεστηκυῖαν πολὺ τῆς εὐκύκλου καλουμένης, ἀλλ' ἐγκεκλίσθαι μικρὸν, ὅσον ἱκανὸν ἀσφαλεστάτην ἐργάσασθαι τὴν κράτυνσιν τῶν συντετριμμένων. εὔδηλον δὲ ὅτι καθ' ἑκατέραν τῶν εἰρημένων ἐπιβολὴν τὸ μᾶλλον τε καὶ ἧττον ἐστὶ, οὐδετέρας αὐτῶν ἁπλῆς οὔσης, οὐδὲ μονοειδοῦς, ὥσπερ ἡ ἐγκυκλος. ἐπ' ἐκείνης μὲν οὖν ὑπεναντίαν ἀνάγει τῇ ἁπλῇ ἔγκυκλον. ἐφεξῆς δὲ τό, τε σκέπαρνον καὶ τὸ σιμὸν ἑκάτερον ἰδίᾳ καὶ καταμόνας, ὡς διώρισται. τὸ κρίνων εὐκρινέως, σημαίνει μὲν τὸ οἷον διακεκριμένως τε καὶ διωρισμένως γίγνεσθαι, ὡς ἔφην, ἤτοι πασῶν τῶν περιβολῶν τοῦ ἐπιδέσμου τὰ αὐτὰ πέρατα κατὰ τὸ πλάτος ἐχουσῶν, ἢ τὴν ἔγκλισιν τεταμένην. ὀνομάζω δὲ τεταμένην ἔγκλισιν, εἰ τὰ φαινόμενα μετὰ τοῦ πλάτους τῶν ὀθονίων ἴσον ἀλλήλων ἐφεστήκοι. ἔσται δὲ καὶ τοῦτο, τὴν ἴσην ἔγκλισιν ἀεὶ φυλάττοντος τοῦ ἐπιδοῦντος, ἣν ἐξ ἀρχῆς ἐνεστήσατο. καινοτομοῦντες δὲ ὥσπερ ἐν ἄλλοις, καὶ μεταθέντες τὰς παλαιὰς γραφὰς, ὅ, τε Ἀρτεμίδωρος καὶ ὁ Διοσκουρίδης, οὕτως κἀνταῦθα μεταβάλλοντες τὴν κλίσιν, ἤγουν τὴν λέξιν ἁπλοῦν εὐκύκλως ἔγραψαν, νοήσαντες μὲν ὀρθῶς, μεταγράψαντες δὲ τολμηρῶς. ἐπὶ μέντοι τῶν πλείστων οὐδὲ καλῶς νοήσαντες, ἐτόλμησαν μεταγράψαι, διὰ τοῦτο νῦν αὐτῶν ἐμνημόνευσα, καίτοι μυρία τῶν ἔμπροσθεν ἄχρι τοῦ δεῦρο μεταγεγραφότων, οὐ μνημονεύσας. ἐπεὶ καὶ τοῦτ' ἔδοξάν μοι καλῶς μὲν νενοηκότες, ἐπὶ τὸ σαφέστερον δὲ μεταγράψαι, σφαλέντες ἐν τοῖς μικροῖς, καὶ μὴ νοήσαντες ὡς ὁ γραφεὺς βούλεται. περὶ μὲν δὴ τούτων ἅπαξ ἀρκέσει λελέχθαι. προειπὼν δὲ ὁ Ἱπποκράτης, ἁπλῶς μὲν, καλῶς δὲ, εὐκρινέως. ἐφεξῆς δὲ προσθεὶς ὅμοια ἢ ἴσα, καὶ ἴσως καὶ ὁμοίως, καὶ ἄνισα, καὶ ἀνόμοια, ἀνίσως καὶ ἀνομοίως, ὡς τὸν κοινὸν σκοπὸν ἐδίδαξε τῶν εὐκρινῶν ἐπιδέσεων. τὰ μὲν γὰρ ἴσα, ἢ ὅμοια μέλη τοῦ σώματος, ἴσως καὶ ὁμοίως κατὰ πάνθ' ἑαυτῶν τὰ μόρια τὸν ἐπίδεσμον ἐπιδεῖσθαι δεῖται. τὰ δὲ ἄνισα καὶ ἀνόμοια, ἀνίσως καὶ ἀνομοίως, ἢ τά γε παλαιὰ τῶν ἀντιγράφων, καὶ οἱ ἐξηγησάμενοι τὸ βιβλίον ἐλλιπῶς ἴσασι γεγραμμένην τὴν λέξιν, οὐ προσκειμένου τοῦ ἀνίσως καὶ ἀνομοίως, ἀλλὰ μόνου γεγραμμένου τούτου, ἄνισα καὶ ἀνόμοια, προσυπακούειν κελεύουσι τὸ ἀνίσως ἢ ἀνομοίως, παραλελειμμένον ὑπ' αὐτοῦ, διὰ τὸ φαίνεσθαι σαφῶς ἐξ ἀκολουθίας τῆς πρὸς τὰ εἰρημένα. τὸ δὲ τῆς ἑρμηνείας εἶδος, οὐ βραχυλογίας ἴδιόν ἐστι, ἀλλ' ἡμαρτημένον πρόδηλον, ἄμεινον, εἴπερ οὕτως εὑρεθῇ γεγραμμένον ἡγεῖσθαι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν πρώτων ἀντιγράφων ἡμαρτήθη. καὶ τοῦτο συμβῆναι, τοῦ μὲν βιβλιογράφου παραλιπόντος αὐτὰ, φυλαχθείσης δὲ ἄχρι δεῦρο τῆς ἁμαρτίας. περὶ μὲν οὖν βραχίονος ἴσως καὶ ὁμοίως ἐγχωρεῖ ποιεῖσθαι τὰς περιβολὰς, ἐπὶ δὲ μηροῦ καὶ πήχεος ἀπολειπομένας, βραχὺ δὲ πλεῖον ἐπὶ κνήμης. ἐπ' ὤμου μέντοι ἢ ἰσχίου τῶν ἀντικειμένων μορίων δεόμεθα, καθάπερ κἀπὶ τῶν πλαγίων τῆς κεφαλῆς. τὰ μὲν γὰρ κατὰ μέτωπον, καὶ ἡ ῥὶς ἐγκύκλου δεῖται τῆς περιβολῆς ἴσως ἢ ὁμοίως γιγνομένης, καθάπερ καὶ τὰ κατὰ τὴν κορυφὴν, εἰ καὶ μὴ ἐγκύκλως ἀλλ' ἴσως τε καὶ ὁμοίως κἀνταῦθα τῆς ἐπιδέσεως γιγνομένης χρῄζει. περὶ μὲν οὖν τούτων ἐν τοῖς ἐφεξῆς ἐπιμελέστερον εἰρήσεται. νυνὶ δὲ ἐπὶ τὸ λοιπὸν τῆς ῥήσεως ἴωμεν. διελθὼν γὰρ ὁ Ἱπποκράτης τὰς ἁπλᾶς περιβολὰς τῶν ἐπιδέσμων τρεῖς οὔσας, ἔγκυκλον, σκέπαρνον, σιμὸν, ἐφεξῆς μέμνηται τινῶν συνθέτων, ὀφθαλμοῦ, ῥόμβου, καὶ ἡμιτόμου. καλοῦσι δὲ τὸ ἡμίτομον τοῦτο καὶ ἡμιρόμβιον. εἶθ' ἐφεξῆς πάλιν φησὶν ἁρμόττον τὸ εἶδος τῷ εἴδει, καὶ τῷ πάθει τοῦ ἐπιδεσμένου, τὸ εἶδος τοῦ ἐπιδεσμένου κελεύων ἁρμόττον εἶναι, τῷ τε τοῦ πεπονθότος μέρους εἴδει, καὶ τῷ κατ' αὐτὸ πάθει. τὸ μὲν γὰρ τῆς ἐπιδέσεως εἶδος, ὃ καλοῦμεν ὀφθαλμὸν, ἐπ' ὀφθαλμοῦ παραλαμβάνομεν, ἤτοι πρόπτωσιν κινδυνεύοντος, ἢ κρατήματος ἕνεκα τῶν ἐπικειμένων αὐτῷ. τὸν δὲ ῥόμβον ἐπὶ κεφαλῆς, ἤτοι ῥαφὰς κεχαλασμένας βουλόμενοι συναγαγεῖν, ἢ ἕλκους ἐκπεπταμένα χείλη, καὶ ποτὲ καὶ προσστεῖλαι καὶ κολλῆσαι τὸ δέρμα μέχρι πλείονος ἀποσεσυρμένον. ἀνάλογον δὲ τοῖσδε, καὶ ἡ τοῦ ἡμιρομβίου γίγνεται χρεία. ταῦτα μὲν οὖν ὡς παραδείγματα γέγραφεν Ἱπποκράτης. ἀναλόγως δὲ αὐτοῖς ἡμᾶς ἐξευρίσκειν δεῖ καθ' ἕκαστον μέρος ἢ πάθος ἐπίδεσιν ἁρμόττουσαν, ἢ παρὰ τῶν εὑρηκότων μανθάνειν. ἄμεινον δὲ καὶ διδάσκοντα μὴ ἁπλῶς κελεύειν, ἀλλὰ μετὰ τοῦ τὴν ὁδὸν ὑφηγεῖσθαι καθ' ἣν αὐτὸς εὗρε τὸν ἐπίδεσμον. ἅτε γὰρ ἀνάμνησις τοῖς μανθάνουσι, κἂν ἐπιλανθάνωνται ποτε, γίγνοιτ' ἂν οὕτως, ἤτοι καὶ τὸ μὴ προσεπινοεῖν ὃ με-

μαθήκα-

μαθήκασιν ὑπάρξει. διὰ τοῦτον ἴσως ἄμεινόν ἐστι καὶ ἡμᾶς ἰδίαν ποιήσασθαι καθ' ἓν ὑπόμνημα διδασκαλίαν, περὶ τῆς πρεπούσης ἐπιδέσεως, καὶ τῷ μορίῳ τοῦ σώματος, καὶ τῷ πάθει.

Ἀγαθῶς δὲ δύο εἴδεα τῆς ἐπιδεομένης. ἰσχύος μὲν ἢ πιέξει, ἢ πλήθει ὀθονίων.

Ὅτι μὲν εἴδη λέγειν εἴωθε τὰς διαφορὰς, ἔμπροσθεν εἴρηται. ζήτημα δὲ μέγιστον εἰργάσατο διαφωνίας αἴτιον τοῖς ἐξηγουμένοις τὸ βιβλίον, οὐκ εἰπὼν ὀνομαστὶ δύο εἴδη, καθάπερ ἔμπροσθεν ἐπ' ἄλλων ἐποίησε. τὸ μὲν οὖν τῆς ἑτέρων ἐστὶν ἐν τῷ ποσῷ τῆς ποιήσεως, ὅπερ αὐτὸς ἰσχὺν ὠνόμασε, δηλῶν ἐκ τοῦ λέγειν, ἰσχύος μὲν ἢ πιέξει, ἢ πλήθει ὀθονίων. ἔστι γάρ τις συμμετρία τῆς κατὰ τὴν ἐπίδεσιν ἰσχύος, ἧς ὑπερβαλλούσης μὲν, οἱ κάμνοντες ὀδυνῶνται θλιβομένων τῶν μορίων, ἐλλιπούσης δὲ, χαλαρὸν τὸ σχῆμα ὁ ἐπίδεσμος γίνεται. τὸ δὲ ἕτερον εἶδος τῆς ἀγαθῆς ἐπιδέσεως οὐκ εἶπε, ἐφεξῆς δὲ οἷς περὶ τῆς ἰσχύος ἔγραψεν ὧδέ πως φησί.

Τὸ μὲν οὖν αὕτη ἡ ἐπίδεσις, τὸ δὲ τοῖς ἰωμένοισιν ὑπηρετέει.

Τοῦτο δὲ οὐκ ἔστιν ἕτερον εἶδος ἀγαθῆς ἐπιδέσεως, ἐν τῷ καθόλου χρεῖαι κοιναὶ πασῶν ἐπιδέσεων. καὶ μέντοι καὶ μετὰ ταῦτα πάσης ἡ συμμετρία τῆς ἐπιδέσεως φυλαχθῇ ἡ γραφὴ, καὶ μετὰ τὸν περὶ αἵματος. εἶθ' οὕτως ἄρχεται τῆς ἐφεξῆς διδασκαλίας λέγων. δεῖ γε μὴν ἐστι γνῶναι, ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος, οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω, καὶ τὰ τούτων ἐφεξῆς λεγόμενα. ταῦτα λοιπὸν ὁ λόγος αὐτοῦ περὶ τοῦ ποσοῦ τῆς ἐπιδέσεως γίγνεται. τεμνομένου δὲ καὶ τοῦδε πάλιν, εἴς τε τὸ γνῶναι πόθεν ἄρχεσθαι προσήκει καθ' ἕκαστον μέρος καὶ πάθος, εἰς ὅτι γε πάντων ὕστερον ἄγειν τὴν τελευτὴν τῆς ἐπιδέσεως. ἔτι τε τὴν ἐν τῷ μεταξὺ νομὴν τῆς ἐπιδέσεων ὁποίαν τινὰ χρὴ ποιεῖσθαι, τάς τε καθ' ἕκαστον μέρος ἐπιβολὰς, καὶ ταῦτ' ἐδίδαξεν. ἐν οἷς γάρ φησιν, τὰ δὲ κινεύμενα τῶν ἄρθρων, ὅπῃ μὲν συγκάμπτεται, τὸν τρόπον τῆς ἐπιβολῆς τῶν ἐπιδέσμων διέρχεται. καὶ μέντοι καὶ ὅπως χρὴ τὰ πέρατα τῶν ἐπιδέσμων ἀσφαλῶς τούτοις φυλάττεσθαι, ἐφεξῆς ἔγραψεν. ἐντεῦθεν τε μεταβὰς, τίνα τῶν ἐπιδέσμων ἐστὶν ἔργα δηλώσεν, ὥστε τῆς ἀγαθῆς γινομένης ἐπιδέσεως τὸ ἕτερον εἶδος, ὅτω τῆς ἰσχύος αὖ διαιρεῖται, τὴν ὅλην ποιότητα τῆς ὅλης ἐπιδέσεως εἶναι. χαλεπὸν δ' ὂν ἑνὶ περιλαβεῖν κοινῷ ὀνόματι τὰς ἐν τούτῳ τῷ εἴδει μορικὰς διαφοράς. διὰ τοῦτ' ἴσως οὐδ' ἐπεχείρησεν ἔτι τοῦ ἀντιδιῃρημένου τῇ ἰσχύϊ διαμεῖναι προσηγορίας δηλῶσαι. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δι' αὐτῶν τῶν ῥήσεων ἔσται φανερὸν, ἐπισήμων τὰς γινομένας αὐτὰς μεταβολὰς εἰς ἐφ' ἕκαστον τῶν γινομένων κατὰ μέρος κεφαλαίων. ὠνομάσθω δὲ ἅπαν αὐτὸ τὸ γένος ἕνεκα σαφοῦς διδασκαλίας καὶ συντόμου, ποιότης ἐπιδέσεως. ἰσχὺν μὲν καὶ πιέξει ἢ πλήθει ὀθονίων, ὥσπερ τὸ τῆς δυνάμεως ὄνομα, ποτὲ μὲν αὐτὴν τάττοντες, τῷ τῆς ἀσθενείας λέγουσι, ποτὲ δὲ ἀντὶ τοῦ κοινοῦ ῥώμης τε καὶ ἀρρωστίας ἐπιφέρουσιν. οὕτως δὲ καὶ τὸ μέγεθος λέγουσι καὶ ἄλλα πολλὰ τὸ κατὰ μέρος ὁμωνύμως τῷ κοινῷ. καὶ νῦν ὡσαύτως κέχρηται τῷ τῆς ἰσχύος ὀνόματι. προσήκει γὰρ οὔτε ἰσχυρῶς πιέζειν, οὔτε ἀσθενῶς περιλαμβάνειν τὰ πεπονθότα μόρια τοῖς ἐπιδέσμοις, ὡς μὴ αἰσθάνεσθαι περικειμένων αὐτῶν τοὺς ἀσθενοῦντας. καὶ μέντοι καὶ τῷ πλήθει τῶν ὀθονίων ἀντὶ τῆς ποσότητι δεκτέον, ὡς μηδὲ ἐνταῦθα τὸ ἀντιδιαιρούμενον τῇ ὀλιγότητι πλῆθος ἀκούειν ἡμᾶς. ἡ γὰρ συμμετρία τὸ τῆς ἐπιδέσεως, ἀγαθὸν ἐργάζεται. καλῶς δὲ, ἀγαθῶς δηλονότι τὸ συμφέρον τε καὶ ὠφέλιμον αὐτῆς. ἐν μέντοι τῶν πρός τι παραλαμβανομένων ἀλλήλαις δυοῖν ἐπιδέσεων, ἰσχυροτέραν μὲν πεπιέχθαι, τὴν ἀσθενεστέραν δὲ τὴν ἑτέραν ἐροῦμεν. οὐδὲν γὰρ ἄτοπον ὡς πρὸς μὲν τὴν ὑποκειμένην διάθεσιν ἀεὶ συμμέτρως ἔχειν τὴν ἐπίδεσιν, πρός τε ἑτέραν καὶ παραλαμβανομένην ἰσχυρὰν ἢ ἀσθενῆ λέγεσθαι. ὁπηνίκα δὲ λύειν ἢ ἐπιτείνειν χρὴ τὴν ἐπίδεσιν, ἢ τὸ τῶν ὀθονίων πλῆθος αὐξάνειν ἢ μειοῦν, ἐν τῷ περὶ ἀγμῶν αὐτὸς ἐδίδαξε σαφέστατα.

Ἐς μὲν οὖν ταῦτα νόμος.

Οἱ κατὰ πόλεις νόμοι, λόγοι τινές εἰσι, προστακτικοὶ μὲν ὧν χρὴ ποιεῖν, ἀπαγορευτικοὶ δὲ ὧν οὐ χρή. τούτοις οὖν τοῖς νόμοις ἐοικέναι φησὶν τὰ νῦν εἰρημένα μηδὲν ἔχοντα στοχαστικὸν, ἢ ἀμφιβολίαν, ἢ ὡς ἄλλα τινὰ τῶν κατὰ τὴν ἰατρικὴν τέχνην. τὸ δ' αὐτὸ κἂν τῷ περὶ καταγμάτων εἴρηκεν ἐπὶ τὸ μετριώτερον ὑφεὶς τὸ τῆς ἐκφράσεως σφοδρόν. οὐ γὰρ ἁπλῶς εἶπε, ἐς μὲν οὖν ταῦτα νόμος, ὡς νῦν, ἀλλ' οὗτος ὁ λόγος ὥσπερ νόμος δίκαιος κεῖται περὶ καταγμάτων ἰήσιος.

Ἐν δὲ τουτέοισι μέγιστα ἐπιδέσιος, πίεξις μὲν ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι, μηδὲ ἐρηρεῖσθαι, ἀλλὰ ἡρμόσθαι μὲν, προσηναγκάσθαι δὲ μὴ, ἥκιστα μὲν τὰ ἔσχατα, ἥκιστα δὲ τὰ μέσα.

Ἐν τούτοις φησὶ τοῖς κατὰ τὸ τῆς ἰσχύος εἶδος διδασκομένοις μέγιστα παραγγέλματα τῆς ἐπιδέσεως εἶναι, τὰ ἐπικείμενα τοῦ πεπονθότος μορίου. λέγεται δὲ δηλονότι τὰ ὀθόνια μήτε ἀφεστάναι τοῦ χρώματος, μήτε θλίβειν, ἀλλ' ἡρμόσθαι μὲν, τουτέστιν ἀσφαλῶς ἐρηρεῖσθαι, προσηνέγκασθαι δὲ μή. σημαίνει δὲ αὐτὸ δηλονότι τὸ προσηνέγκασθαι τὸ ὀθόνιον οὕτως καὶ σφοδρῶς περιβεβλῆσθαι τοῖς πεπονθόσι μορίοις, ὡς ὀδύνην παρέχειν. αὐτὰ δὲ ταῦτα τὰ παραγγέλματα περὶ τοῦ ποσοῦ τῆς πιέσεως ἔνθεν τὸ πάθος ἐστὶν ἥκιστα παραλαμβάνειν προσήκει. κατὰ δὲ τὰ πέρατα φροντίζειν μὲν κἀνταῦθα πάντως, ἀλλ' ἧττον ἢ κατὰ μέσα. κάλλιστον γὰρ ἀναμάρτητον εἶναι τέχνην. εἰ δέ πού τι μικρὸν ἁμαρτάνει, κατ' ἐκεῖνα γίγνεσθαι τὰ μόριά τε καὶ πάθη, καθ' ἃ καὶ ἡ βλάβη μικροτέρα. ἥκιστα δὲ ἁμαρτάνειν ἐν οἷς ἀξιόλογος ἡ βλάβη.

Ἅμμα καὶ ῥάμμα, νεμόμενον μὴ κάτω, ἀλλ' ἄνω, ἐν παρέξει, καὶ σχέσει, καὶ ἐπιδέσει, καὶ πιέξει.

Διατὶ μὲν ἀτάκτως παρενήνοχεν καὶ τῷ περὶ τῆς ἐπιδέσεως λόγῳ τὸν περὶ τούτων, ὀλίγον ὕστερον ὀψόμεθα. νυνὶ δὲ πρότερον ὃ λέγει νοεῖσθαι πειραθῶμεν. ἐν διαφωνίᾳ γέγονε τοῖς ἐξηγηταῖς. ἔνιοι μὲν γὰρ ἁπλῶς ἤκουσαν περί τε τῆς κατὰ τὸ μῆκος διατάσεως εἰρῆσθαι, τό γε ἄνω καὶ τὸ κάτω. τινὲς δὲ ἐπὶ τῆς κατὰ τὸ πάθος, οὐδὲ ἕτεροι ἐξηγήσαντο νεμόμενον, οὔτε ἐπὶ τοῦ ῥάμματος, οὔτε ἐπὶ τοῦ ἅμματος. ὅτι μὲν οὖν ἅμμα καλεῖται τὸ ἐκ τῶν ἐπιδέσμων γινόμενον ἀλλήλοις ἐπιπλεκομένων καὶ δεσμουμένων, ἢ τῶν δύο περάτων, ἢ θατέρου σχισθέντος σκέλους, καὶ τρίτου γε ἐπ' αὐτοῖς τοῦ καλουμένου καταλήμματος ἔξωθεν ἐπιβαλλομένου, παντὶ δῆλον. ὡσαύτως δὲ καὶ ὅτι ῥάμμα τὸ διατρη-

ματος τῆς βελόνης διηρημένον, ἕνεκα τοῦ συνάγειν ἀλλήλοις, ἤτοι τὰ μόρια τοῦ διατετμημένου σώματος, ἢ τὸ πέρας τοῦ ἐπιδέσμου τοῖς προϋποβεβλημένοις αὐτοῦ μέρεσι. καὶ ὁ νῦν ἐνεστὼς λόγος ἐστὶ περὶ τοῦ πρὸς ταύτην τὴν χρείαν παρεσκευασμένου ῥάμματος. ἀξιοῖ δὲ τούτου τὴν νομὴν ἄνω γενέσθαι. τί δὲ καλεῖ νομήν, ἐχρῆν παρ' αὐτῷ μεμαθηκέναι, πολλάκις κεχρημένῳ τῷ ὀνόματι κατὰ τῆς, τῶν ἐπιδέσμων ἀπὸ τοῦ πέρατος ἄχρι τῆς ἀρχῆς, φορᾶς. ἐπὶ γοῦν τῶν καταγμάτων ἐκέλευσε τὴν μὲν ἀρχὴν τῶν ἐπιδέσμων ἀμφοτέρων ἐπ' αὐτοῦ τοῦ κατάγματος τίθεσθαι. τοὐντεῦθεν δέ, τοῦ μὲν προτέρου τὴν νομὴν ἄνω ποιεῖσθαι, τοῦ δὲ δευτέρου, κάτω μὲν πρότερον, εἶτ' αὖθις ἄνω, νομὴν ὀνομάζων τὴν οἷον ὁδοιπορίαν τῶν ἐπιδέσμων, ἣν ἀπ' ἀρχῆς μέχρι τέλους ποιοῦνται περιελιττόμενοι τῷ σώματι τοῦ κάμνοντος. ἀνάλογον μὲν οὖν κἀπὶ τοῦ ῥάμματος ἡ νομὴ σημαίνει. δυναμένης γὰρ τῆς βελόνης κἀκ τῶν μερῶν εἰς τὰ κάτω διεκβάλλεσθαι, καὶ κατὰ τοὐναντίον ἐκ τῶν κάτω πρὸς τὸ μετέωρον ἀναφέρεσθαι. δυναμένης δὲ καὶ μηδετέρως ἕρπειν, ἀλλὰ παρεγκλίτως, ἤτοι πρὸς τὸ δεξιὸν μέρος ἀπὸ τῶν ἀριστερῶν, ἢ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ λαιὰ διεκβάλλεσθαι, κελεύει διὰ παντὸς αὐτὴν ἄνω τὴν φορὰν ἔχειν. ἐὰν μὲν οὖν τὸ πέρας αὐτὸ μόνον τοῦ ἐπιδέσμου συρράπτηται τοῖς ὑποκειμένοις αὐτοῦ μέρεσιν, ἐφ' ὧν μὲν ἐπιδέσεως οὐ δεόμεθα τῶν ἀντικειμένων μορίων, ὡς ἐπὶ πήχεος, καὶ βραχίονος, καὶ μηροῦ, καὶ κνήμης, καὶ ἐπὶ τούτων ἀναγκαῖον ἐστίν, ἤτοι ἐπὶ τῶν ἀριστερῶν μερῶν ἐπὶ δεξιὰ διείρειν τὴν βελόνην ἀνάπαλιν. ἑκατέρως δὲ πειρᾶσθαι τὴν φορὰν αὐτῆς ἐκκλίνοντα πρὸς τὸ ἄνω, συνάπτειν οὕτως τὸ πέρας τῆς ὀθόνης ταῖς ὑποβεβλημέναις ἐπιβολαῖς. ἐφ' ὧν δέ ἐστι χρεία τῶν ἀντικειμένων μορίων, ὡς ἐπ' ὤμου καὶ ἰσχίου, πειρᾶσθαι τὴν τελευτὴν τοῦ ἐπιδέσμου ποιεῖσθαι κατὰ τὴν ἄνω φοράν, εἶτ' ἐνταῦθα τὴν βελόνην διείροντα κάτωθεν, ἄνωθεν τὴν συρραφὴν οὕτω ποιεῖσθαι, μὴ κατασπῶντα τὸ ὑψηλὸν μέρος τῆς ἐπιδέσεως, ἀνασπῶντα δὲ τὸ ταπεινόν. ἐγχωρεῖ μὲν γὰρ ἑκάτερον ποιεῖν ἐν τῇ συρραφῇ τῶν ὀθονίων, ἀλλὰ διεκβαλεῖν τὸ ῥάμμα μετὰ τῆς βελόνης. ἀνατείνειν χρὴ τὸ κάτωθεν αὐτοῦ μέρος πρὸς τὸ ἄνω, καὶ μὴ κατατείνειν τὸ ἄνωθεν εἰς τὸ κάτωθεν, σκοπὸν ἔχοντα διὰ τῶν ἄνωθεν μερῶν τῆς ἐπιδέσεως ἀνέλκεσθαι τὸ κάτω, καὶ τοῦτο ποιεῖν ἡμᾶς κελεύει, ἐν ᾧ τε παρέχει τὸ πεπονθὸς ὁ κάμνων τοῖς ἰατροῖς εἰς μείωσιν, ἐν ᾧ τε παρασκευάζουσιν ὡς πρὸς τὴν χειρουργίαν αὐτό. καὶ τρίτον τὸ τῆς χειρουργίας αὐτῆς μέρος ἐστὶν ἡ ἐπίδεσις. ὠνόμασε δὲ τὸ μὲν πρῶτον, ἐν παρέξει, τὸ δὲ δεύτερον, ἐν σχέσει, τὸ δὲ τρίτον, ἐν ἐπιδέσει, τὸ δὲ τέταρτον, ἐν πιέξει. γράφουσι δὲ ἀντὶ τοῦ ἐν πιέξει τινές, ἐν τῇ ἔπειτα ἕξει, ὃ καί μοι μᾶλλον ἀρέσκει, καὶ πρόσθεν γὰρ ἤδη τὸν τρίτον καιρὸν κέκληκεν ἐν ἕξει. καὶ δῆλον ἐστὶν ὅπερ ἐν σχήματι τοῦτο ἐν πᾶσι τοῖς καιροῖς βούλεται φυλάττεσθαι τῶν ἐπιδέσμων μορίων, οὕτως καὶ τὴν νομὴν τοῦ ἅμματός τε καὶ ῥάμματος ἀεὶ τὴν ἀνάτασιν ἔχειν ἄνω. πρῶτον μὲν τοῦ πέρατος τῆς ἐπιδέσεως ἀσφαλῶς ἀνατεινομένου τε καὶ κρατουμένου δι' ἐκείνης τε καὶ ὅλης αὐτῆς. ἀλλ' ἐκεῖνό τε σκέψεως δεῖται, παραλελειμμένον ἄσκεπτον τοῖς ἐξηγηταῖς αὐτοῦ, τὴν νομὴν τοῦ τε ἅμματός τε καὶ τοῦ ῥάμματος, ὥσπερ ἐν τοῖς ἄλλοις καιροῖς, οὕτως καὶ κατ' ἐκεῖνον ἐν ᾧ παρέχουσιν οἱ κάμνοντες τοῖς ἰατροῖς ἑαυτούς, ὑπὲρ τὴν ἄνω χώραν γίνεσθαι τοῦ πεπονθότος μέρους. παραγίνονται γὰρ ἐπὶ τὸν ἰατρὸν οἱ μὲν βαδίζοντες, οἱ δὲ βασταζόμενοι, καθότι ἂν αὐτοῖς δόξῃ. ποτὲ μὲν ἀνειλημμένοι τὰ πεπονθότα μόρια, ἢ ἐπιδεδεμένοι, ποτὲ δὲ ἄμφω πεποιηκότες. ἐν ἐκείνοις οὖν ἐστὶν ἡ ἐξουσία τῶν ἀμμάτων καὶ τῶν ῥαμμάτων, οὐκ ἐπὶ τοῖς μέλλουσι καταμανθάνειν αὐτούς, ἢ θεραπεύειν ἰατροῖς. ἴσως οὖν ἡγεῖται καὶ κατ' ἐκεῖνον τὸν καιρὸν ἐνίοτε ἰατροῖς γίνεσθαι χρείαν τοῖς πάσχουσι. καὶ γὰρ ἐν ὁδοιπορίᾳ καὶ κατ' ἀγρὸν ἐνίοτε πληγαὶ συμπίπτουσι τοῖς ἰδιώταις, ἢ ἐξαρθρήματα καὶ τραύματα. δεομένων μὲν ἰατρῶν πλειόνων συνόδου σκέψεως ἀκριβοῦς, ὀργάνων τέ τινων, ἢ ἁρμένων, ἢ ὀθονίων, ἢ ἐπιβρόχων εἰς τὴν θεραπείαν, ὧν ὀλίγος ἦν εὐπορία κατὰ τὸν ἀγρὸν ἢ τὴν ὁδοιπορίαν, ὥστε ἐν ἐκείνῳ τῷ καιρῷ παραφανὴς ὁ καιρὸς ἐπιδέσει τε καὶ ἀναλήψει, καὶ δεήσει τὰ πάσχοντα μόρια τοῖς εὐπορηθεῖσιν ὀθονίοις, καὶ δηλονότι καὶ ἅμμασι καταλαβεῖν δεήσει τὴν ἐπίδεσιν, ἢ ῥαφαῖς, καὶ τοῦτο πράξει προσηκόντως, εἶτ' ἐν τῇ πόλει πάλιν ἑαυτὸν παρέξει ὁ κάμνων τοῖς συνήθεσιν ἰατροῖς. πρῶτον μὲν εἰς ἀκριβεστέραν διάγνωσιν ὧν ἔπαθεν, εἶτ' ἐφεξῆς εἰς ἐμβολὴν τῶν ἐκπεπτωκότων ἄρθρων, ἢ διάπλασιν τῶν κατεαγότων ὀστῶν, ἢ ῥαφὴν τῶν τραυμάτων, ἢ τῶν τεθλασμένων προσήκουσαν ἐπιμέλειαν, οἷς ἐφεξῆς δηλονότι τὴν δέουσαν ἐπίδεσιν οἱ ἰατροὶ ποιήσονται, καὶ μετὰ τὴν δέσιν ἐν τῷ αὐτῷ σχήματι προνοήσονται τῆς ἀποθέσεως.

Ἀρχὰς βάλλεσθαι μὴ ὑπὲρ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν τὸ ἅμμα.

Βάλλεσθαι τί καλεῖ νῦν ἅμμα τῶν ἐξηγημένων ἐστίν. κατὰ μὲν γὰρ τὴν ἔμπροσθεν ῥῆσιν ἀντιδιῄρηται τὸ ἅμμα, νυνὶ δὲ θατέρου μόνου ἐμνημόνευσεν, ὡς δυναμένου καὶ ῥάμματος εἰς ἅμμα τελευτᾶν. καὶ γὰρ τελευτάτω εἰς τοῦτο πάντως ἐν ἅπασι τοῖς ῥαπτομένοις. οὐ γὰρ ἁπλῶς διεκβάλλεται τῶν ῥαπτομένων ἡ βελόνη, ἀλλὰ μετὰ τοῦ ῥάμματος, ἀλλήλοις ἅμματι σφιγγομένων. πολλάκις μὲν οὖν ἐγγὺς ἀλλήλων αἵ τε ἀρχαὶ τοῦ ῥάμματος γίνονται καὶ τὸ ἅμμα. καθάπερ ὅταν τὸ δέρμα διαρράπτομεν, ἐνίοτε δὲ ἀφεστήκασιν ὡς ἐπὶ τῶν δεσμῶν συμβαίνει πολλάκις, ἐκ πολλοῦ συναγωγῆς τῶν μερῶν τοῦ ῥάμματος εἰς τὸ κοινὸν ἅμμα γιγνομένης. εἰκὸς οὖν ἐστι νῦν αὐτὸν λέγειν μὴ κατ' ἐκεῖνο τὸ μέρος βάλλεσθαι τὰς ἀρχὰς τοῦ ῥάμματος, ἐν ᾧ τὸ ἕλκος ἐστίν, ὡς προστάγματι συνεπινοεῖται, μηδὲ τὸ ἅμμα κατὰ τὸ ἕλκος τείνεσθαι. θλίψει τε γὰρ οὐ μόνον ὑπ' αὐτοῦ τοῦ ἅμματος τὸ ἕλκος, ἀλλὰ καὶ τοῦ ἐπιδέσμου πιλουμένου, σφοδρότερον ὑπ' αὐτοῦ τοῦ δεομένου τοῦ ἅμματος ἐσφίγχθαι βιαιότερον, εἰ μέλλει κρατήσειν τὸν ἐπίδεσμον. οὕτως δὲ κἂν χωρὶς ῥάμματος ἅμμα γένηται τῶν τοῦ ἐπιδέσμου περάτων, τῶν ἐπιπλεκομένων ἀλλήλοις, ἢ τινὸς ἔξωθεν, οὐ χρὴ βάλλεσθαι κατὰ τὸ ἕλκος αὐτό. συμβήσεται γὰρ οὕτως καὶ τὸ ἅμμα κατὰ τοῦ ἕλκους ἐπιβεβλημένον θλίβειν αὐτό, καὶ μάλιστα ὅταν ἢ λεπτὸς ἢ ὁ ἐπικείμενος προεπίδεσμος, ἢ χωρὶς ἐρίου περιβεβλημένος. ἐμοὶ μὲν οὖν δοκεῖ τῆς ἐπιπλοκῆς εἰς ἅμμα τελευτώντων, ἤπερ ἀμμάτων, εἴτε ταινιῶν ὁ Ἱπποκράτης νῦν μνημονεύειν. ἔνιοι δὲ ἡγοῦνται τὰς ἀρχὰς τῶν ἐπιδέσμων αὐτὸν ἀξιοῦν μὴ τίθεσθαι κατὰ τὸ ἕλκος. ἐξ αὐτῶν δέ τινες τὴν γραφὴν ἐποιήσαντο, ἀληθῶς μέν, οὐ μὴν τῇ προκειμένῃ λέξει προσήκουσαν. οὐ γὰρ περὶ τῶν ἐπιδέσμων, ἀλλὰ περὶ ῥάμματος ὁ ἐνεστηκὼς λόγος αὐτῷ περαίνεται. τὴν οὖν γραφὴν ἀληθές τι καὶ τεχνικὸν ἔχειν φημί, ἣν ποιοῦνται, τό τε τὰς ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν, τουτέστιν ἑκατέρωθεν αὐτοῦ κατὰ δεξιόν, ἢ λαιὸν μέρος. οὕτω νῦν συμβήσεται καὶ τὸ γεγραμμένον αὐ-

τῷ κα-

τῷ, ἐπὶ τὸ περὶ ἀγμῶν ὀρθῶς εἰρῆσθαι, καὶ μὴ μάχεσθαι τῷ νῦν λόγῳ. κελεύει γὰρ ἐν ἐκείνῳ τὰς ἀρχὰς τῶν ἐπιδέσμων βάλλεσθαι ἐπὶ τὸ πεπονθὸς μέρος, ἤτοι κάταγμα τὸ πάθος, ἢ ἕλκος εἴη, καὶ μήτε ἀνωτέρω ἢ κατωτέρω. πρὸς γὰρ τὴν κατὰ μέρος διάστασιν, ὁ ἐν ἐκείνῳ τῷ βιβλίῳ λόγος ἐκφέρεται. νυνὶ δὲ οὐ πρὸς ταύτην, ἀλλὰ πρὸς τὴν κατὰ πλάτος ἀποβλέπων, ἔφη τὰς ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ᾽ ἔνθεν ἢ ἔνθεν, τουτέστιν ἐφ᾽ ἑκάτερον τοῦ ἕλκους. ὁμολογεῖ γὰρ τούτῳ τῷ μήτε ἀνωτέρω, μήτε κατωτέρω. οὐ μὴν ἴσασι τὴν γραφὴν ταύτην οἱ ἐξηγησάμενοι τὸ βιβλίον. εἰκότως οὖν ἀποροῦσι λέγοντος τοῦ Ἱπποκράτους, ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ᾽ ἔνθεν καὶ ἔνθεν τὸ ἅμμα, καί τισιν ἔδοξεν ἀρχὰς ἐπιδέσμων ἀκούειν, ἀντὶ τῶν πέρατα, καίτοι γενικώτερον ὄνομα τὸ πέρας ἐστὶ τῆς ἀρχῆς, ὡς καὶ Πλάτων ἡμᾶς ἐδίδαξε, πέρατα λέγων εἶναι, καὶ τὴν ἀρχὴν, καὶ τὴν τελευτήν. εἴπερ οὖν ἐγχωρεῖ τὴν γενικωτέραν προσηγορίαν ἀντὶ τῆς εἰδικωτέρας ἐπιφέρειν τῷ πράγματι, τὴν μὲν ἀρχὴν ἔξεσαι λέγειν ἡμῖν πέρας, ὥσ-
10 περ γε τελευτὴν, οὐ μὴν τελευτὴν ἀρχήν. καὶ μὴν εἰ μηδενὸς ἄλλου δυνατὸν ἀρχὴν ἀκούειν παρὰ τὴν τῶν ἐπιδέσμων, τῶν ῥαμμάτων, τῶν ταινιῶν, ἀδύνατον δὲ τὴν τῶν ἐπιδέσμων ἀκούειν, ἀναγκαῖον ἐστὶ τὴν αὐτὴν ἀκούειν ἀρχὴν ῥαμμάτων τε καὶ ταινιῶν. εἰ δὲ βούλει καὶ παρερμμάτων, καὶ γὰρ καὶ τούτων αὐτὸς δύναται καταλαμβάνειν, δηλονότι τὴν ἐπίδεσιν, ὥσπερ καὶ οἱ στενοὶ τελαμῶνες, ὅσοι κατὰ τὸ πέρας ἀντεμπλεκόμενοι δεσμὸν ἐργάζονται.

Τὸ δὲ ἅμμα, μήτε ἐν τρίβῳ, μήτε ἐν ἔργῳ, μήτε ἐκεῖσε, ὅκου κενεὸν, ὡς μὴ ἐς ὠ κενεὸν κείσεται.

Κατὰ τὴν πρὸ ταύτης ῥῆσιν ἀξιώσας ἀρχὰς ἐργαζόμενον τὸ ἅμμα μὴ κατὰ τὸ ἕλκος, ἀλλ᾽ ἐν ἑτέρῳ τίθεσθαι χωρίῳ, καθ᾽ ὃ καὶ τὸ ῥάμμα προσήκει τεθεῖναι, νῦν ἡμᾶς διδάσκει τοὺς τόπους αὐτοὺς ἐν οἷς χρὴ τίθεσθαι τὸ ἅμμα. γίνεται δὲ ἐνίοτε διδασκαλία πραγμάτων, οὐκ ἐκ τῶν συμβεβηκότων αὐτοῖς, οὕτω δὲ ὀνομάζουσι τὰ δυνάμενα μὲν συμβῆναι, οὐ μὴν συμβεβηκότα γε, καὶ εἴη ἂν ὁ λόγος αὐτοῦ δυνάμει τοιοῦτος. τὸ ἅμμα τίθεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ᾽ ἔνθα δυνήσει τὴν νομὴν αὐτοῦ πρὸς τὴν ἄνω χώραν γενέσθαι, φυλαττόμενος τρίβον καὶ ἔργον, καὶ τρίτον τὸ κενεόν. τρί-
20 βον μὲν οὖν καλεῖ, καθ᾽ ὃ τὴν ἐνέργειαν ἔχει καμπτόμενον, ἢ ἐκτεινόμενον, ἢ ἐς τὰ πλάγια παρατριβόμενον. ἔσται δὲ τρίβος τῷ μὲν βαδίζοντι τὸ ἴχνος τοῦ ποδὸς, τῷ δὲ κατακειμένῳ, τὸ ἰνίον ἅπαν, καὶ μάλιστα αὐτοῦ τὰ ἐξέχοντα, καὶ τὰ τῆς κεφαλῆς οἱ ἧσσω. τῷ δὲ καθημένῳ, τῆς πυγῆς τὸ κάτω. εἰ δὲ διὰ τῶν χειρῶν τις ἐνεργεῖν ἐπιδεδεμένος μέλλοι, σκέψαι τίνα τε τὴν ἐνέργειαν ἐνεργήσει, καὶ ποίᾳ τινῶν ἔξωθεν. οὕτω γὰρ δυνήσῃ καὶ τὴν ἐν αὐτῇ τρίβον ἐξευρεῖν. αἱ δὲ ἐνέργειαι, δηλονότι κατὰ τὰς διαρθρώσεις γίνονται. φυλάξει τοίνυν αὐτὰς ἀεὶ, καὶ κάλλιστα τὰς μελλούσας ἐνεργεῖν ἐπιδεδεμένου τοῦ κάμνοντος. ὅτι δὲ καλῶς ὑπ᾽ αὐτοῦ παρῄνηται τὸ συνέχον, ὅλην τὴν ἐπίδεσιν ἅμμα μὴ τίθεσθαι ἐπὶ τῶν σχηματιζομένων μορίων ἐν ταῖς κινήσεσιν, εὔδηλον. ἀναγκαῖον γὰρ ἔσται, ποτὲ μὲν χαλαρὰ περαιτέρω τοῦ προσήκοντος, αὖθις δὲ θλίβοντα γίγνεσθαι τὰ ἅμματα, καθ᾽ ἥντινουν ἐπιβολὴν, διάρθρωσιν. ὃ δὲ ἐπὶ τῆς τελευτῆς ῥήσεως εἶπεν, κενεὸν, ἅπαντες ἀκούουσιν μάταιον, ὡς εἰ καὶ ἄπρακτον εἰρήκει. καλοῦσι δὲ οἱ Ἕλληνες κενεοὺς ἐκ γενετῆς ἅμα τε κωφοὺς, καὶ ἀδιάρθρωτον φθεγγομένους, ὡς νῦν οὗτοι πρὸς τὰς κατὰ τὸν βίον ἐνεργείας τελέως
30 εἰσὶν ἄχρηστοι. οὕτω φασὶν αὐτὸν ὠνομακέναι τὸ μηδὲν ὠφελοῦν τὴν ἐπίδεσιν, κενεόν. ἐνδέχεται οὖν τὸν μὲν Ἱπποκράτην μετὰ τοῦ κ γεγραφέναι κενεὸν, ἁμαρτηθεῖσαν δὲ τὴν λέξιν, εὐθὺς ἐξ ἀρχῆς διαφυλαχθῆναι τοιαύτην, ἥτε μὴν διάνοια καὶ κατ᾽ αὐτὴν τὴν γραφὴν τὸ αὐτὸ δηλοῖ. κενεὸν γάρ ἐστι τὸ λεγόμενον ὑφ᾽ ἡμῶν κενὸν καὶ μάταιον, ὅπερ ἀνωφελὲς ὀνομάζουσιν. ἐπεὶ τοίνυν πολλοὺς ἴσμεν, ἢ δι᾽ ἄγνοιαν, ἢ βουλομένους ἐπιμελεῖς εἶναι δοκεῖν, ἄχρηστα πολλάκις ἐπιβάλλειν ἅμματα τοῖς ἐπιδέσμοις, διὰ τοῦτο ἔφη νῦν ὁ Ἱπποκράτης, μὴ εἰς τὸ κενεὸν κείσεται, τουτέστιν εἰς τὸ κενὸν, ὅπερ δηλονότι καὶ ἄχρηστόν ἐστιν καὶ μάταιον. ἔδοξε δέ τινι τῶν ἐξηγουμένων τὸ βιβλίον κενεὸν ἡγεῖσθαι τὸ κενὸν χωρίον, ὡς ἂν καὶ μασχάλην, ἢ ἰγνύην, ἢ καὶ βουβῶνα προσαγορεύσειέν τις, οὕτως ἀντιδιαιρούμενος ὤμοις, γόνατι καὶ ἰσχίῳ. προσεῖναι πᾶσι γὰρ ἔφη χρῆναι τὸ ἅμμα τῷ σώματι, καὶ μὴ κεκρεμασμένῳ ὅμοιον εἶναι. πιστὸν δὲ ἔσεσθαι ἐπὶ μασχάλην τε καὶ ἰγνύην. εἰ δή τῳ καὶ τοῦτο μετρίως δόξειεν εἰρῆσθαι, χρῆσθαι πάρεστιν. ἐν γὰρ τοῖς ἀσφαλέσι, καὶ τὸ μετρίως πιθανὸν ἀρκέσει.

Ἅμμα δὲ καὶ ῥάμμα μαλθακὸν, οὐ μέγα.

40 Πάλιν κἀνταῦθα καθάπερ ἐν ἀρχῇ τοῖν δυοῖν ὀνομάτοιν ἐμνημόνευσεν, ἐφεξῆς ἀντιδιαιρῶν ἀλλήλοις τὰ πράγματα καθ᾽ ἣν ὑποφέρεσθαι δοκεῖ. ῥάμμα μὲν ὀνομάζων τὸ διεκβαλλόμενον ἅμα τῇ βελόνῃ, τὴν ὕλην ἔχον, ἤτοι λινὸν, ἢ ἔριον, ἢ τι τοιοῦτον. τὸ δὲ ἐξ ἐπιπλοκῆς τελαμώνων, ἢ τῶν σκελῶν τοῦ ἐπιδέσμου γινόμενον ἅμμα. πρόδηλον μὲν οὖν ὡς ἑκάτερον αὐτῶν μαλθακὸν εἶναι προσήκει, εἴ γε μὴ μέλλοι θλίβεσθαι. ὅτι δὲ καὶ μὴ μέγα τὸ ἐπὶ τὰς ἐνεργείας ἐπαινούμενον ὑπ᾽ αὐτοῦ, τάχος ἐνδεικνύμενον ἐν μακροῖς ῥάμμασι γενέσθαι. ὑπὲρ μέρους δὲ, ὑπὲρ τῶν τελαμώνων τε καὶ σκελῶν, καὶ καταλημμάτων. ὀνόματα γὰρ αὐτοῖς τέθειται ταῦτα. κρεμασθήσεται οὖν μετὰ τὰ ἅμματα περιττὰ, πρὸς τὸ ματαίως ἐξαρτῆσθαι, καὶ δυσχέρειαν παρέχοντα ἐπὶ τὰς περιπλοκὰς, ἐνίοτε τῶν ψαυόντων τραυμάτων. ἀκριβῶς δὲ εἶπεν, οὐ μέγα δυνάμενος εἰρηκέναι μικρὸν, ἀλλ᾽ ὥσπερ τὸ μέγα φευκτέον ἐστὶν δι᾽ ἃς εἶπον ἀτοπίας, οὕτω καὶ τὸ μικρὸν τῆς ἐνεργείας ἐν τῷ καιρῷ διαδιδράσκον, ἐνίοτε τὰς λαβὰς τῶν ἐπιβαλλομένων αὐτῷ δακτύλων, καὶ διά τε τριβὴν καὶ χρό-
50 νου μῆκος ἐργαζόμενον, ἔν τε τῇ δέσει πολλάκις ἐξολισθαῖνον ἀπὸ τοῦ συνδουμένου διὰ βραχύτητα, καὶ διὰ τοῦτο δεύτερον ἡμᾶς ἀναγκάζον ἐνεργεῖν ἀμφ᾽ αὐτὸν, καὶ δοκιμάζον καὶ δεδιέναι, ποτὲ δόξαν τὸ μικρὸν ἅμμα λύεται μετὰ ταῦτα κατὰ τὸν τῆς ἐπιδέσεως καιρόν. εὔλογον οὖν ἐστιν, καὶ τὸ πάμμικρον ὥσπερ καὶ τὸ μέγα φεύγειν. αἱρεῖσθαι δὲ ὥσπερ ἐν ἅπασιν, οὕτω κἂν τῷδε τὸ σύμμετρον, ὥσπερ ἐνίοτε κατὰ τὴν τοῦ θατέρου τῶν ἄκρων ἀπόφασιν ὀνομάζουσιν, ὥσπερ καὶ νῦν ὁ Ἱπποκράτης μὴ μέγα, καὶ μὴ μικρὸν εἰρηκεν, τοῦτον αὖ ἐδήλωσεν.

Εὖ γε μὴν γνῶναι, ὅτι ἐς τὰ καταντῆ, καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος, οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω.

Εἰ εὖ γε μὴν γνῶναι ἐπὶ τῆς ῥῆσιν ἐγέγραπτο, εὖ γε μὴν γνῶντα, τελέως ἂν ἦν ὁ λόγος, καὶ νυνὶ δὲ κρεμᾶσθαι δοκεῖ, καίτοι πρὸς ἐπίζευξιν. διὸ καί τινες αὐτῷ τὰ ἐφεξῆς εἰρημένα συνάπτουσιν, ὡς εἶναι τὴν ὅλην ῥῆσιν τοιαύτην.

τοῦ γεμμὴν γνῶναι, ὅτι ἐς τὰ καταντικρὺ καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος. οἷον, κεφαλῆς μὲν, τὸ ἄνω, κνήμης δὲ τὸ κάτω, ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερὰ, καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς. ἀλλὰ τοῦτο γε φαίνεται μηδεμίαν ἀκολουθίαν ἔχον. οὐ γὰρ διὰ τοῦτο χρὴ τὰς εἰρημένας ἐπιδέσεις ποιεῖσθαι, διὰ τὸ ἅμμα φεύγειν εἴωθεν εἰς τὰ καταντικρὺ καὶ ἀπόξη. δεύτερον γάρ τι ὡς ἐφεξῆς ἐροῦμεν, δεξιὰ μὲν ἐπ' ἀριστερὰ, ἀριστερὰ δὲ ἐπὶ δεξιὰ προσέταξεν ἐπιδεῖν. ἀκόλουθα δὲ ἐστι τὰ τοῦ γεμμὴν γνῶντα, ὅτι ἐς τὰ καταντικρὺ καὶ ἀπόξη φεύγει. τὰ οὕτως εἰρημένα περιβαλεῖν καταλήψιος τοῦ ξύμπαντος ἐπιδέσμου ἐν τοῖς ἡσυχάζουσι, καὶ λαμπροτέροις. καὶ τὰ τούτοις ἐφεξῆς, ἃ μετ' ὀλίγον ἐξηγοῦμαι, αὐτὸ τοῦτο δείξει σαφέστερον. ἐν δὲ τῷ παρόντι μεταξὺ παρεγκείμενα παρὰ τάξιν, ἐπισκεπτέον αὐτὰ καθ' ἑαυτά.

Ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερὰ, καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς, ταύτην δὲ κατ' ἴξιν.

Περὶ τῶν καταγμάτων μάλιστα τοῦ παραγγέλματος οὗ νῦν παραγγέλλει, μεγίστη γίνεται χρεία. περιτρέπειν γὰρ ἀεὶ χρὴ πρὸς τοὐναντίον ὅταν ἑκατέρου ἕλκος ᾖ, τοῦ μὲν δεξιοῦ πεπονθότος, ἐπὶ τὸ λαιόν. εἰ δ' ἐκεῖνο πάθοι, πρὸς τοὐναντίον, ὡς ὅταν γεγονὸς ὁτιοῦν ὅλον ἐγκάρσιον, ἢ κατεαγὸς, ἢ ἰσόῤῥοπον, τὴν ἐπίδεσιν ποιούμεθα, περιβάλλοντες αὐτῷ περιβολὰς ἐν σχήματι τῷ καλουμένῳ ἐν κύκλῳ. τὸ τοίνυν λεγόμενον ἐστὶ τοιοῦτον. ἐπιδεῖν τὰ μὲν δεξιὰ μέρη πεπονθότα, περιτρέποντας ἐπ' ἀριστερὰ, τὰ δ' ἀριστερὰ, τοὐναντίον ἐπὶ τὰ δεξιά. γίνεται δὲ τοῦτο τὴν μὲν ἀρχὴν τοῦ ἐπιδέσμου βαλλομένων ἡμῶν ἐπὶ τὸ πεπονθὸς μέρος, ὅτε ἀκριβῶς κατ' αὐτοῦ τοῦ κατάγματος, ἢ τοῦ ἕλκους, ἀλλ' ἔνθεν καὶ ἔνθεν τούτων. τῇ δ' ἑτέρῃ περιτρεπόντων ἐπὶ τἀναντία, τὸ πεπονθὸς ἅμα τῷ πιλεῖν. ἐπειδὰν δὲ ἐπὶ τὸ ἀντικείμενον μέρος ἐπίδεσμος ἑλιττόμενος γένηται, μηκέτι ἐκεῖ σφιγγόντων ὁμοίως. ἔτι δὲ μᾶλλον οὐδὲ περιτρεπόντων, ἄχρις ἂν ἐν κύκλῳ περιελιττόμενος ὁ ἐπίδεσμος ἐπὶ τὴν ἰδίαν ἀρχὴν ἀφίκηται. τηνικαῦτα γὰρ κατέχομεν ἔμπροσθεν χειρὶ τὴν ἀρχὴν, ταύτῃ πάλιν ἐκεῖνο τὸ μέρος τοῦ ἐπιδέσμου τὸ ψαῦσαν αὐτῆς ἐπιτιθέντες, κατ' αὐτὴν ἀσφαλῶς κρατοῦμεν, ὥστε δευτέρας ἄρξασθαι αὖθις ἐπὶ τὴν τῶν αὐτῶν ἐπιβολὴν ὁμοίως τῇ πρώτῃ, πιλούσῃς τε καὶ περιτρεπούσης ἐπὶ τὴν ἐναντία. καὶ ταύτην πάλιν ὡσαύτως τῇ πρώτῃ περιελίξαντες, ὅταν αὖθις ἐπὶ τὴν ἀρχὴν ἀφικώμεθα, κρατήσαντες ὁμοίως τῇ ἑτέρᾳ χειρὶ, τοῦ ἐπιδέσμου ἀνατείνομεν, τῇ ἑτέρᾳ πιλοῦντές τε καὶ περιτρέποντες ἐπὶ τὸ ἀντικείμενον μέρος πεπονθός. οὐ μόνον δὲ τὰ κῶλα ἐπὶ τοῦτον ἐπιδοῦμεν τὸν τρόπον, ἀλλὰ καὶ τὰς πλευράς. εἰ μὲν ἐπὶ τοῖς δεξιοῖς μέρεσιν ἡ πεπονθυῖα τύχῃ, τὴν ἀρχὴν ἐνταῦθα βαλλόμενοι τὴν νομὴν, ἐπ' ἀριστερὰ ποιούμεθα, καθ' ὃν εἴρηται τρόπον. εἰ δ' ἐν τοῖς ἀριστεροῖς εἴη τὸ πάθος, ἀπὸ τούτου ἀρξάμενοι, τὴν οἷον ὁδοιπορίαν τῆς ἐπιδέσεως, ἐπὶ τὸ δεξιὸν μέρος ἐργαζόμεθα, κεφαλὴν δ' οὐκ ἔστι περιλαβεῖν οὕτως ἐν κύκλῳ. κωλύει γὰρ ὁ τράχηλος, συμφυὴς ὢν αὐτῇ. διὰ τοῦτο οὖν ἐπ' αὐτῆς, ἐάν τε ἐπὶ τὸ δεξιὸν μέρος, ἐάν τε ἐπὶ τὸ ἀριστερὸν ᾖ τὸ τῆς ἐπιδέσεως δεόμενον πάθος, τὴν κατ' ἴξιν, ὅπερ ἐστὶ κατ' εὐθυωρίαν αἱρούμεθα. διὰ μὲν τῆς κορυφῆς ἀγομένου τοῦ ἐπιδέσμου, καταγομένου δ' ἐντεῦθεν ἐπ' ἄκραν τὴν κάτω γένυν, εἶτ' ἀναγομένου πάλιν ἐπὶ τὸ πεπονθὸς, εἶτ' αὖθις πάλιν ὁμοίως, εἴτε δὶς, εἴτε τρὶς αὔταρκες εἶναι νομίζομεν, ἑλιττομένου μέχρι τῆς τελευτῆς. αὕτη δὲ πάντως ἐπὶ τῆς κορυφῆς γιγνέσθω. μονιμώτατον γὰρ οὕτως ἐργάζει τὸ χωρίον τοῦτο.

Τὰ δ' ὑπεναντία, ἀπὸ δύο ἀρχέων. ἢν δὲ ἀπὸ μιῆς, ἐφ' ὅπερ ὅμοιον ἐς τὸ μόνιμον, οἷον τὸ μέσον τῆς κεφαλῆς, καὶ εἴ τι ἄλλο τοιοῦτον.

Δύο διανοίας λέξις ἥδε δύναται λαβεῖν, ὥστε ἤτοι περὶ πάντων τῶν μερῶν τοῦ σώματος, ἢ περὶ μόνων τῶν τῆς κεφαλῆς ἀκούειν. εἰρηκὼς γὰρ πλὴν κεφαλῆς, δεξιὰ ἐπὶ ἀριστερὰ, ταύτην δὲ κατ' ἴξιν ἐπιδεῖσθαι. λοιπὸν οὖν τῶν αὐτῆς ὄντων μερῶν ἐναντίων ἀλλήλοις, ὧν τὸ μὲν ὀπίσω τε καὶ ἐπὶ ἰνίον ἐστὶν, τὸ δὲ πρόσω τε καὶ ἐπὶ μέτωπον, ἀπὸ δυοῖν ἀρχῶν ἐπιδεῖν ἀξιοῖ. αὗται δὲ αἱ ἀπὸ δύο ἀρχέων ἐπιδέσεις, ὅταν τὸ μέσον ὂν ὅλου τοῦ ἐπιδέσμου ἐπὶ τοῦ πεπονθότος ἐρείσαντες ἰσοῤῥόπως ἑκάτερον αὐτῶν τῶν μερῶν ἐπὶ τὸ ἀντικείμενον ἄγωμεν τόπον. ὅσαι δ' οὖν τελευταὶ τῶν οὕτως ἐπιτελουμένων ἐπὶ μέτωπον ἄγονται, μονιμώτερον ἴνιον τοῦτο τὸ χωρίον. ἐὰν δὲ ὁ λόγος αὐτῷ περὶ πάντων ᾖ τῶν μορίων, ἐροῦμεν εἰρῆσθαι τὰ ἐναντία τὰ καθ' ἑκάτερον μέρος ὁμοίως διακείμενα, τουτέστιν ἤτοι δεξιόν τε καὶ ἀριστερὸν, ἢ τοὐπίσω τε καὶ πρόσω. πεπονθότων δὲ ὁμοίως αὐτῶν, ὡς ἐπειδὰν τὰ καλούμενα καυληδὸν γένηται κατάγματα, τὴν ἐπίδεσιν ἀπὸ δυοῖν ἀρχῶν ποιήσει, καθάπερ ἔφαμεν ἐπὶ τῶν σκεπαρνηδὸν περιβαλλομένων γίγνεσθαι περιβολῶν. ἐὰν δὲ ἀπὸ μιᾶς ἀρχῆς φησιν ἐπιδέῃς τὰ τοιαῦτα ἐπὶ τὴν ὁμοιότητα τῆς ἀπὸ δυοῖν ἀρχῶν ἐπιδέσεως, ἑλίττων τὸν ἐπίδεσμον, οὕτως ἄξεις ἐπὶ τὸ μόνιμον χωρίον, ὡς ἐνταῦθα τελευτήσει. παράδειγμα δὲ μονίμου χωρίου, τὸ μέσον τῆς κεφαλῆς ἐποιήσατο, ἀρκεσθεὶς τούτῳ, ἐπειδὴ ἐπὶ τὸ πρῶτον μέλλει μετ' ὀλίγον ἀκριβῶς ἅπαντα τὸν λόγον διέρχεσθαι. διδάσκων ὅπως δεῖ τὴν τελευτὴν τοῦ ἐπιδέσμου γίγνεσθαι πρὸς τὴν ὅλην ἐπίδεσιν ἀμετακίνητον φυλάττεσθαι. τὸ οὖν ἐφ' ὅπερ ὅμοιον, ἐπ' ἀμφοῖν ἀκουστέον τῆς ὅλης νομῆς, τοῦ ἐπιδέσμου καὶ τῆς τελευτῆς.

Τὰ δὲ κινεύμενα, οἷον ἄρθρα ὅπῃ μὲν συγκάμπτεται, ὡς ἥκιστα καὶ εὐσταλέστατα περιβάλλειν, οἷον ἰγνύην. ἢν δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα, οἷον ἡ μύλη.

Ἐλάχιστα περιβαλεῖν ὀθόνια, κατά τε τὴν ἰγνύαν καὶ τὰ ταύτης παραπλήσια κελεύει, καὶ μάλιστα εὐσταλῆ. τὸ δὲ σημαίνει τὸ συνηγμένον εἰς ὀλίγον, τὸ δὲ ἀντικείμενον τῇ ἰγνύῃ μόριον, τὴν μύλην ἐναντίως ἐπιδεῖσθαι κελεύει. τὸ δὲ ἐναντίως ἐστὶ, ἅπασι τοῖς ἐναντίοις, καὶ μηδαμόθεν συνεσταλμένοις ὁπόσον ἐγχωρεῖ. παραπλησίως δὲ τῇ μὲν ἰγνύῃ ἅπαντα μόρια καθάπτεσθαι συμβαίνει τοῖς ἄρθροις, τῇ δὲ μύλῃ, ἐπὶ τὴν ἔκτασιν αὐτῷ γενέσθαι. καλοῦσί τινες ἐπιγουνίδα τὴν μύλην ταύτην, ὥσπερ ἕτεροί τινες ἐπιγουνατίδα. ἐπὶ ταύτην μὲν οὖν ἔφη πλατὺν χρὴ περιτάττεσθαι τὸν ἐπίδεσμον, ὡς ὅλην αὐτὴν περιλαμβάνειν. ὁ γὰρ μὴ περικείμενος οὕτως, ἢ πρὸς τὴν ἄνω χώραν ἀναχθήσεται ῥᾳδίως, ἢ πρὸς τὴν κάτω περισφαλόμενος, ἐφ' ἑκάτερα διὰ τὴν κυρτότητα τῆς μύλης. τῇ δὲ ἰγνύῃ συνεσταλμένον τὸν ἐπίδεσμον ἀξιοῖ περιβαλεῖν. οὔτε γὰρ ὑποδέξασθαι δύναται τὸ εἰς πλάτος ἐκτεταμένον, οὔτε φυλάξαι.

Προσπεριβάλλειν δὲ καταλήψιος μὲν τῶν περὶ ταῦτα εἵνεκα, ἀναλήψιος δὲ, τοῦ σύμπαντος

ἐπι-

ἐπιδέσμου, ἐν τοῖσιν ἀτρεμέουσιν, καὶ λαπαρωτέροισι τοῦ σώματος, οἷον τὸ ἄνω καὶ τὸ κάτω τοῦ γούνατος.

Τὴν τοιαύτην βραχυλογίαν ἐπαινεῖν προσήκει, εἰ διʼ ἑνὸς ὀνόματος δηλοῦται σαφῶς ὁ λόγος, ὥσπερ καὶ νῦν. ὑπὸ μὲν γὰρ τῆς καταλήψεως ὀνόματος, ὁ λόγος οὗτος δηλοῦται, καθʼ ὃν εἴπομεν αὐτὸν ἐν τοῖς ἄρθροις ἐπιδέσεων, τὸ τέλος ἀσφαλῶς φυλάττεσθαι χρὴ, διά τινος ἐκ περιττοῦ γινομένης ἐπιδέσεως ἔξω τῆς διαρθρώσεως. ὑπὸ δὲ τῆς ἀναλήψεως, ἵνα πολλὴν ἔχωμεν πρόνοιαν, τοῦ μήτε καταρρεῖν εἰς τὰ καταντῆ χωρία τὸν περίδεσμον, μήτε ἀνατρέχειν εἰς τι τῶν κυρτῶν, ἅπερ ἀπόξη κέκληκεν αὐτὸς ἔμπροσθεν, ἡνίκα ἔλεγεν, εὖ γε μὴν γνῶναι, ὅτι ἐς τὰ καταντῆ καὶ ἀπόξυ φεύγει. καὶ δῆλον δὴ γέγονεν ἐξ αὐτῶν τῶν ῥήσεων αὐτοῦ, καλῶς ὑφʼ ἡμῶν εἰρῆσθαι συνεχῆ τὰ νῦν λεγόμενα κατʼ ἐκείνην τὴν ῥῆσιν λεγομένοις εἶναι, καθʼ ἣν ἔλεγεν, εὖ γε μὴν γνῶναι ὅτι ἐς τὰ καταντῆ καὶ ἀπόξυ φεύγει. καὶ μέντοι καὶ συντομώτατον τῶν ἐπιτηδείων χωρίων ἐμνημόνευσεν, ἐν οἷς χρὴ τὰ τέλη τῶν ἐπιδέσμων τίθεσθαι, δύο προσηγορίαις λαβὼν αὐτὰ τήν τε τῶν ἀτρεμεόντων, καὶ τὴν τῶν λαπαρῶν. ἡσυχάζει γὰρ ὅσα τῆς διαρθρώσεως ἐκτός ἐστι περὶ τὸ ἕτερον τῶν συναπτόντων ἀλλήλοις ὀστῶν, ὡς ἐπὶ τοῦ γόνατος, ἤτοι περὶ τὸν μηρὸν ἢ τὴν κνήμην. λαπαρώτερα γὰρ ταῦτα ἐστὶ τὰ χωρία. κέκληκε γὰρ οὕτως τὰ τοῖς ἐξέχουσι μορίοις ἐναντίως διακείμενα, τουτέστι τὰ κατεσταλμένα καὶ ταπεινά, καὶ γὰρ τὸ λαπαρὸν ἅπαν προσέσταλται. κυρίως μὲν οὖν ἡ λαπαρὸν φωνὴ σημαίνει τὸ κενὸν, ὥσπερ καὶ ἡ λαπάξαι, τὸ κενῶσαι. καὶ γὰρ καὶ τό, Ἰλίου ἐξαλαπάξαι ἐϋναιόμενον πτολίεθρον. ἐκκενῶσαι τὴν πόλιν δηλοῖ. καὶ λαπαρὰ τοῦ σώματος ἐκεῖνα τὰ μόρια καλοῦσιν, ὅσα μεταξὺ τῶν τε περὶ τὰς λαγόνας ὀστῶν ἐστι, καὶ τῶν νόθων πλευρῶν. ἤδη μέντοι καὶ τὸ προσεσταλμένον ἅπαν ὀνομάζουσι λαπαρὸν, ἐπειδὴ τὸ κενὸν ἐξ ἀνάγκης προσέσταλται, τὴν μεταφορὰν ἀπὸ κοινοῦ συμβεβηκότος ποιούμενοι.

Ὁμολογέει δὲ ὤμου μὲν ἡ περὶ τὴν ἑτέρην μασχάλην περιβολὴ, βουβῶνος δὲ ἡ περὶ τὸν ἕτερον κενεῶνα, καὶ κνήμης, ἡ ὑπὲρ γαστροκνημίης. ὁκόσοισι μὲν ἄνω ἡ φυγὴ, κάτωθεν ἡ ἀντίληψις. οἷσι δὲ κάτω, τοὐναντίον.

Σκοποὶ πάσης ἐπιδέσεώς εἰσι πρῶτοι καὶ μέγιστοι τῆς διʼ ἑαυτὴν παραλαμβανομένης, οὐχ ὑπηρεσίας ἕνεκα τῶν ὑποκειμένων τῷ πάσχοντι μορίῳ, τὸ κατέχειν ἀκίνητον ὡς διεπλάσθη τὸ πεπονθὸς, ἀφλέγμαντόν τε φυλάττειν ἅπερ ἱκανῶς ἐν τῷ περὶ ἀγμῶν ἐδίδαξεν. ἐπεὶ δὲ οὐ δύναται ταῦτα ποιεῖν ἡ ἐπίδεσις, ἄνευ τοῦ διαμένειν αὐτὴν, καὶ μὴ μετακινεῖσθαι πρὸς τὸ κάτω τοῦ σώματος ἢ ἄνω, διὰ τοῦτο τοῖς ἀπαθέσι μορίοις ἀναγκαζόμεθα περιβάλλειν τοὺς ἐπιδέσμους, ὅπως ἔνθεν μὲν ἄνω ἀγαγεῖν ἐστιν εἰκὸς ὅλην τὴν ἐπίδεσιν, ἡ ἀντίληψις αὐτῆς ἕλκῃ ἐπὶ τὸ ταπεινότερον. ἐπʼ ἐνίων δὲ μορίων ἡ διὰ τῶν ἀντικειμένων ἀντίληψις ὠφελιμωτέρα, καθάπερ ἐπʼ ὤμου καὶ βουβῶνος. ἀκριβῶς εἰπεῖν ἐπʼ ὤμου μὲν, οὐ περὶ τὸν ἕτερον ὦμον, ἀλλὰ τὴν μασχάλην. ἐπὶ βουβῶνος δὲ περὶ τὸν κενεῶνα περιβάλλεσθαι δεῖ τὸν ἐπίδεσμον. οὔτε γὰρ ὁ ὦμος, οὔτε ὁ γλουτὸς ἀσφαλῶς φυλάττειν δύναται τὰς περιβολὰς, ἀλλʼ ἡ μασχάλη, καὶ ὁ κενεών. ὀνομάζεται δὲ ὡς ἔφην ἄρτι, κενεὼν ὁ μεταξὺ τοῦ θώρακός τε καὶ τοῦ ἰσχίου ὀστοῦ τόπος ἀπὸ τοῦ κενὸς εἶναι, τουτέστι προσεσταλμένος, οὕτως κληθείς. εὔδηλον δὲ ὅτι τὸ συμφωνεῖν καὶ ἁρμόττειν, ὁμολογεῖν ἔφη. οἵ τε γὰρ ὁμολογοῦντες ἐν ἔργοις καλοῖς, οὐ μόνον οὐδὲν ἐναντίον πράττουσιν ἢ λέγουσιν, ἀλλὰ καὶ συντελοῦσιν. ἀλλὰ τούτοις τά τε εἰρημένα χωρία συμπράττει τῷ νόμῳ τῆς ἐπιδέσεως. ὡσαύτως δὲ καὶ τῆς κνήμης εὐαπόρρυτον ἐχούσης τὴν ἐπίδεσιν τῆς γαστροκνημίας ἡ ἄνω περιβολὴ χρήσιμος, κατʼ ἐκείνας δηλονότι τὰς ἐπιδέσεις αἷς ἀναγκαῖόν ἐστι τὸ κυρτὸν τῆς γαστροκνημίας περιλαμβάνειν, ἐπʼ αὐτῶν παρὰ τὰ σφυρὰ χωρίῳ τὸ μόνιμον τῆς ἐπιδέσεως. ἐξ αὐτῶν ἔχει μεταξὺ δυοῖν ἐξοχῶν κείμενα, περὶ μὲν τῶν κυρτῶν περάτων, περόνης τε καὶ κνήμης, ἃ κακῶς ἔνιοι καλοῦσιν ἀστραγάλους. ἄνω δὲ, τῆς γαστροκνημίας αὐτῆς.

Οἷσι δὲ μὴ ἔστιν οἷον ἡ κεφαλὴ, τουτέων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι, καὶ ἥκιστα λοξῷ τῷ ἐπιδέσμῳ χρέεσθαι, ὡς τὸ μονιμώτατον ὕστατον περιβληθὲν, πλανωδέστατα κατέχει.

Ὅσοις μορίοις οὐκ ἔστιν οὔτε παρακείμενόν τι τοιοῦτον μόριον, οἷον ἐπὶ κνήμης εἶπεν, οὔτε ἀντικείμενον τοιοῦτον ἕτερον μόριον, ὡς ἐπʼ ὤμου καὶ βουβῶνος, ἐπὶ τούτων ὁποίαν χρὴ ποιεῖσθαι τὴν ἐπίδεσιν διδάσκει, μνημονεύων ὀνόματι τῆς κεφαλῆς, καὶ κελεύων ἐπʼ αὐτῶν ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψεις ποιεῖσθαι τῆς ὅλης ἐπιδέσεως, ὅ ἐστι τὴν τελευτὴν αὐτῆς ἀπαρέγκλιτον φυλάττειν εὐθύτατα περατουμένην. ἤτοι γε ἐπὶ τὸ μέτωπον, ἢ τὸ μέσον ὅλον τῆς κεφαλῆς, ἔνθα τὸ καλούμενον βρέγμα. τῆς μὲν γὰρ ἐπʼ ἀνθερεῶνα καταγομένης ἐπιδέσεως, ἡ τελευτὴ προσηκόντως ἂν ἐπὶ τὸ μέσον ἀνάγοιτο τῆς κεφαλῆς, ἀπαρεγκλίτως ἀνατεινομένη. τῆς δὲ κυκλοτερῶς περιβαλλομένης, ἐπὶ τὸ μέτωπον ὁμοίως καὶ αὐτὴ μηδὲν ἐγκεκλιμένη. περιαγομένης γὰρ οὕτως, ἑλκυσθήσεται καὶ τοῖς ὀπίσω μέρεσιν ἐπὶ τὸ καλούμενον ἰνίον, ὃ μεταξὺ τοῦ τε τραχήλου καὶ τῆς ὀπίσω κυρτότητος τῆς ἐπὶ τοῦ κρανίου. διὰ τοῦτό τε εἶπε, τὴν ἐσχάτην περιβολὴν τῆς ἐπιδέσεως ἥκιστα λοξὴν εἶναι προσήκει, ὅτι τὰς πρὸ αὐτῆς ἤδη πολλάκις ἐξ ἀνάγκης γιγνομένας λοξὰς, ἕνεκα τοῦ περιλαμβάνειν τὸ πεπονθὸς ἄλλοτε κατʼ ἄλλο μέρος αὐτοῦ ὑπάρχον. ἀλλὰ τάς τε διὰ τὸ πάθος λοξὰς γεγονυίας περιβολὰς, ἡ ὑστάτη κατέχει μηδαμόθεν λοξουμένη. δῆλον οὖν ὅτι τοιαύτῃ ἀσφαλείᾳ κἀκεῖνα συνδιαμένουσιν ἀμετακίνητα. ὡς οὖν ἐπὶ τῆς κεφαλῆς κἀπὶ τῆς ἄνω τοῦ γόνατος ἡ κάτω γιγνομένη ἐσχάτη περιβολὴ, ἀκριβῶς φυλάττεσθαι χρὴ τὸ ἀπαρέγκλιτον. ἐπὶ μέντοι τῶν περὶ βουβῶνα καὶ ὦμον ἐπιδέσεων, ἐν οἷς ἀναγκαζόμεθα καὶ τῶν ἀντικειμένων μορίων συγκαταλαμβάνειν, ἔσχαται περιβολαὶ κυκλοτερεῖς ἀπαρεγκλίτως γίνεσθαι δέονται. κατὰ τοὺς κενεῶνας μὲν ἀμφοτέρους, ἔνθεν τὸν βουβῶνα δεσμεῖν προαιρούμεθα, κατὰ δὲ τὸν ἕτερον, ἐφʼ ᾧ τὸν ὦμον. ἀνάλογον δὲ τούτοις ἐπὶ τῆς κατὰ τὸν ἀγκῶνα διαρθρώσεως.

Ὁκόσοισι δὲ μὴ εὐκαταλήπτως τοῖς ὀθονίοισι, μηδὲ εὐαναλήπτως ἔχει, ῥάμμασι τὰς ἀναλήψιας ποιέεσθαι ἐκ καταβολῆς ἢ ξυρραφῆς.

Ο δὴ λέγει τοιόνδε ἐστί. ἐν οἷς μέρεσιν ἡ θέσις δύσκολόν ἐστιν αὐτοῖς τοῖς ὀθονίοις, τουτέστι κατάληψιν τῶν περάτων τῆς ἐπιδέσεως, καὶ τὴν ἀνάληψιν ποιήσασθαι, ἐν τούτοις χρὴ ῥάμμασιν, ἤτοι περιβαλλομένοις τῷ περὶ κύκλον, ἢ συρράπτουσι τὸ τῆς ἐπιδέσεως πέρας τὰς καταλήψιας ποιεῖσθαι. τὸ δὲ ἄτοπον εἴη, μέρος τοῦ σώματος ὀθονίοις μὲν δυσχερῆ τὴν κατάληψιν καὶ ἀνάληψιν ἔχειν, ἑτοιμοτέραν δὲ τὴν διὰ τῶν ῥαμμάτων. ὅτε ἐγὼ λέγειν ἔχω τοῖς ἐξηγηταῖς, εἰ μὲν ὅτι τινὰ μὴ φέροντα τὴν τοιαύτην ἐπίδεσιν. οἶδα δὲ τινὰ ἐφ' ὧν, εἰ καὶ βραχὺ κινηθῇ τὸ πεπονθὸς μόριον, ὀδύνη μεγίστη γίνεται, καθάπερ εἰ περὶ πολλοῦ τις ἐκ καταπτώσεως οὕτως ἔπαθέ τι περὶ τὴν ῥάχιν, ὡς μηδὲ βραχὺ τὴν αὐτὴν ἐκείνης δύνασθαι φέρειν τὸ μέγεθος τῆς ὀδύνης. ἠναγκάσθησαν δὴ οὖν αὐτὸν τὸν δὴ χιτωνίσκον ἀφελεῖν οὐκ ἀποδύσαντες, ἀλλὰ διαρρήξαντες δὴ πρότερον ἁπάσας τὰς ῥαφάς. μετὰ δὲ ταῦτα παμπόλλοις τοῖς διακρατοῦσιν ὅλον τὸ σῶμα χρησάμενοι, προσμετεωρίσαι τὸν ἄνθρωπον, ἰσορρόπως ἐπὶ καθέδρας πλατείας ἐκτεταμένον, ῥάκος ὑποβεβλημμένον ἔχον ἐρίου πλάκα. ταῦτα δὴ οὖν ἐκελεύσαμεν, ἐπειδὰν ὁ κάμνων ὑπὸ τῶν διακρατούντων ὑπὸ τῆς στρώμνης ὑψωθῇ διὰ ταχέων. ὑποβαλεῖν μὲν ἐκείνῃ κατὰ τὸ πλάτος, ὑποβαλεῖν δὲ τῇ ῥάχει τοῦ μετεωρισθέντος. αὐτοὶ δὲ ἑτέραν ἐρίου πλάκα διαβεβρεγμένην ἔχοντες, ἐλαίῳ θερμῷ μετὰ τὴν ἀφαίρεσιν τοῦ χιτωνίσκου ταχέως περιβαλόντες τῇ ῥάχει, κατεκλίναμεν ἐπὶ τῆς ὑποκειμένης πλακὸς ἅμα τῷ ῥάκει, καὶ οὕτως πρῶτα μὲν ἀνηγάγομεν ἐπὶ τὰ πρῶτα τοῦ σώματος τὰ πέρατα τῆς διαβρόχου πλακὸς ἐν ἑκατέρωθεν, εἶτα ἐπ' αὐτὰ τὰ τῆς ξηρᾶς, καὶ μετ' ἐκεῖνα τὰ τοῦ ῥάκους καὶ πρὸς ἄλληλα διὰ ῥαφῶν ἡνώσαμεν. εἰ μὴ διὰ ῥαφῶν, ἢ διὰ ῥαμμάτων μόνον βουληθείς τις ἐργάσασθαι τὴν ἀσφάλειαν τῆς ἐπιδέσεως, ἐπέτεινεν αὐτὰ πρῶτα μὲν πάντων κάτωθεν τῷ ῥάκει οὕτως, ὃ γὰρ αὖ μετὰ τὴν ἐπίδεσιν. ὡσαύτως δὲ καὶ τῇ τῶν κατ' ἰσχίον μερῶν εὐπραξίᾳ μὲν, ὁπότε καὶ τὸ κατὰ τὸν μηρὸν ἐπ' ἄλλου καὶ περὶ βραχίονα γέ ποτε καὶ τοῦ τραχήλου τὴν ὀπίσω χώραν.

Επιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ, λεπτά.

Περὶ τῆς ὕλης τῶν ἐπιδέσμων ἐνταῦθα διδάσκει, καθαροῖς, καὶ κούφοις, καὶ μαλθακοῖς χρῆσθαι κελεύων. καθαροῖς μὲν ὅπως μήτε δήξεις ἐκ τοῦ ῥύπου γίγνοιντο, μήτε διϊκνεῖσθαι πρὸς τὸν χρῶτα, τῶν ἐπιβρεχομένων ὑγρῶν δύναμιν εἴργοιτο. κούφοις δὲ, ὡς μὴ βαρύνοιτο ὁ πεπονθὼς τόπος. λεπτοῖς δὲ, διά τό, τε καὶ κουφότερα καὶ μαλακώτερα ταῦτα, διά τό, τε καὶ τὰς ἐπιβροχὰς ἑτοίμως διαπέμπειν. μαλθακοῖς δὲ, ὅπως μὴ θλίβοιτο. πρόδηλον δὲ ὅτι τούτων ἕκαστον εἰς τὸ μὴ φλεγμαίνειν τὸ πεπονθὸς μόριον συντελεῖ.

Ελίσσειν ἀμφοτέροισιν ἅμα, καὶ ἑκατέροισιν χωρὶς ἀσκέειν.

Οπερ ἔμπροσθεν εἰρήκει καθόλου περὶ τῶν εἰς χειρουργίαν πάντων ἔργων, ἀσκεῖν ἀξιῶν αὐτὰ δρᾷν ἑκατέροις τε καὶ ἀμφοτέροισιν ἅμα, τοῦτο νῦν ἐπὶ μόνου τοῦ ἑλίσσειν ἔγραψε. πρὸς γὰρ τὸ τάχος τῆς ἐνεργείας, ὅπερ ἐστὶ μέγιστον ἐπὶ τῶν ὀδυνωμένων, ἡ τοιαύτη τῶν χειρῶν ἄσκησις ὠφελιμωτέρα. τῶν δύο μὲν οὖν χειρῶν ἑλισσουσῶν ἅμα τὸν ἐπίδεσμον ἐν ταῖς ἀπὸ δυοῖν ἀρχῶν ἐπιδέσεσι, τῆς δ' ἑτέρας μόνης ἐν ταῖς ἄλλαις, ἀλλὰ καὶ ἐν ταύταις ἑκατέρας ἐν μέρει διαδεχομένης τὴν ἑτέραν. ἐν δὴ γὰρ ταῖς ἀπὸ δυοῖν ἀρχῶν ἐπιδέσεσιν, ἀμφότεραι καθ' ἕνα καιρὸν ἐνεργοῦσιν ὁμοίως. διαδεχόμεναι γὰρ ἀλλήλας, ἡ μὲν ἑτέρα, τὸ κυριώτατον μέρος τῆς ἐπιδέσεως ἐκτελεῖ, περιελίσσουσα τὸν ἐπίδεσμον, ἡ δ' ἑτέρα χρήσιμος εἰς τὴν ταύτης ὑπηρεσίαν γίγνεται.

Τῇ πρεπούσῃ δὲ ἐς τὰ πλάτη καὶ τὰ πάχη τῶν ὀθονίων τεκμαιρόμενον χρέεσθαι.

Εἰς τὰ πλάτη καὶ τὰ πάχη τῶν ἐπιδουμένων μορίων ἀποβλέποντα, τὴν προσήκουσαν αὐτοῖς ἐπίδοσιν ἐξευρίσκειν κελεύει. γιγνομένης δὲ τῆς ἐπιδέσεως ὀρθῶς κατὰ τὰ προειρημένα διὰ τῶν, ὅθεν ἄρχεσθαι προσήκει, καὶ καθ' ὃν τινα τρόπον ἑλίττειν τὰ ὀθόνια κατὰ τὸ πεπονθὸς, ὅσα τε συγκαταλαμβάνει αὐτὸ μόρια, καὶ τὴν τελευτὴν, ἐν ᾧ τίθεσθαι, καὶ πῶς ἐπ' αὐτοῖς χρῆσθαι τοῖς ἅμμασί τε καὶ ῥάμμασιν ἐδίδαξεν, ἱστέον αὐτὸν οὐδὲν τούτων δηλοῦν. οὔτε γὰρ ἐκ τοῦ πλάτους, οὔτ' ἐκ τοῦ πάχους τῶν ἐπιδουμένων μερῶν ἐλήφθη τι τῶν εἰρημένων, ἀλλ' ἐκ τοῦ πάθους αὐτοῦ καὶ τοῦ σχήματος τοῦ μορίου, καθ' ὃ τὸ πάθος ἐγίνετο. νῦν οὖν εὔλογόν ἐστιν διδάσκειν αὐτὸν, ὁπόσα κατὰ τὴν ἐπίδεσιν ἀγαθὰ γίγνεται, τὴν ἔνδειξιν ἡμῶν λαμβανόντων ἐκ τοῦ πλάτους καὶ τοῦ πάχους τῶν ἐπιδουμένων μορίων. ἐκ τούτων γὰρ λαμβάνεται καὶ τὸ τῶν ὀθονίων αὐτῶν πλάτος τε καὶ μῆκος. οἷον ἐπὶ μὲν μικροῦ παιδίου, καὶ τῷ μήκει βραχέσι καὶ τῷ πλάτει στενοῖς, εὔλογόν ἐστιν χρῆσθαι τοῖς ἐπιδέσμοις. ἐπὶ δὲ μεγάλου νεανίσκου, καὶ μακροῖς καὶ πλατέσιν. ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων, ὅσα μεταξὺ τοῦ μεγάλου τε καὶ τοῦ μικροῦ σώματός ἐστι. εἰ μὲν γὰρ ἀκριβῶς ἀμφοτέρων ἐστὶ μέσον καὶ πλάτει καὶ πάχει τὸ ἐπιδούμενον μέρος, καὶ τὰς ὀθόνας μέσας τῷ τε πάχει καὶ τῷ πλάτει ποιήσωμεν ἐκείνων τῶν ὀθονίων οἷς ἐπὶ τοῦ μεγάλου καὶ τοῦ σμικροῦ σώματος ἐχρώμεθα. εἰ δὲ ἐγγυτέρω θατέρου τῶν ἄκρων εἴη, κατ' ἐκεῖνο καὶ τὸ ποσὸν αὐτῶν ὑπαλλάξομεν αὐξάνοντες ἢ μειοῦντες.

Ελίξιος κεφαλαὶ σκληραὶ, ὁμαλαὶ, εὐκρινέες.

Ελιξις ἀμφοτέροις ὑπάρχει τοῖς ἐπιδέσμοις πρὶν περιβαλέσθαι τῷ τοῦ κάμνοντος σώματι, τῆς ἐξ αὐτῶν ἐπιδέσεως γιγνομένης περὶ τὸν πεπονθότα τόπον, ἀλλὰ αἱ κεφαλαὶ τῶν ἐπιδέσμων, αἵ τινες αὖ ὦσιν, ἀμφοτέρων εἰσὶ κοιναί. ἐάν τε γὰρ ἀρχαὶ τῶν ἐπιδέσμων ἐάν τε πέρατα κεφαλὰς νοηθῶσιν εἰρῆσθαι νῦν, ἐάν τε ἀμφότερα καὶ πρὸς τούτοις ἔτι κατὰ τὸ πλάτος αὐτῶν πέρατα, ταῦτα πάντα κοινὰ ταῖς ἑλίξεσι τῶν ἐπιδέσμων ἀμφοτέραις
†ἄς τε ἐστὶ, ἅς τε αὐτοὶ ἀμφοτέρας περὶ μίγας ἴσχουσιν, †ἃς τῷ ἐπιβάλλεσθαι τῷ σώματι λαμβάνουσιν, ὥστε τοῦτο δὴ, εἰ καὶ διαπεφώνηται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον, οὐ χαλεπὸν εἰπεῖν. καὶ γὰρ ἐπὶ τῶν ἐληλιγμένων ἀληθὴς ὁ λόγος ἐστὶ, καὶ τῶν περιβεβλημμένων τῷ σώματι. καὶ μέντοι καὶ πάντα τῶν περάτων ἀκούομεν, οὐχ ὡς ἔνιοι δὴ ᾠήθησαν τῶν κατὰ μῆκος, ἔνιοι δὲ τῶν κατὰ πλάτος, ἀλλὰ τὸ περὶ μόνων δὴ ἐξηγησάμενοι τῶν ἐκτὸς ἐπιδέσμων εἰρῆσθαι. τὸ δὲ συνεχόμενον, τῆς ἑλίξεως ὑπ' αὐτοῦ δηλοῦσθαι νομίσαντες. ὅτι μὲν οὖν ἐσφίχθαι χρὴ τὸν ἐπίδεσμον ἔξω, πρὶν ἐπιβαλέσθαι τῷ σώματι, πρόδηλον. εὐληπτότερον γὰρ οὕτως ἔσται, διότι καὶ λεπτότερος, λεπτοτέρας τε τὰς περιβολὰς ἔχων διά τό τε-

τὸ τεταμένον ἐρηρεῖσθαι, συγχεῖσθαι γὰρ ἄλλως οὐ δύναται. τὸ δὲ τὰς κεφαλὰς αὐτοῦ μόνας δεῖν ἐστηρίχθαι, προφανῶς ψεῦδος. οὐ γὰρ ἐκείνας μόνον, ἀλλ' ὅλον ἐστηρίχθαι τὸν ἐπίδεσμον. ὡς οὖν ἐν ἀπόροις ἄγε μοι δοκεῖ, ἤδη φράσω. κεφαλὰς μὲν ἀκουστέον ἅπαντα τὰ πέρατα τοῦ ἐπιδέσμου, τά τε κατὰ μῆκος ὄντα αὐτῷ, καὶ τὰ κατὰ πλάτος. εἰρῆσθαι δ' οὐ κυρίως αὐτὰ νομιστέον σκληρά, καὶ διὰ τοῦτο ἀσάφειαν ἐσχηκέναι τὸν λόγον. ἔμπροσθεν γὰρ εἰπὼν ἐπιδέσματα καθαρά, κοῦφα, μαλθακά, πῶς ἂν νῦν αὖθις ἔλεγεν αὐτὰ σκληρά. κεχρῆσθαι δὲ νομίζω τῇ τοῦ σκληρᾶ προσηγορίᾳ πρεπόντως τῷ δηλουμένῳ πράγματι. πολλάκις γὰρ ἐπὶ τοῖς πέρασι τῶν ὀθονίων τέτταρσιν οὖσιν, δύο μὲν κατὰ τὸ μῆκος, ἑτέροις δὲ δύο κατὰ τὸ πλάτος, ἤτοι μόνος ὁ στήμων εὑρίσκεται, μὴ ξυνακολουθούσης αὐτῷ πρὸς τὸ πέρας τῆς κρόκης, ἢ κρόκη μόνη χωρὶς τοῦ στήμονος. ἔστι δὲ ἤτοι χαλαρὸν ἔγκειται τῷ πέρατι τῶν εἰρημένων τὸ ἕτερον, ἢ κατὰ μέν τι μέρος ἔγκειται, κατ' ἄλλο δ' ὑπεκπίπτει. τῶν οὖν τοιούτων ὀθονίων, αἱ κεφαλαὶ τῆς ἑλίξεως μαλακώτεραι τῶν ἑτέρων εἰσὶ κεφαλῶν, ἐν αἷς ἐξισοῦται μέχρι τοῦ πέρατος ὁ στήμων τῇ κρόκῃ, καὶ τῇ τούτων μαλακότητι, τοὐναντίον οἶμαι κατὰ τῶν προσηκόντων, εἰλιγμέναι μὲν ὡς ἔφη σκληραί. βέλτιον δ' ἦν εἰρηκέναι, μὴ μαλακαί, καθάπερ ἔμπροσθεν περὶ τοῦ ἅμματος ἔφη, μὴ μέγα. τὰ γὰρ ἐν τῷ μέσῳ τῆς ἀμετρίας, ὡς ἔφην, εἰώθασι δηλοῦν ἀποφάσκοντες ὁποτέραν οὖν ἀμετρίαν. τὸ μὲν οὖν εἶδος σκληρῶν τῶν κεφαλῶν εἰρημένων, οὕτως ἄν τις ἀκούσειεν πιθανώτατον ὅγε μηδὲν ἔχων ἄλλο, μηδὲ μετρίως πιθανὸν εἰπεῖν, καὶ τὴν εἰρημένην ἁμαρτίαν ἐν τοῖς ὀθονίοις ἐν ἄλλῳ τῷ λόγῳ μηδενὶ δεδηλῶσθαι πρὸς αὐτοῦ. τὸ δὲ ὁμαλές, δηλοῦσθαι μὲν τὸ κατὰ πᾶν ἀπαραλλάκτως ὅμοιον. γίγνεται δὲ τοῦτο, μήτε σκληρᾶς ἢ πλατυτέρας ἐν αὐταῖς τινὸς οὔσης, μήτε μαλακωτέρας, ἢ στενωτέρας, ἢ λεῖπον τι καὶ διαβεβρωμένον ἐχούσης. ἔδοξε δὲ καὶ πάνυ καθάπερ ἐπὶ τῶν παραφασμάτων. γίγνεται δὲ τὸ εὐκρινὲς ἐπὶ τῶν τεταμένων ὁμοίως ἐν ἅπασι τοῖς μέρεσι. καὶ κατά τι μὲν οὐ πεπυσμένων, ἢ πεπασμένων, κατά τι δὲ ἐνδεδιπλωμένων, ἢ ἐπτυγμένων ἀκουσόμεθα.

Τὰ δὲ δὴ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντων, τὰ δὲ ὡς μήτε πιέζειν, μήτε ἀποπίπτειν.

Σόλοικος μὲν ἡ ἑρμηνεία πάντως ἐστίν, ὅπως ἄν τις ἀκούσῃ τῆς λέξεως. τὸ γὰρ ἀποπεσόντων, ἐάν τε κατὰ τὴν τῶν ἀττικῶν συνήθειαν εἰρῆσθαι νομίσωμεν ὁμοίως τῷ, εἶπε δ' ἐς δολίχον προϊόντων, ἐάν τε κατὰ τὴν γενικὴν πτῶσιν ἀντ' εὐθείας τὸ ἀποπεσόντες, σολοικίσομεν. γενήσεται γὰρ ἡ λέξις κατὰ μὲν τὸ πρότερον σημαινόμενον ἀκουόντων ἡμῶν τοιάδε, τὰ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσέτωσαν. εἰ μὴ βούλοιτο ἀποπεσέτω, πάντως ἐστὶν ὡς ἐπ' οὐδετέρῳ τῷ τὰ μέλλοντα. κατὰ δὲ τὸ δεύτερον σημαινόμενον, ἡ λέξις ἔσται τοιάδε. τὰ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντων αὐτῶν. ἄμεινον δ' οὖν ἦν γεγράφθαι τὴν ῥῆσιν οὕτω. τὰ δὲ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντα, καὶ δῆλον ἐστὶν ὥσπερ ἐξ ἄλλων τινῶν, οὕτω κἀκ ταύτης τῆς λέξεως. ἔν τε τοῖς κατ' ἀλήθειας μὲν οἷς τὸ βιβλίον τοῦτο πρὶν ἐκδοθῆναι, καὶ διὰ τοῦτο τὰ μὲν αὐτοῦ τοῦ γράψαντος αὐτὸ παραγράμματα ἑνὸς ἢ δυοῖν, ἀφαίρεσιν, ἢ πρόσθεσιν, ἢ ὑπάλλαξιν ἁμαρτάνοντος, οἷα πολλὰ συγγράφουσι. τὰ δὲ ὑπὸ τοῦ πρώτου βιβλιογράφου διὰ τὸ τινὰ μὲν ἀσαφέσι γράμμασι γεγραφότος αὐτοῦ τοῦ συνθέτου, οὐ χεῖρον τὰ σαφῶς, ἀλλὰ στοχασάμενον ὀρθῶς οὐδαμῶς ἁμαρτάνειν. τινὰ δὲ τοῦ χάρτου κοπέντος, ἢ κατά τινα ἄλλην περίστασιν ἀπολομένου τοῦ γράμματος, ἢ συγχυθέντος. ἴσως δ' ἔτι τινῶν καὶ κατὰ τὸν ὀνομασθέντα μεταγραμματισμὸν ἁμαρτηθέντων ἐκ τινῶν μεταβαλλόντων ἐκ τῆς παλαιᾶς γραφῆς εἰς τὴν ὑστέραν γεγραμμένην πρὸς τὸ παλαιοῦ πλῆθος ἁμαρτηθέντων, ἐκ τούτων ἁπάντων ἐν πολλοῖς τῶν ἀντιγράφων ἠθροίσθη. περὶ μὲν δὴ τούτων καὶ ἅπαξ ἀκούσαντα μεμνῆσθαι προσήκει. μακρὸν γὰρ ἂν εἴη καθ' ἕκαστον τῶν ἁμαρτημάτων λέγειν τὰ αὐτά. συγχωρήσαντες δὲ τὴν ἀναμάρτητον λέξιν εἶναι τοιάνδε. τὰ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντα. ζητήσομεν ἐπὶ τίνων εἴρηται, πότερον ἐπὶ μελῶν τινῶν τοῦ σώματος ἀποπίπτειν μελλόντων, ἢ τῶν ἐπιδέσμων, ἢ τῶν ἐπιτιθεμένων τοῖς πεπονθόσι μέρεσιν ἕνεκα τῆς ἰάσεως, ἅπερ ἐστὶ καταπλάσματα καὶ φάρμακα, μοτοὶ καὶ βρόχοι. παρὰ γὰρ τὰ τρία γένη ταῦτα τέταρτον οὐδὲν φαίνεται δυνάμενον ἀποπίπτειν τῶν πασχόντων σωμάτων. καὶ μέντοι καὶ λέλεκται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον ἕκαστον αὐτῶν, οὐ μόνον τὰ τρία. καίτοι γε εἴπερ ἕκαστον ἔδοξεν εἶναι τινί, πιθανὸν ἐνεδέχετο καὶ πάντα δόξαι. ἐμοὶ δὲ μοτοὶ μέν, ἢ μόνοι πολλάκις ἐντεθέντες ὡς ἐπὶ τῶν αἱμορραγιῶν, ἢ καὶ φαρμάκοις τισὶ περαθέντες, ἢ ἔξωθεν αὐτοῖς ἀντὶ κρίματος ἐπιβληθέντες, οὐκ ἀλόγως ἀκούεσθαι δοκοῦσιν ἐν τῇ προκειμένῃ ῥήσει. προσήκει γὰρ αὐτοὺς ἀποπεσεῖν μὲν πάντως, οὐ μὴν ἀποπεσεῖν ταχέως, ὥσπερ οὐδὲ τοὺς βρόχους, ἀλλ' ὅταν ἀκριβῶς ἐκπυήσαντος τοῦ μορίου σὰρξ ἐπιτραφῇ τε καὶ περιτραφῇ τοῖς αἱμορραγοῦσιν ἀγγείοις. ὡσαύτως δὲ καὶ τὰς ἀπὸ τῶν καυτηρίων, ἢ φαρμάκων καυστικῶν γενομένας ἐσχάρας, οὐ χρὴ ταχέως ἀποπίπτειν, ἀλλὰ μετὰ πολλὰ φάρμακα. τὰ μὲν ὑγρὰ σηπεδονώδεσιν ἐγχεόμενα, τὰ δὲ ἐπιπαττόμενα ξηρά, τὰ δὲ κατὰ σπληνικῶν ἢ ὑδερικῶν ἐπιτιθέμενα, μεγάλως ὀνίνησιν, ὅταν μὴ ταχέως ἀποπέσῃ. καὶ κατὰ ἄλλων τε μορίων καὶ διαθέσεων ἐπιτιθέμενα φάρμακα, τῶν ἐχεκόλλων ὀνομαζομένων, ὀνίνησι μεγάλως χρονίζοντα. καὶ γὰρ ἐπὶ καταγμάτων καὶ μεγάλων ὀλισθημάτων συνεχῶς γιγνομένων, ἔτι δὲ ποδαγρικῶν, ἰσχιαδικῶν τε καὶ νεφριτικῶν, καὶ πάντων ἀρθριτικῶν. κεφαλαίας τε καὶ ἄλλων οὐκ ὀλίγων ἐπειράθημεν ὠφελούντων φαρμάκων, εἰ μὴ ταχέως ἀποπέσοι. τούτων δὲ αὐτῶν ὅσα μὲν ἐχέκολλα καλεῖται, διὰ τὸ δυσαπολύτως κεκολλῆσθαι, καὶ τοῦ χρώματος ἔχεσθαι, οὐδεμιᾶς ἐπιδέσεως χρῄζει. τινὰ δὲ εἰ μὴ κρατοῖτο πρὸς τῶν ἐπιδέσμων, ἀποπίπτει, περὶ ὧν νῦν ὁ λόγος ἐστὶν αὐτῷ. φησὶν οὖν, τὰ δὲ ὡς μήτε πιέζειν, μήτε ἀποπίπτειν, ὡς εἰ καὶ οὕτως ἂν εἶπεν, ὅσα δὲ μὴ συμφέρει φάρμακα, ταχέως ἀποπεσεῖν, ταῦτα ἐπιδεῖν οὕτως ὡς πιέζεσθαι μὲν ὑπὸ τῆς ἐπιδέσεως τὸ πεπονθὸς μόριον. ἀσφαλῶς δὲ κρατεῖσθαι, τὸ μὴ ἀποπίπτειν, ἵν' ᾗ δύναται. τὸ μὲν οὖν τῶν ἔξωθεν ἐπιτιθεμένων, αὐτάρκως ὁ λόγος ἐξήτασται. περὶ δὲ τῶν μορίων τοῦ σώματος ἐφεξῆς ἴδωμεν, εἰ κἂν τούτοις ἀληθές ἐστιν, ὅσα μέλλει πάντως ἀποπεσεῖσθαι, ταῦτα χρὴ μήτε ταχέως ἀποπεσεῖν. ἔνιοι γὰρ οἴονται ψευδῆ τὸν λόγον τοῦτον, ὑπὸ τῶν σεσηπότων ἐξαπατώμενοι μορίων, ἃ διὰ ταχέων ἐκκοπῆναι προσήκει. τοῦτο μὲν ἀληθές ἐστιν αὐτὸ καθ' ἑαυτὸ λεγόμενον, οὐ μὴν ἐκείνῳ γε μάχεται. διαφέρει γὰρ πάμπολυ τοῦ μέλλειν, τῷ δεῖσθαι τῶν ἐκκοψάντων αὐτά. πολλάκις γὰρ ἀπόσχιδες ὀστῶν, καὶ λεπίδες ἀποπίπτει

†ὠθεμένοις σιν ἐν τῷ χρόνῳ, καὶ βέλτιον αὐτοῖς ἐστιν ὑπὸ τῆς φύσεως †ὠθέμενον, παρὰ βραχὺ τὴν ἔκπτωσιν ἔχειν ἐν χρόνῳ, ἢ διὰ φαρμάκων ἐρεθισθεῖσιν, ἢ δι' ὀργάνων ἐκλυθεῖσιν. ὅσα γὰρ ὑπὸ βίας ἀθρόως ὑποσπᾶται, συριγγώδεις ἐργάζεται κοιλότητας. ὅσα δὲ ὑποφύσεις ἤτοι πωροειδοῦς τινὸς, ἢ σαρκὸς ἐκπεσόντων τῆς ἐκπτώσεως δεομένων, εὐθέως φαίνεται πλήρη, καὶ διὰ ταχέων ἐπουλοῦται, προσαχθέντος αὐτοῖς μετρίως ξηραίνοντος καὶ σύφοντος φαρμάκου. καὶ νευρώδη δέ τινα καὶ ὑμενώδη σώματα πολλάκις ἐκπίπτει. διαπυΐσκοντα μὲν ἀκινδύνως ἐν χρόνῳ πλείονι παρὰ βραχὺ, βιασθέντα δὲ ὑπὸ φαρμάκων βιαίων, ἤγουν δριμέων, ἢ δι' ὀργάνου τινὸς, ἢ διὰ τῶν ἡμετέρων δακτύλων ἀποσπασθέντα συμπαθείας ἐπάγεται τῶν ὑπολειπομένων μορίων, καὶ φλεγμονὰς, καὶ πυρέξαι, καὶ παραφρονῆσαι, καὶ σπασθῆναι. ἐπὶ τὸ λοιπὸν μὲν οὖν ἤδη καὶ τρίτον ἀφικόμεθα γένος τῶν λεγομένων ἀποπίπτειν, ὅπερ ἐστὶν ὡς ᾠήθησάν τινες οἱ ἐπίδεσμοι. τούτους οὖν φασὶν ὅταν ὦσι χαλαροὶ, καὶ μέλλωσι πάντως ἀποπίπτειν, ἄμεινον ἐν πλείονι χρόνῳ τὴν ἀπόπτωσιν ἔχειν, ἀλλ' ἔστι τοῦτο ψευδὲς, ἄμεινον οὐ παρὰ χρόνον ἀποπεσεῖν κακῶς περιβεβλημένα τοῖς πεπονθόσι μορίοις, ἀλλ' ὅτι τάχιστα. μᾶλλον δὲ οὔτε ἀναμένειν ἀποπεσεῖν αὐτὰ προσήκει, ἀλλ' αὐτὸν ἐν τάχει λύσαντα τὴν ἐπίδεσιν αὖθις ἐπιδεῖσθαι συμμέτρως, ὅθεν ἔνιοι τῶν οὕτως ἐξηγησαμένων, ὁμολογοῦσι μὲν ἄμεινον ταχέως ἀποπεσεῖν τοὺς χαλαροὺς ἐπιδέσμους. ἐλλιπὲς δὲ καὶ οὕτως ἐστὶ τὸ λεγόμενον, εἰ μὴ πρὸς αὐτὸ καὶ ἄλλο τι συνυπακούσειεν, ὥστε γενέσθαι τὴν ὅλην ῥῆσιν τοιάνδε. τὰ μέλλοντα ἀποπίπτειν κακίω τῶν ταχέως ἀποπεσόντων τῷ χρόνῳ πλείονι συγκείμενα. συγχωρηθέντος δὲ καὶ τούτου, τὸ ἀποπίπτειν οὐ πιθανὸν ἐπὶ τῶν ἄλλων ἐπιδέσμων εἰρῆσθαι. τίς γὰρ ἀναμένει χρόνον τοσοῦτον ἐν μέλλουσιν ἀποπίπτειν αὐτομάτοις, δυνάμενος ἐν τάχει λῦσαι καὶ ἐπιδῆσαι καλῶς; ἕτεροι δὲ ἐπὶ τοὐναντίον ἐκτραπέντες, ἀληθῆ μὲν εἶπον λόγον, ἐξηγήσαντο δὲ βιαίως τὴν λέξιν. πῶς γὰρ οὐδὲ βίαιόν ἐστιν οὕτως ἀκοῦσαι; τὰ δὲ μέλλοντα ἀποπίπτειν κακίω μέν ἐστι τῶν μὴ ἀποπιπτόντων. ἄμεινον δ' αὐτοῖς ταχέως ἀποπεσεῖν, ἵνα περιγράψαντες ἐν μιᾷ διανοίᾳ τὸ πρότερον μέρος τῆς ῥήσεως ἄχρι τοῦ, τὰ μέλλοντα ἀποπίπτειν κακίω. πάλιν δὲ ἀφ' ἑτέρας ἀρχῆς ἀναγνῶμεν, τὸ, διὰ ταχέως ἀποπεσόντων, ὅπερ ἐστὶ ταχέως ἀποπεσέτω. βιαίως δὲ ὡς ἔφην ἡ ἐξήγησις αὕτη παρὰ τὸ καλούμενον σύναρθρον εἶδος τῆς ἑρμηνείας, μεμνημένοι μετὰ τοῦ καὶ ψευδὲς εἶναι τὸ λεγόμενον ἐν τῷ καθόλου. τὰ δὲ μέλλοντα ἀποπίπτειν κακίω, πολλὰ γὰρ ἐπ' ἀγαθῷ ἀπόπτωσιν ἔχει. βέλτιον οὖν ἐστιν ὡς ἔφην ἀκούειν ἐπί τε τῶν ἔξωθεν ἐπιτιθεμένων, καὶ τῶν πάντων ἀποπεσουμένων μορίων εἰρῆσθαι τὸν λόγον, ἀποχωρίσαντα ἐπιδέσμου, καὶ τῆς ὑστάτης ἄρτι λελεγμένης ἐξηγήσεως.

Ὧν δὲ ἔχεται ἐπίδεσις, ἢ ὑπόδεσις, ἢ ἀμφότερα.

Προσυπακοῦσαι δεῖ, τὰ δὲ ἐστὶ, εἶτα ἑξῆς ἀναγινώσκειν, ὑπόδεσις μὲν αἰτίη ἀφεστεῶτα προσεῖλαι, καὶ τὰ ἄλλα τὰ τούτων ἐφεξῆς. κέχρηται δὲ τῷ ἔχεται ῥήματι, σημαίνων δι' αὐτοῦ τὸ οἷον ἐφίεται καὶ ἀντιποιεῖται, καὶ στοχάζεται. ἅπερ σὺν ἅπαντα δυνάμει ταυτὸν δηλοῖ, τῷ, τίνες αἱ δυνάμεις εἰσὶ τῆς ἐπιδέσεως, καὶ τίνα τὰ ἔργα. λέγω δὲ ἔργα νῦν οὐ τὰς ἐνεργείας, ἀλλὰ τὰ ἀποτελέσματα. καθάπερ οἰκοδόμου μὲν ἔργον ἐστὶν, οἰκία, τέκτονος δὲ σκιμπόδιον, ὑφαντοῦ δὲ ἱμάτιον. ἐπὶ δὲ τῆς ἐπιδέσεως καὶ μάλιστα τῆς καταγματικῆς, οἱ μὲν πρὸ τῶν σπληνῶν ἐπίδεσμοι παραλαμβανόμενοι δύο, ἕτεροι δὲ μετὰ τοὺς σπληνας. ἴδιον οὖν ὄνομα παρὰ τῶν πρώτων δυοῖν Ἱπποκράτης ἔθετο τὰς ὑποδεσμίδας, αὐτήν τε τὴν ὑπ' αὐτῶν γιγνομένην ἐπίδεσιν, ὑπόδεσιν ἐκάλεσεν. ἐφεξῆς ἀκούσομεν αὐτοῦ λέγοντος, ὅσα δύναται ποιεῖν, ἥ τε ἰδίως ὑπόδεσις ὀνομαζομένη, καὶ κοινῶς ἐπίδεσις. ἐδείχθη μὲν δὴ παρὰ τὴν προτέραν ῥῆσιν εἰρῆσθαι τίνων ἕνεκεν ἡ ἐπίδεσις ὑπὸ τῶν ἰατρῶν γίγνεται, καθάπερ ἐν ἀρχῇ διαιρεῖται. τὰ μὲν αὐτῆς ἰᾶσθαι λέγων, τὰ δὲ τοῖς ἰωμένοις ὑπηρετεῖν. καὶ ταῦτα πῶς γινόμενα, τῶν εἰρημένων ἕκαστον ἰάσεται. πρὸς γὰρ τὸν σκοπὸν τῆς ἰάσεως ἀποβλέποντες, ἐξευρήσομεν τὴν προσήκουσαν ἐπίδεσιν. αὐτὸν δὲ τὸν σκοπὸν, ἐνδείξεται τὸ θεραπευόμενον πάθος. οὐ μὴν ὁ Ἱπποκράτης οὕτως ἔγραψεν, ἀλλὰ περὶ τῆς ἐπιδέσεως ὁποίαν χρὴ γίνεσθαι διελθὼν ἄχρι νῦν, ἐπί τε τὰ ἔργα καὶ τὴν δύναμιν αὐτῆς ἥκει.

Ὑπόδεσις μὲν αἰτίη, ὥστε ἢ ἀφεστεῶτα προσεῖλαι, ἢ ἐκπεπταμένα συστεῖλαι, ἢ ξυνεσταλμένα διαστεῖλαι, ἢ διεστραμμένα διορθῶσαι, ἢ τἀναντία.

Ἀφεστεῶτα πάντα καλεῖ νῦν, ὅσα παρὰ φύσιν μὲν ἔχοντος σώματος ἥνωτο τισὶ μορίοις ἑτέροις, ἢ ἐπέψαυσεν αὐτῶν. ἐν δὲ τῷ παρὰ φύσιν ἔχειν, οὐκέτι φυλάττει τὴν ἕνωσιν καὶ τὴν ψαῦσιν. ἕνωσις μὲν γὰρ ἅπασι καὶ κατάγμασιν, ἕλκεσί τε καὶ ῥήγμασι, καὶ θλάσμασι διαφθείρεται. ψαῦσις δὲ ἐν ἀποστήμασι καὶ κόλποις, ἐμφυσήμασί τε καὶ οἰδήμασιν. ἐκπεπταμένα δὲ καλεῖ, τὰ πλείστην διάστασιν ἀπ' ἀλλήλων ἔχοντα. γίγνεται δὲ αὐτὸ κατὰ διττὸν τρόπον, ἤτοι δι' ὅλων αὐτῶν, ἢ παρὰ χείλη μόνα. οἱ γοῦν σκοποὶ τῆς ἰάσεως τῶν μὲν ἀφεστώτων προσεῖλαι, τῶν δὲ ἐκπεπταμένων συστεῖλαι, τῶν δὲ διεστραμμένων, διορθῶσαι, κοινὸν ἁπάντων ἐστὶ τῶν εἰρημένων, ἐπανορθοῦσθαι καὶ διορθοῦσθαι τῶν ἐλλειπόντων λεγόντων, ὥσπερ αὖ ἐκβεβλημένα καθ' ὁντινοῦν τρόπον εἰς ἔμμετρον ἐπανάγομεν κατάστασιν. οἱ μὲν δὴ σκοποὶ τῆς ἐπιδέσεως οἵδε εἰσί. ἡ δύναμις δὲ αὐτῶν, οὐ τούτων μόνων ἐστὶ ποιητικὴ τῶν σκοπῶν, ἀλλὰ καὶ τῶν ἐναντίων, ἐνίοτε κατορθουμένης μὲν τούτων, ἁμαρτανούσης δὲ τῶν ἐναντίων. εἰκότως οὖν ἐπὶ τελευτῇ τῆς ῥήσεως εἶπεν, ἢ τἀναντία. πρόκειται γὰρ αὐτῷ τί δύναται ποιεῖν ὑπόδεσις εἰπεῖν, οὐ περὶ μόνης τῆς ἀγαθῆς διελθεῖν. ἐν ἀρχῇ γέ τοι τῆς ῥήσεως, ἐφ' ὧν δὲ ἔχεται ἢ ἐπίδεσις ἢ ὑπόδεσις, ἢ ἀμφότερα, περὶ πάσης ἐπιδέσεως, οὐ περὶ τῆς ἀρίστης μόνον τὸν λόγον ποιούμενος. εἰ δὲ καὶ περὶ τῆς ἀγαθῆς μόνης ἐπιδέσεως ἐνταῦθά τις αὐτῷ βούλοιτο εἶναι τὸν λόγον, ἢ παρὰ τὴν τελευτὴν προσθήκη, τόνδε τὸν νοῦν ἕξει, ὡς ἐν τῷ παρὰ φύσιν ἔχειν. τὰ μὲν ἐστὶν ἀφεστῶτα, τὰ δὲ ἐκπεπταμένα, τὰ δὲ διεστραμμένα, κατὰ τὸν αὐτὸν τρόπον ἕτερα πάθη τούτοις ἐστὶν ἐναντία. τοῦ γὰρ ὑγιαίνοντος σώματος ἔχοντος συμμέτρως, ἅπαν πάθος ἐν τῷ διαφθείρεσθαι τὴν συμμετρίαν γεννᾶται. εἴπερ οὖν ὅσα τὴν κατὰ φύσιν ἔχοντα κατασκευὴν, ἥνωτό τισιν ἢ ἔψαυσεν. ὅταν ἤτοι τὴν ἕνωσιν ἢ τὴν ψαῦσιν ἀπολέσῃ, πεπονθέναι τε καὶ παρὰ φύσιν ἔχειν αὐτὰ φαμὲν ὡσαύτως. ὅσα δὲ μήθ' ἥνωτο, μήτ' ἔψαυεν, ἵνα αὖ ἑνωθῇ τε καὶ ψαύσῃ, νοσεῖν αὐτὸ

ποιή-

ποιήσειν. ἐναντία οὖν ταῦτα τῆς ἐπανορθώσεως. ἐπεναντίον δὲ ἔσται τοῖς σκοποῖς, ἀλλ' ὡς δόξει τινὰ μάχεσθαι τῷ λόγῳ τὰ τοῖς διεστραμμένοις ἀντικείμενα, καλούμενα δὲ εὐθέα. δεήσει τοιγαροῦν ὅσον ἐπὶ τῷ προειρημένῳ λόγῳ καὶ ταῦτα διαστρέφειν, ὅπερ οὐκέτι τῆς ἀγαθῆς ἐπιδέσεως ἔργον, ἀλλὰ τῆς ἡμαρτημένης ὑπάρχει. ἀναμνησθεὶς οὖν τις ὧν εἶπεν Ἱπποκράτης, ἐπὶ μηροῦ καὶ βραχίονος γνώσεται τὴν ἐν αὐτοῖς εὐθύτητα παρὰ φύσιν οὖσαν, ἧς τὸ ἔξω καὶ πρόσω κεκύρτωται φύσει, καί τις ἐπιλαθόμενος τὸν καταγέντα κωληδὸν, ἢ μηρὸν, ἢ βραχίονα, διέπλασε μὲν πρῶτον εὐθὺν. ὕστερον δὲ καὶ περιεῤῥωμένον, ἐν τούτῳ τῷ σχήματι περιεῖλεν, ἀλλ' ὅ,τε προσεσχηκὼς τὸν νοῦν τῷ φυσικῷ σχήματι τῶν ὀστῶν, καὶ φυλάττειν αὐτὸ μεμνημένος, ἐὰν μηδέπω πεπωρωμένῳ καὶ ἐντυχὼν, ὕδατα μετὰ ἐλαίου πολλοῦ καταντλήσας, εἶτα διατείνας ἰσχυρῶς. πρῶτον μὲν κατέαξεν, ὡς ἐξ ἀρχῆς ἦν κατεαγὸς, ἐφεξῆς δὲ ἐν τῷ κατὰ φύσιν σχήματι διέπλασε, καὶ μετὰ ταῦτα ἐπέτρεψε τῇ φύσει πωρῶσαι τὸ κατεαγὸς ἐν τούτῳ τῷ σχήματι, ὥστε ἀληθὲς εἶναι τὸ μὴ μόνον ἄκοντας τοὺς ἰατροὺς διὰ τῶν μοχθηρῶν ἐπιδέσεων τἀναντία τῶν εἰρημένων ἀγαθῶν ἐργάζεσθαι περὶ τοὺς κάμνοντας, ἀλλὰ καὶ τοὺς ἀρίστους ἐξεπίτηδες. ὅσα μὲν παρὰ φύσιν ἐνδεδίπλωται, πρὸς τοὐναντίον ἀπάγοντας ἐκτρέπειν. ὅσα δὲ συμπέφυκε, διαλύειν τούτων τὴν σύμφυσιν. εἴδομεν οὖν ἐνίων διὰ τὴν ἐφέλκωσιν καὶ δακτύλους συμφυέντας, καὶ χείλη καὶ βλέφαρα. σκοποὶ μὲν οὖν οὗτοι τῆς τῶν εἰρημένων παθῶν ἰάσεως. ἑκάστου δ' αὐτῶν τὴν οἰκείαν ἐπίδεσιν ἑξῆς διδάσκει, πρότερον εἰπὼν περὶ τῶν ὀθονίων ὁποῖα χρὴ παρασκευάζεσθαι διὰ τῆς ἐχομένης λέξεως.

Παρασκευάζειν δὲ ὀθόνια κοῦφα, λεπτὰ, μαλθακὰ, καθαρὰ, πλατέα, καὶ ἔχοντα συῤῥαφὰς, μηδ' ἐξεστίας, καὶ ὑγιέα, ὥστε τανύειν φέρειν, καὶ ὀλίγῳ κρέσσω, μὴ ξηρὰ, ἀλλ' εὔχυμα χυμῷ ᾧ ἕκαστα σύντροφα.

Εἰρηκὼς οὖν πρόσθεν ἤδη περὶ τῶν ὀθονίων ἐλλιπέστερον, ὡς καὶ δῆλον ὡς οὐδὲν ἠκρίβωται τότε πρὸς ἔκδοσιν, ἀλλ' οὖν ὑπὸ νέων. ὅτι μετὰ τὸν Ἱπποκράτους θάνατον ἐδοξάσθη, οὐδεὶς οὐδὲ καὶ βραχυλόγῳ κατὰ σύγγραμμά τι περὶ τῶν αὐτῶν εἰπεῖν, ἀλλ' ἤτοι τὰ νῦν εἰρημένα περιεῖλεν ἂν, ἢ τὰ πρόσθεν. ἔμπροσθεν μὲν γὰρ οὕτως ἔγραψεν, ἐπιδέσματα καθαρὰ, κοῦφα, λεπτὰ, μαλθακά. ἔθηκε δὲ νῦν τότε πλατέα δεῖν ὑπάρχειν αὐτὰ, καὶ μὴ ἔχοντα συῤῥαφὰς, μηδὲ ἐξεστίας. ὑγιέα τε μὴ μόνον ἄχρι τοῦ ῥαγῆναι ταθέντα βιαιότερον, ἀλλὰ καὶ περαιτέρω, τουτέστιν εὔτονα ἔχειν καὶ ἰσχυρὰ, χάριν τῆς ἀσφαλεστέρας κρατήσεως. ἀλλὰ καὶ τὸ μήτε συῤῥαφὰς ἔχειν ἀνωμάλως προσαπίπτοντα, μήτε τὰς καλουμένας ἐξεστίας, αἵ τινες ἐν τοῖς ὑφαινομένοις συμβαίνουσιν. ἐνίοτε μὲν ἐξεπίτηδες, ἐνίοτε δὲ ἀκουσίως γίνονται προμήκεις ἐξοχαὶ, ποτὲ μὲν αὐτῆς τῆς κρόκης. ἔστι δὲ ὅτε καὶ τῆς πορφύρας, ἀλλὰ καὶ κατὰ τὰς καλουμένας παρυφὰς ἔχουσαι, τοῦτο πράττουσι διὰ παντὸς αἱ γυναῖκες. ἅπαντα οὖν ταῦτα φυλάττειν κελεύει. τὸ δὲ πλατέα δεῖν εἶναι τὰ ὀθόνια, τῶν ἀμελῶς ἑρμηνευομένων ἐστίν. εἰ μὲν γὰρ ὡς πρὸς τὰ στέρνα προβάλλοιτο, μνήσεταί τις αὐτὰ πρὸς τὰ περαιτέρω τοῦ προσήκοντος πεπλατυσμένα παραβαλὼν ἐγκαλεῖν. εἰ δὲ πρὸς τὰ σύμμετρα, μοχθηρὸν ἅπαν ἐστὶ τὸ τοῦ συμμέτρου παραλλάττον ἐφ' ἑκάτερα, κατά τε πρόσθεσιν καὶ ἀφαίρεσιν. περὶ δὲ τῶν λεπτῶν καὶ κούφων καὶ μαλθακῶν καὶ καθαρῶν τῆς χρείας, ἔμπροσθεν εἴρηται. τὸ δὲ μὴ ξηρὰ, ἀλλ' εὔχυμα χυμῷ ᾧ ἕκαστα σύντροφα, λέλεκται μὲν τοι καὶ αὐτὸ περὶ τῶν ὀθονίων. ὁ λογισμὸς δὲ τῆς συμβολῆς, οὐκ ἄδηλος. ἀξιοῖ δὲ αὐτὰ μηδέ ποτε παραλαμβάνεσθαι σκληρὰ κατὰ μηδεμίαν ἐπίδεσιν, ἀλλ' εὔχυμα δεδευμένα χυμῷ, ᾧ ἂν ἕκαστα τῶν θεραπευομένων παθῶν ᾖ σύντροφα, τουτέστιν οἰκεῖα. καὶ γὰρ κηρωτῇ ὑγρᾷ, τῇ ἁπλῇ καὶ τῇ πιττηρᾷ, καὶ οἴνῳ μέλανι αὐστηρῷ, κατά τε τὸ περὶ ἀγμῶν καὶ τὸ περὶ ἄρθρων αὐτὸς ἐκέλευσε διαβρέχειν. ξηρὰ δὲ πρὸς τὸ τὴν ἀπὸ τῆς ὑποβροχῆς ὠφέλειαν οὐκ ἔχειν, ἔτι καὶ πυροῦντες τὰ μόρια, καθ' ἃ ἐπιβέβληνται, τὴν θερμασίαν ἐν αὐτοῖς αὐξάνουσι. διὰ τοῦτο καὶ τὴν ἐκ τῶν πλησιαζόντων χωρίων ὑγρότητα πρὸς τὸ πεπονθὸς ἐπισπῶνται. τοῦτο δὲ ὅτι μέγιστον κακόν ἐστιν εἰς τὴν τῶν ὄγκων γένεσιν, εὔδηλον παντί.

Ἀφεστεῶτα μὲν ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μὲν, πιέζειν δὲ μή. ἄρχεσθαι δὲ ἐκ τοῦ ὑγιέος, τελευτᾶν δὲ πρὸς τὸ ἕλκος, ὡς τὸ μὲν ὑπεὸν ἐξαθέλγηται, ἕτερον δὲ μὴ ἐπισυλλέγηται.

Ἐάν τε ὀστοῦ κατεαγότος τὰ μόρια διέστηκε παρὰ φύσιν ἀπ' ἀλλήλων, ἐάν τε συμφύσεως ἀποῤῥαγείσης, ἢ τραύματος μεγάλου γενομένου, συνάγειν αὐτὰ δεῖ, μέχρι τοῦ ψαῦσαι μὲν οὖν καὶ θλίβειν ἄλληλα. καὶ γὰρ οὐ δυνήσεται, καὶ φλεγμαίνει τὰ οὕτως ἐπιτεθέντα μόρια. μάλιστα δὲ ἐπὶ τῶν καλουμένων κοιλίων ὁ λόγος αὐτῷ γίνεται νῦν, ὡς ἐπὶ παραδείγματος. ἐδήλωσε γὰρ τοῦτο σαφῶς αὐτὸς ἐν τοῖς ἐφεξῆς γεγραμμένοις. μέχρι μὲν οὖν τούτου, ὥστε τὰ μετέωρα τῆς ἕδρας ψαύειν μὲν, πιέζειν δὲ μὴ, κοινὸς ὁ λόγος αὐτῶν καὶ πρὸς τἄλλα πάντα ἐστὶν, ὅσα τῆς φυσικῆς ψαύσεως ἢ συμφύσεως ἐλύθη. τὰ δὲ ἐφεξῆς τοῦδε, καθ' ἃ φησὶν, ἄρχεσθαι ἐκ τοῦ ὑγιέος, τελευτᾶν πρὸς τὸ ἕλκος, ἐπὶ τῶν ὄγκων εἴρηται προδηλότατα. τούτοις γὰρ χρὴ τοὺς μὲν ἰχῶρας ἐκκενοῦσθαι, μηδένα δὲ ἐπιῤῥεῖν τῷ μορίῳ χυμὸν ἐν τῷ τῆς κολλήσεως χρόνῳ. γενήσεται δὲ τοῦτο πιεσάντων μὲν ἡμῶν τὸν πυθμένα τοῦ κόλπου, μέχρι τοῦ θλίβειν. ἐκλυόντων δὲ κατὰ βραχὺ τὴν ἐπίδεσιν, ἄχρι τοῦ στόματος αὐτοῦ. τοῦτο δὲ ἀνεῳγμένον φυλαττόντων ἐν τῷ σχήματι καταῤῥόπῳ. κόλπους μὲν οὖν ὅταν καθαροὺς ποιήσαιμεν, καὶ θελήσαντες κολλῆσαι, τὸν εἰρημένον τρόπον ἐπιδήσομεν. ἀπόσπασμα δὲ ἀκρωμίου, βιαίως θλίβοντές τε καὶ καταναγκάζοντες τὸ ὑψούμενον αὐτοῦ μέρος. οὐδὲν γὰρ ἐκ τῆς τοιαύτης θλίψεως ἄτοπον ἔσται. καθάπερ οὐδὲ ἐπὶ κλειδὸς κατεαγείσης, ὅταν ἐστὶ πολὺ τὸ ἕτερον αὐτῆς μᾶλλον, ἧττον τε μὴν ταύτης ἢ ἐπ' ἀκρωμίου πιέσομεν. ἐπὶ δὲ τῶν ἄλλων καταγμάτων ἥκιστα θλίψομεν, εὐλαβούμενοι φλεγμονάς. ἐγὼ μὲν οὖν ἐπὶ πάντων τῶν ἐφεστώτων πεποίημαι τὸν λόγον. ὁ δ' Ἱπποκράτης ἐπὶ μόνων τῶν κόλπων, ὡς ἐπὶ παραδείγματος, ἐφ' ὧν τῶν ἐπιδέσεων τὴν συμμετρίαν ἐδήλωσεν σαφῶς, εἰπὼν τὰ μετέωρα, τουτέστι τὰ ἀφεστῶτα ψαύειν μὲν τῆς ἕδρας, μὴ πιέζειν δὲ, καλέσας ἕδραν δηλονότι τὸ ὑποβεβλημένον τῷ ἀφεστῶτι σώματι. καθόλου δὲ στενοχωρῆσαι τε καὶ ἐδρασθῆναι τὸ προσαγόμενον αὐτῷ. πρὶν μὲν γὰρ τοῦ ψαῦσαι τὴν ἀρχὴν, οὐδ' ἂν ἑνωθείη τὸ μέρος ἕτερον ἑτέρῳ, ψαυσάντων δὲ ἀθλίπτως, ἡ ἕνωσις γίνεται. πρόδηλον δὲ ὅτι τοὺς

δεομένους κολλήσεως κόλπους, οὐχ ἁπλῶς ἄν τις ἐπιδεῖν οὕτως συμβουλεύσει. χρὴ γὰρ ἀφλεγμάντους πρότερον αὐτοὺς ποιῆσαι, καὶ μετὰ ταῦτα καθαρούς, ἢ ξηρούς. εἰ δὲ καὶ σάρκες ἐκτετηκυῖαι τύχοιεν, ἀναθρέψαι πρότερον ἐκείνας. οὕτως οὖν οὐδὲ τὰ ῥήγματα καὶ θλάσματα τῆς γενέσεως τῶν ἑλκῶν τε ἅμα καὶ κόλπων ὄντα, διὰ τῆς εἰρημένης ἐπιδέσεως εὐθὺς ἅμα τῷ γενέσθαι θεραπευόμενον, ἀλλ᾽ ὅταν ἀφλέγμαντα καὶ ξηρὰ γένηται πρότερον, ἀμφοτέρων αὐτῶν ἔχει ἔφεσιν συνεχείας λύσις ἐν σαρκώδει μορίῳ γιγνομένη, μετὰ τοῦ προσχεῖσθαι τι τοῦ αἵματος εἰς τὴν μεταξὺ χώραν, ὅπερ ἐστὶ κοινὸν ἀποστήματός τε καὶ κόλπου. ἄχρι μὲν οὖν ἀναστόματον ἢ πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν τὸ οὕτω διακείμενον μόριον, ἀφεστάναι μὲν γὰρ αὐτὸ λέγεται. τὸ δὲ κατ᾽ αὐτὸ πάθος, ἀπόστημα καλεῖται. στομωθέντος δὲ αὐτοῦ κατά τι μέρος, ὡς ἐκκριθῆναι τὸ περιεχόμενον ὑγρόν, οὐκέτι ἀποστήματος πάθος, ἀλλ᾽ ἤδη κόλπος ὀνομάζεται. τὰ τοιαῦτα οὖν ἅπαντα πάθη, δεῖται μὲν ἀεὶ τῆς ἐπιδέσεως, οὐ μὴν ὁμοίας γε ἀεί. τῆς μὲν γὰρ φλεγμονῆς ἐν αὐτοῖς ὑπαρχούσης, οὐδὲ ἐπιδέσεως ἐστὶ χρεία κατὰ τὸν πρῶτον λόγον, ὥσπερ οὐδὲ τῶν ἐμπυημάτων. κόλπου δὲ ἤδη γεγενημένου μὲν αὐτοῦ καὶ συσσαρκουμένου, μετριωτάτης ἐπιδέσεως ἐστὶ χρεία, οὐ ψαυούσης τῆς ἕδρας τὰ ἐφεστῶτα. χρὴ γὰρ γίνεσθαι διὰ τοῦ στομίου φάρμακα καθαίροντα, καὶ ἀναστομοῦντα. κολλήσεως δὲ χρῄζοντος, ὃ νῦν εἴρηκεν Ἱπποκράτης ἐπίδεσις οἰκεία ταῦτα ἀναγκαίως ἔγραψε, μή τις παρακούσας οἴηται πάντας κόλπους οὕτως ἐπιδεῖν ἀξιοῦν τὸν Ἱπποκράτην. δέδεικται γὰρ ὡς οὐ πάντας, ἀλλ᾽ ὅσοι μηδὲν ἔχουσιν ἅμα αὐτοῖς πάθημα. μήτ᾽ οὖν φλεγμονήν, μήτε σαρκὸς ἔκτηψιν, μήτε ῥύπον, μήτε χυμὸν ἐν αὐτοῖς συνεστῶτα, μονοειδεῖς αὐτοὶ καθ᾽ ἑαυτοὺς ἐπιδείξεται μόνην τὴν ἑαυτῶν θεραπείαν. εἴρηται δέ μοι περὶ τῶν τοιούτων διορισμῶν ἱκανῶς ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν.

Ἐπιδεῖν τὰ μὲν ὀρθὰ ἐς ὀρθόν, τὰ δὲ λοξά, λοξῶς, ἐν σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀποσφίγξις, μήτε ἀπόστασις ἔσται. ἐξ οὗ ὅταν μεταλλάσσῃ ἐς ἀνάληψιν ἢ θέσιν, οὐ μεταλλάξουσιν, ἀλλ᾽ ὅμοια ταῦτα ἕξουσι μῦας, φλέβας, νεῦρα, ὀστέα.

Οὐ τὰ πεπονθότα μόρια τοῦ σώματος ὀρθὰ καὶ λοξὰ λέγει νῦν, ἀλλὰ τὰ ἀποστήματα, περὶ ὧν ποιεῖται τὴν διδασκαλίαν ἐπὶ παραδείγματος ἑνὸς αὐτῶν ἑνὸς τοῦ κόλπου. πάντως γὰρ οὕτως, ἤτοι γε ὀρθός ἐστι, ἢ λοξὸς πρὸς τὸ μῆκος ἐν ᾧ γέγονε. ὀρθὸν μὲν οὖν ἀκούει μου τὸν κατ᾽ αὐτήν, λοξὸν δὲ τὸν μὴ τοιοῦτον. ὠνόμαζε δὲ ὀρθὸν κόλπον, οὗ τὸ μὲν στόμιον ἐν τοῖς κάτω μέρεσιν ἐστί, ὁ δὲ πυθμὴν ἐν τοῖς ἄνω. λοξὸν δὲ οὗ πρὸς τὸ πλάγιον ἐκκλίνεται. γίγνονται δὲ δηλονότι καὶ τούτοις ἐναντίως διακείμενοι κόλποι. κάτωθεν μὲν ἔχοντες πυθμένα, τὸ στόμιον δὲ ἄνωθεν. ἀλλ᾽ ἡμεῖς αὐτοὶ τούτους ἄρτι διαιροῦμεν κατὰ τὸν πυθμένα τῆς ἐκροῆς τῶν ἰχώρων ἕνεκεν. εἰ δὲ φθάνοι τὸ στόμιον οὐκ ἀκριβῶς ἐν τοῖς κάτω μέρεσι τοῦ σώματος, ἀλλ᾽ ἐν τοῖς πλαγίοις ὑπάρχον ἐξευρίσκειν, ἐπιτήδειον δὲ σχῆμα τοῦ μορίου χρὴ καὶ τρόπον ἐπιδέσεως, ἐκκρίνεσθαι τοὺς ἰχῶρας αὐτοῦ. τοσαύτη γὰρ ἐν τοῖς τοιούτοις ἐστὶν ἡ δύναμις τοῦ σχήματος, ὥσθ᾽ ἡμεῖς πολλάκις τὸ δοκοῦν ἄνωθεν εἶναι στόμιον ἐποιήσαμεν κάτωθεν, ὑπαλλάξαντες τὸ σχῆμα. μηρὸν οὖν ἐν αὐτῷ κόλπον ἔχοντα, τὸ στόμιον μὲν ἔχοντα πλησίον βουβῶνος, τὸν πυθμένα δὲ ἐγγὺς τοῦ γόνατος ἰασάμεθα μετὰ σχήματος οὕτως, ὡς ὑψηλότερον εἶναι τὸ γόνυ τοῦ βουβῶνος. ἐγίνετο δὲ τοῦτο ῥᾳδίως τε καὶ ἀνωδύνως, ὑπαυχενίου μαλακοῦ κατὰ τὴν ἰγνύαν ὑποτεθέντος. οὕτω δὲ καὶ κατὰ γαστροκνημίαν κόλπους ἰασάμεθα, τὸ στόμιον ἔχοντας τῆς ἰγνύας πλησίον, ὑψηλότερον ἄκρον τὸν πόδα τῆς ἰγνύας καταθέμενοι. καὶ πῆχυν δ᾽ ἀναβάντες ταινίᾳ κατὰ τὸν ὅμοιον τρόπον, ὡς ὑψηλοτέραν εἶναι, καὶ ἄκραν τὴν χεῖρα ἀγκῶνος, ἰασάμεθα πολλάκις ἔχοντα κόλπον. ἀγκῶνος δὲ πεπονθότος οὕτως, ὡς ἐπειλῆφθαι τὸν ἀμφ᾽ αὐτὸν κόλπον. ἐκ μὲν τῶν ἄνω μερῶν, τοῦ βραχίονος, ἐκ δὲ τῶν κάτω, τοῦ πήχεος. ἐπιτηδειότατον σχῆμα τὸ νῦν εἰρημένον ἐστί, ἐν ᾧ ταπεινότερον ἑκατέρου τῶν ὀστῶν ἀγκὼν γίγνεται. λέγω δὲ ἑκατέρου πήχεος καὶ βραχίονος. καὶ δύο γε ἐπιδέσμοις ἐνταῦθα χρώμεθα, τελευτῶσι μὲν ἀμφοτέροις ἐπὶ τὸ κατ᾽ ἀγκῶνα στόμιον. ἀρχομένοις δὲ ἀπὸ τῶν παθῶν, ἐὰν μὲν ἀκριβῶς ὀρθὸς ὁ κόλπος ᾖ, τὴν ἐπίδεσιν ἀπαρέγκλιτον ποιήσεις. καθάπερ εἰ καὶ κατεαγὸς ἐπιδεῖς τὸ κῶλον, ἀποθεὶς τε ὁμοίως ἔχον. ἐὰν δὲ ἐγκεκλιμένον ἐστὶ πρὸς τὸ πλάγιον, ἡ ἐπίδεσίς σου τὴν ἔγκλισιν τοῦ κόλπου μιμείσθω, καὶ τὸ σχῆμα μιμείσθω τοιοῦτον, ὡς ἐκρεῖν τοὺς ἰχῶρας. ἐν ᾧ δὲ ἂν μέλλῃς ἀποτίθεσθαι σχήματι τὸ πεπονθὸς μόριον, ἐν τούτῳ καὶ τὴν ἐπίδεσιν ποιοῦ, γιγνώσκων μεγίστην ἑπομένην βλάβην τοῖς μετεσχηματισμένοις. ἀναγκαῖον γὰρ ἐν αὐτοῖς ἔνια μὲν τῶν κεκυρτωμένων προσεστάλθαι, ἔνια δὲ ὑψωθῆναι προσεσταλμένα. συμβήσεται οὖν ἐξ ἀνάγκης, τὰ μὲν ὑψωθέντα θλίβεσθαι πρὸς τῶν ἐπιδέσμων, τὰ δὲ ταπεινωθέντα μὴ κρατεῖσθαι χαλασθέντων αὐτῶν. ἐπὶ μὲν οὖν τῶν θλιβομένων, τὴν ἀπόσφιγξιν εἶπεν ὁ Ἱπποκράτης, ἐπὶ δὲ τῶν κεχαλασμένων, τὴν ἀπόστασιν ἐν σχήματι τοιούτῳ τὴν οἰκείαν τῷ κόλπῳ, κελεύων ἐπίδεσιν ποιεῖν ἡμᾶς, ἐν ᾧ μήτε ἀπόστασις, μήτε ἀπόσφιγξίς ἐστι, κατὰ τὴν ἀπόστασιν ἀναγκαζομένων πασχόντων μεταβάλλειν. ἐὰν γὰρ ἁπλῶς ἐν τῷ τῆς ἐπιδέσεως χρόνῳ μόνῳ φροντίσωμεν τῶν λοξῶν κόλπων, ἐπιδέσει λοξῇ καταβαλλέσθω ἐν σχήματι μὴ δυναμένῳ φυλαχθῆναι κατὰ τὴν ἀπόθεσιν, ἢ κατὰ τὴν ἀνάληψιν ἐν τῇ καταλλαγῇ. τὰ μέν τινα τῶν ἐπιδεδεμένων μορίων, ἀποσφιγχθήσεται, τὰ δὲ χαλασθήσεται. ὀνομασὶ δὲ αὐτοὺς ἐδήλωσε τὰ τὴν θέσιν ἐν αὐτοῖς σχηματισμοῖς ὑπαλλάττοντα μόρια, μύας εἰπών, καὶ φλέβας, καὶ νεῦρα, καὶ ὀστᾶ. ταῦτα γάρ ἐστι τὰ τὸν ὄγκον τοῦ σώματος ἐργαζόμενα. φλέβας ἀκουόντων ἡμῶν κατὰ τὸ παλαιὸν ἔθος, οὐ μόνον ταύτας τὰς νῦν ὀνομαζομένας, ἀλλὰ καὶ τὰς ἀρτηρίας. οὗτος μὲν οὖν ὁ νοῦς ὅλης τῆς ῥήσεως ἐστίν. αἱ δὲ κατὰ μέρος ἐν αὐτῷ λέξεις οὐ πάνυ μὲν ἀσαφεῖς εἰσιν, ἄμεινον δὲ αὐτὰς ἴσως ἐξηγήσασθαι διὰ βραχέων. ἀνάληψιν μὲν ἐπὶ χειρὸς ὀνομάζει τὴν μετὰ τὴν ἐπίδεσιν ἀπόθεσιν αὐτῆς, ἐν πλατείᾳ ταινίᾳ περιλαμβανούσῃ πάντα τὸν πῆχυν, θέσιν δὲ τὴν ἐπὶ τοῦ σκέλους. εὔδηλον δὲ ὅτι καὶ ἡ ἀνάληψις ὑποπέπτωκε τῷ γένει τῷ τῆς θέσεως σημαινομένῳ, καὶ τῷ νῦν ἐπὶ τῷ τέλει τῆς ῥήσεως. εὔθετα μὲν ὠνόμασε τὰ καλῶς ἀποτιθέμενα, εὔσχετα δὲ τὰ καλῶς ἀναλαμβανόμενα. τὸ μὲν πρῶτον ὄνομα, κατὰ τὰ σκελῶν, τὸ δὲ δεύτερον, κατὰ τῶν χειρῶν ἐπιφέρων.

Ἀναλελάμφθαι δὲ ἢ κέεσθαι ἐν σχήματι ἀπόνῳ τῷ κατὰ φύσιν.

Οὐκ ἄλλο μέντοι τὸ ἄπονόν ἐστιν, ἄλλο δὲ τὸ κατὰ φύσιν, ἀλλ' ἓν καὶ τὸ αὐτὸ συμβέβηκεν ἀμφοτέροις, κατὰ φύσιν τε εἶναι καὶ ἀπόνῳ. τί δ' ἐστὶ τοῦτο, λέλεκται μὲν καὶ ἐν τῷ περὶ ἁρμῶν ἱκανῶς ὑπ' αὐτοῦ, λεχθήσεται δὲ καὶ νῦν ἐπὶ προσήκοντι τῷ βιβλίῳ.

Ὧν δὲ αὖ ἀποστῇ τἀναντία.

Τινὲς μὲν ἔγραψαν, ὧν δ' αὖ μὴ ἀποστῇ, προσθέντες ἀπόφασιν τὴν μή, καὶ φασὶν ὧν μὴ ἀποστῇ τι τῶν προειρημένων κατὰ λόγον τῆς ἐπιδέσεως, ὧν δ' αὖ ἀποστῇ, τὸ ἐναντίον. τοῦτον ὁ προειρημένος ἦν, ἄρχεσθαι μὲν ἀπὸ τοῦ ὑγιοῦς, τελευτᾶν δὲ ἐπὶ τὸ ἕλκος ἐκλύοντα τὴν πίεσιν, ὁ ἐναντίος. ἄρξεται μὲν ἀπὸ τῶν ἡλκωμένων καὶ κατεαγότων, ἀναβήσεται δὲ πρὸς τὴν κάτω χώραν ἐκλύων τὴν ἐπίδεσιν. ὅσοι δὲ ἄνευ τῆς ἀποφάσεως γεγραμμένην τὴν λέξιν ἐξηγοῦνται φασὶ κελεύειν αὐτόν, ὧν δ' αὖ ἀποστήσεται προεσταλμένα, βουλόμεθα παρὰ φύσιν, ἢ καὶ συμβεβηκότα τῶν εἰρημένων τρόπον τῆς ἐπιδέσεως ὑπαλλάττειν. καὶ ὅτι μὲν οὖν τὰ καλῶς συμφυῶντα διαστῆσαι βουλόμενοι, καθ' ὑπεναντίον τρόπον ἀλλήλοις συνεληλυθότα, μὴ προσήκοντος ἐναντίου τρόπου δεόμεθα, πρόδηλόν ἐστι. καὶ μέντοι μὲν ὅτι πολλὰ τῶν μεγάλων τραυμάτων ἐφ' ὧν τὸ βάθος ἀκόλλητον ἔμεινε, τοῦ δέρματος κολληθέντος, ἢ συνῆλθεν ἀλλήλοις ἐνδιπλούμενα τὰ χείλη. κατάγματα δ' ὅτι τοῦτ' ἀφ' ὧν ἐκλίθη πρὸς τὸ βάθος τὰ πέρατα τοῦ κατεαγότος, * ἀνάλογον τοῖς ἐπὶ τοῦ δέρματος χείλεσιν, ἀποστῆναι δεῖται τὰ συνεληλυθότα, καὶ τοῦτο πρόδηλον παντί. καὶ μέντοι καὶ ὅτι κατ' ἐκεῖνα τῶν ὀστῶν συμβαίνει τὸ εἰρημένον, ὅσα καὶ ἐν τούτοις κοιλότητας ἔνδον ἑαυτῶν, ἢ σήραγγας ἀξιολόγους ἔχει, καὶ γιγνώσκομεν αὐτὰ καθ' ἑαυτά, χρήσιμα ταῦτα ὡς καὶ κακῶς εἰρημένα νῦν μέμψαιτ' ἄν τις. τῇ γὰρ προκειμένῃ λέξει, συμφωνίαν οὐδεμίαν ἔχει. γέγραπται γὰρ ἐν αὐτῇ, ὧν δὲ αὖ ἀποστῇ τἀναντία. οὐ ταὐτὸν δὲ σημαίνεται πρὸς τό, ὧν δ' αὖ ἀποστῇ, καὶ πρὸς τό, ὧν δὲ αὖ ἀποστῆσαι θέλει, λέξεως. ἐχρῆν οὖν αὐτούς, ὥσπερ οἱ πρότεροι τὴν ἀπόφασιν προτιθέντες τοῦ ἀποστῆσαι, τὴν λέξιν ὁμολογοῦσαν εἰργάσαντο τῇ σφετέρᾳ δόξῃ, οὕτως αὐτοὺς μεταγράψαντες αὐτὴν ἐξηγήσασθαι καθὼς βούλονται. γεγραμμένης δ' ὡς νῦν γέγραπται, τὴν ἐξήγησιν ἀλλοτρίαν ἐποιήσαντο. μὴ τοίνυν ἐν τῇ προκειμένῃ λέξει σου περὶ ὧν ἀποστῆσαι βουλόμεθα διδάσκει, ἐρεῖ γὰρ περὶ τούτων ἐφεξῆς· ἀλλὰ περὶ τῶν ἀφισταμένων, οὐδέ πω ἀφεστώτων τελέως, ἢ καὶ τελείως μὲν ἀφεστώτων, οὐ μὴν εἰς κόλπον γε μεθεστώτων ἤδη. δεῖται γὰρ ταῦτα πρώτης μὲν τῆς ἀνωδύνου καὶ πεττούσης τὸ διαπυΐσκον ἀγωγῆς, ἐπειδὰν ἐκποιήσῃ στομώσεις εἰς ἔκκρισιν, εἶτ' ἐφεξῆς εἴ τι φλεγμονῆς ἐν τοῖς περιέχουσι τὸ ἐκκριθὲν ὑγρὸν ὑπολείπεται, αὐτὸ ἐξιάσασθαι, καὶ μετὰ ταῦθ' ὡς ἔφην ἀποξηρανθῆναι τε καὶ σαρκωθῆναι, κἄπειθ' οὕτως κολλᾶσθαι καταληφθέντος αὐτοῦ μόνου τοῦ κόλπου, μηδενὸς ἐζευγμένου παθήματος αὐτοῦ. μήτ' οὖν φλεγμονῆς, μήτε ῥύπου, μήτε ὑγρότητος περιττῆς, μήτ' ἐνδείας σαρκῶν. οὐδὲν οὖν θαυμαστὸν εἰ τἀναντία συμβουλεύει πράττειν ἐπὶ τῶν ἀφισταμένων. ὅστις γὰρ ὡμίληκε μὴ κατὰ τὸ πάρεργον τοῖς ἔργοις τῆς τέχνης, οἶδεν ἐπὶ τῶν πεφθῆναι δυναμένων ἀποστάσεων, οὔτ' ἐκκρίνεσθαί τι τοῦ διαπυΐσκοντος χυμοῦ ἀσύμφορον. ἄμεινόν τε γὰρ καὶ θᾶττον ἔνδον αὐτῷ μένοντι συμβάλλειν τὸ λοιπόν, οὐδ' ὅλως ἐπιδέσεως χρῇζον τὸ πεπονθός, ὅσον ἐπὶ τῷ πάθει. παραλαμβάνεται γὰρ ἐπ' αὐτοῦ ἐπίδεσις, οὐχ ὡς αὐτὴ δυναμένη θεραπεύειν, ἀλλ' ὡς τοῖς θεραπεύουσιν ὑπηρετοῦσα. διαφέρει τοίνυν ἡ τῶν ἀφεστώτων θεραπεία, τῆς τῶν κόλπων ὅλων. τῶν γειτνιώντων μὲν γάρ, οὐδὲν ὑγρὸν ἐκρεῖν ἄχρις περ ἂν πέπηται συμφέρει. τῶν κόλπων δὲ ἐκκρίναι πάντως, μηδὲν ἔνδον ὑπολείπεσθαι, καὶ τούτων μὲν μηδὲν ὅλως εἶναι στόμιον. ἐπὶ δὲ τῶν κόλπων εἶναί τε καὶ ἀνεῷχθαι, καὶ ταῦτα μὲν ἀφιστάμενα, διὰ καταπλασμάτων ὑγραινόντων τε καὶ θερμαινόντων πέττεσθαι. τοὺς κόλπους δὲ διὰ τῶν ἰσχυρῶς ξηραινόντων καὶ καθαιρόντων, καθαροὺς καὶ ξηροὺς γενέσθαι. ἔτι δὲ τοὺς μὲν κόλπους, τὴν μὲν εἰρημένην ἐπίδεσιν ἰᾶσθαι, τὰ δὲ ἀφιστάμενα, μηδὲ ἄλλως τοῖς ἰωμένοις ὑπηρετοῦσαν, ὑπ' αὐτῶν τὴν ἐπίδεσιν παραλαμβάνομεν. Ἀσκληπιάδης δὲ ἐπὶ τῆς ἐπιδέσεως ἀκούων τούτων, ὧν δὲ αὖ ἀποστῇ τἀναντία, τὴν ὅλην διάνοιαν εἶναι βούλεται. αὖ δὲ ἐπιδεῖν ἐν σχήματι ἐν ᾧ μήτε ἀποσφίγξις μήτε ἀπόστασις ἔσται, τοῦτο δ' ἐστὶν ἅπαν κατὰ φύσιν. ἐφ' ὧν δὲ αὖ ἡ ἐπίδεσις ἀποστῇ, ἐπὶ τούτων τἀναντία πράττειν, τουτέστιν ἐν τῷ ἐναντίῳ σχήματι τὴν ἐπίδεσιν ποιοῦ, καὶ γράφει κατὰ λέξιν οὕτως. ἐν ᾧ σχήματι ἢ τὸ μέρος ἐπιτεθέντος σχήματος ἐπίδεσμος ἀποστῇ, τῷ ἐναντίῳ τούτῳ σχήματι τὴν ἐπίδεσιν ποιοῦ. οἷον ἐκτεταγμένου τοῦ ἀγκῶνος, ἐπειδὰν ὁ βραχίων καταδεθῇ, ὁ ἐπίδεσμος οὐ μένει, ἀλλ' ἀφίσταται, τοὐναντίον σχῆμα τῇ ἐκτάσει κατασκευάσας. ἐπεὶ δέ, τουτέστι, κάμψας τὸν ἀγκῶνα ἐπίδει πάλιν. ἐπεὶ κατὰ φύσιν μὲν σχῆμα τοῖς σκέλεσιν ἐστὶ τὸ ἐκτεταγμένον, ἐὰν καὶ κεκακωμένων τῶν σκελῶν ἐπιδήσας ἐκτεῖναι κελεύσῃς, μεταβαινόντων μυῶν εἰς ἄλλους τόπους, ὁ ἐπίδεσμος ἀποστήσεται ἀπ' ἐκείνων ἀφ' ὧν μύες ἀπεχώρησαν τὸ ἐναντίον σχῆμα τοῦ κεκακωμένου ποιήσας. ἐπειδή, τουτέστιν, ὁ ἐκτείνας τὰ σκέλη ἀποδεῖν, ὅπερ καὶ κεῖσθαι μέλλει σχήματι. καὶ ταῦτα μέν σοι κατὰ τὸν Ἀσκληπιάδην, ἐμοὶ δὲ καιρὸς ἤδη μεταβαίνειν ἐφ' ἑτέραν ῥῆσιν.

Ὧν δ' αὖ ἐκπεπταμένα συστῆλαι, τὰ μὲν ἄλλα τὰ αὐτά, ἐκ πολλοῦ δέ τινος διὰ τὴν συναγωγήν, καὶ ἐκ προσαγωγῆς τὴν πίεξιν τὸ πρῶτον ἥκιστα, ἔπειτα μᾶλλον, ὅρος τοῦ μάλιστα τὸ συμψαύειν.

Ἀναμνήσθωμεν εἰπεῖν κεφαλαίων ἐξεπίτηδες ὡς γίγνεσθαι κατὰ τὴν λέξιν, ἧς ἀρχή. ἐπίδεσις μὲν αἰτίη, ὥστε τὰ ἀφεστεῶτα προστῆλαι. ἄχρι δεῦρο λελεγμένων αὐτὸ μνημονευέτωμεν. οὕτως γὰρ ὑπακουσόμεθα καὶ τοῦδε εἰπεῖν ἐν τῇ προκειμένῃ ῥήσει δηλοῦντος, ὥστε καὶ προστεθέντος αὐτοῦ τὴν λέξιν τοιάνδε, ὧν δὲ αὖ ἐκπεπταμένα συστῆλαι δέῃ, τὰ μὲν ἄλλα τὰ αὐτὰ πράξομεν. ἐκ πολλοῦ δὲ τὴν προσαγωγὴν ποιησόμεθα, καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς εἶπεν. ἐκπεπταμένα δὲ ἀκουστέον ὑπ' αὐτοῦ λέγεσθαι, τὰ μετὰ τοῦ διεστάναι πλέον, ἢ προσῆκεν, ἀλλήλων ἐκπεπταμένα καθ' ἑκάτερον χεῖλος, ὡς ἐπὶ τραυμάτων ὁρᾶται γιγνόμενον, ἐνίοτε φλεγμηνάντων ἰσχυρῶς. ὅταν γὰρ ἡ διαίρεσις τῆς σαρκὸς ἄχρι πολλοῦ γένηται βάθους, ἐγκαρσίου τοῦ μυὸς τμηθέντος, εἶτ' ἡ μὲν κόλλησις καὶ σύμφυσις τύχῃ, φλεγμονὴ δὲ ἐπιγένηται μεγάλη, δι' ἣν καὶ τὸ δέρμα τεινόμενον ἑκατέρως τὸ συνεχὲς αὐτοῦ χεῖλος ἐπισπάσηται, κατ' ἀμφότερα μέρη τὸ ἐκπεπταμένον γίνεται. τοιαύτην δὲ ἰδέαν ἴσχει καὶ χείλη φλεγμήναντα, καὶ βάρη, καὶ πάθη. καὶ μέντοι

καὶ πιεσάντων τινῶν τὸ τῆς κεφαλῆς δέρμα, πρὸς ἀνάτρησιν ἐπιτηδείως γιγνομένῃ φλεγμονῇ, τὴν τῶν ἐκπεπταμένων ἰδέαν εἰργάσατο, καὶ μάλιστά γε ὅταν συμβαίνῃ πολλάκις, εἰ πιέσαντες τὸ δέρμα, τὴν ἐν τῷ μέσῳ τῶν χειλῶν χώραν μοτοῖς πληρῶμεν. οὕτω δὲ κἀπὶ τῆς ἐγκαρσίας τομῆς τῶν μυῶν ἄχρι βάθους γιγνομένης, ἐνίοτε πρὸ τῆς τομῆς, ἢ δι' αἱμορραγίαν ἐνθέντες ὀθόνας τιλτάς, ἃς ὀνομάζουσι μοτούς, καὶ τῷ δεδιέναι συμφῦναι μὲν τὸ δέρμα, τὰ δὲ ἐσπασμένα μόρια τοῦ μυὸς, ἑκατέρως μὴ κολληθῆναι. τὰ τοιαῦτα οὖν πάθη πάντα, δεῖται μὲν καὶ τῆς ἄλλης θεραπείας τῆς ἰωμένης τὴν φλεγμονήν, ἀλλ' οὐ πρόκειται νῦν ἁπάντων αὐτῷ παθῶν ἁπάσας γράφειν θεραπείας, ἀλλὰ τὰς χειρουργίας ἰδίως ὀνομαζομένας. ἡ τοίνυν ἐκ τῶν ἐκπεπταμένων ἐπίδεσις, τὰ μὲν ἄλλα ἔχει τὰ αὐτὰ τῶν ἀφεστώτων. ἄρχεται γὰρ ἐκ τῶν ὑγιῶν, καὶ κατ' ὀλίγον ἥκει πρὸς τὴν φανερὰν ἕλκωσιν ἔχον δέρμα. διαφέρει δὲ ἐν τῷ πόρρωθεν ἄρχεσθαι μᾶλλον τῆς τῶν ἀφεστώτων, ἀποτείνειν τε τὴν πίεσιν ἄχρι τῶν ἐκπεπταμένων μορίων, ἢ γοῦν τῶν κόλπων ἐπίδεσιν ἐκ τοῦ πυθμένος αὐτῶν ἤρχθη. τὴν δὲ τῶν ἐκπεπταμένων ἐκ τῆς οἷον ῥίζης αὐτῶν ἄρχεσθαι προσῆκον, ἀλλὰ πόρρωθεν ἐκ τῶν ὑγρῶν ἐπάγειν τὸ δέρμα κατὰ βραχὺ πρὸς τὴν ἕλκωσιν, οὐ κελεύοντα τὴν ἐπίδεσιν τῶν ἑλκῶν, ἀλλ' ἐπιτείνοντα κατὰ βραχὺ τὴν πρώτην ἑαυτῶν περιέλιξιν, ἐκ περιτροπῆς τοῦ δέρματος πιέσεως ποιεῖσθαι, μετὰ ταῦτα δὲ ἐπὶ μᾶλλον. ἔνιοι μὲν ἐπὶ μιᾶς ἐνεργείας ἤκουσαν, ἔνιοι δὲ ἐπὶ πλειόνων. ἐπὶ μιᾶς μὲν οὖν εἰ ἀκούοιμεν τοῦ πρώτου ὀνόματος, ἡ τῆς ἐπιδέσεως ἀρχὴ δηλωθήσεται. ἐὰν δὲ ἐπὶ πλειόνων, τὴν πρώτην ἐπίδεσιν ὅλην δηλώσει τὸ πρῶτον ὄνομα. ἀληθὲς δέ ἐστιν ἑκάτερον, ἄλλοτε ἐπ' ἄλλης διαθέσεως, οὐκ εἴδει διαφερουσῶν, ἀλλὰ μεγέθει. τὴν μὲν γὰρ ἐπιεικεστέραν ἐκτροπήν, καὶ διὰ μιᾶς ἐπιδέσεως εἰς τὸ κατὰ φύσιν ἄγειν πειρώμεθα, τὴν μείζονα δὲ οὐ βιαζόμεθα κατὰ τὴν πρώτην ἐπίδεσιν. ἐπικρατεῖν γὰρ ἐν τῷ τότε καιρῷ χρῆσις τῆς φλεγμονῆς θεραπείαν, οὐ τὴν ἐκ τῶν ἐκπεπταμένων ἐπανόρθωσιν. ἐπὶ δὲ τῷ τέλει τοῦ λόγου διὰ τοῦτο προσέθηκεν, ὅριον τοῦ μάλιστα τὸ ξυμψαύειν. ἐπεὶ δὲ δύναταί τις ἐπὶ πλέον ἀλλήλοις τὰ συνεστῶτα συνάγειν, ἢ ὥστε ψαῦσαι μόνον, ἀλλὰ τὸ οὕτως συναχθέντα θλᾶται ἀνάλληλα, καὶ ὀδύνην ἐργάζεται, καὶ τὰς φλεγμονὰς αὐτῶν αὐξηθήσεται. χρὴ τοίνυν ἄχρι τοῦ ψαῦσαι συνάγειν ἀλλήλοις τὰ ἐκπεπταμένα, οὐ περαιτέρω δὲ τοῦδε. γέγραπται δὲ διχῶς ἡ λέξις ἥδε, κατά τινα μὲν τῶν γραφῶν ὅριον τοῦ μάλιστα, καὶ ταύτην γε ὁ Ἀσκληπιάδης οἶδε τὴν γραφήν. ἐν ἄλλοις δὲ ὅτι ὅριον τοῦ μᾶλλον τὸ συμψαύειν, καί ἐστιν ὥσπερ ἄμεινον, οὕτω καὶ παλαιοτέρα ἡ διὰ τοῦ μάλιστα γραφή.

Ὧν δὲ συνεσταλμένα διαστῆλαι, σὺν μὲν φλεγμονῇ τἀναντία, ἄνευ δὲ ταύτης, παρασκευῇ μὲν τοιαύτῃ, ἐπιδέσει δὲ, ἐναντίῃ.

Τὰ συνεσταλμένα τοῖς ἐκπεπταμένοις ἐναντίως διάκειται. τῶν μὲν γὰρ ἐκπεπταμένων, τὰ χείλη πλεῖστον ἀλλήλων κεχώρισται πρὸς τοὺς ἐναντίους τόπους, ὥστε τὸ ἕτερον ἐπὶ τὸ δεξιὸν ἀποκεχωρηκὸς εἴη, τὸ λοιπὸν ἐπὶ τὴν ἐν ἀριστεροῖς χώραν μεθίσταται. τούτοις δ' ἔμπαλιν τὰ συνεσταλμένα προσελήλυθεν ἀλλήλοις οὕτως, ὡς ἤτοι τὸ ἕτερον ἐπικεῖσθαι θατέρῳ, ἢ οἷον δεδιπλῶσθαι πως ἑκάτερον, ἢ πεπτύχθαι, καθάπερ τὰ ἑλισσόμενα. καὶ συμβαίνει ἐνίοτε διὰ τὴν φλεγμονὴν καὶ τοῦτο γίγνεσθαι παραπλησίως τῷ ἐναντίῳ παθήματι, καθ' ὃ πλεῖστον ἀλλήλων ἀπῆχθαι πρὸς τὰ ἐναντία τὰ τῶν ἐκπεπταμένων σωμάτων μόρια. θαυμαστὸν δὲ οὐδὲν ἐν πάθει τὴν φλεγμονὴν ἐναντίων, τούτων εἶναι συμπτωμάτων γεννητικήν. ὁ γὰρ ἐν τοῖς μέρεσι μεγάλως φλεγμαίνουσι τῶν ἐκπεπταμένων τε καὶ συνεσταλμένων μορίων ἀμφότερα γίγνεσθαι πέφυκεν. ἐπὶ γοῦν τῶν ὀφθαλμῶν ἐναργῶς ὁρᾶται, τοῦ μὲν περὶ τοῖς βλεφάροις ἔξωθεν δέρματος μεγάλως φλεγμήναντος, καὶ μέχρι πλείονος, ὡς ἐπιλαμβάνειν τι καὶ τοῦ πλησιάζοντος χωρίου, γιγνόμενον ἐπὶ τῆς φλεγμονῆς, ἐκτρέπεσθαι τὸ βλέφαρον. ὅταν δὲ μετρίως μὲν ἔχει τὸ δέρμα, φλεγμονήν. εἰ δὲ μεγάλως ὁ ἔνδον ὑμὴν ὁ μέχρι τῆς ἴρεως ἐκτεταμένος ἐκλείπεται, τότε συμβαίνει τὸ βλέφαρον εἴσω. κἀπειδὰν ἀμφοτέροις αὐτοῖς τοῦτο συμβεβήκει, χύμωσις ὀνομάζεται τὸ πάθος, οὐ δυναμένου διοῖξαι τοῦ κάμνοντος οὕτω τὸν ὀφθαλμόν. ὁ δ' αὐτὸς τρόπος τοῦ παθήματος, ἐνίοτε καὶ περὶ τὰ χείλη γίγνεται, καὶ πόσθην, καὶ ἕδραν. καὶ ἥγε αἰτία καὶ τούτων ἡ αὐτή. τὰ μὲν γὰρ ἔξωθεν αὐτῶν μέρη φλεγμήναντα, σφοδρῶς ἐκτρέπεται. συμβαίνει δὲ τὰ αὐτὰ παθήματα, καὶ περὶ τὰ τῶν γυναικῶν αἰδοῖα. ἀνάλογον δὲ τούτοις συμβαίνει γίγνεσθαι καὶ περὶ τὰ τραύματα, καὶ περὶ πάντα ὁποσοῦν ἡλκωμένα. τῶν μὲν γὰρ ἔξωθεν μερῶν φλεγμαινόντων, ἐκτρέπεται τὰ χείλη τῶν ἑλκῶν, καταπίπτοντα πρὸς τὴν ἔσω χώραν. ἄτροφα δὲ εἶναι καὶ λεπτὰ τηνικαῦτα ἀναγκαῖόν ἐστι τὰ αὐτὰ χείλη, καὶ πλαδαρά. πρὸς οὓς ἄρα γε. πῶς γὰρ ἂν ἄλλως, εἰ μή τις ὑπάρχει πρὸς τὴν ἔσω χώραν ἑτοίμως καταφέροιτο; αὐτῶν δὲ ἔνδον μερῶν ἡ ἔνδεια καὶ δι' ἀτροφίαν φθινώδη, καὶ διὰ χειρουργίαν ἀμέτρως ἐκκόψασαν τὴν ὑποκειμένην σάρκα, καὶ διὰ σηπεδόνα διαφθείρασαν αὐτὰ συμβαίνει. τὰς μὲν οὖν τοιαύτας διαθέσεις, ἐπίδεσις ὠφελεῖ προσηκόντως γιγνομένη. τὰς δὲ διὰ φλεγμονήν, κατὰ μὲν τὸν ἑαυτῆς λόγον οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτει βαρύνουσα. διότι δὲ τοῖς ἰωμένοις τὴν φλεγμονὴν φαρμάκοις ὑπηρετεῖ, διὰ τοῦτο ἀναγκαία γίγνεται. κατὰ τοῦτο οὖν ὁ Ἱπποκράτης εἶπε. τὰ συνεσταλμένα μόρια, σὺν μὲν φλεγμονῇ τἀναντία πραττόντων ἡμῶν, ὀνίνησιν, ὅπερ ἐστὶ φεύγοντας ἐπίδεσιν. ὅτι μὴ διὰ μεγάλην ἀνάγκην, ἕνεκα τοῦ κατασχεῖν τινὰ τῶν ἐπικειμένων τοῖς φλεγμαίνουσι μορίοις, ὡς ἀφ' ὧν γε ἐλπίζομεν ἐπιμεῖναι ταῦτα δύνασθαι χωρὶς ἐπιδέσεως, οὐδ' ὅλως ἐπίδεσμον τοῦ κρατῆσαι τι τῶν ἐπικειμένων προσφερομένων, αὐτὴν ἐκ λεπτοτάτων τε καὶ κουφοτάτων ὀθονίων ποιούμεθα, καθόσον οἷόν τε περιβολαῖς ἐλαχίσταις, ἢ καὶ μόνῃ μιᾷ. τοῦτο δὲ αὐτὸ τοὺς πολλοὺς ἰατροὺς ἔλαθεν, ἐπιθέντας ἔξωθεν ἐπ' οἴδος τοῖς φλεγμαίνουσι καταπλάσματά τε παχέα, καὶ ῥάκη σκληρά, καὶ βαρέα, καὶ ἔρια πολλά, καὶ πλῆθος ἐπιδέσμων, ἅ τινα πάντα κατὰ τὸν αὐτὸν ἐναντιώτατα ταῖς φλεγμοναῖς ἐστι, μεγάλως ὑπὸ τῶν φλεγμαινόντων βλαπτομέναις. ἐὰν μέντοι χωρὶς φλεγμονῆς τὰ συνεσταλθέντα γένηται, τὴν μὲν τῶν ὀθονίων παρασκευὴν τὴν αὐτὴν τῇ ἔμπροσθεν εἶναι κελεύει, τὴν δὲ ἐπίδεσιν, ἐναντίαν τῇ τῶν ἐκπεπταμένων. ὥσπερ οὖν ἐκείνην ἐποιησάμεθα τὴν ἀρχὴν τῶν ἐπιδέσμων ἀναγόμενοι πόρρωθεν ὑπὸ τῶν ὑγρῶν, ἐπανάγοντες δὲ ἐκ περιτροπῆς τοῖς ἐκπεπταμένοις αὐτοῖς, καὶ κατὰ βραχὺ τὴν πίεσιν αὐξάνοντες. τὴν τῶν συνεσταλμένων, ἀπὸ τοῦ πεπονθότος ἀρχόμενοι, περιτρέπομέν τε καὶ ἀπάξομεν ἐπὶ τὴν πέριξ χώραν τὸ δέρμα. προ-

μα, προσθεῖναι χρὴ ἐνταῦθα τὸ παραλελειμμένον ὑφ᾽ Ἱπποκράτους. οὐ γὰρ προὔκειτο πᾶσαν αὐτῷ τῶν παθῶν ὧν μνημονεύει θεραπείαν γράφειν, ἀλλὰ μόνην τὴν χειρουργίαν. ἐγὼ δὲ ἵνα τέλειος ὁ λόγος ᾖ, προσθήσω τὸ λεῖπον, ὅταν τι τῶν ὡς εἴρηται συνεσταλμένων ἐκτρέπωμεν, ἀναπληρῶσαι χρὴ τὴν ὑποκειμένην χώραν, εἰς ἣν καταπέπτωκε τὰ χείλη, μοτοῖς ἢ φαρμάκῳ τῷ προσήκοντι, μέχρις ἂν ἰσόπεδα γένηται τῷ πέριξ δέρματι τὰ συνεσταλμένα σώματα, κἄπειτα οὕτω τὴν εἰρημένην ἐπίδεσιν ποιεῖσθαι.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΚΑΤ᾽ ΙΗΤΡΕΙΟΝ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

Διεστραμμένα δὲ διορθῶσαι, τὰ μὲν ἄλλα τὰ αὐτά. δεῖ δὲ τὰ μὲν ἀπεληλυθότα ἐπαγαγεῖν ὑποδέσει, παρακολλήσει, ἀναλήψει, τὰ δὲ ἐναντία, ἐναντίως.

Αἱ διαστροφαὶ γίνονται, ποτὲ μὲν ἀποχωροῦντος τινὸς ἐκ τῆς ἰδίας ἕδρας ἐπὶ τὰ ἐκτὸς τοῦ σώματος, ποτὲ δὲ ἐπελθόντος εὐρυχωρίᾳ τινὶ τῶν ἔνδον τοῦ σώματος, οἷον ἐπὶ τῆς ῥινός. ἐὰν μὲν εἰς τὴν ἐκτὸς χώραν, ἤτοι τῶν ὀστῶν αὐτῆς, ἢ καὶ τῶν πτερυγίων ἀποχωρεῖ τι, διαστροφὴ γίνεται πρὸς τοὐκτός. ἐὰν δὲ εἰς τὸν ἔνδον πόρον ἀφίκηται, διαστρέφεται πρὸς τοὔσω ἡ ῥίς. ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων μορίων διαστροφαὶ γίνονται, δηλονότι κἀπὶ τούτων ὁ κοινὸς ἅπασι σκοπὸς τῆς θεραπείας ἐνδείξεται τὰ βοηθήματα. κοινὸς δὲ πᾶσιν ὁ σκοπός, τἀναντία τῶν ἐναντίων ἰάματα, ὥστε καὶ νῦν τὰ μὲν ἀπεληλυθότα προσακτέον ἐστί, καὶ δι᾽ ἄλλων μὲν τῶν βοηθημάτων, ὑπὲρ ὧν οὐ πρόκειται λέγειν, ἀτὰρ οὖν καὶ δι᾽ ἐπιδέσμων. αὐτὸς δὲ εἶπε τοὺς τῶν ἐπιδέσμων τρόπους εἰς ταῦτα χρησίμους. ἐπίδεσιν μέν, ὡς καὶ πρόσθεν αὐτὸς ἔγραψεν, ἐπί τε τῶν ἀφεστώτων καὶ ἐκπεπταμένων, καὶ συνεληλυθότων, ἀνακόλλησιν δέ, ὡς ἐν τῷ περὶ ἄρθρων ἐπὶ ῥινὸς καὶ γένυος, ἀνάληψιν δὲ ὡς ἐν τῷ περὶ καταγμάτων, ἔνθα φησίν. ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχει ἀναλελαμμένην. τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος. ἢν δὲ κατεαγότων τῶν ὀστέων οὕτως ἄκρην τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ, καὶ περὶ τὸν ἀγκῶνα. ὁ δ᾽ ἄλλος πῆχυς μὴ μετέωρος εἴη, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένον ἔχων. χρὴ οὖν ἐν τῇ ταινίῃ πλατείῃ ἐούσῃ μαλθακῇ, τὸ πλεῖστον τοῦ πήχεος, καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι. ἡ ῥῆσις οὖν αὕτη μοχθηρὰν ἀνάληψιν, ἥτις διαστροφὴν ἐργάζεται διδάσκουσα, καὶ τὴν τῶν διεστραμμένων ἴασιν ἐνδείκνυται. φέρε γάρ τινι διεστράφθαι πρὸς τὸ κάτω τὸν πῆχυν, ἀναληψόμεθα τοῦτον ὑποθέντες αὐτῷ πρὸς τὸ κάτω ταινίαν στενήν. εἰ δὲ πρὸς τὰ ἄνω διεστραμμένος εἴη, τὴν πρὸς τὰ κάτω διαστρέφουσαν ἀνάληψιν παραληψόμεθα, καθ᾽ ἣν τὰ μὲν πρὸς τῷ καρπῷ, καὶ τῷ ἀγκῶνι μόρια ταινία ἔχει, τὸ μεταξὺ ἀστήρικτόν ἐστι, ὥσπερ γε καὶ εἰ ἐν τῷ καρπῷ διαστροφὴ γένοιτο πρὸς τὰ ἄνω, τὴν ἐπὶ τὰ κάτω διαστρέφουσαν ἐπίδεσιν προσαξόμεθα, ἥτις συνέχουσα τὰ πρὸς ἀγκῶνα, τὸ πρὸς τῷ καρπῷ πέρας ἀστήρικτον ἀπολείποι. κατὰ ταῦτα δὲ καὶ περὶ τῆς πρὸς ἀγκῶνα διαστροφῆς, πρὸς τὴν ἄνω τὴν ἀνέδρασον μόνον τοῦτον καταλιποῦσαν ἀνάληψιν προσαξόμεθα, ἥτις τόπῳ διεστραμμένῳ αὐτὴ διέστρεψεν εἰς τὰ κάτω. συνελόντι δὲ εἰπεῖν, εἴ τινα μήπω διεστραμμένα διαστρέφουσιν, αὐτὰ τὰ πρὸς τὸν ἐναντίον τρόπον διεστραμμένα κατευθύνουσιν. ἀνάλογον δὲ τούτοις ἁμαρτάνεται καὶ κατορθοῦται κατὰ κνήμην, καὶ μηρὸν ἐν ταῖς ὅλου τοῦ σκέλους θέσεσιν. ὅπερ γὰρ ἐπὶ χειρὸς ἀνάληψις, τοῦτο θέσις ἐπὶ σκέλους, καὶ χρὴ προσυπακοῦσαι τῷ τῆς ἀναλήψεως ὀνόματι καὶ τὴν θέσιν. τὸ δὲ ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον, τὰ δὲ ἐναντία, ἐναντίως. ἐγχωρεῖ καὶ περὶ τῶν εἰρημένων ἐπιδέσεων λέγεσθαι. τὰ γὰρ ἐναντία γενήσεται τοῖς εἰρημένοις πάθεσι, λέγειν αὐτὸν ἐναντίως ἐπιδούμενα κατορθοῦσθαι, τουτέστι τοῖς μὲν ἀφεστῶσι τὰ παρὰ φύσιν συνελθυσμένα. λέλεκται δέ μοι τὰ περὶ τούτων ἔμπροσθεν ἐν τῷ κατ᾽ ἰητρεῖον βιβλίῳ, πρῶτος μὲν ἁπάντων γέγραπται λόγος ὁ περὶ τῶν φυσικῶν κριτηρίων, οἷς χρώμεθα πάντες ἄνθρωποι, τάς τε κατὰ τὰς τέχνας ἁπάσας διοικοῦσι, καὶ σύμπαντα τὸν βίον. ἔχρῃζε γὰρ οὐ πρὸς τὰ προκείμενα νῦν μόνον, ὅσα κατὰ χειρουργίαν, ἀλλὰ καὶ πάσας τὰς ἐν ἰατρικῇ διαγνώσεις τῶν παθῶν, ἃς δὴ καὶ σημειώσεις ὀνομάζουσιν ὡρισμένοι τῶν διαγνωστικῶν κριτηρίων. δεύτερος ἐπὶ τῷδε λόγος ἐν τῷ προκειμένῳ βιβλίῳ γέγραπται, περὶ τῶν κατὰ τὴν ἐν ἰατρικῇ χειρουργίαν διδάσκων ἐκ τίνων συμπληροῦται. ἐφ᾽ ᾧ τρίτος ὁ περὶ ἐπιδέσεως, ὁποίαν χρὴ γίνεσθαι τὴν ἐπίδεσιν, τὴν ἔνδειξιν ἡμῶν λαμβανόντων, ἀπό τε τῆς τοῦ πεπονθότος μορίου φύσεως καὶ αὐτοῦ τοῦ πάθους, ἐν τῷ νῦν ἡμῖν εἰρημένῳ λόγῳ περὶ καταγμάτων ποιεῖ τὴν διδασκαλίαν ὑποπεπτωκότων πάθει γενικῷ τῇ λύσει τῆς συνεχείας. οὕτως γὰρ ἐγὼ προσαγορεύειν εἴωθα τοῦτο τὸ γένος τοῦ πάθους, ὁ δὲ Ἱπποκράτης ἀφεστῶτα καλεῖ τὰ σώματα τὰ οὕτω πεπονθότα, ὥστε καὶ τὸ πάθος αὐτῶν ἀπόστασις εἰκότως ὀνομασθήσεται, καὶ γενήσεται ἕν τι εἶδος τοῦ γένους τῶν παθῶν, ὃ καλοῦσιν ἰδίως ἀπόστασίν τε καὶ ἀπόστημα. ταῦτα μὲν οὖν αὐτὰ τὰ νῦν εἰρημένα χάριν ἀναμνήσεως, ὧν ἔμπροσθεν ἐξηγησάμην, εἰρήσθω μοι. καιρὸς δὲ ἤδη τῶν ἐφεξῆς ἄρξασθαι.

Σπληνῶν μήκεα, πλατέα, παχέα, πλήθεα. μῆκος ὅσον ἡ ἐπίδεσις, πλάτος τριῶν, ἢ τεσσάρων δακτύλων. πάχος τριπτύχους ἢ τετραπτύχους. πλῆθος κυκλοῦντας μὴ ὑπερβάλλειν, μηδὲ ἐλλείπειν.

Ἐν τῷ περὶ τῶν καταγμάτων λόγῳ τῷ νῦν αὐτῷ προκειμένῳ, πρῶτος μέμνηται τῶν προκειμένων σπληνῶν καλουμένων, κελεύων αὐτοὺς εἶναι τῷ μήκει μὲν ἴσους τῇ ἐπιδέσει, καὶ παραλαμβάνεται δι᾽ ἐκείνην, ἕνεκα τοῦ στηρίζειν, καὶ κατέχειν αὐτὴν ἀκίνητον, τῷ πλάτει τριῶν ἢ τεττάρων δακτύλων, τῶν τοῦ αὐτοῦ τοῦ ἐπιδουμένου δηλονότι. τῷ πάχει δέ, ἢ τριπτύχους, ἢ τετραπτύχους. ἔνθεν μὲν ἀσφαλεστέρας φρουρᾶς ἡ ἐπίδεσις δεῖται τετραπτύχους, ἔνθα

δὲ ὁ τοιαύτης, ἀρκοῦν ἡγούμενος καὶ τοὺς τριπτύχους. δῆλον δ' ὅτι τὰ συντετριμμένα μᾶλλον ὀστᾶ, πλείονος ἀσφαλείας δεῖται. τὸ δὲ πλῆθος τῶν σπληνῶν τοσοῦτον φησὶν εἶναι χρή, ὡς ἐν κύκλῳ περιληφθῆναι τὸ ἐπιδούμενον κῶλον. οὐκ ἐν δὴ τοῖς τῆς κλειδὸς ἢ πλευρᾶς κατάγμασι περιλαμβάνειν ἐν κύκλῳ δυνατόν, ἀλλ' ἐπ' ἐνίων τὸ μέγεθος τοῦ κατάγματος ἐνδείξεταί σοι τὸν ἀριθμὸν τῶν σπληνῶν, ἐπὶ τῆς κλειδὸς εἰώθαμεν ὡς τὸ πολὺ χρῆσθαι τρισὶ τετραπτύχοις σπλήνεσι. τοὺς δύο μὲν πρώτους εἰς ὁμοιότητα τοῦ χ γράμματος ἐπιβάλλοντες, ὡς κατ' αὐτὸ τοῦ συντετριμμένου τὸ μέσον ἑκατέρου καθ' ὃ συμβάλλουσιν ἐνίοις ἐπικεῖσθαι. τρίτον δὲ αὐτοῖς καὶ ἔξωθεν ἐπιθέντες ἤδη τὸ τοῦ σώματος μῆκος ἐντεταμένον, αὐτούς γε τοὺς ὑποκειμένους σφίγγοντα, καὶ τὸ κατεαγὸς μέρος τῆς κλειδὸς πιλοῦντα.

Οἷσι δὲ τὴν διόρθωσιν μῆκος κυκλεῦνται πλάτος καὶ πάχος τῇ ἐνδείῃ τεκμαίρεσθαι, μὴ ἀθρόα πληρεῦνται.

Θαυμάζω πῶς οὐκ εἶπε πρῶτον μὲν τὰς χρείας τῶν σπληνῶν, εἶθ' ὅπως ἄν τις αὐτῶν τύχοι. χρεία μὲν γὰρ αὐτῶν διττή, κράτησίς τε τῶν ἐπιδεσμίδων, ἀναπλήρωσίς τε κατὰ τὰ τοιαῦτα τῶν μορίων, ἃ καλεῖν αὐτὸς εἴωθεν ἀπόξη τε καὶ ἀπόξηρα, καθάπερ ἐστὶ πήχεος μὲν πρὸς καρπῷ, κνήμης δὲ πρὸς ποδί. περιβάλλειν γὰρ ἐν τούτοις ἀξιοῖ κυκλοτερῶς τοὺς σπλῆνας, ὡς μετὰ τὴν ἐπιβολὴν τῶν ἔξωθεν ἐπιδέσμων ἴσην εἶναι τῷ πάχει τὴν ἐπίδεσιν. οὐσῶν οὖν δυοῖν χρειῶν τῆς ἐπιθέσεως τῶν σπληνῶν, κρατήσεώς τε καὶ ἀναπληρώσεως, ἣν αὐτὸς ὠνόμασε διόρθωσιν, ἀξιῶν αὐτοὺς εἶναι, τῷ μὲν μήκει τηλικούτους, ὡς ἐν κύκλῳ περιλαμβάνειν τὸ ἐπιδούμενον σῶμα, τῷ πάχει δέ, καὶ τῷ πλάτει κατὰ τὴν ἔνδειαν τῶν μορίων δηλονότι. τῷ μήκει μὲν ἐὰν μακροὶ γενηθῶσι, τοῦ κυκλοτερῶς περιβάλλειν τὸ μόριον ἀναγκαῖον ἐστι, τὸ ἕτερον αὐτῶν πέρας ἐπὶ θατέρου τεθέντος, ὑψηλότερον ἀποφῆναι τὸ μέρος ἐκείνου τοῦ κώλου τῶν ἑκατέρωθεν, ὥστε ἀνώμαλον εἶναι τὴν ἐπίδεσιν, καὶ διὰ τοῦτο χαλαράν. ἐὰν δὲ βραχύτερον γενηθέντων, ἢ ὥστε ψαύειν ἀλλήλων τὰ πέρατα αὐτῶν, μεταξύ τινα χώραν ἀπολείπουσι κενὸν ἀνωμάλως. πάλιν αὖ ἔσται κατὰ τὸν ἐναντίον τρόπον ἡ ἐπίδεσις. ὡς γὰρ ἐπὶ τῶν μακροτέρων κυρτότητα τινὰ καὶ ἐξοχήν, οὕτως ἐπὶ τούτων ἔνδειάν τέ τινα καὶ κοιλότητα λαβεῖν ἀναγκαῖον ἔσται τὸ χωρίον, τὴν περιβολὴν δὲ τούτων τῶν σπληνῶν οὐκ εἰς ἅπαξ ἀθρόαν, ἀλλὰ κατὰ βραχὺ κελεύει ποιεῖσθαι. λεπτομερεῖς μὲν γὰρ τῷ πάχει τοὺς ἀνωτέρους τιθεμένους εἶναι δεήσει, παχυτέρους δὲ τοὺς κατωτέρους, ἐὰν ἀθρόως ἕνα περιβάλῃς, ἔσται σοι σχῆμα τῆς κατ' αὐτὸ τὸ χωρίον ἐπιδέσεως, οἷον ἐξ ἀρχῆς ὑπῆρχε τοῦ κώλου.

Τῶν δὲ ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο, τῇ πρώτῃ ἐκ τοῦ σίνεος εἰς τὰ ἄνω, τῇ δὲ δευτέρῃ ἐκ τοῦ σίνεος εἰς τὰ κάτω τελευτώσῃ.

Λέλεκταί μοι καὶ πρόσθεν ὑποδεσμίδας ὀνομάζειν αὐτὸν τοὺς πρὸ τῶν σπληνῶν ἐπιδέσμους, ἁπάντων πρώτους ἐπιβαλλομένους τῷ πεπονθότι σώματι. γέγραπται δὲ ἐν τῷ περὶ ἀγμῶν τῆς ἑκατέρου περιθέσεως ἡ χρεία. ὁ μὲν γὰρ πρότερος αὐτῶν, οὐ μόνον ἀνείργειν τὴν ἐπιρροήν, ἀλλὰ καὶ τῶν περιεχομένων κατὰ τὸ πεπονθὸς ἀπωθεῖταί τι πρὸς τὴν ἄνω χώραν. ὁ δὲ δεύτερος ἐκθλίβει τὸ περιττὸν αἵματος πεπονθότος μορίου πρὸς τὸ τοῦ κώλου πέρας. κοινὴ δὲ ἀμφοτέρων ἡ χρεία, κατέχειν τὸ διαπεπλασμένον ὀστοῦν ἀδιάστροφον.

Κατὰ τὸ σίνος πιέζειν μάλιστα, ἥκιστα τὰ ἄκρα, τὰ δὲ ἄλλα κατὰ λόγον.

Καὶ τούτων ὁ λογισμὸς ἐν τῷ περὶ ἀγμῶν εἴρηται. καθόλου γὰρ ἐπὶ πάσης ἐπιδέσεως, ἔνθα μὲν ἐσφίγκται μᾶλλον ἡ ὑποκειμένη σάρξ, ἐκθλίβεται τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῇ πρὸς τὰ πέριξ, ἔνθα ἧττον, ἐνταῦθα δέχεται τὸ μεταρρέον ἐκ τῶν μᾶλλον θλιφθέντων.

Ἡ δὲ ἐπίδεσις πουλὺ τοῦ ὑγιέος προσλαμβανέτω.

Καὶ ταύτης τῆς συμβολῆς ὁ λογισμὸς δῆλος. ἐν γὰρ τῷ πολὺ τοῦ ὑγιοῦς ἐπιλαμβάνειν τὴν ἐπίδεσιν, ἥ τε κράτησις ἀσφαλεστέρα τοῦ διαπεπλασμένου γίνεται, καὶ μᾶλλον ἐκθλίβονται τοῦ πεπονθότος ἰχῶρες εἰς τὰ πλησιάζοντα, καὶ ἐκ τῶν ἄνωθεν ἐπιρροὴ κωλύεται μᾶλλον.

Ἐπιδέσμων δὲ πλῆθος, μῆκος, πλάτος. πλῆθος μέν, μὴ ἡσσᾶσθαι τοῦ σίνεος, μηδὲ νάρθηξιν ἐνέρεισιν εἶναι, μηδὲ ἄχθος, μηδὲ περίρρεψιν, μηδὲ ἐκθήλυνσιν ὑπὸ ἐπιδέσμου.

Οἱ δὲ ἄλλοι σχεδὸν ἅπαντες οὐ διωρίσαντο ἐπιδέσμους ἐπιδεσμίδων. ὁ δὲ Ἱπποκράτης τοὺς μὲν αὐτῷ τῷ σώματι περιβεβλημένους ἐπιδέσμους, ὑποδεσμίδας ὀνομάζει, τοὺς δὲ τοῖς σπλήνεσιν ἔξωθεν ἐπιδουμένους, ἐπιδέσμους. τούτων οὖν ἡλίκον εἶναι χρὴ τὸ πλῆθος, καὶ τὸ μῆκος καὶ τὸ πλάτος, ἐν τῇδε τῇ ῥήσει διέρχεται. πλῆθος μὲν ἀξιῶν εἶναι τοσοῦτον, ὡς κρατεῖν ἀσφαλῶς αὐτὸ τὸ διαπεπλασμένον ὀστοῦν. τὸ γὰρ μὴ ἡττᾶσθαι τοῦ σίνεος, τουτέστιν ὡς αὖτε μὴ κρατῶσιν οἱ ἐπίδεσμοι, τοὐναντίον αὐτοῖς συμβήσεται νικᾶσθαί τε καὶ ἡττᾶσθαι τοῦ σίνεος, τουτέστι τοῦ βεβλαμμένου μέρους. εἰ γὰρ τὸ νικᾶν ἦν αὐτοῖς ἐν τῷ φυλάττειν ἀκίνητον τὴν διάπλασιν, ἐὰν αὐτὴ κινηθῇ κατά τι, προσηκόντως ἄν τις αὐτοὺς ἡττᾶσθαι φαίη. τὸ μηδὲ νάρθηξιν ἐνέρεισιν εἶναι, τοιόνδε ἐστι, ἐὰν ὀλιγότεροι τοῦ δέοντος οἱ ἐπίδεσμοι τύχοιεν ὄντες, ἐνέρεισις τῶν ἄρθρων, ὅπερ ἐστὶ βία καὶ θλίψις ἔσται σίνος διήκουσα. καὶ μέντοι καὶ τοσούτους αὐτοὺς ποιήσεις, ὡς βαρύνειν τὸν ἀσθενοῦντα, καὶ οὕτως ἁμαρτήσεις τοῦ συμμέτρου. φυλαττόμενος οὖν ἑκάτερον τῶν σκοπῶν τοῦ πλήθους στόχαζου. τῶν ἐπιδέσμων οἱ σκοποὶ δύο εἰσί, τὸ μήτε θλίβειν, μήτε βαρύνειν. ἀλλὰ μηδὲ περίρρεψιν εἶναι φησὶ περὶ τὸ πλῆθος τῶν ἐπιδέσμων. ἡ δὲ περίρρεψις ἀπὸ τοῦ περιρρέπειν ἐπὶ θάτερον μέρος, ἤτοι τὸ δεξιόν, ἢ τὸ ἀριστερὸν ὅλην τὴν ἐπίδεσιν ὀνομάζεται. τοῦτο δὲ αὐτὸ περιρρέπον, ἀμετρίᾳ τοῦ πλήθους αὐτῶν γίνεται. τὴν δὲ ἐκθήλυνσιν εἴρηται γὰρ αὐτῷ, οἱ δέ τινες μὲν ἐπὶ τῶν μορίων ἤκουσαν, ἐν οἷς τὸ σίνος, ὡς ἀσθενῶν καὶ μαλακῶν γινομένων διὰ τὸ πλῆθος

ἐπιδε

ὑποβεβλημένων ἔξωθεν ὀθονίων. ἔνιοι δὲ ἐπὶ τῆς ἐπιδέσεως αὐτῆς, ὡς ἀτόνου γινομένης. ἐκλύεται γὰρ καὶ ἡ τῶν ἐπιθεμένων ναρθήκων κράτησις ὑπὸ τοῦ πλήθους τῶν ὑποβεβλημένων ὀθονίων.

Μῆκος δὲ καὶ πλάτος τριῶν, ἢ τεττάρων, ἢ πέντε, ἢ ἕξ. πήχεων μὲν, μῆκος, δακτύλων δὲ, πλάτος.

Τῶν ἰδίων τοῦ ἐπιδουμένου δακτύλων καὶ πηχέων δηλονότι, τοσοῦτον ἀξιοῖ τὴν ἐπίδεσιν εἶναι. τὸν δὲ ὅρον αὐτοῦ τοῦ μήκους, καὶ τοῦ πλάτους, οὐχ ἕνα μόνον ἐποίησε, διὰ τὸ μηδὲν τῆς ἐπιδέσεως ἴσον ἐν ἅπασι γίνεσθαι τὸ μῆκος, ἀλλὰ κατὰ τοῦ κατάγματος μέγεθος ὑπαλλάττεσθαι διορίζει πλήθη, καὶ μήκη καὶ πλάτη τῶν ὀθονίων. ἐν ἅπαντι τούτῳ τῷ λόγῳ ἡ τελευτὴ ἐπιδέσεως ἐστίν. ἣν μετὰ ἐν τῷ περὶ ἀγμῶν βιβλίῳ κατ᾽ ἐκεῖνον ἀξιοῖ τὸν χρόνον γίνεσθαι, καθ᾽ ὃν ἀφλεγμαντότατον τὸ πεπονθὸς οὗ νάρθηκας ἐμβάλλεται.

Καὶ παρέρματος περιβολαὶ τοσαῦται, ὥστε μὴ πιέζειν.

Τοσαυτάκις ἀξιοῖ τὸ πάρερμα περιβάλλειν τοῖς ἐπιδέσμοις, ὁποσάκις αὖ αὐτῶν ἐκείνων ἕκαστος ἐστὶ περιβεβλημένος. τὸ δὲ ὡς μὴ πιέζειν, περὶ τοῦ μέτρου τῆς σφίγξεως αὐτῶν διδάσκειν. μέχρι γὰρ τοσούτου συσφίγγεσθαι χρὴ κατὰ τὸ τῶν ἐπιδέσμων πάρερμα, μέχρις ἂν ἐπιμένῃ μὲν ἀσφαλῶς, μηδέπω δὲ πιέζῃ. τί οὖν ἄμεινον, ἢ συνάπτειν ἀλλήλοις τὰ μόρια τῆς ῥήσεως ὡς εἶναι τὸν λόγον τοιοῦτον, παρέρματος περιβολὰς τοσαύτας ποιητέον ἐστὶ, ὡς μὴ πιέζειν, ὡς τῶν πάνυ πολλῶν πιεζουσῶν. ἄμεινον δὲ ἐστὶν ἴσως ἀντὶ τοσαῦτα, τοιαῦτα, τὸ τρίτον γράμμα ἀπὸ τῆς ἀρχῆς σ ποιήσαντας ι. τῇ γὰρ ποιότητι μᾶλλον αἱ περιβολαὶ τοῦ παρέρματος ἴσχουσι τὸ σύμμετρον τῆς ἐπιδέσεως, οὐ τῇ ποσότητι.

Μαλθακὰ δὲ μὴ παχέα.

Πάντα ταῦτα δηλονότι κελεύει μαλθακὰ, μὴ παχέα παραλαμβάνεσθαι φυλαττόμενον, ὥσπερ ἐπὶ τῶν ὀθονίων ἔμπροσθεν εἴπομεν, οὕτω κἀνταῦθα τὴν θλῖψιν τῶν ὑποκειμένων σωμάτων.

Ταῦτα πάντα ὡς ἐπὶ μήκει καὶ πλάτει καὶ πάχει τοῦ παθόντος.

Εἴρηται πρόσθεν ἤδη καὶ ἐπ᾽ ἄλλης ὕλης πραγμάτων ὁμοίας τῇ νῦν, καὶ μεμνῆσθαι χρὴ παρὰ πάντα τὸν λόγον, ὡς ὅτι ἂν ἤτοι περὶ μήκους, ἢ πλάτους, ἢ πάχους, ἢ ἀριθμοῦ τῶν ὀθονίων, [τὴν] λέγηται, ἀναφορὰν ἔχειν πρὸς τοῦ πεπονθότος μορίου μῆκος, καὶ πλάτος, καὶ πάχος.

Νάρθηκες δὲ λεῖοι, ὁμαλοὶ, σιμοὶ, κατ᾽ ἄκρα σμικρῷ μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσεως. παχύτατοι δὲ ᾗ ἐξέρρεπε τὸ κάταγμα.

Οἱ νάρθηκες, ὡς οἱ σπλῆνες, ἐρείσματα καὶ στηρίγματα τῆς ἐπιδέσεως εἰσίν, ἀλλ᾽ οἱ μὲν σπλῆνες τῶν ὑποδεσμίδων, οἱ δὲ νάρθηκες ἁπάντων τῶν ἔνδον, ὡς εἶναι τέτταρα μὲν τὰ σύμπαντα, χρείαν ἰδίαν ἕκαστον παρέχον. ἔνδον μὲν γὰρ ὑποδεσμίδας πρῶτον, τό, τε διαπεπλασμένον ὀστοῦν κρατούσας, καὶ κωλυούσας φλεγμαίνειν τὸ πεπονθός. ἐπ᾽ αὐταῖς δὲ τὰς σπλῆνας, ὡς μὴ περιρρέοιεν, εἶτα τοὺς νάρθηκας στηρίζοντας, οὕς τινας Ἱπποκράτης ἀξιοῖ λείους τε εἶναι καὶ ὁμαλούς. ἀντίκειται δὲ τῷ μὲν λείῳ, τὸ τραχὺ, τῷ δὲ ὁμαλῷ, τὸ ἀνώμαλον. καὶ τὸ μὲν τραχὺ πάντως ἐστὶν ἀνώμαλον, οὐ μὴν τό γε ἀνώμαλον ἐξ ἀνάγκης τραχὺ, καθάπερ ἡ δὲ ὁδὸς ἀνώμαλος εὐθέως ἐστὶ καὶ τραχεῖα. δύναται γὰρ ἀναβάσεις τε καὶ καταβάσεις ἔχουσα μὴ τραχείας, ἀνώμαλος εἶναί τε καὶ λέγεσθαι. καὶ τοίνυν καὶ τοὺς νάρθηκας ἐγχωρεῖ λείους μὲν εἶναι, μὴ μέντοι καὶ ὁμαλούς. ἐὰν γὰρ ὄντοι εἴς τι τῶν πλαγίων μερῶν διεστραμμένοι τύχωσιν ὄντες, ἢ πρὸς τὸν ἄνω τόπον, ἢ τὸν κάτω, τὸ ὁμαλὸν οὐχ ἕξουσι, τὸ λεῖον δὲ ἔχειν ἰσῶνται. συντελεῖ δὲ τῷ κατάγματι, μήτε τραχεῖς εἶναι, μήτε διεστραμμένους τοὺς νάρθηκας, ἑκατέρως μὲν γὰρ θλίψουσιν, ἐκ περιττοῦ δὲ οἱ διεστραμμένοι συνδιαστρέψουσιν ἐν αὐτοῖς τὴν ἐπίδεσιν. ταύτης δὲ διαστρεφομένης, καὶ τὸ κατεαγὸς μόριον συνδιαστρέφεται, σιμοὺς δὲ κατ᾽ ἄκρα τοὺς νάρθηκας εἶναι συμβουλεύει. δύναται δὲ αὐτὸ τὸ σιμὸν ὄνομα νῦν σημαίνειν τοὺς ἀπεξεσμένους ἀτρέμα ἐπὶ τὴν κάτω χώραν. οἱ γὰρ ἰσοπαχεῖς ἄχρι τοῦ πέρατος, ἴσην ἐνταῦθα τὴν ἐπίδεσιν ἐργάζονται παντὶ τῷ ἄλλῳ μορίῳ τῆς ἐπιδέσεως, ὅπερ οὐ χρὴ γίγνεσθαι. βούλεται γὰρ ἐν μὲν τῷ μέσῳ τῆς ἐπιδέσεως συσφίγγεσθαι μᾶλλον, ἐκλύεσθαι δὲ ἐντεῦθεν ἄχρι τῶν περάτων. ἐκεῖνα δὲ ἁπάντων ἐκλύεσθαι μᾶλλον, ἀλλὰ καὶ μακροτέρους αὐτοὺς ἐπὶ τὸ μῆκος εἶναι κελεύει τῆς ἐπιδέσεως ὅπως μὴ ψαύσῃ ἄν ποτε τοῦ μετὰ τὴν ἐπίδεσιν δέρματος, ὑψουμένου πολλάκις ἐκ τοῦ δέχεσθαι τοὺς ἐπὶ τῶν ἐπιδέσμων ἐκθλιβομένους χυμούς. ἀλλὰ κατ᾽ αὐτὸ τὸ κάταγμα παχυτέρους εἶναι συμβουλεύει τοὺς νάρθηκας, ἐπειδὴ τὸ χωρίον τοῦτο μάλιστα τῆς ὑπ᾽ αὐτῶν ἐπιδέσεως δεῖται.

Ὁκόσα δὲ κυρτὰ καὶ ἄσαρκα φύσει φυλασσομένων τῶν ὑπερεχόντων, οἷον κατὰ δακτύλους ἢ σφυρὰ, τῇ θέσει, ἢ τῇ βραχύτητι.

Φυλάττεσθαι κελεύει κατὰ τὰς ἐξοχὰς τῶν ὀστῶν τίθεσθαι τοὺς νάρθηκας. ἔστι δὲ τοῦτο κατὰ δύο τρόπους, ἢ μηδ᾽ ὅλως ἡμῶν τιθέντων αὐτοὺς κατ᾽ ἐκεῖνα τὰ μόρια τῆς ἐπιδέσεως, ἢ βραχυτέρους ἐπιτιθέντων, ὡς μὴ παραγίνεσθαι πρὸς τὸ κυρτὸν, ἀλλὰ πρὸς τὸ καταπαύεσθαι, πρὶν ἐκείνου ψαῦσαι, καὶ βέλτιόν τι πράττειν οὕτως. ὠνόμασε δὲ τὸ μὲν μηδ᾽ ὅλως θέντα νάρθηκας φυλάξασθαι τὴν βλάβην τῇ θέσει γίνεσθαι. τὸ δὲ ἀφελεῖν τοῦ μήκους τῇ βραχύτητι, δυνάμενος τοῦτο λέγων, ἢ τὸ μὴ θεῖναι νάρθηκας, φυλάξασθαι ψαῦσαι τοῦ προέχοντος μέρους, ἢ τὸ μικροτέρους θεῖναι.

Παρέρμασι δὲ ἐρμάζειν μὴ πιέζειν τὸ πρῶτον.

Ἐμνημόνευσε παρερμάτων καὶ κατ᾽ ἄλλον λόγον ὀλίγον ἔμπροσθεν ἐφεξῆς τῶν ἐπιδέσμων, οὐ μὴν προσέθηκέ γε ῥητοῖς ἐκείνοις αὐτὰ περιβαλεῖν, ἀλλ᾽ ἡ τῆς τάξεως ἀκολουθία τοῦτο ἡμῖν ἐνεδείκνυτο. νυνὶ μέντοι φησὶν ἐρμάζειν

δεῖ, ὅπερ ἐστὶν ἑδράζειν τε καὶ στηρίζειν αὐτοῦ τὴν πίεσιν, καὶ τοῦτο ποιεῖν κατὰ τὴν πρώτην ἐπίδεσιν, ὡς ταῖς ἐφεξῆς ἡμέραις ἀνερωτώμενος ὁ πάσχων, ἢ μηδ' ὅλως αἰσθάνεσθαι θλίψεως δυναμένων ἡμῶν ἐπισφίγξαι τοὺς ναρθηκας τοῖς παρέρμασιν. ἔνιοι δὲ οὐκ ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης ῥήσεως ἔγραψαν τὸ πρῶτον, ἀλλ' ἐν ἀρχῇ τῆς ἐφεξῆς ἵνα ᾖ τοιάδε, τὸ πρῶτον κηρωτῇ, μαλθακῇ, λείῃ, καθαρῇ. ἐλίσσοντα, τὴν καλουμένην ὑπὸ τῶν γραμματικῶν δοτικὴν πτῶσιν ἀμφοῖν ὀνομάτων ἀκούειν τοῦ τε κηρωτῇ, καὶ τοῦ μαλθακῇ, καὶ τοῦ λείῃ τὸν λόγον ποιεῖσθαι τοιοῦτον, ἐλίσσοντα τὸν ἐπίδεσμον οὕτως τὸ κατ' αὐτὸν σὺν αὐτῷ προσήκει.

Κηρωτῇ μαλθακῇ, καὶ λείῃ καὶ καθαρῇ.

Οὐ γὰρ ἤδη μόνον τὸ δέρμα τοῦ πάσχοντος ἐπαλείφεσθαι βούλεται τῇ κηρωτῇ, ξηρῶν αὐτῶν ἐπιβαλλομένων τῶν ἐπιδέσμων, ἀλλὰ καθ' ἑκάστην ἐπιδέσμου περιέλισιν ἀκολουθεῖν ἐπιχειρούμενον αὐτῷ τὴν κηρωτήν. εἰ γὰρ μόνην εἴρηται τὸ κατὰ τοῦ δέρματος ἐπιβάλλειν ξηρᾶς ἀπορρήσαι τὸ πεπονθὸς μόριον, ἐν τάχει τῆς γιγνομένης αὐτῷ βοηθείας ἐκ τῆς κηρωτῆς. ἀνατρεπόντων μὲν τῶν ὀθονίων αὐτὴν ὑγραινούσας, αὐχμηρὰν δὲ ἐργαζομένων ἐκ τούτου τὸ δέρμα τὴν κηρωτὴν αὐτήν, διατί μὲν οὖν μαλθακὴν ἠξίωσε, πρόδηλον. αὐτὶ γὰρ ἐπιβροχῆς αὐτῇ χρῆται, δυναμένης μὲν ἐπιβροχῆς αὐτὸ ἀνύειν, ἀλλὰ διὰ τῆς κηρωτῆς ἀσφαλέστερον γινόμενον τοῦτο, καὶ μάλιστα ἐφ' ὧν οὐ πάντοτε τὸν ἰατρὸν παραμένειν τῷ κάμνοντι δυνατόν, ὅτε τὸν ὑπηρέτην ἴσμεν ἐπιμελῆ καὶ γέναι φιλόπονον. ἐπεὶ δὲ τὴν κηρωτήν, οὐ μαλθακὴν μόνον, ἀλλὰ καὶ καθαρὰν ἀξιοῖ, τουτέστι μηδὲν ἐμφερόμενον ἔχειν ἐν ἑαυτῇ, μήτε περὶ πόλεως, μήτε ῥύπου, μήτε γεώδους, ἢ ψαμμώδους οὐσίας ἄλλης τινὸς παρὰ τὸν κηρόν. εἴη δὲ αὖ εὐθέως ἡ τοιαύτη καὶ λεία, πλὴν ἰδίᾳ τὰς ὀνομαζομένας ἀγκυλίδας ἐπὶ πλέον ἢ τῆς καθαρᾶς νοοῦντο. γέγραπται δὲ οὐ λείῃ μόνον, ἀλλὰ καὶ λέῃ τῇ τῆς δευτέρας συλλαβῆς, ἣν τις γράμμα παρὰ τὸ η συλλαβῆς, καὶ μᾶλλον καὶ οὕτως ἀξιοῦσι γράφειν, ὅσοι περιέχεσθαι νομίζουσιν ἐν τῇ τῆς καθάρσεως ἐννοίᾳ, τὴν λείαν. αὐτὴν δὲ τὴν λείαν ἀντιδιορεῖσαι φασὶ τῇ τῆς ξηρᾶς, τὴν γὰρ ἐκείνην οὐκ εἶναι.

Ὕδατος θερμότης, πλῆθος. θερμότης μὲν ἐπὶ τῆς ἑωυτοῦ χειρὸς καταχεῖν, πλῆθος δέ, χαλάσαι μὲν καὶ ἰσχναίναι τὸ πλεῖστον ἄριστον, σαρκῶσαι δὲ καὶ ἁπαλῦναι τὸ μέτριον.

Καὶ ὁ περὶ τοῦ ὕδατος λόγος ἀναγκαῖος ἐστὶν εἰς τὴν τῶν καταγμάτων ἴασιν. ἐν γοῦν ταῖς ἐπιλύσεσιν ὕδατος θερμοῦ, καταντλοῦσιν ἅπαντες οἱ ἰατροὶ τὰ κατάγματα, δηλονότι τῆς ἐξ αὐτοῦ βοηθείας ἐναργῶς πεπειραμένοι. διαμαρτία δὲ ἐστὶ κἂν τῇ τούτου χρήσει. μία μὲν ἐπὶ τὸ ποιόν, ἑτέρα δὲ κατὰ τὸ ποσὸν αὐτοῦ. κατὰ μὲν τὸ ποιόν, ἤτοι θερμοτέρῳ τοῦ προσήκοντος, ἢ ψυχροτέρῳ χρωμένου τοῦ ἰατροῦ. κατὰ δὲ τὸ ποσόν, ἤτοι πλέονι χρόνῳ καταντλοῦντος, ἢ ἐλάττονι. τῆς μὲν οὖν ἐπὶ τὴν ποιότητα συμμετρίας, γνώρισμα τὴν αὐτοῦ τοῦ ἰατροῦ τίθεται χεῖρα. καταχέων γὰρ αὐτῇ ᾧ μέλλει τῷ κατάγματι, ἐν τούτῳ ἂν ἐστοχάσθαι δύναται τοῦ κατάγματος συμμέτρου. λέγω δὲ κατὰ πλάτος σύμμετρον, ὃ πρὸς τὴν κοινὴν τῶν ἀνθρώπων ἀναφέρεται, οὐ πρὸς τὴν τοῦ κάμνοντος ἰδέαν. ἐνίοτε μὲν γὰρ τούτῳ καὶ αὐτῷ τῷ πάσχοντι φαίνεται σύμμετρον. ἐπιχέας οὖν ἐξ αὐτοῦ τὴν πρώτην ἐπίκλυσιν τοῦ θεραπευομένου, δυνήσῃ πυθέσθαι, πότερον ψυχρότερον ἢ θερμότερον αὐτῷ φαίνεται τοῦ συμμέτρου, καὶ οὕτως θερμόν, ἢ ψυχρὸν ὀλίγον ἐπιχέας, εὔκρατον ὡς πρὸς τὸν πάσχοντα ποιήσεις. κριτήριον οὖν ἐστὶ τῆς εὐκρασίας τοῦ ὕδατος ἡμετέρα χείρ, ἢ πρῶτον μὲν μετέξει. ἡ δὲ αὐτοῦ τοῦ κάμνοντος αἴσθησις, τὸ κυριώτατόν τε καὶ τελεώτατον ἐστί, καὶ πρῶτον δυνάμει κριτήριον εὐκρασίας. τὸ δὲ ποσὸν τῆς χρήσεως αὐτοῦ, διορισμὸς ἔχει κοινὸς πρὸς ἀνάθρεψιν τε καὶ πάνθ' ὅσα θερμαίνει βοηθήματα. ταῦτα γὰρ ἐγκείμενα, οὐ μόνον πέφυκεν ἐπισπᾶσθαι ἐπὶ τὸ θερμαινόμενον μόριον ἐκ τῶν πέριξ τόπων, ἀλλὰ καὶ διαφορεῖν, ἀλλὰ καὶ διὰ τοῦτο τἀναντία φαίνεται ποιοῦν τὸ θερμὸν ὕδωρ, παρά τε τὸ ποσὸν ἔχειν τὸ σῶμα, καὶ τὴν ἐπὶ πλέον καὶ ἔλαττον χρῆσιν. ἐὰν μὲν γὰρ κενὸν εἴη τὸ σύμπαν σῶμα, διαφορεῖ πλέον ἢ ἐπισπᾶται. ἐὰν δὲ πληθωρικόν, ἔμπαλιν ἐπισπᾶται πάλιν μᾶλλον ἢ διαφορεῖ. καὶ τοίνυν ὀλίγῳ μὲν χρόνῳ προσαχθὲν ἐπλήρωσε μᾶλλον, ἢ ἐκένωσε. εἰ δὲ πλέονι καταθείη χρόνῳ, διαφορεῖ μᾶλλον ἢ πληροῖ. ἐπὶ λόγον οὖν ἔφη χαλᾶν μὲν καὶ ἰσχναίνειν, τὸ πλεῖστον, ἁπαλύνειν δὲ καὶ σαρκοῦν, τὸ μέτριον. τὸ μὲν οὖν ἰσχναίνεσθαι, τοῖς κενουμένοις ἄντικρυς ἕπεται, τὸ δὲ χαλᾶσθαι, τοῖς τεταμένοις οὐκ ἄντικρυς, ἀλλὰ διὰ μέσων ἑτέρων. ὅσα μὲν γὰρ τῷ πεπληρῶσθαι τέταται, καθάπερ τὰ φλεγμαίνοντα πάντα, τῷ κενοῦσθαι χαλᾶται. ὅσα δὲ τῷ πεπῆχθαι διὰ ψύξιν, τῷ θερμαίνεσθαι. τὰ δὲ διὰ ξηρότητα τεταμένα, δι' ὑγρότητα χαλᾶται. ἐπὶ τοίνυν τὰ εἰρημένα ἐστί. δύναται ποιεῖν τὸ θερμὸν ὕδωρ, ὅταν ἐπὶ πλέον ὁμιλῇ τῷ σώματι, καλῶς εἶπε χαλᾶν αὐτά. μὴ θαύμαζε δὲ εἰ κενοῦν τε ἅμα τὰς περιττὰς ὑγρότητας ἔφαμεν δύνασθαι τὸ θερμὸν ὕδωρ, καὶ ὑγραίνειν τὰ στερεὰ σώματα. δέδεικται γὰρ ἐν ἑτέροις τῶν λόγων ἑκάτερον ἀληθές. τὸ μὲν οὖν θερμὸν ὕδωρ, ταῦτα δύναται. τὸ δὲ ὀλίγον, οὐχ ἁπλῶς εἰπεῖν ἐγχωρεῖ ὃ δύναται ποιεῖν, ἐὰν μὲν ἤτοι δὶς ἢ τρὶς καταχέας τις ἢ πυριάσας διὰ σπόγγων ἀρκεσθῇ, παντάπασιν ἡ τοιαύτη χρῆσις ἄπρακτός ἐστι. ἐὰν δέ, ὡς αὐτὸς ἔφη, μετρίως τις αὐτῷ χρήσεται, σαρκώσει τε καὶ μαλακὰ ποιήσει τὰ δεόμενα τούτου. ἄκουε δέ μου προσαγόντος τῷ λόγῳ τὰ δεόμενα, τοιαύτη χρῆσις ὕδατος, ὅτε ἁπαλύνειν, ὅτε σαρκοῦν δύναται. τῷ γοῦν ἀσάρκῳ τε ἅμα καὶ πληθωρικῷ σώματι μετρία κατάχυσις ὕδατος θερμοῦ, πληρώσει περιττῆς ὑγρότητος τὸ θερμανθὲν μόριον. ἐὰν δὲ ἄτροφόν τε καὶ μὴ πληθωρικὸν ᾖ, σαρκώσει τε ἅμα καὶ μαλακὸν ἐργάσεται. σάρκωσις γὰρ γίνεται τῶν μὲν μορίων αὐτῶν οἷς μέλλει προσφύεσθαί τε καὶ περιφύεσθαι σάρξ, εὐκράτως ἐχόντων ἐπὶ θερμότητά τε καὶ ψυχρότητα. τοῦ δὲ ἐπιρρέοντος αἵματος, ὑγιεινοῦ μὲν ὄντος κατὰ τὴν ποιότητα, συμμέτρου δὲ κατὰ τὴν ποσότητα. ταῦτα δὲ ἀμφότερα διὰ τῆς μετρίας καταχύσεως ὕδατος θερμοῦ γίγνεται συμμέτρου. τὸ γὰρ αἷμα πρὸς τὸ καταντλούμενον ἕλκει μόριον, εὔκρατόν τε ἐργάζεται τὴν ἐν αὐτῷ προϋπάρχουσαν σάρκα, θερμαῖνον μὲν εἰ κατεψυγμένον εἴη πρότερον εἴη. διαφορεῖ γὰρ καὶ ταῦτα πρὸς τοὐκτὸς τὴν θερμότητα, πρὸς ἔτι τῷ τέγγειν ὑγρότητα χρηστήν, καὶ κατὰ τοῦτον ἐμψύχει καθ' ὅνπερ τρόπον, καὶ τὰ διὰ τῶν ποτίμων ὕδατα καὶ λουτρά. καὶ γὰρ ταῦτα τοὺς νεκροὺς ἥκοντας ἐκθερμαίνει, κἂν σφόδρα κατεψυγμένοι τύχωσιν ὄντες, τοὺς ἐκκεκαυμένους, οὐ βλάπτει. φαίνονται γοῦν ἡδόμενοι ταῖς εὐκρά-

τοῖς ἐξαμβλοῖς ὑπόστεροι γιγνόμενοι μετὰ λουτρόν. οὕτως οὖν καὶ ἡ τοῦ θερμοῦ κατάχυσις ὕδατος, εἰ μετρίως παραληφθείη, ξηροῖ, διὰ τοῦτο καὶ μαλακώτερον ἐργάζεται τὸ μόριον. ἁπαλὴ γάρ ἐστιν ἡ νεοπαγὴς σὰρξ αἵματος ἄρτι πεπηγότος, ὁμοίως τοῖς νεοπαγέσι τυροῖς γένεσιν ἐσχηκυίας.

Μέτριον δὲ ἐν τῇ καταχύσει ἔτι μετεωριζομένου δεῖ, πρὶν συμπίπτειν παύεσθαι. τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται.

Ταχέως ὕδατος θερμοῦ τὸ μέτριον ἐστὶ παύεσθαι, πρὶν ἄρξασθαι συμπίπτειν τὸ καταντλούμενον μέρος. ἐξαίρεται γὰρ πρῶτον, ὅπερ ἐστὶν εἰς ὄγκον μείζονα τοῦ κατὰ φύσιν αὐξάνεται, διά τε τὸ χεῖσθαι τὸ περιεχόμενον αἷμα κατ' αὐτὸ, καὶ διὰ τὸ τὴν ἐκ τῶν ὑπερκειμένων ἐπίρροιαν, μετὰ ταῦτα δὲ ἰσχναίνεται διαφορηθέντος μέρους πολλοῦ, τοῦ τε ἐπιῤῥυέντος ἄνωθεν καὶ τοῦ περιχυθέντος.

Θέσις δὲ μαλθακὴ, ὁμαλὴ, ἀνάῤῥοπος τοῖσιν ἐξέχουσι τοῦ σώματος, οἷον πτέρνῃ καὶ ἰσχίῳ, ὡς μήτε ἀνακλᾶται μήτε ἐκτρέπεται.

Ταύτην τὴν ῥῆσιν ἔνιοι μὲν ὡς μίαν ὅλην ἀναγινώσκουσιν, ἔνιοι δὲ δίχα τέμνοντες, ἑκάτερον αὐτῆς τὸ μέρος ἐξηγοῦνται καθ' ἑαυτό. τὸ μὲν οὖν πρότερον μέρος οὕτως περιγέγραπται, μίαν ἔχειν δυνάμενον αὐτοτελῆ διάνοιαν. ἡ γάρ τοι θέσις τῶν μορίων, ἐάν τε γενικῶς ἀκούηται, περιλαμβανομένης καὶ τῆς ἀναλήψεως, ὡς ἐπὶ τῆς χειρὸς, ἐάν τε εἰδικῶς, ὡς ἐπὶ μόνου τοῦ σκέλους, ἀρίστη ἀεὶ ἡ μαλθακή τε γιγνομένη, καὶ ὁμαλὴ, καὶ ἀνάῤῥοπος. μαλθακὴ μὲν ὅπως μὴ θλίβηται κατ' ἐκεῖνο τὸ μόριον ὁ κάμνων οὕτως, ἅμα τε φλεγμονῆς κινδυνεύῃ, διά τε τῆς θλίψεως ὀδύνην, ἅμα τε μεταβάλλειν ὁ κάμνων ἀναγκαζόμενος τὸ σχῆμα, διαστρέφῃ τὸ κάταγμα, ὅπερ ἀκίνητον ἐν ἡσυχίᾳ πολλῇ φυλάττεσθαι δεῖται. ἡ δὲ ἀνώμαλος θέσις ὀδυνηρά ἐστιν ἅμα καὶ διαστρέφει τὸ κῶλον, ἐν τισι μὲν αὐτοῦ μέρεσιν ἀστήρικτον γιγνόμενον, ἐν τισι δὲ θλιβόμενον, εἰκότως τὴν ὁμαλὴν ἐπαινεῖ. ἡ δὲ ἀνάῤῥοπος ἀῤῥευμάτιστον φυλάττει, ὅπερ ἡ κατάῤῥοπος ῥευματίζουσα, φλεγμονῆς αἰτία γίγνεται. τὸ μὲν δὴ πρότερον μέρος τῆς προκειμένης ῥήσεως, ὅτι τε μίαν ἔχειν διάνοιαν δύναται, ὅτι τε καλῶς εἴρηται περὶ τήνδε, σύνδηλον ἤδη γέγονε. τὸ δὲ δεύτερον, εἰ δή αὐτό τις καθ' ἑαυτὸ ἀναγινώσκει, τοιαύτην ἕξει διάνοιαν, τοῖς ἐξέχουσι τοῦ σώματος, οἷον πτέρνῃ καὶ ἰσχίῳ, θέσις ἀρίστη ἐστὶν, ὡς μήτε ἀνακλᾶται, μήτε ἐκτρέπεται. διότι δὲ οὐ πρόσκειται τὸ θέσις ἀρίστη, διὰ τοῦτο δοκεῖ τισιν ἐλλιπῆ τὴν διάνοιαν ἔχειν, ἀναγκάζονταί τε συνάπτειν αὐτὸ τῷ προτέρῳ μέρει. πάλιν δὲ αὖ συναφθέντος τοῦδε, τῷ προτέρῳ φαίνεται μηκέτι καθ' ὅλου γιγνόμενος ὁ λόγος, ἀλλὰ περὶ μόνων τῶν ἐξεχόντων τῆς θέσεως. οἱ μὲν οὖν ἐμπειρικοὶ τούτων ἀκούσαντες, ὡς νῦν ἐπινοουμένων αὐτοῖς τῶν ἄλλων λόγων, ἔφασαν γίγνεσθαι καθόλου. καὶ τοίνυν καὶ δείκνυσιν οὐκ ἐν τούτῳ τῷ βιβλίῳ μόνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ τὸν Ἱπποκράτην δι' ἑνὸς, ἢ δυοῖν πραγμάτοιν διδάσκοντα λόγους καθολικοὺς, ὅταν πραγμάτων ὁμογενῶν διαφορᾷ τὸ διδασκόμενον, ἐναργῶς ἐπ' αὐτῶν φαίνεσθαι, καθάπερ καὶ νῦν διὰ πτέρνης καὶ ἰσχίου. πάντων γὰρ τῶν τοιούτων τι μορίων, ἐπειδὰν πάθῃ, δεομένων ἐπὶ μαλθακοῦ τε κεῖσθαι καὶ ὁμαλοῦ, ἐν ἀναῤῥόπῳ τε σχήματι κεῖσθαι φαίνεται, μάλιστα τούτων δεόμενα ὑπερεξέχοντα τοῦ σώματος, ὁποῖον τί ἐστι τό, τε ἰσχίον καὶ ἡ πτέρνα. πολλάκις εἴρηταί μοι τὴν τοιαύτην ἑρμηνείαν ἀφορμὴν παρέχειν ἐξηγήσεως ἄλλην ἄλλῳ, καὶ τὸ τίνι γε δόξαν, πιθανὸν ἑτέρῳ φαίνεσθαι. διὰ τοῦτο οὖν οὐδ' ἀποφαίνεσθαι δεῖ ὑπὲρ τοῦ δοξάζοντος ἀληθῶς εἶναι προσήκει. τούτου τοίνυν ἡμᾶς μεμνημένους δεῖ. καὶ μέντοι καὶ γιγνώσκοντας, ὡς ἐν ταῖς διαφωνουμέναις ἐξηγήσεσιν, ὅταν ἡ θεωρία φυλάττηται κατ' αὐτὰς, τρίβεσθαι μακρὸν οὐ χρὴ, μεταβαίνοντας ἐπὶ τὸ χρήσιμον τῆς τέχνης, ἐν ἐκείνῳ χρονίζειν ἐστὶ βέλτιον, ὥσπερ καὶ νῦν ἄμεινον πρᾶξαι. συμφωνουμένων μὲν γὰρ τοῦ δεῖν ἐπὶ πάντων τὴν θέσιν εἶναι μαλθακὴν, καὶ ὁμαλὴν, καὶ ἀνάῤῥοπον, ἐξαιρέτως δὲ ἐπὶ τῶν ἐξεχόντων μορίων ὁποῖον τὸ ἰσχίον καὶ πτέρνα, τῶν ἐφεξῆς ἐχόμεθα, καθ' ἅ φησιν, ὡς μήτε ἀνακλᾶται, μήτε ἐκτρέπεται. πάλιν οὖν κἀνταῦθα τὸ μὲν ὠφέλιμον εἰς τὴν τέχνην ἐστὶν ἐπίστασθαι περὶ τῆς θέσεως τῶν ἐξεχόντων μορίων, ὡς γε αὖ μὲν ὑψηλοτέρα τοῦ προσήκοντος γένηται, συμβήσεται τὸ κῶλον ἀνακλᾶσθαι. ταπεινοτέρας δὲ οὔσης ἐκτρέπεσθαι, καὶ μάλιστα ὅταν ἡ πρώτη καὶ ὑψηλή. τὰ δὲ ἔξω τῆς τέχνης, περὶ τὴν λέξιν ἔτι πλείονα σχόλια. λέλεκται δὲ τελέως ἐν τῷ περὶ ἀγμῶν, ὥσπερ ἐπὶ τῶν ἄλλων ἁπάντων ὧν διεξέρχεται θεωρημάτων, οὕτως καὶ περὶ θέσεως πτέρνης, ἐν οἷς φησι, πτέρνας δι' ἄκρως χρὴ κάρτα ἐπιμελεῖσθαι, ὡς εὐθέτως ἕξει, καὶ οἵ γε πάντα ἐπὶ πᾶσι γράφοντες εἰώθασιν. ἀλλὰ τὰς ἐν ταῖς ἄλλαις βίβλοις εἰρημένας ῥήσεις, τὸ αὐτὸ θεώρημα ἐχούσας παραγράφειν, ὅπερ οὐδὲ ἐν ταῖς δύο ἡμέραις συνοῦσαις ἀθρόως ἂν γίγνοιτο. καὶ διὰ τοῦτο παρὰ τοῖς οὕτως ἐξηγουμένοις οὐδεὶς ἀνέγνω βιβλίον, ἢ ἐνιαυτοῦ θᾶττον, ἢ καὶ ἤδη γεγονότων εἰς τὸ περὶ ἀγμῶν, καὶ τὸ περὶ ἄρθρων ὑπομνημάτων ὑπομνήσεως μόνης ἐνταῦθα δεῖ. εἰ δέ τις οὕτως ἐπ' ἐκείνων τῶν βιβλίων ἀνέγνω, διαδραμὼν ὅτι τάχιστα. τοῦτο τὸ νῦν ἡμῖν προκείμενον ἐπ' ἐκεῖνα περιβῇ τῆς παρ' ἐμοῦ τῆς πεπειραμένος, μαθὼν ὡς διεξοδικαὶ διδασκαλίαι τεχνίτας ἐργάζονται τελέως, οὐχ αἱ κατ' ἐπιτομὴν γινόμεναι. οὐ μὴν ἀχρήστους γε καὶ τὰς τοιαύτας εἶναί φημι, σύλληψίν τινα διὰ βραχέων τῆς ὅλης θεωρίας περιεχομένας.

Σωλῆνα παντὶ τῷ σκέλει ἢ ἡμίσει. ἐς τὸ πάθος δὲ βλέπειν, καὶ τἄλλα ὅσα βλάπτει δῆλα.

Ὡς ἀνεγνωκόσι τὸ περὶ ἀγμῶν καὶ ἄρθρων, διαλέγεται κατὰ τοὺς τοιούτους λόγους, ἐν οἷς τὸ δῆλον, ἰδιώτῃ δῆλον εἶναι λέγει. τινὰ μὲν ἐστὶν οὕτω δῆλα παντὶ τῷ γένει ἔχοντα, καθάπερ καὶ τὰ περὶ ταύτης ῥήσεως εἰρημένα. καὶ γὰρ μαλθακῶς καὶ ὁμαλῶς δεῖν κεῖσθαι τὸ κάταγμα, ἅπαντες νοοῦσιν, οὐ μὴν ἅτε βλάπτεσθαι σωλῆνας τίθεσθαι μὴ προεγνωκότες περὶ αὐτοῦ κατ' ἐκείνην ἔγραψε τὴν ῥῆσιν, ἧς ἡ ἀρχὴ ἐν τῷ περὶ ἀγμῶν. περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων εἰς τὰ σκέλεα τὰ κατεαγότα, ἀπορέω ὅτι συμβουλεύσω. καὶ διότι γε εὐλόγως ἀπορεῖ, διεξέρχεται, καὶ πάλιν ἐν ταὐτῷ βιβλίῳ καθ' ἑτέραν ῥῆσιν, ἧς ἡ ἀρχὴ, σωλῆνα δὲ ἢν μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη, καὶ διελ

θὼν πολλά, κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ἔφη. εἰ οὖν διαμπερὲς εἴη, ποικιλτέος ὁ σωλὴν ἢ οὐ ποικιλτέος. ὁ δὲ λόγος οὕτως βούλεται, μήτε ἀναγκαίαν χρείαν εἶναι τοῦ σωλῆνος. εἰ μέντοι τις βούλοιτο χρῆσθαι μέχρι τοῦ βουβῶνος ὑποτεθῆναι ἅπαντι τῷ σκέλει μὴ μέχρι τοῦ γόνατος. ἐξ ἐκείνων οὖν ἐγγύς ἐστι δῆλον ἡμῖν καὶ τὸ νῦν εἰρημένον, οὐκ ὂν αὐτὸ καθ' ἑαυτὸ δῆλον. ὅπερ γὰρ ἐπὶ τῇ λέξει δυνατόν, καὶ ἀκοῦσαι τὴν φωνήν, ὡς διαζευκτικὴν εἰρῆσθαι σύνδεσμον. ἀλλ' ἐκεῖνον νοήσαμεν αὐτῇ ἀντὶ ἀποφάσεως αὐτὴν τετάχθαι. βούλεται γὰρ ἅπαντι τῷ σκέλει οὕτως ἡμᾶς τὸν σωλῆνα χωρὶς βλάβης ὑποβάλλεσθαι, καθάπερ Ὅμηρος ἔφη, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι, ἀντὶ τοῦ οὐκ ἀπολέσθαι. ὁ Θουκυδίδης δὲ κρύσταλλός τε γὰρ ἐπεπήγει. σκοπεῖσθαι δέ φησι χρῆναι καὶ τὸ πάθος, οὗ χάριν ὁ σωλὴν παραλαμβάνεται, καὶ ὅσα βλάπτειν πέφυκε. τὸ μὲν οὖν πάθος ἐστὶν ἰσχυρὸν σύντριμμα τῶν κατὰ τὸ σκέλος ὀστῶν, ἀκριβῶς ἀκινήτου δεομένου τοῦ σκέλους τὴν ἴασιν. ὁ γὰρ σωλὴν ἐπαινεῖται πρός τινων, ὡς ἐν ἐκείνοις τοῖς καιροῖς χρήσιμος ἐσόμενος, ἐν οἷς ἀπὸ τῆς στρωμνῆς ὁ πεπονθὼς ἐπανίσταται. καὶ ὅτι γε αὖ εἰσιν οὗτοι, καθ' οὓς ἤτοι γε ἀποπατῆσαι δεόμενος, ἤτοι σκληρὸν τῆς στρωμνῆς μὴ φέρων, ἀπολείπει τὴν προτέραν ἐφ' ἑτέραν στρωμνὴν ἄρτι μετακομιζόμενος, αὐτὸς ἐδήλωσε ἐν τῷ περὶ ἀγμῶν. ἐδήλωσε δὲ καὶ ὅτι μέχρι τοῦ γόνατος ὁ σωλὴν γενόμενος, οὔτε κωλύει κινεῖσθαι τὸ σκέλος, ἀσηρής τέ ἐστι, καὶ θλίβει πολλάκις. ἀποβλέποντα δέ σε πρός γε τὸ πάθος οὗ χάριν ὁ σωλὴν παραλαμβάνεται, καὶ πρὸς τὰς βλάβας ἃς ἐργάζεται, ποτὲ μὲν αἱρεῖσθαι τὸν σωλῆνα κελεύει, ποτὲ δὲ οὔ. ἐὰν μὲν γὰρ αἱ ἐξ αὐτοῦ βλάβαι μείζους ὦσι τῆς ὠφελείας, φευκτέος ὁ σωλήν. ἐὰν δὲ ὑπερβάλλῃ ἡ ὠφέλεια, παντὶ τῷ σκέλει μὴ μέντοι τοῦ γόνατος.

Πάρεξις δὲ καὶ διάτασις, καὶ ἀνάπλασις, καὶ τὰ ἄλλα κατὰ φύσιν.

Ὅτι πάρεξις ὅταν ὁ κάμνων ἑαυτὸν παρέχῃ τῷ ἰατρῷ θεραπευθησόμενον, εἴρηται πρόσθεν. ἐν τούτῳ δὴ τῷ καιρῷ πρῶτον, ἡνίκα μὲν συμβαίνει τὸ γεγονὸς αὐτὸ πάθος ὁ ἰατρός, εἶτα παρασκευάζεται πρὸς τὴν θεραπείαν. ἐν σχήματι πάντως εἶναι τοίνυν χρὴ τὸ πεπονθὸς μέρος, καὶ τοῦτο σχῆμα κατὰ φύσιν εἶναι τοῦ μέρους εὔλογον. ὑπὸ γὰρ τοῦ παρὰ φύσιν οὐκ ἂν γένοιτο βλάβη μικρά. μετὰ τὴν πάρεξιν ἤτοι διατείνειν μόνον, ὅταν οὕτως ἡ μακρὸν ὡς κρατήσεως μόνης χρῄζειν ἐν τοῖς ὑπορηθεῖσι. εὔδηλον οὖν ὅτι καὶ κατὰ τοῦτον τὸν καιρὸν ἄμεινόν ἐστι τῷ κάμνοντι, καὶ τὸ κατὰ φύσιν σχῆμα φυλάττειν, εἶθ' ἑξῆς ἐστιν ὁ τῆς διαπλάσεως καιρός, ἐν ᾧ καὶ αὐτὸν φυλάττεσθαι προσήκει ταυτὸ σχῆμα, καὶ μετὰ τοῦτον τῆς ἀποθέσεως ἢ ἀναλήψεως, οὓς ἀμφοτέρους ὀνομαστὶ μὲν οὐκ εἶπεν, ἐδήλωσε δὲ διὰ τοῦ φάναι καὶ τὰ ἄλλα.

Φύσις δὲ ἐν μὲν ἔργοις τοῦ ἔργου τῇ πρήξει ὃ βούλεται τεκμαρτέον. ταῦτα δὲ ταῦτα ἐκ τοῦ ἐλιννύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ἐκ μὲν τοῦ ἐλιννύοντος καὶ ἀφειμένου, τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός. ἐκ δὲ τοῦ κοινοῦ, ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα. ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον, οἷον σκέλεα ἔκτασιν. ἀπὸ τούτου γὰρ ἥκιστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα.

Ἐπεὶ διὰ τῆς προτέρας ῥήσεως τοῦ κατὰ φύσιν ἐμνημόνευσεν, εἰκότως νῦν ἐξηγεῖται τίς ἡ φύσις ἐστὶν αὕτη, καὶ τίνα τὰ γνωρίσματα ταύτης, καί φησιν, φύσις δὲ ἐν μὲν ἔργοις τοῦ ἔργου τῇ πρήξει ὃ βούλεται τεκμαρτέον, ὡς εἰ καὶ οὕτως εἶπε, κατὰ φύσιν μὲν σχῆμα, καθ' ὃ μὲν τὰς ἐνεργείας ὁ σκοπὸς αὐτῶν, καὶ ἡ χρεία δι' ἣν ἐνεργοῦνται. ταῦτα δὲ ταῦτα, τουτέστι τὰ νῦν εἰρημένα, τὴν πάρεξιν καὶ διάτασιν, ἀνάπλασίν τε καὶ θέσιν, ὡς ἂν οὐδεμίαν ἐνέργειαν ἐνεργοῦντος διὰ τοῦ πεπονθότος μορίου τοῦ κάμνοντος. ἑτέρους σκοποὺς τῆς τοῦ κατὰ φύσιν σχήματος εὑρέσεως οὓς ἐφεξῆς αὐτὸς διέρχεται γράψας, ἐκ τοῦ ἐλιννύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ἐλιννύοντος μὲν λέγων, τοῦ μηδὲν ὅλως ἐνεργοῦντος, ἀλλ' ἡσυχάζοντος. ἐξ οὗ φησι τὰς ἰθυωρίας λαμβάνεσθαι, καθάπερ ἐπὶ τῆς χειρὸς ἐδίδαξεν, ὑποκεῖσθαι μὲν ἀξιῶν τὸ τοῦ πήχεος ὀστοῦν, ἐπικεῖσθαι δὲ τὸ τῆς κερκίδος, ἐκ δὲ τοῦ κοινοῦ, τὸ μεταξὺ σχῆμα κάμψεώς τε καὶ ἐκτάσεως ἄκρας, ὅπερ ἐγγὺς εἶναί φησι τοῦ ἐγγωνίου σχήματος πήχεος πρὸς βραχίονα, καὶ καλεῖσθαί φασιν ἐγγώνιον σχῆμα τὸ κατ' ὀρθὴν γωνίαν, τουτέστιν ἵνα τὸ τοῦ πήχεος ὀστοῦν πρὸς τὸ τοῦ βραχίονος ὀρθὴν ἐργάζηται γωνίαν. πάντων δὲ τῶν παλαιῶν ἀντιγράφων προσκείμενον ἐχόντων τὸ ἐγγύς, εἰδότων δὲ καὶ τῶν ἐξηγησαμένων τὸ σύγγραμμα, ταύτην τὴν γραφὴν κατὰ δύο τρόπους μοχθηρὸν γίνεται τὸ λεγόμενον. ἐάν τις ἐγγώνιον ἀκούῃ σχῆμα κατ' ὀξεῖαν γωνίαν, ὀξείας δηλονότι γωνίας ὀνομαζομένης, ἥ τις ἂν ἐλάττων ᾖ τῆς ὀρθῆς. ὅταν μὲν εὐθεῖα ἐπ' εὐθείας σταθεῖσα, τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστι. ἡ δὲ τῆς ὀρθῆς ἐλάττων, ὀξεῖα καλεῖται, καθάπερ ἡ μείζων ἀμβλεῖα. καὶ τοίνυν ἡ μὲν ὀρθὴ γωνία κατὰ μέγεθος ἐστί, οὐκ ἔχουσα τὸ μᾶλλόν τε καὶ ἧττον. ἀπερίληπτον δὲ ἀριθμῷ τὸ πλῆθος ἐστί, τῶν ὀξειῶν τε καὶ ἀμβλειῶν ὑπαρχουσῶν. ἀπαρέγκλιτος μὲν γὰρ ἡ ὀρθὴ γωνία, διότι καὶ ἡ ἐφισταμένη κατ' εὐθείας, εὐθεῖαν τηνικαῦτα τὴν γένεσιν ἐργάζεται δυοῖν θατέρων ὀρθῶν γωνιῶν, ὅταν ἀπαρέγκλιτος ἐφίσταται. κέκληκε δὲ αὐτὴν ὀρθὴν ἐργαζομένην γωνίαν, πρὸς τὸ ἕτερον μέρος τῆς ὑποβεβλημένης εὐθείας. καὶ ἡ κλίσις αὐτῆς, τὸ μᾶλλόν τε καὶ ἧττον ἀναρίθμητον ἔχει πλῆθει. οἷον οὖν ἐστι τὴν ὀρθὴν γωνίαν ἑρμηνεῦσαι βουληθέντα λέγειν ἐγγὺς εἶναι τῆς ὀξείας. ἡγεῖται μὲν γὰρ ἡ τῆς ὀρθῆς νόησις, ἕπεται δὲ ἡ τῆς ὀξείας, ὅτι ἡ μὲν ὀρθὴ μία, καθάπερ εἶπον, ἄπειροι δὲ κατὰ πλῆθος αἱ ὀξεῖαι. τὸ μὲν οὖν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ὀξεῖαν τινὰ γωνίαν εἰκότως ἄν τις εἴποι. παμπόλλων γὰρ οὐσῶν αὐτῶν, ταύτην νοήσωμεν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ἥ τις ἂν ἀπολείπεται βραχύ, καὶ μὴ πάνυ τὴν συμβολὴν τῶν ἐργαζομένων αὐτὴν εὐθειῶν ὑποξυνομένην ἔχει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τῶν ἀμβλειῶν παμπόλλων οὐσῶν, ἐκείνας νοήσωμεν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ὅσαι τὴν συμβολὴν τῶν ἐργαζομένων αὐτὰς εὐθειῶν ἔχουσι μετρίως ἀμβλεῖαν. ἐγγὺς δὲ τῆς ὀξείας εἶναι τινὰ γωνίαν, ἀδιανόητον μέν, οὐκ οὔσης μιᾶς τῆς ὀξείας γωνίας * ἐγγώνιον ἔχει σχῆμα, καὶ προσέτι διὰ τὸ μὴ ἐγγώνια διὰ τοῖν δυοῖν, μήτε εὐγώνια, διὰ τῆς εὖ συλλαβῆς κεκλῆσθαι σχήματα, πρὸς μηδενὸς τῶν ἑλλήνων, ὅσα γωνίαν ὀξεῖαν ἔχει. τὰ μέντοι τὴν

ὀρθὴν

ὀρθὴν ἔχοντα γωνίαν οὐγώνια, διὰ τῆς ου διφθόγγου, καὶ διὰ τοῖν δυοῖν γραμμάτοιν καλοῦσιν. μήτι οὖν ἀναγκαῖον
ἐστὶν ἀκούειν ἐγγωνίου τοῦ κατ᾽ ὀρθὴν γωνίαν συγκειμένου σχήματος, ὅπερ γίνεσθαι πέφυκεν, ὅταν ὀρθὴν γωνίαν
ὁ πῆχυς ἐργάζεται πρὸς βραχίονα. ζητεῖν δὲ δεῖ τί προσέθηκεν Ἱπποκράτης τὸ ἐγγύς. ὥσπερ οὖν εἰώθαμεν λέγειν
πολλάκις, δρῶ καὶ νῦν, ἀσαφεῖς λέξεις ἐπιστημονικὴν μὲν οὐκ ἔχουσιν ἐξήγησιν. ἐὰν δὲ τὸ πιθανὸν μετὰ τοῦ καὶ προλε-
γόμενον ἀληθὲς εἶναι, καὶ μὴ μάχεσθαι τῇ γνώμῃ τοῦ συγγράμματος τοῦ συγγραφέως, ἀποδέχεσθαι χρή. τούτου τοίνυν
ἐχόμενος τοῦ σκοποῦ, πειράσομαι τὴν ἐγγὺς φωνὴν ἐξηγήσασθαι. λέγω δὲ τὸ μὲν ἐγγώνιον σχῆμα, τὸ μᾶλλόν τε καὶ ἧττον
οὐκ ἔχειν, ἓν γάρ ἐστιν. ἡμᾶς δὲ μάλιστα μὲν οὐ δύνασθαι τοιοῦτον σχῆμα τῆς χειρὸς ἐργάζεσθαι, καθ᾽ ὃ διαβεβαιώσαιτο ἄν τις
ἀπαρεγκλίτως ὀρθὴν εἶναι γωνίαν, τὴν τῶν ὀστῶν συμβολῆς, ἀρκεῖν ἡμῖν, εἰ μὴ πόρρω τούτου σχηματίσαιμεν, ἔπειτα
δὲ οὐδὲ βούλεται τοιοῦτον σχῆμα τῆς ὅλης χειρὸς εἶναι. ἐπιδείξω γὰρ αὐτῆς τὸ κατὰ φύσιν σχῆμα, πλησίον μὲν τῆς ὀρ-
10 θῆς γωνίας, ἀποκεχωρηκὸς δὲ βραχὺ πρὸς τὴν ἀμβλεῖαν, ὅπερ ἐστὶ πρὸς τὴν ἔκτασιν ῥέπον. ἡ δὲ ἀπόδειξίς μοι τοῦ λό-
γου γενήσεται, δι᾽ ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἔγραψεν. ἐκ γὰρ τοῦ ἐλιννύοντος ἔφη, καὶ τοῦ ἔθεος εὑρίσκειν ἡμᾶς
τὰ κατὰ φύσιν σχήματα. ταῦτα δὲ ἄμφω συντεθέντα σκοπὸν ἕνα ποιεῖ σύνθετον, ὡς εἰ καὶ οὕτως τὶς εἴπῃ, ἐν οἷς
†ἀργοῦντες εἰθίσμεθα σχήμασιν ἕκαστον τοῦ σώματος μόριον ἔχειν, αἱρετέα ταῦτά ἐστιν ἐπὶ τὰς θεραπείας. δῆ- †ἀλγοῦντες
λον γὰρ ὡς ὁ πρῶτος σκοπὸς τῶν ἐπιτηδείων σχημάτων ἐστὶν ἡ ἀνωδυνία. ταύτην οὖν δῆλον ὡς οὐδεὶς τῶν ἀλγούν-
των ὑπερβὰς, ἐν ἄλλῳ ἂν σχήματι τὸ πλεῖστον μέρος τοῦ χρόνου σχηματίσαι τὸ μόριον. ἐὰν οὖν ἐπισκέψῃ τοὺς ἀλγοῦν-
τας ἀνθρώπους, εὑρήσεις ὡς ἐπὶ τὸ πολὺ τὰς χεῖρας κατατιθεμένας οὐκ ἀκριβῶς μέσας ἐκτάσεως ἄκρας, καὶ κάμ-
ψεως ἐσχάτης, ἀλλ᾽ ἐπὶ τὴν ἔκτασιν ῥεπούσας. τὸ δὲ αὐτὸ συμβέβηκε, καὶ ἐπὶ τὴν ἑτέραν ἀντίθεσιν τῶν σχημάτων.
ἐν γὰρ τῷ κεκμηκότι ἀναπεπαῦσθαι μάλιστα ἐρῶμεν οἱ πάντες ἄνθρωποι τὸ ἀνωδυνώτατον σχῆμα. πρὸς μὲν τὸ μέ-
20 σον ἔρχονται τότε ἀκριβῶς ὕπτιοι, καὶ πρηνεῖς ἐσχάτως. ἐκκλίνουσι δὲ βίᾳ βραχὺ πρὸς τὸ πρηνές. ὁ μὲν οὖν Ἱππο-
κράτης ταῦτα διελθεῖν βουλόμενος, προσέθηκε τὸ ἐγγὺς, οὐκ ἔχον διατείνεσθαι. τὸ μέντοι τῶν σχημάτων τῆς χειρὸς
ἁπάντων ἀνωδυνώτατον εἶναι τὸ νῦν ὑπ᾽ ἐμοῦ λεγόμενον. ἀκριβῶς οἴδασιν καὶ ὅσοι τρίβωνές εἰσι τῶν τοιούτων
ἔργων τῆς τέχνης ἀκούσαντες τὸν λόγον τοῦτον, οἱ δὲ ὅτι γνωρίζουσι τὴν κατ᾽ αὐτὸν ἀλήθειαν. ἐνέχεσθαι δὲ δεῖ τὸν ἐξη-
γούμενον ὁτιοῦν σύγγραμμα, τῆς τε τοῦ συγγραφέως γνώμης, καὶ τῆς τοῦ λεγομένου πράγματος ἀληθείας. ἐν οἷς οὖν
ἄδηλός ἐστι διὰ τὴν ἀσάφειαν ἡ τοῦ συγγραφέως γνώμη. τὸ δὲ ἀληθὲς χρὴ φυλάττειν, οὕτως γὰρ ἐπὶ τοὺς μανθάνοντας
ὠφελεῖσθαι συμβήσεται. τοῦτον οὖν τὸν σκοπὸν ἐν ἁπάσαις ταῖς ἐξηγήσεσι πειρῶμαι φυλάττειν. ἔνιοι δὲ τῶν ἐξηγη-
τῶν, οὐδ᾽ ἂν ἐθελήσωσι, τυχεῖν αὐτοῦ δύνανται, τῶν μὲν ἔργων τῆς τέχνης ἀπείρως ἔχοντες. ἐπὶ δὲ τὸ σοφιστικὸν εἶδος
ἐκτρεπόμενοι, καὶ γυμνασθέντες οἱ καλούμενοι λογικοὶ ἰατροὶ, δι᾽ οὓς καὶ οἱ καλῶς χρώμενοι τῷ λόγῳ παρὰ τοῖς ἰδιώ-
ταις ὑποπτεύονται. τούτων μὲν δὴ χρὴ μεμνῆσθαι, κἂν ὀλιγάκις λέγονται, μεταβαίνειν δὲ ἤδη καιρὸς ἐπὶ τὰ συνεχῆ
τῆς προκειμένης ῥήσεως, ὥσπερ τοῦτο ὑπτίου τε πρηνοῦς ἀνωδυνώτατόν ἐστι, καθ᾽ ὃ πλείστῳ χρόνῳ τοῦ βίου συνειθισ-
30 μένοι σχεδὸν ἅπαντές εἰσι. προσχωρεῖ δὲ καὶ τοῦτο τῷ τῆς ἐκτάσεως, ἐν τούτῳ γὰρ τῷ σχήματι πλεῖστον χρόνον ἔχειν
δυνάμεθα τὰ σκέλη μὴ μεταβάλλοντες. ὅτι δὲ ἐπὶ ἀναγκαῖόν ἐστι μὴ μεταλλάττειν εἰς ἕτερον ἧττον ἀνώδυνον, ἐν
τοῖς περὶ μυῶν ὑπομνήμασι δέδεικται μετὰ τῆς οἰκείας αἰτίας μεταβαλεῖν, οὐκ ἀποδείξεως ἀλλ᾽ ἀναμνήσεως χρήζει,
καθάπερ γε καὶ ὅτι διὰ ταχέων ἐπανερχόμεθα πάλιν ἐπ᾽ αὐτοῦ. τὴν δ᾽ αἰτίαν οὐκ ἀναγκαῖον λύεσθαι, μακροτέρου
λόγου δεομένην. ἄμεινον γὰρ ἀντὶ τοῦ τὴν αἰτίαν εἰπεῖν, ἕτερόν τι χρησιμώτερον τοὺς νέους ὠφελεῖσθαι, μετὰ τοῦ φυ-
λάττειν ἀκριβῶς τὴν Ἱπποκράτους γνώμην, καταλελεγμένην πρὸς ἡμῶν ἐν ταῖς περὶ μυῶν κινήσεσιν. ἐν γὰρ τῇ
τοῦ βραχίονος πρὸς τὸν πῆχυν διαρθρώσει, τὸ κατὰ φύσιν ἐστὶ σχῆμα μέσον τῶν ὑπερβολικῶν ἑκατέρου, καθ᾽ ὃ μήτε
ἐκτεῖναι, μήτε κάμψαι μᾶλλον ἔτι δυνάμεθα, καὶ φαίνεταί γε τυγχάνον τῆς σαρκὸς τῶν ὀστῶν γυμνουμένων, ἡ τοῦ πή-
χεος βαθμοῦ, ἣν ὁρίζουσιν αἱ δύο κορῶναι. πεπληρωμένη δὲ καὶ ὡς ὑπὸ τῆς γιγγλυμοειδοῦς τοῦ βραχίονος περιφε-
ρείας, ἣν οἱ μέσοι περιλαμβάνουσι κόνδυλοι. κατὰ δὲ τὰς ἐσχάτας ἐκτάσεις, ἡ ὄπισθεν κορώνη τοῦ πήχεος εἰς τὴν
40 ὀπίσω βαθμίδα τοῦ βραχίονος ἐμβαίνουσα, καθάπερ ἡ πρόσθεν ἐν ταῖς ἐσχάταις κάμπαις, καὶ ὅσοι φύσει θατέραν
ἔχουσι τὴν ὀπίσω κοιλότητα πλέον τῆς ἄκρας ἐκτάσεως, εἰς τὴν ἐκτὸς χώραν ἀπάγουσι τὸν πῆχυν, ὥσπερ αὖ πά-
λιν οἱ τοῦ προσήκοντος ἐνδεέστεροι, οὐκ ἀκριβῶς ἐκτείνουσιν. ὡς δὲ αἱ κατασκευαὶ τῆς διαρθρώσεως οὐχ ὅμοιαι πᾶσιν
εἰσὶν, οὐδὲ ἀκριβεῖς ὅροι τῆς ἐκτάσεως ἐπὶ πάντων, οὕτως οὐδὲ ἡ μεσότης ἡ αὐτὴ πᾶσιν ἔσται. ὅταν οὖν τὸ μῆκος τῆς
ἄκρας ἐκτάσεως καὶ κάμψεως σχῆμα κατὰ φύσιν εἶναι λέγομεν, οὐ κατακριβωμένως, ἀλλ᾽ ἐν πλάτει νοεῖσθαι τὸ
χρὴ τὸ μέσον τοῦτο. καλεῖ δὲ ὁ Ἱπποκράτης αὐτὸ κοινόν, ἀλλ᾽ ὥσπερ ἀδύνατόν ἐστι κατὰ τὸ ἀκριβέστατον ἐν μέσῳ σχή-
ματι καθιστάναι τὴν χεῖρα, καθ᾽ ὃ μηδὲ βελόνης πάχος ἐλεῖν, ἢ προσθεῖναι δυνατόν ἐστιν, οὕτως οὐ χρὴ μέσου τοῦδε πόρ-
ρω σχηματίζειν τὴν χεῖρα. κατὰ τοῦτο γὰρ ὁ τεχνικὸς στοχασμὸς, τοῦ μὴ τεχνικοῦ διαφέρει. τοῦ μὲν τεχνικοῦ πλησίον
ἀφικνουμένου τῆς ἀκριβοῦς συμμετρίας, τοῦ δὲ ἰδιώτου πλεῖστον, ὅσον ἐνίοτε σφαλλομένου. δύναιτο ἂν οὖν καὶ κατὰ
τοῦτο ὁ Ἱπποκράτης συμβουλεύειν τὸ ἐγγὺς τοῦ ἐγγωνίου σχήματος φυλάττειν, ἐγγώνιον μὲν καλῶν τὸ κατ᾽ ὀρθὴν γωνίαν,
50 ἀξιῶν δὲ στοχαζομένους ἡμᾶς αὐτῆς μὴ πόρρω τῆς ἀκριβοῦς ἀφικνεῖσθαι συμμετρίας. ὃ δὲ ἔφην ἐγὼ διδάξειν τοὺς νέους
χρησιμώτατον ὂν τὰ παρόντα, καὶ δὴ φράσω, μεγίστην ἐν πᾶσι τοῖς κατ᾽ ἰατρικὴν δύναμιν ἔχειν τὸ ἔθος, ὡς
ἐπίκτητον αὐτὸ φύσιν ὑπὸ τῶν μεγίστων ἰατρῶν ὀνομάζεσθαι. φαίνεται δὲ καὶ Ἱπποκράτης ἐν τοῖς ἀναγκαιοτάτοις
σκοποῖς ἀεὶ τιθέμενος αὐτὸ, καὶ δύναμιν ἐνδείξεως ἀπονέμων δευτέραν ἐπὶ προτέρας δηλονότι τοῦ κατὰ φύσιν
ὑπέλαττον εἶναι τὴν κατ᾽ αὐτὴν ἀκριβῶς ἰδέαν σχήματος, ὡς ἐπὶ πάντων τῶν καμνόντων ποιεῖσθαι, ἀλλ᾽ ὑπαλ-
λάττειν ἐφ᾽ ἑκάστου τοῖς ἔθεσιν. ὁ μὲν οἰκείως ἐνίους μὲν ἑώρων δι᾽ ὅλης ἡμέρας καθημένους, ὅσοι τέχνας ἑδραίας ἔχουσιν,
ἐνίους δὲ ἑστῶτας, ἢ βαδίζοντας. εὔλογον οὖν ἔδοξέ μοι μᾶλλον ἐκτεταμένον σχηματίζειν τὸ σκέλος, ἐφ᾽ ὧν εἴθισται
πλείστῳ χρόνῳ τοῦτο ἔχειν τὸ σχῆμα, καθάπερ καὶ ἧττον ἐκτεταμένον, ἐφ᾽ ὧν δι᾽ ὅλης ἡμέρας κέκλιται, καὶ τῇ πείρᾳ
μεταβασανίσας, αὐτὸ τοιοῦτον εὗρον ὑπάρχειν ὁποῖον καὶ ἤλπισα. καὶ περὶ τῶν χειρῶν κατὰ τὸν αὐτὸν λόγον δεῖ

μὲν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος χρῆναι σχηματίζειν αὐτάς, ἀλλὰ εἰς τὸ μᾶλλόν τε καὶ ἧττον ἐκ τῶν θέσεων λαμβάνειν τὴν ἔνδειξιν. ἐπεὶ δὲ καὶ διὰ τῆς πείρας ἁπάσας τὰς λογικὰς οἱ ἄνθρωποι ἐπινοίας κρίνουσιν, ἐμαρτυρήθη τὸ πρᾶγμα βεβαίαν ἤδη τὴν πρόγνωσιν ἔχον, οὐδὲ τοῦτ' ἐφθόνησαν τῆς εὑρέσεως. ὑπὸ πάντων οὖν τῶν φίλων βασανισθὲν τὸ θεώρημα, βέβαιον ἤδη γέγονεν χρησιμώτατον εἰς τὰ τοιαῦτα, καὶ τὸν Ἱπποκράτην τοίνυν εἴπομεν ὑπαλλάττειν μὲν ἀξιοῦν τὸ ἀκριβὲς ἐγγώνιον σχῆμα τῇ διαφορᾷ τῶν ἐθῶν, τὴν ἀλλαγὴν δὲ βραχεῖαν ποιεῖσθαι, τουτέστιν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος.

Ἐν δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος ὅμοια ταῦτα ἔχουσιν, εἰς ἕξιν, ἢ θέσιν, μύες, φλέβες, νεῦρα, ὀστέα, ἢ μάλιστα εὔθετα καὶ εὔοχα.

Ταῦτα καὶ πρόσθεν εἴρηται, κἂν παντελῶς αὐτὰ παρέλθοι τις, οὐδὲν ἡ διδασκαλία βλαβήσεται. συμβαίνει δὲ ἐν τοῖς τοιούτοις βιβλίοις, ὅσα πολλῶν πραγμάτων ἑρμηνείαν ἔχει διὰ βραχείας λέξεως, ἄλλως καὶ ἄλλως ἐνίοτε τὸν γραφέα τὰ αὐτὰ πράγματα γράφειν, ἑαυτὸν σκοπούμενον ᾗ τινι λέξει χρήσηται μᾶλλον, εἶθ' τὰ τὸν βιβλιογράφον. ἐνίας μὲν αὐτῶν ἐν τοῖς μετώποις γεγραμμένας, ἐνίας καὶ κατὰ τοῦ μετώπου πάσας ἔγραψε τῷ ἐδάφει τοῦ συγγράμματος, ἐν ᾗ κάλλιστα τάξει δόξουσιν εὐλόγως ἐγκεῖσθαι. τὸ γοῦν κατὰ τὴν προκειμένην λέξιν δηλούμενον ἐστὶ τοιοῦτον, πλείονας ἔφην εἶναι καιροὺς τῷ θεραπευομένῳ. πρῶτον ἐν ᾧ παραγίνεται πρὸς τὸν ἰατρὸν, ἐν τινι σχήματι πάντως ἔχων τὸ πεπονθὸς μόριον, εἶθ' ἑξῆς ἄλλον, ἐν ᾧ κατασκευάζεσθαι τοῖς ἰατροῖς ἑαυτὸν παρέχει γνωριζομένοις τί τό, τε συμβεβηκὸς αὐτῷ πάθημα ἐστὶ, καὶ τίνος δεῖται παρασκευῆς εἰς θεραπείαν. εἶθ' ἑξῆς ὁ τῆς τούτων παρασκευῆς χρόνος, καὶ μετ' αὐτὸν ὁ τῆς διατάσεως, εἶτα μετὰ τοῦτον ἐπὶ μὲν τῶν καταγμάτων, ὁ τῆς διαπλάσεως, ἐπὶ δὲ τῶν ἐξαρθρημάτων, ὁ τῆς ἐμβολῆς, εἶθ' ὁ τῆς ἐπιδέσεως μετὰ τοῦτον. ὕστατος δὲ πάντων ὁ τῆς ἀναλήψεως μὲν ἐπὶ χειρὸς, ἀποθέσεως δὲ ἐπὶ σκέλους, καὶ τῶν κατὰ νῶτα καὶ κεφαλὴν χωρίων. ἕξιν οὖν εἴρηκεν ἐν τῇ προκειμένῃ λέξει, παρὰ τὸ ἔχειν τὴν ἐν τῷ μετὰ τὴν ἐπίδεσιν καιρῷ κατάστασιν τῶν ἐπιδεδεμένων. ἀντιδιήρηκε δὲ αὐτῇ τὴν θέσιν ἐπιτιθεμένων, ἢ τριῶν γιγνομένων, ἅπερ ἐστὶ τὰ σκέλη, καὶ ἡ κεφαλὴ, καὶ ἡ σύμπασα ῥάχις, ὡς τὴν ἕξιν ἡμῶν ἀκούσωμεν ὡς ἐπὶ τῶν ἄλλων, οἷον ἐπί τε κλειδῶν, καὶ χειρῶν, καὶ πλευρῶν. ἀκρωμίου τε καὶ ὠμοπλάτης, καὶ γένυος ἑκατέρας, καὶ εἴ τι ἄλλο τοιοῦτον. βούλεται γὰρ ἐν τῇ μεταβολῇ τῶν εἰρημένων χρῆναι τὰ πεπονθότα μόρια, τὰ μὲν κεῖσθαι καλῶς, καὶ ὅσα δύναταί γε θεῖναι, τὰ δὲ δέχεσθαι καλῶς, ἃ μὴ δύναται τιθέναι. εὔθετα μὲν ὠνόμασε τιθέμενα, εὔοχα δὲ τὰ ἄλλα. τὰ μὲν γὰρ ἄλλα κατὰ τοὺς εἰρημένους αὐτῶν ἐστὶν ἕτερα. κοινὸν δὲ ἐν πᾶσιν ἓν ταυτόν ἐστι, τὸ κατὰ φύσιν σχῆμα τοῦ μορίου. ἀποβλέπειν οὖν εἰς τοῦτό γε κελεύει στοχαζόμενον, τοῦ τε τελευταίου καιροῦ, τὴν γενομένην ἐπίδεσιν φυλάττοντα ἐν χρόνῳ πλείονι. ἐὰν οὖν ἐν ἄλλῳ σχήματι τὴν ἐπίδεσιν ποιησάμενοι μεταβάλλωμεν εἰς ἄλλο περὶ τὸν ὕστατον καιρὸν ἡ θέσις ὑπαλλαχθήσεται τῶν μυῶν, καὶ τῶν νεύρων, καὶ τῶν φλεβῶν, καὶ οὔτε εὔθετα, οὔτε εὔοχα ἔσται, τουτέστιν οὔτε καλῶς ἀποκείμενα, οὔτε καλῶς ἀνειλημμένα.

Διάτασις μάλιστα τὰ μέγιστα, καὶ πάχιστα, καὶ ὁμαλὰ, καὶ ὅκου ἀμφότερα. δεύτερα ὧν τὸ ὑποτεταγμένον, ἥκιστα, ὧν τὸ ἄνω.

Ἡ διάτασίς φησι μάλιστα γίνεται κατ' ἐκεῖνα τὰ μόρια καθ' ἃ μέγιστα καὶ πάχιστά εἰσι τὰ ὀστᾶ, καὶ τὰ περὶ αὐτὰ σώματα, τουτέστιν οἱ μύες. οὗτοι γάρ εἰσιν οἱ μάλιστα κατατείνεσθαι δεόμενοι, διότι καὶ μάλιστα ἀνασπᾶσθαι πεφύκασιν ἐπὶ τὰς ἑαυτῶν κεφαλάς. ἔστι δὲ τοιοῦτον μόριον ὁ μηρὸς, εἶθ' ἑξῆς βραχίων, καὶ κνήμη, καὶ μετ' αὐτὸν ὁ πῆχυς. εἶτα τὰ κατ' ἄκραν χεῖρα καὶ πόδα, ἐξαιρουμένων ἐν τῷ παρόντι τῶν περὶ ῥάχιν. ἀλλὰ καὶ ὅκου φησὶν ἀμφότερα τὰ ὀστᾶ πεπόνθεν, ἀλλὰ μᾶλλον χρὴ διατείνειν ὡς ἐπὶ πήχεος, καὶ κερκίδος. ἥκιστα δὲ, τουτέστιν ἐλάχιστα, καὶ μετριώτατα ὄντα ἄνω, καθάπερ ἐπὶ χειρὸς ἡ κερκίς, ἅπαντα δὲ ταῦτα, ὡς ἔφην ἐν τῷ περὶ ἀγμῶν ἐξείργασται.

Μᾶλλον δὲ τοῦ μετρίου βλάβη, πλὴν παιδίων ἔχειν ἀνάντη σμικρῶν.

Παιδίων μὲν ἧττον τοῦ συμμέτρου γιγνομένη διάτασις, ἐάν τε ἐπὶ καταγμάτων, ἐάν τε ἐπὶ ἐξαρθρημάτων μόνην ἀποτυχίαν φέρει. διαπλάσεως μὲν ἐπὶ τῶν καταγμάτων, ἐμβολῆς δὲ ἐπὶ τῶν ἐξαρθρημάτων. ἡ μὴν ἀλλ' ἥγ' ἔτι βλάβην ἰδίαν ἔχει, καθ' ἃ ἡ μᾶλλον αὕτη ὀδυνηρὰ μὲν ἐνηργημένη. φλεγμονὰς δὲ ἐξ ὑστέρου καὶ πυρετοὺς, καὶ σπασμοὺς, ἐνίοτε καὶ παραλύσεις ἐπιφέρει, καθάπερ Ἐρασίστρατος ἑωρακέναι φησὶν ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου διαταθέντος ἐπὶ πλέον. ἧττον δὲ οἱ παῖδες τῶν ἄλλων ἐπὶ τῇ πλεονασθείσῃ τάσει βλάπτονται, διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων. ὡς γὰρ οἱ μὲν ὑγροὶ καὶ μαλακοὶ τῶν σωμάτων, ἀλύπως ἐπὶ πλέον ἐκτείνονται, ῥήγνυνται δὲ οἱ σκληροὶ καὶ ξηροὶ, κατὰ τὸν αὐτὸν τρόπον καὶ οἱ μύες, καὶ τὰ νεῦρα, τὰ μὲν ὑγρὰ καὶ μαλακὰ, ῥᾳδίως ὑπακούοντα ταῖς τάσεσιν, οὔτε ὀδυνᾶται σφοδρῶς, οὔτε ἀπορρήγνυται. τὰ δὲ σκληρὰ καὶ ξηρὰ, διὰ τὸ μὴ δύνασθαι χωρὶς μεγάλης βίας ἐκταθῆναι, σφοδρὰς ὀδύνας ἐπιφέρει, οὐ μόνον κατὰ τὰς ὑπερβαλλούσας τάσεις, ἀλλὰ κατὰ συμμέτρους. ἐν αὐτῷ δὲ τούτῳ καὶ σπῶνται, καὶ ἀπορρήγνυνται μυῶν καὶ νεύρων ἶνες. οὐκοῦν τούτων τι γίγνεται τοῖς παιδίοις, οὔτε αὐτοῖς ἀκολουθοῦσιν αἱ φλεγμοναὶ, καὶ δι' αὐτὰς πυρετοὶ, καὶ παραφροσύναι, καὶ σπασμοὶ, καὶ παραλύσεις. αὐτὸς μὲν οὖν ἐπὶ παιδίων ἐποιήσατο τὸν λόγον. ἡμᾶς δὲ δεῖ μεταφέρειν αὐτὸν ἐπὶ εὐνούχους τε καὶ γυναῖκας, καὶ τοὺς ἐκ φύσεως, ἢ ἔθους ὑγροὺς, καὶ μαλακοσάρκους. αἱ τοιαῦται γὰρ κράσεις τῶν σωμάτων, καὶ ὑπακούουσί τε τῇ τάσει ῥᾳδίως, οὐδεμία τε βλάβη μεγάλη δι' αὐτὸ τοῦτο, κἂν πλεονασθῶσιν, ἀκολουθεῖν αὐτοῖς εἴωθεν. ὅσοι δὲ δι' ἔθος, ἢ φύσιν ἐσκλήρυναν τὸ σῶμα, μόγις μὲν ὑπακούουσι τῇ τάσει, καὶ διὰ τοῦτο καὶ ἧττον αὐτοὺς κατατείνεσθαι πρὸς τῶν ἰατρῶν αὐτὸς ἔφη. μεγάλας δὲ καὶ τὰς βλάβας ἴσχουσιν ἐπὶ ταῖς ἀμετροτέραις τάσεσιν, ἔχειν ἀνάντη σμικρὸν, καὶ τοῦτο ὁμοίως τῷ πρὸ αὐτοῦ δὶς αἱρεῖται. πρότερον δι' ἀσφάλειαν ἕνεκα τὰ πικρά. τὰ γὰρ ἐναντία, διὰ τὴν ὀδύνην βλαβερά.

Διαρ-

Διαρθρώσιος παράδειγμα τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ ὑγιές.

Οὐχ ὁμώνυμον ἀλλὰ συνώνυμον εἰρῆσθαι βέλτιον ἦν, εἴγε τοὺς ὄντας ὁμωνύμους, ὃ μὴ προσείρηκεν. ἄνθρωπος δ' ἀνθρώπῳ συνώνυμός ἐστι, καὶ Ἱπποκράτης Ἱπποκράτει, καὶ κύων χερσαῖος, τῷ χερσαίῳ, καθάπερ ὁ θαλάττιος, τῷ θαλαττίῳ. ὅσα γὰρ οὖν τῶν ὀνομάτων ἓν εἶδος, ἐν πολλοῖς τῶν κατὰ μέρος σημαίνει, συνωνύμως ἐπ' αὐτῶν λέγεται. ὅσα δὲ ὡς διαφερόντων καταγορεῖται, ταῦτα ἔθος ἡμῖν ἐστι λέγειν ὁμώνυμον κατηγορεῖσθαι. τὰ δὲ ὑποκείμενα καὶ δηλούμενα πρὸς αὐτῶν, ὁμώνυμα ὑπάρχει. καὶ ἡ χεὶρ οὖν τῇ χειρὶ ταυτὸν εἶδος ἔχουσα, ὡς ὁμώνυμον εἶναι λέγοιτο, τοῦτο μὲν τὸ ὀνομάτιζειν τισὶν, οὐ μεγάλης ἄξιον σπουδῆς. τὰ δ' ἐφεξῆς εἰς αὐτὴν τὴν τέχνην διαφέρει. κελεύει γάρ σε διαρθροῦν τὰ πεπονθότα σώματα, παραδείγματι χρῆσθαι τῷ ὁμωνύμῳ καὶ ὁμοζύγῳ, καὶ ὁμοίῳ, καὶ ὑγιεῖ. ὁμωνύμῳ ἐν τῷ παραβάλλειν βραχίονι βραχίονα, καὶ πήχει πῆχυν, καὶ μηρὸν μηρῷ, καὶ κνήμην κνήμῃ. ὁμοζύγῳ δὲ καθ' ἕνα τὸν αὐτὸν ἄνθρωπον, οὐκ ἄλλων ὥσπερ κἀν τῷ περὶ ἄρθρων ἐδήλωσεν εἰπὼν, μὴ τὰ ἀλλότρια ἄρθρα καταθεωροῦντα. προστίθησι δὲ τῷ ὁμοζύγῳ τὸ ὅμοιον. ἐνδέχεται γὰρ ὁμόζυγον μὲν εἶναι τὸ παραβαλλόμενον, οὐ μὴν ὅμοιόν γε. πολλάκις γὰρ ὁ ἕτερος βραχίων ἠτρόφησε κατά τινα διάθεσιν, ἢ ἀπόστασιν ἔσχεν, ἢ βλαισὸν τὸ σκέλος, ἢ ῥαιβὸν ἐγένετο, διὸ καὶ πάλιν ἐπήνεγκε τὸ ὑγιὲς, οὐκ ὀκνήσας πάντως τῇ δυνάμει εἰπεῖν αὐτὸ, ἕνεκα τοῦ μηδὲν ἡμᾶς παρακοῦσαι. τὸ γὰρ ὁμόζυγον, ὑγιὲς πάντως ἐστὶν, ἂν ὅμοιον, ἢ πλησίον, ἢ ἀμφότερα φθάνοι κατ' αὐτὸν τρόπον πεπονθέναι. τοῦτο δ' ἐπ' ἄλλων, ἀλλὰ τοῦτο δεησόμεθα τὸ ὁμοίως προσθεῖναι, τὸ δ' ὑγιὲς, ἀρκέσει μόνον ὑγιὲς εἰπεῖν ἐν ἑαυτῷ, καὶ τὸ ὅμοιον περιέχον. ἴσως οὖν ἀμφότερα γεγραφότος αὐτοῦ τοῦ Ἱπποκράτους, ὡς ἐν ἄλλοις συνέβη τὸ ἐγγραφόμενον, οὐ τὸ ἕτερον αὐτῶν, ἀλλὰ μὴ τὰ δύο γράψαι.

Ἀνάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι. ἡ σκληρὴ δῆσαι, ἡ μαλακὴ λῦσαι, ἡ πολλὴ μινυθῆσαι, ἡ μετρίη παχῦναι.

Δῆσαι μὲν λέγει τὸ πυκνῶσαι, λῦσαι δὲ τὸ ἀραιῶσαι καὶ μαλακῦναι, μινυθῆσαι δὲ τὸ ἰσχναῖναι. τὴν μὲν οὖν σκληρὰν τρῖψιν εἰκὸς δήπου, καὶ τὴν τριβομένην σάρκα παραπλησίαν ἑαυτῇ ποιεῖν, ἐν τῷ πιλεῖν τε καὶ θλίβειν αὐτήν. οὕτως δὲ καὶ τὴν μαλακὴν τρῖψιν, ὁμοίαν ἑαυτῇ καὶ τὴν σάρκα κατασκευάζειν, ὡς αὖ τῇ σκληρᾷ τἀναντία δρῶσαν. τὴν δὲ πολλὴν διαφορεῖσαν ἐπὶ πλέον, ἰσχναίνειν εὔλογον. ἀνατρέφειν δὲ καὶ σαρκοῦν οὐχ ἁπλῶς τὴν ἀντικειμένην τῇ πολλῇ τὴν ὀλίγην, ἀλλὰ τὴν μετρίαν, ὅπερ εἶπε καὶ πρόσθεν ἐπὶ τῆς τοῦ θερμοῦ ὕδατος χρήσεως. ἡ γὰρ παντελῶς ὀλίγη τρῖψις, ὁμοίως τῇ βραχείᾳ καταχύσει τοῦ ὕδατος οὐδὲν αἰσθητὸν ἐργάζεται. μέχρι τοσούτου τοίνυν χρὴ τρίβειν ἕνεκα σαρκώσεως ἄχρι περ ἂν ἐκφανῇ τὰ αὐτὰ γνωρίσματα τοῖς ἐπὶ τῆς μετρίας καταχύσεως εἰρημένοις ἐν τῇ λέξει, καθ' ἥν φησιν, ἔτι μετεωριζομένου δεῖ, πρὶν συμπίπτειν παύεσθαι. τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται. ὅτι δ' οὐδὲν λείπει περὶ τῶν ἔργων τῆς ἀνατρίψεως, ἐν τῷ δευτέρῳ τῶν ὑγιεινῶν ἐπιδέδεικταί μοι. γιγνώσκειν μέντοι χρὴ καὶ τοῦτο τοῖς πολλοῖς ἀγνοούμενον, ὡς οὐ τὴν ἐκ τῶν κάτω μερῶν ἄνω γιγνομένην τρῖψιν ὀνομάζουσιν οἱ Ἕλληνες, ἀλλ' ἅπασαν ἁπλῶς αὖ ἐπιτελουμένην, καὶ σπάνιόν γε ἐστὶ τὸ τῆς τρίψεως ὄνομα παρ' αὐτοῖς εὑρεῖν. ἀνάτριψιν γὰρ ἔθος ἐστὶν αὐτοῖς ὀνομάζειν, ὃ νῦν ἡμεῖς τρῖψιν καλοῦμεν.

Ἐπιδεῖν δὲ τὸ πρῶτον, ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σίνος, ἥκιστα τὰ ἄκρα. ἡρμόσθαι δὲ μὴ πεπιέχθαι τῷ πλήθει μὴ ἰσχύϊ. τὴν δὲ ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον, τὴν δ' ὑστέρην ἧσσον, τρίτῃ χαλαρά. εὑρεθήτω δὲ τῇ μὲν ὑστεραίῃ ἐν ἄκροις οἴδημα μαλθακὸν, τῇ τρίτῃ δὲ, τὸ ἐπιδεθὲν λυθὲν, ἰσχνότερον παρὰ πάσας τὰς ἐπιδέσιας τοῦτο. τῇ δ' ὑστεραίῃ ἐπιδέσει, ἣν δικαίως ἐπιδεδεμένον φανῇ, μαθεῖν δεῖ. ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλέοσιν πιεχθήτω. τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον καὶ ἐπὶ πλείοσιν. τῇ δὲ ἑβδόμῃ, ἀπὸ τῆς πρώτης ἐπιδέσιος λυθέντα, εὑρεθήτω ἰσχνά, χαλαρὰ τὰ ὀστέα. ἐς δὲ νάρθηκας δεθέντα, ἢν ἰσχνὰ καὶ ἄκνησμα καὶ ἀνέλκεα ᾖ, ἐὰν μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος. ἢν δέ τι ὑποπτεύηται, λῦσαι ἐν μέσῳ, νάρθηκας διὰ τρίτης ἐρείδειν, ἡ ἀνάληψις, ἡ αἴσθησις, ἡ ἐπίδεσις, ὡς ἐν τῷ αὐτῷ ᾖ διαφυλάσσειν.

Ἑρμάσματα μὲν ὅτι τὰ ἐρηρεισμένα λέγουσιν οἱ Ἕλληνες, εὔδηλόν ἐστι κἀκ τῆς περὶ τοῦ ποιητοῦ λεχθέντος οὕτω, ὑπὸ δ' ἥρεον ἕρματα νηῶν. ἀνάλογον δὲ αὐτῷ τὸ ἡρμόσθαι, τὸ οἷον ἐρηρεῖσθαι καὶ ἐστηρίχθαι δηλοῖ. τοῦτ' οὖν διὰ τὸ πλῆθος τῶν ὀθονίων μᾶλλον, ἢ τῆς ἰσχύος γίγνεται. κελεύει δὲ ἰδίως τὴν ἐκ τῆς ἐπιδέσεως θλῖψιν. εἴρηται δὲ καὶ περὶ τοῦδε, καὶ περὶ τῶν ἄλλων ἁπάντων ὅσα κατὰ τὴν προκειμένην ῥῆσιν, καὶ τὰ ἐφεξῆς γέγραπται τελεώτατα, διά τε τοῦ περὶ ἀγμῶν, καὶ τοῦ περὶ ἄρθρων λανθανόντων ἐξηγεῖσθαι καὶ μεταφέρειν εἰς τόδε τὸ βιβλίον, ὅσα τελέως ἐν ἐκείνοις εἴρηται, καὶ διὰ τοῦτο καὶ σαφῶς οὐχ ἡγοῦμαι προσήκειν. αἰσχρὸν γάρ μοι ἐστὶν αὖθις τὰ ἀεὶ ζήλως εἰρημένα μυθολογεῖν, οὐ πάντων δυνατώτατον, ἑρμηνεύειν τὸ νοηθὲν οὐκ ἐμοῦ μόνον φησίν. ὑπερβὰς οὖν αὐτὰ (καὶ γὰρ σαφῶς εἴρηται τοῖς ἀνεγνωκόσι τὸ περὶ ἀγμῶν, καὶ περὶ ἄρθρων) ἐπὶ τὰ συνεχῆ τρέψομαι.

Κεφάλαια, σχημάτων ἔθη, φύσεις ἑκάστου τῶν μελέων. τὰ εἴδεα ἐκ τοῦ ῥέφειν, ὁδοιπορέειν, ἑστάναι, κατακεῖσθαι, ἐκ τοῦ ἔργου, ἐκ τοῦ ἀφεῖσθαι.

Εὔδηλον κατ' αὐτῆς τῆς ῥήσεως ὅτι τὸ βιβλίον τοῦτο γεγραμμένον ἐν τύποις ἐξεδόθη μετὰ τὸν τοῦ γράψαντος αὐτοῦ θάνατον, εἰώθασι γὰρ οἱ τὰ τοιαῦτα ἐγγράφοντες, δηλῶς ὑπὸ τοῦ συγγραφέως γραφέντα, ἢ ἔξωθεν ἕνεκα τοῦ

διασκέψασθαι ποτέροις ἀμείνοσι αὐτοῖς ἑρμηνεῦσαι, ταῦτα ἐγγράφειν αὐτῷ τῷ συγγράμματι. τίς γὰρ πεισθεῖσαι δύναται δὶς τὰ αὐτὰ γράψαι βουληθῆναι ἐν τούτῳ τῷ βιβλίῳ, μηδεμιᾶς ἀνάγκης οὐ λόγου γενομένης; ἔτι δὲ μᾶλλον ἐν ᾧ βραχυλογίαν ἐσχάτην ἐπετήδευσεν, ἀλλ' ἐπειδὴ τοῖς πρὸ ἡμῶν ἔδοξε, καὶ τὰ τοιαῦτα ἐξηγῆσαι, καὶ ἡμεῖς αὐτοῖς ἀκολουθήσωμεν. ὅταν μὲν οὖν τὰ κεφάλαια τῶν σχημάτων ἐν ἴσῳ τῶν σκοπῶν εἴρηκεν εἰς οὓς ἀποβλέποντες εὑρήσομεν ἐφ' ἑκάστῳ μορίῳ αὐτὸ οἰκεῖον σχῆμα, πρόδηλόν ἐστι. καὶ μὲν δὴ καὶ ὅτι τὰ ἔθη τῶν σκοπῶν τούτων εἷς ἐστι, εἴρηται καὶ πρόσθεν ἐν τῇδε τῇ ῥήσει. πάρεξις δὲ καὶ διάτασις καὶ κατάτασις, καὶ τἄλλα κατὰ φύσιν. φύσις δὲ ἐν μὲν ἔργοις τοῦ ἔργου τῇ πρήξει ὃ βούλεται τεκμαρτέον. ἔστι δὲ ταῦτα ἐκ τοῦ ἐλιννύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ἐκ μὲν ἐλιννύοντος καὶ ἀφειμένου, τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός. ἐκ δὲ τοῦ κοινοῦ, ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα. ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερα, οἷον σκέλεα ἔκτασιν. ἀπὸ τουτέων γὰρ ῥῆστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα. ταῦτα γεγραφὼς, ἔμπροσθεν αὐτὴν πως οὐκ ἂν αὖθις ἔγραψεν αὐτῶν φαυλότερα κατὰ τὴν προκειμένην ῥῆσιν. προειπὼν γὰρ ἐν αὐτῇ ἔθεά τε καὶ φύσιας ἑκάστου μελέων, ἑξῆς τὰ εἴδεα, τουτέστι τὰς διαφορὰς αὐτῶν ἐκ τῶν ἐνεργειῶν γνωρίζεσθαι βούλεται. τινὲς δὲ καὶ προσέγραψαν τὰ εἴδεα τῶν μελῶν, ἵνα ἡ λέξις οὕτως ἔχῃ, τὰ εἴδεα τῶν μελῶν. περὶ γοῦν σκελέων, ὡς ἐπὶ παραδείγματος ἔφη ἐκ τοῦ τρέχειν, ὁδοιπορέειν, ἑστάναι. καὶ μετὰ ταῦτα προσέθηκεν ἐκ τοῦ κατακεῖσθαι, ὅπερ ταυτόν ἐστι τῷ προγεγραμμένῳ ῥήματι τῷ ἐλιννύειν. καὶ μέντοι καὶ πάλιν ἐφεξῆς τούτων εἰπὼν, ἐκ τοῦ ἔργου, καὶ τοῦ ἀφεῖσθαι. τὸ μὲν ἔργον, ἀντὶ τοῦ κατὰ μέρος ἔργων ἔλαβε τοῦ τρέχειν, καὶ ὁδοιπορέειν, καὶ ἑστάναι. τὸ δ' ἀφεῖσθαι, ἀντὶ τοῦ ἐλιννύειν, ὥστε οὐδὲν πλέον ἐν τῇδε τῇ ῥήσει δεδήλωκεν ἔργων καὶ ἡσυχίας. οὐδὲ γὰρ ὅτι φύσεις ὠνόμασε μελῶν ἐν ἀρχῇ τῆς ῥήσεως ἡγητέον αὐτὸν, ἀλλὰ τοῦτο τρίτον σχῆμα τῶν κεφαλαίων εἰρηκέναι. μηδὲν γὰρ ἄλλο τῆς φύσεως εἰρηκότα γνώρισμα, παρὰ τὰ ἔργα τὸ ὅλον ὧδε ἔχει, καθάπερ ἐν τῇ μικρὸν ἔμπροσθεν εἰρημένῃ ῥήσει γέγραπται κατὰ πάντας τοὺς καιροὺς, τῆς θεραπείας τῶν κατὰ χειρουργίαν παθῶν ἐν σχῆμα φυλάττεσθαι χρὴ τὸ κατὰ φύσιν τοῦ μορίου. εὑρεθήσεται δὲ τοῦτο φησὶν ἔκ τε τοῦ ἐλιννύοντος καὶ ἀφειμένου, τουτέστιν ὅταν ἡσυχάζῃ τις, ἔκ τε τοῦ κοινοῦ, τουτέστι τὸ μεταξὺ τῶν ὑπερβολικῶν, ἔκ τε τοῦ ἔθεος, ἐν ᾧ δῆλον ἐστι τὰ ἔργα, καὶ τὸ ἐλιννύειν περιέχεται, καὶ τὰ δύο ταῦθ' ἕξομεν γενικώτατα γνωρίσματα τοῦ κατὰ φύσιν ἑκάστῳ μορίῳ γενομένου σχήματος, τό τε μέσον τῶν ὑπερβολῶν αὐτὸ καὶ ἔθος. ἐγὼ δὲ ἐν τοῖς περὶ μυῶν κινήσεως ὑπὲρ τούτων διελθὼν, καὶ τὴν κατασκευὴν τῶν μορίων, ἣν ἐξ ἀνατομῆς εὑρίσκομεν, ἐνδεικνύμενος τὰ κατὰ φύσιν σχήματα τῶν μορίων, ὡς κἀν τῷ περὶ ἀγμῶν αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξε. δύναται δὲ ἄλλως ἄλλοις ὀνόμασί τε καὶ ῥήμασι χρώμενος περὶ τῶν εἰρημένων πραγμάτων ἕτερα φαίνεσθαι λέγειν, οἷον καὶ ὅταν τις φαίη τὸ ἀνώδυνον. οὐ γὰρ ἄλλῳ σχήματι εὑρήσει, πλὴν τοῦ κατὰ τὸ ἐλιννύειν εἰθισμένου. τὸ δὲ αὐτὸ τοῦτο, καὶ μέσον ἐστὶ τῶν ὑπερβολικῶν. ἀλλὰ κἀκ τῆς κατασκευῆς τῶν μορίων ἐνδεικτικῶς αὐτὸ, τουτέστι τὸ εὑρισκόμενον.

Ὅτι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει.

Καὶ τοῦτο ὡς ὑποτυπώσει φαίνεται γεγραφὼς ὁ συγγραφεὺς δὲ τοῦ βιβλίου τυχὸν ἴσως ταυτὸ μηκῦναι βουλόμενος, ἐν τῷ πρὸς ἔκδοσιν ὑφ' ἑαυτοῦ γραφομένῳ, καὶ κατ' ἄλλα τῶν ἀντιγράφων εὑρίσκεται γεγραμμένον οὕτως, τὸ, διότι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει. προβάλλοντος αὐτὸ πρὸς ζήτησιν ἑαυτῷ τοῦ συγγραφέως χρησιμώτατον, ὧν οὐκ ἐν τοῖς κατὰ χειρουργίαν μόνον, ἀλλὰ καὶ τοῖς κατὰ δίαιταν. ἐκθηλύνεται γὰρ ἅπαν ἀργούντων σῶμα καὶ ἄρρωστον γίνεται, κρατύνεται δὲ καὶ ῥώννυται πραττόντων αὐτῶν, τουτέστιν ἐνεργούντων. δήλη δὲ ἡ πίστις τοῦ λόγου, πεῖρα μετὰ ἁπάντων τῶν προσεχόντων τὸν νοῦν τοῖς ἐναργῶς φαινομένοις. ἡ δὲ ἀπὸ τῆς φυσικῆς κατασκευῆς ἔνδειξις, ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασι λέλεκται. ἐν οὖν τοῖς κατὰ χειρουργίαν, οὐ χρὴ παμπόλλῳ χρόνῳ φυλάττειν ἀκίνητα τὰ πεπονθότα μόρια, καθάπερ ἔνιοι ποιοῦσιν ἀσφαλείας ἕνεκεν. ἀλλὰ δεῖ κινεῖν αὐτὰ μετρίως, ὅταν ἀφλέγμαντα γένηται, καὶ τοῦτο ἄρχεσθαι μὲν πράττειν, ὅταν ὕδωρ θερμὸν καταχέηται τοῦ πεπονθότος, ἐφεξῆς δὲ κἀν τοῖς λουτροῖς, εἶτα καὶ χωρὶς τούτων.

Ἡ πίεξις, ἢ πλήθει.

Καὶ τοῦτο αὐτὸ καθ' ἑαυτὸ γεγραμμένον ἐν τύποις ὑπὸ τοῦ συγγράψαντος τὸ βιβλίον, εἰς τόδε σαφῶς ἐγγραφόμενος μετενήνοχεν. εἴρηται δὲ καὶ τελέως καὶ σαφῶς ἔμπροσθεν, ὡς νῦν οὐκ ἐλλειπτικῶς. χρὴ γὰρ προϋπακοῦσαι τὸ ὀθόνιον, ἵν' ἡ λέξις ὅλη γένηται τοιαύτη. ἡ πίεξις τῷ πλήθει τῶν ὀθονίων γινέσθω μᾶλλον, ἢ τῇ θλίψει.

Ὁκόσα δὲ ἐκχυμώματα, ἢ φλάσματα, ἢ σπάσματα, ἢ οἰδήματα ἀφλέγμαντα ἐξοργᾶται ἐκ τοῦ τρώματος, ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, βραχὺ δέ τι καὶ ἐς τὸ κάτω, μὴ καταντῆ τὴν χεῖρα ἔχοντα, ἢ τὸ σκέλος, τιθέμενον τὴν ἀρχὴν κατὰ τὸ τρῶμα, καὶ μάλιστα ἐρείδοντα, ἥκιστα τὰ ἄκρα, μέσως τὰ διὰ μέσου. τὸ ἔσχατον πρὸς τὰ ἄνω τοῦ σώματος νεμόμενον ἐπιδέσει, πιέξει. ἀτὰρ καὶ ταῦτα πλήθει μᾶλλον, ἢ ἰσχύϊ. μάλιστα δὲ τουτέοισιν ὀθόνια λεπτὰ, κοῦφα, μαλθακὰ, καθαρὰ, πλατέα, ὑγιέα, ὡς ἂν ἄνευ ναρθήκων, καὶ καταχύσει χρῆσθαι πλέονι.

Φλάσματα διὰ τοῦ φ καλεῖν ἔθος Ἱπποκράτει κατὰ τὴν τῶν Ἰώνων διάλεκτον, ἃ πρὸς ἡμῶν ὀνομάζεται διὰ τοῦ θ θλάσματα. γίνεται δὲ βαρέος τινὸς ἐμπεσόντος τῷ σώματι, ὡς ἂν εἴποι τις, διασπάσαντος τὸ σαρκῶδες γένος ἐνίστασθαι πέφυκεν, ὅταν ἡ διαθλασθεῖσα σὰρξ εἰς τὴν ὑπὸ τῷ δέρματι χώραν αἷμα προσχέῃ τὸ τοιοῦτον πάθος, ἐκχύμωμα καλεῖται, καὶ γίνεται δηλονότι τούτου μὴ διαιρουμένου τοῦ δέρματος. εὔδηλον δὲ ὅτι καὶ φλέβια μικρὰ συνδιαιροῦνται τῇ σαρκὶ κατὰ τὴν τῶν ἐκχυμωμάτων γένεσιν. τὰ δὲ σπάσματα περὶ τὰς ἶνας γίνεται τῶν μυῶν τῶν πλέον ταθεισῶν, ὡς ἐνίας ῥαγῆναι, καὶ καλοῦσιν ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν τὰ τοιαῦτα παθήματα, ῥήγματα.

τούτων

ἐστιν οὖν πρῶτος ὁ Ἱπποκράτης μνημονεύσας, ἐφεξῆς αὐτὸς ἔγραψεν οἰδήματα, ταύτας οὕτως ὀνομάζειν εἴωθε τοὺς παρὰ φύσιν ὄγκους, οἱ μετ᾽ αὐτὸν εἰς φλεγμονὰς καὶ σκίῤῥους, καὶ κληθέντα ὑπ᾽ αὐτοῦ ἰδίως οἰδήματα διῃρήκασι. φλεγμονὰς δὲ ὁ Ἱπποκράτης ὀνομάζει τὰς φλογώσεις, ἀφ᾽ ὧν τοὔνομα τίθεται τοῖς θερμοῖς ὄγκοις. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶ τὸ καλούμενον ἐρυσίπελας, φλογῶδες μὲν ἀεί, σὺν ὄγκῳ δὲ οὐκ ἀεί. ταῦτα οὖν ἅπαντα τὰ κατειλημμένα παρ᾽ Ἱπποκράτει ὀνόματι πάθη, τὴν μὲν κατὰ δίαιταν καὶ φαρμακείαν, ἑτέραν ἔχει θεραπείαν. τὴν δὲ διὰ χειρουργίαν, ἐξ ἐπιδέσεως τρόπου γινομένην, ὅταν καὶ μάλιστα ἐκ τῆς προϋπαρχούσης ἐπιδέσεως τὴν γένεσιν ἐσχηκότα, περὶ ὧν νῦν ποιεῖται τὸν λόγον. τὸ γὰρ ἐξεργᾶται ἐκ τοῦ τρώματος, οἷον ἐκθλίβεται ἢ ἐξαίρεται δηλοῖ. τινὲς ἄντικρυς ἐξαίρεται γράφουσιν, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι. τὴν δ᾽ ἐπίδεσιν αὐτῶν, ἐν μὲν τῷ περὶ ἀγμῶν ἀπ᾽ αὐτοῦ τὸ οἴδημα ἔχοντος μορίου ποιεῖται, νυνὶ δὲ ἀπὸ τοῦ τρώματος. δῆλον δ᾽ ὅτι καλεῖ τρώματα τὴν βλάβην τοῦ μορίου, καὶ τοὔργον γε τῆς καταγματικῆς ἐπιδέσεως ὑπαλλάττει νῦν, ὅτι τὴν πλείστην νομὴν τῶν ἐπιδεσμῶν ἄνω τὸ ἄνω ποιεῖσθαι κελεύει, βραχὺ δέ τι καὶ τῷ κώλῳ, τὸ μηδὲ κατ᾽ αὐτὴν τὴν χεῖρα ἔχοντα, ἢ τὸ σκέλος. κοινὸν μὲν οὖν πρὸς τὴν καταγματικὴν ἐπίδεσιν, ἀλλ᾽ ὡς μεγίστην ἔχον αὐτὸ δύναμιν ἐπὶ τῶν νῦν προκειμένων οὕτως ἔγραψεν, μή πως ἀμελέστερον χρῶνται ὡς εἰώθαμεν, ἐνίοτε μεγάλην αἱρώμεθα βλάβην. ὅσα γὰρ ἀξιόλογον βλάβην, ἢ ὠφέλειαν ἔχει καλῶς, καὶ μὴ καλῶς γινόμενα, ταῦτα ἀναμιμνήσκειν οὐκ ὀκνήσει συνεχέστερον. ἐφ᾽ ὧν δὲ μικρὰν ὠφέλειαν, ἢ βλάβην οὐδὲ γινομένην, ἀρκεῖται περὶ τούτων ἅπαξ εἰπεῖν. ἐπὶ μὲν οὖν τῶν καταγμάτων, ὅταν εὐθέως ἐπιδέηται, πρὶν ἤτοι φλεγμῆναι τὸ πεπονθός, ἤ τι τῶν νῦν εἰρημένων ἐπιγίνεσθαι παθῶν. τοῦ μὲν μηδὲν ἐπιῤῥεῖν τῷ πεπονθότι παραπλησίως, ἡ πρόνοια τῶν νῦν εἰρημένων ἐστίν, οὐ μὴν τοῦ τε διαφορεῖσθαι τὸ περιεχόμενον ἐν τῷ πεπονθότι, καθάπερ κἀπί τι τοιοῦτον καὶ τοῖς κατὰ χύσιν προσέθηκεν, οὐχ ὡς οὐδ᾽ ὅλως ἐπ᾽ ἐκείνων χρώμενος, ἀλλ᾽ ὡς νῦν μᾶλλον. ἐπὶ πλέον γὰρ δεῖ τοῖς τοιούτοις ὕδατος θερμοῦ καταχεῖν, ἵνα διαφορηθῇ τὸ περιεχόμενον ἐν τοῖς ὀγκωμένοις. οὕτως οὖν καὶ αὐτὸς ἐν τῷ περὶ πτέρνης λόγῳ, καθ᾽ ἣν ἀφ᾽ ὑψηλοῦ πηδησάντων ἐκχύμωμά τι γίγνεται, σὺν τοῖς ἄλλοις οἷς ἔγραψεν εἰς τὴν θεραπείαν αὐτῶν χρησίμοις, καὶ τοῦτο προσέθηκεν, ὕδατι θερμῷ πλείστῳ, οὐ τῇ πιέσει τὴν ἀσφάλειαν ἔχει τὸ ἐπιδούμενον μόριον. εἴρηται μὲν οὖν αὐτῷ κἀπὶ τῶν καταγμάτων. χρεία δὲ μείζων ἐπὶ τῶν νῦν προκειμένων ἐστίν, ὅπως μήτε θλίβοιτο καὶ διαφοροῖτο. διὰ τὴν αὐτὴν οὖν αἰτίαν καὶ χωρὶς ναρθήκων ποιεῖται τὴν ἐπίδεσιν, ὥστε κατὰ δύο τῆς καταγματικῆς αὐτὴν ἀποκεχωρηκέναι, καθόσον ἧττόν τε πιέζεσθαι δεῖται, καὶ μάλιστα ἐπ᾽ αὐτῶν ἀξιοῖ τὰ ὀθόνια κοῦφα εἶναι, καὶ λεπτά, καὶ μαλθακά, καὶ καθαρά. τούτων γὰρ μάλιστα χρῄζει, τὰ πιέζεσθαι μὲν ἧττον δεόμενα, διαφορεῖσθαι δὲ μᾶλλον. προσέθηκε δὲ τὸ χωρὶς φλεγμονῆς εἶναι δεῖν ἕκαστον τῶν εἰρημένων παθῶν, εἰ μέλλοιτο διὰ τῆς εἰρημένης ἐπιδέσεως θεραπεύεσθαι, διότι τὰ φλεγμαίνοντα τὴν ἐξ ἐπιδέσεως πίεσιν, οὐδὲ μετρίως γιγνομένην ἀνέχεται, καὶ διὰ τοῦτο θεραπεύομεν αὐτὰ καταπλάσμασί τε καὶ συνεχέσιν ὕδατος θερμοῦ καταχύσεσι, καὶ φαρμάκοις ὑγροῖς, ὅσα δηλονότι φλεγμονὰς ὠφελεῖται ἱκανά.

Τὰ δὲ ἐκπτώματα, ἢ στρέμματα, ἢ διαστήματα, ἢ ἀποσπάσματα, ἢ ἀποκλάσματα, ἢ διαστρέμματα, οἷα τὰ κυλλά, τὰ ἑτερόῤῥοπα, ἔνθεν μὲν ἐξέσει συνδιδόντα, ὅπῃ δὲ συντείνοντα, ὡς ἐς τἀναντία ῥέπῃ ἐπιδεθέντα, ἢ πρὶν ἐπιδεθῆναι σμικρῷ μᾶλλον, ἢ ὥστε ἐξ ἴσου εἶναι. καὶ τοῖσιν ἐπιδέσμοισι, καὶ τοῖσι σπλήνεσι, καὶ τοῖσιν ἀναλήμμασι, καὶ τοῖσι σχήμασι, κατατάσει, ἀναῤῥίψει, διορθώσει, ταῦτα καὶ καταχύσει πλείονι.

Περὶ τούτων ἁπάντων τῶν παθῶν, ἔν τε τῷ περὶ ἀγμῶν καὶ ἄρθρων αὐτὸς ἐδίδαξε τελεώτατα, καὶ νῦν ὥσπερ ἄλλων πολλῶν οὕτως καὶ τούτων, οἷον ἐπιτομήν τινα γράφει, καθ᾽ ἑαυτὴν μὲν ἀσαφῆ διὰ συντομίαν, εὔδηλον δὲ τοῖς προανεγνωκόσιν ἐκεῖνα τὰ βιβλία. καὶ ἡμεῖς δὲ ὅτι φθάνομεν αὐτὰ προεξηγήσασθαι, διὰ τοῦτο νῦν ὀλίγα ἀναμνήσεως ἕνεκεν ἐροῦμεν. ἐὰν δέ τις ἐκ τοῦ κατ᾽ ἰητρεῖον ἄρχηται, τοῦτον χρὴ τὸν διδάσκαλον σαφηνείας ἕνεκεν λέγειν ὅσα κατὰ τὸ περὶ ἀγμῶν καὶ ἄρθρων αὐτὸς ὁ Ἱπποκράτης ἔγραψεν, ἐν ὑπομνήματι δὲ μεταγράφειν αὐτά, καὶ παρατίθεσθαι νῦν. κέκληκεν οὖν ἐν τῇ προκειμένῃ ῥήσει ὁ Ἱπποκράτης ἐκπτώματα μὲν ἐπὶ τῶν ἐξηρθρηκότων. στρέμματα δὲ φωνὴ μὲν διὰ διάρθρωσιν ἀπαθής ἐστι ἐ[...] δὲ τὰ περὶ αὐτὸν νευρώδη σώματα, καὶ γίνεται μάλιστα τοῦτο τοῖς κρημνοβατεῖν λεγομένοις. διαστήματα δέ, ἐπὶ τῶν ψαυόντων μὲν ἀλλήλων ὀστῶν φύσει καὶ χωρὶς διαρθρώσεως, ἀποστάντων δὲ διά τι πάθημα, καὶ περὶ τὸ περὶ ἀγμῶν καὶ ἄρθρων αὐτὸς μέμνηται διϊσταμένων ὀστῶν ἀπ᾽ ἀλλήλων ὀνομαστί. κατὰ μὲν ἀγκῶνα, πήχεος καὶ κερκίδος, ἐν ἄκρᾳ δὲ τῇ χειρὶ καὶ τῷ γόνυι τῶν συντιθέντων αὐτήν, κατὰ τὸν πόδα τῶν πλησιαζόντων τῇ πτέρνῃ. τὰ δὲ ἀποσπάσματα τῶν ὀστῶν, γίγνεται καθάπερ αὐτὸς ἀπ᾽ ἀκρωμίου δεδήλωκεν, ὅταν τῶν συνδούντων αὐτά, διασπασθέντων ἀποχωρεῖσθαι πλεῖστον ἀπ᾽ ἀλλήλων συνεχόμενα πρότερον. τὰ δὲ ἀποκλάσματα, καλεῖται μὲν ὑπὸ τῶν νεωτέρων ἀπάγματα. μέμνηται δὲ αὐτῶν ἐπὶ τέλει ἐν τῷ περὶ ἀγμῶν, καὶ τοὺς περὶ ἀγκῶνος εἶναι ἴνεσι, καὶ τὸ ἄπαγμα γέγραφεν αὐτός, ὅθεν ὁρμηθέντες οἱ μετ᾽ αὐτόν, ἀπάγματα προσηγόρευσαν ὅσα πλησίον τῆς διαρθρώσεως γίγνεται κατάγματα δι᾽ ὅλου τοῦ πάχους τῶν ὀστῶν, ὡς ἀπ᾽ ἀλλήλων διεστάναι τὰ μεγάλα, καὶ καλοῦσιν οἱ νεώτεροι αὐτὰ κατάγματα καυληδὸν γεγονέναι. τὰ δὲ διαστρέμματα τῶν στρεμμάτων διαφέρει, καθόσον ἅπτεται πως τῆς διαρθρώσεως, ἐπ᾽ ὀλίγον αὐτὴν διαστρέφοντα καὶ συμμετακινοῦντα. γίνεται δὲ καὶ περὶ ἐν ὀσφύι, μάλιστα δὲ κνήμην ἐπὶ τῶν παιδίων, ἣν καὶ μετὰ παραθέσεως τῶν ἐξευθυνόντων ἑκατέρωθεν ἐπιδοῦμεν ἐκ φιλύρας, ἤ τινος οὕτως εὐτόνου τε καὶ μαλακοῦ ξύλου, ποιούμενοι δὲ λεπτὰ σανίδια. κάλλιστα δὲ ἐποίησε καὶ αὐτός, προσθεὶς τὸν διὰ τῶν διαστρεμμάτων λόγον τὰ ἑτερόῤῥοπα. εἴτε γὰρ ὡς τινὲς γράφουσι τὰ οἷα τὰ κυλλὰ ταῦθ᾽ ἑτερόῤῥοπα, κατὰ πάσας τὰς γραφὰς τὰ ἑτερόῤῥοπα συμφωνεῖται πᾶσιν. καὶ γὰρ εἴσω καὶ ἔξω τὴν ῥοπὴν ἴσχει πολλάκις ἡ διάρθρωσις ὅλη, καὶ μάλιστα ἐν σκέλεσι κατὰ γόνυ καὶ κατὰ σφυρά, καὶ καλεῖται τὰ

μὲν ἔξω ῥέποντα βλαισά, τὰ δὲ ἔσω ῥαιβὰ καὶ κυλλά, τούτοις ἅπασι τοῖς εἰρημένοις παθήμασιν ἐπίδεσις ἁρμόττει διὰ τούτους ἔχουσα σκοπούς, ὅπου μὲν ἀπεχώρησε τὸ μόριον, ἐκεῖθεν αὐτὸ προσάγεσθαί τε καὶ ἐπικεῖσθαι διὰ τῶν ἐπιδέσμων. ἐὰν δὲ δέξηται χαλαρὸν εἶναι τὸ χωρίον, ὅπως δέχηται τὸ διὰ τῆς ἐπιδέσεως ὠθούμενον εἰς αὐτό. συνδιδόναι δέ, τουτέστιν ἐνιέναι, καὶ μὴ τείνειν ἔνθα χρή, τὸν ἐπίδεσμον ὑπακουστέον ἐστί. τὸ δὲ δέξεσι, κατ' ἐκεῖνο τὸ μέρος τῆς ῥήσεως ἐν ᾧ φησιν, ὅπῃ δέ, ὡς γενέσθαι τὴν ὅλην λέξιν τοιαύτην. ὅθεν μὲν δέξεσι συνδιδόντα, τουτέστι χαλῶντα τὸν ἐπίδεσμον, ὅπῃ δὲ δέξεσι συντείνοντα, ὡς εἰς τἀναντία ῥέπειν τῆς χώρας εἰς ἣν δέξεσι. τῆς δὲ εἰς τἀναντία ῥοπῆς τοῖς δεξεῦσιν, ὅρος οὕτω κατὰ φύσιν ἔθος. νικηθήσεται γὰρ οὕτως ἡ ἐπίδεσις ὑπὸ τοῦ παθήματος, ἐθισμένου τοῦ μορίου πολυχρονίῳ διαστροφῇ, ἀλλ' ἐπέκεινα βραχὺ τοῦ κατὰ φύσιν ἄγειν ἀξιοῖ. τοῦτο γάρ ἐστι τὸ λεγόμενον ὑπ' αὐτοῦ σμικρῷ μᾶλλον, ὥστε δὴ ἴσου εἶναι. τὸ γὰρ κατὰ φύσιν ἴσον ἐστί, καὶ τὴν εἰς τὸν ἐναντίον τόπον ῥοπὴν δὴ ἁπάντων κελεύει ποιεῖν ἡμᾶς ὅσα παραλαμβάνομεν εἰς τὴν ἐπίδεσιν, ἃ καὶ κατὰ λέξιν αὐτὸς ὀνομάσει, καὶ τοῖσιν ἐπιδέσμοισιν εἰπών, καὶ τοῖσι σπλήνεσι, καὶ τοῖσιν ἀναλήμμασι, καὶ πρὸς τούτοις ἔτι κατατάσει, ἀνατρίψει, διορθώσει. κατὰ πάντα γὰρ ταῦτα δυνατόν ἐστι περιρρέπειν εἰς τἀναντία τὴν ἐπίδεσιν ἐπὶ πλέον τοῦ κατὰ φύσιν, ἀλλὰ καὶ καταχύσει πλέονι χρῆσθαι, καὶ λέγει προσθεὶς ἐνταῦθα τῷ πλέονι, παραλελειμμένον μὲν ἐν τῇ προτέρᾳ ῥήσει, συνεπινοούμενον δὲ τοῖς εἰρημένοις. ἐπ' ἐκείνων μὲν οὖν ἕνεκα τοῦ διαφορῆσαι, ἐπὶ τούτων δὲ τοῦ μαλακῦναι χάριν, ὕδατος θερμοῦ καταχύσει χρῆται πλέονι.

Τὰ δὲ μινυθήματα, πολὺ προσλαμβάνοντες τοῦ ὑγιέος ἐπιδεῖν ὡς ἂν ἐξ ἐπιδρομῆς τὰ συντακέντα πλέονα ἢ αὐτόματα ἐμινύθη, ἢ ἀγῇ ἢ τῇ δὲ ἐπιδέσει παραλλάξαντα ἐκκλίνειν ἐς τὴν αὔξησιν καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιήσεται.

Τὴν ῥῆσιν ταύτην ἔνιοι μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὥσπερ καὶ ἄλλας πολλὰς ἐπέδρασαν ὀλίγα περιλαλήσαντες, οἱ δὲ ἐπιχειρήσαντες σαφῶς ἐξηγήσασθαι, ἥμαρτον τῆς ἀληθείας, ὡς θαυμάζειν μέν τινι τρόπῳ τὰ μινυθήματα μόρια, τουτέστιν ἰσχνὰ καὶ ἄτροφα γινόμενα, πρὸς τὴν κατὰ φύσιν εὐκρασίαν ἐπανῆγον ἐγώ. καὶ ὅσα μὲν ἐν σημαινομένῳ λέξεως, ἢ τινι σοφιστικῷ προβλήματι ζητεῖται, βλάβην οὐδεμίαν ἡγοῦμαι φέρειν εἰς τὰ τῆς τέχνης ἔργα τοῖς μανθάνουσιν, εἰ καὶ κακῶς τις περιλάβοι περὶ αὐτῶν. τὰ δὲ ἀγγεῖα τῆς ὠφελούσης ἀγωγῆς γραφόμενα, βλάπτει ἀναγκαῖον, ἢ τινι ἀσκουμένῳ κατὰ τὴν τέχνην. ὡς τοίνυν αὐτὸς ἐθεράπευσα διὰ παντὸς ἠτροφηκότα μόρια δείξω. πρότερον πῶς ἤδη τῆς ἐξ αὐτῶν ὠφελείας ἀπολαύσειν οἱ μανθάνοντες, εἶθ' ἑξῆς τὴν ῥῆσιν ἐφαρμόσαι πειράσομαι τοῖς ἀληθέσιν. ἐν γὰρ τοῖς σαφῶς γεγραμμένοις ἔχεσθαι μὲν δὴ πάντως τῆς τῶν πραγμάτων ἀληθείας πειράσομαι, καὶ τὴν τοῦ παλαιοῦ λέξιν ἐᾶν, οἵη ἢ τούτοις ὁμολογοῦσαν ἐπιδεικνύειν. εἰ δὲ ἀδυνάτοι ποτὲ τοῦτο πρᾶξαι εἴημεν, τὸ οὖν ἀληθὲς ὁ νέος ἤδη γιγνωσκέτω. τῶν γοῦν γινομένων ἐν μορίοις τισὶν ἰσχνοτήτων αἱ πλεῖσται διὰ τὸ πολυχρόνιον ἡσυχίαν αὐτῶν, ἢ καταγματικῆς αὐτῶν ἐπιδέσεως τρόπῳ εἰς τὰ παθήματα ταῦτα ἔρχονται. ἥ τε γὰρ ἡσυχία τὴν δύναμιν ἄρρωστον ἐπιδείκνυσι τῶν ἡσυχαζόντων μορίων, ἥ τ' ἐπίδεσις ἐκθλίβουσα τὸ αἷμα τῶν ἐπιδεσμένων, τὸ μὲν εἰς τὴν ἄνω χώραν, τὸ δὲ εἰς τὴν κάτω τὴν τροφὴν αὐτῶν ἀφαιρεῖται, ὥστε καὶ τὴν ἴασιν ἐναντίαν χρὴ ποιεῖσθαι τῇ γενέσει τοῦ πάθους, ῥωννύντας αὐτὴν τὴν δύναμιν τοῦ πεπονθότος μορίου χορηγοῦντος αὐτῇ δαψιλὲς αἷμα. ἡ μὲν οὖν δύναμις ῥώννυται τρίψεσί τε καὶ μετρίαις καταχύσεσι καὶ κινήσεσι. κατ' ἀμφότερα τὰ γένη τὸ ποιὸν καὶ τὸ ποσὸν ἐπιτήδεια ταῖς κινήσεσιν. ἕνεκα δ' ἐπιρρεῖν πλέον οἷόν τε ἐπιδέσεώς τε τῆς κατὰ τὴν προειρημένην καὶ καταχύσεως μετρίας ὕδατος θερμοῦ, καὶ κινήσεως, καὶ τρίψεως, ἅπερ καὶ τὴν δύναμιν ἐπιρρωννύει. εἶναι δὲ χρὴ πάντα μέτρια, κατά τε τὸ ποσόν, καὶ τὸ ποιόν. οὐ γὰρ ἀποχρὴ μόνον τὴν τρίψιν, ἢ τὴν κίνησιν, ἢ τοῦ θερμοῦ κατάχυσιν ὕδατος, μήτε πολλήν, μήτε παντάπασιν ὀλίγην ὑπάρχειν, ἀλλ' ἐν τούτοις χρὴ τὴν μὲν τρίψιν ἐν τῷ μέσῳ σκληρᾶς καὶ μαλακῆς, ὀλίγης τε καὶ πολλῆς εἶναι. τὸ δὲ εὔκρατον ἐν τῷ μεταξύ ἐστι, τοῦ τε μηδέπω θερμαίνοντος, ὃ χλιαρὸν καλεῖται, καὶ τοῦ δάκνοντος ἤδη θερμοῦ καὶ λυποῦντος, ὃ δὴ ζέον ὀνομάζεται. καὶ τῷ πλήθει δὲ δηλονότι μέσον εἶναι προσήκει αὐτῷ πολλοῦ τε καὶ ὀλίγου. καὶ τόν γε τῆς ποσότητος λόγον αὖθις ἐδίδαξεν, εἰπὼν ἔμπροσθεν ὅτι μετεωριζομένου δεῖ πρὶν συμπίπτειν παύεσθαι. κατὰ τοῦτον δὲ τὸν χρόνον ἐρυθρότατον ὡσαύτως συμβαλλόμενον ὁρᾶται τὸ μόριον. ἅπαντα μὲν οὖν ὅσα λεπτὰ καὶ ἄτροφα γίνεται, σαφῶς ἀναιμότερα φαίνεται τῶν κατὰ φύσιν ἐχόντων, καὶ μόγις ἐρυθραίνεται, καὶ τριβόντων, καὶ καταχεόντων ὕδωρ θερμόν, ὁ σκοπὸς τῆς ποσότητός ἐστιν, ἔρευθος κτήσασθαι τὸ μόριον. ὁ δὲ αὐτὸς οὗτος χρόνος ὀγκωδέστερον αὐτὸ δείκνυσιν. ἐὰν δὲ ἐπιμένῃ ὁ τρίβων ἢ καταχέων, ὅ, τε ὄγκος συμπίπτει καὶ παύεται τὸ ἔρευθος. καὶ μέντοι καὶ προγνώσει τότε εὐίατον, ἢ καὶ δυσίατον ἐν τοῖς μινυθήμασιν ἐκ τοῦ ῥᾳδίως ἢ μόγις ἔρευθος κτᾶσθαι, καὶ εἰς ὄγκον αἴρεσθαι. ποιῶ δὲ τοῦτο δυσχερῶς κτωμένοις, καὶ διά τινος τῶν θερμαινόντων φαρμάκων ὑγρῶν τὴν ἀνάτριψιν ποιουμένων, καὶ μάλιστα ὅσα βραχὺ θαψίας μὴ παλαιᾶς, ἀλλὰ καὶ καταχειροτάτου τῶν πιττούντων φαρμάκων τὰς τοιαύτας ἰσχνότητας. ὅθεν τινὲς ποτέ εἰσι πιττωταί, ἢ δρωπακισταὶ νομίζεις ἀκούσας καὶ πίττωμα, ἀλλὰ δρώπακα, καί σοι λέγειν ἐξέστω καθόπερ ἂν βούληθῃ. οὐ γὰρ ἀττικίζειν διδάσκειν πρόκειταί μοι τοὺς νέους ἐν τοῖσδε τοῖς ὑπομνήμασιν, ἀλλὰ τὰ χρησιμώτατα τῶν ἔργων τῆς ἰατρικῆς τέχνης διεξέρχεσθαι, καὶ ταῦτα πιττούντων φαρμάκων κατὰ τοὺς προειρημένους σκοπούς. ἐὰν μὲν γὰρ ἡ πρώτη χρῆσις εὔογκόν τε καὶ εὔρυθμον ἀπεδείξατο μόριον, ἤδη παύεσθαι προσήκει. εἰ δὲ μή, καὶ δεύτερον ἐπιχειρεῖν, καὶ τρίτον, ἐπί τινων μὲν καθ' ἑκάστην ἡμέραν, ἐπί τινων δὲ διὰ τρίτης, ἢ τετάρτης, ὡς ἂν μάλιστα δεόμενα ἴδῃς τὸν πεπονθότα τόπον. οὐ προστίθημι δὲ ἐνίοτε κατὰ τὸν λόγον τῶν κόπων τὸ θερμὸν γίνεσθαι τὸ μόριον, ἀναζεόμενον ἢ πιττούμενον, ἐπειδὴ συνεπινοεῖται τούτῳ τὸ ἐρυθρῷ. κατὰ γὰρ τὸν αὐτὸν χρόνον εἰς ἔρευθός τε καὶ θερμασίαν ἐπιδιδῶσιν, οὕτως ἀεὶ θεραπεύων ἐγὼ τὰς παρὰ φύσιν ἰσχνότητας, ὀλιγάκις ἐδεήθην ἐπιδέσεως. εἰ δέ ποτε δεηθείην, ὡς Ἱπποκράτης ἔγραψεν ἐπέδησα προσέχων αὐτοῦ τῇ λέξει καθ' ἣν εἶπεν, ἀλλοίῃ τῇ ἐπιδέσει. τὸ γὰρ ἀλλοίῃ, πρὸς τὴν καταγματικὴν ἀντιθεὶς εἶπεν, ἢ τὴν θλῖψιν σφοδροτέραν ἐπὶ τῶν πεπονθότων ποιουμένην. τὴν οὖν ἀλλοίαν ἐπίδεσιν εὐθὺς

μὲν

μὲν κἂν τῇ πρώτῃ τῶν ὀθονίων ἐπιβολῇ διαφέρῃ τῇ καταγματικῇ, οὐκ ἐπ' αὐτοῦ τοῦ θεραπευομένου μορίου τὴν ἀρχὴν
ποιουμένων ἡμῶν, ὡς ἐφ' ἑλκῶν τε καὶ καταγμάτων, ἐγχυμωμάτων τε καὶ θλασμάτων, ὅσα τἄλλα μικρῷ ἔμπρο-
σθεν εἴπομεν, ἀλλ' ὥσπερ εἰώθαμεν ποιεῖν. ἔπειτα δὲ μὴ πιέζειν κατὰ τὸ πεπονθὸς μόριον, ἀλλὰ ἀνίεσθαι μὲν κατὰ τοῦτο. πιέζειν
δὲ μάλιστα μὲν ὅθεν ἤρξω ἐπὶ τὸ ὑγιές. ἑξῆς δέ σε κελεύει μὲν τὴν τάσιν ἐν τῇ ἐπὶ ὑγιὲς νομῇ μέχρι τοῦ πεπονθότος.
ὅταν δὲ ἤδη τὸ πεπονθὸς ἀφίκηται, μάλιστα ἐκλελυμένῃ χρῆσθαι τῇ περιβολῇ τῶν ὀθονίων. χειμῶνι μὲν οὖν καὶ αὐτῷ συμ-
περιβαλεῖν τὸν ἐπίδεσμον, ὅπως μὴ θερμαίνῃ τὸ χαλαρὸν δηλονότι, καὶ πιέσεως οὐδὲ τοὐλάχιστον ἔχοντα. θέρους δὲ
τὸ μὲν ὑγιὲς ἐπιδεῖν τὸ περιεχόμενον αἷμα κατ' αὐτὸ πρὸς τὸ ἀναθρέψεως δεόμενον ἐκθλίβων, αὐτὸ δὲ τὸ θεραπευόμενον
οὐκ ἐπιτηδείως ἐπιθερμαίνειν αὐτῷ καὶ διαφορεῖν. ὅταν δὲ ἱκανῶς ἄτροφον ὅλον τὸ σκέλος, ἢ χεὶρ ὀλίγη γένηται, τὸ
ἀντικείμενον κῶλον ἐπιδεῖν, τὴν ἀρχὴν ἐκ τῶν κάτω μερῶν ποιησάμενος, εἶτ' ἀναλαμβάνων ἤδη μὲν σκέλους ἄχρι
10 τοῦ βουβῶνος, ἤδη δὲ χειρὸς ἄχρι μασχάλης καὶ ὤμου. κατὰ γὰρ τὸν αὐτὸν τρόπον ἀποσχίζονται τῆς μεγάλης φλεβὸς, ἐν
μὲν τοῖς κάτω μέρεσι τοῖς καθ' ἱερὸν ὀστοῦν, αἱ τὰ σκέλη τρέφουσαι φλέβες, ἐν δὲ τοῖς ἄνω τοῖς κατὰ κλεῖς. ὅταν
οὖν ἡ τῆς ἑτέρας φλεβὸς ἐπιῤῥοὴ τοῦ αἵματος εἰς τὸ συζυγοῦν κῶλον ἀποκλεισθῇ, πρὸς τὸ ἕτερον ἥκει τὸ αἷμα, καὶ διὰ
τοῦτο τὴν μὲν κατὰ τὸ ὑγιὲς σκέλος ἐπίδεσιν ἐσφίγχθαι χρὴ μέχρι τοῦ μὴ θλίβειν οὕτως ὡς ὀδύνην ποιεῖν. ἤτοι δὲ
γυμνὸν εἶναι χρὴ τὸ πεπονθὸς μόριον, ἢ ὀλίγον ἐρίοις ἐσκεπάσθαι μέχρι τοῦ μηροῦ, ὁπότε ψυχρὸν εἴη τὸ περιεχόμενον, οὐκ
ὄντος δὲ ψυχροῦ, γυμνόν τε εἶναι συμφέρει, καὶ συνεχῶς ἀνατρίβεσθαι πρὸς ταῖς σινδόσιν, εἶτα φαρμάκοις θερμαίνου-
σιν ὅταν ᾖ δυσεκθέρμαντα. ταχέως δὲ θερμαινομένων, ἔλαιον μόνον ἀρκεῖ βραχύτατον ἔχον κηροῦ. προσμένει τε
γὰρ μᾶλλον τοῦτο, καὶ ἧττον διαφορεῖ, κατὰ τὴν αὐτὴν ἀναλογίαν κἀπὶ τῶν χειρῶν ἅπαντα γίγνεται. καὶ γὰρ ἐπι-
δετέον ἐστὶ τὴν ἀπαθῆ, καθάπερ τὸ σκέλος, καὶ θερμαντέον ἰσχυρῶς τὴν πεπονθυῖαν ἀνατρίψει τε καὶ κινήσει. καὶ
20 ὅταν γε μὴ παντάπασιν ὁ κάμνων ἠλίθιος, πυνθάνεσθαι βέλτιον αὐτοῦ πότερον τῆς ἐν τῷ θεραπευομένῳ μορίῳ
θερμασίας αἰσθάνεται παραπεμπούσης, ἢ πεπαῦσθαι φαίνεται σαφῶς αὐτό, κἂν φησι πεπαῦσθαι, καιρὸς ἤδη τῆς δευ-
τέρας χρήσεως ἐστὶ τῶν θερμαινόντων τε καὶ ῥωννύντων αὐτό. τέσσαρα δὲ αὐτά ἐστι κατὰ γένος τὰ διὰ σινδόνων
ἀνατρίψεως, ὕδατος θερμοῦ καταχύσεως, ἀνάτριψις ἤτοι διὰ τοῦ φαρμάκου θερμαίνοντος, ἢ δι' ἐλαίου, κατάχρισις
ἁπλοῦ δρώπακος. ἐὰν δέ ποτε φαίνηταί σοι λίαν κατεψῦχθαι τὸ θεραπευόμενον μέρος, ἔστω ποικίλος ὁ δρώπαξ,
ἐπεμβεβλημένον ἔχων ἄσφαλτον καὶ θεῖον ἄπυρον ὀλίγον, καὶ πύρεθρον. ὅτι μὲν οὖν οὕτω χρὴ θεραπεύειν τὰ λελε-
πτυσμένα σώματα, οἶδα παμπόλλους ἰασάμενος. εἰ δὲ καὶ τὴν Ἱπποκράτους ῥῆσιν ἐξηγοῦμαι καλῶς, οὐκέτι διαγι-
νώσκειν δύναμαι πᾶσαν ἐπὶ εἶδος ἐξήγησιν ἀσαφοῦς λέξεως, ἄχρι μὲν τοῦ πιθανοῦ περιερχομένην, τὸ δὲ ἐπιστημονικὸν καὶ
βέβαιον οὐκ ἔχουσαν. ἐξηγοῦμαι δὲ τὴν ῥῆσιν, οὐχ ὡς οἱ πλεῖστοι ἐπὶ τὴν τοιάνδε γραφὴν, ὡς αὖ ἐξ ἐπιδρομῆς συντα-
κέντα πλέον. ἡ αὐτὴ ἐμινύθη, μοχθηρὸν γοῦν ἔχει τὸν νοῦν, ἀλλ' ὡς ἔνιοι γράφουσι μετὰ τοῦ ἄρθρου ἐπὶ τήνδε τὴν λέξιν, ὡς
αὖ ἐξ ἐπιδρομῆς τὰ συντακέντα. λέγει γὰρ συντακέντα τὰ λεπτυνθέντα χωρία, διὰ τὴν ἀκινησίαν τε καὶ ἀτρο-
30 φίαν. ταῦτα δ' οὖν αὐτά φησιν ἐξ ἐπιδρομῆς τοῦ αἵματος, ὡς εἰ καὶ ἐπιῤῥοῆς εἶπεν ἰᾶσθαι δεῖν, ἀφικνουμένου δηλονότι
πρὸς τὰ πεπονθότα πλέονος ὅσου δεῖσθαι δόξειεν ἂν ἢ κατὰ φύσιν ἔχει. συμβήσεσθαι γοῦν οὕτως εἰς τὴν αὔξησιν ἐκκλί-
ναι τὰ μινυθήματα τῆς πρόσθεν ἐπιδέσεως ἀλλοίας χρησάμενος. δέδεικται δὲ αὐτῆς ὀλίγον ἔμπροσθεν ἡ ἀλλοιότης,
ᾗ καὶ τὴν δύναμιν ἀλλοίαν ἀναγκαῖον ἀκολουθεῖν. ἡ μὲν γὰρ πρόσθεν ἀπήλαυνε τοῦ πεπονθότος μορίου τὸ αἷμα, χορηγεῖ
δὲ αὐτὴ δαψιλέστερον, εἰ κατὰ φύσιν ἔχοι. ὅτι μὲν γοῦν τὸ ἐπὶ φύσιν ἔχειν αὔταρκες ὂν τὸ περιεχόμενον ἐν αὐτῷ, καὶ
διὰ τοῦτο πλέον οὐκ ἐχρῆν ἐπιῤῥεῖν τοῦ μέλλοντος εἰς θρέψιν τε καὶ δι' ἀναπνοὴν ἀναλίσκεσθαι, νυνὶ δὲ κενοῦ καὶ ἀναίμου
μορίου τοῦ πεπονθότος γεγονότος, πολλῷ πλέον εἶναι χρὴ τὸ ἐπιῤῥέον, ἵνα μὴ τρέφηται μόνον, ὡς ὅταν γένηται ὑγιές, ἀλ-
λὰ καὶ ἀναθρέφηται. καὶ τὰς χρείας δὲ νῦν πλέονας ἀναγκαῖον ἐστὶ γενέσθαι, διὰ τὸ συνεχῶς θερμαίνεσθαι τὸ μόριον.
ἅπαντα γὰρ αὐτὸ θερμαίνει ἐπὶ τὴν θεραπείαν γινόμενα, καὶ ἡ τρίψις καὶ ἡ κίνησις, καὶ ἡ φαρμακία, καὶ ἡ πιττία,
καὶ τοῦ πιλωτοῦ τὸ κατεχόμενον ὕδωρ θερμόν. ὁ γὰρ Ἱπποκράτης καὶ τούτῳ φαίνεται χρώμενος, ἴσως διὰ τὴν ἀχρείαν τῶν
40 βαλανείων ἐν τῷ τότε χρόνῳ, ἐμοὶ δὲ ἤρκεσε ἔνια ἐνεσῶτα τὰς ἐν τῷ βαλανείῳ πυέλας ὕδωρ, εἴς τε τὸ θερμῆναι
μετρίως θεραπευόμενα μόρια, καὶ τὸν ἐκ τῶν τάσεων κόπον ἔσεσθαι, χρὴ κινεῖν αὐτὰ ἐπὶ τὰς συνήθεις ἐνεργείας, καὶ
τοῦτο πράττειν οὐχ ἅπαξ ἀθρόως ἑκάστης ἡμέρας, ἀλλὰ πολλάκις ὥσπερ τὴν τρίψιν ἄχρι τοῦ διαθερμανθῆναι παραλαμ-
βάνοντας, εἶτα παύοντας. ἐγὼ μὲν οὖν οὕτως ἐφαρμόζω τῇ ῥήσει τὴν ἀληθῆ θεραπείαν, ἧς ἐγὼ ἔργῳ τὴν δύναμιν ἔδειξα,
μυρίων ἐξ ἐπιδέσεως καὶ χρονίας ἡσυχίας καταλελεπτυσμένων ἀναθρέψας μόρια. καιρὸς δ' αὖ εἴη καὶ τῶν ἐξηγησα-
μένων τὸ βιβλίον, ἐξηγήσασθαι τὴν γνώμην, ὧν οἱ πλεῖστοι μὲν ὡς ἔφην παραλλάξαντες μόνον, ἀνεξήγητον εἴασαν
τὴν ῥῆσιν. ὀλίγοι δ' ἐπεχείρησαν ἐπὶ τὴν αὐτὴν λέξιν ἐφαπλῶσαι τὴν ὅλην διάνοιαν ἐξ αὐτῆς ἐπιδέσεως τῆς τοιαύ-
δε. κελεύειν φασὶν τὸν Ἱπποκράτην, τὰ μινυθήματα δὲ ἐπιδέσεως ἄρχεσθαι θεραπεύειν, ἵνα συντακέντα, τουτέστι κα-
ταλεπτυνθέντα πλέον αὐτὰ, ἢ πρόσθεν ἐλελέπτυντο μεταβολὴν εἰς τοὐναντίον σχῆμα. πολλοὶ γοῦν τῶν παθῶν οὕτω φα-
σὶ θεραπεύεσθαι, καὶ παραδείγματα φέρουσι, ναυτιώδεις δέ τινας ἐμετικῷ φαρμάκῳ θεραπευθέντας, καὶ κρίνοντας
50 συνεχῶς κάτω δριμέα διὰ καθαρτικοῦ ἰαθέντας, ἐνίους δὲ βήττοντας ὑπὸ τῶν βῆχα κινούντων σφοδροτέρων. ἔνιοι δὲ
αὐτῶν καὶ τοῦ ἐπὶ τοὺς ἀφορισμοὺς εἰρημένου μέμνηνται κατὰ λέξιν οὕτως ἔχοντος. ἔστι δ' ὅκου ἤδη τετάνου ἄνευ ἕλκεος νέῳ »
εὐσάρκῳ, θέρεος μέσου ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται. εἴπερ οὖν φασιν οὐ μόνον διὰ τῶν ἐναν- »
τίων τοῖς πάθεσι βοηθημάτων, ἀλλὰ καὶ τῶν ὁμοίων αἱ θεραπεῖαι γίνονται, καὶ νῦν οὕτως Ἱπποκράτης ἐκέλευσεν ἡμᾶς
τὰ μινυθήματα θεραπεύειν, ἀρχομένους ἤδη τῆς ἐπὶ μᾶλλον αὐτὰ λεπτῦναι δυναμένης ἐπιδέσεως, ὅπερ ἐξ ἐπιδρο-
μῆς συμβαίνει φασὶ ἤδη πλεῖον, καὶ βραχέως συντακέντων τῶν μερῶν ἤδη τὰ τῆς ἐπιδέσεως ἀναβοώντων γένοιντο πά-
λιν ἀναθρέψεις αὐτοῖς, καὶ τὴν εὐσαρκίαν ἐγκλείειν χοίη τὸ μόριον. ὁρῶντες δὲ οἱ οὕτως ἐξηγούμενοι πολλῇ τῇ ἐπιδέσει
μηδ' ὅλως ὑπ' αὐτῆς ἐξηγήσεως τυχεῖν δυνάμενον, ἀλλοίαν τῇ ἑξῆς γράφουσιν, ὥστε γίνεσθαι τρεῖς διαφερούσας ἀλλήλων γρα-
φάς. μία μὲν ἀλλοίη τῇ ἑξῆς, καὶ γοῦν οὕτως ἐνίοις τῶν ἀντιγράφων εὑρίσκεται γεγραμμένων. οἱ δ' οὖν ἄλλῃ τῇ ἑξῆς γράφοντες,

οὐκ ἐπὶ τὴν ἐπίδεσιν ἀναφέρουσι τὴν λέξιν, ἀλλ' ἐπὶ τὸ πεπονθὸς μόριον, ὃ φασὶν ἀλλοίῃ χρησάμενον ἕξει, ἣν εἶχεν ἔμπροσθεν ἐκκλῖνον πρὸς εὐτροφίαν, τὴν ἕξιν ταύτην αὐτῷ γίγνεσθαι διὰ ἐπιδέσεως ἐπὶ πολὺ συντηκούσης, ὥσπερ οὐκέτι αὐτῆς ἐπιδέσεως εἰς τὴν ἰσχνότητα τῶν ἀτροφησάντων μορίων ἀφικνουμένων, ἀλλὰ νῦν ἴσως αὐτῆς τι μελλόντων φράσαι. τῆς γὰρ ὀνομαζομένης ὑπὸ τῆς ἐπιδέσεως καταγματικῆς κοινῆς δεούσης, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυτο, καὶ ἄλλων παθῶν ἐν οἷς ἦν τὰ ἐκχυμώματά τε καὶ θλάσματα καὶ σπάσματα, λεπτυνούσης τὰ μόρια. τὴν οὖν ἕξιν διὰ τῆς αὐτῆς ἐπιδέσεως ἀρχὴν ἀναθρέψεως πορίζεσθαι τοῖς ἠτροφηκόσιν, ὅθεν ἔνιοι τὴν λέξιν οὕτως ἔγραψαν, ὡς ἂν ἐξ ἐπιδρομῆς συνταχθέντων πλέον ἢ αὐτομάτως ἐμηνύθη, διαδράσασθαι τὴν ἀτοπίαν τοῦ λόγου, νομίσαντες αὐτομάτῳ φύσει λελεπτύνθαι τὰ μόρια. καὶ τῇ νῦν διδασκομένῃ οὐχὶ πάντων εἶναι τῶν μανυθημάτων κοινὸν, ἀλλὰ μόνον τῶν αὐτομάτων τὸν κοινὸν, καὶ καθόλου λόγον τῆς διδασκαλίας εἰς μικρὸν κόσμον συντείνοντα. ὀλίγιστα γὰρ τὰ κατ' ἄλλην αἰτίαν ἀτροφοῦντα καὶ πάνυ σπάνια, τὰ ἄλλα πάντα διὰ τὴν πολυχρονίαν ἐπιδέσιν τε ἅμα καὶ ἡσυχίαν τῶν πεπονθότων μορίων, εἰς τὴν τοιαύτην ἀφικνεῖ διάθεσιν. καὶ τούτων γὰρ εὔλογόν ἐστι μᾶλλον, ἢ ἄλλων τινῶν μεμνῆσθαι τὸν Ἱπποκράτην τοῖς προειρημένοις ὑπαρχόντων. εἴρηται γὰρ αὐτῷ μέχρι δεῦρο, περί τε καταγμάτων καὶ τινων ἄλλων παθῶν, ὅσα παραπλησίας ἐπιδέσεως δεῖται. τούτοις οὖν εἰδὼς ἑπομένην ἰσχνότητα τῶν μορίων εἰκότως, ἐπεχείρησε διδάσκειν ὥσπερ αὐτὴν ἐστὶ θεραπευτέον. ὃ δὲ δὴ μέγιστον ἄν τις ἐγκαλέσειε, τοῖς ἐπιδέσει λεπτυνούσῃ χρῆσθαι τὸν Ἱπποκράτην νομίζουσι, καὶ δὴ φράσω. πρόκειται μὲν ἀνατρέψαι τὰ λελεπτυσμένα, γενέσθαι δὲ τοῦτο ἀδύνατόν ἐστιν, ἄνευ τοῦ τὴν δύναμιν αὐτῶν ῥωσθῆναι, καὶ χορηγίαν ὕλης τροφίμου χεῖν ἄφθονον. ἣν δὲ οἴονται δεῖν αὐτὸ παραλαμβάνειν, ἀνείργει μὲν τὴν ἐπιῤῥοὴν τοῦ αἵματος, ἀσθενῆ δὲ ἐργάζεται τὴν δύναμιν. ἣν δὲ ἐγώ φημι λέγεσθαι πρὸς Ἱπποκράτους ἀλλοίαν, ὡς πρὸς τὴν ἐργαζομένην δηλονότι τὰ μινυθήματα, τούτων δὲ ἑτέρων ἐργάζεσθαι. χρὴ γὰρ ἄρχεσθαι μὲν ἀπὸ τῶν ὑγιῶν, οὐκ ἀπὸ τῶν πεπονθότων, τῶν ἐκ πολλῶν τὴν ἐπιβολὴν ποιουμένων αὐτοῖς εὔπηκτον, ὡς ἐκπιέσαντα κατὰ τὴν ὀδύνην ἄχρι τοῦ μηδεμίαν ὀδύνην γενέσθαι, φλεγμονὴν ἐργάζεσθαι δυναμένην, ἥκειν ἄχρι τοῦ πεπονθότος ἐκλύοντα ἤδη βραχὺ τὴν πίεσιν. ἀλλὰ καὶ τὸ συνεπιδεῖν τῷ πεπονθότι τὸ ὑγιὲς σκέλος, οὐδένα λόγον ἔχει κατὰ τὴν ἐξήγησιν αὐτῶν. ἵνα μὴ ἐπὶ πολὺ συντακῇ τὰ λελεπτυσμένα, τὴν ἐπίδεσιν φασὶν αὐτὸν παραλαμβάνειν. εἰς τοῦτο δ' οὐ μόνον οὐδὲν ὠφελεῖ τὸ ἕτερον σκέλος ἐπιδούμενον, ἀλλὰ καὶ βλάπτει. τὸ γὰρ εἰς τοῦτο πρότερον ἀφικνούμενον αἷμα δὴ, ὡς νῦν ἅπαν εἰς τὸ πεπονθὸς ἀπωθεῖται. εἰ γε μὴν τῶν παραδειγμάτων ὧν οἱ τὴν προειρημένην ἐξήγησιν εἰρηκότες, παρατίθενται μοχθηρὸν, πρόδηλόν ἐστι, μηδὲ ὅμοιον ἐχόντων παρ' Ἱπποκράτους διδασκομένων. ὑγιὴς γὰρ ὁ λογισμὸς ἐκείνου βουλόμενος πᾶν ἀθρόως τὸ τὴν αἰτίαν ἐργαζόμενον, ἐμπεπλασμένον δηλονότι δυσαπολύτως τοῖς χιτῶσι τῆς κοιλίας. οὕτως γὰρ καὶ τὰ συῤῥέοντα, καὶ βραχὺ δριμέα, καὶ τὴν κοιλίαν ἐρεθίζοντα, πρὸς ἀπόκρισιν ἀθρόως κινῆσαι λόγον ἔχει, καθάπερ γε καὶ ἐπὶ τὴν μετρίαν βῆχα κινοῦντα, διὰ σφοδροτέρας ἀθρόως ἐκκαθαίρεται. τούτοις δὲ ὅμοιον οὐδὲν ἔχει τὸ λεγόμενον ὑπ' αὐτῶν, ἐπισυντήκειν ἀξιούντων τὸ λελεπτυσμένον χωρίον, ἵνα ἀρχὴν ἀναθρέψεως σχῇ. διὰ γὰρ τῆς ἐπὶ πολὺ ἡ δύναμις τῶν ἠτροφηκότων εὔρωστος γίγνοιτ' ἂν, οὔθ' ὕλης τροφίμου χορηγία. τὸ δὲ καὶ τῶν τετανικῶν μνημονεῦσαι αὐτοῖς ἀλογώτατον. ἐπιδεικνύουσι γὰρ ἑαυτοὺς τῆς Ἱπποκράτους τέχνης ἀμαθῶς ἔχοντας, εἴς γε τἀναντία τῶν ἐναντίων ἐκεῖνος εἶναι φασὶ τῆς θεραπευτικῆς μεθόδου. μὴ γινώσκοντες δὲ ἔνιοι τὴν δύναμιν τοῦ λόγου, πρὸς ἀντιλογίαν ἐτρέποντο, κοινόν τι τοῦτο πεπονθότες ἅπασι τοῖς προπετῶς ἀντιλέγουσι, καὶ διαβάλλειν πειρωμένοις ἃ μηδ' ὅλως ἔμαθον. οὐχ ὅπως γὰρ ἀνατρέπεται τὸ τἀναντία τῶν ἐναντίων εἶναι βοηθήματα, δι' ὧν εἶπεν Ἱπποκράτης ἐπὶ τῆς τεχνικῶν, ἀλλὰ κατασκευάζεται, καὶ κατ' αὐτὸν τὸν ἀφορισμὸν, ὡς αὐτοῖς ψυχρὸν εἶναι ἔφη ὕδωρ θέρμης ἐπανάκλησιν ποιεῖσθαι. θέρμην δὲ ταῦτα ῥύεσθαι, ὃ τὴν αὐτῶν θέρμην ταύτην ἡ τις ἰᾶται ψυχρὰ πάθη, ποτὲ διὰ τρίψεως ἐργαζόμεθα, ποτὲ δὲ διὰ φαρμάκου θερμαίνοντες, ἢ γυμνασίων, ἢ χύσεως ὑδάτων θερμῶν. καὶ μᾶλλον δ' εἰπεῖν, καὶ ἀσφάλτῳ δὴ πολλάκις ὡς ἔφην, διὰ τοῦ πιλῶσαι τὸ θερμανθῆναι δεόμενον, ἔστι δ' ὅτε καὶ διὰ ψυχροῦ καταχύσεως. ἀλλὰ τὰ μὲν ἄλλα πάντα κατὰ τὴν ἑαυτῶν δύναμιν ἔχοντα, τὸ θερμαίνειν ἀεὶ χρήσιμά εἰσι τοῖς θερμανθῆναι δεομένοις μορίοις τε καὶ πάθεσι, τὸ δὲ ψυχρὸν ὕδωρ, ἅτε ψυχρὸν ὂν ἐφ' ἑαυτῷ σπανίως χρήσιμον γίγνεται, ἐπὶ μόνου σώματος ἰσχυρὸν ἔχοντος τὸ ἔμφυτον θερμὸν ὠφελίμως παραλαμβανόμενον. ἐπεὶ γοῦν εὔσαρκός φησιν αὐτός ἐστιν, ὅτε χρήσιμον γίγνεται τὸ ψυχρὸν, οὐδ' οὖν ἐπὶ αὐτοῦ ἤδη πάντα καιρὸν, ἀλλὰ θέρεος. τίς γὰρ οὐκ οἶδεν; ἢ τις οὐκ εἴρηκε τῶν περὶ ψυχροποσίας γραψάντων; ἐργαζομένην αὐτὴν ὄνησιν, ἢ βλάβην ἐκ καταψύξεως, ἢ θερμασίας πλείονος ἐκ τοῦ βάθους ἐπανόδου. ἐὰν μὲν οὖν ἱκανῶς ἢ θερμὸν τὸ σῶμα, τηνικαῦτα συμβαίνει μὴ νικᾶσθαι μὲν ὑπὸ τοῦ ψυχροῦ τὴν ἐν αὐτῷ θερμότητα, πυκνωθέντος τοῦ δέρματος, ἐπισχεθείσης δὲ τῆς ἀναπνοῆς, αὐξηθῆναι. ἐὰν δὲ ἧττον θερμὸν ἢ, ὡς ἀντισχεῖν τῷ προσπίπτοντι ψυχρῷ, μέχρι τοῦ βάθους ἀφικνουμένης αὐτῆς τῆς δυνάμεως, ἁλίσκονται ἐκ καταψύξεως πάθεσιν. ἴσως δὲ καὶ ταῦτά μοι περιττῶς νῦν εἰρήσεται ἑτέρωθεν, καθάπερ ἔφην, ἐπιδεδειχότι τὰ πρῶτα θεραπεύοντα. πρῶτος δὲ εἶναι δεῖ ἐναντία. πρώτως δὲ δηλονότι λέγεται, τὰ διὰ μέσου μηδενὸς, οἷς ἀντίκειται τὰ διὰ μέσου τινὸς, ἃ καὶ κατὰ συμβεβηκὸς, οὐ πρώτως ὠφελεῖ. φλυαροῦσιν δ' οἱ μνημονεύοντες, καὶ γαστρὸς ὑπαγωγῆς, καὶ βηχικῶν φαρμάκων, καὶ ψυχροῦ καταχύσεως. εὐλόγως μὲν ἐνίοτε γινομένων, οὐδὲν δὲ ἐχόντων ὅμοιον τῷ νῦν ἡμῖν προκειμένῳ λόγῳ. δεῖξαι γὰρ ἐν αὐτῷ δεῖ πῶς ἡ λεπτύνουσα μετρίως ἐπίδεσις, ἢ ῥώμην ἐργάζεται τοῖς λελεπτυσμένοις μορίοις, ἢ πλείονος αἵματος ἐπιῤῥοήν. ἕως τ' ἂν δὲ μὴ δύνανται δεῖξαι ταῦτα, μάτην παραδείγματα γράφουσι, πρὸς τὸ μηδὲ ἀπόδειξιν ἐπιστημονικὴν γίνεσθαι διὰ παραδείγματος. ἐδείχθη δὲ ἤδη τὸ περὶ παραδείγματος ὑπόμνημα περὶ τούτων χρεία τῶν παραδειγμάτων, ὅτι μὴ τοῖς νοοῦσι νοήσεως ἕνεκα λέγομεν αὐτά, ὡς νομίζουσιν ἔνιοι καὶ μάλιστα οἱ ὁμοίως τοῖς ῥήτορσιν εἰς ἐπίστασιν αὐτοῖς χρῆσθαι τοῦ παντὸς ἁμαρτάνοντες, ὥσπερ καὶ οἱ Πλάτωνά φασι, δι' ἐπαγωγὴν ὡς τὸ πολὺ τὰς ἀποδείξεις ποιεῖσθαι. δέδεικται γοῦν ὡς κἀκεῖνος ἕνεκα σαφηνείας ἐχρῆτο ταῖς ἐπαγωγαῖς. ὅτῳ μὲν οὖν φίλον ἀκριβῶς ἐπίστασθαι δύναμιν ἐπαγωγῆς τε καὶ παραδείγματος, περὶ τὸν ἴδιον ἐκεῖ

τρου

τὸν ὅρον λόγον ἀφικνεῖσθαι γεγραμμένον ἡμῖν ἐτόλμωθεν. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανήξω, καὶ παρασκευάσας ὅ μοι λέλεκται μέχρι δεῦρο, ἀναγνόντας ἐπιμελῶς τοὺς ὁμιλοῦντας τοῖσδε τοῖς γράμμασιν ἐπὶ τὴν τῆς εἰρημένης ῥήσεως ἐξήγησιν ἀφικνεῖσθαι, μαρτυροῦσαν τῇ λελεγμένῃ ὑφ᾽ ἡμῶν ἤδη μεταβήσομαι. ἵνα δὲ μᾶλλον ἅπασα γένηται σαφής, οὐχ ὅλην αὐτὴν ἀθρόως γράψας, ἀλλὰ κατὰ μέρος τὴν ἐξήγησιν οὕτω ποιήσομαι.

Βέλτιον δὲ καὶ τὸ ἄνωθεν οἷον κνήμης καὶ τῶν μηρῶν, καὶ τὸ ἕτερον σκέλος τῷ ὑγιεῖ συνεπιδεῖν, ὡς ὁμοιότερον ᾖ καὶ ὁμοίως ἐλιννύῃ, καὶ ὁμοίως τῆς τροφῆς ἀποκλείηται καὶ δέχηται.

Τὴν τῶν μανυθημάτων ἐπίδεσιν, ὀλίγον ἔμπροσθεν ἀλλοίαν ἔφη χρῆναι ποιεῖσθαι τῆς καταγματικῆς. ἐν ἐκείνῃ γὰρ πρόκειται πρὸς τῷ τὴν ἐπιῤῥοὴν τοῦ αἵματος ἀνείργεσθαι, ἔτι καὶ τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσι μορίοις ἄνω τε καὶ κάτω διωθεῖσθαι, πρὸς τῷ ἡσυχάζειν αὐτὰ μηδ᾽ ὅλως κινούμενα. διὰ γὰρ τῆς τοιαύτης ἔν τισι τελέως ἀφλέγμαντα γίνεσθαι τὰ πεπονθότα μόρια, νυνὶ δὲ οὔτ᾽ ἀνείργειν τὴν ἐπιῤῥοὴν τοῦ αἵματος, οὔτ᾽ ἐκκρίνειν τὸ περιεχόμενον ἐν αὐτοῖς, οὔτε ἀκίνητα φυλάττειν, ἀλλὰ τἀναντία τούτων ἅπαντα πρόκειται πράττειν. τὴν οὖν ἐπίδεσιν, ὡς ἔφην, καὶ πρόσθεν ἄρξασθαι ἀπὸ τῶν τινῶν ὑγιῶν χρή. πιέζουσαν δὲ ταῦτα τὸ μὲν ἐξ αὐτῶν αἷμα χρὴ ταῖς λελεπτυσμέναις ἐκθλίβειν, αὐτὰ δὲ ἐν τῷ τελέως ἀπολαύειν κωλύειν. ἐπὶ μὲν οὖν κνήμης ἢ πήχεος πεπονθότων, ἱκανὸν ἂν εἴη τὴν ἀρχὴν τῆς ἐπιδέσεως ἀπὸ βουβῶνος ποιεῖσθαι. μηροῦ δὲ ἢ βραχίονος πεπονθότων, ἀναγκαῖον ἐστὶν ἀντικείμενον ἐπιδεῖν κῶλον, ἐκ τῶν κάτω μὲν ἀρχομένους, ἀνιόντας δὲ ἄχρι βουβῶνος, ἢ μασχάλης, εἰ δέ ποτε καὶ μεγάλως πῆχυς ἢ κνήμη πεπόνθοι, καθ᾽ ἑκάτερον ἐπιδεῖν σκέλος ἄμεινόν ἐστιν, ὡς ὁμοίως τούτῳ τὸ μὴ πεπονθὸς σκέλος ὑπορηθμένον τοῦ πεπονθότος μέρους ἀργῆται, καὶ μὴ τρέφηται. διὰ τοῦτο οὖν εἶπεν οἷον κνήμης, καὶ τῶν μηρῶν, καὶ τὸ ἕτερον σκέλος ἐπιδεῖν, ὡς ὁμοίως φησὶν ἐλιννύειν, τουτέστιν ἀργεῖν τὸ ἕτερον σκέλος δηλονότι τῷ περὶ τὸ πεπονθὸς μηρῷ, καὶ ὁμοίως ἀποκλείηται. τὸ δὲ δέχεσθαι, διὰ τὸ μὴ βούλεσθαι τὰς τροφάς, ἀποκλείειν αὐτῷ τὸ ἐπιδούμενον, ὡς μηδ᾽ ὅλως δέχεσθαί τι μέρος αὐτῆς. εἴ γέ τις σφίγγει γενναίως ἀποκλείεται τελέως, εὐθὺς μὲν καὶ τοῦ νεκρωθῆναι τὸ μόριον ἐστὶ κίνδυνος. εἰ δὲ καὶ μὴ γένοιτό ποτε τοῦτο, τὴν τροφὴν γε πάντως, ὥσπερ καὶ τῶν περὶ τὸν μηρὸν μορίων, οὕτω καὶ περὶ τὴν κνήμην ἀφαιρήσεται. πρόκειται μὲν οὖν ἡμῶν οὐδὲ λεπτῦναι τὸν μηρόν, ἀλλ᾽ ἀναθρέψαι τὴν κνήμην. ἐπεὶ δὲ ὁ τῆς ἐπιδέσεως τρόπος ἀτροφώτερον ἐξ ἀνάγκης ἐργάζεται, προσιέμενοι τὴν τοιαύτην βλάβην ἄχρι τινός, εἶθ᾽ ὕστερον ὅταν ἤδη μετρίως ἔχῃ σαρκώσεως ἡ κνήμη, κοινὴν ἀμφοτέρων ποιούμεθα πρόνοιαν. ἀρκεῖ νῦν οὖν σιγαροῦν χρὴ κἀνταῦθα τῆς ἐξηγήσεως τῶν οἰομένων αὐτῷ περὶ λελεπτυσμένων μορίων τὰ ὑπορηκέμενα, καὶ καθ᾽ ἑκάτερον σκέλος ἐπιχειρεῖν συλλεπτύνειν, ἕνεκα τοῦ κρύπτεσθαι τὴν ἰσχνότητα τῶν ἠτροφηκότων, καὶ μὴ καταφορὸν γίγνεσθαι, μηδὲ ἐξελέγχεσθαι τῇ παραθέσει τῶν εὐτροφούντων. οὐ μόνον γὰρ Ἱπποκράτης, ἀλλ᾽ οὐδὲ τῶν ἐπιτυχόντων ἰατρός τις ἠξίωσεν ἂν ἡμᾶς καλῶς ἰᾶσθαι.

Ὀθονίων πλήθει μὴ πιέξει.

Καὶ πρόσθεν ἤδη πολλάκις ἐκέλευσεν οὕτω πράττειν, ἐφ᾽ ὧν ἀνώδυνον ἀκριβῶς βούλεται φυλάττεσθαι τὸ ἐπιδούμενον.

Ἀνιέντα πρῶτον τὸ μάλιστα δεόμενον, καὶ ἀνατρίψει χρώμενον σαρκώσει, καὶ καταχύσει ἄνευ ναρθήκων.

Πρῶτον εἴρηκεν, ἤτοι κατὰ τὸν χρόνον, ἢ περὶ τὴν δύναμιν, καὶ κατὰ τὸν χρόνον, ἤτοι τῆς μιᾶς ἐπιδέσεως, ἢ τῶν ἐφεξῆς ἀλλήλων παραβαλλομένων. ἐπεὶ δὲ ταῦτα πάντα εἰσὶν ἀληθῆ, διὰ τοῦτο δῆλόν ἐστι τὸ λεγόμενον, εἰ μὴ ἄρα ταῦτα πάντα βουλόμενος ἡμᾶς ἀκούειν, οὕτως ἔγραψεν. εὐθὺς οὖν ἐπ᾽ αὐτῆς τῆς πρώτης ἐπιδέσεως, ἐπειδὴ ταύτην ἐκ πολλοῦ ποιεῖσθαι χρή, τὴν μὲν πρώτην ἐπιβολὴν τῶν ὀθονίων ἐρείδοντα, τὰ δὲ ἐφεξῆς ἀεὶ καὶ μᾶλλον ἀνιέντα. μάλιστα δὲ κατὰ τὸ τῆς ἀνατρίψεως δεόμενον ἀνιέντα κῶλον, πιθανὸν ἂν εἴη. τὸ μὲν περὶ δύναμιν, πρῶτον ἐπὶ τοῦ θεραπευομένου μορίου λελέχθαι, τὸ δὲ κατὰ χρόνον, ἐπὶ τῆς πρώτης ἐπιδέσεως. εἰ δ᾽ ἐπὶ πασῶν τῶν ἐπιδέσεων ἀλλήλαις παραλαμβανομένων ἀκούομεν τῆς ῥήσεως, ὁ νοῦς ἔσται τοιοῦτος. εἰ κατὰ τὰς πρώτας ἐπιδέσεις συνεπιδέοις τῷ ὑγιεῖ, πάντως παρέξει ποτὲ αὐτὸς γυμνοῦν αὐτό. τοῦτ᾽ οὖν αὐτὸ πρῶτον ἐπὶ τῶν μάλιστα δεομένων ἀνατρίψεως πράττειν, καὶ διὰ τοῦτο μὴ καλῶς τρεφόμενα, τοῦ δ᾽ αἵματος ἐπὶ τὸ πεπονθὸς ἑλκομένου, διά τε τῆς ἀνατρίψεως, καὶ τῶν ἄλλων ὅσα σμικρὸν ἔμπροσθεν εἶπον, ἡ σάρκωσις ἐν αὐτῷ μᾶλλόν τε καὶ θᾶττον ἔσται. τῆς μὲν οὖν ἀνατρίψεως, καὶ τῆς θερμῆς καταχύσεως ὕδατος, αὐτὸς ἐμνημόνευσε, τοῦ φαρμάκου δὲ οὐκ ἐμνημόνευσεν, ἐπειδὴ τὰς ἐνεργείας μόνης ὠφελείας ἐνταῦθα γινώσκει. οὐδὲ γὰρ τὸ διακινεῖν αὐτὰ μετρίως ἄχρι τοῦ μὴ κοπωθῆναι, παραλελεῖφθαι δὴ χρὴ δοκεῖν ὑπ᾽ αὐτοῦ. ἐπεὶ δ᾽ οὖν αὐτὸς ἐδίδαξε τὰ τοῖς διδασκομένοις ὁμογενῆ, τῇ δὲ ἀνατρίψει κίνησις ἅπασα τῶν ἀτροφούντων ὁμογενής ἐστι. ὅπου δὲ καὶ θάτερον σκέλος ἐλιννύειν ἐκέλευσεν, ὁμοίως τῷ περὶ τὸ πεπονθὸς κῶλον ὑγιεῖ μορίῳ, δῆλός ἐστι τῷ ἀνατρίβειν ἀξιῶν κινεῖσθαι. δυνατὸν γάρ ἐστι πῆχυν ἄνευ βραχίονος κινεῖν, καὶ κνήμην ἄνευ μηροῦ, θεραπεύων ἀτροφίαν, χωρίζεις ἀκινήτου πήχεος καὶ κνήμης. ἐπίσταται γὰρ οὕτως ἐκ τῶν ὑποκειμένων ἅμα τῇ κινήσει θεραπευόμενα. τῆς δὲ ὁδοιπορίας αὐτῶν διὰ τῶν πεπονθότων γινομένης, ἐκεῖνα φθάνει προαπολαῦσαι. καὶ γὰρ ταῖς ἀνατρίψεσι, καὶ ταῖς πιττώσεσι, καὶ ταῖς τῶν θερμαινόντων φαρμάκων προσφοραῖς πλεονεκτεῖ. μέγιστον δὲ τεκμήριον ἔσται σοι τοῦ θερμαινομένων τῶν ἀκρωτηρίων ἐπιῤῥεῖν αἵματος κώλοις πλέον, ἡ γιγνομένη κατ᾽ αὐτὰ θερμότης καὶ ἐρυθρότης. τελέαν μὲν ἤδη τούτων ἔχεις τὴν ἴασιν ἐμοῦ προστεθεικότος ἐκείνοις, ἃ Ἱπποκράτης εἶπε, καὶ τὴν τῶν θερμαινόντων φαρμάκων προσφοράν, ἐν ᾧ γένει καὶ ἡ πίττωσίς ἐστι. ὁ δὲ Ἱπποκράτης οὐκ ἐμνημόνευσεν ὅλως ἐν τούτῳ τῷ βιβλίῳ φαρμάκου, καίτοι μνημονεύσας ἐνίων παθῶν δεομένων τῆς ἐκ φαρμάκων ἰάσεως, ἐν οἷς ἐστι τὰ ἐκχυμώματα, καὶ τὰ στρέμματα, καὶ τὰ σπάσματα. διότι μὲν κατὰ χειρουργίαν ὠφέλειαν ἐν αὐτῷ φυλάξαι προὔθετο, καὶ ταύτην οὐ πᾶσαν, ὡς ἔφην, ἀλλ᾽ ἀναγκαιοτάτην τε καὶ χρησιμωτάτην τοῖς ἀρχομένοις μανθάνειν τὴν τέχνην.

Τὰ δὲ ἐρμάσματα καὶ ἀποστηρίγματα, οἷον στήθει, πλευρῇσι, κεφαλῇ, καὶ τοῖσιν ἄλλοισιν ὅσα τοιαῦτα, τὰ μὲν σφυγμῶν εἵνεκεν, ὡς μὴ ἐνσείηται, τὰ δὲ καὶ τῶν διαστάσιων τῶν κατὰ τὰς ἁρμονίας, ἐν τοῖσι κατὰ τὴν κεφαλὴν ὀστέοισιν, θρυσμάτων χάριν, ἐπί τε βηχέων, ἢ πταρμέων, ἢ ἄλλης κινήσεως, οἷα τὰ κατὰ θώρακα, καὶ κεφαλὴν ἀποστηρίγματα γίγνεται, τουτέων ἁπάντων αἱ αὐταὶ ξυμμετρίαι τῆς ἐπιδέσιος. ἢ μὲν γὰρ τὰ σίνη μάλιστα πιέζει, ὑποτιθέναι δεῖ εἴριον μαλθακὸν ἁρμόζον τῷ πάθει. ἐπιδεῖν δὲ μὴ μᾶλλον πιεζεῦντα, ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείεσθαι, τάς τε διαστάσιας τῶν ἁρμονιῶν ψαύειν τὰ ἔσχατα ἀλλήλων, μήτε ἀμφὶ τῇσι πταρμοῖσι καὶ βηξὶν, ἀλλ' ὥστε ἀποστήριγμα εἶναι, καὶ μήτε ἀναγκάζηται μήτε ἐνσείηται.

Ἐκ μὲν τοῦ μὴ κελεύειν αὐτὸν ἠρεμεῖσθαι, ἢ πιέχθαι τὴν ἐπίδεσιν, ἐπί τε περιεραμμένων καὶ περιβαλλομένων ἔξωθεν ὁμοίως εἰρηκέναι, καὶ περὶ τῆς ἐπιδέσεως αὐτῆς ἣν διὰ τῶν ὀθονίων ποιούμεθα. δῆλον οὖν τῆς ἐρμάζειν φωνῆς τὸ σημαινόμενον ἀπὸ τῶν ἑρμάτων εἰληφὼς, ὡς καὶ ὁ ποιητὴς μνημονεύων ἔπεσιν. ὑπὸ δ' ἤρειον ἕρματα νηῶν. ὡς οὐδὲ διαφέρων, ἢ ἐρείσματα εἰπεῖν, ἢ στηρίγματα. φαίνεται δὲ πολλάκις μὲν κεχρημένος τῷ ἐρμάζειν, ἐπί τε τῶν ἐπιδέσμων, καὶ σπληνῶν, καὶ παραρτημάτων, σημαίνει τόγε στηρίζειν. ἤκουσαν δὲ κατὰ πάσας τὰς ῥήσεις τοῦ ἐρμάζειν οἱ ἐξηγηταὶ τοῦτο σημαινόμενον, ὅπερ ἐστὶ τοῦ στηρίζεσθαι. ἀλλὰ νῦν γε φαίνεται γράψας ἐφεξῆς ἀλλήλων τὰς δύο φωνὰς, τήν τε τῶν ἐρμασμάτων, καὶ τὴν τῶν στηριγμάτων ἐνδείκνυσθαι διάφορον ἐξ αὐτῶν τι σημαίνεσθαι. μήποτ' οὖν ἐρμάσματα μὲν ὠνόμασε τὰ κατὰ τὴν ἐπίδεσιν αὐτῶν, ἕνεκα τοῦ φυλάττεσθαι τὸ πεπονθὸς ἀκίνητον, ὑποβαλλόμενά τε καὶ περιβαλλόμενα, πρώτας μὲν τὰς ὑποδεσμίδας ἐχούσας, καὶ ἄλλας τινὰς χρείας. ἀλλὰ καὶ τὴν τῶν ἐρμασμάτων, εἶθ' ἑξῆς τοὺς σπλῆνας ἐρμάσματα καὶ αὐτοὺς ὄντας, οὐ μόνον τοῦ κατάγματος, ἀλλὰ καὶ τῶν ἐπιδέσμων, εἶτα τοὺς ἔξωθεν αὐτοῖς περιβαλλομένους ἐπιδέσμους κατὰ τοὺς νάρθηκας καὶ τὰ παραρτήματα. ταῦτα γὰρ τοῦ κρατεῖν ἕνεκα τὰ ὑποβεβλημένα περιτιθέμενα, τὴν τῶν ἐρμασμάτων ἔχει χρείαν, οὐ πρὸς αὐτὰ μόνον, ἀλλὰ καὶ πρὸς τὰ κατάγματα. ἀποστηρίγματα δὲ δοκεῖ μοι λέγειν, ὅσα χωρὶς ἐπιδέσεως ἔξωθεν ὅλου τῷ πεπονθότι μορίῳ παρατιθέμενα ἐκ δεξιῶν, ἢ ἀριστερῶν, ἢ κάτωθεν, ἢ ἄνωθεν. ὀνομάζω δὲ νῦν ἄνωθέν τε καὶ κάτωθεν, ὡς κατὰ μῆκος ὅλου τοῦ σώματος. ἐν γὰρ τῇ κατὰ τὸ πάχος αὐτοῦ διαστάσει, τὰ μὲν ὑποστρώματα κάτω εἰσὶ, τὰ δὲ ἐπιβλήματα, πάντ' ἄνωθεν ὁποιάπερ. στηρίζεται δὲ τὸ μὲν ἄκρως ἐνίοτε περιιστάμενον κάτωθεν, ὀρθὸν ἄνωθεν. κεφαλὴ δὲ προσκεφαλαίοις τέ τισι καὶ ὑπαυχενίοις, ἐρίοις τε καὶ ῥάκεσι μαλακοῖς, καὶ σωλῆνες δὲ καὶ παρατιθέμενοι τοῖς κατεαγόσι σκέλεσιν ἑκατέρωθεν, στηρίγματα ἂν εἴη. τὸ δ' ἐντιθέμενον εἰς τὴν μασχάλην ἔριον στρογγύλον ὅταν ἐκπεπτωκὸς τὸ κατ' ὦμον ἄρθρον ἐμβαλλόμενον, ἐπιδῶμεν ἐγχωρεῖ προσαγορεύειν ἐρμάσματά τε καὶ στηρίγματα. διότι δὲ ἐπιδεῖται, καὶ αὐτὸ καθ' ὅπερ τι μέρος γίνεται τῆς ὅλης ἐπιδέσεως. ἕρματα γε μὴν ἔξωθεν ἐπιτιθέμενά τε καὶ παρατιθέμενα θώρακι καὶ κεφαλῇ στηρίγματα μᾶλλον, οὐχ ἐρμάσματα κλητέον. ἐπενοήθη δὲ ταῦτα τοῖς ἰατροῖς διὰ τὰς ἀναγκαίας κινήσεις τῶν μορίων. ἐνίας μὲν κατὰ φύσιν οὔσας, ὡς ἀναπνοὴν ἐπὶ τῶν κατὰ θώρακα σφυγμῶν καὶ μηνίγγων, ἐνίας δὲ παρὰ φύσιν, ὡς βῆχα καὶ πταρμὸν καὶ λυγμόν. οἱ δὲ ἐν τοῖς φλεγμαίνουσι μορίοις γίγνονται σφυγμοὶ, καὶ προσέτι κατὰ τὰς κεφαλαλγίας τὰς σφόδρα ἐν ταῖς κατὰ τοὺς κροτάφους ἀρτηρίαις. καὶ παλμοὶ δὲ πολλάκις μὲν ἐπ' ὑποχονδρίων γιγνόμενοι. ἔστι δ' ὅτε δὴ καὶ κατ' ἄλλα μόρια στηριγμάτων ἐδεήθη, καὶ τάγε στηρίγματα ταῦτα ποιητέον. ποτὲ μὲν αὐτὰ μόνα, ὡς ἐπὶ τῶν κατὰ τοὺς κροτάφους ἀρτηριῶν, ἐν κεφαλαλγίαις σφοδραῖς, ἢ τῶν κατὰ ὑποχόνδρια παλμῶν, ἢ τραυμάτων αἱμορραγίαν ἀπειλούντων. ἐνίοτε δὲ ἔριον ἐπιδέσμῳ περιλαμβανόντων ἁπλῶς, καὶ χωρὶς δὲ ἐπιδέσμων ἐνίοτε στηρίζομεν. ἐρίῳ τε στηρίζομεν τὰ κατὰ θώρακά τε καὶ αὐχένα, καὶ κεφαλὴν ὑπαυχενίοις τε μαλακοῖς, καὶ σακκίοις κούφοις κέγχρον θερμὴν ἔχουσιν, ὅταν ἅμα πυριαθῆναί τε καὶ στηρίζεσθαι δέωνται, καί γε νῦν δὲ ἐκπεσοῦσαν. ἐπεμβληθεῖσι δ' ἐνίοτε, στηρίζομεν ἔξωθεν ἁπαλοῖς στηρίγμασι. κοινοῦ τοίνυν ὄντος σκοποῦ τοῖς ἰδίως ὀνομαζομένοις ἐρμάσμασι καὶ στηρίγμασιν, εἰκότως οἱ ἐξηγησάμενοι τὸ βιβλίον, ἓν ἐξ ἀμφοῖν οἴονται σημαίνεσθαι, καὶ ἡμεῖς αὐτοὶ πολλάκις ἀδιαφόρως χρώμεθα τοῖς ὀνόμασιν. ὁ δὲ κοινὸς σκοπός ἐστιν, ὃν ὀλίγον ἔμπροσθεν εἶπον, ὅπως ἐν ταῖς κινήσεσι μὴ σείηται τὰ μόρια. διαφορᾶς μέντοι τινὸς οὔσης ἰδικῆς ἣν ἄρτι διῆλθον, ὅταν ἀκριβολογώμεθα, στηρίγματα μὲν ἐροῦμεν ὅσα τῆς ἐπιδέσεως ἔξωθέν ἐστι, ἐρμάσματα δὲ τὰ κατ' αὐτὴν ἐκείνην, καὶ οὕτως διοριούμεθα τὰ μὲν τοῖς ἀναγκαίοις κινουμένοις μορίοις ὧν ταῖς κινήσεσι παύειν οὐκ ἔστιν ἐφ' ἡμῖν στηρίγματα καλεῖσθαι, τὰ δὲ ἐν τοῖς ἀκινήτοις, ἐρμάσματα. σκέλος μὲν γὰρ καὶ χεῖρα κινεῖν ἐφ' ἡμῖν ἐστι, θώρακα δὲ καὶ μήνιγγας οὐκ ἐφ' ἡμῖν. καὶ παλμὸς ἔν τινι μορίῳ γιγνόμενος, οὐκ ἐφ' ἡμῖν ἐστι, ὥσπερ οὐδὲ βὴξ, ἢ πταρμὸς, ἢ λυγμὸς, καὶ ὅτι μάλιστα δυνατὸν ἀντέχειν αὐτοῖς ἐπὶ χρόνον ἱκανὸν ὡς μὴ γίγνοιτο. βιάζεται γὰρ ὕστερον ὅταν ἰσχυρὰς ἔχῃ τὰς γεννώσας αἰτίας αὐτῆς, καὶ μόνοις τοῖς καρτερικωτάτοις δυνατὸν ἀνδράσιν ἀντισχεῖν τε καὶ κωλῦσαι τὴν γένεσιν αὐτῶν φαίνεται. καὶ αὐτὸς δὲ ὁ Ἱπποκράτης ἔξωθεν ἔγραψε κατὰ τὴν προκειμένην ῥῆσιν, ἐπὶ μὲν τῶν σφυγμῶν εἰπὼν ὡς μὴ ἐνσείηται. καὶ προσέτι ἐπὶ τῶν κατὰ τὴν κεφαλὴν ἁρμονιῶν διαστάσεως τῷ τῶν ἐρμασμάτων ἐφεξῆς ὀνόματι κεχρημένος, ἐπὶ δὲ βηχῶν καὶ πταρμῶν, καὶ ὅλως τῶν κατὰ κεφαλὴν καὶ θώρακα κινήσεων, τῷ τῶν στηριγμάτων. ἡ μὲν οὖν τῶν ἁρμονιῶν διάστασις ἐπὶ κεφαλῆς ἐν ταῖς καλουμέναις ῥαφαῖς γίγνεται, κυρίως μὲν ἁρμονιῶν ὀνομαζομένων καθ' ἃ ψαύει τὰ τῆς κεφαλῆς ἀλλήλων ὀστᾶ, κατὰ μεταφορὰς δὲ ῥαφῶν. ἥρμοσται γὰρ ἀκριβῶς ἀλλήλοις τὰ κατὰ τὸ κρανίον ὀστᾶ, καὶ διὰ τοῦτο καθ' ἁρμονίαν ἡ σύνθεσις αὐτῶν εἰκότως ἂν λέγοιτο γεγονέναι, καθ' ὁμοιότητα δὲ τὴν πρὸς τὰ ῥαπτόμενα, ῥαφή. ῥᾷον αὐτὰ τοίνυν ἐνίοτε διΐστανται, καί ποτε καὶ

ὀδύνην

ὀδύνην ἐπιφέρουσιν, ὅταν φλεγμαίνωσιν οἱ συνάπτοντες αὐτὸν τὸν περικράνιον ὑμένα τῇ σκληρᾷ μήνιγγι, καὶ φλέβια τινὰ μικρὰ συνεξερχόμενα κατὰ τὰς ῥαφὰς φλεγμαίνει πολλάκις, ἐφ' ὧν διάθεσις ἡ κίνησις τῆς σκληρᾶς μήνιγγος ἐπιπίπτουσα τοῖς φλεγμαίνουσιν ὀδύνην ἐργάζεται. παραπλησίως δὲ καὶ κατά τινας φλεγμονὰς, ἢ κινήσεις τῶν ἀρτηριῶν ἀλγηδόνας ἀποτελεῖ. καὶ δεῖται τὰ τοιαῦτα παθήματα συμμετρίας ἀκριβοῦς τῶν στηριγμάτων, ὅπως μήτε χαλαρὰ τοῖς πεπονθόσι μέρεσι περιπίπτοντα κινούμενα διασείηται ῥᾳδίως αὐτὰ, καὶ διὰ τοῦτο πόνον ἐπάγῃ. μήτε αὖ πάλιν αὐτὰ τὰ στηρίγματα περαιτέρω τοῦ προσήκοντος ἐρηρεισμένα θλίβειν ἐργαζόμενα, παροξύνει τὰς ὀδύνας. ἡ δ' αὐτὴ συμμετρία καὶ τῆς τῶν ἐπιδέσμων περιβολῆς, εἴρηται πρόσθεν αὐτῷ καὶ κατ' ἄλλα τινὰ πάθη προσηκόντως γίγνεσθαι, τῆς καταγματικῆς ἡλικίας καὶ ἐπιδέσεως χρήζοντα. καὶ διὰ τοῦτο ἔφη νῦν, τούτων δὲ αἱ αὐταὶ συμμετρίαι. τούτων δὲ λέγων τῶν νῦν εἰρημένων. αὐτὰς δὲ τοῖς προειρημένοις συμμετρίας εἶναι φάσκων, εἶτα καὶ τῶν συμμέτρων αὐτῶν ἀναμιμνήσκων ἐν οἷς φησίν. ἢ μὲν γὰρ τὰ σίνη μάλιστα πιέζει, τουτέστιν ἔνθα εἰσίν. τὸ γὰρ ἢ, νῦν ἀντὶ ἐπιῤῥήματος τοπικοῦ, διὸ καὶ δασύνειν αὐτὸ καὶ περισπᾶν χρή. καὶ διὰ τοῦτο δὲ τούτῳ τῷ πάθει συμφέρον ἐπιτιθέναι κελεύων τὸ ἁρμόζον ἢ στηρίζον, δηλονότι τῇ περιβολῇ τοῦ ἐπιδέσμου ποιεῖσθαι φησὶ χρῆναι μὴ μᾶλλον πιέζοντος, ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείεσθαι, ὅπερ ἐστὶν ὑπὸ στενοχωρίας κωλύεσθαι τὴν κίνησιν τῶν σφυζόντων, ὀδυνηρὸν γὰρ τοῦτο. πρὸς αὐτῷ δὲ καὶ ἄλλον ὅρον ἔθετο, κατὰ τὰς διαστάσεις τῶν ῥαφῶν ἰδίως ὑπάρχοντα, καθ' ὧν φησὶ, τάς τε διαστάσιας τῶν ἁρμονιῶν συμψαύειν τὰ ἔσχατα ἀλλήλων. ἔσχατα λέγων καθ' ἃ μηκέτι μᾶλλον ἐγχωρεῖ συμψαύειν, δηλοῦται δ' ἐκ τούτου ἡ σφοδρὰ καὶ ἄμετρος θλίψις. ὥσπερ γὰρ οὐ χρὴ κεχαλᾶσθαι τὴν ἁρμονίαν τῶν ὀστῶν, οὕτως οὐδὲ εἰς ἄκρον ἐσφίγχθαι. καὶ γὰρ καὶ τοῦτο παρὰ φύσιν. οὗτοι μὲν οὖν εἰσι τῆς ἰσχυρᾶς πιέσεως οἱ ὅροι. τῆς δ' ἀμυδροῦς ἐφεξῆς ὅροι, μήτε ἀμφὶ τοῖς πταρμοῖς τε καὶ βηξὶν, ὡς εἰ καὶ οὕτως εἶπε, μήτε ἐν τοῖς πταρμοῖσι καὶ ταῖς βηξὶ σείεσθαι καὶ κλονεῖσθαι συμπεπονθότα μόρια, μηδενὸς αὐτὰ συνέχοντος. ἐν ὧ σφοδραὶ κινήσεις τὰ χαλαρὰ καὶ ἀστήρικτα μόρια διασείουσαι βιαιότερον, ἢ ὡς τοῖς πεπονθόσι πρέπει παροξύνουσι τοὺς πόνους αὐτῶν. ἡ τοίνυν συμμετρία τῶν στηριγμάτων αὕτη ἐστὶν, ἣν ἐπὶ τέλει τῆς ῥήσεως ἔγραψεν, εἰπὼν ὡς μήτε διαναγκάζηται μήτε ἐνσείηται, τουτέστιν, ἵνα μήτε βιαίως θλίβηται τὰ πεπονθότα, μήτε ἐν ταῖς κινήσεσι σείηται, τουτέστιν ἵνα μήτε βιαίως, μήτε χαλαρῶς ἐπιδεδεμένα ᾖ.

ΤΕΛΟΣ.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΛΩΣΣΩΝ ΕΞΗΓΗΣΙΣ.

Τὰς παρ' Ἱπποκράτει γλώσσας, ὦ Τεῦθρα, βουληθέντι σοι διὰ βραχυτάτων ἡμᾶς ἐξηγήσασθαι, προθύμως ὑπήκουσα τοῖς τοιούτοις ἐπιθυμήμασιν, ὑπηρετεῖσθαι κάλλιστα, κάλλιστον εἶναι νομίζων. ἔσται δὲ ὡς αὐτὸς ἐκέλευσας, ἡ τάξις τοῦ λόγου κατὰ τὴν τῶν γραμμάτων τάξιν, ἀφ' ὧν γλῶτται τὴν ἀρχὴν ἔχουσι, πρότερόν τε διορισαμένοις ἡμῖν, ὅπῃ διαφέρει τοῦ πᾶσαν ἐξηγήσασθαι τὴν Ἱπποκράτους λέξιν, τὸ τὰς γλώττας μόνας. ὅσα τοίνυν τῶν ὀνομάτων ἐν μὲν τοῖς πάλαι χρόνοις ἦν συνήθη, νυνὶ δ' οὐκέτι ἐστί. τὰ μὲν τοιαῦτα γλώττας καλοῦσι, καὶ ταύτας ἐξηγησόμενος ἔρχομαι. τὰ δὲ ἄλλα πάντα ὅσα ζητήσεως μὲν οὐχ ἧττον [illegible] προσδεῖται, συνήθη δέ ἐστιν, εἰς τὰς δὲ κατὰ τὰς τῶν συγγραμμάτων αὐτῶν ἐξηγήσεις ἄμεινον ἐπισκοπεῖσθαι. τίς γὰρ ἡ κρίσις, καὶ τί τὸ θεῖον, καὶ τί τὸ ἀρτίως, καὶ τίς ἡ ἐπ' ἄκρων εὐεξία, καὶ πάνθ' ὅσα τοιαῦτα, λόγου μὲν παμμήκους εἰς ἐξήγησιν δεῖται. συνήθη δέ ἐστιν, οὐδὲν ἧττον ἢ βίος, καὶ βραχὺς, καὶ τέχνη, καὶ μακρὰ, καὶ καιρὸς, καὶ ὀξὺς, καίτοι καὶ τούτων ἔνια δεῖται τινὸς ἐξηγήσεως. ὅθεν ἔμοιγε καὶ θαυμάζειν ἐπῆλθε τῶν ἅπασαν ἐξηγεῖσθαι τὴν Ἱπποκράτους λέξιν ἐπαγγελλομένων, εἰ μὴ συνίασιν, ὅτι πλείω παραλείπουσιν ὧν διδάσκουσιν. πολλὰ γοῦν βιβλία Διοσκουρίδης γράψας, οὐχ ὁ ἐπικληθεὶς Φακᾶς ὁ Ἡροφίλειος, ἀλλ' ὁ νεώτερος ὁ κατὰ πατέρας ἡμῶν, οὐχ ὅπως τὸ ἥμισυ μέρος, ἀλλ' οὐδὲ τὸ τρίτον ἢ τέταρτον ἐξηγήσατο τῆς ὅλης λέξεως. τούτῳ μὲν γε πρὸς τοῖς ἄλλοις καὶ δύο ταῦτα ἐξ ἐπιμέτρου καθ' ὅλον πεπλημμέληται τὸν λόγον. ὀνομάτων τε σαφεστάτων μνημονεύειν, μὴ ὅτι πολλῆς, ἀλλὰ μηδὲ ἐλαχίστης ἐξηγήσεως δεομένων, καὶ τούτων αὐτῶν πλεονάκις. ταῦτα τε οὖν ἡμεῖς περιείδομεν, καὶ πρὸς τούτοις ἔτι τὸ διηγεῖσθαι τὴν ἰδέαν ἑκάστου φυτοῦ, καὶ βοτάνης, καὶ τῶν μεταλλευομένων. ἤδη δὲ καὶ τῶν ἰχθύων, καὶ τῶν ζώων ὅλων ὅσων ἂν ἑκάστοτε τύχῃ μεμνημένος ὁ Ἱπποκράτης, ἅπερ ὁ Διοσκουρίδης οὐκ αἰδεῖται, μεταγράφων ἐκ τῶν Νίγρου τε καὶ Παμφίλου καὶ Διοσκουρίδου τοῦ Ἀναζαρβέως, καὶ πρὸ τούτων Κρατεύα τε καὶ Θεοφράστου, καὶ Ἡρακλείδου τοῦ Ταραντίνου, καὶ ἄλλων μυρίων. οὕτως δὲ καὶ πόλεων ὀνόματα διηγεῖται γνωριμωτάτων, καὶ ἄστρων ὁμοίως ἐπιφανεστάτων, ἃ μηδὲ ἂν παῖς ἀγνοήσειεν. ταῦτα δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἐξηγησαμένων ἁμαρτάνουσιν. εἰ τοίνυν ταῦτα τις περιέλοι πάντα, τὰς γλώττας ἂν ἐξηγήσαιτο μόνας, ὥσπερ ὁ Ἡρόφιλος ἐποίησε καὶ Βακχεῖος Ἀριστάρχου τοῦ γραμματικοῦ, τὸ πλῆθος αὐτῷ τῶν παραδειγμάτων ἀθροίσαντες, ὥς φασιν. ἡμεῖς δὲ ὡς οἶδα πλείω κἀκείνων ἐκλέψαντες, ἐν ὑπομνήμασιν ἔχομεν. ἃ τάχα ἂν εἰ βουληθείης, καὶ αὐτὰ διὰ μακροτέρας διεξόδου συντεθειμένα σοι. νυνὶ δὲ τὸ προκείμενον καὶ δι' ἐκείνων τῶν μακρῶν ὑπομνημάτων ἀποδεδειγμένον, ἀξιώσαντί σοι διὰ κεφαλαίων ἔχειν, ὁ λόγος ὅδε σύγκειται, περιέχων οὐ μόνον ὅσα τοῖς ἄλλοις παλαιοῖς ὑπάρχοντα συνήθη τῶν ὀνομάτων, οὐκέτι ἐστὶν ἐν ἔθει νῦν, ἀλλὰ καὶ ὅσα κατά τινα τρόπον ἴδιον αὐτὸς ἐποίησεν ὁ Ἱπποκράτης, ἢ μετενεγκὼν ἀπὸ τοῦ συνήθους, ἢ σχῆμα περιθεὶς ἕτερον, ἢ τὸ σημαινόμενον ὑπαλλάξας. ὅτι γὰρ ἐποίουν οἱ παλαιοὶ πολλὰ τῶν ὀνομάτων αὐτοῖς, δέδεικται μὲν ἱκανῶς καὶ πρὸς Ἐρατοσθένους, ἐν τοῖς περὶ ἀρχαίας κωμῳδίας. δείξαιμι δ' ἂν σοι κἀγὼ νῦν διὰ βραχέων ἐπὶ παραδειγμάτων ὀλίγων ἐχόντων γινώσκειν ἐναργέστερον, οἷον μέν τι ἡ γλῶττα ἐστὶν, οἷον δέ τι καὶ τὸ παραπλήσιον αὐτῇ, τὸ

γεγονὸς ὑπό τινος τῶν παλαιῶν. νομίζω δή σοι τὰ ὑπὸ Ἀριστοφάνους ἀρκέσειν, τὰ ἐκ τῶν Δαιταλέων ὧδέ πως ἔχοντα. πρὸς ταῦτά σοι λέξω Ὁμήρου γλώττας τινὶ καλοῦσι κόρυμβα. προβάλλει γὰρ ἐν ἐκείνῳ τῷ δράματι, ὁ ἐκ τοῦ δήμου τῶν Δαιταλέων πρεσβύτης τῷ ἀκολάστῳ υἱεῖ. πρῶτον μὲν τὰ κόρυμβα τί ποτ᾽ ἐστὶν ἐξηγήσασθαι, μετὰ δὲ τοῦτο τί καλοῦσιν ἀμενηνὰ κάρηνα. κἀκεῖνος μέντοι ἀντιπροβάλλει τὸν ἐν τοῖς Σόλωνος ἄξοσι γλωττὸν εἰς δίκας διαφέρουσας ὧδέ πως. ὁ μὲν οὖν σὸς, ἐμὸς δὲ οὗτος ἀδελφὸς, φρασάτω τί καλοῦσιν ἰδυίους τε. ἐφεξῆς προβάλλει, τί ποτ᾽ ἐστὶ τὸ εὖ ποιεῖν. ἐξ ὧν δῆλον, ὡς ἡ γλῶττα παλαιόν ἐστιν ὄνομα τῆς συνηθείας ἐκπεπτωκός. ὅτι δὲ καὶ αὐτὸς ἕκαστος περὶ λόγους ἐχόντων ἠξίου ποιεῖν ὀνόματα καινὰ, δηλοῖ μὲν καὶ Ἀντιφῶν ἱκανῶς, ὅς γε ὅπως αὐτὰ ποιητέον ἐκδιδάσκει. δηλοῖ δὲ καὶ αὐτὸς οὗτος ὁ Ἀριστοφάνης ἐν τούτῳ τῷ δράματι διὰ τῶνδε. ἅλις, ὀρέλη, καὶ μύρον, καὶ ταινίαι. εἶτα ὁ πρεσβύτης ἐπισκώπτων, ἤδη σωρέλη. τοῦτο παρὰ Λυσιστράτου. πάλιν δὲ αὐτοῦ τοῦ ἀκολάστου υἱέος εἰπόντος, ἢ μὴν ἴσως οὐ καταπλιγήσει τῷ χρόνῳ. καὶ τοῦτο υἱοῦ ὁ πρεσβύτης ἐπισκώπτων, ἐρεῖ, τὸ καταπλιγήσει τοῦτο παρὰ τῶν ῥητόρων. εἶτ᾽ αὖθις ἐκείνου φάντος, ἀποβήσεταί σοι ταῦτα ποῖ τὰ ῥήματα. πάλιν ὁ πρεσβύτης καὶ τοῦτο σκώπτει παρ᾽ Ἀλκιβιάδου τοῦτ᾽ ἀποβήσεται. καὶ μήν γε καὶ ὁ υἱὸς, οὐδέ πω παυόμενος οὐδὲ αἰδούμενος τὸν γέροντα φησὶ, τί ὑποτεκμαίρῃ καὶ καλοὺς ἄνδρας λέγοις καλοκἀγαθεῖον ἀσκοῦντας. εἶτα ὁ πρεσβύτης, οἴμοι ὦ Θρασύμαχε τίς τούτων τῶν ξυνηγόρων τερθρεύεται. δῆλον οὖν ἐκ τούτων οἶμαί σοι γεγονέναι ὡς εἶπον, ἐστὶν τρόπον τῶν γλωττῶν ἢ τοῦ κοινοῦ πᾶσιν ὀνόματος ἐκπεσόντος τῆς ἐπικρατούσης συνηθείας, ἢ τοῦ γινομένου πρός τινος τῶν παλαιῶν μὴ παραδεχθέντος ὅλως εἰς τὴν συνήθειαν. οὕτως οὖν καὶ Ἱπποκράτης τὰ μὲν ἐκ τῶν ὄντων οὐ συνήθων ὀνομάτων παραλαμβάνει, τὰ δὲ αὐτὸς ποιεῖ, τὰ δὲ καὶ τοῖς σημαινομένοις ὑπαλλάττει, καὶ δίκαιον ἕκαστον αὐτῶν ἡμᾶς ἐξηγεῖσθαι μετὰ τῶν γλωττῶν, ὅταν γε φαίνηται τοῦ νῦν ἔθους ἐκπεπτωκός. οὕτως οὖν εἰ καί τινος ὀνόματος φυτοῦ, καὶ ζώου, καὶ πόλεως ἀσαφὲς ἱκανῶς εἴη, καὶ τοῦτο ἐν ταῖς γλώτταις ἐξηγησόμεθα, καὶ καθόλου στοχασόμεθα, ὡς μή σοι μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς τὰ πρῶτα γράμματα μεμαθηκόσι χρήσιμόν ἐστι τὸ βιβλίον. εἰ δέ τις οὐκ οἶδε τί ποτ᾽ ἐστὶν, †ἀνερήσομεν, καὶ ἀπὸ πρόσω, καὶ ἄμφω, καὶ ἀμφίεσμα, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, πρὸς Διοσκουρίδην τε καὶ τοὺς ὁμοίους ἀποπέμψομεν, ὡς αὖ οὐκ ἀξιοῦντες οὐδὲ ταῦτα ἐκδιδάσκειν. διωρισμένου δὴ σαφῶς τί μέν ἐστι γλῶττα, τί δὲ λέξις, εἰρημένου δὲ καὶ ὅτι χωρὶς ἀποδείξεως, αὐτὸ μόνον ἠξίωσας γραφῆναί σοι τὸ κεφάλαιον τε καὶ ἀποδεδειγμένον ἡμῖν ἐν ἑτέροις, περὶ τὴν ἐξήγησιν ἤδη τῶν γλωττῶν ἀφιξόμεθα, πάντων τῶν Ἱπποκράτους ἐπιγεγραμμένων βιβλίων ἐκλέγοντες αὐτὰς, οὐκ ἐκ τῶν γνησίων μόνων, ὅτι δὲ πολλαὶ τῶν Βακχείῳ παραλελειμμένων, ἐνταῦθα εἰσὶ γεγραμμέναι, καὶ ὅτι μηδεμίαν ἡμεῖς γλῶτταν παρελίπομεν, αὐτὸ διδάξει τὸ βιβλίον, ὥσπερ καὶ ὅτι κατὰ τὴν χρείαν τοῦ λόγου. ποτὲ μὲν παραγράφομεν αὐτὴν τὴν ῥῆσιν ἐξ ἧς αὖ ἐξηγησόμεθα τὴν γλῶτταν, ἐν πλείοσι δὲ παραλείπομεν, ὅταν καὶ χωρὶς ἐκείνης ἐλπίζομεν ἔσεσθαι σαφῆ τὴν ἐξήγησιν.

†ἀνδράθομεν (margin)

ΑΡΧΗ ΤΩΝ ΛΕΞΕΩΝ. ΤΟΥ ΑΛΦΑ.

Ἀγκυλίδωτον, ἀγκύλην ἔχον. εἴρηται δὲ ἐπὶ ἀρμάτων.

ἀγκυρομήλη, ἀγκύστρον.

ἀγγλιθὲς, τὰ μόρια τοῦ σκορόδου τῆς κεφαλῆς.

ἀγρίη κολοκύνθη, ἡ κολοκυνθὶς ὡς καὶ Κρατεύας καὶ Διοσκουρίδης καὶ Πάμφιλος.

ἄγροφον, ὀρεινόν.

ἄγυια, ἀσθενῆ.

ἀγχόμενος, πνιγόμενος.

ἀδάξασθαι, δάκνεσθαι κνησμωδῶς.

ἀδηνέως, ἀφροντίστως.

ἀέτωμα, τὸ εἰς ὕψος ἀνατεταμένον τῆς ὀροφῆς ὥσπερ τρίγωνον.

ἀθέλγεται, παρεῖται, διεκλύεται.

ἀθὴρ, τό, τε τῆς κριθῆς ὀξὺ, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μικροτέρῳ, καὶ τὸ ἐν τῇ ἀκίδι πώγωνος τὸ ἄκρον, ὡς ἐν τῷ πέμπτῳ τῶν ἐπιδημιῶν.

ἀθώρηκτος, ὁ μὴ μεθύων.

αἰγλίη, ἡ ἐν τοῖς ὀφθαλμοῖς ὑπόλευκος οὐλὴ, καθάπερ ἐν τῷ μείζονι προρρητικῷ, καὶ οἱ λευκανθίζοντες ἐπίπαγοι, ὡς ἐν κωακαῖς προγνώσεσιν.

αἰγοκέρας, ὅπερ καὶ βουκέρας καὶ τῆλις.

αἰγύπτιον ἔλαιον, ὅπερ αὐτοὶ καλοῦσι κίκινον. [οἱ μέντοι παλαιοὶ τὸ κίκι καὶ κίκινον.]

αἰγύπτιον ἔλαιον λευκὸν, τὸ ἀπὸ τῶν κρίνων σκευαζόμενον, ὅπερ καὶ κρίνινόν τε καὶ σούσινον ἔλαιον ὠνόμασται.

αἰγύπτιον μύρον λευκὸν, ὅπερ καὶ μενδήσιον ὠνόμασται, σκευαζόμενον διά τε κρίνων καὶ ἀρωμάτων, διὰ τὸ καὶ τοῦτο καὶ μύρον οὐκ ἔλαιον προσαγορεύεται. τὸ δ᾽ αὐτὸ καὶ κρινόμυρον, καὶ σούσινον μύρον ὠνόμασται.

αἰγύπτιον μύρον, τὸ διὰ τῆς αἰγυπτίας μύρον ἀκάνθης τοῦ ἄνθους, ὅπερ καὶ μετώπιον ὠνόμασται.

αἰγυπτίην στυπτηρίαν, ἣν δὴ καὶ σχιστὴν, καὶ τριχῖτιν ὀνομάζομεν.

αἰεὶ, σημαίνει ποτὲ παρὰ τῷ Ἱπποκράτει καὶ τὸ ἕως, καὶ παρὰ πολλοῖς τῶν παλαιῶν.

αἰθάλη, ὅπερ καὶ λιγνύς.

αἰθιοπικὸν, ὑπακουστέον τὸ κύμινον.

αἰθύλικες, οἱ περὶ πολλῆς τοῦ δέρματος κύκλοι, ὅμοιοι τοῖς ἀπὸ πυρὸς συνισταμένοις ἐρυθροῖς κύκλοις, ἀπὸ τῆς αἴθης ὠνομασμένοι. καὶ αἰθυλικώδεα δηλονότι τὰ τούτοις ὅμοια, ἃ οἱ πολλοὶ προσαγορεύουσιν αἱμάλωπα.

αἱματοφλοιβοιστάσιες, οὕτως μὲν οἱ περὶ τὸν Διοσκουρίδην γράφουσι, τὰς περισχέσεις τοῦ ὑπεροιδοῦντος αἵματος ἡγούμενοι δηλοῦσθαι. ὅτι καὶ ἀλλαχοῦ φησὶν, ἐν τῇσι φλεβοτομίῃσι, αἱμορραγίῃσι σχῆμα εὑρετόν. οἱ πλείους μέντοι γράφουσιν αἱματοφλεβοιστάσιες, δηλοῦσθαι νομίζουσιν ἐκ τοῦ ὀνόματος τὰς πλήρεις αἵματος κεκυρτωμένας φλέβας.

αἱμοκέρχνα, περὶ αἵματος ἐκχύσει κέρχνον ἐμποιοῦντα. τοῦτο δέ ἐστι δῆξις τὶς ὑποτραχὺς ἐρεθίζουσα κατὰ τὴν τραχεῖαν ἀρτηρίαν.

αἰνιάτης, ὁ ἀπὸ αἴνου τῆς ἐν Θράκῃ πόλεως. τὸν δὲ αὐτὸν καὶ αἰνιοπικόν ἐστιν ὅτε καλεῖ.

αἰόλασθαι, τὸ οἷον ποικίλλεσθαι καὶ πλανᾶσθαι.

αἰὼν, ὁ βίος.
ἀκαλήφη, ἥπερ καὶ κνίδη.
ἀκεστά, τὰ ἰατὰ, καὶ γὰρ ἄκη τὰ ἰάματα.
ἀκήρατος, ἀδιάφθορος.
ἀκὶς, οὕτως ὀνομάζεται τὸ σίδηρον τοῦ βέλους.
ἀκόνην ἐν τοῖς προσκειμένοις τῷ περὶ διαίτης οὕτως ὠνόμασε τὴν θῆκαν. ὡσαύτως δὲ αὐτῷ καὶ ὁ Θεόφραστος ἐν τῷ περὶ φυτῶν ὀγδόῳ.
ἄκουσα, πεπληρωμένη.
ἀκράλεα, ἄκρα.
ἀκρέσπερον, ἄκρας ἑσπέρας, τουτέστι πρώτης καὶ ἀρχομένης.
ἄκρηδον, τὸ ἄκρατον. οὕτως γὰρ ὀνομάζεται πᾶν τὸ ἀμιγὲς ἑτέρου, καὶ τὴν αὐτοῦ φύσιν διασωζόμενον εἰλικρινῆ.
ἀκρητοχόλους, τοὺς ἄκρατον ἀθροίζοντας χολήν.
ἄκριτον πάγος, τὸ οἷον ἀδιάκριτον. εἴρηται δὲ ἐν τῷ περὶ ἑβδομάδων περὶ τοῦ μετὰ τὸν κόσμον ἤτοι ἀπείρου, ἢ οἷον ἀδιατυπώτου κενοῦ.
ἀκρόπλοα, τὰ ἐπιπολαίως οἷον ἐπ' ἄκρου ἐμπλέοντα. οὕτως δὲ καὶ οἱ ἀκρόπλοοι.
ἀκροαπὶς, γλῶσσα οὕτως εἴρηται ἐν τῷ ἑβδόμῳ τῶν ἐπιδημιῶν, ἡ οἷον ἄκρα ἑαυτῆς μὴ διατυποῦσα, τουτέστιν ἡ ἀδιάρθρωτος ὑπὸ δυσκινησίας.
ἀκροσαπὲς, τὸ ἐπιπολῆς μεταβεβληκός.
ἀκρόψιλον, τὸ ἐπὶ τοῦ ἄκρου ψιλὸν, τουτέστι γυμνόν.
ἀλαία φθίσις. οὕτως ὠνόμασται ἐν τῷ περὶ τόπων τῶν κατὰ ἄνθρωπον, ἡ οἷον τυφλὴ καὶ ἀόρατος.
ἀλαπτῆς, ὁ ἐξ Ἀλάπτων. χωρίον δέ ἐστι τῆς Θράκης τὰ Ἄλαπτα.
ἀλάστορες, αὐτοί τε οἱ ἄνθρωποι οἱ τὰ ἄλαστα ἐργασάμενοι, καὶ οἱ τιμωροὶ αὐτῶν δαίμονες.
ἀλγήματα, πολλάκις καὶ κατ' αὐτοῦ τοῦ νοσήματος ἐπιφέρει τοὔνομα. καὶ τὸ ἀλγεῖν ὁμοίως, ἀντὶ τοῦ νοσεῖν τι καὶ πάσχειν, καὶ τὰ ἄλλα τὰ ἀπ' αὐτοῦ.
ἀλεάζειν, θερμαίνειν.
ἄλιον ὕδωρ, τὸ ἠθροισμένον ἐξ ὄμβρου ἀθρόου.
ἀλεῖον, ἠθροισμένον ἀθρόον.
ἀλεξητήρια, βοηθήματα, καὶ γὰρ τὸ ἀλέξασθαι, βοηθεῖν.
ἀλέουσιν, ἀθροίζουσι.
ἄλειφα, ἔλαιον ἢ στέαρ.
ἀλέως, ἀθρόως. ἀλεότητα, ἄθροισιν.
ἀληθέωσι, πλανῶσιν. εἴρηται δὲ καὶ περὶ τῆς ἄλης.
ἀλθεῖν, ὑγιάζειν.
ἄλθεξις, ἡ ἴασις.
ἀλθίσκειν, ὑγιάζειν.
ἄλκαρ, βοήθημα.
ἀλλογνοῶν, ὁ παραφρονῶν, ὁ οἷον ἄλλα γινώσκων παρὰ τὰ ὄντα. οὕτω δὲ καὶ τὸ ἀλλοφρονήσας εἴρηται πρὸς αὐτοῦ.
ἀλλοιοτροπεῖται, τρέπεται ποικίλως.
ἀλλόκοτον, ἀσαφὲς καὶ ἄγνωστον.
ἀλλοφάσσοντες, παραπαίοντες, παραφρονοῦντες.
ἀλαοὶ, τυφλοὶ, ὅτι καὶ ἀλαὸς, ὁ τυφλός.
ἁλυκὸν, ἁλμυρόν.
ἀκρητόχολον, οὕτως ὀνομάζει ὅνπερ καὶ ἀκρόχολον.
ἀλύζει, ἀπορεῖ, ῥιπτάζεται. οὕτως δὲ καὶ τὸ ἀλύξει ἐπὶ τοῦ μέλλοντος εἴρηται.
ἀλυσμὸν, ὅνπερ καὶ ἄλυσιν τινα καὶ ἀκρίαν, ὃ δὴ καὶ ῥιπτασμὸν καλοῦσι. καὶ ἡ ἀλυκὴ δὲ ταυτὸν ἐστίν.
ἄλφιτα, οὐ μόνον τὰ ἀπὸ τῶν κριθῶν οὕτως καλεῖται. ἐν τε γὰρ τῷ πρώτῳ τῶν γυναικείων ἄλφιτα πύρινα εἴρηται. ἐν δὲ τῷ περὶ νούσων δευτέρῳ τῷ μείζονι, καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων. ἄλφιτα τοίνυν παντὸς ἀληλεσμένου καρποῦ τὸ σύμμετρον τῷ μεγέθει θραῦμα ὀνομάζεται. τὰ μὲν γὰρ μείζω, κρίμνα, τὰ δὲ ἐλάττω, ἄλευρα.
ἄλφιτα προκώνια, τὰ πρὸ τῆς τοῦ κώνου στάσεως, τουτέστι τὰ ἐκ τῶν νέων ἔτι καὶ ἁπαλῶν κριθῶν. κῶνος γάρ τις ἐν ταῖς ἅλωσιν ἔτι καὶ νῦν ἵσταται, καὶ μάλιστα ἐν ταῖς ἐπόμβροις χώραις ξύλον ὀρθὸν, ἐφ' ᾧ συντίθενται οἱ καρποὶ κωνοειδῶς.
ἀμαλδύνεται, αὐτῷ συνήθες τὸ οἷον ἐφανίζεται, καὶ τὸ οἷον ἀμαυροῦται. καθάπερ ἐν τῷ δευτέρῳ τῶν γυναικείων, ὄμματα ἀμαλδύνεται.
ἀμαλῶς, τό, τε ἁπαλῶς, ὅπερ ἴσον δύναται τῷ μετρίως, ὡς ἐν τῷ περὶ ἐμπύων. ἐστὶ δὲ ἁμαλῶς ἐπαλλέουσι. καὶ τὸ ῥᾳδίως, ὥσπερ ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ἁμαλῶς ὁρᾷ. καὶ ἐν τῷ δευτέρῳ μείζονι, καὶ τὰ σιτία οὐχ ἁμαλῶς προσίεται.
ἀμαμηλίδας, εἶδός τι μεσπίλου πλεῖστον ἐν Ἰταλίᾳ γινόμενον, ὡς καὶ Διοσκορίδης λέγει. τινὲς δὲ τὰς ἐπιμηλίδας φασὶν εἶναι μῆλα σμικρὰ ἄγρια.
ἄμβη, ὀφρυώδης ἐπανάστασις.
ἀμβλυωσμὸς, ἤτοι ἔκτρωσις, παρὰ τὸ ἀμβλύσκειν. ἀλλὰ καὶ ἀμβλυωπία, ὡς ἐν τῷ μείζονι προῤῥητικῷ.
ἀμβλυωπώτερα, τὰ ἀμβλύτερον ὁρώμενα, τουτέστιν ἀμυδρότερον.
ἀμείρων, ἀφαιρῶν καὶ λαμβάνων.
ἀμενηνὸν, ἀσθενές.
ἄμη, κατά τινα τρόπον, ἔκ τινος μέρους, μετρίως.
ἀμίξας, ἐκπιάξας, ἀμύξας.
ἀμοίη, οὕτως ἐν τῷ κατ' ἰητρεῖον Διοσκορίδης γράφει, ἀμοίη ὅτι πιέξει παραλλάξαν, ἐκκλίνει ἐς τὴν αὔξησιν καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιήσεται. οἱ δὲ ἄλλοι γράφουσιν, ἀλλοίη. φησὶ δὲ Διοσκορίδης τὸ ἀμοίη μέτρια εἶναι, μαρτύριον δὲ οὐδὲν παρατίθεται.
ἀμυσὶ, ἀθρόως ἀντὶ τοῦ μύσαι τοῖς χείλεσι.
ἀμφιβραγχίων, τῶν περὶ τὰ παρίσθμια καλουμένων χωρίων.
ἀμφίδεον, τὸ τοῦ στόματος τῆς μήτρας τὸ ἐν κύκλῳ ἄκρον ὅπερ καὶ σικύας χείλεσιν ἔοικε, κατὰ μεταφορὰν ἀπὸ τῶν γυναικείων ψελλίων ὠνομασμένον, ἃ καὶ αὐτὰ ἀμφίδεα καλοῦνται, ἀπὸ τοῦ περιλαμβάνειν ἐν κύκλῳ, καὶ οἷον ἀμφιδεῖν.
ἀμφιδέξιος, ἡ οἷον ἀμφοτέρωθεν δεξία, τουτέστιν ἡ ἀμφοτέραις ταῖς χερσὶν ὡς δεξιᾷ χρωμένη. τοιοῦτος γὰρ καὶ ὁ παρὰ τῷ ποιητῇ περιδέξιος. οὕτως δὲ καὶ ὁ Ἱππῶναξ ἔλεγεν, ἀμφιδέξιος γάρ εἰμι καὶ οὐχ ἁμαρτάνω. τινὲς δὲ ἀμφιδέξιον ἀκούουσιν οὐ καλῶς τὴν ἐν τοῖς δεξιοῖς μέρεσι τῆς μήτρας κυουμένην.
ἀμφιμήτριον σημεῖον, οὕτως ὠνόμασεν ἐν τῷ β. τῶν ἐπιδημιῶν, τὸ δηλωτικὸν τῆς περὶ τὰς μήτρας διαθέσεως.
ἀμῶς, κατά τινα τρόπον, ἔκ τινος μέρους, μετρίως.
ἀναγνῶναι, μεταπεῖσαι, μεταδιδάξαι.
ἀνάκαρ, ἐς τὸ ἄνω μέρος, ὥσπερ ἐπίκαρ, ἐς τὸ κάτω

τῶν ὀρέων.
ἀνακικίουσιν, ἀναπηδῶσιν.
ἀνακῶς, φυλακτικῶς.
ἀνακοχὴ, ἀνοχὴ, ἀναβάσταξις.
ἀναλδὲς, ἄτροφον, ἀναυξανές.
ἀνάλμυροι, ἄναλοι ἢ οὐχ ἁλμυροί. Διοσκουρίδης οὕτως, διαιροῦντες δὲ ἀναγινώσκουσιν οἱ πολλοί.
ἄναλτον, τό, τε χωρὶς ἁλῶν καὶ οὐχ ἁλμυρόν.
ἀναπλάξεις, διαπλάξεις.
ἀναπρῆσαι, ἀνατρῆσαι ἐκτρῆσαι.
ἀνάῤῥινον, τὸ διὰ τῶν ῥινῶν παλίσσυτον ἰόν, ἔνιοι δὲ διαιροῦσιν ἀνὰ ῥινὸν εἶναι ἀνὰ τὸ δέρμα.
ἄναυδος, διαλέγεσθαι ἀδυνατῶν. ἄφωνος δὲ, ὁ φωνεῖν μὴ δυνάμενος. ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐφεξῆς ἀλλήλων περὶ Πυθίωνος εἴρηται. οὕτως ἔχει καὶ τὸ παρὰ τῷ ποιητῇ περὶ τοῦ ἵππου. ἄναυδον δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη.
ἀναφορέειν, δηλοῖ ποτὲ καὶ τὸ ὑπολύζειν ἀναπνέοντα, ὡς ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μικροτέρῳ, καὶ ἀναφορέειν ὥσπερ τὰ παιδία τὰ πεπαυμένα, κλαίοντά τε καὶ ἐς τὰς ῥῖνας ἀνέλκοντα τὸ πνεῦμα. σημαίνει τοῦτο τὸ πνεῦμα περιπίπτειν ἐν τῇ ἔξω φορῇ, ἔμπαλιν τῇ διπλῇ ἔσω ἐπανακλήσει.
ἀναχαίνεται, ἀναξαίνεται.
ἀναχελίσκεται, ἀναξαίνεται.
ἀνδρογένειαν, τὴν κατὰ ἄνδρας διαδοχὴν τοῦ γένους. ἡ μήτρι κατὰ τὰς γυναῖκας διαδοχὴ τοιούτου ἑτέρου οὐδὲν ὄνομα κέκτηται ὅμοιον.
ἀμβήξατο, μετὰ βηχὸς ἀνέπτυσεν.
ἀνειλήματα, τῆς τροφῆς.
ἀνειλιχθῶσιν, ἐς τὸ ἄνω εἰλιχθεῖσαι συστραφῶσιν.
ἀνερυθιάσωσιν, ἀνασπασθῶσιν.
ἀνέσας, ἐν ὕψει ἀνωτάτω κρεμάσας. σύγκειται γὰρ ἐκ τοῦ ἄνω καὶ τοῦ εἵσας.
ἀνεμοῦται, ἐμπνευματοῦται. ἀνδρίκτων, ἀδιασείστων.
ἀνεστραμμένα, ἀνατεταραγμένα, εἴρηται δὲ περὶ οὔρων.
ἄνεος, ἄφωνος καὶ τὸν νοῦν ἐμπεπληγμένος.
ἀνώδυνος, ἄλυπος, ἢ ἀβλαβής.
ἀνηρείκτῳ, μὴ διῃρημένῳ εἰς λεπτὰ, ἀλλ' ἐξ ἄκρων κριμνῶν συγκειμένῳ.
ἄνθεα, οὐ μόνον ταῦτα τὰ ἐς τὰ στέφανα, ἀλλὰ καὶ τὰ ἄλλα πάντα οὕτως ὀνομάζει, καὶ τὰ σπέρματα δὲ ὡσαύτως ἐνίοτε καλεῖ, ὥσπερ καὶ ἐν τῷ δευτέρῳ τῶν γυναικείων, ἀλλὰ ἢ τὰ ἐρυθήματα, ὡς ἐν Κωακαῖς. καὶ πτύσματα δὲ ἀνθηρὰ, τὰ ἐρυθρὰ καὶ ὕφαιμα λέγεται ἐν τῷ ς. τῶν ἐπιδημιῶν.
ἀνθίνην οἶνον, ἤτοι τὸν ἀνθισμένον ὀνομαζόμενον, ἢ τὸν ἐκ τῶν ἀνθῶν ἡδυσμένον, ὥσπερ ἢ κυκεῶνα ἀνθινὸν ὠνόμασεν ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.
ἀνθινὸν ἔλαιον, τὸ κρίνινον καὶ ἴρινον λέγεται. τὸ δὲ αὐτὸ καὶ σούσινον καλεῖται.
ἀνθινὸν μύρον, ὅπερ ἢ σούσινον μύρον, καὶ κρίνινον μύρον. διαφέρει δὲ τοῦ ἀνθίνου ἐλαίου τοῦ προγεγραμμένου τῇ ποικιλίᾳ τῶν ἀρωμάτων.
ἀνέθυντο, ἤγουν ἐς τὸ ἄνω ἀπέδυον.
ἀνωργισμένον, τό, τε ἀναμεμαλαγμένον, ἐπειδὴ καὶ τὸ μαλάξαι ὀργάσαι, ἢ τὸ οἷον σπαργοῦν, καὶ ὀργοῦν, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.

ἀντικοντώσιος, ἡ διὰ τοῦ κοντοῦ ἀντερείσεως, ὅπερ καὶ σκήμπων καλεῖται.
ἀντίῤῥινα, πόα τίς ἣν ἢ βουκράνιον, καὶ λυχνίδα ἀγρίαν ὀνομάζουσιν.
ἄορτρον, τὸ ἀπηρτημένον τοῦ πνεύμονος μόριον ἑκατέρωθεν, ὡς ἐν τῷ περὶ νούσων τῷ μείζονι. ἔτι δὲ ἢ ἀορτὴν τὸ αὐτὸ τοῦτο ἐνίοτε καλεῖ. ὡς Διοσκουρίδης οἴεται, οὐ πάνυ δὲ σαφές ἐστιν.
ἀπαρτίως, ἀπηρτισμένως καὶ ἀκριβῶς. Διοσκουρίδης δὲ ἔφη ὅτι καὶ πᾶν τὸ ἐναντίον δηλοῖ, ὡς ἐν τῷ περὶ διαίτης ὀξέων, ἐν οἷς φησί. καὶ ὡς περὶ τὸ πολὺ ἀπαρτίως ἐν τοῖσι τοιούτοισι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα. ἐμοὶ δὲ καὶ ταύτῃ δοκεῖ τὸ ἀπηρτισμένως τε καὶ ἀκριβῶς δηλοῦν. τῷ δὲ καὶ οἱ Ἀττικοὶ τὸν αὐτὸν τρόπον χρῶνται τῷ ὀνόματι. μυρία δὲ παραδείγματα διὰ τῶν σμικρῶν ὑπομνημάτων ἔχεις.
ἀπεβράσσετο, ἐν τῷ πέμπτῳ τῶν ἐπιδημιῶν οὕτως Διοσκουρίδης γράφει, καὶ φησὶ αὐτὸς δηλοῦσθαι τῷ ἀπεβράσσετο, τὸ ἀπεβήσσετο, τῶν ἄλλων σχεδὸν ἁπάντων ἀπεβήσσετο γραφόντων. ὁ γάρτοι Διοσκουρίδης οὗτος, καὶ ὁ Ἀρτεμίδωρος δὲ ὁ ἐπικληθεὶς Καπίτων, ἐκ τῆς συνήθους τοῖς ἄλλοις ὀνόματα πολλὰ μετεκόμισαν, οὐδὲν ἀλλοιότερον δηλοῦντα τῆς ἀρχαίας γραφῆς, ὧν ἀνάγκην ἔχομεν καὶ ἡμεῖς μνημονεύειν.
ἀπιλλήθη, συνεκλείσθη, ἴλλειν γὰρ τὸ συγκλείειν.
ἀποβρυχθῇ, ἀποκλεισθῇ.
ἀπόγονα, τὰ γόνιμα, ἔνιοι δὲ ἤκουσαν τὰ ἄγονα.
ἀποκεκαρπωκὸς, ἀποβεβλαστηκός.
ἀποκεκριμένῃσι, κεχωρισμέναις.
ἀποκηδέστερον, ἀφροντιστότερον.
ἀποκναίειν, μάλιστα μὲν τὸ ἀποξύειν, ἤδη δὲ καὶ τὸ καταφθείρειν καὶ τὸ κατισχναίνειν.
ἀπομυλλώσας, προβάλλων τὰ χείλη συνηγμένως.
ἀπονενοημένως, ἀνεπιστρέπτως.
ἀποπαλλήσιος, ἀποπάλσεως, ἐντεῦθεν καὶ τὸ ἀποπαλλήσεται, ποτὲ μὲν τὸ ἐνεργητικὸν τὸ ἀποπάλλειν σημαίνει, καθάπερ ἐν πρώτῳ τῶν γυναικείων. ἔστιν ὅτε δὲ ἢ τὸ παθητικὸν τὸ ἀποπαλλήσεται, ὡς ἐν τῷ περὶ φύσεως ἀνθρώπου.
ἀπορέγει, προτείνει. ἀποσαεὶς, ἀποσβεσθείς.
ἀποσιτικὰ, ἀποσιτίας καὶ ἀνορεξίας ποιητικά.
ἀποσκήψεις, τὰς ἀποχάσεις, ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι.
ἀποσκληρυνεῖ, σκελετεύει.
ἀποσπαρθάζουσιν, σπαίρουσιν ἢ σφύζουσιν, ἐν τῷ δευτέρῳ περὶ νούσων.
ἀπόσφαγμα, τὸ ῥυπῶδες πρόθημα ὃ καὶ ὑπόσφαγμα.
ἀπτίστων, ὁλοσχερῶν, εἰς ὁλοσχερῆ ἄλευρα διῃρημένων, ἐλλιπῶς κεκομμένων, μὴ ἀποβεβρασμένον τὸ πιτυρῶδες.
ἀπυρομήλη, τῇ πυρῆνα μὴ ἐχούσῃ, τουτέστι τῇ μηλωτρίδι.
ἀρακίδας, πυρῆνας ἀρακίσκους, ὅσπρια δέ ἐστιν ὁ ἄρακος.
ἀρβύλαι, ὑποδήματα τὰ βαθέα.
ἄργης, ὄφις τὶς οὕτως ὀνομαζόμενος.
ἄρδας, ῥύπος τὶς καὶ ἀκαθαρσία. καὶ ἀρδαλῶσαι, τὸ ῥυπαίνειν.
ἀρθρικὸν, τὸ τοῖς ἄρθροις ἁρμόττοντα.
ἀεικύμων, ἡ ταχέως ἐγκύμων γινομένη.

ἀντι-

ἀρὶς,

ἀεὶς, οὐ μόνον τὸ ὄργανον, ἀλλὰ καὶ βοτάνη τις οὕτως ὀνομάζεται.
ἄρκιος, ὁ ἀπὸ τοῦ ἄρκτου πνέων. ἔνιοι δὲ ἄρκιον ἀντικρυς γράφουσιν. ἅρμης, τῆς ἐν τῇ κεφαλῇ ῥαφῆς.
ἁρμίω, παραχρῆμα, Δώριος δὲ ἡ λέξις.
ἀῤῥοίας, ἐποχῆς ἐμμηνίων. ἀρτίζωα, ὀλιγοχρόνια.
ἀρτίστομα, πανταχόθεν ὁμαλά.
ἀσκαρίδες, ἕλμινθες ἰσχναὶ καὶ μακραὶ ἐν τῷ ἀπευθυσμένῳ ἐντέρῳ γεννώμεναι.
ἀσκοὺς, κεράμους οὓς καὶ πυριατοὺς καὶ φακοὺς ὀνομάζουσιν.
ἀσᾶται, τό, τε πυρέττει ὡς ἐν πρώτῳ γυναικείων, καὶ τὸ προσκόρως καὶ ἐπαχθῶς διατίθεται, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.
ἀτέραμνα, τὰ δυσκατέργαστα καὶ σκληρά.
ἄτρακτον, οὐ μόνον τὸ εἰς τὸ ἐριουργὸν χρήσιμον, ἀλλὰ καὶ τὸ ξύλον τοῦ βέλους. ἀττικὸν ἀγγεῖον, ἀττικὴν χύτραν, καὶ μὴν ποτὲ τὸ καλούμενον ἐχῖνον. αὐαντὴ ἢ αὐαψὴ, τὶς ξηραντικὴ νόσος.
αὐτίτην, τὸν οἶνον αὐτοετίτην, τὸν ἐκ τοῦ ἐνεστῶτος ἔτους.
αὐτόδρομον, αὐτοκίνητον, ὡς ἐν τῷ περὶ ἑβδομάδων.
αὔτως, ματαίως. ἀφὰς, τὰ ἅμματα παρὰ τὸ ἅψαι.
ἀφασσόμενα, ψηλαφώμενα, καὶ ἀφησαμένη, ψηλαφήσασα. ἀφράζει, ἀφραίνει, ἀσυνετεῖ.
ἀφρεῦντα, ἀφρίζοντα, πομφολυγώδη.
ἀφύη, ἀπολευκαίνεται, καὶ ὥσπερ ἀφύης τὸ χρῶμα ἴσχει. οὕτως δὲ καὶ ἀφυώδες καλεῖ τὸ ἀφυῇ χρώματι ἐοικός. ἀχιλληϊάδας κριθὰς, τὰς εὐτραφεῖς καὶ μεγάλας, ἀπό τινος ἀχιλλέως ὠνομασμένας, ὥς φασι γεωργοῦ βαβρωνίου. ἀψίῤῥοον, εἰς τοὐπίσω ῥέον.
ἀψυχεῖ, λιποθυμεῖ. καὶ ἀψυχίη, ἡ λιποψυχία.

Β

Βαχαρις, λίθιον τι μύρον.
Βαλβὶς, κοιλότης παραμήκης.
Βαλοῖος, ὁ ἀπὸ Βαλοίας πόλεως μακεδονικῆς.
Βδέλλῳ, ἐν τῷ μείζονι προῤῥητικῷ καὶ δευτέρῳ πρός τινων ἐπιγραφομένων τὴν κιρσώδη φλέβα φησὶν οὕτως ὠνομάσθαι Διοσκουρίδης. ἐμοὶ δὲ δοκεῖ κυρίως εἰρῆσθαι τοὔνομα κατ' αὐτοῦ τοῦ ζώου. καὶ γὰρ περιέτυχόν ποτε τούτου κατὰ τὸ βιβλίον ἐκεῖνο λεγομένου, καὶ ἀπορουμένων γε πολλῶν ὑπὸ τῶν γινομένων, προέγνων ἐγὼ μόνος ἐκ τοῦ γράμματος ἑρμηνεύς τἀληθές. Βηκέοις, προβατίοις. Βησσιακὴ, τῇ ἀπὸ Βησσῶν ἐν θράκῃ. Βλακεύειν, ὀλιγωρεῖν.
Βλαβόραι, ὑγραὶ, μυξώδεις.
Βληχρὸν, ὅπερ εἶπον τὸ ὃ καὶ Βλήχιον γράφεται.
Βοάνθεμον, τὸ Βούφθαλμον. τὸ δὲ αὐτὸ καὶ χρυσάνθεμον ὀνομάζεται.
Βόλβιον, οἷόν ἐστι τὸ αὐτὸ, Ἱπποκράτης ἐν τῷ δευτέρῳ τῶν γυναικείων διδάσκει. κακῶς οὖν τινὲς τὸν νάρκισσον ᾠήθησαν δηλοῦσθαι διὰ τὸν Βολβόν.
Βολβιτία, τὰ ὑπὸ τῶν πολλῶν Βομβύλια προσαγορευόμενα, γένος δέ ἐστι τῶν μικρῶν πολυπόδων.
Βολιτὸν, Βόλβιτον.
Βομβύλιον, ἔκπωμά τι στενὸν ἔχον τὸ στόμα ἢ πῶμα, παρὰ τὸ Βομβεῖν ὠνομασμένον. Βοὸς θαλασσίου, σελαχώδης ἐστὶν ὁ ἰχθὺς οὗτος.
Βουβάλιος, σίκυς ἄγριος.
Βουκέρας, ἡ τῆλις. Μνησιθεὺς ἐν ταῖς ὀνομασίαις τῶν φαρμάκων, καὶ τὴν ἀναγαλλίδα οὕτως προσαγορεύεσθαί φησι. Βουπρήστις, τό, τε ζῷον τὸ τῇ κανθαρίδι παραπλήσιον, ἔστι δὲ καὶ τι λάχανον ἄγριον, οὗ μέμνηται Διοσκουρίδης ἔν τε τῷ πρώτῳ τῶν ὑγιεινῶν, καὶ ἐν τῷ περὶ λαχάνων.
Βρῆγμα, τὸ μετὰ βηχὸς ἀναπτυόμενον, ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι. καὶ Βρήσσειν, τὸ μετὰ βηχὸς ἀναπτύειν. ἔνιοι ταῦτα χωρὶς τοῦ ρ γράφουσι.
Βρόγχους, τοὺς χονδρώδεις ἀρτηρίας.
Βοτράχου, τοῦ Βατράχου λέγει. τινὲς δὲ ἄντικρυς Βατράχου γράφουσιν. Βρυγμὸς, ὁ ἀπὸ τῶν ὀδόντων συγκρουομένων ψόφος. καὶ Βρύχειν, τὸ οὕτως ψοφεῖν.
Βύζην, ἀθρόως ἢ πυκνῶς.

Γ

Γαλιάγκωνες, οἱ σμικρὸν μὲν καὶ ἄτροφον ἔχοντες τὸν βραχίονα, τὰ δὲ κατὰ τὸν ἀγκῶνα ὀγκωδέστερα ὥσπερ καὶ αἱ γαλαῖ. οἱ δὲ φάσκοντες γαλλὸν τὸν χονδρὸν ὀνομάζεσθαι, καὶ τοῦτό γε κεῖσθαι τῷ ὀνόματι, τάχα ἂν δόξειαν παρακούειν. οὐ γὰρ γαλιάγκωνας, ἀλλὰ γαλιοβραχίονας ἐχρῆν αὐτὸ ὀνομάζεσθαι.
γαμψοὺς, καμπὰς ἔχοντας τινάς.
γαυσὸς, κυρτὸς εἰς τὸ ἔξω.
γιγγλύματα, ἀντεμβαίνουσιν εἰς ἀλλήλους ὥσπερ καὶ ἐν ταῖς θύραις οἱ γιγγλυμοί.
γῇ σμηκτίδι, τῇ κιμωλίᾳ. γῇ κεραμίτιδι, τῇ ἀργίλῳ. γῇ χαλκίτιδι, οὐδὲν πλέον δηλοῖ τοῦ χαλκίτεως. γήχυτον, τὸ ἔξωθεν μέρος τῆς γῆς, τὸ μαλακὸν καὶ ἥκιστα λιθῶδες.
γλαμυροὶ, γλημώδεις καὶ ὑγροί.
γλοιάζειν, τὸ ἐπιμύοντας παραδινεῖν τοὺς ὀφθαλμοὺς, καὶ τὸ γλοιώδως ἀνάλογον, ὥσεὶ καὶ νυστακτικῶς ἔλεγε.
γλυκύμης βοτάνης, τῆς γλυκυῤῥίζης καλουμένης.
γόγγρωνα, βρογχοκήλην ἀπὸ τῶν ἐν τοῖς πρέμνοις τῶν δένδρων ἐπιγινομένων στρογγύλων ἐξοχῶν, ὡς καὶ Θεόφραστος ἐν τῷ πρώτῳ περὶ φυτῶν ὧδε λέγων, ἔνια δὲ καὶ ἴσχει τοὺς καλουμένους ὑπό τινων γόγγρους, ἢ τὸ ἀνάλογον οἷον ἡ ἐλαία.
γογγύλη, στρογγύλον. καὶ γογγυλίδια, τὰ σμικρὰ σφαιρία ὥσπερεὶ καταπότια.
γριφόμενα, ἐπαναλούμενα περὶ τὸν γρίφον, τὸ ἁλιευτικὸν δίκτυον.

Δ

Δακτύλιος, κύκλος τροχίσκος, ἐν τῷ περὶ ἀφόρων. δαΐδες, μεγάλαι λαμπάδες καιόμεναί τε καλεῖται. καταχρωμένοις δέ ποτε, σημαίνει καὶ τὴν τοῦ σκορόδου κεφαλὴν, διὰ τὸ ἐκ πολλῶν ἀγλίθων συγκειμένην παραπλησίως συνδεδέσθαι ταῖς λαμπάσιν.
δίεδρος, διαφανὴς, ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι. διακνέει, ὅπερ καὶ ἀποκναίει. τὸ δὲ αὐτὸ καὶ διακναίει λέγεται.
διαπεπληγμένα, τὰ ἐπὶ πολὺ κατὰ τὴν πληχάδα διεστῶτα. πληχὰς δὲ τὸ μεταξὺ τῶν σκελῶν τῆς ἐκφύσεως. διάστημα, τὴν ὥσπερ ἐρίοις ἐοικυῖαν αὐτῶν τῶν σωμάτων σύνθεσιν.
διαστομωτρίδα, μήλην τὴν διαστέλλουσαν.
διαφλύξιες, ὑπερβλύσεις.
διαφλυχθεῖσα, διαχυθεῖσα, ὑγρανθεῖσα.
διαφλυχθὲν, ὑγρανθέν. διαφλύοντα, ὑγραίνοντα.
δίαφρος, ἀφρίζων. διαχωρίου, ἀπὸ διαστήματος.

διδύμη, ῥίζα τῆς βοτάνης ἥ τις καὶ ὄρχις ὀνομάζεται.
διεβλήθησαν, διηπατήθησαν.
δῆσαι, διασεῖσαι, ἐν δευτέρῳ τῶν γυναικείων δηλοῖ καὶ τὸ δινεῖσαι ἐστὶ τὸ διελεῖν.
δίεδρος, νοτηρὰ καὶ διίδρουσα.
δίκλειδος, διμερής, ὡς δύνασθαι τοῦ κάτω μέρους κεκλεισμένου τὸ ὑποκείμενον ἀνοῖξαι.
δίκρουν, τὸ οἷον δίκρανον, ὅπερ ἐστὶ διχιδὲς ὀνομάζουσι. τὸ δὲ αὐτὸ ἐστὶ ἢ δίκρον δηλοῖ.
δίοπτος, νεὼς ἐπιμελητής, παρὰ τὸ διοπτεύειν ἢ διέπειν τὰ ἐν αὐτῷ. διορώσιος, τῆς εἰς τὸ ὀρρῶδες καὶ ὑδατῶδες μεταβολῆς. δίπνος, τρήματα τῆς εἰς τὰ κενὰ συντετρημένων, καὶ οἷον ἐπὶ δύο στόματα ἀναπνεόντων. δόρπου, τοῦ δείπνου.
δρυπτά, ἐσπαραγμένα.
δυσανίης. Κριτίας ἐν τῷ περὶ φύσεως ἔρωτος ἢ ἀρετῶν, οὕτως ἐξηγεῖται τοὔνομα. δυσανίης δέ ἐστιν ὅστις ἐπὶ τοῖς σμικροῖς ἀνιᾶται καὶ ἐπὶ τοῖς μεγάλοις μᾶλλον ἢ οἱ ἄλλοι ἄνθρωποι, ἢ πλείω χρόνον.
δυσλύμος, ὁ μὴ εὐκόλως ἀνιώμενος. ἔστι δὲ καὶ ὁ δυσχαλίνωτος ἢ ὁ δυσκολώτατος.

Ε

Ἐβλημάσθη, ἐμαλάχθη.
ἐγγαστρίμυθοι, οἱ κεκλεισμένου τοῦ στόματος φθεγγόμενοι, διὰ τὸ δοκεῖν ἐκ τῆς γαστρὸς φθέγγειν.
ἐγγέλη, ἀνδρίση.
ἐγκάμψει, ἐνερείξει, καὶ ἐγκεκαμμένοι, οἱ ἐνηρεικότες καὶ γρυποί, εἴρηται δὲ ἐπὶ ὀνύχων.
ἐγκὰς, ἐν βάθει. ἐγγενὲς, συγγεγεννημένον, οἰκεῖον.
ἐγχαλίνωται, χαλινοῖς ἐμφόρως περίκειται.
ἐγλευκισμένος, ὁ ὑπόστυφος, πεπαυμένος τοῦ λευκὸς εἶναι.
ἔγρησις, ἡ ἐγρήγορσις.
†ἐέρχαται, ἐναπολαμβάνονται.

†ἐν ἄλλοις, εἰσέρχονται

ἔθραυσεν, ἔνυττεν, ἐκέντει. ἐκβρήσσει, ἐκβάλλει, ἐκβράσσει. ἐκδέξιν, διαδοχήν.
ἐκκολύψας, ἀπολεπίσας.
ἐκλούσθω, σημαίνει ποτὲ καὶ τὸ προσκλυζέσθω, ὡς ἐν τῷ περὶ ἀφόρων καὶ τοῖς προσκειμένοις τοῖς περὶ τῶν ἐν κεφαλῇ τρωμάτων.
ἔκμαγμα, τό, τε συνεστραμμένον φύραμα καὶ τὸ κηρόμαγμα, ὡς ἐν τῷ περὶ ἀφόρων. ἐκμάξαι, καὶ τὸ ἀναπλάσαι. ἔστιν ὅτε δὲ ἀλλοιῶσαι ὡς ἐν τῷ περὶ ἀφόρων, δακτύλῳ ἐκμάξαι, τουτέστιν ὡς τὸ κυκλίσκον ἀναπλάσαι. ἀλλὰ καὶ τὸ ἐκθλίψαι, ὡς ἐν τῷ περὶ νούσων τῷ πρώτῳ τῷ μείζονι, ἐπί τε σπόγγου καὶ τῆς λινοζώστιδος καὶ ἀκτῆς τῶν φύλλων.
ἐκματεῖσθαι, ἀναζητεῖν.
ἐκμίγνυται, ἀποκρίνει τὸ σπέρμα.
ἐκνεφίας, ὄμβρος ὁ μετὰ ἡλίου γινόμενος.
ἐκνεφίας πυρετὸς, ὁ ὑγρὸς ἅμα καὶ πυρώδης, ὥσπερ ἐστὶ ὁ ἥλιος ἐκνεφίας.
ἔκνυξεν, ἐψόφει, ὠνοματοπεποίηται δὲ ἀπὸ τοῦ ψόφου.
ἐκνύπη, ἐξηπλωμένη.
ἐκπεπληγμένον, ἐκτετραμμένον.
ἐκρήγμασιν, ἀποσχίσμασι ῥακῶν.
ἐκσυρίγγουνται, ἀναστομοῦνται.
ἐκτόμου, ἐλλεβόρου μέλανος.
ἐκτρίψιν, τὴν εἰς τὰ σπλάγχνα οὖσαν παράλλαξιν.
ἐκφυσιδαίνει, ἐξορμᾷ. ἐκβράσσει, οὕτω δὲ καὶ τὸ ἐκφλύει.

ἐκχύμωσις, χυμῶν ἔκχυσις.
ἔλαιον ῥόδινον, τὸ μὴ ἠρωματισμένον.
ἐλατήριον, οὐ μόνον τὸ ἀπὸ τοῦ ἀγρίου σικύου γιγνόμενον, ἀλλὰ καὶ πᾶν τὸ τὴν κάτω κοιλίαν καθαῖρον.
ἔλεια, ἄγρια. ἐλιθόρεες, τὸ ὡς ἀπὸ ἡλίου θερμόν.
ἐλιθορέεσθω, ἡλιούσθω. ἐλιννύειν, ἡσυχάζειν.
ἐλληχγενισάμην, ἐπὶ πλεῖστον διελέχθην.
ἑλκυστῆσαι, ἐμβρυουλκῷ. ἔλυτρα, σκεπάσματα.
ἐμβάφιον, ὀξυβάφιον. ἔμιαι, ἔμετοι, ἀττικὸν τὸ ὄνομα. ἔμπλην, πλησίον.
ἐμπύου μοτὸς, ὁ ἐπὶ στρεπτὸς, ἢ ὁ ἐπὶ λημνίσκους.
ἐμυκώθη. Διοσκορίδης μὲν φησι, τὸ συνέμυσεν, οἱ πλεῖστοι δὲ τὸ ἐπιφύσεις ἔχει πλαδαρὰς, ὥσπερ καὶ οἱ μύκητες. ἐμυλώθη, ἐσκληρώθη.
ἐμυλήθη, κατεμαράνθη. ἐνθλάσει, ἐνθρᾷ.
ἐνθράσσει, ἐγκείμενον νύττει.
ἐξαλίπτης, κονιάτης, χρίστης. ἐξαλίζοιτο, ἐκκρίνοιτο.
ἐξαυτής, ὑγιής. ἐξάραγμα, σύντριμμα.
ἐξαρύεται, ἐκκρίνεται, ἐκθλίβεται. τινὲς δὲ τὸ ἐξώρμησεν. ἀπειλὴν ποιεῖται.
ἐξάρυσις, ἀπαύτλησις.
ἐξαστίας. ἔνιοι μὲν τὰ ἐπανιστάμενα ἐξ ἄκρων τῶν σχισθέντων ὀθονίων λινά, καὶ ἀπὸ τῶν ῥακῶν τὰς κρόκας. ἐμοὶ δὲ ἐστὶ τὰ πρὶν σχισθῆναι προέχοντα τὸν αὐτὸν τρόπον ὀνομάζειν δοκεῖ.
ἐξητριασμένον, τὸ διὰ ἤτρίου ἠθημένον. λεπτὸν δὲ τὶ ὕφασμα τὸ ἤτριον καὶ ἄγριον. ἐξέει, ἐκκρίνει.
ἔξουρα, εἰς στενὸν συνηγμένα, ἃ δὴ καὶ μύουρα ὀνομάζουσιν.
ἔπακρα, τὰ εἰς στενὸν τελευτῶντα, ἅπερ καὶ ἔξουρα.
ἐπαλλάσσων, ἐπιπάσσων, ἐπιτάττει ἐστὶ ἐπὶ τοῦ μᾶλλον.
ἐπικόρας, τῆλιν. ἔνιοι δὲ ἄλλην τινὰ βοτάνην οὕτως ὀνομαζομένην.
ἐπικτένιον, ἐπὶ μὲν τῶν γυναικῶν τὸ ἐπίσειον καλούμενον, ἐπειδὴ ὑπὲρ τὴν κτένα ἐστίν· ἐπὶ δὲ τοῦ στυππείου ἢ τοῦ λίνου, τὸν τῷ κτενὶ προσιζάνοντα χνοῦν ἐν τῇ ἐργασίᾳ.
ἐπιμηλίδα. Διοσκορίδης μὲν ἐν τῷ πρώτῳ περὶ ὕλης εἶδος μεσπίλου τὸ καὶ σιτάνιον ὀνομαζόμενον. ἔνιοι δὲ τὰ μῆλα τὰ σμικρὰ τὰ ἄγρια, ἅπερ καὶ ἀμαμηλίδες ὀνομάζονται.
ἐπιμυλίδα, τὴν ἐπιγονατίδα τὴν μύλην.
ἐπισκλήροις, τοῖς κατεσκληκόσι.
ἐπίσημος, ἐπισταλτικὴ, στύφουσα, ἐφεκτική.
ἐπίχνουν, ἐπίπαγον χνοώδη.
ἐπορηξάμεναι, ἐπεκταθεῖσαι.
ἐπόσχιδι, κλῆμα ἐξ οὗ πέφυκέ τι ὥσπερ καὶ τῆς σικυώνης.
ἐπώδεες, δυσώδεες τὸ οἷον ἐπόζον.
ἐπωξεστόρη, τῷ ὄξει πλέονι κεχρημένη.
ἐρυγαίνει, ἀποβάλλει. ἐρδυγῆ, ἐρύγνιδι, ἀπόβλημα.
ἐρίκιδες, αἱ ἀδρομερῶς διηρημέναι κριθαὶ, τινὲς δὲ τὰς διχῆ διηρημένας. καὶ γὰρ τὸν ἐρεγμὸν ἀπὸ τοῦ διχῆ διῃρεῖσθαι φασὶν ὠνομάσθαι. ἐμοὶ δὲ παρὰ τὸ ἐρείκειν πάντα τὰ τοιαῦτα δοκεῖ γεγονέναι, ὅπερ οὐ τὸ διχῆ διαιρεῖν ἐστιν, ἀλλὰ τὸ θραύειν ἁπλῶς. ὅθεν καὶ τὸ ἰστρίον ἐρείκιον ὀνομάζεται, καὶ αὐτὸ διότι εὔθραυστον.
ἐρίξ. εἴρηται μὲν καὶ ἐπὶ τοῦ ἥπατος. γέγραπται δὲ ἐν τοῖς πλείστοις μὲν θρίξ, δηλοῖ δὲ τὸ μέρος τοῦ ἥπατος τὸ ἄνω καθ᾽ ὃ ἀπ᾽ ἀλλήλων σχίζονται οἱ λοβοί.

ἐρυγματώδης, ἡ ἐρυγῶν ἀπεργαστική, νόσος ἡ πνευματοῦσα.
ἐρυθροῦ στέαρ, τὸ ἔναιμον.
ἐσαφάσσεις, εἰς τὸ ἔσω χαλάσεις, ὥστε μασᾶσθαι ὃ ἐπιζη-(τεῖσθαι.
ἐσφηκωμένα, συνδεδεμένα, συνεσφιγμένα.
ἐς χεῖρα, δηλοῖ καὶ τὸ πλησίον.
ἔτνος, πᾶν τὸ ἀπὸ ὀσπρίου ἐρηρειγμένου ἕψημα.
εὐάνθημον, ὅπερ καὶ ἀνθεμὶς λέγεται, καὶ χαμαίμηλον.
εὐεξίην, τὴν ἐγγινομένην τοῦ σώματος ἕξιν, ὥς που καὶ ἐνιαυτὸς εὐεξίης καλεῖται, ὁ εὐφορίας ἀπεργαστικός.
εὐκάρδιον, εὐστόμαχον.
εὐνή, οὐ μόνον δηλοῖ τὴν κοίτην, ἀλλὰ καὶ τὴν συνουσίαν, ὡς ἐν δευτέρῳ τῶν γυναικείων, καὶ ἄχθη τὰ σφοδρότατα εὐνήν.
εὐοργητοτέρα, εὐτροπωτέρα. ὀργαὶ γὰρ οἱ τρόποι.
ἔφλυζον, ἐχαλάσθησαν.
ἐχέτρωσις, ἡ λευκὴ βρυωνία.
ἕψημα, ὅπερ καὶ σίραιον. ἑψητὸν δὲ εἶδος ἰχθύων.

Ζ

Ζέας, ὀλύρας.

Η

Ἠγκιστρῶνται, ἐγκαταπέπλεκται. (ὁμοίως.
ἠγκυροβόληται, ἐγκαταπέφυκεν ἀγκύρας
ἠδέ, ἔτι δέ. ἠδέλφισται, οἰκείωται.
ἡδυντὴν πίσσαν, τὴν ἠρωματισμένην, ἕψεται δὲ ὕδατι καὶ ἀρώματι.
ἡδυντὸν στέαρ, τὸ ἐν ὕδατι καὶ ἀρώματι ἑψηθέν, καὶ τὰ ἀρώματα καὶ ἡδύσματα.
ἡμίοπον, ἥμισυ. ἡμιτύβιον, ὀθονίου παχέος μέρος.
ἦψαι, κόψαι. καὶ ἠνίων, τῶν κεκομμένων.
ἠοίας, τὰς πρωΐας.
ἠραχνίωκεν, λεπτοῖς ἅμα καὶ πολλοῖς φλεβίοις, ὥσπερ ἀράχνης ὑφάσματα διαπέπλωκε.
ἠρμᾶσθαι, ἐρηρεῖσθαι, ἢ ἡρμόσθαι. ἦσας, ἠθίσας.

Θ

Θαλερὸν, θερμὸν ὡς ἀπὸ ἡλίου. παρὰ γὰρ τὸ θέρεσθαι γέγονε τοὔνομα.
θέρετρον, τόπος ἐν ᾧ διατρίβειν θέρους ἐπιτήδειος. ἔνιοι δὲ θέντρον γράφουσι. θημῶν, σωρός.
θηρίον, τήν τε ἕλμινθα καὶ τὸ ἄγριον ἕλκος, ὡς ἐν τῷ περὶ τόπων τῶν κατὰ ἄνθρωπον. θηρίον ὠδὶ τὸ σῶμα ἐπέρχεται διὰ τόδε. καὶ ὁπόταν ἀφίκηται ὁ ἰχὼρ ἀπορρέων, σήπει καὶ μετεωρίζει. ἐν μέντοι τῷ περὶ χυμῶν ὅθεν ἀλθαίνεται προφανῶν, εἶτα ἐν τοῖς ἄλλοις καὶ τὸ θηρίον εἰπὼν, τὰ ἐν τοῖς ἐντέροις συνιστάμενα, δηλοῖ τὰς ἕλμινθας δηλονότι, καὶ τὰς ἀσκαρίδας. ὥσπερ καὶ ὅταν εἴπῃ, φθινοπώρου τὸ θηριῶδες, ἀπό τινος τῶν εἰρημένων ὀνομάζει. δοκεῖ δὲ ἐνίοτε καὶ τὸ φθινῶδες οὕτως προσαγορεύειν.
θλάσιν, τὸν ἐμβρυοθλάστην, ὅπερ καὶ πίεστρον καλεῖται τοὔνομα, ἐν πρώτῳ τῶν γυναικείων.
θλασπόσιος, ἀντὶ τοῦ θλάσπεως τῆς οὕτως ὀνομαζομένης βοτάνης. θρανίον, δίφρον ἀφοδευτικόν.
θολερὸν πνεῦμα, μέγα καὶ δεδιωγμένον.
θράσσεται, νύσσεται, κεντᾶται.
θρίξ, γράφεται δὲ καὶ τρίξ. τρίχας δὲ καλοῦσιν οἱ θύται ἐπειδὰν φανῇ ἐπὶ τὰ σιμὰ τοῦ ἥπατος ὑπὸ τοῦ δεξιοῦ λοβοῦ φλέβιον στενὸν εὐθὺ μέλαν.
θύη, θυμιάματα, ἀρώματα. θύμα

θύματα, θυμιάματα.
θυμβραίαν, οὕτως ὀνομάζει τὴν θύμβραν.
θύμου, τοῦ ἀπὸ θύμων. ἔθνος δὲ ἐστι τοῦτο θρακικόν.
θώρηξις, οἴνωσις, ἤτοι ἡ μέθη.

Ι

Ἰδνοῦται, λοξοῦται, συνιζάνει.
ἰθαγενὲς, γνήσιον καθάπερ φησὶν ὁ σοφὸς, ἀλλά με ἶσον ἰθαγενέσιν ἐτίμα.
ἴκταρ, ἐγγὺς παρὰ γοῦν τοῖς ἀττικοῖς. παρὰ δὲ τῷ Ἱπποκράτει ἐν δευτέρῳ τῶν γυναικείων, τὸ τῆς γυναικὸς αἰδοῖον καλεῖται.
ἰλλαίνειν, διαστρέφειν τοὺς ὀφθαλμούς.
ἱμερωθεῖσαι, ἀνδρὶ μιγεῖσαι.
ἰνδικά. οἱ μὲν γράψαντες τὰς ὀνομασίας τῶν φαρμάκων, καθάπερ Μενεσθεύς τε καὶ Ἀνδρέας ὁ τοῦ χρύσαρος καὶ Ξενοκράτης καὶ Διοσκουρίδης ὁ ἀλεξανδρεὺς ἰνδικὸν ὀνομάζουσι τὸ ζιγγίβερι, πλανηθέντες ἐκ τοῦ τινὰς οἴεσθαι ῥίζαν αὐτὸ τοῦ πεπέρεως ὑπάρχειν. ἀλλὰ Διοσκουρίδης ὁ ἀναζαρβεὺς, σαφῶς διώρισέ τε καὶ ἀπεφήνατο περὶ ζιγγιβέρεως καὶ πεπέρεως. ὁ μέντοι Διοσκουρίδης ὁ νεώτερος ὁ γλωσσογράφος, φυτὸν εἶναι φησὶν ἐν ἰνδίᾳ παραπλήσιον τῷ τοῦ πεπέρεως, οὗ ὁ καρπὸς ὀνομάζεται μυρτίδανον ὅτι μύρτῳ ἔοικεν.
ἰνέει, κενοῖ. καὶ ἴνηθμος, κένωσις. καὶ ἰνεῖται, κενοῦται.
ἰξάλην, τελείου αἰγὸς δέρμα. ἰξίαι, κιρσοί.
ἶξιν, εὐθυωρίαν ἢ ἄφιξιν.
ἰξίον, φύλλον τοῦ λευκοῦ χαμαιλέοντος.
ἰξύας, τὸ μεταξὺ τῶν ἰσχίων καὶ τῆς ὀσφύος.
ἶπος, ἡ πόσις ἐν μοχλικῷ.
ἱππόφεως, τοῦτο οὐ μόνον ἱπποφαὲς ὀνομάζεται, ἀλλὰ καὶ κνάφον καὶ στύβον.
ἰσεῦσαι, ἰσάζουσαι, μεσήλικες οὖσαι.
ἰσάλλην, διφθέραν, δέρμα.
ἰσχαλέαι, ἰσχναί, καὶ ἰσχαλέσι, τὸ ἰσχνόν.
ἰχθυήματα, λεπίσματα φλοιῶν.
ἰχθύην, ῥίνης θαλάττης δέρμα ξηρόν. δύναται δὲ καὶ τὸν σιδηροῦν ὄνυχα δηλοῦν, ᾧπερ εἰς τὰς ἐμβρυουλκίας καὶ ἐμβρυοτομίας χρώμεθα, διὰ τὴν πρὸς τὰς λεπίδας τῶν ἰχθύων ὁμοιότητα.

Κ

Καθαπτόμενοι, αἰσθανόμενοι σφοδρῶς.
καθετῆρι, τῷ στρεπτῷ μοτακίῳ ἀπὸ τοῦ καθίεσθαι, ἐν δευτέρῳ γυναικείων, μοτοῦ ὠμολίνου καθετῆρι.
κακαγγελίη, κακορρημοσύνη, κακολογία.
κακοήθεα, κακοήθη. κακοσινώτατα, ὑποβλαβέστατα.
καλλίφυτον, ὅπερ καὶ καλλίτριχον καὶ ἀδίαντον ὀνομάζεται.
καλλιωνύμου, ἰχθύος τινὸς οὕτως ὀνομαζομένου.
κάμμορον, τό, τε τῇ σμικρᾷ καρίδι ἐοικὸς ζῷον, καὶ ἀπὸ τῆς πρὸς τοῦτο τῶν ῥιζῶν ὁμοιότητος τὸ ἀκόνιτον, ἀλλὰ οὐδέτερον αὐτῶν ἀκοῦσαι δυνατὸν, ἐν τῷ περὶ τόπων τῶν κατὰ ἄνθρωπον, καυσουμένων, παραλαμβανομένου τοῦ καμμόρου. ὅθεν καὶ Ἐρωτιανὸς οὐ μόνον αὐτὸ τὸ ζῷον κάμμορον, ἀλλὰ καὶ τὸ προκείμενον αὐτῷ βρύον, οὕτως ὀνομάζεσθαι φησί. Ζήνων δὲ ὁ ἡροφίλιος τὸ κώνειον. Ζεῦξις δὲ φάρμακον ψυκτικόν.
κανόνιαι, ὀρθοὶ καὶ προεσταλμένοι τὰς γαστέρας.
κάρικον, καρικόν τι ἔδεσμα οὕτως ὀνομάζει, οὗ καὶ τὴν σκευασίαν ἐν τῷ περὶ ἑλκῶν γράφει.
καρυκοειδέα, ὕφαιμα. καλοῦσι δὲ αὐτὰ ἰδίως οἱ ἰατροί.

κάρυκη, λύδιον ἔδεσμα ποικίλον, ἐξ αἵματος σκευαζόμενον.
καρχήσιον, τὸ ἐπ᾽ ἄκρῳ τοῦ ἱστίου τὸ ἔχον τὰ τροχιλίαν. καὶ καρχήσιοι, ἐπ᾽ αὐτοῦ κάλοι οἱ τεταμένοι.
καταβλακεύουσιν, κατολιγωροῦσι.
κατάβλημα, περίβλημα ἐξ ἐπιμελήσεως ἕνεκα τοῦ συνέχειν τὰ ὑποκείμενα.
κατάγυιοι, εἰς ἔσχατον ἀχρηστίας ἢ ἀσθενείας ἄγει.
κατακορέα· καλεῖ μὲν οὕτως καὶ τὰ ἀκρατόχολα διαχωρήματα. καὶ ἔσθ᾽ ὅτε κατακορέα, τὰ τοῦ τοιούτου χυμοῦ γεννητικά. τινὲς μέντοι τὰ λάσια ἤκουσαν. ἀλλὰ καὶ κατακορεῖς ἀνθρώπους ὁμοίως ὀνομάζει. φάρμακον μέντοι κατακορές, ἢ διὰ τὸν κινούμενον ὑπ᾽ αὐτοῦ χυμόν, ἢ διὰ τὴν ἰδίαν χρόαν. ὀνομάζει δὲ καὶ δίψαν τοῦ κατακορῆ, τὴν ἤτοι διὰ τὸν τοιοῦτον χυμὸν γεγονυῖαν σφοδράν, ἢ εἰς ἄκρον ἐπιτεταμένην, ὥσπερ οὖν καὶ ἐκλύειν, κατακορεῖν.
κατακούρην, τὴν ξηρὰν τὴν τομήν, οὕτως ἄμεινον γράφειν. ὁ Διοσκουρίδης φησὶν ὅτι κατὰ κορυφὴν κουρήδην τομήν, καὶ τὸ κείρειν ἐν τούτῳ. καὶ παρὰ τῷ Θεοφράστῳ ἡ κουριζομένη ἐλάτη, ἀντὶ τῆς τεμνομένης.
κατακρούειν, καταχίζειν. καταλείφειν, καταχρίειν.
καταμώσας, καθεὶς ἕνεκα τοῦ ζητῆσαι. γέγονε γὰρ ἡ λέξις παρὰ τὸ ματεύειν, ὥσπερ καὶ τὸ καταματευόμενος.
καταναισιμοῦται, καταναλίσκεται.
κατάστημα, τὸ οἷον κατάστειγμα καὶ ἀπόσκημμα, ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν. καὶ καταστῆσαι, τὸ ἀποσκῆψαι.
καταφρονέοντα, τὸν ἀνετέως αἰσθανόμενον, ἐν τῷ μείζονι προρρητικῷ. καταχλοα, ἄγαν χλοώδη.
καταλλόμεναι, συνδεδεμέναι.
κατηνόει, ἐσωφρόνει, ἠσθάνετο.
κατεπλήσσετο, ἀποπληκτώδης ἐγένετο.
κατηβολῆσι, περιοδικαῖς ἀρχαῖς παροξυσμῶν.
κατήρτυε, καθειστήκει, ἐσωφρόνει.
κατ᾽ ἰητρεῖον, τὰ κατὰ τὴν χειρουργίαν.
κατοπτῆρι, τοῦ καλουμένου ἑδροδιαστολέως, ὥσπερ γε καὶ διόπτρα, ὁ γυναικῶν διαστολεύς.
κατωμοσχαλέω, ὑπακουστέον κώμης ὥσπερ κατωσωσιλέω.
καυλὸς, ἡ μὲν ῥίζα τῆς πόας σίλφιον ἰδίως ὀνομάζεται, καυλὸς δὲ καὶ ὁ ὀπὸς, ὥσπερ καὶ τῶν ἄλλων. γράφει γοῦν αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων, ἢ σίλφιον, ἢ ὁ ὀπὸς, ἢ καυλός.
καύσωμα, τὴν πύρωσιν, ἐν τῷ πρώτῳ περὶ νούσων τῷ σμικροτέρῳ.
καυτῆρα χάλκεα, καλαμίσκοι τινὲς τετρημένοι κατὰ τοὺς πυθμένας, δι᾽ ὧν καίειν ἔδει καυτηρίοις διαφανὲς καθιέντα.
κάγχρυος ῥίζαν, τῆς λιβανωτίδος. ὅταν δὲ πληθυντικῶς εἴπῃ τὰς κάγχρυς, τὰς πεφρυγμένας κριθὰς ἀκουστέον.
κέδματα, τὰς ἐκ ῥεύματος χρονίου διαθέσεις, ἤτοι περὶ τὰ ἄρθρα σύμπαντα, ἢ ἐξαιρέτως περὶ τὰ κατ᾽ ἰσχίον. ἰδίᾳ δέ σοι τοῦτο ἐξηγησάμεθα, ὥσπερ καὶ ἄλλας τινὰς λέξεις.
κεκωμῶσθαι, ἐν κώματι εἶναι.
κερχναλέον, κέρχνου ποιητικόν. οὕτως δὲ ἡ τραχύτης ὀνομάζεται τῆς φάρυγγος, καὶ ὁ ἐν τῷ πνεύμονι ψόφος. καὶ τὸ κέρχνον δὲ καὶ τὸ κέρχνεται, καὶ οἱ κερχνασμοί, τὸ ἀνάλογον δηλοῦσιν.
κεφαλοειδοῦς, κεφαλὴν ἐχούσης.
κιγκλισμός, βραχεῖα, συνεχὴς κίνησις ἀπὸ τοῦ κίγκλου τοῦ ζώου.
κιθαρὸν, θώρακα.
κίων, τὸ ἐκ τῶν θηρειδίων ἀθροισμάτων τὸν σῖτον διαβιβρωσκόντων, ὧν ἕκαστον κίων ὀνομάζεται. ἐπὶ τελευτῆς τοῦ δευτέρου τῶν γυναικείων τοὔνομα.
κληΐθρον, ὁ περὶ τὴν κατάποσιν τόπος ὑπὸ τοῖς παρισθμίοις.
κλιμακείου, τοῦ πλαγίου ἐν τοῖς κλίμαξι ξύλου. ἔνιοι δὲ κλιμακίου γράφουσι χωρὶς τοῦ ε. καὶ ἡ διὰ τοῦ κλιμακίου ἐστὶν τις τοιαύτη.
κλισμὸν, κλίνην, ἐν τῷ δευτέρῳ τῶν γυναικείων.
κνημέου, τοῦ τῆς κνήμης.
κνήματα, ξύσματα. καὶ κνῆσαι, τὸ ξύσαι.
κνίστρον, ὅπερ καὶ κνέωρον.
κνήστρῳ, τῷ τυροκνήστῃ. ἔστι δὲ μαχαίριόν τι ᾧ ξύεται ὁ τυρός.
κνιδώσιες, νύξεις τινὲς κνισμώδεις, οἷαι καὶ ἀπὸ κνίδης γίνονται.
κνιπότητα, κνησμόν. ἔνιοι δὲ τὴν ξηροφθαλμίαν ἤκουσαν.
κνύμα, ὠνοματοπεποίηται μιμήσει τοῦ ψόφου. ἀλλὰ καὶ ὁ ἠρέμα στενάζων, κνυζούμενος, ἀπὸ τοῦ αὐτοῦ, καὶ ὁ ἐπὶ τῶν κυνῶν κνυζηθμός.
κόγχην, κεραμίδα, οὐδὲν πλέον δηλοῖ τοῦ κεραμίδος.
κόγχον, τὴν κόγχην τὴν χημήν.
κόκκαλον, οἱ μὲν πλεῖστοι τὸν πυρῆνα τοῦ στροβίλου. Διοσκουρίδης δὲ τὸν κνίδιον κόκκον ὑποκοριστικῶς.
κόκκωνα, κόκκον τὸν κοινῶς ὀνομαζόμενον, οὐ τὸν κνίδιον, ὃν καὶ αὐτὸν οὕτω ὅτε κόκκον αὐτὸν προσθήκης ὀνομάζει.
κόλλικας, τοὺς τροχίσκους. καὶ τὸ ἐν ἀχαρνεῦσι, κολλικοφάγε Βοιώτιε, ἐπὶ τῶν σμικρῶν ἀρτίσκων εἴρηται.
κολοκύνθην ἀγρίην, τὴν κολοκυνθίδα.
κοπρίων, μελικηρῶν. οἱ δὲ πλεῖστοι γράφουσι κηρίον, δηλοῖ δὲ τῶν ἀποπιεσμάτων.
κορίαν, τὴν πόαν ἥ τις καὶ ὑπερικὸν ὀνομάζεται, ἔχει δὲ τὸν καρπὸν κορίῳ ὅμοιον.
κορεῦς, τὰς ἀπὸ τῶν κλάδων παραφύσεις, τὰ νέα βλαστήματα.
κορυφάδων, τῆς κορυφῆς τῆς πρὸς τῷ ὀμφαλῷ συναγωγῆς.
κοτίδι, τῷ ἰνίῳ, τῇ παρεγκεφαλίδι.
κότινον, ἀγρίαν ἐλαίαν.
κοτυλίδα, τὴν κοτύλην τοῦ ἰσχίου, ἔν τε τοῖς προκειμένοις τῷ μοχλικῷ, κἀν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.
κοτυληδόνας δὲ, τὰ στόματα τῶν εἰς τὰς μήτρας καθηκόντων ἀγγείων, ὡς κἀν τοῖς περὶ τῆς Ἱπποκράτους ἀνατομῆς ἀποδέδεικται.
κοχώνην, τὴν σύζευξιν τὴν ἐν τοῖς ἰσχίοις, τὴν πρὸς τὴν ἕδραν, δι᾽ ἣν καὶ πᾶς ὁ περὶ τὴν ἕδραν τόπος οὕτως ὀνομάζεται.
κραδδαι, συκῆς οἱ ἀκρέμονες.
κραίνουσι, λήγουσι.
κραμβίῳ, κράμβης ἀφεψήματι.
κρέκην, ὠνοματοπεποίηται τὸν μισητὸν ἦχον, ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.
κρήγυον, τὸ ἀγαθόν.
κρημνοὶ, τὰ χείλη τῶν ἑλκῶν, ὡς ἐν τῷ περὶ τόπων τῶν κατὰ ἄνθρωπον, καὶ τὰ περιρρυτώματα τῶν γυναικείων αἰδοίων.
κρήστερα, ἡ τοῦ ἀλεύρου πτίσις ὀνομαζομένη. Μάρσιππος δέ τις οὕτω αὐτὴ λίνους.
κριμνὰ, τὰ ἁδρομερέστερα τῶν ἀλφίτων. ὅταν δ᾽ εἴπῃ κριμνὰ ἀλφίτου ἁδρὰ, τὰ μέγιστα τῶν ἀλφίτων δηλοῖ.
κρότωνας, τὰ ἐν τῷ πνεύμονι χονδρώδη βρόγχια, ἐν τῷ πρώτῳ περὶ νούσων.

κρότωνος ῥίζα, ταύτην οἱ αἰγύπτιοι κίκιον ὀνομάζουσι.
κυάμου καρπὸν, ὁ μὲν Διοσκουρίδης ὑοσκυάμου φησὶ λέγειν αὐτόν. οὕτως ἐν τῷ πρώτῳ τῶν γυναικείων, ἔνιοι δὲ τοῦ αἰγυπτίου ἀκούουσιν.
κύαρ, τὸ τῆς βελόνης τρῆμα.
κύβιτον, τὸ ὀλέκρανον ὅπερ καὶ ἀγκών. Διοσκουρίδης δὲ τὸν κόνδυλον τοῦ βραχίονος οὕτως ὠνομάσθαι φησί.
κύκλοι προσώπου, τὰ μῆλα, ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι.
κυλιχνίδα, ἤτοι σμικρὰν κύλικα, καὶ τὴν ἰατρικὴν πυξίδα.
κυρβασίην, πῖλον ὀξὺν, ὅνπερ καὶ τιάραν.
κυρήβια, ἄχυρα. δηλοῖ δὲ καὶ τὰ πίτυρα, καὶ τὰ τῶν κριθῶν ἀποβράσματα.
κυρίῃσιν, ἡμέραις ταῖς τὰ τοιαῦτα κρίνειν πεπιστευμέναις.
κύρσεον, πρωκτόν.
κύστιγγα, κύστιν σμικράν.
κώδειαν, κώδυα.
κωλεὸς, τὸ καλούμενον ἐν τῷ ῥώμαλέῳ καὶ βελτίον ἐξαιρέσιος.
κῶμα, καταφορά. γέγραπται δὲ ὡς οἶδα ἡμῖν περὶ τούτου βιβλίδιον.
κωνίαν, οἶνον τὸν πισσίτην. ἐσβάλλεται σὺν τῷ φλοιῷ τῆς πεύκης ἡμικοτύλιον εἰς τὸ κεράμιον, καὶ οἱ μὲν ἀπηθοῦσι μετὰ τὸ ζέσαι, οἱ δὲ καταλείπουσιν.
κωφοὶ, οἱ ἀμαυροὶ καὶ ἀσθενεῖς. τὸ δὲ κατὰ τὴν τρίτην συζυγίαν ῥῆμα προσώπου τρίτου τὸ κωφοῖ, ἀμαυροῖ καὶ ἀμβλύνει δηλοῖ.

Λ

Λαβὴ, ἐπισημασία, μάλιστα δὲ ἡ ἐκ περιόδου.
λαγνείη, δηλοῖ ποτὲ καὶ αὐτὸ τὸ σπέρμα, ὡς ἐν τῷ περὶ παιδίων φύσεως. οὕτως δὲ καὶ τὸ λάγνευμα.
λάμπυρος, ἡ λαγωνάτη καλουμένη βοτάνη.
λαμπτὴρ, ὃν οἱ πολλοὶ φανὸν ὀνομάζουσιν, ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι. παρὰ μέντοι τοῖς ἄλλοις καὶ μάλιστα τοῖς ἀττικοῖς, ἐν ᾧ ξύλα τε κατεκαίετο παρέξοντα φῶς. ἀλλὰ καὶ ὁ δᾷδος καὶ ὁ λύχνος ὅστισοῦν, ὅ, τε λαμπτὴρ ὀνομάζεται.
λαπαχθῆναι, κυρίως μὲν τὸ κενωθῆναι, διὰ τοῦτο δὲ καὶ τὸ μαλαχθῆναι.
λαμπηρὰ, τὰ ἀφρώδη. λάμπει γὰρ ὁ ἀφρός.
λάσιον, σινδόνην.
λεβηρίδα, τὸ τοῦ ὄφεως γῆρας. ἔνιοι δὲ κόγχην κενήν.
λέγνα, τὰ ἄκρεα τοῦ στομίου τῆς ὑστέρας ἐκ μεταφορᾶς. οὕτως γὰρ τὰ περὶ τὰς ὤας καλεῖται τῶν ἱματίων. ὀνομάζει δὲ ἀλλαχόθεν τὰ ἄκρεα ταῦτα καὶ ἀμφίδεα.
λέκιθον, φακῶν τὸ ἔνδον τοῦ λέπους.
λεπάδες, αἱ ταῖς πέτραις προσεχόμεναι κόγχαι.
λεπρὰ, ψιλὰ καὶ ξηρὰ χωρία.
λεπτὰ, οὕτως ἐνίοτε καλεῖ τὰ ἀραιὰ, ὡς ἐν τῷ περὶ τόπων τῶν κατ᾽ ἄνθρωπον.
λευκὴν ῥίζαν, τὴν τοῦ δρακοντίου.
λευκοΐου καρπὸν, τὸ τοῦ ἴου λευκοῦ σπέρμα φησὶν οὕτως εἰρῆσθαι ὁ Διοσκουρίδης.
λεὼς, παντελῶς, ἅπαν.
λιβανωτοῦ καρπὸν, αὐτὸν ἴσως τὸν ὀνομαζόμενον οὕτως λιβανωτὸν, ἐπεί τό γε σπέρμα τοῦ φυτοῦ οὐ γινωσκόμενον εἰς χρῆσιν ἀγόμενον.
λιβηρῷ, ὑγρῷ.
λίβος, ἐπίσταγμα τῶν ὀμμάτων ἐγχυματιζόμενον, γέγονε δὲ ἀπὸ τοῦ λίβειν, ὃ κυρίως δοκεῖ τὸ στάζειν δηλοῦν.
λιγνυώδης, ἡ μελαίνουσα, καὶ γὰρ ἡ λιγνὺς μέλαινα.
λίθον μέλανα, ὃν καὶ μυλίτην ὀνομάζουσι κόχλακα.
λιμακώδεις, οἱ ὑγροὶ καὶ βοτανώδεις.
λίπα, τὸ ἔλαιον, ἐν δευτέρῳ τῶν γυναικείων.
λίριον τὸ κρίνον. τὸ δὲ ἔλαιον τὸ ἀπ᾽ αὐτοῦ, οἱ μὲν λίρινον μετὰ τοῦ ν γράφουσιν, οἱ δὲ χωρὶς τοῦ ν λίριον. καλεῖται δὲ οὐ μόνον κρίνινον, ἀλλὰ καὶ σούσινον καὶ ἄνθινον.
λοιμῷ, οὐ μόνον τὸ λοιμὸν, ἀλλὰ καὶ τὸ αἰονᾶν. οὕτως δὲ καὶ τὸ λοῦσθαι δύο σημαίνει παρ᾽ αὐτῷ, καὶ τὰ ἄλλα τὰ ὅμοια.
λύσιας, διαστάσεις καθ᾽ ἃς ἀπολέλυνται ἀλλήλων τὰ ἄρθρα.
λυώδης, παρακοπτικόν.

Μ

Μαγίδα, τό, τε οἷον μάγμα καὶ φύραμα, καὶ τὴν χειροπληθῆ μαγδαλίαν.
μακρόπνους, ἤτοι μακρὸν ἀναπνέων, ἢ διὰ μακροῦ.
μαλακείοισιν, οὕτως καλεῖται ὅσα τῶν ἐνύδρων ἄκανθαν οὐκ ἔχει, καθάπερ ὁ πολύπους καὶ τευθὶς, καὶ σηπία καὶ ἀκαλήφη. ταῦτα δὲ καὶ ἄναιμα καὶ ἄσπλαγχνα ἐστί.
μαλθώδεα, μαλακτικὰ ἢ κηρώδη. μάλθη γὰρ ὁ κηρὸς, καὶ μάλιστα ὁ μεμαλαγμένος.
μαρίλη, ἣν οἱ πολλοὶ θερμοσποδίαν ὀνομάζουσιν.
μασθλης, θέρμης.
μάσσειν, οὐ μόνον τὸ ἀναδεύειν ἢ φυρᾶν, ἀλλὰ καὶ τὸ ἐκθλίβειν, ὡς ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι.
μᾶσσον, πλέον, ἐν τῷ μείζονι προῤῥητικῷ.
μάτος, ἡ ζήτησις, καὶ τὸ ζητεῖν, ματίσαι.
μαχαιρίδι ὀξυβελεῖ, τῷ φλεβοτόμῳ.
μαχαιρίδι στηθοειδεῖ, τῷ σμιλίῳ ἰατρικῷ γαστρώδει.
μέλαινα, λέγεται τε καὶ ὁ νόσος οὕτως ἀπὸ μελαίνης χολῆς συνισταμένη.
μέλαιναν ῥίζαν, τὴν τοῦ ἀσπαλάθου τοῦ ἀρωματικοῦ καλουμένου.
μελαῖνις, παρεμπεπτωκότως ὁ Διοσκουρίδης ἀναγινώσκειν ἀξιοῖ, μελαῖνις αἲξ καὶ βοῦς μελαῖνις. καὶ δηλοῦσθαί φησι τὴν ἐκ μελαίνων. πόλις δὲ αὕτη περὶ τὸ κελσαῖον πεδίον προκειμένη τῷ κηφισῷ, νομὰς ἀγαθὰς ἔχουσα καὶ εὐγαλάκτους, ὥς φησιν ὁ Διοσκουρίδης.
μελαίνεον, τὸ ἐν τῷ προγνωστικῷ. τινὲς μὲν ὑφ᾽ ἓν ἀναγινώσκουσιν ἵν᾽ ᾖ τὸ μελανοῦν. ἔνιοι δὲ διαιροῦσι, χλωρὸν ἢ μέλαν ἐὸν ἀντὶ τοῦ ὄν.
μέλανι φαρμάκῳ, τοῦτο πῶς σκευάζεται ἐν τῷ περὶ ἑλκῶν αὐτὸς ἐδίδαξεν.
μέλαν τὸ κύπριον, τὴν κυπρίαν σποδὸν ᾗ πρὸς τοὺς ὀφθαλμοὺς χρώμεθα.
μελεδαίνοντι, ἐπιμελουμένῳ, θεραπεύοντι. καὶ μελεδῶν, ἡ ἐπιμέλεια, οὐχ ὡς παρ᾽ Ὁμήρῳ ἡ λύπη.
μελικρέα, οὐ μόνον τὸ ἡδὺν, ἀλλὰ καὶ τῷ μέλιτι μεμιγμένον, ὡς ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι. ἐν δὲ τῷ αὐτῷ καὶ μελίχρουν ὀνομάζει καὶ τὸν τοιοῦτον οἶνον.
μεμύρηκεν, συνείληχεν ἀπὸ τῶν μυρομένων ἐρίων.
μεμιασμένον, μεμολυσμένον ὡς καὶ παρὰ τῷ ποιητῇ.
μεμολυσμένους. ἔνιοι μὲν τοὺς κατεψυγμένους, ἔνιοι δὲ τοὺς ἐσκιῤῥωμένους, καὶ λιθώδεις ὠνόμασαν.
μεμωρωμένα, τὰ ἀναίσθητα.
μεσοδμὴ, ἡ καθ᾽ ἕνα οἶκον εἰς δύο μεμερισμένον διορίζουσα, τοῦ δοκοῦ εἴρξεις οἷον μεσόδμη τις οὖσα. τινὲς δὲ καὶ τὸ ὑποκείμενον στέγος μεσόδμην καλοῦσι.
μεσόβλημα, ὡς εἰ καὶ μεσεντέρη ἔλεγεν.

μετακύρας, ἐν τῷ περὶ διαίτης ὀξέων, τὸ γαλακτῶδες σύγκραμμα.
μηκώνιον, τὸν πέπλον καλούμενον, ὃν καὶ μηκωνίτην ὀνομάζει.
μήλην διαστομωτρίδα, τὴν διαστόλον.
μήλην ὑπωτίδα, τὴν μηλωτίδα.
μήλην ἰσχυρήν, τὴν τραυματικὴν μήλην.
μήλῃ πλατείῃ, τῇ σπαθομήλῃ.
μήλης τῷ πλατεῖ, περὶ κυαθίσκῳ τῆς ὀφθαλμικῆς μήλης.
μῆλα, τὰ πρόβατα.
μηλίας, ἡ ἀπὸ μήλης τῆς νήσου.
μηλιάδος ὠμῆς, τῆς ἀπὸ μήλου χαλκίτεως ἢ στυπτηρίας.
μηλιάδα, ἐν τῷ πρώτῳ περὶ νόσων τῷ σμικροτέρῳ, τῇ μηλιάδι λέγει τῇ ἀπὸ μήλου τῆς νήσου.
μήτρη, κάλυμμα ἐστὶν οἷον ἔλιγμά τι ἡ ἐπιδιδυμὶς ὀνομαζομένη. ἔστι δὲ κιρσώδης τις ὄγκος κατὰ τὴν κορυφὴν ἐπικείμενος τοῦ διδύμου.
μινύειν, μασᾶσθαι, ἐσθίειν.
μύκη, μύσις.
μυοχαύνη, ἐπίθετον χασκούσης. εἰ δὲ μυελοχαύνη γράφοιτο, ἡ ὑπὸ μυελοῖς ἂν εἴη χαυνουμένη.
μύῤῥαν, αἰολοῦσι σμύρναν, διὸ τὸ ρ γράφεται.
μυρτίδανον, οἱ πλεῖστοι μὲν τὸ πέπερι. Διοσκορίδης δὲ ὁ ἀναζαρβεὺς ἐν τῷ πρώτῳ περὶ ὕλης ἐπίφυσιν ἀνώμαλον καὶ ὀχθώδη, περὶ τὸ τῆς μυρσίνης πρέμνον. ὁ γε μὴν Ἱπποκράτης τὸν καρπὸν οὕτως ὀνομάζει ἐκ τοῦ φυτοῦ, ὅπερ αὐτός φησιν ὑπὸ ἑτέρων ὠνομάσθαι πέπερι.
μύτις, καλεῖται μὲν οὕτως καὶ τὸ ἐν τῷ τῆς σηπίας στόματι μέλαν, ἀλλὰ καὶ ἰχθύς τις ὑπὸ τοῦ Ἱπποκράτους δηλοῦται.
μυττωτόν, ὑπότριμμα, Διοσκορίδης εἶναί φησι σκορόδων ἢ κρομμύου.
μώλυζα, σκόροδον ἁπλῆν τὴν κεφαλὴν ἔχον, καὶ μὴ διαλυομένην εἰς ἄγλιθας. τινὲς δὲ τὸ μῶλυ.
μωλυόμενα, κατὰ βραχὺ ἀπομαραινόμενα.

N

Ναυσιώσιες, αἱ παρεκχύσεις τοῦ αἵματος, ἃς δὴ καὶ ἐκχυμώσεις ὀνομάζει. μετενήνεκται δὲ ἀπὸ τοῦ ἐπὶ ταῖς ναυτίαις ἐμούντων αἷμα τοὔνομα.
νεῖον, τὸ νέον.
νεόμενον, τὸ νηχόμενον, παραγινόμενον ἀπὸ τοῦ νεῖσθαι. ἐν πρώτῳ τῶν γυναικείων ἄμφω. τὸ μὲν ἐπὶ τοῦ χορίου, τὸ δὲ ἐπὶ τοῦ ἐμβρύου.
νηπέλει, ἀδυνατεῖ.
νυκτάλοπες, οἱ τῆς νυκτὸς ἀλαοί.

Ξ

Ξηρῇ σηπεδονώδει, ἤτοι τῇ γαγγραίνῃ, ἢ τινὶ ταύτης γονικωτέρῳ.
ξύμη, ὃ καλεῖται κνησμός.

O

Οα, τὰ πρὸς τῶν πολλῶν οὖα καλούμενα.
οἰναρίῳ, ἀμπέλῳ.
οἰναρίδων, ἀμπέλου κλημάτων.
οἴσπη αἰγός, ὁ παρὰ ταῖς θριξὶ τῆς αἰγὸς ἐγγινόμενος ἐν τῇ ἕδρᾳ ῥύπος, ἐστὶ μάλιστα ταῖς κατὰ τὴν ἕδραν συνιστάμενος ῥύπος.
οἰσοφάγος, ὁ τῆς γαστρὸς στόμαχος, οἷον οἰσοφάγος τις ὤν.
οἰσυπίδας, προβάτου ῥύπον, ἤγουν ἔριον ῥυπαρόν.
οἰσυπίδες, προβάτου ῥύποι συνεστραμμένοι. δηλοῖ δὲ καὶ ἐρίου ῥυπαροῦ μαλλίον.
ὄκεις, ὑπεροχὴ προμήκης.
ὄλερον, δυσῶδες ἢ μέλαν, ἀπὸ τοῦ τῶν σηπιῶν θολοῦ.
ὀλισθράζοντα, ὀλισθαίνοντα.
ὀλοκωνίτης, βοτάνη τις ἀγρία λαχανώδης.
ὄλον, τὸ μέλαν τῆς σηπίας.
ὀλώδεα, θολερὰ ἢ μέλανα.
ὀλοφλυκτίδες, φλυκταίναι.
ὀνεύεσθαι, ἤγουν δι' ὄνων ἐπιστροφῆς τείνειν. ὄνοι δὲ καὶ ὀνίσκοι, οἱ ἄξονες. γράφεται δὲ κατονεύεσθαι.
ὅπλα, κάλοι ἀπὸ στύππου ἢ λίνου, ἢ καννάβεως.
ὀπὸς, ὁ τοῦ σιλφίου κατ' ἐξοχήν, ὥσπερ καὶ καυλός. καλεῖ δὲ σίλφιον τὴν ῥίζαν μόνην.
ὀποῦ καρπόν, σιλφίου σπέρμα, ὅπερ καὶ φύλλον γενικῶς, καὶ μαγύδαρις ὑπό τινων καλεῖται.
ὀργάσασθαι, ἀναμίξαι, συγκεράσαι.
ὀρθοπρίονι, τῇ χοινικίδι.
ὀρεοκωνίτιδος, ἑτέρα γραφὴ τῆς ὀλοκωνίτιδος, περὶ ἧς ἔμπροσθεν εἴρηται. φησὶ δὲ Διοσκορίδης τὴν ἐν ὄρει γινομένην ὀρεοκωνῖτιν ὀνομάζεσθαι.
ὀῤῥωδέων, τῶν ἄχρι τοῦ ὄῤῥου ἐκτεινομένων.
ὄῤῥος δὲ τοῦ ἱεροῦ ὀστέου τὸ πέρας, ὅπερ ἐστὶ ὀῤῥοπύγιον καλεῖται.
ὄρχεα, ὄρχεις.
ὀχίῳ, τῇ περὶ τὸ στόμα τῆς μήτρας ἑλικοειδεῖ ἐπαναστάσει. ὄχος γὰρ καὶ μόσχος, τὰ κλήματα καὶ αἱ ἕλικες. τὸ δὲ αὐτὸ ἐστὶ ἀμφίδεον ὀνομάζει καὶ λέγνα.
ὠτίδος, τοῦ ὀρνέου, ὃ Ἀριστοτέλης ὠτίδα διὰ τοῦ ω καλεῖ. Ξενοφῶν δὲ ἐν τῷ πρώτῳ Κύρου ἀναβάσεως, ὀτίδα διὰ τοῦ ο γράφει.

Π

Παλίνορσα, τὰ ἀπὸ τοῦ ἡλίου ἀπεστραμμένα.
παλῦναι, ἐπιπάσαι.
παράλαμψις, ἡ ἐν τῷ μέλανι τῶν ὀφθαλμῶν ἐπιλάμπουσα οὐλή, διὰ τὸ ἡσυχῆ παχυτέραν εἶναι τῆς αἰγίδος.
παράλιον, εἶδος τιθυμάλλου, καλεῖται δὲ καί τι κράμβιον παράλιον.
παραστάτας, τοὺς ἐπιδιδυμίδας, ἐν τῷ περὶ φλεβῶν ὃ πρόκειται τοῦ μοχλικοῦ.
παραφᾶσαι, παράψασθαι μετὰ καθέσεως, ὥσπερ τὸ ἐσφάσαι, εἰσβάλλοντα τὴν χεῖρα ἅψασθαι. ἐντεῦθεν δὲ καὶ τοὺς κρυπτοὺς τόπους τοὺς κατὰ τὸ γυναικεῖον αἰδοῖον παραφάσιας ὀνομάζουσι.
παραφάσσειν, παραφρονεῖν, ὡς καὶ ἀλλοφάσσειν. ψιλῶς δὲ ἀναγνωστέον, οὐχ ὥσπερ τὸ πρὸ αὐτοῦ παραφᾶσαι. ἔγκειται γὰρ ἐν ἐκείνῳ τὸ τῆς ἀφῆς ὄνομα.
παρθένιον, τὸ σμικρόφυλλον. καλεῖται δὲ παρθένιον καὶ ἡ ἀνθεμὶς καὶ ἡ ἑλξίνη, καὶ ἡ λινόζωσις καὶ τὸ ἀμάρακον. ἀλλὰ καὶ Διοσκορίδης μήποτέ φησιν ἀκουστέον εἶναι ἤτοι τῆς ἑλξίνης, ἢ τῆς λινοζώστεως τὸ εἶδος τὸ σμικρόφυλλον.
πασπαλέτης, ὁ λεπτοχαλέτης. πάσπαλος γὰρ ὁ κέγχρος.
πασσαλίσκῳ, τῷ σμικρῷ πασσάλῳ ὑποκοριστικῶς.
παφλάζουσιν, ὀνοματοπεποίηκε τοὺς πταίοντας καὶ ἐπαναλαμβάνοντας ἐν τῷ διαλέγεσθαι δηλῶσαι βουλόμενος.
πέζαι. ἐν τῷ δευτέρῳ τῶν γυναικείων οὕτως γέγραπται καὶ οἱ πόδες οἰδίσκονται αἱ πέζαι μάλιστα. Ζηνόδοτος μὲν οὖν ἐν ταῖς ἐθνικαῖς λέξεσι, πέζαν φησὶ τοὺς πόδας καλεῖν Ἀρκάδας ἐστὶ Δωριεῖς. ὁ δὲ Ἱπποκρά-

της ἔοικεν, ἢ τὸ παιδίον καλούμενον τοῦ ποδὸς οὕτως ὠνομακέναι, ἢ τὰ σφυρά.

πέλλα, πελία ὑπόκιρρα. τὰ δὲ αὐτὰ καὶ πελιρὰ ὀνομάζει. Ζηνόδοτος δὲ ἐν ταῖς ἐθνικαῖς λέξεσιν, σικυωνίους φησὶ τὸ ἱερὸν πέλλον ὀνομάζειν.

πεμφιγώδεες, ἤτοι νοτίδος μεστοὶ καὶ ὑγρότητος, ἢ καὶ πνευματώδεις.

πέπλιον, ὅπερ καὶ πέπλις καὶ ἀνδράχνη ἀγρία.

πέπλος, τὸ αὐτὸ καὶ χαμαισύκη καὶ μήκων ἀφρώδης, καὶ μηκώνιον.

περητηρίῳ, τρυπανίῳ τῷ εὐθεῖ καὶ ὀξεῖ. ἔστι γὰρ καὶ ἕτερον ἡ χοινικίς.

περιεστέλλετο, τοῖς περιβολαίοις ἑαυτὸν ἔσκεπεν.

περικεκαλμένοι, περικεκαμμένοι, γρυποὶ καὶ ἐπικαμ-

περινήματα περικλύσματα. (πεῖς.

περινήματος, περικλύσματος.

περινεῖ, περικλύζει, περινήχεται.

περινῷ, περινέῳ. ἔστι δὲ ὁ τόπος ὁ μεταξὺ τοῦ ὀσχέου, καὶ τῆς ἕδρας ἔνθα τῆς κύστεως ὁ τράχηλος.

περιξύσας, ἐν κύκλῳ περιαμύξας.

περιποδίην, τὴν ἐν κύκλῳ ὑπὸ πόδας οὖσαν καὶ κάτω.

περιῤῥῶδες, περικεκλασμένον ἐφ' ἑκάτερα.

περιῶσαι, μελαίνουσαι, πελιδνοῦσαι.

περόνην, ποτὲ μὲν ὅσον ὅλον κῶλον, ποτὲ δὲ ἐπίφυσιν ὀστοῦ, ποτὲ δὲ τὴν φύσεως ἐπανάστασιν.

περσύας, ὁ περισμὸς οἶνος, οἷον περισύας τις ὤν, ὡς καὶ αὐτίτην ὀνομάζει τὸν αὐτοετίτην.

πήρινα, τὸν περίναιον. ἐν δὲ τῷ περὶ αἱμοῤῥοΐδων καὶ συρίγγων, καὶ τὴν ἕδραν λέγειν δοκεῖ.

πιέστρῳ, τῷ ἐμβρυοθλάστῃ καλουμένῳ.

πικέριον, βούτυρον.

πιτυΐδι, πιτυΐνῃ ῥιτίνῃ.

πιτύλοις, εἰρεσίαις ἢ κώπαις.

πλαταμὼν, ἔφαλος πέτρα λεία, ταπεινὴ, περὶ ἣν πλατύνεται τὰ κύματα.

πλεκτανέων, πλεγμάτων, ἀπαρτημάτων περιπλεκ-

πλεννεραὶ, μυξώδεις, καὶ πλέννα ἡ μύξα. (τικῶν.

πλευμοῖ, πλευμώδη γίνεται, ἢ φθίνει.

πλεύμος, φθόη, ἢ τὸ πλευμῶδες πάθος.

πλήμην, τροχοῦ χοινικίδα.

πλήστιγγας, νάρθηκας, παρὰ τὸ πλήσσειν.

πνευματώδης, ὅ, τε ἐμπεφυσημένος καὶ ὁ δύσπνους. λέγει γοῦν πολλάκις καὶ αὐτὴν τὴν δύσπνοιαν πνεῦμα.

ποίη, τὰ πρωτογάλακτα τὰ ἐξ ἑαυτῶν πηγνύμενα.

ποίην τὴν ἔχουσαν τὸ φύλλον ὅμοιον οἰνάρῳ τὴν φύσιν, ὡς τὸ τῆς κισσαμπέλου καλουμένης εἶδος.

πολυγράω, πολυφάγω, καὶ γόνος αἰγυπίων ἔγρασε κηδέμονα. Καλλίμαχος, ἀντὶ τοῦ κατέφαγε

πολύκαρπον, τὸ κραταιόγονον ὀνομαζόμενον.

πομφοὶ, ἐπαναστάσεις τοῦ δέρματος, ὀχθώδεις τε ἅμα καὶ πλαδαραὶ, καὶ ἐνερευθεῖς.

πόσῳ, ὀλίγῳ.

ποταίνια, τὰ πρόσφατα οἱ δωριεῖς.

πότι, πότε. πρὸς, πρόσδε.

πράμνιος οἶνος τίς οὕτως ὀνομάζεται μέλας καὶ αὐστηρός.

πρηὺς, τὸ πρὸς τὴν γῆν νενευκός.

πρήσμα, ἐμφύσημα, καὶ πρήσιος τῆς ἐμφυσήσεως, καὶ

πρησικώτατον, τὸ ἐμφυσητικώτατον.

προαυξέας, νόσους τινὰς οὕτως ὀνομάζει, τὰς τοῖς προβεβηκόσι κατὰ τὴν ἡλικίαν γινομένας, ὅτι καὶ αὐτοὺς οὕτως ἐνίοτε καλεῖ τοὺς προβεβηκότας.

πρόκα, ἐξαίφνης.

προκώνια, τὰ ἐκ τῶν νέων κριθῶν ἄλφιτα, τινὲς δὲ τὰ ἐκ τῶν ἀφρύκτων μόνα.

† προκίδι μαχαιριδίῳ, τῷ φλεβοτόμῳ. † περιμήκει

προμυλλαίνει, προπέπτωκε, προέχει εἰς τοὔμπροσθεν.

προμυλλήνας, προτείνας ἔξω τὰ χείλη.

προσέχει ἡ νοῦσος, ἀντὶ τοῦ παραμένει, ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.

προτρέπεσθαι, μεταβάλλειν.

προσωδέστερον, δυσωδέστερον ἄνευ τοῦ ι. τὸ δὲ μετὰ τοῦ ι προσῳδεστέρου, παρὰ τὸ οἴδημα γεγονὸς τὸ ὀγκωδέστερον δηλοῖ, ὡς ἐν δευτέρῳ περὶ νούσων τῷ μεί

προτιθέμενοι, προτείνοντες. (ζονι.

πρόφυσιν, βλάστημα.

πυθμενόθεν, οὐδὲ ὅλως. γέγονε δὲ τοὔνομα παρὰ τὰ πυθμένα τῶν ἀγγείων, ὡσεὶ καὶ ὁλοκλήρως ἔλεγεν, ἢ τελέως, ἢ παντάπασιν, ἢ ἐξ ἀρχῆς, ἢ παντελῶς.

πυρίας, τοὺς διαπύρους κόλλακας, ἢ θρύμματα διακαῆ ἀπὸ σκωρίας σιδήρου.

πυρήνας, τοὺς χόνδρους. εἴρηται δὲ ἐπὶ λιβανωτοῦ.

πυρὸς ἀγρίου, τοῦ ἐρυσιπέλατος.

Ρ

Ραγεῖσα, δηλοῖ ποτὲ καὶ τὸ ἀθρόως ὁρμήσασα, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι, καὶ ἡ αἱμοῤῥαγία αὕτη παρὰ τοῦτο σύγκειται.

ῥαιβοειδέα, καμπύλον.

ῥᾷον, ἑτοιμότερον καὶ εὐχερέστερον. ἔνιοι μέντοι τὸ εὐφορώτερον ἤκουσαν.

ῥαφίῳ, τῷ κεντηρίῳ ᾧ διακεντοῦντες οἱ τεχνῖται τῶν ἱστῶν ἐπιτηδείους ὀπὰς τῇ τοῦ λίνου διέρσει παρασκευάζουσι.

ῥέγξειν, καὶ ῥέγκος, ὀνοματοπεποίηται παρὰ τὸν γινόμενον ψόφον, ὥσπερ καὶ τὸ ῥέγκειν.

ῥέμβει, πλανᾶται.

ῥέμβην, πλάνην, καί τινα ἄλλα, παρὰ τὸ ῥέμβεσθαι.

ῥηγεῦσι, σχίσμασι, ῥήγμασι.

ῥημέσιν, ἄρνασι.

ῥίνεσιν, ἀρνίοις.

ῥηνίκας, ἀρνακίδας. ῥηνὸς, ἀρνός.

ῥηχίησι, οἷον πλημμυρεῖ. καὶ γὰρ καὶ ἡ ῥηχίη οἷον πλημμύρα τίς ἐστιν.

ῥίζα, οὕτως καλεῖται βοτάνιόν τι ἄκαυλον καὶ ἄνανθες καὶ ἄκαρπον, ἔχον τρία φύλλα ἢ πάντα, προμήκη ἐπὶ τῆς γῆς κείμενα, δυοῖν δακτύλοιν τὸ μέγεθος, ἐοικότα τοῖς τῆς ἀγχούσης, ῥίζαν δὲ λεπτὴν ἄνωθεν καθαίρουσαν.

ῥίζαν λευκὴν, τὴν τοῦ δρακοντίου.

ῥικνὸν, ῥυσόν. ῥοικὰ, καμπύλα.

ῥόμματος, ῥοφήματος, ἢ ῥοφήσεως.

ῥόα, τὰ ἐκ τῆς συκαμίνου τὰ μόρα τὰ ἄωρα ξηρανθέντα καὶ κοπέντα τοῖς ὄψοις ἐπιπάττεται, καθάπερ καὶ ὁ κυρίως ὀνομαζόμενος ῥοῦς, ὡς καὶ ὁ Διοσκουρίδης ἐν τῷ πρώτῳ περὶ ὕλης λέγει.

ῥόπτων, ῥοφημάτων, ἢ πάντων τῶν ὁπωσοῦν ῥοφουμένων.

ῥύματα, παρὰ τὸ ῥύεσθαι τὰ βοηθήματα. (νων.

ξοσματίης, ὁ ἐῤῥωγός τι τῶν ἐντὸς ἔχων, ὃν δὴ καὶ ῥηγματίαν ὀνομάζει.

Σ

Σαράπους, ἡ διεστηρότας καὶ διεστῶτας ἔχουσα τοὺς δακτύλους τῶν ποδῶν.

σαρκάζειν, κυρίως μὲν τὸ διὰ τῶν χειλῶν δήξεως χλευάζειν. ὁ δὲ Ἱπποκράτης, καὶ τὸ ἄκροις τοῖς χείλεσι συναγομένοις ἀποτίλλειν τι.

σατυρισμοί, οἱ περὶ τὰ ὦτα παραμήκεις ὄγκοι τῶν ἀδένων. ἔνιοι δὲ τὰς τῶν αἰδοίων ἐντάσεις ἤκουσαν.

σαυρίδιον, ἡ καρδαμὶς βοτάνη ἀπὸ τῆς κατὰ τὸ σχῆμα ὁμοιότητος. ἡ αὐτὴ καὶ κάρδαμον ὀνομάζεται.

σελάχεσιν, οὕτως καλεῖται ὅσα ἰχθύων λεπίδας οὐκ ἔχει καὶ ζωοτοκεῖ.

σεσηρὸς, τὸ ἐκτετραμμένον καὶ διεστηκὸς ἐπὶ πλεῖστον τοῖς χείλεσιν, ὅπερ καὶ ἐκπεπληγμένον ὀνομάζεται.

σηριγγώδη, χαῦνα, ἀραιὰ, πολλοῖς τρήμασι διῃρημένα. ταῦτα τὰ τρήματα σήριγγές τε καὶ σήραγγες ὀνομάζονται, καὶ τὸ τοιοῦτον σῶμα σηριγγῶδές τε καὶ σηραγγῶδες.

σησαμὶς, τῆς σησαμίδος ὀνομαζομένης.

σητανίου, περὶ ἐκ τοῦ ἐνεστηκότος ἔτους πυροῦ, τουτέστι περὶ κατὰ τὸ ἔαρ ἐσπαρμένου.

σητανώδεα, ἤτοι ἐκ τῶν σητανίων πυρῶν, ἢ διασεσησμένων καὶ λεπτῶν ἀλεύρων, τουτέστι καθαρῶν.

σιάλου λαιδὸς, καὶ σιάλου αἰγὸς, τοῦ λιπαροῦ.

σιαλώδεα, λιπαρὰ πίονα.

σιδιοειδέες, ὠχρὰς ὡς σίδιον.

σικύην ἄτμητον, κολοκυνθίδα ἀδιαίρετον.

σικυώνην, τέτταρα σημαίνει παρ' αὐτῷ. τὴν κολοκυνθίδα, τὴν ἀπιοειδῆ κολοκύνθην, τὴν ἰατρικὴν σικύαν, τὴν ἀπύθμενον, καὶ κωνοειδῆ σικύαν.

σικυώνης σπόγγον, κολοκυνθίδος τὸ ἔνδον.

σιπύδα, πυξίδα. δηλοῖ δὲ ἄλλως τοὔνομα, καὶ κεραμεοῦν τι σκεῦος εἰς ὃ ἄλφιτον ἐμβάλλεται.

σινόμωρα, τὰ κακοήθη.

σιραίῳ, τῷ γλυκεῖ ἑψήματι.

σικανὸς, πονήρευμα ἐνεδρευτικὸν, αἴτιον κεκρυμμένον.

σκαφίδα, ἀττικοὶ μὲν τὴν ποιμενικὴν σκάφην, καθώς που λέγουσι, γαυλοί τε σκαφίδες τε τετυγμένα τοῖσιν ἄμελγεν. Ἱπποκράτης δὲ τὴν θαλασσίαν κόγχην τὴν παραμηκεστέραν, ἣν οἱ πολλοὶ μύακα προσαγορεύουσι.

σκέθρη, ἀκριβεῖ.

σκολιφρὸς, ξηρὸς, προσεσταλμένος.

σκεπαρνηδὸν, ἐκκεκλασμένως. καὶ γὰρ ὁ σκέπαρνος αὐτὸς ἐπίδεσμος, ἀπὸ τῶν τεκτονικῶν ὠνομάσθαι σκεπάρνων δοκεῖ.

σκῆμψις, ἀπόσκημψις ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν.

σκιαυγεῖ, ἀμβλυώττει.

σκιμπτέσθω, κατακλεισθω.

σκίμφθη, δύο δηλοῖ παρ' αὐτῷ, τό, τε διῃρέθη καὶ τὸ ἐμπελάσθη.

σκηλήματι, σκελετείᾳ, συμπτώσει.

σκληρὰ, κατεσκληκότα, καὶ τὰ ἀπ' αὐτοῦ πάντα κατὰ τὸν αὐτὸν λόγον.

σκληρυνῆ, σκελετευθῇ. καὶ σκληρύνεται σκελετεύεται.

σκορδινᾶσθαι, διατείνεσθαι καὶ μάλιστα μετὰ χάσμης.

σκύρος, πῶρος, καὶ σκυρωθῶσι, πωρωθῶσι.

σκύμψαι, τύψαι, καταξάσαι, διελεῖν.

σκύτα, τὰ περὶ τὴν σκυταλίδα τοῦ αὐχένος.

σμηκτίδα γῆν, τὴν κιμωλίαν.

σμωδίκου, μωλωπικοῦ, τοῦ πρὸς τὰς σμώδικας, ὅπερ ἐστὶ μώλωπας ἁρμόζοντος.

σπάδων, σπάσμα, θηλυκὸν τοὔνομα.

σπαργᾷ, ὀργᾷ.

σπατίλη, τὸ ὑγρὸν διαχώρημα.

σπέρμα, δηλοῖ καὶ τὸν καρπόν.

σπερχνὴ, ἐπείγουσα, συνεχής.

σπόγγοι, οἱ περὶ τὴν φάρυγγα ἀδένες, ὡς ἐν τῷ τετάρτῳ τῶν ἐπιδημιῶν.

σποδίτῃ ἄρτῳ, τῷ ἐγκρυφίᾳ καλουμένῳ.

σποράδες, διάφοροι οὐχ ὁμογενεῖς, ἄλλαι ἄλλαις συμβαίνουσαι.

σταδιεὺς, Διοσκουρίδης φησὶ σταδίοις ἀναμετρῶν τὸν περίπατον.

σταλαγμοῦ, κατασταξεως ἀπὸ τῆς κεφαλῆς.

στέαρ ἡδυντὸν, τὸ ἐν ἀρώματι καὶ ὕδατι ἑψηθέν.

στεῖλαι, ἐπικαλύψαι, ἐπιχρίσαι.

στενυγρῶσαι, στενῶσαι. τινὲς δὲ περὶ συναγαγεῖν τῶν ὑγρῶν τὰς διεξόδους καὶ ξηρᾶναι.

στηθοειδεῖ, μαχαιρίῳ τῷ σμιλίῳ.

στητώδεες, στεατώδεες.

στίον, ψηφὶς, λίθος. στίαι γὰρ αἱ παρὰ τῇ θαλάσσῃ ψηφῖδες. καὶ στιώδεες ἐντεῦθεν τὸ σκληρόν.

στίφραι, ξηραὶ, προσεσταλμέναι.

στοίβης καρπὸν, τὸ ἱππόφεως σπέρμα.

στολιδωδέστερον, ῥυσσώτερον.

στομάργου, ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὁ Διοσκουρίδης οὕτως γράφει, καὶ δηλοῦσθαι φησὶ τοῦ λαλοῦντος μανικῶς. οἱ δὲ ἄλλοι στυμάργου γράφουσι, καὶ ὄνομα κύριον ἀκούουσι.

στόμβον, βαρύηχον, βαρύφθογγον.

στρεβλοὶ, οὓς καὶ στραβοὺς ὀνομάζουσι.

στρέφει, στρόφον παρέχει.

στρέφεται, τὸ οἷον ἐνοικεῖ, ἐν τῷ περὶ ἀέρων καὶ τόπων καὶ ὑδάτων.

στρογγύλον μῆλον, τὴν σπαθομήλην.

στρογγύλου, τοῦ μαρτιδανοῦ. αὐτὸς γὰρ οὕτως γράφει καὶ τὸ ἰνδικὸν, ὃ καλοῦσι πέρσαι πέπερι. ἐν τούτῳ δὲ ἐστὶ τι στρογγύλον ὃ καλοῦσι μυρτίδανον.

στρυβλὴν, στρεπτόν τι ἐν τῷ περὶ αἱμοῤῥοΐδων καὶ συρίγγων.

στρυμάργου, οἶδε καὶ ταύτην τὴν γραφὴν ὁ Διοσκουρίδης οὐ μόνον τὴν στομάργου, ἀλλὰ καὶ τοῦτο οὐχ ὡς κύριον ὄνομα ἐξηγεῖται, ἀλλὰ τὸν μανικῶς ἐπτοημένον περὶ τὰ ἀφροδίσια δηλοῦσθαι φησίν. εἰρῆσθαι γὰρ παρὰ τῷ Ἱπποκράτει καὶ ἄλλα πολλὰ κατὰ τὸν αὐτὸν τρόπον ἐπίθετα, καθάπερ μυοχάνη, σαράπους, γρυπαλώπηξ. ἀλλὰ καὶ παρ' Ἐρασιστράτῳ φησὶν ὁ ῥινοκόλουρος.

συπηρίη χαλκῖτις, ἣν ἁπλῶς οὕτως ὀνομάζομεν χαλκῖτιν.

συγκομιστοὶ, ῥυπαροὶ, διὰ τὸ πάντα ἅμα τὰ ἄλευρα συγκομίζεσθαι καὶ μὴ διακρίνεσθαι.

σῦκα, ἐπαναστάσεις σαρκώδεις ἐν τοῖς τῶν βλεφάρων γινόμεναι.

συκίον, τὸ τῶν ἰσχάδων ἀφέψημα.
συκῆς, ἐν πρώτῳ τῶν γυναικείων καὶ πυρίαν συκῆς ἀπὸ ῥίζης. ἐν ἴσῳ τῷ συκύας, τουτέστι συκαμίνου, ὅπερ ἐστορῶθαι ὥσπερ ἐξηγούμενος φησὶ μορέου ῥίζης.
συλλοχίας, ἀθροίσματα. ἡ μεταφορὰ ἀπὸ τῶν λόχων συνειλεγμένων.
σύναγμα, ἤτοι ἐπίπαγός τις, ἢ ἐναιώρημα, ἢ ὑπόστασις, ἢ πῶρος, καὶ ἀμφὶ ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν λέγεται.
συναειθμοῦται, συναρμόζεται.
σύνδεσις, δηλοῦται ποτὲ καὶ ἡ οἷον πυκνότης καὶ σφίγξις.
συνδεαίνεται, συνδιπλοῦται.
συνεκχυμοῦν, συμμιγνύειν καὶ κατακεραννῦναι τοῖς ὑγιαίνουσι χυμοῖς.
συνόρξει, τῇ οἷον συγκλήσει.
συνηρεφὲς, ἐπικεκαλυμμένον, συνεσκιασμένον.
συνηρορόμενα, συνηρμοσμένα, ὡς κἀν τῷ μοχλικῷ.
συνιωώμενα, τὰ συνιόντα.
συρμαῖα, ἡ μετρίως τὴν περὶ τὴν γαστέρα κάθαρσις.
σύσταθμον, ἰσόσταθμον.
συστροφὰς, φύματα σκληρίας.
σφαδάζει, δυσφορεῖ.
σφάκελος, φθορὰ πᾶσα καθ᾽ ὃν ἂν γίγνηται τρόπον. οἶδα δὲ ὅτι καὶ περὶ τούτου διὰ πλειόνων ἡμῖν ἀποδέδεικται.
σφάκερος, ἐν τοῖς προσκειμένοις τοῖς περὶ τῶν ἐν τῇ κεφαλῇ τρωμάτων. κεφαλαλγὲς δὲ καὶ σφάκερος ἦν ἤ, κρόμμυα πολέμιον. ἐν δὲ τοῖς πλείστοις ἄντικρυς σφάλαρος γράφεται.
σφενδόνην, ἐν μὲν τῷ περὶ ἄρθρων, τὸν ἀπὸ τῆς τοὺς λίθους βαλλούσης σφενδόνης ὠνομασμένον εἰς ἀνάληψιν κώλου χρήσιμον. ἐν δὲ τῷ περὶ ἀφόρων τὸν καλούμενον φύλακα. δηλοῖ δὲ καὶ τὸ γυναικεῖον περίσφυρον, ἄλλα τε τούτῳ παραπλήσια.
σπυράδες, τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα.
σχάσαι, βία σημαίνει, ἀμύξαι, ἐκκρίναι, χαλάσαι.
σχεδιάδα, τὴν ἄγχουσαν. λέγεται γὰρ καὶ οὕτως.
σχέσει, τῇ συνοχῇ ἐν περισχέσει καὶ σχέσει, καὶ ἐπιδέσει καὶ πιέξει. ὅταν δὲ εἴπῃ, διαφέρει μέντοι τι καὶ σχέσει σώματος, τὴν οἷον ἕξιν δηλοῖ.
σχινδυλήσει, σχήματι καλάμου. οὕτως δὲ δοκεῖ καὶ ὁ σκινδαλμὸς εἰρῆσθαι παρὰ τὸ ἐσχίσθαι.
σχῖνον, οὐ μόνον τὸ θαμνῶδες φυτὸν, ἀλλὰ καὶ εἶδος τι σκίλλης, εἰ μὴ ἄρα καὶ πάσης σκίλλης τὸν βολβόν.
σχοῖνον, ἡδύοσμον, τὴν ἀρωματικὴν σχοῖνον.

T

Ταμισον, πυτίαν.
τέγγειν, διαβρέχειν.
τελεῖν, ἀναλίσκειν, ὡς ἐν τῷ περὶ παθῶν λέγεται.
τέλον, τέλος καὶ ἔσχατον.
τερμίνθοι, οἱ τῷ τῆς τερμίνθου καρπῷ παραπλήσιοι, κατὰ τὸ δέρμα συνιστάμενοι παρὰ φύσιν ὄγκοι.
τέρθρον, κυρίως μὲν οὕτως ὀνομάζεται τὸ ἄκρον τῆς κεραίας, καὶ τέθειοι οἱ κάλοι, ἐντεῦθεν ἤδη τὰ ἄκρα τοῦ ἱστίου παρήκοντες. ὁ δ᾽ Ἱπποκράτης ἐν τῷ δευτέρῳ τῶν γυναικείων, ἐπὴν ἐνθάδε φησὶ τὸ τέρθρον ᾖ τοῦ πάθεος. ἐν ἴσῳ τῷ, τὸ ἄκρον καὶ ἀνώτατον καὶ ἐπιμελείας μάλιστα δεόμενον.
τετάρσονται, πεπλάτυνται. ταρσὸς γὰρ πᾶν τὸ πεπλατυσμένον.
τετράγωνα βέλη, τὰ τέσσαρας ἔχοντα γλωχῖνας.
†τετραγώνῳ, τινὲς μὲν ταῖς εὑρισκομέναις μετὰ τὸ σίμμι πλαξί, τινὲς δὲ αὐτὸ τὸ σίμμι. †τετραμμώνῳ
τετραμένα, τρέμει. τετρομὸς, τρόμος ῥιγώδης.
τέως, τὸ ἕως, καὶ τὸ τηνικαῦτα, καὶ τὸ πρότερον.
τηλέφιον, εἶδος βοτάνης ὅπερ καὶ ἀείζωον ἄγριον, καὶ ἀνδράχνην ἀγρίαν ὀνομάζουσι, ῥωμαῖοι δὲ ἰλεκέβραν.
τὴν ἐν τῷ ἀλεύρῳ βοτάνην ῥοφέονται, τὴν λινόζωσιν ἔοικε λέγειν, ἐπειδὴ καὶ ἀλλαχοῦ ἔφη, ῥοφήσαντα δὲ λινόζωσιν.
τομεῖον τομεὺς, καλεῖται σιδηροῦν ἐργαλεῖον δίχειλον, ᾧ οἱ χαλκεῖς πρός ἄλλα τέ τινα καὶ πρὸς τὸ ἀνακόπτειν καὶ μοχλεῦσαι ἥλους χρῶνται.
τορεύματα, βέλη. τορνεύματα, ξύσματα.
τροφὴς, εὔτροφος, παχύς.
τροφαλίδες, ἔχον ἐμφερόμενά τινα πεπηγότα, παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι.
τροχοὶ, δρόμοι.
τρυχνοῦν, καταπονεῖν, ἰσχναίνειν.
τρώειν, τιτρώσκειν, ἀποχάζειν, ὡς ἐν τῷ δευτέρῳ τῶν γυναικείων.
τρωθῇ, βλαβῇ, κακωθῇ. καὶ τρῶμα, ἡ βλάβη.
τρώσκεσθαι, ἐκτιτρώσκειν.
τρωκτοῖσιν, ὠμοῖς ἐσθιομένοις.
τύρσιν, πύργον καὶ μάλιστα τὸν ἐν τοῖς τείχεσι.
τυφλώδης, ἐνεὸς †καθεζόμενος. †καθεζόμενος
τυφωμανίη, μικτὸν ἐκ φρενίτιδος καὶ ληθάργου πάθημα.

Y

Υβοὶ, κυρτοὶ, καὶ ὕβωμα, τὸ κύρτωμα.
ὑδαταινούσῃσιν, ὑδερώδεσιν ἢ ἐξυδατούσαις τὸ αἷμα, καὶ ὑδατώδη καθαιρομέναις.
ὑδατόχλοα, ὡσεὶ καὶ ὑδατόχλωρα ἔλεγε.
ὑδατώδεας, ὑδρωπικάς.
ὕδριον, ἡ μικρὰ ὑδρία ὑποκοριστικῶς.
ὕδρωψ. Διοσκουρίδης ἐν δευτέρῳ τῶν ἐπιδημιῶν ὀξύτονον ἀναγινώσκει, καὶ δηλοῦσθαι φησὶ τὸν ὑδροποειδῆ.
ὑπάλειπτρον, ἐλασμάτιον ᾧ ἄν τις ὑπαλείψαιτο τοὺς ὀφθαλμούς.
ὑπάλειπτον, ἔγχριστον φάρμακον.
ὑπεζύγωται, ὑπέζευκται.
ὑπιλληθέωσιν, ὑποσυστραφῶσιν.
ὑπέρινος, ὁ ὑπερκεκαθαρμένος ἄνθρωπος, καὶ αὕτη ὑπερίνησις. οὕτως γοῦν ἐξηγοῦνται τινὲς, καὶ τὸ ὑπέρινος ἰσχναίνει. δοκεῖ δὲ καὶ τὸ μακρόπνους καὶ τὸ βραχύπνους διχῶς ὡσαύτως λέγεσθαι.
ὑπερτονεῖ, ὑπερτείνεται.
ὑπερυδρὸν, ἄγαν πλήρη τοῦ παρακεχυμένου ὕδατος.
ὑπερχολήσει, πολλῆς πληρώσει χολῆς.
ὑπερψύχθη, μετρίως ὑπανῆλθε τῆς πυρεκτικῆς θερμότητος.
ὑπνοῦσα, ὑπνωτικῶς ἔχουσα, ὕπνῳ κοιμωμένη.
ὑπολείβεται, ὑποστάζει, ὑπορρεῖ.
ὕπομβρον, ὕφυγρον, ὑπόπυον.
ὑπομύσαρα, δυσώδη καὶ ἄξια τοῦ μυσάττεσθαι.
ὑπονηχομένη, ὑποκολυμβήσασα, ὑπελθοῦσα.
ὑπόξηρα, ὑπόκοιλα, ταπεινότερα.

ὑπόξυρος, γρυπὸς τὴν ῥῖνα, διὰ τὸ ταπεινότερα τὰ περιξ εἶναι τοῦ ὑψώματος.

ὑποξύρους, ταπεινοτέρας, προσεσταλμένας. εἴρηται δὲ περὶ γαστέρων ἐν τῷ μείζονι προῤῥητικῷ.

ὑπόσφαγμα, ὅλου τοῦ μέλανος τῆς σηπίας τὸ οἷον ὑπότρυγον.

ὑποστροφὴ, οὐ μόνον ἡ ὑποστροφὴ, ἀλλὰ καὶ ἡ ἐναλλὰξ μεταβολὴ, ὥσπερ ὅταν εἴπῃ, κωματώδης ἐν ὑποστροφῇ.

ὑποψέφαρα, ζοφοειδῆ, ὑπομέλανα. (πῶς.

ὑποψάφαρα, τραχύτερα. τὸ γὰρ ψαφαρὸν ἔγκειται τῷ ὀνόματι.

ὑπωμίη, τὸ ὑποκείμενον ἂν οὕτω λέγοιτο, ἤτοι τῇ ἐπωμίδι, ἢ καὶ τῷ ὤμῳ.

ὑφύδρους, τοὺς ὑδεριῶντας.

Φ

Φαγεδαίνῃ, ἕλκει ἀναβιβρωσκομένῳ. φαίνηται, σημαίνει καὶ τὸ διαφανὲς ἐν τῷ πυρὶ γίνηται, ὡς ἐν τῷ δευτέρῳ τῶν γυναικείων.

φαλαρὰ, τὰ στρογγύλα μετὰ λειότητος.

φαρκιδῶδες, ῥυτιδῶδες.

φαύσιγγες, κυρίως μὲν οἱ ἀπὸ τοῦ πυρὸς ἐν ταῖς κνήμαις ἐπανιστάμενοι κύκλοι ἐρυθροί. καταχρηστικῶς δὲ καὶ οἱ λοιποί.

φέρβεται, βιβρώσκει, καταναλίσκει.

φήρεα, αἱ περιμήκεις ὑπὸ τὰ ὦτα ἀδενώδεις ἐξοχαὶ, οἵας καὶ οἱ σάτυροι ἔχουσιν. ἔνιοι δὲ καὶ φῆρες καὶ θῆρες καλοῦνται, ἵν᾽ ᾖ οἷον θηριακῶς εἰρημένον.

φθίνει, δηλοῖ, συντήκεται, ἰσχναίνεται, μειοῦται, ἀτροφεῖ.

φθόεις, τροχίσκους.

φιάρὴν, λαμπρὸν ὑπὸ ὑγρότητος.

φιβάλιος, εἶδος συκῆς.

φιλεταίρειος, ἣν καὶ ἀπαρίνην ὀνομάζουσι.

φιλίσιον, τὸ αὐτὸ καὶ τοῦτο ἔοικεν εἶναι τῇ ἀπαρίνῃ καὶ φιλεταιρίῳ.

φλάζουσιν, ἀσαφῶς καὶ ἀδιαρθρώτως φθέγγονται, πεποίηται τοὔνομα.

φλεβοτομίαν, οὐ μόνον τὴν συνήθως τοῦτο, ἀλλὰ καὶ τὴν ἄλλην ὁπωσοῦν διῃρημένην τῶν φλεβῶν κένωσιν τοῦ αἵματος, καὶ τὸ φλεβοτομηθῆναι ὡσαύτως.

φλέγμα, οὐ μόνον τὸν χυμὸν τοῦτον τὸν λευκὸν καὶ ψυχρὸν, ἀλλὰ καὶ τὴν φλόγωσιν δηλοῖ.

φλέγυρον, πυρῶδες, τὸ οἷον φλέγον.

φλεδονώδεα, φλύαρον. φλεδόνες γὰρ αἱ φλυαρίαι.

φλέω, φλογμῶδές τι ἐστι τοῦτο καὶ παμπυρῶδες φυτὸν, ὅπερ καὶ πλεκόμενον περιτίθεται τοῖς ἐλαικροῖς κεραμίοις.

φληνύουσα, φλυαροῦσα.

φληναφώδεις, φλύαροι.

φλίας, ξύλα ὀρθὰ καταντικρὺ πεπηγότα, καθάπερ καὶ αἱ τῶν θυρῶν φλιαί. φλεγναὶ, ἐρυθραί.

†φλογιᾷ, πυροῦται μετὰ ἐρυθήματος. [margin: †φλογεῖται]

φλυδᾷ, ὑγραίνεται, μυδᾷ.

φλυδαρὴν, ὑγράν. φλυέει, ὑγραίνεται.

φλυζούσῃσι, βλυούσαις. φλυζάκια, ψυδράκια.

φλύσιος, ἐξανθήσεως τῆς ὑπὸ πλεονεξίας γινομένης τοῦ περὶ τὸ σῶμα ὑγροῦ.

φοινίκινος ἀπὸ τοῦ χρώματος οὕτως εἰρῆσθαι, τὴν ἐλεφαντίασιν ὑπονοήσειεν ἄν τις.

φοινικίη, νόσος ἡ περὶ φοινίκην, καὶ κατὰ τὰ ἄλλα ἀνα-

τολι,

τολικὰ μέρη πλεονάζουσα. δηλοῦσθαι δὲ κἀνταῦθα δοκεῖ ἡ ἐλεφαντίασις

φολλικώδεα, τὰ οἷον † θυλακώδεα καὶ σομφά. [margin: †λκλυ κώδεα]

φονᾷ, φονεῦσαι ἐπιθυμεῖ.

φορίνη, δέρμα. φόρος, εὐσύλληπτος.

φορύξαντες, φυράσαντες.

φύλλα, τὰ κηπώδη καὶ βοτανώδη χλωρὰ ἡδύσματα.

φύλλια, ἡδύσματα κηπαῖα, ἃ τοῖς ὠνουμένοις τὰ λάχανα προσεπιδιδόασιν, οἷον κορίαννον, ἡδύοσμον, πήγανον, σέλινον.

φύλλια, τὸ τοῦ σιλφίου σπέρμα διὰ τὸ πλατὺ εἶναι, ἐν τῷ δευτέρῳ τῶν γυναικείων. προστίθησι δὲ καὶ αὐτὸς ἐν τῷ λόγῳ ποτὲ μὲν λιβυκὸν, ποτὲ δὲ αἰθιοπικόν.

φύσιγγα, τὸ καλούμενον ἐκκαύλημα, καὶ μάλιστα τὸ κρομμύου.

φυταλιὴ, ὁ τοῦ φυτεύειν καιρός. (λον.

φυτευτηρίων, τῶν εἰς τὴν γῆν φυτευομένων ξύλων.

φωΐδες, αἱ φαύσιγγες ὑπὲρ ὧν εἴρηται.

φωνὴ περιπνευμονικὴ, ἡ κερχνώδης.

Χ

Χαλκῖτις συνθεῖν, ἴσον τῷ χαλκῖτιδι.

χαραδρωθέωσι, δίκρουν ἔχωσιν.

χαράκτωρι, ὠξυσμένῳ ὑπὸ τοῦ χαρακτῆρος.

χάσκων, πεοιαπῶν ὁ Διοσκουρίδης ἀναγινώσκει, καί φησιν οὕτως εἰρῆσθαι τὰς μήτρας διὰ τὸ ἀναστομοῦσθαι.

χειμὴ, ψῦχος, ῥῖγος.

χειμῶσα, ψυχομένη, ῥιγῶσα.

χελίσκιον ξηρόν. ὑποκοριστικῶς εἴρηται τὸ χελίσκιον τὸ βραχὺ βηχίον, ξηρὸν δὲ οὖσιν, ὅταν μηδὲν ὑγρότητος ἀναχρεμπτομένης εἰς τὸ στόμα παραγίνεται.

χαραδέως, ἀθρόως, γέγονε δὲ ἀπὸ χαράδρας.

χῆς, καταχέας.

χηλὴν, μήλην δίκρουν περὶ τὸ ἄκρον ἐκτετμημένην ἐμφερῶς χηλῇ.

χήλωμα, τὴν διχηλῆ γλυφίδα τοῦ βέλους, ᾗ προσιθέασιν ἐν τῷ τοξεύειν τῇ νευρᾷ τὸ βέλος.

χήμην χηραμίδα, τὴν κοιλοτέραν κόγχην καὶ μείζονα.

χλοηροῖσι, λαχανοῖς τοῖς κηπαίοις ἡδύσμασι.

χλοιοῦνται, ὡσεὶ καὶ χλωραίνονται ἔλεγε.

χλοῦς, ἡ χλωρότης. χλοῶδες, χλωρόν.

χλώρασμα, χλωρότης λαμπρὸν διαυγουμένη, καὶ ἐπὶ τὸ ὑδαρῶδες ῥέπουσα.

χολήϊον, χολῆς ἀγωγόν.

χυτλάζηται, ὡσεὶ καὶ κλύζηται ἔλεγε.

χυτριδέαν, χύτραν. χυτρίδεον, χύτραν.

χύτρινον, χύτραν.

χωλεύσειεν, ἀνάπηρον κατά τι τῶν ἄρθρων ποιήσειεν.

Ψ

Ψάδας, εἶδος τι μύρου.

ψαίρειν, ἐνήχεσθαι, προσψαύειν.

ψαιστὴν μάζαν, τὴν ἐν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην, ὅτι καὶ τὰ ψαιστὰ οὕτως δεύεται.

ψαφαρὸν, ψαθυρόν. (τος.

ψέφαρα, ψοφοειδῆ μελανειδοῦντα. ψέφος γὰρ τὸ σκότος.

ψόφου καθαπτόμενοι, ψόφου ῥᾳδίως αἰσθανόμενοι, καὶ μέντοι καὶ πτοούμενοι ὡσεὶ καὶ ψοφώδεις ἔλεγεν.

Ω

Ωδεῖ ὑπὲρ τοῦ κακοῦ. Αρκεσιλάῳ δὲ καὶ κακὸν ὤδει, δηλονότι χωρὶς τοῦ ι γράφεται, οὐχ ὡς τὸ μετὰ

καὶ τὸ

αὐτὸ σὺν τῷ ι.
ὠδεῖ, οἰδαίνει. δῆλον δὲ ὡς σὺν τῷ ι ἄνευ γράφεται, ὅτι καὶ τὸ οἰδεῖν.
ὠμήλυσιν, τὰ ἀπὸ τῶν ἀφρύκτων κριθῶν ἄλφιτά τε καὶ ἄλευρα. τὸ γὰρ οἷον ὠμὸν ἄλευρον κυρίως φασὶν ὠμήλυσιν ὀνομάζεσθαι, καταχρηστικώτερον δὲ καὶ τὸ ἄλλο πᾶν ἄλευρον.
ὠρεόντων, φροντιζόντων, ὅτι καὶ ἡ φροντὶς ὤρα.
ὦρσυ, ἐνιαυτῷ. ὦρσαν, ὥρμησαν.
ὠτειλὰς οὐ μόνον τὰς οὐλάς, ἀλλὰ καὶ τὰ ἕλκη.
ὠχετεῦται, ἐκρύσεις καὶ διεξόδους κέκτηται.

τέλος.

CL. GALENI PERGAMENI
DE OSSIBVS AD TYRONES.
FERDINANDO BALAMIO SICVLO INTERP.

EX OSSIBVS ſingula per ſe qualia ſint, tum quam inuicem ſtucturam habeant, nota (ut arbitror) medico eſſe debent, ſi recte ea, quum uel franguntur, uel ſua ſede dimouentur, curaturus eſt: quo fit, ut in omnibus quæ ad medicinam pertinent, perſpicuũ ſit, quod ſecundũ naturam eſt, tanquam ſcopum habendũ eſſe. Nam cui id ignotum eſt, minime intelliget, neque ubi à ſua natura læſa loca diſtrahuntur, neq; qua ratione ad id quod ſecundum naturam eſt adduci debeant, itemq; nec morborũ notitiam aſſequi, nec rectam illorum curationem poterit. Sunt autem oſſa ex animantis partibus duriſſima & ariдiſſima, maximeq; terreſtria. Hæc tanq; fundamenta quædam ad uniuerſam corporis ſubſtantiã ſuſtentandã ſubijciuntur, in ijsq; omnia adnaſcuntur, ſtabiliunturq;. Ex oſſibus quædam grandia & ampliter concaua ſunt, ac medulloſa: quædam parua ac ſolida & ſine medulla, nec caui quicquã, quod ſenſu dignoſci queat, in ſe habent. Grandibus magna ex parte in extremo aliorũ oſſium appendices adnaſcuntur, utpote humero ſuperius, cubito inferius, radio uero ac femori, itemq; tibiæ ac ſuræ, infra, ſupraq;. Maxilla inferior medulloſa eſt, & adnaſcentis appendicis expers: ſed ex eius extremis partibus, quæ infra eſt, per ſymphyſin, quaſi coalitum dicas, unitur. Suprà in duos proceſſus, in corωnen uidelicet quæ in acutum tendit, ac ceruicem tantũ, deſinit. Apophyſis quoq; quaſi proceſſus, ab epiphyſi, hoc eſt, ab adnata appendice differt: nanq; Epiphyſis eſt ubi os cum oſſe ad unionem coit: Apophyſis uero totius oſſis pars eſt. Fortaſſe autem oportet de alijs, quibus in hoc opere uſuri ſumus, nominibus differere, ne dum hęc enarramus, uel obſcuriora reddantur, nominibus ſine declaratione utentes, uel ſeries cõtinuata doctrinæ interrumpatur, quicquid occurrerit explicare ſemper uolentes. Sed meo iudicio hinc ꝙ optime initiũ ſumendum eſt. Humani corporis oſſiũ inuicẽ cohærentium uniuerſa compactio, σκελετὸς appellaт. Iamq; nonnulli qui de oſſibus differuerunt, libros ſuos ad hunc modum inſcripſere, περὶ σκελετοῦ. Modus autem quo oſſa componũtur, genere quidem duplex: alia enim per articulum, alia per ſymphyſin coniunguntur. Hęc utraque ſpecies differentiasq; plures habẽt. Articulus enim naturalis oſſium compoſitio eſt. Oſſium uero naturalis unio, ſymphyſis appellatur. Vtriuſq; autẽ diffinitioni, dictio hæc Naturalis indita eſt: quandoquidẽ luxata inter ſe cohærent, fractaq; ſuperinducto callo uniuntur, ſed non per naturam. Ab Hippocrate alterius ex cohærentibus oſſibus extrema pars, articulus frequenter nuncupatur, ea ſcilicet quæ orbiculata eſt, ac in proximum cauum inſeritur. Articuli autem differentiæ duę ſunt, diarthroſis uidelicet, quæ dearticulatio, ac ſynarthroſis, quę coarticulatio dici poteſt: eæq; inuicem pro motus quantitate diſcrimen recipiunt. Dicitur enim diarthroſis oſſium ſtructura, quorũ motus euidens eſt. Synarthroſis oſſiũ quoq; compoſitio eſt, quæ neq; ualidũ, neque manifeſtum, ſed obſcurum difficilemq; habent motum. Quod autem nullum diſcrimen ſit, ſiue oſſium ſtructuram, ſiue compoſitionẽ, ſiue cohærentiã dixeris, perſpicuũ eſt. Diarthroſeos triplex eſt ſpecies, enarthroſis uidelicet, arthrodia, ac ginglymos, ſic enim à recentioribus medicis appellãtur; priſcis aũt non fuere admodum nota, uerum τὸ ἐνηρθρῶσθαι, καὶ τὸ ἀρθρωδῶς, καὶ τὸ γιγγλυμοειδῶς ἀλλήλοις συμβάλλειν. Præter hæc etiam has uoces, arthrωdes ac ginglymoωdes, in illorum ſcriptis deprehendimus. Quamobrẽ minime forſitan abſurdũ fuerit, ſi ad euidentiorẽ doctrinam nomina confingamus, ea ipſa uidelicet à ſubiectis rebus deriuantes. Eſt ergo enarthroſis, quum excipiens cauum altũ admodum eſt, caputq; quod in id inſeritur oblongum. Arthrodia uero, quæ cauum leniter & in ſuperficie, & capitulũ etiam depreſſum habet. Oblongũ autem & depreſſum capitulum dicimus, ad ceruicẽ idipſum cui adnaſcitur referentes. Ceruices, tenues oſſium ſunt proceſſus: earũ extremũ, quod craſſius & orbiculatum eſt, caput nominatur. Quum uero in mucronem proceſſus deſinit, non ceruix, ſed corωne ſeu corωnon nuncupatur. Ex cauis capitula excipientibus, quod altius deſcẽdit cotyle, hoc eſt, acetabulũ (id enim nomen medici omnes uſurpare ſunt ſoliti) quod in ſuperficie ſitum eſt, ab ocularis ſinus ſimi-

litudine,glene à nonnullis appellatur. Tertia diarthroſeos ſpecies quam ginglymon uocant,
ea eſt, qua oſſa ſeſe inuicem ingredientia cõiunguntur,quemadmodũ uertebræ inter ſe,ac hu-
merus cubitusq́ꝫ alligantur. Quanq́ꝫ in his quædam ſit differentia. Nam in uertebris media in
utranque ſuprà infraq́ꝫ appoſitam ſubit: humeri uero ac cubiti mutuus ingreſſus eſt. Synar-
throſeos quoq́ꝫ triplex eſt ſpecies,ſutura,gomphoſis,& harmonia. Sutura compoſitio quædã
eſt,ad cõſutarum rerum (utpote quæ in capitis oſſibus habetur) ſimilitudinem. Hanc nõnul-
li dum explicare ſtudent,ſerratam compagem ſtructuramq́ꝫ, alij in unguem cõmiſſuram eſſe
definiunt:ſed illi nobis,ut puto,patefaciunt,atq́ꝫ in memoriã reuocant,quum ſerræ inter ſe con
trario occurſu cõgrediũtur,ubi ſcilicet dentatæ alterius partes,in alterius ſinus inſeruntur. Hæ
uero quæ in unguem committi dicuntur,quum gibbæ uidelicet partes ad unguiũ figurã ſtru-
ctę,in ſinus quibus apte excipi poſſunt,ſubeunt. Harmonia uero oſſium ſtructura eſt per ſim
plicẽ lineã. Sunt autem nõnulla maxillæ ſuperioris,et quædam etiam capitis oſſa,ad hunc mo
dum inter ſe iuncta. Gomphoſis eſt quũ ad inſtar claui os oſſi infigitur: uerũ id iam quoquo
modo ambigit, propeq́ꝫ ad ſymphyſin accedit, quũ ſcilicet quidpiam penitus infixũ eſt, ut ne
tantillũ quidem ueluti dentes dimoueatur. Quod autem dentes haudquaquã cum ſuis alueo-
lis adnaſcant,quũ uel eruũtur,uel ſua ſponte decidunt,planè patet. Sed quoniã ſpecies differen
tiasq́ꝫ omniũ quę ad articulũ pertinent declarauimus, de ſymphyſi deinceps dicendũ eſt. Hæc
autẽ primo dupliciter differt. Nanq́ꝫ alia inter ſe inuicem oſſa,alia aliorũ interuentu cõnaſcun
tur. Quæ fungoſiora molliaq́ꝫ ſunt,mutuò inter ſe,ſicciora uero denſioraq́ꝫ,nõnullis interme-
dijs coaleſcũt. Huius autẽ coalitus quem poſtremo diximus,tres ſunt differẽtiæ,quæ priſcis no
minibus carent:at qui recẽtioribus uti uolet, ea ab intermedijs, hoc eſt, à cartilagine ſynchon-
droſin,à neruis ſynneuroſin,à carne ſyſſarcoſin appellare poterit. Cum uero de neruorũ nomi
nibus mentio à nobis facta ſit,iure quidem fiet ſi de his quoq́ꝫ diſtinctè agemus. Tria itaq́ꝫ (uti
diximus)neruorum genera cenſentur,eaq́ꝫ nihil impedit uel ſpecies uel differẽtias nominare.
Ex neruis qui ex cerebro dorſiq́ꝫ medulla,oriuntur uoluntarij, qui ex oſſibus (ut ita dixerim)
ligamentales,qui tertio loco ab his differunt atq́ꝫ ex muſculis originẽ ducunt,tendones uocan
tur. Ne uero ęquiuoca nomina obſcuritatis aliquid afferant,qui ex cerebro itemq́ꝫ ex dorſi me
dulla ortum ducunt, uoluntarij nerui:qui ex muſculis,tendones:qui ex oſſibus, ligamẽta à no
bis appellentur. His itaq́ꝫ explicatis nominibus, iam tempus exigit ut de ſingulis per ſe oſſi-
bus uerba faciamus,à caluaria ſcilicet(ſic enim os capitis uocant)incipientes.

De capitis oßibus. Caput I.

QVod os capitis caluaria appelleť,quodq́ꝫ in ea ſuturæ quædã ſint, antè diximus:ſed quot
qualesq́ꝫ,& quæ cuiq́ꝫ ſit forma,cum non antea expoſuerimus,nunc explicabimus. Pri-
mumq́ꝫ pro capitis figura ſuturarũ numerus poſituraq́ꝫ uariatur. Naturalis capitis figura,ad
oblongæ ſphæræ potiſſimum ſimilitudinem ſtructa eſt. Alia uero eius(quod φοξὸν uocant)de
prauata eſt,& acuminato uertice. Quod ſecundũ naturam habetur,priorem ac poſteriorẽ par
tem prominentiorem habet,in eoq́ꝫ tres ſuturæ ſunt,ac duæ quidem tranſuerſæ,quarum altera
in occipitio eſt, in ſyncipite altera,tertia à medio poſterioris, per capitis longitudinẽ,ad mediã
uſq́ꝫ anteriorem extenditur. Anteriorem coronalem uocant, quandoquidẽ coronæ in ea po-
tiſſimum capitis parte collocantur. Poſteriorẽ à literæ Λ ſimilitudine lambdoεde nominant.
Harum ſuturarũ figura H literæ præcipue ſimilis eſt. Naturalis caluariæ ſtructura ſuturas,uti
diximus, habet. In ea uero quæ faſtigiato eſt uertice,ſuturæ ad hunc modum conſtitutæ ſunt.
Vbi enim poſterior eminentia perit,ſutura lambdoεdes aboletur:ubi anterior non adſit, co-
ronalis etiam ſutura deperditur,fitq́ꝫ utraq́ꝫ remanentiũ ſuturarum figura T literæ ſimilis. Ha-
rum autem utrinq́ꝫ eminentia deperdita, geminæ quæ ſeruantur ſuturæ, ad rectos ſe inuicem
angulos interſecantes,χ literæ ſimilitudinem referunt. Nanq́ꝫ altera quidem tranſuerſa per me
dium potiſſimũ caput extenditur, altera à parte poſteriore per longitudinem in priorẽ, uti in
cæteris caluarijs omnibus,tendit:nanq́ꝫ hæc ſemper ſeruatur,reliquæ cum totius capitis figura
uariantes intercidũt. Duæ quoq́ꝫ ab hac æquidiſtantes lineæ per capitis longitudinem à poſte-
riore in priorẽ partem ſuper aures feruntur. Hæ autem fiunt duobus inter ſe oſſibus cohæren-
tibus,nõ per ſuturam quidem,ſicuti antè diximus,ſed paulatim ſyncipitis os inſtar ſquamę de
ſcẽdens,attenuatur,atq́ꝫ in id os quod infra ab auribus aſcendit, ſubintrat: proptereaq́ꝫ eas nõ-
nulli non ſuturas ſimpliciter,ſed à ſquamæ ſimilitudine lepidoεdεs ſuturas uel conglutinatio-
nes appellarunt:à nobis autem euidentioris doctrinæ ſtudio,ſuturæ iuxta aures eiuſmodi le-
pidoεdεs nuncupentur. Quo fit ut quinq́ꝫ peculiares capitis ſuturæ ſint, lambdoεdes, corona
lis, & quæ recta per longitudinẽ fertur. Duæ item ab hac æquidiſtantes,quę in oſſibus ad ſqua
mæ ſimilitudinẽ ſtructis habentur. Sũt & duæ aliæ cõmunes ſuperiori maxillæ,eiq́ꝫ etiam oſſi
quod à cunei ſimilitudine ſphenoεdẽ uocant, quod à nõnullis inter capitis,ab alijs inter maxil

læ ſupe-

læ ſuperioris oſſa(cum inter utrunq; ſit medium)numeratur:idq; cuius nam formæ,quantæq; ſit magnitudinis, quémue potiſſimum locum obtineat,propemodũ recenſebimus. Extrema lambdoειdis ſuturę ab utroq; latere inferiora,ad baſim uſq; capitis protendunt, per mediumq; lapidoſorum oſſium,& quà caput primę uertebræ adnectitur,deorſum feruntur,ibiq; exigua quadam linea tranſuerſa iungũtur. Hanc ipſam primum cum capite, & eo oſſe quod explicare propoſui, cõmunem puta:ſurſum enim utrinq; ad caua temporũ tendit, quò etiam coronalis ſuturæ extrema perueniunt.Inde etiam rurſus deorſum uerſa,& ad poſtremos dentes delata,ad palatum uſq; procedit,id quidem os intra ſe,antedicta uidelicet ſutura undiq; terminatũ, cõprehendens, quod ueluti cuneus inter capitis & maxillæ ſuperioris oſſa immittitur. Huius itaque ſuturę quicquid ſurſum ad coronalis fines fertur,cum capitis oſſe commune eſt.Quod uerò ex utroq; latere ad palatum tendit,ſuperiorem maxillam,ab oſſe ad cunei ſimilitudinem ſtructo(cui id nomen ut clarius intelligatur inditũ eſt)diſcernit.Id os apophyſεις quaſi explantata et procedentia quædam habet,quas ab alarũ ſimilitudine pterygοειdεις uocant,eæq; utrinq; ſunt concauæ. Alia autem capitis ſutura, quæ ipſum à ſuperiore maxilla diuidit,ex cauis temporũ principium ſumit,quà ſcilicet ſutura illa communis capiti & oſſi ſphenοειdi, cum ſuturæ coronalis finibus in idem,uti diximus, conuenit.Inde ad oculorũ ſedes procedit, perq; eos medios tendens, iuxta medium ſuperciliorũ ſibijpſi iungitur. Quæ cum ita ſe habeant, ſex ſunt, ſphenοειde excepto,capitis totius oſſa, duo ſcilicet ſincipitis,quibus ea ſutura communis eſt, quæ recta per capitis longitudinẽ fertur: duo item infra,unũquodq; uidelicet ad ſuam aurem: poſt hæc,quintũ os occipitis, ſextum frontis exiſtimatur. Sincipitis oſſa in poſteriore quidem ad lambdοειdis ſuturæ latera,et in anteriore,ſutura coronali,in inferiore ſuturis ſquamę ſimilibus,in ſuperiore uero parte,ea quæ per longitudinem recta procedit, ſutura terminatur. Poſt hæc deinceps quæ utraq; in aure ſita ſunt,in ſuperiore ſuturis ſquamæ ſimilibus,in poſteriore laterum lambdοειdis additamẽtis, in anteriore quidem parte ſutura quæ capiti cum oſſe ſphenοειde cõmunis eſt,diſcernuntur.Sunt autem ſincipitis oſſa quadrilatera:quæ modo diximus trium laterum ſunt. Quintum os capitis occiput eſt, idq; lambdοειde ſutura cum ſuis additamentis,atq; ea etiam linea qua hæc ipſa(uti diximus)additamenta iunguntur,terminatur. Idipſum os,maximũ omniũ quæ ſunt in capite foramen, iuxta primam uertebram habet. Reliquũ eſt os frontis,quod coronali ſutura, atq; ea quæ capiti cum maxilla ſuperiore communis eſt,diſtinguitur. Horum autem ſex quæ diximus,ſincipitis oſſa rariſſima & infirmiſſima, occipitium denſiſſimum firmiſſimũq;, medium inter hæc ipſa os frontis habetur. Reliqua utrinq; ad aures poſita,multifariam ſe habent:nanq; horum pars, quia petræ reuera ſpeciem refert,lithοειdes nominatur: id os protenſis lambdοειdis ſuturæ finibus terminatur. In eo ſtylοειdes (quia columnæ eſt ſimilis) proceſſus ineſt,quem nos ab acus ſtyli ue ſcriptorij ſimilitudine belonοειde ſeu graphοειde appellamus,in eodemq; auditus meatus cõtinetur. Altera deinceps eius pars iuxta eas ecphyſεις quaſi exortus dixeris habetur, quorum alter mamillaris dicitur, alter oſſis iugalis eſt. Præter hanc tertia quoq; pars à temporibus occupatur. De capitis autem foraminibus in uaſorũ neruorumq; diſſectionibus,quorũ cauſa effecta ſunt, ſermo habendus eſt; ex ſingulis enim ſeu arteria, ſeu uena,ſeu neruus,ſeu ex his quædã,ſiue cuncta prodeunt.

De oſſe iugali. *Cap.* II.

TEmporis muſculo prępoſitũ eſt os,quod tranſuerſam in medio ſuturam habet,eiuſq; poſterior pars omnis, cum capitis oſſe, quod iuxta aurẽ habetur, anterior cum parte ſupercilij extrema,ad paruũ oculi angulũ continuatur:id os totũ zygωma,à noſtris iugale appellat.

De oſſibus maxillæ ſuperioris. *Cap.* III.

DE ſuturis quæ ſuperiorẽ maxillam à capite & ſphenοειde oſſe diſcernũt, antea diximus: nunc autem quæ in ea ipſa maxilla continentur,recenſendæ ſunt. Sed ſatius fortaſſe eſt explicare prius ſuturæ uocabulum, quo pacto à recentioribus omnibus anatomicis uſurpatum ſit. Illi enim quæ per harmoniam committuntur,ſuturas quoque appellare cõſueuerunt, iureq; id accidit. Non enim caluarias ſimiliter omnes deprehendes, in quibus ſuturæ omnes, ſerratis exactè compagibus ſtructæ ſint, ſed aliquando in ipſa oſſiũ ſtructura cernere eſt,alteri quidem caluarię ſuturas ineſſe, alteri harmonias. A nobis autem cum oſſa perſępe nonnulla eiuſmodi frangerentur,in imo ita ſeſe mutuò ingredientia inuenimus, ut illorum compoſitio ſuturæ potius ſimilis eſſet, quàm harmoniæ, ob idq; eas omnes ſuturas appellare nemini uerendũ eſt. Prima autem ſub oſſe iugali exoritur, cuius pars poſterius tendens, ſub eiuſdem oſſis cõcauo deſinit,ibiq; cum communi ſphenοειdis oſſis ſutura committitur. Altera partim rectè,partim obliquè, ſurſum ad oculorum ſedes procedens, per medium illorum ambitum inferiorem fertur,mox ibi tripartito ſcinditur:altera enim pars magnum propè angulum exteriore in parte ad medium ſuperciliorum procedit. Quę deinceps huic ſuccedit, per concauũ

ſub eodem angulo ad cōmunem capitis ſuturam pertinet, eademq́ angulum ipſum comprehendit,& illi quoq; naturale foramentū ſubiectum,quod omnium quę ſunt in eo loco foraminum maximū eſt. Sub dictis duabus ſuturis, tertia pars antedictæ ſciſſuræ, inferiorem in ſede oculi ambitum inſcendens,interius ad imum tendit,ibiq́ cōmuni capitis ſuturę iungitur: quo fit ut terna maxillæ ſuperioris oſſa ab utraq; parte cenſeant,quibus capiti ipſi cōmittitur. Horum maximum habetur quod iuxta iugale ſitum eſt: nam nonnihil temporis, ſupercilijq;, & ſedis oculorū,totumq́ exiguum angulum in ſe comprehendit,& ad eam uſq; partem quæ malum appellatur, procedit. Deinceps ſitu ac magnitudine os illud in oculo ipſo habetur, quod neruos ad ſuperiorem maxillam tendentes continet: minimū omnium, iuxta magnum oculi angulum locatum eſt.Nonnulli aūt anatomici,qui tria hæc oſſa quæ ad oculorū radicem ſubeunt,unum eſſe tradunt,geminas quibus diſtinguunt ſuturas,uel omnino non uident,uel tanquā exiguas dedita opera prætermittunt. His omnibus quæ tria eſſe diximus,ab utroque latere os unum inſigni magnitudine ſubiacet, cuius os mali, dentiumq́ omnium, exceptis inciſorijs,alueoli partes ſunt.Hæc ſuturis quatuor diſcernuntur, ſuprà quidem ea quā dudum diximus ab oſſe iugali ad medium ſupercilioru aſcendere, infra uero ea quæ per medium palatum recta procedit:quas reliquæ duæ copulant,ea uidelicet quæ à medio ſuperciliorum incipiens, ac iuxta nares procedens,inter caninū & inciſorios dentes defertur, & ea cuius pars,quantum ſcilicet extremū ambit dentem,cum cōmuni ſphenoeidis oſſis ſutura conuenit: reliquum peculiare eſt,quoad cum recta palati ſutura coniungitur. His oſſibus quæ maxima eſſe propoſui, duo alia exigua adiacent,quà ſcilicet narium foramenta ad palatū tendunt, quæ peculiari antedictæ ſuturę parte,atq; ea etiam ſutura quæ tranſuerſa à ſphenoeide oſſe inter extremos dentes procedit, terminantur. His quidem ſuturis ab ambientibus oſſibus ſecernuntur, ipſa inter ſe recta palati ſutura diuiduntur.

De oſſibus naſi. Cap. IIII.

NAſi quoq; duo oſſa ſunt,quę ſuturis à medio ſuperciliorum deſcendentibus diſcernūtur. Has †duas eſſe in maximorum oſſium enarratione diximus. Præter eas tertia quædam in naribus ipſis ſutura eſt,quæ à medio ſuperciliorum incipiens, rectà à ſummis ad imas nares procedit.His oſſibus inferiore in parte cartilaginea tenuiaq́ corpuſcula (alas uocāt) ab utroq; latere adnaſcuntur.Supereſt in maxillæ ſuperioris extremo os unum, in quo dentium,qui ſecant,radices & alueoli continentur:id ipſum plerūq; ſimplex eſſe uidetur,propterea quod oſſa ex quibus ſtructum eſt,exactiſſimè cōmittuntur.Interdum autē ſutura in cadaueribus admodum exiccatis manifeſte apparet,illi quidem directa, quæ per totum palatū porrigitur: quo fit ut perſpicuū ſit,iure de numero oſſium maxillæ ſuperioris diſſenſionem eſſe: à nonnullis enim non ſex,ſed duo prima omniū cenſentur, paruulis uidelicet quæ intus in oculis inſunt prætermiſſis. Alij inferiora narium foramina magnis oſſibus adſcribunt. Sunt qui hæc ſeparant,amboq; os unum faciant. Illud etiam quod in maxillæ ſuperioris extremitate, uti diximus,habet, nonnulli ſimplex,nōnulli ex duplici oſſe conſtitutum eſſe affirmant. Ante autem hæc omnia ſphenoeides inter maxillæ ſuperioris oſſa adnumerant. Quod ſi ea ad quamplurimum numerum ab aliquo redigenda ſunt,erunt quidem in tota maxilla ſuperiore quindecim:ſi uero ad q̄ minimū,non plura erunt q̄ octo: quæ ſanè omnia deinceps cōmemorabo,incipiamq́ à priore diuiſione, qua quindecim eſſe cenſa ſunt. Sex itaq; erunt,quæ prius retulimus,quæq́ à communi capitis ſutura, itemq́ ab ea quæ à temporibus ſub oſſe iugali, & inferioribus oculorum palpebris ad medium ſuperciliorum aſcendit,cōtinentur. Duo deinde grandia,in quibus mala,dentesq́ ferè omnes,uti recenſuimus,inſunt. Alia item duo iuxta narium foramenta: adde etiam ipſarum narium duo: mox in maxillæ ipſius extremitate duo, quibus dentes qui ſecant infixi ſunt,atque etiam præ cunctis ſphenoeides, quod ex omnibus nulli alteri coniugatum ac ſimplex eſt. Totius autem maxillæ ſuperioris oſſa, ad hunc modum in octo diuiduntur. Sex quidem,duo prima numerantur,quod in parte maxillæ extrema habetur unum: itidem quod iuxta narium foramina ſitum eſt unum, narium peculiaria duo, omnium item maxima in quibus mala dentesq́ ferè omnes, ſicuti diximus,ſedem habent,duo cenſentur. Supereſt ſphenoeides,quod ex omnibus tantummodo ſimplex & coniugationis eſt expers.

τριτ͂ας, lege τεταρτ͂ας.

De dentibus. Cap. V.

DEntes in oſſium numero habendi ſunt, etſi ſecus nonnulli ſophiſtæ arbitrentur. Quod ſi eos à nobis oſſa appellari non ſinunt, æquum ſanè erat alio illos nomine donare. Non enim cartilagines,non arteriæ, non uenæ, non nerui (uti perſpicuè patet) nuncupandi ſunt, multoq́ etiam minus nec adipis, nec capilli,nec carnis, nec glandulæ, neque ullius ſimpliciter corporis particulæ nomen illis accōmodari poteſt. Quod ſi neq; in uenarum,arteriarum,neruorum,muſculorumue,aut uiſcerum,neque in ea quam modo tractamus oſſium anatome, de dentibus

dentibus agemus, nusq; omnino de ijs mentio habenda est. quare perpetuò ualeant sophistæ. Dentes sedecim utraq; maxilla habet: priores quaterni, quia secant, τομεῖς appellant: hi omnes singulis radicibus nituntur. His deinceps canini utrinq; hærent, quibus singulæ quoq; radices insunt. Vltra hos maxillares quini, ab utroque latere: sed qui maxillę superiori infixi sunt, ternis, qui inferiori, binis radicibus adhærescunt, nonnullis tamen exceptis, qui suprà sæpe cum quaternis, infrà cum ternis radicibus deprehenduntur, præsertim duo omnium primi interiores. Tertius perraro eiusmodi esse inuenitur. Nonnullis autem non utrinq; quini maxillares, sed quaterni seni ue oriuntur: eos non modo maxillares, sed molares quoq; appellant, ex translatione (uti arbitror) nomine sumpto, quod ijs cibi, ueluti molis cereales fruges, tenuantur & atteruntur. Caninis nomē inditum est, quod canum dentibus quamsimillimi sint. τομεῖς autem uocant, siquidem ad cultri similitudinē, ad eos cibos suapte natura incidendos ualent, qui mollitiem in se habent: sicuti ad dura cibaria nō secanda, sed admodum cōfringenda canini constituti sunt. Omnes in suorū ossium concauis infigunt. Ossa quibus continentur dentes, phatnia: quæ subeunt foramina, bothria appellant. Ex ossibus dentes tantummodo, mollium cerebri neruorum participes sunt, ob idq; soli euidentem sentiendi uim habent.

De ossibus maxillæ inferioris. Cap. VI.

MAxillæ os inferioris non est (ut quispiam putat) simplex, id enim coctū in summa menti extremitate laxatur, ob idq; ipsum iam coaluisse manifestum indicium est. Pars eius quæ quasi capitulata est, duobus quasi cornibus terminatur, quorum alterum in mucronem desinens, tendonem à temporis musculo descendentem recipit: alterum capitis ossi sub eo exortu quem mamillarem uocant, alligatur, ibiq; in paruulum sinum, rotundo quodam quasi tuberculo sese inserit.

De spina. Cap. VII.

SPina ex uertebris quatuor & uiginti constat, quæ si plures pauciores ue sint, sicuti capita deprauatæ figuræ quę fastigiato sunt uertice, præter naturam sunt. Harum contextus omnis in ceruicem, dorsum, lumbos, & sacrum os diuiditur. Ceruix capiti adnectitur, huic dein dorsum, cui par inest quæ & pectori longitudo. Quod subest reliquum, lumbi appellantur, quorum pars ultima sacro, latóue (ut nonnullis placet) osse finitur. Septem in collo uertebræ sunt, duodecim ad costas, ad lumbos quinq;. In primis itaq; de ceruicis uertebris (nihil enim refert, an ceruicem collum ue appellemus) dicendum est.

De uertebris colli. Cap. VIII.

EX uertebris colli primæ quidem duæ inter se undiq; colligantur, reliquarum uero quinq; anterior pars nexu constricta firmissimo coalescit. Neq; id quidem (ut nonnulli putant) per cartilaginem fit, uerum ea membrana quæ geminas spinalis medullæ tuniculas extrinsecus ambit, sese in mediam ipsarum sedem insinuans, cōmune utrisque uinculum præbet. Eadem ratione uertebræ omnes se habent, duabus primis exceptis, uti demonstrabimus. Cum aūt capitis duplex sit motus, alter quidē annuendo abnuendoq; fit, alter in latera: illum uertebræ secundæ processus (qui, quia figura est turbinata, pyrenoides dicitur) potissimū præstat: hunc uero summa uertebra quū capitis coronis adnectitur, eius scilicet & ipsius capitis transuersæ partes efficiunt. Pyrenoides aūt sursum spectat, atq; ab anterioribus uertebræ secundæ partibus proficiscens, ualido quodam rotundoq; ligamento capiti alligatur, eiq; summa uertebra locū cui aptè ac tutò innitatur præbet, in eademq; transuersum quoddam ligamentū oritur, quod illi intus aduoluitur. Hunc ipsum processum à dentis similitudine odontoide uocāt: unde Hippocrates totā secundam uertebrā dentem denominauit. In inferiore quoq; summæ uertebræ parte duo item sunt sinus leniter caui, quosq; ab ocularis sinus similitudine glenoides appellant, similes superioribus: sed sinus superiores cum caput ipsum excipiant, non ab re sunt maiores: infrà uero minores sunt qui uertebram secundam admittunt. Summa uertebra latissima tenuissimaq; est, secunda angustior, ualidiorq;, ac reliquæ deinceps eodem modo se habent. Quo enim spinæ medulla in gignendis neruis consumitꝰ attenuaturq; magis, eo inferiorum uertebrarū foramina minuunt: quorum unumquodq; medullæ quā complectitꝰ crassitudini æquale est. Atq; id in uertebris omnibus cōmune est, quemadmodum transuersorum quoq; processuū, eorumq; qui deorsum sursumq; uersum spectant, quibus inter se connectuntur, cōmunis est ratio. Quod ad cætera attinet, in pluribus quidem conueniunt, in paucis differunt, quod dicemus postea. Posteriorem processum quem spinam uocant, omnes habent uertebræ, prima excepta, quæ duntaxat in parte anteriore exiguum quendam exigit processum. Ex cæteris omnibus uertebris, earum tantum quas ceruicis esse diximus transuersi processus, semper perforati sunt, septima eademq; ultima excepta, cui interdū etiam, sed raro, à lateribus foramina insunt. Hos ipsos processus solæ ceruicis uertebræ leniter quasi bipartitos gerunt,

præter duas primas, in quibus simplices habentur:in sexta uero duplices manifeste apparent, & cæterorum omnium maximi, sicuti & ea ipsa maxima est, quorũ internus latus admodum est. Pars cuiuslibet uertebræ anterior qua inter se coalescunt,earum potissimum quę in ceruice sunt, prima excepta, oblonga est. Neruis autem ex spinæ medulla orientibus, ac iuxta uertebrarum compages prodeuntibus, utraq; uertebra parem primæ quasi operam confert, in cæteris superior,aut magna ex parte,aut omnino id præstat.

De uertebris dorsi. Cap. IX.

QVod thoracis uertebrę sint duodecim,antea diximus;præterq; quod aliquando ,tametsi raro,aliquibus uel deest una uel superest: sed superesse rarius q̃ deesse inuenitur. Hæ omnes ad decimã usq; processus habent permagnos,tum eos qui sursum deorsumq; uersum spectant,tum uero etiam transuersos quibus costæ adnectuntur. Corpus aũt ipsorum à superiori parte ad inferiorẽ leniter protensum,inter eos sensim desinit qui insequunt. Hæ item dorsi uertebræ ad decimã usq; spinæ colli persimilem spinam conficiunt,à summo scilicet ad imum tendentem. Rursus quæ infra decimam est ab imo ad summũ protenditur. Sed in duabus quę decimam subsequũtur,haud ita planè id apparet ut in reliquis. Idem quoq; processibus transuersis accidit:nam qui supra decimã sunt, deorsum,qui infra,sursum spectant. Qui in decima duntaxat habent, in neutram partem inclinant; hæc enim non modo sursum, sed deorsum quoq; spectantes processus,tanq; tubercula quędam,sicuti prima ceruicis uertebra sinus utrinq;,non admodum desidentes habet. In cæteris supra quidem decimam processus qui sursum uergunt extuberantes,qui deorsum,leniter sinuati sunt. Infra uero contraria esse solet ratio.

De lumborum uertebris. Cap. X.

DE lumborum uertebris omnia ferè prius retulimus. Nam quod quinq; omniumq; maximæ & crassissimæ sint, quodq; angustũ in singulis intus foramen tenuisq; medulla insit, quod sursum illarum processus spectent, quod ab ea duntaxat uertebra quæ præposita est neruus exiliat,quod sursum deorsumq; uersum spectantiũ processuum,quibus inter se colligãtur, eorum quidem qui super imponunt extrema extuberantia,eorum qui subijciuntur leniter caua sint,ante diximus. In hoc aũt capite,si quid in his est proprium rarumq;,quod nõ sit in alijs, explicabimus. Singulæ ergo lumborũ uertebræ interiore in parte foramina nullo ordine dispostia habent,in eaq; sese inserũt uenulæ, ibiq; permultæ manifestæq; apparent. In cæteris uertebris uel nullæ usquã, uel perexiguæ omnino spectantur. Hæ quoq; uertebræ processũ quodam abundant ad inferiora uergente,isq; iuxta nerui ortum situs est,quem nõnunq; uertebrę omnes habent,in postremis aliquando uel pusillus admodum,uel nusquam cernitur. Idem supra positis uertebris, non secus ac duabus dorsi postremis,semper inest.

De osse sacro. Cap. XI.

ID os uertebris,quà scilicet cum ea quę suprà posita est,alligat,proportione respondet:nanq; inferiores uertebræ illius processus ab osse sacro excipiuntur, sicuti eos ipsa qui supra se siti sunt recipit. Eius quoq; spina similis est ei quã cæteræ habent uertebræ. Ipsius autem transuersi processus grandes patentesq; sunt, quibus exteriore in parte sinus inest quidam leniter cauus, in eumq; ilium ossa ingrediuntur. Idipsum os ex tribus particulis tanq; ex proprijs quibusdã uertebris constructũ est,harumq; in extremitate os aliud quartum , quod coccyx nominatur, additum est. Hæc si coquendo relaxentur deglutinenturq;, ad uertebrarũ similitudinem structa esse uidebuntur. Nerui autem qui à spinæ medulla per sacri ossis foramina prodeunt,iuxta suarum ueluti uertebrarũ compages sicuti per spinam totam prosiliunt,non tamen ab utroq; latere, sed intrinsecus quidem atq; extrinsecus:hiq; omnes tria constituunt paria.

De coccyge. Cap. XII.

IN imo lati ossis aliud os subest, quod coccyx appellat, idq; ex tribus peculiaribus particulis constat. Eæ plus cartilaginis, potissimumq; in extremo, q̃ latum os habent. Iuxta earundẽ compages,nerui posteriore ex parte prodeũt. Gemini priores ex ea oriunt parte qua coccyx latum os attingit:insequens par inde ortũ habet,ubi prima huius ossis pars cum secunda committitur. Duo alij inde egrediunt,qua secunda eiusdem pars cum tertia coniungitur. Iuxta tertiæ huius extremitatẽ quod reliquum est ex spinæ medulla,simplex nulliq; associatũ prosilit.

De thoracis ossibus. Cap. XIII.

OS pectoris,costę,itemq; ex spina dorsi uertebrę,thoracis sunt ossa. Costę ab utroq; latere duodecim,singulæ enim cum singulis uertebris cõnectunt. Ossa pectoris per synarthrosin inuicẽ copulant. Sunt aũt numero septem, sicuti costæ quæ cum eo alligãtur. Imò pectoris ossi cartilago triangula adnascitur. Cum uertebris costæ singulæ ad hũc modum nectũtur. Ad radicẽ transuersi processus, costæ principiũ extanti quodã tuberculo super inseritur,ibiq; sinu paruulo

paruulo & leniter cauo excipitur, amboq́; tum ſinus tum coſtæ principiũ ad ſuperiora magis uergunt. A radice deinde per totũ tranſuerſum proceſſum coſta ſuperuehitur, in ipſiusq́; extremo, alio etiam nexu ad inferiora uergente, conſtringit̃, quo fit ut coſta duobus modis ipſi uertebræ annectat̃. Rurſusq́; coſtarũ connexio cum oſſe pectoris latet admodũ ſenſum, apparet tamẽ membranoſis ligamentis, quibus undequaq; contegit̃ remotis. Nanq; ibi ſingularũ pars cartilaginoſa in tuberculũ deſinens, ſingulis pectoris oſſibus lenem quendã & in ſuperficie ſinum in ſe habẽtibus nectitur: quarũ motus exiguus adeò eſt, ut ſynarthroſis appellari queat. In multis quidẽ alijs corporis partibus de ſtructuris oſſium ambigit̃, incertumq́; eſt an ea per diarthroſin uel ſynarthroſin copulentur. Tota pectoralis oſſis figura à nõnullis, quia gladij ſimilitudinẽ repręſentat, xiphoides nominatur. Alij non pectorale os totum, ſed eam duntaxat cartilaginem quæ in imo eius eſt, ad hunc modũ uocant. Coſtis non una eſt, ſimplexq́; figura: nanq; ubi uertebris annexæ ſunt, in anteriora pariter atq; inferiora ferunt̃, multumq́; ita progreſſę, ad os rurſus pectoris protinus uerſę recuruant̃, ob idq́; quicquid cum pectoris oſſe committitur, nõ os eſt, ſed in cartilaginẽ degenerat. Quinq; quæ ſuperſunt coſtæ, nothæ appellantur: eæ cum ſepto tranſuerſo atq; inter ſe connatæ conglutinatæq́; ſunt, & in exquiſitam cartilaginẽ finiunt. Poſtrema ab alijs tantũmodo in imo ſecernitur, ac reuera notha eſt. Iis atq; alijs coſtis non par omnibus longitudo, ſed ſupernæ infernæq́; breuiores ſunt, mediæ prolixiores.

De ſcapulis. Cap. XIIII.

SCapulæ poſt thoracẽ ſitæ ſunt, eæ cum oſſe occipitij ſpinaq́;, cumq́; etiam thoracis coſtis, & eo oſſe quod gutturi præiacet, muſculorũ opera copulantur: eædemq́; inæquales ſunt ſatis, atque omni ex parte diſſimiles, gibbæ quidem exteriore ex parte, intrinſecus ſimæ. Ipſæ etiã in ima baſi tenues oblongæq́;, ſumma in parte craſſæ paruæq́; ſunt. Os ſcapulæ maiore ex parte cartilagine, ſed uberius in imo contegitur, à ſpinaq́; tenue inchoatur, paulatimq́; plenius efficitur, donec ad acrωmij locum peruenerit, ibiq́; cum iugulo connectitur: hanc ipſam compactionem nonnulli anatomes periti acrωmion uocant. Alij præter hæc ambo quæ coniunguntur, tertium os eſſe inquiunt, quod in ipſis tantummodo hominibus deprehenditur, id cataclωda & acrωmion appellant. In ea parte, ſcapularum oſſi proceſſus quidam ſubeſt, quem ſcapulæ ceruicem nominant, isq́; in extremo in acetabulum deſinens, cum humeri capite alligatur. Eſt etiam huic oſſi alter interiore in parte exiguus acutusq́; proceſſus, qui cum anchorę uel coruini roſtri ſimilitudinem referat, ancyroides à nonnullis, coracoides ab alijs nuncupatur, quandoquidem extrema eius pars uti corniculæ roſtrum exterius inclinat.

De iugulis. Cap. XV.

IVgula ab utroq; latere ſummæ pectoralis oſſis extremitati annectuntur, eaq́; fiſtuloſa ſunt, figuraq́; & craſſitie inæquabili. Pars eorum inferior qua pectoris oſſi alligatur, craſſior cæteris rotundiorq́; eſt; huic ſuccedens longè gracilior. Quod reliquum eſt, totum rotundum inæquabileq́; eſt, quoad cum ſcapularum oſſe cõmittitur, ibiq́; quaſi latiuſculum eſt. Mediæ iuguli totius partes exterius gibbæ ſunt, præſertim quæ ad ſcapulas tendunt.

De humero. Cap. XVI.

MAximum omnium os humeri, femore excepto, eſt: idq́; utrinq; ſuprà infraq́; alligatum eſt. Summa eius pars grandiuſculũ habet caput, paruæ quidem ceruici coagmentatũ adnatumq́;. In eo iuxta anteriorẽ partem ſinus quidam eſt, cuidam quaſi patulæ ſciſſuræ ſimile, qui totum ipſum caput in duo quaſi tubercula bifariam diuidit. Pars autẽ inferior in tubercula deſinit inæqualia, quorum ei quod extrinſecus ſitum eſt radij capitulum adnectitur: cum eo uero quod eſt interiore in parte, nullum os prorſus cõmittitur, eamq́; ob cauſam etſi paulò eſt grandius, longè maius apparet quàm os exterius. In ima humeri parte ſinus perſimilis eſt cõcauis trochlearũ orbitis, cubitus hunc circũ mouetur. Vbi aũt ſinus hic deſinit in extremis utrinq; lateribus duo pręterea ſunt ſinus, quorũ anterior poſteriore eſt minor: hi cubiti corωnas, hoc eſt, acutos proceſſus excipiũt, horumq́; anteriorẽ cum cubitus omnino flectit̃, anterior ſinus, cum tenditur, poſterior poſteriorem recipit. Cæteræ humeri partes rotundæ, nec rectæ, nec ſimiles ex toto, gibbæ quidem anteriore atq; exteriore in parte, in poſteriore atq; interiore ſimæ ſunt.

De cubito. Cap. XVII.

PArs omnis quæ inter humerum & carpon, quod brachiale uocant, ſita eſt, eiuſdemque etiam partis os grandius, cubitus appellatur. Is alteri ſubeſt oſſi, quod radium nominant, huiusq́; pars extrema ſuperior leniter caua, exterius humeri tuberculum recipit, eiq́; alligatur: cuius quidem connexionis id munus eſt, totam uidelicet manũ modo in pronum, modo in ſupinũ adducere. Cubitus duos acutos habet proceſſus, quos corωnas uocant, quorũ anterior minor eſt, alter quidẽ grandior, ab ijsq́; cubiti ipſius ſinus, ſigmæ literæ ſimilis comprehenditur.

In hunc sinum humeri orbita, quæ trochleæ similis inter duo eius tubercula sita est, inseritur. Huius aũt nexus, tendendi curuandiq́ totam manũ officium est. Radius suprà infràq́ ualidis ligamentis cubito illigať, media inter se omnino dehiscunt. Vterq́ adnatã appendicem iuxta brachialis partes habet, sed ex interiore parte concauã, extrinsecus gibbam. In sinũ eiusmodi sese brachiale insinuat annectiturq́. Cubitus minimo digito, pollici radius respondet. Inest autem cubito ex abundantia quadam processus, quẽ à columnę similitudine styloeide appellant, isq́ brachiali etiam nectitur. Ad hunc quidem nexum pertinet, brachiale in obliquũ ducere, ad alterum uero in rectum, cuius opera summam manum extendimus, inflectimusq́.

De brachiali. Cap. XVIII.

PRima pars palmæ, Græci carpon, nos brachiale appellamus, ex ossibus octo, duplici quidem ordine distinctis cõstructa est. Dura omnia, & paruula, nec medullosa, multiplicisq́ figurę sunt. Nam partim gibba, partim sima, partim recta, partim orbiculata cernuntur. Cuncta nerueis cartilaginosisq́ nexibus inter se per synarthrosin constricta, non (ut nonnulli arbitrantur) connata sunt, exteriore quidẽ in superficie leniter gibba, sinuata intrinsecus. Pars brachialis superior ex tribus ossibus constat, quæ in rotundam quasi figuram structa, cum cubito, radioq́ & styloeide processu annectuntur; hoc tamen excepto, quod brachialis os quod minimum digitũ spectat, exiguo leniq́ sinu styloeide cubiti processum recipit. Ex his aũt medium ibi potissimũ sedem habet, ubi cubitus radiusq́ inter se copulantur. Tertium, quod bipartitũ est, à radio comprehendiť. Pars brachialis inferior, quatuor ipsius ossibus metacarpio, quod quasi postbrachiale dixeris, colligatur. Quintum uero ijs brachialis partibus insidet, quę iuxta processum cubiti styloeide potissimum sitæ sunt.

De postbrachiali ac digitis. Cap. XIX.

INter digitos ac brachiale, ossa quæ ad eos tendunt & palmam explent, postbrachiale appellant, idq́ brachiali per synarthrosin, at priori digitorum phalangi scytalidi ue (sic enim uariè à nonnullis digitorum ossa nominantur) per diarthrosin alligatur. Pollicis tantummodo prius internodium ex transuerso ipsi postbrachiali annexum est: quare singuli ex ternis ossibus constant, priori semper internodio in subsequentis sinum subeunte; iureq́ dicendum est pollicem ipsum ex triplici osse constructum esse, primumq́ eius internodium cum postbrachiali minimè cõnumerandum, cum ab utraq́ parte per diarthrosin connectatur, quod primis digitorũ, non postbrachialis ossibus accidit. Quo fit ut rectè dixerit quispiam, ex quatuor duntaxat postbrachiale, ipsos autem digitos ex quindecim ossibus constitutos esse. Qui uero os pollicis tertium postbrachiali adscribũt, ipsum quidem ex quinq́, digitos uero ex quatuordecim ossibus constare affirmant.

De ossibus quæ cum osse sacro cõmittuntur. Cap. XX.

REctis ab utroq́ latere magnisq́ lati ossis processibus duo quædam ossa apposita adstructaq́ sunt, quibus integris nullum nomen inditum est. Nam latæ ipsorũ superiores partes, ilium ossa; exteriores post femoris ingressum inferioresq́, coxendicum; quæ inde in anteriora protensæ, tenuesq́ & foratæ, atq́ inter se in extremo connatæ sunt, pectinis ossa appellantur. Vtræq́ coxendici prægrande acetabulum inest, cum femoris capite nexu ualidissimo copulatum connatumq́.

De femore. Cap. XXI.

OS femoris magnitudine cunctis animantis ossibus præstat, id suprà coxendici, infrà tibię alligatur. Superiori in parte rotundissimum caput habet, prolixę quidem ceruici ad interiora inclinatæ adnatum. Infra leniter patescens, in duo tubercula desinit, adeò quidem grandia, ut capita possint appellari, eaq́ tibiæ annectuntur, non modo membranosis ligamentis, quibus tota dearticulatio circundatur, sed tribus quoq́ alijs ualidis rotundisq́, quorum unum ab exteriore totius connexionis parte, ab interiore alterũ, à medio posterioris interiorisq́ tertium porrigitur. Totius aũt femoris forma anteriore in parte exterioreq́ gibba, in posteriore interioreq́ sima est. Sub huius ceruice duo exigui sunt processus (trochanteras uocant) quorum exteriorem qui longè maior est, gluton, hoc est, natem appellant.

De tibia. Cap. XXII.

TOta pars cruris, quæ inter talum genuq́ posita est, eiusdemq́ etiam partis os grandius, tibia appellatur. Hæc interiore in parte sita est, eiq́ tantummodo femur ipsum annectitur. Os aũt quod extrinsecus locatum est, sura nominatur, quę crassitudine tibię admodum cedit, nec adeò protendiť ut genu ipsum contingat, uerũ suprà infràq́ tibiæ per synarthrosin alligať, media inter se penitus dehiscunt. Tibia quà femori copulatur, magna quidẽ adnata coagmentataq́ appendice duplicem in se sinũ habente, capita femoris sese insinuantia recipit. Inter eos

tibiæ ſinus eminentia quædam ſurgit,neruea,cartilaginoſaq́ꝫ,quæ inter femoris tubercula ueluti in imam quandam ſciſſuram inſeritur. Tibiæ quicquid anteriore in parte tenue & carnis eſt expers,Crea dicitur: imæ ab utroqꝫ latere tibiæ ſuræq́ꝫ partes, malleoli nuncupantur: iiq́ꝫ gibbi rurſus et omnino carne carentes,extra alia prominent; hos ipſos permulti talos uocant, ſed errant penitus;nam ſub his utrinqꝫ talus continetur, ac undequaque contegitur,ut ne eum tangere quidem poſſis. Malleoli extremæ tibiæ ſuræq́ꝫ proceſſuum partes ſunt, gibbę quidem exteriore ex parte (uti patet) intrinſecus cauæ.

De patella. *Cap.* XXIII.

QVà femur tibiæ annectitur, os extrinſecus cartilaginoſum, rotundum'qꝫ appoſitum eſt, quod gibba & ueluti tubercula ſubiectorum oſſium aptis ſinibus comprehendit: paulum'qꝫ intumeſcens,quod inter femur tibiam'qꝫ ſpatium patet,complectitur: idipſum os patella à nonnullis, mola ab aliis appellatur.

De pedis oſſibus. *Cap.* XXIIII.


TAlus ab imis tibię ſuræq́ꝫ proceſſibus (uti paulò ante diximus) comprehendit. Eius pars, quam πτέρνον uocant,ſurſum uergit. Poſteriores leuigatæ omnes, modiceq́ꝫ orbiculatæ ſunt,et ad ſuperiora potius ſpectant;anteriores rotundo quidē capite oblongę ceruici adnato, cum eo oſſe cōnectuntur, quod ad cymbæ ſimilitudinem ſcaphoeides nuncupatur. Ab utroqꝫ latere,dextro uidelicet ac ſiniſtro,in duo extantia ſupercilia deſinens,ſub tibię ſuræq́ꝫ cauis excipitur. Ipſius quoqꝫ pars interna leuorem ferè habet. Huic ſubeſt os pedis maximum, quod calcem uocant,id'qꝫ ipſum & rotundas partes ex talo recipit,& geminos quos habet exceſſus in ſinum eius percommodè inſerit. Pars uero qua ingredimur leniter rotunda et latiuſcula eſt. Poſterior quoqꝫ rotunda eſt,eaq́ꝫ tibiæ rectitudinem admodum excedit. Ex partibus eius anterioribus quæ è regione magni digiti ſita eſt, ipſius tali capiti ſubiacet, nec cum altero oſſe copulatur: at eius extremitas quæ minimo digito reſpondet, cum eo oſſe quod à teſſeræ ſimilitudine cyboeides uocant, per ſynarthroſin nectitur. Cyboeides autem à parte exteriore iuxta ſcaphoeides poſitum eſt; uerum hoc quà cum talo iungitur ſinuatum,cyboeides gibbum eſt. Tria deinceps oſſa paruula, inferiori ſcaphoeidis parti per ſynarthroſin copulantur, cum quibus etiam exteriore ex parte cyboeides pariter porrigitur. Poſt autē quatuor hæc oſſa, prima pars pedis quam tarſon uocant, finitur.


πτέρνον, ea pars in talo eſt, quam pronā uocant; quæq́ꝫ forsitaſſe quatrio (ut Iſidori utar uerbo) appellari poteſt.

De oſſibus plantæ. *Cap.* XXV.

PLanta inde inchoatur,quæ ex quinqꝫ oſſibus cōſtructa eſt. Poſt hæc deinceps pedis digiti ſiti ſunt, qui ex ternis internodiis omnes, ad eorum quæ in manu ſunt ſimilitudinem conſtant, pollice tantum excepto, qui inter alios ex duplici oſſe conſtitutus eſt. Horum dearticulationes membranoſis,quę uero in talo calceq́ꝫ habentur, ualidioribus ligamentis,quorū nonnulla neruea cartilaginoſaq́ꝫ ſunt, conſtringuntur. Sed hæc, ut puto, tyronibus, primaq́ꝫ de oſſibus rudimenta addiſcentibus ſint ſatis. Horum utiqꝫ cōtextus compactioq́ꝫ ſceletos dicitur. Quod ſi quod oſſiculum alibi, utpote in corde,in naſo, in gutture,item'qꝫ in aliquo ex digitis,ut quę à ſeſami ſimilitudine ſeſamoeide uocant,aliudq́ꝫ eius generis deprehenditur, non eſt neceſſariū hoc opere pertractare.

Oſſium humani corporis uniuerſi lineamenta, proximè ſequentes paginæ monſtrabūt.





Reliquæ membratim figuræ in luxationum
libris collocandæ sunt.

LIBRI DE OSSIBVS FINIS.

VNIVERSI OPERIS GALENI CHARTARVM SERIES.

TOMI PRIMI.

α a b c d e f g h i k l m n o p q r ſ t u x y z. aa bb cc dd ee ff gg hh ii kk ll mm nn. omnes ſunt quaterniones, præter α a & mm terniones.

SECVNDI.

A B C D E F G H I K L M N O P Q R S T V X Y Z. AA BB CC DD EE FF GG HH. omnes quaterniones, præter HH ternionem.

TERTII.

a† aaa bbb ccc ddd eee fff ggg hhh iii kkk lll mmm nnn ooo ppp qqq rrr sss ttt uuu xxx yyy zzz. aaaa bbbb cccc dddd eeee ffff gggg hhhh iiii kkkk llll mmmm nnnn oooo pppp qqqq rrrr ssss. terniones omnes, præter a† & ssss duerniones.

QVARTI.

a* AAA BBB CCC DDD EEE FFF GGG HHH III KKK LLL MMM NNN OOO PPP QQQ RRR SSS TTT VVV XXX YYY ZZZ. AAAA BBBB CCCC DDDD EEEE FFFF GGGG HHHH IIII KKKK LLLL MMMM NNNN OOOO PPPP. omnes terniones, præter AAAA BBBB CCCC DDDD EEEE FFFF GGGG quaterniones &, a* duernionẽ.

QVINTI.

♂ aaaaa bbbbb ccccc ddddd eeeee fffff ggggg hhhhh iiiii kkkkk lllll mmmmm nnnnn ooooo ppppp qqqqq rrrrr sssss ttttt uuuuu xxxxx yyyyy zzzzz. AAAAA BBBBB CCCCC DDDDD EEEEE FFFFF GGGGG HHHHH IIIII KKKKK LLLLL MMMMM NNNNN OOOOO PPPPP QQQQQ RRRRR SSSSS TTTTT VVVVV XXXXX YYYYY ZZZZZ. quaterniones omnes, præter ♂ & YYYYY terniones.

Οὗτος ὁ πέμπτος τομὸς μετὰ πρώτου καὶ δευτέρου, ἐτυπώθη ἐν Βασιλείᾳ πόνῳ καὶ δεξιό-
τητι καὶ ἐπιμελείᾳ Μιχαὴλ Ἰσιγγρινίου, ἀναλώμασι δὲ Ἀνδρέου Κρατάν-
δρου καὶ Ἰωάννου Βεβελίου, ἔτει τῷ ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, χιλιοστῷ πεντακοσιοστῷ
τριακοστῷ ὀγδόῳ, πέμπτῃ ἐλαφο-
βολιῶνος ἱσταμένου.

At tu gnate Dei patrisq; immensa voluptas
Cuius ab ore vigor viuus & almus abit.
Da placidum nobis in molli funere somnum,
Vltima cum magnas perferet hora vices.



Me tibi commendo, tibi iam me porrigo Christe,
Tu clemens famulum protege Christe tuum.